
SIMPLICII
COMMENT:
IN
PHYSICA
ARISTOTELIS.
ALDVS.








CAROLUS JACOBUS STUART BARONETTUS
JUSTITIÆ PROPOSITIQUE TENAX


ΑΩ

W. H. Thompson.

ΣΙΜΠΛΙΚΙΟΥ ΥΠΟ-

ΜΝΗΜΑΤΑ ΕΙΣ ΤΑ ΟΚΤΩ ΑΡΙΣΤΟΤΕΛΟΥΣ ΦΥΣΙ-
ΚΗΣ ΑΚΡΟΑΣΕΩΣ ΒΙΒΛΙΑ ΜΕΤΑ ΤΟΥ ΥΠΟ
ΚΕΙΜΕΝΟΥ ΤΟΥ ΑΡΙΣΤΟΤΕΛΟΥΣ.

SIMPLICII COMMEN

TARII IN OCTO ARISTOTELIS PHYSICAE
AVSCVLTATIONIS LIBROS CVM IPSO
ARISTOTELIS TEXTV.

AL DVS.

Ne quis alius impune, aut Venetiis, aut usquam lo-
corum hos Simplicii Cōmentarios imprimat, &
Clementis VII. Pont. Max. & Sena-
tus Veneti decreto cau-
tum est.

FRANCISCVS ASVLANVS CLARISSIMO ET AMPLISSIMO ANTISTITI MANTVA- NO HERCVLI GONZAGAE FELICITATEM.

c

Vm trigesimum & amplius abhinc annũ Aldus Manutius
ad rem litterariam restituẽdam adiecisset animum, quæ pla
nè ita collapsa & extincta uideretur, ut eã efflorescere, aut re
uiuiscere posse nihil penè superesset spei: præstitit sanè ui-
uens ille eam hac in re tam utili tamq; necessaria operam,
ut iure optimo nihil hodie sit in hoc genere, quod eius industriæ & studio
præferri uel possit, uel debeat. Ille uero cum reliqui sibi nihil faceret, nec la-
bori, nec uigiliis aut impensæ parceret: ex morbo, quem perpetuæ illi curæ,
immo potius ærumnæ pepere, suo quidem fortasse tempore, nostro certe de
cessit alienissimo. Sed cũ multa accurate, atq; solerter ille aut excogitarit pri
mus, aut multo politiora, splendidioraq; fecerit: id quoq; obseruare præci-
pue semp est uisus, ut quæcunq; in publicũ ꝓdirent ex eius officina moni
mẽta, ea aut sub illustris alicuius uiri titulo, aut doctrina excellentis appare
rẽt. Nec id meo sanè iudicio nõ prudentissime. Nã si magni referre existi-
mamus quo quisq; sidere mortaliũ hodie in lucẽ prodeat: è cuius ui ac nu-
mine lætiora homini aut tristiora promittant' euenta: aut (si christiana hoc
pietas interdicat) certe è cœli, ut ita dixerim, augustissimis templis tãtam &
terrarum & hominum ingenia hauriunt uarietatẽ, ut nisi cœlum ipsum re
spicias, inq; id ipsum intendas animum, uimq; omnem ad ipsum referas, ni
hil homine infelicius, aut fragilius esse dicas: sic de tota hac nuncupandi ra
tione sentias, magni sanè referre cui monumenta sua quisq; dedicet. Iam
quis neget certos esse singularum orbis partium Genios ab illa summa pro
uidentia ꝑfectos, quorũ arbitrio res sæpe iis mõ secũdæ, mõ aduersæ cõtin-
gãt? ut omittã quod nobis exploratũ sit omnibus, ꝑesse nobis singulos siue
dæmones, siue numina quædã media, siue Genios appelles, quorũ alii ad re
ctũ honestumq; nos uocent, alii nos ꝑcipites in malũ aut trahãt, aut ẽt sæpe
uolẽteis ducant. Quid qđ multa ideo ꝑciosa uidentur, qa sunt tẽplis dica-
ta? quid quod in summa partus desperatiõe parẽtes numini nasciturã pro-
lẽ addicunt, si modo ea uitalis fuerit? ut igitur optare sibi quisq; læta uitæ au
spicia uario solet omine: ut Deos fauenteis lucis rudimẽto adprecari obste
trices: ut Genio, lacte & uino ueteres ipsi supplicare: quem uitæ authorẽ esse
crederent: sic & librorum esse certa quædam numina credere par est, ac fata,
unde illi aut perpetuo uiuant, aut in ipso uitæ limine intereant. Nec certe
aliam uideo poetis plerisq; causam uaticinandi pollicendiq; sibi, & scriptis
æternitatẽ, quam ꝙ eam uim in huiuscemodi precationibus diuino affla-
ri furore cognoscerent, quæ à situ & obliuione seq;, ac poemata uendicarẽt.
Nos igitur qui eandem uiam, quam ab Aldo accepimus, constanter ad hãc

dié ingredimur ex doctissimi uiri instituto, & nobis arcta affinitate coniũ-
ctissimi id agimus, ut libri, qua latini, qua græci q̃ emẽdatissimi fieri potest,
ex officina nr̃a ꝓdeãt, simulq; sub illustriũ uirorũ nomine in apertũ exeãt.
quod si recte unq̃ ac feliciter à me, fratreq;, & parente id tẽtatũ successit, hãc
credo faustissimam, ac felicissimã & nobis, & literis planè fore nũcupatio
nem. quippe cum tibi dicentur in præsentia Simplicii in octo physicæ au
scultationis libros Comentarii castigatissimi de quoꝝ excellentia & usu, ut
Salustius de Carthagine, melius silere puto, q̃ pauca dicere. certe cur tibi po
tissimũ hi à nobis deberẽt, infinitæ propẽmodũ, & honestissimæ causæ. Et
prima quidẽ illa, quod cũ multa ideo preciosa uideri soleant, ut dixi, quod
templis sint dicata, sic & libros hosce lõge preciosissimos fore existimabam,
qui tibi hac dignitate, hoc fastigio dicarentur. Iam & Aldus ipse adeo semꝑ
familiæ uestræ fauit, adeo uirtutem excellẽtissimoꝝ in ea principũ admirari
solitus erat, uti nos eandem uoluntatis quasi hæreditatem merito retinea-
mus. Accedit ꝙ ea maiorum tuorum in terra Italia iam tot annos est gloria
& nobilitas, & ad auitã istã nobilitatem uirtus excellens tua, ut absolutissi-
mũ naturæ opus, quales sunt physici Aristotelis octo libri Cõmẽtariis recẽs
illustrati, absolutissimo planè debeãtur Principi. An tu credis Italiã regum
ac principũ clarissimoꝝ semper alumnã nõ tacitam secum lætari, cum au-
dit celebrẽ ubiq; gentium Gonziacæ familiæ laudẽ? cumq; ad suas reliquas
dotes: non iam ueteres illi Camilli, aut Scipiones, sed Friderici, & Francisci
& Ludouici tui citentur? an uero ulla Italiæ pars hodie tam illustris est, in
qua non maiorum tuorum egregia belli facinora comemorari nõ possint?
an ulla unquam delerit obliuio, ut alia omittam, patris tui auspiciis egre-
giam illam ad Tarrum cum Gallis pugnatam aciẽ? an illi strenua eius ope
ra ad Atellam inclusi, testimonium egregiæ uirtutis non dicent? Quid mu
nificentiam maiorum tuorum prædicem? cũ hospitium domus uestra nul
lo nõ tempore fuerit Regũ, Imperatorum, & deniq; Pontificũ. Sic abauus
tuus Aloysius Carolum. v. sic Ludouicus, Sigismundum & Fridericum lõ
go post tẽpore Romãos Cæsares benignissime, & ne quid claritatis familiæ
deesset uestræ, sic Pium Pontificem cum uniuersis ferè christianorum prin-
cipũ oratoribus magnificẽtissime maiores tui excepere. Omitto qualẽ se pa
ter ætate nostra in hoc genere laudis præstiterit, qualem se quoq; frater cla-
rissimus Princeps hodie exhibeat, ut cũ certatim oẽs Gõziacæ familiæ de-
bere sese fateant Italiæ principes, priuatiq; homines, ego quoq; quo possum
modo, si familiæ tã illustris, & tuam præcipue, promereri studeam gratiam,
ingratum tibi esse non debeat. Accipies igitur hanc animi nostri iã inde
ab Aldo nobis traditam propensionẽ, & litterarium hoc munus, ut soles, be
nigniore frõte: atq; eo libẽtius accipies, quod ut ex Furnio accepi uestro ui
ro nõ minus litteris & moribus excellenti, q̃ tui noĩs studiosissimo, philo-
sophiæ summo studio nauas iampridẽ operam. Et sanè cũ multa sint ab Ari
stotele in philosophia accurate & ornate scripta monimenta, nemo est pau-

lo (ut opinor) humanior, qui nesciat Physicam hanc totam auscultationem reliquis præferendam. Neq; uero solum ꝙ hi libri Aristotelis iudicio aut Alexandri Regis palmam inter cæteros obtinēt, quando inter ἀκροαματικοὺς uel ipso titulo excellunt, sed quod naturam ipsam ab incunabulis explicantes eam ita illustrant, ut nemo se philosophū profiteri hodie audeat, qui huiuscemodi librorum lectionis expers habeatur. Summā autem utilitatem & fructum in his esse libris nemo unquam dubitarit: siquis modo eos accuratius euoluat. An uero Medici, ut hinc ordiar, an qui à græcis appellantur Mæchanici, recte unq̄ aliquid instituāt, nisi illi artiū suarum principia à naturali philosophia, ueluti à fonte hauriant? An tu animæ ipsius uim, motū, intelligentiā à Theologia prius consequare, nisi hisce tanto ante assueris? Quid reliqua cōmemorem, cœli scilicet inclinatiōes syderum agitationes, ortus deniq; in his & occasus? Iā uero unde facilius uitā ipsam, aut uitæ officia instrui edoceriq; possis, q̄ ab hac ipsa elementoꝶ serie, mutuoq; cōsensu? quæ cum uicissim sibi cedant singula, concordiq; discordia sempiterna tot iam sæcula agitent sui in primis amantia, nos ad iustitiam retinendam maxime adhortentur. Nec minus temperantiam à nobis natura ipsa colendā statim à sui primordio edocet, quæ uoluptatem neq; ut præcipue bonum, neq; sua me tui præcipue nitens, sed secundarium quoddam atq; abiectum tanq̄ in familiam mediastynos prodat expetendā, cum multa turpia, multa ēt flagitiosa inmixta appareāt: à qua iure optimo sese mortales liberali uindicēt manu. Sed enim & fortitudinē amplectendā ab hisce naturæ principiis admonemur, cū animaduertimus hoc ipsum animal, quod hominem appellamus, si ad uniuersum naturæ opus cōpateť, nihil esse, breuemq; atq; imbecillam illi uitæ usuram concessam, cum mundo ipsi tam immensa annorum spatia sint attributa, omniaq; quæ sint genita corrūpi, dissoluiq; oportere: singulisq; corporis partibus esse ad principia redeūdū sua. Quod si prudentes homines admirari solemus eos, qui in dubiis optime perspiciant, de obscuris acute coniectent, non aliunde melius q̄ ab hac ipsa natura erudiamur uirtutis huiusce uiā: cum hæc ipsa philosophia reꝶ omnium naturā & ingenium edoceat: nihilq; omnino magnū in hominum rebus aperiat: quid ꝙ ad diuina ipsa percipienda aditum nobis hæc una paret? Etenim Platoni philosophoꝶ deo ita placuit, ut ꝑ naturaleis philosophiæ quasi gradus ad superna illa sensim feramur. quo fit, ne singula nūc enumerem, aut hanc unam philosophiæ partem nobis esse retinendam, aut præterea nullā, in quam auscultationē necesse est hāc Simplicii interpretationē non iucundissimā solum fore, uerum etiam multo fructosissimā, quippe quā ex nobilissimoꝶ & doctissimoꝶ hoīum fontibus ille deriuarit, & hauserit, quicunq; ad suā ætatē Aristotelē interpretati fuerāt: quamq; Auerois, & cæteri Arabes q̄ olim in precio habebāť, ueluti in Labyrintho Thesei filū ducē habuisse constet, ut nihil aliud illos qui tā acuti hactenus uidebantur, secutos appareat: ueluti olim græci helicen in mari, aut Cynosmā phænices constantissime semper obseruantes. Bene ac feliciter uale.

CLEMENS PAPA·VII·

DILECTI Filii salutem & apostolicam beñ· Exponi nobis nuper fecistis, uos qui ad imitationem quondã Aldi Manutii Pii Romani, cuius impressoriæ artis successores estis nouos quotidie libros tã græcos q̃ latinos eisdẽmet characteribus quorum ipse Aldus primus inuentor & auctor fuit, cura & impensa uestra impressos in lucem ædere, ac per eos publice utilitati non parum consulere consueuistis, nunc Simplicii opera græca imprimi curare, desyderareq; ne de laboribus uestris, quos ad cõmunem hominum utilitatem suscipitis, alii speratos à uobis fructus auferant, per nos oportune pro uideri· Nos ad officium nostrum pertinere putantes omnia procurare quibus bonæ artes temporibus nostris maxime floreãt, illorũq; fautores ad noua semper excogitanda, & studiosis publicanda, iustis gratiarum prærogatiuis alliciantur, & inuitentur· Et propterea desyderio uestro qui bono publico non sine magnis laboribus & impensis studere non desistitis, ne ab aliquibus iusto & honesto lucro defraudemini, annuere uolentes uniuersis & singulis cuiuscunq; dignitatis gradus, & conditionis existant, sub excõmunicationis latæ sententiæ, nostris uero & sanctæ Romanæ ecclesiæ subditis præterea etiam mille ducatorũ pœna pro una tertia parte Fabricæ Basilicæ Principis apostolorũ de urbe, pro altera uobis, pro reliqua uero iudicibus seu officialibus qui præsentium executores fuerint, applicandorum, tenore præsentium cõmittimus & mandamus, ne dicti Simplicii opera per uos impressa uel imprimenda intra decem annos, postq̃ impressa fuerint, imprimere, seu imprimi facere, aut quoquomodo uẽdere, siue uẽdi facere præsumãt· Mandantes in uirtute sanctæ obedientiæ urbis nostræ Gubernatori, & Senatori, necnon Auditori Cameræ, ac omnibus & singulis aliis Gubernatoribus, Magistratibus, officialibusq; nostris quibuscunq;, ut à uobis & à uestris agentibus in præmissis & circa ea requisiti, contra eos qui dicta opera Simplicii contra præsentium tenorem impresserint, seu imprimi fecerint, aut uẽdiderint, seu uendi fecerint, ad declarationem incursus dictæ pœnæ procedant, & pœnam ipsam pecuniariam, à quibus exigenda erit, irremissibiliter exigant, ac alia faciant & exequantur in præmissis quomodolibet necessaria uel oportuna· Inuocato etiam ad hoc (si opus fuerit) auxilio brachii sæcularis· Volumus etiam præsentium litterarum nostrarum transumptis manu notarii publici subscriptis, & sigillo alicuius persõæ in dignitate ecclesiastica constitutæ, munitis eandem prorsus fidem in iudicio & extra adhiberi, quam præsentibus originalibus adhiberetur, si exhibitæ forent, uel ostensæ· Non obstantibus constitutionibus & ordinationibus apostolicis, cæterisq; contrariis quibuscunq;· Datum Romæ apud sanctum Petrum sub annulo piscatoris· Die· XXII· Augusti· M· D· XXVI·
Pont· nostri anno tertio· B· Cl· Rauenñ·

A tergo·

Dilectis filiis Andreæ de Asula, & hæredibus quondam Aldi Manutii·

ΣΥΜΠΛΙΚΙΟΥ ΥΠΟΜΝΗΜΑ ΕΙΣ ΤΟ ΠΡΩΤΟΝ ΤΗΣ ΑΡΙΣΤΟΤΕΛΟΥΣ ΦΥΣΙΚΗΣ ΑΚΡΟΑΣΕΩΣ.

τ

ον σκοπὸν τῆς ἀριστοτέλους φυσικῆς ἀκροάσεως μαθεῖν ἐστι ῥᾳδίως, εἴ-
περ τῆς κατ' αὐτὸν διαιρέσεως τοῦ φυσικοῦ μέρους τῆς φιλοσοφίας
ὑπομνησθείημεν. οὐ χεῖρον δὲ ἴσως καὶ τὴν ὅλην τὴν κατ' αὐτὸν τῆς φι-
λοσοφίας ἐκθέσθαι διαίρεσιν. ἐπειδὴ γὰρ τελείωσίς ἐστι τῆς ψυχῆς ἡ
φιλοσοφία, ὥσπερ τοῦ σώματος ἡ ἰατρική, τῆς δὲ ψυχῆς τὸ μὲν ἄλο-
γόν ἐστι τὸ δὲ λογικὸν, καὶ τοῦ λογικοῦ τὸ μὲν τῇ ἀλογίᾳ συνεργοῦν. οἷος
ὁ δυνάμει παρ' αὐτῷ λεγόμενος νοῦς, τὸ δὲ χωριστὸν οἷος ὁ ἐνεργείᾳ νοῦς,
διττὴ δὲ πᾶσα ψυχῆς δύναμις, ἡ μὲν ὀρεκτικὴ, ἡ δὲ γνωστική, τὸ μὲν τοῦ
ὀρεκτικοῦ τελειωτικὸν, ἔν τε τῇ ἀλογίᾳ καὶ τῷ δυνάμει νῷ τῷ ταῖς
ὀρέξεσι ταῖς ἀλόγοις συνεργοῦντι, πᾶν τοῦτο πρακτικὸν οἱ ἀπὸ τοῦ
περιπάτου καλοῦσι, περὶ πρᾶξιν ἠσχολημένον, καὶ τέλος ἔχον τὴν τοῦ
ἀγαθοῦ αἵρεσίν τε καὶ τεῦξιν. τὸ δὲ τοῦ γνωστικοῦ τέλος ἔχον τὴν ἀλήθειαν, κοινῶς θεωρητικόν. ἀλλ' ὅ-
σον μὲν αὐτοῦ τὴν γνῶσιν τοῦ δυνάμει νοῦ τελειοῖ, τὴν μετ' αἰσθήσεως καὶ φαντασίας, περὶ τὰ ἔν-
υλα εἴδη καὶ ἀχώριστα τῆς ὕλης καταγινόμενον, τοῦτο φυσικὸν καλοῦσιν. ὅτι περὶ τὰ τοιαῦτα ἡ φύσις
καὶ ἐν τούτοις οὖσα ἀποδείκνυται. ὅσον δὲ περὶ τὰ χωριστὰ πάντη τῆς ὕλης εἴδη, καὶ τὴν τοῦ ἐνερ-
γείᾳ νοῦ καθαρὰν ἐνέργειαν, καὶ τοῦ δυνάμει τὴν τῷ ἐνεργείᾳ συμπεραινομένην, τοῦτο θεολογικὸν
καὶ πρώτην φιλοσοφίαν καὶ μετὰ τὰ φυσικὰ καλοῦσιν, ὡς ἐπέκεινα τῶν φυσικῶν τεταγμένην.
τὸ δὲ περὶ τὰ πῇ μὲν χωριστὰ, πῇ δὲ ἀχώριστα τῆς ὕλης εἴδη, τοῦτο μαθηματικὸν καὶ περὶ ψυχῆς
καλοῦσι. καὶ γὰρ τὴν μαθηματικὴν οὐσίαν μέσην λέγουσι, τῷ μὲν καθόλου τὸ χωριστὸν ἔχουσαν τῆς ὕ-
λης, τῷ δὲ διαστατῷ καὶ διακεκριμμένῳ τὸ ἀχώριστον. καὶ τὴν ψυχὴν δὲ ὁμοίως κατὰ μὲν τὰς αἰσθή-
σεις καὶ φαντασίας καὶ κατὰ τὸν δυνάμει νοῦν πολὺ τὸ ἔνυλον ἔχουσαν νοοῦσι. κατὰ δὲ τὸν ἐνεργείᾳ
νοῦν, ὃν καὶ αὐτὸν τῆς ψυχῆς ὄντα ἄκρον δείκνυσιν ὁ ἀριστοτέλης, κἂν μὴ δοκῇ τῷ ἀλεξάνδρῳ, τὸ
χωριστὸν τῆς ὕλης ἔχειν φασίν. ἀλλὰ τὰ μὲν ἄλλα μέρη ἐν ταῖς οἰκείαις πραγματείαις ἀκριβεστέ-
ρας τεύξεται διακρίσεως. τοῦ δὲ φυσικοῦ λόγου τὸ μὲν περὶ τὰς ἀρχάς ἐστι τῶν φυσικῶν πραγμά-
των πάντων, καθ' ὃ φυσικὰ ταὐτὸν δ' εἰπεῖν σωματικά, καὶ περὶ τὰ ταῖς τοιαύταις ἀρχαῖς ἐξ ἀ-
νάγκης ἀκολουθοῦντα. τὰ δὲ, περὶ τὰ ἀπὸ τῶν ἀρχῶν. ἐπεὶ δὲ καὶ τούτων τὰ μέν ἐστιν ἁπλᾶ. τὰ
δὲ σύνθετα, περὶ μὲν ἁπλῶν ἡ περὶ τοῦ οὐρανοῦ διδάσκει, ἐν μὲν τοῖς πρώτοις δύο βιβλίοις περὶ
τῆς πέμπτης οὐσίας τοῦ κυρίου οὐρανοῦ διαλεγομένη, καὶ πρὸς τοῖς ἄλλοις τὸ ἀΐδιον αὐτοῦ ἀποδει-
κνύουσα. ἐν δὲ τοῖς λοιποῖς δύο, περὶ τῶν τεσσάρων στοιχείων τῶν ὑπὸ σελήνην, καθ' ὅσον ἁπλᾶ καὶ
ταῦτα καὶ ἁπλᾶς κινούμενα κινήσεις, κατὰ τοσοῦτον ἐκεῖ παρειλημμένων. οὕτω γὰρ ἄμεινον οἶμαι
λέγειν. καὶ οὐχ ὡς ἀλέξανδρος τὴν περὶ οὐρανοῦ, περὶ τοῦ ἀϊδίου τε καὶ κυκλοφορικοῦ καὶ ἔτι
περὶ παντὸς σώματος φυσικοῦ ἤγουν περὶ τοῦ κόσμου εἶναί φησι. περὶ μὲν γὰρ τοῦ φυσικοῦ καθ' ὃ
φυσικὸν ταύτην εἶναι καὶ αὐτὸς ὁμολογεῖ τὴν πραγματείαν. καὶ ἔστι καὶ τὸ σύνθετον φυσικόν. οὐ-
δεὶς δὲ περὶ τοῦ συνθέτου λόγος ἐκεῖ. ἀλλὰ περὶ τῶν ἁπλῶν. ὡς καὶ αὐτὸς ἀριστοτέλης ἐν τῷ τρί-
τῳ τῆς πραγματείας δῆλον πεποίηκεν εἰπών, περὶ μὲν οὖν τοῦ πρώτου τῶν στοιχείων εἴρηται,
καὶ ὁποῖόν τί ἐστι τὴν φύσιν. καὶ ὅτι ἄφθαρτον καὶ ἀγένητον. λοιπὸν δὲ περὶ τοῖν δυοῖν εἰπεῖν. δύο
λέγων τὰς δύο συζυγίας τῶν τεσσάρων στοιχείων, τοῖς δύο εἴδεσι τῆς κινήσεως τῆς τε ἀπὸ τοῦ μέ-
σου καὶ τῆς πρὸς τὸ μέσον κρατουμένας. στοιχεῖα δὲ τὰ ἁπλᾶ καλῶν. ἐπεὶ δὲ τὰ μὲν σύνθετα πάν-
τα γενητὰ καὶ φθαρτά ἐστι, τῶν δὲ ἁπλῶν τὰ μὲν ἀΐδια, τὰ δὲ γινόμενα καὶ φθειρόμενα, περὶ μὲν
τῶν ἀϊδίων ἐν τοῖς πρώτοις εἴρηται τῶν περὶ οὐρανοῦ. περὶ δὲ τῶν γενητῶν καὶ φθαρτῶν, ὡς μὲν
ἁπλῶν ἐν τῷ τρίτῳ καὶ τετάρτῳ τῆς πραγματείας ἐκείνης. περὶ δὲ τῶν γενητῶν ὡς συνθέτων
μέλλων λέγειν. πρῶτα συνέγραψε τὰ περὶ γενέσεως καὶ φθορᾶς δύο βιβλία. τὰ κοινῶς πᾶσι
τοῖς γινομένοις καὶ φθειρομένοις ἀκολουθοῦντα, ἢ τοιαῦτα, διδάσκων. τούτων δὲ λοιπὸν ἄλλα ἄλλοις
ἰδίως πρόσεστι. καὶ τὰ μὲν ὅσα ἐν τῷ προσεχῶς ὑπὲρ ἡμᾶς συνίσταται τόπῳ. διὰ τῆς μετεωρολο-
γικῆς πραγματείας διδάσκει. τῶν δὲ ἐν τῷ καθ' ἡμᾶς τόπῳ. ἐπειδὴ τὰ μέν ἐστιν ἔμψυχα. τὰ δὲ ἄ-
ψυχα, περὶ μὲν ἀψύχων ἐν ταῖς τῶν μετάλλων πραγματείαις διδάσκει. τῶν δὲ ἐμψύχων τὰ μέν
ἐστι ζῶα. τὰ δὲ φυτά. τὰ δὲ ζωόφυτα. περὶ μὲν οὖν ζώων ἐν ταῖς περὶ ζώων παντοδαπαῖς πραγ-
ματείαις διηλέχθη, πῇ μὲν ἱστορικῶς τὰ περὶ αὐτῶν ἀφηγούμενος, ὡς ἐν ταῖς περὶ ζώων ἱστορίαις.
πῇ δὲ αἰτιολογικῶς διδάσκων, ὡς ἐν ταῖς περὶ ζώων γενέσεως καὶ μορίων κινήσεως καὶ ὕπνου καὶ τῶν
τοιούτων. ὁμοίως δὲ καὶ περὶ φυτῶν κατὰ τὸν διττὸν τοῦτον ἐδίδαξε τρόπον. ἡ μὲν οὖν διαίρεσις
τοιαύτη τίς ἐστι τοῦ φυσικοῦ τῆς φιλοσοφίας κατὰ τὴν περιπατητικὴν αἵρεσιν, ὡς συνελόντι εἰ-
πεῖν. τῆς δὲ προκειμένης πραγματείας ὁ σκοπὸς περὶ τῶν κοινῇ πᾶσιν ὑπαρχόντων τοῖς φυσικοῖς

πράγμασι, καθ' ὅσον εἰσὶ φυσικά· ταυτὸ δὲ εἰπεῖν σωματικὰ διδάξαι. κοινὰ δὲ πάντων αἱ ἀρχαί. καὶ τὰ ταῖς ἀρχαῖς παρακολουθοῦντα. ἀρχαὶ δέ εἰσι τά τε αἴτια κυρίως λεγόμενα, καὶ τὰ συναίτια. καὶ αἴτια μὲν τό, τε ποιητικόν ἐστι καὶ τὸ τελικὸν κατὰ τούτους. συναίτια δὲ τό, τε εἶδος καὶ ἡ ὕλη, καὶ ὅλως τὰ στοιχεῖα. πλάτων γὰρ τοῖς μὲν αἰτίοις τὸ παραδειγματικὸν προστίθησι. τοῖς δὲ συναιτίοις τὸ ὀργανικόν. καὶ ὅτι μὲν περὶ τῶν κοινῇ πᾶσιν ὑπαρχόντων τοῖς φυσικοῖς ὁ τῆς πραγματείας ἐστὶ σκοπὸς, δηλοῖ μὲν εὐθὺς καὶ τὸ προοίμιον. ἀναγκαῖον εἶναι λέγων τῷ φυσικῷ πρῶτον διορίσασθαι τὰ περὶ τὰς ἀρχάς. δηλοῖ δὲ καὶ ἐν ἀρχῇ τοῦ τρίτου βυβλίου λέγων. δῆλον οὖν ὡς διά τε ταῦτα, καὶ διὰ τὸ πάντων εἶναι κοινὰ καὶ καθόλου ταῦτα, σκεπτέον προχειρισαμένοις περὶ ἑκάστου τούτων. ὑστέρα γὰρ ἡ περὶ τῶν ἰδίων θεωρία τῆς περὶ τῶν κοινῶν. ἐπεὶ δὲ ἡ φύσις ποιητικόν πως προσεχῶς αἴτιον οὖσα τῶν φυσικῶν, ἀρχὴ κινήσεως οὖσα δειχθήσεται, καὶ πᾶν φυσικὸν σῶμα ὂν, ἀρχὴν ἐν αὐτῷ κινήσεως ἔχει, ὁ περὶ κινήσεως λόγος ἀναγκαῖος τῷ φυσικῷ. ἐπεὶ δὲ τὸ κινούμενον ὑπὸ χρόνου μετρεῖται κατὰ τὴν κίνησιν, καὶ σῶμα ὂν ἐν τόπῳ ἐστὶ, δεῖ καὶ περὶ χρόνου καὶ περὶ τόπου διδάξαι. ἐπειδὴ δὲ καὶ τὸ σῶμα καὶ ὁ τόπος καὶ ὁ χρόνος καὶ ἡ κίνησις συνεχῆ ἐστὶ, καὶ περὶ συνεχοῦς ἀνάγκη διαλαβεῖν. καὶ ταῦτα μὲν παρακολουθεῖ ταῖς φυσικαῖς ἀρχαῖς. ἐμπίπτει δὲ ζητήματα καὶ περὶ ἀπείρου καὶ περὶ κενοῦ. περὶ ἀπείρου μὲν, ὅτι ἀνάγκη καὶ τὰ φυσικὰ σώματα καὶ τὴν κίνησιν καὶ τὸν τόπον καὶ τὸν χρόνον συνεχῆ ὄντα καὶ διάστασιν ἔχοντα, ἐπ' ἄπειρον εἶναι διαιρετά. καὶ ἢ ἄπειρα εἶναι ἢ πεπερασμένα, ἢ πῇ μὲν τὸ ἄπειρον ἔχειν, πῇ δὲ τὸ πεπερασμένον. ἐπεὶ δὲ ὁ τόπος ἔδοξέ τισι διάστημά τι κενὸν εἶναι σώματος ἐστερημένον, εἰκότως ὁ περὶ κενοῦ λόγος ἐμπίπτει τῷ περὶ τοῦ τόπου. καὶ διότι τινὲς τῶν φυσικῶν καὶ οὐχ οἱ τυχόντες καὶ τὸ κενὸν ἐν ἀρχῆς ἔθεντο λόγῳ. περὶ τούτων οὖν ὁ τῆς φυσικῆς ἀκροάσεως σκοπός. ἃ κοινῇ πᾶσι τοῖς φυσικοῖς ὑπάρχει. ἢ δοκεῖ μὲν, οὐχ ὑπάρχει δέ. καὶ ἡ αἰτία τῆς ἐπιγραφῆς λοιπὸν δήλη. περὶ γὰρ τῶν κοινῶς πᾶσι τοῖς φυσικοῖς καθ' ὃ φυσικά ἐστιν ὑπαρχόντων διδάσκουσα, εἰκότως τὸ κοινὸν ὄνομα ἀπηνέγκατο φυσικὴ ἐπιγραφεῖσα. ἀκρόασις δὲ, ὡς κατ' ἀκρίβειαν οὕτως ἠσκημένη, ὡς εἰς ἀκρόασιν ἄλλων προτεθεῖσθαι. ἄδραστος δὲ ἐν τῷ περὶ τῆς τάξεως τῶν ἀριστοτέλους συγγραμμάτων ἱστορεῖ, παρὰ μέν τινων περὶ ἀρχῶν ἐπιγεγράφθαι τὴν πραγματείαν. ὑπ' ἄλλων δὲ φυσικῆς ἀκροάσεως. τινὰς δὲ πάλιν τὰ μὲν πρῶτα πέντε περὶ ἀρχῶν ἐπιγράφειν φησί. τὰ δὲ λοιπὰ τρία περὶ κινήσεως. οὕτω δὲ φαίνεται καὶ ἀριστοτέλης αὐτῶν πολλαχοῦ μεμνημένος. χρήσιμος δέ ἐστιν ἡ φυσιολογία, οὐ μόνον ἐν τοῖς κατὰ τὸν βίον καὶ ἰατρικῇ καὶ μηχανικῇ τὰς ἀρχὰς παρέχουσα. καὶ ταῖς ἄλλαις βοηθοῦσα τέχναις. ἑκάστη γὰρ αὐτῶν δεῖται ταύτης, ὥστε τὴν φύσιν καὶ τὰς κατὰ φύσιν διαφορὰς τῆς ὑποκειμένης αὐτῇ ὕλης ἐπεσκέφθαι. οὐδ' ὅτι τὸ ἐν ἡμῖν τῆς ψυχῆς εἶδος τὸ σύντυχον πρὸς τὴν τῶν φυσικῶν γνῶσιν τελειοῖ. ὡς θεολογία τὸ νοερὸν καὶ ἄκρον. ἀλλ' ὅτι καὶ πρὸς τὰς ἄλλας τῆς ψυχῆς τελειώσεις τὰ μέγιστα συντελεῖ. καὶ γὰρ ταῖς πρακτικαῖς ἀρεταῖς συλλαμβάνει. δικαιοσύνῃ μὲν, καθ' ὅσον ἐπιδείκνυσι τά τε στοιχεῖα καὶ τὰ μόρια τοῦ παντὸς, ἀλλήλοις εἴκοντα καὶ ἀγαπῶντα τὴν ἑαυτῶν τάξιν, καὶ τὴν ἰσότητα φυλάττοντα τὴν γεωμετρικήν. καὶ διὰ τοῦτο πλεονεξίας ἀφιστῆσι. σωφροσύνῃ δὲ, τὴν φύσιν δεικνῦσα τῆς ἡδονῆς ὅτι προηγούμενον μὲν οὐδὲν ἀγαθόν ἐστι. παρακολούθημα δέ τι, ἕως τό τε σφοδρὸν καὶ αἱρετὸν δοκοῦν, ἕως ἔτι πολλῷ τῷ παρὰ φύσιν συνανακέκραται. καὶ μέντοι ἡ περὶ τὴν φυσικὴν θεωρίαν ἀσχολία ῥᾳδίως τὴν ψυχὴν μεθίστησιν, ἀπό τε τῶν σωματικῶν ἡδονῶν καὶ τῆς περὶ τὰ ἐκτὸς πτοίας. δι' ὧν σωφροσύνη καὶ δικαιοσύνη καὶ τὸ εὐσύμβολον ἐν τοῖς συναλλάγμασι περιγίνεται. ἀνδρεῖος δὲ τίς ἂν οὕτως εἴη, ὡς ὁ ἀπὸ φυσιολογίας ἐγνωκὼς, ὡς οὐδὲν αἰσθητὸν τοῦ παντός ἐστι μόριον τὸ ἡμέτερον ζῷον. οὐδὲ τοῦ χρόνου τοῦ παντὸς τῆς ἡμετέρας ζωῆς τὸ μέτρον. καὶ ὅτι τῷ γινομένῳ παντὶ φθορὰν ἀκολουθεῖν ἀναγκαῖον, διάλυσιν οὖσαν εἰς τὰ ἁπλᾶ. καὶ ἀπόδοσιν τῶν μορίων εἰς τὰς οἰκείας ὁλότητας, καὶ ἐκνεασμὸν τῶν γεγηρακότων. καὶ ἀνάρρωσιν τῶν κεκμηκότων. τὸ δὲ νῦν ἢ μετ' ὀλίγα ἔτη φθαρησόμενον ἐν οὐδενὶ ἂν εἴη λόγῳ πρὸς τὴν ἀπειρίαν τοῦ χρόνου διεγνωκότα. εἰ δὲ καὶ τὴν χωριστὴν ὑπεροχὴν τῆς ψυχῆς ἐννοῶν, πρὸς τὰς ἀπὸ τοῦ σώματος προσγινομένας ἀσχολίας αὐτὴν παραβάλλοι, τότε ἂν τελέως ἀγαπήσοι τὸν θάνατον. ὁ δὲ πρὸς θάνατον οὕτως ἔχων, τί ἂν ἄλλο τῶν δοκούντων δεινῶν καταπλήξειε. φρονήσεως δὲ αὐτόθι ἐστὶ ποιητικὴ, πολὺ τὸ συγγενὲς ἐχούσης πρὸς τὸ γνωστικὸν τῆς ψυχῆς. μεγαλοψύχους δὲ καὶ μεγαλόφρονας ποιεῖ, πείθουσα μηδὲν τῶν ἀνθρωπίνων ἡγεῖσθαι μέγα. ὀλίγοις τε ἀρκουμένους, καὶ διὰ τοῦτο ὧν τε ἔχουσι κοινωνοῦντας ἑτοίμως, καὶ λαμβάνειν παρ' ἄλλων μηδὲν δεομένους, ἐλευθερίους ἀποτελεῖ. τὸ δὲ μέγιστον αὐτῆς ἀγαθὸν, ὅτι καὶ πρὸς τὴν τῆς ψυχικῆς οὐσίας γνῶσιν, καὶ πρὸς τὴν τῶν χωριστῶν καὶ θείων εἰδῶν θεωρίαν, ὁδός ἐστι καλλίστη. ὡς καὶ πλάτων δείκνυσιν, ἀπὸ τῶν φυσικῶν κινήσεων ὁρμηθεὶς, ἐπὶ τὴν εὕρεσιν τῆς τε αὐτοκινήτου οὐσίας, καὶ τῆς νοερᾶς καὶ θείας ὑποστάσεως. καὶ ἀριστοτέλης δὲ ἐν αὐτῇ ταύτῃ τῇ πραγματείᾳ ἀπὸ τοῦ ἀϊδίου τῆς κυκλικῆς κινήσεως, τὸ ἀκίνητον καὶ πάσης κινήσεως αἴτιον ἀνιχνεύων. ἔστι δὲ τὸ πρὸς τὴν θείαν ὑπεροχὴν σέβας αὐτὴ

μάλιστα

μάλιστα διαθερμαίνει καλῶς, ἐκ τῆς τῶν ὑπ᾽ αὐτοῦ γινομένων ἀκριβοῦς κατανοήσεως, εἰς θαῦμα καὶ
μεγαλειότητα τοῦ ποιήσαντος ἀνεγείρουσα. τῷ δὲ θαύματι τούτῳ ἡ πρὸς τὸν θεὸν συμπάθεια καὶ πί-
στις καὶ ἐλπὶς ἀσφαλεῖς συνακολουθοῦσι. καὶ διὰ ταῦτα μάλιστα φυσιολογίαν ἀσκητέον. οὕτω γοῦν
χρησίμου τῆς φυσιολογίας οὔσης, χρησιμωτάτη ἂν εἴη δικαίως ἡ παροῦσα πραγματεία, τὰς ἀρ-
χὰς ἡμᾶς τῆς ὅλης φυσιολογίας ἀναδιδάσκουσα. ὧν ἐκτὸς ἀδύνατον φυσιολογικὴν ἔχειν ἐπιστήμην.
ὡς καὶ αὐτὸς ἀριστοτέλης ἀρχόμενος εὐθὺς τῆς συγγραφῆς ἐνεδείξατο, τότε οἰόμεθα γινώσκειν ἕκα-
στον εἰπών. ὅταν τὰ αἴτια γνωρίσωμεν τὰ πρῶτα καὶ τὰς ἀρχὰς τὰς πρώτας καὶ μέχρι τῶν στοι-
χείων. εἰ δὲ καὶ περὶ τῆς τάξεως τοῦ συγγράμματος χρὴ λέγειν, ὅτι μὲν τῶν φυσικῶν προηγεῖται πάν-
των, ὡς τὰς ἀρχὰς διδάσκον τὰς φυσικὰς, πρόδηλον ἐκ τῆς παρατεθείσης ῥήσεως. μετὰ δὲ τὰς
ἠθικὰς πραγματείας, τὰς τὸ ἦθος ἡμῶν καταρτιζούσας, καὶ τὰς λογικὰς τὰς τὸ κριτήριον ἡμῖν
τῆς ἀληθείας εὐτρεπιζούσας, τὰς φυσικὰς χρὴ πραγματείας παραλαμβάνεσθαι. ὅτι δὲ γνήσιον
τοῦ ἀριστοτέλους τὸ βιβλίον, περιττὸν κατασκευάζειν, ἀναμφίλεκτον ὑπάρχον, καὶ ἐν πολλοῖς τῶν
ἀναμφιλέκτων συγγραμμάτων μνήμης παρὰ τοῦ ἀριστοτέλους τυγχάνον, καὶ τῶν σπουδαιοτάτων
αὐτοῦ μαθητῶν καὶ τῶν ἀπὸ τῆς αἱρέσεως πάντων μεμνημένων, τῶν δὲ καὶ κεφάλαια αὐτῆς καὶ συνό-
ψεις ποιουμένων. διχῆ δὲ τὴν πρώτην τῆς ὅλης πραγματείας διῃρημένης, τὰ μὲν πρῶτα ἄδρα-
στος λέγει πέντε βιβλία περὶ τῶν φυσικῶν ἀρχῶν εἶναι πασῶν, καὶ τῶν ταύταις ἀκολουθούντων
καὶ εἰς ζήτησιν παρεμπιπτόντων. ἀπὸ δὲ τοῦ ἕκτου βιβλίου τὸν περὶ κινήσεως ἀναλαβὼν λόγον,
ἐν τοῖς τρισὶ τοῖς λοιποῖς τὰ παντοδαπὰ περὶ κινήσεως φυσικὰ θεωρήματα παραδίδωσι. διὸ
τὰ μὲν πρῶτα πέντε περὶ ἀρχῶν εἴωθε καλεῖν ὁ ἀριστοτέλης. τὰ δὲ ἐφεξῆς περὶ κινήσεως. τῶν δὲ
περὶ ἀρχῶν ἐν μὲν τῷ πρώτῳ περὶ τῶν συναιτίων διδάσκει, τῆς τε ὕλης φημὶ καὶ τοῦ εἴδους, καὶ
τῆς ἀντικειμένης τῷ εἴδει στερήσεως. ἐν δὲ τῷ δευτέρῳ περὶ τοῦ προσεχῶς ποιητικοῦ αἰτίου, ὅπερ τὴν
φύσιν εἶναί φησι. καὶ μέντοι καὶ περὶ τοῦ τελικοῦ. ἐπειδὴ δέ ἐστι τινὰ καὶ ἄλλα ποιητικὰ δοκοῦντα
αἴτια, κατὰ συμβεβηκὸς ἔχοντα τοῦτο, ὥσπερ ἡ τύχη καὶ τὸ αὐτόματον, οὐδὲ τὸν τούτων διορισ-
μὸν ἀδιάρθρωτον καταλέλοιπεν. ὁρισάμενος δὲ τὴν φύσιν ἀρχὴν κινήσεως, καὶ ὅλως τῶν φυσικῶν
κατὰ τὴν κίνησιν χαρακτηριζομένων, ἐν τῷ τρίτῳ τί ποτέ ἐστιν ἡ κίνησις ἥ, τε κοινὴ καὶ καθ᾽ ἕκα-
στον εἶδος ἀναδιδάσκει. ἐπεὶ δὲ συνεχὴς ἡ φυσικὴ κίνησις, τὸ δὲ συνεχὲς ἐπ᾽ ἄπειρον διαιρετὸν, καὶ περὶ
συνεχοῦς καὶ ἀπείρου διαλέγεται κατὰ τὸ τρίτον βιβλίον. σώματα δὲ ὄντα τὰ φυσικὰ, καὶ
θέσιν ἔχοντα, τόπου δεῖται, ἐν ᾧ τε ἔσται καὶ ἐν ᾧ κινηθήσεται. διὸ καὶ περὶ τόπου διέξεισιν ἐν τῷ
τετάρτῳ. κενὸν δὲ διάστημα τινῶν τὸν τόπον ὑπολαμβανόντων, καὶ ἐν ἀρχῆς λόγῳ τινῶν τὸ κενὸν
τιθέντων, εἰκότως καὶ τὰς περὶ τοῦ κενοῦ ζητήσεις ἀνακινεῖ. πάσης δὲ κινήσεως ὑπὸ χρόνου μετρου-
μένης, ἀναγκαῖον ἦν καὶ περὶ χρόνου τὸν φυσικὸν πολυπραγμονεῖν. καὶ οὕτω τὸ τέταρτον συνε-
περάνατο βιβλίον. ἐν τῷ πέμπτῳ δὲ τὴν κίνησιν ἀπὸ τῶν ἄλλων μεταβολῶν διέκρινε. καὶ τὴν ἀν-
τίθεσιν τῶν τε κινήσεων πρὸς ἀλλήλας. καὶ τῶν ἠρεμιῶν πρός τε τὰς κινήσεις καὶ πρὸς ἀλλήλας
διώρισε. καὶ τὴν μίαν κίνησιν ἥτις ποτέ ἐστι περιέγραψεν. ἀλλ᾽ ὀλίγα ἔτι προσθεὶς ἐπὶ τὴν λέξιν
τρέψομαι. τῶν γὰρ πρὸ τοῦ πλάτωνος φιλοσοφησάντων, οἱ μὲν περὶ θαλῆν καὶ ἀναξίμανδρον
καὶ τοὺς τοιούτους, ἅτε πρώτως τότε μετὰ τὸν κατακλυσμὸν καὶ τὴν τῶν ἀναγκαίων περιποίη-
σιν φιλοσοφίας ἀρξαμένης ἐν τῇ ἑλλάδι, τὰς τῶν φύσει γινομένων αἰτίας ζητοῦντες, τὰς ὑλικὰς
καὶ στοιχειώδεις ἀρχὰς ἐθεάσαντο. καὶ ἐξέφηναν ἀδιορίστως, ὡς πάντων τῶν ὄντων τὰς ἀρχὰς ἐκ-
φαίνοντες. ξενοφάνης δὲ ὁ κολοφώνιος, καὶ ὁ τούτου μαθητὴς παρμενίδης, καὶ οἱ πυθαγόρειοι, τε-
λειοτάτην μὲν περί τε τῶν φυσικῶν καὶ τῶν ὑπὲρ τὴν φύσιν, ἀλλ᾽ αἰνιγματώδη τὴν ἑαυτῶν φι-
λοσοφίαν παραδεδώκασιν. ἀναξαγόρας δὲ ὁ κλαζομένιος ἐπέστησε μὲν ποιητικὸν αἴτιον τὸν νοῦν.
ἐν δὲ ταῖς αἰτιολογίαις ὀλίγα αὐτῷ προσεχρήσατο, ὡς ὁ ἐν φαίδωνι σωκράτης ἐπεσκήψε. καὶ ἴσως
οὐδὲν ἄτοπον τοῦτο. καὶ γὰρ καὶ ὁ τίμαιος αὐτός τε καὶ ὃν ὁ πλάτων ὑπεκρίνατο. τὸ ποιητικὸν καὶ
παραδειγματικὸν καὶ τελικὸν αἴτιον τῶν γινομένων προϋποθέμενοι, ὅμως τὰς τῶν σωματικῶν
αἰτίων ἀποδόσεις ἀπό τε τῶν ἐπιπέδων σχημάτων, καὶ ὅλως ἀπὸ τῆς τῶν στοιχείων φύσεως ἐποιή-
σαντο. πλὴν ὅ γε πλάτων τὰ τῶν πυθαγορείων καὶ τῶν ἐλεατικῶν ἐπὶ τὸ σαφέστερον προαγαγὼν,
τά τε ὑπὲρ τὴν φύσιν ἐξύμνησεν ἀξίως. κἂν τοῖς φυσικοῖς καὶ γενητοῖς τὰς στοιχειώδεις ἀρχὰς τῶν
ἄλλων διέκρινε. καὶ στοιχεῖα πρῶτος αὐτὸς ὠνόμασε τὰς τοιαύτας ἀρχάς. ὡς ὁ εὔδημος ἱστορεῖ. καὶ
τὸ ποιητικὸν αἴτιον καὶ τὸ τελικὸν καὶ ἔτι πρὸς τούτοις τὸ παραδειγματικὸν τὰς ἰδέας αὐτὸς
θεασάμενος διέκρινε. καὶ γὰρ τὴν ὕλην ταῖς αὐταῖς χρώμενος ἐννοίαις ὕστερον ἀριστοτέλης ἀνεῦ-
ρε. καὶ τὸ εἶδος ὁμοίως. ποιητικόν τε αἴτιον τὸν θεῖον ἐπέστησε νοῦν, καὶ τελικὸν τὴν τούτου ἀγαθό-
τητα. δι᾽ ἣν τὸ αἰσθητὸν πᾶν πρὸς τὸ νοητὸν παράδειγμα ἀφωμοίωσεν. ὁ δέ γε ἀριστοτέλης τῶν
μὲν πρὸ τοῦ πλάτωνος φυσιολόγων διήνεγκεν, οὐ μόνον τὸ ποιητικὸν αἴτιον ἐπιστήσας ἀλλ᾽ ὅτι καὶ
τὰ ὑλικὰ αἴτια ἀρχοειδέστερον ἐθεάσατο. ἐκείνων γὰρ ἢ τὰς ὁμοιομερείας, ἢ ἕν τι τῶν τεττάρων

[Marginal manuscript notes: Thales & Anaximander — Pythagorei — Anaxagoras Socrates c. 30. & 63.]

στοιχείων, ἢ πλείονα, ἢ πάντα ὑποθεμένων, ἢ μέχρι τῶν ἀτόμων σωμάτων ἐλθόντων, αὐτὸς καὶ τὰς ὁμοιομερείας καὶ τὰ τέσσαρα στοιχεῖα διέλυσε. καὶ αὐτὴν τὴν σωματικὴν φύσιν εἴς τε τὸ εἶδος καὶ τὴν ὕλην ἀνέλυσεν. ὡς πρὸ αὐτοῦ πλάτων, καὶ πρὸ τοῦ πλάτωνος ὁ πυθαγορικὸς τίμαιος, προσεχῆ μὲν τὰ τέσσαρα στοιχεῖα ποιήσαντες. πρὸ ἐκείνων δὲ τὰ ἐπίπεδα. ἀρχὰς δὲ πρώτας στοιχειώδεις τὴν ὕλην καὶ τὸ εἶδος. ὁμοῦ δὲ καὶ τοῦ πλάτωνος καὶ τῶν πρὸ τοῦ πλάτωνος ἁπάντων διήνεγκεν ὁ ἀριστοτέλης, ὅτι περὶ τῶν φυσικῶν πραγμάτων, ἢ ὡς περὶ πάντων τῶν ὄντων διαλεγομένων, ὡς οἱ πρὸ τοῦ πλάτωνός τινες, ἢ ὡς περὶ κόσμου καὶ τῶν τοῦ κόσμου μερῶν, ἐν τοῖς περὶ κόσμου τὰ ἐνταῦθα ζητούμενα ἀνακινούντων, ὡς αὐτός τε ὁ πλάτων καὶ τῶν πρὸ αὐτοῦ τινὲς, ὁ ἀριστοτέλης καὶ τὰ φυσικὰ διέκρινεν ἥν τινα ἐν τοῖς οὖσιν ἔχει τάξιν. καὶ ὡς εἰ μὴ δὲ ἦν κόσμος, περὶ αὐτοῦ καθ᾿ αὑτὸ διδάσκει τοῦ φυσικοῦ σώματος. κἂν τοῖς στοιχείοις δὲ τὴν στέρησιν ὡς ἄλλο τι τῆς ὕλης οὖσαν αὐτὸς ἀπέδειξε, τοῦ πλάτωνος τῆς ὕλης ἢ κατὰ τὴν ὕλην ἀφορισαμένου τὴν στέρησιν. καὶ τὸ ποιητικὸν δὲ αἴτιον τῶν μὲν ἄλλων παραλιμπανόντων, τοῦ δὲ ἀναξαγόρου καὶ τοῦ πλάτωνος ταυτὸν δ᾿ εἰπεῖν τῶν πυθαγορείων τὸν θεῖον νοῦν τιθέντων, αὐτὸς τὸ προσεχὲς ζητῶν τῶν φύσει γινομένων ποιητικὸν αἴτιον τὴν φύσιν εἶναί φησιν. ἣν ὁ πλάτων ἐν τῷ ὀργανικῷ τέθεικε, κινουμένην μὲν ὑφ᾿ ἑτέρου, κινοῦσαν δὲ ἕτερα. οὐ μέντοι οὐδὲ ἀριστοτέλης ἐπὶ τῆς φύσεως ἔμεινεν, ὡς ἐπὶ πρώτης ἢ κυρίως ποιητικῆς. ἀλλὰ καὶ αὐτὸς ἐπὶ τὸ ἀκίνητον καὶ πάντων κινητικὸν αἴτιον ἀνῆλθε. καὶ πάντα τούτου ἐξῆψεν ἐπὶ τέλει τῆσδε τῆς πραγματείας τὰ κινούμενα. καὶ τὸ εἶδος δὲ τῆς τοῦ ἀνδρὸς τούτου φυσιολογίας διήνεγκε. τῶν μὲν παλαιοτέρων, καθ᾿ ὅσον τὸ αἰνιγματῶδες ἐκείνων ἐπὶ τὸ σαφέστερον μετέβαλε. καὶ ἀκρίβειαν ταῖς ἀποδείξεσι προσέθηκε. τοῦ δὲ πλάτωνος, καθ᾿ ὅσον ἀσθενεστέρας τίθησι τὰς τῶν ἀποδείξεων ἀνάγκας καὶ τὰς ἀρχὰς αὐτὸς, ἀπό τε τῆς αἰσθήσεως καὶ ἀπὸ τῶν προχείρων δοξῶν σπουδάζων λαμβάνειν. πάντων δὲ ὁμοῦ, τῷ πάντα τὰ τῆς φυσιολογίας μέρη μέχρι τῶν μερικωτάτων ἐπεξεργάσασθαι. διχῆ δὲ διῃρημένων αὐτοῦ τῶν συγγραμμάτων. εἴς τε τὰ ἐξωτερικά, οἷα τὰ ἱστορικά, καὶ τὰ διαλογικά, καὶ ὅλως τὰ μὴ ἄκρας ἀκριβείας φροντίζοντα, καὶ εἰς τὰ ἀκροαματικά, ὧν καὶ αὕτη ἐστὶν ἡ πραγματεία, ἐν τοῖς ἀκροαματικοῖς ἀσάφειαν ἐπετήδευσε, διὰ ταύτης τοὺς ῥαθυμοτέρους ἀποκρουόμενος, ὡς παρ᾿ ἐκείνοις μὴ δὲ γεγράφθαι δοκεῖν. τοιγαροῦν ἀλεξάνδρου μετὰ τὴν περσῶν καθαίρεσιν τάδε πρὸς αὐτὸν γεγραφότος. ἀλέξανδρος ἀριστοτέλει εὖ πράττειν. οὐκ ὀρθῶς ἐποίησας ἐκδοὺς τοὺς ἀκροαματικοὺς τῶν λόγων. τίνι γὰρ ἔτι διοίσομεν ἡμεῖς τῶν ἄλλων, εἰ καθ᾿ οὓς ἐπαιδεύθημεν λόγους, οὗτοι πάντων ἔσονται κοινοί. ἐγὼ δὲ βουλοίμην ἂν ταῖς περὶ τὰ ἄριστα ἐμπειρίαις ἢ ταῖς δυνάμεσι διαφέρειν. αὐτὸς τάδε ἀντέγραψεν. ἀριστοτέλης βασιλεῖ ἀλεξάνδρῳ εὖ πράττειν. ἔγραψάς μοι περὶ τῶν ἀκροαματικῶν λόγων, οἰόμενος δεῖν αὐτοὺς φυλάττειν ἐν ἀπορρήτοις. ἴσθι οὖν αὐτοὺς καὶ ἐκδεδομένους καὶ μὴ ἐκδεδομένους. συνετοὶ γάρ εἰσι μόνοις τοῖς ἡμῶν ἀκούσασιν. ἔρρωσο. πλούταρχος δὲ ὁ χαιρωνεὺς ἐν τῷ ἀλεξάνδρου βίῳ ἐπὶ τῇ ἐκδόσει τῆς μετὰ τὰ φυσικὰ ταῦτα γεγράφθαι φησίν.

ΕΠΕΙΔΗ τὸ εἰδέναι καὶ τὸ ἐπίστασθαι συμβαίνει περὶ πάσας τὰς μεθόδους, ὧν εἰσὶν ἀρχαί, ἢ αἴτια, ἢ στοιχεῖα. ἐκ τοῦ ταῦτα γνωρίζειν, τότε γὰρ οἰόμεθα γινώσκειν ἕκαστον, ὅταν τὰ αἴτια γνωρίσωμεν τὰ πρῶτα, καὶ τὰς ἀρχὰς τὰς πρώτας. καὶ μέχρι τῶν στοιχείων. δῆλον ὅτι καὶ τῆς περὶ φύσεως ἐπιστήμης πειρατέον διορίσασθαι πρῶτον τὰ περὶ τὰς ἀρχάς.

Τὸ προοίμιον εὐθὺς τὸν σκοπὸν ἐκφαίνει τοῦ συγγράμματος, ὅτι περὶ τῶν φυσικῶν ἀρχῶν ἐστι. πειρατέον γάρ φησι πρῶτον διορίσασθαι τὸ περὶ τὰς φυσικὰς ἀρχάς. καὶ τὴν ἀναγκαίαν δὲ χρείαν τοῦ περὶ τῶν ἀρχῶν λόγου σαφῶς παρέδειξεν, οὕτω πως συλλογισάμενος. τὰ φυσικὰ ἀρχὰς ἔχει. τὰ ἀρχὰς ἔχοντα ἐπίστασθαι συμβαίνει ἐκ τοῦ τὰς ἀρχὰς αὐτῶν γνωρίζειν. ἀναγκαία ἄρα τῷ φυσιολογικὴν ἐπιστήμην ἔχοντι ἡ τῶν ἀρχῶν τῶν φυσικῶν γνῶσις. ἀλλ᾿ ὅτι μὲν εἰσὶν ἀρχαὶ τῶν φυσικῶν, ἐφεξῆς ἅπας ὁ λόγος δείξει. καὶ οὐ δεῖται νῦν ἀποδείξεως. δι᾿ ὃ οἶμαι ταύτην αὐτὸς τὴν πρότασιν παρῆκεν. ὁ μέντοι θεόφραστος ἐν ἀρχῇ τῶν αὐτοῦ φυσικῶν καὶ ταύτην ἀπέδειξε, λέγων τὸ μέντοι τῶν φυσικῶν ἀρχὰς εἶναι, δῆλον ἐκ τοῦ τὰ μὲν φυσικὰ σώματα σύνθετα εἶναι, πᾶν δὲ σύνθετον ἀρχὰς ἔχειν τὰ ἐξ ὧν σύγκειται. ἅπαν γὰρ τὸ φύσει ἢ σῶμά ἐστιν ἢ ἔχει σῶμα. ἄμφω δὲ σύνθετα. ὁ δὲ πορφύριος, οὐδὲ φυσικοῦ φησὶν εἶναι τὸ ζητεῖν, εἰ εἰσὶν ἀρχαὶ τῶν φυσικῶν, ἀλλὰ τοῦ ἀναβεβηκότος. ὁ γὰρ φυσικὸς ὡς δεδομέναις χρῆται. ἔτι δὲ μᾶλλον φαίη ἄν τις τίνες αἱ ἀρχαὶ τοῦ ἀναβεβηκότος εἶναι ζητεῖν. οὐδὲ γὰρ ὁ γεωμέτρης ἢ ὁ ἰατρὸς τὰς αὐτοῦ ἀρχὰς ἀποδείκνυσιν. ἀλλ᾿ ὡς οὔσαις καὶ τοιαῖσδε οὔσαις χρῆται. πῶς οὖν οἱ φυσικοὶ σχεδὸν πάντες τὰς ἀρχὰς ζητοῦσι τῶν φυσικῶν. ἢ ὅτι μὲν σύνθετα τὰ φυσικὰ καὶ ἀρχὰς ἔχοντα καὶ τάσδε τὰς ἀρχὰς, τοῦ φυσικοῦ ἐστιν ἀποδεικνύναι. ὡς καὶ τοῦ ἰατροῦ ὅτι ἐκ τῶν τεσσάρων στοιχείων τὸ ἀνθρώπειον σῶμα. καὶ τοῦ γραμματικοῦ ὅτι ἐκ τῶν εἰκοσιτεσσάρων στοιχείων ὁ λόγος. τίνα δὲ ἕκαστον τῶν στοιχείων ἔχει δύναμιν, τοῦ ἀναβεβηκότος ἐστὶν, ἐπὶ μὲν τῶν γραμμάτων, τοῦ μουσικοῦ. ἐπὶ δὲ τοῦ ἀνθρωπείου σώματος, τοῦ φυσικοῦ λόγου. ἐπὶ

δὲ τῶν φυσικῶν ἀρχῶν τοῦ πρώτου φιλοσόφου. διὸ καὶ ὁ Ἀριστοτέλης ὅτι ἔστιν ἡ ὕλη καὶ τὸ εἶδος ἀρχαὶ τῶν φυσικῶν δείξας, τὴν μὲν ὕλην ἐξ ἀναλογίας γνώσκεσθαί φησι, καίτοι τοῦ πρώτου φιλοσόφου καὶ ἀπὸ τῶν αἰτίων αὐτὴν δεικνύντος. περὶ δὲ τῆς κατὰ τὸ εἶδός φασιν ἀρχῆς, πότερον μία ἢ πολλαί, καὶ τίς ἢ τίνες εἰσί, δι' ἀκριβείας τῆς πρώτης φιλοσοφίας ἐστὶ διορίσασθαι. ὥστε εἰς ἐκεῖνον τὸν καιρὸν ἀποκείσθω. ὅτι δὲ τὰ ἔχοντα ἀρχὰς τότε συμβαίνει ἐπίστασθαι, ὅταν αἱ ἀρχαὶ αὐτῶν γνωσθῶσι, τέθεικε μὲν καὶ ὡς ἀξίωμα. διὸ τῷ παρασυναπτικῷ καλουμένῳ χρῆται συνδέσμῳ, καθ' ὃν τὸ ἡγούμενον ὡς ὁμολογούμενον λαμβάνεται. εἰ γὰρ ἐπιστήμη ἐστὶν ἡ δι' ἀποδείξεως γνῶσις, ἀπόδειξις δέ ἐστι συλλογισμός, οὗτος δὲ ἀπὸ ἀρχῶν, δηλονότι ἡ ἐπιστήμη γνῶσίς ἐστιν ἀπὸ ἀρχῶν. πλὴν καὶ παρεμυθήσατο αὐτὸ ἐκ τῆς ἐπαγωγῆς καὶ τῆς κοινῆς ὑπολήψεως. τότε γάρ φησιν οἰόμεθα γινώσκειν ἕκαστον, ὅταν τὰ αἴτια γνωρίσωμεν τὰ πρῶτα. καὶ τὰς ἀρχὰς τὰς πρώτας. καὶ μέχρι τῶν στοιχείων. ἀλλ' οὐδὲ τὸ συμπέρασμα ἐπήγαγε. τό, τὰ φυσικὰ ἄρα ἐπίστασθαι συμβαίνει ἐκ τοῦ τὰς ἀρχὰς αὐτῶν γνωρίζειν. ἀλλὰ τὸ ἑπόμενον τῷ συμπεράσματι. δεῖ γάρ φησι τῆς περὶ φύσεως ἐπιστήμης διορίσασθαι πρῶτον τὰ περὶ τὰς ἀρχάς, συλλαβὼν ἐν τούτῳ καὶ τὸ συμπέρασμα. ὁ μέντοι Εὔδημος ἀρχόμενος τῶν φυσικῶν, ἀνωτέρω τὸν λόγον ἐπήγαγε. καὶ δείξας ὅτι πρὸς μὲν τὰς πράξεις εὐχρηστότερον εἰδέναι τὰ καθ' ἕκαστα, πρὸς δὲ θεωρίαν τὰ κοινά, κοινότατόν φησι φαίνεται περὶ τὰς ἐπιστήμας τὸ τῶν ἀρχῶν. ὑπάρχουσι γάρ τινες καθ' ἑκάστην. τούτων δὲ οὕτως ἐχόντων, ἀναγκαῖον τῷ φυσιολογοῦντι τὰς ἀρχὰς πρῶτον ἐπισκέψασθαι. καὶ ὁ μὲν ὅλος τῶν λεγομένων νοῦς τοιοῦτος. Ἔστι δὲ ἄξιον ζητεῖν. τί ἀρχή. καὶ τί αἴτιον. καὶ τί στοιχεῖον. καὶ γὰρ ὁ μὲν Ἀλέξανδρος διαφέρειν ταῦτα ἀλλήλων φησί. τῷ ἀρχὴν μὲν λέγεσθαι ἰδίως τὸ ποιητικόν, ὅθεν ἡ ἀρχὴ τῆς κινήσεως. αἴτιον δὲ τὸ οὗ ἕνεκα καὶ τὸ εἶδος. ἐν γὰρ τοῖς φύσει τὸ οὗ ἕνεκα, τοῦτο. στοιχεῖον δὲ τὸ ἐνυπάρχον ὡς τὴν ὕλην. ἔοικε δὲ τῷ Εὐδήμῳ κατακολουθεῖν ὁ Ἀλέξανδρος, λέγοντι ὅτι τοῦ αἰτίου τετραχῶς λεγομένου, τὸ μὲν στοιχεῖον κατὰ τὴν ὕλην λέγεται. ἐνυπάρχειν γὰρ δοκεῖ τὰ στοιχεῖα, ὥσπερ ἐν διαλέκτῳ τὰ γράμματα. οὕτω καὶ ὁ χαλκὸς αἴτιος λέγεται τῆς πολυχρονιότητος τῶν ἔργων. αἴτιον δὲ λέγεται καὶ ὅθεν ἡ κίνησις. φαμὲν δὲ εἶναι ταύτην ἀρχήν. ὅθεν λοιδορίας νεῖκος ἀρχή. τὴν μὲν οὖν ἀρχὴν καὶ τὸ στοιχεῖον οὕτω λέγουσιν αἴτια. τὸ δὲ οὗ ἕνεκα οὐκ ἐπιδέχεται τὸν τοῦ στοιχείου λόγον. οὐ γὰρ ἐνυπάρχει ἐν τῷ αἰτιατῷ. οἷον ἐν τῷ περιπατεῖν ἡ ὑγίεια. οὐδὲ ἀρχὴ τοῦ περιπατεῖν ἡ ὑγίεια φαίνεται. ἀλλὰ μᾶλλον αἰτία. τὸ δὲ οὗ ἕνεκα καὶ τὸ εἶδος σύνεγγυς φαίνεται. διὸ μάλιστα αἰτίῳ ἔοικε τὸ οὗ ἕνεκεν. τοιαῦτα μὲν καὶ τὰ τοῦ Εὐδήμου. θαυμαστὸν δὲ εἰ μὴ ἐνυπάρχει τὸ εἶδος ἐν τῷ αἰτιατῷ. εἰ μὴ ἄρα εἶδος τὸ καθόλου λέγουσιν. ὁ μέντοι Πορφύριος ἕνα μὲν τρόπον ἀρχὴν λέγει, ὅθεν ἡ πρώτη κίνησις γίνεται. ἔστι δὲ τοιαύτη ἡ ἀφ' οὗ. ὡς ὁδοῦ τὸ πρῶτον. οὕτω δὲ καὶ νεὼς μὲν τρόπις. οἰκίας δὲ θεμέλιος. τούτῳ δὲ τῷ σημαινομένῳ ἀντίκειται ἡ τελευτή. ἕτερον δὲ τρόπον. ὡς τὸ ὑφ' οὗ. ὡς ἡ φύσις τῶν φυσικῶν καὶ ἡ τέχνη τῶν τεχνητῶν. ἀρχὴ δὲ καὶ τὸ οὗ ἕνεκα. οἷον ἀθλήσεως ἡ νίκη. κατ' ἄλλον δὲ τρόπον ἀρχὴ λέγεται, ἐξ οὗ πρώτου ἐνυπάρχοντος γίνεταί τι. ὡς οἰκίας λίθοι καὶ ξύλα ἀρχὴ ὡς ὕλη. ἀρχὴ δὲ καὶ ἡ μορφὴ καὶ τὸ σχῆμα καὶ ὅλως τὸ εἶδος. ἀλλ' ὁ μὲν Ἀριστοτέλης τὸ ἐν τῇ ὕλῃ μόνον θεασάμενος εἶδος, τοῦτο ἔλεγεν ἀρχήν. ὁ δὲ Πλάτων πρὸς τούτῳ καὶ τὸ χωριστὸν ἐννοήσας εἶδος, τὴν παραδειγματικὴν ἀρχὴν προσήγαγε. τετραχῶς οὖν ἡ ἀρχὴ κατὰ τὸν Ἀριστοτέλην. ἢ γὰρ τὸ ἐξ οὗ. ὡς ἡ ὕλη. ἢ τὸ καθ' ὅ. ὡς τὸ εἶδος. ἢ τὸ ὑφ' οὗ. ὡς τὸ ποιοῦν. ἢ τὸ δι' ὅ. ὡς τὸ τέλος. κατὰ δὲ Πλάτωνα καὶ τὸ πρὸς ὅ. ὡς τὸ παράδειγμα. καὶ τὸ δι' οὗ. ὡς τὸ ὀργανικόν. ὁσαχῶς δὲ ἡ ἀρχὴ λέγεται. τοσαυταχῶς καὶ τὸ αἴτιον. καὶ τῷ μὲν ὑποκειμένῳ ταὐτὸν ἄμφω. τῇ δὲ ἐπινοίᾳ διαφέροντα. ἡ μὲν γὰρ ἀρχή φησιν ὁ Πορφύριος ἐπινοεῖται, καθ' ὃ προηγεῖται. τὸ δὲ αἴτιον, καθ' ὃ ποιεῖ τι καὶ ἀποτελεῖ τὸ μεθ' ἑαυτό, ὄντος καὶ τοῦ αἰτίου δυνάμει ἀρχικοῦ, καὶ τῆς ἀρχῆς δυνάμει τελεστικῆς. διὸ καὶ προηγεῖται ἡ ἐπίνοια τῆς ἀρχῆς τῆς τοῦ αἰτίου ἐπινοίας. τοσαυταχῶς δὲ τῶν ἀρχῶν καὶ τῶν αἰτίων λεγομένων, οὐ πάντα ἐν πᾶσιν. ἀλλ' ἄλλαι μὲν γενέσεως ἀρχαί. ὡς ὕλη. καὶ εἶδος. ἢ τὸ ποιοῦν καὶ πάσχον. ἢ ἕν τι τῶν στοιχείων. ἢ ἕκαστον τῶν φυσικῶν ὧν ἐθεάσαντο. ἄλλαι δὲ γνώσεως ἀρχαί, αἱ ἄμεσοι καὶ ἀναπόδεικτοι προτάσεις. καὶ ἄλλαι μὲν οὐσίας ἀρχαί. ὡς τὸ πεπερασμένον καὶ ἄπειρον ἔλεγον οἱ Πυθαγόρειοι. ἢ τὸ περιττὸν καὶ τὸ ἄρτιον. πράξεως δὲ ἀρχαὶ ἢ τὸ ποιοῦν ἢ τὸ τέλος. Τούτων δὲ ἡμῖν ἱστορημένων, πρὸς μὲν τὸν Ἀλέξανδρον. καὶ πρὸ τούτου πρὸς τὸν Εὔδημον ῥητέον. ὅτι τὸ οὗ ἕνεκα τέλος ὄν, καὶ ἀρχὴ εἴη ἂν πάντως, καὶ κυριωτέρα τοῦ ποιητικοῦ ἀρχή. καὶ μάλιστα κατ' αὐτοὺς τοὺς τὸ ἀκίνητον καὶ πρῶτον αἴτιον τέλος εἶναι λέγοντας τῶν πάντων, ἀλλ' οὐ ποιητικόν. ὃ καὶ ἀρχὴν τῶν πάντων ὁμολογήσουσιν, εἴπερ πρώτιστον αὐτὸ τῶν πάντων φασίν. πῶς δὲ στοιχεῖον μόνην τὴν ὕλην φασίν, εἴπερ ἐξ εἴδους καὶ ὕλης οἴονται τὸ σύνθετον. καὶ γὰρ τελικὸν τὸ εἶδος, ἀλλὰ στοιχειῶδες μᾶλλον ἐστί. πρὸς δὲ τὸν Πορφύριον, ὅτι πρῶτον μὲν ἐξ ὧν καὶ αὐτὸς διεστήσατο, οὐ λέγεται ἰσαχῶς τὸ αἴτιον καὶ ἡ ἀρχή. ἀλλὰ τὸ μὲν αἴτιον πᾶν καὶ ἀρχή. ἡ δὲ ἀρχὴ τοῦ πράγματος οἷον τῆς ὁδοῦ ἢ τοῦ δράματος οὐκ ἂν λέγοιτο αἴτιον. δεύτερον δὲ ὅτι οὐ προεπινοεῖται τοῦ αἰτίου ἡ ἀρχή. εἴπερ τὸ μὲν αἴτιον προϋ-

παρέχειν ἀνάγκη τοῦ ἀποτελέσματος. ἡ δὲ ἀρχὴ εἴτε ὡς μέρος προηγούμενον, εἴτε ὡς στοιχεῖον λαμβάνοιτο, συνυπάρχει τῷ ἀποτελουμένῳ. Μήποτε οὖν ὁ ἀριστοτέλης τὴν ἀρχὴν ὡς κοινὸν λαβών, διεῖλεν αὐτὴν εἴς τε τὰ κυρίως αἴτια. οἷόν ἐστι τὸ ποιητικὸν καὶ τελικόν. καὶ εἰς τὰ συναίτια ὑπό τινων λεγόμενα. οἷά ἐστι τὰ στοιχεῖα. διὸ καὶ προελθών, ὅταν τὰ αἴτιά φησι γνωρίσωμεν τὰ πρῶτα καὶ τὰς ἀρχὰς τὰς πρώτας. διότι τὰ πρώτως καὶ κυρίως λεγόμενα αἴτια, ταῦτά ἐστιν αἱ πρώτως καὶ κυρίως ἀρχαί. καὶ μέχρι καὶ στοιχείων φησί, τουτέστι τῶν ἐσχάτων αἰτίων καὶ ἀρχῶν λεγομένων. ὧν οὖν εἰσιν ἀρχαὶ εἴπερ, ἢ ὡς αἴτια ἢ ὡς στοιχεῖα. δύναται δὲ τὰ πρῶτα αἴτια καὶ τὰς ἀρχὰς τὰς πρώτας εἰρηκέναι, ὅτι ἔστιν αἴτια ἄλλα μὲν τὰ προσεχῆ καθ᾽ ἕκαστον, ἄλλα δὲ τὰ πρῶτα. καὶ ὁ τὰ προσεχῆ μὲν γινώσκων, τὰ δὲ πρῶτα ἀγνοῶν, οὐδὲ τὰ προσεχῆ κυρίως οἶδεν. εἴπερ τὰ πρῶτα καὶ ἐκείνων αἴτια ὄντα ἀγνοεῖ. τότε οὖν ἐπίστασθαι συμβαίνει, ὅταν πάσας τὰς ἀρχὰς καὶ πάντα τὰ αἴτια γνωρίσωμεν, τά τε πρῶτα καὶ τὰ προσεχῆ. ἅπερ ἐστὶ τὰ στοιχεῖα. Ἐπειδὴ δὲ καὶ αἱ πρῶται ἀρχαὶ αἱ μὲν εἰσὶν ἑκάστων οἰκεῖαι, ὡς γεωμετρίας οἵ τε ὅροι καὶ τὰ ἀξιώματα, αἱ δὲ κοιναὶ πάντων, ὁ ἀλέξανδρος τὰς κοινὰς ταύτας φησὶ δεῖν γινώσκειν τὸν μέλλοντα ἐπιστήμονα ἔσεσθαι, πλατωνικῶς τοῦτο φθεγγόμενος. ὁ γὰρ πλάτων τὰς ἐξ ὑποθέσεώς τι περαινούσας, οὐ βούλεται κυρίως ἐπιστήμας καλεῖσθαι. νῦν μέντοι περὶ τῶν τῆς φυσιολογίας ἀρχῶν ἔοικε λέγειν ὁ ἀριστοτέλης, τό, πειρατέον διορίσασθαι πρῶτον τὰ περὶ τὰς ἀρχάς. ἃς δὴ καὶ διορίζεται κατὰ τὴν προκειμένην πραγματείαν. ἀλλ᾽ οὐ κοινὰς τὰς τῷ πρώτῳ φιλοσόφῳ προβεβλημένας. Τὸ δὲ εἰδέναι καὶ τὸ ἐπίστασθαι οὐκ ἐκ παραλλήλου εἴρηται, ὡς ἐπέστησεν ὁ ἀλέξανδρος, εἰπὼν τὰ ἐκ παραλλήλου λεγόμενα ὀνομάτων μόνον ἔχει διαφορὰν ἐν πράγματος ποιότητι. καὶ διὰ τοῦτο καὶ ἓν ἐκ τῶν τοιούτων ἴσον δύναται τοῖς πᾶσι. τὸ δὲ εἰδέναι καὶ τὸ ἐπίστασθαι οὐ ταυτὸν δύναται τῷ εἰδέναι μόνῳ. εἰδέναι γὰρ λεγόμεθα καὶ τὰ δι᾽ αἰσθήσεως καὶ δόξης καὶ τὰς ἀμέσους προτάσεις. ὧν οὐδὲν ἴσμεν δι᾽ ἀποδείξεως. ταυτὸν δὲ εἰπεῖν οὐ κατ᾽ ἐπιστήμην. ταῦτα μὲν οὖν καλῶς εἴρηκε. πῶς δὲ ἐνταῦθα παρειληφὼς ἄμφω οὐκέτι προσέθηκεν. ἔοικε γὰρ γένος οὖσαν τὴν εἴδησιν τῆς ἐπιστήμης προτάξαι. ὡς εἰ ἔλεγε τὸ γινώσκειν ἐπιστημονικῶς. ὅμοιον δέ ἐστι τοῦτο τῷ εἰπεῖν, ὁ λέγων τί καὶ οὕτω λέγων ὡς ἀποφαίνεσθαι, ἢ ἀληθεύει ἢ ψεύδεται. καὶ ὁ λόγος γὰρ γένος ἐστὶ τῆς ἀποφάνσεως, ὡς ἡ εἴδησις ταυτὸν δ᾽ εἰπεῖν ἡ γνῶσις τῆς ἐπιστήμης. ὅτι δὲ οἶδεν εἴδησιν καὶ ἐπὶ τῆς αἰσθήσεως λεγομένην, ἐδήλωσε τὸ προοίμιον τῆς μετὰ τὰ φυσικά. πάντες ἄνθρωποι τοῦ εἰδέναι ὀρέγονται φύσει. δηλοῖ δὲ ἡ τῶν αἰσθήσεων ἀγάπησις. Μήποτε δὲ ὁ ἀριστοτέλης νῦν εἴδησιν τὴν κυρίως λαβών, εἰς ταυτὸν αὐτὴν ἤγαγε τῇ ἐπιστήμῃ. καὶ γὰρ ὁ πλάτων μὴ εἰδέναι φησὶ τὰς ἑαυτῶν ἀρχὰς τοὺς μαθηματικούς. καὶ δηλονότι ἐπιστημονικῶς εἰδέναι, ὡς τῆς κυρίως εἰδήσεως τῆς ἐπιστημονικῆς οὔσης. ᾧ γὰρ ἀρχή φησιν ὃ μὴ οἶδε, μέσα δὲ καὶ τελευτὴ ἐξ ὧν μὴ οἶδε, πῶς ἐστιν εἰδέναι τοῦτον ἣν ἐπιστήμην καλεῖ. καὶ τὴν δόξαν δὲ σαφῶς ἄλλην παρὰ τὴν γνῶσιν εἶναί φησιν. ὅταν λέγῃ. τί οὖν ἐὰν ἡμῖν χαλεπαίνῃ οὗτος, ὅν φαμεν δοξάζειν ἀλλ᾽ οὐ γινώσκειν. καὶ τὸ δοξαστὸν ὁμοίως ἀποκρίνει τοῦ γνωστοῦ λέγων, προσομολογήσομεν δὲ ἔτι. εἴ τι τοιοῦτο φανείη. δοξαστὸν αὐτὸ ἀλλ᾽ οὐ γνωστὸν δεῖ λέγεσθαι. δῆλος δέ ἐστι καὶ ἀριστοτέλης τὴν εἴδησιν ταυτὸν δὲ εἰπεῖν τὴν γνῶσιν οὐ τὴν κοινὴν παραλαβών, ἀλλὰ τὴν ἐπιστημονικήν, ἐξ ὧν ἐπάγει. τότε γάρ φησιν οἰόμεθα γινώσκειν ἕκαστον, ὅταν τὰ αἴτια γνωρίσωμεν τὰ πρῶτα, καὶ τὰς ἀρχὰς τὰς πρώτας, ὡς δὴ γνῶσιν τὴν ἀπὸ τῶν ἀρχῶν λέγων. ἥτις ἐστὶν ἡ ἐπιστημονική. ὅτι δὲ ἄλλο τὸ δοξάζειν καὶ ἄλλο τὸ ἐπίστασθαι, ἔδειξεν ὁ ἐν θεαιτήτῳ σωκράτης, ἐκ τοῦ δόξαν μὲν ἀληθῆ καὶ ψευδῆ εἶναι, ἐπιστήμην δὲ μόνης ἀληθῆ. καὶ ὁ ἀλέξανδρος τῇ αὐτῇ νῦν ἀποδείξει ἐχρήσατο. Ἀλλὰ πῶς εἰπὼν τὸ εἰδέναι καὶ τὸ ἐπίστασθαι συμβαίνει περὶ πάσας τὰς μεθόδους, ἐπήγαγεν, ὧν εἰσιν ἀρχαὶ ἢ αἴτια ἢ στοιχεῖα. ἢ ὡς ἴδιον πασῶν τῶν ἐπιστημονικῶν εἰδήσεων τοῦτο προσέθηκεν. ἡ γὰρ ἐπιστήμη συλλογισμὸς οὖσα ἀποδεικτικός, ἐξ ἀρχῶν πάντως ἐστὶ τῶν ἀμέσων προτάσεων. Ἀλλ᾽ εἰ τοῦτο, ἐπειδὴ τὰς ἀμέσους προτάσεις ἀναποδείκτους ἴσμεν, ἵνα μὴ ἐπ᾽ ἄπειρον ἴωμεν, καὶ τὰς ἀρχὰς τῶν φυσικῶν ἀναποδείκτως εἰσόμεθα. καίτοι δι᾽ ἀποδεικτικῶν αὐτὰς συλλογισμῶν ἀποδιδόναι πειράσεται. Ὁ μὲν οὖν ἀλέξανδρός φησιν, ἐπεὶ διαφέρει ἀρχὴ καὶ στοιχεῖον, τὸ γὰρ στοιχεῖον ἡ ὕλη, οὐ πᾶσαι δὲ ἔχουσιν ὕλην ὡς αἱ μαθηματικαί, τὸ λεγόμενον εἴη ἂν δηλωτικόν, ὡς πασῶν μὲν τῶν ἐπιστημῶν ἐχουσῶν τι τούτων, οὐ πασῶν δὲ πάντα, ἀλλὰ τῶν μὲν καὶ ἀρχὰς καὶ αἴτια καὶ στοιχεῖα, ἐνίων δὲ οὔ. ὅσαι οὐ περὶ γενητά εἰσιν οὐδὲ περὶ ὕλην τὸ εἶναι ἔχουσιν. ἐν οἷς οὐκ ἔστι τὸ οὗ ἕνεκα. ὁποία εἶναι καὶ γεωμετρία δοκεῖ. οὔτε γὰρ ἡ ἀρχὴ ἐν τοῖς ἀγενήτοις. οὔτε ἡ ὕλη ἐν τοῖς ἀΰλοις. Ταῦτα καὶ αὐτῇ λέξει τοῦ ἀλεξάνδρου λέγοντος, ἐπιστῆσαι χρή. πῶς μὲν ἡ ὕλη στοιχεῖόν ἐστι. καὶ μόνα ἐκ στοιχείων τὰ ἔνυλα. καὶ γὰρ λόγου στοιχεῖα λέγομεν. καὶ γέγραπται περὶ τῶν τοῦ λόγου στοιχείων τοῖς φιλοσόφοις. καὶ μέντοι εἰ στοιχεῖόν ἐστιν, ἐξ οὗ πρώτου γίνεταί τι ἐνυπάρχοντος, καὶ εἰς ὃ ἔσχατον ἀναλύεται, γίνεται δὲ ἐξ ὕλης καὶ εἴδους τὸ σύνθετον, δηλονότι καὶ τὸ εἶδος στοιχεῖόν ἐστι τοῦ συνθέτου. Πῶς δὲ οὐκ ἔχουσιν ὕλην αἱ μαθηματικαὶ τοὺς ἀριθμοὺς καὶ τὰ διαστήματα καὶ τοὺς φθόγγους, ὧν τὰ εἴδη ἐπισκοποῦσιν. ἔτι δὲ μᾶλλον ἐπιστάσεως ἄξιον, πῶς οὐκ ἔστι τὸ οὗ ἕνεκα ἐν γεωμετρίᾳ.

τεία. καὶ γὰρ τοῦ κατὰ τὸν βίον χρησίμου ἕνεκα παρελήφθη αὐτή τε καθ' αὑτὴν, καὶ ἀρχὰς τῇ μηχανικῇ ἐνδιδοῦσα. καὶ μέντοι πρὸς ἀστρονομίαν πρὸς συνεθισμὸν τῆς ἀσωμάτου φύσεως τὰ μέγιστα συντελεῖ. εἰ δὲ ὅτι γνωστική ἐστι καὶ οὐ πρακτικὴ διὰ τοῦτο οὐδὲν ἔχει τέλος, ἔσται καὶ φυσιολογία ἄσκοπος. καὶ πᾶσα θεωρητικὴ φιλοσοφία. ἧς τέλος ἡ εἰς τὸ πρῶτον ἀγαθὸν ἄνοδος, καὶ τὸ ἐξ ἀνθρώπου θεὸν ποιῆσαι ὡς δυνατὸν τὴν ψυχήν. ὡς αὐτὸς ἀριστοτέλης ἐν τῷ κάππα τῶν νικομαχείων ἠθικῶν παραδίδωσιν. Δύναται φησὶν ὁ ἀλέξανδρος ἐπιστήμην κοινότερον νῦν λέγειν καὶ τὴν τῶν ἀρχῶν ἐπίγνωσιν. ὧν οὐκ εἰσὶν ἀρχαί. καὶ πρὸς ἐκείνην ἀντιδιαιρεῖν τὴν ἐξ ἀρχῶν ἐπιστήμην. ὅτι δὲ οὐ κοινότερον εἴρηται ἡ ἐπιστήμη, δηλοῖ τὸ τῷ εἰδέναι ἐπάγειν τὸ ἐπίστασθαι. Δύναται καὶ ὡς ἴδιον πασῶν τῶν ἐπιστημονικῶν εἰδήσεων τοῦτο εἰρῆσθαι, τὸ ὧν εἰσὶν ἀρχαὶ ἢ αἴτια ἢ στοιχεῖα. ἡ γὰρ ἐπιστήμη συλλογισμὸς οὖσα ἀποδεικτικὸς, ἐξ ἀρχῶν πάντως ἐστὶ τῶν ἀμέσων προτάσεων. Ἀλλ' εἰ τοῦτο, ἐπειδὴ τὰς ἀμέσους προτάσεις ἀναποδείκτως ἴσμεν, ἵνα μὴ ἐπ' ἄπειρον ἴωμεν, καὶ τὰς ἀρχὰς τῶν φυσικῶν ἀναποδείκτως εἰσόμεθα. καίτοι δι' ἀποδεικτικῶν αὐτὰς συλλογισμῶν ἀποδιδόναι πειράσεται. Μήποτε γοῦν αὐτῷ προσεκτέον τῷ ἀριστοτέλει ἀκριβῶς εἰπόντι τὴν ἐπιστημονικὴν εἴδησιν συμβαίνειν οὐ περὶ πάντα τὰ ὄντα, οὐδὲ περὶ πάσας τὰς γνώσεις, ἀλλὰ περὶ πάσας τὰς μεθόδους. εἰ γὰρ μέθοδός ἐστιν ὥς φησιν ἀλέξανδρος, πᾶσα ἕξις θεωρητικὴ τῶν ὑφ' ἑαυτὴν μετὰ λόγου, τουτέστι μετὰ αἰτίας, ταυτὸν δ' εἰπεῖν, ἡ μετὰ ὁδοῦ τινος εὐτάκτου πρόοδος ἐπὶ τὸ γνωστὸν, δηλονότι οὐκ ἂν εἴη μέθοδος ἡ τῆς ἀρχῆς γνῶσις. ἀλλ' ἡ ἐπιστημονικὴ ἡ ἀπὸ τῶν ἀρχῶν καὶ αἰτίων τοῦ γνωστοῦ γινομένη. ὧν οὖν γνωστῶν εἰσὶν ἀρχαὶ ἢ ὡς αἴτια ἢ ὡς στοιχεῖα ὥσπερ καὶ τῶν φυσικῶν, τὸ ἐπίστασθαι ταῦτα συμβαίνει ἐκ τοῦ τὰς ἀρχὰς αὐτῶν γνωρίζειν. ἐπιστήμη γάρ ἐστιν ἡ ἀπὸ τῶν ἀρχῶν γνῶσις.

Γ ΈΦΥΚΕ δὲ ἐκ τῶν γνωριμωτέρων ἡμῖν ἡ ὁδὸς, καὶ σαφεστέρων, ἐπὶ τὰ σαφέστερα τῇ φύσει, καὶ γνωριμώτερα. οὐ γὰρ ταυτὰ ἡμῖν τε γνώριμα, καὶ ἁπλῶς. διόπερ ἀνάγκη τὸν τρόπον τοῦτον προάγειν ἐκ τῶν ἀσαφεστέρων μὲν τῇ φύσει, ἡμῖν δὲ σαφεστέρων, ἐπὶ τὰ σαφέστερα τῇ φύσει, καὶ γνωριμώτερα. ἔστι δ' ἡμῖν τὸ πρῶτον δῆλα καὶ σαφῆ τὰ συγκεχυμένα μᾶλλον. ὕστερον δὲ γνώριμα ἐκ τούτων γίνονται αἱ ἀρχαὶ, καὶ τὰ στοιχεῖα διαιροῦσι ταῦτα. διὸ ἐκ τῶν καθόλου ἐπὶ τὰ καθέκαστα δεῖ προϊέναι. τὸ γὰρ ὅλον κατὰ τὴν αἴσθησιν γνωριμώτερον. τὸ δὲ καθόλου ὅλον τί ἐστι. πολλὰ γὰρ περιλαμβάνει ὡς μέρη, τὸ καθόλου. πέπονθε δὲ ταυτὸ τοῦτο τρόπον τινὰ καὶ τὰ ὀνόματα πρὸς τὸν λόγον. ὅλον γάρ τι καὶ ἀδιορίστως σημαίνει. οἷον, ὁ κύκλος. ὁ δὲ ὁρισμὸς αὐτοῦ διαιρεῖ εἰς τὰ καθέκαστα. καὶ τὰ παιδία δὲ τὸ μὲν πρῶτον πάντας τοὺς ἄνδρας, πατέρας προσαγορεύει. καὶ μητέρας τὰς γυναῖκας. ὕστερον δὲ διορίζει τούτων ἑκάτερον.

Δ εἰξας ὅτι ἀνάγκη τὸν μέλλοντα ἐπιστήμονα τῶν φυσικῶν ἔσεσθαι πραγμάτων τὰς ἀρχὰς τῶν φυσικῶν ἐπεσκέφθαι, καὶ μεταβαίνων λοιπὸν ἐπὶ τὴν περὶ τῶν ἀρχῶν διδασκαλίαν, τὸν τρόπον ἀφορίζεται πρῶτον αὐτῆς. καὶ γὰρ ζητεῖται εἰ δυνατὸν ὅλως περὶ τῶν ἀρχῶν τι μανθάνειν. εἰ γὰρ πᾶσα διδασκαλία καὶ πᾶσα μάθησις διανοητικὴ ἐξ ἀρχῶν γίνεται, ἀδύνατον δὲ τῶν ἀρχῶν ἀρχὰς λαβεῖν, ἄπορος ἡ μάθησις ἂν εἴη. αὐτὸς οὖν ἡμῖν τὸν τρόπον ὑφηγεῖται τῆς τῶν ἀρχῶν γνώσεως. ὀλίγον δὲ ἄνωθεν ἀρκτέον. ἐπειδὴ πᾶν τὸ γινωσκόμενον. ἢ αὐτόπιστόν ἐστι καὶ ἀρχὴ γνώσεως διὰ τὸ ὁμολογεῖσθαι, ὃ ἔχουσιν οἱ ὅροι καὶ αἱ ἄμεσοι προτάσεις καλούμεναι, ἢ ἐκ προϋπαρχούσης τινὸς γινώσκεται γνώσεως τῆς τῶν ὅρων καὶ τῶν ἀμέσων προτάσεων, ὡς ἔχει πάντα τὰ διὰ συλλογισμοῦ καὶ ἀποδείξεως γινωσκόμενα, καὶ αἱ ἀρχαὶ δηλονότι τῶν φυσικῶν συνθέτων ὄντων, ὅτι μὲν αὐτόπιστοι οὐκ εἰσὶ, δῆλον ἐκ τῆς διαφόρου τῶν φυσιολόγων ἐπιβολῆς, ἄλλων ἄλλας ἀρχὰς ὑποτιθεμένων ὡς μαθησόμεθα. ἀποδεικτικὰς δὲ οὔσας ἀνάγκη διὰ γνωριμωτέρων τινῶν ἀποδείκνυσθαι. πᾶσα γὰρ διδασκαλία, καὶ πᾶσα μάθησις διανοητικὴ, τουτέστιν οὐκ ἐξ αἰσθήσεως οὐδὲ κατανοήσεως γινομένη, ἀλλὰ συλλογιστική τε καὶ ἀποδεικτικὴ, ἐκ προϋπαρχούσης γίνεται γνώσεως, ὡς ἐν τοῖς ὑστέροις ἀναλυτικοῖς μεμαθήκαμεν. Τὰ δὲ γνωριμώτερα, ἢ ὡς ἀρχαὶ καὶ αἴτια τῶν ἀποδεικνυμένων παραλαμβάνονται. ὅπερ ἐν ταῖς κυρίως ἀποδείξεσι συμβαίνει. ἐκ γὰρ τῶν ἀρχῶν καὶ αἰτίων αὗται τοῦ πράγματος γίνονται. ὡς ὅταν τὸ καλὸν εἶναι τὸν κόσμον ἐκ τοῦ τὸν δημιουργὸν ἀγαθὸν εἶναι συλλογιζώμεθα. ἢ τὸ ἀθάνατον τῆς ψυχῆς ἐκ τοῦ αὐτοκινήτου. ἢ ὡς ἀκολουθοῦντα ἐξ ἀνάγκης τοῖς δεικνυμένοις, καὶ διὰ τοῦτο συνεισάγοντα αὐτὰ, οὕτω παραλαμβάνεται τὰ γνωριμώτερα, ὡς ὅταν τὸν θεὸν ἀγαθὸν δεικνύωμεν, ἐκ τοῦ τὸν κόσμον καλὸν εἶναι καὶ τεταγμένον, προχειροτέρου τούτου κατὰ τὴν αἴσθησιν ἡμῖν ὄντος. καὶ τὴν ψυχὴν αὐτοκίνητον, ἐκ τοῦ τὰ ἔμψυχα σώματα ἔνδοθεν κινεῖσθαι. καὶ ἔστιν οὗτος τεκμηριώδης μᾶλλον ἀλλ' οὐκ ἀποδεικτικὸς ὁ τοῦ συλλογισμοῦ τρόπος. καὶ τὰ πρὸς τὴν τοιαύτην πίστιν παραλαμβανόμενα, τοῦ μὲν ἀποδεικνυμένου πράγματος οὐκ εἰσὶν ἀρχαί. ἕπονται γὰρ αὐτῷ μᾶλλον ἤπερ προηγοῦνται. τῆς δὲ τοιαύτης ἀποδείξεως ἀρχαὶ, διότι γνωριμώτερά ἐστι καὶ προφανέστερα, καὶ ἀπ' αὐτῶν ἡ πίστις γίνεται τοῦ ἀποδεικνυμένου. ἀνάγκη τοίνυν καὶ τὰς τῶν φυσικῶν πραγμάτων ἀρχὰς, τὰς ὡς αἰτίας λεγομένας ἀρχὰς, πάντως μὲν ἐκ γνωριμωτέρων τινῶν ἀποδείκνυσθαι, ἀλλὰ ποτὲ καὶ ἀρχοειδεστέρων τῇ φύσει καὶ αἰτίων λόγον ἐχόν-

των. ὅπερ οὐκ ἔστι φυσιολόγῳ προσῆκον. ὑπερβαίνει γὰρ αὐτοῦ τὸ μέτρον, τὸ τὰς αἰτίας τῶν οἰκείων ἀρχῶν ἐγνωκέναι. ἀλλὰ τῆς ἀναβεβηκυίας αὐτὸν ἐπιστήμης τῆς πρώτης φιλοσοφίας. αὕτη γὰρ τῶν ἄλλων τὰς ἀρχὰς ἀποδείκνυσι, τὰς ὡς αἰτίας λαμβανομένας, αὐτοπίστως ἀρχαῖς αὕτη χρωμένη. δυνατὸν δὲ τρόπον τινὰ καὶ ἐκ τῶν ἑπομένων ταῖς ἀρχαῖς, καὶ ἀπ' αὐτῶν συντιθεμένων, οὐκέτι ὡς ἀπὸ αἰτίων ἀλλ' ὡς ἀπὸ γνωριμωτέρων, τὰ περὶ τῶν ἀρχῶν τῶν φυσικῶν συλλογίζεσθαι, οὐκ ἐπιστάμενον αὐτὰ ἀλλὰ γνωρίζοντα μόνον. διὸ οὐκ εἶπεν ἐπιστημονικῶς γνῶναι τὰς ἀρχάς, ἀλλ' ἐκ τῶν γνωρίζειν αὐτάς. διότι ἀπὸ τῶν ἑπομένων ἡ γνῶσις αὐτῶν. ἑπόμενα δέ ἐστι τοῖς ἀρχοειδεστέροις καὶ στοιχειωδεστέροις τὰ ἐξ αὐτῶν συντιθέμενα, καὶ τοῖς μέρεσι τὰ ὅλα. καὶ ἔστιν ἡμῖν γνωριμώτερα τὰ σύνθετα καὶ συγκεχυμένα, τῶν συντιθέντων αὐτὰ καὶ ἁπλῶν. διότι τὰ μὲν σύνθετα τῇ αἰσθήσει γνωρίζομεν, προχειροτέραν ταύτην ἔχοντες οἱ πολλοὶ τὴν γνῶσιν. τὰ δὲ ἁπλᾶ τῷ νῷ πέφυκε καταλαμβάνεσθαι. καὶ γὰρ ζῷον ἕκαστον καὶ φυτὸν ἑτοίμως γνωρίζομεν, ὅτι τόδε ἄνθρωπος καὶ τόδε ἵππος, καὶ τόδε συκῆ ἢ ἄμπελος. ὅτι μέντοι ἐκ τῶν τεσσάρων στοιχείων ταῦτα σύγκειται, οὐκ ἔστι παντὸς εἰδέναι τόδε. καὶ ὅπως μὲν ἔχοντα τὰ στοιχεῖα ζῷον ποιεῖ καὶ τόδε ζῷον, ὅπως δὲ τὸ φυτὸν καὶ τόδε φυτὸν μόνον ἂν εἴη τῶν εἰς ἄκρον φιλοσοφίας ἐληλακότων. Οὕτω δὲ καὶ τὰ κοινὰ καὶ καθόλου ὁλοσχερεστέραν ἔχοντα γνῶσιν καὶ προφανεστέραν, γνωριμώτερα μᾶλλον ἡμῖν ἐστι τῶν καθέκαστα. τὸ γὰρ ἐκ διαστήματος προσιὸν ῥᾴδιον διαγνῶναι ὅτι ζῷον, ἢ ὅτι ἄνθρωπος. καὶ ὅτι ἄνθρωπος ἢ ὅτι Σωκράτης. ἔοικε δὲ τὸ καθόλου τῷ ὅλῳ, κατὰ τὸ συγκεχυμένην ἔχειν ἐν ἑαυτῷ τῶν συντιθέντων αὐτὸ πολλῶν τὴν διάρθρωσιν, ὡς ἐν τῷ ὅλῳ τὰ μέρη. καὶ γὰρ ἐν τῷ ζῴῳ ἀδιόριστος ἡ τῶν εἰδῶν τῶν ζῴου διαφορά. καὶ τὸ καθόλου οὖν ὡς σύνθετον καὶ συγκεχυμένον γνωριμώτερον ἡμῖν. καὶ ὡς πρὸς ἡμᾶς πρῶτον κατὰ τὴν γνῶσιν, ὥσπερ τῇ φύσει καὶ τοῦτο ὕστερον, εἴπερ ἐπιγέννημά ἐστι τῶν καθέκαστα. τῇ γὰρ φύσει σαφέστερα καὶ γνωριμώτερα τὰ ἁπλούστερά ἐστιν, ὡς εἰλικρινῆ καὶ ἄμικτα. διὸ καὶ ἡ διαλεκτικὴ ἐπιστήμη αὐτὸ ἕκαστον ὅτι ποτέ ἐστιν ἐπισκοπεῖν εἴθισται, ἐπὶ ἁπλῶν τῶν εἰδῶν φιλοσοφοῦσα, ἅτε τῇ φύσει τῶν ὄντων συμπροϊοῦσα. καθ' ἣν γνωριμώτερα καὶ φανερώτερα τὰ ἁπλούστερα τῶν συνθετωτέρων, καὶ τὰ εἰλικρινῆ τῶν συγκεχυμένων. Ὅτι δὲ γνωριμώτερον ἡμῖν τὸ ἀδιόριστον καὶ συγκεχυμένον, οἷον τὸ ὅλον δοκεῖ, πιστοῦται. τὸ μὲν ὄνομα ἕκαστον ὡς ὅλον τι λαβών, τὸν δὲ τοῦ ὀνόματος ὁρισμόν, ὡς τὴν διάρθρωσιν τῶν ὀνόματος μερῶν καὶ στοιχείων παραδιδόντα. δῆλον γὰρ ὅτι ἡ μὲν κατὰ τὸ ὄνομα γνῶσις τοῦ κύκλου πρόχειρος καὶ τοῖς πολλοῖς ἐστιν. ὁ δὲ τοῦ κύκλου ὁρισμός, ὅτι ἐστὶ σχῆμα ἐπίπεδον ὑπὸ μιᾶς γραμμῆς περιεχόμενον, πρὸς ἣν ἀφ' ἑνὸς σημείου πᾶσαι αἱ προσπίπτουσαι πρὸς τὴν τοῦ κύκλου περιφέρειαν, ἴσαι ἀλλήλαις εἰσίν, οὗτος δὴ ὁ ὁρισμὸς οὐκέτι πρόχειρος πᾶσι, τὰ καθέκαστα τοῦ κύκλου παραδιδούς, καὶ τοῖς μέρεσιν αὐτοῦ καὶ στοιχείοις ἐπεξιών. ἀλλὰ τοῦτο μὲν ὡς πρὸς τὸ σύνθετον καὶ ὅλον οἰκείως ἔχει τὸ παράδειγμα. συνῄρηται γὰρ καὶ συγκέχυται τῷ ὀνόματι, ὡς ἐν ὁλότητι μιᾷ, τὰ ἐν τῷ ὁρισμῷ πάντα μέρη καὶ στοιχεῖα. οὐκέτι δὲ τῷ καθόλου προσέοικε. τὸ μὲν γὰρ καθόλου ἑκάστῳ τῶν συμπληρούντων αὐτὸ ἐφαρμόττει. ζῷον γὰρ καὶ ἄνθρωπος καὶ ἵππος. τὸ δὲ ὄνομα πρὸς πάντα μὲν ἅμα τὰ ἐν τῷ ὁρισμῷ παραλαμβανόμενα ἐφαρμόττει. οὐκέτι δὲ καὶ πρὸς ἕκαστον. οὐ γὰρ τὸ σχῆμα κύκλος. οὐδὲ τὸ ὑπὸ μιᾶς γραμμῆς περιεχόμενον. οὐδὲ ἄλλο τι ἓν ἢ πλείονα τῶν ἐν τῷ ὁρισμῷ παραλαμβανομένων, εἰ μὴ πάντα ἅμα. διὸ τὸ δεύτερον ἐπήγαγε παράδειγμα, τὸ ἐπὶ τῆς καθ' ἡλικίαν προκοπῆς θεωρούμενον. οἱ γὰρ νήπιοι παῖδες ὁλοσχερῆ καὶ συγκεχυμένην ἔτι τὴν γνῶσιν ἔχοντες, πάντας τοὺς ἄνδρας πατέρας καὶ τὰς γυναῖκας μητέρας καλοῦσι. προϊόντος δὲ τοῦ χρόνου, διαρθροῦσι τὸ ὁλοσχερὲς εἰς τὸ μερικὸν ἴδιον. καὶ οὕτω τὴν ἀκριβῆ τῶν γεννησάντων αὐτοὺς λαμβάνουσιν εἴδησιν. ὥστε καὶ ἡμεῖς ἕως ἂν τῷ ὁλοσχερεῖ συγκεχυμένῳ τῶν αἰσθητικῶν γνώσεων ἑπόμενοι, τὰ πράγματα διαγινώσκωμεν, παίδων νηπίων οὐδὲν ἀπεοίκαμεν, πατέρας πάντας τοὺς προστυγχάνοντας καλούντων. ὅταν δὲ ἀπὸ τῶν συγκεχυμένων ἐπὶ τὰ εἰλικρινῆ, καὶ ἀπὸ τῶν συνθέτων ἐπὶ τὰ ἁπλᾶ καὶ στοιχειώδη προέλθωμεν, τότε ἂν εἴημεν ἐν δευτέρῳ προσιόντες τῇ ἐπιστήμῃ, ἅτε μὴ μόνον τὰ κατ' αἴσθησιν γνωστὰ ἀλλὰ καὶ τὰ κατὰ λόγον γνωρίζοντες, καὶ μὴ μόνον τὰ σύνθετα ἀποτελέσματα, ἀλλὰ καὶ τὰ αἰτιώδη τούτων στοιχεῖα. ἐλέγετο δέ φησιν ὁ Ἀλέξανδρος δύνασθαί τινα λέγεσθαι καθόλου ὑπ' αὐτοῦ νῦν καὶ τὰ ἀξιώματα. οἷς πρὸς ἅπαντα μὲν τὰ δεικνύμενα χρώμεθα διὰ τὸ εἶναι ἐναργῆ. οὐδενὸς δὲ τῶν δι' αὐτῶν δεικνυμένων ἐστὶν ἴδια. ὁποῖά ἐστι τὸ ἐπὶ παντὸς τὴν κατάφασιν ἢ τὴν ἀπόφασιν. καὶ ἂν ἀπὸ ἴσων ἴσα ἀφαιρεθῇ τὰ καταλειπόμενά ἐστιν ἴσα. ταῦτα γὰρ τῷ πρὸς πολλὰ εἶναι χρήσιμα καθόλου τέ ἐστι, καὶ ἕκαστον τῶν ὑπ' αὐτῶν δεικνυμένων περιέχεται. ἡ μὲν οὖν ὅλη τῶν προειρημένων ἐν τῷ προοιμίῳ διάνοια καὶ τάξις, αὕτη. Ἐπιστῆσαι δὲ ἐν αὐτοῖς ἄξιον. πρῶτον μὲν ὅτι τοῖς προκειμένοις οἰκεῖον τὸ τοῦ ὅλου καὶ συνθέτου ἀλλ' οὐχὶ τὸ τοῦ καθόλου παράδειγμα. οὐ γὰρ ὡς ἐκ στοιχείων τῶν καθέκαστα σύγκειται τὸ καθόλου, ὥσπερ τὸ ὅλον καὶ τὸ σύνθετον. οὐδὲν γὰρ στοιχεῖον τὴν τοῦ συνθέτου κατηγορίαν ἐπιδέχεται, ὥσπερ τὰ καθέκαστα τὴν τοῦ καθόλου. Δεύτερον δὲ ἐπιστάσεως ἄξιον, ὅτι διττή ἐστι τοῦ ὅλου καὶ τῶν καθόλου ἡ γνῶσις, ὥσπερ καὶ τοῦ ὀνόματος. ἡ μέν, ὁλοσχερὴς καὶ συγκεχυμένη, καὶ κατὰ ψιλὴν ἐπίνοιαν τοῦ γνωστοῦ γινομένη. ἥτις καὶ παχυτέρα ἐστὶ τῆς κατὰ τὸν ὁρισμὸν γνώσεως. ἡ δέ, συνῃρημένη καὶ ἡνωμένη καὶ τὰ κατὰ μέρος περιειληφυῖα. νοερά τις αὕτη καὶ

ἁπλῆ. φανταστικὴ δὲ μᾶλλον ἐκείνη καὶ ἀπεστενωμένη. καὶ ἡ μὲν, τοῖς πολλοῖς συνήθης, ἡ ὁλοσχερής. ἡ δὲ, τοῖς ἀκροτάτοις. καὶ γὰρ τὸ καθόλου οἱ μὲν πολλοὶ κατὰ τὸ κοινὸν νοοῦσι τὸ ἐν τοῖς κατὰ μέρος, ἐξ ἀφαιρέσεως αὐτοῦ ψιλὴν τὴν ἰδιότητα λαμβάνοντες, προλάμπουσαν μᾶλλον, διὰ τὸ ἐπικρατεῖν τῶν διαφορῶν τὴν κοινότητα. οἱ δὲ, τὴν ὅλην αὐτοῦ τῶν κατὰ μέρος περίληψιν, καὶ τὴν διὰ πάντων δίηξιν, καὶ τὴν τὰς διαφορὰς συνῃρηκυῖαν κοινότητα, νοερῶς συναιροῦσι. καὶ τὸ ὄνομα δὲ ἀκούσας τὸ τοῦ ἀνθρώπου εἰ τύχοι, ὁ μὲν πολὺς εἰς τὴν ὁλοσχερῆ φαντασίαν ἀποφαίνεται. ὁ δὲ φιλόσοφος τὸν ὁρισμὸν ἐν ἁπλότητι μιᾷ συναιρεῖ. ὥστε ἡνωμένον τὸ τοῦ ὁρισμοῦ πλῆθος νοῆσαι, καὶ ἅμα τὸ πλῆθος καὶ ἓν λαβεῖν. ὅπερ ἴδιον ἐπιστήμης καὶ ὁ ἐν Θεαιτήτῳ Σωκράτης ἠνίξατο. ἡ δὲ κατὰ τὸν ὁρισμὸν καὶ ἡ διὰ τῶν στοιχείων γνῶσις, μέση τίς ἐστιν ἀμφοῖν, διανοητικὴ μᾶλλον οὖσα ἢ καὶ δοξαστική, καὶ τῆς μὲν χείρονος κατὰ τὸ ἀκριβὲς ὑπερέχουσα, τῆς δὲ κρείττονος ἀπολειπομένη κατὰ τὸ διῃρημένον καὶ μᾶλλον κεχηνός. οὕτω δὲ καὶ τῶν κοινῶν ἡ γνῶσις, ἡ μὲν ὁλοσχερὴς προτρέχει τῆς κατὰ τὰς διαφορὰς διαρθρώσεως. ἡ δὲ ἀκριβὴς, ἐπιγίνεται συναιροῦσα ἐν τῇ κοινότητι τὰς διαφοράς. ὅταν οὖν ὁ ἀριστοτέλης, τὴν τῶν κοινῶν γνῶσιν πρώτην μὲν ὡς πρὸς ἡμᾶς, ὑστέραν δὲ τῇ φύσει λέγῃ, τὴν ὁλοσχερῆ ταύτην φησὶ τὴν ἐξ ἀφαιρέσεως τῆς κοινότητος ψιλὴν γινομένην. ἥτις οὐδὲ ὑφέστηκε καθ' ἑαυτήν. Τρίτον δ' ἐφιστάνειν ἄξιον, ὁποία τίς ἐστιν ἡ περὶ τῶν φυσικῶν πραγμάτων γνῶσις, τοῖς τὰς ἀρχὰς καὶ τὰ αἴτια τῶν φυσικῶν ἐγνωκόσι. ταύτας δὲ ἐκ τῶν συνθέτων ἤδη καὶ συγκεχυμένων εὑρίσκομεν. ἅπερ οὐκ ἔστιν ἀκριβῶς γνῶναι, μὴ τῶν αἰτίων ἐγνωσμένων ἀκριβῶς. δῆλον οὖν ὅτι τεκμηριώδης ἐστὶν ἡ γνῶσις ἡ περὶ τῶν ἀρχῶν, ἀλλ' οὐκ ἀποδεικτική. καὶ καλῶς ὁ πλάτων τὴν φυσιολογίαν εἰκοτολογίαν ἔλεγεν εἶναι. ᾧ καὶ ἀριστοτέλης συμμαρτυρεῖ, τὴν κυρίως ἀπόδειξιν ἐξ ἀμέσων καὶ αὐτοπίστων ἀρχῶν, καὶ ἐκ τῶν κυρίως αἰτίων καὶ τῇ φύσει προτέρων εἶναι βουλόμενος. ἀλλ' οὐκ ἀτιμαστέον διὰ τοῦτο φυσιολογίαν. ἀλλ' ἀρκεῖσθαι χρὴ τῷ κατὰ τὴν ἡμετέραν χρῆσιν καὶ δύναμιν, ὡς καὶ θεοφράστῳ δοκεῖ. Τέταρτον δὲ πρὸς τοῖς εἰρημένοις ἄξιον ζητεῖν, πῶς τὰ κοινὰ σαφέστερα μὲν ὡς πρὸς ἡμᾶς, ἀσαφέστερα δὲ τῇ φύσει λέγει ὁ ἀριστοτέλης. εἰ γὰρ ἀσαφέστερα τῇ φύσει, δηλονότι καὶ πορρώτερα καὶ ὕστερα ἔσται τῇ φύσει. καίτοι συναναιρεῖ μὲν τὰ κοινὰ, οὐ συναναιρεῖται δὲ, ὅπερ χαρακτηρίζειν τὰ φύσει πρότερα φαμέν. καὶ ὅ γε ἀφροδισιεὺς ἀλέξανδρος, ὁμολογεῖ τὸ κοινὸν καὶ καθόλου τῇ φύσει πρότερον εἶναι τῶν ὑπ' αὐτό, ὡς τὸ ζῷον τοῦ ἀνθρώπου, τῷ συναναιρεῖν μὲν, μὴ συναναιρεῖσθαι δὲ, καὶ τοῦτο μὲν μετρίως ὁ ἀλέξανδρός φησιν. εἰπὼν δὲ ὅτι τὸ καθόλου τῇ φύσει πρῶτόν ἐστιν, ἐπάγει οὐ μὴν καὶ κυρίως πρῶτον ὅτι μηδὲ οὐσία. καὶ διὰ τοῦτο ἡ τῶν κοινῶν γνῶσίς τινος, ὑστέρα τῆς διὰ τῶν οἰκείων. εἴγε πρῶτα ἐν ἑκάστῳ τὰ τὴν οἰκείαν φύσιν δηλοῦντα. καίτοι θαυμάσειεν ἄν τις, πῶς τὸ τῇ φύσει πρῶτον οὐ κυρίως πρῶτόν ἐστι. μήποτε οὖν ὥσπερ τοῦ ὅλου καὶ τοῦ συνθέτου τὰ στοιχεῖα καὶ τὰ μέρη πρότερα τῇ φύσει φησὶν ὁ ἀριστοτέλης, πρῶτα πρὸς ἡμᾶς τὰ σύνθετα λέγων ὡς συγκεχυμένα καὶ αἰσθήσει ληπτά, οὕτω καὶ κοινὰ τὰ ὑστερογενῆ καὶ ἐξ ἀφαιρέσεως λαμβάνει. ἅπερ οὐ συναναιρεῖ κυρίως τὰ κατὰ μέρος, ὡς ἰδιότητες ψιλαὶ λαμβανόμεναι, ἀλλ' οὐχ ὡς περιοχαὶ τῶν κατὰ μέρος. τοῦτο μὲν οὖν εἴ τις δύναιτο καὶ πιθανώτερον ἀπολογιζέσθω. Ἐπειδὴ δὲ ἀπὸ τῶν κοινῶν καὶ συνθέτων καὶ ἡμῖν προτέρων ἐπὶ τὰς ἀρχὰς τῶν φυσικῶν φησι δεῖν ἀνατρέχειν ὁ ἀριστοτέλης, ἄξιον ζητεῖν τίνα μέν ἐστι τὰ κοινὰ, τίνα δὲ τὰ τῇ φύσει πρότερα, ἅπερ καὶ ἀρχαὶ τῶν φυσικῶν. ὁ μὲν οὖν ἀλέξανδρος πρῶτόν φησι δείξει ὅτι πλείους αἱ ἀρχαὶ, καὶ οὔτε ἄπειροι οὔτε μία. εἶτα ὅτι δεῖ καὶ ἐναντίωσιν ἐν αὐταῖς εἶναι, καὶ τῇ ἐναντιώσει τι ὑποκεῖσθαι. ἀφ' ὧν κοινῶν ὄντων, μετελθὼν δείξει καὶ τίνες εἰσὶν αὗται. ὁ γὰρ ἐκεῖνα εἰδὼς, οὔπω οἶδε τὰς ἀρχὰς τίνες εἰσίν. ἀλλ' ἐπιστῆσαι ἄξιον. εἰ γὰρ τὸ εἰ μία ἡ ἀρχὴ ἢ πλείους, καὶ εἰ ἐναντίωσιν ἔχουσιν ἢ μή, καὶ εἰ ὑπόκειταί τι αὐταῖς ἢ μή, περὶ αὐτῶν εἴρηται τῶν ἀρχῶν, καὶ περὶ τῶν ἐξ αὐτῶν συγκειμένων, πῶς ἀπὸ τῶν συνθέτων ἐπὶ τὰς ἀρχὰς ἡμᾶς οὗτος ὁ τρόπος ἀναπέμπει. ἐλέγετο δέ φησιν ὁ ἀλέξανδρος δύνασθαι τινὰ λέγεσθαι καθόλου ὑπ' αὐτῶν νῦν καὶ τὰ ἀξιώματα, περὶ ὧν εἴρηται πρότερον. οἷς προσχρῆται νῦν. τὸ γὰρ ἀνάγκη ἤτοι μίαν εἶναι τὴν ἀρχὴν ἢ πλείους, ἴσον ἐστὶ τῷ μίαν ἢ οὐ μίαν. τοῦτο δὲ, τῷ κατὰ παντὸς τὴν κατάφασιν ἢ τὴν ἀπόφασιν ὀφείλειν κατηγορεῖσθαι ὑποτέτακται. ἀλλ' οὐδὲ ταῦτα τὰ κοινὰ σύνθετα ἀπὸ τῶν ἀρχῶν ἐστὶ τῶν φυσικῶν. ὅπερ ἀπαιτεῖ τὸ τοῦ ἀριστοτέλους παράγγελμα. ἀλλὰ καὶ αὐτὰ περὶ τὰς ἀρχὰς θεωρεῖται τὸ μίαν ἢ οὐ μίαν. ἔδει δὲ ἀπὸ τῶν συνθέτων καὶ γνωριμωτέρων ἡμῖν γινώσκεσθαι, εἰ μία ἡ ἀρχὴ ἢ πλείους, καὶ εἰ ἐναντίαι ἢ οὔ, καὶ τίνες αὗται. μήποτε οὖν ἄμεινον, ἐκ τῶν τοῖς φυσικοῖς πράγμασιν ἐναργῶς καὶ γνωρίμως τῇ αἰσθήσει ὑπαρχόντων τὰς ἀρχὰς εὑρίσκειν τῶν φυσικῶν, ὥσπερ καὶ τῷ ἀριστοτέλει δοκεῖ. οἷον ὅτι οὐ μία ἀρχὴ, ἐκ τῆς τῶν ὄντων διαφορᾶς ὡς μαθησόμεθα. εἰ γάρ ἐστιν ἐν τοῖς οὖσι φησὶ καὶ οὐσία καὶ ποσὸν καὶ ποιὸν, καὶ ταῦτα εἴτε ἀπολελυμένα ἀπ' ἀλλήλων εἴτε μή, πολλὰ τὰ ὄντα. τὸ δὲ ἀκριβὲς τῶν λεγομένων ὀλίγον ὕστερον μαθησόμεθα. ὅτι δ' οὐκ ἀκίνητοι αἱ ἀρχαὶ, ἐκ τῆς ἐναργοῦς τῶν φυσικῶν κινήσεως δείκνυται. ἡμῖν δ' ὑποκείσθω φησὶ τὰ φύσει ἢ πάντα ἢ ἔνια κινούμενα. δῆλον δὲ ἐκ τῆς ἐπαγωγῆς. ὅτι δὲ ἐναντίαι αἱ ἀρχαὶ, ἐκ τῆς τῶν φυσικῶν περὶ τούτου συμφωνίας, καὶ ὅτι εἶδος καὶ στέρησις καὶ ὑποκείμενόν τι, ἐκ τῆς μεταβολῆς τῆς ἐν τοῖς φυσικοῖς δείκνυται. εἰ γὰρ ἡ μεταβολὴ μὴ ἐκ τοῦ τυχόντος εἰς τὸ τυχὸν, ἀλλ' ἐξ ἀμούσου τὸ μουσικὸν, καὶ ὅλως ἐκ τοῦ μὴ τοιούτου πεφυκότος δὲ, καὶ εἰ ἀνάγκη

πᾶσαν μεταβολὴν περί τι μένον ὑποκείμενον γίνεσθαι, δηλονότι καὶ ἐναντία ὡς εἶδος καὶ στέρησις
καὶ περὶ ἀΐδιόν τι ὑποκείμενον. ὅλως δὲ ὡς κοινῶς εἰπεῖν, ἀπὸ τῶν αἰσθήσεων καὶ τῶν αἰσθητῶν τὴν περὶ
τῶν φυσικῶν ἀρχῶν ἀλήθειαν ἀνιχνευτέον, καὶ θεοφράστῳ πειθομένοις. ὃς περὶ τούτου ζητῶν ἐν πρώτῳ
» τῶν φυσικῶν τάδε γέγραφεν. Ἐπεὶ δὲ οὐκ ἄνευ μὲν κινήσεως οὐδὲ περὶ ἑνὸς λεκτέον, πάντα γὰρ ἐν
» κινήσει τὰ τῆς φύσεως, ἄνευ δὲ ἀλλοιωτικῆς καὶ παθητικῆς, οὐχ ὑπὲρ τῶν περὶ τὸ μέσον, εἰς ταῦτά
» τε καὶ περὶ τούτων λέγοντας οὐχ οἷόν τε καταλιπεῖν τὴν αἴσθησιν. ἀλλ' ἀπὸ ταύτης ἀρχομένους
» πειρᾶσθαι χρὴ θεωρεῖν, ἢ τὰ φαινόμενα λαμβάνοντας καθ' ἑαυτά, ἢ ἀπὸ τούτων, εἴ τινες ἄρα κυρι-
» ώτεραι καὶ πρότεραι τούτων ἀρχαί, καὶ κάλλιον οἶμαι τοιοῦτόν τινα τρόπον, τὴν ἀπὸ τῶν ἡμῖν γνω
ριμωτέρων ἐπὶ τὰς ἀρχὰς ἐπίβασιν γίνεσθαι. ἀλλ' ἐπὶ τὰ ἑξῆς ἰτέον.

Ἀνάγκη δ' ἤτοι μίαν εἶναι τὴν ἀρχήν, ἢ πλείους. καὶ εἰ μίαν. ἤτοι ἀκίνητον. ὥς φασι παρμενίδης καὶ μέλισσος.

Ἀκόλουθον μὲν ἂν ἦν πρῶτον ζητεῖν εἰ εἰσὶν ὅλως ἀρχαὶ τῶν φυσικῶν, καὶ τότε τίνες εἰσὶ καὶ πόσαι. αὕτη γὰρ
ἡμῖν ἡ τάξις τῶν προβλημάτων ἐν τοῖς ἀποδεικτικοῖς ὑπ' αὐτοῦ παραδέδοται. ἀλλὰ τοῦτό φασιν οὐκ ἦν τοῦ
φυσικοῦ θεωρεῖν, ἀλλὰ τοῦ ἐπαναβεβηκότος. ὁ γὰρ φυσικὸς ὡς δεδομένῳ τούτῳ χρῆται. διὸ καὶ ἐν τῷ
προοιμίῳ εὐθύς, ὡς τιθέμενος ἀρχὰς εἶναι τῶν φυσικῶν, ἐπειδή φησιν ὧν εἰσιν ἀρχαὶ ἢ αἴτια ἢ στοιχεῖα,
δεῖ ταῦτα γνωρίζειν τὸν ἐπιστήμην μέλλοντα περὶ αὐτῶν ἕξειν, καὶ τῆς περὶ φύσεως ἐπιστήμης πειρατέ
ον διορίσασθαι πρῶτον τὰ περὶ τὰς ἀρχάς. ἀλλὰ ταῦτα μὲν οἱ ἐξηγηταὶ τοῦ ἀριστοτέλους φασίν. ἐπι
στῆσαι δὲ ἄξιον, μήποτε καὶ τὸ πόσαι καὶ τίνες αἱ ἀρχαί, καὶ ὅλως ὁ περὶ τῶν ἀρχῶν λόγος, τοῦ ἐπαναβεβη
κότος κατὰ τοῦτον τὸν λόγον εἶναι δοκεῖ. μήποτε δὲ καὶ ἀνάγκη τὸν φυσικόν, ὅτι σώματά ἐστι τὰ φυσι-
κὰ εἰδέναι. καὶ ὅτι πᾶν σῶμα σύνθετόν ἐστι. καὶ ὅτι τὸ σύνθετον ἀρχὰς ἔχει τὰ ἐξ ὧν σύγκειται, ὡς καὶ ὁ θε
όφραστος ἀπέδειξεν. ἄμεινον οὖν ἴσως λέγειν, ὅτι οὐκ ἐν πᾶσι προβλήμασι τὸ εἰ ἔστι ζητεῖται. ἀλλ' ἐν οἷς
τοῦτο ἀμφιβάλλεται. οἷον εἰ ἔστι τὸ κενόν. οὐ μέντοι εἰ ἔστιν αὐτός. καὶ γὰρ τοῦτο ἐν τοῖς λογικοῖς κανόσι διώ-
ρισται. ὅτι δέ εἰσιν ἀρχαὶ τῶν φυσικῶν πάντες συμφωνοῦντες οἱ φυσικοί, τίνες εἰσὶν αὗται ζητοῦσι. καὶ
γὰρ τοὺς περὶ τοῦ ὄντος ζητοῦντας, περὶ τῆς ἀρχῆς τοῦ ὄντος ζητεῖν φασιν. οἱ γὰρ περὶ τὰς ἀρχὰς φιλοσο-
φοῦντες, ὡς ὄντων ἀρχὰς ἐζήτουν. καὶ οἱ μέν, ἀδιορίστως, οὐ διακρίνοντες τὰ φυσικὰ ἀπὸ τῶν ὑπὲρ φύσιν.
οἱ δέ, διακρίνοντες μέν, ὥσπερ οἱ πυθαγόρειοι, καὶ ξενοφάνης, καὶ παρμενίδης, καὶ ἐμπεδοκλῆς, καὶ ἀνα
ξαγόρας, τῇ δὲ ἀσαφείᾳ λανθάνοντες τοὺς πολλούς. διὸ καὶ ἀριστοτέλης ὡς πρὸς τὸ φαινόμενον ἀντιλέ
γει, τοῖς ἐπιπολαίως ἐκλαμβάνουσι βοηθῶν. ἅμα δὲ τῷ τοιάσδε ἢ τοσάσδε, συναποδεικνύναι καὶ τὸ εἶναι
ὅλως ἀρχάς. ὡς οὖν οὕτω τῶν ἀρχῶν δείξας ὅτι ἀναγκαία ἐστὶν ἡ περὶ τῶν ἀρχῶν γνῶσις, καὶ τὸν τρόπον τῆς
ἐπ' αὐτὰς ἐφόδου παραδούς, εὔλογον οἴεται μὴ πρότερον τὸ αὐτῷ δοκοῦν περὶ τῶν ἀρχῶν ἐκφῆναι, πρὶν
τὰς τῶν παλαιῶν ἐπισκέψασθαι δόξας. καὶ λαβὼν ἀξίωμα διαιρετικόν, τὸ μίαν εἶναι τὴν ἀρχὴν ἢ πολ-
λάς, ἀνάγκη γὰρ διὰ τὸ τῆς ἀντιφάσεως ἀξίωμα μίαν ἢ οὐ μίαν εἶναι, εἰ δὲ μὴ μία πολλαί, καὶ εἰ μία φη
σίν. ἀνάγκη πάλιν ταύτην ἢ ἀκίνητον ἢ κινουμένην εἶναι, ὑποβάλλει λοιπὸν τοῖς τῆς διαιρέσεως τμήμα
σι τὰς προκαταβεβλημένας δόξας. ἢ γὰρ μία καὶ ἀκίνητος, ὡς παρμενίδης ἐδόκει λέγειν καὶ μέλισσος.
ἢ μία καὶ κινουμένη, ὥσπερ οἱ φυσικοί. εἰ δὲ πλείους, ἢ πεπερασμένας τῷ ἀριθμῷ ἢ ἀπείρους. καὶ εἰ μὲν πεπερα
σμένας, ἢ δύο ἢ τρεῖς ἢ ἄλλον τινὰ ἀριθμὸν ὡρισμένας. εἰ δὲ ἀπείρους, ἢ ὁμογενεῖς ἢ καὶ τοῖς γένεσιν ἀν-
τικειμένας. δυνατοῦ δὲ ὄντος, καὶ τοὺς μίαν λέγοντας εἰς τὸ ἄπειρον καὶ τὸ πεπερασμένον διελεῖν, καὶ τοὺς
πολλὰς εἰς κινουμένας ἢ ἀκινήτους, τὸ οἰκειότερόν φησιν ὁ ἀλέξανδρος ἑκατέρῳ τῶν ἐκ τῆς διαιρέσεως
ὑπέταξεν. οἰκειότερον δὲ τῇ μὲν μιᾷ τὸ κινεῖσθαι ἢ μή, ταῖς δὲ πολλαῖς τὸ πεπερασμένον ἢ ἄπειρον.
ἱστέον δὲ ὅτι προελθὼν ἐν τοῖς πρὸς αὐτοὺς λόγοις, μετὰ τὸ πρὸς μέλισσον καὶ παρμενίδην ἀντειπεῖν,
τοὺς φυσικοὺς καλουμένους προχειρισάμενος, οὕτω διεῖλε. ἢ ἓν τὸ ὂν λέγουσιν ἤτοι τὸ στοιχεῖον, ἢ ἓν καὶ πολ
λά. ἓν μέν, ἢ τῶν τριῶν τι στοιχείων ἢ τὸ μεταξύ. ἓν δὲ καὶ πολλά, ὡς ἀναξαγόρας καὶ ἐμπεδοκλῆς καὶ δη
μόκριτος ἐν τούτοις, τὸ κενὸν λέγων καὶ τὰς ἀτόμους. ἐπιστῆσαι δὲ χρή, ὅτι ἄλλο μέν ἐστι τὸ κατὰ τὸ πλῆ
θος ἄπειρον καὶ πεπερασμένον, ὃ τοῖς πολλὰς λέγουσι τὰς ἀρχὰς οἰκεῖον ἦν. ἄλλο δὲ τὸ κατὰ τὸ μέγε
θος ἄπειρον ἢ πεπερασμένον. ὅπερ ἐξετάζειν ἐν τοῖς πρὸς μέλισσον καὶ παρμενίδην λόγοις. καὶ πρὸς
ἀναξίμανδρον καὶ ἀναξιμένην ἁρμόζει, ἓν μὲν ἄπειρον δὲ τῷ μεγέθει τὸ στοιχεῖον ὑποθεμένους. καὶ τὸ κινού
μενον δὲ καὶ τὸ ἀκίνητον, καὶ τοῖς μίαν καὶ τοῖς πλείονας λέγουσιν ἀρχὰς ἁρμόττει πρὸς διαίρεσιν. τοι
γαροῦν καὶ εὔδημος ὡς ἄν φησιν ὑπάρχωσιν αἱ ἀρχαί, ἤτοι κινοῦνται ἢ ἀκίνητοί εἰσιν. ἀλλὰ τοῦτο μὲν
τὸ διαιρετικὸν παρῆκεν ὁ ἀριστοτέλης, διὰ τὸ μὴ γεγονέναι δόξαν πολλὰς καὶ ἀκινήτους τὰς ἀρχὰς
λέγουσαν. τὸ δὲ πεπερασμένον καὶ ἄπειρον ἐπὶ τῆς μιᾶς, διὰ τὴν συντομίαν νῦν παραδραμεῖν ἔοικεν.
ἐν γοῦν τοῖς πρὸς παρμενίδην ὡς εἶπον καὶ μέλισσον λόγοις καὶ ταῦτα βασανίζει. ἄμεινον δὲ ἴσως ἐκ
τελεωτέρας διαιρέσεως τὰς δόξας πάσας περιλαβόντας, οὕτω τοῖς τοῦ ἀριστοτέλους ἐπελθεῖν.
Ἀνάγκη τοίνυν τὴν ἀρχὴν ἢ μίαν εἶναι ἢ οὐ μίαν ταὐτὸν δὲ εἰπεῖν πλείους, καὶ εἰ μίαν, ἤτοι ἀκίνητον ἢ κι
νουμένην. καὶ εἰ ἀκίνητον, ἢ ἄπειρον ὡς μέλισσος ὁ σάμιος δοκεῖ λέγειν, ἢ πεπερασμένην, ὡς παρμενί-
δης ὁ ἐλεάτης δοκεῖ λέγειν, οὐ περὶ φυσικοῦ στοιχείου λέγοντες οὗτοι, ἀλλὰ περὶ τοῦ ὄντως ὄντος. Μί
αν δὲ τὴν ἀρχήν, ἤτοι ἓν τὸ ὂν καὶ πᾶν, καὶ οὔτε πεπερασμένον οὔτε ἄπειρον, οὔτε κινούμενον οὔτε ἠρεμοῦν

ξενοφάνην τὸν κολοφώνιον τὸν παρμενίδου διδάσκαλον ὑποτίθεσθαί φησιν ὁ θεόφραστος, ὁμολογῶν
ἑτέρας εἶναι μᾶλλον ἢ τῆς περὶ φύσεως ἱστορίας τὴν μνήμην τῆς τούτου δόξης. τὸ γὰρ ἓν τοῦτο καὶ πᾶν, τὸν
θεὸν ἔλεγεν ὁ ξενοφάνης. ὃν ἕνα μὲν δείκνυσιν, ἐκ τοῦ πάντων κράτιστον εἶναι. πλειόνων γάρ φησιν ὄντων,
ὁμοίως ἀνάγκη ὑπάρχειν πᾶσι τὸ κρατεῖν. τὸ δὲ πάντων κράτιστον καὶ ἄριστον, θεός. ἀγένητον δὲ ἐδείκνυ
εν, ἐκ τοῦ δεῖν τὸ γιγνόμενον ἢ ἐξ ὁμοίου ἢ ἐξ ἀνομοίου γίγνεσθαι. ἀλλὰ τὸ μὲν ὅμοιον ἀπαθές φησιν ὑπὸ τοῦ
ὁμοίου. οὐδὲν γὰρ μᾶλλον γεννᾶν ἢ γεννᾶσθαι προσήκει τὸ ὅμοιον ἐκ τοῦ ὁμοίου. εἰ δ' ἐξ ἀνομοίου γίνοιτο,
ἔσται τὸ ὂν ἐκ τοῦ μὴ ὄντος. καὶ οὕτως ἀγένητον καὶ ἀΐδιον ἐδείκνυ. καὶ οὔτε δὲ ἄπειρον οὔτε πεπερα
σμένον εἶναι. διότι ἄπειρον μὲν τὸ μὴ ὄν, ὡς οὔτε ἀρχὴν ἔχον μήτε μέσον μήτε τέλος. περαίνειν δὲ
πρὸς ἄλληλα τὰ πλείω. παραπλησίως δὲ καὶ τὴν κίνησιν ἀφαιρεῖ καὶ τὴν ἠρεμίαν. ἀκίνητον μὲν
γὰρ εἶναι τὸ μὴ ὄν. οὔτε γὰρ ἂν εἰς αὐτὸ ἕτερον, οὔτε αὐτὸ πρὸς ἄλλο ἐλθεῖν. κινεῖσθαι δὲ τὰ πλείω
τοῦ ἑνός. ἕτερον γὰρ εἰς ἕτερον μεταβάλλει. ὥστε καὶ ὅταν ἐν ταυτῷ μένειν λέγῃ καὶ μὴ κινεῖσθαι,
ἀεὶ δ' ἐν ταυτῷ μένει κινούμενον οὐδὲν, οὐδὲ μετέρχεσθαί μιν, ἐπεὶ πρέπει ἄλλοτε ἄλλῃ, οὐ κατὰ
τὴν ἠρεμίαν τὴν ἀντικειμένην τῇ κινήσει μένειν αὐτόν φησιν, ἀλλὰ κατὰ τὴν ἀπὸ κινήσεως καὶ ἠρεμίας
ἐξῃρημένην. Νικόλαος δὲ ὁ δαμασκηνὸς, ὡς ἄπειρον καὶ ἀκίνητον λέγοντος αὐτοῦ τὴν ἀρχὴν, ἐν τῇ
περὶ θεῶν ἀπομνημονεύει. ἀλέξανδρος δὲ ὡς πεπερασμένον αὐτὸ καὶ σφαιροειδές. ἀλλ' ὅτι μὲν οὔτε
ἄπειρον οὔτε πεπερασμένον αὐτὸ δείκνυσιν, ἐκ τῶν προειρημένων δῆλον. πεπερασμένον δὲ καὶ σφαι
ροειδὲς αὐτὸ, διὰ τὸ πάντη ὅθεν ὅμοιον λέγει. καὶ πάντα δὲ νοεῖν φησιν αὐτὸν, λέγων, ἀλλ' ἀπά-
νευθε πόνοιο νόου φρενὶ πάντα κραδαίνει. τῶν δὲ μίαν καὶ κινουμένην λεγόντων ἀρχὴν, οὓς καὶ φυ-
σικοὺς ἰδίως καλεῖ, οἱ μὲν, πεπερασμένην αὐτήν φασιν. ὥσπερ θαλῆς μὲν ἐξαμίου μιλήσιος καὶ
ἵππων, ὃς δοκεῖ καὶ ἄθεος γεγονέναι, ὕδωρ ἔλεγον τὴν ἀρχὴν, ἐκ τῶν φαινομένων κατὰ τὴν αἴσθη-
σιν εἰς τοῦτο προαχθέντες. καὶ γὰρ τὸ θερμὸν τῷ ὑγρῷ ζῇ. καὶ τὰ νεκρούμενα ξηραίνεται. καὶ τὰ σπέρ
ματα πάντων ὑγρά. καὶ τροφὴ πᾶσα χυλώδης. ἐξ οὗ δέ ἐστιν ἕκαστα τούτῳ καὶ τρέφεσθαι πέφυκε.
τὸ δὲ ὕδωρ ἀρχὴ τῆς ὑγρᾶς φύσεώς ἐστι, καὶ συνεκτικὸν πάντων. διὸ πάντων ἀρχὴν ὑπέλαβον εἶναι
τὸ ὕδωρ. καὶ τὴν γῆν ἐφ' ὕδατος ἀπεφήναντο κεῖσθαι. θαλῆς δὲ πρῶτος παραδέδοται τὴν περὶ
φύσεως ἱστορίαν τοῖς ἕλλησιν ἐκφῆναι, πολλῶν μὲν καὶ ἄλλων προγεγονότων ὡς καὶ θεοφράστῳ δο-
κεῖ, αὐτὸς δὲ πολὺ διενεγκὼν ἐκείνων, ὡς ἀποκρύψαι πάντας τοὺς πρὸ αὐτοῦ. λέγεται δὲ ἐν γρα
φαῖς μηδὲν καταλιπεῖν, πλὴν τῆς καλουμένης ναυτικῆς ἀστρολογίας. Ἵππασος δὲ ὁ μεταπον-
τῖνος, καὶ ἡράκλειτος ὁ ἐφέσιος, ἓν καὶ οὗτοι καὶ κινούμενον καὶ πεπερασμένον, ἀλλὰ πῦρ ἐποιή-
σαντο τὴν ἀρχήν. καὶ ἐκ πυρὸς ποιοῦσι τὰ ὄντα πυκνώσει καὶ μανώσει. καὶ διαλύουσι πάλιν εἰς πῦρ
ὡς ταύτης μιᾶς οὔσης φύσεως τῆς ὑποκειμένης. πυρὸς γὰρ ἀμοιβὴν εἶναί φασιν. ἡράκλειτος δὲ πάντα
ποιεῖ, καὶ τάξιν τινὰ καὶ χρόνον ὡρισμένον τῆς τοῦ κόσμου μεταβολῆς κατά τινα εἱμαρμένην ἀνάγκην.
καὶ δηλονότι καὶ αὐτοὶ τὸ ζωογόνον καὶ δημιουργικὸν καὶ πεπτικὸν καὶ διὰ πάντων χωροῦν καὶ
πάντων ἀλλοιωτικὸν τῆς θερμότητος θεασάμενοι, ταύτην ἔσχον τὴν δόξαν. διὸ ἐχομένως οὐκ ἐτίθεσαν
ἄπειρον αὐτό. ἔτι δὲ εἰ στοιχεῖον μὲν τὸ ἐλάχιστόν ἐστιν, ἐξ οὗ γίνεται τὰ ἄλλα καὶ εἰς ὃ ἀναλύεται, λε
πτομερέστατον δὲ τῶν ἄλλων τὸ πῦρ, τοῦτο ἂν εἴη μάλιστα στοιχεῖον. καὶ οὗτοι μὲν οἱ ἓν καὶ κινούμενον καὶ
πεπερασμένον λέγοντες τὸ στοιχεῖον. τῶν δὲ ἓν καὶ κινούμενον καὶ ἄπειρον λεγόντων, ἀναξίμανδρος
μὲν πραξιάδου μιλήσιος, θαλοῦ γενόμενος διάδοχος καὶ μαθητὴς, ἀρχήν τε καὶ στοιχεῖον εἴρηκε τῶν
ὄντων τὸ ἄπειρον, πρῶτος τοῦτο τοὔνομα κομίσας τῆς ἀρχῆς. λέγει δ' αὐτὴν μήτε ὕδωρ μήτε ἄλλο
τῶν καλουμένων εἶναι στοιχείων. ἀλλ' ἑτέραν τινὰ φύσιν ἄπειρον, ἐξ ἧς ἅπαντας γίνεσθαι τοὺς οὐρα
νοὺς καὶ τοὺς ἐν αὐτοῖς κόσμους. ἐξ ὧν δὲ ἡ γένεσίς ἐστι τοῖς οὖσι, καὶ τὴν φθορὰν εἰς ταῦτα γίνεσθαι
κατὰ τὸ χρεών. διδόναι γὰρ αὐτὰ τίσιν καὶ δίκην τῆς ἀδικίας κατὰ τὴν τοῦ χρόνου τάξιν, ποιη-
τικωτέροις ὀνόμασιν αὐτὰ λέγων. δῆλον δὲ ὅτι τὴν εἰς ἄλληλα μεταβολὴν τῶν τεσσάρων στοιχεί
ων οὗτος θεασάμενος, οὐκ ἠξίωσεν ἕν τι τούτων ὑποκείμενον ποιῆσαι, ἀλλά τι ἄλλο παρὰ ταῦτα. οὗτος
δὲ οὐκ ἀλλοιουμένου τοῦ στοιχείου τὴν γένεσιν ποιεῖ, ἀλλ' ἀποκρινομένων τῶν ἐναντίων διὰ τῆς ἀϊδίου κι-
νήσεως. διὸ καὶ τοῖς περὶ ἀναξαγόραν τοῦτον ὁ ἀριστοτέλης συνέταξεν. Ἀναξιμένης δὲ εὐρυστρά-
του μιλήσιος, ἑταῖρος γεγονὼς ἀναξιμάνδρου, μίαν μὲν τὴν ὑποκειμένην φύσιν καὶ ἄπειρόν φησιν
ὥσπερ ἐκεῖνος. οὐκ ἀόριστον δὲ ὥσπερ ἐκεῖνος, ἀλλὰ καὶ ὡρισμένην, ἀέρα λέγων αὐτήν. διαφέρειν
δὲ μανότητι καὶ πυκνότητι κατὰ τὰς οὐσίας. καὶ ἀραιούμενον μὲν πῦρ γίγνεσθαι. πυκνούμενον
δὲ ἄνεμον. εἶτα νέφος. ἔτι δὲ μᾶλλον ὕδωρ. εἶτα γῆν. εἶτα λίθους. τὰ δὲ ἄλλα ἐκ τούτων. κίνησιν δὲ καὶ
οὗτος ἀΐδιον ποιεῖ, δι' ἣν καὶ τὴν μεταβολὴν γίνεσθαι. Καὶ διογένης δὲ ὁ ἀπολλωνιάτης σχεδὸν νεώ-
τατος γεγονὼς τῶν περὶ ταῦτα σχολασάντων, τὰ μὲν πλεῖστα συμπεφορημένως γέγραφε, τὰ μὲν,
κατὰ ἀναξαγόραν, τὰ δὲ, κατὰ λεύκιππον λέγων. τὴν δὲ τοῦ παντὸς φύσιν ἀέρα καὶ οὗτός φησιν,
ἄπειρον εἶναι καὶ ἀΐδιον. ἐξ οὗ πυκνουμένου καὶ μανουμένου καὶ μεταβάλλοντος τοῖς πάθεσι, τὴν
τῶν ἄλλων γίνεσθαι μορφήν. καὶ ταῦτα μὲν θεόφραστος ἱστορεῖ περὶ τοῦ διογένους. καὶ τὸ εἰς ἐμὲ ἐλ
θὸν αὐτοῦ σύγγραμμα, περὶ φύσεως ἐπιγεγραμμένον, ἀέρα σαφῶς λέγει, τὸ ἐξ οὗ πάντα γίνεται

τὰ ἄλλα. Νικόλαος μέντοι τοῦτον ἱστορεῖ μεταξὺ πυρὸς καὶ ἀέρος τὸ στοιχεῖον τίθεσθαι. καὶ οὗτοι
δὲ τὸ εὐπαθὲς καὶ εὐαλλοίωτον τοῦ ἀέρος εἰς μεταβολὴν ἐπιτηδείως ἔχειν ἐνόμισαν. διὸ τὴν γῆν
δυσκίνητον καὶ δυσμετάβλητον οὖσαν, οὐ πάνυ τι ἠξίωσαν ἀρχὴν ὑποθέσθαι. καὶ οὕτω μὲν οἱ μί-
αν λέγοντες τὴν ἀρχὴν διηρέθησαν. τῶν δὲ πλείους λεγόντων. οἱ μὲν, πεπερασμένας. οἱ δὲ, ἀπεί-
ρους ἔθεντο τῷ πλήθει τὰς ἀρχάς. καὶ τῶν πεπερασμένας. οἱ μὲν, δύο. ὥσπερ παρμενίδης ἐν
τοῖς πρὸς δόξαν, πῦρ καὶ γῆν, μᾶλλον δὲ φῶς καὶ σκότος. ἢ ὡς οἱ στωϊκοὶ, θεὸν καὶ ὕλην, οὐχ ὡς στοι
χεῖον δηλονότι τὸν θεὸν λέγοντες, ἀλλ᾽ ὡς τὸ μὲν ποιοῦν. τὸ δὲ πάσχον. οἱ δὲ, τρεῖς, ὡς ὕλην καὶ τὰ
ἐναντία ἀριστοτέλης. οἱ δὲ, τέσσαρας, ὡς ἐμπεδοκλῆς ὁ ἀκραγαντῖνος, οὐ πολὺ κατόπιν τοῦ ἀναξα-
γόρου γεγονὼς, παρμενίδου δὲ ζηλωτὴς καὶ πλησιαστὴς, καὶ ἔτι μᾶλλον πυθαγορείων. οὗτος δὲ τὰ
μὲν σωματικὰ στοιχεῖα ποιεῖ τέσσαρα, πῦρ, καὶ ἀέρα, καὶ ὕδωρ, καὶ γῆν, ἀΐδια μὲν ὄντα πλήθει καὶ
ὀλιγότητι, μεταβάλλοντα δὲ κατὰ τὴν σύγκρισιν καὶ διάκρισιν. τὰς δὲ κυρίως ἀρχὰς ὑφ᾽ ὧν κι-
νεῖται ταῦτα φιλίαν καὶ νεῖκος. δεῖ γὰρ διατελεῖν ἐναλλὰξ κινούμενα τὰ στοιχεῖα, ποτὲ μὲν ὑπὸ
τῆς φιλίας συγκρινόμενα, ποτὲ δὲ ὑπὸ τοῦ νείκους διακρινόμενα. ὥστε καὶ ἓξ εἶναι κατ᾽ αὐτὸν τὰς
» ἀρχάς. καὶ γὰρ ὅπου μὲν ποιητικὴν δίδωσι δύναμιν τῷ νείκει καὶ τῇ φιλίᾳ. ὅταν λέγῃ, ἄλλοτε
» μὲν φιλότητι συνερχόμεν᾽ εἰς ἓν ἅπαντα. ἄλλοτε δ᾽ αὖ δίχα πάντα φορεύμενα νείκεος ἔχθει. ποτὲ
» δὲ τοῖς τέσσαρσιν ὡς ἰσόστοιχα παρίστησι καὶ ταῦτα. ὅταν λέγῃ, ἄλλοτε δ᾽ αὖ διέφυ πλέον᾽ ἐξ ἑνὸς
» εἶναι, πῦρ, καὶ ὕδωρ, καὶ γαῖα, καὶ ἠέρος ἄπλετον ὕψος, νεῖκός τ᾽ οὐλόμενον δίχα τῶν, ἀτάλαν-
» τον ἑκάστῳ. καὶ φιλότης ἐν τοῖσιν ἴση μῆκός τε πλάτος τε. Καὶ πλάτων τρία μὲν τὰ κυρίως αἴ-
τια τίθησι, τό, τε ποιοῦν, καὶ τὸ παράδειγμα, καὶ τὸ τέλος. τρία δὲ τὰ συναίτια, τήν τε ὕλην, καὶ
τὸ εἶδος, καὶ τὸ ὄργανον. ὁ μέντοι θεόφραστος τοὺς ἄλλους προϊστορήσας, τούτοις φησὶν ἐπιγενόμενος
πλάτων, τῇ μὲν δόξῃ καὶ τῇ δυνάμει πρότερος, τοῖς δὲ χρόνοις ὕστερος, καὶ τὴν πλείστην πραγμα
τείαν περὶ τῆς πρώτης φιλοσοφίας ποιησάμενος, ἐπέδωκεν ἑαυτὸν καὶ τοῖς φαινομένοις, ἁψά-
μενος τῆς περὶ φύσεως ἱστορίας. ἐν ᾗ δύο τὰς ἀρχὰς βούλεται ποιεῖν, τὸ μὲν, ὑποκείμενον ὡς ὕλην.
ὃ προσαγορεύει πανδεχές. τὸ δὲ, ὡς αἴτιον καὶ κινοῦν. ὃ περιάπτει τῇ τοῦ θείου καὶ τῇ τοῦ ἀγαθοῦ δυ
νάμει. ὁ μέντοι ἀλέξανδρος ὡς τρεῖς λέγοντος τὰς ἀρχὰς ἀπομνημονεύει, τὴν ὕλην, καὶ τὸ ποιοῦν,
καὶ τὸ παράδειγμα. καίτοι σαφῶς τὸ τελικὸν αἴτιον τοῦ πλάτωνος προσθέντος. ἐν οἷς φησι, λέγω
» μεν δὲ δι᾽ ἣν αἰτίαν γένεσιν καὶ τὸ πᾶν τόδε ὁ ξυνιστὰς συνέστησε. ἀγαθὸς γὰρ ἦν. ἀγαθῷ δὲ οὐδενὶ περὶ οὐ
» δενὸς οὐδέποτε ἐγγίνεται φθόνος. καὶ τὸ εἶδος δὲ τὸ ἔνυλον σαφῶς οἶμαι παραδίδωσιν, ἐν οἷς καὶ τὸ
ἄϋλον εἶδος, ταῦτα περὶ ἀμφοῖν γράφων. τούτων δὲ οὕτως ἐχόντων, ὁμολογητέον ἓν μὲν εἶναι τὸ
» κατὰ ταὐτὰ εἶδος ἔχον, ἀγέννητον καὶ ἀνώλεθρον, οὔτε αὐτὸ εἰς ἑαυτὸ εἰσδεχόμενον ἄλλο ἄλλοθεν, οὔτε αὐτὸ
» εἰς ἄλλο ἰόν. ἀόρατον δὲ καὶ ἄλλως ἀναίσθητον τοῦτο. ὃ δὴ νόησις εἴληχεν ἐπισκοπεῖν. τὸ δὲ ὁμώνυμον,
» ὅμοιόν τε ἐκείνῳ, δεύτερον, αἰσθητὸν, γεννητὸν, πεφορημένον, ἀεὶ γινόμενόν τε ἔν τινι τόπῳ, καὶ πά
λιν ἐκεῖθεν ἀπολλύμενον, δόξῃ μετ᾽ αἰσθήσεως περιληπτόν. καὶ τρίτην ἐπὶ τούτοις τὴν ὕλην παρα
δίδωσι. τινὲς μέντοι καὶ μέχρι δεκάδος προσῆγον τὰς ἀρχὰς, εἰ καὶ μὴ τὰς στοιχειώδεις. ὥσπερ
οἱ πυθαγόρειοι, τοὺς ἀπὸ μονάδος ἄχρι δεκάδος ἀριθμοὺς ἀρχὰς ἔλεγον τῶν ἁπάντων, ἢ τὰς δέκα
συστοιχίας, ἃς ἄλλοι ἄλλως ἀνέγραψαν. καὶ οὕτω μὲν καὶ οἱ πλείους καὶ πεπερασμένας τῷ πλή
θει τὰς ἀρχὰς λέγοντες διηρέθησαν. τῶν δὲ ἀπείρους τῷ πλήθει λεγόντων. οἱ μὲν, ἁπλᾶς ἔλεγον καὶ
μὴ ὁμογενεῖς καὶ ἐναντίας, κατὰ τὸ ἐπικρατοῦν δὲ χαρακτηριζομένας. ἀναξαγόρας μὲν γὰρ ἡ-
γησιβούλου κλαζομένιος κοινωνήσας τῆς ἀναξιμένους φιλοσοφίας, πρῶτος μετέστησε τὰς περὶ τῶν
ἀρχῶν δόξας. καὶ τὴν ἐλλείπουσαν αἰτίαν ἀνεπλήρωσε, τὰς μὲν σωματικὰς ἀπείρους ποιήσας.
πάντα γὰρ τὰ ὁμοιομερῆ, οἷον ὕδωρ ἢ πῦρ, ἢ χρυσὸν, ἀγέννητα μὲν εἶναι καὶ ἄφθαρτα. φαίνεσθαι
δὲ γινόμενα καὶ ἀπολλύμενα συγκρίσει καὶ διακρίσει μόνον, πάντων μὲν ἐν πᾶσιν ὄντων, ἑκάστου δὲ κατὰ τὸ
ἐπικρατοῦν ἐν αὐτῷ χαρακτηριζομένου. χρυσὸς γὰρ φαίνεται ἐκεῖνο, ἐν ᾧ πολὺ τὸ χρυσίον, καίτοι
πάντων ἐνόντων. λέγει γοῦν ἀναξαγόρας, ὅτι ἐν παντὶ παντὸς μοῖρα ἔνεστι. καὶ ὅτῳ πλεῖστα ἔνι, ταῦτα ἐν
δηλότατα ἓν ἕκαστόν ἐστι καὶ ἦν. καὶ ταῦτά φησιν ὁ θεόφραστος παραπλησίως τῷ ἀναξιμάνδρῳ λέγειν
τὸν ἀναξαγόραν. ἐκεῖνος γὰρ φησὶν ἐν τῇ διακρίσει τοῦ ἀπείρου τὰ συγγενῆ φέρεσθαι πρὸς ἄλληλα.
καὶ ὅτι μὲν ἐν τῷ παντὶ χρυσὸς ἦν, γίνεσθαι χρυσόν. ὅτι δὲ γῆ, γῆν. ὁμοίως δὲ καὶ τῶν ἄλλων ἕκα
στον, ὡς οὐ γινομένων ἀλλ᾽ ὑπαρχόντων πρότερον. τῆς δὲ κινήσεως καὶ τῆς γενέσεως αἴτιον ἐπέστη
σε τὸν νοῦν ὁ ἀναξαγόρας. ὑφ᾽ οὗ διακρινόμενα, τούς τε κόσμους καὶ τὴν τῶν ἄλλων φύσιν ἐγέννη-
σαν. καὶ οὕτω μέν φησι λαμβανόντων δόξειεν ἂν ὁ ἀναξαγόρας τὰς μὲν ὑλικὰς ἀρχὰς ἀπείρους
ποιεῖν, τὴν δὲ τῆς κινήσεως καὶ τῆς γενέσεως αἰτίαν μίαν τὸν νοῦν. εἰ δέ τις τὴν μίξιν τῶν ἁπάν-
των ὑπολάβοι μίαν εἶναι φύσιν, ἀόριστον καὶ κατ᾽ εἶδος καὶ κατὰ μέγεθος, συμβαίνει δύο
τὰς ἀρχὰς αὐτὸν λέγειν, τήν τοῦ ἀπείρου φύσιν καὶ τὸν νοῦν. ὥστε φαίνεται τὰ σωματικὰ
στοιχεῖα παραπλησίως ποιῶν ἀναξιμάνδρῳ. καὶ ἀρχέλαος ὁ ἀθηναῖος, ᾧ καὶ σωκράτη συγγεγονέναι φα

σὶν, ἀναξαγόρου γενόμενος μαθητὴς, ἐν μὲν τῇ γενέσει τοῦ κόσμου καὶ τοῖς ἄλλοις πειρᾶταί τι φέρειν
ἴδιον. τὰς ἀρχὰς δὲ τὰς αὐτὰς δίδωσιν ἅσπερ ἀναξαγόρας. οὗτοι μὲν οὖν ἀπείρους τῷ πλήθει καὶ
ἀνομογενεῖς τὰς ἀρχὰς λέγουσι, τὰς ὁμοιομερείας τιθέντες ἀρχάς. δι' ἣν δὲ αἰτίαν οὕτως ἔδοξαν, ὁ
ἀριστοτέλης μετ' ὀλίγον ἐρεῖ. ἀπογνόντες γὰρ τοῦ εἶναι γένεσιν, διότι τὸ γινόμενον ἢ ἐξ ὄντος ἢ ἐκ μὴ
ὄντος ἀνάγκη γίνεσθαι, ἑκάτερον δὲ ἀδύνατον, συγκρίσει καὶ διακρίσει τὴν δοκοῦσαν γένεσιν καὶ
φθορὰν ἀποδεδώκασι. λεύκιππος δὲ ὁ ἐλεάτης ἢ μιλήσιος, ἀμφοτέρως γὰρ λέγεται περὶ αὐτοῦ, κοι-
νωνήσας παρμενίδῃ τῆς φιλοσοφίας, οὐ τὴν αὐτὴν ἐβάδισε παρμενίδῃ καὶ ξενοφάνει περὶ τῶν
ὄντων ὁδὸν, ἀλλ' ὡς δοκεῖ τὴν ἐναντίαν. ἐκείνων γὰρ ἓν καὶ ἀκίνητον καὶ ἀγένητον καὶ πεπερασμέ-
νον ποιούντων τὸ πᾶν, καὶ τὸ μὴ ὂν μηδὲ ζητεῖν συγχωρούντων, οὗτος ἄπειρα καὶ ἀεὶ κινούμενα ὑπέθε-
το τὰ στοιχεῖα, τὰς ἀτόμους, καὶ τῶν ἐν αὐτοῖς σχημάτων ἄπειρον τὸ πλῆθος, διὰ τὸ μηδὲν μᾶλλον
τοιοῦτον ἢ τοιοῦτον εἶναι, ταύτην καὶ γένεσιν καὶ μεταβολὴν ἀδιάλειπτον ἐν τοῖς οὖσι θεωρῶν. ἔτι
δὲ οὐ μᾶλλον τὸ ὂν ἢ τὸ μὴ ὂν ὑπάρχειν, καὶ αἴτια ὁμοίως εἶναι τοῖς γινομένοις ἄμφω. τὴν γὰρ τῶν ἀ-
τόμων οὐσίαν ναστὴν καὶ πλήρη ὑποτιθέμενος, ὂν ἔλεγεν εἶναι, καὶ ἐν τῷ κενῷ φέρεσθαι, ὅπερ μὴ
ὂν ἐκάλει, καὶ οὐκ ἔλαττον τοῦ ὄντος εἶναί φησι. Παραπλησίως δὲ καὶ ὁ ἑταῖρος αὐτοῦ δημόκρι-
τος ὁ ἀβδηρίτης, ἀρχὰς ἔθετο τὸ πλῆρες καὶ τὸ κενόν. ὧν τὸ μὲν ὂν, τὸ δὲ μὴ ὂν ἐκάλει. ὡς γὰρ ὕλην
τοῖς οὖσι τὰς ἀτόμους ὑποτιθέντες, τὰ λοιπὰ γεννῶσι ταῖς διαφοραῖς αὐτῶν. τρεῖς δὲ εἰσιν αὗται.
ῥυσμός. τροπή. διαθιγή. ταυτὸν δὲ εἰπεῖν, σχῆμα, καὶ τάξις, καὶ θέσις. πεφυκέναι γὰρ τὸ ὅμοιον ὑπὸ
τοῦ ὁμοίου κινεῖσθαι, καὶ φέρεσθαι τὰ συγγενῆ πρὸς ἄλληλα. καὶ τῶν σχημάτων ἕκαστον εἰς ἑτέραν
ἐγκοσμούμενον σύγκρισιν, ἄλλην ποιεῖν διάθεσιν. ὥστε εὐλόγως ἀπείρων οὐσῶν τῶν ἀρχῶν, πάντα
τὰ πάθη καὶ τὰς οὐσίας ἀποδώσειν ἐπηγγέλλοντο, ὑφ' οὗ τε γίνεται, καὶ πῶς. διὸ καί φασι μόνοις
τοῖς ἄπειρα ποιοῦσι τὰ στοιχεῖα πάντα συμβαίνειν κατὰ λόγον. καὶ τῶν ἐν ταῖς ἀτόμοις σχημάτων
ἄπειρον τὸ πλῆθός φασι, διὰ τὸ μηδὲν μᾶλλον τοιοῦτον ἢ τοιοῦτον εἶναι. ταύτην γὰρ αὐτοὶ τῆς ἀπει-
ρίας τὴν αἰτίαν ἀποδιδόασι. Καὶ μητρόδωρος δὲ ὁ χῖος ἀρχὰς σχεδὸν τὰς αὐτὰς τοῖς περὶ δημόκρι-
τον ποιεῖ, τὸ πλῆρες καὶ τὸ κενὸν τὰς πρώτας αἰτίας ὑποθέμενος. ὧν τὸ μὲν, ὂν, τὸ δὲ μὴ ὂν εἶναι.
περὶ δὲ τῶν ἄλλων ἰδίαν τινὰ ποιεῖται τὴν μέθοδον. αὕτη μὲν ἡ σύντομος περίληψις τῶν ἱστορουμέ-
νων περὶ ἀρχῶν, οὐ κατὰ χρόνους ἀναγραφεῖσα, ἀλλὰ κατὰ τὴν τῆς δόξης συγγένειαν. οὐ χρὴ δὲ τοὺς
τοσαύτης ἀκούοντας διαφορᾶς, νομίζειν ἐναντιολογίας εἶναι ταύτας τῶν φιλοσοφησάντων. ὅπερ
τινὲς ταῖς ἱστορικαῖς μόναις ἀναγραφαῖς ἐντυγχάνοντες, καὶ μηδὲν τῶν λεγομένων συνιέντες, ὀνει-
δίζειν ἐπιχειροῦσι, καίτοι μυρίοις σχίσμασιν αὐτοὶ κατεσχισμένοι, οὐ περὶ τὰς φυσικὰς ἀρχὰς, τού-
των γὰρ οὐδὲ ὄναρ ἐπαΐουσιν, ἀλλὰ περὶ τὴν καθαίρεσιν τῆς θείας ὑπεροχῆς. οὐδὲν δὲ ἴσως χεῖρον
ὀλίγον παρεκβάντα, τοῖς φιλομαθεστέροις ἐπιδεῖξαι, πῶς καίτοι διαφέρειν δοκοῦντες οἱ πα-
λαιοὶ περὶ τὰς τῶν ἀρχῶν δόξας, ἐναρμονίως ὅμως συμφέρονται. καὶ γὰρ οἱ μὲν, περὶ τῆς νοητῆς
καὶ πρώτης ἀρχῆς διελέχθησαν. ὡς ξενοφάνης τε καὶ παρμενίδης καὶ μέλισσος, ὁ μὲν ξενοφάνης
καὶ παρμενίδης ἓν λέγοντες καὶ πεπερασμένον. ἀνάγκη γὰρ τὸ ἓν τοῦ πλήθους προϋπάρχειν. καὶ
τὸ πᾶσιν ὅρου καὶ πέρατος αἴτιον, κατὰ τὸ πέρας μᾶλλον ἤπερ κατὰ τὴν ἀπειρίαν ἀφορίζεσθαι.
καὶ τὸ πάντῃ τέλειον τὸ τέλος τὸ οἰκεῖον ἀπειληφὸς πεπερασμένον εἶναι. μᾶλλον δὲ τέλος τῶν πάντων
ὡς καὶ ἀρχή. τὸ γὰρ ἀτελὲς ἐνδεὲς ὂν, οὔπω πέρας ἀπείληφε. πλὴν ὁ μὲν ξενοφάνης ὡς πάντων αἴτιον
καὶ πάντων ὑπερανέχον, καὶ κινήσεως αὐτὸ καὶ ἠρεμίας καὶ πάσης ἀντιστοιχίας ἐπέκεινα τίθησιν. ὥσπερ καὶ
ὁ πλάτων ἐν τῇ πρώτῃ ὑποθέσει τοῦ παρμενίδου. ὁ δὲ παρμενίδης τὸ κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως
ἔχον αὐτοῦ, καὶ πάσης μεταβολῆς, τάχα δὲ καὶ ἐνεργείας καὶ δυνάμεως ἐπέκεινα θεασάμενος,
» ἀκίνητον αὐτὸ ἀνυμνεῖ, καὶ μοῦνον ὡς πάντων ἐξῃρημένον. οἷον ἀκίνητον τελέθει, τῷ πᾶν ὄνομ' εἶναι.
μέλισσος δὲ τὸ μὲν ἀμετάβλητον ὁμοίως καὶ αὐτὸς ἐθεάσατο. κατὰ δὲ τὸ ἀνέκλειπτον τῆς οὐσίας καὶ
τὸ ἄπειρον τῆς δυνάμεως, ἄπειρον αὐτὸ ἀπεφήνατο ὥσπερ καὶ ἀγένητον. δηλοῖ δὲ ἡ περὶ τῆς ἀπει-
» ρίας ἀπόδειξιν κατὰ ταύτην γενομένη τὴν ἔννοιαν. φησὶ γὰρ, ὅτε τοίνυν οὐκ ἐγένετο, ἔστι τε καὶ
» ἀεὶ ἦν, καὶ ἔσται. καὶ ἀρχὴν οὐκ ἔχει οὐδὲ τελευτὴν, ἀλλ' ἄπειρόν ἐστιν. εἰ μὲν γὰρ ἐγένετο, ἀρχὴν ἂν
εἶχεν. ἤρξατο γὰρ ἄν ποτε γινόμενον. καὶ τελευτήν. ἐτελεύτησε γὰρ ἄν. ὅτε δὲ μήτε ἤρξατο μήτε
ἐτελεύτησεν, ἀεί τε ἦν, οὐκ ἔχει ἀρχὴν οὐδὲ τελευτὴν, ἀλλ' ἄπειρον. οὕτω μὲν οὖν εἰς τὸ κατὰ χρό-
νον ἄναρχον καὶ ἀτελεύτητον καὶ ἀείδιον ὁ μέλισσος ἀπιδὼν, ἄπειρον ἀπεφήνατο. καὶ ὁ παρμενίδης
τὸ τοιοῦτον αὐτῷ μαρτυρεῖ, λέγων δι' αὐτῶν σχεδὸν τῶν ῥημάτων, ὡς ἀγένητον ἐὸν, καὶ ἀνώλεθρόν
» ἐστιν. οὖλον μουνογενές. καὶ ἀτρεμὲς ἠδ' ἀτέλεστον. οὐδέ ποτ' ἦν οὐδ' ἔσται. ἐπεὶ νῦν ἔστιν ὁμοῦ πᾶν. οὕτω
μὲν οὖν καὶ οὗτος ὡς ἀνέκλειπτον καὶ ὡς ἀγένητον καὶ ἄπειρον εἶναί φησι. τὴν δὲ τοῦ πέρατος ἔννοι-
» αν δι' ἐκείνων ἐδήλωσε τῶν ἐπῶν. ταὐτόν τε ὂν, ἐν ταὐτῷ τε μένον, καθ' ἑαυτό τε κεῖται. οὕτως ἔμπε-
» δον αὖθι μένει. κρατερὴ γὰρ ἀνάγκη πείρατος ἐν δεσμοῖσιν ἔχει τέ μιν, ἀμφὶς ἐέργει. οὕνεκεν οὐκ ἀτε-
» λεύτητον τὸ ἐὸν θέμις εἶναι. ἔστι γὰρ οὐκ ἐπιδευές. μὴ ἐὸν γὰρ ἂν παντὸς ἐδεῖτο. εἰ γὰρ ὂν ἐστι καὶ οὐχί

μὴ ὄν, ἀνενδεές ἐστιν· ἀνενδεὲς δὲ ὄν, τέλειόν ἐστι· τέλειον δὲ ὄν, ἔχει τέλος καὶ οὐκ ἔστιν ἀτελεύτητον·
τέλος δὲ ἔχον, πέρας ἔχει καὶ ὅρον. οὕτω μὲν οὖν κατὰ τὰς ἐννοίας τῶν ἀνδρῶν τούτων οὐ γέγο-
νεν ἐναντίωσις, ἐν οἷς περὶ τοῦ αὐτοῦ λέγουσι. μετελθὼν δὲ ἀπὸ τῶν νοητῶν ἐπὶ τὰ αἰσθητὰ ὁ Παρμενί-
» δης, ἤτοι ἀπὸ ἀληθείας ὡς αὐτός φησιν ἐπὶ δόξαν, ἐν οἷς λέγει, ἐν τῷ σοι παύω πιστὸν λόγον ἠδὲ νό-
» ημα ἀμφὶ ἀληθείης, δόξας δ' ἀπὸ τοῦδε βροτείους μάνθανε, κόσμον ἐμῶν ἐπέων ἀπατηλὸν ἀκούων,
τῶν μὲν γεννητῶν ἀρχὰς καὶ αὐτὸς στοιχειώδεις μὲν τὴν πρώτην ἀντίθεσιν ἔθετο. ἣν φῶς καλεῖ καὶ
σκότος, πῦρ καὶ γῆν, ἢ πυκνὸν καὶ ἀραιὸν, ἢ ταυτὸν καὶ ἕτερον, λέγων ἐφεξῆς τοῖς προτέροις πα-
» ρακειμένοις ἔπεσι. μορφὰς γὰρ κατέθεντο δύο γνώμαις ὀνομάζειν. τῶν, μίαν οὐ χρεών ἐστιν, ἐν ᾧ πε-
» πλανημένοι εἰσίν. ἀντία δ' ἐκρίναντο δέμας, καὶ σήματ' ἔθεντο χωρὶς ἀπ' ἀλλήλων. τῇ μὲν φλογὸς
» αἰθέριον πῦρ, ἤπιον ὄν, μέγ' ἀραιὸν, ἐλαφρὸν, ἑαυτῷ πάντοσε ταὐτόν· τῷ δ' ἑτέρῳ μὴ ταὐτόν· ἀ-
» τὰρ κἀκεῖνο κατ' αὐτὸ τἀναντία, νυκτάδα, ἠδὲ πυκινὸν δέμας, ἐμβριθές τε. καὶ δὴ καταλογά-
δην μεταξὺ τῶν ἐπῶν ἐμφέρεταί τι ῥησείδιον ὡς αὐτοῦ Παρμενίδου ἔχον οὕτως. Ἐπὶ τῷδε ἐστὶ
» τὸ ἀραιὸν, καὶ τὸ θερμὸν, καὶ τὸ φάος, καὶ τὸ μαλθακὸν, καὶ τὸ κοῦφον. ἐπὶ δὲ τῷ πυκνῷ ὠνόμα-
» σται τὸ ψυχρὸν, καὶ τὸ ζόφος, καὶ τὸ σκληρὸν, καὶ τὸ βαρύ. ταῦτα γὰρ ἀπεκρίθη ἑκατέρως ἑκά-
τερα. οὕτω σαφῶς ἀντιθέτως δύο στοιχεῖα ἔλαβε. διὸ πρότερον ἓν τὸ ὂν διέγνω. καὶ πεπλανῆσθαι
δέ φησι τοὺς τὴν ἀντίθεσιν τῶν τὴν γένεσιν συνιστώντων στοιχείων μὴ συνορῶντας, ἢ μὴ σαφῶς ἀπο-
καλύπτοντας. ᾧπερ καὶ Ἀριστοτέλης ἀκολουθῶν, ἔθετο τὰ ἐναντία ἀρχάς. καὶ ποιητικὸν δὲ αἴτιον,
οὐ σωμάτων μόνον τῶν ἐν τῇ γενέσει, ἀλλὰ καὶ ἀσωμάτων τῶν τὴν γένεσιν συμπληρούντων σαφῶς
» παραδέδωκεν ὁ Παρμενίδης λέγων, αἱ δ' ἐπὶ ταῖς νυκτός· μετὰ δὲ, φλογὸς ἵεται αἶσα. ἐν δὲ μέσῳ
» τούτων δαίμων ἣ πάντα κυβερνᾷ. πάντα γὰρ στυγεροῖο τόκου καὶ μίξιος ἀρχὴ, πέμπουσ' ἄρσενι
» θῆλυ μιγέν. τότ' ἐναντίον αὖθις ἄρσεν θηλυτέρῳ. Ἀλλὰ δὴ καὶ Ἐμπεδοκλῆς περί τε τοῦ νοητοῦ κό-
σμου καὶ τοῦ αἰσθητοῦ διδάσκων, καὶ ἐκεῖνον τούτου παράδειγμα ἀρχέτυπον τιθέμενος, ἐν ἑκα-
τέρῳ μὲν ἀρχὰς καὶ στοιχεῖα τὰ τέσσαρα ταῦτα τέθεικε, πῦρ, ἀέρα, ὕδωρ, καὶ γῆν, καὶ ποιητικὰ
αἴτια τὴν φιλίαν καὶ τὸ νεῖκος. πλὴν ὅτι τὰ μὲν ἐν τῷ νοητῷ τῇ νοητῇ ἑνώσει κρατούμενα, διὰ φι-
λίας μᾶλλον συνάγεσθαί φησι. τὰ δὲ ἐν τῷ αἰσθητῷ ὑπὸ τοῦ νείκους μᾶλλον διακρίνεσθαι. ᾧ καὶ ὁ
Πλάτων κατακολουθῶν, ἢ πρὸ τοῦ Πλάτωνος ὁ Τίμαιος ἐν τῷ πρώτῳ παραδείγματι τῷ νοητῷ,
τὰς τέσσαρας ἰδέας προϋπάρχειν φησὶ, τὰς ἀπὸ τῶν τεσσάρων στοιχείων χαρακτηριζομένας,
καὶ τὸν τετραμερῆ τοῦτον κόσμον τὸν αἰσθητικὸν ἐν ἐσχάτοις παραγούσας, τοῦ νείκους ἐνταῦθα κρα-
τοῦντος, διὰ τὴν ἀπὸ τῆς νοητῆς ἑνώσεως ἀπόβασιν διάκρισιν. καὶ γέγονεν ὁ λόγος αὐτῷ περὶ ἀμ-
φοτέρων τῶν κόσμων κοινός. πλὴν καὶ οὗτος ὡς ἐν ὕλης λόγῳ τὰ τέσσαρα θεὶς στοιχεῖα, τὴν πρὸς
αὐτὰ ἐναντίωσιν τῆς φιλίας καὶ τοῦ νείκους ἐθεάσατο. ὅτι γὰρ οὐχ ὡς οἱ πολλοὶ νομίζουσι, φιλία
μὲν μόνη κατ' Ἐμπεδοκλέα τὸν νοητὸν ἐποίησε κόσμον, νεῖκος δὲ μόνον τὸν αἰσθητὸν, ἀλλ' ἄμφω παν-
ταχοῦ οἰκείως θεωρεῖ, ἄκουσον αὐτοῦ τῶν ἐν τοῖς φυσικοῖς λεγομένων. ἐν οἷς καὶ τῆς ἐνταῦθα δημι-
ουργικῆς συγκράσεως, τὴν Ἀφροδίτην ἤτοι τὴν φιλίαν αἰτίαν φησί. καλεῖ δὲ τὸ μὲν πῦρ καὶ ἥφαι-
στον καὶ ἥλιον καὶ φλόγα. τὸ δὲ ὕδωρ, ὄμβρον. τὸν δὲ ἀέρα, αἰθέρα. λέγει δὲ πολλαχοῦ μὲν ταῦτα.
» καὶ ἐν τούτοις δὲ τοῖς ἔπεσιν. Ἡ δὲ χθὼν τούτοισιν ἴση συνέκυρσε μάλιστα, ἡφαίστῳ τ' ὄμβρῳ τε καὶ
» αἰθέρι παμφανόωντι, κύπριδος ὁρμισθεῖσα τελείοις ἐν λιμένεσσιν, εἴτ' ὀλίγον μεῖζον, εἴτε πλέον ἐστὶν
» ἔλασσον. ἐκ τῶν, αἷμά τ' ἐγένοντο καὶ ἄλλης εἴδεα σαρκός. καὶ πρὸ τούτων δὲ τῶν ἐπῶν, ἐν ἄλλοις τὴν
» ἀμφοῖν ἐν τοῖς αὐτοῖς ἐνέργειαν παραδίδωσι, λέγων, ἐπεὶ νεῖκος μὲν ἐνέρτατον ἵκετο βένθος δί-
» νης, ἐν δὲ μέσῃ φιλότης στροφάλιγγι γένηται, ἐν τῇ δὴ τάδε πάντα συνέρχεται ἓν μόνον εἶναι, οὐκ
» ἄφαρ. ἀλλὰ θελήμνα συνιστάμεν' ἄλλοθεν ἄλλο. τῶν δέ τε μισγομένων, χεῖτ' ἔθνεα μυρία θνητῶν. πολ-
» λὰ δ' ἄμικτ' ἕστηκε κεραιομένοισιν ἐναλλάξ. ὅσσ' ἔτι νεῖκος ἔρυκε μετάρσιον. οὐ γὰρ ἀμεμφέως πω
» πᾶν ἐξέστηκεν ἐπ' ἔσχατα τέρματα κύκλου. ἀλλὰ τὰ μέν τ' ἐνέμιμνε μελέων, τὰ δέ τ' ἐξεβεβήκει.
» ὅσσον δ' αἰὲν ὑπεκπροθέει, τόσον αἰὲν ἐπῄει ἠπίφρων φιλότης ἀμεμφέως ἄμβροτος ὁρμή. αἶψα δὲ
» θνήτ' ἐφύοντο τὰ, πρὶν μάθον ἀθάνατ' εἶναι. ζωρά δὲ τὰ πρὶν ἄκρητα διαλλάξαντα κελεύθους. τῶν
» δέ τε μισγομένων, χεῖτ' ἔθνεα μυρία θνητῶν, παντοίαις ἰδέῃσιν ἀρηρότα θαῦμα ἰδέσθαι. ἐν δὴ τού-
τοις σαφῶς καὶ τὰ θνητὰ ἐκ τῆς φιλίας ἡρμόσθαι φασί. καὶ ἐν οἷς ἡ φιλία ἐπικρατεῖ, οὔπω πᾶν
ἐξεστηκέναι τὸ νεῖκος. καὶ ἐν ἐκείνοις δὲ τοῖς ἔπεσιν, ἐν οἷς καὶ τὰ γνωρίσματα ἑκάστου τῶν τεσσά-
ρων στοιχείων καὶ τοῦ νείκους καὶ τῆς φιλίας παραδίδωσι σαφῶς, τὴν ἀμφοῖν ἐν πᾶσι μίξιν τοῦ
» τε νείκους καὶ τῆς φιλίας ἐξέφηνεν. ἔχει δὲ οὕτως. ἠέλιον μὲν θερμὸν ὁρᾶν καὶ θερμὸν ἁπάν-
» τῃ. ἄμβροτα δ' ὅσσ' ἔδεται, καὶ ἀργέτι δεύεται αὐγῇ. ὄμβρον δ' ἐν πᾶσι δνοφέοντά τε ῥι-
» γαλέον τε. ἐκ δ' αἴης προρέουσι θελίμνατα καὶ στερέωμα. ἐν δὲ κότῳ διάμορφα καὶ ἄνδιχα πάν-
» τα πέλονται. σὺν δ' ἔβη ἐν φιλότητι καὶ ἀλλήλοισι ποθεῖται. ἐκ τῶν γὰρ πάνθ' ὅσσ' ἦν, ὅσσα
» τέ ἐστι καὶ ἔσται, δένδρεά τε βεβλάστηκε, καὶ ἄνδρες ἠδὲ γυναῖκες, θῆρές τ' οἰωνοί τε καὶ ὑδατο-

» θρέμμονες ἰχθῦς. καί τε θεοὶ δολιχαίωνες τιμῇσι φέριστοι. καὶ ὀλίγον δὲ προελθὼν αὖθίς φησιν· ἐν
» δὲ μέρει κρατέουσι περιπλομένοιο κύκλοιο. καὶ φθίνει εἰς ἄλληλα, καὶ αὔξεται ἐν μέρει αἴσης.
» αὐτὰ γάρ ἐστι γε ταῦτα. δι' ἀλλήλων δὲ θέοντα, γίνονται ἄνθρωποί τε καὶ ἄλλων ἔθνεα θηρῶν, ἄλ
» λοτε μὲν φιλότητι συνερχόμενα εἰς ἕνα κόσμον. ἄλλοτε δ' αὖ δίχ' ἕκαστα φορούμενα νείκεος ἔχθει.
» εἰσόκεν ἂν συμφύντα τὸ πᾶν ὑπένερθε γένηται. οὕτως ᾗ μὲν ἓν ἐκ πλεόνων μεμάθηκε φύεσθαι. ἠδὲ
» πάλιν διαφύντος ἑνὸς, πλέον' ἐκτελέθουσι. τῇ μὲν, γίνονταί τε καὶ οὔ σφισιν ἔμπεδος αἰών. ᾗ δὲ
» τάδ' ἀλλάσσοντα διαμπερὲς οὐδαμὰ λήγει, ταύτῃ δ' αἰὲν ἔασιν ἀκίνητα κατὰ κύκλον. ὥστε καὶ
τὸ ἓν ἐκ πλειόνων, ὅπερ ἐπὶ τὴν φιλίαν συμβαίνει, καὶ τὰ πλείονα ἐξ ἑνὸς, ὅπερ τοῦ νείκους ἐπικρα
τοῦντος γίνεται, καὶ ἐν τούτῳ θεωρεῖ, καὶ τῷ ὑπὸ σελήνην κόσμῳ. ἐν ᾧ τὰ θνητὰ κατὰ περιόδους
δηλονότι ἄλλοτε ἄλλας, ποτὲ μὲν τοῦ νείκους, ποτὲ δὲ τῆς φιλίας ἐπικρατούσης. μήποτε δὲ προπο-
δισμόν τινα τῆς τῶν ὄντων ἑνώσεως καὶ διακρίσεως παραδίδωσι, πλείονας διαφορὰς τοῦ νοητοῦ
κόσμου ὑπὲρ τόδε τὸ αἰσθητὸν, κατὰ τὴν μᾶλλον καὶ ἧττον τῆς φιλίας ἐπικράτειαν, αἰνιττόμενος.
καὶ ἐν τῷ αἰσθητῷ δὲ τὰς διαφορὰς τῆς τοῦ νείκους ἐπικρατείας παραδείκνυσιν ὅροις τισὶ διειλημ
μένας, ὡς ἐν ἄλλοις ἐπειράθην ὑποδεῖξαι. πλὴν ὅτι καὶ οὗτος οὐδὲν ἐναντίον παρμενίδῃ καὶ μελίσ-
σῳ φθέγγεται. ἀλλά γε τήν τε στοιχειώδη ἀντίθεσιν ὡς καὶ παρμενίδης ἐθεάσατο. καὶ ποιητικὸν αἴτι
ον ἐκεῖνος μὲν ἓν κοινὸν, τὴν ἐν μέσῳ πάντων ἱδρυμένην καὶ πάσης γενέσεως αἰτίαν δαίμονα τίθησιν.
οὗτος δὲ καὶ ἐν τοῖς ποιητικοῖς αἰτίοις τὴν ἀντίθεσιν ἐθεάσατο. ἀναξαγόρας δὲ ὁ κλαζομένιος ἔοικε
τῶν εἰδῶν πάντων τριττὴν θεάσασθαι τὴν διαφοράν. τὴν μὲν, κατὰ τὴν νοητὴν ἕνωσιν συνῃρημένην.
» ὅταν λέγῃ, ὁμοῦ πάντα χρήματ' ἦν ἄπειρα καὶ πλῆθος καὶ σμικρότητα. καὶ πάλιν φησὶ, πρὶν δὲ
» ἀποκριθῆναι ταῦτα, πάντων ὁμοῦ ἐόντων, οὐδὲ χροιὴ ἔνδηλος ἦν οὐδεμία. ἀπεκώλυε γὰρ ἡ σύμμι-
» ξις ἁπάντων χρημάτων, τοῦ διεροῦ καὶ τοῦ ξηροῦ, καὶ τοῦ θερμοῦ καὶ τοῦ ψυχροῦ, καὶ τοῦ λαμπροῦ
» καὶ τοῦ ζοφεροῦ, πολλῆς ἐνεούσης, καὶ σπερμάτων ἀπείρων πλήθους οὐδὲν ἐοικότων ἀλλήλοις. τού-
» των δὲ οὕτως ἐχόντων, ἐν τῷ σύμπαντι χρὴ δοκεῖν ἐνεῖναι πάντα χρήματα. καὶ εἴη ἂν τὸ σύμπαν
τοῦτο τὸ τοῦ παρμενίδου ἓν ὄν. τὴν δέ τινα ἐθεάσατο κατὰ τὴν νοερὰν διάκρισιν διακεκριμένην,
πρὸς ἣν ἡ ἐνταῦθα ἀφομοίωται. λέγει γὰρ μετ' ὀλίγα τῆς ἀρχῆς τοῦ πρώτου περὶ φύσεως ἀναξα-
» γόρας οὕτως. Τούτων δὲ οὕτως ἐχόντων, χρὴ δοκεῖν ἐνεῖναι πολλά τε καὶ παντοῖα, ἐν πᾶσι τοῖς
» συγκρινομένοις. καὶ σπέρματα πάντων χρημάτων. καὶ ἰδέας παντοίας ἔχοντα καὶ χροιὰς, καὶ
» ἡδονάς. καὶ ἀνθρώπους τε συμπαγῆναι, καὶ τἄλλα ζῶα ὅσα ψυχὴν ἔχει. καὶ τοῖς γε ἀνθρώποισιν εἶναι καὶ
» πόλεις συνῳκημένας, καὶ ἔργα κατεσκευασμένα ὥσπερ παρ' ἡμῖν. καὶ ἠέλιόν τε αὐτοῖσιν εἶναι καὶ
» σελήνην, καὶ τἄλλα ὥσπερ παρ' ἡμῖν. καὶ τὴν γῆν αὐτοῖσι φύειν πολλά τε καὶ παντοῖα. ὧν ἐκεῖνοι τὰ
» ὀνιστὰ συνενεγκάμενοι, εἰς τὴν οἴκησιν χρῶνται. Ταῦτα μὲν οὖν μοι λέλεκται περὶ τῆς ἀποκρίσε
ως, ὅτι οὐκ ἂν παρ' ἡμῖν μόνον ἀποκριθείη, ἀλλὰ καὶ ἄλλῃ. καὶ δόξει μὲν ἴσως τισὶν οὐ πρὸς νοερὰν
διάκρισιν τὴν ἐν τῇ γενέσει παραβάλλειν, ἀλλὰ πρὸς τόπους ἄλλους τῆς γῆς τὴν παρ' ἡμῖν συγκρί
νειν οἴκησιν. οὐκ ἂν δὲ εἶπε περὶ τόπων ἄλλων καὶ ἠέλιον αὐτοῖς ἐνεῖναι καὶ σελήνην καὶ τἄλλα ὥσπερ
παρ' ἡμῖν. καὶ σπέρματα δὲ πάντων χρημάτων καὶ ἰδέας ἐκάλεσεν ἐκεῖ. ἄκουσον δὲ οἷα καὶ μετ' ὀλίγα
» φησὶ, τὴν ἀμφοῖν ποιούμενος σύγκρισιν. οὕτω τούτων περιχωρούντων τε καὶ ἀποκρινομένων ὑπὸ
» βίης τε καὶ ταχυτῆτος. βίην δὲ ἡ ταχυτὴς ποιεῖ. ἡ δὲ ταχυτὴς αὐτῶν οὐδενὶ ἔοικε χρήματι τὴν ταχυ
» τῆτα, τῶν νῦν ἐόντων χρημάτων ἐν ἀνθρώποις, ἀλλὰ πάντως πολλαπλασίως ταχύ ἐστι. Καὶ εἴπερ ταύτην
ἔχω τὴν ἔννοιαν, ἄλλως μὲν πάντα ἐν πᾶσιν εἶναί φησι κατὰ τὴν νοητὴν ἕνωσιν. ἄλλως δὲ κατὰ τὴν
νοερὰν συνουσίωσιν. καὶ ἄλλως κατὰ τὴν αἰσθητὴν σύμπνοιαν, καὶ τὴν ἐκ τῶν αὐτῶν γένεσιν καὶ εἰς
τὰ αὐτὰ ἀνάλυσιν. Οἱ δὲ περὶ τὸν λεύκιππόν τε καὶ δημόκριτον καὶ τὸν πυθαγορικὸν τίμαιον, οὐκ ἐναν
τιοῦνται μὲν πρὸς τὸ τὰ τέσσαρα στοιχεῖα τῶν συνθέτων εἶναι σωμάτων ἀρχάς. καὶ οὗτοι δὲ, ὥσπερ
οἱ πυθαγόρειοι καὶ πλάτων καὶ ἀριστοτέλης, ὁρῶντες ἐς ἄλληλα μεταβάλλοντα, τὸ πῦρ. καὶ τὸν
ἀέρα, καὶ τὸ ὕδωρ. ἴσως δὲ καὶ τὴν γῆν, ἀρχοειδέστερά τινα τούτων καὶ ἁπλούστερα ἐζήτουν αἴτια.
δι' ὧν καὶ τὴν κατὰ τὰς ποιότητας τῶν στοιχείων τούτων διαφορὰν ἀπολογίσονται. καὶ οὕτως ὁ μὲν
τίμαιος, καὶ ὁ τούτῳ κατακολουθῶν πλάτων, τὰ ἐπίπεδα καὶ βάθος τι ἔχοντα καὶ σχημάτων δια-
φορὰς, στοιχεῖα πρῶτα τῶν τεσσάρων ἔθετο στοιχείων, τὴν σωματικὴν φύσιν μετὰ τῶν σωματικῶν
σχημάτων, ἀρχοειδεστέραν καὶ αἰτίαν τῆς τῶν ποιοτήτων διαφορᾶς νομίζων. οἱ δὲ περὶ λεύκιππον
καὶ δημόκριτον τὰ ἐλάχιστα πρῶτα σώματα ἄτομα καλοῦντες, κατὰ τὴν τῶν σχημάτων αὐ
τῶν καὶ τῆς θέσεως καὶ τῆς τάξεως διαφορὰν, τὰ μὲν θερμὰ γίνεσθαι καὶ πύρεια τῶν σωμάτων.
ὅσα ἐξ ὀξυτέρων καὶ λεπτομερεστέρων καὶ κατὰ ὁμοίαν θέσιν κειμένων σύγκειται τῶν πρώτων
σωμάτων. τὰ δὲ ψυχρὰ καὶ ὑδατώδη, ὅσα ἐκ τῶν ἐναντίων. καὶ τὰ μὲν λαμπρὰ καὶ φωτεινά. τὰ
δὲ, ἀμυδρὰ καὶ σκοτεινά. καὶ ὅσοι δὲ ἓν ἔθεντο τὸ στοιχεῖον, ὡς θαλῆς καὶ ἀναξίμανδρος καὶ ἡράκλει-
τος, καὶ τούτων ἕκαστος εἰς τὸ δραστήριον ἀπεῖδε, καὶ τὸ πρὸς γένεσιν ἐπιτήδειον ἐκείνου. θαλῆς μὲν,

εἰς τὸ γόνιμον, καὶ θρέψιμον, καὶ συνεκτικὸν, καὶ ζωτικὸν, καὶ εὐτύπωτον τοῦ ὕδατος. ἡράκλειτος δὲ εἰς τὸ ζωογόνον καὶ δημιουργικὸν τοῦ πυρός. ἀναξιμένης δὲ εἰς τὸ τοῦ ἀέρος εὔπλαστον, καὶ ἑκατέρωσε ῥᾳδίως μεταχωροῦν, ἐπί τε τὸ πῦρ, καὶ ἐπὶ τὸ ὕδωρ. ὥσπερ καὶ ἀναξίμανδρος, εἴπερ τὸ μεταξὺ διὰ τὸ εὐαλλοίωτον ὑποτίθεται. οὕτως οὖν οἱ μὲν, εἰς νοητὸν. οἱ δὲ, εἰς αἰσθητὸν διάκοσμον ἐφορῶντες, καὶ οἱ μὲν, τὰ προσεχῆ στοιχεῖα τῶν σωμάτων, οἱ δὲ, τὰ ἀρχοειδέστερα ζητοῦντες, καὶ οἱ μὲν, μερικώτερον, οἱ δὲ, ὁλικώτερον τῆς στοιχειώδους φύσεως καταδραττόμενοι, καὶ οἱ μὲν, τὰ στοιχεῖα μόνον, οἱ δὲ, πάντα τὰ αἴτια καὶ συναίτια ζητοῦντες, διάφορα μὲν λέγουσι φυσιολογοῦντες, οὐ μὴν ἐναντία τῷ κρίνειν δυναμένῳ. καὶ αὐτὸς δὲ ὁ ἀριστοτέλης ὁ τὰς διαφωνίας αὐτῶν ἐπιδεικνύναι δοκῶν, ὁρᾶ εἰ προελθὼν ὀλίγον, ὅτι διαφέρουσιν ἀλλήλων, τῷ τοὺς μὲν, πρότερα, τοὺς δὲ, ὕστερα λαμβάνειν. καὶ τοὺς μὲν, γνωριμώτερα κατὰ τὸν λόγον, τοὺς δὲ, κατὰ τὴν αἴσθησιν. ὥστε φησὶ ταὐτὰ λέγειν πως, καὶ ἕτερα ἀλλήλων. ἀλλὰ ταῦτα μὲν, διὰ τοὺς εὐκόλως διαφωνίαν ἐγκαλοῦντας τοῖς παλαιοῖς ἐπὶ πλεῖον ἠναγκάσθημεν μηκῦναι. ἐπειδὴ δὲ καὶ ἀριστοτέλους ἐλέγχοντος ἀκουσόμεθα τὰς τῶν προτέρων φιλοσόφων δόξας, καὶ πρὸ τοῦ ἀριστοτέλους ὁ πλάτων τοῦτο φαίνεται ποιῶν, καὶ πρὸ ἀμφοῖν ὅ τε παρμενίδης καὶ ὁ ξενοφάνης, ἰστέον ὅτι τῶν ἐπιπολαιότερον ἀκροωμένων οὗτοι κηδόμενοι, τὸ φαινόμενον ἄτοπον ἐν τοῖς λόγοις αὐτῶν διελέγχουσιν, αἰνιγματωδῶς εἰωθότων τῶν παλαιῶν τὰς ἑαυτῶν ἀποφαίνεσθαι γνώμας. δηλοῖ δὲ ὁ πλάτων θαυμάζων οὕτω τὸν παρμενίδην, ὃν διελέγχειν δοκεῖ, καὶ βαθέος κολυμβητοῦ δεῖσθαι λέγων τὴν διάνοιαν αὐτοῦ. καὶ ἀριστοτέλης δὲ τὸ βάθος αὐτοῦ τῆς σοφίας ὑπονοῶν φαίνεται, ὅταν λέγῃ, παρμενίδης δὲ ἔοικε τοῦτο βλέπειν. καὶ οὗτοι οὖν ποτὲ μὲν τὸ παραλελειμμένον ἀναπληροῦντες, ποτὲ δὲ τὸ ἀσαφῶς εἰρημένον σαφηνίζοντες, ποτὲ δὲ τὸ ἐπὶ τῶν νοητῶν εἰρημένον ὡς μὴ δυνάμενον τοῖς φυσικοῖς ἐφαρμόττειν διακρίνοντες, ὡς ἐπὶ τῶν ἓν τὸ ὂν καὶ ἀκίνητον λεγόντων, ποτὲ δὲ τὰς εὐκόλους ἐκδοχὰς τῶν ἐπιπολαιοτέρων προαναστέλλοντες, οὕτως ἐλέγχειν δοκοῦσι. καὶ πειρασόμεθα τούτοις καὶ ἡμεῖς ἐφιστάνειν, ἐν ταῖς πρὸς ἕκαστον τοῦ ἀριστοτέλους ἀντιλογίαις. ἀλλ᾽ ἀναληπτέον πάλιν τὴν τοῦ ἀριστοτέλους λέξιν, καὶ τὰ ἐν αὐτῇ λεγόμενα διαρθρωτέον.

ΑΝΑΓΚΗ δὲ ἤτοι μίαν εἶναι τὴν ἀρχὴν, ἢ πλείους. καὶ εἰ μίαν. ἤτοι ἀκίνητον. ὥς φασι παρμενίδης καὶ μέλισσος.

Ο ἀλέξανδρός φησιν ὅτι εἰπὼν δεῖν ἀπὸ τῶν ἡμῖν γνωριμωτέρων ποιεῖσθαι τὴν ἀρχὴν, οὕτω καὶ ποιεῖ. ἤρξατο γὰρ ἀπὸ διαιρετικοῦ καὶ τελείου καὶ ἐναργοῦς καὶ πᾶσι φανεροῦ. τί γὰρ τῆς ἀντιφάσεως ἐναργέστερον, τῆς λεγούσης μίαν ἢ οὐ μίαν τουτέστι πλείους. ἀλλ᾽ ὅτι μὲν ἀπὸ διαιρετικοῦ ἐναργοῦς ἤρξατο καλῶς εἴρηται. οὐ μέντοι τοῦτ᾽ ἐστὶν ὅπερ εἶπεν ὁ ἀριστοτέλης, ὅτι ἀπὸ τῶν φανερῶν ἐπὶ τὰς ἀφανεῖς ἀρχὰς χρὴ προϊέναι. σύνθετα γὰρ ἦν ἐκεῖνα τὰ φανερὰ, καὶ τῇ αἰσθήσει γνωριμώτερα, καὶ οὕτω καθόλου λεγόμενα, ὡς ὅλα καὶ τῶν μερικωτέρων καὶ ἀφανεστέρων περιεκτικά. ἀπὸ γοῦν τῶν αἰσθητῶν καὶ ἡμῖν γνωρίμων, καὶ τὰς ψευδεῖς περὶ τῶν ἀρχῶν ἐλέγχει δόξας ὡς μαθησόμεθα. καὶ βεβαιώσει τὰς ἀληθεῖς. οὐχ ὡς παρμενίδου δέ φησιν ὁ ἀλέξανδρος καὶ μελίσσου μίαν ἀρχὴν τιθεμένων, καὶ ταύτην ἀκίνητον λεγόντων, οὕτως εἶπε τὸ ὥς παρμενίδης καὶ μέλισσος. οὗτοι γὰρ οὐδὲ ὅλως ἀρχὴν ἐτίθεντο. ἓν γὰρ ἔλεγον τὸ πᾶν. ὃ μαχόμενόν ἐστι τῷ ἀρχὴν λέγειν εἶναι. οἱ γὰρ ἀρχὴν τιθέμενοι, ὁμολογοῦσι πλείω τὰ ὄντα εἶναι, τῇ ἀρχῇ καὶ τὰ ὧν ἐστὶν ἀρχὴ συνεισάγοντες. ἀλλ᾽ εἰπὼν τὸ πρῶτον διαιρετικὸν, τὸ ἢ μίαν εἶναι τὴν ἀρχὴν ἢ πλείους, ἐπὶ τοῦ ἑτέρου τῶν ἐν τῇ διαιρέσει, πάλιν διαιρετικῷ χρῆται, τῷ, εἰ μία ἡ ἀρχὴ ἤτοι ἀκίνητος ἢ κινουμένη. ὃν δὲ ἀπίθανον τὸ ἀρχὴν μίαν καὶ ἀκίνητον ταύτην λέγειν, μετὰ παραμυθίας ἔθετο. οὐδὲν γὰρ ἧττον ἀπίθανον τούτου ἓν ἀλλὰ καὶ μᾶλλον, τὸ ἓν τὸ πᾶν εἶναι καὶ ἀκίνητον, ὅμως προστάτας ἔχει παρμενίδην καὶ μέλισσον. καὶ εἰ μὴ ἄντικρυς ταὐτὸν τοῦτο ἐκείνῳ, ἀλλ᾽ εἰς ταὐτόν γε συντρέχει. ταῦτα οὖν αὐτῇ λέξει τοῦ ἀλεξάνδρου λέγοντος, τὸ μὲν τῷ μᾶλλον ἀπιθάνῳ παραμυθεῖσθαι τὴν ἀπίθανον θέσιν, οὐκ ἦν οἶμαι τῆς ἀριστοτέλους μεγαλονοίας. οὐ μέντοι οὐδ᾽ ὡς ἑτέρας ἀπιθάνου δόξης μέμνηται τῆς παρμενίδου καὶ μελίσσου, παρὰ τὴν λέγουσαν μίαν καὶ ἀκίνητον τὴν ἀρχήν. τούτους γὰρ τοὺς ἄνδρας ὡς τοῦτο λέγοντας ἐλέγχει. ἀλλ᾽ εὐγνωμόνως τοῦτο γοῦν ἀριστοτέλους τούτων τῶν ἀνδρῶν ἀποδεξαμένου, ὁμοίως γὰρ ζητοῦσί φησι καὶ οἱ τὰ ὄντα πόσα ζητοῦντες. ἐξ ὧν γὰρ τὰ ὄντα ἐστὶ ζητοῦσι πρῶτον αὐτὰ, πότερον ἓν ἢ πολλά. ὥστε περὶ ἀρχῆς τῶν ὄντων οἴεται τοὺς ἄνδρας τούτους φιλοσοφεῖν. καὶ τὸ κατ᾽ αὐτοὺς τμῆμα τῆς διαιρέσεως ἀφωρίσατο, μίαν καὶ ἀκίνητον ὑποθέμενος τὴν ἀρχήν. τὸ γὰρ ὄντως ὂν τὸ ἡνωμένον, ὃ καὶ ἀρχὴ καὶ αἰτία τῶν πολλῶν καὶ διακεκριμένων ἐστὶν, οὐχ ὡς στοιχειῶδες ἀλλ᾽ ὡς προαγωγὸν ἐκείνων ἓν ἔλεγον. ἀναγκαίῳ δὲ πάλιν διαιρετικῷ διελὼν τὸ ἕτερον τμῆμα, τὸ λέγον μίαν εἶναι τὴν ἀρχὴν, τῷ ἀκίνητον ἢ κινουμένην εἶναι τὴν μίαν, καὶ λαβὼν τὸ ἀκίνητον, ἅπερ ἔδει πρὸς τοὺς μίαν καὶ ἀκίνητον τὴν ἀρχὴν λέγοντας ἀντειπεῖν, ταῦτα πρὸς τοὺς ἓν τὸ ὂν καὶ ἀκίνητον λέγοντας ἀντιλέγει. κἂν γὰρ ὀνόμασιν ἄλλοις χρῶνται, τὰ αὐτὰ

ὅμως κἀκεῖνοι

ὅμως κἀκεῖνοι λέγουσί τε καὶ ζητοῦσιν. ὁμολογεῖ δὲ ὁ Ἀλέξανδρος ἐν μὲν τοῖς πρὸς ἀλήθειαν, ἅπερ
ἐστὶ περὶ τοῦ νοητοῦ ὄντος, τὸν Παρμενίδην ἓν τὸ ὂν καὶ ἀκίνητον λέγειν. κατὰ δὲ τὴν τῶν πολλῶν δό-
ξαν καὶ τὰ φαινόμενα φυσιολογῶν, οὔτε ἓν λέγων εἶναι τὸ ὂν οὔτε ἀγένητον, ἀρχὰς τῶν γινομένων
ὑπέθετο πῦρ καὶ γῆν, τὴν μὲν γῆν ὡς ὕλην ὑποτιθείς, τὸ δὲ πῦρ ὡς ποιητικὸν αἴτιον. καὶ ὀνομάζει φη-
σὶ τὸ μὲν πῦρ φῶς, τὴν δὲ γῆν σκότος. καὶ εἰ μὲν κατὰ τὴν τῶν πολλῶν δόξαν καὶ τὰ φαινόμενα
οὕτως ὁ Ἀλέξανδρος ἐξεδέξατο, ὡς ὁ Παρμενίδης βούλεται δοξαστὸν τὸ αἰσθητὸν καλῶν, εὖ ἂν ἔχοι.
εἰ δὲ ψευδεῖς πάντη τοὺς λόγους οἴεται ἐκείνους, καὶ ποιητικὸν αἴτιον τὸ φῶς καὶ πῦρ νομίζει λέγε-
σθαι, οὐ καλῶς οἴεται. συμπληρώσας γὰρ τὸν περὶ τοῦ νοητοῦ λόγον ὁ Παρμενίδης, ἐπάγει ταυ-
» τὰ ἅπερ καὶ πρότερον παρεθέμην. ἐν τῷ σοι παύω πιστὸν λόγον ἠδὲ νόημα ἀμφὶς ἀληθείης. δόξας
» δ' ἀπὸ τοῦδε βροτείους μάνθανε, κόσμον ἐμῶν ἐπέων ἀπατηλὸν ἀκούων. μορφὰς γὰρ κατέθεντο δύο
» γνώμαις ὀνομάζειν. τῶν, μίαν οὐ χρεών ἐστιν ἐν ᾧ πεπλανημένοι εἰσίν. ἀντία δ' ἐκρίναντο δέμας, καὶ
» σήματ' ἔθεντο χωρὶς ἀπ' ἀλλήλων, τῇ μὲν, φλογὸς αἰθέριον πῦρ, ἤπιον ὂν μέγ' ἀραιὸν ἐλαφρὸν ἑωυ-
» τῷ πάντοσε τωὐτόν. τῷ δ' ἑτέρῳ μὴ τωὐτόν. ἀτὰρ κἀκεῖνο κατ' αὐτὸ τἀντία νύκτ' ἀδαῆ ἠδὲ πυκνὸν
» δέμας ἐμβριθές τε. τόν σοι ἐγὼ διάκοσμον ἐοικότα πάντα φατίζω, ὡς οὐ μή ποτέ τίς σε βροτῶν
γνώμη παρελάσσῃ. δοξαστὸν οὖν καὶ ἀπατηλὸν τοῦτον καλεῖ τὸν λόγον, οὐχ ὡς ψευδῆ ἁπλῶς, ἀλλ'
ὡς ἀπὸ τῆς νοητῆς ἀληθείας εἰς τὸ φαινόμενον καὶ δοκοῦν αἰσθητὸν ἐκπεπτωκότα. μετ' ὀλίγα δὲ
» πάλιν περὶ τῶν δυοῖν στοιχείων εἰπών, ἐπάγει καὶ τὸ ποιητικόν, λέγων οὕτως. αἱ γὰρ στεινότεραι
» ποίηντο πυρὸς ἀκρίτοιο. αἱ δ' ἐπὶ ταῖς νυκτός. μετὰ δὲ φλογὸς ἵεται αἶσα. ἐν δὲ μέσῳ τούτων δαί-
μων ἣ πάντα κυβερνᾷ. ταύτην καὶ θεῶν αἰτίαν εἶναί φησι, λέγων, πρώτιστον μὲν ἔρωτα θεῶν μη-
τίσατο πάντων. καὶ τὰ ἑξῆς. καὶ τὰς ψυχὰς πέμπειν ποτὲ μὲν ἐκ τοῦ ἐμφανοῦς εἰς τὸ ἀειδές, ποτὲ
δὲ ἀνάπαλίν φησιν. ἀλλὰ ταῦτα μὲν διὰ τὴν πολλὴν ἄγνοιαν νῦν τῶν παλαιῶν συγγραμμάτων, μη-
κύνειν ἀναγκάζομαι. εἰκότως δὲ οἱ λέγοντες τὸ ὂν καὶ ἀκίνητον ἔλεγον, εἴπερ μὴ περὶ φυσικῶν διε-
λέγοντο. συνεισήγετο γὰρ τῇ κινήσει καὶ τὸ καθ' ὃ ἡ κίνησις, εἴτε κατὰ ποιότητα εἴτε κατὰ ποσό-
τητα, ἢ κατὰ ἄλλο τι. συνεισήγετο δὲ καὶ ὁ τόπος ἄλλος ὢν παρὰ τὸ κινούμενον, εἴπερ ἦν φυσικὴ κί-
» νησις. ἀλλ' ὁ Παρμενίδης περὶ τοῦ νοητοῦ λέγων ὄντος, αὐτὰρ ἀκίνητόν φησι μεγάλων ἐν πείρασι
» δεσμῶν ἔστιν ἄναρχον ἄπαυστον. ἐπεὶ γένεσις καὶ ὄλεθρος τῆλε μάλ' ἐπλάγχθησαν. ἄπωσε δὲ πίστις
» ἀληθής. καὶ τὴν αἰτίαν δὲ τῆς ἀκινησίας ἐπάγει. οὕτως ἔμπεδον αὖθι μένει. κρατερὴ γὰρ ἀνάγκη
» πείρατος ἐν δεσμοῖσιν ἔχει. τό μιν ἀμφὶς ἐέργει. οὕνεκεν οὐκ ἀτελεύτητον τὸ ἐὸν θέμις εἶναι. ἔστι γὰρ
» οὐκ ἐπιδευές. μὴ ἐὸν δὲ ἂν παντὸς ἐδεῖτο. ὡς γὰρ τὸ μὴ ὄν φησιν ἐνδεὲς πάντων ἐστίν, οὕτω τὸ ὂν ἀνεν-
δεὲς καὶ τέλειον. τὸ δὲ κινούμενον ἐνδεὲς ἐκείνου δι' ὃ κινεῖται. τὸ ἄρα ὂν οὐ κινεῖται. καὶ ὁ Μέλισσος δὲ
ἀκίνητον αὐτὸ ἀπέδειξε κατὰ τὴν αὐτὴν πάλιν ἔννοιαν, διὰ τοῦ δεῖν εἰ κινοῖτο τὸ ὂν εἶναί τι κενὸν τοῦ
ὄντος, εἰς ὃ ὑποχωρήσει τὸ ὄν. κενὸν δὲ προαπέδειξε μὴ εἶναι. λέγει δὲ οὕτως ἐν τῷ αὐτοῦ συγγράμμα-
» τι. οὐδὲ κενεόν ἐστιν οὐδέν. τὸ γὰρ κενεὸν οὐδέν ἐστιν. οὐκ ἂν οὖν εἴη τό γε μηδέν. οὐδὲ κινεῖται. ὑποχωρῆ-
» σαι γὰρ οὐκ ἔχει οὐδαμῇ. ἀλλὰ πλέων ἐστίν. εἰ μὲν γὰρ κενεὸν ἦν, ὑπεχώρει ἂν εἰς τὸ κενεόν. κενεοῦ δὲ
» μὴ ἐόντος, οὐκ ἔχει ὅκη ὑποχωρήσει. πλέων οὖν ὂν οὐ κινεῖται. οὐχ ὅτι διὰ πλήρους οὐκ ἔστι κινηθῆ-
ναι, ὡς ὁ Ἀλέξανδρος ἐνόησε τὸ Μελίσσου ῥητόν. ἀλλ' ὅτι αὐτὸ τὸ ὂν πλέων ἐστίν, ὡς μηδὲν ἄλλο εἶναι
» παρ' αὐτό. κρίσιν γοῦν φησιν ὁ Μέλισσος ταύτην χρὴ ποιήσασθαι τοῦ πλέω καὶ τοῦ μὴ πλέω. εἰ
» μὲν χωρεῖ τι ἢ εἰσδέχεται, οὐ πλέων. εἰ δὲ μήτε χωρεῖ μήτ' εἰσδέχεται, πλέων. ἀνάγκη τοίνυν
» πλέων εἶναι εἰ κενεὸν μὴ ἔστιν. εἰ τοίνυν πλέων ἐστὶν οὐ κινεῖται.

Ἢ ΚΙΝΟΥΜΕΝΗΝ. ὥσπερ οἱ φυσικοί. οἱ μὲν ἀέρα φάσκοντες εἶναι, οἱ δὲ ὕδωρ τὴν πρώτην ἀρχήν.

Ἐ κθέμενος τοὺς ἀκίνητον λέγοντας τὸ ὂν ἤτοι τὴν ἀρχήν, μεταβαίνει ἐπὶ τὸ ἕτερον τμῆμα. καὶ φησὶν
ἢ κινουμένην ὥσπερ οἱ φυσικοί, ἀντιδιαστέλλων τοῖς ἀκίνητον λέγουσι τοὺς φυσικούς, ὡς μὴ δὲ φυσι-
κῶν ὄντων ὅλως τῶν ἀναιρούντων τὴν κίνησιν. ὅπερ ἐφεξῆς σαφέστερον ἐρεῖ καὶ δείξει. εἰ γὰρ ἀρ-
χὴ κινήσεως ἡ φύσις, πῶς ἂν εἴη φυσικὸς ὁ τὴν φύσιν αὐτὴν ἀναιρῶν. εἰώθασι δὲ τοὺς περί τι μέρος
φιλοσοφίας σπουδάσαντας, ἢ μόνον ἢ μάλιστα ἀπ' ἐκείνου καλεῖν. ὡς ἠθικὸν μὲν ἐκάλουν τὸν Σω-
κράτην. φυσικοὺς δέ, τοὺς περὶ Θαλῆν, καὶ Ἀναξίμανδρον, καὶ Ἀναξιμένην, καὶ Ἀναξαγόραν, καὶ Δη-
μόκριτον, καὶ τοὺς τοιούτους. παραιτοῦμαι δὲ κἀνταῦθα τὸν Ἀλέξανδρον, πρότερον μὲν εἰπόντα,
ὅτι τοὺς φυσικοὺς ἀντιδιέστειλε πρὸς τοὺς ἓν καὶ ἀκίνητον λέγοντας, ὕστερον δὲ ὅτι ἔθος Ἀριστοτέλει
φυσικοὺς καλεῖν, τοὺς περὶ τῆς ἀληθείας φιλοσοφοῦντας. ἐπεὶ καὶ τῆς φυσικῆς τὸ τέλος οὐ πρᾶ-
ξις ἀλλὰ γνῶσίς ἐστι. τίς γὰρ ἠγνόει, ὅτι καὶ Παρμενίδης πρὸς ὃν ἀντιδιεστάλθαι λέγει τοὺς φυσι-
» κούς, περὶ τῆς ἀληθείας ἐφιλοσόφει, λέγων σαφῶς, ἐν τῷ σοι παύω πιστὸν λόγον ἠδὲ νόημα ἀμφὶς
» ἀληθείης. οὔσης δὲ καὶ ἄλλης διαιρέσεως ἐπὶ τῶν μίαν τὴν ἀρχὴν λεγόντων, εἴτε ἀκίνητον εἴτε κινουμένην,
τῆς εἰς τὸ ἄπειρον καὶ τὸ πεπερασμένον διαιρούσης, καὶ γὰρ τῶν μίαν καὶ ἀκίνητον λεγόντων, καὶ
ἄπειρον αὐτὴν ὁ Μέλισσός φησιν ἐν τούτοις, ὅτε τοίνυν οὐκ ἐγένετο ἔστι δέ, ἀεὶ ἦν καὶ ἀεὶ ἔσται, καὶ ἀρ-

χὴν οὐκ ἔχει οὐδὲ τελευτὴν, ἀλλ' ἄπειρόν ἐστι, καὶ δὴ καὶ αὐτὸς Ἀριστοτέλης μετ' ὀλίγον πρὸς τούτους ἀντιλέγων, δείξει, ὅτι οὐ μόνον τὴν ἀρχὴν ἀδύνατον λέγειν ἄπειρον, ἀλλὰ καὶ τὸ ὄν, ὅπερ ἐδόκει Μελίσσῳ, ἀλλὰ καὶ τῶν μίαν καὶ κινουμένην λεγόντων Ἀναξίμανδρος ὁ Πραξιάδου Μιλήσιος, ἄπειρόν τινα φύσιν ἄλλην οὖσαν τῶν τεσσάρων στοιχείων ἀρχὴν ἔθετο, ἧς τὴν ἀΐδιον κίνησιν αἰτίαν εἶναι τῆς τῶν ὄντων γενέσεως ἔλεγε, καὶ Ἀναξιμένης δὲ ὁ Εὐρυστράτου Μιλήσιος, καὶ αὐτὸς ἀρχὴν μίαν ἔθετο καὶ ἄπειρον, ἀέρα ταύτην λέγων, ἐξ οὗ ἀραιουμένου καὶ πυκνουμένου τὰ ἄλλα γίνεσθαι, οὔσης οὖν καὶ τοιαύτης διαιρέσεως, παρῆκε νῦν αὐτὴν ὁ Ἀριστοτέλης ὡς ὁ Ἀλέξανδρός φησι· διότι οὐδεμίαν ἡ διαίρεσις αὕτη διαφορὰν γενέσεως τοῖς ἐξ αὐτῆς γινομένοις παρέχει· οὐ γὰρ ἄλλα μὲν ἄπειρος, ἄλλα δὲ εἰ πεπερασμένη γενήσεται· ὥσπερ ἄλλα μὲν εἰ μία, ἄλλα δὲ εἰ πολλαί· εἰ μὲν γὰρ μία ἡ ἀρχὴ, κατ' ἀλλοίωσιν ἀνάγκη γίνεσθαι τὰ γινόμενα· εἰ δὲ πολλαὶ, κατὰ σύγκρισιν· καὶ τὸ ἀκίνητον δὲ καὶ τὸ κινούμενον μεγάλην ποιεῖ διαφοράν· εἰ μὲν γὰρ ἀκίνητος, οὐδ' ἂν γένοιτό τι ἐξ αὐτῆς ὃ μὴ πρότερον ἦν· εἰ δὲ κινουμένη, οὐδὲν κωλύει γίνεσθαι ἢ κατὰ εὐθεῖαν ἢ κατὰ ἀνακύκλησιν· ταῦτα μὲν ὁ Ἀλέξανδρος· μήποτε δὲ ὁ Μέλισσος οὐ τῇ οὐσίᾳ τὴν ἀρχὴν ἄπειρον εἶπεν, ἀλλὰ τῷ ἀνεκλείπτῳ τοῦ χρόνου· ὅτε γὰρ οὐκ ἐγένετο φησὶν ἔστι δὲ, ἀεὶ ἦν καὶ ἀεὶ ἔσται· καὶ ἀρχὴν οὐκ ἔχει οὐδὲ τελευτὴν, ἀλλ' ἄπειρόν ἐστι· μήποτε δὲ καὶ διάφορος ὁ τρόπος τῆς γενέσεως καὶ ἐπὶ ἀπείρου οὔσης ἢ πεπερασμένης τῆς ἀρχῆς γενήσεται· ἀπείρου μὲν γὰρ οὔσης τῆς ἀρχῆς κατὰ μέγεθος, ἢ οὐ γίνεται· ἢ δυνατὸν ἐπ' ἄπειρον ἐπ' εὐθείας ἀπ' αὐτῆς γίνεσθαι τὰ γινόμενα· πεπερασμένης δὲ, ἀνακυκλεῖσθαι τὴν γένεσιν ἀνάγκη, ἢ ἐκλείπειν ποτέ·

ΕΙ ΔΕ πλείους, ἢ πεπερασμένας, ἢ ἀπείρους, καὶ εἰ πεπερασμένας· πλείους δὲ μιᾶς, ἢ δύο, ἢ τρεῖς, ἢ τέτταρας, ἢ ἄλλον τινὰ ἀριθμόν.

Ἐπὶ τῶν πλείους λεγόντων τὰς ἀρχὰς οὐκ ἔχει χώραν τὸ ἕτερον διαιρετικὸν, τὸ ἀκίνητον ἢ κινούμεναι· καὶ γὰρ καὶ ἀδύνατον ἐκ πλειόνων ἀρχῶν μὴ κινουμένων γίνεσθαί τι· κοινωνεῖν γὰρ ἀλλήλαις δέονται· καὶ διὰ τὸ προφανῶς ἀδύνατον οὐδὲ ἔσχε προστάτην ἡ δόξα· τοιγαροῦν καὶ Δημόκριτος φύσει ἀκίνητα λέγων τὰ ἄτομα, πληγῇ κινεῖσθαι φησίν· ὁ μέντοι εὐφραδὴς Θεμίστιος παραφράζων τὸ ῥητὸν, καὶ τὰς πλείους ἢ κινουμένας φησὶν ἢ ἀκινήτους, καὶ ἢ πεπερασμένας κατ' ἀριθμὸν ἢ πάλιν ἀπείρους· καὶ Εὔδημος δὲ ὡς καὶ πρότερον εἶπον ἐν τοῖς φυσικοῖς, ὡς ἄν ποτε ὑπάρχωσιν αἱ ἀρχαί φησιν, ἤτοι κινοῦνται ἢ ἀκίνητοί εἰσι· καὶ δῆλον ὅτι τὴν ἀνάγκην οὗτοι τῆς ἀντιφατικῆς
» διαιρέσεως ἀποδεδώκασιν. Ἀλλ' εἰ πλείους φησὶν ἢ ἀπείρους ἢ πεπερασμένας τῷ πλήθει ἀνάγκη
» εἶναι. καὶ ἔοικέ φησιν ὁ Ἀλέξανδρος ἀμφοτέρας τὰς διαιρέσεις ἑκατέρῳ τῶν ἐκ τῆς πρώτης διαιρέσεως μὴ προσαγαγεῖν διὰ τὸ μὴ πολλάκις περὶ αὐτῶν λέγειν· ἀλλὰ δείξας ὅτι ἐπὶ τῆς μιᾶς οὐχ οἷόν τε τὴν ἀρχὴν ἀκίνητον εἶναι, ἐκ τοῦ μᾶλλον συναποδείξει ὅτι οὐδὲ τὰς πλείους οἷόν τε εἶναι ἀκινήτους· διὸ ἐπὶ τῶν πολλῶν οὐκέτι ἐχρήσατο τῷ ἢ κινουμένας ἢ ἀκινήτους· πάλιν δὲ αὖ ἐπὶ τῶν πολλῶν δείξας, ὅτι οὐχ οἷόν τε τὰς ἀρχὰς ἀπείρους εἶναι, συναποδείξει ὅτι οὐδὲ ὅλως ἀρχὴν ἄπειρον οἷόν τε εἶναι· οἰκειότερον μὲν γὰρ τῇ μιᾷ τὸ μὴ κινεῖσθαι, εἰ οἷόν τε ἦν· οἰκειότερον δὲ ταῖς πολλαῖς τὸ ἀπείρους εἶναι· ταῦτα τοῦ Ἀλεξάνδρου λέγοντος, ἐπισημαίνομαι ὅτι ἄλλο ἐστὶ τὸ κατὰ πλῆθος ἄπειρον ἢ πεπερασμένον, ὃ τοῖς πολλὰς λέγουσι τὰς ἀρχὰς οἰκειότερον ἦν· καὶ ἄλλο τὸ κατὰ μέγεθος, τοῖς μίαν λέγουσι καὶ αὐτῇ μᾶλλον προσῆκον· πλείονα γὰρ ἄπειρα τῷ μεγέθει πῶς ἂν εἴη, εἰ μὴ σῶμα διὰ σώματος χωροίη· ἀλλ' ἔοικε συντομίας ἕνεκεν ὁ Ἀριστοτέλης ποιήσασθαι τὴν διαίρεσιν· ἐν γοῦν τοῖς ἑξῆς Μέλισσον ὡς μίαν λέγοντα καὶ ἄπειρον τὴν ἀρχὴν εὐθύνει· τίνες δέ εἰσιν οἱ πλείους καὶ πεπερασμένας λέγοντες τὰς ἀρχὰς, καὶ τίνες οἱ ἀπείρους, ἐκ τῆς προεκτεθείσης διαιρέσεως ἔγνωμεν· τὸν μέντοι Ἀλέξανδρον κἀνταῦθα ἀξιῶ, μὴ ἀφορμῇ ἐπιπόνως τῶν Πλάτωνος δογμάτων ἀπομνημονεύειν. δύο γὰρ ἀρχάς φησι δοκεῖ ποιεῖν ὁ Πλάτων, τὸ μὲν, ὑποκείμενον καὶ ὕλην προσαγορεύων, τὸ δὲ, ὡς αἴτιον καὶ κινοῦν, ὃ θεὸν καλεῖ καὶ νοῦν· καὶ τρίτη κατὰ αὐτὸν ἀρχὴ ἡ παραδειγματική· θαυμαστὸν γὰρ εἰ μὴ ἐπέστησεν ὁ Ἀλέξανδρος, ὅτι σαφῶς ὁ Πλάτων τὴν τελικὴν αἰτίαν
» πάντων προέταξεν, εἰπὼν, λέγωμεν δὲ δι' ἣν αἰτίαν γένεσιν καὶ τὸ πᾶν τόδε ὁ ξυνιστὰς συνέστησεν. ἀγαθὸς γὰρ ἦν· εἰ οὖν διὰ τὴν ἀγαθότητα, δῆλον ὅτι ἡ ἀγαθότης ἦν τὸ τελικὸν καὶ κυριώτατον αἴτιον· οὐχὶ δὲ καὶ τῶν μορίων εἰς τὰς διαφόρους κατασκευὰς εἰς τὸ διάφορον τῆς χρείας ἀνάγει, καὶ τὸ οὗ ἕνεκεν ἕκαστον αὐτῶν γέγονεν; ἀλλὰ καὶ τὸ εἰδικὸν αἴτιον σαφῶς ὁ Πλάτων παραδίδωσιν, οὐ τὸ χωριστὸν μόνον τῆς ὕλης ἀλλὰ καὶ τὸ ἀχώριστον, ὅταν λέγῃ, ἓν μὲν εἶναι τὸ κατὰ ταυτὰ εἶδος ἔχον,
» ἀγέννητον καὶ ἀνώλεθρον, οὔτε αὐτὸ εἰσδεχόμενον ἄλλο, οὔτε αὐτὸ εἰς ἄλλο ποιοῦν· ἀόρατον δὲ καὶ
» ὅλως ἀναίσθητον τοῦτο· ὃ δὴ νόησις εἴληχεν ἐπισκοπεῖν· τὸ δὲ, ὁμώνυμον ἐκείνῳ, δεύτερον· αἰσθητόν·
» γεννητὸν, πεφορημένον ἀεί· καὶ μετ' ὀλίγα, οὕτω δὲ τότε πεφυκότα ταῦτά φησι, πρῶτον διεσχημα-
» τίσατο εἴδεσι καὶ ἀριθμοῖς· καὶ δι' ἐκείνων δὲ τῶν ῥητῶν διττὴ τῶν εἰδῶν αἰτία δηλοῦται, ἥ τε χωριστὴ, καὶ ἡ ἀχώριστος· ἧπερ οὖν νοῦς ἐνούσας ἰδέας τῷ ὅ ἐστι ζῷον οἷαί τε ἔνεισι καὶ ὅσαι καθορᾷ, τοσαύτας καὶ τοιαύτας διενοήθη καὶ τόδε τὸ πᾶν ἔχειν.

ΚΑΙ ΕΙ ἀπείρους, ἢ οὕτως, ὥσπερ Δημόκριτος τὸ γένος ἕν, σχήματι δὲ ἢ εἴδει διαφερούσας, ἢ καὶ ἐναντίας.

Ὅτι μὲν τὸν Δημόκριτον ὁμογενεῖς ὑποθέσθαι τὰς ἀρχὰς καὶ ἐκ τῆς αὐτῆς οὐσίας λέγειν τὰς ἀτόμους, τῷ σχήματι καὶ τῷ κατ' αὐτὰς εἴδει διαφερούσας, ὁ Ἀριστοτέλης οἴεται, συμφωνοῦσιν οἱ ἐξηγηταὶ πάντες. τὸ δὲ ἢ καὶ ἐναντίας ὁ μὲν Πορφύριος καὶ ὁ Θεμίστιος ἀνταπόδοσιν οἴονται, τοῦ ἢ οὕτως ὥσπερ Δημόκριτος, περὶ Ἀναξαγόρου λεγομένην. καὶ γὰρ τῶν ἀπείρους τὰς ἀρχὰς ὑποθεμένων, οἱ μὲν περὶ Δημόκριτον ὁμοουσίους τὰς ἀτόμους ὑποθέμενοι, καθ' ἓν γένος τὸ πλῆρες θεωρουμένας, σχήματι καὶ θέσει καὶ τάξει διαφέρειν αὐτάς φασιν. οἱ δὲ περὶ Ἀναξαγόραν καὶ ταῖς οὐσίαις ἐναντίας τίθενται. θερμότητας γὰρ καὶ ψυχρότητας, καὶ ξηρότητας καὶ ὑγρότητας, μανότητάς τε καὶ πυκνότητας, καὶ τὰς ἄλλας κατὰ ποιότητα ἐναντιότητας, ἐν ταῖς ὁμοιομερείαις ἀποτίθενται. αἷς διαφέρειν τὰς ὁμοιομερείας, ἀρχὰς κατ' αὐτοὺς οὔσας φασί, κυρίως τῆς ἐναντιότητος ἐν ταῖς ποιότησι θεωρουμένης, ἀλλ' οὐκ ἐν τοῖς σχήμασιν. ὁ μέντοι Ἀφροδισιεὺς Ἀλέξανδρος οἶδε μὲν καὶ ταύτην τὴν ἐξήγησιν, οὐκ ἀποδέχεται δὲ αὐτήν. ἀλλ' οἴεται μᾶλλον τὸ ὅλον περὶ Δημοκρίτου λέγεσθαι, ὡς τὰς ἀρχὰς τούτου τιθεμένου τὸ μὲν γένος, τουτέστι κατὰ τὴν ὑποκειμένην φύσιν, σχήματι δὲ ἢ εἴδει διαφερούσας ἢ καὶ ἐναντίας. ὅτι γὰρ ὡς ἐναντίας λέγοντος τοῦ Δημοκρίτου τὰς ἀρχὰς ὁ Ἀριστοτέλης ἀπομνημονεύει, δι' ἐκείνων δηλοῖ τῶν ῥητῶν. καὶ Δημόκριτος τὸ πλῆρες καὶ τὸ κενόν. ὧν τὸ μὲν ὡς ὄν, τὸ δὲ ὡς οὐκ ὂν εἶναί φησιν. ἔτι θέσει, σχήματι, τάξει. ταῦτα δὲ γένη ἐναντίων. θέσεως, ἄνω κάτω, πρόσθεν ὄπισθεν. σχήματος, γωνία, τὸ εὐθύ, καὶ τὸ περιφερές. κἂν γὰρ αὐτὸς ὁ Ἀριστοτέλης φησίν, ἐναντίον μὴ εἶναι σχῆμα σχήματι, οὐκ ἤδη καὶ Δημόκριτον ἀνάγκη ταύτης εἶναι τῆς δόξης. οὕτω δὲ τῇ ἐξηγήσει ταύτῃ συμπέπονθεν ὁ Ἀλέξανδρος, ὡς αἱρεῖσθαι δυοῖν τὸ ἕτερον λέγειν. ἢ τὴν συγγραφὴν ἡμαρτῆσθαι, περιττῶς παρεγκειμένου τοῦ ἤ, οὕτως τὴν πρὸς Δημόκριτον ἀνταπόδοσιν ἀπαιτοῦντος. ὀφείλειν γὰρ εἶναι, καὶ εἰ ἀπείρους, ὥσπερ Δημόκριτος τὸ γένος ἕν, σχήματι δὲ ἢ εἴδει διαφερούσας ἢ καὶ ἐναντίας. ἢ εἰ ὀρθῶς ἔχει φησὶν ἡ γραφή, παρῆκε τὸ ἀνταποδοῦναι τοῖς λέγουσι μὴ δὲ τῷ γένει τὰς αὐτὰς εἶναι τὰς ἀρχάς, ὡς ἔλεγον οἱ περὶ Ἀναξαγόραν. εἰ οὖν καὶ τὸ τὰς γραφὰς ἀθετεῖν τὰς ἐν πᾶσι τοῖς ἀντιγράφοις συμφωνουμένας ἄτοπον, καὶ τὸ ἐλλειπῆ τὸν λόγον ἀποδεῖξαι, καὶ κατὰ τὴν φράσιν καὶ κατὰ τὰ τμήματα τῆς διαιρέσεως, οὐχ ἧττον ἄτοπον, καὶ μάλιστα ὅτι Ἀναξαγόρου δόξα παραλιμπάνεται, πρὸς ἣν πολλοὺς λόγους ὁ Ἀριστοτέλης κατατείνει, ἀλλὰ καὶ τὸ τὴν Ἀριστοτέλους περὶ Δημοκρίτου δόξαν ἀθετεῖν, οἰομένου σαφῶς ἐναντίωσιν ἐν ταῖς ἀρχαῖς ἀποτίθεσθαι, ὅπερ οἱ ἕτεροι ποιοῦσιν ἐξηγηταί, οὐκ εὐπαράδεκτον φαίνεται, μήποτε τὸ τῷ μὲν σχήματι καὶ τῇ καθ' αὐτὸ μορφῇ διαφέρειν ὡς τοῦ Δημοκρίτου ἴδιον ἀποδέδωκε, κατ' οὐσίαν μηδὲν λέγοντος διαφέρειν τὰς ἀτόμους. τὸ δὲ μὴ διαφέρειν μόνον τὰς ἀπείρους ἀρχὰς ἀλλὰ καὶ ἐναντίας εἶναι, οὐ τῇ Δημοκρίτου μόνον θέσει ὑπάρχον ἀλλὰ καὶ τῇ Ἀναξαγόρου, κοινῶς ἀμφοτέραις ἀποδέδωκεν. ἵν' ᾖ λέγων καὶ οὕτως ὥσπερ Δημόκριτος τὸ γένος ἕν, σχήματι δὲ ἢ εἴδει διαφερούσας. ἢ οὐ μόνον τῷ σχήματι καὶ τῷ κατ' αὐτὸ εἴδει διαφερούσας, ἀλλὰ καὶ ἐναντίας. ὡς Δημόκριτος μὲν κατὰ τὸ σχῆμα καὶ τὴν θέσιν τὴν ἐναντίωσιν ἐτίθετο, Ἀναξαγόρας δὲ καὶ κατὰ τὴν οὐσίαν καὶ κατὰ τὸ γένος. εἰ γὰρ ἔχει τινὰ λόγον ἡ τοιαύτη τῶν λόγων ἀποδοχή, οὔτε τὴν γραφὴν διορθοῦν ἀνάγκη, οὔτε τὸν λόγον ὡς ἀναπόδοτον αἰτιᾶσθαι, οὔτε τὰ περὶ τῆς κατὰ Δημόκριτον ἐναντιώσεως καταναστίζεσθαι.

ὉΜΟΙΩΣ δὲ ζητοῦσι καὶ οἱ τὰ ὄντα ζητοῦντες, πόσα. ἐξ ὧν γὰρ τὰ ὄντα ἐστί, ζητοῦσι πρῶτον. ταῦτα πότερον ἕν, ἢ πολλά. καὶ εἰ πολλὰ πεπερασμένα, ἢ ἄπειρα. ὥστε τὴν ἀρχὴν καὶ τὸ στοιχεῖον ζητοῦσι, πότερον ἕν, ἢ πολλά.

Ὥσπερ ἡμεῖς φησι πρὸ τοῦ περὶ αὐτῶν τῶν φυσικῶν φιλοσοφεῖν, ἠναγκάσθημεν τὰς ἀρχὰς τῶν φυσικῶν ζητεῖν, πόσαι τε καὶ τίνες, οὕτω καὶ οἱ φυσικοί, καίτοι περὶ τῶν ὄντων προθέμενοι ζητεῖν πόσα ταῦτα, ἠναγκάσθησαν ζητεῖν πρότερον περὶ τῶν ἀρχῶν τῶν ὄντων, ὡς ἀπὸ τούτων τῆς γνώσεως τῶν ὄντων ἠρτημένης. τοῦτο δὲ αὐτῷ τείνει πρὸς δεῖξιν τοῦ ἀναγκαῖον εἶναι τὸν περὶ τῶν ἀρχῶν λόγον, εἴπερ καὶ τοῖς μὴ περὶ τούτων προθεμένοις, ὅμως ἡ ζήτησις ἡ περὶ αὐτῶν ὑπήντα πρώτη, ὡς οὐκ ἄλλως εἰσομένοις περὶ τῶν ὄντων. οὕτω μὲν οὖν ὁ Ἀλέξανδρος ἐξηγεῖται τὴν λέξιν, καὶ περὶ πάντων φησὶ τοῦτο λέγεσθαι τῶν φυσικῶν. μήποτε δὲ οὔτε περὶ πάντων τῶν φυσιολόγων ἐστὶν ὁ λόγος, οὔτε ὡς ἄλλα μὲν προτιθεμένων ζητεῖν, ἄλλης δὲ πρὸ ἐκείνων αὐτοῖς ζητήσεως τῆς τῶν ἀρχῶν ὑπαντώσης. ἀλλ' ἐπειδὴ Παρμενίδης καὶ Μέλισσος περὶ τοῦ ὄντος ἐζήτουν, πότερον ἓν ἢ πολλά, καὶ εἰ ἀκίνητον ἢ κινούμενον, καὶ οὗτοί φησιν οὐ περὶ τῶν ὄντων ὥς ἄν τις οἰηθείη, ἀλλὰ περὶ τῆς ἀρχῆς τῶν ὄντων ἐζήτουν, εὐγνωμόνως τοῦτο αὐτῶν ὁ Ἀριστοτέλης ἀποδεχόμενος. οὐ γὰρ ἄν ποτε ἐνόμισεν αὐτοὺς ἀγνοεῖν τὸ πλῆθος τὸ ἐν τοῖς οὖσιν, ἢ τοῦτο γοῦν εἰ δύο πόδας εἶχον. ἀλλὰ περὶ τοῦ ὄντως ὄντος καὶ κυρίως ὄντος ἦν αὐτοῖς ὁ λόγος. ὅπερ ἀρχὴ καὶ αἰτία πάντων τῶν ὁπωσδήποτοῦν ὄντων ἐστί. διὰ τοῦτο δὲ καὶ τὴν Παρμενίδου καὶ Μελίσσου δόξαν εὐθὺς προχειρίζεται τῶν περὶ

τοῦ ὄντος φιλοσοφούντων. κἄν τε γὰρ περὶ ἀρχῆς ζητοῖεν εἰ μία ἢ πολλαί, κἄν τε περὶ τοῦ ὄντος,
τὰ αὐτὰ ζητοῦσιν, εἰ καὶ ὀνόμασιν ἄλλοις χρῶνται. τὰ γοῦν λεγόμενα πρὸς τοὺς ἓν λέγοντας τὸ ὄν,
λέγοιτο ἂν πρὸς τοὺς λέγοντας μίαν εἶναι τὴν ἀρχήν. ἐπεὶ δ' οὖν αὐτὸς ἐπὶ ἀρχῆς ἐποιήσατο τὴν διαί-
ρεσιν, εἰπὼν ἀνάγκη δὲ ἤτοι μίαν εἶναι τὴν ἀρχὴν ἢ πλείους, εἰκότως προσέθηκεν, ὅτι καὶ οἱ τὰ ὄντα
πόσα ζητοῦντες, περὶ τῶν ἀρχῶν ζητοῦσι, κἂν ὀνόμασι χρῶνται ἄλλοις. διὸ καὶ ὡς μίαν τιθεὶς ταύ-
την ἀντιλέγει.

ΤΟ ΜΕΝ οὖν εἰ ἓν καὶ ἀκίνητον τὸ ὂν σκοπεῖν, οὐ περὶ φύσεώς ἐστι σκοπεῖν. ὥσπερ γὰρ καὶ τῷ γεω-
μέτρῃ οὐκ ἔτι λόγος ἐστὶ πρὸς τὸν ἀνελόντα τὰς ἀρχάς, ἀλλ' ἤτοι ἑτέρας ἐπιστήμης, ἢ πασῶν κοι-
νῆς, οὕτως οὐδὲ τῷ περὶ ἀρχῶν. οὐ γὰρ ἔτι ἀρχή ἐστιν, εἰ ἓν μόνον. καὶ οὕτως ἕν ἐστιν. ἡ γὰρ ἀρχὴ τινός, ἢ τινῶν.

Διὰ τούτων δέ φησιν ὁ Ἀλέξανδρος καὶ τὸ δοκοῦν παραλελεῖφθαι πρόβλημα, εἰ εἰσὶν ὅλως ἀρχαὶ
προστίθησιν, ἀντιλέγων πρὸς τοὺς μηδὲ ὅλως ἀρχὴν εἶναι τιθεμένους τῶν φυσικῶν. οἱ γὰρ ἓν λέγον-
τες τὸ ὂν καὶ ἀκίνητον, ἀναιροῦσι τὰς φυσικὰς ἀρχὰς καὶ αὐτὴν τὴν φύσιν. καὶ γὰρ ἡ ἀρχὴ τινὸς ἢ τινῶν
ἀρχή. καὶ πλῆθος ἑαυτῇ συνεισάγει. καὶ εἰ μὴ ἔστι κίνησις, οὐδὲ φύσις. ἀρχὴ γὰρ κινήσεως ἡ φύσις ἀ-
ποδειχθήσεται. μήποτε δὲ περινενοημένη μᾶλλόν ἐστιν ἡ τοιαύτη ἐξήγησις. οὐ γὰρ ὅτι εἰσὶν ἀρχαὶ φυ-
σικαὶ διὰ τούτων ὁ Ἀριστοτέλης δεῖξαι προτίθεται. ἀλλ' ὁμολογούμενον τοῦτο λαβὼν καὶ κατ' αὐ-
τούς, εἴπερ τὸ ὂν ἀντὶ τῆς ἀρχῆς ἔλεγον, ἐκ τούτου πειρᾶται τοὺς ἓν λέγοντας τὸ ὂν ὡς ἀρχὴν λέ-
γοντας διασαλεύειν. οὐ γὰρ ἔτι ἀρχή ἐστιν εἰ ἓν μόνον τὸ ὄν, καὶ οὕτως ἕν ἐστιν, ὡς δοκεῖ τοῖς πολλοῖς
ἓν λέγεσθαι τὸ ὄν, ὡς αὐτὸ μόνον. ἡ γὰρ ἀρχὴ τινὸς ἢ τινῶν ἐστιν. ὥστε καὶ πλῆθος αὐτῇ συνεισάγει.
ἅμα οὖν ἀναιρεῖ τὴν θέσιν αὐτῶν, καὶ ἐπισκήπτει τοῖς θεμένοις, ὅτι περὶ φύσεως σκοπεῖν δοκοῦν-
τες, τὴν φύσιν ἀνῄρουν. καὶ τὰ πρῶτα τμήματα τῆς διαιρέσεως συλλαβών, ἔστι δὲ ταῦτα εἰ μία καὶ
ἀκίνητος ἡ ἀρχή, προστάτας εὑρίσκει ταύτης τῆς δόξης Παρμενίδην καὶ Μέλισσον ἓν λέγοντας τὸ
ὄν, ἀντὶ τῆς ἀρχῆς τὸ ὂν τιθέντας. καὶ πρὸς τούτους εὐθὺς ἀντιλέγει, πρῶτον συμπλέξας τὴν τῆς
ἀρχῆς καὶ ὄντος ἔννοιαν, καθ' ἣν ὑπώπτευεν αὐτοὺς λέγειν. εἶτα κατὰ τὴν τοῦ ὄντος, ὥσπερ εἰκὸς ἦν
καὶ τοὺς πολλοὺς τοῦ ὀνόματος ἀκούοντας οἴεσθαι. καὶ τότε ἀπὸ τοῦ ἑνὸς ἐπιχειρεῖ. καὶ ἔοικε μέμφε-
σθαι εὐθύς, ὅτι τὴν μίαν τὴν ἀρχὴν τοῦ ὄντος εἰπεῖν ἓν τὸ ὂν εἶπον. καὶ τῇ τοῦ ὄντος ἐννοίᾳ ἀναιρεῖται
ἡ ἀρχή. καὶ περὶ τῆς τῶν ὄντων ἀρχῆς λέγοντες, καὶ τὴν ἀρχὴν ἀναιροῦσι καὶ τὴν φύσιν, ἓν καὶ ἀκί-
νητον λέγοντες τὸ ὄν. φύσεως δὲ ἀναιρεθείσης καὶ τῶν φυσικῶν ἀρχῶν, ἀνῄρηται καὶ φυσικὴ πᾶ-
σα θεωρία. ἐπειδὴ δὲ οὐ πᾶς λόγος ἄξιός ἐστιν ἀντιλογίας, μέλλων ἀντιλέγειν αὐτοῖς, αὐτὸ τοῦτο
πρῶτον ὑποδείκνυσι, κατὰ τί μὲν οὐκ ἄξιος ἀντιλογίας ὁ λόγος ἐστί. κατὰ τί δὲ καὶ οὕτως ἔχοντος
αὐτοῦ, οὐδὲν ὅμως κωλύει τὸ ἀντειπεῖν. οὐδεμία γὰρ τέχνη οὐδὲ ἐπιστήμη, πρὸς τὸν ἀναιροῦντα τὰς
ἀρχὰς αὐτῆς καὶ τὴν ὅλην σύστασιν, ἐπιστημονικῶς ὑπαντᾶν δύναται τῷ ἑαυτῆς λόγῳ. εἰ γὰρ δεῖ
τὸν φυσικὸν εἰ τύχοι ὡς φυσικόν, πάντα τὰ παρ' αὐτοῦ δεικνύμενα ἐκ τῶν φυσικῶν ἀρχῶν καὶ φυ-
σικῶς ἀποδεικνύναι, μὴ συγχωροῦνται δὲ αἱ ἀρχαὶ μηδὲ ἡ φυσικὴ θεωρία, πῶς ἂν ἔτι ἀποδείξῃ ὁ
φυσικὸς ᾗ φυσικός. ἀλλ' οὐδὲ ὁ γεωμέτρης, πρὸς τὸν ἀναιροῦντα τὰς γεωμετρικὰς ἀρχὰς καὶ τὴν
σύστασιν τῆς γεωμετρίας, ὡς γεωμετρικὸς διαλέξεται. οὐ γὰρ ἔχει ἀρχὰς ἀφ' ὧν διαλεχθήσεται.
συστῆσαι δὲ βουλόμενος τὰς ἀρχάς, ἢ ἐκ προτέρων ἢ ἐξ ὑστέρων αὐτὰς συστήσει. ἀλλ' εἰ ἐκ προτέρων
δηλονότι οὐ φυσικῶν οὐδὲ φυσικῶς. εἰ δὲ ἐξ ὑστέρων καὶ φυσικῶν, αἰτεῖν ἀνάγκη ταῦτα μήπω δῆλα
ὄντα, διὰ τὸ ἀναιρεῖσθαι τὰς ἀρχάς, ἐξ ὧν δείκνυσθαι δύναται αὐτά. ὡς ἔχει τὰ παρὰ τοῖς γεω-
μέτραις καλούμενα αἰτήματα. ἀλλ' ἀνάγκη τὰς ἑκάστων ἀρχάς, ἢ τὰς ἐπαναβεβηκυίας προσε-
χῶς αὐτῶν ἐπιστήμας ἐπιδεικνύναι, ὡς τὰς ἰατρικὰς τῆς φυσικῆς καὶ τὰς μηχανικὰς τῆς γεω-
μετρίας, ἢ πασῶν τινα κοινήν, οἵα ἐστὶν ἡ διαλεκτικὴ τῶν περιπατητικῶν. καὶ γὰρ ἐν τοῖς Τοπι-
κοῖς χρήσιμον ἐκείνην εἶπε τὴν μέθοδον, καὶ πρὸς τὰς κατὰ φιλοσοφίαν ἐπιστήμας. ἐξεταστικὴ γάρ
φησιν οὖσα, πρὸς τὰς ἁπασῶν τῶν ἐπιστημῶν ἀρχὰς ὁδὸν ἔχει. καὶ τοῦτο εἰκότως, εἴπερ ὁ σκοπὸς
τῆς διαλεκτικῆς ἐστι, περὶ παντὸς τοῦ προτεθέντος πράγματος συλλογίσασθαι ἐξ ἐνδόξων. δείξει
γὰρ ὁ διαλεκτικὸς εἰ τύχοι, ὅτι τὸ σημεῖον ἀμερές, καὶ ἡ γραμμὴ μῆκος ἀπλατές, καὶ τὸ ἐπίπεδον
ὅτι μῆκος καὶ πλάτος μόνον ἔχει, προσλαμβάνων ἀξίωμα κοινὸν ὅτι τὸ σῶμα τριχῇ διαστατόν, καὶ
ὅτι πᾶν τὸ περατοῦν τοῦ περατουμένου μιᾷ λείπεται διαστάσει. καὶ ἡ πρώτη δὲ φιλοσοφία πα-
σῶν ἀποδείξει τὰς ἀρχάς. διὸ καὶ τέχνη τεχνῶν καὶ ἐπιστήμη ἐπιστημῶν εὐφημεῖται. οὐκ ἔστιν οὖν
τοῦ φυσικοῦ διαλεχθῆναι πρὸς τὸν ἀναιροῦντα τὰς φυσικὰς ἀρχάς. πρὸς δὲ τοὺς καθόλου πᾶσαν
ἀρχὴν ἀναιροῦντας, τάχα οὐδενὸς ἂν εἴη διαλεχθῆναι. ἀναιροῦσι δὲ πᾶσαν ἀρχὴν οἱ ἓν μόνον λέγον-
τες τὸ ὄν, καὶ οὕτως ἓν ὡς μηδὲν ἄλλο παρ' αὐτὸ εἶναι. ἡ γὰρ ἀρχὴ συνάγει πάντως ἑαυτῇ, ἤ τι, ἤ τι-
νά, ὧν ἐστιν ἀρχή. ζητεῖ δὲ ὁ Ἀριστοτέλης ἐν τῇ μετὰ τὰ φυσικά, πότερον τὰς ἑκάστης ἐπιστήμης ἀρχὰς
καθ' ἑκάστην μία τίς ἐστιν ἡ δεικνύουσα, ἢ μιᾶς ἐπιστήμης ἐστὶ θεωρῆσαι κοινῆς τινος πασῶν τῶν ἐπιστημῶν.
καὶ Εὔδημος δὲ ἀρχόμενος τῶν φυσικῶν, ζητεῖ μὲν φιλοκάλως τὸ πρόβλημα. τὴν δὲ λύσιν εἰς ἄλ-

λας πραγμα

» λας πραγματείας τελεωτέρας ὑπερτίθεται. λέγει δὲ οὕτως. Πότερον δὲ ἑκάστη τὰς αὐτῆς
» ἀρχὰς εὑρίσκει τε καὶ κρίνει, ἢ καθ' ἑκάστην ἑτέρα τις, ἢ περὶ πάσας μία τίς ἐστι, διαπορήσειεν ἄν
» τις. οἱ γὰρ μαθηματικοὶ τὰς οἰκείας ἀρχὰς ἐνδείκνυνται. καὶ τί λέγουσιν ἕκαστον, ὁρίζονται. ὁ δὲ
» μηδὲν συνιδὼν, γελοῖος ἂν εἶναι δόξειεν, ἐπιζητῶν τί ἐστι γραμμὴ καὶ τῶν ἄλλων ἕκαστον. περὶ δὲ τῶν
» ἀρχῶν οἵας αὐτοὶ λέγουσιν, οὐδ' ἐπιχειροῦσιν ἀποφαίνειν. ἀλλ' οὐδέ φασιν αὐτῶν εἶναι ταῦτα ἐπι-
» σκοπεῖν. ἀλλὰ τούτων συγχωρουμένων τὰ μετὰ ταῦτα δεικνύουσιν. εἰ δὲ ἔστιν ἑτέρα τις περὶ τὰς
» γεωμετρικὰς ἀρχὰς, ὁμοίως δὲ καὶ τὰς ἀριθμητικὰς, καὶ τῶν ἄλλων ἕκαστα, πότερον μία τις περὶ
» τὰς ἁπασῶν ἀρχάς ἐστιν, ἢ καθ' ἑκάστην ἄλλη. εἴτε δὲ μία ἐστὶ κοινή τις, εἴτε καθ' ἑκάστην ἰδία, δεήσει καὶ
» ἐν αὐταῖς ἀρχάς τινας εἶναι. πάλιν οὖν ἐπιζητήσεται τὸν αὐτὸν τρόπον, εἰ καὶ τῶν οἰκείων ἀρχῶν
» εἰσὶν αὗται, ἢ ἄλλαι τινές. ἑτέρων μὲν οὖν γινομένων, εἰς ἄπειρον πρόεισιν. ὥστε οὐκ ἔσονται τῶν ἀρ-
» χῶν ἐπιστῆμαι. ἀρχαὶ γὰρ εἶναι δοκοῦσιν αἱ ἀνωτέραι ἀεί. εἰ δὲ στήσονται καὶ ἔσονταί τινες, ἢ καὶ μία
» τις τῶν ἀρχῶν οἰκεία ἐπιστήμη, ζητήσεται καὶ λόγου δεήσει, διὰ τί αὕτη μόνη ἐστὶ τῶν τε ὑφ' ἑαυτὴν
» καὶ τῶν οἰκείων ἀρχῶν, αἱ δὲ ἄλλαι οὔ. πλασματικῷ γὰρ ἔοικε τὸ ἴδιον, εἰ μὴ διαφορά τις ἐμφέρε-
» ται. ταῦτα μὲν οὖν ἑτέρας ἂν εἴη φιλοσοφίας ἀκριβοῦν. Ταύτην τὴν τοῦ εὐδήμου λέξιν σαφῶς
ἐκτιθεμένην τὴν τῷ προβλήματι προσήκουσαν ἀπορίαν, ὅλην παρεθέμην τοῖς ζητητικωτέροις.
καὶ ὁ μὲν εὔδημος τὴν ἀπόκρισιν ὡς εἶπον εἰς τελεωτέρας πραγματείας ἀνεβάλετο. συντόμως
δὲ ῥητέον, ὅτι τῶν καθ' ἑκάστην τέχνην καὶ ἐπιστήμην ἀρχῶν, αἱ μὲν εἰσὶν αὐτόπιστοι. καὶ διὰ τοῦτο γνώ-
ριμοι καὶ αὐταῖς ταῖς ἐπιστήμαις ὧν εἰσὶν ἀρχαί. ὥσπερ αἱ ἐν γεωμετρίᾳ καλούμεναι κοιναὶ ἔννοιαι.
καὶ οἱ ὅροι δὲ, καὶ γὰρ καὶ αὐτοὶ ἀναπόδεικτοι βούλονται εἶναι. διὸ καὶ ἐξ ὁρισμῶν αἱ κυρίως εἰσὶν
ἀποδείξεις, ὡς ἐξ ἀμέσων προτάσεων. αἱ δὲ εἰσὶν οἷον ἐξ ὑποθέσεως. οἷαί εἰσιν αἱ τῶν ὅρων ὑποστάσεις.
τὸ μὲν γὰρ τὸ σημεῖον ἀμεροῦς τινος ἔννοιαν παρέχεσθαι, καὶ τὴν γραμμὴν ἀπλατοῦς μήκους αὐτό-
πιστόν ἐστι. τὸ δὲ εἶναι ὅλως τι ἀμερὲς ἐν τοῖς μεγέθεσι, καὶ ἀπλατὲς ἐν τοῖς πεπλατυσμένοις, τοῦτο
ὁ γεωμέτρης ὡς ἀρχὴν λαμβάνει, οὐκ ἀποδεικνὺς αὐτήν. ἀλλ' ἀποδείκνυσιν αὐτὴν ὁ πρῶτος φιλόσο-
φος ἀπ' αὐτοπίστων καὶ ἀναποδείκτων ἀρχῶν. οὗτος δέ ἐστιν ὁ κατὰ πλάτωνα διαλεκτικός. ὁ δὲ
κατὰ ἀριστοτέλην, ὁ περὶ παντὸς τοῦ προτεθέντος προβλήματος συλλογιζόμενος ὡς εἴρηται ἐξ
ἐνδόξων, πρότερον ἐνδόξοις ἀρχαῖς χρῆται. καὶ οὕτως οὔτε ἐπ' ἄπειρον ἥξομεν, ἀρχὰς πρὸ ἀρ-
χῶν τιθέντες, εἰς ἀναποδείκτους γὰρ καὶ αὐτοπίστους ἀρχὰς καταντήσομεν, οὔτε ἐπιστήμη τῶν ἀρ-
χῶν ἔσται ἐκείνῳ, οὗ εἰσιν ἀρχαὶ, εἴπερ ἡ ἐπιστήμη συλλογισμὸς ἀποδεικτικὸς, ὁ δὲ συλλογισμὸς ἐξ
ἀρχῶν ἐγνωσμένων. ἀλλ' αἱ ἄλλου ἀρχαὶ ἄλλῳ κατ' ἐπιστήμην εἰσὶν ἐγνωσμέναι, ὅτι ἐξ ἄλλων ἀρ-
χῶν αὐτοπίστων καὶ ἀναποδείκτων ἀποδείκνυσιν. ὥστε πρὸς τοὺς ἀναιροῦντας τὰς φυσικὰς ἀρχὰς
οὐκ ἂν εἴη τοῦ φυσικοῦ διαλεχθῆναι. ἢ γὰρ ἐκ προτέρων ὡς εἴρηται, καὶ οὐκέτι ὡς φυσικός. ἢ ἐξ ὑστέ-
ρων, καὶ αἰτήσεται εἶναι τὰς ἀρχὰς, ὧν ὕστερα τὰ ἐξ ὧν ἀποδείκνυσι. μὴ γὰρ οὐσῶν τῶν ἀρχῶν, οὐ-
δὲ τὰ ὕστερα τῶν ἀρχῶν ἔσται. διόπερ ὥς φησιν ὁ ἀλέξανδρος, καὶ αὐτὸς ἀριστοτέλης ἐπειδὰν λέ-
γῃ πρὸς τοὺς ἓν καὶ ἀκίνητον τὸ ὂν λέγοντας εἶναι, οἵτινες ἀναιροῦσι τὰς φυσικὰς ἀρχὰς, οὐχ ἡ φυσι-
κὸς ἐρεῖ, ἀλλ' ἡ φιλόσοφος. μήποτε δὲ ἐπιστημονικῶς μὲν ἀδύνατός ἐστιν ὁ φυσικὸς ἀντιλέγειν, πρὸς
τὸν ἀναιροῦντα τὰς φυσικὰς ἀρχὰς, ἐπιστημονικῶς δὲ οὕτως ὡς ἐξ ἀρχῶν τοῦ πράγματος. οὐ γὰρ
οἶδεν αὐτὸς ὁ φυσικὸς τῶν φυσικῶν ἀρχῶν ἄλλας ἀρχὰς ἀνωτέρω. ἐξ ἀρχῶν δὲ τῆς ἀποδείξεως δύ-
ναται δεικνύναι. ἀρχαὶ δὲ ἀποδείξεως καὶ τὰ φαινόμενα ἐκ τῆς ἐναργοῦς αἰσθήσεως καὶ τῶν κατὰ
μέρος, καὶ ὅλως ἡ ἐπαγωγὴ καλουμένη. τοιγαροῦν καὶ ἀριστοτέλης πρὸς μὲν τοὺς ἓν τὸ ὂν λέγον-
τας ὑπαντᾷ, δεικνὺς ὅτι ἔστι καὶ οὐσία καὶ ποσὸν καὶ ποιὸν ἐν τοῖς οὖσι. ταῦτα δὲ οὐχ ἕν. πρὸς δὲ
τοὺς ἀκίνητον, ἡμῖν δ' ὑποκείσθω φησὶ τὰ φύσει ἢ πάντα ἢ ἔνια κινούμενα. δῆλον δὲ ἐκ τῆς ἐπα-
γωγῆς. ὥστε ὁ φυσικὸς οὐ παντὸς ἀπορήσει λόγου πρὸς τὸν ἀναιροῦντα τὰς φυσικὰς ἀρχάς. οὐ γὰρ
δὴ καὶ τοῦ ἐκ τῶν ἀρχῶν τῆς ἀποδείξεως, ἀλλὰ τοῦ ἐκ τῶν ἀρχῶν τῶν ἀρχῶν. ταύτην δὲ τὴν δόξαν
φησὶν ὁ ἀλέξανδρος πρώτην ὁ ἀριστοτέλης προχειρίζεται, διότι αὕτη τήν τε φύσιν καὶ τὰς φυσι-
κὰς ἀρχὰς ἀναιρεῖ. ἀποσκευασάμενος οὖν αὐτὴν, καὶ πιστωσάμενος τὸ εἶναί τε τὴν φύσιν καὶ ἀρχὰς
εἶναι τῶν φυσικῶν, οὕτω καὶ ἐπὶ τὰς ἄλλας δόξας τὰς περὶ τῶν φυσικῶν ἀρχῶν εἰρημένας με-
τελεύσεται.

ὍΜΟΙΟΝ δὴ τὸ σκοπεῖν εἰ οὕτως ἕν, καὶ πρὸς ἄλλην θέσιν ὁποιανοῦν διαλέγεσθαι τῶν λόγου ἕνε-
κα λεγομένων. οἷον, τὴν ἡρακλείτειον, ἢ εἴ τις φαίη ἄνθρωπον ἓν τὸ ὂν εἶναι, ἢ λύειν λόγον ἐριστικὸν, ὅ-
περ ἀμφότεροι μὲν ἔχουσιν οἱ λόγοι καὶ ὁ μελίσσου καὶ ὁ παρμενίδου. καὶ γὰρ ψευδῆ λαμβάνου-
σι, καὶ ἀσυλλόγιστοί εἰσι.

Πολλοὶ τρόποι λόγων εἰσίν. οἷς ἀντιλέγειν οὐ χρὴ τὸν φιλοσόφως καὶ νομίμως διαλεγόμενον. οὔτε γὰρ
πρὸς τοὺς ἀναιροῦντας τὰς ἀρχὰς τῶν τοῖς προσδιαλεγομένοις ὑποκειμένων πραγμάτων, οὔτε
πρὸς τοὺς παράδοξα καὶ ἀπεμφαίνοντα λέγοντας. τοιαῦται γὰρ αἱ θέσεις. ὡς ἡράκλειτος τὸ ἀγα-

θὸν καὶ τὸ κακὸν εἰς ταυτὸν λέγων συνιέναι, δίκην τόξου καὶ λύρας. ὃς καὶ ἐδόκει θέσιν λέγειν, διὰ
τὸ οὕτως ἀδιορίστως φάναι. ἐνεδείκνυτο δὲ τὴν ἐν τῇ γενέσει ἐναρμόνιον μίξιν τῶν ἐναντίων. ὡς καὶ
ὁ πλάτων ἐν σοφιστῇ τῆς ἡρακλείτου δόξης ἀπεμνημόνευσε, παραθεὶς αὐτῇ καὶ τὴν ἐμπεδοκλέους.
» λέγει δὲ οὕτω. ἰάδες δὲ καὶ σικελικαί τινες ὕστερον μοῦσαι, ξυνενόησαν ὅτι συμπλέκειν ἀσφαλέστα-
» τον ἀμφότερα, καὶ λέγειν ὡς τὸ ὂν πολλά τε καὶ ἕν ἐστι. καὶ ἔχθρα καὶ φιλία συνέχεται. διαφε-
» ρόμενον γὰρ δὴ συμφέρεταί φασιν αἱ συντονώτεραι τῶν μουσῶν. ἰάδας καὶ συντονωτέρας τὰς
ἡρακλείτου καλῶν μούσας. αἱ δὲ μαλθακώτεραί φησι, μαλακωτέρας δὲ καὶ σικελὰς διότι δή ποτε
» τὰς ἐμπεδοκλέους καλεῖ, αὗται οὖν φησι, τὸ μὲν ἀεὶ οὕτως ἔχειν ἐχάλασαν. ἐν μέρει δὲ τοτὲ μὲν
» ἓν εἶναί φασι τὸ πᾶν καὶ φίλον ὑπ' ἀφροδίτης. τοτὲ δὲ πολλὰ καὶ πολέμιον αὐτὸ ἑαυτῷ διὰ νεῖκός τι.
ἀσαφεστέρας δὲ οὔσης τῆς ἡρακλείτου δόξης, σαφέστερον ἐπήνεγκε παράδειγμα παραδοξολογί-
ας ὁ ἀριστοτέλης, καὶ ἅμα οἰκειότερον, εἰπών, ἢ ὥσεί τις ἕνα ἄνθρωπον τὸ ὂν λέγοι. τοῦτο γὰρ οἰκειό-
τερον τῆς προκειμένης ἐστὶ παραδοξολογίας παράδειγμα. ἔστι δὲ καὶ ἄλλος τρόπος, ὁ μὴ μόνον ἀπο-
φαντικῶς παραδοξολογῶν, ἀλλὰ καὶ συλλογίζεσθαι δοκῶν, οὐκ ἐξ ἀληθῶν μέντοι οὐδὲ ἐξ ἐνδόξων
προτάσεων, ἀλλ' ἐκ φαινομένων ἐνδόξων. οἷοί τινές εἰσιν οἱ σοφιστικοὶ παραλογισμοί. καὶ ἵνα συνελὼν
εἴπω, ἑκάστου τῶν ψευδῆ δόξαν εἰσαγόντων, ἢ φυλάττει τὰς ἀρχὰς τῶν ὑποκειμένων τῇ δόξῃ, καὶ
δεῖ πρὸς αὐτὸν τοὺς φυσικοὺς ἀγωνίζεσθαι. ἢ ἀναιρεῖ, καὶ οὐδεὶς πρὸς αὐτὸν λόγος τῷ φυσικῷ. πά-
λιν δὲ ἢ ἀποφαντικῶς αὐτὴν εἰσάγει, ἢ καὶ συλλογισμῷ δοκεῖ χρῆσθαι. καὶ εἰ ἀποφαντικῶς εἰσά-
γει, ἢ τῶν εὐπαραδέκτων τί ἐστι καὶ πιθανῶν, καὶ δεῖ πρὸς τοῦτον ἀντιλέγειν, ὡς οὐκ αὐτόθεν ἔχον-
τα τὸ ἀπίθανον καὶ ψεῦδος λέγῃ. ἢ τῶν ἀπεμφαινόντων καὶ παραδόξων. καὶ οὐδεὶς ἂν εἴη λόγος τῷ
πρὸς ἀλήθειαν νεύοντι. οὐδὲ γὰρ τοῦ διαλεκτικοῦ ἂν εἴη διαλέγεσθαι, πρὸς τὸν τὸ δίκαιον λέγον-
τα τὴν στοάν. εἰ δὲ καὶ συλλογίζεσθαι ἐπιχειροίη φιλονείκως ψευδόμενος, εἰ μὲν ἐξ ἐνδόξων προτά-
σεων ποιοῖτο τὸν συλλογισμόν, ἐλεγκτέον τὴν ἀπάτην, κἂν μὴ δι' ἑαυτόν, ἀλλὰ διὰ τοὺς ἐπιπολαί-
ους ἀκροατάς. εἰ δὲ μηδὲ τὸ ἔνδοξον ἔχοιεν αἱ προτάσεις, ἀλλ' ἐριστικῶς μόνον προάγοιντο, ἀλαζόν-
των μᾶλλον δὲ ἀλόγων ἡ ἀντιλογία. εἰ τοίνυν ὁ παρμενίδου καὶ μελίσσου λόγος καὶ τὰς ἀρχὰς ἀναι-
ρεῖ τὰς φυσικάς, καὶ παράδοξόν τι καὶ ἀπεμφαῖνον τίθεται, ἓν λέγων εἶναι τὸ ὄν, καὶ ἐν τῷ συλλο-
γίζεσθαι βούλεται οὐ μόνον ψευδεῖς λαμβάνειν προτάσεις, ἀλλὰ καὶ ἀσυλλογίστως συνάγειν, διὰ
ταῦτα πάντα οὐκ ἂν ἄξιος ἀντιλογίας εἴη, καὶ μάλιστα τῷ φυσικῷ, οὗ τὰς ἀρχὰς ἀναιρεῖ. διττῆς
δὲ οὔσης τῆς τοῦ συλλογισμοῦ κακίας, μᾶλλον δὲ παντὸς συνθέτου, τῆς τε παρὰ τὰ ἐξ ὧν σύγκει-
ται, καὶ τῆς παρὰ τὴν σύνθεσιν, ἀμφοτέρως ἐγκαλεῖ τούτοις τοῖς λόγοις. καὶ γὰρ αἱ προτάσεις
ψευδῶς εἰσιν εἰλημμέναι. καὶ ὁ τρόπος τῆς συνθέσεως μὴ κατὰ τὸ σχῆμα συλλογιστικὸς ὢν ἡμάρτηται.
καὶ ἔστι τῶν μὴ ἀναγκαίως τι συναγόντων. ὁ μέντοι ἀλέξανδρος οὕτω φησὶ ταῦτα λέγειν τὸν ἀρι-
στοτέλη, ὡς θέσεως μὲν παραδόξου οὔσης τῆς ἡρακλειτείου, καὶ τοιαύτης ὡς εἴ τις ἄνθρωπον ἕνα
τὸ ὂν λέγοι, ἐριστικῶν δὲ ὄντων λόγων τουτέστι σοφισμάτων τοῦ τε παρμενίδου καὶ μελίσσου, διὰ
τὴν λέξιν, τῶν λόγου ἕνεκα λεγομένων, τουτέστι τῶν μὴ μαρτυρουμένων ὑπὸ τῶν πραγμάτων περὶ
ὧν λέγονται, ἀλλὰ ψευδῶν τε καὶ κενῶν. ταῦτα τοῦ ἀλεξάνδρου καὶ αὐτῇ λέγοντος λέξει, ἐπισημ-
αίνομαι ὅτι οὐ τὸν ἡρακλείτου μόνον λόγον θέσιν οἴεται ὁμοίαν τῇ λεγούσῃ ἄνθρωπον ἕνα τὸ ὄν. ἀλ-
λὰ καὶ τούτους τοὺς λόγους ὡς θέσεις ὄντας ὁμοίας τῇ ἡρακλειτείῳ, ἢ ἔτι οἰκειοτέρας τῇ λεγούσῃ
ἕνα ἄνθρωπον εἶναι τὸ ὄν, ἀποσκευάζεται. λέγει γοῦν ὅμοιον δὴ τὸ σκοπεῖν εἰ οὕτως ἕν, καὶ πρὸς ἄλ-
λην θέσιν ὁποιανοῦν διαλέγεσθαι καὶ τὰ ἑξῆς, ὡς δὴ καὶ ταύτης θέσεως οὔσης. θαυμάζω δὲ ὅτι καὶ
λόγου ἕνεκεν νομίζων μόνον τούτους λέγεσθαι τοὺς λόγους ὁ ἀλέξανδρος, ὅμως θέσεις αὐτοὺς οὐκ
οἴεται, ἀλλ' ἐριστικοὺς μόνον λόγους, καίτοι τοῦ ἀριστοτέλους σαφῶς εἰπόντος τὰς θέσεις λόγου ἕνε-
κεν μόνου λέγεσθαι, μὴ μαρτυρουμένου ὑπὸ τῶν πραγμάτων.

M ΑΛΛΟΝ δὲ ὁ μελίσσου, φορτικὸς, καὶ οὐκ ἔχων ἀπορίαν. ἀλλ' ἑνὸς ἀτόπου δοθέντος, τὰ ἄλλα συμ-
βαίνει. τοῦτο δὲ οὐδὲν χαλεπόν.

M μᾶλλον δὲ φορτικὸν εἶναι τὸν μελίσσου φησί, διότι μὴ μόνον ἓν οὕτως καὶ ἀκίνητον τὸ ὂν ἔλεγεν, ὥσπερ
ὁ παρμενίδης, ἀλλὰ πρὸς τούτῳ καὶ ἄπειρον αὐτὸ ἐτίθετο. τοιγαροῦν κοινῶς πρὸς αὐτοὺς ἀντει-
πών, ἐπήγαγε. μέλισσος δὲ τὸ ὂν ἄπειρον εἶναί φησι. ποσὸν ἄρα τι τὸ ὄν. φορτικὸς οὖν, ὅτι τὸ ποσὸν
εἰσαγαγών, ὅπερ ἀνάγκη ἐν ὑποκειμένῳ οὐσίᾳ εἶναι, ἓν ὅμως ἐτίθετο τὸ ὄν. οὐκ ἔχειν δὲ ἀπορίαν εἶπεν,
ὡς εὐδιάλυτον καὶ μὴ ποιοῦντα ἀπορεῖν, διὰ τὸ ἐπιπόλαιον εἶναι. ὁ γὰρ δριμὺς λόγος ἐστίν, ὁ δάκνων
τε καὶ ἀπορεῖν ποιῶν, ὡς ἐν σοφιστικοῖς ἐλέγχοις εἴρηται. ἀλλ' ἑνός φησιν ἀτόπου δοθέντος, τὰ ἄλλα
συμβαίνει. καὶ γὰρ καὶ ἀκίνητον ἀνάγκη εἶναι εἰ ἕν ἐστιν. καὶ οὕτως ἓν ὡς αὐτὸ μόνον εἶναι. κινούμενον
γάρ, καὶ κίνησιν καὶ μεταβολὴν ἕξει. καὶ τὸ πόθεν. ποῖ. εἴτε ἀπὸ διαθέσεως εἰς διάθεσιν. εἴτε ἀπὸ τό-
που εἰς τόπον. εἴτε ὁπωσοῦν. καὶ ἄπειρον δὲ ἀνάγκη εἶναι. πέρας γὰρ ἔχον, ἕξει τό, τε πέρας καὶ τὸ
περατούμενον. τοιγαροῦν καὶ ὁ πλάτων ἐκ τοῦ ὅλον καὶ σφαίρᾳ ὅμοιον εἰπεῖν τὸ ὂν τὸν παρμενίδην,

πάντοθεν εὐκύκλου σφαίρης ἐναλίγκιον ὄγκῳ, δείκνυσιν ὅτι οὐκ ἔστιν ἕν, ἔχον μέσον ἔσχατα καὶ μέρη. γέγραπται δὲ ἐν σοφιστῇ τάδε. εἰ τοίνυν ὅλον ἐστὶν ὥσπερ καὶ παρμενίδης λέγει, πάντοθεν εὐκύκλου σφαίρης ἐναλίγκιον ὄγκῳ, μεσσόθεν ἰσοπαλὲς πάντη, τὸ, οὔτε τι μεῖζον οὔτε τι βαιότερον πελέμεν χρεών ἐστι τῇ, ἢ τῇ. τοιοῦτο δὲ ὄν, μέσον τε καὶ ἔσχατον ἔχει. ταῦτα δὲ ἔχον, πᾶσα ἀνάγκη μέρη ἔχειν. ἢ πῶς. οὕτως. ἀλλὰ μὴν τό γε μεμερισμένον πάθος μὲν τοῦ ἑνὸς ἔχειν ἐπὶ τοῖς μέρεσι πᾶσιν οὐδὲν ἀποκωλύει, καὶ ταύτῃ δὴ πᾶν τε ὂν καὶ ὅλον εἶναι. τί δὲ οὔ. τὸ δὲ πεπονθὸς ταῦτα ἆρ' οὐκ ἀδύνατον αὐτό γε, τὸ ἓν αὐτὸ εἶναι. οὐδὲν δέ φησι χαλεπὸν ἀλλὰ καὶ ἀναγκαῖον, τῷ ἑνὶ ἀτόπῳ τεθέντι ἄλλα ἄτοπα συμβαίνειν. ἢ ὅτι οὐδὲν δύσκολόν ἐστι συνιδεῖν, πῶς τῷ ἑνὶ δοθέντι ἀτόπῳ τὰ ἄλλα ἄτοπα συμβαίνει.

Ἡμῖν δὲ ὑποκείσθω τὰ φύσει, ἢ πάντα, ἢ ἔνια κινούμενα εἶναι. δῆλον δὲ ἐκ τῆς ἐπαγωγῆς.


Ἐκεῖνοι μὲν οὖν καὶ ἀκίνητον τὸ ὂν ὑποθέμενοι, πολλοῖς περιπεπτώκασιν ἀτόποις. ἡμῖν δὲ ὑποκείσθω τὰ φύσει ἢ πάντα ἢ ἔνια κινούμενα. ἡ δὲ ὑπόθεσις οὐκ ἔστι θέσις. οὐδὲ παράδοξόν τι ἢ ἀπεμφαῖνον εἰσάγει. οὐδὲ διὰ τοῦ λῦσαι τοὺς ἐναντίους λόγους βεβαιοῦται. ἀλλ' ἔστιν ἐκ τῆς ἐπαγωγῆς γνώριμος. καὶ γὰρ ὁρῶμεν πολλὰ κινούμενα τῶν φύσει. κινεῖται μὲν οὖν πάντα τὰ φύσει, εἴπερ ἡ φύσις ἀρχὴ κινήσεώς ἐστι. πλὴν τὸ ἀναμφίλεκτον ὑποκείσθω, ὅτι ἔνια τῶν φύσει κινεῖται. καὶ γὰρ ζῶα καὶ φυτὰ πάντα κινούμενα φαίνεται. καὶ τὰ ἁπλᾶ στοιχεῖα, καὶ ὁ οὐρανὸς, καὶ τὰ ἐν οὐρανῷ ἄστρα. εἰκὸς δὲ αὐτὸν τὸ πάντα ἢ ἔνια εἰπεῖν, διότι οἱ πόλοι καὶ τὰ κέντρα τοῦ παντὸς καὶ οἱ ἄξονες, φύσει ὄντες καὶ οὗτοι, ἀκίνητοί εἰσι. δῆλον οὖν ὅτι τῶν κινουμένων τὰ ὄντα. ἢ ὡς ἀλέξανδρός φησιν, ἡ ψυχή. ὑποτίθεται δὲ νῦν κινεῖσθαι οὐχὶ τὰς φυσικὰς ἀρχὰς, ἀλλὰ τὰ φύσει, ὧν ζητεῖ τὰς ἀρχάς. ἀλλὰ κἀνταῦθα ὁ ἀλέξανδρος ὁμολογεῖ ὅτι ὡς ἀρχὴν τοῦτο λαμβάνει, οὐχὶ τὴν φύσει, ἀλλὰ τὴν πρὸς ἡμᾶς ἀρχὴν, οὐ τοῦ πράγματος οὖσαν δηλονότι, ἣν γὰρ αὐτὴ τῇ φύσει πρώτη, ἀλλὰ τῆς ἀποδείξεως. ἥτις καὶ ἀπὸ τῶν ὑστέρων ἐναργῶς λαμβάνεται. ὥσπερ ἡ ἐπαγωγὴ ἐκ τῶν κατὰ μέρος τὸ καθόλου πιστοῦται, οὐ τὸ ὕστερον τῇ φύσει, ἀλλὰ τὸ πρότερον.

Ἅμα δὲ, οὐδὲ λύειν ἅπαντα προσήκει, ἀλλ' ἢ ὅσα ἐκ τῶν ἀρχῶν τις ἐπιδεικνὺς, ψεύδεται. ὅσα δὲ μὴ, οὔ. οἷον, τὸν τετραγωνισμόν. τὸν μὲν διὰ τῶν τμημάτων, γεωμετρικοῦ διαλῦσαι. τὸν δὲ ἀντιφῶντος, οὐ γεωμετρικοῦ.


Τῇ ἓν καὶ ἀκίνητον λεγούσῃ θέσει, ἀντιθεὶς τὸ τὰ φύσει ἢ πάντα ἢ ἔνια κινεῖσθαι, μαρτυρούμενον ὑπὸ τῆς ἐναργείας, ἵνα μή τις εἴπῃ, ὅτι τὸ ζητούμενον ὡς ὁμολογούμενον ὑποθέτου, τὴν αἰτίαν τοῦ ὑποθέσθαι τὸ ἀληθὲς πρὸ τοῦ τὸ ψευδὲς ἐλέγξαι προστίθησιν. ὅτι ἅμα τῷ εὔκολον εἶναι καὶ μηδὲν ἔχειν χαλεπὸν, τὸ συνιδεῖν τὰ συμβαίνοντα τῷ ὑποτεθέντι ἀτόπῳ, οὐδὲ λύειν ἅπαντα προσήκει τὰ ψευδῶς λεγόμενα. ἀλλ' ἐκεῖνα μόνα, ὅσα ἐκ τῶν ἀρχῶν τοῦ προσδιαλεγομένου ἐπιδεικνύς τις ψεύδεται. ὅσα δὲ μὴ, οὔ. οἱ δὲ ἓν καὶ ἀκίνητον λέγοντες οὔτε ἀρχὴν οὔτε τὴν φύσιν φυλάττουσιν. οὐδὲν οὖν ἄτοπον, καὶ πρὸ τοῦ λῦσαι τοὺς ἐναντίους λόγους, ὑποθέσθαι τὰ ἐκ τῆς ἐναργείας μαρτυρούμενα, εἴπερ οὐδὲ λύειν ἅπαντα ἀνάγκη. τὸ δὲ διάφορον τοῦτο τῶν τε λύεσθαι ὀφειλόντων ψευδῶν, καὶ τῶν μὴ, δείκνυσιν ἐπί τινων ἐν γεωμετρίᾳ ψευδογραφημάτων. τὸν γὰρ τετραγωνισμὸν τοῦ κύκλου πολλῶν ζητούντων, τοῦτο δὲ ἦν τὸ τῷ κύκλῳ ἴσον τετράγωνον θέσθαι, καὶ ἀντιφῶν ἐνόμισεν εὑρίσκειν καὶ ἱπποκράτης, ὁμοίως ψευσθέντες. ἀλλὰ τὸ μὲν ἀντιφῶντος ψεῦδος, διὰ τὸ μὴ ἀπὸ γεωμετρικῶν ἀρχῶν ὡρμῆσθαι ὡς μαθησόμεθα, οὐκ ἔστι γεωμετρικοῦ λύειν. τὸ δὲ ἱπποκράτους, ἐπειδὴ τὰς ἀρχὰς φυλάξας τὰς γεωμετρικὰς ἐψεύσθη, γεωμετρικοῦ λύειν. ἐκείνους γὰρ δεῖ λύειν μόνους τοὺς λόγους, ὅσοι τηροῦντες τὰς οἰκείας ἀρχὰς τῆς μεθόδου, οὕτω παρασυλλογίζονται. τοὺς δὲ δι' ὧν παρακρούονται ἀναιροῦντες τὰς ἀρχὰς, οὐ λυτέον. ὁ δὲ ἀντιφῶν γράψας κύκλον, ἐνέγραψέ τι χωρίον εἰς αὐτὸν πολύγωνον, τῶν ἐγγράφεσθαι δυναμένων. ἔστω δὲ εἰ τύχοι τετράγωνον τὸ ἐγγεγραμμένον. ἔπειτα ἑκάστην τῶν τοῦ τετραγώνου πλευρῶν δίχα τέμνων, ἀπὸ τῆς τομῆς ἐπὶ τὰς περιφερείας πρὸς ὀρθὰς ἦγε γραμμάς. αἳ δηλονότι δίχα ἔτεμνον ἕκαστον τὸ καθ' αὑτὴν τμῆμα τοῦ κύκλου. ἔπειτα ἀπὸ τῆς τομῆς ἐπεζεύγνυεν ἐπὶ τὰ πέρατα τῶν γραμμῶν τοῦ τετραγώνου εὐθείας, ὡς γίνεσθαι τέσσαρα τρίγωνα τὰ ἀπὸ τῶν εὐθειῶν, τὸ δὲ ὅλον τὸ ἐγγεγραμμένον σχῆμα ὀκτάγωνον. καὶ οὕτω πάλιν κατὰ τὴν αὐτὴν μέθοδον, ἑκάστην τῶν τοῦ ὀκταγώνου πλευρῶν δίχα τέμνων, ἀπὸ τῆς τομῆς ἐπὶ τὴν περιφέρειαν πρὸς ὀρθὰς ἄγων, καὶ ἐπιζευγνὺς ἀπὸ τῶν σημείων, καθ' ἃ αἱ πρὸς ὀρθὰς ἀχθεῖσαι ἐφήπτοντο



τῶν περιφερειῶν, εὐθείας ἐπὶ τὰ πέρατα τῶν διῃρημένων εὐθειῶν, ἑκκαιδεκάγωνον ἐποίει τὸ ἐγγραφόμενον. καὶ κατὰ τὸν αὐτὸν λόγον πάλιν τέμνων τὰς πλευρὰς τοῦ ἑκκαιδεκαγώνου τοῦ ἐγγεγραμμένου, καὶ ἐπιζευγνὺς εὐθείας, καὶ διπλασιάζων τὸ ἐγγραφόμενον πολύγωνον, καὶ τοῦτο ἀεὶ ποιῶν, ἕως οὗ δαπανωμένου ταύτῃ τοῦ ἐπιπέδου, ἔμελλεν ἐγγραφήσεσθαί τι πολύγωνον τούτῳ τῷ τρόπῳ ἐν τῷ κύκλῳ, οὗ αἱ πλευραὶ διὰ μικρότητα ἐφαρμόσουσι τῇ τοῦ κύκλου περιφερείᾳ. παντὶ δὲ πολυγώνῳ ἴσον τετράγωνον δυνάμεθα θέσθαι, ὡς ἐν τοῖς στοιχείοις παρελάβομεν. ὥστε διὰ τὸ ἴσον ὑποκεῖσθαι τὸ πολύγωνον τῷ κύκλῳ, ἐφαρμόζοντες τετράγωνον ἴσον αὐτῷ, ἐσόμεθα καὶ κύκλῳ ἴσον τιθέντες τετράγωνον. καὶ δῆλον ὅτι ἡ συναγωγὴ παρὰ τὰς γεωμετρικὰς ἀρχὰς γέγονεν. οὐχ ὡς ὁ ἀλέξανδρος δέ φησιν, ὅτι ὑποτίθεται μὲν ὁ γεωμέτρης τὸν κύκλον τῆς εὐθείας κατὰ σημεῖον ἅπτεσθαι ὡς ἀρχήν. ὁ δὲ ἀντιφῶν ἀναιρεῖ τοῦτο. οὐ γὰρ ὑποτίθεται ὁ γεωμέτρης τοῦτο. ἀλλ' ἀποδείκνυσιν αὐτὸ ἐν τῷ ὀγδόῳ βιβλίῳ. ἄμεινον οὖν εἶναι ἀρχὴν λέγειν, τὸ ἀδύνατον εἶναι εὐθεῖαν ἐφαρμόσαι περιφερείᾳ. ἀλλ' ἡ μὲν ἐκτὸς κατὰ ἓν σημεῖον ἐφάπτεται τοῦ κύκλου. ἡ δὲ ἐντὸς κατὰ δύο μόνον καὶ οὐ πλείω. καὶ ἡ ἐπαφὴ κατὰ σημεῖον γίνεται. καὶ μέντοι τέμνων ἀεὶ τὸ μεταξὺ τῆς εὐθείας καὶ τῆς τοῦ κύκλου περιφερείας ἐπίπεδον, οὐ δαπανήσει αὐτό. οὐδὲ καταλήψεταί ποτε τὴν τοῦ κύκλου περιφέρειαν, εἴπερ ἐπ' ἄπειρόν ἐστι διαιρεῖν τὸ ἐπίπεδον. εἰ δὲ καταλαμβάνει, ἀνῄρηταί τις ἀρχὴ γεωμετρική, ἡ λέγουσα ἐπ' ἄπειρον εἶναι τὰ μεγέθη διαιρετά. καὶ ταύτην καὶ ὁ εὔδημος ἀναιρεῖσθαί φησιν ὑπὸ τοῦ ἀντιφῶντος. τὸν δὲ διὰ τῶν τμημάτων φησὶ τετραγωνισμὸν γεωμετρικοῦ διαλύειν ἐστί. λέγοι δὲ αὐτὸν διὰ τῶν τμημάτων, τὸν διὰ τῶν μηνίσκων. ὃν ἱπποκράτης ὁ χῖος ἐφεῦρε. κύκλου γὰρ τμῆμα ὁ μηνίσκος ἐστίν. ἡ δὲ δεῖξις τοιαύτη. ἔστω φησὶ περὶ τὴν αβ εὐθεῖαν ἡμικύκλιον περιγεγραμμένον τὸ αβγ. καὶ τετμήσθω ἡ αβ δίχα κατὰ τὸ δ. καὶ ἀπὸ τοῦ δ τῇ αβ πρὸς ὀρθὰς ἤχθω ἡ δγ. καὶ ἀπὸ τοῦ γ ἐπεζεύχθω ἡ γα. ἥτις ἐστὶ τετραγώνου πλευρὰ τοῦ εἰς τὸν κύκλον ἐγγραφομένου. οὗ ἐστιν ἡμικύκλιον τὸ αβγ. καὶ περὶ τὴν αγ, ἡμικύκλιον περιγεγράφθω τὸ αεγ. καὶ ἐπεί ἐστι τὸ ἀπὸ τῆς αβ, ἴσον τῷ τε ἀπὸ τῆς αγ, καὶ τῷ ἀπὸ τῆς ἑτέρας τῆς τοῦ τετραγώνου πλευρᾶς, τῆς εἰς τὸ αγβ ἡμικύκλιον ἐγγραφομένου, τουτέστι τῆς γβ, ἔστι γὰρ ὀρθογωνίου τριγώνου ὑποτείνουσα ἡ αβ, ὡς δὲ ἔχει τὰ ἀπὸ τῶν διαμέτρων τετράγωνα πρὸς ἄλληλα, οὕτω καὶ οἱ περὶ αὐτὰ κύκλοι πρὸς ἀλλήλους ἔχουσι καὶ τὰ ἡμικύκλια, ὡς δέδεικται ἐν τῷ δωδεκάτῳ βιβλίῳ τῶν στοιχείων, διπλάσιον ἄρα ἐστὶ τὸ αβγ ἡμικύκλιον, τοῦ αεγ ἡμικυκλίου. ἔστι δὲ τὸ αγβ ἡμικύκλιον διπλάσιον καὶ τοῦ αγδ τεταρτημορίου. ἴσον ἄρα ἐστὶ τὸ τεταρτημόριον τῷ αεγ ἡμικυκλίῳ. κοινὸν ἀφῃρήσθω τὸ ὑπὸ τῆς τοῦ τετραγώνου πλευρᾶς, καὶ τῆς αγ περιφερείας περιεχόμενον τμῆμα. λοιπὸς ἄρα ὁ αεγ μηνίσκος ἴσος ἐστὶ τῷ αγδ τριγώνῳ. τὸ δὲ τρίγωνον τετραγώνῳ. δείξας δὲ διὰ τούτων τὸν μηνίσκον τετραγωνιζόμενον, ἑξῆς πειρᾶται διὰ τοῦ προαποδεδειγμένου τὸν κύκλον τετραγωνίζειν οὕτως. ἔστω εὐθεῖα ἡ αβ. καὶ περὶ αὐτὴν ἡμικύκλιον περιγεγράφθω. καὶ κείσθω τῇ αβ διπλῆ ἡ γδ. καὶ περὶ τὴν γδ ἡμικύκλιον περιγεγράφθω. καὶ ἐγγεγράφθωσαν εἰς αὐτὸ τὸ ἡμικύκλιον ἑξαγώνου πλευραί, ἥ τε γε, καὶ ἡ εζ, καὶ ἔτι ἡ ζδ. καὶ περὶ αὐτὰς ἡμικύκλια περιγεγράφθω, τὰ γηε. εθζ. ζκδ. ἕκαστον ἄρα τῶν περὶ τὰς τοῦ ἑξαγώνου πλευρὰς ἡμικυκλίων, ἴσον ἐστὶ τῷ αβ ἡμικυκλίῳ. καὶ γὰρ ἡ αβ ἴση ἐστὶ ταῖς τοῦ ἑξαγώνου πλευραῖς. τῶν γὰρ ἐκ τοῦ κέντρου διπλῆ ἐστιν ἡ διάμετρος. αἱ δὲ τοῦ ἑξαγώνου πλευραὶ ἴσαι εἰσὶ ταῖς ἐκ τοῦ κέντρου. καὶ τῆς αβ δὲ ἐστι διπλῆ ἡ γδ. ὥστε τὰ τέσσαρα ἡμικύκλια ἴσα ἀλλήλοις εἰσί. τετραπλάσια ἄρα τὰ τέσσαρα τοῦ αβ ἡμικυκλίου. ἔστι δὲ καὶ τὸ περὶ τὴν γδ ἡμικύκλιον τετραπλάσιον τοῦ περὶ τὴν αβ. ἐπεὶ γὰρ ἡ γδ τῆς αβ ἐστὶ διπλῆ, τετραπλάσιον τὸ ἀπὸ τῆς γδ γίνεται, τοῦ ἀπὸ τῆς αβ. ὡς γὰρ τὰ ἀπὸ τῶν διαμέτρων τετράγωνα πρὸς ἄλληλα ἔχουσιν, οὕτω καὶ οἱ περὶ αὐτὰς κύκλοι πρὸς ἀλλήλους, καὶ τὰ ἡμικύκλια πρὸς ἄλληλα. ὥστε τετραπλάσιόν ἐστι τὸ ἀπὸ τῆς γδ ἡμικύκλιον τοῦ ἀπὸ τῆς αβ. ἴσον ἄρα ἐστὶ τὸ ἀπὸ τῆς γδ ἡμικύκλιον τοῖς τέτρασιν ἡμικυκλίοις, τῷ τε περὶ τὴν αβ, καὶ τοῖς τρισὶ τοῖς περὶ τὰς τοῦ ἑξαγώνου πλευρὰς ἡμικυκλίοις. κοινὰ ἀφῃρήσθω, ἀπό τε τῶν περὶ τὰς τοῦ



ἑξαγώνου



ἑξαγώνου πλευρὰς ἡμικυκλίων, καὶ ἀπὸ τοῦ περὶ τὴν γδ, τμήματα, τά τε ὑπὸ τῶν ἑξαγωνικῶν πλευρῶν, καὶ τῶν τοῦ γδ ἡμικυκλίου περιφερειῶν περιεχόμενα. λοιποὶ ἄρα οἱ γηε. εθζ. ζκδ. μηνίσκοι, μετὰ τοῦ αγβ ἡμικυκλίου, ἴσοι εἰσὶ, τῷ γε. εζ. ζδ. τραπεζίῳ. ἂν δὲ ἀφέλωμεν ἀπὸ τοῦ τραπεζίου τὴν ὑπεροχὴν, τουτέστι τὸ ἴσον τοῖς μηνίσκοις, ἐδείχθη γὰρ ἴσον εὐθύγραμμον μηνίσκῳ, καταλίπωμεν δὲ τὸ λοιπὸν, ὅ ἐστιν ἴσον τῷ αγβ ἡμικυκλίῳ, καὶ τὸ καταλειφθὲν τοῦτο εὐθύγραμμον διπλασιάσωμεν, καὶ τὸ διπλασιασθὲν τετραγωνισθῇ, τουτέστιν ἴσον αὐτῷ τετράγωνον λάβωμεν, ἴσον ἔσται τὸ τετράγωνον τῷ περὶ τὴν αβ διάμετρον κύκλῳ. καὶ οὕτως ὁ κύκλος τετραγωνισθήσεται. καὶ ἔστι μὲν εὐφυὴς ἡ ἐπιχείρησις. τὸ δὲ ψευδογράφημα γέγονεν, παρὰ τὸ μὴ καθόλου δεδειγμένον ὡς καθόλου λαβεῖν. οὐ γὰρ ἐδείχθη πᾶς μηνίσκος τετραγωνιζόμενος. ἀλλ' ὁ περὶ τὴν τοῦ τετραγώνου πλευρὰν τοῦ εἰς τὸν κύκλον ἐγγραφομένου. οὗτοι δὲ οἱ μηνίσκοι περὶ τὰς τοῦ ἑξαγώνου πλευράς εἰσι τοῦ εἰς τὸν κύκλον ἐγγραφομένου. ἔστι τις καὶ τοιαύτη δεῖξις διὰ τῶν μηνίσκων τετραγωνίζειν οἰομένη τὸν κύκλον, ἁπλουστέρα καὶ οὐκ ἐλεγχομένη παρὰ τί γέγονεν ἐν αὐτῇ τὸ ψευδογράφημα. μηνίσκου γὰρ τετραγωνισμὸν εὑρόντες τοῦ περὶ τὴν τοῦ τετραγώνου πλευρὰν, ᾤοντο καὶ οὗτοι διὰ τούτου τὸν τοῦ κύκλου τετραγωνισμὸν εὑρηκέναι, ὡς τοῦ κύκλου παντὸς εἰς μηνίσκους διαιρεῖσθαι δυναμένου. τὸ γὰρ ἴσον τῷ μηνίσκῳ τετράγωνον τοσαυταπλάσιον ποιοῦντες, ὁσαπλάσιοι πάντες εἰσὶν οἱ μηνίσκοι εἰς οὓς ὁ κύκλος διῄρηται, ᾤοντο τὸ τούτοις ἴσον τετράγωνον τοῖς μηνίσκοις ἴσον εἶναι καὶ τῷ κύκλῳ, ψεῦδος λαμβάνοντες, τὸ τὸν ὅλον κύκλον εἰς μηνίσκους διαιρεθῆναι δύνασθαι. ἐν γὰρ τῇ τοῦ κύκλου εἰς τοὺς μηνίσκους διαιρέσει, ἀεὶ ὑπολείπεταί τι ἐντὸς μέσον ἀμφίκυρτον, περιλαμβανόμενον ὑπὸ τῶν ἑκατέρωθεν τοῦ μηνίσκου γραμμῶν. οὗ μήτε μηνίσκου ὄντος, μήτε τετραγωνιζομένου, οὐδ' ἂν ὁ πᾶς κύκλος τετραγωνίζοιτο. οὐχ ὑγιὴς δὲ ἡ ἔνστασις ἡ πρὸς τὸν τοιοῦτον τετραγωνισμόν. οὐ γὰρ χρεία τῷ τετραγωνίζοντι τὸν κύκλον διὰ τῶν μηνίσκων, διελεῖν τὸν πάντα κύκλον εἰς μηνίσκους. οὐδὲ γὰρ οὐδ' εἰ τοῦτο εἴη, οὐδὲ οὕτως ὁ κύκλος τετραγωνίζεται διὰ τῶν μηνίσκων. οὐ γὰρ πᾶς ἐδείχθη μηνίσκος τετραγωνιζόμενος. καὶ μὴ διαιρουμένου δὲ παντὸς εἰς μηνίσκους, πάλιν τετραγωνισθήσεται, ἂν συγχωρηθῶσιν οἱ περὶ τὰς τοῦ ἑξαγώνου τοῦ εἰς τὸν κύκλον ἐγγραφομένου πλευρὰς περιγραφόμενοι μηνίσκοι τετραγωνίζεσθαι, καὶ μὴ μόνοι οἱ περὶ τὰς τοῦ τετραγώνου. κἀνταῦθα οὖν τοῦ ψευδογραφήματος αἴτιον, τὸ μόνον τετραγωνίσαντας μηνίσκον τὸν περὶ τὴν τοῦ τετραγώνου πλευρὰν, ὡς πάντων τετραγωνιζομένων μηνίσκων ὁποῖοι ποτ' ἂν ὦσιν, εἰς οὓς ὁ κύκλος διαιρεῖται, οὕτω ποιεῖσθαι τὴν δεῖξιν. τινὲς δέ φησιν ἀλέξανδρος ἡγοῦνται, εἰ δείξαιεν τετράγωνον ἀριθμὸν κυκλικὸν, καὶ ἐν τοῖς μεγέθεσι κύκλου τετραγωνισμὸν εὑρηκέναι. ἔστι δέ φησι τετράγωνος μὲν ἀριθμὸς ὁ ἰσάκις ἴσος. κυκλικοὺς δὲ ἔλεγον ἀριθμοὺς, τοὺς συντιθεμένους ἐκ τῶν καθεξῆς περιττῶν, οἷον, ἑνὸς, τριῶν, πέντε, ἑπτὰ, ἐννέα. εὑρόντες δ' ἀριθμὸν τετράγωνόν τινα ἅμα καὶ κυκλικὸν ὄντα, οἷον τὸν λϛ, τετράγωνον μὲν ὄντα, διότι ἀπὸ τοῦ ϛ ἐφ' ἑαυτὸν γινομένου γεννᾶται, κυκλικὸν δὲ, διότι ἀπὸ τῆς τῶν περιττῶν, α. γ. ε. ζ. θ. ια. συνθέσεως ἀποτελεῖται, ᾤοντο καὶ κύκλου τετραγωνισμὸν εὑρηκέναι. ἀλλ' ἡ δεῖξίς φησιν οὐκ ἐκ τῶν γεωμετρικῶν ἀρχῶν, ἀλλ' ἐκ τῶν ἀριθμητικῶν. ἀριθμητικαὶ γὰρ ἀρχαὶ, τὸ εἶναι τὸν τοιόνδε ἀριθμὸν κυκλικὸν, καὶ τὸν τοιόνδε τετράγωνον. ταῦτα τοῦ ἀλεξάνδρου λέγοντος, ἐφιστάνειν ἄξιον, ὅτι πρῶτον μὲν τὸν κυκλικὸν ἀριθμὸν

οὐ κατὰ σύνθεσιν τῶν ἐφεξῆς περιττῶν οἱ ἀριθμητικοὶ τίθενται, ἀλλὰ τὴν ἀπὸ τοῦ αὐτοῦ εἰς τὸ αὐτὸ κατάληξιν. κύκλος γὰρ ὁ κε, ὅτι πεντάκις πέντε, κε. καὶ ὁ λς. οὔτε ὁ τέσσαρα, οὔτε ὁ ἐννέα, οὔτε ὁ ις, καίτοι κατὰ σύνθεσιν τῶν ἐφεξῆς περιττῶν γινόμενοι. ἀλλὰ τετράγωνοι μόνον οὗτοι. κατὰ γὰρ τὴν ἐπισύνθεσιν τῶν περιττῶν οἱ τετράγωνοι γίνονται. καὶ ἴσως ὁ ἐξ ἀρχῆς τὴν μέθοδον παραδοὺς, οὐκ εἶπε κυκλικοὺς ἁπλῶς εἶναι πάντας, τοὺς κατὰ ἐπισύνθεσιν τῶν ἐφεξῆς περιττῶν. ἀλλ' ὅτι ἐν τῇ ἐπισυνθέσει τῶν ἐφεξῆς περιττῶν εὑρίσκονται οἱ κυκλικοὶ, οὐδὲ τούτου ἀεὶ συμβαίνοντος. κυκλικὸς γὰρ ὢν ὁ ρκε, ὡς ἀπὸ τοῦ ε ἐπὶ τὸν κε γινόμενος, καὶ ὁ σις, ὡς ἀπὸ τοῦ ς ἐπὶ τὸν λς, ὅμως οὐκ ἐγένοντο κατὰ ἐπισύνθεσιν τῶν ἐφεξῆς περιττῶν. εἰ μὴ ἄρα οὐκ εἰσὶν οὗτοι κυκλικοὶ, ἀλλὰ σφαιρικοὶ, ἐξ ἐπιπέδων κύκλων κυκλικῶς βαρυνθέντες. καὶ ἐκεῖνο δὲ ἐφιστάνειν ἄξιον ὅτι οὐκ ἦν εἰκὸς τοὺς ἀριθμὸν εὑρηκότας κυκλικὸν, ἅμα καὶ τετραγωνικὸν τὸν αὐτὸν τοῦτον, οἴεσθαι διὰ τοῦτο καὶ ἐν μεγέθεσι τὸν τοῦ κύκλου τετραγωνισμὸν εὑρηκέναι. ἀλλ' ἴσως εὑρόντες ἐν τοῖς ἀριθμοῖς τὸν αὐτὸν τετράγωνον ἅμα καὶ κύκλον, εἰς ἔννοιαν ἦλθον τοῦ καὶ ἐν τοῖς μεγέθεσι ζητεῖν τὸν τοῦ κύκλου τετραγωνισμόν. ἔλεγε δὲ ὁ ἡμέτερος καθηγεμὼν ἀμμώνιος, ὡς οὐκ ἀνάγκη ἴσως εἰ ἐπὶ ἀριθμῷ εὑρέθη τοῦτο, καὶ ἐπὶ μεγεθῶν εὑρίσκεσθαι. ἀνομοιογενῆ γὰρ μεγέθη ἐστὶν, εὐθεῖα, καὶ περιφέρεια. καὶ οὐδέν φησι θαυμαστὸν μὴ εὑρεθῆναι κύκλῳ εὐθύγραμμον ἴσον, εἴπερ καὶ ἐπὶ τῶν γωνιῶν εὑρίσκομεν τοῦτο. οὔτε γὰρ τῇ τοῦ ἡμικυκλίου γωνίᾳ, οὔτε τῇ λοιπῇ εἰς τὴν ὀρθὴν τῇ κερατοειδεῖ λεγομένῃ, γένοιτο ἂν εὐθύγραμμος ἴση γωνία. καὶ διὰ τοῦτο ἴσως φησὶ καὶ ὑπὸ οὕτω κλεινῶν ἀνδρῶν ζητηθὲν θεώρημα, ἄχρι νῦν οὐχ εὑρέθη, οὐδὲ ὑπὸ αὐτοῦ ἀρχιμήδους. ἔλεγον δὲ ἐγὼ πρὸς τὸν καθηγεμόνα, ὡς εἴπερ μηνίσκος τετραγωνίζοιτο ὁ ἀπὸ τῆς τοῦ τετραγώνου πλευρᾶς, τοῦτο γὰρ ἀνεξαπατήτως συνῆκται, ὁμογενὴς δὲ ὁ μηνίσκος τῷ κύκλῳ ἐκ περιφερειῶν συγκείμενος, τί κωλύει καὶ τὸν κύκλον ἐπὶ τούτῳ τετραγωνίζεσθαι. εἰ δὲ ἀνόμοιον τὸ τοῦ μηνίσκου ἐπίπεδον τῷ κύκλῳ διὰ τὰ κέρατα, ἀλλὰ καὶ τῷ εὐθυγράμμῳ ἀνόμοιος μηνίσκος πᾶς. καὶ ὅμως ὁ περὶ τὴν τοῦ τετραγώνου πλευρὰν μηνίσκος τετραγωνίζεται. αἱ μέντοι γωνίαι, αἵ τε τοῦ ἡμικυκλίου, καὶ αἱ κερατοειδεῖς, ἐκ περιφερείας καὶ εὐθείας ἄμφω συγκείμεναι, οὐ μόνον ἀνομοιογενεῖς εἰσὶ τῇ εὐθυγράμμῳ, ἀλλὰ καὶ ἀσύμβληται. οὐχ ἱκανὸν οὖν οἶμαι τὸ εἰρημένον εἰς ἀπόγνωσιν καταστῆσαι τῆς εὑρέσεως τοῦ τετραγωνισμοῦ. καὶ γὰρ ὁ ἰάμβλιχος ἐν τῷ εἰς τὰς κατηγορίας ὑπομνήματι, τὸν μὲν ἀριστοτέλη φησὶ μήπω ἴσως εὑρηκέναι τὸν τοῦ κύκλου τετραγωνισμὸν, παρὰ δὲ τοῖς πυθαγορείοις εὑρῆσθαι. ὡς δῆλόν ἐστι φησὶν ἀπὸ τῶν σέξτου τοῦ πυθαγορείου ἀποδείξεων. ὃς ἄνωθεν κατὰ διαδοχὴν παρέλαβε τὴν μέθοδον τῆς ἀποδείξεως. καὶ ὕστερον δέ φησιν ἀρχιμήδης διὰ τῆς ἑλικοειδοῦς γραμμῆς. καὶ νικομήδης διὰ τῆς ἰδίως τετραγωνιζούσης καλουμένης. καὶ ἀπολλώνιος διά τινος γραμμῆς, ἣν αὐτὸς μὲν κοχλιοειδοῦς ἀδελφὴν προσαγορεύει, ἡ αὐτὴ δέ ἐστι τῇ νικομήδους. καὶ κάρπος διά τινος γραμμῆς, ἣν ἁπλῶς ἐκ διπλῆς κινήσεως καλεῖ. ἄλλοι τε πολλοί φησι ποικίλως τὸ πρόβλημα κατεσκεύασαν. καὶ μήποτε οὗτοι πάντες ὀργανικὴν ἐποιήσαντο τοῦ θεωρήματος κατασκευήν. ὁ μὲν οὖν ἀλέξανδρος οὕτως ὡς εἶπον οἴεται τὸ ψευδογράφημα ἐλέγχεσθαι. παρ' ὅσον τὸν περὶ τὴν τοῦ τετραγώνου πλευρὰν μόνον τετραγωνίσας μηνίσκον ὁ ἱπποκράτης, ὡς καὶ ἐπὶ τῆς τοῦ ἑξαγώνου πλευρᾶς αὐτοῦ δεδειγμένῳ ἀπεχρήσατο. ὁ μέντοι εὔδημος ἐν τῇ γεωμετρικῇ ἱστορίᾳ, οὐκ ἐπὶ τετραγωνικῆς πλευρᾶς δεῖξαί φησι τὸν ἱπποκράτη τὸν τοῦ μηνίσκου τετραγωνισμὸν, ἀλλὰ καθόλου ὡς ἄν τις εἴποι. εἰ γὰρ πᾶς μηνίσκος τὴν ἐκτὸς περιφέρειαν ἢ ἴσην ἔχει ἡμικυκλίου, ἢ μείζονα, ἢ ἐλάττονα, τετραγωνίζει δὲ ὁ ἱπποκράτης καὶ τὸν ἴσην ἡμικυκλίου ἔχοντα, καὶ τὸν μείζονα, καὶ τὸν ἐλάττονα, καθόλου ἂν εἴη δεδειχὼς ὡς δοκεῖ. ἐκθήσομαι δὲ τὰ ὑπὸ τοῦ εὐδήμου κατὰ λέξιν λεγόμενα, ὀλίγην τινὰ προσθεὶς σαφήνειαν, ἀπὸ τῆς τῶν εὐκλείδου στοιχείων ἀναμνήσεως, διὰ τὸν ὑπομνηματικὸν τρόπον τοῦ εὐδήμου κατὰ τὸ ἀρχαϊκὸν ἔθος συντόμους ἐκθεμένου τὰς ἀποδόσεις. λέγει δὲ ὧδε ἐν τῷ δευτέρῳ βιβλίῳ τῆς γεωμετρικῆς ἱστορίας. καὶ οἱ τῶν μηνίσκων δὲ τετραγωνισμοὶ δόξαντες εἶναι τῶν οὐκ ἐπιπολαίων διαγραμμάτων, διὰ τὴν οἰκειότητα τὴν πρὸς τὸν κύκλον ὑφ' ἱπποκράτους ἐγράφησάν τε πρώτως, καὶ κατὰ τρόπον ἔδοξαν ἀποδοθῆναι. διόπερ ἐπὶ πλέον ἁψώμεθά τε καὶ διέλθωμεν. ἀρχὴν μὲν οὖν ἐποιήσατο καὶ πρῶτον ἔθετο τῶν πρὸς αὐτοὺς χρησίμων, ὅτι τὸν αὐτὸν λόγον ἔχει τά τε ὅμοια τῶν κύκλων τμήματα πρὸς ἄλληλα, καὶ αἱ βάσεις αὐτῶν δυνάμει. τοῦτο δὲ ἐδείκνυεν, ἐκ τοῦ τὰς διαμέτρους δεῖξαι τὸν αὐτὸν λόγον ἐχούσας δυνάμει τοῖς κύκλοις. ὅπερ εὐκλείδης δεύτερον τέθεικεν ἐν τῷ δωδεκάτῳ τῶν στοιχείων βιβλίῳ, τὴν πρότασιν εἰπὼν οὕτως, οἱ κύκλοι πρὸς ἀλλήλους εἰσὶν, ὡς τὰ ἀπὸ τῶν διαμέτρων τετράγωνα. ὡς γὰρ οἱ κύκλοι πρὸς ἀλλήλους ἔχουσιν, οὕτω καὶ τὰ ὅμοια τμήματα. ὅμοια γὰρ τμήματά ἐστι, τὰ τὸ αὐτὸ μέρος ὄντα τοῦ κύκλου. οἷον ἡμικύκλιον ἡμικυκλίῳ. καὶ τριτημόριον τριτημορίῳ. διὸ καὶ γωνίας ἴσας δέχεται τὰ ὅμοια τμήματα. αἱ γοῦν τῶν ἡμικυκλίων πάντων ὀρθαί εἰσι. καὶ τῶν μειζόνων ἐλάττονες ὀρθῶν. καὶ τοσούτῳ, ὅσῳ μείζονα ἡμικυκλίων τὰ τμήματα. καὶ αἱ τῶν ἐλαττόνων μείζονες. καὶ τοσούτῳ, ὅσῳ ἐλάττονα ἡμικυκλίων τὰ τμήματα. δειχθέντος δὲ αὐτῷ τούτου, πρῶτον μὲν ἔγραφεν μηνίσκον

τὴν περιφέρειαν ἔχοντα ἡμικυκλίου, περὶ τρίγωνον ὀρθογώνιον καὶ ἰσοσκελὲς αὐτὸ τὸ ἡμικύκλιον
περιγράψας, καὶ περὶ τὴν βάσιν τμῆμα κύκλου τοῖς ὑπὸ τῶν ἐπιζευχθεισῶν ἀφαιρουμένοις ὅ-
μοιον. ὅπερ εὐκλείδης λʹ τρίτον ἔθετο θεώρημα τοῦ τρίτου βιβλίου, προτείνας οὕτως. ἐπὶ τῆς δοθεί-
σης εὐθείας γράψαι τμῆμα κύκλου, δεχόμενον γωνίαν ἴσην τῇ δοθείσῃ γωνίᾳ εὐθυγράμμῳ. εἰ γὰρ τὸ
περὶ τὴν βάσιν οὕτω περιγράφει, ὡς ἴσην δέξασθαι γωνίαν, τῶν ἐν τοῖς τμήμασι τοῖς ὑπὸ τῶν ἐπι-
ζευχθεισῶν ἀφαιρουμένοις, ὅμοιον ἔσται ἐκείνοις. ὅμοια γὰρ τμήματα κύκλων ὁ εὐκλείδης ὁρίσατο
ἐν τῷ τρισκαιδεκάτῳ βιβλίῳ, τὰ δεχόμενα γωνίας ἴσας. ὄντος δὲ τοῦ περὶ τὴν βάσιν τμήματος
ἴσου τοῖς περὶ τὰς ἑτέρας ἀμφοτέρας, διότι ὡς δέδεικται ἐν τῷ παρατελεύτῳ τοῦ πρώτου τῶν
εὐκλείδου στοιχείων θεωρήματι ἐν τοῖς ὀρθογωνίοις τριγώνοις ἡ ὑποτείνουσα ἴσον δύναται ταῖς τὴν
ὀρθὴν περιεχούσαις ἀμφοτέραις, ὡς δὲ τὰ ἀπὸ τῶν εὐθειῶν τετράγωνα, οὕτως ἔχει τὰ ὅμοια τῶν
κύκλων τμήματα πρὸς ἄλληλα, καὶ κοινοῦ προστεθέντος τοῦ μέρους τοῦ τριγώνου τοῦ ὑπὲρ τὸ τμῆ-
μα τὸ περὶ τὴν βάσιν, ἴσος ἔσται ὁ μηνίσκος τῷ τριγώνῳ. ἴσος οὖν ὁ μηνίσκος τῷ τριγώνῳ δειχθείς,
τετραγωνίζοιτο ἄν. δέδεικται γὰρ ἐν τῷ ἐνδεκάτῳ θεωρήματι τοῦ δευτέρου βιβλίου τῶν εὐκλείδου
στοιχείων, πῶς χρὴ τῷ δοθέντι εὐθυγράμμῳ ἴσον τετράγωνον συστήσασθαι. οὕτω μὲν οὖν ἡμικυκλίου
τὴν ἔξω τοῦ μηνίσκου περιφέρειαν ὑποθέμενος, ἐτετραγώνισεν ὁ ἱπποκράτης τὸν μηνίσκον εὐκόλως.
εἶτα ἐφεξῆς μεῖζον ἡμικυκλίου ὑποτίθεται συστησάμενος τραπέζιον, τὰς μὲν τρεῖς ἔχον πλευρὰς
ἴσας ἀλλήλαις, τὴν δὲ μίαν τὴν μείζω τῶν παραλλήλων τριπλασίαν ἐκείνων ἑκάστης δυνάμει, καὶ
τό, τε τραπέζιον περιλαβὼν κύκλῳ, καὶ περὶ τὴν μεγίστην αὐτοῦ πλευρὰν ὅμοιον τμῆμα περιγρά-
ψας, τοῖς ὑπὸ τῶν ἴσων τριῶν ἀποτεμνομένοις ἀπὸ τοῦ κύκλου. καὶ ὅτι μὲν περιληφθήσεται κύ-
κλῳ τὸ τραπέζιον, δείξεις οὕτως. διχοτομήσας τὰς τοῦ τραπεζίου γωνίας κατὰ τὸ ἔνατον τοῦ πρώ-
του τῶν στοιχείων, καὶ ἐπιζεύξας τὰς διαγωνίους, δρεῖς, ἐπεὶ ἡ βα τῇ αγ ἴση, κοινὴ ἡ δε καὶ γωνί-
αι, καὶ τὰ ἑξῆς. ὅτι δὲ μεῖζόν ἐστιν ἡμικυκλίου τὸ λεχθὲν τμῆμα, δῆλον, ἀχθείσης ἐν τῷ τραπεζίῳ δια-
μέτρου. ἀνάγκη γὰρ ταύτην ὑπὸ δύο πλευρὰς ὑποτείνουσαν τοῦ τραπεζίου, τῆς ὑπολοίπου μιᾶς μεί-
ζονα ἢ διπλασίαν εἶναι δυνάμει. ἐπεὶ γὰρ μείζων ἐστὶν ἡ αδ τῆς αγ, αἱ δγ, βα ἴσαι οὖσαι καὶ ἐπι-
ζευγνῦσαι αὐτάς, ἐκβαλλόμεναι ἐμπεσοῦνται κατὰ τὸ ζ. εἰ γὰρ παράλληλοί εἰσιν αἱ βα, δγ, ἴσαι
οὖσαι, αἱ δὲ τὰς ἴσας τε καὶ παραλλήλους ἐπιζευγνῦσαι, καὶ αὗται ἴσαι καὶ παράλληλοί εἰσιν,
ἔσται ἡ αγ ἴση τῇ βδ. ὅπερ ἀδύνατον. συμπιπτουσῶν δὲ τῶν βα δγ κατὰ τὸ ζ, αἱ ὑπὸ ζαγ καὶ β
γωνίαι δυσὶν ὀρθαῖς ἴσαι ἔσονται, διὰ τὸ τρισκαιδέκατον τοῦ πρώτου τῶν εὐκλείδου. μείζων δὲ ἡ ὑπὸ
κα τῆς ὑπὸ γαζ, ἡ ἐκτὸς τοῦ τριγώνου τῆς ἐντός, διὰ τὸ τριακοστὸν δεύτερον τοῦ πρώτου. ἡμίσεια ἄρα
ἡ ὑπὸ καζ γωνία τῆς βαγ. ἡ ἄρα αγ μεῖζον ἢ διπλάσιον δύναται ἑκατέρας τῶν βα αγ. ὥστε καὶ
τῆς γβ. καὶ τὴν μεγίστην ἄρα τῶν τοῦ τραπεζίου πλευρῶν ἀναγκαῖον ἔλαττον δύνασθαι, τῆς τε δια-
μέτρου καὶ τῶν ἑτέρων πλευρῶν ἐκείνης, ὑφ' ἣν ὑποτείνει μετὰ τῆς διαμέτρου ἡ λεχθεῖσα. αἱ γὰρ
βγ, γδ, μεῖζον ἢ τριπλάσιον δύνανται τῆς γδ. ἡ δὲ βδ τετραπλάσιον. ὀξεῖα ἄρα ἐστὶν ἡ ἐπὶ τῆς
μείζονος τοῦ τραπεζίου πλευρᾶς βεβηκυῖα γωνία. μεῖζον ἄρα ἡμικυκλίου ἐστὶ τὸ τμῆμα ἐν ᾧ ἐστιν. ὅπερ
ἐστὶν ἡ ἔξω περιφέρεια τοῦ μηνίσκου. τὸν δὲ τοῦ μηνίσκου τούτου τετραγωνισμὸν παρῆκεν ὁ εὔδημος, ὡς
σαφῆ οἶμαι. εἴη δὲ ἂν τοιόσδε. ἐπειδὴ ἴσα ἀλλήλοις ἐστίν, ὁ μηνίσκος μετὰ τοῦ ἐπὶ τῆς μείζονος τοῦ τρα-
πεζίου πλευρᾶς τμήματος, τῷ τραπεζίῳ καὶ τοῖς ὑπὸ τῶν τριῶν ἴσων αὐτοῦ εὐθειῶν ἀποτεμνομέ-
νοις τμήμασιν, ὧν τὸ ἐπὶ τῆς μείζονος τοῦ τραπεζίου πλευρᾶς τμῆμα, ἴσον ἐστὶ τοῖς ὑπὸ τῶν ἴσων εὐ-
θειῶν ἀφαιρουμένοις τοῦ κύκλου τρισὶ τμήμασιν, εἴπερ ἴσον ταῖς τρισὶ δύνασθαι ὑπόκειται ἡ μεί-
ζων τοῦ τραπεζίου πλευρά, τὰ δὲ ὅμοια τμήματα πρὸς ἄλληλά ἐστιν, ὡς τὰ ἀπὸ τῶν εὐθειῶν τετρά-
γωνα, ἐὰν δὲ ἀπὸ ἴσων ἴσα ἀφαιρεθῇ τὰ καταλειπόμενά ἐστιν ἴσα, ἴσος ἄρα ὁ μηνίσκος τῷ τραπε-
ζίῳ. ἢ καὶ οὕτω συντόμως δρεῖς. ἐπειδὴ ἴσον ἐστὶ τὸ περὶ τὴν μείζονα τοῦ τραπεζίου πλευρὰν τμῆμα,
τοῖς περὶ τὰς τρεῖς τὰς ἴσας περιγραφεῖσι, διότι καὶ τὸ ἀπ' αὐτῆς τετράγωνον τριπλάσιον τοῦ
ἀπὸ ἑκάστης, ἐὰν κοινὸν προστεθῇ τὸ περιεχόμενον ἐπίπεδον, ὑπό τε τῶν τριῶν ἴσων εὐθειῶν καὶ τῆς
τοῦ μείζονος τμήματος περιφερείας, ἔσται ὁ μηνίσκος ἴσος τῷ τραπεζίῳ. οὗ τετραγωνισθέντος, διό-
τι ἔχομεν πᾶν εὐθύγραμμον τετραγωνίσαι, τετραγωνισθήσεται καὶ ὁ μείζονα ἡμικυκλίου τὴν ἐκ-
τὸς περιφέρειαν ἔχων μηνίσκος. εἰ δὲ ἔλαττον ἡμικυκλίου εἴη, προγράψας τοιόνδε τι ὁ ἱπποκρά-
της, τοῦτο κατεσκεύασεν. ἔστω κύκλος οὗ διάμετρος, ἐφ' ἧς ἡ αβ. κέντρον δὲ αὐτοῦ ἐφ' οὗ κ. καὶ ἡ μὲν
ἐφ' ἧς γδ, δίχα τε καὶ πρὸς ὀρθὰς τεμνέτω τὴν ἐφ' ἧς βκ. ἡ δὲ ἐφ' ἧς εζ ἤχθω παρὰ τὴν ἐφ' ἧς αβ. καὶ
ἀπὸ τοῦ κ ἐπιζευχθω ἐπὶ τὰ εζ. συμπιπτέσθω δὲ ἐκβαλλομένη ἐπὶ τὸ ζ ἡ ἐπιζευχθεῖσα τῇ ἐφ' ἧς
εη κατὰ τὸ η. καὶ πάλιν ἀπὸ τοῦ β ἐπὶ τὰ ζη ἐπεζεύχθωσαν. φανερὸν δὴ ὅτι ἡ μὲν ἐφ' ἧς εζ ἐκβαλλο-
μένη ἐπὶ τὸ ε πεσεῖται. ὑπόκειται γὰρ ἡ εζ ἐπὶ τὸ β νεύουσα. ἡ δὲ ἐφ' ἧς βη, ἴση ἔσται τῇ ἐφ'
ἧς εκ. τοῦτο δὲ ἴσως μὲν ἄν τις καὶ προχειρότερον δείξειεν. ἐμοὶ δὲ ἐκ τῶν προσωμολογημένων
οὕτως ἐπῆλθεν δεῖξαι. ὑπόκειται ἡ δγ τὴν βκ δίχα τε καὶ πρὸς ὀρθὰς τέμνειν. ἐπὶ τῆς δγ

ἄρα τὸ κέντρον ἐστὶ τοῦ περὶ τὸ τραπέζιον γραφησομένου κύκλου, διὰ τὸ πόρισμα τοῦ πρώτου θεω-
ρήματος τοῦ ἐν τῷ τρίτῳ τῶν εὐκλείδου στοιχείων. ἐπειδὴ δὲ παράλληλός ἐστιν ἡ εη τῇ κβ, καὶ εἰς αὐτὰς
ἐμπέπτωκεν ἡ γδ, τὰς ἐντὸς γωνίας δυσὶν ὀρθαῖς ἴσας ποιεῖ, διὰ τὸ κθ' τοῦ πρώτου. ὀρθαὶ δὲ αἱ
πρὸς τὸ γ. ὀρθαὶ ἄρα καὶ αἱ πρὸς τὸ δ. ἡ οὖν γδ διὰ τοῦ κέντρου τὴν εη πρὸς ὀρθὰς τέμνουσα, καὶ
δίχα τέμνει, διὰ τὸ τρίτον τοῦ τρίτου τῶν στοιχείων. ἐπεὶ οὖν ἴση ἐστὶν ἡ δη τῇ δε, κοινὴ δὲ ἡ δζ, καὶ ὀρθαὶ
αἱ πρὸς τὸ δ, καὶ βάσις ἄρα ἡ ζη βάσει τῇ ζε ἴση. ἀλλὰ καὶ ἡ βζ τῇ ζκ ἴση, διότι καὶ ἡ βγ τῇ γκ.
κοινὴ δὲ ἡ γζ. καὶ ὀρθαὶ αἱ πρὸς τὸ γ. ἐπεὶ οὖν δύο αἱ ηζ ζβ, δυσὶ ταῖς κζ ζε ἴσαι, καὶ γωνίαι
αἱ κατὰ κορυφὴν ἴσαι. καὶ βάσις ἡ ηβ βάσει τῇ εκ ἴση. περιγεγράφθω δὴ περὶ τὸ εζ τρίγωνον
τμῆμα κύκλου τὸ εζη, ὅμοιον ἑκάστῳ τῶν εκ κβ βη τμημάτων. τούτων οὖν οὕτως ἐχόντων, τὸ τρα-
πέζιόν φημι ἐφ' οὗ εκβη περιλήψεται κύκλος. τὸ μὲν γὰρ εκη τρίγωνον περιλήψεται κύκλος.
ἔχομεν γὰρ ἐν τῷ πέμπτῳ τοῦ τετάρτου τῶν στοιχείων, περὶ τὸ δοθὲν τρίγωνον κύκλον περιγράψαι. ἐὰν
οὖν δείξω τὴν ἀπὸ τοῦ κέντρου ἐπὶ τὸ κ, ἴσην ἀπὸ τοῦ κέντρου ἐπὶ τὸ β, δηλονότι τὸ γραφόμε-
νον τμῆμα κύκλου διὰ τοῦ εκη ἥξει καὶ διὰ τοῦ β. καὶ περιλήψεται κύκλου τμῆμα τὸ τραπέζιον.
ὅπερ τμῆμα καὶ τὸ τρίγωνον περιέξει, τὸ ἐφ' οὗ εζη. ληφθέντος οὖν κέντρου, οἷον τοῦ λ, καὶ ἐπι-
ζευγνυμένων τῶν λε, λη, λκ, λβ, ἐπειδὴ ἰσοσκελές ἐστι τὸ εκη τρίγωνον, αἱ γὰρ ἐκ τοῦ κέντρου ἴσαι,
ἴσαι εἰσὶν αἱ πρὸς τῇ βάσει γωνίαι, ἡ ὑπὸ ληε, τῇ ὑπὸ λεη, διὰ τὸ πέμπτον τοῦ πρώτου τῶν εὐκλεί-
δου. ἔστι δὲ ἡ ὑπὸ βηε ἴση τῇ ὑπὸ κεη, διότι καὶ ἡ εβ ἴση τῇ κη ὡς ἐδείχθη. καὶ ὅλη ἄρα ἡ ὑπὸ βηε ὅλῃ τῇ
ὑπὸ κεη ἐστὶν ἴση. ἔστι δὲ καὶ ἡ κε τῇ βη ἴση. καὶ βάσις ἄρα ἡ κλ τῇ λβ ἴση ἐστίν. ἴση ἄρα τῇ ἀπὸ τοῦ
κέντρου τῇ λκ ἡ λβ. ταύτῃ δὴ γεγράφθω τὸ τμῆμα. τούτων οὖν οὕτως ἐχόντων, ὁ γινόμενος μη-
νίσκος, οὗ ἐκτὸς περιφέρεια ἡ εκβη, ἴσος ἔσται τῷ εὐθυγράμμῳ τῷ συγκειμένῳ ἐκ τῶν τριῶν τρι-
γώνων, τῶν βζη. βζγ. εκζ. τὰ γὰρ ἀπὸ τῶν εὐθειῶν ἐφ' αἷς εζ. ζη. ἀφαιρούμενα, ἐντὸς τοῦ μηνίσκου
ἀπὸ τοῦ εὐθυγράμμου τμήματα, ἴσα ἐστὶ τοῖς ἐκτὸς τοῦ εὐθυγράμμου τμήμασιν, ἀφαιρουμένοις ὑπὸ
τῶν εκ. κβ. βη. ἑκάτερον γὰρ τῶν ἐντὸς ἡμιόλιόν ἐστιν ἑκάστου τῶν ἐκτός. ἡμιολία γὰρ ὑπόκειται
ἡ εζ τῆς ἐκ τοῦ κέντρου, τουτέστι τῆς εκ, καὶ λβ, καὶ βη. ἐδείχθη γὰρ καὶ αὐτὴ ἴση τῇ εκ. εἰ οὖν
ἑκατέρα τῶν εζ. ζη. ἡμιολία ἐστὶ δυνάμει ἑκάστης τῶν εἰρημένων τριῶν, ὡς δὲ αἱ εὐθεῖαι πρὸς τὰς εὐ-
θείας, τμήματα πρὸς τὰ τμήματα, τὰ δύο ἄρα τμήματα τοῖς τρισίν ἐστιν ἴσα. εἰ οὖν ὁ μὲν μηνί-
σκος τὰ τρία τμήματά ἐστι, καὶ τοῦ εὐθυγράμμου τὸ παρὰ τὰ δύο τμήματα, τὸ δὲ εὐθύγραμμον
μετὰ τῶν δύο τμημάτων ἐστὶ χωρὶς τῶν τριῶν, ἔστι δὲ τὰ δύο τμήματα τοῖς τρισὶν ἴσα, ἴσος ἂν εἴη
ὁ μηνίσκος τῷ εὐθυγράμμῳ. ὅτι δὲ οὗτος ὁ μηνίσκος ἐλάττονα ἡμικυκλίου τὴν ἐκτὸς ἔχει περιφέ-
ρειαν, δείκνυσι διὰ τοῦ τὴν εκη γωνίαν ἐν τῷ ἐκτὸς οὖσαν τμήματι ἀμβλεῖαν εἶναι. δέδεικται γὰρ ἐν
τῷ τρίτῳ τοῦ τρίτου τῶν εὐκλείδου στοιχείων, ὅτι ἡ ἐν τῷ ἐλάττονι ἡμικυκλίου τμήματι μείζων ὀρ-
θῆς ἐστιν. ὅτι δὲ ἀμβλεῖά ἐστιν ἡ ὑπὸ εκη γωνία, δείκνυσιν οὕτως. ἐπεὶ ἡ μὲν ἐφ' ἧς εζ ἡμιολία ἐστὶ τῶν
ἐκ τοῦ κέντρου δυνάμει, ἡ δὲ ἐφ' ἧς βκ μείζων τῆς ἐφ' ἧς βζ, διότι καὶ γωνία ἡ πρὸς τῷ ζ μείζων ὡς
δείξω, ἴση δὲ ἡ βκ τῇ κε, φανερὸν ὅτι καὶ ἡ ἐφ' ἧς κε μείζων ἢ τῆς ἐφ' ἧς εζ ἢ διπλασία μήκει, καὶ
ἡ ἐφ' ἧς βε. ὥστε τῆς ἐφ' ἧς κζ ἄρα μείζων ἢ διπλασία μήκει καὶ δυνάμει, διὰ τὴν ὁμοιότητα τριγώ-
νων τῶν βεκ. βκζ. ἔστι γὰρ ὡς ἡ εβ πρὸς βζ, οὕτως ἡ εκ πρὸς κζ. ὥστε ἡ ἐφ' ἧς εκ μείζων ἐστὶ τῆς
ἐφ' ἧς κζ, ἢ διπλασία δυνάμει. ἡ δὲ ἐφ' ἧς εζ ἡμιολία δυνάμει τῆς ἐφ' ἧς εκ. ἡ ἄρα ἐφ' ἧς εζ μείζων ἐστὶ
δυνάμει τῶν ἐφ' αἷς εκ κζ. εἰ μὲν γὰρ διπλασία ἦν δυνάμει τῶν ἐφ' αἷς εκ κζ ἡ εκ τῆς κζ, ἡμιο-
λία δὲ ἡ ζε τῆς εκ, ἦν ἂν ἡ εζ ἴση δυνάμει ταῖς εκ κζ, ὡς ἐπὶ ἀριθμῶν τῶν ς δ β. ἐπειδὴ δὲ μεί-
ζων ἢ διπλασία ἐστὶ δυνάμει, ἡ εκ τῆς κε μείζων ἐστὶ δυνάμει. ἀμβλεῖα ἄρα ἐστὶν ἡ πρὸς τῷ κ γω-
νία. ἔλαττον ἄρα ἡμικυκλίου τὸ τμῆμα ἐν ᾧ ἐστιν. Οὕτω μὲν οὖν ὁ ἱπποκράτης πάντα μηνίσκον ἐ-
τετραγώνισεν, εἴπερ καὶ τὸν ἡμικυκλίου, καὶ τὸν μείζονα ἡμικυκλίου, καὶ τὸν ἐλάττονα ἔχοντα τὴν
ἐκτὸς περιφέρειαν. ἀλλ' οὐχὶ τὸν ἐπὶ τῆς τοῦ τετραγώνου πλευρᾶς μόνον ὡς ὁ ἀλέξανδρος ἱστόρη-
σεν. οὐ μέντοι οὐδὲ τὸν κύκλον ἐπεχείρησε τετραγωνίσαι διὰ τῶν περὶ τὴν τοῦ ἑξαγώνου πλευρὰν
μηνίσκων, ὡς καὶ τοῦτο ἀλέξανδρός φησιν. Ἀλλὰ μηνίσκον ἅμα καὶ κύκλον ἐτετραγώνισεν οὕ-
τως. ἔστωσαν περὶ κέντρον ἐφ' οὗ κ δύο κύκλοι. ἡ δὲ τοῦ ἐκτὸς διάμετρος ἑξαπλασία δυνάμει τῆς τοῦ
ἐντός. καὶ ἑξαγώνου ἐγγραφέντος εἰς τὸν ἐντὸς κύκλον, τοῦ ἐφ' ὧν αβ. γδ. εζ, αἵ τε ἐφ' ὧν κα. κβ. κγ.
ἐκ τοῦ κέντρου ἐπιζευχθεῖσαι, ἐκβεβλήσθωσαν ἕως τῆς τοῦ ἐκτὸς κύκλου περιφερείας. καὶ ἐφ'
ὧν ηθ. θι. ἐπεζεύχθωσαν. καὶ δηλονότι καὶ αἱ ηθ. θι. ἑξαγώνου εἰσὶ πλευραὶ τοῦ εἰς τὸν μείζονα κύ-
κλον ἐγγραφομένου. καὶ περὶ τὴν ἐφ' ἧς ηι, τμῆμα ὅμοιον τῷ ἀφαιρουμένῳ ὑπὸ τῆς ἐφ' ἧς ηθ περι-
γεγράφθω. ἐπεὶ οὖν τὴν μὲν ἐφ' ἧς ηι τριπλασίαν ἀναγκαῖον εἶναι δυνάμει τῆς ἐφ' ἧς θη τοῦ ἑξα-
γώνου πλευρᾶς, ἡ γὰρ ὑπὸ δύο τοῦ ἑξαγώνου πλευρὰς ὑποτείνουσα, μετὰ ἄλλης μιᾶς ὀρθὴν περι-
έχουσα γωνίαν τὴν ἐν ἡμικυκλίῳ, ἴσον δύναται τῇ διαμέτρῳ. ἡ δὲ διάμετρος τετραπλάσιον
δύναται τῆς τοῦ ἑξαγώνου, ἴσης οὔσης τῇ ἐκ τοῦ κέντρου, διὰ τὸ τὰ μήκει διπλάσια δυνάμει

τετραπλάσια εἶναι, ἡ δὲ θη ἑξαπλασία τῆς ἐφ' ἧς αβ, δηλονότι τὸ τμῆμα τὸ περὶ τὴν ἐφ' ἧς ἡ περιγραφὲν ἴσον εἶναι συμβαίνει, τοῖς τε ἀπὸ τοῦ ἐκτὸς κύκλου ὑπὸ τῶν ἐφ' αἷς ηθ θι ἀφαιρουμένοις, καὶ τοῖς ἀπὸ τοῦ ἐντὸς ὑπὸ τῶν τοῦ ἑξαγώνου πλευρῶν ἁπασῶν. τὰ γὰρ ὅμοια τῶν κύκλων τμήματα πρὸς ἄλληλά ἐστιν, ὡς τὰ ἀπὸ τῶν βάσεων τετράγωνα. διότι καὶ οἱ ὅμοιοι κύκλοι πρὸς ἀλλήλους εἰσίν, ὡς τὰ ἀπὸ τῶν διαμέτρων τετράγωνα. εἰ γὰρ ἡ η τῆς ηθ τετραπλάσιον δύναται, ἴση δὲ τῇ ηθ δύναται ἡ θι, δύνανται δὲ ἑκατέρα τούτων ἴσον καὶ αἱ ἓξ πλευραὶ τοῦ ἐντὸς ἑξαγώνου, διότι καὶ ἡ διάμετρος τοῦ ἐκτὸς κύκλου ἑξαπλάσιον ὑπόκειται δύνασθαι τῆς τοῦ ἐντὸς, ὡς δὲ ἡ διάμετρος πρὸς τὴν διάμετρον οὕτω καὶ αἱ ἐκ τοῦ κέντρου, ἡ δὲ ἐκ τοῦ κέντρου ἴση ἐστὶ τῇ τοῦ ἑξαγώνου πλευρᾷ, ὡς τὸ πόρισμα λέγει τοῦ προτελευταίου θεωρήματος ἐν τῷ τετάρτῳ βιβλίῳ τῶν τοῦ εὐκλείδου στοιχείων, ὡς δὲ αἱ πλευραὶ οὕτω καὶ τὰ τμήματα, ὥστε ὁ μὲν μηνίσκος ἐφ' οὗ ηθ τοῦ τριγώνου ἐλάττων ἂν εἴη, ἐφ' οὗ τὰ αὐτὰ γράμματα τοῖς ὑπὸ τῶν τοῦ ἑξαγώνου πλευρῶν ἀφαιρουμένοις τμήμασιν ἀπὸ τοῦ ἐντὸς κύκλου. τὸ γὰρ ἐπὶ τῆς η τμῆμα ἴσον ἦν τοῖς τε ηθ θι τμήμασι, καὶ τοῖς ὑπὸ τοῦ ἑξαγώνου ἀφαιρουμένοις. τὰ οὖν ηθ θι τμήματα ἐλάττω ἐστὶ τοῖς περὶ τὴν η τμήμασι, καὶ τοῖς ὑπὸ τοῦ ἑξαγώνου ἀφαιρουμένοις. κοινοῦ οὖν προστεθέντος τοῦ ὑπὲρ τὸ τμῆμα τὸ περὶ τὴν η μέρους τοῦ τριγώνου, ἐκ μὲν τούτου καὶ τοῦ περὶ τὴν η τμήματος, τὸ τρίγωνον ἔσται. ἐκ δὲ τοῦ αὐτοῦ καὶ τῶν ηθ θι τμημάτων, ὁ μηνίσκος. ἔσται οὖν ἐλάττων ὁ μηνίσκος τοῦ τετραγώνου, τοῖς ὑπὸ τοῦ ἑξαγώνου ἀφαιρουμένοις τμήμασιν. ὁ ἄρα μηνίσκος καὶ τὰ ὑπὸ τοῦ ἑξαγώνου ἀφαιρούμενα τμήματα, ἐστὶν ἴσα τῷ τριγώνῳ. καὶ κοινοῦ προστεθέντος τοῦ ἑξαγώνου, τὸ τρίγωνον τοῦτο καὶ τὸ ἑξάγωνον, ἴσα ἐστὶ τῷ τε μηνίσκῳ τῷ λεχθέντι, καὶ τῷ κύκλῳ τῷ ἐκτός. τὸ γὰρ τρίγωνον ἴσον ἦν τῷ τε μηνίσκῳ, καὶ τοῖς ὑπὸ τοῦ ἑξαγώνου ἀφαιρουμένοις τμήμασι τοῦ ἐντὸς κύκλου. εἰ οὖν τὰ εἰρημένα εὐθύγραμμα δυνατὸν τετραγωνισθῆναι, καὶ τὸν κύκλον ἄρα μετὰ τοῦ μηνίσκου. Τὰ μὲν οὖν περὶ τοῦ χίου ἱπποκράτους μᾶλλον ἐπιτρεπτέον εὐδήμῳ γινώσκειν, ἐγγυτέρῳ τοῖς χρόνοις ὄντι καὶ ἀριστοτέλους ἀκροατῇ. ὁ δὲ διὰ τῶν τμημάτων τετραγωνισμὸς τοῦ κύκλου, ὃν ὡς ψευδογραφοῦντα αἰτιᾶται ὁ ἀριστοτέλης, ἢ τὸν διὰ τῶν μηνίσκων αἰνίττεται, καλῶς γὰρ ὁ ἀλέξανδρος ἐνεδοίασεν εἰπών, εἰ ὁ αὐτός ἐστι τῷ τῶν μηνίσκων. ἢ οὐκ εἰς τὰς ἱπποκράτους δόξας ἀποβλέπει, ἀλλά τινας ἄλλας. ὧν μίαν καὶ ὁ ἀλέξανδρος παρέθετο. ἢ τὸν μετὰ τοῦ μηνίσκου τετραγωνισμὸν τοῦ κύκλου αἰτιᾶται τοῦ ἱπποκράτους, ὃν τῷ ὄντι διὰ τῶν τμημάτων ἀπέδειξε τῶν τριῶν ἐν τῷ ἐλάττονι. τάχα γὰρ καὶ κυριώτερον αὕτη ἡ ἀπόδειξις ῥηθείη ἡ διὰ τμημάτων, ἢ περὶ διὰ τῶν μηνίσκων. τμῆμα γὰρ κύκλου καὶ ὁ εὐκλείδης ἐν τῷ τρίτῳ τῶν ἑαυτοῦ στοιχείων ὡρίσατο, τὸ περιεχόμενον σχῆμα ὑπό τε εὐθείας καὶ κύκλου περιφερείας. οἱ οὖν μηνίσκοι οὐδὲ κυρίως τμήματά εἰσι. καὶ εἴη ἂν ψευδογράφημα ἐν τούτῳ, τὸ μετὰ τοῦ μηνίσκου τετραγωνίζειν τὸν κύκλον ἀλλὰ μὴ καθ' ἑαυτόν. ἐπεὶ πάντα τὰ ληφθέντα εἰς τὴν ἀπόδειξιν, ἀπὸ γεωμετρικῶν ἀρχῶν εἴληπται. ἀλλ' εἰ ὁ τοῦ μηνίσκου τετραγωνισμὸς καθολικὸς ὑπὸ τοῦ ἱπποκράτους δοκεῖ παραδεδόσθαι, πᾶς γὰρ μηνίσκος ἤτοι ἡμικυκλίου τμήματος ἢ ἐλάττονος, δυνατὸν φαίη ἄν τις ἐκ τοῦ ἴσου τετραγώνου τῷ τε μηνίσκῳ καὶ τῷ κύκλῳ, ἀφαιρεθέντος τετραγώνου ἴσου τῷ μηνίσκῳ, τὸ λοιπὸν εὐθύγραμμον τετραγωνίσαντα ἴσον τετράγωνον τῷ κύκλῳ ποιῆσαι μόνῳ. πῶς οὖν ἔτι ψευδογραφεῖσθαι δόξει ὁ τοῦ ἱπποκράτους τετραγωνισμός, εἰ μήπω εὑρῆσθαι ὑπὸ τοῦ ἀριστοτέλους ἐνομίσθη, λέγοντος ἐν κατηγορίαις,
» οἷον ὁ τοῦ κύκλου τετραγωνισμὸς εἰ
» ἔστιν ἐπιστητός, ἐπιστήμη μὲν αὐτοῦ οὐκ ἔστι πω, τὸ δὲ ἐπιστητόν ἐστι, καίτοι τοῦ χίου ἱπποκράτους πρὸ ἀριστοτέλους ὄντος, ὥστε καὶ τὸν εὔδημον ἐν τοῖς παλαιοτέροις αὐτὸν ἀριθμεῖν. μήποτε οὖν οὐ καθόλου πᾶς μηνίσκος ἐτετραγωνίσθη ὑπὸ τοῦ ἱπποκράτους. κἂν γὰρ ἡ ἐκτὸς τοῦ μηνίσκου περιφέρεια ὁρισθῇ, ἀλλ' ἐκείνης κειμένης, τὰς ἐντὸς τοῦ μηνίσκου περιφερείας ἀπείρους ἤτοι ἐπ' ἄπειρον ἄλλην καὶ ἄλλην γράφειν δυνατὸν, ἐπ' ἄπειρον διῃρημένου τοῦ ἐπιπέδου, ὥστε τῆς ἐκτὸς τῆς αὐτῆς μενούσης, τοὺς μὲν, μείζονας, τοὺς δὲ ἐλάττονας εἶναι τῶν μηνίσκων. αὐτὸς δὲ τὴν ἐντὸς περιφέρειαν ὡρισμένην ἔλαβεν. ὅμοιον γὰρ αὐτὴν τμῆμα ἀποτέμνουσαν τοῖς πρὸς τῇ ἐκτὸς περιφερείᾳ συνισταμένοις τμήμασιν ἔλαβεν. ὡς τὰ μὲν τοῦ πρώτου θεωρήματος ἐπὶ τετραγωνικῆς ἦν πλευρᾶς. τὰ δὲ ἐν τοῖς ἄλλοις ἐπὶ ἀορίστων. ὥστε οὐ πᾶς ἐτετραγωνίσθη μηνίσκος. ἀλλ' οἱ τὴν ἐντὸς περιφέρειαν ὁμοίαν ἔχοντες τοῖς πρὸς τῇ ἐκτὸς συνισταμένοις τμήμασι, καὶ αὐτοῖς ὡρισμένοις πως οὖσι. ταῦτα μὲν οὖν περὶ τῆς τῶν μηνίσκων ψευδογραφίας. ἡμεῖς δὲ ἐπὶ τὰ ἑξῆς ἴωμεν.

Ο ΥΜΗΝ, ἀλλ' ἐπειδὴ περὶ φύσεως μὲν, οὐ φυσικὰς δὲ ἀπορίας συμβαίνει λέγειν αὐτοῖς, ἴσως ἔχει καλῶς, ἐπὶ μικρὸν διαλεχθῆναι περὶ αὐτῶν. ἔχει γὰρ φιλοσοφίαν ἡ σκέψις.

Α ἰτίας πλείονας ἀποδοὺς, καθ' ἃς οὐκ ἔστιν οἰκεῖος τῷ φυσικῷ ὁ πρὸς μέλισσον καὶ παρμενίδην λόγος, βουλόμενος δ' ἀντειπεῖν, ὅτι μὴ διακενῆς ποιεῖται τὴν ἀντιλογίαν, πρῶτον παρεμυθήσατο. διχῶς δὲ στίξας ὁ ἀλέξανδρος, διττὴν ἐποιήσατο τὴν ἐξήγησιν. πρῶτον μὲν ἀκούσας ὅτι περὶ φύσεως μὲν λέγουσιν οὗτοι, οὐ φυσικὰ δὲ τὰ ὑπ' αὐτῶν λεγόμενα. ὁ γὰρ ἀναιρῶν τι, εἰ καὶ μὴ χρῆται ἐκεί-

νω, ἀλλ' οὐ περὶ ἐκείνου τοὺς λόγους ποιεῖται. τῷ οὖν ὅλως περὶ φύσεως αὐτοῖς γεγονέναι τοὺς λόγους, εὔλογον ἂν εἴη λέγειν τι τῶν φυσικῶν πρὸς αὐτούς. καθόσον δὲ οὐ φυσικὰ λέγουσι, πρὸς ὀλίγον ἐνδιατρίψαι τοῖς πρὸς αὐτοὺς λόγοις. καὶ ταύτῃ ἔοικεν ἀρέσκεσθαι τῇ στιγμῇ καὶ ὁ Πορφύριος, οὕτως ἐπιτρέχων τῇ λέξει. οὐ μὴν ἀλλ' ἐπειδὴ περὶ φύσεως ὁ λόγος αὐτοῖς, εἰ καὶ ἀναιροῦσιν ἀγνοοῦντες τὴν φύσιν, εἰ καὶ μὴ φυσικαὶ αὐτοῖς αἱ ἀπορίαι, δεῖ ἐπ' ὀλίγον διαλεχθῆναι περὶ αὐτῶν. καὶ ἔχει πολὺν λόγον ἡ ἐξήγησις, εἴπερ ὡς καὶ πρότερον ἔφην ὁ Μέλισσος καὶ τὴν ἐπιγραφὴν οὕτως ἐποιήσατο τοῦ συγγράμματος, περὶ φύσεως ἢ περὶ τοῦ ὄντος. ἔστι δέ φησιν ὁ Ἀλέξανδρος τὴν προειρημένην λέξιν καὶ οὕτω διαστέλλειν. οὐ μὴν ἀλλ' ἐπειδὴ περὶ φύσεως μὲν οὔ, εἶτα ἀπ' ἄλλης ἀρχῆς, φυσικὰς δὲ ἀπορίας. ἔστι γάρ φησι καὶ ὁ τρόπος αὐτῷ τῆς ἑρμηνείας οὗτος συνήθης. ἐν γοῦν σοφιστικοῖς ἐλέγχοις χρῆται αὐτῷ, λέγων ἔστι μὲν οὔ, φαίνεται δέ, καὶ πάλιν, οἱ δὲ τοῦτο ποιοῦσι μὲν οὔ, δοκοῦσι δέ, καὶ τὸ λεγόμενόν φησι καταλλήλως ἂν ἔχοι. κυρίως γὰρ περί τινος λέγει, ὁ δεικνὺς περὶ αὐτοῦ ὁποῖόν τί ἐστι. περὶ γοῦν ψυχῆς λέγειν οὐκ ἂν λέγοιτο ὁ ψυχὴν ἀναιρῶν. περὶ ψυχῆς μέντοι ἀπορεῖν δόξειεν ἄν, ὁ πρὸς τὸ εἶναι ψυχὴν ἀπορῶν. οὕτω καὶ τὰ ἀπορούμενα πρὸς τὴν φύσιν φυσικὰς ἂν λέγοι τις ἀπορίας. οὐ μὴν περὶ φύσεως λέγειν τὸν τοιοῦτον φήσει τις ἂν τὸν ἀναιροῦντα τὴν φύσιν. καὶ ἀκόλουθον δὲ τοῖς προειρημένοις φησὶ τὸ οὕτω διαστέλλεσθαι. εἰρήκει γὰρ τὸ μὲν οὖν εἰ ἓν καὶ ἀκίνητον τὸ ὂν σκοπεῖν, οὐ περὶ φύσεώς ἐστι σκοπεῖν. ᾧ συνάδει, τὸ ἀλλ' ἐπεὶ περὶ φύσεως μὲν οὔ. ταύτῃ καλῶς εἰρημένῃ τῇ ἐξηγήσει συνάδει καὶ ἡ τοῦ Θεμιστίου παράφρασις. ἐπάγει δὲ τούτοις ὁ Ἀλέξανδρος, ὅτι οὐδὲ εἰρήκασί τι περὶ φύσεως ἐκεῖνοι. οὐ γὰρ προθέμενοι περὶ φύσεως εἰπεῖν, ἔπειτα ἀναιροῦσι τὴν φύσιν. ἀλλ' ἠκολούθησεν αὐτοῖς ἐξ ὧν ἔλεγον τὴν φύσιν ἀναιρεῖν. ὁ μέντοι περὶ κινήσεως λόγος, καὶ περὶ ἀπείρου, καὶ κενοῦ, οἷς χρῶνται, φυσικὰς ἀπορίας ἔχει. καὶ τοῦτο μὲν καλῶς εἴρηται. πῶς δὲ ἐνταῦθα λέγει ὁ Ἀλέξανδρος μηδὲν περὶ φύσεως εἰπεῖν ἐκείνους, καίτοι πρότερον αὐτῇ τῇ λέξει λέγων, ὅτι κατὰ τὴν τῶν πολλῶν δόξαν καὶ τὰ φαινόμενα φυσιολογῶν ὁ Παρμενίδης, οὔτε ἓν ἔτι λέγων εἶναι τὸ ὄν, οὔτε ἀγέννητον, ἀρχὰς τῶν γινομένων ὑπέθετο πῦρ καὶ γῆν. καὶ Μέλισσος δὲ εἰ καὶ μὴ περὶ τῆς κυρίως φύσεως, ἀλλ' οὖν περὶ φύσεως ἢ περὶ τοῦ ὄντος τὴν ἐπιγραφὴν τοῦ συγγράμματος ἐποιήσατο. Εἰπὼν δὲ τὴν αἰτίαν δι' ἣν βραχέα χρὴ πρὸς αὐτοὺς διαλεχθῆναι, κἂν εἰ οἱ πρότερον εἰρημένοι λόγοι τὴν ἀντιλογίαν ἐκώλυον, ταύτην πάλιν τὴν αἰτίαν εἰς ἄλλην τελεωτέραν ἀνήγαγε. δεῖ μὲν γὰρ ὅλως ἀντειπεῖν πρὸς αὐτούς, ἐπειδὴ περὶ φύσεως, ἢ ὅτι φυσικὰς ἀπορίας λέγουσι. πρὸς δὲ τὰ τοιαῦτα δεῖ ἀντειπεῖν, ἐπειδὴ ἔχει τινὰ φιλοσοφίαν ἡ σκέψις. ἡ γὰρ περὶ τοῦ ὄντος ὅλως ζήτησις, καὶ ἡ περὶ φύσεως ἢ τῶν φυσικῶν ἀποριῶν, οὐδενὸς ἄλλου ἐστὶν ἢ τοῦ φιλοσόφου.

ἈΡΧΗ ΔΕ οἰκειοτάτη πασῶν. ἐπειδὴ πολλαχῶς λέγεται τὸ ὄν, πῶς λέγουσιν οἱ λέγοντες ἓν εἶναι τὰ πάντα. πότερον οὐσίαν τὰ πάντα, ἢ ποσά, ἢ ποιά. καὶ πάλιν πότερον οὐσίαν μίαν τὰ πάντα, οἷον ἄνθρωπον ἕνα, ἢ ἵππον ἕνα, ἢ ψυχὴν μίαν, ἢ ποιὸν ἓν δὲ τοῦτο. οἷον λευκόν, ἢ θερμόν, ἢ ἄλλο τι τῶν τοιούτων. ταῦτα γὰρ πάντα διαφέρει τε πολύ, καὶ ἀδύνατα λέγειν. εἰ μὲν γὰρ ἔσται καὶ οὐσία, καὶ ποιόν, καὶ ποσόν. καὶ ταῦτα εἴτ' ἀπολελυμένα ἀπ' ἀλλήλων, εἴτε μή, πολλὰ τὰ ὄντα. εἰ δὲ ἅπαντα ποιόν, ἢ ποσόν, εἴτε οὔσης οὐσίας, εἴτε μὴ οὔσης, ἄτοπον, εἰ δεῖ ἄτοπον λέγειν τὸ ἀδύνατον. οὐδὲν γὰρ τῶν ἄλλων χωριστόν ἐστι παρὰ τὴν οὐσίαν. πάντα γὰρ καθ' ὑποκειμένης λέγεται τῆς οὐσίας. Μέλισσος δὲ τὸ ὂν ἄπειρον εἶναί φησιν. ποσὸν ἄρα τι τὸ ὄν. τὸ γὰρ ἄπειρον, ἐν τῷ ποσῷ. οὐσίαν δὲ ἄπειρον, ἢ ποιότητα, ἢ πάθος εἶναι οὐκ ἐνδέχεται, εἰ μὴ κατὰ συμβεβηκός. εἰ ἅμα καὶ ποσὰ ἄττα εἶεν. ὁ γὰρ τοῦ ἀπείρου λόγος τῷ ποσῷ προσχρῆται, ἀλλ' οὐκ οὐσίᾳ. οὐδὲ τῷ ποιῷ. εἰ μὲν τοίνυν καὶ οὐσία ἐστὶ καὶ ποσόν, δύο καὶ οὐχ ἓν τὸ ὄν. εἰ δ' οὐσία μόνον. οὐκ ἄπειρον. οὐδὲ μέγεθος ἕξει οὐδέν. ποσὸν γάρ τι ἔσται.

Ὁ πρός τινα δόξαν ἀντιλέγων, διχῶς ἐπιχειρεῖ. ἢ γὰρ τοὺς κατασκευάζοντας αὐτὴν λόγους ἀνατρέπει, ἢ καθολικὴν αὐτῆς ποιεῖται τὴν ἀναίρεσιν. ἀλλ' ὁ μὲν τοὺς κατασκευάζοντας λόγους μόνους ἀναιρῶν, οὔπω τὸ δόγμα ἀνῄρηκεν. τί γὰρ εἰ καὶ ἄλλοι τινές εἰσιν αὐτοῦ λόγοι κατασκευαστικοί, τῶν ἀνῃρημένων ἐρρωμενέστεροι. οἱ δὲ μὴ πρὸς τοὺς κατασκευάζοντας λόγους ἀλλὰ πρὸς αὐτὸ τὸ δόγμα ἐνστάμενοι, καὶ καθολικὴν αὐτοῦ ποιούμενοι τὴν ἀναίρεσιν, τὸ μὲν δόγμα ἀναιροῦσι βεβαίως ἀπορίας δὲ καταλιμπάνουσιν, ἂν μὴ καὶ τοὺς λόγους αὐτοὺς τοὺς κατασκευάζοντας ἀνατρέψωσι. διὸ τὸν Παρμενίδου λόγον καὶ Μελίσσου ἐλέγχειν ὁ Ἀριστοτέλης προθέμενος, πρῶτον μὲν καθολικὴν πρὸς αὐτὸν ποιεῖται ἔνστασιν, τὸ ἓν εἶναι τὸ ὂν εἴ τις κατὰ τὸ πρόχειρον ἀκούοι ἐκ διαιρέσεως ἀνασκευάζων, εἶτα καὶ τοὺς λόγους αὐτῶν ἀνατρέπων. εἴ τις αὐτοὺς ὡς κατασκευαστικοὺς τοιούτου ἑνὸς ὄντος ἀποδέχοιτο. γίνεται δὲ διαλεκτικὴ αὐτῷ ἡ ἐπιχείρησις, ἀπὸ τῆς τοῦ ὄντος διαιρέσεως ὁρμηθεῖσα. τῇ γὰρ διαλεκτικῇ χρωμένοις, ἔστι τὰς τῶν ἐπιστημῶν ἀρχὰς κατασκευάζειν. καὶ ἔστιν ἡ ὅλη τοῦ λόγου μεταχείρισις τοιαύτη. ἐπειδὴ ἓν λέγουσι τὸ ὄν, ἑκάτερον δὲ τούτων τό, τε ὂν καὶ τὸ ἓν πολλαχῶς λέγεται, ἰδία

διαιρετέον αὐτά. ἐπεὶ οὖν τὸ ὂν δεκαχῶς δέδεικται λεγόμενον, ἢ ὡς οὐσία, ἢ ὡς ποιόν, ἢ ὡς ποσόν, ἢ ὡς ἄλλη τις τῶν δέκα κατηγοριῶν, οἱ λέγοντες ἓν εἶναι τὸ ὄν, πότερον ὀνόματι μόνον ἓν λέγουσι, πράγματι δὲ πολλά, ὥστε οὐσίαν λέγεσθαι τὰ πάντα, δέκα ὄντα τοῖς πράγμασιν, ἢ πλείονά τινα ἐξ αὐτῶν. προσκείσθω γὰρ καὶ τοῦτο τῇ διαιρέσει. ἢ καὶ τῷ πράγματι ἕν ἐστιν, οἷον οὐσίαν, ἢ ποσόν, ἢ ποιόν, ὡς εἶναι μίαν οὐσίαν τῷ ἀριθμῷ τὰ πάντα. εἰ γὰρ γένει ἢ εἴδει λέγοιεν, δηλονότι πολλὰ τῷ ἀριθμῷ ἔσται. ἢ οὕτω μίαν οὕτω μίαν λέγουσιν, ὁποῖον ἄνθρωπον ἕνα, ἢ ἵππον, ἢ ψυχὴν μίαν, ἢ ποιόν, οὐ τὸ γένος, πολλὰ γὰρ ἂν εἴη πάλιν εὐθύς, ἀλλ' ἓν τοῦτο, οἷον λευκόν, ἢ θερμόν, ἢ τῶν ἄλλων τι τῶν τοιούτων. οὗτοι γὰρ πάντες οἱ τῶν ἐκδοχῶν τρόποι, καὶ διαφέρουσιν ἀλλήλων πολύ. καὶ εἰσὶ πάντες ἀδύνατοι. εἰ μὲν γὰρ τὸ λεγόμενον ὄν, ὀνόματι μόνον ἓν ὑπάρχον, τῷ πράγματι δὲ καὶ οὐσία καὶ ποσὸν καὶ ποιόν ἐστι, καὶ πάντα τὰ γένη ἢ τινὰ ἐξ αὐτῶν, εἴτε κεχωρισμένα ἀλλήλων, εἴτε σὺν ἀλλήλοις ὑπάρχοντα, πολλὰ τὰ ὄντα ἔσται. εἰ δὲ ἕν τι γένος τῶν δέκα τὰ πάντα ἐστίν, οἷον οὐσία, ἢ ποιόν, ἢ ποσόν, καὶ διὰ τοῦτο ἕν, ὅτι εἰς ἓν τῶν δέκα γενῶν τὰ πάντα ὑπίσταται, εἴτε οὔσης τῆς οὐσίας εἴτε μὴ οὔσης, ἄτοπόν τι ἀκολουθήσει. εἰ μὲν γὰρ ὡς πέφυκε προϋποκειμένης οὐσίας, τούτων τι περὶ ἐκείνην τυγχάνει, πάλιν οὐχ ἓν τὸ ὄν. ἀλλὰ οὐσία καὶ ποιόν, ἢ ὅπερ ἂν θῶνται εἶναι τῶν δέκα τὸ ὄν. εἰ δὲ μὴ οὔσης οὐσίας, καὶ τοῦτο ἀδύνατον. οὐδὲν γὰρ τῶν ἄλλων γενῶν χωρὶς τῆς οὐσίας ὑφίστασθαι δύναται. διότι ὑπόκειται τοῖς ἄλλοις γένεσιν ἡ οὐσία, καὶ ἐν αὐτῇ τὸ εἶναι ἔχει ἐκεῖνα. προσκείσθω γὰρ καὶ οὕτω. κατὰ μέντοι Μέλισσον καὶ Παρμενίδην, κἄν τε ποιὸν ὑποτεθείη τὸ ὄν, κἄν τε οὐσία, κοινὸς γὰρ ἔσται καὶ ἐπὶ ταύτης ὁ λόγος, ἐπειδὴ ὁ μὲν ἄπειρόν φησι τὸ ὄν, ὁ δὲ πεπερασμένον, εὐθὺς καὶ τὸ ποσὸν εἰσαχθήσεται. τὸ γὰρ ἄπειρον καὶ τὸ πεπερασμένον ἐν τῷ ποσῷ. καὶ οὔτε οὐσίαν, οὔτε ποιότητα ἢ πάθος ἐνδέχεται εἶναι ἄπειρα ἢ πεπερασμένα, εἰ μὴ κατὰ συμβεβηκός, εἰ ἅμα καὶ ποσὰ εἴη. ὁ γὰρ τοῦ ἀπείρου καὶ τοῦ πεπερασμένου λόγος τῷ ποσῷ προσχρῆται, ἀλλ' οὐκ οὐσίᾳ οὐδὲ ποιῷ. ἀλλ' ἐγὼ μὲν τῷ Πορφυρίῳ τὸ πλέον ἀκολουθῶν, οὕτω τήν τε διαίρεσιν τοῦ Ἀριστοτέλους ἐποιησάμην, καὶ τὴν καθ' ἕκαστον τῆς διαιρέσεως ἔνστασιν. ὁ μέντοι ἐπιμελέστατος Ἀλέξανδρος συνῆψε τὴν κατὰ τὸ ὄν, καὶ τὴν κατὰ τὸ ἓν διαίρεσιν οὕτως. οἱ ἓν λέγοντες τὸ ὄν, ἤτοι διὰ τὸ ὄνομα λέγουσιν, ὅτι κατὰ πάντων τῶν ὄντων τὸ ἓν ὄνομα κατηγορεῖται, ἢ τῷ πράγματι. καὶ εἰ μὲν τῷ ὀνόματι ἐπειδὴ τὸ ὄνομα πολλαχῶς, τὸ γὰρ ἓν δεκαχῶς λέγεται, ἔσται πολλὰ τὰ ὄντα κατὰ τὴν ὑπόστασιν καὶ τὰ πράγματα. εἰ δὲ τῷ πράγματι ἓν λέγουσιν, ἤτοι τῷ γένει, ἢ τῷ εἴδει, ἢ τῷ ἀριθμῷ. ἀλλ' εἰ μὲν τῷ γένει ἢ τῷ εἴδει, πολλὰ τὰ ὄντα. ἑκάτερον γὰρ τούτων κατὰ πολλῶν. εἰ δὲ τῷ ἀριθμῷ, ἐπεὶ τὸ ἓν τῷ ἀριθμῷ τριχῶς ὡς διελεῖ, ἢ ὡς τὸ συνεχὲς ἔσται, ἢ ὡς τὸ ἀδιαίρετον, ἢ ὡς ὧν ὁ λόγος ὁ αὐτός. καίτοι τοῦ Ἀριστοτέλους μετὰ τὴν τοῦ ὄντος ὅλην διαίρεσιν, τὴν τοῦ ἑνὸς ἐπαγαγόντος, ἐν οἷς φησιν, ἔτι ἐπεὶ καὶ αὐτὸ τὸ ἓν πολλαχῶς λέγεται ὥσπερ καὶ τὸ ὄν, καὶ οὐκ ἀξιώσαντος τῷ γένει ἢ εἴδει ἓν λαβεῖν, ὡς ἐναργῶς τὸ πλῆθος εἰσάγοντα, ἀλλ' ἐπὶ τοῦ ἀριθμῷ ἑνὸς ποιησαμένου τὴν πρὸς τὸ ὂν ἀπάντησιν. ἔλαθε δὲ τοῦτο τὸν Ἀλέξανδρον, οὐκέτι οἰκείως τῇ αὐτῇ διαιρέσει τὰ τοῦ Ἀριστοτέλους ἐκδεξάμενον. πυθέσθαι γὰρ αὐτὸν ἐξ ἀρχῆς οἴεται, πῶς λέγουσι τὸ ὂν ἕν. πότερον κατὰ τὸ γένος, ὡς λέγειν οὐσίαν τὰ πάντα, ἢ τι ἄλλο τῶν δέκα γενῶν. καὶ εἰ οὕτως, πάλιν πῶς ἕκαστον τούτων. οἷον εἰ μίαν λέγοιεν οὐσίαν, πῶς λέγουσιν, ὡς ἄνθρωπον ἕνα λέγειν τὴν οὐσίαν, ἢ ἵππον ἕνα, ἢ ψυχὴν μίαν. ὁμοίως δὲ καὶ ἐπὶ τοῦ ποιοῦ καὶ ἐπὶ τῶν ἄλλων, ἐπιδεικνύμενος ἅμα διὰ τῆς τοιαύτης ἐρωτήσεως, τὸ καθ' ἕκαστον γένος πλῆθος, καὶ τὴν ἀτοπίαν τοῦ ὑπ' αὐτῶν εἰρημένου λόγου. ταῦτα ὁ Ἀλέξανδρος εἰπών, εἰ μὲν ἐπ' αὐτῶν ἔμεινε, τάχα ἂν παρέχων ὑπονοεῖν, ὡς τὸ πρότερον κατὰ τὸ γένος, ὡς λέγειν οὐσίαν πάντα, οὐχὶ περὶ τῆς γένει ἓν λεγούσης ὑποθέσεως ἐξεδέξατο. ἀλλ' ἐξηγησάμενος αὐτὸ καλῶς, τὸ εἰ μὲν γὰρ ἔσται καὶ οὐσία, καὶ ποσόν, καὶ ποιόν, ἐπάγει, οὐ δοκεῖ δὲ καταλλήλως τοῦτο ἐπενηνοχέναι τοῖς προειρημένοις. προειπὼν γὰρ ὡς ἐρωτῶν, πῶς λέγουσιν οἱ ἓν λέγοντες τὸ ὄν, πότερον ὡς οὐσίαν ἢ ὡς ποιότητα ἢ ἄλλο τι τῶν δέκα γενῶν, ἢ ὡς ἕν τι τῶν ὑπό τι τούτων τῶν γενῶν, ὡς μίαν ἀριθμῷ οὐσίαν, ἢ ἓν ποσόν, ἢ ποιὸν ἕν, παρεὶς τὸ καθ' ἑκάτερον ἐκείνων ἄτοπον δεῖξαι, ἄλλο τι λαμβάνει. ὃ οὔτε ἤρετο, οὔτε ἦν πιθανὸν λέγειν τοὺς λέγοντας ἓν τὸ ὄν. ἀλλ' ἔμελλέ φησι τὸ κατὰ τὴν ἐρώτησιν αὐτῷ διαιρετικὸν τέλειον ἔσεσθαι. ἓν γὰρ ἢ τῷ ὀνόματι ἢ τῷ σημαινομένῳ. οὐκ ἐπιφέρει δέ, φησιν, ὡς προηρωτημένῳ τούτῳ τὰ ἄτοπα. ἀλλ' εἰς πίστωσιν τοῦ δεῖν πάντως τούτων τι λέγειν αὐτούς. καλῶς δὲ ὁ Πορφύριος τὴν ἐξ ἀρχῆς ἐρώτησιν τὴν λέγουσαν, πότερον οὐσίαν τὰ πάντα ἢ ποσὰ τὰ πάντα, τοῦτο ἐνδείκνυσθαί φησι, πότερον ὄνομα ἓν εἶναι, πολλῶν ὄντων πραγμάτων τῶν πάντων, ἢ καὶ πρᾶγμα ἕν τι λέγουσιν εἶναι πάντα, καὶ δηλονότι ἄτομον, οἷον ἄνθρωπον ἕνα ἢ ἵππον; γένος γὰρ ἢ εἶδος λέγοντες, ἐπειδὴ κατὰ πολλῶν ἕκαστον τούτων λέγεται, καὶ τὸ πλῆθος τῶν ὄντων ὁμολογήσουσιν. εἰ γὰρ μὴ οὕτως ἠρώτα, τίς ἦν ἡ χρεία προλαβεῖν ὅτι πολλαχῶς λέγεται τὸ ὄν. εἰ δὲ τοῖς οὕτως ὑποτιθεμένοις ἐναργὲς τὸ ἄτοπον ἦν, πολλῶν εὐθὺς πραγμάτων τιθεμένων ὑφ'

ἓν ὄνομα, οὐ χρὴ θαυμάζειν, εἰ καὶ ἐναργῶς ἄτοπον ὑπέθετο διὰ τὸ τῆς διαιρέσεως τέλειον. διατί δὲ
ἀντέλεγε μὲν πρὸς αὐτὸ, ἐρωτῆσαι δὲ αὐτὸ οὐκ ἠνέσχετο. ὅλως δὲ ἡ ὅλη θέσις τῶν ἓν τὸ ὂν λεγόντων,
οὕτως εἴ τις αὐτὴν ἐπιπολαίως εἰσδέχοιτο, παράδοξός ἐστι καὶ ἀπεμφαίνουσα. καὶ ὅμως φειδοῦς τῶν
ἁπλουστέρων ἀντιλογίας ἠξίωται παρὰ τοῦ ἀριστοτέλους. Ὁ μέντοι εὔδημος συντομώτερον οὕ-
τως ἐπιχειρεῖ τῷ λόγῳ. ἐπειδὴ γάρ φησι τὸ ὂν πολλαχῶς λέγεται, καὶ γὰρ οὐσίαν καὶ ποσὸν καὶ
ποιὸν, καὶ τὰ λοιπὰ τῶν κατὰ τὰς διαιρέσεις εἶναι φαμὲν, παρὰ ποῖον ἄρα τούτων οὐκ ἔσται τι
ἄλλο. τουτέστι τίνος ὄντος δυνατὸν τὰ ἄλλα μὴ εἶναι. καὶ δηλονότι φησὶ παρὰ τὴν οὐσίαν μάλιστα ἂν
εἴποι τις. τὰ μὲν γὰρ ἄλλα ἔν τινι φαίνηται ἀεί. ὥστε ἐκείνων ὄντων ἔσται καὶ τὸ ἐν ᾧ. οὐσίας δὲ οὔ-
σης, οὐδὲν δοκεῖ ὑποκεῖσθαι. εἰ δὲ ὑπόκειται μὲν οὐδὲν, ζῷα δ᾽ ἔσται, ἄρα τὸ βαδίζειν οὐκ ἔσται, οὐδὲ
τὸ πράσσειν καὶ κινεῖσθαι, οὐδὲ καλὸν, οὐδὲ ἄλλο τῶν τοιούτων οὐθέν. πῶς οὖν οὐκ ἄτοπον. τὸ δὲ δὴ
ποσὸν οὐκ ἐνδέχεται μὴ ποιεῖν αὐτοῖς τῶν ὄντων. οὔτε γὰρ ἄπειρον οὔτε πεπερασμένον ἀποφαίνοι-
εν ἂν τὸ ὂν, εἴπερ ἐστι ταῦτα ποσότητος πάθη. Ἀλλ᾽ ἐπειδὴ καὶ τὰ τοῦ εὐδήμου προσιστόρηται, τὰ
κατὰ τὴν λέξιν ἐπιστάσεως ἄξια προθετέον. τὸ μὲν οὖν πρὸ πάντων τὰ σημαινόμενα τοῦ ὄντος, ὅπερ
νῦν εἰς ζήτησιν πρόκειται, διαστείλασθαι, καὶ τὸ οἰκεῖον παράγγελμα φυλάττοντός ἐστι, τὸ δεῖν πρῶ-
τον ἐπὶ παντὸς προβλήματος τί σημαίνει τοὔνομα διορίζεσθαι, καὶ τί ἕκαστον μανθάνειν. ἀκολουθεῖ
δὲ καὶ τῷ πλάτωνι λέγοντι ἐν φαίδρῳ, περὶ παντὸς ὦ παῖ μία ἀρχὴ εἰδέναι περὶ οὗ ἂν ᾖ ἡ βου-
λὴ, ἢ παντὸς ἁμαρτάνειν ἀνάγκη. ὁ γὰρ ἀγνοῶν αὐτό. οὐδ᾽ ἂν ἐνστῆναι πρὸς αὐτὸ δύναιτο. Τὸ δὲ
ἐπεὶ πλεοναχῶς λέγεται τὸ ὂν, οὐκ ἐρωτῶντός ἐστιν, ἀλλ᾽ ἐκ τῆς ἐναργείας λαμβάνοντος, καὶ τῇ
ἐν κατηγορίαις διαιρέσει θαρροῦντος, καὶ ζητοῦντος λοιπὸν, εἰ πολλαχῶς λεγομένου τοῦ ὄντος,
καθ᾽ ὅντινα οὖν τρόπον δυνατὸν ἀληθεύειν ἐκείνους τοὺς ἓν τὸ ὂν λέγοντας. Καλῶς δὲ ἄτοπον εἰπὼν
τὸ πάντα ποιὸν ἢ ποσὸν εἶναι, ἐπήγαγεν εἰ δεῖ ἄτοπον λέγειν τὸ ἀδύνατον. καὶ γὰρ ἄτοπον μὲν καὶ
τὸ ἁπλῶς ψεῦδος. ἐπίτασις δὲ τοῦ ψεύδους τὸ ἀδύνατον. καὶ τὸ μὲν ἄτοπον τῷ εὐλόγῳ ἀντίκειται,
σημαῖνον ἤτοι τὸ παράδοξον ὃ μὴ τοπάσαι ἄν τις, ἢ τὸ χώραν μὴ ἔχον. τὸ δὲ ἀδύνατον τῷ ἀναγκαίῳ
ἀντίκειται. πῶς οὖν τοῦτο ἀδύνατον; ὅτι οὔσης μὲν οὐσίας, ἤτοι ταὐτὸν ἔσται οὐσία καὶ ποιὸν, ἢ ἅ-
μα ἕν τε καὶ οὐχ ἓν τὸ ὄν. μὴ οὔσης δὲ, ἐπεὶ μὴ δὲ ἔστι χωριστὸν τῆς οὐσίας τὸ ποιὸν, οὐδ᾽ ἂν αὐτὸ εἴη. ὡς
οὖν τοῦ εὐλόγου τὸ ἀναγκαῖον ἐπίτασίς ἐστιν, οὕτω καὶ τοῦ ἀτόπου τὸ ἀδύνατον. πρῶτον δὲ εἶπε τὰ
ἑπόμενα ἄτοπα τοῖς ποιὸν εἶναι λέγουσι τὰ πάντα, ἤ τι τῶν ἄλλων γενῶν, εἴτε οὔσης οὐσίας εἴτε
μὴ οὔσης. καὶ γὰρ οὔσης μὲν, ἔσται καὶ αὐτὸ καὶ τὸ ἄλλο γένος. μὴ οὔσης δὲ, χωρὶς οὐσίας ἔσται τὰ
συμβεβηκότα. ὅτι δὲ γέγονέ τις ὑπόνοια ἄλλο τι γένος παρὰ τὴν οὐσίαν εἶναι τὸ ὂν, πιστοῦται ἐκ τοῦ
μέλισσον ἄπειρον λέγειν τὸ ὄν. ὅπερ τοῦ ποσοῦ ἐστιν ἴδιον. καὶ τοὺς ἄλλο τι παρὰ τὸ ποσὸν λέγοντας
τὸ ὂν εὐθύνει, ὡς οὐ συμφωνοῦντας παρμενίδῃ καὶ μελίσσῳ, τῷ μὲν πεπερασμένον, τῷ δὲ ἀπεί-
ρον ὑποθεμένῳ τὸ ὄν. καὶ οὕτω τοὺς τὴν οὐσίαν ὑποθεμένους τὸ ὂν, ἐλέγχει τῷ αὐτῷ ἐπιχειρήματι, ᾧ
καὶ τοὺς ποιὸν ἤ τι ἄλλο παρὰ τὸ ποσὸν, τῷ μηκέτι δύνασθαι ἄπειρον λέγειν. δῆλον δὲ ὅτι οὐδὲ πε-
περασμένον. ὅπερ ἴσως ὡς σαφὲς παρῆκε νῦν. μετ᾽ ὀλίγα δὲ καὶ τοῦτο προσέθηκεν. ἐπάξει δὲ καὶ
ἄλλα ἄτοπα τοῖς ἓν τὸ ὂν ὡς οὐσίαν λέγουσιν, ὅταν τὸ ὅπερ ὂν πρόθηται σκοπεῖν. τῷ δὲ καθ᾽ ὑποκει-
μένου χρῆται νῦν, οὐ τῷ τὸ καθόλου σημαῖνον, ἀλλ᾽ ἀντὶ τοῦ ἐν ὑποκειμένῳ. εἴωθε γὰρ τὰ μὴ καθ᾽ αὑ-
τὰ ὄντα, ἀλλ᾽ ἑτέρου πρὸς τὸ εἶναι δεόμενα, καθ᾽ ὑποκειμένου λέγειν, ὡς λεγόμενα κατὰ τῶν ὑπο-
κειμένων. οὐ γὰρ τὰ ὑποκείμενα κατὰ τῶν συμβεβηκότων κατηγορεῖται, ἀλλὰ τὰ συμβεβηκότα
κατὰ τῶν ὑποκειμένων. λέγεται οὖν φησιν ὁ ἀλέξανδρος καθ᾽ ὑποκειμένου πάντα, οἷς πρὸς τὸ εἶναι
ὑποκειμένου τινὸς δεῖ. τοιαῦτα γὰρ καὶ τὰ κυρίως καθ᾽ ὑποκειμένου φησὶν, ἐπειδὴ οὐδὲν οἶδε καθό-
λου χωριστόν. ἀλλὰ πῶς τὸ ἄπειρον ἐν τῷ ποσῷ φησιν εἶναι. ἢ ὡς ἐν γένει τῷ ποσῷ. τοῦ γὰρ ποσοῦ
τὸ μὲν ἄπειρον, τὸ δὲ πεπερασμένον. ἢ ὅτι τὸ ἄπειρον μόνου τοῦ ποσοῦ καθ᾽ αὑτὸ κατηγορεῖται, τῶν
δὲ ἄλλων γενῶν οὐδενός. καθ᾽ αὑτὸ γὰρ κατηγορεῖται, ὅσα τε ἐν τῷ ὁριστικῷ λόγῳ τινὸς παραλαμ-
βάνεται, ὡς ἀνθρώπου καθ᾽ αὑτὸ κατηγορεῖται τὸ ζῷον. καὶ τὰ ἐν τῷ ὁριστικῷ λόγῳ τῶν ὑπαρ-
χόντων αὐτοῖς παραλαμβανόμενα. ὡς τὸ ἄρτιον τῷ ἀριθμῷ καθ᾽ αὑτὸ ὑπάρχει, ἐπεὶ ἐν τῷ τοῦ
ἀρτίου λόγῳ ὁ ἀριθμὸς παραλαμβάνεται. ὁριζόμενοι γὰρ τὸ ἄρτιον, λέγομεν ἀριθμὸς εἰς ἴσα διαι-
ρούμενος. καὶ δέδεικται ταῦτα ἐν τοῖς ὑστέροις ἀναλυτικοῖς. εἰ δέ τις τὸ ἄρτιον ὡς εἶδος τοῦ ἀρι-
θμοῦ λαμβάνων, οὐκ ἀξιοῖ συμβεβηκὸς αὐτοῦ εἶναι, τὴν ῥῖνα λαμβανέτω καὶ τὴν σιμότητα εἰς πα-
ράδειγμα. ἐν γὰρ τῷ τῆς σιμότητος ὁρισμῷ παραλαμβάνεται ἡ ῥὶς, ὅταν λέγωμεν σιμότητα
εἶναι κοιλότητα ἐν ῥινί. καὶ τὸ ἄπειρον δὲ τοῦ ποσοῦ κατηγορεῖται καθ᾽ αὑτὸ, διότι ἐν τῷ τοῦ ἀπεί-
ρου λόγῳ τὸ ποσὸν παραλαμβάνεται. διττὸν δὲ τὸ ἄπειρον, ὥσπερ καὶ τὸ λευκόν. καὶ τὸ μὲν ἄπει-
ρον τὸ σημαῖνον τὴν ἀπειρίαν, πάθος ἐστὶ ποσότητος. τὸ δὲ ἄπειρον τὸ πεπονθὸς τὴν ἀπειρίαν, ποσόν
ἐστιν ἀδιεξίτητον. πανταχόθεν οὖν προσχρῆται τῷ ποσῷ ἐν τῷ ὁρισμῷ τὸ ἄπειρον. καθ᾽ αὑτὸ ἄρα
αὐτῷ ὑπάρχει. ὥστε καὶ μόνῳ. οὐ γὰρ οἷόν τε πλείοσιν ἀνομοιογενέσι τὸ αὐτὸ καθ᾽ αὑτὸ ὑπάρχειν. διὸ

ὡς αὐτός

ὡς αὐτός φησιν ὁ τοῦ ἀπείρου λόγος τῷ ποσῷ προσχρῆται, ἀλλ' οὐκ οὐσίᾳ οὐδὲ τῷ ποιῷ. εἰ δέ τις οὐσί-
αν λέγων τὸ ὂν ἄπειρον λέγοι, κατὰ συμβεβηκὸς ἂν ὑπάρχῃ τῇ οὐσίᾳ τὸ ἄπειρον. οὐ γὰρ καθὸ οὐσία,
ἀλλὰ καθὸ ποσόν. ὥστε οὐκ ἔστιν ἓν τὸ ὄν, εἴπερ ποσὸν καὶ οὐσία. ἀλλὰ πῶς καθολικὴν νῦν ποιούμενος
τὴν ἀπάντησιν, ὕστερον δὲ μέλλων πρὸς τοὺς περὶ Μέλισσον ἀντερεῖν, ὅταν λέγῃ καὶ τὰ ἐξ ὧν ἐπιδει-
κνύουσι λύειν οὐ χαλεπόν, νῦν ὅμως τὴν Μελίσσου δόξαν ἀτόπῳ περιβάλλειν δοκεῖ. ἢ νῦν οὐ προηγου-
μένως αὐτῆς ἐμνήσθη. ἀλλ' ὑποθέμενος ποσόν τι ἢ ποιόν τι λέγειν τὸ ὄν, ἵνα μὴ τὸ μηδενὶ δοκοῦν ὑπο-
τιθέμενος φαίνηται, τὸν τοῦ Μελίσσου λόγον παρήγαγεν. μήποτε δὲ ἡ μὲν ἐπιχείρησις αὐτῷ καθολι-
κὴ γέγονεν. ἀνάγκη γὰρ τὸ ὂν ἢ πεπερασμένον ἢ ἄπειρον ὑποτίθεσθαι. ἑκατέρως δὲ ποσὸν ἀνάγκη λέ-
γειν τὸ ὄν. μάρτυρα δὲ τῆς ὑποθέσεως παραφέρει τὸν Μέλισσον. ἐφεξῆς δὲ καὶ τὸν Παρμενίδην συν-
τάττει. ἔν τισι δὲ τῶν ἀντιγράφων οὕτω γέγραπται. Μέλισσος δὲ τὸ ὂν ἄπειρον εἶναί φησι. ποσὸν ἄρα
τι τὸ ἕν. καὶ εἴη ἂν παρ' αὐτοῖς τὸ ἓν λέγον, ὅπερ ἦν τὸ ὄν. Ἐπειδὴ δὲ ὁ Ἀφροδισιεὺς Ἀλέξανδρος καὶ
δι' οἰκείων ἐπιχειρημάτων ἀντιλέγειν ἀξιοῖ τοῖς ἓν τὸ ὂν λέγουσι, φέρε συντόμως ἴδωμεν πῇ καὶ αὐ-
τὸς οὗ λέγειν δοκεῖ, καὶ ἡ παλαιὰ σοφία μένει ἀνέλεγκτος. πρὸς γὰρ τοὺς λέγοντάς φησι μὴ εἶναι
τὰ ἄλλα τὰ ἐν γενέσει καὶ φθορᾷ, ὡς ποτὲ μὲν ὄντα ποτὲ δὲ μὴ ὄντα, μόνον δὲ εἶναι τὴν ἀΐδιον οὐσί-
αν, διὰ τὸ μηδαμῶς τοῦ μὴ εἶναι μετέχειν, πρῶτον ἀπὸ τῆς ἐναργείας καὶ τῆς κοινῆς ἐννοίας καὶ χρή-
σεως ῥητέον. πᾶσι γὰρ ὄντα τε εἶναι δοκεῖ, καὶ οὕτω φρονοῦσί τε καὶ λέγουσιν. ἔπειτα εἰ διότι φθεί-
ρεται καὶ γίνεται οὔ φασιν αὐτὰ εἶναι, ἐπειδὴ καὶ τὸ γινόμενον ὄν τι γίνεται, καὶ τὸ φθειρόμενον ἐξ
ὄντος φθείρεται, εἴη ἂν καὶ τὸ γινόμενον καὶ τὸ φθειρόμενον τῶν ὄντων. οὐ γὰρ εἰ μὴ ὁμοίως ἐστὶ τοῖς
ἀϊδίοις, διὰ τοῦτο οὐκ ἔστι. καὶ εἰ διὰ τοῦτο οὐκ ἔστι φησὶν ὅτι φθείρεται, ὅτε μὴ φθείρεται καὶ καθὸ
μὴ φθείρεται, κατὰ τοῦτο ἂν εἴη καὶ τότε. πρὸς δὴ ταῦτα καὶ τὰ τοιαῦτα κοινὸς λεγέσθω λόγος,
ὅτι ὥσπερ λευκὸν λέγομεν τὸ καὶ ὁπωσοῦν λευκότητι παρακεχρωσμένον, κἂν πλείονι τῷ ἐναν-
τίῳ συναναπέφυρται, λευκὸν δὲ καὶ τὸ ἀμιγὲς τοῦ ἐναντίου, καὶ καλὸν ὁμοίως, καὶ κυρίως μὲν τού-
των ἕκαστον λέγεται τὸ εἰλικρινῶς τοιοῦτον, ὁλοσχερῶς δὲ καὶ καταχρηστικῶς τὸ τῷ ἐναντίῳ συμ-
μεμιγμένον, οὕτω καὶ τὸ ὂν κυρίως μὲν ἂν λέγοιτο τὸ κατὰ πάντα ὂν ὁμοῦ πᾶν. τὸ δὲ γινόμενον καὶ
φθειρόμενον πρὸ μὲν τοῦ γενέσθαι οὔπω ἐστί. μετὰ δὲ τὸ φθαρῆναι οὐκέτι ἐστίν. καὶ ὅτε δὲ εἶναι δοκεῖ
τοῦτο, ἐπειδὴ ἐν τῷ γίνεσθαι καὶ φθείρεσθαι τὸ εἶναι ἔχει μήποτε ἐν ταυτῷ μένον, οὐδὲ τότε ὂν ἂν
λέγοιτο κυρίως. ἀλλὰ γινόμενον καὶ φθειρόμενον, διὰ τὴν συνεχῆ ῥοὴν τὴν πάντα ἐναλλάσσουσαν.
ἣν ὁ Ἡράκλειτος ἠνίξατο, διὰ τοῦ εἰς τὸν αὐτὸν ποταμὸν δὶς μὴ ἂν ἐμβῆναι, τῇ ἐνδελεχεῖ τοῦ ποταμοῦ
ῥοῇ τὴν γένεσιν ἀπεικάζων, πλέον τὸ μὴ ὂν ἔχουσαν τοῦ ὄντος. τὸ γὰρ ὂν ὥς φησιν ὁ Παρμενίδης ἄλ-
λα ἔχει σημεῖα. κάλλιον δὲ αὐτῶν ἀκούειν τῶν περὶ τοῦ κυρίως ὄντος ὑπ' αὐτοῦ λεγομένων καὶ ἀπο-
δεικνυμένων. μεμψάμενος γὰρ τοῖς τὸ ὂν καὶ τὸ μὴ ὂν συμφέρουσιν ἐν τῷ νοητῷ, οἷς τὸ πέλειν τε καὶ
οὐκ εἶναι ταὐτὸν νενόμισται κοὐ ταὐτόν, καὶ ἀποστρέψας τῆς ὁδοῦ τῆς τὸ μὴ ὂν ζητούσης, ἀλλὰ σὺ
» λέγων τῆσδ' ἀφ' ὁδοῦ διζήσιος εἶργε νόημα, ἐπάγει, μόνος δ' ἔτι μῦθος ὁδοῖο λείπεται, ὡς ἔστι. ταύ-
» τῃ δ' ἐπὶ σήματ' ἔασι πολλὰ μάλα. καὶ παραδίδωσι λοιπὸν τὰ τοῦ κυρίως ὄντος σημεῖα. ὡς ἀγένη-
» τον ἐὸν καὶ ἀνώλεθρον, ἓν ἐστὶν οὖλον, μουνογενές τε καὶ ἀτρεμὲς ἠδ' ἀτέλευτον. οὐδέ ποτ' ἦν οὐδ' ἔσται. ἐπεὶ
» νῦν ἐστὶν ὁμοῦ πᾶν ἓν συνεχές. τίνα γὰρ γένναν διζήσεαι αὐτοῦ. πῇ πόθεν αὐξηθέν; οὔτ' ἐκ μὴ ὄντος
» ἐάσω φάσθαι σε, οὐδὲ νοεῖν. οὐ γὰρ φατὸν οὐδὲ νοητόν ἐστιν, ὅπως οὐκ ἔστι. τί δ' ἄν μιν καὶ χρέος ὦρσεν ὕστε-
» ρον ἢ πρόσθεν τοῦ μηδενὸς ἀρξάμενον φῦναι. οὕτως ἢ πάμπαν πελέναι χρεών ἐστιν, ἢ οὐχί. οὐδέ ποτ' ἐκ
» γε μὴ ὄντος ἐφήσει πίστιος ἰσχὺς γίνεσθαί τι παρ' αὐτό. τοῦ, εἵνεκεν οὔτε γενέσθαι οὔτ' ὄλλυσθαι ἀνῆ-
» κε δίκη χαλάσασα πέδησι. Ταῦτα δὴ περὶ τοῦ κυρίως ὄντος λέγων, ἐναργῶς ἀποδείκνυσιν, ὅτι ἀ-
γένητον τοῦτο τὸ ὄν. οὔτε γὰρ ἐξ ὄντος, οὐ γὰρ προϋπῆρχεν ἄλλο ὄν. οὔτε ἐκ τοῦ μὴ ὄντος, οὐ γὰρ ἔστι
τὸ μὴ ὄν. καὶ διὰ τί δὴ τότε, ἀλλὰ μὴ καὶ πρότερον, ὕστερον ἐγένετο. ἀλλ' οὐδ' ἐκ τοῦ πῇ μὲν ὄντος, πῇ
δὲ οὐκ ὄντος, ὡς τὸ γενητὸν γίνεται. οὐ γὰρ ἂν τοῦ ἁπλῶς ὄντος προϋπάρχοι τὸ πῇ μὲν ὄν, πῇ δὲ μὴ
» ὄν. ἀλλὰ μετ' αὐτὸ ὑφέστηκε. καὶ ὁ παρὰ Πλάτωνι δὲ Τίμαιος, τό, τε ἦν, ἔσται τε φησὶ χρόνου γεγονό-
» τα εἴδη, ἃ φέροντες λανθάνομεν ἐπὶ τὴν ἀΐδιον οὐσίαν οὐκ ὀρθῶς. λέγομεν γὰρ ὡς ἦν, ἔστι τε καὶ
» ἔσται. τῇ δέ, τὸ ἔστι μόνον κατὰ τὸν ἀληθῆ λόγον προσήκει. τὸ δὲ ἦν καὶ ἔσται περὶ τὴν ἐν χρόνῳ γένεσιν
οὖσαν πρέπει λέγεσθαι. ὥστε εἰ μὲν ὁπωσοῦν ὑφεστηκότα τὰ ἐν γενέσει καὶ διὰ τοῦτο καταχρησι-
κῶς ὄντα λεγόμενα, κἂν πλείονι τῷ μὴ ὄντι συναναπέφυρται βούλεται δεῖξαι ὁ Ἀλέξανδρος, καὶ
τῇ παρὰ τοῖς πολλοῖς τοῦ ὀνόματος χρήσει ἐπαναπαύεται, οὐ πολλῶν δεήσεται λόγων. εἰ δὲ οἴεται
κυρίως ὂν εἶναι τὸ γινόμενον καὶ φθειρόμενον, ἐν ᾧ πλέον τοῦ ὄντος τὸ μὴ ὄν, οὔτε τοῖς ὑπὸ τοῦ Παρ-
μενίδου ῥηθεῖσι σημείοις παρηκολούθησεν, οὔτε τῷ Ἀριστοτέλει προσέχει τὸν νοῦν, καλῶς τὸ Παρμε-
νίδειον ὅπερ ὂν καλέσαντι, τουτέστι κυρίως ὄν. μέμφεται δὲ ὁ Ἀλέξανδρος τοῖς περὶ Παρμενίδην
καὶ Μέλισσον, καὶ ὅτι ἀκίνητον δεικνύουσι τὸ ὄν, διότι τὸ κινούμενον ἐξίστασθαι δοκεῖ τούτου ἐν ᾧ
ἐστιν. εἰ οὖν καὶ τὸ ὂν κινοῖτο, ἐξσταίη ἂν τούτου ἐν ᾧ ἐστιν. ἔστι δὲ ἐν τῷ εἶναι. τὸ δὲ ἐξιστάμενον τοῦ εἶναι

φθείρεται. ἄφθαρτον δὲ τὸ ὄν. ἀλλ' εἰ μὲν ἡ κατ' οὐσίαν φησὶν ἦν μόνη κίνησις, τὴν μεταβολὴν ἄν τις
κυριώτερον ἀλλ' οὐ κίνησιν λέγοι, ἴσως εὐλόγως ἂν ταῦτα αὐτοῖς ἐλέγετο. καίτοι οὐδὲ τὸ κατ' οὐσί
αν τὴν ἑαυτοῦ μεταβάλλον εἰς τὸ μὴ εἶναι ἁπλῶς, ἀλλ' εἰς τὸ μὴ τοῦτο εἶναι ὃ ἦν, ἄλλο δέ τι, μετα-
βάλλει. ἀλλ' εἴπερ ἄρα, τὸ κατ' οὐσίαν μεταβάλλον ἁπλῶς, οὐ τήνδε. ἐπεὶ δὲ πλείους εἰσὶ κινήσεις,
ὧν καὶ ἡ κατὰ ποιότητα οὐκ οὖσα κατ' οὐσίαν, κενὸν ὥς φησι καὶ μάταιον τὸ δέος αὐτῶν. καὶ θαυ-
μαστὸν ὅτι αὐτὸς ὁμολογήσας, ὅτι τὸ κατ' οὐσίαν μεταβάλλον οὐ τήνδε ἀλλ' ἁπλῶς, εἰς τὸ μὴ ὂν ἂν οἴ-
χοιτο, μέμφεται τοῖς λέγουσιν, εἰ μεταβάλλοι τὸ ἁπλῶς ὂν καὶ κυρίως ὄν, φθείρεσθαι. εἰ μὲν γὰρ
τοιόνδε ὂν ἦν, ἐξιστάμενον τοῦ τοιοῦδε, οὐδὲν ἐκώλυε τὸ εἰς ἄλλο τοιόνδε μεταβαλεῖν. ἐπεὶ δὲ ἁπλῶς
ὄν, ἐξιστάμενον τούτου, τί ἂν γένοιτο. πῶς δ' ἂν ἐκεῖνο τὸ ὂν ἀλλοιοῖτο, τὸ ἀεὶ κατὰ τὰ αὐτὰ καὶ ὡσαύ
τως ἔχον, τὸ μήτε αὐτὸ συμβεβηκὸς ἄλλῳ, μήτε ἄλλο τι συμβεβηκὸς ἔχον, ἀλλ' αὐτὸ τοῦτο ὂν ὅπερ
ἐστι. καλῶς οὖν ὁ Παρμενίδης προσδείξας διὰ τῶν πρότερον εἰρημένων, ὅτι ἀγένητον καὶ ἄφθαρ-
» τόν ἐστι τὸ ὄν, ἐπήγαγεν, αὐτὰρ ἀκίνητον μεγάλων ἐν πείρασι δεσμῶν ἔστιν ἄναρχον καὶ ἄπαυστον.
» ἐπεὶ γένεσις καὶ ὄλεθρος τῆλε μάλ' ἐπλάγχθησαν. ἐξ οὗ καὶ δῆλον, ὅτι ἄλλο τὸ αἰσθητὸν οἶδεν ἐν ᾧ
γένεσις καὶ ὄλεθρος, καὶ ἄλλο τὸ νοητὸν ὄν. καὶ Μέλισσος δὲ τὸ ἀκίνητον δείκνυσι, προανελὼν τὸ κενὸν
τοῦ ὄντος, τουτέστι τὸ μὴ ὄν. εἰ γὰρ ἐκινεῖτο φησὶ τὸ ὄν, ἦν ἄν τι κενὸν τοῦ ὄντος, εἰς ὃ ἂν ἐκινεῖτο τὸ ὄν.
» ἀλλ' οὐκ ἔστι. πλῆρες γάρ ἐστι τὸ ὄν. γράφει δὲ οὕτως. οὐδὲ κενεόν ἐστιν οὐδέν. τὸ γὰρ κενεὸν οὐδέν ἐστιν.
» οὐκ ἂν οὖν εἴη τό γε μηδέν. οὐδὲ κινεῖται. ὑποχωρῆσαι γὰρ οὐκ ἔχει οὐδαμῆ. ἀλλὰ πλέων ἐστίν. εἰ μὲν
» γὰρ κενεὸν ἦν, ὑπεχώρει ἂν εἰς τὸ κενεόν. κενεοῦ δὲ μὴ ἐόντος, οὐκ ἔχει ὅκῃ ὑποχωρήσει. εἶτα δείξας
ὅτι οὔτε πυκνὸν οὔτε ἀραιόν ἐστιν, ἐπάγει, κρίσιν δὲ ταύτην χρὴ ποιήσασθαι τοῦ πλέω καὶ τοῦ μὴ
» πλέω. εἰ μὲν οὖν χωρεῖ τι ἢ εἰσδέχεται, οὐ πλέων. εἰ δὲ μήτε χωρεῖ μήτε εἰσδέχεται, πλέων. ἀνάγ
» κη τοίνυν πλέων εἶναι, εἰ κενεὸν μὴ ἔστιν. εἰ τοίνυν πλέων ἐστίν, οὐ κινεῖται. Ταῦτα μὲν οὖν ἐπὶ
πλέον ἠναγκάσθην μηκῦναι, διὰ τὸ τὸν γνησιώτερον τῶν Ἀριστοτέλους ἐξηγητῶν τὸν Ἀλέξανδρον,
ξηρότερον καὶ ἀφιλοπόνως τῶν παλαιῶν ἀκούειν δογμάτων. ὧν καὶ Ἀριστοτέλης ζηλωτὴς γινό
μενος, ἀκίνητον ἀπέδειξε καὶ αὐτὸς τὸ πρῶτον.

Ἔτι ἐπεὶ καὶ αὐτὸ τὸ ἓν πολλαχῶς λέγεται ὥσπερ καὶ τὸ ὄν, σκεπτέον, τίνα τρόπον λέγουσιν ἓν εἶναι
τὸ πᾶν. λέγεται δ' ἕν, ἢ τὸ συνεχές, ἢ τὸ ἀδιαίρετον, ἢ ὧν ὁ λόγος ὁ αὐτός, καὶ εἷς ὁ τοῦ τί ἦν εἶναι.
ὥσπερ μέθυ καὶ οἶνος. εἰ μὲν τοίνυν συνεχές, πολλὰ τὸ ἕν. εἰς ἄπειρον γὰρ διαιρετὸν τὸ συνεχές. ἔχει
δ' ἀπορίαν περὶ τοῦ μέρους καὶ τοῦ ὅλου. ἴσως δὲ οὐδὲν πρὸς τὸν λόγον. ἀλλ' αὐτὴν καθ' αὑτήν. πότε
ρον ἕν, ἢ πλείω τὸ μέρος καὶ τὸ ὅλον καὶ πῶς ἕν, ἢ πλείω, καὶ εἰ πλείω πῶς πλείω. καὶ περὶ τῶν
μερῶν τῶν μὴ συνεχῶν ὁ αὐτὸς λόγος καὶ εἰ τῷ ὅλῳ ἓν ἑκάτερον ὡς ἀδιαίρετον. ὅτι καὶ αὐτὰ αὑ
τοῖς. ἀλλὰ μὴν εἰ ὡς ἀδιαίρετον, οὐδὲν ἔσται ποσόν, οὐδὲ ποιόν, οὐδὲ δὴ ἄπειρον τὸ ὄν, ὥσπερ φησὶ Μέ
λισσος. οὐδὲ πεπερασμένον ὡς Παρμενίδης. τὸ γὰρ πέρας, ἀδιαίρετον. οὐ τὸ πεπερασμένον, ἀλλὰ
μὴν εἰ τῷ λόγῳ ἓν πάντα τὰ ὄντα, ὡς λώπιον καὶ ἱμάτιον, τὸν Ἡρακλείτου λόγον συμβαίνει λέ-
γειν αὐτοῖς. ταὐτὸ γὰρ ἔσται ἀγαθῷ καὶ κακῷ, καὶ μὴ ἀγαθῷ εἶναι, καὶ ἀγαθῷ. ὥστε τὸ αὐτὸ ἔσται
καὶ ἀγαθόν, καὶ οὐκ ἀγαθόν. καὶ ἄνθρωπος, καὶ ἵππος, καὶ οὐ περὶ τοῦ ἓν εἶναι τὰ ὄντα, ὁ λόγος ἔσται
ἀλλὰ περὶ τοῦ μηδέν. καὶ τὸ τοιουτωδὶ εἶναι, καὶ τοσωδὶ ταὐτόν.

Πολλαχῶς τὸ ὂν ὑποθέμενος, καὶ ἐκ διαιρέσεως λαβὼν τὰς δόξας, πάλιν τὸ ἓν ὡς πολλαχῶς λεγό
μενον ὑποτίθεται. καὶ δείκνυσι καθ' ἕκαστον τοῦ ἑνὸς σημαινόμενον ἀδύνατον ἓν λέγειν τὸ ὄν. οἰκείᾳ
δὲ τοῦ ἑνὸς χρῆται διαιρέσει, οὐκ ἀρεσκόμενος οἶμαι τοῖς ὑπὸ τοῦ Πορφυρίου λεγομένοις ἐνταῦθα. λέ
γει γὰρ ὅτι καὶ τὸ ἓν πολλὰ σημαίνει, πρῶτον μὲν ὅσα καὶ τὸ ὄν. καὶ διελομένοις τὸ ἓν εἰς τὰ αὐτὰ
τῷ ὄντι, παραπλησίως ἐστὶν ἐπιχειρεῖν. ἀπαιτοῦντας πῶς ἓν λέγουσιν εἶναι τὸ ὄν. πότερον ὡς οὐσί
αν, ἢ ὡς ποιόν, ἢ κατά τι τῶν ἄλλων. ἀκριβέστερον γὰρ ὁ Ἀριστοτέλης ἄλλην μὲν τοῦ ὄντος, ἄλλην δὲ
τοῦ ἑνὸς τῶν σημαινομένων οἰκείαν πεποίηται τὴν διαίρεσιν. τὸ γὰρ ἕν, ἢ γένει, ἢ εἴδει, ἢ ἀριθμῷ ἓν
ἔσται. ἀλλὰ τὸ μὲν γένει ἢ εἴδει ἓν οὐκ ἠξίωσεν ὁ Ἀριστοτέλης θέσθαι νῦν, ὡς προφανῶς εἰσάγοντα τὸ
πλῆθος. εἰ γὰρ γένει ἓν λέγουσιν εἶναι τὸ ὄν, τοῖς εἴδεσι πολλὰ ἔσται. ἀλλὰ καὶ ἔτι γε μᾶλλον τῷ τῶν
καθέκαστα ἀριθμῷ. εἰ δὲ τῷ εἴδει ἕν, πρῶτον μὲν αὐτῷ τούτῳ δῆλον ὅτι πολλά. τὸ γὰρ εἶδος γένους
ἐστὶν εἶδος. τὸ δὲ γένος κατὰ πλειόνων καὶ διαφερόντων εἰδῶν ἐν τῷ τί ἐστι κατηγορεῖται. ἔπειτα
καὶ εἰ τῷ εἴδει ἕν, ἀριθμῷ ἔσται πλείονα. τὸ γὰρ ἓν εἶδος κατὰ πλειόνων τῷ ἀριθμῷ κατηγορεῖ-
ται. ταῦτα μὲν οὖν ἐναργῆ καὶ τοῖς γε τὰ πρῶτα τῶν λογικῶν εἰσηγμένοις, καὶ εἰκότως οὐκ
ἠξίωσε μνήμης. τὸ δὲ ἓν τῷ ἀριθμῷ καὶ αὐτὸ πολλαχῶς λέγεται. ἢ γὰρ ὡς τὸ συνεχές, ὡς μίαν εἴ-
ποιμι ἂν τὴν γραμμήν, ἢ ὡς τὸ ἀδιαίρετον φύσει, ὡς τὸ σημεῖον καὶ ἡ μονάς. ἢ ὡς τὰ τὸν αὐτὸν ἔχον-
τα λόγον κἂν ὀνόμασι διαφέρῃ, ὡς λώπιον καὶ ἱμάτιον. κατ' ἄλλην δὲ πάλιν διαίρεσιν. τὸ μέν, δυ-
νάμει ἓν λέγεται. τὸ δέ, ἐνεργείᾳ. καὶ οὕτως ἔχει πρὸς ἄλληλα ταῦτα ἐν τῇ γενέσει, ὡς τὸ μὲν ἐνερ
γείᾳ ἓν δυνάμει πολλὰ εἶναι, τὸ δὲ δυνάμει ἓν ἐνεργείᾳ πολλά. ὡς ἐπὶ τοῦ κηροῦ. ὃς συνεχὴς μὲν ὢν

καὶ

καὶ εἰς ἐνέργειαν, δυνάμει πολλά ἐστιν, ὅτι δύναται εἰς πολλὰ διαιρεθῆναι. διεσπαρμένα δὲ καὶ πολλὰ
ὄντα ἐνεργείᾳ, δυνάμει ἕν ἐστιν, ὅτι δύναται συνεχισθῆναι. διὰ δὴ ταῦτα εἰ μὲν ὡς συνεχὲς λέγουσι τὸ
ὂν ἕν, ἔσται ἐνεργείᾳ μὲν ἕν, δυνάμει δὲ πολλὰ καὶ ἄπειρα. συνεχὲς γάρ ἐστιν οὗ τὰ μόρια συνάπτει
πρὸς ἕνα καὶ κοινὸν ὅρον. καὶ ὃ διαιρετόν ἐστιν εἰς ἀεὶ διαιρετά. εἰ οὖν διότι ἥνωται αὐτοῦ τὰ μόρια,
διὰ τοῦτο ἓν αὐτὸ λέγουσι, διότι πολλὰ τὰ ἡνωμένα μέρη, διὰ τοῦτο πολλὰ ἐροῦσι. καὶ διότι εἰς ἄ-
πειρα διαιρετόν, διὰ τοῦτο ἄπειρα φήσουσιν, ἢ ἐπὶ ἄπειρον πληθυνόμενον. εἰ οὖν τὸ ὂν ἓν ὡς τὸ συνε-
χές, τὸ δὲ συνεχὲς πολλά, τὸ ἓν πολλὰ ἔσται. τὰ δὲ πολλὰ οὐχ ἕν. τὸ αὐτὸ ἄρα ἕν τε καὶ οὐχ ἓν ἔσται.
ἔτι δὲ ἐπεὶ πλείω τὰ συνεχῆ, πῶς ἐστιν ἓν τὸ ὄν, εἴπερ ὡς συνεχές. πότερον ὡς γραμμή τις, ἢ ὡς
ἐπιφάνεια, ἢ ὡς σῶμα, ἢ ὡς τόπος, ἢ ὡς κίνησις, ἢ ὡς χρόνος. πάντα γὰρ τὰ τοιαῦτα συνεχῆ. καὶ
τούτων δὲ ἑκάστου πολλὰ εἴδη. καὶ γὰρ τῶν γραμμῶν αἱ μέν, εὐθεῖαι, αἱ δέ, περιφερεῖς. καὶ ἐπιφα-
νειῶν ἡ μέν, ἐπίπεδος, ἡ δέ, κοίλη, ἡ δὲ κυρτή. καὶ τῆς ἐπιπέδου πλεῖστα σχήματα. καὶ στερεῶν δὲ
σωμάτων, καὶ τῶν συσχηματιζομένων αὐτοῖς τόπων πολλὰ εἴδη. ὁμοίως δὲ καὶ χρόνου, τὸ παρελη-
λυθός, καὶ τὸ μέλλον, καὶ τὸ ἐνεστηκός. καὶ ὧραι, καὶ ἡμέραι, καὶ μῆνες, καὶ ἐνιαυτοί. καὶ κίνησις ἡ
μέν, ἐπ' εὐθείας, ἡ δέ, κύκλῳ. καὶ πάντα ταῦτα συνεχῆ. καὶ πάντα ἅμα ἐνέργεια πολλά. καὶ ἕκα-
στον δυνάμει πολλά. Εἰ δὲ οὕτως ἓν τὸ ὂν ὡς ἀδιαίρετον, ἐπεὶ τὸ ἀδιαίρετον πολλαχῶς, οἷον τὸ μή-
πω διῃρημένον οἷόν τε δὲ διαιρεθῆναι, καθάπερ ἕκαστον τῶν συνεχῶν, ἢ τὸ μὴ δὲ ὅλως πεφυκὸς διαι-
ρεῖσθαι, τῷ μὴ ἔχειν μέρη εἰς ἃ ἂν διαιρεθῇ, ὥσπερ στιγμή, καὶ μονάς, ἢ τὸ μόρια μὲν ἔχον καὶ μέ-
γεθος, ἀπαθὲς δὲ ὂν διὰ στερεότητα καὶ ναστότητα, καθάπερ ἑκάστη τῶν δημοκρίτου ἀτόμων, εἰ μὲν
ὡς τὸ συνεχὲς ἓν τὸ ὄν, πολλὰ πάλιν ἔσται τὸ ὄν. εἰ δὲ ὡς ἡ ἄτομος, πρῶτον μὲν ἄτοπον καὶ ἀπεμφαί-
νόν ἐστιν, τὸ μίαν λέγειν ἄτομον τὰ πάντα. εἶτα καὶ αὐτὴ συνεχὴς καὶ διαιρετὴ ἐπ' ἄπειρον. καὶ
διὰ τοῦτο δυνάμει πολλά. ἔτι δὲ καὶ ποσότητα ἕξει τοῦ μεγέθους, καὶ ποιότητα τοῦ σχήματος. οἷ(ον),
γωνίαν. εὐθύ. περιφερές. καὶ κίνησιν. καὶ οὕτω πάλιν πολλὰ ἔσται. Εἰ δὲ ὡς μονὰς καὶ ὡς στιγμὴ
ἓν καὶ ἀδιαίρετον τὸ ὄν, οὔτε ποιόν τι ἔσται τῶν ὄντων. τὸ γὰρ ποιὸν ἐν διαιρετοῖς σώμασι, καὶ συν-
διαιρεῖται αὐτοῖς καὶ μάλιστα τοῖς φυσικοῖς. οὔτε ποσόν. τὸ γὰρ ἀδιαίρετον πέρας τοῦ ποσοῦ.
ὥστε οὔτε ἄπειρον τὸ ὂν ὥσπερ μέλισσός φησιν, οὔτε πεπερασμένον ὡς παρμενίδῃ δοκεῖ. καὶ
γὰρ πᾶν μὲν ἄπειρον καὶ πεπερασμένον, ποσόν τι. οὐδὲν δὲ ἀδιαίρετον κατὰ πλῆθος ἢ κατὰ
μέγεθος, ποσόν. τὸ γὰρ πέρας ἀδιαίρετον, ἀλλ' οὐ τὸ πεπερασμένον. κἀνταῦθα δὲ ὁ ἀριστοτέ-
λης τοῦτο μόνον τοῦ διαιρετοῦ τὸ σημαινόμενον ἀντιλογίας ἠξίωσεν, ὡς τῶν ἄλλων εὐδιαλύτων
ὄντων. καὶ πρὸς τοῦτο δὲ οὐχ ὡς πρὸς σημεῖον ἀντεῖπεν, ὥσπερ οἱ ἐξηγηταί. ἀλλ' ὡς πρὸς
τοιοῦτον, οἷον ἂν ὑπέθεντο καὶ οἱ περὶ παρμενίδην, τὸ ἄποσόν τε καὶ ἄποιον. Εἰ δὲ οὕτως ἓν τὸ ὄν,
ὡς μέθυ καὶ οἶνος, ἢ λώπιον καὶ ἱμάτιον, ἢ ὅλως τὰ πολυώνυμα, τοῦτο γὰρ ἔτι ὑπολείπεται τοῦ
ἑνὸς σημαινόμενον, μία πολυωνυμία γενήσεται τὰ πάντα. καὶ τὸ ποιὸν τῷ ποσῷ καὶ πάντα ἀλ-
λήλοις ταὐτὰ ἔσται. καὶ ὁ τοῦ ἡρακλείτου λόγος ἀληθής, ὁ λέγων τὸ ἀγαθὸν καὶ τὸ κακὸν ταὐτὸν εἶναι.
καὶ συνδραμεῖται ἡ ἀντίφασις. ταὐτὸν γὰρ ἔσται καὶ ἀγαθὸν καὶ οὐκ ἀγαθόν, εἴπερ τὸ κακὸν οὐκ ἀ-
γαθόν. καὶ ἐπίστησον ὅτι καὶ ἐνταῦθα ἀπὸ τῆς τοῦ ἐναντίου καταφάσεως, ὡς ἐπὶ μείζονα ἀντίθεσιν
τὴν τῆς ἀποφάσεως μετῆλθεν. ἔσται δὲ ὁ αὐτὸς καὶ ἄνθρωπος καὶ ἵππος. ὥστε καὶ ἄνθρωπος καὶ
οὐκ ἄνθρωπος. καὶ ἓν καὶ οὐχ ἕν. ὥστε οὐκέτι περὶ τοῦ ἓν εἶναι τὸ ὂν γενήσεται ὁ λόγος καὶ ἡ ζήτη-
σις, ἀλλὰ περὶ τοῦ μηδέν. εἴπερ ὁμοίως ἐφ' ἑκάστου ἀληθὴς ἥτε ἀπόφασις αὐτοῦ καὶ ἡ κατάφασις. ἢ
ὡς ὁ πορφύριος συνάγει, εἴπερ τὸ ὂν οὐκ ἔστι. καὶ γὰρ ὥσπερ τὸ ἄνθρωπος καὶ τὸ οὐκ ἄνθρωπος συνα-
ληθεύει, οὕτω καὶ τὸ ὂν καὶ τὸ οὐκ ὄν. τοῦτο δὲ οἶμαι συνήγετο, ἐπὶ τῶν πάντων ἓν ἦν τὸ ὂν ὥσπερ
ἄνθρωπος. τὰ γὰρ ἄλλα πάντα ἦν οὐκ ὄντα. ἁπλῶς δ' οὖν οὐδ' οὕτως ἓν τὸ ὄν. εἰ τοίνυν κατὰ μηδὲν
τῶν τοῦ ἑνὸς σημαινομένων ἓν εἶναι δύναται τὸ ὄν, ὅλως οὐ χρὴ λέγειν ἓν τὸ ὄν. ἀλλὰ πλείω τὰ ὄντα,
καθάπερ τὰ φαινόμενα μαρτυρεῖ. οὕτω μὲν οὖν τὸ ἑξῆς ἀνεῖλε τῆς διαιρέσεως, καὶ τῶν πρὸς τὰ τμή-
ματα τῆς διαιρέσεως ἀπαντήσεων. αὐτὸς δὲ πρὸς τὸ πρῶτον τμῆμα τῆς διαιρέσεως, τὸ οὕτως ἓν τὸ
ὂν ὡς συνεχὲς λέγειν ἀπαντήσας, πρὸς δὲ τὰ λοιπὰ διαλῦσαι, ἀπορίαν τινὰ παρεμβαλὼν περὶ
τοῦ ὅλου καὶ τοῦ μέρους, εἰ ταὐτὸν ἢ ἕτερόν ἐστι, μᾶλλον δὲ εἰ ἓν ἄμφω, ἀσαφέστερον τὸν λόγον πεποί-
ηκε. τὴν δὲ ἀπορίαν ταύτην πορφύριος προβεβλῆσθαί φησιν, ὥς τινων ἐνστησομένων αὐτῷ, τρεῖς εἰ-
πόντι τρόπους τῆς τοῦ ἑνὸς ὑποστάσεως, καὶ μὴ προστιθέντι τὸν τέταρτον, ὅν τινες εἰσῆγον, νομίζον-
τες τὸ μέρος τὸ μὴ συνεχὲς ἄλλῳ μέρει, καὶ τὸ ὅλον ταὐτὸν εἶναι. οἷον τὴν χεῖρα τοῦ σωκράτους, καὶ
τὸν σωκράτη ἓν εἶναι. ὅπερ οὐδενὶ τῶν εἰρημένων πρότερον τοῦ ἑνὸς τρόπων τὸ αὐτό ἐστιν. ἐλέγχει οὖν
τούτους πρῶτον ὡς ἀτόπως οἰομένους, καὶ οὕτως ἐπὶ τὸν ἔλεγχον μεταβαίνει τοῦ ὡς ἀδιαιρέτου
ἑνός. ὁ δὲ τούτων ἔλεγχος, ὅτι ἡ χεὶρ τοῦ σωκράτους ἡ δεξιὰ καὶ ὁ σωκράτης ἕν, καὶ ἡ ἀριστερὰ πά-
λιν καὶ ὁ σωκράτης ἕν, καὶ ἡ ἀριστερὰ καὶ ἡ δεξιὰ ἓν ἔσονται. τοῦτο γάρ ἐστι, τὸ καὶ εἰ τῷ ὅλῳ ἓν ἑκά-
τερον ὡς ἀδιαίρετον, ὅτι καὶ αὐτὰ αὐτοῖς. ὁ δὲ ἀλέξανδρος λῦσαι τὴν περὶ τοῦ μέρους καὶ τοῦ

ὅλου ἀπορίαν φησὶν αὐτόν, τὴν λέγουσαν τὸ μέρος τῷ ὅλῳ ταὐτὸν εἶναι, ἵνα δείξας μὴ ὂν ταὐτὸν
βεβαιότερον ἔχῃ, ὅτι οὐ μόνον διαιρεθέντα τὰ μέρη ἀπὸ τοῦ ὅλου πλείω γίνεται, ἀλλὰ καὶ ἐν τῇ
συνεχείᾳ λαμβανόμενα, εἴγε καὶ ἀλλήλων καὶ τοῦ ὅλου ἕτερά ἐστι. τὸ δὲ ἴσως οὐ πρὸς τὸν λόγον, καί
τοι πρὸς λόγον ὄντων τῶν εἰρημένων, λέγεσθαί φησι, διότι ἱκανὰ ἦν τὰ προλελεγμένα τοὺς οὕτως ἓν
τὸ ὂν λέγοντας ὡς συνεχὲς διελέγξαι. ἴσως δὲ ὅτι ἡ ἐφ' ἑκάτερα ἀπορία τοῦ λόγου ἐξωτερική τις
ἦν ὡς εὔδημός φησι, διαλεκτικὴ μᾶλλον οὖσα. παραθήσομαι δὲ μετ' ὀλίγον καὶ τὴν τοῦ εὐδήμου λέ
ξιν, ἐναργῶς τὸν σκοπὸν τοῦ λόγου δηλοῦσαν. νῦν δὲ τὰ τοῦ ἀλεξάνδρου προσκείσθω. λέγει γὰρ ὅτι
ἔστω μὲν ἐπὶ τοῦ ταὐτοῦ συνηθέστερον τὸ δεδειγμένον. τὰ γὰρ τῷ αὐτῷ ταὐτὰ καὶ ἀλλήλοις ἐστὶ ταὐ-
τά. διὸ καὶ ὁ εὔδημος οὕτως ἐχρήσατο τῇ ἀποδείξει. καὶ οἱ τοῦ ἀριστοτέλους ἐξηγηταὶ, τὸ ταὐτὸν ἀν-
τὶ τοῦ ἑνὸς λαβόντες. ὁ μέντοι ἀριστοτέλης ἀκριβέστερον ὡς οἶμαι ποιῶν τὸ ἓν ἐφύλαξε. πολλῷ γὰρ
μᾶλλον τὰ τῷ αὐτῷ ἓν καὶ ἀλλήλοις ἕν ἐστιν, ἤπερ τὰ τῷ αὐτῷ ταὐτὰ καὶ ἀλλήλοις ταὐτά ἐστι. διὸ
καὶ ἓν ἑκάτερον ὡς ἀδιαίρετον εἶπεν. τὸ γὰρ ἓν τοῦ ταὐτοῦ μᾶλλον ἑνίζει ἐκεῖνα οἷς ἂν παραγένηται.
ἀλλὰ δὴ καὶ οὕτω πολλὰ τὸ ἕν, εἴγε ἕκαστον αὐτῶν τῶν μερῶν, τῷ ὅλῳ ταὐτόν. τό, τε γὰρ ὅλον ἐκ πολ
λῶν ὅλων ἔσται συγκείμενον, καὶ ἑαυτοῦ μέρος ἔσται. τὸ γὰρ μέρος ὅλου μέρος. εἰ οὖν ἓν τὸ μέρος καὶ
τὸ ὅλον, μέρος ἔσται τὸ ὅλον. καὶ τὸ μέρος δὲ ἐπεὶ ταὐτὸν τῷ ὅλῳ, ἐκ πολλῶν ὅλων καὶ αὐτὸ ἔσται.
καὶ τὸ ὅλον τοῦ μέρους μέρος ἔσται. καὶ ὅτι μὲν οὐ ταὐτὸν τὸ μέρος τῷ ὅλῳ, ἐκ τούτων δέδεικται.
ὅτι δὲ κἂν ἕτερον ὑποτεθῇ καὶ οὕτως ἄπορος ὁ λόγος, ἐφεξῆς λεκτέον, ἵνα καὶ δῆλον διατί προσέ-
θηκεν ὁ ἀριστοτέλης τὸ ἔχει δὲ ἀπορίαν περὶ τοῦ μέρους καὶ τοῦ ὅλου, ἴσως δὲ οὐ πρὸς τὸν λόγον ἀλλ'
αὐτὴν καθ' αὑτήν. εἰ γὰρ ἕτερον ὑποτεθῇ τὸ μέρος τοῦ ὅλου, δῆλον ὡς ἕκαστον τῶν μερῶν ἕτερον
τοῦ ὅλου ἔσται. ὥστε καὶ πάντα. τὰ δὲ πάντα μέρη τὸ ὅλον. ὥστε τὸ ὅλον αὐτὸ αὑτοῦ ἕτερον ἔσται.
ἔτι τὰ ἕτερα δοκεῖ χωρίζεσθαι ἀλλήλων. τὸ δὲ ὅλον ἀχώριστον τῶν μερῶν. ἀρξάμενος δὲ ὁ ἀριστοτέ-
λης τῆς ἀπορίας ἀπὸ τῶν συνεχῶν μερῶν, ὁμοίαν φησὶν αὐτὴν καὶ ἐπὶ τῶν διωρισμένων. ταῦτα
γάρ ἐστι τὰ μὴ συνεχῆ. καὶ γὰρ ἡ πλίνθος ἤτοι ἡ αὐτή ἐστι τῇ οἰκίᾳ, ἢ ἑτέρα. καὶ εἰ μὲν ἡ αὐτή, ἔσται
ἡ πλίνθος οἰκία, καὶ ἡ οἰκία πλίνθος. εἰ δὲ ἑτέρα, οὕτω δὲ καὶ τὰ πάντα μέρη ἐξ ὧν ἡ οἰκία εἴη ἂν
ἄλλα τῆς οἰκίας. ἀλλὰ μὴν τὰ πάντα μέρη ἡ οἰκία δοκεῖ. αὐτὴ ἄρα ἑαυτῆς ἄλλη ἔσται ἡ οἰκία. ἐπεὶ
δὲ πρόχειρον ἐννοεῖν ὅτι οὐχ ἁπλῶς ἓν τὰ μέρη καὶ τὸ ὅλον ἐστὶν, ἀλλὰ μετὰ τῆς τάξεως καὶ τῆς
συνθέσεως, φιλοτίμως ὁ ἀλέξανδρος καὶ οὕτω τὴν ἀπορίαν ἐρωτᾷ. εἰ ἕτερον ὁ θεμέλιος ὁ οὕτω πως
ἔχων καὶ τεταγμένος τῆς οἰκίας. ἀλλὰ καὶ ὁ ἐπὶ τῷ θεμελίῳ τοῖχος ἕτερος τῆς ὅλης οἰκίας. ἀλ
λὰ καὶ ἡ ὀροφὴ ἡ οὕτως ἐπικειμένη τοῖς τοίχοις ἑτέρα τῆς ὅλης οἰκίας ἐστί. καὶ ἕκαστον ἄρα τῶν με
ρῶν μετὰ τῆς οἰκείας τάξεως ἕτερόν ἐστι τῆς οἰκίας. ὥστε καὶ πάντα τὰ μέρη μετὰ τῆς οἰκείας τά
ξεως ἕτερα τῆς οἰκίας ἐστίν. ἀλλὰ μὴν ἡ οἰκία πάντα ἐστὶ τὰ μέρη τὰ τῆς τοιᾶσδε αὐτῶν τάξεως. καὶ
ἡ ὅλη ἄρα οἰκία ἑτέρα ἑαυτῆς ἔσται. μήποτε δὲ οὐ μάτην τοῦτο προσέθηκεν ὁ ἀριστοτέλης, καὶ ἐπὶ
τῶν διωρισμένων μερῶν τὴν τοιαύτην εἶναι ἀπορίαν. εἰ γὰρ καὶ ἐφ' ὧν ὁμολογουμένως ἄλλα τὰ μέ
ρη ἐστὶ παρὰ τὸ ὅλον καὶ πλῆθος ἔρχεται, ἡ αὐτὴ ἀπορία ἁρμόζει, οὐ χρὴ οὐδὲ ἐπὶ τῶν συνεχῶν με
ρῶν διὰ τὴν ἀπορίαν τὸ πλῆθος ἀναιρεῖν. ἡ μὲν οὖν ἀπορία οὕτως ἐφ' ἑκάτερα πρόεισιν. ἡ δὲ λύσις, ὅ
τι οὐχ ὑγιές ἐστι τὸ εἰ ἕκαστον κατ' ἰδίαν λαμβανόμενον τῶν μερῶν ἄλλο ἐστὶ τοῦ ὅλου, ἤδη καὶ πάντα
ἅμα ληφθέντα ἕτερα γίνεσθαι τοῦ ὅλου. τὰ γὰρ πάντα ἑκάστου τῶν ἑαυτοῖς ἕτερα, ὥσπερ καὶ τὸ
ὅλον. δύναται δέ φησιν ὁ ἀλέξανδρος τοῦ καὶ περὶ τῶν μερῶν τῶν μὴ συνεχῶν οὕτως ἀκούειν τίς,
ὡς ἐπ' ἐκείνων εἰρημένου τῶν τοῦ συνεχοῦς μορίων τῶν μὴ συνεχομένων πρὸς ἄλληλα οἷον χειρὸς καὶ
ποδὸς, εἰ τὰ αὐτὰ καὶ ταὐτὰ ἀλλήλοις ἢ οὔ. εἰ μὲν γὰρ οὐ ταὐτά, ἕτερα. καὶ τὸ συνεχὲς ἂν πλείω
εἴη. εἰ δὲ ταὐτὸν τὸ ἐκ τούτων συνεχὲς λεγόμενον τοῖς τοιούτοις μέρεσι, καὶ ταῦτα ἂν ταὐτὰ ἀλλή-
λοις εἴη. ὃ δοκεῖ ἄτοπον εἶναι τὸ τὴν χεῖρα τῷ ποδὶ λέγειν τὴν αὐτήν. ὁ μέντοι πορφύριος τὴν ὅλην
ἀπορίαν ἐπὶ τούτων λέγεσθαι νομίζει τῶν μερῶν, καίτοι σαφῶς τοῦ ἀριστοτέλους ὡς περὶ ἄλλων
ἐπάγοντος τὸ καὶ περὶ τῶν μερῶν τῶν μὴ συνεχῶν. εἰ δέ τις λέγοι φησὶν ἀλέξανδρος τῷ ὅλῳ τὸ
μέρος ἐπὶ μὲν τῶν μὴ συνεχῶν τῶν ὁμοιομερῶν ταὐτὸν εἶναι, ἐπὶ δὲ τῶν ἀνομοιομερῶν μηκέτι, καὶ
ἐπὶ τῶν ὁμοιομερῶν εὑρήσει μὴ ταὐτὸν ὄν, ἂν ὡς μέρους καὶ ὅλου τὴν ταυτότητα λαμβάνῃ, καθὸ
καὶ συνεχές ἐστι. καὶ γὰρ εἰ μὲν καθὸ συνεχές ἐστι κατὰ τοῦτο ἓν καὶ ταὐτὸν τοῖς ἑαυτοῦ μέρεσι τὸ ὅ
λον λέγει, καὶ ἐπὶ τῶν ἀνομοιομερῶν ὁ αὐτὸς ἂν εἴη λόγος. καὶ γὰρ καὶ ταῦτα συνεχῆ. εἰ δὲ διαιρε
θείη ἀπ' ἀλλήλων, ὁμολογουμένως πολλὰ ἔσται καὶ τὰ ὁμοιομερῆ. εἰ δὲ ἐπὶ τῶν ἀνομοιομερῶν συνε
χῶν ὄντων οὐ λέγουσι τὰ αὐτὰ εἶναι, οὐδὲ ἐπὶ τῶν ὁμοιομερῶν τὰ αὐτὰ ἐροῦσι διὰ τὴν συνέχειαν.
ταῦτα μὲν ἀλέξανδρος. ὁ μέντοι εὔδημος ὅτι μὲν διὰ τὸ δειχθῆναι τὸ συνεχὲς μὴ ὂν ἓν εἴρηται, σα
φῶς λέγει. μερῶν δὲ καὶ αὐτὸς ποτὲ μὲν διωρισμένων ποτὲ δὲ συνεχῶν μέμνηται. ἔχει δὲ οὕτως ἡ
τοῦ εὐδήμου λέξις. μετὰ τὸ δεῖξαι ὅτι οὐκ ἔστι τὸ ὂν οὕτως ἓν ὡς ἀδιαίρετον, ὅπερ αὐτὸς ἄτοπον ἐκά
λεσεν, ἐπάγει, ἀλλὰ μὴν οὐδὲ κατὰ συνέχειάν γε. τὰ γὰρ διωρισμένα τῶν μερῶν οὐκ ἔσται τὰ αὐ-

τά. ἔχει δὲ αὐτὸ τοῦτο ἀπορίαν ἐξωτερικήν. εἰ μὲν γάρ ἐστι τῶν τῆς γραμμῆς μορίων ἕκαστον ταυ-
τὸν τῇ ὅλῃ, καὶ αὐτοῖς ταυτὰ ἔσται. τὰ γὰρ ἑνὶ τὰ αὐτὰ ὡσαύτως καὶ ἄλλοις τὰ αὐτά. εἰ δὲ ἕτε-
ρον τῆς ὅλης ἕκαστον, ἆρά γε καὶ πάντα. εἰ δὲ τοῦτο, πῶς ὅλη ταυτά ἐστιν. ἀλλὰ τοῦτο μὲν ἀφείσθω.
ἐν δὴ τούτοις ὅτι μὲν οὐδὲ εἰ ὡς συνεχὲς λέγοιτο τὸ ὂν οὕτως ἕν ἐστι, δείκνυσι κατ᾽ ἄλλην ὡς οἶμαι ἐπι-
βολήν. τὰ γὰρ διωρισμένα φησὶ τῶν μερῶν οὐκ ἔσται τὰ αὐτὰ τοῖς συνεχέσιν. ὥστε κἂν συγχω-
ρήσῃ τις ἓν εἶναι τὸ συνεχές, ἐπειδὴ τὰ διωρισμένα μέρη ἄλλα παρὰ τὰ συνεχῆ ἐστι, πολλὰ τὰ ὄν-
τα καὶ οὐχ ἕν. καὶ περὶ τῶν μορίων δὲ ἀπορία τίς ἐστιν. ἣν αὐτὸς μὲν ἐξωτερικὴν καλεῖ, ὁ δὲ ἀρι-
στοτέλης οὐδὲν πρὸς τὸν λόγον φησίν. καὶ γὰρ διαλεκτικὴ μᾶλλόν ἐστιν, ἐφ᾽ ἑκάτερα ἐνδόξως ἐπιχει-
ροῦσα. καὶ οὐχ ἱκανὴ τὸν τοῦ συνεχοῦς λόγον ἐνοχλεῖν, τὸν λέγοντα συνεχὲς εἶναι τὸ διαιρετὸν εἰς
ἀεὶ διαιρετά. εὐδιάλυτος δὲ ὡς δέδεικται ἡ ἀπορία. πλὴν ὁ μὲν εὔδημος ἐπὶ τῶν συνεχῶν μερῶν
μόνων τὴν ἀπορίαν ἐκτίθεται, τὰ ἐφ᾽ ἑκάτερα ἐπιχειρήματα καὶ τὰ συναγόμενα ἀπ᾽ αὐτῶν ἄτο-
πα τιθείς. ὁ δὲ ἀριστοτέλης καὶ ἐπὶ τῶν μὴ συνεχῶν μερῶν ἀλλὰ διωρισμένων δηλονότι τὴν αὐτὴν
ἀπορίαν εἶναί φησι. καὶ μόνον τίθησι τὸ ἑπόμενον ἄτοπον τοῖς τὸ αὐτὸ λέγουσι καὶ ἓν τὸ μέρος τῷ ὅ-
λῳ. ὃ καὶ τὸν πορφύριον οἶμαι πεποίηκεν εἰπεῖν, ὅτι πρὸς τὸν τέταρτον τρόπον τοῦ ἑνὸς εἰσάγον-
τας ἀπαντᾷ μεταξύ. ἔστι δὲ οὐ τέταρτος τρόπος, ἀλλ᾽ ἀπορίας μέρος, ἓν δεῖξαι βουλόμενον τὸ συ-
νεχές. διὸ μέμνηται μὲν τῆς ὅλης ἀπορίας ἀριστοτέλης, λέγων ἔχει δὲ ἀπορίαν περὶ τοῦ μέρους καὶ
τοῦ ὅλου, πότερον ἓν ἢ πλείω τὸ μέρος καὶ τὸ ὅλον. μόνον δὲ τὸ ἑπόμενον ἄτοπον τοῖς ἓν λέγουσιν ἐ-
πάγει. καὶ ὅτι οὗτοι σφάλλονται. οἱ γὰρ ἕτερα λέγοντες κατορθοῦσι. καὶ ὅτι οὗτος ὁ λόγος ἐλέγ-
χειν ἐδόκει τὸ πολλὰ εἶναι τὸ συνεχὲς καὶ διαιρετὸν εἰς ἀεὶ διαιρετά. θαυμάζω δὲ ἔγωγε τοῦ ἀριστοτέ-
λους, πρὸς ἐκεῖνα τοῦ ἑνὸς τὰ σημαινόμενα ἀντειρηκότος, ἃ καὶ ὁ παρμενίδης φησὶ τῷ ἑνὶ ὄντι προσ-
» εἶναι. καὶ γὰρ συνεχὲς αὐτὸ ὑμνεῖ. τῷ, ξυνεχὲς πᾶν ἐστιν. ἐὸν γὰρ ἐόντι πελάζει. καὶ ἀδιαίρετόν
» ἐστιν, ἐπεὶ πᾶν ἐστιν ὅμοιον. ἀλλὰ καὶ τὸ πάντων ἓν καὶ τὸν αὐτὸν εἶναι λόγον τὸν τοῦ ὄντος ὁ παρμε-
» νίδης φησὶν ἐν τούτοις. χρὴ τὸ λέγειν τὸ νοεῖν τὸ ὂν ἔμμεναι. ἔστι γὰρ εἶναι. μηδὲν δὲ οὐκ ἔστιν. εἰ γὰρ ὅπερ
» ἄν τις ἢ νοήσῃ ἢ εἴπῃ τὸ ὄν ἐστι, πάντων εἷς ἔσται λόγος ὁ τοῦ ὄντος. οὐδὲν γάρ ἐστιν ἢ ἔσται ἄλλο πάρεξ
» τοῦ ἐόντος. ἐπεὶ τό γε μοῖρ᾽ ἐπέδησεν οὖλον ἀκίνητόν τ᾽ ἔμμεναι. τῷ, πάντ᾽ ὄνομ᾽ ἔσται. καὶ τὰ ἐπαγόμενα
δὲ ὑπὸ τοῦ ἀριστοτέλους ὡς ἄτοπα ταύταις ταῖς ὑποθέσεσι, δέξαιντο ἂν οἱ ἄνδρες ἐκεῖνοι, εἴ τις
εὐγνωμόνως αὐτῶν ἀκούσειεν. ἀδιαίρετον γὰρ ὂν τὸ παρ᾽ αὐτοῖς ἓν ὄν, οὔτε πεπερασμένον οὔτε ἄ-
» πειρον ὡς σῶμα ἔσται. καὶ γὰρ καὶ ὁ παρμενίδης τὰ σώματα ἐν τοῖς δοξαστοῖς τίθησι. καὶ ὁ μέλισσος ἓν
» ἐὸν φησί, δεῖ αὐτὸ σῶμα μὴ ἔχειν. εἰ δὲ ἔχει πάχος, ἔχοι ἂν μόρια. καὶ οὐκέτι ἂν εἴη ἕν. καὶ τὸ ἀδιαί-
ρετον οὖν ὡς πέρας, οὐχ ὡς πέρας ἕξει σώματος, ἀλλ᾽ ὡς τέλος πάντων καὶ ἀρχὴ τῶν ὄντων. καὶ
ἁπλῶς οὕτως ὡς καὶ ἀριστοτέλης, τὸν παρ᾽ αὐτῷ νοῦν ἤτοι τὸ πρῶτον αἴτιον, ἕν τι εἶναί φησιν, οὐκ
ἀγαθὸν πολυκοιρανίη βοῶν, καὶ ἀμέριστον δεικνύς, καὶ ἀκίνητον καὶ τέλος πάντων, καὶ τὸ αὐτὸ
νοῦν καὶ νοητὸν καὶ νόησιν, καὶ τοῦτο οὐ παρὰ πλάτωνος μόνου ἀλλὰ καὶ παρὰ παρμενίδου λα-
» βών, λέγοντος ταυτὸν δέ ἐστι νοεῖν τε, καὶ οὕνεκέν ἐστι νόημα. οὐ γὰρ ἄνευ τοῦ ἐόντος ἐν ᾧ πεφατισμέ-
νον ἐστὶν εὑρήσεις τὸ νοεῖν. ἕνεκεν γὰρ τοῦ νοητοῦ ταυτὸν δὲ εἰπεῖν τοῦ ὄντος ἐστὶ τὸ νοεῖν, τέλος ὂν αὐτοῦ.
ἀλλὰ καὶ τὸ ὅλον καὶ μέρη καὶ τὸ συνεχὲς ὡς ἐπὶ σώματος λαμβάνων ὁ ἀριστοτέλης, τὰ ἄτοπα
ἐπήγαγεν. εἰ δὲ κατὰ τὴν ἐκείνων ἔννοιαν λαμβάνοιντο, δέξαιντο ἂν ἐν τάξει τινὶ τοῦ ὄντος καὶ μέρη
» ἔχειν, εἴπερ ὅλον αὐτό φησιν. οὖλον μουνογενές τε. καὶ τὸ διὰ τὴν συνέχειαν ἐπ᾽ ἄπειρον ἰέναι, διαι-
» ρετόν. τῷ, ξυνεχὲς πᾶν ἐστιν. ἐὸν γὰρ ἐόντι πελάζει. σαφέστερον δὲ τοῦτο τὸ ἄτοπον ὁ παρὰ τῷ πλά-
τωνι παρμενίδης προσήκατο ἐπὶ τοῦ ἑνὸς ὄντος κατὰ τὴν δευτέραν τῶν ὑποθέσεων, εἰπών, τί οὖν
» τῶν μορίων ἑκάτερον τούτων τοῦ ἑνὸς ὄντος, τό, τε ἓν καὶ τὸ ὄν, ἆρα ἀπολείπεσθον ἢ τὸ ἓν τοῦ εἶναι
» μόριον, ἢ τὸ ὂν τοῦ ἑνὸς μορίου; οὐκ ἂν εἴη. πάλιν ἄρ᾽ καὶ τῶν μορίων ἑκάτερον τό γε ἓν ἴσχει καὶ
» τὸ ὄν. καὶ γίνεται τοὐλάχιστον ἐκ δυοῖν αὖ μορίων τὸ μόριον. καὶ κατὰ τὸν αὐτὸν λόγον οὕτως ἀεί, ὅτι-
» περ ἂν μόριον γένηται, τούτω τὼ μορίω ἀεὶ ἴσχει. τό, τε γὰρ ὂν τὸ ἓν ἀεὶ ἴσχει, καὶ τὸ ἓν τὸ ὄν. ὥσ-
» τε ἀνάγκη δύο γινόμενον μηδέποτε ἓν εἶναι. παντάπασι μὲν οὖν. ἄπειρόν τι οὐκοῦν πλῆθος οὕτως
» ἂν τὸ ἓν ὂν εἴη. ἔοικέ γε. ἀλλὰ καὶ τὸ πάντα ἐκεῖνα καὶ τὸν αὐτὸν ἔχειν λόγον τοῦ ὄντος, καὶ ἀλλήλοις
εἶναι ταυτά, οὐδὲν ἄτοπον. εἰ γὰρ αἴτιον ἐκεῖνο πάντων, καὶ ἔστι πάντα πρὸ πάντων, δηλονότι προ-
είληπται ἐν αὐτῷ τὰ πάντα, κατὰ μίαν ἕνωσιν περιεχόμενα τὴν τοῦ ἑνὸς ὄντος, δι᾽ ἣν ἀμερίστως
διακριθέντα ἕκαστον τὰ πάντα ἐστί. καὶ ταῦτα καὶ αὐτῷ οἶμαι τῷ ἀριστοτέλει δοκεῖ, πάντων αἴτιον
τὸν παρ᾽ αὐτῷ πρῶτον νοῦν λέγοντι, καὶ διττὴν φαμένῳ τὴν τάξιν, τὴν μὲν ἐν τῷ αἰτίῳ, τὴν δὲ ἐν
τῷ ἀποτελέσματι. καὶ εἰ μὴ δοκῶ τισι τῶν ἐντευξομένων γλίσχρως μετάγειν, εἴποιμι ἂν καὶ τὸν
ἀριστοτέλη τῆς τρίτης τοῦ ἑνὸς ὄντος τοῦ παρμενίδου τάξεως συναισθόμενον, οὕτω πρὸς αὐτὸν ἀ-
ποτείνεσθαι, τὸ μὲν ἄκρον ἀδιαιρέτως ἥνωται. τὸ δὲ μέσον εἰς συνοχὴν τὴν ἕνωσιν χαλάσαν, ὅλον
γέγονε καὶ μέρη. διὸ καὶ ὁ ἀριστοτέλης ἐν τῷ περὶ συνεχοῦς λόγῳ τὴν περὶ τοῦ ὅλου τέθεικεν ἀπο-

ρεῖαν. τὸ δὲ τρίτον ἡνωμένως τὴν εἰδητικὴν διάκρισιν προβαλλόμενον, πάντα μὲν ἐν ἑαυτῷ προσέ-
δειξε κατ' αἰτίαν. διὰ δὲ τὸ νοητὴν εἶναι τὴν διάκρισιν, πάντα τῇ τοῦ ἑνὸς ὄντος ἑνώσει κεκράτηται.
καὶ ὅπερ ἂν λάβῃ τις ὡς διακριθέν, τοῦτο φυλάττον, εὑρίσκει τὴν τοῦ ἑνὸς ὄντος νοητὴν νόησιν. δια-
κρίσεως δὲ ὁπωσοῦν κατ' αἰτίαν ἀναφανείσης, καὶ ἡ ἔξω ἄπειρον τῶν τῆς γενέσεως μερῶν πρόοδος
ἐκεῖθεν ἔλαχε τὸν ἀνέκλειπτον πληθυσμόν. πῶς οὖν φαίη ἄν τις ὁ Ἀριστοτέλης τοῖς θείοις δόγμασι
τούτοις ἀντιλέγειν δοκεῖ. ἢ ὅτι εἰς φυσικὴν θεωρίαν προαγόμενα, παραλλάττειν δοκεῖ τῆς ἀληθεί-
ας. οὐ γὰρ ἐπιδέχεται τὴν νοητὴν ἕνωσιν ὁ αἰσθητὸς διασπασμός. οὐδὲ ὥσπερ ἐν τοῖς νοητοῖς ἡ ἡνω-
μένη ὕπαρξις αἰτιωδῶς τὴν πεπληθυσμένην περιέχει διάκρισιν, ὡς δύνασθαι καὶ ταύτην ἐκεῖ θεω-
ρεῖν, οὕτως ἐν τοῖς αἰσθητοῖς τὴν παντελῆ τοῦ ἑνὸς ἕνωσιν ὁρᾶν δυνατόν. τὸ γὰρ ἐνταῦθα ἀδιαίρετον,
καὶ τὸ συνεχές, καὶ ἡ κατὰ τὸν ἕνα λόγον κοινωνία οὐκ ἐφαρμόττει τῷ ἑνί. ὅτι δὲ οὐ διὰ φιλερισί-
αν ἡ πρὸς Παρμενίδην ἀντιλογία γέγονε, δηλοῖ καὶ Πλάτων, ἐν μὲν τῷ Παρμενίδῃ τὸ ἓν ὂν τοῦ Παρ-
μενίδου δεχόμενος, καὶ ἀπ' ἐκείνου τὸ ὑπὲρ ἐκεῖνο ἀνευρίσκων, ὅπερ οὐδὲ ἐγκαλεῖν ἀξιοῖ, καὶ τὰς
μετ' ἐκεῖνο τάξεις τοῦ ἑνὸς παραδιδούς. ἐν δὲ τῷ Σοφιστῇ σαφῶς ἀντιλέγων πρὸς αὐτὸν ἓν τὸ ὂν λέ-
γοντα, καὶ τὸ μὲν ἓν χωρίζων τοῦ ὄντος ὡς ὑπέρτερον τοῦ ὄντος, τὸ δὲ ἓν ὂν δεικνὺς τὸ μὲν πρῶτον κα-
τὰ μέθεξιν ἡνωμένον τοῦ ἑνός, τὸ δὲ ἐφεξῆς τῇ ἑτερότητι διακρινόμενόν τε καὶ πληθυόμενον. οὐδὲν
δὲ ἴσως χεῖρον παρακολουθήσεως ἕνεκα τῆς τοῦ Πλάτωνος ἐννοίας, τὰ ὑπ' αὐτοῦ ῥηθέντα ἐν τῷ Σοφιστῇ πα-
» ραγράψαι. τί δὲ παρὰ τῶν ἓν τὸ πᾶν λεγόντων, ἆρ' οὐ πευστέον εἰς δύναμιν τί ποτε λέγουσι τὸ
» ὄν; πῶς γὰρ οὔ. τόδε τοίνυν ἀποκρινάσθωσαν. ἕν που φατὲ μόνον εἶναι; φαμὲν γὰρ φήσουσιν. ἦ
» γάρ; ναί. τί δὲ ὂν καλεῖτέ τι; ναί. πότερον ὅπερ ἓν ὂν ἐπὶ τὸ αὐτὸ προσχρώμενοι δυσὶν ὀνόμασιν, ἢ πῶς.
» τίς οὖν αὐτοῖς ἡ μετὰ τοῦτο ξένε ἀπόκρισις. δῆλον ὅτι ὦ Θεαίτητε τῷ ταύτην τὴν ὑπόθεσιν ὑποθε-
» μένῳ, πρὸς τὸ νῦν ἐρωτηθὲν καὶ πρὸς ἄλλο δὲ ὁτιοῦν, οὐ πάντων ῥᾷστον ἀποκρίνασθαι. πῶς. τό,
» τε δύο ὀνόματα ὁμολογεῖν εἶναι μηδὲν θέμενον πλὴν ἕν, καταγέλαστόν που. πῶς δὲ οὔ. καὶ τὸ πα-
» ράπαν ἀποδέχεσθαι τοῦ λέγοντος, ὡς ἔστιν ὄνομά τι, λόγον οὐκ ἂν ἔχον. πῇ. τιθείς τε τοὔνομα τοῦ πράγ-
» ματος ἕτερον, δύο λέγει πού τινε. ναί. καὶ μὴν ἂν ταὐτόν γε αὐτῷ τιθῇ τοὔνομα, μηδενὸς ὄνομα ἀναγ-
» κασθήσεται λέγειν. εἰ δέ τινος αὐτὸ φήσει, συμβήσεται τὸ ὄνομα ὀνόματος ὄνομα μόνον, ἄλλου δὲ
» οὐδενὸς ὄν. οὕτω. καὶ τὸ ἕν γε, ἑνὸς ἓν ὂν μόνον, καὶ τοῦτο αὐτὸ ἓν ὄν. ἀνάγκη. τί δέ; τὸ ὅλον ἕτερον
» τοῦ ὄντος ἑνὸς ἢ ταὐτὸν φήσουσι τούτῳ. πῶς γὰρ οὔ. φήσουσί τε καὶ φασίν. εἰ τοίνυν ὅλον ἐστίν, ὥσ-
» περ καὶ Παρμενίδης λέγει, πάντοθεν εὐκύκλου σφαίρης ἐναλίγκιον ὄγκῳ, μεσσόθεν ἰσοπαλὲς
» πάντῃ, τὸ γὰρ οὔτε τι μεῖζον οὔτε τι βαιότερον πελέναι χρεών ἐστι, τῇ ἢ τῇ, τοιοῦτόν γε ὂν τὸ ὄν,
» μέσον τε καὶ ἔσχατα ἔχει. ταῦτα δὲ ἔχον πᾶσα ἀνάγκη μέρη ἔχειν, ἢ πῶς. οὕτως. ἀλλὰ μὴν τό γε
» μεμερισμένον πάθος μὲν τοῦ ἑνὸς ἔχειν ἐπὶ τοῖς μέρεσι πᾶσιν, οὐδὲν ἀποκωλύει, καὶ ταύτῃ δὴ πᾶν
» τε ὂν καὶ ὅλον ἓν εἶναι. τί δ' οὔ. τὸ δὲ πεπονθὸς ταῦτα, ἆρ' οὐκ ἀδύνατον αὐτό γε τὸ ἓν αὐτὸ εἶναι;
» πῶς. ἀμερὲς δή που δεῖ παντελῶς τό γε ἀληθῶς ἓν κατὰ τὸν ὀρθὸν λόγον εἰρῆσθαι. δεῖ γὰρ οὖν. τό
» δέ γε τοιοῦτον ἐκ πολλῶν μερῶν ὄν, οὐ συμφωνήσει τῷ λόγῳ ὅλῳ. μανθάνω. πότερον δὴ πάθος ἔ-
» χον τὸ ὅλον τοῦ ἑνὸς οὕτως ἕν τε ἔσται καὶ ὅλον, ἢ παντάπασι μὴ λέγομεν ὅλον εἶναι τὸ ὄν. χαλε-
» πὴν προβέβληκας αἵρεσιν. ἀληθέστατα μέντοι λέγεις. πεπονθός τε γὰρ τὸ ὂν ἓν εἶναι, πῶς οὐ ταὐ-
» τὸν ὂν τῷ ἑνὶ φανεῖται, καὶ πλέονα δὴ τὰ πάντα ἑνὸς ἔσται. ναί. καὶ μὴν ἐάν γε τὸ ὂν μὴ ᾖ ὅλον,
» διὰ τὸ πεπονθέναι τὸ ὑπ' ἐκείνου πάθος, ᾖ δὲ αὐτὸ τὸ ὅλον, ἐνδεὲς τὸ ὂν ἑαυτοῦ ξυμβαίνει. πάνυ γε.
» καὶ κατὰ τοῦτον δὴ τὸν λόγον ἑαυτοῦ στερούμενον, οὐκ ὂν ἔσται τὸ ὄν. οὕτω. καὶ ἑνός γε αὖ πλείω
» τὰ πάντα γίνεται, τοῦ τε ὅλου καὶ τοῦ ὄντος, χωρὶς ἰδίαν ἑκατέρου φύσιν εἰληφότος; ναί. μὴ ὄν-
» τος δὲ τὸ παράπαν τοῦ ὅλου, ταὐτά τε ταῦτα ὑπάρχει τῷ ὄντι, καὶ πρὸς τῷ μὴ εἶναι μηδ' ἂν γενέ-
» σθαι ποτὲ τὸ ὄν. τί δή. τὸ γιγνόμενον ἀεὶ γέγονεν ὅλον. ὥστε οὔτε οὐσίαν οὔτε γένεσιν ὡς οὖσαν δεῖ
» προσαγορεύειν, τὸ ἓν ἢ τὸ ὅλον ἐν τοῖς οὖσι μὴ τιθέντα. παντάπασιν ἔοικε ταῦθ' οὕτως ἔχειν. καὶ μὴν
» οὐδὲ ὁποσονοῦν τι δεῖ τὸ μὴ ὅλον εἶναι. ποσόν τι γὰρ ὄν, ὁπόσον ἂν ᾖ τοσοῦτον ὅλον ἀναγκαῖον αὐτὸ εἶναι.
» κομιδῇ γε. καὶ τοίνυν ἄλλα μυρία ἀπεράντους ἀπορίας ἕκαστον εἰληφὸς φανεῖται, τῷ τὸ ὂν εἴτε
» δύο τινὲ εἴτε ἓν μόνον εἶναι λέγοντι. δηλοῖ σχεδὸν καὶ τὰ νῦν ὑποφαίνοντα. συνάπτεται γὰρ ἕτε-
» ρον ἐξ ἄλλου, μείζω καὶ χαλεπωτέραν φέρον περὶ τῶν ἔμπροσθεν ἀεὶ ῥηθέντων πλάνην. ἀλλὰ
ταῦτα μὲν κἂν παρέκβασίν τινα μακροτέραν ἔχῃ, κεχαρίσθω τῷ περὶ αὐτὰ ἐρῶντι. ἐπὶ δὲ
τὰ ἑξῆς ἰτέον.

ε ΘΟΡΥΒΟΥΝΤΟ δέ, καὶ οἱ ὕστερον, καθάπερ καὶ οἱ ἀρχαῖοι, μήποτε συμβαίνῃ αὐτοῖς, ἅμα τὸ
αὐτὸ ἓν εἶναι, καὶ πολλά. διό, οἱ μέν, τὸ ἔστιν ἀφεῖλον. ὥσπερ Λυκόφρων. οἱ δὲ τὴν λέξιν μετερρύθμι-
ζον, ὅτι ἄνθρωπος οὐ λευκός ἐστιν, ἀλλὰ λελεύκωται. οὐδὲ βαδίζων ἐστίν, ἀλλὰ βαδίζει. ἵνα μὴ τὸ ἐστὶ
προσάπτοντες, πολλὰ εἶναι ποιῶσι τὸ ἕν. ὡς μοναχῶς λεγομένου τοῦ ἑνός, ἢ τοῦ ὄντος. πολλὰ δὲ τὰ
ὄντα, ἢ λόγῳ. οἷον ἄλλο τό, λευκῷ εἶναι καὶ μουσικῷ, τὸ δ' αὐτῷ, ἄμφω. πολλὰ ἄρα τὸ ἕν. ἢ διαιρέ-
σει, ὥσπερ

[Marginal manuscript notes: Plat. — Lycophron]

σει, ὥσπερ τὸ ὅλον, καὶ τὰ μέρη. ἐνταῦθα δὲ διηπόρουν, καὶ ὡμολόγουν, τὸ ἓν πολλὰ εἶναι. ὥσπερ οὐκ ἐνδεχόμενον τὸ αὐτὸ, ἓν εἶναι καὶ πολλά. μὴ τὰ ἀντικείμενα δέ. ἔστι γὰρ τὸ ἓν, καὶ δυνάμει καὶ ἐντελεχείᾳ.

E Εἰπὼν ὅτι καθ' ἕκαστον τῶν τοῦ ἑνὸς σημαινομένων τὸ αὐτὸ ἓν καὶ πολλὰ δείκνυται, καὶ γὰρ τὸ ὡς συνεχὲς ἓν ἄπειρόν ἐστι διαιρετὸν, καὶ ὅλον ὂν πλῆθος ἔχει μερῶν ἑτέρων ὄντων παρὰ τὸ ὅλον, καὶ τὰ τῷ λόγῳ τὰ αὐτὰ ἓν καὶ πολλὰ δείκνυσιν ἕκαστον, εἴπερ ὁ ἄνθρωπος ὁ αὐτὸς ὢν καὶ ἵππος ἐστὶ καὶ βοῦς, καὶ τὰ ἄλλα τὸν αὐτὸν ἔχοντα ἐκείνης λόγον τὸν τοῦ ὄντος, καὶ τὸ ἀδιαίρετον δὲ καὶ πέρας καὶ ἀρχή ἐστι καὶ ἄλλα πολλὰ, ταῦτα οὖν εἰπὼν καὶ ὅτι ἀντιφάσει περιπίπτουσιν, ἐπάγει ὅτι τοῦτο τὸ ἄτοπον τὸ τοῖς ἓν λέγουσι τὸ ὂν ἑπόμενον, τὸ τὸ αὐτὸ ἓν καὶ πολλὰ εἶναι, οὐ μόνον ἐκείνους προτεινόμενον ἐθορύβει, ἀλλὰ καὶ τοὺς μετ' ἐκείνους γεγονότας. καὶ γὰρ μὴ ἔλεγον ἓν τὸ ὂν οὗτοι, ἀλλὰ τιθέμενοι ἕκαστον τῶν αἰσθητῶν ἓν εἶναι, οἷον τὸν σωκράτη, ἔπειτα διὰ τὰς κατηγορίας τῶν συμβεβηκότων πολλὰ αὐτὸν λέγοντες εἶναι, καὶ γὰρ ὅτι σιμός ἐστι καὶ ὅτι φιλόσοφος καὶ λευκὸς εἰ τύχοι, ἐθορυβοῦντο πῶς ἂν εἴη δυνατὸν τὸ αὐτὸ ἓν ἅμα καὶ πολλὰ εἶναι. καὶ διατοῦτο τῆς μὲν οὐσίας τὸ τί ἐστι κατηγόρουν, λέγοντες σωκράτης ἐστί. τῶν δὲ συμβεβηκότων τῇ οὐσίᾳ ἀφῄρουν τὸ ἐστί. μετὰ μὲν γὰρ τῆς οὐσίας τὸ ἐστι μὴ ποιεῖν πλῆθος. αὐτὸ γὰρ περὶ αὐτοῦ λέγεσθαι. τοῖς δὲ συμβεβηκόσι προσκείμενον τὸ εἶναι, καὶ αὐτὰ ποιεῖ καὶ οὐσίας, καὶ ταῦτα μετὰ τῆς οὐσίας συμπλέκον. ὡς ὅταν εἴπω σωκράτης λευκός ἐστι. δύο γὰρ ὄντα γίνεται. διὸ ὁ λυκόφρων ἀφῄρει τὸ ἐστι τῶν κατηγορημάτων, λέγων σωκράτης λευκὸς, ὡς αὐτῶν καθ' αὑτὸ τῶν συμβεβηκότων ἄνευ τοῦ ἐστι μὴ ποιούντων ὄντος προσθήκην. καίτοι εἰ μὴ προσθήκην ἐποίει, ταὐτὸν ἂν ἦν σωκράτης λέγειν καὶ σωκράτης λευκός. ἔπειτα ἡ τοιαύτη προφορὰ ἀποφαντικὸν λόγον οὐ ποιεῖ. οὔτε γὰρ ἀλήθειαν οὔτε ψεῦδος δηλοῖ. οὐ μέντοι οὐδὲ ἄλλο εἶδος λόγου ποιεῖ, οὐδὲ λόγος ἔσται. οὔτε γὰρ προστακτικὸς, οὔτε ἐρωτηματικὸς, οὔτε εὐκτικός. καὶ πρὸς τῷ τὸ ἐξ ἀρχῆς ἄπορον μὴ φυγεῖν, καὶ ἄλλοις περιπεπτώκασιν. ἄλλοι δὲ ἀποφαντικὸν λόγον ποιεῖν βουλόμενοι, εἰς ῥήματα μετέπλαττον τὰ κατηγορούμενα, ἄνθρωπος οὐ λευκός ἐστι λέγοντες ἀλλὰ λελεύκωται. καὶ οὐ βαδίζων ἐστὶν, ἀλλὰ βαδίζει. ἵνα μὴ τὸ ἐστι προσάπτοντες, πολλὰ ποιῶσι τὸ ἕν. ἀλλ' ἦν δῆλον, ὅτι ὑφειμένην ἔχει φύσιν τὰ συμβεβηκότα, ὥσπερ καὶ τὸ ῥῆμα ἐνέργειαν ἢ πάθος δηλοῖ, ὑφειμένα τῆς οὐσίας ὄντα. καὶ δηλονότι οὐδὲ οὗτοι τὴν ἀπορίαν ἐξέφυγον, κἂν εἰ ἐκκλίνοντες καὶ μεταρρυθμίζοντες τὴν λέξιν, τὴν κατηγορίαν ἐποιοῦντο. πᾶν γὰρ ῥῆμα εἰς μετοχὴν καὶ τὸ ἐστιν ἀναλύεται. βαδίζει, βαδίζων ἐστίν. οἱ δὲ ἐκ τῆς ἐρετρείας οὕτω τὴν ἀπορίαν ἐφοβήθησαν, ὡς λέγειν μηδὲν κατὰ μηδενὸς κατηγορεῖσθαι, ἀλλ' αὐτὸ καθ' αὑτὸ ἕκαστον λέγεσθαι. οἷον, ὁ ἄνθρωπος ἄνθρωπος. καὶ τὸ λευκὸν λευκόν. καὶ οὐδὲ οὗτοι μὲν ἐξέφυγον τὴν ἀπορίαν. καὶ γὰρ ὁ ἄνθρωπος πολλά ἐστι, καὶ τὸ λευκὸν πολλὰ, ὡς οἱ ὁρισμοὶ δηλοῦσι. καὶ τῷ ἑτέρῳ δὲ τῶν ἀτόπων περιπεπτώκασι, τῷ τὸν ἀποφαντικὸν λόγον ἀναιροῦντι. πλὴν οὗτοι τὸ εἶναι πολλὰ ἕκαστον τῶν αἰσθητῶν τῷ πολλὰ αὐτῶν κατηγορεῖσθαι, οὕτως ᾤοντο διαφυγεῖν, οὐκ ἐννοοῦντες ὅτι οὐ κατὰ μόνην τὴν κατηγορίαν τὸ ἓν καὶ τὸ ὂν πολλὰ γίνεται. ἀλλὰ καὶ οὕτω μὲν, ὅταν τῷ λόγῳ διαφέροντά τινα καὶ διὰ τοῦτο πολλὰ ὄντα, τῷ αὐτῷ καὶ ἑνὶ ἐνυπάρχῃ, καὶ κατηγορῆται τοῦ αὐτοῦ ὑποκειμένου. καὶ κατ' ἄλλον δὲ τρόπον, τῷ τὸ συνεχὲς καὶ ὅλον ἓν ὂν ἐνεργείᾳ δυνάμει πολλὰ εἶναι, τῷ δύνασθαι εἰς μέρη διαιρεθῆναι πολλά. καὶ αὖ πάλιν τοῦ τὰ πολλὰ καὶ διῃρημένα ἐνεργείᾳ, δυνάμει ἓν εἶναι συνεχὲς, ὅτι δύναται συνεχίζεσθαι. ὡς οἱ πολλοὶ κηροί. καὶ πρὸς μὲν ἐκεῖνο ἔδοξαν ἀποφυγὰς εὑρεῖν τὰς εἰρημένας. πρὸς δὲ τοῦτο μηδὲν δυνάμενοι λέγειν ἐνεδίδοσαν. καὶ ὡμολόγουν τὸ ἄτοπον τὸ αὐτὸ καὶ ἓν καὶ πολλὰ εἶναι. τῆς δὲ πλάνης αὐτοῖς καὶ τοῦ τῇ ἀπορίᾳ ἐνδοῦναι αἴτιον, τὸ μὴ συνιδεῖν ὅτι ἐνδέχεται τὸ αὐτὸ ἓν καὶ πολλὰ εἶναι, οὐ κατὰ τὸ αὐτὸ δέ. ἀλλ' ὡς τῷ μὲν ὑποκειμένῳ ἓν πολλὰ δὲ τοῖς συμβεβηκόσιν, ἅπερ οὐκ ἀντίκειται ἀλλήλοις. ἢ ὡς ἐνεργείᾳ μὲν ἕν, δυνάμει δὲ πολλὰ, ὡς τὸ συνεχές. οὐδὲ γὰρ τὰ ἀντικείμενα ἀλλήλοις ἐστί. διότι οὐκ ἐπὶ τοῦ αὐτοῦ. καὶ διατοῦτο δύναται συνυπάρχειν. ἀντίκειται γὰρ τὰ τῷ αὐτῷ, ἢ κατὰ τὸ αὐτὸ ἐνεργείᾳ ἄμφω ὑπάρχοντα. ὡς ὅταν τις τὸν σωκράτη ἐν τῷ αὐτῷ χρόνῳ ἕνα δάκτυλον καὶ πλείονας λέγῃ ἔχειν. ἐν ἄλλῳ γὰρ καὶ ἄλλῳ χρόνῳ κατὰ τὸ αὐτὸ μόριον οὐδὲν ἄτοπον τὸ ἓν καὶ πολλὰ συνίστασθαι. ὁ γὰρ ἐνεργείᾳ ἄπαις, δυνάμει καὶ ἓν καὶ πολλὰ τέκνα ἔχειν λέγοιτ' ἄν. διὸ οὔτε τῷ ἐνεργείᾳ ἓν ἀντίκειται, οὔτε ἀλλήλοις. διὸ καὶ συνυπάρχει. εἰ γάρ τι καθεύδει καὶ ἕστηκε δυνάμει, τοῦτο ἐγρηγορέναι καὶ καθῆσθαι δυνάμει λέγοιτ' ἄν. τοιαύτη μὲν ἡ κατὰ τὸ πρόχειρον ἔννοια τῆς ἀριστοτελικῆς λέξεως εἶναι δοκεῖ. τοῦ δὲ πορφυρίου καινοπρεπῶς αὐτὴν ἐπιδραμόντος, ἄξιον ἂν εἴη μηδὲ τὰ ἐκείνῳ δοκοῦντα παραλιπεῖν, τὰ μὲν συντέμνοντα τῶν λεγομένων, τὰ δὲ ἐπ' αὐτῆς τῆς λέξεως παρατιθέντα. λέγει τοίνυν ὅτι συμπληρώσας τὰ καθ' ἕκαστον σημαινόμενον τοῦ ἑνὸς προσαγόμενα ἄτοπα, ἐπάγει ἄλλην ἀπορίαν γινομένην ἂν πρὸς ἑαυτόν. ἔφη γὰρ ἄν τις, ὅτι ταῦτα προσηπόρησας, πολλαχῶς λέγεσθαι τὸ ἓν ὑποθέμενος καὶ πολλαχῶς τὸ ὄν. εἰ δὲ μὴ τοῦτο, ἴσως ἂν τὰ ἄπορα ταῦτα οὐ προσήγαγες. πρὸς οὓς ἀπάντησιν βιαίαν ἅμα καὶ μὴ συνεωραμένην τοῖς ἐξηγηταῖς πᾶσι πεποίηται, λέγων, ὅτι ἐὰν μὴ διχῶς λέγεσθαι ὑποτεθῇ τὸ

ὄν, οὐχ οἱ περὶ Παρμενίδην μόνον καὶ Μέλισσον, ἀλλὰ καὶ οἱ ἄλλοι πάντες θορυβήσονται. ἴδωμεν γὰρ τὸ κυ-
ρίως ἕν ποταπὸν ἡμῖν προσπίπτει. ἆρ' οὐχ ὅμως δῆλον, ὡς ἁπλοῦν τι καὶ ἀμερὲς καὶ ἀδιαίρετον, κα-
θόσον ἓν ἐπινοεῖται; ὅταν οὖν λέγωσιν ὅτι τὸ ζῷον ἓν μὲν τῷ γένει, εἴδει δὲ πολλά, καὶ ὁ ἄνθρωπος
εἷς τῷ εἴδει ἀριθμῷ δὲ πολλοί, Σωκράτης τε ἐνεργείᾳ εἷς δυνάμει δὲ καὶ μέρεσι καὶ συμβεβηκόσι
πολλά, ἆρ' οὐκ ὀνόματι μὲν τὸ ἓν ὀνομάζουσι, τῇ δὲ ἐννοίᾳ τῇ τοῦ ἑνὸς οὐδαμῶς ὁμολογοῦσι; πολὺς
γὰρ ἐπὶ τούτων ὁ ὁρώμενος μερισμός, κἂν ἑνικῶς γένος ἢ εἶδος λέγηται. ὥσπερ καὶ τὸ πλῆθος αὐτὸ
καὶ ἡ ἵππος κἂν ἑνικῶς λέγηται πλῆθος ἐμφαίνει. εἰκότως οὖν ἐπὶ τούτων ἀπορία τις ἦν. οἷον πρῶ-
τον ἐπὶ τῶν ὑποκειμένων καὶ τῶν συμβεβηκότων. εἰ γὰρ Σωκράτης λευκός ἐστι, πῶς τοῦτο ἕν. ἢ γὰρ
οὐδέν ἐστι τὸ λευκόν, καὶ οὐδὲν πλέον ἔσται κατηγορεῖν αὐτὸ Σωκράτους. ἢ εἴπερ ἐστὶ τὸ λευκόν, διατί
οὐ δύο τὸ Σωκράτης λευκός. εἰ γὰρ ὅ τι κατηγορεῖται οὐδέν ἐστι, τί μᾶλλον ὅτι Σωκράτης ὑπόκειται οὐ-
δὲν ἔσται. ἑκάτερον γάρ ἐστιν. ὁμοίως δὲ καὶ ἐπὶ τοῦ ἐνεργείᾳ ἑνός, δυνάμει δὲ πολλῶν. τί γὰρ δὴ φή-
σομεν. μηδὲν εἶναι τὰ μέρη; καὶ πῶς οὐχὶ καὶ τὸ ὅλον οὐδέν, ὅτι ἐκ τῶν μερῶν συνέστηκε τὸ ὅλον. ἀλλ'
ἔστι τὰ μέρη; καὶ πῶς ὁ Σωκράτης οὐ πολλά. ἐπί τε τοῦ ὡς γένους καὶ ὡς εἴδους. τὸ γὰρ ζῷον τῷ ἀν-
θρώπῳ, καὶ ὁ ἄνθρωπος τῷ Σωκράτει, πότερον ὡς οὐδὲν συμβέβηκε; καὶ πῶς τὸ ζῷον τοῦ μὴ ζῴου
διαφέρειν φαμέν, καὶ τὸν ἄνθρωπον τοῦ ἵππου. ἀλλ' ἔστι τὸ ζῷόν τι; καὶ πῶς οὐ πολλὰ ὁ ἄνθρωπος, καὶ ζῷον ὢν
καὶ ἄνθρωπος. διατί δὲ τῷ Σωκράτει ὁ ἄνθρωπος συμβέβηκεν, ἀλλ' οὐχὶ τῷ ἀνθρώπῳ ὁ Σωκράτης. πολὺς οὖν θόρυ-
βος οὐ πρὸς τοὺς περὶ Παρμενίδην μόνον, ἀλλ' ἁπλῶς πρὸς πάντας τοὺς συνώνυμον ὑποθεμένους
τὸ ὄν, καὶ ὡς ἓν μὲν αὐτὸ ὑποθεμένους, σῴζειν δὲ μὴ δυναμένους ἔτι αὐτοῦ τὴν τοῦ ἑνὸς καθαρὰν πρό-
ληψιν. διὸ ταῦτα δὴ Λυκόφρων μὲν τὸ ἐστὶν οὐ συνῆπτε, ὡς δή τινος ἐκ τούτου συμβαίνοντος ἀτό-
που. τινὲς δὲ εἰς ῥήματα μετέπλασαν τὰ κατηγορούμενα, ἐμφαίνοντες τὸ ἐλάττονα αὐτὰ εἶναι καὶ
συμβεβηκότα μᾶλλον. οἱ δὲ ἐκ τῆς Ἐρετρίας μηδὲν κατὰ μηδενὸς κατηγορεῖσθαι λέγουσιν, ἀλλὰ
μόνον αὐτό τι καθ' αὑτοῦ. οἷον ὁ ἄνθρωπος ἄνθρωπος. ἀλλ' οὐδὲ οἱ πρότεροι οὐδὲ οὗτοι ἐξέφυγον τὴν ζήτησιν. αὐ-
τὸς γὰρ ὁ ἄνθρωπος ἐζητήθη ἄν. ἀλλ' οὔ φασιν ἄξιον εἶναι ζητεῖν. πολλὰ γὰρ ἐὰν διαιρεθῇ ἐνεργείᾳ. νῦν δὲ
εἶναι ἕν. ἀλλ' ὁ λόγος ἦν καὶ ἡ ζήτησις περὶ τοῦ ἀδιαιρέτου τῶν μερῶν, ἆρα ἔστι τι ἢ οὐδέν, ἕως ἔτι ἓν
αὐτοῖς ἐστιν. ὥστε οὐ λύεται ἡ ζήτησις. τὴν τοίνυν τοιαύτην καὶ τηλικαύτην ἀπορίαν μόνος ὁ Ἀριστο-
τέλης συνοῖδεν, ὅπως λύειν χρή. τὰ γὰρ ὄντα φησὶ μὴ ὁμοίως ὄντα εἶναι. διὸ μὴ εἶναι αὐτῶν γένος τὸ
ὄν. ἀλλὰ τὸ μὲν τοιοῦτον εἶναι, ὃ καὶ αὐτὸ καθ' ἑαυτὸ ὑποστῆναι δύναται, χαρακτῆρα ἐμφαῖνον ἴδιον.
τὰ δέ, ὄντα μέν, οὐχ ὁμοίως δὲ μετειληφότα τοῦ ὄντος. ἀλλὰ κατ' ἄλλον τρόπον, τῷ ἐν ἐκείνοις εἶναι,
καὶ ἠρτῆσθαι ἀπ' ἐκείνων πρὸς τὸ εἶναι. ὁ μὲν γὰρ πατήρ τε καὶ ὁ υἱὸς κατὰ τύχην ὑπέστησαν, καὶ ὁ
δεσπότης καὶ ὁ δοῦλος. διὸ πολλαχῶς ἔφη τὸ ὄν. πλὴν ὅτι τὰ ἄλλα ἐπὶ τῇ οὐσίᾳ συμβέβηκε, καθ'
ἣν καὶ χαρακτηρίζεται τὸ ὑποκείμενον. διὸ οἱ μὲν ἀναιροῦσι τὰ ἄλλα, καθάπερ οἱ ἀπὸ τῆς στοᾶς ἐποί-
ουν, πλὴν τὰ ἐναργῆ. ὁ δὲ ὁμοίως τῇ οὐσίᾳ καταλιπὼν ἕν, μᾶλλον ἁμαρτάνει. πολλὰ γὰρ ποιήσει
τὰ ὄντα, καὶ σωρεύσει ὥσπερ τὰ ἄτομα σώματα. ὁ δὲ πῶς μὲν λέγων εἶναι, τῷ ἐπὶ τῇ οὐσίᾳ θεωρεῖ-
σθαι καὶ μετ' ἐκείνην εἶναι, πῶς δὲ μὴ εἶναι, τῷ μὴ ἄνευ αὐτῆς ὑποστῆναι δύνασθαι, οὗτος ἐπείληπται
τοῦ ὀρθοῦ. ἐπιόντες τοίνυν τοὺς τρόπους τοῦ ἑνός, οὐκέτι πολλὰ φήσομεν τὸ ἕν, διότι τὰ μέρη ἄλλως καὶ
οὐχ ὡς Σωκράτης ἓν λέγεται. ὁ μὲν γὰρ καθ' ἑαυτὸν ἰδιότητα ἐμφαίνει τοῦ χαρακτῆρος. τὰ δὲ μέρη
ἄνευ τοῦ ὅλου οὐκ ἂν ὑποσταίη. ἀλλ' ἔστιν οὕτως ὡς σὺν τῷ ὅλῳ ἓν εἶναι. μένει τοίνυν ὁ Σωκράτης εἷς
ὁμοίως. καὶ κατὰ τὸ εἶδος οὐ πληθύνεται, ἅμα καὶ ἄνθρωπος γινόμενος, τῷ τὸ εἶδος μὴ ἄν ποτε καθ' ἑαυ-
τὸ ὑποστῆναι, μηδ' ὑφεστάναι τὸν ἄνθρωπον οὕτως ὡς αἱ πρῶται οὐσίαι, ἀλλ' ἄλλως. ἀλλὰ μὴν οὐκ ἂν εἴποι
τις παντελῶς μηδὲν εἶναι παρὰ τὸν Σωκράτη τουτὶ τὸ πλεόνασμα, εἰ καὶ μὴ τοιοῦτόν ἐστιν ὁποῖον αὐ-
τὸς ὁ Σωκράτης, ἀλλὰ κατ' ἐκεῖνον καὶ μετ' ἐκείνου. οὐδὲ γὰρ οὕτως ὁμώνυμον τὸ ὄν, ὡς τὰ ἀπὸ τύχης.
ἀλλ' ὡς τὰ ἀφ' ἑνός. καὶ τὸ λευκὸν τότε ἐστίν, ὅταν ἄλλου ᾖ, κἂν τούτῳ ἔχῃ τὸ εἶναι, ἐν τῷ ἄλλου εἶναι.
ὥσπερ γὰρ ἡ ἐπιφάνεια σώματος οὖσα, τὸ οἷον σῶμα εἶναι ἀπὸ τοῦ σώματος ἔλαβεν, οὕτω δεῖ νοεῖν
καὶ τὴν τῶν ἄλλων ὄντων ὑπόστασιν. τῷ γὰρ ἄλλου εἶναι τὴν ὑπόστασιν ἔχει. διὸ οὐκέτι πολλὰ ὁ λευ-
κὸς Σωκράτης, ἢ αὐτός τε καὶ τὰ μέρη. οὐ γὰρ ἄλλα τινὰ συνελθόντα, ὡς οἱ βόες εἰς τὸ ζεῦγος, καὶ
οἱ ἄνθρωποι εἰς χώραν, συνεστήσαντο Σωκράτη. ἀλλ' ὄντος αὐτοῦ ὑποκειμένου, τὰ συμβεβηκότα αὐ-
τῷ ἐστι ταύτῃ, ᾗ ὑφεστηκότα, ἢ ἄλλου ἐστί, καὶ δι' ἐκεῖνο καὶ ἐστίν. ὡς εἴγε πολλὰ καὶ μετὰ ἕτερα ἄλλα
ἦν, λέγω δὲ τὰ συμβεβηκότα, ἔμενεν ἂν τὸ ζήτημα. ἐκ δὲ τούτου ἀνακύπτει ἡ τοῦ ὄντος καὶ μὴ ὄντος
ἀπορία. ὂν μὲν γὰρ ἡ οὐσία. ὡς δ' ἐν αὐτῇ τὰ συμβεβηκότα ὄντα, οὐκ ὄντα. ἄλλως δὲ καὶ ὡς ταύ-
της ὄντα, ἔστιν ὄντα. καὶ τὸ αὐτὸ ἓν ἂν εἴπῃς καὶ πολλά. ἀλλ' οὐχ ὡς τὸ ἓν οὕτω καὶ τὰ πολλά. οὐ γὰρ
πεπλήθυνται ἐκ τοιούτων ἑκάστων. ὁμοίως δὲ καὶ ἐπὶ τῶν μερῶν τοῦ Σωκράτους. οὐ γὰρ ὡς Σωκρά-
της, καὶ ταῦτα ὄντα. ἀλλ' ὡς τούτου, καὶ τῷ ἐκείνου εἶναι ὄντα, οὐχ ὡς ἐκεῖνο. οὕτω καὶ ζῷον καὶ ἄνθρωπος ὁ
Σωκράτης, οὐχ ὅτι καὶ Σωκράτης καὶ ἄνθρωπος καὶ ζῷον. ὅπερ ἐποίουν οἱ συνώνυμον τιθέντες τὸ ὄν. ἢ ὅπερ
οἱ ἀναιροῦντες ἐκ τῶν ὄντων τὰ ἄλλα, οἱ ἓν εἰπόντες τὸ ὄν. οὐ τρία οὖν ὁ Σωκράτης, οὐδὲ ἓν μόνον. οὐ

δὲ γὰρ οὐδὲν τὰ ἄλλα ἐστὶν, ὅτι καὶ ταῦτα τῷ εἶναι σωκράτους ἐστίν. οὐ μὴν οὕτως ὡς σωκράτης. καὶ οὕτω πάλιν πολλὰ καὶ οὐ πολλὰ ὁ σωκράτης ἀλλὰ ἕν. ἓν δὲ οὐκ ἐκεῖνο, ὃ παντελῶς καθαρεύει καὶ τῆς κατ᾽ ἐπίνοιαν συνθέσεως. ἀλλ᾽ ὃ μίαν ὑφίστησιν ὑπόστασιν, καὶ παράγει μίαν οὐσίαν. οὐχ ὡς ἡ πλίνθος μία τῷ ἓν ὄνομα εἶναι, ἀλλὰ τῷ ἑνότητα ὑπάρχειν, καὶ τὴν τούτου δὲ λέξιν ἐπιδέχεσθαι. ἓν γὰρ τὰ πολλὰ, ἐὰν ὁμωνύμως τις τὸ ὂν ἐξηγῆται. καθάπερ πρῶτος ὁ ἀριστοτέλης ἐνόησε. πολλὰ γοῦν τὰ ὄντα πρῶτον μὲν ταῖς κατηγορίαις, οἷον οὐσία, ἀγαθότητι, ταῖς ἄλλαις. καὶ κατὰ πάσας τὰς μὲν δυνάμει, τὰς δὲ ἐνεργείᾳ, καὶ ἔτι ἢ γένει ἢ εἴδει ἢ ἀριθμῷ. πρὸς δὲ τούτοις διαιρέσει, ἢ λόγῳ, ἢ ὀνόματι. καὶ οὐδὲν ἄτοπον, τὸ αὐτὸ κατ᾽ ἄλλον μὲν τρόπον φαίνεσθαι καὶ λέγεσθαι ἕν, κατ᾽ ἄλλον δὲ πολλὰ, καὶ ἅμα ἓν καὶ πολλὰ, μὴ μέντοι τὰ ἀντικείμενα. αἴτιον δὲ τὸ μήτε τὸ ὂν μήτε τὸ ἓν μοναχῶς λέγεσθαι, ἀλλ᾽ ἕκαστον πλεοναχῶς. ὃ μὴ συνιδόντας τοὺς πρὸ ἀριστοτέλους θορυβεῖσθαι, τοὺς μὲν, πολλὰ καὶ ἄπειρα λέγοντας τὰ ὄντα, διηρτημένα δὲ ἀπ᾽ ἀλλήλων, τοὺς δὲ ἕν, οὔτε ἑνὸς ὄντος ὡς τὸ ἁπλῶς ἀδιάστατον, οὔτε πολλῶν ὡς χωρὶς, ἀλλ᾽ ὡς εἴρηται καὶ ἑνὸς ὄντος καὶ οὐχ ἑνὸς ὡς ἐξηγησάμεθα. ταῦτα τοίνυν αὐτὰ μὲν καθ᾽ αὑτὰ πολλῆς οἶμαι σπουδῆς ἄξια, καὶ πρὸς τὰς φυσικὰς ζητήσεις, καὶ πρὸς τὴν τῶν κατηγοριῶν διαίρεσιν, καλῶς ὁ φιλοσοφώτατος ἀνέγραψε πορφύριος, ἀφορμὴν ἴσως πρὸς ταύτην τὴν ἐπιβολὴν λαβὼν, τὸ ὡς μοναχῶς λεγομένου τοῦ ἑνὸς ἢ τοῦ ὄντος, πολλὰ δὲ τὰ ὄντα. ἀλλ᾽ εἰ μὲν πολλὰ ταῖς κατηγορίαις ἐπήγαγεν, εἰκὸς ἦν τὴν τοῦ ὄντος ὡς πολλαχῶς λεγομένου διαίρεσιν, εἰς λύσιν τῆς ἀπορίας παραλαμβάνειν. νῦν δὲ πολλὰ τὰ ὄντα φησὶ καὶ ἕν, ἢ λόγῳ μὲν πολλὰ τῷ δὲ ὑποκειμένῳ ἕν, ὡς ἐπὶ τῆς οὐσίας καὶ τῶν ἐν αὐτῇ συμβεβηκότων, διὸ καὶ ἄμφω τὰ τοῦ συμβεβηκότος παραδείγματα ἀπὸ ἑνὸς γένους τῆς ποιότητος ἔλαβεν, ἢ δυνάμει ἢ ἐνεργείᾳ. εἰ μέντοι τις προσηπόρησεν, εἰ καὶ ἡ οὐσία καὶ τὰ καλούμενα συμβεβηκότα ὁμοίως ὄντα ἐστὶ, πῶς οἷόν τε τὸ αὐτὸ κατὰ τὸ αὐτὸ ὂν, ἓν καὶ πολλὰ εἶναι, ταυτὸν δὲ εἰπεῖν ἓν καὶ οὐχ ἕν, εἰκότως ἂν ταύτην τις τὴν ἐπίλυσιν τῆς ἀπορίας ἐπήγαγε, τὴν ἀπὸ τῆς τοῦ ὄντος κατά τε τὴν οὐσίαν καὶ κατὰ τὰ συμβεβηκότα διαφορᾶς. ὅπερ ἴσως καὶ νῦν ἠνίξατο, μηδὲν ἄτοπον εἰπὼν τὸ αὐτὸ ἓν καὶ πολλὰ εἶναι, πολλὰ μὲν κατὰ τοὺς πολλῶν συμβεβηκότων λόγους, ἓν δὲ κατὰ τὸ ὑποκείμενον καὶ τὴν οὐσίαν. ὅπερ αὐτὸ μόνον ἕν, πολλά ἐστι κατ᾽ ἐκεῖνο. δυοῖν δὲ οὐσῶν ἀποριῶν τὸ αὐτὸ ἓν καὶ πολλὰ συναγουσῶν, τῆς μὲν, ἀπὸ τοῦ πλήθους τῶν τῇ μιᾷ οὐσίᾳ ὑπαρχόντων συμβεβηκότων, τῆς δὲ, ἀπὸ τοῦ συνεχοῦς, ὅπερ ἓν μέν ἐστι τῷ ὅλῳ τῇ δὲ διαιρέσει πολλὰ, τοῦτο μὲν ἀπὸ τῆς τοῦ δυνάμει καὶ ἐνεργείᾳ διαφορᾶς λύεται. καὶ γὰρ ἐνεργείᾳ μέν ἐστιν ἕν, δυνάμει δὲ πολλά. τὸ δὲ ἕτερον οὐ λέλυται κατὰ τοὺς ἐξηγητάς. οὐδὲ γὰρ ὡς λύσιν τῆς ἀπορίας ἀκούουσι, τὸ πολλὰ δὲ τὰ ὄντα ἢ λόγῳ. ὁ γοῦν ἀλέξανδρος ταύτην προθεὶς τὴν ῥῆσιν εἰς ἐξήγησιν, ἐπάγει τάδε. ἤτοι αὐτὸς διαίρεσιν ποιεῖται, καθ᾽ οὓς τρόπους ἕκαστον ἓν ἅμα καὶ πολλά ἐστι, δεικνὺς ὅτι μὴ μοναχῶς τὸ ἓν ὡς προεῖπεν, ἢ πῶς ζήνων ἕκαστον τῶν αἰσθητῶν πολλὰ εἶναι ἐδείκνυε, λέγει ὑφ᾽ οὗ λόγου ἐθορυβοῦντο. ἢ γὰρ τῷ λόγῳ μὲν πολλά ἐστι τῷ ὑποκειμένῳ ὄντα ἕν, οἷον ὁ μουσικὸς καὶ ὁ λευκὸς σωκράτης τῷ λόγῳ μέν εἰσι πολλοὶ, ἄλλος γὰρ λόγος τοῦ μουσικοῦ καὶ ἄλλος τοῦ λευκοῦ, κατὰ μέντοι τὸ ὑποκείμενον εἷς ἐστιν ὁ σωκράτης, ἢ πολλά ἐστι τὸ αὐτὸ ἅμα καὶ ἕν, ὡς τὸ ὅλον καὶ τὰ μέρη. ὡς μὲν γὰρ ὅλον ἕν. ὡς δὲ μέρη ἐξ ὧν τὸ ὅλον πολλά, ἐπεὶ μὴ ταυτὸν δέδεικται τὸ μέρος τῷ ὅλῳ. ταῦτα εἰπὼν ὁ ἀλέξανδρος, ἐπάγει λοιπὸν δι᾽ ὧν ἐνδείκνυται ὅτι οὐ λέλυται ἡ ἀπορία ἡ ἀπὸ τῶν συμβεβηκότων, ἀλλὰ μόνη ἡ ἀπὸ διαιρέσεως, λέγων, ἐπὶ μὲν οὖν τῶν τῷ λόγῳ πολλῶν ὡς εἴρηται ᾤοντό τι ποιεῖν, οὓς ὑστέρους εἴρηκε τῶν ἀρχαίων, οἱ μὲν ἀφαιροῦντες τὸ ἐστὶν ἀπὸ τῶν συμβεβηκότων, οἱ δὲ παρεκκλίνοντες καὶ μεταρρυθμίζοντες τὴν λέξιν. ἐπὶ δὲ τοῦ ὡς ὅλου καὶ μέρους οὐκ ἔχοντες τοιαύτην ἔνστασιν πρὸς τὸ σόφισμα, ἐνεδίδοσαν. ἔστι δέ φησι τὸ ὅλον ἕν τε καὶ πολλὰ, οὐ κατὰ ταυτὸν μὲν, ἀλλ᾽ ἐντελεχείᾳ μὲν ἕν, δυνάμει δὲ πολλά. ὥστε εἰ μέλλει καὶ ἡ ἀπὸ τῶν συμβεβηκότων ἀπορία λύεσθαι, καλῶς ὁ πορφύριος τὸ παρὰ τοῦ ἀριστοτέλους ἠνιγμένον, διὰ τοῦ ὡς μοναχῶς λεγομένου ἢ τοῦ ἑνὸς ἢ τοῦ ὄντος, πολλὰ δὲ τὰ ὄντα ἐνόησέ τε καὶ ἐξέφηνεν, ἐνδειξαμένου μέν πως καὶ τοῦ εὐδήμου τὸ τοιοῦτο, καὶ αὐτοῦ δὲ τὴν λύσιν εἰς τὸ δυνάμει καὶ ἐνεργείᾳ κατακλείσαντος. οὐδὲν δὲ ἴσως χεῖρον καὶ τὰ εὐδήμου παραθέσθαι, πλείονος τῶν λεγομένων ἐπιστάσεως ἕνεκα. ἔχει δὲ ὧδε ἡ μετὰ τὰς ἀπαιτήσεις λέξις τὰς πρὸς τὰ τοῦ
» ἑνὸς σημαινόμενα. Ἆρα οὖν τοῦτο μὲν οὐκ ἔστιν ἕν, ἓν δέ τι ἐστί; τοῦτο γὰρ ἠπορεῖτο. καὶ ζήνω-
» νά φασι λέγειν, εἴ τις αὐτῷ τὸ ἓν ἀποδοίη τί ποτέ ἐστι, λέξειν τὰ ὄντα λέγειν. διὰ τὸ τῶν μὲν αἰ-
» σθητῶν ἕκαστον κατηγορικῶς πολλὰ λέγεσθαι καὶ μερισμῷ, τὴν δὲ στιγμὴν μηδὲ ἓν τιθέναι.
» ὃ γὰρ μήτε προστιθέμενον αὔξει, μήτε ἀφαιρούμενον μειοῖ, οὐκ ᾤετο τῶν ὄντων εἶναι. εἰ δέ τις
» καὶ τὰς λοιπὰς προσηγορίας προσεπιθείη, πιστότερον ἂν κατασκευάσειεν ἔτι τὸν λόγον. οὐ
» φαίνεται γὰρ οὔτε οὐσίαν οὔτε ποιὸν ἡ στιγμὴ ποιοῦσα, οὔτε ἄλλο τῶν κατὰ τὰς διαιρέσεις
» οὐδέν. εἰ δὲ ἡ μὲν στιγμὴ τοιοῦτον, ἡμῶν δ᾽ ἕκαστος πολλὰ λέγεται εἶναι, οἷον λευκὸς μουσι-
» κὸς καὶ πολλὰ ἕτερα, ὁμοίως δὲ καὶ ὁ λίθος, ἄπειρος γὰρ ἡ θραῦσις ἑκάστου, πῶς ἂν εἴη τὸ ἕν.

» πρὸς μὲν οὖν τὰς κατηγορίας. ἔνιοι μὲν οὐκ ᾤοντο δεῖν τὸ ἔστιν ἐπιλέγειν. ὧν καὶ Λυκόφρων ἦν. ἀλλ' ἄνθρωπον
» μὲν ἔλεγον εἶναι. ἄνθρωπον δὲ λευκὸν εἶναι οὐκ ἔφασαν. ὁμοίως δὲ καὶ τῶν ἄλλων ἕκαστον. οὐδαμοῦ γὰρ τὸ εἶναι
» προσῆπτον, ἀλλ' ἓν ἢ καθ' ἕκαστον. Πλάτων δὲ τὸ ἔστιν οὐκ ᾤετο σημαίνειν, ὅπερ ἐπὶ τοῦ ἀνθρώπου. ἀλλ' ὥσπερ
» τὸ φρόνιμός ἐστι τὸ φρονεῖν, καὶ τὸ καθήμενός ἐστι τὸ καθῆσθαι, οὕτω καὶ ἐπὶ τῶν ἄλλων ἔχει, καὶ εἰ μὴ κεῖται
» ὀνόματα. πρὸς μὲν οὖν τὰ κατηγορικῶς πολλὰ ποιοῦντα τὸ ἕν, τοῦτον ἀπήντων τὸν τρόπον. πρὸς δὲ τὰ
» κατὰ μερισμόν, οὐκ εὐπόρουν. ἔστι δὲ ὡς ἔοικε τὸ διορίζειν ἕκαστον ποσαχῶς λέγεται μέγα πρὸς ἀλή-
» θειαν. Πλάτων τε γὰρ εἰσαγαγὼν τὸ διττόν, πολλὰς ἀπορίας ἔλυσε πραγμάτων. ὧν νῦν οἱ σοφισταὶ
» καταφεύγουσιν, ὥσπερ ἐπὶ τὰ εἴδη. καὶ πρὸς τούτοις τοὔνομα τῶν λόγων ἀφώρισε. πρὸς δὲ τὴν τοῦ
» ἑνὸς ἀπορίαν ἄκος ἐφάνη ἡ τοῦ ὄντος διαίρεσις. ἦν δ' αὕτη τοῖς φιλοσοφοῦσιν ἐμπόδιος. καὶ ἐπὶ μι-
» κρὸν ἐχρῶντο αὐτῇ. ἔστι δὲ σοφὸν τὸ καλῶς ἑκάστῳ χρῆσθαι. οἵ τε γὰρ ταῖς ἀρχαῖς χρώμενοι, οὐδὲν
» προσάγουσιν. ἡ γὰρ ἀρχὴ πολύχους. οἵ τε τὰς μὴ ἀρχὰς ποιούμενοι, ἀδυνατοῦσι προϊέναι, διὰ τὸ μὴ
» ἔχειν ἀφ' οὗ. ἐνεργείᾳ δὲ καὶ δυνάμει ἐπιστήμονας μὲν ἔλεγον καὶ ἀνδρείους καὶ ὅσα τοιαῦτα, ἓν δὲ οὐκ
» ἔλεγον οὐδὲ πολλά. φαίνεται δὲ περὶ πάντα ὡς εἰπεῖν ἡ διαίρεσις αὕτη. εἰ γὰρ δέοι ἡμᾶς τοὺς καθεύ-
» δοντας ἀριθμεῖν, εὐθέως μὲν ἀνθρώπους καὶ ἵππους καταριθμήσομεν, καίπερ πολλῶν οὐ καθευδόντων, εἰς τὴν
» δύναμιν αὐτῶν ἀποβλέποντες. περὶ τῶν ἰχθύων δὲ ἀπορήσομεν, καὶ βαδιοῦμεν εἰς τοὺς ἁλιεῖς. ἐν δὲ τῇ
» οἰκίᾳ τοὺς καθεύδοντας ἀριθμοῦντες, πολλοὺς παραλήψομεν ἀνθρώπους καὶ ἵππους, ἄνπερ ὦσι καὶ μὴ
» καθεύδωσι. δῆλον οὖν ὡς πρότερον εἰς τὴν δύναμιν, ὕστερον δὲ εἰς τὴν ἐνέργειαν ἀποβλέπομεν. οὕτω
» δὴ καὶ ἕν τε καὶ πολλὰ καὶ δυνάμει καὶ ἐνεργείᾳ ἐστίν. ἐνεργείᾳ μὲν οὖν ἄμφω οὐδέποτε τῷ αὐτῷ
» ὑπάρχει. φαίνεται δὲ τοῦτο ἄτοπον, τὸ δὲ ἐνεργείᾳ ἓν δυνάμει πολλά ἐστιν, ἅπερ τῶν μεριστῶν ἐστιν.
» οὐδὲν δὲ ἄτοπον. οὐ γὰρ ἐναντία ταῦτά ἐστιν. οὕτω δὲ καὶ ἐν τῷ αὐτῷ λίθῳ πολλὰ ἔσται. οἷον, Ἑρμῆς,
» Ἡρακλῆς, μυρία ἕτερα. δυνάμει γάρ ἐστι πάντα ταῦτα ἐν τούτῳ, ἐνεργείᾳ δὲ ἓν μόνον. τὰ δὲ ἐνερ-
» γείᾳ πολλὰ οὐκ ἔστι δυνάμει ἕν. ἀλλ' ὅσα σύγκειται ἐν ἑνί. οἷον ἑστάναι, καθῆσθαι. δυνάμει γὰρ ἅμα
» περὶ τὸ ἓν εἴη ἄν, ἐνεργείᾳ δὲ οὔ. εἰ δὲ παρῆν ἡμῖν Ζήνων, ἐλέγομεν ἂν πρὸς αὐτὸν περὶ τοῦ ἑνὸς ἐνερ-
» γείᾳ ὅτι οὐκ ἔστι πολλά. τὸ μὲν γὰρ κυρίως αὐτῷ ὑπάρχει, τὰ δὲ κατὰ δύναμιν. οὕτως οὖν ἓν καὶ πολ-
» λὰ τὸ αὐτὸ γίνεται, ἐνεργείᾳ δὲ θάτερον μόνον. ἅμα δὲ ἄμφω οὐδέποτε. εἰ δὲ συνεπειθόμεθα αὐτὸν ταῦ-
τα λέγοντες, ἠξιοῦμεν ἂν τὴν ὑπόσχεσιν ἀποδιδόναι. ἐν ᾗ ὁ μὲν τοῦ Ζήνωνος λόγος ἄλλος τις ἔοικεν οὗ-
τος εἶναι, παρ' ἐκεῖνον τὸν ἐν βιβλίῳ φερόμενον. οὗ καὶ ὁ Πλάτων ἐν τῷ Παρμενίδῃ μέμνηται. ἐκεῖ
μὲν γὰρ ὅτι οὐκ ἔστι πολλὰ δείκνυσι, βοηθῶν ἐκ τοῦ ἀντικειμένου τῷ Παρμενίδῃ ἓν εἶναι λέγοντι. ἐν-
ταῦθα δὲ ὡς ὁ Εὔδημός φησι καὶ ἀναιρεῖ τὸ ἕν. τὴν γὰρ στιγμὴν ὡς τὸ ἓν εἶναι λέγει, τὰ δὲ πολλὰ εἶναι
συγχωρεῖ. ὁ μέντοι Ἀλέξανδρος καὶ ἐνταῦθα τοῦ Ζήνωνος ὡς τὰ πολλὰ ἀναιροῦντος μεμνῆσθαι
τὸν Εὔδημον οἴεται. ὡς γὰρ ἱστορεῖ φησιν Εὔδημος, Ζήνων ὁ Παρμενίδου γνώριμος ἐπειρᾶτο δεικνύναι
ὅτι μὴ οἷόν τε τὰ ὄντα πολλὰ εἶναι, τῷ μηδὲν εἶναι ἐν τοῖς οὖσιν ἕν, τὰ δὲ πολλὰ πλῆθος εἶναι ἑνάδων.
καὶ ὅτι μὲν οὐχ ὡς τὰ πολλὰ ἀναιροῦντος Ζήνωνος Εὔδημος μέμνηται νῦν, δῆλον ἐκ τῆς αὐτοῦ λέξε-
ως. οἶμαι δὲ μήτε ἐν τῷ Ζήνωνος βιβλίῳ τοιοῦτον ἐπιχείρημα φέρεσθαι, οἷον ὁ Ἀλέξανδρός φησι. καὶ
τοῦτο δὲ ἐκ τῶν εἰρημένων οἶμαι δῆλον, ὅτι καὶ ὁ Εὔδημος τὴν ἀπορίαν ἀπὸ τῆς τοῦ δυνάμει καὶ ἐνερ-
γείᾳ διαφορᾶς ἔλυσεν. ἐνδείκνυται δὲ ἴσως καὶ τὴν ἀπὸ τῆς τοῦ ὄντος διαφορᾶς λύσιν ὁ Εὔδημος. ἐν οἷς
» φησι πρὸς δὲ τὴν τοῦ ἑνὸς ἀπορίαν ἄκος ἐφάνη ἡ τοῦ ὄντος διαίρεσις. ἦν δὲ αὕτη τοῖς φιλοσοφοῦσιν
» ἐμπόδιος, καὶ ἐπὶ μικρὸν ἐχρῶντο αὐτῇ. ἐμπόδιος ἴσως, διὰ τὸ μὴ καλῶς διελέσθαι, ἀλλ' ἐπὶ μι-
κρὸν χρῆσθαι. καὶ ταῦτα μὲν εἴτε οὕτως εἴτε ἄλλως ἔχει, ζητεῖν ἄξιον. τοῦ δὲ Εὐδήμου λέγοντος, ὅτι
Πλάτων ἐν τῇ τῶν συμβεβηκότων κατηγορίᾳ τὸ ἔστιν οὐκ ᾤετο σημαίνειν οὐσίας μέθεξιν, ἀλλὰ μό-
νον τὴν κατὰ συμβεβηκὸς διάθεσιν, ὥσπερ τὸ φρόνιμός ἐστιν οὐδὲν ἄλλο σημαίνει ἢ τὸ φρονεῖν, καὶ τὸ
καθήμενός ἐστιν οὐδὲν ἀλλ' ἢ τὸ καθῆσθαι, ταῦτα οὖν τοῦ Εὐδήμου λέγοντος, ὁ Ἀλέξανδρος Πλάτωνα
φησὶν εἶναι, τὸν τὴν λέξιν μεταρρυθμίζοντα τῶν συμβεβηκότων. καὶ ἴσως διότι ὁ Εὔδημος μετὰ τοὺς
ἀφαιροῦντας τὸ ἔστι, τῆς δόξης ταύτης ἐμνήσθη. ὅτι δὲ οὐκ ἦν τῶν ἐπὶ τῇ ἀπορίᾳ θορυβηθέντων ὁ
Πλάτων, οὐδὲ τοῦτον ὁ Ἀριστοτέλης αἰνίττεται, δῆλον ἐξ ὧν ἐν Φιλήβῳ μέν, παίδων ἐρεσχελούν-
των ἀδολεσχίαν εἶναι τὴν τοιαύτην ἀμφισβήτησίν φησιν. ἐν Σοφιστῇ δὲ καὶ τὴν ὅλην ἀπορίαν σαφῶς
» ἐκτίθεται, καὶ διαπαίζει πάνυ τοὺς ἐσπουδακότας περὶ αὐτήν, γράφων οὕτως. ἄνθρωπον μὲν δή που
» πολλὰ ἄττα ἐπονομάζοντες, τά τε χρώματα ἐπιφέροντες αὐτῷ, καὶ τὰ σχήματα, καὶ μεγέθη, καὶ κακί-
» ας, καὶ ἀρετάς, ἐν οἷς πᾶσι καὶ ἑτέροις μυρίοις, οὐ μόνον ἄνθρωπον αὐτὸν εἶναί φαμεν, ἀλλὰ καὶ ἀγαθὸν
» καὶ ἕτερα ἄπειρα, καὶ τἆλλα δὴ κατὰ τὸν αὐτὸν λόγον, οὕτως ἓν ἕκαστον ὑποθέμενοι, πάλιν καὶ αὐ-
» τὸ πολλοῖς ὀνόμασι λέγομεν. ἀληθῆ λέγεις. ὅθεν γε οἶμαι τοῖς τε νέοις, καὶ τῶν γερόντων τοῖς ὀψι-
» μαθέσι θοίνην παρεσκευάκαμεν. εὐθὺς γὰρ ἐπιλαβέσθαι παντὶ πρόχειρον, ὡς ἀδύνατον τά τε
» πολλὰ ἕν, καὶ τὸ ἓν πολλὰ εἶναι. καὶ δή που χαίρουσιν οὐκ ἐῶντες ἀγαθὸν λέγειν ἄνθρωπον, ἀλλὰ
» τὸ μὲν ἀγαθὸν ἀγαθόν, τὸν δὲ ἄνθρωπον ἄνθρωπον. ἐντυγχάνεις ὦ Θεαίτητε ὡς ἐγῷμαι πολλάκις

» τὰ τοιαῦτα ἐσπουδακόσι πρεσβυτέροις ἀνθρώποις, καὶ ὑπὸ πενίας τῆς περὶ φρόνησιν κτήσε-
» ως τὰ τοιαῦτα τεθαυμακόσι, καὶ δή τι καὶ πάνσοφον οἰομένοις τοῦτο ἀνευρηκέναι. Ταύτην δὲ τὴν
ἀπορίαν αὐτὸς λύει, καὶ μετέχειν τὰ εἴδη ἀλλήλων δεικνὺς, καὶ αὐτὰ καθ' αὑτὰ οἰκείους ἔχειν χα-
ρακτῆρας, καὶ περιγραφὰς οἰκείας. καὶ κατὰ μὲν τὴν μέθεξιν καὶ τὴν μίξιν τε καὶ σύγκρασιν τὴν
ἐν ἀλλήλοις, ἐν γίγνεσθαί τι ὅλον ὡς ἀπὸ πολλῶν γραμμάτων μιγνυμένων ἀλλήλοις, ὄνομα ἢ ῥῆμα ἢ
καὶ λόγον ὅλον. κατὰ δὲ τὸ ἐφ' ἑαυτοῦ ἕκαστον διακεκριμένον τῶν ἄλλων καὶ μὴ ὂν ὅπερ τὰ ἄλλα, πλῆ-
θος ποιεῖ. τῷ γὰρ ὄντι ὅπου πλῆθος ἐκεῖ καὶ τὸ μὴ ὄν. διὸ καὶ ὁ παρμενίδης ἓν βουλόμενος δεῖξαι
τὸ ὄντως ὂν, τάχα δὲ καὶ τὸ ὑπὲρ τὸ ὂν, πρῶτον ἀνεῖλε τὸ μὴ ὄν. καὶ ὁ πλάτων δὲ δεῖξαι βουλόμε-
νος τὸ μὴ ὂν ἐν τοῖς οὖσι, καὶ οὐκ ἐν τῷ αἰσθητῷ μόνον ὄντι ἀλλὰ καὶ ἐν τῷ νοερῷ, τὴν διάκρισιν πρῶ-
τον καὶ τὸ πλῆθος τῶν εἰδῶν παραδίδωσι. καὶ ἐν τῷ παρμενίδῃ δὲ μηδὲν σπουδαῖον ἔχειν λέγων
τὴν ἀπορίαν, τὴν ἀποροῦσαν πῶς τὸ αὐτὸ ἐν τοῖς αἰσθητοῖς ἓν καὶ πολλά ἐστι, λύει. λέγων ἓν μὲν εἶναι
διὰ τὴν τοῦ ἑνὸς μέθεξιν, πολλὰ δὲ διὰ τὴν τῶν πολλῶν. οὐ χεῖρον δὲ αὐτῶν ἀκοῦσαι τῶν τοῦ πλάτω-
» νος λόγων. εἰ δὲ ἐμὲ ἕν τις ἀποδείξει ὄντα καὶ πολλὰ, τί θαυμαστὸν, λέγων, ὅταν μὲν βούληται πολ-
» λοὺς ἀποφῆναι, ὡς ἕτερα μὲν τὰ ἐπὶ δεξιά μου ἐστὶν, ἕτερα δὲ τὰ ἐπ' ἀριστερὰ, καὶ ἕτερα μὲν τὰ
» πρόσθεν, ἕτερα δὲ τὰ ὄπισθεν, καὶ ἄνω καὶ κάτω ὡσαύτως. πλήθους γὰρ οἶμαι μετέχω. ὅταν δὲ ἓν,
» ἐρεῖ ὡς ἑπτὰ ἡμῶν ὄντων εἷς εἰμι ἄνθρωπος, μετέχων καὶ τοῦ ἑνός. ὥστε ἀληθῆ ἀποφαίνει ἀμφότερα.
» ἐὰν οὖν τις τοιαῦτα ἐπιχειρῇ, πολλὰ καὶ ἓν ταὐτὸ ἀποφαίνειν, λίθους καὶ ξύλα καὶ τὰ τοιαῦτα,
» τί φήσομεν αὐτὸν πολλὰ καὶ ἓν ἀποδεικνύναι, οὐ τὸ ἓν πολλὰ, οὐδὲ τὰ πολλὰ ἕν. οὐδέ τι θαυμαστὸν λέ-
» γει. ἀλλ' ἅπερ ἂν πάντες ὁμολογοῖμεν. ἐὰν δέ τις ὃ νῦν δὴ ἐγὼ ἔλεγον πρῶτον μὲν διαιρῆται χωρὶς
» αὐτὰ καθ' αὑτὰ τὰ εἴδη, οἷον ὁμοιότητά τε καὶ ἀνομοιότητα, καὶ πλῆθος καὶ ἓν, καὶ στάσιν καὶ κί-
» νησιν, καὶ πάντα τὰ τοιαῦτα, εἶτα ἐν αὑτοῖς ταῦτα δυνάμενα συγκεράννυσθαι καὶ διακρίνεσθαι
» ἀποφαίνῃ, ἀγαίμην ἂν ἔγωγε ἔφη θαυμαστῶς ὦ ζήνων. Ὁρᾷς οὖν τὸ μὲν ἐν τοῖς αἰσθητοῖς τὸ αὐτὸ
ἓν καὶ πολλὰ εἶναι οὐδὲν θαυμαστόν φησιν, ὥσπερ οὐδὲ τὰ ὅμοια καὶ ἀνόμοια. τὸ δὲ ἐν τοῖς νοεροῖς πα-
ραδείγμασι τούτων ἐπιδεῖξαι τὴν τοιαύτην μίξιν καὶ σύγκρασιν, ὅπερ αὐτὸς ἐν σοφιστῇ πεποίηκε,
φιλοσόφου ἴδιον λέγων, τοῦτο ἂν εἴη πολλοῦ λόγου ἄξιον. ἀνάγκη γὰρ τήν τε ἕνωσιν τὴν ἀσύγχυτον,
καὶ τὴν ἀδιάσπαστον διάκρισιν τῶν εἰδῶν θεάσασθαι, τὸν ταῦτα ἀποδεικνύντα. τῆς αὐτῆς οὖν
ἀπορίας ταύτης, ὅτι τὸ αὐτὸ ἓν καὶ πολλά ἐστιν, ἔχομεν καὶ παρὰ πλάτωνι τὰς λύσεις, ἄλλην
μὲν ἐπὶ τῶν νοερῶν εἰδῶν ἐν σοφιστῇ λεγομένην. τὸ μὲν ἓν, κατὰ τὴν αὐτὴν μέθεξιν μᾶλλον ἢ τὴν ταυ-
τότητα καὶ ἕνωσιν. καθ' ἣν ἕκαστον οὐ μόνον μετέχει τῶν ἄλλων, οὐδὲ μόνον ταὐτόν ἐστιν ἐκείνοις. ἀλλ'
ἡνωμένον πρὸς αὐτά ἐστιν ἕκαστον ἓν πάντα. ὅπερ ὁ ἐν παρμενίδῃ σωκράτης ἐπιδειχθῆναι βούλε-
ται. πολλὰ δὲ κατὰ τὴν ἑαυτοῦ ἰδιότητα ἑκάστου θεωρουμένου. ἄλλην δὲ ἔχομεν τῶν αἰσθητῶν ἐν
παρμενίδῃ λύσιν, κατὰ τὴν τῶν παραδειγμάτων τοῦ τε ἑνὸς καὶ τῶν πολλῶν ἐν τῷ αὐτῷ μέθεξιν.
ἡ δὲ τοῦ ἀριστοτέλους λύσις, ἣν ὁ πορφύριος ἐξέφηνεν, ἔστι μὲν ἐπὶ τῶν αἰσθητῶν καὶ αὐτή. γίνεται
δὲ καὶ ἀπὸ τῆς τῶν ὄντων διαφορᾶς, οὐ συνωνύμων ὄντων, ἀλλ' ὡς ἀφ' ἑνός. καὶ διὰ τοῦτο ἡ μὲν οὐσία
καθ' ἑαυτὴν ὑφεστάναι πεφυκυῖα, καὶ διὰ τοῦτο ὑποκειμένη, μένει ὅπερ ἐστί. καὶ διὰ ταύτην ἓν τὸ ὅ-
λον. τὰ δὲ συμβεβηκότα ἢ τὰ μέρη περὶ τὴν οὐσίαν καὶ τὸ ὅλον ὑφεστηκότα, κατὰ τὸ πλῆθος πα-
ρέχεται, οὐ τοῦ ἑνὸς πληθυνομένου. οὐ γὰρ προστίθησί τι ἐκείνῳ, τῷ μὴ δύνασθαι ταῦτα καθ' αὑ-
τὰ ὑποστῆναι. ἀλλ' οἷον ὑφειμένη τις τοῦ ὄντος ὑπόστασίς ἐστιν ἡ πεπληθυσμένη. οὐ γὰρ πεπλήθυνται ἐκ
τοιούτων εἰδῶν ἡ οὐσία. καὶ ἐπιστῆσαι ἄξιον, ὅτι ἡ λύσις αὕτη καὶ τὴν αἰτίαν παρίστησι καλῶς, δι'
ἣν οὐ περὶ τὸ ποιὸν ἡ οὐσία, ἀλλὰ περὶ τὴν οὐσίαν τὸ ποιὸν, καὶ τοδὶ μὲν οὐσία, ταδὶ δὲ συμβεβηκό-
τα. ἀλλ' εἰ καὶ τὰ γένη καὶ τὰ εἴδη καὶ τὰ συμβεβηκότα δεύτερα τῆς ἀτόμου οὐσίας ἐστὶν, ὡς ἐν
ἐκείνῃ ὑφεστῶτα, τί ἂν εἴη καθ' αὑτὴν ἡ ἄτομος οὐσία χωρὶς τούτων θεωρουμένη. σωκράτης γὰρ ἄνευ
ἀνθρώπου καὶ ζώου, καὶ τῶν ὡς σωκράτη συμπληρούντων συμβεβηκότων πῶς ἂν εἴη, εἰ οὕτω δεύ-
τερα ταῦτα, ὡς τὰ μέρη δεύτερα τοῦ ὅλου, καίτοι συμπληρωτικὰ τοῦ ὅλου ὄντα. ἔστι γὰρ καὶ κατὰ
ταῦτα μέρη τῆς ἀτόμου οὐσίας, συμφορητῆς οὔσης καὶ κατὰ τοῦτο οὐσιωμένης. διὸ οὐδὲ παράδει-
γμα πρωτουργὸν τῆς τῶν ἀτόμων ἐστὶν ὁλότητος, ὅτι κατὰ συμφόρησιν ὑφέστηκε ταῦτα. καὶ ἡ ψυχὴ
γινώσκει αὐτὰ κατὰ τὴν ἀπὸ τῆς αἰσθήσεως πληγὴν, τὴν συνδρομὴν αὐτῶν εἰς ἑνὸς νοήματος σύ-
στασιν προβαλλομένη.

Τ ΟΝΤΕ δὴ τρόπον τοῦτον ἐπιοῦσιν, ἀδύνατον φαίνεται τὰ ὄντα ἓν εἶναι. καὶ ἐξ ὧν ἐπιδεικνύουσι,
λύειν οὐ χαλεπόν. ἀμφότεροι γὰρ ἐριστικῶς συλλογίζονται, καὶ μέλισσος καὶ παρμενίδης. καὶ γὰρ
ψευδῆ λαμβάνουσι καὶ ἀσυλλόγιστοί εἰσι. μᾶλλον δὲ ὁ μελίσσου λόγος φορτικὸς, καὶ οὐκ ἔχων ἀπορί-
αν. ἀλλ' ἑνὸς ἀτόπου δοθέντος, τἆλλα συμβαίνει, τοῦτο δ' οὐδὲν χαλεπόν. ὅτι μὲν οὖν παραλογίζεται
μέλισσος, δῆλον. οἴεται γὰρ εἰληφέναι, εἰ τὸ γινόμενον ἔχει ἀρχὴν ἅπαν, ὅτι καὶ τὸ μὴ γινόμενον οὐκ ἔχει.
Τ ἣν καθολικὴν ἀναίρεσιν τῆς ὑποθέσεως προλαβὼν, ἵνα μὴ δοκῇ διὰ σαθρότητα τῶν παρισταμέ-

Plat. Parm. p 129

νων αὐτῇ λόγων ἐλέγχεσθαι, μέτεισι λοιπὸν ἐπὶ τὸ καὶ τοὺς λόγους διελέγχειν αὐτούς. οἷς πιστεύσαν-
τες ἓν ἀπεφήναντο τὸ ὄν, οὐ τὸ δόγμα διὰ τούτου πιστούμενος, ἀλλὰ τοὺς ἐκ τῶν λόγων ἀπορεῖν ἀναγ-
καζομένους παραμυθούμενος. εἰ γὰρ καὶ καθόλου τὸ δόγμα ἀνατραπῇ, καὶ οἱ κατασκευάζοντες αὐτὸ
λόγοι διαλυθεῖεν, ἀναντιρρήτως λοιπὸν ἡ ἀντικειμένη δόξα βεβαιωθήσεται. ἡ γὰρ τῶν ἀντικειμένων
τισὶν ἀνασκευὴ προηγουμένη, αὐτὴ κατασκευὴ κατὰ συμβεβηκὸς τῶν ἀντικειμένων γίνεται. ὥστε
ἀναιρεθέντος τοῦ ἓν εἶναι τὸ ὄν, τὸ πολλὰ εἶναι κατασκευάζεται. οὕτω γὰρ καὶ ὁ Ζήνωνος λόγος διὰ
τοῦ δεικνύναι πολλὰ ἄτοπα ἑπόμενα τοῖς πολλὰ τὰ ὄντα λέγουσι, βοηθῶν τῷ Παρμενίδῃ ἓν λέ-
γοντι τὸ ὄν, οὐ διέλαθε τὸν Σωκράτην. οὐ χαλεπὸν δὲ λύειν τοὺς λόγους αὐτῶν φησι, διότι δείξει τά
τε λήμματα ψευδῆ, καὶ τὰ σχήματα τῶν συμπλοκῶν ἀσυλλόγιστα. μᾶλλον δὲ αἰτιᾶται τὸν Μελίσ-
σου λόγον ὡς εἴρηται καὶ πρότερον, ἢ ὅτι πρὸς τοῖς ἄλλοις καὶ ἄπειρον εἶναι τὸ ὂν οὗτός φησιν. ἢ ὅ-
τι οὗτος μὲν καὶ λήμματα δοκεῖ λαμβάνειν ψευδῆ, καὶ ἀσυλλογίστως συντιθέναι, λέγων εἰ τὸ γινό-
μενον ἀρχὴν ἔχει, τὸ μὴ γινόμενον οὐκ ἔχει ἀρχήν, δέον τὴν ἀναίρεσιν ἀπὸ τοῦ ἑπομένου ποιούμενον λέ-
γειν, τὸ μὴ ἀρχὴν ἔχον οὐ γέγονεν. οὕτω γὰρ ὁ δεύτερος τρόπος τῶν ὑποθετικῶν συμπεραίνεται. ὁ δὲ
Παρμενίδης τίθησι μὲν τὰς προτάσεις ἐν τάξει. ἐπιφέρει δὲ οὐ τὸ ἑπόμενον ταῖς προτάσεσι τὸ συμ-
πέρασμα, ἀλλά τι ἄλλο, λέγων, τὸ παρὰ τὸ ὂν οὐκ ὄν, τὸ οὐκ ὂν οὐδέν, καὶ μὴ ἐπάγων, τὸ παρὰ τὸ ὂν
οὐδέν, ὅπερ ἕπεται, ἀλλ' ἓν ἄρα τὸ ὄν. ἀλλὰ ταῦτα μὲν ὕστερον βασάνου τεύξεται. νῦν δὲ τὸν Μελίσ-
σου λόγον ἴδωμεν, πρὸς ὃν πρότερον ὑπαντᾷ. τοῖς γὰρ τῶν φυσικῶν ἀξιώμασι χρησάμενος ὁ Μέ-
» λισσος περὶ γενέσεως καὶ φθορᾶς, ἄρχεται τοῦ συγγράμματος οὕτως. Εἰ μὲν μηδὲν ἐστί, περὶ τού-
» του τί ἂν λέγοιτο ὡς ὄντος τινός. εἰ δέ τι ἐστίν, ἤτοι γινόμενόν ἐστιν, ἢ ἀεὶ ὄν. ἀλλ' εἰ γινόμενον, ἤτοι ἐξ ὄν-
» τος ἢ ἐκ μὴ ὄντος. ἀλλ' οὔτε ἐκ μὴ ὄντος οἷόν τε γίνεσθαι τι, οὔτε ἄλλο μὲν οὐδὲν ὄν, πολλῷ δὲ μᾶλλον
» τὸ ἁπλῶς ὄν, οὔτε ἐκ τοῦ ὄντος. εἴη γὰρ ἂν οὕτω καὶ οὐ γίγνοιτο. οὐκ ἄρα γινόμενόν ἐστι τὸ ὄν. ἀεὶ ὂν ἄρα
» ἐστίν. οὔτε φθαρήσεται τὸ ὄν. οὔτε γὰρ εἰς τὸ μὴ ὂν οἷόν τε τὸ ὂν μεταβάλλειν, συγχωρεῖται γὰρ καὶ
» τοῦτο ὑπὸ τῶν φυσικῶν, οὔτε εἰς ὄν. μένοι γὰρ ἂν πάλιν οὕτω γε καὶ οὐ φθείροιτο. οὔτε ἄρα γέγονε τὸ ὄν,
» οὔτε φθαρήσεται. ἀεὶ ἄρα ἦν τε καὶ ἔσται. ἀλλ' ἐπειδὴ τὸ γινόμενον ἀρχὴν ἔχει, τὸ μὴ γινόμενον ἀρ-
» χὴν οὐκ ἔχει, τὸ δὲ ὂν οὐ γέγονεν, οὐκ ἂν ἔχοι ἀρχήν. ἔτι δὲ τὸ φθειρόμενον τελευτὴν ἔχει. εἰ δέ τι ἐστὶν ἄ-
» φθαρτον, τελευτὴν οὐκ ἔχει. τὸ ὂν ἄρα ἄφθαρτον ὄν, τελευτὴν οὐκ ἔχει. τὸ δὲ μήτε ἀρχὴν ἔχον μήτε
» τελευτήν, ἄπειρον τυγχάνει ὄν. ἄπειρον ἄρα τὸ ὄν. εἰ δὲ ἄπειρον, ἕν. εἰ γὰρ δύο εἴη, οὐκ ἂν δύναιτο ἄ-
» πειρα εἶναι. ἀλλ' ἔχοι ἂν πέρατα πρὸς ἄλληλα. ἄπειρον δὲ τὸ ὄν. οὐκ ἄρα πλείω τὰ ὄντα. ἓν ἄρα τὸ
» ὄν. ἀλλὰ μὴν εἰ ἕν, καὶ ἀκίνητον. τὸ γὰρ ἓν ὄν, ὅμοιον ἀεὶ ἑαυτῷ. τὸ δὲ ὅμοιον, οὔτ' ἂν ἀπόλοιτο, οὔτ' ἂν
» μεῖζον γίγνοιτο, οὔτε μετακοσμέοιτο, οὔτε ἀλγεῖ, οὔτε ἀνιᾶται. εἰ γάρ τι τούτων πάσχοι, οὐκ ἂν ἓν
» εἴη. τὸ γὰρ ἥντινα οὖν κίνησιν κινούμενον, ἔκ τινος καὶ εἰς ἕτερόν τι μεταβάλλει. οὐθὲν δὲ ἦν ἕτερον
» παρὰ τὸ ὄν, οὐκ ἄρα τοῦτο κινήσεται. καὶ κατ' ἄλλον δὲ τρόπον οὐδὲν κενόν ἐστι τοῦ ὄντος. τὸ γὰρ κενὸν
» οὐδέν ἐστιν. οὐκ ἂν οὖν εἴη τό γε μηδέν. οὐ κινεῖται οὖν τὸ ἕν. ὑποχωρῆσαι γὰρ οὐκ ἔχει οὐδαμῇ κενοῦ
» μὴ ὄντος. ἀλλ' οὐδὲ εἰς ἑαυτὸ συσταλῆναι δυνατόν. εἴη γὰρ ἂν οὕτως ἀραιότερον αὐτοῦ καὶ πυκνότερον.
» τοῦτο δὲ ἀδύνατον. τὸ γὰρ ἀραιὸν ἀδύνατον ὁμοίως εἶναι πλῆρες τῷ πυκνῷ. ἀλλ' ἤδη τὸ ἀραιόν γε
» κενότερον γίνεται τοῦ πυκνοῦ. τὸ δὲ κενὸν οὐκ ἔστιν. εἰ δὲ πλῆρές ἐστι τὸ ὂν ἢ μή, κρίνειν χρή, τῷ εἰσδέ-
» χεσθαί τι αὐτὸ ἄλλο ἢ μή. εἰ γὰρ μὴ εἰσδέχεται, πλῆρες. εἰ δὲ εἰσδέχοιτό τι, οὐ πλῆρες. εἰ οὖν ἐστι μὴ
» κενόν, ἀνάγκη πλῆρες εἶναι. εἰ δὲ τοῦτο, μὴ κινεῖσθαι. οὐχ ὅτι μὴ δυνατὸν διὰ πλήρους κινεῖσθαι, ὡς
» ἐπὶ τῶν σωμάτων λέγομεν. ἀλλ' ὅτι πᾶν τὸ ὂν οὔτε εἰς ὂν δύναται κινεῖσθαι, οὐ γάρ ἐστί τι παρ' αὐτό,
» οὔτε εἰς τὸ μὴ ὄν. οὐ γάρ ἐστι τὸ μὴ ὄν. Ταῦτα μὲν οὖν ἀρκεῖ τὴν Μελίσσου ὡς πρὸς τὴν Ἀριστοτέλους
ἀντίρρησιν. τὰ δὲ λήμματα αὐτοῦ ὡς συνελόντι φάναι, ταῦτα. τὸ ὂν οὐ γέγονε. τὸ μὴ γινόμενον ἀρ-
χὴν οὐκ ἔχει, ἐπειδὴ τὸ γινόμενον ἀρχὴν ἔχει. τὸ μὴ ἔχον ἀρχὴν ἄπειρον. τὸ ἄπειρον μεθ' ἑτέρου δεύ-
τερον οὐκ ἂν εἴη, ἀλλ' ἕν. τὸ δὲ ἓν καὶ ἄπειρον ἀκίνητόν ἐστιν. ἐν δὴ τούτοις πρῶτον εὐθύνει τὸν πρῶτον
λόγον τὸν λέγοντα, εἰ τὸ γινόμενον ἀρχὴν ἔχει, τὸ μὴ γινόμενον ἀρχὴν οὐκ ἔχει. κἂν τούτῳ πρῶτον
μὲν ἐλέγχει τὸ ἀσυλλόγιστον. εἶτ' αὐτὸ τὸ ψεῦδος αἰτιᾶται τῶν λημμάτων. μεῖζον γὰρ ἐν συλλογισμῷ
πταῖσμα τὸ κατὰ σχῆμα, τοῦ κατὰ τὰς προτάσεις. σημεῖον δέ, τὸ μὲν ἐκ σχήματος ἡμαρτημένου μηδέπο-
τε γίνεσθαι συλλογισμόν, ἐκ δὲ προτάσεων ψευδῶν γίνεσθαι, ἐὰν τεθῆναι μόνον συγχωρηθῶσιν. ὁ ἄν-
θρωπος λίθος. ὁ λίθος γελαστικόν. ὁ ἄνθρωπος γελαστικόν. τὸ μὲν οὖν ἀσυλλόγιστον ἐκ τοῦ τὴν ἀκολουθίαν
ἀνάπαλιν ἢ ἐχρῆν λαβεῖν ᾐτιάσατο. οὐ γὰρ ἐπειδὴ τὸ γινόμενον ἀρχὴν ἔχει, τοῦτο τὸ μὴ γινόμενον ἀρ-
χὴν μὴ ἔχειν. ἀλλὰ τὸ τὸ μὴ ἔχον ἀρχὴν οὐ γέγονεν. ἐν γὰρ τοῖς συνημμένοις τότε ὑγιὴς ἡ κατὰ ἀντιστρο-
φὴν ἀκολουθία, ὅταν τὸ ἀντικείμενον τοῦ ἑπομένου λαβόντες, ἐπενέγκωμεν τὸ τοῦ ἡγουμένου ἀντικεί-
μενον. τῆς γὰρ προτάσεως τῆς λεγούσης εἰ ἄνθρωπος ἐστὶ καὶ ζῷόν ἐστιν, ἀντιστροφή, εἰ μὴ ζῷον, οὐδὲ ἄνθρωπος. τὸ δὴ
πρῶτον, τὸ ἄρα δεύτερον. ἀλλ' οὐχὶ εἰ μὴ ἄνθρωπος, οὐδὲ ζῷον. ὥστε καὶ ἐπὶ τοῦ Μελίσσου λόγου, ὑγιὴς ἦν ἡ
ἀκολουθία ἄν, εἰ τὸ ἀντικείμενον τῷ ἑπομένῳ λαβόντες, τὸ ἀρχὴν μὴ ἔχον, συνηγάγομεν τὸ ἀντι-

κείμενον τῷ ἡγουμένῳ, τὸ οὐ γέγονε. καὶ ἦν ἂν τὸ ὅλον οὕτως. εἰ τὸ γινόμενον ἀρχὴν ἔχει, τὸ μὴ ἔχον ἀρχὴν οὐ γέγονεν. τὸ δὴ πρῶτον, τὸ ἀρχὴν δεύτερον. ἀλλ' οὐδὲν ἦν τῷ μελίσσῳ λυσιτελές. εἰ γὰρ προσληφθείη πρότασις ἡ λέγουσα, τὸ δὲ ὂν οὐ γέγονεν, ἔσται ὅλος συλλογισμός. τὸ ὂν οὐ γέγονε. τὸ μὴ ἔχον ἀρχὴν οὐ γέγονεν. καὶ ἔστι τὸ μὲν σχῆμα δεύτερον. ἀσυλλόγιστος δὲ ἡ συζυγία. διότι κἂν μὴ ὦσιν ἀποφάσεις ἀλλ' ἐκ μεταθέσεως καταφάσεις, ἐν δευτέρῳ σχήματι ἐκ δύο ὁμοιοσχημόνων οὐ συνάγεταί τι ἀναγκαῖον. λαβὼν δὲ ὁ μέλισσος, ὅτι τὸ μὴ γινόμενον ἀρχὴν οὐκ ἔχει, καὶ προσδείξας ὅτι τὸ ὂν οὐ γέγονεν, οὔτε γὰρ ἐξ ὄντος οὔτε ἐκ μὴ ὄντος αὐτὸ γίνεσθαι δυνατόν, συνήγαγεν ὅτι τὸ ὂν ἀρχὴν οὐκ ἔχει. ἀλλ' ἴσως εὕροι τις ὅτι καὶ ἡ ἀπὸ τοῦ ἡγουμένου ἀντιστροφὴ ἀληθής ἐστι πολλάκις, ἐφ' ὧν ἐξισάζει τὸ ἑπόμενον τῷ ἡγουμένῳ. εἰ γὰρ ἄνθρωπος, ζῶον λογικὸν θνητόν. καὶ εἰ μὴ ἄνθρωπος, οὐ ζῶον λογικὸν θνητόν. ἀλλ' ἐπὶ τούτων ὧν ἔλαβεν ὁ μέλισσος οὐ δοκεῖ ἐξισάζειν. κἂν γὰρ τὸ γινόμενον πᾶν ἀρχὴν ἔχῃ τὴν κατὰ τὸ πρᾶγμα, πεπερασμένον ὄν, ἀλλὰ τὸ πεπερασμένον οὐ πᾶν γέγονεν. ὡς ἥλιος, καὶ σελήνη, καὶ οὐρανός. ὁ μέντοι εὔδημος καὶ διὰ τούτων τῶν λημμάτων οὐδὲν ἄλλο δείκνυσθαι φησὶν, ἢ ὅπερ ἐξ ἀρχῆς, ὅτι τὸ ὂν ἀγένητόν ἐστιν. ἡ γὰρ ὑγιὴς ἀντιστροφή ἐστι, τὸ μὴ ἔχον ἀρχὴν ἀγένητόν ἐστι. τὸ δὲ ὂν οὐκ ἔχει ἀρχήν. λέγει δὲ οὕτως. οὐ γὰρ εἰ τὸ γινόμενον ἀρχὴν ἔχει, τὸ μὴ γινόμενον ἀρχὴν οὐκ ἔχει. μᾶλλον δὲ τὸ μὴ ἔχον ἀρχὴν οὐκ ἐγένετο. οὕτω γὰρ ἐπὶ τῶν ἀποφάσεων ἡ ἀκολούθησις γίνεται. ἀγένητον οὖν αὐτῷ γίνεται τὸ ὄν. οὐ γὰρ ἔχει ἀρχήν.

ΕΙΤΑ καὶ τοῦτο ἄτοπον, τὸ, παντὸς οἴεσθαι εἶναι ἀρχὴν τοῦ πράγματος, καὶ μὴ τοῦ χρόνου. καὶ γενέσεως, μὴ τῆς ἁπλῆς, ἀλλὰ καὶ ἀλλοιώσεως. ὥσπερ οὐκ ἀθρόας γινομένης μεταβολῆς.

Δείξας τὸ τῆς συμπλοκῆς ἀσυλλόγιστον, ἐφεξῆς τὸ ψεῦδος διαβάλλει τῶν λημμάτων, τὸ συνημμένον αἰτιώμενος, τὸ, τὸ γινόμενον ἀρχὴν ἔχειν ὡς ἀληθὲς ὑποτιθέμενον μὲν ἐπὶ τῆς χρονικῆς, μεταλαμβανόμενον δὲ ἐπὶ τῆς κατὰ τὸ πρᾶγμα ἀρχῆς, καὶ παρὰ τὴν ἐπωνυμίαν σεσοφισμένον. δέον γὰρ τὴν κατὰ τὸν χρόνον ἀρχὴν λαβόντα, ὡς τῷ γινομένῳ παντὶ ὑπάρχουσαν, ἐφ' ἧς καὶ τὸν λόγον ἐποιήσατο ὁ μέλισσος, φυλάξαι ταύτην ἐν τῇ ἀποδείξει, ὁ δὲ, τὴν κατὰ τὸ πρᾶγμα ἀντ' ἐκείνης ἔλαβεν, ὡς δῆλον ἐκ τοῦ προσλαβεῖν τῷ τὸ μὴ ἔχον ἀρχὴν τὸ εἶναι ἄπειρον. ἀρχὴ γὰρ ἡ μέν τις ἰσαχῶς τῇ αἰτίᾳ λέγεται. ὡς τὸ ποιοῦν καὶ ὅθεν ἡ κίνησις, καὶ τὸ ἐξ οὗ καὶ ἡ ὕλη. καὶ ὡς τὸ εἶδος καὶ ὁ λόγος τῆς οὐσίας. πρὸς δὲ τούτοις τὸ οὗ ἕνεκα καὶ τὸ τέλος. καὶ ἄλλον δὲ τρόπον ἀρχὴ λέγεται τοῦ μεγέθους, ἣν καὶ πέρας προσαγορεύομεν. καὶ εἴ τι μὲν ἔχει τοῦτο, πεπεράνθαι λέγομεν αὐτό. εἰ δέ τι ὑποτεθείη μὴ ἔχειν, ἄπειρον εἶναί φαμεν. καὶ ἔστιν οὕτως ἀρχὴ στιγμὴ μὲν γραμμῆς, γραμμὴ δὲ ἐπιπέδου. καὶ τοῦτο τοῦ στερεοῦ. καὶ μέρη τὰ πρῶτα τῇ τάξει. οἷον καρδία ἢ κεφαλὴ ἢ ῥίζα. καὶ γὰρ ταῦτα περαίνεται. ἄλλον δὲ τρόπον ἀρχὴ λέγεται τῆς κατὰ χρόνον ἑκάστου γενέσεως αὐτὸς ὁ χρόνος, ἐν ᾧ πρώτῳ ἤρξατο γίνεσθαι. ὃν οὐδὲ ὁρίσαι ῥᾴδιον, διὰ τὸ ἐπ' ἄπειρον διαιρετὸν εἶναι τὸν χρόνον. λέγεται δὲ καὶ κατ' ἄλλους τρόπους ἀρχή. νῦν δὲ ἀρκοῦσιν οὗτοι. τὸ τοίνυν γινόμενον λεγόμενον κατὰ τὴν συνήθειαν, ἅπαν μὲν τὴν κατὰ τὸν χρόνον ἀρχὴν ἔχει, ἀφ' ἧς ἤρξατο γίνεσθαι. ἥτις ἐστὶ καὶ γενέσεως ἀρχή. οὐχ ἅπαν δὲ τὴν κατὰ τὸ πρᾶγμα. ἀλλὰ τὰ μὲν κατ' οὐσίαν γινόμενα, καὶ ἡ τούτων γένεσις. ἥτις ἁπλῆ λέγεται, διὰ τὸ καθ' αὑτὰ γίνεσθαι, τῶν κατὰ τὰς ἄλλας κατηγορίας οὐχ ἁπλῶς λεγομένων γίνεσθαι. σωκράτης μὲν γὰρ αὐτὸς καθ' αὑτὸν γίνεται. θερμὸν δὲ οὐ καθ' αὑτό. ἀλλὰ θερμὸν σῶμα, καὶ φωτεινὸς ἀήρ. τὰ μὲν οὖν κατ' οὐσίαν γινόμενα καὶ ἡ γένεσις αὐτῶν, ἔχει οὐ μόνον τὴν κατὰ χρόνον ἀρχὴν, ἀλλὰ καὶ ἀπὸ μορίου τινὸς τοῦ πράγματος ἄρχεται. ὡς ἡ μὲν τῶν ζώων ἀπὸ ὀμφαλοῦ ἢ καρδίας. τῶν δὲ φυτῶν ἀπὸ ῥιζῶν. τοῦ δὲ οἴκου ἀπὸ θεμελίου. ἐπειδὴ δὲ καὶ τὰ ἀλλοιούμενα γίνεσθαι λέγεται, καὶ γένεσίς τίς ἐστι καὶ ἡ ἀλλοίωσις, γίνεται γὰρ θερμὸν ἐκ ψυχροῦ, καὶ λευκὸν ἐκ μέλανος, ἐπὶ τούτων οὐκ ἀληθὲς ὅτι πᾶν τὸ γινόμενον ἀρχὴν ἔχει τὴν κατὰ τὸ πρᾶγμα. ἀλλ' ἔνια καὶ ἀθρόως καθόλου τὰ μέρη αὐτῶν ἄρχεται ἀλλοιοῦσθαι. ὡς ἔχει τὰ πηγνύμενα. ὧν οὐκ ἀπό τινος μέρους ἡ κατὰ πῆξιν ἄρχεται μεταβολή. ἀλλ' ἀθρόως ἄρχεται, καὶ προκόπτει κατ' αὐτὴν ἀθρόως πάντα, τοῦ ἀθρόου ὡς οἶμαι οὐ τὸ ἄχρονον δηλοῦντος, ὡς ὁ πορφύριος ἤκουσε, καὶ πειρᾶται ἄχρονον κατασκευάζειν τὴν ἀλλοίωσιν, ἀλλὰ τὸ ὁμοῦ πάντων τῶν μερῶν. ἡ γὰρ πῆξις καὶ ὁ φωτισμὸς τοῦ ἀέρος οὐκ ἄχρονος γίνεται, ἀλλ' ἔχει τὴν κατὰ χρόνον ἀρχὴν τόδε τοῦ χρόνου τὸ μέρος. ἀθρόα δὲ πάντα πάσχει τὰ μόρια τὸ πάθος. ἢ ὁποσοῦν μέρος ἀθρόως ἀλλοιοῦται, καὶ αὐτὸ ἐπ' ἄπειρον ὂν διαιρετὸν, καὶ οὐ κατὰ μόριόν τι πρῶτον πάσχον. ὡς καὶ αὐτὸς ἀριστοτέλης ἐν τῷ ζ ταύτης
» τῆς πραγματείας δείξει λέγων, οὐδὲ δὴ τοῦ μεταβεβληκότος ἔστι τὸ πρότερον ὃ μεταβέβληκεν.
» ἔτι δὲ σαφέστερον ἐν τῷ τελευταίῳ βιβλίῳ ταῦτα γέγραφεν. ὁμοίως δὲ καὶ ἐπὶ ἀλλοιώσεως ὁποια-
» σοῦν. οὐ γὰρ εἰ μεριστὸν εἰς ἄπειρον τὸ ἀλλοιούμενον, διατοῦτο καὶ ἡ ἀλλοίωσις. ἀλλ' ἀθρόα γίνεται
» πολλάκις ὥσπερ ἡ πῆξις. καὶ ὁ θεόφραστος δὲ ἐν τῷ δεκάτῳ περὶ κινήσεως τὰ αὐτὰ ταῦ-
» τα περὶ τούτου δοξάζων φαίνεται. λέγει δὲ οὕτως. ὥσπερ δὲ τοῦ κινεῖσθαι τὸ κινούμενον, καὶ
» κεκινῆσθαι τὸ κεκινημένον, δεῖν ἄρα γε ἐνδέχεται λέγειν, ὃ καὶ ἐπὶ τῶν σωμάτων κατὰ τὴν

» ἀλλοίωσιν, ὡς οὐκ ἀεὶ τὸ ἥμισυ πρῶτον ἀλλ' ἐνίοτε ἀθρόον γε. διὰ δὴ πάντα ταῦτα δοκεῖ μὴ κα-
λῶς εἰληφέναι τὸ γινόμενον πᾶν ἀρχὴν ἔχειν τὴν κατὰ τὸ πρᾶγμα. ὥστε οὐκ ἀληθὴς ἡ πρόσλη-
ψις ἡ λέγουσα, ἀλλὰ μὴν τὸ γινόμενον ἀρχὴν ἔχει. καὶ ἡ κατὰ τὴν ἀντιστροφὴν δὲ γινομένη πρότα-
σις, ἡ λέγουσα τὸ μὴ γινόμενον ἀρχὴν οὐκ ἔχει, οὐ μόνον κατὰ τὸ εἶδος τῆς ἀντιστροφῆς ἡμαρτῆ-
σθαι δοκεῖ, ἀπὸ τοῦ ἡγουμένου γινόμενον, ἀλλὰ καὶ αὐτὴ ψευδὴς εἶναι, εἴ τις πάλιν τὴν ἀρχὴν κατὰ
τὸ πρᾶγμα λάβοι ἀλλὰ μὴ κατὰ τὸν χρόνον. ἥλιος γὰρ, καὶ σελήνη, καὶ οὐρανὸς, καὶ τὰ ἐν οὐρανῷ,
καὶ αὐτὸς ὅλος ὁ κόσμος, ἀγένητα ὄντα κατὰ τὸν χρόνον, ἔχει ὅμως ἀρχὴν τὴν κατὰ τὸ πρᾶγμα
πεπερασμένα ὄντα. καὶ παρμενίδης δὲ ἀγένητον ἀποφαίνων τὸ ἓν, μέσσοθεν ἰσοπαλὲς πάντη ποιεῖ.
τὸ δὲ τοιοῦτο πεπερασμένον ὂν, ἀρχὴν ἔχει τὴν κατὰ τὸ πρᾶγμα. ὥστε ἄμφω ψευδεῖς αἱ προτά-
σεις. δέδεικται δὲ καὶ τὸ σχῆμα ἀσυλλόγιστον. καὶ ταῦτα μὲν καλῶς ὁ ἀριστοτέλης ἀντείρηκε, πρὸς
τὸ φαινόμενον ὑπαντῶν. ἐπεὶ δὲ σοφὸς ἀνὴρ μέλισσος, ὡς τοιούτου χρὴ καὶ τῆς ἐννοίας στοχαζόμε-
νον, τὰ ἐπαχθέντα αὐτῷ ἐγκλήματα ἀπολύσασθαι. καὶ ὅτι μὲν οὐ σωματικὸν ἐλάμβανε τὸ ὂν,
δῆλον ἐκ τοῦ ἀκίνητον καὶ ἀδιαίρετον αὐτὸ δεικνύναι, τῶν σωμάτων ἐναργῆ τὴν κίνησιν καὶ τὴν διαί-
ρεσιν ἐμφαινόντων. ἀλλ' ἀντὶ μὲν τοῦ αἰσθητοῦ καὶ διαστατοῦ τὸ γενητὸν παραλαμβάνει, ὥσπερ καὶ
ὁ παρὰ πλάτωνι τίμαιος λέγων, γέγονεν. ὁρατὸς γὰρ ἁπτός τε ἐστὶ καὶ σῶμα ἔχων. ἀντὶ δὲ τοῦ νοητοῦ
καὶ ἀμεροῦς τὸ ἀγένητον. ὡς καὶ τοῦτο πάλιν ὁ πλάτων, τί τὸ ὂν ἀεὶ, γένεσιν δὲ οὐκ ἔχον. ὅταν οὖν
λέγῃ τὸ γενητὸν ἀρχὴν ἔχειν, τὸ αἰσθητόν φησι καὶ διαστατὸν, ἅτε περανθὲν, ἀρχὴν ἔχειν καὶ πέρας.
οὐ γάρ ἐστι σῶμα ἄπειρον. καὶ συντίθεται καὶ ὁ εὔδημος, ὅτι κἂν ἐπὶ τῶν ἄλλων τινῶν ὀλίγων γενητῶν
οὐκ εἰσὶν ἀρχαὶ αἱ κατὰ τὸ πρᾶγμα, ἀλλ' ἐφ' οὗ σημαινομένου λαμβάνει μέλισσος, εἰσί. γράφει δὲ
» οὕτως. ἀλλ' ἴσως ὀλίγων μὲν οὐκ εἰσὶν ἀρχαὶ, ἐφ' ὧν δὲ λαμβάνει εὔλογον εἶναι. διὸ τοῦτο μὲν παρα-
» χωρητέον, τὴν δὲ ἀκολούθησιν ἐπισκεπτέον. ὅταν δὲ ὁ μέλισσος ἐπιφέρῃ, τὸ μὴ γινόμενον ἀρχὴν οὐκ
ἔχει, τότε λέγει ὅτι τὸ ὄντως ὂν ἀμερές ἐστι, καὶ οὔτε ἀρχὴν ἔχει οὔτε τελευτήν. διὸ καὶ ἄπειρον. καὶ
οὕτως οὐδέτερον τῶν ἀξιωμάτων ψευδῶς εἴληπται. κἂν γὰρ ἔστιν ἀθρόως γινομένη ἀλλοίωσις, μάλιστα
μὲν εἰ καὶ πάντα τὰ μόρια ἀλλοιοῦται, ἀλλ' οὐχ ἅμα πᾶσα ἡ ἀλλοίωσις γίνεται. ἀλλ' ἔχει καὶ αὐτὴ
ἀρχὴν καὶ τελευτήν. ἔπειτα καὶ ἐν τῇ ἀλλοιώσει τὸ ἀλλοιούμενον οὐχὶ ἡ λευκότης ἐστὶν, ἀλλὰ τὸ
σῶμα κατὰ τὴν λευκότητα. τὸ δὲ σῶμα ἀρχὴν ἔχει καὶ πέρας τὸ ἀλλοιούμενον, καὶ γινόμενον οὕτως
ὡς ἀλλοιούμενον. καὶ τὸ ἀγένητον δὲ κατὰ τοῦτο τὸ σημαινόμενον ἀληθῶς εἴρηται ἀρχὴν μὴ ἔχειν, ἀ-
διάστατον καὶ ἀμερὲς ὑπάρχον. ὁ γὰρ οὐρανὸς καὶ ὅδε ὁ κόσμος πολλῶν καὶ μακαρίων τετύχηκε
παρὰ τοῦ γεννήσαντος. ἀτὰρ κεκοινώνηκέ γε καὶ σώματος. διὸ μέρη ἔχει καὶ ἀρχὴν καὶ τέλος. ὅτι
δὲ ἀγένητον τὸ ὄν ἐστι, καὶ ἀριστοτέλης συγχωρεῖ, καὶ αὐτὸ τὸ δόγμα ἐπασμενίζων, καὶ τὴν μελίσσου
περὶ τοῦ δόγματος ἀπόδειξιν. καὶ ὁ εὔδημος δὲ τὸ ἁπλῶς ὂν ἀγένητον εἶναι συγχωρεῖ, λέγων, τὸ
» μὲν γὰρ ἅπαν τὸ ὂν ἀθρόως μὴ γίνεσθαι καλῶς ἔχειν συγχωρεῖν, ἐπειδὴ οὐχ οἷόν τε ἐκ μὴ ὄντος αὐτὸ
» γενέσθαι. ἀλλὰ κατὰ μέρος γίνεσθαι πολλὰ καὶ φθείρεσθαι, εὔλογον δή που ἐστὶ, καὶ ὁρῶμεν τοῦτο.
καὶ οὕτω μὲν αἱ προτάσεις ἐλήφθησαν ἀληθῶς. καὶ ἡ ἀντιστροφὴ δὲ ἐπὶ τῶν ἐξισαζόντων οὐ κωλύε-
ται ἀπὸ τοῦ ἡγουμένου γίνεσθαι. ὡς ὅταν εἴπωμεν εἰ ἄνθρωπός ἐστι, καὶ ζῶον λογικὸν θνητόν ἐστι. καὶ
εἰ μὴ ἔστιν ἄνθρωπος, οὐδὲ ζῶον λογικὸν θνητόν. εἰ τοίνυν τὸ γενητὸν ἐξισάζει πρὸς τὸ ἀρχὴν ἔχον καὶ
τέλος, οὐδὲν διαφέρει καὶ ἀπὸ τοῦ ἡγουμένου ἀντιστρέφεσθαι. ἐξισάζει γὰρ τὸ ἀγένητον, τῷ ἀρχὴν μὴ
ἔχοντι, οὐκέτι τοῦ κατὰ τὸν οὐρανὸν καὶ ὅλως τὰ ἀΐδια σώματα παραδείγματος ἐνοχλοῦντος ἡ-
μᾶς. ἀγένητα γὰρ ταῦτα, οὐχ ὡς ἀμερῆ, ἀλλ' ὡς μὴ ἀπὸ ἀρχῆς χρόνου γεγενημένα. ἐγκαλεῖται δὲ
ὁ μέλισσος, καὶ ὡς τῆς ἀρχῆς πολλαχῶς λεγομένης, ἀντὶ τῆς κατὰ χρόνον ἀρχῆς ἥτις ὑπάρχει τῷ
γενητῷ, τὴν κατὰ τὸ πρᾶγμα λαβών. ἥτις καὶ τοῖς ἀθρόως μεταβάλλουσιν οὐχ ὑπάρχει. ἔοικε δὲ
αὐτὸς καὶ πρὸ τοῦ ἀριστοτέλους τεθεᾶσθαι καλῶς, ὅτι πᾶν σῶμα καὶ τὸ ἀΐδιον πεπερασμένον ὑ-
πάρχον, πεπερασμένην ἔχει δύναμιν. καὶ ὅσον ἐφ' ἑαυτῷ ἀεὶ ἐν τέλει χρόνου ἐστί. δεῖται δὲ τὴν ἀεικίνη-
τον τοῦ παράγοντος ἐπιστασίαν, καὶ ἐν ἀρχῇ ἀεί ἐστι καὶ ἀΐδιον ὑπάρχει. ὥστε τὸ κατὰ μέγεθος ἀρ-
χὴν καὶ τέλος ἔχον, καὶ κατὰ χρόνον ἔχει ταῦτα. καὶ ἀνάπαλιν. τὸ γὰρ ἀρχὴν ἔχον χρόνου καὶ τέ-
λος, οὐχ ἅμα πᾶν ἐστι. διὸ ποιεῖται τὴν μὲν ἀπόδειξιν ἀπὸ τῆς κατὰ χρόνον ἀρχῆς καὶ τελευτῆς. ἄ-
ναρχον δὲ οὕτω καὶ ἀτελεύτητον οὔ φησιν εἶναι, ὃ μὴ πᾶν ἐστι, τουτέστιν ὃ μὴ ἅμα ὅλον ἐστίν. ὅπερ τοῖς
ἀμερέσιν ὑπάρχει καὶ τῷ ὄντι ἀπείροις. τῷ δέ γε ἁπλῶς ὄντι, καὶ κυριώτατα. τῷ γὰρ ὄντι πᾶν
» ἐκεῖνό ἐστι. λέγει δὲ ταῦτα οὕτως ὁ μέλισσος. ὅτε τοίνυν οὐκ ἐγένετο, ἔστι δὲ, ἀεὶ ἦν, καὶ ἀεὶ ἔσται. καὶ
» ἀρχὴν οὐκ ἔχει οὐδὲ τελευτὴν, ἀλλ' ἄπειρόν ἐστιν. εἰ μὲν γὰρ ἐγένετο, ἀρχὴν ἂν εἶχεν. ἤρξατο γὰρ ἄν ποτε
» γινόμενον. καὶ τελευτὴν, ἐτελεύτησε γὰρ ἄν ποτε γινόμενον. εἰ δὲ μήτε ἤρξατο μήτε ἐτελεύτησεν,
» ἀεί τε ἦν, καὶ ἀεὶ ἔσται, οὐκ ἔχον ἀρχὴν οὐδὲ τελευτήν. οὐ γὰρ ἀεὶ εἶναι ἀνυστὸν, ὅ τι μὴ πᾶν ἐστι. καὶ ὅτι μὲν
τὸ ποτὲ χρονικόν ἐστι, δῆλον. ὅτι δὲ γινόμενον τὸ κατ' οὐσίαν γενητὸν εἶπεν, ὃ ἕως ἂν ᾖ γινόμενόν ἐστι καὶ
οὐκ ὂν, δῆλον ἐκ τοῦ, ἐτελεύτησεν ἄν ποτε γινόμενον, καὶ ἐκ τοῦ. οὐ γὰρ ἀεὶ εἶναι ἀνυστὸν ὅ τι μὴ πᾶν ἐστι, ὡς τοῦ

ἀεὶ ὄντος, ὃ καὶ πᾶν ἐστιν, ἀντικειμένου τῷ γενητῷ. ὅτι δὲ ὥσπερ τὸ ποτὲ γενόμενον πεπερασμένον
τῇ οὐσίᾳ φησὶν, οὕτω καὶ τὸ ἀεὶ ὂν ἄπειρον λέγει τῇ οὐσίᾳ, σαφὲς πεποίηκεν εἰπὼν, ἀλλ' ὥσπερ ἐστὶν
ἀεὶ, οὕτω καὶ τὸ μέγεθος ἄπειρον ἀεὶ χρὴ εἶναι. μέγεθος δὲ οὐ τὸ διαστατόν φησιν. αὐτὸς γὰρ ἀδιαίρετον
τὸ ὂν δείκνυσιν. εἰ γὰρ διῄρηται φησὶ τὸ ἐὸν, κινεῖται. κινούμενον δὲ, οὐκ ἂν εἴη ἅμα. μέγεθος οὖν τὸ δι-
άρμα αὐτὸ λέγει τῆς ὑποστάσεως. ὅτι γὰρ ἀσώματον εἶναι βούλεται τὸ ὂν, ἐδήλωσεν εἰπὼν, εἰ μὲν
ὂν εἴη, δεῖ αὐτὸ ἓν εἶναι. ἓν δὲ ὂν, δεῖ αὐτὸ σῶμα μὴ ἔχειν. καὶ ἐφεξῆς δὲ τῷ ἀϊδίῳ τὸ ἄπειρον κατὰ τὴν
οὐσίαν συνέταξεν, εἰπὼν, ἀρχὴν δὲ καὶ τέλος ἔχον, οὐδὲν οὔτε ἀΐδιον οὔτε ἄπειρόν ἐστιν. ὥστε τὸ μὴ
ἔχον, ἄπειρόν ἐστιν. ἀπὸ τοῦ ἀπείρου δὲ τὸ ἓν συνελογίσατο, ἐκ τοῦ εἰ μὴ ἓν εἴη, περανεῖ πρὸς ἄλλο. τοῦ-
» το δὲ αἰτιᾶται εὔδημος ὡς ἀδιορίστως λεγόμενον, γράφων οὕτως. Εἰ δὲ δὴ συγχωρήσειέ τις ἄπειρον
» εἶναι τὸ ὂν, διατί καὶ ἓν ἔσται. οὐ γὰρ διότι πλείονα, περανεῖ πῃ πρὸς ἄλληλα. δοκεῖ γὰρ καὶ ὁ πα-
» ρεληλυθὼς χρόνος περαίνων πρὸς τὸν παρόντα. πάντῃ μὲν οὖν ἄπειρα τὰ πλείω τάχα οὐκ ἂν εἴη.
» ἐπὶ θάτερα δὲ φανεῖται ἐνδέχεσθαι. χρὴ οὖν διορίσαι πῶς ἄπειρα οὐκ ἂν εἴη, εἰ πλείω.

Ἔ ΠΕΙΤΑ, καὶ διατί ἀκίνητον, εἰ ἕν. ὥσπερ γὰρ καὶ τὸ μόριον ἓν ὂν, τοδὶ τὸ ὕδωρ κινεῖται ἐν αὑτῷ,
διατί οὐ καὶ τὸ πᾶν; ἔπειτα ἀλλοίωσις διατί οὐκ ἂν εἴη;

Ὁ μέλισσος δείξας τὸ ἄπειρον ἐκ τοῦ μήτε ἀρχὴν μήτε τέλος ἔχειν, ἐκ δὲ τοῦ ἀπείρου τὸ ἓν εἶναι, ἐφε-
ξῆς καὶ ὅτι ἀκίνητον δείκνυσιν ὡς ὁ ἀλέξανδρός φησι, τῷ τὸ κινούμενον ἢ διὰ πλήρους ὀφείλειν κι-
νεῖσθαι ἢ διὰ κενοῦ. οὕτω δὲ καὶ ἄλλο τι ἔσεσθαι. ὅτι δὲ διὰ μὲν πλήρους οὐχ οἷόν τέ τι κινηθῆναι, κε-
νόν τε μὴ δύνασθαι ἐν τοῖς οὖσιν εἶναι, μηδὲν γὰρ εἶναι τὸ κενὸν, ὄντος τε μηκέτι ἔσεσθαι ἄπειρον τὸ ὄν. εἰ
γὰρ εἴη, μεθίστασθαι δυνάμενον ἐν ἑαυτῷ, δῆλον ὡς μεῖζον ἂν αὐτοῦ ᾖ. οὐδὲν δὲ μεῖζον τοῦ ἀπείρου.
ταῦτα μὲν οὖν οὕτως αὐτῇ λέξει φησὶν ὁ ἀλέξανδρος. καὶ ὡς τὴν κατὰ τόπον κίνησιν ἀναιροῦντος
τοῦ μελίσσου μόνην καὶ τὴν ἀλλοίωσιν, οὕτω ποιεῖται τὴν ἐξήγησιν, διὰ τὸ ὑπὸ τοῦ ἀριστοτέλους εἰρη-
μένον, τὸ ἔπειτα ἀλλοίωσις διατί οὐκ ἂν εἴη. ἐμοὶ δὲ δοκεῖ συμπεραινόμενος ὁ μέλισσος τὰ περὶ τοῦ ὄντος
εἰρημένα, ὅτι ἀγένητον καὶ ἀΐδιον καὶ ἄπειρον καὶ ἓν καὶ ὅμοιον, ἐκ τούτων καὶ τὰς ἄλλας πάσας
κινήσεις τὰς περὶ τὴν γένεσιν ἀφαιρεῖν ἀπὸ τοῦ ὄντος. καὶ πρῶτον μὲν δεικνύναι, ὅτι οὔτε ὡς ἀπολ-
λύμενον, οὔτε ὡς αὐξόμενον ἢ μειούμενον, οὔτε ὡς ἀλλοιούμενον κινεῖται τὸ ὂν, ἢ ὅλως ἑτεροιούμενον.
ὅπερ κοινὸν αὐξήσεως ἂν εἴη καὶ ἀλλοιώσεως. οὔτε γὰρ ἀΐδιον οὔτε ἄπειρον οὔτε ἓν, οὔτε ὅμοιον ἂν εἴη
ταῦτα πάσχον. εἶτα ὅτι οὐδὲ κενόν. τὸ γὰρ κενὸν οὐχὶ σώματος, ἀλλὰ κενὸν τοῦ ὄντος, οὐδέν ἐστι. προ-
λαβὼν οὖν ὅτι τὸ ὂν πλέων ἐστὶ, ταὐτὸν δὲ εἰπεῖν πλῆρες, καὶ δείξας ὅτι κενὸν οὐκ ἔστι, συνάγει
ὅτι οὐκ ἂν κινοῖτο κατὰ τόπον, οὔτε ὡς εἰς ἄλλον παρ' ἑαυτὸ τόπον, οὐ γάρ ἐστί τι κενὸν τοῦ ὄντος εἰς
ὃ κινηθῇ, οὔτε εἰς ἑαυτό. ἐξ ἀραιοτέρου γὰρ πυκνότερον ἀνάγκη γίνεσθαι. πυκνὸν δὲ καὶ ἀραιὸν
οὐκ ἂν εἴη. τὸ γὰρ ἀραιὸν κενόν τι ἔχει. τὸ δὲ κενὸν οὐκ ἔστιν οὔτε ὅλως, οὔτε ἐν αὐτῷ μάλιστα, διότι
πλέων ἐστίν. ὅτι δὲ πλέων ἐστὶ τὸ ὂν, δείκνυσιν ἐκ τοῦ μηδὲν εἰς ἑαυτὸ εἰσδέχεσθαι. εἰ γὰρ εἰσδέχοιτο,
κενόν τι εἶναι τοῦ ὄντος, κενὸν δὲ μὴ εἶναι. ὅτι δὲ οὐχ ὡς ἀλέξανδρος ἤκουσεν, οὕτως ἡ ἀπόδειξις προ-
ῆλθεν, ἐκ τοῦ τὸ κινούμενον ἢ διὰ πλήρους ὀφείλειν κινεῖσθαι ἢ διὰ κενοῦ, ἀλλ' ὅτι δεῖ αὐτὸ τὸ ὂν πλή-
ρες εἶναι, δηλοῖ καὶ ὁ εὔδημος λέγων, ἀκίνητον δὲ δὴ πῶς, ἢ ὅτι πλῆρες. πλῆρες δὲ, ὅτι οὐκ ἔσται ἄ-
πειρον κενοῦ μετέχον. ἀλλ' ἐπειδὴ ἀρχαιοπρεπῶς ἀλλ' οὐκ ἀσαφῶς ταῦτα καὶ ὁ μέλισσος ἔγρα-
ψε, παρακείσθω καὶ αὐτὰ τὰ ἀρχαῖα γράμματα, πρὸς τὸ δύνασθαι τοὺς ἐντυγχάνοντας ἀκρι-
βεστέρους γίνεσθαι κριτὰς τῶν προσφυεστέρων ἐξηγήσεων. λέγει δ' οὖν ὁ μέλισσος οὕτω, τὰ πρό-
» τερον εἰρημένα συμπεραινόμενος, καὶ οὕτω τὰ περὶ τῆς κινήσεως ἐπάγων. Οὕτως οὖν ἀΐδιόν ἐστι
» καὶ ἄπειρον καὶ ἓν καὶ ὅμοιον πᾶν. καὶ οὔτ' ἂν ἀπόλοιτο, οὔτ' ἂν μεῖζον γίγνοιτο, οὔτε μετακοσμέοι-
» το, οὔτε ἀλγεῖ οὔτε ἀνιᾶται. εἰ γάρ τι τούτων πάσχοι, οὐκ ἂν ἔτι ἓν εἴη. εἰ γὰρ ἑτεροιοῦται, ἀνάγ-
» κη τὸ ἐὸν μὴ ὅμοιον εἶναι, ἀλλ' ἀπόλλυσθαι τὸ πρόσθεν ἐὸν, τὸ δὲ οὐκ ἐὸν γίνεσθαι. εἰ τοίνυν τριχὶ μιῇ
» μυρίοις ἔτεσιν ἑτεροῖον γίγνοιτο τὸ πᾶν, ὀλεῖται ἂν ἐν τῷ παντὶ χρόνῳ. ἀλλ' οὐδὲ μετακοσμηθῆναι
» ἀνυστόν. ὁ γὰρ κόσμος ὁ πρόσθεν ἐὼν οὐκ ἀπολεῖται, οὔτε ὁ μὴ ἐὼν γίνεται. ὅτε δὲ μήτε προσγίνε-
» ται μηδὲν, μήτε ἀπόλλυται, μήτε ἑτεροιοῦται, πῶς ἂν μετακοσμηθὲν τῶν ἐόντων τι εἴη. εἰ μὲν γάρ
» τι ἐγίνετο ἑτεροῖον, ἤδη ἂν καὶ μετακοσμηθείη. οὐδὲ ἀλγεῖ. οὐ γὰρ ἂν πᾶν εἴη ἀλγεινόν. οὐ γὰρ ἂν
» δύναιτο ἀεὶ εἶναι χρῆμα ἀλγεινόν. οὐδὲ ἔχει ἴσην δύναμιν τῷ ὑγιεῖ. οὔτ' ἂν ὅμοιον εἴη, εἰ ἀλγέοι.
» ἀπογινομένου γάρ τευ ἂν ἀλγέοι, ἢ προσγινομένου, κοὐκ ἂν ἔτι ὅμοιον εἴη. οὐδ' ἂν τὸ ὑγιὲς ἀλγῆ-
» σαι δύναιτο. ἀπὸ γὰρ ἂν ὄλοιτο τὸ ὑγιὲς καὶ τὸ ἐὸν, τὸ δὲ οὐκ ἐὸν γένοιτο. καὶ περὶ τοῦ ἀνιᾶσθαι
» ὁ αὐτὸς λόγος τῷ ἀλγέοντι. οὐδὲ κενεόν ἐστιν οὐδέν. τὸ γὰρ κενεὸν οὐδέν ἐστιν. οὐκ ἂν οὖν εἴη τό γε μη-
» δέν. οὐδὲ κινεῖται. ὑποχωρῆσαι γὰρ οὐκ ἔχει οὐδαμῇ, ἀλλὰ πλέων ἐστίν. εἰ μὲν γὰρ κενεὸν ἦν,
» ὑπεχώρει ἂν εἰς τὸ κενεόν. κενεοῦ δὲ μὴ ὄντος, οὐκ ἔχει ὅκῃ ὑποχωρήσει. πυκνὸν δὲ καὶ ἀραιὸν
» οὐκ ἂν εἴη. τὸ γὰρ ἀραιὸν οὐκ ἀνυστὸν πλέων εἶναι ὁμοίως τῷ πυκνῷ. ἀλλ' ἤδη τὸ ἀραιόν γε κε-
» νεώτερον γίνεται τοῦ πυκνοῦ. κρίσιν δὲ ταύτην χρὴ ποιήσασθαι τοῦ πλέω καὶ τοῦ μὴ πλέω.

» εἰ μὲν χωρεῖ τι ἢ εἰσδέχεται, οὐ πλέων. εἰ δὲ μήτε χωρεῖ μήτε εἰσδέχεται, πλέων. ἀνάγκη τοίνυν πλέ-
» ων εἶναι, εἰ κενεὸν μὴ ἔστιν. εἰ τοίνυν πλέων ἐστὶν, οὐ κινεῖται. Ταῦτα μὲν οὖν τὰ τοῦ μελίσσου. ὁ δὲ ἀ-
ριστοτέλης αἰτιᾶται πρῶτον μὲν, διότι ἀνάγκη εἰ ἓν ἐστὶ μὴ κινεῖσθαι κατὰ τόπον, εἴπερ δύναται
καὶ ὅλα ἓν εἶναι, καὶ τῷ αὐτῷ τόπῳ μένοντα κινεῖσθαι τῇ τῶν μορίων ἀντιπεριστάσει, κενοῦ τινος
μὴ δεόμενα. καθάπερ καὶ τόδε τὸ ὕδωρ ἐν ἑνὶ καὶ τῷ αὐτῷ μένον ἀγγείῳ δινούμενον. τί οὖν κωλύει καὶ
τὸ πᾶν, μήτε ἀπολιμπάνον τὸν τόπον, μήτε ἐπιλαμβάνον κινεῖσθαι, τῶν ἐν αὐτῷ μορίων κινουμέ-
νων τῇ ἀντιπεριστάσει τῇ πρὸς ἄλληλα. καθάπερ καὶ ἡ ὅλη σφαῖρα περὶ μένοντας τοὺς πόλους καὶ
τὸν ἄξονα κινουμένη φαίνεται. καὶ πᾶσα σφαῖρα καὶ κῶνος καὶ κύλινδρος. δύναται γάρ τι κινεῖ-
σθαι κατὰ τόπον, καὶ μὴ ἀμεῖβον τόπον ἐκ τόπου ὡς εἴρηται. ὥσπερ δέ φησι μόριος ὕδατος κινεῖται
ἐν ἑαυτῷ, οὕτω τί κωλύει καὶ τὸ πᾶν ὄν. ἐπεὶ δὲ καὶ τὴν ἀλλοίωσιν ἀνεῖλεν ἐκ τοῦ ἓν εἶναι ὁ μέλισσος,
διότι φησὶν οὐκ ἂν εἴη ἀλλοίωσις ἑνὸς ὄντος, εἴπερ δυνατὸν τὸ αὐτὸ ἓν κατὰ τὴν οὐσίαν ὑπομένον, ποιό-
τητα ἄλλοτε ἄλλην μεταλαμβάνειν. οἷον ἐκ θερμοῦ ψυχρὸν γινόμενον, ἢ ἐκ λευκοῦ μέλαν, ἢ ἐξ ὑγι-
αίνοντος νοσοῦν. ἔοικε δὲ ἡ τοῦ ἀριστοτέλους βραχυλογία σφάλλειν πολλαχοῦ τοὺς ἐξηγητάς. εἰπόν-
τος γὰρ αὐτοῦ, ἔπειτα ἀλλοίωσις διότι οὐκ ἂν εἴη, ὁ ἀλέξανδρος οὕτως ἐξηγεῖται, ὡς μελίσσου
δεῖ τὸ λέξαι μὴ δυνάμενον τὸ ὂν τὴν κατὰ τόπον κίνησιν κινεῖσθαι, τὸ πάντη ἀκίνητον αὐτοῦ κατη-
γοροῦντος. ταῦτα γὰρ αὐτῇ λέξει γέγραφεν ὁ ἀλέξανδρος, καίτοι τοῦ μελίσσου καὶ πρὸ τῆς κα-
τὰ τόπον κινήσεως τὰς ἄλλας ἀναιροῦντος, ὡς ἡ προεκτεθεῖσα ῥῆσις δηλοῖ. ὡς δὲ τοῦ ἑνὸς ἀλλοιοῦ-
σθαι καὶ ἑτεροιοῦσθαι δυναμένου, καὶ μένοντος ἔτι ἑνὸς κατὰ τὴν οὐσίαν, οὕτω νῦν ὑπήντησεν ὁ ἀρι-
στοτέλης, τὸ ἓν ὁλοσχερῶς κατὰ τὴν συνήθειαν λαβὼν, λέγομεν γὰρ ἓν καὶ τὸν αὐτὸν μένοντα σω-
κράτην, ὁ δύνασθαί τε τὸ σκέλος καὶ ἀναπαύεσθαι, τοῦ μελίσσου κυριώτερον τὸ ἓν λαβόντος ἀλλ'
οὐχ ὁλοσχερέστερον. ὡς δηλοῖ τά τε ἄλλα τὰ εἰρημένα, καὶ οὐχ ἥκιστα, τὸ, εἰ τοίνυν τριχὶ μιῇ μυρίοις
ἔτεσιν ἑτεροῖον γίνοιτο τὸ πᾶν, ὀλεῖται ἂν ἐν τῷ παντὶ χρόνῳ, ὡς δὲ ν ὂν εἰ ἓν ἐστὶ, καὶ ὅμοιον καὶ ἀΐ-
διον κυρίως. ὥστε κατὰ πάντα μένον, οὐκ ἂν ἔχοι τι καθὸ μεταβολὴν ὑποδέξεται. ἀνάγκη γὰρ ἦν
τὸ ἀλλοιούμενον καὶ τὸ ἑτεροιούμενον ὁπωσοῦν, ἀπ' ἄλλης διαθέσεως εἰς ἄλλην μεταβάλλειν. κατὰ
τόπον δὲ εἰ κινεῖτο περιδινούμενον ὥσπερ τὸ ὕδωρ, κενοῦ μὴ ὄντος, ἀνάγκη σχῆμα ἔχειν περιφερὲς,
ἤτοι σφαιρικὸν, ἢ κωνικὸν, ἢ κυλινδρικόν. τὰ γὰρ ἄλλα σχήματα περιδινούμενα ἄλλοτε ἄλλον τόπον
περιλαμβάνει. ἐσχηματισμένον δὲ, πεπερασμένον ἂν εἴη καὶ οὐκ ἄπειρον. εἰ δὲ ἀκίνητον πρότερον ὂν,
κινοῖτο ἐν τῷ αὐτῷ τόπῳ, ἀνάγκη πυκνουμένου καὶ ἀραιουμένου μέρους τινὸς γίνεσθαι τὴν ἀρχὴν
τῆς κινήσεως. ὅλως δὲ σωμάτων κίνησις ἡ περιδίνησις. ἀσώματον δὲ αὐτὸ δέδεικται ὑπὸ μελίσσου.

ἈΛΛᾺ ΜῊΝ, οὐδὲ τῷ εἴδει οἷόν τε ἓν εἶναι. πλὴν τῷ ἐξ οὗ. οὕτως δὲ ἓν, καὶ τῶν φυσικῶν τινες λέγου-
σιν. ἐκείνως δ' οὔ. ἄνθρωπος γὰρ ἵππου, ἕτερον τῷ εἴδει. καὶ τἀναντία ἀλλήλων.

Ἐν τοῖς καθόλου λόγοις τριῶν τοῦ ἑνὸς σημαινομένων ἀφορισθέντων, τοῦ τε κατὰ συνέχειαν, καὶ τοῦ
ὡς ἀδιαιρέτου, καὶ τοῦ τῷ λόγῳ ἑνὸς, δείξας ὅτι κατ' οὐδὲν τῶν σημαινομένων τούτων ἓν εἶναι δύνα-
ται τὸ ὂν, καὶ ὑπαντήσας πρὸς αὐτοὺς τοὺς τοῦ μελίσσου λόγους, κοινὸν οἶμαι τοῦτον ἐπάγει λό-
γον, ὅτι ὅλως τῷ εἴδει ἓν οὐχ οἷόν τε τὸ ὂν εἶναι, πλὴν τῷ ἐξ οὗ, τουτέστι πλὴν κατὰ τὴν ὑλικὴν αἰτί-
αν. κατὰ ταύτην γὰρ ὡς ὁ ἀλέξανδρος ἐξηγεῖται δυνατὸν τῷ εἴδει ἓν λέγειν τὸ ὂν, ὥσπερ καὶ ἄλλοι
τινὲς τῶν φυσικῶν ἔλεγον, θαλῆς μὲν καὶ ἵππων ὕδωρ λέγοντες, ἀναξιμένης δὲ ἀέρα, ἡράκλειτος δὲ
πῦρ. αὐτὰ μὲν οὖν τὰ ὄντα ἓν τῷ εἴδει λέγειν αὐτόθεν ἄτοπον. ἂν μὲν γὰρ οὕτω τις λέγῃ ἓν εἶναι
τὰ ὄντα, καθὸ ἐξ ἑνός τινος καὶ μιᾶς ἀρχῆς τὰ πάντα γέγονε, λέγοι ἄν τινα λόγον καὶ ὑπὸ φυσι-
κῶν τινων εἰρημένον. καθ' οὓς γὰρ ἡ ἀρχὴ τῶν ὄντων μία, κατὰ τούτους ἓν τῷ λόγῳ πάντα γένοιτο
ἂν, καθὸ ἐξ ἑνὸς, ἀλλ' οὐ καθό ἐστι. κατὰ γὰρ τοῦτο διαφόρους ἔχοντα λόγους, τινὰ δὲ καὶ ἐναντίους,
πῶς ἂν εἴη τὰ αὐτὰ ἀλλήλοις. οἷον ἄνθρωπος καὶ ἵππος. ἢ λογικὸν ζῶον καὶ ἄλογον, κατὰ μὲν τὴν
ὕλην ταυτὰ ἂν εἴη, κατὰ δὲ τὸ εἶδος οὐκέτι. δῆλον δὲ ὅτι τοῦ τὰ διάφορα τὰ αὐτὰ εἶναι, μᾶλλον ἄτο-
πόν ἐστι τὸ τὰ ἐναντία τὰ αὐτὰ εἶναι. ἐπιστῆσαι δὲ ἄξιον, εἰς ὃ ὁ ἀλέξανδρος ἀποβλέψας, ἓν τῷ εἴ-
δει τῷ κατὰ τὴν ὕλην φησὶ δυνατὸν λέγειν τὰ ὄντα. ἢ τοῦτο μὲν βίαιον τὸ λέγειν τῷ εἴδει τῆς ὕλης.
ἄμεινον δὲ λέγειν ὅτι ὅλως τῷ εἴδει οὐχ οἷόν τε ἓν εἶναι. ἀλλ' εἴπερ ἄρα, κατὰ κοινότητα χρὴ λαβεῖν
τὸ ἓν, οἷον τὴν ὕλην καὶ τὸ ἐξ οὗ, ὥσπερ τινὲς τῶν φυσικῶν ἔλεγον. διὸ καὶ ἐπήγαγεν, ἄνθρωπος γὰρ
ἵππου ἕτερον τῷ εἴδει, καὶ τὰ ἐναντία ἀλλήλων, εἶδος λέγων τὸ καθὸ ἕκαστόν ἐστιν, ἀλλ' οὐχὶ τῷ ἐξ
οὗ. δῆλον δὲ ὅτι εἰ οὕτως εἶδός τις λέγει ὡς τὸ σύνθετον, οὗ καὶ ὁ ὁρισμὸς σύνθετος ἀποδίδοται,
οὐκ ἂν δέξαιτο μέλισσος εἶδος εἶναι τὸ ὄν. εἰ δὲ οὕτως ὡς τὸ ἄϋλον καὶ ἁπλούστατον, τάχα ἂν δέξαιτο.
πολλὰ γὰρ αὐτοῦ καὶ αὐτὸς κατηγορεῖ. τὸ ἀγένητον. τὸ ἀκίνητον. τὸ ἄπειρον. ἀλλ' οὔτε οὕτως ἓν ὡς τὸ ἐξ
οὗ καὶ τὸ ὑλικὸν λέγοι ἂν μέλισσος, οὔτε ὡς οἱ φυσικοί. ἀσώματον γὰρ λέγει τὸ ὄν. οὔτε κατὰ τὴν κυ-
ρίως ὕλην, εἴπερ μήτε εἰσδέχεσθαί τι λέγει τὸ ὂν, μήτε μετακοσμεῖσθαι. ἡ δὲ ὕλη εἰσδέχεται καὶ με-
τακοσμεῖται. ἔστι δὲ τοῦ ἐόντος ἀληθινοῦ φησι κρεῖσσον οὐδέν. ἡ δὲ ὕλη τὸ χεῖρον.

Κ ΑΙ πρὸς παρμενίδην δὲ, ὁ αὐτὸς τρόπος τῶν λόγων. καὶ εἴ τινες ἄλλοι ἴδιοί εἰσι. καὶ ἡ λύσις τῇ μὲν
ὅτι ψευδής. τῇ δὲ ὅτι οὐ συμπεραίνεται.

Κ αἱ ἐν τῇ δόξῃ καὶ ἐν τῇ τῆς δόξης κατασκευῇ, τὰ μέν ἐστι κοινὰ παρμενίδῃ καὶ μελίσσῳ, τὰ δέ ἐστιν
ἴδια. κοινὰ μὲν ἐν τῇ δόξῃ, τὸ ἓν, καὶ τὸ ὂν, καὶ τὸ ἀκίνητον. ἴδια δὲ, τὸ μέλισσον μὲν ἄπειρον λέγειν
τὸ ὂν, παρμενίδην δὲ πεπερασμένον. κατὰ δὲ τὴν κατασκευὴν κοινὸν μὲν πάλιν αὐτοῖς, τό, τε ἀ-
συλλογίστως ἐρωτᾶν, καὶ τὸ ψευδεῖς λαμβάνειν προτάσεις. ἴδιον δὲ αὐταὶ αἱ προτάσεις, αἷς ἑκά-
τερος αὐτῶν ἐχρήσατο. οὐ γὰρ διὰ τῶν αὐτῶν ἄμφω τὰς ἀποδείξεις πεποίηνται. καὶ τῆς ἀντι-
λογίας οὖν τῆς πρὸς αὐτοὺς, τὰ μὲν κατὰ τὸν αὐτὸν τρόπον γενήσεται, τὰ δὲ κατὰ ἄλλον καὶ ἄλ-
λον. ὅσα μὲν γὰρ καθόλου ἀναιρετικὰ ἐρρήθη τοῦ ἓν εἶναι τὸ ὂν, ταῦτα ὁμοίως πρὸς ἑκάτερον εἴρη-
ται. ὥσπερ καὶ ὅτι παρ᾽ ἀμφοτέροις ὁ λόγος ἡμάρτηται. καὶ ὅτι ψευδῆ λαμβάνει. καὶ ὅτι οὐ συμ-
περαίνει. καὶ γὰρ καὶ τοῦτο κοινῶς ἐπήνεκται πρὸς λύσιν. ὅσα δὲ πρὸς τὰς οἰκείας ἑκατέρου προ-
τάσεις λέγεται, ταῦτα ἴδια πρὸς ἑκάτερον ὑπάρχει. καὶ καθὸ δὲ ἐν τῇ δόξῃ διαφέρονται, τοῦ μὲν
ἄπειρον, τοῦ δὲ πεπερασμένον λέγοντος τὸ ὂν, καὶ κατὰ τοῦτο διαφόρους τὰς ἀντιλογίας ἀνάγκη
γίνεσθαι.

Ψ ΕΥΔΗ͂Σ μὲν ἡ ἁπλῶς λαμβάνει τὸ ὂν λέγεσθαι. λεγομένου πολλαχῶς.

Ω ς ὁ ἀλέξανδρος ἱστορεῖ, ὁ μὲν θεόφραστος οὕτως ἐκτίθεται ἐν τῷ πρώτῳ τῆς φυσικῆς ἱστορίας. τὸ
παρὰ τὸ ὂν, οὐκ ὄν. τὸ οὐκ ὂν, οὐδέν. ἓν ἄρα τὸ ὄν. εὔδημος δὲ οὕτως. τὸ παρὰ τὸ ὂν, οὐκ ὄν. ἀλλὰ καὶ μο-
ναχῶς λέγεται τὸ ὄν. ἓν ἄρα τὸ ὄν. τοῦτο δὲ εἰ μὲν ἀλλαχοῦ που γέγραφεν οὕτως ἀσαφῶς ὁ εὔδη-
μος, οὐκ ἔχω λέγειν. ἐν τοῖς φυσικοῖς δὲ περὶ παρμενίδου τάδε γράφει. ἐξ ὧν ἴσως συνάγειν τὸ εἰρη-
» μένον δυνατόν. Παρμενίδης δὲ οὐ φαίνεται δεικνύειν ὅτι ἓν τὸ ὄν. οὐδ᾽ εἴ τις αὐτῷ συγχωρήσειε μο-
» ναχῶς λέγεσθαι τὸ ὂν, εἰ μὴ τὸ ἐν τῷ τί κατηγορούμενον ἑκάστου, ὥσπερ τῶν ἀνθρώπων ὁ ἄνθρωπος.
» καὶ ἀποδιδομένων τῶν λόγων καθ᾽ ἕκαστον, ἐνυπάρξει ὁ τοῦ ὄντος λόγος ἐν ἅπασιν εἷς καὶ ὁ αὐτός. ὥς-
» περ καὶ ὁ τοῦ ζώου ἐν τοῖς ζώοις. ὥσπερ δὲ εἰ πάντα εἴη τὰ ὄντα καλὰ, καὶ μηδὲν εἴη λαβεῖν ὃ οὐκ ἔ-
» στι καλὸν, καλὰ μὲν ἔσται πάντα, οὐ μὴν ἕν γε τὸ καλὸν ἀλλὰ πολλά, τὸ μὲν γὰρ χρῶμα καλὸν ἔσται,
» τὸ δὲ, ἐπιτήδευμα, τὸ δὲ, ὁτιδήποτε, οὕτω δὴ καὶ ὄντα μὲν πάντα ἔσται, ἀλλ᾽ οὐχ ἓν, οὐδὲ ταυτό. ἕτε-
» ρον μὲν γὰρ τὸ ὕδωρ, ἄλλο δὲ τὸ πῦρ. παρμενίδου μὲν οὖν ἀγασθείη τις ἂν, ἀναξιοπίστοις ἀκολουθήσαν-
» τος λόγοις, καὶ ὑπὸ τοιούτων ἀπατηθέντος, ἃ οὔπω τότε διεσαφεῖτο. οὔτε γὰρ τὸ πολλαχῶς ἔλε-
» γεν οὐδεὶς, ἀλλὰ πλάτων πρῶτος τὸ δισσὸν εἰσήγαγεν, οὔτε τὸ καθ᾽ αὑτὸ καὶ κατὰ συμβεβηκός. φαί-
» νεταί τε ὑπὸ τούτων διαψευσθῆναι. ταῦτα δὲ ἐκ τῶν λόγων καὶ ἐκ τῶν ἀντιλογιῶν ἐθεωρήθη, καὶ
» τὸ συλλογίζεσθαι. οὐ γὰρ συνεχωρεῖτο, εἰ μὴ φαίνοιτο ἀναγκαῖον. οἱ δὲ πρότεροι ἀναποδείκτως ἀπε-
» φαίνοντο. καὶ μέχρι τούτου τὰ περὶ παρμενίδην προαγαγὼν, ἐπὶ ἀναξαγόραν μετέβη. πορφύριος
δὲ καὶ αὐτὸς, τὰ μὲν, ἐκ τῶν παρμενιδείων ἐπῶν ὡς οἶμαι, τὰ δὲ ἐκ τῶν ἀριστοτέλους, καὶ ὧν ἄν
τις πιθανῶς ἐκθέσθαι τὴν παρμενίδου δόξαν βουλόμενος εἴποι, γράφει ταῦτα. ἔχει δὲ αὐτοῦ ὁ λό-
» γος οὕτως. ἔτι παρὰ τὸ λευκόν ἐστιν, ἐκεῖνο οὐ λευκόν ἐστιν. ἔτι παρὰ τὸ ἀγαθόν ἐστιν, ἐκεῖνο οὐκ ἀγα-
» θόν ἐστι. καὶ ἔτι παρὰ τὸ ὄν ἐστιν, ἐκεῖνο οὐκ ὄν ἐστιν. τὸ δὲ οὐκ ὂν οὐδέν. τὸ ὂν ἄρα μόνον ἐστίν. ἓν ἄρα τὸ ὄν.
» καὶ γὰρ εἰ μὴ ἕν ἐστιν ἀλλὰ πλείω τὰ ὄντα, ἤτοι τῷ εἶναι διοίσει ἀλλήλων, ἢ τῷ μὴ εἶναι. ἀλλ᾽ οὔτε τῷ
» εἶναι διαφέροι ἄν. κατὰ γὰρ αὐτὸ τὸ εἶναι ὅμοιά ἐστι. καὶ τὰ ὅμοια ᾗ ὅμοια ἀδιάφορα, καὶ οὐχ ἕτερα
» τυγχάνει ὄντα. τὰ δὲ μὴ ἕτερα, ἕν ἐστιν. οὔτε τῷ μὴ εἶναι. τὰ γὰρ διαφέροντα πρότερον εἶναι δεῖ.
» τὰ δὲ μὴ ὄντα οὐδὲν διαφέρει ἀλλήλων. εἰ τοίνυν πλείω φησὶν ὑποτιθέμενα, μήτε τῷ εἶναι μήτε τῷ
» μὴ εἶναι διαφέρειν οἷόν τε καὶ ἕτερα εἶναι ἀλλήλων, δῆλον ὡς ἓν πάντα ἔσται. καὶ τοῦτο ἀγένητον
καὶ ἄφθαρτον. ὁ μέντοι ἀριστοτέλης ἐν τοῖς ἑξῆς ἔοικεν οὕτω πως ἀπομνημονεύειν τοῦ παρμενιδείου
λόγου. εἰ ἓν σημαίνει τὸ ὂν, καὶ μὴ οἷόν τε ἅμα εἶναι τὴν ἀντίφασιν, οὐκ ἔσται οὐδὲν μὴ ὄν. ταυτὸν δὲ καὶ
οὗτος ἐννοεῖ τοῖς προτέροις. εἰ γὰρ ἓν σημαίνει τὸ ὂν, τὸ παρ᾽ ἐκεῖνο οὐκ ὂν καὶ οὐδέν ἐστι. καὶ εἰ μὴ συ-
νυπάρχει ἡ ἀντίφασις, ὥστε ταυτὸν καὶ ὂν ἅμα καὶ οὐκ ὂν εἶναι, δηλονότι τὸ παρὰ τὸ ὂν οὐκ ὂν ἔσται,
καὶ τὸ οὐκ ὂν οὐδέν. εἰ δέ τις ἐπιθυμεῖ καὶ αὐτοῦ τοῦ παρμενίδου ταύτας λέγοντος ἀκοῦσαι τὰς προ-
τάσεις, τὴν μὲν παρὰ τὸ ὂν οὐκ ὂν καὶ οὐδὲν λέγουσαν, ἥτις ἡ αὐτή ἐστι τῇ τὸ ὂν μοναχῶς λέγεσθαι,
» εὑρήσει ἐν ἐκείνοις τοῖς ἔπεσιν. ἡ μὲν ὅπως ἔστι τε καὶ ὡς οὐκ ἔστι μὴ εἶναι, πειθοῦς ἐστι κέλευθος. ἀλη-
» θείῃ γὰρ ὀπηδεῖ. ἡ δ᾽ ὡς οὐκ ἔστι τε καὶ ὡς χρεών ἐστι μὴ εἶναι, τὴν δή τοι φράζω παναπευθέα ἔμμεναι
» ἀταρπόν. οὔτε γὰρ ἂν γνοίης τό γε μὴ ἐὸν, οὐ γὰρ ἀνυστὸν, οὔτε φράσαις. ὅτι δὲ ἡ ἀντίφασις οὐ συνα-
» ληθεύει, δι᾽ ἐκείνων λέγει τῶν ἐπῶν. δι᾽ ὧν μέμφεται τοῖς εἰς ταυτὸν συνάγουσι τὰ ἀντικείμενα. εἰ-
» πὼν γὰρ, ἔστι γὰρ εἶναι, μηδὲν δ᾽ οὐκ εἶναι, τά σε φράζεσθαι ἄνωγα, πρώτης γὰρ ἀφ᾽ ὁδοῦ ταύτης
» διζήσιος εἴργε νόημα, ἐπάγει, αὐτὰρ ἔπειτ᾽ ἀπὸ τῆς, ἣν δὴ βροτοὶ εἰδότες οὐδὲν, πλάζονται δί-
» κρανοι. ἀμηχανίη γὰρ ἐν αὐτῶν στήθεσιν ἰθύνει πλαγκτὸν νόον. οἱ δὲ, φοροῦνται κωφοὶ ὁμῶς τυ-
» φλοί τε τεθηπότες ἄκριτα φῦλα. οἷς τὸ πέλειν τε καὶ οὐκ εἶναι ταυτὸν νενόμισται κοὐ ταυτόν. πάν-

τῶν δὲ παλίντροπός ἐστι κέλευθος. τούτου δὴ τοῦ λόγου πρῶτον μὲν τὸ ψεῦδος ἐλέγχει τῶν προτά
σεων ὁ ἀριστοτέλης, εἶτα τὸ ἀσυλλόγιστον. καὶ ψεύδεσθαι μέν φησιν ὅτι μοναχῶς λαμβάνει τὸ ὄν, λε
γόμενον πολλαχῶς, καθ' ὅσους ἐν κατηγορίαις ἐπιδέδεικται τρόπους λεγόμενον. τὸ γὰρ ἔτι παρὰ τὸ
ὂν ἐστὶν ἐκεῖνο οὐκ ὄν ἐστιν, εἰ μοναχῶς ἐλέγετο τὸ ὂν ἴσως ὀρθῶς ἂν ἐλέγετο. ἐπὶ δὲ τῶν πολλαχῶς λε
γομένων οὐκέτι. οἷον εἰ λέγει τις ἔτι παρὰ τὸν καρκίνον ἐστὶν ἐκεῖνο οὐ καρκίνος ἐστί. ζητούμεθα γὰρ
τὸ παρὰ ποῖον καρκίνον. ὁ μὲν γὰρ παρὰ τὸν ἔνυδρον καρκίνον, οὐράνιος καρκίνος ἐστὶν, ἢ ὁ τοῦ χαλ
κέος. καὶ ὁ παρὰ τὸν οὐράνιον δὲ, ἄλλο τι εἶδος καρκίνου οὐ κωλύεται εἶναι. ὁμοίως δὲ καὶ ἔτι παρὰ
τὸ ὄν ἐστιν, οἷον εἰ παρὰ τὴν οὐσίαν, ἐκεῖνο οὐκ οὐσία μὲν, ποιότης δὲ ἢ ποσότης εἶναι οὐ κωλύεται. καὶ
ἔτι παρὰ τὴν ποιότητα, οὐ ποιότης, οὐσία μέντοι γε ἢ ποσότης. καὶ οὕτως οὐδὲν κωλύει πολλὰ εἶναι
τὰ ὄντα, καὶ αὐτό γε τὸ ὂν οὐκ ὂν εἶναι, ἀλλ' οὐχὶ τὰ ἀντικείμενα. σωκράτης μὲν γὰρ ἄνθρωπός ἐστιν,
ἵππος δ' οὐκ ἔστι. καὶ οὐσία μὲν, ποιότης δ' οὔ. καὶ ἄλλως δὲ ἄτοπον τὸ λῆμμα. τὸ γὰρ ἔτι παρὰ τὸ ὂν
ἐστὶν οὐκ ὄν ἐστιν, ἅμα διδόντων ἐστὶν εἶναί τι τὸ αὐτὸ καὶ μὴ εἶναι. τοῦτο δὲ ἐπὶ τοῦ καθ' αὐτὸ λεγομένου
ἄτοπον. εἴ τις δὲ οὕτω προφέροι τὴν πρώτην πρότασιν, ὡς πολλαχῶς τοῦ ὄντος λεγομένου, αὕτη
μὲν ἀληθὴς ἔσται. ἡ μέντοι ἐφεξῆς αὐτῇ οὐκέτι ἀληθὴς, ἡ λέγουσα τὸ οὐκ ὂν οὐδέν. ἴσον γὰρ ἐστὶ τοῦτο
τῷ τὸ παρὰ τὴν οὐσίαν οὐδέν ἐστι, καίτοι πολλῶν ὄντων. οὕτω μὲν οὖν αἱ κατὰ τὸν θεόφραστον προτάσεις
ψευδεῖς οὖσαι διελέγχονται. ὡς δ' ἀσυμπέραντοι, ὅτι τὸ μὲν ἀκολούθως ἐπαγόμενον συμπέρασμα
ἦν, τὸ παρὰ τὸ ὂν οὐδέν. ὁ δὲ, ἐπήγαγεν, ἓν ἄρα τὸ ὄν. κἂν μοναχῶς δέ τις ὑπόθηται τὸ ὂν λέγεσθαι,
ὡς μνημονεύει ὁ εὔδημος, ψεῦδος καὶ οὕτω λαμβάνει. οὐ γὰρ μοναχῶς τὸ ὂν, εἴγε δεκαχῶς. ἔπειτα οὐ
δὲ οὕτω συμπεραίνει ὅτι ἓν τὸ ὄν. κἂν ὑπόθηται δέ τις μηδὲν ἄλλο παρὰ τὴν οὐσίαν εἶναι, οὐδὲν κω
λύει οὐσίας μὲν εἶναι μόνας, πολλὰς δὲ ταύτας. ὥσπερ καὶ ὁ εὔδημος ἐδήλωσε, διὰ τοῦ οὐδὲ εἴ τις
αὐτῷ συγχωρήσει μοναχῶς λέγεσθαι τὸ ὄν. καὶ τὸ ἑξῆς δὲ, ὡς γὰρ εἰ πάντα τὰ ὄντα καλὰ εἴη, καὶ
μηθὲν εἴη λαβεῖν ὃ οὐκ ἔστι καλὸν, καλὰ μὲν ἔσται πάντα, οὐ μὴν ἕν γε τὸ καλὸν ἀλλὰ πολλά, τὸ μὲν
γὰρ χρῶμα καλὸν ἔσται, τὸ δὲ, ἐπιτήδευμα, τὸ δὲ, ὁτιδήποτε, τὸ δ' αὐτὸ ἐπὶ τοῦ λευκοῦ ἔδειξεν ὁ ἀ-
ριστοτέλης, οὕτω δὴ καὶ ὄντα μὲν πάντα ἔσται, ἀλλ' οὐχ ἓν οὐδὲ τὸ αὐτό. καὶ ψευδὴς ἡ ἐπιφορὰ ἡ λέ
γουσα ἓν ἄρα τὸ ὄν, καὶ οὐκ ἐκ τῶν κειμένων συνηγμένη. κἂν γὰρ μοναχῶς τὸ ὂν, οὐκ ἤδη ἓν τὸ ὄν. μο
ναχῶς γὰρ λέγεται καὶ γένει καὶ εἴδει. ἑκατέρως δὲ πολλά. καὶ συμβήσεται τὸ ἐπὶ τοῦ κατὰ τὸ κα
λὸν παραδείγματος ὑπὸ τοῦ εὐδήμου εἰρημένον. ὅτι καλὰ μὲν ἔσται πάντα, οὐ μὴν ἓν τὸ καλὸν τῷ ἀ
ριθμῷ. τὰ γὰρ τῷ λόγῳ ἓν οὐκ ἤδη καὶ τῷ ἀριθμῷ ἕν. τὰ δὲ αὐτὰ ἐπὶ τοῦ λευκοῦ συνήγαγεν ὁ ἀριστο
τέλης. εἰ δέ τις λέγοι μὴ τῷ ἀριθμῷ συναγαγεῖν ἓν τὸ ὄν, ἀλλὰ τῷ εἴδει ἢ τῷ γένει, αὐτόθεν οὗτος ὁμο
λογεῖ πολλὰ λέγειν τὰ ὄντα τῷ ἀριθμῷ. τὰ δὲ κατὰ γένος ἓν καὶ τῷ λόγῳ πολλά ἐστιν. εἰ δὲ οὕτως
ἓν τὸ ὂν λέγουσι, πῶς ἔτι διὰ τὸ ἓν εἶναι ἀκίνητον δοξοῦσιν.

Α ΣΥΜΠΕΡΑΣΜΑ... φανερὸν δὲ, ὅτι εἰ μόνα τὰ λευκὰ ληφθείη, σημαίνοντος ἓν τοῦ λευκοῦ, οὐθὲν ἧττον πολλὰ τὰ
λευκὰ. καὶ οὐχ ἕν. οὔτε γὰρ τῇ συνεχείᾳ ἓν ἔσται τὸ λευκόν. οὔτε τῷ λόγῳ. ἄλλο γὰρ ἔσται τὸ εἶναι λευ
κῷ, καὶ τῷ δεδεγμένῳ, καὶ οὐκ ἔσται παρὰ τὸ λευκὸν οὐδὲν χωριστόν. οὐ γὰρ ᾗ χωριστόν. ἀλλὰ τὸ εἶναι
ἕτερον τῷ λευκῷ καὶ ᾧ ὑπάρχει. ἀλλὰ τοῦτο παρμενίδης οὔπω ἑώρα.

Κ ἂν συγχωρήσοι τις φησὶν αὐτῷ τὸ ὂν μὴ πολλαχῶς λέγεσθαι, ἀλλὰ μοναχῶς, ὡς εἶναι τὴν πρότα-
σιν ἀληθῆ τὴν λέγουσαν, τὸ παρὰ τὸ ὂν οὐκ ὄν, σημαίνοι δὲ ἓν τὸ ὄν, οὐδὲ οὕτως ἓν τῷ ἀριθμῷ συνάγεται
τὸ ὄν. τὸ γὰρ συναγόμενόν ἐστιν, ὅτι τὸ παρὰ τὸ ὂν οὐδέν, ἢ οὐχ ἕν. εἰ δέ τις τὸ ἀντιστρέφειν τούτῳ βούλε
ται συναγαγεῖν, ὡς ἑπόμενον τῷ συναγομένῳ, ὅπερ δοκεῖ ποιεῖν ὁ παρμενίδης, ἐπειδὴ σὺν ἀντιθέ
σει ἡ ἀντιστροφή, τὸ συναγόμενον ἔσται τὸ ἓν ἄρα ὄν. εἰ γὰρ ἡ ἀκολουθία ἦν, τὸ παρὰ τὸ ὄν, τουτέστι τὸ
μὴ ὄν, οὐχ ἕν, γίνεται ἐκ τῆς ἀντιστροφῆς, τὸ ἓν ἄρα ὄν. ὅπερ ἄλλο ἐστὶ, τοῦ τὸ ὂν ἕν, ἢ ἓν τὸ ὄν. αὐτὸς δὲ
ἐπὶ τοῦ λευκοῦ δείκνυσι τὸ ἀσυμπέραντον, νῦν μὲν ὡς συμβεβηκός τι λαμβάνων τὸ ὄν, μετ' ὀλίγον
δὲ ὡς οὐσίαν, καὶ καθ' ἑκάτερον δεικνὺς μὴ δυνάμενον ἓν εἶναι τὸ ὄν. εἰ γὰρ μόνον εἴη τὸ λευκὸν καὶ μηδὲν
ἄλλο, ὡς πᾶν παρὰ τὸ λευκὸν μὴ ὂν εἶναι, καὶ τὸ μὴ ὂν μηδέν, οὐδὲ οὕτως ἓν τῷ ἀριθμῷ δείκνυται τὸ λευκόν.
ἀλλ' εἴπερ ἄρα, ἢ τῷ γένει ἢ τῷ εἴδει, ὅπερ καὶ πολλά ἐστιν. ὅτι δὲ οὐκ ἔστιν ἓν τῷ ἀριθμῷ, δείκνυσιν ὑπο-
μιμνήσκων τῆς προληφθείσης τοῦ τοιούτου ἑνὸς διαιρέσεως. εἰ γὰρ ἦν ἓν τῷ ἀριθμῷ, ἢ ὡς συνεχὲς ἔμελ
λεν εἶναι ἕν, ἢ ὡς ἀδιαίρετον, ἢ ὡς τῷ λόγῳ τὸ αὐτό. ἀλλ' οὔτε συνεχὲς ἀνάγκη ἦν εἶναι. δύναται γὰρ
πολλὰ εἶναι καὶ διωρισμένα τὰ λευκά, τούτων κειμένων τῶν προτάσεων οὐδὲ γὰρ τῇ συνεχείᾳ ἓν λευ-
κόν ἐστι, χιὼν, καὶ κύκνος, καὶ ψιμμίθιον, ἀλλὰ διῄρηται. καίτοι κἂν συνεχὲς τις αὐτὸ συγχωρήσῃ,
πολλὰ δέδεικται τὸ συνεχὲς τῇ διαιρέσει. καὶ ἄλλως δὲ κἂν συνεχὲς τις εἶναι συγχωρήσῃ τὸ λευκόν,
οὐκ ἔσται τῷ λόγῳ ἕν. ἕκαστον γὰρ τῶν λευκῶν ἰδίᾳ λαμβανόμενον, διαιρεῖται εἴς τε τὸ ὑποκείμενον, ὃ μέ
τεχον λευκότητος λευκὸν λέγεται, καὶ εἰς αὐτὸ τὸ χρῶμα τὸ μετεχόμενον. καὶ γὰρ τοῦτο λευκὸν λέγεται,
καὶ λευκὸν εἶναι, καὶ εἶδος λευκότητος. καὶ ἔσται ἑκατέρου ἴδιος ὁ λόγος. τοῦ μὲν, ὡς ὑποκειμένου, οἷον τοῦ
κύκνου, ὅτι ἐστὶ ζῶον τοιόνδε λελευκωμένον. τοῦ δὲ, ὡς καθ' ὑποκειμένου ἢ ἐν ὑποκειμένῳ, ἑκατέρως

γὰρ ὑπὸ

γὰρ ὑπὸ αὐτοῦ λέγεται τὸ συμβεβηκός, ὅτι ἐστὶ χρῶμα διακριτικὸν ὄψεως. ὥστε πολλὰ ἔσται τὰ λευ-
κὰ καὶ μενούσης ἀληθοῦς τῆς λεγομένης προτάσεως, παρὰ τὸ λευκὸν οὐδέν. ἄλλος γὰρ ἑκατέρου λόγος,
καίτοι λευκῶν ἀμφοῖν λεγομένων. καὶ οὐ δεῖ ταραχθῆναι μὴ ἀναγκασθῶμεν, ἕτερον τῷ λόγῳ λέγον-
τες τὸ συμβεβηκὸς παρὰ τὸ ὑποκείμενον, χωριστὴν αὐτῷ δοῦναι τοῦ ὑποκειμένου τὴν ὑπόστασιν. οὐ γὰρ
ἀνάγκη ὧν ὁ λόγος ἕτερος, ταῦτα καὶ καθ' ὑπόστασιν ἀλλήλων κεχωρίσθαι. καὶ γὰρ τὰ συνυφιστάμε-
να ἀλλήλοις ἔχει λόγους οἰκείους. καὶ ἐπέρεισιν οἰκείαν δέχεται τῆς ψυχῆς, ὡς ἐπιφάνεια καὶ σῶμα. οὐ γὰρ
καθὸ χωριστόν, κατὰ τοῦτο λόγον οἰκεῖον ἔχει. τοῦτο δέ φησι Παρμενίδης οὔπω ἑώρα, ὅτι δυνατὸν τὰ
τῇ ὑποστάσει ἓν ὄντα, λόγους διαφόρους ἔχειν, καὶ κατὰ τοῦτο πολλὰ εἶναι. καὶ οὐδὲν ἦν θαυμαστὸν τοὺς
κανόνας τῶν λόγων μήπω τότε διακεκεῖσθαι, ἀλλὰ φωραθέντας ὕστερον ἐξ αὐτῶν τῶν πραγμάτων, οὕ-
τως ἐξενεχθῆναι πρὸς πλείονα συντελοῦντας ἀκρίβειαν. ὡς καὶ ὁ Εὔδημος μαρτυρεῖ λέγων, Παρ-
» μενίδου μὲν οὖν ἀγασθείη ἄν τις, ἀναξιοπίστοις ἀκολουθήσαντος λόγοις, καὶ ὑπὸ τοιούτων ἀπατηθέντος,
» ἃ οὔπω τότε διασεσάφητο. οὔτε γὰρ τὸ πολλαχῶς ἔλεγεν οὐδείς, ἀλλὰ Πλάτων πρῶτον τὸ διττὸν εἰσή-
» γαγεν, οὔτε τὸ καθ' αὑτὸ καὶ τὸ κατὰ συμβεβηκός. φαίνεται δὲ ὑπὸ τούτων διαψευσθῆναι. ταῦτα δὲ
» ἐκ τῶν λόγων καὶ τῶν ἀντιλογιῶν ἐθεωρήθη, καὶ τὸ συλλογιστικόν. οὐ γὰρ συνεχωρεῖτο εἰ μὴ φαίνοι τὸ ἀναγ-
» καῖον. οἱ δὲ πρότερον ἀναποδείκτως ἀπεφαίνοντο. διὰ δὲ τὴν περὶ ταῦτα ἄγνοιαν καὶ οἱ Μεγαρικοὶ κλη-
θέντες φιλόσοφοι, λαβόντες ὡς ἐναργῆ πρότασιν, ὅτι ὧν οἱ λόγοι ἕτεροι ταῦτα ἕτερά ἐστι, καὶ
ὅτι τὰ ἕτερα κεχώρισται ἀλλήλων, ἐδόκουν δεικνύναι αὐτὸν αὑτοῦ κεχωρισμένον ἕκαστον. ἐπεὶ γὰρ
ἄλλος μὲν λόγος Σωκράτους μουσικοῦ, ἄλλος δὲ Σωκράτους λευκοῦ, εἴη ἂν καὶ Σωκράτης αὐτὸς αὑτοῦ
κεχωρισμένος. δῆλον δὲ ὅτι κατὰ μὲν τὸ ὑποκείμενον, καθ' ὃ καὶ ἔστι Σωκράτης, ὁ αὐτός ἐστι, κατὰ δὲ
τὰ συμβεβηκότα, ἕτερος. ὥσπερ καὶ ἓν καὶ πολλὰ κατ' ἄλλο καὶ ἄλλο. ὅτι μέντοι Παρμενίδης μάλιστα
» πάντων οὐκ ἠγνόει τὴν τοιαύτην διαφοράν, δῆλον, εἴπερ ἓν λέγων τοσαῦτα κατηγορεῖ αὐτοῦ. ἔστι γὰρ
» οὖλον μουνογενές τε καὶ ἀτρεμές, ἠδ' ἀγένητον, καὶ ἀκίνητον, καὶ ἀΐδιον, καὶ ἀδιαίρετον, καὶ μυρία
ἄλλα. ὥσπερ διὰ τὴν ἀδιάκριτον τούτων ἐκεῖ ἕνωσιν τῶν κατηγορηθέντων αὐτοῦ ἓν πάντα ἦν, ὡς πάν-
των ἐν αἰτίῳ τῶν μετ' αὐτὸ διακριθέντων, ἀφ' ὧν ἐπὶ ἐκεῖνο τὰς διακεκριμένας κατηγορίας ἀναφέ-
ρομεν. τὸν μέντοι κανόνα αὐτὸν οὐδαμοῦ Παρμενίδης ἐξελήλεγχεν. οὐδὲ γὰρ ἦν οἰκεῖον τὸ κανονικὸν τοῦτο
τῆς τῶν ἀρχαίων βραχυλογίας. ἀλλ' Ἀριστοτέλης βιαιότερόν πως ἐβουλήθη καὶ ἐπὶ τῶν αὐτοῦ τῇ ὑπο-
στάσει, ὡς ἐπὶ τοῦ λευκοῦ σώματος δεῖξαι, ὅτι τὸ λευκὸν πολλά ἐστι τῷ λόγῳ, τό, τε ὡς ὑποκείμενον,
καὶ τὸ ὡς ἐν ὑποκειμένῳ. καίτοι οὐδὲ τοὔνομα τοῦτο τὸ αὐτό. τὸ γὰρ ὑποκείμενον λευκὸν οὐκ ἔστιν οὐδὲ
λέγεται καθ' αὑτό, ἐὰν μή ποτε σὺν τῇ λευκότητι ληφθῇ. ὥστε εἴπερ ἄρα τὸ αὐτὸ ὄνομά ἐστιν ἐν δια-
φόροις λόγοις, οὐχὶ τοῦ ἐν ὑποκειμένῳ καὶ τοῦ ὑποκειμένου, ἀλλὰ τοῦ συναμφοτέρου. διότι καὶ τὸ με-
τέχον λευκὸν λέγομεν μετὰ τῆς μεθέξεως, καὶ αὐτὸ τὸ χρῶμα τὸ μετεχόμενον. ἀκριβολογουμένῳ
δὲ οὐδὲ τούτων τὸ αὐτό ἐστιν ὄνομα, εἴπερ τὸ μέν, λευκόν, τὸ δέ, λευκότης, καὶ τὸ μέν, ποιόν, τὸ δέ, ποιό-
της. διὸ καὶ ὁριζόμεθα τὴν μὲν λευκότητα χρῶμα διακριτικὸν ὄψεως, τὸ δὲ λευκόν, σῶμα λευκό-
τητος μετέχον. ταῦτα δὴ οὖν ἰδὼν ὡς ἔοικεν Εὔδημος, οὐκ ἐβιάσατο ἐπὶ τοῦ ἑνὸς τῇ ὑποστάσει δεῖξαι
τὴν τῶν λόγων διαφοράν. ἀλλ' ἀπὸ κοινοῦ τινος τοῦ καλοῦ τὴν δεῖξιν ἐποιήσατο, πολλοῖς κατὰ λόγον
διαφέρουσιν ἐφαρμόττοντος. ὥστε τὸ δοκοῦν πάλιν ἓν εἶναι τοῦτο κατὰ τὴν κοινότητα, πολλὰ
» εἶναι κατὰ τοὺς λόγους. γράφει δὲ οὕτως. ὥσπερ δὲ εἰ πάντα εἴη τὰ ὄντα καλά, καὶ μηδὲν εἴη λαβεῖν
» ὃ οὐκ ἔστι καλόν, καλὰ μὲν ἔσται πάντα, οὐ μὴν ἕν γε τὸ καλὸν ἀλλὰ πολλά, τόδε μὲν γὰρ χρῶμα κα-
» λόν ἐστι, τόδε δὲ ἐπιτήδευμα, τὸ δέ, ὁτιδήποτε, οὕτω δὴ καὶ ὄντα μὲν πάντα ἔσται, ἀλλ' οὐχ ἓν οὐδὲ
» τὸ αὐτό. ἕτερον μὲν γὰρ ὕδωρ, ἄλλο δὲ τὸ πῦρ. ἴσως δὲ τοῦτον παρῃτήσατο τὸν τρόπον τῆς ἀποδεί-
» ξεως Ἀριστοτέλης, διότι εἰ ὡς κοινὸν ἓν ὑπετίθετο τὸ ὄν, εἴτε ὡς γένος, εἴτε ὡς εἶδος, εἴτε ὡς ὁμώνυμος
φωνή, εὐθὺς καὶ τὰ πολλὰ συνεισήγετο. τὸ γὰρ κοινὸν πλειόνων εἶναι κοινὸν ἀνάγκη. διὸ καὶ ὡς
ἀριθμῷ ἓν ὑποθέμενος, ἐπειδὴ τὸ τοιοῦτον ἕν, ἢ ὡς συνεχές ἐστιν ἕν, ἢ ὡς τῷ λόγῳ τὸ αὐτό, ἢ ὡς ἀ-
διαίρετον, ἔδειξεν ὅτι οὔτε ὡς συνεχές, οὔτε ὡς τῷ λόγῳ τὸ αὐτό. τὸ δὲ ὡς ἀδιαίρετον ὡς ἐναργῶς
ἄτοπον παρῆκεν εὐθύνειν, ὡς σωματικοῦ πέρατος ὑποτεθέντος τοῦ ἀδιαιρέτου.

ἈΝΑΓΚΗ δὴ λαβεῖν τοῖς λέγουσιν ἓν τὸ ὂν εἶναι, μὴ μόνον ἓν σημαίνειν τὸ ὄν, καθ' οὗ ἂν κατηγορηθῇ,
ἀλλὰ καὶ ὅπερ ὄν, καὶ ὅπερ ἕν. τὸ γὰρ συμβεβηκός, καθ' ὑποκειμένου τινὸς λέγεται. ὥστε ᾧ συμβέ-
βηκε τὸ ὂν οὐκ ἔσται. ἕτερον γὰρ τοῦ ὄντος. ἔσται τι ἄρα οὐκ ὄν. οὐ δὴ ἔσται ἄλλῳ ὑπάρχον ἢ τὸ ὅπερ ὄν.
οὐ γὰρ ἔσται ὄντι αὐτῷ εἶναι, εἰ μὴ πολλὰ σημαίνει τὸ ὄν. οὕτως, ὥστε εἶναί τι ἕκαστον. ἀλλ' ὑπόκειται
τὸ ὂν σημαίνειν ἕν. εἰ οὖν τὸ ὅπερ ὄν, μηδενὶ συμβέβηκεν ἀλλ' ἐκείνῳ τί μᾶλλον, τὸ ὅπερ ὂν σημαίνει,
τὸ ὂν ἢ μὴ ὄν. εἰ γὰρ ἔσται τὸ ὅπερ ὄν, τὸ αὐτὸ καὶ λευκόν, τὸ λευκῷ δ' εἶναι μὴ ἔστιν ὅπερ ὄν, οὐδὲ γὰρ
συμβεβηκέναι αὐτῷ οἷόν τε τὸ ὄν, οὐδὲν γὰρ ὄν, ὃ οὐχ ὅπερ ὄν. οὐκ ἄρα ὂν τὸ λευκόν. οὐχ οὕτω δή,
ὥσπερ τι μὴ ὄν. ἀλλ' ὅλως μὴ ὂν ἔσται. τὸ ἄρα ὅπερ ὄν, οὐκ ὄν. ἀληθὲς γὰρ εἰπεῖν τὸ ὅπερ ὄν, ὅτι λευ-
κόν. τοῦτο δέ, οὐκ ὂν ἐσήμαινεν. ὥστ' εἰ καὶ τὸ λευκὸν σημαίνει ὅπερ ὄν, πλείω ἄρα σημαίνει τὸ ὄν.

Δ συνάγειν καὶ τὰ προσεχῶς εἰρημένα καὶ ταῦτα, μὴ πρὸς Παρμενίδην λέγεσθαι μόνον, ἀλλὰ καὶ πρὸς
Μέλισσον. ἐπειδὴ γὰρ τῶν ὄντων τὰ μὲν οὕτως ἐστὶν ὡς συμβεβηκότα, τὰ δὲ, ὡς ὑποκείμενα, οἷς τὰ συμ
βεβηκότα συμβέβηκε, καὶ ταῦτα οὐ μόνον τὰ αὐτὰ οὐκ ἔστιν ἀλλήλοις ἀλλὰ καὶ ὑπεναντία πως,
τό, τε καθ' αὑτὸ ὑφεστὼς, καὶ τὸ ἐν ἄλλῳ τὸ εἶναι ἔχον, ἀνάγκη τὸ ἕτερον τούτων τὸ ὂν λέγειν, ἢ τὸ συμ
» βεβηκὸς, ἢ τὸ τούτῳ ὑποκείμενον. διὸ καὶ ἀρχόμενος τῆς πρὸς αὐτοὺς ἀντιλογίας, ἀρχὴ δὲ οἰκειο-
» τάτη πασῶν φησιν, ἐπεὶ πολλαχῶς λέγεται τὸ ὄν, πῶς λέγουσιν οἱ λέγοντες ἓν εἶναι τὰ πάντα. πό
» τερον οὐσίαν τὰ πάντα, ἢ ποσὰ, ἢ ποιά. ὑποθέμενος οὖν πρότερον διὰ τοῦ λευκοῦ τὴν τοῦ συμβεβηκό
τος φύσιν εἶναι τὸ ὄν, ἔδειξεν ὅτι κατὰ ταύτην τὴν ὑπόθεσιν οὐ δυνατὸν ἓν εἶναι τὸ ὄν. ὧν μὲν γὰρ ἕτε
ροι οἱ λόγοι, ταῦτα ἕτερα ἀλλήλων, καὶ οὐχ ἓν ἀλλὰ πολλά. ἕτερος δὲ ὁ λόγος τοῦ τε συμβεβηκότος,
καὶ ᾧ τοῦτο συμβέβηκεν, εἰ καὶ ἀχώριστα ἀλλήλων. δεῖ δὲ εἶναι καὶ τὸ ὑποκείμενον, εἰ μέλλοι καὶ τὸ
συμβεβηκὸς εἶναι. τοιαύτη γὰρ αὐτοῦ ἡ φύσις. ἀμφοῖν δὲ ὄντων, οὐκ ἔστιν ἓν τὸ ὄν. καὶ τοῦτο μὲν δέδει
κται πρότερον. προστίθησι δὲ καὶ τοιαύτην τοῦ αὐτοῦ νῦν ἀπόδειξιν. εἰ γὰρ τὸ συμβεβηκός ἐστι τὸ ὄν,
ἐκεῖνο, ᾧ τοῦτο συμβέβηκε, καὶ ὂν ἔσται καὶ οὐκ ὂν κατὰ τὸ αὐτό. καθόσον μὲν γὰρ συμβέβηκεν αὐτῷ
τὸ ὄν, ἕτερον ὂν τοῦ ὄντος, οὐκ ὄν ἐστι. μόνον γὰρ ἦν τὸ συμβεβηκὸς ὄν. πάλιν δὲ καθόσον αὐτῷ συμβέβη
κε τὸ ὄν, κατὰ τοῦτο ὄν ἐστι. τὸ γὰρ ὑποκείμενόν τινι, τὴν τοῦ συμβεβηκότος αὐτῷ κατηγορίαν ἢ ὁμω-
νύμως ἢ παρωνύμως ἀναδέχεται. διὸ καὶ ᾧ τὸ λευκὸν συμβέβηκε, τοῦτο λευκὸν φαμέν, ὥστε καὶ ᾧ
τὸ ὄν, τοῦτο ἔσται. ἔσται τι ἄρα ὂν καὶ οὐκ ὂν κατὰ ταὐτὸν, τὸ ὑποκείμενον δηλαδή. ὅπερ ἄτοπον. ὥσ
τε ἀδύνατον τὸ ὂν λέγειν τὸ συμβεβηκός. ἅμα δὲ καὶ ἄτοπον ἦν οὕτω κλεινοῖς ἀνδράσιν ἐγκαλεῖν, ὡς
ἀγνοοῦσιν ὅτι τὸ συμβεβηκὸς συνάγει πάντως ἑαυτῷ καὶ ἄλλο τι, ᾧ συμβέβηκε. δεῖ τοίνυν ὑποθέ
σθαι τὸ ὂν ἓν λέγειν αὐτοὺς, τὸ κυρίως ὂν καὶ μάλιστα τὸ ὄν, καὶ ὡς ἂν Πλάτων μὲν εἴποι τὸ αὐτοόν, Ἀ
ριστοτέλης δὲ τὸ ὅπερ ὄν. τοῦτο γὰρ αὐτῷ σημαίνει τὸ κυρίως ὂν καὶ μάλιστα ὄν. ὅπερ νομίζει τὴν οὐσί
αν, ὡς καὶ καθ' αὑτὴν ὑφεστῶσαν, καὶ τοῖς ἄλλοις τοῦ εἶναι αἰτίαν. οὔτε οὖν τὸ ὂν ὡς συμβεβηκὸς εἰκὸς
λέγειν αὐτοὺς, οὔτε τὸ ἕν. ἀλλὰ καὶ τὸ ὂν ὅπερ ὄν, καὶ τὸ ἓν ὅπερ ἕν. καὶ τὸ συναμφότερον ὅτι ποτε
εἴη τοιοῦτον εἶναι, μὴ ἑτέρῳ τινὶ συμβεβηκὸς, ἀλλ' αὐτὸ καθ' αὑτὸ ὑφεστώς. ὁ δὲ Ἄδραστος βουλόμενος
δηλῶσαι τὸ ὅπερ ὄν, παρεξῆλθεν μὲν ὀλίγον τῶν προκειμένων. χρήσιμα δὲ ὄντα τὰ παρ' αὐτοῦ ῥηθέν
τα, ὧν καὶ Πορφύριος ἐμνημόνευσε, κάλλιον οἶμαι μὴ παραδραμεῖν. λέγει δὲ τῶν πραγμάτων ἁπάν
των τὰ μὲν εἶναι ὑποκείμενα, τὰ δὲ, τούτοις ὑπάρχειν καθ' ὑποκειμένων αὐτῶν. κυρίως μὲν δὴ ὑποκεῖ
σθαι ἑκάστην τῶν πρώτων οὐσιῶν, οἷον τόν τινα ἄνθρωπον, οἷον τὸν Σωκράτην ἢ τόνδε τὸν λίθον. κοινότερον δὲ
πᾶν καθ' οὗ πέφυκεν ἕτερόν τι κατηγορεῖσθαι. τὸ γάρ τι λευκὸν καὶ ἡ τὶς γραμματικὴ, καθ' αὑτὰ μὲν
οὐδαμοῦ ὑπόκειται, ἀλλ' ἔστιν ἐν ὑποκειμένῳ, τὸ μὲν, ἐν τῷδε τῷ σώματι, ἡ δὲ, ἐν τῇδε τῇ ψυχῇ. καὶ
ὑποκειμένων μέντοι καὶ αὐτὰ λόγον ἔχει, ἐπειδὰν τοῦ μὲν, τὸ λευκὸν ἢ τὸ χρῶμα κατηγορῶμεν, τῆς
δὲ, τὴν γραμματικὴν ἢ ἁπλῶς τὴν ἐπιστήμην. ἀλλ' οὖν πάντων τῶν κατά τινων λεγομένων, τὰ μὲν
ὡς οἰκεῖα καὶ καθ' αὑτὸ κατηγορεῖται τῶν ὑποκειμένων. τὰ δὲ, ἔξωθέν πως καὶ ὡς συμβεβηκότα.
καθ' αὑτὸ μὲν καὶ οἰκείως, ὅσα τὸ τί ἐστι καὶ τὴν οὐσίαν σημαίνει τῶν ὑποκειμένων. οἷον οἱ ὅροι. καὶ ὅσα
συμπληρωτικὰ τῆς οὐσίας αὐτῶν ἐστι, καὶ ἐν τοῖς ὅροις παραλαμβάνεται. καθάπερ τὰ γένη καὶ
αἱ διαφοραί. καὶ αὐτὰ δὲ τὰ εἴδη καὶ τὰ ἴδια, καὶ τὰ τοῖς ὀνόμασι μόνοις διαφέροντα. οἷον ἐπὶ τῶν
πολυωνύμων. ἐν πᾶσι γὰρ τούτοις τρόπον τινὰ αὐτὸ ἕκαστον αὑτοῦ κατηγορεῖται, καὶ συνώνυμος αὐ-
τοῦ γίνεται ἡ κατηγορία, ἐπιδεχομένου τοῦ ὑποκειμένου τό, τε ὄνομα καὶ τὸν ὅρον τοῦ κατηγορουμένου,
ὥστε εἶναι καὶ λέγεσθαι τὸ ὑποκείμενον ὅπερ τὸ κατηγορούμενον. Σωκράτης γὰρ ζῷον λογικὸν θνητὸν
λέγεται, καὶ ὅπερ ζῷον λογικὸν θνητὸν λέγεται. καὶ πάλιν Σωκράτης ζῷον προσαγορεύεται. καὶ
ἔστιν ὅπερ ζῷον. καὶ ὅπερ λογικόν. καὶ ἄνθρωπος, καὶ ὅπερ ἄνθρωπος. καὶ ὁμοίως τὸ λευκὸν, οἷον τὸ τουδὶ τοῦ κύκνου,
λευκὸν λέγεται, καὶ ὅπερ λευκὸν λέγεται. καὶ χρῶμα διακριτικὸν ὄψεως, καὶ ὅπερ χρῶμα διακριτικὸν ὄ
ψεως. εἰ μέντοι τὸ λευκὸν ὡς συμβεβηκὸς καὶ κατὰ συμβεβηκὸς ἑτέρου τινὸς κατηγορηθῇ, οἷον τοῦ ἱμα
τίου τὸ λευκὸν, τοῦτο λευκὸν μὲν ῥηθήσεται, οὐκέτι δὲ καὶ ὅπερ λευκόν. οὐ γὰρ ἂν εἴποι τις αὐτὸ χρῶ
μα διακριτικὸν ὄψεως. παραπλησίως οὐδὲ ἐπ' ἄλλου τινὸς τῶν κατὰ συμβεβηκὸς κατηγορουμένων
καὶ ὅπερ ἐστὶ κατηγορεῖν. συμβέβηκε γὰρ Σωκράτει σιμῷ εἶναι, καὶ καθέζεσθαι ἢ διαλέγεσθαι καὶ
ἄλλα πλείω. ἀλλὰ σιμὸς μὲν λέγεται Σωκράτης. σιμότης δὲ οὐ λέγεται, οὐδὲ ὅπερ σιμότης. οὐ γάρ ἐστι
Σωκράτης κοιλότης ἐν ῥινί. καὶ γραμματικὸς μὲν εἰ τύχοι λέγεται, οὐκ ἐπιδέχεται δὲ τὸν ὅρον τῆς
γραμματικῆς. οὐδέποτε γὰρ τὸ ὑποκείμενον ἐπιδέχεται τὸν τοῦ συμβεβηκότος ὅρον, οὐδὲ λέγεται ὅπερ
τὸ συμβεβηκός. ἐπιστῆσαι δὲ οἶμαι χρὴ, μήποτε ὥσπερ τὸ συμβεβηκότος μετέχον, οὐκ ἔστιν ὅπερ τὸ
συμβεβηκὸς, διότι ὁ γραμματικὸς οὐκ ἔστιν ὅπερ ἡ γραμματική, οὕτω καὶ τὸ τῆς διαφορᾶς μετέχον
οὐκ ἔστιν ὅπερ ἡ διαφορά. τὸ γὰρ λογικὸν οὐκ ἔστιν ὅπερ ἡ λογικότης. καὶ ὅλως τὸ παρωνύμως λεγό
μενον, οὐκ ἔστιν ἐκεῖνο ἀφ' οὗ παρωνόμασται. ὁ μέντοι ἄνθρωπος ἐστὶν ὅπερ ζῷον, ὅτι οὐ παρωνύμως λέγε
ται. τῶν δὲ συμβεβηκότων φησὶ, τὰ μὲν, ἀεὶ πάρεστι τούτοις, οἷς ἂν ᾖ συμβεβηκότα, οἷον τὸ σιμὸν, ἢ
τὸ βλαισόν.

τὸ βλαισόν. τὰ δὲ, ὁτὲ μὲν πάρεστιν, ὁτὲ δὲ οὔ. καθάπερ τὸ κοιμᾶσθαι ἢ τὸ περιπατεῖν. καὶ ὅσα ἐνδέχεταί τινι τῷ αὐτῷ ὁτὲ μὲν ὑπάρχειν, ὁτὲ δὲ οὔ. οὐδενὸς δὲ τῶν συμβεβηκότων τὸν ὅρον ἐπιδέχεται τὸ ὑποκείμενον. ἀλλ᾽ οὐδὲ ἐν τῷ ὅρῳ τῶν ὑποκειμένων παραλαμβάνεταί τι τῶν συμβεβηκότων. ὅθεν οὐ λέγεται τὸ ὑποκείμενον ὅπερ τὸ συμβεβηκός. οὐ γὰρ λέγεται ἡ ῥὶς ὅπερ σιμότης. οὐδὲ ὁ σωκράτης ὅπερ διαλέγεσθαι. ἐν μέντοι τοῖς τῶν ἀεὶ συμβεβηκότων ὅροις παραλαμβάνεται τὸ ὑποκείμενον. οἷον ἐν τῷ τῆς σιμότητος ἡ ῥὶς, καὶ ἐν τῷ τῆς βλαισότητος τὰ σκέλη. λέγεται γὰρ ἡ μὲν σιμότης, κοιλότης ἐν ῥινί. ἡ δὲ βλαισότης, κοιλότης ἐν σκέλεσιν. οὐ μέντοι οὐδὲ ἐπὶ τούτων, οὔτε τὸ ὑποκείμενόν ἐστιν ὅπερ τὸ κατηγορούμενον, οὔτε τὸ κατηγορούμενον ὅπερ τὸ ὑποκείμενον. ἔτι καὶ ταῦτα διοριστέον, ὡς ἁπλῶς γε πᾶς λόγος ἔκ τινων μερῶν ἐστιν, οἷον ὀνομάτων καὶ ῥημάτων. ἐν γὰρ τῷ σωκράτης διαλέγεται, μέρη ἐστὶν αὐτοῦ τὸ σωκράτης καὶ τὸ διαλέγεται. ὁμοίως καὶ ὁ τοῦ εἶναι καὶ τῆς οὐσίας λόγος. καὶ γὰρ οὗτος ἐκ τοῦ γένους καὶ τῶν διαφορῶν συμπληροῦται. καὶ ἐν μὲν τῷ ὅλῳ λόγῳ ἑκάστῳ τὰ μέρη αὐτοῦ, καὶ οἱ τούτων πάλιν λόγοι τουτέστιν ὅροι περιέχονται καὶ παραλαμβάνονται. ἐν δὲ τοῖς μέρεσι καὶ τοῖς τούτων ὅροις οἱ τῶν ὅλων, οὐκέτι. οἷον ἐν μὲν τῷ τοῦ ἀνθρώπου ὅρῳ, λέγω δὲ τῷ ζώῳ λογικῷ θνητῷ, ἢ πεζῷ δίποδι, τοῦτον γὰρ τίθησιν ἀριστοτέλης αὐτοῦ λόγον, ὡς οὕτως ὁρισαμένου πλάτωνος, ἔνεστι καὶ ὁ τοῦ ζώου λόγος καὶ ὁ τοῦ δίποδος, καὶ ὁμοίως ἐπὶ τῶν ἄλλων. ἐν δὲ τῷ ζώῳ ἢ ἐν τῷ δίποδι, ἢ ἐν τοῖς τούτων ὅροις, οὐκέτι ἐνυπάρχει οὐδὲ παραλαμβάνεται ὁ τοῦ ἀνθρώπου ὅρος. παραπλησία δέ ἐστι λόγος οὐ μὴν ὁρικός γε, ὁ λέγων ὅτι σωκράτης περιπατεῖ. καὶ ἐν μὲν τῷ ὅλῳ τούτῳ λόγῳ, ἔνεστι καὶ ὁ τοῦ σωκράτους λόγος, καὶ ὁ τοῦ περιπατεῖν. ἐν δὲ τούτων ἑκατέρῳ οὐκέτι ὁ τοῦ ὅλου. τούτων δὴ διωρισμένων, δῆλον ὡς εἰ ἕν ἐστι τὸ ὂν, καθάπερ οἱ περὶ τὸν παρμενίδην φασὶν, οὐδὲν ἔσται ἕτερον ᾧ τοῦτο συμβέβηκεν. ἀλλὰ καθ᾽ οὗ ἂν κατηγορῆται, ἀνάγκη τοῦτο εὐθὺς καὶ ὅπερ ὂν λέγεσθαι καὶ ὅπερ ἓν, ὡσανεὶ αὐτοῦ καθ᾽ ἑαυτοῦ κατηγορουμένου τοῦ ὄντος. εἰ γὰρ μὴ οὕτως, ἀλλ᾽ ὡς συμβεβηκὸς κατ᾽ ἄλλου τινὸς ῥηθήσεται τὸ ὂν, ἔσται ἐκεῖνο ἕτερόν τι τοῦ ὄντος. καὶ διὰ τοῦτο οὐκ ὂν ἅμα καὶ ὄν. ὅπερ ἄτοπον. εἶναι γάρ τι καὶ τὸ αὐτὸ μὴ εἶναι, ἀδύνατον. ὥστε εἰ ἕν ἐστι τὸ ὂν, καὶ ὅπερ ὂν ἔσται, καὶ οὐθενὶ ἑτέρῳ συμβήσεται. οὐ γὰρ ἔσται ὄν τι ἐκείνῳ εἶναι ᾧ συμβέβηκεν, εἴπερ ἕτερον τοῦ ὄντος ἐστίν. εἰ μὴ πολλὰ εἴη τὰ ὄντα οὕτως, ὥστε καὶ ἕτερόν τι εἶναι παρὰ τὸ ὂν, ὅτι παρὰ τὴν οὐσίαν τὸ συμβεβηκός. ἀλλ᾽ ὑπόκειται αὐτοῖς ἓν σημαίνειν τὸ ὄν. λείπεται τοίνυν οὐσίαν μᾶλλον, καὶ τὸ ὑποκείμενον τῷ συμβεβηκότι, εἶναι τὸ κυρίως ὂν, εἴπερ μὴ ἔστι τὸ συμβεβηκός. τοῦτο γὰρ καὶ ἀκολουθότερον. ὃ γὰρ καὶ τοῖς ἄλλοις τοῦ εἶναι αἴτιόν ἐστι, τοῦτο ἂν εἴη μάλιστα ὄν. τοιοῦτο δὲ ἡ οὐσία. πάντα γὰρ τὰ ἄλλα ἤτοι καθ᾽ ὑποκειμένου λέγεται τῆς οὐσίας, ἢ ἐν ὑποκειμένῳ αὐτῇ ἐστιν, ὡς ἐν κατηγορίαις μεμαθήκαμεν. ἀλλὰ καὶ ἓν ἡ οὐσία κυρίως μόνη. τῶν γὰρ ἄλλων ἓν ἕκαστον κατὰ συμβεβηκὸς καλεῖται, τῷ τὴν οὐσίαν ᾗ συμβέβηκεν μίαν εἶναι ταύτην. ἀλλὰ καὶ τὸ οὐσίαν εἶναι ἀδύνατον. εἰ γὰρ τὸ κυρίως ὂν ὃ καλοῦμεν ὅπερ ὂν, μηδενὶ ἄλλῳ συμβέβηκεν, ἀλλ᾽ ἐκείνῳ ἄλλο τι συμβέβηκεν, εἴπερ τὸ ὑποκείμενόν ἐστι, τί μᾶλλον τὸ ὂν τὸ ὅπερ ὂν σημαίνει, ἀλλ᾽ οὐχὶ τὸ μὴ ὄν. εἰ γὰρ μόνον τὸ ὑποκείμενον καὶ τὸ ὅπερ ὂν τοῦτό ἐστιν ὄν, τὸ συμβεβηκὸς αὐτῷ οὐκ ὂν ἔσται. οἷον τὸ λευκόν. εἰ οὖν τὸ ὅπερ ὂν καὶ λευκόν ἐστι, διὰ τὸ συμβεβηκέναι αὐτῷ τὸ λευκὸν, τὸ δὲ συμβεβηκὸς αὐτῷ τὸ λευκὸν, ᾧ λευκὸν εἶναι λέγομεν, τουτέστιν ἡ λευκότης, οὐκ ὄν ἐστιν, οὐχὶ τὶ μὴ ὄν, ἀλλ᾽ ἁπλῶς μὴ ὄν, οὐδὲν γὰρ ὂν ὃ οὐχ ὅπερ ὂν, καὶ τὸ μετέχον ἄρα, καὶ ᾧ συμβέβηκεν, οὐκ ὂν ἔσται ἁπλῶς. ᾧ γὰρ τὸ μὴ ὂν συμβέβηκεν, οὐκ ὄν ἐστιν, ὥσπερ ᾧ τὸ ὂν συμβέβηκεν, ὄν. καὶ ἡ οὐσία οὖν ἤτοι τὸ ὅπερ ὂν, οὐκ ὂν ἔσται ἁπλῶς. καὶ τὸ αὐτὸ κυρίως ὂν, καὶ κυρίως μὴ ὄν. ὃ γὰρ τῷ ὑποκειμένῳ συμβέβηκεν, εἰ συμβεβηκὸς ἦν τὸ ὅπερ ὂν, λέγω δὲ τὸ εἶναι ἅμα καὶ μὴ εἶναι, τοῦτο αὐτὸ τῷ ὅπερ ὄντι συμβαίνει, ἐὰν ὑποκείμενον ὑποτεθῇ. πλὴν ὅτι ἐκείνῳ μὲν τῷ ὑποκειμένῳ, τὸ μὲν εἶναι διὰ τὸ συμβεβηκὸς ὑπάρχει, τὸ δὲ μὴ εἶναι δι᾽ ἑαυτό, τούτῳ δὲ ἀνάπαλιν. ἐπειδὴ τὸ ὅπερ ὂν ἐνταῦθα μὲν ὑποκείμενον, ἐκεῖ δὲ συμβεβηκὸς εἴληπται. εἰ οὖν ταῦτα ἀδύνατα, καὶ ἔστιν ὂν τὸ ὅπερ ὂν ὥσπερ ὑπόκειται, ἀνάγκη καὶ τὸ συμβεβηκὸς αὐτῷ ὂν εἶναι καὶ ὅπερ ὄν, εἴπερ μηδὲν ἄλλο ἐστὶ παρὰ τὸ ὅπερ ὄν. ὥστε πλείω σημαίνει τὸ ὂν, καὶ οὐκέτι ἓν τὸ ὂν, ἀλλὰ καὶ τὰ συμβεβηκότα οὐσία. καί μοι δοκεῖ διὰ τούτων ὁ ἀριστοτέλης τῷ παρμενίδῃ ἐνδείκνυσθαι, ὅτι βουλόμενος τὸ μὴ ὂν ἀνελεῖν, καὶ διὰ τοῦτο ἓν τὸ ὂν ὑποτιθέμενος, ἐπειδὴ τὸ παρὰ τὸ ὂν οὐδέν ἐστιν, οὐ μόνον εἰσάγει τὶ μὴ ὂν διὰ τῆς ὑποθέσεως, ἀλλὰ καὶ αὐτὸ τὸ ὂν μὴ ὂν εἶναι δείκνυσι. καὶ τοῦτο μὲν ἤδη καὶ παρὰ τοῦ πλάτωνος ἐν σοφιστῇ δέδεικται. καὶ ὅτι τὸ ὂν ἓν μέν ἐστι, πολλὰ δὲ οὐκ ἔστιν. οὔτε γὰρ κίνησις, οὔτε στάσις, οὔτε ἄλλα γένη ἐστὶ τὸ ὄν. ὁ μέντοι ἀριστοτέλης ὅτι τοῖς λέγουσιν ἓν τὸ ὂν, οὐχὶ τὶ μὴ ὂν μόνον δειχθήσεται τὸ ὂν, ἀλλ᾽ ἁπλῶς μὴ ὄν. ἐν δὲ τῇ λέξει πολλὴν ἀσάφειαν ἐποίησεν, τῷ ὑποθέμενον αὐτὸν οὐσίαν τὸ ὂν, πάλιν ὅτι μὴ συμβεβηκὸς δεικνύναι, ἐν τῷ, τὸ γὰρ συμβεβηκὸς, καὶ τοῖς ἑξῆς.

ΟΥ ΤΟΙ´Νυν οὐδὲ μέγεθος ἕξει τὸ ὂν, εἴπερ ὅπερ ὂν τὸ ὄν. ἑκατέρῳ γὰρ ἕτερον τὸ εἶναι τῶν μορίων.

Ε´φεξῆς ὅτι οὐδὲ πεπερασμένον ἢ ἄπειρον δεῖ λέγειν τὸ ἓν ὂν, δείκνυσιν ἅμα καὶ πρὸς παρμενίδην καὶ πρὸς μέλισσον ἀφορῶν. εἰ γὰρ ἕν φησι τὸ ὂν, οὐδὲ μέγεθος ἕξει. μέγεθος δὲ οὐκ ἔχον, δηλονότι οὐδὲ

πεπερασμένον οὐδὲ ἄπειρον ἔσται. ὁ δὲ Παρμενίδης καὶ μέγεθος αὐτοῦ κατηγορεῖν αὐτόθεν δοκεῖ, καὶ τὸ ὅλον εἶναι καὶ μέρη ἔχειν, λέγων, » πάντοθεν εὐκύκλου σφαίρης ἐναλίγκιον ὄγκῳ, μέσσοθεν ἰσοπαλές. ὅτι οὖν εἰ ἓν ἐστὶν οὐκ ἕξει μέγεθος, δῆλον, εἴπερ τὸ μὲν ἓν οὐκ ἔστι πολλὰ οὐδὲ ἔχει πολλά. τὸ δὲ μέγεθος ἔχον, μέρη ἔχει. τὸ δὲ μέρη ἔχον, πολλὰ ἔχει καὶ πολλά ἐστι. διότι τῶν μερῶν ἑκάστῳ ἕτερον τὸ εἶναι, οἷς δὲ ἕτερον τὸ εἶναι, ταῦτα διαφέρει ἀλλήλων καὶ πολλά ἐστιν. ἀλλ᾽ οὕτω μὲν ὡς πρὸς ἕτερον ἡ ἐπιχείρησις γίνεται, δεικνῦσα ὅτι πολλά ἐστιν. ἔοικε δὲ ὁ Ἀριστοτέλης καὶ ὡς πρὸς τὸ ὅπερ ὂν ὑπαντᾶν. καὶ γὰρ οὐσίαν ὑπέθετο νῦν τὸ ἓν ὄν. καὶ προσέθηκεν εἴπερ ὅπερ ὂν ἐστιν, οὐδὲν ἄλλο οἶμαι λέγων, ἢ ὅτι εἰ οὐσία μόνον ἐστὶν, οὐκ ἔσται διαιρετόν. τὸ γὰρ εἰς πλείονα μέρη διαιρούμενον, ποσοῦ μετέχει. ἐπειδὴ δὲ ἑκατέρῳ τῶν μορίων ἕτερον τὸ εἶναι εἶπεν, ὁ Ἀλέξανδρός φησιν οἰκειότερον εἶναι μὴ ὡς μεγέθους μόρια ἀκούειν. ἀλλ᾽ ὅτι εἰ καὶ μέγεθος καὶ οὐσία, δύο μέρη ἔσται τοῦ ὄντος, τό, τε ποσὸν καὶ ἡ οὐσία. μήποτε δὲ ἑκατέρῳ εἶπεν, διότι τὸ πρῶτον ἐκ μερῶν συντεθὲν, ἐκ δύο ἐλαχίστων ὤφειλε συγκεῖσθαι. ἐκώλυσεν ἄρα καὶ οὐ πλειόνων. ἴσως δὲ τὸ ἑκάτερον εἶπε, καὶ ὡς ὡρισμένου ἀριθμοῦ τοῦ δύο δηλωτικὸν, καὶ διὰ τοῦτο ποσοῦ μέθεξιν σημαῖνον ἐν τῷ ὄντι ἐναργῶς. μήποτε δὲ οὐ τοῦτο αὐτοῖς ἐπάγει τὸ ἄτοπον ὁ Ἀριστοτέλης, ὅπερ οἱ πολλοὶ τῶν ἐξηγητῶν οἴονται, τὸ μὴ ἔχειν ἂν μέγεθος τὸ ὄν, καίτοι ἄπειρον ἢ πεπερασμένον ὑπ᾽ αὐτῶν λεγόμενον. οὐ γὰρ ἠγνόει ὅτι ἀμέγεθες αὐτὸ καὶ ἀδιαίρετον ἐβούλοντο εἶναι καὶ ἀπεδείκνυσαν. ἀλλ᾽ ὅτι εἰ ἓν μόνον ὑποτεθῇ τὸ ὄν, οὐδὲν ἐν τοῖς οὖσιν ἔσται μέγεθος ἔχον, οὐδὲ ὅλον καὶ μέρη. πολὺ δὲ τοῦτο παρὰ τὴν ἐνάργειάν ἐστι, διὰ τὸ τὰ αἰσθητὰ καὶ φυσικὰ πάντα σώματα εἶναι, μέγεθος ἔχοντα.

ὍΤΙ δὲ διαιρεῖται τὸ ὅπερ ὂν εἰς ὅπερ ὄν τι ἄλλο, καὶ τῷ λόγῳ φανερόν. οἷον, ὁ ἄνθρωπος εἰ ἔστιν ὅπερ ὄν τι, ἀνάγκη καὶ τὸ ζῶον, ὅπερ ὄν τι εἶναι καὶ τὸ δίπουν. εἰ γὰρ μὴ ὅπερ ὄντα, συμβεβηκότα ἔσται. ἢ οὖν τῷ ἀνθρώπῳ, ἢ ἄλλῳ τινὶ ὑποκειμένῳ. ἀλλ᾽ ἀδύνατον. συμβεβηκός τε γὰρ λέγεται τοῦτο. ἢ ὃ ἐνδέχεται ὑπάρχειν, καὶ μὴ ὑπάρχειν. ἢ οὗ ὑπάρχει ἐν τῷ λόγῳ τὸ ᾧ συμβέβηκεν. οἷον, τὸ μὲν καθῆσθαι, ὡς χωριζόμενον. ἐν δὲ τῷ σιμῷ ὑπάρχει ὁ λόγος ὁ τῆς ῥινός. ᾗ φαμεν συμβεβηκέναι τὸ σιμόν. ἔτι ὅσα ἐν τῷ ὁριστικῷ λόγῳ ἔνεστιν, ἢ ἐξ ὧν ἐστιν, ἐν τῷ λόγῳ τῷ τούτων, οὐκ ἐνυπάρχει ὁ λόγος ὁ τοῦ ὅλου. οἷον, ἐν τῷ δίποδι ὁ τοῦ ἀνθρώπου ἢ ἐν τῷ λευκῷ, ὁ τοῦ λευκοῦ ἀνθρώπου. εἰ τοίνυν ταῦτα τοῦτον ἔχει τὸν τρόπον, καὶ τῷ ἀνθρώπῳ συμβέβηκε τὸ δίπουν, ἀνάγκη χωριστὸν εἶναι αὐτό. ὥστε ἐνδέχοιτο ἂν μὴ δίπουν εἶναι τὸν ἄνθρωπον. ἢ ἐν τῷ λόγῳ τοῦ δίποδος, ἐνέσται ὁ τοῦ ἀνθρώπου λόγος. ἀλλ᾽ ἀδύνατον. ἐκεῖνο γὰρ, ἐν τῷ ἐκείνου λόγῳ, ἔνεστιν. εἰ δ᾽ ἄλλῳ συμβέβηκε τὸ δίπουν, καὶ τὸ ζῶον, καὶ μὴ ἔστιν ἑκάτερον, ὅπερ ὄν τι, καὶ ὁ ἄνθρωπος ἂν εἴη τῶν συμβεβηκότων ἑτέρῳ. ἀλλὰ τὸ ὅπερ ὄν τι, ἔστω μηδενὶ συμβεβηκός. καὶ καθ᾽ οὗ ἄμφω, καὶ ἑκάτερον, καὶ τὸ ἐκ τούτων λεγέσθω. ἐξ ἀδιαιρέτων ἄρα τὸ πᾶν.

Ὁ Ἀλέξανδρός φησιν, ὅτι δείξας συνεισάγεσθαι καὶ τὰ συμβεβηκότα τῷ ὅπερ ὄντι, νῦν δείκνυσιν ὅτι κἂν δοθῇ αὐτοῖς τὸ ὅπερ ὂν μόνον εἶναι, τῷ κυρίως τοῦτο εἶναι, τὰ δὲ συμβεβηκότα ἄλλον τρόπον, καὶ οὕτως αὐτῶν τὸ ὂν οὐχ ἓν ἔσται, ἀλλὰ πολλὰ ὅπερ ὄντα. ἥ τε γὰρ ὡς μεγέθους αὐτοῦ διαίρεσις, ἧς ἐμνημόνευσεν, εἰς ὅπερ ὄντα ἔσται. ἀνάγκη δὲ καὶ κατὰ τὸν λόγον διαιρεῖσθαι εἰς ὅπερ ὄντα πλείω, τουτέστι κατὰ τὸν ὁρισμόν. δείξας οὖν κατὰ τὸ μέγεθος καὶ τὴν εἰς τὰ μέρη τούτου διάληψιν, πλείω καὶ ἀνομοιειδῆ γινόμενα τὸ ὅπερ ὄν, εἴπερ ἕτερος ἑκάστου τῶν μερῶν λόγος, ἐπήνεγκε λοιπὸν καὶ τὴν κατὰ τὸν ὁρισμόν. ἐν δὴ τούτοις ὡς ἀποδείξαντος τοῦ Ἀριστοτέλους μέγεθος ἔχειν τὸ ὅπερ ὄν, οὕτως ὁ Ἀλέξανδρος ἐξηγήσατο, καίτοι τοὐναντίον οὐδὲ μέγεθος ἕξει φησὶ τὸ ὄν, εἴπερ ὅπερ ὄν ἐστι. μήποτε οὖν τὴν μὲν ἐκείνων ὑπόθεσιν ὑποθέμενος, τὸ ἓν εἶναι τὸ ὄν, ἀναιρεῖ ἐκ ταύτης τὸ πεπερασμένον ἢ ἄπειρον εἶναι, ἢ μέσσοθεν εὐκύκλου σφαίρης ἐναλίγκιον ὄγκῳ, ὡς ὁ Παρμενίδης φησί. τὰ γὰρ τοιαῦτα μέγεθος ὄντα καὶ διαιρεθέντα, πολλά ἐστι καὶ οὐχ ἕν. διὰ δὲ τοῦ, καὶ τοῦτο ὅπερ ὑποτίθενται ἓν ὂν τὸ ὅπερ ὂν διαιρεῖσθαι κατὰ τὸν ὁρισμὸν εἰς ὅπερ ὄντα, δείκνυσιν ὅτι οὐκ ἔστιν ἕν, ὡς ἄφυκτον αὐτοῖς πανταχόθεν τὸν ἔλεγχον ποιεῖν, δυνάμει συλλογιζόμενον οὕτως, κατὰ τὴν σὺν ἀντιθέσει καλουμένην ἀντιστροφήν. εἰ ἓν ὄν ἐστιν, οὐκ ἔχει μέγεθος, ὅτι οὐ διαιρεῖται. εἰ δὲ διαιρεῖται ὥσπερ φαίνεται κατὰ τὸν ὁρισμὸν, οὐκ ἔστιν ἕν. καὶ τὸ μὲν συνημμένον ἔδειξεν, διὰ τοῦ τὸ μέγεθος διαιρεῖσθαι. τὸ δὲ διαιρεῖσθαι τὸ ὅπερ ὄν, διὰ τοῦ, ὅτι δὲ διαιρεῖται τὸ ὅπερ ὂν εἰς ὅπερ ὄντα πλείονα καὶ τῷ λόγῳ διαφέροντα δῆλον εἰπεῖν ἐκ τοῦ ὁρισμοῦ. ὡς γὰρ ἔχει ὁ ὁρισμὸς οὕτως ἔχει καὶ τὸ ὁριστόν. εἰ οὖν ἀνθρώπου λόγος ὁριστικός ἐστι, τὸ ζῶον πεζὸν δίπουν, καὶ τὰ μέρη τούτου. λέγω δὲ τὸ ζῶον καὶ τὸ πεζὸν καὶ τὸ δίπουν, ὅπερ τινὰ καὶ οὐσία ἐστὶ καὶ τοῖς λόγοις ἕτερα. ἢ γὰρ οὐσίαι εἰσὶν, ἢ συμβεβηκότα. τουτέστιν ἢ ἐν ὑποκειμένῳ, ἢ οὐκ ἐν ὑποκειμένῳ, καὶ παρὰ ταῦτα οὐκ ἔστι. καὶ εἰ συμβεβηκότα, ἤτοι αὐτῷ τῷ ἀνθρώπῳ, ἢ ἄλλῳ τινί. ἄμφω δὲ ἀδύνατα. εἰ γὰρ συμβέβηκε τῷ ἀνθρώπῳ, ἤτοι ὡς χωριστὰ αὐτοῦ συμβέβηκεν αὐτῷ, ὡς τὸ καθῆσθαι. καὶ ἔσται ποτὲ ὁ ἄνθρωπος μὴ ζῶον, ἢ μὴ πεζὸν, ἢ μὴ δίπουν, ὅπερ ἄτοπον. ἢ ὡς ἀχώριστα. ἔστι δὲ ἀχώριστον συμβεβηκὸς, οὗ ἐν τῷ λόγῳ ὑπάρχει τὸ ᾧ συμβέβηκε. τὸ γὰρ σιμὸν ἀχώριστον συμβεβηκός ἐστι τῆς ῥινός. διὸ τὴν σιμότητα ὁριζόμενοι, τὴν ῥῖνα παραλαμβάνομεν. σιμότης γάρ ἐστι κοιλότης ἐν ῥινί. ταῦτα δὲ καὶ καθ᾽ αὑτὰ ὑπάρχειν ἐν τοῖς ὑστέροις Ἀναλυτικοῖς φησι. καὶ γάρ ἐστι καὶ συμβεβηκότα καθ᾽ αὑτὰ ὑπάρχοντα. εἰ οὖν ἐν τῷ λόγῳ τοῦ ζώου καὶ τοῦ πεζοῦ καὶ τοῦ δίποδος, καὶ ὅλων τῶν συμ-

πληροῦντα τὸν ὁρισμόν, μὴ παραλαμβάνεται ὁ ἄνθρωπος, ὁριζόμενοι γὰρ τὸ ζῷον οὐ παραλαμβάνομεν τὸν ἄνθρωπον, ἀλλ' ἀνάπαλιν τὸν ἄνθρωπον ὁριζόμενοι τὸ ζῷον παραλαμβάνομεν, δῆλον ὅτι οὐδὲ ὡς ἀχώριστα συμβεβηκότα τοῦ ἀνθρώπου ἔσται ταῦτα. εἰ δὲ ἄλλῳ τινὶ συμβήσεται ταῦτα, ἤδη μὲν πλείω τὰ ὄντα. καὶ γὰρ ἐκεῖνο ᾧ συμβέβηκεν οὐσία ἔσται καὶ ὅπερ ὄν. ὁ δέ, οὐκέτι ἐπὶ τοῦτο ἤγαγε τὸν λόγον. ἀλλ' ἐφ' ὃ προσέθετο δεῖξαι, ὅτι τὸ ὅπερ ὂν εἰς ὅπερ ὄντα διαιρεῖται τῷ λόγῳ. εἰ γοῦν ἄλλῳ τινὶ συμβέβηκε, δῆλον ὡς καὶ τὸ ἐκ τούτων συμπληρούμενον ὅλον, τουτέστιν ὁ ἄνθρωπος, ἐκείνῳ συμβήσεται. εἰ γάρ τινι ζῴῳ εἶναι ὑπάρχει καὶ πεζῷ καὶ δίποδι, τούτῳ καὶ ἀνθρώπῳ εἶναι ὑπάρξει. ἀλλ' ἔστιν ὁ ἄνθρωπος οὗτοσὶ καὶ ὅπερ ὄν. τὸ δὲ ὅπερ ὂν καὶ ἡ οὐσία ὑπόκειται μηδενὶ συμβεβηκός. ὥστε οὐδὲ τὰ ἐν τῷ ὁρισμῷ παραλαμβανόμενα συμβεβηκότα εἶναι, ἀλλὰ πάντα ὅπερ τινά. ὥστε εἰ διαιρεῖται τὸ ὂν εἰς ὄντα, πολλὰ πάλιν οὕτως ἔσται τὰ ὄντα. εἰ δὲ μὴ πολλά, ἀλλ' ἓν τὸ ὂν ἕκαστον, οὔτε διὰ τὴν συναντιθέσει ἀντιστροφὴν μέγεθος ἕξει, οὔτε ὅλον, οὔτε μέρη ἔσται. ἀλλ' οὐδὲ ὁρισμὸς ἔσται τινός. οὐδὲ γὰρ ὁ λόγος ἕξει μόρια. ἀλλὰ καὶ αὐτὸς ἀδιαίρετος ἔσται. ἐξ ἀδιαιρέτων ἄρα τῶν κατὰ μόριος ὄντων, οἷον ἀνθρώπου καὶ ἵππου καὶ τῶν ἄλλων ἔσται τὸ πᾶν, εἴπερ τούτων μηδὲν διαιρετόν. καὶ δῆλον ὅτι ἀδιαίρετον καὶ αὐτὸ τὸ πᾶν ἔσται, διαιρετὸν ὂν καὶ λεγόμενον. οὔτε γὰρ τὰ ἀδιαίρετα πολλὰ ἔσται, πλήθους μὴ ὄντος ἐν τῷ ἑνὶ ὄντι, καὶ εἰ πολλὰ δὲ εἴη, τὸ ἐξ αὐτῶν συντιθέμενον ἀδιαίρετον ἔσται. πολλῶν γὰρ συνελθόντων σημείων, ἓν γίνεται σημεῖον τὰ πάντα, ὡς καὶ αὐτὸς δείξει. ταῦτα δὲ ἄτοπα. καὶ γὰρ καὶ φαίνεται καὶ δέδεικται διαιρετὸν οὐ μόνον τὸ πᾶν, ἀλλὰ καὶ ἕκαστον τῶν ὄντων. ὃ καὶ ἔοικεν ἐκ περιουσίας δεικνύναι, ὅτι οὐ μόνον τὸ ὅλον πολλὰ ἔσται, ἀλλὰ καὶ ἕκαστον τῶν παντός. ὁ δὲ Ἀλέξανδρος τὸ ἐξ ἀδιαιρέτων ἄρα τὸ πᾶν ἀξιοῖ καὶ οὕτως ἀκούειν, ὡς ἐκ μὴ συμβεβηκότων, μὴ δὲ χωρίζεσθαι δυναμένων ἀπ' αὐτοῦ, μὴ δὲ ἄλλης οὔσης φύσεως, ἀλλὰ τῶν αὐτῶν τῷ παντί. οὐσία δὲ τὸ πᾶν καὶ τὸ ὄν, καὶ τὰ μόρια ἄρα αὐτοῦ οὐσίαι. ὡσανεὶ ἔλεγεν, ἐξ οὐσιῶν ἄρα τὸ πᾶν ἐξ ὧν ἐστι, καὶ διαιρεῖται εἰς ταῦτα. ὥστε δέδεικται τὸ προκείμενον, ὅτι διαιρεῖται τὸ ὅπερ ὂν εἰς ὅπερ ὄντα. ὥστε μὴ ὡς ἄτοπον ἐπιτυχεῖν, τὸ ἐξ ἀδιαιρέτων ἄρα τὸ πᾶν. ἀλλ' ὡς ἀκόλουθον μόνον τοῖς εἰρημένοις. αὕτη μὲν ἡ ὅλη τῶν εἰρημένων ἔννοια. κατὰ δὲ τὴν λέξιν, ὅταν λέγῃ ὅσα ἐν τῷ ὁριστικῷ λόγῳ ἔνεστιν ἢ ἐξ ὧν ἐστι, δηλοῖ ὅτι καὶ ἐν οἷς μὴ ἔστιν ὁρισμός, ὥσπερ ἐν ταῖς ἀτόμοις οὐσίαις, ἔστιν ὅμως τινὰ τὰ ἐξ ὧν ἐστι. τὸ δὲ καθ' οὗ ἄμφω καὶ ἑκάτερον καὶ τὸ ἐκ τούτων λεγέσθω, ἤτοι καθόλου τὸ ἐκ τῶν μορίων συγκείμενον, τοῦτο ἔστω καὶ λεγέσθω, ὅπερ καὶ τὰ μόρια ἄμφω, καὶ ἑκάτερον, εἰ τὰ μόρια συμβεβηκότα, καὶ τὸ ὅλον. ἢ μᾶλλον ἀνάπαλιν, ὅτι καὶ τὰ μόρια λεγέσθω τοῦτο, ὅπερ καὶ τὸ ἐκ τῶν μορίων. τὸ δὲ ἐκ τῶν μορίων οὐσία ἦν, καὶ ὅπερ ὄν, καὶ οὐδενὶ συμβεβηκὸς ὄν. καὶ τὰ μόρια ἄρα οὐσίαι καὶ ὅπερ ὄντα καὶ οὐ συμβεβηκότα. γράφεται δέ, καὶ καθ' οὗ ἄμφω, καὶ ἑκάτερον, καὶ τὸ ἐκ τούτων λεγέσθω. τουτέστι καθ' οὗ ἂν λέγηται, καὶ ἑκάτερον ἤγουν ἕκαστον τῶν μορίων, κατὰ τούτου καὶ τὸ ἐκ τῶν μορίων λεγέσθω. τούτῳ δὲ ἂν εἴη ἀκόλουθον, τὸ καὶ ὁ ἄνθρωπος ἂν εἴη τῶν συμβεβηκότων ἑτέρῳ. ὧν μεταξὺ παρέλαβε, τό, ἀλλὰ τὸ ὅπερ ὂν ἔστω μηδενὶ συμβεβηκός. ἐν τούτοις δὲ καὶ τοῦτο προσθετέον, ὅτι τὸ διαιρούμενον νῦν ὅπερ ὄν, οὔτε ὡς γένος, οὔτε ὡς εἶδος διαιρεῖται. δῆλον ἐκ τοῦ τὸν ἄνθρωπον οὐκ εἰς τοὺς ἀτόμους, ἀλλ' εἰς τὸν ὁρισμὸν διελεῖν. ἐπειδὴ δὲ Φιλοπόνως ὁ Ἀλέξανδρος συνήγαγε τοὺς εἰς τὸν τόπον συλλογισμούς, φέρε καὶ ἡμεῖς αὐτοὺς ἐκθώμεθα κατὰ δύναμιν, ἔχοντας οὕτως ἐξ ἀρχῆς τοῦ λόγου. οἱ γὰρ τὸ ὂν ἓν λέγοντες, ἢ πολλαχῶς λέγεσθαι τὸ ὄν φασιν, ἢ μοναχῶς. ἀλλ' εἰ μὲν πολλαχῶς, ὁμολογήσουσι πολλὰ εἶναι τὰ ὄντα. καὶ γὰρ καὶ οὐσία, καὶ ποσόν, καὶ ποιόν, καὶ τὰ ἄλλα, εἰς ὅσα διαιρεῖται τὸ ὄν. ἀλλ' οὐχ ἕν. ὥστε οὐ πολλαχῶς. μοναχῶς ἄρα. κατὰ τὸν πέμπτον καλούμενον ἀναπόδεικτον. εἶτα ὁ β' συλλογισμὸς μοναχῶς ὑποτιθέμενος λέγεσθαι τὸ ὄν, διαιρετικὸς καὶ αὐτός, τοιοῦτος. τὸ ἓν ὄν, ἤτοι οὐσία ἐστὶν ἢ συμβεβηκός, κατὰ τὴν δίχα γινομένην τῶν ὄντων ἐν Κατηγορίαις διαίρεσιν, εἴς τε τὸ ἐν ὑποκειμένῳ, καὶ εἰς τὸ οὐκ ἐν ὑποκειμένῳ. ἀλλὰ μὴν συμβεβηκὸς οὐκ ἔστιν. οὐσία ἄρα. κατὰ τὸν πέμπτον ἀναπόδεικτον καὶ οὗτος συναχθείς. ὅτι δὲ οὐ συμβεβηκὸς τὸ ἓν ὄν, ὁ τρίτος δείκνυσι συλλογισμὸς οὕτως. εἰ συμβεβηκός, τὸ ὑποκείμενον αὐτῷ ἔστιν ἅμα καὶ οὐκ ἔστιν. ἀλλὰ μὴν τοῦτο ἀδύνατον. οὐκ ἄρα συμβεβηκὸς τὸ ὄν. διὰ δευτέρου ἀναποδείκτου. ἔδειξε δὲ τὸ συνημμένον, ἐκ τοῦ τὸ ὑποκείμενον τῷ ἑνὶ καὶ μόνῳ ὄντι, διὰ μὲν τὸ ἄλλο παρ' αὐτὸ εἶναι, μὴ ὂν εἶναι. οὐ γὰρ ἦν ἄλλο τι παρὰ τὸ ὄν. διὰ δὲ τὸ ὑπάρχειν αὐτῷ τὸ ὂν καὶ αὐτὸ γίνεσθαι ἕν. ὅτι δὲ οὐδὲ ἡ οὐσία ἐστὶ τὸ κυρίως ὄν, ἢ ὡς αὐτός φησι τὸ ὅπερ ὄν, δείκνυσι πάλιν οὕτως. εἰ οὐσία τὸ ὅπερ ὄν, οὐδὲν μᾶλλον ὂν σημαίνει τὸ ὅπερ ὂν ἢ μὴ ὄν. ὥστε τὸ ὅπερ ὂν ὁμοίως ὂν καὶ μὴ ὂν ἔσται. καὶ πλείω σημαίνει τὸ ὄν, ἓν μόνον ὑποτεθὲν σημαίνειν. ἀλλὰ μὴν ταῦτα ἀδύνατα. οὐκ ἄρα ἡ οὐσία ἐστὶ τὸ ὅπερ ὄν. ὅτι δὲ οὐδὲν μᾶλλον ὂν ἢ μὴ ὂν ἔσται τὸ ὅπερ ὄν, δείκνυσιν οὕτως. εἰ τὸ ὅπερ ὄν, οὐσία καὶ ὑποκείμενόν ἐστι, τῇ δὲ οὐσίᾳ τὰ συμβεβηκότα ὑπάρχει, ἅπερ ἐστὶ τὰ μὴ ὄντα διὰ τὸ παρὰ τὸ ὂν εἶναι, ᾧ δὲ τὸ μὴ ὂν ὑπάρχει μὴ ὂν τοῦτο, ἡ οὐσία ἄρα καὶ τὸ ὑποκείμενον μὴ ὂν ἔσται. καὶ οὐδὲ τὶ μὴ ὄν, ἀλλ' ὅλως μὴ ὄν. τοῦτο γὰρ ἦν μὴ ὂν τὸ ὑπάρχον αὐτῇ συμβεβηκός. ὅτι δὲ καὶ πλείω σημαίνει τὸ ὅπερ ὄν, δείκνυσιν οὕτως. εἰ τὸ ὑποκείμενόν ἐστι τὸ ὅπερ ὄν, δυνατὸν καὶ ἀπὸ τοῦ συμβεβηκότος αὐτὸ ὀνομάζειν, οἷον λευκόν. ὥστε καὶ λευκανθήσεται. ἔσται δὴ καὶ τούτῳ ἓν εἶναι, καὶ ὅπερ ὂν εἶναι. οὐ γάρ ἐστιν ἄλλο τι παρὰ τοῦτο. καὶ οὕτω πολλὰ τὸ ὂν ἔσται. ὅτι δὲ οὐδὲ μέγεθος ἕξει τὸ ἓν ὄν, δεί-

κνυσιν οὕτως. τὸ ὅπερ ὂν αὐτὸ μόνον ὑποκείμενον, πολλὰ οὐκ ἔστιν, οὐδὲ ἔχει πλῆθος. τὸ δὲ μέγεθος
ἔχον πολλά ἐστι. τὸ ἄρα ὅπερ ὂν μέγεθος οὐκ ἔχει. ὅτι δὲ τὸ μέγεθος ἔχον πολλά ἐστι, δείκνυσιν οὕτως.
τὸ μέγεθος μέρη ἔχει. τὸ μέρη ἔχον, πολλὰ ἕτερα τῷ λόγῳ ἔχει. τὸ ἕτερα τῷ λόγῳ ἔχον, πολλὰ ἐν ἑαυ
τῷ ἔχει καὶ πολλά ἐστι. καὶ ἐπὶ τέλει λοιπόν, ὅτι τὸ ὅπερ ὂν εἰς ὅπερ ὄντα διαιρεῖται, καὶ τῷ λόγῳ διαφέ
ροντα, δείκνυσιν ἐπί τινος ὅπερ ὄντος, τὸν ὁρισμὸν αὐτοῦ λαβών, καὶ συναγαγὼν ὅτι τὰ τοῦ ὁρισμοῦ
μέρη καὶ αὐτὰ ὅπερ ὄντα ἐστί. συνάγει δὲ οὕτως. ἀνάγκη ἢ οὐσίας αὐτὰ εἶναι ἢ συμβεβηκότα. ἀλλὰ μὴν
συμβεβηκότα οὐκ ἔστιν. οὐσία ἄρα. κατὰ τὸν πέμπτον ἀναπόδεικτον καὶ τοῦτο. εἰ τοίνυν τὸ ἓν ὡς εἴρηται
πρότερον, ἢ ὡς συνεχές ἐστιν ἕν, ἢ ὡς ὧν ὁ λόγος ὁ αὐτός, ἢ ὡς τὸ ἀδιαίρετον, δέδεικται δὲ τὸ ἓν ὂν μή
τε μέγεθος ἔχειν δυνάμενον, μήτε ὁρισμόν, μήτε ἀδιαίρετον ὄν, δηλονότι κατ' οὐδὲν τῶν τοῦ ἑνὸς σημαι
νομένων ἓν ἂν εἴη τὸ ὄν. ἀλλ' ἐπεὶ παρ' ὅλην τὴν ἐξήγησιν τὸ ὅπερ ὂν ὡς οὐσίαν καὶ αὐτὸς ἐξεδεξάμην,
καὶ οὐσίαν τὴν ἄτομον καὶ ἀριθμῷ μίαν, τινὲς δὲ τῶν τοῦ Ἀριστοτέλους ἐξηγητῶν. ὧν καὶ Ἀσπάσιός ἐστι, τὸ ὅ-
περ ὄν, τῶν ὄντων τὸ γένος λαμβάνουσι, πρὸς οὓς ἱκανῶς ἀντείρηκεν Ἀλέξανδρος ὁ Ἀφροδισιεύς, ἐπιτετ
μημένως ἐκκείσθω τὰ παρ' ἐκείνου λεγόμενα. τινὲς γάρ φησιν οὕτως ἤκουσαν τῆς λέξεως, ὡς λέγον-
τος αὐτοῦ ἀναγκαῖον εἶναι τοῖς μοναχῶς λέγουσι τὸ ὂν λέγεσθαι, κοινόν τι γένος πάντων τῶν ὄντων λαμ-
βάνειν, εἰς ὃ πάντα τὰ κατὰ μέρος ὄντα χωρεῖ, καὶ τοῦτο λέγειν εἶναι τὸ ὂν καὶ οὕτως ἕν. ἐπεὶ μηδὲν τῶν
ὑπὸ τὸ ὂν λαμβάνοντες, ἓν ἔτι τὸ ὂν δύνανται λέγειν, τῷ καὶ τὰ ἄλλα τῷ τιθέντι συνεισάγεσθαι. καὶ γὰρ
τῇ οὐσίᾳ τὰ συμβεβηκότα, καὶ τοῖς συμβεβηκόσιν ἡ οὐσία συνεισάγεται, ὡς ἔδειξε. ποιοῦνται δὲ τὸν λόγον,
καὶ ἀπὸ τοῦ ἐν τοῖς Τοπικοῖς τὸ ὅπερ ὂν ἐπὶ τοῦ γένους τιθέναι, λέγοντα, ὁ ἄνθρωπος ὅπερ ζῷον, ἀντὶ τοῦ ἐν
γένει τῷ ζῴῳ. ὅτι δὲ οὐχ οὕτω νῦν λέγει τὸ ὅπερ ὄν, ἀλλὰ τὴν οὐσίαν σημαίνει, δῆλον ἐκ τῶν προειρημέ-
νων. καὶ γὰρ δεῖ πρὸς τὴν τοιαύτην ὑπόθεσιν ἀντειπεῖν, εἴρηκεν ἤδη ἐν οἷς ἔλεγεν, εἰ μὲν γὰρ ἔσται καὶ οὐσία
καὶ ποσὸν καὶ ποιόν, καὶ ταῦτα εἴτε ἀπολελυμένα ἀπ' ἀλλήλων εἴτε μή, πολλὰ τὰ ὄντα. πάντα γὰρ
ταῦτα τίθεται, ὁ τὸ ὂν ὡς γένος λέγων. ὥστε εἴρηκε καὶ πρὸς ταύτην τὴν δόξαν, εἴπερ ἄρα ἐδεῖτό τινος
ἀντιλογίας. ἔοικε γὰρ ὡς παντελῶς ἐναντιολόγου καταφρονῆσαι. ὁ γὰρ ἕν τι μόνον εἶναι βουλόμενος
οὕτως ὡς ἀριθμῷ ἕν, οὐκ ἂν εἴποι γένος εἶναι ἓν τοῦτο. διότι τὸ γένος πλῆθος εὐθὺς καὶ εἰδῶν καὶ ἀτόμων
ἑαυτῷ συνεισάγει. ἀλλὰ πόθεν δῆλον φαίη ἄν τις, ὅτι ὡς ἀριθμῷ ἓν ἔλεγεν ὁ Παρμενίδης. ἀλλὰ καὶ ἐξ
ἐκείνου δῆλον, ὅτι οὐχ ὡς γένος λέγει τὸ ὅπερ ὄν, ἀλλ' ὡς οὐσίαν. δείκνυσι γὰρ ὅτι οὐκ ἔστι συμβεβηκός,
ἐκ τοῦ τὸ συμβεβηκὸς καθ' ὑποκειμένου λέγεσθαι. ὥστε αὐτὸ οὐ καθ' ὑποκειμένου, ἀλλ' ὑποκείμενον. ὅ
περ ἐστὶν οὐσία καθ' αὑτὴν ὑφεστῶσα, καὶ μὴ δεομένη τινὸς ἄλλου πρὸς τὸ εἶναι. τὸ δὲ γένος καὶ αὐτὸ τῶν
καθ' ὑποκειμένου ἐστίν. ὥστε οὐκ ἂν εἴη γένος τὸ ὅπερ ὄν, εἰ σαφῶς αὐτῷ τὸ καθ' ὑποκειμένου ἀντιδιέει
λεν. ἔτι μετ' ὀλίγον αὐτὸς ὁρᾷ, τίς γὰρ μανθάνει αὐτὸ τὸ ὄν, εἰ μὴ τὸ ὅπερ ὄν, τί εἶναι. εἰ οὖν τὸ αὐτὸ ὂν μὴ
τῷ γένει ἀλλὰ τῇ οὐσίᾳ προσήκει, οὐσία ἂν εἴη τὸ ὅπερ ὄν. πρὸς δὲ τοῦτο ἔστιν εἰπεῖν, ὅτι τὸ, αὐτὸ κατὰ
τῶν γενῶν ὁ Πλάτων φέρει. ἀλλ' οὐχὶ τῶν ὑστερογενῶν, ἀλλὰ τῶν διὰ πάντων χωρούντων κατὰ μίαν κοινὴν
φύσιν. ἔτι δὲ εἰ τὸ ἀντικείμενον τῷ συμβεβηκότι λαμβάνει, ὡς δῆλον ἐκ τῶν ἀλλὰ τὸ ὅπερ ὂν ἔστω μηδενὶ
συμβεβηκός, ἀντίκειται δὲ τῷ συμβεβηκότι οὐ τὸ γένος ἀλλ' ἡ οὐσία, αὕτη ἂν εἴη τὸ ὅπερ ὄν. ἔτι ἐκ-
διαιρέσεως τὴν ἀντιλογίαν ποιούμενος, εἰς συμβεβηκὸς καὶ τὸ ὅπερ ὂν διεῖλεν. οὐ γὰρ ἦν ἀναγκαία ἐρώ-
τησις, τί λέγουσι τὸ ὄν, συμβεβηκὸς ἢ γένος. ἔστι γάρ τι παρὰ ταῦτα. ὥστε εἰς οὐσίαν. οὐσία ἄρα τὸ
ὅπερ ὄν. ἔτι τὸ τὸ ἓν ποσαχῶς λέγεται διαιρῶν, τὸ κατὰ τὸν ἀριθμὸν ἓν διεῖλεν. τοῦ δὲ τῷ γένει ἢ εἴδει
ἑνὸς οὐκ ἐμνημόνευσεν, ὡς προφανῶς εἰσάγοντος τὸ πλῆθος. ἔτι τὸ μὲν γένος δύο ἔχει, τό, τε οὐσιώ
δες καὶ τὸ κοινόν. ἡ δὲ οὐσία, τὸ εἶναι οὐσία μόνον. εἰ οὖν οὐδαμοῦ πρὸς κοινότητα ἀλλ' ὡς πρὸς οὐσίαν
μόνον ἀντιλέγει, οὐ γένος ἀλλ' οὐσία τὸ ὅπερ ὄν. ἔτι αὐτὸς προελθὼν λέγει, εἰ οὖν τὸ ὅπερ ὂν μηδενὶ
συμβέβηκεν. γένη δέ ἐστι τινὰ συμβεβηκότα, καὶ εἰ μὴ τούτοις ὧν ἐστι γένη, ἀλλὰ τῇ γε οὐσίᾳ τῶν συμ
βεβηκότων γένη συμβεβηκέναι λέγεται. οἷον ἀνθρώπῳ τὸ χρῶμα. εἰ τοίνυν ἐν μὲν τῷ γένει ἔστι τι καὶ
συμβεβηκός, ἐν δὲ τῇ οὐσίᾳ οὐδέν ἐστι τοιοῦτον, αὐτὸς δὲ τὸ ὅπερ ὂν ὡς ἀντικείμενον τῷ συμβεβηκότι
τίθησι, τὴν οὐσίαν ἂν λέγοι τὸ ὅπερ ὄν, οὐ τὸ γένος. ὃ καὶ τῆς τοῦ συμβεβηκότος φύσεως ἐφάπτεται.
ἔτι αὐτὸς προελθὼν λέγει, εἰ οὖν τὸ ὅπερ ὂν μηδενὶ συμβέβηκεν, ἀλλ' ἐκείνῳ. εἰ οὖν ᾧ συμβέβηκε τὰ
συμβεβηκότα, ἡ οὐσία ἐστὶν ἀλλ' οὐχὶ τὸ γένος, ἡ οὐσία ἂν εἴη τὸ ὅπερ ὄν. οὐ τὸ γένος. ἔτι δὲ διαιρῶν τὸ ὅ
περ ὄν, οὐκ εἰς τὰ εἴδη καὶ τὰ ἄτομα αὐτὸ διαιρεῖ, ἥπερ γένους διαίρεσις. ἀλλ' εἰς τὸν ὁρισμὸν καὶ τὰ ἐν
τούτῳ, τουτέστιν εἰς γένος καὶ διαφοράς. ἥπερ διαίρεσις, οὐσίας ἂν εἴη, ἀλλ' οὐχὶ γένους. διότι τῶν μὲν
οὐσίας ἔστι γένος. τοῦ δὲ ἀνωτάτω πάντων γένους οὐδέν ἐστιν ἐπαναβεβηκὸς γένος. ἔτι τὰ γένη καὶ τὰς
διαφορὰς δείκνυσιν ὅπερ ὄντα εἶναι, διότι μέρη τοῦ ὅπερ ὄντος ἐστίν. εἰ οὖν τὸ γένος δι' ἄλλο τι ἐστὶν ὅπερ
ὄν, οὐκ ἂν εἴη αὐτὸ ὅπερ ὄν. ἀλλ' ἡ οὐσία, δι' ἣν καὶ τὸ γένος τῆς οὐσίας οὐσιοῦται. ὡς τὸ τοῦ συμβεβη
κότος συμβεβηκός ἐστιν. ἔτι οὐδὲ θέσις ἂν τὸ τοιοῦτον οὐδὲ παράδοξος ὑπόληψις ἔδοξε. πολλοῖς γὰρ
δοκεῖ τῶν φιλοσόφων ἓν εἶναι τὸ ὂν ὡς γένος. ἔτι εἰ τὸ ὅπερ ὂν γένος ὑπετίθετο, πῶς τὸ λευκὸν ἢ ἄλ
λο τι τῶν συμβεβηκότων μὴ εἶναι ἔλεγεν. εἴδη γὰρ ταῦτα τοῦ ὄντος ὥσπερ καὶ ἡ οὐσία. αὐτὸς δὲ μὴ εἶναι

ἐκεῖνα

ἐκεῖνα λαβών, οὕτω μὴ ὂν συνήγαγε καὶ τὸ ὅπερ ὄν, ᾧ ταῦτα ὑπάρχει. καὶ μὴ ὄν, οὔ τι μὴ ὄν, ἀλλ' ἁπλῶς μὴ ὄν. καίτοι πῶς ἂν ἁπλῶς μὴ ὂν εἴη τὸ συμβεβηκός, εἰ γένος αὐτοῦ τὸ ὅπερ ὂν ἦν. ἔτι εἰ τὸ ὅπερ ὂν γένος, διατί πάντα τὰ ὑπ' αὐτὸ ἢ οὐκ ὄντα ἢ ὅπερ ὄντα ἔσται. οὐ γὰρ πάντα τὰ ὑπὸ τὸ γένος γένη καὶ αὐτά ἐστιν. ἔτι εἰ γάρ ἐστι φησὶ τὸ ὅπερ ὂν τὸ αὐτὸ καὶ λευκόν. καὶ τὸ μὲν γένος οὐκ ἄν τις εἴποι λευκόν. τὴν δὲ οὐσίαν τὴν μετέχουσαν λέγομεν. ἐκ δὲ οὖν δῆλον ὅτι καὶ οὐσίαν τὴν ὡς ἄτομον λέγει, ἀλλ' οὐχὶ τὴν γενικήν. ἔτι προχειρότατον ἦν τὸ δεῖξαι πολλὰ τὰ ὄντα, διὰ τοῦ ἐκθέσθαι τὸν τοῦ γένους ὁρισμόν. κατὰ πλειόνων γὰρ τὸ γένος. ὁ δὲ, μηδαμοῦ μνημονεύσας τούτου, ἐναργῶς δεικνὺς αὐτὸς πολλὰ εἶναι τὰ ὄντα, δῆλός ἐστι τὸ ὅπερ ὂν μὴ ὡς γένος λαμβάνων. εἰ δέ τις διατοῦτο ἀξιοῖ τὸ ὅπερ ὂν τὸ γένος λέγειν, διότι τὸ γένος ἐν ἄλλοις ὅπερ ὂν καλεῖ, ὥρα αὐτῷ καὶ τὴν διαφορὰν ὅπερ ὂν λέγειν. καὶ γὰρ καὶ ταύτην ἐνταῦθα ὡς συμπληρωτικὴν τοῦ ὅπερ ὄντος, ὅπερ ὂν καλεῖ. καὶ ἐν οἷς μέντοι τὸ γένος ὅπερ ὂν καλεῖ, ὡς οὐσιωδῶς κατηγορούμενον, καὶ ποιοῦν ἐκεῖνο οὗ κατηγορεῖται ὅπερ αὐτό, οὕτως ὅπερ ὂν καλεῖ. καὶ ὁ Εὔδημος δὲ τῷ Ἀριστοτέλει πάντα κατακολουθῶν, τοῦ ὅπερ ὄντος ἐκεῖνος οὐκ ἤκουσεν ὡς γένους. ἐν γοῦν τῷ πρώτῳ τῶν Φυσικῶν περὶ Παρμενίδου λέγων, ταῦτα γέγραφεν ὡς Ἀλέξανδρός φησιν. ἐγὼ γὰρ οὐχ εὗρον ἐν τῷ Εὐδημίῳ τὴν λέξιν ταύτην. τὸ μὲν οὖν κοινὸν οὐκ ἂν λέγοι. οὔτε γὰρ ἐζητεῖτό πω τὰ τοιαῦτα, ἀλλ' ὕστερον ἐκ τῶν λόγων προῆλθεν, οὔτε ἐπιδέχοιτο ἄν, ἃ τῷ ὄντι ἐπιλέγει. πῶς γὰρ ἔσται τοῦτο μέσσοθεν ἰσοπαλές, καὶ τὰ τοιαῦτα. τῷ δὲ οὐρανῷ φησι σχεδὸν πάντες ἐφαρμόζουσιν οἱ τοιοῦτοι λόγοι.

ἜΝΙΟΙ ΔΕ, ἐνέδοσαν τοῖς λόγοις ἀμφοτέροις. τῷ μὲν ὅτι πάντα ἓν εἰ τὸ ὂν ἓν σημαίνει, ὅτι ἔστι τὸ μὴ ὄν. τῷ δὲ, ἐκ τῆς διχοτομίας ἄτομα ποιήσαντες μεγέθη. φανερὸν δὲ, καὶ ὅτι οὐκ ἀληθές, ὡς εἰ ἓν σημαίνει τὸ ὄν, καὶ μὴ οἷόν τε ἅμα τὴν ἀντίφασιν εἶναι, οὐκ ἔσται οὐδὲν μὴ ὄν. οὐδὲν γὰρ κωλύει μὴ ἁπλῶς εἶναι, ἀλλὰ μὴ ὄν τι εἶναι τὸ μὴ ὄν. τὸ δὲ δὴ φάναι παρ' αὐτὸ τὸ ὂν ὡς εἰ μή τι ἔσται ἄλλο, ἓν πάντα ἔσεσθαι, ἄτοπον. τίς γὰρ μανθάνει αὐτὸ τὸ ὄν, εἰ μὴ τὸ ὅπερ ὄν τι εἶναι; εἰ δὲ τοῦτο, οὐδὲν οὕτω κωλύει πολλὰ τὸ ὂν εἶναι, ὥσπερ εἴρηται. ὅτι μὲν οὖν οὕτως ἓν εἶναι τὸ ὂν ἀδύνατον, δῆλον.

Ἐλέγξας τὸν Παρμενίδου λόγον αὐτός, ὡς καὶ τὰς προτάσεις ψευδεῖς λαμβάνοντα, ἦν δὲ ἡ πρότασις, τὸ μοναχῶς λέγεσθαι τὸ ὄν, ἤτοι τὸ παρὰ τὸ ὂν οὐκ ὄν, ἢ τὸ οὐκ ὂν οὐδέν, ταῦτα γὰρ ἰσοδυναμεῖ, καὶ ὡς ἀσυλλογίστως συνάγοντα, μὴ γὰρ ἀκολουθεῖν τὸ ἐπιφερόμενον συμπέρασμα, ἐνίους φησὶν ἀμφοτέροις ἐνδοῦναι τοῖς λόγοις, τῷ τε εἰρημένῳ παρὰ Παρμενίδου, καὶ τῷ τοῦ Ζήνωνος. ὃς βοηθεῖν ἐβούλετο τῷ Παρμενίδου λόγῳ, πρὸς τοὺς ἐπιχειροῦντας αὐτὸν κωμῳδεῖν, ὡς εἰ ἕν ἐστι πολλὰ καὶ γελοῖα συμβαίνει λέγειν τῷ λόγῳ καὶ ἐναντία αὑτῷ, δεικνὺς ὁ Ζήνων ὡς ἔτι γελοιότερα πάσχοι ἂν αὐτῶν ἡ ὑπόθεσις, ἡ λέγουσα πολλά ἐστιν, ἤπερ ἡ τοῦ ἓν εἶναι, εἴ τις ἱκανῶς ἐπεξίοι. ταῦτα γὰρ αὐτὸς ὁ Ζήνων ἐν τῷ Πλάτωνος Παρμενίδῃ μαρτυρῶν φαίνεται. τῷ λόγῳ, καὶ ὁ μὲν τοῦ Παρμενίδου λόγος ἐστίν, ὅτι πάντα ἓν τὸ ὄν ἐστιν, εἴπερ τὸ ὂν ἓν σημαίνει. τὸ γὰρ παρ' αὐτὸ οὐδὲν ἔσται. ὡς δὲ Θεόφραστος προήγαγε, τὸ παρὰ τὸ ὂν οὐκ ὄν. τὸ οὐκ ὂν οὐδέν. καὶ τούτῳ φησὶν ἐνδοῦναι τῷ λόγῳ τινάς. ἐνδοῦναι δέ ἐστι λόγῳ, τὸ συγχωρῆσαι ταῖς προτάσεσι ταῖς κατασκευαζούσαις αὐτόν, ἢ τῇ συμπλοκῇ. τὸν οὖν Πλάτωνά φησιν ἐνδοῦναι τῇ προτάσει, τῇ λεγούσῃ, τὸ παρὰ τὸ ὂν οὐκ ὄν. καὶ γὰρ τὴν κίνησιν καὶ τὴν στάσιν, καὶ ταὐτὸν καὶ ἕτερον, ἐν Σοφιστῇ τοῦ ὄντος ἕτερα εἶναί φησι. τὸ δὲ οὐκ ὂν οὐδέν, οὐκέτι συγχωρεῖν. καὶ γὰρ τὰ ἕτερα τοῦ ὄντος, κἂν μὴ ὄντα ᾖ, ἀλλ' ὅμως εἶναι φησί. καὶ ταύτῃ τὸ μὴ ὂν εἰσάγει. καὶ ὁ μὲν Ἀλέξανδρός φησιν αὐτόν, τὸ μὲν εἰ ἓν τὸ ὂν συγχωρεῖν, πάντα δὲ ἓν εἶναι μηκέτι συγχωρεῖν, τιθέντα παρὰ τὸ πᾶν μὴ μόνον τὸ ὄν, ἀλλὰ καὶ τὸ μὴ ὄν. καὶ οὐχ οὕτω φησὶ τὸ μὴ ὂν εἶναι ἐλέγχειν, ὡς ὄν τι τῶν ὑπὸ τὸ ὄν. οὐ γὰρ τὸ τὶ μὲν μὴ ὄν, τὶ δὲ ὄν. οὐδὲ τὸ ἐν τῷ κειμένῳ ὄντι περιεχόμενον. ἀλλὰ τὸ ἄλλην φύσιν ἔχον παρὰ τὸ ὡμολογημένον καὶ κείμενον ἐλέγχειν εἶναι, δεξάμενος τὸ ὂν ἕν τε εἶναι καὶ μοναχῶς λέγεσθαι. ὁ δὲ συγχωρήσας τῇ προτάσει τῇ παρὰ τὸ ὂν οὐκ ὄν, λέγων δὲ εἶναι ἄλλο τι τοῦ ὄντος τοῦ εἰλημμένου ἐν τῇ προτάσει, εἶναι τὴν ἀντίφασιν λέγει. δοὺς γὰρ τὸ παρὰ τὸ ὂν μὴ εἶναι, λέγει πάλιν τὸ παρὰ τὸ ὂν εἶναι. καὶ τῇ ἀντιφάσει περιπίπτει, τῇ τὸ μὴ ὂν ἁπλῶς εἶναι λεγούσῃ. καίτοι εἴ τις λέγοι μὴ εἶναι τὸ μὴ ὄν, μὴ τὸ ἁπλῶς δὲ μὴ ὄν, ἀλλὰ τὸ τὶ μὴ ὄν, οὐ περιπίπτει τῇ ἀντιφάσει. τὸ γὰρ ἄλλο τι ὄν, ἄλλο οὐκ ἔστιν. οὐ γὰρ ἓν κατὰ τὸν ἀριθμὸν τὸ ὂν ἐδείχθη, διὰ τοῦ ληφθῆναι μοναχῶς λέγεσθαι. ταῦτα μὲν οὖν ὁ Ἀλέξανδρός φησιν. ὁ δὲ Πορφύριος τὸν Πλάτωνά φησι, καὶ τὸ μὴ ὂν λέγειν εἶναι, οὕτω μέντοι εἶναι ὡς μὴ ὄν. τὸ μὲν γὰρ ὄντως ὂν ἀπεφήνατο εἶναι τὴν ἰδέαν, καὶ ταύτην ὄντως εἶναι οὐσίαν. τὴν δὲ ἀνωτάτω πρώτην ἄμορφον καὶ ἀνείδεον ὕλην, ἐξ ἧς τὰ πάντα ἐστίν, εἶναι μέν, μηδὲν δὲ εἶναι τῶν ὄντων. αὕτη γὰρ ἐφ' ἑαυτῆς ἐπινοουμένη, δυνάμει μὲν πάντα ἐστίν, ἐνεργείᾳ δὲ οὐδέν. τὸ δὲ ἐκ τῆς ὕλης καὶ τοῦ εἴδους ἀποτέλεσμα, καθ' ὅσον μὲν εἴδους μετέχει, κατὰ τοῦτο εἶναί τι, καὶ προσαγορεύεσθαι κατὰ τὸ εἶδος. καθ' ὅσον δὲ τῆς ὕλης, καὶ διὰ ταύτην ἐν συνεχεῖ ῥύσει καὶ μεταβολῇ τυγχάνει, πάλιν μὴ ἁπλῶς μηδὲ βεβαίως εἶναι. ἀντιδιαιρούμενος γοῦν αὐτὰ ἐν τῷ Τιμαίῳ φησί, τί τὸ ὂν μὲν ἀεί, γένεσιν δὲ μὴ ἔχον. καὶ τί τὸ γινόμενον μέν, ὂν δὲ οὐδέποτε. καὶ τὸ μὴ ὂν εἶναι ἔφη, οὐ τὸ ὂν μὴ ὂν εἶναι, καὶ τὸ μὴ ὂν εἶναι ὄν. οὐ μὴν τὰ κατὰ τὴν ἀντίφασιν ἀντικείμενα. τὸ μὲν γὰρ ἄνθρωπον οὐχ οἷόν τε ἅμα καὶ μὴ ἄνθρωπον εἶναι. μὴ ἵππον δὲ ἀληθὲς εἰπεῖν. ἀλλὰ πρὸς μὲν Ἀλέξανδρον ἀρκεῖ τὴν Πλάτωνος παραθέσθαι

ῥῆσιν, ἧς αὐτὸς ἀλέξανδρος ἐμνημόνευσε, δεικνῦσαν οἶμαι σαφῶς, ὡς ὁ πλάτων οὐ τὸ ἁπλῶς μὴ ὄν,
» ἀλλὰ τὸ τὶ μὴ ὂν εἰσήγαγεν. ἔχει δὲ ἡ ῥῆσις ὧδε. Οἶσθ᾽ οὖν ὅτι παρμενίδη μακροτέρως τῆς ἀπορρήσεως ἠπι-
» στήκαμεν; τί δή. πλέον ἢ ᾽κεῖνος ἀπεῖπε σκοπεῖν ἡμεῖς εἰς τὸ πρόσθεν ἐπιζητήσαντες, ἀπεδείξαμεν
» αὐτῷ. πῶς. ὅτι ὁ μέν πού φησιν οὐ γὰρ μήποτε τοῦτο δαμῇ εἶναι μὴ ὄντα. ἀλλὰ σὺ τῆσδ᾽ ἀφ᾽ ὁδοῦ διζήσιος
» εἶργε νόημα. λέγει γὰρ οὕτως. ἡμεῖς δὲ οὐ μόνον ὡς ἔστι τὰ μὴ ὄντα ἀπεδείξαμεν. ἀλλὰ καὶ τὸ εἶδος ὃ τυγ-
» χάνει ὂν τοῦ ὄντος ἀπεφηνάμεθα. τὴν γὰρ θατέρου φύσιν ἀποδείξαντες οὖσάν τε καὶ κατακεκερματισ-
» μένην ἐπὶ πάντα τὰ ὄντα πρὸς ἄλληλα, τὸ πρὸς τὸ ὂν ἕκαστον μόριον αὐτῆς ἀντιτιθέμενον ἐτολμή-
» σαμεν εἰπεῖν, ὡς αὐτὸ τοῦτό ἐστιν ὄντως τὸ μὴ ὄν. μὴ τοίνυν ἡμᾶς εἴπῃ τις, ὅτι τοὐναντίον τοῦ ὄντος τὸ
» μὴ ὂν ἀποφαινόμενοι, τολμῶμεν λέγειν ὡς ἔστιν. ἡμεῖς γὰρ περὶ μὲν ἐναντίου τινὸς αὐτῷ τούτῳ χαίρειν πά-
» λαι λέγομεν, εἴτε ἔστιν εἴτε μή, λόγον ἔχον ἢ καὶ παντάπασιν ἄλογον. ὃ δὲ νῦν εἰρήκαμεν εἶναι τὸ μὴ ὄν,
» ἢ πεισάτω τις ὡς οὐ καλῶς λέγομεν ἐλέγξας. ἢ μέχρι περ ἂν ἀδυνατῇ, λεκτέον καὶ ἐκείνῳ, καθά-
» περ καὶ ἡμεῖς λέγομεν. ὅτι συμμίγνυταί τε ἀλλήλοις τὰ γένη. καὶ τό, τε ὂν καὶ θάτερον διὰ πάντων καὶ
» δι᾽ ἀλλήλων ἐληλυθότε, τὸ μὲν ἕτερον μετασχὸν τοῦ ὄντος, ἔστι μὲν διὰ ταύτην τὴν μέθεξιν, οὐ μὴν ἐκεῖ-
» νό γε οὗ μετέσχεν, ἀλλ᾽ ἕτερον. ἕτερον δὲ τοῦ ὄντος ὄν, σαφέστατα ἐξ ἀνάγκης εἶναι μὴ ὄν. τὸ δὲ μὴ ὄν,
» αὖ θατέρου μετειληφός, ἕτερον τῶν ἄλλων ἂν εἴη γενῶν. ἕτερον δὲ ἐκείνων ἁπάντων ὄν, οὐκ ἔστιν ἕκαστον
» αὐτῶν, οὐδὲ ξύμπαντα τὰ ἄλλα πλὴν αὐτό. ὥστε τὸ ὂν ἀναμφισβητήτως αὖ μυρία ἐπὶ μυρίοις οὐκ
» ἔστι. καὶ τὰ ἄλλα δὴ καθ᾽ ἕκαστον οὕτω. καὶ ξύμπαντα πολλαχῇ μέν ἐστι, πολλαχῇ δὲ οὐκ ἔστιν. Ἐκ δὴ
ταύτης τῆς ῥήσεως ὁ ἀλέξανδρος ᾠήθη τὸν πλάτωνα τὸ ἁπλῶς μὴ ὂν εἰσάγειν, ὡς τὸ ἁπλῶς ὂν εἰ-
ληφότα τὸ ὡς γένος ὄν. καὶ ἤρκει μὲν αὐτῷ τοῦ πλάτωνος ἀκοῦσαι λέγοντος, μὴ τοίνυν ἡμᾶς εἴπῃ τις,
ὅτι τοὐναντίον τοῦ ὄντος τὸ μὴ ὂν ἀποφαινόμενοι, τολμῶμεν λέγειν. καὶ ὅτι μέν ἐστιν ἕκαστον διὰ τὴν τοῦ
ὄντος μέθεξιν, οὐ μὴν τὸ ὄν ἐστι. καὶ πρὸ ταύτης δὲ τῆς ῥήσεως, ὁποῖον τὸ μὴ ὂν εἰσάγει, σαφῶς ἐδήλω-
σεν εἰπών, ὁπόταν τὸ μὴ ὂν λέγωμεν, ὡς ἔοικεν οὐκ ἐναντίον τι λέγομεν τοῦ ὄντος, ἀλλ᾽ ἕτερον μόνον.
ἤρκει δὲ καὶ τὰ περὶ τοῦ ἁπλῶς μὴ ὄντος καὶ ἐναντίου τῷ ὄντι εἰρημένα ἀκοῦσαι. ὡς καὶ τὸν ὁποιονοῦν περὶ
αὐτοῦ λόγον παραιτεῖται ὁ πλάτων. οὐδὲ γὰρ ὡς εἶναι, οὐδὲ ὡς μὴ εἶναι λέγων αὐτό, ἀνεύθυνος. οὐδὲ τὸ λέ-
γειν τι περὶ αὐτοῦ ἀσφαλές. ἤρκει μὲν οὖν ὅπερ εἶπον καὶ ταῦτα. ἐννοῆσαι δὲ χρὴ ὅτι τὸ ὑπὸ τοῦ πλάτω-
νος εἰλημμένον ὄν, ἔστι τὸ κατὰ αὐτὴν τοῦ εἶναι τὴν ἰδιότητα ψιλὴν θεωρούμενον. ὃ καὶ ἀντιδιῄρηται
πρός τε τὰ ἄλλα γένη καὶ πρὸς τὸ μὴ ὄν. καὶ γὰρ τοῦτο γένος εἶναί φησιν. ἀλλ᾽ οὐ τὸ παντελῶς ὄν, τὸ καὶ
τὰ γένη πάντα ἐν ἑαυτῷ συνῃρηκός. ᾧ τὸ παντελῶς μὴ ὂν ἀντικέοιτο, εἰ καὶ τὸ ἀντικεῖσθαι δυνα-
τὸν ἐπ᾽ αὐτοῦ λέγειν. τὸ δὲ τοιοῦτον οὐκ ἂν εἴη γένος, εἴπερ τὰ γένη ἐναντία διαιρέσει ἐστὶ τῇ πρὸς
ἄλληλα, καὶ κατὰ μίαν ἰδιότητα περιγέγραπται, διακεκριμένα ἤδη ταῦτα ἀπὸ τῆς νοητῆς ἑνώσε-
ως, ἐν ᾗ πάντα ἐν ἦν, ὡς ὁ παρμενίδης φησί, καὶ ὑπελθόντα πρῶτον μὲν εἰς τὴν νοερὰν διάκρισιν,
ἀμερίστως μεριασθέντα, καὶ εἰς τὸν αἰσθητὸν διασπασμόν, καὶ μεταξὺ τούτων εἰς τὴν ψυχικὴν ἀλληλου-
χίαν. ὥστε πολλοῦ δεῖ τὸ ἁπλῶς μὴ ὂν εἰσάγειν, τὸ τῷ ἁπλῶς ὄντι ἀντικείμενον. ὁ δέ γε πορφύριος
ὅτι μὲν οὐ τὸ ἁπλῶς μὴ ὂν ὁ πλάτων εἰσάγει, καλῶς ἐθεάσατο. ὅτι δὲ μὴ ὂν τὸ γενητὸν ὂν ἐν σοφιστῇ
φησι παραδιδόναι, περὶ οὗ λέγει ἐν τιμαίῳ, καὶ τί τὸ γινόμενον μέν, ὂν δὲ οὐδέποτε, τοῦτο ἐπιστάσεως
ἄξιον εἶναί μοι δοκεῖ. οὐ γὰρ ἐν τῇ τῶν αἰσθητῶν, ἀλλ᾽ ἐν τῇ τῶν νοερῶν διακρίσει, τὸ μὴ ὂν ὁ πλάτων ἀνευ-
ρίσκειν δοκεῖ. πότε γὰρ ἂν περὶ τῶν ἐνύλων καὶ αἰσθητῶν ἔλεγε ταῦτα. τί δὲ πρὸς διὸς ὡς ἀληθῶς
κίνησιν, καὶ ζωήν, καὶ ψυχήν, καὶ φρόνησιν, ἦ ῥᾳδίως πεισθησόμεθα, τῷ παντελῶς ὄντι μὴ παρεῖναι,
μηδὲ ζῆν αὐτό, μηδὲ φρονεῖν, ἀλλὰ σεμνὸν καὶ ἅγιον, νοῦν οὐκ ἔχον, ἀκίνητον ἑστὼς εἶναι; κοινῇ δὲ πρὸς
τὸν ἀλέξανδρον λέγω καὶ τὸν πορφύριον, ὅτι οὐκ ἂν οὕτω σαφῶς τοῦ πλάτωνος τὸ τὶ μὴ ὂν λέγοντος
εἶναι τὸ ὑπ᾽ αὐτοῦ εἰσαγόμενον, ὡς τὸ ἁπλῶς μὴ ὂν εἰσάγοντι ὁ ἀριστοτέλης ἐνεκάλει. καὶ ἔτι μέντοι
οὐκ ἂν πρὸς πλάτωνα ἐν τούτοις ἀποτείνοιτο, ὡς μάτην δείσαντα, εἰ τὸ παρὰ τὸ ὂν οὐκ ὄν, μὴ πάν-
τα ἓν εἴη, καὶ διὰ τοῦτο τὸ μὴ ὂν εἰσάγοντα. οὐ γὰρ διὰ τοῦ τὸ μὴ ὂν εἰσαγαγεῖν πολλὰ τὰ ὄντα δείκνυσιν
ὁ πλάτων. ἀλλὰ τοῦτο μὲν ἔδειξεν, ἄλλο μὲν τὸ ἕν, ἄλλο δὲ τὸ ὂν ἀποδείξας. καὶ ἐκ τοῦ ὁλομελὲς εἶναι
πάντοθεν εὐκύκλου σφαίρης ἐναλίγκιον ὄγκῳ, μεσσόθεν ἰσοπαλές. τὸ δὲ μὴ ὂν ἐδεήθη, τὸν σοφι-
στὴν εἰδωλοποιὸν εἰπών, τὸ δὲ εἴδωλον ψεῦδός τι ἔχειν. ψεῦδος δὲ μὴ εἶναι, εἰ μὴ τὸ μὴ ὄν ἐστιν. ὁ γὰρ
ψευδόμενος ἢ τὸ ὂν μὴ εἶναι λέγει, ἢ τὸ μὴ ὂν εἶναι. Ταῦτα μὲν οὖν περὶ τῆς ἑτέρας ἐνδόσεως, τοῦ
ἀριστοτέλους μήτε τὸ μοναχῶς λέγεσθαι τὸ ὂν συγχωροῦντος, μήτε ἐνδιδόντος τῇ λεγούσῃ προτά-
σει τὸ παρὰ τὸ ὂν οὐκ ὄν. εἰ μή τις τὸ οὐκ ὂν λέγει, ὡς οὐσία μὲν οὐκ ἔστιν, ἄλλο δέ τι ἦν. οὐ κωλύεται.
ὅπερ καὶ πλάτων πρὸ τοῦ ἀριστοτέλους ἐβόα. δῆλος δέ ἐστι καὶ ἀριστοτέλης συνιδὼν ὅτι τῷ πλή-
θει τὸ μὴ ὂν συνεισέρχεται. οὐδὲν γὰρ κωλύει φησὶ μὴ ἁπλῶς εἶναι, ἀλλὰ μὴ ὄν τι εἶναι, τὸ μὴ ὄν.
ἐφεξῆς μέντοι κἂν ἀληθής φησιν εἴη ἡ πρότασις, ἡ λέγουσα τὸ παρὰ τὸ ὂν οὐκ ὄν, οὐκ ἤδη διὰ
τοῦτο ἀνάγκη ἓν πάντα εἶναι τῷ ἀριθμῷ. τὸ γὰρ αὐτὸ ὄν, ὅπερ αὐτοὶ ὑποτίθενται, οὐδεὶς ἂν ἄλλο τι
λεγόμενον ἀκούοι, ἢ τὸ ὅπερ ὄν, τουτέστι τὸ κυρίως ὄν, τουτέστι τὴν οὐσίαν. τούτου δὲ οὕτως ἔχοντος,

δέδεικται πρότερον, ὅτι εἴτε μετέχει τὸ ὅπερ ὂν τοῦ συμβεβηκότος, πολλά ἐστι τὰ ὄντα. εἴτε μὴ με-
τέχει, καὶ αὐτὰ καθ' αὑτὰ τὰ ὅπερ ὄντα πολλά ἐστι, διὰ τὰ ἐν τῷ ὁρισμῷ τοῦ ὅπερ ὄντος οὐσιωδῶς
παραλαμβανόμενα. ἐπιστῆσαι δὲ ἄξιον, ὅτι τὸ ὅπερ ὂν καὶ αὐτοὸν κέκληται κατὰ τὴν πλατωνι-
κὴν συνήθειαν. Τὸν δὲ δεύτερον λόγον τὸν ἐκ τῆς διχοτομίας, τοῦ ζήνωνος εἶναί φησιν ὁ ἀλέξαν-
δρος, λέγοντος ὡς εἰ μέγεθος ἔχοι τὸ ὂν καὶ διαιροῖτο, πολλὰ τὸ ὂν καὶ οὐκέτι ἓν ἔσεσθαι, καὶ διὰ τού-
του δεικνύντος ὅτι μηδὲν τῶν ὄντων ἐστὶ τὸ ἕν. περὶ δὲ τοῦ λόγου τούτου καὶ διὰ τῶν ἔμπροσθεν εἰρη-
κέναι φησὶ τὸν ἀριστοτέλην, ἐν οἷς ἔλεγεν, ἐθορυβοῦντο δὲ καὶ οἱ ὕστεροι τῶν ἀρχαίων. οὗ καὶ τὴν λύσιν
παρέθετο, διὰ τοῦ, ὥσπερ οὐκ ἐνδεχόμενον ἓν καὶ πολλὰ ταὐτὸν εἶναι, μὴ τὰ ἀντικείμενα δέ. ἔστι δὲ τὸ
ὂν καὶ ἓν δυνάμει καὶ ἐντελεχείᾳ. τούτῳ δὲ τῷ λόγῳ φησὶ τῷ περὶ τὰς διχοτομίας ἐνδοῦναι ξενο-
κράτη τὸν χαλκηδόνιον, δεξάμενον μὲν τὸ, πᾶν τὸ διαιρετὸν πολλὰ εἶναι, τὸ γὰρ μέρος ἕτερον εἶναι τοῦ
ὅλου. καὶ διὰ τὸ μὴ δύνασθαι ταὐτὸν ἕν τε ἅμα καὶ πολλὰ εἶναι, διὰ τὸ μὴ συναληθεύεσθαι τὴν ἀντί-
φασιν, μηκέτι συγχωρεῖν πᾶν μέγεθος διαιρετὸν εἶναι, καὶ μέρος ἔχειν. εἶναι γάρ τινας ἀτόμους γραμ-
μάς, ἐφ' ὧν οὐκέτι ἀληθεύεσθαι τὸ πολλὰς ταύτας εἶναι. οὕτω γὰρ ᾤετο τὴν τοῦ ἑνὸς εὑρίσκειν φύσιν,
καὶ φεύγειν τὴν ἀντίφασιν, διὰ τοῦ μήτε τὸ διαιρετὸν ἓν εἶναι ἀλλὰ πολλά, μήτε τὰς ἀτόμους γραμ-
μὰς πολλὰ ἀλλ' ἓν μόνον. ταῦτα τοῦ ἀλεξάνδρου λέγοντος, ἐφιστάνειν ἄξιον πρῶτον μὲν, εἰ ζήνωνος
οἰκεῖον τοῦτο, τὸ μηδὲν τῶν ὄντων λέγειν τὸ ἕν. ὅς γε τοὐναντίον πολλὰ γέγραφεν ἐπιχειρήματα, τὸ
πολλὰ εἶναι ἀναιρῶν. ἵνα διὰ τῆς τῶν πολλῶν ἀναιρέσεως τὸ ἓν εἶναι πάντα βεβαιωθῇ. ὅπερ καὶ ὁ παρ-
μενίδης ἐβούλετο. ἔπειτα ἔδει τὴν χρείαν εἰπεῖν τῆς μνήμης τοῦ ζήνωνος λόγου, καὶ τῶν μάτην ἐν-
δεδωκότων αὐτῷ. ὥσπερ τῶν ἐνδόντων μὲν τῷ παρμενίδου λόγῳ, τὸ δὲ μὴ ὂν εἰσαγόντων, ἡ χρεία δή-
λη ἦν. ἵνα γὰρ πολλὰ δειχθῇ τὰ ὄντα, ὅπερ ὁ παρμενίδης οὐκ ἐβούλετο. εἰ δ' αὐτὸς ὁ ζήνων ἀνῄρει τὸ
ἓν πολλὰ εἶναι δεικνύς, οὐκ ἐδεῖτό τινος συνηγορίας ὁ λόγος. εἰ μὴ ἄρα λέγοι τις, ὡς ἀντιθέτου τού-
του τοῦ λόγου, τοῦ λέγοντος πολλὰ μόνον εἶναι τὰ ὄντα ἐμνημόνευσεν. ἀλλ' ἔοικεν ἀπὸ τῶν εὐδήμου λό-
γων ὁ ἀλέξανδρος δόξαν περὶ τοῦ ζήνωνος λαβεῖν, ὡς ἀναιροῦντος τὸ ἕν. λέγει γὰρ ὁ εὔδημος ἐν τοῖς
» φυσικοῖς. ἆρ' οὖν τοῦτο μὲν οὐκ ἔστι, ἔστι δέ τι ἕν; τοῦτο γὰρ ἠπορεῖτο. καὶ ζήνωνά φασι λέγειν, εἴ τις
» αὐτῷ τὸ ἓν ἀποδοίη τί ποτέ ἐστι, λέξειν τὰ ὄντα λέγειν. ἠπόρει δὲ ὡς ἔοικε, διὰ τὸ τῶν μὲν αἰσθητῶν
» ἕκαστον κατηγορικῶς τε πολλὰ λέγεσθαι, καὶ μερισμῷ, τὴν δὲ στιγμὴν μηδὲν τιθέναι. ὃ γὰρ μήτε
» προστιθέμενον αὔξει, μήτε ἀφαιρούμενον μειοῖ, οὐκ ᾤετο τῶν ὄντων εἶναι. Καὶ εἰκὸς μὲν ἦν τὸν ζήνω-
να, ὡς ἐφ' ἑκάτερα γυμναστικῶς ἐπιχειροῦντα, διὸ καὶ ἀμφοτερόγλωσσος λέγεται, καὶ τοιούτους
ἐκφέρειν λόγους περὶ τοῦ ἑνὸς ἀποροῦντα. ἐν μέντοι τῷ συγγράμματι αὐτοῦ πολλὰ ἔχοντι ἐπιχειρήμα-
τα, καθ' ἕκαστον δείκνυσιν, ὅτι τῷ πολλὰ εἶναι λέγοντι, συμβαίνει τὰ ἐναντία λέγειν. ὧν ἕν ἐστιν ἐπι-
χείρημα. ἐν ᾧ δείκνυσιν ὅτι εἰ πολλά ἐστι, καὶ μεγάλα ἐστὶ καὶ μικρά. μεγάλα μὲν, ὥστε ἄπειρα τὸ μέ-
γεθος εἶναι. μικρὰ δὲ οὕτως, ὥστε μηδὲν ἔχειν μέγεθος. ἐν δὴ τούτῳ δείκνυσιν, ὅτι οὗ μήτε μέγεθος,
μήτε πάχος, μήτε ὄγκος μηθείς ἐστιν, οὐδ' ἂν εἴη τοῦτο. οὐ γὰρ εἰ ἄλλῳ ὄντι φησὶ προσγένοιτο, οὐδὲν ἂν μεῖ-
ζον ποιήσειε. μεγέθους γὰρ μηδενὸς ὄντος, προσγενομένου δὲ, οὐδὲν οἷόν τε εἰς μέγεθος ἐπιδοῦναι. καὶ
οὕτως ἂν ἤδη τὸ προσγινόμενον οὐδὲν εἴη. εἰ δὲ ἀπογινομένου, τὸ ἕτερον μηδὲν ἔλαττόν ἐστι, μήτε αὖ προσ-
γινομένου αὐξήσεται, δῆλον ὅτι τὸ προσγενόμενον οὐδὲν ἦν, οὐδὲ τὸ ἀπογενόμενον. καὶ ταῦτα οὐχὶ τὸ
ἓν ἀναιρῶν ὁ ζήνων λέγει. ἀλλ' ὅτι εἰ μέγεθος ἕκαστον ἔχει τῶν πολλῶν καὶ ἀπείρων, οὐδὲν ἔσται ἀκριβῶς
ἕν, διὰ τὴν ἐπ' ἄπειρον τομήν. δεῖ δὲ ἓν εἶναι. ὃ δείκνυσι, προδείξας ὅτι οὐδὲν ἔχει μέγεθος, ἐκ τοῦ ἕ-
καστον τῶν πολλῶν ἑαυτῷ ταὐτὸν εἶναι καὶ ἕν. καὶ ὁ θεμίστιος δὲ τὸν ζήνωνος λόγον ἓν εἶναι τὸ ὂν κατα-
σκευάζειν φησὶν, ἐκ τοῦ συνεχές τε αὐτὸ εἶναι καὶ ἀδιαίρετον. εἰ γὰρ διαιροῖτο φησὶν, οὐδὲν ἔσται ἀκριβῶς
ἓν διὰ τὴν ἐπ' ἄπειρον τομὴν τῶν σωμάτων. ἔοικε δὲ μᾶλλον ὁ ζήνων λέγειν, ὡς οὐδὲ πολλὰ ἔσται. ὁ μέν-
τοι πορφύριος καὶ τὸν ἐκ τῆς διχοτομίας λόγον παρμενίδου φησὶν εἶναι, ἓν τὸ ὂν ἐκ ταύτης πειρωμένου
» δεικνῦναι. γράφει δὲ οὕτως. ἕτερος δὲ ἦν λόγος τῷ παρμενίδῃ ὁ διὰ τῆς διχοτομίας, οἰόμενος δεικνύ-
» ναι τὸ ὂν ἓν εἶναι μόνον, καὶ τοῦτο ἀμερὲς καὶ ἀδιαίρετον. εἰ γὰρ εἴη φησὶ διαιρετὸν, τετμήσθω δίχα. κἄπειτα
» τῶν μερῶν ἑκάτερον δίχα. καὶ τούτου ἀεὶ γινομένου, δῆλόν φησιν, ὡς ἤτοι ὑπομένει τινὰ ἔσχατα μεγέθη ἐ-
» λάχιστα καὶ ἄτομα, πλήθει δὲ ἄπειρα, καὶ τὸ ὅλον ἐξ ἐλαχίστων πλήθει δὲ ἀπείρων συστήσεται, ἢ φροῦδον
» ἔσται, καὶ εἰς οὐδὲν ἔτι διαλυθήσεται, καὶ ἐκ τοῦ μηδενὸς συστήσεται. ἅπερ ἄτοπα. οὐκ ἄρα διαιρεθήσεται, ἀλλὰ
» μενεῖ ἕν. καὶ γὰρ δὴ ἐπεὶ πάντῃ ὅμοιόν ἐστιν, εἴπερ διαιρετὸν ὑπάρχει, πάντῃ ὁμοίως ἔσται διαιρετὸν,
» ἀλλ' οὐ τῇ μὲν, τῇ δ' οὔ. διῃρήσθω πάντῃ. δῆλον οὖν πάλιν ὡς οὐδὲν ὑπομενεῖ, ἀλλ' ἔσται φροῦδον. καὶ
» εἴπερ συστήσεται, πάλιν ἐκ τοῦ μηδενὸς συστήσεται. εἰ γὰρ ὑπομενεῖ τι, οὐδέπω γενήσεται πάντῃ διῃρημένον.
» ὥστε καὶ ἐκ τούτων φανερόν φησιν, ὡς ἀδιαίρετόν τε καὶ ἀμερὲς καὶ ἓν ἔσται τὸ ὄν. οἱ δὲ περὶ τὸν ξενοκρά-
την, τὴν μὲν πρώτην ἀκολουθίαν ὑπεῖναι συνεχώρουν, τουτέστιν ὅτι εἰ ἕν ἐστι τὸ ὂν καὶ ἀδιαίρετον ἔσται.
οὐ μὴν ἀδιαίρετον εἶναι τὸ ὄν. διὸ πάλιν μὴ δὲ ἓν μόνον τὸ ὂν, ἀλλὰ πλείω. διαιρετὸν μέντοι μὴ ἐπ' ἄ-
πειρον εἶναι, ἀλλ' εἰς ἄτομά τινα καταλήγειν. ταῦτα μέντοι μὴ ἄτομα εἶναι ὡς ἀμερῆ καὶ ἐλάχιστα, ἀλλὰ

Eudème sur Zénon d'Elée

Parm. dans Porph.

κατὰ μὲν τὸ ποσὸν καὶ τὴν ὕλην τμητὰ καὶ μέρη ἔχοντα. τῷ δὲ εἴδει ἄτομα καὶ πρῶτα, πρώτας
τινὰς ὑποτιθέμενος εἶναι γραμμὰς ἀτόμους, καὶ τὰ ἐκ τούτων ἐπίπεδα καὶ στερεὰ, πρῶτα. τὴν οὖν
ἐκ τῆς διχοτομίας καὶ ἁπλῶς τῆς ἐπ' ἄπειρον τομῆς καὶ διαιρέσεως ὑπαντῶσαν ἀπορίαν, ὁ Ξενο-
κράτης οἴεται διαλύεσθαι, τὰς ἀτόμους εἰσάγων γραμμὰς, καὶ ἁπλῶς ἄτομα ποιήσας μεγέθη,
φεύγων τὸ ὂν εἴπερ ἐστὶ διαιρετὸν εἰς τὸ μὴ ὂν ἀναλυθῆναι καὶ ἀναλωθῆναι, τῶν ἀτόμων γραμμῶν ἐξ ὧν
ὑφίσταται τὰ ὄντα ἀτμήτων μενουσῶν καὶ ἀδιαιρέτων. ἐν δὴ τούτοις τοῖς ὑπὸ τοῦ Πορφυρίου ῥη-
θεῖσιν, ὅτι μὲν πρὸς ἔπος ἡ μνήμη γέγονε τοῦ ἐκ τῆς διχοτομίας λόγου, διὰ τοῦ τῇ διαιρέσει ἀκολου-
θοῦντος ἀτόπου, τὸ ἀδιαίρετον καὶ ἓν εἰσαγαγόντος, εὖ ἂν ἔχοι. ἐφιστάνειν δὲ ἄξιον, εἰ Παρμενίδου καὶ
μὴ Ζήνωνός ἐστιν ὁ λόγος, ὡς καὶ τῷ Ἀλεξάνδρῳ δοκεῖ. οὔτε γὰρ ἐν τοῖς Παρμενιδείοις ἔπεσι λέγεταί
τι τοιοῦτον. καὶ ἡ πλείστη ἱστορία τὴν ἐκ τῆς διχοτομίας ἀπορίαν εἰς τὸν Ζήνωνα ἀναπέμπει. καὶ δὴ
καὶ ἐν τοῖς περὶ κινήσεως λόγοις ὡς Ζήνωνος ἀπομνημονεύεται. καὶ τί δεῖ πολλὰ λέγειν. ὅτε καὶ ἐν
αὐτῷ φέρεται τῷ τοῦ Ζήνωνος συγγράμματι. δεικνὺς γὰρ ὅτι εἰ πολλά ἐστι, τὰ αὐτὰ πεπερασμένα
» ἐστὶ καὶ ἄπειρα, γράφει ταῦτα κατὰ λέξιν ὁ Ζήνων. εἰ πολλά ἐστιν, ἀνάγκη τοσαῦτα εἶναι, ὅσα ἐστὶ,
» καὶ οὔτε πλείονα αὐτῶν οὔτε ἐλάττονα. εἰ δὲ τοσαῦτά ἐστιν ὅσα ἐστὶ, πεπερασμένα ἂν εἴη. καὶ πάλιν,
» εἰ πολλά ἐστιν, ἄπειρα τὰ ὄντα ἐστίν. ἀεὶ γὰρ ἕτερα μεταξὺ τῶν ὄντων ἐστί. καὶ πάλιν ἐκείνων ἕτερα
» μεταξύ. καὶ οὕτως ἄπειρα τὰ ὄντα ἐστί. καὶ οὕτω μὲν τὸ κατὰ τὸ πλῆθος ἄπειρον ἐκ τῆς διχοτομί-
ας ἔδειξε. τὸ δὲ κατὰ μέγεθος, πρότερον κατὰ τὴν αὐτὴν ἐπιχείρησιν. προδείξας γὰρ ὅτι εἰ μὴ ἔχοι
» τὸ ὂν μέγεθος οὐδ' ἂν εἴη, ἐπάγει, εἰ δὲ ἔστιν, ἀνάγκη ἕκαστον μέγεθός τι ἔχειν καὶ πάχος, καὶ ἀπέχειν
» αὐτοῦ τὸ ἕτερον ἀπὸ τοῦ ἑτέρου. καὶ περὶ τοῦ προύχοντος ὁ αὐτὸς λόγος. καὶ γὰρ ἐκεῖνο ἕξει μέγεθος
» καὶ προέξει αὐτοῦ τι. ὅμοιον δὴ τοῦτο ἅπαξ τε εἰπεῖν, καὶ ἀεὶ λέγειν. οὐδὲν γὰρ αὐτοῦ τοιοῦτον ἔσχατον
ἔσται, οὔτε ἕτερον πρὸς ἕτερον οὐκ ἔσται. οὕτως εἰ πολλά ἐστιν, ἀνάγκη αὐτὰ μικρά τε εἶναι καὶ μεγά-
» λα. μικρὰ μὲν, ὥστε μὴ ἔχειν μέγεθος. μεγάλα δὲ, ὥστε ἄπειρα εἶναι. μήποτε οὖν Ζήνωνος μέν ἐστιν ὁ
ἐκ τῆς διχοτομίας λόγος, ὡς Ἀλέξανδρος βούλεται, οὐ μέντοι τὸ ἓν ἀναιροῦντος ἀλλὰ τὰ πολλὰ
μᾶλλον, τῷ τἀναντία συμβαίνειν τοῖς ὑποτιθεμένοις αὐτὰ, καὶ ταύτῃ τὸν τοῦ Παρμενίδου λόγον βε-
βαιοῦντος, ἓν εἶναι λέγοντα τὸ ὄν. ὥστε καὶ ἡ μνήμη νῦν εὔλογος τοῦ ἐκ τῆς διχοτομίας λόγου. καὶ
τῶν οὐ καλῶς ἐνδεδωκότων αὐτῷ, ὡς εἰ μὴ εἴη τινὰ ἄτμητα μεγέθη, ἀνάγκη ἄπειρα καὶ πλήθει καὶ
μεγέθεσιν εἶναι τὰ ὄντα, καὶ διὰ τοῦτο ἀτόμους γραμμὰς ὑποθεμένων, ἵνα καὶ πολλὰ εἴη τὰ ὄντα,
καὶ μὴ ἐπ' ἄπειρον τὸ πλῆθος καὶ τὸ μέγεθος προχωροίη. καίτοι πάλιν ἀντιφάσει δοκοῦσι περιπί-
πτειν, μέγεθος ἀμέγεθος λέγοντες. διὸ ταύτην μὲν τὴν ἔνδοσιν ὁ Ἀριστοτέλης οὐκ ἀποδέχεται. οὐ γὰρ
εἰ ἐπ' ἄπειρον διαιρετόν ἐστι τὸ μέγεθος, ἤδη καὶ ἄπειρά ἐστιν αὐτοῦ ἐνεργείᾳ τὰ μόρια. ἀλλ' ἓν μὲν ἐνερ-
γείᾳ, δυνάμει δὲ πολλά. διὸ οὐ τὰ ἀντικείμενα. ἡ τὴν τοιαύτην λύσιν ἐπὶ τῶν ἓν καὶ πολλὰ λεγόντων
τὸ αὐτὸ καλῶς ὁ Ἀριστοτέλης ἐπήγαγεν. ἐπὶ μέντοι τῶν ἄπειρα δεικνύντων, οὐκέτι ἀληθὲς εἰπεῖν,
ὅτι δυνάμει ἄπειρά ἐστι τὰ τοῦ συνεχοῦς μόρια. ἢ γὰρ ἂν καὶ ἐνεργείᾳ ποτὲ ἐγένετο ἄπειρα, εἰ μὴ τὸ
δυνάμει μάτην ἔχοι. ἀλλὰ ῥητέον ὡς ὁ Πορφύριός φησιν, ὅτι ἕτερόν ἐστι τὸ ἐπ' ἄπειρον εἶναι διαιρε-
τὸν τὸ συνεχὲς, καὶ ἄλλο τὸ εἰς ἄπειρα διῃρῆσθαι. γίνεσθαι μὲν γὰρ ἡ διαίρεσις ἀεὶ δύναται. καὶ τοῦτό
ἐστι τὸ ἐπ' ἄπειρον αὐτὴν εἶναι. γεγενῆσθαι δὲ καὶ καταλῆξαι οὐδέποτε δύναται. ἐπεὶ παυσαμένη
γε πεπέρασται. διαφέρει γὰρ τὸ εἰς ἄπειρά τι διῃρῆσθαι, καὶ τὸ ἐπ' ἄπειρόν τι διαιρεῖν. τὸ μὲν γὰρ
οὐκ ἄν ποτε γένοιτο, οὐδ' ἂν συμπερανθείη. τὸ δὲ, οὐκ ἄν ποτε ἐπιλίποι ἀεὶ γινόμενον. δεῖ γὰρ τὸ θά-
τερον ἀεὶ γίνεσθαι, καὶ μὴ οἷόν τε εἶναι καταλῆξαι, οὐκ ἂν θάτερον ἐπιτελεσθείη. μὴ τοίνυν ταρατ-
τέσθω τις, πῶς τὸ ἐπ' ἄπειρον διαιρετὸν δυνάμει ἔχον τὸ διαιρεῖσθαι, διαιρετὸν γὰρ τὸ δυνάμενον
διαιρεῖσθαί ἐστιν, οὐδέποτε ὅμως εἰς ἄπειρα διαιρεῖται. δόξει γὰρ μάτην ἔχειν τὸ δυνάμει, ὃ μὴ ἐκ-
βαίνει οὐδέποτε εἰς ἐνέργειαν. τοῦτο οὖν μὴ ταραττέτω. τὸ γὰρ ἐπ' ἄπειρον διαιρετὸν, οὐκ ἔστι δυνά-
μει εἰς ἄπειρα διῃρημένον, ἀλλ' ἐπ' ἄπειρα διαιρούμενον. τοῦτο δὲ καὶ ἐνεργείᾳ ἀεὶ ἔχει, εἴπερ πᾶν τὸ
ληφθὲν διαιρετόν ἐστι. καὶ διαιρεῖταί γε εἰ μηδὲν κωλύει, κἂν μὴ ὑφ' ἡμῶν, ὑπὸ τῆς φύσεως καὶ προσ-
τιθείσης ἀεὶ καὶ διαιρούσης. ὅτι δὲ πᾶν συνεχὲς ἐπ' ἄπειρον διαιρεῖται, βεβαιοῦται τὸ μηδὲν εἶναι
μεγέθους, μήτε εἰς μεγέθη ἀδιαίρετα, μήτε ἀμεγέθη διαιρούμενον. παντὸς γὰρ τοῦ ληφθέντος συνε-
χοῦς ἔστι τι μέρος καὶ αὐτὸ συνεχὲς ὄν. καὶ τοῦτο ἐπ' ἄπειρον. καὶ εἰ εἰς μεγέθη πᾶσα διαίρεσις, δῆ-
λον ὅτι, ἐπ' ἄπειρον ἡ διαίρεσις. ὅτι δὲ εἰς μεγέθη, φανερόν. εἴπερ τὰ σημεῖα μήτε ἅπτεσθαι ἀλ-
λήλων δύναται, μήτε διάστασιν ποιεῖν. σημείῳ γὰρ σημεῖον προστιθέμενον, σημεῖον ποιεῖ, ἀλλ' οὐ
μέγεθος. οὔτε οὖν ἐκ σημείων σύγκειται, οὔτε εἰς σημεῖα διαιρεῖται. ἀλλ' οὐδὲ εἰς ἄπειρα με-
γέθη ποτὲ διαιρεθήσεται, πεπερασμένον ὑπάρχον. εἰς ἃ γὰρ διαιρεῖται, καὶ σύγκειται ἐξ
ἐκείνων. τὸ δὲ ἐξ ἀπείρων τῷ πλήθει μεγεθῶν, ἄπειρον ἂν εἴη τῷ μεγέθει. εἰ γὰρ πεπερασμένον,
δέξαιτο ἂν προσθήκην ἄλλου τινὸς ὁμοίου τοῖς συντεθεῖσιν αὐτό. καὶ οὕτως οὐκ ἦν ἄπειρα τῷ πλή-
θει ἐκεῖνα. ἐπεὶ δὲ καὶ Ξενοκράτης σοφὸς ἦν ἀνὴρ, πῶς ἄρα τὰς ἀτόμους γραμμὰς ὑπετίθετο.

οὐδὲ γὰρ ἠγνόει τὴν φύσιν τοῦ μεγέθους. ἀλλ' οὐδὲ τῷ εἴδει διαιρετὸν ἔλεγε. τοῦτο γὰρ οὐ μόνον αἱ ἐλάχισται γραμμαὶ ἔχουσιν, ἀλλὰ καὶ τὰ μέγιστα σώματα. μήποτε οὖν οὐ πρὸς τὴν ἐπ' ἄπειρον τομὴν ἐνίστατο ὁ ξενοκράτης. οὐ γὰρ ἂν γεωμετρικὴν ἀρχὴν ἀνεῖλεν, γεωμετρικὸς ὢν ἀνήρ. ἀλλὰ πρὸς τὸ εἰς ἄπειρα διῃρῆσθαι, ὄντων ἀεί τινων ἀτμήτων μεγεθῶν. ἅτινα οὐδὲ ὑπὸ φύσεως ἰσχύει καθ' αὑτὰ διαιρεῖσθαι διὰ σμικρότητα. ἀλλ' ἑνωθέντα πάλιν ἄλλοις σώμασιν, οὕτω τοῦ ὅλου διαιρουμένου, ἐν ἑαυτοῖς ἐκεῖνα δέχεται τὴν διαίρεσιν. ἣν μόνα ὄντα οὐκ ἂν ὑπέμεινεν. ὡς οὖν ὁ πλάτων ἐπίπεδα εἶπεν εἶναι τὰ πρῶτα καὶ ἐλάχιστα σώματα, οὕτως ὁ ξενοκράτης γραμμὰς ἀδιαιρέτους μὲν διὰ σμικρότητα, διαιρετὰς δὲ καὶ αὐτὰς οὔσας τῇ φύσει. Ἀλλ' ἐπειδὴ πρὸς πέρας ἤδη τῶν πρὸς παρμενίδην λόγων ἀφίγμεθα, καλῶς ἂν ἔχοι τήν τε παρμενίδου δόξαν αὐτοῦ περὶ τοῦ ἑνὸς ὄντος, ὡς σύμμετρον τοῖς προκειμένοις ἀνιχνεῦσαι, καὶ τὰς ἀντιλογίας πρὸς τί γεγόνασιν ἐπισκέψασθαι. ὅτι μὲν οὖν οὐ τῶν γινομένων τι καὶ φθειρομένων ὁ παρμενίδης ἓν τὸ ὂν τίθεται, δηλοῖ τὸ σημεῖον αὐτοῦ, ἓν τὸ ἀγένητον καὶ ἄφθαρτον λέγων, ἐν οἷς φησι, μόνος δ' ἔτι μῦθος ὁδοῖο λείπεται ὡς ἔστι. ταύτῃ δ' ἐπὶ σήματ' ἔασι πολλὰ μάλ', ὡς ἀγένητον ἐὸν, καὶ ἀνώλεθρόν ἐστιν. ἀλλὰ μὴν οὐδὲ σωματικὸν ὅλως τὸ ἓν ὂν εἶναι βούλεται, εἴπερ ἀδιαίρετον αὐτό φησι, λέγων οὐδὲ διαιρετόν ἐστιν, ἐπεὶ πᾶν ἐστιν ὁμοῖον. ὥστ' οὐδὲ τῷ οὐρανῷ ἐφαρμόττει τὰ παρ' αὐτοῦ λεγόμενα, ὥς τινας ὑπολαμβάνειν ὁ εὔδημός φησιν, ἀκούσαντας τοῦ πάντοθεν εὐκύκλου σφαίρης ἐναλίγκιον ὄγκῳ. οὐ γὰρ διαιρετὸς ὁ οὐρανός. ἀλλ' οὐδὲ ὁμοίως σφαῖρα. ἀλλὰ σφαῖρά ἐστιν ἡ τῶν φυσικῶν ἀκριβεστάτη. ὅτι δὲ οὐδὲ ψυχικὸν τὸ ἓν ὂν ὁ παρμενίδης λέγει, δηλοῖ τὸ ἀκίνητον αὐτὸ φάναι, οἷον, ἀκίνητον τελέθει, τῷ, πάντη ὄνομα, τῆς ψυχικῆς οὐσίας κατὰ τοὺς ἐλεατικοὺς κίνησιν ἐχούσης. λέγει δὲ καὶ ὁμοῦ πᾶν εἶναι τὸ ὂν, ἐπεὶ νῦν ἐστιν ὁμοῦ πᾶν. καὶ κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἔχειν, ταὐτὸν ὂν, ἐν ταὐτῷ τε μένον, καθ' ἑαυτό κεῖται. καὶ δηλονότι καὶ κατ' οὐσίαν, καὶ κατὰ δύναμιν, καὶ κατ' ἐνέργειαν, ἔχει τό, τε ὁμοῦ πᾶν, καὶ τὸ κατὰ ταὐτά. ἅπερ ἐπέκεινα τῆς ψυχικῆς ἐστιν ὑποστάσεως. μήποτε δὲ οὐδὲ νοερὸν αὐτό φησι. τὸ μὲν γὰρ νοερὸν κατὰ τὴν ἀπὸ τοῦ νοητοῦ διάκρισιν, καὶ τὴν πρὸς τὸ νοητὸν ὑποστροφὴν ὑπέστη. τὸ δὲ ἓν ὂν ταὐτὸν εἶναί φησι νοεῖν τε καὶ νοητὸν καὶ νοῦν δηλονότι, γράφων οὕτως, ταὐτὸν δέ ἐστι νοεῖν τε, καὶ οὕνεκέν ἐστι νόημα. οὐ γὰρ ἄνευ τοῦ ἐόντος. τουτέστι τοῦ νοητοῦ, ἐν ᾧ πεφατισμένον ἐστὶν, εὑρήσεις τὸ νοεῖν. ἔτι δὲ τὸ νοερὸν διακεκριμένον ἐστὶν εἰς εἴδη, ὥσπερ τὸ νοητὸν ἡνωμένως τὴν τῶν εἰδῶν διάκρισιν προείληφεν. ὅπου δὲ διάκρισις, ἐκεῖ καὶ ἑτερότης. ταύτης δὲ οὔσης, καὶ τὸ μὴ ὂν παραφαίνεται. τὸ γὰρ ἕτερον οὐκ ἔστιν ὅπερ τὸ ἕτερον, ὁ δὲ παρμενίδης τὸ μὴ ὂν ἐκ τοῦ ἑνὸς ὄντος πανταπασιν ἐξορίζει. οὐ γὰρ μήποτε τούτου οὐδαμῇ εἶναι μὴ ὄντα. ἀλλὰ σὺ τῆσδ' ἀφ' ὁδοῦ διζήσιος εἶργε νόημα. ἀλλ' οὐ δὲ κοινότητά τινα βούλεται εἶναι τὸ ἓν ὄν. οὔτε τὴν ὑστερογενῆ καὶ ἐξ ἀφαιρέσεως ἐν ταῖς ἡμετέραις ἐννοίαις ὑποστᾶσαν, οὔτε γὰρ ἀγένητος οὔτε ἀνώλεθρός ἐστιν αὕτη, ἀλλ' οὐδὲ ἡ ἐν τοῖς πράγμασίν ἐστι κοινότης. αἰσθητὴ γὰρ αὕτη, καὶ τῶν δοξαστῶν καὶ ἀπατηλῶν, περὶ ὧν ὕστερον λέγει. καὶ ἄλλη παρὰ τὰς διαφοράς ἐστιν, ὡς ἤδη πεπονθέναι τὴν ἑτερότητα, καὶ τὸ μὴ ὄν. πῶς δ' ἂν ἐπὶ ταύτης ἀληθεύοι τὸ νῦν εἶναι ὁμοῦ πᾶν, ἢ τὸ συνῃρηκέναι ἐν ἑαυτῇ τόν νοῦν καὶ τὸ νοητόν. ἀλλ' ἆρα μὴ οὐσίαν λέγοι τὴν ἄτομον τὸ ἓν ὄν; ἢ αὕτη πλέον ἀπάδει. καὶ γὰρ γενητὴ ἡ ἄτομος οὐσία. καὶ ἑτερότητι διειλημμένη καὶ ἔνυλος. καὶ αἰσθητή. καὶ ἄλλη παρὰ τὸ συμβεβηκός. ἔστι δὲ καὶ διαιρετὴ καὶ ἐν κινήσει. λείπεται οὖν τὸ νοητὸν πάντων αἴτιον, δι' ὃ καὶ ὁ νοῦς ἐστι καὶ τὸ νοεῖν, ἐν ᾧ πάντα κατὰ μίαν ἕνωσιν συνῃρημένως προείληπται καὶ ἡνωμένως, τοῦτο εἶναι τὸ παρμενίδειον ἓν ὄν. ἐν ᾧ μία φύσις καὶ τοῦ ἑνὸς καὶ ὄντος ἐστί. διὸ καὶ ὁ ζήνων ἔλεγεν, εἴ τις αὐτῷ τὸ ἓν ἐπιδείξοι, αὐτὸς ἀποδώσειν τὸ ὄν, οὐχ ὡς ἀπογινώσκων τοῦ ἑνός, ἀλλ' ὡς ἅμα τῷ ὄντι συνυφεστῶτος. τούτῳ δὴ τῷ ἑνὶ ὄντι πάντα ἁρμόττει τὰ εἰρημένα συμπεράσματα. καὶ γὰρ τὸ ἀγένητον καὶ ἀνώλεθρον, καὶ τὸ ὁλόκληρον, καὶ μονογενές. τῷ γὰρ ὄντι μεθ' ἕτερον δεύτερον οὐκ ἂν εἴη, τὸ πρὸ πάσης ὂν διακρίσεως. τούτῳ δὲ καὶ τὸ ὁμοῦ πᾶν προσήκει. καὶ τὸ μηδαμῇ χώραν ἔχειν ἐν ἑαυτῷ τὸ μὴ ὄν. ἔτι δὲ τὸ ἀδιαίρετον καὶ τὸ ἀκίνητον κατὰ πᾶν εἶδος διαιρέσεως καὶ κινήσεως. καὶ τὸ κατὰ ταὐτὰ καὶ ὡσαύτως ὄν. καὶ τὸ πέρας. τέλος γὰρ ἁπάντων τοῦτο. καὶ εἰ τοῦτό ἐστιν οὗ ἕνεκα τὸ νοεῖν, δηλονότι τὸ νοητόν ἐστι. τοῦ γὰρ νοητοῦ ἕνεκα καὶ τὸ νοεῖν καὶ ὁ νοῦς. εἰ δὲ ταὐτὸν ἐν ἑαυτῷ καὶ τὸ νοεῖν καὶ τὸ νοητόν, ἄφατος ἂν εἴη ἡ ὑπερβολὴ τῆς ἑνώσεως. καὶ εἴ τῳ μὴ δοκῶ γλίσχρος, ἡδέως ἂν τὰ περὶ τοῦ ἑνὸς ὄντος ἔπη τοῦ παρμενίδου τοῖσδε τοῖς ὑπομνήμασι παραγράψαιμι, διά τε τὴν πίστιν τῶν ὑπ' ἐμοῦ λεγομένων, καὶ διὰ τὴν σπάνιν τοῦ παρμενιδείου συγγράμματος. ἔχει δὲ οὕτως. Μόνος δέ τι μῦθος ὁδοῖο λείπεται, ὡς ἔστιν. ταύτῃ δ' ἐπὶ σήματ' ἔασι πολλὰ μάλ'. ὡς ἀγένητον ἐὸν καὶ ἀνώλεθρον, ἔστιν οὖλον, μουνογενές τε καὶ ἀτρεμὲς, ἠδ' ἀτέλεστον. οὐδέ ποτ' ἦν, οὐδ' ἔσται. ἐπεὶ νῦν ἐστιν ὁμοῦ πᾶν ἓν συνεχές. τίνα γὰρ γένναν διζήσεαι αὐτοῦ. πῇ πόθεν αὐξηθέν; οὔτ' ἐκ μὴ ὄντος ἐάσω φάσθαι σ' οὐδὲ νοεῖν. οὐ γὰρ φατὸν οὐδὲ νοητὸν ἔστιν, ὅπως οὐκ ἔστι. τί δ' ἄν μιν καὶ χρέος ὦρσεν ὕστερον ἢ πρόσθεν τοῦ μηδενὸς ἀρξάμενον φῦναι. οὕτως ἢ πάμπαν πέλεναι χρεών ἐστιν, ἢ οὐχί. οὐδέ ποτ' ἔκ γε μὴ ὄντος ἐφήσει πίστιος ἰσχὺς γίγνεσθαί τι παρ' αὐτό. τοῦ, εἵνεκεν οὔτε γενέσθαι οὔτ' ὄλλυσθαι ἀνῆκε δίκη, χαλάσασα πέδῃσιν,

ἀλλ' ἔχει. ἡ δὲ κρίσις περὶ τούτων ἐν τῷδ' ἐστίν· ἔστιν ἢ οὐκ ἔστιν. κέκριται δ' οὖν, ὥσπερ ἀνάγκη, τὴν μὲν
ἐᾶν ἀνόητον ἀνώνυμον. οὐ γὰρ ἀληθής ἐστιν ὁδός. τὴν δ' ὥστε πέλειν καὶ ἐτήτυμον εἶναι. πῶς δ' ἂν ἔπειτα
πέλοι τὸ ἐόν, πῶς δ' ἄν κε γένοιτο. εἴ γε γένοιτ', οὐκ ἔστ', οὐδ' εἴ ποτε μέλλει ἔσεσθαι. τὼς, γένεσις μὲν
ἀπέσβηται, καὶ ἄπιστος ὄλεθρος. οὐδὲ διαιρετόν ἐστιν. ἐπεὶ πᾶν ἐστιν ὁμοῖον. οὐδέ τι τῇ μᾶλλον, τό κεν
εἴργοι μιν συνέχεσθαι. οὐδέ τι χειρότερον. πᾶν δὲ πλέων ἐστὶν ἐόντος. τῷ, ξυνεχὲς πᾶν ἐστιν. ἐὸν γὰρ
ἐόντι πελάζει. αὐτὰρ ἀκίνητον μεγάλων ἐν πείρασι δεσμῶν ἐστιν ἄναρχον, ἄπαυστον. ἐπεὶ γένεσις
καὶ ὄλεθρος τῆλε μάλ' ἐπλάγχθησαν. ἀπῶσε δὲ πίστις ἀληθής. ταυτόν τ' ἐν ταυτῷ τε μένον. καθ' ἑαυ-
τό τε κεῖται. οὕτως ἔμπεδον αὖθι μένει. κρατερὴ γὰρ ἀνάγκη πείρατος ἐν δεσμοῖσιν ἔχει τέ μιν ἀμφὶς
ἐέργει. οὕνεκεν οὐκ ἀτελεύτητον τὸ ἐὸν θέμις εἶναι. ἔστι γὰρ οὐκ ἐπιδευές. μὴ ὂν δ' ἂν, παντὸς ἐδεῖτο.
ταυτὸν δ' ἐστὶ νοεῖν τε καὶ οὕνεκέν ἐστι νόημα. οὐ γὰρ ἄνευ τοῦ ἐόντος, ἐν ᾧ πεφατισμένον ἐστίν, εὑρήσεις
τὸ νοεῖν. οὐδ' εἰ χρόνος ἐστὶν ἢ ἔσται ἄλλο πάρεξ τοῦ ἐόντος. ἐπεὶ τό γε μοῖρ' ἐπέδησεν οὖλον ἀκίνητόν τ'
ἔμεναι. τῷ, πάντ' ὄνομ' ἐστίν, ὅσσα βροτοὶ κατέθεντο, πεποιθότες εἶναι ἀληθῆ. γίνεσθαί τε, καὶ ὄλλυσθαι,
εἶναί τε καὶ οὐχί, καὶ τόπον ἀλλάσσειν, διά τε χρόα φανὸν ἀμείβειν. αὐτὰρ ἐπεὶ πεῖρας πύματον,
τετελεσμένον ἐστί, πάντοθεν εὐκύκλου σφαίρης ἐναλίγκιον ὄγκῳ, μεσσόθεν ἰσοπαλὲς πάντῃ. τὸ,
γὰρ οὔτε τι μεῖζον οὔτε τι βαιότερον πελέναι χρεών ἐστι τῇ, ἢ τῇ. οὔτε γὰρ οὐκ ἐόν ἐστι, τό κεν παύοι μιν
ἱκνεῖσθαι εἰς ὁμόν, οὔτε ὂν ἐστιν, ὅπως εἴη κενὸν ἐόντος, τῇ μᾶλλον, τῇ δ' ἧσσον. ἐπεὶ πᾶν ἐστιν ἄσυλον.
ἧ γὰρ πάντοθεν ἶσον ὁμῶς ἐν πείρασι κυρεῖ. ἐν τῷ σοι παύω πιστὸν λόγον ἠδὲ νόημα ἀμφὶς ἀληθείης. δό-
ξας δ' ἀπὸ τοῦδε βροτείας μάνθανε, κόσμον ἐμῶν ἐπέων ἀπατηλὸν ἀκούων. ταῦτα μὲν οὖν τὰ
περὶ τοῦ ἑνὸς ὄντος ἔπη τοῦ παρμενίδου. μεθ' ἃ λοιπὸν περὶ τῶν δοξαστῶν διαλέγεται, ἄλλας ἀρ-
χὰς ἐν ἐκείνοις ὑποτιθέμενος. ὧν καὶ ἀριστοτέλης ἐν τοῖς ἑξῆς μνημονεύει, λέγων, καὶ γὰρ παρμενίδης
θερμὸν καὶ ψυχρὸν ἀρχὰς ποιεῖ, ταῦτα δὲ προσαγορεύει πῦρ καὶ γῆν. εἰ δ' εὐκύκλου σφαίρης ἐναλίγ-
κιον ὄγκῳ τὸ ἓν ὄν φησι, μὴ θαυμάσῃς. διὰ γὰρ τὴν ποίησιν καὶ μυθολογικοῦ τινος παράπτεται πλά-
σματος. τί οὖν διέφερε τοῦτο εἰπεῖν, ἢ ὡς ὀρφεὺς εἶπεν, ὠὸν ἀργύφεον. καὶ δῆλον ὅτι τινὰ μὲν τῶν
εἰρημένων ὁλοσχερέστερον λεγόμενα, καὶ ἄλλοις ἐφαρμόσει τοῖς μετ' αὐτό. ὥσπερ τὸ ἀγένητον καὶ ἀνώ-
λεθρον, καὶ τῇ ψυχῇ καὶ τῷ νοῒ προσήκει. καὶ τὸ ἀκίνητον καὶ ἐν ταυτῷ μένον, τῷ νοΐ. πάντα δὲ ἅμα
καὶ εἰλικρινῶς ἀκουόμενα ἐκείνῳ πρέπει. κἂν γὰρ κατά τι σημαινόμενον ἀγένητός ἐστιν ἡ ψυχὴ καὶ ὁ
νοῦς, ἀλλὰ πρὸς τοῦ νοητοῦ παρήχθη. καὶ τὸ ἀκίνητον ἔχει κυρίως. ἐν ᾧ οὐδὲ ἡ κατὰ τὴν ἐνέργειαν κίνη-
σις διακέκριται. καὶ τὸ ἐν ταυτῷ μένειν κυρίως τῷ μένοντι προσήκει. ψυχὴ δὲ καὶ ὁ πολυτίμητος
νοῦς ἀπὸ τοῦ μένοντος προελήλυθε, καὶ ἐπέστραπται πρὸς αὐτό. δῆλον δὲ ὅτι ὅσα ὑπάρχειν ἐκείνῳ λέ-
γεται, ἡνωμένως μὲν ἐν ἑαυτῷ προείληπται, διακεκριμένως δέ, καὶ ὡς κατὰ λόγον ἐμφαίνεται ἀπ'
αὐτοῦ, μετ' αὐτὸ προελήλυθε. καὶ δοκεῖ μὲν ὡς πρῶτον αἴτιον ὑπὸ τοῦ παρμενίδου παραδίδοσθαι,
εἴπερ ἕν ἐστιν ὁμοῦ καὶ πᾶν καὶ πεῖρας ἀπύματον. εἰ δὲ μὴ ἁπλῶς ἓν αὐτό, ἀλλ' ἓν ὂν εἶπε, καὶ εἰ μονογε-
νές, καὶ εἰ πέρας μέν, τετελεσμένον δέ, τάχα ἐνδείκνυται τὴν ἄρρητον τῶν πάντων αἰτίαν ὑπὲρ αὐτὸ
ἱδρύσθαι. πῶς οὖν καὶ πλάτων καὶ ἀριστοτέλης ἀντιλέγοντες φαίνονται πρὸς παρμενίδην. ἢ ὁ μὲν
πλάτων διχῶς ἀντιλέγων αὐτῷ, κατά τε τὸ ἓν λέγειν τὸ ὄν, καὶ κατὰ τὸ τελέως ἀναιρεῖν τὸ μὴ ὄν, ἀπὸ
τοῦ νοεροῦ καὶ διακεκριμένου κόσμου τὴν ἀντιλογίαν πεποίηται. ἐν ᾧ τὸ ὂν ἀπὸ τοῦ ἑνὸς διεκρίθη, καὶ οὐκ
ἔμεινεν ἄμφω ἕν, τὰ μόρια ἀπὸ τοῦ ὅλου. ἐκ τούτων γὰρ ἔδειξεν ὁ πλάτων ὅτι οὐχ ἓν ἀλλὰ πλείω τοῦ ἑνὸς τὰ
ὄντα. τὸ δὲ μὴ ὂν ἔδειξεν ἐκ τῆς ἐν τοῖς διακεκριμένοις εἴδεσιν ἑτερότητος. δι' ἣν τὸ ἐκεῖ ὂν κατὰ μίαν
ἰδιότητα εἰλημμένον, ὂν μέν ἐστι, κίνησις δὲ ἢ στάσις οὐκ ἔστι. καὶ τῶν ἄλλων ἕκαστον ἔστι μὲν ὅτι ἐστί, τὰ δὲ
ἄλλα οὐκ ἔστι. καὶ δῆλον ὅτι τοῦτο ἐκεῖ πάντως ἐστίν, ὅπου διάκρισις ἐξεφάνη καὶ ἑτερότης, ἐν μὲν τοῖς
νοεροῖς εἰδητικῶς, ἐν δὲ τοῖς αἰσθητοῖς διαστατικῶς. τοῦτο δὲ τὸ μὴ ὂν καὶ αὐτὸς ὁ παρμενίδης ἐν
τοῖς δοξαστοῖς συγχωρῶν φαίνεται, εἴπερ ἀπατηλὸν καλεῖ τῶν ἐπῶν τὸν κόσμον τὸν περὶ τὰς βρο-
τείους δόξας. ὅπου δὲ ἀπάτη, ἐκεῖ τὸ μὴ ὄν. ἀπατᾶται γὰρ ὁ τὸ μὴ ὂν εἶναι, ἢ τὸ ὂν μὴ εἶναι ἡγούμενος.
τὸ μέντοι παντελῶς μὴ ὂν οὐχ ὁ παρμενίδης μόνος ἀναιρεῖ, ἀλλὰ καὶ ὁ πλάτων. ὅς γε καὶ τὴν ζήτησιν
» ἀποφεύγει τὴν περὶ αὐτοῦ, λέγων, μὴ τοίνυν ἡμᾶς εἴπῃ τις, ὅτι τοὐναντίον τοῦ ὄντος τὸ μὴ ὂν ἀποφαινό-
» μενοι, τολμῶμεν λέγειν ὡς ἔστιν. ἡμεῖς γὰρ περὶ μὲν ἐναντίου τινὸς αὐτῷ χαίρειν πάλαι λέγομεν, εἴτε
» ἔστιν, εἴτε μή, λόγον ἔχον, ἢ καὶ παντάπασιν ἄλογον. ὃ δὲ νῦν εἰρήκαμεν εἶναι τὸ μὴ ὄν, ἢ πεισάτω τις
» ὡς οὐ καλῶς λέγομεν ἐλέγξας, ἢ μέχρι περ ἀδυνατεῖ, λεκτέον καὶ ἐκείνῳ καθάπερ ἡμεῖς λέγο-
μεν. καὶ οὐδὲν θαυμαστὸν ἐν τῷ τοιούτῳ ὄντι, τῷ κατὰ μίαν ἰδιότητα ἀφωρισμένῳ, τὸ τοιοῦτο μὴ ὂν
ἐπιλέξαι, ἐν τῷ ὁλοτελεῖ καὶ νοητῷ καὶ πάντα ὄντι πρὸ πάντων ἡνωμένως, μηδεμίαν χώραν ἔχοντος
μηδὲ τοῦ τοιούτου μὴ ὄντος. ὁ μέντοι ἀριστοτέλης ἐκ διαιρέσεως προσαγαγὼν τὴν ἀντιλογίαν, ἢ πολ-
λαχῶς φησι λέγεται τὸ ὄν, καὶ οὕτω πολλὰ ἔσται, ἢ μοναχῶς. καὶ ἢ οὐσία, ἢ συμβεβηκός. καὶ δῆλον
ὅτι οὐδὲν τούτων τῷ νοητῷ προσήκει, ἐν τῇ γενέσει τῆς διαιρέσεως ταύτης ἀναφαινομένης, καὶ εἴπερ ἄρα,
ἐν τῇ κατ' αἰτίαν νοερᾷ διακρίσει προειλημμένης. μηδεὶς δὲ τῷ πλάτωνι καὶ τῷ ἀριστοτέλει μεμφέ-

θῳ, πρὸς ἄλλας αἰτίας ἀντιλέγουσι. φιλανθρώπως γὰρ τὰς γενησομένας παρακοὰς προανα-
στέλλουσιν. ἐπεὶ ὅτι σοφὸν οἴονται τὸν παρμενίδην, δηλοῦσιν, ὁ μὲν πλάτων βάθος παντάπασι γεν-
ναῖον τῇ διανοίᾳ τοῦ ἀνδρὸς μαρτυρῶν, καὶ διδάσκαλον αὐτὸν τοῦ σωκράτους τῶν ἀκροτάτων μα-
θημάτων παραδιδούς. ὁ δὲ ἀριστοτέλης ἀλλαχοῦ που βλέπειν αὐτὸν ὑπονοῶν, καὶ πρὸς τοὺς φυσικοὺς
αὐτὸν ἀντιδιαστέλλων. ἐπεὶ καὶ ὁ πλάτων τὸ ἓν τοῦτο παρέδωκεν ἐν τῷ παρμενίδῃ, τὴν ὑπεροχὴν
αὐτοῦ ἀνυμνῶν. καὶ ἀριστοτέλης ἐν τῇ μετὰ τὰ φυσικὰ, ἓν αὐτὸ εἶναι διατεινόμενος, καὶ ἀναβοῶν οὐκ
ἀγαθὸν πολυκοιρανίη, πρότερον αὐτοῦ καὶ οὗτος τὴν ἕνωσιν ἀνυμνήσας, καὶ ὅτι ταυτὸν ἐκεῖ νοῦς καὶ
νοητὸν, καὶ οὐσία καὶ δύναμις καὶ ἐνέργεια, καλῶς θεασάμενος. ἀλλὰ τούτων μὲν ἅλις. μὴ καί που δό-
ξωμεν ὑπὲρ τὰ ἐσκαμμένα πηδᾶν κατὰ τὴν παροιμίαν, ἐν τῇ φυσικῇ πραγματείᾳ τὰ ἀκρότατα
τῶν θεολογικῶν ἐπεμβάλλοντες.

ὩΣ Δ᾽ ΟἹ φυσικοὶ λέγουσι δύο τρόποι εἰσίν. οἱ μὲν γὰρ ἓν ποιήσαντες τὸ ὂν σῶμα τὸ ὑποκείμενον, ἢ
τῶν τριῶν τι, ἢ ἄλλο, ὅ ἐστι πυρὸς μὲν, πυκνότερον, ἀέρος δὲ λεπτότερον, τἆλλα γεννῶσι πυκνότη-
τι καὶ μανότητι πολλὰ ποιοῦντες. ταῦτα δ᾽ ἐστὶν ἐναντία. καθόλου δ᾽ ὑπεροχὴ καὶ ἔλλειψις. ὥσπερ
τὸ μέγα φησὶ γὰρ ὁ πλάτων καὶ τὸ μικρόν. πλὴν ὅτι, ὁ μὲν ταῦτα ποιεῖ ὕλην. τὸ δὲ ἓν, τὸ εἶδος. οἱ δὲ,
τὸ μὲν ἓν τὸ ὑποκείμενον, ὕλην, τὰ δ᾽ ἐναντία, διαφορὰς καὶ εἴδη. οἱ δὲ, ἐκ τοῦ ἑνὸς ἐνούσας τὰς ἐναν-
τιότητας, ἐκκρίνουσιν. ὥσπερ ἀναξίμανδρός φησι. καὶ ὅσοι δὲ ἓν καὶ πολλά φασιν εἶναι τὰ ὄντα.
ὥσπερ ἐμπεδοκλῆς καὶ ἀναξαγόρας. ἐκ τοῦ μίγματος γὰρ καὶ οὗτοι ἐκκρίνουσι τἆλλα. διαφέρουσι
δ᾽ ἀλλήλων, τῷ, τὸν μὲν, περίοδον ποιεῖν τούτων. τὸν δ᾽ ἅπαξ. καὶ τὸν μὲν ἄπειρα. τά τε ὁμοιομερῆ,
καὶ τἀναντία. τὸν δὲ, τὰ καλούμενα στοιχεῖα μόνον. ἔοικε δὲ ἀναξαγόρας οὕτως ἄπειρα οἰηθῆναι, διὰ
τὸ ὑπολαμβάνειν τὴν κοινὴν δόξαν τῶν φυσικῶν, εἶναι ἀληθῆ, ὡς οὐ γιγνομένου οὐδενὸς ἐκ τοῦ μὴ ὄν-
τος. διὰ τοῦτο γὰρ οὕτω λέγουσιν ἦν ὁμοῦ τὰ πάντα. καὶ τὸ γίνεσθαι τοιόνδε καθέστηκεν ἀλλοιοῦ-
σθαι. οἱ δὲ σύγκρισιν καὶ διάκρισιν.

Ἀποσκευασάμενος τὴν δόξαν τῶν ἓν τὸ ὂν, καὶ οὕτως ἓν λεγόντων, ὡς αὐτὸ μόνον ὂν, καὶ τοῦτο δὲ ἀκί-
νητον, ἥτις οὐδὲ φυσικῶν ἐστι δόξα, ἀλλὰ τῶν τὰ ὑπὲρ φύσιν ζητούντων, εὐγνωμόνως γὰρ ὁ ἀριστο-
τέλης διὰ τῆς πρὸς τοὺς φυσικοὺς ἀντιδιαστολῆς καὶ πρὸς τοὺς σῶμα τὸ ὂν ποιοῦντας, πάλιν ὅτι μὴ
περὶ φύσεως οὗτοι διαλέγονται ἐνεδείξατο, καὶ μέντοι ἐκ τοῦ ταυτὸν τὸ ὂν καὶ τὴν ἀρχὴν λαμβά-
νειν ὅτι ἐκεῖνοι περὶ ἀρχῆς ἔλεγον δηλοῖ, δείξας οὖν ὅτι οὕτως ἓν εἶναι τὸ ὂν ἀδύνατον, ἐφεξῆς πῶς
οἱ φυσικοὶ ἓν λέγουσιν εἶναι τὸ ὂν οὐ καὶ τὸ στοιχεῖον προστίθεται ζητεῖν. καὶ γὰρ τῶν φυσικῶν οἱ μὲν,
ἓν, οἱ δὲ, πολλὰ λέγουσι. καὶ τῶν ἓν λεγόντων δύο τρόπους εἶναί φησι, τῆς δὲ οὖ τῶν ὄντων γενέσεως.
πάντες μὲν γὰρ σωματικόν τι τὸ ἓν ὑποτίθενται τοῦτο. ἀλλ᾽ οἱ μὲν, ἕν τι τῶν τριῶν στοιχείων. ὥσπερ
θαλῆς μὲν καὶ ἵππων τὸ ὕδωρ. ἀναξιμένης δὲ καὶ διογένης τὸν ἀέρα. ἡράκλειτος δὲ καὶ ἵππασος τὸ
πῦρ. τὴν δὲ γῆν οὐδεὶς ἠξίωσεν ὑποθέσθαι μόνην, διὰ τὸ δυσαλλοίωτον. τινὲς δὲ ἄλλο τι τῶν τριῶν
ὑπέθεντο. ὅ ἐστι πυρὸς μὲν πυκνότερον, ἀέρος δὲ λεπτότερον. ἢ ὡς ἐν ἄλλοις φησὶν, ἀέρος μὲν πυκνότε-
ρον, ὕδατος δὲ λεπτότερον. καὶ ὁ μὲν ἀλέξανδρος ἀναξίμανδρον οἴεται τὸν ἄλλην τινὰ φύσιν σώματος
παρὰ τὰ στοιχεῖα τὴν ἀρχὴν ὑποθέμενον. ὁ μέντοι πορφύριος, ὡς τοῦ ἀριστοτέλους ἀντιδιαιροῦντος τοὺς
σῶμα τὸ ὑποκείμενον ἀδιόριστον ποιήσαντας, πρὸς τοὺς ἢ τῶν τριῶν τι στοιχείων ἓν, ἢ ἄλλο τι τὸ μεταξὺ
πυρὸς καὶ ἀέρος, σῶμα μὲν τὸ ὑποκείμενον ἀδιορίστως ἀναξίμανδρον λέγειν φησὶν ἄπειρον, οὐ διορί-
σαντα τὸ εἶδος, εἴτε πῦρ, εἴτε ὕδωρ, εἴτε ἀήρ. τὸ δὲ μεταξὺ καὶ αὐτὸς ὥσπερ νικόλαος ὁ δαμασκηνὸς
εἰς διογένην τὸν ἀπολλωνιάτην ἀνέπεμψεν. αὐτοφυέστερον δέ μοι δοκεῖ κατὰ τὴν λέξιν, μὴ ὡς ἀντι-
διῃρημένου τοῦ σώματος πρὸς τὰ στοιχεῖα καὶ τὸ μεταξὺ ἀκούειν, ἀλλ᾽ ὡς διαιρουμένου μᾶλλον εἴς τε τὰ
τρία καὶ τὸ μεταξύ. σῶμα γὰρ τὸ ὑποκείμενόν φησιν, ἢ τῶν τριῶν τι, ἢ ἄλλο, ὅ ἐστι πυρὸς μὲν πυκνότερον,
ἀέρος δὲ λεπτότερον. καὶ μέντοι κοινῶς περὶ τῶν προειρημένων ἐπήγαγεν, ὅτι τἆλλα γεννῶσι μανό-
τητι καὶ πυκνότητι, καίτοι τοῦ ἀναξιμάνδρου ὡς αὐτός φησι μὴ οὕτω γεννῶντος, ἀλλὰ κατὰ ἔκκρι-
σιν τὴν ὑπὸ τοῦ ἀπείρου. πῶς οὖν εἰ τοῦτον ἔλεγεν εἶναι τὸν σῶμα ἀδιορίστως ὑποτιθέμενον, κοινῶς ἐπή-
γαγε τὴν κατὰ ἀλλοίωσιν γένεσιν. κοινωνοῦντες δὲ οὗτοι πάντες κατὰ τὸ μίαν λέγειν τὴν ἀρχὴν, δι-
χῆ διαιροῦνται κατὰ τοὺς τρόπους τῆς γενέσεως. καὶ γὰρ οἱ μὲν ἐκ τοῦ ὑλικοῦ ἑνὸς γεννῶσι τἆλλα μα-
νότητι καὶ πυκνότητι. ὡς ἀναξιμένης ἀραιούμενον μὲν τὸν ἀέρα πῦρ γίνεσθαί φησι. πυκνούμενον δὲ
ἄνεμον, εἶτα νέφος. εἶτα ἔτι μᾶλλον, ὕδωρ. εἶτα γῆν. εἶτα λίθους. τὰ δὲ ἄλλ᾽ ἐκ τούτων. ἐπὶ γὰρ τούτου
μόνου θεόφραστος ἐν τῇ ἱστορίᾳ τὴν μάνωσιν εἴρηκε καὶ τὴν πύκνωσιν. δῆλον δὲ ὡς καὶ οἱ ἄλλοι τῇ μα-
νότητι καὶ πυκνότητι ἐχρῶντο. καὶ γὰρ ἀριστοτέλης περὶ πάντων τούτων εἶπε κοινῶς, ὅτι τἆλλα
γεννῶσι πυκνότητι καὶ μανότητι πολλὰ ποιοῦντες τὰ ἐκ τῆς μιᾶς ὕλης. εἰ δὲ ἡ μάνωσις καὶ ἡ πύκνω-
σις ἐναντία, ὥσπερ ἔτι καθολικωτέρα ἐναντίωσις ἥ γε ὑπερβολὴ καὶ ἡ ἔλλειψις, ὡς καὶ ὁ πλά-
των τὸ μέγα καὶ τὸ μικρὸν ἔλεγεν, δηλονότι οὗτοι πάντες οὐκέτι μίαν ἔλεγον τὴν ἀρχὴν, ἀλλὰ
τρεῖς. καὶ ἐναντιότητι ἐχρῶντο. πλὴν ὁ μὲν πλάτων μέγα καὶ μικρὸν ἔλεγεν, ἐκ μιᾶς ἀντιθέσεως

πάσας αὐτῇ δυνάμει τὰς ἀντιθέσεις προσεῖναι μαρτυρῶν. οἱ δὲ ἄλλοι ἓν μὲν ἔλεγον τὸ ὑποκείμενον
τὴν ὕλην. τὴν δὲ μάνωσιν καὶ πύκνωσιν ἐναντία ὄντα, διαφορὰς καὶ εἴδη. ὥστε πάντες οὗτοι τρεῖς
ἔλεγον τὰς ἀρχὰς, τά τε ἐναντία, καὶ ἄλλο τι ἕν. εἰ μὴ ἄρα ὁ πλάτων οὐχ ὡς δύο ἀρχὰς μέγα καὶ
μικρὸν τὴν ὕλην ἔλεγεν, ἀλλὰ συμβολικῶς. ὥσπερ καὶ δυάδα ἀόριστον. καὶ συμμετρίαν. ἧς μέ-
ρη ὑπερβολὴ καὶ ἔλλειψις, καὶ τὸ πολὺ καὶ ὀλίγον, καὶ ἡ ἀνισότης, πάντα τῇ ὕλῃ προσήκοντα.
ἅπερ ἴσως διὰ τοῦ μεγάλου καὶ μικροῦ ὁ πλάτων ἐνεδείκνυτο, ὡς τῆς ὕλης ἀσωμάτου μὲν καὶ ἀμε-
γέθους οὔσης, καὶ διατοῦτο μικρᾶς ἂν λεγομένης, παντὸς δὲ ὄγκου καὶ πάσης διαστάσεως αἰτίας
καὶ διατοῦτο μεγάλης. καὶ οὗτος μὲν εἷς τρόπος τῶν ἓν τὸ ὂν ὑποτιθεμένων, τῇ μανότητι καὶ πυκνό-
τητι τὸ πλῆθος τῶν ὄντων ὑφιστάνειν. ἕτερος δὲ τρόπος καθ᾽ ὃν οὐκέτι τὴν μεταβολὴν τῆς ὕλης
αἰτιῶνται. οὐδὲ κατὰ ἀλλοίωσιν τοῦ ὑποκειμένου τὰς γενέσεις ἀποδιδόασιν. ἀλλὰ κατὰ ἔκκρισιν. ἐνού-
σας γὰρ τὰς ἐναντιότητας ἐν τῷ ὑποκειμένῳ ἀπείρῳ ὄντι ἀσώματι, ἐκκρίνεσθαί φησιν ἀναξίμαν-
δρος, πρῶτος αὐτὸς ἀρχὴν ὀνομάσας τὸ ὑποκείμενον. ἐναντιότητες δὲ εἰσι, θερμὸν ψυχρὸν, ξηρὸν
ὑγρόν. καὶ αἱ ἄλλαι. καὶ ἡ μὲν ὅλη τῶν εἰρημένων ἔννοια τοιαύτη. ἰστέον δὲ ὅτι ὁ ἀριστοτέλης συμφέ-
ρειν ἀξιοῖ, τῷ μὲν λεπτῷ τὸ μανὸν, τῷ δὲ παχεῖ τὸ πυκνόν. διὸ τὸ πῦρ ὡς μανὸν ἅμα καὶ λεπτὸν λαμ-
βάνει, λέγων, πυρὸς μὲν πυκνότερον, ἀέρος δὲ λεπτότερον, ὡς τοῦ ἀέρος παχυτέρου καὶ πυκνοτέ-
ρου ὄντος ἤπερ κατὰ τὸ πῦρ. πλάτων δὲ παχύτερον μὲν εἶναί φησι καὶ αὐτὸς τὸν ἀέρα τοῦ πυρός. καὶ ἁ-
πλῶς τὰ κατωτέρω καὶ πρὸς τῷ κέντρῳ στοιχεῖα, τῶν ἀνωτέρω καὶ πρὸς τῷ πέρατι, παχυμερέστε-
ρά φησι. διότι τὸ μανὸν καὶ τὸ πυκνὸν ταῖς τῶν μορίων θέσεσιν διορίζεσθαι ἀξιοῖ, καθάπερ καὶ ἀρι-
στοτέλης εἴρηκεν ἐν κατηγορίαις. τούτου δὲ οὕτως ἔχοντος, ἀνάγκη τῶν μὲν μειζόνων μερῶν μείζονα
εἶναι τὰ μεταξὺ διαστήματα. διὸ μανότερον τὸ ὅλον ὡς ἀραιότερον καὶ μὴ ἓν ὄν. οἷον ἢ ἐπὶ σωροῦ λί-
θων ἢ καρύων. τῶν δὲ ἐλαττόνων ἐλάττονα. διὸ πυκνότερον τὸ ὅλον ὡς συχνόν. οἷον ἐπὶ σωροῦ ψάμ-
μου. λέγει δὲ ὁ ἀλέξανδρος ὅτι κατὰ πλάτωνα πάντων ἀρχὴ καὶ αὐτῶν τῶν ἰδεῶν, τό, τε ἕν ἐστι
καὶ ἡ ἀόριστος δυάς. ἣν μέγα μικρὸν ἔλεγεν, ὡς ἐν τοῖς περὶ τἀγαθοῦ ἀριστοτέλης μνημονεύει. λά-
βοι δὲ ἄν τις καὶ παρὰ σπευσίππου καὶ παρὰ ξενοκράτους καὶ τῶν ἄλλων. οἳ παρεγένοντο ἐν τῇ περὶ
τἀγαθοῦ πλάτωνος ἀκροάσει. πάντες γὰρ συνέγραψαν, καὶ διεσώσαντο τὴν δόξαν αὐτοῦ. καὶ ταύ-
ταις αὐτὸν ἀρχαῖς χρῆσθαι λέγουσι. καὶ τὸν μὲν πλάτωνα ἀρχὰς λέγειν πάντων τὸ ἓν, καὶ τὴν ἀό-
ριστον δυάδα, πάνυ εἰκός. πυθαγορείων γὰρ ὁ λόγος. καὶ πολλαχοῦ φαίνεται πυθαγορείοις ὁ πλά-
των ἀκολουθῶν. τὸ δὲ τὴν ἀόριστον δυάδα καὶ τῶν ἰδεῶν ἀρχὰς λέγοντα μέγα καὶ μικρὸν εἰπεῖν,
διὰ τούτων τὴν ὕλην σημαίνοντα, πῶς τοῦτο ἀκόλουθον, τὴν ὕλην ἐν μόνῳ τῷ αἰσθητῷ κόσμῳ τοῦ
πλάτωνος ἀφορίζοντος, καὶ σαφῶς ἐν τιμαίῳ λέγοντος, ὅτι τῆς γενέσεώς ἐστιν οἰκεία, καὶ ἐν αὐτῇ
γίνεται τὸ γινόμενον. καὶ τὰς μὲν ἰδέας νοήσει γνωστὰς ἔφατο. τὴν δὲ ὕλην νόθῳ λογισμῷ πιστήν.
ἐπειδὴ δὲ ἡ μὲν τῶν πλειόνων ἱστορία διογένην τὸν ἀπολλωνιάτην ὁμοίως ἀναξιμένει τὸν ἀέρα τίθε-
σθαι τὸ πρῶτον στοιχεῖόν φησι, νικόλαος δὲ ἐν τῇ περὶ θεῶν πραγματείᾳ τοῦτον ἱστορεῖ τὸ μεταξὺ
πυρὸς καὶ ἀέρος τὴν ἀρχὴν ἀποφήνασθαι, καὶ τῷ νικολάῳ συνηκολούθησεν ὁ φιλομαθέστατος τῶν
φιλοσόφων πορφύριος, ἰστέον ὡς γέγραπται πλείονα τῷ διογένει τούτῳ συγγράμματα, ὡς αὐτὸς ἐν
τῷ περὶ φύσεως ἐμνήσθη, καὶ πρὸς φυσιολόγους ἀντειρηκέναι λέγων, οὓς καλεῖ καὶ αὐτὸς σοφιστὰς,
καὶ μετεωρολογίας γεγραφέναι, ἐν ᾗ καὶ λέγει περὶ τῆς ἀρχῆς εἰρηκέναι, καὶ μέντοι καὶ περὶ ἀν-
θρώπου φύσεως. ἐν δέ γε τῷ περὶ φύσεως, ὃ τῶν αὐτοῦ μόνον εἰς ἐμὲ ἦλθε, προτίθεται μὲν διὰ πολ-
λῶν δεῖξαι, ὅτι ἐν τῇ ὑπ᾽ αὐτοῦ τεθείσῃ ἀρχῇ ἐστι νόησις πολλή. γράφει δὲ εὐθὺς μετὰ τὸ προοίμιον
» τάδε. Ἐμοὶ δὲ δοκεῖ τὸ μὲν ξύμπαν εἰπεῖν πάντα τὰ ὄντα ἀπὸ τοῦ αὐτοῦ ἑτεροιοῦσθαι, καὶ τὸ αὐτὸ
» εἶναι. καὶ τοῦτο εὔδηλον. εἰ γὰρ τὰ ἐν τῷδε τῷ κόσμῳ ἐόντα νῦν γῆ καὶ ὕδωρ, καὶ τἄλλα ὅσα φαίνεται
» ἐν τῷδε τῷ κόσμῳ ἐόντα, εἰ τούτων τι ἦν τὸ ἕτερον τοῦ ἑτέρου ἕτερον ὂν τῇ ἰδίᾳ φύσει, καὶ μὴ τὸ αὐ-
» τὸ ἐὸν μετέπιπτε πολλαχῶς καὶ ἠτεροιοῦτο, οὐδαμῇ οὔτε μίσγεσθαι ἀλλήλοις ἠδύνατο, οὔτε ὠφέ-
» λησις τῷ ἑτέρῳ οὔτε βλάβη. οὐδ᾽ ἂν οὔτε φυτὸν ἐκ τῆς γῆς φῦναι, οὔτε ζῶον οὔτε ἄλλο γενέσθαι οὐ-
» δὲν, εἰ μὴ οὕτω συνίστατο ὥστε ταυτὸ εἶναι. ἀλλὰ πάντα ταῦτα ἐκ τοῦ αὐτοῦ ἑτεροιούμενα, ἄλλοτε
» ἀλλοῖα γίνεται, καὶ εἰς τὸ αὐτὸ ἀναχωρεῖ. τούτοις καὶ ἐγὼ πρώτοις ἐντυχὼν, ᾠήθην ἄλλο τι λέγειν
αὐτὸν παρὰ τὰ τέσσαρα στοιχεῖα τὸ κοινὸν ὑποκείμενον. ἐπείπερ φησὶν μὴ ἀναμίγνυσθαι ταῦτα, μηδὲ
μεταπίπτειν εἰς ἄλληλα, εἴπερ ἕν τι αὐτῶν ἦν ἡ ἀρχὴ, καὶ μὴ τὸ αὐτὸ πᾶσιν ὑπέκειτο, ἀφ᾽ οὗ πάν-
» τα ἑτεροιοῦται. ἐφεξῆς δὲ δείξας ὅτι ἔστιν ἐν τῇ ἀρχῇ ταύτῃ νόησις πολλὴ, οὐ γὰρ ἄν φησιν οὕτω
» δεδάσθαι οἷόν τε ἦν ἄνευ νοήσιος, ὥστε πάντων μέτρα ἔχειν, χειμῶνός τε καὶ θέρους, καὶ νυκτὸς καὶ
» ἡμέρας, καὶ ὑετῶν, καὶ ἀνέμων, καὶ εὐδιῶν, καὶ τὰ ἄλλα εἴ τις βούλεται ἐννοεῖσθαι, εὑρίσκοι ἂν
» οὕτω διακείμενα, ὡς ἀνυστὸν κάλλιστα, ἐπάγει, ὅτι καὶ ἄνθρωπος καὶ τὰ ἄλλα ζῶα ἐκ τῆς ἀρχῆς ταύ-
» της, ἥτις ἐστὶν ἀὴρ, καὶ ζῇ καὶ ψυχὴν ἔχει καὶ νόησιν, λέγων οὕτως. ἔτι δὲ πρὸς τούτοις καὶ τάδε με-
» γάλα σημεῖα. ἄνθρωπος γὰρ καὶ τὰ ἄλλα ζῶα ἀναπνέοντα ζώει τῷ ἀέρι. καὶ τοῦτο αὐτοῖς καὶ ψυ-
χή ἐστι,

» χή ἐστι, καὶ νόησις. ὡς δεδήλωται ἐν τῇδε τῇ συγγραφῇ ἐμφανῶς. καὶ ἐὰν τοῦτο ἀπαλλαχθῇ, ἀποθνή-
» σκει. καὶ ἡ νόησις ἐπιλείπει. εἶτα μετ' ὀλίγον σαφῶς ἐπήγαγε, καί μοι δοκεῖ τὸ τὴν νόησιν ἔχον, εἶναι
» ὁ ἀὴρ καλούμενος ὑπὸ τῶν ἀνθρώπων. καὶ ὑπὸ τούτου πάντας καὶ κυβερνᾶσθαι, καὶ πάντων
» κρατεῖν. ἀπὸ γάρ μοι τούτου δοκεῖ ἔθος εἶναι, καὶ ἐπὶ πᾶν ἀφῖχθαι, καὶ πάντα διατιθέναι, καὶ
» ἐν παντὶ ἐνεῖναι. καὶ ἔστι μηδὲ ἓν ὅτι μὴ μετέχει τούτου. μετέχει δὲ οὐδὲ ἓν ὁμοίως τὸ ἕτερον τῷ ἑτέ-
» ρῳ. ἀλλὰ πολλοὶ τρόποι καὶ αὐτοῦ τοῦ ἀέρος καὶ τῆς νοήσιος εἰσίν. ἔστι γὰρ πολύτροπος. καὶ θερμότε-
» ρος, καὶ ψυχρότερος, καὶ ξηρότερος, καὶ ὑγρότερος, καὶ στασιμώτερος. καὶ ὀξυτέρην κίνησιν ἔ-
» χων. καὶ ἄλλαι πολλαὶ ἑτεροιώσιες ἔνεισι, καὶ ἡδονῆς καὶ χροιῆς ἄπειροι. καὶ πάντων τῶν ζώων δὲ
» ἡ ψυχὴ τὸ αὐτό ἐστιν, ἀὴρ θερμότερος μὲν τοῦ ἔξω ἐν ᾧ ἐσμέν, τοῦ μέντοι παρὰ τῷ ἡλίῳ πολλὸν ψυ-
» χρότερος. ὅμοιον δὲ τοῦτο τὸ θερμὸν οὐδενὸς τῶν ζώων ἐστίν, ἐπεὶ οὐδὲ τῶν ἀνθρώπων ἀλλήλοις. ἀλ-
» λὰ διαφέρει μέγα μὲν οὔ, ἀλλ' ὥστε παραπλήσια εἶναι, οὐ μέντοι ἀτρεκέως γε ὅμοιόν γε ὄν. οὐδὲν δ'
» οἷόν τε γενέσθαι τῶν ἑτεροιουμένων ἕτερον ἑτέρῳ, πρὶν τὸ αὐτὸ γένηται. ἅτε οὖν πολυτρόπου ἐού-
» σης τῆς ἑτεροιώσιος, πολύτροπα καὶ τὰ ζῷα καὶ πολλά. καὶ οὔτε ἰδέαν ἀλλήλοις ἐοικότα, οὔτε δίαι-
» ταν, οὔτε νόησιν, ὑπὸ τοῦ πλήθεος τῶν ἑτεροιώσεων. ὅμως δὲ πάντα τῷ αὐτῷ καὶ ζῇ καὶ ὁρᾷ καὶ
» ἀκούει, καὶ τὴν ἄλλην νόησιν ἔχει ὑπὸ τοῦ αὐτοῦ πάντα. καὶ ἐφεξῆς δείκνυσιν ὅτι καὶ τὸ σπέρμα
τῶν ζώων πνευματῶδές ἐστι. καὶ νοήσεις γίνονται, τοῦ ἀέρος σὺν τῷ αἵματι τὸ ὅλον σῶμα καταλαμ-
βάνοντος διὰ τῶν φλεβῶν. ἐν οἷς καὶ ἀνατομὴν ἀκριβῆ τῶν φλεβῶν παραδίδωσιν. ἐν δὴ τούτοις
σαφῶς φαίνεται λέγων, ὅτι ὃν ἄνθρωποι λέγουσιν ἀέρα, τοῦτο ἐστὶν ἀρχή. θαυμαστὸν δὲ ὅτι κατὰ ἑτε-
ροίωσιν τὴν ἀπ' αὐτοῦ λέγων τὰ ἄλλα γίνεσθαι, ἀΐδιον ὅμως αὐτό φησι, λέγων, καὶ αὐτὸ μὲν τοῦτο
» καὶ ἀΐδιον καὶ ἀθάνατον σῶμα. τῶν δέ, τὰ μὲν γίνεται. τὰ δ' ἀπολείπει. καὶ ἐν ἄλλοις, ἀλλὰ τοῦτό
» μοι δῆλον δοκεῖ εἶναι, ὅτι καὶ μέγα καὶ ἰσχυρὸν καὶ ἀΐδιόν τε καὶ ἀθάνατον, καὶ πολλὰ εἰδός ἐστι.
ταῦτα μὲν οὖν περὶ Διογένους προσιστορείσθω. μέτεισι δὲ λοιπὸν ὁ Ἀριστοτέλης ἀπὸ τῶν ἓν λεγόντων,
ἐπὶ τοὺς ἓν καὶ πολλὰ τὴν ἀρχὴν λέγοντας.

ΚΑῚ ὍΣΟΙ δὲ ἓν καὶ πολλά φασιν εἶναι τὰ ὄντα. ὥσπερ Ἐμπεδοκλῆς καὶ Ἀναξαγόρας. ἐκ τοῦ μί-
γματος γὰρ καὶ οὗτοι ἐκκρίνουσι τὰ ἄλλα. διαφέρουσι δ' ἀλλήλων, τῷ, τὸν μέν, περίοδον ποιεῖν
τούτων. τὸν δ' ἅπαξ. καὶ τὸν μὲν ἄπειρα. τά τε ὁμοιομερῆ, καὶ τἀναντία. τὸν δέ, τὰ καλούμενα στοι-
χεῖα μόνον.

Εἰπὼν περὶ τῶν μίαν κατὰ τὸ ὑποκείμενον λεγόντων τὴν φυσικὴν ἀρχήν, καὶ τὴν διαφορὰν πα-
ραδοὺς τὴν κατὰ τὸν διττὸν τρόπον τῆς ἐκ τοῦ ὑποκειμένου γενέσεως, τόν τε κατ' ἀλλοίωσιν καὶ τὸν κατ'
ἔκκρισιν, μεταβαίνει λοιπὸν ἐπὶ τοὺς περὶ Ἐμπεδοκλέα καὶ Ἀναξαγόραν, ἓν καὶ πολλὰ τὴν ἀρχὴν
λέγοντας. καὶ γὰρ Ἀναξαγόρας τὰς ὁμοιομερείας κατὰ τὸ ὑποκείμενον ἀρχὰς θέμενος, ἀπείρους
ἔλεγε ταύτας. καὶ τὸ ποιητικὸν δὲ αἴτιον ἓν ἔλεγεν εἶναι, τὸν διακρίνοντα νοῦν. Ἐμπεδοκλῆς δέ,
πλείους κατὰ τὸ ὑποκείμενον ἀρχὰς ἔθετο, τὰ τέσσαρα στοιχεῖα, ἓν δὲ τὴν φιλίαν καὶ τὸ νεῖκος. ὅτι
παρὰ μέρος ἑκάτερον αὐτῶν ἐπικρατεῖ καὶ ποιεῖ, καὶ οὐχ ἅμα ἄμφω. ἀεὶ γὰρ αὐτῷ οὕτως ἓν τὸ ποι-
οῦν γίνεται. ἢ οὐχὶ τὸ ποιητικὸν αὐτοῦ ἓν λέγειν ῥητέον, ἀλλ' αὐτὸ τὸ μίγμα. ὅλον κατὰ μὲν Ἀναξα-
γόραν ἐκ τῶν ὁμοιομερῶν ἀπείρων τῷ πλήθει μεμιγμένον. κατὰ δὲ Ἐμπεδοκλέα ἐκ τῶν τεσσάρων
στοιχείων, ποτὲ μὲν συγκρινομένων ὑπὸ τῆς φιλίας, ποτὲ δὲ διακρινομένων ὑπὸ τοῦ νείκους, καὶ
ποιούντων τόνδε τὸν κόσμον. καὶ Θεόφραστος δὲ τὸν Ἀναξαγόραν εἰς τὸν Ἀναξίμανδρον συνωθῶν, καὶ
οὕτως ἐκλαμβάνει τὰ ὑπὸ τοῦ Ἀναξαγόρου λεγόμενα, ὡς δύνασθαι μίαν αὐτὸν φύσιν λέγειν τὸ ὑπο-
» κείμενον. γράφει δὲ οὕτως ἐν τῇ φυσικῇ ἱστορίᾳ. οὕτω μὲν οὖν λαμβανόντων, δόξειεν ἂν ποιεῖν τὰς
» μὲν ὑλικὰς ἀρχὰς ἀπείρους ὡς εἴρηται. τὴν δὲ τῆς κινήσεως καὶ τῆς γενέσεως αἰτίαν μίαν. εἰ δέ τις
» τὴν μίξιν τῶν ἁπάντων ὑπολάβοι μίαν εἶναι φύσιν ἀόριστον κατ' εἶδος καὶ κατὰ μέγεθος, ὅπερ ἂν
» δόξειε βούλεσθαι λέγειν, συμβαίνει δύο τὰς ἀρχὰς αὐτῷ λέγειν, τήν τε τοῦ ἀπείρου φύσιν καὶ τὸν
» νοῦν. ὥστε πάντως φαίνεται τὰ σωματικὰ στοιχεῖα παραπλησίως ποιῶν Ἀναξιμάνδρῳ. εἰκότως δὲ
μετὰ τοὺς μίαν λέγοντας τὴν ἀρχήν, καὶ ἀκίνητον ἢ κινουμένην, πρὸ τῶν πολλὰς μόνον λέγειν δοκούν-
των, ὥσπερ τῶν περὶ Δημόκριτον, τοὺς μίαν καὶ πολλὰς ἔταξε. μέσην γὰρ τάξιν ἔχουσι. κοινωνοῦσι δὲ
οὗτοι, τῶν μίαν λεγόντων ἐκείνοις, τοῖς συγκρίσει καὶ διακρίσει τὴν γένεσιν ποιοῦσιν. ὁ δὲ Ἀναξαγό-
ρας τοῖς ἐκκρίσει μᾶλλον οἰκειότερος. διαφέρουσι δὲ, ἐκείνων μὲν τῶν μίαν μόνην λεγόντων, τῷ αὐ-
τοὶ μίαν καὶ πολλὰς λέγειν. ἀλλήλων δέ, πρῶτον μὲν τῷ τὸν Ἀναξαγόραν λέγειν ἅπαξ γενόμενον
τὸν κόσμον ἐκ τοῦ μίγματος, διαμένειν λοιπὸν ὑπὸ τοῦ νοῦ ἐφεστῶτος διοικούμενόν τε καὶ διακρινό-
μενον. τὸν δὲ Ἐμπεδοκλέα παρὰ μέρος ἀεὶ κατὰ περιόδους τινάς, ποτὲ μὲν σύγκρισιν τῶν τεσσά-
ρων στοιχείων ὑπὸ τῆς φιλίας γινομένην ὑποτίθεσθαι, ποτὲ δὲ διάκρισιν ὑπὸ τοῦ νείκους. ἔπειτα
δὲ τῷ τὰ πολλὰ ἐξ ὧν τὸ πᾶν τὸν μὲν Ἀναξαγόραν ἄπειρα ὑποτίθεσθαι τὰς ὁμοιομερείας, τὸν δὲ
Ἐμπεδοκλέα πεπερασμένα. τέσσαρα γὰρ τὰ καλούμενα στοιχεῖα. καὶ τὸν μὲν, ὁμοιομερείας, τὸν δ',

στοιχεῖα. καὶ τἀναντία δὲ προσέθηκεν ἐπὶ ἀναξαγόρου φησὶν ἀλέξανδρος. διότι αἱ ἐναντιώσεις ἐν
ταῖς ὁμοιομερείαις εἰσὶν, ὥσπερ καὶ αἱ διαφοραὶ πᾶσαι. διό φησι καὶ τὸ ἐπάνω ῥηθὲν, τὸ, ἢ καὶ ἐναν-
τία, ἐπὶ τῆς ἀναξαγόρου δόξης ἀκουστέον μᾶλλον. μήποτε δὲ καὶ ἐν τοῖς στοιχείοις εἰσὶν ἐναντιώσεις,
θερμοῦ ψυχροῦ, ὑγροῦ ξηροῦ, καὶ βαρέος καὶ κούφου, καὶ τῶν τοιούτων. καὶ κοινῶς ἑκατέρᾳ δό-
ξῃ προσήκει τὸ, καὶ τἀναντία. εἰ μὴ ἄρα ἐν μὲν τοῖς στοιχείοις εἰσὶν ἐναντιώσεις τινὲς, ἐν δὲ ταῖς ὁμοιο
μερείαις ἁπαξάπαντα τὰ ἐναντία, ὥσπερ καὶ πᾶσαι αἱ διαφοραί. καὶ διὰ τοῦτο μᾶλλον τῇ ἀνα-
ξαγόρου δόξῃ προσήκει, μετὰ τοῦ ἄρθρου λεγόμενον καὶ τἀναντία. ἢ ἄρα καὶ ἐν τοῖς στοιχείοις πάν
τα τὰ ἐναντία, εἴπερ ἀρχαὶ τὰ στοιχεῖα. ἀλλ᾽ οὐ προσεχῶς πάντα, ὡς ἐπὶ τῶν ὁμοιομερειῶν. γλυ
κὺ γὰρ πικρὸν εἰ τύχοι ἐπὶ τῆς κατὰ στοιχεῖα ὑποθέσεως, οὐ πρώτως ἐνυπάρχει τοῖς στοιχείοις,
ἀλλὰ διὰ θερμότητος καὶ ψυχρότητος καὶ ξηρότητος καὶ ὑγρότητος. ἐπὶ δὲ τῆς τῶν ὁμοιομερῶν
ὡς πρῶτα καὶ καθ᾽ αὑτά. ὥσπερ καὶ αἱ κατὰ τὰ χρώματα ἐναντιώσεις. ἢ καὶ ἐπὶ τῶν ὁμοιομε
ρῶν ἄλλαι πρὸ ἄλλων ἐναντιώσεις ὑπάρχουσι, καὶ διὰ τῆς πρώτης αἱ δεύτεραι. λέγει γοῦν ἀνα-
» ξαγόρας ἐν τῷ πρώτῳ τῶν φυσικῶν. ἐκ μὲν τῶν νεφελῶν ὕδωρ ἀποκρίνεται. ἐκ δὲ τοῦ ὕδατος γῆ.
» ἐκ δὲ τῆς γῆς λίθος συμπήγνυται ὑπὸ τοῦ ψυχροῦ. οὗτοι δὲ ἐκχωρέουσι μᾶλλον τοῦ ὕδατος. ὅτι δὲ ἀνα
ξαγόρας ἔκ τινος μίγματος ἄπειρα τῷ πλήθει ὁμοιομερῆ ἀποκρίνεσθαί φησιν, πάντων μὲν ἐν
παντὶ ἐνόντων, ἑκάστου δὲ κατὰ τὸ ἐπικρατοῦν χαρακτηριζομένου, δηλοῖ διὰ τοῦ πρώτου τῶν φυ-
» σικῶν, λέγων ἀπ᾽ ἀρχῆς, ὁμοῦ χρήματα πάντα ἦν ἄπειρα καὶ πλῆθος καὶ σμικρότητα. καὶ γὰρ
» τὸ σμικρὸν ἄπειρον ἦν. καὶ πάντων ὁμοῦ ἐόντων, οὐδὲν εὔδηλον ἦν ὑπὸ σμικρότητος. πάντα γὰρ
» ἀήρ τε καὶ αἰθὴρ κατεῖχεν, ἀμφότερα ἄπειρα ἐόντα. ταῦτα γὰρ μέγιστα ἔνεστιν ἐν τοῖς σύμπασι
» καὶ πλήθει καὶ μεγέθει. καὶ μετ᾽ ὀλίγον, καὶ γὰρ ὁ ἀὴρ καὶ ὁ αἰθὴρ ἀποκρίνεται ἀπὸ τοῦ περιέχον
» τος τοῦ πολλοῦ. καὶ τό γε περιέχον ἄπειρόν ἐστι τὸ πλῆθος. καὶ μετ᾽ ὀλίγα, τούτων δὲ οὕτως ἐχόν-
» των, χρὴ δοκεῖν εἶναι πολλά τε καὶ παντοῖα ἐν πᾶσι τοῖς συγκρινομένοις, καὶ σπέρματα πάντων
» χρημάτων, καὶ ἰδέας παντοίας ἔχοντα καὶ χροιὰς καὶ ἡδονάς. πρὶν δὲ ἀποκριθῆναί φησι, πάντων
» ὁμοῦ ἐόντων, οὐδὲ χροιὴ εὔδηλος ἦν οὐδεμία. ἀπεκώλυε γὰρ ἡ σύμμιξις πάντων χρημάτων, τοῦ τε
» διεροῦ καὶ τοῦ ξηροῦ, καὶ τοῦ θερμοῦ καὶ τοῦ ψυχροῦ, καὶ τοῦ λαμπροῦ καὶ τοῦ ζοφεροῦ, καὶ γῆς πολ
» λῆς ἐνεούσης, καὶ σπερμάτων ἀπείρων πλήθους οὐδὲν ἐοικότων ἀλλήλοις. οὐδὲ γὰρ τῶν ἄλλων οὐδὲν
ἔοικε τῷ ἑτέρῳ τὸ ἕτερον. ὅτι δὲ οὐδὲ γίνεταί τι οὐδὲ φθείρεται τῶν ὁμοιομερῶν, ἀλλ᾽ ἀεὶ ταυτά
» ἐστι, δηλοῖ λέγων, τούτων δὲ οὕτω διακεκριμένων, γινώσκειν χρὴ, ὅτι πάντα οὐδὲν ἐλάσσω ἐστὶν
» οὐδὲ πλείω. οὐδὲ ἀνυστὸν πάντων πλείω εἶναι. ἀλλὰ πάντα ἴσα ἀεί. ταῦτα μὲν οὖν περὶ τοῦ μίγ-
» ματος καὶ τῶν ὁμοιομερειῶν. περὶ δὲ τοῦ νοῦ τάδε γέγραφε. νοῦς δέ ἐστιν ἄπειρον καὶ αὐτοκρατὲς. καὶ
» μέμικται οὐδενὶ χρήματι. ἀλλὰ μόνος αὐτὸς ἐφ᾽ ἑαυτοῦ ἐστιν. εἰ μὴ γὰρ ἐφ᾽ ἑαυτοῦ ἦν, ἀλλά τεῳ ἐμέ
» μικτο ἄλλῳ, μετεῖχεν ἂν ἁπάντων χρημάτων, εἰ ἐμέμικτό τεῳ. ἐν παντὶ γὰρ παντὸς μοῖρα ἔνε-
» στιν, ὥσπερ ἐν τοῖς πρόσθεν μοι λέλεκται. καὶ ἂν ἐκώλυεν αὐτὸν τὰ συμμεμιγμένα, ὥστε μηδενὸς
» χρήματος κρατεῖν ὁμοίως, ὡς καὶ μόνον ἐόντα ἐφ᾽ ἑαυτοῦ. ἔστι γὰρ λεπτότατόν τε πάντων χρημά-
» των καὶ καθαρώτατον. καὶ γνώμην γε περὶ παντὸς πᾶσαν ἴσχει. καὶ ἰσχύει μέγιστον. ὅσα γε ψυ-
» χὴν ἔχει καὶ μείζω καὶ ἐλάττω, πάντων νοῦς κρατεῖ. καὶ τῆς περιχωρήσιος τῆς συμπάσης νοῦς ἐ-
» κράτησεν, ὥστε περιχωρῆσαι τὴν ἀρχήν. καὶ πρῶτον ἀπὸ τοῦ σμικροῦ ἤρξατο περιχωρῆσαι. ἐπεὶ
» δὲ πλεῖον περιχωρεῖ, καὶ περιχωρήσει ἐπὶ πλέον. καὶ τὰ συμμισγόμενά τε καὶ ἀποκρινόμενα καὶ
» διακρινόμενα, πάντα ἔγνω νοῦς. καὶ ὁποῖα ἔμελλεν ἔσεσθαι, καὶ ὁποῖα ἦν, καὶ ὅσα νῦν ἐστι, καὶ
» ὁποῖα ἔσται, πάντα διεκόσμησε νοῦς. καὶ τὴν περιχώρησιν ταύτην ἣν νῦν περιχωρέει, τά τε ἄστρα,
» καὶ ὁ ἥλιος, καὶ ἡ σελήνη, καὶ ὁ ἀὴρ, καὶ ὁ αἰθὴρ, οἱ ἀποκρινόμενοι. ἡ δὲ περιχώρησις αὐτὴ ἐποίη-
» σεν ἀποκρίνεσθαι. καὶ ἀποκρίνεται ἀπό τε τοῦ ἀραιοῦ τὸ πυκνὸν, καὶ ἀπὸ τοῦ ψυχροῦ τὸ θερμὸν, καὶ
» ἀπὸ τοῦ ζοφεροῦ τὸ λαμπρὸν, καὶ ἀπὸ τοῦ διεροῦ τὸ ξηρόν. μοῖραι δὲ πολλαὶ πολλῶν εἰσί. παντά-
» πασι δὲ οὐδὲν ἀποκρίνεται ἕτερον ἀπὸ τοῦ ἑτέρου, πλὴν νοῦ. νοῦς δὲ πᾶς ὅμοιός ἐστι καὶ ὁ μείζων
» καὶ ὁ ἐλάσσων. ἕτερον δὲ οὐδέν ἐστιν ὅμοιον οὐδενὶ ἄλλῳ. ἀλλ᾽ ὅτῳ πλεῖστα ἔνι, ταῦτα ἐνδηλότατα
ἓν ἕκαστόν ἐστι καὶ ἦν. ὅτι δὲ διττήν τινα διακόσμησιν ὑποτίθεται, τὴν μὲν νοερὰν, τὴν δὲ, αἰσθη
» τὴν ἀπ᾽ ἐκείνης, δῆλον μὲν καὶ ἐκ τῶν εἰρημένων, δῆλον δὲ καὶ ἐκ τῶνδε. ὁ δὲ νοῦς, ὅσα ἐστί τε καὶ ἔρ-
» τα, καὶ νῦν ἐστιν. ἵνα καὶ τὰ ἄλλα πάντα, ἐν τῷ πολλῷ περιέχοντι, καὶ ἐν τοῖς προσκριθεῖσι, καὶ
» ἐν τοῖς ἀποκεκριμένοις. καὶ μέντοι εἰπὼν ἐνεῖναι πολλά τε καὶ παντοῖα ἐν πᾶσι τοῖς συγκρινο-
μένοις, καὶ σπέρματα πάντων χρημάτων, καὶ ἰδέας παντοίας ἔχοντα καὶ χροιὰς καὶ ἡδονὰς,
καὶ ἀνθρώπους γε συμπαγῆναι, καὶ τὰ ἄλλα ζῶα ὅσα ψυχὴν ἔχει, ἐπάγει, καὶ τοῖς γε ἀνθρώποι
» σιν εἶναι καὶ πόλεις συνῳκημένας, καὶ ἔργα κατεσκευασμένα ὥσπερ παρ᾽ ἡμῖν. καὶ ἠέλιόν τε αὐτοῖς
» εἶναι καὶ σελήνην, καὶ τἄλλα ὥσπερ παρ᾽ ἡμῖν. καὶ τὴν γῆν αὐτοῖς φύειν πολλά τε καὶ παν-
» τοῖα. ὧν ἐκεῖνοι τὰ ὀνήιστα συνενεγκάμενοι εἰς τὴν οἴκησιν χρῶνται. καὶ ὅτι μὲν ἑτέραν τινὰ δια-

κόσμησιν παρὰ τὴν παρ' ἡμῖν αἰνίττεται, δηλοῖ τὸ ὥσπερ παρ' ἡμῖν οὐχ ἅπαξ μόνον εἰρημένον. ὅτι δὲ οὐδὲ αἰσθητὴν μὲν ἐκείνην οἴεται, τῷ χρόνῳ δὲ ταύτης προηγησαμένην, δηλοῖ τὸ ὧν ἐκεῖνοι τὰ ὀνήιστα συνενεικάμενοι εἰς τὴν οἴκησιν χρῶνται. οὐ γὰρ ἐχρῶντο εἶπεν, ἀλλὰ χρῶνται. ἀλλ' οὐδὲ ὡς κατὰ ἄλλας τινὰς οἰκήσεις ὁμοίας οὔσας καταστάσεως τῇ παρ' ἡμῖν. οὐ γὰρ εἶπε τὸν ἥλιον καὶ τὴν σελήνην εἶναι καὶ παρ' ἐκείνοις ὥσπερ καὶ παρ' ἡμῖν. ἀλλ' ἥλιον καὶ σελήνην, ὥσπερ παρ' ἡμῖν, ὡς δὴ περὶ ἄλλων λέγων. ἀλλὰ ταῦτα μὲν εἴτε οὕτως εἴτε ἄλλως ἔχει, ζητεῖν ἄξιον. ὁ δὲ Ἐμπεδοκλῆς τὸ ἓν καὶ τὰ πολλὰ τὰ πεπερασμένα, καὶ τὴν κατὰ περίοδον ἀποκατάστασιν, καὶ τὴν κατὰ σύγκρισιν καὶ διάκρισιν γένεσιν καὶ φθορὰν, οὕτως ἐν τῷ πρώτῳ τῶν φυσικῶν παραδίδωσι. Δίπλ' ἐρέω. τοτὲ μὲν γὰρ ἓν ηὐξήθη μόνον εἶναι ἐκ πλεόνων. τοτὲ δ' αὖ διέφυ πλέον' ἐξ ἑνὸς εἶναι. δοιὴ δὲ θνητῶν γένεσις, δοιὴ δ' ἀπόλειψις. τὴν μὲν γὰρ πάντων σύνοδος τίκτει τ' ὀλέκει τε. ἡ δὲ, πάλιν διαφυομένων θρυφθεῖσα διέπτη. καὶ ταῦτ' ἀλλάσσοντα διαμπερὲς οὐδαμὰ λήγει, ἄλλοτε μὲν φιλότητι συνερχόμεν' εἰς ἓν ἅπαντα, ἄλλοτε δ' αὖ δίχα πάντα φορούμενα νείκεος ἔχθει. ἣ δὲ πάλιν διαφύντος ἑνὸς πλέον' ἐκτελέθουσι, τῇ μὲν, γίνονταί τε, καὶ οὔ σφισιν ἔμπεδος αἰών. ἣ δὲ διαλλάσσοντα διαμπερὲς οὐδαμὰ λήγει, ταύτῃ δ' αἰὲν ἔασιν ἀκίνητοι κατὰ κύκλον. ἀλλ' ἄγε μύθων κλῦθι. μέθη γάρ τοι φρένας αὔξει. ὡς γὰρ καὶ πρὶν ἔειπα πιφαύσκων, πείρατα μύθων, δίπλ' ἐρέω. τοτὲ μὲν γὰρ ἓν ηὐξήθη μόνον εἶναι ἐκ πλεόνων, τοτὲ δ' αὖ διέφυ πλέον' ἐξ ἑνὸς εἶναι. πῦρ, καὶ ὕδωρ, καὶ γαῖα, καὶ ἠέρος ἄπλετον ὕψος, νεῖκός τ' οὐλόμενον δίχα. τῶν ἀτάλαντον ἑκάστου. καὶ φιλότης ἐν τοῖσιν ἴση μῆκός τε πλάτος τε. τὴν σὺ νόῳ δέρκου. μηδ' ὄμμασιν ἧσο τεθηπώς. ἥτις καὶ θνητοῖσι νομίζεται ἔμφυτος ἄρθροις. τῇ τε φίλα φρονέουσι, καὶ ὁμοῖια ἔργα τελοῦσι, γηθοσύνην καλέοντες ἐπώνυμον ἠδ' Ἀφροδίτην. τὴν, οὔτις μετ' ὄσσοισιν ἑλισσομένην δεδάηκε θνητὸς ἀνήρ. σὺ δ' ἄκουε λόγων στόλον οὐκ ἀπατηλόν. ταῦτα γὰρ ἶσά τε πάντα καὶ ἥλικα γένναν ἔασι. τιμῆς δ' ἄλλης ἄλλο μέδει. πάρα δ' ἦθος ἑκάστῳ. ἐν δὲ μέρει κρατέουσι περιπλομένοιο χρόνοιο. καὶ πρὸς τοῖς οὔτ' ἄρ' ἐπιγίνεται οὐδ' ἀπολήγει. εἴτε γὰρ ἐφθείροντο διαμπερὲς, οὐκέτ' ἂν ἦσαν. τοῦτο δ' ἐπαυξήσειε τὸ πᾶν, τί κε καὶ πόθεν ἐλθόν. πῇ δέ κε καὶ ἀπόλοιτο. ἐπεὶ τῶνδ' οὐδὲν ἔρημον. ἀλλ' αὐτ' ἐστὶν ταῦτα. δι' ἀλλήλων δὲ θέοντα γίνεται ἄλλοτε ἄλλα διηνεκὲς αἰὲν ὁμοῖα. ἐν δὴ τούτοις τὸ μὲν τὸ ἐκ πλειόνων φησὶ τῶν τεσσάρων στοιχείων. καὶ ποτὲ μὲν τῆς φιλίας δηλοῖ ἐπικρατούσης, ποτὲ δὲ τοῦ νείκους. ὅτι γὰρ οὐδέτερον τούτων τελέως ἀπολείπει, δηλοῖ τὸ πάντα ἶσα εἶναι, καὶ ἥλικα κατὰ τὴν γένναν. καὶ τὸ μηδὲν ἐπιγίνεσθαι μήδ' ἀπολήγειν. πολλὰ δὲ τὰ πλείονα ἐξ ὧν τὸ ἕν. οὐ γὰρ ἡ φιλία τὸ ἕν ἐστιν. ἀλλὰ καὶ τὸ νεῖκος εἰς τὸ ἓν τελεῖ. πλείονα δὲ ἄλλα εἰπὼν, ἐπάγει ἑκάστου τῶν εἰρημένων τὸν χαρακτῆρα, τὸ μὲν πῦρ ἥλιον καλῶν, τὸν δὲ ἀέρα αὐγὴν καὶ οὐρανὸν, τὸ δὲ ὕδωρ ὄμβρον καὶ θάλασσαν. λέγει δὲ οὕτως. Ἀλλ' ἄγε τῶνδ' ὀάρων προτέρων ἐπιμάρτυρα δέρκου, εἴ τι καὶ ἐν προτέροισι λιπόξυλον ἔπλετο μορφῇ. ἠέλιον μὲν θερμὸν ὁρᾶν καὶ λαμπρὸν ἁπάντῃ. ἄμβροτα δ' ὅσσα ἐδεῖτο, καὶ ἀργέτι δεύεται αὐγῇ. ὄμβρον δ' ἐν πᾶσι δνοφόεντά τε ῥιγαλέον τε. ἐκ δ' αἴης προρέουσι θέλιμνά τε καὶ στεροπά γε. ἐν δὲ κότῳ διάμορφα καὶ ἄνδιχα πάντα πέλονται. σὺν δ' ἔβη ἐν φιλότητι, καὶ ἀλλήλοισι ποθεῖται. ἐκ τούτων γὰρ πάνθ' ὅσα τ' ἦν, ὅσα τ' ἔστι καὶ ἔσται. δένδρεά τε βεβλάστηκε, καὶ ἀνέρες ἠδὲ γυναῖκες. θῆρές τ' οἰωνοί τε. καὶ ὑδατοθρέμμονες ἰχθῦς. καί τε θεοὶ δολιχαίωνες τιμῇσι φέριστοι. αὐτὰ γὰρ ἔστι ταῦτα. δι' ἀλλήλων δὲ θέοντα γίνεται ἀλλοιωπά. τὰ γὰρ διὰ κρῆσις ἀμείβει. καὶ παράδειγμα δὲ ἐναργὲς παρέθετο, τοῦ ἐκ τῶν αὐτῶν γίνεσθαι τὰ διάφορα. ὡς δ' ὁπόταν γραφέες ἀναθήματα ποικίλλωσιν ἀνέρες ἀμφὶ τέχνης ὑπὸ μήτιος εὖ δεδαῶτες, οἵτ' ἐπεὶ οὖν μάρψωσι πολύχροα φάρμακα χερσίν, ἁρμονίῃ μίξαντε τὰ μὲν πλέω, ἄλλα δ' ἐλάσσω, ἐκ τῶν εἴδεα πᾶσιν ἀλίγκια πορσύνουσι, δένδρεά τε κτίζοντε καὶ ἀνέρας ἠδὲ γυναῖκας, θῆράς τ' οἰωνούς τε καὶ ὑδατοθρέμμονας ἰχθῦς, καί τε θεοὺς δολιχαίωνας τιμῇσι φερίστους, οὕτω μή σ' ἀπάτα φρένα, ὡς νύ κεν ἄλλοθεν εἶναι θνητῶν, ὅσσα γε δῆλα γεγάασιν ἄσπετα, πηγήν. ἀλλὰ τορῶς ταῦτ' ἴσθι θεοῦ πάρα μῦθον ἀκούσας. καὶ ὅτι μὲν τὰ πολλὰ ταῦτα ἐν τῷ γενητῷ κόσμῳ θεωρεῖ, καὶ οὐ μόνον τὸ νεῖκος ἀλλὰ καὶ τὴν φιλίαν, δῆλον ἐκ τοῦ καὶ δένδρα καὶ ἄνδρας καὶ γυναῖκας καὶ τὰ θηρία ἐκ τούτων λέγειν γεγονέναι. ὅτι δὲ εἰς ἄλληλα μεταβάλλει, δηλοῖ λέγων, ἐν δὲ μέρει κρατέουσι περιπλομένοιο κύκλοιο. καὶ φθίνει εἰς ἄλληλα, καὶ αὔξεται ἐν μέρει αἴσης. ὅτι δὲ τῇ διαδοχῇ τὸ ἀΐδιον ἔχει καὶ τὰ γινόμενα καὶ φθειρόμενα, ἐδήλωσεν εἰπὼν, ἣ δὲ τάδ' ἀλλάσσοντα διαμπερὲς οὐδαμὰ λήγει, ταύτῃ δ' αἰὲν ἔασιν ἀκίνητοι κατὰ κύκλον. καὶ ὅτι διττὸν καὶ οὗτος αἰνίττεται διάκοσμον, τὸν μὲν νοητὸν, τὸν δὲ αἰσθητὸν, καὶ τὸν μὲν θεῖον, τὸν δὲ ἐπίκηρον, ὧν ὁ μὲν, παραδειγματικῶς ἔχει ταῦτα, ὁ δὲ εἰκονικῶς, ἐδήλωσε μὴ μόνον τὰ θνητὰ καὶ φθαρτὰ λέγων ἐκ τούτων συνεστάναι, ἀλλὰ καὶ τοὺς θεούς. εἰ μὴ ἄρα τις τοῦτο κατὰ τὴν Ἐμπεδοκλέους συνήθειαν ἐξηγήσαιτο. καὶ ἐκ τούτων δὲ ἄν τις τὸν διττὸν διάκοσμον αἰνίττεσθαι οἴοιτο. ἄρθμια μὲν γὰρ αὐτὰ ἑαυτῶν πάντα μέρεσσιν, ἠλέκτωρ τε χθών τε καὶ οὐρανὸς ἠδὲ θάλασσα, ὅσσα φιν ἐν θνητοῖσιν ἀποπλαχθέν-

» τα πέφυκεν. ὡς δ' αὔτως ὅσα κρᾶσιν ἐπαρκέα μᾶλλον ἔασιν, ἀλλήλοις ἔστερκται, ὁμοιωθέντ' Ἀ-
» φροδίτῃ. ἔχθρα πλεῖστον ἀπ' ἀλλήλων διέχουσι μάλιστα γέννῃ τε κράσει τε, καὶ εἴδεσιν ἐκμακτοῖσι,
» πάντῃ συγγίνεσθαι ἀήθεα καὶ μάλα λυγρά, νεικεογεννέσῃσιν ὅτι σφίσι γέννας ὀργᾷ. καὶ γὰρ ὅτι
καὶ ἐν τοῖς θνητοῖς ἥρμοσται ταῦτα δεδήλωκεν. ἐν δὲ τοῖς νοητοῖς μᾶλλον ἥνωται, καὶ ἀλλήλοις ἔ-
στερκται ὁμοιωθέντα Ἀφροδίτῃ. καὶ ὅτι καὶ πανταχοῦ, ἀλλὰ τὰ μὲν νοητὰ τῇ φιλίᾳ ὡμοίωται.
τὰ δὲ αἰσθητὰ ὑπὸ τοῦ νείκους κρατηθέντα, καὶ ἐπὶ πλέον διασπασθέντα ἐν τῇ κατὰ κρᾶσιν γενέ-
σει, ἐν ἐκμακτοῖς καὶ εἰκονικοῖς εἴδεσιν ὑπέστησαν τοῖς νεικεογενέσι. καὶ ἀήθως ἔχουσι πρὸς τὴν ἕνω-
σιν τὴν πρὸς ἄλληλα. ὅτι δὲ καὶ οὗτος κατὰ σύγκρισίν τινα καὶ διάκρισιν τὴν γένεσιν ὑπέθετο, δη-
» λοῖ τὰ εὐθὺς ἐν ἀρχῇ προτεθέντα. τότε μὲν γὰρ ἓν ηὐξήθη μόνον εἶναι ἐκ πλεόνων. τότε δ' αὖ διέ-
φυ πλέον' ἐξ ἑνὸς εἶναι. καὶ ἐκεῖνο μέντοι τὸ τὴν γένεσιν καὶ τὴν φθορὰν μηδὲν ἄλλο εἶναι, ἀλλὰ μό-
νον μίξιν τε καὶ διάλλαξιν μιγέντων, καὶ σύνοδον διάπτυξίν τε γίνεσθαι ἐν μοίρῃ αἴσης.

ἜΟΙΚΕ δὲ Ἀναξαγόρας οὕτως ἄπειρα οἰηθῆναι, διὰ τὸ ὑπολαμβάνειν τὴν κοινὴν δόξαν τῶν φυσι-
κῶν, εἶναι ἀληθῆ, ὡς οὐ γιγνομένου οὐδενὸς ἐκ τοῦ μὴ ὄντος. διὰ τοῦτο γὰρ οὕτω λέγουσιν. ἦν ὁμοῦ τὰ
πάντα. καὶ τὸ γίνεσθαι τοιόνδε καθέστηκεν ἀλλοιοῦσθαι. οἱ δὲ σύγκρισιν καὶ διάκρισιν.

Καὶ ἐν τούτῳ τὴν Πλάτωνος εὐγνωμοσύνην ὁ Ἀριστοτέλης ζηλῶν, βούλεται μὴ ὡς πάντῃ ἄλογα λέ-
γοντας παλαιοὺς καὶ κλεινοὺς ἄνδρας εἰσάγειν, μηδὲ ἐρήμην καταψηφιζομένους περιορᾶν, ἀλ-
λὰ λογισμοὺς ἐκτίθεσθαί τινας, καθ' οὓς ἐπὶ τὰς ἀπεμφαίνειν δοκούσας δόξας περιηνέχθησαν. πρῶ-
τον δὲ προβάλλεται τὸν Ἀναξαγόραν, διότι μετὰ τοὺς ἓν τὸ ὂν λέγοντας, τοὺς ἄπειρα τιθέντας βα-
σανίζειν προσθήσεται. ἀτοπωτέρα γὰρ ἡ δόξα δοκεῖ τῶν μίαν καὶ ἀκίνητον τὴν ἀρχὴν λεγόντων,
διὰ τὸ καὶ ἀρχὴν καὶ φύσιν ἀναιρεῖν. δευτέρα δέ, τῶν ἀπείρους τιθέντων, διὰ τὸ ἀπερίοριστον καὶ
ἄγνωστον. τούτων δὲ ἐλεγχθεισῶν, εἰσάγεται λοιπὸν ἡ πλείους μέν, πεπερασμένας δὲ τιθεῖσα. τὸν
δ' οὖν Ἀναξαγόραν εἰς τὴν τῶν ὁμοιομερειῶν δόξαν ὑπαχθῆναί φησι, διὰ δύο αἰτίας. ὧν μία μέν,
τὸ νομίζειν ἀληθῆ τὴν κοινὴν τῶν φυσικῶν εἶναι δόξαν, τὴν λέγουσαν μηδὲν ἐκ τοῦ μὴ ὄντος γίνεσθαι,
ἀλλὰ πάντα τὰ γινόμενα ἐξ ὄντος τὴν γένεσιν ἔχειν. καὶ γὰρ καὶ Παρμενίδης ὅτι ἀγένητον τὸ ὂν οὕ-
τως ἔδειξεν, ἐκ τοῦ μήτε ἐξ ὄντος αὐτὸ γίνεσθαι, μήτε ἐκ τοῦ μὴ ὄντος. δεῖ γὰρ ἔκ τινος γίνεσθαι. τὸ
δὲ μὴ ὂν οὐδέν ἐστι. τὴν δ' αἰτίαν τοῦ δεῖν πάντως ἐξ ὄντος γίνεσθαι τὸ γινόμενον, θαυμαστῶς ὁ Παρμε-
νίδης προστέθεικεν. ὅλως γάρ φησιν εἰ ἐκ τοῦ μὴ ὄντος, τίς ἡ ἀποκλήρωσις τοῦ τότε γενέσθαι ὅτε ἐγέ-
» νετο, ἀλλὰ μὴ πρότερον ἢ ὕστερον. γράφει δὲ οὕτως. τίνα γὰρ γένναν διζήσεαι αὐτοῦ. πῇ πόθεν αὐξη-
» θέν; οὔτ' ἐκ μὴ ὄντος ἐάσω φάσθαι σ' οὐδὲ νοεῖν. οὐ γὰρ φατὸν οὐδὲ νοητόν ἐστιν, ὅπως οὐκ ἔστι. τί δ' ἄν μιν
» καὶ χρέος ὦρσεν ὕστερον ἢ πρόσθεν τοῦ μηδενὸς ἀρξάμενον φῦναι. καὶ Μέλισσος δὲ τὸ ἀγένητον τοῦ ὄν-
τος ἔδειξε, τῷ κοινῷ τούτῳ χρησάμενος ἀξιώματι. γράφει δὲ οὕτως. ἀεὶ ἦν ὅτι ἦν, καὶ ἀεὶ ἔσται. εἰ
» γὰρ ἐγένετο, ἀναγκαῖόν ἐστι πρὶν γενέσθαι εἶναι μηδέν. εἰ τοίνυν μηδὲν ἦν, οὐδαμῆ ἂν γένοιτο μηδὲν
ἐκ μηδενός. τοῦτο οὖν ὡς ἀξίωμα προσλαβὼν ὁ Ἀναξαγόρας, τὸ μηδὲν ἐκ τοῦ μὴ ὄντος γίνεσθαι, δο-
κεῖ τοιοῦτόν τινα τῇ δυνάμει λόγον ἐρωτᾶν. τὸ γινόμενον ἢ ἐξ ὄντος γίνεται ἢ ἐκ μὴ ὄντος. ἀλλ' ἐκ μὴ
ὄντος ἀδύνατον. ἐξ ὄντος ἄρα. εἰ δὲ τοῦτο, καὶ ἐνυπάρχοντος τῷ ἐξ οὗ ἐστιν. οὐ γὰρ ἔξωθέν ποθεν ἐ-
πεισιὸν φαίνεται, ὅταν ἐξ ἵππων γένωνται σφῆκες, ἢ ἐξ ὕδατος ἀήρ. ἔνεστιν ἄρα ἐν τῇ ὁμοιομερείᾳ,
καὶ σάρξ, καὶ ὀστοῦν, καὶ αἷμα, καὶ χρυσός, καὶ μόλυβδος, καὶ γλυκύ, καὶ πικρόν, καὶ λευκόν.
ἀλλὰ διὰ σμικρότητα ἀναίσθητα ἡμῖν ἐστιν, ὄντα πάντα ἐν πᾶσι. πόθεν γὰρ πᾶν ἐκ παντὸς φαί-
νεται γινόμενον, εἰ καὶ διὰ μέσων ἄλλων, εἰ μὴ πᾶν ἦν ἐν πᾶσι. φαίνεται δὲ καὶ προσαγορεύεται
ἕκαστον ἐκ τοῦ μάλιστα ἐπικρατοῦντος. καὶ γὰρ εἰλικρινῶς μὲν τοῦτο λευκόν, ἢ μέλαν, ἢ γλυκύ, ἢ
σάρκα, ἢ ὀστοῦν μὴ εἶναι. οὗ δὲ πλεῖστον ἔχει, τοῦτο δοκεῖ ἡ φύσις εἶναι τοῦ πράγματος, ἀεὶ πάντων
ἐν πᾶσιν ὄντων. οὐδὲν γὰρ χρῆμά φησιν Ἀναξαγόρας οὐδὲ γίνεται οὐδὲ ἀπόλλυται. ἀλλ' ἀπὸ ἐόντων
χρημάτων συμμίσγεταί τε καὶ διακρίνεται. διὸ καὶ ἀρχόμενος εὐθὺς τοῦ συγγράμματος, ἦν ὁμοῦ
πάντα χρήματά φησι. τὸ δὲ καὶ τὸ γίνεσθαι τοιόνδε καθέστηκεν ἀλλοιοῦσθαι, ὡς πρὸς Ἀναξαγόραν
ὁ Ἀλέξανδρος εἰρῆσθαί φησι. διότι καὶ ἐν τῷ περὶ γενέσεως ἐμέμψατο τῷ Ἀναξαγόρᾳ, ὡς τὴν σύγ-
κρισιν καὶ τὴν διάκρισιν, καθ' ἃς λέγει γίνεσθαι τὰ γινόμενα, ἀλλοίωσιν καλέσαντι, λέγων, καίτοι
Ἀναξαγόρας γε τὴν οἰκείαν φωνὴν ἠγνόησεν. λέγει γοῦν ὡς τὸ γίνεσθαι καὶ τὸ ἀπόλλυσθαι τοιόνδε,
καθέστηκεν ἀλλοιοῦσθαι. οὐ γὰρ οἰκείῳ ὀνόματι τῷ τῆς ἀλλοιώσεως κατὰ τῆς συγκρίσεως ἐχρήσα-
το. Πορφύριος δέ, τὸ μὲν ἦν ὁμοῦ πάντα χρήματα εἰς Ἀναξαγόραν ἀναπέμπει. τὸ δὲ γίνεσθαι εἶναι
τὸ ἀλλοιοῦσθαι εἰς Ἀναξιμένην. τὴν δὲ σύγκρισίν τε καὶ διάκρισιν εἰς Δημόκριτόν τε καὶ Ἐμπεδο-
κλέα. σαφῶς δὲ Ἀναξαγόρας ἐν πρώτῳ τῶν φυσικῶν, τὸ γίνεσθαι καὶ τὸ ἀπόλλυσθαι συγκρίνε-
» σθαι καὶ διακρίνεσθαι λέγει, γράφων οὕτως. τὸ δὲ γίνεσθαι καὶ ἀπόλλυσθαι οὐκ ὀρθῶς νομίζουσιν
» οἱ Ἕλληνες. οὐδὲν γὰρ χρῆμα γίνεται οὐδὲ ἀπόλλυται. ἀλλ' ἀπὸ ἐόντων χρημάτων συμμίσγεταί τε
» καὶ διακρίνεται. καὶ οὕτως ἂν ὀρθῶς καλοῖεν τό, τε γίνεσθαι συμμίσγεσθαι, καὶ τὸ ἀπόλλυσθαι δια-
κρίνεσθαι.

κρίνεσθαι. πάντα δὲ ταῦτα, καὶ τὸ ἦν ὁμοῦ πάντα χρήματα, καὶ τὸ κατ' ἀλλοίωσιν ἢ κατὰ σύγ-
κρισιν καὶ διάκρισιν τὴν γένεσιν εἶναι, εἰς πίστιν εἴληπται, τοῦ μηδὲν ἐκ μὴ ὄντος γίνεσθαι, ἀλλ' ἐξ
ὄντος γίνεσθαι τὰ γινόμενα. ἥ τε γὰρ ἀλλοίωσις πάθος περὶ τὸ ὂν ἐστί. καὶ ἡ σύγκρισις καὶ ἡ διάκρι
σις περὶ τὰ ὄντα.

Ἔτι δὲ ἐκ τοῦ γίνεσθαι ἐξ ἀλλήλων, τἀναντία. ἐνυπῆρχεν ἄρα. εἰ γὰρ πᾶν μὲν τὸ γινόμενον ἀνάγ-
κη γίνεσθαι ἢ ἐξ ὄντων, ἢ ἐκ μὴ ὄντων. τούτων δὲ, τὸ μὲν ἐκ μὴ ὄντων γίνεσθαι, ἀδύνατον. περὶ γὰρ
ταύτης ὁμογνωμονοῦσι τῆς δόξης ἅπαντες οἱ περὶ φύσεως. τὸ λοιπὸν ἤδη συμβαίνειν ἐξ ἀνάγκης ἐνό-
μιζον. ἐξ ὄντων μὲν καὶ ἐνυπαρχόντων, γίνεσθαι. διὰ δὲ σμικρότητα τῶν ὄγκων, ἐξ ἀναισθήτων
ἡμῖν. διό φασι πᾶν ἐν παντὶ μεμίχθαι. διότι πᾶν ἐκ παντὸς ἑώρων γινόμενον. φαίνεσθαι δὲ διαφέ-
τα, καὶ προσαγορεύεσθαι ἕτερα ἀλλήλων, ἐκ τοῦ μάλιστα ὑπερέχοντος, διὰ τὸ πλῆθος ἐν τῇ μί-
ξει τῶν ἀπείρων. εἰλικρινῶς μὲν γὰρ ὅλον λευκὸν ἢ μέλαν ἢ γλυκὺ ἢ σάρκα ἢ ὀστοῦν οὐκ εἶναι. ὅ-
του δὲ πλεῖστον ἔχει ἕκαστον, τοῦτο δοκεῖν εἶναι τὴν φύσιν τοῦ πράγματος.

Δευτέραν ταύτην αἰτίαν ἀποδίδωσι τοῦ τὸν ἀναξαγόραν ἀρχὰς θέσθαι τὰς ὁμοιομερείας. εἰ γὰρ
φθαρτικὰ μὲν ἀλλήλων ἀλλ' οὐ ποιητικὰ φύσει τὰ ἐναντία, φαίνεται δὲ ἐκ τῶν ἐναντίων τὰ ἐναν-
τία γινόμενα, τί ἂν ἄλλο τις ὑπονοήσειεν, ἢ ἐνυπάρχοντα τοῖς ἐναντίοις ἐκκρίνεσθαι τὰ ἐναντία.
μὴ γὰρ ἂν τὸ γίνεσθαι ἐξ ἐκείνων. καὶ δοκεῖ μὲν ἄτοπον τὸ τὰ ἐναντία τοῖς ἐναντίοις ἐνυπάρχειν. πολ
λαχοῦ δὲ σύνεστιν ἀλλήλοις τὰ ἐναντία, οὐ μόνον κατὰ παράθεσιν ἀλλὰ κατὰ κρᾶσιν. τὸ μέντοι γίνε
σθαι τὸ ἐναντίον ἐκ τοῦ ἐναντίου, εἰ ὡς ἀπὸ ποιητικοῦ τις λέγοι γίνεσθαι, ἄτοπον αὐτόθεν ἐστί. ποιεῖ
γὰρ ἕκαστον τὸ ἑαυτῷ ὅμοιον. ἐπαναγαγὼν δὲ καὶ τὴν δευτέραν ταύτην αἰτίαν τῇ προτέρᾳ, τοῦ τὸν
ἀναξαγόραν οὕτως ἀποδοῦναι τὴν γένεσιν, τὰ ἐφεξῆς ταύτης εἰρημένα τὸν συλλογισμὸν καὶ τὴν ἀ-
πόδειξιν περιέχοντα, τοῦ ἐνυπάρχοντα ἐκκρίνεσθαι τὰ δοκοῦντα γίνεσθαι ἐξ ἀμφοτέρων λέ-
γειν συνάγει, ἔκ τε τοῦ μηδὲν ἐκ τοῦ μὴ ὄντος γίνεσθαι, καὶ ἐκ τοῦ τὰ ἐναντία ἐκ τῶν ἐναντίων δοκεῖν
γίνεσθαι.

Εἰ δὴ τὸ μὲν ἄπειρον ᾗ ἄπειρον, ἄγνωστον. τὸ μὲν κατὰ τὸ πλῆθος ἢ μέγεθος ἄπειρον, ἄγνωστον
ποσόν τι. τὸ δὲ κατ' εἶδος ἄπειρον, ἄγνωστον ποιόν τι. τῶν δ' ἀρχῶν ἀπείρων οὐσῶν κατὰ τὸ πλῆθος
καὶ κατ' εἶδος, ἀδύνατον εἰδέναι τὰ ἐκ τούτων. οὕτω γὰρ εἰδέναι τὸ σύνθετον ὑπολαμβάνομεν, ὅ-
ταν εἰδῶμεν ἐκ τίνων καὶ πόσων ἐστίν.

Τὸ πιθανὸν πρῶτον τῆς ἀναξαγόρου δόξης ἐκθέμενος, ἵνα μή τις οἰηθῇ δι' ἀσθένειαν συνηγορίας ἐλέγ
χεσθαι τὸν λόγον, ἐπὶ τὴν ἀναίρεσιν αὐτοῦ τρέπεται. τοῦ δὲ ἀναξαγόρου πολλὰ ἐκθεμένου συμπεπρά
σματα ἢ ἀξιώματα, πρὸς ἕκαστόν μοι δοκεῖ νῦν σχεδὸν ὁ ἀριστοτέλης ἀντιλέγειν. καὶ γὰρ ὅτι ἄπει
ρα ἦν εὐθὺς ἀρχόμενος λέγει. ὁμοῦ πάντα χρήματα ἦν ἄπειρα καὶ πλῆθος καὶ σμικρότητα.
καὶ ὅτι οὔτε τὸ ἐλάχιστον ἦν ἐν ταῖς ἀρχαῖς, οὔτε τὸ μέγιστον. οὔτε γοῦν τοῦ σμικροῦ γε φησὶν ἔστι τό γε
ἐλάχιστον, ἀλλ' ἔλασσον ἀεί. τὸ γὰρ ἐὸν οὐκ ἔστι τὸ μὴ οὐκ εἶναι. ἀλλὰ καὶ τοῦ μεγάλου ἀεί ἐστι μεῖζον.
καὶ ἴσον ἐστὶ τῷ σμικρῷ πλῆθος. πρὸς ἑαυτὸ δὲ ἕκαστόν ἐστι καὶ μέγα καὶ μικρόν. εἰ γοῦν πᾶν ἐν παν
τὶ, καὶ πᾶν ἐκ παντὸς ἐκκρίνεται, καὶ ἀπὸ τοῦ ἐλαχίστου δοκοῦντος ἐκκριθήσεταί τι ἔλαττον
ἐκείνου. καὶ τὸ μέγιστον δοκοῦν ἀπό τινος ἐξεκρίθη ἑαυτοῦ μείζονος. λέγει δὲ σαφῶς, καὶ ὅτι ἐν παν
τὶ παντὸς μοῖρα ἔνεστι, πλὴν νοῦ. ἔστιν οἷσι δὲ καὶ νοῦς ἐστί. καὶ πάλιν ὅτι τὰ μὲν ἄλλα παντὸς μοῖ-
ραν ἔχει. νοῦς δέ ἐστιν ἄπειρον καὶ αὐτοκρατὲς, καὶ μέμικται οὐδενί. καὶ ἀλλαχοῦ δὲ οὕτω φησί.
καὶ ὅτε δὲ ἴσαι μοῖραί εἰσι τοῦ τε μεγάλου καὶ τοῦ σμικροῦ, πλῆθος καὶ οὕτως ἂν εἴη. καὶ ἐν παντὶ
πάντα. οὐδὲ χωρὶς ἐστὶν εἶναι. ἀλλὰ πάντα παντὸς μοῖραν μετέχει. ὅτε δὲ τοὐλάχιστον μὴ ἔστιν
εἶναι, οὐκ ἂν δύναιτο χωρισθῆναι, οὐδ' ἂν λίαν ἀφ' ἑαυτοῦ γενέσθαι. ἀλλ' ὅπερ περὶ ἀρχὴν εἶναι,
καὶ νῦν πάντα ὁμοῦ. ἐν πᾶσι δὲ πολλὰ ἔνεστι, καὶ τῶν ἀποκρινομένων ἴσα πλῆθος ἐν τοῖς μείζοσί
τε καὶ ἐλάττοσι. καὶ τοῦτο δὲ ὁ ἀναξαγόρας ἀξιοῖ, τὸ ἕκαστον τῶν αἰσθητῶν ὁμοιομερῶν, κατὰ τὴν
τῶν ὁμοίων σύνθεσιν γίνεσθαί τε καὶ χαρακτηρίζεσθαι. λέγει γὰρ, ἀλλ' ὅτῳ πλεῖστα ἔνι, ταῦτα
ἐνδηλότατα ἓν ἕκαστόν ἐστι καὶ ἦν. δοκεῖ δὲ λέγειν, καὶ ὅτι ὁ νοῦς ἐπιχειρῶν αὐτὰ διακρῖναι, οὐ δύ
ναται. πρὸς δὴ τὰ τοιαῦτα τοῦ ἀναξαγόρου ἀξιώματα ἀντιλέγων ὁ ἀριστοτέλης, πρῶτον πρὸς τὸ
ἀπείρους εἶναι τὰς ἀρχὰς ἀντείρηκε. κοινὴ δὲ ἡ ἐπιχείρησις ἂν εἴη ὥς φησι πορφύριος, καὶ πρὸς
λεύκιππον καὶ δημόκριτον καὶ μητρόδωρον, καὶ πρὸς ἅπαντας τοὺς ἄπειρα τὰ στοιχεῖα λέγοντας.
διττοῦ δὲ ὄντος τοῦ ἀπείρου, ἢ κατὰ τὸ ποσὸν ἢ κατὰ τὸ ποιὸν, καὶ τοῦ κατὰ τὸ ποσὸν ἢ κατὰ πλῆ-
θος ἢ κατὰ μέγεθος, κατὰ πλῆθος μὲν ἄπειρα τὰ στοιχεῖα οἱ εἰρημένοι φασὶ πάντες. κατὰ μέγεθος δὲ
οἱ περὶ λεύκιππον καὶ δημόκριτον, τὸ κενὸν ἄπειρον εἶναι λέγοντες. κατ' εἶδος δὲ ἀπείρους τὰς ὁ-
μοιομερείας ἀναξαγόρας δοκεῖ λέγειν, εἴγε ἕτερόν φησιν οὐδέν ἐστιν ὅμοιον οὐδενὶ ἑτέρῳ ἀπείρων
ὄντων. εἰ τοίνυν πᾶν τὸ ἄπειρον καθὸ ἄπειρον ἀπερίληπτον, ἄγνωστοι ἂν εἶεν αἱ ἀρχαὶ καὶ τὰ στοι-

χεῖα δὲ ἐξ ὧν σύγκειται τὰ πάντα. ὥστε καὶ τὰ ἐκ τῶν ἀρχῶν ἄγνωστα. τότε γὰρ οἰόμεθα γινώσκειν
ἕκαστον, ὅταν τὰ αἴτια γνωρίσωμεν τὰ πρῶτα, καὶ τὰς ἀρχὰς τὰς πρώτας. ὥστε συμβαίνει τοῖς
βουλομένοις ἐπιστήμην τινὰ τῶν ὄντων ἐκ τῶν τοιούτων ὑποθέσεων λαβεῖν, τοὐναντίον ἀγνωσίαν
περιποιήσασθαι. ὁ δὲ λόγος ὁ ἐλεγκτικὸς, ὃν ὁ ἀριστοτέλης συντόμως τέθεικε, δυνάμει τοιοῦτός
ἐστιν. αἱ ὁμοιομέρειαι καὶ κατ' εἶδος καὶ κατ' ἀριθμὸν ἄπειροι. τὸ ἄπειρον καθὸ ἄπειρον ἄγνωστον. αἱ
ὁμοιομέρειαι ἄρα ἄγνωστοι. τούτῳ ἐὰν προσλάβῃς ὅτι ἀρχαὶ τῶν ὄντων αἱ ὁμοιομέρειαι, συνάξεις
ὅτι τὰ ὄντα ἀρχὰς ἀγνώστους ἔχει. καὶ τούτῳ πάλιν προσλάβῃς τὸ ὅτι ὧν αἱ ἀρχαὶ ἄγνωστοι καὶ
αὐτὰ ἄγνωστα, συνάξεις ὅτι τὰ ὄντα ἄγνωστά ἐστιν, εἴπερ ἄπειροι αἱ ἀρχαὶ αὐτῶν. ὅτι δὲ ὧν αἱ ἀρ-
χαὶ ἄγνωστοι καὶ αὐτὰ ἄγνωστα, ἔδειξεν, ἐκ τοῦ οὕτω γὰρ εἰδέναι τὸ σύνθετον ὑπολαμβάνομεν, ὅ-
ταν εἰδῶμεν ἐκ τίνων καὶ πόσων ἐστίν. ὅτι δὲ ἄπειρον οὕτως εἶπεν ἀναξαγόρας τὸ τῶν ἀρχικῶν εἰ-
δῶν πλῆθος, ὡς ἡμῖν ἀπερίληπτον, ἀλλ' οὐχ ὡς φύσει ἄπειρον, δηλοῖ λέγων τάδε. καὶ τὰ
» συμμισγόμενά τε καὶ τὰ ἀποκρινόμενά τε πάντα καὶ διακρινόμενα, ἔγνω νοῦς. καὶ ὁποῖα ἔμελ-
» λεν ἔσεσθαι, καὶ ὁποῖα ἦν. καὶ ὁπόσα νῦν ἐστι καὶ ἔσται, πάντα διεκόσμησε νοῦς. εἰ οὖν γνωστὰ
τῷ νῷ ἐστιν, οὐκ ἂν εἴη φύσει ἄπειρα. πλὴν ὅτι τὸ τοῦ ἀριστοτέλους ἀληθὲς, ὡς εἰ τὰ τῶν ἀρχῶν εἴδη
ἄγνωστα, καὶ τὰ ἐξ αὐτῶν ἄγνωστα. ἰστέον δὲ ὅτι ὁ μὲν πορφύριος κοινὴν ὡς εἶπον οἴεται τὴν ἀπάν-
τησιν πρὸς πάντας, τοὺς ἄπειρα τὰ στοιχεῖα ὑποτιθεμένους. ὁ δὲ ἀλέξανδρος ὡς πρὸς ἀναξαγό-
ραν μόνον εἰρημένην ἀκούει. καὶ τάχα οὕτως ἀκολουθότερον. οἱ μὲν γὰρ περὶ δημόκριτον καὶ λεύ-
κιππον, εἰ καὶ ἀπείρους κατὰ πλῆθος ὑπέθεντο τὰς ἀρχὰς, ἀλλὰ τὸ εἶδος αὐτῶν καὶ τὴν οὐσίαν ἓν ὑπέθεν-
το καὶ ὡρισμένον. ὥστε οὐκ ἂν εἴη κατ' αὐτοὺς ἄγνωστος ἡ ἀρχή. εἰ μὴ ἄρα σχήματα αὐτοῖς ἢ ἄλλα τι-
νὰ κατ' εἶδος ἄπειρα περιτεθείκασιν. ἀναξαγόρας δὲ οὐ τῷ πλήθει μόνον ἀπείρους ἀλλὰ καὶ τῷ εἴδει
ὑποθέμενος τὰς ἀρχὰς, δέξεται τὸ δοκοῦν ἐπάγεσθαι ἄτοπον, τὸ καὶ τὰ ἐκ τῶν ἀρχῶν ἄγνωστα εἶναι.

ἜΤΙ ΔΕΙ ἀνάγκη οὗ τὸ μόριον ἐνδέχεται ὁπηλικονοῦν εἶναι κατὰ μέγεθος καὶ μικρότητα, καὶ
αὐτὸ ἐνδέχεσθαι. λέγω δὲ τῶν τοιούτων τι μορίων, εἰς ὃ ἐνυπάρχον διαιρεῖται τὸ ὅλον. εἰ δὲ ἀδύνα-
τον ζῶον ἢ φυτὸν ὁπηλικονοῦν εἶναι κατὰ μέγεθος καὶ μικρότητα, φανερὸν ὅτι οὐδὲ τῶν μορίων
ὁτιοῦν. ἔσται γὰρ καὶ τὸ ὅλον ὁμοίως. σὰρξ δὲ καὶ ὀστοῦν καὶ τὰ τοιαῦτα, μόρια ζώου. καὶ οἱ καρ-
ποὶ τῶν φυτῶν. δῆλον τοίνυν ὅτι ἀδύνατον σάρκα ἢ ὀστοῦν ἢ ἄλλο τι ὁπηλικονοῦν εἶναι τὸ μέγεθος.
ἢ ἐπὶ τὸ μεῖζον, ἢ ἐπὶ τὸ ἔλαττον.

Εἰπόντος τοῦ ἀναξαγόρου, ὅτι οὔτε τοῦ σμικροῦ ἐστι τοὐλάχιστον, ἀλλὰ τὸ ἔλασσον ἀεὶ, οὔτε τὸ μέγιστον,
ὡς καὶ αὐτὴ ἡ λέξις τοῦ ἀναξαγόρου δηλοῖ, καὶ μέντοι θεόφραστος ἐν τῷ περὶ ἀναξαγόρου δευτέ-
ρῳ, τάδε γράφων, ἔπειτα τὸ διὰ τοῦτο λέγειν πάντα ἐν παντὶ, διότι καὶ ἐν μεγέθει καὶ ἐν σμικρό-
τητι ἄπειρα, καὶ οὔτε τὸ ἐλάχιστον οὔτε τὸ μέγιστόν ἐστι λαβεῖν, οὐχ ἱκανὸν πρὸς πίστιν, ἅμα μὲν ἀναι-
ρεῖ τοῦτο ὁ ἀριστοτέλης. ἅμα δὲ ὡς χρήσιμον αὐτῷ τὸ εἶναι τὴν ἐλαχίστην πρὸς τὰ ἐφεξῆς σχεδὸν ἅ-
παντα, προαποδείκνυσι διὰ τοιοῦδέ τινος συλλογισμοῦ. εἰ τὰ μόρια ὅλου τινὸς ἐνδέχεται ὁπηλι-
κονοῦν εἶναι κατὰ μέγεθος καὶ κατὰ σμικρότητα, τοῦτο γάρ ἐστι τὸ μήτε τὸ ἐλάχιστον ὡρίσθαι μή-
τε τὸ μέγιστον, καὶ αὐτὸ τὸ ὅλον ἐνδέχεται ὁπηλικονοῦν κατὰ μέγεθος καὶ κατὰ σμικρότητα εἶναι.
ἀλλὰ μὴν τὸ ὅλον οὐκ ἐνδέχεται ὁπηλικονοῦν εἶναι. οὐδὲ τὰ μόρια ἄρα ἐνδέχεται κατὰ τὸ δεύτε-
ρον τῶν ὑποθετικῶν. καὶ τὸ μὲν συνημμένον ὡς ἐναργὲς τέθεικε. πρόδηλον γὰρ ὅτι εἰ σύγκειταί τι
ἐκ μορίων τινῶν, οἷον ποδῶν καὶ χειρῶν καὶ κεφαλῆς, καὶ δυνατόν ἐστι ταῦτα καὶ μείζω ἀεὶ καὶ
ἐλάττονα εἶναι, δῆλον ὡς καὶ τὸ ἐν τῇ τούτων συνθέσει τὸ εἶναι ἔχον, μειζόνων μὲν ὄντων ἐκείνων
μεῖζον ἔσται, ἐλαττόνων δὲ ἔλαττον. καὶ ἐπ' ἄπειρον ἔσται τοῦτο, ἐπὶ τοσοῦτον τῆς κατὰ τὸ μεῖζον καὶ
ἔλαττον παραλλαγῆς γινομένης, ἐφ' ὅσον καὶ τὰ μέρη μειοῦται ἢ αὔξεται. τὴν πρόσληψιν δὲ καὶ
αὐτὴν ἐκ τῶν ἐναργῶν κατασκευάζει. τὰ γὰρ ἐκ τῶν ὁμοιομερῶν συγκεκριμένα καὶ συγκείμενα ὅ-
λα, οἷον ζῶον ὁτιοῦν ἢ φυτὸν, οὐχ οἷόν τε ὁπηλικονοῦν εἶναι. οὐ γὰρ δυνατὸν ἄνθρωπον ἢ συκῆν κέγ-
χρου μέγεθος ἔχειν ἢ ὄρους. ἀλλ' ὥρισται αὐτῶν τὸ μέγεθος καὶ ἐπὶ τὸ μεῖζον καὶ ἐπὶ τὸ ἔλαττον. ὥρι-
σται ἄρα καὶ τῶν μορίων αὐτῶν ἑκάστου τὸ μέγεθος εἰς ἃ διαιρεῖται. καὶ οὐ δυνατὸν σάρκα ὁπηλι-
κηνοῦν λαβεῖν, εἴπερ μόριον ζώου ἡ σάρξ. ἔσται γὰρ καὶ τὸ ζῶον ἐκεῖνο οὗ μόριόν ἐστιν, ὁπηλικονοῦν.
ἐκ τῶν τοιούτων δὲ ὁμοιομερῶν σύγκειται τὰ ζῶα, καὶ εἰς ταῦτα διαιρεῖται κατὰ ἀναξαγόραν.
οὐδὲν γὰρ τούτων ἀνωτέρω κατ' αὐτόν. ὥρισται ἄρα τούτων τὸ μέγεθος μέχρι που προελθὸν ἐν τῷ
οἰκείῳ μενεῖ. εἰ δὲ λέγοι τις ὅτι πᾶν μέγεθος ἐπ' ἄπειρόν ἐστι διαιρετὸν, καὶ διὰ τοῦτο παντὸς τοῦ λαμ-
βανομένου ἔστιν ἔλασσον, ἴστω ὅτι αἱ ὁμοιομέρειαι οὐκ εἰσὶν ἁπλῶς μεγέθη, ἀλλ' ἤδη τοιάδε μεγέθη,
σὰρξ. καὶ ὀστοῦν, καὶ μόλυβδος, καὶ χρυσὸς, καὶ τὰ τοιαῦτα. ἅπερ οὐχ οἷόν τέ ἐστιν ἐπ' ἄπειρον διαι-
ρούμενα φυλάττειν τὸ εἶδος. ὡς μὲν γὰρ μεγέθη, ἐπ' ἄπειρον διαιρεῖται καὶ ταῦτα. ὡς δὲ σὰρξ καὶ
ὀστοῦν, οὐκέτι. τοιαύτας δὲ ὑπετίθετο τὰς ἀρχὰς ἀναξαγόρας, καὶ οὐδὲ διαιρετὰς ταύτας. καὶ τὸ

ὅλον

ὅλον δὲ ἐξ ἐκείνων σύγκειται τῶν μορίων εἰς ἃ καὶ διαιρεῖται ἐνεργείᾳ χωριζόμενα, οἷα τὰ ὁμοιομερῆ, ἀλλ' οὐχὶ τὰ σώματα καθὸ σώματα. διὸ καὶ ὁ ἀριστοτέλης ἀσφαλῶς προσέθηκε, λέγω δὴ τῶν τοιούτων, τι μορίων, εἰς ὃ ἐνυπάρχον διαιρεῖται τὸ ὅλον. οὐ γὰρ διαιρεῖται εἰς σώματα ἢ ἀσώματα τὸ ὅλον, ἀλλ' εἰς σάρκας καὶ ὀστᾶ καὶ τὰ τοιαῦτα, ἃ καὶ ἄφθαρτα κατὰ ἀναξαγόραν ἐστίν. ὥστε οὐκ ἂν ὑπομένοι τὴν μέχρι φθορᾶς τοῦ οἰκείου εἴδους διαίρεσιν. οὐ μέντοι οὐδὲ ἐνυπάρχει ἐνεργείᾳ τὰ γινόμενα μόρια ἐκ τῆς ἐπ' ἄπειρον διαιρέσεως, ἀλλὰ δυνάμει μόνον. ἔτι δὲ καὶ δι' ἐκεῖνα προσέθηκε τὸ εἰρημένον ὁ ἀριστοτέλης, ἅ τινα λέγεται μὲν μόριά τινος, οὐ μὴν διαιρεθείη ἂν τὸ ὅλον εἰς αὐτά· οἷα ἐστὶν ἡ ὕλη καὶ τὸ εἶδος τοῦ σώματος μόρια λεγόμενα. τὸ δὲ καὶ οἱ καρποὶ τῶν φοιτῶν φησιν ὁ ἀλέξανδρος, ἀντὶ τοῦ τὰ σπέρματα εἶπεν. ἐκ γὰρ τούτων ἡ τῶν φυτῶν σύνθεσις εἴη ἄν. καὶ διὰ τοῦτο μετ' ὀλίγον ἀντὶ τοῦ καρποῦ σπέρμα ἔλαβεν, ὡς μόριον τοῦ φυτοῦ. ἐν οἷς λέγει, ὥστε οὔτε σὰρξ εἴη ἂν ὁπηλικηοῦν οὔτε ὀστοῦν, οὔτε σπέρμα τῶν φυτῶν. ἐκ τούτων γὰρ ἕκαστα αὐτῶν σύγκειται. ἀλλὰ τὰ μὲν εἰς ἐμὲ ἐλθόντα βιβλία, τοῦτο τὸ ῥησείδιον οὐκ ἔχει. ὥσπερ οὐδὲ τὸ ἕτερον ὃ παρέθετο ὁ ἀλέξανδρος, ἔχον οὕτως. εἰ οὖν τὰ ζῷα καὶ τὰ φυτὰ μήτε πηλίκα ἐστὶ μήτε ποσά, τουτέστι φησὶ μήτε ὡς συνεχῆ μήτε ὡς διωρισμένα ἐπ' ἄπειρον ἔχει τὴν ἐπίδοσιν, οὐδὲ τὰ μόρια αὐτῶν ὁπηλικαοῦν ἔσται. οὔτε αὔξησιν οὔτε ἐλάττωσιν ἐπ' ἄπειρον ἕξει. καὶ ὅρα ὅτι πρὸς τὸ πηλίκον ἀπεδόθη τὰ εἰρημένα μόνον, οὐκέτι δὲ καὶ πρὸς τὸ ποσόν. ὅπερ ὡς διωρισμένον ποσὸν ἀντιτεθῆναι τῷ πηλίκῳ φησὶν ὁ ἀλέξανδρος. οὐκέτι γὰρ ἔδειξεν ἐν τούτοις, ὅτι οὐκ ἐξ ἀπείρων τῷ πλήθει σύγκειται. ἀλλὰ κυρίως ἂν ἡρμήνευτο, εἰ ἔλεγεν, εἰ οὖν τὰ ζῷα καὶ τὰ φυτὰ μήτε ὁπηλικαοῦν ἐστὶ μήτε ὁποσαοῦν, ἀντὶ τοῦ μήτε κατὰ μέγεθος μήτε κατὰ πλῆθος εἰς ἄπειρον ἐπιδίδωσιν. οὐ γὰρ ταυτόν ἐστι πηλίκον καὶ ὁπηλικονοῦν. ὅπερ σημαίνει τὸ κατὰ τὸ πηλίκον εἰς ἄπειρον ἐνδιδόναι ἢ ἐπιδιδόναι. τὸ δὲ σπέρμα φησὶ παρατίθεται, ὡς οὐσῶν τινῶν ὁμοιομερειῶν καὶ τοιούτων, ἐξ ὧν πλεοναζουσῶν τὰ φυτὰ γίνεται. καὶ τῶν φυτῶν αἱ διαφοραὶ παρὰ τὴν διαφορὰν τῶν ἐν αὐτοῖς πλεοναζόντων σπερμάτων. καίτοι τὸ σπέρμα ἐξ οὗ γέγονε τὸ φυτόν, οὐκ ἔστι τῶν τοιούτων μορίων, εἰς ὃ ἐνυπάρχον διαιρεῖται τὸ ὅλον. οὐδὲ γὰρ ἐν τῷ ζῴῳ τὸ σπέρμα ἐξ οὗ γέγονε σῴζεται, ὡς διαιρεῖσθαι καὶ εἰς ἐκεῖνο τὸ ζῷον. ἀλλ' ἔοικε τὰ πολλὰ τῶν ἀντιγράφων ὀρθῶς ἔχειν, τὰ λέγοντα, καὶ οἱ καρποὶ τῶν φυτῶν. ὡς γὰρ κλάδοι καὶ φύλλα, οὕτω καὶ καρποὶ καὶ περικάρπιον μόρια τῶν ἐγκάρπων φυτῶν ἐστί. καὶ διαιρεῖται τὸ ὅλον, καὶ εἰς ταῦτα ἐνυπάρχοντα, καὶ χωρίζεσθαι δυνάμενα. ἀλλὰ ταῦτα μὲν ἀρκείτω πρὸς τὸ τῆς γραφῆς παρηλλαγμένον. ἴσως δὲ φαίη ἄν τις ὑπὲρ ἀναξαγόρου λέγων, ὡς εἰ μὲν ἕκαστον τῶν ζῴων ἢ τῶν φυτῶν ἐξ ἑκάστου εἴδους τῶν ὁμοιομερειῶν, μίαν εἶχεν ὁμοιομέρειαν τὴν συντιθεῖσαν, οἷον μίαν σαρκός, καὶ μίαν ὀστοῦ, καὶ μίαν αἵματος, ἀναγκαῖον ἦν τῇ τῶν ὁμοιομερειῶν αὐξήσει καὶ μειώσει, τὰς κατὰ μέγεθος διαφορὰς ἀκολουθεῖν τῶν τε ζῴων καὶ τῶν φυτῶν. εἰ δὲ πλῆθος ἐξ ἑκάστου εἴδους τῶν ὁμοιομερῶν ἔχει, οἷον σαρκία πολλά, τί ἄτοπον σάρκα μὲν ἐπ' ἄπειρον καθαιρεῖν, ζῷον δὲ μηκέτι. ἀλλ' εἰ πλείονά ἐστι σαρκία, ἢ πεπερασμένα τῷ ἀριθμῷ ἢ ἄπειρα. καὶ εἰ μὲν πεπερασμένα, οἷον δύο ἢ τρία ἢ τέσσαρα ἢ μυρία, ὡρισμένον ἂν εἴη τὸ μέγεθος καὶ τοῦ ἐλαχίστου καὶ τοῦ μεγίστου. εἰ δὲ ἄπειρα τῷ πλήθει, τὸ ἐξ ἀπείρων τῷ πλήθει μεγεθῶν μέγεθος ἄπειρον ἀνάγκη εἶναι. τὸ γὰρ πεπερασμένον εἰς πεπερασμένα διαιρεῖται. ὅπερ καὶ αὐτὸς ἀριστοτέλης ἐπάγει αὐτοῖς.

ἜΤΙ ΕἸ πάντα μὲν ἐνυπάρχει τὰ τοιαῦτα ἐν ἀλλήλοις, καὶ μὴ γίνεται, ἀλλ' ἐκκρίνεται ἐνόντα. λέγεται δὲ ἀπὸ τοῦ πλείονος, γίνεται δὲ ἐξ οὗ ὁτουοῦν, οἷον, ἐκ σαρκὸς ὕδωρ ἐκκρινόμενον, καὶ σὰρξ ἐξ ὕδατος. ἅπαν δὲ σῶμα πεπερασμένον, ἀναιρεῖται ὑπὸ σώματος πεπερασμένου. φανερὸν ὅτι οὐκ ἐνδέχεται ἐν ἑκάστῳ, ἕκαστον ὑπάρχειν. ἀφαιρεθείσης γὰρ ἐκ τοῦ ὕδατος σαρκός, καὶ πάλιν ἄλλης γινομένης, ἐκ τοῦ λοιποῦ ἀποκρίσει, εἰ καὶ ἀεὶ ἐλάττων ἔσται ἡ ἐκκρινομένη, ἀλλ' ὅμως οὐχ ὑπερβαλλεῖ μέγεθός τι τῇ σμικρότητι. ὥστε εἰ μὲν στήσεται ἡ ἔκκρισις οὐχ ἅπαν ἐν παντὶ ἐνέσται. ἐν γὰρ τῷ λοιπῷ ὕδατι, οὐκ ἐνυπάρξει σάρξ. εἰ δὲ μὴ στήσεται, ἀλλ' ἀεὶ ἕξει ἀφαίρεσιν, ἐν πεπερασμένῳ μεγέθει, ἴσα πεπερασμένα ἐνέσται, ἄπειρα τὸ πλῆθος. τοῦτο δ' ἀδύνατον.

Ὁ μὲν ἀλέξανδρός φησι τῷ δεδειγμένῳ προσεχῶς ἐπιχειρήματι προσχρώμενον τὸν ἀριστοτέλην δεικνύναι νῦν, ὅτι οὔτε ἐκκρίσει ἡ γένεσις, οὔτε πάντα ἐν πᾶσιν, ὡς τοῖς περὶ ἀναξαγόραν δοκεῖ. λαβὼν οὖν ἐνταῦθα ὡς ὁμολογούμενον, ὅτι ἔστιν ἐλάχιστον σῶμα, διὰ τοῦ εἰπεῖν, εἰ καὶ ἀεὶ ἐλάττων ἔσται ἡ ἐκκρινομένη, ἀλλ' ὅμως οὐχ ὑπερβαλεῖ μέγεθός τι τῇ σμικρότητι, οὐχ ὑπερβαλεῖ δὲ τῇ σμικρότητι δηλονότι τὸ ἐλάχιστον, εἰ οὖν ἐξ ὕδατος φέρε εἰπεῖν τὴν ἐλαχίστην ἐκκρίνοι τις σάρκα, ἐπειδὴ δέδεικται ὡρισμένη ἡ ἐλαχίστη, καὶ πάλιν ἄλλην ἐλαχίστην, καὶ ἀεὶ τοῦτο ποιοίη, ἢ ἐπιλείψει ποτὲ ἡ ἔκκρισις διὰ τὸ ὡρίσθαι τὴν ἐλαχίστην, καὶ οὐκέτι ἕξει τὸ ὑπολειπόμενον ὕδωρ σάρκα, καὶ οὕτως οὐ πᾶν ἐν παντὶ ἔσται, οὐδὲ ἀπὸ παντὸς ἐκκριθήσεται, ἢ εἰ μὴ ἐπιλείψει ποτέ, ἕξει τοδὶ τὸ ὕδωρ ἐξ οὗ ἡ σὰρξ ἐξεκρίθη ὡρισμένον τι μέγεθος. καὶ εἰ τοῦτο, ἄπειροι τὸν ἀριθμὸν ἔσονται ἴσαι ἀλλήλαις. αἱ γὰρ ἐλάχισται σάρκες ἴσαι τὸ μέγεθος ἄπειροι ἐν αὐτῷ ἔσονται. τοῦτο δὲ ἀδύνατον, διὰ τὸ ὡρίσθαι τὴν ἐλαχίστην

σαρκὸς, ἧς οὐκέτι ἐλάττων ἂν ἐκκριθείη. δέδεικται γὰρ ἐν τῷ πρὸ τούτου ὅτι ὥρισται ἡ ἐλαχίστη. τούτου δὲ ὄντος, ἀδύνατον ἐπ' ἄπειρον ἐκκρίνεσθαι σάρκα ἐκ τοῦ ὕδατος τούτου. ἀλλ' ἀνάγκη στῆναι. ὥστε οὐ πᾶν ἐκ παντὸς ἐκκριθήσεται. εἰ δέ γε ἀεὶ τῆς προεκκριθείσης φησὶν ἐλάττονα λαμβάνειν ἦν, οὐκ ἂν ἐπέλιπεν ἡ ἔκκρισις, ὡς οὐδὲ τῆς μεγίστης. οὕτω μὲν οὖν ὁ Ἀλέξανδρος καὶ ὁ Θεμίστιος ἐξηγήσαντο. μήποτε δὲ καὶ δυνατὸν ἀποδεῖξαι χωρὶς τοῦ προαποδεδειγμένου συμπεράσματος τὸ νῦν ἐπιχείρημα. ἴσως δὲ τοῦ Ἀριστοτέλους, ὅπερ ἐκεῖ ἀπέδειξε τὸ ἀδύνατον ὁπηλικονοῦν εἶναι μέγεθος, συγχωροῦντός πως αὐτοῖς ὑποτίθεσθαι, ἐν οἷς φησιν, εἰ καὶ ἐλάττων ἀεὶ ἔσται ἡ ἐκκρινομένη, ἀλλ' ὅμως οὐχ ὑπερβαλεῖ μέγεθός τι τῇ σμικρότητι. καὶ οὐχ ὅτι ἐπιλείπει ἡ ἔκκρισις ἁπλῶς δείκνυσι νοῦν ὁ Ἀριστοτέλης ὡς οἶμαι. ἀλλ' ὅτι καὶ τῷ ἐπιλείπειν καὶ τῷ μὴ ἐπιλείπειν ἄτοπόν τι ἀκολουθεῖ τοῖς πᾶν ἐν παντὶ λέγουσι, καὶ πᾶν ἐκ παντὸς ἀποκρίνεσθαι, ταὐτὸν δὲ εἰπεῖν γίνεσθαι, ἀξιοῦσι. τῷ μὲν γὰρ ἐπιλείπειν ἀναιρεῖται ἄμφω ταῦτα τὰ ἀξιώματα. εἰ γὰρ ἐπιλείποι ἡ ἀπὸ τουδὶ ὕδατος ἐκκρινομένη σάρξ, οὐ πάντα ἐν παντὶ ἔσται. οὐδὲ πᾶν ἐκ παντὸς ἐκκριθήσεται. ἐν γὰρ τῷ λοιπῷ ὕδατι οὐκ ἐνυπάρξει σάρξ. εἰ μέντοι λέγοιεν μὴ ἐπιλείπειν, ἀλλ' ἀεὶ δύνασθαι ἀφαιρεῖν, ἐν πεπερασμένῳ μεγέθει τῷδε τῷ ὕδατι ἄπειρα τὸ πλῆθος μεγέθη ἐνέσται. ὅπερ ἀδύνατον. δοκεῖ δέ μοι τὸ ἴσα πεπερασμένα, καὶ τὸ οὐχ ὑπερβαλεῖ μέγεθός τι τῇ σμικρότητι, αἰτίαν γενέσθαι τῷ Ἀλεξάνδρῳ τῆς τοιαύτης ἐξηγήσεως. καθ' ἑκάστην γάρ φησιν ἔκκρισιν ἀριθμός τις ἔσται ἐκκρινόμενος τῶν ἐλαχίστων. οὕτω τε ἔσται πόσα τινὰ ἴσα ἀεὶ τὰ ἀφαιρούμενα, διὰ τὸ ἐλάχιστα πάντα εἶναι. πῶς δ' ἂν εἴη ἡ ἀποκλήρωσις τὸ καὶ τὰ ἐλάχιστα πολλὰ εἶναι. ἀλλὰ μήποτε ἴσα, ἀντὶ τοῦ μεγέθη ὄντα καὶ αὐτὰ λέγει. κἂν εἰ ἀεί φησιν ἐλάττων ἔσται ἡ ἐκκρινομένη, ἀλλ' οὐχ ὑπερβάλλει μέγεθός τι τῇ σμικρότητι. τουτέστι κἂν συγχωρήσῃ τις αὐτοῖς τὸ τῆς ἐλάττονος ἀεὶ ἐλάττονα λαμβάνειν, οὐκ ἂν διὰ τὴν σμικρότητα ὑπερβαίη τὸ εἶναι μέγεθος. καὶ εἰ ἡ ἐπ' ἄπειρον τῶν μεγεθῶν διαίρεσις εἰς μεγέθη γίνεται. ὁ μέντοι πάντα ἐν πᾶσι λέγων, καὶ ἐνεργείᾳ αὐτὰ εἶναι λέγει, καὶ οὐ δυνάμει, ὡς ἐπὶ τῶν ἐπ' ἄπειρον διαιρουμένων. δυνατὸν δὲ τὸ ἴσα πρὸς τὸ πεπερασμένον ἀκούειν. ἀντὶ τοῦ ὅμοια πεπερασμένα. καὶ εἴπερ τὸ πεπερασμένον τοῦ ποσοῦ ἐστι πάθος, οἰκειότερον τὸ ἴσα πεπερασμένα, ἤπερ ὅμοια πεπερασμένα εἰπεῖν. ἡ οὖν ὅλη ἐπιχείρησις ἀναιρεῖ τὸ πᾶν ἐν παντὶ εἶναι, καὶ πᾶν ἐκ παντὸς γίνεσθαι ἤτοι ἐκκρίνεσθαι προσλαβοῦσα ἀξίωμα, ὅτι πᾶν σῶμα πεπερασμένον ὑπὸ σώματος πεπερασμένου καταμετρεῖται καὶ δαπανᾶται. ὅπερ αὐτὸς ἀναιρεῖται εἶπε τοῖς προκειμένοις οἰκείως. ἐὰν γὰρ τοῦ πήχεος πεπερασμένου ὄντος ἀεί τι πεπερασμένον ἀφαιρῇ, ἀναιρεθήσεται ὁ πῆχυς. γινέσθω δὲ ἡ ἀφαίρεσις μὴ κατὰ τὸ λόγῳ θεωρητόν. ἐπεὶ οὐδέποτε ἐκλείψει. ἀλλὰ κατὰ τὰ ἐνεργείᾳ ὑπάρχοντα μόρια, κἂν τὰ ἐλάχιστα ἴσως τοιάδε. τούτου οὖν προσληφθέντος, δείκνυσιν ὅτι οὐκ ἐνδέχεται ἕκαστον ἐν ἑκάστῳ, τουτέστι πᾶν ἐν παντὶ ὑπάρχειν, οὐδὲ πᾶν ἐκ παντὸς ἐκκρίνεσθαι, οὕτως. εἰ ἐκκρίνοιτο ἐκ τοῦ ὕδατος σάρξ, καὶ πάλιν ἄλλη, κἂν ἀεὶ ἐλάττων ἔσται ἡ ἐκκρινομένη, ὅμως μέγεθός τι ἕξει. καὶ τοῦτο δὲ ὡς ἀξίωμα προσλαμβάνεσθαι χρὴ τῆς ἀποδείξεως. ἢ οὖν στήσεται ἡ ἔκκρισις, ἢ οὐ στήσεται. ἀλλ' εἰ μὲν στῇ, οὐχ ἅπαν ἐν παντὶ ἔσται. ἐν γὰρ τῷ λοιπῷ ὕδατι οὐκ ἐνυπάρξει. εἰ δὲ μὴ στῇ, ἀλλ' ἀεὶ ἕξει ἀφαίρεσιν, ἐν πεπερασμένῳ μεγέθει ἄπειρα τὸ πλῆθος ὁμοίως πεπερασμένα μεγέθη ἔσται. ὅπερ ἀδύνατον. τὸ γὰρ πεπερασμένον μέγεθος, ἀεί τινος τῶν ἐν αὐτῷ πεπερασμένου κατὰ πεπερασμένον ἀριθμὸν ἀναιρουμένου, ἀναιρεθήσεται καὶ αὐτὸ διὰ τὸ ἀξίωμα. ὥστε οὐκ ἔσται ἐν πεπερασμένῳ μεγέθει ἄπειρα τὸ πλῆθος. δῆλον δὲ ὅπερ εἶπον ὅτι τὴν ἀφαίρεσιν οὐ κατὰ τὴν λόγῳ θεωρουμένην ἐπ' ἄπειρον τομὴν ποιητέον. οὕτω γὰρ οὐδὲ ἐπέλιπεν ἄν. οὐδὲ ἄτοπόν τι ἠκολούθει, τὸ, πεπερασμένον τε ἐκ τῶν ἐπ' ἄπειρον διαιρουμένων συνεστάναι. δυνάμει γὰρ οὐδὲ τούτων τὸ ἄπειρον οὐκ ἐνεργείᾳ. ἡ δὲ κατὰ Ἀναξαγόραν ἔκκρισις τῶν ἐνεργείᾳ ἐνυπαρχόντων ἀπείρων ἐστίν.

ΠΡΟΣ ΔΕ τούτοις εἰ ἅπαν μὲν σῶμα ἀφαιρεθέντος τινὸς, ἔλαττον ἀνάγκη γίνεσθαι. τῆς δὲ σαρκὸς ὥρισται τὸ ποσὸν καὶ μεγέθει καὶ σμικρότητι, φανερὸν ὅτι ἐκ τῆς ἐλαχίστης σαρκὸς, οὐδὲν ἐκκριθήσεται σῶμα. ἔσται γὰρ ἔλαττον τῆς ἐλαχίστης.

Τὸ πᾶν ἐν παντὶ εἶναι καὶ πᾶν ἐκ παντὸς ἐκκρίνεσθαι καὶ διὰ τούτου σαλεύει τοῦ ἐπιχειρήματος, προσλαβὼν αὖθις ἐναργὲς ἀξίωμα, ὅτι πᾶν σῶμα ἀφαιρεθέντος τινὸς ἔλαττον γίνεσθαι ἀνάγκη, ἐπειδὴ καὶ προστεθέντος μεῖζον. καὶ πρὸς τούτῳ, τῷ ἀξιώματι τῷ ἤδη δεδειγμένῳ χρώμενος ἐνταῦθα, τῷ μὴ ὁπηλικηνοῦν εἶναι σάρκα, ἀλλ' εἶναι τὴν ἐλαχίστην ὡρισμένην ὥσπερ καὶ τὴν μεγίστην. τούτων δὴ προειλημμένων, συλλογίσαιτο ἄν τις οὕτως. εἰ ἐκ τῆς ἐλαχίστης σαρκὸς ἐκκρίνεταί τι, ἔσται τις σὰρξ ἀφ' ἧς ἐξεκρίθη ἐλάττων τῆς ἐλαχίστης. ἀλλὰ μὴν τοῦτο ἀδύνατον. ἐλαχίστη γὰρ ἦν ἧς ἐλάττων οὐκ ἔστι σάρξ. οὐκ ἄρα ἐκ τῆς ἐλαχίστης σαρκὸς ἐκκριθήσεται σῶμα ὁποιονοῦν. καὶ τὸ μὲν συνημμένον ἀληθὲς διὰ τὸ ἀξίωμα. ἡ δὲ πρόσληψις, ἐναργής. εἰ δὲ ἐκ τῆς ἐλαχίστης σαρκὸς ἀδύνατόν τι ἐκκριθῆναι σῶμα, οὐ πᾶν ἐν παντὶ ἔσται, οὐδὲ πᾶν ἐκ παντὸς ἐκκριθήσεται. καὶ ἄλλο δὲ ἄτοπον ἕπεται τῷ ἐκ τῆς ἐλαχίστης σαρκὸς ἐκκρίνεσθαί τι. οὐ γὰρ ἔσται σὰρξ μετὰ τὴν ἔκκρισιν.

τῆς γε ἐλαχίστης σαρκὸς οὐκ ἂν εἴη ἐλάττων σάρξ. ἐφθαρται ἄρα ὡς σάρξ. φθαρταὶ ἄρα αἱ ὁμοιομέρειαι. ὅπερ οὐ βούλονται. οὐκ ἄρα πᾶν ἐν παντί, οὐδὲ πᾶν ἐκ παντὸς γίνεται.

Ἔτι δὲ ἐν τοῖς ἀπείροις σώμασιν, ἐνυπάρχοι ἂν ἤδη σὰρξ ἄπειρος. καὶ αἷμα καὶ ἐγκέφαλος, κεχωρισμένα μέντοι ἀπ' ἀλλήλων. οὐδὲν δὲ ἧττον ὄντα, καὶ ἄπειρον ἕκαστον. τοῦτο δ' ἄλογον.

Τὸν ἰσχυρότατον οἶμαι ἔλεγχον πέμπτον ἐν τούτοις ὁ Ἀναξαγόρου λόγος ὑφίσταται, εἴτις αὐτὸν ἐκδέχοιτο κατὰ τὸ φαινόμενον καὶ ἔστι πρὸς πᾶσαν τὴν ὑπόθεσιν ἡ ἐπιχείρησις, τὴν λέγουσαν ἀπείρους τῷ πλήθει ὁμοιομερείας εἶναι τὰς ἀρχάς, καὶ πάντα ἐν πᾶσι μεμίχθαι. ὅπερ εὐθὺς ἐν ἀρχῇ τοῦ
» συγγράμματος τίθησιν ὁ Ἀναξαγόρας λέγων, ὁμοῦ χρήματα πάντα ἦν ἄπειρα καὶ πλῆθος καὶ σμι-
» κρότητα. καὶ γὰρ τὸ σμικρὸν ἄπειρον ἦν. καὶ ἐν παντὶ παντὸς μοῖρα ἔνεστι πλὴν νοῦ, πολλάκις λέγει. εἰ οὖν ἀπείρων οὐσῶν τῶν ὁμοιομερῶν ἐν ἑκάστῃ πάντα ὑπάρχει, ἐνυπάρχοι ἂν ἤδη κατ' ἐνέργειαν οὖσα σὰρξ ἄπειρος, καὶ αἷμα, καὶ ἐγκέφαλος. αἱ γὰρ ἐν ταῖς ἀπείροις ὁμοιομερείαις σάρκες ἄπειροι τὸ πλῆθος οὖσαι, ἄπειρον τῷ μεγέθει ποιοῦσι τὴν ὅλην σάρκα, καὶ αἷμα ὁμοίως, καὶ ἐγκέφαλον, καὶ χρυσὸν δηλονότι, καὶ τῶν ἄλλων ἕκαστον. ἔσται οὖν ἄπειρα μεγέθη πλείονα κατ' ἀριθμόν. μᾶλλον δὲ ἀπειράκις ἄπειρα. καθ' ἑκάστην γὰρ ὁμοιομέρειαν. ὅπερ ἄλογον. ἄπειρον γὰρ μέγεθος ἐκεῖνό ἐστιν, οὗ μηδὲν ἐκτός τι μέγεθος. καὶ οὐ δυνάμει τὸ ἄπειρον ὡς ἐπὶ τῶν ἐπ' ἄπειρον γινομένων ἢ διαιρουμένων. ἀλλ' ἐνεργείᾳ ἤδη τὸ ἄπειρον. ἤδη γὰρ ὑφέστηκε κεχωρισμένα ἀπ' ἀλλήλων, καὶ οὐδὲν ἧττον ὄντα τῶν ἐν οἷς ἐστιν. ἔτι δὲ ἀλογώτερον, τὸ κεχωρισμένα ὄντα, ἄπειρα ὅμως εἶναι. τὰ γὰρ κεχωρισμένα ἀπ' ἀλλήλων, περαίνει πρὸς ἄλληλα. κεχωρισμένα δὲ ταῦτα τὰ ἄπειρα εἶναί φησιν, οὐ μόνον ὅτι ἐν κεχωρισμένοις ἐστὶ τοῖς ἀπείροις ὁμοιομερέσιν ἡ σάρξ, καὶ τὸ ὀστοῦν, καὶ τῶν ἄλλων ἕκαστον. ἀλλ' ὅτι καὶ αὐτὸς Ἀναξαγόρας ἕτερόν φησιν οὐδέν ἐστιν ὅμοιον οὐδενί. καὶ αὐτὰ οὖν τῇ οἰκείᾳ φύσει ἀπ' ἀλλήλων κεχώρισται. καὶ κατ' ἄλλον δὲ τρόπον ἔτι ἀτοπώτερον δόξει τὸ ὑπὸ τοῦ Ἀριστοτέλους συναγόμενον. εἰ γὰρ ἄπειρα τὰ ὁμοιομερῆ, καὶ πάντα ἐν πᾶσιν, ἐν ἑκάστῳ ἂν τῶν ὁμοιομερῶν ἀπείρων ὄντων πάντα εἴη. καὶ ἐν ἑκάστῳ πάντων τῶν ἐν τούτῳ ἀπείρων πάντα. καὶ οὕτως ἐν ἑκάστῃ ὁμοιομερείᾳ σάρκες ἂν ἄπειροι ἐνεῖεν, καὶ ὀστᾶ, καὶ αἷμα, καὶ ἐγκέφαλος, καὶ πάντα τὰ ἄλλα ἄπειρα ὄντα. καὶ τοῦτο ἐπ' ἄπειρον προσχωροῦσιν ἀκολουθήσει, ἑκάστου πάντα ἔχοντος, καὶ τῶν ἐν αὐτῷ ἑκάστου πάντα, καὶ ἀεὶ τοῦτο, καί τοι ἐνεργείᾳ εἶναι πάντων ὑποκειμένων ἀλλ' οὐ δυνάμει. πολλαχῶς οὖν τὸ ἄλογον ἐν τῇ τοιαύτῃ ὑποθέσει. καὶ ὅτι ἐν πεπερασμένῳ μεγέθει ἄπειρον εἶναι μέγεθος, ἄλογον. μᾶλλον δὲ ἄπειρα, καὶ ἀπειράκις ἄπειρα. τὰ γὰρ ἄπειρα ἔνεστιν ἐν τῷδε τῷ σαρκίῳ. καὶ ἐν ἑκάστῳ τῶν ἀπείρων ἄπειρα. καὶ τοῦτο ἐπ' ἄπειρον. ἄλογον δέ, καὶ τὸ ἄπειρα κεχωρισμένα ἀπ' ἀλλήλων εἶναι. οὐ μόνον διότι τὰ κεχωρισμένα περαίνει πρὸς ἄλληλα, ἀλλ' ὅτι οὐδὲ ἄπειρόν τι μέγεθος οἷόν τε ἐκ κεχωρισμένων εἶναι μερῶν. εἴη γὰρ ἂν οὕτω τι τοῦ ἀπείρου μεῖζον. τὸ γὰρ διάστημα μεταξὺ τῶν κεχωρισμένων τοῦ ἀπείρου μερῶν, συντεθὲν τῷ ἀπείρῳ, μεῖζον ἂν εἴη αὐτοῦ τοῦ ἀπείρου. ἔτι δὲ ὅτι καὶ κατὰ πλῆθος καὶ κατὰ μέγεθος πολὺ τὸ ἀπειράκις ἄπειρον ἔσται. καὶ ἐνεργείᾳ τοῦτο, εἴπερ κεχωρισμένα ἀπ' ἀλλήλων. οὐδὲν δ' ἧττον καὶ ἄπειρον ἕκαστόν ἐστι. τοῦτο γὰρ ἐδήλωσε, διὰ τοῦ κεχωρισμένα μέντοι ἀπ' ἀλλήλων, οὐδὲν δὲ ἧττον ὄντα καὶ ἄπειρον ἕκαστον. ἀλλὰ μήποτε φησὶν ὁ Ἀλέξανδρος οὐχ οὕτω χρὴ τὸν λόγον εὐθύνειν. τὸ γὰρ πάντα ἐν πᾶσι μεμίχθαι, οὐκ ἐπὶ τῶν ἀρχῶν ἴσως ἔλεγεν ὁ Ἀναξαγόρας, ὡς ἐν ἑκάστῃ τῶν ἀρχῶν πάντων ὄντων. οὕτω γὰρ οὐδὲ ἀρχαὶ ἂν ἦσαν ἔτι, εἴπερ συγκρίματα ἦν. ἀλλ' ἐν ἑκάστῳ τῶν αἰσθητῶν σωμάτων τῶν ἐκ τῶν ἀρχῶν συγκειμένων, πάντα ἔλεγε μεμίχθαι. ἐκ τούτων γὰρ καὶ αἱ γενέσεις καὶ αἱ ἐκκρίσεις. τὰ γὰρ στοιχεῖα τὰ εἰλικρινῆ μήτε αἰσθητὰ εἶναι τὴν ἀρχήν, ἀλλὰ μηδὲ εἶναι καθ' αὑτά. μηδὲ γὰρ διακριθῆναι ταῦτα δύνασθαι. ἀλλ' ὁ λέγων ταῦτα, οὐδὲν ἄλλο, ἢ μεταφέρει τὸν ἔλεγχον εἰς τὰ συγκρίματα. εἰ γὰρ ἕκαστον τῶν αἰσθητῶν μίγμα ὂν ἐκ πάντων ἐστί, τόδε δέ τι δοκεῖ εἶναι κατὰ τὸ ἐπικρατοῦν ἐν τῇ μίξει, ἔστι δὲ πάντα καὶ ἐν τοῖς συγκρίμασι, κατ' ἐπικράτειαν ἑκάστης τῶν ὁμοιομερειῶν χαρακτηριζόμενον ἀπείρων οὐσῶν, ἄλλο κατ' ἄλλην, ἅπερ καὶ ἐκκρίνεται, εἴπερ πάντα ἐκ πάντων, ἄπειρα ἄρα καὶ τὰ αἰσθητά. εἰ οὖν ἕκαστον αὐτῶν ἐκ πάντων μέμικται, ἄπειρος ἂν εἴη ἡ σὰρξ καὶ τῷ πλήθει καὶ τῷ μεγέθει. καὶ τῶν ἄλλων εἰδῶν ἕκαστον ἄπειρον ὁμοίως. εἰ δὲ καὶ ἐκ παντὸς αἰσθητοῦ πᾶν γίνεται τῇ ἐκκρίσει, εἴη ἂν καὶ οὕτως ἀπειράκις τὸ ἄπειρον. ἐν γὰρ τῷ ἐκκρινομένῳ πάλιν πάντα ἐνέσται καὶ ἐκκριθήσεται. καὶ ἐπὶ ἐκείνων τῶν ἐκκριμάτων τὰ αὐτὰ ῥηθήσεται. καὶ τοῦτο ἐπ' ἄπειρον. τά γε ἐκκρινόμενα, τὰ μικτὰ καὶ αἰσθητά ἐστι. διότι τὰ ἄμικτα τὴν ἀρχὴν οὐδὲ ἐκκριθῆναι οἷά τέ ἐστιν. οὕτω μὲν τὴν δοκοῦσαν παρὰ τῷ λόγῳ βοήθειαν ἐνεγκών, ἀνεῖλε καὶ ταύτην ὁ Ἀλέξανδρος. μήποτε δὲ οὕτω μᾶλλον ἂν εἴη πιθανώτερος ὁ τοῦ Ἀναξαγόρου λόγος. εἰ μὴ ἐξ ἑνὸς μὲν αἰσθητοῦ λέγοι ἐκκρίνεσθαί τι αἰσθητόν. οἷον ἐκ τῆσδε τῆς σαρκὸς μόνης ὀστοῦν αἰσθητόν. καὶ ἐκ τούτου πάλιν ἄλλο τι αἰσθητόν. ἀλλ' ἐνεῖναι μὲν ἑκάστῳ τῷ αἰσθητῷ πάντα, ἀναίσθητα δέ. καὶ ἐκκρίνεσθαι μὲν ἅπαντα ἀπὸ ἑκάστου τοῦ αἰσθητοῦ, ἀλλ' ἀναίσθητα μένειν, ἕως ἂν ἀπὸ πλειόνων αἰσθητῶν πλείονα

τὰ ὁμοειδῆ ἐκκριθέντα, συγκριθῇ καὶ ἀναίσθητα γένηται, πάντων μὲν πάλιν ἐνόντων ἑκάστῳ τῶν συγκριμάτων, κατὰ δὲ τὴν ἐπικράτειαν ἑκάστου χαρακτηριζομένου. ἀλλ' εἰ καὶ ταῦτα οὕτως ἔλεγον, πρῶτον μὲν, ἢ οὐ πᾶν αἰσθητὸν ἐκ παντὸς αἰσθητοῦ γενήσεται, ὅπερ οὗτοι βούλονται, ἢ ὁμοίως τὸ ἀπειράκις ἄπειρον ἀκολουθήσει. ἔπειτα δὲ καὶ ἐπὶ τῶν στοιχείων ἀληθὲς εἰπεῖν ἀπείρων ὄντων τῷ πλήθει, ἐν πεπερασμένῳ τῷ αἰσθητῷ ὑπάρχον αἱ ὁμοιομέρειαι ἄπειροι τὸ πλῆθος εἶναι, ὁμοίως ἄλογον ἦν. εἰ μέν τοι μὴ οὕτως ἄπειρα ἔλεγεν ἀναξαγόρας τὰ στοιχεῖα, ὡς τῇ φύσει ἄπειρα καὶ ἀνάριθμα, ἀλλ' ὡς πρὸς ἡμᾶς ἀπερίληπτα, ἐπεὶ καθ' αὑτὰ πεπερασμένα καὶ ὡρισμένα τῷ εἴδει καὶ τῷ ἀριθμῷ, εἴπερ ὥς φησι καὶ τὰ συμμισγόμενά τε καὶ διακρινόμενα καὶ ἀποκρινόμενα πάντα ἔγνω νοῦς, καὶ ὁποῖα ἔμελλεν ἔσεσθαι, καὶ ὁποῖα ἦν, καὶ ὅσα νῦν ἐστι, καὶ ὁποῖα ἔσται, πάντα διεκόσμησε νοῦς, καίτοι εἴπερ ἄπειρα κατὰ πλῆθος ἦν ἐνεργείᾳ τῷ εἴδει καὶ τὰ στοιχεῖα καὶ τὰ ἐκ τῶν στοιχείων συγκρίματα, οὐκ ἂν αὐτὰ οὐδὲ ὁ νοῦς ἔγνω, οὐδὲ διεκόσμησεν ἄν, τάξις γάρ τις ἡ διακόσμησις, ἡ δὲ τάξις οὐκ ἐν ἀπείροις, καὶ ἡ γνῶσις τοῦ νοῦ ὡρισμένη περίληψις ἀλλ' οὐκ ἀόριστος, καὶ κατ' εἴδη ὡρισμένα γινομένη, ἀλλ' οὐχὶ κατὰ ἄπειρα, ὅτι δὲ ἄπειρον οὐχ ὡς ἀδιέξιτον πάντη τῷ πλήθει λέγει, δηλοῖ, καὶ τὸν νοῦν ἄπειρον εἰπών, ἐν οἷς ἔλεγε, νοῦς δέ ἐστιν ἄπειρον καὶ αὐτοκρατές, εἰ οὖν μὴ ἄπειρα τῷ εἴδει τὰ στοιχεῖα ἔλεγεν ὁ ἀναξαγόρας, οὐδὲ τὰ ἐξ αὐτῶν συγκρίματα ἄπειρα ἦν, ἀλλὰ πεπερασμένα τῷ εἴδει, καὶ ἑκάστῳ πεπερασμέναι ἔσονται ὁμοιομέρειαι. ἀλλ' οὐδὲ πᾶν ἐκ παντὸς ἔοικεν ἐκκρίνειν ἀναξαγόρας, κἂν ὁμοῦ πάντα χρήματα λέγῃ. σαφῶς γὰρ ἐν τῇ ἐκκρίσει, τὰ ἐναντία ἀπὸ τῶν ἐναντίων ἀλλ' οὐχὶ τὰ τυχόντα ἐκκρίνεσθαι λέγει, ἐν οἷς φησιν, ἡ δὲ περιχώρησις αὕτη ἐποίησεν ἀποκρίνεσθαι. καὶ ἀποκρίνεται ἀπό τε τοῦ ἀραιοῦ τὸ πυκνόν. καὶ ἀπὸ τοῦ ψυχροῦ τὸ θερμόν. καὶ ἀπὸ τοῦ ζοφεροῦ τὸ λαμπρόν. καὶ ἀπὸ τοῦ διεροῦ τὸ ξηρόν. ὥστε οὐ τὰ τυχόντα ἀπὸ τῶν τυχόντων. οὐδὲ ἐξ ὕδατος σὰρξ ἢ ἐγκέφαλος. καὶ οὕτω πάντα τὰ ἐπαχθέντα ἐγκλήματα διαφεύξεται ἀναξαγόρας. εἰ γὰρ μὴ ἄπειροι αἱ ἀρχαί, οὔτε αὗται ἄγνωστοι, οὔτε τὰ ἀπ' αὐτῶν. οὔτε ἄπειρον τὸ ἔλαττον, οὔτε τὸ μεῖζον ἔσται. οὔτε ἔτι ἄπειρον ἡ ἔκκρισις ὡς ἀπείρων ἐνυπαρχόντων εἰδῶν. ἀλλ' εἴπερ ἀρχ, ἑτέρων δεήσει πρὸς αὐτὸν λόγων, εἴπερ κατὰ ἔκκρισιν τὴν γένεσιν λέγει. πῶς γὰρ ἐξ ὕδατος κυαθιαίου ἀὴρ ἐκκρίνοιτο τοσοῦτος, εἰ μὴ ἀλλοίωσις εἴη. τί δὲ τὸ ποιοῦν ἐστιν ἐκ σαρκῶν καὶ ὀστῶν καὶ τῶν τοιούτων ἄνθρωπον. οὐ γὰρ δὴ ἐνυπάρχει ὁ ἄνθρωπος. εἰ δὲ τὸν ἄνθρωπον ἐκ μὴ ἀνθρώπου γινόμενον ὁρῶμεν, τί κωλύει καὶ σάρκα μὴ ἐκ σαρκὸς γίνεσθαι ὑπὸ τοῦ καὶ τὸν ἄνθρωπον ποιοῦντος αἰτίου, εἴτε νοῦς εἴη, εἴτε ἄλλο ὁτιοῦν αἴτιον. ὅλως δὲ εἰ τὰ ἀνομοιομερῆ οἷον ζῷα καὶ φυτὰ μὴ τολμῶσιν ἐκκρίσει ποιεῖν, τίς ἀνάγκη τὰ ὁμοιομερῆ τοῦτον γίνεσθαι τὸν τρόπον. ἢ διατί τὰ μὲν ὁμοιομερῆ ἀγένητα καὶ ἄφθαρτα, τὰ δὲ ἐκ τούτων γενητὰ καὶ φθαρτά, καίτοι τὰ ὅλα τῶν μερῶν κρείττονα. ἐπιστῆσαι δὲ ἄξιον, ὅτι τὸν ἐγκέφαλον ὡς ὁμοιομερές τι παρέλαβεν ὁ ἀριστοτέλης, καίτοι ὀργανικὸν ὄντα μόριον, εἴπερ καὶ φλέβας ἔχει καὶ ἀρτηρίας τὰς συμπληρούσας αὐτόν, καὶ ὑπὸ μηνίγγων διείληπται.

I Ὁ ΔΕ μηδέποτε διακριθήσεσθαι, οὐκ εἰδότως μὲν λέγεται. ὀρθῶς δὲ λέγεται. τὰ γὰρ πάθη, ἀχώριστα. εἰ οὖν μέμικται τὰ χρώματα, καὶ αἱ ἕξεις, ἐὰν διακριθῶσιν, ἔσται τι λευκὸν ἢ ὑγιεινόν, οὐχ ἕτερόν τι ὄν, οὐδὲ καθ' ὑποκειμένου. ὥστε ἄτοπος τὰ ἀδύνατα ζητῶν ὁ νοῦς, εἴπερ βούλεται μὲν διακρῖναι, τοῦτο δὲ ποιῆσαι ἀδύνατον, καὶ κατὰ τὸ ποσὸν καὶ κατὰ τὸ ποιόν. καὶ κατὰ μὲν τὸ ποσόν, ὅτι οὐκ ἔστιν ἐλάχιστον μέγεθος. κατὰ δὲ τὸ ποιόν, ὅτι οὐκ ἔστι ἀχώριστα τὰ πάθη.

E Εἰπόντος τοῦ ἀναξαγόρου, οὐδὲ διακρίνεται οὐδὲ ἀποκρίνεται ἕτερον ἀπὸ τοῦ ἑτέρου, διὰ τὸ πάντα ἐν πᾶσιν εἶναι, καὶ ἀλλαχοῦ οὐδὲ ἀποκέκοπται πελέκει, οὔτε τὸ θερμὸν ἀπὸ τοῦ ψυχροῦ, οὔτε τὸ ψυχρὸν ἀπὸ τοῦ θερμοῦ, οὐ γὰρ εἶναι τὸ εἰλικρινὲς καθ' αὑτό, τοῦτό φησιν οὐκ εἰδότως μὲν λέγεται. εἰ γὰρ διὰ τὸ πάντα ἐν πᾶσιν εἶναι συμβαίνει τὸ μὴ διακρίνεσθαι, συμβαίνει μέν τοι. διὸ κἂν μὴ εἰδότως, ἀλλ' ὅμως ἀληθῶς λέγεται. τὰ γὰρ πάθη, τουτέστι τὰ συμβεβηκότα ἀχώριστα τῆς οὐσίας ἐστίν. οἷον τὰ χρώματα καὶ αἱ ἕξεις. μεμιγμένης γὰρ τῆς οὐσίας καὶ τῶν συμβεβηκότων, ἐὰν διακριθῇ τὸ συμβεβηκός, ἔσται οὐκέτι συμβεβηκός, ἀλλ' οὐσία, ἅτε καθ' αὑτὸ ὑφεστώς, καὶ οὐκ ἐν ὑποκειμένῳ τὸ εἶναι ἔχον. ὅπερ πάλιν οὐ καθ' ὑποκειμένου ἐκάλεσεν. καὶ ὅπερ εὔδημος καλῶς ἐπέστησεν, οὐ μόνον τὰ πάθη τῶν οὐσιῶν οὐχ οἷόν τε χωρίζειν, ἀλλ' οὐδὲ πάντα ὁμοῦ τὰ πάθη εἶναι δυνατόν, ὥστε πάντα ἐν πᾶσιν εἶναι. οὐ γὰρ δὴ θερμὸν καὶ ἐπιστήμη. ἀλλ' ὅσα ἐνδέχεται μιχθῆναι. ὅλως δὲ ἡ μίξις ἐκ τῶν κεχωρισμένων. χωρίζεται δὲ τὰ καθ' αὑτὰ ὄντα ἢ δυνάμενά γε. τοιαῦται δὲ αἱ οὐσίαι. διὸ μίσγεται τὰ σώματα. τούτων δὲ τὰ μὲν ὑγρὰ κεράννυσθαι λέγομεν, τὰ δὲ ξηρὰ μεμίχθαι. οἷον σπέρματα καὶ πρόβατα. λευκὸν δὲ καὶ ἄνθρωπον οὐ λέγομεν μεμίχθαι. οὐδὲ ἐπιστήμην καὶ ψυχήν. ὑπάρχειν δὲ μόνοις τούτοις τούτων ἕκαστα, καθ' ὧν λέγεται. ποῖα δὲ μέμικται καὶ ὅπως ὁμοῦ πάντα ἦν, διώρισται βέλτιον. ἐπειδὴ οὐ πᾶν παντὶ μίσγεται, ὥσπερ οὐδὲ γίνεται πᾶν ἐκ παντός. ἐκ τοῦ λευκοῦ γοῦν οὐ γίνεται γραμμή, ἀλλὰ μέλαν ἢ φαιόν. ταῦτα μὲν οἰκείως τῷ τόπῳ ὑπὸ τοῦ εὐδήμου λεγόμενα

παρεθέμην. ἀλλὰ πῶς βούλεται λέγεσθαι διακρῖναι τὰς ὁμοιομερείας ὁ νοῦς, εἴπερ ἐφέστηκε μὲν τοῖς οὖσιν ὡς διακρίνων αὐτά, καὶ τοῦτο ἔχει ἔργον, ἀδύνατον δέ ἐστι τοῦτο. τὸ γὰρ ἀδύνατον ἐγχειρεῖν, ἀνοήτου μᾶλλον ἀλλ' οὐχὶ νοῦ. ἀδύνατον ἐγχειρεῖν, ἀνοήτου μᾶλλον ἀλλ' οὐχὶ νοῦ. ἀδύνατον γὰρ καὶ ποσῷ καὶ ποιῷ διακριθῆναι. ποσῷ μὲν γάρ, ὅτι οὐ φθάσει τὸ ἐλάχιστον. εἰ δὲ μή, στήσεται ἡ ἔκκρισις. ἐὰν γὰρ ἐλαχίστη σὰρξ ἀποκριθῇ, ταύτης ἐλάττων οὐ δύναται ἀποκριθῆναι. τοσοῦτον δὲ διάκρισις ἡ ἐλαχίστη φύσις. ἕως μὲν γάρ ἐστι τοῦ ληφθέντος καὶ ἕτερον λαβεῖν, οὐ διακέκριται τὸ τηλίκον. ἐὰν δὲ στῇ ἐπὶ τὸ ἄτομον, διακέκριται. ὅπερ οὐκ ἔστιν. οὐ γὰρ στήσεται. οὐ διὰ τὴν ἐπ' ἄπειρον τομήν, ὡς ὁ Ἀλέξανδρος ἤκουσεν. ἀλλ' ὅτι στήσεται ἡ ἔκκρισις. ἀλλ' οὐδὲ κατὰ τὸ ποιὸν δύναται διακριθῆναι. ἀχώριστα γὰρ τὰ πάθη τῆς ὕλης. εἰ οὖν ἡ μὲν ποσοῦ διάκρισις ἐν ἐλαχίστῳ στάσις, ἡ δὲ ποιοῦ χωρισμὸς εἴδους ἀπὸ ὕλης, ἄμφω ἀδύνατα. τὸ μέν, κατὰ Ἀναξαγόραν. ἡ γὰρ ἐν ἐλαχίστῳ στάσις τὸ πᾶν ἐν παντὶ ἀναιρεῖ. τὸ δέ, κατὰ Ἀριστοτέλην, τὰς ποιότητας ἀχωρίστους νομίζοντα. ἄτοπος οὖν ὁ νοῦς, ἢ τὸ ἀδύνατον ἀγνοῶν, ἢ γινώσκων μὲν ὅτι ἀδύνατον, ἐγχειρῶν δὲ τοῖς ἀδυνάτοις. ταῦτα μὲν πρὸς τὴν σαφήνειαν τῶν Ἀριστοτέλους εἰρήσθω. οὐχ οὕτω δὲ ἄντικρυς Ἀναξαγόρας εἶπεν, ὅσον ἐμὲ εἰδέναι, ὅτι βούλεται μὲν διακρῖναι τὰς ὁμοιομερείας ὁ νοῦς, τοῦτο δὲ ποιῆσαι ἀδύνατόν ἐστιν. ἀλλ' ὅτι ὁ νοῦς ἐστιν ὁ κινῶν καὶ διατάττων καὶ διακοσμῶν, καὶ τῆς ἐκκρίσεως πάσης αἴτιος. εἰπὼν γὰρ ὅτι τῆς περιχωρήσεώς ἐστιν αἴτιος ὁ νοῦς, ἐπάγει· ἡ δὲ περιχώρησις αὐτὸ ἐποίησεν ἀποκρίνεσθαι. καὶ ἀποκρίνεται ἀπὸ τοῦ ἀραιοῦ τὸ πυκνόν. καὶ ἀπὸ τοῦ ψυχροῦ τὸ θερμόν. καὶ ἀπὸ τοῦ ζοφεροῦ τὸ λαμπρόν. καὶ ἀπὸ τοῦ διεροῦ τὸ ξηρόν. εἶτα μετ' ὀλίγον ἐπάγει, οὐ δὲ διακρίνεται οὐδὲ ἀποκρίνεται ἕτερον ἀπὸ τοῦ ἑτέρου. δῆλον οὖν ὅτι ἄλλως μὲν εἴρηται τὸ ἀποκρίνεται ἀπὸ τοῦ ἀραιοῦ τὸ πυκνόν, καὶ τὰ ἑξῆς, ἄλλως δὲ τὸ οὐδὲ ἀποκρίνεται τὸ ἕτερον ἀπὸ τοῦ ἑτέρου. καὶ τὸ μέν, ἐξ ἀλλήλων τῆς γενέσεως οὔσης οὐ πάντων, οὐ γὰρ γραμμὴν εἶπεν ἀπὸ λευκοῦ ἀποκρίνεσθαι, ἀλλὰ τῶν ἐναντίων. τὸ δέ, ὅτι οὐ κεχώρισται ἀλλήλων τὰ ἐν τῷ ἑνὶ κόσμῳ, οὐδὲ ἀποκέκοπται πελέκει, ὡς ἐν ἄλλοις φησίν. ἀλλὰ σύνεστιν ἀλλήλοις, καὶ ἐν ἀλλήλοις ἐστὶν ὡς ἡνωμένα. καὶ διακέκριται οὖν καὶ ἥνωται κατὰ Ἀναξαγόραν τὰ εἴδη. καὶ ἄμφω διὰ τὸν νοῦν ἔχει. ὃν ἀξίως Ἀναξαγόρας ἐξύμνησε, λέγων, νοῦς δέ ἐστιν ἄπειρον καὶ αὐτοκρατὲς καὶ μέμικται οὐδενὶ χρήματι. ἀλλ' αὐτὸ μόνον ἐφ' ἑαυτοῦ ἐστι. καὶ πάλιν, ἔστι γὰρ λεπτότατόν τι πάντων χρημάτων, καὶ καθαρώτατον. καὶ γνώμην περὶ παντὸς πᾶσαν ἔχει. καὶ ἰσχύει μέγιστον. καὶ ὅσα ψυχὴν ἔχει καὶ τὰ μείζω καὶ ἐλάττω, πάντων νοῦς κρατεῖ. καὶ τῆς περιχωρήσιος τῆς συμπάσης νοῦς ἐκράτησε. τὰ συμμισγόμενά τε καὶ διακρινόμενα καὶ ἀποκρινόμενα, πάντα ἔγνω νοῦς. καὶ ὁποῖα ἔμελλεν ἔσεσθαι, καὶ ὁποῖα ἦν, ἅσσα νῦν μή ἐστι, καὶ ὁποῖα ἔσται, πάντα διεκόσμησε νοῦς. ὥστε οὐκ ἐβουλήθη τὰ ἀδύνατα κατὰ Ἀναξαγόραν ὁ νοῦς. ἀλλὰ καὶ αὐτὸς τῇ νοερᾷ διακρίσει διέκρινε τὰ εἴδη τὰ ἐν τῷ κόσμῳ, χωριστὸς ὢν ἀπ' αὐτῶν. καὶ τὰ ἐν τῷ κόσμῳ εἴδη, διά τε τὴν ἀρχέγονον ἑαυτῶν νοερὰν φύσιν, καὶ διὰ τὴν ἐν τῇ γενέσει σύγχυσιν, μέμικται ἀλλήλοις. καὶ ὅπερ δὲ ὁ ἐν Φαίδωνι Σωκράτης ἐγκαλεῖ τῷ Ἀναξαγόρᾳ, τὸ ἐν ταῖς τῶν κατὰ μέρος αἰτιολογίαις μὴ τῷ νῷ κεχρῆσθαι, ἀλλὰ ταῖς ὑλικαῖς ἀποδόσεσιν, οἰκεῖον ἦν φυσιολογίᾳ. τοιγαροῦν καὶ αὐτὸς ὁ Πλάτων ἐν Τιμαίῳ τὴν ποιητικὴν πάντων αἰτίαν ὁλικῶς παραδούς, ἐν ταῖς κατὰ μέρος διαφοραῖς ὄγκων καὶ σχημάτων αἰτιᾶται τήν τε θερμότητα καὶ τὴν ψυχρότητα. καὶ ἐπὶ τῶν ἄλλων ὡσαύτως. ὁ μέντοι Σωκράτης τὴν ἀπὸ τοῦ τελικοῦ ἀπόδοσιν ὑποδεῖξαι βουλόμενος, ἐμνημόνευσεν Ἀναξαγόρου, ὡς τῇ ὑλικῇ μᾶλλον ἀλλ' οὐ τελικῇ αἰτίᾳ χρωμένου. ἀλλ' ἐπὶ τὰ ἑξῆς ἰτέον.

ΟΥ̓Κ ὈΡΘΩ͂Σ ΔῈ ΟΥ̓ΔῈ τὴν γένεσιν λαμβάνει τῶν ὁμοειδῶν. ἔστι γὰρ ὡς, ὁ πηλὸς εἰς πηλοὺς διαιρεῖται. ἔστι δ' ὡς οὔ. καὶ οὐχ ὁ αὐτὸς τρόπος ὡς πλίνθοι ἐξ οἰκίας, καὶ οἰκία ἐκ πλίνθων, οὕτω δὲ καὶ ὕδωρ καὶ ἀὴρ ἐξ ἀλλήλων καὶ εἰσὶ καὶ γίνονται.

Ὁ Ἀναξαγόρας ἐκκρίσει λέγων τὴν γένεσιν, καὶ ἕκαστον ἀπὸ τοῦ ἐν αὐτῷ πλεονάζοντος χαρακτηρίζων, πάντων ἐν πᾶσιν ὄντων, δῆλός ἐστι τὴν γένεσιν ἑκάστου τῶν συνθέτων, κατὰ τὴν τῶν ὁμοίων σύνθεσιν ἐπιτελεῖσθαι βουλόμενος, διότι καὶ διαιρούμενα εἰς τὰ ὅμοια ἑώρα, σάρκα γὰρ εἰς σάρκας, καὶ ὀστοῦν εἰς ὀστᾶ. δοκεῖ δὲ ἕκαστον εἰς ἐκεῖνα διαιρεῖσθαι, ἐξ ὧν καὶ σύγκειται. οὐ μέντοι ἀναγκαῖον τὴν γένεσιν ἐξ ὁμοειδῶν γίνεσθαι, καὶ μάλιστα τὴν ὡς ἐκ στοιχείων. μᾶλλον δὲ ἀναγκαῖον μὴ οὕτω γίνεσθαι. ὅλα μὲν γοῦν ἐκ μερῶν γένοιτο ἂν τὰ ὁμοειδῆ ἐκ τῶν ὁμοειδῶν, ὥσπερ πηλὸς ὁ μείζων ἐκ πηλῶν πλειόνων βραχυτέρων. τὸ δὲ ὡς ἐκ στοιχείων, ἐκ τῶν ἀνομοίων καὶ ἁπλουστέρων τῇ φύσει γίνεται. καὶ εἰς αὐτὰ διαιρεῖται. ὡς ὁ πλίνθος ἐκ τῆς γῆς καὶ ὕδατος καὶ ἀχύρου, εἰς ἃ διαιρεῖται. καὶ ὅσῳ μᾶλλον εἰς στοιχεῖα γίνεται ἡ ἀνάλυσις, τοσούτῳ μᾶλλον εἰς τὸ ἀνόμοιον καθίσταται. σαρκὸς γοῦν τὰ μὲν ὡς μέρη, ὅμοια. σάρκες γάρ. τὰ δὲ στοιχειώδη, οὐκέτι σάρκες. ἀλλ' αἷμα. καὶ τὰ ἔτι προσωτέρω τὰ τέσσαρα στοιχεῖα. καὶ αἱ τούτων ποιότητες. οὐ κατὰ

σύνθεσιν οὖν ἡ γένεσις, ὡς οἰκία ἐκ πλίνθων γίνεται. οὐδὲ εἰς τὰ σύνθετα διαιρεῖται, ὡς εἰς
πλίνθους ἡ οἰκία. ἀλλὰ ἄλλος τρόπος. κατ' ἀλλοίωσιν γὰρ ἐξ ἀλλήλων ὕδωρ καὶ ἀὴρ γίνονται καὶ
εἰσίν. ἀλλ' οὐχὶ κατὰ σύνθεσιν, οὐδὲ κατὰ ἔκκρισιν. ἐπεὶ πῶς ἀπὸ ὕδατος κυαθιαίου τοσοῦτος
ἐγίνετο ἀήρ. ὥστε οὐκ ἐκκρίσει ὡς ἀναξαγόρας δοκεῖ λέγειν, ἀλλὰ μεταβολῇ καὶ ἀλλοιώσει ὡς
ἀριστοτέλης καὶ ἄλλοι. διχῶς δὲ τὴν σύνταξιν τῆς λέξεως ὁ ἀλέξανδρος ἐξηγήσατο. ἢ γάρ φησι
τοῦτο λέγει, ὅτι οὐκ ὀρθῶς τῶν ὁμοιομερῶν τὴν γένεσιν ποιεῖ συνθέσει, ἢ ὅτι οὐκ ὀρθῶς τὴν γένε-
σιν ποιεῖ ἐκ τῶν ὁμοιομερῶν. ἵν' ᾖ λεῖπον τῇ λέξει τὸ, ἐκ.

B ΕΛΤΙΟΝ δ' ἐλάττω καὶ πεπερασμένα λαβεῖν. ὅπερ ποιεῖ ἐμπεδοκλῆς.

E ἰ καὶ ὁ τρόπος τῆς γενέσεως κοινὸς ἐμπεδοκλεῖ καὶ ἀναξαγόρα, καθόσον ἄμφω κατὰ σύγκρισιν
καὶ διάκρισιν τὴν γένεσιν ἀποδιδόασιν, ἀλλὰ κατὰ τὸ πλῆθος τῶν στοιχείων διαφέρουσι. καὶ βέλ-
τιον ἐλάττω καὶ πεπερασμένα λαβεῖν, ὡς ἐμπεδοκλῆς ἔλαβεν, ἢ πλείω καὶ ἄπειρα, ὡς ἀναξαγό-
ρας. τὸ γὰρ πεπερασμένον τοῦ ἀπείρου βέλτιον, ὡς καὶ αἰσθήσει καὶ ἐπιστήμῃ ληπτόν. τὸ δὲ ἄπει-
ρον οὔτε αἰσθητὸν οὔτε ἐπιστητόν. καὶ ἄλλως δὲ ἐφ' ὧν δι' ἐλαττόνων τὴν χρείαν γίνεσθαι δυνατὸν, τί
δεῖ πλειόνων καὶ ἀπείρων. ἐπεὶ δὲ τῶν γενητῶν καὶ φθαρτῶν τὰ μὲν γεννᾶται, τὰ δὲ φθείρεται,
ἀρκοῦσιν αἱ τῶν προτέρων φθοραὶ ἀρχαὶ ἄλλοις γενέσεων εἶναι. καὶ ὅσοι μὲν κόσμους ἀπεί-
ρους ὑπέθεντο ὥσπερ δημόκριτος, ἀναγκαίως καὶ τὰ στοιχεῖα ἄπειρά φασιν εἶναι τῷ ἀριθμῷ.
τῷ γὰρ ἔδει οὐδὲ οὗτοι ἄπειρα λέγειν, ἀναγκάζονται. ὅσοι δὲ ἕνα τὸν κόσμον φασὶν, ὥσπερ ἀναξα-
γόρας καὶ ἐμπεδοκλῆς, οὐδεμίαν τῆς ἀπειρίας ἀνάγκην ἔχουσι. διὸ ἄμεινον ἐμπεδοκλῆς πεπερα-
σμένα λέγει τὰ στοιχεῖα. καὶ γὰρ τὰ πρότερον ἐπαχθέντα ἄτοπα τῇ ἀπειρίᾳ ἐκπέφευγεν. ἀλλ' ὅ-
τι μὲν οὐχ οὕτως ἄπειρα ὡς ἀπερίληπτα τῷ πλήθει καὶ ἀναξαγόρας τὰ στοιχεῖά φησι, πρότερον
ἐπειράθην πιστώσασθαι. καὶ πεπερασμένα δὲ κατὰ τὰ εἴδη φησὶν, ἀλλ' ἀρχοειδέστερον ἐμπεδο-
κλῆς, ἁπλούστερα τῶν γινομένων στοιχεῖα, γῆν, καὶ ὕδωρ, καὶ ἀέρα, καὶ πῦρ ὑπέθετο, τοῦ καὶ ταῦ-
τα ὁμοίως ἔχει τοῖς ἐξ αὐτῶν συνθεῖσι νομίζοντος. εἰ μὴ ἄρα καὶ ἀναξαγόρας τὰς ἁπλᾶς καὶ
ἀρχοειδεῖς ποιότητας ὑπέθετο στοιχεῖα, ἀλλ' οὐ τὰ σύνθετα, ἐν οἷς φησιν, ἡ δὲ περιχώρησις αὕτη
» ἐποίησεν ἀποκρίνεσθαι. καὶ ἀποκρίνεται ἀπό τε τοῦ ἀραιοῦ τὸ πυκνὸν, καὶ ἀπὸ τοῦ θερμοῦ τὸ ψυχρόν.
» καὶ ἀπὸ τοῦ ζοφεροῦ τὸ λαμπρόν. καὶ ἀπὸ τοῦ διεροῦ τὸ ξηρόν. καὶ μετ' ὀλίγα δὲ, τὸ μὲν πυκνόν φη-
σι καὶ διερὸν καὶ ψυχρὸν καὶ ζοφερὸν, ἐνθάδε συνεχώρησεν ἔνθα νῦν ἡ γῆ. τὸ δὲ ἀραιὸν καὶ τὸ θερ-
μὸν καὶ τὸ ξηρὸν ἐξεχώρησεν εἰς τὸ πρόσω τοῦ αἰθέρος. καὶ τὰ μὲν ἀρχοειδῆ ταῦτα καὶ ἁπλούστα-
τα ἀποκρίνεσθαι λέγει. ἄλλα δὲ τούτων συνθετώτερα, ποτὲ μὲν συμπήγνυσθαι λέγει ὡς σύνθε-
τα, ποτὲ δὲ ἀποκρίνεσθαι ὡς τὴν γῆν. οὕτω γάρ φησιν, ἀπὸ τουτέων ἀποκρινομένων συμπήγνυται
γῆ. ἐκ μὲν γὰρ τῶν νεφελῶν ὕδωρ ἀποκρίνεται. ἐκ δὲ τοῦ ὕδατος γῆ. ἐκ δὲ τῆς γῆς λίθοι συμπή-
γνυνται ὑπὸ τοῦ ψυχροῦ. οὕτω μὲν οὖν ἤδη τὰ ἁπλᾶ εἴδη ἀναδραμὼν ἀναξαγόρας, ἀρχοειδέ-
στερον δόξει τοῦ ἐμπεδοκλέους τὰ περὶ τῶν στοιχείων φιλοσοφεῖν. τελειότερον δὲ ἴσως ἀριστοτέλης
καὶ πλάτων, καὶ πρὸ ἀμφοῖν οἱ πυθαγόρειοι, στοιχειώδεις ἀρχὰς τὴν ὕλην καὶ τὸ εἶδος ὑπέθεντο.
καὶ ἔτι τελειότερον, ὅσοι τὴν κατὰ τὰ σχήματα διαφορὰν τοῦ ἀποίου σώματος, προσεχεστέραν τῇ
ὕλῃ νομίζοντες, ὑπέθηκαν ταῖς κατὰ τὰς ποιότητας τῶν στοιχείων διαφοραῖς, πυραμίδα μὲν τῷ
πυρὶ, ἄλλο δὲ ἄλλῳ τῶν σχημάτων. ὅπερ καὶ ὁ δημόκριτος ἔοικέ τι θεάσασθαι καλῶς. ἐλλείπει δὲ, τῷ
μηκέτι εἰς εἶδος καὶ ὕλην ἀναλῦσαι τὰ ἁπλᾶ σώματα.

Γ ΑΝΤΕΣ δὴ, τἀναντία ἀρχὰς ποιοῦσιν. οἵ τε λέγοντες. ὅτι ἓν τὸ πᾶν καὶ μὴ κινούμενον. καὶ γὰρ
παρμενίδης ψυχρὸν καὶ θερμὸν ἀρχὰς ποιεῖ. ταῦτα δὲ προσαγορεύει πῦρ καὶ γῆν. καὶ οἱ μανὸν
καὶ πυκνὸν, καὶ δημόκριτος τὸ στερεὸν καὶ κενόν. ὧν τὸ μὲν ὡς ὄν. τὸ δ' ὡς οὐκ ὂν εἶναί φησιν. ἔτι θέ-
σει. σχήματι. τάξει. ταῦτα δὲ γένη ἐναντίων. θέσει ὡς ἄνω. κάτω. πρόσθεν. ὄπισθεν. σχήματος, γεγω-
νιωμένον ἀγώνιον τὸ εὐθύ. τὸ περιφερές. ὅτι μὲν οὖν τἀναντία πως πάντες ποιοῦσι τὰς ἀρχὰς,
δῆλον.

Δ είξας ὅτι οὔτε μία ἡ ἀρχὴ, οὔτε ἄπειροι, καὶ συναγαγὼν ὅτι ἄμεινον λέγουσιν οἱ πλείονας καὶ πε-
περασμένας τιθέντες, ὥσπερ ἐμπεδοκλῆς, ὤφειλε μὲν εὐθὺς ἀποδεῖξαι πόσαι εἰσὶν αἱ πλείους
αὗται. ὁ δὲ, τοῦτο παρεὶς, τίνες εἰσὶ πρῶτον δείκνυσιν, οὐκ ἀλόγως τοῦτο ποιῶν. ἀλλ' ὅτι τῷ τίνες συ-
ναποδείκνυται καὶ τὸ πόσαι. εἰ γὰρ ἐναντίαι, δύο πάντως αἱ ἀνωτάτω. δείκνυσι δὲ ὅτι ἐναντίαι αἱ
ἀρχαὶ, δηλονότι τῶν φυσικῶν πραγμάτων αἱ στοιχειώδεις, πρῶτον ἐκ τῆς πάντων σχεδὸν τῶν φυ-
σικῶν κατὰ τοῦτο συμφωνίας, κἂν ἐν τοῖς ἄλλοις διαφωνῶσι. καὶ γὰρ οἱ ἓν τὸ ὂν καὶ ἀκίνητον
λέγοντες, ὥσπερ παρμενίδης, καὶ οὗτοι τῶν φυσικῶν ἐναντίας ποιοῦσι τὰς ἀρχάς. καὶ γὰρ
οὗτος ἐν τοῖς πρὸς δόξαν τὸ θερμὸν καὶ τὸ ψυχρὸν ἀρχὰς ποιεῖ. ταῦτα δὲ προσαγορεύει πῦρ καὶ
» γῆν, καὶ φῶς καὶ νύκτα ἤτοι σκότος. λέγει γὰρ μετὰ τὰ περὶ ἀληθείας, μορφὰς γὰρ κατέθεντο

δύο γνώμας ὀνομάζειν. τῶν, μίαν οὐ χρεών ἐστιν, ἐν ᾧ πεπλανημένοι εἰσίν. ἀντία δ' ἐκρίναντο δέμας. καὶ σήματ' ἔθεντο χωρὶς ἀπ' ἀλλήλων. τῇ μὲν, φλογὸς αἰθέριον πῦρ ἤπιον ἐστὶν ἐλαφρὸν ἑαυτῷ πάντοσε τωὐτὸν, τῷ δ' ἑτέρῳ μὴ τωὐτόν, ἀτὰρ κἀκεῖνο κατ' αὐτό. ἀντία νύκτ' ἀδαῆ πυκινὸν δέμας ἐμβριθές τε. καὶ μετ' ὀλίγα πάλιν, αὐτὰρ ἐπειδὴ πάντα φάος καὶ νὺξ ὀνόμασται, καὶ τὰ κατὰ σφετέρας δυνάμεις, ἐπὶ τοῖσί τε καὶ τοῖς, πᾶν πλέον ἐστὶν ὁμοῦ φάεος καὶ νυκτὸς ἀφάντου, ἴσων ἀμφοτέρων, ἐπεὶ οὐδετέρῳ μέτα μηδέν. εἰ δὲ μηδετέρῳ κατὰ μηδὲν, καὶ ὅτι ἀρχαὶ ἄμφω, καὶ ὅτι ἐναντίαι δηλοῦται. καὶ οἱ ἓν δὲ καὶ κινούμενον τὴν ἀρχὴν ὑποθέμενοι, ὡς θαλῆς καὶ ἀναξιμένης, μανώσει καὶ πυκνώσει τὴν γένεσιν ποιοῦντες, ἐναντίας καὶ οὗτοι ἀρχὰς ἔθεντο τὴν μάνωσιν καὶ τὴν πύκνωσιν. ποιεῖ δὲ καὶ δημόκριτος τἀναντία ἀρχὰς, τὸ πλῆρες καὶ τὸ κενὸν λαμβάνων. ὧν τὸ μὲν, ὄν. τὸ δὲ, οὐκ ὂν ἔλεγεν. ἀλλὰ καὶ ἐν αὐταῖς ταῖς ἀτόμοις ἐναντίωσιν θεωρεῖ. διαφέρειν γὰρ αὐτὰς τρισὶ ταῖς ἀνωτάτω διαφοραῖς ἔλεγον, ῥυσμῷ, διαθιγῇ, τροπῇ, ῥυσμὸν μὲν τὸ σχῆμα λέγοντες, διαθιγὴν δὲ τὴν τάξιν, τροπὴν δὲ τὴν θέσιν. διαφέρει γὰρ τὸ μὲν α στοιχεῖον εἰ τύχοι τοῦ μ, σχήματι. τὸ δὲ ξ τοῦ ν, θέσει. τὸ δὲ αν τοῦ να, τάξει. ἔστι δὲ ταῦτα τὰ τρία, γένη ἐναντίων. ἡ μὲν θέσις, τοῦ ἄνω καὶ κάτω, δεξιὰ ἀριστερὰ, ἔμπροσθεν καὶ ὄπισθεν. τὸ δὲ σχῆμα, τοῦ γεγωνιωμένου καὶ ἀγωνίου, καὶ εὐθέος καὶ περιφεροῦς. ἐν δὲ τάξει, τὸ πρῶτον καὶ τὸ ἔσχατον ἐναντία. ἐμπεδοκλέα δὲ καὶ ἀναξαγόραν παρέλιπε νῦν. τὸν μὲν, ὅτι πρόδηλος κατ' αὐτὸν ἡ ἐναντίωσις, ἔν τε τοῖς στοιχείοις, καὶ κατὰ τὸ νεῖκος καὶ τὴν φιλίαν. καὶ μέντοι κατὰ σύγκρισιν καὶ τὴν διάκρισιν. λέγει γὰρ ὅτι οὐδὲν ἄλλο ἐστὶν ἡ γένεσις, ἀλλ' ἢ μόνον μίξις τε καὶ διάλλαξις τῶν μιγέντων. ἀναξαγόρου δὲ καὶ πρότερον ἐμνημόνευσεν, ὡς τἀναντία τιθέντος ἐν ταῖς ἀρχαῖς, ὅτε τὴν διαφορὰν αὐτοῦ πρὸς ἐμπεδοκλέα παρεδίδου, λέγων διαφέρουσι δὲ ἀλλήλων, τῷ τὸν μὲν, περίοδον ποιεῖν, τὸν δὲ, ἅπαξ. καὶ τὸν μὲν, ἄπειρα τά τε ὁμοιομερῆ καὶ τὰ ἐναντία, τὸν δὲ, τὰ καλούμενα στοιχεῖα. σαφῶς δὲ καὶ αὐταῖς λέξεσι τὰς ἐναντιότητας ἐν τῇ γενέσει παραδίδωσιν ἀναξαγόρας, ἐν οἷς φησιν, ἡ δὲ περιχώρησις αὕτη ἐποίησεν ἀποκρίνεσθαι. καὶ ἀποκρίνεται ἀπὸ τοῦ ἀραιοῦ τὸ πυκνόν. καὶ ἀπὸ τοῦ ψυχροῦ τὸ θερμόν. καὶ ἀπὸ τοῦ ζοφεροῦ τὸ λαμπρόν. καὶ ἀπὸ τοῦ διεροῦ τὸ ξηρόν. Καὶ οἱ πυθαγόρειοι δὲ, οὐ τῶν φυσικῶν μόνον, ἀλλὰ καὶ πάντων ἁπλῶς μετὰ τὸ ἓν, ὃ πάντων ἀρχὴν ἔλεγον, ἀρχὰς δευτέρας καὶ στοιχειώδεις τὰ ἐναντία ἐτίθεσαν. ἃς καὶ τὰς δύο συστοιχίας ὑπέταττον, οὐκέτι κυρίως ἀρχὰς οὔσας. γράφει δὲ περὶ τούτων ὁ εὔδωρος τάδε. Κατὰ τὸν ἀνωτάτω λόγον φατέον τοὺς πυθαγορικοὺς τὸ ἓν ἀρχὴν τῶν πάντων λέγειν. κατὰ δὲ τὸν δεύτερον λόγον δύο ἀρχὰς τῶν ἀποτελουμένων εἶναι, τό, τε ἓν καὶ τὴν ἐναντίαν τούτῳ φύσιν. ὑποτάσσεσθαι δὲ πάντων τῶν κατὰ ἐναντίωσιν ἐπινοουμένων, τὸ μὲν ἀστεῖον τῷ ἑνὶ, τὸ δὲ φαῦλον τῇ πρὸς τοῦτο ἐναντιουμένῃ φύσει. διὸ μὴ δὲ εἶναι τὸ σύνολον ταύτας ἀρχὰς κατὰ τοὺς ἄνδρας. εἰ γὰρ ἡ μὲν, τῶνδε. ἡ δὲ τῶνδέ ἐστιν ἀρχή, οὐκ εἰσὶ κοιναὶ πάντων ἀρχαὶ ὥσπερ τὸ ἕν. καὶ πάλιν, διό φησι, καὶ κατὰ ἄλλον τρόπον ἀρχὴν ἔφασαν εἶναι τῶν πάντων τὸ ἕν, ὡς ἂν καὶ τῆς ὕλης καὶ τῶν ὄντων πάντων ἐξ αὐτοῦ γεγενημένων. τοῦτο δὲ εἶναι τὸν ὑπεράνω θεόν. καὶ λοιπὸν ἀκριβολογούμενος ὁ εὔδωρος, ἀρχὴν μὲν αὐτοὺς τὸ ἓν τίθεσθαι λέγει. στοιχεῖα δὲ ἀπὸ τοῦ ἑνὸς γενέσθαι φησὶν, ἃ πολλοῖς ὀνόμασιν αὐτοὺς προσαγορεύειν. λέγει γάρ, φημὶ τοίνυν τοὺς περὶ τὸν πυθαγόραν, τὸ μὲν ἓν πάντων ἀρχὴν ἀπολιπεῖν. κατ' ἄλλον δὲ τρόπον δύο τὰ ἀνωτάτω στοιχεῖα παρεισάγειν. καλεῖν δὲ τὰ δύο ταῦτα στοιχεῖα πολλαῖς προσαγορίαις. τὸ μὲν γὰρ αὐτῶν ὀνομάζεσθαι, τεταγμένον, ὡρισμένον, γνωστὸν, ἄρρεν. περιττὸν, δεξιὸν, φῶς. τὸ δὲ ἐναντίον τούτῳ, ἄτακτον. ἀόριστον. ἄγνωστον. θῆλυ. ἄρτιον. ἀριστερόν. σκότος. ὥστε ὡς μὲν ἀρχὴ, τὸ ἕν. ὡς δὲ στοιχεῖα, τὸ ἓν καὶ ἡ ἀόριστος δυὰς, ἀρχαὶ ἄμφω, ἓν ὄντα πάλιν. καὶ δῆλον ὅτι ἄλλο μέν ἐστιν ἕν, ἡ ἀρχὴ τῶν πάντων. ἄλλο δὲ ἓν τὸ τῇ δυάδι ἀντικείμενον. ὃ καὶ μονάδα καλοῦσιν. ἐπιστῆσαι δὲ ἄξιον, πῶς οὐχὶ τἀναντία πάντας ποιεῖν εἰπὼν ἀρχὰς ὁ ἀριστοτέλης, ἀλλὰ τἀναντία πως. οὐ γὰρ τὰ κυρίως ἐναντία λέγουσιν. ἀλλ' ἅπερ ἡγοῦνται τἀναντία. οὐδὲ γὰρ τὸ κενὸν καὶ τὸ πλῆρες ἐναντία. ἀλλὰ μᾶλλον ὡς στέρησις καὶ ἕξις ἀντίκεινται. οὔτε τὸ γεγωνιωμένον καὶ τὸ ἀγώνιον, καὶ εὐθὺ καὶ περιφερές. κἂν γὰρ σχῆμά τι τὸ εὐθὺ λέγοι, ἔδειξεν αὐτὸς ὅτι ἐν σχήμασιν οὐκ ἔστιν ἐναντίωσις. ἀλλ' ἴσως οὐδὲ ἐκεῖνοι ὡς ἐναντία κυρίως ἐτίθεσαν, ἀλλ' ὡς ἀντικείμενα. καὶ γὰρ αὐτὸς ὡς μαθησόμεθα τὰ ἐναντία λέγων ἀρχὰς, τὴν πρωτίστην ἐναντίωσιν εἶδος καὶ στέρησιν τίθεται. ἅπερ οὐχ ὡς ἐναντία ἀλλὰ κατ' ἄλλον ἀντίκειται τρόπον. τὸ οὖν ἐναντία πως, τουτέστι κατὰ διαφόρους τρόπους ἀντιθέσεως.

ΚΑΙ ΤΟΥΤΟ εὐλόγως. δεῖ γὰρ τὰς ἀρχὰς μήτε ἐξ ἀλλήλων εἶναι. μήτε ἐξ ἄλλων. καὶ ἐκ τούτων πάντα. τοῖς δὲ ἐναντίοις τοῖς πρώτοις, ὑπάρχει ταῦτα. διὰ μὲν τὸ, πρῶτα εἶναι, μὴ ἐξ ἄλλων. διὰ δὲ τὸ ἐναντία, μὴ ἐξ ἀλλήλων.

Τὸ τὰ ἐναντία ἀρχὰς εἶναι πιστωσάμενος διὰ τῆς τῶν ἄλλων συμφωνίας, ὅπερ ἐκ τῶν κατὰ μέρος ἦν, καὶ καθόλου τὸ αὐτὸ πιστοῦται διὰ συλλογισμοῦ τοιούτου. τὰ πρῶτα ἐναντία, οὔτ' ἐξ ἄλλων

οὔτ᾽ ἐξ ἀλλήλων, καὶ ἐκ τούτων τὰ ἄλλα. ἃ δὲ μήτ᾽ ἐξ ἄλλων μήτ᾽ ἐξ ἀλλήλων καὶ ἐκ τούτων τὰ ἄλ-
λα, ταῦτα ἀρχαί. τὰ πρῶτα ἄρα ἐναντία ἀρχαί. πρῶτα μὲν οὖν ἐναντία λέγει, τὰ γενικώτα-
τα. καὶ ὅτι μὲν ἔτι πρῶτον ἁπλῶς ἐστι τοῦτο οὐκ ἔστιν ἐξ ἄλλου, δῆλον. τὸ γὰρ πρῶτον καθὸ πρῶ-
τόν ἐστιν, οὐκ ἂν εἴη ἐξ ἄλλου. καὶ ὅτι τὸ μὴ ἐξ ἄλλου ἀρχή, πρόδηλον. ὅτι δὲ οὐκ εἰσὶν αἱ ἀρχαὶ ἐξ ἀλ-
λήλων, καὶ τοῦτο δῆλον. εἰ γὰρ ἐκ τῆς ἀρχῆς εἴη φησὶν ὁ πλάτων, οὐκ ἂν εἴη ἀρχή. καὶ ὅλως εἰ ἐξ
ἀλλήλων, οὐδὲν μᾶλλον ἀρχαὶ ἢ ἀπὸ ἀρχῶν εἰσίν. ἀλλὰ πῶς τὰ ἐναντία οὐκ ἐξ ἀλλήλων. αὐτὸ γὰρ
τοὐναντίον δειχθήσεται, ὅτι ἐξ ἀλλήλων τὰ ἐναντία. ἐκ γὰρ μέλανος τὸ λευκόν. καὶ ἐξ ἀμούσου τὸ
μουσικόν. ἢ ὡς μὲν μετ᾽ ἄλληλα γινόμενα ἐξ ἀλλήλων λέγοιτο. ὡς δὲ ἐκ στοιχείων καὶ ὑπομενόντων,
ὡς ἐκ ξύλου κλίνη λέγεται γίνεσθαι, οὐκ ἂν γένοιτο τὸ ἐναντίον ἐκ τοῦ ἐναντίου. οὗτος δέ ἐστιν ὁ κυ-
ρίως ἐκ τινος τῆς γενέσεως τρόπος. οὐ γὰρ οἷόν τε ὕλην εἶναι τὸ ἐναντίον τῷ ἐναντίῳ. οὐ γὰρ ἐνδέ-
χεται τὸ ἐναντίον ὑπομένον τὸ ἐναντίον. τὸ δὲ ἐκ τούτων τὰ ἄλλα ταῖς μὲν ἀρχαῖς ἀναμφιλέκτως
προσήκει. ἀπὸ γὰρ τῆς ἀρχῆς τὰ μετὰ τὴν ἀρχήν, εἴπερ ὄντως ἀρχὴ εἴη. προσήκει δὲ καὶ τοῖς ἐναντίοις,
διότι κατὰ μεταβολὴν ἡ γένεσις τῶν μετὰ τὰς ἀρχὰς γινομένων. πᾶσα δὲ μεταβολὴ ὡς δειχθή-
σεται ἀπὸ τοῦ ἐναντίου γίνεται εἰς τὸ ἐναντίον. ἀλλὰ πῶς τὰ ἐναντία ἀρχαί, εἴπερ αὐτὸς ἐν τῇ μετὰ
τὰ φυσικὰ ἐνθέως ἀνεβόησεν, οὐκ ἀγαθὸν πολυκοιρανίη. ἢ φυσικῶν πραγμάτων ἀρχὰς ζητοῦμεν
νῦν, καὶ ταύτας οὐ τὰς ἐξῃρημένας ἀλλὰ τὰς στοιχειώδεις, καὶ τὰς ἐξ ὧν ἐνυπαρχουσῶν γίνεται
τὰ γινόμενα. ὡς καὶ αὐτὸς προελθὼν ἐνδείκνυται, διὰ τοῦ, τὸ μὲν δὴ τρία φάναι τὰ στοιχεῖα εἶναι.
ἐπεὶ γὰρ τὰ φυσικὰ ἐν μεταβολῇ τὸ εἶναι ἔχει, πᾶσα δὲ μεταβολὴ ἀπό τινος εἴς τι περὶ κοινὸν
ὑποκείμενον γίνεται, οὐκ ἄρα μία ἂν εἴη ἀρχή. ἀλλὰ πρὸς τῷ ὑποκειμένῳ δύο τοὐλάχιστον. ἀλλὰ
μήποτε τὰ μὲν πρῶτα ἐναντία πάντως ἔχει τὸ μήτε ἐξ ἄλλων μήτε ἐξ ἀλλήλων, οὐ μόνα δέ, ἀλλὰ
καὶ τὰ διάφορα μέν, οὐκ ἐναντία δέ. οὐ γὰρ πάντα τὰ διάφορα καὶ ἐναντία. οἷον εἴ τις λέγοι τὸ ποιὸν
καὶ τὸ ποσὸν ἀρχάς. οὔτε γὰρ ἐξ ἄλλων, εἴπερ ἀρχαί. οὔτε ἐξ ἀλλήλων, εἴπερ ἄμφω ὁμοίως πρῶ-
τα. ἢ οὐ πρῶται ἀρχαὶ τὸ ποσὸν καὶ τὸ ποιόν. ἀλλὰ τὸ ἐν ὑποκειμένῳ κοινὸν ὑπάρχον τῶν ἐννέα κα-
τηγοριῶν, καὶ τὸ οὐκ ἐν ὑποκειμένῳ τῇ οὐσίᾳ προσῆκον. τὰ γὰρ πρῶτα καὶ ἰσοσθενῆ ἐν ἀντιθέσει
τινὶ θεωρεῖται. διὸ καὶ τὰ μὴ ἀντικείμενα ὑπάλληλά πώς ἐστιν, εἰ καὶ μὴ εὐσύνοπτος αὐτῶν ἡ τά-
ξις. διὸ μετὰ τὴν μίαν τῶν πάντων αἰτίαν, δυάδα πάντες ὑπέθεντο, πάσης ἀντιθέσεως ἐξηγουμέ-
νην, καὶ οἱ μυθικῶς καὶ οἱ φιλοσόφως τὰς θείας ἐμφαίνοντες τάξεις. ἥτις ἀντίθεσις ἐν μὲν τοῖς θεί-
οις ὑπὸ τῆς ἑνώσεως τῆς ἐκεῖ κρατουμένη συγκέκρυπται. ἐνταῦθα δὲ πολυειδῶς ἀναφαίνεται. ὁ
δὲ ἡμέτερος καθηγεμὼν ἀμμώνιος, οὐκ ἠξίου τὸ μὴ ἐξ ἀλλήλων εἶναι τὰ ἐναντία οὕτως ἀκούειν, ὡς
μὴ ἐξ ὑποκειμένων καὶ διὰ τοῦτο ὑπομενόντων. ἀλλὰ κατὰ τὴν ἔννοιαν εἴρηται τὸ μὴ ἐξ ἄλλων αὐτὰ
εἶναι, ὡς οὐδὲν ὄντων πρὸ τῶν ἐναντίων ἄλλα λαμβάνειν ἀρχοειδέστερα, ἀφ᾽ ὧν ταῦτα διαιρεῖται,
ἢ ὡς γενῶν, ἢ ὡς ὅλων, ἢ ὡς ἀπὸ ποιητικῶν αἰτίων γίνεται. τῶν γὰρ πρώτων πῶς ἂν εἴη πρότερόν
τι. καὶ οὐ διὰ τὸ μὴ κεχρῆσθαι ἐκείνοις ὑποκειμένοις. ἀλλ᾽ ὅτι οὐχ ὥσπερ τοῦ θερμοῦ φέρε εἰπεῖν καὶ
τοῦ ψυχροῦ πρότερά ἐστι τὸ μανὸν καὶ τὸ πυκνόν, τούτων δὲ ὑπεροχὴ καὶ ἔλλειψις, τούτων δὲ εἶ-
δος καὶ στέρησις, οὕτω καὶ τούτων ἐνδέχεται πρότερα ἄλλα λαμβάνειν, ἐξ ὧν ὁρῶμεν ταῦτα
εἶναι μερικώτερα ὄντα. διὸ σαφέστερον τούτῳ χρώμενος ἐν τοῖς ἑξῆς φησί, ἔτι δέ ἐστιν ἄλλα ἄλλων
πρότερα ἐναντία. καὶ γίνεται ἕτερα ἐξ ἄλλων ὡς ἐκ καθολικωτέρων δηλονότι. καὶ τοῦτο οὖν ἔοι-
κεν τὸ σημαινόμενον καὶ νῦν λέγεσθαι, τὸ μὴ δεῖν ἐξ ἀλλήλων εἶναι τὰ ἐναντία, ὡς οὐ δυνατὸν ὂν θά-
τερον θατέρου ἀρχοειδέστερον καὶ καθολικώτερον εἶναι. διὰ τοῦτο ἐναντία φησὶν εἶναι αὐτά, του-
τέστιν ἰσοσθενεῖν ἀλλήλοις, καὶ μηδὲν ἔχειν πλέον τὸ ἕτερον αὐτῶν τοῦ ἑτέρου, πρὸς τὸν τῆς ἀρχῆς
λόγον.

ἈΛΛᾺ δεῖ τοῦτο καὶ ἐπὶ τοῦ λόγου σκέψασθαι. πῶς συμβαίνει. ληπτέον δὴ πρῶτον, ὅτι ἁπάν-
των τῶν ὄντων, οὐδὲν οὔτε ποιεῖν πέφυκεν οὔτε πάσχειν τὸ τυχὸν ὑπὸ τοῦ τυχόντος. οὐδὲ γίνεται
ὁτιοῦν, ἐξ ὁτουοῦν, ἐὰν μή τις λαμβάνῃ κατὰ συμβεβηκός. πῶς γὰρ ἂν γένοιτο λευκὸν ἐκ μουσικοῦ,
πλὴν εἰ μὴ συμβεβηκὸς εἴη τῷ λευκῷ ἢ τῷ μέλανι, τὸ μουσικόν. ἀλλὰ λευκὸν μὲν γίνεται ἐξ οὐ λευ-
κοῦ. καὶ τούτου, οὐκ ἐκ παντός. ἀλλ᾽ ἐκ μέλανος, ἢ τῶν μεταξύ. καὶ μουσικόν, ἐξ οὐ μουσικοῦ. πλὴν
οὐκ ἐκ παντός, ἀλλ᾽ ἐξ ἀμούσου. ἢ εἴ τι αὐτῶν ἐστὶ μεταξύ. οὐδὲ δὴ φθείρεται εἰς τὸ τυχὸν πρῶτον. οἷον,
τὸ λευκόν, οὐκ εἰς μουσικόν. πλὴν εἴ ποτε κατὰ συμβεβηκός. ἀλλ᾽ εἰς τὸ μὴ λευκόν. καὶ εἰς μὴ λευκόν.
οὐκ εἰς τὸ τυχόν. ἀλλ᾽ εἰς τὸ μέλαν ἢ τὸ μεταξύ. καὶ τὸ μουσικὸν ὡσαύτως καὶ τοῦτο οὐκ εἰς τὸ τυχὸν
ἀλλ᾽ εἰς τὸ ἄμουσον. ἢ εἴ τι αὐτῶν ἐστὶ μεταξύ. ὁμοίως δὲ τούτοις καὶ ἐπὶ τῶν ἄλλων. ἐπεὶ καὶ τὰ μὴ
ἁπλᾶ τῶν ὄντων, ἀλλὰ σύνθετα κατὰ τὸν αὐτὸν ἔχει λόγον ἀλλὰ διὰ τὸ μὴ τὰς ἀντικειμένας δια-
θέσεις ὠνομάσθαι, λανθάνει τοῦτο συμβαῖνον. ἀνάγκη γὰρ πᾶν τὸ ἡρμοσμένον, ἐξ ἀναρμόστου γίνε-
σθαι. καὶ τὸ ἀνάρμοστον, ἐξ ἡρμοσμένου, καὶ φθείρεσθαι τὸ ἡρμοσμένον, εἰς ἀναρμοστίαν. καὶ ταύ-
την οὐ τὴν τυχοῦσαν. ἀλλὰ τὴν ἀντικειμένην. διαφέρει δ᾽ οὐδὲν ἐπὶ ἁρμονίας εἰπεῖν ἢ τά-

ξεως. ἢ συνθέσεως. φανερὸν γὰρ ὅτι ὁ αὐτὸς λόγος. ἀλλὰ μὴν καὶ οἰκία καὶ ἀνδριὰς, καὶ ὁτιοῦν
ἄλλο γίνεται ὁμοίως. ἥ τε γὰρ οἰκία γίνεται ἐκ τοῦ μὴ συγκεῖσθαι, ἀλλὰ διῃρῆσθαι ταδὶ ὡδί. καὶ ὁ
ἀνδριὰς καὶ τὰ ἐσχηματισμένα ἐξ ἀσχημοσύνης. καὶ ἕκαστον τούτων, τὰ μὲν τάξις, τὰ δὲ σύνθεσίς
τίς ἐστιν. εἰ τοίνυν τοῦτ᾽ ἔστιν ἀληθὲς, ἅπαν ἂν γίγνοιτο τὸ γιγνόμενον, καὶ φθείροιτο τὸ φθειρόμενον,
ἢ ἐξ ἐναντίων, ἢ εἰς ἐναντία. καὶ τὰ τούτων μεταξύ. τὰ δὲ μεταξὺ ἐκ τῶν ἐναντίων ἐστίν. οἷον, χρώματα
ἐκ λευκοῦ καὶ μέλανος. ὥστε πάντα ἂν εἴη τὰ φύσει γινόμενα ἢ ἐναντία, ἢ ἐξ ἐναντίων.

Δ εἰξας ὅτι τὰ ἐναντία ἀρχαὶ ἔκ τινος κοινῶς τοῖς τε πρώτοις ἐναντίοις καὶ ταῖς ἀρχαῖς ὑπάρχον-
τος, τοῦτο δὲ ἦν τὸ μήτε ἐξ ἄλλων μήτε ἐξ ἀλλήλων καὶ τὰ ἄλλα ἐκ τούτων, βούλεται καὶ τὴν κυ
ριωτάτην αἰτίαν παραδοῦναι, τοῦ τὰ πρῶτα ἐναντία ἀρχὰς εἶναι τῆς γενέσεως. λόγον γὰρ οἶ-
μαι τὴν αἰτίαν καλεῖ. ἀλλὰ καὶ ὅτι ἐν τῷ προληφθέντι συλλογισμῷ, τὸ μὲν τὰ πρῶτα ἐναντία μή-
τε ἐξ ἀλλήλων εἶναι μήτε ἐξ ἄλλων, γνώριμον ἐγένετο, τὸ μὲν μὴ ἐξ ἄλλων ἐκ τοῦ πρῶτα, τὸ δὲ
μὴ ἐξ ἀλλήλων ἐκ τοῦ ἐναντία. τὸ δὲ τὰ ἄλλα ἐκ τούτων, λόγου τινὸς αἰτιώδους ἐδεῖτο. ὃν νῦν προσ-
τίθησι, προλαμβάνων ὡς ἀξιώματα καθολικὰ περὶ πάσης γενέσεως τεχνικῆς τε καὶ φυσικῆς,
ἐκ τῆς ἐναργείας δοκοῦντα πιστά. ὅτι τὸ γινόμενον καὶ φθειρόμενον καθ᾽ αὑτὸ πᾶν, ὑπὸ ποιοῦν-
τος γίνεται καὶ φθείρεται. καὶ οὐχ ὑπὸ τοῦ τυχόντος τὸ τυχὸν, ἀλλ᾽ ὑπὸ τοῦ ἀντικειμένου ποιη-
τικοῦ αἰτίου, καὶ τὸ ἀντικείμενον. δρᾷ γὰρ οὐ πᾶν εἰς ἅπαν. ἀλλὰ τὸ ἀντικείμενον εἰς τὸ ἀντικείμε-
νον. οἷον τὸ θερμὸν εἰς τὸ ψυχρὸν, μεταβάλλον αὐτὸ ἀπὸ τῆς ἀντικειμένης ἑαυτῷ ἕξεως, εἰς τὴν ἑαυ-
τοῦ. ταῦτα μὲν περὶ τοῦ ποιοῦντος. περὶ δὲ τοῦ γινομένου, ὅτι τὸ γινόμενον οὐκ ἐκ τοῦ μὴ ὄντος, ἀλλ᾽
ἐξ ὄντος μεταβάλλει εἰς ὄν. καὶ τοῦτο, οὐκ ἐκ τοῦ τυχόντος εἰς τὸ τυχόν. ἀλλ᾽ ἐκ τοῦ ἀντικειμένου εἰς
τὸ ἀντικείμενον, τουτέστιν εἰς τὸ ποιοῦν. ταῦτα προαξιώσας, εἶτα προσλαβὼν τὰ φύσει γινόμενα
καὶ φθειρόμενα, συνάγει ὅτι πάντα τὰ φύσει ὅταν καθ᾽ αὑτὰ γίνεται ἢ φθείρηται, ὑπὸ τῶν ἀν-
τικειμένων τὰ ἀντικείμενα τοῦτο πάσχει. ὅτι δὲ οὐδὲ ποιεῖν πέφυκε τὸ τυχὸν εἰς τὸ τυχὸν, οὔτε πά-
σχειν ὑπὸ τοῦ τυχόντος, ὅταν τὸ μὲν, καθ᾽ αὑτὸ ποιῇ, τὸ δὲ πάσχῃ, ἀλλὰ τὸ ἀντικείμενον καὶ ὑπὸ
τοῦ ἀντικειμένου, μάθοιμεν ἂν οὕτω. τὸ ποιοῦν κατὰ τὸ ἐν αὐτῷ εἶδος μορφοῦν τὴν οἰκείαν ἐνέργει-
αν, δι᾽ αὐτῆς τῷ ὑποκειμένῳ, τουτέστι τῷ ἐξ οὗ γίνεται τὸ γινόμενον, ἐντίθησι τὸ εἶδος καθὸ γίνε-
ται τὸ γινόμενον. τοῦτο δὲ ἦν τὸ ἐν τῷ ποιοῦντι. οἷον ὁ οἰκοδόμος τὴν ἐν αὐτῷ ἁρμονίαν καὶ τὸ σχῆμα
τῆς οἰκίας ἐντίθησι τοῖς λίθοις, μεταβάλλων αὐτῶν τὴν προτέραν διάθεσιν εἰς τὴν αὐτῷ. μετα-
βάλλεται δὲ οὔτε τὸ ὁμοειδὲς, ἔστι γὰρ, οὔτε τὸ διάφορον μὲν, συνυπάρχειν δὲ δυνάμενον. τί γὰρ δεῖ
τὸ λευκὸν εἰς μουσικὸν μεταβάλλειν, ὅτε δύναται συνυπάρχειν ἄμφω. ἀλλ᾽ ἐκεῖνα μεταβάλλει
εἰς ἄλληλα, ὅσα πρὸ τοῦ μεταβάλλειν συνυπάρχειν ἀλλήλοις οὐ δύναται. ταῦτα δέ ἐστιν οὐ τὰ κυ-
ρίως ἐναντία μόνα. ἀλλὰ τὰ κατὰ πᾶσαν ἀντίθεσιν ἀντικείμενα. ὥστε ἀνάγκη πᾶν τὸ γινόμενόν τι
ὃ μὴ πρότερον ἦν, ἐξ ἀντικειμένης τῆς πρώτης διαθέσεως εἰς τὴν ἀντικειμένην μεταβάλλειν, ὑπὸ
τοῦ ἀντικειμένου μὲν τῇ πρόσθεν διαθέσει τοῦ μεταβάλλοντος, ὁμοίου δὲ τῇ εἰς ἣν ἡ μεταβολὴ γί-
νεται. ἀπὸ γὰρ τοῦ ποιοῦντος αὐτῇ. οὕτω τὸ ψυχρὸν ὂν πρότερον σῶμα, ὑπὸ θερμοῦ τινος γίνεται
θερμόν. οὐ γὰρ ἐκ μουσικοῦ φησι λευκὸν γίνεται καθ᾽ αὑτὸ, ἀλλ᾽ ἐκ μέλανος. κατὰ συμβεβηκὸς μέν-
τοι οὐδὲν κωλύει, ὅταν τύχῃ ὂν τὸ μουσικὸν μέλαν, ἢ μὴ λευκὸν, οὐ τὸ τυχὸν, ἀλλὰ τὸ μεταξύ. τὸ δὲ
λευκὸν γίνεται καθ᾽ αὑτὸ ἐξ οὐ λευκοῦ. οὐ γὰρ δὴ ἐκ λευκοῦ. εἴη γὰρ ἂν πρὶν γενέσθαι λευκόν. ἐξ οὐ
λευκοῦ δὲ, οὐχ ὅτι καὶ ἐξ ἱπποκενταύρου ἀλλὰ τοῦ τῷ λευκῷ ἀντικειμένου. τοῦτο δέ ἐστιν ἢ τὸ μέ-
λαν, ἢ τῶν μεταξύ τι. οἷον ξανθὸν, ἢ πυρρὸν, ἢ μάλιστα φαιὸν, καὶ ὅλως ὃ πρὸς λευκὸν τὴν μέλανος ἔ-
χει τάξιν. καὶ τὸ μουσικὸν δὲ ἐξ οὐ μουσικοῦ γίνεται, οὐ τοῦ τυχόντος, ἀλλὰ τοῦ πεφυκότος. τοιοῦτο
δὲ τὸ ἄμουσον, καὶ εἴ τι μεταξὺ εἴη ἀμούσου καὶ μουσικοῦ. ζητεῖται γὰρ τὸ μεταξὺ ἀρετῆς καὶ κακίας,
καὶ μουσικῆς καὶ ἀμουσίας, ἐνίων μὲν τὸ οὐδέτερον λεγόντων μεταξὺ, ὡς τὸ μεταξὺ τοῦ ἄρρενος καὶ τοῦ θήλε
ος, ἐνίων δὲ τὸ ἐκ τῆς ἑκατέρου μίξεως, ὡς τὸ φαιὸν τοῦ λευκοῦ καὶ τοῦ μέλανος μεταξὺ, ἐνίων δὲ ὡς δύ-
ναμιν ἔχον ἄμφω πεφυκέναι. ὁμοίως δὲ οὐδὲ φθείρεται καθ᾽ αὑτὸ τὸ τυχὸν εἰς τὸ τυχὸν, ἀλλ᾽ εἰς τὸ
ἐναντίον καὶ εἰς τὸ μεταξύ. καὶ οὐκ ἐπὶ μόνων τῶν ἁπλῶν οὕτως ἔχει, οἷον λευκοῦ καὶ μουσικοῦ καὶ
τῶν τοιούτων, ἀλλὰ καὶ ἐπὶ τῶν συνθέτων, οἷον, οἰκίας, ἀνθρώπου. καὶ γὰρ τούτων ἕκαστον ἐκ τοῦ
ἀντικειμένου γίνεται, οὐ τοῦ τυχόντος, ἀλλὰ τοῦ πεφυκότος εἰς ταῦτα μεταβάλλειν. καὶ φθείρεται
εἰς ἐκεῖνα. λανθάνει δὲ διὰ τὸ μὴ κεῖσθαι ἐπὶ τούτων τοῖς ἀντικειμένοις ὀνόματα, ὡς ἐκεῖ τὸ ἄμουσον
καὶ τὸ λευκόν. κοινῶς δ᾽ ἂν ἐπὶ τῶν συνθέτων ἀντικεῖσθαι τὸ ἡρμοσμένον καὶ τὸ ἀνάρμοστον λέγοι-
το. γίνεται γὰρ πᾶν ἡρμοσμένον ἐξ ἀναρμόστου, καὶ τὸ ἀνάρμοστον ἐξ ἡρμοσμένου. καὶ φθείρεται
εἰς ἄλληλα, οὐ τὰ τυχόντα δὲ εἰς τὰ τυχόντα. οὐ γὰρ ἂν ἡ ἀνθρώπου ἁρμονία εἰς τὴν λύρας ἀναρ-
μοστίαν μεταβάλλοι, ἀλλὰ εἰς τὴν ἀνθρώπου. ἀλλ᾽ οὐδὲ ἡ δώριος ἁρμονία εἰς τὴν λύδιον ἀναρμοστί-
αν, ἀλλ᾽ εἰς τὴν οἰκείαν. ταῦτα δὲ πάντα τὰ παραδείγματα οὐκ ἐκ τοῦ ποιοῦντος εἴληπται, ἀλλ᾽
ἐκ τοῦ πάσχοντος. ταυτὸν δὲ εἰπεῖν ἐξ οὗ γίνεται τὸ γινόμενον, καὶ εἰς ὃ φθείρεται τὸ φθειρόμενον. γί-

νεται δὲ ἐξ ἀμούσου τὸ μουσικὸν ἀπὸ δαίμονος ποιοῦντος. καὶ ἐκ ψυχροῦ τὸ θερμὸν γίνεται ὑπὸ τοῦ θερμοῦ ποιοῦντος. καὶ φθείρεσθαι λέγεται ἕκαστον εἰς ἐκεῖνο εἰς ὃ μεταβάλλει, καὶ ὑπ' ἐκείνου. εἰ δέ τις νομίζοι ἁρμονίαν καὶ ἀναρμοστίαν ἐπὶ μουσικῆς λέγεσθαι μόνης, οὐδὲν διαφέρει καὶ ἐπὶ τάξεως καὶ ἐπὶ συνθέσεως τὰ αὐτὰ λέγειν. ἡ γὰρ οἰκία σύνθετόν τι οὖσα, γίνεται ἐκ τοῦ διῃρημένου καὶ μὴ συγκειμένου. καὶ τὰ ἐσχηματισμένα ἐξ ἀσχημοσύνης. καὶ ὅσοι τοίνυν συνθέσει καὶ διακρίσει, ταὐτὸν δὲ εἰπεῖν συγκρίσει καὶ διακρίσει τὴν γένεσιν ποιοῦσι, καὶ τούτοις ἐξ ἐναντίων καὶ εἰς ἐναντία ἡ γένεσις καὶ ἡ φθορά. ὥστε συγκεφαλαιωθείσης τῆς ἐπαγωγῆς, ἀληθὲς εἰπεῖν, ὅτι πᾶν ἂν γίνοιτο τὸ γινόμενον, καὶ φθείροιτο τὸ φθειρόμενον, ἢ ἐξ ἐναντίων ἢ εἰς ἐναντία καὶ τὰ τούτων μεταξύ. μεταξὺ δὲ, οὐ τὰ κεχωρισμένα ἀμφοῖν, ἀλλὰ τὰ ἐξ αὐτῶν συνεστῶτα. ἵνα συγγενῆ ὄντα τῶν ἐναντίων πρὸς ἑκάτερον ἔχῃ λόγον. καὶ τὰ φύσει οὖν πάντα διὰ ζῷον ἐκ μὴ ζῴου τὴν γένεσιν ἔχει, μὴ ζῴου δὲ τοιούτου ὃ πέφυκε πρὸς ζῴου γένεσιν. δῆλον δὲ ὅτι ὁ παρακολουθήσας τοῖς εἰρημένοις, οὐχ ὑποπτεύσει πρὸς ἑαυτὸν ἐναντιοῦσθαι τὸν Ἀριστοτέλην, πρότερον μὲν εἰπόντα, ὅτι τὰ ἐναντία οὐ γίνεται ἐξ ἀλλήλων, νῦν δὲ ὅτι ἐκ τοῦ ἐναντίου γίνεται τὸ ἐναντίον. ἐκεῖ μὲν γὰρ ἐλέγετο μὴ γίνεσθαι ἐξ ἀλλήλων τὰ ἐναντία ὡς ἐξ ὕλης. οὐ γὰρ ὡς ἐξ ὑπάρχοντος τοῦ λευκοῦ γίνεται τὸ μέλαν, ὡς ἐκ τοῦ ξύλου ἡ κλίνη. ἢ μᾶλλον ὅτι οὐ γίνεται ἐξ ἀλλήλων ὡς ἀπὸ ποιητικῶν αἰτίων. οὐ γὰρ ποιητικὰ ἀλλήλων τὰ ἐναντία. ἐνταῦθα δὲ, ὅτι τοῦ ἐναντίου ἐκστάντος εἴδους ἐκ τοῦ ὑποκειμένου, ἐπιγίνεται τὸ ἐναντίον ἐκείνῳ εἶδος ἀπὸ τοῦ ποιοῦντος. ἀλλ' ὅτι μὲν οὐδὲν πέφυκεν ποιεῖν εἰς τὸ τυχὸν, οὐδὲ πάσχειν ἀπὸ τοῦ τυχόντος, ἔστω δῆλον. πόθεν δὲ δῆλον, ὅτι τὰ ἐναντία ἐστὶ τὰ πεφυκότα ποιεῖν εἰς ἄλληλα, καὶ πάσχειν ὑπ' ἀλλήλων. καὶ γὰρ ψυχὴ ἀπὸ θεοῦ ἐλλάμπεσθαι λέγεται, ἀλλ' οὐκ ἐναντία οὖσα ἀπὸ τοῦ ἐναντίου. ἢ ὡς ἐνδεὴς ἀπὸ πλήρους πάσχει καὶ αὐτή. καὶ μεταβάλλει ἀπὸ τοῦ ἀθέου εἰς τὸ ἔνθεον. ὅλως δὲ πᾶν τὸ γινόμενον οὐκ ἔστιν ὅπερ γίνεται. οὐ γὰρ ἂν ἐγίνετο. ὥστ' ἐκ μὴ τοιούτου γίνεται, οὐ παντὸς, ἀλλὰ τοῦ πεφυκότος. πέφυκε δὲ τὸ αὐτὸ τῶν ἀντικειμένων εἶναι δεκτικόν. θερμοῦ γὰρ καὶ ψυχροῦ τὸ αὐτὸ σῶμα δεκτικόν ἐστι. καὶ λευκοῦ καὶ μέλανος. καὶ ἡ αὐτὴ ψυχὴ μουσικῆς καὶ ἀμουσίας. πότε οὖν ἡ ψυχὴ πέφυκεν εἰς τὸ μουσικὸν μεταβάλλειν. ἆρα ὅταν μουσική ἐστιν; οὐδαμῶς. οὐκοῦν ὅταν μὴ μουσικὴ πέφυκε δὲ μουσικὴ γίνεσθαι. καὶ τὸ σῶμα πότε γίνεται λευκόν. ἆρα ὅταν λευκόν ἐστιν; οὐδαμῶς. ἀλλ' ὅταν μὴ λευκὸν μὲν, πεφυκὸς δὲ λευκὸν γίνεσθαι δηλονότι. εἰ οὖν τὸ πεφυκὸς τοῦτό ἐστιν, τὸ τῶν ἐναντίων δεκτικὸν, μὴ ἔχον δὲ ἐκεῖνο ὃ λέγεται γίνεσθαι, δῆλον ὅτι τὸ ἀντικείμενον αὐτῷ ἔχει ἢ τὸ μεταξύ. καὶ ἀπ' ἐκείνου μεταβάλλει εἰς ὃ γίνεται. καὶ προηγουμένως μὲν ἐκ τοῦ μὴ τοιούτου πεφυκότος δὲ ἡ γένεσις. διὸ ἀπὸ τῆς στερήσεως εἰς ἕξιν ἡ μεταβολή. ἤδη δὲ καὶ ἐκ τοῦ ἐναντίου, καθόσον καὶ τοῦτο μὴ τοιοῦτο, καὶ πεφυκός. καὶ ὅλως ἐκ τοῦ ἀντικειμένου καθ' ὁποιανοῦν ἀντίθεσιν. οὐ γὰρ ἀνάγκη τὸ λευκὸν ἐκ μέλανος καθὸ μέλαν γίνεσθαι, ἀλλ' ἐκ μὴ λευκοῦ πεφυκότος δὲ λευκοῦ γίνεσθαι. τὸ δὲ πρὸς τὸ λευκὸν πεφυκὸς, καὶ πρὸς τὸ μέλαν πέφυκεν. ὥστε ὅταν μὴ ᾖ λευκὸν, ἢ μέλαν ἢ τὸ μεταξύ ἐστι. καὶ διὰ τοῦτο ἐκ μέλανος ἢ τοῦ μεταξύ. ἐξ οὗ δὲ γίνεταί τι εἰς ἐκεῖνο καὶ φθείρεται. ἐπιστῆσαι δὲ χρὴ ὅτι ἄλλο μέν ἐστι σύνθεσις, ἄλλο δὲ τάξις. καὶ ἡ μὲν σύνθεσις ἐπὶ τῶν σύνθεσιν ἐχόντων λέγεται μετ' ἀλλήλων, πλησιασμός τις οὖσα τῶν κειμένων εὐάρμοστος, κἂν μηδεμία τάξις ὑπάρχῃ. ὡς ἐπὶ ξύλων ὅταν μὴ μέλῃ τῷ συντιθέντι, τί πρῶτον ἢ τί δεύτερον, εἰ μόνον ἁρμόζοιντο. ἡ δὲ τάξις λέγεται μὲν, καὶ ἐπὶ τῶν σύνθεσιν ἐχόντων. ἐν τάξει γὰρ δεῖ κεῖσθαι τὰ τοῦ ἀνδριάντος μέρη, ὥστε τὰ μὲν πρῶτα, τὰ δὲ δεύτερα εἶναι, τὰ δὲ ἐφεξῆς. λέγεται δὲ καὶ ἐπὶ τῶν μὴ ἐχόντων σύνθεσιν, ὡς ἐπὶ τῶν ἀριθμῶν. πρώτη γὰρ τέτακται ἡ μονὰς τῆς δυάδος. οὐδεμία δὲ τεχνικὴ ἢ φυσικὴ σύνθεσις ἄνευ τάξεώς ἐστι. κἂν λέγῃ οὖν καὶ ἕκαστον τούτων τὰ μὲν, τάξις, τὰ δὲ σύνθεσις τίς ἐστιν, οὕτω λέγει, ὡς καὶ τῆς οἰκίας καὶ τοῦ ἀνδριάντος, κατὰ μέν τι τάξεως, κατὰ δέ τι συνθέσεως μετεχόντων, ἀλλ' οὐχὶ τῆς μὲν οἰκίας κατὰ μόνην σύνθεσιν ὑφισταμένης, τοῦ δὲ ἀνδριάντος κατὰ μόνην τάξιν. καλῶς δὲ ὁ Ἀλέξανδρος ἐπέστησεν, ὅτι, ᾧ μηδέν ἐστιν ἐναντίον, ἢ ὃ μὴ ἔστι τῶν ἐναντίων δεκτικὸν, τοῦτο ἀγένητον ἂν εἴη, καλῶς προσθεὶς τὸ δεύτερον διὰ τὴν ἄτομον οἶμαι οὐσίαν. ταύτῃ γὰρ ἐναντίον μὲν οὐδέν ἐστι, τῶν δὲ ἐναντίων ἐστὶ δεκτική. καὶ διὰ τοῦτο οὐ μόνον τὸ εἶδος, ἀλλὰ καὶ τὴν στέρησιν τοῦ εἴδους δέχεται.

Μέχρι μὲν οὖν τούτου, σχεδὸν συνηκολουθήκασι καὶ τῶν ἄλλων οἱ πλεῖστοι. καθάπερ εἴπομεν πρότερον. πάντες γὰρ τὰ στοιχεῖα καὶ τὰς ὑπ' αὐτῶν καλουμένας ἀρχὰς, καίπερ ἄνευ λόγου τιθέντες, ὅμως τἀναντία λέγουσιν. ὥσπερ ὑπ' αὐτῆς, τῆς ἀληθείας ἀναγκασθέντες.

Μέχρι τοῦ ἐν ταῖς ἀρχαῖς τὰ ἐναντία τιθέναι σχεδὸν συνηκολουθήκασι καὶ τῶν ἄλλων σοφῶν οἱ πλεῖστοι. τὸ δὲ σχεδὸν, ἢ πρὸς τὸ οἱ πλεῖστοι δι' εὐλάβειαν φιλόσοφον πρόσκειται, ἢ πρὸς τὸ συνηκολουθήκασιν. ὅτι οὐχ ἁπλῶς οὐδὲ ἐκεῖνοι τὰ ἐναντία ὡς ἐναντία ἔλεγον ἀρχάς. ἀλλ' ἅπερ ἔλεγον, ταῦτα καὶ ἐναντία ἦν. ὡς φῶς καὶ σκότος. καὶ νεῖκος καὶ φιλία. καὶ σύγκρισις καὶ διάκρισις. καὶ τὰ τοιαῦτα. δηλοῖ δὲ μάλιστα τὴν αὐτοφυῆ τοῦ δόγματος ἀλήθειαν, καὶ τὴν κατὰ τὰς κοινὰς ἐννοίας

προσειλημμένην

προσειλημμένην περιποίησιν, τὸν αὐτὸν λόγον, τουτέστιν αὐτὸν ἀπὸ λεκτικῆς αἰτίας λέγοντας αὐτοὺς, ὅμως οὕτω λέγειν, ὥσπερ ὑπ' αὐτῆς τῆς ἀληθείας ἀναγομένους. ἡμεῖς μὲν γὰρ καὶ τὴν αἰτίαν προστεθείκαμεν, ὑποδείξαντες, ὅτι οὐ τὸ τυχὸν ἐκ τοῦ τυχόντος γίνεται, ἀλλ' ἐκ τοῦ ἐναντίου τὸ ἐναντίον. καὶ διότι πάντα τὰ φύσει γινόμενα, ἢ ἐναντία ἐστὶν ἢ ἐξ ἐναντίων. ἐκεῖνοι δὲ καὶ τὴν αἰτίαν οὐ συνορῶντες ἢ οὐ προστιθέντες, ὅμως τὰ αὐτὰ λέγουσιν.

ΔΙΑΦΕΡΟΥΣΙ δ' ἀλλήλων. τῷ τοὺς μὲν πρότερα, τοὺς δ' ὕστερα λαμβάνειν. καὶ τοὺς μὲν, γνωριμώτερα κατὰ τὸν λόγον, τοὺς δὲ κατὰ τὴν αἴσθησιν. οἱ μὲν γὰρ, θερμὸν καὶ ψυχρόν. οἱ δὲ ὑγρὸν καὶ ξηρόν. ἕτεροι δὲ περιττὸν, καὶ ἄρτιον. οἱ δὲ νεῖκος καὶ φιλίαν, αἰτίας τίθενται τῆς γενέσεως. ταῦτα δ' ἀλλήλων διαφέρει, κατὰ τὸν εἰρημένον τρόπον. ὥστε ταὐτὰ λέγειν πως καὶ ἕτερα ἀλλήλων. ἕτερα μὲν ὥσπερ καὶ δοκεῖ τοῖς πλείστοις. τὰ αὐτὰ δὲ ᾗ ἀνάλογον. λαμβάνουσι γὰρ ἐκ τῆς αὐτῆς συστοιχίας. τὰ μὲν γὰρ περιέχει, τὰ δὲ περιέχεται τῶν ἐναντίων. ταύτῃ δὴ, ὡσαύτως λέγουσι καὶ ἑτέρως, καὶ χεῖρον, καὶ βέλτιον. καὶ οἱ μὲν γνωριμώτερα κατὰ τὸν λόγον. ὥσπερ εἴρηται πρότερον. οἱ δὲ, κατὰ τὴν αἴσθησιν. τὸ μὲν γὰρ καθόλου, κατὰ τὸν λόγον γνώριμον. τὸ δὲ καθέκαστον, κατὰ τὴν αἴσθησιν. ὁ μὲν γὰρ λόγος, τοῦ καθόλου. ἡ δ' αἴσθησις, τοῦ κατὰ μέρος. οἷον τὸ μέγα καὶ τὸ μικρὸν, κατὰ τὸν λόγον. τὸ δὲ μανὸν, καὶ τὸ πυκνὸν κατὰ τὴν αἴσθησιν. ὅτι μὲν οὖν ἐναντίας δεῖ τὰς ἀρχὰς εἶναι, φανερόν.

Δ εἴξας τὴν τῶν παλαιῶν φυσιολόγων περὶ τὰς ἀρχὰς συμφωνίαν, κατὰ τὸ ἐναντίας αὐτὰς τίθεσθαι γινομένην, ἐπειδὴ τοῖς πολλοῖς διαφωνεῖν δοκοῦσι πρὸς ἀλλήλους ἄλλο τι λέγοντες τὴν ἀρχὴν, καὶ τὴν διαφορὰν αὐτῶν παραδίδωσι. καὶ ὅπως εἰς συμφωνίαν καὶ αὕτη περιάγεται, καλῶς καὶ σαφῶς ἐπιδείκνυσι. καὶ τὴν μὲν διαφορὰν δηλοῖ, τοὺς μὲν πρότερα τῇ φύσει, τοὺς δ' ὕστερα λαμβάνειν εἰπών. καὶ τοὺς μὲν, γνωριμώτερα κατὰ τὸν λόγον, τοὺς δὲ, κατὰ τὴν αἴσθησιν. ἤτοι τὰ αὐτὰ λέγων τά τε πρότερα τῇ φύσει, καὶ τὰ γνωριμώτερα κατὰ τὸν λόγον, καὶ αὖ πάλιν τὰ ὕστερα τῇ φύσει, καὶ κατὰ τὴν αἴσθησιν γνωριμώτερα. καὶ τῶν παραδειγμάτων, τὸ μὲν περιττὸν καὶ ἄρτιον, καὶ νεῖκος καὶ φιλίαν, ὡς πρότερα τῇ φύσει, καὶ κατὰ τὸν λόγον ἀλλ' οὐχὶ κατὰ τὴν αἴσθησιν γνωριμώτερα, τοῖς προτέροις προσήκοντα παρέθετο. νοητὰ γὰρ ταῦτα. διὸ καὶ ἐμπεδοκλῆς περὶ φιλίας λέγων, ἀλλὰ νόῳ δέρκευ φησὶ, μηδ' ὄμμασιν ἧσο τεθηπώς. τὸ δὲ θερμὸν καὶ ψυχρὸν, καὶ ὑγρὸν καὶ ξηρὸν, ὡς ὕστερα τῇ φύσει, καὶ κατὰ τὴν αἴσθησιν γνωριμώτερα, τοῖς ὑστέροις ἀπονέμει. καὶ τὸ μὲν θερμὸν καὶ ψυχρὸν, παρμενίδης φησί. τὸ δὲ ὑγρὸν καὶ ξηρὸν, ἀλέξανδρος μὲν, ἤτοι αὐτόν φησιν εἰρηκέναι τὸν θερμὸν καὶ ψυχρὸν εἰπόντα. ἢ ἐμπεδοκλέα, πρὸς τῷ νείκει καὶ τῇ φιλίᾳ τὰ τέσσαρα στοιχεῖα ἀρχὰς θέμενον. ὁ μέντοι πορφύριος οἰκειότερον εἰς ἀναξιμένην τὴν δόξαν ἀνέπεμψε ταύτην, εἰπόντα, γῆ καὶ ὕδωρ πάνθ' ὅσα γίνονται ἠδὲ φύονται. τὸ δὲ περιττὸν καὶ ἄρτιον ἀρχὰς οἱ πυθαγόρειοι τίθενται, ὥσπερ τὸ νεῖκος καὶ τὴν φιλίαν μετὰ τῶν τεσσάρων στοιχείων ἐμπεδοκλῆς. μήποτε δὲ τῶν μὲν κατὰ τὸν λόγον γνωριμωτέρων καὶ τῶν πρὸς αἴσθησιν, παραδείγματα τὰ εἰρημένα παρέθετο. τῶν δὲ προτέρων καὶ ὑστέρων, οὐκέτι. πρότερα μὲν γὰρ δεῖ εἶναι τὰ ὁλικώτερα καὶ περιεκτικώτερα, ὕστερα δὲ τὰ μερικώτερα καὶ περιεχόμενα. τὰ δὲ ῥηθέντα οὐκ ἔχει οὕτω πρὸς ἄλληλα. ὥστε οὐκ ἂν ταύτῃ διαφέροι ἢ ὅτι προείρηκεν ἤδη περὶ τῶν ἐναντίων, τῶν κατὰ τὸ πρότερον καὶ ὕστερον διαφερόντων. ὅτε ἔλεγε τἄλλα γεννῶσι πυκνότητι καὶ μανότητι πολλὰ ποιοῦντες. ταῦτα δέ ἐστιν ἐναντία. καθόλου δὲ ὑπεροχὴ καὶ ἔλλειψις. ὥσπερ τὸ μέγα φησὶ πλάτων καὶ τὸ μικρόν. εἰ μὴ ἄρα καὶ τούτων τὰ μὲν νοητὰ καὶ λόγῳ θεωρητὰ, ὡς νεῖκος καὶ φιλία, καὶ περιττὸν καὶ ἄρτιον, περιέχειν λέγοιντο ἂν, ἅτε αὐτὰ πάντα φθάνοντα τὰ ἄλλα. τὰ δὲ αἰσθητὰ καὶ ὑλικὰ ἅτε ὑπ' ἐκεῖνα τεταγμένα καὶ μετέχοντα αὐτῶν, περιεχόμενα. θερμὸν γὰρ καὶ ψυχρὸν, καὶ ξηρὸν καὶ ὑγρὸν, μετέχει νείκους καὶ φιλίας, καὶ ἀρτίου καὶ περιττοῦ κατὰ ἕνωσιν καὶ διάκρισιν, καὶ τὸ συγκριτικὸν καὶ διακριτικόν. καὶ γὰρ τὸ θερμὸν ἐν τῇ περὶ γενέσεως, ὡς τῶν ὁμοίων συγκριτικὸν κατὰ τὸ συγκριτικὸν χαρακτηρίζει. οὐ μέντοι ὑπ' ἐκείνων μετέχεται. ὁ δὲ ἀλέξανδρος τὰ μὲν εἰδικώτερα τούτων περιέχειν φησὶ, τὰ δὲ ὑλικώτερα περιέχεσθαι, εἰδικώτερα μὲν ἐν ταῖς προειρημέναις ἐναντιώσεσι λέγων, θερμὸν, ξηρὸν, περιττὸν, φιλίαν, ὑλικώτερα δὲ τὰ τούτοις ἀντικείμενα. καίτοι τοὺς μὲν, τὰ πρότερα καὶ περιέχοντα λαμβάνειν φησί. τοὺς δὲ, τὰ ὕστερα καὶ περιεχόμενα, οὐδενὸς ὡς θερμὸν καὶ ξηρὸν εἰπόντος, οὐδὲ ἄλλου πάλιν ὡς ψυχρὸν καὶ ὑγρὸν, ἀλλὰ τὰ ἀντικείμενα ἅμα. οὕτω τ' ἂν τὰ ἐναντία λέγοιεν ἀρχὰς, ἀλλ' οὐκ ἐκείνως, κοινῶς μὲν ἔχοντα πάντα τὴν ἀντίθετον φύσιν, διαφέροντα δὲ, τῷ τὰ μὲν, πρότερα, τὰ δ' ὕστερα εἶναι. διὸ καὶ οἱ τῶν δοξῶν τούτων προεστῶτες ταὐτὰ καὶ ἕτερα λέγουσιν. ἕτερα μὲν, κατὰ τὸ προφαινόμενον. ὅτι ὁ μὲν, νεῖκος καὶ φιλίαν, ὁ δὲ θερμὸν καὶ ψυχρὸν, καὶ ἄλλος ἄλλην τινὰ λέγει τῶν ἀντιθέσεων. καίτοι δὲ διάφορα δοκοῦντες λέγειν, τὰ αὐτὰ λέγουσι, καθόσον τὰ ἀνάλογον λαμβάνουσι. δυοῖν γὰρ οὐσῶν συστοιχιῶν ἀντικειμένων, τῆς μὲν, κρείττονος, ἐν ᾗ ἡ φιλία, καὶ περιττὸν, καὶ ὑπερο-

χή. καὶ μέγα, καὶ μανὸν, καὶ θερμὸν, τῆς δὲ χείρονος, ἐν ᾗ τὰ ἐναντία, τούτων ἐκ τῆς αὐτῆς συστοιχίας τῆς κρείττονος, τὰ κρείττονα πάντες τῆς οἰκείας ἀντιθέσεως λαμβάνουσι, καὶ ἐκ τῆς χείρονος τὰ χείρονα. εἰ καὶ οἱ μὲν, ὁλικωτέρας καὶ περιεχούσας ἀντιθέσεις λαμβάνουσιν, οἱ δὲ, μερικωτέρας καὶ περιεχομένας. ὑπεροχὴ γὰρ καὶ ἔλλειψις, περιεκτικὰ μεγάλου καὶ μικροῦ. καὶ ταῦτα, μανοῦ καὶ πυκνοῦ. καὶ ταῦτα, θερμοῦ καὶ ψυχροῦ. ἀνάλογον δὲ ἔχει πρὸς ἄλληλα. ὡς γὰρ ὑπεροχὴ πρὸς ἔλλειψιν, οὕτω μέγα πρὸς μικρὸν, καὶ μανὸν πρὸς πυκνὸν, καὶ θερμὸν πρὸς ψυχρόν. καὶ δῆλον ὅτι βέλτιον μὲν λέγουσιν οἱ τὰ πρότερα καὶ περιεκτικώτερα τιθέντες ἀρχὰς, χεῖρον δὲ, οἱ τὰ περιεχόμενα καὶ προσεχέστερα. κἂν γὰρ ἄλλων ὦσιν ἀρχαὶ ταῦτα, ἀλλὰ καὶ ἀπ' ἀρχῶν εἰσί. γνωριμώτερα δὲ κατὰ μὲν τὸν λόγον λέγουσιν, οἱ τὰ νοητὰ καὶ ὁλικώτερα καὶ περιεκτικώτερα τιθέντες. γνωριμώτερα δὲ κατὰ τὴν αἴσθησιν, οἱ τὰ αἰσθητὰ καὶ περιεχόμενα καὶ μερικώτερα. διότι τὸ μὲν καθόλου λόγῳ ληπτόν ἐστι, τὸ δὲ καθέκαστον αἰσθήσει. πῶς δὲ τὸ μὲν μέγα καὶ τὸ μικρὸν καθόλου καὶ κατὰ λόγον ἀρχὰς εἶναί φησι, τὸ δὲ μανὸν καὶ τὸ πυκνὸν τῶν καθέκαστον καὶ κατὰ τὴν αἴσθησιν. καὶ γὰρ ἑκάτερον τούτων καὶ καθόλου ἐστὶ καὶ καθέκαστον. ἢ ὅτι τὸ μὲν μανὸν καὶ πυκνὸν φυσικώτερα καὶ ὑλικώτερα ὄντα, ὥσπερ καὶ τὸ θερμὸν καὶ τὸ ψυχρὸν αἰσθητὰ μᾶλλόν ἐστι, καὶ διὰ τοῦτο καὶ καθέκαστα. τὸ δὲ μέγα καὶ μικρὸν ἀϋλότερα μᾶλλον, ὡς ἐπὶ ἀσωμάτων θεωρούμενα. καὶ διὰ τοῦτο καθολικώτερά τε καὶ λόγῳ μᾶλλόν ἐστι γνωστά.

Ἐχόμενον δ' ἂν εἴη λέγειν πότερον δύο, ἢ τρεῖς, ἢ πλείους εἰσί. μίαν μὲν γὰρ οὐχ οἷόν τε. ὅτι οὐχ ἓν τὰ ἐναντία. ἀπείρους δὲ, οὔ. ὅτι οὐκ ἐπιστητὸν τὸ ὂν ἔσται. μία τε ἐναντίωσις ἐν παντὶ γένει ἑνί. ἡ δ' οὐσία, ἕν τι γένος.

Γ ροθέμενος τὰς ἀρχὰς τῶν φυσικῶν εὑρεῖν, πόσαι τε καὶ τίνες εἰσὶ, καὶ προβαλλόμενος τὰς περὶ τούτου δόξας διαφόρους οὔσας, ἐπειδὴ ἐν αὐταῖς μίαν κοινότητα, τὸ τὰ ἐναντία ἐν ταῖς ἀρχαῖς τίθεσθαι. καὶ διὰ τοῦτο τὸ κοινὸν ὁμολόγημα εἰς πίστιν λαβὼν, πρῶτον τίνες αἱ ἀρχαὶ ὅτι τὰ ἐναντία δείκνυσι, προσκατασκευάζων αὐτὸ καὶ αὐτὸς ἀποδεικτικῶς. τούτῳ δὲ καὶ τὸ πόσαι αἱ ἀρχαὶ συναποδείκνυται, ὅτι δύο μὲν αἱ ἐναντίαι, ἓν δὲ τὸ τοῖς ἐναντίοις ὑποκείμενον. ὅπερ ὕστερον προσθήσει. καὶ διὰ τοῦτο οὖν πρῶτον ἔδειξε τὸ τίνες αἱ ἀρχαὶ, καὶ τότε τὸ πόσαι προστίθησι. τέως δὲ καὶ ἐκ τῶν δειχθέντων ὅτι τὰ ἐναντία αἱ ἀρχαὶ, συνάγει πάλιν ὅτι οὔτε μίαν οἷόν τε εἶναι τὴν ἀρχὴν οὔτε ἀπείρους. ὅτι μὲν οὐ μία, οὕτω συλλογιζόμενος. ἡ μία, οὐκ ἐναντία. αἱ ἀρχαὶ ἐναντίαι. ἡ μία ἄρα οὐκ ἀρχή. καὶ ὅτι μὲν αἱ ἀρχαὶ ἐναντίαι, δέδεικται. ὅτι δὲ τὸ ἓν οὐκ ἐναντία, δείκνυσι νῦν ἐκ τοῦ ἀντιστρόφου. εἰ γὰρ τὰ ἐναντία οὐχ ἕν, τὸ ἓν οὐκ ἐναντία. εἰ γὰρ τὸ ἐναντίον ἐναντίῳ ἐναντίον ἐστὶν, οὐκ ἂν εἴη ἓν ἑνὶ τὸ ἐναντίον. ὅτι δὲ οὔτε ἄπειροι αἱ ἀρχαὶ, δείκνυσι τῷ αὐτῷ χρησάμενος ἐπιχειρήματι, ὥσπερ καὶ πρότερον. εἰ γὰρ ἄπειροι αἱ ἀρχαὶ, καὶ αὐταὶ ἄγνωστοι ἔσονται διὰ τὸ ἄπειροι εἶναι. καὶ τὰ ἀπ' αὐτῶν ἄγνωστα ἔσται. διότι τότε οἰόμεθα γινώσκειν ἕκαστον, ὅταν τὰ αἴτια γνωρίσωμεν τὰ πρῶτα, καὶ τὰς ἀρχὰς τὰς πρώτας, καὶ μέχρι τῶν στοιχείων. δευτέρῳ δὲ χρῆται ἐπιχειρήματι πρὸς τὸ μὴ εἶναι ἀπείρους τὰς ἀρχὰς, τοιούτῳ. ἡ οὐσία ἕν τι γένος. ἐν παντὶ γένει ἑνὶ μία ἐναντίωσις. ἐν τῇ οὐσίᾳ ἄρα μία ἐναντίωσις. μία δὲ ἐναντίωσις δυοῖν ἐναντίων μεταξύ ἐστιν. ἡ ἄρα οὐσία δύο περὶ αὐτὴν ἀρχὰς ἔχει τὰ ἐναντία. οὐκ ἄρα ἄπειροι αἱ ἀρχαὶ εἴπερ ἐναντίαι. ἐν δὴ τούτοις χρὴ ζητῆσαι πρῶτον μὲν τίς ἡ μία οὐσία. καὶ τί σημαίνει νῦν τὸ τοῦ γένους ὄνομα. καὶ τίς ἡ μία ἐναντίωσις, ἡ περὶ τὸ γένος τῆς οὐσίας θεωρουμένη. καὶ διὰ τίνα αἰτίαν πάντων κοινῶς προθέμενος τῶν φυσικῶν τὰς ἀρχὰς εὑρεῖν, τὴν οὐσίαν μόνην καὶ τὴν κατ' αὐτὴν ἐναντίωσιν παρέλαβε. πῶς γὰρ ταῖς κατὰ τὰς ἄλλας κατηγορίας γενέσεσιν ἐφαρμόσει ἡ κατὰ τὴν οὐσίαν ἐναντίωσις. ὁ μὲν οὖν Ἀλέξανδρος οὐσίαν μὲν ἀκούει τὸ ἔνυλον εἶδος. μᾶλλον δὲ τὸ σύνθετον ἐξ ὕλης καὶ εἴδους. ὅπερ ἐστὶν ἓν γένος τῆς οὐσίας, τριῶν ὄντων αὐτῶν, τῆς τε ὕλης, καὶ τοῦ εἴδους, καὶ τοῦ συνθέτου. καὶ γὰρ ἐν τούτῳ μόνῳ κατὰ τὴν οὐσίαν ἡ ἐναντίωσις θεωρεῖται. οὐ γὰρ ἐν πάσῃ τῇ οὐσίᾳ. καὶ ἐν ἁπάσαις ταῖς ἄλλαις κατηγορίαις ταῖς ἐχούσαις ἐναντίωσιν, πολλαὶ ἐναντιώσεις. καὶ γὰρ καθ' ἕκαστον τῶν ὑπὸ τὴν ποιότητα γενῶν μία ἐστὶν ἐναντίωσις. οἷον ἐν χρώματι ἑνὶ γένει ὄντι λευκὸν καὶ μέλαν. ἐν ἕξει ἀρετὴ καὶ κακία. ἐν χυμῷ γλυκὺ καὶ πικρόν. καὶ ἐπὶ τῶν ἄλλων ὡσαύτως. οὕτω δὲ καὶ ἐν τῷ ἑνὶ γένει τῆς οὐσίας τῷ κατὰ τὸ ἔνυλον καὶ γενητὸν εἶδος, μία ἐναντίωσις ἡ τοῦ εἴδους καὶ τῆς στερήσεως. ἓν δὲ γένος ἐκεῖνό ἐστί φησιν, οὗ ἡ τομὴ εἰς εἴδη καὶ οὐκ εἰς γένη. καὶ τὸ ἔνυλον δὲ εἶδος διαιρεῖται εἰς τὰς τῶν εἰδῶν διαφορὰς ὡς εἴδη πάσας. καὶ ἡ γενητόν ἐστι, μίαν ἐναντίωσιν ἔχει τὴν κατὰ τὸ εἶδος καὶ τὴν στέρησιν. εἰ δὲ ἐν παντὶ γένει ἑνὶ μία ἐναντίωσις, ἓν δὲ γένος καὶ ἡ ἐν γενέσει τε καὶ φθορᾷ οὐσία φυσική, μία ἂν καὶ ἐναντίωσις ἐν αὐτῇ εἴη φυσική, ἥ τις ἂν ἀρχὴ εἴη τῶν γενητῶν οὐσιῶν. οὗ δὲ μία ἐναντίωσις ἡ αὐτὴ δὲ αὕτη καὶ ἀρχὴ, οὐκ ἂν ἄπειροι εἶεν αἱ τῶν φυσικῶν τε καὶ ἐν γενέσει ἀρχαί. ἀλλ' εἰ ἓν γένος τὴν οὐσίαν λέγει τὴν ἔνυλον, πρῶτον μὲν αὐτὸς ἀπεφήνατο μὴ εἶναι ἐν τῇ οὐσίᾳ ἐναντίωσιν. δεύτερον δὲ, εἰ μὲν τῆς κατὰ τὴν οὐσίαν μόνης μεταβολῆς τὰς ἀρχὰς ἐζητοῦμεν, ἔδει μόνην τὴν ἐν

τῇ οὐσίᾳ ἐναντίωσιν ἀρχὴν τίθεσθαι. εἰ δὲ καὶ τῆς κατὰ τὸ ποιὸν καὶ τῆς κατὰ τὰς ἄλλας κατηγο-
ρίας, ἄλλην ληπτέον ἐναντίωσιν κοινήν. ἢ πρὸς μὲν τὸ μὴ εἶναί τι τῇ οὐσίᾳ ἐναντίον, χρὴ λέγειν ὅτι
ἄλλην ἐναντίωσιν ἀνεῖλεν ἐκεῖ τὴν ὡς εἰδῶν ἀμφοῖν, ἄλλην δὲ ἐνταῦθα τίθησι τὴν ὡς εἴδους καὶ στερή-
σεως. ἴσμεν δὲ ὅτι ἡ στέρησις οὐδὲ τῶν ὄντων δοκεῖ εἶναι, ἀπουσία τις οὖσα τοῦ ὄντος. ὥστε ὀρθῶς λέγεται
καὶ τὸ τῇ οὐσίᾳ μηδὲν εἶναι ἐναντίον, καὶ μίαν εἶναι ἀντίθεσιν ἐν τῇ οὐσίᾳ. πρὸς δὲ τὸ δεύτερον ἔλε-
γεν ὁ ἡμέτερος καθηγεμὼν Ἀμμώνιος, ὅτι τῆς τῶν οὐσιῶν ὑποστάσεως τὰς ἀρχὰς ζητοῦμεν. ἐν αἷς καὶ
αἱ ἄλλαι κατηγορίαι τὸ εἶναι ἔχουσιν. ὅπερ καὶ ὁ Ἀλέξανδρος ἐπέστησεν ἐξηγούμενος τὸ ἅμα δὲ καὶ
ἀδύνατον πλείους εἶναι ἐναντιώσεις τὰς πρώτας. ἡ γὰρ οὐσία ἕν τι γένος ἐστὶ τὸ αὐτό. καθάπερ γὰρ
τὸ ὂν πρώτως μέν ἐστιν ἡ οὐσία, δευτέρως δὲ ἀπὸ ταύτης καὶ τοῖς ἄλλοις γένεσιν ἐφήκει, κατὰ τὰ ὡς
ἀφ' ἑνὸς καὶ πρὸς ἕν, οὕτω καὶ αἱ τῶν ἄλλων γενῶν ἐναντιώσεις παρὰ τῆς ἐν τῇ οὐσίᾳ τὸ εἶναι ἔχου-
σι. τὸ οὖν εἶδος καὶ τὴν στέρησιν πρῶτον μὲν ἐπὶ τῆς κατ' οὐσίαν ἐναντιώσεως ἁρμόσει λέγειν. κατὰ
δὲ δεύτερον λόγον καὶ ἐπὶ τῶν κατὰ τὰς ἄλλας κατηγορίας μεταβολῶν. ἔστι γὰρ καὶ ἐπ' ἐκείνων τὸ
μὲν, εἶδος. τὸ δὲ, στέρησις. τὸ δὲ ἐν παντὶ γένει ἕν, οὐ περὶ τοῦ προσεχοῦς εἰς εἴδη διαιρουμένου γένους
λέγοιτο ἄν. ἡ γὰρ κατὰ τοῦτο ἐναντίωσις οὐκ ἂν εἴη πρώτη, εἴπερ μὴ δὲ τὸ γένος τοῦτο πρῶτόν ἐστιν. ἡ
δὲ ἀρχὴ καὶ ἐναντίωσις πρώτη ὤφειλεν εἶναι τῶν ἄλλων ἐναντιώσεων. ἀλλ' ὁ μὲν μέγας Συριανὸς,
μήποτε φησὶ γένος μὲν τὴν κατηγορίαν λέγειν, μίαν δὲ ἔχειν ἐναντίωσιν. ἐπεὶ καὶ ὡς πολλαὶ, εἰς
μίαν ἀνάγονται τὴν ὑπεροχὴν καὶ τὴν ἔλλειψιν, ἥτις καθ' ἑκάστην κατηγορίαν οἰκείως λαμβάνεται.
ἀεὶ γὰρ τὸ κρεῖττον τῶν ἐναντίων ὑπεροχὴ, τὸ δὲ καταδεέστερον ἔλλειψις. ἄλλη οὖν ἐν ποσῷ ὑπερο-
χή. καὶ ἄλλη ἐν ποιῷ, καὶ ἄλλη ἐν τῷ ποῦ ἢ κεῖσθαι. ὁσαχῶς γάρ φησιν ὁ Πορφύριος τὸ ὂν, τοσαυ-
ταχῶς καὶ ἡ ὑπερβολὴ καὶ ἡ ἔλλειψις. ἴσως δέ φησι προσθείη ἄν τις, εἰ ἐπιδέχοιτο ἀντίθεσιν τοιαύ-
την πᾶσα κατηγορία. ὁ δὲ Ἀμμώνιος ἔλεγε μὴ περὶ τοῦ κυρίως γένους λέγεσθαι νῦν, μήτε τοῦ προ-
σεχοῦς μήτε τοῦ ἀνωτάτω. οὐ γὰρ ἡ ἐναντίωσις ἡ κατὰ τὰς διαφορὰς ὁποτέρου τούτου ποιεῖ τὴν γέ-
νεσιν καὶ τὴν φθοράν. ἀλλ' ὅπερ φησὶ καὶ ὁ Ἀλέξανδρος πρὸς τῷ τέλει τῆς τοῦ ῥητοῦ τούτου ἐξηγή-
σεως ἐπέστησε, γένος ἓν καλεῖ νῦν τὸ ἓν ὑποκείμενον. ἔθος δ' αὐτῷ καὶ τὴν ὑποκειμένην ἑκάστῳ φύ-
σιν γένος καλεῖν. καθάπερ οὖν περὶ τὸν ἀριθμὸν θεωρεῖται μία ἐναντίωσις ἡ τοῦ ἀρτίου καὶ περιττοῦ,
καὶ περὶ τὸν χυμὸν ἡ τοῦ γλυκέος καὶ πικροῦ, καὶ περὶ τὴν ἐπιφάνειαν ἡ τοῦ λείου καὶ τραχέος,
οὕτω καὶ περὶ τὴν οὐσίαν ἐναντίωσις μία θεωρεῖται, ἡ τοῦ εἴδους καὶ τοῦ ἀνειδέου, ὃ καλεῖ αὐτὸς στέ-
ρησιν. καθάπερ οὖν ὁ ἀριθμὸς τῷ μὲν λόγῳ ἕτερός ἐστι τοῦ ἀρτίου καὶ περιττοῦ, οὐδὲν γὰρ τούτων
πρὸς τὸν τοῦ ἀριθμοῦ λόγον παραλαμβάνεται, τῇ δὲ ἐνεργείᾳ μετὰ θατέρου τούτων πάντως ἐστὶ,
καὶ ἡ ἐπιφάνεια πρὸς τὸ ὁμαλὸν καὶ τὸ ἀνώμαλον ἔχει, οὕτω καὶ ἡ ὑποκειμένη φύσις τῇ οὐσίᾳ πρὸς
τὸ εἶδος καὶ τὸ ἀνείδεον ἔχει. ἐν δὴ τούτοις, πρὸς μὲν τὰ τοῦ φιλοσόφου Συριανοῦ ῥητέον, ὡς οἱ μὲν τὴν
ὑπεροχὴν καὶ τὴν ἔλλειψιν κυρίως ἀκούει, μόνως ἂν εἴη τῆς ποσότητος οἰκεία ἡ ἐναντίωσις. καὶ γὰρ
ἐν ταῖς ἄλλαις κατηγορίαις διὰ τὴν ποσότητα ὑπάρχει. εἰ δὲ κατὰ τὸ κρεῖττον αὐτὴν καὶ καταδεέ-
στερον ἀποδέχεται, πῶς ἐφιστάνει εἰ ταύτην πᾶσα κατηγορία ἐπιδέχεται. καὶ γὰρ διαφοραὶ πάν-
τως εἰσὶν ἑκάστης. καὶ ἐν ταῖς διαφοραῖς ἡ μὲν κρείττων ἐστὶν, ἡ δὲ, καταδεεστέρα. πρὸς δὲ τὰ τοῦ ἡμε-
τέρου καθηγεμόνος, μαρτυρουμένου καὶ τὸν Ἀλέξανδρον, πρῶτον μὲν πῶς ἡ τῆς οὐσίας ἐναντίω-
σις καὶ ταῖς ἄλλαις ὑπάρξει κατηγορίαις, ἑκάστης οἰκείαν ὀφειλούσης ἔχειν ἐναντίωσιν, ὥσπερ καὶ
γένος οἰκεῖον. εἰ γὰρ ἀπὸ τῆς οὐσίας ταῖς ἄλλαις, καὶ τὸ εἶναι, καὶ τὸ γένος, καὶ ἡ ἐναντίωσις, ἓν ἂν
εἴη πρῶτον γένος ἡ οὐσία, καὶ οὐκέτι δέκα τὰ πρῶτα. οὐδὲ γὰρ οὐδὲ τὸ ὂν ἀπὸ τῆς οὐσίας ταῖς ἄλ-
λαις ὑπάρχει. ἀλλὰ πρώτη μὲν τῇ οὐσίᾳ πάρεστι, μετ' ἐκείνην δὲ ταῖς ἄλλαις. ὥσπερ καὶ ἡ τάξις
οὐκ ἀπὸ τοῦ πρώτου τῷ δευτέρῳ, ἀλλὰ πᾶσιν ἀπὸ τῆς κοινῆς τάξεως. πῶς δὲ τὸ γένος ἓν τὸ ὑποκεί-
μενον ἔλεγε νῦν καὶ τὴν ὕλην, μήπω δείξας ὅτι δεῖ τινα τρίτην εἶναι ἀρχὴν, τὴν τοῖς ἐναντίοις
ὑποκειμένην, ὅπερ μετ' ὀλίγον ποιήσει. ἀλλ' ὅτι μὲν ἐναντίωσιν τὴν κατὰ τὸ εἶδος καὶ τὴν στέρησιν βού-
λεται λαβεῖν, διὰ τῶν ἐφεξῆς δῆλον. αὕτη δὲ οὐ περὶ τὴν οὐσίαν μόνην ὑφέστηκεν, ἀλλὰ περὶ πᾶ-
σαν κατηγορίαν τὴν δεχομένην μεταβολήν. καὶ γὰρ ἡ λευκότης ποτὲ μὲν πάρεστι τῷ ὑποκειμένῳ,
ποτὲ δὲ ἄπεστι. καὶ παρούσης μὲν, τὸ εἶδος λέγεται τῆς λευκότητος ὑπάρχειν αὐτῷ. ἀπούσης δὲ, ἡ
στέρησις. καὶ ἐπὶ τῶν ἄλλων κατηγοριῶν ὁμοίως. μήποτε οὖν ὅταν λέγῃ, ἡ δὲ οὐσία ἕν τι γένος, οὐ
τὴν οὐσίαν λέγει νῦν τὴν ταῖς ἄλλαις κατηγορίαις ἀντιδιῃρημένην, ἀλλὰ τὴν ὅλην τῆς φυσικῆς
ὑποστάσεως τῆς ἐν μεταβολῇ οὔσης ὕπαρξιν. περὶ ἧς νῦν ὁ λόγος, καὶ ἧς τὰς ἀρχὰς ζητοῦμεν. ἐφ'
ἧς πάσης ἡ κατὰ τὸ εἶδος καὶ τὴν στέρησιν ἐναντίωσις θεωρεῖται, διὰ τὴν μεταβολὴν ὑπάρχουσα.
ὅτι δὲ ἐν τῇ τοιαύτῃ οὐσίᾳ μίαν εἶναι δεῖ τὴν ἀνωτάτω ἐναντίωσιν, δείκνυσι λαβὼν, ὅτι ὅλη ἕν γέ-
νος τί ἐστιν ἡ τοιαύτη ὕπαρξις, ἡ φυσικὴ καὶ γενητὴ καὶ ἔνυλος. ὥσπερ ἂν εἴποι ἕν τι γένος εἶναι καὶ τῆς
νοητῆς καὶ ἀγενήτου καὶ ἀΰλου παντελῶς ὑποστάσεως. εἶτα προσλαβὼν ὅτι ἐν παντὶ γένει ἑνὶ μία
ἐστὶν ἐναντίωσις ἡ ἀνωτάτω, συνήγαγεν ὅτι καὶ ἐν τῷ γένει τούτῳ τῷ νῦν ἢ μίαν ὑποκειμένῳ, ἤτοι τῷ

τῆς φυσικῆς οὐσίας, μία ἐν ἐναντίωσις ἡ ἀρχικὴ τοῦ γένους, καὶ διὰ τοῦτο οὐκ ἂν εἶεν ἄπειροι ἀρχαί.
καὶ μὴ θαυμάσωμεν τὸ τῆς οὐσίας ὄνομα κοινῶς λεγόμενον. νῦν γὰρ καὶ τὴν γένεσιν καὶ τὴν φθορὰν
ἀκριβολογούμενος μὲν κατ' οὐσίαν ὁρίζει μεταβολήν. πολλαχοῦ δὲ καὶ ἐπὶ ποιότητος αὐταῖς χρῆται,
λευκὸν ἐκ μέλανος γίνεσθαι λέγων, καὶ φθείρεσθαι τὸ μέλαν εἰς τὸ λευκόν. καίτοι ἐν τῷ τὸ μέλαν γί-
νεσθαι λευκὸν, οὐδεμία γίνεται κατ' οὐσίαν μεταβολὴ ἀλλὰ κατὰ ποιότητα. ὅτι δὲ ἐν παντὶ γένει
ἐν μία ἐστὶν ἐναντιότης ἡ πρώτη, δῆλον ἐντεῦθεν. τὸ γένος κοινότητα φύσεως σημαίνει. ἡ δὲ κοινότης,
ἢ ἄνωθέν ἐστιν, ὡς αἰτία εἶναι τῶν διαφορῶν, ὡς ἡ οὐσία καὶ ἡ ὕλη, ὥσπερ αἱ δέκα κατηγορίαι, ἢ κά-
τωθεν, ὡς ὑποδέχεσθαι αὐτάς. εἴτε δὲ αἰτία, δηλονότι ἐν τῷ πλάτει τῆς τῶν διαφορῶν ἀπογεννήσεως,
δύο ἄκρα προτάξει τὰ πλεῖστον ἀλλήλων διεστηκότα, ταῦτα δὲ εἰπεῖν ἐναντία. εἴτε ὑποκείμενον, ἕξει
πάντως ἐν τοῖς περὶ αὐτὸ μεταβάλλουσι, τὰ πλεῖστον ἀλλήλων διεστηκότα προσεχῶς οὐ πλέον ἢ δύο.
τοῦτο δὲ ἐπ' αὐτῶν φαίνεται τῶν πραγμάτων. ἐν γὰρ τῷ ποιῷ μία ἡ ἄνω ἐναντίωσις, ὅμοιον καὶ ἀνόμοιον. καὶ
ἐν ποσῷ, ἴσον καὶ ἄνισον. οὕτω δὲ καὶ ἐν οὐσίᾳ τῇ κοινῇ εἶδος καὶ στέρησις. ἢ οὖν οὕτως ἀκουστέον τὴν οὐσίαν,
ἢ κατὰ τὸ πανταχοῦ οὐσιῶδες. καὶ γὰρ τὸ χρῶμα καὶ τὸ συγκριτικὸν οὐσιωδῶς ὑπάρχειν τῷ μέλανι
λέγομεν. οὕτω δὲ καὶ ἐπὶ πάσης κατηγορίας ἐστὶ τὸ οὐσιῶδες ἑκάστης, καθ' ὃ καὶ φθείρεσθαι καὶ γίνεσθαι
λέγεται τὸ μέλαν, ἢ τὸ δίπηχυ ἢ τὸ δεξιόν. καίτοι ἡ ὑποκειμένη αὐτοῖς οὐσία, τουτέστι γινομένων καὶ φθει-
ρομένων, οὐ λέγεται γίνεσθαι ἢ φθείρεσθαι ἀλλ' ἀλλοιοῦσθαι. οὐσία οὖν λέγεται νῦν, περὶ ἣν γένεσις καὶ
φθορά. ἐν ᾗ καὶ ἡ κυρίως οὐσία ἡ καθ' ἑαυτὴν ὑφεστάναι λεγομένη, καὶ ἡ τῶν συμβεβηκότων τῇ τοιαύτῃ οὐσίᾳ
ὑπόστασις. καὶ γὰρ καὶ αὕτη γενέσεως μετέχει καὶ φθορᾶς. ἐὰν οὖν ὁ Ἀλέξανδρος οὐσίαν ἐνταῦθα τὴν κατὰ
τὸ ἔνυλον εἶδος ἀκούῃ, εἰ μὲν τὴν κυρίως οὐσίαν τὴν ταῖς ἄλλαις κατηγορίαις ἀντιδιῃρημένην, ἐλλι-
πὴς ὁ λόγος. εἰ δὲ τὴν κοινῶς ἐπὶ πάντων τῶν γεννητῶν εἰδῶν λεγομένην, εὖ ἂν ἔχοι. καὶ τὰ Εὐδήμου δὲ τοῦ
Ῥοδίου πρὸς ταύτην μοι δοκεῖ τὴν ἔννοιαν φέρεσθαι, εἰ καὶ ἀσαφῶς εἴρηται κἀκεῖνα. ἔχει δὲ οὕτως.
» εἰ δέ ἐστιν ἐναντιότης, δύο τοὐλάχιστον ἔσται. δύο δὲ ὑποκειμένων τῶν πρώτων ἐναντίων, τούτων μὲν οὐδέτε-
» ρον οἷόν τε εἶναι οὐσίαν, ἐπειδὴ οὐκ ἔστιν ἡ οὐσία τῶν ἐναντίων. εἰ δὴ ὁ φυσικὸς μὴ περὶ πάντων σκοπεῖ, διό-
» περ οὐδὲ ἀριθμεῖ πάντα τὰ ὄντα, οὐδὲ ἀρχὰς κοινὰς πάντων λαμβάνει, ἀλλὰ τῶν οὐσιῶν, καὶ τούτων, τῶν
» σωματικῶν, διὰ γένους τινὸς ἑνός, μὴ γίνεται δὲ τὸ τυχὸν ἐκ τοῦ τυχόντος, ἀλλ' ὁμογενές, διὸ χρῶμα
» ἐκ χρώματος, χυλὸς ἐκ χυλοῦ, καὶ τὰ λοιπὰ ὁμοίως, οὐδ' ἂν ἡ οὐσία γίνοιτο ἐκ μὴ οὐσιῶν, οὐδὲ σῶμα μὴ
ἐκ σώματος. ἐν τούτοις τὸ μὲν διὰ γένους τινὸς ἑνός, καὶ τὸ μὴ γίνεται δὲ τὸ τυχὸν ἐκ τοῦ τυχόντος, ἀλλ' ὁμο-
γενές, διὸ χρῶμα ἐκ χρώματος, οὐσίαν εἰλῆφθαι σημαίνει, οὐχὶ τὴν ἐν τοῖς δέκα γένεσι πρώτην. οὐ γάρ
ἐστιν διὰ γένος ἐκείνη, ἀλλὰ γένος τῷ ὄντι. περὶ ἐκείνης οὖν λέγοιτ' ἂν τῆς καὶ τὰ συμβεβηκότα περιεχούσης.

ΚΑΙ ΟΤΙ ἐνδέχεται ἐκ πεπερασμένων. βέλτιον δὲ, ἐκ πεπερασμένων, ὥσπερ Ἐμπεδοκλῆς, ἢ ἐξ
ἀπείρων. πάντα γὰρ ἀποδιδόναι οἴεται ὥσπερ Ἀναξαγόρας ἐκ τῶν ἀπείρων.

Τρίτον τοῦτον κομίζει λόγον δεικτικόν, τοῦ μὴ ἀπείρους ἀλλὰ πεπερασμένας εἶναι τὰς ἀρχάς. εἰ γὰρ
τὰ ἄλλα ταὐτά ἐστι, βέλτιον πεπερασμένας ἢ ἀπείρους εἶναι τὰς ἀρχάς. ἀλλὰ μὴν τὰ ἄλλα ταὐ-
τά ἐστι. βέλτιον ἄρα τὸ πεπερασμένας. καὶ τὸ μὲν συνημμένον δῆλον ἐκ τοῦ πρότερον ἀποδειχθέντος.
εἰ γὰρ αἱ ἄπειροι ἀρχαὶ, καὶ αὗται ἄγνωστοι, καὶ τὰ ἀπ' αὐτῶν ἄγνωστα ποιοῦσιν εἶναι, δηλονότι βέλτιον
τὸ πεπερασμένον, καὶ μάλιστα τῶν ἄλλων τῶν αὐτῶν ὄντων ἐν ταῖς τῶν αἰτίων ἀποδόσεσιν. ὅτι δὲ καὶ πεπερα-
σμένων οὐσῶν, αἱ αἰτίαι τῶν γινομένων ἀποδίδονται, δῆλόν ἐστιν, ἐξ ὧν Ἐμπεδοκλῆς πεπερασμένα λέ-
γων τὰ στοιχεῖα, πάντα οἴεται ἀποδιδόναι, ὅσαπερ Ἀναξαγόρας ἐκ τῶν ἀπείρων. τοῦτο δὲ τὸ ἐπιχείρημα
καὶ ἄλλο τι χρήσιμον ἔχει. πρὸς γὰρ τοὺς εἰπόντας ἂν, ὅτι ἄγνωστον μὲν τὸ ἄπειρον, οὐ μὴν δυνατὸν ἄλλως
ὑποθεμένους τὰς αἰτίας τῶν γινομένων ἀποδιδόναι, εἴπερ καὶ ἐξ ὄντος δεῖ τὰ γινόμενα γίνεσθαι, καὶ δο-
κεῖν ἐκ μὴ ὄντος, κἂν δυσσύνοπτον οὖν μᾶλλόν ἐστι τὸ πεπερασμένον, οὐ διὰ τοῦτο δεῖ παρέντας τὸ ἀληθὲς
ἄλλο τι λέγειν, οὐ γὰρ αὐτοὶ ποιηταὶ γινόμεθα φύσει συνεστώτων, ἀλλ' ὅπως ἔχει θεωροῦμεν αὐτά,
πρὸς οὖν τοὺς ταῦτα λέγοντας τὸν Ἐμπεδοκλέα παρατίθησιν. ὃς πεπερασμένας λέγων τὰς ἀρ-
χὰς, πάντα ἀπεδίδου, ὅσα καὶ οἱ ἀπείρους λέγοντες.

ἜΤΙ ΔΈ ἔστιν ἄλλα ἄλλων πρότερα ἐναντία καὶ γίνεται ἕτερα ἐξ ἀλλήλων. οἷον γλυκὺ καὶ πικρὸν καὶ τὸ
λευκὸν καὶ τὸ μέλαν. τὰς δ' ἀρχὰς, ἀεὶ δεῖ μένειν, ὅτι μὲν οὖν, οὔτε μία, οὔτε ἄπειροι, δῆλον ἐκ τούτων.

Ταύτην δευτέραν αἰτίαν ὁ Ἀλέξανδρος ἐπάγεσθαί φησι, τοῦ δεῖν ἐν ταῖς ἀρχαῖς μίαν ἐναντίωσιν τι-
θέναι καὶ μὴ ἀπείρους. καὶ ὡς μὲν μίαν ἐναντίωσιν τὴν ἀρχὴν δεικνῦσα, δευτέρα ἂν εἴη. ὡς δὲ ὅτι οὐκ ἄ-
πειροι αἱ ἀρχαί, τετάρτη ἐστὶν ἐπιχείρησις. πρώτη μὲν γὰρ ἦν ἡ λέγουσα μὴ οἷόν τε εἶναι ἀπείρους, ὅτι μη-
δὲ ἐπιστητὸν ὄν. δευτέρα, τὸ μία ἐναντίωσις ἐν παντὶ γένει ἑνί. τρίτη δὲ, καὶ ὅτι ἐνδέχεται ἐκ πεπερασμέ-
νων. ἐφ' αἷς αὕτη τετάρτη, ἅμα καὶ ἔνστασιν λύουσά τινα, τὴν λέγουσαν ὅτι κἂν τἀναντία ἀρχαὶ, τί κω-
λύει ἄπειρα τὰ ἐναντία εἶναι, πολλῶν ἀντιθέσεων προφερομένων. λύει δὲ δεικνῦσα, ὅτι πάντα τὰ
ἐναντία εἰς μίαν ἀντίθεσιν ἀνάγεται τὴν ἀνωτάτω. ἅμα δὲ καὶ προσαποδείκνυσιν, ὅτι οὐ μόνον ἄπειρα
οὐκ ἔστι τὰ ἐναντία, ἀλλ' οὐδὲ πλείονα δυοῖν τὰ ἀνωτάτω καὶ ἀρχικά. κἂν γὰρ πολλά ἐστι τὰ ἐναντία,

ἀλλὰ

ἀλλ' ἀλλήλων ἀεὶ πρότερα ἐναντία, καὶ τὰ μὲν περιέχοντα, τὰ δὲ περιεχόμενα. καὶ γίνεται ἐκ τῶν προτέ-
ρων τὰ δεύτερα, καὶ ἐκ τῶν περιεχόντων τὰ περιεχόμενα. καὶ δῆλον ὅτι τὰ πρώτιστα καὶ περιέχοντα,
ταῦτα ἂν εἶεν ἀρχαί. δεῖ γὰρ τὰς ἀρχὰς καὶ πρώτας εἶναι καὶ πάντων κοινάς. καὶ ὅτι μὲν οὕτως ἔχει τὰ ἐναν-
τία, ὡς τὰ μὲν περιέχειν, τὰ δὲ περιέχεσθαι, καὶ εἶναι ἄλλα ἄλλων πρότερα, καὶ γίνεσθαι ἕτερα ἐξ ἄλλων,
καὶ πρότερον εἶπεν, ὅτε ἔλεγε, λαμβάνουσι γὰρ ἐκ τῆς τοιαύτης συστοιχίας. τὰ μὲν γὰρ περιέχει, τὰ δὲ, πε-
ριέχεται τῶν ἐναντίων. τὰ γὰρ περιέχοντα καὶ πρότερα καὶ αἴτια. καὶ νῦν δὲ διὰ τῶν παραδειγμάτων ἐνεδεί-
ξατο. τὸ γὰρ γλυκὺ καὶ πικρὸν, καὶ λευκὸν, καὶ μέλαν, ἐκ γῆς καὶ πυρὸς γίνεται. καὶ ταῦτα ἐκ θερμοῦ καὶ ψυ-
χροῦ. ὥσπερ ταῦτα εἰς μάνωσιν καὶ πύκνωσιν ἀνέφερον, καὶ ταύτας εἰς σύγκρισιν καὶ διάκρισιν. καὶ δη-
μόκριτος δὲ ἀπείρους τὰς ἀτόμους ὑποθέμενος, τὰς κατὰ ποιότητα αὐτῶν διαφορὰς, τὰς κατὰ θέσιν
καὶ τὰ σχήματα καὶ τὴν τάξιν ἐναντιώσεσι γενικαῖς, προτέρας ταύτας ἐκείνων ὑποτιθέμενος. δεῖ γὰρ
τὰς κοινὰς πάντων ὡς ἀρχὰς λαβεῖν. ἐὰν δὲ εἴπω λευκὸν καὶ μέλαν τὰς ἀρχὰς, τῶν μὲν κεχρωσμέ-
νων ἔσονται ἀρχαί. τῶν δὲ ἀχρωμάτων, οἷον σκληροῦ καὶ μαλακοῦ, ἢ γλυκέος καὶ πικροῦ, οὐκέτι. καὶ γλυκὺ δὲ
καὶ πικρὸν, τῶν ἀχύμων οὐκ ἂν εἶεν ἀρχαί. σύγκρισις δὲ καὶ διάκρισις πάντων κοιναὶ τῶν φυσικῶν, καὶ πέρας
καὶ ἄπειρον, καὶ ταὐτὸν καὶ ἕτερον. καὶ πάντων κοινότατον, καὶ ὡς φυσικὸν κοινὸν, τὸ εἶδος καὶ ἡ στέρησις. διὸ
κάλλιον καὶ τὰς πολλὰς εἰς μίαν ἀνάγειν. καὶ ἐμπεδοκλῆς γοῦν καίτοι δύο ἐν τοῖς στοιχείοις ἐναντιώσεις
ὑποθέμενος, θερμοῦ καὶ ψυχροῦ, ὑγροῦ καὶ ξηροῦ, εἰς μίαν τὰς δύο συνεκορύφωσε τὴν τοῦ νείκους καὶ τῆς
φιλίας, ὥσπερ καὶ ταύτην εἰς μονάδα τὴν τῆς ἀνάγκης. ἀλλ' αὕτη μὲν ὡς ἕν. τὸ δὲ νεῖκος καὶ ἡ φι-
λία, ὡς δύο. καὶ οὐχ ὡς ποιητικὰ μόνον, ἀλλὰ καὶ ὡς στοιχειώδη, ὡς ἡ διάκρισις καὶ ἡ σύγκρισις. ἰσοδυ-
ναμεῖ γὰρ τούτοις. εἰ οὖν τινὰ τῶν ἐναντίων ἐξ ἄλλων ἐναντίων γινόμενα φαίνεται, οὐκ εἶεν πάντα τὰ ἐναντία
ἀρχαί. αἱ γὰρ ἀρχαὶ πρῶται. τὰ δὲ πρῶτα οὔτε ἐξ ἄλλων οὔτε ἐξ ἀλλήλων. εἰ οὖν πάντα εἰς μίαν ἐναντί-
ωσιν ἀνάγεται, ἢ σύγκρισιν καὶ διάκρισιν, ἢ ὑπερέχον καὶ ὑπερεχόμενον, ἢ εἶδος καὶ στέρησιν, ἄλλων κατ' ἄλ-
λην ἐπιβολὴν τὴν πρώτην ἐναντίωσιν θεασαμένων, εἴη ἂν ἡ πρώτη ἐναντίωσις ἀρχὴ, μία οὖσα. ἀλλὰ
πῶς τὰ ἐναντία ἀρχὰς τῶν γινομένων καὶ φθειρομένων εἰπὼν, ἐπήγαγε τὰς δὲ ἀρχὰς ἀεὶ δεῖ μένειν. ὁ
μὲν οὖν ἀλέξανδρος ἀϊδίους φησὶν εἶναι τὰς ἀρχάς. εἰ γὰρ γίνοιντο, πᾶν δὲ τὸ γινόμενον φθείρεται, φθείροιν-
το ἂν αἱ ἀρχαί. ὥστε καὶ τὰ ἐκ τῶν ἀρχῶν. ὥστε ἐπιλείψει ποτὲ ἡ γένεσις, μηδενὸς ὄντος ἐξ οὗ τι γενή-
σεται. εἰ δὲ ἄτοπον τοῦτο, δεῖ τὰς ἀρχὰς ἀεὶ εἶναι. εἶτα καὶ τὴν πλάτωνος ἀπόδειξιν προστίθησι περὶ τῶν
ἀρχῶν. εἰ γὰρ γίνοιντο, ἐξ ἀρχῶν ἂν γίνοιντο. εἰ δὲ τοῦτο, οὐκ ἂν ἀρχαὶ εἶεν αὗται. διτταὶ δέ εἰσί φησιν
ἀρχαὶ ὡς δειχθήσεται. αἱ μὲν, προϋπάρχουσαί τε καὶ ἀγένητοι καὶ ἀΐδιοι κατ' ἀριθμόν. ὡς τὸ ὑποκείμενον καὶ
ἡ ὕλη. αἱ δὲ, καθ' ἃς ἡ γένεσίς τε καὶ φθορά. ἅπερ ἐστὶ τὰ ἐναντία. ἅπερ οὔτε ἀγένητα οὔτε ἀΐδιά ἐστι κατ'
ἀριθμόν. ἔτι δέ φησι πολλῶν ἀρχῶν οὐσῶν, οὐ πᾶσαι αἱ ἀρχαὶ ἀΐδιοι. ἀλλὰ αἱ ἀρχικώταται. αἱ δὲ προ-
σεχεῖς, φθαρταί. ὥστε οὐ πᾶσα ἀρχὴ ἀΐδιός ἐστιν. ἔτι ἐναντίων ὄντων, τῶν μὲν καθόλου, τῶν δὲ καθέκα-
στα, τὰ μὲν καθέκαστα, ἅ ἐστι γινόμενα, καὶ φθείρεται. τὰ δὲ καθόλου ἐναντία, ὑφ' ἃ πάντα τὰ ἐναντία,
ἃ καὶ γενικώτατά ἐστι, στέρησις καὶ εἶδος, οὐ φθείρεται. τὰ γὰρ καθόλου ἄφθαρτά ἐστι. ταῦτα τοῦ ἀλεξάνδρου
κατ' αὐτῆς τῆς λέξεως εἰπόντος, ἄξιον ἂν εἴη καὶ πρὸς αὐτὸν καὶ πρὸς ἀριστοτέλη ζητεῖν, πῶς ἀρχὰς
λαμβάνων τὰς προσεχεῖς καὶ στοιχειώδεις, ἀλλ' οὐχὶ τὰς ποιητικὰς καὶ ἐξῃρημένας, πῶς δὲ καὶ τὰ
ἐναντία ἐκ τῶν ἐναντίων γίνεσθαι λέγων καὶ φθείρεσθαι εἰς τὰ ἐναντία, ταῦτα τιθεὶς ἀρχὰς, ὅμως ἀϊδί-
ους λέγει τὰς ἀρχάς. καίτοι καὶ αὐτὸς ἀλέξανδρος τὰ καθ' ἃ ἡ γένεσις καὶ ἡ φθορὰ, ἅπερ ἐστὶ τὰ ἐναν-
τία, οὔτε ἀγένητα οὔτε ἀΐδια κατ' ἀριθμὸν εἶναί φησι. δῆλον δὲ ὅτι περὶ τῶν ὡς ἐναντίων ἀρχῶν ὁ ἀρι-
στοτέλης διαλεγόμενος, ἐπήγαγε τὰς δὲ ἀρχὰς ἀεὶ δεῖ μένειν. ὥστε κἂν αἱ ἀρχικώταται ὡς φησὶν ἀρ-
χαὶ ἀΐδιοί εἰσιν, αἱ δὲ προσεχεῖς φθαρταὶ, τῶν προσεχῶν ἂν εἶεν ἐναντίαι. πῶς δὲ τὰ καθόλου ἐναντία
ἀΐδια λέγων, τὰ δὲ καθέκαστα φθαρτὰ, οὐκ ἐπέστησεν ὅτι οὐ μόνον τῷ καθόλου εἴδει καὶ τῇ στερήσει ταῦ-
τα ὑπάρχει, ἀλλὰ καὶ τῷ καθόλου λευκῷ καὶ τῷ καθόλου μέλανι. ὥστε καὶ ταῦτα ἀρχαί. ὅλως δὲ
πρὸς τὸ μίαν δεῖξαι τὴν ἀρχικὴν ἐναντίωσιν, τί συντελεῖ τὸ ἀϊδίους τὰς ἀρχὰς εἰπεῖν. οὐ γὰρ εἰ ἀΐ-
διοι, ἤδη καὶ δύο. μήποτε οὖν καὶ τοῦτο κάλλιον ὡς ὁ ἡμέτερος διορθοῦται καθηγεμὼν, λέγων τὸ ἀεὶ δεῖ μέ-
νειν οὐ τὸ ἀΐδιον σημαίνειν, οὐδὲ ἀγενήτους καὶ ἀφθάρτους δηλοῦν ταύτας τὰς ἀρχὰς, περὶ ὧν ὁ λό-
γος. πῶς γὰρ ἔτι κατὰ τὴν τούτων μεταβολὴν ἡ γένεσις ἔσται καὶ φθορὰ, ὅπερ ἐστὶ τὸ ζητούμενον ἐν τού-
τοις. ἀλλὰ τὸ ἀεὶ δεῖ μένειν εἴρηται, ὡς δέον ὂν ἐπὶ ἑκάστου τῶν γινομένων καὶ φθειρομένων εὑρίσκεσθαι
πάντως ἢ εἶδος ἢ στέρησιν ἐν τῷ μεταβάλλοντι. μᾶλλον δὲ καὶ εἶδος καὶ στέρησιν. καὶ γὰρ εἶδος ἔχει πᾶν καὶ
στέρησιν, ἀπουσίαν οὖσαν ἐκείνου τοῦ εἴδους, εἰς ὃ μεταβάλλειν πέφυκε. τὸ γὰρ λευκὸν σῶμα ἔχει μὲν τὸ
λευκὸν εἶδος, στέρησιν δὲ τοῦ μέλανος, εἰς ὃ μεταβάλλειν πέφυκε. καὶ εἴη ἂν τοῦτο τῆς ἀρχικῆς ὄντως
ἐναντιώσεως ἴδιον. διὸ καὶ ἐπήγαγεν αὐτὸ ὁ ἀριστοτέλης, ὡς αἰτίαν τοῦ τὰς ἄλλας ἐναντιώσεις μὴ εἶναι
ἀρχὰς, εἴπερ μὴ διὰ πάντων χωροῦσι. τῶν μὲν γοῦν μερικωτέρων ἀντιθέσεων οὐδεμίαν ἐπὶ τὰ φυσικὰ
πάντα πράγματα ἐκτεταμένην εὑρήσεις. οὔτε γοῦν μέλανα πάντα, οὔτε λευκὰ, οὔτε γλυκέα,
οὔτε πικρά ἐστι τὰ φυσικά. ἐν πᾶσι δέ ἐστιν εἶδος. πλὴν ἐπὶ μὲν τῶν ἀϊδίων τοῦτο μόνον. ἐπὶ δὲ τῶν γε-
νητῶν καὶ φθαρτῶν μετὰ τοῦ εἴδους καὶ ἡ στέρησις, οὐχ ἡ αὐτοῦ τοῦ εἴδους, ἀλλ' ἡ τοῦ ἀντικειμένου, εἰς ὃ με-

τα βάλλειν πέφυκεν. οὕτως οὖν ἀεὶ διαμένειν ἡ ἀντίθεσις ἡ ἀρχικὴ λέγεται, καίτοι τῶν ἄλλων ἀντιθέσεων μὴ διαμενουσῶν. ὥσπερ εἰ καὶ τὴν ὕλην τις τὴν πρωτίστην ἀεὶ λέγει διαμένειν, ἐν πᾶσι τοῖς ἐνύλοις ὁρωμένην, καίτοι τοῦ ξύλου καὶ τοῦ χαλκοῦ καὶ τῶν μερικῶν ὑλῶν οὐκ ἐν πᾶσι τοῖς αὐτῶν οὖσιν. μήποτε δὲ τὸ ἀεὶ οὐ μόνον τὴν τοῦ χρόνου παντότητα, ἀλλὰ καὶ τὴν τῶν πραγμάτων δηλοῖ, ὥσπερ εἴωθε τοῦ παντοχοῦ νῦν λέγεσθαι.

Ἐπεὶ δὲ πεπέρασμεναι, τὸ μὴ ποιεῖν δύο μόνον, ἔχει τινὰ λόγον. ἀπορήσειε γὰρ ἄν τις, πῶς ἡ πυκνότης τὴν μανότητα ποιεῖν πέφυκεν. ἢ αὕτη τὴν πυκνότητα. ὁμοίως δὲ καὶ ἄλλη ὁποιαοῦν ἐναντιότης. οὐ γὰρ ἡ φιλία, τὸ νεῖκος συνάγει, καὶ ποιεῖ τι ἐξ αὐτοῦ. οὐδὲ τὸ νεῖκος, ἐξ ἐκείνης, ἀλλ᾽ ἄμφω, ἕτερόν τι τρίτον. ἔνιοι δὲ καὶ πλείω λαμβάνουσιν, ἐξ ὧν κατασκευάζουσι τὴν τῶν ὄντων φύσιν.

Δείξας ὅτι τὰ πρῶτα ἐναντία ἀρχαὶ τῶν φυσικῶν εἰσὶ δύο ὄντα, εἴπερ πρῶτα ἐναντία, βούλεται λοιπὸν καὶ τρίτην ἀρχὴν εἰσαγαγεῖν, τὸ τοῖς ἐναντίοις ὑποκείμενον, ὅπερ ἐστὶν ἡ ὕλη. εἰσάγει δὲ αὐτὴν, δεικνὺς διὰ πλειόνων ἐπιχειρημάτων, μὴ ὄντα τὰ ἐναντία αὐτάρκη εἰς ἀρχῆς λόγον. μᾶλλον δὲ ὅτι οὐδὲ ἀρχαὶ ἂν εἶεν ὅλως καθ᾽ αὑτὰ λαμβανόμενα. καὶ τὸ μὲν πρῶτον ἐπιχείρημα δείκνυσιν ὅτι οὐκ εἰσὶν ἀρχαὶ τὰ ἐναντία καθ᾽ αὑτὰ λαμβανόμενα, δυνάμει συλλογιζόμενος οὕτως. αἱ ἀρχαὶ ποιοῦσί τι εἴπερ ἀρχαί. τὰ δ᾽ ἐναντία οὐ ποιοῦσί τι, εἴπερ καθ᾽ αὑτὰ εἴη. τὰ ἄρα ἐναντία οὐκ ἀρχαί. ὅτι δὲ οὐδὲν ποιεῖ τὰ ἐναντία μόνα ὄντα, δῆλον, ἐκ τοῦ τὸ ποιοῦν εἴς τι ποιεῖν ὑπομένον τὴν πεῖσιν. ὡς τὸ μέλαν εἰς τὸ σῶμα. τὰ δὲ ἐναντία εἰ καθ᾽ αὑτὰ εἴη, εἰς μηδὲν ποιεῖ. οὐ γὰρ ὑπομένει ἄλληλα. οὐδὲ τὸ λευκὸν εἰς τὸ μέλαν τι ποιεῖ. οὐδὲ ἡ φιλία εἰς τὸ νεῖκος. οὐ γὰρ τοῦ νείκους ἐστὶν ἡ φιλία συναγωγὸς, ἀλλὰ τῶν ὑποκειμένων στοιχείων. τὸ μὲν γὰρ ποιοῦν εἰς ὑπομένον τι ποιεῖ. τὸ δὲ ἐναντίον οὐχ ὑπομένει τὸ ἐναντίον. ἐπεὶ οὕτω γε μένον νεῖκος φιλία ἔσται. ἀλλ᾽ ἑκάτερον αὐτῶν περὶ τὸ ὑποκείμενον ἐνεργοῦντος, ὅσῳ μᾶλλον ἐγκρατὲς γίνεται τοῦ ὑποκειμένου τὸ ἕτερον, τοσούτῳ μᾶλλον ἐξίσταται τὸ λοιπόν. πρὸς πίστιν δὲ τοῦ καὶ τρίτου δεῖν τινος τοῖς ἐναντίοις, παρέθετο τινὰς μὴ δὲ ἓν μόνον ποιεῖν τοῖς ἐναντίοις ὑποκείμενον, ἀλλὰ πλείονα. ὡς Δημόκριτος μὲν ἀπείρους ἀτόμους τοῖς ἐναντίοις ὑποθεὶς τοῖς κατ᾽ αὐτόν. τοῖς τε κατὰ τὸ σχῆμα καὶ τὴν θέσιν καὶ τὴν τάξιν. Ἐμπεδοκλῆς δὲ τὰ τέσσαρα στοιχεῖα τῷ νείκει καὶ τῇ φιλίᾳ.

Πρὸς δὲ τούτοις, ἔτι κἂν τόδε τις ἀπορήσειεν. εἰ μή τις ἑτέραν ὑποθήσεται τοῖς ἐναντίοις φύσιν, οὐδενὸς γὰρ ὁρῶμεν τῶν ὄντων οὐσίαν, τἀναντία. τὴν δ᾽ ἀρχὴν, οὐ καθ᾽ ὑποκειμένου δεῖ λέγεσθαι τινός. ἔσται γὰρ ἀρχὴ τῆς ἀρχῆς. τὸ γὰρ ὑποκείμενον, ἀρχὴ, καὶ πρότερον δοκεῖ τοῦ κατηγορουμένου εἶναι.

Τοῦτο τὸ ῥητὸν εἰς δύο συλλογισμοὺς ὁ Ἀλέξανδρος διεῖλε. τὸ μὲν εἰ μή τις ἑτέραν ὑποθήσει τοῖς ἐναντίοις φύσιν, ὡς ἓν συνάγοντα, οὕτως. τὰ ἐναντία οὐδενὶ ὑπόκειται. αἱ δὲ ἀρχαὶ ὑπόκεινται. οὐκ ἄρα ἀρχαὶ τὰ ἐναντία. τὸ δὲ δεύτερον τοιοῦτον. αἱ ἀρχαὶ οὐ καθ᾽ ὑποκειμένου. τὰ ἐναντία οὐ καθ᾽ ὑποκειμένου. ὥστε τὰ ἐναντία οὐκ ἀρχαί. μήποτε δὲ τὸ μὲν, ἔτι κἂν τόδε τις ἀπορήσειεν εἰ μή τις ἑτέραν ὑποθήσει τοῖς ἐναντίοις φύσιν, οὐκ ἀπόδειξίς ἐστιν ἀλλὰ τὸ πρόβλημα. τὴν δὲ ἀπορίαν ἣν ἄν τις ὑποθήσει πρὸς τοὺς μὴ ὑποτιθέντας ἑτέραν φύσιν, ἐφεξῆς ἐπάγει. διὸ καὶ τὸ γὰρ προσέθηκεν, οὐδενὸς γὰρ ὁρῶμεν τῶν ὄντων οὐσίαν τἀναντία, ὡς ταύτης οὔσης αἰτίας τοῦ ἀπορεῖν πρὸς τοὺς μὴ ὑποτιθέντας ἑτέραν φύσιν τοῖς ἐναντίοις. ὁ δὲ συλλογισμὸς οἶμαι τοιοῦτος. τὰ ἐναντία ἐν ὑποκειμένῳ καὶ συμβεβηκότα. αἱ ἀρχαὶ οὐ συμβεβηκότα. τὰ ἄρα ἐναντία οὐκ ἀρχαί. καὶ ὅτι μὲν τὰ ἐναντία συμβεβηκότα προσέλαβεν ἐκ τοῦ μηδενὸς τῶν ὄντων ὁρᾶσθαι οὐσίαν τὰ ἐναντία. εἰ δὲ μὴ οὐσία, δῆλον ὅτι συμβεβηκότα. τοῦτο δὲ δῆλον, ἐκ τοῦ τἀναντία μὴ καθ᾽ αὑτὰ εἶναι, ἀλλ᾽ ἐν ὑποκειμένῳ τὸ εἶναι ἔχειν. διαφοραὶ γάρ τινες εἰσὶ τὰ ἐναντία. αἱ δὲ διαφοραὶ τινὸς διαφοραί. διὸ καὶ οὐδενὸς ὁρῶμεν φησὶν οὐσίαν τὰ ἐναντία, ὡς ὀφείλοντα πάντως ὅτι ἂν ἢ ἄλλου εἶναι. ὅτι δὲ ἡ ἀρχὴ οὐ καθ᾽ ὑποκειμένου, τουτέστιν οὐκ ἐν ὑποκειμένῳ οὐδὲ συμβεβηκὸς, δείκνυσιν οὕτως. τὸ καθ᾽ ὑποκειμένου ἀρχὴν ἔχει τὸ ὑποκείμενον. ἡ ἀρχὴ ἀρχὴν οὐκ ἔχει. ἡ ἀρχὴ ἄρα οὐ καθ᾽ ὑποκειμένου ἐστίν. ἔσται γὰρ ἀρχὴ τῆς ἀρχῆς. ἀλλὰ μὴν ἀρχὴ ἀρχῆς οὐκ ἔστιν. οὐδ᾽ ἄρα τὸ καθ᾽ ὑποκειμένου ἀρχή. τὸ δὲ συνημμένον δείκνυσιν οὕτως. τοῦ καθ᾽ ὑποκειμένου τὸ ὑποκείμενον προϋπάρχει. τὸ προϋπάρχον ἀρχή ἐστι. τοῦ ἄρα καθ᾽ ὑποκειμένου τὸ ὑποκείμενον ἀρχή ἐστιν.

Ἔτι οὐκ εἶναί φαμεν οὐσίαν ἐναντίαν οὐσίᾳ. πῶς οὖν ἐκ μὴ οὐσιῶν, οὐσία ἂν εἴη; ἢ πῶς ἂν πρότερον μὴ οὐσία οὐσίας εἴη.

Ἐν τούτοις τρεῖς δοκεῖ συλλογισμοὺς ἢ τέσσαρας συνελεῖν. ὧν ὁ μὲν πρῶτος, τοιοῦτος. ἡ οὐσία ἐναντίον οὐκ ἔχει. τὸ ἐναντίον ἐναντίον ἔχει. τὸ ἄρα ἐναντίον οὐκ ἔστιν οὐσία. ὁ δὲ δεύτερος λαβὼν ὅτι τὰ ἐναντία οὐκ οὐσία, ὡς ἐκ μεταθέσεως κατάφασιν, καὶ προσλαβὼν ὅτι ἡ μὴ οὐσία οὐκ ἔστιν οὐσίας αἰτία, συνάγει ὅτι τὰ ἐναντία οὐκ εἰσὶν οὐσίας αἴτια. τὰ δὲ οὐσίας μὴ ὄντα αἴτια οὐκ ἂν εἶεν ἀρχαὶ τῶν φυσικῶν αἰτιῶν. ὁ δὲ τρίτος τοιοῦτος. τὰ ἐναντία οὐκ ἔστιν οὐσίας πρότερα. αἱ ἀρχαὶ τῆς οὐσίας, πρότεραι τῆς οὐσίας εἰσί. τὰ ἄρα ἐναντία οὐκ εἰσὶν ἀρχαὶ οὐσίας. ὅτι δὲ τὰ ἐναντία οὐκ ἔστιν οὐσίας πρότερα, δείκνυσιν οὕτω. τὰ ἐναντία οὐκ οὐσία. ἡ μὴ οὐσία διὰ τὴν οὐσίαν καὶ ἐν τῇ οὐσίᾳ τὸ εἶναι ἔχει. τὸ διὰ τὴν οὐσίαν καὶ ἐν τῇ οὐσίᾳ τὸ εἶναι ἔχον, πρότερον οὐσίας οὐκ ἔστιν. ἀλλά τις ἡ οὐσία ἣν τῶν ἐναντίων ἀποφάσκει. ὁ μὲν οὖν Ἀλέξανδρος τῷ οὐκ εἶναι φαμὲν οὐσίᾳ οὐσίαν ἐναντίαν, προσυπακούειν φησὶ δεῖ τῇ κατὰ τὸ ὑποκείμενον.

τὸ ὑποκείμενον. τῷ δὲ εἴδει οὐσίᾳ ὄντι, ἡ στέρησις δοκεῖ ἐναντία εἶναι. εἰ μὴ ἄρα φησὶ κοινότερον ἡ στέρησις ἐναντίον εἴρηται. θαυμάζω δὲ εἰ καὶ τὴν ὕλην ἀκούειν χρὴ τὴν οὐσίαν νῦν. οὐδὲ γὰρ ἡ ὕλη καθ' αὑτὴν ἀρχή ἐστιν, οὐδὲ οὐσία κυρίως. ἀλλ' εἴπερ ἄρα, κατὰ τρίτον λόγον. οὐσία μὲν γὰρ κυρίως τὸ σύνθετον ἐξ ὕλης καὶ εἴδους. δευτέρως δὲ τὸ εἶδος. καὶ τρίτως ἡ ὕλη. καὶ οἶμαι ὅτι διὰ τοῦ αὐτοῦ ἐπιχειρήματος ἐλέγξειεν ἄν τις, ὅτι οὐδὲ ἡ ὕλη καθ' αὑτὴν ἀρχὴ ἂν εἴη, εἴπερ μὴ οὐσία καθ' αὑτήν, ἐκ δὲ μὴ οὐσίας οὐσία οὐκ ἂν εἴη. καὶ τοῦτο δὲ αὐτὸ ζητήσεως ἄξιον εἶναί μοι δοκεῖ, πῶς εἴρηται, τό, πῶς γὰρ ἐκ μὴ οὐσιῶν οὐσία ἂν εἴη. καὶ γὰρ οὐδὲ ἔδει οὐσίας εἶναι τὰ τῆς οὐσίας στοιχεῖα. εἰ γὰρ προϋπάρχει τὰ στοιχεῖα τοῦ στοιχειωτοῦ, καὶ εἰσὶν οὐσία τὰ τῆς οὐσίας στοιχεῖα, πρὸ τοῦ γενέσθαι τὴν οὐσίαν εἴη ἂν οὐσία. καὶ ὅλως πανταχοῦ τὰ στοιχεῖα οὐκ ἔστιν ὅπερ τὰ στοιχειωτά. οὔτε γὰρ τὰ τοῦ λόγου στοιχεῖα λόγοι, οὔτε τὰ τῆς σαρκὸς σάρξ. μήποτε οὖν ἡ ὕλη καὶ τὸ εἶδος, ἤτοι ἡ ἀντίθεσις στοιχεῖα ὄντα τῆς κυρίως οὐσίας, αὕτη δέ ἐστιν ἡ σύνθετος, οὐσία μὲν καθ' αὑτὰ ἑκάτερα οὐκ εἰσίν, ἀλλ' οὐσιώδη μόνον. καὶ σώματα μὲν οὐκ ἔστι, σωματικὰ δέ, ὡς καὶ ὁ Εὔδημος δηλοῖ σωματοειδῆ καλῶν τὴν ὕλην. συνελθόντα δέ, οὐσία, καὶ οὐσίας ἀποδοτικά ἐστι. διὸ οὐδέτερον καθ' αὑτὸ οὔτε οὐσία ἐστὶν, οὔτε οὐσίας ἀποδοτικόν. ἔχειν μέντοι τι δοκεῖ πλέον εἰς οὐσίας λόγον ἡ ὕλη τῆς ἐναντιώσεως, καθ' ὅσον ἡ μὲν ὕλη δύναται καθ' αὑτὴν εἶναι, ὅπερ ἴδιον τῆς οὐσίας ἐστίν. ἡ δὲ ἀντίθεσις ἐν ἑτέρῳ πάντως ἔχει τὸ εἶναι, καὶ ἐν ὑποκειμένῳ ἐστί. καὶ κατὰ τοῦτο πορρώτερον τῆς οὐσίας ἐστί. καὶ διὰ τοῦτο ἐκ τοῦ ἐν ὑποκειμένῳ εἶναι τὰ ἐναντία, ἔδειξεν ὅτι οὐκ ἀρχαὶ μᾶλλον, ἀρχὴν εἰπὼν εἶναι τὸ ὑποκείμενον, διότι προϋπάρχει τοῦ κατηγορουμένου. ἀλλ' ἔτι μοι δοκεῖ ζητεῖν ὁ λόγος, τίς ὁ σκοπὸς ἂν εἴη τοῦ προκειμένου ῥητοῦ. ὅτι μὲν γὰρ ἐπιβάλλεται δι' αὐτοῦ δεῖξαι, μὴ οὖσαν αὐτάρκη τὴν ἐναντίωσιν εἰς ἀρχῆς λόγον, πρόδηλον. τίς δὲ ἡ οὐσία, ἧς τὰς ἀρχὰς ζητεῖ, καὶ πῶς μεθοδεύει τὸν λόγον, οὔπω νομίζω δῆλον ἐκ τῶν εἰρημένων γεγονέναι. μήποτε οὖν τῆς συνθέτου οὐσίας, ἣν καὶ κυρίως οὐσίαν ἐν τοῖς ἑξῆς ἐρεῖ τὰ στοιχεῖα ζητῶν, τὴν ἀντίθεσιν τοῦ εἴδους καὶ τῆς στερήσεως οὔ φησιν ἀρκεῖν. ὅτι κἂν τὸ εἶδος οὐσία πως, ἀλλὰ τὸ ἀντικείμενον αὐτῷ ἡ στέρησις οὐδαμῶς οὐσία. οὐσίᾳ γὰρ οὐσία οὐκ ἔστιν ἐναντία. χρεία οὖν ἄλλου τινὸς ὑποκειμένου, ὥστε μετὰ τοῦ εἴδους ποιεῖν τὸ σύνθετον, τῆς στερήσεως οὐκ ἐνυπαρχούσης ἀλλὰ πρὸς τὴν γένεσιν καὶ τὴν φθορὰν συντελούσης. ὅτι δὲ οὐ τοῦτο δείκνυσιν ὅτι ἁπλῶς οὐκ εἰσὶν ἀρχαὶ τὰ ἐναντία, ἀλλ' οὐ καθ' αὑτὰ ἀρχαί, καὶ διὰ τῶν ἑξῆς δηλοῖ, αὐτὸ τοῦτο λέγων, ὅτι οὐκ ἄλλως δυνατὸν καὶ τὰ πρότερον καὶ τὰ νῦν συναληθεύειν, εἰ μὴ πρὸς τοῖς ἐναντίοις, καὶ τρίτον τι τοῖς ἐναντίοις ὑποκείμενον ὑποτεθῇ. διὰ τοῦτο δὲ καὶ ἀπορίας καλεῖ τὰς νῦν εἰρημένας, ὡς προσδιορισμοῦ τινος δεομένας, δεικνὺς ὅτι καθ' αὑτὰ μὲν οὐκ ἔστιν ἀρχαί. τρίτῳ δέ τινι συνταχθέντα ἀρχαὶ γίνονται.

ΔΙΟΠΕΡ εἴ τις τόν τε πρότερον ἀληθῆ νομίσειεν εἶναι λόγον, καὶ τοῦτον, ἀναγκαῖον εἰ μέλλει διασώσειν ἀμφοτέρους τοὺς λόγους, ὑποτιθέναι τι τρίτον. ὥσπερ φασὶν οἱ μίαν τινὰ φύσιν εἶναι λέγοντες τὸ πᾶν. οἷον, ὕδωρ. ἢ πῦρ. ἢ τὸ μεταξὺ τούτων. δοκεῖ δὲ τὸ μεταξὺ μᾶλλον. πῦρ γὰρ ἤδη καὶ γῆ, καὶ ἀὴρ, καὶ ὕδωρ μετ' ἐναντιοτήτων συμπεπλεγμένα ἐστί. διὸ οὐκ ἀλόγως ποιοῦσιν, οἱ τὸ ὑποκείμενον, ἕτερον τούτων ποιοῦντες. τῶν δ' ἄλλων, οἱ ἀέρα. καὶ ὁ ἀὴρ ἥκιστα ἔχει τῶν ἄλλων διαφορὰς αἰσθητάς. ἐχόμενον δὲ τὸ ὕδωρ.

Δείξας πρότερον ὅτι τῶν φυσικῶν ἀρχαὶ τὰ ἐναντία, ἐκ τοῦ τὸ γινόμενον μὴ ἐκ τοῦ τυχόντος ἀλλ' ἐκ τοῦ ἐναντίου γίνεσθαι, καὶ φθείρεσθαι μὴ εἰς τὸ τυχὸν ἀλλ' εἰς ἐναντίον, εἶτα ἄλλους ἐπαγαγὼν λόγους ἀποροῦντας πρὸς τοῦτο, καὶ τοὐναντίον δεικνύναι δοκοῦντας, ὅτι οὐκ εἰσὶν ἀρχαὶ τὰ ἐναντία, δεικνύντας δὲ κατὰ συλλογιστικὴν ἀκρίβειαν, ἀλλ' οὐ σοφιζομένους, εὑρίσκει μηχανὴν πῶς οἱ πρότερον λόγοι καὶ οἱ προσεχεῖς, καίτοι τἀναντία λέγειν δοκοῦντες, εἰς ταὐτὸ συμφωνήσουσιν. αὕτη δ' ἐστὶν τὸ ἀρχὰς μὲν εἶναι τἀναντία, τοῦτο γὰρ ἀληθῶς δέδεικται πρότερον, μὴ μέντοι καθ' αὑτὰ ληφθέντα. καὶ γὰρ οἱ τοῦτο ἀναιροῦντες λόγοι ἀληθεῖς εἰσιν. ἀλλὰ μετά τινος ἄλλου τρίτου τοῦ τοῖς ἐναντίοις ὑποκειμένου. καὶ πάλιν εὑρίσκει συμφωνοῦντας αὐτοῦ τῷ λόγῳ τοὺς φυσικούς. οἱ μίαν φύσιν ὑποτιθέντες τοῖς ἐναντίοις, δι' ἣν ἓν τὸ πᾶν ἔλεγον, ἐκ ταύτης γεννῶσι τὰ πάντα. ὡς Θαλῆς μὲν ὕδωρ. Ἡράκλειτος δὲ πῦρ. Ἀναξιμένης δὲ ἀέρα. Διογένης δὲ τὸ μεταξύ. καὶ γὰρ οὗτοι πάντες τὴν μίαν ταύτην φύσιν τοῖς ἐναντίοις ὑπετίθεσαν, συγκρίσει καὶ διακρίσει, ἢ μανώσει καὶ πυκνώσει, τὰ ἄλλα γίνεσθαι λέγοντες ἀπ' αὐτῆς. ἐπαινεῖ δὲ μᾶλλον τοὺς τὸ μεταξὺ λέγοντας. καὶ τὴν αἰτίαν προστίθησι. τὰ γὰρ τέσσαρα στοιχεῖα μετ' ἐναντιοτήτων ἤδη ἐστί. πῦρ μὲν γὰρ θερμὸν καὶ ξηρόν. ἀὴρ δὲ θερμὸν καὶ ὑγρόν. ὕδωρ δὲ ψυχρὸν καὶ ὑγρόν. ἡ δὲ γῆ ψυχρὸν καὶ ξηρόν. πάντα δὲ μετὰ ἐναντιότητος. πάντα γὰρ ἐξ ὕλης καὶ εἴδους. τὸ δὲ μέλλον δέχεσθαι τὰ ἐναντία, καὶ σὺν αὐτοῖς τὰς γενέσεις τῶν ὄντων καὶ τὰς φθορὰς ἀποδιδόναι, δεῖ κατὰ τὴν ἑαυτοῦ φύσιν ἄμοιρον τῶν ἐναντίων ὑπάρχειν. εἰ γὰρ ἔχει τι τῶν ἐναντίων κατ' οὐσίαν, ἢ οὐ μεταβάλλει κατ' αὐτὸ καὶ οὐδὲν ἀπ' αὐτοῦ ἔσται. ἢ φθαρήσεται, εἰ τὸ εἶναι αὐτῷ ἐν τῷ ἑτέρῳ τῶν ἐναντίων. ἢ ἅμα ἕξει τὰ ἐναντία. ὅλως δὲ εἰ μετ' ἐναντίου ἐστίν, οὐκέτι ἁπλοῦν ἔσται ἀλλὰ σύνθετον. τὰ γὰρ ἐναντία ἐν ὑποκειμένῳ. ὥστε οὐδὲ ἀρχή. ἀρχαὶ γὰρ ἐκεῖνα ἐξ ὧν τοῦτό ἐστιν, ἀλλ' οὐκ αὐτό. εἰ δέ τις ὅλως ἓν τῶν στοιχείων ἐπιθυμεῖ τὴν ἀρχὴν τίθεσθαι, ἄμεινον ἀέρα λέγειν, διότι ὡς πρὸς τὰ ἄλλα ἀναισθήτους ἔχειν δοκεῖ τὰς διαφοράς. δόξει οὖν ὡς ἄποιον καὶ μηδεμίαν ἔχον ἐναντίωσιν καθ' ἑαυτὸ ὑποτίθεσθαι. τῶν δὲ ἄλλων πάλιν τὸ ὕδωρ εἰς τὰ ἐναντία τρέπεσθαί ἐστιν εὐφυέστερον. θερμαίνεται γὰρ καὶ ψύχεται ῥᾳδίως. καὶ δὴ καὶ

πήγνυται εἰς κρύσταλλον, ὡς μὴ δὲ τὴν ὑγρότητα κατ' οὐσίαν ἔχειν δοκεῖν. τὸ μέντοι πῦρ φανερὰς ἔχει τὰς ἐναντιώσεις. θερμότητα λέγω καὶ ξηρότητα, καὶ μάλιστα τὴν θερμότητα. καὶ δέχεσθαι τἀναντία πῦρ μόνον οὐ πέφυκε. τοῦτο δὲ αἴτιον τὸ δραστικὸν εἶναι μᾶλλον αὐτό, καὶ εἴδει ἀναλογοῦν, ἀλλ' οὐχὶ καὶ ὕλῃ.

ἈΛΛᾺ πάντες γε τὸ ἓν τούτοις τοῖς ἐναντίοις σχηματίζουσιν. οἷον πυκνότητι, καὶ μανότητι, καὶ τῷ μᾶλλον, καὶ ἧττον. ταῦτα δ' ἐστὶν ὅλως ὑπεροχὴ δηλονότι καὶ ἔλλειψις. ὥσπερ εἴρηται πρότερον. καὶ ἔοικε παλαιὰ εἶναι καὶ αὕτη ἡ δόξα. ὅτι τὸ ἕν, καὶ ὑπεροχή, καὶ ἔλλειψις ἀρχαὶ τῶν ὄντων εἰσί. πλὴν οὐ τὸν αὐτὸν τρόπον. ἀλλ' οἱ μὲν ἀρχαῖοι, τὰ δύο μέν, ποιεῖν. τὸ δὲ ἕν, πάσχειν. τῶν δὲ ὕστερόν τινες, τοὐναντίον. τὸ μὲν ἕν, ποιεῖν. τὰ δὲ δύο, πάσχειν μᾶλλόν φασι.

Καὶ ἐκ τῆς ἀνάγκης τοῦ λόγου, καὶ ἐκ τῆς τῶν ἄλλων φυσικῶν μαρτυρίας τὸ ἓν εἰσαγαγών, ὅτι μὴ δὲ τοῦτο αὔταρκες καθ' ἑαυτὸ δείκνυσι λέγων, ὅτι μὴ δὲ ἐκεῖνοι μόνον ἐτίθεντο τὸ ἕν, ἀλλὰ σὺν αὐτῷ τὰ ἐναντία, τὰς τρεῖς ἀρχὰς βουλόμενος κατ' ἐκείνους συστῆσαι. καὶ λέγει ὅτι ἐκεῖνοι τὸ ἓν τοῖς ἐναντίοις σχηματίζουσι, τὰς διαφορὰς τῶν γινομένων κατὰ τὰς τῶν ἐναντίων διαφορὰς ἀποδιδόντες, οἱ μέν, μανότητι καὶ πυκνότητι, οἱ δέ, τῷ μᾶλλόν τε καὶ ἧττον. ἢ καὶ οἱ μανότητι καὶ πυκνότητι τὰ ἄλλα γεννῶντες, τῷ ἐπιτείνειν ἣν ἔχει ποιότητα ἢ ἀνιέναι ποιοῦσιν. ἡ μὲν γὰρ μάνωσις ἄνεσις. ἡ δὲ πύκνωσις ἐπίτασις. ὧν ἡ μὲν ἐπίτασις ἐστὶ τὸ μᾶλλον, ἡ δὲ ἄνεσις ἐστὶ τὸ ἧττον. πάντα δὲ εἰς ὑπεροχὴν ἀνάγεται καὶ ἔλλειψιν. καὶ ἔοικέ φησι μὴ ὑφ' ἡμῶν καινοτομεῖσθαι τὸ τρεῖς εἶναι τὰς ἀρχάς. ἀλλὰ παλαιά τις εἶναι αὕτη ἡ δόξα, ὅτι τὸ ἓν καὶ ἡ ὑπεροχὴ καὶ ἡ ἔλλειψις ἀρχαὶ τῶν ὄντων εἰσί. κἂν γὰρ μὴ πάντες τῷ αὐτῷ ὀνόματι ἐχρήσαντο τῆς ὑπεροχῆς καὶ τῆς ἐλλείψεως, ἀλλ' οἱ μὲν σύγκρισιν καὶ διάκρισιν, οἱ δὲ μάνωσιν καὶ πύκνωσιν, ἢ τὸ μᾶλλον καὶ ἧττον, ἢ τὸ μέγα καὶ μικρὸν ἐκάλουν, ἀλλὰ πάντα γε ταῦτα εἰς ὑπεροχὴν ἀνάγεται καὶ ἔλλειψιν. καὶ ταύτῃ γε πάντες ἀλλήλοις συμφωνοῦσιν οἱ τρεῖς λέγοντες τὰς ἀρχάς. διαφέρουσι δέ, τῷ τοὺς μὲν ἀρχαιοτέρους, τὰ μὲν δύο ἅπερ ἐστὶ τὰ ἐναντία, ποιητικὰ λέγειν, τὸ δὲ ἓν παθητικὸν καὶ ὑλικόν. τῶν δὲ ὑστέρων τινές, τὸ μὲν ἓν ποιητικόν, τὰ δὲ δύο ἐναντία παθητικὰ καὶ ὑλικά. δοκεῖ δὲ ὁ Πλάτων οὕτω λέγειν, τὸ μὲν ποιοῦν ἓν τιθείς, τὸ δὲ πάσχον ἤτοι τὴν ὕλην ὑπερβολὴν καὶ ἔλλειψιν καλῶν καὶ μέγα καὶ μικρόν, καὶ ταύτῃ δύο λέγων αὐτό. δῆλον δὲ ὅτι εἰ μὲν τὸ κυρίως ποιητικὸν αἴτιον ἔλεγεν ἕν, οὐκ ἦν τοῦτο στοιχεῖον. εἰ δὲ τὸ εἶδος ἕν, τὴν δὲ ὕλην δύο κατὰ τὸ πυθαγόρειον ἔθος, διὰ τῶν ἀριθμῶν σημαίνων τὰ πράγματα, εἰκότως ἓν μὲν τὸ εἶδος ἔλεγεν, ὡς ὁρίζον ὅπερ ἂν καταλάβῃ καὶ περατοῦν. δύο δὲ τὴν ὕλην, ὡς ἀόριστον καὶ ὄγκου καὶ διαιρέσεως αἰτίαν, καὶ πεφυκυῖαν πρὸς τὰ ἀντικείμενα. ἐπιστῆσαι δὲ χρὴ μετ' ὀλίγον ὅτι καὶ αὐτὸς Ἀριστοτέλης τὴν στέρησιν καὶ τὴν ὕλην εἰς ταὐτὸν ἄγει, λέγων, ἔστι δὲ τὸ μὲν ὑποκείμενον ἀριθμῷ μὲν ἕν, εἴδει δὲ δύο. καὶ δῆλον ὅτι καὶ αὐτὸς δύο μὲν ἐρεῖ τὸ ὑποκείμενον, ἓν δὲ τὸ εἶδος.

ΤῸ ΜῈΝ οὖν τρία φάσκειν τὰ στοιχεῖα εἶναι, ἔκ τε τούτων, καὶ ἐκ τοιούτων ἄλλων ἐπισκοποῦσι, δόξειεν ἂν ἔχειν τινὰ λόγον ὥσπερ προείπομεν. τὸ δὲ πλείω τριῶν, οὐκέτι. πρὸς μὲν γὰρ τὸ πάσχειν, ἱκανὸν τὸ ἕν. εἰ δὲ τεττάρων ὄντων δύο ἔσονται ἐναντιώσεις, δεήσει χωρὶς ἑκατέρας ὑπάρχειν ἑτέραν τινὰ μεταξὺ φύσιν. εἰ δ' ἐξ ἀλλήλων δύνανται γεννᾶν, περίεργος ἂν εἴη ἡ ἑτέρα τῶν ἐναντιώσεων.

Γάνυ φιλοσόφως οὐ μόνον κατὰ τὴν ἀποδεικτικὴν ἀνάγκην, ἀλλὰ καὶ κατὰ τὴν τῶν ἄλλων φιλοσόφων συμφωνίαν, ἀποδείξας τὸ τρεῖς ὀφείλειν εἶναι τὰς στοιχειώδεις ἀρχάς, ἃς οὐδὲ ἀρχὰς ἁπλῶς ἀλλὰ στοιχεῖα κυριώτερον ἐκάλεσεν, ἀκριβείας πλείονος ἕνεκεν, καὶ ὅτι οὐ πλείω τῶν τριῶν ἐστὶ τὰ στοιχεῖα προσαποδείκνυσιν. ἐπεὶ γὰρ ἀνάγκη καὶ ὑποκείμενον εἶναί τι ἕν, καὶ δύο ἐναντία παρὰ τὸ ὑποκείμενον, εἴπερ μήτε τὸ ἐναντίον εἰς τὸ ἐναντίον δρᾷ, ἀλλ' εἰς τὸ κοινὸν ὑποκείμενον, μήτε τὸ τυχὸν ἐκ τοῦ τυχόντος γίνεται, εἴ τις ὅλως πλεονάζειν βούλεται τὰς ἀρχάς, ἢ ἄλλο ὑποκείμενον προσθήσει, ἢ ἄλλην ἐναντίωσιν. ἀλλ' ὑποκείμενον μὲν ἀδύνατον ἕτερον προσθεῖναι. εἰ γὰρ ἡ αὐτὴ φύσις ἔσται τοῦ αὐτοῦ οὖσα δεκτική, ἥπερ καὶ κατ' αὐτὸ τοῦτο ὑφέστηκε κατὰ τὸ ὑποδοχὴ εἶναι, μόνον καὶ ἓν ἔσται τὸ ὑποκείμενον. εἰ δὲ διαφέρουσιν ἀλλήλων, καὶ αἱ διαφοραὶ εἴδη ἔσονται. καὶ οὐκέτι ἔσται ὑποκείμενα ἀλλὰ σύνθετα, καὶ μετ' ἐναντιώσεως. αἱ γὰρ διαφοραὶ κατ' ἀντίθεσιν ὑφίστανται. ὅλως δὲ ἁπλούστερον εἶναι βούλεται τὸ ὑποκείμενον, ὡς τὸ ἑαυτὸ δεχόμενον τὴν μεταβολήν. προστίθει δὲ καὶ ὅτι ὥσπερ ἡ παράγουσα τὰ πρῶτα ἐναντία ἀρχὴ μία ἦν, οὕτω καὶ ἡ ὑποδεχομένη τὰ ἔσχατα μία ἔσται. τὸ γὰρ παράγον τὰ πρῶτα ἐναντία, κρεῖττον αὐτῶν ὑπάρχον, καὶ διὰ τοῦτο ἐπὶ πλέον φθάνον τοῖς ἀπογεννήσασι, μετὰ τὴν τῶν ἐσχάτων ἐναντίων ὑπόστασιν μίαν τινὰ ἀπογεννᾷ φύσιν, ἀνομοίως ἑαυτὴν μεμιγμένην. ὡς γὰρ ἐκείνη κατ' αἰτίαν περιέχει τὰ ἐναντία, οὕτως αὕτη πέφυκε πρὸς ἄμφω. καὶ ὡς αὕτη γεννητικὴ τῶν ἐναντίων ἐστίν, οὕτως ἐκείνη δεκτική. ἓν οὖν εἶναι χρὴ τὸ ὑποκείμενον ἱκανὸν πρὸς τὸ πάσχειν ὑπάρχον. εἰ δὲ δύο τις ἐναντιώσεις λέγοι, τέτταρα τὰ ἐναντία τιθείς, ἢ καὶ ὑποκείμενα δύο θήσεται, καθ' ἑκατέραν ἕν, καὶ οὕτως οὐκέτι ἓν ἔσται τὸ ὑποκείμενον, ὅπερ δέδεικται πρότερον. καὶ μέντοι ἡ ἐξ ἑκατέρου τῶν ὑποκειμένων ἑκατέρα τῶν ἐναντιώσεων γεννᾶν δύναται πάντα, καὶ ἔσται ἡ ἑτέρα περιττή, μία γὰρ οὕτως ἔσται ἐναντίωσις, ἢ ἑκατέρα ἴδιά τινα καὶ ἀφωρισμένα γεννήσει, καὶ οὐκέτι πάντων αἱ αὐταὶ ἀρχαὶ ἔσονται. εἰ δὲ ἓν ὑποκείμενον ταῖς δύο ἐναντιώσεσιν ὑποθείς, λέγοι δύνασθαι γεννᾶν αὐτὰς τὰ ὄντα ἐκ τοῦ ἑνὸς ὑποκειμένου, πάλιν ἢ ἄλλα μὲν ἥδε, ἄλλα δὲ ἥδε, ἢ τὰ αὐτὰ ἀμφότεραι καὶ οὕτω πάλιν τὰ αὐτὰ ἔσται ἄτοπα.

ἄτοπα. εἰ μὲν γὰρ ἄλλα καὶ ἄλλα, κἂν ἐκ τοῦ αὐτοῦ ὑποκειμένου, τὸ μὴ ὑποκείμενον κοινὴ πάντων ἀρχὴ ἔσται,
αἱ δὲ ἐναντιώσεις οὐκέτι κοιναί. εἰ δὲ ἐξ ἀλλήλων πάντα γεννῶσι, περιττὴ πάλιν ἡ ἑτέρα. μία γὰρ ἔσται
ἡ ἐναντίωσις. εἰ δὲ καὶ πλείονάς τις δυοῖν ἐναντιώσεις ὑπόθηται, τὰ αὐτὰ ἄτοπα ἀκολουθήσει, καὶ ἔτι
μᾶλλον. τούτων δὲ τῶν τῆς διαιρέσεως τμημάτων, καὶ τῶν ἑπομένων αὐτοῖς ἀτόπων, τὰ μὲν τέθεικε. τὰ δὲ ἀσα-
φῆ παρῆκεν ὁ ἀριστοτέλης. τὸ μὲν γὰρ δύο καὶ ὑποκείμενα λέγειν τοὺς δύο τιθέντας ἐναντιώσεις, αὐτὸ
ὡς ἄτοπον τέθεικε, διὰ τὸ προσειλῆφθαι ὅτι πρὸς τὸ πάσχειν ἱκανὸν τὸ ἕν. πρὸς δὲ τὸ τὰ αὐτὰ γεννᾶν
τὰς δύο ἐναντιώσεις, εἴτε ἑνὸς εἴτε δυοῖν ὑποκειμένων ὄντων, κοινὸν ἐπήγαγεν ἄτοπον τὸ περιττὴν εἶναι
τὴν ἑτέραν ἐναντίωσιν. καὶ ὅτι μία ἔσονται ἄμφω, καὶ ὅτι τὰ αὐτὰ γεννῶσι. τὸ δὲ χωρὶς ἑκατέραν ἴδια
τινὰ γεννᾶν οὐδὲ ἠξίωσε λόγου, περὶ κοινῶν ἀρχῶν διαλεγόμενος. ὁ μέντοι πορφύριος τὸ ἐξ ἀλλήλων
γεννᾶν οὕτως ἀκούει, ὡς εἰ ἡ ἑτέρα τῶν ἐναντιώσεων τὴν ἑτέραν γεννᾷ. οἷον εἴ τις λέγοι ἀραιὸν καὶ πυ-
κνόν, θερμὸν καὶ ψυχρὸν ὡς πρῶτα, ἔπειτα τὸ μὲν θερμὸν ἐκ τοῦ ἀραιοῦ, τὸ δὲ ψυχρὸν ἐκ τοῦ πυ-
κνοῦ. ἀρκέσει γὰρ ἡ τοῦ ἀραιοῦ καὶ πυκνοῦ ἐναντίωσις. καὶ εἰ μὲν ἐξ ἀλλήλων γεννᾶσθαι ἔλεγεν, εἶ-
χεν ἄν τι ἀκόλουθον ἡ ἐξήγησις. νῦν δὲ γεννᾶν εἶπεν ἐξ ἀλλήλων.

A ἍΜΑ δὲ καὶ ἀδύνατον πλείους εἶναι ἐναντιώσεις τὰς πρώτας. ἡ γὰρ οὐσία, ἕν τι γένος ἐστὶ τοῦ ὄντος.
ὥστε τῷ πρότερον, καὶ τῷ ὕστερον, διοίσουσιν ἀλλήλων αἱ ἀρχαὶ μόνον. ἀλλ᾽ οὐ τῷ γένει. ἀεὶ γὰρ ἐν ἑνὶ
γένει μία ἐναντίωσίς ἐστιν. ἅπασαι δὲ αἱ ἐναντιώσεις ἀνάγεσθαι δοκοῦσιν εἰς μίαν.

Δ εἴξας ὅτι ἐὰν ὑπόθηταί τις δύο τὰς πρώτας ἐναντιώσεις, ἢ καὶ δύο ὕλας ὑποθήσει, ἢ μιᾶς ἡ ὕλη, πε-
ριττὴ ἔσται ἡ ἑτέρα τῶν ἐναντιώσεων, δείκνυσι νῦν ὃ πρότερον καὶ πρότερον ἔλεγεν, ὅτι οὐδὲ δυνατὸν πλεί-
ους εἶναι τὰς πρώτας ἐναντιώσεις μιᾶς, συλλογιζόμενος καὶ νῦν οὕτως. ἡ οὐσία ἓν γένος ἐστὶ τὸ αὐτό.
ἐν δὲ ἑνὶ γένει μία ἐναντίωσις. ἀλλὰ μὴν ἡ οὐσία πρώτη τῶν ἄλλων ἐστὶ γενῶν. ἡ δὲ ἐν τῷ πρώτῳ γένει
ἐναντίωσις πρώτη τῶν ἐν τοῖς ἄλλοις γένεσιν ἐναντιώσεών ἐστιν. ὥστε ἡ ἐν τῇ οὐσίᾳ ἐναντίωσις πρώτη
τῶν ἐν τοῖς ἄλλοις γένεσιν ἐναντιώσεών ἐστι. καὶ οὕτως ἂν ἔχοιεν αἱ ἐν τοῖς ἄλλοις γένεσιν ἐναντιώσεις
πρὸς τὴν ἐν τῇ οὐσίᾳ, ὡς αὐτὰ τὰ γένη πρὸς τὴν οὐσίαν. εἰ οὖν ἐκείνοις παρὰ τῆς οὐσίας τὸ εἶναι, καὶ ταῖς
ἐναντιώσεσιν αὐτῶν παρὰ τῆς ἐν τῇ οὐσίᾳ ἐναντιώσεως. ὕστερα ἄρα καὶ ὑπ᾽ ἐκείνην. μία ἄρα ἡ πρώτη
ἡ ἐν τῇ οὐσίᾳ ἐναντίωσις, καὶ ἡ ἀρχὴ αὕτη, ἐπειδὴ καὶ τὰς ἀρχὰς τῆς οὐσίας ζητοῦμεν. εἰκότως οὖν καὶ
τὰς ἐναντιώσεις πάσας εἰς τὸ εἶδος καὶ τὴν στέρησιν συνεκορύφωσεν ὁ λόγος, διότι αὕτη τῆς οὐσίας
μάλιστά ἐστιν ἰδία. καὶ κατὰ ταύτην γένεσις ἐπιτελεῖται καὶ φθορά. εἰ δέ τις πλείους ἐν ταῖς ἀρχαῖς ἐναν-
τιώσεις λαμβάνει, οὕτω τῶν ἀρχῶν λέγοι ἄν τις τὰς μὲν πρώτας εἶναι, τὰς δὲ μετ᾽ ἐκείνας. οὕτω
δὲ ὁμογενεῖς οὖσαι, κατὰ τὸ πρότερον καὶ ὕστερον διοίσουσιν. εἰ γὰρ κοινὸν γένος ἡ οὐσία, γενικωτάτη ἂν εἴη
ἡ τῆς οὐσίας ἐναντίωσις. τὸ δὲ πᾶσαι δὲ αἱ ἐναντιώσεις ἀνάγεσθαι δοκοῦσιν εἰς μίαν, ἢ καὶ ἐκ τῆς τῶν φαινομέ-
νων ἐναργείας τὴν πίστιν παράγει, ἢ ἐκ τῆς τῶν φυσικῶν μαρτυρίας πάντων μίαν τὴν πρώτην τιθέντων,
ἢ ἐκ τῆς ἑαυτοῦ δόξης εἰς εἶδος καὶ στέρησιν πάσας ἀναγούσας τὰς ἐναντιότητας. καὶ προσεχεῖς μὲν γενέ-
σεως ἀρχαὶ κατ᾽ αὐτὸν δύο εἰσὶν ἐναντιώσεις. θερμότης. ψυχρότης. ξηρότης. ὑγρότης. ὡς ἐν τῷ δευτέρῳ
τῶν περὶ γενέσεως ἔδειξεν. ἐπεὶ δὲ καὶ αὗται ὑπὸ μίαν ἀνάγονται τὴν τῆς ἕξεως καὶ τῆς στερήσεως, διὰ τοῦτο μία
ἡ ἀρχικὴ κατ᾽ αὐτὸν ἐναντίωσις. οὕτως ὁ ἀλέξανδρος καὶ νῦν ἐξηγήσατο τὸ χωρίον. τὸ δὲ ἀεὶ γὰρ ἐν ἑνὶ γέ-
νει μία ἐναντίωσίς ἐστιν, ἐπὶ τῆς προσεχοῦς τοῖς γένεσιν ἐναντιώσεως ἀκούει. τὸ γὰρ λευκὸν καὶ μέλαν
χρώματός ἐστι προσεχὴς ἐναντίωσις. οὐ ποιότητος. τὸ δὲ ποιόν φησιν ἢ οὐκ ἔχει προσεχῆ ἐναντίωσιν, ἢ εἰ
ἔχει, ὑπ᾽ αὐτὴν ἀναχθήσεται τὸ λευκὸν καὶ τὸ μέλαν, καὶ τὰ ἄλλα ὁμοίως τὰ ἐν τῇ ποιότητι ἐναντία. ὁ
μέντοι πορφύριος οὐσίαν ἀκούει τὴν ὕλην. καὶ περὶ ταύτην μίαν λέγει ἐναντίωσιν τὴν πρώτην, διότι
γένος ἡ οὐσία, ἐν παντὶ δὲ γένει μία ἐναντίωσις ἡ πρώτη. λέγει δὲ οὕτως ἐν παντὶ γένει μία ἐναντίω-
σις ἡ πρώτη. γένος δὲ καὶ ἡ οὐσία. μία ἄρα καὶ περὶ ταύτην ἡ ἐναντίωσις. ἡ δὲ ὕλη οὐσία. ὥστε καὶ περὶ ταύ-
την μία ἡ πρώτη ἐναντίωσις. κἂν ὦσι πλείους, τῷ πρότερον καὶ ὕστερον διοίσουσιν, ἀλλ᾽ οὐ τῷ γένει. ἀεὶ
γὰρ ἐν ἑνὶ γένει μία ἐναντίωσις. καὶ ἄμεινον οἶμαι οὕτως, ἤπερ ἐπ᾽ ἐκείνης τῆς οὐσίας ἀκούειν τῆς ὅλης,
τῆς τοῖς ἄλλοις γένεσιν ἀντιδιῃρημένης. τὸ γὰρ λέγειν ὅτι αἱ τῶν ἄλλων γενῶν ἐναντιώσεις ὑπὸ τὴν τῆς οὐσί-
ας ἐναντίωσίν εἰσι, διότι καὶ αὐτὰ τὰ γένη ἀπὸ τῆς οὐσίας ἔχει τὸ εἶναι, ἀπιθάνως εἰρῆσθαί μοι δοκεῖ. αἱ μὲν
γὰρ ἄλλαι ἐναντιώσεις ὑπὸ τὴν πρώτην οὕτως ἀνάγονται, ὡς κατηγορεῖσθαι τῶν ἄλλων τὴν πρώτην. πά-
σαις γὰρ ὑπεροχὴ καὶ ἔλλειψις, ταυτότης καὶ ἑτερότης, ἢ ὅτι ἂν ἄλλο τις λέγῃ τὴν πρώτην. οὐ μέντοι
τὰ ἄλλα γένη οὐσίαι εἰσί. διότι γὰρ τὸ εἶναι ἐν τῇ οὐσίᾳ ἔχουσι, δι᾽ αὐτὸ τοῦτο οὐκ εἰσὶν οὐσίαι. κάλλιον
οὖν ἴσως οὐσίαν καὶ ἓν γένος τὸ γενητὸν πᾶν ἀκούειν, κοινὸν τῶν δέκα γενῶν ὑπάρχον. διὸ καὶ ἡ προσε-
χὴς αὐτῶν ἐναντιότης κοινὴ τῶν δέκα γενῶν ἐστιν, ἡ ἕξις λέγω καὶ ἡ στέρησις. δυνατὸν δὲ καὶ τὴν ὕλην ἀ-
κούειν, ὡς κατ᾽ αὐτὴν ὑφεστηκότος τοῦ γενητοῦ καὶ ἐνύλου παντός. οὐ μέντοι ὅτι κυρίως οὐσία ἐστὶν ἡ
ὕλη. οὔτε γὰρ ἡ νοητὴ οὐσία ἐστὶν ἡ ὕλη, οὔτε ἡ αἰσθητή. ἡ μὲν γὰρ παντάπασιν ἄϋλος. ἡ δὲ, καὶ αὐτὴ γέ-
νεσιν ἔχει καὶ φθορὰν ἥ γε κυρίως γενητὴ οὐσία. τὸ δὲ γινόμενον καὶ φθειρόμενον ὑποκειμένου δεῖται
καὶ ὕλης, ὡς ἐν τοῖς ἑξῆς μαθησόμεθα. ὕλην δὲ ὕλης ποιεῖν πάντη ἄλογον.

ὍΤΙ ΜΕΝ οὖν οὔτε ἓν τὸ στοιχεῖον, οὔτε πλείω δυοῖν, ἢ τριῶν, φανερόν. τοῦτο δὲ πότερον, καθάπερ

εἴπομεν, ἀπορίαν ἔχει πολλήν. ὥσπερ οὖν ἡμεῖς γε λέγομεν πρῶτον περὶ πάσης γενέσεως ἐπελθόντες.
ἔστι γὰρ κατὰ φύσιν τὰ κοινὰ πρῶτον εἰπόντας, οὕτω τὰ περὶ ἕκαστον ἴδια θεωρεῖν.

Δ εἰρηκὼς ὅτι μιᾶς ἐναντιώσεως ἐν ταῖς ἀρχαῖς δεῖ καὶ ὑποκειμένου τινὸς τοῖς ἐναντίοις, συμπεραίνεται
ὅτι οὔτε ἓν τὸ στοιχεῖον, εἴπερ ἐναντία καὶ ὑποκείμενόν τι τοῖς ἐναντίοις, οὔτε μέντοι πλείω δυοῖν ἢ τριῶν.
τό, τε γὰρ ὑποκείμενον ἕν ἐστι, καὶ τὰ ἐναντία οὐ πλείω δυοῖν ἐστιν. εἴτε μέντοι δύο ἀρχαὶ εἴτε τρεῖς, τοῦτο
γάρ ἐστι τό, καθάπερ εἴπομεν, ζητήσεως ἄξιόν ἐστι. καὶ γὰρ εἰ μὲν ὡς μία ἀρχὴ τὰ ἐναντία λαμβάνοιτο,
δύο ἂν εἶεν ἀρχαὶ ἥ τε ὕλη καὶ τὰ ἐναντία. εἰ δὲ ὡς δύο τὰ ἐναντία, τρεῖς εἰσιν αἱ ἀρχαί. ἄμεινον δὲ ἴσως
τὴν στέρησιν ἀμφιβόλως εἰρῆσθαι, ἢ ταὐτὸν δοκοῦσαν τῇ ὕλῃ, ἢ καὶ διαφέρουσαν κατὰ συμβεβηκὸς ἀρχὴν
οὖσαν. ἄπορον οὖν εἴτε δύο ἀρχαὶ τὸ εἶδος καὶ ἡ ὕλη, εἴτε τρεῖς, καὶ τῆς στερήσεως προσλαμβανομένης. εἴτε
πῶς μὲν δύο, πῶς δὲ τρεῖς, ὅπερ καὶ ἀληθὲς φανήσεται. ταῦτα γάρ ἐστι τὰ ἐφεξῆς ὑπ᾽ αὐτοῦ διαρθρού-
μενα. καὶ περὶ ταῦτά ἐστιν ἡ πολλὴ ἀπορία, πότερον ὁμοίως τὰ ἐναντία ἀρχαί, ἢ τὸ μὲν καθ᾽ αὑτό. τὸ
δὲ κατὰ συμβεβηκός. καὶ δὴ καὶ συμπεραινόμενος τούτους τοὺς λόγους, ἐπάγει, διὸ ἔστι μὲν ὡς δύο λε-
κτέον εἶναι τὰς ἀρχάς, ἔστι δὲ ὡς τρεῖς. καὶ ἔστι μὲν ὡς τὰ ἐναντία, ἔστι δὲ ὡς οὔ. ἐπειδὴ δὲ ἐκ τῆς μεταβολῆς
μάλιστα καὶ τῆς γενέσεως τὰς ἀρχὰς εὑρεῖν τῶν γινομένων προέθετο, τῶν δὲ γινομένων τὰ μὲν κατά τι τῶν
συμβεβηκότων γινόμενα πρόδηλον ἔχει ὑποκείμενον τὴν οὐσίαν, τὰ δὲ κατ᾽ οὐσίαν γινόμενα ἀδηλότε-
ρον ἔχει τὸ ὑποκείμενον, διὰ τοῦτο κοινῶς πρῶτον περὶ γενέσεως ποιησάμενος τὸν λόγον, καὶ παραδεί-
γματα παραθέμενος τῆς κατά τι τῶν συμβεβηκότων μεταβολῆς, ὕστερον τὴν κατ᾽ οὐσίαν γένεσιν αὐτῶν
διακρίνει. καὶ δείκνυσι καὶ ἐπ᾽ ἐκείνης τὴν τοῦ ὑποκειμένου χρείαν, καὶ ὅπως ἔχει καὶ πρὸς ἐκεῖνο ἡ στέρησις.
κοινότερον δὲ τὸν λόγον εἶπε. καὶ ὅτι οὐ μόνον τῇ φυσικῇ ἀλλὰ καὶ τῇ τεχνικῇ προσχρῆται γενέσει. τοιαύτη
γὰρ ἡ τοῦ μουσικοῦ. ὅτι δὲ ἡ τῶν κοινῶν καὶ ὁλοσχερῶν θεωρία ὡς πρὸς ἡμᾶς προτέρα τῶν ἰδίων ἐστίν, εἴρη-
κεν εὐθὺς τῆς πραγματείας ἀρξάμενος. καὶ δῆλον καὶ ἐκ τῶν ἐνταῦθα λεγομένων, ὅτι τὰ ἐκεῖ καθόλου
εἰρημένα, ἐξ ὧν ἔλεγεν εἰς τὰ καθέκαστα δεῖν προϊέναι, τὰ κοινὰ καὶ ὁλοσχερῆ ἦν, ἅπερ ἐστὶ γνωριμώτερα.

Φ ΑΜΕΝ γὰρ γίνεσθαι ἐξ ἄλλου ἄλλο. καὶ ἐξ ἑτέρου ἕτερον. ἢ τὰ ἁπλᾶ λέγοντες, ἢ τὰ συγκείμενα. λέ-
γω δὲ τοῦτο ὡδί. ἔστι γὰρ ἄνθρωπον γίνεσθαι μουσικόν. ἔστι δὲ καὶ τὸ μὴ μουσικὸν γίνεσθαι μουσικόν. ἢ τὸν μὴ μου-
σικὸν ἄνθρωπον, ἄνθρωπον μουσικόν. ἁπλοῦν μὲν οὖν λέγω τὸ γιγνόμενον τὸν ἄνθρωπον, καὶ τὸ μὴ μουσικόν. καὶ ὃ γίνεται ἁ-
πλοῦν τὸ μουσικόν. συγκείμενον δέ, καὶ ὃ γίγνεται, καὶ τὸ γιγνόμενον. ὅταν τὸν μὴ μουσικὸν ἄνθρωπον, φῶμεν γί-
γνεσθαι μουσικὸν ἄνθρωπον. τούτων δέ, τὸ μὲν οὐ μόνον λέγεται τόδε τι γίγνεσθαι, ἀλλὰ καὶ ἐκ τοῦδε. οἷον, ἐκ μὴ μου-
σικοῦ, μουσικός. τὸ δ᾽ οὐ λέγεται ἐπὶ πάντων. οὐ γὰρ ἐξ ἀνθρώπου ἐγένετο μουσικός, ἀλλ᾽ ὁ ἄνθρωπος ἐγένετο μουσι-
κός. τῶν δὲ γινομένων, ὡς τὰ ἁπλᾶ λέγομεν γίγνεσθαι τὸ μέν, ὑπομένον γίγνεται. τὸ δ᾽ οὐχ ὑπομένον. ὁ μὲν
γὰρ ἄνθρωπος ὑπομένει μουσικὸς γινόμενος ἄνθρωπος. τὸ δὲ μὴ μουσικόν, καὶ τὸ ἄμουσον, οὔτε ἁπλῶς, οὔτε συντιθέ-
μενον ὑπομένει. διωρισμένων δὲ τούτων, ἐξ ἁπάντων τῶν γιγνομένων, τοῦτό ἐστι λαβεῖν. ἄν τις ἐπιβλέψῃ
ὥσπερ λέγομεν, ὅτι δεῖ ὑποκεῖσθαι ἀεί τι τὸ γιγνόμενον. καὶ τοῦτο, εἰ καὶ ἀριθμῷ ἐστιν ἕν, ἀλλ᾽ εἴδει γε οὐχ
ἕν. τὸ γὰρ εἴδει λέγω καὶ λόγῳ, ταὐτόν. οὐ γὰρ ταὐτὸν ἀνθρώπῳ καὶ τὸ ἀμούσῳ εἶναι. καὶ τὸ μὲν ὑπομένει. τὸ δ᾽ οὐχ ὑπο-
μένει. τὸ μὲν γὰρ μὴ ἀντικείμενον, ὑπομένει. ὁ γὰρ ἄνθρωπος, ὑπομένει, τὸ δὲ μουσικόν, καὶ τὸ ἄμουσον οὐχ ὑπομένει. οὐ-
δὲ τὸ ἐξ ἀμφοῖν συγκείμενον. οἷον ἄμουσος ἄνθρωπος. τὸ δ᾽ ἔκ τινος γίνεσθαί τι, καὶ τὸ μὴ τόδε γίνεσθαι, μᾶλλον
μὲν λέγεται, ἐπὶ τῶν μὴ ὑπομενόντων. οἷον, ἐξ ἀμούσου μουσικὸν γίγνεσθαι. ἐξ ἀνθρώπου δέ, οὔ. ἀλλὰ μήν, καὶ ἐπὶ
τῶν ὑπομενόντων ἐνίοτε λέγεται ὡσαύτως. ἐκ γὰρ χαλκοῦ, ἀνδριάντα γίνεσθαι φαμέν. οὐ τὸν χαλκόν, ἀν-
δριάντα. τὸ μέντοι ἐκ τοῦ ἀντικειμένου, καὶ μὴ ὑπομένοντος, ἀμφοτέρως λέγεται. καὶ ἐκ τοῦδε τόδ᾽,
καὶ τόδε, τόδε. καὶ γὰρ ἐξ ἀμούσου, καὶ ὁ ἄμουσος γίνεται μουσικός. διὸ καὶ ἐπὶ τοῦ συγκειμένου, ὡσαύ-
τως. καὶ γὰρ ἐξ ἀμούσου ἀνθρώπου, καὶ ἄμουσος ἄνθρωπος γίγνεσθαι λέγεται μουσικός.

Ε᾽ ντεῦθεν καὶ τὴν τοῦ ὑποκειμένου φύσιν εὑρεῖν ἐναργέστερον προτίθεται, καὶ ἤδη ταύτην ὅτι ἐστὶν εὗρέ τε
καλῶς καὶ ἐβεβαιώσατο. καὶ μέντοι καὶ διαφορὰν ἡμῖν τῆς στερήσεως πρὸς τὸ ὑποκείμενον παραδίδω-
σι. πρῶτον μὲν ἀπὸ τοῦ λέγεσθαι διαφόρως ἐπιχειρῶν, εἶτα καὶ ἐξ αὐτῆς τῆς τῶν πραγμάτων φύσεως. με-
ταχειρίζεται δὲ τὸν λόγον οὕτω. καὶ ἡ γένεσις καὶ ὅλως ἡ μεταβολή, ἡ μέν ἐστιν ἁπλῆ, ἡ δὲ σύνθετος. ἁπλῆ
μέν, ὡς ὅταν τὸν ἄνθρωπον λέγωμεν γίνεσθαι μουσικόν, γινόμενον μὲν τὸν ἄνθρωπον λαβόντες, ὃ δὲ γίνεται τὸ μουσικόν. ἢ ὅ-
ταν λέγωμεν τὸ ἄμουσον γίνεσθαι μουσικόν. σύνθετος δέ, ὅταν τὸν μὴ μουσικὸν ἄνθρωπον λέγωμεν γίνεσθαι μουσι-
κὸν ἄνθρωπον. διὰ τούτων οἶμαι πως τὴν κοινωνίαν ὑποδεικνὺς τοῦ τε ὑποκειμένου καὶ τῆς στερήσεως. ὑποκείμενον
μὲν γὰρ ὁ ἄνθρωπος. στέρησις δὲ τὸ ἄμουσον. καὶ ἄμφω ὁμοίως λέγομεν γίνεσθαι ὅπερ τὸ εἶδος. εἶτα λοιπὸν τὰς
διαφορὰς παραδίδωσι, καὶ πρώτην πάλιν τὴν ἀπὸ τοῦ λέγεσθαι. τοῦτο γάρ φησι τὸ μὲν ἄμουσον καὶ τὰ
τοιαῦτα, οὐ μόνον λέγεται τόδε τι γίνεσθαι, οἷον τὸ ἄμουσον μουσικόν, ἀλλὰ καὶ ἐκ τούτου. οἷον ἐκ μὴ μουσικοῦ μου-
σικόν. ὁ δὲ ἄνθρωπος καὶ ὅλως τὰ τοιαῦτα οὐχ ὁμοίως ἔχει. οὐ γὰρ λέγομεν ἐξ ἀνθρώπου μουσικὸν γίνεσθαι, ἀλλὰ τὸν
ἄνθρωπον μουσικόν. καὶ ἔστιν ἐν τοῖς λεγομένοις ἡ διαφορά. δευτέρα δὲ ἐκ τῶν πραγμάτων. ὅτι τῶν γινομένων ὅπερ
τὸ εἶδος, τὰ μὲν ὑπομένοντα γίνεται. ὁ γὰρ ἄνθρωπος ὑπομένων ἄνθρωπος γίνεται μουσικός. τὰ δὲ ἐξίσταται. τὸ γὰρ ἄμου-
σον οὐχ ὑπομένει τὸ μουσικόν. τούτων οὖν διωρισμένων, τοῦ τε διχῶς λέγεσθαι τὰ γινόμενα, ἢ ὡς ἁπλᾶ
ἢ ὡς σύνθετα, καὶ τοῦ διαφέρειν τὸ γινόμενον κατά τε τὸ λέγεσθαι καὶ κατὰ ὑπομένειν καὶ μὴ ὑπομένειν,

πάντα χόθεν τοῦτό ἐστι λαβεῖν, ὅτι δεῖ τι πάντως ὑποκεῖσθαι τὸ γινόμενον. τοῦτο δέ ἐστιν, ἢ τὸ ἐξ οὗ λέ-
γομεν γίνεσθαι, οἷον τὸ ἄμουσον, ἢ τὸ λεγόμενον γίνεσθαι, οἷον τὸν ἄνθρωπον. ἅπερ καὶ εἰ ἀριθμῷ ἕν ἐστι, διότι τὸ
ἕτερον καθ' ἑαυτὸ ὑποστῆναι οὐ δύναται, ἀλλὰ τῷ λόγῳ ἕτερα. οὐ γὰρ ταὐτὸν ὁ ἄνθρωπος καὶ τὸ ἄμουσον. καὶ
προσαρμόττει λοιπὸν τὰ ῥηθέντα τῷ ὑποκειμένῳ καὶ τῇ στερήσει. καὶ πρώτην τὴν κατὰ τὸ πρᾶγμα
διαφορὰν διανέμων, λέγει. ὅτι τὸ μὲν ὑπομένον τὸ ὑποκείμενόν ἐστι. τὸ δ' ἐξιστάμενον ἡ στέρησις, μεγί-
στην ταύτην εὑρὼν διαφορὰν καὶ τὴν αἰτίαν πρόδηλον ἔχουσαν. τὸ μὲν γὰρ ὑποκείμενον ἅτε μηδὲ ἐναν-
τίον ὑπάρχον τῷ εἴδει, ὑπομένει προσιὸν αὐτό. ἡ δὲ στέρησις ἀντικειμένη καὶ ἀσυνάκτος οὖσα πρὸς αὐ-
τό, ἐξίσταται πάντως ἐπεισιόντος τοῦ εἴδους. εἶτα τὴν κατὰ τὸ λέγεσθαι διαφορὰν ἐπάγει, τὸ μὲν ἐφ'
οὗ τὸ τόδε καὶ τὸ ἐκ τοῦδε λέγομεν, τῇ στερήσει προσαρμόττων, τὸ δὲ ἐφ' οὗ τὸ τόδε μόνον, τῷ ὑποκειμέ-
νῳ. εἰ δέ ποτε καὶ ἐπὶ τοῦ τούτου τὸ ἐκ τοῦδε λέγομεν, οἷον ἐκ χαλκοῦ ἀνδριάντα λέγοντες γίνεσθαι, οὐκέ-
τι καὶ τὸ τόδε ἐπὶ τοῦ αὐτοῦ λέγομεν. οὐ γὰρ ὅτι ὁ χαλκὸς ἐγένετο ἀνδριάς. ὥστε εἰ ἡ μὲν στέρησις ἀμφο-
τέρως λέγεται, καὶ τόδε καὶ ἐκ τοῦδε. τὸ δὲ ὑποκείμενον θάτερα μόνον, καὶ ταύτῃ ἂν ἀλλήλων διαφέροι-
εν. εἰ δὲ χρὴ διορίζειν ὅλως, τὸ μὲν ἐκ τοῦδε γίνεσθαι, μᾶλλον τῷ μὴ ὑπομένοντι, τουτέστι τῇ στερήσει προσήκει.
δύναται γὰρ καὶ τὸ μετὰ τόδε δηλοῦσθαι. τὸ μέντοι τόδε γίνεσθαι τόδε, τῷ ὑπομένοντι μᾶλλον ἁρμόττει. μόνον
γάρ τι δεῖ γίνεσθαι ὅπερ γίνεται. ἀμέλει καὶ ὅταν τὸ ἄμουσον λέγωμεν γίνεσθαι μουσικόν, κατὰ τὴν πρὸς τὸ
ὑποκείμενον ἀναφορὰν λέγομεν. ἐκείνῳ γὰρ ἁρμόττει. οὐ γὰρ δὴ ἡ ἀμουσία αὐτὴ γίνεται μουσικόν. ἀλλὰ τὸ τῇ ἀ-
μουσίᾳ ὑποκείμενον, καθ' ὃ ταύτην ἔχει. ὥσπερ καὶ ὅταν ἐκ τοῦ χαλκοῦ λέγωμεν τὸν ἀνδριάντα γίνεσθαι,
καθ' ὃ ἐν τῷ χαλκῷ ἡ τοῦ ἀνδριάντος ἐστὶ στέρησις ἀνώνυμος, κατὰ τοῦτο λέγομεν. ἐπειδὴ γὰρ ἐκ τῆς στερήσε-
ως ἡ γένεσις, ὅταν ἀπορήσωμεν τοῦ τῆς στερήσεως ὀνόματος, διὰ τοῦ ὑποκειμένου σημαίνομεν αὐτήν, ὡς ἐν
τούτῳ καὶ τῆς στερήσεως οὔσης. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἁπλῶν ἔχει καὶ τῶν συνθέτων. καὶ γὰρ ἐπὶ τούτων τὸ μετὰ τῆς στε-
ρήσεως ὑποκείμενον, οἷον ὁ ἄμουσος ἄνθρωπος, οὐχ ὑπομένει τὸ μετὰ τοῦ εἴδους ὑποκείμενον, τουτέστι τὸν μουσικὸν
ἄνθρωπον, διὰ τὸ ἀντικεῖσθαι τῷ ἀμούσῳ τὸ μουσικόν. καὶ μέντοι καὶ ἐξ ἀμούσου ἀνθρώπου, καὶ τὸν ἄμουσον ἄνθρωπον
γίνεσθαι μουσικὸν ἄνθρωπον. αὕτη μὲν ἡ ὅλη τῶν λεγομένων ἔννοια. ἐν δὲ τοῖς κατὰ μέρος, τὸ μὲν συγκείμε-
νον καὶ γινόμενον, τὸ ὑποκείμενον καὶ τὴν στέρησίν φησιν, οἷον τὸν ἄνθρωπον καὶ τὸ ἄμουσον. τὸ δὲ ὃ γίνεται, τὸ εἶδος. οἷον
τὸ μουσικόν. ὑποκεῖσθαι δὲ τὸ γινόμενον εἶπεν, οὐ τὴν ὕλην μόνον νῦν ὑποκεῖσθαι λέγων, ἀλλ' ὅλον τὸ
γινόμενον ἐν ᾧ καὶ ἡ ὕλη καὶ ἡ στέρησις. τοῦτο οὖν φησι τὸ γινόμενον εἰ καὶ ἀριθμῷ ἐστιν ἕν, διότι συνδεδρά-
μηκεν εἰς ταὐτὸν τό, τε ὑποκείμενον καὶ ἡ στέρησις, ὡς μὴ δυναμένης τῆς στερήσεως καθ' ἑαυτὴν ὑποστῆναι,
ἀλλὰ τῷ εἴδει διάφορά ἐστιν. ἐπειδὴ δὲ μὴ κυρίως ἐπ' αὐτῶν εἴρηται τὸ τῷ εἴδει διαφέρειν, καὶ τῆς ὕλης
ἀνειδέου παντελῶς οὔσης, καὶ τῆς στερήσεως ἀπουσίας οὔσης τοῦ εἴδους, ὀρθῶς τὸ τῷ εἴδει οὐχ ἓν με-
τέλαβεν εἰς τὸ τῷ λόγῳ διάφορον, εἰπών, τῷ γὰρ εἴδει λέγω καὶ λόγῳ ταὐτόν. οὐ γὰρ ὁ αὐτὸς λόγος ἀνθρώπου
καὶ ἀμούσου. ὅτι δὲ ἡ στέρησις καὶ ὑπάρχει τῇ ὕλῃ καὶ ὡς συμβεβηκὸς ὑπάρχει, καὶ προϊοῦσι μὲν ἔσται δῆ-
λον. λεγέσθω δὲ καὶ νῦν. μὴ ὑπαρχούσης μὲν γὰρ τῆς στερήσεως, οὐκ ἂν εἴη γένεσις. ἐκ γὰρ μὴ τοιούτου
ἡ γένεσις καὶ πεφυκότος. μὴ κατὰ συμβεβηκὸς δὲ ὑπαρχούσης ἀλλὰ καθ' αὑτό, φθείροιτο ἂν τὸ ὑπο-
κείμενον ἐν τῇ τῆς στερήσεως μεταβολῇ, εἴπερ τὸ εἶναι αὐτῷ ἦν τῷ ἐστερῆσθαι ἦν. ἀλλ' εἰ τὸ ὑποκεί-
μενον δυνάμει, τὸ δὲ δυνάμει ἐν στερήσει, πῶς οὐ τῷ οἰκείῳ λόγῳ στέρησίς ἐστι τὸ ὑποκείμενον. ἢ φαμὲν
ἐνεργείᾳ ὑποκείμενον αὐτὸ εἶναι. οὐ γὰρ δὴ καὶ τοῦτο δυνάμει ἔχει. συμβέβηκε δὲ αὐτῷ τὸ δύνασθαι
κοινωνεῖν τοῖς εἴδεσιν. ὥστε καὶ ἡ στέρησις τῶν εἰδῶν ὧν μέλλει δέχεσθαι συμβεβηκὸς ἂν αὐτῷ εἴη. ὅταν
γάρ φησιν Ἀλέξανδρος ὡς ὕλη τινὸς λαμβάνηται, τότε ἐστὶ μετὰ στερήσεως. ὅταν δὲ αὐτὸ καθ' ἑαυτὸ τὸ
ὑποκείμενον, οὐ μετὰ στερήσεως. ὁ μέντοι Βοηθὸς ἔλεγεν, ὅτι ἄμορφος μὲν οὖσα καὶ ἀνείδεος ὕλη λέγεται.
ἡ γὰρ ὕλη πρὸς τὸ ἐσόμενον ὀνομάζεσθαι δοκεῖ. ὅταν δὲ δέξηται τὸ εἶδος, οὐκέτι ὕλη ἀλλ' ὑποκείμενον λέ-
γεται. ὑποκεῖσθαι γάρ τοι λέγεται τῷ εἴδει ἐνόντι. μήποτε δὲ ὕλη μὲν ὡς ἐσχάτη λέγεται, ὑποκείμενον
δὲ ὡς πρὸς τὸ εἶδος, εἴτε ἔχει ἤδη τὸ εἶδος, εἴτε μέλλει δέχεσθαι αὐτό. ἄποιος δέ φησιν ὁ Ἀλέξανδρος
κατὰ τὸν ἑαυτοῦ λόγον ἡ ὕλη, οὐχ ὡς ἐν στερήσει οὖσα ποιότητος. καὶ γὰρ ἡ στέρησις ποιότης. ἀλλ' ὡς ἐν ἀπο-
φάσει. ὥσπερ γὰρ τοῦ εἴδους οὕτω καὶ τῆς στερήσεώς ἐστι δεκτική. ταῦτα τοῦ Ἀλεξάνδρου λέγοντος, ἐπισκέ-
ψειεν ἄν τις, πρῶτον μέν, εἰ ἡ στέρησις ποιότης, ἡ δὲ ποιότης εἶδός τι, παντὸς δὲ εἴδους γενητοῦ ἐστι στέρη-
σις, ἔσται καὶ τῆς στερήσεως στέρησις. εἰ δὲ ἡ στέρησις ἀπουσία, καὶ ἀπουσία ἔσται ἀπουσίας. καὶ τοῦτο ἐπ' ἄπει-
ρον. ἔτι δὲ εἰ ὡς τοῦ εἴδους οὕτω καὶ τῆς στερήσεώς ἐστι δεκτικὴ ἡ ὕλη, ὅταν τὸ εἶδος πάρεστι, στέρησιν ἔχει τῆς
στερήσεως. ἢ οὖν τὸ εἶδός ἐστιν ἡ στέρησις τῆς στερήσεως, ὅπερ ἄτοπον, ἢ ἔσται τις ἄλλη στέρησις συνοῦσα τῷ
εἴδει. καὶ τί ἔσται τὸ ἐκείνῃ ἀντικείμενον εἶδος, εἴπερ πᾶσα στέρησις πρὸς εἶδος ἀντίκειται. μήποτε οὖν ἄλλη
ἐστὶν ἡ κατηγορίαις στέρησις ἡ ἀντικειμένη τῇ ἕξει, ὡς ἡ τυφλότης τῇ ὄψει, ἥτις οὐ δὲ ἀνακάμπτει εἰς τὴν
ἕξιν, μετέχουσά πως τῆς ποιότητος καὶ αὐτή, καὶ παρακεχρωσμένη τῷ εἴδει οὐ λέγεται στέρησις. περὶ ἧς
» τάδε γέγραφεν ὁ Ἀριστοτέλης. ἐπὶ δέ γε τῆς στερήσεως καὶ τῆς ἕξεως ἀδύνατον εἰς ἄλληλα μεταβολὴν
» γίνεσθαι. ἀπὸ μὲν γὰρ τῆς ἕξεως ἐπὶ τὴν στέρησιν γίνεται μεταβολή. ἀπὸ δὲ τῆς στερήσεως ἐπὶ τὴν ἕξιν ἀ-
» δύνατον. οὔτε γὰρ τυφλὸς γενόμενός τις πάλιν ἀνέβλεψεν. οὔτε φαλακρὸς ὢν πάλιν κομήτης ἐγέ-
νετο. οὔτε νωδὸς ὢν πάλιν ὀδόντας ἔφυσεν. ἄλλη δέ τις ἐστὶν αὕτη ἡ στέρησις ἡ ἀντικειμένη τῷ εἴδει καὶ

ἀνακάμπτουσα εἰς αὐτό, ὥστε καὶ τὴν εἰς ἄλληλα τούτων μεταβολὴν ἐπιτελεῖσθαι τὴν γένεσιν καὶ
τὴν φθοράν. καὶ ἐκείνη μὲν μετὰ τὸ εἶδός ἐστι πήρωσις οὖσα τοῦ εἴδους. αὕτη δὲ καὶ πρὸ τοῦ εἴδους καὶ μετὰ
τὸ εἶδος ὡς ἀπουσία τις, μετὰ ἐπιτηδειότητος τῆς πρὸς τὸ εἶδος θεωρουμένη. ὥστε οὐδὲ στέρησις ἂν εἴη
τῆς στερήσεως. ἀλλ' εἶδος καὶ στέρησις μόνον ἀπουσία τις οὖσα τοῦ εἴδους. καὶ ὅταν παρῇ τὸ εἶδος, οὐ πάρε-
στιν ἡ στέρησις. οὐ μέντοι οὐδὲ ἀπουσία τῆς στερήσεως πάρεστιν ὡς ἄλλη στέρησις. εἴδους γὰρ ἀπουσία ἡ στέ-
ρησις ἀλλ' οὐχὶ στερήσεως. καὶ τὸ μὲν εἶδος παρεῖναι καὶ ἀπεῖναι λέγοιτο ἄν. οὔτε δὲ ἡ παρουσία παρεῖ-
ναι καὶ ἀπεῖναι, ὡς ἄλλην γίνεσθαι παρουσίαν τῆς παρουσίας, οὔτε ἡ ἀπουσία. καὶ γὰρ ὅταν συνά-
πτηταί τινα καὶ χωρίζηται ἀπ' ἀλλήλων, οὐ λέγομεν τοῦ χωρισμοῦ χωρισμὸν εἶναι.

ΠΟΛΛΑΧῶς δὲ λεγομένου τοῦ γίνεσθαι, καὶ τῶν μὲν, οὐ γίγνεσθαι. ἀλλὰ τόδε τι γίγνεσθαι, ἁπλῶς δὲ γί-
γνεσθαι τῶν οὐσιῶν μόνον, κατὰ μὲν τἄλλα, φανερὸν ὅτι ἀνάγκη ὑποκεῖσθαί τι τὸ γιγνόμενον. καὶ γὰρ
ποσὸν καὶ ποιὸν καὶ πρὸς ἕτερον, καὶ ποτὲ καὶ ποῦ, γίγνεται ὑποκειμένου τινός, διὰ τὸ μόνην τὴν οὐσίαν
μηδενὸς κατ' ἄλλου λέγεσθαι ὑποκειμένου. τὰ δ' ἄλλα πάντα κατὰ τῆς οὐσίας.

Προθέμενος ἐπὶ πάσης γενέσεως τό, τε ὑποκείμενον εὑρεῖν, καὶ τὴν διαφορὰν αὐτοῦ παραδοῦναι τὴν πρὸς
τὴν στέρησιν, καὶ ἀπὸ τῶν εὐκολωτέρων ἀρξάμενος, προφανεστέρα γὰρ ἦν ἡ τῶν συμβεβηκότων γένεσις, περὶ
ὑποκειμένην τὴν οὐσίαν ἐπιτελουμένη, μέτεισι λοιπὸν ἐπὶ τὸ δεῖξαι, ὅτι καὶ ἐπὶ τῶν οὐσίας ὑποκειμένου
τινὸς δεῖ, καὶ στερήσεως πρὸς τὴν γένεσιν τῆς οὐσίας καὶ πρὸς τὴν φθοράν. καὶ πρῶτον μὲν ἐπισημαίνεται,
ὅτι πολλαχῶς λεγομένου τοῦ γίνεσθαι, καὶ τοσαυταχῶς ὅσα ἐστὶ τὰ γινόμενα, ἐπὶ μὲν τῶν ἐννέα κατη-
γοριῶν οὐ γίνεσθαι ἁπλῶς λέγομεν. ἀλλὰ τόδε τι γίνεσθαι. τὴν γὰρ ὑποκειμένην οὐσίαν, οὐ γίνεσθαι ἁ-
πλῶς, ἀλλὰ λευκὸν γίνεσθαι, ἢ δίπηχυ, ἢ δεξιὸν λέγομεν. ἐπὶ δὲ τῶν οὐσίας οἷον τοῦ ἀνθρώπου, ὅτι γίνεται ἄνθρωπος
λέγομεν, ἀλλ' οὐ τόδε τι γίνεται. τούτου δὲ αἴτιον τὸ τὴν οὐσίαν αὐτὴν καθ' αὑτὴν ὑφεστάναι, καθ' ἑαυ-
τὴν γίνεσθαι. τῶν δὲ ἄλλων ἐν τῇ οὐσίᾳ τὸ εἶναι ἐχόντων, ἡ οὐσία κατ' αὐτὰ λέγεται γίνεσθαι, ἀλλ' οὐχ ἁπλῶς
οὐδὲ καθ' αὑτήν. διὸ κατὰ μὲν τὰ ἄλλα τῆς γενέσεως ἐπιτελουμένης, φανερὸν ὅτι ἀνάγκη ἐστὶν ὑπο-
κεῖσθαι τό τι γινόμενον. δεῖ γὰρ εἶναι πάντως ὃ λέγομεν τόδε τι γίνεσθαι. οἷον τὸ λευκόν, ἢ δίπηχυ. διό-
τι τὰ συμβεβηκότα πάντα ἐν ὑποκειμένῃ τῇ οὐσίᾳ ἐστίν. ἐπειδὴ δὲ ἡ οὐσία οὐκ ἔστιν ἐν ὑποκειμένῳ
ὥσπερ τὰ ἄλλα, οὐχ οὕτω φανερόν ἐστιν αὐτῆς τὸ κατὰ τὴν γένεσιν καὶ τὴν φθορὰν ὑποκείμενον.

ὍΤΙ ΔῈ δὲ καὶ ἡ οὐσία καὶ ὅσα ἄλλα ἁπλῶς ὄντα ἐξ ὑποκειμένου τινὸς γίνεται, ἐπισκοποῦντι γένοι-
τ' ἂν φανερόν. ἀεὶ γάρ ἐστί τι ὃ ὑπόκειται, ἐξ οὗ γίνεται τὸ γιγνόμενον. οἷον, τὰ φυτὰ καὶ τὰ ζῶα
ἐκ σπέρματος. γίγνεται δὲ τὰ γιγνόμενα ἁπλῶς τὰ μὲν μετασχηματίσει. οἷον, ἀνδριὰς ἐκ χαλκοῦ.
τὰ δὲ προσθέσει. οἷον, τὰ αὐξανόμενα. τὰ δ' ἀφαιρέσει. οἷον, ἐκ τοῦ λίθου ὁ Ἑρμῆς. τὰ δὲ συνθέσει.
οἷον, οἰκία. τὰ δ' ἀλλοιώσει. οἷον, τὰ τρεπόμενα κατὰ τὴν ὕλην.

Ὅτι μὲν αἱ ἄλλαι κατηγορίαι ἐν ὑποκειμένῳ τῇ οὐσίᾳ οὖσαι, τὸ γίνεσθαι καὶ φθείρεσθαι ἔχουσι προσεχῶς περὶ
τὴν οὐσίαν ὡς ὑποκειμένην, δῆλον. καὶ αὐτὴ δὲ ἡ οὐσία ἡ γενητή, καὶ ὅλως ὅσα παρὰ τὰ πρότερον εἰρημένα,
ἃ τόδε τι εἶναι λέγομεν, ἁπλῶς ὄντα ἐστί, καὶ οὐ τόδε τι ὄντα. τουτέστιν οὐσίαι καὶ οὐ συμβεβηκότα, καὶ
μὴ ἐν ὑποκειμένῳ τὸ εἶναι ἔχει. ἀλλ' ἔχει τι πάντως ἐν ἑαυτοῖς ὑποκείμενον κατ' αὐτά, παρ' ὃ τὸ γίνεσθαι καὶ
φθείρεσθαι συμβαίνει αὐτοῖς. τοῦτο δὲ πρῶτον μὲν δείκνυσι διὰ τῆς ἐπαγωγῆς. ἀεὶ γάρ ἐστι τὸ ὑποκεί-
μενον ταῖς γενέσεσιν, ὥσπερ ἐπὶ τῶν φυτῶν καὶ ζώων τὸ σπέρμα. τούτου γὰρ ὑπομένοντος ἅμα καὶ ἀλ-
λοιουμένου, γίνεται τὰ φυτὰ καὶ τὰ ζῶα. μετὰ δὲ τὴν ἐπαγωγὴν καθολικῇ φησιν ὁ Ἀλέξανδρος ἀποδεί-
ξει χρῆσθαι τὸν Ἀριστοτέλην, δεικνύντα, ὅτι κατὰ πάντας τοὺς τοῦ γίνεσθαι τρόπους ἐξ ὑποκειμένου
γίνεται τὰ γινόμενα, καὶ τὸ καθόλου συναποδεικνύντα, καὶ τὸ ἐπὶ τῆς οὐσίας, εἴγε καὶ ἡ ταύτης γένεσις
ὑπὸ τοὺς ἐκτιθεμένους τρόπους ἐστί. διὸ καὶ τὰ γινόμενα ἁπλῶς ἀντὶ τοῦ καθόλου καὶ καθάπαξ ἀκούει, ὡς
ἐπανιόντος αὐτοῦ πάλιν ἐπὶ τοὺς κοινοὺς τῆς γενέσεως τρόπους, ἐν οἷς καὶ ὁ κατ' οὐσίαν συνείληπται.
τῇ γὰρ ἀλλοιώσει φησὶν ὑποτάσσεται καὶ ἡ κατ' οὐσίαν γένεσις. καὶ ἴσως εἴποι ἄν, οὐχ ὅτι ἀλλοίωσίς ἐστιν, ἀλλ'
ὅτι οὐκ ἄνευ ἀλλοιώσεως. οὕτω μὲν οὖν ὁ Ἀλέξανδρος. καὶ ἔοικε καὶ Συριανὸς ὁ μέγας τὴν τοιαύτην ἐξήγη-
σιν ἀποδέξασθαι. μήποτε δὲ τῶν κατ' οὐσίαν γινομένων ἐστὶν ἡ διαίρεσις αὕτη. καὶ γὰρ τὸ σχῆμα εἶδος καὶ οὐσία
τοῦ ἀνδριάντος ἐστίν, ἀλλ' οὐ ποιότης. ἄλλο γὰρ καὶ οὐκ ἀλλοῖον γίνεται τὸ εἶδος, εἰ ἐκ σφαίρας ἀνδριὰς γέ-
νοιτο. εἰ δὲ τὰ ἄλλα εἴδη παρελάμβανε, πῶς ἡ κυρίως ἀλλοίωσις κατὰ ποιότητα οὖσα μεταβολὴ μέ-
νοντος ἀτρέπτου τοῦ ὑποκειμένου, κατὰ τροπὴν αὐτοῦ ἐνταῦθα παρελαμβάνετο, ἥτις κατ' οὐσίαν ἐστί.
πῶς δὲ καὶ εὔλογον μετὰ τὸ ἀποσκευάσασθαι τὰς ἄλλας γενέσεις, πάλιν ἐπ' αὐτὰς ἐλθεῖν. εἰ δὲ καὶ ἐποίει
τοῦτο, διατί μὴ πάσας ὧν ἅμα ἔμπροσθεν ἐμνήσθη παρέλαβεν ἐν τῇ ἀπαριθμήσει. καὶ γὰρ καὶ τῶν πρός
τι, καὶ τῶν ποτέ, καὶ τῶν ποῦ, ἐν ἐκείνοις ἐμνημόνευσεν. καίτοι ἀπαράλειπτον καὶ ταύτην τὴν διαίρεσιν ὁ ἐξη-
γητὴς εἶναι ὁμολογεῖ. μήποτε οὖν καὶ ἐνταῦθα γινόμενα ἁπλῶς εἶπε, τὰ κυρίως καὶ κατ' οὐσίαν γινόμενα.
καὶ γὰρ πρότερον εἶπεν, ὅτι ἁπλῶς γίνεσθαι μόναι λέγονται αἱ οὐσίαι, τὰ δὲ ἄλλα οὐχ ἁπλῶς γί-
νεσθαι, ἀλλὰ τόδε τι γίνεσθαι, καὶ ἔχει οὕτω τὸ ἀκόλουθον ἡ διδασκαλία, μετὰ τὴν ἐπαγωγικὴν πί-
στιν τὴν διὰ τοῦ σπέρματος, καὶ ἐκ τῆς διαιρέσεως τὴν ἀνάγκην προστιθεῖσα, τοῦ ἐξ ὑποκειμένου καὶ
στερήσεως, οὐ μόνον τὰ συμβεβηκότα ὡς δέδεικται πρότερον, ἀλλὰ καὶ αὐτὰς γίνεσθαι τὰς οὐσίας.

καὶ εἴη ἂν ἡ διαίρεσις τοιαύτη. τῶν γινομένων κατ' οὐσίαν τὰ μὲν, ὡς ἁπλᾶ γίνεται, τὰ δὲ ὡς σύνθετα. τὰ μὲν οὖν σύνθετα συνθέσει ὡς ἡ οἰκία. τῶν δὲ ἁπλῶν, τὰ μὲν διὰ βάθους, τὰ δὲ ἐπιπολῆς. καὶ τὰ ἐπιπολῆς, μετασχηματίσει. καὶ γὰρ αὕτη οὐσιώδης γένεσις, ὅταν ἐκ σφαίρας ἀνδριὰς γένηται. τῶν δὲ διὰ βάθους, τὰ μὲν, καθόλου, ὡς ἄνθρωπος ἐκ σπέρματος ἀλλοιουμένου. τὰ δὲ, κατὰ μέρος. καὶ τούτων, τὰ μὲν, ἐν προσθέσει, ὡς τὰ αὐξανόμενα. τὰ δὲ, ἀφαιρέσει, ὡς τὰ μειούμενα. καὶ ἐπίστησον, ὅτι οὐ παρέλαβεν ἀλλοίωσιν ἐνταῦθα τὴν κατὰ ποιότητα μόνον, ἢ μεταβολὴν, ἀλλὰ τὴν κατὰ τροπὴν τῆς ὕλης, οἷον τοῦ σπέρματος ἐπὶ τῶν φυτῶν καὶ τῶν ζώων, καθ' ἣν ἡ κατ' οὐσίαν γένεσις ἐπιτελεῖται. εἰ δὲ τὰς μεταβολὰς ἀπαριθμεῖ, πῶς τὴν κατὰ τόπον οὐ παρελάμβανε. πῶς δὲ τὴν κατὰ τὸ σχῆμα ἀντιδιῄρει πρὸς τὴν ἀλλοίωσιν. ζητήσας δὲ ὁ Ἀλέξανδρος, πῶς ὡς δύο τρόπους τέθεικε, τόν τε μετασχηματίσει καὶ τὸν ἀλλοιώσει, εἰ ἡ ποιότης καὶ τὸ σχῆμα, ἀλλοίωσίς ἐστι καὶ ἡ κατὰ τὸ σχῆμα μεταβολή, οὐχ ἁπλῶς οὖν φησι τὸ τῆς ἀλλοιώσεως εἶναι, ἀλλὰ τὸ μὲν μετασχηματιζόμενον ἐν τῇ τῆς τάξεως καὶ θέσεως τοῦ ὑποκειμένου ἀλλαγῇ τὴν γένεσιν ἔχει. τὸ δὲ ἀλλοιούμενον, ποιότητά φησί τινα καὶ πάθος ἀλλάσσει, οὐδὲν δὴ τοῦ ὑποκειμένου καθό ἐστιν ὑποκείμενον μεταπίπτοντος ἐν τῇ ἀλλοιώσει. ἰδίως γὰρ ἀλλοίωσις ἡ κατὰ τὰς παθητικὰς ποιότητας μεταβολή. εἰ δὲ ταῦτα οὕτως ἔχει, πῶς ἐπάγει, ὅτι τῇ ἀλλοιώσει ὑπάγεται καὶ ἡ κυρίως γένεσις. ἡ γὰρ κατὰ τὰς παθητικὰς ποιότητας μεταβολή, οὐκ ἂν εἴη κυρίως γένεσις.

Γ ΑΝΤΑ δὲ τὰ οὕτω γινόμενα φανερὸν, ὅτι ἐξ ὑποκειμένων γίνεται. ὥστε δῆλον ἐκ τῶν εἰρημένων, ὅτι τὸ γινόμενον ἅπαν ἀεὶ σύνθετόν ἐστι. καὶ ἔστι μέν τι τὸ γινόμενον. ἔστι δέ τι ὃ τοῦτο γίνεται. καὶ τοῦτο διττόν. ἢ γὰρ τὸ ὑποκείμενον, ἢ τὸ ἀντικείμενον. λέγεται δὲ ἀντικεῖσθαι μὲν τὸ ἄμουσον ὑποκεῖσθαι δὲ τὸν ἄνθρωπον, καὶ τὴν μὲν ἀσχημοσύνην, καὶ τὴν ἀμορφίαν, ἢ ἀταξίαν, τὸ ἀντικείμενον. τὸν δὲ χαλκὸν, ἢ τὸν λίθον, ἢ τὸν χρυσὸν, τὸ ὑποκείμενον.

Ε ἰ πάντα μὲν τὰ κυρίως γινόμενα κατά τινα τούτων γίνεται τῶν τρόπων, τὰ δὲ κατὰ τοὺς τρόπους τούτους γινόμενα ἐξ ὑποκειμένου γίνεται. δηλονότι πάντα τὰ κυρίως γινόμενα ἐξ ὑποκειμένου γίνεται. ὅτι δὲ τῶν εἰρημένων ἕκαστον ἐξ ὑποκειμένου γίνεται, δῆλον ἔσται προχειριζομένοις ἡμῖν. καὶ γὰρ ἐπὶ τοῦ μετασχηματιζομένου ἔστι τι ὃ μετασχηματίζεται. καὶ ἐπὶ τοῦ τῇ ἀφαιρέσει γινομένου ἔστι τι οὗ ἀφαιρεῖται. καὶ ἐπὶ τῆς προσθέσεως ἔστι τι ᾧ προστίθεται. καὶ ἐπὶ τῆς συνθέσεως τὰ συντιθέμενά ἐστι. καὶ ἐπὶ ἀλλοιώσεως εἶναί τι χρὴ τὸ ἀλλοιούμενον. εἰ οὖν καὶ ὑποκείμενόν τί ἐστιν ἐν πάσῃ γενέσει, τῇ τε οὐσιώδει καὶ τῇ κατά τι τῶν συμβεβηκότων, ἔστι δὲ καὶ τὸ τῷ ὑποκειμένῳ ἐπιγινόμενον, δηλονότι πᾶν τὸ γινόμενον σύνθετόν ἐστιν, ἔκ τε τοῦ γινομένου τουτέστι τοῦ εἴδους, οἷον τοῦ μουσικοῦ, πάλιν γὰρ τοῦτο ὡς σαφέστερον προχειρίζεται τὸ παράδειγμα, ὃ καὶ ὑπόνοιαν ἴσως παρέχει τοῦ κοινῶς πάλιν περὶ πάσης λέγειν γενέσεως, καὶ ἐκ τοῦ ὃ γίνεται. διττὸν δὲ τοῦτο. τό, τε ὑποκείμενον, καὶ τὸ ἀντικείμενον τῷ εἴδει. καὶ γὰρ ὅτι ὁ ἄνθρωπος, καὶ ὅτι ὁ ἄμουσος ἐγένετο μουσικὸς, λέγομεν. ἀντιστρόφως δὲ νῦν τῷ πρόσθεν γινόμενον μὲν τὸ εἶδος καλεῖ, ὃ γίνεται δὲ, τὴν ὕλην καὶ τὴν στέρησιν, ἐνδεικνύμενος οἶμαι ὅτι ἑκατέρως καλεῖν δυνατόν. παραδείγματα δὲ παραθέμενος τῶν ἐξ ὧν γίνεται τὸ γινόμενον, τό, τε ἄμουσον καὶ τὸν ἄνθρωπον, τοῦ γινομένου οὐ παρέθετο ὡς σαφῶς ἐκ τοῦ ἀντικειμένου. διὸ καὶ ἀντικείμενον ἐκάλεσε τὴν στέρησιν. τὸ δὲ τῷ ἀμούσῳ ἀντικείμενον, πρόδηλον ὅτι τὸ μουσικόν ἐστι. καὶ τοῦτο δὲ τὰ παραδείγματα παρέθετο, διὰ τὸ διορίσαι τοῦ ὑποκειμένου τὴν στέρησιν.

Φ ΑΝΕΡΟΝ οὖν ὡς εἴπερ εἰσὶν, αἰτίαι καὶ ἀρχαὶ τῶν φύσει ὄντων, ἐξ ὧν πρώτων εἰσὶ, καὶ γεγόνασι μὴ κατὰ συμβεβηκὸς, ἀλλ' ἕκαστον ὃ λέγεται κατὰ τὴν οὐσίαν, ὅτι γίνεται ἅπαν ἔκ τε τοῦ ὑποκειμένου καὶ τῆς μορφῆς. σύγκειται γὰρ ὁ μουσικὸς ἄνθρωπος, ἐξ ἀνθρώπου καὶ μουσικοῦ τρόπον τινά. διαλύσεις γὰρ τοὺς λόγους εἰς τοὺς λόγους τοὺς ἐκείνων. δῆλον οὖν ὡς γίγνοιτ' ἂν τὰ γιγνόμενα ἐκ τούτων.

Δ είξας ὅτι τὸ γινόμενον ἅπαν σύνθετόν ἐστι, συγκείμενον ἔκ τε τοῦ γινομένου, καὶ τοῦ ὃ γίνεται, τουτέστιν ἔκ τε τοῦ εἴδους καὶ τοῦ ὑποκειμένου, διὰ τοῦτο λοιπὸν δείκνυσιν ὅτι τὸ γινόμενον καὶ τὸ ὃ γίνεται, ἀρχαὶ καὶ στοιχεῖά εἰσι, καὶ ὅτι πῶς μὲν δύο ταῦτα, πῶς δὲ τρία, συλλογιζόμενος οὕτως. τὸ φυσικὸν καὶ γενητὸν ἅπαν σύγκειται καθ' αὑτὸ ἐκ πρώτων, τοῦ τε ὑποκειμένου καὶ τοῦ εἴδους. τὸ συγκείμενον καθ' αὑτὸ καὶ μὴ κατὰ συμβεβηκὸς ἐκ πρώτου τοῦ τε ὑποκειμένου καὶ τοῦ εἴδους, ἀρχὰς ἔχει τό, τε ὑποκείμενον καὶ τὸ εἶδος. σύγκειται γὰρ ὁ μουσικὸς ἄνθρωπος ἐξ ἀνθρώπου καὶ μουσικοῦ προσεχῶς. διὸ καὶ διαλύεται εἰς ταῦτα. ἐπειδὴ δὲ τὸ ὑποκείμενον ἀριθμῷ μέν ἐστιν ἓν, εἴδει δὲ καὶ λόγῳ δύο, καὶ τὸ μὲν καθ' αὑτό ἐστιν ἡ ὕλη, τὸ δὲ κατὰ συμβεβηκὸς ἡ στέρησις, συνάγεται ὅτι κατὰ μέν τινα τρόπον δύο εἰσὶν ἀρχαὶ, εἴ τις τὰ ἀριθμητὰ καὶ καθ' αὑτὸ ἐνυπάρχοντα τῷ συνθέτῳ στοιχεῖα λαμβάνοι, ἐξ ὧν πρώτων ἐστὶ καθ' αὑτὸ καὶ μὴ κατὰ συμβεβηκός. κατὰ δέ τινα τρόπον τρεῖς. εἴ τις καὶ τὴν στέρησιν ὡς ἀρχὴν καὶ στοιχεῖον λαμβάνοι, διότι ἦν ἐν τῷ ὑποκειμένῳ πρὶν γενέσθαι τὸ σύνθετον. καὶ οὐκ ἂν ἐγένετο τὸ σύνθετον, μὴ πρότερον ἐκστάντος ἐκείνου. ὁ γὰρ ἄνθρωπος οὐκ ἂν γένοιτο μουσικὸς, μὴ πρότερον ἄμουσος ὢν, καὶ τοῦ ἀμούσου ἀποχωρήσαντος. ὥστε τὰ φυσικὰ πάντα στοιχεῖα ἀρχὰς ἔχει, καθ' αὑτὸ μὲν δύο τό, τε εἶδος καὶ τὴν ὕλην, κατὰ

συμβεβηκὸς δὲ καὶ τὴν στέρησιν, ὅτι τῇ ὕλῃ συμβέβηκεν αὕτη, ἥτις καθ' αὑτὸ αἴτιον ἐλέχθη. τὰ δὲ κατὰ συμβεβηκὸς αἴτια οὐδὲ αἴτια κυρίως ἐστίν. ἡ μὲν οὖν ὅλη τῶν λεγομένων ἔννοια τοιαύτη. σημειωτέον δὲ, ὅτι τὸ τῆς αἰτίας καὶ ἀρχῆς ὄνομα καὶ ἐπὶ τῆς ὕλης τίθησιν ὁ ἀριστοτέλης, ἐν οἷς φησιν, ὡς εἴπερ εἰσὶν αἰτίαι καὶ ἀρχαὶ τῶν φύσει ὄντων. τὸ δὲ ἐξ ὧν πρώτων εἰσὶν ἢ γεγόνασι καὶ τὰ ἑξῆς, εἴρηται, δηλοῦντα, ὅτι τὰς στοιχειώδεις ἀρχὰς ὁ λόγος ζητεῖ, ἐξ ὧν ἔστιν ὅτε ἐστὶ, καὶ γέγονεν ὅτε γέγονε τὰ φυσικὰ πάντα. ἐξ ὧν γὰρ γέγονεν, ἐκ τούτων καὶ ἐστί. καὶ ἐξ ὧν ἐστὶν, ἐκ τούτων καὶ γέγονε, μὴ κατὰ συμβεβηκὸς τὸ ἐξ ὧν λαμβανόντων ἡμῶν ἀλλὰ κατ' οὐσίαν, τουτέστιν ἐξ ὧν ἡ οὐσία συμπληροῦται τοῦ γινομένου. ἐξ ὧν γὰρ οὕτω τι γέγονε, ταῦτα ἀρχαὶ καὶ αἴτια αὐτοῦ ἐστι κυρίως. προσέθηκε δὲ τοῦτο, καὶ διὰ τὴν στέρησιν, διότι λέγεται μὲν καὶ ἐκ τοῦ ἐναντίου καὶ μὴ ἐνυπάρχοντος γίνεσθαι τὸ γινόμενον, ἀλλὰ κατὰ συμβεβηκὸς ἐκ τούτου, καὶ οὐχ οὕτως ὡς ἐν τῇ οὐσίᾳ αὐτοῦ εἶναι καὶ συμπληροῦν αὐτοῦ τὸ εἶναι. τὸ δὲ ἕκαστον ὃ λέγεται κατὰ τὴν οὐσίαν, ὅμοιόν ἐστι τῷ ἐν ταῖς κατηγορίαις ἐπὶ τῶν ὁμωνύμων εἰρημένῳ, ὁ δὲ κατὰ τοὔνομα λόγος τῆς οὐσίας ἕτερος. ὡς γὰρ ἐκ στοιχείων ἕκαστον σύγκειται ἐκείνων, ἃ τῶν λεγομένων ἑκάστου καθ' ὃ λέγεται συμπληροῖ τὴν οὐσίαν. σύγκειται δέ φησιν ὁ μουσικὸς ἄνθρωπος ἐξ ἀνθρώπου καὶ μουσικοῦ τρόπον τινά. οὐ γὰρ ὡς τὰ κεχωρισμένα πάντη καὶ κατ' ἰδίαν ὄντα συντέθη, ὡς πλίνθοι καὶ λίθοι. διὸ οὐ διαλύεται οὕτως. ἀλλ' εἰς τοὺς λόγους καὶ εἰς τοὺς ὁρισμοὺς ἡ διάλυσις. ὥστε καὶ ἐκ τούτων ἡ σύνθεσις. ἰστέον δὲ ὅτι ἄλλο ἐστὶ τὸ ὡς ἀρχὰς καὶ στοιχεῖα τῶν φυσικῶν ζητεῖν, ἐξ ὧν πρώτως ἐνυπαρχόντων ἐστὶ καθ' αὑτὸ καὶ μὴ κατὰ συμβεβηκὸς, καὶ ἄλλο μεταβολῆς ἀρχὰς ζητεῖν. καὶ κατὰ μὲν τὸ πρῶτον ἡ στέρησις κατὰ συμβεβηκὸς ἂν εἴη αἴτιον, ὡς μὴ ἐνυπάρχον. κατὰ δὲ τὸ δεύτερον, καθ' αὑτό. ὡς γὰρ τῆς εἰς τὸ εἶναι μεταβολῆς αἴτιον τὸ εἶδος, οὕτω τῆς εἰς τὸ μὴ εἶναι ἡ στέρησις. αἴτιον δὲ ἡ στέρησις καὶ τῷ γινομένῳ κατὰ τὴν παρουσίαν, ὅτι ἐκ μὴ τοιούτου δεῖ γίνεσθαι. καὶ κατὰ τὴν ἀπουσίαν, ὅτι ἀπογινομένης αὐτῆς, ἐπιγίνεται τὸ εἶδος.

Ἔ ΣΤΙ ΔΕ τὸ ὑποκείμενον ἀριθμῷ μὲν, ἕν. εἴδει δὲ, δύο. ὁ μὲν γὰρ ἄνθρωπος καὶ ὁ χρυσὸς, καὶ ὅλως ἡ ὕλη, ἀριθμητή. τόδε γάρ τι μᾶλλον, καὶ οὐ κατὰ συμβεβηκὸς ἐξ αὐτοῦ γίνεται τὸ γιγνόμενον. ἡ δὲ στέρησις, καὶ ἡ ἐναντίωσις, συμβεβηκός. ἓν δὲ τὸ εἶδος. οἷον, ἡ τάξις, ἢ ἡ μουσική, ἢ τῶν ἄλλων τι τῶν οὕτω κατηγορουμένων.

Τ ὴν κοινωνίαν πάλιν ἐνταῦθα τῆς τε ὕλης καὶ τῆς στερήσεως, καὶ τὴν διαφορὰν αὐτῶν παραδίδωσι. καθόσον μὲν γὰρ σὺν τῇ ὕλῃ καὶ ἡ στέρησίς ἐστι πρὶν ἐπιγένηται τὸ εἶδος, καὶ σὺν αὐτῇ θεωρεῖται ὡς ὑποκείμενον, κατὰ τοῦτον ἓν τῷ ἀριθμῷ ἐστι τὸ ὑποκείμενον, τὸ ἐξ ὕλης καὶ στερήσεως. καθὸ δὲ ἡ μὲν ὕλη ὑπομένει, οἷον ὁ ἄνθρωπος ἢ ὁ χρυσὸς ἐν τῇ μεταπλάσει τῶν χρυσῶν σκευῶν, καὶ ὑπὸ δεῖξιν πίπτει, καὶ τόδε τι λέγεται, χρυσοῦς γὰρ καὶ ὁ μανιάκης, χρυσοῦς καὶ ὁ δακτύλιος, ἐνυπαρχούσης ἀεὶ τῷ συνθέτῳ καθ' αὑτὸ τῆς ὕλης, κατὰ τοῦτο καὶ ἀριθμητή ἐστιν αὕτη. τὸ γὰρ καθ' αὑτὸ ὑφεστὼς καὶ ὑπὸ δεῖξιν πῖπτον, ἀριθμητὸν κυρίως. καὶ ὁ μὲν ἄνθρωπος καὶ ὁ χρυσὸς, τὰ ἄτομα, ἅπερ καὶ ὑποκείμενά ἐστιν, ἁπλῶς ἀριθμητὰ, καὶ τόδε τι ἕκαστον αὐτῶν. ἐπεὶ δὲ προσέθηκε τούτοις, καὶ ὅλως ἡ ὕλη, ἡ δὲ πρώτη ὕλη οὐκέτι ὁμοίως τῷ ἀνθρώπῳ ἀριθμητὴ, καὶ τόδε, ἐπειδὴ οὐδὲ δύναται καὶ χωρὶς εἴδους ὑπὸ δεῖξιν πίπτειν, διὰ τοῦτο προσέθηκε, τῷ τόδε γάρ τι, τὸ μᾶλλον. οὐ γὰρ ἁπλῶς ἡ ὕλη τόδε. ἀλλὰ καθόσον συνεργεῖ τῷ συναμφοτέρῳ, πρὸς τὸ εἶναι αὐτὸ τόδε τι, οἷον γενητὸν καὶ αἰσθητὸν, ὑπομένουσά τε καὶ σωζομένη ἐν αὐτῷ. ὅπερ ἐδήλωσε διὰ τοῦ καὶ οὐ κατὰ συμβεβηκὸς ἐξ αὐτοῦ γίνεται τὸ γινόμενον. καὶ ὅλως τὸ ἀριθμητὸν, καὶ τόδε τι ἔχει, διὰ τὸ ὑφεστάναι ἐν τῷ συνθέτῳ. κἂν γὰρ ἔλαττον τοῦ εἴδους ἔχῃ τοῦτο, ἀλλὰ μᾶλλον τῆς στερήσεως. ἡ μέντοι στέρησις οὐκ ἐνυπάρχει ἐν τῷ γινομένῳ, ὥσπερ τὸ εἶδος καὶ ἡ ὕλη. ὥστε οὐκ ἂν ἐξ αὐτῆς λέγοιτο πρώτης καὶ καθ' αὑτὸ γεγονὸς εἶναι. ἀλλ' οὐδὲ τόδε τι διὰ ταύτην ἐστὶ τὸ σύνθετον, εἴπερ μὴ ὑπομένει, καὶ εἴπερ ἀπουσία μόνον ἐστίν. ὥστε οὐδὲ ἀριθμητὴ αὕτη, οὐδὲ τόδε τι. οἷον γὰρ ἀπόφασίς τίς ἐστιν ἡ στέρησις, εἰ καὶ διαφέρει τι τῆς ἀποφάσεως. ἡ δὲ ἀπόφασις οὐκ ἀριθμητὴ, οὐδὲ τόδε τι, διὰ τὸ ἀόριστον. διαφέρει δὲ ἡ στέρησις τῆς ἀποφάσεως, τῷ προσσημαίνειν τὸ ἐν ᾧ ἐστι. τὸ γὰρ ἄμουσον οὐκ ἐν παντὶ, ἀλλ' ἐν ἀνθρώπῳ. εἰ δὲ μὴ καθ' αὑτήν ἐστιν αἴτιον ἡ στέρησις, κατὰ συμβεβηκὸς ἂν εἴη, διότι συμβέβηκε τῷ καθ' αὑτὸ αἰτίῳ τῇ ὕλῃ. καὶ γὰρ καὶ ὂν οὐ καθ' αὑτό ἐστιν, ἀλλὰ κατὰ συμβεβηκὸς, εἴπερ ἀπουσία τοῦ εἴδους ἐστὶν ἐν τῷ πεφυκότι. διὸ καὶ ἀριθμῷ ἓν τὸ ὑποκείμενον, κἂν λόγῳ δύο. καὶ τὸ εἶδος δὲ ἓν τῶν στοιχείων ἐστὶ τῶν συμπληρούντων τὸ σύνθετον. ὥστε δῆλον γέγονεν ἐκ τῶν εἰρημένων, καὶ πῶς δύο, καὶ πῶς τρεῖς αἱ ἀρχαὶ δύνανται λέγεσθαι. ἄξιον δὲ ἐν τούτοις ἐπιστῆσαι, πῶς ἀκόλουθα τοῖς ἐν τιμαίῳ περὶ τῆς ὕλης εἰρημένοις τῷ πλάτωνι γέγραφεν ὁ ἀριστοτέλης γέγραπται γὰρ οὕτως. ἐν ᾧ δὲ ἐγγινόμενα ἀεὶ ἕκαστα αὐτῶν φαντάζεται, καὶ

» πάλιν ἐκεῖθεν ἀπόλλυται, μόνον ἐκεῖνο αὖ προσαγορεύειν, τῷ τε τοῦτο καὶ τῷ τόδε προσχρωμένους ὀνό-

» ματι. καὶ μετ' ὀλίγα, εἰ γὰρ πάντα τις σχήματα πλάσας ἐκ χρυσοῦ, μηδὲν μεταπλάττων παύοιτο

» ἕκαστα εἰς ἅπαντα, δεικνύντος δή τινος αὐτῶν ἓν καὶ ἐρομένου τί ποτέ ἐστι, μακρῷ πρὸς ἀλήθειαν

ἀσφαλέστατον εἰπεῖν, ὅτι χρυσός. ἐπειδὴ δὲ τόδε τι, ποτὲ μὲν κατὰ τὸ ὑπομένειν καὶ ὑπὸ δεῖξιν πίπτειν δοκεῖ λέγεσθαι, ποτὲ δὲ κατὰ τὸ ἐφ᾽ ἑαυτοῦ ὄν, καὶ οὔτε ἐν ἄλλῳ, οὔτε ἄλλου, τοιοῦτο δὲ τὸ σύνθετον, ἐνταῦθα μὲν συμφώνως τῷ πλάτωνι ἐπὶ τοῦ ὑπομένοντος αὐτῷ χρῆται. μετ᾽ ὀλίγον δὲ κατὰ τὸ τέλειον καὶ σύνθετον αὐτῷ χρώμενος, ἀποφάσκει αὐτὸ τῆς ὕλης.

ΔΙΟ᾽ ἔστι μὲν ὡς δύο λεκτέον τὰς ἀρχάς, ἔστι δ᾽ ὡς τρεῖς. καὶ ἔστι μὲν ὡς τἀναντία. οἷον εἴ τις λέγοι τὸ μουσικὸν, καὶ τὸ ἄμουσον, ἢ τὸ θερμὸν, καὶ τὸ ψυχρὸν, ἢ τὸ ἡρμοσμένον, καὶ τὸ ἀνάρμοστον. ἔστι δ᾽ ὡς οὔ. ὑπ᾽ ἀλλήλων γὰρ πάσχειν τἀναντία, ἀδύνατον. λύεται δὲ καὶ τοῦτο, διὰ τὸ ἄλλο εἶναι τὸ ὑποκείμενον. τοῦτο γὰρ οὐκ ἐναντίον. ὥστε οὔτε πλείους τῶν ἐναντίων αἱ ἀρχαὶ τρόπον τινά. ἀλλὰ δύο ὡς εἰπεῖν τῷ ἀριθμῷ. οὔτε αὖ παντελῶς δύο. διὰ τὸ ἕτερον ὑπάρχειν τὸ εἶναι αὐτοῖς. ἀλλὰ τρεῖς. ἕτερον γὰρ τῷ ἀνθρώπῳ, καὶ τῷ ἀμούσῳ, τὸ εἶναι, καὶ τῷ ἀσχηματίστῳ, καὶ χαλκῷ.

ΕΙΠΩΝ πολλὴν εἶναι ἀπορίαν πότερον δύο αἱ ἀρχαὶ ἢ τρεῖς, καὶ δείξας ὅτι πῶς μὲν δύο, πῶς δὲ τρεῖς εἰσι, συμπεραινόμενος τὰ εἰρημένα, διό φησιν, ἔστι μὲν ὡς δύο λεκτέον εἶναι τὰς ἀρχάς, ἔστι δὲ ὡς τρεῖς. δύο μὲν, εἰ τὰς κυρίως τις ἀρχὰς λαμβάνοι, τό, τε ὑποκείμενον καὶ τὸ εἶδος. τρεῖς δὲ, εἰ τὴν κατὰ συμβεβηκὸς ἀρχὴν ταῖς δύο προσλαμβάνοι, τὴν στέρησιν, προστίθησι δὲ καὶ ἄλλον τρόπον, καθ᾽ ὃν ἔστι μὲν ὡς δύο, ἔστι δὲ ὡς τρεῖς δυνατὸν λέγεσθαι τὰς ἀρχάς. δύο μὲν γὰρ, εἴ τις τὰ ἐναντία λέγοι ἀρχὰς, τό τε εἶδος καὶ τὴν στέρησιν. διότι κατὰ τὴν εἰς ἄλληλα τούτων μεταβολὴν, ἥ τε γένεσις ἐπιτελεῖται καὶ ἡ φθορά. ἔστι δὲ ὡς ἀδύνατον δύο λέγεσθαι. ὑπ᾽ ἀλλήλων γὰρ τἀναντία πάσχειν ἀδύνατον καθ᾽ ἑαυτὰ ὄντα. οὐ γὰρ ὑπομένει ἄλληλα, οὐδὲ ἐπιδέχεται. οὐδὲ γίνεται τὸ ἐναντίον ὅπερ τὸ ἐναντίον. πῶς οὖν ἐκ τῶν ἐναντίων τἆλλα, εἴπερ μὴ πάσχει τι ὑπ᾽ ἀλλήλων τὰ ἐναντία. ἢ λύεται τὸ ἄπορον τοῦτο, διὰ τὸ τρίτην ἀρχὴν τιθέναι τὸ ὑποκείμενον. ἐν ᾧ καὶ δρᾶν εἰς ἄλληλα τὰ ἐναντία δυνήσεται. τοῦτο γὰρ οὐκ ὂν ἐναντίον, ὑπομένει ἑκάτερον. καὶ οὕτως οὐκέτι πάλιν δύο, ἀλλὰ τρεῖς αἱ ἀρχαί. ὥστε καὶ κατὰ τοῦτον τὸν τρόπον ἀληθὲς εἰπεῖν, ὅτι πῶς μὲν δύο, πῶς δὲ τρεῖς εἰσιν αἱ ἀρχαί. καὶ ἄλλως δὲ πάλιν ἔστι λέγειν ὅτι οὐ πλείους τῶν ἐναντίων αἱ ἀρχαί. ἰσάριθμοι γὰρ τοῖς ἐναντίοις δύο οὖσιν αἱ κυρίως ἀρχαὶ, τό, τε ὑποκείμενον καὶ τὸ εἶδος. ὥστε πάλιν τρόπον τινὰ δύο εἰσὶν αἱ ἀρχαί. οὐ παντελῶς δὲ δύο διὰ τὸ τὸ ὑποκείμενον κἂν ἀριθμῷ ἐστιν ἓν, δύο ὑπάρχειν τῷ λόγῳ. ἄλλος γὰρ ὡς ὕλης λόγος, καὶ ἄλλος ὡς στερήσεως, κἂν ἓν ταῦτα τῷ ἀριθμῷ δοκεῖ. καὶ ἔοικεν ἐν τούτοις κατὰ πολλοὺς τρόπους ὁ ἀριστοτέλης ἐθέλειν παραδοῦναι, πῶς μὲν δύο, πῶς δὲ τρεῖς δυνατὸν λέγεσθαι τὰς ἀρχάς, πρῶτον μὲν εἰπὼν, ὡς καθ᾽ αὑτὸ δύο. ὡς δὲ καὶ τῆς κατὰ συμβεβηκὸς προστιθεμένης, τρεῖς. εἶτα ὅτι ὡς μὲν τὰ ἐναντία δύο. ὡς δὲ μετὰ τοῦ ὑποκειμένου, τρεῖς. εἶτα ὡς μὲν ἰσάριθμοι τοῖς ἐναντίοις, δύο. ὡς δὲ τῆς ἑτέρας δίχα τῷ λόγῳ διαιρουμένης, τρεῖς. τὸ δὲ τρόπον τινὰ καὶ τὸ δύο ὡς εἰπεῖν, εἴρηται ὡς ὁ ἀλέξανδρός φησι, διότι οὐ δύο κατὰ ἀριθμὸν ἡ ὕλη καὶ τὸ εἶδος, τῷ μὴ οἷόν τε εἶναι ἰδίᾳ ἑκάτερον αὐτῶν ὑποστῆναι, τὰ δὲ τῷ ἀριθμῷ ἕτερα ἐπὶ ἰδίας οὐσίας κεχωρισμένα εἶναι. ἢ εἰπὼν δύο τρόπον τινὰ, ἐπήνεγκε τὸν τρόπον, εἰπὼν, ἀλλὰ δύο ὡς εἰπεῖν τῷ ἀριθμῷ. ἓν γὰρ τῷ ἀριθμῷ ἡ ὕλη μετὰ τῆς στερήσεως. καὶ ἓν τὸ εἶδος. τρεῖς δὲ τῷ τὴν στέρησιν ἑτέραν εἶναι τῆς ὕλης κατὰ τὸν λόγον. ἐφιστάνει δὲ ὁ ἀλέξανδρος, ὅτι κοινότερον νῦν τὴν στέρησιν, ἐναντίαν τῷ εἴδει λέγει. ἀντίκειται μὲν γὰρ, ἀλλ᾽ ὡς τῇ ἠρεμίᾳ ἡ κίνησις. ἢ τίς πῶς ἀντίκειται, εἴρηται ἐν τῷ πέμπτῳ τῆσδε τῆς πραγματείας. ὅτι ὡς στέρησις ἀντίκειται τῇ κινήσει ἡ ἠρεμία. ἀπουσία γάρ κινήσεως, καὶ οὐδὲν ἄλλο. πλὴν ὅτι οὐκ ἐν παντὶ, ἀλλ᾽ ἐν τῷ πεφυκότι κινεῖσθαι.

ΟΣΑΙ μὲν οὖν αἱ ἀρχαὶ τῶν περὶ γένεσιν φυσικῶν, καὶ πῶς ποσαι, εἴρηται. καὶ δῆλόν ἐστιν, ὅτι δεῖ ὑποκεῖσθαί τι τοῖς ἐναντίοις. καὶ τὰ ἐναντία δύο εἶναι.

αὐν ἀκριβῶς εἶπε τὰς ἀρχὰς εὑρῆσθαι τῶν ἐν γενέσει φυσικῶν. οὔτε γὰρ τῶν γινομένων ἁπλῶς ἁπάντων, οὐ γὰρ δὴ καὶ προαιρέσεως ἀρχαὶ αὗται, οὔτε τῶν φυσικῶν πάντων. οὐ γοῦν δὴ τῶν θείων τε καὶ ἀϊδίων, οἷον τῶν οὐρανίων. καὶ γοῦν φυσικὰ μέν ἐστιν ἐκεῖνα, διὰ τὸ ἐν κινήσει εἶναι. οὐ μέντοι γεννητὰ διὰ τὸ ἀΐδια δεδεῖχθαι. διότι οὐκ εἰσὶ τούτων αἱ παραδεδομέναι ἀρχαί. οὔτε στέρησις γάρ ἐστιν ἐν τοῖς οὐρανίοις ἀϊδίοις οὖσιν, οὔτε μέντοι τοιαύτη ὕλη, εἴπερ μεταβολὴ μὴ ἔστιν, ἐφ᾽ ἧς εἰσήχθη ἡ ὕλη. διὸ καὶ αὐτὸς ἐν τῷ ὀγδόῳ τῆς μετὰ τὰ φυσικὰ τάδε φησίν. ὅταν δέ τις ζητῇ τὸ αἴτιον, ἐπεὶ πλεοναχῶς τὸ αἴτιον λέγεται, πάσας δεῖ λέγειν τὰς ἐνδεχομένας αἰτίας. οἷον ἀνθρώπου τίς αἰτία ὡς ὕλη, ἆρα τὰ καταμήνια; τί δὲ ὡς κινοῦν, ἆρα τὸ σπέρμα; τί δὲ ὡς τὸ εἶδος. τὸ τί ἦν εἶναι. τί δὲ ὡς τὸ οὗ ἕνεκα. τὸ τέλος. ἴσως δὲ ταῦτα ἄμφω τὰ αὐτά. δεῖ δὲ τὰ ἐγγύτατα λέγειν. τίς ἡ ὕλη. μὴ πῦρ, ἢ γῆν. ἀλλὰ τὴν ἰδίαν. περὶ μὲν οὖν τῆς φυσικῆς αἰτίας καὶ γεννητῆς, ἀνάγκη οὕτω μετιέναι, εἴ τις μέτεισιν ὀρθῶς. τὰ γὰρ αἴτια ταῦτα καὶ τοσαῦτα. καὶ δεῖ τὰ αἴτια γνωρίζειν. ἐπὶ δὲ τῶν φυσικῶν μὲν, ἀϊδίων δὲ οὐσιῶν, ἄλλος λόγος. ἴσως γὰρ ἔνια οὐκ ἔχει ὕλην, ἢ οὐ τοιαύτην, ἀλλὰ μόνον κατὰ τόπον κινητήν. οὐδὲ ὅσα δὴ φύσει μὲν, μὴ οὐσία δὲ, οὐκ ἔστι τούτοις ὕλη. ἀλλὰ τὸ ὑποκείμενον ἡ οὐσία. καὶ μετ᾽ ὀλίγα φησὶν, οὐδὲ παντὸς ὕλη ἐστίν. ἀλλ᾽ ὅσων γένεσίς ἐστι καὶ μεταβολὴ εἰς ἄλληλα. ὅσα δὲ ἄνευ

» τοῦ μεταβάλλειν ἐστὶν ἢ μή, οὐκ ἔστι τούτων ὕλη. εἰ δὲ καὶ στοιχειώδεις εἰσὶν αἱ παραδεδομέναι ἀρχαί, αἱ δὲ τοιαῦται συνθέτων εἰσὶν ἀρχαί, τὸ δὲ οὐράνιον σῶμα ἁπλοῦν ἀποδείκνυται, πέμπτης ὂν ἄλλης οὐσίας ἐκφύλλου παρὰ τὴν γένεσιν, οὐκ ἂν ἔχοι ἐκεῖνο τὰς στοιχειώδεις ἀρχάς. ἀλλ' εἰ ταῦτα ἀληθῆ, πῶς τὸν σκοπὸν τῆς πραγματείας περὶ τῶν κοινῇ πᾶσι τοῖς φυσικοῖς παρακολουθούντων ἐλέγομεν εἶναι, εἴπερ φυσικῶν ὄντων τῶν οὐρανίων οὐκ εἰσὶν ἀρχαὶ αἱ νῦν ἀποδεδειγμέναι. πῶς δὲ φυσικὴν ἁπλῶς ἀκρόασιν ἐπέγραψε τὴν πραγματείαν. εἰ μὴ ἄρα καὶ τῶν οὐρανίων εἰσὶν ἀρχαί, καθόσον μεταβάλλει. μεταβάλλει δὲ ἡ μὲν σελήνη κατὰ τοὺς φωτισμούς. πάντα δὲ τὰ οὐράνια κατὰ κίνησιν τὴν κατὰ τόπον. καὶ κατὰ ταῦτα μετέχει πῃ τῆς στερήσεως καὶ ὑποκειμένου τοῦ κινητοῦ σώματος. διὸ γὰρ καὶ ἀριστοτέλης συνεχώρησεν. ὅλως δὲ εἰ φυσικὰ πάντα φαμὲν καθὸ μετέχει φύσεως, ἡ δὲ φύσις ἀρχὴ κινήσεως καὶ ἠρεμίας ἐστὶν ὡς μαθησόμεθα, πᾶσα δὲ κίνησις μεταβολή τις ἐστὶν ὡς καὶ αὐτὸ μαθησόμεθα, δῆλον ὅτι τὰ παντελῶς ἀμετάβλητα καθὸ ἀμετάβλητά ἐστιν, οὐκ ἂν φυσικὰ ἁπλῶς λέγοιτο. ὥστε καὶ εἰ καλεῖ φυσικὰ τὰ οὐράνια, κατὰ τὴν κίνησιν αὐτὰ λέγει τὴν τοπικὴν ἀλλ' οὐ τὴν οὐσιώδη. ὥστε κατὰ μὲν τὴν οὐσίαν οὐ περιέχεται ἐν τούτοις τὰ οὐράνια. κατὰ δὲ τὴν φυσικὴν κίνησιν καθ' ἣν καὶ φυσικὰ δείκνυται, περιληφθήσεται τοῖς περὶ κινήσεως λόγοις, κατά τε τὸ κοινὸν εἶδος τῆς τοπικῆς κινήσεως καὶ κατὰ τὸ κυκλικόν, εἰς ὃ πάντες οἱ περὶ κινήσεως λόγοι κορυφοῦνται. ὥστε κοιναὶ μέν εἰσιν αὗται πάντων τῶν φυσικῶν ἀρχαί. ἀλλὰ τῶν μὲν ἐν γενέσει καὶ φθορᾷ, καὶ κατὰ τὴν οὐσίαν καὶ κατὰ τὰ ἄλλα συμβεβηκότα, καθ' ἃ αἱ μεταβολαὶ γίνονται. τῶν δὲ ἀϊδίων, κατὰ τὴν τοπικὴν κίνησιν. ἁπλῶς δὲ τῶν φυσικῶν καθὸ φυσικά. ταυτὸν δὲ εἰπεῖν, καθὸ κινήσεως καὶ μεταβολῆς ἀρχὴν ἔχει οὐ πάσης. οὐ γὰρ δὴ καὶ τῆς προαιρετικῆς, ἀλλὰ τῆς φυσικῆς ταυτὸν δὲ εἰπεῖν σωματικῆς. ἡ γὰρ φύσις σωματική τις ἐστὶν ἀρχὴ κινήσεως καὶ ἠρεμίας, τῆς τε ἄλλης καὶ τῆς κατὰ τόπον. ἐπειδὴ δὲ ἐν τοῖς περὶ γένεσιν καὶ φθορὰν ἐναργεστέρα καὶ ἡ στέρησίς ἐστι καὶ τὸ ὑποκείμενον, διὰ τὴν παντοίαν μεταβολήν, ἐπὶ τούτων τὸν πλείονα ποιεῖται λόγον, καὶ ἐπ' αὐτῶν παραδείγματα, ὡς καὶ περὶ αὐτῶν δοκεῖν εἶναι τὸν σκοπόν. οὐ γὰρ ἐνταῦθα μόνον τῶν περὶ γένεσιν φυσικῶν εἶπε τὰς ἀρχὰς εὑρῆσθαι, ἀλλὰ καὶ ἐν τῷ δευτέρῳ βιβλίῳ, ἐπειδὴ τὸ
» εἰδέναι χάριν φησὶν ἡ πραγματεία, εἰδέναι δὲ οὐ πρότερον οἰόμεθα ἕκαστον, πρὶν ἂν λάβωμεν τὸ διὰ-
» τί περὶ ἕκαστον, τοῦτο δέ ἐστι τὸ λαβεῖν τὴν πρώτην αἰτίαν, δηλονότι καὶ ἡμῖν τοῦτο ποιητέον, καὶ περὶ
» γενέσεως καὶ φθορᾶς καὶ πάσης τῆς φυσικῆς μεταβολῆς. ὅπως εἰδότες αὐτῶν τὰς ἀρχάς, ἀνά-
» γειν πειρώμεθα τῶν γινομένων ἕκαστον. καὶ χρὴ ἐπιστῆσαι, ὅτι περὶ γενέσεως καὶ φθορᾶς εἰπών, ἐπήγαγε καὶ πάσης τῆς φυσικῆς μεταβολῆς, ἐν ᾗ καὶ ἡ κατὰ τὴν τοπικὴν κίνησιν περιέχεται. ὅτι δὲ μέσα πως βούλεται εἶναι τὰ οὐράνια, καὶ ἰδίας πραγματείας δεόμενα, ἐδήλωσεν ἐν τῷ δευτέ-
» ρῳ τῆσδε τῆς συγγραφῆς, τριχῇ διαιρῶν τὰς πραγματείας. ἡ μὲν γάρ φησι περὶ ἀκίνητόν ἐστιν. ἡ δέ,
» περὶ κινούμενον μέν, ἄφθαρτον δέ, ἡ δὲ περὶ τὰ φθαρτά.

Τ ΡΟΠΟΝ δέ τινα ἄλλον οὐκ ἀναγκαῖον. ἱκανὸν γὰρ ἔσται τὸ ἕτερον τῶν ἐναντίων ποιεῖν τῇ ἀπουσίᾳ, καὶ παρουσίᾳ, τὴν μεταβολήν.

Ε ἰπὼν ὅτι τρεῖς αἱ ἀρχαὶ τό, τε ὑποκείμενον καὶ τὰ ἐναντία, ἐνδείκνυσι πάλιν, ὅτι καὶ δύο δυνατὸν λέγειν, καὶ οὐκ ἀναγκαῖον τρεῖς. εἰ γὰρ ἡ στέρησις οὐδὲν ἄλλο ἢ ἀπουσία τοῦ εἴδους ἐστὶν ἐν τῷ πεφυκότι, ἱκανὸν φαίη ἄν τις τὸ εἶδος εἶναι, τῇ μὲν παρουσίᾳ τὸ εἶναι ποιεῖν, τῇ δὲ ἀπουσίᾳ τὸ μὴ εἶναι, καὶ τὴν γένεσιν καὶ τὴν φθοράν, τὸ μέν, καθ' αὑτό, τὸ δὲ κατὰ συμβεβηκός. τὸ γὰρ τῇ ἀπουσίᾳ τῇ ἑαυτοῦ ποιοῦν τι, κατὰ συμβεβηκὸς ποιεῖ. εἰ μὴ ἄρα καὶ ἐπὶ τῆς στερήσεως τίς τὰ αὐτὰ ἀξιώσειε λέγειν. καὶ γὰρ καὶ αὕτη παρουσίᾳ μὲν τὴν φθορὰν δοκεῖ ποιεῖν καθ' αὑτό, τῇ δὲ ἀπουσίᾳ τὴν γένεσιν κατὰ συμβεβηκός. ἢ ῥητέον ὅτι ἡ στέρησις οὐδὲν ἄλλο ἢ ἀπουσία ἐστί. πῶς οὖν ἂν εἴη ἀπουσία ἀπουσίας. τοῦ μὲν γὰρ ὄντος καὶ προηγουμένην ὑπόστασιν ἔχοντος εἴη ἄν τι ἡ ἀπουσία. τῆς δὲ ἀπουσίας οὐκέτι. ἐπεὶ ἀνάγκη ἐπ' ἄπειρον ἰέναι, τὴν ἀπουσίας ἀπουσίαν ζητοῦντας. καίτοι οὐδὲ τῆς παρουσίας παρουσίαν ζητεῖν εὔλογον. καθόσον οὖν τοῦ εἴδους ἐστὶν ἡ ἀπουσία, κατὰ τοῦτον δυνατὸν λέγειν τὸ εἶδος τῇ ἑαυτοῦ ἀπουσίᾳ φθορᾶς αἴτιον ὑπάρχειν κατὰ συμβεβηκός. ἡ δὲ ἀπουσία τοῦ εἴδους ἡ στέρησίς ἐστι. διὸ καὶ κατὰ συμβεβηκὸς ἡ στέρησις αἰτία. διαφέρει δὲ τῶν ἄλλων τῶν κατὰ συμβεβηκὸς αἰτίων, ὅτι οὐ μόνον καθὸ τῇ ὕλῃ συμβέβηκεν, ἥτις καθ' αὑτὸ αἴτιόν ἐστι, κατὰ τοῦτο λέγεται αἰτία, ἀλλὰ καὶ ὅτι ἄνευ στερήσεως οὐκ ἂν γένοιτό τι ἐκ τῆς ὕλης. καὶ γὰρ προϋπάρχειν αὐτὴν δεῖ τῆς γενέσεως. ἵνα ἐκ μὴ τοιούτου πεφυκότος δὲ ἡ γένεσις εἴη. καὶ ἐξίστασθαι τῷ εἴδει. οὐ γὰρ ἂν ἐπιγένοιτο τὸ εἶδος μὴ ἐκστάσης τῆς στερήσεως. τὰ μέντοι ἄλλα τὰ κατὰ συμβεβηκὸς λεγόμενα αἴτια, οὐδὲ ὅλως συντελεῖ τι πρὸς τὰ γινόμενα. ὅταν γὰρ τοῦ μουσικοῦ τὸ λευκὸν εἶναι κατὰ συμβεβηκὸς λέγωμεν αἴτιον, τὸ λευκὸν οὔτε προϋπάρχειν ἀνάγκη τοῦ μουσικοῦ, οὔτε ἐξίστασθαι ἐπεισιόντος, ἀλλὰ καὶ συνυπάρχει ταῦτα. καὶ μήποτε ἄλλο μέν ἐστι τὸ ἀρχὰς τῶν φυσικῶν ὡς φυσικῶν ζητεῖν τὰς στοιχειώδεις, ἄλλο δὲ τὸ ὡς μεταβαλλομένων. κατὰ μὲν τὸ πρῶτον, κατὰ συμβεβηκὸς ἂν εἴη αἴτιον ἡ στέρησις. οὐ γὰρ ὡς ἐνυπάρχον.

ὑπάρχον. κατὰ δὲ τὸ δεύτερον, καθ' αὑτό. ὥσπερ γὰρ τῆς εἰς τὸ εἶναι μεταβολῆς αἴτιον τὸ εἶδος, οὕ-
τω τῆς εἰς τὸ μὴ εἶναι ἡ στέρησις. ἢ τάχα καὶ τῆς εἰς τὸ εἶναι μεταβολῆς κατ' αὐτὸ αἴτιον ἡ στέρησις, εἴ-
περ μὴ ἐκ τοῦ τυχόντος ἡ μεταβολή, ἀλλ' ἐκ τοῦ μὴ τοιούτου μέν, πεφυκότος δέ, ὅπερ ἐστὶν ἐκ τοῦ ἐστε-
ρημένου. διὰ δὲ τοῦ ἱκανὸν γὰρ τὸ ἕτερον τῶν ἐναντίων ποιεῖν τῇ παρουσίᾳ τὴν μεταβολήν, ἐνδεί-
κνυσθαί φησιν ὁ Ἀλέξανδρος, ὅτι οὐκ ἔστιν ἡ στέρησις φύσις τις καὶ εἶδος, ἀλλ' ἡ ἀπουσία τοῦ πεφυκότος.
ἥτις ἀπουσία οὐκ ἔστιν ἐν τῇ φύσει τοῦ ὑποκειμένου. οὐ γὰρ ἔχειν ἐν τῇ φύσει τὸ εἶδος· οὐ γὰρ ἂν ἐδύνατο λα-
βεῖν αὐτό· ἀλλ' οὐκ ἔχει ἐν τῇ φύσει τὸ εἶδος. ἄλλο δὲ τοῦτό ἐστι τὸ ἔχειν ἐν τῇ φύσει τοῦ μὴ ἔχειν τὸ εἶδος.
καθόλου γὰρ οὐδὲν οἷόν τε γενέσθαι, εἰς τὴν ἐκείνου στέρησιν ἔχειν δύναται ἐν τῷ οἰκείῳ λόγῳ. τοῦτο
δὲ τοῦ Ἀριστοτέλους τὸ ῥητὸν πάνυ τοῖς Πλατωνικοῖς ἀρέσκει. διότι καὶ ὁ Πλάτων οὐ δύο ἀλλ' ἓν
ποιεῖ τὸ ὑποκείμενον, καὶ τοῖς ἀντικειμένοις αὐτὸ προσρήμασι καλῶν, μέγα καὶ μικρὸν προσαγορεύων,
διὰ τὴν πρὸς τὰ ἀντικείμενα ἐπιτηδειότητα τὴν στέρησιν οὐ βουλόμενος ἐν ὑποστάσει τινὶ θεωρεῖν.
δῆλον δὲ ὅτι καὶ Ἀριστοτέλης οὐ προηγουμένην ὑπόστασιν αὐτῇ δίδωσιν, ἀπουσίαν τοῦ εἴδους λέγων
ἐν τῷ πεφυκότι. διακρίνει δὲ αὐτὴν τῷ λόγῳ τῆς ὕλης εἰ καὶ μὴ τῷ ἀριθμῷ, διὰ τὸ ἐξ ἀντικειμένων
τὴν γένεσιν ἐπιτελεῖσθαι, τοῦ Πλάτωνος τὸ μὲν πεφυκέναι τῇ ὕλῃ κατὰ τὴν αὐτῆς φύσιν διδόντος,
καὶ πανδεχῆ νομίζοντός τε καὶ ὀνομάζοντος, καὶ χώραν προσαγορεύοντος, καὶ ἕδραν λέγοντος πᾶ-
» σι τοῖς γινομένοις. λέγει γὰρ ἐν Τιμαίῳ, ἀλλ' ἀόρατον εἶδός τι καὶ ἄμορφον πανδεχές. καὶ πάλιν, τρί-
» τον δὲ αὖ τὸ αὐτὸ γένος ὂν τὸ τῆς χώρας, ἀεὶ φθορὰν οὐ προσδεχόμενον, ἕδραν δὲ παρεχόμενον ὅσα ἔ-
» χει γενέσθαι πᾶσιν, ἀρκούμενον δὲ λοιπὸν τῇ παρουσίᾳ τοῦ εἴδους πρός τε τὴν γένεσιν καὶ τὴν φθο-
ράν. διὸ καὶ τὰς στοιχειώδεις ἀρχὰς δύο τίθησιν ὁ Πλάτων, τήν τε ὕλην καὶ τὸ εἶδος τὸ ἔνυλον. ἐκ
γὰρ τούτων ἐνυπαρχόντων τὸ σύνθετον γίνεσθαί φησιν, ὥσπερ καὶ Ἀριστοτέλης. πλὴν ὅτι ὁ μὲν Πλά-
των τὰ κυρίως στοιχεῖα παραδίδωσι. ταῦτα δέ ἐστιν, ἐξ ὧν καθ' αὑτὰ ἐνυπαρχόντων γίνεται τὰ γι-
νόμενα, οἷά ἐστιν ἥ τε ὕλη καὶ τὸ εἶδος. ὁ δὲ Ἀριστοτέλης καὶ τὸ κατὰ συμβεβηκὸς προστιθεὶς εἰ στοιχεῖ-
ον, ὅπερ ἐστὶν ἡ στέρησις. οὕτω δὲ καὶ ἐπὶ τοῦ ποιητικοῦ αἰτίου, ὁ μὲν Πλάτων τὸ κυρίως ποιητικὸν πα-
ραδίδωσι τὸν δημιουργικὸν νοῦν. ὁ δὲ Ἀριστοτέλης πρὸς τούτῳ καὶ τὴν φύσιν. ἣν ὁ Πλάτων ἐν τοῖς ὀρ-
γανικοῖς τέθεικεν αἰτίοις, ὡς κινουμένην μὲν ὑπ' αἰτίου, κινοῦσαν δὲ ἕτερα. καὶ τὰ κατὰ συμβεβη-
κός, οἷα ἥ τε τύχη καὶ τὸ αὐτόματον. ὁ μέντοι Πλάτων καὶ τὸ ὅθεν πρόεισι τὸ εἶδος εἰς τὴν ὕλην προσ-
τίθησιν, ὅτι ἀπὸ τοῦ παραδείγματος διὰ τοῦ ποιητικοῦ αἰτίου. λέγει γοῦν ἐν Τιμαίῳ, ἐν δ' οὖν τῷ
» παρόντι χρὴ γένη διανοηθῆναι τριττά. τὸ μέν, γιγνόμενον. τὸ δέ, ἐν ᾧ γίγνεται. τὸ δέ, ὅθεν φύεται τὸ γι-
» γνόμενον. καὶ δὴ καὶ προσεικάσαι πρέπει, τὸ μὲν δεχόμενον μητρί. τὸ δὲ ὅθεν πατρί. τὴν δὲ μετα-
» ξὺ τούτων φύσιν ἐκγόνῳ. Καὶ ὁ μὲν Ἀριστοτέλης τὴν ὕλην εἰσήγαγεν, ἐκ τοῦ γίνεσθαι μὲν τὰ γιγνό-
μενα ἐξ ἐναντίων, τὰ δὲ ἐναντία μὴ δύνασθαι ποιεῖν εἰς ἄλληλα μηδὲ πάσχειν ὑπ' ἀλλήλων καθ' ἑαυ-
τά. δεῖν μὲν γὰρ τὸ πάσχον ὑπομένον πάσχειν, τὰ δὲ ἐναντία μὴ ὑπομένειν ἄλληλα. ἔτι δὲ καὶ ἐκ τοῦ
τὰ ἐναντία μὴ αὐτάρκη πρὸς ἀρχῆς εἶναι λόγον, εἴπερ ἐστὶ συμβεβηκότα καὶ οὐκ οὐσίαι. οὐ γάρ
ἐστιν ἐν οὐσίᾳ ἡ ἐναντίωσις. τὰ δὲ συμβεβηκότα ὑποκειμένου δεῖσθαι τινὸς πρὸς τὸ εἶναι. ταῦτα γάρ
ἐστι τῶν εἰρημένων ὡς οἶμαι τὰ κυριώτατα. ὁ δὲ Πλάτων εἰσήγαγε καὶ αὐτὸς τὴν ὕλην ἐκ τῆς τῶν
γινομένων μεταβολῆς, ὀφειλούσης πάντως περί τι κοινὸν ὑποκείμενον γίνεσθαι, τὸ ὑποκείμενον τῇ
μεταβολῇ. τῶν γὰρ μεταβαλλόντων μηδὲν ὑπομένειν, ἐναντία λέγων καὶ αὐτὸς τὰ μεταβάλλοντα.
εἰπὼν γὰρ ὅτι τῶν γινομένων ἕκαστον, οἷον πῦρ ἢ ὕδωρ, οὐδὲν μᾶλλον αὐτὸ λέγειν δυνατὸν ἢ ἄλλο τι τὸ
ἀπ' ἐκείνου γιγνόμενον, διὰ τὸ φεύγειν καὶ μὴ ὑπομένειν τὴν τοῦ τόδε καὶ τοῦτο καὶ πᾶσαν, ὅση μόνι-
» μα ὡς ὄντα αὐτὰ ἐνδείκνυται, φάσιν, ἐπήγαγεν, ἐν ᾧ δὲ ἐγγινόμενα ἕκαστα αὐτῶν φαντάζεται, καὶ πάλιν
» ἐκεῖθεν ἀπόλλυται, μόνον ἐκεῖνο αὖ προσαγορεύειν τῷ τε τοῦτο καὶ τῷ τόδε προσχρωμένους ὀνόματι.
» τὸ δὲ ὁποιονοῦν τι θερμὸν ἢ λευκόν, ἢ καὶ ὁτιοῦν τῶν ἐναντίων, καὶ πάνθ' ὅσα ἐκ τούτων, μηδὲν
» ἐκεῖνο αὖ τούτων καλεῖν. ὁρᾷς οὖν ὅτι ἐκ τῶν ἐναντίων καὶ αὐτὸς τὴν γένεσιν εἶναί φησι, καὶ μὴ ὑπο-
μένειν τὰ ἐναντία, καὶ διὰ τοῦτο δεῖσθαι ὑπομένοντος ὑποκειμένου. τὸ δὲ καὶ πάντα ὅσα ἐκ τούτων
προσέθηκεν, ἐπειδὴ οὐ μόνον τὸ θερμὸν γίνεται καὶ ξηρόν, ἀλλὰ καὶ τὸ πῦρ αὐτό, καὶ ὅλως αἱ οὐ-
σίαι ἐκ τῶν ἐναντίων συγκείμεναι, καὶ κατὰ τὴν τῶν ἐναντιοτήτων μεταβολήν. ἐκ γὰρ ὕδατος ψυ-
χροῦ καὶ ὑγροῦ ὄντος, μεταβληθέντος τοῦ ψυχροῦ εἰς τὸ θερμόν, ἐγένετο ἀήρ. καὶ πάλιν τοῦ ὑγροῦ εἰς
τὸ ξηρὸν μεταβληθέντος, ἐγένετο πῦρ. ἐγένετο δὲ καὶ ἄνθρωπος ἐκ σπέρματος. καὶ οὐ ῥᾴδιον ἐπὶ τού-
των τὰς ἐναντίας ἀποδοῦναι ποιότητας. ὧν εἰς ἀλλήλας μεταβαλλουσῶν, γίνεται οὐσία ἐξ οὐσί-
ας. διὸ ὁ Ἀριστοτέλης κοινὴν ἀντίθεσιν τοῦ εἴδους καὶ τῆς στερήσεως παρέλαβε. τὸ γὰρ θερμὸν γίνεται
ἐκ τοῦ ψυχροῦ. ἀληθὲς δὲ εἰπεῖν ὅτι καὶ ἐκ τοῦ μὴ θερμοῦ. προστίθησι δὲ καὶ ἄλλην ὁ Πλάτων τὴν
κυριωτάτην αἰτίαν, τοῦ δεῖν πάντως εἶναί τι τοῖς εἴδεσι τοῖς γενητοῖς ὑποκείμενον. προαποδείξας
γὰρ ὅτι ἄλλο μέν ἐστι τὸ νοητὸν εἶδος ἀρχέτυπον καὶ παραδειγματικόν, καὶ αὐτὸ ἐφ' ἑαυτοῦ ὑπάρχον,
ἄλλο δὲ τὸ αἰσθητὸν εἰκονικὴν φύσιν ἔχον, καὶ διὰ τοῦτο ἑτέρου ὂν ὁμοίωμα, εἰκότως συνάγει, ὅτι καὶ

ἐν ἑτέρῳ ὑποκειμένῳ πάντως ἔσται τοῦ εἴδους τοῦ ἀφομοιουμένῳ. οὐ γάρ ἐστι καθ' αὑτὴν ἡ ὁμοίωσις καὶ εἰκασία. ἀλλ' ἐν τῷ ὁμοιουμένῳ καὶ εἰκαζομένῳ, ὅπερ ἐστὶ τὸ ὑποκείμενον. ἴσως δὲ κάλλιον αὐτῶν ἀκούειν τῶν
» παγκάλων τοῦ Πλάτωνος ῥημάτων. τούτων δὲ οὕτως ἐχόντων, ὁμολογητέον ἓν μὲν εἶναι τὸ κατὰ ταὐτὰ
» εἶδος ἔχον ἀγέννητον καὶ ἀνώλεθρον, οὔτε αὐτὸ εἰσδεχόμενον ἄλλο ἄλλοθεν, οὔτε αὐτὸ εἰς ἄλλο ποι ἰόν.
» ἀόρατον δὲ καὶ ἄλλως ἀναίσθητον τοῦτο. ὃ δὴ νόησις εἴληχεν ἐπισκοπεῖν. τὸ δὲ, ὁμώνυμον ὅμοιόν τε ἐκεί-
» νῳ, δεύτερον, αἰσθητὸν, γεννητὸν, πεφορημένον ἀεὶ, γινόμενόν τε ἔν τινι τόπῳ, καὶ πάλιν ἐκεῖθεν ἀπολλύ-
» μενον, δόξῃ μετ' αἰσθήσεως περιληπτόν. τρίτον δὲ αὖ τὸ γένος ὂν τὸ τῆς χώρας, ἀεὶ φθορὰν οὐ προσδε-
» χόμενον, ἕδραν δὲ παρέχον ὅσα ἔχει γένεσιν πᾶσιν. αὐτὸ δὲ μετ' ἀναισθησίας ἁπτόν. λογισμῷ τινι νό-
» θῳ μόγις πιστόν. πρὸς ὃ δὴ καὶ ὀνειροπολοῦμεν βλέποντες. καὶ φαμὲν ἀναγκαῖον εἶναί που τὸ ὂν ἔν τινι
» τόπῳ, καὶ κατέχον χώραν τινά. τὸ δὲ μήτε ἐν γῇ μήτε που κατ' οὐρανὸν, οὐδὲν εἶναι. ταῦτα δὴ πάντα
» καὶ τούτων ἄλλα ἀδελφὰ, καὶ περὶ τὴν ἄϋπνον καὶ ἀληθῶς φύσιν ὑπάρχουσαν, ὑπὸ ταύτης τῆς ὀνειρώξεως οὐ
» δυνατοὶ γινόμεθα ἐγερθέντες, διοριζόμενοι τἀληθὲς λέγειν. ὡς εἰκόνι μὲν, ἐπείπερ οὐδὲ αὐτὸ τοῦτο
» ἐφ' ᾧ γέγονεν ἑαυτῆς ἐστιν. ἑτέρου δέ τινος ἀεὶ φαίνεται φάντασμα. διὰ ταῦτα ἐν ἑτέρῳ προσήκει τι-
» νὶ γίνεσθαι οὐσίας ἁμωσγέπως ἀντεχομένην, ἢ μηδὲν τὸ παράπαν αὐτὴν εἶναι. τῷ δὲ ὄντως ὄντι βοηθὸς ὁ
» δι' ἀκριβείας ἀληθὴς λόγος. ὡς ἕως ἄν του τὸ μὲν ἄλλο ᾖ, τὸ δὲ ἄλλο, οὐδέτερον ἐν οὐδετέρῳ ποτὲ γε-
» γενημένον, ἓν ἅμα ταὐτὸν καὶ δύο γενήσεσθον. ἐπιστῆσαι δὲ ἄξιον, ὅτι κατὰ ταύτην τὴν τῆς ὕλης αἰτιολογίαν καὶ τὰ οὐράνια εἴδη ἔνυλά ἐστί πως, εἴπερ καὶ αὐτὰ ὁμοιώματά ἐστι τοῦ νοητοῦ παραδείγματος. ὥστε οὐδὲν σχεδὸν ἐν τοῖς περὶ στοιχείων λόγοις διάφωνον, ὅ τε Πλάτων καὶ ὁ Ἀριστοτέλης ἀπεφήναντο. πλὴν ὅτι καὶ ἑτέραν προστέθεικεν αἰτίαν ὁ Πλάτων, τοῦ δεῖν πάντως εἶναί τι καὶ ὑποκείμενον. ἀλλ' ἐπὶ τὰ ἑξῆς ἰτέον.

Ἡ δ' ὑποκειμένη φύσις, ἐπιστητὴ κατὰ ἀναλογίαν. ὡς γὰρ πρὸς ἀνδριάντα χαλκὸς, ἢ πρὸς κλίνην ξύλον, ἢ πρὸς ἄλλο τι τῶν ἐχόντων μορφὴν, ἡ ὕλη, καὶ τὸ ἄμορφον ἔχει, πρὶν λαβεῖν τὴν μορφὴν, οὕτως αὕτη πρὸς οὐσίαν ἔχει. καὶ τὸ τόδε τι, καὶ τὸ ὄν. μία μὲν οὖν ἀρχή. αὕτη οὐχ οὕτω μία οὖσα. οὐδὲ οὕτως ὂν, ὡς τὸ τόδε τι. μία δὲ ᾗ ὁ λόγος. ἔτι δὲ τὸ ἐναντίον τούτῳ ἡ στέρησις. ταῦτα δὲ πῶς δύο, καὶ πῶς πλείω, εἴρηται ἐν τοῖς ἄνω. πρῶτον μὲν οὖν ἐλέχθη, ὅτι ἀρχαὶ τἀναντία μόνον. ὕστερον δ' ὅτι ἀνάγκη καὶ ἄλλο τι ὑποκεῖσθαι, καὶ εἶναι τρία.

Ἐπειδὴ τὰ παρατεθέντα τῆς ὕλης παραδείγματα, οἷον ὁ ἄνθρωπος καὶ τὰ σπέρματα καὶ εἴ τι τοιοῦτο, κἂν ὕλης εἶχε λόγον πρὸς τὰ γινόμενα, ἀλλ' εἴδη τινὰ ἦν καὶ αὐτὰ, πᾶς ἂν ἐπιζητήσειε μαθεῖν, τί ποτε ἂν εἴη αὐτὴ καθ' αὑτὴν ἡ ὑποκειμένη τοῖς εἴδεσιν ὕλη. καὶ γὰρ ἔστω τοῦ μὲν ἀνθρώπου ὕλη τὸ σπέρμα. τοῦ δὲ σπέρματος εἰ τύχοι τὸ αἷμα. τούτου δὲ σιτία καὶ ποτά. τούτων δὲ τὰ τέσσαρα στοιχεῖα. ἀλλ' ἐπειδὴ καὶ ταῦτα μεταβάλλει εἰς ἄλληλα κατὰ τὰς ἐναντίας ποιότητας, δεῖται πάντως καὶ αὐτὰ κοινοῦ τινος ὑποκειμένου, μηδεμίαν ἔχοντος ποιότητα τῇ ἑαυτοῦ φύσει. αἱ γὰρ ποιότητες εἴδη, καὶ ἀντικείμενα εἴδη. εἰ οὖν πᾶσα κατ' ἐπέρεισιν γινομένη γνῶσις, περιγεγραμμένων ἐστὶ καὶ χαρακτῆρά τινα ἐχόντων, καὶ κατὰ ποιότητα καὶ εἶδος ἀφωρισμένων, τὸ δὲ τοῖς εἴδεσι καὶ ταῖς ποιότησιν ὑποκείμενον ἄποιον εἶναι χρὴ πάντῃ καὶ ἀνείδεον, ὅμοιον γὰρ ὂν ὥς φησι Πλάτων τῶν ἐπεισιόντων τινὶ, τά τε τῆς ἐναντίας, τά τε τῆς παράπαν ἄλλης φύσεως ὁπότε ἔλθοι δεχόμενον, κακῶς ἂν ἀφομοιοῖ τὴν ἑαυτοῦ παρεμφαῖνον ὄψιν, εἴη ἄν πως τὸ τοιοῦτο γνωστὸν κατὰ ἀναλογίαν φησὶ τὴν πρὸς τὰ ἄλλα. ὡς γὰρ πρὸς ἀνδριάντα χαλκὸς, ἢ πρὸς κλίνην ξύλον, ἢ πρὸς ἄλλο τι τῶν ἐχόντων μορφὴν τεχνητῶν, τὸ ἄμορφον ἔχει πρὶν λαβεῖν τὴν μορφὴν, οὕτως ἡ ἐν τοῖς φυσικοῖς πρώτη ὕλη πρὸς οὐσίαν ἔχει καὶ τὸ ὄν. καλῶς δὲ ἀπὸ τῶν τεχνητῶν ἔλαβε τὸ παράδειγμα. ἐπειδὴ ἐν τούτοις καὶ χρόνῳ προηγεῖται τὸ ἄμορφον, καὶ καθ' αὑτὸ ὁρᾶται. καὶ αἱ μὲν οὐσίαι ταῖς ἄλλαις ὑπόκεινται. ἡ δὲ ὕλη τῇ οὐσίᾳ. διὸ καὶ τοῖς ἄλλοις ἅπασιν αὕτη. ἀλλὰ τῇ μὲν οὐσίᾳ καὶ τῷ συναμφοτέρῳ καθ' αὑτὸ, κατὰ συμβεβηκὸς δὲ καὶ τοῖς ἄλλοις ὑπόκειται. διὸ καὶ αὐτὸς οὕτως εἶπεν, οὕτως αὕτη πρὸς οὐσίαν ἔχει καὶ τὸ τόδε τι, τουτέστι τὴν σύνθετον καὶ κυρίως οὐσίαν. διότι οὐδέπω ἡ ὕλη τόδε τι, εἰ καὶ μᾶλλον τῆς στερήσεως. καὶ ἐπιστῆσαι ἄξιον, ὅτι ὁ μὲν Πλάτων κατὰ τὸ ὑπομένειν θεωρῶν τὴν ὕλην, αὐτῇ μᾶλλον τὸ τόδε τι δίδωσιν, ὡς ἐπὶ τῆς τῶν χρυσῶν σκευῶν μεταπλάσεως ἐνεδείκνυτο. καὶ ὅταν λέγῃ ἐν ᾧ δὲ ἐγγινόμενα ἕκαστα αὐτῶν φαντάζεται, καὶ πάλιν ἐκεῖθεν ἀπόλλυται, μόνον ἐκεῖνο αὖ προσαγορεύειν, τῷ τε τοῦτο καὶ τῷ τόδε προσχρωμένους ὀνόματι. ὁ δὲ Ἀριστοτέλης τὸ τόδε τι κατὰ τὴν μορφὴν θεωρῶν, τοῖς εἴδεσιν αὐτὸ παρέχει. μετὰ δὲ τὸ τόδε τι ἐπήγαγε καὶ τὸ ὄν. τουτέστι πρὸς πάντα τὰ ὄντα, ὧν τὰ μὲν, οὐσίαι εἰσὶ, τὰ δὲ, συμβεβηκότα. καὶ τὰ μὲν τόδε τι προηγουμένως, τὰ δὲ, δι' ἐκεῖνο τὸ τόδε τι. τὴν δὲ κατὰ ἀναλογίαν ταύτην γνῶσιν, νόθον λογισμὸν ἐκάλεσεν ὁ Πλάτων, διότι οὐ κατ' ἐπέρεισιν εἴδους, ἀλλὰ κατὰ ἀναγύμνωσιν καὶ ἀπόφασιν γίνεται τῶν εἰδῶν. καὶ οἷον μύων ὁ λογισμὸς ὁρᾷ τὴν ὕλην. καὶ ἡ περὶ αὐτῆς νόησις, οὐ νόησις ἀλλ' ἄνοια μᾶλλον. διὸ νόθον ἂν εἴη τὸ φάντασμα αὐτῆς καὶ οὐ γνήσιον. ὡς γὰρ τὰ ὑπὲρ τὸ πρῶτον εἶδος οὐ κατ' ἐπέρεισιν εἰδητικὴν γινώσκομεν, ἀλλ' ὅτι οὐκ ἔστι πρῶτα τὰ εἴδη μαθόντες ἀπ' αὐτῆς τῆς τῶν εἰδῶν φύσεως, διακεκριμένης οὔσης, καὶ ὀφειλούσης πρὸ ἑαυτῆς ἔχειν τὸ ἡνωμένον καὶ τὸ ἕν, κατὰ τὴν τῶν εἰδῶν ἀπόφασιν γινώσκομεν

τὰ ὑπὲρ

τὰ ὑπὲρ τὸ εἶδος, οὐκ εἰς τὸ ἀόριστον ἁπλῶς ἐκείνης τῆς ἀποφάσεως ῥιπτούσης ἡμᾶς, ἀλλ' εἰς τὸ τοῦ εἴδους αἴτιον, καὶ εἰς τὸ ὑπὲρ τὸν ὅρον τὸν εἰδητικὸν ἱδρυμένον, οὕτω καὶ τὰ τελευταῖα εἴδη θεασάμενοι εἰκονικὰ ὄντα, καὶ μεταβάλλοντα εἰς ἄλληλα, καὶ διαστάσεως δεόμενα ὑποκειμένου, πεφυκότος δέχεσθαι τῶν ἀντικειμένων παρὰ μέρος ἑκάτερον, ἐνταῦθα τὴν ἔννοιαν ἀρχόμεθα τῆς ὕλης, κατὰ ἀπόφασιν τῶν εἰδῶν τὴν εἰς τὸ ὑποδεκτικὸν ἀπάγουσαν. ὡς εἴγε ζητοῦντες τὴν ὕλην, τόδε τι αὐτὴν ἀφωρισμένως διάφορον τῶν ἄλλων ὄντων ὑποθώμεθα, ἄλλῳ τινὶ περιπεπτώκαμεν καὶ οὐ τῇ ὕλῃ. ἐκείνη γὰρ οὐδὲ μίαν ἔχει πρός τι διαφοράν, εἴπερ ποιότης εἰδητικὴ πᾶσα διαφορά ἐστιν. ὥστε ἀγνωσία μᾶλλόν ἐστιν ἡ τῆς ὕλης γνῶσις, εἴπερ τὰ περὶ αὐτὴν μεταβάλλοντα ἔσχατα ὄντα τῶν εἰδῶν, τὴν ἐσχάτην ἐπιδέχεται γνῶσιν τὴν αἰσθητικήν. διὸ καὶ μετὰ ἀναισθησίας ἁπτὴν εἶπε τὴν ὕλην ὁ Πλάτων, τὸ μὴ κατ' ἐπέρεισιν αὐτῆς ἀντίτυπον σημαίνων. ἵνα ὥσπερ λογισμῷ νόθῳ, οὕτω καὶ αἰσθήσει νόθῳ ληπτὴν αὐτὴν οὖσαν ἐνδείξηται. ἀλλὰ τὸ μὲν νόθῳ λογισμῷ ληπτὴν εἶναι, καὶ ἡ κατὰ ἀπόφασιν αὐτῆς ἐπιβολή, καὶ ἡ ἀπὸ τῆς αἰτίας ἥ τις ἂν γένοιτο, ἀπὸ τῆς πρώτης εἵλκυσται φιλοσοφίας. τὸ δὲ κατὰ ἀναλογίαν, φυλάττει τὰ τῷ φυσικῷ προσήκοντα μέτρα τῆς τῶν στοιχείων τῶν φυσικῶν γνώσεως. ὡς γὰρ τῆς γραμματικῆς περὶ τῶν εἰκοσιτεσσάρων στοιχείων ἐστὶν εἰδέναι τὰ ὁλοσχερέστερα, τὴν δὲ ἀκριβῆ γνῶσιν αὐτῶν ἡ μουσικὴ διδάσκει, οὕτω καὶ περὶ τῶν φυσικῶν στοιχείων ὁ πρῶτος διδάξει φιλόσοφος. διὸ καὶ τὴν περὶ τοῦ εἴδους θεωρίαν μετ' ὀλίγον εἰς ἐκεῖνον ἀναπέμπει. ἰστέον μέντοι ὅτι τὸ κατὰ ἀναλογίαν ἀπὸ τοῦ πυθαγορικοῦ Τιμαίου μετήγαγεν ὁ Ἀριστοτέλης, ὥσπερ ὁ Πλάτων τὸ νόθῳ λογισμῷ ληπτόν. λέγει γὰρ οὖν ὁ πυθαγορικὸς Τίμαιος ἐν τῷ οἰκείῳ συγγράμματι, τὰν δὲ ὕλαν λογισμῷ νόθῳ, τῷ μηδέπω κατ' εὐθυωρίαν νοεῖσθαι, ἀλλὰ κατὰ ἀναλογίαν. ἀλλ' ἐπειδή τινες καὶ οὐδὲ οἱ τυχόντες ἐν φιλοσοφίᾳ, τὸ ἄποιον σῶμα τὴν πρώτην ὕλην εἶναί φασι καὶ κατὰ Ἀριστοτέλη καὶ Πλάτωνα, ὥσπερ τῶν μὲν παλαιῶν οἱ στωϊκοί, τῶν δὲ νέων Περικλῆς ὁ Λυδός, καλῶς ἂν ἔχοι ταύτην ἐπισκέψασθαι τὴν δόξαν. καὶ γὰρ ὁ Ἀριστοτέλης καὶ ὁ Πλάτων πρῶτα ἀπὸ τῆς μεταβολῆς τὴν ὕλην εἰσάγοντες, τῶν μεταβαλλόντων τὰς τῶν στοιχείων ποιότητας εἶναι βούλονται, θερμὸν καὶ ψυχρόν, ξηρὸν καὶ ὑγρόν. αὗται δὲ κοινὸν ὑποκείμενον ἔχουσαι τὸ σῶμα, μεταβάλλονται περὶ αὐτό. ὥστε τὸ σῶμα ἂν εἴη ἡ πρώτη ὕλη. ἔτι δὲ εἰ ἦν τι ἄλλο τὸ τῷ σώματι ὑποκείμενον, ἐπειδὴ ἐξ ἐναντίων αἱ γενέσεις, ἔδει τι εἶναι τὸ τῷ σώματι ὑποκείμενον, ὥστε τὰ ἀντικείμενα μεταβάλλειν περὶ τὸ κοινὸν ὑποκείμενον. ἔτι δὲ τὸ ὑπομένον ἐν πάσῃ μεταβολῇ τοῦτο ὕλην εἶναι φαμέν. τὸ δὲ ἄποιον σῶμα ὑπομένει. οὐ γὰρ ἔστι τι εἰς ὃ φθαρῇ τὸ σῶμα. ὅτι δὲ καὶ Πλάτων τὴν ὕλην φησὶ τὸ προσεχῶς ὑποκείμενον ταῖς τῶν τεσσάρων στοιχείων ποιότησι, τοῦτο δέ ἐστι τὸ ἄποιον σῶμα, διὰ τούτων δῆλον. τὴν δὲ γενέσεως τιθήνην ὑγραινομένην καὶ πυρουμένην, καὶ γῆς τε καὶ ἀέρος μορφὰς δεχομένην. καὶ πάλιν, ὅτε δὲ ἐπεχειρεῖτο κοσμεῖσθαι τὸ πᾶν, πῦρ πρῶτον καὶ γῆν καὶ ἀέρα, ἴχνη μὲν ἔχοντα ἑαυτῶν αὐτά, παντάπασι μὲν διακείμενα, ὥσπερ εἰκὸς ἔχειν ἅπαν, ὅταν ἀπῇ τινος θεός, οὕτω δὴ τότε πεφυκότα ταῦτα, πρῶτον διεσχηματίσατο εἴδεσι καὶ ἀριθμοῖς. εἰ οὖν πρῶτα τὰ τῶν στοιχείων εἴδη ἐνέθηκε τῇ ὕλῃ ὁ δημιουργός, τούτων δὲ κοινὸν ὑποκείμενον τὸ σῶμα τὸ ἄποιον, τοῦτο ἂν εἴη ἡ ὕλη. καὶ κατὰ Ἀριστοτέλη δὲ δόξει τὸ σῶμα τὸ ἄποιον εἶναι τὸ πρῶτον ὑποκείμενον καὶ ἡ ὕλη. εἰ γὰρ τὸ σῶμα ὥσπερ τι τῶν ἄλλων εἰδῶν ἐγγίνεται τῇ ὕλῃ καὶ ἀπογίνεται ἀπ' αὐτῆς, δηλονότι πρὸ τοῦ ἐγγενέσθαι τὸ σῶμα καὶ μετὰ τὸ ἀπογενέσθαι, ἡ στέρησις ἂν εἴη τοῦ σώματος περὶ τὴν ὕλην, ὅπερ ἐστὶ τὸ ἀσώματον. καὶ ἔσται τις φυσικὴ οὐσία ἀσώματος. ὅπερ οὐ δοκεῖ τῷ Ἀριστοτέλει, σαφῶς λέγοντι πανταχοῦ, ὅτι τὰ φυσικὰ σώματά ἐστι καὶ περὶ σώματα. ἀλλ' ὅτι μὲν ὁ Πλάτων οὐ βούλεται τὸ σῶμα εἶναι τὸ πρῶτον ὑποκείμενον, ὃ δὴ καλοῦμεν ὕλην, δῆλον ἂν εἴη ἐκ τοῦ καὶ τοῦ σώματος οἷον στοιχεῖα τὰ ἐπίπεδα τὰ κατ' αὐτὸν προλαμβάνειν, ἀρχοειδέστερα δηλονότι ὄντα. γράφει οὖν ἐν Τιμαίῳ. πρῶτον μὲν δὴ τὸ πῦρ καὶ ὕδωρ καὶ ἀὴρ καὶ γῆ, ὅτι σώματά ἐστι, δῆλόν που καὶ παντί. τὸ δὲ τοῦ σώματος εἶδος πᾶν καὶ βάθος ἔχει. τὸ δὲ βάθος αὖ πᾶσα ἀνάγκη τὴν ἐπίπεδον περιειληφέναι φύσιν. ἔπειτα τὸ μὲν σῶμα καὶ κατ' αὐτὸν τριχῇ διαστατόν ἐστι. τοῦτο γὰρ σημαίνει τὸ καὶ βάθος ἔχειν. τὸ δὲ τοιοῦτο, καὶ ἀριθμὸν συνουσιωμένον ἔχει καὶ σχήματα καὶ μάλιστα εἰ πεπερασμένον εἴη τὸ ὅλον σῶμα, ὥσπερ καὶ τῷ Πλάτωνι δοκεῖ καὶ τῷ Ἀριστοτέλει. οὐδὲν δὲ τούτων ἔχειν τὴν ὕλην καθ' αὑτήν φησιν. ἀλλ' ὅταν μετάσχῃ τῶν εἰδῶν, τότε σχηματίζεσθαι εἴδεσι καὶ ἀριθμοῖς. ὅτι δὲ οὐδὲ Ἀριστοτέλης τὸ σῶμα βούλεται εἶναι τὸ πρῶτον ὑποκείμενον, σαφῶς ἐδήλωσεν, ἐν οἷς φησιν, ἔστι γὰρ καὶ σώματος ὕλη καὶ μεγάλου καὶ μικροῦ ἡ αὐτή. ἡ γὰρ τοῦ σώματος ὕλη οὐκ ἂν εἴη σῶμα. καὶ τὸ τῷ μεγάλῳ καὶ τῷ μικρῷ τὸ αὐτὸ ὑποκείμενον, οὐκ ἂν οὔτε μέγα εἴη οὔτε μικρόν. τὸ δὲ σῶμα καὶ μάλιστα τὸ πεπερασμένον, τοσόνδε τι ἐστί. καὶ οὐκ ἂν τὸ αὐτὸ ἅμα μέγα καὶ μικρὸν εἴη καθ' αὑτό. ὅλως δὲ τὸ μὲν σῶμα καὶ λόγῳ περιληπτόν ἐστι, καὶ κατ' ἐπέρεισιν γνωστόν. τὴν δὲ ὕλην ὁ μὲν Πλάτων νόθῳ λογισμῷ περιληπτὴν φησιν. ὁ δὲ Ἀριστοτέλης καὶ πρὸ αὐτοῦ Τίμαιος ὁ πυθαγορικός, κατὰ ἀναλογίαν μόνον. οὐκ ἄρα οἷόν τε τὸ σῶμα εἶναι τὴν πρώτην ὕλην. καὶ ἐν τῷ τετάρτῳ γοῦν τῆσδε τῆς πραγματείας, ὕλην τοῦ μεγέθους βούλεται εἶναι ἀόριστόν τινα διάστασιν, ὁριζομένην ὑπὸ τοῦ εἰδητικοῦ μεγέθους. λέγει γοῦν, ὥστε δόξειεν ἂν τὸ εἶδος καὶ ἡ μορφὴ ἑκάστου ὁ τόπος εἶναι. ᾧ ὁρίζεται τὸ μέγεθος καὶ ἡ ὕλη ἡ τοῦ μεγέθους. εἰπὼν γὰρ τὸ μέγεθος, ἐπειδὴ καὶ εἰδητικόν ἐστι μέγεθος, ἐπήγαγε καὶ ἡ ὕλη ἡ τοῦ μεγέθους τὸ

αὐτὸ ἐξηγούμενος. ἔτι δὲ καὶ τῷ αὐτὸ καθ' αὑτὸ σκοποῦντι τὸ πρόβλημα, ἀδύνατον δόξει τὴν πρώτην ὕλην τὸ ἄποιον εἶναι σῶμα, ὡς καὶ ὁ Πλωτῖνος ἐπέλεξεν. εἰ γὰρ μηδὲν τῶν φυσικῶν εἰδῶν ὑπάρχει κατ' οὐσίαν τῇ ὕλῃ τῇ πᾶσι τοῖς φυσικοῖς ὑποκειμένῃ, δῆλον ὅτι οὐδὲ σχῆμα οὐδὲ μέγεθος αὐτῇ ὑπάρξει. εἴδη γὰρ ταῦτα. καὶ ἔσται ἐσχηματισμένον καὶ μεμεγεθυσμένον, ἐπείπερ ἐστὶ σῶμα. καὶ οὐκέτι ἁπλοῦν ἐστιν ἀλλὰ σύνθετον ἐξ ὕλης καὶ εἴδους. ἁπλοῦν δὲ ἡ ὕλη. ὥστε καὶ συλλογίσαιτο ἂν οὕτως. ἡ ὕλη οὔτε μέγεθος ἔχει οὔτε σχῆμα οὔτε ἀριθμὸν καθ' αὑτήν. τὸ σῶμα μέγεθος ἔχει καὶ σχῆμα καὶ ἀριθμὸν καθ' αὑτό. ἡ ὕλη ἄρα οὐκ ἔστι σῶμα. ἡ ὕλη οὐκ ἔστι σύνθετος ἐξ ὕλης καὶ εἴδους. τὸ σῶμα σύνθετόν ἐστιν ἐξ ὕλης καὶ εἴδους. ἔτι δὲ εἰ σῶμα ἡ ὕλη μέγεθός τι ἕξει οἰκεῖον. καὶ οὐκέτι ὁ δημιουργὸς πάντα ἐξ ἑαυτοῦ προάξει τὰ εἴδη κατὰ τὴν ἑαυτοῦ βούλησιν. οὐδὲ ἡ φύσις κατὰ τοὺς δημιουργικοὺς ἐν ἑαυτῇ λόγους. ἀλλὰ δουλεύειν ἀνάγκη τῷ μεγέθει τῆς ὕλης. ἔτι δὲ εἰ μέγεθος ἔχοι, καὶ σχῆμα ἔχει τῷ αὐτῷ λόγῳ. οὐ μόνον οὖν ἄτοπον τοῦτο, διότι εἶδος καὶ ποιότης τὸ σχῆμα, ἀλλὰ καὶ ὅτι δυσεργὸς ἔσται ἡ ὕλη πρὸς τὸ πᾶν σχῆμα δέχεσθαι, κεκρατημένη ἔν τινι σχήματι ἀφωρισμένῳ. ἔτι δὲ τὸ εἰς τὴν ὕλην ἐρχόμενον εἶδος, πάντα συνεπιφέρει ἑαυτῷ τὰ οἰκεῖα. ὥστε καὶ τὸ μέγεθος. ἄλλο γὰρ ἀνθρώπου μέγεθος, καὶ ἄλλο ὄρνιθος, καὶ ὄρνιθος τοιοῦδε. οὐκ ἄρα τῆς ὕλης ἐστὶν οἰκεῖον τὸ μέγεθος, οὐδὲ τὸ ποσόν. οὐκ ἄρα σῶμα ἡ ὕλη. ἔτι δὲ εἰ σῶμα ἡ ὕλη, ποσόν τι ἔσται καὶ μεμεγεθυσμένον. ἄλλο δὲ τὸ ποσόν, καὶ ἄλλο ἡ ποσότης. καὶ ἄλλο τὸ μεμεγεθυσμένον, καὶ ἄλλο τὸ μέγεθος αὐτό. καὶ τὰ μέν ἐστιν εἴδη ἀσώματα, ἁπλᾶ. τὰ δὲ τούτων μετέχοντα, σύνθετα. εἰ οὖν σῶμα ἡ ὕλη, σύνθετόν τι ἔσται καὶ οὐχ ἁπλοῦν οὐδὲ στοιχεῖον. εἰ δὲ ἄτοπα ταῦτα, ῥητέον ὅτι μεταχυθεῖσα ἡ ποσότης ὑπὸ τῆς ὕλης, ἔδωκε μέγεθος τὸ πρότερον μὴ ἐνυπάρχον. ὥσπερ ἡ ποιότης μεταχυθεῖσα, ἐποίησε ποιὸν τὸ πρὶν ἄποιον ὑπάρχον. ἔτι δὲ καὶ ταῦτα δυνατὸν λέγειν, ὅτι ἡ ὕλη ἣ τὸ δυνάμει ἐστὶ πάντων εἰδῶν, ἤ τι καὶ τοῦ δυνάμει ἐπέκεινα τὸ ἔχον τὸ δυνάμει ἐν ἑαυτῷ. τὸ δὲ σῶμα πῶς ἂν εἴη δυνάμει ἀσώματον. ἀνάγκη δὲ τοῦτο, ἐπείπερ καὶ τῶν ἀσωμάτων εἰδῶν ἐστιν ἡ ὕλη ὑποδεκτική. εἰ δὲ ἀσώματος οὖσα δυνάμει λέγεται, ἰστέον ὅτι καὶ τὸ ἀσώματον οὐχ ὡς ὡρισμένη τις φύσις, ἀλλ' ὡς ἀπόφασις τοῦ σώματος λέγεται. ἴσως δέ ἐστιν εἰπεῖν, ὅτι οὐ πρώτως ἡ ὕλη τὸ ἀσώματον εἶδος δέχεται, ἀλλὰ διὰ μέσου τοῦ σώματος. ἔτι δὲ τὸ σῶμα ἐκ γένους καὶ διαφορῶν συνέστηκεν. οὐσία γάρ ἐστι τριχῇ διαστατή. τὸ δὲ τοιοῦτον εἶδός ἐστιν ἀλλ' οὐχ ὕλη. ἔτι δὲ τὸ σῶμα πρὸς τὰς ἀσωμάτους ποιότητας ἀντιδιαιρεῖται. ἡ δὲ ὕλη ὁμοίως ἔχει πρὸς πάντα. ἔτι δὲ τὸ σῶμα τρισὶν ὥρισται διαστάσεσιν. ἡ δὲ ὕλη παντελῶς ἐστιν ἀόριστος. τούτων οὖν οὕτως ἑκατέρωθεν τῶν λόγων φερομένων, ὅτι μὲν εἶδος εἶναι τὸ τοῖς εἴδεσιν ὑποκείμενον οὐ χρή, πρόδηλον. διόπερ εἰ τὸ σῶμα εἶδός ἐστιν, οὐκ ἂν εἴη σῶμα. ὅτι δὲ τὸ κοινῇ πᾶσι τοῖς φυσικοῖς καὶ αἰσθητοῖς ὑπάρχον ὡς τοιούτοις, τοῦτο χρὴ εἶναι τὴν ὕλην, καὶ τοῦτο οἶμαι τῶν προδήλων ἐστί. κοινὸν δὲ πᾶσι τὸ εἰς ὄγκον ἐκτείνεσθαι καὶ διάστασιν. διὸ ἡ περὶ φύσεως ἐπιστήμη ὥς φησιν Ἀριστοτέλης περί τε σώματα καὶ μεγέθη καὶ τὰ τούτων ἐστὶ πάθη. μήποτε οὖν διττὸν θετέον τὸ σῶμα, τὸ μὲν ὡς κατὰ εἶδος καὶ λόγον ὑφεστώς, καὶ τρισὶν ὡρισμένον διαστάσεσι. τὸ δέ, ὡς πάρεσιν καὶ ἔκτασιν καὶ ἀοριστίαν τῆς ἀσωμάτου καὶ ἀμερίστου καὶ νοητῆς φύσεως, οὐ τρισὶ τούτοις διαστάσεσιν εἰδητικῶς ὡρισμένον, ἀλλὰ πάντῃ παρειμένον τε καὶ ἐκλελυμένον καὶ πανταχόθεν ἀπὸ τοῦ ὄντος ἀπορρέον εἰς τὸ μὴ ὄν. καὶ τὴν τοιαύτην ἴσως διάστασιν τὴν ὕλην θετέον. ἀλλ' οὐχὶ τὸ σωματικὸν εἶδος τὸ μετέχον ἤδη καὶ ὁρίζον τὸ ἄπειρον καὶ ἀόριστον τῆς τοιαύτης διαστάσεως, καὶ στῆσαν ἀποφεύγουσαν αὐτὴν ἀπὸ τοῦ ὄντος. ἐπιστῆσαι δὲ ἄξιον, ὅτι ᾧ διαφέρει τὰ ἔνυλα τῶν ἀΰλων, τοῦτο εἶναι προσήκει τὴν ὕλην. διαφέρει δὲ ὄγκῳ καὶ διαστάσει καὶ μερισμῷ καὶ τοῖς τοιούτοις, οὐ τοῖς κατὰ μέτρα ὡρισμένοις, ἀλλὰ τοῖς ἀμέτροις καὶ ἀορίστοις καὶ ὁρίζεσθαι δυναμένοις ὑπὸ τῶν εἰδητικῶν μέτρων. ταύτην δὲ περὶ τῆς ὕλης τὴν ὑπόνοιαν ἐοίκασιν ἐσχηκέναι πρῶτοι μὲν τῶν Ἑλλήνων οἱ Πυθαγόρειοι. μετὰ δ' ἐκείνους ὁ Πλάτων, ὡς καὶ Μοδέρατος ἱστορεῖ. οὗτος γὰρ κατὰ τοὺς Πυθαγορείους τὸ μὲν πρῶτον ἓν ὑπὲρ τὸ εἶναι καὶ πᾶσαν οὐσίαν ἀποφαίνεται. τὸ δὲ δεύτερον ἕν, ὅπερ ἐστὶ τὸ ὄντως ὂν καὶ νοητόν, τὰ εἴδη φησὶν εἶναι. τὸ δὲ τρίτον ὅπερ ἐστὶ ψυχικόν, μετέχειν τοῦ ἑνὸς καὶ τῶν εἰδῶν. τὴν δὲ ἀπὸ τούτου τελευταίαν φύσιν τὴν τῶν αἰσθητῶν οὖσαν, μηδὲ μετέχειν, ἀλλὰ κατ' ἔμφασιν ἐκείνων κεκοσμῆσθαι, τῆς ἐν αὐτοῖς ὕλης, τοῦ μὴ ὄντος πρώτως ἐν τῷ ποσῷ ὄντος, οὔσης σκίασμα, καὶ ἔτι μᾶλλον ὑποβεβηκυίας καὶ ἀπὸ τούτου. καὶ ταῦτα δὲ ὁ Πορφύριος ἐν τῷ δευτέρῳ περὶ ὕλης τὰ τοῦ Μοδεράτου παραθέμενος γέγραφεν. ὅτι βουληθεὶς ὁ ἑνιαῖος λόγος, ὥς πού φησιν ὁ Πλάτων, τὴν γένεσιν ἀφ' ἑαυτοῦ τῶν ὄντων συστήσασθαι, κατὰ στέρησιν αὐτοῦ ἐχώρησε τὴν ποσότητα, πάντων αὐτὴν στερήσας τῶν αὐτοῦ λόγων καὶ εἰδῶν. τοῦτο δὲ ποσότητα ἐκάλεσεν ἄμορφον καὶ ἀδιαίρετον καὶ ἀσχημάτιστον, ἐπιδεχομένην μέντοι μορφήν, σχῆμα, διαίρεσιν, ποιότητα, πᾶν τὸ τοιοῦτον. ἐπὶ ταύτης ἔοικέ φησι τῆς ποσότητος ὁ Πλάτων τὰ πλείω ὀνόματα κατηγορῆσαι, πανδεχῆ, καὶ ἀνείδεον λέγων, καὶ ἀόρατον, καὶ ἀποῤῥᾶγα τοῦ νοητοῦ μετειληφέναι αὐτήν, καὶ λογισμῷ νόθῳ μόλις ληπτήν, καὶ πᾶν τὸ τούτοις ἐμφερές. αὕτη δὲ ἡ ποσότης φησὶ καὶ τοῦτο τὸ εἶδος τὸ κατὰ στέρησιν τοῦ ἑνιαίου λόγου νοούμενον, τοῦ πάντας τοὺς λόγους τῶν ὄντων ἐν ἑαυτῷ περιειληφότος, παραδείγματά ἐστι τῆς τῶν σωμάτων ὕλης. ἣν καὶ αὐτὴν ποσὸν καὶ τοὺς Πυθαγορείους καὶ τὸν Πλάτωνα καλεῖν ἔλεγεν. οὐ τὸ ὡς εἶδος ποσόν, ἀλλὰ τὸ κατὰ στέρησιν καὶ παράλυσιν καὶ ἔκτασιν καὶ διασπασμόν. καὶ διὰ τὴν ἀπὸ τοῦ ὄντος παράλλαξιν. δι' ἃ καὶ κακὸν δοκεῖ ἡ ὕλη ὡς τὸ ἀγαθὸν ἀποφεύγουσα. καὶ

κατα

κατὰ λαμβάνεται ὑπὸ αὐτοῦ, καὶ ἐξελθεῖν τῶν ὅρων οὐ συγχωρεῖται, τῆς μὲν ἐκτάσεως τῆς τοῦ εἰδητικοῦ μεγέθους λόγον ἐπιδεχομένης καὶ τούτῳ ὁριζομένης, τοῦ δὲ διασπασμοῦ τῇ ἀριθμητικῇ διακρίσει εἰδοποιουμένου. ἔστιν οὖν ἡ ὕλη κατὰ τοῦτον τὸν λόγον οὐδὲν ἄλλο, ἢ ἡ τῶν αἰσθητῶν εἰδῶν πρὸς τὰ νοητὰ παράλλαξις, παρατραπέντων ἐκεῖθεν καὶ πρὸς τὸ μὴ ὂν ὑποφερομένων. ὅτι γὰρ ἄλλος ἐστὶν ὁ ὄγκος ὁ τῶν αἰσθητῶν οἰκεῖος, καὶ ἄλλο τὸ εἰδητικὸν μέγεθος, καὶ ἄλλος μὲν ὁ διασπασμὸς τῶν αἰσθητῶν εἰδῶν, ἄλλη δὲ ἡ ἀριθμητικὴ διάκρισις, δῆλον ἐκ τοῦ ἐκεῖνα μὲν λόγους εἶναι καὶ εἴδη ἀδιάστατά τε καὶ ἀμέριστα. καὶ γὰρ ὁ τοῦ διπήχεος μεγέθους λόγος καὶ ἡ τῆς δυάδος, ἀδιάστατός τε καὶ ἀμερής ἐστι καὶ ἀσώματος. ταῦτα μέντοι τὰ τῶν αἰσθητῶν οἰκεῖα, ἄλογα καὶ σωματικὰ καὶ μεμερισμένα, καὶ εἰς ὄγκον καὶ διασπασμὸν ὑπελθόντα, διὰ τὴν εἰς γένεσιν καὶ εἰς τὸ ἔσχατον πρόοδον, τουτέστι δὲ εἰπεῖν εἰς ὕλην. ὑποστάθμη γὰρ καὶ ὕλη ὄντως ἐστὶν ἀεὶ τὸ ἔσχατον. διὸ καὶ Αἰγύπτιοι τὴν τῆς πρώτης ζωῆς, ἣν ὕδωρ συμβολικῶς ἐκάλουν, ὑποστάθμην τὴν ὕλην ἔλεγον, οἷον ἰλύν τινα οὖσαν. καὶ ἔστιν οἷον χώρα αὕτη τῶν γενητῶν τε καὶ αἰσθητῶν, οὐκ εἶδός τι ἀφωρισμένον ὑπάρχον, ἀλλ᾽ ὑποστάσεως κατάστημα. ὥσπερ τὸ ἀμερὲς καὶ ἄϋλον καὶ ὄντως ὂν καὶ τὰ τοιαῦτα, κατάστημά ἐστι τῆς νοητῆς φύσεως, πάντων μὲν ὄντων τῶν εἰδῶν καὶ ἐκεῖ καὶ ἐνταῦθα, ἀλλ᾽ ἐκεῖ μὲν ἀΰλως, ἐνταῦθα δὲ ὑλικῶς. τουτέστι δὲ εἰπεῖν, ἐκεῖ μὲν ἀμερίστως καὶ ἀληθῶς, ἐνταῦθα δὲ μεριστῶς καὶ σκιοειδῶς. διὸ καὶ ἕκαστον εἶδος ἐνταῦθα διέστη κατὰ τὴν ὑλικὴν διάστασιν. ἀλλὰ πῶς ταῦτα συμφωνήσεται τῷ Ἀριστοτέλει καὶ τῷ Πλάτωνι, ὑποκείμενόν τι τῇ ἐναντιώσει τὴν ὕλην εἶναι βουλομένοις. ἢ τὰ μὲν ὑπὸ τῶν ἄλλων περὶ ὕλης λεγόμενα, εἰς τὸ σῶμα ἔσχατον ἀπάγει ποιόν τι. οὐ γάρ ἐστί τι τῷ σώματι ἀντικείμενον. καὶ οὕτως ἀγένητον ἔσται καὶ ἄφθαρτον, οὐ τὸ οὐράνιον σῶμα μόνον, ἀλλὰ καὶ τὸ ὑπὸ σελήνην. ἡ δὲ νῦν ῥηθεῖσα ἔννοια, καὶ τὴν σωματικὴν διάστασιν τῶν ὑπὸ σελήνην γινομένην καὶ φθειρομένην, σὺν τῷ εἴδει τῷ διεστῶτι φυλάττει, οἷον ἀνθρώπῳ ἢ ἵππῳ. ἢ ὅταν οὐσία ᾖ τὸ γινόμενον, καὶ ἡ μεταβολὴ περὶ τὴν ὑλικὴν γίνεται παράλλαξιν μένουσαν ἀεί. τὰ μὲν γὰρ συμβεβηκότα περὶ τὰς οὐσίας μεταβάλλεται. αἱ δὲ οὐσίαι περὶ τὸ εἰρημένον ὑπὸ τῶν Πυθαγορείων ποσόν. ἢ κατὰ στέρησιν, ἤτοι περὶ τὴν ἀπὸ τοῦ ὄντος παράλλαξιν, τουτέστιν εἰπεῖν περὶ τὴν διάστασιν καὶ τὸν ὄγκον τὸν ὑλικόν. ἐκ γὰρ ὕδατος ἀὴρ γίνεται, οὐ μόνον τῶν ποιοτήτων μεταβαλλουσῶν, ἀλλὰ καὶ τοῦ μεγέθους τοῦ εἰδητικοῦ. ἄλλο γὰρ ἑκατέρωθι μέγεθος. καὶ οὐκ ἔστι τὸ ἔλαττον μέρος τοῦ μείζονος. ἀλλ᾽ εἶδος ἀφωρισμένον ἑκάτερον, κἂν ἐκ μενούσης δὲ τῆς ὑλικῆς διαστάσεως ἑκατέρωθι. ὑλικὰ γοῦν ὁμοίως ἄμφω. καὶ ὁμοίως μεριστὰ καὶ αἰσθητὰ καὶ ἀδιάφορα κατὰ τὴν ὕλην. αἱ γὰρ διαφοραὶ κατὰ τὰ εἴδη θεωροῦνται. ὅτι δὲ καὶ αὐτὸς ὁ Ἀριστοτέλης τοιαύτην ἔχει περὶ τῆς ὕλης ἔννοιαν, τὴν κατὰ διάστασιν καὶ τὸ ἀόριστον ποσόν, ἀπὸ τῶν ἐν τῷ τετάρτῳ βιβλίῳ τῆσδε τῆς πραγματείας λεγομένων ἔστι μαθεῖν. λέγει γὰρ ἐν ἐκείνοις. ᾗ δὲ δοκεῖ ὁ τόπος εἶναι τὸ διάστημα τοῦ μεγέθους, ταύτῃ ἡ ὕλη δόξει. τοῦτο γὰρ ἕτερον τοῦ μεγέθους. τοῦτο δέ ἐστι τὸ περιεχόμενον ὑπὸ τοῦ εἴδους καὶ ὡρισμένον, οἷον ἀπὸ τοῦ ἐπιπέδου καὶ πέρατος. ἔστι δὲ τοιοῦτον ἡ ὕλη καὶ τὸ ἀόριστον. ὅσοι δὲ κατὰ τὸ ὂν τὸ χεῖρον τῶν εἰδῶν, ἢ κατὰ τὸ ἓν τὸ τοῦ πρωτίστου ἑνὸς ἀπόσχημα τὴν ὕλην νοεῖν ἀξιοῦσιν, οὐκ οἶδα ὅπως κατορθοῦσι. τὸ μὲν γὰρ ἓν καὶ τὸ ὂν ὅταν μηδὲν ἄλλο ἢ ἓν καὶ ὂν θεωρῶνται, κυρίως ἐστὶν ὅπερ λέγονται καὶ πρώτως. ἡ δὲ ὕλη τὸ ἔσχατόν ἐστι καὶ τοῦ ὄντος ἐκβαῖνον. καὶ πολλῷ μᾶλλον τοῦ ἑνὸς καὶ ἐν τῇ παραλλάξει καὶ παρεκτροπῇ τῇ πρὸς τὸ ὂν ὑφέστηκεν. ἐπειδὴ διὰ τὴν γόνιμον τοῦ ὄντος δύναμιν ἔδει καὶ τὴν ἔμφασιν τοῦ ὄντος ὑποστῆναι. ἀλλὰ ταῦτα διὰ τὴν κρατοῦσαν περὶ τῆς ὕλης ἔννοιαν, οὐ γὰρ ἔστιν ἐμή, ἐπὶ πλέον μηκῦναι προήχθην. κατὰ δὲ τὴν λέξιν, τὸ μὲν μία δὲ ἡ ὁ λόγος, σημαίνει μὲν τὸ μίαν εἶναι τὴν κατὰ τὸν λόγον καὶ κατὰ τὸ εἶδος ἀρχήν. ἀσάφειαν δὲ ποιεῖ τὸ ἡ τῷ ὁ λόγος προσκείμενον, καὶ θηλυκὸν ἄρθρον τῷ ἀρσενικῷ συντεταγμένον. συντέτακται δὲ οὐ τῷ, ὁ λόγος, ἀλλὰ τῇ ἀρχῇ. ὡς εἶναι ἴσον, τῷ. μία δὲ ἡ κατὰ τὸν λόγον. ἢ μᾶλλον μία ἀρχὴ ὁ λόγος καὶ τὸ εἶδος. γράφεται δέ φησιν ὁ Ἀλέξανδρος καὶ χωρὶς τοῦ ἡ, τινῶν ἴσως διὰ τὴν ἀσάφειαν ἀφελόντων αὐτό, καίτοι μετ᾽ αὐτοῦ τῆς ἑρμηνείας ἀρχαιοπρεπεστέρας οὔσης.

ἘΚ ΔῈ τῶν νῦν φανερὸν, τίς ἡ διαφορὰ τῶν ἐναντίων. καὶ πῶς ἔχουσιν αἱ ἀρχαὶ πρὸς ἀλλήλας. καὶ τί τὸ ὑποκείμενον.

Π ὡς ἔχουσιν αἱ ἀρχαὶ τὰ ἐναντία λέγει, ὅτι ἀπουσία τῆς ἑτέρας ἡ ἑτέρα. καὶ τί τὸ ὑποκείμενον, ὅτι τὸ κατὰ ἀναλογίαν λαμβανόμενον, καὶ ὃ μὴ ἔχει ἐναντίον. εἴρηκε δὲ αὐτῶν τὰς διαφοράς, ὅτι ἄλλο μὲν τὸ ὃ γίνεται, ἄλλο δὲ τὸ γινόμενον, καὶ ἄλλο τὸ ἐξ οὗ. καὶ ὅτι ἡ μὲν ὕλη ὑπομένει καὶ ἐνυπάρχει ἐν τῷ γινομένῳ. καὶ δῆλον ἐκ πάντων τῶν εἰρημένων, ὅτι ἡ στέρησις οὐκ ἔστι φύσις τις κατὰ Ἀριστοτέλη, ἀλλ᾽ ἀπουσία ἐν τῷ πεφυκότι. ὅταν οὖν συμβεβηκὸς τῇ ὕλῃ λέγηται ἡ στέρησις, οὐχ ὡς εἶδος λέγεται. ἀλλ᾽ ὡς ἐμοὶ συμβέβηκε τὸ μὴ ἐν ἀγορᾷ εἶναι. εἰ δὲ ἔστι τοιοῦτον ἡ στέρησις ἐπιζητήσειεν ἄν τις εὐλόγως ὑπὸ ποίαν κατηγορίαν ταχθήσεται. ἢ εἰ τὸ εἶδος οὐσία, καὶ ἡ στέρησις οὐσία ἔσται. ὑφ᾽ ὃ γὰρ τὸ ἕτερον τῶν ἀντικειμένων, ὑπὸ τοῦτο καὶ τὸ ἕτερον. οὐχ ὡς τὰ ἐναντία μέντοι. ταῦτα γὰρ ὄντα τι, ὑπὸ τὸ αὐτὸ γένος ἐστίν. ἀλλ᾽ ὅτι αἱ στερήσεις τινῶν, ἐν τοῖς αὐτοῖς εἰσι γένεσιν ἐκείνοις. εἰδοποιοῦνται γὰρ καὶ αὐταί, καὶ χαρακτηρίζονται ἀπὸ τῶν εἰδῶν. διὸ καὶ αὐτὸς εἰς τοῦτο βλέψας, εἶδος γάρ πως καὶ ἡ στέρησίς φησιν.

ΠΟΤΕΡΟΝ δὲ οὐσία τὸ εἶδος, ἢ τὸ ὑποκείμενον, οὔπω δῆλον. ἀλλ' ὅτι αἱ ἀρχαὶ τρεῖς, καὶ πῶς τρεῖς, καὶ τίς ὁ τρόπος αὐτῶν, δῆλον. πόσαι μὲν οὖν καὶ τίνες εἰσὶν αἱ ἀρχαί, ἐκ τούτων θεωρείσθω.

Ἐν τῷ τῶν δέκα κατηγοριῶν βιβλίῳ, τὴν οὐσίαν ὁ ἀριστοτέλης, εἴς τε τὴν πρώτην οὐσίαν, καὶ εἰς τὴν δευτέραν διεῖλε, τουτέστιν εἴς τε τὴν ἄτομον καὶ εἰς τὴν εἰδικήν τε καὶ γενικήν. ὁ δὲ ἀρχύτας εἴς τε τὴν ὕλην, καὶ εἰς τὸ εἶδος, καὶ τὸ σύνθετον. ᾧ καὶ ἀριστοτέλης συνακολουθήσας ἐν τῇ μετὰ τὰ φυσικά, ἀκριβέστερον ἔδοξε καὶ αὐτὸς τριχῇ διελών. καὶ λέγει μάλιστα μὲν οὐσίαν τὸ συναμφότερον ἐπὶ τῶν γενητῶν. δευτέρως δὲ τὸ εἶδος καὶ τὴν ὕλην. ἐξ ὧν τὸ συναμφότερον συνέστηκε. τούτων δὲ κατὰ μὲν τὸ ἀΐδιον καὶ ὑποκεῖσθαι, τὴν ὕλην μᾶλλον οὐσίαν φησί. καθόσον δὲ τὸ εἶναι ἑκάστῳ τοῦτο ὅ ἐστι, κατὰ τὸ εἶδός ἐστι, καθ' ὃ καὶ διαφέρον τῶν ἄλλων ἐπὶ τῆς οἰκείας ἐστὶ φύσεως, καὶ τοῦτο μᾶλλον οὐσία τὸ εἶδος αὐτῷ δοκεῖ. ταύτην οὖν ἐνδείκνυται νῦν τὴν σύγκρισιν, ἀρκούμενος ἐν τῷ περὶ τῶν φυσικῶν ἀρχῶν λόγῳ, πόσαι καὶ τίνες εἰσὶν αἱ ἀρχαὶ παραδοῦναι. ἀλλ' εἰ φθείρεται φησὶν ὁ ἀλέξανδρος τὸ εἶδος, πῶς ἀρχὴ τοῦτο. ἄφθαρτος γὰρ ἡ ἀρχὴ δοκεῖ εἶναι. ἀρχῆς γὰρ ἀπολουμένης ὥς φησι πλάτων, οὔτε αὐτὴ ἔκ του, οὔτε ἄλλο ἐξ ἐκείνης γενήσεται. λύει δὲ τὴν ἀπορίαν ὁ ἀλέξανδρος, λέγων ὅτι οὐ πᾶσαν ἀρχὴν τῶν ἐν γενέσει καὶ φθορᾷ ἄφθαρτον εἶναι δυνατόν. οὐ γὰρ δὴ καὶ ἡ στοιχειώδης. οὐ γὰρ ἂν ἔτι γένεσις εἴη καὶ φθορά. ἀλλ' εἶναι μέν τινα καὶ ἄφθαρτον δεῖ. οὐ μὴν οἷόν τε πάσας. καὶ τὸ εἶδος δέ φησι κἂν τῷ ἀριθμῷ φθαρτὸν ᾖ, ἀλλὰ τῷ γε εἴδει ἄφθαρτον. ἀεὶ γὰρ ἐστι θερμὸν καὶ ψυχρόν. οὐκ ἀεὶ δὲ ταὐτὸν κατ' ἀριθμόν. οὐ γὰρ ἂν ἦν ἡ γένεσις ἐν τοῖς οὖσιν. ἀλλὰ ταῦτα μὲν εἴρηται μετρίως. ὁ δὲ πλάτων οὐ τὴν στοιχειώδη τῶν σωμάτων ἀρχὴν τὴν κατὰ τὸ εἶδος, ἀγένητον εἶπεν ἐν φαίδρῳ, ἀλλὰ τὴν ἀρχὴν καὶ πηγὴν τῆς κινήσεως. ἥτις ἦν αὐτοκίνητον. καὶ ὅλως τὴν πρωτουργὸν ἐν πᾶσιν ἰδιότητα, ποιητικὴν οὖσαν ἀρχὴν ἀλλ' οὐ στοιχειώδη. ἐπάγει δὲ ὁ ἀλέξανδρος καὶ ταῦτα, ἢ οὐδὲ τὸ εἶδος φθείρεται. φθείρεται γὰρ τὸ γινόμενον. γίνεται δὲ οὔτε ἡ ὕλη, οὔτε τὸ εἶδος, ἀλλὰ τὸ συναμφότερον. καὶ φθείρεται ἄρα τοῦτο. ὥστε αἱ ἀρχαὶ ἄφθαρτοι. ἀλλ' οὐκ εἰ ἄφθαρτον, ἤδη καὶ ἀΐδιον τὸ κατ' ἀριθμὸν εἶδος. φθείρεται μὲν γὰρ τὸ συναμφότερον. ἡ δὲ φθορὰ αὐτοῦ κατὰ τὸ ἀποβάλλειν τὸ εἶδος. ταῦτα δὲ δοκεῖ μὲν εἰρῆσθαι φυσικῶς ὑπὸ τοῦ ἀλεξάνδρου. ἀπορίαν δὲ παρέχει, πῶς ὃ πρότερον μὴ ὂν ὕστερόν ἐστιν, οὐκ ἂν λέγοιτο γίνεσθαι. καὶ ὃ πρότερον ὂν ὕστερον οὐκ ἔστιν, οὐκ ἂν λέγοιτο φθείρεσθαι. πῶς δὲ τὸ μὲν σύνθετον φθείρεσθαι λέγομεν, διότι ἀποβάλλει τὸ εἶδος, οὐχὶ σωζόμενον οὐδὲ ὑφιστάμενον μετὰ τὴν ἀποβολήν, ἀλλ' εἰς τὸ μὴ ὂν ἀπιόν. τὸ δὲ εἶδος, οὐ γὰρ ἐστι χωριστόν, εἰ διὰ τὸ σύνθετον ἐφθάρη, οὐκ ἂν λέγοιτο φθαρτόν. πῶς δὲ εἰ ἄφθαρτον, οὐχὶ καὶ ἀΐδιον. κάλλιον οὖν οἶμαι ἀληθεύειν ἢ ὑπεραττικίζειν. ἀλλὰ καὶ τὸ εἶδος τὸ ἄτομον καὶ ἐν γενέσει φθαρτὸν λέγομεν, καὶ τὸ σύνθετον κατὰ τὸ εἶδος. οὐ γὰρ ἀνάγκη τῶν φθαρτῶν τὰς στοιχειώδεις ἀρχὰς ἀφθάρτους ὑποτίθεσθαι. ὁ δὲ εὐλαβούμενος τὸ εἶναί τινα εἰς τὸ μὴ ὂν φθειρόμενα, τὰ νῦν μὲν ὄντα αὖθις δὲ μὴ ὄντα, λέγει ἄφθαρτα. οὐδὲ γὰρ ταῦτα εἰς τὸ μὴ ὂν ἁπλῶς φθείρεται. ἀλλ' ἔστι τι ἄλλο πάντως εἶδος, τὸ τὴν φθορὰν τοῦ φθειρομένου εἴδους διαδεχόμενον.

ὍΤΙ ΔΕ μοναχῶς οὕτω λύεται καὶ ἡ τῶν ἀρχαίων ἀπορία, λέγομεν μετὰ ταῦτα. ζητοῦντες γὰρ οἱ κατὰ φιλοσοφίαν πρῶτοι τὴν ἀλήθειαν, καὶ τὴν φύσιν τὴν τῶν ὄντων, ἐξετράπησαν. οἷον, ὁδόν τινα ἄλλην ἀπωσθέντες ὑπὸ ἀπειρίας. καί φασι, οὔτε γίγνεσθαι τῶν ὄντων οὐδέν, οὔτε φθείρεσθαι. διὰ τὸ ἀναγκαῖον μὲν εἶναι γίγνεσθαι τὸ γιγνόμενον, ἢ ἐξ ὄντος, ἢ ἐκ μὴ ὄντος. ἐκ δὲ τούτων ἀμφοτέρων ἀδύνατον εἶναι. οὔτε γὰρ τὸ ὂν γίγνεσθαι. εἶναι γὰρ ἤδη. ἔκ τε μὴ ὄντος οὐδὲν ἂν γενέσθαι. ὑποκεῖσθαι γάρ τι δεῖ. καὶ οὕτω δὴ τὸ ἐφεξῆς συμβαῖνον αὔξοντες, οὐδ' εἶναι πολλά φασιν. ἀλλὰ μόνον αὐτὸ τὸ ὄν. ἐκεῖνοι μὲν οὖν ταύτην ἔλαβον τὴν δόξαν, διὰ τὰ εἰρημένα.

ὍΤΙ καλῶς πρὸς τῇ ὕλῃ καὶ τὴν στέρησιν ἐν ταῖς ἀρχαῖς ἔθετο, δείκνυσιν ἐκ τοῦ τινὰς τῶν ἀρχαίων φιλοσόφων μὴ ἐννοήσαντας αὐτήν, ἀναιρεῖν τὴν γένεσιν καὶ τὴν φθοράν, ὑπὸ ἀπορίας τινὸς ἡττηθέντας, καὶ ἄλλοις ἀτόποις περιπεσεῖν. πρώτους δὲ κατὰ φιλοσοφίαν λέγει, οὐ μόνον τοὺς τῷ χρόνῳ προειληφότας, ἀλλὰ καὶ τοὺς πρώτως τὴν ἀλήθειαν ἐζητηκότας. οὐ περὶ πάντων δὲ λέγει νῦν. ἀλλὰ περὶ ἐκείνων ὅσοι γένεσιν ἀνῄρουν. διῄρηνται δὲ οὗτοι διχῇ, μᾶλλον δὲ τριχῇ. οἱ μὲν γὰρ αὐτῶν ἓν τὸ ὂν ἔλεγον καὶ ἀγένητον τοῦτο. οἱ δέ, πολλὰ μὲν ἐνυπάρχοντα δὲ ἐκκρίνεσθαι ἔλεγον, τὴν γένεσιν ἀναιροῦντες. ὡς ἀναξίμανδρος καὶ ἀναξαγόρας. οἱ δέ, συγκρίσει καὶ διακρίσει τὴν γένεσιν τῶν πρώτων στοιχείων ἐποίουν. ὡς δημόκριτος καὶ ἐμπεδοκλῆς. οὐ γὰρ ἐστι γένεσίς φησιν, ἀλλὰ μόνον μίξις τε καὶ διάλλαξις τῶν μιγέντων. ἀνεῖλον δὲ οὗτοι τὴν γένεσίν φησιν, ὑπό τινος συγχυθέντες ἀπορίας. ἣν διαλῦσαι οὐκ ἴσχυσαν. λύεται δέ, τῶν ἀρχῶν τῶν φυσικῶν τοιούτων ὑποτεθεισῶν, οἵας ἡμεῖς ὑπεθέμεθα. θεὶς δὲ πρῶτον τὴν ἀπορίαν, ὑφ' ἧς ἀπωσθέντες τῆς ἐπὶ τὴν ἀλήθειαν ἀγούσης ὁδοῦ, τὴν γένεσιν ἀνῄρουν, καὶ τὸ τῇ ἀπορίᾳ ἑπόμενον ἄτοπον, τότε τὴν λύσιν ἐπάγει. καὶ ἔστιν ἡ ἀπορία τοιαύτη. τὸ γινόμενον ἀνάγκη ἐκ μὴ ὄντος ἢ ἐξ ὄντος γίνεσθαι. εἰ οὖν ἄμφω ἀδύνατα, οὐκ ἂν εἴη γένεσις. ὅτι δὲ ἄμφω ἀδύνατα, δῆλον. οὔτε γὰρ ἐξ ὄντος τὸ ὂν γίνεσθαι. εἶναι γὰρ ἤδη τὸ ὂν πρὸ τοῦ γενέσθαι. οὔτε ἐκ μὴ ὄντος. δεῖ γὰρ εἶναί τι τὸ ἐξ οὗ. καὶ ὅλως τὸ μὴ ὂν οὐδέν ἐστι. καὶ ἡ μὲν ἀπορία τοιαύτη. τὸ δὲ ἐφεξῆς συμβαῖνον ἐπάγει, ὅπως ὑπὸ ταύτης τῆς ἀπορίας ἡττηθέντες ὡς δοκοῦσί τινες, εἰς τὴν ἐξήγα-

γεν ἡ τοῦ

γεν ἡ τοῦ ὄντος καὶ μὴ ὄντος ἔννοια, τὸ κυρίως ὂν καὶ κυρίως μὴ ὂν μόνον εἰδυῖα, καὶ ἐπὶ τὸ ἑξῆς συμβαίνειν δοκοῦν τῇ ἀπορίᾳ προῆλθον. ἢ γὰρ δεῖ τὸ ἓν εἶναι τὸ ὄν, ὥσπερ Μέλισσος καὶ Παρμενίδης ἔλεγον, τὸ παρὰ τὸ ὂν οὐκ ὂν λέγοντες. εἰ δὲ πολλὰ εἴη τὰ ὄντα, δηλονότι καὶ διαφέροντά ἐστιν ἀλλήλων. καὶ ἔσονται παρὰ τὸ ὂν αἱ διαφοραί. εἰ δέ τι παρὰ τὸ ὂν εἴη, ἢ ὂν ἔσται, ἢ οὐκ ὄν. ἀλλ' οὔτε ὂν εἶναι τὸ παρὰ τὸ ὂν δυνατόν, οὔτε τὸ οὐκ ὂν εἶναι. ὡς ἀτοπώτερον δὲ τοῦ μὴ εἶναι γένεσιν, τὸ ἓν εἶναι τὸ ὄν, ἀπὸ τῆς ἀπορίας καὶ τοῦτο αὐτοῖς ἐπελθὸν, ἐπήγαγεν.

Ἡμεῖς δὲ λέγομεν, ὅτι τὸ ἐξ ὄντος, ἢ μὴ ὄντος γίγνεσθαι, ἢ τὸ μὴ ὄν, ἢ τὸ ὂν ποιεῖν τι, ἢ πάσχειν, ἢ ὁτιοῦν τόδε γίγνεσθαι, ἕνα μὲν τρόπον οὐδὲν διαφέρει, ἢ τὸ τὸν ἰατρὸν ποιεῖν τι, ἢ πάσχειν, ἢ τὸ ἐξ ἰατροῦ εἶναί τι, ἢ γίγνεσθαι. ὥστ' ἐπειδὴ τοῦτο διχῶς λέγεται, δῆλον ὅτι καὶ τὸ ἐξ ὄντος, καὶ τὸ ὄν, ἢ ποιεῖν τι, ἢ πάσχειν. οἰκοδομεῖ μὲν οὖν ὁ ἰατρὸς, οὐχ ᾗ ἰατρὸς, ἀλλ' ᾗ οἰκοδόμος. καὶ λευκὸς γίνεται, οὐχ ᾗ ἰατρός. ἀλλ' ᾗ μέλας. ἰατρεύει δὲ καὶ ἀνίατρος γίνεται, ᾗ ἰατρός. ἐπεὶ δὲ λέγομεν κυρίως μάλιστα τὸν ἰατρὸν ποιεῖν τι, ἢ πάσχειν, ἢ γίνεσθαι ἐξ ἰατροῦ, ἐὰν ᾗ ἰατρὸς ταῦτα πάσχῃ, ἢ ποιῇ, δῆλον ὅτι καὶ τὸ μὴ ἐξ ὄντος γίγνεσθαι, καὶ τοῦτο σημαίνει τὸ ᾗ μὴ ὄν. ὅπερ ἐκεῖνοι μὲν οὐ διελόντες, ἀπέστησαν. καὶ διὰ ταύτην τὴν ἄγνοιαν, τοσοῦτον προσηγνόησαν ὥστε μηδὲν οἴεσθαι γίγνεσθαι, μηδ' εἶναι τῶν ἄλλων. ἀλλ' ἀνελεῖν πᾶσαν τὴν γένεσιν. ἡμεῖς δὲ καὶ αὐτοί φαμεν, γίγνεσθαι μὲν οὐδὲν ἁπλῶς ἐκ μὴ ὄντος, ὅμως μέντοι γίγνεσθαι ἐκ μὴ ὄντος. οἷον κατὰ συμβεβηκός. ἐκ γὰρ τῆς στερήσεως. ὅ ἐστι καθ' αὑτὸ μὴ ὄν, οὐκ ἐνυπάρχοντος γίνεται. θαυμάζεται δὲ τοῦτο, καὶ ἀδύνατον οὕτως δοκεῖ γίνεσθαί τι ἐκ μὴ ὄντος. ὡσαύτως δὲ, οὐδὲ ἐξ ὄντος, οὐδὲ τὸ ὂν γίνεσθαι, πλὴν κατὰ συμβεβηκός. οὕτω δὲ καὶ τοῦτο γίνεσθαι, τὸν αὐτὸν τρόπον οἷον, εἰ ἐκ ζώου, ζῷον ἂν γίγνοιτο. καὶ εἰ ἐκ τινὸς ζώου, τὶ ζῷον. οἷον εἰ κύων ἐξ ἵππου γίγνοιτο. γίγνοιτο μὲν γὰρ ἂν, οὐ μόνον ἐκ τινὸς ζώου ὁ κύων, ἀλλὰ καὶ ἐκ ζώου, ἀλλ' οὐχ ᾗ ζῷον. ὑπάρχει γὰρ ἤδη τοῦτο. εἰ δέ τι μέλλει γίνεσθαι ζῷον μὴ κατὰ συμβεβηκὸς, οὐκ ἐκ ζώου ἔσται. καὶ εἴ τι ὂν, οὐκ ἐξ ὄντος. οὐδ' ἐκ μὴ ὄντος τὸ γὰρ ἐκ μὴ ὄντος εἴρηται ἡμῖν τί σημαίνει. ὅτι ᾗ μὴ ὄν.

Οἱ μὲν ἀρχαῖοι διὰ τὸ μήτε ἐξ ὄντος μήτε ἐκ μὴ ὄντος δύνασθαι γίνεσθαι τὸ ὄν, ἀνῄρουν τὴν γένεσιν. αὐτὸς δὲ τὴν ἀπορίαν λύει διωρισμένως, δεικνὺς ὅτι ἀνάγκη τὸ γινόμενον ἐξ ὄντος καὶ μὴ ὄντος γίνεσθαι, τουτέστι πῇ μὲν ὄντος, πῇ δὲ μὴ ὄντος, τοῦτο δὲ διχῶς δυνατὸν λέγειν. ἢ γὰρ τῷ καθ' αὑτὸ καὶ κατὰ συμβεβηκὸς διαφέρειν ταῦτα, ἢ τῷ δυνάμει καὶ ἐνεργείᾳ. οἱ μὲν οὖν λέγοντες μήτε ἐξ ὄντος μήτε ἐκ μὴ ὄντος δυνατὸν εἶναι γίνεσθαι, ὂν μὲν ἔλεγον τὸ αὐτὸ τῷ γινομένῳ. ἤδη γάρ φασιν ἔστι τοῦτο. μὴ ὂν δὲ τὸ πάντῃ μὴ ὄν. εἶναι γὰρ δή φασι τὸ ἐξ οὗ. καὶ τῷ ὄντι οὕτως οὔτε ἐξ ὄντος οὔτ' ἐκ μὴ ὄντος δυνατὸν γίνεσθαι τὸ γινόμενον. εἰ μέντοι τις τὴν στέρησιν μὴ ὂν οὖσαν ἐν ταῖς ἀρχαῖς, ἐκ ταύτης γίνεσθαι τὸ γινόμενον λέγοι, μὴ καθ' αὑτὸ ἀλλὰ κατὰ συμβεβηκὸς, οὐ γὰρ τῷ ἐνυπάρχειν ἀλλὰ τῷ μὴ ἐνυπάρχειν τὴν στέρησιν ἐξ αὐτῆς γίνεται τὸ γινόμενον, οὗτος ἐκ τοῦ καθ' αὑτὸ μὴ ὄντος, οὐ καθ' αὑτὸ ἀλλὰ κατὰ συμβεβηκὸς λέγει γίνεσθαι τὸ ὄν. οὐ καθὸ οὖν ὂν ἡ ὕλη, γίνεται ἐξ αὐτῆς τὸ ὄν, ἀλλὰ κατὰ συμβεβηκός. διότι συμβέβηκεν αὐτῇ μὴ εἶναι τοῦτο τὸ ὂν ὃ γίνεται, τῆς στερήσεως αὐτῇ τοῦ ὄντος ὃ γίνεται παρούσης. ὥστε οὔτε ἐξ ὄντος καθὸ ὂν, οὔτε τὸ ὂν καθὸ ὂν γίνεται. ἀλλ' ἐξ ὄντος κατὰ συμβεβηκός. καὶ ἐκ τοῦ τινὸς ὄντος τὸ τὶ ὄν. οὕτως οὖν οὐκ ἐξ ὄντος οὐδὲ ἐκ μὴ ὄντος καθ' αὑτὸ ἡ γένεσις. καὶ ἐκ τοῦ πῇ μὲν ὄντος πῇ δὲ μὴ ὄντος. ἡ γὰρ ὕλη ἔστι μὲν, οὐκ ἐκεῖνο δὲ ὃ γίνεται. ὁ μέντοι Ἀριστοτέλης ἐπὶ τὰ σαφέστερα καὶ καθολικώτερα μεταγαγὼν τὸν λόγον, οὕτω λύει τὴν ἀπορίαν. τὸ γὰρ ἐξ ὄντος φησὶ γίνεσθαι, ἴσον ἐστὶ τῷ τὸ ὂν γίνεσθαι. καὶ τὸ ἐκ μὴ ὄντος γίνεσθαι, τῷ τὸ μὴ ὂν γίνεσθαι. ταὐτὸν γάρ ἐστιν εἰπεῖν ἐξ ἀμούσου γίνεσθαι μουσικὸν, καὶ ἄμουσον γίνεσθαι μουσικόν. εἶτα καθολικώτερον ἐπήνεγκεν, ἐν οἷς περιέχεται καὶ ταῦτα, τὸ, ἢ τὸ ὂν ἢ τὸ μὴ ὂν ποιεῖν τι ἢ πάσχειν. κοινότερον γὰρ τὸ μὲν ποιεῖν τι ἢ πάσχειν τοῦ πάσχειν μόνου. καὶ τὸ ὁτιοῦν τόδε γίνεσθαι κοινότερόν ἐστι τοῦ κυρίως γίνεσθαι. καὶ γὰρ τὸ λευκὸν γινόμενον καὶ περιπατοῦν, καὶ ὁτιοῦν ἄλλο, περιέχεται ἐν τούτῳ. ταῦτα οὖν φησι τὸ ἐξ ὄντος ἢ ἐκ μὴ ὄντος, ἢ τὸ ὂν ἢ τὸ μὴ ὂν ἢ ποιεῖν ἢ πάσχειν, ἅπερ ἐπὶ παραδείγματος ἐκθέμενος λέγει, μηδὲν διαφέρειν τοῦ τὸν ἰατρὸν ποιεῖν τι ἢ πάσχειν, ἢ ἐξ ἰατροῦ εἶναί τι ἢ γίνεσθαι, ταῦτα οὖν διχῶς λέγεσθαί φησιν, διότι τῶν πλεοναχῶς λεγομένων ἐστί. καὶ πρῶτον ἐπὶ τοῦ ἰατροῦ τὸ διττὸν δείκνυσιν. εἶθ' οὕτως ἐπὶ τὸ μὴ ὂν καὶ τὸ ὂν μεταφέρει τὸν λόγον. ὁ γὰρ ἰατρὸς ποιεῖν τι λέγεται ἢ πάσχειν, ἢ καθὸ ἰατρός ἐστιν, ἢ κατὰ συμβεβηκός. καθὸ μὲν ἰατρὸς ποιεῖ, ὅταν ἰατρεύῃ καὶ θεραπεύῃ. πάσχει δὲ καθὸ ἰατρὸς ὅταν ἀνίατρος γίνηται. κατὰ συμβεβηκὸς δὲ ποιεῖ, ὅταν οἰκοδομῇ. διότι τῷ ἰατρῷ συμβέβηκεν οἰκοδόμῳ εἶναι. πάσχει δὲ κατὰ συμβεβηκὸς, ὅταν λευκὸς ἐκ μέλανος γένηται. διότι τῷ ἰατρῷ συμβέβηκε τὸ μέλαν εἶναι. καὶ δηλονότι κυρίως ποιεῖν ἢ πάσχειν τὸν ἰατρὸν λέγομεν, ὅταν καθὸ ἰατρὸς ποιῇ τι ἢ πάσχῃ. οὕτως οὖν καὶ τὸ ἐκ μὴ ὄντος γίνεσθαί τι διχῶς λέγεται. ἢ γὰρ ἐκ μὴ ὄντος καθὸ μὴ ὄν, ἢ ἐκ μὴ ὄντος κατὰ συμβεβηκός. ὅτι ᾧ ἐξ οὗ γίνεται, οἷον τῇ ὕλῃ, συμβέβηκε τὸ μὴ ὂν, τουτέστιν ἡ στέρησις. οὐ γὰρ ἐκ παντὸς, ἀλλ' ἐκ τοῦ μὴ τοιούτου πεφυκότος δὲ, γίνεται τὸ γινόμενον. καὶ δῆλον ὅτι ὥσπερ ἐπὶ τοῦ ἰατροῦ κυρίως τὸν ἰατρὸν τότε λέγομεν ποιεῖν τι ἢ πάσχειν, ὅταν καθὸ ἰατρὸς ποιῇ τι ἢ πάσχῃ, οὕτω καὶ ἐπὶ τοῦ μὴ ὄντος κυρίως, τότε λέγομεν ἐκ μὴ ὄντος

γίνεσθαί τι, ὅταν ἡ μὴ ὂν λαμβάνηται. οἱ οὖν ἀρχαῖοι μονοτρόπως τὸ μὴ ὂν κατὰ τὸ κυρίως καὶ καθὸ
μὴ ὂν λαβόντες, καὶ μὴ διελόντες τό, τε καθ' αὑτὸ καὶ ἡ μὴ ὄν, καὶ τὸ κατὰ συμβεβηκός, ἀπέστησαν
τοῦ γίνεσθαί τι ἐξ ὄντος ἢ ἐκ μὴ ὄντος. καὶ διὰ τὴν ἄγνοιαν τοῦ καθ' αὑτὸ καὶ τοῦ κατὰ συμβεβηκός,
προσηγνόησαν καὶ ἄλλα. ὥστε μηδὲν οἴεσθαι γίνεσθαι, εἴπερ ἐκ μὴ ὄντος ἢ μὴ ὂν μηδὲν γίνεται. εἶναι
γὰρ δεῖ τὸ ἐξ οὗ. δῆλον δὲ ὅτι οὐδὲ ἐξ ὄντος ἢ ὄν. ἤδη γὰρ ἐστί. καὶ ἔτι μέν τοι προσηγνόησαν, τὸ μηδὲν
εἶναι τῶν ἄλλων, ἀλλ' ἓν εἶναι τὸ ὄν, εἴπερ μὴ γίνεταί τι ἐκ τοῦ ὄντος. ἡμεῖς δὲ τὸ μὲν ἁπλῶς ἐκ μὴ
ὄντος, τουτέστι καθὸ μὴ ὄν, μὴ γίνεσθαί τι ὁμολογοῦμεν. κατὰ συμβεβηκὸς δὲ γίνεσθαι λέγομεν ἐκ
μὴ ὄντος. ἐκ γὰρ τῆς ὕλης, καθόσον ἐνυπάρχει αὐτῇ στέρησις, ἥτις ἐστὶ καθ' αὑτὸ μὴ ὄν, γίνεταί τι. καὶ
» πλάτων δὲ περὶ αὐτῆς φησι, μὴ τοίνυν ἡμᾶς εἴπῃ τις, ὅτι τοὐναντίον τοῦ ὄντος τὸ μὴ ὂν ἀποφαινό-
» μενοι, τολμῶμεν λέγειν ὡς ἔστιν. ἡμεῖς γὰρ περὶ μὲν ἐναντίου τινὸς αὐτῷ χαίρειν πολλὰ λέγομεν, εἴ-
» τε ἔστιν, εἴτε μή, λόγον ἔχον, ἢ καὶ παντάπασιν ἄλογον. ὃ δὲ νῦν εἰρήκαμεν εἶναι τὸ μὴ ὄν, ἢ πεισάτω
» τις ὡς οὐ καλῶς λέγομεν ἐλέγξας, ἢ μέχρι περ ἂν ἀδυνατῇ, λεκτέον καὶ ἐκείνῳ καθάπερ ἡμεῖς
λέγομεν. καὶ ἔστι μὲν καὶ τὸ παρὰ τοῦ πλάτωνος διωρισμένον, πῇ μὲν ὄν, πῇ δὲ μὴ ὄν, καὶ καθ' αὑτὸ
μὲν μὴ ὄν, κατὰ συμβεβηκὸς δὲ ὄν, ὅτι τοιοῦτό τι συμβέβηκε. πλὴν διαφέρει τὸ κατὰ ἑτερότητα
μὴ ὂν τοῦ κατὰ στέρησιν. καθόσον τὸ μέν, εἰδῶν ἐστι πρὸς ἄλληλα, τὸ δέ, τῇ ὕλῃ συνυπάρχει. ταύτην
μὲν οὖν ἐγκρίνει τὴν ἐξήγησιν ὁ ἀλέξανδρος, τὴν τὸ μὴ ὂν διαιροῦσαν, εἴς τε τὸ μὴ ὄν, τουτέστι τὸ κυρί-
ως μὴ ὄν, καὶ εἰς τὸ κατὰ συμβεβηκός. προστίθησι δὲ καὶ ἄλλην. δύναται γάρ φησί τις ἐκ τῶν λεγο-
μένων ἀκούειν, ὅτι καὶ τὸ μὴ ὂν μοναχῶς λέγεται, κατὰ τὸ κυρίως καὶ ἡ μὴ ὄν. ἀλλὰ τὸ ἐκ τούτου
γίνεσθαι διχῶς δυνατὸν λέγειν. ἢ γὰρ καθ' αὑτὸ ἢ κατὰ συμβεβηκὸς ἔσται. καὶ γὰρ ἡμεῖς ἐκ τῆς στερή-
σεως, ἥτις ἐστὶ καθ' αὑτὸ μὴ ὄν, λέγομεν γίνεσθαι, ἀλλὰ κατὰ συμβεβηκός. οὐ γὰρ διὰ τὸ ἐνυπάρχειν
αὐτὴν τῷ λεγομένῳ, ἀλλὰ διὰ τὸ μὴ ἐνυπάρχειν. ἐξ ὧν δὲ καθ' αὑτὸ γίνεταί τι, ταῦτα ἐνυπάρχει
τῷ γινομένῳ. καὶ δηλονότι καὶ καθ' αὑτὸ λέγηται μὴ ὂν ἡ στέρησις, ἀλλ' ἔχει τὴν ὁποιανοῦν ὑπόστα-
σιν. εἰ γὰρ τὸ μηδαμῇ μηδαμῶς ἦν, οὐκ ἂν οὐδὲ κατὰ συμβεβηκός τι ἐγένετο ἐξ αὐτῆς. ὥστε καὶ τό,
ἡμεῖς δὲ φαμὲν γίνεσθαι μὲν μηδὲν ἁπλῶς ἐκ μὴ ὄντος, διχῶς ἀκουστέον. ἢ γὰρ μηδὲν ἐκ τοῦ ἁπλῶς μὴ
ὄντος γίνεσθαι, ἢ μηδὲν κυρίως καὶ ἁπλῶς γίνεσθαι ἐκ μὴ ὄντος. κυρίως γὰρ καὶ ἁπλῶς ἔκ τινος γίνε-
ται, τὸ ἐξ ὑπομένοντος γινόμενον. οὕτω δὲ ἐκεῖνοι ᾤοντο ὀφείλειν γίνεσθαι τὸ ἐκ μὴ ὄντος καὶ ἐνυπάρ-
χοντος τῷ γινομένῳ. τοῦτο δὲ ἀδύνατον. ὅτι δὲ καὶ ὁ πλάτων διττὸν οἶδε τοῦ μὴ ὄντος τὸ σημαινόμενον
πρὸ τοῦ ἀριστοτέλους, δηλοῖ τὰ ἐν τῷ σοφιστῇ δεδειγμένα. οἷς ἐπήγαγε, τὴν γὰρ θατέρου φύσιν ἀποδείξαν-
» τες καὶ κατακεκερματισμένην ἐπὶ πάντα τὰ ὄντα πρὸς ἄλληλα, τὸ πρὸς τὸ ὂν ἑκάστου μόριον
» αὐτῆς ἀντιτιθέμενον, ἐτολμήσαμεν εἰπεῖν, ὡς αὐτὸ τοῦτ' ἐστὶν ὄντως τὸ μὴ ὄν. καὶ παντάπασι τἀ-
» ληθέστατά μοι δοκοῦμεν εἰρηκέναι. μὴ τοίνυν ἡμᾶς εἴπῃ τις, ὅτι τοὐναντίον τοῦ ὄντος τὸ μὴ ὂν ἀπο-
» φαινόμενοι, τολμῶμεν λέγειν ὡς ἔστιν. ἡμεῖς γὰρ περὶ μὲν ἐναντίου τινὸς αὐτῷ χαίρειν πολλὰ λέγο-
» μεν, εἴτε ἔστιν εἴτε μή, λόγον ἔχον ἢ καὶ παντάπασιν ἄλογον. ὃ δὲ νῦν εἰρήκαμεν εἶναι τὸ μὴ ὄν, ἢ πει-
» σάτω τις ὡς οὐ καλῶς λέγομεν ἐλέγξας, ἢ μέχρι περ ἂν ἀδυνατῇ, λεκτέον καὶ ἐκείνῳ καθάπερ
» ἡμεῖς λέγομεν. ταῦτα μὲν ὁ πλάτων. ὁ δὲ ἀριστοτέλης ἐπάγει, ὡσαύτως δὲ οὐδὲ ἐξ ὄντος, οὐδὲ τὸ ὂν
καθὸ ὂν δυνατὸν γίνεσθαι. ἤδη γὰρ ἔσται, πρὶν γενέσθαι τὸ ὄν. ἐξ ὄντος μέν τοι κατὰ συμβεβηκὸς οὐδὲν
κωλύει γίνεσθαι, καὶ τὸ τί ὄν. ὡς γὰρ ὁ λέγων ἐκ ζώου ζῷον γίνεσθαι, οὐ τοῦτο λέγει ὅτι ἡ ζῷον. οὐδὲ γὰρ τὸ
ζῷον καθὸ ζῷον μεταβάλλον, εἰς ζῷον ἂν μεταβάλλοι. ἀλλ' οὐδὲ τὸ γινόμενον ζῷον, ἐὰν καθὸ ζῷον
γίνηται, ἐκ ζώου ἂν γίνοιτο, ἀλλ' ἢ ἐκ σπέρματος. εἰ δὲ καθό τι ζῷον ἐκ ζώου, ᾧ συμβέβηκε ζώῳ εἶναι,
μεταβάλλοντος γίνεταί τι, ᾧ καὶ αὐτῷ ζώῳ εἶναι ὑπάρχει, τοῦτο δὲ κατὰ συμβεβηκός ἐστιν ἐκ ζώου
ζῷον γίνεσθαι. οὐ γὰρ καθὸ ζῷον μεταβάλλον εἰς ζῷον, ἢ ζῷον μεταβάλλει. ἀλλὰ καθό τι ζῷον εἰς
ἄλλο τι ζῷον ποιεῖται τὴν μεταβολήν. οἷον εἰ κύων ἐξ ἵππου ἢ μᾶλλον σφῆκες ἐξ ἵππου, ἢ μέλισσαι
ἐκ ταύρου, ἵπποι γὰρ σφηκῶν γένεσις ταῦροι δὲ μελισσῶν, λέγοιτο ἂν ζῷον ἐκ ζώου γίνεσθαι. οὐ μὴν
καθὸ ζῷον, ἀλλὰ κατὰ συμβεβηκός. ἐκ γὰρ ἄλλου τινὸς ζώου, ἄλλο τι ζῷον, ὃ μὴ μεταβάλλοντος γί-
νεται. ἀμφοτέροις δὲ τῷ τε μεταβάλλοντι καὶ τῷ γινομένῳ, ὑπάρχει τὸ ζώοις εἶναι. ὥστε κατὰ
συμβεβηκὸς ζῷον ἐκ ζώου. οὐ γὰρ περὶ τοῦ ποιητικοῦ αἰτίου, ἀλλὰ περὶ τοῦ ὑλικοῦ ὁ λόγος. ἐφ' οὗ οὐχ οἷόν τε
ἵππον εἶναι τὴν ἵππου ὕλην. ὅταν μέν τοι ἐκ σπέρματος γίνηται ζῷον, οὐκέτι κατὰ συμβεβηκὸς ἐκ ζώου
γίνεται. ἀλλ' ἐκ μὴ ζώου μόνον. οὕτως οὖν καὶ εἴ τι ὂν μὴ κατὰ συμβεβηκὸς ἀλλὰ καθ' αὑτὸ γίνοιτο, ἐξ οὐκ
ὄντος ἂν γίνοιτο. γράφεται δὲ καὶ οὕτως. οἷον εἰ κύων ἐκ κυνὸς ἢ ἵππος. κἂν γὰρ ἔκ τινος ζώου τι ζῷον γίνοιτο,
οἷον εἰ κύων ἐκ κυνὸς ἢ ἵππος ἐξ ἵππου, οὐχ ἡ κύων οὐδὲ ἡ ἵππος γίνεται. ἀλλ' ἡ τὶς κύων ἢ τὶς ἵππος. εἰ
δὲ καθὸ ζῷόν τι ἔμελλε γίνεσθαι καὶ μὴ κατὰ συμβεβηκός, οὐκ ἐκ ζώου ἂν ἐγένετο. ἀλλ' ἐκ μὴ ζώου, οἷον
ἐκ σπέρματος. καὶ ἡ σῶμα οὐκ ἐκ σώματος ἀλλ' ἐξ ἀσωμάτου. οὕτω δὲ εἴ τι ὂν γίνοιτο μὴ κατὰ συμβεβηκὸς
ἀλλὰ καθ' αὑτό, οὐκ ἐξ ὄντος ἂν γίνοιτο. οὐ μέν τοι οὐδὲ ἐκ μὴ ὄντος καθὸ μὴ ὄν. ἤδη γὰρ τοῦτο δέδεικται. εἰ
οὖν τὸ ὂν ἡ ὂν οὔτε ἐξ ὄντος γίνεται οὔτε ἐκ μὴ ὄντος, τὸ ὂν ἡ ὂν οὐ γίνεται ὅλως. οὐδὲ αἱ γενέσεις τῶν γινομένων
ἡ ὄντα εἰσίν, ἀλλ' ἡ πῦρ καὶ ἡ ἀήρ. μήποτε οὖν οὕτως ἔλεγον καὶ οἱ ἀρχαῖοι, μηδὲν τῶν ὄντων ἡ ὂν γίνεσθαι μηδὲ
ἀπόλλυσθαι.

ἀπόλλυσθαι. τὰ γὰρ ὄντα τὰ ἤδη ἐστίν. οἷον αὐτὸ λευκόν. οὐδὲν γὰρ τῶν ὄντων γίνεται οὐδ' ἀπόλλυται, ἀλλὰ τὰ ἄτομα.

ἜΤΙ ΔΕ καὶ τὸ εἶναι ἅπαν, ἢ τὸ μὴ εἶναι, οὐκ ἀναιροῦμεν. εἷς μὲν δὴ τρόπος οὗτος.

Ἐπειδὴ τὸ γινόμενον ἐδείχθη μήτε ἐξ ὄντος ἁπλῶς, μήτε ἐκ μὴ ὄντος γινόμενον, ἀλλ' ἐκ τοῦ ὄντος ἅμα καὶ μὴ ὄντος, πάντως τοῦτο ἦν ἐφιστάνειν, πῶς τὸ αὐτὸ εἶναί τε καὶ μὴ εἶναι λέγοντες, ἐξ οὗ λέγομεν γίνεσθαι τὸ γινόμενον, οὐκ ἀναιροῦμεν τὸ τῆς ἀντιφάσεως ἀξίωμα. ἢ πῶς λέγοντες ἔκ τινος γίνεσθαι τὸ γινόμενον, οὐκ ἀναγκαζόμεθα ἢ ἐξ ὄντος ἢ ἐκ μὴ ὄντος λέγειν αὐτὸ γίνεσθαι. λέγει γοῦν ὅτι οὐκ ἀναιροῦμεν. οὐ γὰρ κατὰ τὸ αὐτὸ εἶναί τε καὶ μὴ εἶναι λέγομεν. ἀλλ' ἐκ τοῦ καθ' αὑτὸ μὲν ὄντος κατὰ συμβεβηκὸς δὲ μὴ ὄντος τὴν γένεσιν φαμέν. τοιοῦτο γὰρ ἡ ὕλη. δυνατὸν δὲ τὸ οὐκ ἀναιροῦμεν τὸ εἶναι ἅπαν ἢ μὴ εἶναι εἰπεῖν, δηλοῦντα, ὅτι τὴν μὲν διαίρεσιν οὐδὲ ἡμεῖς ἀθετοῦμεν, τὴν λέγουσαν πᾶν τὸ γινόμενον ἢ ἐξ ὄντος ἢ ἐκ μὴ ὄντος γίνεσθαι. ἴσμεν γὰρ ὅτι ἐπὶ παντὸς ἀληθὲς ἢ τὸ εἶναι ἢ τὸ μὴ εἶναι. ἀλλὰ καὶ τηροῦντες ταύτην, σώζομεν ἅμα γένεσιν καὶ φθοράν, τῷ καθ' αὑτὸ καὶ τῷ κατὰ συμβεβηκὸς διελόντες τὸ ὂν καὶ τὸ μὴ ὄν. καὶ οὕτω μὲν καθ' ἕνα τρόπον ἡ ἀπορία λυθήσεται. τὸν δὲ ἕτερον ἐφεξῆς ἐπάγει.

ἌΛΛΟΣ δ' ὅτι ἐνδέχεται ταῦτα λέγειν κατὰ τὴν δύναμιν καὶ τὴν ἐνέργειαν. τοῦτο δ' ἐν ἄλλοις διώρισται δι' ἀκριβείας μᾶλλον.

Εἰπὼν πρὸ ὀλίγου, ὅτι τὸ ἐξ ὄντος ἢ ἐκ μὴ ὄντος γίνεσθαι, ἢ τὸ τὸν ἰατρὸν ποιεῖν τι ἢ πάσχειν, ὅπερ διχῶς λέγεται ἢ καθ' αὑτὸ ἢ κατὰ συμβεβηκός, καὶ συμπερανάμενος διὰ τοῦ εἷς μὲν τρόπος οὗτος ἐστὶ τῆς λύσεως, ἐπάγει λοιπὸν τὸν ἄλλον. οὗτος δέ ἐστιν ὅτι τὸ ὂν ἐνδέχεται δυνάμει καὶ ἐνεργείᾳ λέγειν. ὁμοίως δὲ καὶ τὸ μὴ ὄν. ὅταν οὖν εἴπωμεν τὸ γινόμενον ἐξ ὄντος γίνεται, ἐκ τοῦ δυνάμει ὄντος φαμὲν τὸ ἐνεργείᾳ γίνεσθαι. οὐ γὰρ δὴ ἐκ τοῦ ἐνεργείᾳ. ἤδη γάρ ἐστι τοῦτο. ἀνάπαλιν δὲ καὶ ὅταν λέγωμεν ἐκ τοῦ μὴ ὄντος, οὕτω λέγομεν, ὡς ἐκ τοῦ ἐνεργείᾳ μὴ ὄντος. ὅπερ δυνάμει εἶναι οὐ κωλύεται. ἐκ μὲν γὰρ τοῦ δυνάμει μὴ ὄντος ὡς ἐκ στοιχείου, οὐδὲν ἂν γένοιτο. δεῖ γὰρ πεφυκέναι τὸ ἐξ οὗ γίνεται τὸ γινόμενον. ἐκ δὲ τοῦ δυνάμει μὲν ὄντος ἐνεργείᾳ δὲ μὴ ὄντος τὰ γινόμενα γίνεται. λύεται οὖν οὕτως ἡ τῶν ἀρχαίων ἀπορία, ἡ μήτε ἐξ ὄντος μήτε ἐκ μὴ ὄντος γίνεσθαί τι συναναγκάζουσα. γίνεται γὰρ ἐκ τοῦ δυνάμει μὲν ὄντος, ἐνεργείᾳ δὲ μὴ ὄντος. ἡ γὰρ ὕλη δυνάμει μέν ἐστιν ὅπερ γίνεται, ἐνεργείᾳ δὲ οὔ. καὶ εἴληπται μὲν ἀπὸ τῆς ὕλης οὗτος ὁ διορισμός. αὕτη γάρ ἐστιν ἡ δυνάμει μὲν οὖσα. ἐνεργείᾳ δὲ μὴ οὖσα τοῦτο ὅπερ γίνεται. αἰτία δὲ τῇ ὕλῃ τῆς τοιαύτης φύσεώς ἐστιν ἡ στέρησις. ἀπουσία δὲ οὖσα ἐν τῷ πεφυκότι, διὰ μὲν τὸ ἀπουσία εἶναι, ποιεῖ μὴ εἶναι ἐνεργείᾳ. διὰ δὲ τὸ ἐν τῷ πεφυκότι, τὸ δυνάμει εἶναι παρέχεται. διώρισται δὲ περὶ τοῦ δυνάμει καὶ ἐνεργείᾳ τελεώτερον ἐν τῷ ἐνάτῳ τῶν μετὰ τὰ φυσικά.

ὭΣΘ' ὅπερ ἐλέγομεν αἱ ἀπορίαι λύονται δι' ἃς ἀναγκαζόμενοι, ἀναιροῦσι τῶν εἰρημένων ἔνια. διὰ γὰρ τοῦτο καὶ οἱ πρότερον ἐξετράπησαν τῆς ὁδοῦ τῆς ἐπὶ τὴν γένεσιν, καὶ φθοράν, καὶ ὅλως μεταβολήν.

Ὁ μὲν Ἀλέξανδρος τουτὶ τὸ ῥησείδιον ἀνεξήγητον οἶμαι κατέλιπεν. ὁ δὲ μέγας Συριανός, τῶν εἰρημένων ἔνια ἀναιρεῖν φησὶν αὐτοὺς διὰ τὴν ἀπορίαν. ἐπειδὴ γένεσιν ἀναιροῦντες, δι' αὐτὴν καὶ τὴν ὕλην καὶ τὴν στέρησιν συναναιροῦσιν. ἅπερ ἔνια τῶν εἰρημένων ἀρχῶν ἐστι. διὰ γὰρ τὴν ἀπορίαν ἀναιροῦντες τὴν γένεσιν, προϋπάρχειν λέγουσι τὰ ὄντα, ἢ τὸ ἓν ἐν εἶναι. καὶ διὰ τοῦτο μήτε ὕλην εἶναι μήτε στέρησιν, ἐξ ὧν ἂν γένοιτο τὰ γινόμενα. καὶ ὅτι ταῦτα λέγει τῶν εἰρημένων ἔνια, δηλοῖ καὶ τὰ ἑξῆς ἐπαγόμενα. δυνατὸν δὲ ἴσως τῶν εἰρημένων ἔνια μὴ τῶν ἀρχῶν ἀκούειν. καὶ γὰρ καὶ τὸ εἶδος ἀναιροῦσιν οἱ οὕτω λέγοντες τὸ μεταβαλλόμενον. ὥστε οὐκ ἔνια τῶν ἀρχῶν, ἀλλὰ τῶν περὶ φύσεως εἰρημένων, ὧν ἡ γένεσις καὶ ἡ φθορά. ταύτας γὰρ προσεχῶς ἀναιρεῖν ἐδόκουν, ὑπὸ τῆς ἀπορίας συμποδιζόμενοι, τῆς λεγούσης ἐξ ὄντος ἢ ἐκ μὴ ὄντος γίνεσθαι τὸ γινόμενον, καὶ ἑκάτερον ἀδύνατον δεικνύσης. ἀλλ' ἡ στέρησις ἐπινοηθεῖσα καὶ τὸ καθ' αὑτὸ καὶ κατὰ συμβεβηκός, καὶ δυνάμει καὶ ἐνεργείᾳ, τὴν ἀπορίαν ταύτην διέλυσεν. καὶ χώραν τῇ γενέσει καὶ τῇ φθορᾷ δεδώκασιν ἅπερ ἀνῄρουν ἐκεῖνοι. δηλοῖ δὲ ταῦτα καὶ τὰ ἐφεξῆς εἰρημένα.

ΑΥ̓ΤΗ γὰρ ἂν ὀφθεῖσα ἡ φύσις, ἅπασαν ἔλυσεν αὐτῶν τὴν ἄγνοιαν.

Τὴν στέρησίν φησιν ὀφθεῖσαν πάσης τῆς κατὰ λόγον ἀπορίας λύσιν ἔχειν. τῷ γὰρ τὸ κατὰ συμβεβηκὸς ὂν καὶ μὴ ὂν διὰ τὴν στέρησιν, κατὰ συμβεβηκὸς μὲν γὰρ ὂν ἡ στέρησις, διότι συμβέβηκε τῷ ὄντι, κατὰ συμβεβηκὸς δὲ αὖ πάλιν μὴ ὂν ἡ ὕλη, διὰ τὸ συμβεβηκέναι αὐτῇ τὴν στέρησιν οὖσαν μὴ ὂν καθ' αὑτήν, καὶ δυνάμει δὲ ὂν διὰ τὴν στέρησιν, τούτοις διέλυσε τοῖς δύο τὴν ἀπορίαν. οὕτω μὲν οὖν ὁ Ἀλέξανδρος ἐξηγήσατο. μήποτε δὲ αὐτὴ ὀφθεῖσα ἡ φύσις εἶπεν, οὐχ ἡ τῆς στερήσεως μόνον, ἀλλὰ καὶ ἡ τῆς ὕλης. τοῦτο γὰρ καὶ αὐτὸς Ἀλέξανδρος προϊὼν ἐφιστάνει. καὶ μέντοι καὶ ἐκείνη περὶ ἧς ἔλεγε προσεχῶς, ἥτε τοῦ καθ' αὑτὸ καὶ τοῦ κατὰ συμβεβηκός, καὶ ἡ τοῦ δυνάμει καὶ ἐνεργείᾳ.

ἩΜΜΈΝΟΙ μὲν οὖν καὶ ἕτεροί τινές εἰσιν αὐτῆς ἀλλ' οὐχ ἱκανῶς. πρῶτον μὲν γὰρ ὁμολογοῦσιν ἁπλῶς γίνεσθαί τι ἐκ μὴ ὄντος. ᾗ Παρμενίδην ὀρθῶς λέγειν.

Εἴτε ἡ τῆς στερήσεως φύσις ἐστὶ καὶ τῆς ὕλης, ἥτις ὀφθεῖσα πᾶσαν ἂν διέλυσεν ἀπορίαν, εἴτε ἡ τοῦ καθ' αὑτὸ καὶ κατὰ συμβεβηκός, καὶ τοῦ δυνάμει καὶ ἐνεργείᾳ, εἴτε ἡ συναμφοτέρων, διὰ γὰρ τὴν ἑτέραν ἡ ἑτέρα, ταύτης φησὶ τῆς φύσεως, οἱ μὲν οὐδὲ ὅλως ἐφήψαντο, ὅσοι τὸ ὂν ἓν ὑποτιθέασιν. ἢ ὅσοι πάντα

ἐνεργείᾳ προϋπάρχειν λέγουσι. καὶ ἁπλῶς ὅσα γένεσιν ἀναιροῦσι. τινὲς δὲ αὐτῆς ἥψαντο μέν, ἀλλ' οὐχ ἱκανῶς. καὶ δοκεῖ ταῦτα ἀποτεινόμενος πρὸς Πλάτωνα λέγειν. αὐτὸς γὰρ ἐν Τιμαίῳ λέγων μηδὲν τῶν ὄντων ἐνεργείᾳ τὴν ὕλην εἶναι, ἐν οἷς φησιν ὅτι τοῖς εἴδεσιν ὑποκείμενον οὐκ ἂν εἴη παρεσκευασμένον εὖ, πλὴν ἄμορφον ὂν ἐκείνων πασῶν τῶν ἰδεῶν, ὅσας μέλλει δέχεσθαι, ἐφάψασθαί πως δοκεῖ καὶ τῆς ὕλης καὶ τῆς στερήσεως. τὸ γὰρ πεφυκὸς δέχεσθαι καὶ μή, μὴ ἔχον δέ, ἐστερῆσθαι ἂν λέγοιτο δικαίως. καὶ τὸ δυνάμει καὶ ἐνεργείᾳ, καὶ τὸ καθ' αὑτὸ καὶ κατὰ συμβεβηκός, πρῶτος φαίνεται διορίσας ὁ Πλάτων. καὶ τὸ πῆ δὲ ὂν πῆ δὲ μὴ ὄν, ὡς εἴρηται πρότερον. καὶ γὰρ καὶ περὶ τῶν ἄλλων ὁ Πλάτων τὰ πολλαχῶς λεγόμενα διεστείλατο. ὡς καὶ ὁ Εὔδημος ἐν τοῖς Φυσικοῖς μαρτυρεῖ λέγων, Πλάτων τε γὰρ εἰσαγαγὼν τὸ διττὸν, πολλὰς ἀπορίας ἔλυσε πραγμάτων. διὰ ταῦτα μὲν οὖν ἡμμένος ἂν εἴη καὶ ὁ Πλάτων τῆς τοιαύτης φύσεως. οὐχ ἱκανῶς δὲ αὐτῆς ἧφθαι δοκεῖ κατὰ δύο τρόπους. ὧν ὁ ἕτερος καθ' ὃν ἀποδέχεται Παρμενίδην ἓν τὸ ὂν λέγοντα. κατὰ τοῦτο γὰρ ἐκ τοῦ ἁπλῶς μὴ ὄντος καὶ ἡ μὴ ὂν τὴν γένεσιν ποιεῖ. οὐ γὰρ οἷόν τε ἐστὶν ἑνὸς ὄντος τοῦ ὄντος, ἄλλο τι εἶναι καθ' αὑτὸ μὲν ὂν κατὰ συμβεβηκὸς δὲ μὴ ὄν. καὶ δυνάμει μὲν ὄν, ἐνεργείᾳ δὲ μὴ ὄν, ἐξ οὗ ἔσται τὰ γινόμενα. πᾶν γὰρ ὃ μὴ ἐκεῖνό ἐστιν ἁπλῶς οὐκ ἔστι. τὸ γὰρ παρὰ τὸ ὂν οὐκ ὄν. τὸ δὲ οὐκ ὂν οὐδέν. μόνον δὲ ἐκεῖνο ὄν. ὥστε ἐπαινέσας Παρμενίδην ὡς ἓν τὸ ὂν εἰπόντα, ἐκ τοῦ ἁπλῶς μὴ ὄντος φαίνεται ποιῶν αὐτὸς τὴν γένεσιν. καὶ οὕτω μὲν σχεδόν τι πάντες οἱ ἐξηγηταὶ τὴν λέξιν ἐξηγήσαντο, ὡς τοῦ Πλάτωνος ἀποδεχομένου Παρμενίδην ἓν τὸ ὂν λέγοντα. καὶ θαυμάζω τοῦτο. σαφῶς γὰρ ἐν Σοφιστῇ πρὸς τὸν Παρμενίδου λόγον ὑπήντησεν διὰ πολλῶν ἐπιχειρημάτων, ἓν τὸ ὂν λέγοντα. καὶ τὰ μὲν ἐπιχειρήματα πρότερον ἐν τοῖς πρὸς Παρμενίδην λόγοις παραγέγραπται. τὸ δὲ συμπέρασμα αὐτῶν ὑπομνήσεως ἕνεκα ἐκκείσθω καὶ νῦν, ἔχον οὕτω. καὶ τοίνυν ἄλλα μυρία ἀπεράντους ἀπορίας ἕκαστον εἰληφὸς φανεῖται, τῷ τὸ ὂν εἴτε δύο τινὰ εἴτε ἓν μόνον εἶναι λέγοντι. οὐ μέντοι οὐδὲ ὁ Ἀριστοτέλης εἶπεν ὅτι ὁμολογοῦσιν ἁπλῶς γίνεσθαι ἐκ μὴ ὄντος, καθὸ Παρμενίδην ὀρθῶς λέγειν ὁμολογοῦσι. μήποτε οὖν ἐκεῖνο μᾶλλον ἐπισκήπτει, τῷ δέχεσθαι τὴν ἐλάττονα τοῦ Παρμενίδου πρότασιν, τὴν λέγουσαν τὸ παρὰ τὸ ὂν οὐκ ὄν, καὶ ταύτῃ τὸ μὴ ὂν εἶναι συγχωρεῖν. τὸ γὰρ ἕτερον τοῦ καλοῦ παρὰ τὸ καλὸν ὄν, οὐ καλὸν εἶναί φησι. καὶ τὸ ἕτερον τοῦ μεγάλου παρὰ τὸ μέγα ὄν, οὐ μέγα εἶναι λέγει. καὶ
» ἄλλα τοιαῦτα προσθείς, ἐπάγει. οὐκοῦν ὡς ἔοικεν ἡ τῆς θατέρου μορίου φύσεως, καὶ τῆς τοῦ ὄντος
» πρὸς ἄλληλα ἀντικειμένων ἀντίθεσις, οὐδὲν ἧττον εἰ θέμις εἰπεῖν, αὐτοῦ τοῦ ὄντος οὐσία ἐστίν, οὐκ ἐναν-
» τίον ἐκείνῳ σημαίνουσα, ἀλλὰ τοσοῦτον μόνον ἕτερον ἐκείνου. σαφέστατά γε. τίνα οὖν αὐτὴν προσεί-
» πωμεν. δῆλον ὅτι τὸ μὴ ὄν. ὃ διὰ τὸν σοφιστὴν ἐζητοῦμεν. αὐτό ἐστι τοῦτο. δῆλον δὲ ὅτι ὁ μὲν Παρμενίδης τὸ ἁπλῶς μὴ ὂν ἀποβλέπων, ἀνῄρει τὸ μὴ ὄν, λέγων, οὐ γὰρ μή ποτε τόγε μηδαμῇ εἶναι μὴ
» ὄντι. ἀλλὰ σὺ τῆσδ' ἀφ' ὁδοῦ διζήσιος εἶργε νόημα. ὁ μέντοι Πλάτων πρὸς τὸ κατὰ ἑτερότητα μὴ ὂν βλέπων, τῇ ἐλάσσονι προτάσει συνεχώρει, πρὸς δὲ τὴν μείζονα ἐνίστατο, τὴν τὸ οὐκ ὂν λέγουσαν οὐδέν. ἀλλ' εἰ καὶ τοῦτο οὕτως ἔχει, οὐκ ἂν ἐνεκάλει τῷ Πλάτωνι νῦν Ἀριστοτέλης, ὡς ἐκ τοῦ παντελῶς μὴ ὄντος τὴν γένεσιν λέγοντι, ἐπειδὴ Παρμενίδην ὀρθῶς λέγειν ὁμολογεῖ. οὔτε γὰρ ὁ Πλάτων τὸ παντελῶς μὴ ὂν εἶναι συγχωρεῖ, οὔτε πολλῷ μᾶλλον ὁ Παρμενίδης. μήποτε δὲ καὶ βιαζόμεθα λέγοντες, ὅτι Πλάτων ἀποδέχεται Παρμενίδην, τὸ μὴ ὂν λέγοντα. κἂν γὰρ συγχωρῇ τῇ ἐλάττονι προτάσει τῇ λεγούσῃ τὸ παρὰ τὸ ὂν οὐκ ὄν, ἀλλ' οὐχ ὡς Παρμενίδου τὸ μὴ ὂν τιθέντος. ἐπάγει γὰρ ἐκεῖνος τὸ μὴ ὂν οὐδέν. καὶ ὅλως ἐν Σοφιστῇ ὡς πρὸς Παρμενίδην ἀντιλέγων, ἀδιορίστως ἀναιροῦντα τὸ μὴ ὄν, αὐτὸς εἰσάγει τὸ μὴ ὄν. ἵνα οὖν καὶ οἱ ἐξηγηταὶ μὴ παρὰ θύρας ἐξηγῶνται, τάχα λέγομεν, ὅτι πρὸς τὰ ἐν τῷ διαλόγῳ τῷ Παρμενίδῃ παρὰ τοῦ Πλάτωνος εἰρημένα, ἀπετείνατο νῦν ὁ Ἀριστοτέλης. ἐν οἷς τὸ ἓν ὂν ὑποτιθέμενον τὸν Παρμενίδην καὶ ἀποδεικνύντα, θαυμάζειν ἔοικεν ὁ Πλάτων. δῆλον δὲ ὅτι καὶ πολλὰ δείκνυσι τὸ ἓν ὂν ἐκεῖνο, κατ' ἄλλην καὶ ἄλλην αὐτὸ τάξιν θεωρῶν. ταῦτα μὲν οὖν ὑπὸ ἀπορίας ἐγὼ περιφερόμενος γέγραφα. εἰ δέ τις προσφυέστερον ἀπολογήσαιτο, πῶς ἐκ τοῦ μὴ ὄντος λέγει τὴν γένεσιν ὁ Πλάτων, διότι Παρμενίδην ὀρθῶς λέγειν ὁμολογεῖ, φίλος ὢν οὗτος ἀλλ' οὐκ ἐχθρὸς κρατεῖ.

ΕΙΤΑ φαίνεται αὐτοῖς. εἴπερ ἐστὶν ἀριθμῷ μία, καὶ δυνάμει μόνον εἶναι. τοῦτο δὲ διαφέρει πλεῖστον.

Εἰπὼν ἕνα τρόπον, καθ' ὃν καὶ οἱ ἁψάμενοι τῆς εἰρημένης φύσεως οὐχ ἱκανῶς ἥψαντο, τὸν ἕτερον ἐπάγει. λέγει δὲ νῦν ὁ Ἀλέξανδρος, ὅτι ἐκ τῶν νῦν εἰρημένων δῆλον γέγονεν, ὡς καὶ τὸ ἡμμένοι μὲν οὖν καὶ ἕτεροί τινές εἰσιν αὐτῆς, περὶ τῆς ὕλης εἴρηκεν οὐ τῆς στερήσεως. περὶ γὰρ τῆς ὕλης λέγει, τὸ φαίνεται αὐτοῖς ὡς τὸ ἀριθμῷ μία οὕτω καὶ τῇ δυνάμει. οὐ γὰρ ἡ στέρησις ἀριθμῷ μία. ἤ φησι τὸ μὲν πρῶτον εἰρημένον, τὸ ἡμμένοι μὲν οὖν καὶ ἕτεροί τινές εἰσιν αὐτῆς, περὶ τῆς στερήσεως εἴρηται. τὸ δὲ νῦν λεγόμενον περὶ τῆς ὕλης. ἵν' ἐν τῇ οἰκείᾳ φύσει τὴν στέρησιν ἔχειν ὑπολαμβάνωσι. διὸ καὶ ὥσπερ ἀριθμῷ ἓν τὸ συναμφότερον, οὕτω δὲ καὶ τῷ λόγῳ καὶ τῇ δυνάμει ἓν ἐδόκει αὐτοῖς, καὶ ἐν διωρισμένα τῷ λόγῳ. ὥσπερ ἡμεῖς τὴν ὕλην καὶ τὴν στέρησιν ἕτερα τῷ λόγῳ φαμέν. ῥητέον δὲ πρὸς τὸν Ἀλέξανδρον, ὅτι ἄμεινον καὶ πρότερον καὶ νῦν περὶ τῆς ὑποκειμένης ἀκούειν φύσεως, ἐξ ἧς ἡ γένεσις, ἥτις ἐστὶν ἡ ὕλη μετὰ τῆς στερήσεως. ὅτι γὰρ περὶ τῆς αὐτῆς καὶ τὰ πρότερα λέγει καὶ τὰ νῦν, δηλοῖ ἡ τῶν λεγομένων συνέχεια. καὶ μέντοι ἀριθμῷ μὲν ἕν, λόγῳ δὲ δύο, οὐκ ἂν εἴη καθ' αὑτὴν ἡ ὕλη, ἀλλ' ἡ μετὰ τῆς στε-

ρήσεως. εἰ δὲ πρὸς Πλάτωνα ἀποτεινόμενος ὁ Ἀριστοτέλης λέγει, τῷ μὴ διελεῖν τῷ λόγῳ τὴν ὕλην
καὶ τὴν στέρησιν, διαστέλλει λέγει, ὅτι ὁ Πλάτων δύο τὰ στοιχεῖα παραδίδωσι τὴν ὕλην καὶ τὸ εἶδος,
προτάξας τῶν δύο τὸ ἐξηρημένον καὶ παραδειγματικὸν ἅμα καὶ ποιητικὸν αἴτιον. λέγει γὰρ ἐν
» τῷ Τιμαίῳ ταυτί. τούτων δὲ οὕτως ἐχόντων, ὁμολογητέον ἓν μὲν εἶναι τὸ κατὰ ταὐτὰ εἶδος ἔχον,
» ἀγέννητον καὶ ἀνώλεθρον, οὔτε αὐτὸ εἰσδεχόμενον ἄλλο ἄλλοθεν, οὔτε αὐτὸ εἰς ἄλλο ποι ἰόν. ἀόρατον δὲ
» καὶ ὅλως ἀναίσθητον τοῦτο, ὃ δὴ νόησις εἴληχεν ἐπισκοπεῖν. τὸ δὲ, ὁμώνυμον ὅμοιόν τε ἐκείνῳ, δεύ-
» τερον αἰσθητὸν πεφορημένον, ἀεὶ γινόμενόν τε ἔν τινι τόπῳ, καὶ πάλιν ἐκεῖθεν ἀπολλύμενον, δόξῃ
» μετ' αἰσθήσεως περιληπτόν. τρίτον δὲ αὖ γένος ὂν τὸ τῆς χώρας, ἀεὶ φθορὰν οὐ προσδεχόμενον, ἕδραν
» δὲ παρέχον ὅσα ἔχει γενέσθαι πᾶσιν, αὐτὸ μετὰ ἀναισθησίας ἁπτὸν, λογισμῷ τινι νόθῳ μόγις πιστόν.
ἀλλ' ὅτι μὲν οἶδε περὶ τὴν ὕλην τὴν στέρησιν ὁ Πλάτων, τοῦτο δὲ εἰπεῖν τὴν ἀπουσίαν τῶν πεφυκότων
γίνεσθαι ἐν αὐτῇ εἰδῶν, δηλοῖ καὶ πανδεχῆ λέγων τὴν ὕλην, ὅπερ τῷ πεφυκότι πάντα δέχεσθαι
προσήκει, καὶ ἄμορφον ἐκείνων ἁπασῶν τῶν ἰδεῶν, ὅσας μέλλει δέχεσθαι. ὅπερ τὴν ἀπουσίαν τῶν
ἰδεῶν σημαίνει. οὐ μέντοι ἠξίωσεν ἐν τοῖς στοιχείοις θεῖναι τὴν στέρησιν καὶ τὸ κατ' αὐτὴν μὴ ὄν. διότι ἀπου-
σία μόνον ἐστὶ τοῦ πεφυκότος, οὐδὲν ἄλλο ἑαυτῇ συνεισάγουσα. ἠρκέσθη δὲ τῷ εἴδει μόνῳ καὶ αὐτὸς,
τῇ παρουσίᾳ τῇ ἑαυτοῦ καὶ τῇ ἀπουσίᾳ δυναμένῳ τὴν γένεσιν καὶ τὴν φθορὰν ἀποδιδόναι. ὅπερ καὶ
ὁ Ἀριστοτέλης πρὸ ὀλίγων ὁμολογεῖ. ἱκανὸν γάρ ἐστι τὸ ἕτερον τῶν ἐναντίων ποιεῖν τῇ παρουσίᾳ καὶ τῇ
ἀπουσίᾳ τὴν μεταβολήν. καίτοι τὸ κατὰ τὴν ἑτερότητα μὴ ὂν, εὐθὺς εἰσάγει τί ὄν. ἡ γὰρ κίνησις
οὐκ οὖσα ὅπερ τὸ ταὐτὸν, οὐκ ἔστι μὲν ταὐτὸν, ἔστι δέ τι. τὸ δὴ τοιοῦτον μὴ ὂν τοῖς εἴδεσιν ἐν Σοφιστῇ συνη-
» ρίθμησε, λέγων, οὕτω δὲ καὶ τὸ μὴ ὂν κατὰ ταὐτὸν ἦν τε καὶ ἔστι μὴ ὂν, ἐν ἀριθμῷ τῶν πολλῶν ὄντων
εἶδος ἕν. οὐ μόνον δὲ διὰ τὰ εἰρημένα τὴν στέρησιν τοῖς στοιχείοις οὐ συνηρίθμησεν. ἀλλὰ καὶ καὶ ὅτι τὰ
μὲν στοιχεῖα ἐνυπάρχειν χρὴ τῷ στοιχειωτῷ, ἡ δὲ στέρησις οὐ τῇ παρουσίᾳ ἀλλὰ τῇ ἀπουσίᾳ αὐτῆς τὴν
γένεσιν ποιεῖ. καὶ μέντοι ὅτι τὰ μὲν στοιχεῖα καθ' αὑτὰ αἴτια χρὴ εἶναι, ἡ δὲ στέρησις κατὰ συμβεβη-
κός ἐστιν αἰτία. τοὐναντίον οὖν ἄν τις εὐθύνοι τὸν τὰς στοιχειώδεις μὲν ἀρχὰς τῶν φυσικῶν ζητοῦντα,
ἐν αὐταῖς δὲ τὴν στέρησιν ταττοντα. ἣν καὶ αὐτὸς ὁμολογεῖ μὴ τῷ ὑπάρχειν αἰτίαν εἶναι, ἀλλὰ τῷ
μὴ ἐνυπάρχειν, καὶ μὴ καθ' αὑτὸ, ἀλλὰ κατὰ συμβεβηκός. εἰ μὴ ἄρα ὁ μὲν Πλάτων τὰ καθ' αὑτὸ αἴ-
τια ζητῶν, τά τε κυρίως αἴτια καὶ τὰ στοιχειώδη καὶ τὰ ἐνυπάρχοντα, τὴν στέρησιν εἰκότως οὐ συνέ-
ταξεν. ὁ δὲ Ἀριστοτέλης μεταβολῆς ζητῶν αἰτίας, καὶ τὴν στέρησιν εἰκότως συνέταξεν, ὡς ἄλλο τι
τῆς ὕλης τῷ λόγῳ διαφέρουσαν αὐτῆς. καὶ γὰρ αἴτιον μὲν κατὰ συμβεβηκὸς οὐδὲν κωλύοι λέγειν.
στοιχεῖον δὲ κατὰ συμβεβηκὸς οὐδὲ πλάσαι ῥᾴδιον. εἴπερ στοιχεῖον ἐνυπάρχειν χρὴ, συμπληροῦν καθ'
αὑτὸ τὸ στοιχειωτόν.

Ἡμεῖς μὲν γὰρ, ὕλην καὶ στέρησιν, ἕτερον εἶναι φαμέν. καὶ τούτων, τὸ μὲν οὐκ ὂν εἶναι κατὰ συμ-
βεβηκὸς τὴν ὕλην. τὴν δὲ στέρησιν, καθ' αὑτήν. καὶ τὴν μὲν ἐγγὺς καὶ οὐσίαν πως τὴν ὕλην. τὴν δὲ στέ-
ρησιν, οὐδαμῶς. οἱ δὲ τὸ μὴ ὂν, τὸ μέγα καὶ τὸ μικρὸν ὁμοίως. ἢ τὸ συναμφότερον. ἢ τὸ χωρὶς ἑκάτε-
ρον. ὥστε παντελῶς ἕτερος ὁ τρόπος οὗτος τῆς τριάδος, κἀκεῖνος. μέχρι μὲν γὰρ δεῦρο προῆλθον.
ὅτι δεῖ τινὰ ὑποκεῖσθαι φύσιν. ταύτην μέντοι μίαν ποιοῦσι. καὶ γὰρ εἴ τις δυάδα ποιεῖ λέγων μέγα καὶ
μικρὸν αὐτὴν, οὐθὲν ἧττον ταὐτὸ ποιεῖ. τὴν γὰρ ἑτέραν παρεῖδε τὴν στέρησιν.

Τὴν διαφορὰν τῆς ἑαυτοῦ δόξης πρὸς τὴν Πλάτωνος περὶ τῆς ὕλης καὶ τῆς στερήσεως ἐκτιθέμενος,
ἡμεῖς μέν φησι τὴν ὕλην καὶ τὴν στέρησιν ἕτερα φαμὲν εἶναι τῷ λόγῳ. καὶ τούτων τὴν μὲν ὕλην
κατὰ συμβεβηκὸς οὐκ ὂν εἶναι. διότι συμβέβηκεν αὐτῇ ἡ στέρησις. τὴν δὲ στέρησιν καθ' αὑτὸ μὴ ὄν. καὶ
πάλιν τὴν μὲν ὕλην ἐγγὺς οὐσίαν πως. τὴν δὲ στέρησιν οὐδαμῶς οὐσίαν. τοῦτο δὲ, διότι κυρίως μὲν καὶ
πρώτως οὐσία ἐστὶν ἡ σύνθετος. ἤδη δὲ καὶ τὰ ταύτης μέρη. ὥστε ἡ μὲν ὕλη ἐπειδὴ μέρος τῆς οὐσίας
ἐνυπάρχον ἐστὶν, ἐγγὺς ἂν εἴη οὐσία καθ' αὑτὴν, ὅτι συμπληρωτικὴ τῆς κυρίως οὐσίας ἐστίν. ἡ δὲ στέρησις
ἀπουσία μόνον οὖσα, πόρρω τῆς οὐσίας ἐστίν. ἔτι δὲ εἰ πρώτως μὲν καὶ κυρίως οὐσία ἡ σύνθετός ἐστι, δευ-
τέρως δὲ τὸ εἶδος, δεκτικὴ δὲ τούτου ἐστὶν ἡ ὕλη, ἐγγὺς ἂν εἴη οὐσία. ἡ δὲ στέρησις ἀπουσία τοῦ εἴδους οὖσα,
καὶ κατὰ τοῦτο πόρρω ἂν εἴη τῆς οὐσίας. ἔτι ἡ οὐσία κατὰ τὸ ὑποκείμενον λέγεται ἀπ' αὐτοῦ. ὑποκεί-
μενον δέ πως καὶ ἡ ὕλη, κἂν εἰ ὡς μέρος τοῦ συναμφοτέρου λαμβάνηται. ὅπερ τῷ κυρίως ὑποκειμέ-
νῳ οὐχ ὑπάρχει. ἐγγὺς ἄρα οὐσίας ἡ ὕλη. ἔτι δὲ εἰ ὁ τῆς οὐσίας ὁρισμὸς, ὁ λέγων οὐσίαν εἶναι τὸ ταὐτὸν
καὶ ἓν ἀριθμῷ τῶν ἐναντίων δεκτικὸν, ὑπάρχει καὶ τῇ ὕλῃ ἢ μᾶλλον ἐγγὺς οὐσία, ὅτι καθ' αὑτὴν τὸ
ἓν ἀριθμῷ οὐκ ἔχει. ἀλλὰ καὶ τὸ μηδὲν εἶναι αὐτῇ ἐναντίον, ὡς ἴδιον τῆς οὐσίας ἀποδεδομένον, ἐ-
πειδὴ κατὰ τὸ ὑποκεῖσθαι τὴν οὐσίαν ἀποδέδοται, καὶ τῇ ὕλῃ προσήκει, ὡς καὶ αὐτῇ ὑποκειμένῃ.
καὶ δῆλον ὅτι ἡ μὲν ὕλη κατὰ συμβεβηκὸς γίνεται μὴ ὂν, τῷ μετέχειν τῆς στερήσεως, ἡ δὲ στέρησις κατὰ
συμβεβηκὸς ὂν, τῷ ἐν ὕλῃ εἶναι. καὶ αὕτη μὲν ἡ τοῦ Ἀριστοτέλους δόξα περὶ ὕλης τε καὶ στερήσεως. ὁ δὲ
Πλάτων καὶ τὸ μή πω ὂν ὅπερ γίνεται, τουτέστι τὸ ἐξ οὗ ἡ γένεσις, οὐχ ὕλην λέγει καὶ στέρησιν, ἀλλὰ μέγα καὶ
μικρὸν, εἴτε συναμφότερον ὁμοῦ, εἴτε καὶ χωρὶς ἑκάτερον αὐτοῦ κατηγορῶν. ὅπως δ' ἂν ἔχῃ, οὐχὶ τὸ
μὲν μέγα ἡ ὕλη κατ' αὐτὸν, τὸ δὲ μικρὸν ἡ στέρησις, ἢ ἔμπαλιν. ἀλλ' ἀμφότερα ἡ ὕλη. ὥστε παντελῶς

Platon.

ἕτερος ὁ τρόπος, τῆς τε Ἀριστοτέλους τῶν στοιχείων τριάδος, εἶδος καὶ στέρησιν τἀναντία λέγοντος, καὶ τὸ κοινὸν ἀμφοτέροις ὑποκείμενον τὴν ὕλην, καὶ τῆς Πλάτωνος, ἓν μὲν λέγοντος τὸ εἶδος, δύο δὲ τὸ ὑποκείμενον τό, τε μέγα καὶ τὸ μικρόν. ὥστε τὸ μὲν ὑποκεῖσθαι τινὰ φύσιν ἐξ ἧς ἡ γένεσις, συμφωνοῦσιν οἱ μὲν πλείονες. κἂν οἱ μὲν, καὶ ὀνόματι ἑνὶ χρῶνται ἐπ' αὐτῆς, οἱ δὲ δύο μὲν ὀνόμασι καθ' ἑνὸς δὲ τοῦ αὐτοῦ φερομένοις. διαφωνοῦσι δὲ πρὸς ἡμᾶς, ὅτι τὴν στέρησιν οὐ διορίζουσι τοῦ ὑποκειμένου τῷ λόγῳ. κἂν γὰρ δυσί τις ὀνόμασιν ἐπὶ τοῦ ὑποκειμένου χρῆται, ὥσπερ ὁ μέγα καὶ μικρὸν λέγων, ἀλλ' ὡς ἐφ' ἑνὸς αὐτοῖς χρῆται τῆς ὕλης, παριδὼν τὴν τῆς στερήσεως φύσιν. ὥστε τὸ αὐτὸ καὶ οὗτος ἐκείνοις ποιεῖ, τοῖς τὸ ἓν λέγουσι, καὶ ὁμοίως τὴν στέρησιν παρορᾷ. ὅτι δέ φησιν ὁ Ἀλέξανδρος, τὸ ἡμμένοι μὲν οὖν καὶ ἕτεροί τινες εἰσὶν αὐτῆς, ἐπὶ τῆς ὕλης εἴρηκε, δῆλον καὶ ἐντεῦθεν. ἔτι γὰρ παριδεῖν αὐτοὺς λέγει τὴν στέρησιν, οὐ ταύτης ἥψαντο. εἶτα ἐπικρίνει καλῶς, ὅτι δυνατὸν ἦν ταῦτα λέγειν, καὶ εἰ μὴ τελέως τὴν στέρησιν παρεῖδον, ἀλλ' εἰ ὡς αὐτήν τινα φύσιν ἐπ' αὐτῆς οὖσαν οὐ διώριζον. ἐπειδὴ δὲ πολλαχοῦ μέμνηται τοῦ Πλάτωνος ὁ Ἀριστοτέλης, ὡς τὴν ὕλην μέγα καὶ μικρὸν λέγοντος, ἰστέον ὅτι ὁ Πορφύριος ἱστορεῖ τὸν Δερκυλλίδην ἐν τῷ ἑνδεκάτῳ τῆς Πλάτωνος φιλοσοφίας, ἔνθα περὶ ὕλης ποιεῖται τὸν λόγον, Ἑρμοδώρου τοῦ Πλάτωνος ἑταίρου λέξιν παραγράφειν, ἐκ τῆς περὶ Πλάτωνος αὐτοῦ συγγραφῆς. ἐξ ἧς δηλοῦται ὅτι τὴν ὕλην ὁ Πλάτων κατὰ τὸ ἄπειρον καὶ ἀόριστον ὑποτιθέμενος, ἀπ' ἐκείνων αὐτὴν ἐδήλου, τῶν τὸ μᾶλλον καὶ ἧττον ἐπιδεχομένων. ὧν καὶ τὸ μέγα καὶ τὸ μικρόν ἐστιν. εἰπὼν γὰρ ὅτι τῶν ὄντων τὰ μὲν καθ' αὑτὰ εἶναι λέγει, ὡς ἄνθρωπον καὶ ἵππον, τὰ δὲ, πρὸς ἕτερα, καὶ τούτων τὰ μὲν, ὡς πρὸς ἐναντία, ὡς ἀγαθὸν κακῷ, τὰ δὲ, ὡς πρός τι, καὶ τούτων τὰ μὲν ὡς ὡρισμένα, τὰ δὲ ὡς ἀόριστα, ἐπάγει, καὶ τὰ μὲν ὡς μέγα πρὸς μικρὸν λεγόμενα, πάντα ἔχειν τὸ μᾶλλον καὶ τὸ ἧττον. ἔστι γὰρ μᾶλλον εἶναι μεῖζον καὶ ἔλαττον, εἰς ἄπειρον φερόμενα. ὡσαύτως δὲ καὶ πλατύτερον καὶ στενότερον, καὶ βαθύτερον καὶ κουφότερον, καὶ πάντα τὰ οὕτω λεγόμενα εἰς ἄπειρον. τὰ δὲ ὡς τὸ ἴσον καὶ τὸ μένον καὶ ἡρμοσμένον λεγόμενα, οὐκ ἔχειν τὸ μᾶλλον καὶ τὸ ἧττον. τὰ δὲ ἐναντία τούτων, ἔχειν. ἔστι γὰρ μᾶλλον ἄνισον ἀνίσου, καὶ κινούμενον κινουμένου, καὶ ἀνάρμοστον ἀναρμόστου. ὥστε ἀμφοτέρων αὐτῶν τῶν συζυγιῶν, πάντα πλὴν τοῦ ἑνὸς στοιχείου, τὸ μᾶλλον καὶ τὸ ἧττον δεδεγμένον, ἄστατον, καὶ ἄπειρον, καὶ ἄμορφον, καὶ οὐκ ὂν τὸ τοιοῦτον λέγεσθαι κατὰ ἀπόφασιν τοῦ ὄντος. τῷ τοιούτῳ δὲ οὐ προσήκειν οὔτε ἀρχῆς οὔτε οὐσίας, ἀλλ' ἐν ἀκρισίᾳ τινὶ φέρεσθαι. δηλοῖ γὰρ ὡς ὃν τρόπον τὸ αἴτιον κυρίως καὶ διαφέροντι τρόπῳ τὸ ποιοῦν ἐστιν, οὕτω καὶ ἀρχή. ἡ δὲ ὕλη οὐκ ἀρχή. διὸ καὶ τοῖς περὶ Πλάτωνα ἐλέγετο, ὡς μία εἴη ἀρχή. ἀλλὰ τοῦ μὲν μὴ εἶναι ἀρχὴν τὴν ὕλην κατὰ Πλάτωνα, ὀλίγον ὕστερον δεησόμεθα. πῶς δὲ μέγα καὶ μικρὸν καὶ μὴ ὂν ἔλεγε τὴν ὕλην ὁ Πλάτων, ἐκ τούτων οἶμαι δῆλον γεγονέναι.

Ἡ ΜΕΝ γὰρ ὑπομένουσα, συναιτία τῇ μορφῇ τῶν γινομένων ἐστίν. ὥσπερ μήτηρ. ἡ δ' ἑτέρα μοῖρα τῆς ἐναντιώσεως, πολλάκις ἂν φαντασθείη τῷ πρὸς τὸ κακοποιὸν αὐτῆς ἐνατενίζοντι τὴν διάνοιαν, οὐδ' εἶναι τὸ παράπαν.

Μεμψάμενος τὸ μὴ διορίζειν τὴν ὕλην τῆς στερήσεως, εἶπε μὲν ἤδη πολλὰς διαφορὰς τῆς τε ὕλης καὶ τῆς στερήσεως, ἔκ τε τῶν πραγμάτων ἐπιχειρῶν, καὶ ἐκ τῆς λεκτικῆς συνηθείας. καὶ νῦν δὲ ἄλλην αὐτῶν προστίθησι διαφοράν, λέγων τὴν μὲν ὕλην ὑπομένουσαν σὺν τῇ μορφῇ, αἰτίαν εἶναι τῶν γινομένων ὥσπερ μητέρα. καὶ γὰρ τὴν ὕλην παρέχει τῷ γινομένῳ ὥσπερ ἡ μήτηρ. καὶ ὑποδοχή ἐστι τῶν ἐγγινομένων εἰς αὐτὴν εἰδῶν ἐκ τοῦ πατρὸς τῶν ὅλων. διὸ καὶ ὁ Πλάτων ποτὲ μὲν μητέρα, ποτὲ δὲ χώραν αὐτὴν καλεῖ. ἀνάλογον δ' ἂν μητρὶ λέγοις, καὶ καθόσον διαστατικὴ καὶ διαιρετικὴ τῶν εἰδῶν ἐστιν ἡ ὕλη. ὥσπερ τῶν πατρικῶν σπερμάτων αἱ μητέρες καὶ τῶν βρεφῶν, τρέφουσαι καὶ αὔξουσαι αὐτὰ εἰς μείζονα ὄγκον. διὸ καὶ τιθήνην αὐτὴν ὁ Πλάτων καλεῖ. καὶ τοιαύτη μὲν ἡ ὕλη αἰτία τοῦ γίνεσθαι οὖσα. ἡ δὲ στέρησις, ἣν ἑτέραν μοῖραν τῆς ἐναντιώσεως ἐκάλεσεν, τῷ πρὸς τὸ κακοποιὸν καὶ φθοροποιὸν αὐτῆς ἀφορῶντι, εἴπερ ἀπουσία ἐστὶ τοῦ εἴδους καθὸ ἑκάστῳ τὸ εἶναι καὶ τὸ ἀγαθὸν, οὐδὲ εἶναι ὅλως τι τῶν ὄντων δόξει. τί γὰρ ἂν εἴη ἡ ἀπουσία, ἢ ἡ τοῦ ὄντος φθορὰ καὶ τοῦ εἶναι. διὸ οὐδὲ ὑπομένει αὐτὴ ἐν τῷ συνθέτῳ, τῆς ὕλης ὑπομενούσης. τοῦ γὰρ εἴδους παρόντος, πῶς ἂν ὑπομένοι ἡ ἀπουσία αὐτοῦ. καὶ λέγει ὁ Ἀλέξανδρος, ὅτι αὕτη καὶ τῶν κακῶν αἰτία. κἂν γὰρ ἡ ὕλη δοκῇ τῶν κακῶν αἰτία, ἀλλὰ καὶ αὐτὴ διὰ τὴν στέρησιν, οὐ δυναμένη τὴν τῶν ἀϊδίων οὖσαν τάξιν ἐπιδέχεσθαι. κἂν λέγοιτο δὲ κακὸν ἡ στέρησις, ἡ ὕλη μετὰ τῆς στερήσεως οὐχ οὕτως ἐστὶ κακὸν, ὡς τὴν οὐσίαν κακὴν ἔχον. οὐδὲ ὡς οἱ λέγοντες ἀρχὴν ἀγένητον ἀντίξουν τῷ ἀγαθῷ, τὴν τοῦ κακοῦ. καὶ γὰρ ἡ ὕλη καὶ ἡ στέρησις ἥτις ποτέ ἐστιν, αὕτη θεόθεν παρήχθη, καὶ ἐκ τοῦ ἀγαθοῦ ὑπέστη. καὶ πολλὴν χρείαν τῇ δημιουργίᾳ παρέχονται. καὶ ἀγαθά ἐστιν, ἐσχάτην μοῖραν ἐν τοῖς ἀγαθοῖς ἔχοντα. ἔσχατα δέ ἐστιν ἀγαθὰ, οὐχὶ τὰ κακά. ἀλλὰ τὰ ἀναγκαῖα ὑπὸ τῶν φιλοσόφων καλούμενα. ἅπερ προηγουμένως μὲν οὐκ ἔστιν ἐφετὰ, διά τι δὲ ἀγαθὸν ὑπέστη, ὅπερ οὐκ ἂν ἐγένετο χωρὶς ἐκείνου. ὡς τὸ φλεβοτομεῖν, καὶ ἡ καῦσις ἡ ἰατρική. τὰ γὰρ τοιαῦτα οὔτε προηγούμενά ἐστιν ἀγαθὰ, οὐδεὶς γὰρ ἂν αὐτὰ καθ' αὑτὰ ἕλοιτο ταῦτα, οὔτε μέντοι κακὰ διὰ τὴν ὑγίειαν ἀγαθὸν οὖσαν παραλαμβανόμενα, καὶ τοσαύτην τοῖς τοιούτοις ἀγαθοῖς παρεχόμενα χρείαν, ὡς μηδὲ ὑποστῆναι δύνασθαι τούτων χωρίς. οὕτω δὲ καὶ ἡ ὕλη καὶ ἡ στέρησις οὐχ ὡς κακὰ, ἀλλ' ὡς ἀναγκαῖα παρήχθησαν ὑπὸ τοῦ δημιουργοῦ, συντελοῦντα

πρὸς τὴν τοῦ παντὸς τελειότητα. συντελεῖ μὲν γὰρ προσεχῶς τῇ τῶν γενητῶν καὶ φθαρτῶν ὑποστάσει, ἥ τε ὕλη καὶ ἡ στέρησις, ἡ μὲν, ὑποκειμένη τῇ μεταβολῇ, ἡ δὲ αὐτῆς τῆς μεταβολῆς αἰτία. τὰ δὲ γενητὰ καὶ φθαρτὰ μέρος ὄντα τοῦ παντὸς τοῦ ὑπὸ σελήνην, εἴπερ μὴ ὑπέστη, ἀτελὴς ἂν ἦν ὁ κόσμος. τούτων γὰρ μὴ γενομένων ὡς καὶ Πλάτων φησὶν, ἀτελὴς ὁ οὐρανὸς ἔσται, πρῶτα μόνα καὶ μέσα ἔχων. καὶ ἦν ἂν ἔσχατα καὶ ἄγονα καὶ ὕλη τῷ ὄντι τὰ θειότατα τῶν ἐν τῷ κόσμῳ, μετὰ τοῦ τοσαύτην τοῦ παντὸς μοῖραν, κατὰ μὲν τὰς ὁλότητας ἀΐδιον οὖσαν, κατὰ δὲ τὰ μέρη ὑφεστῶσαν ἐφ᾽ ὅσον δυνατὸν ἐκείνοις χρόνον, μὴ παρελθεῖν εἰς τὰ ὄντα. ὅπερ οὐκ ἄξιον τῆς θείας ἀγαθότητος, τῆς μὴ τὰ πρῶτα μόνον ἀγαθὰ καὶ τὰ μέσα, ἀλλὰ καὶ τὰ ἔσχατα καὶ ὅσα πρὸς τὰ ἀγαθὰ τείνει, παράγειν ὀφειλούσης. ἀλλὰ ταῦτα μὲν διὰ τοὺς ἀσεβεῖς ἑαυτῶν δόξας τοῖς ἀρχαίοις περιάπτοντας, εἰρήσθω παρ᾽ ἡμῶν. ὅτι δὲ κἂν δοκῇ πως μὴ εἶναι ἡ στέρησις, διὰ τὸ ἀπουσία εἶναι, ἔστιν ὅμως καὶ ὑπόστασιν ἔχει, καὶ τῷ λόγῳ τῆς ὕλης διείξεται, ἐφεξῆς δείκνυσιν.

ὌΝΤΟΣ γάρ τινος θείου καὶ ἀγαθοῦ καὶ ἐφετοῦ, τὸ μὲν, ἐναντίον αὐτῷ φαμὲν εἶναι. τὸ δὲ, ὃ πέφυκεν ἐφίεσθαι, καὶ ὀρέγεσθαι αὐτοῦ, κατὰ τὴν αὑτοῦ φύσιν. τοῖς δὲ συμβαίνει τὸ ἐναντίον ὀρέγεσθαι τῆς ἑαυτοῦ φθορᾶς. καίτοι οὔτε αὐτὸ ἑαυτοῦ οἷόν τε ἐφίεσθαι τὸ εἶδος διὰ τὸ μὴ εἶναι ἐνδεές, οὔτε τὸ ἐναντίον. φθαρτικὰ γὰρ ἀλλήλων τἀναντία. ἀλλὰ τοῦτό ἐστιν ἡ ὕλη. ὥσπερ ἂν εἰ θῆλυ ἄρρενος, καὶ αἰσχρὸν, καλοῦ. πλὴν οὐ καθ᾽ αὑτὸ αἰσχρὸν, ἀλλὰ κατὰ συμβεβηκὸς οὐδὲ θῆλυ, ἀλλὰ κατὰ συμβεβηκός.

Τὴν διαφορὰν τῆς ὕλης καὶ τῆς στερήσεως παραδοὺς, καὶ κατὰ τὴν πρὸς τὸ εἶδος ἀμφοῖν σχέσιν, παραδίδωσιν αὐτήν. θεῖον γὰρ καὶ ἀγαθὸν καὶ ἐφετόν ἐστι τὸ εἶδος. καὶ τούτου ἐφίεται μὲν ἡ ὕλη κατὰ τὴν αὑτῆς φύσιν. ὑπεναντίον δέ ἐστιν ἡ στέρησις, καὶ οὐκ ἂν ἐφίοιτο. καὶ εἰ μὲν θεῖον καὶ ἀγαθὸν καὶ ἐφετὸν τὸ πρῶτον εἶδος λέγοι τὸ χωριστὸν, ὃ καὶ νοῦν καὶ πρῶτον αἴτιον καλεῖ, τῷ ὄντι πάντα τὰ κατὰ φύσιν συνιστάμενα ἐφίεται τούτου, ὑπὸ αὐτῆς τῆς φύσεως θείας καὶ αὐτῆς οὔσης καὶ αἰτίας οὕτω κατεσκευασμένα, ὡς ἕκαστον καθ᾽ ἣν ἔχει δύναμιν ἐφίεσθαι τῆς πρὸς ἐκεῖνο ὁμοιώσεως. ὁμοίωσις δὲ αὐτοῖς, ἡ οἰκεία τελειότης. τελειότης δὲ, τοῖς μὲν συνθέτοις ἡ κατὰ τὸ εἶδος στάσις. τῇ δὲ ὕλῃ ἡ τοῦ εἴδους μέθεξις. ἐφ᾽ ὃ καὶ νένευκε, καὶ πρὸς ὃ ἐπιτηδείως ἔχει. ἢ τάχα ἂν ἐπιτηδείως μὲν, παράλλαξίς τις οὖσα καὶ παρατροπὴ τοῦ εἴδους, ἀπηρτισμένη δὲ ὅμως ἀπ᾽ αὐτοῦ καὶ σωζομένη τῇ πρὸς ἐκεῖνο παρυποστάσει. διὸ καὶ ἐφίεσθαι αὐτοῦ ἂν λέγοιτο. ὃ γάρ ἐστιν ὄρεξις ἐν τοῖς ἐμψύχοις, τοῦτο ἐν τοῖς ἀψύχοις φυσικοῖς ἐστιν ἔφεσις. εἰ οὖν ἡ μὲν ὕλη ἐφίεται τοῦ εἴδους, ἡ δὲ στέρησις ἐναντίον τῷ εἴδει, πολλὴ ἂν εἴη ἀμφοῖν πρὸς ἄλληλα διαφορά. ἀλλὰ πῶς τῷ πρώτῳ εἴδει ἐναντίον ἡ στέρησις, εἴπερ μηδὲν ἐκείνῳ ἐναντίον. οὐ γὰρ ἀγαθὸν πολυκοιρανίη φησὶν Ἀριστοτέλης. καὶ εἴπερ πάντα τὰ ὁπωσοῦν ὄντα ἐκείνου ἐφίεται, καὶ ἡ στέρησις εἴπερ ἐστί τι ὅλως ἐφίοιτο ἂν ἐκείνου. ἀλλ᾽ οὐδὲ ἔστιν ἐκείνου στέρησις, εἴπερ ἡ στέρησις ἀπουσία τοῦ παρεῖναι πεφυκότος ἐστὶ, καὶ περὶ μόνα θεωρεῖται εἴδη τὰ μεταβάλλοντα. ἢ λέγοιτο ἂν ἐναντία εἶναι τῷ πρώτῳ εἴδει ἡ στέρησις, καθόσον ἐναντία ἐστὶ τῷ εἴδει τῷ διὰ τὴν ἔφεσιν τοῦ πρώτου εἴδους ἐγγινομένῳ. ἢ θεῖον καὶ ἀγαθὸν καὶ ἐφετὸν καλεῖ, τὸ προσιὸν αὐτῇ τῇ ὕλῃ εἶδος, ὡς τῆς θείας μοίρας ἔκγονον ὑπάρχον. κατὰ τοῦτο γὰρ καὶ τοῦ πρώτου εἴδους ἐφίεται ἡ ὕλη. καὶ τοῦτό ἐστιν οὗ ἔχει τὸ δυνάμει, καὶ πρὸς ὃ πέφυκε. πρὸς τοῦτο δὲ τὸ εἶδος καὶ ἡ στέρησις ἠναντίωται. ἀλλ᾽ εἰ μὲν διακρίνει τίς φησι τὴν ὕλην τῆς στερήσεως, ὥσπερ τῷ λόγῳ. οὕτω δὲ καὶ τῷ ἀριθμῷ, σαφῶς εὑρήσει τὸ μὲν ἐφιέμενον τοῦ εἴδους, τὴν ὕλην. τὸ δὲ ἐναντίον, τὴν στέρησιν. εἰ δέ τις εἰς ταυτὸν ἄγει τὴν ὕλην καὶ τὴν στέρησιν, συμβήσεται λέγειν αὐτῷ τὴν ὕλην τῆς οἰκείας ἐφίεσθαι φθορᾶς, ἐφιεμένην τῆς τοῦ εἴδους παρουσίας. φθορὰ γὰρ παντὶ ἐναντίῳ ἡ τοῦ ἐναντίου παρουσία. οὐδὲν δὲ τῆς ἑαυτοῦ φθορᾶς ἐφίεσθαι θέλει. οὔτε οὖν τοῦ ἐναντίου τὸ ἐναντίον ἐφίεται, ὅπερ ἂν συνέβαινεν εἰ ἡ ὕλη τῇ στερήσει ταυτὸν ἦν, οὔτε τὸ εἶδος ἑαυτοῦ ἐφίεται. ἐκείνου γὰρ ἐφίεται ἕκαστον οὗ ἐστιν ἐνδεές. οὐδὲν δὲ αὐτὸ ἑαυτοῦ ἐνδεές. εἰ οὖν μήτε ὃ ἔχει τις ἐφίεται, ἀνενδεὴς ὢν τούτου, μήτε τοῦ ἐναντίου, διότι φθαρτικόν ἐστι τὸ ἐναντίον, δηλονότι τὸ ἐφιέμενον τοῦ εἴδους οὔτε τὸ εἶδός ἐστιν οὔτε ἡ στέρησις. ἀλλ᾽ ἔστιν ἡ ὕλη, ἄλλη οὖσα ἑκατέρου τῶν ἐναντίων. καὶ ἐφιεμένη τοῦ εἴδους ὥσπερ θῆλυ ἄρρενος, τουτέστι τὸ ἐνδεὲς καὶ ἀόριστον τοῦ αὐτάρκους καὶ ὡρισμένου. τὴν γοῦν αὐτὴν ἔχουσι περὶ αὐτῆς ἐρίζοντες ἔννοιαν, καὶ οἱ μητέρα καὶ τιθήνην αὐτὴν λέγοντες. κατὰ οἰκειότητα οὖν ἡ ἔφεσις, καὶ οὐχ ὡς ἐναντίου. ὅπερ ἂν ἦν, εἰ ἡ ὕλη στέρησις ἦν, ἢ ταυτὸν τῇ στερήσει. ἐφίεται δὲ καὶ ὡς αἰσχρὸν καλοῦ ἡ ὕλη τοῦ εἴδους. καὶ οὐδὲ οὕτω τοῦ ἐναντίου ἐφίεται. οὐ γὰρ ὡς αἰσχρότης καὶ καθ᾽ αὑτὸ αἰσχρὸν, ἐφίεται τοῦ καλοῦ. οὕτω γὰρ ἂν τῆς ἑαυτῆς ἐφίετο φθορᾶς. ἀλλ᾽ ὡς συμβεβηκυίας μὲν αὐτῇ τῆς αἰσχρότητος, ἥτις ἐστὶ τοῦ καλοῦ στέρησις, ἐπιτηδείως δὲ πρὸς τὸ καλὸν ἐχούσης. ὡς εἴγε ἡ στέρησις ἦν τοῦ καλοῦ ἡ ὕλη, οὐκ ἂν ἐφίετο τοῦ καλοῦ. καὶ εἰ ταυτὸν ἦν τῇ στερήσει ἡ ὕλη, οὐκ ἂν ἐσώζετο ἐν τῷ τινὸς εἴδους μεταλαμβάνειν. εἰ δὲ λέγοι τις ὅτι συνουσίωται ἀεὶ τῇ ὕλῃ ἡ στέρησις, διότι κἂν ἄλλου τινὸς εἴδους μετέχῃ, ἄλλου τινὸς πάντως ἐστέρηται, ἐννοεῖν ἐχρῆν, ὅτι οὐδεμία στέρησις αὐτῇ συνουσίωται, εἴπερ παντὸς εἴδους μετέχειν πέφυκεν. ὅλως δὲ εἰ μίαν τις αὐτῇ στέρησιν συνουσιῶσθαι λέγει, καὶ πάσας ἐρεῖ. ὥστε οὗτινος οὖν εἴδους παρόντος αὐτῇ, ἔφθαρται αὐτῆς ἡ οὐσία εἴπερ καὶ ἡ στέρησις. εἰ δὲ λέγοι τις ὅτι καὶ ἐν τῷ μετέχειν εἴδους συνουσίωται τῇ ὕλῃ καὶ ἡ τοῦ εἴδους ἐκείνου στέρησις, διότι τὸ εἶναι τῇ ὕλῃ ἐν τῷ ἀνειδέῳ ἐστὶν, οὐ φυλάττει τὸ τῆς στερήσεως,

σημαινόμενον. ἄλλο γάρ ἐστιν ἡ ἑτερότης, καθ' ἣν καὶ τὸ εἶδος ἄϋλόν ἐστι. καὶ ἄλλο ἡ τοῦ εἴδους ἀπουσία, ἥτις οὐ δύναται τῇ παρουσίᾳ συνυπάρχειν. ἀλλ' ὅτι μὲν οὔτε ἡ στέρησις οὔτε τὸ εἶδος ἐφίεται τοῦ εἴδους, καὶ ἄλλως δέδεικται. καὶ ὅτι τὸ ὑποκείμενον καὶ πεφυκὸς μεταλαμβάνειν τοῦ εἴδους, καὶ κοσμεῖσθαι ὑπ' αὐτοῦ, τοῦτό ἐστι τὸ ἐφιέμενον τοῦ εἴδους. ἐκ τούτων δὲ καὶ ὅτι ἄλλο τῆς ὕλης ἡ στέρησις συνῆκται. οὐ μέντοι διὰ τοῦτο ἐν ταῖς στοιχειώδεσιν ἀρχαῖς ἀριθμηθήσεται ἡ στέρησις. τὸ γὰρ στοιχεῖον ἐνυπάρχουσά ἐστιν ἀρχή, ἀλλ' οὐχὶ τῇ ἀπουσίᾳ ποιοῦσα. ἀλλὰ πῶς θήλυ κατὰ συμβεβηκὸς ἡ ὕλη, εἴπερ τῷ ἑαυτῆς λόγῳ ἐνδεὴς τοῦ εἴδους ἐστί, καὶ ὀρέγεται αὐτοῦ, καὶ ὑποδέχεται, καὶ διαστάσεως καὶ ἐκτάσεως αὐτῷ ἐστιν αἰτία. ἢ διὰ τὴν ἀπουσίαν ἐνδεής ἐστι καὶ ὀρέγεται. ὡς εἴγε ἀεὶ μετεῖχε τοῦ εἴδους ὡς ἐν τοῖς οὐρανίοις, οὔτε ἐνδεὴς ἂν ἦν, οὔτε ὠρέγετο. ἀλλὰ μία τις ἐξ ἀμφοῖν ἀεὶ φύσις ἦν συνουσιωμένη.

ΦΘΕΙΡΕΤΑΙ δὲ καὶ γίνεται. ἔστι μὲν ὥς, ἔστι δ' ὡς οὔ. ὡς μὲν γὰρ τὸ ἐν ᾧ, καθ' αὑτὸ φθείρεται. τὸ γὰρ φθειρόμενον ἐν τούτῳ ἐστὶν ἡ στέρησις. ὡς δὲ κατὰ δύναμιν, οὐ καθ' αὑτό, ἀλλ' ἄφθαρτον, καὶ ἀγέννητον ἀνάγκη αὐτὴν εἶναι.

Δείξας ὅτι ἐστὶν ἡ ὕλη, καὶ ὁποία τίς ἐστι, καὶ τίνι τρόπῳ γνώσεως ληπτή, καὶ ὅτι διαφέρει τῆς στερήσεως, καὶ ἀδιόριστος δοκεῖ πρὸς αὐτήν, ἐφεξῆς καὶ ὅτι ἄφθαρτός ἐστι καθ' αὑτὴν δείκνυσιν, εἰ καὶ κατὰ συμβεβηκὸς φθείρεται, τῷ τὸ συμβεβηκὸς αὐτῇ, τοῦτο δέ ἐστιν ἡ στέρησις, καθ' αὑτὸ φθείρεσθαι. ἔστι δέ τις καὶ αὕτη διαφορὰ τῆς τε ὕλης καὶ τῆς στερήσεως. ἡ μὲν ὕλη κατὰ συμβεβηκός, ἡ δὲ στέρησις καθ' αὑτὸ φθείρεται. καλεῖ δὲ τὸ συμβεβηκὸς αὐτῇ, τὸ ἐν ᾧ, ἀντὶ τοῦ τὸ ἐν αὐτῇ. συμβεβηκότος γὰρ αὕτη φύσις, τὸ ἔν τινι εἶναι. καὶ κυρίως μὲν τὸ ἐν ᾧ, τὸ ὑποκείμενον δηλοῖ. ἄλλο γὰρ τὸ ἐν ᾧ τί ἐστι, καὶ ἄλλο τὸ ἐν ἐκείνῳ ὄν. καταχρήσατο δὲ αὐτῷ ἀντὶ τοῦ ἐν ὑποκειμένῳ. ἀντὶ δὲ τοῦ εἰπεῖν, ὡς μὲν κατὰ τὴν αὐτῆς φύσιν οὐ φθείρεται καθ' αὑτό, ὡς δὲ κατὰ τὴν δύναμιν εἶπε. διότι τῇ ὕλῃ τὸ εἶναι ὕλῃ τὸ δύνασθαί ἐστι. κατὰ γὰρ τὸ δυνάμει οὐσίωται. εἰ δὲ τοῦτο οὕτως ἔχει, καὶ ὅταν ἐνέργεια παρῇ τὸ εἶδος, μένει τὸ δυνάμει τῆς ὕλης. καὶ οὐ μεταβάλλει τοῦτο ὥστε εἰς τὸ ἐνεργείᾳ. ἵνα μὴ φθαρῇ ἡ ὕλη κατὰ τὸ δυνάμει οὐσιωμένη. οὐκ ἀλλοιοῦται οὖν ἡ ὕλη. ἀλλὰ μένουσα ὅπερ ἐστί, δέχεται τὸ εἶδος. εἰ δὲ τοῦτο, οἰκειότερον τοῦ ἐξ ὕλης καὶ εἴδους λέγειν τὸ σύνθετον, τὸ εἶδος ἐν τῇ ὕλῃ λέγειν. ἀλλ' εἰ καὶ τὸ εἶδος συμβέβηκε τῇ ὕλῃ, καὶ ἔστι καὶ αὐτὸ φθαρτόν, διατί μὴ κατὰ τοῦτο φθαρτὴν κατὰ συμβεβηκὸς λέγει τὴν ὕλην, ἀλλὰ διότι τὸ φθειρόμενον ἐστιν ἐν τούτῳ ἡ στέρησις. ἢ πρῶτον μέν, οὐχ ὁμοίως ἐνυπάρχει τῇ ὕλῃ τό, τε εἶδος καὶ ἡ στέρησις. ἀλλὰ τὸ μὲν ὡς ἐν ὕλῃ εἶδος τὴν σύνθετον οὐσίαν ποιεῖ μετὰ τῆς ὕλης, μέρος αὐτῆς γινόμενον μετ' ἐκείνης. καὶ διαφέρει ταύτῃ τοῦ ὡς συμβεβηκότος ἐν οὐσίᾳ. τοῦτο γὰρ οὐ ποιεῖ τι σύνθετον μετὰ τῆς οὐσίας. ἡ δὲ ἐν τῇ ὕλῃ στέρησις ὡς ἐν ὑποκειμένῳ ἐστὶ τῇ ὕλῃ, οὐ ποιοῦσά τινα μετ' αὐτῆς οὐσίαν, οὐδὲ μέρος οὐσίας γινομένη. διὸ ἡ μὲν στέρησις συμβεβηκὸς λέγεται τῆς ὕλης. τὸ δὲ εἶδος, οὔ. καὶ ἡ μὲν τῆς στερήσεως φθορὰ κατὰ συμβεβηκὸς καὶ τῆς ὕλης λέγεται. ἡ δὲ τοῦ εἴδους οὐκέτι. τοῦ γὰρ εἴδους φθειρομένου, τότε μάλιστα ἡ ὕλη διαφαίνεται. στερήσεως δὲ φθειρομένης καὶ εἴδους ἐπιγινομένου, κρύπτεται ἡ ὕλη, καὶ φθείρεσθαι καὶ αὐτὴ δοκεῖ. μήποτε δὲ καὶ ὁ Ἀριστοτέλης τὴν ὕλην ἐκ τοῦ δυνάμει καὶ τῆς ἐν τούτῳ στερήσεως θεασάμενος, κατὰ μὲν τὸ ἐν ᾧ, τουτέστι κατὰ τὴν στέρησιν, φθείρεσθαι τὴν ὕλην καθ' αὑτό φησι. κατὰ δὲ τὴν δύναμιν, ἄφθαρτον εἶναι καὶ ἀγέννητον. οὕτω δὲ οἶμαι καὶ ἡ λέξις καταδηλοτέρα φανήσεται, ἡ λέγουσα, ὡς μὲν τὸ ἐν ᾧ, εἰ ὡς ἀντὶ τῆς ὕλης λέγοιτο, ὅτι κατὰ μὲν τὴν στέρησιν καθ' αὑτὸ φθείρεται, κατὰ δὲ τὸ δυνάμει ἄφθαρτός ἐστι καὶ ἀγέννητος. καὶ γὰρ οὐδὲ εἶπεν ὅτι κατὰ συμβεβηκὸς φθείρεται ἡ ὕλη. ἀλλ' ὅτι ὡς μὲν στέρησις καθ' αὑτὸ φθείρεται. ὡς δὲ τὸ δυνάμει οὔτε γίνεται οὔτε φθείρεται. οἱ δὲ ἐξηγηταὶ κατὰ συμβεβηκὸς φθείρεσθαι λέγουσι, διότι τὸ ἐν αὐτῇ ὂν ἡ στέρησις φθείρεται. ὡς τὸν ἀμφορέα φθείρεσθαι φαμέν, ὅταν ὁ ἐν αὐτῷ οἶνος φθαρῇ. καίτοι τίς ἂν εἴποι τὸν ἀμφορέα ἐφθάρθαι, τοῦ οἴνου φθαρέντος. καὶ πολὺν δὲ λόγον κατέτεινεν ὁ Ἀριστοτέλης, διορίζων τὴν ὕλην τῆς στερήσεως, δύναται ὡς κατὰ τὸ δυνάμει μάλιστα τὴν ὕλην θεωρῶν, ἐκείνοις κεχρῆσθαι τοῖς λόγοις. ἀλλ' ὅπως δείκνυσιν ἄφθαρτον καὶ ἀγέννητον κατὰ τὸ δυνάμει τὴν ὕλην, ἐφεξῆς ἴδωμεν.

ΕἼΤΕ γὰρ ἐγίγνετο, ὑποκεῖσθαί τι δεῖ πρῶτον τὸ ἐξ οὗ ἐνυπάρχοντος. τοῦτο δ' ἐστὶν ἡ αὐτῆς φύσις ὥστε ἔσται πρὶν γενέσθαι. λέγω γὰρ ὕλην τὸ πρῶτον ὑποκείμενον ἑκάστου. ἐξ οὗ γίνεταί τι ἐνυπάρχοντος μὴ κατὰ συμβεβηκός. εἴτε φθείρεταί τι. εἰς τοῦτο ἀφίξεται ἔσχατον. ὥστε ἐφθαρμένη ἔσται πρὶν φθαρῆναι.

Τέσσαρα δυνάμει προλαβὼν ἐναργῆ ἀξιώματα, διὰ μὲν τῶν δύο δείκνυσιν ὅτι ἀγέννητος ἡ ὕλη. διὰ δὲ τῶν δύο ὅτι ἄφθαρτος. ἔστι δὲ δύο μέν, ὅτι τε τὸ γινόμενον ἔκ τινος γίνεται ὑποκειμένου πρώτου, καὶ ὅτι τὸ γινόμενον οὐδέπω ἐστὶ τοῦτο ὃ γίνεται. καὶ τὰ λοιπὰ δὲ δύο τούτοις ὅμοια. ὅτι πᾶν τὸ φθειρόμενον εἰς τοῦτο φθείρεται, ἐξ οὗ πρώτου γίνεται. καὶ ὅτι τὸ φθειρόμενον, ὅτε φθείρεται οὐδέπω ἔφθαρται. πρὸς τούτοις καὶ τὸν ὁρισμὸν τῆς ὕλης ἀξίωμα προσλαμβάνει. ἐξ ὧν δείκνυσι πρώτως ὅτι ἀγέννητος ἡ ὕλη, οὕτως. εἰ γίνεται ἡ ὕλη, τὸ δὲ γινόμενον πᾶν ἐξ ὑποκειμένου γίνεται πρώτου καθ' αὑτὸ ἐνυπάρχοντος, τὸ δὲ ἐξ οὗ γίνεταί τι πρώτου καθ' αὑτὸ ἐνυπάρχοντος τοῦτό ἐστιν ἡ ὕλη, εἰ οὖν γίνεται ἡ ὕλη, ἐξ ὕλης γίνεται προϋπαρχούσης. ἔστιν ἄρα ἡ ὕλη πρὶν γενέσθαι. εἰ δὲ τοῦτο ὡς ἀδύνατον ἠξίωται, τὸ γινόμενον εἶναι πρὶν γενέσθαι, δηλονότι καὶ τὸ ἡγούμενον ἀδύνατόν ἐστι, τὸ γίνεσθαι τὴν ὕλην. καὶ συνῆκται ταῦτα ἔκ τε τῶν ἄλλων τῶν προηξιωμένων, καὶ ἐκ τοῦ τῆς ὕλης ὁρισμοῦ. τὸ δὲ ἐξ οὗ γίνεταί τι ἐνυπάρχοντος μὴ κατὰ συμβεβηκός, πρὸς ἀντιδια-

στολὴν εἴρηται τῆς στερήσεως. κἂν γάρ τι λέγηται καὶ ἐκ ταύτης γίνεσθαι τὸ γινόμενον, ἀλλ' οὔτε ἐνυπαρχούσης,
οὔτε καθ' ἑαυτὸ ἐκ ταύτης, ἀλλὰ κατὰ συμβεβηκός. τῷ γὰρ ἀπεῖναι αὐτὴν ἐξ αὐτῆς λέγεται γίνεσθαι
τὸ γινόμενον. ἢ φησὶν ὁ ἀλέξανδρος, τὸ μὴ κατὰ συμβεβηκὸς πρόσκειται, ὅτι ἐνυπάρχει τῷ γινομένῳ
καὶ τὰ τῷ ὑποκειμένῳ συμβεβηκότα, οἷον τῷ ἀνδριάντι τὸ χρῶμα τὸ συμβεβηκὸς τῷ χαλκῷ. ἀλλ' οὐ
καθ' αὑτὸ ὑπάρχει, ἀλλὰ κατὰ συμβεβηκός. διὸ οὐδὲ ὕλη ἐστὶν αὐτοῦ. οὐδὲ συντελεῖ τῷ ἀνδριάντι πρὸς
τὸ εἶναι. δείξας δὲ ὅτι οὐ γίνεται ἡ ὕλη, ἐφεξῆς ὅτι οὐδὲ φθείρεται δείκνυσι. πᾶν γὰρ τὸ φθειρόμενον, οὐχ ὡς εἰς τὸ
μὴ ὂν ἀναλύεσθαι λέγεται καὶ φθείρεσθαι. ἀλλὰ τῷ εἰς τοῦτο, ἐξ οὗ ἐνυπάρχοντος πρώτου γέγονε μὴ κατὰ
συμβεβηκός. τοῦτο δέ ἐστιν ἡ ὕλη. εἰ οὖν φθείροιτο ἡ ὕλη, εἰς τὸ τοιοῦτον ἀναλύεται ὅ ἐστιν αὐτή. καὶ ἔσται
ἐφθαρμένη ἡ ὕλη, οὖσα. ὕλη δέ ἐστι πρὸ τοῦ φθείρεσθαι. ὥστε ἐφθαρμένη ἔσται πρὸ τοῦ φθαρῆναι. ὥστε
εἰ γίνεται, δεῖ ὑποκεῖσθαι πρὸς τὴν γένεσιν αὐτῆς τὴν τοιαύτην φύσιν. εἴτε ἐστὶν αὐτή, ἔσται οὖν πρὸ τοῦ γε-
νέσθαι. εἴτε φθείρεται, δεῖ εἰς τοῦτο αὐτὴν φθαρῆναι ὅ ἐστιν αὐτή. καὶ ἔσται ἐφθαρμένη πρὸ τοῦ φθαρῆ-
ναι. τὸ ἄφθαρτον δὲ τῆς ὕλης ἀπὸ τοῦ πλάτωνος καὶ τῶν πυθαγορείων ὁ ἀριστοτέλης παρέλαβε. λέγει
γοῦν ὁ τοῦ πλάτωνος τίμαιος. τρίτον δὲ αὖ γένος ὂν τὸ τῆς χώρας, ἀεὶ φθορὰν οὐ προσδεχόμενον, ἕ-
δραν δὲ παρέχον, ὅσα ἔχει γενέσθαι πᾶσιν. αὐτὸ δὲ μετὰ ἀναισθησίας ἁπτὸν. λογισμῷ τινι νόθῳ μό-
γις πιστόν. ἤρτηται δὲ ἡ πᾶσα τοῦ ἀριστοτέλους ἀπόδειξις, ἐκ τοῦ φυσικοῦ ἀξιώματος τοῦ λέγοντος, μήτε
γίνεσθαί τι ἐκ τοῦ ἁπλῶς μὴ ὄντος, μήτε φθείρεσθαί τι εἰς τὸ ἁπλῶς μὴ ὄν. τοῦτο δὲ τὸ ἀξίωμα αὐτὸς
ἐπιστώσατο ἐν ἀρχῇ, δεικνὺς ὅτι ἐκ τῶν ἐναντίων γίνεται τὸ γινόμενον, καὶ φθείρεται εἰς τὸ ἐναντίον. καὶ δεῖ τι
εἶναι τὸ τοῖς ἐναντίοις ὑποκείμενον, ὅπερ πῶς μέν ἐστιν ὄν, πῶς δὲ οὐκ ὄν, ἐξ οὗ πρώτου ἐνυπάρχοντος
καθ' αὑτὸ γίνεται τὰ γινόμενα. ὁ μέντοι πλάτων ὡς εἴρηται πρότερον κατ' ἄλλον τρόπον ἔδειξεν, ὅτι ἐξ ὑπο-
κειμένου τινὸς γίνεται τὰ γινόμενα. ἐπειδὴ γὰρ εἰκών ἐστι τὸ γινόμενον τοῦ ὄντος, πᾶσα δὲ εἰκὼν ὡμοίωται
πρὸς τὸ παράδειγμα, τὸ δὲ ὡμοιωμένον ὁμοιώσεως μεθέξει ἀπὸ τοῦ παραδείγματος ὁμοίωται πρὸς
αὐτό, ἄλλο μέν ἐστι τὸ μετέχον, ἄλλο δὲ τὸ μετεχόμενον, καὶ ἡ μέθεξις καθ' ἣν ὁμοιοῦται ἡ εἰκών. τὸ ἄρα
μετέχον τοῦτό ἐστι τὸ ἐν ᾧ καὶ ἐξ οὗ γίνεται ἡ εἰκών, ὅπερ ἐστὶ τὸ γινόμενον. λέγει γοῦν ὁ πλάτων ἐν τιμαίῳ.
Ἐν δ' οὖν τῷ παρόντι χρὴ γένη διανοηθῆναι τριττά. τὸ μὲν, γινόμενον. τὸ δ' ἐν ᾧ γίνεται. τὸ δὲ, ὅθεν ἀφο-
μοιούμενον φύεται τὸ γινόμενον. καὶ εἴπερ ἀληθῆ τὰ πρότερον ὑπ' ἐμοῦ ῥηθέντα, τουτέστιν ἡ ἀπὸ τοῦ ὄν-
τος ἐκτροπὴ καὶ παράλλαξις, καὶ εἰς τὸ μὴ ὂν ὑποφορά. ἣν ἡ τοῦ ὄντος μέθεξις καταλαμβάνουσα, ἵστησι
καὶ ὡς δυνατὸν εἰκόνα ποιεῖ τοῦ ὄντος εἶναι. καὶ ἀντὶ τοῦ μὴ ὄντος εἶναι, ὅπερ ἔχων ἂν εἰς τὸ μὴ ὂν τελέ-
ως ὑπενεχθεῖσα, ὄντος εἶναι ποιοῦσα. ἀλλὰ πῶς ἀγένητος καὶ ἄφθαρτος ἡ ὕλη. πότερον τῇ ἑαυτῆς κοινό-
τητι; ἢ τοῦτο καὶ τοῖς εἴδεσι προσήκει. οὐδενὸς γὰρ εἴδους κοινότης φθείρεται ἐκ τοῦ παντός. ἀλλὰ καὶ αὐτὸς
ἀεί ἐστι, καὶ ἵππος, καὶ λευκὸν, καὶ ἀρετή. καὶ τῶν εἰδῶν ἕκαστόν ἐστι, διὰ τὸ μένειν τὴν κοινότητα ἑκάστου. ἀλλ'
ἆρα κατὰ τὸ ἄτομον ἑαυτῆς ἡ ὕλη ἀγένητος καὶ ἄφθαρτός ἐστιν, ὥστε τὴν ἐμὴν ὕλην οὐ καθὸ ὕλη,
τοῦτο γὰρ τῆς κοινότητός ἐστιν, ἀλλὰ καθὸ ὕλη ἐμὴ καὶ τοιάδε ὕλη ἀγένητον εἶναι καὶ ἄφθαρτον; καὶ πῶς οὐ
μάτην ἔσται αὕτη, τοῦ ἐμοῦ φθαρέντος εἴδους. οὐδὲ γὰρ ἔσται ἄλλου ὕλη, καθὸ ἐμοῦ ἐστι. πῶς δὲ οὐκ ὄν-
τως κρείττων ἔσται τῶν εἰδῶν ἡ ὕλη καὶ οὐσιωδεστέρα, εἴπερ τῶν ἀτόμων εἰδῶν φθειρομένων, ἡ ἄτομος ὕλη
μένει. μήποτε οὖν οὐδὲ ἔστιν ἄτομος ὕλη καθ' ἑαυτήν. ἀλλ' ὑπὸ τῶν ἀτόμων εἰδῶν ἀτομοῦται, ὥσπερ μορφοῦ-
ται ὑπὸ τῶν εἰδῶν. τὰ γὰρ ἄτομα τῷ ἀριθμῷ διαφέροντα διαιρέσει πληθύνεται, καὶ διαφοραῖς συμ-
βεβηκότων. οὔτε δὲ διαίρεσις, οὔτε ἀριθμὸς, οὔτε τὰ συμβεβηκότα τῆς ὕλης ἴδιά ἐστιν, ἀλλὰ τῶν εἰδῶν.
αὕτη οὖν ἡ ἀπὸ τοῦ ὄντος κοινὴ παράλλαξις, ἥ ὅτι ποτέ ἐστιν ἡ ὕλη, ἀγένητος καὶ ἄφθαρτός ἐστιν. ἡ δὲ
τοιάδε παράλλαξις, καὶ ἡ τοιάδε ὕλη, κατειλημμένη λοιπὸν ὑπὸ τοῦ εἴδους, καὶ ἡ τιμωμένη γίνεται καὶ
φθείρεται, ὥσπερ καὶ τὸ εἶδος τὸ ἄτομον. κἂν γὰρ τὸ πρῶτον σῶμα λέγοι τις εἶναι τὴν ὕλην, καὶ ἐκεῖνο
κατὰ τὴν κοινότητά ἐστιν ἄφθαρτον. τὸ γὰρ τοῦ ὕδατος σῶμα μετὰ τῶν ποιοτήτων, εἰς τὸ τοῦ ἀέρος σῶμα
καὶ εἰς τὰς ἐκείνου μεταβάλλει ποιότητας. οὐχ ἡ σῶμα μέντοι. καὶ γὰρ τοῦτο οὐ μεταβάλλει. ἀλλ' ἡ τοιόνδε
σῶμα εἰς τοιόνδε. ἐπειδὴ οὖν ἡ ὕλη τὸ κοινὸν ἔχει μόνον καθὸ ὕλη, διὰ τοῦτο ταύτῃ τὸ ἀγένητον καὶ ἄφ-
θαρτον προσήκει. καὶ ἡ τοῦ ἀριστοτέλους ἀπόδειξις περὶ τοῦ ἀγένητον καὶ ἄφθαρτον εἶναι τὴν ὕλην, ἀσά-
λευτος μένει. ἡ γάρ τις ὕλη γίνεται ἔκ τινος. καὶ ἡ τοῦ ἀέρος ἐκ τῆς τοῦ ὕδατος. καὶ οὐκ ἔστιν ἡ τοῦ ἀέρος
πρὶν γενέσθαι. ὕδατος γὰρ ἦν ἐκείνη. καὶ φθείρεται εἰς τὴν τοῦ ὕδατος ἡ τοῦ ἀέρος. καὶ οὐκ ἔφθαρται ἡ τοῦ ἀέ-
ρος πρὶν φθαρῆναι. οὐ γὰρ ἦν ὕδατος πρὶν γενέσθαι ὕδωρ. ἐπειδὴ δὲ τὸ τίς ὕλη κατὰ τὸ εἶδος ἔχει,
διὰ τοῦτο ἀδιορίστως ἀγένητον καὶ ἄφθαρτον εἶπε τὴν ὕλην ὁ ἀριστοτέλης. ἀλλ' εἰ ἀγένητος καὶ ἄφθαρτος
φασί τινες ἡ ὕλη, πῶς οὐκ ἀρχή τίς ἐστι καὶ αὐτὴ πρώτη ὥσπερ καὶ ὁ θεός. εἰ γὰρ ἐκ θεοῦ παρήχθη, οὐκ ἂν
ἀγένητος ἦν. ἀλλ' ὅτι μὲν ὁ ἀριστοτέλης ἀγένητον οὐχὶ τὸ μὴ ἀπὸ αἰτίας ἠρτημένον λέγει, ἀλλὰ τὸ μὴ
ἀπὸ ἀρχῆς χρόνου γινόμενον, δηλοῖ καὶ τὴν κίνησιν ἐν τοῖς τέλεσι ταύτης τῆς πραγματείας, ἀγένητον καὶ
ἄφθαρτον δεικνὺς, καίτοι πᾶν τὸ κινούμενον ὑπό τινος κινεῖσθαι φήσας. ἔτι δὲ ὁμοίως ἂν ἀγενή-
τους λέγοι καὶ τὰς τῶν εἰδῶν κοινότητας. ὥστε πολλὰς ἂν ἀρχὰς λέγοι πρώτας. καίτοι αὐτός ἐστιν
ὁ βοῶν οὐκ ἀγαθόν ἐστι πολυκοιρανίη. ὅλως δὲ ὁ μὲν ἀριστοτέλης ὡς στοιχειώδη ἀρχὴν ὑποτίθεται τὴν
ὕλην. ἢ τίς οὐκ ἀντίξους εἴη πρὸς τὸ ποιητικὸν ἢ τελικὸν αἴτιον. εἴπερ καὶ ἐφίεται τοῦ ἐκεῖθεν κόσμου, ὡς

θῆλυ ἄρρενος, καὶ ὡς αἰσχρὸν καλοῦ. οἱ δὲ ἑτερόδοξοι τὴν ὕλην ὡς τὸ κακὸν λέγοντες, καὶ ἀντίξουν αὐτὴν ἀρχὴν τῷ ἀγαθῷ τιθέντες, ὡς ποιητικὴν ἀρχὴν ἀντιτιθέασι. τοιγαροῦν γενέσεις ἀπ' αὐτῆς παραδιδόασι, καὶ στρατηγίας αὐτῆς καὶ βουλάς, καὶ θριάμβους κατὰ τοῦ ἀγαθοῦ ληρῳδοῦσιν. ὁ μέντοι Πλάτων ἐν Τιμαίῳ, τά τε κυρίως αἴτια καὶ τὰ συναίτια τῆς τοῦ κόσμου ὑποστάσεως παραδιδούς, τὴν ὕλην τοῖς συναιτίοις συντάττει. καὶ ἄφθαρτον αὐτὴν ὥσπερ καὶ τὸν ὅλον κόσμον φησίν. ὅτι δὲ ὡς πρώτην αὐτὴν ἀρχὴν οὐκ ἀξιοῖ λέγειν, ἐδήλωσεν Ἑρμόδωρος ὁ τοῦ Πλάτωνος ἑταῖρος ἐν τῷ περὶ Πλάτωνος βιβλίῳ, τὰ δοκοῦντα τῷ Πλάτωνι ἔν τε ἄλλοις καὶ περὶ τῆς ὕλης γράφων, ὡς ὁ Δερκυλλίδης ἱστόρησε. τὸ δὲ συμπέρασμα ἐκ τῶν εἰρημένων παραθήσομαι. ὥστε ἄστατον, καὶ ἄμορφον, καὶ ἄπειρον, καὶ οὐκ ὂν τὸ τοιοῦτο λέγεσθαι κατὰ ἀπόφασιν τοῦ ὄντος. τῷ τοιούτῳ δὲ οὐ προσήκει οὔτε ἀρχῆς οὔτε οὐσίας. ἀλλ' ἐν ἀκρασίᾳ τινὶ φέρεσθαι. δηλοῖ γὰρ ὡς ὃν τρόπον τὸ αἴτιον κυρίως καὶ διαφόρον τρόπῳ τὸ ποιοῦν ἐστιν, οὕτω καὶ ἡ ἀρχή. ἡ δὲ ὕλη οὐκ ἀρχή. ὃ καὶ τοῖς περὶ Πλάτωνα ἐλέγετο μία ὅτι εἴη ἀρχή.

ΠΕΡΙ ΔΕ τῆς κατὰ τὸ εἶδος ἀρχῆς πότερον μία ἢ πολλαί, καὶ τίς ἢ τίνες εἰσί. δι' ἀκριβείας, τῆς πρώτης φιλοσοφίας ἔργον ἐστὶ διορίσασθαι. ὥστε εἰς ἐκεῖνον τὸν καιρὸν ἀποκείσθω. περὶ δὲ τῶν φυσικῶν καὶ τῶν φθαρτῶν εἰδῶν ἐν τοῖς ὕστερον δεικνυμένοις ἐροῦμεν.

Εἰπὼν περὶ τῆς ὑλικῆς ἀρχῆς, ὅτι ἀνάγκη εἶναί τι πρῶτον ὑποκείμενον, ἐξ οὗ γίνεται ἕκαστα ἐνυπάρχοντος καθ' αὑτὸ καὶ οὐ κατὰ συμβεβηκός, καὶ ὅτι ἕτερον τῆς στερήσεως ἡ ὕλη, καὶ ὅτι ἀγένητος καὶ ἄφθαρτος, ὤφειλε λοιπὸν καὶ περὶ τῆς κατὰ τὸ εἶδος ἀρχῆς εἰπεῖν. τοῦτο γὰρ ἀκόλουθον ἦν, τῷ τρεῖς μὲν εἰπόντι τὰς στοιχειώδεις ἀρχάς, ὕλην, καὶ στέρησιν, καὶ εἶδος, περὶ δὲ τῶν δύο διδάξαντι. ἀλλ' ἡ μὲν ὕλη ἐνταῦθα τὴν πρώτην ἑαυτῆς ὑπόστασιν ἔχει, καὶ στοιχεῖον ὅλης τῆς γενέσεώς ἐστι. τὸ δὲ εἶδος τὸ μὲν ἐστι πρῶτον καὶ ἀρχικὸν ὄντως. ὅπερ νοῦν ἐν ἄλλοις καὶ ἀγαθὸν καὶ πρῶτον αἴτιον καλεῖ, ποιητικὸν καὶ τελικὸν ὑπάρχον ἐν αὑτῷ, καὶ πολλὰ λέγει. μετὰ γὰρ τὸν ἕνα νοῦν τὸ πλῆθος ὑφεστάναι δεῖ, δι' ἃ καὶ κυκλοφορητικὰ σώματα. τὸ δέ τι ἐστὶν εἶδος φυσικὸν καὶ φθαρτόν, στοιχεῖον τοῦτο τῶν γινομένων καὶ φθειρομένων καὶ προσεχὲς αἴτιον ὑπάρχον. καὶ δηλονότι ἡ κατὰ τὸ εἶδος κυρίως ἀρχή, ἐκείνη ἐστὶν ἡ πρώτη καὶ χωριστή. ἀφ' ἧς καὶ τὸ ἐνταῦθα εἶδος τὸ εἶναι ἔχει. διὰ τοῦτο περὶ μὲν τῆς κυρίως κατὰ τὸ εἶδος ἀρχῆς τῆς χωριστῆς καὶ νοητῆς καὶ ἀκινήτου, εἴτε μία ἐστὶν εἴτε πολλαί, ἢ ὅπερ ἀληθέστερον καὶ μία καὶ πολλαί, καὶ τίς ἢ τίνες, ὅτι ἄϋλοι καὶ νοηταί, καὶ πάντη τέλειαι οὖσαι τῇ οὐσίᾳ ἐνέργειαι, ταῦτα οὖν δι' ἀκριβείας τῆς πρώτης φιλοσοφίας ἔργον ἐστὶ διορίσαι. ταύτην δὲ εἰπεῖν, τὴν ὑπὲρ τὰ φυσικὰ πραγματείας. ἣν αὐτὸς μετὰ τὰ φυσικὰ καλεῖ. περὶ δὲ τῶν φυσικῶν καὶ φθαρτῶν καὶ ὅλως ἐν κινήσει καὶ μεταβολῇ θεωρουμένων εἰδῶν, ἅπερ ἀρχαὶ στοιχειώδεις, καὶ προσεχῆ αἴτια εἰδικὰ τῶν φυσικῶν εἰσιν, ὕστερόν φησιν ἐροῦμεν. τοῦτο γάρ ἐστι τὸ εἶδος, ὃ ἐνυπάρχει τοῖς φυσικοῖς ὡς στοιχεῖον, καὶ πρὸς ὃ ἡ στέρησις ἀντίκειται. ἐξ οὗ καὶ τῆς ὕλης τὰ φυσικὰ πάντα συνέστηκε. καὶ διαλύεται εἰς ταῦτα τὸ συναμφότερον, εἰς μὲν τὴν ὕλην καὶ ὑπομένουσαν, εἰς δὲ τὸ εἶδος οὐχ ὑπομένον. λέγει δὲ περὶ τοῦ τοιούτου εἴδους εὐθὺς ἐν τῷ ἐφεξῆς βιβλίῳ, διχῶς αὐτὸ θεωρῶν. κατά τε τὴν φύσιν. ἣν καὶ ὡς προσεχὲς αἴτιον παραδώσει. διὸ καὶ ἐν ἐκείνοις φυλάττει τὸν περὶ αὐτοῦ λόγον, καὶ δι' ἄλλας αἰτίας τὰς ἐκεῖ ῥηθησομένας. θεωρεῖ δὲ αὐτὸ καὶ κατὰ τὸ ἐφαπλωθὲν τῇ ὕλῃ. καὶ τὰ δύο πάλιν εἰς ἓν ἄγει, κατὰ τὸ στοιχειῶδες τῶν φυσικῶν εἶδος, ὅπερ μάλιστα ἡ προκειμένη πραγματεία ζητεῖ. τάχα δὲ δυνατὸν λέγειν ὅτι περὶ τῆς κατὰ τὸ εἶδος ἀρχῆς, οὐχὶ τῆς χωριστῆς εἰπὼν νῦν, ἀλλὰ τῆς στοιχειώδους. καὶ γὰρ τὰ στοιχεῖα τῶν φυσικῶν πραγμάτων μετὰ ἀκριβείας παραδοῦναι, οὐ τοῦ φυσιολόγου ἐστίν, ἀλλὰ τοῦ πρώτου φιλοσόφου. περὶ μέντοι τῶν φυσικῶν εἰδῶν, οὐχ ὡς εἰδῶν ἁπλῶς, ἀλλ' ὡς γινομένων καὶ φθειρομένων, τοῦ φυσικοῦ ἐστιν εἰπεῖν. καὶ δὴ καὶ ἐρεῖ περὶ τούτων ἐν τοῖς περὶ γενέσεως καὶ φθορᾶς. ἅπερ ὕστερον δείκνυσθαι φησιν, ὡς μετὰ ταύτην τεταγμένην τὴν πραγματείαν. καλλίων δὲ ἡ προτέρα ἐξήγησις. ὅτι ποιητικὸν τοῦ οὐρανοῦ οἶδεν ὁ Ἀριστοτέλης. ἐπειδὴ δέ τινες οἴονται ποιητικὸν αἴτιον τοῦ παντὸς μὴ λέγειν τὸν Ἀριστοτέλη, ἀλλὰ μόνον τελικόν, καὶ τοῦτο καὶ τῷ Ἀλέξανδρον ἀρέσκειν νομίζουσιν, ἀναγκαῖον δοκεῖ μοι τῶν ἐνταῦθα λεγομένων, ὑπὸ Ἀλεξάνδρου, τοῦ γνησιωτάτου τῶν Ἀριστοτέλους ἐξηγητῶν, ἀκούειν αὐτῶν, ἐχόντων οὕτως. » τὸ δὲ πρῶτον εἶδος καὶ ὡς ποιητικὸν ἂν εἴη αἴτιον. λέγει γὰρ ἐν τοῖς μετὰ τὰ φυσικά, ὅτι τοῦτο τὸ κινούμενον ὑπ' αὐτοῦ, τοῦτο δέ ἐστι τὸ πέμπτον σῶμα, τὰ ἄλλα κινεῖ τὰ ἐν γενέσει καὶ φθορᾷ. οὕτω μὲν οὖν ποιητικόν. καθόσον δὲ πάντα τῇ τούτου ἐφέσει τῆς οἰκείας τελειότητος τυγχάνει, ὡς μικρῷ πρόσθεν εἴρηται, καὶ καθόσον ὡς αὐτὸς εἴρηκε πάλιν ἐν τοῖς μετὰ τὰ φυσικά, κινεῖ δὲ ὡς ἐρώμενον, εἴη ἂν ὡς τὸ τέλος καὶ τὸ οὗ χάριν αἴτιον. τοιοῦτον γὰρ τὸ ὀρεκτόν. ἰδοὺ σαφῶς καὶ κατὰ τί μὲν ὡς ποιητικόν, κατὰ τί δὲ ὡς τελικὸν αἴτιον, τὸν νοῦν ὑπέθετο, αὐτὸς παρέστησεν.

ΟΤΙ ΜΕΝ οὖν εἰσὶν ἀρχαί, καὶ τίνες. καὶ πόσαι τὸν ἀριθμόν, διωρίσθω ἡμῖν οὕτως. πάλιν δ' ἄλλην ἀρχὴν ἀρξάμενοι λέγωμεν.

Τὸ μὲν γὰρ εἶναι τῶν φυσικῶν ἀρχάς, ὡς ἐναργὲς ἔδοξε παραλαμβάνειν φυλάττων τὰ τῷ φυσικῷ προσήκοντα μετὰ τὸ δέ τινες καὶ πόσαι διορισάμενος, καὶ ὅτι εἰσὶν ἀρχαὶ παρέστησεν, μέχρι τούτων τὸ πρῶτον κατακλείσας βιβλίον.

ΣΙΜΠΛΙΚΙΟΥ ΥΠΟΜΝΗΜΑ ΕΙΣ ΤΟ ΔΕΥΤΕΡΟΝ ΤΗΣ ΑΡΙΣΤΟΤΕΛΟΥΣ ΦΥΣΙΚΗΣ ΑΚΡΟΑΣΕΩΣ.

π Προθέμενος ἐν ταύτῃ τῇ πραγματείᾳ τὰς ἀρχὰς καὶ αἰτίας τῶν φύσει συνεστώτων παραδοῦναι, ἐπειδὴ τῶν ἀρχῶν αἱ μέν εἰσι στοιχειώδεις, αἱ δὲ ποιητικαί, αἱ δὲ τελικαί, πρῶται δὲ προσπίπτουσιν ἡμῖν αἱ στοιχειώδεις, διότι τὸ γνωστὸν πρὸς τὴν ζήτησιν τῶν ἑαυτοῦ αἰτίων ἀνιχνεύειν τὸν γινώσκοντα ἐκ τῆς οἰκείας φύσεως καὶ συστάσεως, ἣν τὰ ἐνυπάρχοντα αὐτῷ στοιχεῖα συνίστησι, διὰ τοῦτο ἐν τῷ πρώτῳ βιβλίῳ μετὰ τὸ τὰς δόξας ἱστορῆσαί τε καὶ βασανίσαι τῶν φυσικῶν, τὰς στοιχειώδεις ἀρχὰς ἀνευρίσκει πρώτας, δεικνὺς ἐκ τῶν ἐναντίων εἶναι τὰς γενέσεις. ὧν κοινότατον τό, τε εἶδος καὶ ἡ στέρησις. καὶ ἔτι ἐκ τοῦ τοῖς ἐναντίοις ὑποκειμένου. καὶ δὴ καὶ περὶ τῆς ὕλης ὅτι τέ ἐστιν ἀποδείξας, καὶ ὅτι ὑποκείμενον τοῖς ἐναντίοις, καὶ ἐνυπάρχουσα τῷ συνθέτῳ, καὶ τίνι τρόπῳ γνώσεως τῷ φυσικῷ ληπτή. καὶ ὅτι διαφέρει τῆς στερήσεως. καὶ ἔτι ὅτι ἀγένητος καὶ ἄφθαρτος. καὶ ὅσα ἄλλα τῷ φυσικῷ σύμμετρον ἦν εἰπεῖν περὶ αὐτῆς. ὁμοίως δὲ καὶ περὶ τῆς στερήσεως ὅτι τέ ἐστιν ἀποδείξας, καὶ ὅτι ἀπουσία τοῦ εἴδους ἐν τῷ πεφυκότι. καὶ ὅτι καθ᾽ αὑτὸ μὴ ὄν, κατὰ συμβεβηκὸς δὲ ὄν. καὶ ὅτι οὐχ ὡς ἐνυπάρχον αἴτιον ἐστὶν αὕτη, ἀλλὰ κατὰ συμβεβηκός. τῷ γὰρ ἀπεῖναι. καὶ ὅτι γενητὴ καὶ φθαρτή. ταῦτα οὖν πάντα δείξας, καὶ μέλλων ἀκολούθως καὶ περὶ τῆς κατὰ τὸ εἶδος ἀρχῆς λέγειν τῆς στοιχειώδους τὰ σύμμετρα τῷ φυσικῷ, καὶ οὕτως ἐπὶ τὸ ποιητικὸν καὶ τελικὸν αἴτιον μεταβαίνειν, ἐπειδὴ τὸ εἶδος καὶ ὡς στοιχεῖον ὑπάρχει τῷ συνθέτῳ, καὶ ὡς ποιητικὸν αἴτιον, κατὰ φύσιν καὶ τὸν λόγον θεωρούμενον, εἰκότως καὶ περὶ τοῦ εἰδικοῦ καὶ περὶ τοῦ ποιητικοῦ αἰτίου διδάσκειν ὀφείλων, περὶ τῆς φύσεως ἐν ἀρχῇ διαλέγεται. ἣν καὶ ὡς εἶδος καὶ ὡς ποιοῦν αἴτιον οὖσαν ἀποδείξει. δεύτερον δέ, ἐπειδὴ οἱ μὲν τὸ εἶδος, οἱ δέ, τὴν ὕλην ἔλεγον εἶναι τὴν φύσιν, καὶ κυριώτερον μᾶλλον λέγουσιν οἱ τὸ εἶδος λέγοντες, ἀναγκαίως πρὸς τὴν τοῦ εἴδους ἀπὸ τῆς ὕλης διάκρισιν τὴν τῆς φύσεως θεωρίαν προλαμβάνει. καὶ τρίτον, ἡ μὲν ὕλη καὶ ἡ τοῖς τεχνητοῖς καὶ ἡ τοῖς φυσικοῖς ὑποκειμένη, τὴν αὐτὴν ἔχει θεωρίαν, τὸ δὲ εἶδος τὸ μὲν τεχνητὸν ἔξωθεν ἔχει πᾶσαν τὴν τῆς κινήσεως ἀρχήν, τὸ δὲ φυσικὸν ἔνδοθεν, ἔδει τὸν μέλλοντα περὶ φυσικοῦ λέγειν εἴδους, τὰ φύσει τῶν μὴ φύσει πρῶτον διορίζειν. καὶ ἄλλως δὲ οἰκεῖος ἦν ἐν τούτοις ὁ περὶ φύσεως λόγος. ἐν μὲν γὰρ τῷ πρώτῳ βιβλίῳ κοινὰς ἀρχὰς πάσας ἐζήτει μεταβολῆς. διὸ καὶ τῶν κατὰ τέχνην μεταβολῶν παραδείγματα παρελάμβανε, τὸ μουσικὸν καὶ ἄμουσον τιθείς, ἐντεῦθεν δὲ λοιπόν, τὰ φύσει πρὸς τὰ μὴ φύσει διορίσας, περὶ τῶν φυσικῶν διαλέγεται τὰ τεχνικὰ παρείς. ἀναγκαίως οὖν καὶ περὶ φύσεως καὶ τῶν φύσει καὶ τῶν κατὰ φύσιν ὄντων λέγει, χωρίσας αὐτὰ πρῶτον τῶν μὴ φύσει. καὶ γὰρ ἐν τῷ τέλει τοῦ πρώτου βιβλίου περὶ τῶν φυσικῶν, καὶ φθαρτῶν εἰδῶν, ὁρίζειν ἐφεξῆς ἐπηγγείλατο. ὅλως δὲ τῷ περὶ φυσικῶν πραγματευομένῳ ἀναγκαία ἡ γνῶσις τῆς φύσεως, καὶ τοῦ φύσει, καὶ κατὰ φύσιν, καὶ τοῦ φύσιν ἔχειν, τί τέ ἐστιν ἕκαστον αὐτῶν καὶ τί διαφέρουσιν ἀλλήλων. τούτων δὲ πάντων ἡ τῆς φύσεως γνῶσις προηγεῖται. διὸ καὶ περὶ πρώτης αὐτῆς διδάσκει, τὸ μὲν εἰ ἔστιν οὐκ ἀξιῶν ζητεῖν. διὰ τὸ ἐναργῆ τὴν ὑπόστασιν αὐτῆς εἶναι, ὡς αὐτὸς μετὰ τὸ τί ἐστιν ἀπολογήσεται, πλείονα περὶ τούτου λέγων. τί δέ ἐστιν ἡ φύσις ἀποδείκνυσι, καὶ τούτῳ τὸ εἰ ἔστι συναποδείκνυται. καὶ ἐπειδὴ τῶν ὑπὸ φύσεως διοικουμένων ἐφάπτεται καὶ μαθηματικὸς καὶ ἰατρός, καὶ ὁ οὕτω καλούμενος φυσικός, τὴν τούτων πρὸς ἀλλήλους παρίστησι διαφοράν, μεταξὺ τὰ περὶ τῶν αἰτίων ἀνακαθαιρόμενος, ποσαχῶς τε λέγεται, καὶ καθ᾽ ἕκαστον σημαινόμενον παραδείγματα προστιθείς. ἐπειδὴ δέ τινες καὶ τὴν τύχην καὶ τὸ αὐτόματον αἴτια λέγουσιν, ὅσοι ἐκ τύχης καὶ ἐξ αὐτομάτου γίνεσθαι τινὰ φασί, καὶ οἷς ἀκολουθεῖ τοῦτο ἐξ ὧν λέγουσι, κἂν μὴ συναισθάνωνται τῆς ἀκολουθίας, ὡς τοῖς δύο τὰς ἀνωτάτω ἀρχὰς ποιοῦσιν, εἴτε γὰρ θεὸν καὶ ὕλην λέγουσι, πῶς συνέδραμε τὸ τὸ μὲν ποιεῖν, τὴν δὲ πάσχειν, μὴ ὄντος ἄλλου τινὸς τῆς συνδρομῆς αἰτίου, ἐκ τύχης οὖν καὶ ἐκ ταὐτομάτου τὸ τοιοῦτον, καὶ οὐδὲν ἐπακολουθούντων ἀλλὰ προϋπαρχόντων τούτων, καὶ οἱ τὸ ἀγαθὸν δὲ καὶ κακὸν ἀρχὰς λέγοντες, τήν τε εἰς τὰ ἐναντία διάστασιν, καὶ ἐκ τύχης ἢ ἐκ ταὐτομάτου δρῶσι, καὶ τὴν ἐξ ἀρχῆς αὐτοῖς τοῦτό που γενομένην διανέμησιν, διὰ τοῦτο τοίνυν καὶ περὶ τύχης καὶ περὶ αὐτομάτου διαιρεῖ, φιλοκάλως ἐν τούτοις ἐπισκήπτων τοῖς πρὸ αὐτοῦ, διότι καὶ ὡς αἴτια ταῦτα παραλαμβάνοντες, οὐδὲν περὶ αὐτῶν εἶπον. σαφεστέρᾳ δὲ τῇ διδασκαλίᾳ ἐν τούτῳ χρῆται τῷ βιβλίῳ, κατά γε τὴν τάξιν τῶν προβλημάτων καὶ κατὰ τὴν λέξιν εὐπαρακολουθήτως διαγινόμενος.

ΤΩΝ ὄντων, τὰ μέν ἐστι φύσει, τὰ δέ, δι᾽ ἄλλας αἰτίας. φύσει μὲν τά τε ζῶα. καὶ τὰ μόρια αὐτῶν, καὶ τὰ φυτά. καὶ τὰ ἁπλᾶ τῶν σωμάτων. οἷον γῆ καὶ πῦρ. καὶ ἀήρ. καὶ ὕδωρ. ταῦτα μὲν γὰρ εἶναι καὶ τὰ τοιαῦτα, φύσει φαμέν.

Γ

ρὸ τῶν ἄλλων ἁπάντων τί ποτέ ἐστιν ἡ φύσις ζητεῖ τε καὶ ἀποδείκνυσιν. οὔτε γὰρ τὸ φύσει, οὔτε τὸ κα-
τὰ φύσιν, οὔτε ἄλλο τι τῶν φυσικῶν καθὸ φυσικὰ γνῶναι δυνατὸν, τῆς φύσεως ἀγνοουμένης. εὑρί-
σκει δὲ τί ποτέ ἐστιν ἡ φύσις, ἀπὸ τῆς διαφορᾶς τῶν φύσει πρὸς τὰ μὴ φύσει. φύσει δὲ λέγει τὰ διὰ
φύσιν ὑφεστῶτα. οὐ φύσει δὲ, τὰ δι᾽ ἄλλας αἰτίας. ἐπειδὴ καὶ ἄλλα πολλὰ τῶν γινομένων ἐστὶν αἴτια.
καὶ γὰρ νοῦς, καὶ λόγος πρακτικὸς ἢ ποιητικὸς. ὃς μετὰ μὲν ὀρέξεως προαίρεσις γινόμενος, τὰ κατ᾽
ἀρετὴν καὶ κακίαν ἀποδίδωσιν, οἷον δικαίαν πρᾶξιν καὶ ἄδικον. χωρὶς δὲ ὀρέξεως τὰ κατὰ τέχνην,
οἷον κλίνην, οἰκίαν, αὔλησιν. γίνεται δέ τινα καὶ διὰ τύχην, ὥσπερ θησαυροῦ περίπτωσις. καὶ ἐκ ταυτο
μάτου, ὡς τέρατος γένεσις, ἢ λίθου κατάπτωσις εἰς καθέδρας θέσιν, λαβὼν οὖν ὡς ἐναργὲς τὸ γίνεσθαι
τινὰ καὶ δι᾽ ἄλλας αἰτίας, τίνα ἐστὶ τὰ φύσει λοιπὸν ἐφεξῆς ἐπάγει, φύσει λέγων εἶναι τά τε ζῶα
καὶ τὰ φυτὰ καὶ τὰ τούτων μόρια, καὶ τὰ ἁπλᾶ τῶν σωμάτων. οὔτε γὰρ προαίρεσις τούτων αἰτία, εἴ-
περ ἀόριστος μὲν ἡ προαίρεσις, ὡρισμένη δὲ ἡ τούτων γένεσις, οὔτε ἀπὸ τύχης ἢ ἐκ ταυτομάτου. τὰ
γὰρ τοιαῦτα ἐπὶ ἔλαττον, τὰ δὲ διὰ φύσιν ὡς ἐπὶ πλεῖστον. οὔτε ἀπὸ τέχνης. τὰ γὰρ ἀπὸ τέχνης ἔξω
θεν γίνεται, ταῦτα δὲ ἔνδοθεν. δῆλον δὲ ὅτι πάντα ταῦτα φύσει λέγεται ὁμοίως, καθ᾽ ὅσον ἔχει
τι κοινόν. οὔτε οὖν κατὰ τὴν αἴσθησιν, αὕτη γὰρ τῶν ζώων ἰδία, οὔτε κατὰ τὸ τρέφεσθαι καὶ αὔξε-
σθαι καὶ γεννᾶν ὅμοια. ἀλλὰ κατὰ τὰς φυσικὰς ἰδίως καλουμένας κινήσεις, τάς τε κατὰ τόπον
χωρὶς τῆς ψυχικῆς ὁρμῆς γινομένας, καὶ τὰς κατὰ ἀλλοίωσιν καὶ γένεσίν τινα καὶ φθορὰν καὶ αὔξησιν
τινὰ καὶ μείωσιν. εἰπὼν δὲ καὶ τὰ ζῶα, προσέθηκε καὶ τὰ τούτων μόρια. διότι φησὶν ὁ Ἀλέξανδρος
τῶν φύσει ὄντων καὶ τὰ μόρια φύσει. τῶν μὲν γὰρ τεχνητῶν τὰ μόρια οὐ πάντα τεχνητὰ, τῆς γὰρ οἰ-
κίας οὔσης κατὰ τέχνην, τὰ μὲν, τῶν μορίων διὰ τέχνην ἐστὶ, τὰ δὲ, διὰ φύσιν. πλίνθοι μὲν γὰρ καὶ
θύραι διὰ τέχνην. λίθοι δὲ καὶ ξύλα, φυσικά. τῶν δὲ φυσικῶν τὰ μόρια καὶ αὐτὰ διὰ φύσιν εἰσί. καὶ
τοῦτο εἰκότως. ταῖς μὲν γὰρ τέχναις ὑπόκειται τὰ φυσικὰ σώματα. διὸ τῶν κατὰ τέχνην γινομένων
καὶ ταῦτα μόρια. τοῖς δὲ φύσει γινομένοις καὶ τὰ ὑποκείμενα φυσικά. διὸ καὶ τὰ τούτων μόρια φυσικὰ πάν
τα. μήποτε δὲ ἐπιστῆσαι χρὴ τοῖς εἰρημένοις. καὶ γὰρ εἰ μὲν μόρια λέγομεν τὰ κυρίως, καὶ τῶν τεχνητῶν τὰ μέ
ρη τεχνητά ἐστι. καὶ γὰρ τοῦ ἀνδριάντος ἡ κεφαλὴ καὶ οἱ πόδες τεχνητά. καὶ τὰ μόρια τῆς οἰκίας, ἀνδρῶ-
νες, καὶ γυναικωνίτιδες, καὶ στοαί. εἰ δὲ μόρια καὶ τὰ στοιχεῖα καλοῦμεν, οἷα ἐστὶ ξύλα καὶ λίθοι καὶ τὰ τοιαῦ-
τα τῶν οἴκων, καὶ ἐπὶ τῶν φυσικῶν τὰ πρῶτα στοιχεῖα οὐκ ἔστι φυσικά. οὐδὲ γὰρ ἡ ὕλη φυσικὴ καθ᾽
αὑτὴν ἀκίνητος οὖσα. ἀλλ᾽ ἴσως ἔστι τις καὶ ἐν τούτοις διαφορὰ, καὶ γὰρ ἐπὶ μὲν τῶν τεχνητῶν, καὶ τὰ
προσεχῆ στοιχεῖα φυσικά ἐστι καὶ οὐ τεχνητά. ἐπὶ ἀνδριάντος, χαλκός. καὶ ἐπὶ οἰκίας, ξύλα καὶ λίθοι.
ἐπὶ δὲ τῶν φυσικῶν εἰ καὶ τὸ ἔσχατον ὑποκείμενον μὴ ἔστι φυσικὸν, οἷον ἡ ὕλη, ἀλλὰ τὰ προσεχῆ φυσι
κά ἐστι, ὡς τὰ τέσσαρα στοιχεῖα. καὶ εἴη ἄν τις οὕτω κατὰ τοῦτο τῶν φύσει καὶ τῶν μὴ φύσει διαφορά.
ἀλλὰ πῶς τὰ ζῶα καὶ τὰ φυτὰ φύσει καὶ διὰ φύσιν εἶναι φησὶν, ἔμψυχα ὄντα ταῦτα, καὶ διὰ ψυχὴν
ὄντα ἅπερ ἐστί. καὶ γὰρ τὸ ζῶον ὁριζόμενοι οὐσίαν ἔμψυχον αἰσθητικὴν, τὸ αὐτὸ φαμέν. καὶ τὸ φυτὸν ὑ-
πὸ τῆς φυτικῆς ἐμψυχῶται ψυχῆς, τῆς τρέφεσθαι καὶ αὔξεσθαι καὶ γεννᾶν ὅμοια ποιούσης. καὶ τὸ
θαυμαστὸν ὅτι προελθὼν ὀλίγον αὐτὸς ὁ Ἀριστοτέλης, τὰ κατὰ αὔξησιν καὶ φθίσιν ἤτοι μείωσιν κινού
μενα, ὡς φυσικὰ τοῦτο πάσχειν φησὶ, καί τοι ἐν τῇ περὶ ψυχῆς τῇ φυτικῇ ψυχῇ προσήκειν λέγων,
τὸ τρέφειν καὶ αὔξειν καὶ μειοῦν. καὶ ἔτι δὲ προελθὼν τὰ φυτευόμενα ξύλα βλαστάνειν διὰ τὴν φύσιν
τὴν ἑαυτῶν φησὶ, καί τοι τῆς βλάστης καὶ πάσης γεννήσεως διὰ ψυχὴν ὑπαρχούσης. καὶ ὁ ἀποδοθεὶς
τῆς ψυχῆς ὁρισμὸς, ὁ λέγων αὐτὴν ἐντελέχειαν εἶναι σώματος φυσικοῦ ὀργανικοῦ δυνάμει ζωὴν
ἔχοντος, καὶ τοῖς φυτοῖς ἁρμόττει καὶ τοῖς ζώοις. οὐκέτι δὲ τοῖς ἁπλοῖς τῶν σωμάτων, οἷον γῇ, πυρὶ,
καὶ τοῖς λοιποῖς. οὐ γάρ ἐστιν ὀργανικὰ ταῦτα. πῶς οὖν ἐνταῦθα βουλόμενος τὴν διαφορὰν εὑρεῖν
τῶν φύσει πρὸς τὰ μὴ φύσει, ὡς ταύτης οὔσης τῆς φύσεως, τὰ ζῶα καὶ τὰ φυτὰ ὡς φύσει ὄντα
παραλαμβάνει, καί τοι κατὰ ψυχὴν χαρακτηριζόμενα. μήποτε οὖν φυσικὰ μὲν μόνα τὰ ἁπλᾶ
τῶν σωμάτων ἐστί. κἂν ἔχῃ δὲ ψυχὴν τὰ ζῶα καὶ τὰ φυτὰ, τὰ μὲν φυτικὴν, τὰ δὲ ὀρεκτικὴν, ἀλλὰ
καὶ φύσιν ἔχει τὴν ἐνταῦθα ζητουμένην. ἣν καὶ τὰ ἁπλᾶ τῶν σωμάτων ἔχει. καὶ γὰρ τὰ τελειότερα τῶν
σωμάτων τελειοτέρας ἔχοντα ζωὰς, καὶ τὰς καταδεεστέρας ἔχει. οἷον, ἄνθρωπος μὲν, καὶ λογικὴν
καὶ ὀρεκτικὴν καὶ φυτικὴν, καὶ τὴν ἐνταῦθα ζητουμένην φύσιν. τὸ δὲ ἄλογον ζῶον, πλὴν τῆς λογικῆς,
τὰς λοιπάς. καὶ τὸ φυτὸν τὴν φυτικὴν καὶ τὴν φύσιν. τὰ δὲ ἁπλᾶ τῶν σωμάτων καὶ τὰ σύνθετα
ἐκ τούτων, ὡς σώματα μόνον σύνθετα. οἷον λίθοι. καὶ ξύλα, καὶ ὀστᾶ, καὶ ὅλως τὰ νεκρώματα, τὴν
φύσιν μόνην ὅ τί ποτέ ἐστιν ἡ φύσις. καὶ τοῦτο ἀναγκαίως. εἴπερ ἡ ψυχὴ φυσικῷ σώματι ἐπιγίνεται,
ἐντελέχεια οὖσα σώματος φυσικοῦ ὀργανικοῦ, ὡς αὐτὸς ἐν τῇ περὶ ψυχῆς ὡρίσατο. ἔτι δὲ εἰ ἡ φύσις
τοῖς ἁπλοῖς ὑπάρχει τῶν σωμάτων, οὐ καθὸ ὀργανικὰ, ἀλλὰ καθὸ σύνθετα ἐξ ὕλης καὶ εἴδους, ταῦ
τα δὲ καὶ τοῖς φυτοῖς ὑπάρχει καὶ τοῖς ζώοις, εἴπερ καὶ ταῦτα ἐκ τῶν τεσσάρων σύγκειται στοι-
χείων, δῆλον ὅτι καὶ τὰ τῶν ζώων καὶ τῶν φυτῶν σώματα, πρὸ τοῦ ζώων καὶ φυτῶν εἶναι, φυσικὰ πάν-
τως ἐστί. καὶ διὰ τοῦτο ἴσως καὶ τὰ μόρια αὐτῶν προσέθηκε. τὸ γὰρ ὀστοῦν καὶ τὸ ξύλον, ὄρεξιν μὲν ἢ φυτι-

κὴν ψυχὴν

κὴν ψυχὴν οὐκέτι ἔχει· φύσιν δὲ ἔχει. καὶ τὴν διαφορὰν οὖν αὐτῶν τὴν πρὸς τὰ τεχνητὰ ἐνεδείξατο, καὶ παρέλαβεν αὐτὰ καθὸ φυσικά, τὴν δὲ αὔξησιν προσεῖναι τοῖς φυσικοῖς εἶπεν, ἢ ὡς οὔπω διορισθεῖσαν τινῶν οἰκεία ἐστίν, ἢ ὡς καὶ τῶν κυρίως φυσικῶν τισὶν ὥσπερ τῷ πυρὶ συγχωρουμένην ὑπάρχειν ὑπό τινων, νῦν παρέλαβεν ὡς φυσικήν. καὶ ὅτι τὰ ζῶα καὶ φυτὰ οὐ καθὸ ζῶα καὶ φυτὰ παρέλαβεν ἐν τούτοις ὁ ἀριστοτέλης, ὡς φύσει ὄντα, ἀλλὰ καθὸ καὶ αὐτὰ φυσικά, δηλοῖ καὶ εὔδημος, ἐν

» τῷ πρώτῳ τῶν φυσικῶν τάδε γράφων. ἐπεὶ δὲ λέγομεν πολλὰ φύσει εἶναι, καὶ γὰρ ἵππον καὶ ἄν-
» θρωπον καὶ πᾶν ζῶον, καὶ τὰ τούτων μόρια, ἔτι δὲ ἐλαίαν καὶ πᾶν φυτὸν καὶ τὰ μόρια αὐτῶν, καὶ
» πόαν καὶ ὅλως τὰ φυόμενα, ἔτι δὲ γῆν καὶ πῦρ καὶ πολλὰ τῶν ἀψύχων, τί πᾶσι τούτοις ὑπάρχει. ἡ μὲν
» γὰρ αἴσθησις ἴδιος ἐστὶ τῶν ζώων, καὶ πολλὰ ἕτερα. ἡ δὲ αὔξησις τῶν ζωτικῶν. κινεῖται δὲ πάντα ὡς
» εἰπεῖν. καὶ γὰρ ξύλον καὶ χαλκὸς καὶ πῦρ καὶ ὅλως πᾶν σῶμα. οὐχ ὁμοίως δὲ πάσας τὰς κινήσεις.
» οἷον ὁ λίθος καὶ πάντα ὅσα βάρος ἔχει, ἄνω μὲν καὶ εἰς τὸ πλάγιον ὑφ᾽ ἑτέρου, κάτω δὲ ὑφ᾽ ἑαυτοῦ.
» τὸ δὲ πῦρ κάτω μὲν ὑφ᾽ ἑτέρου, ἄνω δὲ καθ᾽ ἑαυτό. καὶ τὸ μὲν ξύλον καθ᾽ αὑτὸ κινεῖται κάτω. ἡ δὲ κλί-
» νη ἡ ξυλίνη, οὐχ ᾗ κλίνη. πετρίνη γὰρ γινομένη οὐκ οἰσθήσεται κάτω. εἰ δὴ τὰ μὲν τεχνητὰ οὐ κινεῖ-
» ται καθ᾽ αὑτά, ἀλλ᾽ ᾗ ἐκ τούτων ἐστί, τὰ δὲ φυσικά, ταῦτα δὲ τὰς μὲν ὑφ᾽ ἑτέρου τῶν κινήσεων κι-
» νεῖται, τὰς δὲ καθ᾽ ἑαυτά, καὶ τὰς μὲν ὑφ᾽ ἑτέρου παρὰ φύσιν φαμὲν αὐτοῖς εἶναι, τὰς δὲ ὑφ᾽ αὑ-
» τῶν κατὰ φύσιν, τὸ δὴ κινεῖσθαι κατὰ φύσιν αὐτοῖς ἂν εἴη, μὴ οὐκ ἔξωθεν τοῦ αἰτίου ὄντος ἀλλ᾽ ἐν αὐ-
» τοῖς. ἆρ᾽ οὖν τὴν τοιαύτην ἀρχὴν τῆς κινήσεως φατέον τὴν φύσιν εἶναι, ἐπειδὴ πᾶσι τοῖς κατὰ
» φύσιν ὑπάρχουσα τυγχάνει; εἰ δὲ οὕτως, ἡ φύσις γίνεται ἀρχὴ κινήσεως ἐν αὐτοῖς καὶ καθ᾽ αὑτά.

Γ ΑΝΤΑ ΔΕ τὰ ῥηθέντα, φαίνεται διαφέροντα πρὸς τὰ μὴ φύσει συνεστῶτα. τὰ μὲν γὰρ φύσει ὄντα πάντα, φαίνεται ἔχοντα ἐν ἑαυτοῖς ἀρχὴν κινήσεως, καὶ στάσεως. τὰ μὲν κατὰ τόπον. τὰ δέ, κατὰ αὔξησιν, καὶ φθίσιν. τὰ δὲ κατὰ ἀλλοίωσιν.

Γ ροθέμενος εὑρεῖν τί ποτέ ἐστιν ἡ φύσις, πάνυ ἐμμεθόδως τὴν διαφορὰν εὑρὼν τῶν φύσει ὄντων, πρὸς τὰ καὶ φύσει ἀλλὰ διά τινας ἄλλας αἰτίας, ταύτην εἶναι τὴν φύσιν συλλογίζεται. διαφέρει δὲ τὰ φύσει τῶν μὴ φύσει οὐδενὶ ἄλλῳ, ἢ τῷ ἐξ αὑτῶν ἔχειν ἀρχὴν κινήσεως καὶ στάσεως. ἀρχὴν δὲ τὴν ὡς ποιητικὴν αἰτίαν λέγει. ὥσπερ δὲ ἔνδοθεν ἐξ ἑαυτῶν κινούμενα φαίνεται τὰ φυσικά, τὰ μέν, κατὰ τόπον, οἷον ἡ γῆ ἐπὶ τὸ κάτω, καὶ ἐπὶ τὸ ἄνω τὸ πῦρ, τὰ δέ, κατὰ αὔξησιν καὶ φθίσιν, ὡς αὐτὸ τὸ πῦρ, καί τινες πέτραι ἱστοροῦνται καθ᾽ ὅλον τὸν ὄγκον ἐπιδιδοῦσαι ἢ μειούμεναι, τοῦτο γάρ ἐστιν αὔξησις καὶ φθίσις, τὰ δέ, κατὰ ἀλλοίωσιν, ὡς τὸ λεπτυνόμενον καὶ θερμαινόμενον ὕδωρ, οὕτω δὲ καὶ στάσιν τῆς τοιαύτης κινήσεως ἔνδοθεν ἔχουσιν. οὔτε γὰρ ἔξωθεν, οὔτ᾽ ἐπ᾽ ἄπειρον ἡ κίνησις ἢ ἡ στάσις. ἀλλὰ πρὸς τὸ μέτρον τοῦ οἰκείου εἴδους προελθόντα ἵσταται. ἐφιστάνει δὲ ὁ ἀλέξανδρος, ὅτι τούτων ἕκαστον εἶπεν ἐν ἑαυτῷ ἔχειν ἀρχὴν κινήσεως καὶ στάσεως, ἃ προείρηκε. τουτέστι τὰ ζῶα καὶ τὰ φυτὰ καὶ τὰ ἁπλᾶ τῶν σωμάτων, ἀλλ᾽ οὐχὶ πάντα τὰ φυσικά. καὶ γὰρ τὸ κυκλοφορητικὸν σῶμα φυσικὸν καὶ αὐτὸ ὄν, κινήσεως μὲν ἀρχὴν ἔχει ἐν ἑαυτῷ, στάσεως δὲ οὐκ ἔχει, ἀπαύστως κινούμενον. μήποτε δὲ καὶ τὰ οὐράνια κἂν μὴ μεταβάλλῃ ἀπὸ κινήσεως εἰς στάσιν, ἀλλ᾽ ὅμως ἔχει στάσιν καὶ αὐτὰ κατὰ τὸ κέντρον, κατὰ τὸν ἄξονα, κατὰ τοὺς πόλους, κατὰ τὴν ὁλότητα. καὶ εἴπερ ἡ κίνησις αὐτῶν φυσική, καὶ στάσις ἂν εἴη τοιαύτη. ἀλλ᾽ οὐ πᾶσα στάσις ἠρεμία ἐστίν, ἀλλ᾽ ἡ μετὰ κίνησιν. κάλλιον οὖν ὁ πορφύριος ἐφιστάνει, μήποτε ἐν τῷ ἀρχῆς τινος καὶ αἰτίας τοῦ κινεῖσθαι καὶ ἠρεμεῖν, τὸ καὶ ἀντὶ τοῦ ἢ παρείληπται, διὰ τὸ τινὰ τῶν φύσει κινεῖσθαι μὲν ἀεί, μηδέποτε δὲ ἠρεμεῖν. καὶ οὐ λέγω φησὶ τὸ θεῖον σῶμα. ἐξῄρηται γὰρ τῶν γενητῶν. ἀλλὰ τὸ πῦρ οὐδέποτε ἠρεμεῖ. ἢ γὰρ ἐπὶ τὸ ἄνω, ἢ ἐπὶ τὸ κάτω, ἢ κύκλῳ κινεῖται. τινὰ δὲ τοῦ συναμφοτέρου τὴν φύσιν ἔχει. τὰ τοίνυν φυσικὰ ἔνδον ἔχει ἐν ἑαυτοῖς τὴν αἰτίαν τῆς κινήσεως καὶ τῆς στάσεως, καὶ οὐκ ἔξωθεν ὥσπερ τὰ τεχνητὰ καὶ τὰ δι᾽ ἄλλας αἰτίας γινόμενα. ὅταν δὲ λέγῃ ὁ ἀλέξανδρος, ὅτι τὰ μὲν ἁπλᾶ τῶν σωμάτων μόνης τῆς κατὰ τόπον κινήσεως ἴσως ἂν ἐν ἑαυτοῖς τὴν ἀρχὴν ἔχοι, τὰ δὲ ζῶα πασῶν, τὰ δὲ φυτὰ παρὰ τὴν κατὰ τόπον τῶν ἄλλων, ἀξιώσομεν αὐτόν, ἢ μὴ τὴν τῶν ζώων ὡς ζώων, μὴ δὲ τὴν τῶν φυτῶν ὡς φυτῶν κίνησιν ἐνταῦθα παραλαμβάνειν, ἀλλὰ τὴν ὡς φυσικῶν σωμάτων, ἢ ὁλοσχερῶς τοὺς τῶν εἰρημένων ἐκδέχεσθαι.

ΚΛΙΝΙ ΔΕ καὶ ἱμάτιον, καὶ εἴ τι τοιοῦτον ἄλλο γένος ἐστίν, ᾗ μὲν τετύχηκε τῆς κατηγορίας ἑκάστης, καὶ καθ᾽ ὅσον ἐστὶν ἀπὸ τέχνης, οὐδεμίαν ὁρμὴν ἔχει μεταβολῆς ἔμφυτον. ᾗ δὲ συμβέβηκεν αὐτοῖς λιθίνοις ἢ γηΐνοις εἶναι ἢ μικτοῖς, ἐκ τούτων ἔχει κατὰ τοσοῦτον ὡς οὔσης τῆς φύσεως ἀρχῆς τινὸς καὶ αἰτίας τοῦ κινεῖσθαι καὶ ἠρεμεῖν ἐν ᾧ ὑπάρχει πρώτως, καθ᾽ αὑτὸ καὶ μὴ κατὰ συμβεβηκός, λέγω δὲ τὸ μὴ κατὰ συμβεβηκός, ὅτι γένοιτ᾽ ἂν αὐτὸς αὑτῷ τις αἴτιος ὑγιείας ὢν ἰατρός. ἀλλ᾽ ὅμως οὐ καθὸ ὑγιάζεται τὴν ἰατρικὴν ἔχει. ἀλλὰ συμβέβηκε τὸν αὐτὸν ἰατρὸν εἶναι, καὶ ὑγιαζόμενον. διὸ καὶ χωρίζεταί ποτε ἀλλήλων. ὁμοίως δὲ καὶ τῶν ἄλλων ἕκαστον τῶν ποιουμένων. οὐδὲν γὰρ αὐτῶν ἔχει τὴν ἀρχὴν ἐν ἑαυτῷ τῆς ποιήσεως. ἀλλὰ τὰ μέν, ἐν ἄλλοις καὶ ἔξωθεν. οἷον οἰκία καὶ τῶν ἄλλων τῶν χειροκμήτων ἕκαστον. τὰ δέ, ἐν αὐτοῖς μέν, ἀλλ᾽ οὐ καθ᾽ αὑτὰ ὅσα κατὰ συμ-

βεβηκὸς αἴτια γένοιτ᾽ ἂν αὐτοῖς.

Υ πολείξας ἐκ τῶν ἐναργῶς φαινομένων, ὅτι τὰ φυσικὰ ἀρχὴν ἐν ἑαυτοῖς ἔχει κινήσεως καὶ στάσεως,
τῇ παραθέσει τῶν μὴ φύσει, δείκνυσιν ὅτι καὶ ἴδιον ἐστὶ τοῦτο τῶν φύσει συνεστώτων. καὶ τὰ μὴ φύ-
σει γὰρ, καθόσον καὶ ταῦτα λέγεται, ἅπερ ἐστὶ κατὰ τέχνην, οἷον κλίνη ἢ ἱμάτιον, τοῦτο γάρ ἐστι τὸ
καθόσον τετύχηκε τῆς κατηγορίας, οὐδεμίαν ἀφ᾽ ἑαυτῶν ὁρμὴν εἰς μεταβολὴν ἔχει. ὁρμὴν δὲ κυ-
ρίως τὴν ἔνδοθεν ἀρχὴν ἐκάλεσε τῆς κινήσεως. τινὲς δὲ ἀντὶ τοῦ ὁρμὴν ἀρχὴν γράφουσι. τὰ γὰρ φυσι-
κὰ τὴν αἰτίαν τῆς κινήσεως ἐν ἑαυτοῖς ἔχει. τὰ δὲ τεχνητὰ ἔξωθεν. οὐ γὰρ ἐν ἑαυτοῖς ὁ τεχνίτης, οὐ
δὲ ἡ τέχνη. φέρεται μὲν γὰρ ἐπὶ τὸ κάτω ἡ βῶλος οὐκ ἔξωθεν κινουμένη. σχηματίζεται δὲ ἡ κλίνη
ἔξωθεν. καὶ ἡ στάσις δὲ ὁμοίως, τῇ μὲν βώλῳ καταλαβούσῃ τὴν ἑαυτῆς ὁλότητα, ἔνδοθεν. τῷ δὲ σχη-
ματισμῷ τῆς κλίνης ἔξωθεν ἀπὸ τοῦ τεχνίτου. καὶ ἐν τοῖς κατὰ φύσιν γὰρ καὶ ἐν τοῖς κατὰ τέχνην,
ὅθεν ἡ κίνησις, ἐκεῖθεν καὶ ἡ στάσις. καὶ γὰρ τὰ κατὰ τόπον φυσικῶς κινούμενα, καὶ τὰ κατὰ αὔξησιν
καὶ κατὰ ἀλλοίωσιν, τὰ μὲν, εἰς τὸν οἰκεῖον τόπον ἐλθόντα, τὰ δὲ, εἰς τὸ οἰκεῖον μέγεθος, τὰ δὲ, εἰς τὸ
οἰκεῖον εἶδος, ἵσταται φυσικῶς. καὶ οὔτε εἰς ἐπ᾽ ἄπειρον μεταβάλλει, οὔτε ἔξωθεν αὐτοῖς ἡ τῆς στά-
σεως αἰτία, ἀλλ᾽ ἀφ᾽ ἑαυτῶν. ἡ μέντοι κλίνη καὶ τὸ ἱμάτιον, καὶ ὅλως τὰ τεχνητὰ, καθόσον μὲν τε-
χνητὰ, ἔξωθεν ἔχει καὶ τὴν τῆς κινήσεως καὶ τὴν τῆς στάσεως ἀρχήν. καθόσον μέντοι καὶ τούτων ἑ-
κάστῳ τὸ ὑποκείμενον σῶμα φυσικὸν, ἢ ξύλον, ἢ ἔριον, ἤ τι ἄλλο σῶμα ἁπλῶς ἢ μικτὸν, κατὰ τοσοῦ-
τον καὶ ταῦτα ἐν ἑαυτοῖς ἔχει τήν τε τῆς κινήσεως καὶ τὴν τῆς στάσεως ἀρχήν. εἰ οὖν καὶ τὰ φυσι-
κὰ πάντα ἐν ἑαυτοῖς ἔχει τοῦτο, τὰ δὲ τεχνητὰ καθὸ μὲν τεχνητὰ οὐκ ἔχει, καθὸ δὲ φυσικὰ καὶ ταῦ-
τα ἔχει, ἴδιον ἂν εἴη τοῦτο τῶν φυσικῶν καθὸ φυσικὰ, τὸ ἔχειν ἐν ἑαυτοῖς ἀρχὴν κινήσεως. ὥστε ἐκ τού-
των δῆλον, ὅτι ἡ φύσις οὐδὲν ἄλλο ἐστὶν, ἢ ἀρχὴ κινήσεως καὶ ἠρεμίας, ἐν ᾧ ἐστὶ πρώτως, καθ᾽ αὑτὸ καὶ
μὴ κατὰ συμβεβηκός. καὶ ἔοικεν ἐν πρώτῳ σχήματι τοῦτο συνῆχθαι συλλογιστικῶς, οὕτως. φύσις ἐστὶν
ᾧ διαφέρει τὰ φύσει τῶν μὴ φύσει. τὰ φύσει τῶν μὴ φύσει διαφέρει τῷ ἀρχὴν καὶ αἰτίαν κινήσεως
καὶ ἠρεμίας ἐνυπάρχουσαν ἔχειν πρώτως καθ᾽ αὑτὸ καὶ μὴ κατὰ συμβεβηκός. φύσις ἄρα ἐστὶν ἀρ-
χὴ κινήσεως καὶ ἠρεμίας, ἐν ᾧ ἐστὶ πρώτως καθ᾽ αὑτὸ καὶ μὴ κατὰ συμβεβηκός. δύναται δὲ καὶ ἐν
τρίτῳ σχήματι ἠρωτῆσθαι οὕτως, τὰ φύσει τῶν μὴ φύσει διαφέρει τῷ φύσιν ἔχειν. τὰ φύσει τῶν
μὴ φύσει διαφέρει, τῷ ἀρχὴν κινήσεως ἐν ἑαυτοῖς καὶ στάσεως ἔχειν μὴ κατὰ συμβεβηκός. τὰ ἄρα
φύσιν ἔχοντα, ἀρχὴν ἔχει κινήσεως, καὶ τὰ ἑξῆς. ἡ φύσις ἄρα ἀρχὴ κινήσεως ἐστὶ καθ᾽ αὑτὸ καὶ μὴ κα-
τὰ συμβεβηκός. καὶ ἔστιν ὅμοιος τούτῳ ὁ συλλογισμός. πᾶν γελαστικὸν ἄνθρωπός ἐστι. πᾶν γελαστι-
κὸν ζῷον λογικὸν θνητόν ἐστι. καὶ συνάγεται τὸ πάντα ἄνθρωπον ζῷον λογικὸν θνητὸν εἶναι, διὰ τὴν
ὕλην ἔχον τὸ καθόλου, κἂν τὸ σχῆμα μερικῶν ἐστὶ συμπερασμάτων συναγωγόν. αἱ γὰρ τὰ ἴδια καὶ αἱ
τοὺς ὁρισμοὺς κατηγορούμενα ἔχουσαι προτάσεις, καθόλου οὖσαι καταφατικαὶ, ἀντιστρέφουσι
διὰ τὴν τῆς ὕλης ἰδιότητα καθόλου. διόπερ ἐν τῷ τρίτῳ σχήματι κἂν παρὰ τοῦ σχήματος ἔχωσι τὸ
συνάγειν τὸ ἐπὶ μέρους, διὰ τὴν ὕλην ὅμως καὶ τὸ καθόλου ἀληθὲς ἔσται, ὡς εἶπεν ἐν τοῖς ἀναλυτι-
κοῖς. εἴη δὲ ἂν ἡ πρότασις ἡ λέγουσα τὰ φύσει τῶν μὴ φύσει διαφέρειν, ἀρχῇ καὶ αἰτίᾳ κινήσεως καὶ
ἠρεμίας, δι᾽ ἐκείνων δηλουμένη τῶν ῥητῶν, πάντα δὲ τὰ ῥηθέντα φαίνεται διαφέροντα πρὸς τὰ
μὴ φύσει συνεστῶτα, καὶ τὰ ἑξῆς. δύναται δὲ καὶ ὡς ἀλέξανδρος φησὶ, καὶ ὑποθετικῶς ὁ λόγος
ἠρωτῆσθαι, ἐξ ἀκολουθίας ὢν κατασκευαστικὸς, οὕτως. εἰ τὰ φύσει καὶ φύσιν ἔχοντα διαφέρει
τῶν μὴ φύσει, τῷ ἀρχὴν καὶ αἰτίαν κινήσεως ἐν ἑαυτοῖς ἔχειν καθ᾽ αὑτὸ καὶ μὴ κατὰ συμβεβηκὸς, ἡ
φύσις ἂν εἴη ἀρχὴ κινήσεως, ἐν οἷς ἐστὶ καθ᾽ αὑτὸ καὶ μὴ κατὰ συμβεβηκός. τὸ δὲ πρῶτον. τὸ ἄρα δεύ-
τερον. ὅτι δὲ τούτῳ διαφέρει τὰ φύσιν ἔχοντα τῶν μὴ ἐχόντων, ἐπιστώσατο διὰ τῆς ἐπαγωγῆς,
τὰ τεχνητὰ παραθέμενος. πάνυ δὲ ἀναγκαίως πρόσκειται τὸ ἐν ᾧ ὑπάρχει πρώτως καθ᾽ αὑτὸ καὶ
μὴ κατὰ συμβεβηκός. καὶ γὰρ καὶ ἡ κλίνη ἀρχὴν ἔχει κινήσεως καὶ ἠρεμίας ἐν ἑαυτῇ. ἀφεθεῖσα γοῦν
ἐπὶ τὸ κάτω φέρεται. καὶ ὅμως οὐ λέγεται φυσικὴ οὐδὲ φύσιν ἔχειν ὡς κλίνη. διότι ἡ ἀρχὴ τῆς κι-
νήσεως οὐ τῇ κλίνῃ πάντως ὑπάρχει, ἀλλὰ τῷ ξύλῳ. δι᾽ ἐκεῖνο δὲ καὶ τῇ κλίνῃ. ἀναγκαία οὖν ἡ
τοῦ πρώτως προσθήκη. καὶ τὸ καθ᾽ αὑτὸ δὲ καὶ μὴ κατὰ συμβεβηκὸς, ὅτι ἀναγκαίως παρείληπται,
αὐτὸς ὁ ἀριστοτέλης ἐξηνίξατο. δεῖ γὰρ εἰ μέλλοι φυσικὸν εἶναι, καθὸ ἐστὶ, κατὰ τοῦτο ἐν ἑαυτῷ ἔχειν
τὴν ἀρχὴν τῆς κινήσεως, οἷον ἡ γῆ καθὸ γῆ ἐστὶν, ἀρχὴν ἔχουσα τῆς ἐπὶ τὸ κάτω φορᾶς, φύσιν ἔχειν
λέγεται. εἰ μέντοι τις νοσῶν ἰατρὸς ἑαυτὸν ὑγιάζοι, ὑγιάζεται μὲν ἐξ ἑαυτοῦ. ἐν ἑαυτῷ γὰρ ἔχει
τὴν τῆς κινήσεως ἀρχήν. οὐ καθ᾽ αὑτὸ δὲ ἀλλὰ κατὰ συμβεβηκός. οὐ γὰρ ᾗ ἰατρὸς ὑγιάζεται ὑφ᾽ ἑαυ-
τοῦ ὁ ἰατρὸς, ἀλλ᾽ ᾗ νοσῶν. ὑγιάζει μὲν γὰρ καθὸ ἰατρός. ὑγιάζεται δὲ καθὸ νοσεῖ. ἄλλο δὲ τὸ, ἰατρῷ.
καὶ ἄλλο τὸ νοσοῦν τι εἶναι. διὸ καὶ χωρίζεται ἀλλήλων. οὔτε γὰρ πᾶς ἰατρὸς νοσεῖ, οὔτε πᾶς νο-
σῶν ἰατρός ἐστιν. ὥστε ὁ ὑφ᾽ ἑαυτοῦ ὑγιαζόμενος ἰατρὸς, οὐχ ᾗ νοσῶν ἐστι, καὶ κατὰ τοῦτο ἐξ ἑαυτοῦ
τὴν τῆς κινήσεως ἀρχὴν ἔχει. εἰ γὰρ ᾗ νοσῶν, πᾶς ἂν αὑτὸν ὑγίαζεν ὁ νοσῶν. ὑγιάζεται μὲν γὰρ ᾗ
νοσῶν. τὴν δὲ ἀρχὴν τῆς κινήσεως καὶ τὸ ὑγιάζειν ἐξ ἑαυτοῦ οὐχ ᾗ νοσῶν ἔχει. καλῶς δὲ τὸ κατὰ συμ-

βεβηκὸς

βεβηκὸς ἐδήλωσεν, διὰ τοῦ εἰπεῖν διὸ καὶ χωρίζεται, πάντη ἀπ' ἀλλήλων. τὸ μὲν γὰρ καθ' αὑτὸ ὑπάρχον τινὶ, ἀχώριστον ἐκείνου. τὸ δὲ χωριζόμενον οὐ καθ' αὑτὸ ὑπάρχει ἀλλὰ κατὰ συμβεβηκός. διαφέρει δὲ τὸ πρώτως τοῦ καθ' αὑτό. οὐδὲ γὰρ τὸ καθ' αὑτὸ πᾶν πρώτως ἐστίν. οὐδὲ τὸ πρώτως καθ' αὑτό. καὶ γὰρ ὅταν τι καθ' αὑτὸ ὑπάρχῃ τινὶ, καὶ ἐκεῖνο πάλιν ἄλλῳ τινὶ καθ' αὑτὸ ὑπάρχῃ, καὶ τὸ πρῶτον τῷ τρίτῳ καθ' αὑτὸ μὲν ὑπάρχει, οὐ πρώτως δέ. οἷον τῷ τριγώνῳ καθ' αὑτὸ ὑπάρχει τὸ τὰς τρεῖς γωνίας δυσὶν ὀρθαῖς ἴσας ἔχειν ᾗ τρίγωνον. καὶ τὸ τρίγωνον τῷ ἰσοσκελεῖ καθ' αὑτὸ ὑπάρχει. διὸ καὶ τῷ ἰσοσκελεῖ τὸ τὰς τρεῖς δυσὶν ὀρθαῖς ἴσας ἔχειν καθ' αὑτὸ ὑπάρχει. καὶ γὰρ ᾗ ἰσοσκελὲς τρίγωνόν ἐστι. καὶ ᾗ τρίγωνον δυσὶν ὀρθαῖς ἴσας ἔχει. καὶ ἀχώριστα τοῦ ἰσοσκελοῦς ἐστι τό, τε τρίγωνον, καὶ τὸ δυσὶν ὀρθαῖς ἴσας ἔχειν. οὐ μέντοι πρώτως τῷ ἰσοσκελεῖ τὸ δυσὶν ὀρθαῖς ἴσας ἔχειν, ἀλλὰ διὰ μέσου τοῦ τριγώνου. πάλιν δὲ τὸ λευκὸν τῇ ἐπιφανείᾳ πρώτως ὑπάρχει, καὶ ἡ ἀρετὴ τῇ ψυχῇ. οὐ γὰρ δι' ἄλλου τινὸς μέσου. οὐ μέντοι καθ' αὑτὸ ὑπάρχει ταῦτα. οὔτε γὰρ συμπληρωτικὰ τῆς οὐσίας τῶν ὑποκειμένων ἐστὶν, οὔτε ἐν τῷ ὁρισμῷ παραλαμβάνεται. καὶ χωρίζεσθαι πέφυκε τό τε λευκὸν τῆς ἐπιφανείας, καὶ ἡ ἀρετὴ τῆς ψυχῆς. ἔστι δ' ὅτε καὶ συντρέχει εἰς ταυτὸν ἄμφω, ὅταν καὶ συμπληρωτικὰ τῆς οὐσίας ᾖ καὶ ἀμέσως ὑπάρχῃ. ὡς τὸ λογικὸν τῷ ἀνθρώπῳ καὶ καθ' αὑτὸ καὶ πρώτως ὑπάρχειν λέγοιτο ἄν. καὶ τὸ δυσὶν ὀρθαῖς ἴσας ἔχειν τῷ τριγώνῳ, καὶ τὸ τρίγωνον τῷ ἰσοσκελεῖ. εἰ δὲ ἡ ναῦς ἐν ἑαυτῇ τὸν κινοῦντα κυβερνήτην ἔχει, ἀλλ' οὐ καθ' αὑτήν. οὐδὲ γὰρ συμπληροῖ τὴν ἑαυτῆς φύσιν. ἐπεὶ πᾶσα ἂν ναῦς εὐθὺς τὸ εἶναι ναῦς, οὐκ ἂν ἐδεῖτο ἔξωθεν τοῦ κινήσαντος. οὔτ' ἂν ἦν χωριστὸς αὐτῆς ὁ κυβερνήτης. οὐδὲν γὰρ τῶν καθ' αὑτὸ ὑπαρχόντων τινὶ, σωζομένου ἐκείνου χωρίζεται ἀπ' αὐτοῦ. κἂν κινῇ δὲ ἑαυτὸν ὁ κυβερνήτης κινῶν τὴν ναῦν, οὔτε καθ' αὑτὸ οὔτε πρώτως κινεῖ. οὐ συγχωρητέον δὲ τῷ Ἀλεξάνδρῳ, οὕτω λέγοντι κινεῖν ἑαυτὴν τὴν ψυχὴν, ὡς τὸν κυβερνήτην, τῷ κινεῖν τὸ σῶμα ἐν ᾧ ἐστιν, ὡς ὁ κυβερνήτης τὴν ναῦν. τὴν μὲν γὰρ κατὰ τόπον κίνησιν τῆς ψυχῆς τάχα ἄν τις οὕτω γίνεσθαι συγχωρήσειεν. αἱ δὲ βουλήσεις καὶ διανοήσεις καὶ δοξάσεις καὶ ὁρμαὶ πᾶσαι, αὐτῆς εἰσι κινούσης ἑαυτὴν πρώτως, οὐδὲ γὰρ δι' ἄλλου τινός. καὶ καθ' αὑτὸ, οὐσία γὰρ αὐτῆς τὸ αὐτοκίνητον. ἀλλ' οὐδὲ ἐκεῖνα λέγοντα αὐτὸν ἀποδεκτέον. σημειωτέον γάρ φησιν, ὅτι καὶ τὴν ψυχὴν περιείληφε τῷ τῆς φύσεως λόγῳ, εἴπερ ἡ μὲν ψυχὴ κατ' αὐτόν ἐστιν ἐντελέχεια σώματος φυσικοῦ ὀργανικοῦ, ἡ δὲ φύσις κυρίως καὶ πρώτως ἐν τοῖς ἁπλοῖς ἐστι σώμασι καὶ οὐ τοῖς ὀργανικοῖς. καὶ ἡ μὲν ψυχὴ ἐντελέχειά ἐστι σώματος φυσικοῦ ὀργανικοῦ. ἡ δὲ φύσις οὐκ ἂν εἴη σώματος φυσικοῦ. καὶ ἡ μὲν ἄλλων, ἡ δ' ἄλλων κινήσεων ἀρχή. καὶ εἴπερ ἡ μὲν φύσις ἐν ὑποκειμένῳ ἐστὶ τῷ σώματι κατὰ τὸν Ἀριστοτέλη. τὸ γὰρ ἐν ᾧ ἐστι πρώτῳ ὡς ἐν ὑποκειμένῳ εἴρηται. οὐ πᾶσα δὲ ψυχὴ ἐν ὑποκειμένῳ. ὁ γὰρ νοῦς χωριστὸς ὡς αὐτὸς ἐν τῷ περὶ ψυχῆς βοᾷ. κἂν ὁ Ἀλέξανδρος μὴ περὶ τοῦ ψυχικοῦ ἀλλὰ περὶ τοῦ θείου βούληται ἀκούειν, πάνυ ἀπιθάνως ἐκείνους τοὺς λόγους τῇ ἑαυτοῦ περὶ ψυχῆς δόξῃ συναρμόττειν φιλονεικῶν. ἀλλ' ὅτι μὲν ἀρχὴ κινήσεως καὶ ἡ ψυχὴ, καὶ κυριωτέρα τῆς φύσεως ἀρχὴ, καὶ οὐκ ἀρχὴ μόνον ἀλλὰ καὶ πηγὴ, καὶ ἡμεῖς φαμέν. οὐ μέντοι ὡς ἐν ὑποκειμένῳ οὖσα τῷ κινουμένῳ. τὸ δὲ ἐν ὑποκειμένῳ, τῇ φύσει προσεῖναι βούλεται, λέγων, ὑποκείμενον γάρ τι καὶ ἐν ὑποκειμένῳ ἡ φύσις ἐστί. δηλοῖ δὲ τοῦτο τὸ χωριστὰς ἔχειν τὴν ψυχὴν τοῦ σώματος ἐνεργείας. ὡς καὶ Ἀριστοτέλης ἐχρήσατο ἐν τῇ περὶ ψυχῆς, χωριστὴν αὐτὴν τοῦ σώματος καὶ τὴν οὐσίαν ἀποδεικνύς. ποιούμενα δὲ εἶπε τὰ κατὰ τέχνην γινόμενα. διότι ἡ τέχνη ἕξις ἐστὶ μετὰ ἀληθοῦς λόγου ποιητικὴ, ὡς ὡρίσατο αὐτὸς ἐν τοῖς ἠθικοῖς. καὶ ἐν τῷ ἑβδόμῳ δὲ τῆς μετὰ τὰ φυσικὰ λέγει, τὸ μὲν γίνεσθαι κυρίως ἐπὶ τῶν φύσει γινομένων λέγεσθαι, τὰς δὲ ἄλλας ποιήσεις λέγεσθαι. πάντα οὖν τὰ κατὰ τέχνην γινόμενά τε καὶ ποιούμενα, ἢ ἔξωθεν τὸ κινοῦν ἔχει, ἢ εἰ ἐν ἑαυτοῖς κατὰ συμβεβηκός. ἐμφαίνει δὲ ὁ μέγας Συριανὸς, ὅτι ὁ ἀποδοθεὶς οὗτος τῆς φύσεως ὁρισμὸς, πᾶσι σχεδὸν ἁρμόττει τοῖς τῆς φύσεως σημαινομένοις, οἰκείως ἐφ' ἑκάστῳ λαμβανόμενος. ὥσπερ γὰρ τὸ ὄνομα ἡ φύσις ὁμωνύμως κατηγορεῖται ὕλης τε καὶ εἴδους, καὶ τῆς οἷον ἐκ φύσεως, κατὰ τῆς οἷον αἰτίας κατὰ τῶν φυσικῶν σωμάτων κυρίως ταττόμενον, οὕτω καὶ ὁ ὁρισμὸς ἐπὶ μὲν τῆς κυρίως καλουμένης φύσεως αὐτόθεν ἀκούεται. κατὰ ἀναλογίαν δὲ καὶ ἐπὶ τῶν ἄλλων ἀρχῶν. ἀρχαὶ γὰρ κινήσεων καὶ αἱ ἄλλαι φύσεις, ἀλλ' οὐχ ὡσαύτως.

ΦΥΣΙΣ μὲν οὖν ἐστι τὸ ῥηθέν. φύσιν δ' ἔχει, ὅσα τὴν τοιαύτην ἔχει ἀρχήν. καὶ ἔστι ταῦτα πάντα οὐσία. ὑποκείμενον γάρ τι, καὶ ἐν ὑποκειμένῳ ἐστὶν ἡ φύσις ἀεί. κατὰ φύσιν δὲ, ταῦτά τε καὶ ὅσα τούτοις ὑπάρχει καθ' αὑτά. οἷον, τῷ πυρὶ, τὸ φέρεσθαι ἄνω. τοῦτο γὰρ φύσις μὲν οὐκ ἔστιν. οὐδ' ἔχει φύσιν. φύσει δὲ καὶ κατὰ φύσιν ἐστί. τί μὲν οὖν ἐστιν ἡ φύσις, εἴρηται. καὶ τί τὸ φύσει καὶ κατὰ φύσιν.

Ὁρισάμενος τὴν φύσιν, καὶ τὰ ἀσαφῆ τοῦ ὁρισμοῦ διαρθρώσας, ἐπάγει ὅτι φύσιν ἔχει ὅσα τοιαύτην ἔχει ἀρχήν. καίτοι τὰ φύσιν ἔχοντα ἐκ τῆς ἐνεργείας ὑποδείξας, ἐκ τούτων τί ποτε ἐστὶν ἡ φύσις συνήγαγε. πῶς οὖν πάλιν ὡς ἑπόμενον τὸ τοιοῦτόν τι εἶναι τὴν φύσιν, ἐπάγει τὸ φύσιν ταῦτα ἔχειν ὅσα τοιαύτην ἔχει ἀρχήν. ἢ τοῦτο οὐχ ὡς ἀπόδειξιν ἐπήγαγεν. ἀλλ' ὡς ἐναργὲς μὲν παρεί-

ληπται. χρείαν δὲ παρέχεται αὐτῷ νῦν ἀναληφθεῖσα. ἢ πρὸς τὸ διορίσαι τί τὸ φύσιν ἔχειν, καὶ τί τὸ κατὰ φύσιν, ὅπερ ἐφεξῆς ποιεῖ. πρὸς τὸ συναγαγεῖν ὅτι τὸ φυσικὸν πᾶν οὐσία ἐστὶ σύνθετος, ἔχουσα μέν τι ὑποκείμενον τὸ ἐν ᾧ ἐστιν ἡ φύσις. εἴπερ ἡ φύσις ἀρχὴ καὶ αἰτία ἐστὶ τοῦ ἐν ᾧ ἐστι καθ' αὑτό. ἔχουσα δὲ καὶ ἐν ὑποκειμένῳ τι τὴν φύσιν αὐτήν. διὸ ὡς ἀκόλουθον τούτοις ἐπάγει, τὸ συνθέτου ὄντος τοῦ φυσικοῦ, τινὰς μὲν τὸ ὑποκείμενον λέγειν τὴν φύσιν, ἐξ οὗ γίνεται τὰ γινόμενα ἐνυπάρχοντος, τινὰς δὲ τὸ εἶδος. καὶ διαιτᾷ τοῖς λόγοις ἀμφοτέροις. δείξει δὲ τὸ φύσιν ἔχον καὶ τὸ κατὰ φύσιν, εἰπὼν τὸ φύσιν ἔχον οὐσίαν εἶναι σύνθετον, ἐξ ὑποκειμένου τοῦ ἔχοντος καὶ τῆς ἐν ἐκείνῳ φύσεως. τὸ γὰρ ἔχον φύσιν ὑποκείμενόν τι ἐστί. καὶ ἡ ἐν ὑποκειμένῳ, φύσις. καὶ εἰσὶ πάντα ταῦτα τὰ ἔχοντα φύσιν, οὐσία. καὶ γὰρ οὐσία μέν πως εἴρηται καὶ ἡ ὕλη καὶ τὸ ὑποκείμενον, ἐν τῷ πρώτῳ. οὐσία δὲ καὶ τὸ ἐν ὑποκειμένῳ, ὅπερ ἐστὶ τὸ εἶδος. κυριωτέρα δὲ οὐσία τὸ συναμφότερον. δεικτικὸν οὖν τοῦ τὰ ἔχοντα φύσιν οὐσίας εἶναι, τὸ ὑποκείμενόν τι εἶναι, καὶ ἐν ὑποκειμένῳ. οὐσίαν δὲ ἑκάτερον εἶναι καὶ μᾶλλον τὸ συναμφότερον. ἢ τὸ καὶ ταῦτα πάντα οὐσία ἀκουστέον, ὅτι καὶ τὸ ἔχον φύσιν τουτέστι τὸ ὑποκείμενον, οὐσία ἐστὶ, καὶ ἡ φύσις οὐσία. καὶ πολὺ πλέον δηλονότι τὸ συναμφότερον οὐσία. ἔστι γὰρ ὑποκείμενόν τι καὶ ἐν ὑποκειμένῳ. ἢ εἰπὼν ὅτι εἰσὶ ταῦτα πάντα οὐσία, τουτέστι τό, τε ὑποκείμενον καὶ τὸ ἐν ὑποκειμένῳ, τοῦτο δείκνυσι διὰ μέσης τῆς φύσεως, λέγων ὅτι ἡ φύσις ὑποκείμενόν τι καὶ ἐν ὑποκειμένῳ ἐστὶν ἀεί. εἰ οὖν ἡ φύσις οὐσία, τὸ δὲ ὑποκείμενον φύσις, καὶ τὸ ἐν ὑποκειμένῳ φύσις, τουτέστιν ἡ ὕλη καὶ τὸ εἶδος, οὐσία ἂν εἴη ταῦτα πάντα. καὶ ταύτῃ δοκεῖ τῇ ἐννοίᾳ συνᾴδειν καὶ τὸ μετ' ὀλίγον ζητούμενον. πότερον ἡ ὕλη καὶ τὸ ὑποκείμενόν ἐστιν ἡ φύσις, ἢ τὸ εἶδος καὶ τὸ ἐν ὑποκειμένῳ. ἀμείνων δὲ ἡ προτέρα ἐξήγησις, καὶ διὰ τὰ ἐφεξῆς ἐπαγόμενα. καὶ ὅτι οὐκ ἂν τὸ ὑποκείμενον καὶ τὸ ἐν ὑποκειμένῳ δύο ὄντα, πάντα ὁ ἀριστοτέλης ἐκάλει. ὅς γε ἐν τῇ περὶ οὐρανοῦ τάδε γέγραφε. τὰ γὰρ δύο ἄμφω μὲν λέγομεν, καὶ τοὺς δύο ἀμφοτέρους. πάντας δὲ οὐ λέγομεν. ἀλλὰ καὶ τῶν τριῶν ταύτην τὴν κατηγορίαν φαμὲν πρῶτον. διὸ καὶ τὰς λοιπὰς ἐξηγήσεις τοῦ ἀλεξάνδρου εἰς τοῦτον τὸν νοῦν τεινούσας παρατρέχω. πάντα οὖν τὰ ἔχοντα φύσιν, οὐσία. διότι ὑποκείμενόν τι ἔχει, καὶ ἐν ὑποκειμένῳ τὸ ἐχόμενον, τουτέστιν ἡ φύσις. ταυτὸν δὲ εἰπεῖν, ὕλη ἐστὶ καὶ εἶδος, ὅπερ ἐστὶν ἡ κυρίως οὐσία. σημειοῦται δὲ ὁ ἀλέξανδρος, ὅτι καὶ τὸ εἶδος καὶ τὴν φύσιν, καίτοι οὐσίας εἶναι βουλόμενος, ἐν ὑποκειμένῳ λέγει, ἐν κατηγορίαις εἰπὼν μηδεμίαν οὐσίαν ἐν ὑποκειμένῳ εἶναι. καὶ παραμυθεῖται τὴν ἔνστασιν λέγων, ἤτοι τῶν ἐκεῖ εἰρημένων οὐσιῶν μηδεμίαν ἐν ὑποκειμένῳ εἰρῆσθαι. οὐ γὰρ περὶ τῆς κατὰ τὸ εἶδος οὐσίας τὸν λόγον πεποίηται ἐκεῖ, ἀλλὰ περὶ τῆς συναμφοτέρου. ἤ τινι μὴ δὲ ἐναντίον εἶναι φησίν. ἢ οὐ τὸ κυρίως λεγόμενον ἐν ὑποκειμένῳ νῦν λέγει. οὗ ἐν κατηγορίαις ἐμνημόνευσεν. ἀλλὰ τὸ ὑποκειμένου τινὸς πρὸς τὸ εἶναι χρῇζον, ἐν ὑποκειμένῳ νῦν λέγει. ὥσπερ ἐν πολλοῖς πάλιν τὸ συμβεβηκὸς καθ' ὑποκειμένου. τοιαῦτα οὖν εἰπὼν τὰ ἔχοντα φύσιν, ἐπάγει λοιπὸν τίνα τὰ κατὰ φύσιν ἐστὶ. καὶ ὅτι ἐπιπλέον ἐστὶ τῶν φύσιν ἐχόντων. καὶ γὰρ καὶ τὰ ἔχοντα φύσιν κατὰ φύσιν λέγεται, ὡς κατὰ τὴν ἐν αὐτοῖς φύσιν χαρακτηριζόμενα, καὶ ὄντα ἅπερ λέγεται. οὐ μόνον δὲ ταῦτα κατὰ φύσιν εἶναι λέγεται, ἀλλὰ καὶ ὅσα τούτοις ὑπάρχει καθ' αὑτό. καὶ γὰρ τὸ πῦρ φύσιν ἔχει ἐν ἑαυτῷ, ἀρχὴν ἔχον καὶ αἰτίαν τῆς ἐπὶ τὸ ἄνω κινήσεως. κατὰ φύσιν δέ ἐστι καὶ φύσει τῷ πυρὶ ἡ ἄνω φορά. καὶ οὐκέτι φύσιν ἔχει τὸ φέρεσθαι ἄνω. οὐδὲ ἔστι τοῦτο φύσις. οὐδὲ γὰρ οὐσία, ἀλλὰ δύναμις καὶ ἐνέργεια, κατὰ τὸν τῆς φύσεως λόγον ὑπάρχουσα τῷ πυρὶ, καὶ οὕτω λεγομένη κατὰ φύσιν. καὶ φύσει δὲ τὸ αὐτὸ λέγεται. διὰ γὰρ τὴν ἑαυτοῦ φύσιν καὶ τὸ πεφυκέναι οὕτως, ἔχει τὴν τοιαύτην δύναμιν καὶ ἐνέργειαν. καὶ τῷ μὲν πυρὶ τὸ φέρεσθαι ἄνω καὶ φύσει καὶ κατὰ φύσιν ἐστίν. οὐ μέντοι ταυτόν ἐστι τὸ φύσει καὶ τὸ κατὰ φύσιν. ἀλλ' ἐπιπλέον ἐστὶ τὸ φύσει τοῦ κατὰ φύσιν. καὶ γὰρ κατὰ φύσιν λέγομεν εἶναι, τῶν φύσει, τὰ τὴν οἰκείαν ἔχοντα τελειότητα. ἔστι δὲ τινὰ φύσει μὲν, ὡς κατὰ φύσεως ἐνέργειαν γινόμενα, οὐ μέντοι κατὰ φύσιν. ὥς ἐστι τὰ ἐκ γενετῆς πηρώματα, καὶ ὅλως τὰ ἐν τῇ στερήσει. καὶ γὰρ ταῦτα τῷ πεφυκέναι τοιαῦτα ἐστί. διότι ἡ στέρησις ἀπουσία ἐστὶν ἐν τῷ πεφυκότι. καὶ τὸ μὲν φύσει ῥηθείη ἂν ἐπὶ παντὸς τοῦ παρακολουθοῦντος καὶ συμβαίνοντος τῇ φυσικῇ οὐσίᾳ, καθὸ τοιαύτη. οἷον καὶ τὸ κεχρῶσθαι τῷ σώματι, καὶ τὸ νοσεῖν. τὸ δὲ κατὰ φύσιν, ἐπὶ μόνου λέγεται τοῦ κατὰ τὸ βούλημα τῆς φύσεως ἀποβαίνοντος. διὸ κατὰ φύσιν μὲν τὸ ὑγιαίνειν λέγομεν. τὸ δὲ νοσεῖν φύσει προσεῖναι παρὰ φύσιν ὄν. ὅταν οὖν λέγῃ ὁ ἀριστοτέλης, ὅτι φύσει καὶ κατὰ φύσιν ἐστίν, οὐχ ὅτι ταυτόν ἐστι ταῦτα λέγει. ἀλλ' ὅτι ἐπὶ τοῦ πυρὸς τὸ ἄνω φέρεσθαι αὐτῷ φύσει καὶ κατὰ φύσιν ἐστίν.

ΩΣ Δ' ἔστιν ἡ φύσις πειρᾶσθαι δεικνύναι, γελοῖον. φανερὸν γὰρ ὅτι τοιαῦτα τῶν ὄντων ἐστὶ πολλά. τὸ δὲ δεικνύναι τὰ φανερὰ διὰ τῶν ἀφανῶν, οὐ δυναμένου κρίνειν ἐστὶ τὸ δι' αὑτὸ, καὶ μὴ δι' αὑτὸ, γνώριμον. ὅτι δ' ἐνδέχεται τοῦτο πάσχειν, οὐκ ἄδηλον. συλλογίσαιτο γὰρ ἄν τις ἐκ γενετῆς ὢν τυφλὸς, περὶ χρωμάτων. ὥστε ἀνάγκη τοῖς τοιούτοις, περὶ τῶν ὀνομάτων εἶναι τὸν λόγον. μηδὲν δὲ νοεῖν.

Ἐπειδὴ πρὸ τοῦ τί ἐστι προβλήματος, ἔστι τὸ ζητεῖν εἰ ἔστιν ὅλως, τὸ περὶ οὗ ἡ ζήτησις, ὡς ἐν τῷ δευτέρῳ διδάσκει τῶν ὑστέρων ἀναλυτικῶν, μὴ γὰρ ὄντος ὅλως τοῦ προβληθέντος, ζητεῖν τί ἐστι περὶ τῆς ἂν εἴη σχολῆς, οὐδὲ γὰρ ἂν εἴη τοῦ μὴ ὄντος ὁρισμός, ἐπειδὴ οὖν τοῦτο οὕτως ἔχει, αὐτὸς δὲ μὴ δείξας ὅτι ἔστιν ἡ φύσις τὸν ὁρισμὸν αὐτῆς παραδέδωκεν, ὅτι εὐλόγως παρῆκε τὸ εἰ ἔστι διδάσκει. τὰ γὰρ ἐναργῆ τὴν ὑπόστασιν ἔχοντα, οὐ δεῖται τῆς τοῦ ὅτι ἐστὶν ἀποδείξεως. ὡς καὶ τοῦτο αὐτὸς ἐν τῷ δευτέρῳ τῶν ὑστέρων ἀναλυτικῶν ἔτι μέμνημαι διωρίσατο. φανεροῦ οὖν ὄντος φησὶν ἐκ τῆς ἐναργείας τοῦ εἶναι τινὰ ἔχοντα ἐν ἑαυτοῖς ἀρχὴν κινήσεως, ὅπερ ἐστὶν ἡ φύσις, τὸ πειρᾶσθαι δεικνύναι ὅτι ἔστιν ἡ φύσις, γελοῖον. τὸν γὰρ τὸ φανερὸν βουλόμενον ἀποδεῖξαι, ἀναγκασθῆναι πρὸς πίστιν ἀγνωστότερόν τι λαβεῖν τοῦ δεικνυμένου, πρῶτον μὲν ἀγνοοῦντος ἐστὶ τὸν τῆς ἀποδείξεως τρόπον, ὅτι πᾶσα διδασκαλία καὶ πᾶσα μάθησις ἐκ προϋπαρχούσης γίνεται γνώσεως, ὡς αὐτὸς διδάσκει. ἔπειτα μὴ δυναμένου κρίνειν ἐστὶ τὸ δι' αὑτὸ καὶ μὴ δι' αὑτὸ γνώριμον, καὶ διὰ τοῦτο τὴν φύσιν δι' αὑτὸ γνώριμον οὖσαν, ὡς μὴ δι' αὑτὸ γνώριμον οὖσαν δι' ἄλλων ἀποδεικνύναι σπουδάζοντος. καὶ τὸ χεῖρον, εἰ δι' ἀγνωστοτέρων, ὅπερ συμβαίνει πάσχειν ἐπὶ τῶν λίαν φανερῶν. καὶ ἀναιρεῖ δὲ τελέως ἀπόδειξιν, ὁ βουλόμενος εἰς ἅπαντα ἀποδείξει χρῆσθαι. εἰ γὰρ δεῖ μὲν ἀρχὴν ἀποδείξεως εἶναι τὸ ἐναργές, ὁ τὰ ἐναργῆ νομίζων ἀποδείξεως δεῖσθαι, οὐκέτι συγχωρεῖ ἐναργές εἶναί τι. οὐδὲ ἀρχὴν ἀποδείξεως ἀπολιμπάνει. ὥστε οὐδὲ ἀπόδειξιν. ὅτι δὲ τὸ τὰ φανερὰ διὰ τῶν ἀφανῶν πειρᾶσθαι δεικνύναι, συμβαίνει τοῖς τὸ κριτήριον τῶν φανερῶν ἀπολέσασι, τὸν τυφλὸν ποιεῖται μάρτυρα τὸν περὶ τῶν χρωμάτων συλλογιζόμενον. φανερῶν γὰρ ὄντων καὶ αὐτοπίστων τῶν χρωμάτων τοῖς δυναμένοις ὁρᾶν, ὁ τὴν ὁρατικὴν δύναμιν ἀπολέσας τὴν τὸ φανερὸν τῶν χρωμάτων κρίνουσαν, εἶτα συλλογιζόμενος περὶ χρωμάτων, καὶ ἀγνωστοτέροις χρήσεται πρὸς πίστιν ἅτε τὸ φανερὸν ἀγνοῶν, καὶ περὶ ὀνομάτων ποιήσεται τὸν λόγον μηδὲν νοῶν. ἐξ ὧν γὰρ ἀκούει, ἀλλ' οὐκ ἐξ ὧν συναισθάνεται, ποιεῖται τὸν συλλογισμόν, ἅτε τὴν σύστοιχον τῶν αἰσθητῶν γνῶσιν ἀπολέσας. ἧς χωρὶς οὐδὲ ὁ λογισμός τι περὶ χρωμάτων νοεῖν δυνήσεται. οὕτω δὴ καὶ ὁ τὰ φανερὰ πειρώμενος ἀποδεικνύναι, ἀγνοεῖ τὴν φύσιν τῶν ἐξ αὑτῶν γνωρίμων, τῷ μὴ ἔχειν τὴν δύναμιν ᾗ ταῦτα κρίνεται. τοῦτο δέ ἐστιν ὁ νοῦς. νοῦς γάρ ἐστι φησὶν, ᾧ τοὺς ὅρους τῶν προτάσεων γνωρίζομεν, αὐτοπίστους ὄντας καὶ φανεροὺς καὶ ἁπλοῦς. τάχα δὲ καὶ τοὺς ὁρισμοὺς φανεροὺς ὀφείλοντας εἶναι, καὶ αὐτοπίστους καὶ ἄνευ συλλογισμοῦ γνωρίμους, ὡς ἐξ ἐναργοῦς διαιρέσεως εἰλημμένους, ὁ νοῦς ἐστιν ὁ γνωρίζων. καὶ τὰ προβλήματα δὲ τὰ δι' ἑαυτὰ φανερὰ, καὶ ὅσα τοιαῦτα, οἷον ὅροι τινές εἰσιν οὐ δεόμενοι τινὸς ἄλλου, δι' οὗ ἀποδειχθήσονται. ὥσπερ αἱ ἀμφίβολοι προτάσεις. συλλογίσαιτο δὲ ἂν περὶ χρωμάτων ὁ ἐκ γενετῆς τυφλὸς, ἐξ ὧν ἀκούει, ἀλλ' οὐκ ἐξ ὧν συναισθάνεται, ὅτι τὸ φαιὸν σύμμετρόν ἐστι τῇ ὄψει, λέγων ὅτι τὸ φαιὸν σύγκειται ἐκ διακριτικοῦ τοῦ λευκοῦ, καὶ συγκριτικοῦ τοῦ μέλανος, τὸ δὲ τοιοῦτον σύμμετρον τῇ ὄψει. καί τοι οὔτε διακρίνοντος οὔτε συγκρίνοντος, οὔτε συμμέτρως ἔχοντος τινὸς πρὸς αὐτὴν συναισθάνεται. ἀλλ' ὀνόματα μόνον προφέρει. ἐπιστῆσαι δὲ χρὴ ἐκ τῶν εἰρημένων, ὅτι εἰκότως καὶ παρῆκε τὴν τοῦ εἰ ἔστι ζήτησιν, καὶ τὴν αἰτίαν τῆς παραλείψεως οὐκ ἐξ ἀρχῆς ἀλλὰ νῦν εἶπεν, ὅτε τί ἐστι φανερὰν οὖσαν αὐτὴν ἀπέδειξε. καὶ γὰρ πάντα τὰ σώματα πρὸς τὸ κινεῖσθαι πέφυκεν.

ΔΟΚΕΙ δὲ ἡ φύσις καὶ ἡ οὐσία ἡ τῶν φύσει ὄντων, ἐνίοις. εἶναι τὸ πρῶτον ὑποκείμενον ἑκάστῳ ἀρρύθμιστον καθ' ἑαυτό. οἷον, κλίνης φύσις τὸ ξύλον. ἀνδριάντος δ' ὁ χαλκός. σημεῖον δέ φησιν Ἀντιφῶν, ὅτι εἴ τις κατορύξειε κλίνην. καὶ λάβοι δύναμιν ἡ σηπεδὼν ὥστε ἀνεῖναι βλαστὸν, οὐκ ἂν γενέσθαι κλίνην. ἀλλὰ ξύλον. ὡς τὸ μὲν κατὰ συμβεβηκὸς ὑπάρχον, τὴν κατὰ νόμον διάθεσιν, καὶ τὴν τέχνην. τὴν δ' οὐσίαν οὖσαν ἐκείνην ἣ καὶ διαμένει ταῦτα πάσχουσα συνεχῶς. εἰ δὲ καὶ τούτων ἕκαστον πρὸς ἕτερόν τι, ταὐτὸ τοῦτο πέπονθεν, οἷον ὁ μὲν χαλκὸς καὶ ὁ χρυσὸς πρὸς ὕδωρ, τὰ δ' ὀστᾶ καὶ ξύλα πρὸς γῆν, ὁμοίως δὲ καὶ τῶν ἄλλων ὁτιοῦν ἐκεῖνα τὴν φύσιν εἶναι καὶ τὴν οὐσίαν αὐτῶν. διόπερ οἱ μὲν γῆν. οἱ δὲ πῦρ. οἱ δ' ἀέρα φασίν, οἱ δὲ ὕδωρ. οἱ δ' ἔνια τούτων. οἱ δὲ πάντα ταῦτα τὴν φύσιν εἶναι τὴν τῶν ὄντων. ὃ γάρ τις αὐτῶν ὑπέλαβε τοιοῦτον, εἴτε ἓν εἴτε πλείω, τοῦτο καὶ τοσαῦτά φασιν εἶναι τὴν ἅπασαν οὐσίαν. τὰ δὲ ἄλλα πάντα πάθη τούτων καὶ ἕξεις καὶ διαθέσεις. καὶ τούτων μὲν, ὁτιοῦν εἶναι ἀΐδιον. οὐ γὰρ εἶναι μεταβολὴν αὐτοῖς ἐξ αὐτῶν. τὰ δ' ἄλλα γίνεσθαι καὶ φθείρεσθαι, ἀπειράκις.

Εἰπὼν πρότερον, ὅτι τὰ φύσιν ἔχοντα οὐσίαι εἰσὶ, διότι ὑποκείμενόν τι ἐστὶ τὸ ἔχον, καὶ ἐν ὑποκειμένῳ ἡ φύσις ἡ ἐχομένη, ἢ διότι ἡ φύσις ὑποκείμενόν τι ἐστὶ καὶ ἐν ὑποκειμένῳ, ὡς ἤκουε κατὰ μίαν ἐξήγησιν ὁ Ἀλέξανδρος, εἰκότως τὰς δόξας παρατίθεται, τῶν τε τὴν φύσιν τὸ ὑποκείμενον λεγόντων, καὶ τῶν τὸ ἐν ὑποκειμένῳ. καὶ τὰς κατασκευὰς τὰς ἑκατέρων τοῦ οἰκείου λόγου προτίθησι. καὶ οὕτως αὐτῶν τὴν ἐπίκρισιν ποιεῖται. ἅμα δὲ καὶ τὰ σημαινόμενα τῆς φύσεως πολλαχῶς λεγομένης παραδίδωσιν. ὡς καὶ αὐτὸς ἐπὶ τέλει τοῦ λόγου πεποίηκε δῆλον, λέγων, ἐπεὶ δὲ διώρισαι ποσαχῶς ἡ φύσις λέγεται καὶ ἐγὼ κατ' ἐκεῖνο τὸ χωρίον ἐπιστήσω. εἰπὼν δὲ δοκεῖ ἡ φύσις, ἐπήγαγε καὶ ἡ οὐσία

τῶν φύσει ὄντων. διότι τῶν φύσει ὄντων τὸ εἶναι καὶ ἡ οὐσία κατὰ τὴν φύσιν ἐστὶ, πρῶτον δὲ λέγει,
περὶ τῶν τὴν ὕλην φύσιν ἑκάστου νομιζόντων. ὅπερ ἐστὶ τὸ πρῶτον ἐν ἑκάστῳ ἀρρύθμιστον καθ᾽ αὑτό.
οἷον κλίνης φύσις τὸ ξύλον, ἀνδριάντος δὲ ὁ χαλκός. πρῶτον δὲ ἀρρύθμιστον εἶπε, διότι ἐν ἑκάστῳ τῶν
συνθέτων πλείονα πολλάκις ἐστὶν, ὑποκείμενον ἔχοντα λόγον. ὡς ἐν τοῖς τῶν ζώων σώμασι, προσε-
χῶς μὲν τῷ ὅλῳ εἶδει ὑπόκειται τὰ ὀργανικὰ, ἐκείνοις δὲ τὰ ὁμοιομερῆ. καὶ ἐκείνοις τὰ τέσσαρα κα-
λούμενα στοιχεῖα. καὶ ἐκείνοις ἡ πρώτη ὕλη. ἥπερ ἐστὶ τὸ πρῶτον ἀρρύθμιστον καθ᾽ αὑτό. τὰ μὲν γὰρ
ἄλλα πρός τι ἀρρύθμιστά ἐστιν, ἔχοντα οἰκεῖα εἴδη. οἷον τὰ ὀργανικὰ, ἢ τὰ ὁμοιομερῆ, ἢ τὰ στοιχεῖα.
πρὸς γὰρ τὸ ἐπιγινόμενον ἐκείνοις εἶδος. ἡ δὲ πρώτη ὕλη καθ᾽ αὑτὸ ἀρρύθμιστός ἐστιν. ἀνδριάντος μὲν
γὰρ ὕλη χαλκὸς, καὶ κλίνης ξύλον, εἰδοπεποιημένα ὄντα καὶ πρός τι ἀρρύθμιστα. ἡ δὲ κοινὴ πάντων
ὕλη καθ᾽ αὑτὸ ἀρρύθμιστος. καὶ ὁ χαλκὸς δὲ καὶ τὸ ξύλον ἀναλογίαν ἔχουσι πρὸς τὴν πρώτην ὕλην.
ὡς γὰρ ταῦτα πρὸς ἀνδριάντα καὶ κλίνην, οὕτως ἐκείνη πρὸς πάντα τὰ εἰδοπεποιημένα. τοῦτο
οὖν τὸ πρῶτον καθ᾽ αὑτὸ ὑπάρχον ἐν ἑκάστῳ ἀρρύθμιστον, τὴν πρώτην καὶ κοινὴν φύσιν εἶναι φασὶν,
ὥσπερ τὸ προσεχὲς τὴν προσεχῆ. οἷον ἀνδριάντος μὲν χαλκὸς, κλίνης δὲ ξύλον. σημεῖον δὲ τοῦ τὸ ὑπο-
κείμενον ἀλλ᾽ οὐ τὸ εἶδος εἶναι τὴν φύσιν, ὃ Ἀντιφῶν ὁ σοφιστὴς ἐποιεῖτο, τὸ φύσιν μὲν εἶναι τὴν φύου-
σαν ἤτοι τὴν ἔκφυσιν, καὶ διανάστασιν οὖσαν εἰς κίνησιν, καὶ τοῦ ὁμοίου ἀπογέννησιν. ἐπὶ δὲ τῶν τεχνη-
τῶν, εἴ τις κατορύξειε κλίνην, καὶ λάβοι δύναμιν ἡ σηπεδὼν, ὥστε ἀνεῖναι βλαστὸν, οὐκ ἂν γενέσθαι
κλίνην, ἀλλὰ ξύλον. τοῦτο δὲ συμβαίνει, διότι τὸ μὲν εἶδος καὶ τὸ κατὰ τρόπον καὶ κατὰ νόμον, του-
τέστι τὸ κατὰ τὰς τέχνας νενομισμένον, καὶ πρὸς τὸ κατὰ φύσιν ἀντιδιαστελλόμενον, ὡς κατὰ συν-
θήκην ὂν, κατὰ συμβεβηκὸς ὑπάρχον, γίνεται καὶ ἀπογίνεται. ἡ δὲ ὕλη παραμένει. διότι οὐσία καὶ
φύσις ἐστὶν αὕτη τοῦ πράγματος. οὐσίας γὰρ ἴδιον τὸ ἐπιμένειν. τῶν δὲ φυσικῶν, καὶ κατὰ φύσιν
ἐστὶν ἡ οὐσία. ὥστε καὶ συλλογίσαιτο ἂν οὕτως. ἡ ὕλη καὶ τὸ ὑποκείμενον, τὸ παραμένον καὶ ἀναφύον
ἐν τοῖς φυσικοῖς ἐστι. τὸ τοιοῦτον, οὐσία τῶν φυσικῶν ἐστιν. ἡ οὐσία τῶν φυσικῶν ἡ φύσις ἐστίν. ἡ ἄρα ὕ-
λη ἡ φύσις ἐστὶν ἐν τοῖς φυσικοῖς. ὥστε καὶ ἡ φύσις ὕλη. ἀντιστρέφουσι γὰρ οἱ ὁρισμοί. ἐπεὶ δὲ τῶν
προσεχῶν ὑποκειμένων ἕκαστον εἶδος ἔχει τι ὑποκείμενον, εἰκότως προσέθηκεν, εἰ δὲ καὶ τούτων ἕκα-
στον πρὸς ἕτερόν τι ὑποκείμενον αὐτῷ ταὐτὸν πέπονθεν, ὥστε τὸ μὲν εἶδος μεταβάλλειν, τὸ δὲ ὑπο-
κείμενον μένειν, οἷον εἰ ὁ μὲν χαλκὸς καὶ ὁ χρυσὸς πρὸς ὕδωρ τοῦτο πέπονθε, τὰ δὲ ὀστᾶ καὶ ξύλα πρὸς
γῆν, καὶ τῶν ἄλλων ὁτιοῦν πρὸς τὸ ἐν αὐτῷ ὑποκείμενον, τὸ ὑποκείμενον ἂν εἴη ἡ φύσις καὶ ἡ οὐσία
αὐτῶν. καὶ διὰ τοῦτο ὅπερ ἕκαστος ὑπέθετο τὸ πρῶτον ὑποκείμενον, εἴτε ἓν εἴτε πλείω, τοῦτο τὴν φύ-
σιν καὶ τὴν οὐσίαν εἶναι τούτων ἐνόμισεν. ὥστε ὁ μὲν Ἀντιφῶν κοινῶς ἐῴκει λέγειν τὸ ὑποκείμενον τὴν
φύσιν. τῶν δὲ ἄλλων ἕκαστος ὅπερ ἔλεγε πρῶτον ὑποκείμενον, τοῦτο καὶ φύσιν ἐκάλει τῶν ὄντων, εἴ-
τε ἓν ἦν τοῦτο, ὥσπερ Θαλῆς μὲν ὕδωρ ἔλεγεν, Ἀναξιμένης δὲ ἀέρα, Ἡράκλειτος δὲ πῦρ, εἴτε πλείο-
να, ὡς Παρμενίδης πῦρ καὶ γῆν, εἴτε τὰ τέσσαρα, ὡς Ἐμπεδοκλῆς. γῆν δὲ μόνην οὐδεὶς εἶπεν, ἀλλὰ
τῇ συνεκδρομῇ τῶν ἄλλων καὶ ταύτην τέθεικεν ὁ Ἀριστοτέλης. τὰ δὲ περὶ τὸ ὑποκείμενον, οἷον γε-
νέσεις καὶ φθορὰς καὶ ἀλλοιώσεις, οὐκέτι φύσεις ἔλεγον. οὐδὲ γὰρ οὐσίας, ἀλλὰ συμβεβηκότα καὶ
πάθη τῆς οὐσίας. ὧν τὰ μὲν εὐαπόβλητα, διαθέσεις ἐκάλουν. τὰ δὲ μόνιμα, ἕξεις. καὶ τὸ μὲν ὑπο-
κείμενον ὅπερ ἄν τις ὑπέθετο, ἀΐδιον ἔλεγον. εἰ γὰρ ἡ φθορὰ μεταβολή ἐστιν ἔκ τινος εἴς τι, περὶ ὑπο-
κείμενον γινομένη, οὐκ ἂν ἐκ τῆς ἑαυτοῦ φύσεως μεταβάλλοι τὸ ὑποκείμενον. ὥστε οὐκ ἂν ὑπομένοι
φθοράν, ἀλλ᾽ ἀΐδιόν ἐστιν. εἰ καὶ φθείρεται δὲ, τὰ μεταβάλλειν δυνάμενα φθείρεται. ταῦτα δέ ἐστι
τὰ πάθη περὶ τὸ ὑποκείμενον μεταβάλλοντα. ἅπερ οὐκέτι φύσεις καλοῦνται. καὶ ἔστι καὶ τοῦτο κα-
τασκευαστικὸν τοῦ τὴν ὕλην εἶναι τὴν φύσιν. εἴ γε ταύτην ἀΐδιον καὶ ἀμετάβλητον πάντες ὑποτίθεν-
ται. τὴν γὰρ φύσιν καὶ οὐσίαν τῶν πάντων τὸ μόνιμον ἔχειν προσήκει. αὕτη μὲν οὖν ἡ πᾶσα τῶν εἰ-
ρημένων ἔννοια. τινὲς δὲ ἀντὶ τοῦ κατὰ νόμον διάθεσιν τὴν κατὰ ῥυθμὸν γράφουσι. καὶ ἔστι τοῦτο γνω-
ριμώτερον. ῥυθμὸς γὰρ ἡ μορφὴ λέγεται.

ΕΝΑ μὲν οὖν τρόπον ἡ φύσις οὕτως λέγεται. ἡ πρώτη ἑκάστῳ ὑποκειμένη ὕλη τῶν ἐχόντων ἐν ἑαυ-
τοῖς ἀρχὴν κινήσεως καὶ μεταβολῆς.

Ε ἰπὼν καθ᾽ ἕνα τρόπον λέγεσθαι τὴν φύσιν, τὴν πρώτην ἐν ἑκάστῳ ὑποκειμένην ὕλην, προσέθηκε τῶν
ἐχόντων ἐν αὑτοῖς ἀρχὴν κινήσεως καὶ μεταβολῆς. ἔστι γὰρ καὶ ἐν τοῖς τεχνητοῖς καθὸ τεχνητὰ,
πρώτη τις ὑποκειμένη ὕλη. οἷον τῷ ἀνδριάντι ὁ χαλκὸς, ἢ τῇ οἰκίᾳ λίθοι καὶ ξύλα. ἀλλὰ ταῦτα
καθὸ τεχνητοῖς ὑπόκειται. καὶ οὐκ ἂν εἴη φύσις. ἐπειδὴ οὐδὲ φυσικὸν ἀλλὰ τεχνητόν ἐστι τὸ λαμβα-
νόμενον. δεῖ δὲ τὴν φύσιν ἐν τοῖς φυσικοῖς εἶναι. ὥστε ἡ ἐν τοῖς φυσικοῖς ὑποκειμένη ὕλη, καθ᾽ ἕνα τρό-
πον τὸν εἰρημένον εἴη ἂν φύσις, κατὰ τοὺς οὕτως ὑποτιθεμένους. ὅλως δὲ οὐδὲ ὑπόκειται ἐν τοῖς τεχνη-
τοῖς ἡ πρώτη ὕλη, ἣν εἶναι βούλονται τὴν φύσιν. ὥστε οὐδ᾽ ἐν τοῖς φυσικοῖς ἡ τυχοῦσα ὕλη ἐστὶν ἡ
φύσις, ἀλλ᾽ ἡ πρώτη ὑποκειμένη. ταύτην δὲ ἔσχατον ὑποκείμενον καλοῦσιν. ὃ πᾶσιν ὑπόκειται, αὐ-
τὸ μηδὲν ἔχον ὑποκείμενον. καὶ γὰρ ἐν τοῖς ζώοις ὑπόκειται μὲν τὰ ὀργανικὰ, καὶ τὰ ὁμοιομερῆ καὶ
τὰ στοιχεῖα.

τὰ στοιχεῖα. ἀλλ' οὐδὲν τούτων ἐστὶ φύσις κυρίως, ὅτι μηδὲν αὐτῶν πρῶτον ἐστὶν ὑποκείμενον. καὶ ἔστι μὲν καὶ ἐν τοῖς τεχνητοῖς τὸ ἔσχατον ὑποκείμενον ἡ ὕλη. ἀλλ' οὐχ ὡς τεχνητοῖς, ἀλλ' ὡς φυσικοῖς ὑπόκειται αὕτη. διὸ καλῶς εἴρηται φύσις εἶναι, ἡ πρώτη ἐν ἑκάστῳ ὑποκειμένη ὕλη, τῶν ἐχόντων ἐν αὑτοῖς ἀρχὴν κινήσεως, τουτέστιν ἐν ἑκάστῳ τῶν φυσικῶν. καὶ γὰρ αἱ ἐν τοῖς συλλογισμοῖς προτάσεις ὑποκείμεναί εἰσιν ὡς ὕλη. οὐ μὴν φύσεις αὗται, ὅτι μὴ δὲ φυσικὸς ὅλως ὁ συλλογισμός. σωματικὰ γὰρ τὰ φυσικὰ πάντα. ἀλλ' οὐδὲ ἐν ταῖς συλλαβαῖς τὸ πρῶτον ὑποκείμενον, τουτέστι τὰ στοιχεῖα, φύσις ἐστίν. ὥστε οὐδὲ τὸ τυχὸν ἐστὶν ὑποκείμενον ἡ φύσις. ἀλλὰ τὸ πρῶτον. οὐδὲ ἐν τῷ τυχόντι. ἀλλ' ἐν τῷ φυσικῷ.

ἌΛΛΟΝ δὲ τρόπον ἡ μορφὴ καὶ τὸ εἶδος, τὸ κατὰ τὸν λόγον. ὥσπερ γὰρ τέχνη λέγεται τὸ κατὰ τέχνην, καὶ τὸ τεχνικὸν, οὕτω καὶ φύσις τὸ κατὰ φύσιν λέγεται, καὶ τὸ φυσικόν. οὔτε δὲ ἐκεῖνό πως φαῖμεν ἂν ἔχειν κατὰ τὴν τέχνην οὐδὲν, εἰ δυνάμει μόνον ἔστι κλίνη, μήπω δὲ ἔχει τὸ εἶδος τῆς κλίνης, οὐδ' εἶναι τέχνην οὔτε ἐν τοῖς φύσει συνισταμένοις. τὸ γὰρ δυνάμει σὰρξ ἢ ὀστοῦν, οὔτ' ἔχει πω τὴν ἑαυτοῦ φύσιν πρὶν ἢ λάβῃ τὸ εἶδος τὸ κατὰ τὸν λόγον, ὃ ὁριζόμενοι λέγομεν, τί ἐστι σὰρξ, ἢ ὀστοῦν, οὔτε φύσει ἐστίν. ὥστε ἄλλον τρόπον ἡ φύσις ἂν εἴη τῶν ἐχόντων ἐν ἑαυτοῖς κινήσεως ἀρχὴν, ἡ μορφὴ καὶ τὸ εἶδος οὐ χωριστὸν ὂν, ἀλλ' ἢ κατὰ τὸν λόγον.

Συμπληρώσας τὴν ὑπόθεσιν τὴν λέγουσαν φύσιν εἶναι τὸ ὑποκείμενον, καὶ ἀφεὶς ταύτην, μεταβέβηκεν ἐπὶ τὴν τὸ εἶδος λέγουσαν εἶναι φύσιν. τῆς δὲ φύσεως καὶ κοινωνούσης τῇ τέχνῃ κατὰ τὸ εἰδοποιὸν καὶ διαφερούσης καθόσον ἡ φύσις τὸ κατὰ τὴν ὕλην τῆς τέχνης εἶδος ποιεῖ, τῆς μὲν κλίνης τὸ ξύλον, τοῦ δὲ ἀνδριάντος τὸν χαλκὸν, οἱ μὲν τὴν ὕλην εἶναι τὴν φύσιν βουλόμενοι, ἀπὸ τῆς διαφορᾶς ταύτης ἐπεχείρησαν, τὴν κατορυττομένην κλίνην κατὰ τὸ ξύλον ἐμφαίνειν τὴν φύσιν λέγοντες, καὶ οὐ κατὰ τὴν μορφήν. οἱ δὲ τὸ εἶδος, ἀπὸ τῆς εἰδοποιοῦ κοινωνίας τῆς τε φύσεως καὶ τῆς τέχνης, τὴν συνηγορίαν τῆς οἰκείας ἐπιχειρήσεως ἐποιήσαντο ὧδέ πως. ὡς ἐπὶ τῶν κατὰ τέχνην γεγονότων, τέχνη λέγεται τὸ κατὰ τέχνην γεγονὸς καὶ τὸ τεχνικὸν, θαυμαστὴν γὰρ τέχνην τοῦ ἀνδριάντος τὴν μορφὴν αὐτοῦ λέγομεν, οὕτω καὶ ἐπὶ τῶν φύσει καὶ κατὰ φύσιν ὄντων φύσις ἂν εἴη τὸ κατὰ φύσιν τε καὶ φυσικόν. θαυμαστὴν γὰρ εἰ τύχοι καὶ τοῦ ξύλου φύσιν λέγομεν τὴν κατὰ τὸ εἶδος. ἀνάλογον γὰρ ὡς ἡ τέχνη πρὸς τὸ κατὰ τέχνην, οὕτως ἡ φύσις ἔχει πρὸς τὸ κατὰ φύσιν. καὶ ἐναλλὰξ φασὶ γεωμετρῶν παῖδες. ἔν τε γὰρ τῷ κατὰ τέχνην ὄντι ἡ τέχνη. καὶ ἐν τῷ κατὰ φύσιν ὄντι ἡ φύσις. ἀλλὰ μὴν ἐν τοῖς κατὰ τέχνην οὔπω κατὰ τέχνην λέγεται, τὸ μηδέπω τὸ εἶδος ἀπολαβὸν, ἀλλ' ἔτι δυνάμει μόνον ὄν. διὸ οὐδὲ ἔστιν ἐν αὐτῷ τέχνη. ἡ γὰρ τέχνη ἐν τῷ εἴδει. οὐ γὰρ ὁ χαλκὸς ἡ τέχνη τοῦ ἀνδριάντος, ἀλλὰ τὸ εἶδος. οὐδὲ ἄρα ἐν τοῖς φύσει γινομένοις τὸ δυνάμει μόνον ἤδη κατὰ φύσιν ἐστὶν, οὐδὲ ἔχει φύσιν. οὔτε γὰρ ἡ δυνάμει σὰρξ, οὔτε τὸ δυνάμει ὀστοῦν, τῆς σαρκὸς ἢ τοῦ ὀστοῦ φύσιν ἔχει, πρὸ τοῦ τὸ εἶδος λαβεῖν. εἰ οὖν ἐν τῷ τὸ εἶδος λαβεῖν, ἐν τούτῳ ἐστὶ τὸ τὴν αὐτῶν ἔχειν φύσιν, τὸ εἶδος ἂν ἡ φύσις εἴη. καὶ συλλογίσαιο ἂν οὕτως. οὗ τῇ παρουσίᾳ τὰ φύσει ὄντα φύσει ἐστὶ, τοῦτο ἐστὶ φύσις. τῇ δὲ τοῦ εἴδους παρουσίᾳ τὰ φύσει ὄντα φύσει ἐστίν. ἐπεὶ δὲ διττόν ἐστι τὸ εἶδος, τὸ μὲν, κατὰ τὴν μορφὴν, τὸ δὲ, κατὰ τὸν λόγον ὂν, ὁριζόμενοι τί ἐστιν ἕκαστον, ἀποδίδομεν τὸ μὲν κατὰ τὴν μορφὴν μόνην τὸ ἐπιπολῆς σχῆμα καὶ χρῶμα καὶ μέγεθος. τὸ δὲ κατὰ τὸν λόγον, τὸ κατὰ τὸν μονοειδῆ τύπον τοῦ ἀνηλιγμένου ὁρισμοῦ. ὃ καὶ συντρέχει τῷ ὁρισμῷ ὥσπερ καὶ τὸ ὄνομα. τοῦτο δὲ καὶ τὴν μορφὴν περιέχει. τοῦτο οὖν τὸ εἶδος τὸ κατὰ τὸν λόγον, ἤτοι τὴν τοιαύτην μορφὴν εἶναι τὴν φύσιν λέγει. διὸ καὶ προστίθησι τῷ εἴδει τὴν μορφὴν, λέγων ἄλλον δὲ τρόπον ἡ μορφὴ καὶ τὸ εἶδος. καὶ πάλιν ἡ μορφὴ καὶ τὸ εἶδος οὐ χωριστὸν ὄν. καὶ ἐν τῇ τέχνῃ δὲ κατὰ ἄλλον τρόπον ἡ μορφὴ καὶ τὸ εἶδος ταυτόν ἐστιν, ὅτι κατὰ τὴν μορφὴν ὁ τοῦ τεχνήτου λόγος. καὶ ἔστι καὶ τοῦτο δεικτικὸν τοῦ τὴν φύσιν τὸ εἶδος εἶναι. εἰ γὰρ ἡ φύσις ἡ ἑκάστου ἐν τῷ εἶναι ἑκάστου, τὸ δὲ εἶναι ἑκάστου ἐν τῷ κατὰ τὸν λόγον καὶ τὸν ὁρισμὸν εἴδει ἐστὶ, διὸ καὶ ἀντιστρέφουσιν οἱ ὁρισμοὶ πρὸς τὰ ὁριστὰ, ἡ φύσις τὸ εἶδος ἂν εἴη. ὥστε κατὰ μὲν τοὺς προτέρους λόγους ἡ ὕλη ἂν εἴη φύσις τοῖς φυσικοῖς. κατὰ δὲ τὸν νῦν ῥηθέντα, τὸ εἶδος. ὅπερ ἀχώριστόν ἐστι τοῦ ὑποκειμένου, λόγῳ μόνῳ χωρίζεσθαι δυνάμενον ἀπ' αὐτοῦ. χωριστὰ δὲ ταῦτα λέγεται, ὅσα καὶ χωρισθέντα ὧν χωρίζεσθαι λέγονται, μένει τὴν αὐτῶν ἔχοντα φύσιν. ὧν δὲ ὁ χωρισμὸς φθορά ἐστι, ταῦτα οὐκ ἔστι χωριστά. τοιοῦτο δὲ τὸ ἐν τῇ ὕλῃ εἶδος. κατὰ γὰρ τοῦτο τὸ εἶναι τοῖς φυσικοῖς, ἀλλ' οὐχὶ κατὰ τὸ χωριστὸν εἶδος.

ΤΟ δὲ ἐκ τούτων φύσις μὲν, οὐκ ἔστι. φύσει δὲ, οἷον ἄνθρωπος. καὶ μᾶλλον φύσις αὕτη τῆς ὕλης. ἕκαστον γὰρ τότε λέγεται, ὅταν ἐντελεχείᾳ ᾖ μᾶλλον, ἢ ὅταν δυνάμει. ἔτι γίνεται ἄνθρωπος ἐξ ἀνθρώπου. ἀλλ' οὐ κλίνη ἐκ κλίνης. διὸ καί φασιν, οὐ τὸ σχῆμα εἶναι τὴν φύσιν, ἀλλὰ τὸ ξύλον. ὅτι γένοιτ' ἂν εἰ βλαστάνοι, οὐ κλίνη ἀλλὰ ξύλον. εἰ δ' ἄρα τοῦτο τέχνη, καὶ ἡ μορφὴ φύσις. γίνεται γὰρ ἐξ ἀνθρώπου ἄνθρωπος.

Εἰπὼν ὅτι κατά τινα τρόπον ἡ ὕλη φύσις ἂν εἴη, κατὰ ἄλλον δὲ τὸ εἶδος, ἀκολούθως ἐπάγει περὶ τοῦ

συνθέτου, ὅτι τὸ ἐξ ὕλης καὶ εἴδους φύσις μὲν οὐκ ἔστι. φύσις γὰρ ἡ ὕλη καὶ τὸ εἶδος. φύσει δὲ τὸ γὰρ δυνάμει τι ὄν, ὅταν ἐνεργείᾳ γένηται κατὰ φύσιν, φύσιν ἔχει καὶ φύσει ἐστίν. οὐδεὶς γὰρ ἔτι τοῦτο φύσιν λέγει. τὸ γὰρ εἶδος ἔχον ὅπερ ἦν ἡ φύσις, τοῦτο κατὰ φύσιν λέγεται καὶ φύσει. οἷον ὁ ἄνθρωπος ὁ ἐξ ὕλης καὶ εἴδους. οὐ γάρ ἐστι φύσις οὗτος, ἀλλὰ φύσει. εἰπὼν δὲ μεταξὺ περὶ τοῦ συνθέτου, ἐπάγει τὰ λοιπὰ περὶ τοῦ εἴδους, βουλόμενος εἶναι μὲν καὶ τὴν ὕλην φύσιν, εἶναι δὲ καὶ τὸ εἶδος, μᾶλλον δὲ τὸ εἶδος. καὶ τὰς αἰτίας ἐπάγει, δι' ἃς μᾶλλον τὸ εἶδος τῆς ὕλης φύσιν εἶναι βούλεται, κατὰ πολλοὺς τρόπους ἀποδεικνὺς τοῦτο. ὁ μέντοι πορφύριος τὸ κατὰ μᾶλλον αὐτὴ φύσις τῆς ὕλης περὶ τοῦ συνθέτου ἀκούει. ὅπερ κἂν εἰ μὴ φύσις ἐστὶ κυρίως, ἀλλὰ φύσει, ἀλλ' ὅμως μᾶλλον φύσις ἐστὶ τῆς ὕλης, διότι τὸ εἶδος μᾶλλον φύσις ὂν ἐν ἑαυτῷ ἔχει. ἔστι δὲ τὸ πρῶτον ἐπιχείρημα τοιοῦτον. ἡ φύσις αἰτία ἐστὶν ἑκάστῳ τῶν φυσικῶν τοῦ εἶναι τοῦτο ὅπερ λέγεται. τὸ δὲ αἴτιον τοῦ εἶναι ὅπερ λέγεται, ἔστι τὸ αἴτιον τοῦ ἐντελεχείᾳ εἶναι καὶ μὴ μόνον δυνάμει. τὸ δὲ αἴτιον τοῦ ἐνεργείᾳ εἶναι τοῦτο ὅπερ λέγεται, τὸ εἶδος ἐστίν. ἡ φύσις ἄρα τὸ εἶδος ἐστίν. ὁ δὲ ἀλέξανδρος οὕτω συνήγαγε τὸν λόγον. ἕκαστον τῶν ὄντων τότε ἐστὶν ὅ ἐστι, ὅταν ᾖ ἐντελεχείᾳ. ἐντελεχείᾳ δέ ἐστι πᾶν ὅταν τὸ εἶδος ἔχῃ. ἀλλὰ μὴν οὗ παρουσίᾳ τὰ φύσει φύσει ἐστί, τοῦτο ἐστὶ φύσις. τῇ δὲ τοῦ εἴδους παρουσίᾳ τὰ φύσει φύσει ἐστί. τὸ εἶδος ἄρα φύσις. τὸ δὲ μᾶλλον προσθεὶς, ἐδήλωσεν ὅτι καὶ τὰ δυνάμει ὄντα, εἰ καὶ μὴ ὁμοίως τοῖς ἐντελεχείᾳ, ἀλλ' ὅμως λέγεται καὶ αὐτά. ὥς τε καὶ ἡ ὕλη φύσις εἰ καὶ ἧττον τοῦ εἴδους. τὸ δὲ τῆς ἐντελεχείας ὄνομα λέγεται μὲν αὐτοῦ τοῦ ἀριστοτέλους ἴδιον. σημαίνει δὲ τὸ εἶδος τὸ ἐνέργεια ὄν, παρόσον κατὰ τοῦτο ἐστὶν ἡ τοῦ ἐνὸς τέλους ἀπόληψις, ἤτοι ἡ τοῦ ἐν καὶ τέλειον εἶναι ἀπόληψις, ἤτοι ἡ τοῦ ἐντελοῦς συνέχεια, τουτέστιν ἡ κατὰ τὸ ἐντελὲς ἕξις. ἔτι δέ φησιν οἱ τὴν ὕλην ἀλλ' οὐχὶ τὸ εἶδος λέγοντες εἶναι τὴν φύσιν, διὰ τοῦτο λέγουσι, διότι κλίνης κατορυχθείσης, εἰ γένοιτο βλάστησις, οὐ κλίνη ἂν βλαστήσειεν, ἀλλὰ ξύλον ἐκ ξύλου. ἐπεὶ δὲ καὶ ἄνθρωπος ἐξ ἀνθρώπου γίνεται, ἔστι δὲ ὁ ἄνθρωπος ἄνθρωπος κατὰ τὸ εἶδος, εἴη ἂν τὸ εἶδος ἡ φύσις. κἂν μὴ γίνηται οὖν κλίνη ἐκ κλίνης, ἀλλ' ἄνθρωπος ἐξ ἀνθρώπου γίνεται ὥσπερ ξύλον ἐκ ξύλου. καὶ ὅλως τὰ μὲν τεχνητὰ οὐ γίνεται ἐξ ἀλλήλων, τὰ δὲ φυσικὰ γίνεται. καὶ εἴπερ ἄρα, ἐκ τῶν φυσικῶν κανονίζοντα ἐχρῆν τὸ εἶδος λέγειν τὴν φύσιν, ἀλλ' οὐχὶ ἐκ τῶν τεχνητῶν ἀπογινώσκειν. ἡ γὰρ τέχνη οὐ ποιεῖ γόνιμα τῶν ὁμοίων τὰ εἴδη ὥσπερ ἡ φύσις. καὶ γὰρ τὸ ξύλον κἂν ὕλη τῆς κλίνης, ἀλλὰ φυσικὸν εἶδος ἐστί. καὶ κατὰ τοῦτο ἔχει καὶ τοῦτο τὴν τοῦ ὁμοίου γέννησιν. προσαναφωνηθὲν δὲ τὸ οἷον συμπέρασμα, τὸ γίνεται ἄνθρωπος ἐξ ἀνθρώπου, ἀσάφειαν ἐποίησε τῷ λόγῳ. ἔστι δὲ ἡ ἐπιστροφὴ τοῦ λόγου τοιαύτη. γίνεται ἄνθρωπος ἐξ ἀνθρώπου φυσικὸν εἶδος ἐκ φυσικοῦ, οὐ μέντοι τεχνητὸν ἐκ τεχνητοῦ. εἰς ὃ ἀποβλέψαντες ἐκεῖνοι, λέγουσι μὴ εἶναι τὸ εἶδος φύσιν. καίτοι ἔδει μᾶλλον εἰς τὰ φυσικὰ ἀποβλέψαι, τὰ ὅμοια τῷ εἴδει γεννῶντα. καὶ εἴπερ τοῦτο φύσεως ἴδιον, τὸ εἶδος φύσιν λέγειν. εἰ γὰρ τῷ διαμένειν τὴν ὕλην ἐν τῇ τοῦ ξύλου ἀπὸ ξύλου γεννήσει, ἡ ὕλη φύσις αὐτοῖς δοκεῖ, καὶ τῷ διαμένειν τὸ εἶδος φύσις αὐτοῖς δοκείτω τὸ εἶδος. ἐπιστῆσαι δὲ ἄξιον, ὅταν ἄνθρωπος ἐξ ἀνθρώπου γίνηται, εἰ τὸ εἶδος ἐκ τοῦ εἴδους γίνεται, ἀλλὰ μὴ τὸ συναμφότερον ἐκ τοῦ συναμφοτέρου. ἢ διὰ τοῦτο εἶπεν, εἰ δὲ ἄρα τοῦτο, καὶ ἡ μορφὴ φύσις, ὡς ἐν τῷ συνθέτῳ καὶ τῆς μορφῆς γινομένης.

ΕΤΙ δ' ἡ φύσις ἡ λεγομένη ὡς γένεσις, ὁδός ἐστιν εἰς φύσιν. οὐ γὰρ ὥσπερ ἡ ἰάτρευσις λέγεται οὐκ εἰς ἰατρικὴν ὁδὸς, ἀλλ' εἰς ὑγίειαν. ἀνάγκη μὲν γὰρ ἀπὸ ἰατρικῆς, οὐκ εἰς ἰατρικὴν εἶναι τὴν ἰάτρευσιν. οὐχ οὕτω δ' ἡ φύσις ἔχει πρὸς τὴν φύσιν. ἀλλὰ τὸ φυόμενον ἔκ τινος, εἰς τι ἔρχεται ἢ φύεται. εἰς τί οὖν φύεται; οὐχὶ εἰς τὸ ἐξ οὗ, ἀλλ' εἰς τὸ ὅ. ἡ ἄρα μορφὴ, φύσις.

Τρίτον τοῦτο τίθησιν ἐπιχείρημα δεικτικὸν τοῦ τὴν φύσιν τὸ εἶδος εἶναι, πάνυ ἐντρεχῶς προαχθέν. ἡ γὰρ φύσις ἡ ὡς ἔκφυσις καὶ γένεσις λεγομένη φύσις, ὁδός ἐστιν εἰς τὴν φύσιν προϊοῦσα τοῦ γινομένου, καὶ εἰς αὐτὴν τελευτῶσα. ὥσπερ οὖν ἐπὶ τῶν τεχνητῶν, πᾶν τὸ γινόμενον τοῦτο λέγεται γίνεσθαι τὸ ἐφ' ὃ ἡ πρόοδος. καὶ οὐχὶ τὸ ἀφ' οὗ, ὅταν γὰρ ἐκ ξύλου βάθρον ὁ τέκτων ποιῇ, οὐ γίνεσθαι λέγεται τὸ ξύλον, ἀλλὰ τὸ βάθρον ὑπὸ τοῦ τέκτονος. ὁμοίως δὲ καὶ ἐπὶ τῶν φυσικῶν, ὅταν γὰρ ὕδωρ εἰς ἀέρα μεταβάλλῃ, οὐχὶ τὸ ὕδωρ λέγομεν γίνεσθαι ἀλλ' ἀέρα, οὕτως οὖν καὶ τὸ φυόμενον ἐπειδὴ εἰς φύσιν ἔρχεται, λέγεται φύεσθαι, ἀλλ' οὐχ ὅτι ἀπὸ φύσεως. ἔρχεται δὲ ἐπὶ τὸ εἶδος. τὸ εἶδος ἄρα ἡ φύσις. καὶ ἔστιν ἡ συναγωγὴ τοῦ λόγου τοιαύτη. φύσις ἐστὶν ἐφ' ὃ τὸ φυόμενόν τε καὶ γινόμενον σπεύδει. ἐπὶ δὲ τὸ εἶδος τὸ τοιοῦτο σπεύδει καὶ οὐκ ἐπὶ τὴν ὕλην. ἡ φύσις ἄρα τὸ εἶδος ἐστίν. ἐπειδὴ δέ τινα τῶν γινομένων οὐκ ἀπὸ τούτων ὀνομάζεται ἐφ' ἃ σπεύδει, ἀλλ' ἀπὸ τῶν ἐμποιούντων τὸ εἶδος, ἐφ' ὃ ἡ πρόοδος τῷ γινομένῳ, ὡς ἡ ἰάτρευσις, αὕτη γὰρ ὁμοίως μὲν λέγεται κατὰ τὸ σχῆμα τῆς λέξεως τῇ φύσει τῇ ὡς γενέσει, οὐ μὴν ὡς ἡ φύσις ἐπὶ φύσιν ὁδός ἐστιν, οὕτω καὶ ἡ ἰάτρευσις ἐπὶ ἰατρικήν, ἀλλ' ἐπὶ ὑγίειαν, ἧς ποιητικὴ ἡ ἰάτρευσις, τὸ γὰρ ἰατρευόμενον ὑγιάζεται, διὰ τοῦτο διεστείλατο τὰ τοιαῦτα, δεικνὺς ὅτι ἡ φύσις πρὸς τὴν φύσιν ἡ ὡς ὁδὸς πρὸς τὴν ὡς τέλος, οὐχ οὕτως ἔχει ὡς ἡ ἰάτρευσις πρὸς τὴν ὑγίειαν. αἴτιον δὲ τῆς τοιαύτης τῶν ὀνομάτων διαφορᾶς, τὸ ἐν μὲν τοῖς πλείστοις ὁ-

μώνυμον εἶναι τῷ ποιοῦντι τὸ γινόμενον. τὸ γὰρ θερμὸν θερμὸν ποιεῖ. καὶ ἡ μεταξὺ ὁδὸς θέρμανσις. ἐν δέ
τισιν ἑτερώνυμον, ὡς ἰατρικὴ ὑγίειαν. μήποτε δὲ εἴ τις ἀντὶ τῆς ἰατρεύσεως τὴν ὑγίανσιν λάβοι, καὶ
ἐπὶ τούτων ὁμοίως ἕξει. ὡς γὰρ ἡ φύσις ἡ ὡς γένεσις ὁδὸς ἐστὶν εἰς τὴν φύσιν τὴν ὡς τέλος, φύσις
γάρ ἐστιν ἐφ' ὃ τελευτᾷ τὰ φυόμενα, οὕτω καὶ ἡ ὑγίανσις εἰς ὑγίειαν. καὶ ἔστι φυόμενον ἡ ὕλη. ὃ δὲ φύε-
ται τὸ εἶδος, καὶ τὸ εἰς ὅ, ἀλλ' οὐχὶ τὸ ἐξ οὗ. εἰ οὖν τὸ φυόμενον εἶδος λαμβάνοι, καὶ αὖ πάλιν τὸ
φυόμενον φύσιν λαμβάνοι, τὸ ἄρα εἶδος φύσις ἐστίν, ἐν τρίτῳ σχήματι γινομένης τῆς συναγωγῆς, καὶ
εὐλόγως ἐπὶ μέρους. ἔστι γὰρ εἶδος καὶ οὐ φυσικόν. ὁ μέντοι Ἀριστοτέλης εἰπὼν ὅτι ὃ φύεται, οὐχὶ τὸ
ἐξ οὗ ἐστιν ἀλλὰ τὸ εἰς ὅ, παρεὶς ἐπαγαγεῖν ὅτι τὸ εἰς ὃ εἶδος ἐστὶ καὶ φύσις, διὰ τὸ σαφὲς εἶναι, ὁ δὲ ἐ-
πήγαγε τὸ συμπέρασμα, ἡ ἄρα μορφὴ φύσις. εἰπὼν δὲ ἔκ τινος εἴς τι ἔρχεται, προσέθηκεν ἡ φύε-
ται, δεικνὺς ὅτι ἴσον ἐστὶ τὸ ἔκ τινος εἴς τι ἔρχεται, τῷ ἔκ τινος εἴς τι φύεσθαι. ἐφ' ὃ γὰρ ἔρχεται,
ὃ φύεται ἐστίν. ἀλλ' οὐχὶ τὸ ἐξ οὗ, οὔτε τὸ ὡς ὑποκείμενον, οὔτε τὸ ὡς ἀντικείμενον. ἄμφω γὰρ ἐξ οὗ.

Η ΔΕ΄ ΓΕ μορφή, καὶ ἡ φύσις διχῶς λέγεται. καὶ γὰρ ἡ στέρησις εἶδός πώς ἐστιν. εἰ δ' ἔστιν ἡ στέρησις καὶ
ἐναντίον τι περὶ τὴν ἁπλῆν γένεσιν ἢ μή ἐστιν, ὕστερον ἐπισκεπτέον.

Ε ἰπὼν ὅτι ἡ φύσις ἡ ὡς ὁδὸς εἰς φύσιν καὶ εἶδος τελευτᾷ, ἐπειδὴ διττή ἐστιν ἡ ὁδός, ἡ μέν, ἀπὸ στερήσεως
εἰς εἶδος, ἡ δέ, ἀπὸ εἴδους εἰς στέρησιν, διττὴ ἂν εἴη καὶ ἡ τοιαύτη φύσις ἡ κατὰ τὴν ὁδόν. ὥστε διττὰ καὶ
τὰ τέλη, τὸ μέν, εἶδος, τὸ δέ, στέρησις. εἰ οὖν τὸ τέλος εἶδος καὶ φύσις ἐστί, πῶς ἂν εἴη ἡ στέρησις τέλος,
ἀντικειμένη τῷ εἴδει. ἔτι δὲ τὰ στοιχεῖα τῶν ἐν γενέσει τὴν ὕλην ἔθετο καὶ τὰ ἀντικείμενα. ἐπεὶ οὖν
τὸ ἕτερον τῶν ἀντικειμένων ἔθετο νῦν τὴν φύσιν, πρόχειρον ἦν ἀπορεῖν, πῶς αἴτια μὲν ἄμφω, φύσις
δὲ θάτερον. διὸ καὶ τῇ στερήσει κατὰ τοσοῦτον τῆς φύσεως μεταδίδωκε, καθόσον καὶ τοῦ εἴδους, εἰπὼν καὶ
γὰρ ἡ στέρησις εἶδός πως ἐστίν. ἔστι δὲ εἶδός πως, ἤτοι ὡς πρὸς τὸ ὑποκείμενον ἀντιδιαστελλομένη. διότι
ἐν ὑποκειμένῳ οὖσα καὶ αὐτὴ ὥσπερ τὸ εἶδος, μορφή τις καὶ αὐτὴ καὶ εἶδος γίνεται τοῦ ὑποκειμένου.
τὰ γὰρ συμβεβηκότα μορφαί πως εἰσὶ τῶν οἷς συμβέβηκεν. ἢ ὅτι οὐχ ἁπλῶς ἀπουσία ἐστὶν ἡ στέρη-
σις, ἀλλ' ἐν τῷ πεφυκότι. παράχρωσις οὖν εἴδους ἐστὶν ἡ πρὸς τοῦτο ἐπιτηδειότης. διὸ καὶ διατίθησί
πως τὸ ὑποκείμενον, ὅπερ εἴδους ἴδιον ἐστίν. ἢ λέγοιτο ἂν εἶδός πως ἡ στέρησις οὐ πᾶσα, ἀλλ' ἡ κατὰ
τὸ χεῖρον τῶν ἐναντίων θεωρουμένη. τοῦτο γὰρ ὑπὸ τὴν στέρησιν τὸ εἶδος, ὡς ἐν τοῖς περὶ γενέσεως ἀ-
ποδείκνυσι. καὶ ἔστιν ἡ οὕτω λαμβανομένη στέρησις, εἶδος. ἤδη δὲ καὶ θάτερον τῶν ἐναντίων ὁπότερον
ἂν ληφθῇ, θατέρου στέρησιν ἐν ἐκείνοις εἶναι φασίν. εἰ οὖν ἡ στέρησις εἶδός πως ἐστὶ καὶ φύσις, ἄλλο οὖ-
σα τοῦ ὑποκειμένου καὶ τῆς ὕλης, κἂν ἐν ἐκείνῃ τὸ εἶναι ἔχῃ, λέγοιτο ἂν φύσει καὶ τὰ ἐν στερήσει. οὐ
μὴν ἔτι καὶ κατὰ φύσιν. διότι τὸ τέλος καὶ οὗ ἐφίεται τὸ ὑποκείμενον, τοῦτό ἐστι τὸ κατὰ φύσιν. ἐφίε-
ται δὲ τοῦ εἴδους. διὸ καὶ ἐπὶ πλέον τὸ φύσει τοῦ κατὰ φύσιν, διὰ τὴν στέρησιν. ἀλλὰ πῶς ἡ ἐπὶ τὴν
στέρησιν ὁδὸς φύσις λέγοιτο ἄν, οὐκ οὖσα ἔκφυσις. φθορὰ γάρ ἐστι καὶ οὐχὶ γένεσις. ἢ καθόσον ἡ στέ-
ρησις εἶδός πως, κατὰ τοσοῦτον καὶ αὕτη φύσις, καὶ ἡ ἐπ' αὐτὴν ἄγουσα ὁδὸς φύσις, ἀλλ' εἰ ἡ στέρη-
σις εἶδός πως ἐστί, δηλονότι ἐξ εἴδους εἶδος ἂν γίνηται. καὶ οὐκέτι ἡ ἀνωτάτω ἐναντίωσις εἴδους ἐστὶ
καὶ στερήσεως, ὡς ἐλέγετο ἐν τῷ πρώτῳ βιβλίῳ. ἀλλ' ὅτι μὲν κἂν ἐξ εἴδους γίνηται εἶδος, οὐχ ὡς
ἐξ εἴδους ἀλλ' ὡς ἐκ στερήσεως, καὶ ἐκ τοῦ μὴ τοιοῦδε πεφυκότος δέ, πρόδηλον. καὶ ἐν τῷ πρώτῳ βι-
βλίῳ διακέκριται. εἰ δὲ καὶ ἡ στέρησις εἶδός πως, οὐκέτι μόνον ὡς στέρησις ἀντικείσεται πρὸς τὸ εἶ-
δος, ἀλλὰ καὶ ὡς ἐναντίον. ἡ γὰρ τῶν μὴ δυναμένων συνυπάρχειν εἰδῶν ἀντίθεσις, ὡς ἐναντίον ἐστί,
καὶ οὐχ ὡς ἕξεως καὶ στερήσεως. εἰ δὲ τοῦτο, πᾶσα γένεσις οὐκ ἐκ τοῦ μὴ τοιούτου μόνον, ἀλλ' ἐξ ἐναν-
τίων ἔσται εἰδῶν. εἰ δὲ τοῦτο, ἢ οὐκ ἔσται γένεσις τῆς οὐσίας, καὶ ἔσται πᾶσα οὐσία ἀγένητος καὶ ἄ-
φθαρτος, καί τοι τῆς κυρίως οὐσίας κατ' αὐτὸν τῆς ἀτόμου γινομένης καὶ φθειρομένης ἐν τοῖς φυσι-
κοῖς, καὶ τῆς κυρίως γενέσεως κατ' οὐσίαν οὔσης μεταβολῆς, ἢ εἰ γίνοιτο ἡ οὐσία, καὶ αὐτὴν ἐξ ἐναν-
τίου γίνεσθαί τινος ἀνάγκη. δοκεῖ δὲ αὐτῷ τῇ οὐσίᾳ μηδὲν εἶναι ἐναντίον. ταύτην οὖν τὴν ζήτησιν, εἰ
τῆς στερήσεως εἴδους πως λεγομένης, ἔσται στέρησις περὶ τὴν ἁπλῆν οὐσίαν, ἐναντίον τι εἶδος οὖσα,
ἢ μὴ ἔστιν, ἑκατέρωθεν ἀπορουμένην, ἀναβάλλεται νῦν. καὶ γὰρ εἰ μὲν μὴ ἔστιν, ἐπειδὴ πᾶσα γένεσις
ἐκ τοῦ ἐναντίου, ἀναιρεθήσεται ἡ τῆς οὐσίας γένεσις. ἥτις κυρίως μόνη γένεσις ἐστὶ κατ' αὐτόν. εἰ δὲ ἔ-
στιν οὐσίας γένεσις, ἔστι τι τῇ οὐσίᾳ ἐναντίον, ὅπερ ἐν κατηγορίαις ἀπέ[illegible]υσε. λύει δὲ τὰς ἀπορίας ταύ-
τας ἐν ἄλλοις, λέγων εἶναι μὲν οὐσίαν, ἧς ἡ γένεσις δοκεῖ τὸ συναμφότερον, τὸ ἐξ ὕλης καὶ εἴδους συν-
εστώς. ταύτην δὲ μὴ ἁπλῶς ἀλλὰ κατά τι γίνεσθαι. κατὰ μὲν γὰρ τὸ ὑποκείμενον ἀγένητός ἐστιν. ἡ
γὰρ ὕλη οὔτε γίνεται οὔτε φθείρεται, ὡς ἔδειξεν ἐν τῷ τέλει τοῦ πρώτου βιβλίου. γίνεται δὲ κατὰ τὸ
συναμφότερον, τουτέστιν ἡ οὐσία κατὰ τὸ εἶδος, ὅ ἐστιν ἐν ὑποκειμένῳ τῇ ὕλῃ. ὥσπερ δὲ ἔχει τὸ γίνε-
σθαι ἡ οὐσία, οὕτω καὶ ἐναντίον ἔστι τι αὐτῇ, οὐ καθὸ ὑποκείμενον, ἀλλὰ κατὰ τὸ ἐν ὑποκειμένῳ εἶδος.
κατὰ τοῦτο οὖν καὶ ἐναντίον τί ἐστιν αὐτῇ. οὐ καθὸ ὑποκείμενον, ἀλλὰ καθὸ ἐν ὑποκειμένῳ. τῷ γὰρ πυ-
ρὶ καθὸ μὲν συναμφότερόν τι καὶ οὐσία τοιαύτη, οὐδὲν ἐστιν ἐναντίον. κατὰ δὲ τὸ εἶδος. κατὰ γὰρ τὴν
θερμότητα καὶ ξηρότητα καὶ τὴν ἐπὶ τὸ ἄνω ῥοπήν, κατὰ ταῦτα ἐναντία ἔχει. καὶ ἡ γένεσις αὐτῷ

κατὰ ταῦτα. ὅταν οὖν λέγῃ ἐν κατηγορίαις τῇ οὐσίᾳ μηδὲν εἶναι ἐναντίον, οὕτως ἀκουστέον ὅτι τῇ συναμφοτέρῳ. ταύτης γὰρ καὶ μόνης ἐκεῖ ὡς οὐσίας μνημονεύει καὶ τῶν ταύτης εἰδῶν καὶ γενῶν. διὸ τῇ μὲν οὐσίᾳ ἁπλῶς καθὸ οὐσία οὐδέν ἐστιν ἐναντίον. οὐδὲ γίνεται ἡ οὐσία καθὸ οὐσία. γένοιτο γὰρ ἂν ἐκ μὴ οὐσίας καὶ τοῦ ἁπλῶς μὴ ὄντος. καθὸ δὲ ἤδη τίς ἐστιν ἡ οὐσία, καὶ καθὸ διάφοροι αἱ οὐσίαι, κατὰ τοῦτο καὶ ἔστιν ἐναντίωσις ἐν αὐταῖς. καὶ γὰρ ἡ γένεσις κατὰ τοῦτο. κατὰ τὰ εἴδη δὲ ταῖς οὐσίαις αἱ διαφοραί. ἐν τούτοις ἄρα ἡ ἐναντίωσις. ἤ φησιν Ἀλέξανδρος οὐδὲ τῇ κατὰ τὸ εἶδος οὐσίᾳ ἐναντίον τί ἐστιν. ἡ γὰρ στέρησις οὐ κυρίως ἐναντίον, ἐξ ἧς ἡ γένεσις τῷ εἴδει. ἢ εἰ τὸ ἕτερον τῶν ἐναντίων στέρησις, καὶ ἡ στέρησις ἂν ἐναντίον εἴη. ταῦτα μὲν ὁ Ἀλέξανδρος. μήποτε δὲ οὐκ ἐκ τῆς τοιαύτης στερήσεως κυρίως ἡ γένεσις, τῆς κατὰ τὸ χεῖρον ἐναντίον λεγομένης. κἂν γὰρ ἐξ ἐναντίου εἴδους ἡ γένεσις, οὐ καθὸ εἶδος, ἀλλὰ καθὸ σύνεστιν ἐκείνῳ ἡ τοῦ ἐναντίου στέρησις, ἀπουσία οὖσα ἐν τῷ πεφυκότι. πέφυκε δὲ τὸ αὐτὸ πρὸς ἑκάτερον τῶν ἐναντίων. ὡς γὰρ γένος κοινὸν τῶν ἐναντίων προηγεῖται, οὕτως αὐτὰ καὶ ὑποκείμενον κοινὸν ὑποδέχεται. μήποτε οὖν κατ' ἄλλον τρόπον οὐκ ἔστι τῇ κατὰ τὸ εἶδος οὐσίᾳ ἐναντίον. καθόσον τὰ μὲν ἐναντία ἐν τῇ τῶν διαφορῶν ἀντιθέσει τῇ πρὸς ἀλλήλας θεωρεῖται. τὸ δὲ εἶδος οὐκ ἔστι διαφορά. ἀλλὰ διαφορῶν σύλληψις μετὰ τοῦ γένους. καὶ τὰ μὲν ἐναντία ποιότητές εἰσι. τὸ δὲ εἶδος οὐσία. εἰ οὖν μηδέν ἐστι τῷ εἴδει ἐναντίον, πῶς γίνεται τὸ εἶδος. ἢ οὖν οὐ γίνεται καὶ ἔστι μετὰ τῆς ὕλης ἀγένητον, καὶ τὸ συναμφότερον ἀγένητον, καὶ πάντα ἀγένητα, ἢ πάντα τὰ γινόμενα ἐξ ἐναντίων γίνεται. μήποτε οὖν οὐδὲ τὸ εἶδος καθ' αὑτὸ γίνεται ἢ φθείρεται. τὸ γὰρ πῦρ οὐ μόνον κατὰ τὸ σύνθετον ἀγένητόν ἐστιν ὡς εἴρηται πρότερον καὶ κατὰ τὴν ὕλην, ἀλλὰ καὶ κατὰ τὸ εἶδος. γίνεται δὲ κατὰ τὰς συνιστώσας αὐτὸ διαφοράς, ἐν αἷς καὶ ἐναντίωσις θεωρεῖται. θερμότης γὰρ καὶ ξηρότης καὶ ἐπὶ τὸ ἄνω φορά, καθ' αὑτὸ μὲν τούτων οὐδέν ἐστι τὸ εἶδος τοῦ πυρός. ἀλλὰ διαφοραὶ ταῦτα. πάντα δὲ ἅμα συνδραμόντα, τὸ πῦρ ποιεῖ. κατὰ οὖν τὴν τούτων ἐκ τῶν ἐναντίων γένεσιν, καὶ εἰς τὸ ἐναντίον φθοράν, γίνεται καὶ φθείρεται τὸ πῦρ. οὕτω δὲ καὶ ἐπὶ τῶν ἄλλων εἰδῶν ἑκάστου ἡ γένεσις καὶ ἡ φθορὰ οὐ καθ' αὑτὸ τοῦ εἴδους ἐστίν, ἀλλὰ κατὰ τὰς τοῦ εἴδους διαφοράς. φθειρομένων γὰρ ἐκείνων ὑπ' ἀλλήλων, συμφθείρεται τὸ εἶδος. ὥσπερ καὶ συντρεχουσῶν ἐπιγίνεται.

ΕΠΕΙ δὲ διώρισται ποσαχῶς ἡ φύσις λέγεται, μετὰ τοῦτο θεωρητέον τίνι διαφέρει ὁ μαθηματικὸς τοῦ φυσικοῦ. καὶ γὰρ ἐπίπεδα καὶ στερεὰ ἔχει τὰ φυσικὰ σώματα. καὶ μήκη. καὶ στιγμάς, περὶ ὧν σκοπεῖ ὁ μαθηματικός. Ἔτι δὲ ἡ ἀστρολογία ἑτέρα, ἢ μέρος τῆς φυσικῆς. εἰ γὰρ τοῦ φυσικοῦ τό, τί ἐστιν ἥλιος ἢ σελήνη εἰδέναι, τῶν δὲ συμβεβηκότων καθ' αὑτὰ μηδέν, ἄτοπον. ἄλλως τε καὶ ὅτι φαίνονται λέγοντες οἱ περὶ φύσεως. καὶ περὶ σχήματος σελήνης καὶ ἡλίου. καὶ δὴ καὶ πότερον σφαιροειδὴς ἡ γῆ καὶ ὁ κόσμος, ἢ οὔ. Περὶ τούτων μὲν οὖν πραγματεύεται καὶ ὁ μαθηματικός. ἀλλ' οὐχ ᾗ φυσικοῦ σώματος πέρας ἕκαστον. οὐδὲ τὰ συμβεβηκότα θεωρεῖ, ᾗ τοιούτοις οὖσι συμβέβηκε. διὸ καὶ χωρίζει. χωριστὰ γὰρ τῇ νοήσει, κινήσεώς ἐστιν. καὶ οὐδὲν διαφέρει. οὐδὲ γίνεται ψεῦδος χωριζόντων.

Ο τι πρὸς τοῦτο τέτακται πᾶν ὁ τοῦ λόγου σκοπός, πρὸς τὸ διελέσθαι τὰ περὶ τῆς φύσεως σημαινόμενα, διότι πολλαχῶς λεγομένης αὐτῆς ἄλλος κατ' ἄλλο τι τῶν σημαινομένων ἐξεδέχετο τὴν φύσιν, σαφὲς πεποίηκεν αὐτός, οὕτω τὸν λόγον συμπερανάμενος, ἐπεὶ δὲ διώρισται ποσαχῶς ἡ φύσις λέγεται. τὸ δὲ ποσαχῶς λεγόμενον κατὰ διαφόρων τῷ ὑποκειμένῳ τάττεται πραγμάτων. ἀλλ' ἐπειδὴ τὰ μὲν ἄλλα σημαινόμενα σαφῶς παραδέδωκε, τὸ δὲ κυριώτατον συνέκρυψε, καλῶς ἂν ἔχοι συντόμως πᾶσιν ἐπελθεῖν, τοσοῦτον προειπόντα, ὅτι τοῦ φυσικοῦ σώματος ἔχοντος καὶ ὕλην καὶ εἶδος καὶ τὸ συναμφότερον, καὶ γενητοῦ ὄντος, καὶ διὰ τοῦτο κίνησίν τε ἔχοντος τὴν ἐπὶ γένεσιν, καὶ πρὸ πάντων τὸ τῆς κινήσεως αἴτιον, κινήσεως γὰρ οὔσης ἔστι τι πάντως τὸ κινοῦν, πενταχῶς λέγεται ἡ φύσις. καθ' ἕνα μὲν τρόπον ἡ ἐν ἑκάστῳ ὕλη. αὕτη δέ ἐστι τὸ πρώτως ἐν ἑκάστῳ τῶν φυσικῶν ὑπάρχον ἀρρύθμιστον. ὡς ἐπὶ τῶν τεχνητῶν, ἐν ἀνδριάντι μὲν χαλκός, ἐν κλίνῃ δὲ ξύλον. ἐν δὲ τῷ φυσικῷ παντὶ σώματι, ἡ πρώτη ὕλη ὡς κάτωθεν εἰπεῖν, ἤτοι τὸ ἔσχατον ὑποκείμενον ὡς ἄνωθεν ἀρχόμενοι καλοῦσι. δοκεῖ δὲ αὕτη φύσις εἶναι, διότι χρὴ τὴν ἑκάστου φύσιν ἐν ταῖς παντοίαις αὐτοῦ μεταβολαῖς, τὴν αὐτὴν μένουσαν ὁρᾶσθαι. φύσις οὖν ἀνθρώπου ἐστίν, ἥτις καὶ καθεύδοντος, καὶ ἐγρηγορότος καὶ κινουμένου, καὶ ἑστῶτος, καὶ τὰς ἄλλας τροπὰς ὑπομένοντος, ἡ αὐτὴ πανταχοῦ φαίνεται ὁρωμένη. οὕτως οὖν καὶ ἐπὶ παντὸς τοῦ φυσικοῦ σώματος, τὸ ὑπομένον ἐν ταῖς παντοίαις μεταβολαῖς τὸ αὐτό, τοῦτο ἂν εἴη φύσις. ὑπομένει δὲ ἡ ὕλη. ὁ δὲ Ἀντιφῶν τὴν τῆς ὕλης ὑπομονὴν καὶ ἀπὸ τῆς τοῦ ὁμοίου βλαστήσεως ἐπειράθη δεικνύναι, καίτοι τῆς βλαστήσεως μᾶλλον εἶδος ἐξ εἴδους ἢ ὕλην ἐξ ὕλης γίνεσθαι δηλούσης. ἄνθρωπος γὰρ ἐξ ἀνθρώπου καὶ ξύλον ἐκ ξύλου γίνεται. εἶδος δὲ καὶ τὸ ξύλον καὶ ὕλης ἔχει πρὸς τὴν κλίνην λόγον. κατὰ δεύτερον δὲ σημαινόμενον φύσις λέγεται, τὸ περὶ τὴν ὕλην εἶδος. ὡς γὰρ οὔπω λέγεται κατὰ τὸ τῆς τέχνης ὄνομα ἀνδριάς, ἐὰν μὴ ἀπολάβῃ τὸ κατὰ τὴν τέχνην εἶδος, οὕτω καὶ ἡ ὕλη οὔπω λέγεται κατὰ τὸ φυσικὸν ὄνομα, ἐὰν μὴ ἀπολάβῃ τὸ εἶδος. ἡ γὰρ ὕλη δυνάμει μόνον ἐστὶν ἐκεῖνο οὗ ἐστιν ὕλη. οἷον τὸ σπέρμα δυνάμει ζῷον. ἕκαστον δὲ κατὰ τὸ

ἐνέργεια χαρακτηρίζεται. τοῦτο δέ ἐστι τὸ εἶδος. εἰκότως ἄρα μᾶλλον τὸ εἶδος τῆς ὕλης χαρακτηρίζεται. κατὰ δὲ τρίτον σημαινόμενον, φύσις λέγεται τὸ ἐκ τῆς ὕλης καὶ τοῦ εἴδους συγκείμενον, οἷον ὁ ἄνθρωπος. ὡς γὰρ ἡ οὐσία τριχῶς ἥ τε ὕλη καὶ τὸ εἶδος καὶ τὸ συναμφότερον, οὕτω καὶ ἡ φύσις τριχῶς λέγοιτο ἄν. ὁ μέντοι Ἀριστοτέλης τὸ ἐξ ἀμφοῖν φησι, φύσις μὲν οὐκ ἔστι, φύσει δέ. εἰ γὰρ ἑκάτερον τῶν συντιθέντων αὐτὸ φύσις ἐστὶν, ἄλλο δὲ παρ' ἑκάτερόν ἐστι τὸ σύνθετον κατ' ἐκεῖνα ὑφεστὼς, φύσις μὲν οὐκ ἂν εἴη κυρίως, φύσει δέ. εἰ μέντοι τὸ, μᾶλλον αὕτη φύσις τῆς ὕλης, ἐπὶ τῆς συνθέτου εἴρηται, ὡς ἤκουσεν ὁ Πορφύριος, δηλονότι κυρίως μὲν φύσις οὐκ ἔστι τὸ σύνθετον. οὐδὲ γὰρ τῶν ἁπλῶν οὐδὲν κυρίως φύσις. μᾶλλον δὲ τῆς ὕλης φύσις ἐστὶ, διότι ἔχει ἐν ἑαυτῷ τὸ εἶδος, ὃ μᾶλλον τῆς ὕλης φύσις ἐστί. καὶ κατὰ τὸν Ἀντιφῶντος δὲ διορισμὸν, ἐπειδὴ ἄνθρωπος ἐξ ἀνθρώπου γίνεται, σύνθετον ἐκ συνθέτου, εἴη ἂν καὶ τὸ σύνθετον φύσις. ἀλλὰ ταῦτα τὰ τρία σημαινόμενα τῆς φύσεως, τό, τε σύνθετον ἐστὶ, καὶ τὰ στοιχεῖα τοῦ συνθέτου. κατὰ τέταρτον δὲ σημαινόμενον λέγεται φύσις, ἡ οἷον ἔκφυσις καὶ γένεσις καὶ κίνησις, καθ' ἣν ὑπὸ τοῦ φύοντος φύεται τὸ φυόμενον. ὥσπερ γὰρ ἐπὶ ἱματίου τό, τε ὑφαῖνον ἐστὶν ὁ ὑφάντης, καὶ τὸ ὑφαινόμενον τὸ ἱμάτιον, καὶ τρίτον ἡ ὕφανσις, κίνησίς τις οὖσα ἀπὸ τοῦ ποιοῦντος ἐπὶ τὸ γινόμενον, οὕτω καὶ ἐπὶ τοῦ φυσικοῦ τό, τε φυόμενον ἐστὶ καὶ τὸ φύον, καὶ μεταξὺ ἡ φύσις ἡ τοιαύτη, ἡ ὡς κίνησις τῆς ποιούσης φύσεως, ὡς ἡ ἰάτρευσις τῆς ἰατρικῆς. κατὰ πέμπτον δὲ σημαινόμενον τὸ κυριώτατον, φύσις ἐστὶ, τὸ τοῦ κινεῖσθαι τοῖς φυσικοῖς αἴτιον. ὥσπερ τέχνη τὸ ποιητικὸν τῶν τεχνητῶν, καὶ ἡ ταύτης κίνησις. φύσις δὲ λεγομένη, ἄρχεται μὲν ἀπὸ τῆς κατὰ τὴν ὕλην φύσεως. λήγει δὲ εἰς τὴν κατὰ τὸ εἶδος φύσιν, ἀποδιδοῦσα τὴν κατὰ τὸ συναμφότερον φύσιν. καὶ ταύτῃ μὲν κοινωνεῖ τῇ τέχνῃ ἡ ποιητικὴ φύσις. διαφέρει δὲ αὐτῆς, τῷ τὴν μὲν τέχνην ἐκτὸς οὖσαν, ἄρχεσθαι μὲν ἐκ τῶν οἰκείων θεωρημάτων, τελευτᾶν δὲ εἰς ἄλλο τι παρ' αὐτὴν οὖσαν τὸ ἀποτέλεσμα. οὕτω γὰρ ἡ ἰατρικὴ εἰς ὑγίειαν τελευτᾷ. ἡ μέντοι φύσις ἐνυπάρχουσα τῷ φυομένῳ, διὰ τῆς οἷον ἐκφύσεως ἐπὶ τὴν τοῦ ἀποτελουμένου φύσιν τελευτᾷ, φύσις, εἰς φύσιν, διὰ φύσεως. εἰ μὴ ἄρα καὶ ἡ τέχνη διὰ τῆς τεχνικῆς κινήσεως, εἰς τὸ τεχνητὸν τὸ ὁμοειδὲς τελευτῶσα, σώζει κατὰ τοῦτο τὴν πρὸς φύσιν ὁμοιότητα. ἀλλὰ κατά γε τὸ ἐνυπάρχειν καὶ ἔνδοθεν εἶναι τὴν ἐνέργειαν τῆς φύσεως, διαφέρει τῆς τέχνης ἡ φύσις. πολλῶν δὲ ὄντων τῶν σημαινομένων τῆς φύσεως, τὸ μὲν ὄνομα κυριώτερον τῇ φύσει τῇ ὡς κινήσει καὶ ἐκφύσει προσήκει. τῇ γὰρ ἰατρεύσει καὶ ὑφάνσει καὶ ὅλως κινήσει ἀναλογεῖ. ἡ δὲ ἔννοια τοῦ ὀνόματος, τῇ κυρίως φύσει μᾶλλον προσήκει τῇ ὡς ποιητικῇ τῶν φυσικῶν. ὁ μέντοι ὁρισμὸς πᾶσι τοῖς σημαινομένοις ἐφαρμόσει οἰκείως, ἐφ' ἑκάτερα λαμβανόμενος. καὶ γὰρ ἡ μὲν κυρίως φύσις ἀρχὴ καὶ αἰτία κινήσεώς ἐστι καὶ ἠρεμίας. ἡ δὲ ὡς κίνησις φύσις, ὡς ὀργανική. διὰ γὰρ ταύτης ἡ ποιητικὴ φύσις τὴν ἐν τοῖς φυσικοῖς κίνησιν καὶ ἠρεμίαν ἀποτελεῖ. ὡς ὁ ἰατρὸς διὰ τῆς ἰατρεύσεως τὴν ὑγίειαν. ἡ δὲ ὕλη καὶ τὸ εἶδος ἀρχαὶ τῆς κατὰ φύσιν ἀποδιδομένης ἐνεργείας εἰσὶν ὡς στοιχειώδεις. καὶ λέγει ὁ Εὔδημος, ὅτι ἐπιδέχεται καὶ ταῦτα τὸν λόγον τῆς φύσεως. ἀρχὴ γὰρ κινήσεως δοκεῖ εἶναι καὶ ἡ ὕλη καὶ τὸ οὗ ἕνεκα. τοῦ γὰρ ἵεσθαι κάτω τὸν μόλιβδον τὴν ὑποκειμένην ὕλην αἰτιώμεθα, ὅτι γὰρ ἐκ τοιαύτης ἐστὶ κάτω φέρεται. ἔχει δὴ κινήσεως ἀρχὴν ἐν ἑαυτῷ καὶ καθ' ἑαυτόν. ἡ γὰρ μόλιβδός ἐστι. τὸ δὲ εἶδος ἀρχὴ ἂν εἴη καὶ ὡς τέλος. εἰς τοῦτο γὰρ βλέπουσα ἡ φύσις, πάντα πραγματεύεται τὰ ἐν τοῖς φυσικοῖς. ἀλλὰ πῶς τὸ σύνθετον ἀρχὴ ἂν εἴη καὶ αἰτία, ἀποτέλεσμα μόνον ὑπάρχον. ἢ καὶ τοῦτο ὡς τέλος ἂν εἴη ἀρχή. εἴτε γὰρ εἶδος ἐν ὕλῃ σύνθετον, εἴτε ἐξ ὕλης καὶ εἴδους, τούτου ποιητική ἐστιν ἡ φύσις, καὶ οὐχ ὡς καθ' ἑαυτὸ ὄντος τοῦ εἴδους. μήποτε δὲ τὸ σύνθετον καὶ ὡς ποιητικὸν αἴτιον ἐστὶν ἀρχὴ κινήσεως καὶ ἠρεμίας. εἴπερ αἱ ἐνέργειαι κινήσεις οὖσαι, κατὰ τὸ σύνθετον ἀποδίδονται, καὶ αἱ τῶν ἐνεργειῶν παῦλαι. ἡ γὰρ τοῦ πυρὸς οὐσία ἀρχὴ ἂν εἴη καὶ αἰτία θερμάνσεως, καὶ τῆς ἐπὶ τὸ ἄνω φορᾶς. ἀλλὰ ταῦτα μὲν οὕτως. ἄξιον δέ μοι δοκεῖ ζητεῖν, πῶς ἐν τῇ ἀπαριθμήσει τῶν τῆς φύσεως σημαινομένων, τὸ κυριώτατον τῆς φύσεως σημαινόμενον, τὴν ποιητικὴν τῶν φυσικῶν αἰτίαν ὁ Ἀριστοτέλης παρέλιπε, τὴν ὕλην εἰπὼν καλεῖσθαι φύσιν καὶ τὸ εἶδος, καὶ εἴπερ ἄρα, καὶ τὸ σύνθετον, καὶ τὴν οἷον ἔκφυσιν καὶ κίνησιν τὴν ἐπὶ τὸ εἶδος, τῆς δὲ ὡς ποιητικῆς αἰτίας μὴ μνημονεύσας. καὶ λεκτέον οἶμαι πρὸς τοῦτο, ὅτι εὐθὺς ἀρξάμενος τοῦ περὶ φύσεως λόγου, τὴν κυρίως φύσιν τὴν ποιητικὴν αἰτίαν παραδέδωκεν, καὶ ταύτην ὡρίσατο. διὸ καὶ τὸ κατὰ συμβεβηκὸς ἐξηγούμενος, ἰατρὸν ἔλαβεν ἰατρεύοντα ἑαυτὸν, ὡς δὴ καὶ τὸ καθ' αὑτὸ αἴτιον ποιητικὸν ζητῶν, τὸ ἀνάλογον τῷ οἰκίαν ποιοῦντι καὶ τἆλλα τὰ χειρόκμητα. ἐκεῖ οὖν τὴν κυρίως φύσιν ἀποδοὺς, ἐνταῦθα λοιπὸν τὰ ἄλλα σημαινόμενα τοῦ τῆς φύσεως ὀνόματος παραδίδωσι. μήποτε δὲ τὴν κυρίως φύσιν οὐδὲ ἐνταῦθα παρῆκεν. ἀλλ' ἐνεδείξατο, εἰπὼν ἀπὸ ἰατρικῆς μὲν οὐκ εἰς ἰατρικὴν εἶναι ὁδὸν τὴν ἰάτρευσιν, ἀλλ' εἰς ὑγίειαν. τὴν δὲ φύσιν τὴν ὡς κίνησιν ἀπὸ φύσεως εἰς φύσιν. ἡ δὲ ἀναλογοῦσα τῇ ἰατρικῇ φύσις, ἡ ποιητική ἐστι, καὶ οὐδεμία ἄλλη τῶν κατὰ τὰ τέσσαρα σημαινόμενα. ἐρεῖ δέ τι οἶμαι περὶ τῆς ποιητικῆς φύσεως καὶ μετ' ὀλίγον, ὅταν τὰ αἴτια διορίζηται. ἀλλ' ἐπειδὴ τὰ περὶ φύσεως εἰρημένα τέλος ἔχειν δοκεῖ, καλῶς ἂν ἔχοι τὸν λόγον ἀναλαβεῖν καὶ ζητῆ-

σαι, τίς ἡ κατὰ τὸν ἀριστοτέλη φύσις, καὶ τίνα ἔχουσα ἐν τοῖς οὖσι δύναμιν. καλῶς μὲν γὰρ ἀπὸ τῆς
διαφορᾶς τῶν φύσει πρὸς τὰ μὴ φύσει τὴν εὕρεσιν αὐτῆς ἐποιήσατο. καὶ γὰρ τὴν ψυχὴν οὕτω καὶ
αὐτὸς καὶ ὁ πλάτων ἀνεῦρεν, ἀπὸ τῆς τῶν ἀψύχων πρὸς τὰ ἔμψυχα διαφορᾶς. ἐν οἷς ἔλεγεν ἐν φαί-
δρῳ, πᾶν γὰρ σῶμα ᾧ μὲν ἔξωθεν τὸ κινεῖσθαι, ἄψυχον. ᾧ δὲ ἔνδοθεν αὐτῷ ἐξ ἑαυτοῦ ἔμψυχον, ὡς
ταύτης οὔσης φύσεως ψυχῆς. καὶ ἐν τοῖς νόμοις δὲ τὸ ἔνδοθεν κινούμενον φησὶ ζῆν λέγομεν. καὶ τοῦτο
διαφέρει τὸ ἔμψυχον τοῦ ἀψύχου. ὅπερ καὶ ὁ ἀριστοτέλης ἐν τῷ δευτέρῳ τῆς περὶ ψυχῆς, ἐπ᾽ αὐτοῦ
σχεδὸν εἶπε τῶν ὀνομάτων. λέγομεν οὖν ἀρχὴν λαβόντες τῆς σκέψεως, διωρίσθαι τὸ ἔμψυχον τοῦ
ἀψύχου τῷ ζῆν. τὰ δὲ μὴ φύσει, διττά. τὰ μὲν, ὑπὲρ φύσιν ὡς τὰ ἄϋλα καὶ τὰ ἀσώματα καὶ χωρι-
στὰ τῶν σωμάτων, ἐν καθαροῖς εἴδεσιν ἱδρυμένα. τὰ δὲ χείρονα τῶν φυσικῶν. ὡς τὰ ὑπὸ τῆς ἀνθρω-
πίνης τέχνης γινόμενα. οἷον κλίνη, καὶ ἱμάτιον, καὶ τὰ τοιαῦτα ἔνυλα σωματικά. κοινὸν δὲ καὶ τοῖς
ὑπὲρ φύσιν καὶ τοῖς μετὰ τὴν φύσιν, τὸ ἀκίνητον ἐξ ἑαυτῶν καὶ ἀμετάβλητον, κἂν τοῖς μὲν κα-
τὰ τὸ χεῖρον, τῆς δὲ κατὰ τὸ κρεῖττον. τὰ οὖν φυσικὰ μέσα ἀμφοῖν ὄντα, διὰ μὲν τὸ πᾶσαν τὴν ἄϋ-
λον καὶ ἀσώματον οὐσίαν ὑποβεβηκέναι, ἔνυλά τέ ἐστι καὶ σωματικά. διὰ δὲ τὸ μὴ ὑπὸ ἀνθρωπίνης
γίνεσθαι τέχνης, ἀλλ᾽ ὥσπερ ἀφ᾽ ἑαυτῶν φύεσθαι καὶ ἀναβλαστάνειν, ἀφανοῦς οὔσης αἰσθήσει τῆς
δημιουργικῆς αὐτῶν αἰτίας, φυσικὰ λέγεται. διὰ δὲ τὴν πρὸς ἄμφω διαφορὰν, ἀρχὴν ἐν ἑαυτοῖς
κινήσεως ἔχειν καὶ μεταβολῆς. εἰκότως οὖν τοῦτον τὸν χαρακτῆρα τῆς φύσεως καὶ τῆς οὐσίας αὐ-
τῆς ἀποδέδωκεν ὁ ἀριστοτέλης, τῷ ἀρχὴν φάναι κινήσεως καὶ μεταβολῆς εἶναι, καὶ τῆς ὁριζούσης
τὴν τοιαύτην μεταβολὴν ἠρεμίας. ἀλλὰ καὶ ἡ ψυχὴ κινήσεως ἐστὶν ἀρχὴ καὶ μεταβολῆς τοῖς ἐμψύ-
χοις σώμασι καὶ κατὰ πλάτωνα καὶ κατ᾽ αὐτὸν τὸν ἀριστοτέλη. τίς οὖν ἡ διαφορά. ὅτι γὰρ καὶ ἡ ἐσχά-
τη ψυχὴ ἡ φυτικὴ καλουμένη ἄλλη καὶ κατὰ τὸν ἀριστοτέλη ἐστὶ παρὰ τὴν φύσιν, εἴρηται μέντοι καὶ
πρότερον. λεγέσθω δὲ καὶ νῦν, κἂν πολλάκις φύσιν καλῶσι τὴν φυτικὴν ψυχὴν, ὡς ἐγγὺς οὖσαν τῆς
φύσεως. πᾶσα ψυχὴ καὶ ἡ ἐσχάτη ἐντελέχεια σώματος φυσικοῦ ὀργανικοῦ εἴρηται παρ᾽ αὐτῷ. ὥσ-
τε φύσιν ἔχοντι σώματι ὑπάρχει ἡ φυτικὴ ψυχὴ, ἄλλη δηλονότι οὖσα παρὰ τὴν φύσιν. ἀλλ᾽ οὐδὲ μό-
να τὰ ὀργανικὰ σώματα φύσιν ἔχει. ἀλλὰ καὶ τὰ ὁμοιομερῆ, καὶ τὰ τέσσαρα στοιχεῖα. ἔτι δὲ ἔμψυ-
χα μὲν λέγομεν τὰ ἔχοντα αἰτίαν ἐν ἑαυτοῖς, τοῦ τρέφεσθαι καὶ αὔξεσθαι καὶ γεννᾶν ὅμοια. φυ-
σικὰ δὲ καὶ τὰ μὴ τοιαῦτα. οἷον λίθους, καὶ τὰ ἄλλα μέταλλα. καὶ τὰ νεκρὰ σώματα. καὶ τὰ ἁπλᾶ.
ἔτι δὲ πᾶν σῶμα φύσιν ἔχει. καὶ γὰρ τὰ τῶν τεχνητῶν. οἷον τὸ τοῦ ἀνδριάντος. καὶ φυσικόν ἐστιν ὥσ-
περ καὶ τὸ τῆς κλίνης ξύλον. οὐ πᾶν δὲ σῶμα ἔμψυχόν ἐστιν. ὥστε οὐκ ἂν εἴη ψυχὴ ἡ φύσις. δῆλον δὲ
ὅτι χεῖρον ἐστὶν ἡ φύσις τῆς φυτικῆς ψυχῆς, εἴπερ ὡς εἶδος ὕλῃ τῷ φυσικῷ σώματι ἡ τοιαύτη ψυχὴ ἐ-
πιγίνεται. πῶς οὖν ὁ ἀριστοτέλης τὴν πρὸς ψυχὴν αὐτῆς διαφορὰν ἀποδέδωκεν. ἐγὼ μὲν οἶμαι καὶ
τὸ ἐν ᾧ ἐστὶν ἀρκεῖν πρὸς τοῦτο. καὶ τὸ ἐφεξῆς σαφέστερον εἰρημένον, τὸ ἐν ὑποκειμένῳ εἶναι τὴν φύσιν.
ψυχὴ γὰρ πᾶσα κινητικὴν ἔχουσα κυρίως δύναμιν, ἐξήρηται τοῦ κινουμένου. εἰ δὲ μὴ ἀρκεῖ τοῦτο τοῖς
ἡγουμένοις καὶ τὴν φυτικὴν ψυχὴν καὶ τὴν ἄλογον ἐν ὑποκειμένοις τοῖς σώμασιν, ἀλλ᾽ ἐκεῖνό γε ἀρ-
κέσει, τὸ κυριώτατον καὶ εἰς κατανόησιν τῆς φυσικῆς ὑποστάσεως, καὶ εἰς διορισμὸν αὐτῆς τὸν πρὸς
τὴν ψυχήν. ἀρχὴν γὰρ κινήσεως τοῖς σώμασι τὴν φύσιν οὐχ οὕτως ὁ ἀριστοτέλης λέγει, ὡς καὶ αὐτὸς
καὶ ὁ πλάτων λέγουσι τὴν ψυχήν. ἡ μὲν γὰρ ψυχὴ κινητικὴ τῶν σωμάτων ἐστὶ κατ᾽ ἀμφοτέρους. ἡ δὲ
φύσις ἀρχὴ κινήσεως ἐστὶν οὐ κατὰ τὸ κινεῖν ἀλλὰ κατὰ τὸ κινεῖσθαι. καὶ ἠρεμίας οὐ κατὰ τὸ ἠρεμί-
ζειν ἀλλὰ κατὰ τὸ ἠρεμίζεσθαι. διὸ τὰ φυσικὰ οὐ λέγεται ὑφ᾽ ἑαυτῶν κινεῖσθαι. ἐδύνατο γὰρ φη-
σιν ὁ ἀριστοτέλης καὶ ἱστάναι ἑαυτὰ, εἴπερ κινεῖν καὶ αὐτὰ ἐδύνατο. ἀλλ᾽ ἐπιτηδειότης τις ἔοικεν πρὸς
τὸ κινεῖσθαι καὶ διακοσμεῖσθαι, οἷον κάτωθεν ἄνω φυομένη, καὶ τῇ ἑαυτῆς εὐφυΐᾳ προσκαλουμένη τὰ δια-
κοσμητικὰ αἴτια. εἰ γὰρ κινήσεως ἦν ἀρχὴ ὡς κινοῦσά τι, κατὰ τοῦτο οὐ διέφερε τῆς ψυχῆς καὶ τοῦ πρώτως
κινοῦντος αἰτίου. ἀλλ᾽ ἐπειδὴ τὰ σώματα πόρρω διαστάντα τῆς ἀμερίστου καὶ ἀδιαστάτου οὐσίας, καὶ κατ᾽
αὐτὸ τὸ εἶναι ζωῆς ὑπαρχούσης νεκρὰ γέγονε καὶ ἀπνδυμένα καθ᾽ αὑτά, καὶ πρὸς πᾶσαν ζωὴν ἀπεψυ-
γμένα, ἔσχατόν τι ζωῆς εἶδος ἔσχεν ἐν αὐτοῖς τὸ κατὰ δύναμιν καὶ κατ᾽ ἐπιτηδειότητα, ταύτην ἣν κα-
λοῦμεν φύσιν. δι᾽ ἣν καὶ τὰ νεκρὰ δύναται κινεῖσθαι καὶ μεταβάλλεσθαι, καὶ αὐτὸ δὴ τοῦτο φύε-
σθαι, καὶ εἰς ἄλληλα παθητικά πως ἐνεργεῖν. οὐ γὰρ εἰλικρινεῖς εἰσὶν αἱ τούτων ἐνέργειαι, ἀλλὰ
παθητικαί. διὸ πάντα τὰ φυσικὰ κινούμενα κινεῖ. καίτοι τὸ κυρίως ἀκίνητον ὂν, αὐτὸ κινεῖ, ὥς φη-
σιν ὁ ἀριστοτέλης. ὅτι δὲ ἀρχὴν κινήσεως οὐ τοῦ κινεῖν ἀλλὰ τοῦ κινεῖσθαι ὁ ἀριστοτέλης ἀφορίζεται
τὴν φύσιν, δηλοῖ μὲν ἐνταῦθα λέγων, ὡς οὔσης τῆς φύσεως ἀρχῆς τινος καὶ αἰτίας τοῦ κινεῖσθαι καὶ
τοῦ ἠρεμεῖν. καὶ ὅτι ἐν ὑποκειμένῳ ἐστὶν ἡ φύσις. τὸ δ᾽ ἐν ὑποκειμένῳ, οὐκ ἂν ἀρχὴ εἴη κυρίως κινητικὴ
τοῦ ὑποκειμένου. ἐν μέντοι τῷ τελευταίῳ βιβλίῳ τῆς τοιαύτης πραγματείας, περὶ τῶν στοιχείων
λέγων τῶν τεσσάρων, ὅτι μὲν τοίνυν φησὶν οὐδὲν τούτων κινεῖ ἑαυτὸ, δῆλον. ἀλλὰ κινήσεως ἀρχὴν ἔ-
χει οὐ τοῦ ποιεῖν οὐδὲ τοῦ κινεῖν, ἀλλὰ τοῦ κινεῖσθαι. διὸ καὶ ζητεῖ ὑπὸ τίνος κινεῖται τὰ στοιχεῖα, ὡς ὑφ᾽
ἑαυτῶν μὴ κινουμένων αὐτῶν. ζώων γὰρ ἴδιον εἶναι τοῦτο βούλεται τῶν ψυχὴν ἐχόντων, ἣν ἀρχὴν

κινητικὴν ἀφορίζεται. καὶ πρὸ ταύτης δὲ τῆς ῥήσεως, καὶ κινητὸν δέ φησιν ὡσαύτως φύσει τὸ δυνάμει ποιὸν, ἢ ποσὸν, ἢ ποῦ, ὅταν ἔχῃ τὴν ἀρχὴν τὴν τοιαύτην ἐν ἑαυτῷ, τὴν φύσιν δηλονότι λέγων. ἐν δὲ τῷ δευτέρῳ τῆς περὶ οὐρανοῦ τάδε γράφει. τῶν γὰρ ἀψύχων ἐν οὐδενὶ ὁρῶμεν, ὅθεν ἡ ἀρχὴ τῆς κινήσεως. τὰ μὲν γὰρ ὅλως οὐ κινεῖται. τὰ δὲ, κινεῖται μὲν, ἀλλ' οὐ πανταχόθεν ὁμοίως. οἷον τὸ πῦρ ἄνω μόνον, καὶ ἡ γῆ ἐπὶ τὸ μέσον. εἰ οὖν φυσικὰ τὰ τέσσαρα στοιχεῖα, καὶ μὴ ἔχει ἐν ἑαυτοῖς τὸ ὅθεν ἡ ἀρχὴ τῆς κινήσεως, τουτέστι τὸ κινοῦν αἴτιον, δηλονότι οὐχ οὕτως ἀρχὴ κινήσεως λέγεται ἡ φύσις ἡ κινητικὴ, ἀλλ' ὡς τοῦ κινεῖσθαι ἀρχή. εἰ δὴ τοιαύτη τίς ἐστιν ἡ φύσις ὡς τὸ δυνάμει, καὶ ἡ ἐπιτηδειότης ἡ πρὸς τὸ κινεῖσθαι, πῶς ποιητικὴν πολλαχοῦ τὴν φύσιν λέγομεν. καὶ αὐτὸς ὁ ἀριστοτέλης ἀνάλογον αὐτὴν εἶναι τῇ τέχνῃ φησὶν ἐν τούτῳ τῷ βιβλίῳ. καὶ πρὸς τῷ τέλει, ἕνεκά του ποιεῖν τὴν φύσιν ἀποδείκνυσιν. καὶ συμπεραινόμενος ἐκεῖνον τὸν λόγον, ὅτι μὲν οὖν φησὶν αἰτία ἡ φύσις οὕτως ὡς ἕνεκά του, φανερόν. ἐν δὲ τῷ πρώτῳ τῆς περὶ οὐρανοῦ σαφῶς τῇ θείᾳ ποιήσει τὴν ποίησιν αὐτῆς συντάττων, ὁ θεός φησι καὶ ἡ φύσις οὐδὲν μάτην ποιοῦσι. καὶ πρὸς τοῦτο δὲ οἶμαι ῥητέον, ὅτι τὸ γινόμενον πᾶν ἐξ ὑποκειμένου τε γίνεται τινὸς, δυνάμει ὄντος τοῦτο ὅπερ μέλλει γίνεσθαι, καὶ ὑπὸ τοῦ ποιοῦντος ἐνεργείᾳ ὄντος. καὶ χρεία ἀμφοῖν πρὸς τὸ ἀποτέλεσμα. καὶ διὰ τοῦτο ἡ φύσις κἂν ἐπιτηδειότης ἐστὶ τοῦ ὑποκειμένου, λέγεται ποιεῖν, ὡς συντελοῦσα πρὸς τὸ ἀποτέλεσμα. καὶ ὅταν λέγῃ αὐτὴν ἕνεκά του ποιεῖν, ὡς τῆς τῶν φυσικῶν γενέσεως εἰς τέλος ὡρισμένον ὁρώσης λέγει, καὶ μὴ ἀπὸ τύχης ἢ ἐκ ταὐτομάτου γινομένων, ἀλλ' ὡς πεφυκότων οὕτω γίνεσθαι ὡς γίνονται. λέγει γοῦν ἐν τούτῳ τῷ βιβλίῳ, ὅτι ἐν οἷς τέλος τί ἐστι, τούτου ἕνεκα πράττεται τὸ ἕτερον καὶ τὸ ἐφεξῆς. οὐκοῦν ὡς πράττεται, οὕτω πέφυκε. καὶ ὡς πέφυκεν οὕτω πράττεται ἕκαστον, ἐὰν μή τις ἐμποδίζῃ. ὁρᾷς οὖν ὅτι τὸ πεφυκὸς τοῦτο λέγει εἶναι τὸ φυσικόν; κἂν λέγῃ οὖν ὅτι ὁ θεὸς καὶ ἡ φύσις οὐδὲν μάτην ποιοῦσιν, οὕτω λέγει, ὡς τῆς μὲν τὴν ἐπιτηδειότητα κάτωθεν παρεχομένης, εἰς τὸ τέλος τὸ ἀγαθὸν βλέπουσαν, τοῦ δὲ τὸ ἐνεργείᾳ τοιοῦτον ἄνωθεν ἐπιλάμποντος. ἀλλ' ὁ μὲν ἀριστοτέλης οὕτως ἐκ τῆς διαφορᾶς τῶν φύσει πρὸς τὰ μὴ φύσει τὴν τῆς φύσεως εὗρεν ὑπόστασιν. οἱ δὲ παλαιότεροι φαίνονται μὲν καὶ αὐτοὶ τοιαύτην τινὰ τῆς φύσεως ἔννοιαν ἐσχηκότες, ὡς κατὰ τὴν ἐπιτηδειότητα τὴν πρὸς κίνησιν ἑκάστων θεωρουμένης, καθ' ἣν χαρακτηρίζεται τὰ φυσικὰ πράγματα. ἐχόντων δὲ πάντων τῶν φυσικῶν καὶ ὕλην καὶ εἶδος, οἱ μὲν, τῇ ὕλῃ τὴν τοιαύτην δύναμιν ἀποδεδώκασι, φύσιν μὲν λέγοντες καθ' ἣν κινεῖσθαι πέφυκε τὰ φυσικὰ, ὁρῶντες δὲ κατὰ τὴν ὕλην μάλιστα μεταβάλλοντα, ὡς ἡ κλίνη κατὰ τὸ ξύλον. οἱ δὲ φύσιν λέγοντες καθ' ἣν ἔχει τὸ εἶναι τὰ φυσικὰ, ἐπειδὴ τὸ εἶδός ἐστιν ὁ ἑκάστου χαρακτὴρ, καθ' ὃν ὑφέστηκέ τε ἕκαστον, καὶ εἶναι λέγεται τοῦτο ὅπερ ἐστὶ, διὰ τοῦτο τὸ εἶδος εἶναι τὴν φύσιν ἔλεγον. διὰ γὰρ ταύτην τὴν ἔννοιαν τῆς φύσεως τὴν κατὰ τὸν ἑκάστου χαρακτῆρα, καὶ ἐπὶ πάντων χρώμεθα τῷ ὀνόματι αὐτῆς, καὶ ψυχῆς φύσιν καὶ νοῦ μὴ παραιτούμενοι λέγειν, ἤδη δὲ καὶ θεοῦ. ἀλλ' ὁ ἀριστοτέλης οὔτε τὴν ὕλην καθ' ἑαυτὴν ἠξίωσε λέγειν φύσιν, ὑποκείμενον γὰρ ἀδρανὲς καθ' αὐτήν ἐστιν ἡ ὕλη, οὔτε τὸ εἶδος. φυσικὸν γὰρ τοῦτό ἐστι, καὶ οὐ φύσις. ἀλλὰ τὴν ἐπιτηδειότητα τὴν πρὸς τὴν οἰκείαν κίνησιν καὶ μεταβολὴν τῆς ὕλης, ὅταν ἐκ τοῦδε τοῦ εἴδους εἰς τόδε μεταβάλλῃ, φύσιν εἶπε. καὶ γὰρ καὶ ἡ ἀποβολὴ καὶ ἡ μετάληψις τοῦ εἴδους, κατὰ τὴν φυσικὴν ἐπιτηδειότητα γίνεται τῇ ὕλῃ. καὶ τὸ εἶδος δὲ κατὰ τὴν ἑαυτοῦ φύσιν καὶ γίνεται ἐκ τοῦ ἀντικειμένου, καὶ γινόμενον σώζεται. καὶ κινεῖται πάσχον τε καὶ ποιοῦν, μᾶλλον δὲ παθητικῶς ἐνεργοῦν. ὥστε καὶ ἡ ὕλη καὶ τὸ εἶδος φυσικὰ μέν ἐστι, φύσις δὲ οὐδέτερον. ὁμοίως δὲ οὐδὲ τὸ σύνθετον. μᾶλλον δὲ τὸ εἶδος τῆς ὕλης εἴη ἂν φύσις, διὰ τὸν χαρακτῆρα καὶ τὴν δύναμιν. καὶ τὸ σύνθετον δὲ μᾶλλον τῆς ὕλης διὰ τὸ εἶδος. ἐπειδὴ φυσικὸν ὅλως τό τε γίνεται τόδε ἢ τόδε, ὅταν ἀπολάβῃ τὸ εἶδος. ἡ γὰρ ὕλη καθ' αὑτὴν ἀδιόριστός ἐστιν. ἐπιτηδειότης δὲ οὖσα πρὸς τὴν τοῦ εἴδους ὑπόστασιν ἡ φύσις, προϋπάρχει μέν πως τοῦ εἴδους εἰκότως, δυνάμει οὖσα ἐν τῇ ὕλῃ. προϋποφαίνει δὲ ἐν ἑαυτῇ τὸ εἶδος, φύσις οὖσα αὐτοῦ, καὶ οἷον ἔκφυσις καὶ ἀναβλάστησις ἀπὸ τῆς ὕλης. διὸ καὶ οἱ ζωὴν ἐσχάτην λέγοντες τὴν φύσιν, καλῶς λέγουσιν. ὡς γὰρ ἡ ἀπὸ τοῦ πρώτου ὄντος οἷον ἀνάζεσις εἰς διάκρισιν τῆς εἰδητικῆς ὑποστάσεως, καὶ ἡ ἀπὸ τοῦ εἶναι εἰς τὸ ἐνεργεῖν ἔκστασις, ἡ πρώτη ἐστὶ δύναμις καὶ ἡ πρώτη ζωὴ, κατὰ τὴν πρώτην τοῦ ὄντος κίνησιν ὑποστᾶσα, οὕτως ἡ ἀπὸ τῆς ὕλης τοῦ ἐνύλου εἴδους ἔκφυσις, καὶ ἡ ἐπ' αὐτὸ κίνησις, κατὰ τὸ δυνάμει τοῦ εἴδους θεωρουμένη, ἡ ἐσχάτη δύναμίς ἐστι καὶ ἡ ἐσχάτη ζωή. καὶ διὰ τοῦτο ἄνω μὲν τὸ ὂν ὑπὲρ τὴν ζωήν ἐστι, κάτω δὲ ἡ ὕλη μετὰ τὴν φύσιν. ὅτι τὰ ὑπέρτερα αἴτια ἐπὶ πλέον φθάνει τῶν καταδεεστέρων. ζωὴ δὲ οὖσα ἡ φύσις τοῦ εἴδους, οὐ μόνον ἔκφυσίς ἐστιν αὐτοῦ. ἀλλὰ καὶ γινομένου ἤδη συνοχὴ καὶ διανάστασις, πρὸς τὸ ποιεῖν καὶ πάσχειν ἃ πέφυκεν.

ΜΕΤΑ δὲ τοῦτο θεωρητέον τίνι διαφέρει ὁ μαθηματικὸς τοῦ.

Βούλεται μὲν τὴν διαφορὰν τοῦ μαθηματικοῦ πρὸς τὸν φυσικὸν παραδοῦναι εἰκότως, διότι περὶ τὰ αὐτὰ καταγίνεσθαι δοκοῦσι. καὶ γὰρ ὁ μὲν φυσικὸς περὶ τὰ φυσικὰ σώματα καταγίνεται. ταῦτα δὲ ἐπίπεδα ἔχει, καὶ στερεὰ, καὶ μήκη, καὶ στιγμὰς, περὶ ὧν σκοπεῖ ὁ μαθηματικός. καὶ ἡ μαθη-

ματικὴ δὴ μέρος ἂν εἴη τῆς φυσικῆς, φυσικῶν οὖσα καὶ αὐτὴ θεωρητική. ὁμοίως δὲ καὶ τὴν πρὸς ἀστρο-
λογίαν διαφορὰν τῆς φυσικῆς παραδίδωσι. διότι καὶ αὐτὴ κοινωνεῖν δοκεῖ. καὶ μάλιστα ὅτι περὶ
κινούμενα καὶ ὁ ἀστρολόγος καταγίνεται, ὥσπερ ὁ φυσικός, καὶ οὐχὶ περὶ ἀκίνητα ὡς ὁ γεωμέτρης.
διὸ περὶ τῶν αὐτῶν δοκοῦσι λέγειν ὅ, τε φυσικὸς καὶ ὁ ἀστρολόγος. κἂν γὰρ ὁ φυσικὸς περὶ τῆς οὐ-
σίας διαλέγηται τῶν ἄστρων, ὁ δὲ μαθηματικὸς περὶ τῶν συμβεβηκότων, οἷον κινήσεως αὐτῶν καὶ
μεγέθους καὶ σχήματος, καὶ τῆς πρὸς ἄλληλα καὶ τὴν γῆν διαστάσεως, ἀλλὰ καὶ ὁ φυσικὸς καὶ πε-
ρὶ τούτων διαλέγεται. ἄτοπον γὰρ τὸ ταῦτα ἀγνοεῖν τὸν δοκοῦντα τὴν τῶν ὄντων φύσιν ἐπισκέ-
φθαι. καὶ φαίνονται μέντοι οἱ περὶ φύσεως πραγματευσάμενοι, καὶ περὶ σχήματος ἡλίου καὶ σε-
λήνης λέγοντες, καὶ ὅτι σφαιροειδὴς ἡ γῆ καὶ ὁ κόσμος ὅλος δεικνύντες. καὶ δὴ καὶ αὐτὸς ἐν τῇ περὶ
οὐρανοῦ, καὶ ὁ πλάτων ἐν τιμαίῳ, περὶ τούτων ἀπέδειξαν, φυσικαῖς ἀποδείξεσι προσχρησάμενοι.
εἰ οὖν ὁ μὲν φυσικὸς καὶ περὶ οὐσίας τῶν ἄστρων, καὶ περὶ τῶν συμβεβηκότων αὐτοῖς ἐπισκοπεῖ,
ὁ δὲ ἀστρολόγος περὶ μόνων τῶν συμβεβηκότων, μέρος ἂν δόξη τῆς φυσικῆς ἡ ἀστρολογία. οὕτω μὲν
οὖν συνεγγὺς ἂν εἴησαν τῇ φυσικῇ ἥ τε μαθηματικὴ καὶ ἡ ἀστρολογία. καὶ διὰ τοῦτο τὴν διαφορὰν αὐτῶν
ἔδει παραδοῦναι. διαφέρει δὲ ὁ μαθηματικὸς τοῦ φυσικοῦ, πρῶτον μὲν ὅτι ὁ φυσικὸς οὐ περὶ τῶν
συμβεβηκότων μόνον τοῖς φυσικοῖς λέγει, ἀλλὰ καὶ περὶ τῆς ὕλης, τοῦ μαθηματικοῦ μηδὲν περὶ ὕ-
λης πολυπραγμονοῦντος. ἔπειτα καὶ περὶ τῶν συμβεβηκότων περὶ ὧν ἀμφότεροι λέγουσιν, οὐ
κατὰ τὸν αὐτὸν λέγουσι τρόπον. ἀλλ' ὁ μὲν φυσικὸς περὶ ἐπιπέδων λέγει καὶ γραμμῶν καὶ σημείων,
ὡς περὶ περάτων τοῦ φυσικοῦ καὶ κινητοῦ σώματος. ὁ δὲ μαθηματικὸς οὐ τὴν κίνησιν προσποιεῖται
τὴν ἔμφυτον. οὔτε ὡς πέρατα φυσικοῦ σώματος παραλαμβάνει. οὐδὲ γὰρ τὸ στερεὸν αὐτῷ φυσικὸν
ὑπόκειται. ἀλλ' αὐτὸ τοῦτο μόνον τὸ τριχῇ διεστώς, ὡς εἰ καθ' ἑαυτὰ ἦν τοιαῦτα. περὶ γὰρ τὰ τῇ
νοήσει χωριστὰ καταγίνονται. διὸ καὶ χωρίζουσιν αὐτά, καὶ οὐδὲν ἀκολουθεῖ ψεῦδος. χωρίσας γὰρ αὐ-
τὰ τῇ νοήσει τῶν φυσικῶν σωμάτων καὶ πάσης κινήσεως, οὕτω τὰ συμβαίνοντα τοῖς οὕτως ὑποτε-
θεῖσι σκοπεῖ. ὥστε εἰ μήτε ὡς περὶ φυσικῶν λέγει, μήτε ὡς φυσικοῖς ὑπαρχόντων, οὔτε φυσικὸς
ἂν εἴη ὁ μαθηματικός, οὔτε μέρος ἡ μαθηματικὴ τῆς φυσικῆς. ἀλλ' οὐδὲ ἡ ἀστρολογία. καὶ γὰρ καὶ αὐ-
τὴ τὰ συμβεβηκότα τοῖς φυσικοῖς σκοπεῖ. ἀλλ' οὐχ ᾗ τοῖς φυσικοῖς συμβέβηκεν. ἀλλ' ὁποῖα ἂν ᾖ τὰ
ἐσχηματισμένα καὶ κινούμενα σώματα. ὥστε καὶ ὁ ἀστρολόγος κἂν λέγῃ περὶ τῶν καθ' αὑτὰ ὑπαρ-
χόντων τοῖς φυσικοῖς σώμασιν, ἀλλ' οὐχ ᾗ φυσικοῖς ὑπάρχει τὰ τοιαῦτα ζητεῖ. οὐδὲ ὅτι τῇ τοιαύτῃ
φύσει τὰ τοιαῦτα σχήματα καὶ μεγέθη καὶ αἱ κινήσεις προσήκουσιν ἀποδείκνυσιν. ὥσπερ ἐπὶ τοῦ οὐρα-
νίου σώματος ὅτι σφαιροειδές, ὁ μὲν φυσικὸς ἀπὸ τοῦ πρῶτον καὶ ἁπλοῦν καὶ τέλειον καὶ μονοειδὲς
τοῦτο μόνον εἶναι τῶν στερεῶν σχημάτων. τὰ γὰρ εὐθύγραμμα σύνθετά τε ἐκ πλειόνων καὶ δεύτερα.
καὶ διὰ τοῦτο τῷ πρώτῳ τῶν σωμάτων προσήκειν, ὡς ὁ ἀριστοτέλης ἀποδείκνυσιν. ὁ δὲ ἀστρολόγος
ἐκ τοῦ τῶν ἰσοπεριμέτρων ἐν τοῖς στερεοῖς πολυχωρητοτέραν εἶναι τὴν σφαῖραν. οὕτω μὲν οὖν ὁ ἀρι-
στοτέλης διὰ βραχέων ἐνεδείξατο τὴν διαφορὰν τῆς φυσιολογίας πρός τε τὴν μαθηματικὴν καὶ τὴν
ἀστρολογίαν. ὁ δὲ ἀλέξανδρος φιλοπόνως λέξιν τινὰ τοῦ γεμίνου παρατίθησιν, ἐκ τῆς ἐπιτομῆς τῶν
ποσειδωνίου μετεωρολογικῶν ἐξηγήσεως, τὰς ἀφορμὰς παρὰ ἀριστοτέλους λαβοῦσαν. ἔχει δὲ ὧδε.
» τῆς μὲν φυσικῆς θεωρίας ἐστί, τὸ σκοπεῖν περὶ τῆς οὐσίας τοῦ οὐρανοῦ καὶ ἄστρων, καὶ δυνάμεως καὶ
» ποιότητος, γενέσεώς τε καὶ φθορᾶς. καὶ νὴ δία τούτων περὶ μεγέθους καὶ σχήματος καὶ τάξεως ἀ-
» ποδεικνύναι δύναται. ἡ δὲ ἀστρολογία περὶ τοιούτου μὲν οὐδενὸς ἐπιχειρεῖ λέγειν. ἀποδείκνυσι δὲ
» τὴν τάξιν τῶν οὐρανίων, κόσμον ὄντως ἀποφήνασα τὸν οὐρανόν. καὶ περί τε σχημάτων λέγει καὶ με-
» γέθους καὶ ἀποστημάτων, γῆς τε καὶ ἡλίου καὶ σελήνης. καὶ περὶ ἐκλείψεων καὶ συνάψεων τῶν ἄστρων.
» καὶ περὶ τῆς ἐν ταῖς φοραῖς αὐτῶν ποιότητος καὶ ποσότητος. ὅθεν ἐπειδὴ τῆς περὶ ποσὸν καὶ πη-
» λίκον καὶ ποιὸν κατὰ σχῆμα θεωρίας ἐφάπτεται, εἰκότως ἀριθμητικῆς τε καὶ γεωμετρίας ἐδεήθη
» ταύτης. καὶ περὶ τούτων ὧν ὑπισχνεῖτο μόνον λόγον ἀποδώσειν, δι' ἀριθμητικῆς τε καὶ γεωμετρίας
» συμβιβάζειν ἰσχύει. πολλαχοῦ τοίνυν ταὐτὸν κεφάλαιον ἀποδείξας προθήσεται ὅ, τε ἀστρολόγος
» καὶ φυσικός. οἷον ὅτι μέγας ὁ ἥλιος. ὅτι σφαιροειδὴς ἡ γῆ. οὐ μὴν κατὰ τὰς αὐτὰς ὁδοὺς βαδιοῦνται.
» ὁ μὲν γὰρ ἀπὸ τῆς οὐσίας ἢ τῆς δυνάμεως ἢ τοῦ ἄμεινον οὕτως ἔχειν, ἢ ἀπὸ τῆς γενέσεως καὶ μεταβο-
» λῆς ἕκαστα ἀποδείξει. ὁ δέ, ἀπὸ τῶν συμβεβηκότων τοῖς σχήμασιν ἢ μεγέθεσιν, ἢ ἀπὸ τῆς ποσότητος
» τῆς κινήσεως, καὶ τοῦ ἐφαρμόττοντος αὐτῇ χρόνου. καὶ ὁ μὲν φυσικὸς τὰς αἰτίας πολλαχοῦ ὄψεται,
» εἰς τὴν ποιητικὴν δύναμιν ἀποβλέπων. ὁ δὲ ἀστρολόγος ὅταν ἀπὸ τῶν ἔξωθεν συμβεβηκότων ἀποδεί-
» κνύῃ, οὐχ ἱκανὸς θεατὴς γίνεται τῆς οὐσίας. οἷον ὅτε σφαιροειδῆ τὴν γῆν ἢ τὰ ἄστρα ἀποδίδωσιν. ἐνια-
» χοῦ δὲ οὐδὲ τὴν αἰτίαν λαβεῖν ἐφίεται. ὡς ὅταν περὶ ἐκλείψεως διαλέγηται. ἄλλοτε δὲ καθ' ὑπό-
» θεσιν εὑρίσκει τρόπους τινὰς ἀποδιδούς, ὧν ὑπαρχόντων σωθήσεται τὰ φαινόμενα. οἷον διὰ τί ἀνω-
» μάλως ἥλιος καὶ σελήνη καὶ πλανῆται φαίνονται κινούμενοι. ὅτι εἰ ὑποθώμεθα ἐκκέντρους αὐτῶν
» τοὺς κύκλους, ἢ κατ' ἐπίκυκλον πολούμενα τὰ ἄστρα, σωθήσεται ἡ φαινομένη ἀνωμαλία αὐτῶν. δεή-

σει τε

σει τε ἐπεξελθεῖν, καθ' ὅσους δυνατὸν τρόπους ταῦτα ἀποτελεῖσθαι τὰ φαινόμενα. ὥστε ἐοικέναι τῇ κατὰ τὸν ἐνδεχόμενον τρόπον αἰτιολογίᾳ τὴν περὶ τῶν πλανωμένων ἄστρων πραγματείαν. διὸ καὶ παρελθών τίς φησιν Ἡρακλείδης ὁ Ποντικὸς, ἔλεγεν ὅτι καὶ κινουμένης πως τῆς γῆς, τοῦ δ' ἡλίου μένοντός πως, δύναται ἡ περὶ τὸν ἥλιον φαινομένη ἀνωμαλία σώζεσθαι. ὅλως δὲ οὐκ ἔστιν ἀστρολόγου τὸ γνῶναι, τί ἠρεμαῖόν ἐστι τῇ φύσει, καὶ ποῖα τὰ κινητά. ἀλλὰ ὑποθέσεις εἰσηγούμενος, τῶν μὲν, μενόντων, τῶν δὲ, κινουμένων, σκοπεῖ τίσιν ὑποθέσεσιν ἀκολουθήσει τὰ κατ' οὐρανὸν φαινόμενα. ληπτέον δὲ αὐτῷ ἀρχὰς παρὰ τοῦ φυσικοῦ, ἁπλᾶς εἶναι καὶ ὁμαλὰς καὶ τεταγμένας κινήσεις τῶν ἄστρων, δι' ὧν ἀποδείξει ἐγκύκλιον οὖσαν τὴν χορείαν ἁπάντων, τῶν μὲν, κατὰ παραλλήλους, τῶν δὲ, κατὰ λοξοὺς κύκλους εἱλουμένων. οὕτω μὲν οὖν καὶ ὁ Γεμῖνος, ἤτοι ὁ παρὰ τῷ Γεμίνῳ Ποσειδώνιος, τὴν διαφορὰν τῆς τε φυσιολογίας καὶ τῆς ἀστρολογίας παραδίδωσιν, ἀπὸ τοῦ Ἀριστοτέλους τὰς ἀφορμὰς λαβών. κατὰ δὲ τὴν λέξιν, ἄτοπον φησὶ τὸ τῶν καθ' αὑτὸ συμβεβηκότων τοῖς φυσικοῖς μηδὲν εἰδέναι τὸν φυσιολόγον. εἰκότως. διότι ἀνάγκη τὸν εἰδότα τί κατὰ τρόπον, καὶ τὰ ἴδια αὐτοῦ εἰδέναι, καὶ τὰς προσεχεῖς διαφοράς. εἰ γὰρ μὴ ταῦτα εἰδείη, οὐδὲ εἰ τῶν ὁμογενῶν διαφέρειν εἴσεται. τοῦτο δὲ μὴ εἰδὼς, πάντα ἂν τὰ ὁμογενῆ ταυτὰ ἀλλήλοις ὑπολήψεται. ὥστε εἰ οὕτω τύχοι, καὶ τἀναντία. εἰ οὖν τὰ σχήματα καὶ μεγέθη καὶ αἱ τοιαίδε κινήσεις τῶν ἄστρων, ἴδια τοῦ θείου σώματός ἐστιν, ἀνάγκη καὶ ταῦτα εἰδέναι τὸν φυσικόν. περὶ τὴν τῶν ὀνομάτων δὲ χρῆσιν ἐπισημήνασθαι ἄξιον, ὅτι μαθηματικὴν νῦν τὴν γεωμετρίαν ἔοικε καλεῖν. οὗτος γάρ ἐστιν ὁ ἐπίπεδα καὶ στερεὰ καὶ μήκη καὶ στιγμὰς ἔχων, καίτοι τῆς κυρίως μαθηματικῆς, καὶ τὴν ἀριθμητικὴν, καὶ τὴν ἀστρολογίαν ἤτοι σφαιρικὴν, καὶ τὴν ἁρμονικὴν ἤτοι τὴν κανονικὴν περιεχούσης. καὶ τὸ τῆς ἀστρολογίας ὄνομα, μήπω τότε τῆς ἀποτελεσματικῆς εἰς τοὺς Ἕλληνας ἐλθούσης, ὡς ἔοικεν ἐπὶ τῆς νῦν καλουμένης ἀστρονομίας ἔφερον. οἱ δὲ νεώτεροι διελόντες τοὔνομα, τὴν μὲν τὰς κινήσεις τῶν οὐρανίων ἐπισκοποῦσαν, ἀστρονομίαν καλοῦσι. τὴν δὲ περὶ τὰ ἀποτελούμενα ἐξ αὐτῶν, ἀστρολογίαν ἰδίως ἐπονομάζουσιν.

Δ ΛΑΝΘΑΝΟΥΣΙ δὲ τοῦτο ποιοῦντες, καὶ οἱ τὰς ἰδέας λέγοντες. τὰ γὰρ φυσικὰ χωρίζουσιν ἧττον, ὄντα χωριστὰ τῶν μαθηματικῶν. γίνοιτο δ' ἂν τοῦτο δῆλον, εἴ τις ἑκατέρων πειρῷτο λέγειν τοὺς ὅρους, καὶ αὐτῶν καὶ τῶν συμβεβηκότων. τὸ μὲν γὰρ περιττὸν ἔσται καὶ τὸ ἄρτιον. καὶ τὸ εὐθὺ καὶ τὸ καμπύλον. ἔτι δὲ καὶ ἀριθμὸς, καὶ γραμμή. καὶ σχῆμα ἄνευ κινήσεως. σὰρξ δὲ καὶ ὀστοῦν καὶ ἄνθρωπος, οὐκ ἔτι. ἀλλὰ ταῦτα ὥσπερ ῥὶς σιμὴ, ἀλλ' οὐχ ὡς τὸ καμπύλον λέγεται. δηλοῖ δὲ καὶ τὰ φυσικώτερα τῶν μαθηματικῶν. οἷον, ὀπτικὴ καὶ ἁρμονικὴ, καὶ ἀστρολογία ἀνάπαλιν γὰρ τρόπον τινὰ ἔχουσι τῇ γεωμετρίᾳ. ἡ μὲν γὰρ γεωμετρία, περὶ γραμμῆς φυσικῆς σκοπεῖ. ἀλλ' οὐχ ᾗ φυσική. ἡ δ' ὀπτικὴ, μαθηματικὴν μὲν γραμμὴν, ἀλλ' οὐχ ᾗ μαθηματικὴ, ἀλλ' ᾗ φυσική.

Ε ἰπὼν τοὺς μαθηματικοὺς τὰ τῇ ὑποστάσει ἀχώριστα χωρίζοντας κατ' ἐπίνοιαν, οὕτω ποιεῖσθαι περὶ αὐτῶν τοὺς λόγους, διότι τὰς τρεῖς διαστάσεις ἀπὸ τοῦ φυσικοῦ σώματος ἀφαιροῦσι, καὶ ἀπὸ τῶν τριῶν τὰς δύο, ἐπίπεδον καθ' αὑτὸ λαμβάνοντες, καὶ ἀπὸ τῶν δύο τὴν μίαν ὅταν τὴν γραμμὴν πολυπραγμονῶσι, τὸ αὐτό φησι λανθάνειν ποιοῦντας καὶ τοὺς τὰς ἰδέας λέγοντας. μᾶλλον δὲ ἀτοπώτερόν τι ποιεῖν. οἱ μὲν γὰρ μαθηματικοὶ γραμμὰς καὶ ἐπίπεδα καὶ τὰ τοιαῦτα χωρίζουσιν ἀπὸ τῶν φυσικῶν σωμάτων. ἅπερ εἰ καὶ τῇ ὑποστάσει ἀχώριστά ἐστιν, ἀλλὰ τῇ γε ἐπινοίᾳ χωριζόμενα οὐδὲν ἀδύνατον ἑπόμενον ἔχει. οὗτοι δὲ τὰ φυσικὰ εἴδη χωρίζειν ἐπιχειροῦσιν, οἷον ἄνθρωπον, καὶ σάρκα, καὶ τὰ τοιαῦτα. ἅπερ ἧττόν ἐστι χωριστὰ τῶν μαθηματικῶν. τὸ δὲ ἧττον, δοκεῖ δι' εὐλάβειαν λέγειν ὁ φιλόσοφος, καίτοι βουλόμενος αὐτὰ μηδαμῶς εἶναι μηδὲ τῇ ἐπινοίᾳ χωριστά. καὶ παραδίδωσι κανόνα τῶν τε τῇ ἐπινοίᾳ δυναμένων χωρίζεσθαι, καὶ τῶν μή. καὶ γὰρ ὅταν μὲν ταῦτα ἃ χωρίζομεν ὁριζόμενοι, μὴ παραλαμβάνωμεν ἐν τῷ ὁρισμῷ ἐκεῖνα, ὧν χωρίζομεν αὐτὰ, μηδὲ τῇ ἐννοίᾳ συναναφέρωμεν, ἀλλ' αὐτὰ καθ' αὑτὰ ὁριζώμεθα καὶ ἐννοῶμεν, ὡς τὸ μαθηματικὸν σῶμα ὁριζόμενοι λέγομεν τὸ τρεῖς ἔχον διαστάσεις, οὐδαμοῦ τὴν ὕλην ἢ τὴν κίνησιν τοῦ φυσικοῦ σώματος συναναφέροντες, καὶ τὸ ἐπίπεδον τὸ μῆκος καὶ πλάτος μόνον ἔχον, καὶ ἐπὶ τῶν ἀριθμῶν ὁμοίως, τότε χωριστὰ λόγῳ καὶ ἐπινοίᾳ τὰ τοιαῦτα λέγομεν εἶναι. ὅταν δὲ βουλομένοις ὁρίσασθαι τὰ χωριζόμενα, συνεκφαίνηται πάντως ἐκεῖνα ὧν χωρίζεται, καὶ μηδὲ δύνηται χωρὶς ἐκείνων νοεῖσθαι, τότε καὶ τῇ νοήσει καὶ τῇ ἐπινοίᾳ τὰ τοιαῦτα ἀχώριστα λέγομεν. τοιαῦτα δὲ σὰρξ καὶ ὀστοῦν καὶ ἄνθρωπος. οὐ μόνον γὰρ φυσικόν ἐστιν ἕκαστον τούτων καὶ ἔνυλον. καὶ συναμφότερον, ἀλλὰ καὶ ὡς σύνθετον ἐπινοεῖται. καὶ τὴν διαφορὰν παρέστησεν ἐπὶ σχήματος, ποτὲ μὲν καθ' αὑτὸ νοεῖσθαι δυναμένου, ὅταν καθ' αὑτὸ λέγηται, ὡς τὸ κυρτὸν ἢ μᾶλλον τὸ κοῖλον σχῆμα, ποτὲ δὲ μὴ δυναμένου, ὡς ἐπὶ τοῦ σιμοῦ. καὶ γὰρ ἡ σιμότης κοιλότης ἐστὶν, ἀλλ' οὐχ ἡ τυχοῦσα, ἀλλ' ἡ ἐν ῥινὶ κοιλότης. διὸ τὴν σιμότητα ἄνευ ῥινὸς ἐπινοῆσαι ἀδύνατον. καὶ τὸν ὁρισμὸν ἀποδιδόντες, σιμότητα λέγομεν εἶναι κοιλότητα ἐν ῥινί. εἰ τοίνυν καὶ τὸν ἄνθρωπον ὁριζόμενοι ζῷον λογικὸν θνητὸν λέγομεν, τὸ κατὰ τὴν ἰδέαν παράδειγμα τοῦ ἀνθρώπου λε-

γόμενον, ἤτοι ἄλλο τι ἐν λέγεται αὐτός, καὶ οὐκ ἂν εἴη κοινωνοῦν τῷ φυσικῷ ἀνθρώπῳ κατὰ τὴν οὐσίαν, οὐδὲ παράδειγμα αὐτοῦ, ἢ εἴπερ καὶ αὐτὸ ζῶον λογικὸν θνητόν ἐστι, καὶ παρ' αὐτοῦ ὁ τῇδε ἄνθρωπος τὸ εἶναι τοιοῦτος ἔχει, τῇ πρὸς αὐτὸ ὁμοιότητι, καὶ ἐκεῖνο μετὰ κινήσεως ἀνάγκη νοεῖσθαι καὶ σώματος. τὸ γὰρ ζῶον οὐσία ἔμψυχος αἰσθητική, καὶ κατὰ τόπον κινητική. πῶς οὖν ἂν εἴη ζῶον τὸ ἐκεῖ, ἢ πῶς θνητόν, χαλεπὸν καὶ πλάσαι. ἢ πῶς ὅλως τὰ φυσικὰ ἔνυλα καὶ ἐν κινήσει ἐστίν, οἷον σὰρξ καὶ ὀστοῦν καὶ ἄνθρωπος καὶ τῶν ἄλλων ἕκαστον. ὅτι δὲ οὐ πάντα δυνατὸν χωρίσαι τῶν φυσικῶν, δείκνυσι καὶ διὰ τοῦ τῶν μαθημάτων καίτοι χωρίζειν πεφυκότων, ὅμως τὰ φυσικώτερα καὶ κινήσει προσχρώμενα, οἷά ἐστιν ἡ ὀπτικὴ καὶ ἡ ἁρμονικὴ καὶ ἡ ἀστρολογία, αἰσθήσεσιν ἤδη προσχρώμενα, καὶ κινουμένοις ὑποκειμένοις, μὴ δύνασθαι χωρίσαι ταῦτα τῆς ὕλης καὶ τῆς φύσεως. καὶ γὰρ ἡ ὀπτικὴ γραμμὰς ὥσπερ ὁ γεωμέτρης λαμβάνει. καὶ ἡ ἁρμονικὴ λόγους ἀριθμητικούς, ἐπόγδοον ἢ ἡμιόλιον καὶ ἐπίτριτον καὶ διπλάσιον, ὥσπερ ἡ ἀριθμητική, καὶ ἡ ἀστρολογία σφαίρας καὶ κύκλους, ὡς ἡ σφαιρική. καὶ ὅμως οὐ δύνανται ταῦτα αὗται τῶν φυσικῶν καὶ κινουμένων καὶ ἐνύλων χωρίσαι, ὥσπερ ἐκεῖναι χωρίζουσι, καὶ ἐφ' ἑαυτῶν ὁρίζονται, καὶ ὡς κεχωρισμένοις χρῶνται. καίτοι τὰς ἀρχὰς ὁ μὲν ὀπτικὸς ἀπὸ τοῦ γεωμέτρου λαμβάνει. ὁ δὲ ἁρμονικὸς ἀπὸ τοῦ ἀριθμητικοῦ. ὁ δὲ ἀστρολόγος ἀπὸ τοῦ σφαιρικοῦ. καὶ εἰσὶν ὑπ' αὐτοὺς οὗτοι, ὡς ὁ ἰατρὸς ὑπὸ τὸν φυσικόν. ὅτι δὲ οὔτε ὁ ὀπτικός, οὔτε ὁ ἁρμονικός, οὔτε ὁ ἀστρολόγος, δύναται χωρίσαι ἀπὸ τῶν φυσικῶν τὰ ἑαυτοῖς ὑποκείμενα, δῆλον γίνεται, ὅταν εἰς χρείαν ἄγηται ἕκαστος ὡς ἐνεργὸς θεωρούμενος. τότε γὰρ καὶ ἀνάπαλιν ἔχουσι τρόπον τινὰ πρὸς τὰς ἀρχικωτέρας. ἡ μὲν γὰρ γεωμετρία περὶ γραμμῆς φυσικῆς σκοπεῖ τῆς ὡς πέρατος. ἀλλ' οὐχ ᾗ φυσική. ἡ δὲ ὀπτικὴ μαθηματικὴν μὲν λαμβάνει γραμμήν. ὡς γὰρ μῆκος μόνον ἀπλατές. ἀλλ' οὐχ ᾗ μαθηματικὴν σκοπεῖ, ἀλλ' ᾗ φυσικήν. ὅτι δὲ μαθηματικὴν λαμβάνει, δηλοῖ τὰ ὀπτικὰ διαγράμματα. εἰ οὖν γραμμὰς καὶ ἀριθμοὺς καὶ κύκλους, καίτοι τῷ λόγῳ πεφυκότα χωρίζεσθαι, οὐκ ἀεὶ δυνατὸν χωρίζειν, πόσῳ μᾶλλον τὰ φυσικὰ αὐτὰ καὶ σύνθετα. ὧν καὶ οἱ ὁρισμοὶ ὡς συνθέτων καὶ φυσικῶν ἀποδίδονται. ταῦτα καλῶς ὁ ἀριστοτέλης πρὸς τὰς δημώδεις περὶ τῶν ἰδεῶν ἐννοίας ἀντείρηκεν. ὅσαι τῶν μὲν ἐκεῖ μηδενὸς συναισθάνονται. τὰ δὲ ἔνυλα εἴδη μηδὲ ἀπολύουσαι τελέως τῆς ὕλης, ἐν τῷ δημιουργικῷ νῷ προϋπάρχειν φαντάζονται, πάντων ἁπλῶς τῶν ἐνταῦθα, καὶ τῶν μετὰ τῆς ὕλης θεωρουμένων, καὶ μετὰ τοῦ τρόπου τῆς τῶν τῇδε ὑποστάσεως λαμβανομένων, ἰδέας εἶναι νομίζουσαι, καὶ μέντοι καὶ τὴν ὁμοιότητα, οὐχ ὡς εἰκόνων πρὸς παραδείγματα τῶν τῇδε πρὸς ἐκεῖνα, ἀλλ' ὡς ταυτότητα νοοῦσαι. καὶ γὰρ τῷ ὄντι εἰ ἄνθρωπος ὁ ἔνυλος οὗτός ἐστιν, ὁ αἰσθήσει καὶ κινήσει χρώμενος καὶ σωματικὸς, καὶ θνητὴν ἔχων τὴν ἑαυτοῦ σύστασιν, οὐκ ἂν εἴη ἐκεῖ ἄνθρωπος. εἰ δὲ τὰ γενητὰ μὲν τὰ ἐνθάδε, τὸ δὲ γινόμενον ὑπ' αἰτίας ἀνάγκη γίνεσθαι, καὶ οὐχὶ κοινῆς μόνον, ἀλλ' ἀφωρισμένης καὶ τοῦδέ τινος οἰσικῆς, δεῖ πάντως προϋπάρχειν ἐν τῷ δημιουργικῷ νῷ τὰς τῶν γινομένων κατ' εἶδος διακεκριμένας αἰτίας. ὡς καὶ ἐν τῷ οἰκοδόμῳ ἄλλον μὲν τοίχου τεχνικὸν λόγον, ἄλλον δὲ ὀροφῆς. τὰ δὲ ὀνόματα μεταφέροντες ἐντεῦθεν ἐκεῖ, εἰ μὲν ὡς αἰτίας τούτων ἀφωρισμένας, καὶ τοῦτον ἐχούσας ἐκεῖ τὸν λόγον, ὃν ἐνταῦθα ἔχει τὰ ἀποτελούμενα, τοῖς αὐτοῖς ὀνόμασι καλοῦμεν, οὐδὲν οἶμαι ἄτοπον. καὶ γὰρ καὶ αὐτὸς ἀριστοτέλης διττὴν ἔφατο τὴν τάξιν, τὴν μὲν ἐν τῷ κόσμῳ, τὴν δὲ ἐν τῷ αἰτίῳ τοῦ κόσμου. ὥσπερ τὴν μέν, ἐν τῷ στρατοπέδῳ, τὴν δὲ ἐν τῷ στρατηγῷ. καίτοι εἴ τις τὴν ἐνταῦθα τάξιν ὡς ἐνταῦθα οὖσαν ὁρίζοιτο, οὐκ ἂν ὁ κόσμος ἐφαρμόσῃ τῇ ἐν τῷ νῷ τάξει. ὥστε οὐδὲ τὸ ὄνομα. καὶ γὰρ εἰ ὁρισμός τις εἴη τῆς σωκράτους εἰκόνος ὡς εἰκόνος, οὐκ ἂν οὗτος ἐφαρμόσῃ τῷ παραδείγματι. εἰ μέντοι τὴν ὁμοιότητα τῆς εἰκόνος πρὸς τὸ παράδειγμα ὁρισμῷ περιλαμβάνοι, οἷον τὸ σιμόν, τὸ φαλακρόν, τὸ ἐξόφθαλμον, παρεὶς τὴν ὑποκειμένην ὕλην, οὐδὲ τότε μὲν ὁ ὁρισμὸς ἐφαρμόσει τῷ σωκράτει. ὅμοιος μέντοι ἔσται τῷ ἐκείνου ὁρισμῷ. οὐ γὰρ ἡ σιμότης ἡ ἐν τῇ εἰκόνι ἡ αὐτὴ τοῦ σωκράτους ἐστίν. ἀλλ' ὁμοία καὶ εἰκὼν ἐκείνης. ἀλλ' ὅτι μὲν εἰσὶ τῶν φυσικῶν αἰτίαι καὶ λόγοι προϋπάρχοντες, ἐξ ὧν ταῦτα ἐστίν, οὐδὲ οἱ τὰ ἀριστοτέλους τιμῶντες ἀμφισβητοῦσιν. οἱ δὲ τὰς ἰδέας τιθέμενοι, οὐκ αἰτίας μόνον λέγουσιν αὐτὰς τῶν τῇδε ἀλλὰ καὶ παραδείγματα, ὡς κατὰ τὴν ἐκείνων ὁμοιότητα τῶν ἐνταῦθα ὑφισταμένων. διὸ καὶ ὀνόμασι χρῶνται τοῖς αὐτοῖς ἐφ' ἑκατέρων. ὅπερ οὐκ ἂν ἔχοι λόγον, εἰ μὴ καὶ τὰ φυσικὰ εἴδη τῇ ἐπινοίᾳ χωρίζοιτο. ἐπιστῆσαι δὲ ἄξιον, ὅτι καὶ ὁ ἀριστοτέλης, ἄλλο μὲν τὸ σύνθετον τὸ ἐξ ὕλης καὶ εἴδους εἶδεν, ἄλλο δὲ τὸ εἶδος αὐτό. καὶ δὴ καὶ ὁρισμὸν ἄλλον μὲν τῆς ὕλης ἑκασταχοῦ, ἄλλον δὲ τοῦ εἴδους, ἄλλον δὲ τοῦ συνθέτου φησὶν ἀποδίδοσθαι. καὶ ἐν τούτοις δὲ τὸ εἶδος θεωρεῖ καθ' αὑτό, ὅταν λέγῃ τὸ εἶδος καὶ τὴν μορφὴν εἶναι τὴν φύσιν. οὐ γὰρ τὸ σύνθετον λέγει τότε, τί οὖν φύεται οὐχὶ ἐξ οὗ, ἀλλ' εἰς ὅ. ἡ ἄρα μορφὴ φύσις. καὶ δῆλον ὅτι ὁ τούτου τοῦ εἴδους ὁρισμὸς οὐ κατὰ τὸ σύνθετον ἀποδίδοται, οὐδὲ τὴν ὕλην προσπαραλαμβάνει. ἀλλ' ἔστιν ἐξ ἀφαιρέσεως τῆς ἀπὸ τοῦ συνθέτου. καὶ οὐδὲν ἄτοπον ἐπὶ τούτων διαλύειν τὸν τοῦ συνθέτου λόγον εἰς τοὺς τῶν ἁπλῶν λόγους, ὡς αὐτὸς ἐν ἄλλοις φησίν. ὥστε οὐ μόνον τὰ μαθηματικὰ

ἤδει χωρίζειν

εἴδη χωρίζειν τῇ ἐπινοίᾳ δυνατόν, ἀλλὰ καὶ τὰ φυσικά, εἴπερ καὶ ἰδίους ὁρισμοὺς αὐτῶν τῆς ὕλης ἐστὶν ἀποδιδόναι. οὐ τοῦτο δέ ἐστι τὸ παράδειγμα τὸ κατ' ἐπίνοιαν. ἀλλὰ χωρισθεὶς ὁ κατὰ τὸ εἶδος λόγος, δύναταί πως ἐφαρμόττειν τῷ παραδείγματι, εἴ τις αὐτὸν ὡς ὁμώνυμον καὶ μὴ ὡς ταυτὸν ἐκλαμβάνοι, καὶ ὡς εἰκόνος πρὸς παράδειγμα ὡμοιωμένης. ζῷον γὰρ καὶ τὸ παράδειγμα καλεῖ πλάτων, ᾗπερ οὖν νοῦς ἐνούσας ἰδέας τῷ ὃ ἐστι ζῷον, λέγων ἐν Τιμαίῳ. καὶ δῆλον ὅτι οὐ φυσικὸν ἐκεῖνο ζῷον, ἀλλὰ νοερὸν τοῦ φυσικοῦ ζῴου παράδειγμα. ὥσπερ καὶ ὁ σωκράτης οὐ γεγραμμένος σωκράτης, ἀλλὰ τοῦ γεγραμμένου παράδειγμα καὶ κυρίως σωκράτης, τῆς ὁμοιότητος τῇ εἰκόνι οὐ κατὰ τὴν ὕλην ὑπαρχούσης, ἀλλὰ κατὰ τὴν μορφὴν τὴν τῆς ὕλης τῇ ἐννοίᾳ χωριζομένην. ὅτι δὲ τὰ τῶν ἐνταῦθα εἰδῶν αἴτια διωρισμένα καὶ παραδείγματά ἐστιν αὐτῶν, δυνατὸν οἶμαι δεικνύναι ταῖς ἀριστοτέλους χρώμενον ὑποθέσεσι. τὰ γὰρ φυσικὰ ἐξ ὕλης καὶ εἴδους μεθέξεως εἶναι φαμέν, τῆς ὕλης μετεχούσης τοῦ εἴδους κατὰ τὴν ἐν αὐτῇ μέθεξιν. πᾶσα δὲ μέθεξις μέση τοῦ μετέχοντός ἐστι καὶ μετεχομένου, ἐνδιδομένη τῷ μετέχοντι ἀπὸ τοῦ μετεχομένου. καὶ ἔστιν ὁμοειδὴς ἡ μέθεξις τῷ μετεχομένῳ, ὡς ἡ ἐν τῷ σώματι τῷ θερμαινομένῳ ἀπὸ πυρὸς θερμότης καὶ πύρωσις, ὁμοειδής ἐστι τῷ θερμαίνοντι. ἕκαστον γὰρ ὃ ἔχει τούτου μεταδίδωσι τοῖς μετέχουσιν. ὥστε τὸ ἐνταῦθα εἶδος ἐπειδὴ μέθεξίς ἐστι τοῦ χωριστοῦ εἴδους, ὅμοιόν ἐστι τῷ χωριστῷ εἴδει. τὸ δὲ ὅμοιον τῷ χωριστῷ εἴδει καὶ πρὸς αὐτὸ γεγονός, καὶ εἰκὼν αὐτοῦ ὑπάρχον, παράδειγμα ἔχει τὸ χωριστὸν εἶδος. καλεῖ δὲ καὶ ὁ ἀριστοτέλης τὰς αἰτίας εἴδη. καὶ εἴπερ μεθέξεις ἐκείνων τὰ τῇδε, ὁμοειδῆ ἂν εἴη πάντως αὐτοῖς. καὶ οὐδὲν ἴσως ἄτοπον καὶ τῆς αὐτῆς τυγχάνειν ἐπωνυμίας. ἀλλ' ἴσως οὐ συγχωρήσει τις μέθεξιν εἶναι τὰ ἐνταῦθα εἴδη, ἀλλὰ προηγουμένην ὑπόστασιν. οὐδὲ γὰρ εἶναι ἄνθρωπον ἐκεῖ ἢ ἵππον. ἀλλ' αἰτίας τούτων ἐν ἄλλοις μὲν εἴδεσιν ὑφεστώσας, τούτων δὲ οἷς ἰκός. ὡς ἐκ θεοῦ γίνεται ἄνθρωπος, καὶ ἐξ ἀκινήτου τὸ κινούμενον οὐχ ὁμοειδῶς. τοὺς δὴ ταῦτα λέγοντας ἐρωτητέον, εἰ μηδὲν καλὸν μηδὲ ἀγαθόν, μηδὲ οὐσίαν, ἢ ζωήν, ἢ γνῶσιν, ἢ ἐνέργειαν, ἢ ἀριθμόν, ἤ τι τῶν οὕτω σεμνῶν ἐκεῖ τίθενται. καὶ ὅτι μὲν ὁ ἀριστοτέλης εἶναι ταῦτα συγχωρεῖ καὶ ἐκεῖ, δηλοῖ σαφῶς ἐφετὸν ἐκεῖνο πᾶσι λέγων, καὶ τῇ οὐσίᾳ ἐνέργειαν εἶναι τὸν νοῦν, καὶ τὴν οὐσίαν καὶ τὴν ζωὴν καὶ τὸν νοῦν εἰς ταυτὸν ἄγων, καὶ τὸ καλὸν καὶ τὸ ἀγαθὸν αὐτοῖς ἀνατιθείς, καὶ ἰσάριθμα τοῖς οὐρανίοις σώμασι τὰ ἀκίνητα λέγων αἴτια. ἀλλὰ δῆλός ἐστιν ὁ ἀριστοτέλης ταύτας τῶν ἰδεῶν τὰς ἐννοίας δυσχεραίνων, ὅσαι μετὰ τῶν ἐνταῦθα ὀνομάτων καὶ τοὺς ὁρισμοὺς ἐφέλκονται, τοὺς τὸ φυσικὸν καὶ ὑλικὸν τῶν τῇδε συνειληφότας. διὸ τινὰ μὲν τῶν ὀνομάτων δυσχεραίνει. τινὰ δὲ οὐκ ἀπαξιοῖ καὶ τοῖς ἐκεῖ προσφέρειν τὰ καθαρώτερα, καλόν, καὶ ἀγαθόν, καὶ οὐσίαν, καὶ ζωήν, καὶ νοῦν, καὶ ἐνέργειαν. εἰ οὖν λέγοι τις εἶναι μὲν ἐκεῖ ταῦτα, μὴ τοιαῦτα δὲ οἷα τὰ τῇδε, καὶ ἡμεῖς ὁμολογήσομεν τοῦτο. ἀξιώσομεν δὲ αὐτὸν καὶ ἐπὶ ἀνθρώπου καὶ ἵππου καὶ τῶν τοιούτων τὰ αὐτὰ λέγειν. οὐδὲ γὰρ ἡμεῖς νομίζομεν τὸν ἐκεῖ ἄνθρωπον σωματικὸν εἶναι, εἴπερ μηδὲ ὁ ἐν τῷ φυσικῷ λόγῳ σωματικός ἐστιν. εἶναι δέ τινα τοῦ σωματικοῦ ἀνθρώπου πρὸς τὸν ἀσώματον ὁμοιότητα, ὡς τοῦ σωματικοῦ καλοῦ πρὸς τὸ ἀσώματον καλόν. ὅλως δὲ εἰ γενητὰ τὰ ἐνταῦθα εἴδη, πᾶν δὲ τὸ γινόμενον ὑπ' αἰτίας ἀνάγκη γίνεσθαι, προειληφυίας τὸν τοῦ γινομένου λόγον, ἵνα μὴ ἀλόγως γίνηται μηδὲ ἐπ' ἄπειρον, καὶ πρὸς τὸν λόγον ἀφομοιοῦται τὸ γινόμενον, οὗτος ἂν εἴη τὸ τῶν γινομένων παράδειγμα. ἔτι δὲ εἰ πρὸ τῶν ἀϊδίως κινουμένων εἶναι δεῖ τὸ ἀκίνητον αἴτιον τῆς ἀνεκλείπτου κινήσεως, καὶ οὐχὶ κοινὸν μόνον, ἀλλὰ καὶ καθ' ἕκαστον ἰδίως ἀφωρισμένον, ὡς αὐτὸς δείκνυσιν ὁ ἀριστοτέλης, ἐνταῦθά τε καὶ ἐν τῇ περὶ οὐρανοῦ πραγματείᾳ, ἕκαστον δὲ τῶν ἐνταῦθα εἰδῶν ἀΐδιον ἔχει τὴν κατὰ τὰ ἄτομα μεταβολήν, δηλονότι εἴη ἂν ἑκάστου προϋπάρχον ἀκίνητον αἴτιον ἀφωρισμένον, οἷον ἄνθρωπος ἐστώς, ἵνα καὶ ὁ μεταβάλλων ἀνέκλειπτον ἔχῃ τὴν μεταβολήν. ἔτι δὲ πολλαχοῦ τὴν φύσιν τῇ τέχνῃ ἀπεικάζει ὁ ἀριστοτέλης. ὥσπερ καὶ πρὸ ὀλίγου ἐν οἷς ἔλεγεν, ὥσπερ γὰρ τέχνη λέγεται τὸ κατὰ τέχνην καὶ τὸ τεχνικόν, οὕτως ἡ φύσις τὸ κατὰ φύσιν καὶ τὸ φυσικόν. εἰ οὖν ἡ τέχνη κατὰ λόγους ποιεῖ, ὁμοιοῦσα τοῖς τεχνικοῖς λόγοις τὰ γινόμενα, δηλονότι καὶ ἡ φύσις οὕτω ποιεῖ. διὸ οὐδὲν μάτην ποιεῖ. εἰ οὖν μὴ πρῶτον αἴτιον ἡ φύσις, ἄλλο δέ τι τὸ πρῶτον αἴτιον πάντων, ὥσπερ ἡ φύσις τῶν φυσικῶν, δηλονότι καὶ ἐκεῖνο πάντων τοὺς λόγους τῶν γινομένων καὶ τὰς αἰτίας προείληφε. καὶ πρὸς ἐκείνους τοὺς λόγους ἐξομοιοῖ τὰ γινόμενα. ταῦτα μὲν οὖν καὶ πλείω ἄλλα λέγειν δυνατόν, καὶ κατὰ τὰς ἀριστοτέλους ὑποθέσεις δεικνύντα τῶν γινομένων προϋπάρχουσαν τὴν παραδειγματικὴν αἰτίαν. ἄλλοι δέ τινες εἰσὶ πολλοὶ καὶ καλοὶ λόγοι, δεικνύντες ὅτι πᾶν εἶδος διακεκριμένην ἔχον ὑπόστασιν, ἀρχή τίς ἐστιν ἀγένητος καὶ ἀκίνητος. καὶ οὔτε τὸ ἐν τῇ ὕλῃ πρῶτον ἂν εἴη, μέθεξις ὂν καὶ πάθος τῆς ὕλης, οὔτε τὸ ἐν τῇ φύσει ἐν ὑποκειμένῳ καὶ τοῦτο ὑφεστώς, οὔτε τὸ ἐν τῇ ψυχῇ. κἂν γὰρ χωριστὸν τοῦτο, ἀλλ' αὐτοκίνητον ὑπάρχον, διπλῆν ἔχει τινά. καὶ οὐδὲν μᾶλλον κινεῖ ἢ κινεῖται, οὐδὲ ἀρχὴ μᾶλλον ἢ ἀπ' ἀρχῆς. δεῖ οὖν εἶναι τὴν ἀρχὴν ἀκίνητον καὶ ἀγένητον καὶ ποιητικὴν μόνως, ἀλλ' οὐχὶ καὶ γινομένην. τοιαῦτα δὲ τὰ ἐν τῷ νῷ εἴδη, πρώτως δια-

κεκειμένα καὶ ἀκίνητα καὶ ἀγένητα καὶ κυρίως ὄντα. ἅπερ λέγεται καὶ αἴτια τῶν γινομένων. πρὸς ἃ ἀφω-
μοίωται τὰ γινόμενα. εἰ μὲν οὖν τινά ἐστιν ὀνόματα μὴ τῶν εἰδῶν ὄντα τῶν ἐνταῦθα ἀλλὰ τῶν συνθέτων, οὐ
χρὴ τούτων ἐπ' ἐκεῖνα μεταφέρειν τὴν ὁμοιότητα. διότι αἱ μὲν ἰδιότητες ἄνωθεν μέχρι τῶν ἐσχάτων,
αἱ αὐταὶ προέρχονται κατὰ ὕφεσιν. οἱ δὲ τρόποι τῶν ὑποστάσεων, οἷον ὁ ἀκίνητος, ἢ ὁ αὐτοκίνητος,
ἢ ἔνυλος, ἐν τοῖς οἰκείοις μένουσι τόποις οὐ μεταδιδόμενοι. εἰ οὖν εἴη τι παράδειγμα εἴδους, ὃ μετὰ τῆς
ὕλης ἐστὶν, οὐ χρὴ τούτου παράδειγμα ζητεῖν. εἰδῶν γὰρ ἀλλ' οὐχ ὕλης ἐστὶ παραδείγματα. ἡ μὲν γὰρ
σιμότης τὴν ῥῖνα συναναφέρουσα, ἐπειδὴ καὶ ἡ ῥὶς εἶδός τί ἐστιν, οὐδὲν θαυμαστὸν εἴ τι ἔχει παράδει-
γμα τῶν κατὰ φύσιν, ἀλλ' οὐχὶ τῶν κατὰ πάθος σιμῶν αἴτιον. εἰ δέ τι εἶδος μετὰ ὕλης λαμβάνοι-
το, καὶ συναναφέροι τὴν ὕλην μετὰ τοῦ εἴδους τὸ ὄνομα καὶ ἡ κατὰ τοὔνομα νόησις, οὐ χρὴ τούτου πα-
ράδειγμα ζητεῖν. πρὸς ὃ μάλιστα ὁ ἀριστοτέλης δοκεῖ διαμάχεσθαι. ὥστε καὶ τὸ τοῦ ζώου εἶδος εἰ μὲν
αὐτὸ καθ' αὑτὸ ἐννοεῖν δύναιτο, χωρίζων τῆς ὕλης τὴν μεθεκτικὴν ἰδιότητα, οὐδὲν οἶμαι ἄτοπον καὶ
κατὰ ἀριστοτέλη λόγον αὐτοῦ προϋποτίθεσθαι παρεκτικὸν τῇ ὕλῃ τῆς αὐτοῦ ὁμοιότητος. καὶ ἐπὶ
ἀνθρώπου δὲ εἰ μὲν ἔστι τι εἶδος ἄνθρωπος ὑπὸ ὕλης μετεχόμενον, οὐδὲν κωλύει τὴν ὁμοιότητα αὐτοῦ
ἀνάγειν ἐκεῖ. εἰ δὲ τὸ ὄνομα τοῦτο καὶ τὸ πρᾶγμα μετὰ τῆς ὕλης μόνως ὑφέστηκεν, ὡς ἡ σιμότης, ὁ πει-
ρώμενος αὐτὸ ἀνάγειν ἐκεῖ, τὰς ἀριστοτέλους εὐθύνας ὑπομενέτω.

Ε'ΠΕΙΔΗ δὲ ἡ φύσις διχῶς, τό, τε εἶδος καὶ ἡ ὕλη, ὡς ἂν εἰ περὶ σιμότητος τί ἐστι σκοποῦμεν, οὕ-
τω θεωρητέον. ὥστ' οὔτ' ἄνευ ὕλης τὰ τοιαῦτα, οὔτε κατὰ τὴν ὕλην.

Εἰπὼν ὅτι τῶν μαθηματικῶν ἐπιστημῶν, αἱ μὲν, χωρίζουσαι τῆς ὕλης τά τε πέρατα καὶ τὰ συμβε-
βηκότα, οὕτως αὐτὰ σκοποῦσιν, ὡς γεωμετρία περὶ φυσικῆς γραμμῆς ζητεῖ, ἀλλ' οὐχ ᾗ φυσική,
αἱ δὲ τοῖς χωριστοῖς μὲν τῆς ὕλης χρῶνται, οἷον μαθηματικῇ γραμμῇ, ἀλλ' οὐχ ᾗ μαθηματικὴ ἀλλ' ᾗ φυ-
σικῇ, ὥσπερ ἡ ὀπτική, εἰκότως ἐπάγει πῶς ἡ φυσικὴ γινώσκει τὰ φυσικά. καὶ φησὶν ὅτι ὡς σύνθετα
μὲν αὐτὰ ἐξ ὕλης καὶ εἴδους γινώσκει, ἀλλ' οὐχὶ κατὰ τὴν ὕλην ἀλλὰ κατὰ τὸ εἶδος. ὡς ὁ τὸ σιμὸν γι-
νώσκων, γινώσκει μὲν μετὰ τῆς ῥινός, ἀλλὰ κατὰ τὴν κοιλότητα. καὶ τοῦτο εἰκότως. ὁ γὰρ φυσικὸς τῆς
φύσεώς ἐστι θεωρός. διχῶς δὲ ἡ φύσις κατά τε τὴν ὕλην καὶ κατὰ τὸ εἶδος. καὶ κυριώτερον κατὰ τὸ
εἶδος. εἰκότως οὖν τὸ συναμφότερον γινώσκει κατὰ τὸ εἶδος. καὶ εἴπερ ἡ μὲν ὕλη κατὰ ἀναλογίαν
ἐστὶ γνωστή, τὸ δὲ εἶδος κατὰ ἐπέρεισιν, εἰκότως κατὰ τὸ εἶδος ἡ τοῦ συνθέτου γνῶσις ἐπιτελεῖται.

ΚΑΙ ΓΑΡ δὴ καὶ περὶ τούτου διχῶς ἀπορήσειεν ἄν τις, ἐπεὶ δύο αἱ φύσεις, περὶ ποτέρας τοῦ φυ-
σικοῦ. ἢ περὶ τοῦ ἐξ ἀμφοῖν. ἀλλ' εἰ περὶ τοῦ ἐξ ἀμφοῖν, καὶ ἑκατέρας. πότερον οὖν τῆς αὐτῆς, ἢ ἄλ-
λης, ἑκατέραν γνωρίζειν. εἰς μὲν γὰρ τοὺς ἀρχαίους ἀποβλέψαντι, δόξειεν ἂν εἶναι τῆς ὕλης. ἐπὶ μι-
κρὸν γάρ τι μέρος ἐμπεδοκλῆς καὶ δημόκριτος τοῦ εἴδους, καὶ τοῦ τί ἦν εἶναι ἥψαντο. ἡ δὲ ἡ τέχνη μι-
μεῖται τὴν φύσιν, τῆς δὲ αὐτῆς ἐπιστήμης, εἰδέναι τὸ εἶδος καὶ τὴν ὕλην μέχρι του, οἷον ἰατροῦ ὑγίειαν,
καὶ χολὴν καὶ φλέγμα. ἐν οἷς ἡ ὑγίεια. ὁμοίως δὲ καὶ οἰκοδόμου, τό τε εἶδος τῆς οἰκίας. καὶ τὴν ὕλην, ὅτι
πλίνθοι, καὶ ξύλα; ὡσαύτως δὲ καὶ ἐπὶ τῶν ἄλλων, καὶ τῆς φυσικῆς ἂν εἴη τὸ γνωρίζειν ἀμφοτέρας
τὰς φύσεις. ἔτι τὸ οὗ ἕνεκα. καὶ τὸ τέλος, τῆς αὐτῆς. καὶ ὅσα τούτων ἕνεκα. ἡ δὲ φύσις τὸ τέλος, καὶ οὗ ἕνε-
κα. ὧν γὰρ συνεχοῦς τῆς κινήσεως οὔσης, ἔστι τι τέλος τῆς κινήσεως τοῦτο, ἔσχατον. καὶ τὸ, οὗ ἕνεκα.
διὸ καὶ ὁ ποιητὴς γελοίως προήχθη εἰπεῖν, ἔχει τελευτὴν, ἧσπερ οὕνεκ' ἐγένετο. βούλεται γὰρ οὐ
πᾶν εἶναι τὸ ἔσχατον, τέλος. ἀλλὰ τὸ βέλτιστον.

Εἰπὼν ὅτι διχῶς ἡ φύσις, καὶ ὅτι περὶ ἀμφοῖν εἰπεῖν τοῦ φυσικοῦ, κατὰ τὴν κυριωτέραν μέντοι, καὶ τοῦ-
το ἀποφηνάμενος ἄνευ ἀποδείξεως, ὡς ἂν τῷ ἐπιπολαίως ἀκούοντι δόξειεν, ἐπεὶ καὶ αὐτὸς τὴν ἀπό-
δειξιν ἐνεδείξατο, εἰ γὰρ διχῶς ἡ φύσις, καὶ ἡ ἑτέρα τῆς ἑτέρας κυριωτέρα καὶ γνωριμωτέρα, περὶ ἀμ-
φοῖν ἂν εἴη τοῦ φυσικοῦ λέγειν κατὰ τὴν κυριωτέραν, πλὴν ὡς ἀναποδείκτως εἰρημένον, ἄξιον ἀπο-
ρίας εἶναί φησιν, εἴπερ δύο φύσεις αἱ στοιχειώδεις, περὶ ποτέρας ἂν εἴη τοῦ φυσικοῦ. καὶ ἐκ διαιρέ-
σεώς πως προσάγει τὴν ζήτησιν. ἢ γὰρ περὶ τῆς ἑτέρας, ἢ περὶ ἑκατέρας, ἢ περὶ τοῦ ἐξ ἀμφοῖν. καὶ εἰ περὶ τοῦ
ἐξ ἀμφοῖν δηλονότι καὶ περὶ ἑκατέρας. ἀδύνατον γὰρ τὸ σύνθετον γινώσκειν ἀγνοοῦντα τὰ ἁπλᾶ.
εἰ δὲ περὶ ἑκατέρας τῆς τε ὕλης καὶ τοῦ εἴδους, ἆρα τῆς αὐτῆς ἐστιν ἑκατέραν γνωρίζειν, ἢ ἑτέρας καὶ
ἑτέρας. ἐν δὴ τοιαύτῃ διαιρέσει τὸ ἑκατέρας τμῆμα καθ' αὑτὸ παρῆκεν, ὡς μέλλων αὐτὸ μετὰ τοῦ
συναμφοτέρου παραδιδόναι. οὕτως οὖν τὴν ζήτησιν διελὼν, δείκνυσιν ὅτι οἱ ἀρχαῖοι φυσικοὶ περὶ
τὴν τοῦ ἑτέρου ζήτησιν διέτριβον τοῦ κατὰ τὴν ὕλην, ἐπὶ σμικρὸν τοῦ ἐμπεδοκλέους καὶ τοῦ δημοκρί-
του τῆς κατὰ τὸ εἶδος φύσεως ἁψαμένων. ἐμπεδοκλῆς μὲν τὸ νεῖκος καὶ τὴν φιλίαν ὡς εἰδοποιοὺς
αἰτίας ἐν ταῖς ἀρχαῖς ἀποθέμενος. δημόκριτος δὲ τὸ σχῆμα καὶ τὴν θέσιν καὶ τὴν τάξιν, τὸ εἶδος οἶ-
μαι κατὰ τὸν λόγον ἀφορίζει, καθ' ὃν ἕκαστα ἐποίουν. καὶ γὰρ καὶ λόγῳ τινὶ ποιεῖ σάρκας καὶ ὀ-
» στοῦν καὶ τῶν ἄλλων ἕκαστον. λέγει γοῦν ἐν τῷ πρώτῳ τῶν φυσικῶν, ἡ δὲ χθὼν ἐπίηρος ἐν εὐτύ-
» κτοις χοάνοισι, τὰ δύο τῶν ὀκτὼ μερέων λάχε νήστιδος αἴγλης, τέσσαρα δ' ἡφαίστοιο. τὰ δ' ὀστέα
» λευκὰ γένοντο, ἁρμονίης κόλλῃσιν ἀρηρότα θεσπεσίηθεν. τουτέστιν ἀπὸ τῶν θείων αἰτίων, καὶ μά-

λιστα τῆς φιλίας ἤτοι τῆς ἁρμονίας· ταῖς γὰρ ταύτης κόλλαις ἁρμόζεται. ἀναξαγόρου δέ φη-
σιν ἀλέξανδρος οὐκ ἐμνημόνευσε, καίτοι τὸν νοῦν ἐν ταῖς ἀρχαῖς τιθέντος. ἴσως φησὶν ὅτι μὴ προσ-
χρῆται αὐτῷ ἐν τῇ γενέσει. ἀλλ' ὅτι μὲν προσχρῆται, δῆλον, εἴπερ τὴν γένεσιν οὐδὲν ἄλλο ἢ ἔκ-
κρισιν εἶναί φησι, τὴν δὲ ἔκκρισιν ἀπὸ τῆς κινήσεως γίνεσθαι, τῆς δὲ κινήσεως αἴτιον εἶναι τὸν
» νοῦν. λέγει γὰρ οὕτως ἀναξαγόρας. Ἐπεὶ ἤρξατο ὁ νοῦς κινεῖν, ἀπὸ τοῦ κινουμένου παντὸς ἀπεκρί-
» νετο. καὶ ὅσον ἐκίνησεν ὁ νοῦς, πᾶν τοῦτο διεκρίθη. κινουμένων δὲ καὶ διακρινομένων, ἡ περιχώρησις
» πολλῷ μᾶλλον ἐποίει διακρίνεσθαι. ἀλλὰ διὰ τοῦτο τοῦ ἀναξαγόρου οὐκ ἐμνήσθη, ὅτι τὸν νοῦν ὁ ἀναξα-
γόρας οὐκ ἔλεγεν εἶδος ἔνυλον, οἷον ἦν τὸ νῦν ζητούμενον. ἀλλὰ διακριτικὸν καὶ κοσμητικὸν αἴτιον χω-
» ριστὸν ἀπὸ τῶν κοσμουμένων, καὶ ἄλλης ὂν ὑποστάσεως παρὰ τὰ κοσμούμενα. νοῦς γάρ φησιν ἐστὶν ἄπει-
» ρον καὶ αὐτοκρατὲς, καὶ μέμικται οὐδενὶ χρήματι. ἀλλὰ μόνος αὐτὸς ἐφ' ἑαυτοῦ ἐστι. καὶ τὴν αἰτίαν τού-
του προστίθησι. μήποτε δὲ καὶ διὰ τοῦτο οὐκ ἐμνημόνευσεν ἀναξαγόρου, ὅτι ὁ παρ' αὐτῷ νοῦς οὐ ποιεῖν
ἀλλὰ διακρίνειν ὄντα τὰ εἴδη δοκεῖ. δῆλον δὲ ὅτι ἡ ἀπὸ τῆς ἡνωμένης ὑποστάσεως, καθ' ἣν ὁμοῦ πάντα
χρήματα ἦν, διάκρισις, ἡ νοερὰ ποίησις ἦν. ταῦτα οὖν εἰπὼν, ἐπάγει λοιπὸν ἀποδεικτικοὺς λόγους,
τοῦ δεῖν τὸν φυσικὸν ἀμφοτέρας γνωρίζειν τὰς φύσεις, τήν τε κατὰ τὴν ὕλην καὶ τὴν κατὰ τὸ εἶ-
δος. καὶ οὐ μόνον τὴν κατὰ τὴν ὕλην, ὡς οἱ πολλοὶ τῶν φυσικῶν ἐνόμιζον. καὶ ἔστιν ὁ πρῶτος λόγος ἀπὸ
τῆς τῶν τεχνῶν ἐπαγωγῆς. εἰ γὰρ ἡ τέχνη μιμεῖται τὴν φύσιν, καὶ ἔστι τῆς αὐτῆς τέχνης τό, τε εἶδος γι-
νώσκειν καὶ τὴν ὕλην, καὶ τῆς φυσικῆς ἂν εἴη τὸ γνωρίζειν ἀμφοτέρας τὰς φύσεις. καὶ ὅτι μὲν ἡ τέχνη
μιμεῖται τὴν φύσιν ὡς ἐναργὲς παρέλαβεν. ὅτι δὲ τῆς αὐτῆς ἐστι τέχνης τὸ γινώσκειν τὴν ὕλην καὶ τὸ
εἶδος, ἔκ τε τῆς ἰατρικῆς καὶ τῆς οἰκοδομικῆς ἐπιστώσατο. δευτέρῳ δὲ χρῆται ἐπιχειρήματι τοιούτῳ.
εἰ τῆς αὐτῆς ἐστιν ἐπιστήμης τὸ τέλος καὶ τὸ οὗ ἕνεκα γινώσκειν, καὶ τὰ πρὸς τὸ τέλος, οἷον οἰκοδομικῆς
τὴν ὀροφὴν καὶ τοὺς τοίχους, ἡ δὲ φύσις καὶ τὸ εἶδος τέλος ἐστὶ καὶ τὸ οὗ ἕνεκα, δηλονότι τῆς φυσικῆς εἴη ἂν
μὴ μόνον τὴν ὕλην γινώσκειν, ὡς οἱ παλαιοὶ φυσικοὶ λέγουσιν, ἀλλὰ καὶ τὸ εἶδος. ἢ μὴ μόνον τὸ εἶδος, ὅ-
περ ἐστὶν ἡ κυρίως φύσις, ἀλλὰ καὶ τὴν ὕλην. οὕτω γὰρ ὁ ἀλέξανδρος ἀκούει. δυνατὸν δὲ ἀμφοτέρως.
ἀλλ' ἡ μὲν ἀπόδειξις τοῦ καὶ τοῦ εἴδους εἶναι τὴν φυσικὴν, ὀρθῶς ἔχει ὡς πρὸς τοὺς φυσικοὺς λεγομένη.
ἡ δὲ τοῦ καὶ τῆς ὕλης, πρὸς τὰ ἐφεξῆς ἐπαγόμενα. ὁ δὲ ὅλος σκοπὸς τῶν λεγομένων ἔοικε τείνειν εἰς τὸ
καὶ τοῦ εἴδους καὶ τῆς ὕλης εἶναι γνωστικὴν τὴν φυσικήν. ὅτι δὲ τὸ εἶδος καὶ ἡ κατὰ τοῦτο φύσις τέλος ἐστὶ τῆς
ὕλης, δείκνυσι δυνάμει οὕτως. ἡ ὕλη καὶ ἡ φυσικὴ κίνησις τῆς ὕλης, συνεχής ἐστι. τῆς συνεχοῦς κινήσεως
ἔστι τι τέλος τὸ εἶδος, οὗ ἕνεκα ἡ κίνησις, καὶ εἰς ὃ ἐλθοῦσα παύεται. ἡ ἄρα ὕλη καὶ ἡ φυσικὴ ταύτης
κίνησις τέλος ἔχει τὸ εἶδος. καὶ γὰρ ἡ ὕλη τῆς μορφῆς ἕνεκα πέφυκε, καὶ οὐχ ἡ μορφὴ τῆς ὕλης. τελειοῦται
γὰρ τὸ ὑποκείμενον καὶ ἔστι κυρίως, ἐπειδὰν τὸ εἶδος λάβῃ. ὅτι δὲ ἡ συνεχὴς κίνησις εἴς τι τέλος βλέ-
πει, δῆλον ἐξ ὧν ἡ ἄσκοπος κίνησις καὶ μὴ εἰς τέλος ὡρισμένον βλέπουσα, οὐκ ἔστι συνεχὴς ἀλλὰ δια-
κεκομμένη καὶ ἄτακτος. ἐπειδὴ δὲ οὐ πᾶν πέρας καὶ ἔσχατον τινὸς τὸ οὗ ἕνεκά ἐστιν, ἀλλὰ τὸ βέλτι-
στον μόνον, καὶ γὰρ τῆς ἀσκόπου κινήσεως καὶ τῶν κατὰ ἀσθένειαν φύσεως γινομένων ἔστι τι τέλος ὡς ἔ-
σχατον, ἀλλ' οὐκ ἤδη τοῦτο τὸ οὗ ἕνεκά ἐστιν, εἰκότως καὶ τοῦτο διορίζεται. καὶ γελοῖον εἶναί φησι τὸν εἰ-
» πόντα ποιητὴν, ἔχει τελευτὴν ἧσπερ οὕνεκα ἐγένετο. καὶ γὰρ ἡ τοῦ βιβλίου τελευτὴ ἔσχατον μέν ἐστι καὶ
πέρας, οὐ μέντοι τέλος ὡς τὸ οὗ ἕνεκα. οὐ γὰρ ἡ γένεσις καὶ ἡ αὔξησις τοῦ θανάτου ἕνεκα ἐγένοντο. ἀλ-
λὰ τοῦ εἴδους καὶ τῆς τελειότητος τοῦ αὐξομένου, ἐφ' ἣν τὸ αὐξόμενον κινεῖται συνεχῶς, καὶ γενόμενον
ἐν αὐτῇ παύεται τῆς εἰς τὸ πρόσθεν προόδου. καίτοι εἰ εἰς τέλος τὸν θάνατον ἔβλεπεν ἡ φύσις, ἅμα
τῷ συμπληρωθῆναι τὸ ζῷον ἐφθάρη ἄν. νῦν δὲ καὶ μετὰ τὸ ἀπολαβεῖν τὸ οἰκεῖον μέγεθος σώζεται πολ-
λάκις. εἰ μὴ ἄρα πρόχειρον λέγειν, ὅτι οὐ μόνον τῆς διαπλάσεως ἀλλὰ καὶ τοῦ φυσικοῦ βίου τέλος ἐστὶν
ὁ θάνατος. πλὴν ὁ θάνατος τέλος καὶ ἔσχατον οὐχ ὡς σκοπὸς, ἀλλ' ὡς ἀναγκαῖον σύμπτωμα τῆς τοιαύ-
της οὐσίας. ὁ δὲ ἀλέξανδρος ἄμεινον φησὶ γεγράφθαι, ὧν γὰρ συνεχοῦς τῆς κινήσεως οὔσης ἔστι τι ἔσχα-
τον, τοῦτο τέλος καὶ οὗ ἕνεκα. ἐπεὶ μὴ πᾶν ἔσχατον τέλος. καίτοι καὶ αὐτὸς ἀριστοτέλης ὁμολογεῖ, μὴ
πᾶν τὸ ἔσχατον εἶναι τέλος. μήποτε οὖν μεταγράφειν οὐκ ἀνάγκη τὴν λέξιν. ὧν γάρ φησι συνεχοῦς
οὔσης τῆς κινήσεως, τουτέστι τεταγμένης καὶ εἰς σκοπὸν βλεπούσης, ἔστι τι τέλος ὡς πέρας καὶ ἔσχατον,
τοῦτο τὸ ἔσχατον τέλος ἐστὶν ὡς τὸ οὗ ἕνεκα. καὶ οὐχ ἁπλῶς ἔσχατον, οἷον ἂν εἴη καὶ τῆς ἀορίστου κινήσεως.

ΕΠΕΙ καὶ ποιοῦσιν αἱ τέχναι τὴν ὕλην. αἱ μὲν, ἁπλῶς, αἱ δὲ, εὐεργόν.

Ταῦτα δοκεῖ συνηγορεῖν, τῷ καὶ τὰ πρότερον εἰρημένα δεικτικὰ εἶναι, τοῦ καὶ τῆς ὕλης γνωστικὴν εἶναι
τὴν φυσικὴν ὀφείλειν. μήποτε δὲ πάντα τὰ λεγόμενα ὡς καὶ πρότερον εἶπον, εἰς τοῦτο τείνει, εἰς τὸ
τὴν φυσικὴν πραγματείαν καὶ τῆς ὕλης καὶ τοῦ εἴδους εἶναι θεωρὸν, καὶ τοῦ συναμφοτέρου κατὰ τὸ
εἶδος. ὡς γὰρ ὁμολογούμενον ἔχον ὅτι περὶ τοῦ εἴδους, οὕτω νῦν ὅτι καὶ περὶ τῆς ὕλης εἰπεῖν τοῦ φυ-
σικοῦ, ἀπὸ τῆς τῶν τεχνῶν πάλιν ὁμοιότητος κατασκευάζει, ἐκ τοῦ μᾶλλον τὴν ἐπιχείρησιν ποιού-
μενος. εἰ γὰρ αἱ τέχναι μιμούμεναι τὴν φύσιν, οὐ μόνον γινώσκουσι τὴν ὕλην, ἀλλὰ καὶ παρασκευάζου-
σιν. αἱ μὲν καὶ ποιοῦσαι αὐτὴν ἁπλῶς, ὡς ἡ οἰκοδομητικὴ τὰς πλίνθους, καὶ ἡ ἰατρικὴ τὰ φάρμακα,

καὶ ἡ κεραμευτικὴ τὸν πηλόν, καὶ ἡ γραφικὴ τὰ μικτὰ τῶν χρωμάτων, αἱ δὲ, εὐεργὸν ποιοῦσαι, ὡς ἡ πλαστικὴ μαλάττουσα τὸν κηρόν, καὶ ἡ ἀνδριαντοποιητικὴ τὸν χαλκὸν εὔρουν ποιοῦσα, καὶ ἡ οἰκοδομητικὴ τὰς πλίνθους προσχηματίζουσα, πολλῷ μᾶλλον τὸν φυσικὸν ἀνάγκη θεωρὸν γοῦν εἶναι τῆς ὑποβεβλημένης ὕλης τοῖς φυσικοῖς, εἴπερ αἱ τέχναι μιμούμεναι τὴν φύσιν, οὕτω γνωρίζουσι τὴν ὕλην ὡς καὶ παρασκευάζειν αὐτήν. ἢ εἰ ἐν ταῖς ποιητικαῖς τέχναις ἡ ποιοῦσα τὸ εἶδος τέχνη καὶ τὴν ὕλην ποιεῖ, καὶ ἐν ταῖς θεωρητικαῖς ἡ τοῦ εἴδους τοῦ ἐνύλου θεωρητικὴ ἐπιστήμη, εἴη ἂν καὶ τῆς ὑποβεβλημένης αὐτῷ ὕλης. τάχα δὲ καὶ τὸ μᾶλλον ἡ ἐπιχείρησις ἂν ἔχοι, εἰ λέγοιμεν ὅτι εἰ ἡ φύσις μᾶλλον τὴν ὕλην ποιεῖ εἴπερ ἡ τέχνη, μᾶλλον ὤφειλεν ὁ φυσικὸς γνωρίζειν τὴν ὕλην ἤπερ ὁ τεχνικός. δεῖξαι οὖν προθέμενος ἐκ τοῦ συνηρτῆσθαι ἀλλήλαις τὰς γνώσεις τοῦ τέλους, καὶ τῶν πρὸς τὸ τέλος, ὅτι καὶ τοῦ εἴδους καὶ τῆς ὕλης ἡ φυσικὴ θεωρός, ὅτι μὲν τέλος ὡς τὸ οὗ ἕνεκα τὸ εἶδός ἐστιν, ἔδειξε. διὰ τὸ τὴν συνεχῆ κίνησιν τῆς φύσεως εἰς τὸ εἶδος τελευτᾶν. ὅτι δὲ πρὸς τὸ εἶδος ὡς πρὸς τέλος ἡ ὕλη, μετ' ὀλίγον ὑπομιμνήσκει. νῦν δὲ ὅτι καὶ τῆς ὕλης θεωρὸς ἐκ τοῦ μᾶλλον ἔδειξεν ὡς εἴρηται, οὐκ ἀρκεσθεὶς τῇ τῶν ἀρχαίων μαρτυρίᾳ.

ΚΑΙ χρώμεθα ὡς ἡμῶν ἕνεκα πάντων ὑπαρχόντων. ἐσμὲν γάρ πως καὶ ἡμεῖς τέλος, διχῶς γὰρ τὸ οὗ ἕνεκα. εἴρηται δὲ ἐν τῷ περὶ φιλοσοφίας.

Ὅτι συνήρτηται ἀλλήλοις τὸ τέλος καὶ τὰ πρὸς τὸ τέλος, δείκνυσιν ἐκ τοῦ καὶ ἡμᾶς τέλη ὄντας χρῆσθαι ἐκείνοις τοῖς ἡμῶν ἕνεκα παραλαμβανομένοις. καὶ δηλονότι καὶ τὸ ἐπὶ τῶν τεχνῶν εἰρημένον, καὶ τὸ ἐπὶ τῶν τελῶν, κατ' ἐπίτασιν δείκνυσι τὸ προκείμενον. περιττεύει γὰρ τὸ ποιεῖν καὶ χρῆσθαι τοῦ γινώσκειν μόνον. ἀλλὰ πῶς ἡμεῖς τέλη, καὶ πῶς χρώμεθα πᾶσιν. ἢ ὅτι διχῶς τὸ τέλος, τὸ μὲν ὡς τὸ οὗ ἕνεκα ἡ ἔφεσις, ὅπερ σκοπὸν οἱ νεώτεροι καλοῦσιν. οἷον ἡ ὑγίεια, ἧς ὁ ἰατρὸς στοχάζεται. τὸ δὲ, ἐν ᾧ τοῦτό ἐστι, καὶ ᾧ περιγίνεται. ὥσπερ ὁ ὑγιαίνων. τοῦτο γάρ ἐστι τέλος, ὡς τὸ ᾧ. ὃ καὶ ἡμεῖς ἐσμέν. τέλος γὰρ τοῦ ἰατροῦ ὁ ὑγιαίνων οὐχ ὡς τὸ οὗ στοχάζεται, οἷον ἡ ὑγίεια. ἀλλ' ὡς τὸ ᾧ βούλεται αὐτὴν περιποιῆσαι. γέγονε δὲ ἡ διαίρεσις αὐτῷ ἐν τοῖς νικομαχείοις ἠθικοῖς. ἃ περὶ φιλοσοφίας καλεῖ, φιλοσοφίαν ἰδιαίτερον καλῶν πᾶσαν τὴν ἠθικὴν πραγματείαν. διχῶς οὖν τοῦ τέλους λεγομένου. τοῦ τε οὗ. καὶ τοῦ ᾧ, δείξας ἐπὶ τοῦ προτέρου τὴν τῆς ὕλης γνῶσιν συνημμένην τῇ τοῦ τέλους γνώσει, νῦν ἔδειξε καὶ ἐπὶ τοῦ ἑτέρου τέλους τοῦ ᾧ, τοῦτο οὕτως ἔχον. ἡμεῖς γὰρ ὄντες οὕτω τέλη, οὐ μόνον ἴσμεν τὰ ἡμῶν χάριν ὄντα, ἀλλὰ καὶ χρώμεθα αὐτοῖς. πάντα δὲ ἡμῶν ἕνεκα ὑπάρχειν λέγει, οὐχὶ τὰ ὄντα πάντα. ἀλλὰ τὰ πρὸς τὴν σωτηρίαν τὴν ἡμετέραν πάντα, οἷά ἐστι τὰ τῶν τεχνῶν ἀποτελέσματα. τούτοις γὰρ χρώμεθα. καὶ ἐσμὲν τέλη τῶν κατὰ τὰς τέχνας γινομένων ἡμεῖς, ὡς ἡμῖν ὑπαρχόντων καὶ ἐφ' ἡμᾶς τὴν ἀναφορὰν ἐχόντων. καὶ συνέζευκται ταῦτα τοῖς τέλεσι. καὶ οὐ μόνον ἴσμεν αὐτά, ἀλλὰ καὶ χρώμεθα αὐτοῖς, ὅπερ ἐπὶ πλέον ἐστί. καὶ καθόλου οὗ τὸ τέλος γινώσκειν ἐστί, τούτου καὶ τὰ τοῦ τέλους ἕνεκεν. ὥστε εἰ τοῦ φυσικοῦ ἐστι τὸ εἶδος ὡς τέλος γινώσκειν, τοῦ αὐτοῦ ἂν εἴη καὶ τὸ τοῦ εἴδους ἕνεκεν γινώσκειν, ὅπερ ἐστὶν ἡ ὕλη. εἰ γὰρ τῶν πρός τι ἐστὶ πρὸς τὸ εἶδος ἡ ὕλη ὡς αὐτὸς ἐρεῖ, τῶν δὲ πρός τι ἅμα ἡ γνῶσις, δηλονότι καὶ τούτων ὁ τὸ ἕτερον εἰδὼς εἴσεται καὶ τὸ ἕτερον.

ΔΥΟ ΔΕ καὶ αἱ ἄρχουσαι τῆς ὕλης. καὶ αἱ γνωρίζουσαι τέχναι. ἥ τε χρωμένη καὶ τῆς ποιητικῆς, ἡ ἀρχιτεκτονική. διὸ καὶ ἡ χρωμένη ἀρχιτεκτονική πως. διαφέρει δὲ ᾗ ἡ μὲν τοῦ εἴδους γνωριστική, ἡ ἀρχιτεκτονική. ἡ δὲ ὡς ποιητικὴ τῆς ὕλης. ὁ μὲν γὰρ κυβερνήτης, ποιόν τι τὸ εἶδος τοῦ πηδαλίου γνωρίζει καὶ ἐπιτάττει. ὁ δὲ ἐκ ποίου ξύλου, καὶ ποίων κινήσεών ἐστιν. ἐν μὲν οὖν τοῖς κατὰ τὴν τέχνην, ἡμεῖς ποιοῦμεν τὴν ὕλην, τοῦ ἔργου ἕνεκα. ἐν δὲ τοῖς φυσικοῖς ὑπάρχει οὖσα.

Εἰπὼν ὅτι ἔνιαι τῶν τεχνῶν καὶ ποιοῦσι τὴν ὕλην, καὶ οὐ μόνον γνωρίζουσι, νῦν δείκνυσιν ὅτι καὶ αἱ ἀρχιτεκτονικαὶ τῶν τεχνῶν, αἱ μάλιστα δοκοῦσαι πρὸς τὸ εἶδος ὁρᾶν, οὐδὲ αὗται τὴν ὕλην ἀγνοοῦσι. δύο δέ φησιν εἶναι τὰς ἀρχιτεκτονικάς. τὴν χρωμένην, οἷον τὴν κυβερνητικήν, ἥτις ὁποῖόν τι εἶναι χρὴ τὸ εἶδος τοῦ πηδαλίου γνωρίζει, τό, τε σχῆμα καὶ τὸ μέγεθος ἐπιτάττων, καὶ τὴν ὕλην ὁρίζων, ὅτι καὶ τί ξύλον εἶναι χρή, μήτε ἀπόσκληρον μήτε πάνυ λυγιζόμενον. ἑτέραν δὲ οὖσαν ἀρχιτεκτονικήν, τῶν κατὰ μέρος ποιητικῶν τεχνῶν, τά τε εἴδη καὶ τὰς ὕλας ὁρίζουσαν. οἷα ἡ κοινῶς λεγομένη ναυπηγική, πολλῶν περὶ τὴν ναῦν τεχνῶν ἀσχολουμένων, αὕτη πρὸς τὴν τοῦ ὅλου χρείαν πάντα ἀναφέρουσα, τό, τε εἶδος. τοῦ ξύλου ἀφ' οὗ γίνεσθαι τὸ πηδάλιον ὁρίζει, ὅτι ἀπὸ κυπαρίσσου εἰ τύχοι, τὰς τοιάσδε καὶ τὰς τοιάσδε κινήσεις ὑπομενούσης, ὡς ὥρισεν ὁ κυβερνήτης. ἀλλ' εἰ ὁ κυβερνήτης ὁποῖόν τι τὸ εἶδος τοῦ πηδαλίου γνωρίζει καὶ ἐπιτάττει, πῶς ἄρχειν καὶ τῆς ὕλης λέγεται. ὁ μὲν οὖν ἀλέξανδρός φησιν, ὅτι ἀναγκαῖον καὶ τούτῳ γνωρίζειν τὴν ὕλην χρωμένῳ τῇ νηΐ, οὐχ ἁπλῶς εἴδει οὔσῃ, ἀλλὰ μετὰ ὕλης τοιᾶσδε. μήποτε δὲ καὶ τὸ εἶδος καὶ ἡ ὕλη τοῦ πηδαλίου, ὕλη τοῦ χρωμένου ἐστί. διὸ τὸ εἶδος τοῦ πηδαλίου γνωρίζοντα καὶ ἐπιτάττοντα, τῆς ὕλης ἄρχειν αὐτόν φησι. δυνατὸν δὲ καὶ ὅτι κἂν τὸ προσεχὲς μὴ οἶδεν, ὅτι κυπαρίττινον εἶναι χρὴ τὸ πηδάλιον. ἀλλὰ τό γε κοινότερον οἶδεν, ὅτι εὐκαμπές, ἀλλ' οὔτε ἀπόσκληρον, οὔτε πάνυ ἀλύγιστον εἶναι χρὴ τὸ ξύλον τοῦ πηδαλίου.

εἰδὼς οὖν καὶ ἐπιτάττων τοῦτο, εἰκότως ἄρχειν καὶ οὗτος τῆς ὕλης λέγεται. καὶ τὴν χρωμένην ἀρχιτεκτονικήν πως εἶναί φησι, καθ' ὅσον ἐπιτάττει καὶ αὐτὴ ὁποῖον εἶναι χρὴ τὸ πηδάλιον. ἡ γὰρ ἐπιτάττουσα ἀρχιτεκτονικὴ τῆς ποιούσης ἐστί. καὶ ὁ χρώμενος οὖν οὐ μόνον τὴν χρείαν οἶδε τέλος οὖσαν, ἀλλὰ καὶ τὰ πρὸς τὴν χρείαν, οἷα ἐστὶν ἡ ὕλη, καὶ ὁποῖον τὸ τέλος τουτέστι τὸ εἶδος, καὶ οὗτος τὰ πρὸς τὸ τέλος γνώσῃ προσεχέστερον. εἰπὼν δὲ ὅτι τινὲς τέχναι καὶ ποιοῦσι τὴν ὕλην, ἐπέστησε καλῶς, ὅτι ὡς ἐν τοῖς κατὰ τέχνην ἡ ὕλη ὑπὸ τῆς τέχνης γίνεται, οὕτω καὶ ἐφ' ὧν οὐ γίνεται ἀλλ' ἔστιν, ὡς ἐπὶ τῶν φυσικῶν, τοῦ εἴδους ἕνεκεν ἐστί. μήποτε δὲ οὐ τοῦτο λέγει, ὅτι ἐν μὲν τοῖς κατὰ τέχνην ἡ τέχνη τὴν ὕλην ποιεῖ, ἐν δὲ τοῖς φυσικοῖς οὐ ποιεῖ. μᾶλλον γὰρ ἡ φύσις τὴν ὕλην ποιεῖ ἤπερ ἡ τέχνη. ἀλλ' ὅτι ὁ φυσιολόγος οὐ ποιεῖ τὴν ὕλην, ἀλλ' οὖσαν θεωρῶν, ἀνάγεται καὶ αὐτὸς πρὸς τὸ εἶδος, ὥσπερ οἱ ποιοῦντες αὐτήν.

ἜΤΙ ΤΩΝ πρός τι ἡ ὕλη. ἄλλῳ γὰρ εἴδει, ἄλλη ὕλη.

Καὶ ἐκ τοῦ πρός τι εἶναι τὴν ὕλην πρὸς τὸ εἶδος, δείκνυσιν ὅτι τοῦ αὐτοῦ ἐστι τό, τε εἶδος καὶ τὴν ὕλην γνωρίζειν. καὶ ὅτι μὲν πρός τι ἡ ὕλη, δείκνυσιν ἐκ τοῦ ἄλλην ἄλλου εἴδους εἶναι, κατὰ οἰκειότητα τὴν πρὸς τὸ εἶδος τῆς ὕλης λαμβανομένης. ὥς τε ἥδε αὕτη ἡ ὕλη τοῦδε τοῦ εἴδους εἴη ὕλη, καὶ τόδε τὸ εἶδος τῆσδε τῆς ὕλης. εἰ δὲ τοῦτο, ἀναγκαῖον τῷ τὸ ἕτερον εἰδότι καὶ θάτερον εἰδέναι. ἀλλὰ πῶς ἄλλη ὕλη ἄλλῳ εἴδει, εἴπερ μία ἡ κοινὴ πάντων ὕλη. ἢ δῆλον ὅτι ἡ προσεχὴς ὕλη. ὡς δὲ ἑκάστη τοῦτο ἔχει πρὸς τὸ καθ' αὑτὴν εἶδος, οὕτως ἡ κοινὴ πάντων πρὸς τὸ ἁπλῶς εἶδος. ὁ οὖν τὸ εἶδος τὸ φυσικὸν ὡς φυσικὸν εἰδὼς καὶ γνωρίζων, καὶ τὴν ὕλην εἴσεται τὴν τῷ τοιούτῳ εἴδει τῷ ἐνύλῳ ὑποκειμένην. ἔστιν ἄρα καὶ περὶ τὴν ὕλην καὶ περὶ τὸ εἶδος ἡ φυσική. ἀλλὰ μὴν καὶ περὶ τὴν στέρησιν. τῶν αὐτῶν γὰρ τὰ οὕτως ἀντικείμενα.

ΜΈΧΡΙ δὴ πόσου τὸν φυσικὸν δεῖ εἰδέναι τὸ εἶδος καὶ τὸ τί ἐστιν; ἢ ὥσπερ τὸν ἰατρὸν νεῦρον. ἢ χαλκέα, χαλκόν, μέχρι του. τινὸς γὰρ ἕνεκα ἕκαστον. καὶ περὶ ταῦτα ἅ ἐστι, χωριστὰ μὲν εἴδει, ἐν ὕλῃ δέ. ἄνθρωπος μὲν ἄνθρωπον γεννᾷ, καὶ ἥλιος. πῶς δὲ ἔχει τὸ χωριστόν, καὶ τί ἐστι, φιλοσοφίας τῆς πρώτης διορίσαι ἔργον.

Δείξας ὅτι τοῦ φυσικοῦ ἐστι καὶ τὸ εἶδος γινώσκειν καὶ τὴν ὕλην, εἰκότως προείλετο λέγειν μέχρι πού τούτων ἑκάτερον δεῖ τὸν φυσικὸν ζητεῖν. ἀλλὰ περὶ μὲν τῆς ὕλης ἤδη δοκεῖ διωρικέναι, ὅτι μέχρι τοσούτου ὁ φυσικὸς ἐπισκέπτεται, ὥστε τὴν περὶ αὐτὴν θεωρίαν εἰς τὸ εἶδος ἐπαναφέρειν. διὸ λοιπὸν μέχρι πόσου τὸ εἶδος καὶ τὸ τί ἐστι δεῖ εἰδέναι, ζητεῖ. ἀλλὰ καὶ εἰπὼν τῷ φυσικῷ τὸν περὶ τοῦ εἴδους λόγον προηγούμενον ἔσεσθαι, οὐκ ὄντα μέντοι τῆς ὕλης, εἰκότως νῦν διαπορεῖ, μέχρι πόσου τῷ φυσικῷ ὡς φυσικῷ ἡ τοῦ εἴδους γνῶσις προσήκει δηλονότι τοῦ φυσικοῦ. ἔστι γάρ τινα εἴδη καὶ ὑπὲρ τὰ φυσικά, περὶ ὧν οὐκ ἔστιν εἰπεῖν τοῦ φυσικοῦ. καὶ λέγει ὅτι ὁ φυσικὸς περὶ τοῦ φυσικοῦ εἴδους ὡς φυσικὸς μέχρι τόσου ὁρᾷ, ὅσου καὶ ὁ χαλκεὺς περὶ χαλκοῦ, καὶ ὁ ἰατρὸς περὶ νεύρου. ἑκάτερος δὲ τούτων ὁρᾷ μέχρι τοσούτου, μέχρι ὅσου χρήσιμον ἕκαστον εἰς τὴν οἰκείαν τέχνην ἐστί, τὰς πρώτας ἀρχὰς τοῦ νεύρου καὶ τοῦ χαλκοῦ οὐδέτερος αὐτῶν πολυπραγμονῶν. καὶ ὁ φυσικὸς περὶ τοῦ φυσικοῦ εἴδους ὁρᾷ μέχρι τινός. τὸ δέ, τί τοῦτό ἐστι. καὶ ἔστι γὰρ ἕκαστον τῶν φύσει γινομένων τινὸς ἕνεκα, καὶ γίνεται, καὶ ἔστιν, ὅπερ τέλος ἐστὶ τοῦ πράγματος. καὶ ὁ τοῦτο εὑρὼν εἰς τέλος ἦλθε τῆς θεωρίας τῆς περὶ τῶν φυσικῶν εἰδῶν, περὶ ταῦτα τὴν σκέψιν ποιούμενος, ἅ ἐστι χωριστὰ μὲν τῷ λόγῳ εἴδη, ἔνυλα δέ. ὥστε καὶ περὶ τοῦ ἐνύλου εἴδους, ἀλλ' οὐχὶ παντὸς εἴδους, καὶ μέχρι τοῦ τίνος ἕνεκά ἐστι τοῦτο ἢ γίνεται, ὁ φυσικὸς ἐπισκέπτεται. καί μοι δοκεῖ κατάλληλος ἡ λέξις φαίνεσθαι, ἐὰν καὶ ἐπὶ τοῦ μέχρι τίνος βαρύνωμεν τὸ τίνος, ταὐτὸν γάρ ἐστι τῷ μέχρι πόσου, καὶ ἐπὶ τοῦ τίνος γὰρ ἕνεκα ἕκαστον βαρυτόνως προσενέγκωμεν τὸ τίνος. δηλοῖ γὰρ τὸ ἄχρι τοῦ τέλους, καὶ ἄχρι τοῦ τίνος ἕνεκα. εἰ δὲ καὶ ἐγράφοιτο μέχρι τινός. ἕνεκα τινός, τίνος γὰρ ἕνεκα ἕκαστον, λέγει γὰρ καὶ τοιαύτην γραφὴν ὁ Ἀλέξανδρος, τὸ μὲν πρῶτον τινὸς βαρυνοῦμεν, τὸ δὲ δεύτερον ὀξυνοῦμεν. εἰπὼν δὲ ὅτι περὶ τὰ ἔνυλα εἴδη ὁ φυσικὸς ἕξει, καὶ τοῦτο μέχρι τέλους προβήσεται, ὅτι ἔνυλα τὰ φυσικὰ εἴδη ἐστί, δείκνυσιν ἐκ τοῦ καὶ τὰ αἴτια αὐτῶν, τά τε προσεχῆ καὶ τὰ ἀναβεβηκότα, καὶ αὐτὰ ἔνυλα εἶναι. καὶ γὰρ τὸ προσεχῶς γεννῶν τὸν ἄνθρωπον ἄνθρωπός ἐστιν, ἔνυλος καὶ αὐτὸς ὤν. καὶ τὸ ἐπαναβεβηκὸς δὲ τούτων ποιητικὸν πάντων τῶν γινομένων κατὰ φύσιν αἴτιον, ὁ ἐμφανὴς ἥλιος, εἶδος καὶ αὐτὸς ἔνυλον. καθόλου δέ φησιν ὁ Ἀλέξανδρος τὸ γινόμενον φύσει δοκεῖ αὐτῷ ὑπὸ τοῦ αὐτοῦ γίνεσθαι, ἢ εἴδει, ἢ γένει, ἢ ὅλως ὑπὸ ἐνεργείας. ὑπὸ ἡλίου γὰρ οὕτω γινόμενα γίνεται. καὶ ὡς ὑπὸ ἐνεργείας. θερμαινόμενα γὰρ καὶ ψυχόμενα ὑπὸ τῆς ἐνεργείας τῆς ἐκείνου. καὶ δῆλον μὲν ὅτι καὶ τὰ κατὰ τέχνην γινόμενα, ὑπὸ ἐνεργείας γίνεται ἀλλ' οὐ φυσικῆς. μήποτε δὲ ἄνθρωπος μὲν ἐξ ἀνθρώπου ὑπὸ τοῦ αὐτοῦ τῷ εἴδει γίνεται. ὑφ' ἡλίου δὲ ὑπὸ τοῦ αὐτοῦ τῷ γένει, ὡς ἔνυλος ἐξ ἐνύλου. σημειοῦται δὲ ὁ Ἀλέξανδρος καὶ ἐκ τῶν ἐνταῦθα λεγομένων, ὅτι κατὰ Ἀριστοτέλη συνῆπται τῷ θείῳ σώματι ἡ τῶν ἐνταῦθα γένεσις, καὶ οὐκ ἀπήρτηται ἀπ' αὐτοῦ. ἀλλὰ πῶς ζητῶν μέχρι πόσου τὸν φυσικὸν δεῖ εἰδέναι τὸ εἶδος καὶ τὸ τί ἐστι, μέχρι τινός φησιν, ὥσπερ ἰατρὸν νεῦρον, καὶ χαλκέα χαλκόν. ὁ γὰρ χαλκὸς ὡς ὕλη τῷ χαλκεῖ ὑποβέβληται, καὶ τὸ νεῦρον τῷ ἰατρῷ. τούτοις γὰρ ἐπάγουσι τὰ ἀπὸ τῆς τέχνης εἴδη, ὁ μὲν χαλκεὺς τῷ χαλκῷ τὸ τοῦ ἀμφορέως εἰ τύχοι, ὁ δὲ ἰατρὸς τῷ νεύρῳ τὸ τῆς ὑγείας. πῶς οὖν μέχρι ὅσου περὶ τῆς ὕλης οἱ τεχνῖται ζητοῦσι, μέχρι

τοσούτου περὶ τοῦ εἴδους τὸν φυσικόν φησι ζητεῖν. ταύτην δὴ τὴν ἔνστασιν ἐννοήσας ὁ Ἀλέξαν-
» δρος, καὶ ἄλλην ἐξήγησιν ἐπάγει γράφων οὕτως. ἢ εἰπὼν πρῶτον μέχρι τινὸς ὁ φυσικὸς ὁρᾷ περὶ
» τῆς ὕλης, ὥσπερ καὶ οἱ τεχνῖται, καὶ γὰρ οὗτοι μέχρι τινὸς περὶ τῆς ὑποκειμένης ὕλης αὐτοῖς θεω-
» ροῦσιν, ἑξῆς πάλιν περὶ τοῦ εἴδους λέγει, μέχρι πόσου καὶ περὶ ποίου εἴδους ὁ φυσικὸς θεωρεῖ. τί-
» νος γὰρ ἕνεκα ἕκαστον τῶν φύσει γινομένων γίνεται, ὅ ἐστι τὸ φυσικὸν εἶδος, καὶ ἡ τῶν φύσει γινομένων
» τελειότης, θεωρεῖ. περὶ τοῦ τοιούτου οἶον εἴδους, οὗ χάριν ἕκαστον τῶν γινομένων ὑπὸ τῆς φύσεως γί-
» νεται. καὶ περὶ τούτων τῶν εἰδῶν, ἅ ἐστι χωριστὰ μὲν τῷ λόγῳ τῆς ὕλης, ἐν ὕλῃ μέντοι ἡ ὑπόστασις
» αὐτοῖς, οὐκέτι τὴν γνῶσιν ἐκτείνων ἐπὶ τὰ ἄυλα καὶ χωριστὰ εἴδη. καὶ εἶχεν ἂν καλῶς ἡ ἐξήγησις,
εἰ μέχρι τίνος περὶ τῆς ὕλης ὁ φυσικὸς θεωρεῖ προσθέμενος εἰπεῖν, ἐπήγαγε μέχρι ὅσου ὁ χαλκεὺς περὶ χαλκῶν, καὶ ὁ ἰατρὸς περὶ νεύρων. νῦν δὲ εἰπὼν, μέχρι δὴ πόσου τὸν φυσικὸν δεῖ εἰδέναι τὸ εἶδος καὶ τὸ τί ἐστιν, ἐπήγαγεν ἢ ὥσπερ ἰατρὸν νεῦρον ἢ χαλκέα χαλκόν. καὶ ἄλλην δὲ ἐξήγησιν πρὸς τὴν τοιαύτην ἔνστασιν ὑπαντῶσαν ἐπάγει, ὡς ἁρμόδιον τῇ γραφῇ τῇ λεγούσῃ, ἢ ἰατρὸν νεῦρον ἢ χαλκέα χαλκὸν μέχρι τινὸς ἕνεκα. εἴη γὰρ ἂν φησι τὸ λεγόμενον, ὡς ὁ ἰατρὸς καὶ ὁ χαλκεὺς μέχρι τοσούτου περὶ εἴδους λέγουσι, καὶ περὶ τούτου οὗ ἕνεκά ἐστιν ἡ ὕλη περὶ ἣν καταγίνονται, περὶ γὰρ τοῦ εἴδους τούτου λέγουσιν, οὗ χάριν ὁ μὲν περὶ νεῦρα καὶ σάρκας, ὁ δὲ περὶ χαλκὸν καταγίνεται, τοῦ γὰρ ἐν τούτοις γινομένου εἴδους ἀλλ' οὐ περὶ ἄλλου τινὸς, οὕτω χρὴ καὶ τὸν φυσικὸν περὶ τοῦ τοιούτου εἴδους λέγειν, οὗ ἐστιν ἡ ὕλη. ὕλη. καὶ οὗ χάριν ἐστί. τοῦτο δέ ἐστι τὸ ἔνυλον. καὶ περὶ ταῦτα ἅ ἐστι χωριστὰ μὲν εἴδη ἐν ὕλῃ δὲ, τουτέστι καὶ περὶ τῶν τοιούτων εἰδῶν πραγματεύεται, καὶ τὰ τοιαῦτα θεωρήσει. δοκεῖ δέ μοι ἐν τούτοις μὴ ἀποδοῦναι, μέχρι πόσου οἱ τεχνῖται περὶ τοῦ εἴδους λέγουσιν, οὗ ἕνεκεν ἐστιν ἡ ὕλη περὶ ἣν καταγίνονται. εἰ μὴ ἄρα βούλεται εἰπεῖν μέχρι τοῦ ἔνυλα εἶναι. τοῦτο γὰρ ἐπὶ τοῦ φυσικοῦ σαφέστερον εἶπε. καὶ ἔοικε καὶ Θεμίστιος οὕτω νοῆσαι, παραφράζων γὰρ τουτὶ τὸ χωρίον, περὶ δὲ αὐτοῦ τοῦ εἴδους φησὶν ἄχρι τίνος. ἢ ὥς τε μὴ χωρίζειν αὐτὸ τῆς ὕλης. ἀλλ' ὥσπερ ὁ ἰατρὸς νεῦρον ἐξετάζει, οὕτως ὁ φυσικὸς ἄνθρωπον. μήποτε οὖν οὐ συμφωνεῖ τούτῳ τὸ ἑξῆς ἐπαγόμενον, τὸ τινὸς γὰρ ἕνεκα ἕκαστον. οὐ γὰρ τείνει τοῦτο εἰς τὴν τοῦ ἐνύλου γνῶσιν. ἀλλὰ περὶ εἴδους μέν ἐστιν ἡ ζήτησις, μέχρι πόσου δεῖ εἰδέναι τὸ φυσικὸν εἶδος τὸν φυσικὸν, περὶ ὃ καταγίνεται. λέγει δὲ ὅτι μέχρι ὅσου τὸν χαλκὸν οἶδεν ὁ χαλκεὺς, καὶ τὸ νεῦρον ὁ ἰατρὸς, οὐχ ὡς ὕλην τῶν τεχνῶν τούτων ταῦτα παραθείς. ἀλλ' ὡς εἴδη περὶ ἃ καταγίνονται αἱ τέχναι, ὡς ἡ φυσικὴ περὶ τὸ φυσικὸν εἶδος. καταγίνονται δὲ αἱ μὲν τέχναι πρακτικῶς, ἡ δὲ φυσικὴ γνωστικῶς περὶ τὸ οἰκεῖον ὑποκείμενον. ὡς οὖν αἱ τέχναι τὰ ὑποκείμενα αὐταῖς περὶ ἃ ἐνεργοῦσι, μέχρι τῆς χρείας ἣν παρέχονται τοῖς ἀποτελέσμασι, δι' ἃ παραλαμβάνονται, οὕτω καὶ ἡ φυσικὴ μέχρι ἐκείνου γνώσεται τὸ φυσικὸν εἶδος, μέχρι τῆς χρείας ἧς ἕνεκα γίνεται καὶ ἔστι. καὶ γὰρ πᾶσα μὲν ἡ ἐκ τῶν αἰτίων γνῶσις οἰκειοτάτη πρὸς ἐπιστήμην ἐστίν. ἡ δὲ ἐκ τοῦ τελικοῦ αἰτίου πασῶν ἐστι κυριωτάτη. καὶ ἔοικε τῷ ἐν Φαίδωνι Σωκράτει κατακολουθῶν ὁ Ἀριστοτέλης, μέχρι τοῦ τελικοῦ αἰτίου προστάττειν τῷ φυσικῷ προάγειν τὴν τῆς αἰτίας ζήτησιν. λέγει γὰρ ἐν ἐκείνοις ὁ Σωκράτης, εἰ οὖν τις βούλοιτο τὴν αἰτίαν εὑρεῖν περὶ ἑκάστου ὅπῃ γίνεται καὶ ἀπόλλυται ἢ ἔστι, τοῦτο δεῖν περὶ αὐτοῦ εὑρεῖν, ὅπῃ βέλτιστον αὐτῷ ἐστιν ἢ εἶναι ἢ ἄλλο ὁτιοῦν πάσχειν ἢ ποιεῖν. τοῦτο δέ ἐστι τὸ οὗ ἕνεκα γίνεται ἢ ἔστιν ἕκαστον. εἰπὼν δὲ ὅτι ὁ φυσικὸς περὶ τὰ τῷ λόγῳ μὲν χωριστὰ τῇ δὲ ὑποστάσει ἔνυλα πραγματεύεται, εἰκότως ἐπάγει ὅτι τὸ τῇ ὑποστάσει χωριστὸν εἶδος, πῶς ἔχει πρὸς τὸ ἔνυλον εἶδος, καὶ καθ' αὑτὸ, καὶ ὅτι, φιλοσοφίας ἔργον ἐστὶ διορίσαι τῆς πρώτης. ἣν ἐν τῇ μετὰ τὰ φυσικὰ πραγματείᾳ παραδίδωσιν.

ΔΙΟΡΙΣΜΕΝΩΝ δὲ τούτων, ἐπισκεπτέον περὶ τῶν αἰτίων, ποῖά τε καὶ πόσα τὸν ἀριθμόν ἐστιν. ἐπεὶ γὰρ τοῦ εἰδέναι χάριν ἡ πραγματεία, εἰδέναι δὲ οὐ πρότερον οἰόμεθα ἕκαστον, πρὶν ἂν λάβωμεν τὸ διὰ τί περὶ ἕκαστον, τοῦτο δ' ἐστὶ τὸ λαβεῖν τὴν πρώτην αἰτίαν, δῆλον ὅτι καὶ ἡμῖν τοῦτο ποιητέον. καὶ περὶ γενέσεως καὶ φθορᾶς καὶ περὶ πάσης τῆς φυσικῆς μεταβολῆς. ὅπως εἰδότες αὐτῶν τὰς ἀρχὰς, ἀνάγειν εἰς αὐτὰς πειρώμεθα τῶν ζητουμένων ἕκαστον.

Τῆς πραγματείας οὔσης περὶ τῶν ἀρχῶν καὶ αἰτίων τῶν φυσικῶν, διότι ὡς αὐτὸς ἀρχόμενος εἶπε, τότε οἰόμεθα γινώσκειν ἕκαστον, ὅταν τὰ αἴτια γνωρίσωμεν τὰ πρῶτα καὶ τὰς ἀρχὰς τὰς πρώτας καὶ μέχρι τῶν στοιχείων, περὶ τῶν ἀρχῶν τῶν ὡς στοιχείων πρῶτον προέθετο σκοπεῖν. καὶ τάς τε τῶν παλαιῶν δόξας περὶ τούτων προὐβάλλετο. καὶ τὰ ἑαυτῷ δοκοῦντα προσέθηκε, συμφωνοῦντας αὐτῷ τρόπον τινὰ καὶ τοὺς παλαιοὺς φυσιολόγους ἀποδείξας, διότι καὶ ἐκεῖνοι τὰ ἐναντία ἐτίθεντο ἀρχάς. οὕτω τε τὴν ὕλην καὶ τὸ εἶδος καὶ τὴν στέρησιν ὡς στοιχειώδεις ἀρχὰς ὑποθέμενος τῶν φυσικῶν, καὶ τί ἐστιν ἡ φύσις ἀποδείξας, ὅτι ἀρχὴ ὅθεν ἡ κίνησις, καὶ τί τὸ φυσικὸν καὶ κατὰ φύσιν, καὶ διορίσας ποσαχῶς ἡ φύσις λέγεται, καὶ ὅτι τὸ εἶδος καὶ ἡ ὕλη φύσις, καὶ ὅτι περὶ ἀμφοῖν πρόκειται τῷ φυσικῷ ζητεῖν, καὶ μέχρι πόσου, ὅτι μέχρι τοῦ φυσικοῦ αἰτίου, καὶ συμπληρώσας τὸν ὅλον περὶ τῶν αἰτίων λόγον, εἴπερ καὶ περὶ τῶν ὡς στοιχείων εἶπε τῆς τε ὕλης καὶ τοῦ εἴδους,

καὶ περὶ τοῦ ποιητικοῦ ὅπερ ἦν ἡ φύσις, καὶ περὶ τοῦ τελικοῦ, ἐπειδὴ πολλὰ μεταξὺ τῆς τῶν αἰτίων πρὸς ἄλληλα συντάξεως ἐῤῥήθη, ἀναλαβὼν τὸν λόγον, ἐφεξῆς αὐτὰ ἀπαριθμήσεται, τοὺς προσήκοντας ἑκάστῳ ἐπάγων διορισμούς, καὶ μετὰ τὰ καθ' αὑτὸ αἴτια καὶ τὰ κατὰ συμβεβηκὸς ὑπ' ὄψιν ἄγων. κἀνταῦθα δὲ τὴν χρείαν πάλιν ἡμᾶς τοῦ περὶ τῶν ἀρχῶν ὑπομιμνήσκει λόγου, συλλογιζόμενος καὶ νῦν δυνάμει οὕτως. ἡ φυσικὴ πραγματεία θεωρητική ἐστιν, ἀλλ' οὐχὶ πρακτική, ὡς ἡ ἠθική. ἡ θεωρητικὴ τέλος ἔχει τὸ εἰδέναι, ἡ τέλος ἔχουσα τὸ εἰδέναι, τὴν τῶν αἰτίων γνῶσιν προλήψεται, εἰς ἃ ἕκαστα ἀναφέρουσα ἕξει τὴν γνῶσιν αὐτῶν. ὥστε τῇ φυσικῇ πραγματείᾳ οἰκεῖος ὁ περὶ τῶν αἰτίων λόγος. ὅπως ἂν καὶ περὶ γενέσεως καὶ φθορᾶς. καὶ πάσης τῆς ἄλλης μεταβολῆς τῆς φυσικῆς, τῆς τε κατὰ τόπον, καὶ κατ' ἀλλοίωσιν, ἴσως δὲ καὶ κατὰ αὔξησιν, περὶ ὧν τῷ φυσικῷ πρόκειται σκοπεῖν, ἀποδιδόναι τὰς αἰτίας δυνώμεθα. διατί γὰρ τοῦτον ἔχει τὸν τρόπον ἕκαστον τῶν κατ' αὐτὰ ζητουμένων, λύομεν ἀνάγοντες εἰς τὰς αἰτίας αὐτῶν καὶ τὰς ἀρχάς. ἢ γὰρ διότι ἐκ τοῦ τοιοῦδε, ἢ διότι τοιόνδε, ἢ διότι ὑπὸ τοιοῦδε, ἢ διότι οὕτως ἄμεινον δεικνύντες, ἀποδιδόναι τὰς αἰτίας δόξομεν.

ἝΝΑ ΜῈΝ οὖν τρόπον αἴτιον λέγεται, τὸ ἐξ οὗ γίνεταί τι ἐνυπάρχοντος. οἷον, ὁ χαλκὸς τοῦ ἀνδριάντος. καὶ ὁ ἄργυρος, τῆς φιάλης. καὶ τὰ τούτων γένη.

Τέσσαρας τρόπους αἰτιῶν ἀποδεδωκὼς τοὺς πάντας λέγω, πρῶτον ἀποδίδωσι τὸ ἐξ οὗ γίνεταί τι ἐνυπάρχοντος. τοῦτο δέ ἐστι τὸ ὑλικὸν καὶ ὑποκείμενον. ὅπερ κατὰ μὲν τὸ ἐξ αὐτοῦ γίνεσθαί τι, τῇ στερήσει ἐπικοινωνεῖν δοκεῖ. κατὰ δὲ τὸ ἐνυπάρχοντος τούτου, διαφέρει. ἐξ ἐκείνης μὲν γάρ, ὡς μετ' ἐκείνην, καὶ ὡς ἐξισταμένης ἐκείνης, γίνεται τὸ γινόμενον. ἐκ δὲ τῆς ὕλης ὡς ἐνυπαρχούσης, καὶ μεταβαλλούσης ἐξ ἄλλης διαθέσεως εἰς ἄλλην. ὥστε ὁμώνυμον εἶναι τὸ ἐξ οὗ. τοῦ δὲ εἴδους ἡ ὕλη διαφέρει καὶ αὐτοῦ ἐνυπάρχοντος, ὅτι οὐκ ἐκ τοῦ εἴδους γίνεται τὸ γινόμενον. οὔτε γὰρ ἐξισταμένου, οὔτε μεταβάλλοντος, ἀλλὰ κατὰ τὸ εἶδος. πρώτην δὲ αὐτὴν ὠνόμασεν ἐν τοῖς αἰτίοις, διότι πάντων ὡς εἰπεῖν οἱ ἀρχαιότεροι, τὰς αἰτίας εἰς τὴν ὕλην ἀναφέροντες ἀπεδίδοσαν. κάτω γὰρ ἔφασαν τὸν κύβον φέρεσθαι, ὅτι χαλκοῦς. καὶ πολυχρονιώτερον εἶναι τὸν λέβητα τοῦ κεράμου, διότι ὁ μὲν χαλκοῦς. ὁ δὲ ὀστράκινος. καὶ διὰ τοῦτο δὲ πρώτην ὠνόμασεν, ὅτι κάτωθεν ἐπὶ τὸ ἄνω τὴν πρόοδον ἐποιήσατο. οὐ μόνον δὲ ἡ προσεχὴς ὕλη αἰτία τοῦ γινομένου ἐστίν, ἀλλὰ καὶ τὰ ταύτης γένη. οὐ γὰρ μόνον ὅδε ὁ χαλκὸς τοῦ ἀνδριάντος αἴτιος, καὶ ὅδε ὁ ἄργυρος τῆς φιάλης, ἀλλὰ καὶ χαλκὸς ἁπλῶς, καὶ ἄργυρος. καὶ εἰ ὕδωρ ταῦτα ἐστί, καὶ τὸ ὕδωρ. καὶ ἀνωτέρω τὸ σῶμα.

ἌΛΛΟ ΔΈ τὸ εἶδος καὶ τὸ παράδειγμα. τοῦτο δ' ἐστὶν ὁ λόγος, ὁ τοῦ τί ἦν εἶναι. καὶ τὰ τούτου γένη. οἷον τοῦ διὰ πασῶν, τὰ δύο πρὸς ἕν. καὶ ὅλως ὁ ἀριθμός. καὶ τὰ μέρη τὰ ἐν τῷ λόγῳ.

Δεύτερον αἴτιον τὸ κατὰ τὸ εἶδος παραδίδωσιν. αἴτιον γὰρ ἡ ἐνυπάρχουσα ὑγεία τοῦ ὑγιαίνειν. καὶ ἡ συμμετρία τοῦ σύμμετρον εἶναι. εἶδος δέ, οὐ τὸ κατὰ τὴν ἐπιπόλαιον μορφὴν μόνον, ἀλλὰ καὶ τὸ κατὰ τὸν λόγον. καλεῖ δὲ παράδειγμα τὸ εἶδος, οὐχ ὡς οἱ τὰς ἰδέας λέγοντες, αὐτὴν καθ' αὑτὴν εἰδικὴν οὐσίαν ὑποτιθέμενος, πρὸς ἣν τὰ ἐνθάδε ἀφομοιοῦται. οὐδὲ γὰρ τὰ φύσει ποιοῦντά φησιν Ἀλέξανδρος, πρῶτον νοήσαντα ἃ ποιεῖ οὕτω ποιεῖ. ἵνα τις εἴποι τὸ νόημα παράδειγμα τῶν γινομένων κατ' αὐτήν, ὡς ἐπὶ τῶν τεχνῶν ἔχει. ἀλλὰ τὸ γινόμενον περὶ τῇ ὕλῃ εἶδος, τοῦτο καλεῖ παράδειγμα. διὰ τὸ τὴν φύσιν τούτου ἐφιεμένην ποιεῖν ἃ ποιεῖ πάντα. δῆλον δὲ ἐκ τοῦ, γινομένου τούτου παύεσθαι τῆς ποιήσεως, ὡς ὡρισμένου τινὸς ὄντος τοῦ εἴδους, καὶ οἷον σκοποῦ προκειμένου εἰς ὃν τέτακται ἡ φύσις, καὶ παράδειγμα διὰ τοῦτο λεγομένου. οὐχ ὁμοίως δέ φησιν Ἀλέξανδρος ἐν τοῖς ἕνεκά του ποιοῦσι πᾶσιν, ἔχει τὸ τέλος καὶ τὸ παράδειγμα. ἀλλ' ὅσα μὲν κατὰ προαίρεσιν καὶ τέχνην καὶ λόγον ποιεῖ, ἐπὶ τούτων τὸ τέλος ἀνάγκη οὗ χάριν τὰ ἄλλα γίνεται, πρῶτον νοηθὲν ὑπὸ τοῦ ποιοῦντος, τοῦτο σκοπὸν ἐκκεῖσθαι καὶ παράδειγμα τῶν ἐσομένων. ἐπὶ δὲ τῶν φύσει γινομένων, οὐχ ὁμοίως. οὐ γὰρ κατὰ προαίρεσιν ἡ φύσις ἐργάζεται, οὐδὲ κατὰ τὸν ἐν αὐτῇ λόγον. ἄλογος γάρ φησι δύναμις ἡ φύσις. ἀλλ' ἀρχῆς καταβληθείσης τῆς πρώτης ἐν ὕλῃ τῆς δεκτικῆς, καὶ τῆς ἀρχῆς καὶ τῶν ὑπ' αὐτῆς τε καὶ ἐξ αὐτῆς ἐσομένων, τοῦτο τὸ πρῶτον αὐτὸ καταβληθέν, αὐτὸ μὲν ἐποίησε τοῦτο, οὗ ἐστιν αὐτὸ ποιητικόν, ὄντος ὡρισμένου. τὸ δὲ ἐκ τούτου γινόμενον ἄλλο. ἕκαστον γὰρ αὐτῶν τοῦ μεθ' ἑαυτὸ ποιητικόν τε καὶ κινητικόν ἐστι, εἰ μηδὲν ἐμποδίζοι. καὶ τοῦτο μέχρι τέλους τινὸς καὶ εἴδους τοῦ φυσικοῦ. οὗ ἦν ἀρχὴ τὸ πρῶτον ἐν τῇ ὕλῃ καταβληθέν. ὥσπερ γὰρ ἐν τοῖς νευροσπαστουμένοις τὴν ἀρχὴν τῆς κινήσεως ἐνδόντος τοῦ τεχνίτου τῷ πρώτῳ, τοῦτο τοῦ μετ' αὐτό, κἀκεῖνο τοῦ ἐφεξῆς κινητικὸν γίνεται, ἕως ἂν διὰ πάντων ἡ κίνησις διέλθῃ, ἐὰν μή τι ἐμποδίσῃ, οὐ κατὰ λόγον τινὰ καὶ προαίρεσιν τὴν ἐν αὐτοῖς τοῦ πρὸ αὐτοῦ τὸ μετ' αὐτὸ κινοῦντος, οὕτω δὲ καὶ ἡ καταβληθεῖσα τῷ σπέρματι φύσις τε καὶ δύναμις ἐν τῇ οἰκείᾳ ὕλῃ γινομένη, κινητικὴ ταύτης οὖσα, κινεῖ καθάπερ πέφυκε τὸ μὲν κινεῖν, τὸ δὲ κινεῖσθαι. ἡ δὲ ἐγγινομένη δύναμις ἐκ τῆς πρώτης κινήσεως ἄλλην πάλιν κίνησιν ἐμποιεῖ καὶ δύναται, ἕως οὗ ὅμοιον ποιήσῃ τῷ ἀφ' οὗ κατεβλήθη, καὶ ταὐτὸν ἢ εἴδει ἢ γένει. ὡς ἐπὶ τῶν ἐξ ἀνομοίων

ζώων γινομένων. ὁποῖαι αἱ ἡμίονοι. τῷ γὰρ γένει αἱ αὐταὶ τοῖς ποιήσασι. καὶ αὕτη ἡ διαδοχὴ κα-
τά τινας ἀριθμοὺς καὶ τάξιν γίνεται, μέχρι τοῦ τελειωθῆναι κατὰ τὸ εἶδος τὸ γινόμενον, εἰ μή τι γέ-
νοιτο ἐμπόδιον. τοῦτο δὲ οὐ κατὰ λόγον καὶ προαίρεσιν τὴν ἐν τοῖς κινοῦσί τε καὶ ποιοῦσιν ὡς προείρη-
ται. ἀλλ' οὐκ ἐπεὶ μὴ τοῦτο, διὰ τοῦτο ἤδη κατὰ τύχην ποιεῖ, καὶ οὐχὶ ἕνεκά του. τὸ γὰρ ἕνεκά του,
οὐ λογικῆς καὶ προαιρετικῆς γενέσεως ἐστὶν ὄνομα. ἀλλὰ πᾶν τὸ γινόμενον κατὰ τάξιν τινὰ καὶ ἄλ-
λου χάριν, ἕνεκά του γίνεται. καὶ τοῦτο ὁμοίως, ἄν τε κατὰ προαίρεσιν καὶ λόγον, ἄν τε καὶ χωρὶς
λόγου, ὡς ἐπὶ τῆς φύσεως ἡμεῖς λέγομεν. κἂν γὰρ ἐπακολουθῇ τοῖς φυσικοῖς τινὰ κατὰ τὰς ὑλι-
κὰς ἀνάγκας, οὐκ ἔχοντα τὴν ἀναφορὰν ἐπί τι, ὡς αἱ ἐπὶ τῶν μασχαλῶν λεγόμεναι τρίχες, εἴπερ
μὴ καὶ αὗται χρείαν παρέχονταί τινα, οὐδὲν διὰ ταῦτα τὸ μὴ ἕνεκά του ποιεῖν τὴν φύσιν κατα-
σκευάζειν. παράδειγμα οὖν τὸ εἶδος, διότι ἐπὶ τοῦτο νένευκεν ἡ φύσις, οὐ προαιρέσει, ἀλλὰ μᾶλλον
ὡς τὰ νευροσπαστούμενα. εἴη δὲ ἂν φησὶ παράδειγμα ἐν τοῖς φύσει γινομένοις καὶ τὸ τοῦ ποιοῦντος εἶ-
δος, ταὐτὸν ὂν τῷ τοῦ γινομένου εἴδει ἢ γένει. καὶ καθόλου ἐπεὶ οἱ πρὸς παράδειγμα ποιοῦντες πρὸς
ὡρισμένον τι ποιοῦσι, καὶ ἔστιν ἴδιον τοῦ πρὸς παράδειγμα γινομένου τὸ πρὸς ὡρισμένον τε γίνεσθαι
καὶ ὅμοιον ἐκείνῳ, καὶ ἔτι πρὸς ὡρισμένον γίνεται καὶ ὅμοιον ἐκείνῳ, πρὸς παράδειγμα ἂν εἴη γι-
νόμενον. οὕτω δὲ γίνεται τὰ γινόμενα φύσει. πρὸς παραδείγματα ἄρα. ταῦτα τοῦ Ἀλεξάνδρου λέ-
γοντος, ὅτι μὲν παράδειγμα τὸ εἶδος καλεῖ οὐ τὸ κατὰ τὴν ἰδέαν Ἀριστοτέλης, πρόδηλον. τὸ γὰρ
ἔνυλον εἶδος ὡς αἴτιον λαμβάνει. καθ' ὃ τὸ τί ἦν εἶναι ἔχει τὸ σύνθετον. δηλοῖ δὲ ἐν τοῖς ἑξῆς, τὴν ὕλην
καὶ τὸ εἶδος τοῦτο ἐν τοῖς στοιχείοις καταριθμῶν. πῶς δὲ περὶ τοῦ στοιχειώδους εἴδους λέγοντος αὐτοῦ,
καὶ τοῦτο παράδειγμα καλέσαντος, δυνατὸν παράδειγμα τὸ τοῦ ποιοῦντος εἶδος ἀκούειν νῦν. κἂν
γὰρ τὸ αὐτό πως ἐστὶ τῷ γινομένῳ, διότι ἄνθρωπος ἐξ ἀνθρώπου, ἀλλὰ τὸ γινόμενον νῦν καλεῖ πα-
ράδειγμα, καὶ οὐχὶ τὸ ποιοῦν. τὸ γὰρ γινόμενον ἐστὶ τὸ στοιχειῶδες εἶδος, καθ' ὃ τὸ τί ἦν εἶναι ἔχει τὸ σύν-
θετον. πρός τι δὲ ὡρισμένον καὶ ὅμοιον γίνεται τὸ φυσικόν. εἰ μὲν γὰρ πρὸς τὸ ποιοῦν, τὸ ποιοῦν ἂν
εἴη παράδειγμα. ἀλλὰ πρῶτον μὲν ὅπερ εἶπον οὐκ ἐκεῖνο ἐκάλεσε παράδειγμα ὁ Ἀριστοτέλης, ἀλ-
λὰ τὸ γινόμενον. ἔπειτα πῶς ἐστὶ δυνατὸν λέγειν, ὅτι τὰ φυσικὰ οὐ γίνεται πρὸς παράδειγμα. εἴ-
περ συγχωροῦμεν παράδειγμα τὸ ποιοῦν εἶναι τοῦ γινομένου, ὡς πρὸς ἐκεῖνο γινομένου, ὡρισμένον
τε καὶ ὅμοιον ὑπάρχον τῷ γινομένῳ. εἰ δὲ διὰ τοῦτο λέγεται παράδειγμα τὸ εἶδος, διὰ τὸ τὴν φύσιν
τούτου ἐφιεμένην ποιεῖν πάντα, τέλος ἂν εἴη διὰ τοῦτο καὶ οὐ παράδειγμα. ἔτι δὲ καὶ τὰ περὶ τῆς
γενέσεως τῶν φυσικῶν εἰρημένα, ἐπιστάσεως ἄξιά μοι δοκεῖ. εἰ γὰρ τὸ πρῶτον καταβληθὲν, αὐτὸ μὲν
ἐποίησε τοῦτο οὐκ ἔστιν αὐτὸ ποιητικὸν, τὸ δὲ ἐκ τούτου γινόμενον ἄλλο, καὶ ἕκαστον τοῦ μεθ' ἑαυτὸ ποιη-
τικόν ἐστι καὶ κινητικὸν, μέχρι τοῦ τέλους καὶ τοῦ εἴδους τοῦ φυσικοῦ, οὗ ἦν ἀρχὴ τὸ πρῶτον ἐν τῇ ὕλῃ
καταβληθὲν, εἰ οὖν οὕτως ἡ γένεσις ἀποτελεῖται, πρῶτον μὲν εἰ ὁ πυρὸς τὴν βοτάνην ποιεῖ, καὶ
ἡ βοτάνη τὴν καλάμην, καὶ ἡ καλάμη τὸν ἀστάχυν, πῶς τὰ ἀτελέστερα ποιητικὰ τῶν τελειοτέρων.
ἀτελεστέρα γὰρ ἡ βοτάνη τῆς καλάμης, καὶ ἡ καλάμη τοῦ ἀστάχυος. ἔπειτα τί τὸ τοῦ ὅλου αἴτιον οὐκ ἔχο-
μεν λέγειν. ἑνὸς γὰρ ὄντος τοῦ εἴδους, ἔδει καὶ ἓν αἴτιον εἶναι πρὸ τῶν κατὰ μέρος. ὅλως δὲ εἰ ἀλλοιου-
μένων τῶν προτέρων γίνεται τὰ ἐφεξῆς, ὑλικὰ ἂν εἴη μᾶλλον τὰ πρότερα καὶ οὐ ποιητικά. οὐδέ-
ποτε γὰρ τὸ ποιητικὸν αἴτιον ἀλλοιούμενον, γίνεται τὸ ἀποτέλεσμα. ἔτι δὲ εἰ μὴ τὸ τυχὸν ἐκ τοῦ τυ-
χόντος γίνεται, ἀλλ' ἐκ τοῦ δυναμένου, δηλονότι καὶ ἡ βοτάνη δυνάμει καλάμη ἐστί. πᾶν δὲ τὸ δυ-
νάμει ὑλικόν ἐστιν ἀλλ' οὐ ποιητικόν. ὥστε ὕλη μὲν τῆς καλάμης εἰκότως ἂν λέγοιτο ἡ βοτάνη. ποιη-
τικὸν δὲ αἴτιον οὐδαμῶς. ἔπειτα πᾶν τὸ ἐκ τοῦ δυνάμει γινόμενον ἐνεργείᾳ, ὑπὸ τοῦ ἐνεργείᾳ προά-
γεται εἰς τὸ ἐνεργείᾳ. εἰ οὖν ἡ βοτάνη ἐνεργείᾳ καλάμη οὐκ ἔστιν, οὐκ ἂν ποιήσῃ τὴν ἐνεργείᾳ κα-
λάμην. ὅλως δὲ εἰ ἡ ἑκάστου φύσις ἀρχὴ οὖσα καὶ αἰτία κινήσεως, ποιητική ἐστι τοῦ ἑαυτῇ ὑποκειμένου
καὶ οὐκ ἄλλου, δηλονότι ἡ μὲν τοῦ σπέρματος φύσις τὸ σπέρμα ποιήσει. ἡ δὲ τοῦ ἀνθρώπου, τὸν ἄνθρω-
πον. πῶς δὲ ἂν ποιήσοι κυρίως ἄνθρωπον ἡ ἐν τῷ σπέρματι, ἡ μήπω οὖσα ἀνθρώπου φύσις, πρὶν γε-
νέσθαι τὸν ἄνθρωπον. ἢ ὡς εἴρηται πρότερον ἅμα τῷ καὶ αὐτὴ γίνεσθαι ποιεῖ, διὰ τὸ εὐφυέστερον. καὶ
διὰ τὸ ζωή τις εἶναι ἐξανισταμένη καὶ διανισταμένη εἰς εἶδος. ἐπὶ τὸ τοῦ ἄρρενος σπέρμα καὶ τὸ τῆς θη-
λείας, καὶ φύσιν ἔχει τὴν τοῦ σπέρματος μεταβολὴν, καὶ τελειοῦσθαι πεφυκυῖαν εἰς ζῷον. τὸ δὲ
ποιητικὸν κυρίως καὶ προσεχῶς αἴτιον, ἐπὶ μὲν τῶν ζώων ἡ μητρικὴ φύσις ἐστὶ καὶ ἡ πατρική, ἐπὶ
δὲ τῶν φυτῶν, ἡ τοῦ πυροῦ καὶ τῆς γῆς, τοῦ εἴδους ἐνεργείᾳ προϋπάρχοντος ἔν τε τῷ πατρὶ καὶ τῇ
μητρὶ, καὶ ἐν τοῖς τῆς γῆς κατ' ἐνέργειαν ἑστῶσι λόγοις. καθ' οὓς τὰ δυνάμει εἰς ἐνέργειαν ἄγεται.
καὶ οὕτως ἡ μὲν τοῦ γινομένου φύσις, εἰ ποιητικὴ λέγοιτο, οὕτως ἂν εἴη ποιητική, ὡς καὶ αὐτὴ γινο-
μένη. ἡ δὲ κυρίως ποιητικὴ ἡ τοῦ ἐνεργείᾳ τοιούτου ἐστί. τοῦ γὰρ ὁμοίου ἐστὶν ἡ φύσις γεννητική. καὶ τὰ
μεταξὺ πάντα ἐκείνου ἕνεκα προλαμβάνει. καὶ κἂν ἀλλοιοῦται ἐν τῷ μεταξὺ ἡ φύσις τελειουμένη
καὶ γινομένη ἅμα καὶ ποιοῦσα, ἀλλὰ καὶ ἕνα εἱρμὸν ἀποσῴζει μέχρι τοῦ τέλους. εἰς ὃ καὶ ἐλθοῦσα
παύεται τῆς ποιήσεως. λέγει δὲ καὶ ὁ Ἀριστοτέλης ὅτι φύσει ἐστὶν, ὅσα ἀπό τινος ἐν αὐτοῖς ἀρχῆς

συνεχῶς κινούμενα, ἀφικνεῖται εἴς τι τέλος, ἐν ᾧ καὶ παύεται τῆς κινήσεως. ὥς τε ἐν τῷ ἀνθρώπῳ ὁ τοῦ γινομένου λόγος προείληπται, καὶ κατ' ἐκεῖνον γίνεται τὸ γινόμενον, τοῦ μὲν πατρὸς ἐνδόντος τὴν ἀρχὴν καὶ τὴν μέχρι τέλους κίνησιν διὰ τοῦ σπέρματος, ὡς ἐπὶ τῶν νευροσπαστουμένων ὁ τεχνίτης ἐνδίδωσι τὴν ἀρχὴν τῆς κινήσεως, καὶ τὴν ἐπὶ τὸ τέλος ὁρμὴν, κατὰ τὸν ἑαυτῷ προϋπάρχοντα λόγον τῆς ὅλης τεταγμένης κινήσεως, τῆς δὲ μητρικῆς φύσεως καὶ προσεχέστερον εἰδοποιούσης. πῶς δὲ ἄλογον δύναμιν τὴν φύσιν λέγει, καίτοι τέλους ἕνεκά τινος ποιοῦσαν, καὶ τεταγμένως προϊοῦσαν, κατ' ἀριθμοὺς καὶ μέτρα ἀφωρισμένα. ἢ διττὸς ὁ ποιητικὸς λόγος, ὁ μὲν, γνωστικῶς ποιῶν. ὃν καὶ μόνον λόγον ὁ ἐξηγητὴς οἴεται. ὁ δὲ, ἄνευ μὲν γνώσεως καὶ τῆς εἰς ἑαυτὸν ἐπιστροφῆς, τεταγμένος δὲ καὶ ὡρισμένος, καὶ προηγουμένου τινὸς τέλους ἕνεκεν. καὶ ὥσπερ τὸ μὴ γνωστικὸν ἄλογόν ἐστιν ὡς πρὸς τὸν γνωστικὸν λόγον, οὕτω καὶ τὸ εἰκῇ καὶ ἀτάκτως ποιοῦν, ἄλογόν ἐστιν ὡς πρὸς τὸ τεταγμένως καὶ ὡρισμένως καὶ ἕνεκά του ποιοῦν. ὡς οὖν κατὰ λόγον τοιοῦτον γίνεται τὰ φύσει γινόμενα, οὕτω καὶ κατὰ παράδειγμα, οὐχ ὡς γνωστὸν προκείμενον τῷ ποιοῦντι, ἀλλ' ὡς τοῦ ποιοῦντος τῷ εἶναι καὶ οὐχὶ τῷ προαιρεῖσθαι πρὸς ἑαυτὸ ἀφομοιοῦντος τὸ γινόμενον. ὡς ὁ δακτύλιος τὴν σφραγῖδα. καὶ αὐτὸς δὲ ὁ ἀριστοτέλης ἐν τῷ δευτέρῳ τῆς περὶ γενέσεως πρὸς ἐμπεδοκλέα ἀποτεινόμενος, τὴν φύσιν λόγον εἶναι συγχωρεῖ. ἀλλὰ πῶς ἄνευ γνώσεως τοῦ ποιοῦντος ἔστι τάξις καὶ ὡρισμένον ἐν τῇ ποιήσει. οὐ γὰρ τὰ φυσικὰ τοιάνδε ἔχει σύστασιν, ὥς τε καὶ ἄνευ γνώσεως αὐτῷ τῷ εἶναι φυλάττειν τὴν ἐν τῇ γενέσει τάξιν καὶ τὸν εἱρμὸν, καὶ εἰς ὡρισμένον καταντᾶν τέλος, ὡς ἡ τῶν νευροσπαστουμένων κίνησις ἔχει. ἀλλ' εἰ μὴ ἐκ ταὐτομάτου τὰ φυσικά ἐστιν, ἄτοπον γὰρ, ἢ ἑαυτὰ ὑπέστησε τοιαῦτα, ἢ ἐξ ἄλλου τινὸς ὑπέστη. ὅπως δὲ ἂν ἔχῃ τοῦτο, γνωσθεῖσα πάντως ἡ ὑπόστασις τοιαύτη γέγονε. τὸ γὰρ συμμετρῆσαν τὴν δύναμιν πρὸς τὰ γινόμενα, γνωστικὸν ἄμφω τοῦτο ἐποίει. διὸ καλῶς ἔχει τὴν μὲν φύσιν συναίτιον λέγειν μᾶλλον, αἴτια δὲ προσεχῆ τῶν ἐν γενέσει καὶ φθορᾷ τὰς τῶν οὐρανίων κινήσεις, καθ' ἃς φέρεται τὰ τῇδε. ἀνωτέρω δὲ τοὺς ψυχικοὺς τῶν κινήσεων λόγους. καὶ ἔτι τούτων ἀνωτέρω τὰ νοερὰ εἴδη. ἐξ ὧν πρώτων ἐνδίδοται πᾶσιν ἡ τῶν εἰδῶν ἔλλαμψις, κατὰ τὴν τῶν δεχομένων ἐπιτηδειότητα. παράδειγμα δὲ τὸ ἔνυλον εἶδος ὁ ἀριστοτέλης καλεῖ, ἴσως μὲν καὶ ὡς σκοπὸν τῆς φύσεως, εἰς ὃν οὐ γνωστικῶς ἀλλ' οὐσιωδῶς ἀποτεινομένη πάντα ποιεῖ. ἴσως δὲ καὶ ὡς παράδειγμα τέχνης γινόμενον. εἴπερ τὰ μὲν φυσικὰ μὴ βούλεται πρὸς παραδείγματα γίνεσθαι, τὰ δὲ τεχνικὰ δεῖσθαι παραδείγματός φησι. καὶ πολλὰ προειπὼν περὶ τοῦ τὴν τέχνην μιμεῖσθαι τὴν φύσιν, εἰκότως νῦν ὑπέμνησεν, ὅτι τὸ φυσικὸν εἶδος παράδειγμα τῆς τέχνης ἐστί. δῆλον δὲ ὅτι εἴπερ ὁ νοῦς ἐστι τὸ κυρίως ποιητικὸν αἴτιον, κατὰ τὰ ἐν αὐτῷ εἴδη ἐξομοιῶν πρὸς αὐτὰ τὰ γινόμενα, εἴη ἂν κυρίως παραδείγματα τὰ ἐν νῷ εἴδη. ἀλλὰ τούτων μὲν ἅλις. λόγον δὲ τοῦ τί ἦν εἶναι τὸν ὁρισμὸν εἶπεν. ὁ δὲ ὁρισμὸς τοῦ εἴδους δηλωτικόν ἐστιν.

ΚΑΙ ΤΑ τούτου γένη. οἷον τοῦ διὰ πασῶν, τὰ δύο πρὸς ἕν. καὶ ὅλως ὁ ἀριθμός. καὶ τὰ μέρη τὰ ἐν τῷ λόγῳ.

Ὡς ἐπὶ τοῦ ὑλικοῦ αἰτίου εἶπεν αἴτιον εἶναι μόνον τὴν προσεχῆ ὕλην, ἀλλὰ καὶ τὰ ταύτης γένη, οὕτω καὶ ἐπὶ τοῦ εἰδικοῦ. τῆς γὰρ διὰ πασῶν συμφωνίας ἐν διπλασίῳ λόγῳ οὔσης, εἶδός τι τοῦ διπλασίου ἐστὶ τὸ διαπασῶν. οὗ γένος τὸ διπλάσιον. καὶ τούτου γένος ὁ ἀριθμός. καὶ ταῦτα οὖν φησιν εἰδικὰ ἂν εἴη αἴτια, ὡς συνεπιφερόμενα τῷ εἴδει. ὁμοίως δὲ καὶ τὰ ἐν τῷ ὁρισμῷ τοῦ εἴδους παραλαμβανόμενα μέρη, καὶ αὐτὰ ἂν εἴη εἰδικὰ αἴτια, ὡς συμπληρωτικὰ τοῦ εἴδους. εἰ γὰρ τὸ ζῶον λογικὸν θνητὸν αἴτιόν ἐστιν ἀνθρώπου ὡς εἶδος, καὶ ἕκαστον τῶν ἐν τῷ ὁρισμῷ μερῶν συναίτιον ἂν εἴη, κατὰ τὸν αὐτὸν τοῦ αἰτίου τρόπον καθ' ὃν καὶ τὸ ὅλον, τουτέστι τὸν εἰδητικόν. εἰκότως δὲ τὰ μέρη τὰ ἐν τῷ λόγῳ εἶπε, καὶ οὐχὶ τὰ ἐν τῷ εἴδει. ἐπειδὴ ἕκαστον τῶν ἐν τῷ λόγῳ μερῶν δι' ὅλου τείνει τοῦ εἴδους.

ἜΤΙ ὅθεν ἡ ἀρχὴ τῆς μεταβολῆς ἡ πρώτη, ἢ τῆς ἠρεμήσεως. οἷον, ὁ βουλεύσας αἴτιος. καὶ ὁ πατὴρ τοῦ τέκνου. καὶ ὅλως τὸ ποιοῦν τοῦ ποιουμένου. καὶ τὸ μεταβάλλον τοῦ μεταβαλλομένου.

Τρίτον ἐν τοῖς αἰτίοις παραδίδωσι τὸ ποιητικόν. διότι προσπίπτει μὲν ἡμῖν πρῶτον τὸ γινόμενον, καὶ τὰ τούτου στοιχεῖα. γενητὸν δὲ εὑρόντες αὐτὸ, ποιητικὸν αἴτιον ζητοῦμεν. καὶ τότε τὴν αἰτίαν, ἧς ἕνεκα ποιεῖ τὸ ποιοῦν καὶ γίνεται τὸ γινόμενον. καλεῖ δὲ τὸ ποιοῦν, ὅθεν ἡ πρώτη τῆς μεταβολῆς ἀρχὴ ἢ τῆς ἠρεμήσεως, βουλόμενος τὸ κυρίως ποιητικὸν αἴτιον κεχωρισμένον εἶναι. καὶ ἐξῃρημένον τοῦ γινομένου. τὸ γὰρ ἐνυπάρχον αἴτιον ὥσπερ τὸ εἶδος καὶ ἡ φύσις, τῆς κατὰ τὸ εἶδος ἀρχῆς ἔχεται. καὶ δεῖ μεμνῆσθαι ὅτι ἐνταῦθα ὁ ἀλέξανδρος, ὁμολογεῖ μὴ εἶναι κυρίως ποιητικὸν αἴτιον τὴν φύσιν. ἀλλ' εἰδικὸν μᾶλλον, διὰ τὸ μὴ εἶναι πρῶτον ἐν τοῖς ποιητικοῖς. καὶ ὄργανα δὲ δοκεῖ κινήσεως αἴτια γίνεσθαι. ἀλλ' οὐδὲ ταῦτα κυρίως ποιητικά ἐστιν, ὅτι μὴ πρώτως ἀλλὰ κινούμενα κινεῖ. καὶ τούτου δὲ χρὴ μεμνῆσθαι, ὅτι συγχωρεῖ ὁ ἀλέξανδρος καὶ τὸ ὄργανον αἴτιόν πως εἶναι, εἰ καὶ μὴ κυρίως ποιητικὸν ἀλλ' αὐτὸ τοῦτο ὀργανικόν. ἐπεὶ δὲ τῶν γινομένων τὰ μὲν κινούμενα γίνεται, τὰ δὲ ἱστάμενα, καὶ τὸ κινοῦν τὰ κινούμενα, καὶ τὸ ἱστᾶν τὰ ἱστάμενα, ποιητικὸν ἂν εἴη αἴτιον, τὸ μὲν, κινήσεως, τὸ δὲ, στάσεως.

διὸ εἰπὼν ὅθεν ἡ ἀρχὴ τῆς μεταβολῆς, προσέθηκεν ἢ τῆς ἠρεμήσεως ἡ πρώτη. ὥς τε ὁ βουλεύσας
τι ἢ ἀγαθὸν ἢ κακὸν, τοῦ πράξαντος κυριώτερον ἂν εἴη ποιητικὸν αἴτιον. ἡ γὰρ πρώτη ἀρχὴ ἀπὸ τοῦ
βουλεύσαντος. κἀνταῦθα δὲ τὰ γενικὰ προστίθησιν, ὡς ἐπὶ τοῦ ὑλικοῦ καὶ τοῦ εἰδικοῦ αἰτίου. ὁ γὰρ
πατὴρ καὶ τὸ τέκνον ὑπὸ τὸ ποιοῦν καὶ ποιούμενον, καὶ ταῦτα ὑπὸ τὸ μεταβάλλον καὶ μεταβαλ-
λόμενον. καὶ γὰρ ἡ μὲν ποίησις οὐσιώδης δοκεῖ. ἡ δὲ μεταβολὴ καὶ ἐπὶ τῶν ἄλλων λέγεται κινήσεως.

ἜΤΙ ΔΩΣ ΤΟ τέλος. τοῦτο δ᾽ ἐστὶ τὸ οὗ ἕνεκα. οἷον, τοῦ περιπατεῖν ἡ ὑγίεια. διὰ τί γὰρ περιπατεῖ; φα-
μὲν, ἵνα ὑγιαίνῃ. καὶ εἰπόντες οὕτως, οἰόμεθα ἀποδεδωκέναι τὸ αἴτιον. καὶ ὅσα δὴ κινήσαντος ἄλλου
μεταξὺ γίνεται τοῦ τέλους. οἷον, τῆς ὑγιείας, ἡ ἰσχνασία. ἢ ἡ κάθαρσις. ἢ τὰ φάρμακα. ἢ τὰ ὄργα-
να. πάντα γὰρ ταῦτα, τοῦ τέλους ἕνεκά ἐστι. διαφέρει δ᾽ ἀλλήλων, ὡς ὄντα, τὰ μὲν, ἔργα. τὰ δὲ,
ὄργανα.

Τέταρτον αἴτιον προστίθησι τὸ τελικόν. τοῦτο δέ ἐστιν, ὃ ἀποκρινόμεθα ἐρωτηθέντες, τίνος ἕνεκα γίνεται
τὸ γινόμενον. ἐρωτηθέντες γὰρ διατί περιπατεῖ, φαμὲν ἵνα ὑγιαίνῃ. καὶ τοῦτο εἰπόντες, αὐτάρκως
οἰόμεθα τὸ αἴτιον ἀποδεδωκέναι. αἴτιον γὰρ τοῦ περιπατεῖν ἡ ὑγίεια, ἢ τοῦ φάρμακον πιεῖν. κατ᾽ οὐ-
δένα δὲ τρόπον τῶν πρότερον εἰρημένων αἰτίων. ἀλλ᾽ ὅτι ἕνεκα τῆς ὑγιείας περιπατεῖ ἢ φαρμακεύε-
ται. ἐπειδὴ δὲ ἑνός τινος ἐμνημόνευσε τοῦ περιπατεῖν, οὗ αἴτιόν ἐστι τὸ ὑγιαίνειν ὡς τέλος, ἐπεσημή-
νατο ὅτι καὶ πάντα τὰ μεταξὺ τοῦ τε ποιητικοῦ αἰτίου καὶ τοῦ τέλους, οἷον τοῦ ἰατροῦ καὶ τῆς ὑγιείας.
ταῦτα δέ ἐστι φάρμακον, καὶ ἡ τοῦ φαρμάκου πόσις, καὶ κάθαρσις, καὶ ἰσχνασία. καὶ ἐπὶ τὸ τέλος
ἀναφέρεται, καὶ ἕνεκα ἐκείνου γίνεται. καὶ αἴτιον αὐτοῖς τοῦ γίνεσθαι τὸ τέλος ἐστί. διαφέρει δὲ
ἀλλήλων ταῦτα, τῷ τὰ μὲν αὐτῶν ἔργα εἶναι, τὰ δὲ ὄργανα, ὡς φάρμακα καὶ σμιλία. ὧν πάντων
ἡ ὑγίεια εἴη ἂν αἴτιον τελικόν. αὐτὰ δὲ τῆς ὑγιείας ὡς μὲν ἀλέξανδρός φησι ποιητικὰ αἴτια. μήπο-
τε δὲ ὀργανικὰ λέγειν ἄμεινον ταῦτα. καὶ γὰρ καὶ αὐτὸς ὁμολογεῖ τὰ μὴ πρῶτα τῆς κινήσεως αἴ-
τια ὀργανικὰ εἶναι, ἀλλ᾽ οὐχὶ ποιητικὰ κυρίως. κἀνταῦθα δὲ πρῶτον μὲν τῆς κατὰ τὴν ὑγίειαν κι-
νήσεως αἴτιον ὁ ἰατρός. τὰ δὲ μεταξὺ οὐ πρῶτα. ἔστι μὲν οὖν τῆς μὲν ὑγιείας αἴτιον ἡ ἰατρική, καὶ
τὰ μεταξὺ, ἡ μὲν, ὡς ποιοῦσα, τὰ δὲ, ὡς ὄργανα. τῆς δὲ ἰατρικῆς καὶ τῶν μεταξὺ τελικὸν αἴτιον
ἡ ὑγίεια. δύναται δὲ οἶμαι καὶ ὑλικὰ αἴτια ταῦτα λέγεσθαι τῆς ὑγιείας. ὁ δὲ ἀλέξανδρος οἶμαι
ποιητικὰ εἶπεν, εἰς τὰ μετ᾽ ὀλίγον ὑπὸ τοῦ ἀριστοτέλους λεγόμενα ἀπιδών. ἐν οἷς τὸ πονεῖν ποιητικὸν
τῆς εὐεξίας φησί. καὶ λέγεται ταῦτα ὑγιεινὰ τάξιν ἔχοντα πρὸς ἄλληλα. δι᾽ ὧν φησιν ἀλέξαν-
δρος ἐνεδείξατο ἡμῖν ὁ ἀριστοτέλης τὴν τῶν ὑγιεινῶν ὁμωνυμίαν. οἷς πᾶσιν αἴτιον τοῦ τοιούτοις εἶναι
ὡς τέλος, ἡ ὑγίεια.

ΤᾺ ΜῈΝ οὖν αἴτια, σχεδὸν τοσαυταχῶς λέγεται.

Τὸ σχεδὸν πρόσκειται, ἢ ὅτι τὰ κυρίως αἴτια τοσαυταχῶς, πολλῶν ὄντων καὶ κατὰ συμβεβηκὸς αἰ-
τίων ὡς ἐρεῖ, ἢ δι᾽ εὐλάβειαν εἴρηται τοῦ πλάτωνος, τὸ μὲν παραδειγματικὸν αἴτιον τοῖς κυρίως
αἰτίοις συναριθμήσαντος, τῷ τελικῷ καὶ τῷ ποιητικῷ, τὸ δ᾽ ὀργανικὸν τοῖς συναιτίοις τῷ τε ὑλι-
κῷ καὶ τῷ εἰδικῷ. εἰ δὲ τοσαύτη τάξις ἐστὶν ἐν τοῖς αἰτίοις, ὡς τὰ μὲν, φύσει πρῶτα εἶναι. τό, τε ποιοῦν
καὶ τὸ τέλος, καὶ κυρίως αἴτια, τὰ δὲ, συναίτια μᾶλλον, ὡς ἡ ὕλη καὶ τὸ εἶδος, εἰκότως τῶν πολλαχῶς
λεγομένων ἐστὶ τὰ αἴτια, ἀλλ᾽ οὐχὶ τῶν ὡς ἀφ᾽ ἑνὸς γένους διῃρημένων. ὅτι δὲ τοσοῦτοι εἰσὶν οἱ τῶν αἰ-
τίων τρόποι, καὶ οὔτε πλείονες οὔτε ἐλάττονες, τάχα ἄν τις καὶ ἐκ διαιρέσεως συλλογίσαιτο, τοσοῦ-
τον προειπὼν, ὅτι αἴτια ἐκεῖνά ἐστι, δι᾽ ἅ ἐστι τε τὸ ὂν οἷόν ἐστι, καὶ γίνεται τὸ γινόμενον. καὶ ἅπερ ἐρω-
τηθέντες, τὸ διατί ἀποδίδομεν. τὰ τοίνυν φυσικὰ σύνθετα ὄντα ἐξ ὕλης καὶ εἴδους, ἔστιν ἅπερ ἐστί.
καὶ γίνεται ἅπερ γίνεται, ἢ διὰ τὰ συμπληροῦντα αὐτὰ, ἢ διὰ τὰ ἔξωθεν ὁπωσοῦν αὐτοῖς ἐπι-
κοινωνοῦντα. συμπληροῖ δὲ αὐτὰ ἡ ὕλη καὶ τὸ εἶδος. καὶ διὰ ταῦτα ἐστὶν ἔνυλα καὶ φυσικά. καὶ ἐρω-
τηθέντες διατί διαστατά ἐστι τὰ τῇδε, τῶν νοητῶν ἀδιαστάτων ὄντων, λέγομεν διότι ἔνυλα ἐστὶ ταῦ-
τα. διατί δὲ εὐκίνητος οὕτως ὁ οὐρανὸς, ὅτι σφαιρικὸς ὢν ἐπὶ σμικροτάτου ποδὸς βαίνει κατὰ τὸν
πλάτωνα. καὶ εἰσὶν αὗται τῶν αἰτίων αἱ ἀποδόσεις, ἀπό τε τῆς ὕλης, καὶ ἀπὸ τοῦ εἴδους, εἰς ἃ πάν-
τα ἀνάγεται τὰ στοιχειωδῶς συμπληροῦντα τὸ σύνθετον. ἐπεὶ δὲ τὰ φυσικὰ πάντα γινόμενά ἐστι
καὶ κατὰ τὸν ἀριστοτέλη, τὸ δὲ γινόμενον πᾶν αἴτιον ἔχει τῆς γενέσεως, τὸ ποιοῦν δεῖ εἶναι καὶ τὸ ποιη-
τικὸν αἴτιον τῶν γινομένων, ὅθεν ἡ πρώτη τῆς κινήσεως ἀρχή. διττὴ γὰρ ἡ τῆς κινήσεως ἀρχὴ, ἡ μὲν,
αὐτοκίνητος, ἡ δὲ, ἀκίνητος. τὸ μὲν γὰρ ἑτεροκίνητον προδήλως οὐκ ἂν εἴη ἀρχὴ κινήσεως, ἀλλὰ πρὸ
ἄλλου λαμβανόντων ἡμῶν ἑτεροκίνητον. τὸ δὲ αὐτοκίνητον ἀρχὴ μὲν ἂν εἴη κινήσεως, ὡς ἐν ἑαυτῷ τὸ
κινοῦν ἔχον. οὐ κυρίως δὲ ἀρχὴ, ὅτι αὐτὸ καὶ κινούμενόν ἐστιν. ἡ δὲ κυρίως τῆς κινήσεως ἀρχὴ, κινοῦν
ἀλλ᾽ οὐ κινούμενον εἶναι βούλεται. ὥστε τὸ μὲν κυριώτατον ποιητικὸν τῶν γινομένων αἴτιον, τὸ ἀκί-
νητον ἂν εἴη καὶ αἰώνιον καὶ ἀεὶ κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἔχον. τοιοῦτος δὲ ὁ πολυτίμητος νοῦς.
μετ᾽ ἐκεῖνο δὲ ἡ ψυχή. κἂν γὰρ κινῆται αὐτὴ, ἀλλ᾽ ἐν ἑαυτῇ τὸ κινοῦν ἔχει. διὸ καὶ ἀκίνητον αὐτὴν
μᾶλλον ὁ ἀριστοτέλης καλεῖν ἀξιοῖ, μόνα κινούμενα τὰ σωματικῶς μεταβάλλοντα νομίζων. ἐπεὶ δὲ

τὰ γινόμενα καὶ φθειρόμενα τῶν φυσικῶν προσεχῶς ὑπὸ τῶν κυκλοφορικῶν καὶ ἀϊδίων γίνεται, ἄνθρωπος γὰρ ἄνθρωπον γεννᾷ καὶ ἥλιος, δηλονότι τὸ κυρίως ποιοῦν οὐκ ἀμέσως πελάζον τοῖς γινομένοις καὶ φθειρομένοις ποιεῖ, ἀλλὰ διὰ μέσων, τῶν ἀϊδίων. καὶ οὕτως ἡμῖν ἀνεφάνη τὸ ὀργανικὸν αἴτιον. ὅπερ ἐστὶ κινούμενον μὲν ὑπ' ἄλλου, κινοῦν δὲ ἕτερον. καὶ σαφῶς ὑπὸ τῆς τεχνικῆς ποιήσεως ὁρᾶται. τὸ γὰρ σκέπαρνον συναίτιόν ἐστιν, ὅτι κινούμενον κινεῖ. τοιαύτη δὲ καὶ ἡ φύσις ἥ τε ὅλη καὶ ἡ μερική, ὡς καὶ Ἀλέξανδρος ὁμολογεῖ, καλῶς ἐπιστήσας, ὅτι τὸ κυρίως ποιητικὸν αἴτιον χωριστὸν εἶναι χρὴ καὶ ἐξῃρημένον. πάλιν δὲ ἐπειδὴ τὸ φυσικὸν καὶ γενητὸν εἶδος μέθεξίς ἐστιν εἴδους ἐν ὕλῃ, πᾶσα δὲ μέθεξις ὁμοίωμα τοῦ μετεχομένου ἐστίν, ἀφ' οὗ καὶ μετεχόμενον, καὶ πρὸς ὃ τὸ μετέχον ἀφομοιοῦται, δεῖ πάντως εἶναι καὶ παραδειγματικὸν τῶν ἐνύλων αἴτιον. τὸ δὲ ποιοῦν ἢ εἰκῇ καὶ ὡς ἔτυχε ποιεῖ, ἢ εἴς τινα ἀφορᾷ σκοπόν. καὶ τέλος τίθεται τῆς ποιήσεως, οὗ ἕνεκεν καὶ τὸ ποιοῦν ποιεῖ καὶ τὸ γινόμενον γίνεται. ἀλλ' εἰ τὸ πρώτως καὶ κυρίως ποιοῦν εἰκῇ καὶ ὡς ἔτυχε ποιεῖ, τί ἂν εἴη τῶν ποιούντων τοῦ ἀγαθοῦ ἕνεκεν ποιοῦν. δεῖ ἄρα τὸ πρῶτον ποιοῦν ἕνεκά του ποιεῖν, καὶ τέλος ἔχειν τὸ οὗ ἕνεκα. καὶ οὕτως ἡμῖν καὶ τὸ τελικὸν αἴτιον ἀναφαίνεται ἀπὸ τοῦ πρώτου ποιοῦντος, καὶ τοῖς ἄλλοις ποιητικοῖς αἰτίοις ὡς ἐφετοῦ προσιθεμένου. καὶ ὅτι μὲν ταῦτα αἴτια τῶν γινομένων ἐστί, δῆλον. ὅτι δὲ καὶ μόνα ταῦτα, ἐκ τῆς διαιρέσεως ἐπιβλεπτέον. καὶ γὰρ τὸ γινόμενον ὃ φυσικὸν καὶ σύνθετον φαμέν, ὑποκείμενόν τι ἐστὶ καὶ ἐν ὑποκειμένῳ, καὶ παρὰ ταῦτα οὐδέν. καὶ ἢ αὐθυπόστατον ἢ ἑτέρωθεν τὸ εἶναι ἔχον. εἰ οὖν αὐθυπόστατον ἀδύνατον εἶναι τὸ ἐν μέρει χρόνου γινόμενον καὶ σωματικὸν καὶ διεστώς, ἔχει τι ποιητικὸν αἴτιον ἄλλο παρ' ἑαυτό. καὶ ἤτοι κινούμενον τοῦτο ἢ ἀκίνητον. καὶ εἰ κινούμενον, ἢ ὑφ' ἑαυτοῦ ἢ ὑπ' ἄλλου. ἀλλὰ τὸ μὲν ὑπ' ἄλλου οὐ πρώτως κινοῦν. τὸ δὲ ὑφ' ἑαυτοῦ, ἢ ἄλλο μὲν κινεῖ, ἄλλο δὲ κινεῖται, ἢ καθ' ὅλον ἑαυτὸ κινεῖ καὶ κινεῖται, ὡς ἡ ψυχὴ κατὰ Πλάτωνα. τοῦτο δὲ κινήσεως μέν ἐστιν ἀρχὴ καὶ γενέσεως. τὸ δὲ ἀνέκλειπτον οὐ παρέχει καθὸ κινεῖται. οὐδὲ ἀρχηγὸν τελέως ἐστίν, καθὸ διπλόην τινὰ ἔχει τοῦ κινοῦντος καὶ τοῦ κινουμένου. πρῶτον ἄρα τὸ ἀκίνητον, ποιητικὸν κυρίως καὶ κινητικὸν αἰώνιον ὑπάρχον. τὸ δὲ ποτὲ γινόμενον καὶ κινούμενον, ὑπὸ τοῦ αἰωνίου καὶ ἀκινήτου γίνεσθαι καὶ κινεῖσθαι προσεχῶς, ἀδύνατον. ἀΐδιον γάρ ἐστιν ἐκεῖνο ποιητικὸν καὶ κινητικόν. τὸ δὲ ἀϊδίως ὑπ' ἐκείνου κινούμενον, κατὰ τὰς διαφόρους ἑαυτοῦ διαθέσεις, τῶν ποτὲ γινομένων καὶ κινουμένων ἐστὶν αἴτιον ὡς ὄργανον, ὅτι κινούμενον κινεῖ. καὶ εἰ τὸ ἔνυλον εἶδος ἢ πρῶτόν ἐστιν, ἢ ἀπὸ πρώτου καὶ πρὸς πρῶτον, πρῶτον δὲ οὐδὲν τῶν ἐνύλων μέθεξις ὄν, ἔστι τι ἄρα πρῶτον, πρὸς ὃ ὡμοίωται. καὶ εἰ τὸ κυρίως ποιοῦν ἢ εἰκῇ καὶ ὡς ἔτυχε ποιεῖ, ἢ εἰς ὡρισμένον σκοπὸν βλέπον, ἀδύνατον δὲ τὸ εἰκῇ, ἀνάγκη καὶ τέλος τι καὶ τὸ οὗ ἕνεκα ἀεὶ εἶναι.

Διαίρεσις τῶν

ΣΥΜΒΑΙΝΕΙ δὲ πολλαχῶς λεγομένων τῶν αἰτίων, καὶ πολλὰ τοῦ αὐτοῦ αἴτια εἶναι, οὐ κατὰ συμβεβηκός. οἷον, τοῦ ἀνδριάντος. καὶ ἡ ἀνδριαντοποιητική. καὶ ὁ χαλκός, οὐ καθ' ἕτερόν τι. ἀλλ' ᾗ ἀνδριάς. ἀλλ' οὐ τὸν αὐτὸν τρόπον. ἀλλὰ τὸ μέν, ὡς ὕλη. τὸ δ' ὡς ὅθεν ἡ κίνησις. ἔστι δὲ τινὰ καὶ ἀλλήλων αἴτια. οἷον, τὸ πονεῖν, αἴτιον τῆς εὐεξίας. καὶ αὕτη τοῦ πονεῖν, ἀλλ' οὐ τὸν αὐτὸν τρόπον. ἀλλὰ τὸ μὲν ὡς τέλος. τὸ δ' ὡς ἀρχὴ κινήσεως. ἔτι δὲ τὸ αὐτὸ τῶν ἐναντίων ἐστίν. ὃ γὰρ παρὸν αἴτιον τοῦδε, τοῦτο καὶ ἀπὸν αἰτιώμεθα τοῦ ἐναντίου ἐνίοτε. οἷον, τὴν ἀπουσίαν τοῦ κυβερνήτου, τῆς τοῦ πλοίου ἀνατροπῆς. οὗ ἦν ἡ παρουσία, αἰτία τῆς σωτηρίας.

Πολλὰς τῶν αἰτίων διαφορὰς παραδούς, ἵνα μὴ νομίσῃ τις ἄλλα ἄλλων εἶναι αἴτια, οἷον τὸ μὲν ὑλικὸν ἄλλου, τὸ δὲ εἰδικὸν ἢ ποιητικὸν ἄλλου, καλῶς ἐπεσημειώσατο, ὅτι ἐκ τῶν εἰρημένων συμβαίνει τὸ τοῦ αὐτοῦ πολλὰ εἶναι αἴτια. εἰπὼν δὲ συμβαίνει τοῦτο, ἵνα μὴ ποτὲ μὲν οὕτω ποτὲ δὲ ἄλλως ἔχειν ὑπονοήσωμεν, ἐπήγαγεν οὐ κατὰ συμβεβηκὸς ἀλλὰ καθὸ τοιοῦτόν ἐστι τὸ γινόμενον. καθὸ γὰρ φυσικὸν ἢ τεχνητόν ἐστι καὶ ὕλην ἔχει καὶ εἶδος, καὶ ποιητικὸν αἴτιον καὶ ὑλικόν. τὸ δὲ οὐ καθ' ἕτερόν τι ἀλλ' ᾗ ἀνδριὰς εἴρηται, ἀντὶ τοῦ οὐ κατὰ συμβεβηκὸς ἀλλὰ καθ' αὑτό. εἰ γὰρ καθ' αὑτό, δηλονότι οὐ κατὰ συμβεβηκός, ἐπειδὴ ἀνάγκη θάτερον τούτων ὑπάρχειν. προστίθησι δὲ καὶ ὅτι οὐ μόνον τοῦ γινομένου αἴτια ἐστὶ ταῦτα, ἀλλὰ καὶ ἀλλήλων αἴτια. τό, τε ποιητικὸν αἴτιον καὶ τὸ τέλος. καὶ γὰρ τὸ πονεῖν αἴτιον τῆς εὐεξίας ὡς ποιητικόν. καὶ ἡ εὐεξία τοῦ πονεῖν αἰτία ὡς τέλος, ἐπειδὴ ταύτης ἕνεκα τὸ πονεῖν. μήποτε δὲ καὶ ποιητικὸν αἴτιόν ἐστιν ἡ εὐεξία τοῦ πονεῖν. ὁ γὰρ εὐεκτῶν πονεῖν δύναται καὶ ἐνεργεῖν. εἰπὼν δὲ ὅτι πάντα τοῦ αὐτοῦ καὶ ἀλλήλων ἐστὶν αἴτια, προστίθησιν ὅτι καὶ τὸ αὐτὸ τῶν ἐναντίων, ἀλλ' οὐχ ὡσαύτως ἔχον ἀλλ' ἐναντίως διακείμενον. ὃ γὰρ παρὸν σωτηρίας ἐστὶν αἴτιον τινί, ὡς ὁ κυβερνήτης τῇ νηΐ, τοῦτο ἀπὸν ἀνατροπῆς. καὶ δῆλον ὅτι παρὸν μέν, καθ' αὑτὸ αἴτιόν ἐστιν, ἀπὸν δὲ κατὰ συμβεβηκός. οὕτω δὲ ἔλεγεν ἐν τῷ πρώτῳ, τὸ εἶδος τῇ ἀπουσίᾳ καὶ παρουσίᾳ, τῆς γενέσεως εἶναι καὶ τῆς φθορᾶς αἴτιον.

ἍΠΑΝΤΑ δὲ τὰ νῦν εἰρημένα αἴτια, εἰς τέτταρας τρόπους πίπτει τοὺς φανερωτάτους. τὰ μὲν γὰρ στοιχεῖα, τῶν συλλαβῶν καὶ ἡ ὕλη τῶν σκευαστῶν καὶ πῦρ καὶ τὰ τοιαῦτα, τῶν σωμάτων. καὶ τὰ μόρια τοῦ ὅλου. καὶ αἱ ὑποθέσεις τοῦ συμπεράσματος, ὡς τὸ ἐξ οὗ αἴτιά ἐστι. τούτου δὲ τὰ μέν, ὡς τὸ

ὑποκείμενον, οἷον τὰ μέρη· τὰ δέ, ὡς τὸ τί ἦν εἶναι· τό τε ὅλον, καὶ ἡ σύνθεσις, καὶ τὸ εἶδος.

Ἐν τῇ τῶν αἰτίων παραδόσει καὶ τὰ γένη τῶν αἰτίων ὡς αἴτια παραδούς, καὶ τὰ μεταξὺ τοῦ τε ποιοῦντος καὶ τοῦ γινομένου ἢ τοῦ τέλους, εἰκότως συγκεφαλαιούμενος τέσσαρας εἶναί φησι τοὺς τῶν αἰτίων τρόπους, εἰς οὓς πάντα τὰ εἰρημένα ἀνάγεται. καὶ προθέμενος αὐτὰ συντόμως ἀπαριθμήσασθαι, καὶ πρῶτον τὸ ὑλικὸν προβαλλόμενος, καὶ διὰ παραδείγματος αὐτὸ σαφηνίσαι βουληθείς, καὶ τὰς διαφορὰς αὐτοῦ ἐκθέσθαι πλείονος σαφηνείας ἕνεκεν, καὶ ἐκεῖνα ὧν ἐστὶν ὑποκείμενον παρέλαβεν, εἰπὼν τὰ μὲν στοιχεῖα τῶν συλλαβῶν, καὶ ἡ ὕλη τῶν σκευαστῶν, καὶ τὰ ἑξῆς. ἐν οἷς ὑπόκειται μὲν τὰ στοιχεῖα καὶ ἡ ὕλη τῶν τεχνητῶν, οἷον ξύλα, ἢ κηρός, καὶ ἔλαιον τοῦ φαρμάκου, καὶ πῦρ καὶ γῆ. καὶ τὰ λοιπά, καὶ τὰ μέρη καὶ αἱ ὑποθέσεις. εἴδη δὲ αἱ συλλαβαί, καὶ τὸ βάθρον, ἢ τὸ φάρμακον, καὶ τὸ ζῶον. καὶ τὸ ὅλον. καὶ τὸ συμπέρασμα. συντάξας οὖν τὰ εἴδη τοῖς ὑποκειμένοις, εἰκότως ἐπήγαγε, τούτων δὲ τὰ μέν, αἴτιά ἐστιν, ὡς τὸ ὑποκείμενον, οἷον τὰ μέρη, τὰ δὲ ὡς τὸ εἶδος. καὶ οὕτω τὸ ποιητικὸν προστίθησι καὶ τὸ τελικόν. διαφορὰς δὲ τοῦ ὑποκειμένου παραδίδωσι, καθόσον ἄλλως μὲν ἡ κυρίως ὕλη τοῖς ἐξ αὐτῆς ὑπόκειται, καὶ γίνεται ἐξ αὐτοῦ τὰ γινόμενα, καὶ ἄλλως τὰ στοιχεῖα ταῖς συλλαβαῖς, καὶ τὰ μέρη τῷ ὅλῳ, καὶ ἄλλως αἱ προτάσεις, ἃς ὑποθέσεις ἐκάλεσε, τῷ συμπεράσματι. ἡ μὲν γὰρ ὕλη ὡς ἀλέξανδρός φησι τὸ εἶδος ἀναλαμβάνει· τὰ δὲ στοιχεῖα καὶ τὰ μέρη κατὰ σύνθεσιν. καὶ ἡ συλλαβὴ γὰρ ὡς ἐκ μερῶν γίνεται τῶν στοιχείων. τὰ μέντοι σώματα τὰ πρῶτα καὶ ἁπλᾶ, ἅπερ στοιχεῖα καλεῖται τῶν συνθέτων σωμάτων, ὡς γῆ, ὕδωρ, ἀήρ, πῦρ, καὶ κατὰ σύνθεσιν καὶ κατὰ ἀλλοίωσιν ἀποτελεῖται τὰ ἀπ' αὐτῶν σώματα. ἀλλὰ ταῦτα μὲν πάντα ἐνυπάρχοντα τῷ ἐξ αὐτῶν αἴτια γίνεται. αἱ δὲ προτάσεις οὐκ ἐνυπάρχουσι τῷ συμπεράσματι. ἀλλὰ τούτου μὲν ποιητικαὶ μᾶλλον εἰσίν. ἐν δὲ τῷ παντὶ συλλογισμῷ ὑπάρχουσι, καὶ ὕλης ἔχουσιν ἐν αὐτῷ λόγον. τὸ δὲ συμπεπερασμένον εἴδους. μήποτε δὲ καὶ ἐν τῷ συμπεράσματι τρόπον τινὰ εἰσὶν αἱ προτάσεις, καὶ ἐν ἐστίν. εἷς μὲν τρόπος αἰτίων οὗτος ποικίλος ὡς δέδεικται. ἄλλος δὲ ὡς τὸ τί ἦν εἶναι καὶ τὸ εἶδος. τοιαῦτα δὲ ἅπερ μετὰ τῶν ὑλικῶν αἰτίων παρέθετο. τό, τε ὅλον οὐχὶ τὸ σὺν τοῖς μέρεσιν, ἀλλὰ τὸ ἐπὶ τοῖς μέρεσιν ἐπιγινόμενον. τοιοῦτο δὲ ἡ σύνθεσις. καὶ γὰρ αὕτη ἄλλη οὖσα παρὰ τὰ συντιθέμενα, ἐκείνοις ἐπιγίνεται ὡς εἶδος. ὡς ἐπὶ τοῖς στοιχείοις τοῖς μὲν τοῦ λόγου ἡ συλλαβή, τοῖς δὲ τῶν σωμάτων τὸ κατὰ σύνθεσιν εἶδος, οἷον ἀνθρώπου ἢ συκῆς. καὶ δηλονότι πᾶσι τούτοις ἐφαρμόζει ἡ τοῦ εἴδους προσηγορία. οἰκειότερον δὲ ἐπὶ τῶν τὴν κυρίως λεγομένην ὕλην ὑποκειμένην ἐχόντων. μεμνῆσθαι δὲ χρή, ὅτι τὴν ὕλην κατὰ ἀλλοίωσιν ἀναλαμβάνειν τὸ εἶδος ὁ ἀλέξανδρός φησι. διὸ καὶ ἐξ ὕλης καὶ εἴδους τὸ σύνθετον οἱ περιπατητικοὶ λέγουσιν, ὡς συνεξαλλοιουμένων ἀλλήλοις τῶν ἁπλῶν ἐν τῇ τοῦ συνθέτου γενέσει. οἱ δὲ πλατωνικοὶ τὴν ὕλην ἄτρεπτον λέγουσιν, τοῖς ἐν τιμαίῳ λεγομένοις ἀκολουθοῦντες. ἐν οἷς φησίν, ὁ αὐτὸς δὴ λόγος καὶ περὶ τῆς τὰ πάντα δεχομένης σώματα φύσεως, ταὐτὸν αὐτὴν ἀεὶ προσρητέον. ἐκ γὰρ τῆς αὐτῆς τοπαράπαν οὐκ ἐξίσταται δυνάμεως. καὶ δηλονότι οὐδὲ ἀλλοιοῦται. μήποτε οὖν οἱ μὲν πλατωνικοὶ περὶ τῆς πρώτης ὕλης λέγοντες τῆς ἀποίου, οὐ συγχωροῦσιν αὐτὴν ἀλλοιοῦσθαι. ἀλλοιοῦται γὰρ τὸ πεποιωμένον, ὡς ἄλλην μὲν ποιότητα ἀποβάλλον, ἄλλην δὲ προσλαμβάνον. τὸ δὲ ἄποιον πῶς ἂν ἀλλοιωθείη. διὰ τοῦτο οὖν οὐκ ἐξ ὕλης καὶ εἴδους φασὶν εἶναι τὸ σύνθετον, ὡς μὴ συναλλοιουμένων ἀλλήλοις, ἀλλ' εἶδος ἐν ὕλῃ. οἱ δὲ ἀπὸ τοῦ περιπάτου τὴν προσεχῆ λαμβάνοντες ὕλην, ὡς τὰ τέσσαρα στοιχεῖα, ἢ τὸ σπέρμα καὶ τὸ καταμήνιον, εἰκότως καὶ ἀλλοιοῦσθαι ταύτην φασί. καὶ ἐξ ὕλης καὶ εἴδους λέγουσι τὸ σύνθετον, τῆς τε ὕλης εἰς τὸ εἶδος μεταβαλλούσης, καὶ τοῦ εἴδους ὑλουμένου.

ΤΟ ΔΕ σπέρμα καὶ ὁ ἰατρὸς καὶ ὁ βουλεύσας, καὶ ὅλως τὸ ποιοῦν, πάντα ὅθεν ἡ ἀρχὴ τῆς μεταβολῆς, ἢ στάσεως, ἢ κινήσεως.

Τρίτον πάλιν ἀπαριθμεῖται τὸ ποιητικὸν αἴτιον, παραδείγματα καὶ ἐνταῦθα παρατιθείς. δι' ὧν ὡς οἶμαι καὶ τὰς τοῦ ποιητικοῦ αἰτίου διαφοράς, ὡς τὰς τοῦ ὑλικοῦ καὶ τὰς τοῦ εἴδους πρότερον ἐνεδείξατο. ἄλλως γὰρ ὁ βουλεύσας ποιεῖ, καὶ ἄλλως ὁ ἰατρός, καὶ ἄλλως τὸ σπέρμα. ὁ μὲν γὰρ βουλεύσας τὴν ἀρχὴν ἐνδίδωσι τῆς ποιήσεως, οὐκ ἐφαπτόμενος αὐτὸς τοῦ ἔργου. ὁ δὲ ἰατρὸς αὐτὸς ἐργαζόμενος ποιεῖ. τὸ δὲ σπέρμα μέσον πως τοῦ τε ποιητικοῦ καὶ τοῦ ὑλικοῦ ἐστίν, εἴπερ τῇ ἑαυτοῦ μεταβολῇ καὶ γινόμενον ἅμα ποιεῖ, τοῦ κυρίως ποιοῦντος, ὡς καὶ ἀλέξανδρος ὁμολογεῖ, ἐξῃρῆσθαι τοῦ γινομένου ὀφείλοντος. τὸ δὲ πάντα οὐ χρὴ συντάξαι τῷ τὸ ποιοῦν, ἀλλ' ἀπολύτως ἀναγινώσκοντα περὶ τῶν τριῶν τρόπων τοῦ ποιητικοῦ αἰτίου ἐκδέχεσθαι.

ΤΑ ΔΩΣ Τὸ τέλος. καὶ τἀγαθὸν τῶν ἄλλων. τὸ γὰρ οὗ ἕνεκα, βέλτιστον καὶ τέλος τῶν ἄλλων ἐθέλει εἶναι. διαφερέτω δὲ μηδὲν αὐτὸ εἰπεῖν ἀγαθόν, ἢ φαινόμενον ἀγαθόν. τὰ μὲν οὖν αἴτια, τοιαῦτα καὶ τοσαῦτά ἐστι τῷ εἴδει.

Τέταρτον καὶ τελευταῖον τοῖς ἄλλοις τὸ τελικὸν αἴτιον ἐπάγει, λέγων τὸ δέ. ὡς τέλος καὶ τὸ ἀγαθὸν τῶν ἄλλων. καὶ φησὶν ὁ ἀλέξανδρος τὸ ἀκόλουθον εἶναι κατὰ τὴν λέξιν, τὸ δέ, ὡς τέλος τῶν ἄλλων, καὶ

τὸ ἀγαθὸν τῶν ἄλλων δηλονότι, ὧν ἐστι τέλος. μήποτε δὲ κοινῶς κατὰ κοινοῦ καὶ τῷ τέλει καὶ τῷ ἀγαθῷ ἐπίκειται τὸ τῶν ἄλλων. τὸ γὰρ τελικὸν αἴτιον οἷον ἡ ὑγίεια, ὡς ἔστι τέλος τῶν ἄλλων τῶν ἕνεκα αὐτοῦ λαμβανομένων, οἷον περιπάτου καὶ φαρμακοποσίας καὶ τῶν τοιούτων, οὕτω καὶ ἀγαθὸν ἐκείνων ἐστί. διατί δὲ τῷ τὸ τέλος καὶ τὸ ἀγαθὸν, τὸ οὗ ἕνεκα προσέθηκε, τὸ γὰρ οὗ ἕνεκα βέλτιστον εἰπών. ἢ ὅτι, οὗ ἕνεκα τοῦτό ἐστιν οὗ ἐφιέμενοι τὰ ἄλλα πράττομεν. τὸ δὲ ἐφετὸν τὸ ἀγαθόν ἐστι. καὶ τὸ μᾶλλον τέλος, καὶ μᾶλλον ἀγαθὸν, καὶ βέλτιστον τῶν ἄλλων. εἰπὼν δὲ τὸ τέλος καὶ τὸ οὗ ἕνεκα ἀγαθὸν εἶναι, ἐπειδὴ ὡς ἀρχόμενος εἶπε τῶν νικομαχείων ἠθικῶν, πᾶσα τέχνη καὶ πᾶσα μέθοδος ὁμοίως δὲ πρᾶξίς τε καὶ προαίρεσις ἀγαθοῦ τινος ἐφίεσθαι δοκεῖ, οὐ πάντως δὲ καὶ ἀληθῶς ἀγαθόν ἐστι τὸ οὗ ἕνεκα τὰ πραττόμενα πράττομεν, φαινόμενον δὲ πάντως ἐστὶν ἀγαθὸν, φαινόμενον δὲ λέγω τὸ δοκοῦν εἴτε ἐστὶν εἴτε μὴ, διατοῦτο προσέθηκε διαφερέτω δὲ μηδὲν εἰπεῖν αὐτὸ ἀγαθὸν ἢ φαινόμενον ἀγαθόν. οὕτω γὰρ ἀγαθὸν τὸ οὗ ἕνεκα εἴρηται, ὡς φαινόμενον ἀγαθόν. κινεῖ γὰρ ἡμᾶς οὐ τὰ ἀγαθὰ αὐτὰ, ὡς εἴθε γε, ἀλλὰ τὰ δόξαντα ὅτι ἀγαθά. διὸ καὶ ἡ ἡδονὴ ἐφετὸν καὶ τέλος δοκεῖ, οὐχ ὅτι ἀγαθὸν, οὐ γὰρ ἂν ἦν βλαβερὸν, ἀλλ᾽ ὅτι δοκεῖ ἀγαθόν. τοσούτων οὖν ὄντων τῶν αἰτίων, λέγει ὁ εὔδημος. ὅτι τὸ μὲν ὑποκείμενον καὶ τὸ κινοῦν πρώτως πάντες ᾐτιῶντο. τὴν δὲ μορφὴν πολλοί. τὸ δὲ οὗ ἕνεκα ἐλάττονες καὶ ἐπὶ μικρόν. ἡμῖν δὲ τῶν πλείστων φαίνεται τοῦτο αἴτιον. φαίνεται γὰρ πολύχουν εἶναι. καὶ γὰρ αἱ ἡμέτεραι πράξεις σχεδὸν ἅπασαι, τινὸς ἕνεκα γίνονται καὶ τοῦ ἀγαθοῦ. εἰ γάρ ποτε πυρετὸν ὁ ἰατρὸς παρασκευάζει, κακὸν ἁπλῶς ὂν, ἀλλ᾽ ὅτε γε παρασκευάζει ὡς ἀγαθὸν ποιεῖ. ὁμοίως δὲ καὶ ὁ δι᾽ εὐλάβειαν μειζόνων κακῶν ἔλαττον αἱρούμενος, τ᾽ ἀγαθὸν πορίζεται. ὥσπερ ὁ τὸν θάνατον ἀνθ᾽ ἑτέρων κακῶν αἱρούμενος. τοιαῦτα γάρ τινες σοφίζονται. λύειν δὲ αὐτὰ βέλτιον ἴσως καὶ ῥᾴδιον ἐστί.

Τρόποι δὲ τῶν αἰτίων, ἀριθμῷ μὲν, εἰσὶ πολλοί. συγκεφαλαιούμενοι δὲ, καὶ οὗτοι ἐλάττους. λέγεται γὰρ αἴτια πολλαχῶς. καὶ αὐτῶν τῶν ὁμοειδῶν προτέρως καὶ ὑστέρως, ἄλλου ἄλλο. οἷον, ὑγιείας ὁ ἰατρὸς, καὶ ὁ τεχνίτης. καὶ τοῦ διὰ πασῶν, τὸ διπλάσιον, καὶ ὁ ἀριθμὸς, καὶ ἀεὶ τὰ περιέχοντα πρὸς τὰ καθέκαστα. ἔτι δ᾽ ὡς τὸ συμβεβηκὸς καὶ τὰ τούτων γένη. οἷον ἀνδριάντος. ἄλλως πολύκλειτος, καὶ ἄλλως ἀνδριαντοποιός. ὅτι συμβέβηκε τῷ ἀνδριαντοποιῷ, τὸ, πολυκλείτῳ εἶναι. καὶ τὰ περιέχοντα δὲ, τὸ συμβεβηκός. οἷον, εἰ ἄνθρωπος, αἴτιος τοῦ ἀνδριάντος εἴη ἢ ὅλως ζῶον. ἔστι δὲ καὶ τῶν συμβεβηκότων ἄλλα ἄλλων πορρώτερον καὶ ἐγγύτερον. οἷον, εἰ ὁ λευκὸς καὶ ὁ μουσικὸς αἴτιος λέγοιτο τοῦ ἀνδριάντος.

Πρότερον μὲν ὅτε ἔλεγεν ἕνα μὲν οὖν τρόπον αἴτιον λέγεταί τι, τὸ ἐξ οὗ γίνεταί τι ἐνυπάρχοντος, τρόπους ἔλεγε, τὰς πρὸς ἄλληλα τῶν πρώτων αἰτίων διαφοράς. οἷον τὰς τῆς ὕλης μόνης, καὶ τοῦ εἴδους μόνου καὶ τῶν ἄλλων αἰτίων. νῦν δὲ τρόπους τὰς διαφορὰς τῶν μερικῶν αἰτίων φησὶν, αἵτινες τῶν ὁμοειδῶν εἰσί. καὶ λέγει, ὅτι καὶ οἱ καθ᾽ ἕκαστον τῶν αἰτίων τρόποι ἀριθμῷ μέν εἰσι πολλοί. συγκεφαλαιοῦνται δὲ καὶ οὗτοι εἰς ἓξ τὰς καθ᾽ ἕκαστον αἴτιον διαφοράς. καὶ γὰρ καθ᾽ ἕκαστον εἶδος τῶν αἰτίων, οἷον κατὰ τὴν ὕλην ἢ κατὰ τὸ εἶδος, ἢ καθ᾽ αὑτὸ λέγομεν τὸ αἴτιον ἢ κατὰ συμβεβηκός. ἔτι προτέρως καὶ ὑστέρως ἄλλο ἄλλου λαμβάνεται αἴτιον. οἷον κατὰ τὸ ποιητικὸν αἴτιον. ἔστι γὰρ τοῦ αὐτοῦ οἷον τῆς ὑγιείας πρότερα καὶ ὕστερα ποιητικὰ λαμβάνειν αἴτια, πάντα καθ᾽ αὑτὸ λαμβάνοντα, ὡς ἰατρὸν καὶ τεχνίτην. καὶ κατὰ τὸ εἰδικὸν, τοῦ διὰ πασῶν συμφώνου τὸ διπλάσιον καὶ ἀριθμόν. καὶ ἁπλῶς τὰ περιέχοντα καὶ περιεχόμενα. ἢ τὰ κοινὰ καὶ καθ᾽ ἕκαστα πανταχοῦ, προτέρων μὲν ὄντων τῶν προσεχεστέρων, ὑστέρων δὲ τῶν πορρωτέρων. προσεχέστερα δὲ πανταχοῦ τὰ καθ᾽ ἕκαστα. διότι οὐκέτι κοινὰ ταῦτα ὥσπερ τὰ περιέχοντα αὐτά. καὶ ἐπὶ τοῦ ὑλικοῦ αἰτίου, προσεχέστερον μὲν ὅδε ὁ χαλκὸς, πορρωτέρω δὲ χαλκὸς, ἢ ὕδωρ, ἢ σῶμα. καὶ ἐπὶ τοῦ τελικοῦ, προσεχὲς μὲν ἥδε ἡ ὑγίεια. πορρωτέρω δὲ καὶ κοινότερον ἡ ὑγίεια καὶ ἕξις καὶ ποιότης. καὶ εἴρηται καὶ πρότερον ἡ τοιαύτη διαφορὰ, ὅτε ἔλεγε καὶ τὰ τούτων γένη. θεωρήσας οὖν ἐν τοῖς καθ᾽ αὑτὸ λεγομένοις αἰτίοις τὰς δύο ταύτας διαφορὰς, τοῦτε καθ᾽ ἕκαστα καὶ τοῦ γένους, τὰς αὐτὰς διαφορὰς καὶ ἐπὶ τῶν κατὰ συμβεβηκὸς λεγομένων αἰτίων παραδίδωσι, πρῶτον τίνα ἐστὶ τὰ κατὰ συμβεβηκὸς αἴτια διδάσκων. τοῦ γὰρ ἀνδριάντος καθ᾽ αὑτὸ μὲν αἴτιος ὁ ἀνδριαντοποιός. κατὰ συμβεβηκὸς δὲ ὁ πολύκλειτος. ὅτι συνέβη τῷ ἀνδριαντοποιῷ πολυκλείτῳ εἶναι. ὥστε τὰ συμβεβηκότα τοῖς καθ᾽ αὑτὸ αἰτίοις, κατὰ συμβεβηκός ἐστιν αἴτια. καὶ τὰ γένη τὰ τῷ συμβεβηκότι καθ᾽ αὑτὸ ὑπάρχοντα, καθ᾽ ὅσον τῷ κατὰ συμβεβηκὸς αἰτίῳ ὑπάρχει, καὶ αὐτὰ κατὰ συμβεβηκὸς αἴτια γίνεται. οἷον ὁ πολύκλειτος κατὰ συμβεβηκὸς αἴτιος τοῦ ἀνδριάντος ἐστίν. τῷ δὲ πολυκλείτῳ καθ᾽ αὑτὸ ὑπάρχει ὁ ἄνθρωπος καὶ τὸ ζῶον. οὐκοῦν καὶ ὁ ἄνθρωπος κατὰ συμβεβηκὸς αἴτιος τοῦ ἀνδριάντος ἐστίν. ὁμοίως δὲ καὶ τὸ ζῶον. δείξας οὖν οὕτω τίνα τὰ κατὰ συμβεβηκὸς αἴτια, διῃρῆσθαι ταῦτά φησιν εἴς τε τὸ ἐγγύτερον καὶ πορρώτερον. ὥσπερ καὶ τὰ καθ᾽ αὑτὸ ἐδείκνυτο πρότερον διαιρούμενα. καὶ γὰρ εἰ κατὰ συμβεβηκὸς αἴτιον τοῦ ἀνδριάντος ὁ πολύκλειτος, καὶ ὁ λευκὸς καὶ ὁ μουσικὸς, ἀλλ᾽ ἐγγυτέρω μὲν ὁ πολύκλειτος αἴτιος. πορρωτέρω δὲ, ὁ λευκὸς καὶ

ὁ μουσικὸς, διότι ταῦτα τῷ πολυκλείτῳ συμβέβηκεν. ἐπιστῆσαι δὲ οἶμαι χρὴ, ὅτι ἐπὶ μὲν τοῦ καθ' αὑτὸ τὸ πορρώτερον καὶ ἐγγύτερον ἔλαβε, κατὰ τὰ περιέχοντα καὶ περιεχόμενα, ὡς τὰ γένη καὶ τὰ εἴδη. ἐπὶ δὲ τοῦ κατὰ συμβεβηκὸς ἔλαβε μὲν καὶ τοῦτο, εἰπὼν, ἔστι δὲ ὡς τὸ συμβεβηκὸς καὶ τὰ τούτων γένη. ἀλλὰ ταῦτα συνέταξε τῷ συμβεβηκότι. ἄλλο δὲ πορρώτερον καὶ ἐγγύτερον ἔλαβεν, ἐν τοῖς κατὰ συμβεβηκὸς καὶ αὐτῷ τῷ συμβεβηκότι ὑπάρχουσιν. ὁ γὰρ λευκὸς ἢ ὁ μουσικὸς, κατὰ συμβεβηκὸς αἴτιος τοῦ ἀνδριάντος πορρώτερον, ὅτι πολυκλείτῳ συνέβη λευκῷ εἶναι τῷ κατὰ συμβεβηκὸς ἐγγυτέρῳ. δύο οὖν οὐσῶν τούτων δυάδων διαφορᾶς, τῆς μὲν, ἐν τοῖς καθ' αὑτὰ αἰτίοις, τῆς δὲ, ἐν τοῖς κατὰ συμβεβηκὸς, ἄλλην τρίτην μετ' ὀλίγα προστίθησι, μεταξύ τινα εἰπὼν αὐτός. ἔστι δὲ αὕτη καθ' ἣν τὰ καθ' αὑτὰ καὶ τὰ κατὰ συμβεβηκότα αἴτια, ἢ ὡς ἀπολελυμένα ἀλλήλων, λέγεται. ὅταν εἴπω ποιητικὸν τοῦ ἀνδριάντος ποτὲ μὲν τὸν ἀνδριαντοποιὸν, ποτὲ δὲ τὸν πολύκλειτον. ἢ ὡς συμπεπλεγμένα. ὅταν εἴπω τοῦ ἀνδριάντος οὐ πολύκλειτον μόνον ποιητικὸν, οὐδὲ ἀνδριαντοποιὸν μόνον, ἀλλὰ πολύκλειτον ἀνδριαντοποιόν. καὶ ὅτι ἡ τρίτη αὕτη δυὰς συντέτακται ταῖς δύο ταῖς προτέραις, ἐδήλωσεν αὐτὸς ἀριστοτέλης, τὰς τρεῖς ἐφεξῆς θεὶς μετ' ὀλίγα.

Γ ΑΡΑ' Γάντα δὲ καὶ τὰ οἰκείως λεγόμενα, καὶ τὰ κατὰ συμβεβηκὸς τὰ μὲν ὡς δυνάμενα λέγεται. τὰ δ' ὡς ἐνεργοῦντα. οἷον, τοῦ οἰκοδομεῖσθαι οἰκίαν, ὁ οἰκοδόμος. ἢ ὁ οἰκοδομῶν οἰκοδόμος.

Κ οινήν τινα διαφορὰν ἐπάγει πᾶσι τοῖς εἰρημένοις αἰτίοις, τοῖς τε καθ' αὑτὸ καὶ τοῖς κατὰ συμβεβηκὸς, τοῖς τε ἀπολελυμένοις δηλονότι καὶ τοῖς συμπεπλεγμένοις, τὴν κατὰ τὸ δυνάμει καὶ ἐνεργείᾳ. ὥς τε ἓξ οὐσῶν τῶν διαφορῶν καὶ διπλασιαζομένων, τῷ δυνάμει καὶ ἐνεργείᾳ, δώδεκα γίνεσθαι τὰς πάσας. ἃς καὶ αὐτὸς σαφῶς ἀπαριθμεῖται, ἐν οἷς φησιν ἀλλ' ὅμως ἅπαντα ταῦτα τὸ μὲν πλῆθος ἐστὶν ἕξ, λεγόμενα δὲ διχῶς. καὶ ποῖα τὰ ἓξ ἐπάγει. ἢ γὰρ ὡς τὸ καθ' ἕκαστον τὸ καθ' αὑτὸ δηλονότι, ἢ ὡς τὸ γένος αὐτοῦ. καὶ πάλιν ἢ ὡς τὸ συμβεβηκὸς τὸ καθ' ἕκαστον δηλονότι, ἢ ὡς τὸ γένος τοῦ συμβεβηκότος. καὶ ἢ ὡς συμπλεκόμενα ταῦτα, ἢ ἁπλῶς λεγόμενα. πάντα δὲ διχῶς λέγεται, ἢ ὡς ἐνεργοῦντα, ἢ κατὰ δύναμιν. τοῦ γὰρ οἰκοδομεῖσθαι οἰκίαν, ποιητικὸν αἴτιον ἐστὶ, δυνάμει μὲν ὁ οἰκοδόμος κἂν μὴ οἰκοδομῇ, ἐνεργείᾳ δὲ ὁ οἰκοδομῶν οἰκοδόμος.

Ο' ΜΟΙΏΣ δὲ λεχθήσεται καὶ ἐφ' ὧν αἴτια τὰ αἴτια, τοῖς εἰρημένοις. οἷον, τουδὶ τοῦ ἀνδριάντος, ἢ ἀνδριάντος. ἢ καὶ ὅλως εἰκόνος. καὶ χαλκοῦ τοῦδε ἢ χαλκοῦ, ἢ ὅλως ὕλης. καὶ ἐπὶ τῶν συμβεβηκότων ὡσαύτως. ἔτι δὲ συμπλεκόμενα καὶ ταῦτα κἀκεῖνα λεχθήσεται. οἷον, οὐ πολύκλειτος. οὐδὲ ἀνδριαντοποιός. ἀλλὰ πολύκλειτος ἀνδριαντοποιός. ἀλλ' ὅμως ἅπαντα ταῦτά ἐστι. τὸ μὲν πλῆθος ἕξ. λεγόμενα δὲ διχῶς. ἢ γὰρ ὡς τὸ καθέκαστον, ἢ ὡς τὸ γένος. ἢ ὡς τὸ κατὰ συμβεβηκός. ἢ ὡς τὸ γένος τοῦ συμβεβηκότος. ἢ ὡς συμπλεκόμενα ταῦτα. ἢ ὡς ἁπλῶς λεγόμενα. πάντα δὲ ἢ ἐνεργοῦντα, ἢ κατὰ δύναμιν.

Τ ὸ μὲν ἑξῆς τῆς λέξεως, ὁμοίως τοῖς εἰρημένοις λεχθήσεται, καὶ ἐφ' ὧν αἴτια τὰ αἴτια, τουτέστιν ἐπὶ τῶν αἰτιατῶν. τούτων γὰρ αἴτια τὰ αἴτια. καὶ ἐπὶ τούτων οὖν τὰς αὐτὰς διαφορὰς εἶναι φησὶν, αἵτινες καὶ ἐπὶ τῶν αἰτίων εἰσίν. ἔστι γὰρ αὐτῶν τὰ μὲν προσεχέστερα αἰτιατὰ, τὰ δὲ, πορρώτερον. καὶ τὰ μὲν καθ' αὑτό. τὰ δὲ, κατὰ συμβεβηκός. οἷον αἰτιατὸν ἀνδριάς ἐστιν ὁ δὲ προσεχῶς, οἷον ὁ μίλωνος. πορρώτερον δὲ ἀνδριὰς ἁπλῶς. καὶ ἔτι τούτου πορρώτερον ἡ εἰκών. καὶ ὁ χαλκὸς δὲ, οὐχ ὡς ὑλικὸν αἴτιον παραλαμβανόμενος, ἀλλ' ὡς αἰτιατὸν τοῦ μεταλλέως, καὶ αὐτὸς ὁ μὲν, προσεχῶς ἐστιν αἰτιατὸς, ὡς ὅδε ὁ χαλκός. ὁ δὲ, πορρωτέρω, ὡς χαλκὸς ἁπλῶς, ἢ σῶμα, ἢ ὕλη. ὁμοίως δὲ φησὶν ἔχει καὶ ἐπὶ τῶν συμβεβηκότων τοῖς αἰτιατοῖς. τὰ γὰρ τοῖς αἰτιατοῖς συμβεβηκότα, καὶ αὐτὰ κατὰ συμβεβηκὸς αἰτιατά ἐστιν. ὁμοίως δὲ καὶ ἐπὶ τούτων τὰ μὲν, ἐγγυτέρω ἐστὶν αἰτιατὰ, τὰ δὲ πορρωτέρω. ἐγγυτέρω μὲν αἰτιατὰ κατὰ συμβεβηκός ἐστι, τὰ τοῖς ἐγγυτέρω καθ' αὑτὰ αἰτιατοῖς συμβεβηκότα, τουτέστι τοῖς καθ' ἕκαστα. πορρωτέρω δὲ, τὰ τούτων εἴδη καὶ γένη. τόδε μὲν γὰρ τὸ ἐρυθρὸν, εἴπερ ὁ χαλκὸς ὁ γινόμενος τοιοῦτον ἔχει χρῶμα, ἐγγυτέρω αἰτιατὸν κατὰ συμβεβηκός ἐστι. πορρωτέρω δὲ τὸ ἐρυθρὸν, καὶ ὅλως τὸ χρῶμα. καὶ τὰ αἰτιατὰ δὲ ὥσπερ τὰ αἴτια, οὐ μόνον ἀπολελυμένα, ἀλλὰ καὶ συμπλεκόμενα ῥηθήσεται. εἰπὼν γὰρ τὰς τῶν αἰτίων καὶ τῶν αἰτιατῶν διαφορὰς, ἐπήγαγεν. ἔτι δὲ συμπλεκόμενα καὶ ταῦτα κἀκεῖνα, ῥηθήσεται, τουτέστι καὶ τὰ αἰτιατὰ καὶ τὰ αἴτια. ἀλλ' ἐγὼ μὲν τὰς ἓξ τῶν αἰτίων εἰπὼν διαφορὰς, οὕτω καὶ τὰς τῶν αἰτιατῶν ἴσας οὔσας ἐπήγαγον, τῇ τάξει τῇ ἐν τοῖς ἑξῆς ὑπὸ τοῦ ἀριστοτέλους λεγομένῃ. αὐτὸς δὲ μετὰ τὴν τῶν καθ' αὑτὸ καὶ κατὰ συμβεβηκὸς, καὶ δυνάμει καὶ ἐνεργείᾳ διαφορὰν τῶν αἰτίων, τὰς αὐτὰς διαφορὰς καὶ ἐν τοῖς αἰτιατοῖς θεασάμενος, τὰς διαφορὰς τοῦ κατὰ συμπλοκὴν καὶ τοῦ ἀπολελυμένου κοινῶς ἐπήγαγε τοῖς τε αἰτίοις καὶ τοῖς αἰτιατοῖς. καὶ οὕτω τὴν ἀπαρίθμησιν τῶν ἓξ τρόπων ποιησάμενος ἐπί τε τῶν αἰτίων καὶ τῶν αἰτιατῶν, πάντας τῷ τε δυνάμει καὶ ἐνεργείᾳ διαιρεῖ. ἐν δὲ τῷ συμπλέκειν, δυνατὸν μὲν ἢ τὰ κύρια τοῖς κυρίοις συμπλέκειν, ἢ τὰ συμβεβηκότα τοῖς συμβεβηκόσιν, ἢ ἐναλλάξ. καὶ τούτων ἢ τὰ προσεχῆ τοῖς προσεχέσιν, ἢ τὰ πόρρω τοῖς πόρρω, ἢ ἐναλλάξ. αὐτὸς μέν-

τοι μόνην

τοι μόνην ἔοικε συμπλοκὴν παραλαμβάνειν τὴν τῶν κυρίων πρὸς τὰ συμβεβηκότα. οἷον ἂν ἐρρήθη ἀνδριαντοποιὸς Πολύκλειτος. συμπλέκεται γὰρ τὸ καθ' αὑτὸ αἴτιον ὁ ἀνδριαντοποιὸς, τῷ κατὰ συμβεβηκὸς αἰτίῳ τῷ Πολυκλείτῳ. Πολύκλειτος δὲ οὗτός ἐστιν ὁ ἀνδριαντοποιὸς, οὗ καὶ Γαληνὸς ἐμνημόνευσεν. ὃς τὸν ἀνδριάντα ἐδημιούργησε, πᾶσαν ἔχοντα μελῶν συμμετρίαν καθ' αὑτά τε καὶ πρὸς ἄλληλα, ὡς διὰ τοῦτο τὸν Πολύκλειτον καλεῖσθαι κανόνα.

ΔΙΑΦΕΡΕΙ δὲ τοσοῦτον, ὅτι τὰ μὲν ἐνεργοῦντα καὶ τὰ καθ' ἕκαστον, ἅμα ἐστὶ καὶ οὐκ ἔστι, καὶ ὧν αἴτια. οἷον, ὅδε ὁ ἰατρεύων τῷδε τῷ ὑγιαζομένῳ. καὶ ὅδε ὁ οἰκοδομῶν, τῷδε τῷ οἰκοδομουμένῳ. τὰ δὲ κατὰ δύναμιν, οὐκ ἀεί. φθείρεται γὰρ οὐχ ἅμα ἡ οἰκία καὶ ὁ οἰκοδόμος.

Εἰπὼν δὲ ἐξ τρόπους διχῇ διαιρεῖσθαι τῷ τε δυνάμει καὶ τῷ ἐνεργείᾳ, τὴν διαφορὰν τῶν δυνάμει καὶ ἐνεργείᾳ παραδίδωσι, λέγων, ὅτι τὰ μὲν ἐνεργείᾳ ὄντα καὶ αἴτια τὰ ἅμα ἐστὶ καὶ οὐκ ἔστι. εἰπὼν δὲ τὰ ἐνεργοῦντα, προσέθηκε καὶ τὰ καθ' ἕκαστον, οὐχ ὡς ἄλλα παρὰ τὰ ἐνεργοῦντα λέγων, ἀλλ' ὅτι τὰ ἐνεργοῦντα τὰ καθ' ἕκαστά ἐστι. ταῦτα γὰρ ἐνεργεῖ καὶ ποιεῖ καὶ πάσχει, ἀλλ' οὐ τὰ τούτων εἴδη καὶ γένη. οὐδὲ γὰρ ὑφέστηκέ τι τῶν οὕτω κοινῶν καθ' αὑτό. τὰ δὲ ἐνεργείᾳ καθ' ἕκαστον ὄντα, καὶ συνυφέστηκεν ἀλλήλοις. οἷον ὅδε ὁ οἰκοδομῶν, ἕως ἂν οἰκοδομῇ, ἅμα τῷ οἰκοδομουμένῳ ἐστί. τὰ δὲ κατὰ δύναμιν οὐκ ἀεὶ ἅμα. καὶ τούτου τεκμήριον ἐναργὲς παρέθετο, τὸ μὴ ἅμα φθείρεσθαι τὸν οἰκοδόμον καὶ τὴν οἰκίαν. πολυχρονιωτέρα γὰρ ὡς ἐπίπαν ἡ οἰκία τοῦ οἰκοδόμου ἐστίν. οἰκοδομοῦντος δέ τινος, πάντως οἰκοδομεῖταί τι. καὶ μὴ οἰκοδομοῦντος, οὐκ οἰκοδομεῖται. καὶ οἰκοδομουμένου τινὸς, πάντως οἰκοδομεῖ τι. καὶ μὴ οἰκοδομουμένου, οὐκ οἰκοδομεῖ. ὥστε ἅμα εἶναι καὶ μὴ εἶναι. λέγει δὲ νῦν δυνάμει, οὐκ ἐπὶ τοῦ οἷόν τε γενέσθαι. οὐκέτι γὰρ οἷά τε γενέσθαι τὰ ἤδη γεγονότα. τοιοῦτος δὲ ὁ οἰκοδομήσας οἰκοδόμος, καὶ ἡ οἰκοδομηθεῖσα οἰκία. ἀλλ' ἁπλῶς τὰ ἀντικείμενα τοῖς ἐνεργοῦσι. ταῦτα δέ ἐστι τὰ οὐκ ἐνεργοῦντα. οὐκ ἐνεργεῖ δὲ, τά τε οἷά τε ἐνεργῆσαι, καὶ τὰ πεπαυμένα τῆς ἐνεργείας.

ΔΕΙ Δ' ἀεὶ τὸ αἴτιον ἑκάστου τὸ ἀκρότατον ζητεῖν. ὥσπερ καὶ ἐπὶ τῶν ἄλλων. οἷον, ἄνθρωπος οἰκοδομεῖ. ὅτι οἰκοδόμος. ὁ δ' οἰκοδόμος κατὰ τὴν οἰκοδομικήν. τοῦτο τοίνυν πρότερον τὸ αἴτιον. καὶ οὕτως ἐπὶ πάντων. ἔτι τὰ μὲν γένη τῶν γενῶν. τὰ δὲ καθ' ἕκαστα, τῶν καθ' ἕκαστα. οἷον, ἀνδριαντοποιὸς μὲν ἀνδριάντος ὁδὶ δὲ τουδί. καὶ τὰς μὲν δυνάμεις τῶν δυνατῶν. τὰ δὲ ἐνεργοῦντα πρὸς τὰ ἐνεργούμενα. ὅσα μὲν οὖν τὰ αἴτια, καὶ ὃν τρόπον αἴτια, ἔστω ἡμῖν διωρισμένα ἱκανῶς.

Ἀκρότατον μὲν λέγει αἴτιον, τὸ κυριώτατον λεγόμενον. ὃ ἄλλοι συνεκτικὸν ὀνομάζουσιν. ἀσαφὲς δὲ αὐτὸ διὰ τοῦ παραδείγματος ἐποίησε. διατί γὰρ ἄνθρωπος οἰκοδομεῖ ἐρωτῶντες, ἀκούομεν ὅτι οἰκοδόμος. διατί δὲ οἰκοδόμος, ὅτι κατὰ τὴν οἰκοδομικήν. καὶ ἐν τούτοις παύεται ἡ τοῦ διατί ζήτησις. διὸ καὶ ἀκρότατον τοῦτο καλεῖ, ὅτι μέχρι τούτου ἀναβαίνοντες ἱστάμεθα. τὸ γὰρ κυριώτατον αἴτιον τῆς οἰκοδομίας ἡ οἰκοδομικὴ τέχνη ἐστί. δεῖ δὲ ὥσπερ ἐπὶ τῶν ἄλλων ἁπάντων, τὸ κυρίως κατὰ τοὔνομα λεγόμενον ἀκούομεν, οὕτω καὶ ἐπὶ τῶν αἰτίων. καὶ γὰρ δραχμὴν τὴν κυρίως δραχμὴν ἀκούομεν, οὐ τὴν κίβδηλον. καὶ ἄνθρωπον τὸν κυρίως, οὐ τὸν νεκρόν. οὕτω καὶ αἴτιον τὸ κυρίως αἴτιον ληπτέον. ὁ δὴ ταῦτα λέγων, οὐκ ἂν τὴν φύσιν κυρίως ποιητικὸν αἴτιον τῶν σωμάτων ὑπόθοιτο. κἂν γὰρ κινῇ τὰ σώματα αὐτὴ, κινουμένη καὶ αὐτὴ κινεῖ. ἔστιν οὖν τι τὸ καὶ ταύτην κινοῦν. καὶ εἰ μὲν κινούμενον, καὶ ἐκείνου ζητήσομεν τὸ κινητικόν. διότι πᾶν τὸ κινούμενον ὑπὸ κινοῦντος κινεῖται, ὡς αὐτὸς ἐν τῷ η τῆσδε τῆς πραγματείας ἀπέδειξεν. εἰ δὲ ἀκίνητον, τοῦτο ἂν εἴη τὸ ἄκρον καὶ κυρίως τῆς κινήσεως αἴτιον. προστίθησι δὲ καὶ ὅτι τὰ μὲν γένη τῶν γενῶν αἴτια χρὴ λέγειν, καὶ ταῦτα ἀλλήλοις ἀντιτιθέναι. τὰ δὲ καθ' ἕκαστα τῶν καθ' ἕκαστα. οἷον ἀνδριαντοποιὸν μὲν ἀνδριάντος, τόνδε δὲ τοῦδε. ὁμοίως δὲ, τὰ μὲν κατὰ δύναμιν πρὸς τὰ δυνάμει, τὰ δὲ κατ' ἐνέργειαν πρὸς τὰ κατ' ἐνέργειαν. ἐφιστάνει δὲ ὁ Ἀλέξανδρος ἐν τούτοις, ὡς εἰ ἀποδίδοι τὸ δυνάμει πρὸς τὸ δυνάμει, ἅμα ἂν καὶ ἡ ἐπιστήμη τῷ ἐπιστητῷ εἴη, καὶ ἡ αἴσθησις τῷ αἰσθητῷ, καὶ αὐτὰ τῶν πρός τι ὄντα. εἴ γε λέγοιτο τὸ δυνάμει ἐπὶ τοῦ οἷόν τε γενέσθαι, καὶ μὴ ἁπλῶς ἐπὶ τοῦ μὴ ἐνεργοῦντος. ὡς ἐχρήσατο πρὸ ὀλίγου αὐτῷ, οἰκοδόμον εἰπὼν δυνάμει τὸν ᾠκοδομηκότα, καὶ μηκέτι τὸν οἰκοδομοῦντα. καὶ οὕτως ἡ ἐν κατηγορίαις ἀπορία λυθήσεται, ἡ ἐπὶ τοῦ ὀστράκου τοῦ ἐν τῷ βυθῷ, εἰ τὸ δυνάμει λέγοιτο ἐπὶ τοῦ οἷόν τε γενέσθαι.

ΤΜΗΜΑ ΔΕΥΤΕΡΟΝ ΠΕΡΙ ΤΥΧΗΣ ΚΑΙ ΑΥΤΟΜΑΤΟΥ.

C. 4.

ΛΕΓΕΤΑΙ δὲ καὶ ἡ τύχη καὶ τὸ αὐτόματον, τῶν αἰτίων, καὶ πολλὰ καὶ εἶναι, καὶ γίνεσθαι διὰ τύχην καὶ διὰ τὸ αὐτόματον. τίνα οὖν τρόπον ἐν τούτοις ἐστὶ τοῖς αἰτίοις ἡ τύχη καὶ τὸ αὐτόματον. καὶ πότερον τὸ αὐτὸ ἡ τύχη καὶ τὸ αὐτόματον, ἢ ἕτερον, καὶ τί ἐστιν ὅλως ἡ τύχη καὶ τὸ αὐτόματον ἐπισκεπτέον. ἔνιοι γὰρ καὶ εἰ ἔστιν ἢ μὴ, ἀποροῦσιν. οὐδὲν γὰρ γίνεσθαι ἀπὸ τύχης φασὶν, ἀλλὰ πάντων εἶναί τι αἴτιον ὡρισμένον, ὅσα λέγομεν ἀπὸ ταὐτομάτου γίνεσθαι ἢ τύχης. οἷον, τοῦ ἐλθεῖν ἀπὸ τύχης εἰς τὴν ἀγορὰν, καὶ καταλαβεῖν ὃν ἐβούλετο μὲν, οὐκ ᾤετο δὲ, αἴτιον, τὸ βούλεσθαι ἐλθόντα ἀγο-

ῥᾶσαι. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων τῶν ἀπὸ τύχης λεγομένων, ἀεί τι εἶναι λαβεῖν τὸ αἴτιον ἀλλ' οὐ
τύχην. ἐπεὶ εἴγε τι ἦν ἡ τύχη, ἄτοπον ἂν φανείη ὡς ἀληθῶς. καὶ ἀπορήσειεν ἄν τις, διατί ποτε οὐθεὶς
τῶν ἀρχαίων σοφῶν τὰ αἴτια περὶ γενέσεως καὶ φθορᾶς λέγων, περὶ τύχης οὐδὲν διώρισεν. ἀλλ'
ὡς ἔοικεν, οὐδὲν ᾤοντο οὐδ' ἐκεῖνοι εἶναι ἀπὸ τύχης.

Ε ἰπὼν τίνα τε καὶ πόσα τὰ αἴτια, καὶ τίνες τρόποι καὶ διαφοραὶ θεωροῦνται καθ' ἕκαστον, ἐπειδὴ
λέγεται καὶ ἡ τύχη καὶ τὸ αὐτόματον αἴτια, καὶ πολλὰ καὶ εἶναι καὶ γίνεσθαι διὰ τύχην καὶ τὸ
αὐτόματον, ἀκόλουθον ἦν ζητεῖν εἰ ἔστι, καὶ τί ἐστι, καὶ ὑπὸ τί τῶν εἰρημένων αἰτίων ἀνάγεται ταῦ-
τα. οὐ μάτην δὲ εἶπεν ὁ ἀριστοτέλης λέγεσθαι ταῦτα. καὶ γὰρ οἱ μὲν πολλοὶ καὶ αὐτόθεν οἴονται πολ-
λῶν αἰτίαν εἶναι τὴν τύχην καὶ τὸ αὐτόματον. οἱ δὲ φυσιολόγοι κἂν μὴ λέγωσί τι περὶ αὐτῆς, ἀλλ' οὖν
ὡς οὔσῃ χρῶνται καὶ ὀνομάζουσι. καὶ γὰρ ἐμπεδοκλῆς ἐν οἷς φησιν, οὕτω γὰρ συνέκυρσε θέοντό τε,
πολλάκι δ' ἄλλως, καὶ πάλιν, ὅπῃ συνέκυρσεν ἅπαντα, τὴν τύχην αἰτιᾶσθαι δοκεῖ. καὶ οἱ θεὸν ἢ
ὕλην τὰς ἀρχὰς λέγοντες, ἢ ἀγαθὸν καὶ κακὸν, τὴν διάτασιν αὐτῶν καὶ τὸν μερισμὸν τῶν πόνων
καὶ τὰ τοιαῦτα, ὡς ἐκ τύχης ἢ ἐκ ταὐτομάτου λέγειν ἀναγκασθήσονται. ἀλλὰ καὶ δημόκριτος ἐν
οἷς φησι, δεῖν ἀπὸ παντὸς ἀποκρίνεσθαι παντοίων εἰδέων, πῶς δὲ καὶ ὑπὸ τίνος αἰτίας μὴ λέ-
γει, ἔοικεν ἀπὸ ταὐτομάτου καὶ τύχης γεννᾶν αὐτά. καὶ ἀναξαγόρας δὲ τὸν νοῦν ἐάσας ὥς φησιν
εὔδημος, καὶ αὐτοματίζων τὰ πολλὰ συνίστησι. καὶ τῶν ποιητῶν δὲ ἔνιοι πάντα σχεδὸν εἰς τὴν τύχην
ἄγουσιν, ὥστε καὶ τῆς τέχνης οἰκείαν αὐτὴν ποιεῖν, λέγοντες, τέχνη τύχην ἔστερξε, καὶ τύχη τέχνην.
τὸν εὐτυχοῦντα δὲ καὶ φρονεῖν φασι. πρὸς δὲ τούτοις ὁρῶμεν ἔνια τῶν ἀπὸ τέχνης γινομένων, καὶ
ἀπὸ τύχης γινόμενα. καὶ γὰρ ὑγίεια καὶ ἀπὸ τύχης δοκεῖ γίνεσθαι ὥσπερ ἀπὸ τέχνης. διψήσας γὰρ
καὶ πιών τις ψυχρὸν ὕδωρ, γέγονεν ὑγιής. ἀλλ' ἴσως οὐ φησὶ δημόκριτος τὴν τύχην αἰτίαν εἶναι, ἀλ-
λὰ τὸ διψῆσαι. ἀλλὰ καὶ οἱ πολλοὶ πάντα τύχην φασὶν εἶναι, καὶ τοῖς θεοῖς εὐτυχεῖν εὔχονται. εἰ
οὖν λέγεται καὶ ταῦτα αἴτια, τὸν περὶ αἰτίων τελείως ἀποδεδωκέναι δοκοῦντα, χρὴ ζητεῖν τί-
νι τῶν εἰρημένων τεσσάρων αἰτίων ἡ τύχη καὶ τὸ αὐτόματον συνταχθήσονται, καὶ κατὰ τίνα τῶν
ἀποδεδομένων ἑκάστου τρόπων. καὶ πρὸ τούτου πότερον ἡ τύχη καὶ τὸ αὐτόματον ταὐτά ἐστιν ἢ ἕ-
τερα. καὶ εἰ ἕτερα, τίνι διαφέρετον ἀλλήλων. τούτου δὲ προηγεῖται τὸ τί ἐστιν ἑκάτερον τούτων. μὴ
γὰρ δειχθείσης ἑκατέρου φύσεως, οὐδ' ἂν ἡ διαφορὰ δήλη γένοιτο. ἀλλὰ καὶ τοῦ τί ἐστιν ἑκάτερον προη-
γεῖται τὸ εἰ ἔστιν ὅλως. οὐ γὰρ ἀναμφίλεκτος ἡ τούτων ὑπόστασις. οὕτως οὖν ἐν τάξει τὰ προβλή-
ματα ἐκθέμενος, ἀναλυτικῶς ἀπὸ τοῦ ἐσχάτου κατὰ τὴν ἀνάλυσιν εὑρεθέντος προβλήματος, τοῦτο
δὲ ἦν εἰ ἔστιν ὅλως ἡ τύχη καὶ τὸ αὐτόματον, ἀπὸ τούτου ἄρχεται τῆς ἀποδείξεως. καὶ πρῶτον τὰς
ἐφ' ἑκάτερα ἐπιχειρήσεις ἐκτίθεται, προτάττων δύο ἐπιχειρήματα, τῶν μὴ ἡγουμένων ἐν τοῖς αἰ-
τίοις δεῖν τετάχθαι τὴν τύχην καὶ τὸ αὐτόματον. μὴ γὰρ εἶναι τινὸς αἴτια. ὧν τὸ μὲν πρῶτον ἀποδει-
κτικόν ἐστι. τὸ δὲ δεύτερον ἔνδοξον. καὶ ἔστι τὸ πρῶτον τοιοῦτον. πάντων τῶν γινομένων, καὶ ὅσα λέ-
γομεν ἀπὸ τύχης ἢ ἐκ ταὐτομάτου γίνεσθαι, αἴτια ὡρισμένα ἐστίν. οὐδενὸς δὲ ὧν ἔστιν αἴτια ὡρισμέ-
να, αἰτία ἂν εἴη ἡ τύχη ἢ τὸ αὐτόματον. διότι κἂν αἴτια ταῦτα λέγωσιν, ἀλλ' ἀόριστα πάντως ὁμολο-
γοῦσιν αὐτά. οὐδενὸς ἄρα τῶν ὡρισμένων αἰτία ἂν εἴη ἡ τύχη ἢ τὸ αὐτόματον. οὕτω μὲν ἐν πρώτῳ σχή-
ματι κατὰ τὸν δεύτερον τῶν ἀναποδείκτων ἐστὶ συναγαγεῖν. ἔστι δὲ καὶ ἐν δευτέρῳ σχήματι συνάγειν
οὕτω. πάντων τῶν γινομένων τὰ αἴτια ὡρισμένα ἐστίν. ἡ τύχη καὶ τὸ αὐτόματον οὐδενός ἐστιν αἴτια
ὡρισμένα. οὐδενὸς ἄρα τῶν γινομένων ἡ τύχη αἰτία οὐδὲ τὸ αὐτόματον. καὶ ὅτι μὲν πάντων τῶν γι-
νομένων, καὶ ὅσα λέγομεν ἀπὸ ταὐτομάτου γίνεσθαι ἢ τύχης, ἔστι τι αἴτιον ὡρισμένον, ἔδειξε διὰ τοῦ
παραδείγματος. προσελθὼν γάρ τις εἰς ἀγορὰν διὰ τὸ ἀγοράσαι, τουτέστιν ἐν ἀγορᾷ διατρῖψαι ἢ
καὶ ὠνήσασθαι, κατέλαβεν ἐκεῖ τὸν χρεώστην. ὃν ἐβούλετο μὲν καταλαβεῖν, οὐκ ᾤετο δὲ καταλή-
ψεσθαι. καὶ ἀπέλαβε τὸ ἀργύριον. τοῦτο πάντες κατὰ τύχην ἢ ἐκ ταὐτομάτου γεγονέναι φαμέν.
καὶ ὅμως ἔστι καὶ τούτου ποιητικὸν αἴτιον ὡρισμένον, τὸ βούλεσθαι ἀγοράσαι ἐλθόντα. διὰ τοῦτο γὰρ
καὶ κατέλαβε τὸν χρεώστην, καὶ ἀπέλαβε τὸ ἀργύριον. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων τῶν ἀπὸ τύ-
χης ἔστι τι λαβεῖν ἀεὶ αἴτιον ὡρισμένον, καὶ οὐ τὴν τύχην. ὅτι δὲ καὶ εἴπερ ἦν αἴτιον ἡ τύχη ἀόριστον
ἦν, οὐδὲ ἀποδεῖξαι ἠξίωσε. τοιαύτην γὰρ παρὰ πᾶσιν ἔννοιαν ἔχουσιν ἥ τε τύχη καὶ τὸ αὐτόματον.
ὁ δὲ δεύτερος λόγος τοιοῦτος ἂν εἴη. εἰ ἔστι τῶν γινομένων αἴτιον ἡ τύχη καὶ τὸ αὐτόματον, ἄτοπον ἄν τι
καὶ ἄπορον ἀκολουθήσοι, τί δή ποτε οἱ πάλαι σοφοὶ τὰς αἰτίας τῆς γενέσεως καὶ φθορᾶς λέγοντες,
οὐκ ἐμνημόνευσαν τούτων. ᾧ δὲ ἄτοπον ἀκολουθεῖ, τοῦτο καὶ αὐτὸ ἄτοπον ἂν εἴη. ὥστε ἄτοπον ἂν δό-
ξοι, τὸ εἶναι τῶν γινομένων ἐνὸς αἰτίαν τὴν τύχην ἢ τὸ αὐτόματον. δυνατὸν δὲ καὶ οὕτω συνάγειν. εἰ
μὴ δὲ τῶν ἀρχαίων σοφῶν τις αἴτια τὴν τύχην καὶ τὸ αὐτόματον ἐνόμιζεν, οὐδὲ εἶναι αὐτὰ αἴτια εἰ-
κός. ἀλλὰ μὴν τὸ ἡγούμενον. τὸ ἄρα λῆγον. ὅτι δὲ οὐδεὶς τῶν ἀρχαίων ἐνόμιζε, δείκνυσιν οὕτως. εἰ ἐνό-
μιζον οἱ τὰ αἴτια περὶ γενέσεως καὶ φθορᾶς εἰπόντες, αἴτιον εἶναι τὴν τύχην καὶ τὸ αὐτόματον, διώ-
ρισαν ἂν περὶ αὐτῶν. ἀλλὰ μὴν οὐ διώρισαν. ἠτιάσατο δὲ ὁ ἀλέξανδρος τὴν λέξιν ὡς ἀνακόλου-

λον, τὴν λέγουσαν, τί δήποτε οὐδεὶς περὶ τύχης οὐδὲν διώρισεν. ἔδει γάρ φησιν ἐπενεγκεῖν περὶ τύ-
χης τι διώρισε. διότι πρόκειται τὸ ἀποφαντικὸν ἐν τῷ οὐδείς. καὶ δηλονότι πολλῷ μᾶλλον ἂν μέμ-
ψαιτο τῷ Πλάτωνι, λέγοντι, οὐδεὶς εἰς οὐδὲν οὐδενὸς ἂν γένοιτο ἄξιος. ἀλλὰ καὶ θαυμάσαι μᾶλλον
ἔδει τὸ χωρίον, καὶ σαφῶς καὶ ἀκριβῶς καὶ ἐντρεπτικῶς ἡρμηνευμένον.

ΑΛΛΑ ΚΑΙ τοῦτο θαυμαστόν. πολλὰ γὰρ καὶ γίνεται, καὶ ἔστιν ἀπὸ τύχης καὶ τοῦ αὐτομάτου, ἃ
οὐκ ἀγνοοῦντες, ὅτι ἔστιν ἐπενεγκεῖν ἕκαστον ἐπί τι αἴτιον τῶν γινομένων, καθάπερ ὁ παλαιὸς λόγος
εἶπεν ὁ ἀναιρῶν τὴν τύχην. ὅμως τούτων τὰ μὲν εἶναί φασι πάντες ἀπὸ τύχης, τὰ δ᾽ οὐκ ἀπὸ τύχης.
διὸ καὶ ἁμωσγέπως ἦν ποιητέον αὐτοῖς μνείαν. ἀλλὰ μὴν οὐδ᾽ ἐκείνων γέ τι ᾤοντο εἶναι τὴν τύχην.
οἷον, φιλίαν. ἢ νεῖκος. ἢ πῦρ. ἢ νοῦν. ἢ ἄλλο γέ τι τῶν τοιούτων. ἄτοπον οὖν εἴτε μὴ ὑπελάμβανον εἶναι,
εἴτε οἰόμενοι, παρέλιπον. καὶ ταῦτ᾽ ἐνίοτε χρώμενοι. ὥσπερ Ἐμπεδοκλῆς. οὐκ ἀεὶ τὸν ἀέρα ἀποκρί-
νεσθαι ἀνωτάτω φησί, ἀλλ᾽ ὅπως ἂν τύχῃ. λέγει γοῦν ἐν τῇ κοσμοποιΐᾳ ὡς οὕτω συνέκυρσε θέων τό-
τε. πολλάκις δ᾽ ἄλλως. καὶ τὰ μόρια τῶν ζῴων ἀπὸ τύχης γενέσθαι τὰ πλεῖστα φησίν. εἰσὶ δέ τινες,
οἳ καὶ τοῦ οὐρανοῦ τοῦδε καὶ τῶν κοσμικῶν πάντων αἰτιῶνται τὸ αὐτόματον. ἀπὸ ταὐτομάτου γὰρ
γενέσθαι φασὶ τὴν δίνην καὶ τὴν κίνησιν, τὴν διακρίνασαν καὶ καταστήσασαν εἰς ταύτην τὴν τά-
ξιν τὸ πᾶν. καὶ μάλα τοῦτό γε αὐτὸ θαυμάσαι ἄξιον. λέγοντας τὰ μὲν ζῷα καὶ τὰ φυτὰ ἀπὸ τύχης
μήτε εἶναι μήτε γίνεσθαι, ἀλλ᾽ ἤτοι φύσιν ἢ νοῦν, ἤ τι τοιοῦτον ἕτερον εἶναι τὸ αἴτιον, οὐ γὰρ ὅ τι ἔτυ-
χεν ἐκ τοῦ σπέρματος ἑκάστου γίγνεται, ἀλλ᾽ ἐκ μὲν τοῦ τοιουδὶ, ἐλαία. ἐκ δὲ τοῦ τοιουδὶ, ἄνθρωπος.
τὸν δ᾽ οὐρανὸν καὶ τὰ θειότερα τῶν φανερῶν, ἀπὸ τοῦ αὐτομάτου γενέσθαι. τοιαύτην δ᾽ αἰτίαν μηδε-
μίαν εἶναι οἵαν τῶν ζῴων καὶ τῶν φυτῶν. καίτοι γε εἰ οὕτως ἔχει, τοῦτό γε αὐτὸ, ἄξιον ἐπιστάσεως.
καὶ καλῶς ἔχει, λεχθῆναί τι περὶ αὐτοῦ τούτου. πρὸς γὰρ τὸ καὶ ἄλλως ἄτοπον εἶναι τὸ λεγόμενον,
ἔτι ἀτοπώτερον τὸ λέγειν ταῦτα. ὁρῶντας ἐν μὲν τῷ οὐρανῷ, οὐδὲν ἀπὸ ταὐτομάτου γιγνόμενον, ἐν
δὲ τοῖς μὴ ἀπὸ τύχης, πολλὰ συμβαίνοντα ἀπὸ τύχης, καίτοι εἰκός γε ἦν τοὐναντίον γενέσθαι.

Πρὸς τοὺς δύο λόγους τοὺς δεικνύντας μὴ εἶναι τὴν τύχην καὶ τὸ αὐτόματον, ἀντιλέγει. καὶ πρότερον
πρὸς τὸν πρῶτον. ὃς ἀναιρεῖ τὴν τύχην, διὰ τὸ ὡρίσθαι πάντων τὰ αἴτια, τὴν δὲ τύχην ἀόριστον
εἶναι. ἀντιλέγει δὲ τοὐναντίον ἢ βούλεται δεικνὺς τὸν τοιοῦτον λόγον περαίνοντα. βούλεται μὲν
γὰρ ἀναιρεῖν τὴν τύχην. λανθάνει δὲ αὐτὴν μᾶλλον κρατύνων. εἰ γὰρ ἔχοντες ἅπαντα τὰ γινόμενα
εἰς ὡρισμένας αἰτίας ἀνάγειν, καὶ τοῦτο οὐκ ἀγνοοῦντες, ὅμως οὐχ ἅπαντα εἰς ταύτας ἀνάγο-
μεν, ἀλλὰ καὶ δοκεῖ ἡμῖν ἀπὸ τύχης γίνεσθαι λέγεσθαί τινα καὶ ἐκ ταὐτομάτου, δῆλον ὡς αἴτιόν
τι παρὰ τὴν ὡρισμένην αἰτίαν ἡ τύχη καὶ τὸ αὐτόματον. εἰ γὰρ μηδέποτε ἀποροῦμεν ὡρισμένης ἀρ-
χῆς, αἰτιώμεθα δὲ ἐπ᾽ ἐνίων οὐ τὴν ὡρισμένην καὶ πρόσδηλον ἀρχὴν ἀλλὰ τὴν τύχην, δηλονότι ὡς
ἕτερον παρ᾽ ἐκείνην οὖσαν αἰτιώμεθα. διατί γὰρ Ἀχιλλεὺς μὲν ἐκ προαιρέσεως λέγεται ἀνῃρηκέναι
τὸν Ἕκτορα, Ἄδραστος δὲ ἀπὸ τύχης τὸν Κροίσου παῖδα. καίτοι καὶ οὗτος εἰ μὴ προείλετο ἀφεῖναι τὸ
δόρυ, οὐκ ἂν ὁ τοῦ Κροίσου παῖς ἀνῃρέθη. ἀλλὰ προείλετο μὲν ἀφεῖναι τὸ δόρυ. προείλετο δὲ οὐ κατὰ
τοῦ Κροίσου παιδὸς, ἀλλὰ κατὰ τοῦ θηρίου. τῆς μὲν οὖν ἀφέσεως αἰτίαν τὴν προαίρεσιν ῥητέον, τοῦ
φόνου δὲ οὐδαμῶς. πῶς γὰρ προείλετο, ὃ εἰ προῄδει συμβησόμενον, οὐκ ἂν προσέπεμψεν ἀκόντιον.
ὥστε καλῶς ἀπὸ τύχης λέγεται καὶ οὐκ ἀπὸ προνοίας ὁ τοιοῦτος φόνος. διὸ καὶ συγγνώμης ἐπὶ
τοῖς τοιούτοις τυγχάνουσιν, ὡς τῶν γινομένων ὑφ᾽ ἡμῶν, τῶν μὲν ἀπὸ τύχης ὄντων, τῶν δὲ ἀπὸ προαι-
ρέσεως. καὶ ἔδει διατοῦτο ὡς οὖσαν τὴν τύχην μνήμης τινὸς τυχεῖν. νῦν δὲ οὐ φαίνονται μνημονεύσαν-
τες. οὐδὲ γὰρ τύχην ὀνομάζοντες φαίνονται. οὐδέ τι τῶν ὑπ᾽ αὐτῶν ὀνομαζομένων τὸ αὐτὸ τῇ τύχῃ
δοκεῖ. οἷον φιλία. ἢ νεῖκος, ἢ νοῦς, ἢ πῦρ, ἢ ἄλλο τι τῶν τοιούτων. ταῦτα μὲν γὰρ ὥρισται τὰ αἴτια.
διὸ ὧν μὲν ἀνὰ μέρος, τοῦ δὲ νοῦ ἀεὶ ἡ ἐπικράτεια. τοῦτο δὲ πᾶν καὶ πρὸς τὸν δεύτερόν πως ὑπαντᾷ
λόγον. τὸ δὲ καθάπερ ὁ παλαιὸς λόγος ὁ ἀναιρῶν τὴν τύχην, πρὸς Δημόκριτον ἔοικεν εἰρῆσθαι. ἐ-
κεῖνος γὰρ κἂν ἐν τῇ κοσμοποιΐᾳ ἐδόκει τῇ τύχῃ χρῆσθαι, ἀλλ᾽ ἐν τοῖς μερικωτέροις οὐδενός φησιν
εἶναι τὴν τύχην αἰτίαν, ἀναφέρων εἰς ἄλλας αἰτίας. οἷον τοῦ θησαυρὸν εὑρεῖν, τὸ σκάπτειν. ἢ τὴν φυ-
τείαν τῆς ἐλαίας. τοῦ δὲ καταγῆναι τοῦ φαλακροῦ τὸ κρανίον, τὸν ἀετὸν ῥίψαντα τὴν χελώνην, ὅ-
πως τὸ χελώνιον ῥαγῇ. οὕτω γὰρ ὁ Εὔδημος ἱστορεῖ. πρὸς δὲ τὸν δεύτερον λόγον τὸν λέγοντα, ἄτο-
πόν τι καὶ ἄπορον ἀκολουθεῖν τοῖς τιθεῖσι τὴν τύχην, τὸ τοὺς προτέρους φυσιολόγους μηδὲν περὶ αὐ-
τῆς εἰπεῖν, πρὸς τοῦτον οὖν ἀπαντῶν, τὸ ἄτοπον φησὶν οὐ τοῖς λέγουσιν αἴτιον τὴν τύχην ἀκολου-
θεῖν, ἀλλὰ τοῖς πάλαι φυσιολόγοις. εἴτε γὰρ μὴ ὑπελάμβανον αἴτιον εἶναι τὴν τύχην, οὕτως ἐναρ-
γῶς οὖσαν, ἄτοπον. καὶ ὅτι σοφοὺς οἰομένους εἶναι, καὶ περὶ τῶν ὅλων σκοπεῖσθαι δυναμένους, τοῦτο
δὴ λανθάνει. καὶ ὅτι μὴ ὑπολαμβάνοντες, ὅμως ἀνέπειθον τοὺς ἀνθρώπους, ὅτι ἐπὶ κενὸν ὄνομα κατα-
φέρονται. εἴτε ὑπολαμβάνοντες εἶναι, παρέλιπον διδάξαι τί ἐστι, καὶ τίνα ἔχει δύναμιν ἡ τύχη,
καὶ τοῦτο ἄτοπον τὴν περὶ τῶν αἰτίων γνώμην ἀποφηναμένους, περὶ τούτου παραλιπεῖν. ὅτι δὲ
εἶχον ἔννοιάν τινα περὶ τῶν κατὰ τύχην συμβαινόντων, δηλοῖ τὸ χρῆσθαι ἐνίοτε τῷ ὀνόματι. ὥσ-

γὰρ Ἐμπεδοκλῆς οὐκ ἀεὶ τὸν ἀέρα ἀνωτάτω ἀποκρίνεσθαί φησιν, ἀλλ' ὅπως ἂν τύχοι. λέγει γοῦν ἐν τῇ κοσμοποιΐᾳ, ὡς οὕτω συνέκυρσε θέοντό τε, πολλάκι δ' ἄλλως. καὶ ἐν ἄλλοις, ὅπῃ συνέκυρσεν ἅπαντα. καὶ τὰ μόρια τῶν ζώων ἀπὸ τύχης γίνεσθαι τὰ πλεῖστά φησιν. ὡς ὅταν λέγῃ, ἡ δὲ χθὼν τούτοισιν ἴση συνέκυρσε μάλιστα. καὶ πάλιν, ἡ δὲ φλὸξ ἱλάειρα μινυνθαδίης ψύχε γαίης. καὶ ἐν ἄλλοις, κύπριδος ἐν παλάμαις πλάσιος τοίης τε τυχόντα. καὶ πολλὰ ἄν τις εὕροι ἐκ τῶν Ἐμπεδοκλέους φυσικῶν τοιαῦτα παραθέσθαι. ὥσπερ καὶ τοῦτο, τῇδε μὲν ἰότητι τύχης πεφρόνηκεν ἅπαντα. καὶ μετ' ὀλίγον, καὶ καθόσον μὲν ἀραιότατα ξυνέκυρσε πεσόντα. ἀλλ' οὗτος μὲν ἐπὶ σμικροῖς τῇ τύχῃ καταχρῆσθαι δοκῶν, ἥτινος ἂν εἴη ἐπιστάσεως ἄξιος, τί ποτέ ἐστιν ἡ τύχη μὴ παραδούς. οἱ περὶ δὴ Δημόκριτον δὲ διχῶς ἄτοπόν τι πεπονθέναι δοκοῦσι. πρῶτον μὲν ὅτι καὶ οὐρανοῦ τοῦδε, τί λέγω τοῦδε τοῦ οὐρανοῦ, ὅτι καὶ τῶν κόσμων ἁπάντων πολλῶν ἢ καὶ ἀπείρων ὄντων τῶν κατ' αὐτοὺς, αἰτιώμενοι τὸ αὐτόματον, ἀπὸ ταὐτομάτου γάρ φασι τὴν δίνην καὶ τὴν κίνησιν, τὴν διακρίνασαν καὶ καταστήσασαν εἰς τήνδε τὴν τάξιν τὸ πᾶν, ὅμως οὐ λέγουσι τί ποτέ ἐστι τὸ αὐτόματον. δεύτερον δὲ θαυμάσαι ἄξιον αὐτοὺς, πῶς τὰ μὲν ζῶα καὶ τὰ φυτὰ διατείνονται μήτε εἶναι μήτε γίνεσθαι ἀπὸ τύχης, ἀλλ' ἢ φύσιν, ἢ νοῦν, ἤ τι τοιοῦτον ἕτερον εἶναι τὸ αἴτιον αὐτῶν ὡρισμένον, καὶ οὔτε ἄτακτον οὔτε ἄλογον, πρόδηλον γὰρ τοῦτο ἦν, εἴπερ μὴ τὸ τυχὸν ἐκ τοῦ τυχόντος γίνεται, ἀλλ' ἐξ ἀνθρωπείου μὲν σπέρματος ἄνθρωπος, ἐκ δὲ ἐλαίας ἐλαία, καὶ οὐδεὶς ἀπὸ τύχης φησὶν ἵππον ἐξ ἵππου τετέχθαι, οὐ γὰρ ἀπὸ τύχης τὸ τεταγμένον καὶ ἀεὶ ἢ ὡς ἐπὶ τὸ πλεῖστον ὁμοίως ἔχον, τὰ δὲ μέγιστα καὶ τὰ θειότατα τῶν αἰσθητῶν, τὸν οὐρανὸν, καὶ τὴν τῶν ἄστρων χορείαν, ἐν οἷς οὐδὲν ἀόριστον οὐδὲ ἄτακτόν ἐστι, ταῦτα εἰς τὸ αὐτόματον ἀνάγουσι καὶ τὴν τύχην, μηδεμίαν αὐτοῖς αἰτίαν τοιαύτην ἐφιστάνοντες. οἵαν τῶν ζώων ἢ τῶν φυτῶν ἔλεγον εἶναι, ὡρισμένην καὶ κατὰ τάξιν καὶ κατὰ λόγους ποιοῦσαν. καὶ ὅμως οὐδὲν περὶ τύχης ἢ αὐτομάτου λέγουσι. καί τοι κἂν ἔλεγόν τι, τοῦτ' αὐτὸ ἄξιον ἦν ἐπιστάσεως, εἰ τὰ τοιαῦτα ἔδει τῇ τύχῃ καὶ τῷ αὐτομάτῳ ἐπιτρέπειν. καὶ καλῶς ἔχει λεχθῆναί τι περὶ τούτου. πρὸς γὰρ τῷ ἄτοπον εἶναι τὸ τὰ θειότατα τῶν ἐν τῷ κόσμῳ ὑπὸ ἀορίστων αἰτίων διοικεῖσθαι, ἔτι ἀτοπώτερόν ἐστι τὸ λεγόμενον, εἰ κατὰ σύγκρισίν τις αὐτὰ σκοποίη, ὁρῶν ἐν μὲν τῷ οὐρανῷ πάντα τεταγμένα, καὶ μηδὲν ἀορίστως ἢ ἀπὸ τύχης ἢ ἐκ ταὐτομάτου γινόμενον, ἐν δὲ τοῖς ὑπὸ σελήνην, ἃ λέγουσιν οὗτοι μὴ ἀπὸ τύχης γίνεσθαι, πολλὰ συμβαίνοντα ἀπὸ τύχης. καί τοι κατὰ τὴν τούτων ὑπόθεσιν, καὶ τοὐναντίον εἰκὸς ἦν, τὸν μὲν οὐρανὸν ἀτάκτως κινεῖσθαι, τὰ δὲ ἐν γενέσει τεταγμένην ἔχειν πᾶσαν τὴν ἑαυτῶν φύσιν. καὶ τὰ μὲν οὐράνια ὀλιγοχρονιώτερα ἂν ἦν, τοιαῦτα γὰρ τὰ ἀπὸ τύχης. τὰ δ' ἐν γενέσει πολυχρονιώτερα. ὁρῶμεν δὲ ὅτι πολλῷ πλέον τῇ τάξει καὶ τῷ χρόνῳ τὰ οὐράνια τῶν τῇδε διαφέρει, ἤπερ τῷ μεγέθει. ἀπολογεῖται δὲ ὁ Εὔδημος ὑπὲρ τῶν παραλιπόντων ἐν τοῖς αἰτίοις τὴν τύχην, λέγων. εὐλόγως δὲ αὐτὴν παρέλιπον κατὰ συμβεβηκὸς οὖσαν. τὰ γὰρ τοιαῦτα οὐδὲ εἶναι δοκεῖ, ἀλλὰ τὰ καθ' αὑτά. ἐν δὴ τούτοις πᾶσι τοῖς χωρίοις, ὁ μὲν Ἀριστοτέλης σαφῆ καὶ τεταγμένην ἐποιήσατο τὴν παράδοσιν. τὰ δὲ τοῦ Ἀλεξάνδρου ὑπομνήματα καὶ ἐλλιπέστερά πως ἐν τούτοις καὶ ὑποσυγκεχυμένα μοι δοκεῖ, τάχα τοῦ μεταγραψαμένου τὴν τάξιν τῶν εἰρημένων ταράξαντος. ἀξιῶ δὲ τοὺς ἐγκαλοῦντας Ἀριστοτέλει ὡς ποιητικὸν αἴτιον τοῦ οὐρανοῦ μὴ λέγοντι, τῶν ἐνταῦθα λεγομένων εὐγνωμόνως ἀκούειν. εἰ γὰρ μέμφεται τοῖς λέγουσι τὸν οὐρανὸν καὶ τὰ θειότατα τῶν φανερῶν ἀπὸ ταὐτομάτου γίνεσθαι, τοιαύτην δὲ αἰτίαν μηδεμίαν εἶναι οἵαν τῶν ζώων καὶ τῶν φυτῶν, δηλονότι καὶ γίνεσθαι αὐτὰ βούλεται, εἰ καὶ μὴ ἐν μέρει χρόνου. καὶ ἀπὸ ποιητικοῦ πάντως αἰτίου ὡρισμένου τούτου καὶ τεταγμένου, εἴπερ μέμφεται τοῖς ἐκ ταὐτομάτου λέγουσι γίνεσθαι, καὶ εἴπερ τὸ γινόμενον πᾶν ὑπὸ ποιοῦντος γίνεται. καὶ εἴη ἂν τὸ ποιοῦν νοῦς, ἤ τι καὶ νοῦ κρεῖττον. εἴπερ καὶ τῶν ζώων καὶ τῶν φυτῶν ἢ φύσιν ἢ νοῦν ἤ τι τοιοῦτον ἕτερον εἶναι τὸ αἴτιον συγχωρεῖ.

ΕΙΣΙ δέ τινες, οἷς δοκεῖ εἶναι μὲν αἰτία ἡ τύχη. ἄδηλος δὲ ἀνθρωπίνῃ διανοίᾳ. ὡς θεῖόν τι οὖσα, καὶ δαιμονιώτερον. ὥστε σκεπτέον καὶ τί ἑκάτερον, καὶ εἰ ταὐτὸν ἢ ἕτερον. τό, τε αὐτόματον καὶ ἡ τύχη. καὶ πῶς εἰς τὰ διωρισμένα αἴτια ἐμπίπτουσι.

Τινὲς μὲν εἰ καὶ μὴ διαρρήδην λέγουσιν εἶναι τὴν τύχην, ἀλλ' ἐξ ὧν λέγουσιν ἀναγκάζονται τὴν ὑπόστασιν αὐτῆς συγχωρεῖν. τινὲς δὲ καὶ αὐτόθεν ὁμολογοῦσιν εἶναι τὴν τύχην, καὶ αἰτίαν αὐτὴν εἶναι λέγουσι. τί δὲ ἐστιν οὐκ ἔχουσι λέγειν, ἄδηλον αὐτὴν ἀνθρωπίνῃ διανοίᾳ νομίζοντες, ὡς θεῖόν τι οὖσαν καὶ δαιμόνιον, καὶ διὰ τοῦτο τὴν ἀνθρωπίνην γνῶσιν ὑπερβαῖνον. ὥσπερ οἱ Στωϊκοὶ δοκοῦσι λέγειν. καὶ ὅτι μὲν πολλοὶ ταύτης γεγόνασι τῆς δόξης, δῆλον ἐκ τοῦ προσκυνεῖν τὴν τύχην ὡς θεὸν, καὶ ἱερὰ οἰκοδομεῖν αὐτῇ, καὶ ὕμνους εἰς αὐτὴν ᾄδειν. ἔοικε δὲ ἡ μὲν ὡς περὶ θείου τινὸς τῆς τύχης οὖσα δόξα, καὶ πρὸ τοῦ Ἀριστοτέλους εἶναι παρὰ τοῖς Ἕλλησι, καὶ οὐχ ὑπὸ πρώτων νομισθῆναι τῶν Στωϊκῶν ὥς τινες οἴονται. καὶ γὰρ Πλάτων ἐν τοῖς νόμοις, ὡς θεὸς μὲν πάντα, καὶ μετὰ θεοῦ φησι τύχη καὶ καιρὸς, τὰ ἀνθρώπινα διακυβερνῶσι ξύμπαντα. τὸ δὲ καὶ τινὰς τῶν πολέων τύχας τιμᾶν, καὶ ναοὺς

οἰκοδομεῖν, ὕστερον ἔοικε νομισθῆναι. οὐ γὰρ ἔχομεν παρὰ τοῖς παλαιοῖς τυχῶν πόλεων ἱδρυμένα, ἢ ἑορτὰς ἀναγεγραμμένας. καίτοι τὸ τῆς τύχης ὄνομα καὶ παρὰ τοῖς παλαιοῖς τιμώμενον ἴσμεν. ἐν Δελφοῖς δὲ καὶ προκατῆρχεν ἐν ταῖς ἐρωτήσεσιν, ὦ τύχη καὶ λοξία τῷδέ τινι θεμιστεύεις. καὶ παρ' Ὀρφεῖ δὲ μνήμης τετύχηκεν. εἰ οὖν οἱ μὲν τῶν θειοτέρων ἐν τῷ παντὶ σωμάτων τὴν αἰτίαν τῆς τύχης ἐξῆψαν, κἂν οὐ προσεποιήθησαν ὡς οὖσάν τι τὴν τύχην, οἱ δὲ τοῦ ὀνόματος ἐμνήσθησαν, κἂν μὴ ἐποιήσαντο περὶ αὐτῆς λόγον, οἱ δὲ καὶ θεῖόν τι ὑπέλαβον αὐτήν, διὰ πάντα ταῦτα δῆλον γέγονεν ὅτι ἐστί. καὶ ζητεῖν ἄξιον τί ἐστιν ἡ τύχη καὶ τὸ αὐτόματον. καὶ εἰ ἕτερα ἀλλήλων. καὶ πῶς εἰς τὰ διωρισμένα αἴτια ἐμπίπτουσι. τουτέστι πότερον τῶν ὑλικῶν ἢ τῶν εἰδικῶν ἐστιν αἴτιον. ἢ μᾶλλον τῶν ποιητικῶν ἢ τελικῶν. καὶ πότερον τῶν καθ' αὑτὰ ἢ τῶν κατὰ συμβεβηκός.

ΠΡΩΤΟΝ μὲν οὖν ἐπειδὴ ὁρῶμεν τὰ μὲν ἀεὶ ὡσαύτως γινόμενα. τὰ δὲ, ὡς ἐπὶ τὸ πολύ, φανερὸν ὅτι οὐδετέρου τούτων αἰτία ἡ τύχη λέγεται, οὐδὲ τὸ ἀπὸ τύχης. οὔτε τοῦ ἐξ ἀνάγκης καὶ ἀεί. οὔτε τοῦ, ὡς ἐπὶ τὸ πολύ. ἀλλ' ἐπειδὴ τινὰ γίγνεται καὶ παρὰ ταῦτα, καὶ πάντες ταῦτά φασιν εἶναι ἀπὸ τύχης, φανερὸν ὅτι ἐστί τι ἡ τύχη καὶ τὸ αὐτόματον. τά τε γὰρ τοιαῦτα, ἀπὸ τύχης, καὶ τὰ ἀπὸ τύχης τοιαῦτα ὄντα ἴσμεν. τῶν δὲ γιγνομένων, τὰ μὲν ἕνεκά του γίγνεται, τὰ δ' οὔ. τούτων δὲ, τὰ μὲν κατὰ προαίρεσιν, τὰ δ' οὐ κατὰ προαίρεσιν, ἄμφω δ' ἐν τοῖς ἕνεκά του. ὥστε δῆλον ὅτι καὶ ἐν τοῖς παρὰ τὸ ἀναγκαῖον καὶ τὸ ὡς ἐπὶ τὸ πολύ ἐστιν ἔνια περὶ ἃ ἐνδέχεται ὑπάρχειν, τὸ, ἕνεκά του. ἔστι δὲ ἕνεκά του, ὅσα τε ἀπὸ διανοίας ἂν πραχθείη, καὶ ὅσα ἀπὸ φύσεως. τὰ δὴ τοιαῦτα ὅταν κατὰ συμβεβηκὸς γένηται, ἀπὸ τύχης φαμὲν εἶναι. ὥσπερ γὰρ καὶ ὄν ἐστι, τὸ μὲν, καθ' αὑτό. τὸ δὲ, κατὰ συμβεβηκὸς, οὕτω καὶ αἴτιον ἐνδέχεται εἶναι. οἷον οἰκίας, καθ' αὑτὸ μὲν αἴτιον, τὸ οἰκοδομικόν. κατὰ συμβεβηκὸς δὲ, τὸ λευκὸν, ἢ τὸ μουσικόν. τὸ μὲν οὖν καθ' αὑτὸ αἴτιον ὡρισμένον. τὸ δὲ κατὰ συμβεβηκὸς, ἀόριστον. ἄπειρα γὰρ ἂν τῷ ἑνὶ συμβαίη. καθάπερ οὖν ἐλέχθη ὅταν ἐν τοῖς ἕνεκά του γιγνομένοις τοῦτο γένηται, τότε λέγεται ἀπὸ ταυτομάτου καὶ ἀπὸ τύχης. αὐτῶν δὲ πρὸς ἄλληλα τὴν διαφορὰν τούτων, ὕστερον διοριστέον. νῦν δὲ τοῦτο ἔστω φανερὸν, ὅτι ἄμφω ἐν τοῖς ἕνεκά του ἐστίν. οἷον ἕνεκα τοῦ ἀπολαβεῖν τὸ ἀργύριον, ἦλθεν ἄν, κομιζόμενος τὸν ἔρανον εἰ ᾔδει. ἦλθεν δὲ οὐ τούτου ἕνεκα. ἀλλὰ συνέβη ἐλθεῖν, καὶ ποιῆσαι τοῦτο, τοῦ κομίσασθαι ἕνεκα. τοῦτο δὲ οὔτε ἐπὶ τὸ πολὺ φοιτῶντος εἰς τὸ χωρίον, οὔτε ἐξ ἀνάγκης. ἔστι δὲ τὸ τέλος ἡ κομιδή, οὐ τῶν ἐν αὑτῷ αἰτίων, ἀλλὰ τῶν προαιρετῶν καὶ ἀπὸ διανοίας. καὶ λέγεταί γε τότε ἀπὸ τύχης ἐλθεῖν. εἰ δὲ προελόμενος, καὶ τούτου ἕνεκα, ἢ ἀεὶ φοιτῶν, ἢ ὡς ἐπὶ τὸ πολὺ κομιζόμενος, οὐκ ἀπὸ τύχης. δῆλον ἄρα ὅτι ἡ τύχη αἰτία κατὰ συμβεβηκὸς ἐν τοῖς κατὰ προαίρεσιν, τῶν ἕνεκά του. διὸ περὶ τὸ αὐτὸ διάνοια καὶ τύχη. ἡ γὰρ προαίρεσις, οὐκ ἄνευ διανοίας.

Περὶ τύχης καὶ αὐτομάτου προθέμενος εἰπεῖν, καὶ πρῶτον τὸ εἰ ἔστιν ἢ μὴ ἔστι προβαλλόμενος ζητεῖν, καὶ δείξας ὅτι ἔστιν ἀπὸ τῆς πάντων κοινῆς μαρτυρίας, οὐ μόνον ἐκ τοῦ θεῖον ἢ δαιμόνιον αὐτὴν λεγόντων αἴτιον, καὶ ἐκ τῶν μνημονευσάντων τῆς τύχης ὡς αἰτίας, κἂν μὴ διήρθρωσάν τι περὶ αὐτῆς, ἀλλὰ καὶ ἐκ τῶν ἀνελεῖν αὐτὴν πειραθέντων, καὶ γὰρ καὶ οὗτοι βεβαιοῦντες μᾶλλον τὴν τύχην ἐφάνησαν, ὥρμησε μὲν ἐπὶ τὰ ἑξῆς προβλήματα, τί τέ ἐστιν ἑκάτερον εἰς ζήτησιν προβαλλόμενος, καὶ τί διαφέρετον ἀλλήλοιν, καὶ πῶς εἰς τὰ διωρισμένα αἴτια ἀναχθήσονται. ἐπιχειρήματι δὲ πρῶτον χρῆται, ἅμα μὲν πάλιν ὅτι ἔστιν ἡ τύχη καὶ τὸ αὐτόματον, οὐ μόνον ἀπὸ τῆς κοινῆς μαρτυρίας, ἀλλὰ καὶ ἀπὸ τῶν πραγμάτων δεικνύς, συμπεραινόμενος γοῦν τοῦτον τὸν λόγον, φησὶν, ὅτι ἔστιν ἡ τύχη καὶ τὸ αὐτόματον, ἅμα δὲ καὶ τῇ ἀποδείξει τῇ περὶ τοῦ τί ἐστιν ἀρχὴν παρεχόμενος. ὁ δὲ λόγος οἶμαι τοιοῦτος αὐτῷ γέγονε. λαβὼν ὁμολογούμενον τὸ γινόμενον, ὑπό τινος αἰτίας τοῦ εἶναι πάντως καὶ τὸ ποιοῦν αἴτιον αὐτοῦ, δείκνυσιν ὅτι τὰ ὡς ἐπ' ἔλαττον ὄντα, καὶ ἔστιν ἐν τῇ φύσει τῶν ὄντων, καὶ ἀπὸ τύχης καὶ ἐκ ταυτομάτου γίνονται. εἰ οὖν τὰ ὡς ἐπ' ἔλαττον γινόμενα ἔστιν ἐν τῇ φύσει, καὶ ἀπὸ τύχης καὶ ἐκ ταυτομάτου, φανερὸν ὅτι ἔστιν ἡ τύχη καὶ τὸ αὐτόματον. καὶ ὅτι μὲν ἐστι τὰ ἐπ' ἔλαττον γινόμενα, δείκνυσιν ἐκ τῆς τῶν γινομένων διαιρέσεως. οὐ γὰρ δὴ ἐν τοῖς ἀγενήτοις εἴη ἂν τὸ ἐπ' ἔλαττον γινόμενον. τῶν γὰρ γινομένων τὰ μὲν, ἀεὶ ὡσαύτως γίνεται. ὥσπερ τὸ ἀνατέλλειν καὶ δύειν τὸν ἥλιον. τὰ δὲ οὐκ ἀεὶ ὡσαύτως. τούτων δὲ τὰ μὲν, ὡς ἐπὶ τὸ πολύ. ὡς τὰ κατὰ φύσιν ἐν τοῖς ὑπὸ σελήνην γινομένοις. τὸ ἄνθρωπον ἐξ ἀνθρώπου. καὶ ἵππον ἐξ ἵππου. ἢ τὸ τὸν ἕνεκά του προϊόντα εἰς ἀγορὰν, ἐκεῖνο τυγχάνειν οὗ ἕνεκα προῆλθεν. τὰ δὲ, οὐχ ὡς ἐπὶ τὸ πολὺ, ἀλλ' ἢ ἐπίσης ἢ ἐπ' ἔλαττον. καὶ τὸ ἐπίσης δὲ ἐπ' ἔλαττόν ἐστι, τῶν τε ἀεὶ καὶ τῶν ὡς ἐπὶ τὸ πολύ. καὶ διὰ τοῦτο τὸ οἶμαι καὶ Ἀριστοτέλης, τό τε ἐπίσης καὶ τὸ ὡς ἐπ' ἔλαττον. κοινῶς παρὰ τὸ ὡς ἐπὶ τὸ πολὺ διετέλεσε λέγων. ὅτι δὲ τὰ παρὰ τὸ ὡς ἐπὶ τὸ πολὺ ἀπὸ τύχης καὶ ἐκ ταυτομάτου γίνεται, δῆλον ἐκ τοῦ πάντας μὴ μόνον λέγειν ἀλλὰ καὶ γινώσκειν, ὅτι τὰ τοιαῦτα ἀπὸ τύχης γίνεται. καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ τὸ ἀντίστροφον, ὅτι τὰ ἀπὸ τύχης γινόμενα τοιαῦτά ἐστιν. οὔτε γὰρ ἐν τοῖς ἀγενήτοις τοῖς ὄντως οὖσιν ἡ τύχη, οὐδεὶς γὰρ τὸν νοῦν ἢ ὅλως τὰ ἀκίνητα αἴτια ἀπὸ τύχης φη-

σιν. οὔτε ἐν τοῖς γινομένοις μὲν, ἀεὶ δὲ ὡσαύτως γινομένοις. οὔτε ἐν τοῖς ὡς ἐπὶ τὸ πολὺ γινομένοις, ἀλλ'
ἐν τοῖς ἐπ' ἔλαττον. διὸ ταῦτα δείξας ὄντα, ὅτι ἔστιν ἡ τύχη συνήγαγε, καὶ ὅτι ἐν τούτοις. καὶ γὰρ
καὶ τῶν τεχναστῶν καὶ τῶν φυσικῶν ἐν τοῖς ἐλλείμμασιν ἐστὶν ἡ τύχη. διὸ ἐπὶ ἰατρικῆς, οὗ μὴ διϊκνεῖ-
ται ἡ τέχνη, ἐνταῦθα παρεισδύεται ἡ τύχη. διὸ παρὰ μὲν τοῖς φαύλοις τεχνίταις πολὺ τὸ ἀπὸ
τύχης, παρὰ δὲ τοῖς ἀρίστοις ἐλάχιστον. καὶ τῶν τεχνῶν ἐν ταῖς μάλιστα ἀπηκριβωμέναις. τῶν δὲ κα-
τὰ φύσιν, ἐν μὲν τοῖς πρώτοις καὶ τιμιωτάτοις οὐκ ἔστιν. ἀεὶ γὰρ κατὰ φύσιν ἔχουσι καὶ ὡσαύτως.
ἐν δὲ τοῖς γινομένοις καὶ φθειρομένοις, καθόσον ἐλλείπει ἡ φύσις, καὶ ᾗ ἐλλείπει. δῆλον δὲ ὅτι μήπω
διακρίνας τὴν τύχην καὶ τὸ αὐτόματον, τὴν τύχην μόνην ὀνομάζει, καὶ περὶ ἀμφοτέρων ποιεῖ-
ται τὸν λόγον. δοκεῖ δὲ καὶ ἐνταῦθα ἀπὸ τῆς τῶν πολλῶν μαρτυρίας κατασκευάζειν τὸν λόγον,
εἰπὼν καὶ ταῦτα πάντες φασὶν εἶναι ἀπὸ τύχης. ἀλλ' ὡς ἐναργοῦς ὄντος εἶπε νῦν. διὸ καὶ ἐπήγα-
γε, τῶν δὲ γινομένων τὰ μὲν, ἕνεκά του γίνεται, τὰ δὲ, οὔ. καὶ ἐκ τοῦ εἶναι τὰ ἐπ' ἔλαττον, καὶ ἐκ τοῦ
περὶ ταῦτα τὴν τύχην εἶναι καὶ τὸ αὐτόματον, δείξας ὅτι ἔστι ταῦτα, ἐφεξῆς λοιπὸν τὸν τρόπον
προστιθεὶς, καθ' ὃν ἡ τύχη τούτων αἰτία καὶ τὸ αὐτόματον, ὅτι ὡς ἐν τοῖς κατὰ προαίρεσιν καὶ φύσιν
γινομένοις παρυφισταμένη κατὰ συμβεβηκὸς, οὕτως αἰτία ἐστὶν, ἐκ τούτου καὶ τὸ τί ἐστι δείκνυσι.
πρὸς μὲν γὰρ τὸ εἰ ἔστιν, ἤρκει τὸ εἶναι τὰ αἴτια τα. πρὸς δὲ τὸ τίνα τὰ αἴτια ἐστὶ, χρεία τοῦ τρόπου τῆς
τῶν αἰτιατῶν ὑποστάσεως. διελὼν οὖν πάλιν τὰ γινόμενα πάντα κατὰ ἐπιδιαίρεσιν, εἴς τε τὰ ἕ-
νεκά του γινόμενα καὶ τὰ μὴ τοιαῦτα, πολλὰ γὰρ καὶ ἀσκόπως γίνεται, ὡς διὰ συνήθειαν κακὴν
τινὲς τὰς τρίχας ἐκτίλλουσιν, ἢ τοὺς ἑαυτῶν ὄνυχας μηδὲν ηὐξημένους τοῖς ὀδοῦσιν ἀποκόπτουσιν, ἢ
τὰς ῥῖνας ψηλαφῶσιν, ὅταν ἐπὶ μηδὲν τὴν ἀναφορὰν ἔχῃ γινόμενα, καὶ εἰπὼν τίνα ἐστὶ τὰ ἕνεκά
του, ὅτι τὰ κατὰ προαίρεσιν, οἷα καὶ τὰ κατὰ τέχνην καὶ τὰ κατὰ φύσιν, καὶ γὰρ ἡ προαίρεσις ἕ-
νεκά του ποιεῖ, καὶ ἡ φύσις, ὡς προϊὼν διὰ πολλῶν δείξει, καὶ οὐκ ἔστιν ἡ προαίρεσις διὰ τῆς τέ-
χνης, ὡς ἐν τοῖς τοπικοῖς καὶ τοῖς ἠθικοῖς εἴρηται, ἐπάγει καλῶς, ὅτι τὰ ἕνεκά του εἰσὶν, ὅσα ἂν
ἀπὸ διανοίας πραχθῇ, ἢ ὅσα ἀπὸ φύσεως, κἂν μὴ οὕτως ἐπράχθη, ἠδύνατο δὲ πραχθῆναι οὕτως.
διὸ τὸ ἀπελθεῖν εἰς ἀγορὰν, καὶ τὸ ἀπολαβεῖν τὸ χρέος, ἕνεκά του δυνατὸν ἦν. κἂν μὴ τούτου οὖν ἕνε-
κα ἀπῆλθεν, ἐν τοῖς ἕνεκά του λέγεται εἶναι ἡ ἀπόληψις. τοιούτων οὖν ὄντων τῶν ἕνεκά του, ἀμ-
φω ἥ τε τύχη καὶ τὸ αὐτόματον ἐν τοῖς ἕνεκά του. εἰ οὖν καὶ πρότερον δέδεικται ὅτι ἡ τύχη καὶ τὸ
αὐτόματον ἐν τοῖς ἐπ' ἔλαττον, συνάγεται ἐν τρίτῳ σχήματι, τὸ τινὰ τῶν ὡς ἐπ' ἔλαττον ἕνεκά του
γίνεσθαι. ὅπερ ἐσήμαινεν αὐτὸς διὰ τοῦ ὥστε δῆλον εἶναι, ὅτι καὶ ἐν τοῖς παρὰ τὸ ἀναγκαῖον καὶ τὸ
ὡς ἐπὶ τὸ πολὺ, ἔστιν ἔνια περὶ ἃ ἐνδέχεται ὑπάρχειν τὸ ἕνεκά του. καὶ τὸ ὥστε δῆλον ὅτι συμπερα-
σματικὸν εἰπὼν, ἐπήγαγεν ὅτι τὰ τοιαῦτα ἀποτελέσματα ἐν τοῖς ἐπ' ἔλαττον ἕνεκά του, ὅταν
κατὰ συμβεβηκὸς γένηται, ἀπὸ τύχης φαμὲν εἶναι. καὶ ὅτι μὲν τὰ ἕνεκά του ἔλαβεν, οὐ πάντως
ἃ ἕνεκά του πράττομεν, ἀλλὰ τὰ δυνάμενα ἕνεκά του πραχθῆναι, δῆλον πεποίηκε μετ' ὀλίγον λέ-
γων αὐτὸς, νῦν δὲ τοῦτο ἔστω φανερὸν, ὅτι ἄμφω ἐν τοῖς ἕνεκά του ἐστίν. διὸ εἰ ἕνεκα τοῦ ἀπολαβεῖν τὸ
ἀργύριον ἦλθεν ἂν κομιζόμενος τὸν ἔρανον εἰ ᾔδει. ἦλθε δὲ οὐ τούτου ἕνεκα. συνέβη δὲ ἐλθεῖν καὶ ποιῆ-
σαι τοῦτο, τοῦ κομίσασθαι ἕνεκα. τοῦτο δέ φησιν Ἀλέξανδρος οὐ τὸ ἀπὸ τύχης ἁπλῶς, ἀλλ' ἀγαθῆς
τύχης ἐστὶ παράδειγμα. ὅτι δὲ καὶ τὸ ἄμφω δὲ ἐν τοῖς ἕνεκά του τὸ πρότερον εἰρημένον, οὐ περὶ τῶν
κατὰ προαίρεσιν εἴρηται, ὥς τινες ὑπέλαβον, ἀλλὰ περὶ τῆς τύχης καὶ τοῦ αὐτομάτου, δηλοῖ τὸ ἐν
τῇ προσεχῶς ἐκτεθείσῃ ῥήσει, διὰ τῶν αὐτῶν συλλαβῶν προαχθέν. νῦν δέ φησι τοῦτο ἔστω φανερὸν
ὅτι ἄμφω ἐν τοῖς ἕνεκά του ἐστὶν, τὰ περὶ ὧν ἦν ὁ λόγος. ἦν δὲ περὶ τῆς τύχης καὶ τοῦ αὐτομάτου.
ὧν τὴν διαφορὰν ὕστερον δεικνύειν ἐπηγγείλατο. ἀλλὰ καὶ εἴ τις ἐπὶ τῶν κατὰ προαίρεσιν καὶ μὴ, τοῦ-
το ἤκουσεν, οὐκ ἠκολούθει τὸ ἐπαχθὲν συμπέρασμα. οὐ γὰρ ἐκ τοῦ τὰ ἀπὸ τύχης ἐν τοῖς ἕνεκά του,
ἀκολουθεῖ τὸ εἰρημένον συμπέρασμα. οὐ γὰρ ἕξει συνάφειαν ὁ λόγος. εἰκότως δὲ δείξεως ἠξίωσε, τὸ
ἔν τισι τῶν ἐπ' ἔλαττον ὑπάρχειν τὸ ἕνεκά του. διότι τὰ ἐπ' ἔλαττον ἄσκοπα ἂν ἔδοξέ τισι. καὶ μὴ
δειχθέντος τούτου, οὐ συνήγετο, ὅτι τὰ ἀπὸ τύχης ἐν τοῖς ἐπ' ἔλαττον ἕνεκά του ἐστίν. ὁ δὲ Εὔδημος
οὕτω δείκνυσιν, ὅτι ἡ τύχη ἐν τοῖς ἕνεκά του. ἐν οἷς φησι τὸ ἀτυχεῖν καὶ τὸ εὐτυχεῖν, ἐν τούτοις ἐστὶν ἡ
τύχη. ταῦτα δὲ ἐν οἷς ἀγαθοῦ ἐπίτευξις καὶ ἀπότευξις. καὶ τὸ ἕνεκά του. πᾶς γὰρ ὁ ἕνεκά του πράτ-
των, ἀγαθοῦ ἐφίεται. ὁ δὲ λόγος οὗτος τὴν τύχην μόνην ἐν τοῖς ἕνεκά του τέθεικεν, οὐκέτι δὲ καὶ τὸ
αὐτόματον. ὅταν δὲ τὰ ἕνεκά του γινόμενα, ταῦτα δέ ἐστι τά τε ἀπὸ διανοίας καὶ τὰ ἀπὸ φύσεως,
ἐν τοῖς ἐπ' ἔλαττον κατὰ συμβεβηκὸς γένηταί τινος αἴτια, τότε τὰ γινόμενα ἀπὸ τύχης τε καὶ ἐκ
ταὐτομάτου φαμὲν γίνεσθαι. τὸ δὲ ἕνεκά του θεωρεῖται, οὐχ ὅτι ἕνεκά του ἐγένετο ἡ πρόοδος, διὰ
τοῦ ἀγοράσαι ὡς Πορφύριος φησίν. ἀλλ' ὅτι καὶ τούτου ἂν ἕνεκα τοῦ τέλους ἐγένετο. ἦλθε γὰρ ἄν φησι
κομιζόμενος τὸν ἔρανον εἰ ᾔδει. κατὰ συμβεβηκὸς δὲ γίνεται αἴτια τὰ ἀπὸ διανοίας καὶ ἀπὸ φύσεως,
ὅταν μὴ ὧν χάριν γίνεται ταῦτα γίνηται, ἀλλά τινα ἄλλα. διὸ προέρχομαι μὲν διὰ τὸ ἀγοράσαι.
περιτυχὼν δὲ τῷ χρεώστῃ, ἀπέλαβεν τὸ χρέος. καὶ καταφέρεται μὲν ὁ λίθος, διὰ τὸ καταλαβεῖν

τὴν οἰκείαν ὁλότητα. κατὰ κεφαλῆς δέ τινος ἐνεχθεὶς, ἐτραυμάτισεν. ἢ τοιῶσδε πεσὼν βάθρον ἐγένετο. εἰπὼν δὲ τὰ ἀπὸ διανοίας καὶ φύσεως, διὰ τὴν πρόσοδον ἢ τὴν πτῶσιν, ὅταν κατὰ συμβεβηκὸς αἴτια γένηται τινὸς, τότε τὰ ἀπ᾽ αὐτῶν γινόμενα ἀπὸ τύχης καὶ ἐκ ταυτομάτου λέγεται γίνεσθαι διότι οὐ κατὰ τὸν ἐκείνου ἐγένετο λόγον, εἰκότως ἐφεξῆς δείκνυσιν, ὅτι ἔστιν ὅλως τινὰ κατὰ συμβεβηκὸς αἴτια. ὅπερ εἶπε μὲν καὶ πρότερον. ὑπομιμνήσκει δὲ καὶ νῦν διὰ τοῦ τῆς οἰκίας παραδείγματος. ἧς καθ᾽ αὑτὸ μὲν αἴτιον ἡ τέχνη, ἡ οἰκοδομητικὴ, καὶ ὁ κατ᾽ αὐτὴν τεχνίτης. κατὰ συμβεβηκὸς δὲ ὁ λευκὸς ἢ ὁ μουσικός. ὡς γὰρ ὂν φησι τὸ μέν ἐστι καθ᾽ αὑτὸ, τὸ δὲ κατὰ συμβεβηκὸς, λέγει δὲ ὂν καθ᾽ αὑτὸ μὲν τὴν οὐσίαν, κατὰ συμβεβηκὸς δὲ τὰ τῇ οὐσίᾳ συμβεβηκότα. οὕτω καὶ τὸ αἴτιον τὸ μέν ἐστι καθ᾽ αὑτὸ, τὸ δὲ κατὰ συμβεβηκὸς, ὥς φησιν ὁ Ἀλέξανδρος. μήποτε δὲ καὶ ἁπλοϊκώτερον ἀκουστέον, τὸ ὄν. πᾶν τὸ αἰτιατόν. ἵνα ᾖ λέγων, ὡς αἰτιατὸν τὸ μὲν καθ᾽ αὑτὸ, τὸ δὲ κατὰ συμβεβηκὸς, οὕτω καὶ αἴτιον. καὶ γὰρ αἱ παρὰ τὴν οὐσίαν κατηγορίαι, συμβεβηκότα μέν εἰσιν, ὡς ἀεὶ ἐν τῇ οὐσίᾳ, οὐ κατὰ συμβεβηκὸς δὲ ἀεὶ ὑπάρχουσι. διαφέρει δὲ τῶν ἄλλων τῶν κατὰ συμβεβηκὸς αἰτίων ἡ τύχη, διότι ἐκείνων μὲν ἕκαστον κατὰ συμβεβηκὸς αἴτιον λέγεται, διότι ἐν τῷ καθ᾽ αὑτὸ αἰτίῳ συμβέβηκεν. διὸ τὸ λευκὸν κατὰ συμβεβηκὸς αἴτιον τῆς οἰκίας, ὅτι τῷ καθ᾽ αὑτὸ αἰτίῳ τῆς οἰκίας τῷ οἰκοδόμῳ συμβέβηκε τὸ λευκὸν εἶναι. ἐπὶ δὲ τῆς τύχης ἡ αὐτὴ πρᾶξις καὶ μία, ἄλλου μὲν καθ᾽ αὑτήν αἰτία, ἄλλου δὲ κατὰ συμβεβηκός. τὸ γὰρ ὀρύξαι τοῦ μὲν φυτεῦσαι καθ᾽ αὑτὸ αἴτιον, τοῦ δὲ τὸν θησαυρὸν εὑρεῖν κατὰ συμβεβηκὸς ἐστὶν αἴτιον. διὸ ἐκεῖ μὲν ἐν τοῖς αἰτίοις ἡ διαφορά. τὸ μὲν γὰρ καθ᾽ αὑτὸ, τὸ δὲ, κατὰ συμβεβηκός. ἐνταῦθα δὲ τὸ μὲν αἴτιον τὸ αὐτὸ, τὰ δὲ τέλη διάφορα, τὸ μὲν, καθ᾽ αὑτὸ ἀκόλουθον, τὸ δὲ, κατὰ συμβεβηκός. μήποτε δὲ καὶ τὸ αἴτιον κἂν τὸ αὐτὸ δοκῇ εἶναι, διὰ τὸ ὀρύξαι, ἀλλ᾽ ἄλλως μὲν τοῦ φυτεῦσαι ὡς καθ᾽ αὑτὸ αἴτιον, ἄλλως δὲ τοῦ θησαυρὸν εὑρεῖν ὡς κατὰ συμβεβηκός. τὸ δὲ κατὰ συμβεβηκὸς ἐνταῦθα οὐκ ἐπὶ τοῦ ποιητικοῦ μόνου αἰτίου θεωρεῖται, ὡς ἐπὶ τῶν ἄλλων, ἀλλὰ καὶ ἐπὶ τοῦ τέλους. ὡς γὰρ τὸ ὀρύξαι ἐπὶ φυτείᾳ εἰ τύχοι, κατὰ συμβεβηκὸς αἴτιόν ἐστι τοῦ θησαυρὸν εὑρεῖν, οὕτω καὶ τὸ εὑρεῖν τέλος ἐστὶ συμβεβηκὸς τοῦ ἐπὶ φυτείᾳ ὀρύξαι. καὶ τὸ μὲν τέλος κατὰ συμβεβηκὸς, ἀπὸ τύχης λέγεται. τὸ δὲ τῷ ποιητικῷ συμβεβηκὸς, τύχη. ἔχει μέντοι γε τὸ ἀόριστον οὐδὲν ἧττον, εἰ μὴ καὶ μᾶλλον τῶν ἄλλων τῶν κατὰ συμβεβηκὸς αἰτίων ἡ τύχη. τὸ γὰρ εὑρεῖν τὸν θησαυρὸν, πολλοῖς ἂν καὶ ἀπείροις αἰτίοις ἐπισυμβαίνοι, ἄλλου τινὸς χάριν γινομένοις. καὶ γὰρ ὀρύττει τις, καὶ τοῦ φυτεῦσαι χάριν, καὶ τοῦ θεμέλιον καταβαλεῖν, καὶ ὕδωρ εὑρεῖν, ἢ διοχετεῦσαι, ἢ σιρὸν, ἢ τάφρον ποιῆσαι, καὶ μυρίων ἄλλων ἕνεκεν. ὡς εἴγε μὴ ἀόριστον ἀλλὰ τεταγμένον εἴη τὸ γινόμενον, οὐκέτι ἀπὸ τύχης τοῦτο, οὐδὲ τὸ ποιοῦν τύχη. ἔοικε δὲ καὶ ὁ Δημόκριτος καίτοι διαφερόμενος, συμφέρεσθαι ταῖς περὶ τύχης ἐννοίαις. φησὶ γὰρ οὐκ ἀπὸ τύχης εὑρεῖν τὸν θησαυρὸν. ἀλλ᾽ ὅτι ὤρυττε φυτεῦσαι, ἢ ὕδωρ εὑρεῖν, ἢ ἄλλό τι τοιοῦτον, ἐφ᾽ ὧν ἂν εὗρεν. καὶ ἕκαστον τούτων ὡσαύτως αἴτιον ἂν εἴη καὶ γένοιτο, ὧν γένοιτο ἂν αἴτιον. πολλῶν οὖν ὄντων κατὰ τὸν Δημόκριτον, ἀόριστος ἂν εἴη ἡ αἰτία καὶ οὕτως, καὶ οὐ καθ᾽ αὑτὴν ἀλλὰ κατὰ συμβεβηκός. σύμπτωμα γάρ ἐστιν ἑτέρων τινῶν, ὧν χάριν ἡ ὄρυξις. εἰ οὖν ἀόριστόν τί ἐστι τὸ ἀπὸ τύχης, καὶ ἡ τύχη ἀόριστος, δηλονότι οὔτε ἐν τοῖς ἀγενήτοις ἂν εἴη, τοῖς ἀεὶ κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως τὸ ἀκίνητον ἔχουσι καὶ ἀμετάβλητον, οὔτε ἐν τοῖς γινομένοις μὲν, ἀναγκαίως δὲ γινομένοις. ἀλλ᾽ οὐδὲ ἐν τοῖς ὡς ἐπὶ τὸ πολύ. καὶ γὰρ καὶ ταῦτα ὥρισται μᾶλλον. ἀλλ᾽ ἐν τοῖς ἐπ᾽ ἔλαττον. καὶ εἰ παρακολούθημα τινός ἐστι προηγουμένης κινήσεως, πᾶσα δὲ κίνησις ἐν τοῖς ὡς ἐπὶ τὸ πολὺ, ἢ ἀπὸ διανοίας ἐστὶν ἢ ἀπὸ φύσεως, ἑκάτερα δὲ τούτων ἕνεκά του γίνεται, πάντως εἰκότως ἐν τοῖς ἕνεκά του γινομένοις ἐτάχθη, οὐ τοῖς καθ᾽ αὑτὸ, ἀλλὰ τοῖς κατὰ συμβεβηκὸς, εἴπερ ἀόριστά ἐστιν. ὡς γὰρ τὰ καθ᾽ αὑτὰ αἴτια ὡρισμένα, οὕτω τὰ κατὰ συμβεβηκὸς ἀόριστα. ὁ μὲν γὰρ οἰκοδόμος ὡρισμένως τῆς οἰκίας αἴτιος. τῶν δὲ κατὰ συμβεβηκὸς οὐδὲν μᾶλλον ὁ λευκὸς ἢ ὁ μουσικός. ὥστ᾽ εἰ μὲν τὰ καθ᾽ αὑτά τις αἴτια μόνα εἶναι νομίζοι, οὐδὲν ἂν γένοιτο ἀπὸ τύχης. εἰ δὲ κατὰ συμβεβηκὸς παραδέχοιτο, γένοιτο ἄν τι καὶ ἀπὸ τύχης. ὁποῖον δὲ τοῦτο ἐστὶν, ἐδήλωσε διὰ τοῦ παραδείγματος. ὃ γὰρ ἐπηκολούθησε πράξει τινὶ, ἥτις ἐπράχθη μὲν ἂν καὶ διὰ τὸ ἀκολουθῆσαν, οὐ μέντοι τότε διὰ τοῦτο ἐπράχθη, τοῦτο ἀπὸ τύχης εἶναί φαμεν. καὶ γὰρ προῆλθεν ἄν τις ἐπὶ τῷ τὸ χρέος ἀπολαβεῖν. ἀλλ᾽ εἰ διὰ τοῦτο προελθὼν ἀπολάβοι, οὐ κατὰ τύχην ἀπέλαβεν. ἀλλ᾽ ὅταν ἄλλου ἕνεκα προελθὼν, εὕροι τὸν χρεώστην κομιζόμενον τὸν ἔρανον, καὶ ἀπολάβοι τὸ ἀργύριον. τοῦτο δὲ τὸ παράδειγμα οὐχ ἁπλῶς τύχης ἐστὶν, ἀλλ᾽ ἀγαθῆς. ὅταν γὰρ ἀπαντήσῃ τῇ πράξει τῇ κατὰ προαίρεσιν γινομένῃ τέλος τοιοῦτον, δι᾽ ὃ κἂν προηγουμένως ἐπράχθη ἡ πρᾶξις, δῆλον ὡς βουλητὸν καὶ προαιρετὸν τὸ ἀπαντῆσαν. ἔστι δὲ ὅτε καὶ φαῦλόν τι καὶ ἀβούλητον ἀπαντᾷ, μὴ τούτου ἕνεκα πραττόντων ἢ πραξάντων ἂν, καὶ ἔστι τοῦτο ἀπὸ τύχης οὐδὲν ἔλατ-

τὸν ἐκείνου, καὶ τύχη τὸ αἴτιον, ἀλλὰ κακή. ἀπροαίρετον γὰρ καὶ φευκτὸν τὸ τέλος. καὶ εἴη ἂν φησὶν ἀλέξανδρος τύχης ὑπογραφή, τὸ τῷ κατὰ προαίρεσιν καὶ ἕνεκά του πραττομένῳ ἀπαντῆσαν, ἄλλο ὂν ἐκείνου, οὗ χάριν ἐπράττετο προηγουμένως κατὰ προαίρεσιν. τοῦτο δὲ οὐκ ἔστι τύχη, ἀλλ' ἀπὸ τύχης. ἡ δὲ τύχη ὡς αὐτὸς ἀριστοτέλης ὁρίζεται, αἰτία κατὰ συμβεβηκός ἐστιν ἐν τοῖς κατὰ προαίρεσιν. καὶ δῆλον ὅτι ποιητικὴ αἰτία ἐστὶν ἡ τύχη ὡς ῥηθήσεται. ἀλλὰ κατὰ συμβεβηκὸς ποιητική. ὥσπερ καὶ τὸ ἀπὸ τύχης τέλος κατὰ συμβεβηκός. δεῖ δέ φησι τοῦτο τὸ κατὰ συμβεβηκὸς αἴτιον γινόμενον τοῦ ἀπὸ τύχης, οἷον τὸ εἰς ἀγορὰν ἐλθεῖν, μήτε τῶν ἐξ ἀνάγκης εἶναι, μήτε τῶν ὡς ἐπὶ τὸ πολύ. τῷ γὰρ ἐξ ἀνάγκης ἢ ὡς ἐπὶ τὸ πολὺ καθ' ἡμέραν εἰς τὴν ἀγορὰν φοιτῶντι, τὸ ἀπαντῆσαι ποτὲ τὸν χρεώστην, οὐκ ἀπὸ τύχης ἐστίν. ἔδει γάρ ποτε καὶ τοῦτο ἀπαντῆσαι, καὶ ἦν εὔλογον. ἀλλ' εἰ σπανίως καὶ ἅπαξ που ἐπί τι ἄλλο προελθόντι ἀπήντησε, τότε ἀπὸ τύχης. καὶ εἰκότως τοῦτο προσέθηκε τῇ τοῦ ὁρισμοῦ συναγωγῇ, ἐπειδὴ ἐν τοῖς ἐπ' ἔλαττον ἔκειτο ἡ τύχη. τὸ δὲ τέλος φησίν, ὅπερ ἐστὶ τὸ ἀπὸ τύχης, οἷον ἡ κομιδὴ τοῦ ἀργυρίου, οὐ τῶν ἐν αὐτῷ αἰτίων, ἀλλὰ τῶν προαιρετῶν καὶ ἀπὸ διανοίας. οὐ γὰρ τῶν τοιούτων ἐστὶ τελικῶν αἰτίων τῶν ἐνυπαρχόντων, οἷά ἐστι τὰ τῶν φύσει γινομένων τέλη. ὧν χάριν τὰ πρὸ αὐτῶν ἐν αὐτῷ τῷ πράγματι γίνεται τῷ κατὰ φύσιν γινομένῳ. ἀλλ' ἔστι τῶν ἔξωθεν προσγινομένων. τοιαῦτα γὰρ τὰ ἀπὸ τύχης καὶ προαιρέσεως γινόμενα. οἶδε δὲ καὶ τοιαύτην γραφὴν ὁ ἀλέξανδρος, ἀλλὰ τῶν ἀπροαιρέτων καὶ οὐκ ἀπὸ διανοίας. κἂν οὕτως εἴη φησὶ γεγραμμένον, λέγοι ἂν τότε ἀπὸ τύχης εἶναι τὸ τέλος, ὅταν μὴ προελομένοις ἡμῖν, μὴ δὲ διανοηθεῖσι περὶ αὐτοῦ, μὴ δὲ τούτου χάριν τὰ πρὸ αὐτοῦ ποιήσασιν ἀπαντήσῃ. ἐπεὶ ὅτι γε τὸ ἀπὸ τύχης γινόμενον, τῶν ὑπὸ προαίρεσίν τε καὶ διάνοιαν πιπτόντων ἐστίν, ὀλίγῳ πρόσθεν εἴρηκε. δοκεῖ δὲ τῇ γραφῇ ταύτῃ καὶ τὸ ἐπαγόμενον συνᾴδειν, τό, εἰ δὲ προελομένου τούτου ἕνεκα. πρὸς γὰρ τὸ ἀπροαίρετον ἐπῆχθαι δοκεῖ, τό, εἰ δὲ προελόμενος. ἡ δὲ προτέρα γραφή, τὸ ἀπὸ τύχης τέλος ὁρίζει τοῦ φυσικοῦ. τὰ γὰρ φυσικὰ τέλη οὐκ ἔστι προαιρετὰ οὐδὲ ἔξωθεν, ἀλλ' ἐν αὐτοῖς τοῖς τὴν φύσιν ἔχουσιν. ἔστι μὲν γὰρ καὶ ἐν τοῖς φύσει γινομένοις, ταῖς ἄλλου χάριν γινομέναις φυσικαῖς κινήσεσι, μὴ τὸ οὗ χάριν, ἀλλά τι ἄλλο τέλος ἀπαντῆσαι. ὡς τὸ ἑξαδάκτυλον ἐπ' ἀνθρώπου ἢ βούπρωρον. ἀλλ' οὐκ ἀπὸ τύχης τὰ τοιαῦτα. φαμὲν δὲ ὅτι τὸ ἀπὸ τύχης ἐν τοῖς κατὰ προαίρεσιν ὑπαντᾷ, καὶ ἔξωθεν παραγίνεται, οὐκ ὂν ἡμῶν τι. τὸ γὰρ τὸ ὀφειλόμενον κομίσασθαι, οὐ φύσει τῷ κομιζομένῳ ἐνυπάρχει. οὐδὲ γὰρ τὸ προελέσθαι καὶ ἐλθεῖν εἰς τόνδε τὸν τόπον, φύσει. κἂν γὰρ φύσει προαιρετικὸς ἢ ὁ ἄνθρωπος, οὐ μὴν τὸ προαιρεῖσθαι τὸ δέ τι φυσικόν. δύναται δὲ καὶ οὕτως ἀκούεσθαι τὸ λεχθέν, ὅτι τὸ τέλος, ὅπερ ἐστὶ κομιδή, οὐ τῶν ἐν αὐτῷ αἰτίων ἀποτέλεσμα καὶ τέλος. ἔστι δὲ ἐν αὐτῷ αἴτιον ἡ φύσις. ἡ γὰρ φύσις ἀρχὴ κινήσεως, ἐν ᾧ ὑπάρχει πρώτως. ὥστε τὸ ἀπὸ τύχης γινόμενον, οὐκ ἔχει ποιητικὸν αἴτιον τὴν φύσιν, ἀλλὰ διάνοιαν καὶ προαίρεσιν. διὸ περὶ αὐτὸ διάνοια καὶ τύχη. περὶ γὰρ προαίρεσιν καὶ πρᾶξιν ἡ τύχη ὡς δειχθήσεται. ἡ δὲ προαίρεσις οὐκ ἄνευ διανοίας.

ΑΟΡΙΣΤΑ μὲν οὖν τὰ αἴτια ἀνάγκη εἶναι, ἀφ' ὧν ἂν γένοιτο τὸ ἀπὸ τύχης. ὅθεν δοκεῖ ἡ τύχη τοῦ ἀορίστου εἶναι καὶ ἄδηλος ἀνθρώπῳ.

Εἰπὼν τί ἐστιν ἡ τύχη, καὶ δι' ὁρισμοῦ παραδοὺς αὐτήν, ὃν ἐκ τῶν ἀποδεδειγμένων συνήγαγεν, ὅτι ἐστὶν ἡ τύχη αἰτία, ὅπερ ὡς γένος παρέλαβε, καὶ αἰτία κατὰ συμβεβηκός, ἐν τοῖς κατὰ προαίρεσιν τῶν ἕνεκά του, εἰ δὲ κατὰ συμβεβηκός, καὶ ἐπ' ἔλαττον, ταῦτα οὖν εἰπών, ἐφεξῆς οἶμαι βούλεται κατὰ τὸ σύνηθες συμψήφους ἑαυτῷ δεῖξαι, καὶ τοὺς ὁπωσοῦν περὶ τύχης λέγοντας. τοῦτο δὲ ποιεῖ, τὴν ἀποδεδομένην τῆς τύχης ἔννοιαν ἐφαρμόζουσαν τοῖς περὶ αὐτὴν λεγομένοις δεικνύς. καὶ γὰρ ὑπό τινων μὲν λέγεται αἰτία μέν. ἀλλὰ τοῦ ἀορίστου αἰτία ἡ τύχη. ὑπὸ δέ τινων μὴ δὲ εἶναι ὅλως αἰτία ἡ τύχη τῶν γινομένων. ὑπὸ δέ τινων εἶναι μέν, ἄδηλος δὲ ἀνθρωπίνῃ διανοίᾳ. λέγεται δέ, καὶ παράλογος ἡ τύχη πρός τινων. ταῦτα οὖν πάντα φησὶν ὀρθῶς λέγεται, καὶ συνᾴδει τοῖς παρ' ἡμῶν εἰρημένοις. ἐπειδὴ γὰρ κατὰ συμβεβηκὸς αἴτιον ἡ τύχη, τὰ δὲ κατὰ συμβεβηκὸς αἴτια ἀόριστα ἐστί, καὶ ταύτῃ τῶν καθ' αὑτὰ διαφέρει, καθὸ ἐπ' ἐκείνων ἐστὶν ὁρίσαντας εἰπεῖν, τόδε τοῦδε αἴτιον εἶναι, ἐπὶ δὲ τῶν κατὰ συμβεβηκὸς οὐκέτι. τοῦ γὰρ κομίσασθαι τὸ ἀργύριον, ἐλθόντα μὴ τούτου ἕνεκεν, ὅπερ ἀπὸ τύχης φαμέν, ἄπειρα τὰ αἴτια δύναται εἶναι. καὶ γὰρ ἰδεῖν τινὰ βουλόμενος, ἔλθοι ἄν. καὶ διώκων καὶ φεύγων. καὶ θέαν τινὰ ὀψόμενος. καὶ μυρία ὅσα αἴτια δύναται γίνεσθαι, τοῦ εἰς τόνδε ἐλθεῖν τὸν τόπον. ἅπερ πάντα κατὰ συμβεβηκὸς αἴτια γίνεται τοῦ κομίσασθαι τὸ ἀργύριον. καὶ οὐδὲν μᾶλλον τόδε τοῦδε. μόνον γὰρ καθ' αὑτὸ αἴτιον, τοῦ κομίσασθαι τὸ ἀργύριον ἐλθόντα εἰς ἀγοράν, τὸ τοῦδε χάριν ἐλθεῖν. μήποτε δέ φησιν ὁ ἀλέξανδρος οἰκειότερον ἔστι τοῖς προειρημένοις, τὸ διὰ τοῦτο λέγειν τὸ ἕνεκα τινὸς γινόμενον κατὰ συμβεβηκὸς αἴτιον εἶναι τούτου, οὗ

οὐκ ἐγένετο χάριν, ὅτι ἓν μὲν ἐστὶ τὸ οὗ χάριν γίνεται, ἄπειρα δὲ αὐτῷ ἀπαντῆσαι δύναται καὶ συμβῆναι τὰ ὧν χάριν οὐ γίνεται. ὧν ἐστὶ καὶ τὸ κομίσασθαι. οἰκειότερον δὲ τοῦτο φησὶ, διότι τοῦ ἀορίστου αἰτία εἴρηται ἡ τύχη. καὶ δῆλον δὲ ὅτι ἡ τοιαύτη ἐπιβολὴ, ἀόριστον τὸ ὡς τέλος αἴτιον λαμβάνει, ὅπερ ἐστὶ τὸ ἀπὸ τύχης. ὁ δὲ ἀριστοτέλης ἀόριστα αἴτια οὐ τὰ τελικὰ τῆς τύχης φησὶν, ἀλλὰ τὰ ὡς τὰ ποιητικά. ταῦτα γάρ ἐστι, τὰ ἀφ' ὧν γένοιτο ἂν τὰ ἀπὸ τύχης. καὶ πρὸς τοῦτο τὰ παραδείγματα ἐφεξῆς ἐπάγει, λέγων ἄπειρα τὸ πλῆθος τὰ κατὰ συμβεβηκὸς αἴτια ἐστὶ, τοῦ εἰς ἀγορὰν ἐλθόντα κομίσασθαι τὸ ἀργύριον. εἰ τοίνυν ἀόριστα τὰ αἴτια φησὶν ἐστὶν, ἀφ' ὧν γένοιτο ἂν τὸ ἀπὸ τύχης, εἰκότως ἀόριστος οὖσα ἡ τύχη, εἴπερ κατὰ τὰ ἀόριστα αἴτια θεωρεῖται, ἀορίστου τέλους αἰτία ἐστί τε καὶ λέγεται. εἰ δὲ καὶ τὸ ἀπὸ τύχης ἀόριστον, καὶ ἡ τύχη ἀόριστος, εἰκότως ἄδηλος ἐστὶν ἀνθρωπίνῃ διανοίᾳ. τὰ γὰρ ἀόριστα ἀπερίληπτα τῷ λογισμῷ ἐστὶν. ἐπιστῆσαι δὲ ἄξιον, ὅτι πρότερον ἄδηλον ἀνθρωπίνῃ διανοίᾳ τὴν τύχην ἔλεγε δοκεῖν τισιν, οὐ διὰ τὸ ἀόριστον, ἀλλὰ διὰ τὸ θεῖόν τι εἶναι ἢ δαιμόνιον. ἀλλ' ἴσως καὶ τοῦτο ἐπενόουν ἐκεῖνοι, διὰ τὸ μὴ ἔχειν τι ὡρισμένον προφανὲς αἴτιον τῶν οὕτω γινομένων ἀποδιδόναι.

ΚΑῚ ἜΣΤΙΝ ὩΣ οὐδὲν ἀπὸ τύχης δόξειεν ἂν γίγνεσθαι. πάντα γὰρ ταῦτα, ὀρθῶς λέγεται ὅτι εὐλόγως. ἔστι μὲν γὰρ ὡς γίνεται ἀπὸ τύχης. κατὰ συμβεβηκὸς γὰρ γίνεται. καὶ ἔστιν αἴτιον ὡς συμβεβηκὸς ἡ τύχη. ὡς δ' ἁπλῶς, οὐδενός. οἷον, οἰκίας οἰκοδόμος μὲν αἴτιος, κατὰ συμβεβηκὸς δὲ αὐλητής. καὶ τοῦ, ἐλθόντα κομίσασθαι [τὸ ἀργύριον μὴ τούτου ἕνεκα ἐλθόντα, ἄπειρα τὸ πλῆθος. καὶ γὰρ ἰδεῖν τινα βουλόμενος, καὶ διώκων καὶ θεασόμενος καὶ φεύγων.

Τρίτον τοῦτο προστίθησιν, ὅτι καὶ οἱ λέγοντες μηδὲν ἀπὸ τύχης γίνεσθαι, λέγοιεν ἂν κατά τινα τρόπον ὀρθῶς. εἰ γάρ τις τὰ κυρίως λεγόμενα καὶ καθ' αὑτὰ αἴτια λέγοι μόνα, μηκέτι δὲ καὶ τὰ κατὰ συμβεβηκὸς, οὐ δόξει τινὸς αἰτία ἡ τύχη εἶναι. ἐν γὰρ τοῖς κατὰ συμβεβηκὸς λεγομένοις αἰτίοις ἐστὶν αὕτη. πάντα οὖν φησι τὰ εἰρημένα περὶ τῆς τύχης, ὅτι ἄδηλος ἀνθρώπῳ, ὅτι οὐδενὸς αἰτία, ὅτι ἀορίστων αἰτία, ὀρθῶς λέγεται. διότι ἔχει τὸν εἰκότα λόγον. καὶ συνᾴδει τῷ ἀποδεδομένῳ τῆς τύχης ὁρισμῷ. καὶ δηλονότι ἡ πάντων συμφωνία, κατασκευαστικὴ καὶ αὐτὴ ἐστὶ τοῦ εἶναι τὴν τύχην. ἐφεξῆς δὲ παράδειγμα ἐπάγει δεικτικὸν, καὶ τοῦ τὴν τύχην ὡς μὲν κατὰ συμβεβηκὸς αἰτίαν εἶναι, ὡς δὲ καθ' αὑτὸ μηδαμῶς, καὶ τοῦ ἀόριστον αἴτιον εἶναι τὴν τύχην. εἴπερ τοῦ ἐλθόντα κομίσασθαι τὸ ἀργύριον, μὴ τούτου ἕνεκεν ἐλθόντα, ἄπειρα τὸ πλῆθος αἴτια εἶναι δύναται. εἰπὼν δὲ κατὰ συμβεβηκὸς μὲν αἴτιον εἶναι τὴν τύχην, ἁπλῶς δὲ οὐδενὸς, παράδειγμα ἐπάγει τοῦ καθ' αὑτὸ αἰτίου καὶ κατὰ συμβεβηκὸς, λέγων, οἷον οἰκίας μὲν οἰκοδόμος αἴτιος καθ' αὑτὸ δηλονότι καὶ κυρίως, κατὰ συμβεβηκὸς δὲ αὐλητής. καὶ τότε τοῦ ὡς ἀπὸ τύχης κατὰ συμβεβηκὸς ἐπάγει τὸ παράδειγμα τὸ ἐλθόντα κομίσασθαι τὸ ἀργύριον, μὴ τούτου ἕνεκα ἐλθόντα. ἐπιστῆσαι οὖν ἄξιον, ὅτι οὐ πᾶν τὸ κατὰ συμβεβηκὸς αἴτιον, κἂν προαιρετικὸν εἴη καὶ ἐπ' ἔλαττον, καὶ ἕνεκά του ποιῇ, τύχης ἐστίν. ὡς οὐδὲ πᾶν τὸ κατὰ συμβεβηκὸς ἀποτέλεσμα ἀπὸ τύχης. ἀλλ' ἀπὸ τύχης μέν ἐστι, τὸ ἀπὸ τοῦ καθ' αὑτὸ αἰτίου προαιρετικοῦ, μὴ καθ' αὑτὸ γινόμενον. τύχη δὲ, αὐτὸ τὸ καθ' αὑτὸ αἴτιον, μὴ ὡς καθ' αὑτὸ λαμβανόμενον. τὸ γὰρ προελέσθαι προελθεῖν τοῦ ἀσπάσασθαι τὸν φίλον ἕνεκα, κατὰ συμβεβηκὸς αἴτιον γινόμενον τοῦ ἀπολαβεῖν τὸ ἀργύριον, τύχη γίνεται. καὶ τὸ ἀπολαβεῖν ἀπὸ τύχης. τὸ μέντοι τῷ καθ' αὑτὸ αἰτίῳ συμβεβηκὸς ἄλλό τι παρ' αὐτὸ ὄν, οἷον ὁ αὐλητὴς τῷ οἰκοδόμῳ, ἢ οὐκ ἔστι τύχη, οὐδὲ τὸ ἀπὸ τούτου ἀπὸ τύχης λέγεται. οὐδὲ γὰρ ἄλλό τι εἵλετο ὁ οἰκοδόμος, καὶ ἄλλο ἠκολούθησεν. ὅπερ δεῖ ἐν τοῖς ἀπὸ τύχης ὁρᾶσθαι.

ΚΑῚ ΤῸ εἶναι φάναι τι παράλογον τὴν τύχην, ὀρθῶς. ὁ γὰρ λόγος, ἢ τῶν ἀεὶ ὄντων, ἢ τῶν ὡς ἐπὶ τὸ πολύ. ἡ δὲ τύχη ἐν τοῖς γιγνομένοις παρὰ ταῦτα. ὥστ' ἐπειδὴ ἀόριστα τὰ οὕτως αἴτια, καὶ ἡ τύχη ἀόριστον.

Καὶ τὸ παράλογον εἶναι τὴν τύχην ὀρθῶς φησι λέγεσθαι περὶ αὐτῆς. ὁ γὰρ λόγος τῶν ὡρισμένων ἐστίν. ὥστε καὶ τὰ ἀόριστα παράλογα. εἰ οὖν ἡ τύχη ἀόριστος, τὸ δὲ ἀόριστον παράλογον, ἡ τύχη παράλογος εἰκότως λέγεται. ὅτι δὲ ἡ τύχη ἀόριστος, ὑπομιμνήσκει, ἐκ τοῦ ἐν τοῖς ἐπ' ἔλαττον εἶναι τὴν τύχην. εἰ γὰρ ἡ τύχη ἐν τοῖς ἐπ' ἔλαττον αἰτίοις, τὰ δὲ ἐπ' ἔλαττον ἀόριστα, ἡ τύχη ἄρα ἀόριστος.

ὍΜΩΣ ΔῈ ἘΠ' ἐνίων ἀπορήσειεν ἄν τις, ἆρ' οὖν τὰ τυχόντα αἴτια ἂν γένοιτο τῆς τύχης. οἷον ὑγιείας. ἢ πνεῦμα. ἢ εἵλησις. ἀλλ' οὐ τὸ ἀποκεκάρθαι. ἔστι γὰρ ἄλλα ἄλλων ἐγγύτερα τῶν κατὰ συμβεβηκὸς αἰτίων.

Εἰπὼν ὅτι ἀόριστον αἴτιόν ἐστιν ἡ τύχη, ἀπορίας ἄξιον φησὶν, εἰ τὰ τυχόντα ὁμοίως αἴτια ἂν γένοιτο τῆς τύχης, τουτέστι τοῦ ἀπὸ τύχης, καὶ μὴ ἄλλα ἄλλων αἴτιά ἐστιν, ὥσπερ καὶ ἐπὶ τῶν ἄλλων τῶν κατὰ συμβεβηκὸς αἰτίων. καὶ γὰρ τοῦ ἀνδριάντος προσεχέστερον αἴτιόν ἐστιν ὁ πολύκλειτος εἴπερ ὁ αὐ-

θρωπος. ὡς καὶ ἐν τοῖς καθ' αὑτὸ αἰτίοις προσεχέστερον ἦν αἴτιον ὁ ἀνδριαντοποιὸς τοῦ τεχνίτου. ὅταν γὰρ νοσοῦντός τινος, καὶ ἀποκαρέντος, διὰ τὴν τῶν τριχῶν ἀπόθεσιν, ἢ πνεῦμα ἐπιγένηται διαφορητικὸν, ἢ εἵλησις τουτέστιν ἀπὸ ἡλίου θέρμη, εἵλη γὰρ ἡ τοῦ ἡλίου θέρμη, ὅθεν καὶ τὸ εἱληθερεῖν, καὶ ἀκολουθήσει ἡ ὑγίεια, ἀρχὴ τῆς κατὰ τύχην ὑγιείας ὁμοίως αἴτιον ἐστὶ τὸ πνεῦμα, ἢ ἡ εἵλησις, ἀλλ' οὐ τὸ ἀποκεκάρθαι, εἴπερ ἐστὶν ἄλλα ἄλλων ἐγγύτερα καὶ τῶν κατὰ συμβεβηκὸς αἰτίων. εἰ γὰρ τοῦτο, οὐχ ἁπλῶς τὸ αἴτιον τὸ ἀπὸ τύχης, οὐδὲ ἀόριστον ἁπλῶς ἡ τύχη. ὡρίσθαι γὰρ τὸ προσεχέστερον αἴτιον. ἡ μὲν οὖν ἀπορία τοιαύτη, ὡς οἶμαι τὴν λύσιν ἡμῖν καταλιποῦσα ζητεῖν. ἥτις εἴη ἂν καὶ αὕτη τοιαύτη. ὅταν μὲν λαβόντες τὰ κατὰ συμβεβηκὸς αἴτια συγκρίνωμεν, τότε οὐ τὰ τυχόντα αἴτια τῶν γινομένων ἀπὸ τύχης ὁμοίως, ἀλλὰ μᾶλλον τὰ προσεχέστερα. ὅταν δὲ τὰ ἁπλῶς ζητῶμεν, τί ἂν αἴτιον γένοιτο τῶν ἀπὸ τύχης, τότε οὐκέτι ὁρίσαντας εἰπεῖν τὸ δέ τι. ἄπειρα γὰρ καὶ ἀόριστα ληφθῆναι δύναται. ζητεῖ δὲ ὁ ἀλέξανδρος, εἰ κατὰ συμβεβηκὸς αἴτιον ἡ τύχη, κατὰ συμβεβηκὸς δὲ αἴτιόν ἐστι τὸ τῷ καθ' αὑτὸ αἰτίῳ συμβεβηκὸς, ἔσται τι καὶ καθ' αὑτὸ αἴτιον τοῦ ἀπὸ τύχης, ὡς εἶναι τὸ τούτῳ συμβεβηκὸς τύχην. καὶ λέγει ὅτι ἐστὶ τὸ ἐλθεῖν καθ' αὑτὸ μὲν τοῦ δι' ὃ ἦλθεν αἴτιον, κατὰ συμβεβηκὸς δὲ τοῦ ἀπαντῆσαι, ὅ ἐστι τὸ ἀπὸ τύχης. καὶ τότε τὸ ἐλθεῖν ὡς αἴτιον τύχη, ὅταν μὴ ὡς καθ' αὑτὸ ἁπλῶς, κατὰ συμβεβηκὸς δὲ αἴτιον ληφθῇ.

Τ ΤΥΧΗ ΔΕ ἀγαθὴ μὲν λέγεται, ὅταν ἀγαθόν τι ἀποβῇ. φαύλη δὲ, ὅταν φαῦλόν τι. εὐτυχία δὲ, καὶ δυστυχία, ὅταν μέγεθος ἔχοντα ταῦτα. διὸ καὶ τὸ παρὰ μικρὸν κακὸν ἢ ἀγαθὸν λαβεῖν μέγα, ἢ δυστυχεῖν ἢ εὐτυχεῖν ἐστιν. ὅτι ὡς ὑπάρχον λέγει ἡ διάνοια. τὸ γὰρ παρὰ μικρὸν ὥσπερ οὐδὲν ἀπέχειν δοκεῖ. ἔτι ἀβέβαιον ἡ εὐτυχία, εὐλόγως. ἡ γὰρ τύχη, ἀβέβαιος, οὔτε γὰρ ἀεὶ, οὔθ' ὡς ἐπὶ τὸ πολὺ οἷόν τε εἶναι τῶν ἀπὸ τύχης οὐθέν.

Ἡ τῆς ἀγαθῆς καὶ κακῆς τύχης διαίρεσις, σαφὴς, καὶ τῆς εὐτυχίας καὶ τῆς δυστυχίας. καὶ γὰρ πανταχοῦ τὸ εὖ, τὸ μέγεθος καὶ τὸ ἐκπρεπὲς προστίθησιν. ὥσπερ εὐκλεῆ λέγομεν, οὐ τὸν ὁπωσοῦν ἐπίδοξον, ἀλλὰ τὸν πάνυ, καὶ εὐμαθῆ ὁμοίως. ὁμοίως δὲ καὶ τὸ δυς μόριον, τὸ ἀντικείμενον σημαίνει μέγεθος. ὅτι δὲ ἐν μεγέθει ἡ εὐτυχία ἐστὶ, δείκνυσιν οἶμαι δυνάμει συλλογιζόμενος οὕτως. ἡ εὐτυχία καὶ δυστυχία κἂν παρὰ μικρὸν ἔχωσι τὸ μέγιστον ἀγαθὸν καὶ κακὸν, εὐτυχία καὶ δυστυχία εἰσί. τὰ παρὰ μικρὸν ἔχοντα, οὐδὲν ἧττον ἐστὶ τοῦτο ὅπερ λέγεται. ταῦτα δὲ ἐν μεγέθει ἐστί. διότι ἐν τοῖς μεγέθεσι τὸ παρὰ μικρὸν οὐδὲν ἀπέχειν δοκεῖ τοῦ ὅλου. ἡ ἄρα εὐτυχία καὶ δυστυχία, ὡς μέγεθος ἔχοντα λέγεται οὕτως. καὶ μᾶλλον ὁ πορφύριος οὕτως ἐπέβαλε, καὶ ἀλέξανδρος κατὰ πρώτην ἐξήγησιν, τοῦ παρὰ μικρὸν ἐνταῦθα οὐκ ἐπὶ τοῦ παρὰ μικρὸν ἐλθόντος τοῦ τυχεῖν καὶ ἐμποδισθέντος ἀκουομένου, ἀλλ' ἐπὶ τοῦ τὸ ὅλον κακὸν καὶ ἀγαθὸν παρὰ μικρὸν λαβόντος. διότι καὶ τὸν τὸ μέγιστον ἀγαθὸν παρὰ μικρὸν λαβόντα, εὐτυχῆ καλοῦμεν, ὁμοίως τῷ τὸ ὅλον μέγεθος λαβόντι. καὶ τὸν τὸ μέγιστον κακὸν παρὰ μικρὸν, δυστυχῆ, ὡς τοῦ μικροῦ μηδὲν ὄντος. καὶ ἄλλως δὲ δυνατὸν ἀκούειν τοῦ εἰρημένου. εἰ γὰρ τὸ παρὰ μικρὸν ἐπὶ μεγέθους λέγεσθαι, εἴωθε λέγομεν δὲ δυστυχεῖν ἐκείνους, ὅσοι παρὰ μικρὸν κακόν τι μέγα ἔλαβον, καὶ εὐτυχεῖν ἐκείνους, ὅσοι παρὰ μικρὸν ἀγαθόν τι μέγα ἔλαβον, δηλονότι ἐν μεγέθει τὸ εὐτυχεῖν καὶ δυστυχεῖν ἐστι. καὶ ἐτίμων τοὺς παρὰ μικρὸν καλουμένους θεοὺς οἱ λακεδαιμόνιοι ὡς σωτῆρας, ὅτι τοὺς μέλλοντας κινδυνεύειν, τὸ παρὰ μικρὸν τοῦ κινδυνεῦσαι διδόντες, ἔσωζον. καὶ ταύτῃ μᾶλλον τῇ ἐξηγήσει τίθεται ὁ ἀλέξανδρος. τὸ δὲ ἐπαγόμενον, ὅτι ὡς ὑπάρχον λέγει ἡ διάνοια, τὸ γὰρ παρὰ μικρὸν ὥσπερ οὐδὲν ἀπέχειν δοκεῖ, μᾶλλον τῇ προτέρᾳ συνάδει ἐξηγήσει. πῶς γὰρ ὡς ὑπάρχον λέγει ἡ διάνοια, τὸ παρὰ μικρὸν ἂν γινόμενον. εἰ δὲ λέγοι ὁ παρὰ μικρὸν μεγάλῳ κακῷ περιπεσὼν, εἴη ἂν δυστυχὴς, εἴπερ τὸ μικρὸν τὸ ἐλλεῖψαι ἐν οὐδενὶ λόγῳ ἐστὶ, καίτοι εὐτυχῆ φαμὲν αὐτὸν, καὶ ὁ παρὰ μικρὸν μέγα ἀγαθὸν λαβὼν, εἴη ἂν εὐτυχὴς, καίτοι δυστυχῆ φαμὲν αὐτὸν, ὅτι μεγάλου ἀγαθοῦ ἀπεστερήθη, ὅπερ ἐστὶ μέγα κακόν. ὅλως δὲ τὸ τοιοῦτο μέγεθος, ἐν ᾧ τὸ τοιοῦτο παρὰ μικρὸν θεωρεῖται, οὐχ ὡς μέγα λέγεται μέγεθος, ἀλλ' ὡς τῷ γινομένῳ καὶ τὸ μέγα καὶ τὸ μικρὸν θεωρεῖται. μήποτε οὖν οὐ διὰ τὸ παρὰ μικρὸν, ἐν μεγέθει λέγει εἶναι τὸ εὐτυχεῖν καὶ τὸ δυστυχεῖν. ἀλλ' ἀπὸ τοῦ καὶ τοὺς παρὰ μικρὸν ἐλθόντας ἐμπεσεῖν εἰς μέγα κακὸν ἢ μέγα ἀγαθὸν, ὡς πλησιάσαντας μὲν παρὰ μικρὸν, πλησιάσαντας δὲ μεγάλῳ κακῷ ἢ μεγάλῳ ἀγαθῷ, καὶ μὴ λαβόντας, τοὺς μὲν εὐτυχεῖς, τοὺς δὲ δυστυχεῖς καλοῦμεν, ὥσπερ καὶ τοὺς ἀφαιρεθέντας. καὶ ὅτι οὕτως εἶπε, δηλοῖ λέγων, διὸ καὶ τὸ παρὰ μικρὸν κακὸν ἢ ἀγαθὸν λαβεῖν μέγα, ἢ εὐτυχεῖν ἐστιν, ὅτι ὡς ὑπάρχον λέγει ἡ διάνοια καὶ ἀποδέδωκε τῷ μὲν τὸ μέγα κακὸν παρὰ μικρὸν λαβεῖν τὸ εὐτυχεῖν, τῷ δὲ τὸ μέγα ἀγαθὸν τὸ ἀτυχεῖν. δείξας γὰρ πρότερον ἀπὸ τῶν ἤδη ἐχόντων ταῦτα, καὶ ἀπὸ τῶν παρὰ μικρὸν ὡς ἀποβαλόντων αὐτὰ τὸ αὐτὸ δείκνυσι. καὶ τὸ ἀβέβαιον δὲ τὴν εὐτυχίαν λέγεσθαι, συνάδειν φησὶ ταῖς ἀποδεδομέναις περὶ τῆς τύ-

χης ἐννοίας. εἰ γὰρ ἡ τύχη ἀβέβαιος, δηλονότι καὶ ἡ εὐτυχία ἀβέβαιος. ὅτι δὲ ἡ τύχη ἀβέβαιος, δῆλον ἐκ τοῦ μήτε ἐν τοῖς ἀεὶ οὖσι, μήτε ἐν τοῖς ὡς ἐπὶ τὸ πολὺ εἶναι τὸ ἀπὸ τύχης. ἀλλ' ἐν τοῖς ὡς ἐπὶ τὸ ἔλαττον. πάντα οὖν τὰ εἰρημένα περὶ τῆς τύχης, παρίστησιν ὅτι τοιαύτη ἦν τῆς τύχης ἔννοια παρὰ τοῖς ἀνθρώποις, οἵαν ὁ ἀποδοθεὶς ὑπὸ τοῦ ἀριστοτέλους λόγος διήρθρωσεν.

Ἔ ΣΤΙ ΜΕΝ ΟΥ͂Ν ἄμφω αἴτια καθάπερ εἴρηται κατὰ συμβεβηκὸς, καὶ ἡ τύχη καὶ τὸ αὐτόματον, ἐν τοῖς ἐνδεχομένοις γίγνεσθαι μὴ ἁπλῶς, μηδὲ ὡς ἐπὶ τὸ πολύ. καὶ τούτων ὅσα ἂν γένοιτο ἐν τοῖς ἕνεκά του.

Μ ετὰ τὸν περὶ τύχης λόγον, ἀκόλουθον ἦν περὶ τοῦ αὐτομάτου διδάξαι λοιπὸν, τί τέ ἐστι, καὶ τί τῆς τύχης διαφέρει. πρῶτον δὲ τὴν κοινωνίαν αὐτῶν παραδίδωσιν. ὅτι ἐστὶν ἄμφω κατὰ συμβεβηκὸς αἴτια, ἐν τοῖς ἐπ' ἔλαττόν τε καὶ ἐνδεχομένως γινομένοις, ἀλλ' οὐ τοῖς ἁπλῶς τουτέστιν ἀναγκαίως, οὐδὲ τοῖς ὡς ἐπὶ τὸ πολύ. καὶ τῶν ἐπ' ἔλαττον ἐν τοῖς ἕνεκά του γινομένοις. ἐπεὶ δὲ τὸ ἐνδεχόμενον καὶ κατὰ τοῦ ἀναγκαίου, καὶ κατὰ τοῦ ὡς ἐπὶ τὸ πλεῖστον κατηγορεῖται, ὁμώνυμον γάρ ἐστιν, εἰπὼν τὴν τύχην ἐν τοῖς ἐνδεχομένοις εἶναι, δεικνὺς τὸ πῶς ἐνδεχομένοις, προσέθηκε τὸ μὴ ὡς ἁπλῶς, μὴ δὲ ὡς ἐπὶ τὸ πολύ. ἵνα τοῦ ἐνδεχομένου νῦν ὡς ἐπ' ἔλαττον λεγομένου ἀκούσωμεν.

Δ ΙΑΦΕΡΕΙ ΔΕ, ὅτι τὸ αὐτόματον, ἐπὶ πλεῖόν ἐστιν. τὸ μὲν γὰρ ἀπὸ τύχης, ἀπὸ ταὐτομάτου τοῦτο δὲ οὐ πᾶν ἀπὸ τύχης. ἡ μὲν γὰρ τύχη καὶ τὸ ἀπὸ τύχης ἐστὶν, ὅσοις καὶ τὸ εὐτυχῆσαι ἂν ὑπάρξειεν, καὶ ὅλως πρᾶξις. διὸ καὶ ἀνάγκη περὶ τὰ πρακτέα εἶναι τὴν τύχην. σημεῖον δὲ ὅτι δοκεῖ ἤτοι ταυτὸν εἶναι τῇ εὐδαιμονίᾳ ἡ εὐτυχία, ἢ ἐγγύς. ἡ δ' εὐδαιμονία, πρᾶξίς τις. εὐπραξία γάρ ὥσθ' ὁπόσοις μὴ ἐνδέχεται πρᾶξαι, οὐδὲ τὸ ἀπὸ τύχης τι ποιῆσαι, καὶ διὰ τοῦτο οὔτε ἄψυχον οὐθὲν, οὔτε θηρίον, οὔτε παιδίον οὐθὲν ποιεῖ ἀπὸ τύχης ὅτι οὐκ ἔχει προαίρεσιν. οὐδ' εὐτυχία οὐδὲ ἀτυχία ὑπάρχει τούτοις, εἰ μὴ καθ' ὁμοιότητα. ὥσπερ ἔφη πρώταρχος, εὐτυχεῖς εἶναι τοὺς λίθους ἐξ ὧν οἱ βωμοὶ, ὅτι τιμῶνται. οἱ δὲ ὁμόζυγες αὐτῶν, καταπατοῦνται. τὸ δὲ πάσχειν ἀπὸ τύχης, ὑπάρξει πως καὶ τούτοις. ὅταν ὁ πράττων τι περὶ αὐτὰ, πράξῃ ἀπὸ τύχης. ἄλλως δὲ οὐκ ἔστι.

Ε ἰπὼν τὴν κοινωνίαν τῆς τύχης καὶ τοῦ αὐτομάτου, τὴν διαφορὰν αὐτῶν ἐφεξῆς παραδίδωσιν, ἐπὶ πλέον λέγων τὸ αὐτόματον τῆς τύχης. διότι τὸ μὲν ἀπὸ τύχης πᾶν, καὶ ἀπὸ ταὐτομάτου. τὸ δὲ ἀπὸ ταὐτομάτου, οὐ πᾶν ἀπὸ τύχης. ἡ μὲν γὰρ τύχη ἐν μόνοις ἐστὶ τοῖς πρακτέοις, ἅπερ ἐστὶ κατὰ προαίρεσιν, ὡς ἐν τοῖς ἠθικοῖς ἐδιδάχθημεν. διὸ καὶ ἔλεγε τὴν τύχην ἐν τοῖς ἀπὸ διανοίας εἶναι καὶ προαιρέσεως. τὸ δὲ αὐτόματον, καὶ ἐν τούτοις καὶ ἐν τοῖς ἄλλοις, ὅσα ἕνεκά του γινόμενα, μάτην μὲν ὅσον ἐπ' ἐκείνων ἀγένετο, ἄλλο δέ τι τέλος ἔχε τοῖς προηγησαμένοις ἀκολουθοῦν, εἴτε ἐν φυσικοῖς, εἴτε ἐν ἀλόγοις, εἴτε ἐν προαιρετικοῖς τοῦτο συμβαίη. ὅτι δὲ ἐν προαιρέσει καὶ πράξει ἡ τύχη, δείκνυσιν ἐν τούτοις εἶναι τὴν τύχην, ἐν οἷς καὶ ἡ εὐτυχία, καὶ τὴν εὐτυχίαν ἐν τοῖς πρακτικοῖς καὶ περὶ πρᾶξιν λαμβάνεσθαι. καὶ τοῦτο δὲ πάλιν δείκνυσιν, ἐκ τοῦ τὴν εὐτυχίαν εἰς ταυτὸν ἰέναι τῇ εὐδαιμονίᾳ ἢ ἐγγὺς, τὴν δὲ εὐδαιμονίαν πρᾶξίν τινα καὶ εὐπραξίαν εἶναι. εἰ οὖν ἡ τύχη ἐν οἷς καὶ ἡ εὐτυχία, ἡ δὲ εὐτυχία ἐν οἷς καὶ ἡ εὐδαιμονία, διότι τῇ εὐδαιμονίᾳ ἡ αὐτή πως ἐστὶν, ἡ δὲ εὐδαιμονία ἐν πράξει, διότι εὐπραξία τίς ἐστι, καὶ ἡ τύχη ἐν πράξει ἐστίν. οὐ καλῶς δὲ δοξάζουσιν οἱ τὴν εὐτυχίαν εὐδαιμονίαν οἰόμενοι. ἀλλ' ἔστι μέν τοι τῶν πρὸς τὴν εὐδαιμονίαν, οὐ μὴν ταυτὸν οὐδὲ ὅμοιον. εἴπερ ἡ μὲν εὐτυχία ἀβέβαιος, ἡ δὲ εὐδαιμονία μονιμωτάτη. διώρισται δὲ περὶ τούτων ἐν τοῖς ἠθικοῖς. ὅτι δὲ ἐν προαιρέσει καὶ πράξει ἡ τύχη, δείκνυσι καὶ ἐκ τοῦ ἀντικειμένου. εἰ γὰρ ἐν οἷς πρᾶξις οὐκ ἔστιν, ἐν τούτοις οὐδὲ τὰ ἀπὸ τύχης, δηλονότι ἐν οἷς τὰ ἀπὸ τύχης ἐστὶν, ἐν τούτοις καὶ πρᾶξις, καὶ περὶ πρᾶξιν καὶ προαίρεσιν ἡ τύχη. ὅτι δὲ ἐν οἷς πρᾶξις οὐκ ἔστιν, οὐδὲ τὰ ἀπὸ τύχης, ὑπομιμνήσκει ἐκ τῶν ἀψύχων καὶ τῶν θηρίων καὶ τῶν παιδίων. ταῦτα γὰρ οὔτε πράττειν λέγεται, διότι οὐκ ἔχει προαίρεσιν, οὔτε ἀπὸ τύχης τι ποιεῖν. οὐδ' εὐτυχία οὐδ' ἀτυχία ὑπάρχει τούτοις, εἰ μὴ καθ' ὁμοιότητά τινα καὶ ἀναλογίαν. διὸ κἂν λέγει πρώταρχος εὐτυχεῖς εἶναι τοὺς λίθους, ἐξ ὧν οἱ βωμοὶ γίνονται, διότι τιμῶνται, οἱ δὲ ὁμόζυγες αὐτῶν καταπατοῦνται, οὕτως ἀκουστέον του λεγομένου, ὡς καθ' ὁμοιότητα τὴν πρὸς εὐτυχίαν. ὅμοιον γὰρ ἔχουσι, τὸ μηδὲν μὴ δὲ αὐτοὶ συντελέσαι πρὸς τὸ γενέσθαι βωμοί. ὥσπερ οὐδ' ἐκεῖνο τι συνετέλεσε προηγουμένως εἰς τὸ τέλος, ὃ μὴ προελομένοις αὐτοῖς, κατὰ τύχην ὑπαντήσαι λέγομεν. τί οὖν οὐδαμῶς ἐστὶν ἐν τούτοις τὸ ἀπὸ τύχης; ἢ ποιητικὸν μὲν αἴτιον τοῦ ἀπὸ τύχης οὐ δύναται ταῦτα εἶναι, διότι ἡ τύχη προαιρέσει παρυφίσταται καὶ πράξει. πάσχειν δὲ ἀπὸ τύχης δύναται καὶ ταῦτα, ὅταν ὁ πράττων ᾧ τὸ ἀπὸ τύχης ἀκολουθεῖ, πράξει τι περὶ αὐτὸ ἀπὸ τύχης. οἷ ὁ τὸν τύραννον προμηθεία πλήξας μὲν ἐπὶ τῷ ἀνελεῖν, διακόψας δὲ τὸ φῦμα καὶ ἰασάμενος. εὐτυχὲς γὰρ ἂν οὕτω λέγοιτο τὸ ξίφος. καὶ τάχα ἂν καὶ προσκυνοῖτο ὑπὸ τοῦ θεραπευθέντος. καὶ ζωγράφου δέ ποτε γράφοντος ἵππον, καὶ ῥίψαντος ἀκουσίως τὴν σπογγιὰν, ἀφρὸς ἐν τῷ στόματι τοῦ γραφομένου ἵππου κατὰ τύχην ἀπετυπώθη. εἰ δὲ καὶ ξύων τις λίθον, ἵνα τι ἄλλο ποιήσῃ, βωμὸν εἰργάσατο κατὰ τύχην, κατὰ τύχην ἂν εἴη γεγονὼς ὁ βωμός. μήποτε

δὲ ταῦτα οὐ τῶν ἀψύχων εἰσὶ τυχαῖα, ἀλλὰ τῶν ἀνθρώπων περὶ αὐτά. τῷ γὰρ ζωγράφῳ καὶ τῷ λιθοξόῳ, ἄλλό τι ποιοῦσι τι ἄλλο συνέβη. καὶ τούτοις δὲ ἴσως καθ᾽ ὁμοιότητα, ὅτι ἐπ᾽ ἄλλῳ γενομένοις ἄλλο ἀπήντησεν.

ΤΟ ΔΕ αὐτόματον καὶ τοῖς ἄλλοις ζώοις καὶ πολλοῖς τῶν ἀψύχων. οἷον, ὁ ἵππος αὐτόματος φαμὲν ἦλθεν. ὅτι ἐσώθη μὲν ἐλθών. οὐ τοῦ σωθῆναι δὲ ἕνεκα ἦλθεν. καὶ ὁ τρίπους αὐτόματος κατέπεσεν. ἔστι μὲν γὰρ τοῦ καθῆσθαι ἕνεκα. ἀλλ᾽ οὐ τοῦ καθῆσθαι ἕνεκα κατέπεσεν. ὥστε φανερὸν ὅτι ἐν τοῖς ἁπλῶς ἕνεκά του γινομένοις. ὅταν μὴ τοῦ συμβάντος ἕνεκα γένηται, ὧν ἔξω τὸ αἴτιον, τότε ἀπὸ ταυτομάτου λέγομεν. ἀπὸ τύχης δὲ. τούτων ὅσα ἀπὸ ταυτομάτου γίνεται τῶν προαιρετῶν τοῖς ἔχουσι προαίρεσιν.

Ἀλέξανδρος καὶ τοῖς ἀλόγοις ζώοις γράφει καὶ τοῖς ἀψύχοις, οὐδὲν διάφορον σημαινούσης τῆς γραφῆς. ἀπόδειξις δὲ τοῦτο ἐστὶ, τοῦ τὸ αὐτόματον ἐπὶ πλέον εἶναι τοῦ ἀπὸ τύχης. εἴπερ τοῦτο μὴ μόνον ἐν ἀνθρώποις, ἀλλὰ καὶ ἐν τοῖς ἄλλοις ζώοις ἐστὶ καὶ ἐν τοῖς ἀψύχοις. ποιοῦται δὲ αὐτὸ διὰ παραδειγμάτων. ὁ γὰρ ἵππος ὁ ληφθεὶς ὑπὸ τῶν πολεμίων, εἶτα διαφυγὼν, καὶ ἐλθὼν ἐπὶ τοὺς προτέρους τόπους τοῦ πιεῖν ἕνεκα, εἶτα ληφθεὶς ὑπὸ τοῦ δεσπότου, αὐτόματος ἦλθε φαμέν. τουτέστιν αὐτόματος ἐσώθη ἐλθών. οὐ τοῦ σωθῆναι δὲ ἕνεκεν ἦλθε. καὶ ὁ τρίπους πεσὼν, καὶ στὰς οὕτως ὥστε καθισμα γενέσθαι, αὐτόματος λέγεται πεσεῖν οὕτως, ὅτι ἔπεσε μὲν εἰς κάθισμα, οὐ τούτου δὲ ἕνεκα ἔπεσε τοῦ κάθισμα γενέσθαι, ἀλλὰ τοῦ τὸν οἰκεῖον καταλαβεῖν τόπον. καὶ καθόλου ὅταν ἐν τοῖς ἕνεκά του γινομένοις, μὴ τοῦ συμβάντος ἕνεκεν, οὐ ἔξωθεν τὸ αἴτιον, γένηται τὸ ἕνεκά του, ἀλλά τι ἄλλο ἀκολουθήσει παρ᾽ ἐκεῖνο, οὗ ἕνεκα ἐγένετο, τότε κοινῶς ἀπὸ ταυτομάτου ταῦτα λέγομεν γίνεσθαι. καλῶς δὲ τὸ ἀπαντῆσαν τέλος ἔξωθεν εἶναι δεῖν φησιν, καὶ οὐκ ἐν τῇ φύσει τοῦ πράγματος, εἴπερ ἐκ ταυτομάτου γίνοιτο. εἰ γὰρ ὁ πεσὼν λίθος κυβικὸν ἔχει τὸ σχῆμα, οὐκ ἐκ ταυτομάτου ἂν λέγοιτο πρὸς καθέδραν ἐπιτηδείως πεσεῖν. ἐν τῇ φύσει γὰρ ἦν αὐτοῦ πάντως εἰ πίπτοι, τοῦτον τὸν τρόπον καταπεσεῖν. διὰ τοῦτο οὐδὲ τὸ πῦρ ἀπὸ ταυτομάτου κινεῖται ἄνω. φύσις γὰρ αὕτη τοῦ πυρὸς ἔνδοθεν οὕτω κινοῦσα. διὰ τοῦτο δ᾽ ὁρεῖ ὅτι μὴ δὲ τὰ παρὰ φύσιν αὐτομάτως. ὅτι μὴ ἔξω αὐτῶν τὸ αἴτιον, ἢ τὸ ποιητικὸν, ἢ τὸ τελικὸν, ἢ τάχα καὶ ἄμφω. ὥσπερ ἐπὶ τῶν ἐκ ταυτομάτου γινομένων, καὶ τὸ ποιητικὸν ἔξω καὶ ἀφανὲς εἶναι χρὴ καὶ τὸ τέλος. ὡς τοῦ πατάξαι τὸν λίθον, καὶ τὸ πατάξαι ἔξωθεν, ὅπερ ἐστὶ τὸ τέλος, οὐ γὰρ ἐνυπάρχει τῷ λίθῳ, καὶ τὸ ποιητικὸν αἴτιον τῆς πληγῆς. διὸ καὶ ἀπὸ ταυτομάτου τοῦτο. καὶ ταῦτα μὲν τὰ κοινῶς ἀπὸ ταυτομάτου λεγόμενα. τούτων δὲ ἀπὸ τύχης ἐστί φησιν, ὅσα τῶν προαιρετῶν ἀπὸ ταυτομάτου γίνεται, ἐν τοῖς ἔχουσι προαίρεσιν. καὶ καλῶς προσέθηκε τὸ ἐν τοῖς ἔχουσι προαίρεσιν. τούτῳ γὰρ τὰ ἀπὸ τύχης ἐχώρισε τῶν ἐκ ταυτομάτου. καὶ γὰρ τὸ αὐτόματον ἐν τοῖς προαιρετοῖς, κἂν μὴ προαίρεσιν ἔχῃ ταῦτα οἷς συμβαίνει. τὸ γὰρ τὸ ἐλθεῖν τὸν ἵππον προαιρετὸν ἦν τῷ δεσπότῃ. οὐ μὴν κατὰ προαίρεσιν ὁ ἵππος ἦλθε. καὶ ὁ τρίπους οὕτως ἂν κατὰ προαίρεσιν ὑπό τινος ἐτέθη. οὐ μέντοι κατὰ προαίρεσιν κατέπεσεν οὕτως. λέγει δὲ καὶ αὐτὸς Ἀριστοτέλης περὶ τοῦ αὐτομάτως πατάξαντος λίθου, ὅτι πέσοι ἂν ὑπό τινος, καὶ τοῦ πατάξαι ἕνεκεν, ὅταν τοῦτο τις προελόμενος βάλῃ. διὰ τοῦτο οὖν καὶ τοῦτο προαιρετὸν καὶ ἐν τοῖς ἕνεκά του. ὥστε τῶν ἕνεκά του καὶ ἐκ ταυτομάτου, τὰ μὲν ἁπλῶς αἱρετὰ, τὰ δὲ καὶ κατὰ προαίρεσιν. ἅπερ ἐστὶν ἀπὸ τύχης. καὶ κατὰ προαίρεσιν δὲ, οὐχ ὅτι ἐκεῖνο προείλετο τὸ ἀκολουθῆσαν. οὐ γὰρ ἂν ἦν ἀπὸ τύχης. ἀλλ᾽ ὅτι προαιρέσει ἐπ᾽ ἄλλῳ τινὶ προβληθείσῃ ἐπεγίνετο. οὐ πάντως δὲ φησιν Ἀλέξανδρος, ἐν οἷς παρὰ τὴν προαίρεσιν ἄλλό τι ὑπήντησεν, εὐθέως τύχη τοῦτο καὶ ἀπὸ τύχης. ἀλλ᾽ ἂν τοιοῦτον ᾖ, οἷον μὴ ἀναγκαίως μὴ δὲ ὡς ἐπὶ τὸ πολὺ ἀκολουθεῖν τῷ ἄλλου χάριν γινομένῳ. τῷ γὰρ ἰσχύος χάριν γυμνασαμένῳ πλείω, καὶ διὰ κόπον πυρέξαντι, ἀπροαίρετον μὲν τὸ πυρέξαι, οὐκ ἀπὸ τύχης μέντοι. εἴωθε γὰρ ἐπὶ τῶν πλείστων τῶν ἀσυμμέτρων γυμνασίων κόπος ἐπιγίνεσθαι, ἐπὶ δὲ τούτῳ πυρετός. καὶ τῷ χειμῶνος πλέοντι πολλάκις ναυάγιον ἀκολουθεῖ, οὐ κατὰ προαίρεσιν μὲν, οὐ μὴν ἀπὸ τύχης.

ΣΗΜΕΙΟΝ δὲ, τὸ μάτην ὅτι λέγεται, ὅταν μὴ γένηται τὸ ἕνεκα. ἄλλου ἐκείνου ἕνεκα. οἷον, τὸ βαδίσαι ἐλαπάξεως ἕνεκα ἐστίν. εἰ δὲ μὴ ἐγένετο βαδίσαντι μάτην ἔφαμεν βαδίσαι. καὶ ἡ βάδισις ματαία. ὡς τοῦτο ὂν τὸ μάτην, τὸ πεφυκὸς ἄλλου ἕνεκα, ὅταν μὴ περαίνῃ ἐκεῖνο, οὗ ἕνεκα ἦν, καὶ ἐπεφύκει. ἐπεὶ εἴ τις λούσασθαι φαίη μάτην, ὅτι οὐκ ἐξέλιπεν ὁ ἥλιος, γελοῖος ἂν εἴη. οὐ γὰρ ἦν τοῦτο ἐκείνου ἕνεκα. οὕτω δὴ τὸ αὐτόματον κατὰ τὸ ὄνομα, ὅταν αὐτὸ μάτην γένηται. κατέπεσε γὰρ, οὐ τοῦ πατάξαι ἕνεκα ὁ λίθος. ἀπὸ τοῦ αὐτομάτου ἄρα κατέπεσεν ὁ λίθος. ὅτι πέσοι ἂν ὑπό τινος, καὶ τοῦ πατάξαι ἕνεκα.

Εἰπὼν ὅτι κοινῶς ἀπὸ ταυτομάτου τότε λέγομέν τι γίνεσθαι, ὅταν τῷ ἕνεκά του γινομένῳ, μὴ τὸ οὗ ἕνεκα ἐγένετο ἀκολουθήσῃ, ἀλλά τι ἄλλο παρὰ τοῦτο, οὗ οὐκ ἦν ἔνδον ἀρχὴ, σημεῖον τοῦτο οὕτως ἔχειν ποιεῖται, τὸ καὶ τὸ μάτην παρ᾽ ὃ γέγονε τὸ αὐτόματον τοιοῦτον εἶναι. καὶ γὰρ μάτην λέγεταί τι

γίνεσθαι, ὅταν τὸ ἕνεκα ἄλλου γινόμενον, μὴ ἐκεῖνο ἔχῃ τέλος, οὗ ἕνεκα ἐγίνετο. οἷον εἴ τις βαδίζοι διὰ
λάπαξιν τῆς γαστρὸς, εἰ μὴ ἀκολουθήσει τοῦτο βαδίσαντι, μάτην φαμὲν βαδίσαι καὶ ἡ βάδισις μά-
ταιος. τοῦτο γάρ ἐστι τὸ μάτην, τὸ πεφυκὸς ἄλλου ἕνεκα, ὅταν μὴ περαίνῃ ἐκεῖνο, οὗ ἕνεκα ἦν ἢ ἐπέ-
φυκει. τοιγαροῦν εἴ τις φαίη λελοῦσθαι μάτην, ὅτι οὐκ ἐξέλιπεν ὁ ἥλιος, γελοίως ἂν λέγοι. οὐ γὰρ
ἕνεκα τοῦ ἐκλιπεῖν τὸν ἥλιον ἐλούετο. διττὸν δὲ τὸ μάτην, μᾶλλον δὲ τριττόν. ἢ γὰρ οὐδὲν ἕτερον ἀκο-
λουθεῖ τῷ μάτην γινομένῳ, ἀλλὰ μόνον τοῦ οἰκείου τέλους ἡμάρτηκεν, ὡς ἡ βάδισις τοῦ τὴν γαστέρα
λαπαχθῆναι. ἢ ἕτερόν τι τέλος ἀκολουθεῖ παρ' ἐκεῖνο, οὗ ἕνεκεν ἐγένετο τὸ προγεγονός. ἢ καὶ ἐκεῖ-
νο ἀκολουθεῖ τὸ οὗ ἕνεκα, καὶ ἄλλο παρ' ἐκεῖνο. κατέπεσε γὰρ ὁ λίθος οὐ τοῦ πατάξαι ἕνεκεν, ἀλλ' ἵ-
να τὸν οἰκεῖον καταλάβῃ τόπον. διὸ ἀπὸ ταυτομάτου μὲν οὕτω κατέπεσεν ὡς πλῆξαι. καθ' αὑτὸ δὲ,
ὡς τὸν οἰκεῖον τόπον καταλαβεῖν. μάτην δὲ ὡς πρὸς τὸ πλῆξαι κατέπεσε, καὶ ἡ πληγὴ ἀπὸ ταυτο-
μάτου. ὅτι πέσοι μὲν ἂν ὑπό τινος βληθεὶς ἕνεκα τοῦ πατάξαι. καὶ διὰ τοῦτο ἐν τοῖς ἕνεκά του ἐστίν.
οὐ μέντοι διὰ τοῦτο τότε ἔπεσεν. ἔτι δὲ καὶ ἄλλη γραφὴ τῆς ἐν ἀρχῇ λέξεως τοιαύτη. σημεῖον δὲ τὸ μά-
την, ὅτι λέγεται ὅταν μὴ γένηται τὸ οὗ ἕνεκα, ἀλλ' ὃ ἐκείνου ἕνεκα. τὸ δὲ αὐτὸ καὶ αὕτη δηλοῖ. μά-
την γὰρ λέγεταί τι γίνεσθαι, ὅταν μὴ γένηται τὸ οὗ ἕνεκα, ἀλλ' ὃ ἀντὶ προσεγένετο, δι' ἐκεῖνο τὸ προ-
γινόμενον, ἀκολουθήσει τῷ κατὰ συμβεβηκὸς αἰτίῳ. τὸ γὰρ πλῆξαι ὅταν μὴ γένηται ἕνεκά του δι'
αὐτὸ βαλόντος, ἐκ ταυτομάτου λέγεται γίνεσθαι. ὅτι τῷ μάτην ὡς πρὸς τὸ πλῆξαι προγινομέ-
νῳ ἠκολούθησε. τοῦτο δὲ ἦν ἡ ἐπὶ τὸν οἰκεῖον τόπον φορὰ, ἥτις οὐ τοῦ πλῆξαι ἕνεκεν ἐγένετο. ἄξιον δὲ
οἶμαι τοῖς ἐνταῦθα λεγομένοις ὑπ' ἀλεξάνδρου ἐπιστῆσαι. οὐ γὰρ λέγει φησὶν ὁ ἀριστοτέλης ταυτὸν
εἶναι τὸ αὐτόματον καὶ τὸ μάτην, ὥς τινες ᾠήθησαν. ἀλλ' ᾧ διαφέρει τύχη καὶ τὸ ἀπὸ τύχης, τούτῳ
καὶ τὸ μάτην τοῦ αὐτομάτου. τύχη μὲν γὰρ ἦν τὸ ποιητικὸν αἴτιον κατὰ συμβεβηκός. τὸ ἀπὸ τύχης
δὲ, τὸ τῷ τοιούτῳ αἰτίῳ ἐπακολουθῆσαν, καὶ τελικὸν αἴτιον τοῦ τοιούτου ποιητικοῦ. οὕτως οὖν καὶ
μάτην μὲν τὸ ποιητικὸν ἂν εἴη, κατὰ συμβεβηκὸς αἴτιον γινόμενόν ποτε τῷ αὐτομάτῳ. αὐτόματον δὲ
τὸ ἐπακολουθῆσαν τῷ μάτην γινομένῳ. διαφέρει δὲ τοῦ ἀπὸ τύχης, ὅτι οὐ πάντῃ τῷ μάτην ἀεὶ τὸ
αὐτόματον ἐπακολουθεῖ, τῇ δὲ τύχῃ τὰ ἀπὸ τύχης ἀεί. ἀλλ' ὅταν ἐπακολουθήσῃ, τὴν αὐτὴν τάξιν
ἔχουσι τό, τε ἀπὸ τύχης καὶ τὸ αὐτόματον. ἠπάτησε δέ τινας, ὡς ταυτὸν ἀριστοτέλους τὸ μάτην καὶ
τὸ αὐτόματον λέγοντος, τὸ ἐπενεχθὲν παράδειγμα οὐκ οἰκείως ῥηθέν. κατέπεσε γάρ φησιν οὐ τοῦ πα-
τάξαι ἕνεκεν ὁ λίθος. ἀπὸ ταυτομάτου ἄρα κατέπεσεν ὁ λίθος, ὅτι πέσοι ἂν ὑπό τινος καὶ τοῦ πα-
τάξαι ἕνεκεν. ἀκαταλλήλως γὰρ ἔχει τὸ παράδειγμα. μάτην μὲν γὰρ ἂν λέγοιτο πεπτωκέναι ὁ λί-
θος, εἰ οὗ χάριν ἔπιπτε μὴ ἐγένετο. τοῦτο γὰρ εἴρηκεν εἶναι τὸ μάτην. αὐτόματον δὲ ἂν ἐγεγόνει τὸ πλη-
γῆναί τινα ὑπ' αὐτοῦ, εἰ ἄλλου χάριν καταφερόμενος, τοῦτο μὲν οὐκ ἐποίησεν, ἐπάταξε δέ τινα.
δεῖ οὖν προσυπακούειν, τῷ ἀπὸ ταυτομάτου ἄρα κατέπεσε, τὸ καὶ ἔπληξεν. ἀπὸ ταυτομάτου μὲν
γὰρ ἔπληξε, κατέπεσε δὲ μάτην. ὅτι γὰρ τοῦτο βούλεται, ἐδήλωσε δι' οὗ ἐπιφέρει, λέγων, ὅτι πέ-
σοι ἂν ὑπό τινος καὶ τοῦ πατάξαι ἕνεκα. ὡς γὰρ τοῦ πατάξαι αὐτὸν αὐτομάτως γεγονότος λέγει, οὐ
τοῦ καταπεσεῖν. ταῦτα τοῦ ἀλεξάνδρου λέγοντος αὐτοῖς τοῖς ῥήμασι, τὸ μὲν μὴ εἶναι τὸ μάτην καὶ
τὸ αὐτόματον τὸ αὐτὸ, καλῶς εἰρῆσθαι μοι δοκεῖ. καὶ γὰρ μάτην μὲν καὶ ἐκεῖνο λέγομεν ᾧ μηδὲν ἀκο-
λουθεῖ. ὡς μάτην βαδίσαι λέγομεν, τὸν λαπάξεως μὲν ἕνεκα τῆς γαστρὸς βαδίσαντα, μὴ λαπα-
χθέντα δέ. τὸ δὲ αὐτόματόν ἐστιν, ᾧ πάντως μὲν ἀκολουθεῖ τι, κατὰ συμβεβηκὸς δὲ, ὡς αὐτὸ τὸ προη-
γησάμενον ὅσον ἐπὶ τῷ ἀκολουθήσαντι μάτην προγεγονέναι, καὶ διὰ τοῦτο καλεῖσθαι αὐτόματον. τὸ
μέντοι τούτῳ διαφέρειν τὸ μάτην καὶ τὸ αὐτόματον, ᾧ διαφέρει ἥ τε τύχη καὶ τὸ ἀπὸ τύχης, καὶ τὸ
ποιητικὸν μὲν εἶναι τὸ μάτην τοῦ αὐτομάτου, τὸ δὲ τέλος καὶ τὸ ἐπακολουθοῦν εἶναι τὸ αὐτόματον,
οὐκέτι ὀρθῶς εἰρῆσθαί μοι δοκεῖ. τῇ γὰρ τύχῃ οὐ τὸ μάτην, ἀλλὰ τὸ αὐτόματον ἀναλογεῖ. τῷ δὲ ἀπὸ
τύχης τὸ ἀπὸ ταυτομάτου. καὶ ποιητικὸν μὲν τὴν τύχην καὶ τὸ αὐτόματόν φησιν ὁ ἀριστοτέλης,
ἀλλ' οὐ τὸ μάτην. τελικὰ δὲ, τὸ ἀπὸ τύχης καὶ ἀπὸ ταυτομάτου, ἀλλ' οὐχὶ τὸ αὐτόματον. καὶ γὰρ ἀρ-
χόμενος μὲν τοῦ λόγου φησὶν, ἔστι δὲ καὶ ἡ τύχη καὶ τὸ αὐτόματον τῶν αἰτίων. καὶ μετ' ὀλίγα, ἔστι
μὲν οὖν ἄμφω αἴτια καθάπερ εἴρηται καὶ ἡ τύχη καὶ τὸ αὐτόματον. περὶ δὲ τῶν τελῶν, τὸ μὲν γὰρ
ἀπὸ τύχης πᾶν φησιν ἀπὸ ταυτομάτου. καὶ πάλιν, ἀπὸ τύχης δὲ, τούτων ὁπόσα ἀπὸ ταυτομάτου.
τὸ δέ γε μάτην οὔτε τὸ αὐτὸ τῷ αὐτομάτῳ φησὶν, ἀλλὰ παρώνυμον τὸ αὐτόματον ἀπὸ τοῦ μάτην.
διότι αὐτὸ τὸ προγεγονὸς μάτην προγέγονεν ὅσον ἐπὶ τῷ ἀκολουθήσαντι, οὔτε ποιητικὸν τοῦ αὐτο-
μάτου. ἀλλὰ καθ' ὅσον ἄπρακτον τὸ ὅσον ἐφ' ἑαυτῷ, κατὰ τοσοῦτον ἐδεήθη αὐτοῦ, πρὸς πίστιν τῆς τοῦ
αὐτομάτου ἀποδόσεως, καὶ αὐτοῦ τοιούτου ὄντος. ὅλως δὲ τὸ μάτην καθὸ μάτην οὐδέ ἐστι ποιητικὸν αἴ-
τιον, ὥσπερ ἡ τύχη καὶ τὸ αὐτόματον. τὸ γὰρ μάτην, ᾧ οὐκ ἀκολουθεῖ τὸ τέλος, οὐ ποιητικὸν οὐδὲ κατὰ
συμβεβηκός. ἀλλὰ τὸ αὐτόματον ἐστὶ τὸ ποιητικὸν, ᾧ τὸ ἐκ ταυτομάτου ἀκολουθεῖ, ὅσον μὲν ἐπὶ
τῷ ἀκολουθήσαντι μάτην προγεγονότος τοῦ προγεγενημένου, κατὰ συμβεβηκὸς δὲ γινομένης τῆς
ἀκολουθίας. ἀλλ' οὐδὲ τὸ παράδειγμα τὸ ἐπὶ τοῦ λίθου ἀνοικείως ἐρρήθη. ὡς γὰρ εἶπεν ἀπὸ ταυτο-

μάτου ἐλθεῖν τὸν ἵππον, τουτέστιν ἀποσωθῆναι τῷ δεσπότῃ, οὕτω καὶ πεσεῖν ἐκ ταυτομάτου φησὶ τὴν πληκτικὴν πτῶσιν. ἔστι μὲν οὖν αὐτόματον τὸ κατὰ συμβεβηκὸς αἴτιον τῆς πληγῆς. ἀπὸ ταυτομάτου δὲ ἡ πληγή. τὸ δέ γε μάτην οὐχ ὅτι οὐκέτι ἔτυχε τοῦ τέλους τοῦ οἰκείου ὁ λίθος. ἀλλ' ὅτι ὡς πρὸς τὸ πλῆξαι αὐτὸ τοῦτο ἡ πτῶσις μάτην ἐγένετο. οὐ γὰρ τοῦ πλῆξαι ἕνεκεν, ἀλλὰ τοῦ τὸν οἰκεῖον τόπον καταλαβεῖν. ὡς εἴγε ἔπεσεν ὑπό τινος βληθεὶς ἐπὶ τῷ πλῆξαι, οὐκ ἂν ἦν ἡ πληγὴ ἀπὸ ταυτομάτου. ἐκεῖνο δὲ καλῶς ἐπέστησεν ὁ Ἀλέξανδρος, ὅτι καὶ τὸ ἀπὸ ταυτομάτου ἐν τοῖς προαιρετοῖς καὶ ἐν τοῖς ἕνεκά του δεῖξαι βουλόμενος, προσέθηκεν ὅτι πέσοι ἂν ὑπό τινος καὶ τοῦ πατάξαι ἕνεκα. ὅταν γὰρ τὸ ἐπιγινόμενον τῷ μάτην, ὡς πρὸς τὸ ἐπιγινόμενον προγινομένῳ, τοιοῦτον ᾖ, ὡς κἂν αὐτοῦ χάριν τι γίνεσθαι, μὴ μέντοι τότε τούτου χάριν τὰ πρὸ αὐτοῦ γέγονε, τότε αὐτομάτως τοῦτο γέγονεν. ὅτι δέ φησιν Ἀλέξανδρος τὸ αὐτόματον τὸ γινόμενον λέγει, δῆλον ἐστὶν ἐκ τοῦ ὑποτάσσειν αὐτὸν καὶ τὸ ἀπὸ τύχης τῷ αὐτομάτῳ, ἐπὶ πλέον λέγειν τὸ αὐτόματον τοῦ ἀπὸ τύχης γεγονέναι. τὸ γὰρ ἀπὸ τύχης, τὸ ἐπὶ τοῦ τέλους λέγεται. καὶ τὸ σωθῆναι τὸν ἵππον τοιοῦτον. καὶ εἴη ἂν ὑποτάσσων τὸ ἀπὸ τύχης τῷ αὐτομάτῳ. ἐν οἷς φησι, διαφέρει δέ, ὅτι τὸ αὐτόματον ἐπὶ πλέον ἐστίν. ἀλλ' ἔδει καὶ τὸ ἐφεξῆς συννοεῖν. ἐπάγει γὰρ τὸ μὲν γὰρ ἀπὸ τύχης πᾶν ἀπὸ ταυτομάτου. ὥστε καὶ πρότερον τὸ ἐπὶ πλέον τοῦ ἀπὸ τύχης, ὅπερ ἐκάλεσεν αὐτόματον, τὸ ἀπὸ ταυτομάτου ἔλεγε. τοῦτο γὰρ τῷ ἀπὸ τύχης ἀνάλογον. τὸν δὲ ἵππον αὐτόματόν φησιν ἐλθεῖν, κυρίως λέγων, εἴπερ αὐτόματον μὲν τὸ ἐλθεῖν, ἀπὸ ταυτομάτου δὲ ἐλθόντα σωθῆναι. εἰ δέ ποτε καὶ τῷ αὐτομάτῳ ἀντὶ τοῦ ἐκ ταυτομάτου χρῆται, θαυμαστὸν οὐδέν. καὶ γὰρ Ὅμηρος οὕτω χρῆται, ἐν οἷς φησιν, αὐτόματος δέ οἱ ἦλθε βοὴν ἀγαθὸς Μενέλαος, καὶ αὐτόμαται δὲ πύλαι μύκον οὐρανοῦ, ἃς ἔχον ὧραι, τὸ ἐκ μὴ προηγησαμένης αἰτίας προφανοῦς ἀποτέλεσμα αὐτόματον λέγων. ὅπερ ἐκ ταυτομάτου λέγοιτο ἂν κυριώτερον, ἀνάλογον τῷ ἀπὸ τύχης. εἰ γὰρ αὐτόματον τὸ ἀποτέλεσμά ἐστιν, τὸ ἐκ ταυτομάτου τί ἂν εἴη. καὶ τὸ ἀπὸ τύχης δὲ τύχην ἐκάλεσεν ὁ Ἀριστοτέλης, ἐν οἷς ἔλεγεν, ὅμως δ' ἐπ' ἐνίων ἀπορήσειεν ἄν τις, ἆρα τὰ τυχόντα αἴτια γένοιτο ἂν τύχης. καὶ Πλάτων δὲ τὸ ἀπὸ τύχης τύχην καλεῖ, λέγων ἐν Φαίδωνι, τύχη τις αὐτῷ ὦ Ἐχέκρατες συνέβη. ἀντὶ τοῦ ἀπὸ τύχης τι αὐτῷ συνέβη.

Μ ΑΛΙΣΤΑ δέ ἐστι χωριζόμενον τὸ ἀπὸ τύχης ἐν τοῖς φύσει γινομένοις. ὅταν γὰρ γένηταί τι παρὰ φύσιν, τότε οὐκ ἀπὸ τύχης, ἀλλὰ μᾶλλον ἀπὸ ταυτομάτου γεγονέναι φαμέν. ἔστι δὲ καὶ τοῦτο ἕτερον. τοῦ μὲν γάρ, ἔξω τὸ αἴτιον. τοῦ δ' ἐντός. τί μὲν οὖν ἐστι τὸ αὐτόματον, καὶ τί ἡ τύχη, εἴρηται. καὶ τί διαφέρουσιν ἀλλήλων.

Δ ιαφέρειν εἰπὼν τὸ ἀπὸ τύχης καὶ ἐκ ταυτομάτου εἶναι, τῷ τὰ μὲν ἀπὸ τύχης ἐκ ταυτομάτου εἶναι, τὰ δὲ ἐκ ταυτομάτου μὴ πάντα ἀπὸ τύχης, ἐπειδὴ αὕτη ἡ διαφορὰ, ὡς ὅλον τι καὶ μέρος λαμβάνουσα, μετὰ πλείονος τῆς κοινωνίας ἦν δεικτικὸν τοῦ ἐκ τύχης τὸ ἐκ ταυτομάτου δεικνῦσα, καὶ μέντοι καὶ ὅσα τῶν ἐκ ταυτομάτου γινομένων ἐδόκει μὴ γίνεσθαι ἀπὸ τύχης, ὥσπερ τὰ ἐν τοῖς ἀλόγοις ζώοις καὶ ἐν τοῖς ἀψύχοις, ἐπειδὴ εἰ προαιρετὰ ἦν ἐγίνετο ἂν καὶ ἀπὸ τύχης. καὶ γὰρ ὁ ἵππος ἐσώθη ἂν καὶ ἀπὸ τύχης, ἀπολόμενος μὲν ἀπὸ τύχης τοῦ πολεμίου ἐπὶ πότον ἐξαγαγόντος ἀπὸ φυτῶν, σωθεὶς δὲ ἀπὸ τύχης τῷ δεσπότῃ ἐπ' ἄλλην χρείαν τῆς παρεμβολῆς προελθόντι, καὶ ὁ τρίπους ῥιφθεὶς ὑπὸ τοῦ κλέπτου διωκομένου, κατὰ τύχην εἰς καθέδραν κατέπεσεν, ἄλλον χωρισμὸν τοῦ ἐκ ταυτομάτου πρὸς τὰ ἀπὸ τύχης ἐπιχειρεῖ παραδοῦναι νῦν, ἐν τοῖς φύσει γινομένοις, καὶ τούτων ἐν τοῖς παρὰ φύσιν. τὰ γὰρ παρὰ φύσιν γινόμενα, ἀπὸ τύχης μὲν οὐκ ἔστιν. οὐ γάρ ἐστιν ἐν τοῖς κατὰ προαίρεσιν. ἀλλὰ μᾶλλον φησὶν ἀπὸ ταυτομάτου γεγονέναι φαμέν. καὶ τὴν αἰτίαν τοῦ μᾶλλον καὶ μὴ ἁπλῶς αὐτὸς προσέθηκεν, εἰπὼν ἔστι γὰρ καὶ τοῦτο ἕτερον. μᾶλλον μὲν γὰρ αὐτομάτως γίνεσθαι ῥηθήσεται τὰ παρὰ φύσιν ἢ ἀπὸ τύχης. οὐ μὴν δὲ ἐκ ταυτομάτου ἐστὶ ταῦτα. καὶ τὴν αἰτίαν τούτου πάλιν προστίθησιν, ὅτι ἐπὶ μὲν τῶν ἐκ ταυτομάτου γινομένων, ἐκτός ἐστι τὸ αἴτιον. ᾧ ὡς κατὰ συμβεβηκὸς αἰτίῳ ἕπεται τὸ ἐκ ταυτομάτου γινόμενον. τοῦ γὰρ καθέδραν γίνεσθαι τὸν τρίποδα αὐτομάτως γινόμενον, τὸ ποιητικὸν αἴτιον ὅτι ποτ' ἂν ᾖ, ὅπερ καλοῦμεν αὐτόματον καὶ τύχην ἐπὶ τῶν κατὰ προαίρεσιν, ἔξωθεν ἐστὶ χρὴ τῆς τοῦ τρίποδος φύσεως. ἀμέλει ὅπερ πρότερον εἶπον εἰ κύβος ἦν τὸ κατενεχθέν, οὐκ ἦν ἔξωθεν τῆς φύσεως αὐτοῦ τὸ καθέδραν γίνεσθαι. καὶ διὰ τοῦτο οὐδὲ ἐκ ταυτομάτου ἄν ποτε λέγοιτο γίνεσθαι. δεῖ γὰρ τὸ ἐκ ταυτομάτου ἀκολουθοῦν, μὴ συμπαρέχοντι μὴ δὲ φανερῷ αἰτίῳ ἀκολουθεῖν. ἐπεὶ οὐκ ἂν εἴη ἐκ ταυτομάτου οὐδὲ ἀπὸ τύχης, εἰ φανερὸν εἴη τὸ ποιητικὸν αἴτιον, ᾧ καθ' αὑτὸ τὸ γεγονὸς ἠκολούθησε. τὸ οὖν ἔξωθεν σημαίνοι μὲν ἂν καὶ τὸ ἔξω τῆς τοῦ πράγματος φύσεως. σημαίνοι δὲ ἂν καὶ τὸ ἀφανὲς καὶ ἄδηλον. κυριώτερον δὲ εἰ ἀμφότερα σημαίνοι. οὔτε γὰρ συμπαρέχειν, οὔτε ὅλως φανερὸν εἶναι τὸ αἴτιον χρὴ ἐπὶ τῶν ἀπὸ τύχης καὶ ἐκ ταυτομάτου. ἐπὶ μέντοι τῶν παρὰ φύσιν γινομένων, ἐντός ἐστι τὸ αἴτιον, τοῦ τοιόνδε γίνεσθαι τὸ γινόμενον, ὥσπερ καὶ ἐπὶ τῶν κατὰ φύσιν. ἔστι γάρ τι ὃ καθ' αὑτὸ αἴτιον ἐστὶ τοῦ παρὰ φύσιν. ἡ γὰρ θλῖψις ἢ δυσκρασία ἢ πλεονασμὸς ὕλης ἢ ἔνδεια, ἤ τι ἄλλο τῶν τοιούτων αἴτιον καθ' αὑτὸ τοῦ παρὰ φύσιν γίνεται. ἢ ἔξω τὸ αἴτιον ἐν τοῖς αὐτομάτως γινομένοις λέγοιτο ὡς τέλος, ὡς καὶ τὸ

πρότερον εἶπεν, οὐ τὸ ὡς ποιητικόν. τὸ γὰρ πατάξαι ἔξωθεν ἐστὶν ἐπιγινόμενον, ὡς καὶ τὸ σωθῆναι τὸν ἵππον. ἐπὶ δὲ τῶν παρὰ φύσιν τὸ τέλος ἐν αὐτοῖς ἐστὶ καὶ οὐκ ἔξωθεν. ὥστε ταῦτα μὲν οὐκ ἂν εἴη ἀπὸ ταὐτομάτου. τῶν δὲ φύσει καὶ οὐ κατὰ προαίρεσιν τὰ ἔξωθεν ἔχοντα τὴν αἰτίαν τήν τε ποιητικὴν καὶ τὴν τελικήν, ταῦτα ἂν εἴη οὐκ ἀπὸ τύχης μὲν ἐκ ταὐτομάτου δέ. διότι κοινῶς μὲν ἐκ ταὐτομάτου πάντα, ὅσα μὴ τοῖς προηγησαμένοις αἰτίοις ἀκολουθεῖ. τούτων δὲ ἀπὸ τύχης μὲν τὰ τοῖς κατὰ προαίρεσιν ἐπισυμβαίνοντα. ἐκ ταὐτομάτου δὲ εἰδικώτερον τὰ τῇ φύσει συνεπακολουθοῦντα. φύσιν δὲ τὴν ἄλογον πᾶσαν ἀκουστέον ζωήν. ἐπὶ δὴ τούτοις συμπεραινόμενος τὰ εἰρημένα, καὶ τί ἐστιν ἡ τύχη φησὶ καὶ τὸ αὐτόματον, εἴρηται. καὶ τίνι διαφέρουσιν ἀλλήλων.

ΤΟΝ ΔΕ τρόπον τῆς αἰτίας ἐν τοῖς αἰτίοις ὅθεν ἡ ἀρχὴ τῆς κινήσεως, ἑκάτερον αὐτῶν. ἢ γὰρ τῶν φύσει, ἢ τῶν ἀπὸ διανοίας, αἴτιον ἀεί ἐστιν. ἀλλὰ τούτων τὸ πλῆθος ἀόριστον.

Δείξας τί ἐστιν ἡ τύχη καὶ τί τὸ αὐτόματον, καὶ τί διαφέρουσιν ἀλλήλων, ἀκολούθως λοιπὸν ὑπὸ τί τῶν ἀπηριθμημένων αἰτίων ἀνάγεται προστίθησι. καὶ λέγει ὅτι ὑπὸ τὸν ποιητικὸν τῆς αἰτίας τρόπον ἀνάγεται ἑκάτερον αὐτῶν. οὗτος γάρ ἐστιν ὅθεν ἡ ἀρχὴ τῆς κινήσεως. οὕτω μέντοι, ὡς κατὰ συμβεβηκὸς αὐτὰ τὰ αἴτια ποιητικὰ λέγειν. διὰ τοῦτο γὰρ προσέθηκεν ἀλλὰ τούτων τὸ πλῆθος ἀόριστον. ἀντὶ τοῦ ἀλλὰ ταῦτα κατὰ συμβεβηκός. ὧν γὰρ τὸ πλῆθος ἀόριστον, ταῦτα κατὰ συμβεβηκός ἐστιν. ἐπειδὴ καὶ τῶν μὴ κατὰ συμβεβηκὸς ἀλλὰ τῶν καθ' αὑτὸ αἰτίων τὸ πλῆθος, ὡρισμένον ἐστίν. ἀπόδειξιν δὲ τοῦ ποιητικὰ εἶναι ταῦτα ποιεῖται, ἐκ τοῦ καὶ τὰ καθ' αὑτὰ αἴτια, οἷς ταῦτα συμβέβηκε, τῶν ποιητικῶν αἰτίων εἶναι. ἢ γὰρ τῶν φύσει, ἢ τῶν ἀπὸ διανοίας τι αἰτίων ἀεί ἐστιν, οἷς ἡ τύχη καὶ τὸ αὐτόματον, παρυφίσταται. φύσις δὲ καὶ διάνοια τῶν ποιητικῶν ἐστιν αἰτίων. καὶ γὰρ εἰ μὲν κατενεχθεὶς ὁ λίθος διὰ τὸ βάρος, ἐπάταξέ τινα, φύσις ἦν τὸ καθ' αὑτὸ αἴτιον ποιητικὸν τοῦ κατενεχθῆναι. τὸ δὲ αὐτόματον τοῦ πληγῆναι. καὶ εἰ θεμέλιόν τις ὀρύσσων θησαυρὸν εὗρεν, διάνοια μὲν τὸ καθ' αὑτὸ ποιητικὸν αἴτιον, τύχη δὲ τὸ κατὰ συμβεβηκός. ὅταν μὴ τοῦ εὑρεῖν θησαυρὸν ἕνεκα ὀρύττῃ, ἀλλὰ θεμελίου ἢ ἄλλου τινός. ὥστε εἰ ἡ τύχη καὶ τὸ αὐτόματον ἐν τοῖς ἕνεκά του γινομένοις ἐστὶ κατὰ συμβεβηκὸς αἴτια, τούτων δὲ ἀεί τι αἴτιον καθ' αὑτὸ ἢ τῶν φύσει ἢ τῶν ἀπὸ διανοίας, ταῦτα δὲ ποιητικά, δηλονότι καὶ ἐκεῖνα ποιητικὰ ἂν εἴη, τὰ τούτοις παρυφιστάμενα.

ΕΠΕΙ Δ' ἐστὶ τὸ αὐτόματον, καὶ ἡ τύχη αἴτια, ὧν ἂν ἢ νοῦς γένοιτο αἴτιος, ἢ φύσις, ὅταν κατὰ συμβεβηκὸς αἴτιόν τι γένηται τούτων αὐτῶν, οὐδὲν δὲ κατὰ συμβεβηκός ἐστι πρότερον τῶν καθ' αὑτό, δῆλον ὅτι, οὐδὲ τὸ κατὰ συμβεβηκὸς αἴτιον, πρότερον τοῦ καθ' αὑτό, ὕστερον ἄρα τὸ αὐτόματον καὶ ἡ τύχη καὶ νοῦ καὶ φύσεως. ὥστε εἰ ὅτι μάλιστα τοῦ οὐρανοῦ αἴτιον τὸ αὐτόματον ἀνάγκη πρότερον νοῦν αἴτιον καὶ φύσιν εἶναι καὶ ἄλλων πολλῶν, καὶ τοῦδε τοῦ παντός.

Δείξας ὅτι ἡ τύχη καὶ τὸ αὐτόματον κἂν ἐστὶν αἴτια, κατὰ συμβεβηκός ἐστιν αἴτια, καὶ τούτων ἐστὶν αἴτια κατὰ συμβεβηκός, ὧν καθ' αὑτὸ ὁ νοῦς καὶ ἡ φύσις αἴτια ἐστίν, εἴπερ ἐν τοῖς ἕνεκά του γινομένοις ἐδείχθη, λαβὼν δὲ καὶ ὅτι οὐδὲν τῶν κατὰ συμβεβηκὸς πρότερόν ἐστι τοῦ καθ' αὑτό, καὶ διὰ τοῦτο οὐδὲ τὸ αἴτιον τὸ κατὰ συμβεβηκὸς πρότερόν ἐστι τοῦ καθ' αὑτὸ αἰτίου, καὶ γάρ τοι τὸ κατὰ συμβεβηκὸς αἴτιον ἔν τι τῶν κατὰ συμβεβηκός ἐστιν, ἀλλ' οὐδὲ ἰσόστοιχόν ἐστι τὸ κατὰ συμβεβηκὸς τῷ καθ' αὑτό, εἴπερ ἐκείνῳ προηγουμένῳ ἐπισυμβαίνει, ἐκ δὴ τούτων συνάγει ὅτι νοῦς καὶ φύσις πρότερα ἐστὶ τύχης καὶ αὐτομάτου. ἡ δὲ συναγωγὴ τοῦ λόγου τοιαύτη. νοῦς καὶ φύσις καθ' αὑτὰ αἴτια. τὰ καθ' αὑτὰ αἴτια πρῶτα τῶν κατὰ συμβεβηκός ἐστιν αἰτίων. τὰ δὲ πρῶτα τῶν κατὰ συμβεβηκὸς αἰτίων πρῶτα τύχης καὶ αὐτομάτου ἐστίν. νοῦς ἄρα καὶ φύσις πρῶτα τύχης καὶ αὐτομάτου ἐστίν. ἐπειδὴ δὲ τὰ κατὰ συμβεβηκὸς αἴτια ὕστερα τῶν καθ' αὑτά ἐστιν, καὶ προϋπαρχόντων ἐκείνων ἐπιγίνεται ταῦτα, δηλονότι ἐν οἷς ἐστι τὰ κατὰ συμβεβηκὸς αἴτια, ἐν τούτοις χρὴ προϋπάρχειν τὰ καθ' αὑτά. ἐν οἷς ἄρα τύχη καὶ τὸ αὐτόματον αἴτια κατὰ συμβεβηκός, ἐν τούτοις νοῦν καὶ φύσιν προϋπάρχειν ἀνάγκη. ὥστε ὅσοι τύχην καὶ αὐτόματον τοῦ οὐρανοῦ καὶ τοῦδε τοῦ παντὸς νομίζουσιν αἴτια, τούτοις ἀκολουθεῖ διὰ ὧν λέγουσιν αἴτια πρῶτα τούτων τιθέναι νοῦν καὶ φύσιν. διότι ὥς φησιν ὁ Ἀλέξανδρος τὰ πρῶτα αἴτια τῶν πρώτων ἐν τοῖς οὖσιν ἐστὶ ποιητικά. καὶ τὰ πρῶτα τῶν ὄντων ὑπὸ τῶν πρώτων αἰτίων γέγονεν. ἅπερ ἐστὶ νοῦς καὶ φύσις. εἰ δὲ ὅλως ἐστὶν αἴτια τινῶν νοῦς καὶ φύσις, τούτων ἂν εἴη οἷς μάλιστα τὸ κατὰ νοῦν ὑπάρχει. οἷος ὁ οὐρανός ἐστι, καὶ τόδε τὸ πᾶν. μήποτε δὲ πρὸς πίστιν τοῦ ἀπὸ νοῦ καὶ φύσεως γεγονέναι τὸν οὐρανόν, οὐ χρεία τοῦ τὰ πρῶτα αἴτια τῶν πρώτων ἐν τοῖς οὖσιν εἶναι ποιητικά. δεῖται γὰρ αὕτη ἡ βοήθεια πάλιν ἄλλης δεικνύσης, ὅτι πρῶτος τῶν ὄντων ὁ οὐρανός. ἀλλ' ἔστιν αὐτοβοήθητος ὁ τοῦ Ἀριστοτέλους λόγος, οὐχ ἁπλῶς δείξας ὅτι πρὸ τύχης καὶ αὐτομάτου ἐστὶ νοῦς καὶ φύσις. ἀλλ' ὅτι ἐφ' ὧν τύχη καὶ τὸ αὐτόματον αἴτιόν ἐστιν, ἐπὶ τούτων πρὸ τούτων νοῦς καὶ φύσις ἐστὶ τὰ αἴτια, καθ' αὑτὰ μὲν τοῦ καθ' αὑτὸ ἀποτελουμένου, κατὰ συμβεβηκὸς δὲ τοῦ κατὰ συμβεβηκός. τὸ γὰρ αὐτὸ αἴτιον οἷον ἡ διὰ τὸν φίλον πρόοδος, καὶ τοῦ ἀσπάσασθαι τὸν φίλον αἰτία, καὶ τοῦ εὑρεῖν χρεώστην, ἀλλὰ τοῦ μὲν καθ' αὑτό, τοῦ δὲ κατὰ συμβεβηκός, ὅτε καὶ τύχη λέγεται καὶ αὐτόματον ἐπὶ τῶν φυσι-

κῶν. καὶ τοῦ αὐτοῦ πάλιν ἀποτελέσματος καὶ καθ' αὑτὸ ἂν εἴη αἴτιον ὁ νοῦς, ἤτοι ἡ προαίρεσις, καὶ
κατὰ συμβεβηκὸς. καὶ γὰρ εὕροι ἂν τὸν χρεώστην ἐν ἀγορᾷ καὶ προελόμενός τις. καὶ ὁ ἵππος ἐκ
προνοίας ἂν σωθείη. ὥστε καὶ ὁ οὐρανὸς εἰ ἀπὸ τύχης γίνεται καὶ αὐτομάτου, πολλῷ πρότερον
ἀπὸ νοῦ καὶ φύσεως. λέγει δὲ ἄλλων πολλῶν καὶ τοῦδε τοῦ παντὸς, διότι τῶν ἀϊδίων μάλιστα αἴ-
τιον εἶναι τὸν νοῦν βούλεται, ὡς τεταγμένων καὶ ὡρισμένων. ἔστι δὲ ἀΐδιον καὶ τὸ πᾶν τόδε ὡς ἐν
τῇ περὶ οὐρανοῦ ἔδειξε. καὶ τῶν ἐν τῷ παντὶ πολλὰ, οὐρανοὶ, καὶ ἄστρα, καὶ τῶν στοιχείων αἱ ὁλότη-
τες. ἐν δὴ τούτοις ὁ ἀλέξανδρος, ὅπερ φησὶν ὁ πλάτων ἐν τῷ δεκάτῳ τῶν νόμων βούλεται δεῖξαι,
καὶ διὰ πολλῶν αὐτὸ δείκνυσι, τοῦτο διὰ βραχέων ὁ ἀριστοτέλης ἔδειξεν ἐνταῦθα, τὴν τῆς τύχης
φύσιν ἥτις ποτέ ἐστιν ὁρισάμενος, καὶ δείξας ὅτι ὑστέρα. ἃ γὰρ γένοιτο ἂν κἂν ἀπὸ νοῦ ἢ φύσεως,
ταῦτα ἀπὸ τύχης καὶ αὐτομάτου λέγεται, ὅταν τι τῶν κατὰ συμβεβηκὸς αἴτιον γένηται. ἰστέον
δὲ ὅτι ὁ πλάτων οὐ νοῦ καὶ φύσεως ὑστέραν δείκνυσι τὴν τύχην. ἀλλὰ τύχην καὶ φύσιν ὕστερα τῆς
ψυχῆς ὄντα ἀποδείκνυσι, τῶν παλαιῶν φυσιολόγων ἐπιτελειῶν τὰς δόξας. ὅσοι περὶ τῶν ὑλι-
κῶν αἰτίων μάλιστα διαλεγόμενοι, ὡς πρώτων προσπιπτόντων εἰς γνῶσιν, περὶ τῶν ποιητικῶν οὔ-
πω τινὰ ἐποιοῦντο λόγον. λέγει δὲ ὁ πλάτων ὡς εἶπον, οὐχ ὅτι φύσεως καὶ νοῦ ἡ τύχη ἐστὶν ὑστέρα,
» ἀλλ' ὅτι φύσεως καὶ τύχης προτέρα ἐστὶν ἡ ψυχὴ καὶ ἡ τέχνη, γράφων οὕτως. ὧδε ἔτι σαφέστερον ἐ-
» ρῶ, πῦρ, καὶ ὕδωρ, καὶ γῆν, καὶ ἀέρα, φύσει εἶναι πάντα καὶ τύχῃ φασὶ, τέχνῃ δὲ οὐδὲν τούτων. καὶ
» τὰ μετὰ ταῦτα αὖ σώματα γῆς τε καὶ ἡλίου καὶ σελήνης, ἄστρων τε πέρι, διὰ τούτων γεγονέναι
» παντελῶς ὄντων ἀψύχων. τύχῃ δὲ φερόμενα τῇ τῆς δυνάμεως ἕκαστα ᾗ συμπέπτωκεν, ἁρμόττον-
» τα οἰκείως πως θερμὰ ψυχροῖς, ἢ ξηρὰ πρὸς ὑγρὰ, καὶ μαλακὰ πρὸς σκληρὰ, καὶ πάντα ὁπόσα τῇ
» τῶν ἐναντίων κράσει κατὰ τύχην ἐξ ἀνάγκης συνεκράθη, ταύτῃ καὶ κατὰ ταῦτα οὕτω γεγεννη-
» κέναι τόν τε ὅλον οὐρανὸν, καὶ πάντα ὁπόσα κατ' οὐρανὸν. καὶ ζῶα αὖ καὶ φυτὰ καὶ ξύμπαντα,
» ὡρῶν πασῶν ἐκ τούτων γενομένων, οὐ διὰ νοῦν φασιν, οὐδὲ διὰ θεὸν, οὐδὲ διὰ τέχνην, ἀλλ' ὃ λέγομεν
» φύσει καὶ τύχῃ. τέχνην δὲ ὑστέραν ἐκ τούτων ὑστέραν γενομένην αὐτὴν θνητὴν ἐκ θνητῶν, ὕστερα γε-
» γεννηκέναι, παιδιάς τινας ἀληθείας οὐ σφόδρα μετεχούσας. ἐπὶ δὴ τούτοις ἀποδείξας ψυχὴν μὲν
προτέραν γεγονέναι σώματος ἡμῖν, σῶμα δὲ δεύτερόν τε καὶ ὕστερον ψυχῆς, ἀρχούσης ἀρχόμενον
» κατὰ φύσιν, ἐπάγει, μεμνῆσθαι γε μὴν ὁμολογήσαντες ἐν τοῖς πρόσθεν, ὡς εἰ ψυχὴ φανείη πρε-
» σβυτέρα σώματος οὖσα, καὶ τὰ ψυχῆς τῶν τοῦ σώματος ἔσοιτο πρεσβύτερα. δῆλον οὖν ἐκ τῶν εἰρη-
μένων, ὅτι τὴν μὲν τύχην τῇ φύσει συνέταξεν ἐν τούτοις ὁ πλάτωνος λόγος, τοὺς παλαιοὺς φυσιο-
λόγους ὑποκρινόμενος. τούτοιν δὲ ἀμφοῖν προτέραν τὴν ψυχὴν ἀποδείκνυσιν, ἐν τούτῳ πολλῶν δεη-
θεὶς λόγων, ἵνα τὴν αὐτοκίνητον οὐσίαν, ἥτις ἐστὶν ἡ ψυχὴ δείξῃ πάσης κινήσεως ἀρχὴν οὖσαν. τύχην
δὲ ὁ πλάτων ἔοικεν ἐν τούτοις καλεῖν, τὴν ἄδηλον προφανοῦς αἰτίας τῶν φυσικῶν δυνάμεων τάξιν
τῆς πρὸς ἀλλήλας συναρμογῆς. τοῦτο γὰρ οἶμαι σημαίνειν, τὸ, τύχῃ φερόμενα τῇ τῆς δυνάμεως ἑ-
κάστῳ, ᾗ ξυμπέπτωκεν ἁρμόττοντα οἰκείως. ὁ δὲ εὔδημος τὴν μὲν φύσιν τῆς τέχνης, τὴν δὲ τέχνην τῆς
τύχης προτέραν δείκνυσιν. ἄξιον δὲ πάλιν τοῖς ἐνταῦθα λεγομένοις ἀπὸ τοῦ ἀριστοτέλους ἐφιστά-
νειν, τοὺς οἰομένους τὸ ποιητικὸν αἴτιον τοῦ παντὸς μὴ λέγειν τὸν ἀριστοτέλη. εἰ γὰρ ἀνάγκη πρότερον
νοῦν αἴτιον καὶ φύσιν εἶναι, καὶ ἄλλων πολλῶν καὶ τοῦδε τοῦ παντὸς, καὶ οὕτως ὡς ἐλέγετο παρά-
τινων τὸ αὐτόματον καὶ ἡ τύχη, ταῦτα δὲ ἐν τοῖς ὅθεν ἡ ἀρχὴ τῆς κινήσεως, τουτέστιν ἐν τοῖς ποιη-
τικοῖς αἰτίοις κατατέτακται, δηλονότι καὶ νοῦς καὶ φύσις ποιητικὰ ἂν εἴη τοῦ παντὸς αἴτια. καὶ οἶ-
δα μὲν ὅτι φιλονεικῶν ἄν τις εἴποι ἐξ ὑποθέσεως συνάγεσθαι τὸν λόγον, ὡς εἰ τύχη καὶ τὸ αὐτόμα-
τον αἴτιον τοῦ οὐρανοῦ, πρὸ τούτων ἂν εἴη νοῦς καὶ φύσις. ἀλλὰ δεῖ μνημονεῦσαι καὶ τῶν ὑπ' ἀλεξάν-
δρου λεγομένων, ὅτι τὰ πρῶτα αἴτια τῶν πρώτων ἂν εἴη ποιητικά. ἔστι δὲ πρῶτα μὲν αἴτια νοῦς
καὶ φύσις. πρῶτα δὲ τῶν ὄντων μᾶλλον δὲ τῶν ὁπωσοῦν γινομένων, κἂν μὴ ἀπ' ἀρχῆς χρόνου, οὐρα-
νὸς, καὶ τόδε τὸ πᾶν. ἀλλ' ἐπειδὴ μέχρι τοῦδε τοῖς περὶ τύχης καὶ αὐτομάτου λόγοις ὑπ' ἀριστοτέ-
λους παρακολουθήσας, ὡς δυνατὸν ἦν ἐμοὶ τῶν εἰρημένων ἕκαστα διήρθρωσα, καλῶς ἂν ἔχοι συν-
τόμως ἐκθέμενον καὶ τὰ τῷ ἀριστοτέλει δοκοῦντα περὶ τούτων, οὕτω τὰ τοῖς νεωτέροις φιλο-
σόφοις δεδογμένα προσθεῖναι, καὶ δεῖξαι μηδὲν τῆς παλαιᾶς παραδόσεως διαφέροντα. ὁ μὲν οὖν
ἀριστοτέλης τῶν ἐν τοῖς φυσικοῖς γινομένων τὰ αἴτια ζητῶν, ἐπειδὴ καὶ ἐκ ταὐτομάτου καὶ ἀπὸ τύ-
χης εὑρίσκει τινὰ λεγόμενα γίνεσθαι, τὰ σημαινόμενα τούτων κατὰ τὴν ἐπιπολάζουσαν ἔννοιαν
διαρθρῶσαι προτίθεται. ἐπεὶ οὖν χρὴ μὲν εἶναι παντὸς τοῦ γινομένου ποιητικὸν αἴτιον, καὶ παντὸς
ἀποτελέσματος προηγεῖσθαί τινα, οἷς ἐπιγίνεται τὸ γινόμενον, τούτων δὲ τὰ μὲν ἕνεκα τοῦ γινομέ-
νου προενεργεῖ, καὶ τὸ γινόμενον οἰκείως ἀκολουθεῖ τῷ προενεργοῦντι, ὡς ὅταν τῆς ἐντεύξεως ἕνε-
κα τοῦ φίλου προελθὼν, ἐντύχῃ τῷ φίλῳ, ἢ ὅταν λίθος τοῦ καταλαβεῖν τὸν οἰκεῖον τόπον ἕνεκεν
καταπεσὼν καταλάβῃ, ποτὲ δὲ τὸ ἐπιγινόμενον οὔτε τῷ προενεργηθέντι ἀκολουθεῖ καθὸ τοιοῦτο,
οὔτε τὸ προενεργηθὲν εἰς ἐκεῖνο τελευτᾷ τὸ τέλος, οὗ ἕνεκα προεγένετο. ἀλλ' εἰς τι ἕτερον τινάλως

ἐπισυμβαίν,

ἐπισυμβαίνῃ, καὶ οὐ κατὰ τὸν προηγησάμενον τῆς ἐνεργείας σκοπόν. ὡς τὸ προελθεῖν τοῦ ἀσπάσα-
σθαι τὸν φίλον ἕνεκα, ὅταν μὴ τοῦτο γένηται, ἀλλὰ τὸ ἀπολαβεῖν τὸ χρέος ἄλλό τι ἐπισυμβαίνῃ ἔ-
σχε τέλος, καὶ οὐκ ἐκεῖνο οὗ ἕνεκα ἐγένετο. καὶ ὁ κατενεχθεὶς λίθος διὰ τὸ καταλαβεῖν τὸν οἰκεῖον
τόπον, ὅταν κάθισμα γένηται, ἔσχε τι καὶ ἄλλο τῇ πτώσει τέλος ἀκολουθῆσαν, οὗ χάριν οὐκ ἐγέ-
νετο ἡ πτῶσις. πάντα τὰ τοιαῦτα δὲ ἐν οἷς ἄλλό τι τέλος τοῖς ἄλλου ἕνεκα προενεργηθεῖσιν ἐπι-
συμβαίνει, ἐκ ταυτομάτου λέγομεν γίνεσθαι, διότι γίνεται μὲν ἐκ τοῦ προενεργηθέντος, εἴπερ
ἐκείνου μὴ προηγησαμένου οὐκ ἂν ἐγένετο. μὴ προελθὼν γάρ, οὐκ ἂν εὗρε τὸν χρεώστην ἐν τῇ ἀ-
γορᾷ. καὶ μὴ πεσόντος τοῦ λίθου, οὐκ ἂν ἐγένετο τὸ κάθισμα. ἀλλ' ἐπειδὴ τὸ προηγησάμενον, οὗ
μὲν ἕνεκα ἐγένετο οὐκ ἔσχεν ἀκολουθοῦν, καὶ διὰ τοῦτο αὐτὸ μάτην ἐγένετο, τοῦ δὲ ἀκολουθήσαντος
ἕνεκα οὐκ ἐγένετο, καὶ διὰ τοῦτο πάλιν αὐτὸ ὅσον ἐπὶ τῷ ἀκολουθήσαντι μάτην ἐγένετο, εἰκότως αὐ-
τόματον ὠνομάσθη, ὡς αὐτὸ μάτην προενεργηθὲν ἐπὶ τοῦ τοιούτου τέλους. αἴτιον δὲ ὅμως λέγεται,
διότι μὴ προηγησαμένου οὐκ ἂν ἐγένετο. καὶ ὅτι ἄλλο αἴτιον οὐχ ὁρῶμεν φυσικῶς σκοποῦντες. αἴτιον
μέντοι οὐ καθ' αὑτὸ τοῦ τοιούτου τέλους, ἀλλὰ κατὰ συμβεβηκός. τῶν δὲ ἐκ ταυτομάτου, τὰ μὲν
ταῖς κατὰ προαίρεσιν ἐνεργείαις ἐπισυμβαίνοντα, ἀπὸ τύχης γίνεσθαι φασί, καὶ τύχην τὴν τῇ
προαιρέσει καὶ τῇ κατὰ προαίρεσιν ἐνεργείᾳ παρυφισταμένην αἰτίαν. οἷον τῇ παρόδῳ τῇ διὰ τὸν φί-
λον, ὅταν μὴ ἐκεῖνο τὸ τέλος οὗ ἕνεκα ἐγένετο ἀκολουθήσῃ, ἀλλά τι ἄλλο παρ' αὐτό. τὰ δὲ λοιπὰ
τῶν ἐκ ταυτομάτου τὰ ταῖς ἀλόγοις καὶ φυσικαῖς ἐνεργείαις ἐπισυμβαίνοντα, τῷ τοῦ κοινοῦ ὀνό-
ματι πάλιν ἐκ ταυτομάτου καλοῦσι. καὶ αὐτόματον τὸ προηγησάμενον αἴτιον, ᾧ μὴ καθ' αὑτὸ τὸ τέ-
λος ἀλλὰ κατὰ συμβεβηκὸς ἠκολούθησε. τὰ μὲν οὖν τοῦ ἀριστοτέλους τοιαῦτα, τὴν συνήθειαν τῶν
ὀνομάτων διαρθρῶσαι προθυμηθέντος, κατὰ τὰ προσήκοντα τῇ φυσικῇ περὶ τῶν αἰτίων διδα-
σκαλίᾳ. ἀξιῶ δὲ πρῶτον ἐφιστάνειν, μήποτε οὐ μόνον τὰ ταῖς προαιρετικαῖς κινήσεσιν ἐπισυμβαί-
νοντα, ἀπὸ τύχης ἔλεγον οἱ παλαιοί, ἀλλὰ καὶ τὰ ταῖς φυσικαῖς ῥοπαῖς ἐπακολουθοῦντα. ἵνα
γὰρ τὰς πολλὰς περὶ τούτου παραλείπω χρήσεις, ὧν τινὰς ἐκ τῶν ἐμπεδοκλέους παρεθέμην πρό-
τερον, ἀρκεῖ καὶ ἡ ὑπὸ τοῦ ἀριστοτέλους παρατεθεῖσα. περὶ γὰρ τοῦ ἀέρος λέγει ἐμπεδοκλῆς, ὡς
οὕτω συνέκυρσε θέων τότε, πολλάκι δ' ἄλλως. καὶ ὁ πλάτων δὲ τὰς τῶν προτέρων φυσικῶν δό-
ξας περὶ τῶν ἀπὸ τύχης ἱστορῶν, ἐν τοῖς στοιχείοις καὶ ταῖς τῶν στοιχείων κράσεσι τὴν τύχην αὐτοὺς
αἰτιᾶσθαι φησίν, ἐν οἷς λέγει, πῦρ καὶ ὕδωρ, καὶ γῆν, καὶ ἀέρα φύσει πάντα εἶναι καὶ τύχῃ φα-
σί. καὶ ἐν τοῖς ἑξῆς τούτων ἃ πρὸ ὀλίγου παρέγραψα. πολλαχοῦ δὲ καὶ τὰ ταῖς προαιρέσεσιν
ἐπισυμβαίνοντα, αὐτόματα καὶ ἐκ ταυτομάτου καλοῦσιν οἱ παλαιοί. τοιοῦτο γὰρ τὸ παρ' ὁμήρῳ,
αὐτόματος δέ οἱ ἦλθε βοὴν ἀγαθὸς μενέλαος. τῇ γὰρ τῶν ἄλλων ἀριστέων κλήσει τοῦ ἀγαμέμνονος
κατὰ προαίρεσιν γινομένῃ, ἐπισυνέβη ἡ τοῦ μενελάου ἄφιξις. εἰ οὖν ἐπὶ τῶν αὐτῶν ἀδιαφόρως τὴν
τύχην καὶ τὸ αὐτόματον τάττουσι, τὴν μὲν τύχην οὐ κατὰ τὴν τοῦ τυχεῖν ἔννοιαν, ἀλλὰ κατὰ τὴν
τοῦ ὡς ἔτυχε λαμβάνοντες, ὅταν μὴ ἔχωσιν αἰτίαν ἀποδιδόναι, τὸ δὲ αὐτόματον αὐτόθεν κατὰ τὸ
ἀναίτιον τιθέντες, ἐφ' ὧν γὰρ οὐδέν ἐστιν ὡρισμένον αἴτιον, ἐπὶ τούτων καὶ τὸ ὡς ἔτυχε καὶ τὸ αὐτό-
ματον λέγειν εἰώθαμεν, καὶ τὸ συνέκυρσε ταύτης τῆς ἐννοίας ἐστί. καὶ ἔστι μὲν καὶ αὕτη ἡ ἔννοια ἀπὸ
τοῦ τυχεῖν παρηγμένη. ἀλλὰ τυχεῖν οὐ κατὰ λόγον, οὐδὲ κατὰ προηγούμενον σκοπόν, ἀλλ' εἰκῆ καὶ
ὅπως ἄν. τοῦτο γὰρ σημαίνει τὸ ὡς ἔτυχε. ταῦτα μὲν οὖν περὶ τῆς τῶν ὀνομάτων διαφορᾶς διορί-
ζομαι. καὶ εἰ ἐν τοῖς κατὰ προαίρεσιν μόνοις ἡ τύχη, ζητεῖν ἀξιῶ. καὶ μέντοι καὶ εἰ ἐν τοῖς ἐπ' ἔλατ-
τον μόνοις. εἴπερ γὰρ τὸ τυχεῖν καὶ ἐπιτυχεῖν ἀπὸ τύχης λέγομεν πάντως, λέγομεν δὲ καὶ τὸν ἄρι-
στον τοξότην τυγχάνειν τοῦ σκοποῦ, καὶ τὸν ἄριστον γραφέα ἐπιτυγχάνειν γράφοντα, καὶ τὸν φαῦ-
λον ἀποτυγχάνειν, οὐκ ἐπ' ἔλαττον, ἀλλ' ἐπὶ πλέον. καὶ εὔδημος δὲ ἂν μὲν τὸ κατὰ τὴν τέχνην φη-
σὶν ἀποτελέσῃ, εὐτυχία λέγεται. ἂν δὲ τὸ παρὰ ταύτην ἀτυχία. ἀλλὰ τὸν προθέμενον ὁτιοῦν
πράττειν, ὅταν πράξῃ τὸ προτεθέν, τυγχάνειν τοῦ οἰκείου τέλους φαμέν. ὥσπερ καὶ ἀποτυγχάνειν
ὅταν διαμαρτάνῃ. ὥστε οὐδὲ κατὰ συμβεβηκὸς ἡ τεῦξις, ὅταν τυγχάνῃ καὶ ὁ προθέμενος. εἰ τοί-
νυν ὥσπερ τῶν ἄλλων πάντων ἰδιωμάτων, οἷον κάλλους, ὑγιείας, νίκης, θείας τινὰς προϋπάρχειν
αἰτίας νομίζομεν, ἀφ' ὧν αἱ μεθέξεις μεταδίδονται τοῖς μετέχουσι, καὶ τὰς αἰτίας καλεῖν τολ-
μῶμεν τοῖς ὀνόμασι τῶν ἐνδιδομένων ἀπ' αὐτῶν ἀγαθῶν, ἐπειδὴ καὶ τὸ τυχεῖν τοῦ ἐπιβάλλοντος ἀγα-
θοῦ μέγα τι ἐστί, καὶ τῆς θείας δόσεως ἄξιον, πῶς οὐκ ἀναγκαῖον τὴν τοῦ τυχεῖν αἰτίαν θείαν ἀγαθό-
τητα καλεῖν τύχην. καὶ καλῶς τισιν ἔδοξεν αἰτία μὲν εἶναι ἡ τύχη, ἄδηλος δὲ ἀνθρωπίνῃ διανοίᾳ,
ὡς θεῖόν τι οὖσαν καὶ δαιμονιώτερον. εἰ δ' ἐν ἐκείνοις μάλιστα τὴν τύχην φαμὲν αἰτίαν, ἐν οἷς μηδὲν ἄλλο
αἴτιον καθ' ἑαυτὸ συνεγνωσμένον ὁρῶμεν, οὐ διὰ τοῦτο χρὴ νομίζειν τὸ καθ' αὑτό τινος αἴτιον, ὅταν ἄλ-
λου κατὰ συμβεβηκὸς αἴτιον γένηται, τότε καλεῖσθαι τύχην μὲν τὸ αἴτιον, τὸ δὲ ἀποτέλεσμα ἀπὸ
τύχης. ἀλλὰ τὸ μὲν καθ' αὑτὸ αἴτιον ἐκείνου νομίζειν αἴτιον, ὅπερ καὶ γίνεται. οἷον τὸ προελθεῖν εἰς
ἀγορὰν τοῦ φίλου ἕνεκεν, αἴτιον ἐστὶ τοῦ ἐν ἀγορᾷ γενέσθαι. τοῦ δὲ τῷ χρεώστῃ περιτυχεῖν συναίτιον μὲν

καὶ ἡ προαίρεσις καὶ ἡ πρόοδος. κυριώτατον δὲ αἴτιον ἡ τύχη. ἥτις καὶ διὰ τοῦτο προελθόντα ἐποίησεν ἂν τυχεῖν, ἀλλὰ συνεργούσης τότε καὶ τῆς προαιρέσεως, μὴ διὰ τοῦτο δὲ προελθόντος, ἡ τύχη μόνη αἰτία δοκεῖ. καὶ τότε μὲν συνεργούσης τῆς προαιρέσεως κατὰ τὸ προελθεῖν ὅλως, τῷ δὲ μὴ ἐπὶ τούτῳ προελθεῖν, δεομένης ἐναργῶς τοῦ κατευθύνοντος αἰτίου. ὁ μέντοι Ἀριστοτέλης ὡς πολλάκις εἶπον φυσικὴν ποιούμενος τὴν διάκρισιν, τὸ μὲν ἀφανὲς αἴτιον τοῖς θεολόγοις παραδιδόναι καταλιμπάνει. τὸ δὲ συνεγνωσμένον αἴτιον, ὅταν ἄλλου τυγχάνῃ τέλους παρ' ὃ προτίθεται, τοῦτο τύχην καλεῖ, καὶ τὸ τέλος ἀπὸ τύχης. ἐν τίσι δὲ ἐστὶν ἡ τῆς τύχης ἐπικράτεια ζητοῦντες, εὑρήσομεν πᾶσι τοῖς δεομένοις τοῦ τυχεῖν. δεῖται δὲ τὰ μεταχεῖν δεόμενα τινός. μετέχει δὲ τὰ διακριθέντα ἀπ' ἀλλήλων. ὥστε καὶ ἐν τῇ διακρίσει τῶν νοερῶν εἰδῶν χρεία τῆς τύχης, ἵνα τυγχάνωσι τὰ διακριθέντα τῆς ἀλλήλων μεθέξεως. εἰ δὲ ἡ διάκρισις ἐκείνη ἀδιάκριτος, καὶ ἡ μέθεξις οὐ μέθεξις ἀλλὰ μᾶλλον συνυπόστασις, δηλονότι καὶ ἡ τῆς τύχης ἰδιότης οὐδέποτε ἐν ἐκείνοις ἐστὶν ἐκφανής. ἐν δὲ τῷ σωματοειδεῖ κόσμῳ, ἐν ᾧ τελέα διάκρισις ἤδη καὶ διασπασμός πως γινόμενος, ἐν τούτῳ καὶ ἡ μέθεξις καὶ ἡ τεῦξις ἐναργής. καὶ ἡ τύχη προφανεστέραν τὴν ἑαυτῆς δύναμιν ἐπιδείκνυται. καὶ γὰρ διὰ τὴν τύχην ὁ ἥλιος, καὶ τῶν πλανωμένων ἕκαστος ἀστέρων τυγχάνει τῆς καθ' ἕκαστον τῶν ζωδίων οἰκήσεως. τυγχάνουσι δὲ καὶ τῶν πρὸς ἀλλήλους σχηματισμῶν. καὶ ἡ σελήνη τοῦ σεληνιακοῦ φωτός. πάντες δὲ οἱ κατ' οὐρανὸν ἀστέρες τῆς τῶν ἄλλων ἀκτινοβολίας τυγχάνουσιν. ἀλλ' ἐν τῷ οὐρανῷ διὰ τὸ τῆς τάξεως ἀναγκαῖον, οὐχ οὕτω πάλιν ἐστὶν ἡ τῆς τύχης δύναμις ἐκφανής. ἐν μέντοι τῷ ὑπὸ σελήνην, ἐν ᾧ πολὺς κίνδυνος μὴ δὲ τυχεῖν, διὰ τὴν τῶν πολλῶν καὶ ἀορίστων αἰτίων συνδρομὴν, ἐνταῦθα μάλιστα ἡ τύχη τὴν ἑαυτῆς ἐπικράτειαν ἐπιδείκνυται, συνάγουσα πάντα τὰ αἴτια, πρὸς τὸ μὴ διαμαρτεῖν ἀλλὰ τυχεῖν ἕκαστον τοῦ αὐτῷ κατὰ τὸ δίκαιον ἐπιβάλλοντος, τουτέστι δὲ εἰπεῖν κατὰ τὴν ἑαυτοῦ ἀξίαν. καὶ γὰρ ὑγεία θεὸς ἐν τούτοις μάλιστα διαφανής ἐστιν, ἐν οἷς καὶ νοσήματα παρεισέρχεται, καὶ ἔτι μᾶλλον ἐν οἷς τὰ μερικώτερα αἴτια οὐ πάρεστι. καὶ τῆς μὲν κατ' ἀξίαν διανομῆς τὴν δίκην λέγομεν αἰτίαν. τοῦ δὲ τυχεῖν τοῦ κατ' ἀξίαν, τὴν τύχην. καὶ τότε μάλιστα φαίνεται, ὅταν μήτε διάνοια, μήτε ἄλλο τι προφανὲς αἴτιον ὁρᾶται. ἔστι μὲν γὰρ καὶ ἐφ' ὧν ἄλλα αἴτια ἐνεργεῖ. τοῦ δὲ τυχεῖν ἡ τύχη αἰτία. ἐφ' ὧν δὲ μηδὲν ἄλλο αἴτιον συνεγνωσμένον ἐστὶν, ἐπὶ τούτων μάλιστα ὁρᾶται. καὶ ἔστιν ἀπὸ τύχης μὲν, ὡς ἀπὸ τῆς θεοῦ ταύτης γινόμενον. ἐκ ταυτομάτου δὲ, ἐπειδὴ μερική τις καὶ φαινομένη αἰτία οὐκ ἔστιν αὐτοῦ. οὔτε οὖν ἐν τοῖς ἐπ' ἔλαττον ἡ τύχη μόνως, ὡς ἐπὶ τὸ πολὺ γὰρ οἱ τῶν πλουσίων παῖδες πλούσιοι καὶ εὐτυχεῖς γίνονται, οὔτε κατὰ συμβεβηκὸς αἴτιον. κυριωτάτη γὰρ ἐστὶν αἰτία τῶν ἐπιβαλλόντων ἑκάστοις τεύξεως. καὶ δουλεύουσι χρῆται τοῖς θνητοῖς πᾶσιν αἰτίοις, τοῖς τε καθ' αὑτὸ καὶ τοῖς κατὰ συμβεβηκός. ἐὰν δὲ λέγωσιν ὅτι ἐν τοῖς ἀτάκτοις ἡ τύχη καὶ τοῖς ἐπ' ἔλαττον, πῇ μὲν αὐτῶν οὐκ ἀποδεχόμεθα. οὐ γὰρ ἄτακτα πάντῃ τὰ τῇδε. ἀλλὰ μεταλαγχάνει τινὸς τάξεως. οὔτε ἐν μόνοις τοῖς ἐπ' ἔλαττον ὡς εἴρηται. πῇ δὲ φήσομεν εὖ λέγειν. καὶ γὰρ ἡ τῆς τύχης ἐπικράτεια τὴν ὑπὸ σελήνην μάλιστα τοῦ παντὸς μοῖραν διακοσμεῖ. παρ' ἣν καὶ ἡ τοῦ ἐνδεχομένου φύσις. ἣν ἄτακτον οὖσαν καθ' ἑαυτὴν, ἡ τύχη μετὰ τῶν ἄλλων ἀρχηγικῶν αἰτίων κατευθύνει καὶ τάττει καὶ κυβερνᾷ. διὸ καὶ πηδάλιον αὐτῇ διδοῦσι κρατεῖν, ὡς κυβερνώσῃ τὰ ἐν τῷ πόντῳ τῆς γενέσεως πλέοντα. καὶ τὸ πηδάλιον ἐπὶ σφαίρας ἱδρύουσιν. ὡς τὸ ἄστατον τῆς γενέσεως κατευθυνούσης. κέρας δὲ ἀμαλθείας ἐν τῇ ἑτέρᾳ ταῖν χεροῖν καρπῶν πλῆρες, ὡς τοῦ τυχεῖν πάντων θείων καρπῶν αἰτία. διὰ τοῦτο δὲ καὶ πόλεων καὶ οἴκων καὶ ἑνὸς ἑκάστου τιμῶμεν τύχας, ὅτι πόρρω διαστάντες τῆς θείας ἑνώσεως, κινδυνεύομεν διαμαρτεῖν τῆς ἐπιβαλλούσης μεθέξεως. καὶ δεόμεθα πρὸς τὸ τυχεῖν τῆς τε θεοῦ τύχης, καὶ τῶν ἐν τοῖς κρείττοσι γένεσι τὴν αὐτὴν ἐχουσῶν ἰδιότητα. καὶ ἔστι μὲν πᾶσα τύχη ἀγαθή. καὶ γὰρ ἡ πᾶσα τεῦξις ἀγαθοῦ τινός ἐστιν. οὐδὲ ὑπέστη τι κακὸν ὑπὸ τοῦ θεοῦ. τῶν δὲ ἀγαθῶν τὰ μέν ἐστι προηγούμενα. τὰ δὲ, κολαστικὰ, ἢ τιμωρὰ. ἅπερ καὶ κακὰ λέγειν εἰθίσμεθα. καὶ διὰ τοῦτο καὶ τύχην τὴν μὲν, ἀγαθὴν ὀνομάζομεν. ἥτις τοῦ τυχεῖν τῶν προηγουμένων ἀγαθῶν αἰτία ἐστί. τὴν δὲ κακὴν, ἥτις κολάσεως ἢ τιμωρίας ἡμᾶς παρασκευάζει τυχεῖν. ταύτην καὶ ὁ Πλάτων τὴν ὅλην τύχην τῷ δημιουργῷ συντεταγμένην παραδίδωσιν ἐν νόμοις, ὅταν φησὶν, ὡς θεὸς μὲν πάντα, καὶ μετὰ θεοῦ τύχη καὶ καιρὸς τὰ ἀνθρώπινα διακυβερνῶσι ξύμπαντα. ἀλλ' ἐπὶ τὰ ἑξῆς λοιπὸν τῶν ὑπὸ Ἀριστοτέλους λεγομένων μετέλθωμεν.

ὍΤΙ ΔΈ ἐστιν αἴτια, καὶ ὅτι τοσαῦτα τὸν ἀριθμὸν ὅσα φαμὲν, δῆλον. τοσαῦτα γὰρ τὸν ἀριθμὸν, τὸ διὰ τί περιείληφεν. ἢ γὰρ εἰς τὸ τί ἐστιν ἀνάγεται τὸ διὰ τί, ἔσχατον ἐν τοῖς ἀκινήτοις, οἷον ἐν τοῖς μαθήμασιν. εἰς ὁρισμὸν γὰρ τοῦ εὐθέος ἢ συμμέτρου, ἢ ἄλλου τινὸς ἀνάγεται ἔσχατον, ἢ εἰς τὸ κινῆσαν πρῶτον. οἷον, διὰ τί ἐπολέμησαν, ὅτι ἐσύλησαν. ἢ τίνος ἕνεκα, ἵν' ἄρξωσιν. ἢ ἐν τοῖς γινομένοις ἡ ὕλη. ὅτι μὲν οὖν τὰ αἴτια ταῦτα καὶ τοσαῦτα, φανερόν.

Ζητήσας ὅπερ ἐν ἀρχῇ προύθετο φανερὸν τὸ περὶ τῶν αἰτίων, τίνα τε καὶ πόσα τὸν ἀριθμόν ἐστι, καὶ δείξας ὅτι πάντα εἰς τέσσαρας τρόπους πίπτει τοὺς φανερωτάτους, καὶ ὅτι ἡ τύχη καὶ τὸ αὐτόματον

τον ὑφ' ἕνα

τὸν ὑφ' ἓν τούτων ἀνάγεται τὸ ὅθεν ἡ ἀρχὴ τῆς κινήσεως, ἐπειδὴ μέγα τὸ ἐγχείρημα τὸ πλῆθος
τοσοῦτον τῶν κατὰ μέρος αἰτίων εἰς οὕτως ἐλάχιστα γένη συναγαγεῖν, εἰκότως παραμυθίας ἀξιοῖ
τὸν λόγον. καὶ ὅτι τοσαῦτα τὸν ἀριθμὸν κατὰ γένος ἐστὶ τὰ αἴτια δείκνυσι δυνάμει οὕτως. αἴτια ἐστὶν
ἃ ἐρωτώμενοι τὸ διατί ἀποδίδομεν. ἐρωτώμενοι δὲ τὸ διατί, ἀποδίδομεν τέσσαρα, ἢ τὸ εἶδος, ἢ τὸ
ποιοῦν, ἢ τὸ τέλος, ἢ τὴν ὕλην. τέσσαρα ἄρα τὰ αἴτια. καὶ παραδίδωσι τὴν εἰς ἕκαστον τούτων ἀνα-
γωγὴν διὰ παραδειγμάτων. ἢ γὰρ εἰς τὸ εἶδος ἔσχατον ἀνάγεται τὸ διατί. ὡς ἐν τοῖς μαθηματικοῖς.
ταῦτα γὰρ ἀκίνητα καλεῖ. πρὸς ἀντιδιαστολὴν τῶν φυσικῶν, οἷς ἐν κινήσει τὸ εἶναι. διατί γὰρ εὐθεῖα
ἤδε. ὅτι ἐλαχίστη τῶν τὰ αὐτὰ πέρατα ἐχουσῶν. καὶ διατί σύμμετρος ἡ τοῦ ἑξαγώνου πλευρὰ τῇ δια-
μέτρῳ. ὅτι τῷ αὐτῷ μετροῦνται τῷ ἐκ τοῦ κέντρου. διατί δὲ ἐν κύκλῳ αἱ ἐκ τοῦ κέντρου ἴσαι ἐρωτηθέν-
τες, ἐροῦμεν ὅτι κύκλος ἐστὶ σχῆμα ἐπίπεδον ὑπὸ μιᾶς γραμμῆς περιεχόμενον, πρὸς ἣν ἀφ' ἑνὸς ση-
μείου τῶν ἐντὸς τοῦ σχήματος κειμένων, πᾶσαι αἱ προσπίπτουσαι πρὸς τὴν περιφέρειαν εὐθεῖαι ἴσαι
ἀλλήλαις εἰσί. τοῦτο γὰρ εἰπόντων, οὐδεὶς ἔτι ἄλλο αἴτιον ἐπιζητεῖ. ἐρωτηθέντες δὲ, διατί ἐπολέμη-
σαν Φωκεῦσι Θηβαῖοι, ἐροῦμεν ὅτι ἐσύλησαν οἱ Φωκεῖς τὸν νεὼν, τὸ ποιητικὸν οὕτως αἴτιον ἀποδι-
δόντες. ἐν δὲ τοῖς ἐνύλοις ἅπερ γινόμενα καλεῖ, γεννᾶται γὰρ τὰ φυτὰ καὶ τὰ ζῶα καὶ τὰ τούτων μέ-
ρη, ἅπερ πάντα ἔνυλα ἐστὶν, ἐν τούτοις οὖν τὸ διατί καὶ εἰς τὴν ὕλην ἀνάγομεν πολλάκις. διατί γὰρ
ἐσάπη τὸ βάθρον, διότι ξύλινον ἦν. ἢ διατί τετραδάκτυλος ὁ ἄνθρωπος, ὅτι ἀπέλιπε φασὶν ὕλη. διατί
δὲ ἄνθρωπος τὸ γεννηθὲν, ὅτι ἐκ σπέρματος ἀνθρώπου καὶ καταμηνίου. καὶ ἐπὶ τοῦ αὐτοῦ δὲ ἐστὶν εἰς πάντα
τὰ αἴτια ἀνάγειν. διατί γὰρ ἄνθρωπος ἀποθνήσκει, ὅτι ζῶον λογικὸν θνητόν. καὶ ὅτι τὸ ποιητικὸν αὐτοῦ πρό-
εισι καὶ ἄπεισι. καὶ ὅτι ἐξ ὕλης ἐστὶ φθαρτῆς. καὶ ὅτι βέλτιον αὐτῷ τὸ ἀποθνήσκειν. λέγει δὲ ὁ Πορφύ-
ριος, ὅτι τὸ μὲν διατί τετραχῶς ἐστὶν ἀποδοῦναι. τὸ δὲ τίνος ἕνεκα ἐπὶ τοῦ τελικοῦ μόνου ἐρωτᾶται.
τίνος γὰρ ἕνεκα ἐπολέμησαν. ἵνα ἄρξωσι. φυλάττων δὲ καὶ τὸ πρότερον εἰρημένον ὑπὸ αὐτοῦ ὁ Ἀλέξαν-
δρος, τὸ τὰ μαθηματικὰ μὴ ἔχειν τελικὸν αἴτιον, καὶ τὸ εἰρημένον ἐνταῦθα, ὑπὸ τοῦ Ἀριστοτέλους, ὅτι
τὸ διατί εἰς τὸ τί ἔσχατον ἀνάγεται ἐν τοῖς ἀκινήτοις, ὅ ἐστιν ἐν τοῖς μαθήμασιν, αὐτὸς ἐξηγεῖται, ἐπει-
δή φησιν οὐκ ἔστιν ἐν τοῖς μαθήμασιν ἄλλο τοῦ εἴδους τὸ οὗ ἕνεκεν, ἐκεῖνο γὰρ ἂν ἦν ἐν αὐτοῖς τελικὸν
καὶ ἔσχατον αἴτιον, διὰ τοῦτο ἔσχατον ἐν αὐτοῖς γίνεται τὸ εἶδος καὶ ὁ ὁρισμός. καὶ ὅτι μὲν ἐστί τι τῶν μαθη-
ματικῶν τέλος, καὶ πρότερον εἶπον, καὶ νῦν ἐρῶ. καὶ γὰρ εὑρέθη τοῦ διαβιβάζειν τὴν ψυχὴν ἕνεκεν ἀπὸ
τῶν αἰσθητῶν εἰς τὰ νοητά. τοῖς μέντοι μαθηματικοῖς ὡς μαθηματικοῖς, οὐκ ἔστι γνώριμον τὸ τοιοῦτον
αὐτῶν τέλος. ὡς οὐδὲ τοῖς φυσιολόγοις, τὸ ἀπὸ φυσιολογίας εἰς τὴν θεωρητικὴν φιλοσοφίαν ὄφε-
λος. εἰκότως δὲ τὸν ὁρισμὸν ἔσχατον ἀνάγουσιν οὗτοι τὸ διατί. καὶ γὰρ ἀρχὴν τὸν ὁρισμὸν ἔχουσιν. ἔξω
δὲ τῆς ἀρχῆς οὐχ οἷόν τε βαδίζειν. ἐπειδὴ δὲ τὸ γινόμενον ἄλλο τι δι' ἄλλο τῶν ἑαυτοῦ αἰτίων ἔχει τὸ εἶναι·
τὸ μὲν, διὰ τὴν ὕλην, τὸ δὲ, διὰ τὸ εἶδος, τὸ δὲ, διὰ τὸ ποιοῦν, καὶ ἄλλο διὰ τὸ τέλος, εἰκότως ἐρωτώ-
μενοι τὸ διατί, εἰς τὸ ἐκεῖνον αἴτιον ἀνάγομεν. πολλάκις δὲ καὶ τοῦ αὐτοῦ διαφόρους αἰτίας ἀποδίδο-
μεν. διατί γὰρ κάθημαι. ὅτι πολὺ τὸ γεῶδες ἔχει μου τὸ σῶμα καὶ τὸ πυρεῖον. διὸ καὶ κεῖται καὶ ἀνέστηκε
τοῦτο ἀπὸ τῆς ὕλης. καὶ ὅτι τοιῶσδε συγκέκαμπταί μου τὰ κῶλα. ἀπὸ τοῦ εἴδους. καὶ ὅτι οὕτω μου προεί-
λετο ἡ ψυχή. ἀπὸ τοῦ ποιητικοῦ. καὶ ὅτι οὕτως ἡγησάμην ἄμεινον. ἀπὸ τοῦ τέλους. ἆρα δὲ ὁ ἐρωτώμενος,
διατί σιμή ἐστιν ἡ τοῦ Σωκράτους εἰκὼν, εἰς τί ἂν ἄλλο τὴν αἰτίαν ἀναγάγοι ἢ εἰς τὸ παραδειγματικόν.
οὐδὲ γὰρ εἰς τὴν ὕλην οἶμαι. οὐδὲ εἰς τὸ εἶδος. οὐδὲ εἰς ἄλλο τι τῶν τεσσάρων. ἀλλ' ὅτι σιμὸς ἦν ὁ Σωκρά-
της. ὥστε εἰ καὶ εἰς παράδειγμα ἀνάγομεν τὸ διατί, εἴη ἂν καὶ τὸ παράδειγμα αἴτιον. διὸ τοῦ ἕνα
τὸν κόσμον εἶναι τὴν αἰτίαν εἰς τὸ παράδειγμα ἀνέπεμψεν ὁ Πλάτων, εἰπὼν, πότερον οὖν ὀρθῶς ἕνα
οὐρανὸν προσειρήκαμεν, ἢ πολλοὺς καὶ ἀπείρους δεῖ λέγειν. ἢ ὀρθότερον ἕνα εἴπερ κατὰ τὸ παράδει-
γμα δεδημιουργημένος ἔσται. ὅλως δὲ εἰ τὰ ἔνυλα εἴδη μεθέξεις εἰσὶ πρωτουργῶν εἰδῶν, πρὸς ἐκεῖνα
ὡμοιωμέναι εἰσὶν εἰκόνες. πᾶσα οὖν εἰκὼν πρὸς τὸ παράδειγμα ἀναφέρεται. τὴν δὲ ἀνάγκην τοῦ
τοσαῦτα καὶ τοιαῦτα εἶναι τὰ αἴτια, ἐκ διαιρέσεως πρότερον ἐπειράθην εὑρεῖν. διὸ περιττὸν πάλιν
τὰ αὐτὰ λέγειν. τοσοῦτον δὲ νῦν προσκείσθω, ὅτι τὸ φυσικὸν πᾶν ἐξ ὕλης καὶ εἴδους γινόμενον ἐστὶν,
ἀλλ' οὐκ ὄν. τὸ δὲ γινόμενον ὑπ' αἰτίου διά τι ἀγαθὸν γίνεται. πάντα οὖν ὅσα ἔχει τὸ τοιοῦτο, ἢ διὰ
τὴν ὕλην ἢ διὰ τὸ εἶδος ἔχει, ἢ διὰ τὸ ποιοῦν, ἢ διὰ τὸ τέλος. ἐπειδὴ δὲ ὁ Ἀλέξανδρος ἢ ἐν τοῖς γινο-
μένοις ἡ ὕλη γράφει, καὶ τῆς τούτου ἐξηγήσεως ἀκουστέον. ἢ γὰρ πρὸς ἀντιδιαστολὴν φησὶ τὴν πρὸς
τὰ ἀγέννητα εἶπεν, ὡς οὐκ οὔσης ἐν τοῖς ἀϊδίοις ὕλης, ἢ ὅτι ἐπὶ τῶν κυρίως γινομένων ἔστιν εὑρεῖν τὴν
ὕλην. ταῦτα δὲ οὐσίαι. τῶν γὰρ κατὰ συμβεβηκὸς γινομένων τε καὶ ὄντων οὐκ ἔστιν ὕλη καθ' αὑτά.
ἀλλὰ κατὰ τὴν ἀναφορὰν τὴν ἐπὶ τὴν οὐσίαν ἐν τούτοις ἡ ὕλη.

ἘΠΕΙ δὲ αἰτίαι τέσσαρες, περὶ πασῶν τοῦ φυσικοῦ εἰδέναι. καὶ εἰς πάσας ἀνάγων τὸ διατί, ἀποδώ-
σει φυσικῶς. τὴν ὕλην. τὸ εἶδος. τὸ κινῆσαν. τὸ οὗ ἕνεκα. ἄρχεται δὲ τὰ τρία, εἰς τὸ ἓν πολλάκις. τὸ
μὲν γὰρ τί ἐστι, καὶ τὸ οὗ ἕνεκα, ἕν ἐστι. τὸ δὲ ὅθεν ἡ κίνησις πρῶτον, τῷ εἴδει τὸ αὐτὸ τούτοις. ἄνθρω-
πος μὲν γὰρ ἄνθρωπον γεννᾷ. καὶ ὅλως ὅσα κινούμενα κινεῖ. ὅσα δὲ μὴ, οὐκ ἔτι φυσικῆς. οὐ γὰρ ἐν

αὐτοῖς ἔχοντα κίνησιν οὐδὲ ἀρχὴν κινήσεως, κινεῖ. ἀλλ' ἀκίνητα ὄντα. διὸ τρεῖς αἱ πραγματεῖαι. ἡ μὲν περὶ ἀκίνητον. ἡ δὲ, περὶ κινούμενον μὲν, ἄφθαρτον δέ. ἡ δὲ, περὶ τὰ φθαρτά.

Εἰπὼν ὅτι τέσσαρές εἰσιν αἰτίαι τῶν φυσικῶν, ἐπειδὴ αἰτίαι εἰσὶν, ἃς τὸ διατί ἐρωτηθέντες ἀποκρινόμεθα, ἀκολούθως ἐπάγει, ὅτι ὁ φυσικὸς εἰς τὰς τέσσαρας ἀνάγων, ἀποδώσει τὸ διατί φυσικῶς ἀποδιδούς. ἔστι γὰρ καὶ τὸ φυσικὸν μὴ φυσικῶς ἀποδοῦναι, ὡς καὶ τὸ γεωμετρικὸν μὴ γεωμετρικῶς, ὅταν μὴ ἀπὸ τῶν οἰκείων ἀρχῶν. ἐπεὶ οὖν τὸ φυσικὸν σῶμα ἔχει μὲν ὕλην, ἔχει δὲ εἶδος, ἔχει δὲ καὶ τὸ ποιοῦν αἴτιον εἴπερ γεννητόν ἐστι, καὶ τὸ οὗ ἕνεκα ποιεῖ τὸ ποιοῦν, δῆλον ὅτι τὸν φυσικὸν χρὴ πάντα τὰ αἴτια τοῦ φυσικοῦ σώματος εἰδότα, ἕκαστον οἰκείως ἀναπέμπειν τὸ διατί. πολλάκις δέ φησι τὰ τρία αἴτια εἰς ἓν ἔρχεται, τὸ εἶδος, τὸ τέλος, τὸ ὅθεν ἡ ἀρχὴ τῆς κινήσεως. καὶ ἔστιν αὕτη ἡ ἐπίστασις οἰκεία τῷ περὶ τοῦ πλήθους τῶν αἰτίων λέγοντι, ὅτι τῶν τεσσάρων τὰ τρία εἰς ταυτὸν ἔρχεται. καὶ μέντοι τῷ εἰς τὰς αἰτίας ἀνάγοντι φυσικῷ χρήσιμον τοῦτο γινώσκειν. ἵνα τὸ διατί εἰς τὸ εἶδος ἢ εἰς τὸ τέλος ἀνάγειν πειρώμενος, μὴ ἄλλο τι καὶ ἄλλο πρώτως ζητεῖ, εἰς ὃ ἀνάξει τὸ εἶδος. ὅτι πολλάκις τὸ αὐτὸ εἶδος καὶ τέλος ἐστίν. ἕνεκα γὰρ τοῦ εἴδους ἡ φύσις μηχανᾶται πάντα τὰ ἔμπροσθεν. καὶ ἔστι ταῦτα τὰ δύο κατὰ μὲν τὸν ἀριθμὸν καὶ τὸ ὑποκείμενον ἕν. δύο δὲ κατὰ τὸν λόγον. εἰ γὰρ πέπανσίς ἐστι καρποῦ, τὸ δύνασθαι τὰ ἐν τῷ περικαρπίῳ σπέρματα ἀποτελεῖν τοιοῦτον ἕτερον, τὸ εἶδος εὐθὺς καὶ τέλος ἐστί. τὸ δὲ ὅθεν ἡ ἀρχὴ τῆς κινήσεως καὶ ὅταν ταυτὸν γένηται τούτοις, οὐ κατὰ τὸ ὑποκείμενον οὐδὲ τῷ ἀριθμῷ ταυτόν ἐστιν, ἀλλὰ τῷ εἴδει μόνον. ἄνθρωπος γὰρ ἄνθρωπον γεννᾷ. καὶ ἔστιν αἴτιος ὁ πατὴρ τῷ γεννωμένῳ, ταυτὸν ὢν αὐτῷ κατὰ τὸ εἶδος. καὶ ὅλως φησὶν ὅσα κινούμενα κινεῖ. τουτέστιν ὅσα φυσικὰ ὄντα, καὶ ἀρχὴν ἔχοντα κινήσεως ἐν ἑαυτοῖς, ποιεῖ. περὶ γὰρ τοῦ τοιούτου ποιητικοῦ ὁ λόγος. ταῦτα γὰρ ἐὰν ᾖ τὰ αὐτὰ τοῖς γινομένοις, τῷ εἴδει ταυτά ἐστιν. ὅσα δὲ μὴ κινούμενα κινεῖ, ταῦτα οὐδὲ ἔστιν ὅλως τῆς φυσικῆς πραγματείας ἐπισκοπεῖν, ἀλλὰ τῆς θεολογικῆς. οὐ γὰρ ἔχει ἐν ἑαυτοῖς ταῦτα ἀρχὴν κινήσεως, εἴπερ μὴ κινεῖται. ὥστε οὐκ ἔστι φυσικὰ τὰ ἀκίνητα αἴτια. ἀλλ' οὐδὲ ἀρχὴ κινήσεως ἐστὶν ὡς ἡ φύσις. αὕτη γὰρ κινουμένη κινεῖ. ὥστε οὐδὲ φυσικοῦ τὸ περὶ τούτων λέγειν. μήποτε δὲ διὰ τοῦ καὶ ὅλως ὅσα κινούμενα κινεῖ, πόῤῥωθεν ἐνίσταται πρὸς τοὺς τὰς ἰδέας ὁμοειδεῖς αἰτίας τῶν τῇδε νομίζοντας ἀκινήτους οὔσας. τὸ γὰρ ὁμοειδὲς συνώνυμον. ταῦτα δὲ ὁμώνυμα ἢ ὡς ἀφ' ἑνός. οὕτω μὲν αὐτὸς ἐξηγήσατο, εἰ πάντα τὰ ποιητικὰ τὰ αὐτὰ τοῖς εἰδικοῖς τῷ εἴδει νομίζοι εἶναι, ἐὰν κινούμενα κινῇ. καὶ ὁ ἥλιος δὲ κινούμενος μὲν κινεῖ καὶ ποιεῖ. οὐ μὴν ὁ αὐτός ἐστι τοῖς γινομένοις. οὐδὲ γὰρ τὰ γινόμενα ὑπ' αὐτοῦ πάντα, ἀλλήλοις ἐστὶν ὁμοειδῆ. εἰ μὴ ἄρα καθὸ ἔνυλον εἶδος καὶ τὸ ποιοῦν καὶ τὰ γινόμενα, τῆς ὕλης κοινῶς κατὰ τοῦ ὑποκειμένου λεγομένης. κἂν γὰρ ὕλη μὴ ᾖ ἐν οὐρανῷ κατὰ Ἀριστοτέλην, διὰ τὸ μὴ μεταβάλλειν ἀπ' ἀλλήλων εἰς ἄλληλα, ἀλλ' ὑποκείμενόν γε καὶ ἐν ἐκείνοις ἐστί. διὸ κινητὰ κατὰ τόπον, ὡς ἐν τῷ πρώτῳ τῆς μετὰ τὰ φυσικά φησι. μήποτε δὲ καὶ ὁ κατὰ τοὺς ἐν αὐτῷ λόγους ποιῶν, ὁμοιώματα τῶν λόγων ποιεῖ. δυνατὸν δὲ τὸ καὶ ὅλως ὅσα κινούμενα κινεῖ ἐπὶ τοῦ προσεχοῦς ποιητικοῦ φυσικῶς αἰτίου ἀκούειν, ὅπερ ἐστὶν ἡ φύσις. αὕτη γὰρ πολλὴν ἔχει πρὸς τὸ εἶδος κοινωνίαν, ὡς καὶ ἐν τοῖς ἔμπροσθεν εἴρηται. ὁ γὰρ ἥλιος οὐ προσεχές ἐστιν αἴτιον, κἂν κινούμενον κινῇ. καὶ τούτῳ ἴσως καὶ τὰ ἐπαγόμενα συνᾴδει. ὅτι γὰρ τὰ κινοῦντα καὶ ποιοῦντα αἴτια τριττά ἐστι, τὰ μὲν, ἀκίνητα, τὰ δὲ κινούμενα, καὶ τούτων τὰ μὲν προσεχῆ, τὰ δὲ πορρώτερα, δείκνυσιν ἐκ τοῦ καὶ τὰς πραγματείας τριχῆ διῃρῆσθαι τὰς περὶ τῶν ὄντων, μᾶλλον δὲ τὰς περὶ τῶν ὄντων ἀρχὰς καὶ αἰτίας. καὶ γὰρ ἡ μέν ἐστι περὶ τοῦ κινοῦντος μὲν αἰτίου, ἀκινήτου δέ. οἵα ἐστὶν ἡ μετὰ τὰ φυσικὰ πραγματεία. ἡ δὲ, περὶ τῶν κινουμένων μὲν αἰτίων, ἀφθάρτων δέ. οἵα ἡ περὶ οὐρανοῦ πραγματεία. ἡ δὲ, περὶ τῶν ἐν γενέσει καὶ φθορᾷ, πάντως καὶ αὐτῶν κινουμένων, ἃ καὶ προσεχῆ ἐστὶν αἴτια. τοιαύτη δὲ ἥ τε περὶ γενέσεως καὶ φθορᾶς, καὶ ἡ τῶν μετεώρων πραγματεία, καὶ ἡ περὶ ζώων καὶ φυτῶν, τὰς τοιαύτας αἰτίας ζητοῦσαι. δῆλον δὲ ὅτι ἡ προκειμένη πραγματεία τὰς ἀρχὰς τῶν φυσικῶν ζητοῦσα, περὶ κινουμένων αἰτίων κοινῶς ποιεῖται τὴν ζήτησιν. ἐπιστῆσαι δὲ ἄξιον, πῶς τὸ ὅθεν ἡ κίνησις πρῶτον τουτέστι τὸ ποιητικὸν, τῷ εἴδει ταυτὸν εἶπεν, ἀλλ' οὐχὶ τῷ ὑποκειμένῳ καὶ τῷ ἀριθμῷ, ὡς τὸ τελικὸν καὶ τὸ εἰδικὸν εἶχε τὴν πρὸς ἄλληλα. καὶ γὰρ ἡ φύσις ποιητικὸν οὖσα αἴτιον, καὶ εἰδικὸν ἐδείκνυτο πρότερον. ἀλλ' ἴσως τῇ μὲν φύσει τὸ καὶ ἀριθμῷ ἓν εἶναι μετὰ τοῦ εἴδους ὑπῆρχε. πᾶσι δὲ ἁπλῶς τοῖς ποιητικοῖς αἰτίοις τοῖς προσεχέσι, τῷ εἴδει ταυτὸν εἶναι ὑπάρχει. καὶ ἐκ τούτων δὲ πάλιν οἶμαι δυνατὸν συνιδεῖν, ὅτι ἀκίνητον καὶ πρῶτον αἴτιον οὐ μόνον τελικὸν ἀλλὰ καὶ ποιητικὸν οἶδεν ὁ Ἀριστοτέλης. τὸ γὰρ ὅθεν ἡ κίνησις πρῶτον τουτέστι τὸ ποιητικὸν αἴτιον, τοῦτο διαιρεῖ εἴς τε τὸ ἀκίνητον καὶ τὸ κινούμενον, ὅσα μὲν κινούμενα κινεῖ φυσικῆς λέγων εἶναι πραγματείας. ὅσα δὲ ἀκίνητα ὄντα κινεῖ, οὐκέτι φυσικῆς, τὸ κινεῖν ἀντὶ τοῦ ποιεῖν λαμβάνων. καὶ ὁ Ἀλέξανδρος δὲ ἐν τούτοις τῆς φυσικῆς φησιν ἐστὶ καὶ περὶ ποιητικοῦ αἰτίου εἰπεῖν, οὐ περὶ παντὸς μέντοι. ἀλλὰ τούτων μόνων, ὅσα κινούμενα αὐτὰ κινητικὰ καὶ ποιητικά ἐστι τινῶν. ὡς ἂν εἰ ἔλεγεν, ὅλως δὲ ὅσα κινούμενα τῶν ποιητικῶν, ὡς δηλονότι καὶ ἀκινήτων ὄντων τῶν ποιητικῶν κατ' αὐτόν.

Ω῞ΣΤΕ τὸ διατί καὶ εἰς τὴν ὕλην ἀνάγοντι ἀποδίδοται, καὶ εἰς τὸ τί ἐστι, καὶ εἰς τὸ πρῶτον κινῆσαν. περὶ

σαν. ὥσπερ γενέσεως γὰρ μάλιστα τοῦτον τὸν τρόπον τὰς αἰτίας σκοποῦσι, τί μετὰ τί γίνεται. καὶ τί πρῶτον ἐποίησεν, ἢ τί ἔπαθε. καὶ οὕτως ἀεὶ τὸ ἐφεξῆς.

E Εἰ τὸ τελικὸν καὶ τὸ εἰδικὸν εἰς ἓν πολλάκις ἔρχεται, εἰκότως τὸ διατί ποτὲ μὲν εἰς τὴν ὕλην ἀνάγοντι ἀποδίδοται, ποτὲ δὲ εἰς τὸ εἶδος. ὃ ταυτὸν καὶ τέλος ἐστί. ποτὲ δὲ εἰς τὸ ποιητικόν. τούτου γὰρ ἔοικεν ἐνδεικτικὸν εἶναι, τὸ παραλιπεῖν ἐν τῇ ἀπαριθμήσει τὸ τελικὸν αἴτιον. ἅμα δὲ δοκεῖ μοι πόῤῥωθεν καὶ τὴν αἰτίαν δείκνυσθαι, δι' ἣν τὸ τελικὸν αἴτιον παρελίμπανον οἱ φυσιολόγοι. διότι γὰρ εἰς ταυτὸν ὡς ἔοικεν ἔρχεται τὸ εἶδος καὶ τὸ τέλος. διὰ τοῦτο τὸ περὶ τοῦ εἴδους λέγοντες ἀρκοῦνται. διὸ καὶ εὐθέως ἐπήγαγε, πῶς τὰς αἰτίας τῆς γενέσεως σκοποῦντες, εἰς ταῦτα τὰ αἴτια ἀνῆγον. ὅταν μὲν γὰρ τί μετὰ τί γίνεται ζητῶσι, τὸ εἰδικὸν αἴτιον ζητοῦσι. τοῦτο γὰρ ἐστὶ τὸ γινόμενον. ὅταν δὲ τί πρῶτον ἐποίησε, τὸ κυρίως ποιητικὸν ἀνιχνεύουσιν. ὥσπερ ὅταν τὸ παθὼν ζητῶσι, τὸ ὑλικὸν αἴτιον πολυπραγμονοῦσιν. ἡ γὰρ ὕλη τὸ πάσχον ὑπὸ τοῦ ποιοῦντος ἐστί. τὸ δὲ εἶδος τὸ ἐπιγινόμενον πάθος. δύναται δὲ τοῦτο δεικτικὸν εἶναι, καὶ τοῦ τὸν φυσικὸν μάλιστα εἰς ταῦτα ἀναφέρειν τὰ αἴτια, ζητοῦντα τί πρῶτον καὶ τί ὕστερον ποιεῖ. καὶ τί τὸ πάσχον ἐστίν, ὅτι ἡ ὕλη, καὶ τί τὸ γινόμενον. ταῦτα γὰρ περὶ τὰ φυσικὰ ὄντα, τῷ φυσιολόγῳ προσήκει, τοῦ πρώτου φιλοσόφου περὶ τὸ ἀκίνητον ἔχοντος αἴτιον, καὶ τὴν ἄϋλον καὶ ἀπαθῆ οὐσίαν, καὶ γενέσεως ἐξῃρημένην, ἅπερ ἀντίθετα τοῖς προειρημένοις ἐστί. δύναται δέ φησιν ἀλέξανδρος ἡ λέξις ἡ λέγουσα, περὶ γενέσεως γὰρ μάλιστα, ἀκολουθεῖν τοῖς ἀνωτέρω εἰρημένοις, ἐν οἷς ἔλεγεν, ἐπεὶ δὲ αἰτίαι τέσσαρες, περὶ πασῶν εἰδέναι τοῦ φυσικοῦ, καὶ εἰς πάσας ἀνάγων, τὸ διατί ἀποδώσει, τὸ εἶδος. τὴν ὕλην, τὸ κινῆσαν, τὸ οὗ ἕνεκα, περὶ γενέσεως γὰρ μάλιστα τοῦτον τὸν τρόπον τὰς αἰτίας ζητοῦσι, τῶν μεταξὺ παρεμβεβλημένων εἰς διορισμὸν τῆς ταυτότητος τῶν αἰτίων, καὶ τοῦ ποιητικοῦ αἰτίου τῆς διαφορᾶς. ὥσπερ τὸ μὲν ἀκίνητον, τὸ δὲ κινούμενον, καὶ τούτου τὸ μὲν ἄφθαρτον, τὸ δὲ φθαρτόν. τὸ δέ, καὶ οὕτω τὸ ἐφεξῆς ἀεί, δύναται μὲν λέγειν, ὅτι βοτάνη πρῶτον ἀπὸ πυροῦ, καὶ ἐφεξῆς καλάμη, καὶ ἐπὶ ταύτῃ ἄσταχυς. δύναται δὲ ὡς ἀλέξανδρος ἀκούει τοῦτο ἐπῆχθαι, ὅτι μετὰ τὸ πρῶτον ποιῆσαν ἐπὶ τὸ προσεχὲς ποιητικὸν μετέρχονται. καὶ μετὰ τὴν πρώτην ὕλην ἐπὶ τὴν προσεχῆ καθ' ὁμοιότητα, οὐκ ἐπ' ἄλλο τι εἶδος αἰτίου τὸ οὗ ἕνεκα μεταβαίνοντες. μᾶλλον δὲ ὅτι ἐφ' ἑκάστου αἰτίου τὸ ἐφεξῆς ζητοῦσι.

Δ ΙΤΤΑΙ δὲ αἱ ἀρχαὶ αἱ κινοῦσαι φυσικῶς. ὧν ἡ ἑτέρα, οὐ φυσική. οὐ γὰρ ἔχει κινήσεως ἀρχὴν ἐν ἑαυτῇ. τοιοῦτο δ' ἐστίν, εἴτι κινεῖ μὴ κινούμενον. ὥσπερ τό, τε παντελῶς ἀκίνητον, καὶ τὸ πάντων πρῶτον. καὶ τὸ τί ἐστι καὶ ἡ μορφή. τέλος γὰρ καὶ οὗ ἕνεκα.

Η' δη μὲν καὶ πρότερον διαίρεσιν ἐποιήσατο τοῦ ποιητικοῦ, λέγων, ὅτι τὰ μὲν κινούμενα κινεῖ, τὰ δὲ ἀκίνητα ὄντα. καὶ νῦν τὴν αὐτὴν ποιεῖται, λέγων, διτταὶ δὲ αἱ ἀρχαὶ αἱ κινοῦσαι φυσικῶς, τὸ φυσικῶς προσθείς, πρὸς ἀντιδιαστολὴν τῶν γινομένων κατὰ τέχνην ἢ προαίρεσιν. καὶ μήποτε διατοῦτο πάλιν τὴν τοῦ ποιητικοῦ αἰτίου διαίρεσιν ἀνέλαβεν. ἵνα διορίσῃ τελέως τὸ πρώτως κινοῦν τῶν κατὰ προαίρεσιν ἢ τέχνην κινούντων. πρῶτον μὲν γὰρ διέκρινεν ἀπ' ἀλλήλων τά τε ὅσα κινούμενα κινεῖ, καὶ ὅσα ἀκίνητα ὄντα. καὶ ἔλαβεν ἀκινήτως κινοῦν τὸ πρῶτον αἴτιον. νῦν δὲ ἐπειδὴ καὶ ἡ τέχνη καὶ ἡ προαίρεσις ἀκίνητος οὖσα τὰς φυσικὰς κινήσεις κινεῖ, οὐδὲ γὰρ αὔξεται, οὐδὲ ἀλλοιοῦται, οὐδὲ κατὰ τόπον μεταβαίνει, διορίζει πρῶτον μὲν τὰς τέχνας καὶ τὴν προαίρεσιν τῆς τε φύσεως καὶ τοῦ πρώτου αἰτίου, τῷ ταῦτα μὲν φυσικῶς ταυτὸν δὲ εἰπεῖν ἔνδοθεν κινεῖν, ἐκεῖνα δὲ ἔξωθεν. καὶ οὕτω τὸ πρῶτον κινοῦν, τῆς μὲν φύσεως διορίζει, ἤτοι τῶν κατὰ φύσιν κινούντων, οὐ γὰρ καθ' αὑτὸ ἡ φύσις κινεῖ, ἀλλὰ μετὰ τοῦ σώματος ἐν ᾧ ἐστι. τούτων οὖν διορίζει, τῷ ταῦτα μὲν ἀρχὴν κινήσεως ἐν ἑαυτοῖς ἔχειν, ἐκεῖνα δὲ μὴ ἔχειν. οὐ γὰρ ἐστὶ φυσικὴ ἐκείνη ἀρχή, ἀλλὰ φυσικῶν. εἰ δὲ εἶχεν ἀρχὴν κινήσεως ἐν ἑαυτῇ, φυσικὴ ἂν ἦν. τῶν δὲ κατὰ τέχνην καὶ προαίρεσιν κινούντων διορίζει τὴν πρώτην ἀρχήν, τῷ ἐκεῖνα μὲν κἂν καθ' αὑτὰ ἢ ἀκίνητα τὰς φυσικὰς κινήσεις, ἀλλὰ κατὰ συμβεβηκὸς κινεῖσθαι ἐν τοῖς φυσικοῖς. τοιαῦται γὰρ αἱ τῆς ψυχῆς ἐνέργειαι κατὰ τόπον μεταβαίνουσαι, καὶ ἀπ' ἄλλων εἰς ἄλλα μεθιστάμεναι, ἔν τε τῷ προαιρεῖσθαι καὶ ἐν τῷ τεχνάζεσθαι. τὸ δὲ πάντων πρῶτον παντελῶς ἀκίνητον ἐστὶ καὶ καθ' αὑτὸ καὶ κατὰ συμβεβηκός. καὶ καθ' ὅσον δὲ πάντων πρῶτον ἐστὶ τῶν κινούντων, διαφέρει τῶν κατὰ τέχνην καὶ κατὰ προαίρεσιν κινούντων. καὶ οὐκ ἐκ παραλλήλου κεῖται, τό, τε παντελῶς ἀκίνητον, καὶ τὸ πάντων πρῶτον. ἀλλ' ὡς καθ' ἑκάτερα δεικνυμένης τῆς πρὸς τὰ ἀκινήτως κινοῦντα διαφορᾶς. πρῶτον δὲ ἐκεῖνο, τὸ κατὰ πάντας τοὺς τοῦ πρώτου τρόπους μετ' ὀλίγον διδάξει. εἰ τοίνυν ὀρθῶς λέγομεν τοῦτον ἔχειν σκοπὸν τὰ εἰρημένα, οὐ παρελκόντως πάλιν ἡ τοῦ ποιητικοῦ γέγονε διαίρεσις. καὶ εἴπερ ποιητικοῦ ἐστὶν ἡ διαίρεσις, ὡς καὶ ἀλέξανδρος ὁμολογεῖ, δηλονότι καὶ ποιητικὸν οἴεται τὸ πρῶτον ὁ ἀριστοτέλης. εἰ δὲ κινητικοῦ μόνον ἐστὶ διαίρεσις, δύναται τὸ πρῶτον καὶ ὡς τέλος κινεῖν. εἰπὼν δὲ ἀκίνητον τὸ πρῶτον, ἐπισημαίνεται ὅτι καὶ τὸ εἶδος καὶ ἡ μορφὴ ἀκίνητον ἐστίν, ὅταν ὡς τέλος λαμβάνηται καὶ τὸ οὗ ἕνεκα. ἀκίνητον γὰρ δεῖ τὸ τέλος εἶναι καὶ ὡρισμένον. τὸ γὰρ κινούμενον ἕνεκά του κινεῖται. εἰ δὲ κινεῖτο, οὐδὲ τὸ ποιοῦν ἐλθὸν εἰς αὐτὸ στήσεται. τὸ δὲ εἶδος οὐχ ὡς ἔτυχε λαμβανόμενον τέλος ἐστίν. ἀλλ' ὅταν οὕτω λαμβάνηται ὅτι βέλτιον οὕτως. ταύτῃ γὰρ φησὶν ὁ ἀλέξανδρος διαφέρει τὸ μαθηματικὸν εἶδος τοῦ ἐν τοῖς φυσικοῖς. ὅτι τοῦτο μὲν καὶ ὡς τέλος καὶ οὗ ἕνεκα λαμβάνεται, ὅτι βέλτιον οὕτως. ἄμεινον γὰρ ἦν τοιόνδε τὸ εἶδος, διὸ τὸ ὀρ-

θιον, καὶ μὴ ἀλλοῖον. ἐπεὶ δὲ τῶν μαθηματικῶν οὐδὲν ζητεῖται τοιοῦτον. λῆρος γὰρ δοκεῖ, εἴ τις ἐπιχειροίη δεικνύναι, ὅτι τῷ μὲν κύκλῳ βέλτιον ἦν, τὸ τὰς ἐκ κέντρου γραμμὰς ἴσας ἔχειν, τῷ δὲ τετραγώνῳ τὰς περιεχούσας αὐτό. μήποτε δὲ εἴ τις τὸν ὁρισμὸν τοῦ κύκλου καὶ τοῦ τετραγώνου λάβοι, οὕτως ὡς καὶ τὸν τοῦ ἀνθρώπου, μὴ κατὰ τὴν μορφὴν ἀλλὰ κατὰ τὴν δύναμιν, εὑρήσει καὶ τὴν μορφὴν τῷ τοιούτῳ λόγῳ οἰκείαν, ὡς ἐπὶ τοῦ ἀνθρώπου τὸ ὄρθιον.

ΩΣΤΕ ἐπεὶ ἡ φύσις ἕνεκά του καὶ ταύτην εἰδέναι δεῖ. καὶ πάντως ἀποδοτέον τὸ διατί. οἷον ὅτι ἐκ τοῦδε ἀνάγκη τόδε. τὸ δὲ ἐκ τοῦδε, ἢ ἁπλῶς, ἢ ὡς ἐπὶ τὸ πολύ. καὶ εἰ μέλλει τοδὶ ἔσεσθαι, ὥσπερ ἐκ τῶν προτάσεων τὸ συμπέρασμα. καὶ ὅτι τοῦτο ἦν, τὸ τί ἦν εἶναι. καὶ διότι βέλτιον οὕτως, οὐχ ἁπλῶς. ἀλλὰ τὸ πρὸς τὴν ἑκάστου οὐσίαν.

Ἐπειδὴ τὸ φυσικὸν εἶδος τέλος ἐστὶ καὶ τὸ οὗ ἕνεκα, δηλονότι ἡ φύσις ἡ ποιητικὴ τοῦ εἴδους, ἕνεκα τοῦ εἴδους πάντα ποιεῖ. εἰ οὖν ἕνεκά του καὶ μὴ μάτην ποιεῖ ἡ φύσις, δεῖ τὸν φυσικὸν καὶ τὴν φύσιν εἰδέναι φυσικὸν ὄντα, καὶ τὰς αἰτίας τῶν γινομένων ἀποδιδόναι πάντως. οὕτω μὲν οὖν, ἐὰν εἰς τὸ ἕνεκά του ὑποστίξωμεν, καὶ τῷ πάντως πρόσκειται ὁ καὶ σύνδεσμος. εἰ μέντοι μὴ πρόσκειται οὗτος, ὡς ἐν τισὶν ἀντιγράφοις φέρεται, εἰς τὸ καὶ ταύτην εἰδέναι δεῖ, ὑποστικτέον. ἵνα λέγῃ, αἴτιον τοῦ τὸ διατί ἀποδιδόναι, τὸ τὴν φύσιν δεῖν εἰδέναι ἕνεκά του ποιοῦσαν. τὰς δὲ αἰτίας ἀποδιδόναι, τήν τε ποιητικήν. ταύτην γὰρ σημαίνει, διὰ τοῦ ὅτι ἀνάγκη ἐκ τοῦδε τόδε. τὸ δὲ ἐκ τοῦδε, ἢ ἁπλῶς ἢ ὡς ἐπιτοπολύ. καὶ γὰρ ἐν μὲν τοῖς ἀϊδίοις καὶ θείοις ἁπλῶς ποιεῖ τὸ ποιοῦν. ὁ γὰρ τοιόσδε τῆς σελήνης σχηματισμὸς, τοιόνδε πάντως ποιεῖ τὸν φωτισμὸν αὐτῆς. ἐν δὲ τοῖς ἐν γενέσει ὡς ἐπιτοπολύ. ὁ γὰρ ὕπνος ὡς ἐπιτοπολὺ θρέψιν ποιεῖ, σχολαζούσης τότε τῆς φύσεως. διὰ δὲ τοῦ, εἰ μέλλοι τὸ δὲ ἔσεσθαι ὥσπερ ἐκ τῶν προτάσεων τὸ συμπέρασμα, τοῦ ὑλικοῦ μέμνηται. ὅπερ καὶ ἀναγκαῖόν ἐστι, τὸν τῆς οὐκ ἄνευ λόγον ἐπέχον. εἰ γὰρ δεῖ τοιόνδε ἀκολουθῆσαι συμπέρασμα, δεῖ τοιάσδε προσειλῆφθαι προτάσεις, ὕλης ἐχούσας λόγον ἐν τῷ συλλογισμῷ. εἴ τις οὖν ἔροιτο διατί τοιοῦτο τὸ συμπέρασμα, εἰς τὴν ὕλην ἀνάγοντες, τὸ διατί ἀποδώσομεν. διότι γὰρ τὸ τοιαίδε αἱ προτάσεις. καὶ ἐν τοῖς φυσικοῖς, εἰ μέλλοι τὸ δὲ ἔσεσθαι τὸ εἶδος ὑπὸ τῆς φύσεως, δεῖ τήν τε ὕλην προϋπεστρῶσθαι. οἷον εἰ μέλλοι ναῦς ἔσεσθαι, ἐκ τοιοῦδε ξύλου δεῖ τὴν ὕλην παραληφθῆναι. ἵνα καὶ εὖ πλέῃ, καὶ εὐτόνως συνέχηται. διὰ δὲ τοῦ ὅτι τοῦτο ἦν τὸ τί ἦν εἶναι, τὴν κατὰ τὸ εἶδος αἰτίαν ἐνδείκνυται. διὰ δὲ τοῦ διότι βέλτιον οὕτω, τοῦ τελικοῦ μέμνηται αἰτίου. καὶ γὰρ καὶ πλάτων καὶ ἀριστοτέλης τῷ φυσικῷ προσήκειν φασὶ τὴν διττὴν αἰτίαν ἀποδιδόναι, τὴν μὲν, τοῦ ἀναγκαίου, τὴν δὲ τοῦ εὖ. καὶ ἔστιν ἡ μὲν τοῦ ἀναγκαίου κατὰ τὴν ὕλην, καὶ ὅλως τὸ σωματικόν. οἷον ὅτι δεῖ ἐκ θερμῶν καὶ ψυχρῶν καὶ ὑγρῶν καὶ ξηρῶν γίνεσθαι. ἡ δὲ τοῦ εὖ, καθ᾽ ἣν δείκνυται ὅτι βέλτιόν ἐστιν οὕτως ἢ ἄλλως ἔχον. τὸ δὲ βέλτιον οὐ τὸ ἁπλῶς ληπτέον, ἀλλὰ τὸ πρὸς τὴν ἑκάστου φύσιν οἰκεῖον. τὸ γὰρ ἁπλῶς καὶ τὸ πάντων ἄριστον, οὐδὲ ὑπάρχειν δυνατὸν τῇ θνητῇ φύσει. ἀλλ᾽ εἴπερ ἄρα, τῇ ἀϊδίῳ καὶ θείᾳ. ἔπειτα καὶ ἐν αὐτῇ πάντων τὸ αὐτὸ τέλος. ἓν γὰρ τὸ ἄριστον. τὸ δὲ πρὸς τὴν ἑκάστου φύσιν. οἷον ὅτι τοῖς ἀβρίοις καὶ ἀναγκαῖα τὰ πτερὰ καὶ λυσιτελῆ. καὶ τοῖς τοιοῖσδε τὰ τοιάδε. τοῖς δὲ πεζοῖς οἱ πόδες. τοῖς δὲ ἰλυσπωμένοις ἡ κοιλία. ὥσπερ τοῖς ἰχθύσι τὰ βράγχια. καὶ ἔστι τοιαύτη πραγματεία τῷ ἀριστοτέλει, ἡ περὶ ζῴων μορίων. ἔνθα κατὰ τὸν διττὸν τρόπον φυσιολογεῖ, κατὰ τὸ ἀναγκαῖον, καὶ τὸ εὖ.

ΛΕΚΤΕΟΝ δὴ, πρῶτον μὲν, διότι ἡ φύσις τῶν ἕνεκά του αἰτίων. ἔπειτα περὶ τοῦ ἀναγκαίου πῶς ἔχει ἐν τοῖς φυσικοῖς. εἰς γὰρ ταύτην τὴν αἰτίαν ἀνάγουσι πάντες, ὅτι ἐπειδὴ τὸ θερμὸν τοιονδὶ πέφυκε καὶ τὸ ψυχρὸν καὶ ἕκαστον δὴ τῶν τοιούτων. ταδὶ ἐξ ἀνάγκης ἐστὶ καὶ γίνεται, καὶ πέφυκε, καὶ γὰρ κἂν ἄλλην αἰτίαν εἴπωσιν, ὅσον ἁψάμενοι χαίρειν ἐῶσιν. ὁ μὲν τὸ νεῖκος καὶ τὴν φιλίαν. ὁ δὲ, τὸν νοῦν.

Δύο προτίθεται προβλήματα ἐν τούτοις. ἓν μὲν, ὅτι τῶν ἕνεκά του ποιούντων αἰτίων ἡ φύσις ἐστὶν ἀποδεῖξαι. διότι πολλάκις ἐχρήσατο τούτῳ ἀντιλογίαν ἔχοντι. δεύτερον δὲ περὶ τοῦ ἀναγκαίου πῶς ἔχει ἐν τοῖς φυσικοῖς. ἐπειδὴ πάντες οἱ φυσιολόγοι εἰς τὸ ἀναγκαῖον ἀνάγουσι τὰς αἰτίας, ἐξ ἀνάγκης τόδε τοιῶσδε λέγοντες γίνεσθαι. ἀνάγουσι δὲ εἰς τὴν ὕλην, ὡς ταύτην οὖσαν τὴν ἀνάγκην, ἐκ τῆς τοιᾶσδε τῶν ὑποκειμένων ποιότητος τοιόνδε γίνεσθαι ἐξ ἀνάγκης λέγοντες. οἷον ἐπειδὴ τὸ θερμὸν κοῦφον καὶ ἀνωφερές ἐστι, τὸ δὲ ψυχρὸν βαρὺ καὶ κατωφερὲς, διατοῦτο ὁ κόσμος οὕτω συνέστη, τῆς μὲν γῆς κάτω γενομένης, τοῦ δὲ οὐρανοῦ ἄνω. κἂν γὰρ ἄλλην αἰτίαν εἴπωσιν, ὡς ἐμπεδοκλῆς ποιητικὴν νεῖκος καὶ φιλίαν, καὶ ἀναξαγόρας τὸν νοῦν, ὅσον ἐφάψασθαι μόνον αὐτῆς λέγουσιν, ἐν ταῖς τῶν αἰτίων παραδόσεσιν οὐ προσχρώμενοι. τοῦτο δὲ καὶ ὁ ἐν τῷ φαίδωνι σωκράτης ἐγκαλεῖν τῷ ἀναξαγόρᾳ δοκεῖ. διατοῦτο οὖν περὶ τοῦ κατὰ τὴν ὕλην ἀναγκαίου χρὴ διορίσασθαι, πῶς ἔχει ἐν τοῖς φυσικοῖς. τουτέστι τίς ὁ τρόπος τῆς τοιαύτης αἰτίας. ἆρα διὰ ταύτην γίνεται τὸ γινόμενον; ἢ οὐκ ἄνευ μὲν ταύτης, οὐ μὴν διὰ ταύτην ἁπλῶς, καὶ διὰ τοῦτο ἀναγκαῖα, καὶ ὄντως ἀναγκαῖα. ταῦτα γὰρ μετ᾽ ὀλίγον ἡμᾶς περὶ αὐτῆς διδάξει. τὸ δὲ δεῖξαι ὅτι ἡ φύσις ἕνεκά του ποιεῖ, χρήσιμόν ἐστι πολλαχῶς πρὸς τελειότητα τοῦ περὶ τῶν αἰτίων λόγου. εἰ γὰρ διατοῦτο μάλιστα ἀναγκαῖον τὰς αἰτίας εἰδέναι, ἵνα εἰς ταύτας ἀνάγοντες τὸ διατί ἀποδιδῶμεν, τοῦτο δὲ χρήσιμόν ἐστι, διότι ἡ φύσις ἕνεκά του ποιεῖν ὑπόκειται, καὶ οὐκ εἰκῇ καὶ ὡς ἔτυχεν, ἔδει ταύτην δειχθῆναι τὴν ὑπόθεσιν. ἔτι δὲ εἰ τὸ εἶδος τελικὸν αἴτιον καὶ οὗ ἕνεκα ὑπετέχθη.

τέθη, ὡς ἕνεκα τούτου τῆς φύσεως πάντα ποιούσης ἃ ποιεῖ, χρὴ τοῦτο δειχθῆναι ὅτι ἕνεκά του ἡ φύσις ποιεῖ. ἔτι δὲ τῶν παλαιῶν φυσιολόγων οἱ μὲν, τύχην καὶ τὸ αὐτόματον ᾐτιῶντο τῶν γινομένων ὡς ποιητικὰ αἴτια, μᾶλλον δὲ ὡς ἀναιτίων ὄντων τῶν γινομένων. οἱ δὲ, τῇ ὑλικῇ ἀνάγκῃ ἠρκοῦντο. δείξας οὖν ὅτι ἡ τύχη καὶ τὸ αὐτόματον κατὰ συμβεβηκός ἐστιν αἴτια, δεῖ δὲ εἶναι πρὸ τοῦ κατὰ συμβεβηκὸς αἰτίου καὶ μάτην, ὅσον ἐπὶ τῷ ἀποτελέσματι, προσγινομένου τῷ καθ' αὑτὸ καὶ ἕνεκά του ποιοῦντι, ἐδεῖτο δεῖξαι τί τοῦτό ἐστι. καὶ ἄλλως δὲ ἐκ τῆς τῶν αἰτίων ἐφόδου παραδείξας, ὅτι ἔστι τὸ ποιητικὸν αἴτιον τῶν φυσικῶν, καὶ τοῦτο εἰπὼν εἶναι τὴν φύσιν διαφέρουσαν τῆς τύχης καὶ τοῦ αὐτομάτου, τῷ προηγουμένως καὶ ἕνεκά του ποιεῖν, ἐδεῖτο λοιπὸν τοῦτο αὐτὸ δεῖξαι ὅτι ἡ φύσις ἕνεκά του ποιεῖ, καὶ περὶ τοῦ ἀναγκαίου τῆς ὕλης διαλεχθῆναι. ἔτι δὲ ἐν ὅλῳ τῷ βιβλίῳ περὶ αἰτίων διαλεχθεὶς, καὶ ταῦτα τοῖς αἰτίοις οἰκεῖα προστίθησι, τὸ μὲν ὅτι τὸ ποιητικὸν, ὅπερ ἐστὶν ἡ φύσις, οὐκ εἰκῆ καὶ ὡς ἔτυχεν ἀλλ' ἕνεκά του ποιεῖ. καὶ τὸ οὗ ἕνεκα τὸ εἶδός ἐστι. τὸ δὲ, ὅτι τὸ ἐπὶ τῆς ὕλης λεγόμενον ἀναγκαῖον, οὐχ οὕτω λέγεται, ὡς δι' αὐτὴν γινομένου. τοῦτο γὰρ τῷ τέλει προσήκει. ἀλλ' ὡς οὐκ ἄνευ αὐτῆς. ὅπερ ἐστὶ τὸ κυρίως ἀναγκαῖον, ὡς κατὰ ἀνάγκην ἀλλ' οὐχὶ προηγουμένως παρειλημμένον.

ἜΧΕΙ Δ' ἀπορίαν, τί κωλύει τὴν φύσιν μὴ ἕνεκά του ποιεῖν. μηδ' ὅτι βέλτιον. ἀλλ' ὥσπερ ὕει ὁ Ζεύς. οὐχ ὅπως τὸν σῖτον αὐξήσῃ, ἀλλ' ἐξ ἀνάγκης. τὸ γὰρ ἀναχθὲν, ψυχθῆναι δεῖ. καὶ τὸ ψυχθὲν ὕδωρ γενόμενον, κατελθεῖν. τὸ δὲ, αὐξάνεσθαι τούτου γενομένου συμβαίνει τὸν σῖτον. ὁμοίως δὲ καὶ εἴ τῳ ἀπόλλυται ὁ σῖτος ἐν τῇ ἅλῳ, οὐ τούτου ἕνεκα ὕει, ὅπως ἀπόλληται. ἀλλὰ τοῦτο συμβέβηκεν. ὥστε τί κωλύει οὕτω καὶ τὰ μέρη ἔχειν ἐν τῇ φύσει. οἷον τοὺς ὀδόντας ἐξ ἀνάγκης ἀνατεῖλαι. τοὺς μὲν ἐμπροσθίους, ὀξεῖς. ἐπιτηδείους πρὸς τὸ διαιρεῖν. τοὺς δὲ γομφίους, πλατεῖς. καὶ χρησίμους πρὸς τὸ λεαίνειν τὴν τροφήν. ἐπεὶ οὐ τούτου ἕνεκα γενέσθαι, ἀλλὰ συμπεσεῖν. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων μερῶν, ἐν ὅσοις δοκεῖ ὑπάρχειν τὸ ἕνεκά του. ὅπου μὲν οὖν ἅπαντα συνέβη, ὥσπερ κἂν εἰ ἕνεκά του ἐγίνετο, ταῦτα μὲν ἐσώθη ἀπὸ τοῦ αὐτομάτου συστάντα ἐπιτηδείως. ὅσα δὲ μὴ οὕτως ἀπώλετο καὶ ἀπόλλυται, καθάπερ Ἐμπεδοκλῆς λέγει τὰ βουγενῆ καὶ ἀνδρόπρωρα. ὁ μὲν οὖν λόγος, ᾧ ἄν τις ἀπορήσειεν, οὗτος. καὶ εἴ τις ἄλλος τοιοῦτός ἐστιν.

Προβαλόμενος ὁ Ἀριστοτέλης δεῖξαι ὅτι ἡ φύσις ἕνεκά του ποιεῖ, πρῶτον ὥσπερ εἴωθε καὶ αὐτὸς καὶ ὁ τούτου διδάσκαλος Πλάτων κρατύνει τὸν ἐναντίον λόγον, τούτῳ αὐτὸ παριστάμενος, ᾧ ὁμολογήσαντες οἱ τῶν λόγων πατέρες παρέστησαν. χρήσιμον δὲ τοῦτό ἐστι πρὸς τὸ μηδεμίαν ἔνστασιν καταλιπεῖν, τοῖς ἐνίστε καὶ εὐφυέστερον δυναμένοις ἐνίστασθαι. καὶ νῦν οὖν συνηγορεῖ πρῶτον τοῖς λέγουσι μὴ ἕνεκά του τὴν φύσιν ποιεῖν, μηδὲ ὅτι βέλτιον οὕτως. ἐπειδὴ γὰρ οἱ ἕνεκά του ποιεῖν τὴν φύσιν βουλόμενοι, πιστοῦνται τοῦτο ἐκ τῆς χρείας μάλιστα τῶν ἐν τοῖς ζώοις μορίων, εἰ γὰρ οἱ ἐμπρόσθιοι ὀδόντες ὀξεῖς γεγόνασι πρὸς τὸ τέμνειν τὴν τροφὴν, οἱ δὲ γόμφιοι πλατεῖς πρὸς τὸ λεαίνειν, δηλονότι οὐκ εἰκῆ καὶ ὡς ἔτυχε γεγόνασιν, ἀλλὰ τοῦ ποιοῦντος πρὸς τὸ βέλτιστον καὶ τὸ χρήσιμον ἀφορῶντος, ταῦτα τῶν ἐκείνων λεγόντων, οἱ βουλόμενοι μὴ ἕνεκά του ποιεῖν τὴν φύσιν, γίνεσθαι μὲν ἐξ ἀνάγκης φυσικῆς ἢ ὑλικῆς λέγουσι τὰ γινόμενα. χρήσιμα δὲ καὶ ἐπωφελῆ κατὰ συμβεβηκὸς ἀποβαίνειν, τῆς φύσεως οὐ τούτου ἕνεκα ποιούσης. ἀλλ' ὥσπερ ὁ Ζεὺς ὕσειεν ἂν καὶ ἐν θέρει, οὐχ ἵνα δὲ τὸν σῖτον τὸν ἐν τῇ ἅλῳ ἀπολέσῃ, ἀλλ' ὕσαντος συνέβη τὸν σῖτον ἀπολέσθαι, οὕτω τί κωλύει λέγειν μὴ ὕειν μὲν ἵνα ὁ σῖτος αὐξηθῇ, ἄλλως δὲ ὑετοῦ γινομένου, καὶ τὸν σῖτον αὐξάνεσθαι συμβαίνειν, γίνεσθαι δὲ τὸν ὑετὸν φύσει καὶ ὑλικῇ ἀνάγκῃ. τὴν γὰρ ἀνενεχθεῖσαν ἀτμίδα ψυγεῖσαν καὶ ὕδωρ γενομένην, διὰ τὸ βάρος καταφέρεσθαι καὶ τοῦτο εἶναι τὸν ὑετόν. καὶ ἄλλως δὲ φαῖεν ἂν μήποτε τὸ βέλτιον τοῦ χείρονος ἕνεκα γίνεσθαι, μήτε ὑπὸ νοῦ μήτε ὑπὸ φύσεως. ὥστε οὐδὲ ἡ τοῦ ἡλίου κίνησις, ἥ τις ψύχουσα καὶ ἀλέας καὶ ὄμβρων καὶ τῶν τοιούτων αἰτία ἐστὶ, τῶν καρπῶν ἕνεκα γίνεται. ἀλλ' ἐπισυμβαίνει καὶ ἡ τούτων τροφὴ ὥσπερ καὶ ἄλλα πολλὰ, ὡς εἰ τούτων ἕνεκα ποιήσει ὁ ἀκριβέστατος νοῦς. οὕτως οὖν τί κωλύει καὶ τὰ μόρια τῶν ζώων καὶ τῶν φυτῶν ἐξ ἀνάγκης μὲν ὑλικῆς γίνεσθαι, οὐ μέντοι τοῦ εὖ καὶ τοῦ ὠφελίμου στοχαζομένης τῆς φύσεως, οὐδὲ ἕνεκά του ποιούσης. καὶ γὰρ οἱ μὲν ἐμπρόσθιοι ὀδόντες ὀξεῖς γεγόνασιν, οἱ δὲ γόμφιοι πλατεῖς, οὐ διὰ τὴν χρείαν, ἀλλὰ διὰ τὴν φυσικὴν ἀνάγκην. ἡ γὰρ τοῦ φατνώματος εἴποι τις ἂν περιφέρεια πυκνοτέρα γέγονε τῶν ἑαυτοῦ περάτων διὰ τὴν καμπήν. τὰ γὰρ καμπτόμενα πυκνοῦται κατὰ τὴν κοίλην καὶ κατὰ τὴν κυρτὴν ἐπιφάνειαν, τῆς μὲν τεινομένης, τῆς δὲ συμπιλουμένης κατ' ἐκεῖνο, καθ' οὗ μάλιστα τὸ περιφερὲς γίνεται. διὰ δὲ τοῦ πυκνωτέρου τὰ διιόντα ὀξύνεται, καὶ τὰ ὀξύτερα μᾶλλον δίεισι. τούτων δὲ οὕτω γινομένων διὰ τὴν ἀνάγκην τὴν ὑλικὴν, συνέβη ἄλλως εἰς ὠφέλειαν αὐτὰ γενέσθαι τῶν ζώων, ὡς εἰ καὶ ταύτης ἕνεκα ἐγένετο. διατί γὰρ ἄλλα μὲν ἀπόλλυται ὑπὸ τῶν οἰκείων μορίων. ὡς ἀετοὶ τοῦ ῥάμφους ἐπικαμπτομένου λιμώττοντες, ἄλλα δὲ σώζεται, εἰ μὴ ἐκ ταὐτομάτου ταῦτα συνέτρεχεν οὕτω. καὶ ὅπου μὲν οὕτω πάντα συνέβη συνδραμεῖν, ὥσπερ καὶ εἰ ἕνεκά του ἐγένετο. ταῦτα κἂν ἐκ ταὐτομάτου συνέστη, ἐπειδὴ ἐπιτηδείως συνέστη, διεσώθη. ὅσα δὲ μὴ οὕτως, ἀπώλετο καὶ ἀπόλλυται. ὥσπερ Ἐμπεδοκλῆς κατὰ τὴν τῆς φιλίας ἀρχὴν γενέσθαι φησὶν ὡς ἔτυχε μέρη πρῶτον τῶν ζώων, οἷον κεφαλὰς, καὶ χεῖρας, καὶ πόδας, ἔπειτα συνιέναι ταῦτα βουγενῆ ἀνδρόπρωρα, τὰ δὲ ἔμπαλιν ἐξανατέλλειν, ἀνδρογενῆ δηλονότι βούπρωρα, τουτέστιν ἐκ βοὸς καὶ ἀνθρώπου. καὶ ὅσα μὲν οὕτω

σύνεσιν ἀλλήλοις, ὥστε δύνασθαι τυχεῖν σωτηρίας, ἐγίνετο ζῶα καὶ ἔμεινε, διὰ τὸ ἀλλήλοις ἐκπληροῦν τὴν χρείαν, τοὺς μὲν ὀδόντας τέμνοντάς τε καὶ λεαίνοντας τὴν τροφὴν, τὴν δὲ γαστέρα πέττουσαν, τὸ δὲ ἧπαρ ἐξαιματοῦν. καὶ ἡ μὲν τοῦ ἀνθρώπου κεφαλὴ τῷ ἀνθρωπίνῳ σώματι συνελθοῦσα, σώζεσθαι ποιεῖ τὸ ὅλον. τῷ δὲ τοῦ βοὸς, οὐ συναρμόζει καὶ διόλλυται. ὅσα γὰρ μὴ κατὰ τὸν οἰκεῖον συνῆλθε λόγον, ἐφθάρη. τὸν αὐτὸν δὲ τρόπον καὶ νῦν πάντα συμβαίνει. ταύτης δὲ δοκοῦσι τῆς δόξης τῶν μὲν ἀρχαίων φυσικῶν, ὅσοι τὴν ὑλικὴν ἀνάγκην αἰτίαν εἶναι τῶν γινομένων φασίν. τῶν δὲ ὕστερον οἱ ἐπικούρειοι. ἡ δὲ πλάνη γέγονεν αὐτοῖς ὥς φησιν ἀλέξανδρος, ἀπὸ τοῦ ἡγεῖσθαι πάντα τὰ ἕνεκά του γινόμενα, κατὰ προαίρεσιν γίνεσθαι καὶ λογισμὸν, τὰ δὲ φύσει μὴ οὕτως ὁρᾶν γινόμενα. τὰ δὲ οὐχ οὕτως ἔχει φησὶν ὡς ἤδη προειρήκαμεν, πάντως ὅτε ἔλεγεν ὅτι ἡ φύσις ἕνεκά του μὲν ποιεῖ, οὐ κατὰ λόγον δέ. μήποτε δὲ εἰ μὴ πρῶτον ἦν καὶ κυριώτατον αἴτιον ἡ φύσις, προορῶσαν οὗ ἕνεκα ποιεῖ οὕτως ἔδει ποιεῖν. ἄλλο δὲ ὑπηρετοῦσα τῷ κυρίως καὶ ἕνεκά του ποιοῦντι, καὶ αὐτὴ μὲν ἕνεκά του ποιεῖ, οὐ μέντοι προλογιζομένη. ὁπότε καὶ τὸ σκέπαρνον ἕνεκά του πελεκᾷ, ἀλλ᾽ οὐ προλογιζόμενον, ἀλλὰ τῷ προλογιζομένῳ ὑπηρετοῦν.

Α ἈΔΥΝΑΤΟΝ δὲ ταῦτα τοῦτον ἔχειν τὸν τρόπον. ταῦτα μὲν γὰρ καὶ πάντα τὰ φύσει, ἢ ἀεὶ οὕτω γίνεται, ἢ ὡς ἐπὶ τὸ πολύ. τῶν δ᾽ ἀπὸ τύχης, καὶ τοῦ αὐτομάτου, οὐθέν. οὔτε γὰρ ἀπὸ τύχης οὔτε ἀπὸ συμπτώματος δοκεῖ ὕειν πολλάκις τοῦ χειμῶνος. ἀλλ᾽ ἐὰν ὑπὸ κύνα. οὐδὲ καύματα ὑπὸ κύνα. ἀλλ᾽ ἂν χειμῶνος. εἰ οὖν ἢ ὡς ἀπὸ συμπτώματος δοκεῖ, ἢ ἕνεκά του εἶναι, εἰ μὴ οἷόν τε ταῦτα εἶναι μήτε ἀπὸ συμπτώματος μήτε ἀπὸ ταὐτομάτου, ἕνεκά του ἂν εἴη. ἀλλὰ μὴν φύσει ἐστὶ τὰ τοιαῦτα γε πάντα. ὡς κἂν αὐτοὶ φαῖεν οἱ ταῦτα λέγοντες. ἔστιν ἄρα τὸ ἕνεκά του, ἐν τοῖς φύσει γινομένοις καὶ οὖσιν.

Σ Συνηγορήσας τῷ λέγοντι λόγῳ, ὅτι κατὰ συμβεβηκὸς ἀκολουθεῖ τοῖς φύσει γινομένοις τὸ χρειῶδες καὶ ὠφέλιμον, οὐ τούτου ἕνεκα τῆς φύσεως ποιούσης, νῦν δείκνυσιν ὅτι ἀδύνατον οὕτως ἔχειν τοῦτο, λαβὼν ἐναργὲς ὂν ὅ ὕστερον ἐπάγει, ὅτι τὰ γινόμενα ἢ κατὰ προωρισμένον σκοπὸν καὶ ἕνεκά του, ἢ ἐκ τύχης ἢ ἐκ ταὐτομάτου γίνονται, καὶ ὅτι ταῦτα μὲν τὰ μόρια τῶν ζώων καὶ ὅλως πάντα τὰ φύσει, ἢ ἀεὶ ὡς ἐπὶ τῶν ἀϊδίων ἢ ὡς ἐπιτοπολὺ γίνεται, τὰ δὲ ἀπὸ τύχης καὶ ἐκ ταὐτομάτου ἐδείχθη ἐν τοῖς ἐπ᾽ ἔλαττον, καὶ συλλογιζόμενος λοιπὸν οὕτως. τὰ φύσει ἢ ἀεὶ οὕτω γίνεται, ἢ ὡς ἐπιτοπολύ. ἄνθρωπος γὰρ ἐξ ἀνθρώπου, καὶ ἵππος ἐξ ἵππου. καὶ τῶν ὀδόντων ἡ φύσις ὡς ἐπιτοπλεῖστον ὁμοίως, καὶ τῶν ἄλλων μορίων. τὰ δὲ ἀπὸ τύχης καὶ ἐκ ταὐτομάτου ἢ ὅλως κατὰ συμβεβηκὸς, οὔτε ἀεὶ οὔτε ὡς ἐπιτοπολύ. ἐν γὰρ τοῖς ἐπ᾽ ἔλαττον ἐδείχθη ταῦτα γινόμενα. οὐκ ἄρα τὰ φύσει ἀπὸ τύχης ἢ ἐκ ταὐτομάτου ἢ ὅλως κατὰ συμβεβηκός. καὶ ἔστιν ὁ συλλογισμὸς ἐν δευτέρῳ σχήματι συναχθείς. οὗ τὰς μὲν προτάσεις τέθεικεν ὁ ἀριστοτέλης. τὸ δὲ συμπέρασμα ὡς σαφὲς οὐκ ἐπήγαγεν. τὴν δὲ μείζονα τῶν προτάσεων τὴν λέγουσαν τὰ ἀπὸ τύχης καὶ ἐκ ταὐτομάτου οὔτε ἀεὶ οὔτε ὡς ἐπιτοπολὺ, ἔδειξεν ἐκ τοῦ ἀντικειμένου. τὰ γὰρ ὡς ἐπὶ τὸ πολὺ γινόμενα, οἷον τὸ ὕειν πολλάκις χειμῶνος, ἢ τὸ καῦμα γίνεσθαι ὑπὸ κύνα, οὔτε ἀπὸ τύχης οὔτε ἀπὸ συμπτώματος λέγομεν. ἀλλ᾽ ὅταν ὑπὸ κύνα μὲν ὕῃ πολλάκις, ἢ χειμῶνος καύματα ποιῇ, καὶ ὅλως ἐν τοῖς ἐπ᾽ ἔλαττον. δυνατὸν δὲ καὶ ἐν τῷ πρώτῳ σχήματι συναγαγεῖν τὸν συλλογισμὸν οὕτω. τὰ φύσει ὡς ἐπιτοπολύ. οὐδὲν τῶν ὡς ἐπὶ τὸ πολὺ κατὰ συμβεβηκός. οὐδὲν ἄρα τῶν φύσει κατὰ συμβεβηκός. δείξας οὖν ὅτι οὐδὲ τὰ ὠφέλιμα καὶ χρειώδη ἐν τοῖς φύσει κατὰ συμβεβηκὸς γίνεται, εἴπερ ὡς ἐπιτοπολὺ γίνεται, δείκνυσι λοιπὸν ὅτι ἕνεκά του ταῦτα καὶ γίνεται καὶ ἔστι. τὸ δὲ διαιρετικὸν ὃ προσέλαβε, τοιοῦτον. τὰ γινόμενα ἢ κατὰ συμβεβηκὸς καὶ ἀπὸ συμπτώματος γίνεται, ἢ ἕνεκά του. ἀλλὰ μὴν ταῦτα οὐκ ἀπὸ συμπτώματος ὡς δέδεικται. ἕνεκά του ἄρα. τὸ δὲ διαιρετικὸν ἀναγκαῖον δοκεῖ, διότι καὶ ἐκεῖνοι ὡς ἀναιρετικὸν τοῦ ἕνεκά του τὸ ἀπὸ συμπτώματος ἔλεγον. ὡς γὰρ ὀφείλοντος πάντως τοῦ γινομένου ἢ οὕτως ἢ ἐκείνως γίνεσθαι, τῷ δεῖξαι ὅτι κατὰ συμβεβηκὸς, ἀναιρεῖν ᾤοντο τὸ ἕνεκά του. καὶ οὕτω μὲν εἴ τις ἐν ἀρχῇ λαμβάνει τὰ φύσει ἢ ἀεὶ ἢ ὡς ἐπιτοπολὺ γίνεσθαι, συνάγει διὰ τῶν λημμάτων καὶ τοῦ διαιρετικοῦ, ὅτι τὰ φύσει ἕνεκά του καὶ ἐν δευτέρῳ καὶ ἐν τρίτῳ σχήματι. αὐτὸς δὲ ἐπὶ τῶν μορίων τῶν ζώων καὶ τῶν τοιούτων μάλιστα προαγαγὼν τὸν λόγον, ὡς ἐναργῶς ἐχόντων τὸ ἐπὶ πολὺ γίνεσθαι, καὶ δείξας ὅτι τῶν μορίων αἱ εὐχρηστότητες διὰ τὸ μὴ κατὰ συμβεβηκὸς γίνεσθαι ἕνεκά του γίνονται, καὶ προσλαβὼν ὅτι φύσει ἐστὶ πάντα τὰ τοιαῦτα, ὡς κἂν αὐτοὶ φαῖεν ἂν οἱ ταῦτα λέγοντες, φύσεως γὰρ ἔργα τά τε ζῶα καὶ τὰ φυτὰ καὶ τὰ τούτων μόρια, ἐν οἷς οὐδὲν περιττὸν οὐδὲ ἐλλεῖπον, καὶ ὑποκείμενον ποιήσας τὰ μόρια τῶν ζώων καὶ τὰ τοιαῦτα, καὶ κατηγορήσας αὐτῶν τό, τε ἕνεκά του καὶ φύσει, μερικὸν συμπέρασμα συνάγει ἐν τρίτῳ σχήματι, ὅτι τινὰ τῶν ἕνεκά του φύσει ἐστί. καλῶς γὰρ ὁ ἀλέξανδρος ἐπέστησεν, ὅτι οὐκ ἐν πρώτῳ σχήματι ἀλλ᾽ ἐν τρίτῳ μᾶλλον γίνεται ἡ συναγωγὴ, μερικὸν συνάγουσα συμπέρασμα, τὸ λέγον ὅτι τῶν ἕνεκά του γινομένων τινὰ φύσει γίνεται. καὶ γὰρ ἡ ἐν πρώτῳ σχήματι συναγωγὴ, ὅτι πάντα τὰ ἕνεκά του φύσει ἐστὶ συνάγει, οὐκ ὂν ἀληθές. τὰ μὲν γὰρ φύσει πάντα ἕνεκά του. τὰ δὲ ἕνεκά του οὐ πάντα φύσει. καὶ γὰρ τὰ κατὰ προαίρεσιν καὶ τὰ κατὰ τέχνην ἐν τοῖς ἕνεκά του ἐστί. συνάγει γοῦν οὕτως. ἐπειδὴ τὰ ζῶα καὶ τὰ φυτὰ καὶ τὰ τούτων μόρια καὶ ἡ εὐχρηστία αὐτῶν ὡς ἐπιτοπλεῖστον οὕτω γίνεται. τὰ δὲ ὡς ἐπὶ τὸ πλεῖστον ἕνεκά του, ἐὰν προσλάβωμεν ἄλλην πρότασιν, τὴν λέγουσαν τὰ ζῶα καὶ τὰ φυτὰ καὶ τὰ τούτων μόρια φύσει, ὅπερ καὶ ὑπ᾽ ἐκείνων ὁμολογεῖται, συναχθήσεται

τὸ τινὰ τῶν

τὸ τινὰ τῶν ἕνεκά του γινομένων καὶ φύσει γίνεσθαι. ὅπερ ἐδήλωσε καὶ αὐτὸς διὰ τοῦ ἔστιν ἄρα τὸ ἕνεκά του ἐν τοῖς φύσει γινομένοις καὶ οὖσι. καὶ γὰρ εἰ ἔστιν ἐν τοῖς φύσει γινομένοις τὸ ἕνεκά του, τὰ μὲν φύσει ἕνεκά του ἔστι πάντως, οὐ πάντα δὲ τὰ ἕνεκά του φύσει. ὥσπερ ἐπειδὴ ἔστι τὸ φέρεσθαι καὶ αὔξεσθαι ἐν τοῖς ζώοις, τὰ μὲν ζῶα φέρεται καὶ αὔξεται. οὐ πᾶν δὲ τὸ φερόμενον καὶ αὐξόμενον ζῶόν ἐστι. μήποτε δὲ καὶ συντόμως μὲν τὸ προκείμενον συνελογίσατο καὶ καθόλου, εἰπὼν ὅτι πάντα τὰ φύσει ἢ ἀεὶ ἢ ὡς ἐπὶ τὸ πολὺ, καὶ προσλαβὼν ὅτι τὰ ἐκ τύχης οὐκ ἀεὶ, καὶ συναγαγὼν ἐν δευτέρῳ καὶ πρώτῳ σχήματι, ὡς εἴρηται πρότερον. καὶ μέντοι ὡς ἐπὶ τῶν μορίων προαγαγὼν τὸν λόγον διὰ τὸ ἐναργὲς, ἐν τρίτῳ σχήματι μερικὸν συμπέρασμα συνήγαγεν. εἰ τοίνυν ὁ σῖτος ὑπὸ τοῦ ὑετοῦ αὔξεται κατὰ φύσιν καὶ ὡς ἐπὶ τὸ πολὺ, δηλονότι οὐ κατὰ συμβεβηκὸς αὔξεται ὁ σῖτος ὑπὸ τοῦ ὑετοῦ. ὥστε καὶ ἕνεκά του γίνεται ὁ ὑετὸς τοῦ αὔξεσθαι τὸν σῖτον. ὥσπερ καὶ ἄλλων πολλῶν ἕνεκα γίνεται. ἅπερ οὐ κατὰ συμβεβηκὸς ἕπεται τῷ ὑετῷ. τὸ γὰρ αὐτὸ πολλῶν ἕνεκα γίνεται καὶ μικρῶν καὶ μεγάλων. ἆρ' οὖν καὶ τοῦ σαπῆναι ἕνεκα τὸν σῖτον. ἢ τοῦτο οὐκ ἔστι τῶν ὡς ἐπὶ τὸ πολὺ τῷ ὑετῷ ἀκολουθούντων, ἀλλὰ τῶν ὡς ἐπ' ἔλαττον. διὸ κἂν φύσει γίνηται, ἀλλὰ κατὰ ἀποτυχίαν τοῦ σκοποῦ τῆς φύσεως, ὥσπερ καὶ τὰ τέρατα. πλὴν καὶ εἰ ἕνεκα τοῦ σαπῆναι τὸν σῖτον γίνεται ὁ ὑετὸς, ἀλλ' οὐχ ὑπὸ τῆς φύσεως ἕνεκα τούτου γίνεται. ἀλλ' ὑπὸ τοῦ τῇ φύσει χρωμένου δημιουργοῦ θεοῦ, τοῦ πάντα κατὰ δίκην ἀπευθύνοντος.

Ἔτι ἐν ὅσοις τέλος τί ἐστι, τούτου ἕνεκα πράττεται τὸ πρότερον καὶ τὸ ἐφεξῆς. οὐκοῦν ὡς πράττεται, οὕτω πέφυκε. καὶ ὡς πέφυκεν ἂν μή τι ἐμποδίζῃ οὕτω πράττεται ἕκαστον. πράττεται δὲ ἕνεκά του. καὶ πέφυκεν ἄρα τούτου ἕνεκα. οἷον, εἰ οἰκία τῶν φύσει γινομένων ἦν, οὕτως ἂν ἐγένετο, ὡς νῦν ὑπὸ τέχνης. εἰ δὲ τὰ φύσει μὴ μόνον φύσει, ἀλλὰ καὶ τέχνῃ γίγνοιτο, ὡσαύτως ἂν γίνοιτο, ᾗ πέφυκεν, ἕνεκα ἄρα θατέρου θάτερον.

Δεύτερον τοῦτο ἐπιχείρημα. ὁ δὲ Ἀλέξανδρος οὕτως ἐξηγεῖται τὸ χωρίον. δείξας φησὶν ὅτι τὰ φύσει ἕνεκά του, ἔστι γὰρ ἐν αὐτοῖς τέλος τι οὗ ἕνεκα, προσλαμβάνει τοῦτο ὡς ἑπόμενον, ἐν οἷς τέλος τί ἐστι καὶ ἕνεκά του, τούτου χάριν τὰ πρὸ αὐτοῦ πράσσεται. ᾧ ἕπεται τὸ καὶ ἐν τοῖς φύσει γινομένοις τοῦ τέλους ἕνεκα γίνεσθαι τὰ πρὸ τοῦ τέλους. ἐγὼ δὲ ἔοικα μὴ νοεῖν τὸ λεγόμενον. δοκεῖ γάρ μοι λέγειν οὐδὲν ἄλλο, ἢ ὅτι λαβὼν ὅτι τὰ φύσει ἕνεκά του, συνάγει τὸ τὰ φύσει ἕνεκά του. τὸ γὰρ ἐν τοῖς φύσει γινομένοις τοῦ τέλους ἕνεκα γίνεσθαι τὰ πρὸ τοῦ τέλους, τί ἄλλο ἐστί. πάλιν δὲ λαβών φησι, τὸ ἐν οἷς τέλος τί ἐστι τοῦ τέλους χάριν τὰ πρὸ αὐτοῦ πράσσεσθαι ὡς ὁμολογούμενον, προσλαμβάνει αὐτῷ, τὸ ὡς πράσσεται οὕτω καὶ πεφυκέναι πράσσεσθαι, καὶ ὡς πέφυκεν οὕτω πράσσεσθαι. ἐξ ὧν συνάγει τὸ μὴ μόνον ἐν τοῖς φύσει τὸ ἕνεκά του, ἀλλὰ καὶ τὸ πεφυκέναι αὐτὰ ἕνεκά του. τοῦτο δὲ προσαπέδειξεν, ἵνα μή τις λέγοι εἶναι μὲν ἐν τοῖς φύσει γινομένοις τὸ ἕνεκά του, οὐ μὴν καὶ τούτου χάριν τὴν φύσιν αὐτὰ ποιεῖν. καίτοι πῶς εἶχε λόγον, μὴ δι' ὅ ἐστι διὰ τοῦτο ποιεῖν αὐτὸ τὸ ποιοῦν. ὅλως δὲ εἰ προείληπται ὡς ὁμολογούμενον, τὸ ἐν οἷς τέλος τί ἐστι, τοῦ τέλους χάριν τὰ πρὸ αὐτοῦ πράσσεσθαι, προείληπται τὸ τούτου χάριν γίνεσθαι ὑπὸ τοῦ ποιοῦντος. μήποτε οὖν ἡ μὲν πρώτη ἀπόδειξις τοιαύτη ἐστίν. ἐν οἷς τῶν γινομένων τέλος τί ἐστι τὸ ὡς πέρας, εἰς ὃ περατοῦται ἡ κίνησις, καὶ προϊοῦσα συνεχῶς τελευτᾷ, ἐν τούτοις ἅπαντα τὰ πρὸ τοῦ τέλους, τοῦ τέλους ἕνεκα γίνεται. ἐν δὲ τοῖς φύσει γινομένοις ἔστι τι τέλος. συνεχῶς γὰρ κινεῖται, καὶ πρόεισιν ἀδιαλείπτως, μέχρι τοῦ τὸ τέλος ὁλόκληρον ποιήσασθαι. καὶ γὰρ ἡ πόα, καὶ ἡ καλάμη, καὶ ὁ ἄσταχυς, καὶ αἱ παμπληθεῖς αὗται μορφαὶ, πρόϊασι μέχρι τοῦ πυροῦ. εἶτα ἐντεῦθεν στάσις ἤδη καὶ ἠρεμία. ταύταις ταῖς δύο προτάσεσι τεθείσαις ἀκολουθεῖ συμπέρασμα, τὸ ἐν τοῖς φύσει γινομένοις ἕνεκα τοῦ τέλους ἀεὶ πράσσεσθαι τὸ πρότερον καὶ τὸ ἐφεξῆς. ὅπερ ἐστὶ τὸ ἕνεκά του ποιεῖν τὴν φύσιν. τοῦτο δὲ ἦν τὸ προκείμενον. τῶν δὲ δύο τὴν πρώτην εἰρημένην μόνην πρότασιν τέθεικε, λέγων, ἐν οἷς τέλος τί ἐστι, τούτου ἕνεκα πράττεται τὸ πρότερον καὶ τὸ ἐφεξῆς. τὴν δὲ δευτέραν καὶ τὸ συμπέρασμα, ὡς πρόδηλα ἀφῆκεν. ὅτι δὲ ἀληθεῖς αἱ δύο προτάσεις, δῆλον. ὅπου γάρ ἐστι τέλος τι, καὶ συνεχὴς καὶ τεταγμένη ἡ ἐπ' αὐτὸ ὁδὸς φανερὸν ὅτι τούτου ἕνεκα πάντα τὰ ἔμπροσθεν πράττεται. οἷον ἐν τοῖς τεχνητοῖς ἔστι τέλος ἡ ὑγεία. ταύτης ἕνεκα τὰ ἔμπροσθεν ποιεῖ πάντα ὁ ἰατρός. καὶ ὅτι ἐν τοῖς φυσικοῖς τέλος ἐστὶ τὸ εἶδος. καὶ τούτου ἕνεκα πράττεται τοῦ εἰδοποιηθῆναι τῶν φυσικῶν ἕκαστον, καὶ ἀπολαβεῖν τὴν οἰκείαν μορφήν. τοιγαροῦν εἰς τοῦτο ἐλθοῦσα παύεται ἡ τῆς φύσεως ἐνέργεια. τούτων δὲ κειμένων, ἀληθὲς ἂν εἴη, τὸ ἐν τοῖς φυσικοῖς πάντα τὰ ἔμπροσθεν ἕνεκα τοῦ τέλους πράττεσθαι. οὐκοῦν εἰ τοῦτο οὕτως ἔχει, οὐκ ἐπισυμβαίνει τὸ τέλος τοῖς πρὸ τοῦ τέλους. ἀλλ' ἐκείνου ἕνεκα πέφυκε γίνεσθαι. καὶ ὡς πράττεται οὕτω πέφυκε. καὶ ὡς πέφυκεν οὕτω πράττεται ἕκαστον, ἂν μή τις ἐμποδίσῃ. ὥστε καὶ πράττεται τοῦ τέλους ἕνεκα, καὶ πέφυκε τούτου ἕνεκα. μήποτε δὲ τὸ οὐκοῦν ὡς πράττεται οὕτω πέφυκε καὶ τὰ ἑξῆς, οὐ τοῦ μὴ ἐπισυμβαίνειν τὸ τέλος ἐστὶ δεικτικά. εἰ γὰρ τὸ πράττεσθαι ἕνεκά του ὁμολογούμενον λαβὼν, ὡς ἀκόλουθον τούτῳ ἐπάγει, τὸ καὶ πέφυκεν ἕνεκά του, τὸ δὲ ἕνεκά του πραττόμενον ἐκεῖνο οὗ ἕνεκα πράττεται οὐκ ἔχει ἐπισυμβαῖνον, δηλονότι οὐδὲν ἔχει πλέον τὸ μεταλαβεῖν τὸ ἕνεκά του πραττόμενον εἰς τὸ πεφυκέναι ἕνεκά του. ὁ δὲ Ἀλέξανδρος ὡς εἴρηται τὸ καὶ πεφυκέναι οὕτως προσαποδεδεῖχθαι φησὶν, ἵνα μή τις λέγῃ εἶναι μὲν ἐν τοῖς φύσει γινομένοις τὸ ἕνεκά του, ὡς ἐπὶ τῶν ὀδόντων ἐλέ-

γεται. οὐ μὴν τούτου χάριν τὴν φύσιν αὐτὰ ποιεῖν, ἀλλ' ἐπισυμβαίνειν τὴν χρείαν. ἔτι δέ φησιν ὡς καὶ προελθὼν ὑπομνήσει, ἔστι καὶ ἐν τοῖς ἀπὸ τύχης γινομένοις, τό, τε οὗ ἕνεκα καὶ τὸ ἐκείνου χάριν. ἀλλ' οὐ τοῦ τέλους χάριν ἐστὶ τὰ πρὸ αὐτοῦ. δείξας οὖν ὅτι τὰ φύσει ἕνεκά του, νῦν προσαπέδειξεν ὅτι οὐχ οὕτως ἕνεκά του, ὡς ἐν τοῖς κατὰ τύχην, ἀλλ' ὅτι πέφυκεν οὕτως. μήποτε δὲ οὐ διὰ τὴν πρὸς κατὰ τύχην ἀντιδιαστολὴν τὸ πεφυκέναι προσέθηκεν. ἐπὶ γὰρ τοῦ κατὰ τύχην τὸ πραττόμενον ὅσον ἐπὶ τῷ τέλει μάτην πράττεται. νῦν δὲ τὸ πράττεσθαι ἕνεκα τοῦ τέλους ὁμολογούμενον λαβών, ἐκ τούτου τὸ πεφυκέναι οὕτω κατεσκεύασεν. ὥστε οὐδὲ ἡ πρώτη ἐξήγησις τοῦ Ἀλεξάνδρου δόξει λόγον ἔχειν. εἰ γὰρ ὁμολογούμενον ἐλήφθη τὸ ἕνεκα τοῦ τέλους πράττεσθαι τὸ πραττόμενον ἐν τοῖς φυσικοῖς, οὐδεὶς ἂν εἶπεν εἶναι μὲν τοῖς φυσικοῖς τὸ ἕνεκά του, τὴν δὲ φύσιν μὴ τοῦ τέλους ἕνεκα ποιεῖν. ἀλλ' ἴσως πρὸς ἀντιδιαστολὴν εἴρηται τῆς κατὰ τέχνην. ἐν γὰρ τούτοις τὸ πραττόμενον ἕνεκα τοῦ τέλους πράττεται. οὐ μέντοι κατὰ φύσιν πράττεται. δείξας οὖν κοινῶς ὅτι ἐν οἷς τέλος τί ἐστι τούτου ἕνεκα πράττεται τὸ πρότερον καὶ τὸ ἐφεξῆς, ὅπερ καὶ ἐπὶ τῆς τέχνης καὶ ἐπὶ τῆς κατὰ προαίρεσιν ἁρμόττει, νῦν δείκνυσιν ὅτι ἐπὶ τῶν φυσικῶν κατὰ φύσιν ἐστὶ τοῦτο. καὶ ἡ φύσις ἐστὶν ἡ ἕνεκά του ποιοῦσα. τοῦτο γὰρ τὸ πεφυκέναι οὕτω σημαίνει. ὅτι δὲ ταύτην ἔχει τὴν ἔννοιαν, τεκμαίρομαι ἐκ τοῦ ἐπαγομένου, οἷον εἰ ἡ οἰκία τῶν φύσει γινομένων ἦν καὶ τὰ ἑξῆς. δι' ὧν οὐδὲν ἄλλο δείκνυσιν, ἢ ὡς ἐπὶ τῶν κατὰ τέχνην τοῦ τέλους ἕνεκα πράττεται τὸ πραττόμενον τεχνικῶς, τουτέστι τῆς τέχνης ποιούσης, ἤτοι τοῦ τεχνίτου κατὰ τὴν τέχνην, οὕτω καὶ ἐπὶ τῶν φύσει γινομένων ὑπὸ φύσεως ἕνεκα τοῦ τέλους πράττεται τὸ πραττόμενον. εἰ γὰρ ἡ οἰκία τῶν φύσει γινομένων ἦν, οὕτως ἂν ἕνεκα τοῦ τέλους τὸ πρότερον καὶ τὸ ἐφεξῆς τῶν ἐν αὐτῇ πραττομένων ἐπράττετο ὑπὸ φύσεως, ὡς νῦν ὑπὸ τέχνης καὶ οὐκ ἄλλως. ἀλλ' οὐδὲ εἰ ἡ τέχνη ζῷον ἐποίει, ἄλλως ἂν ἐποίησεν ἢ ἡ φύσις ποιεῖ. ἐποίησε δ' ἂν ἕνεκα τοῦ τέλους τὰ πρὸ αὐτοῦ. τοῦτο γάρ ἐστι τὸ ἕνεκα ἄρα θατέρου θάτερον. τοῦτο δὲ προσέθηκε, τὸ ἀντίστροφον δεικνύς, ὅτι καὶ εἴ τι τῶν φύσει γινομένων καὶ κατὰ τέχνην γίνοιτο. καὶ καλῶς τὴν οἰκίαν παράδειγμα παρέθετο πρότερον, καὶ φύσει γινομένην ὑπὸ τῶν ἀλόγων ζῴων, καὶ τέχνῃ ὑπ' ἀνθρώπων. εἰ οὖν καὶ κατὰ τέχνην ὁμοίως ἂν γίνοιτο ὥσπερ καὶ κατὰ φύσιν, ἐν δὲ τοῖς κατὰ τέχνην ἐναργῶς τοῦ τέλους ἕνεκα γίνεται τὰ πρὸ τοῦ τέλους, καὶ ἐν τοῖς κατὰ φύσιν ὁμοίως ἔχει. ὅταν δὲ λέγῃ, ἐν οἷς τέλος τί ἐστι τούτου ἕνεκα πράττεται τὸ πρότερον καὶ τὸ ἐφεξῆς, τέλος λέγει οὐχ ἁπλῶς τὸ οὗ ἕνεκεν, τοῦτο γὰρ ἦν τὸ ζητούμενον, εἰ ἕνεκά του ποιεῖ ἡ φύσις. ἀλλ' ὅπερ τὸ πρότερον καὶ τὸ ἐφεξῆς, ἁπλῶς τὴν ἐν τάξει πρόοδον συμπεραίνει. καὶ ὃ τελειοῖ τὴν κίνησιν, συνεχῆ οὖσαν αὐτῇ τελευταῖον ἐπιγινόμενον καὶ περατοῦν αὐτήν. ὁ μέντοι Ἀλέξανδρος τέλος φησὶ λέγει οὐχ ἁπλῶς τὸ ὕστερον ἐπιγινόμενον. ἐπεὶ καὶ τοῖς αὐτομάτως γινομένοις ὕστερόν τι ἀπαντᾷ. ἀλλ' ὡς τὸ οὗ ἕνεκα. καὶ ἐπάγει ὅτι τοῦτο βουλόμενος καὶ νῦν ἐνδείξασθαι, προσέθηκε τὸ ἔτι ἐν οἷς τέλος ἐστὶ τὸ ἕνεκά του. οὐ γὰρ ἁπλῶς ἠρκέσθη τέλος εἰπών, ἀλλὰ προσέθηκε τὸ ἕνεκά του, δεικνὺς ὁποῖον τὸ τέλος εἶναι βούλεται. καὶ ταῦτα ἐπιστάσεως ἄξιά μοι δοκεῖ. πρῶτον ὅτι οὐχ οὕτως ἔχει ἡ γραφὴ τῶν ἐμοὶ συνεγνωσμένων ἀντιγράφων πάντων. ἀλλ' οὕτως. ἔτι ἐν οἷς τέλος τί ἐστι, τούτου ἕνεκα πράττεται τὸ πρότερον. ἔπειτα ὅτι τὸ ἕνεκά του οὐκ ἔστι τέλος, ἀλλὰ τὸ οὗ ἕνεκα. βουληθεὶς δὲ οὕτω συντάξαι, ὅτι ἐν οἷς ἕνεκά του τέλος τί ἐστιν, εὑρίσκω μὴ προσχωροῦσαν τὴν σύνταξιν, διὰ τὸ ἑνικὸν ἄρθρον τῷ ἕνεκά του προσκείμενον. ὅλως δὲ ὅπερ εἶπον τοῦτο ἦν τὸ ζητούμενον, εἰ ἕνεκά του ποιεῖ ἡ φύσις. ὅπερ ἐνδείκνυται διὰ τοῦ ἐφεξῆς καὶ ἐν τάξει τὴν ὁδὸν ποιουμένην, εἰς πέρας τι καταντᾶν. τὸ δὲ τοιοῦτο πέρας οὗ ἕνεκα ἐστί. φύσει δὲ τὸ οὕτως ὁδεῦον, ὡς καὶ πρότερον εἶπε. καὶ ἐφεξῆς δηλώσει, λέγων, φύσει γὰρ ὅσα ἀπό τινος ἐν αὐτοῖς ἀρχῆς συνεχῶς κινούμενα, ἀφικνεῖται εἰς τέλος.

ὍΛΩΣ τε ἡ τέχνη, τὰ μὲν ἐπιτελεῖ ἃ ἡ φύσις ἀδυνατεῖ ἀπεργάζεσθαι, τὰ δὲ μιμεῖται. εἰ οὖν τὰ κατὰ τέχνην ἕνεκά του, δηλονότι καὶ τὰ κατὰ φύσιν. ὁμοίως γὰρ ἔχει πρὸς ἄλληλα ἐν τοῖς κατὰ τέχνην, καὶ ἐν τοῖς κατὰ φύσιν, τὰ ὕστερα πρὸς τὰ πρότερα.

ἈΠΟ τῆς τέχνης, ὡς καὶ παρ' ἐκείνοις ὁμολογουμένως ἕνεκά του ποιούσης, δείξας ὅτι καὶ ἡ φύσις ἕνεκά του ποιεῖ, ὅτι οἰκείως ἐχρήσατο τῇ ἀποδείξει πιστοῦται, τὴν ὁμοιότητα δεικνὺς τῆς τέχνης πρὸς τὴν φύσιν, καὶ τὴν πρὸς αὐτὴν κοινωνίαν. ὧν τὴν μὲν κοινωνίαν δηλοῖ, τῷ συνεργαζομένην τῇ φύσει τὴν τέχνην, ἀναπληροῦν ὅσα ἡ φύσις ἀδυνατεῖ καθ' αὑτὴν ποιεῖν. οἷον ὑγείαν καὶ σάρκωσιν ἰατρική, ὅταν ἡ φύσις ταῦτα ποιεῖν ἀδυνατῇ. μιμεῖται δὲ ἡ τέχνη τὴν φύσιν, γράφουσα καὶ πλάττουσα παντοίων ζῴων καὶ φυτῶν ἰδέας. ἤδη δέ τινες καὶ ἐξ ὠῶν νεοττοὺς γεννῶσι χωρὶς ὀρνίθων, τῇ πρὸς ἐκείνας μιμήσει τῇ τέχνῃ χρώμενοι. εἰ οὖν συνεργὸς καὶ μιμητικὴ τῆς φύσεώς ἐστιν ἡ τέχνη, καὶ ἔστι τὰ κατὰ τέχνην ἕνεκά του, δηλονότι καὶ τὰ κατὰ φύσιν. ὁμοίως γὰρ ἔχει τὸ τέλος καὶ τὰ πρὸς τὸ τέλος, καὶ ἐν τοῖς κατὰ τέχνην καὶ ἐν τοῖς κατὰ φύσιν, εἴπερ μιμεῖται ἡ τέχνη τὴν φύσιν καὶ κοινωνὸς αὐτῆς ἐστιν. εἰ οὖν ἐν τοῖς κατὰ τέχνην τὰ πρότερα τῶν ὑστέρων ἕνεκα γίνεται, καὶ ἐν τοῖς κατὰ φύσιν ὁμοίως ἕξει. ὁ μέντοι Πορφύριος ἐκ τοῦ μᾶλλον καὶ ἧττον γίνεσθαι τὴν ἐπιχείρησιν ἐνταῦθά φησιν. ἡ γὰρ ἡ τέχνη τῆς φύσεως χείρων οὖσα, ὥσπερ καὶ ἡ εἰκὼν τοῦ παραδείγματος, τὰ πρὸ τοῦ τέλους ἕνεκα τοῦ τέλους ποιεῖ, πολλῷ μᾶλλον ἡ φύσις κρείττων οὖσα τῆς τέχνης οὕτω ποιήσει. πῶς δ' ἂν λέγοι χείρονα τῆς φύσεως τὴν τέχνην, εἴπερ ἐκεῖνα φησὶν ἀποτελεῖν τὴν τέχνην, ἅπερ ἡ φύσις ἀδυνατεῖ

ἀπεργάζεσθαι. εἰ μὴ ἄρα τοῦτο οὕτως εἶπεν, ὡς τῆς τέχνης τὸ λεῖπον ἀναπληρούσης. τοῦτο δὲ καὶ τὸ χεῖρον ποιεῖν δύναται. ἢ καὶ ὡς μιμουμένης.

ΜΑΛΙΣΤΑ δὲ φανερὸν ἐπὶ τῶν ζώων τῶν ἄλλων. ἃ οὔτε τέχνῃ, οὔτε ζητήσαντα, οὔτε βουλευσάμενα, ποιεῖ. διὸ ἀποροῦσί τινες, πότερον νῷ, ἢ τινι ἄλλῳ ἐργάζονται, οἵ τε ἀράχναι, καὶ οἱ μύρμηκες, καὶ τὰ τοιαῦτα. κατὰ μικρὸν δὲ οὕτω προϊόντι καὶ ἐν τοῖς φυτοῖς, φαίνεται τὰ συμφέροντα γιγνόμενα πρὸς τὸ τέλος. οἷον, τὰ φύλλα, τῆς τοῦ καρποῦ ἕνεκα σκέπης, ὥστ᾽ εἰ φύσει τε ποιεῖ, καὶ ἕνεκά του ἡ χελιδὼν τὴν νεοττιάν. καὶ ὁ ἀράχνης, τὸ ἀράχνιον. καὶ τὰ φυτὰ, τὰ φύλλα ἕνεκα τῶν καρπῶν καὶ τὰς ῥίζας οὐκ ἄνω, ἀλλὰ κάτω ἕνεκα τῆς τροφῆς, φανερὸν ὅτι ἔστιν ἡ αἰτία ἡ τοιαύτη ἐν τοῖς φύσει γινομένοις καὶ οὖσι.

Ὅτι τὰ κατὰ φύσιν γινόμενα ἕνεκά του γίνονται, ὁμοίως τοῖς κατὰ τέχνην καὶ προαίρεσιν καὶ νοῦν, δείκνυσι καὶ ἐκ τῶν ἀλόγων ζώων, πάνυ ἐμμεθόδως ἐπιχειρῶν. οἱ γὰρ ἀράχναι καὶ οἱ μύρμηκες, οὔτε τέχνῃ οὔτε προαιρέσει ἀλλ᾽ ἀλόγως καὶ κατὰ φύσιν ποιοῦντες, προφανὲς ἔχουσι τὸ ἕνεκά του ποιεῖν οὕτως, ὡς καὶ ἀμφισβητεῖσθαι μήποτε νῷ ἢ τέχνῃ ἢ προλογισμῷ ἐργάζονται. οὕτω πάντα τοῦ χρειώδους ἕνεκα καὶ ὠφελίμου ποιοῦσιν, ὡς τὰ νῷ καὶ προλογισμῷ χρώμενα. οἱ μὲν ἀράχναι διὰ τὴν τῶν μυιῶν ἄγραν δίκτυα ἀσφαλῆ καὶ ἐπὶ πολὺ διϊκνούμενα διατείνοντες. οἱ δὲ, τὴν τροφὴν θησαυρίζοντες, καὶ θαυμασταῖς χρώμενοι μεθόδοις, πρὸς ὁλκὴν τῶν μειζόνων βαρῶν, καὶ ὑγρανθεῖσαν πολλάκις τὴν τροφὴν ἀνάγοντες ἀπὸ τὸν ἥλιον καὶ διαψύχοντες, καὶ τάξιν ἐν τῇ πορείᾳ φυλάττοντες. τὸ δὲ ἔτι τούτων θαυμασιώτερον, ὅτι τοὺς ἑαυτῶν φωλεοὺς, οὓς χειὰς καλοῦμεν, τριχῆ διαιροῦντες, ἐν μὲν τῷ ἑνὶ μέρει διαιτῶνται. ἐν δὲ τῷ ἑτέρῳ τὰς τροφὰς ὑποτίθενται. καὶ ἐν τῷ τρίτῳ θάπτουσι τοὺς νεκρούς. καὶ χελιδὼν δὲ καὶ ἀηδὼν οἰκοδομεῖ τὴν νεοττιὰν, πηλόν τε τὸν εὐεργότατον ἐκλεξαμένη, ὡς καὶ τοὺς ἰατροὺς αὐτῷ ἀντὶ τῶν ξηραντικωτέρων χρῆσθαι φαρμάκων. καὶ κάρφεσι συνδέουσα τὸν πηλὸν, κατὰ σχῆμα πολυχωρητότατον καὶ ἰσχυρότατον. καὶ ἡ μέλιττα τῆς τῶν ἑξαγώνων χωρημάτων συνθέσεως. τῆς δὲ ἀλκυόνος τὴν καλιὰν ἐν ὕδατι γινομένην, ἥκιστα ἂν ὕδωρ λυμήναιτο. καὶ πολλὰ ἄν τις εἴποι, τὸ τεχνοειδὲς τῆς τῶν ἀλόγων ζώων ποιήσεως ἐπιδεικνύς. εἰ δέ τῳ δοκεῖ τὰ ἄλογα ζῶα λογισμῷ τινι ποιεῖν, ὁράτω κατὰ μικρὸν διὰ τῶν λογικῶν καὶ ἀλόγων τὸ ἕνεκά του καὶ ἐπὶ τὰ φυτὰ προϊόν. ἐν οἷς οὔτε ἀπορία τις ὑπολείπεται, μήποτε νῷ ποιοῦσιν ἢ τέχνῃ. καὶ ὄψεται καὶ ἐν ἐκείνοις τὴν φύσιν ἕνεκά του ποιοῦσαν. τά τε γὰρ φύλλα καὶ τὰ περικάρπια τοῦ καρποῦ ἕνεκα γίνεται. καὶ αἱ ῥίζαι ἕνεκα τῆς τροφῆς. ἐπεὶ διὰ τί οὐκ ἄνω μὲν αἱ ῥίζαι, κάτω δὲ οἱ κλάδοι. διὰ τί δὲ οὕτως ἀμφιέννυσι τὰ σπέρματα ἀσφαλῶς, εἰ μὴ πολλὴν εἶχε πρόνοιαν τῆς ἐξ ἀλλήλων παλιγγενεσίας. καὶ εἴη ἂν ἡ συναγωγὴ τοῦ λόγου τοιαύτη. τὰ ἐν τοῖς ἀλόγοις ζώοις καὶ μάλιστα ἐν τοῖς φυτοῖς κατὰ φύσιν ὁμοίως γίνεται τοῖς κατὰ νοῦν καὶ τέχνην γινομένοις. τὰ κατὰ νοῦν καὶ τέχνην γινόμενα ἕνεκά του γίνεται. ἡ φύσις ἄρα ἕνεκά του ποιεῖ. ἐν δὴ τούτοις πάλιν ἄξιον ἐφιστάνειν, ὅτι τὰ ἄλογα ζῶα καὶ τὰ φυτὰ ὡς φυσικὰ λαμβάνει ὁ ἀριστοτέλης, καίτοι ἔμψυχα ὄντα καὶ ὑπὸ ψυχῆς διοικούμενα, τῶν ἀλόγων ζώων καὶ φαντασίᾳ καὶ τῇ αἰσθήσει χρωμένων καὶ ὀρέξει ἐν ταῖς οἰκείαις ἐνεργείαις. εἰ δὲ ἐβούλετο ἐπὶ τῶν κυρίως φύσει ὄντων καὶ μόνως φύσει τὸ ἕνεκά του ἰδεῖν, παρέλαβεν ἂν τὴν κατὰ τόπον τῶν στοιχείων κίνησιν γινομένην, ἕνεκα τοῦ τὴν οἰκείαν ὁλότητα καταλαβεῖν. καὶ τὴν τῶν ἐναντίων ποιοτήτων μάχην, ἕνεκα τῆς ἐν τῷ ὑποκειμένῳ σωτηρίας. καὶ τῶν ἐν τῇ ἑκάστου γενέσει γινομένων τρόπων, ἀεὶ τὴν προτέραν τῆς ἐφεξῆς ἕνεκα προγινομένην. ἀπὸ γὰρ ὕδατος πῦρ γίνεται διὰ μέσου ἀτμοῦ καὶ ἀέρος. μήποτε οὖν ὁ ἀριστοτέλης φύσιν καλεῖ καὶ τῆς ψυχῆς πᾶν τὸ περὶ σῶμα καταγινόμενον. διὸ καὶ τὴν περὶ ψυχῆς πραγματείαν τὰ πολλὰ περὶ τὴν τοιαύτην ψυχὴν πραγματευομένην, τῆς φυσικῆς θεωρίας ὑπολαμβάνουσιν.

ΚΑΙ ἘΠΕΙ Ἡ φύσις διττὴ, ἡ μὲν ὡς ὕλη, ἡ δὲ ὡς μορφὴ, τέλος δὲ αὕτη, τοῦ τέλους δὲ ἕνεκα τὰ ἄλλα, αὕτη ἂν εἴη ἡ αἰτία ἡ οὗ ἕνεκα.

Δείξας ὅτι τὰ φύσει γινόμενα καὶ ἕνεκά του γίνεται, βούλεται δεῖξαι τί τοῦτο τὸ οὗ ἕνεκά ἐστιν. ἐπεὶ οὖν σύνθετά ἐστι τὰ φυσικὰ ἐξ ὕλης καὶ εἴδους, καὶ ἑκάτερον τούτων φύσις λέγεται ὡς δέδεικται πρότερον, καὶ μᾶλλον τὸ εἶδος τῆς ὕλης, καὶ ἔστιν ἐν τῷ γινομένῳ τέλος τοῦτο, τοῦ τέλους δὲ ἕνεκα τὰ πρὸ τοῦ τέλους, ἡ μορφὴ ἂν εἴη τὸ οὗ ἕνεκα τὰ ἄλλα. ὅπερ καὶ πρότερον ἔδειξεν, ὅτι τὸ εἶδος καὶ τὸ τέλος εἰς ταὐτὸν ἥκει. δοκεῖ δέ μοι φησὶν ὁ ἀλέξανδρος διὰ τούτων ἐνδείκνυσθαι, ὅτι κυριωτέρα αἰτία ἐστὶ τὸ εἶδος καὶ οὐχὶ ἡ ὕλη, ὡς οἱ ἀρχαῖοι λέγειν ἐδόκουν, εἰς τὴν ὑλικὴν αἰτίαν πάντα ἀνάγοντες. εἰ γὰρ καὶ ἡ ὕλη τοῦ εἴδους χάριν ἐστὶ, κυριωτέρα ἂν εἴη αἰτία τῆς ὕλης τὸ εἶδος.

ἉΜΑΡΤΙΑ δὲ γίνεται καὶ ἐν τοῖς κατὰ τέχνην. ἔγραψε γὰρ οὐκ ὀρθῶς ὁ γραμματικός. καὶ ἐπότισεν οὐκ ὀρθῶς ὁ ἰατρὸς τὸ φάρμακον. ὥστε δῆλον ὅτι ἐνδέχεται καὶ ἐν τοῖς κατὰ φύσιν, εἰ δή ἐστιν ἔνια κατὰ τέχνην, ἐν οἷς τὸ ὀρθῶς ἕνεκά του. ἐν δὲ τοῖς ἁμαρτανομένοις, ἕνεκα μέν τινος ἐπιχειρεῖται. ἀλλ᾽ ἀποτυγχάνεται. ὁμοίως ἂν ἔχει καὶ ἐπὶ τοῖς φυσικοῖς. καὶ τὰ τέρατα ἁμαρτήματα ἐκείνου τοῦ ἕνεκά του. καὶ ἐν ταῖς ἐξ ἀρχῆς ἄρα συστάσεσι τὰ βουγενῆ, εἰ μὴ πρός τινα ὅρον καὶ τέλος δυνατὰ ἦν ἐλθεῖν, διαφθειρομένης ἂν ἀρχῆς τινὸς ἐγίνετο. ὥσπερ νῦν τοῦ σπέρματος. ἔτι δὲ ἀνάγκη σπέρμα γενέσθαι πρῶτον. ἀλλὰ μὴ εὐθὺς τὰ ζῶα. καὶ οὐλοφυὲς μὲν πρότερον σπέρμα ἦν.

Πρὸς τοὺς λέγοντας ἕνεκά του ποιεῖν τὴν φύσιν, ἔνστασις ἦν ἀπὸ τῶν τεράτων. τίνος γὰρ ἕνεκα τὰ βουγενῆ
ἀνδρόπρωρα γίνοιτο ἂν τὰ κατὰ ἐμπεδοκλέα. λύει οὖν καὶ ταύτην τὴν ἔνστασιν νῦν λέγων, ὅτι οὐ πάν-
τα τὰ ἕνεκά του γινόμενα, ἐξ ἀνάγκης κατορθωμένα γίνεται. ἀλλὰ καὶ ἁμαρτάνεται τινὰ πολλάκις ἐν
τούτοις. καὶ γὰρ ἐν τοῖς κατὰ τέχνην γινομένοις ἕνεκά του, ὡς πάντες ὁμολογοῦσιν, ἁμαρτάνεται τι-
νά. καὶ οὐχ ἕνεκα μὲν τῆς ἁμαρτίας ἡ τέχνη ἐποίει. ἕνεκα δέ τινος ἐκείνου οὗ διήμαρτεν. οὕτω δὴ καὶ ἡ φύ-
σις ποιεῖ μὲν ἕνεκά τινος. ἁμαρτάνεται δὲ πολλάκις τὸ οὗ ἕνεκα. καὶ ἀποβαίνει ἄλλο τι παρὰ τὸ οὗ ἕνεκα.
ὥσπερ οὖν κἂν μὴ κατορθώσῃ τὸ φάρμακον ἐκεῖνο, οὗ ἕνεκα παρὰ τοῦ ἰατροῦ ἐδόθη, ἀλλ' ἕνεκά του πάν-
τως ἐδόθη, καὶ ὁ γραμματικὸς κἂν εἰ μὴ ὀρθῶς ἔγραψεν, ἀλλ' ἕνεκα τοῦ ὀρθῶς γράφειν ἔγραφεν, οὕτω
δὲ καὶ ἡ φύσις κἂν μὴ ἄνθρωπον ποιήσῃ, ἀλλ' ἕνεκά γε τοῦ ἄνθρωπον ποιεῖν ἐποίει. ἀπετεύχθη δὲ, ὥσπερ καὶ ἐν τοῖς
κατὰ τέχνην. καὶ τὰ τέρατα οὖν ἁμαρτήματα ἐκείνου τοῦ οὗ ἕνεκά ἐστι. διὸ οὐδὲ ἐκτοπίζεται πολὺ μα-
κρὰν τοῦ οὗ ἕνεκα. ἀλλὰ μάλιστα μὲν ἐκ σπέρματος ἀνθρωπείου ἄνθρωπος. εἰ δὲ μή, ζῶον. συκῆ δὲ ἢ πλάτα-
νος οὐδέποτε. τοιαῦτα δὲ καὶ τὰ ἐμπεδοκλέους βουγενῆ ἀνδρόπρωρα. ὅταν δὲ λέγῃ ὁ ἀριστοτέλης καὶ
ἐν τοῖς φυσικοῖς τὰ τέρατα, ἁμαρτήματα φησὶν εἶναι τοῦ ἕνεκά του ποιοῦντος. εἰπὼν δὲ ὅτι τὰ τέρα-
τα ὁμοίως γίνεται τοῖς ἐπὶ τῶν τεχνῶν ἁμαρτανομένοις, ἐπισημαίνεται ὅτι καὶ τὰ παρὰ τῷ ἐμπεδοκλεῖ βου-
γενῆ ἀνδρόπρωρα, ἢ ἀνδρογενῆ βούπρωρα, εἰ ἐγίνετο τὰ τοιαῦτα, κατὰ ἁμαρτίαν ἐγίνετο τῶν ἀρ-
χῶν, ἐξ ὧν ἡ γένεσις τῶν τε ποιητικῶν καὶ τῶν ὑλικῶν. ὡς καὶ νῦν κατὰ τὴν περὶ τὸ σπέρμα ἁμαρτίαν τὰ
τέρατα ἀποβαίνει, ἐξασθενοῦντος τοῦ σπέρματος, καὶ διαφθειρομένης τῆς ἀρχῆς. καὶ οὐχ ἱκανὰ τὰ τοι-
αῦτα παραδείγματα δεῖξαι, ὅτι ἡ φύσις οὐχ ἕνεκά του ποιεῖ. συγχωρήσας δὲ τὸ πρῶτον τῷ ἐμπε-
δοκλεῖ, ἀπ' ἀρχῆς τερατώδη ζῶα λέγοντι τὰ βουγενῆ καὶ ἀνδρόπρωρα, καὶ τούτου δοθέντος, λύσας
τὴν ἔνστασιν, ἐκ τοῦ καὶ ἐκεῖνα διαφθειρομένης τῆς ἀρχῆς γίνεσθαι, ἐφεξῆς καὶ τὴν αἰτίαν τῆς τοιαύτης ἐν-
στάσεως τὴν ἀπὸ τῶν ἐμπεδοκλέους τεράτων ἀναιρεῖ, ἀδύνατον δεικνὺς τὴν ἀπ' ἀρχῆς τῶν τερατωδῶν ζώ-
ων γένεσιν. ὡς εἰ ἔλεγε μάλιστα μὲν καὶ εἰ ἐγένετο τερατώδη ζῶα ἀπ' ἀρχῆς, οὐκ ἀναιρεῖται ἐκ τούτου
τὸ τὴν φύσιν ἕνεκά του ποιεῖν. τῆς γὰρ φύσεως ἕνεκά του ποιούσης, ἁμαρτία τις ἢ περὶ τὸ ποιοῦν ἢ περὶ τὴν
ὕλην γινομένη, ἄλλο τι ἀποβῆναι ἐποίησε, καὶ οὐχὶ ἐκεῖνο τὸ οὗ ἕνεκα τὸ ποιοῦν ἐποίει. ἔπειτα δὲ οὐδὲ
ἀληθής ἐστιν ἡ τῆς ἐνστάσεως ὑπόθεσις. οὐ γὰρ δυνατὸν ἦν ζῶα ἐξ ἀρχῆς γενέσθαι, ἀλλὰ σπέρμα πρὸ τῶν
ζώων. εἴπερ ἀνάγκη πᾶν ζῶον καὶ τὸ κατορθωμένον καὶ τὸ τερατῶδες ἐκ σπέρματος γενέσθαι οἰκείου,
ἀλλ' οὐκ εὐθὺς ἡμιτόμων τῶν ζώων ἡμιτόμοις συγκολλωμένων. εἰ δὲ ἀναγκαῖον ἀπὸ σπέρματος οἰκείου τὴν
ἀρχὴν ἕκαστον τῆς γενέσεως λαβεῖν, δηλονότι τάξις τίς ἐστιν ἐν τῇ γενέσει, καὶ τὸ πρῶτον τοῦ δευτέρου
χάριν. ἐν δὲ τοῖς τοιούτοις τὸ ἕνεκά του πάντως θεωρεῖται. εἰπόντος δὲ τοῦ ἐμπεδοκλέους ἐν τῷ δευτέ-
ρῳ τῶν φυσικῶν, περὶ τῆς τῶν ἀνδρείων καὶ γυναικείων σωμάτων διαρθρώσεως ταῦτα τὰ ἔπη, » νῦν δ' ἄγ'
» ὅπως ἀνδρῶν τε πολυκλαύτων τε γυναικῶν ἐννυχίους ὅρπηκας ἀνήγαγε κρινόμενον πῦρ, τῶν δὲ
» κλῦ'. οὐ γὰρ μῦθος ἀπόσκοπος οὐδ' ἀδαήμων. οὐλοφυεῖς μὲν πρῶτα τύποι χθονὸς ἐξανέτελλον, ἀμ-
» φοτέρων ὕδατός τε καὶ εἴδεος αἶσαν ἔχοντες. τοὺς μὲν πῦρ ἀνέπεμπε θέλον πρὸς ὁμοῖον ἱκέσθαι, οὔ-
» τε τί πω μελέων ἐρατὸν δέμας ἐμφαίνοντας, οὔτ' ἐνοπὴν οὔτ' αὖ ἐπιχώριον ἀνδράσι γῆρυν. ταῦτα
οὖν εἰπόντος ἐμπεδοκλέους, ἐφίστησιν ὅτι καὶ αὐτὸς ὡς ἔοικε σπέρμα πρὸ τῶν ζώων γεγονέναι φησί. καὶ τὸ
οὐλοφυὲς μὲν πρῶτα παρ' αὐτοῦ εἰρημένον σπέρμα ἦν, οὔπω μελέων ἐρατὸν δέμας ἐμφαῖνον. διό-
τι ὕδωρ μὲν ἦν ἐνεργείᾳ ὑγρὸν ὄν, δυνάμει δὲ τὸ εἶδος τοῦ ἀνθρώπου. μήποτε δὲ οὔτε ζῶα πρὸ σπέρ-
ματος, οὔτε σπέρμα πρὸ τῶν ζώων ὑποστῆναι δυνατὸν ἦν. ὡς γὰρ πᾶν ζῶον καὶ φυτὸν ἐξ οἰκείου γίνε-
ται σπέρματος, οὕτω καὶ πᾶν σπέρμα ἐξ οἰκείου γίνεται ζώου καὶ φυτοῦ. ἐφιστάνοι οὖν ἂν ὁ ἀριστοτέ-
λης, ὅτι μὴ ἀεὶ πρὸ τοῦ ζώου τὸ σπέρμα ὑφεστάναι φησὶν ἐμπεδοκλῆς. καὶ δηλονότι καὶ πρὸ τοῦ σπέρ-
ματος τὸ ζῶον. καὶ διορθῶν τὴν ἐπίστασιν, ἐπήγαγεν, καὶ τὸ οὐλοφυὲς μὲν πρῶτον σπέρμα ἦν, ὡς καὶ
αὐτοῦ τοῦ ἐμπεδοκλέους τοῦτο συνεωρακότος, ὅτι σπέρμα προϋπάρχειν ἔδει τῆς τῶν ζώων γενέσεως.
εἰ δὲ τὸ σπέρμα ἦν, θαυμαστῶς μοι δοκεῖ τὸ οὐλοφυὲς αὐτῷ ἐπιπρέπειν. οὐλοφυὲς γὰρ κυρίως ἐκεῖ-
νο ἐστὶν, ὃ καθ' ὅ ἐστιν ἑαυτὸ πᾶν ἐστιν ὅπερ ἂν ᾖ, μήπω γενομένης ἐν αὐτῷ διακρίσεως. πᾶν γὰρ μέ-
ρος τοῦ σπέρματος τὰ πάντα τοῦ σώματος μόρια ἐστίν. οὐδὲν δὲ τοῦ σώματος μόριον ἐστὶ τὰ ἄλλα μόρια,
διακρίσεως ἤδη γενομένης ἐν αὐτοῖς, καὶ διασπασθέντος τοῦ οὐλοφυοῦς.

ἜΤΙ ΚΑΙ ἐν τοῖς φυτοῖς ἔνεστι τὸ ἕνεκά του. ἧττον δὲ διήρθρωται. πότερον οὖν καὶ ἐν τοῖς φυτοῖς
ἐγίνετο ὥσπερ βουγενῆ ἀνδρόπρωρα οὕτως ἀμπελογενῆ ἐλαιόπρωρα, ἢ οὔ. ἄτοπον γάρ. ἀλλὰ μὴν
ἔδει γε εἴπερ καὶ ἐν τοῖς ζώοις. ἔτι ἔδει καὶ ἐν τοῖς σπέρμασι γίνεσθαι ὅπως ἔτυχεν.

Καὶ τοῦτο πρὸς τὴν ἀπὸ τῆς ἐμπεδοκλέους ὡρμημένην ἔνστασιν εἴρηται. ἐπειδὴ γὰρ καὶ ἐν τοῖς φυτοῖς προ-
φανές ἐστι τὸ ἕνεκά του, ὡς ἐλέγετο πρότερον. τῶν μὲν φύλλων ἕνεκα τοῦ περικαρπίου, καὶ τῶν ῥιζῶν
κάτω διὰ τὸ ἕλκειν τὴν τροφὴν, ἄρα καὶ ἐν τούτοις ὥσπερ καὶ ἐν τοῖς ζώοις ἐστί τινα τερατώδη, ἐξ ἀμ-
πέλου καὶ ἐλαίας ἀμπελογενῆ ἐλαιόπρωρα, ὥστε καὶ ἀπὸ τούτων ἐνίστασθαι, πρὸς τὸ ἕνεκά του τὴν
φύσιν ποιεῖν, ἢ οὔ. εἰ μὲν γάρ ἐστιν, ἀτόπως αὐτὰ παραλέλοιπεν ἐμπεδοκλῆς. εἰ δὲ μὴ ἔστι, πῶς ἐπὶ μὲν
τῶν ζώων ἐστὶν, ἐπὶ δὲ τῶν φυτῶν οὐκ ἔστι. δοκεῖ δέ μοι φησὶν ὁ ἀλέξανδρος, τῷ ἔτι καὶ ἐν τοῖς φυτοῖς

ἐν ᾧ ἐστι τὸ ἕνεκά του προσκείμενον τὸ ἧττον δέ, ἐπιχείρησιν τινὰ ἀπὸ τοῦ μᾶλλον καὶ ἧττον ἐνδείκνυσθαι τοιαύτην. εἰ ἐν οἷς ἧττον φανερὸν τὸ τέλος ἐστὶ γινομένοις φύσει, ταῦτα οὐχ ὡς ἔτυχε γίνεται, ἀλλ' ἕνεκά του, οὐδὲ ἐν οἷς μᾶλλον ὡς ἔτυχε γίνεται. ἐν δὲ τοῖς φυτοῖς ἐν οἷς ἧττον διήρθρωται τὸ τέλος, οὐ γίνεται ἀπὸ τύχης τὰ γινόμενα, οὐδὲ ἀμπελογενῆ ἐλαιόπρωρα. οὐδὲ ἐν τοῖς ζώοις ἄρα ἐν οἷς μᾶλλον διήρθρωται τὸ ἕνεκά του, γίνεται τὸ ἀπὸ τύχης. ὥστε οὐδὲ βουγενῆ ἀνδρόπρωρα συνίσταται. ἔτι δέ φησιν ἔδει καὶ ἐν τοῖς σπέρμασι γίνεσθαι ὅπως ἔτυχεν, εἴπερ τὰ φύσει κατὰ σύμπτωμα καὶ κατὰ τύχην ἐγίνετο. οἷον ἐκ τοῦδε τοῦ σπέρματος ἔδει ἀδιαφόρως ποτὲ μὲν ἵππον ποτὲ δὲ ἄνθρωπον γίνεσθαι, ποτὲ δὲ ἄλλο τι τῶν ζώων. νῦν δὲ ὥρισται ὡς ἐπίπαν ἡ ἐκ τοῦ σπέρματος γένεσις. ἐκ γὰρ τοῦ ἀνθρωπείου ἄνθρωπος. καὶ ἱππείου ἵππος. οὐκ ἄρα κατὰ τύχην, οὐδὲ ὅπως ἔτυχεν. ἀλλὰ κατὰ τάξιν καὶ ἀκολουθίαν καὶ ἕνεκα τοῦ ἐφεξῆς τὸ πρότερον γίνεται.

ὍΛΩΣ ΔΕ ἀναιρεῖ ὁ οὕτω λέγων τὰ φύσει τε καὶ φύσιν. φύσει γὰρ ὅσα ἀπό τινος ἐν ἑαυτοῖς ἀρχῆς συνεχῶς κινούμενα ἀφικνεῖται, εἴς τι τέλος. ἀφ' ἑκάστης δέ, οὐ τὸ αὐτὸ ἑκάστοις. οὐδὲ τὸ τυχόν. ἀεὶ μέντοι γε ἐπὶ τὸ αὐτὸ ἐὰν μή τι ἐμποδίσῃ.

Ὥσπερ πρότερον ἔλεγεν, ὅτι οἱ τὴν κίνησιν ἀναιροῦντες οὐδὲ φυσικοί εἰσιν, αὐτὴν ἀναιροῦντες τὴν φύσιν, εἴπερ ἡ φύσις ἀρχὴ κινήσεως καὶ ἠρεμίας ὑπόκειται, οὕτω καὶ νῦν δείκνυσιν, ὅτι οἱ ἀναιροῦντες τὸ ἕνεκά του τὴν φύσιν ποιεῖν, καὶ αὐτὴν τὴν φύσιν ἀναιροῦσι, καὶ τὰ φύσει συνεστηκότα. ἀλλ' οὐ χ τηροῦντες αὐτά, λέγουσιν ὅπως ἔτυχε γίνεσθαι. δείκνυσι δὲ αὐτὸ ἀπὸ τῆς ἐννοίας, ἣν ἔχομεν περὶ τοῦ φύσει καὶ τῆς φύσεως. εἰ γὰρ ἡ φύσις ἀρχὴ κινήσεώς ἐστι καὶ ἠρεμίας ἐν ᾧ ἐστι, καὶ τὰ φύσει ταῦτά ἐστιν, ὅσα ἀπό τινος ἐν αὐτοῖς ἀρχῆς συνεχῶς κινούμενα ἐπί τι τέλος, οὐ τὸ αὐτὸ ἀπὸ πάσης ἀρχῆς, οὐ γὰρ ἐκ τῆς τοῦ ἀνθρώπου ἀρχῆς οἷον τοῦ ἀνθρωπείου σπέρματος, ἡ κίνησις εἰς κύνα τελευτᾷ, εἰς ὃν τελευτᾷ ἡ ἀπὸ τοῦ κυνείου σπέρματος κίνησις, ἀεὶ μέντοι ἀφ' ἑκάστης ἀρχῆς ἡ κίνησις ἐπὶ τὸ αὐτὸ καταντᾷ τέλος τὸ οἰκεῖον, ἂν μή τι ἐμποδίσῃ, ἀπὸ γὰρ τῆς τοῦ ἀνθρώπου εἰς ἄνθρωπον, καὶ ἀπὸ τῆς τοῦ ἵππου εἰς ἵππον, ὥστε οὔτε ταὐτὸν ἀπὸ τῶν πασῶν καὶ τῶν διαφόρων, οὔτε τὸ τυχὸν ἀφ' ἑκάστης, εἰ δὴ οὖν τοιαῦτά ἐστιν, ὡς ἐπί τι τέλος ὡρισμένον ἀφικνεῖσθαι συνεχῶς κινούμενα, ὡς ἀεὶ τὴν δευτέραν ἕπεσθαι κίνησιν τῇ προτέρᾳ, δηλονότι ἕνεκα τοῦ δευτέρου τὸ πρότερον ἀεὶ γίνεται ἐν τοῖς τοιούτοις. εἰ δὴ οὖν τὰ φύσει ἕνεκά του, τὰ μὴ ἕνεκά του οὐ φύσει. καὶ ὅλως εἰ μὴ τοιαύτην ἔννοιαν ἔχομεν τοῦ φύσει ὡς ἕνεκά του γινομένων, οὐδὲ φύσει ὄντα ἐννοοῦμεν. ἀναιρεῖται γὰρ ἡ φύσις, ἀναιρεθείσης τῆς εἰς ὡρισμένον τέλος κινήσεως. τοιαύτης γὰρ κινήσεως ἀρχὴ καὶ οὐ τῆς τυχούσης. καὶ συλλογιστικῶς δὲ ἐκτίθεται τὴν ἀπόδειξιν ὁ ἀλέξανδρος οὕτως. τὰ φύσει ἀπό τινος ἀρχῆς ἐν αὐτοῖς οὔσης συνεχῶς κινούμενα ἀφικνεῖται πρός τι τέλος. τὰ μὴ ἕνεκά του γινόμενα, οὐκ ἀπ' ἀρχῆς τινος συνεχῶς κινούμενα, ἀφικνεῖται πρός τι τέλος. οὐκ ἄρα τὰ μὴ ἕνεκά του γινόμενα φύσει. ὥστε οἱ τὰ φύσει γινόμενα μὴ ἕνεκά του ἀλλ' ὡς ἔτυχε γίνεσθαι λέγοντες, ἀναιροῦσι τὴν φύσιν τε καὶ τὰ φύσει.

ΤΟ ΔΕ οὗ ἕνεκα, καὶ ὃ τούτου ἕνεκα, γένοιτο ἂν ἀπὸ τύχης. οἷον, λέγομεν ὅτι ἀπὸ τύχης ἦλθεν ὁ ξένος. καὶ λουσάμενος ἀπῆλθεν, ὅταν ὥσπερ ἕνεκα τούτου ἐλθὼν πράξῃ, μὴ ἕνεκα τούτου δ' ἔλθῃ. καὶ τοῦτο κατὰ συμβεβηκός. ἡ γὰρ τύχη τῶν κατὰ συμβεβηκὸς αἰτίων. καθάπερ καὶ πρότερον εἴπομεν ἀλλ' ὅταν τοῦτο ἀεί, ἢ ὡς ἐπὶ τὸ πολὺ γίγνηται, οὐ κατὰ συμβεβηκὸς οὐδὲ ἀπὸ τύχης. ἐν δὲ τοῖς φυσικοῖς ἀεὶ οὕτως, ἂν μή τι ἐμποδίσῃ.

Ἐπειδὴ καὶ ἐν τοῖς ἀπὸ τύχης εἶναι δοκεῖ τὸ οὗ ἕνεκα καὶ τὸ ἕνεκά του. ὅταν λέγωμεν ὅτι ἀπὸ τύχης ἦλθεν ὁ ξένος, καὶ λυτρωσάμενος τὸν αἰχμάλωτον, ὡς ὁ παρὰ μενάνδρῳ δημέας τὴν κράτειαν, ἀπῆλθεν, ἢ ἀφῆκε, γράφεται γὰρ ἀμφοτέρως, ὥσπερ καὶ ἀντὶ τοῦ λυτρωσάμενος τὸ λουσάμενος, καὶ πράξει τοῦτο ὥσπερ ἕνεκα τούτου ἐλθών, κἂν μὴ διὰ τοῦτο ἔλθῃ. τοῦτο γὰρ κατὰ συμβεβηκὸς αἴτιον. καὶ διὰ τοῦτο ἀπὸ τύχης λέγεται, καὶ θεωρεῖται πάντως καὶ ἐν τούτῳ τὸ οὗ ἕνεκα καὶ τὸ τούτου ἕνεκα. ἀλλ' ἔστι τις διαφορὰ τούτου τε καὶ τοῦ κυρίως τοιούτου τοῦ τῇ φύσει προσήκοντος. τὸ γὰρ ἀεὶ ἢ ὡς ἐπὶ τὸ πολύ, οὐ κατὰ συμβεβηκὸς οὐδ' ἀπὸ τύχης. ἐπ' ἔλαττον γὰρ τοῦτο. ἐν δὲ τοῖς φυσικοῖς ἀεὶ οὕτως ἐὰν μή τι ἐμποδίσῃ. ὥστε διαφέρει τὸ οὗ ἕνεκα καὶ ἕνεκά του, τὰ ἐν τοῖς ἀπὸ τύχης, τῶν ἐν τοῖς φυσικοῖς, τῷ τὰ μὲν ἐν τοῖς κατὰ τύχην, κατὰ συμβεβηκὸς καὶ ὡς ἐπ' ἔλαττον, τὰ δὲ ἐν τοῖς φυσικοῖς ὡς ἐπὶ τὸ πλεῖστον. ἀλλὰ πῶς ὅλως ἐν τούτοις τὸ οὗ ἕνεκα, ἢ τὸ ἕνεκά του, εἴπερ μὴ τοῦ λυτρώσασθαι ἕνεκα ἦλθεν. ὅτι τὸ μὲν οὗ ἕνεκα γένοιτ' ἂν ἀπὸ τύχης, ὅτι τέλος ὡς λυσιτελὲς ἠκολούθησε τῇ ἀφίξει τὸ λυτρώσασθαι, κἂν μὴ τούτου ἕνεκα ἦλθε. καὶ ἔστι τοῦτο οὐ κυρίως μὲν οὗ ἕνεκα, ἀλλ' ὡς οὗ ἕνεκα. καὶ τὸ ἕνεκά του δέ, οἷον τὸ ἐλθεῖν τὸν ξένον, ὡς εἰ ἕνεκά του, κἂν μὴ ἕνεκα τοῦ λυτρώσασθαι ἦλθεν. οὕτω μὲν οὖν ὁ ἀριστοτέλης. ἐνδέχεται δὲ τὸν ξένον μὴ τούτου ἕνεκα ἐλθεῖν, ἀλλὰ τὴν τύχην τούτου ἕνεκα τὴν ἄφιξιν γενέσθαι παρασκευάσαι, καὶ τοῦτο τέλος τῇ ἀφίξει παρασχεῖν. διὸ τοῦτο μὲν συνεχώρησεν ὁ ἀριστοτέλης τὸ εἶναι καὶ ἐν τοιούτοις τὸ οὗ ἕνεκα καὶ τὸ ἕνεκά του, κἂν μὴ τῇ προαιρέσει τοιοῦτο τέλος ἀκολουθῇ· τὴν δὲ διαφορὰν αὐτῶν κατὰ τὸ ὡς ἐπὶ τὸ πλεῖστον καὶ κατὰ τὸ ὡς ἐπ' ἔλαττον προσέθηκεν.

Ἄτοπον δὲ καὶ τὸ μὴ οἴεσθαι ἕνεκά του γίνεσθαι, ἐὰν μὴ ἴδωσι τὸ κινοῦν βουλευσάμενον. καίτοι καὶ ἡ τέχνη οὐ βουλεύεται. καὶ γὰρ εἰ ἐνῆν ἐν τῷ ξύλῳ ἡ ναυπηγική, ὁμοίως ἂν τῇ φύσει ἐποίει. ὥστε εἰ ἐν τῇ τέχνῃ ἔνεστι, τὸ ἕνεκά του, καὶ ἐν τῇ φύσει ἔνεστι. μάλιστα δὲ δῆλον, ὅταν τις ἰατρεύῃ αὐτὸς ἑαυτόν. τούτῳ γὰρ ἔοικεν ἡ φύσις. ὅτι μὲν οὖν αἰτία ἡ φύσις, καὶ οὕτως ὡς ἕνεκά του, φανερόν.

Πολυειδῶς ἀποδεικνὺς τὸ προκείμενον, καὶ τὴν ἔννοιαν διορθοῖ νῦν, δι' ἣν οὐ βούλονται τὴν φύσιν ἕνεκά του ποιεῖν. οἴονται γὰρ τὰ ἕνεκά του ποιοῦντα, προβουλευσάμενα καὶ προορίσαντα τὸ τέλος, οὕτω ποιεῖν ἐκείνου στοχαζόμενα, ἀπὸ τῶν κατὰ τὰς τέχνας γινομένων ταύτην τὴν ἔννοιαν λαμβάνοντες. ὑπαντᾷ οὖν ἀπ' αὐτῶν τῶν τεχνῶν, ἀφ' ὧν ἡ διάστροφος ἔννοια γέγονεν. οὐδὲ γὰρ ἡ τέχνη φησὶ βουλεύεται. οὐ γὰρ βουλῆς δεῖ τοῖς τεχνίταις, εἰς τὸ πρᾶξαι τὸ κατὰ τέχνην. ὥρισται γὰρ ἕκαστον τῶν γινομένων, ὅταν κατὰ τέχνην ἐνεργῆται. τί γὰρ δεῖται βουλῆς ὁ γραμματικός, ἵνα οὕτω γράφῃ τὸ Δίωνος ὄνομα ὡς γράφει. ἀλλ' ἐν ταῖς στοχαστικαῖς μόναις χώραν ἔχει τὸ βουλεύεσθαι. καὶ εἴη ἂν ἡ συναγωγὴ τοῦ λόγου τοιαύτη. εἰ ἡ τέχνη ἕνεκά του ποιεῖ καὶ μὴ προβουλευομένη, πολλῷ μᾶλλον τὴν φύσιν οὐκ ἔστιν ἀνάγκη προβουλευσαμένην ποιεῖν. ἀλλὰ μὴν τὸ πρῶτον. τὸ ἄρα δεύτερον. τὴν δὲ ὁμοιότητα τῆς φύσεως δηλοῖ πάλιν πρὸς τὴν τέχνην, διὰ τοῦ καὶ εἰ ἐνῆν ἐν τῷ ξύλῳ ἡ ναυπηγική, ὁμοίως ἂν ἐποίει ναῦν, ὡς κατ' οὐδὲν ἄλλο διαφερόντων τῶν φύσει ἢ τέχνῃ γινομένων, ἢ κατὰ τὸ τὰ μὲν φύσει ἔνδοθεν γίνεσθαι, τὰ δὲ τέχνῃ ἔξωθεν. διὸ καὶ ἐπ' ἄλλο τι παράδειγμα προσεχέστερον μεταβάς, μάλιστα φησὶ δήλη ἡ πρὸς τὴν φύσιν τῆς τέχνης ὁμοιότης, ὅταν τις ἰατρεύῃ αὐτὸς ἑαυτόν. τούτῳ γὰρ ἔοικεν ἡ φύσις ὡς ἔνδον ἔχοντι τὸ αἴτιον. ἡ δὲ πρὸς τὴν φύσιν καὶ τοῦ τοιούτου διαφορὰ εἴρηται πρότερον ὑπ' αὐτοῦ. ὅτι ἐν μὲν τούτοις κατὰ συμβεβηκός ἐστιν ἡ τῆς κινήσεως ἀρχή. οὐ γὰρ ᾗ ἰατρὸς ὑφ' ἑαυτοῦ ἰατρεύεται. ἀλλ' ᾗ συνέβη νοσεῖν αὐτόν. ἐπὶ δὲ τῶν φύσει καθ' αὑτό. καθὸ γὰρ φύσει, ἔνεστιν ἡ τῆς κινήσεως ἀρχή. πλὴν ἐν τοῖς τοιούτοις μάλιστά ἐστιν ἡ τῶν τεχνῶν πρὸς τὴν φύσιν ὁμοιότης, ἐν οἷς ἔνδοθεν ἡ κίνησις ὁπωσοῦν δοκεῖ.

Τὸ δὲ ἐξ ἀνάγκης πότερον ἐξ ὑποθέσεως ὑπάρχει, ἢ καὶ ἁπλῶς. νῦν μὲν γὰρ οἴονται τὸ ἐξ ἀνάγκης εἶναι ἐν τῇ γενέσει. ὥσπερ ἂν εἴ τις τὸν τοῖχον ἐξ ἀνάγκης νομίζοι γεγενῆσθαι, ὅτι τὰ μὲν βαρέα, κάτω πέφυκε φέρεσθαι. τὰ δὲ κοῦφα, ἐπιπολῆς. διὸ οἱ λίθοι μὲν κάτω, καὶ τὰ θεμέλια. ἡ δὲ γῆ, ἄνω, διὰ τὴν κουφότητα. ἐπιπολῆς δὲ μάλιστα τὰ ξύλα. κουφότατα γάρ. ἀλλ' ὅμως, οὐκ ἄνευ μὲν τούτων γέγονεν. οὐ μέντοι διὰ ταῦτα πλὴν ὡς δι' ὕλην. ἀλλ' ἕνεκα τοῦ κρύπτειν ἄττα καὶ σώζειν. ὁμοίως δὲ καὶ ἐν τοῖς ἄλλοις πᾶσιν ἐν ὅσοις τὸ ἕνεκά του ἐστίν. οὐκ ἄνευ μὲν τῶν ἀναγκαίων ἐχόντων τὴν φύσιν. οὐ μέντοι γε διὰ ταῦτα, ἀλλ' ἢ ὡς ὕλην, ἀλλ' ἕνεκά του. οἷον, διατί ὁ πρίων τοιοσδί. ὅπως τοδί. καὶ ἕνεκα τουδί. τοῦτο μέντοι τὸ οὗ ἕνεκα, ἀδύνατον γενέσθαι, ἂν μὴ σιδηροῦς ᾖ. ἀνάγκη ἄρα σιδηροῦν εἶναι, εἰ πρίων ἔσται καὶ τὸ ἔργον αὐτοῦ. ἐξ ὑποθέσεως οὖν τὸ ἀναγκαῖον ἀλλ' οὐχ ὡς τέλος. ἐν γὰρ τῇ ὕλῃ τὸ ἀναγκαῖον. τὸ δ' οὗ ἕνεκα, ἐν τῷ λόγῳ.

Μετὰ τὸ συμπληρῶσαι τὴν περὶ τῶν αἰτίων, δύο προύθετο ζητήματα οἰκεῖα τῷ περὶ τῶν αἰτίων λόγῳ. διαρθροῖ γὰρ τὰ περί τε τοῦ ὑλικοῦ καὶ ποιητικοῦ αἰτίου, ἀδιαρθρώτως παρά τισιν ὑπονοηθέντα. καὶ πρῶτον μὲν ὅτι ἡ φύσις τῶν ἕνεκά του ἐστὶν αἰτίων, καὶ οὐ τῶν εἰκῇ καὶ ὡς ἔτυχε ποιούντων, ὅπερ ἐδόκει τισί. δεύτερον δὲ πῶς τὸ ἐξ ἀνάγκης διὰ τὴν ὕλην λεγόμενον ὑπάρχει τοῖς φυσικοῖς. ἆρα ὡς διὰ τὴν ὕλην ἐξ ἀνάγκης ἑπομένων τῶν ἐφεξῆς, καὶ διὰ ταύτην τοῦ τέλους τοῦ κατὰ τὸ ὠφέλιμον ἐπιγινομένου, ὥσπερ ἐδόκουν οἴεσθαι τινές, κυριώτατον καὶ μόνον αἴτιον τὴν ὕλην ὑπολαμβάνοντες, ὡς δηλοῖ τὸ πάντων τῶν γινομένων τὰς αἰτίας κατὰ τὴν ὕλην ἀποδιδόναι, ἆρα οὖν οὕτως ἐξ ἀνάγκης ἡ ὕλη τοῖς φυσικοῖς παρέχει, ὅπερ ἁπλῶς καλεῖ, ἢ μᾶλλον ἐξ ὑποθέσεως ὑποτεθέντι τῷ τέλει ἕπεσθαι τὸ τῆς ὕλης ἀναγκαῖον. ὥστε εἰ οἶκος μέλλοι γενέσθαι, τουτέστιν ἀσφάλειά τις τῶν ἐνόντων, ἀνάγκη ὀροφὴν γενέσθαι καὶ τοῖχους, καὶ θεμέλιον ὑποβληθῆναι. οὐ μέντοι εἰ οὕτω πέφυκεν ἡ ὕλη, ὥστε τὰ μὲν βαρέα κάτω βρίθειν, τὰ δὲ κοῦφα ἐπιπολάζειν, ἤδη διὰ τοῦτο γίνεται ὁ οἶκος. τούτων οὖν ὄντων τῶν ζητουμένων, τὸ μὲν ἁπλῶς ἀναγκαῖον ἀποδοκιμάζει ὡς δοκοῦσι λέγειν οἱ ἀπὸ τῆς ὕλης τὰς αἰτίας ἀποδιδόντες. ἐπεὶ τὸ θερμὸν ἀνωφερὲς καὶ κοῦφον, τὸ δὲ ψυχρὸν βαρὺ καὶ κατωφερές, διὰ τοῦτο οὕτω συνέστη ὁ κόσμος, καὶ ἐγένετο κάτω μὲν ἡ γῆ, ἄνω δὲ τὸ πῦρ. ἢ ὅτι διὰ τὸν δῖνον μέσον ἡ γῆ κρατεῖται. καὶ γὰρ ἐκείνως μὲν Ἐμπεδοκλῆς, οὕτω δὲ Ἀναξαγόρας ἐλεγέτην, οὐκέτι τὸ εὖ καὶ τὸ οὗ ἕνεκα αἰτιώμενοι, ἀλλὰ τὴν ὕλην μόνην, ἀναγκαίως ἕπεσθαι ταύτῃ τὸ τέλος καὶ τὸ χρειῶδες νομίζοντες. οὕτω δὲ καὶ τὸν τοῖχον ἐξ ἀνάγκης τις ἂν γεγενῆσθαι νομίζοι, ὅτι τὰ μὲν βαρέα κάτω πέφυκε φέρεσθαι, τὰ δὲ κοῦφα ἐπιπολάζειν. τοῦτο οὖν ἀποδοκιμάζει τὸ ἀναγκαῖον ἐπὶ τῆς ὕλης λεγόμενον. ἐγκρίνει δὲ τὸ ἐξ ὑποθέσεως. δι' οὗ δείκνυσιν ὅτι οὐκ ἄνευ μὲν τῆς ὕλης γίνεται τὰ γινόμενα. οὐ μέντοι διὰ τὴν ὕλην ὡς διά τινα κυρίως αἰτίαν. ἀλλ' ὡς δι' ὕλην μόνον καὶ ὑλικὴν αἰτίαν. τὰ γὰρ ἐξ ὑποθέσεως, ὡς ὕστερα τῶν προτιθεμένων, καὶ ἥττον αἴτια ἐστί. τὸ δὲ κυρίως αἴτιον, τὸ τέλος ἐστὶ καὶ τὸ οὗ ἕνεκα. τοῦ γὰρ οἴκου ἢ τοῦ τοίχου κυρίως αἴτιον οὐ τὰ βαρέα καὶ ἐπιπολάζοντα. ἀλλὰ

τὸ κρύπτειν καὶ σώζειν τὰ ἐνόντα, ἢ ἀνέχειν τὴν ὀροφήν. ἡ δὲ ὕλη ἐξ ὑποθέσεως τὸ ἀναγκαῖον ἔχει. ὑποτεθέντος γὰρ τοῦ τέλους καὶ τοῦ οὗ ἕνεκα, ἀκολουθεῖ τὸ ἀναγκαῖον τῆς ὕλης. ὥστε τοῦτό ἐστιν, οὗ χωρὶς ἀδύνατον τὸ ἀποτέλεσμα γενέσθαι. οἷον εἰ ἔσται οἰκία, δεῖ λίθους ἐξ ἀνάγκης εἶναι καὶ ξύλα. οὐ μέντοι εἰ ταῦτα, ἤδη οἰκίαν εἶναι ἀναγκαῖον. οὕτω δὲ καὶ ἐπὶ τῶν φύσει γινομένων τὸ οὕτως ἀναγκαῖον οὐκ ἐν τῷ τέλει θετέον, ἀλλ' ἐν τῇ ὕλῃ. οὐχ ὅτι ἕνεκα ταύτης, οὐδ' ὅτι ἐξ ἀνάγκης ἕπεται ταύτῃ τὸ χρειῶδες. ἀλλ' ὅτι οὐκ ἄνευ ταύτης. οὐ γὰρ οἱ λίθοι κατ' αὐτοὺς, οὐδὲ οἱ πλίνθοι καὶ τὰ ξύλα, κινούμενα ὡς ἐπεφύκει, κατασκευάζουσιν οἰκίαν. ἀλλ' ἡ σύνθεσις ἡ τοιάδε καὶ ἡ μορφὴ καὶ ἡ τέχνη, τοῦ τέλους ἕνεκα πάντα ποιοῦσα. οὐ μέντοι χωρὶς τῆς ὕλης. καὶ γὰρ ἔστι μὲν καὶ ἡ ὕλη τῶν καθ' αὑτὰ αἰτίων ὥσπερ εἴρηται. ἀλλὰ κυριωτέρα γε ἡ μορφὴ καὶ ὁ λόγος καὶ τὸ τί ἦν εἶναι. καὶ οὐ τοῦτο ταῖς ἐκείνης κινήσεσιν ἐξ ἀνάγκης ἀκολουθεῖ. ἀλλ' ἐκείνη μᾶλλον τούτῳ πέφυκε προϋποτιθεμένῳ συναρμόζεσθαι. οὐ γὰρ ἐπειδὴ σίδηρος ἐστὶ, διὰ τοῦτο ἐξ ἀνάγκης πρίων. ἀλλὰ πρίονος ὑποκειμένου εἰς ποίησιν, δεῖ σίδηρον ἐξ ἀνάγκης παραληφθῆναι. ὥστε ἡ ὕλη τὸ ἀναγκαῖον οὕτως ἔχει, οὐ δι' ἑαυτὴν ἀλλὰ διὰ τὴν μορφήν. τῇ μὲν γὰρ ὕλῃ οὐδὲν ἐξ ἀνάγκης ἀκολουθεῖ. αὐτὴ δὲ ἐξ ἀνάγκης ὀφείλει προϋποκεῖσθαι τῷ εἴδει. οὐ τὸ τέλος οὖν ἐξ ἀνάγκης ὑλικῆς ἀκολουθεῖ τοῖς πρὸ αὐτοῦ. ἀλλ' ὑποθεμένοις τοῦτο, διὰ τὴν ὑπόθεσιν ταύτην ἕπεται τὸ ἀναγκαῖον τῆς ὕλης. ἐπεί τό γε τοῦ τέλους ἀναγκαῖον, καθ' ὃ ἀνάγκη τὸ τέλος τοῖς προϋπηργμένοις ἀκολουθεῖν ἂν μή τι ἐμποδίσῃ, δι' αὐτὸ τὸ τέλος ἐστίν. οὗ ἕνεκα καὶ τὰ προϋπηργμένα τοιαῦτα καὶ κατὰ τοιαύτην τάξιν παραλαμβάνεται. ὥστε ἡ ὕλη τὸ ἀναγκαῖον διὰ τὸ τέλος ἔχει. ἀλλ' οὐχὶ τὸ τέλος διὰ τὴν ὕλην. ἕνεκα γὰρ τοῦ τέλους γίνεται τὰ γινόμενα. οὐκ ἄνευ μέντοι τῆς ὕλης. πλὴν οὐχ ὡς διὰ κυριωτάτην αἰτίαν τὴν ὕλην, ἀλλὰ διὰ τὴν ἧς οὐκ ἄνευ. τὸ δὲ ὅπως τοδὶ, καὶ ἕνεκα τουδὶ, σημαίνει τὸ εἶδος καὶ τὸ τέλος τοῦ πρίονος. ὥστε οἱ μὲν μόνην αἰτίαν εἶναι τὴν ὕλην τιθέμενοι, καὶ ταῖς ἐκείνης φυσικαῖς κινήσεσιν ἕπεσθαι τὰ γινόμενα λέγοντες, ἁπλῶς ἂν ἐξ ἀνάγκης γίνεσθαι τὰ γινόμενα λέγοιεν. ἐπεὶ δὲ ἀποδέδεικται ἡμῖν ἄλλη παρὰ τὴν ὕλην κυριωτέρα αἰτία τὸ εἶδος, καὶ ταύτης ἕνεκα παριοῦσα ἡ ὕλη, ἀλλ' οὐχὶ ἡ ὕλη παράγουσα τὴν μορφήν, οὐκ ἂν οὐδὲ ἡ ὕλη ἁπλῶς ἀναγκαία λέγοιτο, ἀλλ' ἐξ ὑποθέσεως. ὑποθεμένοις γὰρ τὸ εἶδος, οὕτως εὑρίσκεται τῆς ὕλης τὸ ἀναγκαῖον. ἔστιν οὖν ἐν τῇ ὕλῃ τὸ ἀναγκαῖον. τὸ δὲ οὗ ἕνεκα τὸ ἀναγκαῖον, τοῦτο ἐν τῷ εἴδει. ὅπου γε καὶ τέλος ἐστὶ, καὶ κυρίως αἴτιον. καὶ γὰρ εἰ τοῦτο γένοιτο ἡμῖν, τἄλλα ἂν πάντα παραλίποιμεν. καὶ τούτου γινομένου, τέλος ἔχουσιν αἱ πράξεις. ὅπερ ἀρχῇ μάλιστα καὶ αἰτίᾳ προσήκει. καὶ ὅλως ἀρχὴ ἡ πρόθεσις ἐστί. τοιοῦτο δὲ τὸ τέλος. ὥστε συγχωρεῖ μὲν καὶ αὐτὸς τὸ ἀναγκαῖον τῇ ὕλῃ, ἀλλ' οὐχ ὡς τοῦ εἴδους ἐξ ἀνάγκης ἀκολουθοῦντος, ἀλλ' ὡς τῶν ὧν οὐκ ἄνευ λόγον ἐχούσης τῆς ὕλης. οὐ γὰρ τὸ τέλος ἐξ ἀνάγκης ἀλλὰ διὰ τὸ τέλος τὸ ἐξ ἀνάγκης. καὶ ἐν τούτῳ δὲ τῷ κεφαλαίῳ πλατωνικῶς ὁ ἀριστοτέλης ἀναστρεφόμενος φαίνεται. λέγει γὰρ καὶ ὁ πλάτων ἐν τιμαίῳ. ταῦτα δὴ πάντα τότε ταύτῃ πεφυκότα ἐξ ἀνάγκης, ὁ τοῦ καλλίστου τε καὶ ἀρίστου δημιουργὸς ἐν τοῖς γινομένοις, παρελάμβανεν, ἡνίκα τὸν αὐτάρκη τε καὶ τελεώτατον θεὸν ἐγέννα, χρώμενος μὲν ταῖς περὶ ταῦτα αἰτίαις ὑπηρετούσαις, τὸ δὲ εὖ τεκταινόμενος ἐν πᾶσι τοῖς γινομένοις αὐτός. διὸ δὴ χρὴ δύο αἰτίας εἴδη διορίζεσθαι, τὸ μὲν ἀναγκαῖον, τὸ δὲ θεῖον. καὶ τὸ μὲν θεῖον ἐν ἅπασι ζητεῖν, κτήσεως ἕνεκα εὐδαίμονος βίου, καθόσον ἡμῶν ἡ φύσις ἐνδέχεται. τὸ δὲ ἀναγκαῖον, ἐκείνων χάριν, λογιζόμενον ὡς ἄνευ τούτων, οὐ δυνατὰ αὐτὰ ἐκεῖνα ἐφ' οἷς σπουδάζομεν κατανοεῖν, οὐδὲ αὖ λαβεῖν, οὐδὲ ἄλλως πως μετασχεῖν. τὰ αὐτὰ δὲ περὶ τούτων τῶν διττῶν αἰτίων καὶ ἐν φαίδωνι διώρισται σαφῶς. ἐν οἷς φησι, τὸ γὰρ διελέσθαι οἷόν τε εἶναι, ὅτι ἄλλο μέν ἐστι τὸ αἴτιον τῷ ὄντι, ἄλλο δὲ ἐκεῖνο, οὗ ἄνευ τὸ αἴτιον οὐκ ἄν ποτε εἴη αἴτιον. ὃ δή μοι φαίνονται ψηλαφῶντες οἱ πολλοὶ, ὥσπερ ἐν σκότει ἀλλοτρίῳ ὀνόματι προσχρώμενοι, ὡς αἴτιον αὐτὸ προσαγορεύειν. διὸ καὶ ὁ μέν τις δίνην περιτιθεὶς τῇ γῇ ὑπὸ τοῦ οὐρανοῦ, μένειν δὴ ποιεῖ τὴν γῆν. ὁ δὲ, ὥσπερ καρδόπῳ πλατείᾳ βάθρον τὸν ἀέρα ὑπερείδει. τὴν δὲ τοῦ ὡς οἷόν τε βέλτιστα αὐτὰ τεθῆναι δύναμιν οὕτω νῦν κεῖσθαι, ταύτην οὔτε ζητοῦσιν, οὔτε οἴονται τινὰ δαιμονίαν ἰσχὺν ἔχειν. ἀλλὰ δὲ πρὸ τούτων τῶν ῥητῶν διὰ μακροτέρων ὁ σωκράτης συνεπεράνατο. εἰπὼν δὲ ὁ ἀριστοτέλης ὅτι καὶ ἐν τοῖς ἄλλοις πᾶσι τὸ ἕνεκά του ἐστὶν, οὐκ ἄνευ μὲν τῶν ἀναγκαίαν ἐχόντων τὴν φύσιν, οὐ μέντοι διὰ ταῦτα, ἐπειδὴ τὸ διατί αἰτίας ἐστὶ δηλωτικὸν, ἔστι δὲ καὶ ἡ ὕλη αἰτία, καὶ κατὰ τοῦτο καὶ διὰ ταύτην ἂν εἴη, εἰκότως προσέθηκε τὸ πλὴν ὡς δι' ὕλην. αἴτια γὰρ ταῦτα. οὐ μὴν τοῦ τὴν οἰκίαν εἶναι ἁπλῶς αἴτια. ἀλλὰ τὸ τέλος μᾶλλον. ἀπορῶ δὲ ἔγωγε πῶς ὁ ἀλέξανδρος, τὸ ἁπλῶς ἀναγκαῖον ἀναιρετικὸν τοῦ ἕνεκά του λέγει εἶναι. ἁπλῶς γὰρ ἀναγκαῖον φησιν, ἐν οἷς ἐξ ἀνάγκης τοῖς πρὸ αὐτῶν τὸ τέλος ἀκολουθεῖ. καίτοι ἐν τοῖς ἀϊδίοις καὶ ἐξ ἀνάγκης ἀκολουθεῖ τοῖς πρὸ αὐτοῦ τὸ τέλος. οἷον τῇ ἀνατολῇ τοῦ ἡλίου ἡ κατάδυσις αὐτοῦ. καὶ τῷ χειμῶνι τὸ ἔαρ. καὶ τούτῳ τὸ θέρος. καὶ ὅμως ἕνεκά του τούτων ἕκαστον. καὶ γὰρ τοῦ ἔαρος ἕνεκα προηγεῖται ὁ χειμών. καὶ ἡ ἀνατολὴ τῆς δύσεως. ἀλλ' ἴσως ἐπὶ τοῦ ὑλικοῦ μόνου τὸ ἀναγκαῖον ἀκούων, καὶ τῆς κατὰ τὴν ὕλην ἀκολουθήσεως, εἰκότως εἶπεν, ὅτι

τὸ ἀναγκαῖον ἀναιρεῖ τὸ ἕνεκά του. εἰ γὰρ διὰ τὴν ὕλην μόνον γίνεται τὸ γινόμενον, οὐκ ἔστι τι τὸ οὗ ἕνεκα. ὥστε οὐδὲ τὸ ἕνεκά του. ἐπεὶ καὶ ἐν τοῖς φυσικοῖς τὸ ἀεὶ οὕτως ἂν μή τι κωλύσει ἀναγκαῖον ὄν, οὐκ ἀναιρεῖ τὸ ἕνεκά του.

ἜΣΤΙ ΔῈ τὸ ἀναγκαῖον. ἔν τε τοῖς μαθήμασι. καὶ ἐν τοῖς κατὰ φύσιν γινομένοις, τρόπον τινὰ παραπλησίως. ἐπεὶ γὰρ τὸ εὐθὺ, τοδί ἐστιν, ἀνάγκη τὸ τρίγωνον. δύο ὀρθαῖς ἴσας ἔχειν. ἀλλ᾽ οὐκ εἰ τοῦτο, ἐκεῖνο. ἀλλ᾽ εἴγε τοῦτο μή ἐστιν, οὐδὲ τὸ εὐθύ ἐστιν. ἐν δὲ τοῖς γινομένοις ἕνεκά του, ἀνάπαλιν. εἰ τὸ τέλος ἔσται, ἢ ἔστι. καὶ τὸ ἔμπροσθεν ἔσται ἢ ἔστιν. εἰ δὲ μὴ, ὥσπερ ἐκεῖ μὴ ὄντος τοῦ συμπεράσματος, ἡ ἀρχὴ οὐκ ἔσται, καὶ ἐνταῦθα τὸ τέλος καὶ τὸ οὗ ἕνεκα. ἀρχὴ γὰρ καὶ αὕτη, οὐ τῆς πράξεως ἀλλὰ τοῦ λογισμοῦ. ἐκεῖ δὲ τοῦ λογισμοῦ. πράξεις γὰρ οὐκ εἰσίν. ὥστε εἰ ἔσται οἰκία, ταῦτα ἀνάγκη γενέσθαι, ἢ ὑπάρχειν, ἢ εἶναι. ἢ ὅλως τὴν ὕλην αὐτὴν ἕνεκά του. οἷον πλίνθους, καὶ λίθους, εἰ οἰκία. οὐ μέντοι διὰ ταῦτά ἐστι τὸ τέλος. ἀλλ᾽ ἢ ὡς ὕλην οὐδ᾽ ἔσται διὰ ταῦτα. ὅλως μέντοι μὴ ὄντων. οὐκ ἔσται οὐδὲ ἡ οἰκία. οὐδὲ ὁ πρίων. ἡ μὲν, εἰ μὴ οἱ λίθοι. ὁ δὲ, εἰ μὴ ὁ σίδηρος. οὐδὲ γὰρ ἐκεῖ αἱ ἀρχαὶ, εἰ μὴ τὸ τρίγωνον, δύο ὀρθαῖς.

Ὁποῖον ἐστὶ τὸ ἐξ ὑποθέσεως ἀναγκαῖον, καὶ διὰ τῆς ἐν μαθήμασιν ἀκολουθίας ὑπομιμνήσκει. ἔστι γὰρ καὶ ἐν τοῖς μαθήμασι τὸ ἐξ ὑποθέσεως ἀναγκαῖον. πλὴν οὐχ ὁμοίως ἐν τούτοις καὶ ἐν τοῖς φύσει γινομένοις. διὸ προσέθηκε τὸ τρόπον τινὰ παραπλησίως. ἐπὶ μὲν γὰρ τῶν μαθημάτων ἐὰν ὦσιν αἱ ὑποθέσεις, ἔστι τὸ ἐξ αὐτῶν συναγόμενον συμπέρασμα. οἷον ἐπὶ εὐθύ φησι τοδί ἐστι, τουτέστιν ἐπεὶ εὐθύγραμμον τοιονδὶ, οἷον τρίγωνον, ἀνάγκη τὸ τρίγωνον τὰς τρεῖς γωνίας δυσὶν ὀρθαῖς ἴσας ἔχει. καὶ εἰ μὴ ἔχει, οὐδὲ εὐθύγραμμον τοδί ἐστιν. εἰ μέντοι τὰς τρεῖς δυσὶν ὀρθαῖς ἴσας ἔχει, οὐκ ἀνάγκη τοδὶ εὐθύγραμμον εἶναι. δυνατὸν γὰρ καὶ τετραπλεύρου τὰς τρεῖς γωνίας δυσὶν ὀρθαῖς ἴσας εἶναι, καὶ οὐ μόνον τὰς τοῦ τριγώνου. ἐναργέστερον δὲ ἐπὶ ἀριθμῶν ἐστιν ἰδεῖν. εἰ γὰρ πέντε καὶ πέντε, δέκα γίνονται. εἰ δὲ δέκα, οὐ πάντως πέντε καὶ πέντε. καὶ γὰρ ἐννέα καὶ ἓν, καὶ ὀκτὼ καὶ δύο, καὶ ἑπτὰ καὶ τρία, καὶ ἓξ καὶ τέσσαρα, δέκα ποιεῖ. εἰ μέντοι μὴ δέκα, οὐδὲ πέντε καὶ πέντε. ὅλως γὰρ ἐν ταῖς τοιαύταις ἀκολουθίαις, τῇ μὲν θέσει τοῦ ἡγουμένου ἕπεται ἡ θέσις τοῦ ἑπομένου. τῇ δὲ θέσει τοῦ ἑπομένου οὐχ ἕπεται ἡ θέσις τοῦ ἡγουμένου. ἀλλὰ τῇ ἀναιρέσει τοῦ ἑπομένου ἡ ἀναίρεσις τοῦ ἡγουμένου. οὐ γὰρ δείκνυται ἐκ τῶν ὑστέρων τὰ πρότερα. ἀναιρεῖται δὲ ἐξ αὐτῶν. καὶ ἐν τοῖς φυσικοῖς γινομένοις, εἰ ἔστιν ἢ ἔσται οἰκία, ἀνάγκη ὕλην τοιάνδε εἶναι. καὶ εἰ μὴ ἔστιν ὕλη τοιάδε, οὐκ ἂν εἴη ἡ οἰκία. οὐ μέντοι εἰ ἔστιν ὕλη τοιάδε, ἀνάγκη οἰκίαν εἶναι. καὶ κατὰ μὲν τοῦτο τὸ σχῆμα ἔοικε τὸ ἐξ ὑποθέσεως ἀναγκαῖον, ἔν τε τοῖς μαθήμασιν εἶναι, καὶ ἐν τοῖς φυσικοῖς γινομένοις. διαφέρει δὲ, ὅτι ἐπὶ μὲν τῶν μαθημάτων τὸ συνημμένον ἐστὶν, εἰ τὰ πρότερα καὶ τὰ ὕστερα. πρότεραι γὰρ αἱ προτάσεις καὶ αἱ ὑποθέσεις τοῦ συμπεράσματος. καὶ εἰ μὴ τὰ ὕστερα, οὐδὲ τὰ πρότερα. ἐπὶ δὲ τῶν γινομένων, ἔμπαλιν. εἰ γὰρ ἐστὶ τὸ τέλος ἐξ ἀνάγκης καὶ τὰ πρὸς τὸ τέλος. οὐ μέντοι εἰ τὰ πρὸς τὸ τέλος, ἤδη καὶ τὸ τέλος. εἰ γὰρ οἶκος, καὶ λίθοι. οὐ μέντοι εἰ λίθοι, καὶ οἶκος. ἔχοι δὲ ἂν ὁμοιότητα ἡ ἀκολουθία, εἴ τις τὸ τέλος ὡς πρῶτον νομίζοι τῇ φύσει. διότι τούτου ἕνεκα καὶ ἡ ὕλη. τοῦτο δὲ καὶ αὐτὸς συστήσει πάλιν ἀπὸ τῶν τεχνῶν. λαβὼν γάρ τις εὐθὺς ἐν ἀρχῇ ἐν τῷ λογισμῷ τὴν χρείαν τῆς οἰκίας καὶ τὴν ὠφέλειαν, καὶ προαναζωγραφήσας τὸ σχῆμα, οὕτω καὶ τὴν ὕλην παρατίθεται. καὶ ἔστιν ἡ τοῦ τέλους ἔννοια ἀρχὴ τῆς θεωρίας, ἀλλ᾽ οὐχὶ τῆς πράξεως. διττὴ γὰρ ἡ ἀρχὴ ἡ μὲν τῆς θεωρίας, ἡ δὲ τῆς πράξεως. καὶ γίνεται τῆς θεωρίας ἀρχὴ ἡ τοῦ τέλους ἔννοια. ἐπειδὴ γὰρ σκέπης χρεία, ὀροφὴν ποιητέον. οὐκοῦν καὶ τοίχους, καὶ θεμέλια, καὶ ὄρυξιν. τὸ δὲ τέλος τῆς θεωρίας, ἀρχὴ γίνεται τῆς πράξεως. ἀλλ᾽ ἐπὶ τῶν μαθημάτων, ἐφ᾽ ὧν πρᾶξις οὐκ ἔστι, μία ἐστὶν ἀρχὴ ἡ κατὰ τὴν θεωρίαν, οὐ τὸ τέλος οὖσα, οὐδὲ τὸ οὗ ἕνεκα, ἀλλὰ τὰ δεικτικὰ τοῦ συμπεράσματος. ἐγγυτέρω δὲ ἔτι προσήγαγε τὴν ὁμοιότητα τῶν φύσει πρὸς τὰ ἐν τοῖς μαθήμασιν. ὡς γὰρ ἐν τοῖς μαθήμασι τοῦ τέλους ὑποτεθέντος, τουτέστι τοῦ συμπεράσματος, ὅπερ ἦν ἐπὶ ταῖς προτάσεσιν ἐξ ἀνάγκης κειμέναις, αἱ προτάσεις αἵτινες εἰσὶν ἀρχαὶ ἐν ἐκείναις οὐκ ἦσαν ἐξ ἀνάγκης, τῷ δύνασθαι καὶ δι᾽ ἄλλων τὸ αὐτὸ δείκνυσθαι, οὕτως οὐδὲ ἐν τοῖς φυσικοῖς τῷ ἀναγκαίῳ τῆς ὕλης οὐκ ἀκολουθοῦσιν αἱ κατὰ τὸν λόγον ἀρχαί. οὐ γὰρ τῇ ὕλῃ ἀκολουθεῖ τὸ τέλος. ἐν ἀμφοτέροις οὖν τῷ ἀναγκαίῳ ὑποτεθέντι οὐχ ἕπονται αἱ κατὰ τὸν λόγον ἀρχαί. εἰσὶ δὲ ἐν μὲν τοῖς μαθήμασιν αἱ κατὰ λόγον ἀρχαὶ αἱ προτάσεις, ἐν δὲ τοῖς φυσικοῖς τὸ τέλος. οἷς τεθεῖσιν, ἕπεται τὰ μετὰ ταῦτα, ἐν μὲν τοῖς γινομένοις ἡ ὕλη. ἐν δὲ τοῖς μαθήμασι τὸ συμπέρασμα. ἐπειδὴ δὲ ἀσαφῶς εἴρηται τὸ τοῦ τριγώνου παράδειγμα, ἐνδειξαμένου μόνον αὐτοῦ τὴν ἀπόδειξιν, ἰστέον ὅτι δέδεικται παντὸς εὐθυγράμμου, τὰς ἐκτὸς πάσας γωνίας τέτρασιν ὀρθαῖς ἴσας εἶναι. καὶ ὅτι αἱ τοῦ τριγώνου πᾶσαι γωνίαι αἱ ἐντὸς καὶ αἱ ἐκτὸς, ἓξ ὀρθαῖς ἴσαι εἰσίν. ἐπεὶ οὖν τὸ τρίγωνον εὐθύγραμμόν ἐστιν, ὅπερ εἶπεν αὐτὸς εὐθὺ τοδὶ, τούτου δὲ αἱ ἐντὸς καὶ αἱ ἐκτὸς ἓξ ὀρθαῖς ἴσαι εἰσίν, ὧν αἱ ἐκτὸς τέτρασιν, λοιπαὶ αἱ ἐντὸς δυσὶν ὀρθαῖς ἴσαι εἰσίν. εἰ δὲ μὴ τοῦτο, οὐδὲ αἱ ἐκτὸς τέτρασιν, εἴπερ πᾶσαι ἕξ. ὥστε οὐδὲ εὐθύγραμμον τοδί. εἰ δὲ δυσὶν ὀρθαῖς ἴσαι τρεῖς αἱ ἐντὸς, οὐ πάντως τρίγωνον.

φανερὸν

ΦΑΝΕΡΟ'Ν δή, ὅτι τὸ ἀναγκαῖον, ἐν τοῖς φυσικοῖς τὸ ὡς ὕλη λεγόμενον. καὶ αἱ κινήσεις αἱ ταύτης.
καὶ ἄμφω μὲν τῷ φυσικῷ λεκτέαι αἱ αἰτίαι. μᾶλλον δέ, ἡ, τινὸς ἕνεκα. αἴτιον γὰρ τοῦτο τῆς ὕλης. ἀλλ'
οὐχ αὕτη τοῦ τέλους. καὶ τὸ τέλος τὸ οὗ ἕνεκα, καὶ ἡ ἀρχή, ἀπὸ τοῦ ὁρισμοῦ καὶ τοῦ λόγου. ὥσπερ ἐν
τοῖς κατὰ τέχνην ἐπεὶ ἡ οἰκία τοιόνδε, τάδε δεῖ γενέσθαι καὶ ὑπάρξειν ἐξ ἀνάγκης. καὶ ἐπεὶ ἡ ὑγίεια
τοδί, τάδε δεῖ γενέσθαι ἐξ ἀνάγκης. καὶ ὑπάρξειν, οὕτως καὶ εἰ ὁ ἄνθρωπος τοδί, ταδί. εἰ δὲ ταδί, ταδί.

Δ Εἰπὼν ὅτι τὸ ἀναγκαῖον τὸ ἐν τοῖς φυσικοῖς, ἔστι μὲν ἐν τῇ ὕλῃ, ὡς καὶ τοῖς φυσιολόγοις ἐδόκει, καὶ
ἐν ταῖς ταύτης μεταβολαῖς καὶ ἀλλοιώσεσιν, οὐχ ἁπλῶς δέ, ὥς τε τῇ ὕλῃ τὸ εἶδος καὶ ὅλως τὸ τέ-
λος ἐξ ἀνάγκης ἀκολουθεῖν, ἀλλ' ἐξ ὑποθέσεως καὶ ὡς εἴρηται, καὶ συμπεραινάμενος τοῦτο, ἐπάγει
λοιπόν, ὅτι ἄμφω μὲν αἱ αἰτίαι λεκτέαι τῷ φυσικῷ, μᾶλλον δὲ ἡ κατὰ τὸ τέλος. κυριωτέρα γὰρ
αὕτη, εἴπερ καὶ τῆς ὕλης αὕτη αἰτία. ᾧ γὰρ τεθέντι ἐξ ἀνάγκης τὸ λοιπὸν ἕπεται, τοῦτο αἴτιον ἐκεί-
νῳ. εἰ οὖν τῇ μὲν ὕλῃ τεθείσῃ οὐκ ἐξ ἀνάγκης τὸ τέλος ἀκολουθεῖ, τῷ δὲ τέλει τεθέντι ἐξ ἀνάγκης
ἀκολουθεῖ ἡ ὕλη, αἴτιον ἂν εἴη τὸ τέλος τῆς ὕλης. αἴτιον δὲ καὶ τοῦ εἴδους ἐστὶ τὸ τέλος, ἐφ' ὧν ἄλλο πα-
ρὰ τὸ τέλος τὸ εἶδός ἐστιν. εἰ οὖν τὸ τέλος αἴτιον τῇ ὕλῃ τοῦ εἶναι, εἰκότως ὁ φυσικὸς περὶ αἰτίων ποιού-
μενος τὸν λόγον, περὶ τοῦ τέλους μᾶλλον ἢ περὶ τῆς ὕλης ποιήσεται. εἰπὼν δὲ τὴν ὕλην μὴ εἶναι αἰ-
τίαν τοῦ τέλους, ποίου τέλους δηλῶν, προσέθηκε τὸ οὗ ἕνεκα τῷ περὶ αὐτοῦ. τοῦτο γὰρ τὸ αἴτιον καὶ
ἡ ἀρχή, ἀλλ' οὐχὶ τὸ ὡς ἔσχατον. ἐπειδὴ δὲ ἐν τοῖς πλείστοις τὸ οὗ ἕνεκα τὸ εἶδός ἐστι, τοῦτο δηλῶν, ἐπή-
γαγεν ὅτι τὸ οὗ ἕνεκα. καὶ ὅτι τὸ τοιοῦτο τέλος καὶ ἀρχή, ἡ ἀπὸ τοῦ ὁρισμοῦ καὶ τοῦ λόγου λαμβανο-
μένη ἐστίν, ὅπερ ἐστὶ τὸ εἶδος. καὶ γὰρ αὕτη αἰτία τῆς ὕλης ἐστὶν ὡς ἐν τοῖς κατὰ τέχνην. τὸ γὰρ εἶδος
τῆς οἰκίας ὁρισάμενοι, ὅτι ἐστὶ σκέπη πρὸς ἀπαλεξησιν ἀνέμου καὶ ὄμβρου καὶ καύματος, πρὸς
τοῦτον τὸν ὁρισμὸν τὴν ὕλην παρασκευάζομεν. οὕτω δὲ καὶ ἐν τοῖς κατὰ φύσιν. εἰ γὰρ ἔσται ἄνθρω-
πος, δεῖ σπέρμα ἀνθρώπου, καὶ καταμήνια, καὶ μήτραν γυναικὸς συνελθεῖν. καὶ εἰ ἄλλο τι ζῷον ἢ φυ-
τόν, δεῖ τὴν πρὸς ἐκεῖνο ἐπιτηδείαν ὕλην παρεσκευάσθαι. τοῦτο γὰρ σημαίνει τό, εἰ δὲ ταδί, ταδί.
πάλιν δὲ κἀνταῦθα ταῖς ἐπιστημονικαῖς ἐννοίαις ἑφεπόμενος ὁ ἀριστοτέλης, εἰς ταυτὸν αὐτοφυῶς
τῷ διδασκάλῳ συνέδραμε. λέγει γὰρ ἐκεῖνος ἐν τιμαίῳ, τὴν διττῶν τούτων ἀρχῶν τὰς διαφορὰς
» παραδιδούς, τῆς τε ὑλικῆς καὶ τῆς κατὰ νοερὰν πρόορασιν ἀποτελουμένης. τὰ μὲν οὖν παρελη-
» λυθότα τῶν εἰρημένων πλὴν βραχέων ἐπιδέδεικται, τὰ διὰ νοῦ δεδημιουργημένα. δεῖ δὲ καὶ τὰ δι'
» ἀνάγκης γινόμενα τῷ λόγῳ παραθέσθαι. μεμιγμένη γὰρ ἡ τοῦδε τοῦ κόσμου γένεσις, ἐξ ἀνάγκης καὶ νοῦ
» συστάσεως ἐγεννήθη. νοῦ δὲ ἀνάγκης ἄρχοντος, τῷ πείθειν αὐτὴν τῶν γινομένων τὰ πλεῖστα ἐπὶ τὸ βέλ-
» τιον ἄγειν, ταύτῃ κατὰ ταυτά τε δι' ἀνάγκης ἡττωμένης ὑπὸ πειθοῦς ἔμφρονος, οὕτω κατ' ἀρχὰς
» συνίστατο τόδε τὸ πᾶν. εἴ τις οὖν ᾗ γέγονε ταῦτα κατὰ ταυτὰ ὄντως ἐρεῖ, μικτέον καὶ τὸ τῆς πλα-
» νωμένης αἰτίας εἶδος, ᾗ φέρειν πέφυκεν.

Ἰ ΣΩΣ δὲ καὶ ἐν τῷ λόγῳ ἐστὶ τὸ ἀναγκαῖον. ὁρισαμένῳ γὰρ τὸ ἔργον τοῦ πρίειν, ὅτι διαίρεσις τοια-
δί, αὕτη δ' οὐκ ἔσται, εἰ μὴ ἕξει ὀδόντας τοιουσδί, οὗτοι δ' οὔ, εἰ μὴ σιδηροῦς. ἔστι γὰρ καὶ ἐν τῷ λόγῳ, ἔνια
μόρια ὡς ὕλη τοῦ λόγου.

Ε Ἰπὼν τὸν ὁρισμὸν καὶ τὸν λόγον ἀρχὴν εἶναι καὶ αἰτίαν τῆς ὕλης, ἥτις ἦν τὸ ἀναγκαῖον ἐν τοῖς αἰ-
τίοις, ἐπειδὴ ἐν πολλοῖς ὁρισμοῖς ἐμπεριλαμβάνεται καὶ ἡ ὕλη, ποτὲ μὲν δυνάμει ἐν τῷ τοῦ εἴδους
ὁρισμῷ ὡς αὐτὸς παρατίθεται, ποτὲ δὲ ἐνεργείᾳ ὡς ἐν τῷ συνθέτῳ, καὶ τότε δῆλον ὅτι ὁ ὁρισμὸς
οὐκέτι ἀρχὴ καὶ αἰτία τῆς ὕλης ἔσται, ἐμπεριέχων αὐτὴν ἐν ἑαυτῷ, διὰ τοῦτο προσέθηκεν ὅτι ἴσως
καὶ ἐν τῷ λόγῳ ἐστὶ τὸ ἀναγκαῖον. τότε γὰρ τὸ μὲν τέλος καὶ τὸ εἶδος ἔσται ἀρχὴ καὶ αἰτία τῆς ὕλης.
ὁ δὲ τοιοῦτος ὁρισμὸς τοῦ συναμφοτέρου δηλωτικὸς ὑπάρχων. ὥς τε τὸ λεγόμενον ἐστίν, ὅτι περὶ
ἀμφοτέρων τὸν λόγον τῶν αἰτίων ὁ φυσικὸς ποιήσεται. μᾶλλον δὲ περὶ τοῦ τέλους. τοῦτο δέ ἐστιν ἐν
τοῖς φυσικοῖς τὸ εἶδος καὶ ὁ ὁρισμός. ὥς τε περὶ τοῦ εἴδους καὶ τοῦ ὁρισμοῦ τὸν πλεῖστον ποιήσεται
λόγον. ἐνίοτε μέντοι καὶ ἐν τῷ ὁρίζεσθαι περὶ ἀμφοτέρων τῶν αἰτίων ἐρεῖ. ἐφ' ὧν ὁρισμῶν καὶ
λόγων καὶ ἡ ὕλη συμπεριείληπται. ὡς γὰρ αὐτὸς ἐν ἄλλοις λέγει, τῶν φυσικῶν οἱ τέλειοι ὁρισμοί,
γίνονται μὲν κατὰ τὸ εἶδος, ἐμπεριέχουσι δὲ καὶ τὴν ὕλην. τῷ γὰρ φυσικῷ εἴδει τὸ εἶναι σὺν ὕλῃ
ἐστὶ καὶ ὑποκειμένῳ. καὶ διὰ τοῦτο ποτὲ μὲν ἀπὸ τῆς ὕλης λαμβάνονται οἱ ὁρισμοί. ὡς ὅταν εἴπωμεν
ὀργὴν εἶναι ζέσιν τοῦ περὶ καρδίαν αἵματος. ποτὲ δὲ ἀπὸ τοῦ εἴδους. ὡς ὅταν εἴπωμεν ὀργὴν εἶναι ὄ-
ρεξιν ἀντιλυπήσεως. ποτὲ δὲ ἀπὸ τοῦ συναμφοτέρου. ὡς ὅταν εἴπωμεν ὀργὴν εἶναι ζέσιν τοῦ περὶ καρ-
δίαν αἵματος δι' ὄρεξιν ἀντιλυπήσεως. καὶ ἐπιστῆσαι χρή, ὅτι ἀπὸ τοῦ ὁρισμοῦ καὶ τῆς ἀποδόσεως
τῆς οὐσίας, καὶ ἡ ὕλη τὴν ἀνάγκην εἴληφε τῆς παρόδου. καὶ γὰρ ἐν ταῖς τέχναις ἀπὸ τῶν νοημά-
των τοῦ τεχνίτου, ἃ δὴ κατὰ τὸν ὁρισμὸν τοῦ εἴδους τὴν ἔννοιαν ὑφίστησι τοῦ μέλλοντος εἴδους, οὕτω καὶ
ἡ ὕλη ὑφίσταται. διὸ καὶ αὐτοὶ ἐκλέγονται αὐτήν, ἀπὸ τῆς κατὰ τὸ εἶδος ἐννοίας τὴν ἐπιτηδειό-
τητα αὐτῆς κρίνοντες. τῆς γὰρ οἰκίας ὥσπερ ὁρισμὸν πρῶτον λαμβάνει, ὅτι ἐστὶ σκέπη πρὸς τὰς
χρείας τῶν ἀνθρώπων, δεομένη πρὸς κατασκευὴν ξύλων καὶ λίθων. καὶ οὕτως ἔρχεται ἐπὶ τὴν

ὕλην. ὡς τε ἡ ὕλη διὰ τὸ εἶδος, καὶ ὕστερον ὡς ὕλη. καὶ εἰ πρίονα ὁρίζοιτό τις, καὶ λέγοι. πρίων ἐστὶν ὄργανον, διαιρετικὸν τοιωσδὶ ξύλων ἢ λίθων, ὀδοῦσι τοιοῖσδε κατεσκευασμένον, συναναφαίνεται ὅτι ἐκ σιδήρου δεῖ τοὺς ὀδόντας εἶναι. καὶ ὁ ἰατρὸς ὑποθέμενος τὸ τέλος, ὅπερ ἐστὶν ἡ ὑγίεια, ὅπερ ἐστὶ συμμετρία θερμῶν ψυχρῶν καὶ ὑγρῶν καὶ ξηρῶν, τὴν πρὸς τοῦτο ὕλην ἐκλέγεται. ὁμοίως δὲ καὶ ἐπὶ τῶν φυσικῶν. καὶ ἔοικε καὶ διὰ τούτου δεικνύναι, ὅτι τὸ εἶδος ἤτοι τὸ τέλος αἴτιον τῆς ὕλης ἐστὶν, εἴπερ διὰ τοῦ ὁρισμοῦ τοῦ εἴδους καὶ τῆς ὕλης ἔννοια ἀναφαίνεται. κἂν σαφῶς δὲ λέγεται ἡ ὕλη ἐν τῷ ὁρισμῷ ἔσται, καὶ τότε τὸ μόριον ἐκείνου ὡς ὕλη τοῦ ὁρισμοῦ, ἀλλ' οὐχὶ ὡς κύριον αἴτιον. καὶ μέχρι τοῦδε συμπεπεράνθωσαν ἡμῖν, αἱ εἰς τὸ δεύτερον τῆς τοῦ θείου ἀριστοτέλους φυσικῆς ἀκροάσεως σχολαί.

ΣΙΜΠΛΙΚΙΟΥ ΥΠΟΜΝΗΜΑ ΕΙΣ ΤΟ ΤΡΙΤΟΝ ΤΗΣ ΑΡΙΣΤΟΤΕΛΟΥΣ ΦΥΣΙΚΗΣ ΑΚΡΟΑΣΕΩΣ.

Ε

Ν τῷ πρὸ τούτου βιβλίῳ περὶ τῶν αἰτίων διαλεχθεὶς, καὶ ποιητικὸν αἴτιον τὴν φύσιν εἰπὼν, καὶ διορισάμενος αὐτὴν ἀρχὴν κινήσεως, εἰκότως ἐφεξῆς περὶ κινήσεως διδάσκει. εἰ γὰρ ἐν τούτῳ τὸ εἶναι ἔχει ἡ φύσις, ἐν τῷ ἀρχὴ κινήσεως εἶναι, δεῖ πάντως τὸν εἰσόμενον τὴν φύσιν ὅ τί ποτέ ἐστι, καὶ τὴν κίνησιν ἐγνωκέναι ἐν τῷ ὁρισμῷ τῆς φύσεως παρειλημμένην. ἔτι δὲ εἰ ἡ τῶν πρός τι γνῶσις ἅμα ἐστὶ, πρός τι δὲ ἡ ἀρχὴ καὶ τὸ οὗ ἐστιν ἀρχὴ, καὶ ἔστιν ἀρχὴ κινήσεως ἡ φύσις, ἀδύνατον τὴν φύσιν εἰδέναι τὸν ἀγνοοῦντα τὴν κίνησιν. εἰ οὖν ἀνάγκη τὸν φυσιολόγον εἰδέναι τί ποτέ ἐστιν ἡ φύσις, τὸν δὲ τὴν φύσιν εἰσόμενον ἀνάγκη τὴν κίνησιν ἐγνωκέναι, ἀναγκαῖος εὐθὺς μετὰ τὸν περὶ τῆς φύσεως ὁ περὶ τῆς κινήσεως λόγος, ἐν τῷ ὁρισμῷ τῆς φύσεως ὡς εἶπον περιειλημμένος. διὰ δὲ τὴν αὐτὴν ἀκολουθίαν, ἐπειδὴ ἡ κίνησις ἐν τῷ συνεχεῖ, καὶ συνεχές τί ἐστιν ἡ κίνησις, καὶ ἐν τῷ λόγῳ τῆς κινήσεως παρείληπται τὸ συνεχὲς, ἀναγκαῖον καὶ περὶ τοῦ συνεχοῦς διαλεχθῆναι. οὐ γάρ ἐστι γνῶναι τὸ ὁριστὸν, ἀγνοοῦντα τῶν ἐν τῷ ὁρισμῷ παρειλημμένων ἕκαστον. πάλιν δὲ ἐπειδὴ τὸ συνεχὲς ὁριζόμενοι, προσχρώμεθα τῷ ἀπείρῳ, συνεχὲς εἶναι λέγοντες τὸ ἐπ' ἄπειρον διαιρετὸν, ἀνάγκη καὶ περὶ ἀπείρου διαλεχθῆναι, τῷ τὴν κίνησιν εἰσομένῳ καὶ τὴν ἀρχὴν τῆς κινήσεως τὴν φύσιν. ἐπεὶ δὲ πᾶν τὸ φυσικὸν σωματικὸν, πᾶν δὲ σωματικὸν καὶ ἡ σωματικὴ κίνησις περὶ ἧς ὁ λόγος ἐν τόπῳ καὶ ἐν χρόνῳ γίνεται, ἀναγκαῖος καὶ ὁ περὶ τόπου καὶ χρόνου λόγος τῷ φυσικῷ, τῷ περὶ κινήσεως καὶ φύσεως εἰσομένῳ. τισὶ δὲ ἡ κατὰ τὸν οὐρανὸν κίνησις ὁ χρόνος δοκεῖ, καὶ ἄλλοις εἰκὼν αἰώνιος κινητή. ὡς τε κατὰ πάντα συγγενὴς ὁ χρόνος τῇ κινήσει. τινῶν δὲ τὸν τόπον τὸ κενὸν ὑπολαμβανόντων, καὶ τὴν κίνησιν ἐν κενῷ πάντως γίνεσθαι λεγόντων ὥσπερ δημόκριτος, ἀναγκαῖον καὶ περὶ κενοῦ ζητεῖν, εἰ ἔστιν ὅλως ἢ μὴ ἔστιν. καὶ εἰ ἐν τῷ κενῷ ὡς ἐν τόπῳ κινεῖται τὰ κινούμενα, καὶ διὰ ταῦτα οὖν περὶ κινήσεως, καὶ συνεχοῦς, καὶ τόπου, καὶ χρόνου, καὶ ἀπείρου, καὶ κενοῦ, ζητεῖν ἀνάγκη τὸν φυσικόν. καὶ μέντοι ὅτι κοινὰ πάντων ἐστὶ ταῦτα τῶν φυσικῶν, καὶ καθόλου πᾶσιν ὑπάρχει. καὶ δεῖ προηγεῖσθαι τὴν πραγματείαν, τὴν τὰ κοινὴ πᾶσιν ὑπάρχοντα παραδιδοῦσαν. οἵα ἐστὶν ἡ προκειμένη νῦν εἰς ἐπίσκεψιν τῶν ἄλλων πραγματειῶν, τῶν τὰ ἰδίως ἑκάστῳ ὑπάρχοντα διδασκουσῶν. καὶ γὰρ πᾶν σῶμα φυσικὸν κίνησιν ἔχει. καὶ ἢ πεπερασμένον ἐστὶν ἢ ἄπειρον. καὶ ἐν τόπῳ κινεῖται ἢ καθ' ὅλον ἢ κατὰ μέρος, ὡς ἡ ἀπλανής. καὶ ὑπὸ χρόνου μετρεῖται ἡ κίνησις. κοινὰ οὖν ταῦτα. κοινὸς δὲ καὶ ὁ περὶ τοῦ κενοῦ λόγος. ὅτι τὸν τόπον κενόν τινες ὑπολαμβάνουσι. καὶ τὸ κενὸν τόπον σώματος ἐστερημένον. ταῦτα μὲν οὖν ὁ ἀριστοτέλης καὶ σαφέστερον τῶν ἐξηγητῶν παραδέδωκεν, ἀρχόμενος εὐθὺς τοῦ τρίτου βιβλίου. διδάσκει δὲ ἐν αὐτῷ περὶ κινήσεως καὶ περὶ ἀπείρου. ἐν δὲ τῷ τετάρτῳ περὶ τόπου, περὶ κενοῦ, καὶ περὶ χρόνου. τὸ γὰρ συνεχὲς παρῆκε νῦν. καὶ ὅτι καὶ τοῦ συνεχοῦς χωρὶς ἀναγκαῖος ἐστὶν ὁ περὶ ἀπείρου λόγος τῷ φυσικῷ. διότι τὰ φυσικὰ σώματα καὶ τὰς φυσικὰς κινήσεις ἀνάγκη ἢ ἄπειρα εἶναι ἢ πεπερασμένα. ὕστερον μέντοι καὶ περὶ τοῦ συνεχοῦς διαλέξεται. ἰστέον δὲ ὅτι ἐν πολλοῖς χωρίοις διάφορος ἡ γραφὴ τούτου τοῦ βιβλίου φέρεται. ἀλλ' ἐπὶ τὰ κατὰ μέρος τῆς λέξεως ἰτέον.

ΕΠΕΙ ΔΕ Η φύσις μέν ἐστιν ἀρχὴ κινήσεως καὶ μεταβολῆς, ἡ δὲ μέθοδος ἡμῖν περὶ φύσεώς ἐστι, δεῖ μὴ λανθάνειν τί ἐστι κίνησις ἀναγκαῖον γὰρ ἀγνοουμένης αὐτῆς, ἀγνοεῖσθαι καὶ τὴν φύσιν. διορισαμένοις δὲ περὶ κινήσεως, πειρατέον τὸν αὐτὸν ἐπελθεῖν τρόπον, περὶ τῶν ἐφεξῆς. δοκεῖ δ' ἡ κίνησις εἶναι τῶν συνεχῶν. τὸ δ' ἄπειρον ἐμφαίνεται πρῶτον ἐν τῷ συνεχεῖ. διὸ καὶ τοῖς ὁριζομένοις τὸ συνεχὲς, συμβαίνει προσχρῆσθαι πολλάκις τῷ λόγῳ τῷ τοῦ ἀπείρου. ὡς τὸ εἰς ἄπειρον διαιρετὸν, συνεχὲς ὄν.

νεχὲς ὄν. πρὸς δὲ τούτοις, ἄνευ τόπου καὶ κενοῦ καὶ χρόνου, ἀδύνατον κίνησιν εἶναι. δῆλον οὖν ὡς διά τε ταῦτα, καὶ διὰ τὸ πάντων εἶναι κοινὰ καὶ καθόλου ταῦτα πᾶσι. σκεπτέον προχειρισαμένοις περὶ ἑκάστου τούτων. ὕστερα γὰρ ἡ περὶ τῶν ἰδίων θεωρία τῆς περὶ τῶν κοινῶν ἐστι. πρῶτον δὲ καθάπερ εἴπομεν περὶ κινήσεως.

Κίνησιν μὲν καὶ μεταβολὴν ἐκ παραλλήλου τέθεικε νῦν. καὶ διὰ τὸ μήπω διῃρῆσθαι τινὶ διαφορᾷ κίνησιν μεταβολῆς, καὶ ὅτι κοινότερον μὲν ἡ μεταβολή, εἰδικώτερον δὲ ἡ κίνησις. ὅπερ ἀρχόμενος τοῦ πέμπτου βιβλίου φανερὸν ποιεῖ. μήποτε δὲ κίνησιν καὶ μεταβολὴν οἰκείως τοῖς ὕστερον διαιρεθησομένοις προσήγαγεν. ἐρεῖ γὰρ τὴν μὲν κατ᾽ οὐσίαν μεταβολὴν εἶναι καὶ οὐ κίνησιν. τὴν δὲ κατὰ ποσότητα καὶ ποιότητα καὶ τόπον, ταύτας κινήσεις εἶναι. κυρίως οὖν τὴν φύσιν ἀρχὴν κινήσεως καὶ μεταβολῆς εἶπεν, ἐπειδὴ καὶ τῆς κατ᾽ οὐσίαν καὶ τῶν ἄλλων αἰτία ἐστί. σημειοῦται δὲ ὁ Ἀλέξανδρος, ὅτι τὴν κίνησιν συνεχῆ λέγων, ἐν τῷ ποσῷ πάντως αὐτὴν τίθησι. τοῦ γὰρ ποσοῦ ἐστιν εἴδη τὸ συνεχὲς καὶ τὸ διωρισμένον. ἐν μέντοι ταῖς κατηγορίαις οὐ τίθησιν αὐτὴν ἐν τῷ ποσῷ. καὶ ἐνταῦθα δὲ μετ᾽ ὀλίγον ὑπὸ τὸ πρός τι τὴν κίνησιν ὑπάξει. ἤτοι οὖν φησι διὰ τοῦτο οὕτως εἶπε, δοκεῖ δὲ ἡ κίνησις εἶναι τῶν συνεχῶν, ὡς οὐκ ἀρεσκόμενος τούτῳ, ἢ μᾶλλον ἡ κίνησις πῶς μὲν καὶ συνεχές ἐστι καὶ ποσόν, πῶς δὲ πρός τι κατ᾽ ἄλλο καὶ ἄλλο λαμβανομένη. αὐτὴ μὲν γὰρ ἡ κίνησις ποσόν. τὸ δὲ ἐν κινήσει, πρός τι, ἅτε ἐν σχέσει τινὶ ὑπάρχον τῇ πρὸς τὸ κινοῦν. τὸ δὲ δοκεῖ φησι, σημεῖον ἐστὶ τοῦ ἀπὸ τῶν φαινομένων καὶ ἐναργῶν ἄρχεσθαι. εἰπὼν δὲ τὸ ἄπειρον ἐμφαίνεσθαι πρῶτον ἐν τοῖς συνεχέσι, δηλοῖ διὰ τοῦ πρῶτον, ὅτι κυρίως καὶ καθ᾽ αὑτὸ καὶ οὐ δι᾽ ἄλλου μέσου τὸ ἄπειρον ἐμφαίνεται ἐν τῷ συνεχεῖ. καθ᾽ αὑτὰ γὰρ ὑπάρχει ταῦτα, ὅσα τε ἐν τῷ ὁρισμῷ αὐτὰ παραλαμβάνεται τινῶν, καὶ ὧν αὐτὰ τὸν ἐκείνων ὅρον συμπληροῖ. ἀλλὰ καὶ ὅσα κατὰ τὴν πρὸς τὰ ὁμογενῆ σύγκρισιν ἀποτέμνεταί τι οἰκεῖον, τῶν κοινῶς ὑπαρχόντων τῷ γένει παντί, τοῦτο καθ᾽ αὑτό τε ὑπάρχει τούτων ἑκάστῳ. καὶ ἔστιν ἄλλος οὗτος ὁ τρόπος τοῦ καθ᾽ αὑτό. οὕτω τῷ πυρὶ καθ᾽ αὑτὸ τὸ ποιητικὸν ὑπάρχει, ἐπειδὴ παντὶ σώματι φυσικῷ τὸ ποιεῖν ἢ τὸ πάσχειν. τὸ δὲ πολλάκις προσέθηκεν, ὅτι οὐκ ἀεὶ τὸ συνεχὲς οὕτως ὁριζόμεθα, συνεχὲς λέγοντες τὸ εἰς ἄπειρα διαιρετόν. ἀλλὰ καὶ ἄλλος τίς ἐστιν ὁρισμός, ὃν αὐτὸς τέθεικεν ἐν κατηγορίαις, συνεχὲς λέγων, οὗ τὰ μόρια πρός τινα κοινὸν ὅρον συνάπτει. οὐκέτι δέ φησιν ὁ Ἀλέξανδρος καὶ τὸ διωρισμένον ποσὸν ὁριζόμενοι, προσχρώμεθα τῷ ἀπείρῳ. ὥς τε καὶ κατὰ τοῦτο πρῶτον εὐλόγως εἶπεν, ἐν τῷ συνεχεῖ αὐτὸ ἐμφαίνεσθαι. ἢ ὅτι τὸ ἐν τῷ διωρισμένῳ ἄπειρον ἀπὸ τοῦ συνεχοῦς ἔχει τὴν γένεσιν. ἡ γὰρ εἰς ἄπειρον τοῦ συνεχοῦς τομή, τὴν εἰς ἄπειρον αὔξησιν τῷ διωρισμένῳ παρέχεται. οὐκέτι μέντοι τὸ συνεχὲς ἐκ τοῦ διωρισμένου τὸ ἄπειρον ἔχει. οὐ γὰρ ἄπειρόν ἐστι τὸ διωρισμένον, τῷ ἐξ ἀπείρων συγκεῖσθαι. ἐπεὶ οὐδὲ ἔστιν ἄπειρα ἐνεργείᾳ διωρισμένα. ἀλλὰ τῇ ἀεὶ προσθέσει τὸ ἄπειρον ἔχει. ἡ δὲ ἀεὶ πρόσθεσις ἐκ τοῦ ἀνεκλείπτου τῆς τοῦ συνεχοῦς τομῆς γίνεται. οὐδὲ γὰρ τὸ συνεχὲς ἐνεργείᾳ τὸ ἄπειρον ἔχει. ἀλλὰ τῇ ἐπ᾽ ἄπειρον διαιρέσει. οὐδὲν δὲ ἄπειρον ἐνεργείᾳ ἐστὶν, ἀλλὰ τὸ ἐπ᾽ ἄπειρον. διατί οὖν τὸ μὲν διωρισμένον ἐκ τοῦ συνεχοῦς τὸ ἄπειρον ἔχει, τὸ δὲ συνεχὲς οὐκέτι ἐκ τοῦ διωρισμένου. ἢ ὅτι τὸ μὲν διαιρούμενον ἐπ᾽ ἄπειρον, τοῦτο δύναται τῷ διωρισμένῳ παρέχειν τὴν ἐπ᾽ ἄπειρον αὔξησιν. τὸ δὲ αὐξόμενον ἐπ᾽ ἄπειρον ἐν διορισμῷ, οὐκέτι τῷ συνεχεῖ τὸ ἐπ᾽ ἄπειρον δίδωσιν. ὅταν δὲ λέγῃ, πρὸς δὲ τούτοις ἄνευ χρόνου καὶ κενοῦ καὶ τόπου, κίνησιν ἀδύνατον εἶναι, οὐχ ὡς αὐτῷ δοκοῦν τοῦτο λέγει. ἀλλ᾽ ὡς τῶν πρὸ αὐτοῦ φυσιολόγων τοῖς περὶ Δημόκριτον ἀρέσαν, τὸ διὰ κενοῦ τὴν κίνησιν γίνεσθαι, καὶ τὸ κενὸν εἶναι τόπον ἐστερημένον σώματος. ὥς τε καὶ τῷ περὶ τόπου λόγῳ ἀναγκαῖος ὁ περὶ κενοῦ. τοῖς τε οὖν εἶναι τὸ κενὸν λέγουσι καὶ τοῖς μὴ εἶναι, ἀναγκαῖος ὁ περὶ αὐτοῦ λόγος. εἰκότως δὲ πρῶτον περὶ κινήσεως διαλαμβάνει. διότι μετὰ τὴν φύσιν ὁ περὶ κινήσεως ἐκδέχεται λόγος, ἐν τῷ ὁρισμῷ τῆς φύσεως παρειλημμένος. καὶ ὅτι τόπος καὶ χρόνος διὰ τὴν κίνησιν. δεῖ γὰρ εἶναι χρόνον, ἐπεὶ τὸ κινούμενον ποτὲ κινεῖται. καὶ τόπον, ἐπεὶ τὸ κινούμενον ποῦ κινεῖται. οὐ μέντοι ἀνάγκη κίνησιν εἶναι, ἐπειδὴ χρόνος ἐστὶν ἢ τόπος. τὸ δὲ κενὸν οὐδὲ ὂν ὅλως δειχθήσεται. τὸ δὲ ἄπειρον ἅμα μὲν οὐδὲ ὑφέστηκε. τῷ δὲ γίνεσθαι ὑφεστὼς, περὶ τὴν κίνησιν καὶ αὐτὸ τὸ εἶναι ἔχει. ἔτι δὲ σπουδῆς ἄξιος ὁ περὶ κινήσεως λόγος. καὶ ὅτι ἠμέληται τοῖς παλαιοτέροις, ὀλίγα περὶ αὐτῆς τοῦ Πλάτωνος εἰρηκότος. ἔτι δὲ πάντα τὰ ὄντα, ἢ κινήσεις εἰσίν, ὡς γένεσις καὶ ἀλλοίωσις. ἢ ἀρχαὶ κινήσεως, ὡς θεὸς, ψυχὴ, φύσις. ἢ κινούμενα, ὡς τὰ σώματα τά τε ἁπλᾶ, καὶ τὰ σύνθετα. ἢ ἐν οἷς τὰ κινούμενα, ὡς χρόνος καὶ τόπος. ἐπιστῆσαι δὲ ἄξιον, εἰ μὴ ἀνάγκη ὥσπερ κινήσεως οὔσης ἔστι χρόνος, οὕτω χρόνου ὄντος εἶναι κίνησιν, εἴπερ ἀριθμὸς κινήσεώς ἐστιν ὁ χρόνος. ἀλλ᾽ οὐ διὰ τὸν χρόνον ἡ κίνησις, ἀλλ᾽ ὁ χρόνος διὰ τὴν κίνησιν. καὶ νῦν μὲν τὴν οὐσίαν τῆς κινήσεως ἥτις ποτέ ἐστιν ὑπογράφει. ὅσα δὲ ἀκολουθεῖ τῷ λόγῳ τῆς κινήσεως, θεωρήματα πολλὰ ὄντα καὶ ποικίλα, ἐν τοῖς τέτρασι βιβλίοις τοῖς τελευταίοις διαπεραίνεται.

Ἔστι δή τι, τὸ μὲν, ἐντελεχείᾳ μόνον. τὸ δὲ, δυνάμει καὶ ἐντελεχείᾳ, τὸ μὲν τόδε τι. τὸ δὲ, τοσόνδε. τὸ δὲ, τοιόνδε. καὶ ἐπὶ τῶν ἄλλων τῶν τοῦ ὄντος κατηγοριῶν, ὁμοίως.

Μέλλων δεικνύναι τί ἐστι κίνησις, καὶ τὸν ὁρισμὸν αὐτῆς ὡς δυνατὸν συνάγειν, καὶ ἐν τίνι ἐστὶν ὅτι ἐν
τῷ κινουμένῳ, καὶ τρίτον ὅτι τῶν πολλαχῶς λεγομένων ἐστὶν ἡ κίνησις, καὶ τέταρτον ὅτι ἕκαστον
εἶδος κινήσεως, εἰς ἀντίθετα εἴδη διαιρεῖται, οἷον τὸ κατ' οὐσίαν εἰς γένεσιν καὶ φθοράν, τὸ κατὰ χρῶ-
μα εἰς λεύκανσιν καὶ μέλανσιν, καὶ ὅλως τὸ κατὰ ποιότητα εἰς τὰς ἀντικειμένας ἀλλήλαις ποιό-
τητας, τὸ κατὰ ποσότητα εἰς αὔξησιν καὶ μείωσιν, τὸ κατὰ τόπον εἰς ἀνάβασιν καὶ κατάβασιν καὶ
τὰ λοιπά, μέλλων οὖν ταῦτα περὶ κινήσεως διδάσκειν, ὡς καὶ τῶν ἄλλων εἰς τὸν περὶ τοῦ τί ἐστι
λόγον συντελούντων, καὶ ὡς αὐτάρκως τέως εἰς τὴν ὁλοσχερῆ περὶ αὐτῆς γνῶσιν, ἀξιώματα τέσ-
σαρα προλαμβάνει. ὧν ἕκαστον εἰς ἕκαστον τῶν εἰρημένων συντελεῖ κατὰ τάξιν. καὶ τὸ μὲν πρῶτον ἐκ
διαιρέσεως εἴληπται τοιοῦτον. τῶν ὄντων τὰ μέν ἐστιν ἐντελεχείᾳ μόνον, τὰ δέ, δυνάμει καὶ ἐντελεχείᾳ.
καὶ τὸ μέν, τόδε τι. τὸ δέ, τοιόνδε. τὸ δέ, τοσόνδε. καὶ τῶν ἄλλων τῶν τοῦ ὄντος κατηγοριῶν. τὸ μὲν οὖν ἐντελε-
χείᾳ μόνον κατὰ τὰς οὐσίας τῶν ἀγενήτων ὑπάρχει, καὶ τὰς οὐσιώδεις αὐτῶν ἐνεργείας. τὸ δὲ δυ-
νάμει καὶ ἐντελεχείᾳ κατὰ πάσας τὰς κατηγορίας ἐν τοῖς γενητοῖς. καὶ ἔτι ἁπλῶς μὲν ἐντελε-
χείᾳ μόνον τὰ ἄϋλα καὶ πρῶτα εἴδη. οὐδὲν γὰρ ἄλλο γενέσθαι δύναται παρ' ὅ ἐστιν ἐξ ἀρχῆς. ἐντε-
λεχείᾳ δὲ καὶ δυνάμει, τὰ σύνθετα ἐξ ὕλης καὶ εἴδους. ἐντελεχείᾳ μέν, καθ' ὅσον ἔχει τινὰ ἤδη μορ-
φὴν καὶ διάθεσιν ἐνεργείᾳ, ὥσπερ ὁ χαλκός. δυνάμει δέ, ὅτι καὶ ἑτέραν οἷα τε δέξασθαι, τὴν τοῦ
ἀνδριάντος. τὸ δὲ αἰθέριον σῶμα κατὰ μὲν τὴν οὐσίαν ἐντελεχείᾳ μόνον ἐστίν. οὐ γὰρ ἂν μεταβάλλοι
ποτὲ κατ' οὐσίαν. μετέχει δέ πως καὶ τοῦ δυνάμει διὰ τὴν τοπικὴν κίνησιν, καὶ τὰς κατ' αὐτὴν γινο-
μένας διαφόρους ἀλλήλων μεθέξεις. οὐ γὰρ πανταχοῦ ἅμα ἐστίν. οὐδὲ ἀεὶ ὁμοία ἡ πάντων σύγκρα-
σις. ὡς δηλοῖ τὰ ἀπὸ τῶν διαφόρων σχηματισμῶν ἀποτελούμενα διάφορα ὄντα. καὶ ἔστιν ἄφυκτος
ἡ διαίρεσις. τὸ μὲν γὰρ τέλειον ἦν, ὅτι τῶν ὄντων τὰ μέν, ἐντελεχείᾳ μόνον, τὰ δέ, δυνάμει μόνον,
τὰ δέ, δυνάμει καὶ ἐντελεχείᾳ. ἀλλ' οὐδέν ἐστιν ὃ δυνάμει μόνον ἐστὶ καθ' ὑπόστασιν. πᾶν γὰρ τὸ δυνά-
μει ἐνεργείᾳ τι ὄν, ἔχει δύναμιν ἐν ἑαυτῷ ἀτελῆ, καθ' ἣν δύναταί τι ἄλλο παρ' ἑαυτὸ προσλαβεῖν.
ὥσπερ τὸ δυνάμει λευκὸν ἐνεργείᾳ σῶμα ὄν, δυνάμει λευκόν ἐστιν, ὡς μήπω μὲν ὂν λευκόν, πεφυ-
κὸς δὲ μεταβάλλειν εἰς τὸ λευκόν, καὶ διὰ τοῦτο δυνάμει λεγόμενον λευκόν. κἂν τῇ ὑποστάσει δὲ ἓν τὸ
τοιοῦτον ἐστίν, ἀλλὰ τῷ γε λόγῳ ἄλλο μέν ἐστι τὸ ὑποκείμενον, ὃ λέγομεν δύνασθαι καὶ πεφυκέναι,
οἷον τὸ χρῶμα. ἄλλο δὲ ἡ ἀτελὴς ἐν αὐτῷ δύναμις, ὅπερ ἐστὶν αὐτὸ τὸ δυνάμει, ὥσπερ τὸ ὁρατὸν εἶ-
ναι, ἅπερ τὸ μέν ἐστι ποιόν, τὸ δὲ πρός τι. οὕτω δὲ ἄλλο μὲν τὸ χιόνι εἶναι, ἄλλο δὲ τὸ τηκτῷ εἶναι. εἰ γὰρ
ταὐτόν ἐστι ταῦτα, εἴη ἂν τὸ χιόνι εἶναι καὶ τηκτῷ εἶναι. τὰ δὲ τῷ αὐτῷ ταὐτὰ καὶ ἀλλήλοις ταὐτά.
ὥστε καὶ τὸ τμητῷ εἶναι τὸ τηκτῷ εἶναι ταὐτὸν ἂν εἴη. ὥστε καὶ τὸ τετμῆσθαι τῷ τετῆχθαι ταὐτὸν ἂν εἴη. ὡς
γὰρ τὰ δυνάμει, οὕτω καὶ τὰ ἐνεργείᾳ. καὶ ὁ πλωτῖνος δὲ ἐν ἀρχῇ τοῦ βιβλίου ὃ περὶ τοῦ δυνάμει
» καὶ ἐνεργείᾳ ἐπέγραψε, τὸ αὐτὸ δείκνυσι λέγων, δεῖ τοίνυν τὸ δυνάμει τι ὄν, ἄλλο μετ' αὐτὸ δύνα-
» σθαι, ἤτοι μένον μετὰ τοῦ ἐκεῖνο ποιεῖν, ἢ παρέχον ἑαυτὸ ἐκείνῳ ὃ δύναται, φθαρὲν αὐτὸ δυνάμει
» λέγεται. ἄλλως γὰρ δυνάμει ἀνδριὰς ὁ χαλκός, καὶ ἄλλως τὸ ὕδωρ δυνάμει χαλκός, καὶ ὁ ἀὴρ
» πῦρ. καὶ ὅλως αὐτός φησι δεῖ τὸ δυνάμει μὴ ἁπλῶς λέγεσθαι. οὐ γάρ ἐστι τὸ δυνάμει μηδενὸς εἶναι.
» οἷον δυνάμει ἀνδριὰς ὁ χαλκός. εἰ γὰρ μηδὲν ἐξ αὐτοῦ, μηδὲ ἐπ' αὐτῷ, μηδὲ ἔμελλε μηδὲν ἔσεσθαι
» μεθ' ὃ ἦν, μηδὲ ἐνεδέχετό τι γίνεσθαι, ἦν ἂν ὃ ἦν μόνον. ὃ δὲ ἦν, ἤδη παρῆν, καὶ οὐκ ἔμελλε. τί οὖν
ἐδύνατο ἄλλο μετὰ τὸ παρὸν αὐτό. τί οὖν ἂν ἦν μόνον δυνάμει. ὁ δὲ ταῦτα εἰπών, ἐπὶ τέλει τοῦ βι-
βλίου τὴν ὕλην δυνάμει μόνον εἶναί φησι, μηδὲν οὖσαν ἐνεργείᾳ τῶν ὄντων. μήποτε δὲ τὸ πρῶτον ὂν εἶδος
εἶναι βουλόμενος, μέχρι τῶν εἰδῶν βούλεται φθάνειν τὸ ὄν. διὸ τὴν ὕλην τῶν εἰδῶν ἐκπεπτωκυῖαν,
ἐκρίφθαι καὶ τοῦ ὄντος. καὶ διὰ τοῦτο μὴ ὂν οὖσαν, δυνάμει μόνον εἶναι ὅ ἐστι. καίτοι καὶ τὸ δυνάμει
καὶ τὸ οὕτω μὴ ὄν, οὔπω τελέως τοῦ ὄντος ἐκπέπτωκεν. ὅλως δὲ εἰ μὲν οὕτω δυνάμει, ὡς μεταβάλ-
λειν εἰς τὸ ἐνεργείᾳ, ὡς τὸ ὕδωρ εἰς ἀέρα, φθείροιτο ἂν ἡ ὕλη. ὅπερ οὐ βούλεται. εἰ δὲ ὡς μένον δέχε-
ται τὸ ἐνεργείᾳ, ὡς ὁ χαλκὸς τὸ τοῦ ἀνδριάντος σχῆμα, ἄλλό τι οὖσα ἐνεργείᾳ, πέφυκε δέχεσθαι τὰ
εἴδη. εἰ δὲ μηδὲν ἄλλο οὖσα δέχοιτο τὸ ἐνεργείᾳ, ταὐτὸν ἂν εἴη τὸ δυνάμει καὶ τὸ ἐνεργείᾳ. ὅπερ οὐ
βούλεται. καὶ γὰρ οὐδὲ δυνάμει τὸ εἶδος ἐστὶν ἡ ὕλη. ἀλλὰ μένουσα ὅ ἐστιν ἐνεργείᾳ, πέφυκε δέχεσθαι
τὰ εἴδη. ὁ δὲ πορφύριος οὐκ ἀποδέχεται τὸν ἀλέξανδρον οὕτω στίξαντα, ὡς τῷ ἐντελεχείᾳ μόνον ἀν-
τιδιῃρῆσθαι τὸ δυνάμει καὶ ἐντελεχείᾳ. εἰπὼν γάρ φησιν, ὅτι τὰ μέν, ἐντελεχείᾳ, τὰ δὲ δυνάμει,
ἀναλαβὼν τὰ ἐντελεχείᾳ, καὶ ἐντελεχείᾳ φησί, τὸ μέν, τὸ δέ τι, τὸ δὲ τοσόνδε, καὶ τὰ ἑξῆς. τὸ δὲ δυ-
νάμει οὐ διαιρεῖται εἰς τὰς κατηγορίας. οὐ γάρ ἐστι τὸ δυνάμει δεκαχῶς, ἀλλ' ἐναχῶς. ἡ γὰρ ἀνωτά-
τω ὕλη, ἥπερ ἐστὶ τὸ δυνάμει, μία. εἴτε δὲ τὸ ἐντελεχείᾳ λαμβάνει, ὅπερ ἐστὶ τὸ σύνθετον, οἷον τὸν ἀν-
δριάντα, εἴτε τὴν ἐντελέχειαν, ὅπερ ἐστὶ τὸ ἁπλοῦν οἷον τὸ εἶδος, δεκαχῶς ἑκάτερον. καὶ μήποτε φη-
σὶ καὶ τὸ δυνάμει δεκαχῶς. προελθὼν γὰρ ὁ ἀριστοτέλης αὐτός, οὕτως εἶπε, διῃρημένου δὲ καθ' ἕκα-
στον γένος, τοῦ μέν, ἐντελεχείᾳ, τοῦ δέ, δυνάμει. ταῦτα μὲν οὖν ὁ πορφύριος, τὸ δυνάμει τῷ ἐντελε-
χείᾳ μόνον βουλόμενος ἀντιτεθῆναι παρὰ τοῦ ἀριστοτέλους, ἀλλ' οὐχὶ τὸ δυνάμει καὶ ἐντελεχείᾳ.

καὶ ἴσως ἐκ τούτου τοῦ ῥητοῦ ταύτην ἔσχε τὴν ὑπόνοιαν τοῦ λέγοντος, διῃρημένου δὲ καθ' ἕκαστον γέ-
νος, τοῦ μὲν ἐντελεχείᾳ, τοῦ δὲ δυνάμει. ἀλλ' εἰ μὲν ὡς τὰ πολλὰ τῶν ἀντιγράφων φέρεται, οὕτως
ἔχει καὶ ἡ ἀρχαία γραφή, ἔστι δή τι τὸ μὲν, ἐντελεχείᾳ μόνον, τὸ δὲ δυνάμει καὶ ἐντελεχείᾳ, τὸ μὲν
τόδε τι, τὸ δὲ τοσόνδε, καὶ τὰ ἑξῆς, σαφῶς τὸ μόνον προσκείμενον, δηλοῖ τὴν διαίρεσιν τοῦ ἐντελε-
χείᾳ μόνως πρὸς τὸ ἐντελεχείᾳ ἅμα καὶ δυνάμει γεγενῆσθαι, ὡς Ἀλέξανδρος καὶ Θεμίστιος ἐξεδέ-
ξαντο. εἰ γὰρ τῷ ἐντελεχείᾳ τὸ δυνάμει μόνον ἀντετίθει, μηδαμοῦ τὸ συναμφότερον παραλαμβά-
νων, διατί προσετίθει τὸ μόνον ἐπὶ τοῦ ἐντελεχείᾳ. πῶς δὲ κατάλληλος ἂν ἦν ἡ ἑρμηνεία, μετὰ ἀ-
ποστάσεως λέγουσα, τὸ μὲν, τόδε τι, τὸ δὲ, τοσόνδε. εἰ μέντοι ὥς τινα τῶν βιβλίων γέγραπται
οὕτως ἔχει τὸ ῥητὸν, ἔστι δή τι τὸ μὲν, ἐντελέχεια, τὸ δὲ δυνάμει, καὶ ἐντελεχείᾳ τὸ μὲν, τόδε τι, τὸ
δὲ, τοσόνδε, δύναται μὲν καὶ οὕτω στίζεσθαι ὡς ὁ Πορφύριος ἐξεδέξατο. διατί δὲ τὸ ἐντελεχείᾳ
μόνον εἰς τὰς δέκα διαιρεῖ κατηγορίας, καίτοι καὶ τοῦ δυνάμει ἐν πάσαις θεωρουμένου, ὡς αὐτὸς
ὁ Πορφύριος ὡμολόγησε, καὶ τὴν Ἀριστοτέλους παραθέμενος ῥῆσιν, τὴν λέγουσαν, διῃρημένου δὲ
καθ' ἕκαστον γένος τοῦ μὲν ἐντελεχείᾳ, τοῦ δὲ δυνάμει. μήποτε οὖν ἡ μὲν ἐξ ἀρχῆς διαίρεσις, εἰς τὸ ἐν-
τελεχείᾳ μόνον γέγονε, καὶ τὸ ἐντελεχείᾳ καὶ δυνάμει. καὶ τοῦτο διῃρῆσθαί φησιν εἰς τὰς δέκα κα-
τηγορίας. τῷ γὰρ ἐντελεχείᾳ μόνον, ὅπερ ἐστὶ τὸ ἄυλον καὶ νοητὸν εἶδος, οὔτε τὸ ποῦ, οὔτε τὸ ποτὲ,
οὔτε τὸ κεῖσθαι συναρμόττει. τὸ δὲ δυνάμει καὶ ἐντελεχείᾳ καθ' ἕκαστον γένος θεωρούμενον, οἷον ἐν ποιό-
τητι ποτὲ μὲν ἐνεργείᾳ θερμόν ἐστιν ἢ λευκὸν, ὅτε ἤδη τὸ εἶδος ἀπέλαβε, ποτὲ δὲ δυνάμει, ὅτε οὔ-
πω μέν ἐστι δύναται δὲ γενέσθαι. τούτου οὖν οὕτως ἔχοντος, εἰκότως εἶπε, διῃρημένου δὲ καθ' ἕκα-
στον γένος, τοῦ μὲν, ἐντελεχείᾳ, τοῦ δὲ, δυνάμει. τοῦτο γὰρ καὶ ἐν ἀρχῇ τῆς διαιρέσεως, τὸ ἐνεργείᾳ
ἅμα καὶ δυνάμει ἐν πάσαις ἔλεγε θεωρεῖσθαι ταῖς κατηγορίαις, τὸ ἐνεργείᾳ μόνον οὐ λέγων διαι-
ρεῖσθαι εἰς τὰς δέκα κατηγορίας, οὐδὲ παραλαμβάνων αὐτὸ νῦν, πλὴν τοῦ τελείου τῆς διαιρέ-
σεως ἕνεκεν. ἰστέον δὲ ὅτι οὐχ ὡς γένος τὸ ὂν διαιρεῖ, εἰς τὸ ἐντελεχείᾳ, καὶ εἰς τὸ δυνάμει καὶ ἐντε-
λεχείᾳ, ἀλλ' ὡς ὁμώνυμον φωνήν. καὶ ὅτι ἄλλο μέν ἐστι τὸ δυνάμει, ἄλλο δὲ ἡ δύναμις. καὶ τῷ μὲν
δυνάμει ἀντίκειται τὸ ἐνεργείᾳ. τῇ δὲ δυνάμει ἡ ἐνέργεια. καὶ δύναμις μέν ἐστι παρασκευὴ τελεία τῆς
οὐσίας, καὶ ἑτοιμότης ἀκώλυτος πρὸς τὸ ἐνεργεῖν οἰστικὴ τῆς ἐνεργείας. τὸ δυνάμει δὲ, ἐπιτηδειότης,
ἀτελὴς πρὸς ὃ λέγεται δυνάμει, τὸ ἐνεργείᾳ παρ' ἄλλου δεχομένη, καὶ οὐκ ἀφ' ἑαυτῆς προβάλ-
λουσα. τὸ δὲ ἐνεργείᾳ τοῦτό ἐστιν, ὃ ἐνεργεῖν ἤδη δύναται κατ' ἐκεῖνο, καθ' ὃ λέγεται. ἐνεργείᾳ γὰρ
ἄνθρωπος ὁ ἤδη κατὰ τὸ ἀνθρώπινον εἶδος ἐνεργῶν. ἐνέργεια δέ ἐστιν ἡ τῇ δυνάμει ἀντικειμένη, καὶ ἡ
ἀπὸ τῆς δυνάμεως προβαλλομένη ἐνεργὸς κίνησις. ἐνεργὸς δὲ καὶ ἡ ἐν τῷ ἔργῳ. ἔργον δὲ ἥ τε ποίησις
ἐστὶ καὶ ἡ πρᾶξις. καὶ ἀπὸ μὲν τῆς δυνάμεως τῆς ἔνδον μενούσης καὶ μὴ ἐκφανοῦς, τὸ τοῦ δυνάμει ὄ-
νομα παρήχθη, ἐν ἐπιτηδειότητι μόνῃ τῆς οὐσίας θεωρουμένῃ, αὐτῆς ἂν τῆς οὐσίας οἷον διάθεσις.
ἀπὸ δὲ τῆς ἐνεργείας τὸ ἐνεργείᾳ κατὰ τῆς οὐσίας πάλιν ὡς ἐνεργοῦ θεωρουμένης. χρησιμεύει δὲ αὐ-
τῷ ὡς εἶπον τὸ λῆμμα τοῦτο, τὸ διαιροῦν τὰ ὄντα εἴς τε τὰ ἐντελεχείᾳ, καὶ εἰς τὰ δυνάμει καὶ ἐν-
τελεχείᾳ, πρὸς τὴν ἀπόδοσιν τοῦ τῆς κινήσεως ὁρισμοῦ, ὡς προϊόντες εἰσόμεθα.

ΤΟΥ ΔΕ πρός τι, τὸ μὲν καθ' ὑπεροχὴν καὶ ἔλλειψιν λέγεται. τὸ δὲ, κατὰ τὸ ποιητικὸν καὶ πα-
θητικόν. καὶ ὅλως κινητικόν τε, καὶ κινητόν. τὸ γὰρ κινητικὸν, κινητικὸν τοῦ κινητικοῦ. καὶ τὸ κινη-
τὸν, κινητὸν ὑπὸ τοῦ κινητικοῦ.

Δεύτερον τοῦτο λῆμμα προσλαμβάνει, χρήσιμον ὑπάρχον αὐτῷ, πρὸς τὸ δεῖξαι ἐν τίσιν ἐστὶν ἡ κίνη-
σις, ὅτι ἐν τοῖς κινητοῖς. διαίρεσιν δὲ ἐν αὐτῷ τῶν πρός τι ποιεῖται, οὐ πάντα τὰ εἴδη τοῦ πρός τι
διαιρούμενος, ἀλλὰ τούτων μόνων μνημονεύων, τοῦ τε κατὰ ὑπεροχὴν καὶ ἔλλειψιν, καὶ τοῦ κατὰ
τὸ ποιητικὸν καὶ παθητικόν. διότι αὐτὸς μὲν ἐν τῷ ποιητικῷ καὶ παθητικῷ τὴν κίνησιν οἴεται εἶναι, ἄλ-
λοι δέ τινες ἐν ὑπεροχῇ καὶ ἐλλείψει. οὓς προϊὼν διελέγχειν πειράσεται. καὶ γάρ ἐστι μὲν ἡ κίνη-
σις ἐν τῷ πρός τι. ἀλλ' ὁ μὲν Πλάτων ἐν ὑπεροχῇ καὶ ἐλλείψει αὐτὴν ἐτίθετο, ἀνισότητα λέγων
καὶ ἀνομοιότητα καὶ ἑτερότητα τοῦ κινοῦντος πρὸς τὸ κινούμενον, τὰ τῆς κινήσεως αἴτια. ὁ δὲ Ἀρι-
στοτέλης, οὐκ ἐν τούτῳ τῷ εἴδει, ἀλλ' ἐν τῷ ποιητικῷ καὶ παθητικῷ, καὶ ὅλως τῷ κινητικῷ καὶ κι-
νητῷ. ἐν πολλοῖς γὰρ ἡ τοῦ κινοῦντος ἐνέργεια ποίησις οὖσα, πάθησίς ἐστιν, εἰς ὃν ἡ ἐνέργεια δρᾶται.
οἷον ἡ τοῦ τύπτοντος ἐνέργεια ἡ κατὰ τὸ τύπτειν, ἐν τῷ τυπτομένῳ ἐστὶ πάθος τὸ τύπτεσθαι. καὶ τὸ
ποιητικὸν πρὸς τὸ παθητικὸν, καὶ τὸ κινητικὸν πρὸς τὸ κινητόν. τὰ δὲ δυνάμει ἔλαβεν ἐν οἷς ἡ κίνη-
σις, ὅτι ἡ τούτων ἐντελέχεια ἡ κίνησίς ἐστιν ὡς δειχθήσεται. ἀντιθεὶς δὲ τῷ ποιητικῷ τὸ παθητικὸν
κατὰ τὴν συνήθειαν τῶν ὀνομάτων, ἐπειδὴ κατὰ τὸ σχῆμα τῆς λέξεως, τῷ μὲν ποιητικῷ τὸ ποιητὸν
ἀντίκειται, τῷ δὲ παθητικῷ τὸ παθητὸν, οὐκ ὠνόμασται δὲ τὸ παθητικὸν ἐπὶ τοῦ πάθος ἐμποιοῦν-
τος, ἀλλ' ἐπὶ τοῦ αὐτοῦ τῷ παθητῷ, ἐπὶ τὰ σαφέστερα καὶ τοῖς προκειμένοις οἰκειότερα μετῆλθεν,
ἐπὶ τὸ κινητικὸν τοῦ κινητοῦ. ἐν οἷς τὸ μὲν, ἐνεργητικόν ἐστι σαφῶς, τὸ δὲ, παθητικὸν καὶ κατὰ τὴν
λέξιν. ὅτι δὲ τὸ καθ' ὑπεροχὴν καὶ ἔλλειψιν τῶν πρός τι ἐστὶ, δηλοῖ τὸ μέγα καὶ τὸ μικρόν. καὶ ἀλ-

λα δὲ εἴδη πολλὰ τοῦ πρός τι ἐστὶ, τὰ μὲν, ἐν ἰσότητι, τὰ δὲ, ἐν ὁμοιότητι, τὰ δὲ, κατὰ κρίσιν. ὡς τὸ ὁρατικὸν καὶ ὁρατὸν, καὶ ἐπιστήμη καὶ ἐπιστητόν. αὐτὸς δὲ ταῦτα μόνον τοῦ πρός τι εἴδη, τὰ νῦν αὐτῷ χρειώδη πρὸς τὴν κίνησιν παρέλαβεν. ἐξ ὧν δείκνυσιν, ὅτι οὐκ ἐν ὑπεροχῇ καὶ ἐλλείψει ἐστὶν ἡ κίνησις, ὥς τισιν ἐδόκει, ἀλλ' ἐν τῷ κινητικῷ καὶ τῷ κινητῷ, ἤτοι τῷ ποιητικῷ καὶ παθητικῷ. καὶ ὅλως ἐν τοῖς ἀπὸ τοῦ δυνάμει εἰς τὸ ἐνέργεια ὑπὸ τοῦ ἐνεργείᾳ ὄντος μεταβάλλουσιν. ὅτι δὲ τῶν πρός τι ἐστὶ τὸ κινητικὸν καὶ τὸ κινητὸν, διὰ τῆς ἀντιστροφῆς ἔδειξεν εἰπὼν, τὸ γὰρ κινητικὸν τοῦ κινητοῦ κινητικὸν, καὶ τὸ κινητὸν κινητὸν ὑπὸ τοῦ κινητικοῦ.

ΟΥΚ ἜΣΤΙ δὲ κίνησις παρὰ τὰ πράγματα. μεταβάλλει γὰρ ἀεὶ τὸ μεταβάλλον, ἢ κατ' οὐσίαν. ἢ κατὰ ποσὸν ἢ κατὰ ποιόν. ἢ κατὰ τόπον. κοινὸν δ' ἐπὶ τούτων, οὐθὲν ἐστὶ λαβεῖν. ὥς φαμὲν, ὃ οὔτε τόδε. οὔτε ποσόν. οὔτε τῶν ἄλλων κατηγορημάτων οὐθέν. ὥστ' οὐδὲ κίνησις, οὔτε μεταβολὴ, οὐδενὸς ἔσται παρὰ τὰ εἰρημένα. μηδενός γε ὄντος παρὰ τὰ εἰρημένα.

ΤΡΙΤΟΝ τοῦτο λῆμμα προσλαμβάνει, ὅτι οὐκ ἔστι τις κίνησις παρὰ τὰ κινούμενα πράγματα. δι' οὗ συνίστησι μὲν καὶ τὸ προειρημένον, ὅτι ἐν κινητοῖς ἢ ἐν κινητικοῖς ἡ κίνησις. εἰ γὰρ μὴ ἔστι κίνησις παρὰ τὰ πράγματα, ἐν τοῖς κινουμένοις ἢ κινοῦσιν ἡ κίνησις. καὶ οὐκ ἂν εἴη κίνησις καθ' ἑαυτὴν, οὔτε ὡς ἰδέα κινήσεως αὐτὸ τοῦτο κίνησις οὖσα, μηδενὸς δὲ κίνησις, ὡς δοκεῖ λέγειν ὁ πλάτων καὶ ἐν σοφιστῇ καὶ ἐν παρμενίδῃ, οὔτε οὐσία τις κίνησις αὐτὸ τοῦτο οὖσα, ὡς ὁ πλάτων ὁρίζεται τὴν ψυχὴν, κίνησιν αὐτοκίνητον λέγων. εἰ γὰρ ἐν τοῖς κινουμένοις πράγμασιν ἢ τοῖς κινοῦσιν ἐστὶν ἡ κίνησις, συμβεβηκός τι ἐστιν ἡ κίνησις, καὶ οὐχὶ οὐσία καθ' ἑαυτὴν θεωρουμένη. δείξει δὲ ὅτι ἐν τοῖς κινουμένοις. καὶ ταῦτα οὖν διὰ τοῦ εἰρημένου λήμματος συνίστησι. καὶ ἔτι προφανέστερον καὶ εἰδικώτερον, ὅτι ὁμώνυμός ἐστιν ἡ κίνησις. καὶ οὐκ ἔστι κοινὸν γένος παρὰ τὰ καθ' ἕκαστον, ἡ αὐτὸ τοῦτο γενικὴ κίνησις. ἐπεὶ γὰρ ἐν αὐτοῖς μόνοις τοῖς πράγμασιν ἐστὶν ἡ κίνησις, τετραχῶς ὑφεστῶσα, κατὰ οὐσίαν, κατὰ ποιότητα, κατὰ ποσότητα, κατὰ τόπον, τούτων δὲ οὐδέν ἐστι κοινὸν γένος, ἐπεὶ γὰρ αὐτὰ ταῦτα πρῶτα γένη νενόμισται. καὶ διὰ τούτου δὲ ὡς ἔφαμεν ὑπομιμνήσκει, τοῦ δεδεῖχθαι μὴ εἶναι κοινὸν γένος τῶν δέκα κατηγορημάτων τὸ ὄν. εἰ γὰρ ἦν τι κοινὸν ἐκείνων ἐν οἷς ἡ κίνησις, ἦν ἂν καὶ ἡ κίνησις πρῶτον ἐν ἐκείνῳ τῷ κοινῷ. καὶ αὕτη γένος ἂν ἦν τῶν ὑπ' αὐτὴν κινήσεων, καὶ οὐκέτι τῶν πολλαχῶς λεγομένων ἡ κίνησις ἦν. οὕτω γὰρ ἂν ἔχῃ ἡ κίνησις ὡς τὰ ἐν οἷς ἡ κίνησις ἐστὶν, ἐπεὶ μὴ ἔστιν ἔξω τῶν πραγμάτων. ὅτι δὲ οὐκ ἔστι παρὰ τὰ πράγματα ἡ κίνησις, οὐδὲ ἔξω αὐτῶν θεωρουμένη, δείκνυσιν ἐκ τῆς ἐπαγωγῆς. μεταβάλλει γάρ φησι τὸ μεταβάλλον, ἢ κατ' οὐσίαν, ἢ κατὰ ποσὸν, ἢ κατὰ ποιὸν, ἢ κατὰ τὸ ποῦ. καὶ οὐδὲν οἷόν τε ἐπινοῆσαι μεταβάλλον μὲν, μὴ κατά τι δὲ τούτων. ἀλλ' ὅτι μὲν οὐ πρὸς τὸν ὁρισμὸν τῆς ψυχῆς ἀποτείνεται νῦν ὁ ἀριστοτέλης, τὸν κίνησιν αὐτὴν αὐτοκίνητον λέγοντα, οὐδὲ πρὸς τὴν ἰδέαν τῆς κινήσεως, δῆλον ἂν γένοιτο τῷ ἐφιστάνοντι, ὅτι τὴν ὡς γένος κίνησιν ἀναιρῶν, δείκνυσι τῶν πολλαχῶς λεγομένων εἶναι τὴν κίνησιν. οὔτε δὲ ἡ ἰδέα τῶν κινήσεων, οὔτε ἡ ψυχὴ γένος ἐστὶ κινήσεως, κατὰ τὸ περιπατητικὸν σημαινόμενον τοῦ γένους. ἐπεὶ γὰρ τὰ γένη συμπληρωτικὰ τῶν εἰδῶν ἐστὶ, καὶ ἐπεὶ γὰρ ἐπίσης αὐτοῖς ὑπάρχει μήποτε δὲ τινων ἥπτετο καὶ τότε τὴν κίνησιν ἰδέως ταῖς κατηγορίαις συναριθμούντων, ὥσπερ ὁ πλωτῖνος ὕστερον. καὶ διὰ τοῦτο λέγει μὴ εἶναι γένος τὴν κίνησιν. εἰ δὲ πᾶσα κίνησις ὑπὸ τὸ πρός τι, ἐν τῷ κινητικῷ καὶ ἐν τῷ κινητῷ θεωρουμένη, πῶς ὑφ' ἓν γένος αἱ κινήσεις οὖσαι, οὐχὶ συνώνυμοι εἰσὶν ἀλλ' ὁμώνυμοι. ἢ οὐδὲν κωλύει φησὶν ἀλέξανδρος τινὰ ὑπὸ ἕν τι γένος ὄντα, ὁμώνυμα ἀλλήλοις εἶναι. οἱ γοῦν ἀλέξανδροι ὄντες ὑπὸ τὴν οὐσίαν καὶ τὸ ζῶον καὶ τὸν ἄνθρωπον, ὅμως ὁμώνυμοι εἰσὶν ἀλλήλοις. καὶ τὸ ἴσον ὑπὸ τὸ πρός τι ὂν, ὁμώνυμόν ἐστι τῷ ἐν τῷ συνεχεῖ καὶ τῷ ἐν τῷ διωρισμένῳ. οὕτω δὲ καὶ ἡ κίνησις ἔστι μὲν ὑπὸ τὸ πρός τι, τῷ ἑκάστην αὐτῶν πρὸς ἄλλο εἶναι. ὁμώνυμοι μέντοι αἱ κινήσεις, τῷ μὴ δὲ ἔχειν κοινὸν ὡς γένος τὰ ἐν οἷς εἰσιν, ἀλλ' εἶναι διαφέροντα γένη. ἄλλο γὰρ οὐσία, ἐν ᾗ γένεσις καὶ φθορά. καὶ ἄλλο ποιότης, ἐν ᾗ ἀλλοίωσις. καὶ ἄλλο ποσότης, ἐν ᾗ αὔξησις καὶ μείωσις. καὶ ἄλλο ἡ ποῦ κατηγορία, ὑφ' ἣν ἡ κατὰ τόπον μεταβολή. ὥστε καὶ τῶν κινήσεων τῶν ἐν αὐτῇ διαφέροντες οἱ λόγοι γενήσονται. ταῦτα μὲν οὖν ὁ ἀλέξανδρος, καλῶς ἐπιστήσας, ὅτι οὐ ποιεῖ συνώνυμον τὸ ὑπὸ τὸ αὐτὸ γένος εἶναι, ἀλλὰ τὸ ὑπὸ τὸ αὐτὸ εἶδος ἐκεῖνο τὸ ὑπὸ τοῦ κοινοῦ ὀνόματος σημαινόμενον. τούτου χάριν καὶ ὁ ἀριστοτέλης προσέθηκε τὸ, ὁ δὲ κατὰ τοὔνομα λόγος ἐν κατηγορίαις. διὸ ἄνθρωπος μὲν ἀνθρώπῳ συνώνυμος. κίνησις δὲ ἡ ἐν οὐσίᾳ τῇ ἐν ποιότητι οὐ συνώνυμος. ἀξιῶ δὲ ἐφιστάνειν, ὡς εἰ διὰ τοῦτο ὁμώνυμοι αἱ κινήσεις, διότι τὰ ἐν οἷς ἐστιν οὐδὲν ἔχει κοινὸν γένος, δηλονότι ἐν οἷς τὸ αὐτὸ ὑπάρχει τοῖς ὑφ' ἓν γένος τεταγμένοις, κἂν ἀπ' ἄλλου γένους εἴη, οὐδὲν κωλύεται συνώνυμα εἶναι κατ' ἐκεῖνο. τὸ οὖν ἴσον ἐν τῷ συνεχεῖ καὶ ἐν τῷ διωρισμένῳ θεωρούμενον, ἐπεὶ γὰρ ἄμφω ὑπὸ τὸ ποσὸν, τί κωλύει συνώνυμον εἶναι. πῶς δὲ ἡ κίνησις διότι ἐν πλείοσιν ἐστὶ γένεσιν, ὁμώνυμός ἐστιν. οὕτω γὰρ καὶ τὸ πρός τι ἐπειδὴ καὶ ἐν οὐσίᾳ, καὶ ἐν ποσῷ, καὶ ἐν ποιῷ θεωρεῖται, φωνὴ ἂν εἴη ὁμώνυμος καὶ οὐχὶ γένος. εἰπὼν δὲ ὅτι κοινὸν οὐδὲν ἐστὶ λαβεῖν τῶν διαφόρων κινήσεων, ὁποῖόν ἐστι

τὸ κοινὸν, ὃ ἀποφάσκει, ἐδήλωσεν εἰς τὰς κατηγορίας ἐν αἷς ἡ κίνησις τὸν λόγον μεταγαγὼν, εἰπὼν,
ὃ οὔτε τόδε ἐστὶν, οὔτε ποσὸν, οὔτε ποιόν. τοιοῦτο δὲ ἐστὶ κοινὸν τὸ γένος καὶ τὸ εἶδος. οὐ γὰρ τῷ περιέ-
χειν πάντα τὰ ὑφ᾽ αὑτὰ λέγεται ταῦτα κοινά. ἀλλὰ τῷ μηδὲν εἶναι τῶν κατὰ μέρος, ἐμφαίνε-
σθαι δὲ πᾶσι τοῖς κατὰ μέρος. διὸ ἡ τέχνη οὐ τῷ θεωρητικὴ εἶναι καὶ πρακτικὴ καὶ ποιητικὴ, ταύ-
τῃ γένος ἐστὶ τῶν κατὰ μέρος, ἀλλὰ τῷ μηδὲν εἶναι τῶν κατὰ μέρος ἐμφαίνεσθαι δὲ πᾶσι τοῖς κα-
τὰ μέρος. ἀλλ᾽ εἰ ὁμώνυμος ἡ κίνησις, πῶς ὁρίζεται αὐτήν. τῶν γὰρ ὁμωνύμων οὐκ εἰσὶν ὁρισμοί.
ἢ καὶ ὁ ὅρος ὁμώνυμος γίνεται τῶν ὁμωνύμων. καὶ γὰρ τῆς ἀρχῆς ὁμωνύμου οὔσης, ὁμώνυμος
ὁ ὅρος, ἀρχὴν λέγων εἶναι τὸ ἑκάστου πρῶτον. καὶ ἡ ἐντελέχεια τοίνυν τοῦ κινητοῦ ᾗ κινητὸν ὁμώνυ-
μος ἔσται. δι᾽ ὁμωνύμων δὲ τὸ ὁμώνυμον ἀποδοθείη ἄν. ἀναγκαίως οὖν καὶ τοῦτο προέλαβε τὸ
λῆμμα, ἵνα μήτις οἰηθείη τὸν ὁρισμὸν τῆς κινήσεως ἀκούων, ὅτι ὡς γένους αὐτῆς ὁ ὁρισμὸς ἀποδί-
δοται. ἀλλ᾽ ἡ δηλονότι ὁμώνυμος φωνὴ, δι᾽ ὁμωνύμων ἀπόδοσις γίνεται. ἐπεὶ δὲ ὁ ἐκ τῆς Λυ-
κίας φιλόσοφος, ἓν τοῦτο καὶ μόνον διάφωνον φησὶ τὸ δόγμα περὶ κινήσεως τοῦ Ἀριστοτέλους καὶ
τοῦ Πλάτωνος, τοῦ μὲν λέγοντος οὐκ ἔστι δέ τις κίνησις παρὰ τὰ πράγματα, καὶ ἀναιροῦντος τὸ
γένος εἶναι τὴν κίνησιν, τοῦ δὲ, γένος ἓν τοῦ ὄντος τὴν κίνησιν λέγοντος, ὡς τὴν οὐσίαν, ὡς τὸ ταυτὸν,
ὡς τὸ ἕτερον, κάλλιον εἴπου δυνατὸν τὴν ἐν τῇ δοκούσῃ διαφωνίᾳ συμφωνίαν ἐπιδεικνύναι. καὶ
πρόχειρον μὲν εἰπεῖν, ὅτι ὁ μὲν Πλάτων τὰ παρ᾽ αὐτῷ λεγόμενα γένη τοῦ ὄντος ἐν τῷ νοερῷ διακό-
σμῳ θεωρῶν, ὡς πρώτας διακεκριμένας τῶν ὄντων αἰτίας, εἰκότως καὶ κίνησιν, καὶ στάσιν, καὶ
ταυτότητα, καὶ ἑτερότητα, καὶ τὰ ἄλλα ὡς αὐτὰ ἐφ᾽ ἑαυτῶν ὄντα ἐμφαίνει. ὥσπερ γὰρ ἕνω-
σις ἄφραστος ἐστὶν ἐν ἐκείνοις, οὕτω καὶ καθαρότης ἀσύγχυτος. ὁ δὲ Ἀριστοτέλης περὶ τῆς φυσικῆς
καὶ ἐνύλου φύσεως ζητῶν, εἰκότως ἐν τοῖς κινουμένοις τὴν τοιαύτην κίνησιν θεωρεῖ. οὐ γάρ ἐστιν ἐν-
ταῦθα καθ᾽ ἑαυτὴν κίνησις. διὸ καὶ ἐπάγει, μεταβάλλει γὰρ τὸ μεταβάλλον, ἢ κατ᾽ οὐσίαν, ἢ κατὰ
ποσὸν, ἢ κατὰ ποιὸν, ἢ κατὰ τόπον. ὅτι δὲ ἐν τοῖς γενητοῖς αἱ μεταβολαὶ καὶ αἱ κατηγορίαι κυ-
ρίως, δέδεικται σαφῶς τοῖς περὶ αὐτῶν πεφροντικόσι. καὶ ἐκ τούτων δὲ δῆλον, εἴπερ τὴν κίνη-
σιν ἐν τοῖς τὸ δυνάμει ἔχουσιν ἀποτίθεται. προσεχέστερον δὲ ἔτι καὶ τοῖς προκειμένοις οἰκειότερον
δυνατὸν οἶμαι λέγειν, ὅτι πάνυ θαυμαστῶς καὶ κατ᾽ αὐτὸ τοῦτο τὴν τῆς κινήσεως ἰδιότητα ὁ Ἀρι-
στοτέλης ἐθεάσατο. τιθεὶς γὰρ αὐτὴν ἐνεργείᾳ καὶ πάθει, εἰκότως εἶπε μὴ εἶναι κίνησιν παρὰ τὰ πρά-
γματα, τουτέστι παρὰ τὰ γένη τοῦ ὄντος. διὸ ἐπήγαγε, μεταβάλλει γὰρ ἀεὶ τὸ μεταβάλλον, ἢ
κατ᾽ οὐσίαν ἢ κατὰ ποσὸν, καὶ τὰ ἑξῆς. πῶς γὰρ δή τι ἐνέργειαν ἢ πάθος αὐτὰ καθ᾽ αὑτὰ θεω-
ρεῖν, χωρὶς τοῦ ἐνεργοῦντος ἢ πάσχοντος. οἶδε δὲ καὶ ὁ Πλάτων τὴν τοιαύτην τοῖς οὖσι διαφορὰν,
καθ᾽ ἣν τὰ μέν ἐστι καθ᾽ αὑτὰ, τὰ δὲ μετ᾽ ἄλλων καὶ ἐν ἄλλοις θεωρεῖται. ἐκ δὲ τρίτων λεγέσθω, ὅτι
τὸ προκείμενον ἐστὶ δεῖξαι μὴ ὂν γένος τὴν κίνησιν. ὥσπερ οὐδὲ τὸ ὂν οἴεται γένος εἶναι, διότι μὴ πᾶ-
σι τοῖς οὖσιν ὁμοίως ἐφαρμόττει. ὅπερ καὶ οἱ τοῦ Πλάτωνος ὁμολογοῦσι φίλοι, ὡς ἀφ᾽ ἑνὸς καὶ αὐ-
τοὶ τὸ ὂν πᾶσιν ἐφήκειν τοῖς οὖσι λέγοντες, ὥσπερ καὶ Ἀριστοτέλης. διὸ καὶ ἄλλο μέν ἐστι τοῦτο τοῦ
γένους σημαινόμενον, τὸ εἰς εἴδη διαιρούμενον ἐπίσης μετέχοντα γένους. ὅπερ ἀναιρεῖ τῆς κινήσεως
ὁ Ἀριστοτέλης. ὅτι αἱ πολλαὶ κινήσεις καὶ βαθμῷ τῆς κινήσεως διαφέρουσιν ἀλλήλων. ἄλλο δέ ἐστι
τοῦ γένους σημαινόμενον, καθ᾽ ὃ γένη τοῦ ὄντος ὁ Πλάτων καλεῖ, τὰ διὰ πάντων τῶν ἐφεξῆς διήκον-
τα. κἂν μὴ ἐπίσης μὴ δὲ κατὰ τὴν αὐτὴν ἰδιότητα πᾶσιν ὑπάρχῃ τοῖς ἐφεξῆς. οὐδὲν οὖν θαυμα-
στὸν εἰ ὁ μὲν Πλάτων γένος καλεῖ τὴν κίνησιν, κατὰ τοῦτο τὸ σημαινόμενον τοῦ γένους. ὁ δὲ Ἀριστοτέ-
λης ἀναιρῶν τὸ εἶναι γένος, κατὰ τὸ ἕτερον βούλεται μὴ εἶναι κίνησιν ὡς γένος. καί τοι καὶ τὰ γέ-
νη τὰ παρ᾽ αὐτῷ οὐ βούλεται καθ᾽ αὑτὰ ὑπάρχειν, οὐδὲ εἶναι τῶν εἰδῶν χωρὶς ὑφεστῶτα, οὐδὲ τὰ
εἴδη τῶν ἀτόμων χωρίς. ὅταν αὐτὰ ὡς εἴδη καὶ γένη, ταυτὸν δὲ εἰπεῖν ὡς στοιχεῖα τῶν ἀτόμων
θεωρῇ, ἀλλὰ μὴ ὡς αἰτίας ἐξῃρημένας. τότε γὰρ προϋπάρχειν βούλεται τῶν ἀπ᾽ αὐτῶν, τῆς αὐ-
τῆς μεταλαμβανόντων ἰδιότητος. τέταρτον δὲ ἐφιστάνειν ἀξιῶ τοὺς φιλοσοφοῦντας, ὅτι ἄλλη μέν
ἐστιν ἡ κίνησις, ἣν ὁ Πλάτων ὡς ἓν γένος τίθησι τοῦ ὄντος, κατ᾽ ἄλλο σημαινόμενον αὐτὴν θεωρῶν. ἄλ-
λη δὲ αὕτη καὶ ἄλλην ἔννοιαν ἔχουσα, περὶ ἧς νῦν ὁ Ἀριστοτέλης διδάσκει. καὶ γὰρ ἐκείνη μὲν ἡ
κίνησις τὴν ἀπὸ τοῦ ὄντος πρώτην ἐξανάστασιν, εἰς δυνάμεις τε καὶ ἐνεργείας ζωτικάς τε καὶ νοε-
ρὰς σημαίνει παντελῶς οὖσαν ἀμετάβλητον. ὡς δηλοῖ τὰ ἐν τῷ Σοφιστῇ λεγόμενα, ἐξ ὧν ἡ κίνησις
» εὑρῆσθαι δοκεῖ. τί δὲ πρὸς Διὸς ὡς ἀληθῶς κίνησιν καὶ ζωὴν καὶ ψυχὴν καὶ φρόνησιν ῥᾳδίως πει-
» σθησόμεθα τῷ παντελῶς ὄντι μὴ παρεῖναι, μὴ δὲ ζῆν αὐτὸ μὴ δὲ φρονεῖν. ἀλλὰ σεμνὸν καὶ ἅγιον
» νοῦν οὐκ ἔχον, ἀκίνητον ἑστὼς εἶναι; δεινὸν μέντ᾽ ἂν ὦ ξένε λόγον συγχωροῖμεν ἄν. ἀλλὰ νοῦν μὲν ἔ-
» χειν, ζωὴν δὲ μὴ φῶμεν; καὶ πῶς, ἀλλὰ ταῦτα μὲν ἀμφότερα ἐνόντα αὐτῷ λέγομεν, οὐ μὴν ἐν
» ψυχῇ γε φήσομεν αὐτὸ ἔχειν αὐτά; καὶ τίνα ἂν ἕτερον ἔχοι τρόπον, ἀλλὰ δῆτα νοῦν μὲν καὶ ζωὴν
» καὶ ψυχὴν, ἀκίνητον μέντοι τὸ παράπαν ἔμψυχον ὂν ἑστάναι, πάντα ἔμοιγε γελοῖα ταῦτα εἶναι
» φαίνεται. καὶ τὸ κινούμενον δὴ καὶ κίνησιν ξυγχωρητέον ὡς ὄντα. ξυμβαίνει γοῦν ὦ Θεαίτητε κι-

νη τῶν ὄντων, νοῦν μηδενὶ περὶ μηδενὸς εἶναι μηδαμοῦ. καὶ ὅρα ὅτι καὶ αὐτὴ ἡ κίνησις, ἣν ὁ πλά-
των εὗρε καὶ τοῖς ἄλλοις γένεσι συγκαταριθμεῖ, ὡς ἐν τοῖς οὖσιν ἐθεωρήθη, κατὰ ζωὴν καὶ φρόνη-
σιν τοῦ παντελῶς ὄντος ἀναφανεῖσα. ἐπεὶ δὲ ἐκεῖ πάντα ὅπερ καὶ πρότερον εἶπον, μετὰ τῆς ἀσυγ-
χύτου ἑνώσεως καὶ τὴν ἀδιάστατον καὶ αὐτοτελῆ διάκρισιν ἔχει, διὰ τοῦτο καὶ καθ' αὑτὴν τὴν κί-
νησιν ἐξεγένετο θεωρεῖν, καὶ ὡς γένος αὐτὴν τοῦ ὄντος τιθέναι. ἡ μέντοι ἐνταῦθα παραδιδομένη κί-
νησις, μεταβολή ἐστιν ἀεὶ ῥέουσα. καὶ τοῦ δυνάμει μένοντος δυνάμει ἐνέργεια. διὸ καὶ χρόνῳ μετρεῖ-
ται ὥσπερ ἐκείνη τῷ αἰῶνι. καὶ καταπέπτωκεν ἐν τοῖς κινουμένοις, οὐκ ἔχουσα τὴν καθ' ἑαυτὴν ὑ-
πόστασιν. αἴτιον δὲ οἶμαι τῆς διαφόρου ταύτης ἐπιβολῆς, τὸ τὸν μὲν πλάτωνα ἀξιοῦν τὰ παραδει-
γματικὰ τῶν τῇδε αἴτια, τοῖς αὐτοῖς ὀνόμασι καλεῖσθαι, τὸν δὲ ἀριστοτέλη τὴν τοιαύτην ὁμω-
νυμίαν εὐλαβηθῆναι, ὡς κατὰ ὄνομα καὶ τὴν ἔννοιαν ὁμοίαν προβαλλομένην ἡμῖν. ἀλλὰ τούτων
μὲν ἅλις. ἐπὶ δὲ τὰ ἑξῆς ἰτέον.

ἝΚΑΣΤΟΝ ΔΈ, διχῶς ὑπάρχει πᾶσιν. οἷον τόδε. τὸ μὲν γὰρ μορφὴ αὐτοῦ. τὸ δέ, στέρησις, καὶ κα-
τὰ τὸ ποιόν. τὸ μὲν γὰρ λευκόν. τὸ δέ, μέλαν. καὶ κατὰ τὸ ποσόν. τὸ μὲν τέλειον, τὸ δ' ἀτελές. ὁμοίως
δὲ καὶ κατὰ τὴν φοράν. τὸ μέν, ἄνω. τὸ δέ, κάτω. ἢ τὸ μὲν κοῦφον. τὸ δὲ βαρύ. ὥστε κινήσεως καὶ με
ταβολῆς ἐστιν εἴδη τοσαῦτα, ὅσα τοῦ ὄντος.

Τέταρτον ἀξίωμα προλαμβάνει, ὅτι ἕκαστον τῶν εἰρημένων ἐν οἷς ἡ κίνησις, τουτέστιν ἥτε οὐσία, καὶ
τὸ ποσόν, καὶ τὸ ποιόν, καὶ τὸ ποῦ, διχῶς ὑπάρχει τοῖς οὖσι πᾶσι. καὶ γὰρ τὸ μετέχον οὐσίας, ἢ ὡς
εἶδος ἔχον ἢ ὡς ἐστερημένον εἴδους, μετέχει. καὶ τὸ ποιοῦ μετέχον, κατὰ θάτερον ἑκάστης μετέχει τῶν
ἐν τῇ ποιότητι ἀντιθέσεων. καὶ γὰρ κατὰ μὲν τὸ χρῶμα, ἢ λευκοῦ ἢ μέλανος. κατὰ δὲ τοὺς χυμούς,
ἢ γλυκέος ἢ πικροῦ. κατὰ δὲ τὰς ἁπτὰς ποιότητας, θερμοῦ ἢ ψυχροῦ. καὶ ἐπὶ τοῦ ποσοῦ δὲ καὶ τοῦ
ποῦ, ὁ αὐτὸς λόγος, δηλονότι τῶν μεταξὺ πάντων τὴν τοῦ ἐναντίου τάξιν ἐχόντων πρὸς τὸ ἐναν-
τίον. τὸ γὰρ φαιὸν πρὸς μὲν τὸ μέλαν λευκόν ἐστι, πρὸς δὲ τὸ λευκὸν μέλαν. οἱ δὲ ἐξηγηταὶ τὸ εἶδος
καὶ τὴν στέρησιν, οὐχ ὡς ἐπὶ τῆς οὐσίας μόνης εἰρημένα ἀποδέχονται. ἀλλὰ καὶ ἐπὶ ποσοῦ, καὶ ἐπὶ ποιοῦ,
καὶ τοῦ ποῦ. διότι ἐπὶ πάντων τὸ χεῖρον τῶν ἐναντίων στέρησις εἶναι δοκεῖ. ὡς γὰρ ἐπὶ τῆς οὐσίας
εἶδος μὲν ὁ ἀνδριάς, στέρησις δὲ ἡ ἀμορφία τοῦ χαλκοῦ, οὕτως ἐπὶ τοῦ ποιοῦ εἶδος μὲν τὸ λευκόν, στέ-
ρησις δὲ τὸ μέλαν. καὶ εἶδος μὲν ἡ ἀρετή, στέρησις δὲ ἡ κακία, καὶ ἐπὶ τοῦ ποσοῦ, τὸ τέλειον καὶ τὸ ἀ-
τελές. καὶ ἐπὶ τόπου, τὸ μὲν ἄνω καὶ τὸ κοῦφον, εἶδος. τὸ δὲ κάτω καὶ τὸ βαρὺ στέρησις. διὸ καὶ τὰ
χείρονα τῆς τοῦ κάτω καὶ βαρέος ἐστὶ φύσεως. καὶ τὸ γῆρας κάμπτει. καὶ ἡ νόσος βαρύνει. καὶ
τὰ θεῖα ἄνω, τὰ δὲ θνητὰ κάτω. καὶ ἡ ἀρετὴ ἀπὸ τοῦ αἴρειν ἄνω λέγεται, ἡ δὲ κακία ἀπὸ τοῦ κλᾶν.
ἡ δὲ κλάσις, τὸ κλώμενον κάτω. τοιαῦτα μὲν οὖν ὁ πορφύριος φιλολογεῖ. μήποτε δὲ κυριώτερον
ὁ ἀριστοτέλης, ἐπὶ μὲν τῆς οὐσίας εἶδος τέθεικε καὶ στέρησιν. ἐπὶ δὲ τῶν ἄλλων τὰ ἐναντία παρα-
τέθεικε. καὶ γὰρ τὸ ἀτελὲς καὶ ὡς ἔλαττον ἀντιτέθεικε τῷ τελείῳ, καὶ ὡς μεῖζον τῷ συμμέτρῳ,
κατὰ τὸ ποσὸν ἄμφω λέγων, καὶ κατὰ τὸ ποιὸν καὶ κατὰ τὴν φορὰν τὰ οἰκεῖα λαβών. εἰ μέν-
τοι λέγοι τις ἐν ἑκάστῃ τῶν ἀντιθέσεων, οἰκειότερον εἶναι τὸ μὲν κρεῖττον τῷ εἴδει, τὸ δὲ χεῖρον τῇ
στερήσει, οὐκ ἀπεικότως ἐρεῖ. ἐπεὶ ὅτι τὸ εἶδος καὶ ἡ μορφὴ τῇ οὐσίᾳ μάλιστα προσήκει, παντί
που δῆλον. ἐπεὶ οὖν διττή τις ἐστὶ καὶ καθ' ἕκαστον γένος τῶν ἐν οἷς ἡ κίνησις, διττὴ καὶ ἡ ἐν ἑκάστῳ
τούτων κίνησις ἔσται καὶ μεταβολή, ἀφ' ἑκατέρου τῶν ἀντικειμένων εἰς τὸ ἀντικείμενον γινομένη.
καὶ γὰρ τῆς κατ' οὐσίαν κινήσεως, ἡ μὲν γένεσις ἐστίν, ἡ δὲ φθορά. καὶ τῆς κατὰ τὸ ποσὸν ἡ μέν,
αὔξησις, ἡ δέ, μείωσις. καὶ τῆς κατὰ τὸ ποιὸν λεύκανσις καὶ μέλανσις. καὶ ἐπὶ τῶν ἄλλων κατὰ
ποιότητα μεταβολῶν, ἀπὸ τῶν ποιοτήτων αἱ κινήσεις ὀνομασθήσονται. καὶ κατὰ τόπον ἡ μὲν
ἐπὶ τὸ ἄνω ἀνάβασις. ἡ δὲ ἐπὶ τὸ κάτω κατάβασις. πανταχοῦ δὲ ἡ μὲν ἐπὶ τὸ κρεῖττον τῶν ἀν-
τικειμένων ὁδός, τὸ εἴδους ἔχον λόγον, εἴδει καὶ αὐτὸ ἀναλογήσει. ἡ δὲ ἐπὶ τὸ χεῖρον καὶ στερητι-
κόν, στερήσει. δείξας δέ φησιν ὁ ἀλέξανδρος ὅτι τῶν ἐν οἷς ἡ κίνησις ἕκαστον διχῶς ὑπάρχει πᾶ-
σιν, εἰκότως ἐπήνεγκεν, ὥστε καὶ κινήσεως καὶ μεταβολῆς εἴδη τοσαῦτα, ὅσα τοῦ ὄντος. εἰ γὰρ
μὴ ἔστι κίνησις παρὰ τὰ πράγματα, εἰκότως συνδιαιροῖτο ἂν ἡ κίνησις τοῖς πράγμασιν ἐν οἷς ἐστι.
μᾶλλον δὲ εἰ ἐνέργεια τίς ἐστιν ἡ κίνησις, ἀφ' ἑκατέρου τῶν ἐν ἑκάστῳ γένει πρὸς θάτερον, δηλονό-
τι διττὴ ἂν εἴη καὶ αὐτή. ἣν δέ φησιν οἰκειότερον ἡ λέξις αὕτη, κειμένη πρὸ τῆς ἕκαστον δὲ διχῶς
ὑπάρχει, συντεταγμένη τῇ οὐκ ἔστι δὲ κίνησις παρὰ τὰ πράγματα. μήποτε δὲ εἰ προὔκειτο νῦν
αὐτῷ τὴν διπλόην παραλαβεῖν τῶν κινήσεων, καλῶς πρότερον δείξας ἐν τοῖς γένεσι τοῦ ὄν-
τος ἐν οἷς ἡ κίνησις τὴν διπλόην οὖσαν, καὶ κατὰ ταύτην διπλασιάσας τὰ γένη, τότε ἐπήγα-
γεν, ὥστε καὶ κινήσεως καὶ μεταβολῆς εἴδη τοσαῦτα ὅσα τοῦ ὄντος, τουτέστι διπλασιαζό-
μενα καὶ ταῦτα. ἐπεὶ γὰρ ἐν τῇ οὐσίᾳ εἶδος ἐστὶ καὶ στέρησις, καὶ κινήσεις εἰσὶν ἐν αὐτῇ διπλαῖ,

ἡ μὲν ἐπὶ τὸ εἶδος γένεσις, ἡ δὲ ἐπὶ τὴν στέρησιν φθορά. καὶ ἐπὶ τῶν ἄλλων ὡσαύτως. εἰ δὲ ὡς
ὁ ἀλέξανδρος ἠξίου, ταύτην ἔδει τὴν λέξιν προτετάχθαι, τῆς λεγούσης ἕκαστον δὲ διχῶς ὑ-
πάρχει, τί ἔτι ἦν ἡ χρεία ἐκείνης ἐπαγομένης. εἴδη δὲ λέγει νῦν κινήσεως καὶ μεταβολῆς, οὐχ
ὡς ἐξ ἑνὸς γένους διαιρεθέντα, ἀλλ' ὡς διαφόρους ἰδιότητας. καλῶς δὲ οὐ κινήσεως μόνης εἶπεν,
ἀλλὰ καὶ μεταβολῆς. διότι περὶ τῆς κατ' οὐσίαν, ἥτις ἐστὶ γένεσις καὶ φθορά, ὕστερον ζητεῖ, μή-
ποτε οὐκ ἔστι κίνησις ἀλλὰ μεταβολή. εἰ οὖν ἀπορεῖ τις, πῶς κινήσεως καὶ μεταβολῆς εἴδη το-
σαῦτα εἶναι εἶπεν, ὅσα τοῦ ὄντος, εἴπερ ἐν τέτρασι μόναις κατηγορίαις εἶναι τὴν κίνησιν ἀπολεί-
ξει, τῇ οὐσίᾳ, τῇ ποιότητι, τῇ ποσότητι, τῷ ποῦ, ἴσω ὅτι εἰπὼν ἕκαστον τῶν γενῶν ἢ τῶν
εἰδῶν ἐν οἷς ἡ κίνησις διχῶς ὑπάρχει πᾶσι κατὰ τὴν ἐν ἑκάστῳ ἀντίθεσιν, ἐπειδὴ τοσαυταχῶς
ἐστὶ καὶ ἡ κίνησις, εἰκότως ἐπήγαγεν ὥστε κινήσεως καὶ μεταβολῆς ἐστὶν εἴδη τοσαῦτα, ὅσα
τοῦ ὄντος, οὐ πᾶν τὸ ὂν λαβών, ἀλλὰ τὸ πρὸς τὴν κίνησιν ἰσοστοιχοῦν. τοῦτο δὲ ἦν τὸ ἐν ᾧ ἡ
κίνησις. τοῦτο δὲ ἦν τὸ ἐν τοῖς τέτρασι γένεσι τοῦ ὄντος. ἀλλ' ἄξιον ζητεῖν, διατί τοῦ δυνάμει
καὶ ἐντελεχείᾳ ἐν πᾶσιν ὄντος τοῖς γένεσι τοῦ ὄντος, καὶ τῆς κινήσεως οὔσης ἐνεργείας τοῦ
δυνάμει ᾗ τοιοῦτόν ἐστιν, ἐν τέτρασι μόνοις γένεσι τοῦ ὄντος, τῇ οὐσίᾳ, καὶ τῷ ποιῷ, καὶ τῷ πο-
σῷ, καὶ τῷ ποῦ, ἔστιν ἡ κίνησις, ὡς καὶ ἐν κατηγορίαις δέδεικται, καὶ ἐν τῷ πέμπτῳ τῆς
πραγματείας ταύτης σπουδάσει δεῖξαι, ἐν δὲ τοῖς ἄλλοις οὐκέτι. καί τοι ἐν πᾶσιν ἐστὶν ἡ
τοῦ δυνάμει ἐνέργεια, μένοντος δυνάμει. καὶ γὰρ ἡ τοῦ δεξιοῦ πεφυκότος δὲ ἀριστεροῦ γίνεσθαι
ἐπὶ τὸ ἀριστερὸν μεταβολή, τοῦ δυνάμει ἐστὶν ἐνέργεια μένοντος δυνάμει, ἕως ὅτε μεταβάλ-
λει. καὶ ὁ καθήμενος πεφυκὼς δὲ ἀνακλίνεσθαι, καὶ μεταβάλλων ἀφ' θατέρου ἐπὶ θάτε-
ρον, μένοντος τοῦ δυνάμει ἐν τῇ μεταβολῇ, ὑποπίπτει τῷ ὁρισμῷ τῆς κινήσεως κατὰ τὴν τοι-
αύτην μεταβολήν. καὶ ἐπὶ τῶν ἄλλων κατηγοριῶν οὐκ ἀπορήσομεν, τὰς γινομένας ἐπὶ τὰ
διάφορα εἴδη ὑπὸ τὸ γένος μεταβολάς, ὑποτάττειν τῷ ὁρισμῷ τῆς κινήσεως. ἀλλ' ὁ μὲν ἀ-
ριστοτέλης ἐν τῷ πέμπτῳ τῆσδε τῆς πραγματείας τὰς αἰτίας λέγει, τοῦ τὴν κίνησιν ἐν μό-
ναις ταῖς τέτρασιν ἢ ταῖς τρισὶ κατηγορίαις ὑφίστασθαι. καὶ οἱ ἐξηγηταὶ τοῦ ἀριστοτέλους
εἰς ἐκεῖνον ἀναβάλλονται τὸν τόπον τὴν τῆς ἀπορίας ταύτης λύσιν. οὐδὲν δὲ ἴσως χεῖρον καὶ
νῦν συντόμως τὰς ἐκεῖ λεγομένας αἰτιολογίας ἐπισκέψασθαι, διὰ τὸ μὴ ῥᾳδίως εἰς ἄλ-
λον καιρὸν ἀναβαλλομένους τὰς τῶν ἀποριῶν διαλύσεις. ἀξιώσας τοίνυν ὁ ἀριστοτέλης τὰς
κινήσεις καὶ μεταβολὰς ἐκ τῶν ἐναντίων γίνεσθαι εἰς τὰ ἐναντία, ἢ ἐκ τῶν μεταξὺ τῶν ἐναν-
τίων λόγον ἐχόντων, διατοῦτο φησὶ κατ' οὐσίαν μὲν οὐκ ἔστι κίνησις, διὰ τὸ μηδὲν εἶναι τῶν ὄν-
των οὐσίᾳ ἐναντίον. οὐ μέν τοι οὐδὲ ἐν τῷ πρός τι. ἐνδέχεται γὰρ θατέρου μεταβάλλοντος,
ἀληθεύεσθαι θάτερον οὐδὲν μεταβάλλον. οἷον ὁ πρότερον δεξιὸς ἑστώς, μεταβαίνοντος τοῦ ἀρι-
στεροῦ εἰς τὸ δεξιόν, ἔσται ἀριστερὸς αὐτός, μηδὲν μεταβάλλων. ὥστε κατὰ συμβεβηκὸς ἡ
τοιαύτη κίνησις. οὐδὲ δὴ ἐπὶ τοῦ ποιοῦντος καὶ πάσχοντος, οὐδὲ παντὸς κινουμένου καὶ κι-
νοῦντος. ὅτι οὐκ ἔστι κινήσεως κίνησις, οὐδὲ ὅλως μεταβολῆς μεταβολή. τούτων οὖν τῶν κα-
τηγοριῶν οὕτως ἀποδιδοὺς τοὺς λογισμοὺς ὁ ἀριστοτέλης, τὸ κεῖσθαι, τὸ ἔχειν, καὶ τὴν ποτὲ
κατηγορίαν παρῆκε. καὶ ὅτι μὲν ἐπὶ τῆς οὐσίας κἂν κίνησις μὴ ᾖ, ὅτι μὴ δὲ ἐναντίωσις, ἀλ-
λὰ μεταβολή γε ἐστίν, αὐτὸς σαφῶς ὁμολογεῖ, καὶ τὰ εἴδη τῆς μεταβολῆς γένεσιν καὶ φθο-
ρὰν λέγων. ἐπὶ δὲ τῶν πρός τι διατί οὐκ ἂν εἴη κίνησις, καὶ ἐναντιώσεως οὔσης, ὡς καὶ αὐτὸς
ἀριστοτέλης ὁμολογεῖ, λέγων ἐν κατηγορίαις, ὑπάρχει δὲ καὶ ἐναντιότης ἐν τοῖς πρός τι.
οἷον ἀρετὴ κακίᾳ ἐναντίον, ἑκάτερον τῶν πρός τι ὄν, καὶ ἐπιστήμη ἀγνοίᾳ. κἂν γὰρ τοῦ δεξιοῦ
κινηθέντος, ὁ πρότερον ἀριστερὸς ὢν μὴ κινηθεὶς αὐτὸς γίνηται δεξιός. ἀλλὰ πρῶτον μὲν ὁ δε-
ξιὸς πρότερον ἑστώς, καὶ κινηθεὶς οὐ κατὰ συμβεβηκὸς ἀλλὰ καθ' αὑτόν, μετέβαλε μετὰ τοῦ
τόπου καὶ τὴν τοῦ δεξιοῦ σχέσιν ἀριστερὸς γενόμενος. καὶ ὁ μὴ κινηθεὶς δέ, ἐπειδὴ ἡ σχέσις οὐκ ἐν
τῷ ἑνί ἐστιν ἀλλ' ἐν ἀμφοτέροις, τὴν ἐν αὐτῷ σχέσιν οὐ κατὰ συμβεβηκὸς ἀλλὰ καθ' αὑτὸ συγκι-
νουμένην ἔσχε τῇ τοῦ μεταβεβηκότος. ὥσπερ εἴ τις ῥάβδου τὸ ἕτερον πέρας ἐπὶ τὸ κάτω ὠ-
θῶν, τὸ ἕτερον ἐπὶ τὸ ἄνω ποιεῖ κινεῖσθαι, οὐ κατὰ συμβεβηκὸς ἀλλὰ καθ' αὑτό, διότι μία κίνησις ἀμ-
φοῖν τοῖν περάτοιν ἐστίν. ὅτι δὲ τοῦτο καὶ τὸν ἀλέξανδρον ἀρέσκει, ἄκουσον οἷα μετ' ὀλίγον φησίν, ἐξη-
γούμενος τὴν λέξιν τὴν λέγουσαν, διὸ ἡ κίνησις ἐντελέχεια τοῦ κινητοῦ ᾗ κινητόν. λέγει γάρ, ἢ καὶ ἐπὶ
τοῦ πρός τι τὸ μὲν δυνάμει διπλάσιον οὐ κεκίνηται. τὸ μέν τοι δυνάμει ἥμισυ ἐκινήθη, ἵνα τοῦ-
το διπλάσιον γένηται. οὐκ ἦν δὲ ἄλλη δύναμις ἡ τοῦ δυνάμει διπλασίου, καὶ ἡ τοῦ δυνάμει ἡ-
μίσεος. ὥστε κατὰ τὴν ἐνέργειαν τῆς δυνάμεως, καὶ ἐν ἐκείνοις ἡ κίνησις μιᾶς τῆς κατὰ τὸ ὑπο-
κείμενον δυνάμεως οὔσης, καὶ τὰς διαφόρους τῶν πρός τι σχέσεις ἐποίει. εἰ δὲ τὸ ποιεῖν καὶ τὸ
πάσχειν κινήσεις, καὶ διατοῦτο οὐκ ἔστιν ἐν ταῖς κατηγορίαις ταύταις κίνησις, ἐπειδὴ κι-
νήσεως κίνησις οὐκ ἂν εἴη, ἵνα μὴ ἐπ' ἄπειρον ἴοιμεν, πρῶτον μὲν εἰ καὶ τὸ ποιεῖν καὶ τὸ πά-

χειν ἐπιδέχεται ἐναντιότητα ὡς εἴρηται ἐν ταῖς κατηγορίαις, τῷ γὰρ θερμαίνειν φησὶ τὸ ψύ-
χειν ἐναντίον, καὶ τῷ θερμαίνεσθαι τὸ ψύχεσθαι, καὶ τῷ ἥδεσθαι τὸ λυπεῖσθαι, καὶ ἔστι μεταβάλ-
λειν ἀπὸ θατέρου τῶν ἐναντίων εἰς θάτερον, ὁ γὰρ ἡδόμενος ἐπὶ σιτίῳ, ἐμφορηθεὶς καὶ ἐμφραγεὶς
λυπηθείη ἄν, καὶ ὁ θερμαινόμενος ψυχθείη, καὶ ὁ πρότερον θερμαίνων ἀὴρ ἐπὶ τὸ ψύχειν μετα-
βάλλοι, εἰ οὖν ταῦθ' οὕτως ἔχει, διατί οὐκ ἂν εἴη τῆς κατὰ τὸ ποιεῖν καὶ τὸ πάσχειν κινήσεως μετα-
βολή, οὐκ ἐπ' ἄπειρον ἰόντων ἡμῶν, εἴπερ εἰς εἴδη καὶ ἐξ εἰδῶν αἱ μεταβολαί. οὐδὲ γὰρ ἐπ' ἄπει-
ρον θερμαινόμεθα ἢ ψυχόμεθα. εἰ δὲ γίνοιτο καὶ φθείροιτο ἡ βάδισις, πῶς οὐκ ἂν εἴη μεταβολὴ με-
ταβολῆς. καὶ γὰρ μεταβολή τις καὶ ἡ βάδισις. καὶ ἡ τῆς βαδίσεως γένεσις καὶ φθορά, μεταβο-
λαί τινες εἰσὶ καὶ αὗται. ἢ εἰ τοῦτο, ἐπειδὴ καὶ αὗται αἱ μεταβολαὶ μὴ πρότερον οὖσαι ποτὲ γί-
νονται καὶ φθείρονται, πάλιν ἔσονται καὶ τούτων μεταβολαί. καὶ τοῦτο ἐπ' ἄπειρον. καὶ εἴπερ
τοῦτο ἄτοπόν ἐστι, μήποτε οὐ λύεται μὴ εἶναι μεταβολῆς μεταβολήν. τοῦτο γὰρ ἔτι ἀτοπώτερον,
εἴπερ ἐναργῶς φαίνοιτο τὸ οἰκοδομεῖν καὶ τὸ βαδίζειν καὶ τὸ θερμαίνεσθαι, ἐν ἐμοὶ χθὲς μὲν εἰ τύ-
χοι μὴ ὄντα, σήμερον δὲ ὄντα. ὅπερ ἄνευ μεταβολῆς οὐ συμβαίνει. κἂν γὰρ ἐγὼ ὦ ὁ μεταβάλλων
κατ' ἐκεῖνα, ἀλλὰ καὶ αὐτὰ εἴδη τινὰ ὄντα, καὶ ὥσπερ ὑποκείμενα, ἀπὸ τοῦ μὴ εἶναι εἰς τὸ εἶναι με-
ταβάλλει, καὶ ἀπὸ τοῦ εἶναι εἰς τὸ μὴ εἶναι. οὐκέτι μέντοι καὶ αἱ τούτων μεταβολαὶ ὡς ὑποκείμεναι
ληπτέαι. ἢ οὐδὲ κινήσεως ἁπλῶς ἐστιν αὕτη κίνησις καθὸ κίνησις. τὸ μὲν γὰρ ποιοῦν οὐδὲ κινεῖται
καθὸ ποιεῖ· τὸ δὲ πάσχον εἰ κινοῖτο ἐξ ἄλλου πάθους εἰς ἄλλο, καθὸ τοιάδε κίνησις, ἀλλ' οὐχὶ καθὸ ἁ-
πλῶς κίνησις μεταβάλλει. καὶ εἴπερ λέγει τι ὁ λόγος οὗτος, ἐν μὲν τῷ ποιεῖν καὶ πάσχειν καὶ ἐ-
ναντίωσις ἐστὶ καὶ κίνησις, ἤτοι μεταβολὴ ἀπὸ τῶν ἑτέρων εἰς τὰ ἕτερα. οὐκέτι μέντοι καὶ ἐν τῇ με-
ταβολῇ τούτων μεταβολή, διὰ τὸ μὴ εἶναι ὡς ὑποκείμενα εἴδη τὰς τοιαύτας μεταβολάς, ἀλλὰ
μόνον μεταβολάς, μὴ δὲ ὡς κινήσεως εἶναι κίνησιν, ἀλλ' ὡς τοιᾶσδε κινήσεως. τοῦτο δὲ καὶ ἐπὶ πλέον
διακριτέον. ἀλλ' ἐν τῇ ποτὲ κατηγορίᾳ διατί οὐκ ἂν εἴη κίνησις ἢ μεταβολή. ὡς γὰρ ἀπὸ τοῦ λευκοῦ
εἰς τὸ μέλαν μεταβάλλω, καὶ ἀπὸ τόπου εἰς τόπον, οὕτως ἀπὸ τοῦ πέρυσιν εἰς τὸ τῆτες καὶ εἰς νέω-
τα. τί δὲ τοῦτο διαφέρει τοῦ ἀπὸ λυκείου εἰς ἀκαδημίαν. κἂν γὰρ τὰ μέρη τοῦ χρόνου φθείρηται, οὐ-
δὲν παρὰ τοῦτο. οὐδὲ γὰρ εἰ τὸ λύκειον ἐφθείρετο βαδίζοντος εἰς ἀκαδημίαν, ἤδη διατοῦτο οὐκ ἦν κα-
τὰ τόπον κίνησις. καὶ γὰρ καὶ τὸ λευκὸν φθείρεται, ὅταν ἀπὸ λευκοῦ μεταβάλλω εἰς μέλαν. εἰ δὲ
λέγοι τις, ὅτι ἡ μὲν κατὰ τόπον κίνησις φορά τίς ἐστι διὰ τόπου καὶ διέξοδος, διὰ δὲ τοῦ χρόνου οὐ-
δὲν φέρεται, ἀλλὰ φερομένων συμπαρέρχεται καὶ ὁ χρόνος, τὸ γὰρ γῆρας καὶ τὰ τοιαῦτα πάν-
τα, ἀλλοιώσεις εἰσὶ καὶ πάθη τῶν σωμάτων περὶ ἑαυτὰ καὶ ἐν ἑαυτοῖς, ὁ δὲ χρόνος ἄλλως συν-
διέρχεται, εἴτις οὖν ταῦτα λέγει, πολλῇ δοκεῖ μοι τῇ αἰσθήσει χρῆσθαι, καὶ διατοῦτο τὸ δραστή-
ριον τοῦ χρόνου μὴ συννοεῖν, ἀλλὰ τὴν μὲν κατὰ τόπον μεταβολήν, ἅτε ὑπὸ αἴσθησιν τοῦ τόπου πί-
πτοντος ὁμολογεῖν τὴν δὲ κατὰ χρόνον ἀπαγορεύειν, ὡς οὐχ ὁρωμένου τοῦ χρόνου. καίτοι χρὴ ἐν-
νοεῖν, ὅτι δρᾷ τι ἑκάστοτε εἰς ἡμᾶς ὁ χρόνος. καὶ ὥσπερ ἀπὸ λευκοῦ εἰς μέλαν μεταβάλλομεν, οὕτως
ἀπὸ τοῦ περυσινοῦ πάθους εἰς τὸ τητινόν. οὐ καθὸ ἀπὸ πάθους εἰς πάθος ἡ μεταβολή, οἷον ἀπὸ νεότη-
τος εἰς γῆρας, κατὰ τὴν τοῦ σώματος ἀλλοίαν διάθεσιν. ἀλλὰ κατὰ τὴν χρονικὴν συνέμφασιν τοῦ πε-
ρυσινοῦ καὶ τοῦ τητινοῦ. μαρτυρεῖ δὲ τῷ λόγῳ καὶ εὔδημος ὁ γνησιώτατος τῶν ἀριστοτέλους ἑταί-
ρων, λέγων ἐν τῷ δευτέρῳ τῶν φυσικῶν, μετὰ τὸ εἰπεῖν τὰς ἄλλας τέσσαρας κινήσεις, καὶ γὰρ τὸ
ποτὲ τοῖς δυνατοῖς ἢ δύναται συμβαίνει κινουμένοις. πάντα γὰρ ἐν χρόνῳ κινεῖται. εἰ μὴ ἄρα
λέγοι τις ἐν χρόνῳ εἶναι ἀλλὰ μὴ κατὰ χρόνον τὴν κίνησιν. σημεῖον δὲ φασί τινες τοῦ μηδεμίαν εἶναι
κατὰ χρόνον ἰδίως κίνησιν, καὶ μηδεμίαν εἶναι κατὰ χρόνον ἠρεμίαν. οὐδὲ γὰρ ὁ χρόνος οὐδεὶς οὐδε-
νὶ ὁ αὐτός. ἀλλ' ἀεὶ ὁ ἐπιὼν ἕτερος. ὥστε οὐκ ἔσται τὸ διαμένον ἐν τῷ αὐτῷ χρόνῳ. τὸ δὲ, ἐν τῷ αὐτῷ
τόπῳ ἐστὶ καὶ ἐν τῇ αὐτῇ ποιότητι. ἀλλ' ἐπισκεπτέον μήποτε τοῦτο τοῦ ἐναντίου σημεῖον ἐστίν. εἰ γὰρ
χρόνος οὐδεὶς οὐδενὶ ὁ αὐτός, ἀλλ' αἰεὶ ὁ ἐπιὼν ἕτερος, δηλονότι ὁ χρόνος ἐν τῷ γίνεσθαι καὶ φθεί-
ρεσθαι τὸ εἶναι ἔχει. πῶς οὖν τὸ ἐν τῷ χθεσινῷ χρόνῳ, ὅταν ἐν τῷ σημερινῷ γένηται, οὐκ ἂν λέγοιτο
κατὰ χρόνον μεταβάλλειν, κἂν ἔφθαρται ὁ χθεσινὸς χρόνος. ἀλλὰ δὴ καὶ κατὰ τὸ κεῖσθαι, εἴπερ
τοῦ κεῖσθαι διαφορὰ τὸ ὕπτιον καὶ τὸ πρηνές, καὶ ταῦτα ἐναντία ἀλλήλοις, διατί μὴ λέγοιτο ἂν κα-
τὰ θέσιν μεταβάλλειν, τὸ ἐξ ὑπτίου εἰς τὸ πρηνὲς μεθιστάμενον, ἄλλης μὲν οὔσης ἐν αὐτῷ τῆς κατὰ τὸν
περιέχοντα τόπον μεταβολῆς, ἄλλης δὲ τῆς κατὰ τὴν θέσιν καὶ τὸ σχῆμα τῆς θέσεως. ὁμοίως δὲ καὶ
ὁ ἀπὸ τοῦ ὡπλίσθαι ἐπὶ τὸ ἄοπλον μεταβαλών, διατί μὴ λέγοιτο ἂν κατὰ τὸ ἔχειν μεταβάλλειν. καὶ
ἐν αἷς μὲν κατηγορίαις ἐστὶν ἐναντίωσις, διατί μὴ καὶ κινεῖσθαι λέγοιτο ἂν κατ' ἐκείνας τὸ ὑποκείμενον. ἐν
αἷς δὲ μὴ ἔστι, μάλιστα μὲν αἱ στερήσεις ὡς ἐναντιώσεις περὶ τὸ ὑποκείμενον ὑφίστανται. ὡς τὸ ψιλὸν τῷ ὡπλί-
σθαι ἀντικείμενον. ἔπειτα ἂν μὴ ἡ ἀντίθεσις, ἀλλ' ἀρκεῖ τὸ εἶναι ἢ μὴ εἶναι τὸ κατὰ τὴν κατηγορίαν. καὶ γὰρ ἐν
οὐσίᾳ ἐστὶ μεταβολή, καίτοι ἐναντιώσεως μὴ οὔσης. ἀρκεῖ γὰρ ἡ κοινὴ πάντων τῶν γενῶν ἐναντίωσις, ἡ
κατὰ τὸ εἶδος καὶ τὴν στέρησιν. οὕτω δὲ καὶ ὁ πρότερον ὡπλισμένος ἐὰν ψιλωθῇ, μετέβαλεν ἀπὸ τοῦ ἔχειν

ὅπλα εἰς τὸ μὴ ἔχειν, ὁπότε δυνατὸν καὶ ἀπὸ βαρυτέρας ὁπλίσεως εἰς κουφοτέραν μεταβα-
λεῖν. κοινῶς δὲ ἐπιστῆσαι ἄξιον, ὅτι πᾶσαι αἱ κατηγορίαι ἐν τῇ γενέσει θεωρούμεναι, καὶ ἐν τοῖς καθ'
ἕκαστα ὑφεστηκυῖαι, μεταβολὴν ὑπομένουσιν. ὡς γὰρ ἡ οὐσία γεννητὴ καὶ φθαρτή ἐστιν ἡ ἐνταῦθα, οὕ-
τω καὶ ποιότητες καὶ ποσότητες καὶ αἱ ἄλλαι κατηγορίαι. ὥσπερ οὖν ἡ οὐσία κἂν κινεῖσθαι μὴ λέ-
γοιτο, διὰ τὸ μὴ ἐξ ὑποκειμένου εἰς ὑποκείμενον εἶναι τὴν μετάστασιν, τοῦ κινουμένου πάντως ὑποκει-
μένου τινὸς εἶναι βουλομένου, ἀλλὰ μεταβάλλειν καὶ ἡ οὐσία συγχωρεῖται καθ' αὑτὸ καὶ οὐ κατὰ
συμβεβηκὸς, οὕτω καὶ ἑκάστη τῶν ἄλλων κατηγοριῶν καθ' αὑτὴν ἂν μεταβάλλειν συγχωροῖτο, ὡς
γινομένη καὶ φθειρομένη. οἷον ἡ λευκότης, καὶ τὸ τρίπηχυ, καὶ ἡ δεξιότης. καὶ τὸ ὑποκείμενον ἄρα τὸ
τούτων μετέχον, κινεῖσθαι ἂν λέγοιτο κυρίως κατὰ ταῦτα, εἴπερ ὑπομένοντος ἐκείνου γίνεται καὶ
φθείρεται περὶ αὐτὸ ταῦτα. ὅπερ ἴδιον τῶν κινουμένων ὁ ἀριστοτέλης φησίν. εἰ δὲ καὶ ἐν πάσαις
κατηγορίαις ἐστὶ τὸ δυνάμει, δείκνυται δὲ ἡ κίνησις ἐντελέχεια τοῦ δυνάμει ᾗ τοιοῦτόν ἐστι, πῶς οὐκ
ἂν εἴη κίνησις ἐν πάσαις. ὅλως δὲ ὅτι μὲν μεταβάλλει ὁ ἐκ δεξιοῦ λαιὸς γινόμενος, καὶ ὁ ἐξ ἐχθροῦ
φίλος, ἔτι δὲ ὁ ἐκ τοῦ θερμαίνειν εἰς τὸ ψύχειν μεθιστάμενος, καὶ ὁ ἐκ τοῦ θερμαίνεσθαι εἰς τὸ ψύχε-
σθαι, οὐ κατὰ τὴν ποιότητα μόνον ἀλλὰ καὶ κατὰ τὰ διάφορα καὶ ὑπεναντία πάθη πάσχειν, παν-
τὶ δῆλον. ἔτι δὲ ὁ ἐκ τοῦ περυσινοῦ εἰς τὸ τῆτες προελθὼν, καὶ ὁ ἐκ τοῦ πρηνοῦς μετατεθεὶς εἰς τὸ ὕ-
πτιον, καὶ ὁ ἐξ ὡπλισμένου ψιλωθείς. ἐπειδὴ δὲ ἑκάστη μεταβολὴ κατά τινα γίνεται τῶν ὄντων,
τὰ δὲ ὄντα ταῖς κατηγορίαις συνδιῄρηται, λεγέσθω τις ἑκάστη τῶν εἰρημένων μεταβολῶν, κατὰ
τινα τῶν κατηγοριῶν ἄλλην γίνεται, εἰ μὴ κατὰ τὴν οἰκείαν. καὶ οἶδα μὲν ὅτι προπετὲς εἶναι δο-
κεῖ, τὸ τὴν ἐναντίαν ἀφιέναι τῷ ἀριστοτέλει φωνήν. ἕως δ' ἂν γνῶναι δυνηθῶμεν ἀκριβῶς τὴν αἰ-
τίαν τῆς τοιαύτης αὐτοῦ διατάξεως, ἀρκούμεθα πρὸς παραμυθίαν τῇ τε εὐδήμου συνηγορίᾳ, ἐπὶ
τῆς ποτὲ κατηγορίας ῥηθείσῃ. καὶ ἔτι μᾶλλον τῇ θεοφράστου, σαφῶς τὴν κίνησιν καὶ μεταβολὴν,
» ἐν πάσαις ταῖς κατηγορίαις θεωροῦντος. λέγει γοῦν ἐν τῷ δευτέρῳ τῶν περὶ κινήσεως. οἰκειότε-
» ρον δὲ ὅπερ καὶ λέγομεν καὶ ἔστιν, ἐνέργειαν τοῦ δυνάμει κινητοῦ ᾗ κινητὸν, κατὰ γένος ἕκαστον τῶν
» κατηγοριῶν, οἷον οὐσίας, ποσοῦ, ποιοῦ, φορητοῦ, τῶν ἄλλων. οὕτω γὰρ ἀλλοίωσις. αὔξησις. φορά. γέ-
» νεσις. καὶ αἱ ἐναντίαι ταύταις. ἐν τῷ τρίτῳ δὲ οἶμαι σαφέστερον ταῦτα γέγραφεν. ἐν μὲν τῷ ἀφο-
» ρισμῷ τῆς κινήσεως τοσαῦτα φαμὲν αὐτῆς εἴδη, ὅσαι κατηγορίαι. τὴν γὰρ τοῦ δυνάμει ὄντος ᾗ τοιοῦ-
» τον ἐντελέχειαν, κίνησιν. καὶ τοῦτο δὲ ἐν τῷ αὐτῷ βιβλίῳ φησί. τοῦ δὲ πρός τι κίνησις τοῦ μὲν κατὰ
» λόγον οὐκ ἔστι. τοῦ δὲ κατὰ δύναμιν ἔστιν. ἡ γὰρ ἐνέργεια κίνησίς τε καὶ καθ' αὑτό. ἀλλὰ ταῦτα μὲν καὶ
ἐπὶ πλέον ζητητέον, τὴν ἀριστοτέλους γνώμην ἀνιχνευόντων ἡμῶν.

Δ ΙΗΡΗΜΕΝΟΥ δὲ καθ' ἕκαστον γένους τοῦ μὲν ἐντελεχείᾳ, τοῦ δὲ, δυνάμει, ἡ τοῦ δυνάμει ὄντος ἐν-
τελέχεια ᾗ τοιοῦτον, κίνησίς ἐστιν.

Γ ρολαβὼν τὰ χρήσιμα λήμματα πρὸς τὴν περὶ τῆς κινήσεως θεωρίαν, τῷ πρώτῳ ληφθέντι πρὸς τὸν ὁρι-
σμὸν εὐθὺς συγκέχρηται τῆς κινήσεως. μᾶλλον δὲ μέρει τινὶ ἐκείνου. τὸ μὲν γὰρ διαιρετικὸν ἦν, ὅτι ἔστι τὸ
μὲν ἐντελεχείᾳ μόνον, τὸ δὲ, δυνάμει καὶ ἐντελεχείᾳ. ὅπερ καθ' ἑκάστην εἶναι κατηγορίαν εἴρηται.
τούτου οὖν φησι τοῦ δυνάμει καὶ ἐντελεχείᾳ, τὴν τοῦ δυνάμει ὄντος ἐνέργειαν, ᾗ τοιοῦτόν ἐστι, λέγω
κίνησιν. καὶ γὰρ ἐν οὐσίᾳ ἐστὶ τὸ μὲν, δυνάμει ἄνθρωπος, οἷον τὸ σπέρμα, τὸ δὲ, ἐντελεχείᾳ, οἷον σωκρά-
της. καὶ ἐν ποσῷ δυνάμει τι δίπηχυ, καὶ ἐντελεχείᾳ. καὶ ἐν ποιῷ δυνάμει λευκὸν, καὶ ἐντελεχείᾳ.
ὁμοίως δὲ καὶ ἐπὶ τῶν λοιπῶν γενῶν. ὅτι δὲ θαυμασίως ὡρίσατο τὴν κίνησιν, μάθοιμεν ἂν ἐντεῦθεν.
τὸ μὲν γὰρ ἐνεργείᾳ ὂν ὅπερ λέγεται ἕως ἂν οὕτως ἔχῃ, οὐκ ἂν λέγοιτο κατὰ τοῦτο κινεῖσθαι. οἷον ὁ
ἄνθρωπος ἕως ἂν ἄνθρωπος ᾖ, οὐκ ἂν κινοῖτο κατὰ τὸ ἀνθρώπειον. ἀλλ' οὐδὲ εἰ λευκὸς εἴη ἐνεργείᾳ, ἕως
ἂν λευκὸς ᾖ, κινεῖται κατὰ λευκότητα. ἐὰν δὲ λευκὸς ὢν αὐτὸς ἐνεργείᾳ δυνάμει μέλας ᾖ, ὡς δυ-
νάμενος μελαίνεσθαι, ὅταν ἔκστασις αὐτῷ ἀπὸ λευκότητος γένηται ἐπὶ μελανίαν, καθὸ ἐπεφύκει,
τουτέστι κατὰ τὸ δυνάμενον γενέσθαι μέλαν, ἐνεργοῦν τι, τότε λέγεται κινεῖσθαι ἐπὶ τὸ μέλαν.
καὶ πάλιν ὅταν λέγηται μέλας, τότε ἵσταται ἐν αὐτῷ, καὶ οὐκέτι κινεῖται κατὰ τὸ μέλαν. ἀλλ'
ἔστιν ἐνεργείᾳ μέλας. οὕτως ἄρα καθὸ ἐνεργείᾳ ἐστὶν, οὐδὲν κινεῖται. οὐ μέντοι οὐδὲ καθὸ δυνάμει,
μένον δυνάμει καὶ ἐν μόνῃ τῇ ἐπιτηδειότητι, οὐκ ἂν λέγοιτο κινεῖσθαι. ἀλλ' ὅταν ἀπὸ τοῦ δυνάμει
μεταβάλλῃ εἰς τὸ ἐνεργείᾳ, μένοντος ἐν αὐτῷ τοῦ δυνάμει, τότε λέγεται κινεῖσθαι. εἰκότως οὖν
προσέθηκεν ᾗ τοιοῦτον, ἵνα ἡ ἐνέργεια τοῦ δυνάμει μένοντος ἐπιτελῆται. παυσαμένου γὰρ τοῦ
δυνάμει, οὐκέτι ἐστὶ κίνησις. τὸ γὰρ ἐνεργείᾳ γινόμενον καθόσον ἐνεργείᾳ, ἐν στάσει καὶ ἐν μονῇ
ἐστιν, ἀλλ' οὐκ ἐν κινήσει. οὐ μέντοι οὐδὲ εἴ τι τῇ δυνάμει ἐστὶ μόνον, τοῦτο ἤδη κινεῖται. τὸ γοῦν
οἰκοδομητὸν ὅπερ ἐστὶ τὸ δυνάμενον οἰκοδομηθῆναι, ἕως μὲν ἀνενέργητον μένῃ κατὰ τὸ οἰκοδο-
μητὸν, ἀκίνητόν ἐστιν. ὅταν δὲ καθὸ οἰκοδομητόν ἐστι κατὰ τοῦτο ἐνεργῇ, ἔτι ἔχον ἐν τῷ ἐνερ-
γεῖν τὸ οἰκοδομητὸν, τότε κινεῖται, τουτέστιν ὅταν οἰκοδομῆται. καὶ ἡ οἰκοδόμησις ἐνέργεια οὖ-
σα τοῦ οἰκοδομητοῦ τότε, κίνησίς ἐστι. μέχρι γὰρ ἂν οἰκοδομῆται οἰκοδομητόν ἐστι. καὶ κατὰ τὸ δυνά-

μει ἐνεργεῖ καὶ κινεῖται. ἐπιστῆσαι δὲ ἄξιον ὅτι ὁ μὲν Ἀριστοτέλης ὁριζόμενος τὴν κίνησιν ἐν ἀρχῇ, ἐνέργειαν αὐτὴν εἶπε τοῦ κινητοῦ ᾗ τοιοῦτον. Ἀλέξανδρος δὲ καὶ Πορφύριος καὶ Θεμίστιος καὶ οἱ ἄλλοι τὸν ὁρισμὸν ἐξηγούμενοι, ἀκούσαντες μετ' ὀλίγα τοῦ Ἀριστοτέλους καὶ ἐντελέχειαν καλοῦντος αὐτὴν, ἔν τισιν ἀντιγράφοις οὕτως εὑρηκότες τὴν γραφὴν, ἡ τοῦ δυνάμει ὄντος ἐντελέχεια ᾗ τοιοῦτον κίνησίς ἐστιν, εἰς ἐντελέχειαν τὴν ἐνέργειαν ἐν τῷ ὁρισμῷ τῆς κινήσεως μεταλαμβάνουσιν, ὡς ταυτὸν ὂν παρὰ τῷ Ἀριστοτέλει. μήποτε δὲ τὴν ἐντελέχειαν ὁ Ἀριστοτέλης ἐπὶ τῆς τελειότητος ἀκούει. καὶ εἴποτε ἐπὶ ἐνεργείας αὐτὴν τίθησιν, οὐ τῆς τυχούσης, ἀλλὰ τῆς τελείας, καθ' ὅτι ἔχει τέλειον. διότι ἕκαστον τότε ἐν τῇ ἑαυτοῦ τελειότητι ἔχεται, ὅτε τὰς κατὰ φύσιν αὐτοῦ ἐνεργείας ἀποδίδωσι. διὸ καὶ τὴν ψυχὴν ἐντελέχειαν ὡρίσατο τοῦ φυσικοῦ καὶ ὀργανικοῦ καὶ δυνάμει ζωὴν ἔχοντος σώματος. οὐχ ὅτι ἐνέργειά ἐστιν ἡ ψυχὴ, ἀλλ' ὅτι κατ' ἐκείνην ἡ τελειότης αὐτῷ. τὴν μέντοι κίνησιν ἀτελοῦς οὖσαν, οὐ μάτην ἐνέργειαν εὐθὺς, ἀλλ' οὐχὶ ἐντελέχειαν ἐκάλεσε. τούτῳ γὰρ καλῶς ἐπέστησε καὶ ὁ Ἀλέξανδρος, ὅτι καὶ τοῦ δυνάμει εἰ λέγοιτο ἐντελέχεια ὑπὸ τοῦ Ἀριστοτέλους ἡ κίνησις, κατὰ τοῦτο ἐντελέχεια λέγεται, καθόσον τελειότης ἐστὶ τοῦ δυνάμει ἡ κατ' αὐτὸ ἐνέργεια. ὥσπερ ἐπὶ τῶν ἕξεων τελειότης ἕξεώς ἐστιν, ἡ κατ' αὐτὴν ἐνέργεια. ἀλλ' ἐπὶ μὲν τῆς ἕξεως ἡ ἐνέργεια οὐκ ἀπόλλυσι τὴν ἕξιν, ἀλλὰ τελειοτέραν αὐτὴν ἀπεργάζεται. ἡ δὲ τοῦ δυνάμει κατὰ τὸ δυνάμει ἐνέργεια, εἰς τὸ ἐνεργείᾳ τελευτῶσα, ἀπόλλυσι τὸ δυνάμει. οὐκ ἂν οὖν εἴη κυρίως ἐντελέχεια τοῦ δυνάμει. ὡς γὰρ εἶπον τὸ τῆς ἐντελεχείας ὄνομα, τὴν τοῦ ἐντελοῦς ἔχειαν δηλοῖ. καὶ ὅταν ἐπὶ ἐνεργείας κυρίως λέγηται, οὐκ ἐπὶ τῆς τυχούσης, ἀλλ' ἐπὶ τῆς τοῦ τελείου καὶ κατὰ τὸ ἐνεργείᾳ ἱσταμένου καὶ ἐντελεχείᾳ ὄντος ἀποδιδομένης. διττὴ οὖν ἡ κυρίως ἐντελέχεια, ἡ μὲν, ὡς εἶδος τέλειον ἠρεμοῦν. ὡς ἡ ψυχὴ λέγεται ἐντελέχεια, ἡ δὲ, ἡ κατὰ τοῦτο ἐνέργεια. εἰ δέ ποτε καὶ ἁπλῶς ἡ ἐνέργεια ἐντελέχεια λέγοιτο καὶ αὐτὴ, καθόσον ἕκαστον ἐνεργοῦν, κατὰ τὴν ἑαυτοῦ φύσιν τὰς ἐνεργείας ἀποδιδῶσιν, εἴτε ἀτελὴς ἡ φύσις, εἴτε τελεία. ὁ δὲ Πορφύριος τὴν κίνησιν ἀτελῆ μὲν ἐντελέχειαν φησὶν εἶναι, ἐνέργειαν δὲ τελείαν. καίτοι εἰ τοῦ δυνάμει ἐστὶν ἐνέργεια, τὸ δὲ δυνάμει ἀτελὲς, πῶς ἡ τοῦ ἀτελοῦς ἐνέργεια τελεία ἂν εἴη ἐνέργεια. ὅλως γὰρ εἰ ἔστιν ἀτελὴς ἐνέργεια, ἡ τοῦ ἀτελοῦς ἂν εἴη. καὶ αὐτὸς δὲ ὁ Ἀριστοτέλης μετ' ὀλίγα, ἥ τε κίνησις φησὶν ἐνέργεια μὲν εἶναί τις δοκεῖ, ἀτελὴς δέ. προσεκτέον δὲ ὅτι τὸ τῆς ἐνεργείας νῦν ὄνομα κοινῶς τέθεικεν ὁ Ἀριστοτέλης, ἐπί τε τοῦ ποιοῦντος καὶ τοῦ πάσχοντος. κοινῶς γὰρ ἐπ' ἀμφοῖν ἡ τοῦ δυνάμει ἐπὶ τὸ ἐνεργείᾳ διανάστασις, κίνησίς ἐστι. καὶ τὸ παράδειγμα οὖν ἐπὶ τοῦ οἰκοδομητοῦ τέθεικεν. ἀλλὰ καὶ ἐπὶ τοῦ οἰκοδομικοῦ ἀληθὲς εἰπεῖν, ὅτι ἡ τοῦ δυνάμει ἐνέργεια κίνησίς ἐστιν. ὁ γὰρ οἰκοδόμος ἐν τῷ ἀργεῖν δυνάμει ὢν, ὅταν ἐνεργῇ, τότε κινεῖται κατὰ τὸ οἰκοδομικόν. καὶ ἔστι κίνησις ἡ οἰκοδόμησις, τοῦ μὲν οἰκοδόμου ἐνέργεια οὖσα, τῆς δὲ οἰκίας πάθος. ἄμφω δὲ κοινῷ ὀνόματι ἐνέργειαν ὁ Ἀριστοτέλης ἐκάλεσε, καθόσον τὸ δυνάμει ἑκατέρωθεν διεγείρεται πρὸς τὸ ἐνεργείᾳ. μήποτε δὲ καὶ τὸ ποιοῦν ὅταν ἀπὸ τοῦ δυνάμει εἰς τὸ ἐνεργείᾳ μεταβάλλῃ, ὡς πάσχον κινεῖται καὶ οὐχ ὡς ποιοῦν. καὶ διὰ τοῦτο παθητικὰ τὰ παραδείγματα πάντα ὁ Ἀριστοτέλης παρέθετο. ἡ γὰρ τοῦ ποιοῦντος ὡς ποιοῦντος ἐνέργεια τελεία ἐστίν.

ΟΙΟΝ, τοῦ μὲν ἀλλοιωτοῦ, ᾗ ἀλλοιωτὸν, ἀλλοίωσις. τοῦ δὲ αὐξητοῦ καὶ τοῦ ἀντικειμένου φθιτοῦ, οὐθὲν γὰρ ὄνομα κοινὸν ἐπ' ἀμφοῖν, αὔξησις καὶ φθίσις. τοῦ δὲ γενητοῦ, καὶ φθαρτοῦ, γένεσις καὶ φθορά. τοῦ δὲ φορητοῦ, φορά.

Ὅτι μὴ συνωνύμως ἡ κίνησις κατηγορεῖται τῶν πολλῶν κινήσεων, ἀλλὰ τῶν πολλαχῶς λεγομένων ἐστὶν, εἴρηται πρότερον. τοιαύτης δὲ οὔσης αὐτῆς, δεῖ καὶ τὸν ὁρισμὸν αὐτῆς ὁμωνύμως εἰλῆφθαι. τοῦτο οὖν ἐνδεικνύμενος, ἑκάστην παρέθετο κίνησιν, λέγων τοῦ μὲν ἀλλοιωτοῦ ᾗ ἀλλοιωτὸν ἀλλοίωσιν καὶ τὰ ἑξῆς. πολλαχοῦ δὲ τῶν ὀνομάτων ἐπιλειπόντων, ἐπισημαίνεται καλῶς ὁ Ἀριστοτέλης, ὅτι ἐπὶ μὲν τοῦ ποιοῦ ἔστι τι κοινὸν ὄνομα κείμενον τὸ τῆς ἀλλοιώσεως. κἂν γὰρ ἀπὸ τοῦ λευκοῦ εἰς μέλαν, κἂν ἀπὸ τοῦ μέλανος εἰς λευκὸν, κἂν ἀπὸ θερμοῦ εἰς ψυχρὸν, κἂν ἀπὸ ψυχροῦ εἰς θερμὸν, καὶ ἐπὶ τῆς τῶν ἄλλων πασῶν ποιοτήτων μεταβολῆς, ὄνομα κεῖται κοινὸν τὸ τῆς ἀλλοιώσεως. ὁμοίως δὲ καὶ ἐπὶ τῆς κατὰ τόπον μεταβολῆς, κοινὸν ὄνομα κεῖται ἡ φορά. ἐπὶ μέντοι τοῦ ποσοῦ καὶ τῆς οὐσίας οὐκέτι κοινὸν ὄνομα κεῖται ταῖς ἐφ' ἑκάτερα μεταβολαῖς. ἀλλ' ἐπὶ μὲν τοῦ ποσοῦ, τὴν μὲν ἐξ ἐλάττονος εἰς μεῖζον ἐπίδοσιν, αὔξησιν καλοῦμεν. τὴν δὲ ἐναντίαν, μείωσιν. ἣν ὡς αὐτὸς ὀνομάζει φθίσιν, οὐ ταυτὸν τῇ φθορᾷ σημαίνων τῇ εἰς τὸ μὴ ὂν ἀπαγαγούσῃ, ἀλλὰ τὴν μείωσιν δηλῶν. ἐπὶ δέ γε τῆς οὐσίας ἡ μὲν ἐκ τοῦ μὴ ὄντος εἰς τὸ ὂν, γένεσις ἁπλῶς λέγεται, ἡ δὲ ἐναντία, φθορά.

ΟΤΙ ΔΕ τοῦτό ἐστιν ἡ κίνησις, ἐντεῦθεν δῆλον. ὅταν γὰρ τὸ οἰκοδομητὸν, ᾗ τοιοῦτον αὐτὸ λέγομεν εἶναι, ἐντελεχείᾳ ᾖ, οἰκοδομεῖται. καὶ ἔστι τοῦτο οἰκοδόμησις. ὁμοίως δὲ μάθησις καὶ ἰάτρευσις καὶ κύλισις καὶ ἅλσις καὶ ἅδρυνσις καὶ γήρανσις.

Ἐφαρμόσας τὸν τῆς κινήσεως ὁρισμὸν ταῖς πολλαχῶς λεγομέναις κινήσεσιν, ἐφεξῆς ὅτι καλῶς ὁ

ὁρισμὸς ἀπεδόθη, δείκνυσι διὰ συλλογισμοῦ ἐναργῆ τὰ λήμματα ἔχοντος, καὶ μόνης δεόμενα τῆς διὰ παραδειγμάτων χειραγωγίας. καὶ ἔστιν ὁ συλλογισμὸς τοιοῦτος. ἡ ἐνέργεια τοῦ οἰκοδομητοῦ καθὸ οἰκοδομητὸν καὶ τὸ ἐνεργεῖν αὐτοῦ, ἡ οἰκοδόμησίς ἐστιν. ἡ δὲ οἰκοδόμησις κίνησις. ἡ τοῦ οἰκοδομητοῦ ἄρα καθὸ οἰκοδομητόν ἐστιν ἐνέργεια, κίνησίς ἐστι. λέγεται μὲν γὰρ οἰκοδομητὸν καὶ τὸ ἤδη ᾠκοδομημένον. ἀλλ' ἡ ἐκείνου ἐνέργεια καὶ τὸ ἐνεργεῖν, τὸ τέλειόν ἐστιν εἶδος, καὶ ἡ κατ' αὐτὸ ἐνέργεια. καὶ οὐκέτι κυρίως οἰκοδομεῖται τὸ τοιοῦτον, ἀλλὰ κατὰ ἀναφορὰν μόνον. λέγεται δὲ κυρίως οἰκοδομητὸν, τὸ ἔτι δυνάμει ὂν καὶ ἕως ἂν ᾖ δυνάμει. τοῦτο οὖν ὅταν ἐνεργῇ κατὰ τὸ δυνάμει, ὅπερ ἐστὶν ἐνεργείᾳ εἶναι οἰκοδομητὸν, τὸ γὰρ ἐνεργοῦν κατά τι ἐνεργείᾳ κατ' ἐκεῖνο λέγεται, τότε καὶ ἡ ἐνέργεια αὕτη ἥτις ἐστὶν ἡ οἰκοδόμησις κίνησίς ἐστιν. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων τῶν δυνάμει. καὶ καθόλου ἄρα ἀληθὲς εἰπεῖν, ὅτι ἡ τοῦ δυνάμει καθὸ δυνάμει ἐστὶν ἐνέργεια, κίνησίς ἐστι. σκληρότερον δὲ δοκεῖ, τὸ τὸ δυνάμει ἐνεργείᾳ λέγειν, ὅταν ἐνεργῇ κατὰ τὸ δυνάμει. ἀλλ' ἐπειδὴ ὅλως ἐνεργοῦν ὑπόκειται, τὸ δὲ ἐνεργοῦν ἐνεργείᾳ λέγεται, διὰ τοῦτο καὶ τὸ δυνάμει ἐνεργείᾳ εἶπεν. ὁ δὲ ἀλέξανδρος δύναταί τις φησὶν ἐκ τῶν εἰρημένων μεταλαβὼν λέγειν, κίνησιν εἶναι τὴν τοῦ δυνάμει ὄντος πρώτην μεταβολὴν, ἢ πρώτην ἐντελέχειαν. ὑστάτη μὲν γάρ ἐστιν ἡ εἰς τὴν τελειότητα μεταβολή. καθ' ἣν ἐνεργείᾳ γινόμενον τοῦτο ὅπερ ἦν δυνάμει, ἠρεμεῖ κατὰ τοῦτο λοιπόν. πρώτη δὲ, ὁδὸς ἡ ἐπ' ἐκεῖνο. ταῦτα τοῦ ἀλεξάνδρου λέγοντος αὐτῇ λέξει, ἀποδεκτέον μὲν, εἰ μὴ αὐτῆς τῆς ἀτελοῦς δυνάμεως πρώτην λέγοι μεταβολὴν τὴν κίνησιν, ὑστέραν δὲ τὴν εἰς τὸ εἶδος, ἀλλ' αὐτοῦ τοῦ δυναμένου καὶ πεφυκότος. τοῦτο γὰρ διὰ κινήσεως ἐκ τοῦ ἀτελοῦς μεταβάλλει εἰς τὸ τέλειον. καὶ ἐνεργεῖ κατὰ τὴν τοιαύτην μεταβολὴν ἀτελῆ οὖσαν ἐνέργειαν, ἕως ἂν ἀτελὴς μένῃ. καὶ γὰρ ἡ κίνησις ἐλέγετο οὐ τῆς δυνάμεως ἤτοι τῆς ἐπιτηδειότητος, ἀλλὰ τοῦ ἐπιτηδείου καθὸ τοιοῦτον. ζητητέον δὲ ὅμως, πῶς περὶ τῆς ἁπλῶς κινήσεως ὄντος τοῦ λόγου, πρώτην μεταβολὴν εἶναι φησὶν αὐτήν. εἰ μὲν γὰρ ταυτόν ἐστι κίνησις καὶ μεταβολὴ, δι' ἑαυτῆς ἂν εἴη ἀποδεδομένη ἡ κίνησις. ὡς εἴ τις ζητῶν τί ἐστιν ἡ κίνησις, ἀποδιδοίη λέγων, ἡ πρώτη κίνησις. εἰ δὲ κοινότερα καὶ διὰ γένους ἔχουσα λόγον ἡ μεταβολὴ τῆς κινήσεως, διὰ τὸ τὴν γένεσιν καὶ τὴν φθορὰν μεταβολὰς μὲν εἶναι, κινήσεις δὲ οὔ, πρῶτον μὲν οὔπω διῄρηται τοῦτο. ἀλλὰ ἐν ταύτῃ καὶ τὴν γένεσιν καὶ τὴν φθορὰν θεωρεῖ. ἐν δὲ τῷ πέμπτῳ βιβλίῳ διαιρεθήσεται. ἔπειτα ἡ ζητουμένη νῦν κίνησις ἡ κοινή ἐστιν, ἡ καὶ τὴν μεταβολὴν καὶ τὴν κίνησιν περιέχουσα. ἐκείνης γὰρ ἀρχὴ τῆς κινήσεως ἡ φύσις ἐστί. ζητεῖ δὲ ταύτην ἧς ἡ φύσις ἀρχή. εἰ οὖν μέρος ἢ εἶδος τῆς τοιαύτης κινήσεως ἡ μεταβολὴ, διὰ τοῦ μέρους τὸ ὅλον ἀποδοθήσεται. ὡς εἴ τις ζητῶν τί ἐστι ζῶον, λέγοι ἄνθρωπος. ὅλως δὲ ὁ πρώτην μὲν τοῦ δυνάμει ὄντος μεταβολὴν τὴν κίνησιν λέγων, ὑστάτην δὲ τὴν εἰς τελειότητα μεταβολὴν, ἐπειδὴ τὸ μεταβάλλον πᾶν ἀπό του εἴς τι μεταβάλλει, ἄρα ἡ πρώτη αὕτη μεταβολὴ ἀπό τινος εἴς τι ἐστίν. ἀπὸ μὲν γὰρ τοῦ ἀτελοῦς εἰς τὸ τέλειον οὐκ ἔστιν. ἡ γὰρ ὑστάτη ἦν αὕτη. εἰ δὲ ἀπὸ τοῦ μὴ κινεῖσθαι εἰς τὸ κινεῖσθαι, ἔσται πρὸ τῆς ἁπλῶς κινήσεως κίνησις. ὅπερ ἄτοπον. ἆρα δὲ ἡ μὲν πρώτη μεταβολὴ κίνησίς ἐστιν, ἡ δὲ ὑστάτη ἡ εἰς τὴν τελειότητα οὐκ ἔστι κίνησις, μεταβολὴ οὖσα καὶ αὕτη; καίτοι καὶ πᾶσα μεταβολὴ κίνησίς ἐστι κατὰ τὴν ζητουμένην νῦν κίνησιν. καὶ ἡ ἐξ ἀτελείας δὲ εἰς τελειότητα μεταβολὴ διὰ κινήσεως γίνεται. ἐπιστῆσαι δὲ ἄξιον. ὅτι τὰ ἐκτεθέντα παραδείγματα τῶν εἰδῶν ἐστι τῆς κινήσεως. μάθησις μὲν καὶ ἰάτρευσις, ἀλλοίωσίς τις, ἡ μὲν περὶ ψυχὴν, ἡ δὲ περὶ σῶμα. κύλισις δὲ καὶ ἅλσις, φορά. ἡ μὲν, ἀφ' ἑαυτῶν, ἡ δὲ, ἔξωθεν. ἅδρυνσις δὲ ἡ κατὰ ποσότητα, καὶ γήρανσις ἡ κατ' οὐσίαν, ἡ μὲν, αὔξησις, ἡ δὲ φθορά. ὧν καὶ τὰ ἀντικείμενα δέδωκεν ἐννοεῖν. δύναται δὲ ἡ μὲν οἰκοδόμησις τῆς οὐσίας εἶναι. ἡ δὲ ἅδρυνσις καὶ γήρανσις τοῦ ποσοῦ.

Ἐ ΠΕΙ Δ' ἔνια τὰ αὐτὰ καὶ δυνάμει, καὶ ἐντελεχείᾳ ἐστὶν, οὐχ ἅμα δὲ, ἢ οὐ κατὰ τὸ αὐτὸ, ἀλλ' οἷον, θερμὸν μὲν, δυνάμει, ψυχρὸν δὲ ἐντελεχείᾳ, πολλὰ ἤδη ποιήσει καὶ πείσεται ὑπ' ἀλλήλων. ἅπαν γὰρ ἔσται ἅμα ποιητικὸν καὶ παθητικόν. ὥστε καὶ τὸ κινοῦν φυσικῶς, κινητόν. πᾶν γὰρ τὸ τοιοῦτο κινεῖ, κινούμενον καὶ αὐτό.

Ε ἰπὼν ὅτι ἡ κίνησις ἐνέργεια τοῦ δυνάμει ἐστὶν ᾗ τοιοῦτον, καλῶς προστίθησι τὸ ἑπόμενον τῷ λόγῳ. ἐπεὶ δὴ γὰρ τὰ φυσικὰ καὶ δυνάμει ἐστὶ καὶ ἐνεργείᾳ, εἰ καὶ μὴ κατὰ τὸ αὐτὸ, ἀλλὰ κατ' ἄλλο καὶ ἄλλο, δυνάμει μὲν εἰ τύχοι ψυχρὸν, ἐνεργείᾳ δὲ θερμὸν, ἢ εἰ καὶ κατὰ τὸ αὐτὸ καὶ δυνάμει καὶ ἐνεργείᾳ, οἷον κατ' ἄμφω θερμὸν, ἀλλ' οὐχ ἅμα, ἀλλὰ νῦν μὲν δυνάμει, αὖθις δὲ ἐνεργείᾳ, ἢ ἀνάπαλιν, ἐπειδὴ οὖν οὕτως ἔχουσι τὰ φυσικὰ, διὰ τοῦτο οὐ κινεῖται μόνον ὥσπερ ἡ ὕλη. οὔτε κινεῖ μόνως ὡς τὰ ἀσώματα. ἀλλὰ κινεῖται καθὸ δυνάμει, καὶ κινεῖ καθὸ ἐνεργείᾳ ἐστίν. ἔχει μὲν οὖν καὶ ταύτην ὡς εἶπον τὴν χρείαν τὰ εἰρημένα, τὴν αἰτίαν λέγοντα τοῦ μὴ μόνον κινεῖσθαι ἀλλὰ καὶ κινεῖν τὰ φυσικά. καὶ ἀπορίαν δέ τινα πρὸς τὸν τῆς κινήσεως ὁρισμὸν ὑποφερομένην διαλύει καλῶς. ἡ δὲ ἀπορία τοιαύτην ἔχει τὴν ἐρώτησιν, ἐν πρώτῳ σχήματι. τινὰ κινούμενα καὶ αὐτὰ κινεῖ. πάντα τὰ κινοῦντα ἐνεργείᾳ ἐστὶν οὐ δυνάμει. τινὰ ἄρα κινούμενα ἐνεργείᾳ ἐστὶν οὐ δυνάμει.

ὥς τε οὐ πᾶσα κίνησις τοῦ δυνάμει ἐστὶν ἐνέργεια ᾗ τοιοῦτον. λύεται οὖν αὕτη ἡ ἀπορία, διότι τοῦ κινεῖσθαι μὲν πᾶν τὸ κινούμενον καὶ πάσχειν καθὸ δυνάμει ἐστί, κινεῖν δὲ καὶ ποιεῖν καθὸ ἐνέργεια. ἄλλο γὰρ αὐτῷ τὸ δυνάμει, καὶ ἄλλο τὸ ἐνεργείᾳ εἶναι. διὸ καὶ ἄλλο ἡ καθ' ἑκάτερον ἐνέργεια, εἴπερ μὴ μόνον τὸ ποιεῖν ἀλλὰ καὶ τὸ πάσχειν ἐνέργεια λέγεται. καίπερ γὰρ ἐν τῷ κινουμένῳ τὴν κίνησιν εἶναι βουλόμενος, ἐνέργειαν αὐτὴν εἶπε τοῦ κινητοῦ ᾗ τοιοῦτον. ὅτι δὲ πάσχει μὲν τὸ δυνάμει καθὸ δυνάμει καὶ κινεῖται, ποιεῖ δὲ καὶ κινεῖ τὸ ἐνεργείᾳ καθὸ ἐνέργεια, δῆλον ἐκ τοῦ μὴ ἐπὶ τὸ αὐτὸ εἶναι τὴν ἐνέργειαν ἑκατέρου. ἀλλὰ τοῦ μὲν δυνάμει οὐκ ἐφ' ὅ ἐστιν, ἀλλ' ἐφ' ὃ πέφυκε. τὸ γὰρ ψυχρὸν θερμαίνεται, διότι οὐκ ἔστι θερμὸν ἀλλὰ ψυχρόν, πέφυκε δὲ θερμαίνεσθαι. τὸ δὲ θερμὸν θερμαίνει, καθὸ ἐστὶν ἐνεργείᾳ, ἀλλ' οὐχὶ καθὸ οὔπω μέν ἐστι, πέφυκε δὲ ἐνεργεῖσθαι, ὡς τὸ πάσχον. καθὸ γὰρ πέφυκεν ἐνεργούμενον ψύχεται, ἀλλ' οὐχὶ θερμαίνει. ὥστε ὅσα κινούμενα κινεῖ, διὰ μὲν τὸ δυνάμει εἶναι κινεῖται, διὰ δὲ τὸ ἐνεργείᾳ εἶναι κινεῖ. τὸ γὰρ ψυχρὸν θερμαίνεται μὲν ὡς δυνάμει, ἀντιψύχει δὲ ὡς ἐνεργείᾳ. καὶ εἴπερ μὴ ἦν τὸ δυνάμει ἀλλ' ἐνεργείᾳ μόνον, οὐκ ἂν ἐκινεῖτο οὐδὲ μετέβαλλεν εἰς ἄλλο, ἀλλ' ἔμενεν ἐν ᾧ ἦν. οὐ γὰρ ἐπεφύκει πρὸς ἄλλο. μόνον δὲ ἐνήργει καὶ ἐποίει καθὸ ἦν, οὐ μέντοι ἔπασχεν. εἰ δὲ δυνάμει μόνον ἦν τι, καὶ οὐκ εἶχέ τι ἐνεργείᾳ, οὐκ ἂν ἐνήργει οὐδὲ ἐποίει τι οὐδὲ ἐκίνει. οὐ γὰρ εἶχέ τι καθὸ ποιήσει. μᾶλλον δὲ οὐδὲ ἦν ὅλως. ὅπερ γάρ ἐστιν ἕκαστον, ἐνεργείᾳ ἐστί. διὸ τὴν ὕλην οὐδὲ εἶναί τινες οἴονται, ἐπειδὴ πάσχειν μόνον δοκεῖ, καὶ μὴ ποιεῖν μηδὲ ἐνεργεῖν. τὸ δὲ μὴ ἐνεργοῦν οὐδὲ ἔστι τι ἐνεργείᾳ, καθὸ ἦν ἐνεργεῖν ἀνάγκη. ἔχει μὲν οὖν καὶ ταύτας τὰς χρείας ὅπερ εἶπον τὸ προκείμενον ῥητόν. μήποτε δὲ προσθεῖναι βούλεται τῷ λόγῳ τῆς κινήσεως. ἐπειδὴ γὰρ ἐντελέχεια τοῦ δυνάμει ὄντος ἡ κίνησις ἀποδέδοται, ἵνα μὴ νομίσῃ τις ὅτι μόνον δυνάμει ἐστὶ τὸ τοιοῦτο, προσθήσει μετ' ὀλίγον, τὸ, ἐνεργείᾳ ὂν ἄλλο τι καὶ ἄλλο δυνάμει, ὅταν κατὰ τὸ δυνάμει ἢ αὐτὸ ἐνεργῇ ἢ ὑπ' ἄλλου ἐνεργῆται, ἡ τοιαύτη ἐνέργεια κίνησίς ἐστιν. εἰκότως οὖν προλαμβάνει ὅτι τὰ φυσικὰ ἐν οἷς ἡ κίνησις, καὶ δυνάμει καὶ ἐνεργείᾳ ἐστὶ καὶ ποιεῖ καὶ πάσχει. καλῶς δὲ ἔνια εἶπε τὰ αὐτὰ καὶ δυνάμει καὶ ἐντελεχείᾳ εἶναι. οὐ γὰρ πάντα τοιαῦτά ἐστι. τὰ γὰρ νοερὰ καὶ θεῖα οὐδὲν ἔχει δυνάμει. διότι τῇ οὐσίᾳ εἰσὶν ἐνεργείᾳ ὡς αὐτός φησι. τὰ μέντοι οὐράνια σώματα, καὶ σώματα ὄντα, κατὰ μὲν τὴν οὐσίαν οὐκ ἔχει τὸ δυνάμει, γενέσεως καὶ φθορᾶς ἐξῃρημένα. κατὰ δὲ τὴν τοπικὴν κίνησιν, οὐ τῷ ἐξ ἀκινησίας εἰς κίνησιν μεταβάλλειν, ἀλλὰ τῷ μὴ πάντα ἅμα πανταχοῦ εἶναι τὰ μόρια, ἀλλὰ ἄλλο τε ἀλλαχοῦ, τὸ δυνάμει ἔχει καὶ αὐτά. ἴσως δὲ καὶ κατὰ διαφόρους πρὸς ἄλληλα σχέσεις τε καὶ συγκράσεις, ἀλλοίωσιν ὑπομένει τινά, καὶ πάσχει κατά τι ἐνυπάρχον αὐτοῖς δυνάμει. ἄλλη γὰρ διάθεσις αὐτοῖς ἀπὸ συμπαρουσίας, καὶ ἄλλη ἀπὸ τριγωνικῆς ἢ ἑξαγωνικῆς ἢ τετραγωνικῆς στάσεως ἐγίνετο. καὶ ἄλλη ἀπὸ τοῦ σχηματίστου πρὸς ἄλληλα διαστάσεως. ὡς δηλοῖ τὰ διάφορα τῶν τοιούτων διαφορῶν ἀποτελέσματα. ἀλλ' εἰ καὶ κινούμενα ταῦτα ὑπὸ τῶν πρώτως κινούντων αἰτίων κινεῖ τὰ ὑπὸ σελήνην, ἀλλ' οὐκ ἀντικινεῖται ὑπ' αὐτῶν. καὶ κατὰ τοῦτο διαφέρει τῶν ὑπὸ σελήνην. ταῦτα γὰρ κινοῦντα ἀντικινεῖται ὑπὸ τῶν κινουμένων, διὰ τὸ ἐκ τῶν αὐτῶν συγκεῖσθαι στοιχείων, καὶ τῆς αὐτῆς ὕλης ὁμοίως πεφυκυίας πρὸς τὰ ἀντικείμενα. τοιγαροῦν πάσχει μὲν κατὰ τὴν ὕλην ἕκαστον, καθ' ἣν τὸ δυνάμει ἔχει. δρᾷ δὲ κατὰ τὸ εἶδος, καθ' ὃ ἐνεργείᾳ ἐστὶν ὅ ἐστι. τὰ γὰρ θερμαίνοντα ἀντιψύχεται. καὶ τὰ ψύχοντα ἀντιθερμαίνεται. τοῦτο δὲ ἴσως καὶ τὰ οὐράνια πάσχει πρὸς ἄλληλα, ποιοῦντα εἰς ἄλληλα, καὶ πάσχοντα ὑπ' ἀλλήλων. τὸ μέντοι κινητὸν ἐπὶ τῶν οὐρανίων κοινότερον λέγεσθαι φησὶν ὁ ἀλέξανδρος, διότι κυρίως κινητόν ἐστι τὸ οἷόν τε κινεῖσθαι καὶ μή. ὅταν οὖν λέγῃ ὥστε καὶ τὸ κινοῦν φυσικῶς, οὐ περὶ παντὸς λέγει φυσικοῦ. φυσικὸν γὰρ καὶ τὸ οὐράνιον, ἀλλ' οὔτε ἀντικινεῖται τοῦτο ὑπὸ τοῦ κινουμένου, οὔτε κινητόν ἐστιν. εἰ μὴ ἄρα καὶ τοῦτο πρὸς τὰ σύστοιχα ἄμφω ἔχει. ἀντιπάσχον γὰρ καὶ ἀντικινούμενον κατ' ἄλλο καὶ ἄλλο πάθος, καὶ ἄλλοτε ἄλλην κίνησιν, δηλονότι καὶ κινητόν ἐστιν. οὐ μέντοι ὡς δυνάμενον καὶ κινεῖσθαι καὶ μή. ἀλλ' ὡς πεφυκὸς κατά τινα, καθ' ἃ οὔπω πάσχει. ἡ γὰρ σελήνη συνοδεύουσα τῷ ἡλίῳ, οὔπω πάσχει τὸ ἐπὶ τῇ διαμέτρῳ πάθος, καίτοι πεισομένη γε καὶ κινησομένη κατ' ἐκεῖνο τὸ πάθος. ὥστε καὶ κινητή ἐστι κατὰ τοῦτο.

ΔΟΚΕΙ μὲν οὖν τισιν ἅπαν κινεῖσθαι τὸ κινοῦν. οὐ μὴν ἀλλὰ περὶ μὲν τούτων, ἐξ ἄλλων ἔσται δῆλον ὅπως ἔχει. ἔστι γάρ τι κινοῦν καὶ ἀκίνητον.

Εἰπὼν ὅτι ἔνιά ἐστι καὶ δυνάμει καὶ ἐνεργείᾳ, καὶ διὰ τοῦτο κινούμενα κατὰ τὸ δυνάμει κινεῖ κατὰ τὸ ἐνεργείᾳ, οὐ μέντοι πάντα τοιαῦτά ἐστι τὰ ὄντα, ἀλλ' ἔστι τινὰ μόνως ἐνεργείᾳ ὄντα καὶ οὐ δυνάμει, ἅπερ δηλονότι μόνως κινοῦντά ἐστι καὶ οὐ κινούμενα, εἰκότως ἐπήγαγεν ὅτι τισὶ δοκεῖ μὴ εἶναί τι κινοῦν ἀκίνητον, ἀλλὰ πᾶν τὸ κινοῦν κινεῖσθαι. ὅπερ αὐτὸς ἐν τῷ πέρατι τῆσδε τῆς πραγματείας τὸ ἐναντίον ἀποδείξει. εἰς ὃ καὶ ἀνεβάλετο τὴν περὶ τούτου ζήτησιν. καὶ δηλονότι ταύτης εἰσὶ τῆς δόξης τῶν τε παλαιῶν φυσιολόγων, ὅσοι σωματικὴν ἢ μίαν ἢ πλείους ὑπέθεντο τὴν ἀρχήν. καὶ τῶν νέων οἱ στωϊκοί. κατὰ γὰρ τὴν τῶν ἀρχῶν διάκρισιν ἢ σύγκρισιν ἢ ἀλλοίωσιν, ἔλεγον οἱ πάλαι γίνεσθαι τὰ γινόμενα. ὁ δὲ ἀλέξανδρος

πλάτωνος εἶναι τὴν δόξαν φησί. καὶ ὅτι μὲν τὸ ἓν καὶ τἀγαθὸν καὶ ὅλως τὸ πρῶτον αἴτιον, κινοῦν πρὸς ἑαυτὸ πάντα ὡς ἐφετὸν, ἀκίνητον εἶναί φησιν ὁ πλάτων, δηλοῖ σαφῶς τὰ κατὰ τὴν πρώτην ὑπόθεσιν τοῦ παρμενίδου λεγόμενα. μετὰ γὰρ τὸ ἑκάστην τῶν κινήσεων ἀνελεῖν ἀπ' αὐτοῦ, ἐπάγει κατὰ πᾶσαν ἄρα κίνησιν τὸ ἓν ἀκίνητον. καὶ τὰς ἰδέας δὲ αὐτὸς ἀλέξανδρος ὁμολογεῖ ἀκινήτους λέγειν τὸν πλάτωνα. διὸ καὶ σύγκρουσιν τινὰ τῶν πλατωνικῶν λόγων οἴεται ἀποδεικνύναι. εἰ γὰρ τὸ νοεῖν φησι κινεῖσθαι ἐστὶ κατὰ τοὺς πλατωνικοὺς, τὸ νοεῖσθαι κινεῖν ἐστιν. εἰ οὖν νοοῦνται αἱ ἰδέαι, κινοῦσιν. εἰ οὖν πᾶν τὸ κινοῦν καὶ κινεῖται, ἔσονται αἱ ἰδέαι κινούμεναι. καίτοι ἀκινήτους αὐτὰς ὑποτίθενται. ἀλλ' ὅτι μὲν τὸ κινεῖν κατ' οὐδὲν λέγεται εἶδος τῶν φυσικῶν κινήσεων κινεῖσθαι εἶναι, ἀλλὰ κατὰ τὸ ἐνεργεῖν, ὅπερ καὶ ἀριστοτέλης μαρτυρεῖ τῷ νῷ, τῇ οὐσίᾳ ἐνέργειαν αὐτὸν εἶναι λέγων, παντὶ πρόδηλον. καὶ γὰρ ἐν τιμαίῳ πᾶν τὸ ὂν ὁ πλάτων ἀεὶ, κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἔχειν φησίν. οὐδὲν δὲ τῶν κινουμένων ἢ κατ' οὐσίαν, ἢ κατὰ ποσότητα, ἢ κατὰ ποιότητα, ἢ κατὰ τόπον, ἀεὶ κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἔχειν δύναται. ὥς τε καὶ ὅταν ἐν νόμοις λέγῃ, κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως καὶ περὶ τὰ αὐτὰ καὶ πρὸς τὰ αὐτὰ, καὶ ἕνα λόγον καὶ τάξιν μίαν ἄμφω κινεῖσθαι νοῦν, τήν τε ἐν ἑνὶ φερομένην κίνησιν σφαίρας καὶ τόρνου ἀπεικασμένην φοραῖς, οὐ μεταβατικὴν κίνησιν μαρτυρεῖ τῷ νῷ, οὔτε καθ' ὅλον οὔτε κατὰ μέρη, ἀλλ' ἐνεργητικήν. κίνησιν δὲ ὅλως λεγομένην, κατὰ τὴν ζωτικὴν ἀπὸ τοῦ εἶναι πρὸς τὸ ἐνεργεῖν διανάστασιν. ὥς τε τὸ ἀκίνητον εἶναι τὸν νοῦν κατὰ τὰς φυσικὰς κινήσεις ὁ ἀριστοτέλης παρὰ τοῦ πλάτωνος ἔχει μαθών. ἀλλ' εἴπερ ἄρα πρὸς πλάτωνα ὁ λόγος τείνει, εἰς τὴν περὶ ψυχῆς αὐτοῦ δόξαν ἀποβλέπειν ἔοικεν. ὁ γὰρ πλάτων ἑτεροκίνητα νομίζων τὰ σώματα, ὥσπερ καὶ ἀριστοτέλης, ὑπὸ ψυχῆς αὐτὰ προσεχῶς αὐτοκινήτου κινεῖσθαι φησί. καὶ ὅτι μὲν ὑπὸ ψυχῆς κινεῖται καὶ τὰ οὐράνια πάντα προσεχῶς, ὁμολογεῖ καὶ ἀριστοτέλης, σαφῶς ἔμψυχα λέγων αὐτὰ ἐν τῷ δευτέρῳ τῆς περὶ οὐρανοῦ. ἐν οἷς ἀπορήσας τινὰ περὶ τῶν ἄστρων, βαθέως μέλλων λύειν τὴν ἀπορίαν, ἡμεῖς φησιν ὡς περὶ σωμάτων αὐτῶν καὶ μονάδων, τάξιν μὲν ἐχόντων, ἀψύχων δὲ πάμπαν διανοούμεθα. δεῖ δὲ ὡς μετεχόντων αὐτῶν ὑπολαμβάνειν πράξεως καὶ ζωῆς. λέγει δὲ αὐτὰ μετὰ τοῦ ὅλου οὐρανοῦ κινεῖσθαι, ἐνδεδεμένα ἐν αὐτῷ. τὴν δὲ ζωὴν μετὰ ἐμψυχίαν ὁ ἀριστοτέλης εἰδὼς, τὰ ζῶντα ζῶα οἶδεν. ἀλλ' ὁ μὲν ἀριστοτέλης ἀκίνητον εἶναι φησὶ τὴν ψυχὴν, τὰς φυσικὰς πάσας αὐτῆς ἀναιρῶν κινήσεις. καὶ ὁ πλάτων δὲ αὐτοκίνητον αὐτὴν ἀποδείκνυσιν, ὡς κινουμένην μὲν ὑφ' ἑαυτῆς, ταῖς δι' ἑαυτῆς κινήσεσι κινοῦσαν τὰ σώματα, οὐχὶ φυσικαῖς οὔσαις, ἀλλ' ἐνεργείαις ψυχῆς μεταβατικαῖς, διὸ καὶ κινουμέναις. ὅτι γὰρ οὐ κατὰ φυσικὴν κίνησιν κινεῖσθαι φησὶ τὴν ψυχὴν ὁ πλάτων, ἄκουε τῶν ἐν τῷ δεκάτῳ τῶν νόμων εἰρημένων. "ἄγει μὲν δὴ ψυχὴ πάντα τὰ κατ' οὐρανὸν ταῖς ἑαυτῆς κινήσεσιν. αἷς ὀνόματά ἐστι, βούλεσθαι, ἐπιμελεῖσθαι, σκοπεῖσθαι, βουλεύεσθαι, δοξάζειν ὀρθῶς ἢ ἐψευσμένως." ὥς τε καὶ ἡ ψυχὴ ἀκίνητός ἐστιν ἐκείνην τὴν κίνησιν ἣν κινεῖ. καὶ ὁ ἀριστοτέλης τῷ πλάτωνι κατακολουθῶν, τὸ πρώτως κινοῦν ἀκίνητον εἶναι φησὶ, τὴν μὲν ψυχὴν ὡς ἀκίνητον ἣν κινεῖ κίνησιν, τὸν δὲ νοῦν ὡς καὶ κατὰ τὰς ἐνεργείας ἀμετάβατον. ἐπειδὴ γὰρ δεῖ πρὸ μὲν τοῦ ἑτεροκινήτου εἶναι τὸ αὐτοκίνητον προσεχὲς αἴτιον τοῦ ἑτεροκινήτου, πρὸ δὲ τοῦ ὁπωσοῦν κινουμένου τὸ οὔτε ὑπ' ἄλλου οὔτε ὑφ' ἑαυτοῦ, τὸ ἀκίνητον αἴτιον καὶ τῷ αὐτοκινήτῳ τοῦ εἶναι καὶ τοῦ κινεῖσθαι. διότι τὸ αὐτοκίνητον διπλόην ἔχον, καὶ τὸ ποιεῖν μετὰ τοῦ πάσχειν ἐμφαῖνον, οὐκ ἔστιν ἱκανὸν εἰς ἀρχῆς λόγον. εἴτε δὴ ἡ ψυχὴ τὸ πρώτως κινοῦν ἐστι, ἀκίνητος δείκνυται καὶ αὐτὴ κατὰ πᾶσαν κίνησιν ἣν κινεῖ. εἴτε ὁ νοῦς, ἀκίνητός ἐστι κατὰ πᾶσαν μεταβατικὴν κίνησιν. καὶ οὐδὲν ἐν τούτοις ἐστὶ διάφωνον πλάτωνι καὶ ἀριστοτέλει, πλὴν τοῦ ὀνόματος τοῦ αὐτοκινήτου. ὅτι ὁ μὲν πλάτων αὐτοκίνητον τὴν ψυχὴν καλεῖ. ὁ δὲ ἀριστοτέλης τὸ ζῶον, κινοῦν μὲν κατὰ τὴν ψυχὴν, ἀκίνητον οὖσαν ἣν κινεῖ κίνησιν, κινούμενον δὲ κατὰ τὸ σῶμα. καὶ ἀκόλουθον ἐστὶ τοῦτο τῷ ἀριστοτέλει, μὴ ἀξιοῦντι κίνησιν ἄλλην ὀνομάζειν πλὴν τῶν φυσικῶν. διὸ οὐδὲ τὰς μεταβατικὰς ἐνεργείας τῆς ψυχῆς κινήσεις ἀξιοῖ λέγειν, τοῦ πλάτωνος πρῶτον μὲν λέγοντος εἶδος κινήσεως, ὡς κάτωθεν εἰπεῖν, τὸ πλημμελὲς καὶ ἄτακτον, κατὰ τὴν προέμφασιν τῶν εἰδῶν διασειομένης τῆς γενέσεως. δεύτερον δὲ τὸ τῶν φυσικῶν. καὶ τρίτον τὸ μεταβατικὸν τῶν ψυχικῶν ἐνεργειῶν. τέταρτον τὸ τοῦ νοῦ, ἀμετάβατον μὲν, εἰς ἐνέργειαν δὲ ἀπὸ τοῦ εἶναι διανιστάμενον.

Ἡ ΔῈ ΤΟΥ͂ ΔΥΝΆΜΕΙ ὌΝΤΟΣ ἐντελέχεια, ὅταν ἐντελεχείᾳ ὂν, ἐνεργῇ, ἢ αὐτὸ, ἢ ἄλλο ᾗ κινητὸν, κίνησίς ἐστι.

Διὰ τῶν προειρημένων καὶ τὴν ἔνστασιν λύσας τὴν φερομένην, πρὸς τὴν πρώτην ἀπόδοσιν τῆς κινήσεως, καὶ προσυπομνήσας ὅτι τὰ φυσικὰ οὐ μόνον ἐστὶ δυνάμει ἀλλὰ καὶ ἐνεργείᾳ, τελειότερον ἀποδίδωσι τὸν ὁρισμὸν, προστιθεὶς ὅτι τὸ δυνάμει ἐκεῖνο, οὗ ἐστιν ἐνέργεια ἡ κίνησις, οὐ μόνον δυνάμει ἐστίν. ἀλλ' ἔστι μέν τι πάντως καὶ ἐνεργείᾳ, εἴπερ ἐστί τις τῶν ὄντων φύσις ὡρισμένη. ἡ δὲ κίνησις ἐνέργεια αὐτοῦ ἐστιν, οὐ καθὸ ἐνέργειά ἐστιν. ἠρεμεῖ γὰρ κατὰ τοῦτο. καὶ κινεῖ μᾶλλον, ἀλλ' οὐχὶ κινεῖται, ἢ μεταβάλλεται. διχῶς δὲ φέρεται ἡ τῆς λέξεως ταύτης γραφή. κατὰ μὲν τὸν ἀπα-

σιον καὶ θεμίστιον καὶ τὰ πολλὰ τῶν ἀντιγράφων, οὕτως. ἡ δὲ τοῦ δυνάμει ὄντος, ὅταν ἐντελεχείᾳ ὂν ἐνεργῇ, οὐχ ᾗ αὐτὸ ἀλλ' ᾗ κινητὸν, κίνησίς ἐστι. κατὰ δὲ ἀλέξανδρον καὶ πορφύριον, οὕτως. ἡ δὲ τοῦ δυνάμει ὄντος, ὅταν ἐντελεχείᾳ τι ὂν ἐνεργῇ, ἤτοι αὐτὸ ἢ ἄλλο, ᾗ κινητὸν, κίνησίς ἐστιν. οἶδε δὲ καὶ τὴν ἀσπασίου γραφὴν ὁ ἀλέξανδρος. ἀλλ' ἀρέσκεται ταύτῃ μᾶλλον, ὡς προστιθείσῃ τινὰ καὶ διαφορὰν τῆς κινήσεως. τὸ γὰρ αὐτὸ ἢ ἄλλο προσκείμενον, δηλωτικόν ἐστι, τοῦ τινὰ μὲν κίνησιν ὑφ' ἑαυτοῦ ἐνέργειαν εἶναι κατὰ τὸ δυνάμει, ὡς τὴν αὔξησιν καὶ μείωσιν ἔνδοθεν οὖσαν, καὶ τὴν κατὰ τόπον φυσικὴν φορὰν, καὶ τὴν καθ' ὁρμὴν τῶν ζώων μετάβασιν. ὑπ' ἄλλου δὲ, ὡς τὰ βίᾳ κινούμενα, καὶ τὰ κατὰ τέχνην πάντα γινόμενα. καὶ ἔστι τὸ μὲν, ἐνεργεῖν. τὸ δὲ, ἐνεργεῖσθαι. κοινὸν δὲ ἐπ' ἀμφοῖν ἡ ἐνέργεια ἡ κατὰ τὸ δυνάμει. ἥτις οὐδὲν ἧττον πάθος ἐστὶν ἢ ἐνέργεια. ἐπιστῆσαι δὲ ἄξιον, μήποτε ἡ βίαιος καὶ ἡ κατὰ τέχνην, οὐκ ἔστι φυσικὴ κίνησις. νῦν δὲ περὶ τῆς φυσικῆς ἐστιν ὁ λόγος, ἧς ἡ ἀρχὴ ἡ φύσις. καὶ γὰρ ἡ βίαιος κίνησις, οἷον ἡ ἐπὶ τὸ ἄνω τῆς βώλου, οὐ κατὰ τὸ δυνάμει καὶ τὸ πεφυκὸς γίνεται. οὐ γὰρ ἂν ἦν βίαιος. εἰ μὴ ἄρα ἔστι τι καὶ πρὸς τὸ βίᾳ δυνάμει καὶ πεφυκός. οὐδὲ γὰρ βιάζεσθαι πᾶν εἰς πᾶν δύναται. μήποτε δὲ τὰ ὑφ' ἑαυτῶν κινούμενα, οὐκ ἔστι κινούμενα μόνως, ἀλλὰ διπλᾶ ὄντα, τὸ μὲν, κινοῦν ἐν ἑαυτοῖς ἔχει, τὸ δὲ, κινούμενον. ὡς ἐπὶ τῆς τῶν ζώων καθ' ὁρμὴν μεταβατικῆς κινήσεως σαφῶς ὁρᾶται, κινοῦσα μὲν ἡ ψυχὴ καὶ ἀκίνητος οὖσα, κινούμενον δὲ τὸ σῶμα. οὕτω καὶ τὸ αὐξόμενον, καὶ τὸ κατὰ τόπον μεταβάλλον, ἄλλο μὲν ἔχει τὸ αὖξον καὶ μεταφέρον, εἴτε τὴν φύσιν τὴν αὐξητικὴν καὶ κατὰ τόπον κινητικὴν, εἴτε καὶ ἄλλό τι, ὃ καὶ τὴν φύσιν αὔξει καὶ μετατίθησιν, εἴπερ καὶ αὐτὴ κινεῖται οὐχ ὑφ' ἑαυτῆς. καὶ εἰ ταῦτα κρατοίη, πάντως τὸ κινούμενον ὑπ' ἄλλου κινεῖται, καὶ οὐχ ὑφ' ἑαυτοῦ. καὶ μάλιστα κατὰ τοὺς μὴ βουλομένους τὸ αὐτοκίνητον ἐφ' ἑνὸς τοῦ αὐτοῦ θεωρεῖν, ἀλλὰ μερίζοντας εἰς τὸ κινοῦν καὶ κινούμενον. καὶ ἴσως ἀσφαλεστέρα ἐστὶν ἡ τοῦ ἀσπασίου γραφή. εἰ δὲ ἔχει τινὰ λόγον καὶ ἡ κατὰ τὸν ἀλέξανδρον προσθήκη, τὸ ὑφ' ἑαυτοῦ οὐχ ὡς ἐφ' ἑνὸς ἀκουστέον, ἀλλ' ὡς ἔνδον ἔχοντος τὸ κινοῦν αἴτιον, εἰ καὶ ἄλλο παρὰ τὸ κινούμενον ἐστὶν, ὡς ἡ ψυχὴ καὶ ἡ φύσις. καὶ ἀντιδιαιρεῖται τοῦτο τῷ ὑπ' ἄλλου καὶ ἔξωθεν ἐναργῶς. ὡς ἐπὶ τῶν βίᾳ καὶ τῶν τεχνικῶς κινουμένων ὁρᾶται. μήποτε δὲ καὶ τὸ ὑπ' ἄλλου, οἰκειότερόν ἐστιν ἐπὶ τῶν ἔξωθεν μὲν, ἀλλὰ φυσικῶς κινουμένων. οἷον ὅταν ὑφ' ὕδατος πυρουμένου ἀὴρ γίνηται καὶ πῦρ. καὶ ἐπὶ τῶν ἀλλοιουμένων. οὐκ οἶδα μέντοι διατί οἴεται ὁ ἀλέξανδρος, ταύτῃ μᾶλλον τῇ γραφῇ συνᾴδειν τὰ ἐφεξῆς λεγόμενα, ἢ τῇ ἑτέρᾳ. οὐδὲ μοῦ γὰρ οἶμαι τὸ ὑφ' αὐτοῦ ἐν τοῖς παραδείγμασι διαφαίνεσθαι τεχνικοῖς οὖσιν, εἰ καὶ ἡ ὑγεία καὶ ἡ νόσος ἔχει τι φυσικόν.

Λ ΕΓΩ ΔΕ ΤΟ Η, ὧδε. ἔστι γὰρ ὁ χαλκὸς δυνάμει ἀνδριάς. ἀλλ' ὅμως οὐχ ἡ τοῦ χαλκοῦ ἐντελέχεια, ᾗ χαλκὸς, κίνησίς ἐστιν. οὐ γὰρ τὸ αὐτὸ τὸ χαλκῷ εἶναι καὶ δυνάμει τινὶ κινητῷ. ἐπεὶ εἰ ταυτὸν ἦν ἁπλῶς καὶ κατὰ τὸν λόγον, ἦν ἂν ἡ τοῦ χαλκοῦ ᾗ χαλκὸς ἐντελέχεια, κίνησις. οὐκ ἔστι δὲ ταυτὸ ὥσπερ εἴρηται. δῆλον δ' ἐπὶ τῶν ἐναντίων. τὸ μὲν γὰρ δύνασθαι ὑγιαίνειν, καὶ δύνασθαι κάμνειν, ἕτερον. καὶ γὰρ ἂν τὸ κάμνειν καὶ τὸ ὑγιαίνειν ταυτὸν ἦν, τὸ δὲ ὑποκείμενον καὶ τὸ ὑγιαῖνον, καὶ τὸ νοσοῦν, εἴθ' ὑγρότης, εἴθ' αἷμα, ταυτὸν καὶ ἕν. ἐπεὶ δ' οὐ ταυτὸν, ὥσπερ οὐδὲ χρῶμα ταυτὸν καὶ ὁρατὸν, ἡ τοῦ δυνατοῦ ᾗ δυνατὸν ἐντελέχεια, φανερὸν ὅτι κίνησίς ἐστιν.

Κ αὶ ὅτι τὸ κινούμενον κατὰ τὸ ἐν αὐτῷ δυνάμει κινεῖται, καὶ ὅτι ἔστι τι καὶ ἐνέργεια ἐν τῷ κινουμένῳ, καὶ οὐ κατ' ἐκεῖνο κινεῖται τὸ κινούμενον, σαφῶς δείκνυσι διὰ τῶν παραδειγμάτων, ἅμα προσαποδεικνὺς, ὅτι κἂν τῷ ὑποκειμένῳ ταυτὸν ᾖ, τό, τε ἐνεργείᾳ κατά τι ὂν, καὶ τὸ κατ' ἄλλό τι δυνάμει, ἀλλὰ τῷ γε λόγῳ ἕτερα καὶ οὐ ταυτά ἐστι ταῦτα. καὶ τὸ μὲν εἰ ταυτὸν ἦν ἁπλῶς εἶπεν, ἀντὶ τοῦ παντοίως. ὥστε μὴ μόνον τῷ ὑποκειμένῳ ἓν εἶναι, ἀλλὰ καὶ τῷ λόγῳ. εἰ δὲ οὕτως εἶχε φησὶν, ἄτοπον ἄντι ἐναργὲς ἠκολούθει, τῷ λέγοντι τὴν κατὰ τὸ δυνάμει ἐνέργειαν τοῦ ἐνεργείᾳ ὄντος ταύτην εἶναι κίνησιν, τὸ τὴν τοῦ ἐνεργείᾳ ὄντος ἐνέργειαν κατὰ τὸ ἐνεργείᾳ κίνησιν εἶναι, εἴπερ ταυτὸν ἦν τῷ λόγῳ τὸ ἐνεργείᾳ καὶ τὸ δυνάμει. τὸ δὲ ἄτοπον, διότι τὸ ἐνεργείᾳ καθὸ ἐνέργειά ἐστιν, ἀμεταβλήτας ἔχει τὰς οἰκείας ἐνεργείας. καὶ γὰρ ὁ χαλκὸς ἔτι ὡς χαλκὸς ἐνεργεῖ, ἀλλὰ μὴ καθὸ ἄλλό τι δυνάμει ἐστὶν, ἀμεταβλήτως ἔστι καὶ ἀκινήτως. δοκεῖ δὲ τῇ ἀναιρέσει τοῦ ἡγουμένου ἀναιρεῖν τὸ ἑπόμενον, διὰ τοῦ οὐκ ἔστι δὲ ταυτὸν ὥσπερ εἴρηται. οὐ μέντοι οὕτω συνήγαγεν, ἀλλ' ὡς ἑπόμενον τούτῳ, τὸ τὴν τοῦ χαλκοῦ ᾗ χαλκὸς ἐντελέχειαν κίνησιν εἶναι. ὅτι δὲ οὐ ταυτὸν τῷ λόγῳ τὸ ἐνεργείᾳ καὶ τὸ δυνάμει, δείκνυσιν ἐπὶ τῶν ἐναντίων δυνάμεων οὕτως. τὸ ἐνεργείᾳ ἓν καὶ ταῖς ἐναντίαις δυνάμεσιν ὑποκείμενον, ὥσπερ τὸ σῶμα, τῷ δύνασθαι ὑγιαίνειν καὶ δύνασθαι κάμνειν, τὸ αὐτό ἐστι καὶ οὐχ ἕτερον. αἱ δυνάμεις, οἷον τὸ δύνασθαι ὑγιαίνειν καὶ δύνασθαι νοσεῖν, οὐχ αἱ αὐταὶ ἀλλ' ἕτεραι. τὸ ἄρα ἐνεργείᾳ ὂν οὐ ταυτόν ἐστι ταῖς ἐν αὐτῷ δυνάμεσιν, ἀλλ' ἕτερον. πάντα γὰρ ἢ ταυτὰ, ἢ ἕτερα. ἐν δὲ τῷ δευτέρῳ σχήματι ἡ ἐρώτησις. τὸ δὲ οὐκ ἔστι δὲ ταυτὸν ὥσπερ εἴρηται, ὑπομιμνήσκει τῶν περὶ τούτου πρότερον εἰρημένων. εἶπε δὲ, ἐπειδὴ ἔνια τούτων καὶ δυνάμει καὶ ἐντελεχείᾳ ἐστὶν, οὐχ ἅμα δὲ ἢ οὐ κατὰ τὸ αὐτὸ, καὶ διὰ τοῦ, οὐ γὰρ ταυτὸν χαλκῷ τε εἶναι καὶ δυνάμει τινί. δείκνυσι δὲ

ὅτι ἕτεραι

ὅτι ἕτεραι αἱ δυνάμεις τοῦ κάμνειν καὶ ὑγιαίνειν, ἐκ τοῦ τὰς ἐνεργείας ἑτέρας εἶναι. προσλαβὼν γὰρ δυνάμει, ὅτι ὡς ἔχει τὰ ἐνεργείᾳ ἀντικείμενα ἑτερότητος ἕνεκεν καὶ ταυτότητος, οὕτως ἔχει καὶ τὰ δυνάμει, συλλογίζεται ὑποθετικῶς κατὰ τὸν δεύτερον τρόπον οὕτω, σὺν ἀντιθέσει ἀντιστρέφων. εἰ μὴ τὰ δυνάμει ἕτερα ἀλλὰ ταυτά, καὶ τὰ ἐνεργείᾳ ταυτὰ ἔσται. ὅπερ ἄτοπον. τὰ γὰρ ἐνεργείᾳ προφανῶς ἕτερά ἐστιν· ὥστε καὶ τὰ δυνάμει. καὶ δῆλον ὅτι αἴτια μὲν τὰ δυνάμει τῶν ἐνεργείᾳ, ὡς προϋποκείμενα. δεῖ γὰρ πεφυκέναι, καὶ οὕτως ἐνεργεῖν. προφανέστερα δὲ τῶν δυνάμει τὰ ἐνεργείᾳ. διὸ ἐκ τούτων ἔδειξεν ἐκεῖνα, εἰπών. καὶ γὰρ ἂν τὸ κάμνειν καὶ τὸ ὑγιαίνειν ταυτὸν ἦν. εἰ γὰρ ταυτὸν τὸ δύνασθαι, ταυτὸν καὶ τὸ ἐνεργεῖν. ὅπερ ἐναργῶς ἄτοπον φαίνεται. εἰ οὖν αἱ μὲν δυνάμεις ἕτεραι, τὸ δὲ ὑποκείμενον ταῖς δυνάμεσι τὸ αὐτό, οὐκ ἂν εἴη τὸ αὐτὸ τὸ ἐνεργείᾳ ταῖς δυνάμεσι, ὅπερ προέκειτο δεῖξαι. τὸ δὲ εἴτε ὑγρότης εἴθ' αἷμα τὸ ὑποκείμενον, ὅπερ ἐστὶ τὸ ὑγιαῖνον καὶ τὸ νοσοῦν, εἶπεν, ἐπειδὴ νῦν οὐ τοῦτο προὔκειτο ζητεῖν, ἐν τίνι τὸ ὑγιαίνειν καὶ τὸ νοσεῖν πρώτως, ὥσπερ ἐζήτουν τινές, ἆρα ἐν ὑγρότητι καὶ ἐν χυμοῖς ἁπλῶς, ἢ ἐν αἵματι, ὡς καὶ τοὺς ἄλλους ἔχοντι χυμούς. ἢ ἐν πνεύματι, ὡς οἱ πολλοὶ τῶν παλαιῶν ἰατρῶν. ἢ ἐν τοῖς στερεοῖς. ἢ ἐν τῇ συμμετρίᾳ τῶν πρώτων ποιοτήτων. πολλαὶ γὰρ περὶ τούτου γεγόνασι δόξαι, τῶν μέν, τοῖς προσεχεστέροις ὡς πρώτοις προσβαλλόντων, τῶν δέ, τοῖς μέσοις, τῶν δέ, καὶ μέχρι τῶν κυρίως πρώτων ἀναβεβηκότων. οἷοι Ἱπποκράτης καὶ οἱ ἀπ' αὐτοῦ, εἰς τὰς πρώτας ποιότητας τῶν πρώτων στοιχείων ἀναδραμόντες. ἔστι οὖν ὁ συλλογισμός, ᾧ χρῆται δεικνὺς ὅτι ἄλλο τὸ ὑποκείμενον καὶ ἄλλο τὸ δυνάμει, κατηγορικὸς ἐν δευτέρῳ σχήματι, τοιοῦτος, ἐπὶ τῶν ἐναντίων ἐναργῶς συλλογιζόμενος. τὸ ὑποκείμενον τοῖς ἐναντίοις δυνάμει, ἕν ἐστι καὶ οὐχ ἕτερον. ἃ δύναται, ἀλλήλων ἕτερα, ἐπεὶ καὶ τὰ ἐνεργείᾳ. τὸ ἄρα ὑποκείμενον καὶ ἐνεργείᾳ ὄν, οὐκ ἔστι ταυτὸν οἷς δύναται. εἰ δὲ μὴ ταυτόν, ἕτερον. πᾶν γὰρ ὃ μὴ ταυτόν, ἕτερον. καὶ ὑποθετικῶς δὲ οὕτως ἐστὶ συνάγειν. εἰ τῶν ἐναντίων δυνάμει τῷ ἐν σοὶ ὑποκειμένῳ, ἑκάτερον τῷ ὑποκειμένῳ ταυτόν, καὶ ἀλλήλοις ἂν εἴη τὰ αὐτά. τὰ γὰρ τῷ αὐτῷ ταυτὰ καὶ ἀλλήλοις ἂν εἴη ταυτά. εἰ δὲ ἄτοπον τὸ τὰ ἐναντία τὰ αὐτὰ εἶναι, καὶ τὸ ἡγούμενον ἄτοπον τὸ τῷ ὑποκειμένῳ τὸ αὐτὸ εἶναι ἑκάτερον τῶν ἐναντίων. ὅτι δὲ οὐ ταυτόν ἐστι τῷ λόγῳ τό, τε δυνάμει καὶ τὸ δυνάμενον, κἂν τῷ ὑποκειμένῳ ταυτὸν ᾖ, δείκνυσι καὶ διὰ παραδείγματος τοῦ χρώματος καὶ τοῦ ὁρατοῦ. τούτων γὰρ ἓν μὲν τὸ ὑποκείμενον, οἱ δὲ λόγοι διάφοροι. ἄλλο γὰρ τὸ ἐνεργείᾳ ὂν ἐν αὐτῷ, τὸ χρῶμα. καὶ ἄλλο τὸ δυνάμει, τὸ ὁρατόν. καὶ ἔστι χρῶμα μὲν τὸ κινητικὸν τοῦ κατ' ἐνέργειαν διαφανοῦς, δι' οὗ ὁρᾶται τὰ χρώματα. ἢ τὸ πέρας τοῦ διαφανοῦς ἢ διαφανές, ὡς αὐτὸς ἀπεδέξατο. ἡ γὰρ ὄψις περαιωθεῖσα τὸ διαφανές, τῷ χρώματι προσβάλλει. ὁρατὸν δέ ἐστι, τὸ οἷόν τε ὁραθῆναι. καὶ ἔστι τοῦτο τῷ χρώματι συμβεβηκός. οὐκ ἔστι δὲ τὸ συμβεβηκὸς ταυτὸν ᾧ συμβέβηκε. διὸ καὶ οἱ ὁριζόμενοι τὸ χρῶμα ἴδιον αἰσθητὸν ὄψεως, ἀπὸ τοῦ συμβεβηκότος ὁρίζονται. οὐ γάρ ἐστιν αὕτη χρώματος οὐσία. ἀλλ' ὁρατοῦ ὃ συμβέβηκε τῷ χρώματι. ὅτι δὲ οὐ ταυτόν ἐστιν ὁρατῷ εἶναι καὶ χρώματι εἶναι, δῆλον καὶ ἐκ τοῦ τὸ μὲν ὁρατόν, εἰ καὶ χρῶμά ἐστιν, ἀλλ' οὐ καθὸ χρῶμα λαμβάνεσθαι. ἀλλὰ κατὰ τὸ δυνάμενον ὁρᾶσθαι. τὸ δὲ χρῶμα οὐ κατὰ τὸ δυνάμει χρῶμα. οὔπω γὰρ ἐκεῖνο χρῶμα. ἀλλὰ κατὰ τὸ ἐνεργείᾳ. οὐ μέντοι οὐδὲ ᾗ ὁρᾶται, τὸ ἐνεργείᾳ χρῶμα ἴσχει. ὁμοίως γάρ ἐστι τὸ λευκὸν λευκὸν κατὰ τὴν ἑαυτοῦ φύσιν, ὁρώμενόν τε καὶ μή. ἔτι δὲ τὸ μὲν ὁρατὸν πρός τι. πρὸς γὰρ τὸ ὁρᾶν δυνάμενον. τὸ δὲ χρῶμα οὐ πρός τι, ἀλλὰ καθ' αὑτό. οὐκ ἄρα τὸ χρῶμα καθὸ χρῶμα ὁρατόν ἐστιν. ἀλλ' ἴδιον αὐτοῦ τὸ ὁρατόν. οὐ μέντοι ὁρισμός. ὁμοίως δὲ ἁμαρτάνουσι καὶ οἱ τὴν φωνὴν τὸ ἴδιον αἰσθητὸν ἀκοῆς ὁριζόμενοι. ἀκουστοῦ γὰρ οὗτος ὁ ὁρισμός, ὃ συμβέβηκε τῇ φωνῇ. οὐδὲ γὰρ αὕτη μόνη ἀκουστή. εἴγε καὶ ὁ ψόφος ἄλλος ὢν παρὰ τὴν φωνὴν ἀκουστός ἐστι. καὶ οἱ ἀέρα δὲ πεπληγμένον τὴν φωνὴν ἀποδιδόντες, ὥσπερ Διογένης ὁ Βαβυλώνιος, ἁμαρτάνουσι. σῶμα γὰρ οὕτως ἔσται ἡ φωνή, εἴπερ ἐν γένει τῷ ἀέρι ἐστί. καὶ τὸ πεπονθός, τουτέστι τὸν πεπληγμένον ἀέρα, ἀντὶ τοῦ πάθους ὅπερ ἐστὶν ἡ πληγὴ ἀποδιδόασι. καίτοι εἴπερ ἄρα κατὰ τὴν πληγὴν ἡ φωνή ἐστιν, ἀλλ' οὐχὶ κατὰ τὸ πεπληγμένον. καὶ ἔστιν ἡ φωνὴ ὡς ὁ Ἀλέξανδρός φησι, πληγὴ προαιρετικὴ τοῦ ἐκπνεομένου ἀέρος, διὰ τῶν φωνητικῶν ὀργάνων. μήποτε δὲ οὐχ ἡ πληγή, ἀλλ' ὁ ἀπὸ τῆς πληγῆς ἦχος. εἰ οὖν ταῦτα ἀληθῆ, οὐ ταυτόν ἐστι τὸ χαλκῷ τε εἶναι καὶ δυνάμει ἀνδριάντι ἀλλ' ἓν μὲν τὸ ὑποκείμενον, διάφοροι δὲ οἱ λόγοι. ὥστε καλῶς ἀποδέδοται, ἡ τοῦ δυνατοῦ κινεῖσθαι, καθὸ δυνατὸν κινεῖσθαι ἐνέργεια, κίνησις οὖσα. καὶ οὐδὲν ἡμᾶς ἡ ἔνστασις ἐνοχλήσει λοιπόν, ἡ ἀπό του τῶν κινουμένων τινὰ εἴπερ καὶ κινοῦντα φαίνεται, ἐνεργείᾳ εἶναι. δέδεικται γὰρ κἂν τῷ ὑποκειμένῳ ταυτὸν ᾖ τὸ δυνάμει καὶ τὸ ἐνεργείᾳ, κατὰ τὸ δυνάμει τὴν κίνησιν γίνεσθαι. ὥστε εὐλόγως πρόσκειται τὸ ᾗ.

ὍΤΙ ΜΕΝ οὖν ἐστιν αὕτη, καὶ ὅτι συμβαίνει τότε κινεῖσθαι, ὅταν ἡ ἐντελέχεια ᾖ αὕτη, καὶ οὔτε πρότερον, οὔτε ὕστερον, δῆλον. ἐνδέχεται γὰρ ἕκαστον, ὁτὲ μὲν ἐνεργεῖν, ὁτὲ δέ, μή. οἷον, τὸ οἰκοδομητὸν ᾗ οἰκοδομητόν, καὶ ἡ τοῦ οἰκοδομητοῦ ἐνέργεια, ᾗ οἰκοδομητόν, οἰκοδόμησίς ἐστιν. ἢ γὰρ τοῦτό ἐστιν ἡ οἰκοδόμησις, ἡ ἐνέργεια τοῦ οἰκοδομητοῦ, ἢ ἡ οἰκία. ἀλλ' ὅταν οἰκία ᾖ, οὐκέτ' οἰκοδομητὸν ἔσται. οἰκοδομεῖται δὲ τὸ

οἰκοδομητόν. ἀνάγκη ἄρα τὴν οἰκοδόμησιν, τὴν ἐνέργειαν εἶναι. ἡ δὲ οἰκοδόμησις, κίνησίς τίς ἐστιν. ἀλλὰ μὴν ὁ αὐτὸς ἐφαρμόσει λόγος, καὶ ἐπὶ τῶν ἄλλων κινήσεων.

Ε ἰπὼν ὅτι ἡ τοῦ δυνάμει ὄντος ἐνέργεια κίνησίς ἐστι, ἐπειδὴ δοκεῖ τὸ δυνάμει ἐν ἀτελεῖ ἐπιτηδειότητι μόνῃ θεωρεῖσθαι, ἡ δὲ ἐνέργεια τῶν τελείων εἶναι, προτίθεται δεῖξαι ὡς ἐπὶ τοῦ οἰκοδομητοῦ δυνάμει ὄντος, καὶ ὅτι ἔστιν αὐτοῦ ἐνέργεια, καὶ ὅτι οὐκ ἄλλη τις εἰ μὴ ἡ οἰκοδόμησις, καὶ ὅτι ἡ οἰκοδόμησίς ἐστι κίνησις. πρὸ δὲ τοῦ τὰς ἀποδείξεις ταύτας διαρθρῶσαι, τοσοῦτον πάλιν προρρητέον, ὅτι ἡ τοῦ δυνάμει ὄντος ἐνέργεια, πάθος μᾶλλον ἐστὶν ἢ ἐνέργεια. λέγει δὲ αὐτὴν ἐνέργειαν, ὅτι κατ᾽ ἐκεῖνο ἐνεργεῖται ὑπὸ τοῦ ἐνεργοῦντος, καὶ κινεῖται ὑπὸ τοῦ κινοῦντος. καὶ ὅτι ἐπὶ τὴν ἐνέργειά ὁδός ἐστι. καὶ ὅτι πρότερον ἀργοῦν καὶ ἐν μόνῃ ἐπιτηδειότητι ὂν, ἀνακινεῖται πρὸς τὴν ἐνέργειαν. τάχα δὲ καὶ ὅτι αἱ φυσικαὶ κινήσεις ἔνδοθεν οὖσαι, ταὐτόν πως ἔχουσι τὸ κινοῦν καὶ κινούμενον. καὶ διὰ τοῦτο τὸ τοιοῦτο πάθος ἐνεργητικόν πως δοκεῖ. πρώτη γὰρ ἡ φύσις πάσχουσα διατίθησι τὸ σῶμα. καὶ ὅτι μὲν ἔστι τις ἐνέργεια τοιαύτη ἐν τῷ δυνάμει, δείκνυσι διὰ τοῦ, ἐνδέχεται γὰρ ἕκαστον, ὁτὲ μὲν ἐνεργεῖν, ὁτὲ δὲ μή. οἷον τὸ οἰκοδομητόν. καὶ ὅτι μὲν ἕκαστον λέγει τῶν κινητῶν, καὶ ἐν οἷς ἐστι τὸ δυνάμει, δῆλον. ἐν γὰρ τοῖς ἀεὶ κινουμένοις, οὐκ ἔστι τὸ ποτὲ μὲν ἐνεργεῖν ἤτοι κινεῖσθαι, ποτὲ δὲ μή. ἀεὶ γὰρ κινοῦνται, εἰ καὶ ἄλλοτε ἄλλην κίνησιν. ὅτι δὲ ἀναγκαῖόν ἐστι τὸ δυνάμει, εἰ μὴ μάτην εἴη δυνάμει, μεταβάλλειν εἰς τὴν ἐνέργειά ποτε, καὶ τοῦτο πρόδηλον. καὶ ὅτι ἀναγκαῖον οὕτως ἔχειν. διατί οὖν ἐνδέχεσθαι εἶπεν. ἢ ὅτι πολλὰ τῶν δυνάμει πρὸ τοῦ μεταβάλλειν εἰς τὴν ἐνέργειαν, καὶ κατὰ τοῦτο ἐνεργεῖν ἢ ἐνεργεῖσθαι, φθείρεται. πολλοὶ γὰρ πρὸ τοῦ ὀδοντοφυῆσαι, ἢ γενειάσαι, ἢ γεννῆσαι, διεφθάρησαν δυνάμει μὲν ἔχοντες ταῦτα, οὐκ ἐνεργήσαντες δὲ κατὰ τὸ δυνάμει. ἴσως δὲ καὶ ὅτι τὰ κυρίως δυνάμει, ἅπερ ἐστὶ τὰ ἐν γενέσει καὶ φθορᾷ, καὶ ὅταν ἐνεργήσῃ κατὰ τὸ δυνάμει, ἐνδεχομένως ἐνεργεῖ καὶ οὐκ ἀναγκαίως. ἀρκεῖ δὲ ὅμως πρὸς τὸν λόγον κἂν μὴ πάντα τὰ δυνάμει ἀλλά τινα μεταβάλλῃ εἰς τὴν ἐνέργειαν. ἐν τούτοις γὰρ φανήσεται ἡ κίνησις. οὕτως οὖν καὶ τὸ οἰκοδομητὸν ὅ ἐστι δυνάμει, ποτὲ μὲν ἐνεργοίη ἂν ὡς οἰκοδομητὸν, ὅταν οἰκοδομῆται, ποτὲ δὲ οὔ. οἷον εἰ κέοιντο ἁπλῶς οἱ λίθοι καὶ ὁ πηλός, μήπω κινούμενοι ὑπὸ τοῦ οἰκοδόμου. τίς δὲ ἐστὶν ἐπὶ τοῦ οἰκοδομητοῦ ἡ ἐνέργεια λέγει, ὅτι ἡ τοῦ οἰκοδομητοῦ ἐνέργεια ἡ οἰκοδομητὸν, οἰκοδόμησίς ἐστι. καὶ ὅτι αὕτη ἐστὶν, ἐκ διαιρέσεως δείκνυσιν. ἢ γὰρ αὐτό ἐστι τὸ δυνάμει πρὸ τοῦ μεταβάλλειν ἡ ἐνέργεια αὐτοῦ, οἷον οἱ λίθοι καὶ ὁ πηλὸς κατὰ τὸ δυνάμει αὐτῶν, ἐνέργεια, ὅπερ ἄτοπον, ἐκεῖνα γὰρ ἦν καὶ πρὸ τοῦ ἐνέργεια, καὶ ὅλως ἄλλα ἐστὶ τὰ δυνάμει καὶ ἄλλα ἡ ἐνέργεια αὐτοῦ, ἢ τὸ ἐνέργεια ἐστὶν ἡ ἐνέργεια αὐτοῦ. οἷον ἡ οἰκία ἀλλὰ καὶ τοῦτο ἀδύνατον. δείκνυσι δὲ τοῦτο δυνάμει οὕτως. ἡ ἐνέργεια τοῦ οἰκοδομητοῦ ἐστὶ, μένοντος τοῦ οἰκοδομητοῦ. ἡ ἄρα ἐνέργεια τοῦ οἰκοδομητοῦ οὐκ ἔστιν ἡ ἐνέργεια οἰκία. εἰ οὖν μήτε πρὸ τοῦ οἰκοδομεῖσθαι ἐστὶν ἡ ἐνέργεια τοῦ οἰκοδομητοῦ. μήτε μετὰ τὸ οἰκοδομεῖσθαι, οἰκοδομεῖται δὲ τὸ οἰκοδομητὸν μεταξὺ τοῦ δυνάμει καὶ τοῦ ἐνέργεια, δηλονότι ἡ ἐνέργεια τοῦ οἰκοδομητοῦ ἐν τῷ οἰκοδομεῖσθαι ἐστίν. ἡ δὲ ἐν τῷ οἰκοδομεῖσθαι ἐνέργεια τοῦ οἰκοδομητοῦ, ἡ οἰκοδόμησίς ἐστιν. ὅτι δὲ ἡ οἰκοδόμησίς ἐστι κίνησις, ὥσπερ ἡ βάδισις καὶ ἡ ἀνάγνωσις, πρόδηλον. ὥστε ἀποδέδεικται τῶν λημμάτων ἕκαστον. καὶ συνῆκται καλῶς ἐπὶ τοῦ οἰκοδομητοῦ. ὅτι ἡ τοῦ οἰκοδομητοῦ ἐνέργεια ἡ οἰκοδομητὸν κίνησίς ἐστι. καὶ τὸ συμπέρασμα παρέλιπεν ὡς σαφὲς ὁ ἀριστοτέλης. ἀποδείξας δὲ ἐφ᾽ ἑνὸς τοῦ οἰκοδομητοῦ καὶ τῆς οἰκοδομήσεως, τὸ τὴν κίνησιν εἶναι ἐνέργειαν τοῦ δυνάμει μένοντος δυνάμει, εἰκότως ἐπήγαγεν ὅτι ὁ αὐτὸς ἁρμόσει λόγος καὶ ἐπὶ τῶν ἄλλων κινήσεων. οὐ γὰρ ἔχει τι διάφορον τὸ οἰκοδομητὸν καὶ ἡ οἰκοδόμησις, πρὸς τὰ ἄλλα δυνάμει καὶ τὰς ἐνεργείας αὐτῶν. ὥστε πᾶσα κίνησις ἐνέργεια ἔσται τοῦ κινητοῦ ἡ κινητόν. ἐφιστάνει δὲ ὁ ἀλέξανδρος ὅτι ἔν τισιν ἀντιγράφοις οὐ φέρεται αὕτη ἡ λέξις. ἴσως φησί τινῶν παραιτησαμένων αὐτὴν διὰ τὴν ἀσάφειαν. καὶ ὅτι τὰ φθάνοντα εἰρῆσθαι δι᾽ αὐτῆς λέγεται. ἀλλ᾽ ὅτι μὲν οὐκ ἀποδέδεικται πρότερον οὕτως ἐναργῶς τὰ ἐν τῷ ὁρισμῷ τῆς κινήσεως παραληφθέντα, πρόδηλον. ὅτι δὲ εἰ τὰ ἀσαφῆ διαγράψαι μὲν, πολλὰ ἂν τῶν ἀριστοτέλους, διαγραφοίη, καὶ τοῦτο προδηλότερον. ἰστέον μέντοι ὅτι καὶ ὁ θεμίστιος καὶ ὁ πορφύριος ἐξηγούμενοι τὸν τόπον, καὶ τοῦτο τὸ ῥητὸν ἐξηγήσαντο. ἰστέον δὲ ὅτι ὁ πλάτων μὲν πᾶσαν ἐνέργειαν κίνησιν εἶναί φησι, κατὰ τὴν ἀπὸ τῆς οὐσίας ἐξανάστασιν τοῦ ἐνεργοῦντος θεωρῶν τὴν ἐνέργειαν. ἀριστοτέλης δὲ καὶ οἱ τούτου φίλοι τὴν μὲν κίνησιν ἐνέργειαν λέγουσιν, οὐ πᾶσαν δὲ ἐνέργειαν κίνησιν. οὐ γὰρ δὴ καὶ τὴν τελείαν. ἀτελῶν γὰρ ἡ ἀτελής. διότι τῶν δυνάμει καὶ τῶν μήπω ὄντων ἀλλ᾽ ἐσομένων ἡ κίνησις. καὶ δηλονότι κατὰ τὸ ὄνομα μόνον ἡ διαφορά, τῶν μὲν, τὴν μεταβολικὴν μόνην ἐνέργειαν ἀξιούντων κίνησιν καλεῖν, τῶν δὲ, πᾶσαν τὴν ἀπὸ τῆς οὐσίας ἐκτένειαν.

Ο῞ΤΙ ΔΕ᾽ καλῶς εἴρηται, δῆλον, καὶ ἐξ ὧν οἱ ἄλλοι περὶ αὐτῆς λέγουσι, καὶ ἐκ τοῦ μὴ ῥᾴδιον εἶναι διορίσαι ἄλλως αὐτήν. οὔτε γὰρ, τὴν κίνησιν, καὶ τὴν μεταβολὴν ἐν ἄλλῳ γένει θεῖναι δύναιτ᾽ ἄν τις οὔθ᾽ οἱ ἑτέρως εἰρηκότες περὶ αὐτῆς, κατορθοῦσι. δῆλον δὲ, σκοποῦσιν ὡς τιθέασιν ἔνιοι αὐτὴν, ἑτερότητα καὶ ἀνισότητα, καὶ τὸ μὴ ὂν φάσκοντες εἶναι τὴν κίνησιν. ὧν οὐθὲν ἀναγκαῖον κινεῖσθαι οὔτ᾽

αὖ ἑτερότης, οὔτ' αὖ ἄνισα, οὔτ' αὖ οὐκ ὄντα. ἀλλ' οὐδὲ ἡ μεταβολή. οὔτ' εἰς ταῦτα, οὔτ' ἐκ τούτων μᾶλλόν ἐστιν, ἢ ἐκ τῶν ἀντικειμένων. αἴτιον δὲ, τοῦ εἰς ταῦτα τιθέναι αὐτοὺς, ὅτι ἀόριστόν τι δοκεῖ εἶναι ἡ κίνησις. τῆς δὲ ἑτέρας συστοιχίας αἱ ἀρχαὶ διὰ τὸ στερητικαὶ εἶναι, ἀόριστοι· οὔτε γὰρ τόδε, οὔτε τοιόνδε, οὐδεμία αὐτῶν ἐστιν. ὅτι οὐδὲ τῶν ἄλλων κατηγοριῶν. τοῦ δὲ δοκεῖν ἀόριστον εἶναι τὴν κίνησιν αἴτιον, ὅτι, οὔτε εἰς δύναμιν τῶν ὄντων, οὔτε εἰς ἐνέργειαν ἔστι θεῖναι αὐτὴν ἁπλῶς. οὔτε γὰρ τὸ δυνατὸν εἶναι ποσὸν κινεῖται ἐξ ἀνάγκης, οὔτε τὸ ἐνεργείᾳ ποσόν. ἥ τε κίνησις, ἐνέργεια μέν τις εἶναι δοκεῖ. ἀτελὴς δέ. αἴτιον δ' ὅτι ἀτελὲς τὸ δυνατὸν, οὗ ἐστιν ἐνέργεια κίνησις. καὶ διὰ τοῦτο δὴ χαλεπὸν αὐτὴν λαβεῖν τί ἐστιν. ἢ γὰρ εἰς στέρησιν ἀναγκαῖον θεῖναι, ἢ εἰς δύναμιν. ἢ εἰς ἐνέργειαν ἁπλῆν. τούτων δ' οὐθὲν φαίνεται ἐνδεχόμενον. λείπεται τοίνυν ὁ εἰρημένος τρόπος, ἐνέργειαν μέν τινα εἶναι. τοιαύτην δ' ἐνέργειαν, οἵαν εἴπομεν. χαλεπὴν μὲν ἰδεῖν, ἐνδεχομένην δὲ εἶναι.

E

Εἰπὼν τὴν ἑαυτοῦ δόξαν, καὶ ἐπὶ τὰς τῶν προτέρων περὶ κινήσεως μεταβέβηκεν, ἐπισκεπτόμενος ἐκείνας. καὶ ὁ μὲν Ἀλέξανδρος καὶ τὰ ἄλλα μὲν οὐκ οἶδα ὅπως ἑρμηνεύει τῶν ἐνταῦθα λεγομένων, καὶ τὸ ἐν ἀρχῇ λεγόμενον, τὸ, ὅτι δὲ καλῶς εἴρηται, δῆλον καὶ ἐξ ὧν οἱ ἄλλοι περὶ αὐτῆς λέγουσι, καὶ τὸ μὴ ἐν ἄλλῳ γένει τὴν κίνησιν εἶναι δυνατόν. πιστοῦται γάρ φησιν ἐκ τῆς τῶν ἀρχαίων δόξης, οἵτινες ἔξω τῆς τοιαύτης ἐνεργείας τὴν κίνησιν τιθέμενοι, οὐδὲν εἶπον ὑγιὲς περὶ αὐτῆς. μή ποτε δὲ εὐγνωμονέστερόν ἐστιν ἀκούειν, ὅτι τὴν μὲν ὁλοσχερεστέραν ἐκδοχὴν τῶν τοῖς ἀρχαίοις εἰρημένων διελέγχει. δηλοῖ δὲ καὶ ἐκ τῆς ἐκείνων ἐννοίας, ὅτι καλῶς αὐτὸς ἀφωρίσατο τὴν κίνησιν. καὶ ἐκεῖνοι γὰρ εἰς ἀνισότητα καὶ ἑτερότητα καὶ τὸ μὴ ὂν τιθέασιν, ὅτι ἀόριστόν τι δοκεῖ ἡ κίνησις. δύο γὰρ οὐσῶν συστοιχιῶν παρὰ τοῖς Πυθαγορείοις, ὧν ἐν τῇ ἑτέρᾳ ἐστὶν ἡ κίνησις, τῇ τὰς ἀρχὰς ἐχούσῃ στερητικὰς καὶ ἀορίστους, ἐν αἷς καὶ ἑτερότης καὶ ἀνισότης καὶ τὸ μὴ ὄν, αἱ γὰρ δέκα ἀντιθέσεις ὡς ἀρχαὶ παρελήφθησαν, εἰκότως ἀόριστόν τι δοκεῖ ἡ κίνησις καὶ ἐκείνοις, ὥσπερ καὶ ἡμῖν. πλὴν ὅτι ἐκείνοις μὲν δοκεῖ ἐν στερητικῇ καὶ ἀορίστῳ συστοιχίᾳ κεῖσθαι, διὰ τὴν πρὸς τὸ ὡρισμένον τῆς στάσεως ἀντίθεσιν. ἡμῖν δὲ διὰ τὸ μήτε ἐν τῷ δυνάμει μήτε ἐν τῷ ἐνεργείᾳ δυνατὸν εἶναι τιθέναι αὐτήν. καὶ γὰρ τὸ δυνάμει μόνον οὔπω κινεῖται. καὶ τὸ ἐνεργείᾳ οὐκέτι κινεῖται. εἰ οὖν μήτε τὸ δυνάμει ἐστὶ, μήτε τὸ ἐνεργείᾳ, μήτε ὅπερ μάλιστα δοκεῖ εἶναι ἐνέργεια, μὴ δὲ τοῦτο ᾖ, ἀτελὴς γὰρ ἐνέργειά ἐστιν ἡ κίνησις, διότι ἀτελὲς τὸ δυνατὸν, οὗ ἐστιν ἐνέργεια ἡ κίνησις, εἰκότως ἀόριστος δοκεῖ ἡ κίνησις. στερητικὰς δὲ, τῆς ἑτέρας συστοιχίας τῶν ἐναντίων εἶπε τὰς ἀρχὰς, δηλονότι τὰς δέκα ἃς ἀναγράφουσι. διότι κατ' αὐτὸν ἀρχαὶ τῶν ἐναντίων εἶδος καὶ στέρησις. καὶ αἱ μὲν ἐν τῇ κρείττονι συστοιχίᾳ δέκα ἀρχαὶ ὑπὸ τὸ εἶδος ἔσονται. αἱ δὲ ἐν τῇ χείρονι ὑπὸ τὴν στέρησιν. ἴσως δὲ πρὸ αὐτοῦ καὶ ἐκεῖνοι τὴν μὲν, εἰδητικὴν, τὴν δὲ στερητικὴν ἔλεγον. τὰς δὲ δέκα συστοιχίας αὐτὸς ὁ Ἀριστοτέλης οὕτως ἐν ἄλλοις ἱστορεῖ.

α'	ἀγαθὸν,	κακόν.
β'	πέρας,	ἄπειρον.
γ'	περιττόν.	ἄρτιον.
δ'	ἕν,	πλῆθος.
ε'	δεξιὸν,	ἀριστερόν.
ς'	φῶς,	σκότος.
ζ'	ἄρρεν,	θῆλυ.
η'	ἠρεμοῦν,	κινούμενον.
θ'	εὐθὺ,	καμπύλον.
ι'	τετράγωνον.	ἑτερόμηκεν

καὶ λέγεται στερητικὰ τὰ ἕτερα, οὐχ ὅταν ὡς εἴδη θεωρῆται. ἀλλ' ὅταν ὡς ἐκπεπτωκότα. διὸ οὔτε τόδε, οὔτε τοιόνδε. αἱ γὰρ στερήσεις κἂν ἐν ταῖς αὐταῖς κατηγορίαις ὦσιν, ἀλλ' ὡς παρυφεστηκυῖαι. καὶ ἐγὼ μὲν οἶμαι ταῦτα πρὸς ἐκεῖνο ἀποδεδόσθαι τὸ λέγον, ὅτι δὲ καλῶς εἴρηται, δῆλον καὶ ἐξ ὧν οἱ ἄλλοι περὶ αὐτῆς λέγουσιν. ὁ δὲ Ἀλέξανδρος τούτῳ μέν φησιν οὐδὲν ἀκόλουθον ἀποδιδόναι. τῷ δὲ δευτέρῳ τῷ λέγοντι καὶ ἐκ τοῦ μὴ ῥᾴδιον εἶναι διορίσαι ἄλλως αὐτὴν, ἐπάγεσθαι φησὶ, τὸ, οὔτε γὰρ τὴν κίνησιν καὶ μεταβολὴν ἐν ἄλλῳ τινὶ τιθέναι δύναιτο ἄν τις. καὶ ἀσάφειαν καὶ ἀκαταλληλίαν ἐγκαλεῖ τῇ λέξει, διότι τῷ προσεχῶς εἰρημένῳ οὐκ ἐπήγαγε, τὸ, οὔτε τῶν εἰρημένων τι περὶ αὐτῆς ὑπὸ τῶν ἄλλων ὑγιῶς εἴρηται. τούτῳ γὰρ προρρηθέντι φησὶν, ἀκόλουθόν ἐστιν ὃ ἐπιφέρει, τὸ, δῆλον δὲ σκοποῦσιν, ὡς τιθέασιν αὐτὴν ἔνιοι ἑτερότητα, ἕως τοῦ, χαλεπὴν μὲν ἰδεῖν, ἐνδεχομένην δὲ εἶναι. καὶ κατ' ἄλλον δὲ τρόπον τὸ ῥητὸν ἐκδεχόμενος, ἄμεινόν φησι, τὸ, οὔτε γοῦν τὴν κίνησιν καὶ μεταβολὴν ἐν ἄλλῳ γένει τιθέναι δύναιτ' ἄν τις, ἀντὶ τοῦ ἐν ἄλλῃ φύσει, ἀκούειν. καὶ εἴη ἂν ἑπόμενον αὐτῷ, τὸ, δῆλον δὲ σκοποῦσιν, ὡς τιθέασιν αὐτὴν ἔνιοι ἑτερότητα. ἐν πολλοῖς δὲ οὐδὲ φέρεσθαι λέγει ταύτην τὴν λέξιν, καὶ διὰ τοῦτο μὴ δὲ ὑπεμνηματίσθαι. καὶ αὐτὸς δὲ ὡς ἐμοὶ δοκεῖ συγκεχυμένως αὐτῆς τὸν ὑπομνηματισμὸν ἐποιήσατο. πολλὰ δὲ ἀντεῖπεν, ὡς ἑτερότητος παρὰ τῷ Πλάτωνι λεγομένης τῆς κινήσεως. ὧν τὰ κυριώτερα ταῦτα νομίζω. τάχα δὲ καὶ πάντα. αὐτὰ γοῦν στρέφει περὶ αὐτά. ἢ γὰρ τὴν πρὸς ἄλλο φησὶν ἑτερότητα λέγει τὴν κίνησιν, ἢ τὴν ἐν ἑνὶ, ἢ τὴν ἑτεροίωσιν καὶ μεταβολήν. ἀλλ' οὔτε τὸ πρὸς ἄλλο ἕτερον κινεῖται πάντως, οὔτε τὸ ἐν αὐτῷ ἑτερότητα ἔχον, οἷον θερμότητα καὶ λευκότητα. ὁπότε οὐδὲ τὸ δυνάμει ὂν πάντως κινεῖται, οὔτε τὸ ἐνεργοῦν πᾶν. εἰ δὲ τὴν ἑτερότητα ἑτεροίωσιν καὶ μεταβολὴν λέγουσιν, οὐδὲν ἄλλο ἢ τὴν κίνησιν κίνησιν εἶναι λέγουσι. καὶ μὴ

ὂν δέ φησι τὴν κίνησιν ὁ Πλάτων λέγει ἐν Σοφιστῇ. ἐάσας δὲ τὸ σαφῶς ὑπὸ τοῦ Πλάτωνος λεγόμενον
ἐκ συλλογισμοῦ πειρᾶται δεικνύναι, ἐπεὶ γὰρ τῶν ὄντων τὰ μὲν εἶπε κινεῖσθαι, τὰ δὲ, ἑστηκέναι,
ἔλαβε τοῦ ὄντος διαφορὰν εἶναι κίνησίν τε καὶ στάσιν. εἰ δὲ διαφοραὶ ταῦτα τοῦ ὄντος, τὸ δὲ γένος κα-
τὰ τῶν ἰδίων διαφορῶν οὐ κατηγορεῖται, οὐδ' ἂν τὸ ὂν κινήσεώς τε καὶ στάσεως κατηγορεῖτο, εἰ δὲ
τοῦτο, μὴ ὄντα ταῦτα. καὶ δῆλον μὲν ὅτι εἰ καὶ μὴ οὕτως ὡς τοῖς εἴδεσιν, ἀλλ' οὖν ὑπάρχει καὶ ταῖς
διαφοραῖς τὰ γένη. ζῷον γάρ ἐστι τὸ λογικὸν καὶ τὸ ἄλογον, κἂν μὴ ὡς τὰ ζῷα. οὕτως οὖν καὶ ἡ κίνη-
σις καὶ ἡ στάσις εἴπερ εἰσὶ διαφοραὶ τοῦ ὄντος, οὐκ ἂν εἶεν ἔξω τοῦ ὄντος. σαφῶς δὲ ὁ Πλάτων λέγει μὴ
ὂν τὴν κίνησιν, ἐν οἷς φησιν, ἔστιν ἄρα ἐξ ἀνάγκης τὸ μὴ ὂν, ἐπί τε κινήσεως εἶναι, καὶ κατὰ πάντα
τὰ γένη. λέγει δὲ αὐτὴν μὴ ὂν, οὐ κατὰ τὸ μηδαμῇ μηδαμῶς ὂν, ὃ καὶ ἀνώνυμόν ἐστι κυρίως ἀλλὰ κα-
τὰ τὴν ἑτερότητα τὴν πρὸς τὸ ὄν. ὅπερ ἓν εἶναι τῶν γενῶν φησι, κατὰ διωρισμένην ἰδιότητα νο-
ούμενον, ἀλλ' οὐ κατὰ τὴν πάντων τῶν ὄντων περιοχήν. ὥσπερ δὲ μὴ ὂν λέγει τὴν κίνησιν κατὰ τὴν
ἑτερότητα τὴν πρὸς τὸ τοιοῦτον ὂν, οὕτω καὶ ὂν αὐτήν φησι κατὰ τὴν τοῦ ὄντος μέθεξιν. λέγει δὲ οὕ-
τως. οὐκοῦν δὴ σαφῶς ἡ κίνησις ὄντως οὐκ ὄν ἐστι καὶ ὂν, εἴπερ τοῦ ὄντος μετέχει. εἰπὼν δὲ ταύτης εἶ-
ναι τῆς δόξης τῆς τὴν κίνησιν μὴ ὂν λεγούσης καὶ τοὺς Πυθαγορείους, ἐκείνων εὐγνωμόνως ὑπεραπο-
λογεῖται, λέγων, ὅτι οὐκ ἄντικρυς ἴσως οὐδὲ ταύτῃ φερόμενοι, ὡς περὶ μὴ οὔσης τέλεον ἔλεγον.
ἀλλ' ὡς τοῦ κινουμένου μηδέπω τοῦτο κατ' ἐνέργειαν ὄντος, ἐφ' ὃ κινεῖται, ἀλλ' ἔτι ἐν ἀτελεῖ καθε-
στῶτος. ταῦτα δὲ καὶ Ἀριστοτέλει περὶ τῆς κινήσεως ἀρέσκει. ταῦτα δέ φησι τὴν ἑτερότητα καὶ
τὴν ἀνισότητα καὶ τὸ μὴ ὂν, εἰ μὲν ὡς αἴτια κινήσεως ἔλεγον ὅ τε Πλάτων καὶ οἱ Πυθαγόρειοι, δυνα-
τὸν μὲν ἦν, οὐ μέντοι αὔταρκες τῷ περὶ κινήσεως λόγῳ. οὐ γὰρ ταὐτὸν τὸ αἴτιον τῷ αἰτιατῷ. καὶ οἱ
μὴ ὂν δὲ λέγοντες, εἰ καὶ ἀληθές τι εἶπον, ἀλλ' οὖν συμβεβηκός τι τῆς κινήσεως ἀπέδοσαν, οὐχ ὅ τι
ἐστὶν ἡ κίνησις. καὶ ὅτι μὲν ὡς αἴτιον τὴν ἀνισότητα ὁ Πλάτων εἶπε, μετ' ὀλίγον ἔσται δῆλον, ὅταν
τὴν Πλάτωνος παραθῶμεν τὴν ῥῆσιν. νῦν δὲ τοσοῦτον ἰστέον, ὅτι καὶ Εὔδημος πρὸ τοῦ Ἀλεξάνδρου
» ἱστορῶν τὴν Πλάτωνος περὶ κινήσεως δόξαν, καὶ ἀντιλέγων αὐτῇ, τάδε γράφει. Πλάτων δὲ τὸ μέ-
» γα καὶ μικρὸν καὶ τὸ μὴ ὂν καὶ τὸ ἀνώμαλον, καὶ ὅσα τούτοις ἐπὶ ταὐτὸ φέρει, τὴν κίνησιν λέγει. φαί-
» νεται δὲ ἄτοπον αὐτὸ τοῦτο τὴν κίνησιν λέγειν. παρούσης γὰρ δοκεῖ κινήσεως κινεῖσθαι τὸ ἐν ᾧ. ἀνί-
» σου δὲ ὄντος ἢ ἀνωμάλου, προσαναγκάζειν ὅτι κινεῖται, γελοῖον. βέλτιον δὲ αἴτια λέγειν ταῦτα, ὥσ-
» περ Ἀρχύτας. καὶ μετ' ὀλίγον. τὸ δ' ἀόριστόν φησι καλῶς ἐπὶ τὴν κίνησιν οἱ Πυθαγόρειοι καὶ ὁ Πλά-
» των ἐπιφέρουσιν. οὐ γὰρ δὴ ἄλλος γε οὐδεὶς περὶ αὐτῆς εἴρηκεν. οὐ γὰρ ὥρισται. καὶ τὸ ἀτελὲς δὴ
» καὶ τὸ μὴ ὄν. γίνεται γάρ, γινόμενον δὲ οὐκ ἔστι. καὶ ὁ Ἀριστοτέλης δὲ ὡς ἑτερότητα καὶ ἀνισότητα καὶ
μὴ ὂν φασκόντων εἶναι τὴν κίνησιν, εὐθύνει τὸν λόγον. ἔδει γάρ φησι τὰ ἕτερα ἢ τὰ ἄνισα ἢ τὰ μὴ ὄν-
τα εὐθὺς καὶ κινεῖσθαι. νῦν δὲ οὐ φαίνεται κατὰ τὸ τοιοῦτον οὐδὲν κινούμενον. πάντα γὰρ τὰ ὄντα ἕ-
τερα ἀλλήλων. καὶ ὅμως οὐ κινεῖται πάντα. ἐπὶ δὲ τοῦ μὴ ὄντος ἔτι ἀτοπώτερον, εἰ τὸ μὴ ὂν κινεῖ-
ται. εἰ δέ τις λέγοι ὅτι εἰς ταῦτα τὰ κινούμενα κινεῖται, ἢ ἐκ τούτων, καὶ διὰ τοῦτο δοκεῖ ταῦτα ἡ κί-
νησις, προλαμβάνων τὴν τοιαύτην ἔνστασιν, οὐδὲ ἡ μεταβολή φησιν οὐδὲν εἰς ταῦτα, οὐδὲ ἐκ τούτων
μᾶλλόν ἐστιν, ἢ τῶν ἀντικειμένων καὶ εἰς τὰ ἀντικείμενα δηλονότι. οἷον ἐκ ταὐτότητος, καὶ ἰσότητος,
καὶ τοῦ ὄντος, καὶ εἰς ταῦτα. δύναται δέ φησιν ὁ Ἀλέξανδρος, τὸ, οὐδὲν μᾶλλον ἐξ ἑτερότητος καὶ
εἰς ἑτερότητα γίνεσθαι τὴν κίνησιν, ἢ ἐκ ταὐτότητός τε καὶ εἰς ταὐτότητα, εἰρῆσθαι, ὅτι εἰ καὶ ὅτι
μάλιστα τὸ κινούμενον ἐξ ἑτέρου τινὸς εἰς ἕτερον κινεῖται ἀλλ' αὐτά γε τὰ κινούμενα, οἷον τὸ λευκαι-
νόμενον ἢ μελαινόμενον, ὁμογενῆ ἐστιν ἀλλήλοις ποιὰ ὄντα, καὶ κατὰ τοῦτο τὰ αὐτά. ὁμοίως δὲ καὶ τὰ
καθ' ἃ ἡ αὔξησις καὶ ἡ μείωσις, ποσὰ καὶ ἐπὶ τῶν ἄλλων. εἰπὼν δὲ καὶ ὁ Ἀλέξανδρος, ὅτι διὰ τοῦτο
ἀόριστον ἡγοῦντο τὴν κίνησιν, διότι ἐν οὐδενὶ τῶν ὡρισμένων ἐδύναντο αὐτὴν θεῖναι, τῶν γὰρ ὄν-
των τε καὶ ὡρισμένων, τὰ μὲν δυνάμει ἐστί, τὰ δὲ ἐνεργείᾳ, ἐν οὐδετέροις δὲ τούτων ἡ κίνησις, ταῦ-
τα οὖν μόγις εὐγνωμόνως εἰπὼν, ἀναιρεῖ πάλιν αὐτὰ, ἐπάγων, διὰ τούτων δὲ ἅμα ὡς εἶπον, καὶ
ὅτι μὴ ῥᾴδιον ἄλλως ἢ αὐτὸς εἶπε περὶ κινήσεως διορίσαι δείκνυσι. καίτοι διὰ τούτων, ὅτι καὶ οἱ ἀό-
ριστον λέγοντες, τῆς κατὰ τὴν κίνησιν ἐννοίας ἐστοχάζοντο, δηλοῖ. καὶ τὴν αἰτίαν δὲ τοῦ ἀορίστου, καὶ
τῆς χαλεπότητος τοῦ περὶ αὐτῆς λόγου καλῶς παραδείκνυσι, ποτὲ μὲν εἰπὼν ὅτι οὔτε τὸ δυνά-
μει ἐστὶν, οὔτε τὸ ἐνέργεια, οὔτε ἐνέργεια τελεία, ἐν οἷς πάντα περιέχεται τὰ ὄντα. ποτὲ δὲ, ὅτι ἢ
εἰς τὴν στέρησιν αὐτὴν ἀναγκαῖον θεῖναι, ἐπειδὴ τὸ ἐνέργεια οὐ δοκεῖ. ἀλλ' οὔτε στέρησιν ἁπλῶς. ἡ γὰρ στέρη-
σις εἴδους. τίνος δὲ εἴδους στέρησις ἡ κίνησις. εἰ γὰρ τῆς ἠρεμίας, διατί μὴ μᾶλλον ἡ ἠρεμία στέρησις τῆς
κινήσεως. οὔτε δύναμις. ἀκίνητος γὰρ ἡ δύναμις καὶ τὸ δυνάμει καθ' αὑτά. οὐ μὴν οὐδὲ ἁπλῆ καὶ
τελεία ἐνέργεια ἐστὶν, ἀλλ' ἀτελὴς, διότι ἀτελοῦς τοῦ δυνάμει. καὶ διὰ τοῦτο χαλεπὸν μὲν ἰδεῖν, ὅτι
τῶν τελείων ἡ γνῶσις. οὐ μέντοι ἀδύνατος εἰς ὑπόστασιν. εἰ δὲ τοιαύτη τίς ἐστιν ἡ κίνησις, καλῶς ὁ
Ἀριστοτέλης οὐκ ἐν τοῖς γένεσιν αὐτὴν ἔθετο τοῦ ὄντος, ὥσπερ ὁ Πλωτῖνος. τὰ γὰρ γένη καὶ αἱ κα-
τηγορίαι τελείων εἰσὶ καὶ ὡρισμένων. ἡ δὲ κίνησις ἐν πᾶσι θεωρεῖται τοῖς γένεσι, κατὰ τὴν ἀπὸ

τοῦ δυνάμει εἰς τὸ ἐνέργεια μεταβολήν. ἀλλὰ καιρός μοι λοιπὸν ἤδη τὴν πλάτωνος παραθέσθαι
ῥῆσιν, τὴν ἐν τῷ τιμαίῳ γεγραμμένην. πρὸς ἣν καὶ ἀριστοτέλης καὶ οἱ ἐξηγηταὶ τοῦ ἀριστοτέλους ἀν-
» τειρηκέναι δοκοῦσιν. ἐν μὲν ὁμαλότητι μηδέποτε ἐθέλειν κίνησιν εἶναι. τὸ γὰρ κινησόμενον ἄνευ τοῦ
» κινήσοντος, ἢ τὸ κινῆσον ἄνευ τοῦ κινηθησομένου, χαλεπὸν μᾶλλον δὲ ἀδύνατον εἶναι. κίνησις δὲ οὐκ ἔστι
» τούτων ἀπόντων. ταῦτα δὲ ὁμαλὰ εἶναί ποτε ἀδύνατον. οὕτω δὴ στάσιν μὲν ἐν ὁμαλότητι, κίνησιν
» δὲ εἰς ἀνωμαλότητα ἀεὶ τιθῶμεν. αἰτία δὲ ἀνισότης αὖ τῆς ἀνωμάλου φύσεως. ἀνισότητος δὲ γένε-
» σιν μὲν διεληλύθαμεν. πῶς δέποτε οὐ κατὰ γένη διαχωρισθέντα ἕκαστα, πέπαυται τῆς δι᾽ ἀλλήλων
» κινήσεως καὶ φορᾶς, οὐκ εἴπομεν. εἰπὼν οὖν ὅπως διὰ τὴν τοῦ παντὸς πρὸς ἑαυτὸ σύνοδον, τὰ
λεπτομερέστερα εἰσιόντα εἰς τὰ παχυμερέστερα, ἐκεῖνα μὲν διακρίνει, αὐτὰ δὲ συγκρίνεται, συμπε-
» ραινόμενος τὰ εἰρημένα, ἐπάγει, οὕτω δὴ διὰ ταῦτα τε ἡ τῆς ἀνωμαλότητος διασωζομένη γένεσις,
» ἀεὶ τὴν ἀεὶ κίνησιν τούτων οὖσαν, ἐσομένην τε ἐνδελεχῶς παρέχεται. ἐν δὴ τούτοις ὅτι μὲν ἑτερότη-
τος οὐκ ἐμνημόνευσεν ὁ πλάτων, παντὶ δῆλον. εἰ δὲ καὶ πλάτων ἢ οἱ πυθαγόρειοι λέγουσι, τριῶν ὄν-
των τούτων, τῆς τε ἑτερότητος αὐτῆς κατὰ τὸ εἶδος θεωρουμένης, καὶ τοῦ ἑτέρου κατὰ τὸ μετέχον
τῆς ἑτερότητος, καὶ τῆς ἑτεροιώσεως, τὴν ἑτεροίωσιν ἔλεγον κίνησιν, τὴν ὡς ἀλλοίωσιν καὶ ὡς ἐν-
έργειαν λαμβάνοντες. ὁ μέντοι ἀριστοτέλης εἰς τὴν ἑτερότητα τὴν ὡς εἶδος μετέλαβεν. ἧς κατὰ
μέθεξιν γίνεται τὸ ἕτερον. διὸ καὶ εἰς ἀπεμφαῖνον ἤγαγε τὸν λόγον, εἰπών, ὧν οὐδὲν ἀναγκαῖον κινεῖ-
σθαι, οὔτ᾽ ἂν ἕτερα ᾖ, οὔτ᾽ ἂν ἄνισα οὔτ᾽ ἂν οὐκ ὄντα. εἰ γὰρ ἦν ἡ ἑτερότης κίνησις, τὰ μετέχοντα
τῆς ἑτερότητος εὐθὺς ἂν ἐκινεῖτο, ἅπερ ἐστὶ τὰ ἕτερα. καὶ οὐ χρὴ τῷ ἀριστοτέλει ἐγκαλεῖν, μὴ δὲ τὴν
ἑτερότητα τὴν ὡς εἶδος ἀξιώσαντι λαβεῖν ὡς κίνησιν κατ᾽ αὐτούς, ἀλλὰ τὸ ἕτερον, καὶ διὰ τοῦτο
εἰς ἀπέμφασιν ἔτι τὸν λόγον ἀγαγόντι, ἐν οἷς φησιν ὧν οὐδὲν ἀναγκαῖον κινεῖσθαι οὐδ᾽ ἂν ἕτερα ᾖ. οὐ
γὰρ ὡς κίνησιν λεγόμενον τὸ ἕτερον ἐπήγαγε τῷ λόγῳ, ἀλλ᾽ ὡς μετέχον ἑτερότητος. ἥτις εἰ κίνησις
ἦν κινήσεως μετέχον τὸ ἕτερον ἔδει πάντως κινεῖσθαι. καὶ ὅ γε εὔδημος σαφέστερον ἐξέθετο τὴν ἀρι-
στοτέλους ἀπόδειξιν, ἐν οἷς πρὸ ὀλίγου παρεθέμην, διὰ τοῦ, παρούσης γὰρ κινήσεως δοκεῖ κινεῖ-
σθαι τὸ ἐν ᾧ. ἀνίσου δὲ ὄντος ἢ ἀνωμάλου, προσαναγκάζειν ὅτι κινεῖται, γελοῖον. ὅλως δὲ οὐδὲ τὴν
ἀνισότητα οὐδὲ τὸ μὴ ὄν, οὐδὲ τὰ τούτων μετέχοντα κίνησιν εἰκὸς ὑπολαμβάνειν. ἀλλὰ τὴν ἀνίσω-
σιν καὶ οὐσίωσιν ἢ ἀνουσίωσιν. αὗται γάρ εἰσι κινήσεις, μεταβολαί τινες καθ᾽ ἕκαστον γένος ἰδιότροποι,
ἀπὸ τοῦ δυνάμει εἰς τὸ ἐνέργεια. οὐ γὰρ ἑτερότητά φασι τὴν ἤδη ἀφορισμένην καὶ μένουσαν ἐν τῷ
εἴδει. καὶ ἀνισότης δὲ καὶ ἀνωμαλία τοῦ χείρονος πρὸς τὸ κρεῖττον, ἤτοι τοῦ κινουμένου πρὸς τὸ κινοῦν,
συνδύουσα μὲν εἰς τελειότητα ἄγειν τὸ ἀτελές, ἐντιθεῖσα δὲ τῷ δυνάμει τὴν ἐνέργειαν, ἀπὸ τοῦ βελ-
τίονος τὴν αἰτίαν ἐμποιεῖ τὴν πρώτην τῆς κινήσεως. ἔτι δὲ καὶ ἀπὸ τῆς τοῦ κινοῦντος πρὸς τὸ κι-
νούμενον ἀνομοιότητος, τὴν ἀνισότητα καὶ ἀνωμαλίαν καὶ ἑτερότητα καταμαθεῖν. ἄλλο γάρ ἐστι
τὸ κινοῦν καὶ ἄλλο τὸ κινούμενον. καὶ ἄνισα ταῦτα καὶ ἀνώμαλα. καὶ διὰ ταῦτα συνίσταται ἡ κί-
νησις περὶ τὸ κινούμενον ἀπὸ τοῦ κινοῦντος, κατ᾽ αὐτὴν τὴν ἀνωμαλότητα παραγομένη, οὐκ ἐν τῷ
ὡρίσθαι κατὰ τὴν ἀνωμαλότητα, ἐν δὲ τῷ ἀορίστως κατὰ τὸ μᾶλλον προϊέναι ἐν τῇ ἀνωμαλότη-
τι. σύμμιξις γὰρ ἀπὸ τοῦ ὡρισμένου καὶ ἀορίστου τὴν κίνησιν ὑφίστησιν. ἀρχὴ γὰρ ἐγγίνεται τῆς με-
ταβολῆς ἡ ἀνωμαλία, καὶ διαφορὰ τοῦ μὲν κινοῦντος πρὸς τὸ κινούμενον, τῆς δὲ ἐνεργείας πρὸς
τὴν δύναμιν, τῆς δὲ ἀρχῆς πρὸς τὰ μέσα καὶ τὴν τελευτήν, πάντων δὲ τούτων πρὸς ἅπαντα δια-
φόρως ἐπὶ τῆς κινήσεως διακειμένων. καὶ γὰρ ἕως μένει τι τὸ αὐτὸ καὶ ἕν. οὐ πέφυκε κινεῖσθαι. ὥστε
εἰκότως, τὰ μὲν ἕτερα καὶ ἄνισα καὶ μὴ ὄντα, τὰ ἤδη ἑστηκότα ἐν τούτῳ, οὐ κινεῖται. τὰ δὲ ἑτε-
ροιούμενα καὶ ἀνισούμενα καὶ οὐσιούμενα, ταῦτα κινεῖται, συνδύοντα πρὸς τὸ διάφορον ἀεὶ καὶ ἕ-
τερον. κἂν εἰς τὰ ἄνισα οὖν ἐκ τῶν ἴσων γένηται ἡ μεταβολὴ κατὰ τὸ ἀοριστ αίνειν, παρὰ τὸ ἴσον
καὶ τὸ ἀνισοῦσθαι καὶ τὸ ἀφίστασθαι ἀπὸ τοῦ ἴσου γίνεται ἡ μεταβολή. ἐπεὶ καθόσον γε ἕστηκεν αὐ-
τὴ ἡ ποιότης τοῦ ἴσου, οὐ κινεῖται ἀπὸ τοῦ ἴσου ἢ εἰς τὸ ἴσον. ἔπειτα οὐ καθ᾽ ἓν ἡ μεταβολὴ θεωρεῖται,
τὸ ἀπό τινος ἢ εἴς τι. κατὰ τὸ συναμφότερον δέ, τὸ ἀπό τινος ἅμα καὶ εἴς τι. καὶ ἡ καθ᾽ ἑτεροίωσιν ἄρα
ἐνέργεια τὰ δύο συνείληφεν. ἀλλὰ μὴν ἥγε τῶν ἄκρων σύλληψις, ἀνομοίων ἐστὶ καὶ διαφόρων
περιοχή. καὶ ἕως ἂν αὕτη παρῇ, κινεῖσθαι ἀνάγκη τὸ ταύτης μετέχον. οὕτω δὴ οὖν ἡ κίνησις ἀό-
ριστος οὖσα, εἰς τὰ στερητικὰ τίθεται. ἔστι δὲ τοῦ μὲν ὁμαλοῦ τὸ ἀνώμαλον, τοῦ δὲ ἴσου τὸ ἄνισον, τοῦ δὲ
ταὐτοῦ τὸ ἕτερον, τοῦ δὲ ὄντος τὸ μὴ ὄν, στερητικά. ὥστε εἰκότως ἐν τούτοις ἡ κίνησις θεωρεῖται. καθό-
σον γὰρ ἐστέρηται τοῦ εἴδους, καὶ ἐφίεται αὐτοῦ, καὶ σπεύδει εἰς αὐτὸ ἀφικέσθαι, κατὰ τοσοῦτον
κινεῖται τὰ κινούμενα. εἰκότως ἄρα ἐν τῇ στερήσει τὴν κίνησιν ὑποτίθενται οἱ πυθαγόρειοι. καὶ ἀό-
ριστον δὲ αὐτὴν λέγουσιν, ὡς μήτε ὕλην οὖσαν καθ᾽ αὐτήν, μήτε εἶδος, μήτε δύναμιν, μήτε ἐνέργει-
αν, σύμμικτον δέ τι ἀπὸ τούτων. καὶ μεταξὺ δὲ καὶ μέσον ὑπάρχον τοιοῦτον, οἷον μηδέτερον εἶναι.
καὶ τὸ μὴ ὂν οὕτως αὐτῇ ὑπάρχει, ὡς ἂν μήτε δυνάμει οὔσῃ, μήτε ἐνεργείᾳ, ὁδευούσῃ δὲ ἀπὸ θατέρου
εἰς θάτερον. καὶ τὸ ἀτελὲς οὖν ἐν τῇ περὶ αὐτὴν ἐνεργείᾳ τοιοῦτον ἂν εἴη, ὡς μηδέπω τὴν ἐνέρ-

γειαν καὶ τὸ εἶδος ἔχειν. καὶ τὸ πάντων αὐτῆς ἐφαπτόμενον καὶ ἐν ὅλοις μέσον τοιοῦτον ἂν εἴη, ὡς μήτε εἶδος εἶναι, μήτε στέρησις, μήτε δύναμις, μήτε ἐνέργεια τελεία. δυσληπτος δέ τις ἐνέργεια παρὰ πάντα ταῦτα, χωρὶς ἡ πάντων τούτων, καὶ ἄλλον τρόπον μετὰ πάντων ὑπάρχουσα, καὶ ἐν τῷ δυνάμει παροῦσα, καὶ ἕως ἐστὶν ἡ δύναμις. παυσαμένου δὲ αὐτοῦ, μηκέτι μηδαμῶς ὑφεστῶσα. ἀλλ' εἰ μήτε ἐν δυνάμει, μήτε ἐν ἐνεργείᾳ, πῶς ἐνέργεια λέγεται ἡ κίνησις. ἢ οὐκ ἀτελῶς ἐνέργεια, ἀλλ' ἐνέργεια ἀτελής. οὐχ ὡς μεταβολὴ ἀτελής, ἀλλ' ἐντελέχεια ἀτελὴς καὶ εἶδος ἀτελές. διαφέρει δὲ ἡ κίνησις τοῦ τε ἐνεργείᾳ καὶ τῆς τελείας ἐνεργείας, ὅτι ἐκεῖ μὲν τούτων ἔφθαρται τὸ δυνάμει. ἐκεῖ δὲ τῆς κινήσεως μένοντος τοῦ δυνάμει, ἡ τῆς κινήσεως ἐνέργεια ἐκεῖ τελειοῦται. ἀλλ' ἐκεῖ τὰ ἑξῆς ἰτέον.

K ΙΝΕΙΤΑΙ δὲ καὶ τὸ κινοῦν, ὥσπερ εἴρηται πᾶν, τὸ δυνάμει ὂν κινητόν. καὶ οὗ ἡ ἀκινησία ἠρεμία ἐστίν. ᾧ γὰρ ἡ κίνησις ὑπάρχει, τούτῳ ἡ ἀκινησία, ἠρεμία. τὸ γὰρ πρὸς τοῦτο ἐνεργεῖν ἢ τοιοῦτον, αὐτὸ τὸ κινεῖν ἐστί. τοῦτο δὲ ποιεῖ θίξει. ὥστε ἅμα καὶ πάσχει διὸ ἡ κίνησις ἐντελέχεια τοῦ κινητοῦ, ἧ κινητόν. συμβαίνει δὲ τοῦτο, θίξει τοῦ κινητικοῦ. ὥσθ' ἅμα καὶ πάσχει.

E ἰπὼν πρότερον ὅτι τὸ κινοῦν φυσικῶς, καὶ αὐτό, κινητόν ἐστι, πᾶν γὰρ τὸ τοιοῦτον κινεῖ κινούμενον, βούλεται νῦν ἅμα μὲν τεκμήρια παραθέσθαι ἐναργῆ, τῶν ἐν τῷ κινεῖν ἀντικινουμένων, ἅμα δὲ ὡς φησιν Ἀλέξανδρος καὶ χωρίσαι τὸ θεῖον σῶμα τοῦ ἀντικινεῖσθαι καὶ ἀντιπάσχειν. ἐν δὲ τεκμηρίῳ ἔοικε χωρίζειν τὸ φυσικῶς κινοῦν καὶ ἀντικινούμενον ἐν τῇ γενέσει, τοῦ τε ἀκινήτως κινοῦντος ὥσπερ τῆς πρώτης καὶ νοερᾶς οὐσίας, καὶ τοῦ ἀεικινήτως, ὥσπερ τῶν οὐρανίων. καὶ γὰρ τὸ μὲν φυσικῶς κινοῦν δυνάμει ὂν κινητόν, κινεῖ. διὸ καὶ ἀντικινεῖται. καὶ οὐ κινητὸν μόνον δυνάμει ἐστίν, ἀλλὰ καὶ κινητικόν. ἡ δὲ πρώτη οὐσία παντελῶς τοῦ δυνάμει καθαρεύει, καὶ κατὰ τὸ κινεῖσθαι καὶ κατὰ τὸ κινεῖν. καὶ οὔτε κινητόν ἐστιν ὅλως παντάπασιν ἀκίνητον ὄν, οὔτε κινητικὸν δυνάμει. πάσης γὰρ ἀτελείας καὶ τοῦ δυνάμει παντὸς ἐξῄρηται. οὐδέποτε οὖν δυνάμει κινητικὴ ἔσται. οὐδέποτε μέν, ποτὲ δὲ οὔ, οὐδὲ τοῖς μέν, τοῖς δέ, οὔ. καὶ τούτῳ οὖν διείρξεται τοῦ ἀκινήτως κινοῦντος τὸ φυσικῶς κινοῦν. καὶ ἔτι μέντοι, τῷ κἂν ἀκίνητον ποτὲ μένῃ τὸ φυσικῶς κινοῦν καὶ δυνάμει κινητόν, μὴ ὁμοίαν εἶναι τὴν ἀκινησίαν, τούτου τε καὶ τῆς πρώτης οὐσίας. ἀλλ' ἐκεῖ μὲν τῶν φυσικῶν ὡς ποτὲ κινουμένων εἶναι τὴν ἀκινησίαν, καὶ διὰ τοῦτο ἠρεμίαν λέγεσθαι. ᾧ γὰρ ἡ κίνησις ὑπάρχει, τούτου ἡ ἀκινησία ἠρεμία ἐστίν. ἐκεῖ δὲ τῆς πρώτης οὐσίας ἀκινήτου παντάπασιν οὔσης, ἡ ἀκινησία οὐκ ἔστιν ἠρεμία, ἀλλὰ ταυτότης καὶ ἀμετάβλητος ἀεὶ κατάστασις. καὶ τῶν οὐρανίων δὲ τοῖς αὐτοῖς τεκμηρίοις διακρίνοι ἂν τὰ ἐν γενέσει καὶ φθορᾷ. οὔτε γὰρ ἀντικινεῖται ἐκεῖνα κινοῦντα. κἂν γὰρ κινῆται καὶ αὐτὰ ὑπὸ τῶν ἀκινήτων αἰτίων, ἀλλ' οὐχὶ τῶν κινουμένων ὑπ' αὐτῶν ἀντικινεῖται. καὶ οὐδὲ δυνάμει κινητά ἐστιν, ἀεὶ κινούμενα. εἰ μὴ πρὸς ἄλλως τις καὶ ἄλλην κίνησιν τὸ δυνάμει λαμβάνει, διότι ἄλλοτε ἐν ἄλλῳ τόπῳ κινοῦνται. ἀλλ' οὐδὲ ἠρεμεῖ ταῦτα, ὥσπερ οὐδὲ αἱ πρῶται οὐσίαι. πλὴν ὅτι ἐκεῖναι μὲν οὐκ ἠρεμοῦσι, διότι οὐδὲ κινεῖσθαι πεφύκασιν. ᾧ γὰρ ἡ κίνησις ὑπάρχει, τούτου ἡ ἀκινησία ἠρεμία ἐστί. ταῦτα δὲ οὐκ ἠρεμεῖ διότι ἀεικίνητά ἐστιν. ὅτι δὲ ᾧ ἡ κίνησις ὑπάρχει, τούτου ἡ ἀκινησία ἠρεμία ἐστί, καὶ οὐχ ἡ τῶν πάντη ἀκινήτων ἀκινησία, δείκνυσιν οἶμαι ἐκ τοῦ τὸ κινεῖν ἐνεργεῖν εἶναι τὸ κινητικὸν πρὸς τὸ κινητὸν ἢ κινητόν. τουτέστι καθὸ ποτὲ πρὸ τοῦ ἐνεργεῖσθαι, δυνάμει μόνον ὂν ἀκίνητον καὶ ἠρεμοῦν ἐστι, καθ' ἣν μέλλει κινεῖσθαι κίνησιν. τὸ γὰρ ἠρεμοῦν οὕτως ἀκίνητον, ὡς καὶ κινούμενον ποτέ. τὸ δὲ οὕτω πρὸς τοῦτο ἐνεργοῦν, φυσικὸν καὶ σωματικὸν ὑπάρχον, θίξει κινεῖ. διότι αἱ ἐν τούτοις τοῖς σώμασι δραστικαὶ καὶ παθητικαὶ ποιότητες, ἐν ὑποκειμένοις οὖσαι τοῖς σώμασιν, ἀχωρίστως αὐτῶν ἐνεργοῦσιν. ἔχον δὲ καὶ αὐτὸ ἐν ἑαυτῷ τὸ δυνάμει, κατὰ μὲν τὸ ἐνεργείᾳ ποιεῖ, κατὰ δὲ τὸ δυνάμει πάσχει. διὸ καὶ ἀντικινεῖται τὸ οὕτω κινοῦν. τῆς γὰρ αὐτῆς ὕλης ὄντα, καὶ τῆς ὑπὸ τὸ αὐτὸ προσεχὲς γένος ἐναντιώσεως. καὶ τὸ μέν, τῶν ἐναντίων ἐνεργείᾳ ἔχον ἑκάτερον τὸ δὲ δυνάμει, θερμαίνει μὲν τὸ ἐνεργείᾳ μὲν θερμόν, δυνάμει δὲ ψυχρόν, θερμαίνεται δὲ ὑπὸ τούτου τὸ ἐνεργείᾳ μὲν ψυχρόν, δυνάμει δὲ θερμόν διὸ καὶ αὐτὸ καθόσον ἐνεργείᾳ μὲν ψυχρὸν δυνάμει δὲ θερμόν, αὐτὸ ψύχει θερμαινόμενον. εἰ οὖν ἡ κίνησις ἀποδέδοται ἐνέργεια τοῦ δυνάμει καθὸ δυνάμει, ἐνεργεῖται δὲ ὑπὸ τοῦ ἐνεργείᾳ θιγγάνοντος, καὶ ἔχοντός τι καὶ αὐτοῦ δυνάμει, δηλονότι τὸ ποιοῦν οὕτω καὶ πάσχει, καὶ τὸ κινοῦν ἀντικινεῖται. δυνατὸν δὲ καὶ συλλογιστικῶς προαγαγεῖν τὸν λόγον οὕτως. τὸ φυσικῶς ἤτοι γενητῶς κινοῦν, διὰ μὲν τὸ μὴ ἀεὶ ἐνεργείᾳ εἶναι ὅπερ ἐστί, δυνάμει κινητόν ἐστι. διὰ δὲ τὸ σωματικὸν εἶναι θίξει κινεῖ. τὸ δὲ δυνάμει κινητὸν καὶ θίξει κινοῦν, ἀντιπάσχει καὶ ἀντικινεῖται, τὸ μὲν λεπτομερέστερον διακρῖνον μὲν τὸ παχυμερέστερον, συγκρινόμενον δὲ ὑπ' αὐτοῦ. τὸ δὲ παχυμερέστερον τοὐναντίον. ἰστέον δὲ ὅτι ὁ μὲν Ἀσπάσιος οὕτω γράφει τὴν λέξιν. κινεῖται δὲ καὶ τὸ κινοῦν ὥσπερ εἴρηται πᾶν τὸ δυνάμει ὂν κινητικόν. καὶ συνᾴδει τούτῳ τὸ

μετ' ὀλίγον ἐπαγόμενον οὕτως· τὸ γὰρ πρὸς τοῦτο, ἐνεργεῖν ᾗ τοιοῦτο, αὐτὸ τὸ κινεῖν ἐστι. τοῦτο δὲ
ποιεῖ θίξει· ὥστε ἅμα καὶ πάσχει. δυνάμει γὰρ ὂν κινητικὸν, καὶ θίξει κινοῦν ὅταν κινῇ, καὶ
ἀντικινεῖται. τοιαῦτα γὰρ τὰ ἐν γενέσει καὶ φθορᾷ. ὁ δὲ ἀλέξανδρος οἶδε μὲν καὶ ταύτην
τὴν γραφήν. καὶ ἐξηγεῖται προσφόρως ταύτην, ὡς ὑφ' ἑτέρων νομιζομένην. προτέραν δὲ τί-
θησι τὴν ἑτέραν τὴν λέγουσαν, κινεῖται δὲ τὸ κινούμενον ὥσπερ εἴρηται πᾶν τὸ δυνάμει ὂν κι-
νητόν. καὶ σαφεστέρα ἐστὶν αὕτη, διορίζουσα ποῖα τῶν κινούντων ἀντικινεῖται, ὅτι οὐ πάντα.
οὔτε γὰρ τὰ πάντη ἀκίνητα, οὔτε τὰ ἐνεργείᾳ ἀεὶ κινούμενα. ἀλλ' ὅσα κινοῦντα δυνάμει, δυ-
νάμει, καὶ αὐτὰ κινητά ἐστιν. εἰπὼν δὲ ταῦτα συνεπεράνατο πάλιν τὸν ὁρισμὸν τῆς κινή-
σεως, διὰ τοῦ, διὸ ἡ κίνησις ἐντελέχεια τοῦ κινητοῦ ᾗ κινητόν. καὶ δοκεῖ φησιν ὁ ἀλέξανδρος
σαφέστερον νῦν λέγειν τί ποτέ ἐστιν ἡ κίνησις, ἤπερ ὅτε ἔλεγεν αὐτὴν ἐντελέχειαν τοῦ δυνα-
τοῦ ᾗ δυνατόν. καὶ γὰρ τὸ μὲν δυνάμει ἐν πάσαις ταῖς κατηγορίαις ἐστίν. οὐ πᾶσα δὲ ἡ τοῦ
δυνατοῦ ἐντελέχεια κίνησίς ἐστιν. τὰ γοῦν πρός τι δυνάμει μέν ἐστι, καθὸ δυνάμει ἐνέργεια γί-
νεται. οἷον διπλάσιον δυνάμει ὂν ἐνεργείᾳ γίνεται. καὶ οὐκ ἀνάγκη αὐτὸ κινεῖσθαι. ἀλλὰ τὸ
οὗ διπλάσιόν ἐστι παρατίθεσθαι αὐτῷ. καὶ οὕτω γίνεται ἐκ τοῦ δυνάμει ἐνεργείᾳ. οὐ μὴν κινεῖ-
ται. πᾶν μέντοι εἴ τι κινεῖται, τοῦτο ἐκ τοῦ δυνάμει ἐπὶ τὸ ἐνεργείᾳ παραγίνεται. καὶ κα-
τὰ τοῦτο ἐπὶ πλέον ἂν εἴη ἡ τοῦ δυνατοῦ ᾗ δυνατὸν ἐντελέχεια τῆς κινήσεως. ταῦτα δὲ εἰπὼν
» ὁ ἀλέξανδρος, ἐφιστάνει καλῶς λέγων, ἅπερ καὶ πρότερον παρεθέμην. ἢ καὶ ἐπὶ τοῦ πρός τι
» τὸ μὲν δυνάμει διπλάσιον οὐ κεκίνηται. τὸ μέντοι δυνάμει ἥμισυ καὶ ἐγένετο ἐνεργείᾳ, ἵ-
» να τούτων διπλάσιον γένηται. οὐκ ἦν δὲ ἄλλη δύναμις ἡ τοῦ δυνάμει διπλασίου, καὶ ἡ τοῦ
» δυνάμει ἡμίσεος. ὥστε κατὰ τὴν ἐνέργειαν τῆς δυνάμεως καὶ ἐν ἐκείνοις ἡ κίνησις, μιᾶς τῆς
» κατὰ τὸ ὑποκείμενον δυνάμεως οὔσης. ἢ τὰς διαφόρους τῶν πρός τι σχέσεις ἐποίει. ταῦτα
τοίνυν αὐτῇ λέξει τοῦ ἀλεξάνδρου γράφοντος, ἀξιῶ μεμνῆσθαι τῶν πρότερον εἰρημένων παρ'
ἐμοῦ ὅτε καὶ κατὰ τὰ πρός τι κίνησιν ἔλεγον γίνεσθαι, καὶ μὴ μόνον κατὰ τὰς τέσσαρας κα-
τηγορίας. σαφῶς γὰρ ἐν τούτοις ὁ ἀλέξανδρος ὁμολογεῖ, κἂν τὸ ἕτερον τῶν πρός τι κινηθῇ κινεῖ-
σθαι καὶ θάτερον, διὰ τὸ μίαν εἶναι τὴν σχέσιν. ὁ δὲ θεμίστιος καὶ ἐνταῦθα ἀξιοῖ μὴ εἶναι κί-
νησιν κατὰ τὰ πρός τι. διότι ἡ κατὰ τὰ πρός τι ἐνέργεια οὐ διασώζει τὸ δυνάμει. ἀλλ' ἀθρό-
ως γίνεται ἡ μεταβολὴ ἐκ τοῦ δυνάμει εἰς ἐντελέχειαν. οὐ γὰρ κατ' ὀλίγον γίνεται δεξιὸν,
ἀλλ' ἀθρόως. δεῖ οὖν φησι πρῶτον δεικνύναι τὴν ἐνέργειαν τὴν ἀτελῆ, καὶ οὕτω τὸν ὅρον
ἐλέγχειν. ἀλλ' εἰ μὲν ἄχρονος ἡ ἐκ τοῦ δυνάμει εἰς τὸ ἐνέργεια μεταβολὴ, τί ἄτοπον καὶ τὴν
κίνησιν ἄχρονον εἶναι τὴν κατὰ τὸ πρός τι. εἰ δὲ ἐν χρόνῳ γίνεται τὰ ἐν γενέσει, καὶ συνή-
ρηται ὁ χρόνος οὐ παρὰ τοῦτο ἀπώλετο ἡ κίνησις. ἢ οὖν φησιν ὁ ἀλέξανδρος τὸ δυνάμει ὡς
εἰς σαφέστερον τὸ κινητὸν μετέλαβεν, ἢ εἴ τις βιάζοιτο ἐπὶ πλέον εἶναι τὸ δυνάμει, ἐν πά-
σαις ὂν ταῖς κατηγορίαις, εὐλόγως δόξει ἐπὶ τὸν ἰδιαίτερον λόγον τῆς κινήσεως μετεληλυθέ-
ναι, τοῦ κινητοῦ ᾗ κινητὸν ἐντελέχειαν λέγων. καὶ ἄλλην δὲ χρείαν λέγει τῆς εἰς τὸ κινητὸν μετα-
λήψεως ὁ ἀλέξανδρος. ἐπειδὴ γὰρ βούλεται μὲν δεῖξαι τὴν κίνησιν ἐν τῷ κινουμένῳ. καὶ τὸ
κινοῦν δὲ φυσικῶς, δυνάμει ὂν κινητικὸν, ἐντελεχείᾳ γίνεται τοιοῦτον, ὅταν ἐνεργῇ πρὸς τὸ
κινητὸν, ἀλλ' οὐκ ἔστι κινούμενον οὐδὲ ἡ κίνησις ἐν αὐτῷ, εἰκότως τὸ κινητὸν ἔλαβεν ἐν ᾧ ἡ κίνη-
σίς ἐστι, καὶ οὐχὶ τὸ κινητικὸν. ὑφ' οὗ ἡ κίνησις ἐν τῷ κινητῷ ἐγγίνεται. καὶ ἐξισάζοντα τὸν ὅ-
ρον ἐποίησε, μεταλαβὼν τὸ δυνάμει εἰς τὸ κινητόν. τινὲς δὲ αἰτιῶνται τὸν ὅρον τῆς κινήσε-
ως, διότι τῷ κινητῷ ὁμοίως ὄντι ὥς φασιν ἀδήλῳ τῇ κινήσει, καὶ γνωριζομένῳ διὰ τῆς κι-
νήσεως προσκέχρηται. ἀπολογεῖται δὲ ὁ ἀλέξανδρος, λέγων, ὅτι εἰ ἡ κίνησις τῶν πρός τι
ἐστὶ, τοῦ γὰρ κινητοῦ ἡ κίνησις, τοῖς δὲ πρός τι τὸ εἶναι τὸ πρός τι πως ἔχειν, εἰκότως τὴν κίνη-
σιν ὁριζόμενος, παρέλαβε τὸ κινητὸν, πρὸς ὃ τὸ εἶναι ἐστὶν αὐτῆς. ὅλως δὲ οὐδὲ ἤρτηται τοῦ
κινητοῦ ἡ τῆς κινήσεως γνῶσις. ἀλλὰ τοσοῦτον μόνον ἐνδείκνυται τὸ κινητὸν, ὅτι τοῦ πεφυκότος
ἐστὶν ἐνέργεια καθὸ πέφυκε, πεφυκότος δὲ κινεῖσθαι, καὶ οὐκ ἄλλο τι. τὸ γὰρ οἰκοδομητὸν ὅταν
ἐνεργῇ καθὸ πέφυκε, μένοντος τοῦ πεφυκέναι οἰκοδομεῖται. οὕτω δὲ καὶ τὸ κινητὸν κινεῖται
πᾶν. μήποτε δὲ μετὰ τὴν πολυειδῆ τοῦ ὁρισμοῦ διάπτυξιν, εἰς σαφεστέραν παράδειξιν, οὐδὲν
ἄτοπον ἦν αὐτὸν καὶ οὕτω προαγαγεῖν, ἀντὶ τοῦ δυνατοῦ τὸ κινητὸν τιθέντα. τὴν δὲ ἐνέργειαν
ταύτην θίξει τοῦ κινητικοῦ πρὸς τὸ κινητὸν γίνεσθαί φησι. καὶ ἐπὶ μὲν τῶν φυσικῶς καὶ σω-
ματικῶς κινουμένων, ἀλλήλων ἅπτεσθαί φησι τό, τε κινοῦν καὶ τὸ κινούμενον. ἐπὶ δὲ τῆς ἀ-
πὸ τοῦ ἀσωμάτου κινήσεως, τὸ μὲν κινοῦν ἀσώματον ὂν ἅπτεσθαι λέγει τοῦ κινουμένου, κοινό-
τερον τὴν ἁφὴν ἐπὶ τοῦ ἀσωμάτου λέγων. ὡς λέγομεν ἧφθαι τὴν λοιδορίαν ἡμῶν. οὐκέτι μέν

τοι καὶ τὸ κινούμενον σῶμα ἧφθαι τοῦ κινοῦντος. οὐ δὲ γὰρ ἡμεῖς ἅπτεσθαι τῆς λοιδορείας λε-
γόμεθα. εἰ δὲ καὶ τὸ κινοῦν καθὸ δυνάμει ἐστὶν ἀντικινεῖται, καὶ διὰ τούτου δείκνυται βεβαιότερον,
ὅτι ἐντελέχεια τοῦ κινητοῦ ἐστὶν ἡ κίνησις.

ΕἸΔΟΣ ΔῈ ἀεὶ, οἴσεταί τι τὸ κινοῦν, ἤτοι τόδε ἢ τοιόνδε ἢ τοσόνδε ὃ ἔσται ἀρχὴ καὶ αἴτιον
τῆς κινήσεως ὅταν κινῇ. οἷον, ὁ ἐντελεχείᾳ ἄνθρωπος, ποιεῖ ἐκ τοῦ δυνάμει ὄντος ἀνθρώπου, ἄν-
θρωπον.

Δείξας ὅτι τὸ κινούμενον ἕως ἂν κινῆται φυλάττει τὸ ἀτελὲς καὶ τὸ δυνάμει, εἰκότως ἐπὶ σημαί-
νεται περὶ τοῦ κινοῦντος, ὅτι τοῦτο τέλειον εἶναι χρὴ καὶ εἶδος ἔχειν. τὰ γὰρ κατὰ φύσιν καὶ
προσεχῶς ποιοῦντά τε καὶ κινοῦντα, ὅμοια αὑτοῖς ποιεῖ, καὶ εἰς τὸ οἰκεῖον εἶδος ἄγει τὰ κινού-
μενα ὑφ᾽ ἑαυτῶν. διὸ εἰ μὲν κατ᾽ οὐσίαν κινεῖται τὸ κινούμενον, οὐσίαν χρὴ εἶναι τὸ κινοῦν. εἰ δὲ κα-
τὰ ποιότητα, ποιόν. εἰ δὲ κατὰ ποσότητα, ποσόν. οἷον ὁ ἐντελεχείᾳ ἄνθρωπος ποιεῖ ἐκ τοῦ δυνάμει
ὄντος ἀνθρώπου ἄνθρωπον. τέλειον γὰρ ὂν τὸ κινητικὸν, ἀρχὴ καὶ αἴτιόν ἐστι ποιητικὸν τῆς κινήσε-
ως. ἀλλὰ πῶς ἐπὶ τοῦ κατὰ τόπον κινητικοῦ. οὐ γὰρ τόπος οὐδὲ ἐν τόπῳ ἔσται τὸ κατὰ τόπον κι-
νοῦν, ὥσπερ οὐσία τὸ κατ᾽ οὐσίαν, καὶ ποιὸν τὸ κατὰ τὸ ποιόν. ἢ ἐντελειότητι μὲν ἀνάγκη καὶ ἐπ᾽
ἐκείνων εἶναι τὸ κινοῦν, οὐ μὴν καὶ ἐν τόπῳ. ἡ γοῦν ψυχὴ κινεῖ μὲν τὸ σῶμα τοπικὴν κίνησιν, οὐ
μὴν ἐν τόπῳ οὖσα. καὶ ἴσως διὰ τοῦτο ὁ Ἀριστοτέλης ἀσφαλέστερον ποιῶν, οὐκ εἶπεν ὅτι εἶδος οἴσε-
ται τὸ κινοῦν οἷον καὶ τὸ κινούμενον. ἀλλ᾽ ὅτι τόδε ἢ τοιόνδε, ἢ τοσόνδε. εἰ μὴ ἄρα πάντως μὲν τὸ αὐ-
τὸ εἶδος εἶναι χρὴ ἀπὸ τοῦ ποιοῦντος τῷ γινομένῳ ἐντιθέμενον, ἀλλ᾽ οἰκείως ἐν ἑκατέρῳ. καὶ γὰρ
ὁ οἰκοδόμος οἰκοδομεῖ κατὰ τὴν ἐν ἑαυτῷ οἰκίαν. καὶ ἡ ψυχὴ κινεῖ τὰ κατὰ τόπον, οὐ κατὰ τὴν
τυχοῦσαν ἐν ἑαυτῇ αἰτίαν, ἀλλὰ κατὰ τὴν ἐν ἑαυτῇ αἰτίαν τῆς τοπικῆς κινήσεως, ἔχουσαν τὸ
αὐτὸ εἶδος ὡς ἐν ἐκείνῃ.

ΚΑῚ ΤῸ ἀπορούμενον δὲ φανερὸν, ὅτι ἐστὶν ἡ κίνησις ἐν τῷ κινητῷ. ἐντελέχεια γάρ ἐστι τούτου,
καὶ ὑπὸ τοῦ κινητικοῦ. καὶ ἡ τοῦ κινητικοῦ δὲ ἐνέργεια, οὐκ ἄλλη ἐστί. δεῖ μὲν γὰρ εἶναι ἐντελέχειαν,
ἀμφοῖν. κινητικὸν μὲν γάρ ἐστι τῷ δύνασθαι. κινοῦν δὲ τῷ ἐνεργεῖν. ἀλλ᾽ ἔστιν ἐνεργητικὸν τοῦ κι-
νητοῦ. ὥστε ὁμοίως μία ἡ ἀμφοῖν ἐνέργεια. ὥσπερ γὰρ τὸ αὐτὸ διάστημα ἓν πρὸς δύο, καὶ δύο
πρὸς ἕν. καὶ τὸ ἄναντες καὶ τὸ κάταντες, ταῦτα γὰρ ἓν μέν ἐστιν, ὁ μέντοι λόγος οὐχ εἷς. ὁμοίως
δὲ καὶ ἐπὶ τοῦ κινοῦντος, καὶ κινουμένου.

Μετὰ τὸ ἀποδοῦναι τὸν τῆς κινήσεως ὁρισμὸν, καὶ τὴν προσήκουσαν αὐτοῦ διάρθρωσιν ποιήσασθαι,
μεταβαίνει λοιπὸν ἐπὶ τὸ δεύτερον τῶν περὶ κινήσεως προβλημάτων, ζητῶν καὶ διακαθαίρων
ἐν τίνι ἐστὶν ἡ κίνησις, πότερον ἐν τῷ κινοῦντι ἢ ἐν τῷ κινουμένῳ, ἢ ἀπὸ τοῦ κινοῦντος ἐν τῷ κινου-
μένῳ. ὡς ἔχει καὶ ἡ τῶν πρός τι σχέσις. διὰ τοῦτο καὶ τὴν τοῦ πρός τι σχέσιν διέλαβεν. ἐπειδὴ γὰρ
συμβεβηκός τί ἐστιν ἡ κίνησις, ἀνάγκη πάντως ἔν τινι αὐτὴν εἶναι οὐσίᾳ. ἐπεὶ οὖν καὶ ἐν τῷ τοῦ
κινοῦντος ὀνόματι καὶ ἐν τῷ τοῦ κινουμένου ἐμφαίνεται ἡ κίνησις, ἀπορίας ἄξιον δοκεῖ, πότερον
ἐν τῷ κινοῦντί ἐστιν, ἢ ἐν τῷ κινουμένῳ, ἢ ἐν ἀμφοτέροις. ἢ ἐπειδὴ τὸ μὲν κινοῦν ποιοῦντί ἐστι, τὸ δὲ
κινούμενον πάσχον, διαιρουμένης τῆς κινήσεως εἴς τε ποίησιν καὶ εἰς πάθησιν, ἡ μὲν ποίησις ἐν τῷ
ποιοῦντι ἐστίν. ἡ δὲ πάθησις ἐν τῷ πάσχοντι. λέγει οὖν ὅτι καὶ τὸ ἀπορούμενον ἐν τούτοις λέλυται
ἐκ τοῦ τῆς κινήσεως ὁρισμοῦ. φανερὸν γὰρ ὅτι ἐν τῷ κινητῷ ἐστὶν ἡ κίνησις, εἴπερ ἐντελέχειά ἐστι τοῦ
κινητοῦ ὑπὸ τοῦ κινητικοῦ. ὑπεναντιοῦσθαι δέ φησιν Εὔδημος, τοῖς λέγουσιν ἐν τῷ πάσχοντι καὶ κι-
νουμένῳ εἶναι τὴν κίνησιν, τὸ περὶ τὰς αἰσθήσεις. λέγομεν γὰρ ὁρᾶται ὅρασις. ἀκούει ἀκούεται
ἄκουσις. δοκεῖ οὖν ἡ ὅρασις ἐν τῷ ὁρῶντι εἶναι, καὶ ἡ ἄκουσις ἐν τῷ ἀκούοντι. ὁμοίως καὶ αἱ γεύσεις,
καὶ αἱ λοιπαί. ταῦτα δὲ ἐν τῇ τοῦ ποιοῦντος καὶ κινοῦντος εἶναι δοκεῖ συστοιχίᾳ. ἀπατώμεθα
δέ φησι τῇ λέξει ἐπακολουθοῦντες, καὶ μὴ ἐννοοῦντες ὅτι τὸ αἰσθανόμενον πάσχει. ἀλλὰ διατί οὐκ
ἔστιν ἐνέργεια καὶ τοῦ κινοῦντος. εἰ γὰρ πρότερον τὸ κινητικὸν ὄν, τουτέστι δυνάμει κινοῦν ἐστὶν, ἀνάγκη
ὅταν κινοῦν ἐνέργεια γένηται, τότε κινεῖν καὶ ἐνεργεῖν κατὰ τὸ κινεῖν. διατί οὖν ἡ τοῦ κινητοῦ ἐν-
έργεια κίνησίς ἐστι, καὶ μὴ μᾶλλον ἡ τοῦ κινοῦντος. ἢ οὐκ ἄλλη ἐστὶν ἡ τοῦ κινητικοῦ ἐνέργεια. ἔστι γὰρ
κινητικὸν ἐνεργητικὸν τοῦ κινητοῦ. μία οὖν ἡ ἀμφοῖν ἐνέργεια, ὡς μὲν ἀπὸ τοῦ κινοῦντος ἐνέργεια λε-
γομένη κυριώτερον, ὡς δὲ ἐν τῷ κινουμένῳ πάθος μᾶλλον ἤπερ ἐνέργεια. ἐνέργεια δὲ ἴσως καὶ
αὕτη λέγεται καθόσον κἂν ἔξωθεν ἔχῃ τὴν ἀρχὴν, ἀλλ᾽ ὑπὸ τῆς ἐν ἑαυτῷ φύσεως ἔχει τὸ κινεῖ-
σθαι κατὰ τὴν οἰκείαν ἐπιτηδειότητα. ὡς οὖν τὸ διάστημα τοῦ ἑνὸς πρὸς δύο, καὶ δύο πρὸς ἕν,
καὶ τὸ ἄναντες καὶ τὸ κάταντες, ἓν μέν ἐστι τῷ ὑποκειμένῳ, δύο δὲ κατὰ τὸν λόγον, ἀπὸ μὲν τοῦ
ἑνὸς πρὸς τὰ δύο ἥμισυ, ἀπὸ δὲ τῶν δύο πρὸς τὸ ἓν διπλάσιον, οὕτως ἔχει καὶ ἐπὶ τοῦ κινοῦν-
τος καὶ κινουμένου ἡ κίνησις, μία μὲν οὖσα τῷ ὑποκειμένῳ, ἄλλως δὲ ὡς ἀπὸ τοῦ κινοῦντος, καὶ

ἄλλως

ἄλλως ὡς ἐν τῷ κινουμένῳ θεωρουμένη. δῆλον δὲ ὅτι καὶ τὸ κινητικὸν, ὅταν ἀπὸ τοῦ δυνάμει μεταβάλλῃ εἰς τὸ ἐνεργείᾳ ὑπὸ τοῦ ἐνεργείᾳ, τότε ὡς κινουμένῳ ἔνεστιν ἡ κίνησις ἀπὸ τοῦ κινοῦντος, ἄλλη οὖσα παρὰ τὴν κίνησιν, ἣν αὐτὸ ἐνεργείᾳ ἤδη καὶ τέλειον γενόμενον, κινεῖ τὸ ὑπ' αὐτοῦ κινούμενον. ἐν οὖν ἐστι τῷ ὑποκειμένῳ ἡ ἐνέργεια καὶ τὸ πάθος, ἀρχομένη μὲν ἀπὸ τοῦ ἐνεργοῦντος, καὶ ἐκεῖθεν τὸ εἶδος ἐπιφέρουσα, ἐναπερειδομένη δὲ τῷ πάσχοντι, καὶ διατιθεῖσα αὐτὸ κατὰ τὴν ἀπὸ τοῦ ποιοῦντος τοῦ εἴδους ἔνδοσιν οἷον πνοὴν εἰς ἄλλο ὡς μή τε ἀπηλλάχθαι τοῦ ποιοῦντος, μή τε ἐν αὐτῷ εἶναι, ἀλλ' ἐξ ἐκείνου μὲν, ἐν ἐκείνῳ δὲ οὐκ ἀποτετμημένην. καὶ εἰ μὲν ἀπὸ τοῦ ποιοῦντος καὶ κινοῦντος ἀρχοίμεθα, ποιεῖν καὶ κινεῖν ἐστιν. εἰ δὲ ἀπὸ τοῦ πάσχοντος καὶ κινουμένου, πάσχειν καὶ κινεῖσθαι. ἰστέον δὲ ὅτι ἐν τούτῳ τῷ χωρίῳ, οἱ μὲν πολλοὶ σαφέστερον οὕτω γράφουσι ταύτην τὴν λέξιν, ἐντελέχεια γάρ ἐστι τούτου ὑπὸ τοῦ κινητικοῦ. ὁ δὲ ἀνδρόνικος οὕτως. ἐντελέχεια γάρ ἐστι τοῦ κινητοῦ καὶ ὑπὸ τούτου. καὶ ἐξηγεῖται ὅτι κἂν ἔξωθεν ἦ τὸ κινοῦν, ἐκ τῆς ἐνούσης δυνάμεως εἰς ἐνέργειαν ἀγόμενον, ὑφ' ἑαυτοῦ κινεῖσθαι δοκεῖ τὸ κινούμενον.

Ἔχει δ' ἀπορίαν λογικήν. ἀναγκαῖον γὰρ ἴσως εἶναι τινὰ ἐνέργειαν ἄλλην τοῦ ποιητικοῦ καὶ τοῦ παθητικοῦ. τὸ μὲν γὰρ ποίησις, τὸ δὲ πάθησις. ἔργον δὲ καὶ τέλος, τοῦ μὲν ποίημα. τοῦ δὲ πάθος. ἐπεὶ οὖν ἄμφω κινήσεις, εἰ μὲν ἕτεραι, ἐν τίνι. ἢ γὰρ ἄμφω ἐν τῷ πάσχοντι καὶ κινουμένῳ, ἢ ἡ μὲν ποίησις, ἐν τῷ ποιοῦντι. ἡ δὲ πάθησις, ἐν τῷ πάσχοντι. εἰ δὲ δεῖ καὶ ταύτην ποίησιν καλεῖν, ὁμώνυμος ἂν εἴη.

Εἰπὼν πρότερον τὰ ἑαυτῷ δοκοῦντα περὶ κινήσεως, ὅτι μία ἐστὶν ἀπὸ τοῦ κινοῦντος ἐν τῷ κινουμένῳ, ἐφεξῆς τὴν περὶ τούτου ἀπορίαν, ἐνοχλοῦσαν τοῖς μὴ οὕτως ἐκδεχομένοις ὡς αὐτὸς εἶπε, διαρθροῖ. ἣν λογικὴν καλεῖ, ἢ ὡς πρὸς οὐδὲν ἐξ ἐνδόξων, ἢ ὡς ἐν λόγῳ μόνῳ τὸ πιθανὸν ἔχουσαν, καὶ οὐκ ἀπὸ τῶν πραγμάτων βεβαιουμένην. οὕτω γὰρ λόγοι λέγονται οἱ τοῦ ζήνωνος, οἱ πιθανῶς τὴν κίνησιν ἀναιροῦντες. ἢ λογικὴν λέγει τὴν κοινοτέραν καὶ οὐ προσεχῆ, οὐδὲ ἰδίαν τοῦ προκειμένου, οὐδὲ ἐξ οἰκείων ἀρχῶν. ἡ μὲν γὰρ ἐκ τῶν οἰκείων ἐπιχείρησις, οὐ λογική. ὡς ἡ τὴν ψυχὴν ἀθάνατον δεικνῦσα ἐκ τοῦ αὐτοκινήτου. ἀπὸ γὰρ τῆς οὐσίας τῆς ψυχῆς βούλεται προϊέναι, ὥς φησιν ἀλέξανδρος. ἡ δὲ ἐκ τοῦ τὰ ἐναντία ἐκ τῶν ἐναντίων γίνεσθαι τὸ ἀθάνατον δεικνῦσα, λογική. οὐ γὰρ ἐξ οἰκείων καὶ προσεχῶν τῆς ψυχῆς πρόεισιν. ἀλλὰ διὰ κοινῶν, δι' ὧν καὶ ἄλλο ἂν δειχθείη τι οὕτως ἔχον, καὶ μὴ ὁμογενὲς τῇ ψυχῇ. κἂν γὰρ καθολικῆς δεῖ προτάσεως ἐν ταῖς ἀποδείξεσιν, ἀλλ' οὐχ οὕτως εἶναι χρὴ κοινὴν, ὅταν τὰ ἴδιος ὑπάρχοντα δεικνύωμεν, ὥστε καὶ τοῖς ἀνομογενέσιν ἁρμόττειν. τὰ μὲν οὖν παραδείγματα καλῶς ἐφήρμοσεν ὁ ἀλέξανδρος. ἐκεῖνο δὲ ἐπισημαίνομαι διὰ τοὺς ἀληθείας ἐρῶντας, ὅτι ὁ ἀπὸ τῶν ἐναντίων φαίδωνι λόγος, οὐ τὴν ἀθανασίαν αὐτόθεν ἐπαγγέλλεται καταδεῖξαι τῆς ψυχῆς, ἀλλὰ τὸ προϋπάρχειν μόνον τοῦ τῇδε βίου τὴν ψυχὴν καὶ τὸ ἐπιδιαμένειν. τὴν δὲ ἀπορίαν ἐκτίθεται πρῶτον διορίζων, ὅτι ἔστι τις ἐνέργεια καὶ τοῦ κινοῦντος καὶ τοῦ κινουμένου, ἤτοι τοῦ ποιητικοῦ καὶ τοῦ παθητικοῦ, ὡς εἶναι δύο ἐνεργείας. ὃ πρώην μὲν ὡς ἐναργὲς ἔλαβεν, εἰπὼν δεῖν εἶναι ἐντελέχειαν ἀμφοῖν. νῦν δὲ ἐκ τῆς ἑτερότητος τῶν ὀνομάτων, ὧν ἔχουσιν αἱ ἐνέργειαι. εἰς γὰρ ἡ μὲν, ποίησις λέγεται, ἡ δὲ, πάθησις, δύο ἂν εἶεν ἐνέργειαι. καὶ εἰ τὰ ἔργα αὐτῶν καὶ τὰ τέλη, τοῦ μὲν, ποίημα, τοῦ δὲ πάθος, ταῦτα δὲ διαφέροντα ἀλλήλων. ὧν δὲ τὰ ἔργα καὶ τὰ τέλη ἕτερα, τούτων καὶ αἱ ἐνέργειαι ἕτεραι ἐφ' αἷς τὰ τέλη. διορίσας οὖν ταῦτα, ἄρχεται λοιπὸν τῆς διαιρέσεως, τῆς τὴν ἀπορίαν ἀναπλούσης οὕτως. εἰ ἄμφω κινήσεις εἰσὶν ἥ τε τοῦ κινοῦντος καὶ τοῦ κινουμένου, ἢ ἕτεραι τελέως αὗται, ἢ οὐχ ἕτεραι. καὶ εἰ ἕτεραι, ἐπειδὴ συμβεβηκότα εἰσὶν αἱ κινήσεις, πάντως ἔν τινι εἰσὶν οὐσίᾳ. ἐν τίνι οὖν δύο οὖσαι. ἢ γὰρ ἄμφω ἐν τῷ πάσχοντι καὶ ποιουμένῳ ἤτοι κινουμένῳ, ἢ ἡ μὲν ποίησις ἐν τῷ ποιοῦντι, ἡ δὲ πάθησις ἐν τῷ πάσχοντι. εἰ δέ τις καὶ τὴν πάθησιν ποίησιν βούλοιτο καλεῖν, διότι ἐνέργεια λέγεται καὶ αὐτή, ἐντελέχεια γὰρ τοῦ κινητοῦ, καλείτω μέν. ἀλλ' ἴστω ὅτι ὁμωνύμως αὐτὴ λέγεται ποίησις τῇ τοῦ ποιοῦντος κινήσει, μενούσης τῆς ἑτερότητος, κἂν τὰ ὀνόματα τὰ αὐτὰ εἴη. τὸ δὲ τρίτον τμῆμα τῆς διαιρέσεως, τὸ λέγον ἢ ἄμφω ἐν τῷ κινοῦντι παραλέλοιπε, καὶ ὡς ἐναργῶς ἄτοπον. διότι συνέβαινε τῷ κινουμένῳ τὸ κινούμενον μὴ κινεῖσθαι, εἰ μηδεμίαν ἔχει κίνησιν ἐν ἑαυτῷ. τὸ δὲ κινοῦν δύο ἔχον κινήσεις, διπλῆν κινεῖσθαι κίνησιν. καὶ μέντοι διότι τὰ αὐτὰ συμβαίνει ἄτοπα καὶ τούτῳ τμήματι τῆς διαιρέσεως, καὶ ἔτι μᾶλλον, ἅπερ τῷ ἀμφοτέρας τὰς κινήσεις ἐν τῷ κινουμένῳ τιθέντι. καὶ ἄλλως δὲ δείξει προϊὼν, ὅτι καὶ τὴν ἑτέραν τῶν κινήσεων ἐν τῷ κινοῦντι λέγειν τὴν οἰκείαν αὐτῷ δοκοῦσαν, ἄτοπον. εἰ δὴ τοῦτο ἄτοπον, πολὺ ἀτοπώτερον τὸ ἀμφοτέρας ἐν αὐτῷ τιθέναι. διὰ ταῦτα μὲν οὖν παρῆκεν ἐκεῖνο τὸ τμῆ-

μα τῆς διαιρέσεως, ὡς ἐν τοῖς πλείοσι γέγραπται τῶν ἀντιγράφων. ἔν τισι δὲ καὶ τοῦτο πρόσ-
κειται, τῆς γραφῆς ἐχούσης οὕτως. ἢ γὰρ ἄμφω ἐν τῷ πάσχοντι καὶ ποιουμένῳ, ἢ ἐν τῷ
ποιοῦντι καὶ διατιθέντι, ἢ ἡ μὲν ποίησις ἐν τῷ ποιοῦντι ἡ δὲ πάθησις ἐν τῷ πάσχοντι. περιτ-
τὴ δὲ ἡ προσθήκη, εἴπερ μὴ δὲ ἀντιλέγει πρὸς ἐκείνην τὴν θέσιν ὁ ἀριστοτέλης. ἀλλὰ καὶ τέ-
ταρτόν ἐστι τμῆμα τῆς διαιρέσεως, τὸ τῷ δευτέρῳ ῥηθέντι ἀντικείμενον τὸ λέγον, ἢ ἡ μὲν ποίησις
ἐν τῷ πάσχοντι, ἡ δὲ πάθησις ἐν τῷ ποιοῦντι. ὅπερ ὡς ἐναργῶς ἄτοπον παραλέλοιπεν. ὁ μέν-
τοι πιθανὸς θεμίστιος, τὸ, εἰ δὲ δεῖ καὶ ταύτην ποίησιν καλεῖν ὁμωνύμως ἂν εἴη, πρὸς ἔνδει-
ξιν τούτου τοῦ τμήματος εἰρῆσθαι νομίζει. ὡς εἰ μετὰ τὸ εἰπεῖν, ἢ ἡ μὲν ποίησις ἐν τῷ ποιοῦντι,
ἡ δὲ πάθησις ἐν τῷ πάσχοντι, ἐπῆγεν ἀνάπαλιν γὰρ οὐκ ἐνδέχεται, οἷον τὴν ποίησιν ἐν τῷ
πάσχοντι εἶναι, εἰ μή τις τὴν τοῦ πάσχοντος ἐνέργειαν ὁμωνύμως ποίησιν ὀνομάζειν ἐθέλοι. καί-
τοι εἰ τούτου ἕνεκεν εἴρητο, ἀνάγκη ἦν καὶ τὴν πάθησιν ἐν τῷ ποιοῦντι ὁμωνύμως λέγεσθαι.
ὅπερ οὐκ εἴρηται ἐπιπόλαιον ὄν.

Α' ΑΛΛΑ μὴν εἰ τοῦτο, ἡ κίνησις ἐν τῷ κινοῦντι ἔσται. ὁ γὰρ αὐτὸς λόγος, ἐπὶ κινοῦντος καὶ κι-
νουμένου. ὥστε ἢ πᾶν τὸ κινοῦν κινήσεται, ἢ ἔχον κίνησιν, οὐ κινήσεται. εἰ δ' ἄμφω ἐν τῷ κι-
νουμένῳ καὶ πάσχοντι, καὶ ἡ ποίησις καὶ ἡ πάθησις, καὶ ἡ δίδαξις, καὶ ἡ μάθησις, δύο οὖσαι
ἐν τῷ μανθάνοντι, πρῶτον μὲν ἡ ἐνέργεια ἡ ἑκάστου, οὐκ ἐν ἑκάστῳ ὑπάρξει. εἶτα ἄτοπον, τὸ
δύο κινήσεις ἅμα κινεῖσθαι. τίνες γὰρ ἔσονται ἀλλοιώσεις δύο τοῦ ἑνὸς καὶ εἰς ἓν εἶδος. ἀλλ'
ἀδύνατον.

Γ ρὸς τὸ προσεχῶς ἐπαχθὲν τμῆμα, τὸ λέγον, ἢ ἡ μὲν ποίησις ἐν τῷ ποιοῦντι, ἡ δὲ πάθησις ἐν
τῷ πάσχοντι, πρῶτον ὑπαντᾷ. καὶ λαβὼν ὅτι κατὰ ταύτην τὴν ὑπόθεσιν, ὥσπερ ἐν τῷ κι-
νουμένῳ ἐστὶν ἡ κίνησις ἡ οἰκεία, οὕτω καὶ ἐν τῷ κινοῦντι ἡ αὐτοῦ οἰκεία, ὁ γὰρ αὐτὸς λόγος ἐπ' ἀμ-
φοῖν, ἐπάγει, ὅτι δυοῖν ἀτόποιν θάτερον ἀνάγκη κατὰ ταύτην τὴν ὑπόθεσιν ὁμολογεῖν. ἢ γὰρ
πᾶν τὸ κινοῦν καὶ κινήσεται, εἴπερ τὸ κινοῦν ἔχει κίνησιν, τὸ δὲ ἔχον κίνησιν κινεῖται. ἄτοπον
δὲ τὸ πᾶν τὸ κινοῦν κινεῖσθαι. καὶ οὔτε δοκοῦν αὐτῷ, εἴπερ τὸ πρώτως κινοῦν ἀκίνητον οἴε-
ται, οὔτε τοῖς πράγμασι συνᾷδον. πολλὰ γὰρ τῶν κινούντων ἀκίνητα μένει. οἷον χρῶμα κάλ-
λος, εὐρυθμία. ἢ ἔχον τι κίνησιν ἐν ἑαυτῷ οὐ κινεῖται. ὅπερ πάντων ἐστὶν ἀλογώτατον. ὡς τὸ
ἔχον τι λευκὸν μὴ λελευκᾶνθαι. ᾧ γὰρ πάρεστι κίνησις, τοῦτο πάντως κινεῖται. καὶ τὸ κινού-
μενον παρουσίᾳ κινήσεως κινεῖται. τοῦτο δὲ δείξας ἄτοπον, μεταβέβηκεν ἐπὶ τὸ ἕτερον τμῆ-
μα τῆς διαιρέσεως, τὸ πρῶτον ῥηθέν. καὶ τὰ ἄτοπα λοιπὸν ἐπάγει, τοῖς ὑποτιθεμένοις ἄμ-
φω ἐν τῷ κινουμένῳ καὶ πάσχοντι, τήν τε ποίησιν καὶ τὴν πάθησιν, καὶ τὴν δίδαξιν καὶ τὴν
μάθησιν. ἄτοπον δὲ, πρῶτον μὲν τὸ τὴν ἑκάστου ἐνέργειαν μὴ ἐν τῷ ἐνεργοῦντι αὐτὴν εἶναι,
ἀλλ' ἐν ἄλλῳ τινὶ, εἴπερ ἡ τοῦ ποιοῦντος ἐνέργεια ἐν τῷ κινουμένῳ ἔσται. δεύτερον δὲ ἄτοπον,
τὸ τὸ αὐτὸ δύο κινήσεις διαφόρους καὶ ἐναντίας ἅμα κινεῖσθαι καθ' ἓν εἶδος. εἰ γὰρ τὸ κινοῦν
ἀλλοιοῖ φέρε εἰπεῖν, καὶ τὸ κινούμενον ἀλλοιοῦται, οὐ δυνατὸν τὸ κινούμενον καθὸ ἀλλοιοῦται
ἀλλοιοῦν. διαφόρου γὰρ οὔσης τῆς ἐνεργείας, διάφορα ἂν εἴη καὶ τὰ ἀποτελέσματα. ὥσπερ
οὐ δυνατὸν καθὸ ἀλλοιοῖ καὶ αὔξεσθαι. ὑπὸ γὰρ αὔξοντος αὔξεταί τι, καὶ ὑπὸ ἀλλοιοῦντος ἀλ-
λοιοῦται. γοργῶς οὖν ἐπηπόρησε ταύτῃ τῇ ὑποθέσει. τίνες γὰρ ἔσονται ἀλλοιώσεις δύο καὶ
ἑνὸς τοῦ κινουμένου, καὶ εἰς ἓν εἶδος φερομένου. ἔτι δὲ ἀτοπώτερον, τὸ καὶ δύο οὔσας τὰς κι-
νήσεις ἃς ἀλλοιώσεις ἐκάλεσεν, εἰς ἓν εἶδος φέρεσθαι. ὅτι γὰρ εἰς ἓν εἶδος τελευτᾷ ἡ τοῦ κι-
νοῦντος καὶ κινουμένου ἐνέργεια, δῆλον ἐκ τοῦ ὅταν παύσηται τὸ κινοῦν καὶ κινούμενον, εἰς
ἕν τι μεταβεβληκὸς φαίνεσθαι τὸ κινούμενον. ὥστε εἰς τοῦτο καὶ ἐκινεῖτο. ἀδύνατον οὖν καὶ τὸ δύο
εἶναι ἐν τῷ κινουμένῳ, καθ' ἓν εἶδος γινομένης τῆς κινήσεως, ἢ θερμὸν ἢ λευκὸν ἤ τι τοιοῦτο. καὶ τὸ δύο
οὔσας ἐναντίας ἅμα τῷ αὐτῷ ὑπάρχειν. καὶ ἔτι τὸ δύο οὔσας ἐναντίας εἰς ἓν εἶδος τελευτᾶν.
μιᾶς μὲν γὰρ ὑποτιθεμένης τῷ ὑποκειμένῳ τῆς ἀμφοτέρων ἐνεργείας οὐδὲν κωλύει τὸ καὶ δύο
εἶναι τῷ λόγῳ, καὶ εἰς ἓν τελευτᾶν εἶδος. δυοῖν δὲ ὑποτιθεμένων, ἀδύνατος καὶ ἡ ὑπόθεσις
ἑνὸς ὄντος εἴδους. κἂν τῇ ὑποθέσει δέ τις συγχωρήσῃ, τὸ ἑπόμενον ἀδύνατον τὸ εἰς ἓν εἶδος τε-
λευτᾶν, δυνατὸν δέ φησιν ὁ ἀλέξανδρος καὶ ἄλλως ἀναγινώσκειν, ὀξύνοντας ἀλλὰ μὴ βαρύ-
νοντας τὸ τινές. εἰ γὰρ δύο αἱ κινήσεις ἅμα, δύο τινὲς ἔσονται καὶ ἐναντίαι ἀλλοιώσεις τοῦ ἑνὸς,
καὶ εἰς ἓν εἶδος. ἅπερ ἀδύνατα. δυνατὸν δέ φησι καὶ ὑπερβιβάσαντας σαφεστέραν τὴν λέξιν
ποιῆσαι οὕτως. εἶτα ἄτοπον τὸ δύο κινήσεις ἅμα κινεῖσθαι, καὶ εἰς ἓν εἶδος. καὶ οὐ μόνον ἄτοπον,
ἀλλὰ καὶ ἀδύνατον τοῦτο. εἶτα ἐπὶ τούτοις, τὸ τίνες γὰρ ἔσονται ἀλλοιώσεις τοῦ ἑνός. δια-
τοῦτο γὰρ ἀδύνατα, ὅτι οὐχ οἷόν τε λαβεῖν τίνες ἔσονται ἀλλοιώσεις τοῦ ἑνός. καὶ ἄλλως δὲ

ἑκατέρῳ τῶν ἀτόπων ἴδιόν τι δηλωτικὸν ἐπήνεγκέ φησιν ὁ Ἀλέξανδρος τοῦ ἀτόπου. ἔστι δὲ τὰ ἄτοπα, τό, τε δύο κινήσεις ἅμα κινεῖσθαι, καὶ τὸ τὰς δύο εἰς ἓν εἶδος εἶναι. τῷ μὲν γὰρ εἶναι ἄτοπον τὸ δύο ἅμα κινήσεις κινεῖσθαι, ἐπήγαγε τό, τίνες γὰρ ἔσονται. διὰ γὰρ τοῦτο ἄτοπον, διὰ τὸ ἄπορον εἶναι τίνες ἔσονται. τῷ δὲ καὶ δύο εἰς ἓν εἶδος, ἐπήνεγκε τό, ἀλλ᾽ ἀδύνατον. ἀδύνατον γὰρ τοῦτο. διατί δὲ ἀδύνατον, ἢ ὅτι πᾶσα μεταβολὴ ἐξ ἐναντίου εἰς ἐναντίον. ἓν δὲ ἑνὶ ἐναντίον. ἀδύνατον οὖν τὰς δύο κινήσεις, δύο οὔσας μεταβολάς, καὶ ἐκ δυοῖν δηλονότι, οὐ γὰρ ἂν ἐξ ἑνὸς δύο ἦσαν, εἰς ἐναντίον τελευτᾶν. ἔτι δὲ μᾶλλον τὸ ἀδύνατον φανήσεται, ἐὰν ἐννοήσωμεν ὅτι καὶ αἱ δύο κινήσεις τοῦ τε κινοῦντος καὶ τοῦ κινουμένου, ἢ τοῦ ποιοῦντος καὶ τοῦ πάσχοντος, ἅμα ἐν τῷ αὐτῷ ἔσονται, καὶ ἀλλήλαις ἐναντίαι οὖσαι, καὶ ἐκείνῳ μόνῳ εἰς ὃ ἡ μεταβολή. ἀδύνατον δὲ τὰ ἐναντία ἅμα περὶ τὸ αὐτὸ εἶναι. μήποτε δὲ ὁ Ἀριστοτέλης ἀρκεῖν οἰόμενος πρὸς ἔσχατον ἀτοπίαν, τὸ δύο εἶναι τὰς κινήσεις ἑνὸς εἴδους, τοῦ ἐναντίας εἶναι οὐκ ἐμνημόνευσε. διὸ δύο τὰ ἄτοπα ἐπήγαγε, τό τε δύο ὅλως εἶναι ἑνὸς εἴδους, καὶ τὸ δύο οὔσας διαφόρους εἰς ἓν φέρεσθαι, κἂν μὴ ὦσιν ἐναντίαι. ἐπιτείνει δὲ τὸ ἄτοπον ἡ ἐναντίωσις. ὁ μέντοι Ἀλέξανδρος ἐνδίδωσιν ἐνταῦθα καὶ δύο ἑνὶ ἐναντία εἶναι, ἐπὶ τῆς ὑπερβολῆς καὶ ἐλλείψεως μόνης. ταῦτα γὰρ δοκεῖ καὶ τῷ μεταξὺ καὶ ἀλλήλοις εἶναι ἐναντία. ἀλλ᾽ ἐπιστῆσαι ἄξιον, ὅτι τῷ μεταξὺ ὡς ἓν ἄμφω ἐστὶν ἐναντία. ὡς γὰρ ἀσύμμετρα συμμέτρῳ, καὶ ὡς ἄνισα ἴσῳ. ὥστε οὐδὲ ὑπὸ τούτου σαλεύεται ὁ κανών, ὁ λέγων ἓν ἑνὶ εἶναι ἐναντίον. εἰπὼν δὲ ὁ Ἀριστοτέλης τὰ συμβαίνοντα ἄτοπα, τοῖς ἄμφω τὰς κινήσεις ἐν τῷ κινουμένῳ καὶ πάσχοντι τιθεῖσι, δέδωκεν ἐννοεῖν ὅτι τὰ αὐτὰ ἀκολουθήσει, καὶ τοῖς ἐν τῷ κινοῦντι καὶ ποιοῦντι τιθεῖσιν ἀμφοτέρας. καὶ ἔτι μᾶλλον, εἴπερ ἐν τῷ κινοῦντι ἡ κίνησις. διὸ καὶ παρῆκε τὸ τμῆμα τοῦτο τῆς διαιρέσεως. κινήσεται γὰρ τὸ κινούμενον μὴ κινούμενον.

ἈΛΛᾺ ΜΊΑ ἔσται ἐνέργεια, ἀλλ᾽ ἄλογον, δύο ἑτέρων τῷ εἴδει, τὴν αὐτὴν καὶ μίαν εἶναι ἐνέργειαν. καὶ ἔσται εἴπερ ἡ μάθησις καὶ ἡ δίδαξις ταὐτό, καὶ ἡ ποίησις καὶ ἡ πάθησις, καὶ τὸ διδάσκειν τῷ μανθάνειν ταὐτό. καὶ τὸ ποιεῖν τῷ πάσχειν. ὥστε τὸν διδάσκοντα, ἀνάγκη ἔσται πάντα μανθάνειν, καὶ τὸν ποιοῦντα πάσχειν.

Τὸ πρῶτον διαιρετικὸν ἦν, ἢ ἕτεραι αἱ κινήσεις, ἢ οὐχ ἕτεραι, ἀλλὰ μία δηλονότι. ὅπερ ἐνεδείξατο, διὰ τοῦ εἰ μὲν ἕτεραι ἔν τινι, ὡς ὀφείλοντος ἐπάγεσθαι καὶ τοῦ, εἰ δὲ μὴ ἕτεραι. ἀποδοὺς οὖν πρότερον ἑπόμενα ἄτοπα τοῖς ἑτέρας λέγουσι, μεταβέβηκε λοιπὸν ἐπὶ τοὺς μίαν ὑποτιθεμένους. καὶ λέγει καὶ ταύτῃ τῇ δόξῃ τὰ δοκοῦντα ἕπεσθαι ἄτοπα. ἅπερ καὶ λύσει μετ᾽ ὀλίγον, τὴν ἀπορίαν παραμυθούμενος τῷ διορισμῷ. τί οὖν τὸ ἑπόμενον ἄτοπον, τοῖς μίαν λέγουσι κίνησιν τὴν ποίησιν καὶ τὴν πάθησιν, καὶ τὴν δίδαξιν καὶ τὴν μάθησιν. τὸ δύο φησὶν ἑτέρων τῷ εἴδει τὴν αὐτὴν καὶ μίαν ἐνέργειαν εἶναι. καὶ ὅτι μὲν ἕτερα τῷ εἴδει τὸ κινοῦν καὶ τὸ κινούμενον, δῆλον. εἴπερ τὸ μὲν ποιοῦν ἐνεργείᾳ ἐστὶν ὅπερ ἐστί, τὸ δὲ πάσχον δυνάμει ὂν τοιοῦτον, ἐνεργείᾳ τὸ ἀντικείμενόν ἐστι τούτῳ ὃ δύναται. ἐπείπερ αἱ μεταβολαὶ ἐξ ἐναντίων. ὥστε οὐ μόνον ἕτερα ἀλλὰ καὶ ἐναντία. ὡς οὖν ἄτοπον λευκοῦ καὶ μέλανος διαφερόντων τῷ εἴδει, καὶ τοῦ μὲν διακρίνοντος τὴν ὄψιν, τοῦ δὲ συγκρίνοντος, μίαν λέγειν τὴν ἐνέργειαν, οὕτω ποιοῦντος καὶ πάσχοντος ἑτέρων ὄντων τῷ εἴδει, ἄτοπον μίαν εἶναι τὴν ἐνέργειαν. ἐπειδὴ χρὴ ἑκάστου εἴδους οἰκείαν εἶναι ἐνέργειαν. ἀτόπῳ δ᾽ οὖν ὄντι ἄλλό τι ἐναργέστερον ἄτοπον ἀκολουθεῖ. εἰ γὰρ ἡ δίδαξις καὶ ἡ μάθησις, καὶ ἡ ποίησις καὶ ἡ πάθησις, τὸ αὐτὸ καὶ ἕν ἐστιν, ἔσται καὶ τὸ μανθάνειν καὶ τὸ διδάσκειν τὸ αὐτό. τὸ δὲ ἐναργέστερον τῆς ἀτοπίας ὄψει, ἐὰν τὸν διδάσκοντα αὐτὸν μεταλάβῃς, ὥστε τὸν διδάσκοντα πάντα μανθάνειν ὅσα διδάσκει, καὶ τὸν ποιοῦντα πάσχειν ὅσα ποιεῖ. τριῶν γὰρ τούτων ὄντων, διδάξεως, τοῦ διδάσκειν, τοῦ διδάσκοντος, ἡ μὲν δίδαξις αὐτή ἐστιν ἡ ἐνέργεια. τὸ δὲ διδάσκειν, τὴν διδάσκοντος οὐσίαν κατὰ τὸ ἐνεργεῖν ἐνδείκνυται. τὸ δὲ διδάσκον, τὴν οὐσίαν μετὰ τῆς ἐνεργείας. διὸ φαίνεται μὲν καὶ ἐπὶ τῆς διδάξεως τὸ ἄτοπον. ἔτι δὲ μᾶλλον ἐπὶ τοῦ διδάσκειν, διὰ τὴν τῆς οὐσίας παρέμφασιν, τῆς τὴν ἐναντίωσιν ἐχούσης. ἔτι δὲ τούτων ἐναργέστερον ἐπ᾽ αὐτῆς τῆς οὐσίας. ἀναιρεθέντος δὲ διὰ τῶν εἰρημένων λόγων, καὶ τοῦ δύο ἁπλῶς εἶναι τὰς ἐνεργείας, καὶ τοῦ μίαν ἁπλῶς, δειχθήσεται ὅτι πῇ μὲν μίαν, πῇ δὲ δύο. μίαν μὲν τῷ ὑποκειμένῳ, δύο δὲ τῷ λόγῳ.

Ἢ ΟΥ̓́ΤΕ τό, τὴν ἄλλου ἐνέργειαν ἐν ἑτέρῳ εἶναι ἄτοπον, ἔστι γὰρ ἡ δίδαξις, ἐνέργεια τοῦ διδασκαλικοῦ. ἔν τινι μέντοι καὶ οὐκ ἀποτετμημένη. ἀλλὰ τοῦδε, ἐν τῷδε.

Τὰς ἀπορίας οὐ πάσας ἐντεῦθεν ἄρχεται λύειν, ἀλλ᾽ ὅσαι πρὸς ἀληθῆ δόξαν ἐνίστανται, τὴν λέγουσαν μίαν μὲν εἶναι τῷ ὑποκειμένῳ τὴν κίνησιν, δύο δὲ κατὰ τὸν λόγον. διὸ τὰς μὲν πρὸς τὸ μίαν εἶναι τὴν κίνησιν ἀπορίας, ἃς ὕστερον τέθεικε, πάσας διαλύει. τὰς δὲ πρὸς τὸ δύο εἶναι τὰς κινήσεις, οὐ πάσας. ἀλλ᾽ ὅσαι δύνανται καὶ πρὸς τὴν μίαν καὶ ἐν τῷ κινουμένῳ οὖσαν ὑπαντᾶν. καὶ τοῦτο εἰκότως. αὗται γοῦν αἱ ἀπορίαι ἥπτοντο μάλιστα τοῦ τῆς κινήσεως ὁρισμοῦ ἐντελέχειαν λόγος τοῦ κινητοῦ ἢ κινητόν. πρώτην οὖν λύει ἔνστασιν τὴν λέγουσαν, εἰ ἄμφω αἱ ἐνερ-

γείαι ἐν τῷ κινουμένῳ καὶ πάσχοντι, ἡ ἑκάστου ἐνέργεια οὐκ ἐν ἑκάστῳ ὑπάρξει, ἀλλ' ἐν ἑτέρῳ. λύει
δὲ αὐτὴν ὡς δυναμένην λέγεσθαι καὶ πρὸς τὴν δόξαν, τὴν λέγουσαν μίαν ἐν τῷ κινουμένῳ κατὰ
τὸ ὑποκείμενον γίνεσθαι τὴν ἐνέργειαν ἀμφοτέρων. ἡ δὲ λύσις τὸ ἐπαχθὲν ὡς ἄτοπον τῇ ὑποθέ-
σει, δεικνύναι πειρᾶται μὴ ὂν ἄτοπον. οὐδὲ γὰρ ἄτοπον τὸ τὴν ἄλλου ἐνέργειαν ἐν ἄλλῳ εἶναι,
μᾶλλον δὲ ἀναγκαῖον ἐπὶ τοῦ κινοῦντος καὶ κινουμένου, καὶ ὅλως τοῦ ποιοῦντος καὶ πάσχοντος. εἰ γὰρ
ἐστιν ὑπὸ τοῦ ποιοῦντος ἐν τῷ πάσχοντι, οὔτε ἐν τῷ διδάσκοντι ἐστι, οὔτε καθ' ἑαυτὴν ἀποτετμημένη
τοῦ μανθάνοντος. οὔτε ἐν τῷ μανθάνοντι οὕτως, ὡς δύνασθαι καὶ ἄνευ τοῦ διδάσκοντος ἐν αὐτῷ ὑ-
φίστασθαι. ἀλλὰ τοῦ κινοῦντος παρόντος καὶ ἐνεργοῦντος, ἐγγίνεται τῷ κινουμένῳ. ὡς γὰρ ἡ δια-
πλαστικὴ τοῦ κηροῦ ἐνέργεια τοῦ πλάστου οὖσα, ἐν τῷ κηρῷ ἐστιν αὕτη ἡ διάπλασις, καθ' ἣν ὁ μὲν πλάττει,
τὸ δὲ πλάττεται, καὶ οὐκ ἔστι δύο λαβεῖν τὰς ἐνεργείας, οὕτως ἔχει καὶ ἐπὶ τῆς διδάξεως μιᾶς οὔσης
αὐτῆς καὶ τῆς μαθήσεως τῷ ὑποκειμένῳ. μὴ πλανήσῃ δὲ ἡμᾶς ἡ ἀπὸ τῆς κινήσεως ἐγγινομένη διάθεσις,
οἷον τὸ σχῆμα τῷ κηρῷ, ἢ τῇ ψυχῇ ἡ γνῶσις. οὐ γάρ ἐστι ταῦτα κινήσεις, ἀλλ' ἀποτελέσματα τῶν κι-
νήσεων. ἄλλο γάρ ἐστι τὸ πλάττεσθαι καὶ μανθάνειν ἤτοι διδάσκεσθαι, καὶ ἄλλο τὸ πεπλάσθαι ἢ
δεδιδάχθαι. καὶ τοῦτο μὲν ἀποτέλεσμά ἐστιν ἐν τῷ κινουμένῳ, καὶ χωρὶς τοῦ κινοῦντος ὑφεστη-
κὸς, καὶ ἀνάλογον τῇ ἕξει καὶ τῷ λόγῳ τοῦ διδάσκοντος. ἧς καὶ αὐτὸς χωριστός ἐστι τοῦ διδασκο-
μένου. ἡ μέντοι κατὰ τὸ διδάσκειν καὶ διδάσκεσθαι ἐνέργεια μία τῷ ὑποκειμένῳ ἐστὶ, κἂν τῷ λό-
γῳ διάφορος, ἡ μὲν ὡς ἀπὸ τοῦ ποιοῦντος, ἡ δὲ ὡς ἀπὸ τοῦ πάσχοντος λαμβανομένη. καὶ γὰρ μέση
οὖσα ἀμφοῖν ἡ κίνησις, ἐφάπτεται καὶ τοῦ ποιοῦντος καὶ τοῦ πάσχοντος οὐκ ἀποτετμημένη. ἐὰν δὲ
τοῦδε μόνου, ἢ ἐν τῷδε μόνον ὂν ληφθῇ, οὐκέτι διασώσει τὸ μέσον. καὶ διὰ τοῦτο ὅταν μὲν κατὰ ἀ-
ποτομὴν αὐτὴν ὁρῶμεν, ἐν τῷ κινουμένῳ θεωροῦντες αὐτὴν, ἐπειδὴ ἐν ἐκείνῳ ὑφέστηκεν, ἐντελέ-
χειαν λέγομεν τοῦ κινητοῦ ἢ κινητόν. ὅταν δὲ κατὰ συμπλοκὴν ἀπὸ τοῦ κινοῦντος ἀρξάμενοι, λέ-
γομεν ἐνέργειαν τοῦ κινητικοῦ ἐν τῷ κινουμένῳ. ὡς ὁρίζεται ἐπὶ τέλει τοῦ περὶ κινήσεως λόγου.
φερομένης δὲ καὶ τοιαύτης γραφῆς, ἔστι μέντοι καὶ οὐκ ἀποτετμημένως, ἀλλὰ τοῦδε ἐν τῷδε, ὁ
ἀλέξανδρος, οὐχ ἁπλῶς φησι καὶ ἀποτετμημένως ἔν τινι, ἀλλ' ἐν ὡρισμένῳ τινὶ, καὶ τοῦτο
πρὸς ὃ λέγεται. λέγεται δὲ πρὸς τὸ μαθηματικόν. καὶ θαυμαστὸν ἔμοιγε δοκεῖ, πῶς τὸ οὐκ ἀ-
ποτετμημένως, ἀντὶ τοῦ οὐκ ἀορίστως ἤκουσε. καίτοι πρότερον καλῶς τὸ ἔν τινι μέντοι καὶ οὐκ
ἀποτετμημένη ἐξηγήσατο, δηλῶν ὅτι οὐ κεχωρισμένη τοῦ μανθάνοντος, οὔτε ὡς ἐν τῷ διδά-
σκοντι μόνῳ οὖσα, οὔτε ὡς καθ' αὑτήν. καὶ ἐπὶ ταύτης γὰρ τῆς γραφῆς τὸ αὐτὸ ἂν σημαίνοι τὸ
ἐπίῤῥημα.

Ο ΥΤΕ μίαν δυοῖν κωλύει οὐθὲν τὴν αὐτὴν εἶναι. μὴ ὡς τὸ εἶναι τὸ αὐτὸ ὡς λώπιον καὶ ἱμάτιον.
ἀλλ' ὡς τὸ δυνάμει ὂν ὑπάρχει πρὸς τὸ ἐνεργοῦν.

Τ οῖς μίαν λέγουσι τὴν ἀμφοῖν κίνησιν, ὡς ἄτοπον ἐπήγαγε, τὸ δύο διαφόρων τῷ εἴδει τοῦ τε ποιοῦν-
τος καὶ τοῦ πάσχοντος μίαν εἶναι καὶ τὴν αὐτὴν ἐνέργειαν. λέγει οὖν μὴ δὲ τοῦτο ἄτοπον εἶναι
ὡς δοκεῖ. μηδὲν γὰρ κωλύει τὴν δίδαξιν καὶ τὴν μάθησιν, καὶ ὅλως τὴν ποίησιν καὶ πάθησιν μίαν
εἶναι ἐνέργειαν. μίαν δὲ τῷ ὑποκειμένῳ, εἰ καὶ τῷ λόγῳ διάφορον. ὁ γὰρ δίδαξιν εἰπὼν οὐκ ἄλλο τι
λέγει, ἢ τὸ ἐκ τοῦ διδάσκειν καὶ μανθάνειν γινόμενον. ὧν ἀδύνατον θάτερον χωρὶς θατέρου εἶναί τε
καὶ γίνεσθαι. καὶ ὁ τὴν μάθησιν δὲ λέγων τὸ αὐτὸ πάλιν λέγει. ἓν οὖν κατὰ τὸ ὑποκείμενον, εἰ καὶ
τῷ λόγῳ διάφορα, ὡς ἓν τὸ διάστημα τὸ μεταξὺ δυοῖν καὶ τεττάρων. οἱ δὲ λόγοι διάφοροι, ὁ μὲν τέσ-
σαρα πρὸς τὰ δύο διπλάσιος. ὁ δὲ τοῦ δυοῖν πρὸς τὰ τέσσαρα ἥμισυς. αὐτὸς δὲ ἔτι ἐναργεστέρῳ
παραδείγματι ἐχρήσατο, εἰπὼν οὕτως εἶναι μὲν τῷ ὑποκειμένῳ ἓν, τῷ δὲ λόγῳ διάφορα, ὡς τὸ
δυνάμει πρὸς τὸ ἐνεργοῦν. ἐνεργοῦν δὲ λέγει τὸ ἐνεργείᾳ τελέως ὄν. τοῦτο γὰρ ἤδη καὶ ἐνερ-
γεῖ. εἰ γὰρ ὃ γέγονεν ἐνεργείᾳ, τοῦτο ἦν δυνάμει καὶ οὐκ ἄλλο, καὶ ὃ δυνάμει ἦν τοῦτο γέγονεν ἐν-
εργείᾳ, ἕν ἐστιν ἄμφω καὶ τὸ αὐτὸ τῷ ὑποκειμένῳ, οἱ δὲ λόγοι διάφοροι. τὸ μὲν γὰρ δυνάμει τοῦτο
ἐστὶν, ὃ δύναται γενέσθαι τοῦτο ὃ λέγεται δυνάμει. τὸ δὲ ἐνεργείᾳ, ὃ ἤδη ἐστὶ τοῦτο, ὃ λέγεται
δυνάμει.

Ο ΥΤ' ΑΝΑΓΚΗ τὸν διδάσκοντα μανθάνειν οὐδ' εἰ τὸ πάσχειν καὶ τὸ ποιεῖν τὸ αὐτό ἐστι. μὴ μέντοι
ὡς τὸν λόγον εἶναι ἕνα, τὸν τί ἦν εἶναι λέγοντα. οἷον τῷ λωπίῳ καὶ τῷ ἱματίῳ. ἀλλ' ὡς ἡ ὁδὸς
ἡ θήβηθεν, ἀθήναζε καὶ ἡ ἀθήνηθεν, εἰς θήβας. ὥσπερ εἴρηται καὶ πρότερον. οὐ γὰρ τὰ αὐτὰ πάν-
τα ὑπάρχει τοῖς ὁπωσοῦν ταυτοῖς. ἀλλὰ μόνον οἷς τὸ εἶναι τὸ αὐτό. οὐ μὴν, ἀλλ' οὐδ' εἰ ἡ δίδαξις
τῇ μαθήσει τὸ αὐτὸ, καὶ τὸ μανθάνειν τῷ διδάσκειν τὸ αὐτό. ὥσπερ οὐδ' εἰ ἡ διάστασις μία τῶν διε-
στηκότων. καὶ τὸ διΐστασθαι ἐνθένδε, ἐκεῖσε, καὶ ἐκεῖθεν δεῦρο, ἓν καὶ τὸ αὐτό. ὅλως δ' εἰπεῖν, οὐδ' ἡ
δίδαξις, τῇ μαθήσει. οὐδ' ἡ ποίησις τῇ παθήσει τὸ αὐτὸ κυρίως. ἀλλ' ᾧ ὑπάρχει ταῦτα, ἡ κίνησις. τὸ
γὰρ τοῦδε ἐν τῷδε, καὶ τὸ τοῦδε ὑπὸ τοῦδε ἐνέργειαν εἶναι, ἕτερον τῷ λόγῳ.

Δ εύτερον ἄτοπον ἐπήγετο τοῖς μίαν λέγουσιν ἐνέργειαν τοῦ τε κινοῦντος καὶ τοῦ κινουμένου, τὸ ἀ-

κολουθεῖν τὴν δίδαξιν τῇ μαθήσει ταυτὸν εἶναι. τούτου δὲ τεθέντος, ἀκολουθεῖν τὸ διδάσκειν τῷ μανθάνειν τὸ αὐτὸ εἶναι. καὶ τούτῳ ἐναργὲς ἄτοπον ἕπεσθαι ἐδόκει, τὸ τὸν διδάσκοντα κατὰ τὸ διδάσκειν πάντα μανθάνειν ἃ διδάσκει, καὶ τὸν μανθάνοντα κατ' αὐτὸ τὸ μανθάνειν πάντα διδάσκειν ἃ μανθάνει. τοιούτων οὖν ὄντων τῶν προσαγομένων, δείκνυσι πάσας τὰς ἀκολουθίας μηδὲν ἀναγκαῖον ἐχούσας, ἀπὸ τῆς τελευταίας ἀρξάμενος, τῆς λεγούσης. εἰ τὸ ποιεῖν καὶ τὸ πάσχειν ταυτόν ἐστιν, ἤτοι τὸ διδάσκειν καὶ μανθάνειν, ἀνάγκη τὸν διδάσκοντα τῷ μανθάνοντι τὸν αὐτὸν ὄντα, ἐν τῷ διδάσκειν μανθάνειν. λύει δὴ οὖν ταύτην τὴν ἔνστασιν, ἐκ τοῦ μὴ πᾶσιν οἷς ἐστι ταυτὸν, τούτοις πάντα τὰ αὐτὰ ἀκολουθεῖν, ἀλλ' ἐκείνοις μόνοις οἷς ὁ λόγος ὁ αὐτός ἐστι. καὶ παρατίθεται παραδείγματα, τῶν μὲν λόγον τὸν αὐτὸν ἐχόντων διαφόρων ὀνομάτων, τὸ λώπιον καὶ ἱμάτιον. τούτων γὰρ ὁ αὐτός ἐστιν ὁρισμός. διὸ πάντα αὐτοῖς τὰ αὐτὰ ἕπεται. τῶν δὲ τῷ ὑποκειμένῳ μὲν ταυτῶν ὄντων, μὴ μέντοι λόγον τὸν αὐτὸν ἐχόντων, τὴν ὁδὸν τὴν θήβηθεν ἀθήναζε, καὶ ἀθήνηθεν θήβαζε. τοιαύτη δὲ καὶ ἡ ἀνάβασις καὶ ἡ κατάβασις. ἐπὶ γὰρ τούτων μιᾶς οὔσης διαστάσεως, καὶ θέσεως τῆς αὐτῆς οὔσης, ἄλλα τὰ ἀφ' ὧν ἐστι, καὶ ἄλλα τὰ εἰς ἅ. ὥστε καὶ τὸ ὅλον εἶδος ἄλλο. διὸ οὐδὲ τὰ αὐτὰ ἀκολουθεῖ. ἄλλη γὰρ τῷ ἀναβαίνοντι, καὶ ἄλλη τῷ καταβαίνοντι διάθεσις. καὶ ἄλλα μὲν τὰ πρῶτα, ἄλλα δὲ τὰ δεύτερα ὑπαντᾷ τῷ θήβηθεν ἀθήναζε ἰόντι, καὶ ἀθήνηθεν θήβαζε. διὸ ὁ εἰς ἀθήνας ἀπιὼν, οὐκ ἄπεισιν εἰς θήβας. οὐδὲ ἕπεται τὰ αὐτὰ τοῖς κατὰ τὸ ὑποκείμενον μόνον τοῖς αὐτοῖς. ἀλλὰ μόνοις τοῖς κατὰ λόγον ταυτοῖς, καὶ οἷς τὸ εἶναι καὶ ὁ ὁρισμὸς ὁ αὐτός. οὕτως οὖν κἂν τὸ διδάσκειν καὶ μανθάνειν ταυτὸν ᾖ τῷ ὑποκειμένῳ μόνον, ἀλλὰ μὴ καὶ τῷ λόγῳ, οὐκ ἔστιν ἀνάγκη τὸν διδάσκοντα αὐτῷ τῷ διδάσκειν μανθάνειν ὅσα διδάσκει. τότε γὰρ ἂν εἵπετο τοῦτο, εἰ τοῦ διδάσκειν καὶ μανθάνειν τῶν αὐτῶν ὄντων κατὰ τὸν λόγον, ὁ διδάσκων καὶ ὁ μανθάνων οἱ αὐτοὶ ἦσαν κατὰ τὸν λόγον. ἀνάγκη γὰρ ἦν τότε τὸν διδάσκοντα εἶναι μανθάνοντα, ἑνὸς ὄντος τοῦ λόγου τοῦ κατὰ τὸ διδάσκειν καὶ μανθάνειν. εἶτα ἐφεξῆς τὴν πρὸ ταύτης ῥηθεῖσαν ἐν τῇ ἀπορίᾳ ἀκολουθίαν διελέγχει, ὡς οὐκ οὖσαν ἀναγκαίαν. ἦν δὲ ἡ λέγουσα, εἰ ἡ δίδαξις τῇ μαθήσει ταυτὸν, καὶ τὸ διδάσκειν τῷ μανθάνειν ταυτόν. ὅτι οὖν οὐκ ἀνάγκη τοῦτο οὕτως ἔχειν, δείκνυσι πάλιν διὰ τοῦ αὐτοῦ πως παραδείγματος, τῇ μὲν διδάξει καὶ μαθήσει ἀνάλογον λαβὼν τὴν διάστασιν ἤτοι τῶν τόπων ἢ τῶν ἀριθμῶν, τῷ δὲ διδάσκειν καὶ μανθάνειν τὸ διΐστασθαι ἔνθεν ἐκεῖ, καὶ ἐκεῖθεν ὧδε. ὡς γὰρ δίδαξις καὶ μάθησις, οὕτω διάστασις. καὶ ὡς τὸ διδάσκειν καὶ μανθάνειν, οὕτω καὶ τὸ διΐστασθαι ἢ ἀθήνηθεν εἰς θήβας, ἢ θήβηθεν εἰς ἀθήνας, ἢ ἀπὸ τεσσάρων εἰς δύο, ἢ ἀπὸ δύο εἰς τέσσαρα. ὡς οὖν ἐπὶ τούτων μία μὲν τῷ ὑποκειμένῳ ἡ διάστασις, οἱ δὲ λόγοι διάφοροι, καὶ διὰ τοῦτο οὐκ ἀνάγκη τὸ διΐστασθαι τὸ αὐτὸ εἶναι, οὕτω καὶ ἐπὶ τῆς διδάξεως καὶ μαθήσεως, ἐπειδὴ τῷ ὑποκειμένῳ ἐν αὐτῇ καὶ οὐ τῷ λόγῳ διὰ τοῦτο καὶ τὸ διδάσκειν καὶ μανθάνειν τῷ ὑποκειμένῳ τὰ αὐτά ἐστιν, ἀλλ' οὐχὶ τῷ λόγῳ. δύναται δέ φησιν ὁ ἀλέξανδρος, τὸ, οὐ μὴν ἀλλ' οὐδ' εἰ ἡ δίδαξις τῇ μαθήσει ταυτὸν καὶ τὰ ἑξῆς, ὡς ἐκ περιουσίας εἰρῆσθαι. ὡς εἰ ἔλεγε καὶ εἰ δοθείη ἡ δίδαξις τῇ μαθήσει ταυτὸν εἶναι, οὐκ ἀνάγκη καὶ τὸ μανθάνειν τῷ διδάσκειν ταυτὸν εἶναι, οὐ γὰρ ἐπεὶ ἡ διάστασις μία τῶν διεστηκότων, ἤδη καὶ τὸ διΐστασθαι ἔνθενδε ἐκεῖσε, ἢ ἐκεῖθεν ἐνθάδε, ἓν καὶ ταυτόν ἐστιν. εἶτα ἐπὶ τὸ πρῶτον ἀκόλουθον ἀναδραμὼν ἀφ' οὗ πάντα ἤρτητο, διελέγχει καὶ τοῦτο. ἦν δὲ ἐκεῖνο, εἰ μία ἡ ἀμφοῖν ἐνέργεια, ἡ δίδαξις τῇ μαθήσει ταυτόν. λέγει οὖν ὅτι ὅλως οὐδὲ ἡ ἀρχὴ τῶν ἀκολουθιῶν ἀναγκαίως ἔχει. οὐ γὰρ εἰ ἡ κίνησις μία ἤδη καὶ τὰ ὑπάρχοντα τῇ κινήσει, τὴν δίδαξιν καὶ τὴν μάθησιν, ἤτοι τὴν ποίησιν καὶ τὴν πάθησιν, ἀνάγκη τὰ αὐτὰ εἶναι κυρίως. διότι ἕτερα τῷ λόγῳ ἐστὶν, ἥ τε ἀπὸ τοῦ ποιοῦντος πρὸς τὸ γινόμενον σχέσις, καὶ ἡ ἀπὸ τοῦ γινομένου πρὸς τὸ ποιοῦν. ἀλλὰ πῶς ἡ κίνησις μία καὶ κυρίως μία, εἴπερ εἴρηται πολλάκις ὅτι τῷ ὑποκειμένῳ μία ἐστὶν ἀλλ' οὐ τῷ λόγῳ. ἢ μία ἡ κίνησις οὐ τῷ ὑποκειμένῳ μόνον ἀλλὰ καὶ τῷ λόγῳ, ἐν τῷ κινουμένῳ οὖσα ὑπὸ τοῦ κινοῦντος. διὸ καὶ εἷς ὁ λόγος, ἐντελέχεια τοῦ κινητοῦ ᾗ κινητόν, καὶ οὐδὲ μεμέρισται ἐπ' αὐτῆς, τὸ ὑπὸ τοῦδε καὶ τὸ ἐν τῷδε. ἀλλ' ἄμφω συμπληροῖ τὴν κίνησιν. ἡ μέντοι ποίησις καὶ ἡ πάθησις μερίζονται, ἡ μὲν, περὶ τὴν ἀπὸ τοῦ ποιοῦντος σχέσιν, ἡ δὲ περὶ τὴν ἀπὸ τοῦ γινομένου. ὁ μέντοι ἀλέξανδρος κατὰ τὸν αὐτὸν τρόπον τοῖς πρότερον ἐξηγεῖται καὶ τοῦτο. οὐ γὰρ εἰ μία φησὶν ἡ ἀμφοῖν ἐνέργεια κατὰ τὸ ὑποκείμενον, ἕπεται ἤδη τὴν δίδαξιν τῇ μαθήσει ταυτὸν εἶναι. ἀλλὰ τὸ μὲν ὑποκείμενον ἀμφοτέραις τῇ τε διδάξει καὶ τῇ μαθήσει ταυτόν ἐστιν. ἐν γάρ τι ὑπ' ἀμφοῖν γίνεται τὸ μανθάνειν. οὐ μὴν ἡ δίδαξις ταυτὸν τῇ μαθήσει. καὶ ἔοικε τὸ γὰρ τοῦδε ἐν τῷδε, καὶ τὸ, τόδε ὑπὸ τοῦδε, ἐπὶ τῆς κινήσεως ἀκούειν. ἐγὼ μέντοι ἐπὶ τῆς ποιήσεως καὶ τῆς παθήσεως εἰρῆσθαι νομίζω καὶ τοῦτο, καὶ τὸ ἕτερον τῷ λόγῳ. πῶς δὲ καὶ μίαν τῷ ὑποκειμένῳ λέγει εἶναι τὴν δίδαξιν καὶ τὴν μάθησιν. διότι ἐν ὑπ' ἀμφοῖν γίνεται τὸ μανθάνειν. γίνεται γὰρ καὶ τὸ διδάσκειν. καὶ ὅλως οὐχ ὅσα ἑνός ἐστιν αἴτια, ἕν ἐστι τῷ ὑποκειμένῳ ἐπεὶ οὕτω καὶ πατὴρ καὶ μήτηρ, ἀλλ' ἕν ἐστι ταῦτα τῷ ὑποκειμένῳ ὅτι μία ἡ διάστασις, καὶ ἀπὸ τοῦ ποιοῦντος ἐν τῷ πάσχοντι τὸ αὐτό.

ΤΙ ΜΕΝ οὖν ἐστὶν ἡ κίνησις καὶ καθόλου καὶ κατὰ μέρος, εἴρηται. οὐ γὰρ ἄδηλον ὡς ὁριεῖται καὶ τῶν εἰδῶν ἕκαστον αὐτῆς. ἀλλοίωσις μὲν γὰρ, ἡ τοῦ ἀλλοιωτοῦ ᾗ ἀλλοιωτόν, ἐντελέχεια. ἔτι δὲ γνωριμώτερον ἡ τοῦ δυνάμει ποιητικοῦ καὶ παθητικοῦ ᾗ τοιοῦτον, ἁπλῶς τε καὶ πάλιν καθ' ἕκαστον. ἢ οἰκοδόμησις, ἢ ἰάτρευσις. τὸν αὐτὸν δὲ λεχθήσεται τρόπον, καὶ περὶ τῶν ἄλλων κινήσεων ἑκάστης.

Συμπεραινόμενος ἤδη τοὺς περὶ κινήσεως λόγους ὑπομιμνήσκει τῆς ἀποδοθείσης ὑπογραφῆς. καθ' ἣν ποτὲ μὲν ἐλέγετο ἐντελέχεια τοῦ δυνατοῦ ᾗ δυνατὸν, ποτὲ δὲ ἐντελέχεια τοῦ κινητοῦ ᾗ κινητόν. καὶ φησὶν οὐ μόνον τῇ καθόλου κινήσει ταύτην ἐφαρμόττειν τὴν ἀπόδοσιν, ἀλλὰ καὶ ταῖς κατὰ μέρος. οὐδὲ ἄδηλόν φησιν ὡς τούτῳ τῷ ὁρισμῷ καὶ τῶν εἰδῶν αὐτῆς ἕκαστον ὁριεῖται. εἴδη δὲ λέγει οὐχ ὡς ἀπὸ γένους τῆς κινήσεως διαιρεθείσης· οὐ γὰρ γένος ἡ κίνησις. ἀλλ' ὡς διαφόρους ἰδιότητας. ἐφ' ἑνὸς δὲ καὶ τῶν κατὰ μέρος εἰδῶν τῆς ἀλλοιώσεως ὑποδείξας ὅπως χρὴ τὸν καθόλου λόγον ἐφαρμόττειν τοῖς κατὰ μέρος εἴδεσιν, ἄλλον τρίτον ὁρισμὸν τῆς κινήσεως προστίθησιν. ὃν καὶ γνωριμώτερόν φησιν, ὡς συμπλέκοντα τῷ παθητικῷ τὸ ποιητικόν. κίνησις γάρ ἐστί φησιν, ἐντελέχεια τοῦ δυνάμει ποιητικοῦ καὶ παθητικοῦ ᾗ τοιοῦτον. ἐπειδὴ γὰρ δέδεικται ἐκ τῆς ἀμφοῖν ἐνεργείας τοῦ τε κινοῦντος καὶ κινουμένου ἀποτελουμένη ἡ κίνησις, εὐλόγως τῷ λόγῳ αὐτῆς καὶ τὴν τοῦ κινητικοῦ ἐνέργειαν οὐ μόνον τοῦ κινητοῦ παραλαμβάνει. ἀλλὰ πῶς τὴν τοῦ δυνάμει ποιητικοῦ ἐνέργειαν εἶπεν. τὸ γὰρ δυνάμει ποιητικὸν καὶ κινητικὸν, οὔπω ἐνεργείᾳ ἐστὶ κινητικόν. τὸ δὲ κινοῦν ἐνεργείᾳ ἐστί. καὶ ὅλως τὸ δυνάμει καθὸ δυνάμει ἐνεργοῦν, κινεῖται μᾶλλον ἀλλ' οὐχὶ κινεῖ, εἴπερ καλῶς ὁ τῆς κινήσεως ὁρισμὸς ἀποδέδοται. μή ποτε οὖν τοῦ δυνάμει ποιητικοῦ εἶπεν, ἐνδεικνύμενος τὸν διορισμὸν τῆς ἀπὸ τῶν ἀκινήτων αἰτίων ἐνδιδομένης κινήσεως, πρός τε τὴν φυσικὴν καὶ τὴν τεχνικὴν κίνησιν. πάντα μὲν γὰρ τὰ κινοῦντα καθὸ ἐνεργείᾳ ἐστὶ κινεῖ, ἀκίνητα ὄντα κατὰ τοῦτο. ἀλλὰ τὸ μὲν ἀκίνητον ἰδίως καλούμενον αἴτιον κατὰ πάντα ἐστὶν ἀκίνητον, ἅτε κατὰ πάντα ἐνεργείᾳ ὂν, καὶ αἰωνίως ὑφεστώς. τὰ δὲ φυσικῶς καὶ τεχνικῶς κινοῦντα, κινεῖ μὲν καθὸ ἐνεργείᾳ ἐστὶ κατὰ τὴν ἕξιν, τέλεια ὄντα κατὰ ἐκείνην. ἀνάγκη γὰρ τὸ κινοῦν εἶδός τι ὂν, ἤδη τοῦτο ἐνδιδόναι τῷ κινουμένῳ. κινεῖται δὲ καὶ αὐτὰ, καθόσον ἡ πρότερον ἠρεμοῦσα ἕξις εἰς τὴν τοῦ κινεῖν ἐνέργειαν διεγείρεται, κατὰ τὸ πρὸς ἐνέργειαν δυνάμει. ὅπερ πάντα ἔχει, τὰ μὴ ἅμα ὅλην ἀποδιδόντα τὴν οἰκείαν ἐνέργειαν. ὅπερ τοῖς αἰωνίως ἐνεργοῦσι πρόσεστι μόνοις. διὸ παρ' ὅλον τὸν τοῦ κινεῖν χρόνον, ἄμφω ἐστὶν ἐν αὐτοῖς τό, τε δυνάμει καὶ τὸ ἐνεργείᾳ. καὶ κατὰ μὲν τὴν ἐξ ἀτελοῦς προκοπὴν κινοῦνται. κατὰ δὲ τὸ τέλειον καὶ τῆς ἕξεως καὶ τῆς ἐνεργείας κινοῦσιν. ἡ δὲ φύσις καὶ προδιατιθεμένη διατίθησι τὸ ὑποκείμενον ἔνδοθεν, καθ' ἕκαστον κινήσεως εἶδος, ὡς καὶ ὁ ἀνδρόνικος ἔλεγε. κἂν γὰρ θερμαίνηται ὑπὸ πυρὸς τὸ ὕδωρ, ἀλλ' ἡ ἐν τῷ ὕδατι φύσις πρώτη θερμὴ γενομένη, οὕτω θερμαίνει ἢ συνθερμαίνει τὸ ὑποκείμενον. δυνάμει οὖν κινητικὸν εἶπεν, ὡς δυνάμει κινητὸν ἔλεγε πρότερον, τὸ μένοντος τοῦ δυνάμει κινούμενον, οὕτως αὖ τὸ μένοντος τοῦ δυνάμει κινοῦν δυνάμει κινητικόν. καὶ δῆλον ὅτι κατὰ τοῦτον τὸν λόγον τὰ οὕτω κινοῦντα ἀληθὲς εἰπεῖν, καὶ ὅτι καθὸ κινεῖ οὐ κινεῖται. κινεῖ γὰρ καθὸ τέλεια. καθὸ δὲ τέλεια μένει καὶ οὐ κινεῖται. καὶ αὖ πάλιν καθὸ κινεῖ κινεῖται. κατὰ γὰρ τὸ αὐτὸ εἶδος ἡ μὲν φύσις αὐξομένη αὔξει. ἡ δὲ τέχνη ἀπὸ τῆς ἕξεως ἠρεμούσης πρόεισιν εἰς τὸ ἐνεργεῖν. ἀποδοὺς δὲ τὸν τρίτον ὅρον, ἀξιοῖ καὶ ἀπὸ τούτου τὰς κατὰ μέρος κινήσεις ὑπογράφειν. ἃς καθ' ἕκαστον οὐ κυρίως ἐκάλεσεν. οὐ γὰρ περὶ τῆς μιᾶς κατ' ἀριθμὸν λέγει, ἀλλὰ περὶ τῶν κατ' εἶδος διαφερουσῶν. ὁ μέντοι ἀλέξανδρος τὴν γνωριμωτέραν ἀπόδοσιν, μετάληψιν οἴεται τοῦ τῆς ἀλλοιώσεως λόγου, ἀπιθάνους οἶμαι λέγων ἀπολογισμούς. φαίνεται δὲ καὶ ὡς τρίτον ὅρον τῆς κινήσεως ἀποδεχόμενος, κἂν ὡς ἀπὸ παραγραφῆς ἡ λέξις προστεθεῖσα, συγκεχύσθαι ἐν τῷ βιβλίῳ δοκῇ. τὴν δὲ οἰκοδόμησιν καὶ τὴν ἰάτρευσιν ὡς ἀλλοιώσεις παραγαγὼν. ἐπήγαγεν ὅτι τὸν αὐτὸν λεχθήσεται τρόπον καὶ περὶ τῶν ἄλλων κινήσεων. καλῶς γὰρ ὁ ἀλέξανδρος ἐπισημαίνεται, ὅτι πᾶσαι σχεδὸν αἱ τεχνικαὶ κινήσεις κατ' ἀλλοίωσιν εἰσὶ μάλιστα. τοιούτων ὄντων τῶν καθόλου περὶ κινήσεως ἐνταῦθα τῷ ἀριστοτέλει ῥηθέντων, ἐξ αὐτῶν οἶμαι δῆλον ἔσται τοῖς ἐπισκεπτομένοις, ὅτι οὐ περὶ τὸ αὐτὸ τῆς κινήσεως σημαινόμενον διηνέχθη πρὸς τὸν ἑαυτοῦ καθηγεμόνα. ἀλλ' ὁ μὲν τὴν κίνησιν ἐν φυσικῇ μεταβολῇ θεωρεῖ, οὐκ ἀξιῶν κινεῖσθαι τὰ ὡσαύτως ἔχοντα. ὁ δὲ καὶ αὐτὴν τὴν ἀπὸ τοῦ εἶναι εἰς ἐνέργειαν ἔκστασιν τιθεὶς τὴν κίνησιν, οὐ παραιτεῖται καὶ τῶν ὡς προσάπτειν αὐτήν, οἰκείως ἑκάτερος τῇ ἑαυτοῦ φιλοσοφίᾳ. καὶ γὰρ ὁ μὲν ἀριστοτέλης ἀεὶ τὰ προφανῆ καὶ ἐναργῆ λαμβάνει. ὁ δὲ πλάτων καὶ τὰ ὁπωσοῦν τοιαῦτα.

ΤΜΗΜΑ .Β΄. ΠΕΡΙ ΑΠΕΙΡΟΥ.

ε ΠΕΙ Δ' ἐστὶν ἡ περὶ φύσεως ἐπιστήμη περὶ μεγέθη καὶ κίνησιν καὶ χρόνον, ὧν ἕκαστον, ἀναγκαῖον ἢ ἄπειρον ἢ πεπερασμένον εἶναι, εἰ καὶ μὴ πᾶν ἐστὶν ἢ ἄπειρον ἢ πεπερασμένον, οἷον πάθος ἢ στιγμή, τῶν γὰρ τοιούτων ἴσως οὐθὲν ἀναγκαῖον ἐν θατέρῳ τούτων εἶναι, προσῆκον ἂν εἴη τὸν περὶ φύσεως πραγματευόμενον θεωρῆσαι περὶ ἀπείρου, εἰ ἔστιν, ἢ μή. καὶ εἰ ἔστι, τί ἐστι.

π ερὶ τῶν κοινῶς πᾶσι τοῖς φυσικοῖς πράγμασι παρακολουθούντων ἄρχεται τῆς πραγματείας, ἐπειδὴ τὰ φυσικὰ, σώματά ἐστι καὶ μεγέθη κινούμενα ἐν χρόνῳ, ἀνάγκη δέ ἐστι καὶ τὸ σῶμα καὶ τὴν κίνησιν καὶ τὸν χρόνον, μεγέθη ὄντα, ἢ πεπερασμένα ἢ ἄπειρα εἶναι, ἔστι δὲ καὶ συνεχῆ τὰ εἰρημένα, ἐν δὲ τῷ συνεχεῖ τὸ ἄπειρον ἐστί, διότι συνεχές ἐστι, τὸ ἐπ' ἄπειρον διαιρετόν, εἰκότως ὁ περὶ τὴν φύσιν πραγματευόμενος καὶ περὶ ἀπείρου τι διαλέξεται. καὶ ὅτι μὲν περὶ σώματά ἐστιν ἡ φυσικὴ πραγματεία, δῆλον ἐκ τοῦ τὰ φύσει πάντα συνεστῶτα σώματα εἶναι. ὅτι δὲ καὶ περὶ κίνησιν, δῆλον ἐκ τοῦ τὰ φυσικὰ σώματα ταῦτα εἶναι, τὰ ἔχοντα ἀρχὴν κινήσεως ἐν ἑαυτοῖς. δηλοῖ δὲ καὶ αὐτὸς ἐν ἀρχῇ τῆς περὶ οὐρανοῦ γράφων, ἡ περὶ φύσεως ἐπιστήμη σχεδὸν ἡ πλείστη φαίνεται, περί τε σώματα καὶ μεγέθη καὶ τὰ τούτων οὖσα πάθη καὶ τὰς κινήσεις. ὅτι δὲ καὶ περὶ χρόνου, δῆλον ἐκ τοῦ πᾶσαν κίνησιν ἐν χρόνῳ εἶναι, καὶ μέτρον εἶναι κινήσεως τὸν χρόνον ὡς δειχθήσεται. εἰπὼν δὲ ὧν ἕκαστον ἀναγκαῖον ἢ ἄπειρον ἢ πεπερασμένον εἶναι, εἰκότως ἐπέστησεν ὅτι οὐκ ἀντιφατική τις ἐστὶν αὕτη τῶν ὄντων ἢ τῶν φυσικῶν πάντων διαίρεσις, διαιροῦσα ἐπὶ πάντων τὸ ἀληθὲς καὶ τὸ ψεῦδος. ἀλλ' ὡς ἕξεως καὶ στερήσεώς ἐστι τοῦ πέρατος πρὸς τὴν ἀπειρίαν ἀντίθεσις. ἥ τις οὐκ ἐπὶ πάντων διαιρεῖ τὸ ἀληθὲς καὶ τὸ ψεῦδος. ἀλλ' ἐπὶ τῶν πεφυκότων δέχεσθαι αὐτήν, καὶ ὅτε πέφυκεν. ὅτι δὲ οὐκ ἐπὶ πάντων, ἐκ δυοῖν πιστοῦται, καὶ τοῦ πάθους, καὶ τῆς στιγμῆς. οὔτε γὰρ αἱ παθητικαὶ καὶ κληθεῖσαι ὑπ' αὐτοῦ ἐν κατηγορίαις ποιότητες, οἷον λευκότης μελανία, θερμότης ψύξις, καὶ τὰ τοιαῦτα, καθ' αὑτὰ πεπερασμένα ἐστὶν ἢ ἄπειρα. δῆλον δέ, ἐκ τοῦ τὸ μὲν ἄπειρον καὶ τὸ πεπερασμένον κατὰ ποσῶν λέγεσθαι, ταῦτα δὲ μὴ εἶναι ποσά. ἀλλ' οὐδὲ ἡ στιγμὴ τῷ πεπερασμένῳ ἢ ἀπείρῳ ὑποβέβληται. διότι ἄπειρον μὲν οὐκ ἔστιν ὅτι ἀδιαίρετον. πεπερασμένον δὲ οὐκ ἔστιν, ὅτι πέρας αὐτὸ τῆς γραμμῆς. τάχα δὲ καὶ ἡ μονὰς τοιαύτη. καὶ γὰρ αὕτη ἀδιαίρετος, καὶ ἀρχὴ ἀριθμοῦ. τὸ δὲ ἴσως προσέθηκε, τῷ μηδὲν τούτων ἀναγκαίως ἐν θατέρῳ εἶναι, ἢ τῇ ἀπειρίᾳ ἢ τῷ πέρατι, διότι τὰ πάθη οἷον τὸ λευκὸν καὶ τὸ θερμόν, καὶ αὐτὰ καθ' αὑτὰ οὔτε ἄπειρα οὔτε πεπερασμένα. οὐδὲ γὰρ ποσὰ ταῦτα καθ' αὑτά ἐστι. κατὰ ποσῶν γὰρ τὸ ἄπειρον λέγεται καὶ τὸ πεπερασμένον. κατὰ συμβεβηκὸς μέντοι καὶ αὐτὰ γίνεται ποσά, καθόσον ποσὰ τὰ ὑποκείμενα αὐτοῖς ἐστιν. ὁ δὲ φυσικὸς καὶ περὶ τὰ πάθη ἔχει, καθόσον πάθη ἐστὶ τῶν σωμάτων. διὸ τῆς περὶ οὐρανοῦ ἀρχόμενος, ἡ περὶ φύσεως ἐπιστήμη ἐστὶ σχεδὸν ἡ πλείστη φαίνεται, περί τε σώματα καὶ μεγέθη καὶ τὰ τούτων οὖσα πάθη καὶ τὰς κινήσεις. ὥστε καὶ κατὰ τὰ πάθη ἐπισκέψεται ὁ φυσικὸς καὶ τὸ πεπερασμένον καὶ τὸ ἄπειρον, κἂν κατὰ συμβεβηκὸς ὑπάρχῃ ταῦτα τοῖς πάθεσι. δεῖ οὖν τὸν περὶ φύσεως πραγματευόμενον περὶ ἀπείρου θεωρῆσαι, πρῶτον μὲν εἰ ἔστιν ἄπειρον ἢ οὐκ ἔστι, καὶ εἰ ἔστι, τί ἐστιν. αὕτη γὰρ ἡ τῶν προβλημάτων τάξις, ὡς ἐν τοῖς ἀναλυτικοῖς ἐδιδάχθημεν.

ΣΗΜΕΙΟΝ δὲ ὅτι ταύτης τῆς ἐπιστήμης, οἰκεία ἡ θεωρία ἡ περὶ αὐτοῦ. πάντες γὰρ ὅσοι δοκοῦσιν ἀξιολόγως ἧφθαι τῆς τοιαύτης φιλοσοφίας, πεποίηνται λόγον περὶ τοῦ ἀπείρου. καὶ πάντες ὡς ἀρχήν τινα τιθέασι τῶν ὄντων. οἱ μὲν ὥσπερ οἱ πυθαγόρειοι καὶ πλάτων καθ' αὑτό, οὐχ ὡς συμβεβηκός τινι ἑτέρῳ, ἀλλ' ὡς οὐσίαν αὐτὸ ὂν τὸ ἄπειρον. πλὴν οἱ μὲν πυθαγόρειοι, ἐν τοῖς αἰσθητοῖς. οὐ γὰρ χωριστὸν ποιοῦσι τὸν ἀριθμόν, καὶ εἶναι δὲ τὸ ἔξω τοῦ οὐρανοῦ ἄπειρον. πλάτων δέ, ἔξω μέν, οὐδὲν εἶναι σῶμα. οὐδὲ τὰς ἰδέας. διὰ τὸ μηδὲ πού εἶναι αὐτάς, τὸ μέντοι ἄπειρον καὶ ἐν τοῖς αἰσθητοῖς, καὶ ἐν ἐκείνοις εἶναι.

Ὅ τι οἰκεία τῇ περὶ φύσεως ἐπιστήμῃ ἡ τοῦ ἀπείρου θεωρία, μετὰ τὴν ἐκ τῶν πραγμάτων πίστιν, καὶ ἐκ τῶν κλεινοτέρων φυσιολόγων δόξης βεβαιοῦται, ὥσπερ εἴωθεν, δεικνὺς ὅτι οὐχ οἱ τυχόντες, ἀλλ' οἱ ἀξιολόγως ἁψάμενοι φυσιολογίας, καὶ οὗτοι οὐ παρέργως ἐζήτησαν περὶ τοῦ ἀπείρου. ἀλλὰ πάντες ὡς ἀρχήν τινα τῶν ὄντων τιθέασι τὸ ἄπειρον. ὥστε τοῖς περὶ φυσικῶν ἀρχῶν πραγματευομένοις ἀναγκαῖον καὶ περὶ ἀπείρου διαλεχθῆναι. ἐφεξῆς δὲ καὶ τὰς διαφοράς, ἃς ἔχον οἱ πρότεροι περὶ τὰς τοῦ ἀπείρου δόξας, ἐκτίθεται, καὶ τὴν κοινότητα. καὶ λέγει πρώτην διαφοράν, καθ' ἣν οἱ μὲν οὐσίαν τινὰ καθ' αὑτὴν τὸ ἄπειρον ὑπέθεντο, καὶ οὐ συμβεβηκὸς ἑτέρῳ. ὥσπερ οἱ πυθαγόρειοι καὶ ὁ πλάτων, κοινωνοῦντες ἀλλήλοις κατὰ τοῦτο. συμβεβηκὸς δέ τινι τὸ ἄπειρον ἐποίουν, οἱ πλεῖστοι τῶν φυσικῶν, οἱ μὲν ἀέρα ἄπειρον ὑποτιθέντες, ὡς ἀναξιμένης καὶ διογένης. οἱ δὲ ὕδωρ, ὡς θαλῆς. οἱ δὲ τὸ μεταξύ, ὡς ἀναξίμανδρος. καὶ οὗτοι μὲν καὶ οἱ τοιοῦτοι, μεγέθει τὸ ἄπειρον λέγουσιν. οἱ δὲ περὶ ἀναξαγόραν καὶ δημόκριτον, τῷ πλήθει τῶν ἀρχῶν τὸ ἄπειρον συμ-

βεβηκέναι φασίν. ὁ μὲν, τῶν ὁμοιομερειῶν, ὁ δὲ τῶν ἀτόμων. πλὴν ὅτι καὶ μεγέθει τὸ ἄπειρον οὗτοι
λέγειν ἀναγκάζονται. διαφέρουσι δέ φησιν ὅτε πλάτων καὶ οἱ πυθαγόρειοι, καθόσον οἱ μὲν πυθα-
γόρειοι ἐν τοῖς αἰσθητοῖς ἐτίθεντο τὸ ἄπειρον καὶ οὐ χωριστόν. καὶ γὰρ ἐν τοῖς ἀριθμοῖς τὸ ἄπειρον εἶναι
λέγουσι. τὸν δὲ ἀριθμὸν καὶ ὅλως τὰ μαθηματικὰ νοεῖσθαι μὲν καθ᾽ ἑαυτά φασι, μὴ ὑφεστάναι δὲ
καθ᾽ αὑτὰ ἀλλ᾽ ἐν τοῖς αἰσθητοῖς εἶναί φησιν. οὐ γὰρ δὴ καὶ ἐκεῖνον ὃν ὑμνοῦντες λέγουσι. κέκλυθι κύ-
» δῖμ᾽ ἀριθμὲ, πάτερ μακάρων, πάτερ ἀνδρῶν. οὐδὲ ὃν πρὸς τοῦ Ὀρφέως Ἵππασος ἀφωρίζετο, παράδειγμα
πρῶτον ὑπάρχειν τῆς κοσμοποιΐας. εἶναι δέ φησιν ἐτίθεντο καὶ ἔξωθεν τοῦ οὐρανοῦ τὸ ἄπειρον, δῆ-
λον ὅτι οὐκ αἰσθητὸν, εἴπερ αὐτὸς ὁ τίμαιος λέγει μηδὲν σῶμα ἔξωθεν ὑπολειφθῆναι τοῦ κόσμου. ἐοί-
κασιν οὖν διττὸν λέγειν καὶ τὸν ἀριθμὸν, καὶ τὸ ἐν τῷ ἀριθμῷ ἄπειρον. ὅπερ ἔλεγον εἶναι τὸ ἄρ-
τιον, τὸ μὲν αἰσθητόν. τὸ δὲ, νοητόν. ὅπερ ἔξωθεν τοῦ οὐρανοῦ ἔλεγον. ὁ μέντοι πλάτων ἔξωθεν τοῦ
οὐρανοῦ οὐδὲν ὑποτίθεται σῶμα, λέγων ἐν τιμαίῳ σαφῶς περὶ τοῦ κόσμου, ὃν ἔξωθεν περιέχει
» ὁ οὐρανός. ἐκ γὰρ πυρὸς παντὸς, ὕδατος, καὶ ἀέρος, καὶ γῆς, ξυνέστησεν αὐτὸν ὁ ξυνιστὰς, μέρος
» οὐδὲν οὐδενὸς οὐδὲ δύναμιν ἔξωθεν ὑπολιπών. ἀλλ᾽ οὐδὲ τὰς ἰδέας ἔξω τοῦ οὐρανοῦ φησιν εἶναι,
διὰ τὸ μηδὲ πού εἶναι αὐτὰς, μηδὲ ὅλως ἐν τόπῳ. τὸ μέντοι ἄπειρον καὶ ἐν τοῖς αἰσθητοῖς εἶναι φη-
σὶ καὶ ἐν ταῖς ἰδέαις. ἀρχὰς γὰρ τῶν αἰσθητῶν τὸ ἓν καὶ τὴν ἀόριστόν φασι δυάδα λέγειν τὸν πλά-
τωνα. τὴν δὲ ἀόριστον δυάδα καὶ ἐν τοῖς νοητοῖς τιθεὶς, ἄπειρον εἶναι ἔλεγεν. καὶ τὸ μέγα δὲ καὶ τὸ
μικρὸν ἀρχὰς τιθεὶς, ἄπειρα εἶναι ἔλεγεν ἐν τοῖς περὶ τἀγαθοῦ λόγοις. οἷς ὁ ἀριστοτέλης, καὶ ἡ-
ρακλείδης, καὶ ἑστιαῖος, καὶ ἄλλοι τοῦ πλάτωνος ἑταῖροι παραγενόμενοι, ἀνεγράψαντο τὰ ῥη-
θέντα αἰνιγματωδῶς ὡς ἐρρήθη. πορφύριος δὲ διαρθροῦν αὐτὰ ἐπαγγελλόμενος, τάδε περὶ
» αὐτῶν γέγραφεν ἐν τῷ φιλήβῳ. αὐτὸς τὸ μᾶλλον καὶ τὸ ἧττον, καὶ τὸ σφόδρα καὶ τὸ ἠρέμα τῆς
» ἀπείρου φύσεως εἶναι βούλεται. ὅπου γὰρ ἂν ταῦτα ἐνῇ, κατὰ τὴν ἐπίτασιν καὶ ἄνεσιν προϊόν-
» τα, οὐχ ἵσταται οὐδὲ περαίνει τὸ μετέχον αὐτῶν. ἀλλὰ πρόεισιν εἰς τὸ τῆς ἀπειρίας ἀόριστον. ὁμοίως
» δὲ ἔχει καὶ τὸ μεῖζον καὶ τὸ ἔλαττον, καὶ τὰ ἀντ᾽ αὐτῶν λεγόμενα ὑπὸ πλάτωνος τὸ μέγα καὶ τὸ μι-
» κρόν. ὑποκείσθω γάρ τι μέγεθος πεπερασμένον, οἷον πῆχυς. οὗ δίχα διαιρεθέντος, εἰ τὸ μὲν ἕτερον
» ἡμιπήχυ ἄτμητον ἐάσωμεν, τὸ δὲ ἕτερον ἡμιπήχυ τέμνοντες κατὰ βραχὺ προστιθεῖμεν τῷ ἀτ-
» μήτῳ, δύο ἂν γένοιτο τῷ πήχει μέρη, τὸ μὲν ἐπὶ τὸ ἔλαττον προϊὸν, τὸ δὲ ἐπὶ τὸ μεῖζον ἀτελευτή-
» τως. οὐ γὰρ ἂν εἰς ἀδιαίρετόν γε μέρος ποτὲ ἔλθοιμεν τέμνοντες. συνεχὴς γάρ ἐστιν ὁ πῆχυς. τὸ δὲ
» συνεχὲς διαιρεῖται εἰς ἀεὶ διαιρετά. ἡ δὲ τοιαύτη ἀδιάλειπτος τομὴ, δηλοῖ τινα φύσιν ἀπείρου κα-
» τακεκλεισμένην ἐν τῷ πήχει. μᾶλλον δὲ πλείους, τὴν μὲν ἐπὶ τὸ μέγα, τὴν δὲ, ἐπὶ τὸ μικρόν. ἐν
» τούτοις δὲ καὶ ἡ ἀόριστος δυὰς ὁρᾶται, ἔκ τε τῆς ἐπὶ τὸ μέγα καὶ τῆς ἐπὶ τὸ μικρὸν μονάδος συγκει-
» μένη. καὶ ὑπάρχει ταῦτα τοῖς τε συνεχέσι σώμασι, καὶ τοῖς ἀριθμοῖς. ἀριθμὸς μὲν γὰρ πρῶ-
» τος ἡ δυὰς ἄρτιος. ἐν δὲ τῇ φύσει τοῦ ἀρτίου τό, τε διπλάσιον ἐμπεριέχεται καὶ τὸ ἥμισυ. ἀλλὰ τὸ
» μὲν διπλάσιον ἐν ὑπεροχῇ. τὸ δὲ ἥμισυ ἐν ἐλλείψει. ὑπεροχὴ οὖν καὶ ἔλλειψις ἐν τῷ ἀρτίῳ. πρῶ-
» τος δὲ ἄρτιος ἐν ἀριθμοῖς ἡ δυάς. ἀλλὰ καθ᾽ αὑτὴν μὲν ἀόριστος. ὡρίσθη δὲ τῇ τοῦ ἑνὸς μετοχῇ. ὥρισται
» γὰρ ἡ δυὰς καθ᾽ ὅσον ἕν τι εἶδός ἐστι. στοιχεῖα οὖν καὶ ἀριθμῶν τὸ ἓν καὶ ἡ δυὰς, τὸ μὲν περαῖνον καὶ εἰδοποι-
» οῦν, ἡ δὲ, ἀόριστος καὶ ἐν ὑπεροχῇ καὶ ἐλλείψει. ταῦτα ὁ πορφύριος εἶπεν αὐτῇ σχεδὸν τῇ λέξει, διαρ-
θροῦν ἐπαγγειλάμενος τὰ ἐν τῇ περὶ τἀγαθοῦ συνουσίᾳ αἰνιγματωδῶς ῥηθέντα. καὶ ἴσως ὅτι σύμ-
φωνα ἐκεῖνα ἦν τοῖς ἐν φιλήβῳ γεγραμμένοις. καὶ ὁ ἀλέξανδρος δὲ καὶ αὐτὸς ἐκ τῶν περὶ τἀγαθοῦ λό-
γων λόγων τοῦ πλάτωνος ὁμολογῶν λέγειν, οὓς ἱστορῆσαν ἀριστοτέλης τε καὶ οἱ ἄλλοι τοῦ πλάτωνος ἑ-
ταῖροι, τάδε γέγραφε. ζητῶν γὰρ τὰς ἀρχὰς τῶν ὄντων ὁ πλάτων, ἐπεὶ πρῶτος ὁ ἀριθμὸς ἐδόκει
αὐτῷ τῇ φύσει εἶναι τῶν ἄλλων, καὶ γὰρ τῆς γραμμῆς τὰ πέρατα σημεῖα, τὰ δὲ σημεῖα εἶναι μονά-
δας θέσιν ἐχούσας, ἄνευ τε γραμμῆς μήτε ἐπιφάνειαν εἶναι μήτε στερεὸν, τὸν δὲ ἀριθμὸν καὶ χωρὶς
τούτων εἶναι δύνασθαι, ἐπεὶ τοίνυν πρῶτος τῶν ἄλλων τῇ φύσει ὁ ἀριθμὸς, ἀρχὴν τοῦτον ἡγεῖτο
εἶναι, καὶ τὰς τοῦ πρώτου ἀριθμοῦ ἀρχὰς, καὶ παντὸς ἀριθμοῦ ἀρχὰς εἶναι. πρῶτος δὲ ἀριθ-
μὸς ἡ δυάς. ἧς ἀρχὰς ἔλεγεν εἶναι, τό, τε ἓν καὶ τὸ μέγα καὶ τὸ μικρόν. καθὸ γὰρ δυάς ἐστι, πλῆ-
θος καὶ ὀλιγότητα ἔχειν ἐν ἑαυτῇ. καθὸ μὲν τὸ διπλάσιον ἐστιν ἐν ἑαυτῇ, πλῆθος. πλῆθος γὰρ
καὶ ὑπεροχὴ καὶ μέγεθός τι τὸ διπλάσιον. καθὸ δὲ ἥμισυ, ὀλιγότητα. διὸ ὑπεροχὴν καὶ ἔλλειψιν
καὶ μέγα καὶ μικρὸν εἶναι ἐν αὐτῇ κατὰ ταῦτα. καθὸ δὲ ἑκάτερόν τε τῶν μορίων αὐτῆς μονάς,
καὶ αὐτὴ ἕν τι εἶδός ἐστι τὸ δυαδικὸν, μονάδος αὐτὴν μετέχειν. διὸ ἀρχὰς τῆς δυάδος ἔλεγε τὸ ἓν
καὶ τὸ μέγα καὶ τὸ μικρόν. ἀόριστον δὲ δυάδα ἔλεγεν αὐτὴν, τῷ μεγάλου καὶ μικροῦ μετέχουσαν ἤ-
τοι μείζονος καὶ ἐλάττονος, τὸ μᾶλλον καὶ ἧττον ἔχειν. κατὰ γὰρ ἐπίτασιν καὶ ἄνεσιν προϊόντα
ταῦτα. οὐχ ἵσταται. ἀλλ᾽ ἐπὶ τὸ τῆς ἀπειρίας ἀόριστον προχωρεῖ. ἐπεὶ οὖν πρῶτος ἀριθμῶν ἀρ-
τίων ἡ δυάς, ταύτης δὲ ἀρχὴ τὸ ἓν καὶ τὸ μέγα καὶ τὸ μικρὸν, καὶ παντὸς ἀριθμοῦ ἀρχὰς ταύτας
εἶναι ἀνάγκη. οἱ δὲ ἀριθμοὶ στοιχεῖα τῶν ὄντων πάντων. ὥστε καὶ πάντων ἀρχὴ τὸ ἓν καὶ τὸ μέγα
καὶ τὸ μικρὸν,

καὶ τὸ μικρόν, ἤτοι ἡ ἀόριστος δυάς. καὶ γὰρ ἕκαστος τῶν ἀριθμῶν καθόσον μὲν ὅδε τις ἐστὶ καὶ εἷς καὶ ὡρισμένος, τοῦ ἑνὸς μετέχει. καθόσον δὲ διαιρεῖται καὶ πλῆθός ἐστι, τῆς ἀορίστου δυάδος. ἔλεγε δὲ καὶ τὰς ἰδέας ὁ πλάτων ἀριθμούς. εἰκότως ἄρα τὰς ἀρχὰς τοῦ ἀριθμοῦ, καὶ τῶν ἰδεῶν ἀρχὰς ἐποίει. τὴν δὲ δυάδα τοῦ ἀπείρου φύσιν ἔλεγεν, ὅτι οὐχ ὥρισται τὸ μέγα καὶ τὸ μικρόν, ἤτοι τὸ μεῖζον καὶ τὸ ἔλαττον. ἀλλ' ἔχει τὸ μᾶλλον καὶ ἧττον, ἅπερ εἰς ἄπειρον πρόεισιν. οὕτως οὖν εἰπὼν ὁ ἀριστοτέλης ἐν τίσι μὲν οἱ πυθαγόρειοι, ἐν τίσι δὲ ὁ πλάτων ἐτίθετο τὸ ἄπειρον, ἐφεξῆς ἱστορεῖ τί τὸ ἄπειρον ἔλεγον οἱ πυθαγόρειοι καὶ διατί.

ΚΑΙ ΟΙ μὲν, τὸ ἄπειρον εἶναι τὸ ἄρτιον. τοῦτο γὰρ ἐναπολαμβανόμενον καὶ ὑπὸ τοῦ περιττοῦ περαινόμενον, παρέχει τοῖς οὖσι τὴν ἀπειρίαν σημεῖον δὲ εἶναι τούτου τὸ συμβαῖνον ἐπὶ τῶν ἀριθμῶν. περιτιθεμένων γὰρ τῶν γνωμόνων περὶ τὸ ἓν καὶ χωρίς, ὁτὲ μὲν, ἄλλο ἀεὶ γίγνεσθαι τὸ εἶδος. ὁτὲ δὲ ἕν. πλάτων δὲ, δύο τὰ ἄπειρα. τὸ μέγα καὶ τὸ μικρόν.

Εἰπὼν ἐν τίσιν ἔλεγον τὸ ἄπειρον οἵ τε πυθαγόρειοι καὶ ὁ πλάτων, ὅτι οἱ μὲν, ἐν τῷ αἰσθητῷ καὶ ἔξω τοῦ οὐρανοῦ, ὁ δὲ ἐν τοῖς αἰσθητοῖς καὶ ἐν ταῖς ἰδέαις, νῦν τί ἑκάτερος αὐτῶν τὸ ἄπειρον λέγει προστίθησι, πρῶτον περὶ τῶν πυθαγορείων λέγων. οὗτοι δὲ τὸ ἄπειρον τὸν ἄρτιον ἀριθμὸν ἔλεγον. διὰ τὸ πᾶν μὲν ἄρτιον ὥς φασιν οἱ ἐξηγηταὶ εἰς ἴσα διαιρεῖσθαι, τὸ δὲ εἰς ἴσα διαιρούμενον ἄπειρον κατὰ τὴν διχοτομίαν. ἡ γὰρ εἰς ἴσα καὶ ἡμίση διαίρεσις, ἐπ' ἄπειρον. τὸ δὲ περιττὸν προστεθὲν, περαίνει αὐτό. κωλύει γὰρ αὐτοῦ τὴν εἰς τὰ ἴσα διαίρεσιν. οὕτω μὲν οὖν οἱ ἐξηγηταὶ τῷ ἀρτίῳ τὸ ἄπειρον ἀνατιθέασι, κατὰ τὴν εἰς τὰ ἴσα διαίρεσιν. καὶ δηλονότι οὐκ ἐπὶ ἀριθμῶν, ἀλλ' ἐπὶ μεγεθῶν λαμβάνουσι τὴν ἐπ' ἄπειρον τομήν. οἱ γὰρ ἀριθμοὶ καὶ οἱ ἄρτιοι, οὔτε πάντες εἰς ἴσα ἐπὶ πολὺ διαιροῦνται, καὶ οἱ διαιρούμενοι μέχρι τῆς μονάδος καταντήσαντες ἱστῶσι τὴν τομήν. ἐπὶ δὲ μεγεθῶν, τί κωλύει τὸ καταλειπόμενον ἀεὶ διαιρεῖσθαι, κἂν μὴ εἰς ἴσα γίνηται ἡ διαίρεσις. τὸ γὰρ τρίτον εἰ τύχοι τοῦ ληφθέντος εἰς δίμοιρον καὶ τρίτον διελεῖν δυνατόν. καὶ τοῦτο ἐπ' ἄπειρον ἔν τε τῇ διαιρέσει, καὶ ἐν τῇ τῶν διαιρημάτων προσθέσει γίνεσθαι δυνατόν. ὅλως δὲ οὐδὲ ὁ ἀριστοτέλης φαίνεται, τὴν εἰς ἴσα διαίρεσιν αἰτιασάμενος τοῦ ἀπείρου. μήποτε οὖν ἐν πάσῃ τομῇ τὸ ἄρτιον αἴτιόν ἐστι πάσης διαιρέσεως. πᾶσα γὰρ τομὴ μία οὖσα, εἰς δύο διαιρεῖ τὸ τεμνόμενον ἢ εἰς ἴσα ἢ εἰς ἄνισα. ἐπειδὴ οὖν ἡ τομὴ εἰς δύο ἀεὶ γινομένη τὸ ἐπ' ἄπειρον ποιεῖ, ἀρχὴ δὲ τοῦ ἀρτίου ἡ δυὰς, διὰ τοῦτο τὸ ἄπειρον κατὰ τὸ ἄρτιον ἔλεγον. ὁμοίως δὲ καὶ τῆς προσθήκης τὸ ἄρτιον αἴτιον. ἓν γὰρ ἑνὶ προστίθεται. διὰ τοῦτο δὲ καὶ ὁ ἀριστοτέλης τὸ ἄρτιον ἐναπολαμβανόμενον, καὶ ὑπὸ τοῦ περιττοῦ περαινόμενον, παρέχειν φησὶ τοῖς οὖσι τὴν ἀπειρίαν. καὶ γὰρ τὸ διαιρετὸν εἶναι ἐπ' ἄπειρον διὰ τὸ ἄρτιον ἔχει ἕκαστον τῶν σωμάτων, ἐναπειλημμένον καὶ οἷον ὑποκεκρυμμένον ἐν ἑαυτῷ. δυνάμει γὰρ καὶ οὐκ ἐνεργείᾳ ἔχει τὰς τομὰς τὰς ἐπ' ἄπειρον. διὸ καὶ ἐναπειλῆφθαί φησι τὸ ἄρτιον, καὶ παρέχειν τοῖς οὖσι τὴν ἀπειρίαν. καθόσον δὲ ἕκαστον τῶν διαιρεμάτων ἐν τίσιν ἐστί. καὶ αὐτὸ ἕκαστον ὅπερ ἐστὶν ὑπὸ τοῦ περιττοῦ ἀεὶ περαίνεται ἡ ἀπειρία, καὶ ἐν τῷ σωματοειδεῖ παντὶ τῶν αἰσθητῶν ἕκαστον, κατὰ μὲν τὴν ὕλην καὶ τὸ ὑποκείμενον, διαιρετόν ἐστι. καὶ ταύτῃ ἄρτιόν τε καὶ ἄπειρον. κατὰ δὲ τὸ εἶναι τόδε τι, ὡρισταί τε καὶ ἀδιαίρετόν ἐστι, καὶ ταύτῃ περιττόν. σημεῖον δὲ τοῦ τὸν περιττὸν ἀριθμὸν εἰδοποιὸν καὶ περατωτικὸν εἶναι, τὸν δὲ ἄρτιον ὑλικὸν καὶ ἀπειροειδῆ, οἱ πυθαγόρειοι ποιοῦνται τὸ συμβαῖνον ἐπὶ τῆς τῶν ἀριθμῶν προσθέσεως. οἱ μὲν γὰρ περιττοὶ προστιθέμενοι ἑξῆς τῷ τετραγώνῳ ἀριθμῷ, φυλάσσουσιν αὐτὸν τετράγωνον καὶ ἰσάκις ἴσον. ὁ δὲ ἄρτιος προστιθέμενος ἀεὶ τῷ τετραγώνῳ, ἐναλλάσσει τὸ εἶδος ἑτερομήκη ποιῶν, ἄλλοτε κατ' ἄλλην πλευρὰν παρηυξημένον. ἐκκείσθωσαν γὰρ οἱ ἀπὸ μονάδος ἑξῆς ἀριθμοὶ ἄχρι τῆς δεκάδος. α. β. γ. δ. ε. ς. ζ. η. θ. ι. τούτων δηλονότι ἡ μονὰς πρῶτος περιττὸς, καὶ τετράγωνος πρῶτος. ἅπαξ γὰρ ἕν, ἕν. τῶν δὲ ἐκκειμένων, περιττοὶ μὲν οἱ κατὰ τὴν μονάδα, οἱ γ. ε. ζ. θ. ἄρτιοι δὲ, οἱ. β. δ. ς. η. ι. ἐὰν οὖν προσθῶμεν τῇ μονάδι πρώτῃ οὔσῃ τετραγώνῳ τὰ . γ, γίνεται ὁ δ τετράγωνος ἀπὸ πλευρᾶς τῶν δύο. καὶ πάλιν τῷ δ τετραγώνῳ ἐὰν προσθῶμεν τὸν ἐφεξῆς περιττὸν, ε, γίνεται ὁ θ, καὶ αὐτὸς τετράγωνος. εἰ δὲ καὶ τούτῳ τὸν ζ προσθῶμεν, ὁ ἐφεξῆς τετράγωνος ὁ ις γίνεται. κἂν τούτῳ τὸν θ, γίνεται ὁ κε. πάντες ἑξῆς τετράγωνοι καὶ ἰσάκις ἴσοι. ἐὰν δὲ τῇ μονάδι τετραγώνῳ προσθῶμεν τὸν β, γίνεται ὁ γ οὐκέτι τετράγωνος. κἂν τῇ τετράδι τετραγώνῳ οὔσῃ προσθῶμεν ἢ τὸν δ, ἢ τὸν ς, γίνεται ὁ η, ἢ ὁ ι, ἑτερομήκεις ὄντες. δὶς γὰρ τέσσαρα, ἢ δὶς πέντε, αἱ πλευραί. καὶ δηλονότι τὸ μὲν φυλάσσειν τὸ αὐτὸ εἶδος, καὶ τὸ ἰσάκις ἴσους ποιεῖν πέρατος ἐστί. τὸ δὲ μὴ φυλάσσειν τὸ αὐτὸ εἶδος, καὶ τὸ ἑτερομήκη ποιοῦντα, ἄλλοτε κατ' ἄλλο παραυξάνειν τὸ εἶδος, πρὸς τῆς ἀπειρίας ἐστί. γνώμονας δὲ ἐκάλουν τοὺς περιττοὺς οἱ πυθαγόρειοι, διότι προστιθέμενοι τοῖς τετραγώνοις, τὸ αὐτὸ σχῆμα διαφυλάττουσιν, ὥσπερ καὶ οἱ ἐν γεωμετρίᾳ γνώμονες. τὰ γὰρ δύο παραπληρώματα, σὺν τῷ ἑνὶ τῶν περὶ τὴν αὐτὴν διάμετρον παραλληλογράμμων, γνώμονα καλοῦσιν. ὃς τῷ ἑτέρῳ τῶν περὶ τὴν αὐτὴν διάμετρον πα-

παραλληλογράμμων προστιθέμενος, ὅμοιον τὸ ὅλον ποιεῖ ἐκείνῳ, ᾧ προσετέθη. γνώμονες οὖν καὶ οἱ περιττοὶ ἀριθμοὶ λέγονται, ὅτι προστιθέμενοι τοῖς ἤδη οὖσι τετραγώνοις, ποιοῦσιν ἀεὶ τὸ τετράγωνον. περιτιθεμένων οὖν περὶ τὸν ἕνα ἀριθμὸν τὸν τετράγωνον, ποτὲ μὲν χωρὶς τῶν γνωμόνων τουτέστι τῶν μονάδων κατὰ τὸν ἑξῆς περιττὸν, τῶν ἀριθμῶν, οὗτοι γὰρ ἦσαν οἱ γνώμονες, ποτὲ δὲ χωρὶς τῶν ἀρτίων, ὅταν μὲν οὗτοι προστεθῶσιν, ἄλλο ἀεὶ γίνεται τὸ εἶδος παρὰ τὸ ἐξ ἀρχῆς. ὅταν δὲ οἱ γνώμονες, ἓν τὸ αὐτὸ τῷ προτέρῳ. καλῶς δὲ οὕτως ἐπέβαλε τῇ ἐξηγήσει ὁ Ἀλέξανδρος. ὅτι τὸ μὲν περιτιθεμένων τῶν γνωμόνων, τὴν κατὰ τοὺς περιττοὺς ἀριθμοὺς σχηματογραφίαν ἐνδείκνυνται. τὸ δὲ καὶ χωρὶς, καὶ ἀριθμητικὴν προσθήκην χωρὶς περιθέσεως σχηματικῆς γινομένην, ἐπὶ τῶν ἀρτίων καὶ γὰρ ἔθος ἐστὶ τοῖς Πυθαγορείοις σχηματογραφεῖν. καὶ κατὰ τὰς τῶν μονάδων περιθέσεις οὑτωσὶ προσγράψαντες τὸ α στοιχεῖον, προστιθέασιν αὐτῷ τρία α α α γνωμονικῶς. καὶ γίνεται τέσσαρα τετραγωνικῶς ἐσχηματισμένα οὕτως. εἶτα πάλιν τούτοις πέντε ἄλφα προσθέντες ἀντὶ πέντε μονάδων γνωμονικῶς, μεῖζον ποιοῦσι τετράγωνον, τρία τὴν πλευρὰν ἔχον. ἡ δὲ τῶν ἀρτίων περίθεσις οὐ ποιεῖ τὸ σχῆμα ὡρισμένον. διὸ τοὺς ἀρτίους περιτίθεσθαι οὐ βούλεται ὡς τοὺς περιττοὺς ἐν καταγραφῇ, ἀλλ' ἀριθμητικῶς προστίθεσθαι. ὥστε καὶ τὸ χωρὶς, ἀντὶ τοῦ καὶ χωρὶς περιθέσεως κατὰ προσθήκην ἐπὶ τῶν ἀρτίων ἀκούειν. μήποτε δὲ ἄμφω περὶ ἀμφοῖν ἀκούειν δυνατὸν, καὶ τὸ περιτιθεμένων τῶν γνωμόνων, καὶ τὸ χωρὶς, περί τε τῶν περιττῶν καὶ τῶν ἀρτίων. ἵν' ᾖ λέγων, ὅτι καὶ ἐν ταῖς γνωμονικαῖς περιθέσεσι, καὶ πάλιν χωρὶς ἐν ταῖς ἀριθμητικαῖς συνθέσεσι, καὶ τῶν περιττῶν καὶ τῶν ἀρτίων, ἔστιν ἰδεῖν τοὺς μὲν περιττοὺς ὅμοια φυλάττοντας, τοὺς δὲ ἀρτίους ἀνόμοια ποιοῦντας. κἂν γὰρ μὴ κυρίως γνώμονες οἱ ἄρτιοι λέγονται, ὡς οὐ φυλάττοντες τὸ αὐτὸ εἶδος, ἀλλ' οὖν περιτιθέμενοι ὡς γνώμονες, καὶ ἐν τῇ σχηματογραφίᾳ τὸ ἀνόμοιον δηλοῦσι. περὶ ἓν δὲ περιτιθεμένων τῶν γνωμόνων εἶπεν, ἢ ὅτι περὶ μονάδα ἡ πρώτη περίθεσις γίνεται, ἢ ὅτι ὡς περὶ ἕνα ἀριθμὸν γίνεται ἀεὶ ἡ τῶν πλειόνων μονάδων περίθεσις. εἰπὼν δὲ τί τὸ ἄπειρον ἔλεγον οἱ Πυθαγόρειοι, ὅτι τὸ ἄρτιον, ἐπάγει τί καὶ ὁ Πλάτων ἔλεγεν, ὅτι τὸ μέγα καὶ τὸ μικρὸν, ἤτοι τὸ μεῖζον καὶ τὸ ἔλαττον. ἐπ' ἄπειρον γὰρ ἑκάτερον αὐτῶν πρόεισιν. οὐ μέντοι ἰδίᾳ ἑκάτερον ἐλάμβανεν, ἀλλ' ἅμα, μέγα καὶ μικρὸν τὸ αὐτὸ λέγων. ἣν καὶ ἀόριστον δυάδα ἐκάλει, εἴτε τὴν ὕλην οὕτω καλῶν, εἴτε τὴν τοῦ ἀπείρου συστοιχίαν. διὸ καὶ ἐν ταῖς ἰδέαις αὐτὴν ὡς ἐν ἀριθμοῖς καὶ τούτοις ἐτίθετο.

ΟΙ ΔΕ ΠΕΡΙ φύσεως ἅπαντες, ἀεὶ ὑποτιθέασιν ἑτέραν τινὰ φύσιν τῷ ἀπείρῳ τῶν λεγομένων στοιχείων, οἷον, ὕδωρ, ἢ ἀέρα. ἢ τὸ μεταξὺ τούτων. τῶν δὲ πεπερασμένα ποιούντων στοιχεῖα οὐδεὶς ἄπειρα ποιεῖ. ὅσοι δ' ἄπειρα ποιοῦσι στοιχεῖα, καθάπερ Ἀναξαγόρας καὶ Δημόκριτος, ὁ μὲν ἐκ τῶν ὁμοιομερῶν, ὁ δ' ἐκ τῆς πανσπερμίας τῶν σχημάτων, τῇ ἁφῇ συνεχὲς τὸ ἄπειρον εἶναί φασι.

Φυσικοὺς εἴωθε καλεῖν ὁ Ἀριστοτέλης, τοὺς περὶ τοῦτο τὸ μόριον τῆς φιλοσοφίας καταγινομένους τὸ φυσικόν. καὶ τούτων ἐξαιρέτως τοὺς τῇ ὑλικῇ ἀρχῇ ἢ μάλιστα ἢ μόνῃ χρησαμένους. οὗτοι οὖν οἱ φυσικοὶ τὴν ὕλην ὑποτιθέντες τοῖς γινομένοις, καὶ περὶ αὐτὴν τὸ ἄπειρον θεωροῦντες, εἰκότως οὐκέτι ὡς οὐσίαν ἀλλ' ὡς συμβεβηκὸς ἔλεγον τὸ ἄπειρον. τούτων δὲ οἱ μὲν, ἕν τι στοιχεῖον ὑποτιθέντες, τοῦτο ἄπειρον ἔλεγον τῷ μεγέθει. ὥσπερ Θαλῆς μὲν ὕδωρ. Ἀναξιμένης δὲ καὶ Διογένης ἀέρα. Ἀναξίμανδρος δὲ τὸ μεταξύ. οἱ δὲ ἄπειρα τῷ πλήθει τιθέντες, ὥσπερ Ἀναξαγόρας καὶ Δημόκριτος, αὐτῷ τε τῷ πλήθει τὸ ἄπειρον εἰσῆγον, καὶ ἔτι τῷ μεγέθει. τὰ γὰρ ἄπειρα τῷ πλήθει, τῇ ἁφῇ συνεχιζόμενα, ἀλλ' οὐχὶ τῇ ἑνώσει, ἄπειρον ποιεῖ μέγεθος. ὅσοι δὲ τῷ πλήθει πλείονα μὲν ἑνὸς. πεπερασμένα δὲ λέγουσι τὰ στοιχεῖα τῷ ἀριθμῷ, ὥσπερ Ἐμπεδοκλῆς, οὗτοι οὔτε κατὰ μέγεθος τὸ ἄπειρον εἰσάγουσιν, οὔτε ἐν ἑνὶ, οὔτε ἐν πλείοσιν, οὔτε ἐν τῷ ἐκ πάντων. εἰ γὰρ καὶ τῷ πλήθει πεπερασμένα, καὶ ἕκαστον τῷ μεγέθει πεπερασμένον, πόθεν ἂν ἔχοι τὸ ἄπειρον. λεγόμενα δὲ στοιχεῖα, τὰ τέσσαρά φησι, πῦρ, καὶ ἀέρα, καὶ ὕδωρ, καὶ γῆν. εἰπὼν δὲ ὕδωρ ἢ ἀέρα, ὡς ὄντα τῶν πολυθρυλλήτων στοιχείων, ἐπήγαγεν, ἤ τι μεταξὺ τούτων τοῦ τε ὕδατος καὶ τοῦ ἀέρος. ὅπερ Ἀναξίμανδρος ἐτίθετο. μήποτε δὲ τὸ τῶν λεγομένων στοιχείων, οὐ περὶ τῶν τεσσάρων εἴρηται τῶν νῦν καθωμιλημένων. ἀλλὰ περὶ τῶν ὑπὸ τῶν φυσικῶν τεθέντων, εἴτε ὕδωρ, εἴτε ἀὴρ, εἴτε τι μεταξὺ τούτων, ὃ στοιχεῖον τῶν γινομένων ἐτίθεντο. καὶ ἄλλως δὲ τὸ τῶν λεγομένων ὁ Ἀλέξανδρος ἐξηγεῖται, ἀντὶ τοῦ λεγομένων καὶ δοκούντων μόνον στοιχείων, οὐκ ὄντων δὲ διότι ταῦτα σύνθετα, καὶ ἐκ στοιχείων ἐστὶ τῆς τε ὕλης καὶ τοῦ εἴδους. οἱ δὲ περὶ φύσεως πάντες εἶπεν, οὐχ ἁπλῶς. ἀλλὰ τούτων, οἳ ἄπειρόν τι λέγοντες εἶναι. ἐπεὶ καὶ τοὺς πεπερασμένα ποιοῦντας, φυσικοὺς οἶδε καλουμένους, ὥσπερ τὸν Ἐμπεδοκλέα. μήποτε δὲ ὡς καὶ πρότερον εἴρηται κυρίως φυσικοὺς οἴεται, τοὺς ἐν τῷ ὑλικῷ αἰτίῳ διατρίβοντας. οἷς οὐ κἂν ἀξιώσοι κυρίως τὸν Ἐμπεδοκλέα συντάττειν, ποιητικὰ αἴτια τὸ νεῖκος καὶ τὴν φιλίαν εἰσάγοντα. ἴσως δὲ οὐδὲ τὸν Ἀναξαγόραν. λέγοντα τὸν νοῦν διακρίνειν τὰς ὁμοιομερείας. εἰ μὴ ἄρα καθόσον ἐν ταῖς τῶν αἰτίων ἀποδόσεσιν, ὡς δοκεῖ καὶ αὐτὸς οὐ τῷ νῷ προσχρῆται, ἀλλὰ ταῖς ὑλικωτέραις αἰτίαις. ὅσοι δέ φησι πλήθει

ἄπειρα ποιοῦσι τὰ στοιχεῖα, ὥσπερ Ἀναξαγόρας ἀπείρους τῷ πλήθει τὰς ὁμοιομερείας ὑποτιθέμενος, Δημόκριτος δὲ τὰς ἀτόμους, οὗτοι κατὰ μὲν τὸ πλῆθος προφανῶς εἰσάγουσι τὸ ἄπειρον. ὅπερ ἐνεδείξατο ὁ Ἀριστοτέλης εἰπὼν, ὅσοι δὲ ἄπειρα ποιοῦσι τὰ στοιχεῖα. ὅτι δὲ καὶ κατὰ μέγεθος δεικνῦσι, λέγων τῇ ἁφῇ συνεχὲς τὸ ἄπειρον εἶναί φασι, καὶ οὐ τῇ ἑνώσει. ὡς οἱ ἓν ἄπειρον λέγοντες τὸ στοιχεῖον. ὅτι δὲ τῇ ἁφῇ συνεχὲς ἄπειρόν τι, καὶ ἐκ τούτων γίνεται δῆλον, τὰ γὰρ ἄπειρα τῷ πλήθει μέγεθος ἔχοντα καὶ ὁμοειδῆ ὄντα, ὥστε καὶ ἅπτεσθαι ἀλλήλων, ἄπειρον ποιεῖ μέγεθος τῇ ἁφῇ συνεχές. διὸ καὶ Εὔδημος ἐν τῷ δευτέρῳ τῶν φυσικῶν, τὸ κατὰ πλῆθός φησιν ὁμοειδὲς ἄπειρον λέγειν οὐδὲν διαφέρει, ἢ κατὰ τὸ μέγεθος ἄπειρον. πανσπερμίαν δὲ σχημάτων εἶπε, τὴν τῶν Δημοκριτείων ἀτόμων, ἐπειδὴ ἀπείρους ὑπετίθετο τῶν ἀτόμων καὶ τὰς κατὰ τὸ σχῆμα διαφοράς.

ΚΑΙ Ὁ μὲν, ὁτιοῦν μόριον εἶναι ὁμοίως μῖγμα τῷ παντί. διὰ τὸ ὁρᾶν ὁτιοῦν ἐξ ὁτουοῦν γινόμενον. ἐντεῦθεν γὰρ ἔοικε καὶ τὸ ὁμοῦ ποτε ἅπαντα χρήματα φάναι εἶναι. οἷον ἥδε ἡ σὰρξ καὶ τόδε τὸ ὀστοῦν. καὶ οὕτως ὁτιοῦν καὶ πάντα ἄρα, καὶ ἅμα τοίνυν. ἀρχὴ γὰρ, οὐ μόνον ἐν ἑκάστῳ ἐστὶ τῆς διακρίσεως, ἀλλὰ καὶ πάντων. ἐπεὶ γὰρ τὸ γινόμενον ἐκ τοῦ τοιούτου γίνεται σώματος, πάντων δ᾽ ἐστὶ γένεσις πλὴν οὐχ ἅμα, καί τινα ἀρχὴν εἶναι δεῖ τῆς γενέσεως, αὕτη δ᾽ ἐστὶ μία, ὃν ἐκεῖνος καλεῖ νοῦν. ὁ δὲ νοῦς, ἀπ᾽ ἀρχῆς τινὸς ἐργάζεται νοήσας. ὥστε ἀνάγκη ὁμοῦ ποτ᾽ εἶναι. καὶ ἄρξασθαί ποτε κινούμενα.

Ἐπειδὴ τῶν φυσικῶν οἱ μὲν, ἓν ἔλεγον τὸ στοιχεῖον, οἱ δὲ, πλείονα μὲν πεπερασμένα δὲ τῷ ἀριθμῷ, οἱ δὲ τῷ ἀριθμῷ ἄπειρα, εἰπὼν ὅτι οἱ μὲν ἓν λέγοντες, ὡς συμβεβηκὸς ἐκείνῳ κατὰ μέγεθος τὸ ἄπειρον ἔλεγον, οἱ δὲ πεπερασμένα καὶ τῷ πλήθει καὶ τῷ μεγέθει τὰ στοιχεῖα τιθέντες, οὔτε κατὰ πλῆθος οὔτε κατὰ μέγεθος τὸ ἄπειρον ἔλεγον, ἐφεξῆς περὶ τῶν ἄπειρα ποιούντων τῷ πλήθει τὰ στοιχεῖα λέγει, ὅτι οὐ μόνον τῷ πλήθει τὸ ἄπειρον εἰσάγουσιν οὗτοι, ἀλλὰ καὶ τῷ μεγέθει. τὰ γὰρ ἄπειρα τῷ πλήθει, μεγέθη ἐνεργείᾳ ὄντα καὶ τῇ ἁφῇ συνεχιζόμενα, ἄπειρον ποιεῖ καὶ τὸ μέγεθος ὡς εἴρηται πρότερον. ἐπεὶ δὲ ὁ μὲν Ἀναξαγόρας τὰς ὁμοιομερείας, ὁ δὲ Δημόκριτος τὰς ἀτόμους, ἀπείρους ἑκάτερος τῷ πλήθει ὡς ἀρχὰς ὑποτίθεται, τὴν Ἀναξαγόρου πρῶτον ἱστορῶν δόξαν, καὶ τὴν αἰτίαν ἡμᾶς διδάσκει, δι᾽ ἣν εἰς τοιαύτην ἦλθεν ὁ Ἀναξαγόρας ὑπόνοιαν. καὶ δείκνυσιν ὅτι οὐ μόνον τὸ ὅλον μῖγμα ἄπειρον ἀνάγκη τῷ μεγέθει λέγειν αὐτὸν, ἀλλὰ καὶ ἑκάστην ὁμοιομέρειαν, ὁμοίως τῷ ὅλῳ πάντα ἔχουσαν ἐνυπάρχοντα, καὶ οὐδὲ ἄπειρα μόνον, ἀλλὰ καὶ ἀπειράκις ἄπειρα. ἀλλ᾽ εἰς μὲν τὴν τοιαύτην ἔννοιαν ὁ Ἀναξαγόρας ἦλθεν, ἡγούμενος μηδὲν ἐκ τοῦ μὴ ὄντος γίνεσθαι καὶ πᾶν ὑπὸ τοῦ ὁμοίου τρέφεσθαι. ὁρῶν οὖν πᾶν ἐκ παντὸς γινόμενον, εἰ καὶ μὴ ἀμέσως ἀλλὰ κατὰ τάξιν, καὶ γὰρ ἐκ πυρὸς ἀὴρ, καὶ ἐξ ἀέρος ὕδωρ, καὶ ἐξ ὕδατος γῆ, καὶ ἐκ γῆς λίθος, καὶ ἐκ λίθου πάλιν πῦρ, καὶ τροφῆς δὲ τῆς αὐτῆς προσφερομένης, οἷον ἄρτου, πολλὰ καὶ ἀνόμοια γίνεται, σάρκες, ὀστᾶ, φλέβες, νεῦρα, τρίχες, ὄνυχες, καὶ πτερὰ εἰ οὕτω τύχοι καὶ κέρατα, αὔξεται δὲ τὸ ὅμοιον τῷ ὁμοίῳ, διὰ ταῦτα ἐν τῇ τροφῇ ὑπέλαβεν εἶναι, καὶ ἐν τῷ ὕδατι, εἰ τούτῳ τρέφοιτο τὰ δένδρα, ξύλον, καὶ φλοιὸν, καὶ φύλλα, καὶ καρπόν. διὸ πάντα ἔλεγε μεμίχθαι, καὶ τὴν γένεσιν κατὰ τὴν ἔκκρισιν γίνεσθαι. πρὸς τοῦτο δὲ ἐνῆγεν ἴσως, καὶ τὸ μενόντων τινῶν γίνεσθαι ἀπ᾽ αὐτῶν ἄλλα, ὥσπερ ἐκ λίθου πῦρ, καὶ ἐξ ὕδατος πομφολυγίζοντος ἀέρα. ὁρῶν δὲ ἀφ᾽ ἑκάστου τῶν νῦν διακεκριμένων πάντα ἐκκρινόμενα, οἷον ἀπὸ ἄρτου σάρκα καὶ ὀστοῦν καὶ τὰ ἄλλα, ὡς πάντων ἅμα ἐνυπαρχόντων αὐτῷ καὶ μεμιγμένων ὁμοῦ, ἐκ τούτων ὑπενόει καὶ πάντα ὁμοῦ τὰ ὄντα μεμίχθαι πρότερον πρὶν διακριθῆναι. διὸ καὶ οὕτως ἤρξατο τοῦ συγγράμματος, ἦν ὁμοῦ πάντα χρήματα, ὥστε ὁτιοῦν, οἷον τὸν ἄρτον τόνδε, καὶ σαρκὸς τῆσδε, καὶ τοῦδε τοῦ ὀστοῦ μῖγμα εἶναι ὁμοίως τῷ παντί. ἀπὸ γὰρ τῆς ἑκάστου μίξεως ἐπὶ τὴν πάντων ἦλθε μῖξιν. προφανέστερα γὰρ καὶ τῇ αἰσθήσει γνωριμώτερα τὰ καθέκαστα τῶν ὅλων. ὁμοιότητα δὲ λοιπὸν ἑκάστου πρὸς τὸ πᾶν ἐθεάσατο, ἐπί τε τῆς μίξεως καὶ τῆς ἀπ᾽ ἀρχῆς διακρίσεως τῆς τε αἰτιώδους καὶ χρονικῆς. ὥσπερ οὖν ἐν ἑκάστῳ ἀρχὴ γίνεταί ποτε τῆς διακρίσεως, οὕτω καὶ ἐν τῷ παντί. καὶ ὥσπερ ἀπὸ ἑκάστου φαίνεταί τις γένεσις ποτὲ γινομένη, οὕτως ἐπειδὴ καὶ πάντων ἐστὶ γένεσις, ἀπὸ τοῦ πάντων μίγματος ἡ πάντων γένεσις ἐξεκρίθη, εἰ καὶ μὴ ἅμα. σώματα δὲ ὄντα, ἑτεροκίνητα καὶ ὁμόστοιχά πως ἀλλήλοις ἀρχῆς καὶ αἰτίας ἐδεῖτο τινὸς κρείττονος, ἣν ὁ Ἀναξαγόρας καλεῖ νοῦν. ἔδει τὸ τὰ συγκεκριμένα διακρῖνον καὶ προσάγον ἐν τάξει τὴν διάκρισιν ἀπὸ τῆς συγκρίσεως αὐτὸ συγκεκριμένην ἔχον τὴν οὐσίαν, πρώτως ἀναφαίνειν ἐν ἑαυτῷ τὴν διάκρισιν. τοιοῦτος δὲ ὁ νοῦς, ὃν ἀπ᾽ ἀρχῆς τινὸς ἐνόησεν ἐργαζόμενον, ἐν οἷς λέγει ἄρξασθαι τὸν νοῦν διακρίνειν. ἡ μὲν οὖν ἔννοια, καθ᾽ ἣν εἰς ταύτην ἦλθε περὶ τῶν ἀρχῶν τὴν ὑπόθεσιν ὁ Ἀναξαγόρας, οὕτω φανερὰ γέγονεν. ἐκ δὲ τῶν εἰρημένων πρόχειρον συννοεῖν, ὅτι εἰ πᾶν ἐκ παντὸς ἐκκρίνεται, καὶ πάντα ἐν πᾶσίν ἐστιν, οὐ μόνον τὸ πᾶν ἀλλὰ καὶ ἕκαστον, οὐ τῷ πλήθει μόνον ἀλλὰ καὶ τῷ μεγέθει ἀπειράκις ἄπειρον ἔσται. ὅτι δὲ ὁ Ἀριστοτέλης τὸ προφαινόμενον ἱστορεῖ τῆς Ἀναξαγόρου δόξης, ὁ δὲ Ἀναξαγόρας σοφὸς ὢν διττὴν ἣν ὑπετίθετο τὴν διακόσμησιν, τὴν μὲν ἡνωμένην

καὶ νοητὴν προϋπάρχουσαν, οὐ γὰρ ἔγχρονος ἐκείνη, ἀλλ' ὑπεροχῇ οὐσίας καὶ δυνάμεως, τὴν δὲ διακεκριμένην ἀπὸ ταύτης, καὶ κατὰ ταύτην ὑφίστασθαι ὑπὸ τοῦ δημιουργικοῦ νοῦ, εἴρηται καὶ ἐν ταῖς εἰς τὸ πρῶτον σχολαῖς. ἐν αἷς τὰς πίστεις ἀπ' αὐτῶν ἐπειράθην παραγράψαι τῶν ἀναξαγόρου ῥημάτων. εἰκότως δὲ καὶ τῶν αἰσθητῶν ἕκαστον κοινωνεῖ πᾶσι, καὶ μετέχει πάντων. ξύρροια γὰρ μία, σύμπνοια μία, πάντα συμπαθέα, ὡς ἱπποκράτης φησὶ, διὰ τὴν ἀρχέγονον ἐν τοῖς νοητοῖς αὐτῶν προϋπάρχουσαν ἕνωσιν. καὶ διακρινόμενα γὰρ ταῦτα, οὐκ ἀπέσπασται πάντη ἀπ' ἀλλήλων. διό φησιν ὁ ἀναξαγόρας, μὴ δ' ἐνδέχεσθαι πάντα διακριθῆναι. οὐ γὰρ παντελὴς διασπασμός ἐστιν ἡ διάκρισις. διὸ οὐχ οἷόν τε βάδισιν, χρόαν, ἢ ὅλως τὰ πάθη καὶ τὰς ἕξεις, χωρισθῆναι τῶν ὑποκειμένων. τὸ δὲ χρονικὴν δοκεῖν λέγεσθαι τὴν τῆς διακρίσεως ἀρχὴν, σύνηθες ἦν τοῖς πάλαι φυσιολόγοις τε καὶ θεολόγοις, συγκαταβαίνουσι τῇ ἀσθενείᾳ τῆς ἡμετέρας νοήσεως. οὐ γὰρ δυνάμεθα τῇ ἀϊδίᾳ παρατάσει συμπαρατείνειν τὴν νόησιν. ἀλλ' ἀπαιτοῦμεν ἀρχῆς τινος ὑποτιθεμένης ἐφεξῆς θεωρεῖν τὰ ἀκόλουθα.

ΔΗΜΟΚΡΙΤΟΣ δὲ, οὐθὲν ἕτερον ἐξ ἑτέρου γίγνεσθαι τῶν πρώτων φησίν. ἀλλ' ὅμως αὐτὸ τὸ κοινὸν σῶμα ἁπάντων ἐστὶν ἀρχὴ, μεγέθει κατὰ τὰ μόρια καὶ σχήματι διαφέρον. ὅτι μὲν οὖν προσήκουσα τοῖς φυσικοῖς ἡ θεωρία, δῆλον ἐκ τούτων.

Εἰπὼν ὅπως ἠκολούθησε τῷ ἀναξαγόρᾳ τὸ καὶ κατὰ μέγεθος ἄπειρον ἀρχὴν τιθέναι, ἐκ τοῦ κατὰ πλῆθος ἀπείρους λέγειν ἀρχὰς σωματικὰς οὔσας τὰς ὁμοιομερείας, δείκνυσιν ὅτι καὶ ὁ δημόκριτος κἂν μὴ κατὰ ἔκκρισιν ἐποίει τὴν γένεσιν, μὴ δὲ πάντα ἔλεγεν ἐν πᾶσιν ἐνυπάρχειν ὡς ὁ ἀναξαγόρας, ἀλλ' οὖν καὶ οὗτος ἀρχὰς, τιθεὶς τὰς ἀτόμους ἀπείρους οὔσας τῷ πλήθει, καὶ τὸ κενὸν οὐδὲν ἧττον ἀναξαγόρου καὶ αὐτὸς οὐ μόνον τῷ πλήθει. ἀλλὰ καὶ τῷ μεγέθει ἄπειρον εἶναι τὴν ἀρχὴν τῇ ἀφῇ ἔλεγε, καὶ κατὰ τοῦτον συνεχοῦς τοῦ ἀπείρου γινομένου. τὰ γὰρ ἄπειρα τῷ πλήθει μέγεθός τι ἔχοντα καὶ ὁμογενῆ ὄντα, ὥστε καὶ ἅπτεσθαι ἀλλήλων, ἄπειρόν τι ποιεῖ μέγεθος ὡς εἴρηται πολλάκις. καὶ ὅτι μὲν μέγεθος ἔχουσιν αἱ ἄτομοι κατὰ δημόκριτον, ἔδειξεν ἐκ τοῦ λέγειν αὐτὸν μεγέθει καὶ σχήματι διαφέρειν αὐτάς. τί δὲ ἂν μεγέθει διαφέροι μὴ ἔχον μέγεθος. τί δ' ἂν σχήματι, μὴ ἐσχηματισμένον ὑπὸ γραμμῶν ἢ ἐπιπέδων. τὸ γὰρ ὑπὸ γραμμῶν ἢ ἐπιπέδων περιεχόμενον, πάντως μέγεθός ἐστι. τὸ δὲ ἅπτεσθαι ἀλλήλων τὰ τῷ πλήθει ἄπειρα, τῷ μὲν ἀναξαγόρᾳ αὐτόθεν εἵπετο, εἴπερ ὥς φησιν ἦν ὁμοῦ πάντα χρήματα. τῷ δὲ δημοκρίτῳ, καθόσον τὸ κοινὸν σῶμα τὸ τῶν ἀτόμων ἓν πάντως ἔλεγε, τὴν διαφορὰν αὐτῶν κατὰ μέγεθος καὶ σχῆμα τιθεὶς, ἀλλ' οὐ κατὰ τὸ ὑποκείμενον σῶμα. τούτῳ δὲ ἀκολουθεῖ, τὸ ὁμοειδεῖς λέγειν αὐτάς. τούτῳ δὲ τὸ ἅπτεσθαι. τὰ γὰρ ὁμοειδῆ μὴ κωλυόμενα, εἰς ταυτὸ χωρεῖ, καὶ ἅπτεται ἀλλήλων. τὸ δὲ κενὸν οὐ διείργει τὴν ἁφήν. εἴη γὰρ ἂν οὕτω τοῦ ἀπείρου σώματος ἀπειρότερον τὸ κενὸν, καὶ σὺν αὐτῷ ὂν καὶ χωρὶς, ἔνθα διείργει. τοῦ δὲ ἀπείρου ἀπειρότερον οὐκ ἔστιν. ὅλως δὲ οὐδὲ ἔχει δύναμιν πρὸς τὸ διείργειν τὸ κενόν. εἰ τοίνυν καὶ πάντες σχεδὸν οἱ φυσικοὶ τὸ κατὰ μέγεθος ἄπειρον παρεδέξαντο, καὶ ὡς ἐν ἀρχῆς λόγῳ, ἐν γὰρ τῇ ἀρχῇ, δηλονότι οἰκεῖος ἂν ὁ περὶ ἀπείρου λόγος εἴη τῷ περὶ τῶν φυσικῶν ἀρχῶν διαλεγομένῳ.

ΕΥΛΟΓΩΣ δὲ καὶ ἀρχὴν αὐτὸ τιθέασι πάντες. οὔτε γὰρ μάτην οἷόν τε αὐτὸ εἶναι, οὔτε ἄλλην αὐτῷ ὑπάρχειν δύναμιν. πλὴν ὡς ἀρχήν. ἅπαντα γὰρ ἢ ἀρχὴ, ἢ ἐξ ἀρχῆς. τοῦ δὲ ἀπείρου οὐκ ἔστιν ἀρχή. εἴη γὰρ ἂν αὐτοῦ πέρας.

Εἰπὼν ὅτι τὸ ἄπειρον εἰσάγοντες οἱ παλαιοὶ φυσιολόγοι, ὡς ἀρχὴν εἰσῆγον αὐτὸ, δείκνυσι νῦν οὐχ ὅτι ἔστι τὸ ἄπειρον. ἀλλ' ὅτι οἱ τιθέντες ὅλως αὐτὸ, εὐλόγως ἐν ἀρχῆς λόγῳ ἐτίθεντο. καὶ δείκνυσιν ἐκ διαιρέσεως. πᾶν γὰρ τὸ ὁπωσοῦν ὂν, ἢ κατὰ συμβεβηκός ἐστι καὶ μάτην, οἷα τὰ ἐκ ταὐτομάτου, ἢ καθ' αὑτό. καὶ εἰ καθ' αὑτὸ, ἢ ἀρχὴ ἢ ἀπὸ τῆς ἀρχῆς. εἰ οὖν μήτε μάτην μήτε ἀπ' ἀρχῆς τὸ ἄπειρον, δηλονότι ἀρχή ἐστι. καὶ ὅτι μὲν οὐ μάτην οὐδὲ ἐκ ταὐτομάτου, δῆλον, εἴπερ πᾶν μὲν τὸ τοιοῦτον ἐπ' ἔλαττον, τὸ δὲ ἄπειρον πανταχοῦ ὂν καὶ πάντα ὂν, οὐκ ἐπ' ἔλαττον. ἔτι δὲ εἰ καὶ ἀΐδιον τὸ ἄπειρον ὡς δειχθήσεται, ἐκ τοῦ ἀγένητον αὐτὸ εἶναι, οὐκ ἂν εἴη μάτην οὐδὲ ἐκ ταὐτομάτου. οὐδὲν γὰρ τῶν τοιούτων ἀΐδιον. ἀλλὰ μὴν οὐδὲ ἐξ ἀρχῆς τὸ ἄπειρον. οὐδὲ ἔστιν ἀρχὴ τοῦ ἀπείρου. εἴη γὰρ ἂν αὐτοῦ τὸ πέρας ὥς φησιν. ὥστε οὐκέτι ἄπειρον. τοῦτον δὲ τὸν λόγον οἴονται παραλογισμὸν εἶναι, νομίζοντες τὸν ἀριστοτέλην λέγειν, ὡς εἰ ἔχει ἀρχὴν τὸ ἄπειρον, ἡ δὲ ἀρχὴ ἡ κατὰ μέγεθος, καὶ πέρας ἐστὶν, ἔχοι ἂν καὶ πέρας. ὥστε οὐκ ἄπειρον ἀλλὰ πεπερασμένον ἔσται. καὶ γίνεσθαί φασι τὴν παραγωγὴν παρὰ τὴν τῆς ἀρχῆς ὁμωνυμίαν. ὡς γὰρ ἐν τῷ πρώτῳ βιβλίῳ διῄρηται, ἡ ἀρχὴ σημαίνει μὲν καὶ τὴν τοῦ πράγματος ἀρχὴν, ὥσπερ νῦν ἐξεδέξατο. σημαίνει δὲ καὶ τὴν αἰτιώδη. ἀρχὴ γὰρ καὶ ἡ ὕλη, καὶ τὸ εἶδος, καὶ τὸ ποιοῦν, καὶ τὸ τέλος. προτεθέντος οὖν τοῦ δεῖξαι ὅτι οὐκ ἔχει ἀρχὴν, τὴν ὡς αἰτίαν τὸ ἄπειρον, ἀλλ' αὐτό ἐστιν ἀρχὴ, μετελήφθη ἡ αἰτιώδης ἀρχὴ εἰς τὴν κατὰ τὸ πρᾶγμα. ἐφ' ἧς ἀληθὲς τὸ εἰ ἀρχὴν ἔχει καὶ πέρας ἔχει. ἐπὶ γὰρ τῆς αἰτιώδους οὐκέτι ἀληθές, ὡς εἰ ἔχει ἀρχὴν τὴν ὡς αἰτίαν, πέρας ἔχειν τὸ κατὰ τὸ πρᾶγμα.

πρᾶγμα. οὐ γὰρ ἀκολουθεῖ τοῦτο τὸ πέρας ἐκείνῃ τῇ ἀρχῇ. ἀλλὰ τὸ μὲν λέγειν ὅτι κατὰ τὸ πιθα-
νὸν πειρᾶται συστῆσαι τὴν δόξαν αὐτῶν, ἀπίθανον ὄντως μοι δοκεῖ. φαίνεται γὰρ ἀναγκαίως ἐπε-
σθαι λέγων. τὸ εἰ ἔχει ἀρχὴν τὸ ἄπειρον καὶ πέρας ἔχειν. ἐκεῖνα οὖν μᾶλλον καλῶς ὑπὸ τοῦ ἀλεξάν-
δρου λέγεται, ὅτι καθ' οἱονδήποτε τρόπον ἀρχῆς ἂν ὑποτεθῇ ἀπὸ ἀρχῆς γινόμενον τὸ ἄπειρον, πάν-
τως πέρας ἔχει τὸ κατὰ τὸ μέγεθος, ὥστε μὴ ἄπειρον εἶναι. εἴτε γὰρ ἀπὸ χρονικῆς ἀρχῆς γίνοιτο,
οὐκ ἂν οὐσία ὂν ἀθρόον γίνοιτο, ἀλλὰ ἀπό τινος τῆς κατὰ τὸ μέγεθος ἀρχῆς. ὡς τὰ ζῶα, ὡς τὰ φυτά,
ὡς τὰ τεχνητὰ πάντα ὁρᾶται γινόμενα. ἔχον δὲ τὴν κατὰ τὸ μέγεθος ἀρχήν, καὶ πέρας ἂν αὐ-
τὴν ἔχοι. ἀλλὰ καὶ εἰ ὡς στοιχειώδη ἀρχὴν ἔχει, καὶ ἀπὸ ἐκείνης εἴη τῆς ἀρχῆς, οἷον ἐκ τῆς ὕλης, εἰ μὲν πε-
περασμένην ἀρχὴν ἐν ἑαυτῷ τὴν ὕλην ἔχει τὸ ἄπειρον, ἔσται καὶ αὐτὸ πεπερασμένον. εἰ δὲ ἄπειρον,
τὸ ἄπειρον ἀρχὴ ἂν γίνοιτο. ὁμοίως δὲ καὶ εἰ τὴν κατὰ τὸ εἶδος ἀρχὴν ἔχοι τὸ ἄπειρον. εἰ γὰρ τοῦ συν-
θέτου ἀρχὴ τὸ εἶδος, εἰ μὲν ἄπειρον τὸ εἶδος, ἀρχὴ τὸ ἄπειρον. εἰ δὲ πεπερασμένον, κατὰ τὴν ὕλην
ἂν εἴη, τὸ ἄπειρον ἐν τῷ συνθέτῳ. ἀρχὴ δὲ καὶ ἡ ὕλη. ἀρχὴ ἄρα τὸ ἄπειρον καὶ κατὰ τοῦτο. τὸ γὰρ σύν-
θετον οὐ ἀρχή. τὸ εἶδος, οὐδὲν ἄλλο ἐστὶ πλὴν ὕλης καὶ εἴδους. κἂν τὴν ποιητικὴν δὲ ἀρχὴν ἔχῃ τὸ ἄ-
πειρον, σῶμα πάντως. καὶ τὴν κατὰ τὸ πρᾶγμα ἀρχὴν ἔχει, ὅθεν ἤρξατο τῆς γενέσεως, ἥτις καὶ
πέρας ἂν εἴη. καὶ ἄλλως δὲ εἴη ἂν γεγονός, καὶ πέρας ἂν ἔχοι, εἰς ὃ ἡ γένεσις ἐπαύσατο. εἰ δὲ ἀρχὴν
ἔχει τὴν ὡς τέλος καὶ τὸ οὗ ἕνεκα τὸ ἄπειρον μέγεθος, πρῶτον μὲν οὐδὲν κωλύει τοιαύτην ἀρχὴν ἔ-
χον καὶ αὐτὸ ἀρχὴν εἶναι. τὸ γοῦν ὡς τέλος ἀρχή, καὶ τοῦ ποιοῦντός ἐστι καὶ τῶν στοιχείων. καὶ γὰρ καὶ ὁ
πλάτων τελικὴν ἀρχὴν τῆς τοῦ κόσμου ποιήσεως ζητῶν, τὴν ἀγαθότητα τοῦ ποιοῦντος εὑρίσκει.
» ἐν οἷς φησι, λέγωμεν δὲ δι' ἣν τινὰ αἰτίαν γένεσιν καὶ τὸ πᾶν τόδε ὁ ξυνιστὰς συνέστησεν. ἀγαθὸς γοῦν
» ἦν. ἔπειτα τὸ ἄπειρον μέγεθος ἀόριστον ὄν, πῶς ἂν εἰς ὡρισμένον τι τέλος ἀναφέροιτο. ἀλλ' εἴπερ ἔ-
χει τι τέλος ὡρισμένον, μέγεθος ὄν, δεῖ καὶ αὐτὸ ὡρισμένον εἶναι ὡς μέγεθος. μεγέθους δὲ ὅρος ἡ
περιγραφὴ καὶ τὸ σχῆμα. ὅτι δὲ καὶ ὁ ἀριστοτέλης ὡς ἀκόλουθον συνάγει, τῷ εἶναι τὸ ἄπειρον μέγε-
θος, τὸ μὴ ἔχειν αὐτὸ ἀρχήν, οὐ μόνον τὴν στοιχειώδη, ἀλλ' οὐδὲ τὴν ποιητικὴν ἢ τὴν τελικήν, δῆλον ἐ-
στὶν ἀφ' ὧν φησι τοὺς μὴ ποιοῦντας παρὰ τὸ ἄπειρον ἄλλας αἰτίας, οἷον νοῦν, ἢ νεῖκος καὶ φιλίαν, ἤ
τι τοιοῦτον, αὐτὸ λέγειν τὸ ἄπειρον περιέχειν πάντα καὶ πάντα κυβερνᾶν. ὡς εἴπερ εἴη ἄπειρον,
μὴ ἔχον ποιητικὴν ἢ τελικὴν αἰτίαν. δῆλον ἄρα γέγονε τὸ ῥηθέν, ὡς εἴπερ εἴη ἀρχὴ τοῦ ἀπείρου με-
γέθους ἡ οἱαδήποτε, εἴη ἂν αὐτοῦ καὶ πέρας ὡς μεγέθους.

ἜΤΙ ΔΕ καὶ ἀγένητον καὶ ἄφθαρτον, ὡς ἀρχή τις οὖσα. τό τε γὰρ γενόμενον, ἀνάγκη λαβεῖν τέ-
λος. καὶ τελευτὴ πάσης ἐστὶ φθορᾶς. διὸ καθάπερ λέγομεν, οὐ ταύτης ἀρχή. ἀλλ' αὕτη τῶν ἄλλων
εἶναι δοκεῖ. καὶ περιέχειν ἅπαντα, καὶ πάντα κυβερνᾶν ὥς φασιν ὅσοι μὴ ποιοῦσι παρὰ τὸ ἄπει-
ρον, ἄλλας αἰτίας. οἷον, νοῦν ἢ φιλίαν. καὶ τοῦτο εἶναι τὸ θεῖον. ἀθάνατον γὰρ καὶ ἀνώλεθρον, ὥσπερ
φασὶν ὁ ἀναξίμανδρος. καὶ οἱ πλεῖστοι τῶν φυσιολόγων.

Εἰπὼν ὅτι οἱ τὸ ἄπειρον θέντες, εὐλόγως ἀρχὴν αὐτό φασιν, ἢ γὰρ μάτην ἐστίν, ἢ ἀπ' ἀρχῆς, ἢ ἀρχή,
ἀναιρεθέντων δὲ τῶν λοιπῶν, περιλείπεται τὸ ἀρχὴν εἶναι, προστίθησι καὶ ἄλλο τι τῶν προσεῖ-
ναι λεγομένων τῷ ἀπείρῳ, τὸ τῇ ἀρχῇ πρέπον, τὸ ἀγένητον καὶ ἄφθαρτον λέγεσθαι τὸ ἄπειρον, εἴ-
περ ἐστὶν ὅλως. τοῦτο δὲ καὶ τοῦ μὴ μάτην εἶναι κατασκευαστικόν ἐστιν. εἴπερ τὸ μὲν ἀγένητον καὶ ἄφ-
θαρτον, ἀΐδιον, τὸ δὲ μάτην οὐκ ἀΐδιον, κατὰ συμβεβηκὸς ὂν καὶ ἐπ' ἔλαττον. καὶ ὅτι μὲν προσήκει
τῇ ἀρχῇ τὸ ἀγένητον καὶ ἄφθαρτον, σαφῶς ἔδειξεν ὁ ἐν φαίδωνι σωκράτης εἰ γοῦν ἔκ του ἀρχὴ γέ-
νοιτό φησιν, οὐκ ἂν ἀπὸ ἀρχῆς γένοιτο. καὶ ὅτι ἀρχῆς ἀπολουμένης, οὔτε αὐτό ποτε ἔκ του, οὔτε ἄλλο
ἀπὸ ἐκείνης γενήσεται. ὅτι δὲ καὶ τῷ ἀγενήτῳ τὸ ἀρχικόν, δῆλον. εἰ γὰρ μὴ ἀρχή, ἀπὸ ἀρχῆς γινόμε-
νον. ὅτι δὲ τὸ ἄπειρον εἴπερ ἐστίν, ἀγένητόν ἐστι καὶ ἄφθαρτον, δείκνυσιν οὕτως. εἰ γοῦν γέγονεν, ἀνάγκη
τέλος εἰληφέναι τὴν γένεσιν αὐτοῦ ποτε. ἢ οὐκ ἂν εἴη γεγονός. εἰ οὖν μὴ ἀθρόα ἡ γένεσις αὐτοῦ, δηλο-
νότι ἔστι τις καὶ ἀρχὴ τοῦ μεγέθους, ἀφ' ἧς γίνεσθαι ἄρχεται. καὶ τελευτὴ αὐτοῦ εἰς ὃ τελευτᾷ ἡ γένεσις.
καὶ ἧς συμπληρωθείσης, οὐκέτι γίνεται, ἀλλὰ γέγονε. κἂν φθείρηται δέ ποτε τὸ μέγεθος, ἔσται ποτὲ
καὶ ἐφθαρμένον. ὥστε ἔσται τι πέρας αὐτοῦ. οὐ ἐσχάτου φθαρέντος, ἐφθαρμένον ἔσται τὸ ὅλον. ὥστε
εἴπερ ἐστὶ τὸ ἄπειρον, ἀνάγκη ἀγένητον αὐτὸ καὶ ἄφθαρτον εἶναι. ὅπερ τῆς ἀρχῆς, ἀλλ' οὐ τοῦ τῆς
ἀπ' ἀρχῆς ἐστιν ἴδιον. διὸ οἱ τὸ ἄπειρον μόνον τιθέντες ὡς ἀρχήν, καὶ μὴ προσλογιζόμενοι τινὰς ἄλ-
λας αἰτίας, ὥσπερ ἀναξαγόρας μὲν τὸν νοῦν, ἐμπεδοκλῆς δὲ φιλίαν καὶ νεῖκος, ἠρκέσθησαν πρὸς
τὴν πάντων γένεσιν τῇ τοῦ ἀπείρου φύσει, καὶ τῇ ὑλικῇ ταύτῃ ἀρχῇ, ὡς διὰ τὴν ἀνεπίλειπτον τού-
του χορηγίαν ἀεὶ γενέσεως γινομένης, καὶ περιεχομένων πάντων ὑπὸ τούτου καὶ κυβερνωμένων. ὡς
γὰρ ἀρχὴ τοῦτο μόνον ὑποτεθέν, τὴν τῆς ἀρχῆς αὐτοῖς παρέχεται χρείαν, οὐ τῆς ὑλικῆς μόνον, ἀλ-
λὰ καὶ τῆς ποιητικῆς τε καὶ τελικῆς. ἣν ἀναξαγόρας μὲν τῷ νῷ, ἐμπεδοκλῆς δὲ τῇ φιλίᾳ καὶ τῷ
νείκει καὶ τῇ ἀνάγκῃ ἀντιτίθησι. θεῖον δὲ τὸ αἴτιον, καὶ ὡς ἀρχὴν λέγουσι, καὶ ὡς ἀγένητόν τε καὶ ἄφ-
θαρτον. τοιοῦτον γὰρ ἀναξίμανδρος τὸ μεταξὺ πυρός καὶ ἀέρος ἄπειρον ἀρχὴν ἐτίθει. καὶ οὐδὲν ἄτο-

που ἐν θεῖον ἐκάλει, μᾶλλον δὲ ἀναγκαῖον. ἐκ τούτου γὰρ ἐδείκνυτο τὸν θεὸν ὑπὲρ αὐτὸ εἶναι. θεῖον δὲ τὸ τοῦ θεοῦ μετέχον ἐστίν. ὁ δὲ λόγος τοῖς τοιούτοις περὶ τῶν φυσικῶν ἀρχῶν ἐγένετο, ὥσπερ καὶ τῷ ἀριστοτέλει ἐν ταύτῃ τῇ πραγματείᾳ, ἀλλ᾽ οὐχὶ περὶ τῶν ὑπὲρ φύσιν. εἰ δὲ καὶ περιέχειν ἔλεγον καὶ κυβερνᾶν, οὐδὲν θαυμαστόν. τὸ μὲν γὰρ περιέχειν ὑπάρχει τῷ ὑλικῷ αἰτίῳ, ὡς διὰ πάντων χωροῦντι. τὸ δὲ κυβερνᾶν, ὡς κατὰ τὴν ἐπιτηδειότητα αὐτοῦ τῶν ἀπ᾽ αὐτοῦ γινομένων.

ΤΟΥ Δ᾽ ΕΙΝΑΙ τι ἄπειρον, ἡ πίστις ἐκ πέντε μάλιστ᾽ ἂν συμβαίνοι σκοποῦσιν. ἔκ τε τοῦ χρόνου οὗτος γὰρ ἄπειρος. καὶ ἐκ τῆς ἐν τοῖς μεγέθεσι διαιρέσεως χρῶνται γὰρ καὶ οἱ μαθηματικοὶ τῷ ἀπείρῳ. ἔτι τῷ οὕτως ἂν μόνως μὴ ὑπολείπειν γένεσιν καὶ φθοράν, εἰ ἄπειρον εἴη. ὅθεν ἀφαιρεῖται τὸ γιγνόμενον. ἔτι τῷ τὸ πεπερασμένον, ἀεὶ πρός τι περαίνειν. ὥστε ἀνάγκη μηδὲν εἶναι πέρας εἰ ἀεὶ περαίνειν ἀνάγκη ἕτερον πρὸς ἕτερον. μάλιστα δὲ καὶ κυριώτατον ὃ τὴν κοινὴν ποιεῖ ἀπορίαν πᾶσι. διὰ γὰρ τὸ ἐν τῇ νοήσει μὴ ὑπολείπειν, καὶ ὁ ἀριθμὸς δοκεῖ ἄπειρος εἶναι καὶ τὰ μαθηματικὰ μεγέθη, καὶ τὸ ἔξω τοῦ οὐρανοῦ ἀπείρου δ᾽ ὄντος τοῦ ἔξω, καὶ σῶμα ἄπειρον εἶναι δοκεῖ. καὶ κόσμοι τί γὰρ μᾶλλον τοῦ κενοῦ ἐνταῦθα, ἢ ἐνταῦθα ὥστε εἴπερ μοναχοῦ, καὶ πανταχοῦ ἀνάγκη εἶναι τὸν ὄγκον. ἅμα δ᾽ εἰ καὶ ἔστι κενόν, καὶ τόπος δ᾽ ἄπειρος καὶ σῶμα ἄπειρον ἀναγκαῖον εἶναι. τὸ γὰρ ἐνδέχεσθαι τοῦ εἶναι, οὐθὲν διαφέρει ἐν τοῖς ἀϊδίοις.

Δείξας τὸν περὶ ἀπείρου λόγον ἀναγκαῖον τῷ φυσικῷ, καὶ ἀπ᾽ αὐτῆς τῆς τοῦ ἀπείρου ἐννοίας, καὶ ἀπὸ τῆς τῶν προτέρων φυσιολόγων δόξης, μεταβαίνει λοιπὸν ἐπὶ τὴν περὶ αὐτοῦ ζήτησιν, φυλάττων τὴν τάξιν τῶν προβλημάτων, καὶ πρῶτον ζητῶν εἰ ἔστι τι ἄπειρον ἢ μή. πρὸς δὲ τοῦτο χρήσιμον ᾠήθη τὰς ἐννοίας ἀνιχνεῦσαι πρῶτον, ἀφ᾽ ὧν ἦλθόν τινες ἐπὶ τὸ θέσθαι τὸ ἄπειρον. ἵνα εἰ φαίνοιντο κατὰ πράγματος φερόμεναι τινός, ὁμολογήσωμεν καὶ ἡμεῖς αὐταῖς. εἰ δὲ κενεμβατοῦσαι φωραθεῖεν, καὶ τῷ ἀορίστῳ τῆς ἡμετέρας φαντασίας ἑπόμεναι, ταύτας διελέγξαντες ἡμεῖς ἀνυπόστατον τὸ ἄπειρον δείξωμεν. πέντε δὲ εἶναί τινά φησιν, ἐξ ὧν εἶναι τὸ ἄπειρον οὐ κατὰ τὸ μέγεθος μόνον, ἀλλὰ καὶ κατὰ τὸ ὁποιονοῦν ἄπειρον πιστεύομεν. ἀρξάμενος γὰρ ὅλως τὰς ἐννοίας ἀνιχνεύειν, ἀφ᾽ ὧν τὸ ἄπειρον ὑποτιθέμεθα, πάσας παραγυμνοῖ, οὐ μόνον κατὰ σωματικὸν μέγεθος, ἀλλὰ καὶ κατὰ πᾶν μέγεθος καὶ κατὰ πλῆθος ἄπειρον ἀναπλαττούσας, ποτὲ μὲν ἀληθῶς, ποτὲ δὲ ψευδῶς. πρώτην δὲ τῆς ἀπειρίας ἔννοιαν τίθησι, τὴν ἐκ τοῦ χρόνου, ἀπείρου τῷ ὄντι τυγχάνοντος. εἰ γὰρ μὴ ἐστὶν ἄπειρος ὁ χρόνος, ἦν ὅτε οὐκ ἦν χρόνος, καὶ ἔσται ὅτε οὐκ ἔσται. ὥστε καὶ ὅτε οὐκ ἔστι χρόνος, ἔστι χρόνος. ἀεὶ οὖν ἐστι χρόνος. ἄπειρος ἄρα ὁ χρόνος. δευτέρα δὲ πίστις τοῦ εἶναι τὸ ἄπειρον, ἐκ τῆς ἐν τοῖς μεγέθεσι διαιρέσεως. ἢ ὡς εὔδημός φησιν ἐν τοῖς συνεχέσι. δοκεῖ γὰρ οὐχ ὑπολείπειν. ἀπείρου δὲ τὸ μὴ ὑπολείπειν. χρῶνται δὲ τῇ τῶν μεγεθῶν τομῇ καὶ οἱ μαθηματικοί, ποτὲ μὲν ὡς ἀξίωμα λαμβάνοντες. πᾶν γὰρ μέγεθος καὶ πᾶσαν γραμμὴν τῷ τυχόντι λόγῳ τέμνουσι, τὴν δοθεῖσαν λαμβάνοντες, ὁπόση ἂν εἴη, ὡς ἐπ᾽ ἄπειρον οὔσης τῆς τῶν μεγεθῶν τομῆς. ποτὲ δὲ καὶ ἀποδεικνῦντες. εἰ γὰρ ὥς φασι μήδεποτε ἡ ἐπερχομένη εἰς τὸν κύκλον εὐθεῖα ἴση γίνεται τῇ περιφερείᾳ, δηλονότι τὸ ἀπολαμβανόμενον ἐπίπεδον ὑπό τε τῆς εὐθείας καὶ τῆς περιφερείας, ἐπ᾽ ἄπειρον τέμνεται. παυσαμένης γὰρ τῆς τομῆς, ἡ εὐθεῖα τῇ περιφερείᾳ ἐφαρμόττει. εἰ δὲ καὶ τοῦ τριγώνου αἱ δύο πλευραὶ ἀεὶ τῆς λοιπῆς μείζονές εἰσιν, ἐὰν ἐν ἰσοσκελεῖ ὀρθογωνίῳ τριγώνῳ, ἐν ᾧ ἡ βάσις ἑκατέρας ἐστὶ τῶν πλευρῶν μείζων, ἀπ᾽ ἀμφοῖν τῶν πλευρῶν ἴσην ἀφελόντες τῇ βάσει, διὰ τῶν γινομένων σημείων παράλληλον ἀγάγωμεν τῇ βάσει τὸ τρίγωνον ἔλαττον ποιήσομεν ὅμοιον τῷ ὅλῳ, ὀρθογώνιόν τε καὶ ἰσοσκελές. καὶ τοῦτο ἀεὶ ποιεῖν δυνησόμεθα. οὔτε γὰρ τρίγωνον ἀεὶ βραχύτερον ποιοῦντες παυσόμεθα, οὔτε τὰς δύο πλευρὰς τῆς λοιπῆς μείζονας εὑρίσκοντες, ὥστε ἀπὸ ἀμφοῖν ἴσην ἀφαιρεῖν τῇ βάσει, καὶ διὰ τῶν σημείων παράλληλον ἄγειν. εἰ δὲ τοῦτο ἐπ᾽ ἄπειρον ποιεῖν δυνατόν, ἐπ᾽ ἄπειρον τέμνεται τὸ τριγώνου ἐπίπεδον. εἰ δὲ ἔστιν ἡ εἰς ἄπειρον τομή, ἔστι τὸ ἄπειρον ἐν τῷ μεγέθει. οὐ γὰρ ἂν εἰ μὴ ἄπειρον ἦν, ἐτέμνετο ἐπ᾽ ἄπειρον. τρίτον δέ φησι τῶν ἀναγόντων εἰς τὸ ἄπειρον, τὸ οὕτως ἂν μόνως μὴ ἐπιλείπειν τὴν γένεσιν. εἰ ἄπειρον, τὸ ἀφ᾽ οὗ ἀφαιρουμένου ἀεὶ ἐπ᾽ ἄπειρον γίνεται τὰ γινόμενα. τοῦτο γὰρ καὶ τῶν φυσικῶν ἔπεισε τινάς, ἄπειρον ὑποθέσθαι τὸ στοιχεῖον. τέταρτον δὲ καὶ εὐεπίβλεπτον, τὸ φαίνεσθαι ἅπαν τὸ πεπερασμένον ἀεὶ πρός τι περαῖνον. εἰ γὰρ πᾶν τὸ πεπερασμένον πρὸς ἄλλο τι ἔξωθεν αὐτοῦ ὂν περαίνει, τὸ ἔξωθεν ἐκεῖνο πρὸς ὃ περαίνει, ἢ ἄπειρόν ἐστιν ἢ πεπερασμένον. καὶ εἰ μὲν ἄπειρον, ἔχομεν αὐτόθεν ὅτι ἔστι τὸ ἄπειρον. εἰ δὲ πεπερασμένον οἷον ἡ γῆ, καὶ αὐτὸ πρὸς ἄλλο περαίνει. καὶ τοῦτο ἐπ᾽ ἄπειρον. εἰ δὲ ἐπ᾽ ἄπειρον, ἔστι τὸ ἄπειρον. οὐδὲν γοῦν τελευταῖον ληφθήσεται πέρας, εἴπερ καὶ τοῦτο πρὸς ἄλλο τι περαίνει. τούτῳ δὲ τῷ λόγῳ ὡς μάλιστα ὥς φησιν ὁ ἀλέξανδρος οἱ περὶ ἐπίκουρον πιστεύοντες, ἄπειρον ἔλεγον εἶναι τὸ πᾶν. διότι πᾶν τὸ πεπερασμένον παρά τι περαινόμενον, ἔξωθέν τι ἔχει. ὁ δὲ ἀριστοτέλης ὡς ἀρχαιοτέρου μέμνηται τοῦ λόγου. πέμπτον δὲ, ὃ μάλιστα καὶ κυριώτατόν φησιν ὁ ἀριστοτέλης, καὶ κοινὴν ἀπορίαν ποιοῦν πᾶσιν, ἡ τῆς νοήσεως ἤτοι τῆς φαντασίας τῆς ἡμετέρας δύναμις, ἀεί τι καὶ προστιθέναι καὶ ἀφαιρεῖν

ἰσχύουσα,

ἰσχύουσα, καὶ μηδέποτε ἡττωμένη καὶ ὑπολείπουσα. διὰ γὰρ τοῦτο καὶ ὁ ἀριθμὸς ἐπ' ἄπειρον αὔ-
ξεσθαι δοκεῖ· ὅτι παντὶ τῷ προστιθεμένῳ ἀριθμῷ δυνάμεθα προσθεῖναι μονάδα, ἢ ἀριθμόν. καὶ
τὰ μαθηματικὰ μεγέθη ἐπ' ἄπειρον διαιρεῖσθαι καὶ αὔξεσθαι. ὅτι πᾶν τὸ λαμβανόμενον δυνα-
τὸν τεμεῖν, καὶ τὸ τμῆμα προσθεῖναι τῇ ἐπινοίᾳ, οὐ γὰρ δὴ τῇ αἰσθήσει. ἐπειδὴ δὲ ἡ ἐπίνοια κα-
τὰ τὰ πράγματα δοκεῖ γίνεσθαι, οἰόμεθα τὰ πράγματα οὕτως ἔχειν ὡς φανταζόμεθα. τὸ
αὐτὸ δὲ πάσχομεν καὶ περὶ τὸ ἔξω τοῦ οὐρανοῦ. ἀεὶ γὰρ τοῦ ληφθέντος ἔξω τι ἐπινοοῦμεν. καὶ οὕ-
τως ἄπειρον δοκεῖ τὸ ἔξω. καὶ εἰ μὲν κενὸν ὡς ἐδόκει λέγειν δημόκριτος, ἄπειροι ἂν εἶεν καὶ οἱ
κόσμοι. τί γὰρ μᾶλλον τοῦ κενοῦ ἐνταῦθα ἢ ἐνταῦθα. ὥστε εἴπερ μοναχοῦ, καὶ πανταχοῦ ἂν
εἶναι τὸν σωματικὸν ὄγκον, ὥστε καὶ αὐτὸν ἄπειρον εἶναι. καὶ ἄλλως εἰ τὸ κενὸν τόπος ἐστὶ
δυνάμενος δέξασθαι σῶμα, ἐπὶ δὲ τῶν ἀϊδίων τὸ δυνατὸν γίνεσθαι πάντως ἂν καὶ γένοιτο,
ὡς εἰ μὴ γένοιτο οὐδὲ ἐνδεχόμενον γίνεσθαι, ἐπὶ μὲν γὰρ τῶν φθαρτῶν οὐδὲν κωλύει φθαρῆ-
ναι, πρὶν εἰς ἔργον ἐκβῆναι τὸ ἐνδεχόμενον, ἐπὶ δὲ τῶν ἀϊδίων ἀδύνατον, διὸ ἐν τοῖς ἀϊδίοις
οὐκ ἔστι τὸ ἐνδεχόμενον, ἀλλ' ἐν μόνοις τοῖς γεννητοῖς καὶ φθαρτοῖς, ὥστε εἰ ἄπειρον τὸ κενόν, καὶ
ὁ τόπος ἄπειρος ἔσται, καὶ σῶμα ἄπειρον, ὅπερ πέφυκε δέχεσθαι ὁ ἄπειρος τόπος. ἀρχύτας
δὲ ὥς φησιν εὔδημος οὕτως ἠρώτα τὸν λόγον. ἐν τῷ ἐσχάτῳ οἷον τῷ ἀπλανεῖ οὐρανοῦ γενόμενος,
πότερον ἐκτείναιμι ἂν τὴν χεῖρα ἢ τὴν ῥάβδον εἰς τὸ ἔξω, ἢ οὐκ ἄν. τὸ μὲν οὖν μὴ ἐκτείνειν, ἄ-
τοπον. εἰ δὲ ἐκτείνω, ἤτοι σῶμα ἢ τόπος τὸ ἐκτὸς ἔσται. διοίσει δὲ οὐδὲν ὡς μαθησόμεθα. ἀεὶ οὖν
βαδιεῖται τὸν αὐτὸν τρόπον ἐπὶ τὸ ἀεὶ λαμβανόμενον πέρας, καὶ ταυτὸν ἐρωτήσει. καὶ εἰ ἀεὶ
ἕτερον ἔσται ἐφ' ὃ ἡ ῥάβδος, δηλονότι καὶ ἄπειρον. καὶ εἰ μὲν σῶμα, δέδεικται τὸ προκείμε-
νον. εἰ δὲ τόπος, ἔστι δὲ τόπος τὸ ἐν ᾧ σῶμα ἐστὶν ἢ δύναιτ' ἂν εἶναι, τὸ δὲ δυνάμει ὡς ὂν χρὴ τι-
θέναι ἐπὶ τῶν ἀϊδίων, καὶ οὕτως ἂν εἴη σῶμα ἄπειρον καὶ τόπος. μήποτε δὲ οὗτος ὁ λόγος καὶ
πρὸς ἡμᾶς ἀπορήσει δριμέως, τοὺς λέγοντας μηδὲν εἶναι ἔξω τοῦ οὐρανοῦ, ὡς τοῦ κοσμι-
κοῦ σώματος, οὗ πέρας ὁ οὐρανός, τὴν ὅλην χώραν κατειληφότος. εἰ οὖν ἐν τῷ νώτῳ τοῦ οὐ-
ρανοῦ γενόμενος ἐκτείνοι τὴν χεῖρα, ποῦ ἂν ἐκταθείη. οὐ γὰρ δὴ εἰς τὸ μηδέν. οὐδὲν γὰρ τῶν
ὄντων ἐν τῷ μὴ ὄντι. ἀλλ' οὐδὲ κωλυθήσεται ἐκτεῖναι. ὑπὸ γὰρ τοῦ μηδενὸς οὐ δυνατὸν κωλυ-
θῆναι. οὕτω μὲν οὖν ὁ ἀριστοτέλης ἐκ πέντε μάλιστα εἶναι τὴν πίστιν φησὶ τοῦ εἶναι τὸ ἄπειρον.
ὁ δὲ εὔδημος διὰ τί πλείους ἐξ φησιν. ὧν πρώτην εἰπὼν τὴν ἐν τῷ συνεχεῖ διαίρεσιν ἐπ' ἄπειρον γινο-
μένην, ταύτης ἀντίστροφόν φησι τὴν κατὰ πρόσθεσιν ἐν τοῖς ἀριθμοῖς θεωρουμένην. οὐ δὲ ταύ-
την δὲ τὴν αἰτίαν ὁ ἀριστοτέλης παρῆκεν, ἐν τοῖς διὰ τὴν ἐπίνοιαν νομιζομένοις ἀπείροις θεὶς
αὐτήν. ὅτε ἔλεγε καὶ ὁ ἀριθμὸς δοκεῖ ἄπειρος εἶναι, καὶ τὰ μαθηματικὰ μεγέθη διαιρεῖσθαι ἐπ'
ἄπειρον, δῆλον. ἴσως δὲ ἄν τις ἀπορήσοι, πῶς κατ' ἐπίνοιαν λέγει τὴν ἐπ' ἄπειρον τοῦ ἀριθμοῦ
πρόσθεσιν, καὶ τοῦ μεγέθους ἀφαίρεσιν. καὶ γὰρ ἐπ' αὐτῆς φαίνεται τῆς τῶν πραγμάτων ἀ-
ληθείας. ποίῳ γὰρ ἀριθμῷ οὐκ ἔστι προσθεῖναι. καὶ ποῖον μέγεθος οὐκ ἔστι διαιρετόν. εἴπερ μὴ
ἐκ σημείων συνέστηκε τὸ μέγεθος. ἢ οὐ τὸ ἐπ' ἄπειρον ἀλλὰ τὸ ἐπ' ἄπειρον κατ' ἐπίνοιαν φησίν, ἐκ τοῦ
ἐπ' ἄπειρον τῆς αὐξήσεως καὶ τῆς μειώσεως ἐπινοουμένου. τὸ μὲν γὰρ ἐπ' ἄπειρον, ἐφ' ἑκάτε-
ρα καὶ ἐν ὑποστάσει ἐστί. τὸ δὲ ἄπειρον οὐκέτι ὡς δειχθήσεται. οὔτε γὰρ ἀριθμός ἐστιν ἄπειρος,
οὔτε μέγεθος.

ἜΧΕΙ Δ' ἈΠΟΡΊΑΝ ἡ περὶ τοῦ ἀπείρου θεωρία. καὶ γὰρ μὴ εἶναι τιθεμένοις πολλὰ ἀδύνα-
τα συμβαίνει, καὶ εἶναι. ἔτι δὲ ποτέρως ἐστί. πότερον ὡς οὐσία, ἢ ὡς συμβεβηκὸς καθ' αὑτὸ φύσει
τινί, ἢ οὐδ' ἑτέρως. ἀλλ' οὐδὲν ἧττόν ἐστιν ἄπειρον, ἢ ἄπειρα τῷ πλήθει.

Εἰπὼν ἐκ τίνων καὶ πόσων ἐνήγοντο πρὸς τὸ τιθέναι τὸ ἄπειρον οἱ τιθέντες, καὶ μέλλων μετ' ὀ-
λίγον δεικνύναι, πῶς μὲν οὐκ ἔστι, πῶς δέ ἐστιν ἄπειρον, μεταξύ φησιν ἐφ' ἑκάτερα ἀπορίας
ἀπαντᾶν, τοῖς τε μὴ εἶναι καὶ τοῖς εἶναι τὸ ἄπειρον λέγουσι. καὶ εἰ ἔστι, τοῖς ὡς οὐσίαν καὶ
ὡς συμβεβηκὸς τιθεμένοις, ἢ μηδέτερον μὲν τούτων, οὐδὲν δὲ ἧττον καὶ πλήθει καὶ μεγέθει
τὸ ἄπειρον λέγουσι. τοῦτο γὰρ ἀπαιτεῖ τὸ ἀνελλιπὲς τῆς διαιρέσεως καὶ τῷ ἐπ' ἄπειρον μάλι-
στα προσήκει. τίνα οὖν ἐνδείκνυται τὰ ὑπαντῶντα ἄπειρα, τοῖς μὴ εἶναι τὸ ἄπειρον λέ-
γουσιν. ἢ ἀναιρεῖσθαι τὴν ἐπ' ἄπειρον τῶν συνεχῶν τομὴν ἀνάγκη. ταύτης δὲ ἀναιρουμένης,
ἀναιρεῖται μὲν γεωμετρία, ἀρχῇ ταύτῃ χρωμένη. εἰσάγεται δὲ τὸ ἐξ ἀτόμων καὶ σημείων
συνεστάναι τὰ μεγέθη, καὶ ἐκ τῶν νῦν τὸν χρόνον. ὅπερ διὰ πολλῶν ἐλεγχθήσεται. ἀναι-
ρεῖται δὲ καὶ ἡ ἐπ' ἄπειρον τῶν ἀριθμῶν αὔξησις, ἐναργῶς φαινομένη. τίς γάρ ἐστιν ἀριθμὸς
τῶν ἤδη γενομένων ἀνθρώπων ἢ ἐσομένων, ᾧ μὴ δυνατὸν προσθεῖναι. ἀναιρεῖται δὲ καὶ ἡ ἐπ'
ἄπειρον πρόοδος τοῦ χρόνου. τούτῳ δὲ ἡ τοῦ παντὸς ἀϊδιότης συναναιρεῖται, διὰ πολλῶν καὶ
ἀκριβῶν λόγων ὑπὸ πλάτωνος καὶ ὑπὸ ἀριστοτέλους ἀποδειχθεῖσα. πάλιν δὲ εἴ τις λέγοι τὸ

ἄπειρον εἶναι, ἀναιρεῖται ἡ τοῦ ἄνω καὶ ἡ τοῦ κάτω διαφορά. καὶ ἡ τοῦ μέσου, καὶ τοῦ πέριξ.
καὶ ἡ φυσικὴ τῶν σωμάτων ῥοπὴ καὶ κίνησις. μὴ γὰρ ὡρισμένων τῶν ἐφ᾽ ἃ ἡ κίνησις, οὐδὲ αἱ
κινήσεις ἔσονται ὡρισμέναι. εἰ δέ τις εἶναί τι τὸ ἄπειρον λέγοι, εἴτε ὡς οὐσίαν εἴτε ὡς συμβε-
βηκός, πόσα καὶ ποῖα ἕπεται ἀδύνατα μετ᾽ ὀλίγον μαθησόμεθα. εἰ δὲ μηδέτερόν τις λέγοι τού-
των, εἶναι δὲ ὅμως ἄπειρον, ἄτοπον αὐτόθεν δοκεῖ τὸ εἶναί τι, ὅπερ μήτε οὐσία μήτε συμβε-
βηκός ἐστι. καὶ ἄλλως δὲ ὁ Ἀλέξανδρος ἐξηγεῖται τὸ μηδέτερον, οὐχ ὡς τὸ πρὸς πᾶν συμβε-
βηκὸς ἀντιδιαιρούμενον, ἀλλὰ πρὸς τὸ καθ᾽ αὑτὸ φύσει τινὶ ὑπάρχον. ὡς εἰ ἔλεγεν, ἢ οὐδὲ ὡς οὐ-
σία, οὐδὲ ὡς καθ᾽ αὑτὸ συμβεβηκός, ἀλλ᾽ ἄλλως πως συμβεβηκός.

ΜΑΛΙΣΤΑ ΔΕ φυσικοῦ ἐστι σκέψασθαι, εἰ ἔστι μέγεθος αἰσθητὸν ἄπειρον.

Δια πάντων τῶν εἰρημένων συστήσας, ὅτι οἰκεία τῷ φυσικῷ ἐστιν ἡ περὶ τοῦ ἀπείρου ζήτησις, ἔκ
τε τῶν ὑποκειμένων αὐτῷ, ἅπερ μεγέθη ἐστὶ καὶ κινούμενα κατὰ χρόνον, καὶ ἐκ τοῦ τοὺς πά-
λαι φυσιολόγους οὐ παρέργως διαλεχθῆναι περὶ αὐτοῦ, ἀλλ᾽ ἀρχὴν αὐτὸ θεμένους, ἔτι μέντοι
καὶ ἐκ τοῦ τιθεμένοις εἶναι τὸ ἄπειρον, καὶ μή, καὶ οὐσίαν αὐτὸ λέγουσι, καὶ συμβεβηκός,
καὶ οὐδέτερον, πολλὰ ἄπειρα ὑπαντᾶν, διὰ τούτων οὖν δείξας ὅτι τῷ φυσικῷ οἰκεῖος ὁ περὶ
τοῦ ἀπείρου λόγος, εἰκότως ἐπάγει περὶ τοιούτων ἀπείρων ὁ λόγος οἰκεῖος ἔσται τῷ φυσικῷ, ὅτι
οὐ περὶ νοητοῦ τινος οἷον τοῦ μαθηματικοῦ, ἢ ἔτι ὑπὲρ τοῦτο, ἀλλὰ περὶ αἰσθητοῦ. ἐπιστήμονος γάρ
ἐστι, τὸ οἰκείους ποιεῖσθαι τοὺς λόγους ταῖς προκειμέναις ὑποθέσεσιν.

ΠΡΩΤΟΝ ΟΥΝ διοριστέον, ποσαχῶς λέγεται τὸ ἄπειρον. ἕνα μὲν οὖν τρόπον, τὸ ἀδύνα-
τον διελθεῖν, τῷ μὴ πεφυκέναι διιέναι, ὥσπερ ἡ φωνὴ ἀόρατος. ἄλλως δέ, τὸ διέξοδον ἔχον
ἀτελεύτητον. ἢ ὃ μόγις, ἢ ὃ πεφυκὸς ἔχειν, μὴ ἔχειν, μὴ ἔχει δὲ διέξοδον ἢ πέρας. ἔτι ἄπειρον
ἅπαν, ἢ κατὰ πρόσθεσιν, ἢ κατὰ διαίρεσιν, ἢ ἀμφοτέρως.

Εἰπὼν περὶ ποίου μάλιστα ἀπείρου τῷ φυσικῷ πρόκειται σκοπεῖν, εἰ ἔστιν, ὅτι περὶ μεγέθους
αἰσθητοῦ, ὅπερ καὶ ἀποδείξει μὴ ὄν, ἀλλά τινα τοῦ ἀπείρου σημαινόμενα βουλόμενος εἶναι, ἐ-
πειδὴ τῶν πολλαχῶς λεγομένων τὸ ἄπειρόν ἐστι, διαιρεῖται πρῶτον αὐτοῦ τὰ σημαινόμενα.
οὕτω γὰρ ἂν μάθοιμεν κατὰ τίνα μὲν τῶν σημαινομένων ἀδύνατον εἶναι τὸ ἄπειρον, κατὰ τί-
να δὲ δυνατόν. κοινῶς μὲν οὖν ἄπειρον εἶναι δοκεῖ, τὸ ἀδιαπόρευτον καὶ ἀπεράτωτον, ὃ μή
ἐστι διεξελθεῖν, τούτου δὲ τὸ μὲν οὕτω λέγεται ἄπειρον, ὡς μὴ δι᾽ ὅλως ἔχον φύσιν διεξοδευ-
τὴν ἢ διαπορευτήν. οἷον ἂν εἴη καὶ τὸ σημεῖον, καὶ ὅλως πᾶν ὃ μὴ ἔστι ποσόν. τὸ γὰρ μὴ πο-
σόν, οὐκ ἔχει διέξοδον ὅλως. ὥστε οὔτε ἀτελεύτητον διέξοδον. οὕτω καὶ ἡ φωνὴ ἀόρατος λέ-
γεται, κατὰ ἀπόφασιν, ὡς μὴ πεφυκυῖα ὁρᾶσθαι, διότι οὐδὲν χρῶμα ἔχει. κατὰ πολλοὺς δὲ
τρόπους καὶ ἡ τοιαύτη ἀπόφασις λέγεται, ἢ κατὰ τὸ μὴ πεφυκέναι. ἄλλως γὰρ ἄπους ὁ
τοῖχος, καὶ ἰχθύς, καὶ δρεπανίς. ὁ μέν, ὅτι οὐδὲ ὅλως ἐν γένει τοῦ ὑπόποδος, οἷον τῷ ζῴῳ.
ὁ δὲ ἰχθύς, ὅτι διαφορὰν ταύτην ἔχει πρὸς τὰ ὁμογενῆ. τῶν γὰρ ζῴων ἢ τῶν ἐνύδρων τὰ
μέν ἐστιν ἄποδα, τὰ δὲ ὑπόποδα. ἡ δὲ δρεπανίς, ὄρνεον τοῦτό ἐστιν, ὃ κεγχρίδα καλοῦμεν, ἄ-
πους λέγεται, ὅτι μικροὺς καὶ φαύλους ἔχει τοὺς πόδας. ἀλλ᾽ οὐ κατὰ τοῦτο τὸ σημαινόμε-
νον τὸ κατὰ ἀπόφασιν ζητοῦμεν, εἰ ἔστι τι ἄπειρον αἰσθητόν. δεύτερον δὲ σημαινόμενον τοῦ ἀπε-
ρατώτου ἀπείρου ἐκτίθεται, τὸ διέξοδον μὲν ἔχον ὅτι ποσόν, ἀτελεύτητον δὲ ταύτην καὶ ἄ-
πειρον καὶ ἀδιεξίτητον. καὶ τούτου διαφοραί εἰσιν. ἢ γὰρ διὰ κατασκευήν ἐστι τοιοῦτο, ποτὲ
μὲν διὰ τὸ σχῆμα. ὡς ὁ δακτύλιος ὁ μὴ ἔχων σφενδόνην ἄπειρος, ὅτι καὶ πᾶς κύκλος. ποτὲ
δὲ διὰ τὸ μὴ δύνασθαι ἔξοδον. ὡς ὁ παρὰ Λακεδαιμονίοις ἦν κεάδας, εἰς ὃν τοὺς κατακρίτους
ἐνέβαλον. ἢ διὰ μεγέθους ὑπερβολήν. ἐφ᾽ οὗ σημαινομένου ἡ πλείστη τοῦ ἀπείρου ἔννοιά ἐστι. τρίτον
δὲ τοῦ ἀπείρου σημαινόμενον, τὸ μόγις ἔχον διέξοδον, ἢ διὰ μέγεθος, ἢ διὰ κατασκευήν. ὡς ὁ λαβύριν-
θος, καὶ ὁ κεάδας ὕστερον. ὅτι γοῦν εἶχε μόγις ἐδήλωσεν ἡ ἀλώπηξ ἡ τὸν μεσημβρινὸν ἀφισταμένη διεξο-
δεύσασα. τέταρτον δὲ τοῦ ἀπείρου σημαινόμενόν ἐστι, τὸ πεφυκὸς ἔχειν διέξοδον, ἀδιεξίτητόν ἐστι. τοι-
αύτη δὲ ἡ διὰ τῆς κεκαυμένης ὁδός, ἢ τῆς κατεψυγμένης, διεξιτητὴ μὲν οὖσα, τῷ ὡρίσθαι τὸ μέ-
γεθος αὐτῆς, κωλυομένη δὲ ὑπὸ τῆς τοῦ ἀέρος ἀσυμμετρίας. ἐν τῷ τοιούτῳ καὶ τὸν λαβύρινθον τέ-
θεικεν ὁ Ἀλέξανδρος, τὸν οὕτω κατεσκευασμένον, ὡς ἀδιέξοδον εἶναι. καὶ τὸν ἄπειρον δακτύλιον.
ὡς διεξιτητὰ μὲν τῇ ἑαυτῶν φύσει, τῷ πεπερασμένα εἶναι, διὰ δὲ τὴν τοιαύτην κατασκευὴν ἀδιέξο-
δα. μή ποτε δὲ ὁ μὲν λαβύρινθος, εἰ καὶ μόγις, ἀλλ᾽ εἶχεν ὅμως διέξοδον, διὸ ἐν τοῖς μόγις τακτέος.
ὁ δὲ δακτύλιος, ὥσπερ πᾶς κύκλος οὐδὲ πέφυκεν ὅλως ἔχειν πέρας, οὐ διὰ μέγεθος ἀλλὰ διὰ τὸ
σχῆμα. πέμπτον τοῦ ἀπείρου τίθησι σημαινόμενον, τὸ κατὰ πρόσθεσιν, ὅπερ ἐπὶ τοῦ ἀριθμοῦ θεωρεῖ-
ται. παντὶ γὰρ τῷ προτιθεμένῳ ἀριθμῷ ἔστι προσθεῖναι. καὶ τὸ κατὰ διαίρεσιν. ὅπερ πᾶν συνεχὲς
ἐπ᾽ ἄπειρόν ἐστι διαιρετόν. ἐπειδὴ δὲ ἐπὶ μὲν τῶν ἀριθμῶν κατὰ πρόσθεσιν μόνως ἐστὶ τὸ ἄπειρον,

ἡ γὰρ διαίρεσις εἰς μονάδα ἱσταμένη, οὐκέτι ἐπ' ἄπειρον προχωρεῖ, ἐπὶ δὲ τῶν μεγεθῶν καὶ κατὰ διαίρεσιν, ὅταν πᾶν τὸ λαμβανόμενον τέμνηται, καὶ κατὰ πρόσθεσιν δὲ, ὅταν καὶ τέμνηται ἐπ' ἄπειρον, καὶ τὰ τμήματα εἰ προστιθεῖτο, διὰ τοῦτο εἶπεν ἢ κατὰ πρόσθεσιν, ἢ κατὰ διαίρεσιν, ἢ ἀμφοτέρως, οὕτω δὲ καὶ ὁ χρόνος καὶ προσθέσει ἄπειρος ὁ μέλλων, καὶ ἀφαιρέσει ὁ παρεληλυθώς. τὸ δὲ ἅπαν προσέθηκεν, οὐχ ὅτι πᾶν τὸ λεγόμενον ἄπειρον. ἀλλ' ὅτι πᾶν τὸ κυρίως λεγόμενον ὅπερ ἐστὶν, οὐχ ὅτι τὸ ἅμα ὂν ἄπειρον. δειχθήσεται γὰρ μηδὲν ὂν τοιοῦτο, μήτε κατὰ πλῆθος, μήτε κατὰ μέγεθος. ἀλλὰ τὸ ἐπ' ἄπειρον. τοῦτο δέ ἐστι, τὸ ἐν τῷ γίνεσθαι τὸ εἶναι ἔχον.

Χ ΩΡΙΣΤῸΝ μὲν οὖν εἶναι τὸ ἄπειρον τῶν αἰσθητῶν, αὐτό τι ὂν ἄπειρον, οὐχ οἷόν τε. εἰ γὰρ μήτε μέγεθός ἐστι, μήτε πλῆθος, ἀλλ' οὐσία αὐτό ἐστι τὸ ἄπειρον καὶ μὴ συμβεβηκὸς, ἀδιαίρετον ἔσται. τὸ γὰρ διαιρετὸν, ἢ μέγεθος, ἔσται ἢ πλῆθος. εἰ δὲ ἀδιαίρετον, οὐκ ἄπειρον, εἰ μὴ ὡς ἡ φωνὴ ἀόρατος. ἀλλ' οὐχ οὕτως οὔτε φασὶν εἶναι οἱ φάσκοντες εἶναι τὸ ἄπειρον οὔτε ἡμεῖς ζητοῦμεν. ἀλλ' ὡς ἀδιέξοδον.

Γ ρότερα μὲν ἦν περὶ τοῦ ἀπείρου προβλήματα, εἰ ἔστιν ἢ μὴ ἔστι. καὶ οὕτω πότερον οὐσία ἐστὶν ἢ συμβεβηκὸς. αὐτὸς δὲ εὐθὺς ἀρξάμενος τῆς ζητήσεως, ζητεῖ πρότερον, εἰ οὐσία ἢ συμβεβηκὸς τοῦτο, διὰ σωτομίαν ἴσως. ἐὰν γὰρ δειχθῇ ὅτι οὔτε οὐσία οὔτε συμβεβηκὸς φύσει τινὶ, ἔσται δεδειγμένον ὅτι οὐδὲ ἔστιν ὅλως ὡς ὑπάρχον τὸ ἄπειρον. πᾶν γὰρ τὸ ὑπάρχον ἢ οὐσία ἐστὶν ἢ συμβεβηκός. ὅτι οὖν οὐκ ἔστιν οὐσία τὸ ἄπειρον, δείκνυσιν οὕτως. εἰ οὐσία ἐστὶν, ἀδιαίρετον ἔσται. εἰ δὲ ἀδιαίρετον, οὐκ ἄπειρον. ἀλλὰ μὴν ἄπειρον ὑπόκειται. οὐκ ἄρα οὐσία. καὶ ὅτι μὲν ἀδιαίρετόν ἐστιν ἡ οὐσία, δείκνυσιν οὕτως. ἡ οὐσία οὐ συμβεβηκός. εἰ μὴ συμβεβηκὸς, οὐ ποσὸν, εἰ μὴ ποσὸν, οὔτε μέγεθος οὔτε πλῆθος. εἰ μήτε μέγεθος μήτε πλῆθος, οὐ διαιρετόν. ταῦτα γὰρ τὰ διαιρετά. εἰ δὲ ἀδιαίρετον, οὐκ ἄπειρον. τὸ γὰρ ἄπειρον διαιρετόν. ἀλλὰ μὴν ἄπειρον ὑπόκειται, οὐκ ἄρα οὐσία. εἰ δὲ οὐσία ὂν ἀδιαίρετον λέγοιτο, οὕτω λέγεται ὡς τὸ μὴ πεφυκὸς, τὸ κατὰ ἀπόφασιν μόνην, ὡς ἡ φωνὴ ἀόρατος. οὐκ ἔστι δὲ τὸ νῦν ζητούμενον ἄπειρον, τὸ οὕτω λεγόμενον. ἀλλὰ τὸ ἀδιεξίτητον, χωριστὴν δὲ τὴν οὐσίαν λέγει, ὡς καθ' αὑτὴν ὑφεστῶσαν, καὶ μὴ ἐν ἄλλῳ, ὡς τὰ συμβεβηκότα.

Ε Ἰ ΔΕ ΚΑΤᾺ συμβεβηκός ἐστι τὸ ἄπειρον, οὐκ ἂν εἴη στοιχεῖον τῶν ὄντων ᾗ ἄπειρον. ὥσπερ οὐδὲ τὸ ἀόρατον τῆς διαλέκτου. καίτοι ἡ φωνή ἐστιν ἀόρατος.

Τ ὸ κατὰ συμβεβηκὸς οἱ ἐξηγηταὶ, ἀντὶ τοῦ συμβεβηκὸς εἰρῆσθαι λέγουσιν. ἵνα ᾖ λέγων, εἰ δὲ μὴ οὐσία ἀλλὰ συμβεβηκὸς εἴη τὸ ἄπειρον, οὐκέτι ἂν εἴη στοιχεῖον τῶν ὄντων τὸ ἄπειρον, ὡς ἔλεγον καὶ οἱ πυθαγόρειοι καὶ ὁ πλάτων. καὶ ἔτι μᾶλλον οἱ φυσικοὶ, οἱ ὕδωρ, ἢ ἀέρα, ἢ πῦρ, ἢ τὸ μεταξὺ, τὸ στοιχεῖον λέγοντες. εἴη γὰρ ἂν στοιχεῖον καὶ ἀρχὴ ἐκεῖνο, ᾧ συμβέβηκεν ἀπείρῳ εἶναι. ὥσπερ ἐπὶ τῆς φωνῆς ἔχει. καὶ γὰρ αὕτη ἀρχὴ καὶ στοιχεῖον ἐστὶ τῆς διαλέκτου. καὶ συμβέβηκεν αὐτῇ ἀοράτῳ εἶναι. καὶ οὐκ ἄν τις εἴποι τοῦτο ἀρχὴν ἢ στοιχεῖον τῆς διαλέκτου. οὕτω μὲν οὖν ὥσπερ εἶπον σχεδὸν οἱ πάντες ἐξηγηταὶ τὸ χωρίον ἐξηγοῦνται. μήποτε δὲ τὸ κατὰ συμβεβηκὸς, οὐκ ἀντὶ τοῦ συμβεβηκὸς, ἀλλὰ κυρίως εἶπεν ὁ ἀριστοτέλης, οὔπω μετελθὼν ἀπὸ τῆς οὐσίας εἰς τὸ ζητεῖν, εἰ συμβεβηκὸς τὸ ἄπειρόν ἐστιν. ἀλλὰ μετὰ τὸ δεῖξαι ὅτι οὐκ ἐστὶ οὐσία καθ' αὑτὸ τὸ ἄπειρον, οὔτε ταυτόν ἐστι τὸ ἀπείρῳ καὶ οὐσίᾳ εἶναι, δείκνυσιν ὅτι οὐδὲ κατὰ συμβεβηκὸς ὑπάρχει τῷ ἀπείρῳ τὸ οὐσίᾳ εἶναι. ὅπερ ἄν τις ὑπονοήσειεν, ὁρῶν ἐν τῇ φυσικῇ οὐσίᾳ τὸ ποσόν. λέγει οὖν ὅτι εἰ κατὰ συμβεβηκός ἐστιν οὐσία τὸ ἄπειρον, οὐκ ἂν εἴη τῶν ὄντων στοιχεῖον τὸ ἄπειρον. ἀλλ' ἡ οὐσία ἡ κατὰ συμβεβηκὸς τῷ ἀπείρῳ ὑπάρχουσα. ὡς ἐπὶ φωνῆς ἔχει καὶ διαλέκτου. καὶ γὰρ ἐπειδὴ ἡ φωνὴ τῷ ἀοράτῳ κατὰ συμβεβηκὸς ὑπάρχει, συνέβη γάρ τι ἀόρατον φωνὴν εἶναι, ἀλλ' οὐχὶ τὴν φωνὴν ἀόρατον εἶναι συμβαίνει, καθ' αὑτὸ γὰρ αὐτῇ ὑπάρχει τοῦτο, οὐχὶ τὸ ἀόρατόν ἐστι τῆς διαλέκτου στοιχεῖον. ἀλλ' ἡ φωνὴ ἡ τῷ ἀοράτῳ κατὰ συμβεβηκὸς ὑπάρχουσα. εἰ γὰρ καὶ ἡ φωνή ἐστιν ἀόρατος, δηλονότι μετ' ἄλλων καὶ ἡ φωνή. ὥστε τι ἀόρατον φωνή ἐστιν. ὥστε ἡ φωνή ἐστιν ἡ τῷ ἀοράτῳ κατὰ συμβεβηκὸς ὑπάρχουσα, ὡς ἡ οὐσία τῷ ἀπείρῳ. ὅτι γὰρ τῷ ἀπείρῳ τὸ ἀόρατον ἀναλογεῖ, δῆλον. καὶ οἶδα μὲν ὅτι δυνατὸν ἦν καὶ οὕτως ἐξηγεῖσθαι, ὡς πρότερον εἴρηται. καὶ γὰρ προϊὼν, τὸ συμβεβηκὸς κατὰ συμβεβηκὸς καλεῖ. ἐνάγει δέ με πρὸς ταύτην τὴν ἐξήγησιν, τὸ ἔτι καὶ ἄλλα τινὰ τιθέναι ἐπιχειρήματα, πρὸς τὸ μὴ εἶναι οὐσίαν τὸ ἄπειρον. εἰς δὲ τὸ συμβεβηκὸς μεταβέβηκεν, ἐν οἷς φησιν, κατὰ συμβεβηκὸς ἄρα ὑπάρχει τὸ ἄπειρον. καὶ ἀναιρεῖ μὲν καὶ ἐκεῖ τοῦτο ἐκ τοῦ μὴ εἶναι ἀρχήν. δῆλον δὲ καὶ ἐκ τοῦ τῇ αὐτῇ πως ἐπιχειρήσει χρῆσθαι, ὅπου χ ἡ τοῦ συμβεβηκότος ἐστὶν ἐνταῦθα ὑπόθεσις.

Ε ΤΙ ΠΩ͂Σ ἐνδέχεται εἶναί τι αὐτὸ ἄπειρον. εἴπερ μὴ καὶ ἀριθμὸν καὶ μέγεθος ὧν ἐστι καθ' αὑτὸ πάθος τι τὸ ἄπειρον. ἔτι γὰρ ἧττον ἀνάγκη, ἢ τὸν ἀριθμὸν ἢ τὸ μέγεθος.

Ο μολογεῖ ὁ ἀλέξανδρος καὶ τοῦτο ἔτι δεικτικὸν εἶναι, τοῦ ὅτι οὐκ οὐσία τὸ ἄπειρον αὐτὸ καθ' αὑτό. ἡ δὲ ἐπιχείρησις ἐκ τοῦ μᾶλλον καὶ ἧττον. εἰ γὰρ τὸν ἀριθμὸν καὶ τὸ μέγεθος, ὧν ἐστι πάθος τὸ ἄπειρον, μὴ οἷόν τε καθ' αὑτὰ εἶναι, τουτέστιν οὐσίας, διότι ποσὰ καὶ ἐν ὑποκειμένῳ, πολ-

λῳ ἄρα μᾶλλον τῷ ἀπείρῳ οὐχ ὑπάρχει τοῦτο. ἧττον ἄρα τὸ ἄπειρον οὐσία, ἤπερ τὸ μέγεθος καὶ ὁ ἀριθμός. εἴπερ γὰρ ἦν, ἐν τῷ ὑποκειμένῳ ἂν ἦν. ἧττον γὰρ τὸ ὑποκείμενον ἀναγκάζεται ἐν ἄλλῳ εἶναι, ἤπερ τὸ ἐν αὐτῷ συμβεβηκός. ἐπειδὴ καὶ μᾶλλον τὸ ὑποκείμενον τινὶ καθ' αὑτὸ εἶναι δύναται, τοῦ καθ' αὑτὸ συμβεβηκότος. εἰ δὲ μὴ καθ' αὑτό, οὐδὲ οὐσία.

ΦΑΝΕΡΟΝ ΔΕ καὶ ὅτι οὐκ ἐνδέχεται εἶναι τὸ ἄπειρον ὡς ἐνεργείᾳ ὄν, καὶ ὡς οὐσίαν καὶ ἀρχήν. ἔσται γὰρ ὁτιοῦν αὐτοῦ ἄπειρον τὸ λαμβανόμενον, εἰ μεριστόν. τὸ γὰρ ἀπείρῳ εἶναι καὶ ἄπειρον τὸ αὐτό, εἴπερ οὐσία τὸ ἄπειρον, καὶ μὴ καθ' ὑποκειμένου. ὥστ' ἢ ἀδιαίρετον ἢ εἰς ἄπειρα διαιρετόν. πολλὰ δ' ἄπειρα ἀδύνατον τὸ αὐτὸ εἶναι. ἀλλὰ μήν, ὥσπερ ἀέρος ἀὴρ μέρος, οὕτω καὶ ἄπειρον ἀπείρου. εἴγε οὐσία ἐστὶ καὶ ἀρχή. ἀμέριστον ἄρα καὶ ἀδιαίρετον. ἀλλ' ἀδύνατον τὸ ἐντελεχείᾳ ὂν ἄπειρον, ποσὸν γάρ τι εἶναι ἀναγκαῖον.

Καὶ τοῦτο τὸ ἐπιχείρημα ἀνασκευαστικόν ἐστι, τοῦ οὐσίαν καθ' αὑτὴν εἶναι τὸ ἄπειρον. πρότερον γὰρ δείξας ὅτι εἰ οὐσία τὸ ἄπειρον καὶ μὴ κατὰ συμβεβηκός, ἀμερὲς καὶ ἀδιαίρετον ἔσται, καὶ διὰ τοῦτο οὐκ ἄπειρον, ἐπειδὴ πᾶσα οὐσία ἢ ἀδιαίρετός ἐστιν ἢ διαιρετή, εἰπὼν ἀκολουθεῖν τῷ ἀδιαίρετον εἶναι τὸ μὴ εἶναι ἄπειρον, ἐπάγει τὸ ἄτοπον νῦν τῷ ὑποτιθεμένῳ οὐσίαν διαιρετὴν εἶναι. ἔσται γὰρ καὶ ἕκαστον τῶν μορίων αὐτοῦ ἄπειρον. καὶ ἡ μὲν ὅλη ἐπιχείρησις ἐστὶ τοιαύτη. εἰ ἀρχὴ ὑπόκειται καὶ οὐσία ἐνεργείᾳ τὸ ἄπειρον, ταὐτὸν ἂν εἴη τὸ ἄπειρον ἐπ' αὐτοῦ, καὶ ἀπείρῳ εἶναι. διότι τὸ εἶναι αὐτοῦ ἐστιν ἄπειρον. ἁπλοῦν ἄρα. εἰ δὲ ἁπλοῦν, πάντῃ ὅμοιον. εἰ δὲ τοῦτο, ἢ ἀδιαίρετον καὶ οὐκέτι ἄπειρον, ἢ εἰ διαιρετὸν ὅλως, εἰς ἄπειρα διαιρεθήσεται. εἰς ὅμοια γάρ, ὡς τὰ ὁμοιομερῆ. πολλὰ ἄρα ἄπειρα τὸ αὐτὸ ἔσται. καίτοι κἂν μὴ τὸ αὐτό, ἀλλ' ὅλως εἶναι πολλὰ ἄπειρα σώματα, ἀδύνατον. εἰ οὖν μήτε ὡς ἀδιαίρετος οὐσία ἐστί, μήτε ὡς διαιρουμένη, οὐκ ἔστιν οὐσία. ἐν δὲ τούτοις τὸ μὲν ἐνεργείᾳ ὂν εἶπεν, εἰ οὕτως ὡς ἐνεργείᾳ τόδε τι οὖσα, αὐτὸ καθ' αὑτὸ ὑφεστάναι δυνάμενον, καὶ μὴ οὕτως ἔχον ὡς τὰ σύνθετα, ἄλλο μὲν τὸ καθ' ὑποκειμένου, ἄλλο δὲ τὸ ὑποκείμενον ἔχοντα. ταῦτα γὰρ οὐχ ἁπλᾶ. οὐ δὲ ὡς τὰ συμβεβηκότα τοῖς σώμασιν. οὐ δὲ γὰρ ταῦτα ἁπλᾶ, συναναπεφυρμένα τοῖς ὑποκειμένοις. ἄλλο γοῦν τὸ λευκὸν καὶ ἄλλο τὸ λευκῷ εἶναι. ἀλλ' ὡς ἁπλοῦν. οὕτω γὰρ ἕν, ἀρχὴ ἂν εἴη ὡς ἀξιοῦσιν. ἢ τὸ ἐνεργείᾳ πρὸς ἀντιδιαστολὴν εἴρηται τοῦ δυνάμει. ἐπειδὴ δυνάμει γε ὂν δειχθήσεται τὸ ἄπειρον. ἐντελεχείᾳ οὖν εἶπεν, ἀντιτιθεὶς αὐτὸ πρὸς τὸ δυνάμει. ὅπερ οὐδὲν κωλύει εἶναι διὰ τὸ ἐπ' ἄπειρον. ἀντέθηκε δὲ τὸ ἐνεργείᾳ ὑφεστώς, καὶ πρὸς τὸ μόνον ἐννοούμενον. τάχα δὲ τὸ ἐνεργείᾳ ὑφεστὼς σῶμα ἄπειρον, καὶ πρὸς τὴν ὕλην ἀντέθηκεν. ἥτις ἄπειρος μέν, ἀλλ' οὐκ ἐνεργείᾳ σῶμα ἐστίν, ἀλλὰ δυνάμει. δὶς δὲ τῷ οὐσίαν χρησάμενος, ἅπαξ μὲν ἐν τῷ λέγειν οὐκ ἐνδέχεται οὐσίαν εἶναι τὸ ἄπειρον, δεύτερον δέ, ὅταν λέγῃ καὶ ὡς οὐσίαν καὶ ἀρχήν, τὸ μὲν πρῶτον ἀντὶ τοῦ φύσιν εἶπε τινὰ οὕτως ὡς ἐνεργείᾳ οὖσαν. τὸ γὰρ τῆς οὐσίας ὄνομα κοινῶς κατὰ πάντων κατηγορεῖται. καθὸ λέγομεν οὐσίαν ποσοῦ, ἢ ποιοῦ καὶ ὅλως συμβεβηκότος. τὸ δὲ δεύτερον ἐπὶ τῆς κυρίως οὐσίας. μήποτε δὲ κάλλιον ἐπὶ τῆς κυρίως οὐσίας ἄμφω ἀκούειν. εἰπὼν γὰρ ὡς ἐνεργείᾳ ἕν, ἐπήγαγε καὶ ὡς οὐσίαν. ἵνα δηλώσῃ πῶς τὸ ἐνεργείᾳ εἶπε. τὸ δὲ εἴπερ οὐσία τὸ ἄπειρον καὶ καθ' ὑποκειμένου εἶπε, διότι εἰ μὲν ἀριθμόν τις ἢ μέγεθος ἢ ὅλως τῶν ἐν ὑποκειμένῳ λέγοι τὸ ἄπειρον, οὐκ ἀκολουθήσει τούτῳ καὶ τὰ μέρη τοῦ τοιούτου ἀπείρου ἄπειρα ποιεῖν. ὑποτίθησι γὰρ τῷ ἀπείρῳ ἑτέραν φύσιν. καὶ οὐδὲν κωλύει τὸ μέρος τούτου ἀριθμὸν μὲν εἶναι, ἄπειρον δὲ μή. οὐ γὰρ ταὐτὸν ἀριθμῷ τε εἶναι, καὶ ἀπείρῳ εἶναι. ἀριθμὸς μὲν γὰρ ἐστι, τὸ ἐκ μονάδων συγκείμενον πλῆθος. ἄπειρον δὲ ποσὸν ἀδιεξίτητον. εἰ δὲ τὸ ἄπειρον ὡς οὐσία καὶ ἀρχὴ ἁπλοῦν ἐστι. πάντων δὲ τῶν ἁπλῶν ταὐτὸν τὸ τόδε καὶ τὸ τῷδε εἶναι, ὡς ψυχὴ καὶ τὸ ψυχῇ εἶναι ἐπὶ δὲ τῶν συνθέτων, τόδε μὲν τὸ σύνθετον, τὸ δὲ τῷδε εἶναι κατὰ τὸ εἶδος, ὁ οὖν οὕτω λέγων τὸ ἄπειρον ὡς οὐσίαν, ὡς ἐν τῷ λόγῳ τοῦ ἀπείρου τὸ εἶναι ἔχουσαν, ὡς τὰ μέρη τῆς οὐσίας οὐσίας λέγει, οὕτω καὶ τὰ μέρη τοῦ ἀπείρου ἄπειρα. ὡς γὰρ ἀέρος ἀὴρ μέρος, καὶ ὕδατος ὕδωρ, καὶ παντὸς ἁπλοῦ τὸ μέρος ὅμοιον τῷ ὅλῳ, οὕτω καὶ τοῦ ἀπείρου τὸ μέρος ἄπειρον. τάχα δὲ καὶ τὰ τοῦ μέρους μέρη. τὸ δὲ πολλὰ εἶναι ἄπειρα τὸ αὐτὸ ἀδύνατον εἶπεν, οὐχ ὡς δυνατοῦ ὄντος τοῦ ἄλλο καὶ ἄλλο ἄπειρα εἶναι, ἀλλ' ὡς ἐναργεστέρου τούτου ὄντος τοῦ ἀτόπου. ἄτοπον δέ, οὐ μόνον ὅτι πολλὰ καὶ τὸ αὐτὸ ἄπειρα, ἀλλὰ καὶ ὅτι δοκεῖ ἀπὸ παντὸς ἀπείρου πεπερασμένον ἀφαιρεῖσθαι καὶ οὐχὶ ἄπειρον. καὶ ἄλλο δὲ τοῖς ὡς οὐσίαν καὶ ἀρχὴν ὑποτιθεμένοις τὸ ἄπειρον, ὡς ἄτοπον ἑπόμενον ὁ Εὔδημος ἐπάγει. εἰ γὰρ ἐστί φησι στοιχεῖον τὸ ἄπειρον, καὶ γίνεταί τι ἐξ αὐτοῦ, ἔσται ἐν τῷ γινομένῳ πεπερασμένον τι. οὐ γὰρ δὴ πάντα γε τὰ γινόμενα ἔσται ἄπειρα. συμβήσεται οὖν τὸ ἄπειρον ἐν τῷ πεπερασμένῳ εἶναι.

ΚΑΤΑ ΣΥΜΒΕΒΗΚΟΣ ἄρα ὑπάρχει τὸ ἄπειρον. ἀλλ' εἰ οὕτως, εἴρηται ὅτι οὐκ ἐνδέχεται αὐτὸ ἀρχὴν λέγειν. ἀλλ' ἐκεῖνο ᾧ συμβέβηκε, τὸν ἀέρα ἢ τὸ ἄρτιον. ὥστε ἀτόπως ἂν ἀποφαίνοιντο, οἱ λέγοντες οὕτως ὥσπερ οἱ πυθαγόρειοί φασιν. ἅμα γὰρ οὐσίαν ποιοῦσι τὸ ἄπειρον, καὶ μερίζουσιν.

Δείξας ὅτι οὐκ ἔστιν οὐσία τὸ ἄπειρον, οὔτε γὰρ διαιρετὴ οὔτε ἀδιαίρετος, ἐφεξῆς ὅτι οὐδὲ συμβεβηκός ἐστι δείκνυσι. τῇ αὐτῇ λέξει χρώμενος, ᾗ ἐχρήσατο, καὶ οὐσίαν κατὰ συμβεβηκὸς ὡς ἀρχὴν τὸ ἄπειρον ὑποθέμενος. πάλιν γὰρ λέγει, ὅτι εἰ συμβεβηκός, οὐκ ἐνδέχεται αὐτὸ λέγειν ἀρχὴν καὶ στοιχεῖον. ἀλλ' ἐκεῖνο, ᾧ συμβέβηκεν, εἴτε ἀήρ ἐστιν, ὡς ὁ Διογένης ἔλεγεν, εἴτε τὸ ἄρτιον ὡς οἱ πυθαγόρειοι. οὐ τὸ ἄπειρον οὖν ἀρχή, ἀλλὰ τὸ ᾧ ὑπάρχει τὸ ἄπειρον. εἴτε οὖν κατὰ συμβεβηκὸς ὑπάρχει τῷ ἀπείρῳ ἡ οὐσία, εἴτε τὸ ἄπειρον τῇ οὐσίᾳ συμβέβηκε, κατ' ἀμφότερα ὄντων αὐτῶν, ἡ οὐσία ἐστὶν ἀρχὴ καὶ οὐχὶ τὸ ἄπειρον. ἀτόπως οὖν λέγουσιν οἱ ἀρχὴν λέγοντες τὸ ἄπειρον ὥσπερ οἱ πυθαγόρειοι. οὔτε γὰρ συμβεβηκὸς ὂν δύναται ἀρχὴ εἶναι, ὡς δέδεικται νῦν. ἐὰν οὐσίαν ὑπόθωνται οἱ πυθαγόρειοι, ἀναγκάζονται μεριστὴν αὐτὴν ὑποτίθεσθαι, τὸ ἄρτιον εἶναι λέγοντες τὸ ἄπειρον. δέδεικται δὲ ὅτι ἀδύνατον καὶ ἀρχὴν εἶναι καὶ μεριστὴν οὐσίαν τὸ ἄπειρον, διότι ἀνάγκη εἰς ἄπειρα διαιρεῖσθαι. ὅλως δὲ οὐδὲ οὐσία τὸ ἄπειρον, εἴπερ ἄρτιον. τὸ γὰρ ἄρτιον ἀριθμός. ὁ δὲ ἀριθμὸς ποσὸν καὶ οὐκ οὐσία. ἀλλ' οὐδὲ εἰς ὅμοια διαιρεῖται. ὅπερ τῇ ἀρχῇ προσήκει, οὐ γὰρ ἄρτια πάντως τὰ τοῦ ἀρτίου μέρη.

ἈΛΛ' ἼΣΩΣ αὕτη μέν ἐστι καθόλου ἡ ζήτησις μᾶλλον, εἰ ἐνδέχεται τὸ ἄπειρον καὶ ἐν τοῖς μαθηματικοῖς εἶναι. καὶ ἐν τοῖς νοητοῖς, καὶ ἐν τοῖς μηδὲν ἔχουσι μέγεθος. ἡμεῖς δ' ἐπισκοποῦμεν περὶ τῶν αἰσθητῶν, καὶ περὶ ὧν ποιούμεθα τὴν μέθοδον. ἆρ' ἔστιν ἐν αὐτοῖς ἢ οὐκ ἔστι σῶμα ἄπειρον ἐπὶ τὴν αὔξησιν.

Μνησθεὶς τῶν πυθαγορείων, εὐγνωμόνως ἐπέστησεν, ὅτι ἐκεῖνοι μὲν κοινὰς ἀρχὰς καὶ ἐν νοητοῖς καὶ ἐν αἰσθητοῖς, καὶ ἐν τοῖς μέσοις τούτων τοῖς διανοητοῖς καὶ μαθηματικοῖς ἔλεγον τὸ πέρας καὶ τὸ ἄπειρον ὡς ἑνώσεως καὶ διαιρέσεως αἴτια. ἡμεῖς δὲ νῦν φυσιολογοῦντες περὶ τῶν αἰσθητῶν ἐπισκοποῦμεν, εἰ ἔστιν ἐν αὐτοῖς ἢ οὐκ ἔστι σῶμα ἄπειρον, οὐχ ὡς ἐπ' ἄπειρον διαιρούμενον, τοῦτο γὰρ καὶ τῶν μαθηματικῶν οἰκεῖον, ἀλλ' ὡς ἐπ' ἄπειρον ηὐξημένον. ὅπερ ἐν μόνοις ἂν ὑπάρχοι τοῖς φυσικοῖς, εἴπερ ὅλως ὑπάρχει. τὸ δὲ ἐν τοῖς μηδὲν ἔχουσι μέγεθος, καὶ αὐτὸ περὶ τῶν νοητῶν εἶπε, διὰ τοῦ μηδὲν, τὸ μήτε φυσικὸν μήτε μαθηματικὸν σημήνας. εἴρηται δὲ πρότερον ὅτι ἐπιστήμης ἴδιόν ἐστι, τὸ οἰκείους τοῖς προκειμένοις ποιεῖσθαι τοὺς λόγους. ὁ δὲ Ἀλέξανδρος καθόλου ταύτην λέγεσθαι τὴν ζήτησίν φησι. διότι δυνατὸν ταύτῃ χρωμένους μὴ μόνον ἐπὶ τῶν φυσικῶν, ἀλλὰ καὶ ἐπὶ τῶν ἄλλων ζητεῖν. εἰ γάρ ἐστιν ἐν ταῖς ἰδέαις τὸ ἐνεργείᾳ ἄπειρον, ἢ ὡς οὐσία ἔσται, ἢ ὡς συμβεβηκός. ἐπιστῆσαι δὲ χρή, ὅτι οὐ προσήκει ταῖς ἰδέαις ἡ τοιαύτη διαίρεσις, σαφῶς τοῦ Πλάτωνος τὰς ἰδέας οὐσίας λέγοντος, καὶ μηδὲ τὰ ἐνταῦθα συμβεβηκότα, οἷον δικαιοσύνην, καὶ σωφροσύνην, καὶ ἐπιστήμην, συγχωροῦντος ἐν ἄλλῳ εἶναι ἐκεῖ. λέγει γοῦν ἐν Φαίδρῳ, ὅτι ἡ ἀναχθεῖσα εἰς τὸ νοητὸν ψυχή, καθορᾷ μὲν δικαιοσύνην, καθορᾷ δὲ ἐπιστήμην. οὐχ ᾗ γένεσις πρόσεστιν, οὐδὲ ἥ ἐστιν ἑτέρα ἐν ἑτέρῳ οὖσα. ὅλως δὲ τὴν καθόλου ζήτησιν εἶπεν, οὐχὶ εἰ ὡς οὐσία ἢ συμβεβηκός ἐστι τὸ ἄπειρον. ἀλλ' εἰ ἐνδέχεται αὐτὸ καὶ ἐν τοῖς μαθηματικοῖς εἶναι καὶ ἐν τοῖς νοητοῖς, ὡς ἔλεγον οἱ πυθαγόρειοι.

ΛΟΓΙΚΩΣ μὲν οὖν σκοπουμένοις, ἐκ τῶν τοιῶνδε, δόξειεν ἂν οὐκ εἶναι. εἰ γάρ ἐστι σώματος λόγος τὸ ἐπιπέδῳ ὡρισμένον, οὐκ ἂν εἴη σῶμα ἄπειρον οὔτε νοητὸν, οὔτε αἰσθητόν. ἀλλὰ μὴν οὐδ' ἀριθμὸς οὕτως, ὡς κεχωρισμένος καὶ ἄπειρος. ἀριθμητὸν γὰρ ὁ ἀριθμός, ἢ τὸ ἔχον ἀριθμόν. εἰ οὖν τὸ ἀριθμητὸν ἐνδέχεται ἀριθμῆσαι. καὶ διεξελθεῖν ἂν εἴη δυνατὸν τὸ ἄπειρον.

Δείξας ὅτι οὔτε οὐσία ἐστὶ τὸ ἄπειρον, οὔτε γὰρ διαιρετὴ οὔτε ἀδιαίρετος, οὔτε συμβεβηκός, οὐ γὰρ ἂν εἴη ἀρχή, καὶ τοῖς πυθαγορείοις ἐπιστήσας, ὅτι καὶ οὐσίαν λέγουσι τὸ ἄπειρον εἴπερ ἀρχήν, καὶ μερίζουσιν αὐτήν, εἴπερ τὸ ἄρτιον, ἐφιστάνει λοιπὸν ὅτι ἡ τοιαύτη ζήτησις, ἡ καὶ τὰς πυθαγορικὰς ὑποθέσεις περὶ τοῦ ἀπείρου εὐθύνουσα, τὰς τὸ ἄρτιον λεγούσας τὸ ἄπειρον, καὶ κατὰ τὸ διαιρετὸν καὶ ἀδιαίρετον ἐπιχειροῦσα, καὶ τὸ ἀρχὴν εἶναι ἢ μή, κοινή ἐστι καὶ καθολική, καὶ ἐπὶ τῶν μαθηματικῶν καὶ ἐπὶ τῶν νοητῶν ἁρμόττειν δυναμένη. καὶ γὰρ καὶ ἐπ' ἐκείνων ἁρμόττει ὅτι ἡ οὐσία ἢ συμβεβηκός ἐστι τὸ ἄπειρον. καὶ εἰ οὐσία, ἢ διαιρετὴ ἢ ἀδιαίρετος. ἐπαναγαγὼν οὖν πάλιν τὸν λόγον εἰς τὴν περὶ τῶν αἰσθητῶν καὶ φυσικῶν ζήτησιν, ἆρά ἐστιν ἐν αὐτοῖς τὸ ἄπειρον ἢ οὔ, πρῶτον μὲν λογικῶς ἐπιχειρεῖ, τουτέστι πιθανῶς καὶ ἐνδόξως, καὶ ἔτι κοινότερόν πως καὶ διαλεκτικώτερον. ἡ γὰρ διαλεκτικὴ ἡ Ἀριστοτέλους, κοινή ἐστι μέθοδος περὶ παντὸς τοῦ προτεθέντος, ἐξ ἐνδόξων συλλογιζομένη, ὡς αὐτὸς ἀρχόμενος τῶν τοπικῶν φησι. τὸ γὰρ λογικὸν ὡς κοινὸν ἀντιδιαστέλλειν εἴωθε, τῷ οἰκείῳ καὶ κατὰ φύσιν τοῦ πράγματος καὶ ἀποδεικτικῷ. ὅτι γὰρ ἔτι κοινοτέρα πώς ἐστι καὶ αὕτη ἡ ἀπόδειξις, ἐδήλωσε διὰ τοῦ εἰπεῖν οὐκ ἂν εἴη σῶμα ἄπειρον οὔτε νοητὸν οὔτε αἰσθητόν. καὶ ἔοικε διορίσας τὴν φυσικὴν ἀπὸ τῆς κοινῆς ζητήσεως, τοῦτο μὲν τὸ ἐπιχείρημα ὡς παράδειγμα τῆς κοινῆς παρατιθέναι, ἐφεξῆς δὲ λοιπὸν τὴν τῷ φυσικῷ προσήκουσαν ζήτησιν ποιεῖσθαι, ὅταν λέγῃ φυσικῶς δὲ μᾶλλον θεωροῦσι.

καὶ γὰρ ἡ εἰς ἁπλοῦν καὶ σύνθετον διαίρεσις, φυσικῶν ἂν εἴη πραγμάτων οἰκεία. δύναται δὲ δεύτερον διαιρετικὸν εἶναι τοῦτο, δεικνύον καὶ αὐτὸ ὅτι οὐκ ἔστι τὸ ἄπειρον. ὡς γὰρ πρότερον ἔδειξεν, ὅτι εἰ μήτε οὐσία μήτε συμβεβηκὸς, οὐκ ἔστιν ὅλως τὸ ἄπειρον, καὶ μετ' ὀλίγον δείξει, ὅτι εἰ μήτε ἁπλοῦν μήτε σύνθετον οὐκ ἔστιν ὅλως, οὕτω νῦν εἰ μήτε μέγεθος μήτε ἀριθμὸς ἅπερ δοκεῖ ἄπειρα οὐκ ἔστιν ὅλως. ἡ μὲν οὖν ὅλη τάξις καὶ ἀκολουθία τῶν προκειμένων λόγων, τοιαύτη τις εἶναί μοι δοκεῖ. ἐπειδὴ δὲ ἐν τοῖς ζητουμένοις εἶναι τὸ ἄπειρον λόγοις, ἦν τις ἀπὸ τῆς ἐννοίας καὶ φαντασίας τῆς ἡμετέρας εἰλημμένος, διὰ τὸ ταύτην καὶ τοῖς μεγέθεσιν ἀεὶ καὶ τοῖς ἀριθμοῖς προστιθέναι τοῖς τε φυσικοῖς καὶ τοῖς μαθηματικοῖς, πρὸς ἐκεῖνον ἔοικε τὸν λόγον λογικῶς ἐπικεχειρημένον τοῦτον ἀντιπαραβάλλειν. λέγει γὰρ ὅτι οὔτε μέγεθος οὔτε ἀριθμός ἐστιν ἄπειρα. εἰ γὰρ διότι ἐννοοῦμεν ἀεὶ πρόσθεσιν καὶ μεγέθους καὶ ἀριθμοῦ, διὰ τοῦτο ἄπειρά ἐστιν, ἐπειδὴ πᾶν μέγεθος, ἅμα τῷ μέγεθος ἐννοηθῆναι, ἐπιπέδοις πεπερασμένον ἐννοεῖται, καὶ πᾶς ἀριθμὸς ὃν ἂν λάβωμεν ὡς ὑπάρχοντα, ἀριθμητός ἐστι καὶ διεξιτητός, δηλονότι πεπερασμένα ἂν εἴη τό, τε μέγεθος καὶ ὁ ἀριθμός. καὶ ἐπὶ μὲν τοῦ σώματος τοιοῦτός ἐστιν ὁ συνάγων λόγος. εἰ σώματος ὅρος ἐστὶ, τὸ ἐπιπέδοις ὡρισμένον, τὸ δὲ ἄπειρον οὐχ ὥρισται ἐπιπέδοις. ταύτην δὲ ὡς ἐναργῆ παρῆκεν, οὐδὲν ἄρα σῶμα ἄπειρόν ἐστι. καὶ ἔστι κοινὸς ὁ λόγος ἐπί τε τῶν μαθηματικῶν σωμάτων καὶ τῶν φυσικῶν. καθὸ γὰρ σῶμα, τουτέστι καθὸ τριχῆ διαστατὸν εἴληπται, ἀλλ' οὐ καθὸ φυσικόν. καὶ ὁ ἐπὶ τοῦ ἀριθμοῦ δὲ συλλογισμὸς, κοινός ἐστιν ἐπί τε τοῦ αἰσθητοῦ καὶ ἐπὶ τοῦ μαθηματικοῦ ἀριθμοῦ, ἔχων οὕτως. ὁ ἀριθμὸς ἀριθμητός. οὐ γάρ ἐστι κεχωρισμένος ἀριθμὸς, ὥς τινες οἴονται τὴν κοινότητα ταῖς ἐννοίαις ἀφαιροῦντες. ἀλλ' ἔστιν ἐν τοῖς μετέχουσι. διὸ ἀριθμητός. τὸ δὲ ἀριθμητὸν ἐνδέχεται ἀριθμῆσαι. τὸ τοιοῦτον ἐνδέχεται διεξελθεῖν. τὸ τοιοῦτον πεπερασμένον. ὁ ἄρα ἀριθμὸς πεπερασμένος ἐστὶ καὶ οὐκ ἄπειρος, ὡς ἐδόκει λέγειν ἡ φαντασία. κἂν δυνατὸν οὖν τὸν ἀεὶ λαμβανόμενον ἀριθμὸν αὔξειν, ἀλλ' ὅ γε ληφθεὶς πεπερασμένος ἐστί. κἂν γὰρ μὴ ἀριθμητόν τις λέγῃ τὸν ἀριθμὸν, ἀλλά τό γε ἔχον ἀριθμὸν ἀριθμητὸν καὶ πεπερασμένον ὑπάρχον, διὰ τὴν τοῦ ἀριθμοῦ μέθεξίν ἐστι τοιοῦτον. ὅπερ γὰρ ἀριθμὸς ἂν καταλάβῃ, τοῦτο ἀριθμεῖσθαι ποιεῖ. ὥσπερ καὶ τὸ μέτρον μετρεῖσθαι. εἰ δὲ ἄπειρος ἦν, οὐκ ἂν τὸ μετέχον αὐτοῦ, τῷ μετέχειν ἐποίει πεπερασμένον. ἀλλ' ἢ πεπερασμένον ἐστὶν ὁ ἀριθμὸς ἢ πέρας. τάχα δὲ καὶ αὐτὸς ὁ ἀριθμὸς ἀριθμητόν ἐστι καὶ διεξιτητόν. ἡ γὰρ τριὰς ἀπὸ τριῶν μονάδων συνέστηκε. καὶ διὰ τοῦτο εἶπεν, ἀριθμητὸν γὰρ ἀριθμὸς, ἢ τὸ ἔχον ἀριθμὸν, διαζευκτικῷ τῷ ἢ χρησάμενος. καὶ τὸ μὲν ἐπὶ ἄπειρον οὐδὲν κωλύει καὶ ἐν τῷ ἀριθμῷ εἶναι κατὰ τὴν πρόσθεσιν. καὶ ἐν τῷ μεγέθει κατὰ τὴν διαίρεσιν καὶ τὴν πρόσθεσιν. τὸ δέ γε καθ' αὑτὸ ὑφεστὼς, καὶ ἐνεργείᾳ ὂν ἄπειρον, ἐν οὐδετέρῳ.

Φυσικῶς δὲ μᾶλλον θεωροῦσιν ἐκ τῶνδε. οὔτε γὰρ σύνθετον οἷόν τε εἶναι, οὔτε ἁπλοῦν. σύνθετον μὲν οὖν οὐκ ἔσται τὸ ἄπειρον σῶμα, εἰ πεπερασμένα τῷ πλήθει τὰ στοιχεῖα εἴη. ἀνάγκη γὰρ πλείω εἶναι, καὶ ἰσάζειν ἀεὶ τἀναντία. καὶ μὴ εἶναι ἓν αὐτῶν ἄπειρον. εἰ γὰρ ὁπωσοῦν λείπεται ἡ ἐν ἑνὶ σώματι δύναμις θατέρου, οἷον, εἰ τὸ πῦρ πεπέρασται. ὁ δ' ἀὴρ ἄπειρος, ἔστι δὲ τὸ ἴσον πῦρ τοῦ ἴσου ἀέρος τῇ δυνάμει ὁποσαπλασιονοῦν, μόνον δὲ ἀριθμόν τινα ἔχον, ὅμως φανερὸν, ὅτι τὸ ἄπειρον ὑπερβαλεῖ καὶ φθερεῖ τὸ πεπερασμένον. ἕκαστον δ' ἄπειρον εἶναι, ἀδύνατον. σῶμα γάρ ἐστι τὸ πάντῃ ἔχον διάστασιν. ἄπειρον δὲ τὸ ἀπεράντως διεστηκός. ὥστε τὸ ἄπειρον σῶμα πανταχῇ ἔσται διεστηκὸς εἰς ἄπειρον.

Οὐχὶ λογικῶς καὶ κοινῶς, ἀλλ' ἀποδεικτικῶς μᾶλλον καὶ τοῖς προκειμένοις οἰκεῖα. δείκνυσι γὰρ διά τε τῆς οὐσίας αὐτῶν, εἰ μήτε σύνθετον μήτε ἁπλοῦν δύναται εἶναι τὸ ἄπειρον. καὶ διὰ τῶν δυνάμεων, ἃς ἔχει τὰ φυσικὰ, φυσικῶς κινούμενα. καὶ διὰ τῶν τόπων ἐν οἷς μένειν ἢ ἐφ' οὓς κινεῖσθαι πεφύκασι. καὶ ἡ μὲν ἐκ τῆς οὐσίας ἀπόδειξίς ἐστιν, ὅτι οὔτε σύνθετον οὔτε ἁπλοῦν ἐνδέχεται σῶμα φυσικὸν ἄπειρον εἶναι. οἰκεῖον γὰρ τῷ φυσικῷ σώματι τὸ ἁπλοῦν καὶ σύνθετον. λέγει οὖν ὅτι εἰ ἔστιν ὅλως ἄπειρόν τι σῶμα φυσικὸν, δεῖ αὐτὸ ἢ σύνθετον εἶναι ἢ ἁπλοῦν. καὶ εἰ σύνθετον, ἐκ πλειόνων πάντως, διὸ καὶ αὐτὸς προσέθηκεν, ἀνάγκη πλείω εἶναι, καὶ τῷ εἴδει διαφερόντων. ἀνάγκη δὲ τὰ πλείω ταῦτα, ἢ πεπερασμένα εἶναι τῷ ἀριθμῷ ἢ ἄπειρα. οὐδὲ γὰρ τοῦτο παρῆκε τὸ τμῆμα ὡς οἴεται ὁ Ἀλέξανδρος, ὡς δεδειχὼς αὐτὸ καὶ δείξων. ἀλλὰ καὶ αὐτὸς ἐλέγξει, ἐν οἷς φησιν, εἰ δὲ ἄπειρα καὶ ἁπλᾶ. καὶ γὰρ ὅτι οὐκ ἔστιν ἓν τὸ στοιχεῖον ἔδειξε. καὶ ὅλως τοῦ τελείου τῆς ἀποδείξεως ἕνεκεν, καὶ ἁπλοῦν τὸ ἄπειρον ὑποτίθεται. εἰ οὖν σύνθετον ἐκ πεπερασμένων τῷ ἀριθμῷ, ἢ πάντα τῷ μεγέθει πεπερασμένα ἐστὶν, ἢ πάντα ἄπειρα, ἢ τὰ μὲν οὕτω, τὰ δὲ ἐκείνως. ἀλλ' εἰ μὲν πάντα τῷ μεγέθει πεπερασμένα, ἐπειδὴ καὶ τῷ πλήθει πεπερασμένα, καὶ τὸ ὅλον ἔσται τῷ μεγέθει πεπερασμένον καὶ οὐκ ἄπειρον. τοῦτο δὲ ὡς σαφὲς τὸ τμῆμα διελέγχειν παρῃτήσατο. εἰ δὲ τὰ μέν ἐστι πεπερασμένα, τὰ δὲ ἄπειρα, ἢ καὶ ἓν μόνον ἐν αὐτοῖς ἄπειρον, ἀρκεῖ γὰρ καὶ ἓν λαβεῖν πρὸς τὴν ἀπόδειξιν, μεταβάλλει πάντα εἰς ἑαυτὸ τὸ ἄπειρον. καὶ οὐκέτι ἔσται πολλὰ τὰ στοιχεῖα, ἀλλ' ἕν· οὐδὲ σύνθετον τὸ ἄπειρον, ἀλλ' ἁπλοῦν. ὅπερ ὀλίγον ὕστερον ἐλέγξει. δεῖ γὰρ ἐξισάζειν καὶ ἰσοσθενῆ εἶναι τὰ στοιχεῖα, εἰ μέλλοι σώζεσθαι. εἰ δὲ ὁ μὲν ἀὴρ εἰ τύχοι ἄπειρος εἴη, τὸ δὲ πῦρ πεπερασμένον, κρα-

τηθήσεται τὸ πῦρ ὑπὸ τοῦ ἀέρος καὶ μεταβληθήσεται εἰς αὐτόν. ἀλλ' ἐρεῖ τις ἴσως, ὅτι εἰ ὁ πλείων ἀὴρ τοῦ ἐλάττονος πυρός ἐστιν ἀσθενέστερος, τί κωλύει μὴ ἡττᾶσθαι τὸ πεπερασμένον πῦρ ὑπὸ τοῦ ἀπείρου ἀέρος. ταύτην οὖν λύει τὴν ἔνστασιν λέγων, ὅτι ἐὰν τὸ ἴσον πῦρ τοῦ ἴσου ἀέρος ἰσχυρότερον ὑπάρχον, ἐν ἀριθμῷ τινι καὶ λόγῳ τὴν ὑπεροχὴν ἔχῃ τῆς δυνάμεως ὁποιῳοῦν, οἷον μυριονταπλασίω, ἐὰν τὸν μυριονταπλάσιον τοῦ ἐξ ἀρχῆς λάβωμεν ἀέρα, ἰσοσθενὴς ἔσται τῷ ἐξ ἀρχῆς ληφθέντι πυρί. κἂν ἀφέλωμεν οὕτω πολλάκις, τὸ μὲν πῦρ ἐπιλείψει πεπερασμένον ὑποτεθέν. ὁ δὲ ἀὴρ οὐκ ἐπιλείψει ἄπειρος ὑπάρχων. ὥστε καὶ τῇ δυνάμει ὑπερβάλλων φθερεῖ τὸ πῦρ. δῆλον δὲ ὅτι εἰ πλείονα τῷ ἀριθμῷ τὰ ἄπειρα εἴη, ἔτι πλέον ὑπὸ τῶν πλειόνων ἐπικρατηθήσεται τὰ λοιπά. εἰ δὲ πάντα ἄπειρα τῷ μεγέθει ὑποτεθείη τὰ στοιχεῖα, πεπερασμένα ὄντα τῷ ἀριθμῷ, ἐπειδὴ σῶμα μέν ἐστιν ἁπλῶς τὸ τριχῇ διαστατὸν καὶ πανταχῇ διεστηκός, ἄπειρον δὲ σῶμα τὸ πανταχῇ μὲν ἀπεράντως δὲ διεστηκός, δῆλον δὴ ὅτι ἑνὸς ὄντος ἀπείρου σώματος, οὐκ ἄν τι ἄλλο σῶμα εἴη παρ' αὐτό· περαίνει γὰρ ἂν πρὸς ἐκεῖνο. πολλῷ δὲ μᾶλλον τὸ ἀδύνατον ἀκολουθεῖ, εἰ πάντα ἄπειρα ὑποτεθείη τὰ πεπερασμένα τῷ ἀριθμῷ, τῷ δὲ μεγέθει ἄπειρα. καὶ διὰ τοῦτο ἴσως δυνάμενος τὸ ἄτοπον τοῦτο καὶ τῇ πρὸ ταύτης ὑποθέσει ἐπαγαγεῖν, τῇ ἓν πλείω μὴ πάντα δὲ ἄπειρα τῷ μεγέθει τιθείσῃ, ἐκείνην μὲν διὰ τῶν δυνάμεων ἤλεγξε, ταύτην δὲ διὰ τῶν διαστάσεων, ὡς ἔτι μᾶλλον ταύτῃ τοῦ ἀτόπου τούτου ἑπομένου. εἰ δὲ ὅπερ λοιπόν ἐστι τῆς διαιρέσεως, ἄπειρα τῷ πλήθει τὰ ἁπλᾶ ἐξ ὧν τὸ ἄπειρον σύνθετον ὑποτεθὲν λέγοι τις, ἤδη μὲν ἐλήλεγκται ἡ ὑπόθεσις ἐν τῷ πρώτῳ βιβλίῳ. ἐν οἷς ἐδείκνυτο ὅτι οὔτε ἕν, οὔτε ἄπειρα τὰ στοιχεῖα. ἀλλὰ πλείονα μὲν ἑνός, πεπερασμένα δὲ τῷ πλήθει καὶ οὐκ ἄπειρα. ἐλέγξει δὲ καὶ μετ' ὀλίγον αὐτήν, ὅταν λέγῃ, εἰ δὲ ἄπειρα καὶ ἁπλᾶ, ἐκ τοῦ τὰς δυνάμεις καθ' ἃς εἰδοποιεῖται τὰ φυσικὰ καὶ ἁπλᾶ σώματα, ὡρισμένας εἶναι τοῖς εἴδεσι. ταῖς γὰρ πρώταις τῶν ἁπλῶν ἐναντιώσεσιν εἰδοποιεῖται καὶ τὰ πρῶτα στοιχεῖα. αἵ εἰσι δύο, θερμότης ψυχρότης, ξηρότης ὑγρότης. ὧν δὲ τὰ εἴδη κατὰ πλῆθος ὥρισται, ταῦτα ἀνάγκη καὶ αὐτὰ ὡρισμένην ἔχειν τὴν κατὰ τὸ πλῆθος διαφοράν.

ἈΛΛᾺ μὴν, οὐδὲ ἓν καὶ ἁπλοῦν εἶναι ἐνδέχεται τὸ ἄπειρον σῶμα. οὔτε ὡς λέγουσί τινες τὸ παρὰ τὰ στοιχεῖα, ἐξ οὗ ταῦτα γεννῶσιν, οὔθ' ἁπλῶς. εἰσὶ γάρ τινες οἳ τοῦτο ποιοῦντι τὸ ἄπειρον. ἀλλ' οὐκ ἀέρα ἢ ὕδωρ, ὅπως μὴ τἆλλα φθείρηται ὑπὸ τοῦ ἀπείρου αὐτῶν. ἔχουσι γὰρ πρὸς ἄλληλα ἐναντίωσιν. οἷον, ὁ μὲν ἀὴρ, ψυχρός. τὸ δ' ὕδωρ, ὑγρόν. τὸ δὲ πῦρ, θερμόν. ὧν εἰ ἦν ἄπειρον, ἔφθαρτο ἂν ἤδη τἆλλα. νῦν δ' ἕτερόν φασιν εἶναι τό, ἐξ οὗ ταῦτα. ἀδύνατον δ' εἶναι τοιοῦτον, οὐχ ὅτι ἄπειρον, περὶ τούτου μὲν γὰρ, κοινόν τι λεκτέον ἐπὶ παντὸς ὁμοίως καὶ ἀέρος, καὶ ὕδατος, καὶ ὁτουοῦν, ἀλλ' ὅτι οὐκ ἔστι τοιοῦτον αἰσθητὸν σῶμα παρὰ τὰ καλούμενα στοιχεῖα, ἅπαν γὰρ ἐξ οὗ ἐστι, καὶ διαλύεται εἰς τοῦτο. ὥστε ἦν ἂν ἐνταῦθα παρὰ ἀέρα καὶ πῦρ καὶ γῆν, καὶ ὕδωρ ἄλλο τι. φαίνεται δ' οὐθέν. οὐδὲ δὴ πῦρ. οὐδ' ἄλλο τῶν στοιχείων οὐθὲν ἄπειρον ἐνδέχεται εἶναί τι. ὅλως γὰρ καὶ χωρὶς τοῦ ἄπειρον εἶναί τι αὐτῶν, ἀδύνατον τὸ πᾶν, κἂν ᾖ πεπερασμένον, ἢ εἶναι, ἢ γίνεσθαι ἕν τι αὐτῶν ὥσπερ ἡράκλειτός φησιν ἅπαντα γίνεσθαί ποτε πῦρ. ὁ δὲ αὐτὸς λόγος καὶ ἐπὶ τοῦ ἑνὸς. οἷον, ποιοῦσι παρὰ τὰ στοιχεῖα οἱ φυσικοί. πάντα γὰρ μεταβάλλει ἐξ ἐναντίου εἰς ἐναντίον. οἷον, ἐκ θερμοῦ εἰς ψυχρόν.

Δείξας ὅτι οὐδὲν σῶμα φυσικὸν σύνθετον ἐκ πολλῶν δύναται εἶναι ἄπειρον. δείκνυσιν ἐφεξῆς, ὅτι οὐδὲ ἓν καὶ ἁπλοῦν σῶμα ἄπειρον εἶναι δυνατόν. εἰ γὰρ εἴη τι ἁπλοῦν, ἢ ἓν τῶν τεσσάρων στοιχείων ἐστὶν, ἢ ἄλλο τι παρὰ ταῦτα. ὡς λέγουσιν οἱ περὶ ἀναξίμανδρον, τὸ παρὰ τὰ στοιχεῖα ἐξ οὗ τὰ στοιχεῖα γεννῶσι. καὶ ὅτι μὲν οὐδὲν τῶν στοιχείων δύναται εἶναι τὸ ἄπειρον, δῆλον μὲν καὶ ἐξ ὧν ἀναξίμανδρος ἄπειρον εἶναι τὸ στοιχεῖον βουλόμενος, οὐκ ἀέρα ἢ πῦρ ἤ τι τῶν τεσσάρων στοιχείων ἔθετο αὐτό, διὰ τὸ ταῦτα ἔχειν πρὸς ἄλληλα ἐναντίως. καὶ εἴπερ ἦν τι τούτων ἄπειρον, φθαρῆναι ἂν ὑπ' αὐτοῦ τὰ ἐναντία. ὅτι δὲ καὶ τὸ παρὰ τὰ στοιχεῖα λεγόμενον ἄπειρον ὡς ἀρχὴ, οὐ μόνον ἄπειρον οὐκ ἔστιν, ἀλλ' οὐδὲ ἔστιν ὅλως, δείκνυσι, προλαβὼν, ὅτι πᾶν τὸ γινόμενον ἔκ τινος εἰς τοῦτο καὶ διαλυόμενον φαίνεται. εἰ οὖν ἐξ ἐκείνου ἡ γένεσις, ἦν ἄν τι ἐνταῦθα παρὰ τὰ τέσσαρα, εἰς ὃ ἡ διάλυσις ἐγίνετο. φαίνεται δὲ οὐδὲν ἐνταῦθα τοιοῦτον. ἀλλ' ἴσως ἐρεῖ τις, ὅτι καὶ κατ' αὐτὸν ἐξ ὕλης καὶ εἴδους ἐστὶ τὸ σύνθετον, ὥστε καὶ τὴν ἀνάλυσιν εἰς ταῦτα γίνεσθαι. καὶ ὅμως οὐδέποτε φαίνεται ἐνταῦθα γυμνὴ ἡ ὕλη, ἀλλ' οὐδὲ τὸ εἶδος καθ' ἑαυτό. ἢ τούτου αἴτιον, τὸ ἀεὶ μὲν ἔχειν τὴν ὕλην εἶδος ἐν ἑαυτῇ ἄλλοτε ἄλλο, τὴν δὲ γένεσιν ἐκ τῶν ἐναντίων εἰδῶν εἶναι καὶ τὴν φθορὰν εἰς τὰ ἐναντία εἴδη. ἐπειδὴ οὖν τὸ ἔνυλον ψυχρὸν ἐκ τοῦ ἐνύλου θερμοῦ ἐγένετο, ὅταν φθαρῇ τὸ ἔνυλον ψυχρὸν, εἰς τὸ ἔνυλον θερμὸν φθείρεται καὶ ἔρχεται τοῦτο. κἂν λέγηται οὖν ἐξ ὕλης καὶ τοῦ ἐναντίου εἴδους γίνεσθαι τὰ γινόμενα, ἀλλ' ἐκ μὲν τῆς ὕλης ὡς ἀεὶ ἐνυπαρχούσης, ἐκ δὲ τοῦ ἐναντίου εἴδους ὡς μεταβάλλοντος εἰς τὸ ἐναντίον. ἔοικε δὲ καὶ ὁ εὔδημος ὡς ἀπορήσας τὴν ἀπορίαν ταύτην, οὕτω πως λύειν.. εἰπὼν γὰρ ὅτι ἐνταῦθα οὐ φαίνεται παρὰ τὰ ἐμπεδόκλεια καὶ τὰ ἐκ τούτων οὐδὲν, ἐπάγει τοῖς δὲ τὸ ἄμορφον λέγουσιν ἐνδέχεται. τὸ γὰρ τούτοις ὑποκείμενον. δείξας οὖν ὅτι οὔτε τῶν τεσσάρων στοιχείων ἕν τι τὸ ἄπειρόν ἐστιν, οὔτε τὸ παρὰ τὰ

στοιχεῖα ἐστὶν ὅλως, δείκνυσιν ἐφεξῆς κατὰ κοινὴν ἀπόδειξιν, ὅτι οὐδὲν σῶμα τῶν ἁπλῶν, οὔτε τῶν στοιχείων, οὔτε τὸ παρὰ τὰ στοιχεῖα ἄπειρόν ἐστιν, ἐκ περιουσίας πρῶτον δεικνὺς, ὅτι οὐδὲ εἶναι δυνατὸν ἕν τι στοιχεῖον τῶν ὄντων. εἰ δὲ μὴ ἔστιν ἓν στοιχεῖον ὅλως, οὐδ᾽ ἂν εἴη ἄπειρον οὐδὲ πεπερασμένον. ἔλεγε γὰρ ἡράκλειτος ἐκ πυρὸς πεπερασμένου πάντα εἶναι, καὶ εἰς τοῦτο πάντα ἀναλύεσθαι. εἰσὶ δ᾽ ἂν καὶ οἱ στωϊκοὶ ταύτης τῆς δόξης. ἡ γὰρ ἐκπύρωσις τοιοῦτόν τι αἰνίττεται. καὶ πᾶν σῶμα πεπερασμένον εἶναι λέγουσιν. ἀδύνατον δέ φησι κἂν τε πεπερασμένον τις τὸ πᾶν λέγοι, ἕν τι στοιχεῖον εἶναι αὐτοῦ καὶ μίαν τινὰ φύσιν, ὡς εἶναι τὸ ὂν ταύτην μόνον, ἢ ἐκ ταύτης γίνεσθαι καὶ μεταβάλλειν εἰς ταύτην, ὡς ἡράκλειτος εἰς πῦρ λέγων καὶ ἐκ πυρὸς τὰ πάντα. ὅτι δὲ οὔτε τῶν τεσσάρων τι ἓν μόνον στοιχεῖόν ἐστι τῶν ὄντων, οὔτε ἐκεῖνο τὸ παρὰ τὰ τέσσαρα, δείκνυσιν ὑπομιμνήσκων τῆς ἐν τῷ πρώτῳ βιβλίῳ ἀποδείξεως. καθ᾽ ἣν ἀπέδειξεν ὅτι πᾶν τὸ μεταβάλλον, ἐξ ἐναντίου εἰς ἐναντίον μεταβάλλει. ὥστε τὸ μὲν παρὰ τὰ τέσσαρα οὐκ ἂν εἴη στοιχεῖον, ὅτι πρὸς οὐδὲν ἐναντιοῦται. ὥστε οὐδὲ μεταβάλλοι ἂν εἴς τι. οὐδ᾽ ἂν γένοιτό τι ἐξ αὐτοῦ οὔτε τῶν στοιχείων, οὔτε ἄλλο τι. εἰ δὲ τοῦτο οὐκ ἔσται στοιχεῖον. ἐκ δὲ τῶν τεσσάρων στοιχείων οὐ δύναται ἕν τι στοιχεῖον εἶναι. διότι εἰ μέλλοι τι ἐξ αὐτοῦ ἔσεσθαι, δεῖ μεταβάλλειν εἰς αὐτὸ. καὶ δηλονότι εἰς ἐναντίον. εἰ δὲ μεταβάλλοι, καὶ φθείροιτο ἂν εἰς ἐκεῖνο εἰς ὃ μεταβάλλει, καὶ γίνοιτο ἂν ἐξ ἐκείνου. εἰς ὃ γὰρ φθείρεται, καὶ γίνεται ἐξ ἐκείνου. εἰ δὲ τοῦτο, οὐκέτι ἕν τι τούτων εἴη στοιχεῖον. τί γὰρ μᾶλλον τοῦτο στοιχεῖον ἐκείνων τῶν γινομένων ἐξ αὐτοῦ, ἢ ἐκεῖνα ἐξ ὧν τοῦτο γίνεται. ὥστε δεήσει τὰ ἐναντία ἀρχὰς εἶναι καὶ συνυπάρχειν. εἰ δέ τις λέγοι, ὅτι φυλάττον τὴν ἐναντίωσιν, ἐν ᾗ τὸ εἶναι αὐτῷ ἐστι, μεταβάλλει εἰς τὸ ἐναντίον αὐτῇ, εἴη ἂν ἅμα ἐν τοῖς ἐναντίοις. ὅπερ ἀδύνατον. ἔσται γὰρ ὥσπερ τὸ ἓν στοιχεῖον τὰ ἐναντία. ἔτι δὲ εἰ εἰς τὸ ἐναντίον ἡ μεταβολὴ καὶ ἓν τὸ στοιχεῖον πάντων, πάντα ἔσται τῷ ἑνὶ ἐναντία, ἵνα εἰς αὐτὰ μεταβάλλειν δύνηται. ἀλλ᾽ ἓν ἑνὶ κεῖται ἐναντίον. ἔτι δὲ οὐκ ἔσται γένεσις, εἴγε κατὰ τὴν εἰς τὸ ἐναντίον μεταβολὴν ἡ γένεσις. οὐκ ἔστι δὲ τὸ ἓν τῶν ἐναντίων, ἑνὸς ὄντος καὶ ἁπλοῦ τοῦ στοιχείου. ἐπιστῆσαι δὲ χρὴ, ὅτι οἱ ἄλλο τι παρὰ τὰ τέσσαρα στοιχεῖα ταῦτα τὸ στοιχεῖον τῶν ὄντων λέγοντες, ὡς ὕλην ἐτίθεσαν αὐτὸ, οὐ θεωροῦντες ἐν αὐτῷ ποιότητας ἐναντίας. διὸ καὶ τὰ τέσσαρα στοιχεῖα ἐξ ἐκείνου λέγουσι γίνεσθαι, εἰδοποιουμένου ταῖς τούτων ποιότησι. καὶ οἱ τὸ ἓν δὲ τῶν στοιχείων ἀρχὴν λέγοντες, οὐχ ὡς μεταβάλλον ἐκεῖνο λέγουσιν. ἀλλ᾽ ὡς ἐν πᾶσι θεωρούμενον, ὥσπερ ἡ ὕλη. διὸ τὰ οὕτω πως τῶν στοιχείων ὑποτίθενται ἀρχάς. δῆλον δὲ ὅτι τὴν μὲν τοῦ συνθέτου ἀναίρεσιν, ἀπ᾽ αὐτῆς τῆς οὐσίας ἐποιήσατο, τῆς ἐπὶ πᾶν ἐκτεινομένης εἰ ἄπειρος εἴη, καὶ τῶν δυνάμεων τῶν μεταβλητικῶν. τὴν δὲ τοῦ ἁπλοῦ, ἀπὸ τῶν δυνάμεων τῶν φυσικῶν, ἐξ ὧν ἡ ἐναντίωσις, καὶ τοῦτο δὲ ἄξιον ἐπισημήνασθαι κατὰ ταύτην τὴν λέξιν. ὅτι ἐν τοῖς τῶν στοιχείων παραδείγμασι, τὸν μὲν ἀέρα ψυχρὸν εἶπεν, τὸ δὲ ὕδωρ ὑγρόν. ὅπερ οὐκ εἴωθε. τὸν γὰρ ἀέρα ὑγρὸν καλεῖ, ὡς μᾶλλον ἔχοντα τὸ τοῦ ὑγροῦ ἴδιον, τὸ τῷ ἰδίῳ μὲν ὅρῳ δυσόριστον, ἀλλοτρίῳ δὲ εὐόριστον. εἰ μὴ ἄρα καὶ ἐνταῦθα, ἢ κατεφρόνησεν, ὡς διὰ μόνην ἐναντίωσιν χρώμενος τῷ παραδείγματι, ἢ γραφικὸν συνέβη πταῖσμα.

ΔΕΙ͂ ΔῈ ΠΕΡῚ παντὸς. καὶ ἐκ τῶνδε σκοπεῖν εἰ ἐνδέχεται ἢ οὐκ ἐνδέχεται εἶναι σῶμα ἄπειρον αἰσθητόν. ὅτι δὲ ὅλως ἀδύνατον εἶναι σῶμα ἄπειρον αἰσθητὸν, ἐκ τῶνδε δῆλον. πέφυκε γὰρ πᾶν τὸ αἰσθητὸν, πού εἶναι. καὶ ἔστι τόπος τις ἑκάστου. καὶ ὁ αὐτὸς τοῦ μορίου καὶ παντός. οἷον, ὅλης τε τῆς γῆς καὶ μιᾶς βώλου, καὶ πυρὸς, καὶ σπινθῆρος. ὥστε εἰ μὲν ὁμοειδὲς, ἢ ἀκίνητον ἔσται, ἢ ἀεὶ οἰσθήσεται. καίτοι ἀδύνατον. τί γὰρ μᾶλλον κάτω ἢ ἄνω, ἢ ὁπουοῦν, λέγω δὲ, οἷον εἰ βῶλος εἴη, ποῦ αὕτη κινηθήσεται. ἢ ποῦ μενεῖ. ὁ γὰρ τόπος ἄπειρος τοῦ συγγενοῦς αὐτῇ σώματος. πότερον οὖν καθέξει τὸν ὅλον τόπον, καὶ πῶς. τίς οὖν καὶ ποῦ ἡ μονὴ καὶ ἡ κίνησις αὐτῆς. ἢ πανταχοῦ μενεῖ, εἰ οὐ κινηθήσεται ἄρα. ἢ πανταχοῦ κινηθήσεται. οὐκ ἄρα στήσεται, εἰ δ᾽ ἀνόμοιον τὸ πᾶν, ἀνόμοιοι καὶ οἱ τόποι. καὶ πρῶτον μὲν οὐχ ἓν τὸ σῶμα τοῦ παντὸς ἀλλ᾽ ἢ τῷ ἅπτεσθαι. ἔπειτα ἤτοι πεπερασμένα ταῦτ᾽ ἔσται, ἢ ἄπειρα τῷ εἴδει. καὶ πεπερασμένα μὲν οὐχ οἷόν τε, ἔσται γὰρ τὰ μὲν ἄπειρα. τὰ δ᾽ οὔ, εἰ τὸ πᾶν ἄπειρον. οἷον, τὸ πῦρ, ἢ τὸ ὕδωρ. φθορὰ δὲ τὸ τοιοῦτον τοῖς ἐναντίοις, καθάπερ εἴρηται πρότερον. καὶ διὰ τοῦτο, οὐθεὶς τὸ ἓν καὶ ἄπειρον πῦρ ἐποίησεν οὐδὲ γῆν, τῶν φυσιολόγων. ἀλλ᾽ ἢ ὕδωρ, ἢ ἀέρα, ἢ τὸ μέσον αὐτῶν. ὅτι τόπος ἑκατέρου, δῆλος ἦν διωρισμένος. ταῦτα δ᾽ ἐπαμφοτερίζει, τῷ ἄνω καὶ κάτω. εἰ δ᾽ ἄπειρα καὶ ἁπλᾶ, καὶ οἱ τόποι ἄπειροι καὶ ἔσται ἄπειρα τὰ στοιχεῖα. εἰ δὲ τοῦτ᾽ ἀδύνατον, καὶ πεπερασμένοι οἱ τόποι, καὶ τὸ ὅλον πεπεράνθαι ἀναγκαῖον. ἀδύνατον γὰρ μὴ ἀπαρτίζειν τὸν τόπον, καὶ τὸ σῶμα. οὔτε γὰρ ὁ τόπος ὁ πᾶς μείζων, ἢ ὅσον ἐνδέχεται τὸ σῶμα ἅμα εἶναι. ἅμα δ᾽ οὐδ᾽ ἄπειρον ἔσται τὸ σῶμα, οὔτε τὸ σῶμα μεῖζον, ἢ ὁ τόπος. ἢ γὰρ κενόν ἔσται τι, ἢ σῶμα οὐδαμοῦ

Ε ἰπὼν καὶ δείξας, ποτὲ μὲν ὅτι σύνθετόν τι φυσικὸν σῶμα ἄπειρον οὐχ οἷόν τε εἶναι, ποτὲ δὲ ὅτι ἁπλοῦν οὐχ οἷόν τε, νῦν προτίθεται ἁπλῶς, περὶ παντὸς φυσικοῦ ὑπὸ σελήνην πῶς σώματος καὶ ἁπλοῦ καὶ συνθέτου, τὴν ἀπόδειξιν ποιήσασθαι, εἰ ἐνδέχεται ἢ οὐκ ἐνδέχεται εἶναι ἄπειρον, εἴς ὁμοιομερὲς αὐτὸ καὶ ἀνομοιομερὲς διελών. ὥσπερ πρό- (πεφυκὸς εἶναι.

τερον εἰς ἁπλοῦν καὶ σύνθετον. ὥσπερ δὲ πρότερον ἀπὸ τῆς οὐσίας καὶ ἀπὸ τῶν δυνάμεων τῶν φυσικῶν ἐποίει τὰς ἐπιχειρήσεις, οὕτω νῦν ἀπὸ τῶν τόπων τῶν φυσικῶν ποιήσεται τὴν ἐπίβλεψιν. ποιεῖται δὲ νῦν τὸν λόγον περὶ τῶν ἐν γενέσει καὶ φθορᾷ, ὅτι τοιοῦτο σῶμα ἄπειρον οὐκ ἔστι δεικνύς. περὶ γὰρ τοῦ θείου καὶ κυκλοφορητικοῦ ἐν τοῖς περὶ οὐρανοῦ δείξει ὅτι μὴ ἄπειρον. προσλαμβάνει δὲ οἷον ἀξιώματά τινα, ὅτι πᾶν σῶμα αἰσθητὸν, γενητόν τε ὂν καὶ φθαρτὸν, περὶ γὰρ τούτων ὁ λόγος νῦν, ὡς δηλοῖ ἡ τῶν κινήσεων ἀφ' ὧν ἐπιχειρεῖ διαφορὰ, τοῖς ὑπὸ σελήνην στοιχείοις προσήκουσα, πᾶν οὖν τοιοῦτο σῶμα ἐν τόπῳ ἐστὶν, ὅπως ἂν ὁ τόπος ληφθῇ, εἴτε ὡς τὸ διάστημα, εἴτε ὡς ἀριστοτέλει δοκεῖ τὸ πέρας τοῦ περιέχοντος. εἰ μὲν γὰρ τὸ διάστημα ὁ τόπος, καὶ πᾶν σῶμα φυσικὸν ἐν τόπῳ ἐστίν. εἰ δὲ τὸ πέρας τοῦ περιέχοντος, οὐ πᾶν. οὐ γὰρ δὴ καὶ ἡ ἀπλανής. διὰ τοῦτο οὖν ὁ ἀριστοτέλης ἐπὶ τοῦ ὑπὸ σελήνην ποιούμενος τὸν λόγον, τούτῳ χρῆται τῷ ἀξιώματι, τῷ πᾶν αἰσθητὸν σῶμα ἐν τόπῳ εἶναι. δεύτερον δὲ ὅτι ἕκαστον τῶν φυσικῶν σωμάτων ἔχει οἰκεῖόν τινα τόπον. καὶ τρίτον ὅτι τῶν ὁμοιομερῶν ὁ αὐτὸς τοῦ μορίου καὶ τοῦ ὅλου. οἷον ὅλης τῆς γῆς, καὶ βώλου μιᾶς. καὶ πυρὸς, καὶ σπινθῆρος. ὁ αὐτὸς δὲ τῷ εἴδει, οὐ τῷ ποσῷ. ἐφ' ὃν γὰρ ἡ βῶλος φέρεται τόπον, ἐπὶ τοῦτον καὶ ἡ πᾶσα γῆ ἐνεχθείη, εἰ φέροιτο. καὶ ἐν ᾧ μένει, ἐν τούτῳ καὶ τὰ μόρια αὐτῆς μένει, κατὰ φύσιν. ταῦτα οὖν προσλαβὼν, καὶ ὅτι πᾶν σῶμα φυσικὸν, ἢ ὁμοιομερές ἐστιν ἢ ἀνομοιομερὲς, ἄλλην ταύτην διαίρεσιν παρὰ τὴν εἰς τὸ ἁπλοῦν καὶ σύνθετον διαιροῦσαν. δύναται γὰρ καὶ σύνθετόν τι ὂν, ὁμοιομερὲς εἶναι. ὡς σὰρξ, καὶ ὀστοῦν, καὶ τὰ τοιαῦτα. καὶ ἄλλως δὲ οὐκ ἦν ἄξιον τῆς ἀριστοτελικῆς εὐρύτητος, τῇ αὐτῇ πάλιν διαιρέσει χρήσασθαι. καὶ τὰ λεγόμενα δὲ, οὐχ ὡς περὶ ἁπλοῦ καὶ συνθέτου εἴρηται, ἀλλ' ὡς περὶ ὁμοιομεροῦς καὶ ἀνομοιομεροῦς. ἅπερ ὁμοειδὲς καὶ ἀνομοειδὲς ὀνομάζει. κἂν γὰρ ἁπλοῦν που καλεῖ, ἐν οἷς λέγει, εἰ δὲ ἄπειρα καὶ ἁπλᾶ, ὡς οἰκειότερον τὸ ἁπλοῦν τῷ ὁμοιομερεῖ τίθησι, διὰ τὴν πρὸς τὰ ὀργανικὰ σύνθετα ὄντα παραβολήν. παραιτησόμεθα οὖν τὸν ἀλέξανδρον ἐνταῦθα, τὸ ἁπλοῦν καὶ τὸ ὁμοειδὲς, καὶ τὸ σύνθετον καὶ ἀνομοειδὲς, ὡς ταὐτὸν τιθέντα, καὶ λέγοντα, ὅτι καὶ νῦν οὕτω διεῖλεν, ὡς διεῖλεν ἤδη, ὅτε εἰς ἁπλοῦν καὶ σύνθετον ἐποιεῖτο τὴν διαίρεσιν. ἐπὶ τούτοις οὖν τοῖς λήμμασι δείκνυσιν, ὅτι οὐκ ἔστι σῶμα φυσικὸν, οὔτε ὁμοιομερὲς ἤτοι ὁμοειδὲς, οὔτε ἀνομοιομερὲς ἤτοι ἀνομοειδὲς, ἄπειρον. ὥστ' οὐδ' ὅλως ἐστὶν, εἴπερ πᾶν σῶμα φυσικὸν, ἢ ὁμοιομερὲς ἢ ἀνομοιομερές ἐστιν, οὐδέτερον δὲ τούτων ἄπειρον εἶναι δυνατόν. καὶ δείκνυσι πρῶτον, ὅτι οὐδὲν ὁμοιομερὲς σῶμα φυσικὸν ἄπειρόν ἐστιν. εἰ γὰρ ἐστὶν, εἰλήφθω τι μόριον αὐτοῦ. οἷον εἰ γῆ εἴη, βῶλος. ἐπεὶ οὖν ὁ αὐτὸς τόπος ἐπὶ τῶν ὁμοιομερῶν τοῦ τε μορίου καὶ τοῦ ὅλου, ποῦ ἡ βῶλος ἐνεχθήσεται, καὶ ποῦ μενεῖ. τοῦ γὰρ ἀπείρου ἄπειρος ὁ τόπος ὡς δειχθήσεται. εἰ οὖν ἄπειρος ἡ γῆ, καὶ ἄπειρος ὁ τόπος αὐτῆς, καὶ οἰκεῖος ὁ αὐτὸς καὶ τῆς βώλου, ποῦ ἐνεχθήσεται πότερον ἄνω ἢ κάτω. ὁμοίως γὰρ ὁ ὅλος οἰκεῖος. οὐδὲν οὖν μᾶλλον τῇδε ἢ τῇδε. εἰ δὲ πανταχοῦ, διότι πρὸς πᾶν τοῦ τόπου μέρος οἰκείως ἔχει, διασπασθήσεται ἅμα ὁμοῦ φερομένη. εἰ δὲ μὴ κινήσεται, ποῦ μενεῖ, μὴ ἔχουσα τόπον ἀφωρισμένον. οὐκ ἄρα μενεῖ. οὔτε οὖν μένει, οὔτε κινεῖται. εἰ γὰρ ἐν τῷ παντὶ μένει, οὐ κινήσεται. καὶ εἰ ἐν τῷ παντὶ κινεῖται οὐ μενεῖ, ἀπείρου ὄντος τοῦ παντὸς τόπου, καὶ πρὸς πάντα ᾠκειωμένης τῆς βώλου. διὰ τὸ τοῦ μέρους καὶ τοῦ ὅλου τὸν αὐτὸν εἶναι τῷ εἴδει τόπον, εἰ καὶ μὴ τῷ μεγέθει. εἰ δὲ μήτε κινήσεται μήτε ἠρεμήσει, οὐκ ἂν εἴη φυσικὸν, μὴ ἔχον ἐν ἑαυτῷ φύσιν, ἥτις ἐστὶν ἀρχὴ κινήσεως καὶ ἠρεμίας. καὶ οὕτως οὖν ἀδύνατον. καὶ ἄλλως οὖν ἄτοπον τὸ εἶναί τι σῶμα, μήτε μένειν μήτε κινεῖσθαι δυνάμενον. ἀναιρεῖται οὖν τὸ οὕτως εἶναι τὸ ἄπειρον ἁπλοῦν σῶμα, ὡς ὁμοιομερές. ἀλλὰ μὴν οὐδὲ ἀνομοιομερὲς ἢ ἀνομοειδὲς εἶναι δυνατὸν αὐτὸ, ἄπειρον ὑποτιθέμενον. προλαμβάνει δὲ κἀνταῦθα ὡς ἐναργῆ, ὅτι εἰ ὡς ἀνομοιομερές ἐστι τὸ πᾶν, ἀνόμοιοι καὶ οἱ τόποι. οἰκεῖος γὰρ ἑκάστῳ τῶν σωμάτων ἀφώρισται τόπος. εἰ δὲ ἀνόμοια καὶ τὰ σώματα καὶ οἱ τόποι, οὐ συνεχὲς ἔσται τὸ ἕν, ἀλλ' ἐξ ἁπτομένων ἀλλήλων τῶν μορίων. τοῦτο δὲ οὐχ ὡς ἄτοπον ἐπήγαγεν. καὶ νῦν γὰρ ἐξ ἁπτομένων ἀλλήλων τῶν μορίων ἐστὶν ἡ μία τοῦ παντὸς σύστασις, καὶ οὐκ ἐκ συνεχῶν. ὡς δηλοῦσιν αἱ διάφοροι κινήσεις. ἀλλ' ἔλαβεν ὅτι πολλά ἐστιν ἐνεργείᾳ, τὰ τοῦ ἀνομοειδοῦς μέρη. οὗ προληφθέντος, χρῆται λοιπὸν διαιρετικῷ τοιούτῳ. εἰ πολλά ἐστι τὰ εἴδει διαφέροντα μόρια, ἢ πεπερασμένα κατ' ἀριθμὸν ἔσται ἢ ἄπειρα. καὶ εἰ μὲν πεπερασμένα τῷ ἀριθμῷ, τοῦ ὅλου κατὰ μέγεθος ἀπείρου ὄντος, ἀνάγκη πάλιν ἓν ἢ πλείω ἄπειρα εἶναι. εἰ γὰρ πάντα πεπερασμένα, καὶ τὸ ὅλον ἔσται πεπερασμένον καὶ οὐκ ἄπειρον. εἰ δὲ ἔστι τι ἄπειρον, ἥξει πάλιν ὁ πρότερον ῥηθεὶς λόγος, ὅτι διαφθαρήσεται τἄλλα ὑπὸ τοῦ ἀπείρου, καὶ κατὰ τὸ εἶδος καὶ κατὰ τὸν τόπον ὑποκειμένου διαφέρειν. αἱ δὲ κατὰ τόπον διαφοραὶ, καὶ ἐναντιώσεις ἔχουσι πρὸς ἀλλήλας τῶν τε τόπων αὐτῶν, καὶ τῶν ἐν τοῖς τόποις σωμάτων πρὸς ἄλληλα. καὶ ὅτι ἀδύνατον ἀφωρισμένων τῶν τόπων εἶναί τι ἓν ἄπειρον, ὡς ἐναντιώσεως οὔσης καὶ φθορᾶς τῶν λοιπῶν, δείκνυσι καὶ ἐκ τῆς τῶν ἄλλων φυσιολόγων ὑπονοίας, τῶν ἓν ἄπειρον λεγόντων τὸ στοιχεῖον. οὐδεὶς γὰρ τούτων ἢ πῦρ ἢ γῆν ἄπειρον εἶπε τὸ στοιχεῖον. διότι ἀφωρισμένους πάντα τόπους ἔχοντα, καὶ ἄπειρα ὄντα, ἔφθειρε πάντως τὰ ἐν τοῖς ἀντικειμένοις, ἀντικειμένην ἔχοντα

τὴν φύσιν· ἀλλ' ὕδωρ, ὡς Θαλῆς· ἢ ἀέρα, ὡς Ἀναξιμένης· ἢ τὸ μεταξὺ ἐκείνων, ὡς Ἀναξίμανδρος. διό-
τι ταῦτα ἐπαμφοτερίζειν δοκοῦντα τοῖς τόποις, καὶ ἄνω καὶ κάτω δυνάμενα εἶναι, οὐκ ἦν
φθαρτικά, ὡς μὴ δ' ἐναντία κατὰ τοὺς τόπους. καὶ ἄλλως δὲ προχειρότερόν ἐστιν ἀκούειν, ὅτι οὐ-
δεὶς τὸ ἓν καὶ ἄπειρον ἐν ἀφωρισμένῳ τόπῳ ἐποίει. ὁ γὰρ ἀφωρισμένος τόπος οὐκ ἦν ὅλος. τοῦ δὲ
ἀπείρου ὁ ὅλος ἂν εἴη τόπος. καὶ εἴη ἂν τοῦτο οὐκ ἀπὸ τοῦ φθαρτικοῦ δεικνύων τὸ ἀδύνατον τῆς ὑπο-
θέσεως, ἀλλ' ἀπὸ τοῦ προληφθέντος τῶν τόπων ἀφορισμοῦ. δῆλον δὲ καὶ ὅτι ἄλλως ἀδύνατος ἡ
ὑπόθεσις, ἡ ἓν τῶν πολλῶν ἄπειρον ὑποτιθεμένη. πῶς γὰρ δώσει χώραν ἄλλῳ τοῦ εἶναι, ἢ πῶς οὐ
περιανεῖ πρὸς αὐτό. ἀλλ' ὡς σαφῆ ταύτην τὴν ἀνασκευὴν παρῆκεν αὐτὸς εἰπεῖν. μεταβὰς δὲ ἐπὶ
τὸ ἕτερον τμῆμα, τὸ ἄπειρα τῷ ἀριθμῷ τὰ μέρη ὑποτιθέμενον, εἰ δὲ ἄπειρά φησι καὶ ἁπλᾶ, τουτ-
έστιν αὐτὰ ὁμοιομερῆ, τὸ γὰρ ἀνομοιομερὲς τὸ πρῶτον ἐξ ὁμοιομερῶν πάντως μερῶν σύγκειται
τὸ ὅλον, ὡς καὶ ἡ χεὶρ εἰ τύχοι ἡ ἡμετέρα ἀπὸ σαρκῶν καὶ ὀστῶν καὶ νεύρων, εἰ οὖν ἄπειρα κατὰ
τὸ πλῆθος καὶ τὸ εἶδος τὰ ἐξ ὧν σύγκειται τὸ ἀνομοιομερὲς ἄπειρον, ἔσονται καὶ οἱ τόποι ἄπει-
ροι, καὶ τῶν τόπων αἱ διαφοραί. εἰ δὲ οἱ τόποι καὶ αἱ τῶν τόπων διαφοραὶ πεπερασμέναι ὡς δεί-
ξει, καὶ τὰ σώματα τὰ ἁπλᾶ πεπερασμένα ἔσται κατὰ εἶδος καὶ κατὰ ἀριθμόν. ὥστε καὶ τὸ ὅ-
λον πεπερασμένον ἔσται τῷ μεγέθει. καὶ ὅτι μὲν ἡ πρόληψις ἀληθὴς, καὶ εἰσὶν οἱ τόποι πεπερα-
σμένοι, δῆλον ἐκ τῶν τοπικῶν ἀντιθέσεων. αἱ γὰρ διαφοραὶ τῶν τόπων, ἓξ εἰσί. τὸ ἄνω, καὶ κάτω.
δεξιὰ, καὶ ἀριστερά. ἔμπροσθεν, καὶ ὄπισθεν, καὶ παρὰ ταῦτα οὐκ ἔστιν. ὅτι δὲ καὶ τὸ συνημμένον,
καὶ ἐὰν οἱ τόποι ὡρισμένοι καὶ τὰ σώματα τὰ ἐν αὐτοῖς ὡρισμένα ἔσται καὶ πεπερασμένα, δείκ-
νυσιν ἐκ τοῦ δεῖν ἐξισάζειν πάντως τὸν τόπον καὶ τὸ σῶμα. εἴτε γὰρ ὁ τόπος ὑπερβάλλει, δύο ἀ-
δύνατα ἀκολουθήσει. καὶ ὅτι κενὸν ἀνάγκη εἶναι, ὅπερ δειχθήσεται μὴ ὄν. τὸ γὰρ κενὸν οἱ λέ-
γοντες, τόπον λέγουσιν ἐστερημένον σώματος. ἔτι δὲ καὶ ὅτι εἰ μείζων ὁ τόπος εἴη τοῦ σώματος, οὐκ ἂν
εἴη τὸ σῶμα ἄπειρον. οὐδὲν γὰρ τοῦ ἀπείρου μεῖζον. εἰ δὲ τὸ σῶμα ὑπερβάλλειν τις λέγει τὸν τόπον,
ἔσται τι σῶμα μὴ ὂν ἐν τόπῳ. ὅπερ οὐδὲ τῶν φυσικῶν τοῖς πλείστοις ἀρέσκει, πᾶν σῶμα ἐν τόπῳ
εἶναι τιθεμένοις. τὸ δὲ καὶ ἔσται ἄπειρα τὰ στοιχεῖα, δύναται μὲν καὶ ὡς ἐπὶ τῆς ὑποθέσεως εἰρῆ-
σθαι, ἢ ἐπάγεται τὸ εἰ δὲ τοῦτο ἀδύνατον. καὶ εἴη ἂν στοιχεῖα λέγων τὰ ἁπλᾶ καὶ ὁμοιομερῆ τοῦ ἀ-
πείρου ἀνομοιομεροῦς μέρη. δύναται μέντοι καὶ ὡς ἑπόμενον ἄτοπον τῇ ὑποθέσει καὶ αὐτὸ λέ-
γεσθαι. ἐπειδὴ γὰρ τὸ ἀνομοιομερὲς ἄπειρον, σύγκειται ἐξ ἁπλῶν ἀπείρων τῷ εἴδει κατὰ τὴν ὑ-
πόθεσιν, στοιχεῖα δὲ ταῦτα. δέδεικται δὲ ἐν τῷ πρώτῳ βιβλίῳ ἀδύνατον ἄπειρα τῷ ἀριθμῷ εἶναι
τὰ στοιχεῖα. ἔοικε δὲ νῦν πρὸς τὴν προτέραν ἐξήγησιν ἀποδεδωκέναι τοῦτο. εἰ δὲ τοῦτο, ἀδύνατον, ὡς
δηλοῖ ἡ τοῦ ἀδυνάτου αἰτία, ἀπὸ τῶν τόπων ἐπαγομένη.

ἈΝΑΞΑΓΟΡΑΣ δ' ἀτόπως λέγει περὶ τῆς τοῦ ἀπείρου μονῆς. στηρίζειν γὰρ αὐτὸ αὐτό φησι τὸ
ἄπειρον. τοῦτο δὲ ὅτι ἐν αὐτῷ, ἄλλο γὰρ οὐδὲν περιέχει ὡς ὅπου ἄν τι ᾖ, πεφυκὸς ἐνταῦθα εἶναι.
τοῦτο δ' οὐκ ἀληθές. εἴη γὰρ ἄν τι που βίᾳ, καὶ οὐκ οὗ πέφυκεν. εἰ οὖν ὅτι μάλιστα μὴ κινεῖται τὸ ὅλον,
τὸ γὰρ ἐν αὐτῷ στηριζόμενον καὶ ἐν αὐτῷ ὂν, ἀκίνητον εἶναι ἀνάγκη. ἀλλὰ διότι οὐ πέφυκε κινεῖ-
σθαι, λεκτέον. οὐ γὰρ ἱκανὸν τὸ, οὕτως εἰπόντα, ἀπηλλάχθαι. εἴη γὰρ ἂν καὶ ὁτιοῦν ἄλλο, οὐ κινού-
μενον. ἀλλὰ πεφυκέναι οὐδὲν κωλύει. ἐπεὶ καὶ ἡ γῆ οὐ φέρεται. οὐδ' εἰ ἄπειρος ἦν, εἰργμένη μέντοι
ἀπὸ τοῦ μέσου. ἀλλ' ὅτι οὐκ ἔστιν ἄλλο οὗ ἐνεχθήσεται. μένοι ἂν ἐπὶ τοῦ μέσου. ἀλλ' οὐχ ὅτι πέφυκεν οὕ-
τω. καίτοι ἐξείη ἂν λέγειν ὅτι στηρίζει ἑαυτήν. εἰ οὖν μηδ' ἐπὶ τῆς γῆς τοῦτο αἴτιον ἀπείρου οὔσης,
ἀλλ' ὅτι βάρος ἔχει. τὸ δὲ βαρὺ μένει ἐπὶ τοῦ μέσου, ἡ δὲ γῆ ἐπὶ τοῦ μέσου, ὁμοίως καὶ τὸ ἄπειρον
μένει ἐν αὐτῷ διά τινα ἄλλην αἰτίαν. καὶ οὐχ ὅτι ἄπειρον καὶ στηρίζει αὐτὸ αὐτό. ἅμα δὲ δῆλον, ὅτι
κἂν ὁτιοῦν δέοι μέρος μένειν, ὡς γὰρ τὸ ἄπειρον ἐν ἑαυτῷ μένει στηρίζον, οὕτω κἂν ὁτιοῦν ληφθῇ μέ-
ρος, ἐν ἑαυτῷ μενεῖ. τοῦ γὰρ ὅλου καὶ τοῦ μέρους, ὁμοειδεῖς οἱ τόποι. οἷον, ὅλης γῆς, καὶ βώλου, κά-
τω. καὶ παντὸς πυρὸς καὶ σπινθῆρος, ἄνω. ὥστε εἰ τοῦ ἀπείρου τόπος τὸ ἐν αὐτῷ, καὶ τοῦ μέρους ὁ
αὐτὸς, μενεῖ ἄρα ἐν ἑαυτῷ.

Γ ροσεχῶς ὡς ἀδύνατον ἐπάγων τὸ, ἢ σῶμα οὐδαμοῦ πεφυκὸς εἶναι, διότι τὸ δεῖν πᾶν σῶμα πού
εἶναι, καὶ πρότερον δὲ ὡς ἀξίωμα λαβὼν, τὸ ἑκάστῳ τῶν σωμάτων κατὰ φύσιν εἶναί τινα τόπον,
καὶ εἰς τοῦτον φέρεσθαι τὸ μόριον ἐπὶ τῶν ὁμοιομερῶν, εἰς ὃν τὸ πᾶν, καὶ ἐν τούτῳ μένειν ἐν ᾧ καὶ
τὸ πᾶν, ἐπὶ τούτοις οὖν ὡς ὁμολογουμένοις τὰ προειρημένα συμπεραινόμενος, εὑρίσκει τὸν Ἀναξα-
γόραν ἀντιφθεγγόμενον. ἐκεῖνος γὰρ ἀκίνητον λέγων τὸ ἄπειρον τῶν ὁμοιομερῶν μῖγμα, αἴτιον λέ-
γει τῆς ἀκινησίας, οὐ τὸ ἐν τῷ οἰκείῳ εἶναι τόπῳ. οὐδὲ γὰρ ὅλως εἶναι ἐν τόπῳ, διότι τὸ ἄπειρον ὂν
μὴ περιέχεσθαι ὑπό τινος, ὡς δὴ τοῦ περιέχοντος μείζονος εἶναι ὀφείλοντος τοῦ περιεχομένου, τοῦ
δὲ ἀπείρου μηδὲν ὀφείλοντος ἔχειν ἑαυτοῦ μεῖζον. διὰ τοῦτο οὖν οὐ τὸν τόπον καὶ τὴν πρὸς τὸν τόπον
οἰκειότητα αἰτιᾶται τοῦ μένειν. ἀλλ' ὅτι ἐν αὐτῷ ὂν, στηρίζει αὐτὸ ἑαυτό. ταύτην οὖν τὴν δόξαν εὐ-
θύνει, ὡς οὐ καλῶς οἰομένου τοῦ Ἀναξαγόρου, ὅτι ὅπου ἄν τι ᾖ, ὡς πεφυκὸς ἐκεῖ εἶναι, οὕτως ἐστί, καὶ

διὰ τοῦτο

διὰ τοῦτο ἐν ἑαυτῷ ὂν τὸ μῖγμα, ἀλλ' οὐκ ἐν τόπῳ, ὡς πεφυκὸς εἶναι ἐν ἑαυτῷ, οὕτω μένει. τοῦτο δὲ οὐκ ἀληθές. εἴη γὰρ ἄν τι που καὶ βίᾳ. ὥσπερ ὁ ἀπὸ παττάλου ἠρτημένως λίθος ἐστὶ, καὶ μένει ἔνθα μὴ πέφυκε κἂν μὴ κινῆται. οὕτω τὸ ὅλον ἐν ἑαυτῷ στηριζόμενον, διότι τὸ ἐν ἑαυτῷ στηριζόμενον καὶ ἐν ἑαυτῷ ὂν ἀκίνητον εἶναι ἀνάγκη, οὐκ αὐταρκὲς τοῦτο τὸ ἀναγκαῖον καὶ βίαιον ἐνίοτε εἰς ἀπόδοσίν φησι τῆς τοῦ μένειν φυσικῆς αἰτίας. ἀλλὰ χρὴ ζητεῖν φυσικὴν αἰτίαν τοῦ μένειν. δύναται γὰρ τὴν ἐνίοτε μένειν, οὐχ ὅτι πέφυκεν οὕτως. ἀλλ' ὅτι οὐκ ἔχει τι ἄλλο ὅπου κινήσεται ὡς ἄπειρον, καίτοι πεφυκὸς ἐνίοτε κινεῖσθαι μᾶλλον ἢ μένειν. οὕτως οὐκ ἀρκεῖ τὸ λέγειν μένειν που ἢ ἐν ἑαυτῷ ἢ ἐν ἄλλῳ, πρὸς τὸ δηλοῦν καὶ ὅτι πέφυκεν οὕτως. οὐ γὰρ ταυτόν ἐστι τὸ ὅτι καὶ τὸ διότι. τὸ μὲν γοῦν μένειν, τὸ ὅτι δηλοῖ. ὁ δὲ τὴν αἰτίαν τοῦ μένειν ζητῶν, οὐκ ἀρκεῖται τῷ μένειν. δείκνυσι δὲ τοῦτο οὕτως ἔχον καὶ ἐπὶ τοῦ κατὰ τὴν γῆν παραδείγματος. κἂν γὰρ ἄπειρόν τις αὐτὴν ὑπόθηται, ἵνα μὴ διὰ τοῦτο νομίσῃ τι συμβαίνειν, ἀλλ' οἷον ἔμενεν ἂν καὶ ἐστήριζεν ἑαυτήν. ἀλλ' οὐ διὰ τοῦτο ἔμενεν, ὅτι οὐκ εἶχέ που ἐνεχθῆναι ὡς ἄπειρος. οὐδὲ ὅτι στηρίζει ἑαυτήν. ἀλλ' ὅτι ὑπὸ τῆς τοῦ μέσου δυνάμεως, ἐν ᾧ πέφυκεν εἶναι, ὑπὸ ταύτης εἴργεται κινεῖσθαι. εἰ οὖν οὐδὲ ἐπὶ τῆς γῆς, κἂν ἄπειρόν τις αὐτὴν ὑποθῆται, αἴτιον τοῦ μένειν τὸ στηρίζειν ἐστὶν, ἢ τὸ μὴ ἔχειν ἄλλο ὅποι οἰσθήσεται, ἀλλὰ ἄλλη τις αἰτία φυσική, διότι γοῦν βαρέως ἔχει, τὸ δὲ βαρὺ μένει ἐπὶ τοῦ μέσου, διὰ τοῦτο ἡ γῆ μένει ἐπὶ τοῦ μέσου ὁμοίως ἂν καὶ τὸ ἄπειρον μῖγμα εἰ μένοι ἐν ἑαυτῷ, διά τινα ἄλλην αἰτίαν φυσικῶς ἂν μένοι. καὶ οὐχ ὅτι ἄπειρον ὂν, οὐκ ἔχει ἄλλο ὅποι οἰσθήσεται. οὐδὲ ὅτι στηρίζει αὐτὸ ἑαυτό. ὁ γὰρ ταῦτα λέγων, οὐ τὴν φυσικὴν αἰτίαν τῆς μονῆς λέγει, ἀλλὰ τὴν βίαιον καὶ ἐξ ἀνάγκης. καὶ οὐ τὴν γῆς ὡς γῆς, ἀλλὰ τοῦ μεγέθους αὐτῆς. διότι γὰρ τὸ ἄπειρον ὑποτεθὲν, οὐκ ἔχει ἄλλο οὗ κινηθήσεται. οὕτω μὲν οὖν ἤλεγξε τὴν ἀναξαγόρου τῆς μονῆς αἰτίαν. ἔτι δὲ μᾶλλον αὐτὴν ἀπὸ τῶν μερῶν ἐλέγχει. εἰ γοῦν ὁμοειδὲς τῷ ὅλῳ ἀπείρῳ μίγματι τὸ μέρος, διότι πᾶν ἐν παντὶ, τῶν δὲ ὁμοειδῶν ὁμοειδεῖς οἱ τόποι, καὶ τὸ ὅλον καὶ ἄπειρον μῖγμα ἐν ἑαυτῷ μένει στηρίζον, δηλονότι κἂν ὁποιονοῦν ληφθῇ μέρος αὐτοῦ, ἐν ἑαυτῷ μένει καὶ αὐτὸ στηρίζει. ὡς γὰρ ἐν τόπῳ, οὕτω καὶ ἐν ἑαυτῷ. ἐν ᾧ γὰρ τὸ ὅλον, ἐν τούτῳ καὶ τὸ μέρος, ὅταν ὁμοειδὲς ᾖ. καὶ γὰρ ὅλης τῆς γῆς καὶ βώλου μιᾶς, ὁ αὐτὸς τόπος τὸ κάτω. καὶ πυρὸς ὅλου καὶ σπινθῆρος τὸ ἄνω. ὥστε εἰ τοῦ ἀπείρου τόπος τὸ ἐν ἑαυτῷ, καὶ τοῦ μέρους ὁ αὐτός. μένει ἄρα καὶ τὸ μέρος καὶ οὐ κινηθήσεται. ὅπερ ἐναργῶς ἐστὶ παρὰ τὰ φαινόμενα. κινεῖται γὰρ τὰ μέρη πάντα. εἰ δὲ ἐν οἰκείοις τοῖς τόποις, ἠρεμεῖν ἀνάγκη. τὸ δὲ ἐν ἑαυτῷ ὡς ἐν οἰκείῳ τόπῳ λαμβάνων ἀναξαγόρας, διὰ τοῦτο μένειν ἔλεγε τὸ μῖγμα ὅλον, ὅτι ἐν αὐτῷ στηρίζει. ὅλως δὲ εἰ διότι τὸ ἐν ἑαυτῷ εἶναι μένει, τοῦτο δὲ τὸ ἐν ἑαυτῷ εἶναι καὶ τοῖς ἄλλοις ὑπάρχει, καὶ τοῖς μέρεσι, καὶ τοῖς πεπερασμένοις, καὶ τοῖς ἀπείροις πάντα ἂν μένοι, καὶ οὐδὲν ἂν κινοῖτο. ἀλλ' οὐδὲ τῷ ὅλῳ μίγματι ὡς ἀπείρῳ τὸ μένειν ὑπάρχει, εἴπερ διότι τὸ ἐν ἑαυτῷ εἶναι καὶ μένει. δῆλον δὲ ὅτι εἰ κατὰ φύσιν μηδὲν κινεῖται, οὐδὲ παρὰ φύσιν τι κινηθήσεται. παρὰ φύσιν γὰρ κινήσεις εἰσὶν αἱ τῶν κατὰ φύσιν ἐναντίαι. οὐδαμῶς ἄρα οὐδὲν κινηθήσεται τῶν φυσικῶν σωμάτων, καὶ ταῦτα τῆς φύσεως ἀρχῆς κινήσεως οὔσης. ποιησάμενος δὲ τὸν λόγον ἐπὶ ἑνὸς μορίου, ἵνα μὴ νομίσῃ τις ὡς ἐφ' ἑνὸς συνῆχθαι τὸ λεγόμενον, ἐπήγαγεν, ἅμα δὲ δῆλον κἂν ὁποιονοῦν δέοι μέρος μένειν. εἰ γὰρ ἐν τινὶ τῶν μορίων τοῦ ἀπείρου κατὰ φύσιν ἐστὶ τὸ ἐν αὐτῷ στηρίζειν, καὶ διὰ τοῦτο καὶ τὸ μένειν, καὶ πᾶσιν ὁμοίως. καὶ οὕτως οὐδὲν τῶν σωμάτων κατὰ φύσιν κινηθήσεται. ἀλλ' οὐδὲ παρὰ φύσιν, ὡς ἐν τῷ τετάρτῳ δείξει. ὕστερον γὰρ τὸ παρὰ φύσιν τοῦ κατὰ φύσιν. τοῦτο δὲ καὶ ἀτοπώτατον, καὶ τῇ δόξῃ τοῦ ἀναξαγόρου μαχόμενον, οὐδὲ κατὰ τὸ φαινόμενον ἀκίνητα τὰ ὄντα λέγοντος. τὸ δὲ ζητεῖν εἰ ἔστι τι αὐτὸ ἐν ἑαυτῷ, καὶ εἰ δύναταί τι ἑαυτοῦ τόπος εἶναι, τῆς περὶ τόπου περισκέψεως οἰκεῖον ὑπάρχον, ἐν τοῖς περὶ τόπου λόγοις προβάλλεται κατ' ἀρχὰς τοῦ τετάρτου βιβλίου. δῆλον δὲ ὅτι ἐπὶ μὲν τοῦ ὅλου διελέγχει τὸν λόγον, ὡς μὴ φυσικὴν αἰτίαν τῆς μονῆς ἀποδιδόντα. ἐπὶ δὲ τῶν μερῶν, ὡς τῇ ῥηθείσῃ αἰτίᾳ ἀδυνάτου τινὸς ἑπομένου, τοῦ μηδὲν τῶν φυσικῶν κινεῖσθαι. οὕτω μὲν οὖν πρὸς τὸ φαινόμενον τῆς ἀναξαγόρου δόξης ὑπήντησεν ὁ ἀριστοτέλης. εἰ δὲ ἀληθῶς πρότερον ἔλεγον, ὅτι διττὸν ἐνδείκνυται κόσμον ὁ ἀναξαγόρας, τὸν μὲν νοητὸν, τὸν δὲ αἰσθητὸν, καὶ τὸν μὲν ἡνωμένον τὸν δὲ διακεκριμένον, τὸ μὴ εἶναι ἐν τόπῳ ἀλλ' ἐν ἑαυτῷ, καὶ στηρίζειν ἐν ἑαυτῷ, πάνυ οἰκείως εἴρηται περὶ τοῦ νοητοῦ, ὥσπερ καὶ τὸ ἄπειρον. τὰ μὲν γὰρ σώματα πεπερασμένα ταῖς ἐπιφανείαις ὄντα, οἷον ἐξεχύθη διαστάντα, καὶ ὑποδοχῆς ἑτέρας ἐδεήθη καὶ στηριγμοῦ. ἅπερ ὁ τόπος αὐτοῖς παρέχεται, ἐκπεσοῦσιν ἀφ' ἑαυτῶν καὶ τοῦ ἐν ἑαυτοῖς εἶναι, ὥσπερ καὶ ἐν ὕλῃ. τὰ δὲ ἀμερῆ καὶ ἀδιάστατα, ἐν ἑαυτοῖς ἐστι. καὶ στηρίζεται ὑφ' ἑαυτῶν ἅτε συνῃρημένα. τὰ δὲ διαστάντα καὶ ἄλλο ἀλλαχοῦ τῶν μορίων διαρρίψαντα, τῷ ἀλλαχοῦ καὶ μὴ ἐν τούτῳ τὸ ὅλον, τόπου δέεται καὶ εὐθετισμοῦ τῆς τοιαύτης διαρρίψεως. ἀλλ' ἐπὶ τὰ ἑξῆς ἰτέον.

ΟΛΩΣ ΔΕ φανερὸν, ὅτι ἀδύνατον ἅμα ἄπειρον λέγει σῶμα. καὶ τόπον τινὰ εἶναι τοῖς σώμασιν. εἰ πᾶν σῶμα αἰσθητὸν ἢ βάρος ἔχει ἢ κουφότητα. καὶ εἰ μὲν βαρὺ, ἐπεὶ τὸ μέσον ἔχει τὴν φορὰν

φύσει. εἰ δὲ κοῦφον, ἄνω. ἀνάγκη γὰρ καὶ τὸ ἄπειρον σῶμα. ἀδύνατον δὲ ἢ ἅπαν ὁποτερονοῦν, ἢ τὸ ἥμισυ, ἑκάτερον πεπονθέναι. πῶς γὰρ διελεῖς, ἢ πῶς τοῦ ἀπείρου ἔσται, τὸ μὲν ἄνω τὸ δὲ κάτω. ἢ ἔσχατον, ἢ μέσον.

Τὸν ἀνεξαγόρου λόγον ἀντὶ τοῦ ἐν τόπῳ τὸ ἐν ἑαυτῷ ὡς ἐν τόπῳ θέμενον, ἐξιστάνει καλῶς, ὅτι ἀκόλουθον τῷ ἄπειρον λέγοντι σῶμα, τὸ μὴ λέγειν τόπον τινὰ εἶναι ἐν τοῖς σώμασι. καὶ τῷ τὸν τόπον ὁμολογοῦντι τὸ μὴ εἶναι σῶμα ἄπειρον. δῆλον δὲ ὅτι καὶ πρὸς τὴν ἐξ ἀρχῆς προτεθεῖσαν τοῦ ἀπείρου ἀναίρεσιν, ἡ ἀπόδειξις αὕτη συντελεῖ. ὡς γὰρ ἀπ' αὐτοῦ τοῦ ἀπείρου πρότερον ἐπιχειρῶν, ἐδείκνυ ὅτι οὔτε συμβεβηκὸς, οὔτε ἁπλοῦν, οὔτε σύνθετον, οὔτε ὁμοιομερὲς, οὔτε ἀνομοιομερές, οὕτω νῦν ἀπὸ τῶν τόπων καὶ τῆς πρὸς αὐτοὺς σχέσεως ἐπιχειρεῖ. καὶ πρῶτον ὅτι εἰ ἄπειρον, οὐκ ἐν τόπῳ. ἡ δὲ ἐπιχείρησις ἀπὸ τῶν δυνάμεων γίνεται τῶν φυσικῶν σωμάτων. εἰ γὰρ πᾶν σῶμα αἰσθητὸν ἢ βάρος ἔχει ἢ κουφότητα, καὶ κατὰ τὰς ῥοπὰς ταύτας τοῖς σώμασιν ὑπάρχει ἡ ἀπὸ τῶν τόπων καὶ ἐπὶ τοὺς τόπους κίνησις, καὶ ἡ ἐν αὐτοῖς μονή, ἀδύνατον δὲ τὸ ἄπειρον σῶμα βάρος ἔχειν ἢ κουφότητα ὡς δείξει, ἀδύνατον ἄπειρόν τι σῶμα ἐν τόπῳ εἶναι. ἀλλὰ μὴν τὸ πρῶτον. τὸ ἄρα δεύτερον. καὶ τὸ μὲν πᾶν σῶμα αἰσθητὸν βάρος ἔχειν ἢ κουφότητα, ὡς ἐναργὲς παρῆκε. δεῖ γὰρ πάντως ὁποτερανοῦν ἔχειν τούτων τῶν ἀντικειμένων ποιοτήτων, τὰ μὲν ἁπλᾶ καθ' αὑτὴν ὁποτερανοῦν, τὰ δὲ μικτὰ κατὰ τὴν μίξιν αὐτὴν ἢ κατὰ τὸ ἐπικρατοῦν. ὅτι δὲ εἰ ἄπειρόν τι ἐστὶ σῶμα, ἀδύνατον αὐτὸ βάρος ἔχειν ἢ κουφότητα, ἢ ἄνω ἢ κάτω εἶναι, ἔδειξε διὰ τοῦ εἰπεῖν, ἀδύνατον δὲ ἢ πᾶν ὁποτερονοῦν, ἢ τὸ ἥμισυ, ἑκάτερον πεπονθέναι. τούτων δὲ δυοῖν ὄντοιν, τῷ μὲν ἅπαν ὁποτερονοῦν πεπονθέναι, οὐκ ἐπήγαγε τὸ ἑπόμενον ἄτοπον ὡς ἐναργές. εἰ γὰρ ἅπαν ἢ ἄνω ἢ κάτω, ἐπειδὴ ἑκάτερον τούτων πεπέρασται, εἴπερ ἄνω μέν ἐστι τὸ πρὸς τῷ ἐσχάτῳ, κάτω δὲ τὸ πρὸς τῷ μέσῳ, ἔσται τὸ ἄπειρον σῶμα ἐν πεπερασμένῳ τόπῳ. ὅπερ ἀδύνατον. ἔτι δὲ εἰ ἐν τῷ ἑτέρῳ τούτων τὸ ἄπειρον, ὁ συναμφότερος τόπος μείζων ἔσται τοῦ ἀπείρου. εἴγε αὐτὸ ἴσον ἐστὶ τῷ ἑτέρῳ ἐν ᾧ ἐστι. τοῦ δὲ ἀπείρου μεῖζον οὐδέν ἐστι. ταῦτα μὲν οὖν ὡς πρόδηλα τῷ λόγῳ αὐτὸς προσάγειν οὐκ ἠξίωσε. τῷ δὲ τὸ ἥμισυ ἑκάτερον πεπονθέναι, τὸ ἑπόμενον ἐπήνεγκεν, εἰπών, πῶς γοῦν ἂν διελεῖς ἢ πῶς τοῦ ἀπείρου ἔσται τὸ μὲν ἄνω, τὸ δὲ κάτω. ἀδύνατον γὰρ δίχα διελεῖν τὸ ἄπειρον. ἢ γὰρ ἄπειρον ἑκάτερον, καὶ ἔσται τὸ ὅλον μεῖζον ἑκατέρου, ἀπείρων ὄντων, ἢ πεπερασμένον, καὶ ἔσται τὸ ὅλον πεπερασμένον, ἐκ δυοῖν πεπερασμένων συγκείμενον. πῶς δὲ τοῦ ἀπείρου τὸ μὲν ἄνω ἔσται, τὸ δὲ κάτω. ἔσται γὰρ ἐν πεπερασμένοις τόποις τὰ δύο τοῦ ἀπείρου μόρια. ὥστε καὶ αὐτὰ πεπερασμένα ἔσται, καὶ τὸ ὅλον πεπερασμένον. τὸ δὲ πεπερασμένον τοῦ ἄνω καὶ κάτω, ἐνεδείξατο διὰ τοῦ ἢ ἔσχατον καὶ μέσον. ὃ γοῦν ἔσχατον καὶ μέσον ἔχει, πεπέρασται. περάτων γὰρ ὀνόματα τὸ ἔσχατον καὶ μέσον. ἔσται δὲ ἔσχατον μὲν τοῦ ἀπείρου τὸ ἄνω, μέσον δὲ τὸ κάτω. εἰ δὲ τὸ μὲν ἄνω ἔσχατον, τὸ δὲ κάτω μέσον. καὶ ἑκάτερον πεπέρανται, καὶ διὰ τοῦτο ἀδύνατον ἐν αὐτοῖς εἶναι τὰ τοῦ ἀπείρου μόρια, δηλονότι πολλῷ μᾶλλον τὸ ὅλον ἄπειρον ἐν ὁποτερῳοῦν εἶναι ἀδύνατον. ὥστε διὰ τῆς αὐτῆς δείξεως καὶ ἄμφω δέδεικται, καὶ ὅτι ἀδύνατον πᾶν ὁπότερον. καὶ ὅτι ἀδύνατον τὸ ἥμισυ ἑκάτερον πεπονθέναι.

Ἔτι πᾶν σῶμα αἰσθητὸν ἐν τόπῳ. τόπου δὲ εἴδη καὶ διαφοραί, τὸ ἄνω, καὶ κάτω, καὶ ἔμπροσθεν καὶ ὄπισθεν. καὶ δεξιὸν καὶ ἀριστερόν, καὶ ταῦτα οὐ μόνον πρὸς ἡμᾶς καὶ θέσει, ἀλλὰ καὶ ἐν αὐτῷ τῷ ὅλῳ διώρισται. ἀδύνατον δὲ ἐν τῷ ἀπείρῳ εἶναι ταῦτα.

Ἀπὸ τῶν φυσικῶν δυνάμεων τοῦ φυσικοῦ σώματος, καὶ τῶν κατὰ ταύτας αὐτοῦ ῥοπῶν, τουτέστιν ἀπὸ τοῦ βάρους αὐτοῦ καὶ τῆς κουφότητος, δείξας ὅτι οὐκ ἂν εἴη τὸ ἄπειρον ἐν τόπῳ, νῦν ἀπὸ τῶν τοῦ τόπου διαφορῶν ἀναιρεῖ τὸ δύνασθαι ἐν ἑαυτῷ εἶναί τι ἄπειρον σῶμα. προέκειτο γὰρ δεῖξαι, ὅτι ἀδύνατον ἄπειρον ἅμα λέγειν σῶμα, καὶ τόπων τινὰ εἶναι τοῖς σώμασι. δείξας οὖν ὅτι εἰ ἄπειρον, οὐκ ἔσται ἐν τόπῳ, νῦν δείκνυσιν ὅτι εἰ ἐν τόπῳ, οὐκ ἔσται ἄπειρον. εἰ γὰρ πᾶν σῶμα αἰσθητὸν ἐν τόπῳ, ἀδύνατον ἄπειρον εἶναι σῶμα. τόπου δὲ εἴδη καὶ διαφοραί, τὸ ἄνω καὶ τὸ κάτω, καὶ τὸ ἔμπροσθεν καὶ τὸ ὄπισθεν, καὶ τὸ δεξιὸν καὶ τὸ ἀριστερόν. καὶ ταῦτα οὐ μόνον πρὸς ἡμᾶς καὶ τῇ θέσει ἐστὶν ὡς δειχθήσεται, ἀλλὰ καὶ ἐν τῷ ὅλῳ κατὰ φύσιν διώρισται. δῆλον οὖν ὅτι ὡρισμένα καὶ πεπερασμένα ἐστὶν, ὡς δηλοῖ καὶ ἡ πρὸς ἄλληλα αὐτῶν διαφορά. καὶ τὸ ἐν αὐτοῖς ἄρα σῶμα φυσικὸν πεπερασμένον ἔσται. ἐξισάζει γοῦν τῷ τόπῳ τὸ ἐν αὐτῷ σῶμα, ὡς δέδεικται πρότερον. ἀδύνατον ἄρα τὰς τῶν τόπων διαφορὰς ἀπείροις σώμασιν ὑπάρχειν, ὥστε τὸ ἐν τόπῳ ὂν ἄπειρον εἶναι. τὸ δὲ καὶ φύσει εἶναι τὰς τοῦ τόπου ταύτας διαφοράς, αὐτὸς μὲν ἐν τῇ περὶ οὐρανοῦ δείκνυσιν. ὁ δὲ Ἀλέξανδρος ἐν τοῖς πρὸς τὸν περὶ κυρείας(?) ζητήσεων ἀντιγεγραμμένοις. δείκνυσι δὲ θαυμασίως ὁ Ἀριστοτέλης, ὅτι οὐκ ἂν ἦν ταῦτα πρὸς ἡμᾶς καὶ κατὰ θέσιν, εἰ μὴ ἐν τῷ παντὶ πρότερον ἦν, καὶ κατὰ φύσιν.

Ἁπλῶς δὲ ἀδύνατον τόπον εἶναι ἄπειρον, ἐν τόπῳ δὲ πᾶν σῶμα, ἀδύνατον ἄπειρον εἶναί τι σῶμα, ἀλλὰ μὴν, τό γε πού, ἐν τόπῳ. καὶ τὸ ἐν τόπῳ, πού. εἰ οὖν μηδὲ ποσὸν οἷόν τε εἶναι τὸ ἄπειρον, ποσὸν γάρ τι ἔσται. οἷον δίπηχυ, ἢ τρίπηχυ. ταῦτα γὰρ σημαίνει τὸ ποσὸν, οὕτω καὶ τὸ ἐν τόπῳ, ὅτι πού. τοῦτο δὲ, ἢ ἄνω, ἢ κάτω. ἢ ἐν ἄλλῃ τινὶ διαστάσει τῶν ἕξ. τούτων δὲ ἕκαστον, πέρας τί ἐστιν.

Ἀπὸ τῶν

Ἀπὸ τῶν διαφορῶν τῶν τόπων δείξας ὅτι οὐχ οἷόν τε τὸ ἄπειρον ἐν τόπῳ εἶναι, οὐδὲ τὸ ἐν τόπῳ ἄπειρον, ἵνα μή τις λέγῃ ὅτι ἐν μερικῷ μὲν τόπῳ οὐκ ἔστι τὸ ἄπειρον, ἐν τῷ ὅλῳ δὲ καὶ ἐν τῷ ἁπλῶς τόπῳ ἀπείρῳ ὄντι, τί κωλύει ἄπειρον εἶναι σῶμα, πρὸς τὴν τοιαύτην ἔνστασιν λέγει, ὅτι εἰ ἀδύνατον τόπον ἄπειρον εἶναι, ἐν τόπῳ δὲ πᾶν σῶμα, ἀδύνατον ἄπειρον εἶναι σῶμα. ἀλλὰ μὴν τὸ ἡγούμενον· καὶ τὸ ἄρα ἑπόμενον. καὶ τὸ μὲν συνημμένον κατασκευάζειν ὡς πρόδηλον παρῆκε. τὴν δὲ πρόσληψιν τὴν λέγουσαν ἀλλὰ μὴν ἀδύνατον τόπον ἄπειρον εἶναι, τίθησι καὶ κατασκευάζει, διὰ τοῦ δεῖξαι ὅτι οὐκ ἔστιν ἐν τόπῳ εἶναι τὸ μὴ ἔν τινι τόπῳ ὄν. τοῦτο δέ, διότι τῶν κοινῶν ἡ ὕπαρξις ἐν τοῖς καθέκαστά ἐστιν. οὗ γὰρ γένος τι κατηγορεῖται ἐν ὑπάρξει ὄντος, τοῦτο καὶ ἄτομόν τι ἐστίν. οἷον εἰ ἄνθρωπος, καὶ τὶς ἄνθρωπος. οὕτω δὲ καὶ εἰ τὸ ποῦ οἷον τὸ ἄνω ἢ τὸ κάτω, τοῦτο καὶ ἐν τόπῳ ἐστί, καὶ τὸ ἐν τόπῳ πάντως ποῦ, τουτέστιν ἢ ἄνω ἢ κάτω, ἢ ἁπλῶς ἔν τινι ἀτόμῳ τόπῳ. διὰ τοῦτο γὰρ οὐδὲ ποσὸν ἁπλῶς ἐστι τὸ ἄπειρον, ὅτι ἀνάγκη καὶ τὶ ποσὸν αὐτὸ ἀφωρισμένον εἶναι. οἷον δίπηχυ, ἢ τρίπηχυ. ἐπείπερ τὸ κοινὸν ἐν τῷ ἀτόμῳ τὴν ὕπαρξιν ἔχει. ὁ μέντοι Εὔδημος ὁμολόγως ἔχειν φησί, τὸ μὲν τί πρὸς τὸ τόδε. τὸ δὲ ποιὸν πρὸς τὸ οἷον. τὸ δὲ ποσὸν πρὸς τὸ ὅσον. τὸ δὲ ποῦ πρὸς τὸ οὗ. καὶ τὰ μὲν εἶναι καθόλου, τὰ δὲ καθέκαστα. οἷον τὸ μὲν ποῦ ἐν τόπῳ, τὸ δὲ οὗ Ἀθήνησιν. ὁ μέντοι Ἀριστοτέλης ἔοικε τὸ ποῦ ἀντὶ τοῦ καθέκαστον λαμβάνειν. καὶ ἄμεινον οἶμαι καὶ τὸ ἐν τῷ, εἰ οὖν μηδὲ ποσόν, καὶ τὸ ἐν τῷ, ποσὸν γάρ τι ἐστίν, ἑκάτερον ποσὸν ὀξύνειν, καὶ μὴ βαρύνειν τὸ εἰ οὖν μηδὲ πόσον, ὡς ὁ Ἀλέξανδρος βούλεται. τὸ γὰρ ὡρισμένον, ὅπερ τὸ βαρύτονον δηλοῖ, ἀντὶ τοῦ πόσον γάρ τι ἀκουστέον. τὸ γάρ τι προσκείμενον, τὸ ὡρισμένον δηλοῖ. δυνατὸν δὲ καὶ κατὰ τὸν Ἀλέξανδρον ἀκούειν. εἰ οὖν μηδὲ ὡρισμένον ποσὸν δύναται εἶναι τὸ ἄπειρον, διότι μερικόν τι τὸ ἄπειρον γίνεται οὕτως. οἷον δίπηχυ ἢ τρίπηχυ, οὐδὲ ἐν τόπῳ δύναται εἶναι, ὅτι ἔν τινι τόπῳ ἔσται, οἷον ἄνω, ἢ κάτω, ἢ ἄλλῃ τινὶ διαστάσει τοπικῇ, ἓξ οὐσῶν τῶν τοπικῶν διαστάσεων. ἐν τούτων δέ τινι εἶναι οὐ δύναται, διότι πέρας ἐστὶν ἑκάστη. οὕτω δὲ εἴπερ καὶ τό, ἀλλὰ μὴν τόγε ποῦ ἐν τόπῳ, καὶ τὸ ἐν τόπῳ ποῦ, τὸ ποῦ ἀντὶ τοῦ ἔν τινι τόπῳ εἰπών, οἷον ἄνω ἢ κάτω, ὡς ἐδήλωσε μετ' ὀλίγον, εἰπὼν οὕτω, καὶ τὸ ἐν τῷ τόπῳ ὅτι ποῦ, τοῦτο δὲ ἢ ἄνω ἢ κάτω. κάλλιον οὖν ἴσως ἐπείπερ βαρυτονεῖν χρὴ τὸ ἕτερον ποσόν, οὐχὶ τὸ πρῶτον ἀλλὰ τὸ δεύτερον βαρυτονεῖν, τό, πόσον γάρ τι ἔστιν. ἵν' ᾖ τὸ μὲν πόσον βαρυτόνως τὸ ὡρισμένον δηλοῦν. τὸ δὲ τί, τὸ δίπηχυ καὶ τρίπηχυ. καὶ ἐντεῦθεν δὲ δῆλον ὅτι οὐκ ἀναιρεῖ τὴν τῶν κοινῶν ὑπόστασιν ὁ Ἀριστοτέλης. ἀλλ' ἐν τοῖς πολλοῖς καὶ διαφόροις αὐτὴν ὑφεστάναι λέγων, τὸ καθ' αὑτὴν εἶναι ἀνερεῖ, τῆς ἡμετέρας ἐννοίας ἔργον οἰόμενος, τὸ τὴν ἐν τοῖς πολλοῖς ὑφεστῶσαν κοινότητα χωρίζειν. διὸ καὶ ὑστερογενῆ αὐτὴν καλεῖ. τὸ δὲ ἐξῃρημένον ἀφ' οὗ ἡ ἐνυπάρχουσα κοινότης, οὐκ ἂν λέγοιτο δικαίως κοινότης.

Ὅτι μὲν οὖν ἐνεργείᾳ οὐκ ἔστι σῶμα ἄπειρον φανερὸν ἐκ τούτων. ὅτι δὲ εἰ μὴ ἔστιν ἄπειρον ἁπλῶς πολλὰ ἀδύνατα συμβαίνει, δῆλον. τοῦ τε γὰρ χρόνου ἔσται τις ἀρχὴ καὶ τελευτή. καὶ τὰ μεγέθη οὐ διαιρετὰ εἰς μέγεθος. καὶ ἀριθμὸς οὐκ ἔσται ἄπειρος. ὅταν δὲ διωρισμένων οὕτως μηδετέρως φαίνηται ἐνδέχεσθαι, διαιτητοῦ δεῖ. καὶ δῆλον, ὅτι πὼς μὲν ἔστι. πὼς δ' οὔ.

Εἰπὼν πρότερον ἐπιχειρήματα, ἐξ ὧν εἶναί τις πιστεύσειε τὸ ἄπειρον, εἶτα διὰ πλειόνων δείξας ὅτι οὐκ ἔστι σῶμα ἄπειρον ἐνεργείᾳ, συγκρούει λοιπὸν τοὺς λόγους. καὶ φησίν, ὅτι εἰ καὶ τοῖς τιθεῖσι τὸ ἄπειρον ἐνεργείᾳ ἄτοπά τινα ἀκολουθεῖ, καὶ τοῖς ἁπλῶς ἀναιροῦσι τὸ ἄπειρον ἀδύνατα συμβαίνει, δηλονότι τοῦ διαιτήσοντος χρεία καὶ δείξοντος, πῶς μὲν ἔστι πῶς δὲ οὐκ ἔστι τὸ ἄπειρον. εἰ γὰρ τῷ δεικνύντι μὴ εἶναι ἄτοπα ἀκολουθεῖ, δηλονότι ἀνάγκη εἶναι. καὶ πάλιν εἰ τῷ δεικνύντι εἶναι ἀδύνατα συμβαίνει, ἀνάγκη μὴ εἶναι. εἰ οὖν μὴ συναληθεύει ἡ ἀντίφασις, ἀνάγκη πῶς μὲν εἶναι, πῶς δὲ μὴ εἶναι. ἐπειδὴ δὲ τὰ ἑπόμενα ἄτοπα τοῖς ἀναιροῦσι τελέως τὸ ἄπειρον πρὸ πολλοῦ τέθεικε, διὰ τοῦτο καὶ νῦν αὐτῶν ὑπομιμνήσκει, τὰ κυριώτατα φέρων εἰς μέσον. εἰ γὰρ μὴ ἔστιν ἄπειρος ὁ χρόνος, ἔσται τις ἀρχὴ καὶ τελευτὴ τοῦ χρόνου. εἰ δὲ τοῦτο, ἦν ὅτε οὐκ ἦν χρόνος, καὶ ἔσται ὅτε οὐκ ἔσται. τὸ δὲ ἦν καὶ ἔσται χρόνου μόρια. ὥστε ἦν χρόνος ὅτε οὐκ ἦν χρόνος, καὶ ἔσται ὅτε οὐκ ἔσται. καὶ κίνησις δὲ ἀνέκλειπτος ἀναιρεθήσεται, ἧς ἀριθμὸς ὁ χρόνος. καὶ τὸ πᾶν δὲ οὐκ ἔσται ἀΐδιον. δεύτερον δὲ ἀπείρου μὴ ὄντος ὅλως, ἡ τῶν συνεχῶν διαίρεσις στήσεται, καὶ ἡ τοῦ ἀριθμοῦ αὔξησις.

Λέγεται δέ, τὸ εἶναι, τὸ μὲν δυνάμει· τὸ δὲ ἐντελεχείᾳ. καὶ τὸ ἄπειρον, ἔστι μέν, προσθέσει, ἔστι δὲ καὶ ἀφαιρέσει. τὸ δὲ μέγεθος, ὅτι μὲν κατ' ἐνέργειαν οὐκ ἔστιν ἄπειρον, εἴρηται. διαιρέσει δ' ἐστίν. οὐ γὰρ χαλεπὸν ἀνελεῖν τὰς ἀτόμους γραμμάς. λείπεται οὖν δυνάμει εἶναι τὸ ἄπειρον.

Μέλλων δεικνύναι πῶς μὲν ἔστι, πῶς δὲ οὐκ ἔστι τὸ ἄπειρον, προλαμβάνει τινὰ χρήσιμα αὐτῷ πρὸς τὴν δεῖξιν ἐσόμενα. ἓν μέν, ὅτι τῶν εἶναι λεγομένων, τὰ μέν, ὡς δυνάμει ὄντα λέγεται εἶναι, τὰ δὲ ὡς ἐνεργείᾳ. τοῦτο δὲ ὡς ἐναργὲς καὶ συνήθες καὶ πολλάκις ὑπ' αὐτοῦ δεδειγμένον προέλαβεν. ἕτερον δὲ τὸ προσθέσει τε καὶ διαιρέσει εἶναι τὸ ἄπειρον. καὶ τοῦτο ἐναργές, εἴγε ἄτοπον τὸ ἀρχὴν καὶ τελευτὴν εἶναι τοῦ χρόνου, καὶ τὰ μεγέθη μὴ εἰς μεγέθη διαιρεῖσθαι, καὶ τὸ μὴ πάντα τὸν ληφθέντα ἀριθμὸν οἷόν τε ἐπαύξειν. εἰ τοίνυν εἶναι μὲν τὸ ἄπειρον ἀνάγκη, καὶ προσθέσει διὰ τὸν χρόνον καὶ διὰ τὸν ἀριθμόν, καὶ διαιρέσει διὰ τὴν τῶν μεγεθῶν τομήν, οὐδὲν δὲ κατ' ἐνέργειαν ἄπειρον ὡς δέδεικται προσεχῶς, ἀνάγκη ἄρα δυνάμει εἶναι καὶ διαιρέσει τὸ μέγεθος ἄπειρον, ἐπείπερ πᾶν τὸ ὂν ἢ δυνάμει ἐστὶν ἢ ἐνεργείᾳ. δυνάμει

ἄρα τὸ ἄπειρον ἐν τῇ τοῦ μεγέθους διαιρέσει. ὥστε ἐπ' ἄπειρον διαιρετὸν τὸ μέγεθος. καὶ γὰρ τὸ ἀνελεῖν φησι τὰς ἀτόμους γραμμάς, αἵ τινες δοκοῦσι τῇ ἐπ' ἄπειρον διαιρέσει ἐνίστασθαι, χαλεπὸν οὐδέν. καὶ γὰρ γέγραπται βιβλίον αὐτῷ πρὸς τὰς ἀτόμους γραμμάς. καὶ ἐν ταύτῃ δείξει τῇ πραγματείᾳ, ὅτι οὐκ ἐξ ἀμερῶν σύγκειται τὰ μεγέθη. δῆλον δὲ τοῦτο καὶ ἐκ τῶν μαθηματικῶν. εἰ γὰρ ὡς ἐν τῷ δεκάτῳ τῶν εὐκλείδου στοιχείων δέδεικται πᾶσαν γραμμὴν κατὰ τὸν αὐτὸν λόγον τῇ ἤδη τετμημένῃ διελεῖν, οὐκ ἂν ἄτομος εἴη γραμμή. ἔτι δὲ εἰ ἄτομοι, οὐ δίχα διαιρεθήσεται πᾶσα γραμμή, ὡς ἐδόκει ποιεῖν ὁ προβαλλόμενος τὴν δοθεῖσαν εὐθεῖαν δίχα τεμεῖν. καὶ οὐ τὴν ἄτομον μόνον γραμμὴν οὐκ ἔστι δίχα τεμεῖν, ἀλλὰ καὶ τὴν ἐκ περιττῶν ἀτόμων συγκειμένην. ὥσπερ οὐδὲ ὁ περιττὸς ἀριθμὸς δίχα διαιρεῖται.

ΟΥ ΔΕΙ δὲ τὸ δυνάμει ὂν, λαμβάνειν ὥσπερ εἰ δυνατὸν τοῦτ' ἀνδριάντα εἶναι, ὡς καὶ ἔσται τοῦτ' ἀνδριὰς οὕτω καὶ ἄπειρόν τι ὃ ἔσται ἐνεργείᾳ. ἀλλ' ἐπεὶ πολλαχῶς τὸ εἶναι ὥσπερ ἡ ἡμέρα ἐστὶ καὶ ὁ ἀγὼν τῷ ἀεὶ ἄλλο καὶ ἄλλο γίνεσθαι, οὕτω καὶ τὸ ἄπειρον. καὶ γὰρ ἐπὶ τούτων ἐστὶ καὶ δυνάμει καὶ ἐνεργείᾳ. ὀλύμπια γάρ ἐστι καὶ τῷ δύνασθαι τὸν ἀγῶνα γίνεσθαι. καὶ τῷ γίνεσθαι.

Εἰπὼν δυνάμει εἶναι τὸ ἄπειρον ἐν τῇ τῶν μεγεθῶν διαιρέσει κατὰ τὸ ἐπ' ἄπειρον, ἐπειδὴ καὶ τὸ δυνάμει πᾶν ἐκβῆναι δεῖ ποτε εἰς ἐνέργειαν, εἰ μὴ μάτην εἴη, ἐὰν δὲ γένηται ἐνεργείᾳ ἄπειρα διαιρέματα μεγέθη ἔχοντα, καὶ μέγεθος ἄπειρον ἂν γένοιτο, τὸ γὰρ ἐξ ἀπείρων τῷ πλήθει μεγεθῶν ἄπειρον ἔσται τὸ μέγεθος, ὡς εἴρηται πολλάκις, ἀποδέδεικται δὲ διὰ πολλῶν μὴ ὂν ἄπειρον μέγεθος, καὶ ταύτην λύων τὴν ἔνστασιν, καὶ τὴν φύσιν τοῦ ἀπείρου παραδεικνὺς ἐναργέστερον, διχῆ διαιρεῖ τὸ δυνάμει κατὰ τὴν τοῦ ἐνεργείᾳ διαίρεσιν. ἐπειδὴ γὰρ τὸ δυνάμει πρὸς τὸ ἐνεργείᾳ λέγεται, ὁσαχῶς τὸ ἐνεργείᾳ τοσαυταχῶς καὶ τὸ δυνάμει ῥηθήσεται. τὸ δὲ ἐνεργείᾳ διχῶς. ἢ γὰρ ὡς τὸ ὑφεστὼς ὅλον τοῦτο ὅπερ ἐστίν. ὥσπερ ἄνθρωπος ἢ οἰκία. ἢ ὡς τὸ ἐν τῷ γίνεσθαι τὸ εἶναι ἔχον, ὡς ὁ ἀγὼν καὶ ἡ ἡμέρα, καὶ γὰρ καὶ ταῦτα ἐνεργείᾳ λέγομεν, ὅταν ᾖ. διττὸν ἄρα καὶ τὸ δυνάμει. τὸ μὲν, ὡς πρὸς τὸ ὅλον ἅμα ὑφιστάμενον. ὡς λέγομεν τὸν χαλκὸν δυνάμει ἀνδριάντα, ὅτι ἐκβαίνει ποτὲ εἰς τὸ εἶναι ἀνδριάς, ὃς ὅλος ὁμοῦ ὑφέστηκε. τὸ δὲ, πρὸς τὸ ἐν τῷ γίνεσθαι τὸ εἶναι ἔχον. δυνάμει οὖν τὸ ἐν τῇ διαιρέσει τῶν μεγεθῶν ἄπειρον, οὐχ ὅτι διαιρεῖταί ποτε εἰς ἄπειρα τὰ μεγέθη. ἀλλ' ὅτι ἐπ' ἄπειρον διαιρεῖται, τουτέστιν ὅτι ἀεὶ δύναται διαιρεῖσθαι. τὸ γὰρ ἐπ' ἄπειρον οὐ κατὰ τὸ ἐνεργείᾳ, ἀλλὰ κατὰ τὸ δυνάμει ἔχει τὸ ἄπειρον. ἐν γὰρ τῷ δύνασθαι ἀεὶ τέμνεσθαι, καὶ μηδαμοῦ καταλήγειν τὴν τομὴν, τὸ ἄπειρόν ἐστι. τὸ μὲν γὰρ τμηθὲν ἀεὶ πεπέρανται. διότι δὲ πᾶν τμῆμα δύναται πάλιν τμηθῆναι, διὰ τοῦτο ἐπ' ἄπειρον. εἰ δὲ καὶ ἐπὶ τῆς διαιρέσεως καὶ ἐπὶ τῆς προσθέσεως ἀεὶ τί ἐστιν ἔξω, ἐπὶ μὲν τῆς διαιρέσεως τὸ διαιρεθησόμενον, ἐπὶ δὲ τῆς προσθέσεως τὸ προστεθησόμενον, κατὰ τὸ δυνάμει ἐστὶ τὸ ἄπειρον. ἐν γὰρ τῷ διαιρετῷ ἐστιν, ἀλλ' οὐκ ἐν τῷ διαιρουμένῳ. τοιγαροῦν κἂν μὴ διαιρῆται, ἐπ' ἄπειρόν ἐστι διαιρετόν. εἰ δὲ καὶ ἐν τῷ διαιρεῖσθαι θεωρεῖται τὸ ἐπ' ἄπειρον, μὴ θαυμάσῃς. τὸ γὰρ τοιοῦτον ἐνεργείᾳ τὸ ἐν τῷ γίνεσθαι τὸ εἶναι ἔχον, σύνεστιν ἀεὶ τῷ δυνάμει. καὶ διὰ τοῦτο ἔχει ἀεὶ τὴν ἐν τῷ γίνεσθαι παράτασιν. ὅτι οὐδαμῶς τοῦ δυνάμει ἀπολύεται. ἀπολυθὲν γάρ ἐστιν ὅπερ ἐστὶ, καὶ πέρας ἔχει, καὶ οὐδὲν ἄπειρον. διὸ τὰ ἐνεργείᾳ μόνως ὄντα, ὅλα ἅμα ἐστί. καὶ οὔτε τὸ δυνάμει ἐστὶν ἐν αὐτοῖς, οὔτε τὸ ἐπ' ἄπειρον. διὸ οὐδὲ χρόνος ὁ κατ' ἀριθμὸν κινούμενος, ἀλλ' αἰὼν, ὁ ἐν ἑνὶ μένων. εἰκότως ἄρα ἐν τῷ δυνάμει λέγεται εἶναι τὸ ἄπειρον, καὶ οὐκ ἐν τῷ ἐνεργείᾳ. τὸ μὲν γὰρ μερισθὲν ὥρισται ἀεὶ ὥς φησιν εὔδημος καὶ οὐκ ἔστιν ἄπειρον. πεπερασμένον γὰρ πεπερασμένῳ προστίθεται. ἡ δὲ διαίρεσις οὐχ ὑπολείπει. ὃ γὰρ γένοιτ' ἂν οὐχ ὥρισται. τὸ δὲ ἀόριστον, ποσὸν ἄπειρον. ἐντεῦθεν δὲ ἔοικε καὶ πλάτων τὸ μέγα καὶ τὸ μικρὸν ἄπειρον λέγειν. ὅτι ἐφ' ἑκάτερόν ἐστιν ἡ ἀπειρία δυνάμει. ἐνεργείᾳ γὰρ οὔτε πλῆθος οὔτε μέγεθός ἐστιν ἄπειρον. καὶ ἔοικεν ἐπὶ τοῦ ἀπείρου ταὐτὸν εἶναι τὸ δυνάμει καὶ τὸ ἐνεργείᾳ. ἡ γὰρ τοῦ ἀπείρου ἐνέργεια ὡς ἀπείρου, τὸ δύνασθαι ἀεί τι πλέον. ἐπεὶ εἴ τις ἐντελέχειαν ἐπιζητοίη ἐπὶ τοῦ ἀπείρου, οἷον στάσιν τινὰ καὶ εἶδος, οὗτος οὐδὲν ἄλλο ἢ πέρας ἐπιζητεῖ τοῦ ἀπείρου, ταὐτὸν δὲ εἰπεῖν φθοράν. τοῦτο δὲ ἀδύνατον. πᾶσα γὰρ ἐντελέχεια σώζειν ὀφείλει τὸ ὑποκείμενον. καὶ ὥσπερ ἡ τοῦ κινητοῦ ἐντελέχεια φυλάττουσα τὸ δυνάμει κίνησις ἦν, οὕτω καὶ ἡ τοῦ ἀπείρου. ὥσπερ γὰρ τὰ ἐν τῷ γίνεσθαι εἶναι ἔχοντα, ἀπολέσαντα τὸ γίνεσθαι ἀπόλλυσι καὶ τὸ εἶναι, οὕτω καὶ τὰ ἐν τῷ δύνασθαι ἕως τότε ἐστὶν, ἕως ὅτε ἐστὶ τὸ δύνασθαι. εἰ δέ τις φησὶ τὸ καθ' αὑτὸ δυνάμει ζητεῖ ἐπὶ τούτου, λαμβανέτω ἐκεῖνο τὸ ὅτε μήπω διαιρεῖται τὸ μέγεθος, καὶ ὅτε μήπω δύναται ὁ ἀγὼν ἐπιτελεῖσθαι, μήπω τελούμενος. ἐνεργείᾳ δὲ, τὸ ἐν τῷ ἐπιτελεῖσθαι συνὸν τῷ δυνάμει. ἀλλ' οὐχὶ τὸ ἐν τῷ ἐπιτελέσθαι. ὡς ἐπὶ τοῦ ἀνδριάντος. οὐ γὰρ ὅλον, ἀλλὰ κατὰ μέρος τὸ ἐπ' ἄπειρον. ἀλλ' ἔστω μὲν δυνάμει τὸ ἄπειρον ἐν τῇ τῶν μεγεθῶν διαιρέσει, κατὰ τὴν ἐπ' ἄπειρον τομήν. πῶς δὲ ὅλως διαιρεῖταί τι ἐπ' ἄπειρον, ἢ τί τὸ διαιροῦν ἐστι. τέχνη μὲν γὰρ οὐκ ἂν ἐπ' ἄπειρον τέμνοι. καὶ ὁ βίος γὰρ ἀπαγορεύσει τοῦ τεχνίτου, καὶ τὰ ὄργανα οὐκ ἰσχύσει. ἡ δὲ φύσις εἰ ἐπ' ἄπειρον τέμνοι τι μέγεθος, πολλὰ ἂν ἤδη τμήματα ἄχρηστα πρὸς σύστασιν ἐποίησε διὰ σμικρότητα. εἰ δὲ πρὸ τοῦ εἰς ἐλάχιστον καὶ ἄχρηστον κατατεμεῖν, πάλιν αὐτὰ συντίθησιν, οὐκ ἔσται ἡ ἐπ' ἄπειρον τομή. μήποτε οὖν ῥητέον ὅτι ἡ φύσις ποιεῖται μὲν τὰς διαιρέσεις ἄχρι τῆς χρείας. τέμνουσα δὲ δύο τμήματα εἰ τύχοι τὰ ἐλάχιστα, καὶ αὖθις αὐτὰ συντιθεῖσα, εἰ δέοι, πάλιν τεμεῖν, οὐ πάλιν κατὰ τὴν συμβολὴν τέμνει, ἀλλὰ κατ' ἄλλο μέρος, καὶ οὐδὲν ἄτομον ἀπολιμπά-

νουσα, εἰ καὶ ἄλλοτε κατ᾽ ἄλλα μέρη διαιρεῖ. καὶ οὕτως ἡ ἐπ᾽ ἄπειρον τομὴ καὶ ἐνεργουμένη φανήσεται. καὶ οὐδὲν ἴσως ἄτοπον ἀκολουθήσει.

ἌΛΛΩΣ δὲ ἔν τε τῷ χρόνῳ δῆλον τὸ ἄπειρον. καὶ ἐπὶ τῶν ἀνθρώπων καὶ ἐπὶ τῆς διαιρέσεως τῶν μεγεθῶν. ὅλως μὲν γὰρ οὕτως ἐστὶ τὸ ἄπειρον, τῷ ἀεὶ ἄλλο καὶ ἄλλο λαμβάνεσθαι. καὶ τὸ λαμβανόμενον μὲν ἀεὶ πεπερασμένον εἶναι. ἀλλ᾽ ἀεί γε ἕτερον καὶ ἕτερον. ἔτι τὸ εἶναι πλεοναχῶς λέγεται ὥστε τὸ ἄπειρον οὐ δεῖ λαμβάνειν ὡς τόδε τι. οἷον ἄνθρωπον, ἢ οἰκίαν. ἀλλ᾽ ὡς ἡ ἡμέρα λέγεται καὶ ὁ ἀγών. οἷς τὸ εἶναι οὐχ ὡς οὐσία τις γέγονεν. ἀλλ᾽ ἀεὶ ἐν γενέσει ἢ φθορᾷ εἰ καὶ πεπερασμένον ἀλλ᾽ ἀεί γε ἕτερον καὶ ἕτερον. ἀλλ᾽ ἐν μὲν τοῖς μεγέθεσιν, ὑπομένοντος τοῦ ληφθέντος τοῦτο συμβαίνει. ἐπὶ δὲ τῶν ἀνθρώπων καὶ τοῦ χρόνου, φθειρομένων, οὕτως, ὥστε μὴ ὑπολείπειν.

Δείξας τὸ ἄπειρον ὑπάρχον κατὰ τὸ ἐπ᾽ ἄπειρον, ἔν τε τῇ τῶν μεγεθῶν διαιρέσει, καὶ τῇ τῶν ἀριθμῶν αὐξήσει, καὶ τῇ τοῦ χρόνου παρατάσει, πρότερον δὲ καὶ ἐν τῷ ἀνεκλείπτῳ τῆς γενέσεως, κοινὰ μὲν πᾶσιν εἶναί φησι, τὸ ἐν τῷ γίνεσθαι τὸ εἶναι ἔχειν, καὶ διὰ τοῦτο μὴ ἀθρόον ἀλλ᾽ ἀπὸ μέρους εἶναι, καὶ τὸ ἄλλο καὶ ἄλλο ἀεὶ τὸ λαμβανόμενον εἶναι, καὶ τοῦτο πεπερασμένον. διαφέρειν δέ φησιν ἐπὶ τῆς τῶν μεγεθῶν διαιρέσεως καὶ τοῦ χρόνου. ὅτι ἐπὶ μὲν τοῦ χρόνου τὸ ληφθὲν ἀεὶ μέρος ἐφθάρη. ἀεὶ γὰρ τὸ παρεληλυθὸς ἔφθαρται. ἐπὶ δὲ τῆς διαιρέσεως ὑπομένει τὸ ληφθέν. οὔτε δὲ χρόνος ἀπαγορεύει πρὸς γένεσιν, οὔτε μέγεθος πρὸς διαίρεσιν. αἴτιον δὲ τῆς τοῦ ἀπείρου ὑποστάσεως εἰπὼν, τὸ ἀεὶ ἄλλο καὶ ἄλλο λαμβάνεσθαι καὶ μὴ ἀθρόον, καὶ διὰ τοῦτο ὑφίστασθαι τὸ ἐπ᾽ ἄπειρον, προστίθησι καὶ τὴν ἑτέραν. εἰ μὲν γὰρ πάντα τὸ εἶναι εἶχεν ἐν τῇ ἀθρόᾳ ἑαυτῶν ὑποστάσει, οὐκ ἂν ἦν ἐν τῇ γενέσει ἐπ᾽ ἄπειρον. ἐπεὶ δέ τινα ἐν τῷ γίνεσθαι τὸ εἶναι ἔχοντα κατὰ μέρος ὑφίσταται, ὡς ἡ ἡμέρα καὶ ὁ ἀγὼν, τὸ μὲν ληφθὲν ἀεὶ πεπερασμένον ἔχει ἕτερον καὶ ἕτερον. ἅπερ ἀνέκλειπτα ὄντα τὸ ἐπ᾽ ἄπειρον ποιεῖ, διαφέρον ὡς εἴρηται ἐπὶ τῆς τοῦ μεγέθους διαιρέσεως, καὶ τῆς τῶν γινομένων καὶ φθειρομένων παρατάσεως, ἐν οἷς ἐστὶ καὶ ὁ χρόνος καὶ τὸ μὴ ἐπιλεῖπον τῆς τῶν ἀνθρώπων διαδοχῆς, τῷ ἐπὶ μὲν τοῦ μεγέθους ὑπομένειν τὰ διαιρέματα, ἐπὶ δὲ τῶν ἄλλων οὐκέτι. κἂν ὑπομένῃ δὲ, ἐν τῷ γίνεσθαι τὸ εἶναι ἔχει ἡ ἐπ᾽ ἄπειρον διαίρεσις, ἀλλ᾽ οὐκ ἀθρόα ὑφέστηκεν. τὰ δὲ μὴ ὑπομένοντα, οὐκ ἐν τῷ γίνεσθαι μόνον, ἀλλὰ καὶ ἐν τῷ φθείρεσθαι ἔχει τὴν ἐπ᾽ ἄπειρον πρόοδον. τοῦτο δὲ τὸ ἐν τῷ γίνεσθαι ἔχον τὸ εἶναι, ἀντέθηκε τῷ εἶναι, ὅπερ ὡς οὐσία γέγονεν, οἷον ἄνθρωπος ἢ οἰκία, ἀθρόας ὑφισταμένης ποτὲ τῆς γινομένης οὐσίας, καὶ μὴ ἀεὶ κατὰ μέρος. ὥσπερ τοῦ ἐπ᾽ ἄπειρον, τὸ μὲν ἀεὶ λαμβανόμενον πεπέρανται, τῷ δὲ δύνασθαι ἀεί τι ἄλλο προσλαμβάνεσθαι, ἡ ἀπειρία ὑπάρχει. δοκεῖ δὲ δίς πως τὰ αὐτὰ λέγεσθαι, ἀπὸ τοῦ, ἔτι τὸ εἶναι πλεοναχῶς λέγεται, τῶν αὐτῶν πάλιν ἐπαγομένων καὶ ἐπὶ αὐτῆς λέξεως τῶν πλειόνων. ἀλλ᾽ εἰ μὲν ὡς καὶ πολλὰ τῶν ἀντιγράφων ἔχει, καὶ ὁ Ἀλέξανδρος καὶ ταύτην οἶδε τὴν γραφὴν, μετὰ τὸ, καὶ τὸ λαμβανόμενον ἀεὶ πεπερασμένον εἶναι, συνῆπται τὸ, ἀλλ᾽ ἀεί γε ἕτερον καὶ ἕτερον, οὐ τὸ προσεχὲς, ἀλλὰ τὸ κατωτέρω, γινομένων μεταξὺ πάντων ἐξῃρημένων, ἁπλοῦς ἂν εἴη καὶ σαφὴς ὁ λόγος. εἰ δὲ πρόσκειται τὸ, ἔτι τὸ εἶναι πλεοναχῶς λέγεται, καὶ τὰ ἑξῆς, μήποτε τὸ ἔτι οὐκ ἄλλης ἐστὶν ἐπιχειρήσεως δηλωτικόν. ἀλλὰ σαφεστέραν τῆς αὐτῆς ἔκθεσιν ποιεῖται. ὅπερ οὐ πάνυ τῷ Ἀριστοτέλει συνείθισται, βραχυλογίαν τιμῶντι. εἰ μὴ ἄρα τὴν αἰτίαν τοῦ ἀπείρου προσθεὶς, τὸ ἐν τῷ γίνεσθαι τὸ εἶναι ἔχειν, συνυφαίνει τὰ ἐφεξῆς.

ΤΟ ΔΕ κατὰ πρόσθεσιν, τὸ αὐτό πως ἐστὶ καὶ τὸ κατὰ διαίρεσιν. ἐν γὰρ τῷ πεπερασμένῳ κατὰ πρόσθεσιν γίνεται ἀντεστραμμένως. ᾗ γὰρ διαιρούμενον ὁρᾶται εἰς ἄπειρον, ταύτῃ προστιθέμενον, φανεῖται πρὸς τὸ ὡρισμένον. ἐν γὰρ τῷ πεπερασμένῳ μεγέθει ἂν λαβών τις ὡρισμένον προσλαμβάνῃ τῷ αὐτῷ λόγῳ μὴ τὸ αὐτό τι τοῦ ὅλου μέρος τῷ λόγῳ περιλαμβάνων, οὐ διέξεισι τὸ πεπερασμένον. ἂν δ᾽ οὕτως αὔξῃ τὸν λόγον, ὥστε ἀεί τι τὸ αὐτὸ περιλαμβάνειν μέγεθος, διέξεισι. διὰ τὸ πᾶν τὸ πεπερασμένον ἀναιρεῖσθαι ὁτῳοῦν ὡρισμένῳ. ἄλλως μὲν οὖν οὐκ ἔστιν. οὕτως δ᾽ ἔστι τὸ ἄπειρον. δυνάμει τε καὶ ἐπὶ καθαιρέσει.

Εἰπὼν πρότερον ὅτι τὸ ἄπειρον ἔστι μὲν κατὰ πρόσθεσιν, ἔστι δὲ καὶ κατὰ διαίρεσιν, καὶ παραδοὺς τὸν τρόπον καθ᾽ ὃν ἐν τῇ διαιρέσει τὸ ἄπειρον ὑφέστηκε, λέγει ὅτι καὶ τὸ κατὰ πρόσθεσιν ταυτό πως ἐστὶ τῷ κατὰ διαίρεσιν, πλὴν ἀντεστραμμένως. ὡς γὰρ τὸ ἀεὶ ληφθὲν πεπερασμένον διαιρεῖται, οὕτω καὶ τῷ ἀεὶ ληφθέντι ἀτμήτῳ καὶ πεπερασμένῳ προστίθεται τὰ διαιρέματα τοῦ διαιρουμένου. καὶ ἐπὶ τοσοῦτον προστίθεται, ἐφ᾽ ὅσον τὸ ἕτερον διαιρεῖται. τὸ δὲ ἀντεστραμμένως, δύναται μὲν καὶ κατὰ τοῦτο λέγεσθαι, ὅτι ἀντίστροφός ἐστι τῇ διαιρέσει ἡ πρόσθεσις. δύναται δὲ, καὶ ὅτι κατὰ θάτερον μέρος τὸ μὴ τεμνόμενον γίνεται ἡ πρόσθεσις. ἔτι δὲ ἀμφότερα ὁμοίως τὸ ἄπειρον ἔχουσιν, ἥ τε διαίρεσις καὶ ἡ πρόσθεσις, καὶ ἐκ τῶν αὐτῶν. ἀλλ᾽ ἡ μὲν, τῇ συνθέσει. ἡ δὲ, τῇ διαιρέσει. τὴν δὲ διαφορὰν ἀμφοῖν σαφέστερον αὐτὸς ἐν τοῖς ἑξῆς παραδώσει. εἰπὼν δὲ πῶς καὶ ἡ διαίρεσις καὶ ἡ πρόσθεσις τὸ ἐπ᾽ ἄπειρον ἔχουσι, προστίθησι καλῶς ὅτι οὐ πᾶσα διαίρεσις καὶ πρόσθεσις τὸ ἐπ᾽ ἄπειρον ἔχουσιν. ἂν μὲν γὰρ ἴσα τις τὰ διαιρέματα λαμβάνῃ, οἷον εἰ δακτυλιαῖον ἀεὶ, πληρώσει καὶ διεξελάσεται τὸ μέγεθος, καὶ οὐκέτι ἔσται ἄπειρον, διὰ τὸ πᾶν τὸ πεπερασμένον δαπανᾶσθαι, καὶ ὑπὸ ἐλαχίστου ὡρισμένου δὲ καταμετρούμενον. ἐὰν δὲ μὴ τῷ μεγέθει ὡρισμένα λαμβάνῃ καὶ τὰ προστιθέμενα, ἀλλὰ τῷ λόγῳ, οἷον ἥμισυ ἢ τρίτον, ἤ τι τοιοῦτο μέρος τοῦ ἀεὶ ὑπολειπομένου, οὐκ ἐπιλείψει ἡ διαίρεσις, καὶ διὰ τοῦτο οὐδὲ

ἡ πρόσθεσις. αὕτη μὲν ἡ τῶν λεγομένων ἔννοια. κατὰ δὲ τὴν λέξιν, τὸ μὲν γὰρ τῷ πεπερασμένῳ μεγέθει, δο-
κοῦν μάτην ἔχειν τὸν αἰτιολογικὸν σύνδεσμον, τοιοῦτόν ἐστιν. εἰπὼν διαιρεῖσθαι καὶ προστίθεσθαι ἐπ' ἄπει-
ρον, αἰτίαν ἐπάγει τούτου, τὴν ἐν λόγῳ ὡρισμένῳ, ἀλλ' οὐκ ἐν μεγέθει ὡρισμένῳ γινομένην διαίρεσιν.
ὡς εἰ ἔλεγεν, ἐὰν γάρ τις τοιῶσδε ποιήσηται τὴν διαίρεσιν, ἀλλὰ μὴ τοιῶσδε, εἰς ἄπειρον διελεῖ. τὸ δὲ
τῷ αὐτῷ λόγῳ μὴ τὸ αὐτό τι τοῦ ὅλου μέγεθος τοῦ ὅλου περιλαμβάνων, εἰ μὲν οὕτως εἴη γεγραμμένον,
σαφῆ παρέχεται τὴν ἔννοιαν. εἰ γὰρ ὁ μὲν λόγος ὁ αὐτὸς εἴη ἐν ἑκάστῳ τῶν τμημάτων, οἷον παντὸς τοῦ ἀεὶ λαμ-
βανομένου τὸ ἥμισυ ἢ τὸ τρίτον, μὴ τὸ αὐτὸ δὲ ᾖ μέγεθος, τὸ ἀφ' ἑκάστου ὅλου τοῦ ἀεὶ προστιθεμένου εἰς
διαίρεσιν ἀφαιρούμενον, οἷον δακτυλιαῖον, οὐ διέξεισι τὸ πεπερασμένον. εἰ δὲ ὡς ἐν τισὶ φέρεται, μὴ τὸ αὐ-
τό τι τοῦ λόγου μέρος περιλαμβάνων, ἀσαφέστερον μέν ἐστι τὸ λεγόμενον. σημαίνοι δ' ἂν τὸ αὐτὸ τῷ πρό-
τερον εἰρημένῳ. μὴ τὸ αὐτὸ γὰρ τοῦ λόγου μέρος λέγει, οὐχ ὡς μεριζομένου τοῦ λόγου ὥσπερ τοῦ ὅλου. ἀλλ'
αὐτό τι τοῦ μὴ τὸ αὐτὸ ὡρισμένον μέγεθος ἀπὸ τοῦ λόγου ἀφορισθὲν περιλαμβάνων. ὅπερ ἦν καὶ ἐν τῷ
ἐξ ἀρχῆς προκειμένῳ εἰς διαίρεσιν μέρος τοῦ λόγου. οἷον εἴ τι τρίπηχυ ἦν τὸ διαιρούμενον, καὶ τῷ τοῦ τρί-
του λόγῳ διῃρέθη, τὸ δ' ἀφορισθὲν διπηχυαῖον, τῷ μὲν αὐτῷ λόγῳ διαιρεῖσθαι χρὴ τῷ τρίτῳ. μὴ μέντοι
τῷ αὐτῷ τοῦ λόγου μέρει, τοῦ ἐν τῷ προτέρῳ τμήματι, οἷον τῷ πηχυαίῳ. οὕτω γὰρ ἀπαρτισθήσεται τὸ ὅλον.
ἀλλὰ τοῦ ἀεὶ λαμβανομένου τῷ αὐτῷ λόγῳ, μὴ τῷ αὐτῷ δὲ τῷ ἐξ ἀρχῆς μεγέθει. ἀλλὰ διατί χρὴ ἐν
τῷ αὐτῷ λόγῳ γίνεσθαι τὴν διαίρεσιν. τί γὰρ κωλύει τὸ τοῦ μὲν ἐξ ἀρχῆς μεγέθους τὸ ἥμισυ λαμβάνειν,
τοῦ δὲ ἡμίσεος τὸ τρίτον. ἕως γὰρ ἂν ὑπολειφθῇ τι μέγεθος, διαιρετόν ἐστι, καὶ οὐχ ἵσταται ἡ διαίρεσις. ἢ οὐ μά-
την εἴρηται τὸ ἐν τῷ αὐτῷ λόγῳ. τοῦτο γοῦν αἴτιον γίνεται, τοῦ μὴ τὸ αὐτὸ λαμβάνεσθαι ἀεὶ μέγεθος. τὸ γὰρ τρί-
τον εἰ τύχοι τοῦ μείζονος, καὶ τοῦ ἐλάττονος μεγέθους, κἂν ἐν τῷ αὐτῷ λόγῳ ᾖ, ἀλλ' οὐκ ἔστι τὸ αὐτό. ἐὰν δὲ
ἕτερος καὶ ἕτερος ᾖ ὁ τῆς διαιρέσεως λόγος, οὐδὲν κωλύει μέγεθος τὸ αὐτὸ λαμβάνεσθαι ἐπὶ τοῦ μείζο-
νος καὶ ἐλάττονος. τοῦ γοῦν ἐξ ἀρχῆς ἓξ ὄντος δακτύλων, ἐὰν τὸ ἕκτον ἀφέλωμεν, καὶ τοῦ καταλειφθέν-
τος τὸ πέμπτον εἶτα πάλιν τοῦ καταλειφθέντος τὸ τέταρτον, καὶ ἐφεξῆς οὕτω δακτυλιαῖον καθ' ἑκά-
στην διαίρεσιν ἀφαιροῦντες, δαπανήσομεν τὸ ὅλον, καὶ οὐκ ἔσται ἐπ' ἄπειρον ἡ διαίρεσις. διὰ τοῦτο οὖν ἐν τῷ
αὐτῷ λόγῳ χρὴ γίνεσθαι τὴν διαίρεσιν. οὕτω γὰρ οὐδέποτε τὸ αὐτὸ ληφθήσεται μέγεθος, ὥστε ἀπαρτί-
σαι. καὶ τοῦτό ἐστιν ὃ ἐδήλωσε διὰ τοῦ, ἂν δὲ οὕτως αὔξῃ τὸν λόγον, ὥστε ἀεὶ τὸ αὐτὸ περιλαμβάνεσθαι μέγε-
θος, διέξεισι. τὸ γὰρ πέμπτον ὡς εἴρηται τοῦ ἕκτου μεῖζόν ἐστι, καὶ τὸ τέταρτον τοῦ πέμπτου, καὶ ἑξῆς τοῦ αὐτοῦ
ἀεὶ περιλαμβανομένου μεγέθους τοῦ δακτυλιαίου καθ' ἕκαστον. τὸ δὲ ἐπὶ καθαιρέσει, ἐπὶ διαιρέσει καὶ ἐπὶ
μειώσει εἴρηται. ἠρκέσθη δὲ τῇ καθαιρέσει, ἐπειδὴ ἐκ ταύτης καὶ ἡ πρόσθεσις ἔχει τὸ ἄπειρον.

ΚΑΙ ἐντελεχείᾳ δέ ἐστιν. ὡς τὴν ἡμέραν εἶναι λέγομεν καὶ τὸν ἀγῶνα. καὶ δυνάμει οὕτως ὡς ἡ ὕλη. καὶ οὐ
καθ' αὑτό, ὡς τὸ πεπερασμένον. καὶ κατὰ πρόσθεσιν δὴ οὕτως ἄπειρον δυνάμει ἐστίν, ὃ ταὐτὸ λέγομεν
τρόπον τινὰ εἶναι τῷ κατὰ διαίρεσιν. ἀεὶ μὲν γάρ τι αὐτοῦ ἔξω ἔσται λαμβάνειν. οὐ μέντοι ὑπερβάλλει
παντὸς ὡρισμένου μεγέθους, ὥσπερ ἐπὶ τὴν διαίρεσιν. ὑπερβάλλει παντὸς ὡρισμένου, καὶ ἔσται ἔλατ-
τον. ὥστε δὴ παντὸς ὑπερβάλλειν κατὰ τὴν πρόσθεσιν, οὐδὲ δυνάμει οἷόν τε εἶναι. εἴπερ μή ἐστι κα-
τὰ συμβεβηκὸς ἐντελεχείᾳ ἄπειρον. ὥσπερ φασὶν οἱ φυσιολόγοι τὸ ἔξω σῶμα τοῦ κόσμου οὗ ἡ οὐσία,
ἀὴρ, ἢ ἄλλο τι τοιοῦτον ἄπειρον. ἀλλ' εἰ μὴ οἷόν τε εἶναι ἄπειρον ἐντελεχείᾳ σῶμα αἰσθητὸν οὕτω, φα-
νερὸν ὅτι οὐδὲ δυνάμει ἂν εἴη κατὰ πρόσθεσιν. ἀλλ' ἢ ὥσπερ εἴρηται ἀντεστραμμένως τῇ διαιρέσει.

Ε ἰπὼν ὅπως τὸ ἄπειρόν ἐστιν ἐν τῇ διαιρέσει τῶν μεγεθῶν, ὅτι τῷ δύνασθαι διαιρεῖσθαι, καὶ ὅλως τῷ δυνά-
μει, λέγει ὅτι καὶ ἐνεργείᾳ ταὐτά ἐστιν, οὐχ ὡς τὰ ἀθρόα ὑφεστῶτα, ἀλλ' ὡς τὰ ἐν τῷ γίνεσθαι τὸ εἶναι
ἔχοντα, καὶ ἀπὸ μέρους ὑφεστῶτα. οἷά ἐστιν ὅ, τε ἀγὼν καὶ ἡ ἡμέρα. καὶ ταῦτα γὰρ συμμεμιγμένον ἔχει
τὸ δυνάμει τῷ ἐνεργείᾳ. καὶ τὸ ἐνεργείᾳ αὐτῶν ἕως τότε ἐστίν, ἕως ὅτε τὸ δυνάμει ἐνυπάρχει αὐτοῖς.
ὡς ἐπὶ τῆς κινήσεως εἴρηται. ὁποῖον δέ ἐστι τὸ δυνάμει τοῦτο τὸ ἐνυπάρχον, ἐνδείκνυται διὰ τοῦ τῆς ὕλης
παραδείγματος. ὡς γὰρ ἡ ὕλη δυνάμει οὖσα, καὶ ἐνυπάρχουσα τοῖς συνθέτοις καὶ γεννητοῖς πράγμα-
σι, μετέχουσα μὲν ἄλλοτε ἄλλου εἴδους ἐνεργείᾳ ἐστὶ, καθὸ ἂν ληφθῇ, κατὰ δὲ τὸ δυνάμει ἄλλοτε πρὸς
ἄλλο πεφυκέναι εἶδος ἀνέκλειπτον ποιεῖ τὴν γένεσιν, οὕτω καὶ ἐν τῇ διαιρέσει, τὸ μὲν ληφθὲν ἀεὶ ἐνερ-
γείᾳ ἐστί. τῷ δὲ πᾶν τὸ ληφθὲν ἀεὶ δύνασθαι διαιρεῖσθαι ἀνέκλειπτον φυλάττει τὴν διαίρεσιν. καὶ ὥσπερ
ἡ ὕλη οὐ καθ' αὑτὴν μεμόρφωται, ἀλλὰ τῷ μετέχειν εἴδους, οὕτω καὶ τὸ ἐν τῇ διαιρέσει δυνάμει, οὐ κατὰ
τὴν ἑαυτοῦ φύσιν πεπέρανται. ἀλλὰ κατὰ ταύτην μὲν ἄπειρόν ἐστι, καὶ τοῦ ἐπ' ἄπειρον διαιρεῖσθαι δύνα-
σθαι τῷ μεγέθει αἴτιον. καθότι δὲ πᾶν τὸ ληφθὲν ἐνεργείᾳ ἐστὶ, κατὰ τοῦτο πεπέρανται. οὐ μόνον δὲ
ἐν τῷ κατὰ διαίρεσιν τὸ δυνάμει τοῦ ἀπείρου αἴτιόν ἐστιν, ἀλλὰ καὶ ἐν τῷ κατὰ πρόσθεσιν. προστιθέντες
γὰρ ἐνεργείᾳ μὲν οὐδέποτε ληψόμεθα τὸ ἄπειρον. ἀλλ' ἀεὶ τὸ ἐνεργείᾳ λαμβανόμενον πεπερασμένον. τῷ
δὲ ἀεὶ δύνασθαί τι προστίθεσθαι, τούτῳ τὸ ἄπειρόν ἐστιν ἐν τῇ προσθέσει, ἀπὸ τῶν ἐπ' ἄπειρον γινομένων
διαιρεμάτων. εἰπὼν δὲ ὅτι ταὐτὸν λέγομεν τρόπον τινὰ τὸ κατὰ πρόσθεσιν ἄπειρον τῷ κατὰ διαίρεσιν,
καὶ ὅτι κοινὸν ἀμφοτέροις τὸ ἀεί τι ἔξω λαμβάνειν. καὶ γοῦν ἐπὶ τῆς διαιρέσεως διὰ τοῦτο ἐπ' ἄπειρον ἡ
διαίρεσις, ὅτι ἀεὶ ἔστι τι ὃ διαιρεθήσεται. καὶ ἐπὶ τῆς προσθέσεως ὅτι ἔστι τι ἀεὶ ὃ προστεθήσεται, τοῦτο ἐκεῖ-
νο, ὅπερ ἐκ τῆς ἀεὶ διαιρέσεως ἐγίνετο. καὶ τοῦτό ἐστιν, ὃ δυνατὸν τὸν ἔξω ὂν διαιρεῖν ἢ προστιθέναι,

κοινὸν ἀμφοτέροις ὑπάρχον. διαφέρει δὲ ἀλλήλων, ὅτι ἐπὶ μὲν τῆς κατὰ διαίρεσιν παντὸς τοῦ ληφθέντος μεγέθους ἔστιν ἔλαττον μέγεθος λαβεῖν. ἐπὶ δὲ τῆς κατὰ πρόσθεσιν, οὐ παντὸς μεγέθους ἔστι τι μεῖζον λαβεῖν. οὐδὲ γὰρ παντὸς μεγέθους ἔστι τι ἐκτός. εἴπερ ὁ κόσμος πεπέρανται, καὶ οὐδέν ἐστιν ἐκτὸς αὐτοῦ, ὡς δέδεικται ἐν τῷ πρώτῳ τῶν περὶ οὐρανοῦ. ἀλλ' ἐκείνου τοῦ μεγέθους ἔστι τι ἐκτὸς, ὃ τεμνόμενον ἐπὶ θάτερα, ὑπὸ τοῦ τοῦ ἑτέρου τμήματος ηὔξανετο. τὸ μέν τοι κατὰ πρόσθεσιν ὑπερβάλλειν ἀεὶ παντὸς τοῦ ληφθέντος, οὐδὲ δυνάμει ἐστίν. ὥσπερ ἦν ἐπὶ τῆς ἑτέρας προσθέσεως καὶ τῆς διαιρέσεως. τότε γὰρ ἂν ἦν τι δυνάμει, ὅτε ἦν τι σῶμα, ᾧ συμβέβηκεν εἶναι ἀπείρῳ. διότι παντὸς τοῦ ληφθέντος πεπερασμένου ἦν τι ἔξω, ἀφ' οὗ δυνατὸν ἦν αὐτῷ προστιθέναι, ὃ δὴ εἶναι λέγουσί τινες τῶν φυσικῶν. εἰκότως δὲ τὸ κατὰ συμβεβηκὸς ἐνεργείᾳ τὸ ἄπειρον εἶναι λέγοντα, ἀλλ' οὐχὶ τὸ ὡς οὐσίαν μνημονεύει. ἢ ὅτι τὸ κατὰ πρόσθεσιν καὶ διαίρεσιν ποσὸν εἶναι δεῖ, ᾧ συμβέβηκε τῷ ἀπείρῳ ἢ πεπερασμένῳ εἶναι. ἢ ὅτι περὶ φυσικῶν ὁ λόγος. τὸ δὲ φυσικὸν ἄπειρον εἴπερ ἦν, σῶμά τι ἦν, ᾧ συμβέβηκε τὸ ἄπειρον. ἢ ὅτι τὸ ὡς οὐσίαν ἄπειρον, οὐ τῇ προσθέσει τὴν ἀπειρίαν λαμβάνει, ἀλλὰ τῇ φύσει αὐτοῦ τὸ ἄπειρον ἔχει, ὡς καὶ τῶν μορίων αὐτοῦ ἕκαστον εἴπερ ἔχει μόρια ἄπειρον εἶναι. εἰ οὖν δέδεικται πρότερον, ὅτι οὐκ ἔστι σῶμα ᾧ συμβέβηκεν ἀπείρῳ εἶναι, οὐδὲ δυνάμει ἐστὶ, τὸ παντὸς τοῦ δοθέντος μεγέθους μεῖζον λαβεῖν. ἀλλ' οὕτω μόνον ἐστὶ τὸ ἐπ' ἄπειρον ἐπὶ τῆς προσθέσεως, ὡς εἴρηται πρότερον, τῷ τὰ τοῦ ἑτέρου τμήματος διαιρέματα προστιθέναι τῷ ἑτέρῳ, ὅπερ ἦν τὸ ἀντεστραμμένως. ἀπορήσειε δ' ἄν τις, πῶς εἰ μὴ ἔστιν ἐνεργείᾳ σῶμα αἰσθητὸν ἄπειρον, οὐδὲ δυνάμει ἂν εἴη τὸ ἄπειρον κατὰ πρόσθεσιν. ἰδοὺ γὰρ οὐδ' ἀριθμός ἐστιν ἐνεργείᾳ ἄπειρος. καὶ ὅμως ἔστιν ἐπὶ τῶν ἀριθμῶν ἡ ἐπ' ἄπειρον πρόσθεσις. ἀλλ' ἐν τοῖς ἑξῆς πάλιν τοῦτο λεγόμενον ζητηθήσεται.

ἘΠΕΙ καὶ Πλάτων διὰ τοῦτο ἄπειρα δύο ἐποίησεν, ὅτι καὶ ἐπὶ τὴν αὔξην δοκεῖ ὑπερβάλλειν, καὶ εἰς ἄπειρον ἰέναι καὶ ἐπὶ τὴν καθαίρεσιν. ποιήσας μέντοι δύο, οὐ χρῆται. οὔτε γὰρ ἐν τοῖς ἀριθμοῖς, τὸ ἐπὶ τὴν καθαίρεσιν ἄπειρον ὑπάρχει, ἡ γὰρ μονὰς ἐλάχιστον, οὔτε ἐπὶ τὴν αὔξην. μέχρι γὰρ δεκάδος ποιεῖ τὸν ἀριθμόν.

Γ ἀεὶ μέλει τῷ Ἀριστοτέλει, εἰ μὲν δυνατὸν καὶ κατὰ τὸ φαινόμενον συμφώνως τοῖς κλεινοῖς ἀνδράσι τοὺς ἑαυτοῦ λόγους ἐπιδεικνύναι. εἰ δὲ τοῦτο μὴ δυνατὸν, ταῖς ἐννοίαις γοῦν τῶν παλαιῶν ὁμολογοῦντας αὐτοὺς ἀποδιδόναι. τὸν γοῦν Πλάτωνά φησιν ἀπὸ τῶν αὐτῶν ἐννοιῶν κινηθέντα, ποτὲ μὲν ἀόριστον δυάδα ποιῆσαι τὸ ἄπειρον, αἰνιττόμενον τὸ ἀορίστως καὶ ἐπ' ἄπειρον προϊὸν τῆς τε διαιρέσεως καὶ τῆς συνθέσεως. ποτὲ δὲ μέγα καὶ μικρὸν λέγειν, τὴν μὲν ἐπὶ τὸ ἔλαττον γινομένην ἐπ' ἄπειρον διαίρεσιν διὰ τοῦ μικροῦ δηλοῦντα, τὴν δὲ ἐπὶ τὸ μεῖζον κατὰ πρόσθεσιν διὰ τοῦ μεγάλου. εἰπὼν δὲ τὴν τῶν ἐννοιῶν κοινωνίαν, καὶ τὴν παραλλαγὴν ἐφεξῆς προστίθησι τοῦ φαινομένου τοῦ Πλάτωνος ἐν ἄλλοις λόγου, πρὸς τὴν νῦν ῥηθεῖσαν ἔννοιαν. τὸ γὰρ ἄπειρον ἐν ταῖς ἀρχαῖς τιθεὶς ὁ Πλάτων, καὶ ἀρχὰς λέγων τοὺς ἀριθμοὺς, εἴπερ ἀρχὰς τῶν ὄντων τὰς ἰδέας, τὰς δὲ ἰδέας ἀριθμοὺς ἔλεγεν, οὔτε τὸ κατὰ τὴν διαίρεσιν ἄπειρον ἐν αὐτοῖς ἐδύνατο θεωρεῖν, ἀδιαίρετος γάρ ἐστιν ἡ μονὰς, καὶ μέχρι ταύτης ἡ διαίρεσις περαίνεται, οὔτε τὸ κατὰ πρόσθεσιν. μέχρι γὰρ δεκάδος τὴν αὔξησιν ἐποίει τῶν ἀριθμῶν. ὥσπερ καὶ οἱ Πυθαγόρειοι, τέλειον ἀριθμὸν τὴν δεκάδα λέγοντες, καὶ τὸν ὅλον ἀριθμόν. μετὰ γὰρ τὴν δεκάδα ἀνακύκλωσις λοιπὸν τῶν αὐτῶν ἐπιτελεῖται, δι' ἀνακάμψεως. ὅπερ ἐπ' οὐδενὸς τῶν ἐντὸς τῆς δεκάδος συμβαίνει. ἀλλ' οὐδὲ ἐπί τινος τῶν ἐκτός. ἀλλ' ἀπὸ τῆς δεκάδος. καὶ γοῦν ὁ κ̄, καὶ ὁ λ̄, καὶ ρ̄, καὶ ᾱ, καὶ τῶν ἄλλων ἕκαστος τῶν τοιούτων, δεκάδων συνθέσεις εἰσίν. ἀλλὰ τὸ μὲν ἐπὶ τὴν καθαίρεσιν ἄπειρον, εἴη ἂν ἐπὶ τῶν μεγεθῶν. τὸ δὲ ἐπὶ τὴν αὔξησιν καὶ πρόσθεσιν ἁπλῶς οὐκ ἔστιν ἐπὶ μεγεθῶν. οὐδὲ γὰρ παντὸς τοῦ λαμβανομένου μεγέθους ἔστι μεῖζον λαβεῖν. ἀλλὰ κατ' ἐκεῖνον μόνον προχωρεῖ τὸν τρόπον ἡ ἐπ' ἄπειρον πρόσθεσις, τὸν προστιθέντα τὰ τμήματα τῆς ἐπ' ἄπειρον διαιρέσεως. ἀλλ' εἴπερ ἄρα, ἐπὶ τῶν ἀριθμῶν ἐστιν ἡ ἐπ' ἄπειρον αὔξησις. διότι δυνατὸν παντὸς τοῦ προστεθέντος ἀριθμοῦ μείζονα λαβεῖν. εἰ δὲ μέχρι τῆς δεκάδος μόνης ὁ ἀριθμὸς προχωρεῖ, οὐδὲ ἐπὶ τοῦ ἀριθμοῦ τὴν κατὰ πρόσθεσιν ἀπειρίαν δυνατὸν λαβεῖν. οὕτω μὲν οὖν κατὰ τὸ φαινόμενον ἀναιρεῖσθαι δοκεῖ τὸ ἄπειρον, ὑπὸ τῶν ἀρχὰς τοὺς ἀριθμοὺς τιθέντων, καὶ μέχρι δεκάδος προαγόντων αὐτούς. εἰ δὲ ἀρχὰς τῶν ὄντων τοὺς ἀριθμοὺς λέγοντες, τὴν μὲν μονάδα πέρας ἐτίθεντο, τὴν δὲ ἀόριστον δυάδα τὸ ἄπειρον, ἀρχικῶς καὶ ταῦτα, δηλονότι οὐκ ἀνῄρουν τὸ ἄπειρον. ὅλως δὲ εἰ μὲν μὴ ἔλεγον αὔξησιν ἀριθμοῦ μετὰ τὴν δεκάδα τάχα ἄν τις εἶπε τὸ κατὰ πρόσθεσιν ἄπειρον αὐτοὺς ἐν τῷ ἀριθμῷ μὴ καταλιμπάνειν. εἰ δὲ καὶ δευτερωδουμένας καὶ τριτωδουμένας μονάδας τιθέασι, καὶ συνθέσεις ἴσασι δεκάδων, καὶ χιλιετεῖς καὶ τρισχιλιετεῖς καὶ μυριετεῖς περιόδους ψυχῶν ὁ Πλάτων ἀπαριθμεῖται, καὶ δυωδεκάδα τιμᾷ θεῶν, δηλονότι τοὺς ἀρχικοὺς ἀριθμοὺς μέχρι τῆς μονάδος ἰσῶν, οὐ κωλύει τὴν τοῦ ἀριθμοῦ πρόσθεσιν ἐπ' ἄπειρον αὔξεσθαι.

ΣΥΜΒΑΙΝΕΙ δὲ τοὐναντίον εἶναι ἄπειρον, ἢ ὡς λέγουσιν. οὐ γάρ οὗ μηδὲν ἔξω, ἀλλ' οὗ ἀεί τι ἔξω ἐστὶ, τοῦτο ἄπειρόν ἐστι. σημεῖον δὲ, καὶ γὰρ τοὺς δακτυλίους ἀπείρους φασὶ τοὺς μὴ ἔχοντας σφενδόνην. ὅτι ἀεί τι ἔξω ἐστὶ λαμβάνειν. καθ' ὁμοιότητα μέν τινα λέγοντες, οὐ μέντοι κυρίως. δεῖ γὰρ τοῦτό τε ὑπάρχειν, καὶ μηδέποτε τὸ αὐτὸ λαμβάνεσθαι. ἐν δὲ τῷ κύκλῳ οὐ γίνεται οὕτως. ἀλλ' ἀεὶ τὸ ἐφεξῆς μόνον, ἕτερον. ἄπειρον μὲν οὖν τοῦτ' ἔστιν, οὗ κατὰ τὸ ποσὸν λαμβάνουσιν, ἀεί τι λαβεῖν ἔξω ἐστίν.

οὗ δὲ μηδὲν ἔξω, τοῦτ' ἔστι τέλειον καὶ ὅλον. οὕτω γοῦν ὁριζόμεθα τὸ ὅλον. οὗ πρὸς τὰ μόρια μηδὲν ἄπεστιν·
οἷον ἄνθρωπον ὅλον ἢ κιβώτιον. ὥσπερ δὲ ὁριζόμεθα τὸ καθέκαστον, οὕτω καὶ τὸ κυρίως. διὸ τὸ ὅλον. οὗ
μηδὲν ἐστὶν ἔξω, οὗ δ' ἔστιν ἀπουσία ἔξω, οὐ πᾶν ὅτι ἂν ἀπῇ. τὸ ὅλον δὲ καὶ τέλειον, ἢ τὸ αὐτὸ πάμπαν,
ἢ σύνεγγυς τῇ φύσει ἐστίν. τέλειον δ' οὐδὲν μὴ ἔχον τέλος. τὸ δὲ τέλος, πέρας. διὸ βέλτιον οἰητέον παρ-
μενίδην Μελίσσου εἰρηκέναι. ὁ μὲν γὰρ τὸ ἄπειρον ὅλον φησίν. ὁ δὲ τὸ ὅλον πεπεράνθαι, μεσσόθεν ἰσο-
παλές. οὐ γὰρ λίνον, λίνῳ ἐστὶ συνάπτειν, τῷ ἅπαντι καὶ ὅλῳ τὸ ἄπειρον.

Παραδείξας τὴν τοῦ ἀπείρου φύσιν, ἐν διαιρέσει καὶ προσθέσει τὴν ὑπόστασιν ἔχουσαν, καὶ κατὰ τὸ ἐπ' ἄ-
πειρον θεωρουμένην, καὶ τὰς ἀδιορθώτους ἐννοίας τὰς περὶ τοῦ ἀπείρου ἐφεξῆς διορθῶσαι προτίθεται. εἰ
γὰρ καλῶς ἡμεῖς τὸ ἄπειρον ἐθέμεθα, συμβαίνει τοὐναντίον εἶναι τὸ ἄπειρον, ἢ ὡς βούλονταί τινες. ἐκεῖ-
νοι μὲν γὰρ ἄπειρον εἶναι λέγουσιν, οὗ μηδέν ἐστιν ἔξω λαβεῖν. ἡμεῖς δέ, οὗ πάντως ἔστι τι λαβεῖν ἔξω. καὶ
γοῦν κατὰ τὴν διαίρεσιν δεῖ τι εἶναι πάντως τὸ διαιρεθησόμενον, καὶ κατὰ τὴν πρόσθεσιν τὸ προστεθη-
σόμενον. καὶ μή τις ἡμᾶς ἀπεμφαίνοντα λέγειν οἰέσθω, ἄπειρον λέγοντας, οὗ πάντως ἐστὶν ἔξω τι λα-
βεῖν. οἶδε γὰρ καὶ ἡ συνήθεια τὸ τοιοῦτον ὄνομα, εἴπερ ἀπείρους λέγουσι δακτυλίους τοὺς σφενδόνην μὴ ἔ-
χοντας, διότι ἔστι λαβεῖν ἀεί τι ἔξω τοῦ λαμβανομένου. καὶ τοῦτο μὲν ὅμοιον ἔχει τῷ ἀπείρῳ ὁ κρικωτὸς
δακτύλιος, ἤτοι ὁ κύκλος, ὡς ὕστερον ὀνομάσει. διαφέρει δέ, καθόσον ἐπὶ τοῦ κύκλου, κἂν ἀεί τι ἕτερον
λαμβάνωμεν, ἀλλὰ καὶ πάλιν τὸ αὐτὸ κατὰ τὴν περιστροφήν. ἐπὶ δὲ τοῦ ἀπείρου, ἀεὶ μὲν ἕτερον, οὐδέ-
ποτε δὲ τὸ αὐτό. διὸ ἡ κατ' εὐθεῖαν ἐστὶν ἡ τοιαύτη ἀπειρία καὶ οὐ κατὰ ἀνακύκλωσιν, ὡς ἐπὶ τῶν κύκλων·
ὧν αἱ στροφαὶ καὶ ὑπ' ἀριθμὸν πίπτουσι, διὰ τὸ πάλιν ὑπὸ τοῦ αὐτοῦ ἄρχεσθαι. καὶ οὐ κυρίως ἔχουσι τὸ ἄ-
πειρον. ἀλλὰ καθ' ὁμοιότητα μόνον τινά, καθόσον ἀεί τι ἔξω ἐν ἑκατέρῳ. τῷ δὲ ἀπείρῳ προσεῖναι
δεῖ καὶ τὸ μηδέποτε τὸ αὐτὸ λαμβάνεσθαι. ὥστε καλῶς ὁριζόμενοι λέγομεν, οὐχὶ οὗ μηδέν ἐστιν ἔξω λα-
βεῖν, ἀλλ' οὗ κατὰ τὸ ποσὸν λαμβάνουσιν ἀεί τι ἐστὶν ἔξω. καὶ δηλονότι κατὰ τὸ ποσὸν εἰπών, καὶ τὸ κα-
τὰ τὸ συνεχὲς καὶ τὸ κατὰ τὸ διωρισμένον ἄπειρον περιέλαβε. ποσὸν γάρ ἐστιν ἑκάτερον. μήποτε δὲ
διὰ τοῦ κατὰ τὸ ποσὸν τὴν διαφορὰν τὴν πρὸς τοὺς κύκλους τοῦ κυρίως ἀπείρου ἐνεδείξατο. ἐπὶ μὲν γὰρ τῶν
κύκλων, ὅταν συμπεράναντες αὐτοὺς πάλιν ἀπὸ τοῦ αὐτοῦ ἀρχώμεθα, οὐκ ἔστι τι κατὰ τὸ ποσὸν ἔξω. οὐ
γὰρ προστίθεταί τι τῷ κύκλῳ. ἐπὶ δὲ τοῦ κυρίως ἀπείρου, ἀεί τι τοῦ εἰλημμένου ποσοῦ ἐστὶν ἔξω, ἢ ἐπὶ τὸ
μεῖζον ὡς ἐπὶ τῆς προσθέσεως, ἢ ἐπὶ τὸ ἔλαττον ὡς ἐπὶ τῆς διαιρέσεως. ἔστι δὲ καὶ διαίρεσις ἔξω καὶ πρόσθε-
σις ἀεὶ τῆς λαμβανομένης. καὶ ἄλλως δὲ τὸ κατὰ ποσὸν οἰκείως πρόσκειται. διότι οὐ κατὰ τὸ εἶδος, ἀλλὰ
κατὰ τὸ ποσόν ἐστιν ἡ προσθήκη. ὡς γὰρ σώματι οὐ προστίθεται, ἀλλ' ὡς τοσῷδε σώματι. ὁ δὲ Ἀλέξανδρος
τὸ κατὰ τὸ ποσὸν καὶ οὕτως ἐξηγεῖται. ὃ γοῦν ζητοῦμεν φησί, καὶ περὶ οὗ λέγομεν ἄπειρον, τὸ ἐν ποσῷ ἐστίν.
εἰ δὲ τὸ ἐν ποιῷ ἦν, ἐλέγομεν ἄν, οὗ κατὰ τὸ ποιὸν λαμβάνουσιν ἀεί τι ἐστὶν ἔξω. μήποτε δὲ τὸ ποιὸν κα-
θὸ μὲν ποιόν, οὐκ ἂν μετέχοι τῆς τοῦ πεπερασμένου καὶ ἀπείρου διαφορᾶς. καθὸ δὲ τοῦ ποσοῦ μετέχει τὸ
ποιόν, κατὰ τοῦτο καὶ αὐτὸ πεπερασμένον ἢ ἄπειρον ὁπωσοῦν ἐλέγετο. δείξας δὲ ὅτι τῷ ἀπείρῳ προ-
σήκει μᾶλλον, τὸ οὗ ἀεί τι λαβεῖν ἐστὶν ἔξω, δείκνυσιν ἐφεξῆς ὅτι τὸ παρ' ἐκείνων λεγόμενον, τὸ οὗ μηδὲν
ἐστὶν ἔξω, οὐ προσήκει τῷ ἀπείρῳ, ἀλλὰ μᾶλλον τῷ πεπερασμένῳ, δυνάμει συλλογιζόμενος οὕτω. τὸ οὗ
μηδὲν ἐστὶν ἔξω τὸ ὅλον ἐστίν. ὅλον γάρ ἐστιν, οὗ τῶν μερῶν μηδὲν ἄπεστι. τὸ δὲ ὅλον καὶ τὸ τέλειον ἢ ταυτόν
ἐστιν, ἢ σύνεγγυς. τὸ δὲ τέλειον, τὸ τέλος ἔχον. τὸ δὲ τέλος ἔχον, πέρας ἔχει. τὸ δὲ πέρας ἔχον, πεπε-
ρασμένον ἐστί. καὶ ἔστιν ἡ δεῖξις ἀπὸ τοῦ ὁρισμοῦ. ὃν ἐκεῖνοι μὲν ὡς τοῦ ἀπείρου λαμβάνουσιν. ἡ δὲ χρῆσις
τοῦ ὅλου καὶ παντὸς οἶδεν. ὑπομνήσας δὲ ἐκ τῶν καθέκαστον τεχνητῶν καὶ φυσικῶν, διὰ ἀνθρώπου καὶ κιβωτίου,
ὅτι ὅλον ἐστὶν οὗ μηδὲν ἄπεστιν, ἐπήγαγεν, ὅτι ὡς ἐπὶ τῶν καθέκαστα ὅλον ἐστὶν ἕκαστον, οὗ τῶν μορίων
μηδὲν ἄπεστιν, οὕτω καὶ ἐπὶ τοῦ κυρίως καὶ ἁπλῶς ὅλου. κυρίως δὲ ὅλον ἐστί, τὸ ἓν ὅλον. τῶν μὲν γὰρ μερικῶν
ὅλων ἕκαστον οὐκ ἔστι κυρίως ὅλον. διότι μόριόν ἐστι τοῦ ὅλου ὄντος. καὶ τόδε μέν ἐστι, τόδε δὲ οὐκ ἔστι. τὸ δὲ
ὂν ὅλον κυρίως ὅλον ἐστίν, ὅτι οὐδενός ἐστι μόριον, πάντα ἐν ἑαυτῷ τὰ ὄντα συνειληφός. δύναται δὲ
τάχα τις τὸ κυρίως καὶ ἐπὶ τοῦ καθόλου τῶν παρ' αὐτῷ λαβεῖν. πρὸς γοῦν τοῦτο μάλιστα τὸ καθόλου ἕ-
καστον ἀντιδιαιρεῖται. εἴτε δὲ οὕτως εἴτε ἐκείνως, ἐπιστῆσαι ἄξιον, ὅτι οὐ τὰ καθέκαστα κυρίως ἐστὶ παρ'
αὐτῷ. τοῦτο δ' ἓν κυρίως οὗ μηδὲν ἄπεστι. καλῶς δὲ τὸ ὅλον καὶ τέλειον ἢ τὸ αὐτὸ πάμπαν, ἢ σύνεγγυς
τὴν φύσιν εἶναί φησι. καὶ γὰρ τῷ μὲν ὑποκειμένῳ τὸ αὐτό ἐστι, τῷ δὲ λόγῳ διάφορα μέν, σύνεγγυς δὲ ἀλλή-
λων. τέλειον μὲν γάρ ἐστι, τὸ ἀρχὴν καὶ τέλος καὶ μέσον ἔχον. ὅλον δὲ τὸ μετὰ συνεχῆς τούτων θεωρούμε-
νον. συνεχὲς γάρ τι τὸ ὅλον. ὡς ὅταν γε διωρισμένον ἤ τι πλῆθος, πᾶν λέγεται κυρίως καὶ οὐχὶ ὅλον.
καὶ προλαμβάνει μὲν τὸ τέλειον ἔχον τινὰ διορισμὸν ἔτι τῆς ἀρχῆς καὶ τοῦ μέσου καὶ τοῦ τέλους. ἐπιγίνεται
δὲ τὸ ὅλον, ἑνοειδέστερον ὑπάρχον καὶ συνέχον τὰ ἑαυτοῦ μόρια, ὡς μήτε ἡνῶσθαι τελείως, οὐ γὰρ ἂν ἦν
ἔτι μόρια τὰ δι' ἀλλήλων χωροῦντα, ἀλλ' εἴπερ ἄρα στοιχεῖα, μήτε διακεκρίσθαι τελείως, εἴδη γὰρ ἂν
ἦν, καὶ οὐχὶ μόρια, ἀλλ' ἐν τῷ διακρίνεσθαι τὸ εἶναι ἔχειν, καὶ εἶναι διακρινόμενα. τὸ οὖν ὅλον ἐν τοῖς με-
τέχουσι πάντως καὶ τέλειόν ἐστι πρότερον. οὐ γὰρ οἷόν τέ τι ὅλον γενέσθαι, μὴ συμπληρωθὲν πρότερον
ἀρχῇ καὶ μέσῳ καὶ τέλει. ὥστε καὶ εἰκότως ἀπὸ τοῦ ὅλου ἡ τοῦ τελείου μετάληψις γέγονεν. εἰ δὲ τὸ ὅλον καὶ
τέλειον πεπερασμένον ἐστί, βέλτιον Παρμενίδης Μελίσσου περὶ τοῦ ὄντος ἀπεφήνατο. Μέλισσος μὲν

γὰρ

τὸ ἄπειρον εἰπὼν τὸ ὄν, καὶ ὅλον αὐτό φησιν εἶναι. παρμενίδης δὲ ὅλον λέγων αὐτό, ὡς δηλοῖ τὸ μεσόθεν ἰσοπαλὲς, τὸ γὰρ ἔχον μέσον καὶ πάντη ἴσον ἀπ' αὐτοῦ διεστηκὸς, ἔχει καὶ ἔσχατον, ὅλον οὖν λέγων, καὶ πεπερασμένον εἰκότως φησὶν αὐτό. ὁ δὲ μέλισσος τὰ ἀντικείμενα συνάγει. εἰ γὰρ τὸ ἄπειρον ὅλον, τὸ δὲ ὅλον πεπερασμένον, τὸ ἄπειρον ἂν εἴη πεπερασμένον. ὥστε οὐ τὰ συγκλώθεσθαι πεφυκότα συγκλώθει, ὁ τὸ ἄπειρον ὅλον καὶ πᾶν λέγων. ἐπὶ τούτων γὰρ λέγεται ἡ παροιμία.

ἘΠΕῚ ἘΝΤΕΥ͂ΘΈΝ γε λαμβάνουσι τὴν σεμνότητα κατὰ τοῦ ἀπείρου τὸ, πάντα περιέχον καὶ τὸ πᾶν ἐν ἑαυτῷ ἔχον. διὰ τὸ ἔχειν τινὰ ὁμοιότητα τῷ ὅλῳ. ἔστι γοῦν τὸ ἄπειρον, τῆς τοῦ μεγέθους τελειότητος, ὕλη. καὶ τὸ δυνάμει ὅλον. ἐντελεχείᾳ δ' οὔ. διαιρετὸν δὲ, ἐπί τε τὴν καθαίρεσιν καὶ τὴν ἀντεστραμμένην πρόσθεσιν. ὅλον δὲ καὶ πεπερασμένον, οὐ καθ' αὑτὸ, ἀλλὰ κατ' ἄλλο. καὶ οὐ περιέχει. ἀλλὰ περιέχεται ᾗ ἄπειρον. διὸ καὶ ἄγνωστον ᾗ ἄπειρον. εἶδος γὰρ οὐκ ἔχει ἡ ὕλη. ὥστε φανερὸν, ὅτι μᾶλλον ἐν μορίου λόγῳ τὸ ἄπειρον, ἢ ἐν ὅλου. μόριον γὰρ ἡ ὕλη τοῦ ὅλου, ὥσπερ ὁ χαλκὸς τοῦ χαλκοῦ ἀνδριάντος. ἐπεί γε περιέχει ἐν τοῖς αἰσθητοῖς καὶ ἐν τοῖς νοητοῖς τὸ μέγα καὶ τὸ μικρὸν, ἔδει περιέχειν τὰ νοητά. ἄτοπον δὲ καὶ ἀδύνατον, τὸ ἄγνωστον καὶ τὸ ἀόριστον περιέχειν καὶ ὁρίζειν.

Ἐ ἰπὼν ὅτι οὗ μηδέν ἐστιν ἔξω τῷ ὅλῳ προσῆκον, ἐπὶ τὸ ἄπειρον μεταφέρουσιν, αἴτιον εἶναί φησι τοῦ σεμνύνειν αὐτοὺς εἰς τὸ ἄπειρον ὡς πάντα περιέχον, τὸ ὡς ὅλον αὐτὸ ἐννοεῖν. διότι τὸν τοῦ ὅλου ὁρισμὸν ἐπ' αὐτὸ μεταφέρουσι. καὶ ἴσως ἔχει τινὰ πρόφασιν ὁ παραλογισμός. ἔχει γάρ τινα ὁμοιότητα τὸ ἄπειρον πρὸς τὸ ὅλον. εἰ δὲ μὴ ἔστιν ὅλον, οὐδ' ἂν τὰ τοῦ ὅλου ἔχοι πλεονεκτήματα. πῶς δ' ἂν εἴη ὅλον τὸ ἄπειρον, εἴπερ ὅλον μέν ἐστιν οὗ μηδέν ἐστιν ἔξω, ἄπειρον δὲ οὗ ἀεί τι λαβεῖν ἔστιν ἔξω. ἐμφερὲς δὲ εἶναι δοκεῖ τῷ ὅλῳ τὸ ἄπειρον, ὅτι ἔστι φησὶ τὸ ἄπειρον τῆς τοῦ μεγέθους τελειότητος ἡ ὕλη. σύνθετον γὰρ ὂν τὸ τέλειον καὶ ὅλον μέγεθος ἐξ ὕλης καὶ εἴδους, κατὰ μὲν τὴν ὕλην ἔχει τὸ ἄπειρον, κατὰ δὲ τὸ εἶδος πεπέρανται. διότι δὲ δυνάμει ἐστὶν ἡ ὕλη ὅπερ τὸ σύνθετον, καὶ ἔχει τινὰ τὸ δυνάμει πρὸς τὸ ἐνέργειᾳ ὁμοιότητα, διὰ τοῦτο τὸ ἄπειρον ὅμοιόν πως εἶναι λέγεται τῷ ὅλῳ. ὅπερ ἦν τὸ σύνθετον. καὶ οὕτω λοιπὸν τὰ τῷ ὅλῳ ὑπάρχοντα τοῦ ἀπείρου κατηγορεῖται, τὸ περιέχειν πάντα, καὶ πάντα ἐν ἑαυτῷ ἔχειν. ἄπειρος δὲ ἡ ὕλη, καὶ ὅτι κατὰ τὸν αὐτῆς λόγον ἀόριστος καὶ ἀπεράτωτος, τοῦ εἴδους ἐπάγοντος τὸ πέρας καὶ τὸν ὅρον. καὶ ὅτι κατὰ τὴν ὕλην καὶ ἡ ἐπ' ἄπειρον τομὴ τοῦ μεγέθους, καὶ ἡ ἐπ' ἄπειρον αὔξησις γίνεται, τοῦ εἴδους τοῦ αὐτοῦ μένοντος. εἰ δὲ καὶ ἀεί τι ἐστὶν ἔξω τῆς ὕλης εἶδος, καὶ κατὰ τοῦτο ἄπειρος ἡ ὕλη καθ' αὑτήν. κατὰ δὲ τὸ εἶδος ἔχει τὸ πεπερασμένον καὶ ὅλον εἶναι. ὥστε οὐ περιέχει τὸ ἄπειρον, εἴπερ κατὰ τὴν ὕλην θεωρεῖται. ἀλλὰ περιέχεται μᾶλλον. τὸ γὰρ περατοῦν περιέχει τὸ περατούμενον, καὶ τὸ εἶδος τὴν ὕλην. εἰ δὲ πᾶσα μὲν γνῶσις ὅρος τις οὖσα καὶ περίληψις κατὰ τὸ εἶδος γίνεται, ἡ δὲ ὕλη τῷ ἑαυτῆς λόγῳ οὔτε εἶδός ἐστιν οὔτε ἔχει εἶδος, καὶ ἔστι τὸ ἄπειρον ἡ ὕλη, εἰκότως ἄγνωστον τὸ ἄπειρον λέγεται. καὶ γὰρ καὶ ἐν τοῖς περὶ ὕλης λόγοις ἐλέγετο, ὅτι κατὰ ἀναλογίαν μόλις ἐστὶν ἡ ὕλη γνωστή. εἰ δὲ τὸ μὲν ἄπειρον κατὰ τὴν ὕλην θεωρεῖται, τὸ δὲ ὅλον κατὰ τὸ σύνθετον, καὶ ἔστι μόριος τοῦ συνθέτου καὶ ὅλου ἡ ὕλη, ὥσπερ ὁ χαλκὸς τοῦ χαλκοῦ ἀνδριάντος, δηλονότι ἐν μορίου ἂν εἴη λόγῳ τὸ ἄπειρον εἴπερ ἐν ὅλῳ. δείξας δὲ ὅτι περιέχεται μᾶλλον τὸ ἄπειρον ἤπερ περιέχει, καὶ ὅτι ἄγνωστόν ἐστι τῇ ἑαυτοῦ φύσει, τὴν ἐπὶ πολλαῖς ἐκδοχὴν ἐλέγχει τῶν τοῦ πλάτωνος λόγων. τοῦ γὰρ πλάτωνος ἐν τοῖς περὶ τἀγαθοῦ λόγοις εἰπόντος, τὸ μέγα καὶ τὸ μικρὸν τὴν ὕλην, ἣν καὶ ἄπειρον ἔλεγε, καὶ περιέχεσθαι ὑπὸ τοῦ ἀπείρου πάντα τὰ αἰσθητὰ, καὶ ἄγνωστα εἶναι διὰ τὸ ἔνυλον καὶ ἄπειρα, καὶ ῥευστὴν ἔχειν τὴν φύσιν, ἀκόλουθόν φησι δοκεῖν τῷ τοιούτῳ, τὸ καὶ ἐν τοῖς νοητοῖς ὑπὸ τοῦ ἐκεῖ μεγάλου καὶ μικροῦ, ὅπερ ἐστὶν ἡ ἀόριστος δυὰς, ἀρχὴ καὶ αὕτη οὖσα μετὰ τοῦ ἑνὸς παντὸς ἀριθμοῦ, καὶ πάντων τῶν ὄντων, ἀριθμοὶ γὰρ καὶ αἱ ἰδέαι. ἀκόλουθον οὖν τὸ ἐν τοῖς νοητοῖς, ὑπὸ τοῦ ἐκεῖ ἀπείρου καὶ ἀγνώστου περιέχεσθαι καὶ ὁρίζεσθαι τὰ νοητὰ, γνωστὰ ὄντα φύσει καὶ ὡρισμένα, ἅτε εἴδη ὄντα. αὕτη μὲν ἡ κατὰ τὸ φαινόμενον ἀτοπία τοῦ λόγου. ἐπιστῆσαι δὲ χρὴ ὅτι τὰ μὲν ἔνυλα εἰκότως ὑπὸ τῆς ὕλης καὶ τῆς ὑλικῆς ἀπειρίας λέγει περιέχεσθαι, οὐχ ὡς ὁριζούσης αὐτὰ, ἀλλ' ὡς διὰ πάντων χωρούσης καὶ δι' εἰδοποιούσης. καὶ τὸ ἄγνωστον τοῖς τῇδε εἰκότως ἡ ὑλικὴ ἀπειρία παρέχεται. τὰ μέντοι νοητὰ ἄϋλα ὄντα καὶ καθαρὰ εἴδη ὑπὸ τῆς ἐκεῖ ἀΰλου ἀπειρίας περιέχεται, τὴν διάκρισιν τῶν εἰδῶν ἐργαζομένης κατὰ τὴν δυάδα, καὶ τὸ μᾶλλον καὶ ἧττον ἐν ὑπεροχῇ καὶ ἐλλείψει παρεχομένης διὰ τῆς ἐκεῖ τάξεως, καὶ τὸ τῆς δυνάμεως ἀνέκλειπτον. καὶ οὐκ ἂν εἴη κατ' ἐκείνην τὴν ὑπεροχὴν ἄγνωστα. καὶ γὰρ καὶ τὸ ἐνταῦθα ἄπειρον ὡς ὑλικὸν ἄγνωστα τὰ τῇδε ἐποίει. ἐκεῖνο δὲ ὑπὸ τοῦ ἑνὸς καὶ τοῦ πέρατος κρατούμενον, ὁ πλοῦτος καὶ ἡ γονιμότης τῶν εἰδῶν ἐστίν. εἰ δὲ κατὰ τὴν ἐκεῖ ἀπειρίαν, ἡ εἰς τὸ ὂν καὶ τὴν νοητὴν ἕνωσιν ἀνάχυσις γίνεται τῶν ἐκεῖ εἰδῶν, οὐδὲν θαυμαστὸν κατὰ ταύτην καὶ τὴν γνωστὴν ὑπερδραμεῖν φύσιν τὰ εἴδη. τὸ γὰρ γνωστὸν πρὸς τοῦ πέρατος μᾶλλόν ἐστι τὸ δὲ ἄγνωστον καὶ ἀπόρρητον πρὸς τῆς ἀπειρίας.

Κ ΑΤᾺ λόγον δὲ συμβαίνει καὶ τὸ κατὰ πρόσθεσιν ὡς μὴ εἶναι δοκεῖν ἄπειρον οὕτως, ὥστε παντὸς ὑπερβάλλειν μεγέθους. ἐπὶ τὴν διαίρεσιν δὲ εἶναι. περιέχεται γὰρ ὡς ἡ ὕλη ἐντὸς, καὶ τὸ ἄπειρον. περιέχει δὲ τὸ εἶδος.

Δ είξας ὅτι οὐ περιέχει τὸ ἄπειρον, ἀλλὰ περιέχεται ἐν τοῖς μεγέθεσιν, αἴτιον τοῦτό φησι τοῦ ἐν τῷ ἀπείρῳ ἀνομοίου. διότι τὸ μὲν ἐπὶ τὴν πρόσθεσιν οὐκ ἔστιν ἄπειρον οὕτως, ὥστε παντὸς ὑπερβάλλειν μεγέθους. τὸ δὲ ἐπὶ τὴν διαίρεσιν ἔστιν, ὥστε παντὸς ἐλλείπειν. τούτου δὲ αἴτιον τὸ περιέχεσθαι μὲν τὴν ὕλην ἐντὸς

ἄπειρον οὐδέν, καὶ τῆς ἀπειρίας αἰτίαν, περιέχειν δὲ τὸ εἶδος. διὸ μικρότερον μὲν ποιεῖν εἰς ἄπειρον βουλομένοις δίδωσι τὴν χορηγίαν, συνυπάρχουσα κατὰ τὴν ἀπειρίαν ἡ ὕλη. διὰ ταύτην δὲ καὶ ἡ ἀπὸ τῶν διαιρεμάτων πρόσθεσις ἐπ' ἄπειρον γίνεται. τὸν δὲ τοῦ εἴδους περιορισμὸν πέρατος ὄντος ὑπερπεσεῖν ἀδύνατον. ἢ οὕτω γε καὶ τὸ εἶδος αὔξεσθαι συμβήσεται. οὐ γίνεται δὲ τὸ εἶδος οὔτε μεῖζον οὔτε ἔλαττον. εἰ μὲν οὖν ἦν τὸ ἄπειρον οὕτω κατὰ πρόσθεσιν, ὥστε παντὸς ὑπερβάλλειν, ἦν ἂν τὸ ἄπειρον κατὰ τὸ περιέχον καὶ ὁρίζον καὶ περατοῦν. ἡ γὰρ προσθήκη κατὰ τοῦτο. τὸ δὲ περατοῦν ἐστι τὸ εἶδος. καὶ ἦν ἂν οὕτω κατὰ τὸ εἶδος ἡ ἀπειρία. τοῦτο δὲ ἄτοπον. πέρατος γὰρ ἀλλ' οὐκ ἀπειρίας αἴτιον τὸ εἶδος. ἐπειδὴ δὲ ἐπὶ τὴν διαίρεσιν ἡ ἀπειρία, οὐδὲν ἄτοπον. ἡ γὰρ ὕλη τὸ ἄπειρον οὖσα περιέχεται. καὶ ἡ διαίρεσις καὶ ἡ κατὰ τὴν διαίρεσιν πρόσθεσις κατὰ τὸ περιεχόμενον γίνεται. δόξει δὲ τὴν ὕλην κατὰ τὸν αὐτὸν λόγον μέγεθος ποιεῖν, εἴγε ἡ διαίρεσις κατ' αὐτήν. ἢ οὐ τὴν ὕλην διαιρεῖσθαι λέγοι ἄν, ἀλλὰ τὸ μέγεθος κατὰ τὴν ὕλην. ἢ τίς ἐστι τὸ ἐν αὐτῷ ἄπειρον.

ΕΥΛΟΓΩΣ δὲ καὶ τὸ, ἐν μὲν τῷ ἀριθμῷ εἶναι ἐπὶ τὸ ἐλάχιστον πέρας. ἐπὶ δὲ τὰ πλείω, ἀεὶ παντὸς ὑπερβάλλειν πλήθους. ἐπὶ δὲ τῶν μεγεθῶν τοὐναντίον, ἐπὶ μὲν γὰρ τὸ ἔλαττον, παντὸς ὑπερβάλλειν μεγέθους. ἐπὶ δὲ τὸ μεῖζον, μὴ εἶναι μέγεθος ἄπειρον. αἴτιον δ' ὅτι τὸ ἓν ἐστὶν ἀδιαίρετον. ὅπερ ἂν ἓν ᾖ. οἷον ἄνθρωπος, εἷς ἄνθρωπος καὶ οὐ πολλοί. ὁ δ' ἀριθμός ἐστιν, ἕνα πλείω, καὶ ποσὰ ἄττα. ὥστε ἀνάγκη στῆναι ἐπὶ τὸ ἀδιαίρετον. τὰ γὰρ δύο καὶ τρία παρώνυμα ὀνόματά ἐστιν. ὁμοίως δὲ καὶ τῶν ἄλλων ἀριθμῶν ἕκαστος. ἐπὶ δὲ τὸ πλεῖον ἀεὶ ἐστι νοῆσαι. ἄπειροι γὰρ αἱ διχοτομίαι τοῦ μεγέθους. ὥστε δυνάμει μὲν ἐστιν. ἐνεργείᾳ δ' οὔ. ἀλλ' ἀεὶ ὑπερβάλλει τὸ λαμβανόμενον, παντὸς ὡρισμένου πλήθους. ἀλλ' οὐ χωριστὸς ὁ ἀριθμὸς οὗτος τῆς διχοτομίας. οὐδὲ μένει ἡ ἀπειρία, ἀλλὰ γίνεται, ὥσπερ καὶ ὁ χρόνος καὶ ὁ ἀριθμὸς τοῦ χρόνου.

Εἰπὼν τὴν ἐν τῷ μεγέθει κατὰ τὴν ἀπειρίαν διαφορὰν, καθ' ἣν ἐπὶ μὲν τὸ ἔλαττον ἔστιν ἀεὶ τοῦ ληφθέντος ὑπερβάλλειν, ἐπὶ δὲ τὸ μεῖζον οὐκ ἔστι, νῦν τὴν αἰτίαν παραδίδωσι τῆς ἐν τῇ ἀπειρίᾳ διαφορᾶς τοῦ τε ἀριθμοῦ καὶ τοῦ μεγέθους. διατί ἐν μὲν τῷ ἀριθμῷ ἐπὶ τὸ ἔλαττον οὐκ ἔστιν εἰς ἄπειρον προϊέναι, καταλήγομεν γὰρ εἰς πέρας τὴν μονάδα, ἐπὶ δὲ τὸ πλέον ἔστι. τὸν γὰρ προστιθέμενον πάντα ἀριθμὸν ἔστιν αὐξῆσαι. ἐπὶ δὲ τῶν μεγεθῶν τοὐναντίον, ἐπὶ μὲν τὸ ἔλαττόν ἐστι πάντως ὑπερβάλλειν μεγέθους, ἐπὶ δὲ τὸ μεῖζον οὐκ ἔστι. καὶ πρώτην δίδωσιν αἰτίαν τοῦ μὴ εἰς ἄπειρον προϊέναι τὴν τοῦ ἀριθμοῦ διαίρεσιν. αὕτη δέ ἐστι τὸ τὸν ἀριθμὸν ἐκ πλειόνων ἑνώσεων συγκεῖσθαι. τὸ γὰρ ἐξ ἑνῶν συγκείμενον εἰς ἕνα καὶ διαιρεῖσθαι, τὸ δὲ ἓν καθὸ ἓν ἀδιαίρετον ὑπάρχειν. πῶς οὖν οἷόν τε ἐπ' ἄπειρον γίνεσθαι τὴν διαίρεσιν. ἐλθόντες γὰρ εἰς τὰς ἑνάδας ἀδιαιρέτους οὔσας, ἱστάμεθα. καὶ ὅτι μὲν ἐξ ὧν σύγκειται ἕκαστον πρώτων, εἰς ταῦτα διαιρεῖται ἔσχατα, καὶ ἤδη εἴρηται καὶ προφανές ἐστιν. ὅτι δὲ τὸ ἓν ἀδιαίρετόν ἐστιν, ὑπέμνησε διὰ τοῦ οἷον ἄνθρωπος εἷς ἄνθρωπος καὶ οὐ πολλοί. καθὸ γὰρ ἄνθρωπος, ἀδιαίρετος. εἰς ἀνθρώπους γοῦν ἂν διῃρεῖτο. ἡ γὰρ εἰς κεφαλὴν καὶ χεῖρας καὶ πόδας διαίρεσις, οὐχ ὡς ἀνθρώπου ἐστὶν, ἀλλ' ὡς ἐκ μερῶν συγκειμένου. τὸ δέ γε ἓν εἶδος ὂν, ὥρισται. τὸ δὲ ὡρισμένον ὂν, καθὸ ὥρισται ἀδιαίρετόν ἐστιν. ἀμέλει καὶ τῶν ἀριθμῶν ἕκαστος κατὰ τὸ ἑαυτοῦ εἶδος εἷς ὤν, ἀδιαίρετός ἐστι. διαιρεῖται δὲ κατὰ τὰς συνυπαρχούσας ἑνάδας, διὰ ὕλης λόγον ἐχούσας ἐν αὐτῷ. αὐτὴ δὲ ἡ ἑνὰς ἡ μονὰς οὐκ ἔχουσα ὕλην, οὐδὲ ἄλλο τι οὖσα ἢ εἶδος, ἀδιαίρετός ἐστιν. ὅλως δὲ εἰ διαιροῖτο τὸ ἓν, εἰς τί ἂν διαιρεθείη. πάντως εἰς ἡμίση. καὶ τούτων ἕκαστον ἕν, καὶ οὐδὲ ἔλαττον τοῦ ἐξ ἀρχῆς. τὸ γὰρ ἓν ἦν τῷ ἀριθμῷ ἐλάχιστον. πῶς οὖν ἂν διαιρεθείη. ὅτι δὲ ὁ ἀριθμὸς ἐξ ἑνῶν σύγκειται, ὑπέμνησε διὰ τοῦ, ὁ δὲ ἀριθμός ἐστιν ἕνα πλείω καὶ ποσὰ ἄττα. τὰ γοῦν τρία καὶ δύο παρώνυμα ὀνόματά ἐστιν. εἰ οὖν ὁ ἀριθμὸς οὐδὲν ἄλλο ἐστὶν εἰ μὴ πλείονα ἕνα, ἅτινα ποσά τινα ἐστὶ, καὶ ἕκαστος τῶν ἀριθμῶν ἐκ τῶν ἐν ἑαυτῷ μονάδων ὠνόμασται, δύο γὰρ τὰ ἐκ δυοῖν μονάδων, καὶ τρία τὰ ἐκ τριῶν, δηλονότι ἐκ τούτων σύγκειται ὁ ἀριθμὸς, εἰ οὖν ἀδιαίρετος ἡ μονὰς, καὶ σύγκειται ἐκ μονάδων ὁ ἀριθμὸς, ἐξ ὧν δὲ σύγκειται εἰς ταῦτα διαιρεῖται, ἀνάγκη στῆναι ἐπὶ τὸ ἀδιαίρετον τουτέστιν ἐπὶ τὸ ἐλάχιστον καὶ τὴν μονάδα. εἰπὼν δὲ τὴν αἰτίαν τῆς ἐπὶ τὸ ἀδιαίρετον στάσεως, ἐπάγει λοιπὸν τὴν αἰτίαν τῆς ἐπὶ τὸ πλέον ἐν τοῖς ἀριθμοῖς εἰς ἄπειρον προκοπῆς, λέγων τοῦτο τὸ ἐπ' ἄπειρον ἀπὸ τοῦ ἐν τοῖς μεγέθεσι γίνεσθαι. τῷ γὰρ ἐκεῖνα ἐπ' ἄπειρον τέμνεσθαι, διὰ τὴν περιεχομένην ἐν αὐτοῖς τῆς ὕλης ἀπειρίαν, τούτῳ καὶ ἡ ἐν τοῖς ἀριθμοῖς εἰς ἄπειρον αὔξησις γίνεται. καὶ ἔστιν ἐν ἀμφοτέροις παρὰ τῆς ὕλης τὸ ἄπειρον διὸ καὶ αὐτὸς ἐπήγαγεν, ἀλλ' οὐ χωριστὸς οὗτος ὁ ἀριθμός. ἀλλ' ἔνυλος δηλονότι, ὡς διὰ τὴν ὕλην καὶ ἐπὶ τούτου τῆς ἀπειρίας συμβαινούσης. ἀλλ' εἰ ἡ ἐπὶ τῶν ἐπ' ἄπειρον γινομένων διαιρεμάτων τοῦ μεγέθους πρόσθεσις, μεγέθους ἐστὶν ἐπ' ἄπειρον αὔξησις, καὶ οὐκ ἀριθμοῦ, εἰ οὖν τὸν μοναδικὸν ἀριθμὸν λάβοιμεν μὴ προσποιούμενοι μέγεθος, ἆρα οὐκ ἀνάγκη καὶ ἐπὶ τούτου παντὶ τῷ λαμβανομένῳ τοιούτῳ δυνατὸν εἶναι προσεῖναι μονάδα. ὅλως δὲ ἡ ἀεὶ γινομένη πρόσθεσις ἐπὶ τοῦ τῶν αἰώνων ἢ τῶν ἄλλων τῶν ἐν γενέσει ἀριθμοῦ, ἀπὸ ποίας προστίθεται διαιρέσεως. ὁ δὲ ἀριθμὸς τῆς οὐσίας κινήσεως καὶ τοῦ χρόνου ἀπὸ ποίας προσγινομένης διαιρέσεως αὔξεται. μήποτε οὖν οὐ παντὸς ἀριθμοῦ τὴν εἰς ἄπειρον αὔξησιν ἀπὸ τῆς τοῦ μεγέθους διαιρέσεως γίνεσθαί φησιν, ἀλλὰ τοῦ ἐν ὑποστάσει ὄντος καὶ ὑπομένοντος. πῶς γὰρ οἷόν τε αὔξεσθαι ἢ πρόσθεσιν δέχεσθαι τινὰ, τὸ μὴ ὑφεστὼς μηδὲ ὑπομένον. ὥστε οὐ τὸν μοναδικὸν καὶ ἀριθμὸν αὔξεσθαι ῥητέον. ἐν ἐπινοίᾳ γὰρ οὗτος μόνῃ τὸ εἶναι ἔχει. οὔτε τὸν τῶν αἰώνων ἢ τῆς κινήσεως ἢ τοῦ χρόνου ἢ ὅλως τῶν γινομένων καὶ φθειρομένων. οἱ γὰρ τούτων ἀριθμοὶ ἐν τῷ φθείρεσθαι τὰ πρότερα

τὸ εἶναι ἔχουσι. καὶ οὐχ ὑπομένει τὰ πρότερα, ὥστε προστίθεσθαι τὰ ἐφεξῆς, καὶ τὸν ἐξ ἀρχῆς ἀριθμὸν αὔξεσθαι. πλὴν εἰ μὴ ἐν τῇ ἡμετέρᾳ φαντασίᾳ, οὐδὲ αὐτῇ ὑπομενούσῃ. ἀλλὰ μόνως ἂν τοῦτο συμβαίνοι, ἐπὶ τοῦ τῶν ἐκ τοῦ μεγέθους διαιρεμάτων προσθέσεως, ποτὲ μὲν ὡς μεγεθῶν, ποτὲ δὲ ὡς μονάδων λαμβανομένων, καὶ διὰ τοῦτο ποτὲ μὲν ὡς μέγεθος ἐπ' ἄπειρον αὐξανόντων, ποτὲ δὲ ὡς ἀριθμόν. τοῦτο δέ ἐστι τὸ ἐνεργείᾳ μηδέποτε τὸ ἄπειρον ἀπολαβεῖν, μήτε τὸ μέγεθος μήτε τὸν ἀριθμόν, δυνάμει δὲ ἐνυπάρχειν, τῷ δύνασθαι ἐπ' ἄπειρον ἀεὶ προχωρεῖν, διὰ τὸ δυνάμει καὶ τὸ ἄπειρον τῆς ἐνυπαρχούσης ὕλης. δι' ἣν καὶ ἐν τῇ προσθέσει τῶν ἐνύλων ἀριθμῶν τὸ εἰς ἄπειρον ὑφέστηκεν. ἔοικε δὲ καὶ ὁ Ἀριστοτέλης ἐνδείκνυσθαι τὴν ὑπ' ἐμοῦ ῥηθεῖσαν λύσιν, διὰ τοῦ ἀεὶ μὲν ὑπερβάλλειν τὰ λαμβανόμενα παντὸς ὡρισμένου πλήθους. ἀλλ' οὐ χωριστὸς οὗτος ὁ ἀριθμός. ἀλλ' οὐδὲ μένει ἡ ἀπειρία. ἀλλ' ἀεὶ γίνεται, καὶ ὁ ἀριθμὸς τοῦ χρόνου. λέγει γὰρ ὅτι καὶ ἀεὶ ὑπερβάλλει τὰ λαμβανόμενα τοῦ παντὸς ὡρισμένου πλήθους, ἀλλ' οὐκ ἐπὶ χωριστοῦ τινος ἀριθμοῦ καὶ ἐν ἐπινοίᾳ κειμένου τοῦτο θεατέον. ἀλλ' ἐπὶ τοῦ σωματικοῦ. ἐφ' οὗ καὶ ἡ διαίρεσις ἡ τῆς προσθέσεως αἰτία τοῖς ὑπομένουσι, διὰ τὴν ὕλην ἔχει τὸ ἄπειρον. οὐ γὰρ ἕστηκεν ἡ ἀπειρία. ἀλλ' ὡς ἐπὶ τῆς κινήσεως καὶ τοῦ χρόνου καὶ τοῦ ταῦτα μετροῦντος ἀριθμοῦ, οὐ μένει ἡ ἀπειρία, ἀλλ' ἀεὶ γίνεται. πλὴν ὅτι ἐπὶ μὲν τῆς ἐκ τῶν διαιρεμάτων προσθέσεως, ὑπομένον τὸ πρότερον δέχεται τὸ ἐπιόν. καὶ τὸ ἄπειρον καὶ ἐπὶ ταύτης οὐχ ὑπομένη, ἀλλ' ἐν τῷ γίνεσθαι τὸ εἶναι ἔχει. ὡς καὶ ἐπὶ κινήσεως καὶ χρόνου καὶ τοῦ μοναδικοῦ ἀριθμοῦ. διάφορον δὲ ἔχει ταῦτα, τῷ γίνεσθαι τὸ ἄπειρον τῶν προτέρων φθειρομένων, καὶ μὴ δὲ πρόσθεσιν δεχομένων. ἀλλὰ τί καὶ τούτοις αἴτιόν ἐστι τῆς εἰς ἄπειρον προόδου, ὥσπερ τοῖς ὑπομένουσι τὰ τῶν μεγεθῶν ἔνυλα διαιρέματα. ἢ τὸ ἀεὶ ἐνυπάρχον δυνάμει ὑλικὸν καὶ αὐτὸ ὄν, τὸ ἀεὶ δύνασθαι παρέχεται. ἀριθμὸς δὲ χρόνου τὸ πρότερον καὶ ὕστερον. ὃ εἰς ἄπειρον λαμβάνεται, τῷ ἄλλο καὶ ἄλλο γίνεσθαι. ἀριθμὸν δὲ χρόνου φησί, καθ' ὃν ἀριθμεῖ καὶ ἀριθμεῖται ὁ χρόνος.

Ἐπὶ δὲ τῶν μεγεθῶν, τοὐναντίον ἐστί. καὶ διαιρεῖται μὲν γάρ, εἰς ἄπειρα, τὸ συνεχές. ἐπὶ δὲ τὸ μεῖζον οὐκ ἔστιν ἄπειρον. ὅσον γὰρ ἐνδέχεται δυνάμει εἶναι, καὶ ἐνεργείᾳ ἐνδέχεται τοσοῦτον εἶναι. ὥστε ἐπεὶ ἄπειρον οὐθέν ἐστι μέγεθος αἰσθητόν, οὐκ ἐνδέχεται παντὸς ὑπερβολὴν εἶναι ὡρισμένου μεγέθους. εἴη γὰρ ἄν τι τοῦ οὐρανοῦ μεῖζον.

Τοῦ ἐν τοῖς μεγέθεσιν ἐπὶ μὲν τὴν διαίρεσιν εἶναι τὸ ἄπειρον, ἐπὶ δὲ τὴν πρόσθεσιν μὴ εἶναι, πρότερον ἀπεδίδου αἰτίαν, τὸ τὴν μὲν ὕλην ἄπειρον οὖσαν, καὶ ἐντὸς περιεχομένην, χώραν διδόναι τῇ ἐπὶ τὸ ἔλαττον εἰς ἄπειρον προόδῳ, τὸ δὲ εἶδος πέρας ὂν καὶ ἐκτὸς περιέχον, μὴ δέχεσθαι τὴν ἐπ' ἄπειρον πρόσθεσιν. νῦν δὲ τοῦ μὲν ἐπὶ τὸ ἔλαττον ἀεὶ προχωρεῖν, τὸ συγκεῖσθαι μὲν ἐκ συνεχῶν τὸ συνεχές, καὶ ἐκ μεγεθῶν τὸ μέγεθος, διαιρεῖσθαι δὲ πᾶν εἰς ἐκεῖνα ἐξ ὧν σύγκειται. μέρη γὰρ ἔχον τὸ μέγεθος μεγέθη, τὴν διαίρεσιν καὶ τομὴν ἐνταῦθα ὑπομένει, ὥσπερ τὴν ἀνάλυσιν εἰς τὰ στοιχεῖα. κοινὸν δὲ ἐπ' ἀμφοῖν, τὸ ἐξ ὧν σύγκειταί τι εἰς ταῦτα καὶ διαιρεῖσθαι. ἀλλ' εἰ μὲν τεμνόμενον, εἰς τὰ μέρη πάντως ἡ τομή. εἰ δὲ ἀναλυόμενον, εἰς τὰ στοιχεῖα ἡ ἀνάλυσις γίνεται. ὅτι δὲ ἐκ μεγεθῶν τὸ μέγεθος ἐν τῷ ἕκτῳ βιβλίῳ δείξει, διὰ τοῦ ἢ ἐξ ἀμερῶν ἢ ἐκ μεριστῶν εἶναι, τὰ δὲ ἀμερῆ συντιθέμενα διάστασιν μὴ ποιεῖν. τοῦ δὲ μὴ ἐπ' ἄπειρον αὔξεσθαι τὸ μέγεθος αἴτιόν φησιν εἶναι, τὸ προχωροῦσιν ἡμῖν ἐπὶ τὸ μεῖζον τὸ ὅλον ὑπαντᾶν καὶ τὸ πᾶν, ὅπερ ἐστὶν ὡρισμένον. ὥσπερ ἐν τοῖς ἀριθμοῖς ἐπὶ τὸ ἔλαττον προχωροῦσιν ὑπαντήσασα ἡ ἑνάς, ὡρισμένη οὖσα ἵστησι τὴν εἰς ἄπειρον πρόοδον. εἰ δὲ ἦν δυνατὸν προστεθῆναι παντὶ σώματι, οὐδὲν ἂν ἦν πᾶν οὐδὲ ὅλον. ἀλλ' ὅσον οἱ φυσιολόγοι λέγουσιν, αἰσθητόν τι σῶμα ἄπειρον ἐνεργείᾳ, ὅπερ δέδεικται μὴ ὄν. εἰ δὲ ἦν ἐπ' ἄπειρον πᾶν μέγεθος ἐπαύξεσθαι δυνάμενον, ὥστε δυνάμει εἶναι τὸ ἀεὶ ὑπερβάλλον, ἦν ἂν καὶ ἐνεργείᾳ τοσοῦτον. ὅσον γὰρ ἐνδέχεται δυνάμει εἶναι, καὶ ἐνεργείᾳ ἐνδέχεται. ὥστε ἐπειδὴ ἄπειρον οὐδέν ἐστιν ἐνεργείᾳ μέγεθος αἰσθητὸν ὡς δέδεικται, οὐδὲ εἰς ἄπειρον προϊόντας ἐνδέχεται παντὸς ὑπερβάλλειν ὡρισμένου μεγέθους, ἵνα μηδὲν ᾖ ἐνεργείᾳ τοῦ κόσμου μεῖζον. ὅσπερ ἐστὶ τὸ ὅλον καὶ πᾶν μέγεθος, οὐ κατὰ Πλάτωνα μόνον, ἀλλὰ καὶ κατὰ Ἀριστοτέλη. καλοῦσι δὲ ἄμφω καὶ τὸν ὅλον κόσμον οὐρανόν, ἢ ἐκ τοῦ ἐν αὐτῷ κυριωτέρου καὶ πλείστου τὸ ὅλον προσαγορεύοντες ἢ ὅτι τὸ πρὸς τὸν ἑαυτοῦ δημιουργὸν ἐστράφθαι καὶ ὁρᾶν ἄνω, ἀφ' οὗ καὶ οὐρανὸς καλεῖται, οὐ τῷ ἀϊδίῳ μόνῳ σώματι ὑπάρχει, ἀλλὰ καὶ τῷ παντὶ κόσμῳ. ὅτι δὲ οὐδέν ἐστι τοῦ κόσμου μεῖζον μέγεθος, οὐδέ τι ἔξω τοῦ οὐρανοῦ, δείξει μὲν ἐν τοῖς περὶ οὐρανοῦ προηγουμένως, δέδεικται δὲ οἶμαι καὶ ἤδη διὰ τῶν τὸ ἄπειρον μέγεθος ἀναιρούντων λόγων. εἰ γὰρ ἦν ἔτι τοῦ κόσμου μεῖζον, ἀόριστον λοιπὸν ὑπάρχον, ἄπειρον ἂν ἦν. ἀλλὰ πῶς φησιν, ὅσον γὰρ ἐνδέχεται δυνάμει εἶναι, καὶ ἐνεργείᾳ ἐνδέχεται τοιοῦτον εἶναι. οὐδὲ γὰρ ἐπειδὴ παντὶ ἀριθμῷ δυνατὸν προσθεῖναι, ἤδη καὶ ἐνεργείᾳ ἐστὶν ἄπειρος ἀριθμός. οὐδὲ ἐπειδὴ μὴ ἔστιν ἐνεργείᾳ ἄπειρος ἀριθμός, ἤδη διὰ τοῦτο κωλύεται ἡ εἰς ἄπειρον τοῦ ἀριθμοῦ πρόσθεσις. παντὶ γὰρ τῷ λαμβανομένῳ προσθεῖναι δυνατόν. ὥστε φαίη ἄν τις κἂν εἰς ἄπειρον ἐνεργείᾳ μέγεθος μὴ ᾖ, τί κωλύει δυνάμει εἶναι, τῷ δύνασθαι εἰς ἄπειρον αὔξεσθαι. καὶ γὰρ τὸ ἐν τῇ διαιρέσει δυνάμει, τῷ δύνασθαι ἀεί τι λαμβάνειν ἔλαττόν ἐστιν. οὐχ ὅτι ληφθήσεταί ποτε τὸ ἐλάχιστον. τί οὖν κωλύει καὶ τὸ ἐν τῇ προσθέσει δυνάμει οὕτως εἶναι, ὡς δύνασθαί τι ἀεὶ λαμβάνειν μεῖζον, μηδέποτε δὲ καταντᾶν εἰς μέγιστον. εἰ δὲ τοῦτο οὕτως ἔχει, οὐ χρὴ ἐκ τοῦ μὴ εἶναι ἄπειρον ἐνεργείᾳ μέγεθος αἰσθητόν, ἀναιρεῖν τὴν εἰς ἄπειρον πρόσθεσιν. μήποτε οὖν ὥσπερ ἐπὶ τῶν μεγεθῶν, διὰ τοῦτο οὐ δυνατὸν παντὸς ὑπερβάλλειν τοῦ ληφθέντος μεγέθους, ὅτι μὴ

ἔστιν ἐνεργείᾳ μέγεθος ἄπειρον αἰσθητόν, οὕτως ἔχει καὶ ἐπὶ τῶν ἀριθμῶν. καὶ γὰρ ἐπ᾽ ἐκείνων ὅτι μὴ ἔστιν ἐνερ-
γείᾳ ἄπειρος ἀριθμός, οὐ δυνατὸν παντὸς τοῦ δοθέντος ὑπερβάλλειν, πλὴν τῇ ἐπινοίᾳ. αὕτη δὲ ὅτι κε-
νεμβατεῖ πολλάκις μετ᾽ ὀλίγον δειχθήσεται. πῶς οὖν ἀντιπεπονθέναι κατὰ τοῦτο τὸν ἀριθμὸν ἐλέγομεν
τῷ μεγέθει, καθόσον ὁ μὲν ἀριθμὸς ἐπὶ τὸ πλέον ἀεὶ τὸ ἄπειρον ἔχει, τὸ δὲ μέγεθος ἐπὶ τὸ ἔλαττον. ἢ
τοῦτο οὐκ ἐπὶ παντός ἐστιν ἀριθμοῦ καθ᾽ ὑπόστασιν. ἀλλ᾽ ἐπὶ μόνου τοῦ ἐκ τῆς διχοτομίας, τοῦ μεγέθους
ἐπ᾽ ἄπειρον αὐξανομένου, διὰ τὴν τῆς διχοτομίας ἐπ᾽ ἄπειρον πρόοδον. ὥσπερ οὖν ὑπερβάλλειν μὲν
παντὸς μεγέθους ἀδύνατον, ἐπειδὴ μὴ ἔστιν αἰσθητὸν μέγεθος ἄπειρον, ἔστι δὲ ἐπ᾽ ἄπειρον προστιθέναι
μέγεθος μεγέθει, τὰ ἀπὸ τῆς διχοτομίας διαιρέματα ἐπ᾽ ἄπειρον γινομένης προστιθέντας ἐπ᾽ ἄπει-
ρον, οὕτως ὑπερβάλλειν μὲν παντὸς ἀριθμοῦ ἀδύνατον, πλὴν τῇ ἐπινοίᾳ, ἐπειδὴ μὴ ἔστιν ἐνεργείᾳ
ἄπειρος ἀριθμός. μόνῳ δὲ τῷ ἐκ τῆς ἀεὶ γινομένης διχοτομίας ἀριθμῷ προστιθέναι ἀεὶ δυνατόν, κατὰ
τὴν συμπαρέχουσαν τῆς ὕλης ἀπειρίαν, οὐκ ἐπὶ χωριστοῦ ἀριθμοῦ τοῦτο ποιοῦντας, ἀλλ᾽ ἐπὶ τοῦ τῇ διχο-
τομίᾳ συμπαρόντος. καὶ δοκοῦμεν τι λέγειν ἴσως τοῦτο λέγοντες. τάχα δὲ οὐδὲν λέγομεν. διότι τὸ μὲν μέ-
γεθος κἂν ἐπ᾽ ἄπειρον ἴσχῃ τὴν ἀπὸ τῆς διαιρέσεως προσθήκην, ἀλλ᾽ οὐχ ὑπερβάλλει παντὸς μεγέθους τὸ
τὴν προσθήκην δεχόμενον. ἀπὸ γὰρ τῆς διαιρέσεως ἔχει τὴν ἀπειρίαν. ἔνδον δὲ ἐκείνη καὶ οὐκ ἔξω πρόεισιν.
ὁ μέντοι ἀριθμὸς ὁ ἐν τῇ διχοτομίᾳ τῇ ἐπ᾽ ἄπειρον γινομένῃ, ἐπ᾽ ἄπειρον καὶ αὐτὸς προϊών, διατί μὴ
παντὸς ὑπερβάλλει, καίτοι μὴ ὄντος ἀριθμοῦ ἀπείρου κατ᾽ ἐνέργειαν. πάλιν μὲν οὖν εἰς ταὐτὸν περιελή-
λυθεν ἡ ἀπορία, πῶς λέγει διὰ τοῦτο μὴ εἶναι ὑπερβολὴν παντὸς ὡρισμένου μεγέθους, ὅτι μὴ ἔστιν ἐνερ-
γείᾳ μέγεθος αἰσθητὸν ἄπειρον. εἴπερ καὶ μὴ ὄντος ἀπείρου ἐνεργείᾳ ἀριθμοῦ, τὸν ἀπὸ τῆς ἐπ᾽ ἄπειρον γινομέ-
νης διχοτομίας ἀνάγκη παντὸς ὑπερβάλλειν ἀριθμοῦ. μήποτε οὖν ἐπὶ μὲν τοῦ μεγέθους ἀδύνατον ἦν
παντὸς ὑπερβολὴν εἶναι ὡρισμένου μεγέθους, εἰ μὴ ἦν μέγεθος ἄπειρον. τὸ γὰρ ὡρισμένον πᾶν πεπερασμέ-
νον. εἰ οὖν τοῦ μεγίστου τῶν ὡρισμένων μεῖζον ἦν λαβεῖν, ἀόριστον ἀνάγκη καὶ ἄπειρον εἶναι τὸ λαμβα-
νόμενον. ἐπὶ δὲ τῆς τοῦ ἀριθμοῦ προσθέσεως, καὶ μὴ ὄντος ἀπείρου ἀριθμοῦ, ἀνάγκη τὴν ἐκ τῆς διχοτο-
μίας πρόσθεσιν ἐπ᾽ ἄπειρον γίνεσθαι, καὶ παντὸς τοῦ λαμβανομένου ἀριθμοῦ εἶναι πλείονα. ἐπειδὴ καὶ
ἡ διχοτομία ἐπ᾽ ἄπειρον γίνεται, μηδέποτε καταντῶσα εἰς τὸ ἐλάχιστον. ὥσπερ ἡ τῶν μεγεθῶν αὔξη-
σις καταντᾷ εἰς τὸ μέγιστον τὸ ὅλον καὶ τὸ πᾶν. τί οὖν οὐχὶ καὶ ἐπὶ τούτου ἀληθές, ὅτι ὡρισμένος πᾶς
ἀριθμὸς πεπερασμένος ἐστίν. εἰ οὖν τοῦ μεγίστου ὡρισμένου καὶ πεπερασμένου μείζονα θελήσαιμεν λαβεῖν,
ἀνάγκη εἰς ἄπειρον ἐκπεσεῖν. τοῦ γὰρ μεγίστου ὡρισμένου καὶ πεπερασμένου, μείζων ὁ ἄπειρός ἐστιν. ὥστε οὐκ
ἐνδέχεται οὐδὲ ἀριθμοῦ παντὸς ὡρισμένου ὑπερβολὴν εἶναι, εἰ μὴ ἔστιν ἄπειρος ἀριθμός. πῶς οὖν ἡ ἐπ᾽
ἄπειρον τοῦ ἀριθμοῦ πρόσθεσις. πῶς δὲ ἡ ἐπ᾽ ἄπειρον τοῦ μεγέθους διαίρεσις, εἰ μὴ ἔστι μέγεθος ἐλά-
χιστον. εἰ ἀληθὲς τὸ ῥηθέν, ὅτι ὅσον ἐνδέχεται δυνάμει εἶναι, καὶ ἐνεργείᾳ ἐνδέχεται τοσοῦτον εἶναι.

ΤΟ Δ᾽ ἄπειρον, οὐ ταὐτὸν ἐν κινήσει καὶ μεγέθει καὶ χρόνῳ, ὡς καὶ μία τις φύσις. ἀλλὰ τὸ ὕστερον λέγεται
κατὰ τὸ πρότερον. οἷον κίνησις μέν, ὅτι πρότερον τὸ μέγεθος ἐφ᾽ οὗ κινεῖται ἢ ἀλλοιοῦται, ἢ αὐξάνε-
ται. ὁ χρόνος δὲ διὰ τὴν κίνησιν. νῦν μὲν οὖν χρώμεθα τούτοις ὕστερον δὲ πειρασόμεθα λέγειν, καὶ τί ἐστιν
ἕκαστον. καὶ διότι πᾶν μέγεθος εἰς μεγέθη διαιρετόν.

Ε ἰπὼν τὸ ἄπειρον ἐν πλείοσιν εἶναι, καὶ γὰρ καὶ ἐν μεγέθει, καὶ ἐν ἀριθμῷ, καὶ ἐν κινήσει, καὶ ἐν χρόνῳ, καὶ ἐν πᾶ-
σι κατὰ τὸ ἐπ᾽ ἄπειρον, ἐφιστάνει καλῶς, ὅτι τὸ ἄπειρον ὑπάρχον συνεχέσι, τῷ μεγέθει καὶ τῇ κινήσει
καὶ τῷ χρόνῳ, οὐχ ὡς τὸ αὐτὸ ὑπάρχει. οὐδ᾽ ὡς μία τις φύσις καὶ γένος ἓν κατὰ πάντων τῶν εἰρημένων. οὐ γὰρ
ἐπίσης αὐτῶν κατηγορεῖται, ὅπερ προσήκει τοῖς γένεσιν. ἀλλὰ τοῦ μὲν προτέρου, τοῦ δὲ ὑστέρου. ἐπειδὴ γὰρ
κατὰ τὸ συνεχὲς ὑπάρχει τούτοις τὸ ἄπειρον, διότι τὸ συνεχές ἐστι τὸ ἐπ᾽ ἄπειρον διαιρετόν, πρώ-
τως δὲ συνεχὲς τὸ μέγεθος, καὶ πρώτως τοῦτο διαιρεῖται εἰς μεγέθη, ἅτε καὶ ἐκ μεγεθῶν συγκείμενον. καὶ
καὶ διὰ τοῦτο διαιρεῖται ἐπ᾽ ἄπειρον. διὰ δὲ τὸ μέγεθος ἡ κίνησις ἔχει τὸ συνεχές. τῷ γὰρ ἐπὶ συνεχοῦς γίνε-
σθαι τοῦ μεγέθους, συνεχὴς καὶ αὕτη καὶ ἐπ᾽ ἄπειρον διαιρετή. διὰ δὲ τὴν κίνησιν ὁ χρόνος. κινήσεως γάρ
τι ἐστίν. ἀριθμὸς γὰρ κινήσεως ὁ χρόνος. ὥστε οὐκ ἐπίσης οὐδὲ ὡς γένος κατηγορεῖται. ἀλλ᾽ ἀεὶ τοῦ δευτέρου
διὰ τὸ πρότερον. καὶ διὰ τοῦτο πρότερον καὶ ὕστερον. ἡ δὲ ὡς προτέρου καὶ ὑστέρου κατηγορία, ἔστι μὲν καὶ ἐν
τοῖς ὁμωνύμοις. οὕτω γὰρ ὁμώνυμος ὁ ἔγγονος εἰ τύχοι τῷ πάππῳ. ἔστι δὲ καὶ ἐν τοῖς ἀφ᾽ ἑνός. καὶ τοιαύτη
μᾶλλόν ἐστιν ἡ τοῦ ἀπείρου κατηγορία. ὅτι δὲ παρὰ τοῦ μεγέθους τῇ κινήσει τὸ συνεχές, νῦν μὲν ὑπέμνη-
σε βραχέως, εἰπὼν κίνησις μέν, ὅτι τὸ μέγεθος ἐφ᾽ οὗ κινεῖται, ἢ ἀλλοιοῦται ἢ αὔξεται, τὸ ἐφ᾽ οὗ κινεῖται ἀν-
τὶ τῆς τοπικῆς κινήσεως παραλαβών, καὶ διὰ τῶν κατ᾽ εἶδος κινήσεων ὑπομιμνήσκων, ὅτι πᾶσαι αἱ κινή-
σεις μεγεθῶν εἰσὶ καὶ ἐν μεγέθεσι, καὶ τὸ συνεχὲς ἔχουσι διὰ τὰ μεγέθη. ἀλλὰ νῦν μὲν ὅπερ εἶπον βρα-
χέως ὑπέμνησε τοῦτο. προϊὼν δέ, καὶ ὅτι τὸ μέγεθος πρώτως ὂν συνεχές, εἰς μεγέθη διαιρεῖται, ἅτε ἐκ
μεγεθῶν συγκείμενον. καὶ διὰ τοῦτο πρῶτον ἔχει τὴν ἐπ᾽ ἄπειρον διαίρεσιν. διὰ δὲ τὸ μέγεθος ἡ κίνησις.
καὶ διὰ τὴν κίνησιν ὁ χρόνος. τὸ δὲ τί ἐστι, περὶ μὲν κινήσεως εἴρηται. περὶ δὲ χρόνου ῥηθήσεται.

ΟΥΚ ΑΦΑΙΡΕΙΤΑΙ δὲ ὁ λόγος, οὐδὲ τοὺς μαθηματικοὺς τὴν θεωρίαν. ἀναιρῶν οὕτως εἶναι τὸ ἄπει-
ρον, ὥστε ἐνεργείᾳ εἶναι ἐπὶ τὴν αὔξησιν ὡς ἀδιεξίτητον. οὐδὲ γὰρ νῦν δέονται τοῦ ἀπείρου, οὐδὲ χρῶνται. ἀλλὰ μό-
νον, εἶναι ὅσην ἂν βούλωνται, πεπερασμένην. τῷ δὲ μεγίστῳ μεγέθει, τὸν αὐτόν ἐστι τετμῆσθαι λόγον ὁπηλικονοῦν

μέγεθος ἕτερον. ὥστε πρὸς μὲν τὸ δεῖξαι, ἐκείνως οὐδὲν διοίσει. τὸ δὲ ζ̄. ἐν τοῖς οὖσιν ἔσται μεγέθεσιν.
Ε πιστήμονος ἀνδρός ἐστι, τὸ μὴ δι' ὧν εἰσηγεῖται, ἀναιρεῖσθαί τι τῶν τοῖς σοφοῖς τετιμημένων. ἐπειδὴ οὖν
τετίμηται μὲν γεωμετρία δικαίως, τὰ δὲ ἐν αὐτῇ θεωρήματα δεικνύουσιν οἱ γεωμέτραι, ὡς ὄντος ἀπεί-
ρου μεγέθους ἀδιεξιτήτου κατὰ τὴν αὔξησιν, εἴπερ καὶ ἐν τοῖς αἰτήμασι λαμβάνουσι τὸ πεπερασμένην
εὐθεῖαν κατὰ τὸ συνεχὲς ἐπ' εὐθείας ἐκβάλλειν, εἰ δὲ τοῦτο, πάσης τῆς δοθείσης ὑπερβάλλειν δυνατόν,
εἰ δὲ τοῦτο, ἄπειρον ἐνεργείᾳ μέγεθος ἀνάγκη εἶναι, ὅπερ διὰ πολλῶν ἀνεῖλον οἱ φθάσαντες λόγοι,
πολλάκις δὲ καὶ ἐν ταῖς δείξεσιν ἀπείρους ὑποτίθενται γραμμάς, δόξει οὖν τισιν ἀναγκαῖον ἢ εἶναί τι μέ-
γεθος ἄπειρον ἐνεργείᾳ, ἢ ἀναιρεῖσθαι γεωμετρίαν, καὶ δηλονότι πάντα ἄν τις μᾶλλον ἀνὴρ σοφὸς συγ-
χωρήσειεν, ἢ τὸ ἀναιρεῖσθαι γεωμετρίαν, πρὸς γὰρ τοῖς ἄλλοις ἀγαθοῖς καὶ τοῦτο ἔχει μέγιστον ὡς ὁ Πλάτων
φησί, πρὸς πάσας μαθήσεις ὥστε κάλλιον ἀποδέχεσθαι τὸν ἁψάμενον γεωμετρίας τοῦ μὴ ἁψαμένου, τοῦτον
οὖν τὸν φόβον παραμυθούμενος, φησὶ τὸν λόγον τὸν ἀναιροῦντα τὸ ἐνεργείᾳ ἄπειρον, μὴ ἀφαιρεῖσθαι τοὺς
μαθηματικοὺς τὴν θεωρίαν. οὐδαμοῦ γὰρ τῷ κατ' ἐνέργειαν ἀπείρῳ μεγέθει χρῶνται οἱ μαθηματικοί. ἀλ-
λὰ πάντα τὰ δεικνύμενα διὰ πεπερασμένων περαίνουσι γραμμῶν καὶ ἐπιπέδων. ὥστε οὐδὲ δέονται τοῦ
κατ' ἐνέργειαν ἀπείρου μεγέθους. ἀλλ' ὑπὲρ τοῦ ἔχειν ὅσην ἂν βούλωνται, τὰς ἀπείρους γραμμὰς ὑπο-
τίθενται. κἂν αἰτῶσιν οὖν εὐθεῖαν ἐπ' εὐθείας εἰς ἄπειρον ἐκβαλεῖν, διὰ τὸ μὴ ἐνοχλεῖσθαι ὡς οὐκ οὔσης
ἔτι εὐθείας, ἐξ ἧς ἀφαιρήσονται, ἢ καθ' ἣν ἐπιζευγνύουσιν ἢ ἐκβάλλουσιν, ἀλλ' ἐν ἑτέρῳ μέρει τοῦ ἐπι-
πέδου τῆς ἐπιζεύξεως ἢ τῆς τομῆς πιπτούσης, πεπερασμένῃ ἀεὶ χρῶνται τῇ εὐθείᾳ. εἰ οὖν μὴ δέονται τῆς ἀπεί-
ρου τὰ μαθήματα, ὁ ἀναιρῶν αὐτὴν οὐδὲν ἀναιρεῖ τῶν μαθημάτων. ὅτι δὲ οὐ δέονται τοῦ ἀπείρου διὰ τὰς το-
μὰς καὶ τὰς ἐπιζεύξεις, οὐ μόνον διὰ τῆς ἐπαγωγῆς ἔδειξεν, ὑπομνήσας ἡμᾶς ὅτι πανταχοῦ πεπερα-
σμένοις χρῶνται μεγέθεσιν, ἀλλὰ καὶ γεωμετρικῶς ἀποδείκνυσιν. εἰ γὰρ ἀποδέδεικται, ὅτι τὴν δοθεῖσαν εὐ-
θεῖαν ἄτμητον κἂν ἐλαχίστην τις αὐτὴν λάβῃ, δυνατὸν τεμεῖν τῷ αὐτῷ λόγῳ τῆς τετμημένης, κἂν με-
γίστη τυγχάνῃ τις, οὐκ ἀνάγκη ἐπ' ἐκείνης ποιεῖσθαι τὴν δεῖξιν, ἣν οὐκέτι προσεκβαλεῖν δυνατόν. εἴγε
πρὸς τὸ δεῖξαι τὸ προκείμενον μηδὲν διαφέρει. ὁ γὰρ κατὰ τῆς μεγίστης δεικνὺς εὐθείας, ὃ δυνατὸν καὶ ἐπὶ
ἐλάττονος, καὶ διὰ τὸ μεγίστην εἶναι μὴ δυνάμενος προσεκβάλλειν ἐφ' ὅσον δεῖται, αὐτὸς ἑαυτῷ τῆς στε-
νοχωρίας καὶ τοῦ μὴ δύνασθαι δεῖξαι τὸ προκείμενον αἴτιος. ἀλλ' οὐχ ὁ τὴν ἐνεργείᾳ ἄπειρον ἀναιρῶν.
οὐ μόνον δὲ τὴν ἄπειρον ἀλλ' οὐδὲ τὴν μεγίστην λαμβάνουσι καταγράφοντες. τίς γὰρ τὴν τοῦ κόσμου διά-
μετρον ἐν τοῖς διαγράμμασι παραλαμβάνει. καλῶς δὲ κατὰ τῆς ἀναλόγου τομῆς ἔδειξε τὸ μὴ δεῖσθαι
τοῦ ἀπείρου, δι' ἧς δείκνυται παρὰ τοῖς γεωμέτραις τὸ κατὰ τὴν διαίρεσιν ἄπειρον. ὡς εἰ ἔλεγεν ὅτι καὶ δι'
ὧν αὐτοὶ δεικνύουσι, τοῦ μὲν ἐνεργείᾳ καὶ ἐπὶ τὴν αὔξησιν ὑπερβαλλούσης ἀπείρου οὐ δέονται. τῇ δὲ κατὰ
τὴν διαίρεσιν ἀπειρίᾳ χρῶνται. καὶ ταύτην ἀποδεικνύουσιν. ἅπερ δι' ἑνὸς τοῦ παρ' αὐτοῖς θεωρήματος
δείκνυται, τοῦ ἐν τῷ ἕκτῳ τῶν στοιχείων. οὗ ἡ πρότασίς ἐστι τοιαύτη. τὴν δοθεῖσαν ἄτμητον εὐθεῖαν, τῇ δοθεί-
σῃ τετμημένῃ ἀνάλογον τεμεῖν. εἰπὼν δὲ ὅτι πρὸς τὴν ἀπόδειξιν οὐδὲν διοίσει, τὸ ἐπ' ἐλάττονος γραμ-
μῆς ἣν καὶ ἐκβάλλειν δυνατὸν ποιήσασθαι τὴν δεῖξιν, ἐπήνεγκε, τὸ δὲ εἶναι ἐν τοῖς οὖσιν ἔσται μεγέθε-
σιν. τουτέστι κἂν τὴν ἀπόδειξιν δυνατὸν ὁμοίως καὶ κατὰ τῶν μὴ ὄντων ἀλλ' ἐπινοουμένων μεγεθῶν ποιεῖσθαι,
ἀλλὰ τά γε ὑφεστῶτα σχήματα οὐκ ἐν πᾶσι μεγέθεσιν. οὐ γὰρ δὴ ἐν τοῖς ἐπινοουμένοις, ἀλλ' ἐν τοῖς οὖσιν
ἐστί. ζητήσας δὲ ὁ Ἀλέξανδρος πῶς οὐκ ἀναιρεῖται τὸ πρῶτον θεώρημα τῶν Εὐκλείδου στοιχείων, εἴπερ
μὴ καὶ ἔξω τοῦ παντὸς δυνατὸν εὐθεῖαν ἐκβάλλειν, ἢ κύκλον γράφειν, εἰ γὰρ δύναται μὲν ἡ δοθεῖσα εὐθεῖα
πεπερασμένη, ἐφ' ἧς δεῖ τὸ ἰσόπλευρον τρίγωνον συστήσασθαι, ἡ διάμετρος εἶναι τοῦ κόσμου, ἀδύνατον
δὲ κατὰ ταύτης τρίγωνον ἰσόπλευρον συστήσασθαι, εἰ μηδὲν εἴη τοῦ κόσμου ἐκτός, ἡ γὰρ διάμετρος τοῦ παν-
τὸς ἐκ τοῦ κέντρου γίνεται τῶν κύκλων, ὧν ἀπὸ τῆς κοινῆς τομῆς αἱ ἐπὶ τὰ πέρατα τῆς δοθείσης ἐπιζευγνύ-
μεναι, τὸ ἰσόπλευρον τρίγωνον μετ' αὐτῆς ποιοῦσι, τοῦτο οὖν ζητήσας, λύει λέγων, ἐπειδὴ ἄπειρόν ἐστιν,
οὐ κατὰ τὸ ποσὸν λαμβάνουσιν ἀεί τι λαβεῖν ἐστιν ἔξω ὡς δέδεικται, δηλονότι οἱ μαθηματικοὶ καὶ ἃς ἀπεί-
ρους γραμμὰς ὑποτίθενται, τοιαύτας ὑποτίθενται, ὥστε δυνατὸν αὐτὰς αὔξεσθαι. ὧν γάρ ἐστιν ἐκτός τι,
αὗται ἄπειροι. τὴν δὲ διάμετρον τοῦ κόσμου οὐκ ἔστιν αὔξεσθαι ἐλάττονα γὰρ ὑποτίθενται τῆς διαμέτρου,
εἴπερ πεπερασμένην ὑποτίθενται. ὁπότε καὶ ἄπειροί εἰσιν αὗται, αἷς προσθεῖναι δύνανται, καὶ
ἃς ἐκβάλλειν. ἐπιστῆσαι δὲ ἄξιον, ὅτι ὁ μὲν Ἀριστοτέλης εἰς τοὐναντίον περιτρέπων τὸν λόγον, ἀ-
πέδειξεν ὅτι ἄπειρόν ἐστιν, οὗ ἀεί τι ἐστὶ λαμβάνειν ἔξω, ἀλλὰ ταύτην ἔννοιαν τοῦ ἀπείρου εἰσάγων,
ἐπ' ἄλλου ἀπείρου ἀληθεύουσαν τοῦ ἐπ' ἄπειρον. οἱ μέντοι τὸ ἐνεργείᾳ ἄπειρον τιθέντες, εἴτε ἐν
γραμμαῖς, εἴτε ἐν τοῖς ἄλλοις μεγέθεσι, τοῦτο ἔλεγον ἄπειρον, οὗ μηδέν ἐστι λαβεῖν ἔξω. ἄμεινον οὖν
λέγειν, πρῶτον μὲν ὅτι τοιαύτην ᾔτησαν πεπερασμένην, ὡς δύνασθαί τις καὶ ἔξωθεν λαβεῖν,
ἀφ' οὗ τὰς δύο τὰς λοιπὰς ἐπιζεύξουσιν ἴσας τῇ ἐξ ἀρχῆς. ὥστε εἰ μὲν ἔστι τι τοῦ παντὸς ἔξω, οὐκ
ἐμποδίζεται καὶ κατὰ τῆς διαμέτρου συστῆναι τὸ θεώρημα. εἰ δὲ μηδέν ἐστιν ἔξω οὐκ ἔστιν αὕτη ἡ δο-
θεῖσα. ἔπειτα εἰ μὲν αἱ μαθηματικαὶ γραμμαὶ φυσικαί τινες ἦσαν, ἐν τόπῳ οὖσαι, ἔδει τινὰ τόπον
ἔξω τοῦ παντὸς ἀπαιτεῖν. εἰ δὲ ἐν ἐπινοίᾳ τὴν ὑπόστασιν ἔχουσι, τόπος αὐτῶν ἐστιν ἡ τοῦ θεωροῦντος
διάνοια, καὶ οὐχὶ φυσικὸς τόπος. διὰ τοῦτο γὰρ καὶ ἐξ ἀφαιρέσεως λέγονται μαθηματικά, διότι ἀφε-

λόντες ὅσα τοῖς φυσικοῖς μεγέθεσιν ὑπάρχει, τόπον, ποιότητα, χρόνον, τὸ ποιεῖν, τὸ πάσχειν, αὐτὰ
μόνον τὰ διαστήματα καὶ τὸ ὡς συνεχὲς ποσὸν ἐξετάζομεν. ὥστε ὁ τὸν τόπον ἡμῶν τὸν ἔξω τοῦ παντὸς ἀ-
φαιρούμενος, οὐ συναφαιρεῖται τὴν ἀπόδειξιν. οὐ γὰρ ὡς τῇδε ἢ τῇδε τῶν γραμμῶν κειμένων γράφομεν,
καὶ ἀποδείκνυμεν τὰ διαγράμματα. ὥσπερ οὖν Δημόκριτος κατασκευάζειν ἐπιχειρῶν, ὅτι τὰ χρώμα-
τα οὐ συνυπάρχει φύσει τοῖς σώμασιν, ἀλλὰ νόμῳ καὶ θέσει τῇ πρὸς ἡμᾶς ἔχει τὸ εἶναι, οὐδὲν ἂν ἔβλαπτε τὴν
γεωμετρίαν, ἐπειδὴ μὴ χρῆται ὅλως πρὸς τὰς ἀποδείξεις τοῖς χρώμασιν, οὕτως ὁ τὸν ἄπειρον τόπον ἀναι-
ρῶν καὶ ὅλως τόπον, οὐδὲν ἐμπόδιον γίνεται ταῖς γραμμικαῖς ἀποδείξεσιν. ἀφαιρεῖται γάρ τι, οὗ μὴ δέονται
οἱ ἀποδεικνύντες. ὅτι γὰρ οὐκ ἔστιν ἐν τόπῳ τὰ μαθηματικά, ἐν τῷ ἐφεξῆς βιβλίῳ δειχθήσεται. ἐμπο-
δίζει δὲ γεωμετρίαν, ὁ τὰ ἀμερῆ καὶ ἐλάχιστα ἀρχὰς ὑποτιθέμενος. τὴν γοῦν εἰς ἄπειρον τομὴν ἀναι-
ρεῖ. ᾗ συναναιρεῖται πολλὰ τῶν νῦν προχείρως δεικνυμένων ἐν τοῖς μαθήμασιν.

Ἐ ΠΕΙ δὲ τὰ αἴτια διῄρηται τετραχῶς, φανερὸν ὅτι ὡς ὕλη τὸ ἄπειρον αἴτιόν ἐστι. καὶ ὅτι τὸ μὲν εἶναι
αὐτῷ, στέρησίς ἐστι. τὸ δὲ καθ᾽ αὑτὸ ὑποκείμενον, τὸ συνεχὲς καὶ αἰσθητόν. φαίνονται δὲ πάντες καὶ οἱ
ἄλλοι, ὡς ὕλῃ χρώμενοι τῷ ἀπείρῳ. διὸ καὶ ἄτοπον τὸ περιέχον ποιεῖν αὐτό, ἀλλὰ μὴ τὸ περιεχόμενον.

Δ εἴξας ὅτι ὡς μὲν οἱ πολλοὶ νομίζουσιν, οὐκ ἔστι τὸ ἄπειρον, ἄλλον δὲ τρόπον ἐστὶ κατὰ τὸ ἐπ᾽ ἄπειρον, καὶ
ὅτι τὸ δυνάμει ἐστί, καὶ οὐ ἀεί τι ἔστι λαβεῖν ἔξω, ἐπειδὴ καὶ οἱ τιθέντες ἄπειρον ἀρχὴν ἔλεγον αὐτό, καὶ
αὐτὸς δὲ ἔδειξεν ὅτι εἴπερ ὅλως ἐστὶ τὸ ἄπειρον, ἀρχὴ ἂν εἴη καὶ οὐκ ἀπ᾽ ἀρχῆς, καὶ ἄλλως δὲ νῦν περὶ
φυσικῶν ἀρχῶν ἐστιν ὁ λόγος, καὶ δεῖ πάντα τὰ ἐνταῦθα προβαλλόμενα εἰς αὐτὰς ἀναφέρεσθαι, εἰκό-
τως καὶ τὸ ἄπειρον δείκνυσί τινι τῶν φυσικῶν ἀρχῶν καὶ αἰτιῶν προσήκει. καὶ δὴ τῆς εἰς τέσσαρα τῶν αἰτί-
ων διαιρέσεως ἡμᾶς ὑπομνήσας, εἰς τὸ ὑλικόν, εἰς τὸ εἰδικόν, εἰς τὸ ποιητικόν, εἰς τὸ τελικόν, φανερόν
φησιν, ὅτι τὸ ἄπειρον ὡς ὕλη ἂν εἴη αἴτιον, διὰ τοῦ φανερὸν τὴν ἐπαγωγὴν ἡμῖν ὑπ᾽ ὄψιν ἄγων. τίς γὰρ
ἂν ἢ τὸ τέλος καὶ τὸ οὗ ἕνεκα πέρας ὂν λέγοι τὸ ἄπειρον. ἢ τὸ ποιοῦν, τὸ ἐκ τοῦ οἰκείου ὅρου ὡρισμένα ποιοῦν.
ἢ τὸ εἶδος, πέρας ὂν ἐναργῶς τοῦ συνθέτου. μᾶλλον οὖν ὡς ὕλη. οὐχ ὅτι ἡ ὕλη καὶ κατὰ τὸν αὐτῆς λόγον καὶ
καθὸ ὑποκείμενόν ἐστι τὸ ἄπειρον. ἀλλ᾽ ὅτι συμβέβηκεν αὐτῇ πρὸ τοῦ δέξασθαι τὸ εἶδος ἡ στέρησις. ἥτις
ἐστὶν ἡ ἀπειρία. καὶ ὅτι μὲν ἑτέραν παρὰ τὴν ὕλην ἡ στέρησις δέδεικται πρότερον, ἐκ τοῦ τὴν μὲν ὕλην
ὑπομένειν τὸ εἶδος, οὐκ οὖσαν ἐναντίαν αὐτῷ, τὴν δὲ στέρησιν ἅτε ἐναντίαν μὴ ὑπομένειν. ὅτι δὲ τὸ ἄπειρον
ἐν τῇ ὕλῃ ἡ στέρησις, δῆλον ἐκ τοῦ εἶδος εἶναι τὸ πέρας τοῦ συνθέτου. διὸ καὶ καταντήσασα εἰς αὐτὸ ἡ
φύσις, ἵσταται. ἡ δὲ στέρησις ἐναντία τῷ εἴδει, καὶ ὡς ἀπειρία πέρατι. διὸ οὐχ ὑπομένει τὸ εἶδος. ὥστε ἐν
στερήσει τὸ εἶναι τῷ ἀπείρῳ, οὐ κατὰ τὸ ἀδιεξίτητον θεωρουμένου τοῦ ἀπείρου ἐπὶ τῆς στερήσεως καὶ τῆς ὕλης. ἀλ-
λὰ κατὰ τὸ ἄμορφον καὶ ἀσχημάτιστον καὶ ταύτῃ πέρατα μὴ ἔχον, καὶ κατὰ τὸ δυνάμει καὶ ἐπ᾽ ἄπειρον.
ἅπερ διὰ τὴν στέρησιν τοῦ εἴδους ἐνυπάρχει. τοιγαροῦν ἐπιγενομένου τοῦ εἴδους, καὶ τὸ ἐπ᾽ ἄπειρον ἵσταται καὶ
τὸ ἀτελές. καὶ οὕτω δυνατὸν οἶμαι λέγειν, ὅτι οὐχ ἡ στέρησις ἁπλῶς ἐστιν ἀπειρία. ἄλλη γὰρ στερήσεως ἔννοια,
καὶ ἄλλη ἀπειρίας. ἀλλ᾽ ὑπάρχει τῇ στερήσει τὸ ἄπειρον, ὥσπερ τῷ εἴδει τὸ πέρας. εἰ μὴ ἄρα λέγοι τις,
καλῶς οἶμαι λέγων, ὅτι καὶ τὸ πέρας συμπληρωτικὸν τοῦ εἴδους ἐστί, καὶ οὐκ ἔξωθέν ποθεν αὐτῷ ἐπισυμβαί-
νον. καὶ τὸ ἐπ᾽ ἄπειρον οὐχ ὡς εἶδος, ἀλλὰ στερητικὸν τὸ τοιοῦτο λεγόμενον, συμπληρωτικόν ἐστι τῆς στερή-
σεως. στέρησις γὰρ τοῦ εἰδητικοῦ πέρατός ἐστι, τὸ ἄπειρον τοῦτο. καὶ στέρησις τοιαύτη, ὡς ἀπουσία ἐν τῷ
πεφυκότι δέχεσθαι τὸ πέρας καὶ τὸ εἶδος. πλὴν ὅτι ὡς μὲν στέρησις εἴδει ἀντίκειται, ὡς δὲ ἄπειρον πέ-
ρατι. ἀλλὰ τί τὸ ἐφεξῆς ὅ φησι, τὸ δὲ καθ᾽ αὑτὸ ὑποκείμενον, τὸ συνεχὲς καὶ αἰσθητόν. εἰ γὰρ ἡ ὕλη ἐστὶ τὸ
τῇ στερήσει καὶ ἀπειρίᾳ ὑποκείμενον, τὸ δὲ τῇ στερήσει καὶ ἀπειρίᾳ τῆς ἐπ᾽ ἄπειρον διαιρέσεως ὑποκεί-
μενον καθ᾽ αὑτὸ τὸ συνεχὲς καὶ αἰσθητόν, τοῦτο δέ ἐστι τὸ φυσικὸν σῶμα, συνάγεσθαι δοκεῖ λαμπρῶς ὅτι
ἡ ὕλη τὸ σῶμά ἐστιν, ὅπερ τινὲς δεύτερον ὑποκείμενον λέγουσιν. ἢ οὐ μάτην πρόσκειται τῷ ὑποκειμένῳ, τὸ
καθ᾽ αὑτό. οὐ γὰρ ἡ ὕλη μόνη ὑπόκειται τῇ εἰς ἄπειρον διαιρέσει καὶ τῇ κατ᾽ αὐτὴν στερήσει. ἀλλὰ τοῦτο ἤδη
τὸ συνεχὲς σῶμα καὶ αἰσθητόν. δεῖ γὰρ ἐνεργείᾳ ὑφεστὼς τὸ διαιρεθησόμενον εἶναι, καὶ μὴ δυνάμει μόνον ὥσ-
περ ἡ ὕλη. πῶς οὖν λέγεται περὶ τὴν ὕλην τὸ ἐν τῇ διαιρέσει ἄπειρον. ἢ ὅτι τοῦ συνθέτου σώματος εἰς
ἄπειρα τεμνομένου, ἐπειδὴ μὴ κατὰ τὸ εἶδος ἡ τομὴ γίνεται, μένει γὰρ ἐκεῖνο τὸ αὐτό, εἴτε ὕδωρ, εἴτε
ἀήρ, εἴτε σάρξ, εἴτε ὁτιοῦν, ἀνάγκη κατὰ τὴν ὕλην γίνεσθαι τὴν διαίρεσιν. ὡς οὖν ἡ πρώτη ἀπειρία
ἡ πρὸς τὸ πέρας τοῦ ἁπλοῦ εἴδους λεγομένη, ἐν τῇ πρώτῃ στερήσει ἐστὶ τῇ κατὰ τὴν πρώτην ὕλην,
οὕτως ἡ κατὰ τὴν διαίρεσιν ἀπειρία ἐν στερήσει ἐστὶ τῇ ἐν τῷ αἰσθητῷ σώματι. τοῦτο γάρ ἐστι τὸ διαιρού-
μενον. ἀλλὰ πῶς τὸ μὲν εἶναι τῷ ἀπείρῳ στέρησίς ἐστιν ὥς φησιν, αἴτιον δὲ τὸ ἄπειρον ὡς ὕλη λέγε-
ται καὶ οὐχ ὡς στέρησις. ἢ ὅτι ἡ στέρησις μετὰ τῆς ὕλης ἐν τοῖς αἰτίοις ἐθεωρήθη, ἅτε μὴ καθ᾽ αὑτὸ
ἀλλὰ κατὰ συμβεβηκὸς οὖσα αἴτιον. τῷ γὰρ ἀπεῖναι, εἰκότως οὖν τὰ στερητικὰ πάντα ἐπὶ τοῦ ὑλι-
κοῦ αἰτίου ἀναφέρεται. εἰ δὲ ἡ συνέχεια εἶδος, ἡ δὲ διαίρεσις καὶ ἡ τομὴ λύει τὴν συνέχειαν, πῶς λέ-
γομεν μένειν τὸ εἶδος ἐν τῷ διαιρεῖσθαι. ἢ οὐ τὴν συνέχειαν λύει, καὶ γοῦν τὰ τμήματα μένει συνεχῆ. ἀλ-
λὰ τὴν τοσήνδε συνέχειαν καὶ τὸ τοσόνδε εἶδος. εἰ οὖν κατὰ τοῦτο ἡ διαίρεσις, κατὰ τὸ εἶδος ἂν εἴη καὶ
οὐ κατὰ τὴν ὕλην. ἢ οὐ κατὰ τοσόνδε τὸ εἰδικόν. ὡς γὰρ εἰδικόν, ἀδιαίρετον καὶ οὐ τοσόνδε. ἀλλὰ κα-
τὰ μόνην τὴν ὑλικὴν διάστασιν, τὴν ἀπὸ τοῦ ἀδιαστάτου τῆς ἀΰλου ἀμερείας παρατραπεῖσαν. δεί-

ξας δὲ ὅτι τῷ ὑλικῷ μᾶλλον αἰτίῳ προσήκει τὸ ἄπειρον, ᾧ καὶ ἡ στέρησις, πιστοῦται πάλιν τὸν λόγον καὶ ἐκ τῆς τῶν ἄλλων δόξης, τῶν καὶ εἶναι καὶ ἀρχὴν εἶναι τὸ ἄπειρον ὑποθεμένων. καὶ γὰρ ἐκεῖνοι ὡς ὕλην ἐτίθεντο, οἱ μὲν ἀέρα, οἱ δὲ ὕδωρ, οἱ δὲ τὸ μεταξὺ λέγοντες αὐτό, καὶ ἐκ τούτου τὰ ἄλλα οὐχ ὡς ἐκ ποιητικοῦ αἰτίου γεννῶντες, ἀλλ' ὡς ἐξ ὑλικοῦ. ἐκ τούτου γὰρ πρώτου γίνεσθαι τὰ γινόμενά φασι, καὶ εἰς αὐτὸ ἔσχατον ἀναλύεσθαι. αἰτιᾶται δὲ αὐτοὺς ὡς ἀσυμφώνως ἑαυτοῖς λέγοντας, ὅτε τὸ ἄπειρον ὡς περιεκτικὸν ὑποτίθενται. οἱ γὰρ ἐν τῇ ὕλῃ λέγοντες τὸ ἄπειρον, περιέχεσθαι μᾶλλον ἢ περιέχειν αὐτὸ λέγειν ὤφειλον. ἡ γὰρ ὕλη περιέχεται καὶ ὁρίζεται ὑπὸ τοῦ εἴδους. εἰ μὴ ἄρα περιέχειν οὕτως ἔλεγον, ὡς ἐν πᾶσι θεωρούμενον τοῖς σώμασι, καὶ πάντα χαρακτηρίζον τὰ ὑλικά.

ΛΟΙΠΟΝ δὲ ἐπελθεῖν, καθ' οὓς λόγους τὸ ἄπειρον εἶναι δοκεῖ. οὐ μόνον δυνάμει, ἀλλ' ὡς ἀφωρισμένον. τὰ μὲν γάρ ἐστιν αὐτῶν, οὐκ ἀναγκαῖα. τὰ δὲ ἔχει τινὰς ἀληθεῖς ἑτέρας ἀπαντήσεις. οὔτε γάρ, ἵνα ἡ γένεσις μὴ ἐπιλίπῃ, ἀναγκαῖον ἐνεργείᾳ, ἄπειρον εἶναι σῶμα αἰσθητόν. ἐνδέχεται γὰρ τὴν θατέρου φθορὰν γένεσιν θατέρου εἶναι, πεπερασμένου ὄντος τοῦ παντός.

Δείξας ἐν δυνάμει τὸ ἄπειρον καὶ οὐκ ἐνεργείᾳ, καὶ τὰ οἰκεῖα πάντα τούτῳ τῷ λόγῳ διαρθρώσας προβλήματα, βούλεται λοιπὸν λῦσαι τοὺς λόγους τοὺς προεκτεθέντας, ὅσοι τὸ ἐνεργείᾳ ἄπειρον κατεσκεύαζον. πέντε γὰρ ὄντων ἐξ ἀρχῆς τῶν τὸ ἄπειρον τιθέντων λόγων, ἀπό τε τοῦ χρόνου, καὶ τῆς ἐν τοῖς μεγέθεσι διαιρέσεως καὶ προσθέσεως, καὶ τοῦ οὕτως ἂν μόνως μὴ ὑπολείπειν γένεσιν καὶ φθοράν, εἰ ἄπειρον εἴη ὅθεν ἀφαιρεῖται τὸ γινόμενον, καὶ διὰ τὸ τὸ πεπερασμένον ἀεὶ πρὸς ἄλλο περαίνειν, καὶ μάλιστα καὶ κυριώτατον διὰ τὸ ἐν τῇ νοήσει μὴ ὑπολείπειν, πέντε γοῦν τούτων ὄντων, τοὺς μὲν δύο τοὺς πρώτους καὶ αὐτὸς ἔδειξεν ἀναγκαίως τιθέντας τὸ ἄπειρον. τὸ γὰρ δυνάμει, καὶ τὸ ἐν τῷ γίνεσθαι τὸ εἶναι ἔχον, τὸ ἄπειρον καὶ τὸ ἐπ' ἄπειρον, οὗτοι τιθέασι. τοὺς δὲ λοιποὺς διελέγχειν πειρᾶται, τοὺς ὡς ἀφωρισμένον καὶ ἐνεργείᾳ τιθέντας. οὕτω γὰρ ἂν εἴη τέλειος ὁ λόγος, εἰ μὴ μόνον ἀποδείξωμεν τὸ προκείμενον, ἀλλὰ καὶ τοὺς τἀναντία λέγοντας διελέγξωμεν. λέγει οὖν ὅτι τούτων τῶν λόγων, ὁ μὲν ἐλεγχθήσεται, ὡς μάτην ἀναγκαῖον εἶναι λέγων τὸ ἄπειρον, διὰ τὸ τῆς γενέσεως ἀνέκλειπτον. οἱ δὲ, ὑπ' ἄλλων λόγων ἀληθεστέρων ἐνισταμένων αὐτοῖς ὑπαντηθήσονται. ἀναγκαῖον μὲν γάρ ἐστι τὸ μὴ δυνάμενον ἄλλως ἔχειν. ἡ δὲ γένεσις τὸ ἀνέκλειπτον ἔχειν δύναται, καὶ τοῦ ἀπείρου κατ' ἐνέργειαν μὴ ὄντος. ἐνδέχεται γὰρ τὴν ἄλλου φθορὰν ἄλλου γένεσιν εἶναι, τοῦ παντὸς ὄντος πεπερασμένου κατὰ μέγεθος, καὶ εἰ τοῦτο, ἀνέκλειπτος ἂν εἴη ἡ γένεσις. τίς γὰρ ἂν εἴη παῦλα τῷ τοιούτῳ μηχανήματι. καὶ οὐ δεησόμεθα τοῦ κατ' ἐνέργειαν ἀπείρου. ὥστε οὐκ ἀναγκαῖος ὁ λόγος, ὡς ἐξ ἀνάγκης ἑπόμενον λαμβάνων, τὸ μὴ πάντως ἑπόμενον. οὐ δὲ γὰρ εἰ ἔστιν ἀνέκλειπτος ἡ γένεσις, ἄπειρον εἶναι χρὴ μέγεθος ἐνεργείᾳ. οὐδὲ ὑγιὲς τὸ τοιοῦτο συνημμένον, οὐδὲ ἀναγκαῖόν ἐστιν. ὥστε οὐδὲ ἡ πρόσληψις, καὶ ἡ ἐπαγομένη αὐτῇ ἐπιφορά, ἡ λέγουσα ἀλλὰ μὴν ἀνέκλειπτος ἡ γένεσις, ἔστιν ἄρα τὸ ἐνεργείᾳ ἄπειρον, ἀναγκαίως ἐπάγεται λοιπόν.

ἜΤΙ ΤΟ ἅπτεσθαι καὶ τὸ περαίνεσθαι, ἕτερον. τὸ μὲν γὰρ πρός τι καὶ τινός, ἅπτεται γὰρ πᾶν τινός, καὶ τῶν πεπερασμένων τινὶ συμβέβηκε. τὸ δὲ πεπερασμένον, οὐ πρός τι, οὐδὲ ἅψασθαι τῷ τυχόντι τοῦ τυχόντος ἐστί.

Οὗτός ἐστιν ὁ τέταρτος τῶν ἐκεῖ κειμένων λόγων, ὁ παντὸς πεπερασμένου λέγων τι εἶναι ἔξω πρὸς ὃ περαίνει, καὶ τούτου ἀεὶ γινομένου τὸ ἐνεργείᾳ ἄπειρον εἰσάγων. εἰ γὰρ μὴ ἦν τι ἄπειρον ἐνεργείᾳ, οὐκ ἂν ἦν ἀεί τι ἔξω τοῦ πεπερασμένου πρὸς ὃ περαίνει. ἀλλὰ κατηντήσαμεν ἂν εἴς τι πεπερασμένον, ὃ μὴ πρὸς ἄλλο περαίνει. πρὸς τοῦτον οὖν τὸν λόγον ἀληθῶς ἐνίστασθαι δυνατόν, λέγοντας ὅτι ἕτερόν ἐστι τὸ περαίνεσθαι τοῦ ἅπτεσθαι. τὸ μὲν γὰρ ἅπτεσθαι τῶν πρός τι. τὸ γὰρ ἁπτόμενον τινὸς ἅπτεται ἁπτομένου καὶ ἄλλου παρ' αὐτὸ ὄντος. τὸ δὲ πεπεράνθαι ἐν τῷ ποσῷ ἐστιν. εἰ οὖν ἄλλου γένους ἑκάτερον, τὸ πεπερασμένον εἶναι, οὐκ ἐν τῷ ἅπτεσθαι τινός ἐστιν. οὐ γάρ πρός τι, ἀλλὰ πρὸς ἑαυτὸ τὸ πεπεράνθαι. καὶ δύναται μὲν πεπερασμένα τινά, καὶ πρός τι περαίνειν, καὶ ἅπτεσθαί τινος. τοῦτο δὲ συμβέβηκεν ἐκείνοις, ὅσα οὐχ ὅλα μόνον ἐστίν, ἀλλὰ καὶ μόρια τοῦ παντός. οὐ μέν τοι καθὸ πέρας ἔχει, ἀλλὰ καθὸ μέρη σὺν ἄλλοις ἐστίν. εἰ δέ τι μόνον ὅλον ἐστὶ καὶ πᾶν, τοῦτο διά τι πρὸς ἕτερον περαίνει. ἀλλ' ἐοίκασιν οἱ ταῦτα λέγοντες ἀπὸ τῶν ἁπτομένων ἠπατῆσθαι, τὸ ἅπτεσθαι καὶ πεπεράνθαι ταὐτὸν οἰόμενοι. εἰ δέ τις λέγοι καὶ τὸ πέρας πρός τι εἶναι, τὸ γὰρ πέρας τινός ἐστι πέρας, ἀλλ' οὐ πρὸς ἄλλο ἐστίν, ἀλλὰ πρὸς αὐτό. τοῦ γὰρ πεπερασμένου πέρας ἐστίν, ἀλλ' οὐκ ἐκείνου πρὸς ὃ περαίνει. εἶτα καὶ ἄλλην ἐπιχείρησιν προσάγει τῷ λόγῳ, δεικνύουσαν τὸ πεπεράνθαι τοῦ ἅπτεσθαι. εἰ γὰρ πεπεράνθαι μὲν πρὸς ἅπαντά ἐστιν, ἅπτεσθαι δὲ οὐ πρὸς ἅπαντα, δηλονότι οὐ ταὐτὸν τὸ πεπεράνθαι καὶ τὸ ἅπτεσθαι. καὶ γὰρ ἀριθμὸς οἷον ὁ δέκα, καὶ φωνὴ ἡ ὑπὸ σιγῆς ὁρισθεῖσα, πεπέρανται μέν, τίνος δὲ ἂν ἅπτεσθαι λέγοιντο. οὐ γὰρ δὴ τῆς σιγῆς. ἀλλὰ καὶ πεπερασμένη ἐν τῷ ἐπιπέδῳ γραμμή, πεπέρανται μὲν σημείοις. ἅπτεσθαι δὲ οὐδενὸς λέγεται, εἰ μὴ γραμμή τις αὐτῇ προστεθείη. οὐ γὰρ τὸ τυχὸν τοῦ τυχόντος ἅπτεσθαι πέφυκεν. οὐ γὰρ καὶ φωνὴ γραμμῆς, καί τοι πεπέρανται ἑκάτερον. θαυμαστὸν δὲ τοῦτο δοκεῖ λέγειν ὁ Ἀλέξανδρος, ὅτι οὐκ ἀληθὲς τὸ πεπερασμένον πέρας ἔχειν καθὸ πεπέρανται. ὁ γοῦν ἀριθμὸς πεπέρανται μέν, οὐ μήν, πέρας ἔχει. καί τοι πῶς οἷόν τε πεπεράνθαι τι μὴ ἔχον πε-

ρας. ἀλλ' ἔοικεν ἀπὸ τῆς πρὸς τὰ μεγέθη ὁμοιότητος, πέρας τι ζητεῖν τοῦ πεπερασμένου, ὃ μή ἐστι μόριον αὐτοῦ, ἀλλὰ καὶ μιᾷ λείπεται διαστάσει. οὐδὲν δὲ κωλύει καὶ τοῦ ἀριθμοῦ πέρατα εἶναι τὰς ἄκρας μονάδας, κατ' ἄλλο μὲν μόρια οὔσας, κατ' ἄλλο δὲ πέρατα. καθὸ καὶ ἀνάλογον τοῖς σημείοις ἐστί. λέγεται γοῦν τὸ σημεῖον μονὰς θέσιν ἔχουσα. μή ποτε δὲ ὁ ἀριθμὸς αὐτὸς καθ' αὑτὸν πέρας ἐστὶ τοῦ διωρισμένου ποσοῦ, καὶ οὐκ ἐχρῆν ἄλλο πέρας αὐτοῦ ζητεῖν.

ΤΟ ΔΕ τῇ νοήσει πιστεύειν, ἄτοπον. οὐ γὰρ ἐπὶ τοῦ πράγματος ἡ ὑπεροχὴ καὶ ἡ ἔλλειψις, ἀλλ' ἐπὶ τῆς νοήσεως. ἕκαστον γὰρ ἂν ἡμῶν νοήσειέ τις πολλαπλάσιον ἑαυτοῦ αὔξων εἰς ἄπειρον. ἀλλ' οὐ διὰ τοῦτο ἔξω τοῦ ἄστεός τίς ἐστιν. ἢ τοῦ τηλικοῦδε μεγέθους ὃ ἔχομεν ὅτι νοεῖ τίς. ἀλλ' ὅτι ἐστί. τοῦτο δὲ συμβέβηκεν.

Πέμπτος ἦν ὁ ἀπὸ τῆς νοήσεως καὶ τῆς φαντασίας λόγος. ὃν μάλιστα ἐνάγειν φησί, πρὸς τὸ τιθέναι τὸ ἐνεργείᾳ ἄπειρον. διὰ γὰρ τὸ ἐν τῇ νοήσει μὴ ὑπολείπειν, καὶ ὁ ἀριθμὸς δοκεῖ εἶναι, καὶ τὰ μαθηματικὰ μεγέθη, καὶ τὰ ἔξω τοῦ οὐρανοῦ. λύει δὲ καὶ τοῦτον τὸν λόγον συντόμως καὶ σαφῶς. ἡ γὰρ ὑπεροχή φησιν ἡ τοιαύτη οὐκ ἐν τοῖς πράγμασίν ἐστιν. ἀλλ' ἐν τῇ νοήσει τὰ πράγματα. οὐ γὰρ ἐπινοοῦμεν καὶ φανταζόμεθα καὶ ὀνειροπολοῦμεν, ἤδη τοῦτο καὶ ἔστιν. οὕτω γὰρ ἂν καὶ τραγέλαφος εἴη. καὶ πολλὰ ἕτερα, ὧν οὐδὲν οὔτε ἐστὶν οὔτε ἐνδέχεται εἶναι. ὥσπερ γὰρ οἱ γραφεῖς πολλὰ νοοῦσι καὶ γράφουσιν, οὐ μόνον εἴδη, ἀλλὰ καὶ μικρὰ ἀντὶ μεγάλων, καὶ μεγάλα ἀντὶ μικρῶν, οὕτω καὶ ἡ φαντασία γράφει ἐν αὐτῇ καὶ πλάττει μυρία τῶν μὴ ὄντων οὕτω καὶ διάρῃ χιλίων σταδίων ἐστὶ φαντάζεσθαι τῆς πόλεως μείζω, καὶ τὸ ὑπερέχον αὐτοῦ ἐκτὸς τῆς πόλεως. κάλλιον γὰρ οἶμαι τὸ ἔξω τοῦ ἄστεος οὕτως ἀκούειν, ὡς ὁ Εὔδημος ἐνόησε τὰ τοῦ καθηγεμόνος, ὡς μείζονα τῆς πόλεως τὸν διάρῃ φανταζομένων. καὶ μὴ ὡς Ἀλέξανδρος ἐξηγεῖται, ὅταν ἡμᾶς αὐτοὺς ἔνδον ὄντας ἄστεος ἔξω νοήσωμεν, ἢ πολλαπλασίους κατὰ τὸ μέγεθος, ὡς τοῦ ἔξω τοῦ ἄστεος κατὰ τὸν τόπον ἔχοντος μόνον τὴν παραλλαγήν. καὶ ἔοικεν οὕτως ἐξηγεῖσθαι, διὰ τὸ ἐπ' ἄλλου καὶ ἄλλου ἀκοῦσαι, τὸ, ἀλλ' οὐ διὰ τοῦτο ἔξω τοῦ ἄστεος τί ἐστι, καὶ τὸ, ἢ τοῦ τηλικούτου μεγέθους, ὃ ἔχομεν. εἴρηται δὲ ἑκάτερον ἐπὶ τῆς τοῦ μεγέθους παραυξήσεως, ἢ ὡς τὸ ἄστυ ὑπερβάλλοντος, ἢ ὅ πάλαι ὃ ἔχομεν. οὕτω γὰρ καὶ οἰκεία ἔσται ἡ φαντασία ἡ περὶ τοῦ ἀπείρου. τὸ γὰρ ἐν ἄλλῳ τόπῳ φαντασθῆναι τὸ αὐτὸ, τοσοῦτο μόνον δείκνυσιν, ὅτι παραλλάττει τὰ πράγματα ἡ φαντασία. οὐ μέντοι ὡς ἐπὶ τοῦ ἀπείρου δείκνυσιν. ὥστε οὐχ ὅτι νοεῖται τοιάδε τὰ πράγματα, διὰ τοῦτο καὶ εἴη ἂν τοιάδε. ἀλλ' ὅτι ἐστί. τὸ δὲ νοεῖσθαι αὐτὰ ἢ ὡς ἔστιν ἢ ὡς οὐκ ἔστι, συμβέβηκεν αὐτοῖς. κἂν γὰρ ὡς ἔστι νοῆται, οὐ διὰ τὸ νοεῖσθαί ἐστιν. ἀλλὰ συμβέβηκεν αὐτοῖς τὸ νοεῖσθαι. εἰ δὲ καὶ συμβεβηκός ἐστι τὸ νοεῖσθαι, καὶ οὐκ ἀεὶ συνᾴδει τοῖς πράγμασιν ἡ νόησις, οὐ δεῖ περὶ τῶν πραγμάτων ἀπὸ νοήσεως ἤτοι φαντασίας ἀποφαίνεσθαι. ὥστε οὐδὲ τοῦ οὐρανοῦ ἔστι τι ἐκτὸν, ἐπειδὴ νοεῖται, εἴπερ ἐστὶν οὗτος καὶ πᾶν καὶ ὅλον.

Ο ΔΕ ΧΡΟΝΟΣ καὶ ἡ κίνησις, ἄπειρά ἐστι. καὶ ἡ νόησις οὐχ ὑπομένοντος τοῦ λαμβανομένου. μέγεθος δὲ, οὔτε τῇ καθαιρέσει. οὔτε τῇ νοητικῇ αὐξήσει ἐστὶν ἄπειρον. ἀλλὰ περὶ μὲν τοῦ ἀπείρου πῶς ἐστι καὶ πῶς οὐκ ἔστι, καὶ τί ἐστιν, εἴρηται.

Τῶν τεθέντων τὸ ἄπειρον λόγων λύσας τοὺς τὸ ἐνεργείᾳ τὸ ἄπειρον εἰσάγοντας, μετὰ τοῦτο τοὺς δύο τοὺς πρώτους, τόν τε ἀπὸ τῆς τοῦ χρόνου ἀπειρίας, καὶ τὸν ἀπὸ τῆς τοῦ μεγέθους ἐπ' ἄπειρον διαιρέσεως

προς τυχόντας καλ οὖσιν ἄπειρος σις ἧς ἀριθμο

πρότερον καὶ ὕστερον ἐνεργείᾳ τὸ ἄπειρον ε καὶ

πᾶν. οὐ γάρ τ νόντι τὸ μετὰ ἀλλ' ἐν τῷ γίνεσθαι μόριος ἀεὶ ὑφε

σως κ Ἀλέξανδρος ὥς τοι κίνησιν οὕτω καὶ τῇ γίνεσθαι τὸ εἶναι

ἔχει ἄπειρον οὕτω καὶ τῶν ἀϊδίων καὶ θείων. οὐ γὰρ ὑπομένει φασὶ

νοήματα μήποτε κ ἐπ' αὐτῆς νοήσεως εἰ-

ρημένον ἀκούειν. ἀλλ ἀπὸ τῆς νοήσεως, εἰ λόγος τ ἄπει-

ρον εἰς καὶ ἡ κίνησις τῆς ἀπειρίας αὐτῆς καὶ ἀπὸ τῆς νοήσεως αὐτῆς μαρτύ-

ρεται. καὶ γὰρ καὶ ἡ νόησις οὐχ ὡς ὅλου ἅμα, οὐδὲ ὡς ὑπομένοντος τοῦ λαμβανομένου, ἀλλ' ὡς ἐν τῷ γίνεσθαι τὸ εἶναι ἔχοντος, οὕτως ἀντιλαμβάνεται. ὅλως γὰρ ἐὰν ἅμα περιλάβῃ αὐτὸ, πέρας αὐτῷ περιτίθησιν. ἀλλὰ τῷ ἀεὶ πεπερασμένῳ προστίθησιν. ἄτοπον δὲ τὸ καὶ ἐν ταῖς τῶν ἀϊδίων καὶ νοήσεσι λέγειν

μὴ ὑπομένειν ρόντος πάντα ἅμ τὴν ψυχὴν δὲ αὐ τῇ. οὐ δὲ

αὕτη πρότερον γινο ἡμετέρων διὰ τὸ καὶ τὴν ψυ

ρας φθείρειν τ. ἀλλ' ἐπὶ τῷ ποιήσασθαι τὸν λόγον

ἄλλου ἂν εἴη λόγου οὔτε ἐπὶ τὴν καθ τὴν αὔξησιν ἐνερ

ὡς ὅλον ἅμα ὑ ει καὶ κατὰ μέρος νοη λέγει τῇ κατ' ἐπίνοιαν γ

οὐδὲ οὕτω μέγεθος εἰς ἀπε ἀναιρεῖσθαι. εἴη τοῦ ἂν καὶ συγκείμενον ἐξ

ἄπειρον, καὶ ἄπειρον ἐνεργείᾳ. οὐ μέντοι ἀναγκάζεται στῆναι ἡ τομὴ εἰς τὰ ἤδη εἰλημμένα τμήματα. τὸ δὲ πῶς ἐστι καὶ πῶς οὐκ ἔστιν. ὅτι ἐνεργείᾳ μὲν καὶ ὅλον ἅμα οὐκ ἔστι, δυνάμει δὲ κατὰ μέρος ἐστί. τί δὲ ἐστι, ὅτι τοῦτό ἐστιν, οὗ κατὰ τὸ ποσὸν λαμβάνουσιν ἀεί τι λαβεῖν ἐστιν ἔξω.

ΣΙΜΠΛΙΚΙΟΥ ΕΞΗΓΗΣΙΣ ΕΙΣ ΤΟ ΤΕΤΑΡΤΟΝ ΤΗΣ ΑΡΙΣΤΟΤΕΛΟΥΣ ΦΥΣΙΚΗΣ ΑΚΡΟΑΣΕΩΣ.

π

Ερὶ τῶν φυσικῶν ἀρχῶν καὶ αἰτίων τὴν πραγματείαν ἐνστησάμενος, καὶ τῶν κοινῇ πᾶσι τοῖς φυσικοῖς παρακολουθούντων, εἶπεν ἐν τῷ πρώτῳ περὶ τῶν ἀρχῶν τῶν ὡς στοιχείων, τῆς ὕλης, τοῦ εἴδους, καὶ τῆς τούτοις συνυπαρχούσης στερήσεως. καὶ ἐν τῷ δευτέρῳ περὶ τοῦ ποιητικοῦ καὶ τελικοῦ αἰτίου. καὶ τίνα δοκεῖ μὲν τισὶ καὶ αὐτὰ εἶναι αἴτια ποιητικά, ἔστι δὲ οὐ καθ' αὑτὰ ποιητικά, ὥσπερ ἡ τύχη καὶ τὸ αὐτόματον, ἀλλὰ κατὰ συμβεβηκός. δείξας δὲ ποιητικὸν αἴτιον τὴν φύσιν, καὶ ὁρισάμενος αὐτὴν ἀρχὴν κινήσεως τοῖς σώμασιν, ἐπειδὴ τοῖς φυσικοῖς ὑπάρχει καθὸ φυσικὰ πᾶσιν ἡ κίνησις, καὶ αὐτὴ συστατικὴ οὖσα τῶν φυσικῶν σωμάτων, καὶ ἐν τῷ ὁρισμῷ τῆς φύσεως παραληφθεῖσα, εἰκότως εὐθὺς ἐν ἀρχῇ τοῦ τρίτου βιβλίου διελέχθη περὶ κινήσεως. ἐπειδὴ δὲ πᾶν σῶμα φυσικὸν καὶ πᾶσαν κίνησιν ἀνάγκη ἢ ἄπειρα ἢ πεπερασμένα εἶναι, καὶ τὸ σῶμα καὶ ἡ κίνησις συνεχῆ ὄντα ἐπ' ἄπειρόν ἐστι διαιρετά, καὶ μέντοι ἐπειδή τινες τῶν φυσικῶν ἀρχὴν τὸ ἄπειρον ἔλεγον, εἰκότως καὶ περὶ ἀπείρου διελέχθη. καὶ συμπληρώσας τὸν περὶ τῶν στοιχείων καὶ τῶν ἄλλων αἰτίων λόγον. καὶ ἔτι τὸν περὶ τὰς ἀρχὰς ὑποδυομένων, ἐφεξῆς λοιπὸν περὶ τῶν ἔξωθεν ὑπαρχόντων τοῖς φυσικοῖς σώμασιν ἢ τοιαῦτα, ζητεῖ τε καὶ παραδίδωσιν οἷός ἐστιν ὅ, τε τόπος καὶ ὁ χρόνος. πᾶν γὰρ φυσικὸν σῶμα ἐν τόπῳ ἐστί, καὶ κατὰ τόπον κινεῖται, καὶ ἠρεμεῖ ἐν τόπῳ. τὰ δέ γε ἁπλᾶ σώματα καὶ εἰδοποιεῖται τῇ ἐπὶ τοὺς οἰκείους τόπους διαφορᾷ. ἐπεὶ δὲ πᾶσα κίνησις χρόνῳ μετρεῖται, ἔδει καὶ περὶ χρόνου διδάξαι, εἴπερ ἀριθμὸς πάσης κινήσεως ὁ χρόνος, ὡς μαθησόμεθα. εἰκότως δὲ περὶ προτέρου λέγει τοῦ τόπου. προηγεῖται γὰρ ὁ τόπος οὐ μόνον τοῦ χρόνου, ἀλλὰ καὶ τῆς κινήσεως καὶ αὐτοῦ τοῦ σώματος. ἔστι γὰρ τὸ μὲν σῶμα ἐν τόπῳ. ἡ δὲ κίνησις ἐν τῷ σώματι. ὁ δὲ χρόνος ἐν τῇ κινήσει. ἀλλ' ἐπειδὴ ἡ φυσικὴ προηγουμένως οὐσία τὸ σῶμά ἐστι τὸ φυσικόν, τὰ δὲ ἄλλα τούτου τινά ἐστι, τὸ μὲν ὑποδοχή, τὸ δὲ κίνησις, τὸ δέ, μέτρον τῆς κινήσεως, εἰκότως τὰ στοιχεῖα τοῦ φυσικοῦ σώματος τήν τε ὕλην καὶ τὸ εἶδος πρῶτα παραδέδωκεν. εἶτα τὸ ποιητικὸν αὐτοῦ καὶ τελικὸν αἴτιον, καὶ τὴν κίνησιν τὴν ἐν τῷ ὁρισμῷ τῆς φύσεως παραληφθεῖσαν. καὶ οὕτως ἐν τοῖς ἔξωθεν ὑπάρχουσι τοῦ χρόνου τὸν τόπον προέταξεν. ἀλλ' ἐπειδὴ περὶ τὰ κινούμενα ὁ φυσικὸς τὴν πραγματείαν ἔχει, ὥσπερ περὶ τὰ ἀκίνητα ὅ τε μαθηματικὸς καὶ ὁ θεολόγος, τῶν δὲ ἀκινήτων ὁ τόπος ὡς δειχθήσεται, πῶς ἂν εἴη φυσικοῦ τὸ περὶ τοῦ τόπου σκέμμα. ἢ ὅτι εἰ καὶ ἀκίνητον ἀλλὰ σώματός γε κινουμένου δεκτικόν. καὶ σώματος κινουμουμένου πέρας. καθ' ὃ καὶ κινεῖται, κἂν μὴ καθ' αὑτὸ κινῆται ὁ τόπος. ἐπειδὴ δέ τινες καὶ τὸ κενὸν ἐν ταῖς ἀρχαῖς τιθέντες ἔλεγον αὐτὸ τόπον σώματος ἐστερημένον, εἰκότως μετὰ τοὺς περὶ τόπου λόγους καὶ περὶ κενοῦ διαλέγεται. καὶ οὕτω τὰ περὶ χρόνου προβλήματα διαρθρώσας, περατοῖ τὸ προκείμενον βιβλίον, καὶ τὸν περὶ τῶν πᾶσι κοινῶς τοῖς φυσικοῖς προσηκόντων λόγον, ὅς ἐστιν ὁ περὶ τῶν φυσικῶν ἀρχῶν.

ΟΜΟΙΩΣ Δ' ἀνάγκη καὶ περὶ τόπου τὸν φυσικὸν ὥσπερ καὶ περὶ τοῦ ἀπείρου γνωρίζειν εἰ ἔστιν ἢ μή. καὶ πῶς ἐστι καὶ τί ἐστι.

Τὰ περὶ τοῦ τόπου προβλήματα διορίζεται, κατὰ τὴν ὁμοιότητα τῶν περὶ τοῦ ἀπείρου ζητήσεων. εἰκότως. ὡς γὰρ καὶ ὄντος καὶ μὴ ὄντος τὸ ἄπειρον ὑποθεμένοις ἡμῖν ἄτοπα ἀκολουθεῖν ἐδόκει, οὕτω καὶ εἰ ἔστιν ὁ τόπος ζητοῦσι διὰ τὸ τοῦ προβλήματος ἀτρίπτον ἐφ' ἑκάτερα ἐπιχειρεῖν ἀνάγκη. καὶ ἔστιν ἀρχὴ τῶν περὶ τοῦ τόπου προβλημάτων τὸ εἰ ἔστι ζητεῖν ἢ μὴ ἔστιν, ὥσπερ καὶ ἐπὶ τοῦ ἀπείρου. μετὰ δὲ τὸ εἰ ἔστιν, ἐν τοῖς ἀποδεικτικοῖς ἐμάθομεν τὸ τί ἐστι ζητεῖν. ὅπερ τὴν φύσιν καὶ οὐσίαν καὶ τὸν ὁριστικὸν τοῦ προτιθεμένου λόγον ἀνευρίσκει. μετὰ δὲ τοῦτο τὸ ὁποῖόν τί ἐστιν ἔπεται πρόβλημα, τὸ τὰ ὑπάρχοντα τῷ πράγματι δηλοῦν. ᾧ συγγενές ἐστι τὸ πῶς ἐστι. καὶ γὰρ ὡς ἐπὶ τοῦ ἀπείρου ἐλέγομεν, ὅτι δυνάμει, καὶ κατὰ μέρος, καὶ ἐν τῷ γίνεσθαι, οὕτως ἐπὶ τοῦ τόπου τὸ τί ἐστι ζητοῦμεν. ἆρα καθ' αὑτό τι, ὡς οἱ διάστημα κενὸν λέγοντες τὸν τόπον, ἢ ἐν σχέσει. καὶ πότερον πρὸς τὸ εἶναι συντελεῖ τι τοῖς σώμασιν, ἢ οὐδέν. ταῦτα γὰρ περὶ τὰ ὑπάρχοντα καὶ περὶ τὸν τρόπον στρέφεται τῆς ὑποστάσεως. ἀλλὰ διατί τὸ πῶς ἐστι προέταξεν. ἢ ὅτι πολλάκις ἐκ τῶν ὑπαρχόντων τὴν οὐσίαν τοῦ πράγματος εὑρίσκομεν. ὥσπερ καὶ ἐπὶ τοῦ τόπου νῦν φανήσεται.

ΤΑ τε γὰρ ὄντα πάντες ὑπολαμβάνουσιν εἶναί που. τὸ γὰρ μὴ ὂν, οὐδαμοῦ εἶναι. ποῦ γάρ ἐστι τραγέλαφος. ἢ σφίγξ. καὶ τῆς κινήσεως ἡ κοινὴ μάλιστα καὶ κυριωτάτη. κατὰ τόπον ἐστίν. ἣν καλοῦμεν φοράν.

Διορίσας ἐν ἀρχῇ τὰ περὶ τοῦ τόπου προβλήματα κατὰ τὴν πρὸς τὰ περὶ ἀπείρου ὁμοιότητα,

καὶ ἐφεξῆς ὅτι ἀναγκαῖος ὁ περὶ τοῦ τόπου λόγος τῷ φυσικῷ, διὰ δυοῖν δείκνυσιν ἐπιχειρημάτων· ὧν τὸ μὲν, ἔνδοξον εἶναι δοκεῖ, ἀπὸ τῆς κοινῆς ὑπολήψεως εἰλημμένον· τὸ δὲ, ἀποδεικτικὸν ἀπ' αὐτῶν τῶν πραγμάτων ὁρμώμενον. καὶ τὸ μὲν ἀπὸ τῆς κοινῆς ὑπολήψεως, τὸν ὑπὸ τῶν παλαιῶν προτεινόμενον ὑποθετικὸν συλλογισμὸν παρατίθεται ἔχοντα οὕτως. εἰ τὸ μὴ ὂν οὐδαμοῦ, τὸ ὂν πού. εἰ δὲ τὸ πού τὴν ἐν τόπῳ σχέσιν δηλοῖ, δηλονότι ἔστιν ὁ τόπος. αὕτη δὲ ἡ ἐρώτησις ὡς ὁ Ἀλέξανδρός φησιν οὐ πάντων ἁπλῶς ἐστιν. ἀλλὰ τῶν μόνα τὰ σώματα ἡγουμένων εἶναι, καὶ μόνα τὰ ἔνυλα, ἀναιρούντων δὲ τὴν ἀσώματον φύσιν. καὶ κατά γε τὸ φαινόμενον ἀμεθόδως τὴν ἀντιστροφὴν ἐποιήσαντο. τῷ γὰρ εἰ τὸ μὴ ὂν μηδαμοῦ, ἕπεται κατὰ τὸν δεύτερον τῶν ὑποθετικῶν, τὸ πού, ὄν, ἀλλ' οὐχὶ τὸ ὂν πού. ὅπερ ζητεῖται τοῖς τὸν τόπον εἰσάγουσιν. ἢ δεῖ ὑπερβιβάζειν τὴν λέξιν, λέγοντας τὸ οὐδαμοῦ ὂν μὴ εἶναι, καὶ οὕτω λοιπὸν λέγοντας τὸ ὂν πού εἶναι, ἢ ὅπερ πιθανώτερον κατὰ τὴν τῶν ἐρωτησάντων δόξαν, μόνα τὰ σώματα οἰομένων εἶναι, ῥητέον ἐξισάζειν τῷ ἡγουμένῳ τὸ ἑπόμενον. εἰ γὰρ μὴ ἔστιν ἄλλο τι ἢ τὰ σώματα, δηλονότι τὸ μηδαμοῦ ὂν οὐδὲ ἔστιν ὅλως, καὶ τὸ μὴ ὂν οὐδαμοῦ ἐστιν. ἐπειδὴ τὰ σώματα πού ἐστιν. ἐπὶ δὲ τῶν ἐξισαζόντων ἀδιάφορος ἡ ἀντιστροφή, εἴτε ἀπὸ τοῦ ἡγουμένου γίνοιτο, εἴτε ἀπὸ τοῦ ἑπομένου. ἔοικε δὲ τὴν ἐν Τιμαίῳ τοῦ Πλάτωνος ῥῆσιν παρῳδεῖν ὁ Ἀριστοτέλης, ἐν οἷς φησιν ἐκεῖνος, πρὸς ὃ δὴ καὶ ὀνειροπολοῦμεν βλέποντες, καί φαμεν ἀναγκαῖον εἶναί που τὸ ὂν ἅπαν ἔν τινι τόπῳ, καὶ κατέχον χώραν τινά· τὸ δὲ μήτε ἐν γῇ μήτε πού κατ' οὐρανὸν οὐδὲν εἶναι. ὁρᾷς γὰρ ὅτι αὐτὸς ἄντικρυς ὁ λόγος ἐστὶ καὶ ἀκολούθως οὕτως ἀντιστρέψας. διότι γὰρ τὸ μηδαμοῦ ὂν οὐδὲ ἔστι, διὰ τοῦτο τὸ ὂν ἅπαν πού ἐστι. καὶ ὁ Πλάτων δὲ οὐχ ὡς ἀποδεχόμενος τὸν λόγον ταῦτα εἶπεν. ἀλλ' ὅτι ὑπὸ τῆς εἰς τὰ ἔνυλα ὀνειρατικῆς ἐμβλέψεως, οἷς ὑπάρχει τοῦτο, περὶ πάντων αὐτὸ τῶν ὄντων λέγομεν. ὅτι δὲ τὸ μὴ ὂν οὐδαμοῦ, δείκνυσιν ὁ Ἀριστοτέλης διὰ τοῦ ποῦ γάρ ἐστι τραγέλαφος ἢ σφίγξ. οὐδαμοῦ γὰρ ἐπειδὴ μὴ ἔστιν ὅλως. καὶ οὐκ ἔστιν ὅλως, ἐπειδὴ οὐδαμοῦ ἐστι. δῆλον δὲ ὅτι ὑγιὴς μὲν ἡ ἀκολουθία οὕτω ληφθεῖσα, οὐκέτι δὲ καὶ ἀληθής. οὔτε γὰρ τὸ ὂν πᾶν ἐν τόπῳ, οὐδὲν γὰρ τῶν ἀσωμάτων ἐν τόπῳ ἐστί, τῶν κυρίως μάλιστα καὶ χωριστῶς, οὔτε τὸ μηδαμοῦ ὄν, τουτέστι μὴ ἐν τόπῳ ὄν, οὐκ ὄν ἐστι. πολλὰ γάρ ἐστιν ὡς εἴρηται μὴ ἐν τόπῳ ὄντα. τὸ δὲ ζητούμενον ὁ λόγος ἐνεδείξατο, ὅτι ἀναγκαῖος ὁ περὶ τόπου λόγος τῷ φυσικῷ. εἴπερ οἱ παλαιότεροι πάντα τὰ ὄντα ἐν τόπῳ οἴονται. εἰ δὲ παλαιοῖς ἀνδράσι μὴ μάτην δεῖ ἐπισκήπτειν, εἰκός ἐστι τὸ πού οὐ τὴν ἐν τόπῳ τούτῳ τῷ νῦν ζητουμένῳ σχέσιν δηλοῦν, ἀλλὰ τὸν τῆς τάξεως ἀφορισμόν. καθ' ὃ σημαινόμενον καὶ ὑπερουράνιον τόπον οἶδεν ὁ Πλάτων. καὶ τὸν νοῦν ἐν τῷ νοητῷ λέγομεν. οὕτως οὖν δείξας ἀπὸ τῶν παλαιῶν φυσιολόγων ὅτι ἀναγκαῖος ὁ περὶ τόπου λόγος, ἐν τῷ δευτέρῳ ἐπιχειρήματι ἀπ' αὐτῶν τῶν πραγμάτων τὸ αὐτὸ δείκνυσιν οὕτως. εἰ ἡ κοινὴ πάντων τῶν φυσικῶν σωμάτων κίνησις κατὰ τόπον ἐστί, δηλονότι ἔστιν ὁ τόπος ἐν τοῖς φυσικοῖς. καὶ ἀναγκαῖός ἐστι τῷ φυσικῷ ὁ περὶ τοῦ τόπου λόγος. ἀλλὰ μὴν τὸ ἡγούμενον. τὸ ἄρα ἑπόμενον. καὶ κοινὴν μὲν ταύτην ἐκάλεσε τὴν κίνησιν, ἢ ὡς κοινῇ ὑπὸ πάντων ὁμολογουμένην. πάντες γὰρ τῆς κατὰ τόπον κινήσεως μᾶλλον ἢ τῶν ἄλλων αἰσθανόμεθα. τοιγαροῦν καὶ φθορὰν ἀνεῖλόν τινες ὡς οἱ περὶ Ἀναξαγόραν. καὶ ἀλλοίωσιν ὡς οἱ νόμῳ χροιὴν λέγοντες. τὴν δὲ κατὰ τόπον κίνησιν οὐδεὶς σπουδῇ λέγων. ἐάσθω γὰρ ἡ Ζήνωνος ἀπορία. ἢ κοινὴν αὐτὴν εἶπεν, ὡς ταύτην μόνην πᾶσι τοῖς φυσικοῖς σώμασιν ὑπάρχουσαν. τὰ γὰρ οὐράνια τῶν ἄλλων πασῶν κινήσεων ὑπερέχοντα, ταύτην ὅμως κινεῖται. διὸ καὶ κυριωτάτην αὐτὴν καλεῖ. κυριωτάτη γὰρ ἡ τῶν προτίστων καὶ ἀρχηγικωτάτων. καὶ μέντοι ὡς δείξει προϊὼν ὅτι πρώτη τῶν κινήσεών ἐστιν ἡ φορά, καὶ χρόνῳ καὶ φύσει καὶ αἰτίᾳ. κυριωτάτη δὲ εὐλόγως ἡ τοιαύτη. ἐν τισὶ δὲ ἀντὶ τοῦ κοινή, πρώτη. καὶ οὕτω γράφει καὶ ὁ Εὔδημος.

ἜΧΕΙ δὲ πολλὰς ἀπορίας τί ποτέ ἐστιν ὁ τόπος. οὐ γὰρ ταὐτὸν φαίνεται θεωροῦσιν ἐξ ἁπάντων τῶν ὑπαρχόντων. ἔτι δ' οὐδ' ἔχομεν οὐδὲν παρὰ τῶν ἄλλων οὔτε προηπορημένον οὔτε προηυπορημένον περὶ αὐτοῦ.

Δείξας ὅτι ἀναγκαῖος τῷ φυσικῷ ὁ περὶ τοῦ τόπου λόγος ἐφεξῆς δείκνυσιν ὥσπερ καὶ ἐπὶ τῶν ἄλλων, ὅτι χαλεπὸν τὸ πρόβλημα, καὶ διὰ τοῦτο συντόνου δεόμενον ἀντιλήψεως καὶ συγγνώμης, εἰ τοῖς πρώτοις αὐτὸ ἐμμεθόδως ζητοῦσι μὴ εὐθὺς ἀναφανείη τὸ ἀκριβές. ὥς τε καὶ πρὸς τὸν διδάσκοντα καὶ τὸν μανθάνοντα χρήσιμος ἡ τῆς χαλεπότητος ἐπίδειξις. τὸ δὲ χαλεπὸν αὐτοῦ δείκνυσι πρῶτον μὲν ἐκ τοῦ δεῖν μὲν τοὺς ὁρισμοὺς τῶν ζητουμένων πραγμάτων ἐκ τῶν καθ' αὑτὰ ὑπαρχόντων αὐτοῖς συνάγειν, ὡς ἀρχόμενος ἐν τῷ περὶ ψυχῆς εἶπε, τὰ δὲ καθ' αὑτὰ ὑπάρχειν δοκοῦντα τῷ τόπῳ μὴ ἐπὶ τὴν αὐτὴν φύσιν καταντᾶν. καθὸ μὲν γὰρ τὸ περιεκτικὸν ὑπάρχει αὐτῷ, δόξει τὸ εἶδος εἶναι τὸ ἑκάστου ὁ τόπος. τοῦτο γάρ ἐστι τὸ πρῶτον ὁρίζον καὶ περιέχον. καθὸ δὲ δεκτικὸν εἴδους τινὸς καὶ χώρα αὐτοῦ δοκεῖ, τῇ ὕλῃ μᾶλλον ᾠκείωται. διὸ καὶ ὁ Πλάτων ὅσα δοκεῖ λέγειν ὡς περὶ χώρας καὶ τόπου, περὶ τῆς ὕλης λέγει. καθὸ δὲ ὁ αὐτὸς τόπος ἄλλοτε ἄλλου ἐστὶ δεκτικὸς σώματος, ἄλλος ἂν εἴη παρὰ τὸ ἐν τόπῳ. ὥς τε καὶ παρὰ τὴν ὕλην αὐτοῦ καὶ παρὰ τὸ εἶδος. οὕτως ἐπ' ἄλλο καὶ ἄλλο

φέροντα τὰ καθ' αὑτὸ τῷ τόπῳ ὑπάρχοντα, δυσκολίαν αὐτοῦ ποιεῖ τὴν κατάληψιν. δεύτερον δὲ ἄλλο τῆς περὶ αὐτοῦ χαλεπότητος αἴτιον δίδωσι, τὸ μηδένα περὶ αὐτοῦ προαπορῆσαι ἢ προευπορῆσαι. τοῦτο γὰρ καὶ σημεῖον καὶ αἴτιον γίνεται τῆς δυσκόλου κατανοήσεως. σημεῖον μὲν, ὅτι διὰ τὴν χαλεπότητα τοῦ προβλήματος ἀπέστησαν τῆς περὶ αὐτοῦ ζητήσεως. αἴτιον δὲ, ὅτι χαλεπὸν ἔτι μᾶλλον ἡμῖν γίνεται μηδένα κοινωνὸν ἔχουσι τῆς ζητήσεως, μηδὲ ἀρχὴν ὅλως τινὰ προκαταβεβλημένην ἐν τοῖς εὑρηκόσι. κἂν γὰρ ἔδοξεν Ἡσίοδος λέγειν, ἤτοι μὲν πρώτιστα χάος γένετο, καὶ μυθική ἐστι καὶ οὐκ ἀποδεικτικὴ ἡ τοῦ Ἡσιόδου παράδοσις. καὶ τοσοῦτον, εἴπερ ἄρα, ἐνεδείξατο καλῶς, ὅτι δεῖ τι προϋπάρχειν ἐν ᾧ τὰ γινόμενα ἔσται. καὶ ὁ Πλάτων δὲ ἐν Τιμαίῳ ὅσα περὶ τοῦ τόπου δοκεῖ λέγειν, περὶ τῆς ὕλης εἴρηκεν. ὁ δὲ Εὔδημος τῆς δυσκολίας τοῦ περὶ τόπου προβλήματος καὶ τοῦτο αἴτιον εἶναι φησὶ, τὸ μὴ ῥᾴδιον εἶναι ἐπιλαβέσθαι τοῦ τόπου, διότι ὑποφεύγει πάντως ἐξαιρουμένου τοῦ ἐν τόπῳ σώματος. καὶ καθ' αὑτὸ μὲν οὐκ ἔστιν αὐτὸ νοῆσαι. εἴπερ δὲ ἄρα, μεθ' ἑτέρου. ὥσπερ τοὺς τῶν ἀφώνων καλουμένους φθόγγους. μετὰ γὰρ τοῦ α ὁ τοῦ β καὶ ὁ τοῦ γ δῆλος. οὐ μέντοι διὰ τὴν δυσχέρειαν ἀποστατέον τοῦ προβλήματος, οὕτως ὄντος οἰκείου καὶ ἀναγκαίου τῷ φυσικῷ. κἂν γὰρ μηδὲν ἄλλο ἐπὶ τῶν δυσλήπτων, ἀλλὰ τό γε ἀπορῆσαι περὶ αὐτοῦ καλῶς, ἱκανὸν τῷ φιλομαθεῖ. ὡς ἐν ἄλλοις αὐτὸς ὁ Ἀριστοτέλης διδάσκει.

ὍΤΙ ΜῈΝ οὖν ἔστιν ὁ τόπος δοκεῖ δῆλον εἶναι, ἐκ τῆς ἀντιμεταστάσεως. ὅπου γὰρ ἔστι νῦν ὕδωρ, ἐνταῦθα ἐξελθόντος ὥσπερ ἐξ ἀγγείου, πάλιν ἀὴρ ἔνεστιν. ὅτε δὲ τὸν αὐτὸν τόπον τοῦτον. ἄλλο τι τῶν σωμάτων κατέχει, τοῦτο δὴ τῶν ἐγγινομένων καὶ μεταβαλλόντων ἕτερον πάντων εἶναι δοκεῖ. ἐν ᾧ γὰρ ἀὴρ ἔστι νῦν, ὕδωρ ἐν τούτῳ πρότερον ἦν. ὥστε δῆλον ὡς ἦν ὁ τόπος τι καὶ ἡ χώρα ἕτερον ἀμφοῖν εἰς ἣν καὶ ἐξ ἧς μετέβαλλον.

Καὶ τὸ ἀναγκαῖον καὶ τὸ χαλεπὸν δείξας τῆς περὶ τοῦ τόπου ζητήσεως, μέτεισι λοιπὸν ἐπὶ τὰ οἰκεῖα αὐτοῦ προβλήματα. ὧν πρῶτον τὸ εἰ ἔστιν ὁ τόπος. καὶ τοὺς λόγους δι' ὧν ὁ τόπος τῶν ὄντων εἶναι δοκεῖ παρατίθεται προτέρους. εἶτα ἐφεξῆς καὶ τοὺς ἀναιροῦντας αὐτόν. καὶ τοὺς μὲν τιθέντας τὸν τόπον λόγους τέσσαρας ἐκτίθεται. πρῶτον μὲν τὸν ἐκ τῆς ἀντιμεταστάσεως. εἰ γὰρ ἐν ᾧ πρότερον ἦν ὕδωρ, ἐκρυέντος τοῦ ὕδατος ἀὴρ ἔστι νῦν, ὥσπερ ἐν τοῖς ἀγγείοις, δηλονότι ἔστι τι τὸ δεχόμενον ἑκάτερον. δεύτερον δὲ ἐκ τῆς κατὰ φύσιν τῶν στοιχείων φορᾶς. τούτων γὰρ ἑκάτερον εἰδοποιεῖται, τὸ μὲν, τῇ ἐπὶ τὸ ἄνω, τὸ δὲ, τῇ ἐπὶ τὸ κάτω φορᾷ. αὗται δὲ διαφοραὶ τόπου. τρίτον δὲ ἀπὸ τῶν μαθηματικῶν δείκνυσθαι φησὶν ὁ Ἀλέξανδρος, οὐ καλῶς οἶμαι λέγων. τὸ γὰρ ἐπὶ τῶν μαθημάτων ἐπιχείρημα, τοῦ δευτέρου μέρος ἐστὶ, τοῦ ἀπὸ τῆς φυσικῆς τῶν στοιχείων φορᾶς, ὡς μαθησόμεθα. ἀλλὰ τρίτον ἐστὶ τὸ ἀπὸ τοῦ κενοῦ ἐπιχείρημα. εἰ γὰρ τὸ κενὸν τόπος ἐστὶν ἐστερημένος σώματος, οἱ λέγοντες εἶναι κενὸν, πάντως εἶναι καὶ τόπον ὁρίζουσι. τέταρτον δὲ ἐπὶ τούτοις προστίθησι καὶ τὴν Ἡσιόδου μυθοποιΐαν, οὐ μόνον εἶναι τὸν τόπον ἀλλὰ καὶ δύναμιν ἔχειν μεγάλην ἐνδεικνυμένην. καὶ δηλονότι τὰ μὲν πρότερα δύο ἐπιχειρήματα, πραγματιώδη τὴν ἀνάγκην προΐσχεται. τὰ δὲ λοιπὰ ἀπὸ δόξης εἴληπται τῶν οὕτως ὑποτιθεμένων. ἀλλ' ἐπειδὴ συνοπτικῶς εἴρηται τὰ ἐπιχειρήματα, καθ' ἕκαστον ἀναλαβόντες αὐτῶν τὴν ἔννοιαν κατὰ τὸ δυνατὸν διαρθρώσωμεν. ἡ μὲν οὖν ἀπὸ τῆς ἀντιμεταστάσεως λέξις ὧδέ πως γέγονεν. ὁ τόπος δεκτικός ἐστι παρὰ μέρος διαφερόντων τινῶν, ὁ αὐτὸς μένων. ὁ δεκτικὸν τινῶν ἐστι διαφερόντων παρὰ μέρος τὸ αὐτὸ μένον, τοῦτο ἔστι τι, καὶ ἄλλο ἐκείνων ἐστίν. εἴγε τοῦτο μὲν ἀεὶ ταὐτὸν, ἐκεῖνα δὲ διαφέροντα, καὶ ἄλλοτε ἄλλα. ὁ τόπος ἄρα ἔστι τι καὶ ἄλλο τῶν ἐν αὐτῷ. ὅτι δὲ δεκτικὸς ὁ τόπος ἄλλοτε ἄλλων ὁ αὐτὸς μένων, ἐδήλωσεν ἐκ τῆς ἀντιμεταστάσεως τῶν σωμάτων, εἰπὼν ἐν ᾧ γὰρ ἔστιν ἀὴρ νῦν, ὕδωρ ἐν τούτῳ πρότερον ἦν. ἐξ οὗ δηλονότι καὶ ἕτερόν τι ἐστὶν ἡ χώρα, ἐξ ἧς καὶ εἰς ἣν μετέβαλλε τὰ ἐν αὐτῇ σώματα. εἰ δὲ ἕτερον, δηλονότι καὶ ἔστι, καὶ ἄξιον ζητεῖν αὐτόν. ἐνάργειαν δὲ τῇ ἀποδείξει τοῦ καὶ εἶναι καὶ ἄλλο τι εἶναι τὸ δεκτικὸν τῶν παρὰ μέρος ἐγγινομένων, παρέχεται ἡ τοῦ ἀγγείου παράθεσις. τοῦτο γὰρ καὶ ἔστι τι, καὶ ἕτερον τῶν ἐν αὐτῷ ἐστιν. ὅπερ εἰς πίστιν παρείληπται τῆς μείζονος τῶν προτάσεων.

ἜΤΙ ΔῈ καὶ αἱ φοραὶ τῶν φυσικῶν σωμάτων καὶ ἁπλῶν οἷον πυρὸς καὶ γῆς καὶ τῶν τοιούτων οὐ μόνον δηλοῦσιν ὅτι ἔστι τι ὁ τόπος, ἀλλ' ὅτι καὶ ἔχει τινὰ δύναμιν. φέρεται γὰρ ἕκαστον εἰς τὸν αὑτοῦ τόπον μὴ κωλυόμενον. τὸ μὲν ἄνω. τὸ δὲ, κάτω. ταῦτα δ' ἐστὶ, τόπου μέρη καὶ εἴδη. τό, τε ἄνω καὶ τὸ κάτω. καὶ αἱ λοιπαὶ τῶν ἓξ διαστάσεων. ἔστι δὲ τὰ τοιαῦτα οὐ μόνον πρὸς ἡμᾶς, τὸ δεξιὸν καὶ τὸ ἀριστερόν. καὶ τὸ ἄνω καὶ τὸ κάτω ἡμῖν μὲν γὰρ, οὐκ ἀεὶ τὸ αὐτό. ἀλλὰ κατὰ τὴν θέσιν ὅπως ἂν στραφῶμεν γίνεται. διὸ ταὐτὸ πολλάκις δεξιὸν καὶ ἀριστερόν ἐστι. καὶ ἄνω καὶ κάτω. καὶ πρόσθεν καὶ ὄπισθεν. ἐν δὲ τῇ φύσει, διώρισται χωρὶς ἕκαστον. οὐ γὰρ ὅ, τι ἔτυχε τὸ ἄνω ἐστὶν, ἀλλ' ὅπου φέρεται τὸ πῦρ καὶ τὸ κοῦφον. ὁμοίως δὲ καὶ τὸ κάτω, οὐχ ὅ, τι ἔτυχεν, ἀλλ' ὅπου τὰ ἔχοντα βάρος καὶ τὰ γεηρά. ὡς οὐ τῇ θέσει διαφέροντα μόνον ἀλλὰ καὶ τῇ δυνάμει. δηλοῖ δὲ καὶ τὰ μαθηματικά. οὐκ ὄντα γὰρ ἐν τόπῳ, ὅμως κατὰ τὴν θέσιν τὴν πρὸς ἡμᾶς, ἔχει δεξιὰ καὶ ἀριστερά. ὡς τὰ μόνον νοεῖσθαι αὐτῶν τὴν θέσιν. οὐκ ἔχοντα φύσει τούτων ἕκαστον.

Ἔτι δεύτερον ἐπιχείρημα τοῦ εἶναι τὸν τόπον ποιεῖται ἀπὸ τῆς τῶν σωμάτων κατὰ φύσιν κινήσεως. συναποδείκνυται δὲ τούτῳ καὶ ὅτι δύναμίν τινα ἔχει κατὰ τὴν αὑτοῦ φύσιν ὁ τόπος, ὡς καὶ διὰ τοῦτο ἄξιος εἶναι ζητήσεως. δείκνυσι δὲ ὅτι ἔστι τι ὁ τόπος, καὶ δύναμιν ἔχει, οὕτως. εἰ ἕκαστον τῶν φυσικῶν καὶ ἁπλῶν σωμάτων μὴ κωλυόμενον ἐπὶ τὸν οἰκεῖον φέρεται τόπον, τὸ μὲν πῦρ ἐπὶ τὸ ἄνω, ἡ δὲ γῆ ἐπὶ τὸ κάτω, τὰ δὲ μέσα ἐπὶ τὸ μέσον, καὶ τὸ κύκλῳ δὲ κινούμενον περὶ τὸ μέσον κινεῖται, καὶ κατὰ τοῦτο ἕκαστον εἰδοποιεῖται, τὸ δὲ ἄνω καὶ τὸ κάτω καὶ αἱ λοιπαὶ διαστάσεις τόπου μόρια καὶ εἴδη ἐστί, δηλονότι καὶ ἔστι τι ὁ τόπος καὶ δύναμιν ἔχει. οὐ γὰρ ἂν εἰδοποιοὶ ἦσαν αἱ διαφοραὶ αὐτοῦ τῶν ἁπλῶν σωμάτων. τὸ δὲ δεξιὰ καὶ ἀριστερὰ καὶ ἔμπροσθεν καὶ ὄπισθεν ὑπάρχει μὲν καὶ τῇ οὐρανίᾳ κινήσει, ὡς ἐν τῷ περὶ οὐρανοῦ δείκνυται, ὑπάρχει δὲ καὶ τοῖς ἐν γενέσει ζώοις κατὰ τὴν σύνθετον αὐτοῦ φύσιν. καὶ ὅρα ὅτι θερμότητος μὲν καὶ μαλακότητος καὶ τὰ τούτοις ὅμοια ἴσως ἂν καὶ ἄνευ τόπου εἴη. κουφότητα δὲ καὶ βαρύτητα οὐ δυνατὸν ἄνευ τόπου εἶναι. ὥρισται γὰρ ταῦτα φορᾷ τῇ τε ἄνω καὶ τῇ κάτω. ἐπειδὴ δὲ τὸ ἄνω καὶ τὸ κάτω καὶ αἱ ἄλλαι τοῦ τόπου διαφοραὶ φαίνονται καὶ κατὰ σχέσιν οὖσαι, ἠπόρησεν ἄν τις μή ποτε οὐ φύσει ἐστὶν ὁ τόπος, ἀλλὰ κατὰ τὴν σχέσιν τὴν πρὸς ἡμᾶς τὸ εἶναι ἔχει. ἡ γοῦν ὀροφὴ τοῖς μὲν ἐν τῷ οἴκῳ ἄνω ἐστί. τοῖς δὲ ἐν τῷ κεράμῳ, κάτω. καὶ εἰ κατὰ σχέσιν εἴη τὴν πρὸς ἡμᾶς, δηλονότι οὔτε δύναμιν ἔχει τινὰ κατὰ τὴν ἡμετέραν θέσιν ὑφεστώς, οὔτε ἀναγκαῖος ἂν εἴη τῷ φυσικῷ ὁ περὶ αὐτοῦ λόγος. ταύτην οὖν λύει τὴν ἔνστασιν, ὅτι οὐ σχέσει μόνον ἀλλὰ καὶ φύσει τὸ ἄνω καὶ κάτω ἐστί. δείκνυσι δὲ οὕτως. τὰ φύσει ἄνω καὶ κάτω ἀεὶ ταυτά ἐστιν. ἄνω γὰρ ἐφ᾽ ὃ τὰ κοῦφα φέρεται. καὶ κάτω ἐφ᾽ ὃ τὰ βαρέα. τὰ δὲ πρὸς ἡμᾶς τὸ εἶναι ἔχοντα οὐκ ἀεὶ τὰ αὐτά. ἀλλ᾽ ὡς ἂν στραφῶμεν, οὕτω καὶ αὐτὰ μετατίθεται. ὁ γὰρ νῦν δεξιός μου κίων, μεταστραφέντος ἢ κινηθέντος ἀριστερὸς γίνεται. καὶ ἡ ὀροφὴ ὡς εἴρηται πρότερον. ὥστε τὰ φύσει ἄνω καὶ κάτω οὐ πρὸς ἡμᾶς, οὔτε κατὰ σχέσιν ἔχει τὸ εἶναι, οὔτε τῇ θέσει τῇ πρὸς ἡμᾶς διαφέρει μόνον, ἀλλὰ καὶ τῇ δυνάμει. οὐ γὰρ ἂν ἦν διαφερόντων δεκτικά, καὶ εἰδοποιὰ τῶν ἐπ᾽ αὐτὰ ἰόντων. τοῦτο δὲ τὸ ὅτι οὐ τῇ πρὸς ἡμᾶς σχέσει μόνον, ἀλλὰ καὶ κατὰ φύσιν εἰσὶν αἱ τῶν τόπων διαφοραί, καὶ ἄλλαι μὲν αἱ κατὰ φύσιν, ἄλλαι δὲ αἱ κατὰ θέσιν, δείκνυσι καὶ ἐκ τῶν μαθηματικῶν. εἰ γὰρ τὰ κατὰ τὴν πρὸς ἡμᾶς σχέσιν μόνον ἔχοντα τὸ δεξιὸν καὶ ἀριστερὸν καὶ ἄνω καὶ κάτω, ὥσπερ τὰ μαθηματικά, οὐκ ἔστιν ὅλως ἐν τόπῳ κατὰ τὴν ἑαυτῶν φύσιν, τὰ ἐν τόπῳ ὄντα οὐ κατὰ σχέσιν μόνον τὴν πρὸς ἡμᾶς, ἀλλὰ καὶ κατὰ φύσιν ἔχει τὰς τοῦ τόπου διαφοράς. ἔοικε δὲ ὁ Ἀριστοτέλης τὸ συνημμένον θεῖναι μόνον ἐν τῷ λέγειν, οὐκ ὄντα γὰρ ἐν τόπῳ, ὅμως κατὰ τὴν θέσιν τὴν πρὸς ἡμᾶς ἔχει δεξιὰ καὶ ἀριστερά. ὡς εἰ ἔλεγε τὰ μαθηματικὰ κατὰ τὴν πρὸς ἡμᾶς σχέσιν μόνον ἔχει τὸ δεξιὸν καὶ ἀριστερόν, διὰ τὸ μὴ εἶναι φύσει ἐν τόπῳ. ὡς εἴ γε ἦν, οὐκ ἂν κατὰ θέσιν μόνον ἀλλὰ καὶ κατὰ φύσιν εἶχε τὰς τοιαύτας διαφοράς. καὶ προελθὼν δὲ αὐτὸ πάλιν ἐξηγεῖται, διὰ τοῦ ὡς τὰ μόνον νοούμενα κατὰ θέσιν, οὐκ ἔχοντα φύσει τούτων ἕκαστον τῶν τοῦ τόπου διαφορῶν. δῆλον δὲ ἐκ τούτου τοῦ λόγου, ὅτι ἕτερος ὁ κατὰ σχέσιν τόπος. καὶ ἕτερος ὁ κατὰ φύσιν. ὁ μὲν κατὰ σχέσιν, καὶ τοῖς μὴ ἐν τόπῳ οὖσι δυνάμενος προσεῖναι διὰ τὴν ἡμετέραν ἐπίνοιαν. δεξιὸν γάρ τουτὶ τὸ θεώρημα, καὶ ἀριστερὸν ὡς πρὸς ἐμὲ τόδε γράφω. καὶ ἄνω καὶ κάτω. καὶ μόρια ἑκάστου ὁμοίως. ὁ δὲ κατὰ φύσιν τόπος τοῖς ἐν τόπῳ οὖσι μόνοις προσήκει. πάντα δὲ ἐν τόπῳ τὰ φυσικά. καὶ τὰ τεχνητὰ κατὰ συμβεβηκὸς ἐν τόπῳ ἐστὶ καθὸ τεχνητά. καθὸ δὲ φυσικά, καθ᾽ αὑτό. ἐν δὲ τοῖς φυσικοῖς τῶν μὲν ἁπλῶν ἕκαστον οἰκεῖον φύσει τόπον ἔχει. τῶν δὲ συνθέτων τόπος ἐστὶν ἑκάστου οἰκεῖος κατὰ τὴν τῶν ἐν αὐτῷ ἁπλῶν ἐπικράτειαν. ὁ δὲ Ἀλέξανδρος τὴν λέξιν τὴν λέγουσαν, ὡς τὰ μόνον λεγόμενα διὰ θέσιν οὐκ ἔχοντα φύσει τούτων ἕκαστον, οὕτω μεταγράφει, ὥστε μόνον νοεῖσθαι αὐτῶν τὴν θέσιν. εἰπὼν γάρ φησιν ὅτι τὰ μαθηματικὰ κατὰ τὴν πρὸς ἡμᾶς θέσιν ἔχει τὰ δεξιὰ καὶ ἀριστερά, ποίαν θέσιν προσέθηκεν ὅτι τὴν κατ᾽ ἐπίνοιαν. εἰ γὰρ τὴν ἀρχὴν μὴ δ᾽ ἔστι καθ᾽ αὑτά, οὐδ᾽ ἂν θέσιν ἔχοι καθ᾽ αὑτά. ἐνταῦθα δὲ σαφῶς ὁ Ἀλέξανδρος ὁμολογεῖ τὸ ἀπὸ τῶν μαθημάτων παράδειγμα μὴ εἶναι ἴδιον ἐπιχείρημα. ἀλλ᾽ εἰς πίστιν εἰλῆφθαι τοῦ κατὰ φύσιν διωρίσθαι τὰς τῶν τόπων διαφοράς. εἴπερ τὰ μὴ κατὰ φύσιν διωρισμένους ἔχοντα τοὺς τόπους, ὥσπερ τὰ μαθηματικά, οὐδὲ ὅλως ἐστὶν ἐν τόπῳ. μή ποτε δὲ δύναται καὶ ἴδιον ἐπιχείρημα εἶναι τοῦτο, ὥσπερ ᾠήθη πρότερον ὁ Ἀλέξανδρος, τὸ τρίτον ἐπιχείρημα τοῦ εἶναι τὸν τόπον δεικνύντων, τὸ ἀπὸ τῶν μαθημάτων εἶναι λέγων. ἔχοι δ᾽ ἂν οὕτως. εἰ τὰ μαθηματικὰ καίτοι μὴ ὄντα φύσει ἐν τόπῳ, ὅμως κατὰ τὴν πρὸς ἡμᾶς θέσιν ἔχει τὰς τοῦ τόπου διαφοράς, δηλονότι ἔστι τι ὁ τόπος. τὰ γὰρ θέσει ἀπὸ τῶν φύσει μετάγεται, ὡς τὰ φαντασ[τὰ] ἀπὸ τῶν αἰσθητῶν.

Ἔτι οἱ τὸ κενὸν φάσκοντες εἶναι, τόπον λέγουσι. τὸ γὰρ κενὸν τόπος ἂν εἴη ἐστερημένος σώματος. ὅτι μὲν οὖν ἔστι τι ὁ τόπος παρὰ τὰ σώματα, καὶ πᾶν σῶμα αἰσθητὸν ἐν τόπῳ, διὰ τούτων ἄν τις ὑπολάβοι. τρίτον ὑποτίθησιν ἐπιχείρημα δεικνύον εἶναι τὸν τόπον κατ᾽ οἰκείαν φύσιν. οἱ γὰρ τὸ κενὸν λέγοντες, οὐδὲν ἄλλο λέγουσιν αὐτὸ ἢ τόπον ἐστερημένον σώματος. εἰ οὖν ἄλλο τι παρὰ τὸ σῶμά ἐστιν, ὡς καὶ ἄνευ σώματος ὑφεστάναι, δηλονότι ἔχει τινὰ φύσιν οἰκείαν, οὐχ ὡς ἀρέσκον δὲ αὐτῷ τίθησι τὸ ἐπιχείρημα. ἀλλ᾽ ὡς δεικτικὸν τοῦ καὶ παρὰ τοῖς προτέροις ἔννοιαν εἶναι τοῦ τόπου. διότι φησὶν οἱ τὸ κενὸν φάσκοντες

εἶναι, τόπον

λέγουσι. διάκεινται γοῦν καὶ ὡς ὄντος καὶ ὡς ἔχοντος τινὰ φύσιν ἀφωρισμένην, καὶ τάχα καὶ κυριωτέραν τοῦ σώματος. εἴπερ σῶμα μὲν ἄνευ τόπου ἀδύνατον εἶναι, ὁ δὲ τόπος ὑφέστηκε καὶ σώματος χωρίς. δείξας δὲ ἀποδεικτικῶς μὲν διὰ τῶν δύο τῶν προτέρων ἐπιχειρημάτων, δοξαστικῶς δὲ διὰ τοῦ νῦν εἰρημένου, συμπεραίνεται τὸν λόγον, ὡς δεδειγμένου καὶ ὅτι ἔστιν ὁ τόπος, καὶ ὅτι ἄλλος παρὰ τὰ σώματα, ὡς ἔχων τινὰ φύσιν καὶ δύναμιν οἰκείαν, καὶ μὴ κατὰ τὴν ἡμετέραν θέσιν θεωρούμενος. πᾶν γὰρ σῶμα αἰσθητὸν ἐν τόπῳ εἶπε, διὰ τὰ μαθηματικά. ἅ τινα οὐ καθ' αὑτὰ ἔχει τὸ εἶναι ἐν τόπῳ.

ΔΌΞΕΙΕ Δ' ἂν καὶ ἡσίοδος ὀρθῶς λέγειν, ποιήσας πρῶτον τὸ χάος. λέγει γοῦν πάντων μὲν πρώτιστα χάος γένετ' αὐτὰρ ἔπειτα, γαῖα εὐρύστερνος. ὡς δέον πρῶτον ὑπάρξαι χώραν τοῖς οὖσι, διὰ τὸ νομίζειν ὥσπερ οἱ πολλοὶ πάντα εἶναί που, καὶ ἐν τόπῳ. εἰ δ' ἐστὶ τοιοῦτον, θαυμαστή τις ἂν εἴη ἡ τοῦ τόπου δύναμις, καὶ προτέρα πάντων. οὗ γὰρ ἄνευ τῶν ἄλλων, οὐδέν ἐστιν. ἐκεῖνο δ' ἄνευ τῶν ἄλλων ἀνάγκη πρῶτον εἶναι. οὐ γὰρ ἀπόλλυται ὁ τόπος, τῶν ἐν αὐτῷ φθειρομένων.

Τοῦ ἡσιόδου ἐν τῇ θεογονίᾳ λέγοντος, ἤτοι μὲν πρώτιστα χάος γένετο, καὶ τοῦ χάους ἀπὸ τοῦ χωρήματος δοκοῦντος γεγονέναι, καὶ διὰ τοῦτο τὸ χωρητικὸν δηλοῦν, ὅπερ ταυτόν ἐστι τῷ τοπικῷ, ἐκ τούτου δύο συλλογίζεται ὁ ἀριστοτέλης. καὶ ὅτι ἔστι τι ὁ τόπος κατὰ τὸν ἡσίοδον, καὶ ὅτι προτέρα πάντων ἡ τούτου δύναμις κατ' αὐτὸν καὶ ἀρχηγική. ὥς τε καὶ οἰκεία τῷ περὶ τῶν ἀρχῶν λόγῳ. διὰ τοῦτο δέ φησιν αὐτὸν εἰρηκέναι πρῶτον γενέσθαι τὸ χάος, διὰ τὸ νομίζειν μὲν, ὥσπερ οἱ πολλοὶ τὴν ἀσώματον φύσιν ἀγνοοῦντες, μόνα δὲ εἶναι τὰ σώματα λέγοντες, πάντα εἶναί που καὶ ἐν τόπῳ. εἰ δὲ τοῦτο, δεῖν προϋπάρξαι τὴν χώραν ἐν ᾗ ἔσται τὰ ὄντα. καὶ διὰ τοῦ εἰπεῖν ὥσπερ οἱ πολλοὶ, ἐνεδείξατο ὅτι οὐκ ἀρέσκεται τῇ δόξῃ. τοῦ δὲ δοκεῖν ὀρθῶς λέγειν τὸν ἡσίοδον, αἰτίαν ἐπήγαγε τὸ ὡς δέον πρῶτον ὑπάρξαι χώραν τοῖς οὖσιν. εἰ δὲ ἔστιν ἀληθὲς τὸ δεδοξασμένον ὑπὸ τοῦ ἡσιόδου, τὸ πρῶτον χώραν γενέσθαι ἤτοι τόπον, θαυμαστὴ ἂν εἴη ἡ τοῦ τόπου φύσις, πρωτουργός τις οὖσα καὶ ἀρχηγική. εἰ γὰρ τόπου μὲν ὄντος οὐκ ἀνάγκη εἶναι σῶμα, σώματος δὲ ὄντος ἀνάγκη εἶναι τόπον, ἅπαντα ἀνάγκη εἶναί που καὶ ἐν τόπῳ, τὸ δὲ συναναιροῦν μὲν μὴ συναναιρούμενον δὲ, πρῶτόν ἐστι τῇ φύσει, δηλονότι πρωτουργὸς καὶ ἀρχηγικὸς ἂν εἴη ὁ τόπος. οὐ γὰρ εἰ τόδε τὸ σῶμα οἷον τὸ πῦρ ἢ ὁ ἀὴρ φθαρείη, ἀνάγκη καὶ τὸν τόπον ἐφθάρθαι τὸν αὐτοῦ. εἰ δὲ καὶ κενὸν εἴη καθάπερ τινὲς ἔλεγον ὁ τόπος, ἔτι μᾶλλον ἀναγκαῖον τὸ μὴ συναναιρεῖσθαι τοῖς σώμασιν, εἴπερ τὸ κενὸν τόπος ἐστὶν ἐστερημένος σώματος. κατὰ μὲν γὰρ τὴν ἀριστοτέλους περὶ τοῦ τόπου δόξαν, τὴν λέγουσαν τόπον εἶναι τὸ πέρας τοῦ περιέχοντος ὡς μαθησόμεθα, κἂν μὴ συμφθείρηται ὁ τόπος τῷ ἐν τόπῳ, ἀλλ' οὖν ἀνάγκη εἰ τόπος ἐστὶ καὶ σῶμα εἶναι. καὶ εἰ μὴ τὸ αὐτὸ ἀεὶ, ἀλλὰ σῶμά γε πάντως. εἰ δὲ πρῶτος γέγονεν ὁ τόπος καὶ εἰ κενὸν εἴη, δηλονότι καὶ σώματος μὴ ὄντος ἔσται τόπος. ταῦτα δὲ ἐνδόξως λέγεται, λυσιτελοῦντα πρὸς τὸ δεῖξαι ὅτι ἀρχῆς λόγον ἔχει τισὶν ὁ τόπος δοκεῖ, ὥσπερ καὶ τὸ ἄπειρον. καὶ διὰ τοῦτο καὶ ὁ περὶ τόπου λόγος ἀναγκαῖος τῷ περὶ ἀρχῶν προθεμένῳ διασκοπῆσαι. ἔοικε δὲ τοιαύτη τις τότε τῶν ἡσιόδου ἐπῶν ἐπιπολάζειν ἐξήγησις, τὸ χάος εἰς χώραν μεταλαμβάνουσα. δηλοῖ δὲ, οὐ χώραν, ἀλλὰ τὴν ἀπειροειδῆ καὶ πεπληθυσμένην τῶν θεῶν αἰτίαν. ἣν ὀρφεὺς χάσμα πελώριον ἐκάλεσε. μετὰ γὰρ τὴν μίαν τῶν πάντων ἀρχὴν, ἣν ὀρφεὺς καὶ χρόνον ἀνυμνεῖ, ὡς μέτρον οὖσαν τῆς μυθικῆς τῶν θεῶν γενέσεως, αἰθέρα καὶ τὸ πελώριον χάσμα προελθεῖν φησὶ, τὸν μὲν, τῆς περατοειδοῦς προόδου τῶν θεῶν αἴτιον, τὸ δὲ, τῆς ἀπειροειδοῦς. καὶ λέγει περὶ αὐτοῦ, οὐδέ τι πεῖρας ἐῆν. οὐδὲ πυθμὴν, οὐδέ τις ἕδρα. καίτοι πῶς ἄν τις περὶ τόπου ταῦτα λέγοι, τοῦ καὶ τἆλλα περαίνοντος καὶ ἑδράζοντος. ὁ μέντοι ἡσίοδος τὴν πρώτην τῶν πάντων αἰτίαν σιγῇ τιμῶν, ἠνίξατο μόνον αὐτὴν διὰ τοῦ εἰπεῖν γενέσθαι τὸ χάος. παντὶ γὰρ γινομένῳ ὑπ' αἰτίου τινὸς ἀνάγκη τὴν γένεσιν ἔχειν ὡς ὁ πλάτων φησί. τὴν δὲ πληθοειδῆ πρόοδον τῶν θεῶν ἐκφῆναι βουλόμενος, διὰ τῆς ἀπειροειδοῦς συστοιχίας προήγαγε τὴν θεογονίαν, τὸ χάος πρῶτον εἰπὼν, καὶ μετ' αὐτὸ γῆν.

ΟΥ ΜῊΝ, ἀλλ' ἔχει γε ἀπορίαν, εἰ ἔστι, τί ἐστι. πότερον ὄγκος τις σώματος, ἤ τις ἑτέρα φύσις. ζητητέον γὰρ τὸ γένος αὐτοῦ πρῶτον.

Ἐν μὲν τοῖς περὶ τοῦ ἀπείρου λόγοις ἐκθέμενος πέντε ἐπιχειρήματα, δι' ὧν εἶναι δοκεῖ τὸ ἄπειρον, ἐπήγαγε τούτοις ἐκεῖνα, δι' ὧν μὴ εἶναι φανήσεται. ἵν' οὕτως ὁ διαιτητὴς τῶν λόγων, καὶ ἀληθεῖς ἀμφοτέρους εὑρίσκων, καὶ τὰ ἐναντία λέγειν δοκοῦντας, πῇ μὲν εἶναι, πῇ δὲ μὴ εἶναι τὸ ἄπειρον ἐπιψηφίζηται. ὅπερ καὶ τὸ ἀληθὲς ἔχει. ἐνταῦθα δὲ οὐ πῇ μὲν εἶναι, πῇ δὲ μὴ εἶναι τὸν τόπον βουλόμενος, ἀλλ' εἶναι μόνως διὰ τὴν κοινὴν περὶ αὐτοῦ ἔννοιαν, τίς γὰρ οὐ λέγει τόπον εἶναι, οὐκ ἀντέθηκεν εὐθὺς ἐπιχειρήματα δεικνύντα μὴ εἶναι. ἀλλ' εἰπὼν τὰ ἐπιχειρήματα δι' ὧν ὁ τόπος εἶναι πιστεύεται, μεταβαίνειν μὲν δοκεῖ ἐπὶ τὸ ἑξῆς πρόβλημα, τὸ τί ἐστιν ὁ τόπος. δείκνυσι γὰρ ὅτι οὔτε σῶμα, οὔτε ἀσώματον εἶναι δύναται, οὔτε στοιχεῖον, οὔτε ἐκ στοιχείων. καὶ ἄλλα ἐπιχειρήματα ἐπάγει, δι' ὧν συνήγαγεν ὅτι οὐ μόνον τί ἐστιν ὁ τόπος, ἀλλὰ καὶ εἰ ἔστιν ὅλως ἀπορεῖν ἀνάγκη, οὐ τὸ πῇ μὲν εἶναι, πῇ δὲ μὴ εἶναι διὰ τούτου εἰσάγων. ἀλλὰ τὴν χαλεπότητα τοῦ λόγου διὰ τὴν ἐφ' ἑκάτερα ἀπορίαν, κοινὴν ἐπὶ τοῦ τί ἐστι καὶ τοῦ εἰ ἔστιν ἀποδεικνύς. εἰ γὰρ

ἀνάγκη μὲν εἰ ἔστιν ὅλως ἢ σῶμα εἶναι ἢ ἀσώματον, ἢ στοιχεῖον ἢ ἐκ στοιχείων, μηδέτερον δὲ εἶναι δυνατόν, καὶ τὸ τί ἐστι καὶ τὸ εἰ ἔστιν ἄπορον φανήσεται. καὶ τὸ χαλεπὸν τῆς εὑρέσεως αὐτοῦ πιθανωτέρας ποιεῖ τὰς πρὸς τὸ μὴ εἶναι ἐπιχειρήσεις, κἂν δοκῶμεν πάντες ἐννοεῖν ὅτι ἔστιν ὁ τόπος. καὶ ὅρα πῶς ἐμμεθόδως ἐχρήσατο τῷ λόγῳ. βουλόμενος γὰρ ἐκ πάντων τῶν προβλημάτων δεῖξαι τὴν χαλεπότητα τοῦ ζητήματος, ἐν μὲν τῷ εἰ ἔστιν οὐκ ἀνεσκεύασε τοῦτο, διὰ τὴν κοινὴν περὶ αὐτοῦ πρόληψιν. ἀλλὰ διέβαλεν εὐφυῶς διὰ τῆς τοῦ κενοῦ θέσεως καὶ τοῦ μυθικοῦ χάους, εἰσαγόμενον τὸν τόπον. ἐν δὲ τῷ τί ἐστι καὶ τῷ ὁποῖόν τί ἐστι, καὶ τὸ εἶναι τὸν τόπον συναναιρεῖ. ὅτι γὰρ καὶ πρὸς τοῦτο αὐτῷ τείνει τὰ ἐπιχειρήματα, δηλοῖ νῦν μὲν τῷ ὑποθετικῶς εἰπεῖν εἰ ἔστιν. ἐπειδὴ κἂν ἐρρήθησάν τινες λόγοι πιστούμενοι τὸ εἶναι, οὔπω τελέως ἐδείχθη ὅτι ἔστι. δειχθήσεται δὲ καὶ προϊόντος τοῦ λόγου. ἐν δὲ τῷ συμπεράσματι τοῦ ὁποῖόν τί ἐστι σαφῶς καὶ τὸ εἶναι ἄπορον εἶπε. ζητεῖ δὲ πρῶτον ἐν τίνι γένει χρὴ τιθέναι τὸν τόπον. ἀρχὴ γὰρ τοῦ τί ἐστι καὶ τοῦ ὁρισμοῦ τὸ γένος ἐστί. πότερον οὖν σῶμα ἢ ἀσώματον ὁ τόπος. εἰκότως δὲ οὐκ εἶπεν ἢ ἀσώματον, ἀλλ' ἤ τις ἑτέρα φύσις. ἐπειδὴ οὐ πάντη σώματος ἐκτὸς αὐτὸν εἶναι τίθησι, πέρας λέγων αὐτὸν σώματος ὡς μαθησόμεθα.

ΔΙΑΣΤΗΜΑΤΑ μὲν οὖν ἔχει τρία μῆκος, καὶ πλάτος, καὶ βάθος. οἷς ὁρίζεται σῶμα πᾶν. ἀδύνατον δὲ σῶμα τὸν τόπον εἶναι. ἐν αὐτῷ γὰρ ἂν εἴη δύο σώματα.

Ὁ μὲν οὖν Ἀλέξανδρος δύο συλλογισμοὺς ἀναλύει ἐν τούτῳ τῷ ῥητῷ ἀντικειμένους ἀλλήλοις. καὶ ἔστιν ὁ μὲν πρῶτος τοιοῦτος. ὁ τόπος διαστήματα ἔχει τρία. τὸ δὲ τρία διαστήματα ἔχον, σῶμα. ὁ τόπος ἄρα σῶμα. καίτοι κἂν τὸ σῶμα τρία ἔχοι διαστήματα, οὐ πᾶν τὸ τρία ἔχον διαστήματα ἤδη σῶμα ἐστί. καὶ γὰρ καὶ τὸ κενὸν οἱ λέγοντες εἶναι, τριχῆ διεστάναι φασὶν αὐτό. ὁ δὲ δεύτερος συλλογισμὸς ἀντικείμενος τῷ προτέρῳ ὑποθετικός. ἐξ ἀκολουθίας ἀνασκευαστικός. ὃν καὶ δεύτερον ἀναπόδεικτον καλοῦσιν. εἰ σῶμα ὁ τόπος, ἐν ταὐτῷ δύο σώματα ἔσται, ὅ, τε τόπος καὶ τὸ ἐν αὐτῷ. ἀλλὰ μὴν ἀδύνατον ἐν ταὐτῷ δύο εἶναι σώματα. οὐκ ἄρα σῶμα ὁ τόπος. εἰ δὲ δοκεῖ μὲν σῶμα εἶναι, ἀδύνατον δὲ αὐτὸν σῶμα εἶναι, οὐδ' ἂν εἴη τι ὅλως. οὕτω μὲν οὖν ὁ Ἀλέξανδρος. μήποτε δὲ ἐκ διαιρέσεως ποιεῖται τὴν ἀνασκευὴν τοῦ εἶναι τὸν τόπον. εἰ γάρ ἐστιν ὅλως, ἢ ἐν τῷ τοῦ ἀσωμάτου γένει ἐστίν, ἢ ἐν τῷ τοῦ σώματος. ἀλλὰ μὴν οὔτε ἀσώματος ἐστὶ μῆκος ἔχων καὶ πλάτος καὶ βάθος, οἷς ὁρίζεται πᾶν σῶμα, οὔτε σῶμα, ἵνα μὴ δύο σώματα ἐν ταὐτῷ εἴη. τὰ οὖν τμήματα τῆς διαιρέσεως καλῶς ἀπέδειξεν ὁ Ἀλέξανδρος. τὸ δὲ σῶμα διὰ σώματος χωρεῖν, οἱ μὲν ἀρχαῖοι ὡς ἐναργὲς ἄτοπον ἐλάμβανον. οἱ δὲ ἀπὸ τῆς στοᾶς ὕστερον προσήκαντο, ὡς ἀκολουθοῦν ταῖς σφῶν αὐτῶν ὑποθέσεσιν, ἃς ἐνόμιζον ἐν παντὶ τρόπῳ δεῖν κυροῦν. σώματα γὰρ λέγειν πάντα δοκοῦντες καὶ τὰς ποιότητας καὶ τὴν ψυχήν, καὶ διὰ παντὸς ὁρῶντες τοῦ σώματος καὶ τὴν ψυχὴν χωροῦσαν καὶ τὰς ποιότητας ἐν ταῖς κράσεσι, συνεχώρουν σῶμα διὰ σώματος χωρεῖν. ὅτι δὲ ἀδύνατον τοῦτο, δείκνυσι μὲν καὶ δι' ἀφωρισμένου συγγράμματος. πρῶτον μὲν γὰρ εἰ σῶμα διὰ σώματος χωρεῖ, καὶ πᾶν διὰ παντὸς χωρήσει. εἴπερ καθὸ σώματα, ἀλλὰ μὴ καθὰ θερμὰ ἢ ψυχρὰ ἤ τινα ἄλλην ἔχοντα διαφορὰν χωρεῖ δι' ἀλλήλων. εἰ οὖν σῶμα διὰ σώματος χωρεῖ, καὶ ἐν τῷ μικροτάτῳ χωρηθήσεται τὸ μέγιστον. ὁμοίως γὰρ ἕξει δεξάμενόν τε καὶ πρὸ τοῦ δέξασθαι. οὐ γὰρ δή τότε μὲν κενά τινα καὶ πόρους εἶχε, νῦν δὲ οὐκέτι. δυνήσεται οὖν καὶ δεύτερον καὶ τρίτον ὁμοίως δέξασθαι. οὕτω δὲ ἐν τῇ κέγχρῳ φησὶν ὁ Ἀριστοτέλης ὁ οὐρανὸς χωρηθήσεται, καὶ ἡ θάλασσα ἐν κυάθῳ. ἔτι δὲ εἰ σῶμα διὰ σώματος χωρεῖ, καὶ διὰ τοῦ παχυτέρου τὸ λεπτότερον, τί δή ποτε ὁ χρυσὸς χαλκὸν μὲν δέχεται, ὕδωρ δὲ οὔ. ἄπορον δὲ καὶ διατί δεξάμενος τὸν χαλκὸν ὁ χρυσός, μείζονα τὸν ὄγκον ἔσχε. καὶ ὅλως διατί αὔξεται τινὰ τῶν μιγνυμένων, εἰ τὰ ἴσα ἀλλήλοις δι' ὅλων ἀλλήλοις συμπαρεκτείνεται, ὡς τὴν αὐτὴν ἔχειν ἐπιφάνειαν. κυάθου γὰρ κυάθῳ μιχθέντος εἰ δι' ἀλλήλων χωρεῖ, τὸ ὅλον ἔδει κυαθιαῖον γίνεσθαι. ὁ δὲ Εὔδημος καὶ τοῦτο προστίθησιν, ὅτι οὐκ ἐνδέχεται δύο ἅμα εἶναι σώματα, οὔτε αἰσθητὰ ὄντα, οὔτε θάτερον μαθηματικόν. πρὸς γὰρ τῷ ἅμα δύο εἶναι σώματα, καὶ ποῦ ἔσται τὸ μαθηματικόν. ὅπερ οὐ δοκεῖ. ἀλλ' εἰ τῶν οὐρανῶν ἑκάστη σφαῖρα τελεία ἐστὶ μέχρι τοῦ κέντρου χωροῦσα, δηλονότι καὶ δι' ἀλλήλων χωροῦσιν οἱ οὐρανοί, καὶ διὰ τῶν ἄστρων καὶ διὰ τοῦ ὑπὸ σελήνην παντός. μήποτε οὖν τὰ μὲν ὑπὸ σελήνην ἅτε ὑλικώτατα καὶ ἀντίτυπα, καὶ φύσει ἀλλήλων διεσπασμένα, οὐ χωρεῖ δι' ἀλλήλων. διὸ καὶ μιγνύμενα μεῖζόν τι ποιεῖ. τὰ δὲ οὐράνια οὐχ οὕτως. ὥστε καὶ ἄτοπος ἡ τοῦ οὐρανοῦ καὶ τῆς κέγχρου ὑπόθεσις, εἴπερ ἀδιαίρετος ὁ οὐρανός. εἰ δὲ μὴ σῶμά ἐστι τὸ τὰς τρεῖς ἔχον διαστάσεις, λόγου δεήσει. πεισθῆναι γὰρ οὐ ῥᾴδιον εἶναί τι ἀσώματον τρεῖς ἔχον διαστάσεις.

ἜΤΙ ΕἼΠΕΡ ἐστὶ σώματος τόπος καὶ χώρα, δηλονότι καὶ ἐπιφανείας, καὶ τῶν λοιπῶν περάτων. ὁ γὰρ αὐτὸς ἁρμόσει λόγος. ὅπου γὰρ ἦν πρότερον τὰ τοῦ ὕδατος ἐπίπεδα, ἔσται πάλιν τὰ τοῦ ἀέρος. ἀλλὰ μὴν διαφορὰν οὐδεμίαν ἔχομεν στιγμῆς, καὶ τόπου στιγμῆς. ὥστ' εἰ μὴ δὲ ταύτης ἐστὶν ὁ τόπος ἕτερος οὐδὲ τῶν ἄλλων οὐθενός. οὐδ' ἔστι τι παρ' ἕκαστον τούτων ὁ τόπος.

Καὶ οὗτος ὁ λόγος δοκεῖ μὲν πρὸς τὸ τί ἐστιν ἐνίστασθαι, ὅτι οὐκ ἔστι σώματος χώρα ὁ τόπος. ἀναιρεῖ δὲ καὶ τὸ εἶναι ὅλως τὸν τόπον, δεικνὺς ὅτι οὐδὲ ἔστιν ὅλως τόπος ἢ χώρα σώματος. καὶ ἡ μὲν ὅλη τοῦ λόγου ἀγωγὴ τοιαύτη.

ἀπαγωγὴ τοιαύτη. εἰ ἔστι σώματος τόπος καὶ χώρα, ἔσται καὶ τῶν περάτων. ὥστε καὶ ἐπιφανείας, καὶ γραμμῆς, καὶ στιγμῆς. ἀλλὰ μὴν στιγμῆς οὐκ ἔστι τόπος ὡς δείξει. οὐδὲ ἄρα σώματος. καὶ τὸ μὲν συνημμένον ὅτι ἀληθὲς δείκνυσιν ἐκ τοῦ λόγου τοῦ εἰσαγαγόντος ὅλως τὴν τοῦ τόπου ἔννοιαν. εἰ γὰρ ἐκ τοῦ ἔνθα πρότερον ἦν ὕδωρ ἐνταῦθα γίνεσθαι ἀέρα, καὶ εἶναί τι τὸν τόπον καὶ ἕτερον τοῦ ἐν αὐτῷ λέγομεν, δηλονότι καὶ ὅπου πρότερον ἦν ἡ τοῦ ὕδατος ἐπιφάνεια, νῦν ἐστὶν ἡ τοῦ ἀέρος. τὰ γὰρ ἑκάστου πέρατα τῷ περατουμένῳ συμμεθίσταται. ὁμοίως οὖν καὶ γραμμὴ καὶ σημεῖον. ὥστε καὶ σημείου ἂν εἴη τόπος τῷ αὐτῷ λόγῳ ᾧπερ καὶ σώματος. ὅτι δὲ οὐκ ἔστι τόπος σημείου, οὐδὲ ἔχομεν διαφορὰν στιγμῆς καὶ τόπου στιγμῆς, δείξαις ἂν οὕτως. εἰ γὰρ ἴσος ὁ τόπος τῷ ἐν τόπῳ, καὶ τοῦ σημείου τόπος ἐστὶ οὗ μέρος οὐδέν. τὸ δὲ οὗ μέρος οὐδὲν, σημεῖον. καὶ ὁ τόπος ἄρα τοῦ σημείου σημεῖον. δύο δὲ σημεῖα ἐὰν ἐφαρμόττῃ ἀλλήλοις ἓν σημεῖον γίνεται ἐνεργείᾳ, καὶ οὐκέτι δύο. ὥστε οὐκ ἄλλο τὸ σημεῖον, καὶ ἄλλος ὁ τοῦ σημείου τόπος. ἔδει δὲ διαφορὰν τόπου εἶναι καὶ τοῦ ἐν τόπῳ, εἴπερ ἔστι τι ὁ τόπος. ὁμοίως δὲ οὐδὲ γραμμῆς οὐδὲ ἐπιφανείας ἔσται τόπος. ὥστε τῷ τῆς ἀντιμεταστάσεως λόγῳ πρότερον μὲν χρώμενοι, εἶναι τὸν τόπον ἐδείκνυμεν, νῦν δὲ μὴ εἶναι.

ΤΙ ΓΑΡ ἄν ποτε καὶ θείη μὲν εἶναι τὸν τόπον. οὔτε γὰρ στοιχεῖον, οὔτ' ἐκ στοιχείων, οἷόν τ' εἶναι τοιαύτην ἔχοντα φύσιν. οὔτε τῶν σωματικῶν οὔτε τῶν ἀσωμάτων. μέγεθος μὲν γὰρ ἔχει. σῶμα δ' οὐδέν. ἔστι δὲ τὰ μὲν τῶν αἰσθητῶν σωμάτων στοιχεῖα σώματα. ἐκ δὲ τῶν νοητῶν στοιχείων οὐδὲν γίνεται μέγεθος.

ἘΠΕΙΔΗ τὰ ὄντα πάντα ἢ σώματα ἐστὶν ἢ ἀσώματα, καὶ ἢ στοιχεῖα ἢ ἐκ στοιχείων, ταυτὸν δὲ εἰπεῖν ἢ ἁπλᾶ ἢ σύνθετα, δείξας ὅτι οὔτε σῶμα οὔτε ἀσώματος ἐστὶν ὁ τόπος, νῦν δείκνυσι κατὰ τὸ ἕτερον διαιρετικὸν, ὅτι οὔτε στοιχεῖον οὔτε ἐκ στοιχείων ἐστὶν ὁ τόπος, τοιαύτην ἔχων φύσιν, ὥστε μέγεθος μὲν ἔχειν, εἴπερ ἴσος τῷ ἐν τόπῳ, σῶμα δὲ μὴ εἶναι, εἰ μὴ δυνατὸν δύο σώματα ἐν ταὐτῷ εἶναι. τῷ μὲν γὰρ μὴ εἶναι σῶμα, οὐκ ἂν εἴη τῶν αἰσθητῶν τι καὶ σωματικῶν, οὔτε ὡς ἐκ στοιχείων, οὔτε ὡς στοιχεῖον. τῶν γὰρ συνθέτων σωμάτων καὶ τὰ στοιχεῖα σώματα. πῦρ γὰρ καὶ ἀὴρ καὶ ὕδωρ καὶ γῆ τὰ προσεχῆ τῶν συνθέτων σωμάτων στοιχεῖα, ἢ ἄτομοι ὡς Δημόκριτος, ἢ ὁμοιομέρειαι ὡς Ἀναξαγόρας. ἀλλ' οὔτε τῶν νοητῶν τι ἂν εἴη, οὔτε ὡς ἐκ στοιχείων, οὔτε ὡς στοιχεῖον. οὔτε γὰρ τὰ νοητὰ στοιχεῖα μέγεθός τι ἔχει, οὔτε ἐκ νοητῶν στοιχείων ἀμεγεθῶν ὄντων γένοιτ' ἄν τι μέγεθος. εἰ οὖν μέγεθος ὁ τόπος, οὐκ ἂν οὔτε ἐκ νοητῶν στοιχείων, οὔτε νοητὸν στοιχεῖον. ὥστε οὐδ' ἂν εἴη ὅλως. εἴπερ πᾶν τὸ ὂν ἢ στοιχεῖον ἐστὶν ἢ ἐκ στοιχείων. ἐπιστῆσαι δὲ ἄξιον, πῶς εἶπε τὰ τῶν αἰσθητῶν στοιχεῖα σώματα εἶναι. ἡ γὰρ ὕλη καὶ τὸ εἶδος ἐστὶ τὰ πρῶτα στοιχεῖα τῶν αἰσθητῶν, ἀσώματα ὄντα ἄμφω. μή ποτε οὖν οὐ μάτην εἶπε τὰ μὲν τῶν αἰσθητῶν στοιχεῖα σώματα. ἵνα δείξῃ ποῖα λαμβάνει σύνθετα. ὅτι οὐ τὰ ἐξ ὕλης καὶ εἴδους προσεχῶς, ἀλλὰ τὰ ἐκ τῶν ἁπλῶν σωματικῶν στοιχείων τῶν τεσσάρων. ἅτινα οὐκ ἔστιν αἰσθητὰ καθ' ἑαυτά. οὐδὲ ἔστιν ὅλως καθ' ἑαυτά. οὐδὲ γὰρ τὰ αἰσθητήεια ἁπλᾶ ἐστὶν, ἀλλὰ σύνθετα. καὶ ἡ γῆ αὕτη καὶ τὸ ὕδωρ, καὶ ὁ ἀὴρ καὶ τὸ πῦρ, αἰσθητά ἐστι. διότι οὐκ ἔστιν ἁπλᾶ. ἀλλὰ κατ' ἐπικράτειαν λέγεταί τε καὶ ἐστί. καί μοι δοκεῖ συναισθόμενος ὁ Ἀριστοτέλης, ὅτι οὐ πάντων τῶν στοιχείων ἐποιήσατο τὴν ἀναίρεσιν, οὐ γὰρ δὴ τῆς ὕλης καὶ τοῦ εἴδους, ἀλλὰ μόνων τῶν σωματικῶν, καὶ διὰ τοῦτο ἐπάγειν τὸ ἑξῆς ἐπιχείρημα. ἐν ᾧ δείξει ὅτι οὔτε ὡς ὕλη, οὔτε ὡς εἶδος ἐστὶν ἀρχὴ ἢ στοιχεῖον ὁ τόπος.

ἜΤΙ ΔΕ, καὶ τίνος ἄν τις θείη τοῖς οὖσιν αἴτιον εἶναι τὸν τόπον. οὐδεμία γὰρ αἰτία ὑπάρχει αὐτῷ τῶν τεττάρων. οὔτε γὰρ ὡς ὕλη τῶν ὄντων, οὐδὲν γὰρ ἐξ αὐτοῦ συνέστηκεν, οὔτε ὡς εἶδος καὶ λόγος τῶν πραγμάτων, οὔθ' ὡς τέλος. οὔτε κινεῖ τὰ ὄντα.

ΤΟ μὲν δεῖξαι ὅτι οὔτε ὡς ὕλη οὔτε ὡς εἶδος ἐστὶν ὁ τόπος, τὸ ἐλλεῖπον ἐστὶν ἀναπληρῶσαι τοῦ προτέρου θεωρήματος. ἐν ᾧ ἐδείκνυ ὅτι οὔτε στοιχεῖον ἐστὶν ὁ τόπος, οὔτε τῶν αἰσθητῶν οὔτε τῶν νοητῶν. πρότερον μὲν γὰρ ἔδειξεν ὅτι οὐκ ἔστιν αἰσθητὸν στοιχεῖον τῶν αἰσθητῶν. νῦν δὲ ὅτι οὔτε ὡς ὕλη ἢ εἶδος. ἐπειδὴ δὲ ἡ ὕλη καὶ τὸ εἶδος καὶ αἴτια ἐστί, κοινὴν λοιπὸν ποιεῖται τὴν ἀπόδειξιν, ὅτι οὐδὲν τῶν αἰτίων ἐστὶν ὁ τόπος, οὔτε ὡς ὕλη ἢ εἶδος, οὔτε ὡς τὸ ποιοῦν, ἢ ὡς τέλος. καὶ ὅτι μὲν ὡς ὕλη οὐκ ἔστι στοιχεῖον, οὔτε ἀρχὴ ὅλως, οὐδὲ αἴτιον τῶν ὄντων, ἔδειξεν οὕτως. ὕλη ἐστὶν ἐξ ἧς συνίσταταί τι. τὸ δὲ ἐξ οὗ συνίσταται τόπος οὐκ ἔστιν. ἡ ἄρα ὕλη τόπος οὐκ ἔστιν. ὅτι δὲ οὔτε εἶδος οὔτε ποιητικὸν, οὔτε τελικὸν αἴτιον ὁ τόπος, αὐτὸς μὲν παρῆκε δεικνύναι. δείξαις δ' ἂν ὅτι μὲν εἶδος οὐκ ἔστιν, ἐκ τοῦ ἄλλον λέγεσθαι τὸν τόπον παρὰ τὸ ἐν τόπῳ. καὶ ἐν ταῖς ἀντιμεταστάσεσι τὰ μὲν εἴδη μεθίστασθαι, τὸν δὲ τόπον μένειν. ἀλλ' οὐδὲ ποιητικὸν αἴτιον ἐστὶν ὁ τόπος. δεκτικὸς γὰρ τοῦ ἤδη γεγονότος ἐστὶν, ἀλλ' οὐχὶ ποιητικὸς τοῦ μὴ ὄντος. οὐ μέντοι οὔτε κινεῖ οὔτε μεταβάλλει τὸ ἐν αὐτῷ ὁ τόπος. ἀλλὰ τὸ ἐναντίον, εἴπερ ἄρα ἠρεμεῖν ποιεῖ. τὸ γὰρ ἐν τῷ οἰκείῳ τόπῳ γενόμενον ἠρεμεῖ. διὸ καὶ ὁ Εὔδημος ἐν τῷ γ' τῶν φυσικῶν παρακολουθῶν τοῖς ἐνταῦθα λεγομένοις, καὶ ὡς ὁμολογούμενον ἕκαστον τῶν αἰτίων ἀφαιρῶν τοῦ τόπου, ἀλλ' ἄρα γε φησὶν ὡς τὸ κινῆσαν. ἢ οὐδὲ οὕτως ἐνδέχεται ὦ Δημόκριτε. δεῖ γὰρ κινητικὸν εἶναι καὶ ἔχειν τινὰ δύναμιν. τὸ γὰρ κενὸν τόπον εἶπεν ὁ Δημόκριτος. ὅπερ τῇ ἑαυτοῦ φύσει κενὸν ὄντως καὶ ἀδύνατον καὶ ἀδρανὲς ἂν ἦν εἴπερ ἦν. μή ποτε οὖν ὡς τέλος. τοῦτο γὰρ δοκεῖ δηλοῦν τὴν ἐπ' αὐτὸν τῶν σωμάτων φορὰν, καὶ τὴν ἔφεσιν τῆς τοῦ οἰκείου τόπου καταλήψεως. εἰς ὃν καὶ ἐλθόντα ἠρεμεῖ τὰ σώματα. τέλους δὲ τοῦτο ἴδιον, τὸ ἐν αὐτῷ γενόμενον ἠρεμεῖν καὶ ἀναπεπαῦσθαι. ἀλλ' εἰ ἄλλο ὁ τόπος καὶ ἄλλο τὸ ἐν τόπῳ εἶναι. ὡς δηλοῖ καὶ ἡ ποῦ κατηγορία, ἄλλη οὖσα παρὰ τὸν τόπον αὐτὸν ἐν τῷ ποσῷ τεταγμένον, τὸ δὲ τέλος τοῖς σώμασιν οἰκεῖον, οὐκ ἂν εἴη ὁ τόπος τὸ τέλος. ὅλως δὲ τὸ τέλος καὶ οὗ ἕνεκα οὐκ ἔστι τι καθ' ἑαυτό. ἀλλ' ἐκείνου τελειότης ἐστὶν οὗ λέγεται τέλος. οὕτω γὰρ καὶ ἡ εὐδαιμονία καὶ ἡ πρὸς θεὸν

τελειότης τέλος, ὡς ἐνυπάρχουσα τῷ εὐδαίμονι καὶ τῷ ὁμοιουμένῳ. ἀλλ' οὐχ ὡς καθ' ἑαυτά, ὡς εἶναι λέγεται ὁ τόπος. τοῦτο δὲ μάλιστα ῥητέον, ὅτι εἰ ὁ τόπος ἢ τόπος τέλος ἐστίν, ὅθεν δὲ ἔξεισιν ὕδωρ ἐκεῖ γίνεται ἀήρ, ἔσται τῶν διαφόρων σωμάτων τὸ αὐτὸ τέλος. τοῦτο δὲ καὶ ζητητέον ἔτι προχείρως αὐτὸ παραδραμόντων τῶν ὑπομνηματιστῶν. ἡ δὲ ἐπιχείρησις αὕτη συντελεῖ μὲν πρὸς τὸ μηδὲν εἶναι τῶν ὄντων τὸν τόπον, μήτε ἀρχὴν μήτε ἀπὸ ἀρχῆς. μάλιστα δὲ τείνει πρὸς τὸ μὴ εἶναι ἀρχὴν αὐτόν. ὅπερ ἐδόκουν λέγειν, οἱ τὸ ἡσιόδου χάος καὶ τὸ κενὸν τοῦ δημοκρίτου προφέροντες, καὶ τὴν φυσικὴν τῶν σωμάτων κίνησιν ὡς ἀπ' αἰτίας τοῦ τόπου γινομένην.

ἜΤΙ ΔῈ καὶ αὐτὸς εἰ ἔστι τῶν ὄντων, ποῦ ἔσται. ἡ γὰρ ζήνωνος ἀπορία ζητεῖ τινα λόγον. εἰ γὰρ πᾶν τὸ ὂν ἐν τόπῳ. δῆλον ὅτι καὶ τοῦ τόπου, τόπος ἔσται. καὶ τοῦτο, εἰς ἄπειρον πρόεισιν.

Καὶ τοῦτο τὸ ἐπιχείρημα ἀνασκευαστικόν ἐστι τοῦ εἶναι ὅλως τὸν τόπον. καὶ πρὸς ἐκεῖνον ὑπαντᾷ τὸν λόγον τὸν λέγοντα πᾶν τὸ ὂν εἶναι ποῦ. ἐπειδὴ τὸ μηδαμοῦ ὄν, οὐδὲ ἔστιν ὅλως. ὑπαντᾷ δὲ τῇ ζήνωνος ἀπορίᾳ χρώμενος. εἰ γὰρ πᾶν τὸ ὂν ποῦ ἐστιν, ἐπειδὴ καὶ ὁ τόπος τῶν ὄντων, καὶ αὐτὸς ποῦ ἂν εἴη. τὸ δὲ ποῦ ἐν τόπῳ. καὶ ὁ τόπος ἄρα ἐν τόπῳ. καὶ ἔσται τοῦ τόπου τόπος. καὶ ἐκείνου τόπος. καὶ τοῦτο ἐπ' ἄπειρον. ὅπερ ἀδύνατον. εἰ οὖν τὸ ἀδύνατον ἠκολούθησε τῷ εἶναι τὸν τόπον τῶν ὄντων, δῆλον ὅτι οὐκ ἔστιν ὂν ὁ τόπος. ὥστε εἰ μὴ λυθείη ἡ ζήνωνος ἀπορία, ὅπερ σημαίνει τὸ ζητεῖν τινὰ λόγον αὐτήν. δῆλον ὅτι ἀναιρεῖται τὸ εἶναι τόπον.

ἜΤΙ ΕἸ ὥσπερ ἅπαν σῶμα ἐν τόπῳ οὕτω καὶ ἐν τόπῳ ἅπαντι σῶμα. πῶς οὖν ἐροῦμεν περὶ τῶν αὐξανομένων, ἀνάγκη γὰρ ἐκ τούτων συναυξάνεσθαι τὸν τόπον αὐτῶν. εἰ μήτε ἐλάσσων μήτε μείζων ὁ τόπος ἑκάστου, διὰ μὲν οὖν τούτων, οὐ μόνον τί ἐστιν, ἀλλὰ καὶ εἰ ἔστιν ἀπορεῖν ἀναγκαῖον.

Εἰ ὁ μὲν τόπος ἐστίν, τὸ δὲ κενὸν οὐκ ἔστιν ὡς δειχθήσεται, ἀκολουθήσει τῷ πᾶν σῶμα ἐν τόπῳ εἶναι, τὸ καὶ ἐν παντὶ τόπῳ σῶμα εἶναι. εἰ οὖν τοῦτο ἀληθές, ἴσον ἀνάγκη εἶναι τὸν τόπον τῷ ἐν τόπῳ. ἐπεὶ οὖν τῶν αὐξομένων σωμάτων ἀνάγκη τὸν τόπον συναύξεσθαι, τίς ἡ τοῦ τόπου αὔξησις. ἢ τίς γένεσις καὶ πόθεν. τὰ γὰρ γινόμενα ἐκ τῶν ἐναντίων γίνεται, εἰκότως δὲ προσέλαβε καὶ τὸ ἐν παντὶ τόπῳ σῶμα εἶναι. εἰ γὰρ ἦν κενόν, τὸ αὐξόμενον εἰς ἐκεῖνο ηὔξετο. δῆλον δὲ ὅτι εἴτε γίνεται καὶ φθείρεται τὸ σῶμα, ἄλλου φθειρομένου ἄλλο γίνεται, εἴτε τὸ αὐτὸ μένει, οὐ χρεία τόπου γενέσεως. καὶ τοῦτο δὲ τὸ ἐπιχείρημα ὥρμηται μὲν ἀπὸ τοῦ τί ἐστιν ὁ τόπος. δεικνύει δὲ ὅτι οὐκ ἔστιν ἡ ὑποδοχὴ τοῦ σώματος, ἅμα ὅτι οὐκ ἔστιν ὅλως ὁ τόπος συναποδείκνυσιν. ἐπὶ δὴ τούτοις τοῖς ἐπιχειρήμασιν εἰκότως συμπεραίνεται, ὅτι διὰ τούτων οὐ μόνον τί ἐστιν, ἀλλὰ καὶ εἰ ἔστιν ὅλως ἀπορεῖν ἀναγκαῖον, εἴπερ μήτε σῶμα μήτε ἀσώματον, μήτε στοιχεῖον μήτε ἐκ στοιχείων, μήτε ἀρχή τις ἢ αἰτία, μήτε ἴσον τοῦ ἐν τόπῳ, ἅπερ δοκεῖ εἶναι. δῆλον δὴ ὅτι καὶ τὸ τί ἐστι, καὶ τὸ εἰ ἔστιν ὅλως ἄπορον αὐτήν.

ἘΠΕῚ ΔῈ τὸ μὲν καθ' αὑτὸ τὸ δὲ κατ' ἄλλο λέγεται, καὶ τόπος ὁ μὲν κοινός, ἐν ᾧ ἅπαντα τὰ σώματά ἐστιν, ὁ δ' ἴδιος, ἐν ᾧ πρώτῳ. λέγω δὲ οἷον, σὺ νῦν ἐν τῷ οὐρανῷ, ὅτι ἐν τῷ ἀέρι. οὗτος δ' ἐν τῷ οὐρανῷ. καὶ ἐν τῷ ἀέρι, ὅτι ἐν τῇ γῇ. ὁμοίως δὲ καὶ ἐν ταύτῃ, ὅτι ἐν τῷδε τῷ τόπῳ, ὃς περιέχει οὐδὲν πλέον, ἢ σέ. εἰ δή ἐστιν ὁ τόπος, τὸ πρῶτον περιέχον ἕκαστον τῶν σωμάτων, πέρας ἂν εἴη. ὥστε δόξειεν ἂν τὸ εἶδος καὶ ἡ μορφὴ ἑκάστου, ὁ τόπος εἶναι, ᾧ ὁρίζεται τὸ μέγεθος καὶ ἡ ὕλη ἡ τοῦ μεγέθους. τοῦτο γὰρ ἑκάστου πέρας. οὕτω μὲν οὖν σκοποῦσιν, ὁ τόπος

Ἐν τοῖς περὶ ἕκαστον προβλήμασι, μετὰ τὸ εἰ ἔστι, καὶ τί ἐστιν, τρίτον τὸ ὁποῖον (πος τὸ ἑκάστου εἶδός ἐστιν. τί ἐστι προβαλλόμεθα. τὸ δὲ ὁποῖον τί ἐστιν ἐκ τῶν καθ' αὑτὸ ὑπαρχόντων τῷ ὑποκειμένῳ γνωρίζομεν. καὶ ἐπὶ τοῦ τόπου τοίνυν μετὰ τὸ εἰ ἔστι καὶ τί ἐστιν, ἐπὶ τὸ ὁποῖον τί ἐστι μεταβάς, καὶ τὰ ὑπάρχοντα τῷ τόπῳ πολυπραγμονῶν, εὑρίσκει καὶ ἐκ τούτων τὴν τοῦ προβλήματος χαλεπότητα. ὅταν τὸ μὲν τῶν ὑπάρχειν αὐτῷ λεγομένων εἰς τὸ εἶδος ἀπάγῃ τὴν ἔννοιαν, ὡς τοῦ εἴδους ὄντος τοῦ τόπου. τὸ δὲ, εἰς ὕλην, ὡς κατ' αὐτὴν ὑφεστῶτος αὐτοῦ. διὸ καὶ συμπεραινόμενος τὸν λόγον ἐπήγαγεν, εἰκότως δὲ ἐκ τούτων σκοπουμένοις, δόξειεν ἂν εἶναι χαλεπὸν γνωρίσαι τί ἐστιν ὁ τόπος. ἐπειδὴ ἓν ὑπάρχειν δοκεῖ τῷ τόπῳ τὸ πρώτως περιέχον, ἐκ τούτου δείκνυσιν ὅτι ὁ τόπος τὸ εἶδός ἐστι, δυνάμει συλλογιζόμενος οὕτως. ὁ ἴδιος ἑκάστου τόπος τὸ πρώτως περιέχον ἐστί. τὸ πρώτως περιέχον τὸ πέρας τὸ οἰκεῖον ἐστί. τοῦτο δὲ τὸ εἶδός ἐστι. καὶ ὅτι μὲν κυρίως τόπος τὸ πρώτως περιέχον ἐστίν, ἔδειξεν ἐκ τοῦ τὸν μέν τινα λέγεσθαι κοινῶς τόπον, ἐν ᾧ πάντα ἢ πλείονα σώματά ἐστιν. οἷον ἐν τῷ κόσμῳ, τὸν γὰρ οὐρανὸν ἀντὶ κόσμου νῦν λέγει, ἢ ἐν ἀέρι ἢ ἐν γῇ. ἐν τούτῳ γάρ τινι ὡς ἐν κοινῷ τόπῳ εἰμί. διότι καὶ ἄλλα ἐστὶν ἐν αὐτῷ σώματα. ὅταν δὲ οὕτως ἐν γῇ λέγωμαι ἢ ἐν οἴκῳ, ὡς ἐν τῷδέ τινι τῷ τόπῳ, ὃς περιέχει οὐδὲν ἄλλο ἢ ἐμέ, τότε ἴδιος ὁ τόπος ἐστὶν οὗτος ἐμός, ἐν ᾧ πρώτως περιέχομαι. ὁ δὲ ἴδιος, ὁ κυρίως ἂν εἴη περιεκτικὸς ἐμοῦ. βουλόμενος δὲ διορίσαι τὸ προσεχῶς καὶ πρώτως περιεκτικὸν, ἀπὸ τοῦ κοινοῦ καὶ πόῤῥωθεν καὶ κατ' ἄλλο λεγομένου καθόλου, πρῶτον εἶπεν, ὅτι τῶν ὄντων τὸ μὲν, καθ' αὑτό, τὸ δὲ κατ' ἄλλο λέγεται, τὸ καθ' αὑτὸ ἀντὶ τοῦ πρώτως εἰπών. ἀντίκειται γὰρ κυρίως τῷ μὲν καθ' αὑτὸ τὸ κατὰ συμβεβηκός, τῷ δὲ πρώτως τὸ κατ' ἄλλο. καὶ λέγεται καθ' αὑτὸ μὲν ὑπάρχειν ὅσα ἐν τῇ οὐσίᾳ ἐστὶν ἐκείνων, οἷς ὑπάρχειν λέγεται. οἷον ὁ ἀριθμὸς τῷ ἀρτίῳ καὶ περιττῷ. καὶ ὅλως τὰ γένη τοῖς εἴδεσι καθ' αὑτὰ ὑπάρχει, ὅτι συμπληρωτικὰ τῆς οὐσίας ἐστί, καὶ καθ' αὑτὰ ὑπάρχει αὐτοῖς. καθ' αὑτὰ δὲ καὶ τὰ εἴδη τοῖς γένεσιν ὑπάρχει, διαιρετικὰ τῆς οὐσίας ὄντα τῶν γενῶν. καθὸ γὰρ ἀριθμὸς ὁ μὲν περιττός ἐστιν, ὁ δὲ ἄρτιος. τὸ δὲ πρώτως τὸ προσεχὲς δηλοῖ. καὶ ποτὲ μὲν συντρέχει ταῦτα, ὥστε τὸ αὐτὸ καὶ καθ' αὑτὸ καὶ πρώτως ὑπάρχειν, ὡς τὸ ζῷον τῷ ἀνθρώπῳ. ποτὲ δὲ διέστηκεν, ὥστε καθ' αὑτὸ μὲν, μὴ πρώτως δέ. ὡς ἡ οὐσία τῷ ἀνθρώπῳ καθ' αὑτὸ ὑπάρχει. καὶ τὸ ποσὸν ἐν τῷ περιττῷ. τῶν γὰρ εἰδῶν οὐ μόνον τὰ γένη καθ' αὑτὰ κατηγορεῖται, ἀλλὰ καὶ τὰ τῶν γενῶν γένη. οὐ μέντοι πρώτως οὐδὲ προσεχῶς, ἀλλὰ διὰ μέσων τῶν προσεχῶν γενῶν. πρώτως δὲ λευκαίνεται ἡ ἐπιφάνεια, οὐ μέντοι καθ' αὑτό, ἀλλὰ κατὰ συμβεβηκός. ἀλλὰ ταῦτα μὲν τῶν ἐν τοῖς λογικοῖς

ἔσω σχολῆς

ἔσω σχολῆς ἰδία. ὅτι δὲ τὸ καθ' αὑτὸ νῦν ἀντὶ τοῦ πρώτως εἶπε, δηλοῖ μὲν καὶ ἡ πρὸς τὸ κατ' ἄλλο ἀντίθεσις. δηλοῖ δὲ καὶ αὐτὸς μετ' ὀλίγον εἰς τὸ πρώτως μεταλαβών. ὅταν λέγῃ, καὶ τόπος μὲν κοινὸς ἐν ᾧ ἅπαντα τὰ σώματα ἐστίν. ὁ δὲ ἴδιος ἐν ᾧ πρώτῳ. καὶ ὅλως τοῦ προσεχοῦς δεῖται νῦν μάλιστα. τὸ δὲ προσεχὲς τὸ πρῶτον ἐστὶν, ἀλλ' οὐ τὸ καθ' αὑτό. μή ποτε δὲ οὐχ ὡς ἔτυχε καὶ καθ' αὑτὸ καὶ πρώτως εἶπε τὸν ἴδιον καὶ ἐξισάζοντα τόπον. καὶ ὅτι οὐ μόνον πρώτως ἀλλὰ καὶ καθ' αὑτό ἐστιν οὗτος, ὥσπερ ὁ ὁλικώτερος κατὰ συμβεβηκός. διὰ τοῦτο γὰρ ἐν τῷ οἴκῳ καὶ τῇ πόλει, ὅτι συμβέβηκε τὸν τόπον ἐν ᾧ πρώτως εἰμὶ ἐν τῷδε εἶναι τῷ οἴκῳ. καὶ τὸν οἶκον ἐν τῇ πόλει. ὁ δὲ ἴσος καὶ συνεσχηματισμὸς καὶ καθ' αὑτό μου τόπος. ἐπειδὴ δὲ ἕκαστον κατὰ τὸ περιέχον αὐτὸ προσεχῶς καὶ πρώτως κατ' ἐκεῖνο περατοῦται, τὸ περιέχον ἄρα πρώτως ἕκαστον τοῦτο πέρας ἐστίν. ἦν δὲ τὸ περιέχον πρώτως καὶ προσεχῶς ὁ ἑκάστου τόπος ἴδιος. ὁ τόπος ἄρα πέρας ἐστί. τὸ δὲ περιεκτικὸν προσεχῶς ἑκάστου καὶ πέρας αὐτοῦ, τὸ εἶδος ἐστὶ τὸ ἑκάστου. τοῦτο γάρ ἐστι τὸ περατοῦν καὶ ὁρίζον ἕκαστον τῶν σωμάτων. τὸ οἰκεῖον ἄρα εἶδος ἑκάστου τὸ ὡς μορφὴ πέρας ἑκάστου καὶ τόπος ἐστί. τὸ δὲ ᾧ ὁρίζεται τὸ μέγεθος εἶπεν, ἀντὶ τοῦ τὸ ὑλικὸν διάστημα. ἐπειδὴ τὸ μέγεθος διττὸν, τὸ μὲν, ἀόριστον καὶ ὑλικὸν κατὰ τὴν ἔκτασιν καὶ χύσιν θεωρούμενον. τὸ δὲ, ὡρισμένον καὶ εἰδικὸν κατὰ μορφὴν καὶ μέτρον ἀφωρισμένον. καὶ διὰ τοῦτο ἐπήγαγε, καὶ ἡ ὕλη ἡ τοῦ μεγέθους, οὐχ ὡς ἄλλο τι λέγων παρὰ τὸ πρότερον εἰρημένον. ἀλλ' ὡς σαφέστερον δηλῶν, ὅτι καὶ πρότερον τὸ ὁριζόμενον μέγεθος τὸ ὑλικὸν εἶπε τὸ ἐν τῷ μεγέθει. τὸ δὲ καὶ ἐν τῷ ἀέρι ὅτι καὶ ἐν τῇ γῇ εἶπεν, ἀντὶ τοῦ ὅτι ἐν τῷ ἐπὶ τὴν γῆν ἀέρι. διὰ γὰρ τοῦτον, καὶ ἐν τῷ ὅλῳ ἀέρι. καὶ εἰκότως ὁ κύριος ἑκάστου τόπος ὁ περιγεγραμμένος καὶ ἴδιος ἐστί. διὰ γὰρ τοῦτον καὶ ἐν τῷ ὁλικωτέρῳ ἐστίν. ἐν γὰρ τῇ οἰκίᾳ. ὅτι ἐν τῷδε αὐτοῦ τῷ τόπῳ, ὃς συνεφαρμόζει. καὶ ἐν τῇ πόλει, ὅτι ἐν τῇ οἰκίᾳ. καὶ ἐν τῇ γῇ, ὅτι ἐν τῇ πόλει. εἰ δὲ εἰς τὸ προσεχῶς περιέχον περατοῦται τὰ σώματα, καὶ εἰς πρῶτον τοῦτο, οὐ γὰρ εἰς ἄλλο τι πρὸ αὐτοῦ, οὐδὲ ἔστι τι μεταξὺ, τὸ εἶδος ἂν εἴη πέρας τὸ ἑκάστου, καθ' ἕν τι τῶν ὑπαρχόντων τῷ τόπῳ τὸ περιέχειν προσεχῶς. κατ' ἄλλο δέ τι ἡ ὕλη φανήσεται, ὡς ἐκ τῶν ἑξῆς δῆλον. ὁ δὲ παραλογισμὸς γίνεται κατὰ τὴν τοῦ προσεχοῦς διαφοράν. τῶν γὰρ προσεχῶς περιεχόντων τὸ μὲν συμφυές ἐστιν, ὡς τὸ εἶδος. τὸ δὲ ἔξωθεν ὡς ὁ τόπος.

Ἧ ΔΕ ΔΟΚΕΙ ὁ τόπος εἶναι τὸ διάστημα τοῦ μεγέθους, ἡ ὕλη. τοῦτο γὰρ ἕτερον τοῦ μεγέθους. τοῦτο δ' ἐστὶ τὸ περιεχόμενον ὑπὸ τοῦ εἴδους καὶ ὡρισμένον. οἷον ὑπὸ ἐπιπέδου καὶ πέρατος. ἔστι δὲ τοιοῦτον ἡ ὕλη καὶ τὸ ἀόριστον. ὅταν γὰρ ἀφαιρεθῇ τὸ πέρας καὶ τὰ πάθη τῆς σφαίρας, λείπεται οὐδὲν παρὰ τὴν ὕλην.

Εἰπὼν ἕν τι τῶν ὑπαρχόντων τῷ τόπῳ, καθ' ὃ τὸ εἶδος εἶναι δοκεῖ τῶν σωμάτων ὁ τόπος, νῦν ἄλλο τι τῶν ὑπαρχόντων αὐτῷ λέγει, καθ' ὃ οὐκέτι τὸ εἶδος, ἀλλ' ἡ ὕλη τῶν ἐν τόπῳ φανήσεται ὁ τόπος. εἰ γὰρ δοκεῖ φησὶν ὁ τόπος εἶναι τὸ τοῦ μεγέθους δεκτικὸν, λέγεται γὰρ ἐν τόπῳ εἶναι μέγεθος τὸ εἰδοπεποιημένον εἴδη, ἐν δὲ τούτῳ τὸ μὲν ἐστὶ διάστημα ἀόριστον, κατὰ ἀφαίρεσιν τοῦ πέρατος καὶ τῶν ἄλλων συμβεβηκότων ὧν ἐστὶ δεκτικὸν στερητικῶς θεωρούμενον, τὸ δὲ ἐστὶ πέρας καὶ ὅρος τοῦ ἀορίστου διαστήματος ὁριστικόν τε καὶ περιεκτικὸν, καὶ τοῦτο μὲν ἐστὶ τὸ εἶδος, τὸ δὲ μετὰ τὴν ἀφαίρεσιν τούτου περιλειπόμενον, οὐδὲν ἄλλο ἐστὶ πλὴν τῆς ὕλης, ταυτὸν δὲ εἰπεῖν τοῦ διαστήματος, εἰ οὖν ὁ τόπος τὸ διάστημα τοῦ μεγέθους, τὸ δὲ διάστημα τοῦ μεγέθους ἡ ὕλη, δῆλον τὸ συναγόμενον. θαυμαστὸν δὲ ὅτι κατὰ τὸ διάστημα τὴν ὕλην ἐξωμοίωσε τῷ τόπῳ, καὶ οὐ κατὰ τὸ ὑποδεκτικόν. ἀλλ' ἴσως τοῦτο τῷ πλάτωνι παρῆκεν ὡς μαθησόμεθα. ἢ μᾶλλον τὸ διάστημα ὡς ὑποδεκτικὸν ἐθεάσατο. ἀλλ' εἰ τὸ διάστημα τοῦ μεγέθους ποσόν τι ἐστὶ, καὶ μετρεῖται, τὸ δὲ ποσὸν εἶδος, πῶς ὕλη λέγεται τὸ τοῦ μεγέθους διάστημα. ἢ τὸ ὑλικὸν διάστημα οὐκ ἔστι ποσὸν μεμετρημένον, οὐδὲ εἶδος, εἰ μὴ μετάσχῃ τοῦ κατὰ τὸ ποσὸν καὶ τὸ μέγεθος εἴδους. ἀλλ' ἔστι χύσις ἀόριστος. δηλοῖ δὲ καὶ ἀριστοτέλης τοιαύτην ἔχων ἔννοιαν περὶ αὐτοῦ, ἐν οἷς φησὶν, ἔστι δὲ τοιοῦτον ἡ ὕλη καὶ τὸ ἀόριστον. διάστημα δὲ μεγέθους λέγει τὸ ὑποκείμενον ἀόριστον. ὃ καὶ ἄπειρον ἔλεγε πρότερον. ὃ καὶ εἶπεν ὅτι ἔστι τὸ διάστημα τῆς τοῦ μεγέθους τελειότητος, ὕλη. μηδεὶς οὖν οἰέσθω τὴν σωματικὴν διάστασιν, τὴν ὡς μέγεθος καὶ ποσὸν, ἢ τὴν κατὰ τὸν ἀριθμὸν ὡρισμένην τοῦ πλήθους διάκρισιν, ἀπὸ τῆς ὕλης τοῖς σώμασιν ὑπάρχειν, ἀλλὰ μόνον τὸν ἐν τούτοις διασπασμὸν καὶ τὴν ἔκχυσιν καὶ τὴν ἀοριστίαν. καθ' ἃ διαφέρει τὰ ἔνυλα εἴδη τῶν ἀΰλων. καί μοι δοκεῖ ταῦτα μάλιστα ταῖς περὶ τῆς ὕλης ὀρθαῖς ἐννοίαις προσήκειν. ὁ μέντοι ἀλέξανδρος καίτοι πολλὰ εἰπὼν πρὸς τὸ διορίσαι τὴν διάστασιν τὴν ὑλικὴν ἀπὸ τοῦ μεγέθους, ταράττεσθαι ὅμως ἔοικεν, ὡς πάσης διαστάσεως μεγεθικῆς καὶ πεποσωμένης εἰδητικῆς οὔσης. διὸ καὶ προσήχθη ἐπάγειν τοῖς εἰρημένοις τάδε. ἢ τῶν νῦν λεγομένων περὶ τῆς ὕλης οὕτως ἀκούειν χρὴ, ὡς οὐκ ἀκριβῶς λεγομένων, ἀλλὰ πρὸς τὴν χρείαν τοῦ δειχθῆναι προκειμένου. καίτοι ὅπερ εἶπον σαφῶς τοῦ ἀριστοτέλους διορίσαντος τῷ ἀορίστῳ καὶ ἀπεράτῳ τὴν ὑλικὴν διάστασιν τῆς μεγεθικῆς, καὶ ἐναργῶς εἰπόντος ὅτι τὸ διάστημα τοῦτο ἕτερον τοῦ μεγέθους ἐστὶ, καὶ ὕλη τῆς τοῦ μεγέθους τελειότητος, καὶ περιέχεται ὑπὸ τοῦ εἴδους ὡς ὑπὸ ἐπιπέδου καὶ πέρατος, καὶ ἔστιν ἀόριστον τῇ ἑαυτοῦ φύσει. χρὴ γὰρ ὅπερ εἶπον οὐχ ὡς μέγεθος νοεῖν τὴν διάστασιν τῆς ὕλης, ἀλλ' ὡς παραίνεσιν καὶ ἔκχυσιν τῆς εἰδητικῆς ἀμερείας καὶ συστροφῆς. ζητήσας δὲ ὁ ἀλέξανδρος ποῖον εἶδος ἐστὶ τὸ ὁρίζον τὴν ὕλην, ἐδήλωσε φησὶν ὁ ἀριστοτέλης, εἰπὼν οἷον ὑπὸ ἐπιπέδου καὶ πέρατος. τὸ γὰρ ὡς μορφὴ λεγόμενον εἶδος, τοῦτο ἐστὶ τὸ ὁρίζον καὶ περιγράφον τὴν ὕλην καὶ περατοῦν, οὐ τὸ ὡς δύναμις καὶ λόγος. εἰ γὰρ ὁ μόλυβδος ὑπὸ τῆς βαρύτητος ὁρίζεται καὶ τοῦτο εἶδος αὐτοῦ, ἀλλ' ὡς σώματος, οὐ τοῦτο, ἀλλ' ὡς τὸ ἐπιπέδῳ ὡρισμένον. ταῦτα μὲν οὖν ὁ ἀλέξανδρος. μή ποτε δὲ ὡς μὲν εἶδος ὁριστικὸν τῆς ὕλης τὸ ὅλον ληπτέον τὸ μετὰ τῶν ποιοτήτων. οὕτω γὰρ καὶ ἀριστοτέλης ἔοικεν ἐννοῶν λέγειν, ὅτι ὅταν ἀφαιρεθῇ τὸ πέρας καὶ τὰ πάθη τῆς σφαίρας, λείπεται οὐδὲν παρὰ τὴν ὕλην. καὶ μεγέθους δὲ ὡς μεγέθους τοῦ συνθέτου ἐξ ὕλης καὶ εἴδους εἴ τις ἐθέλοι τὸ εἶδος ζητεῖν, οὐχ

τὰ ἐπίπεδα καὶ τὸ περιέχον ἔξωθεν πέρας εὑρήσει. ταῦτα γὰρ πέρας ἐστὶν εἴδους, ἀλλ' οὐχὶ εἶδος. καὶ ἐπιφάνεια, ἀλλ' οὐχὶ τὸ στερεόν. καὶ εἰ ἦν δὲ ἄπειρον σῶμα καθ' ὑπόθεσιν, τὸ μὲν εἶδος τοῦ σώματος εἶχε πάντη διεστώς, ὑπὸ δὲ ἐπιπέδων οὐκ ἐπερατοῦτο. τὸ γὰρ εἶδος τοῦ συνεχοῦς ποσοῦ καθὸ τοιοῦτον, οὐχὶ ἡ ἐπιφάνειά ἐστιν, ἀλλ' ἡ δι' ὅλου αὐτοῦ χωροῦσα φύσις. κἂν αὐτὸς ἐν τῷ περὶ τούτου βιβλίῳ, πᾶν ὃ ἂν ᾖ ποσόν, ποσόν τι εἶναι φησίν, τὸ μὲν ὀξυτόνως, τὸ δὲ βαρυτόνως, ἀναγνωσκόντων ἡμῶν, ὡρισμένον. ὃ γὰρ μηδέν ἐστι τῶν καθέκαστα ποσῶν, ὅλως οὐδὲ ποσόν ἐστι. τοῦτο δὲ ἀληθὲς μέν, εἰ τὸ κοινὸν ἐν τοῖς καθέκαστα τὴν ὑπόστασιν ἔχει, οὐδὲν δὲ ἧττον ὑπάρχον. ὁ μέντοι Ἀριστοτέλης οὐκ ἔοικεν ἁπλῶς τὴν κατὰ τὸ ἐπίπεδον περιγραφὴν μόνην τῷ εἴδει ἀποδιδόναι. ἀλλ' εἶπε μὲν τὸ προφανὲς ὡς ἐν παραδείγματι. διὸ καὶ τὸ οἷον προσέθηκεν, οἷον ὑπὸ ἐπιπέδου καὶ πέρατος. προελθὼν δὲ ἀκριβέστερον εἶπεν. ὅταν γὰρ ἀφαιρεθῇ τὸ πέρας καὶ τὰ πάθη τῆς σφαίρας, λείπεται οὐδὲν παρὰ τὴν ὕλην.

ΔΙΟ ΚΑΙ ὁ Πλάτων τὴν ὕλην καὶ τὴν χώραν τὸ αὐτό φησιν εἶναι ἐν τῷ Τιμαίῳ. τὸ γὰρ μεταληπτικὸν καὶ τὴν χώραν ἓν καὶ ταὐτόν. ἄλλον δὲ τρόπον ἐκεῖ τε λέγων τὸ μεταληπτικὸν καὶ ἐν τοῖς λεγομένοις ἀγράφοις δόγμασιν. ὅμως τὸν τόπον καὶ τὴν χώραν, τὸ αὐτὸ ἀπεφήνατο. λέγουσι μὲν γὰρ ἅπαντες εἶναί τι τὸν τόπον. τί δ' ἐστίν, οὗτος μόνος ἐπεχείρησεν εἰπεῖν.

Εἰπὼν ὅτι καθόσον ὑπάρχει τῷ τόπῳ τὸ διάστημά τι εἶναι, εἰς τὴν ὕλην ὑπαχθησόμεθα ζητοῦντες τί ἐστιν ὁ τόπος, ὑπεμνήσθη καὶ τοῦ Πλάτωνος ἐν Τιμαίῳ τὴν ὕλην χώραν καὶ τόπον τῶν ἐνύλων εἰδῶν καλέσαντος. ἐν γὰρ Τιμαίῳ τὴν ὕλην πάσης γενέσεως εἶναι ὑποδοχὴν οἷον τιθήνην φησίν. ἔτι δὲ προελθὼν σαφέστερον ποιεῖ τὴν τῶν λεγομένων ἔννοιαν. καὶ οὐδὲν ἴσως κωλύει καὶ πλείονα παραθέσθαι τῶν τοῦ Πλάτωνος ῥημάτων. τούτων δὲ οὕτως ἐχόντων, ὁμολογητέον ἓν μὲν εἶναι τὸ κατὰ ταὐτὰ εἶδος ἔχον ἀγέννητον καὶ ἀνώλεθρον, οὔτε αὐτὸ εἰς
» αὑτὸ εἰσδεχόμενον ἄλλο ἄλλοθεν, οὔτε αὐτὸ εἰς ἄλλο ποι ἰόν. ἀόρατον δὲ καὶ ἄλλως ἀναίσθητον τοῦτο. ὃ δὴ
» νόησις εἴληχεν ἐπισκοπεῖν. τὸ δὲ ὁμώνυμον, ὅμοιόν τε ἐκείνῳ, δεύτερον, αἰσθητόν, γεννητόν, πεφορημένον,
» ἀεὶ γιγνόμενόν τε ἔν τινι τόπῳ, καὶ πάλιν ἐκεῖθεν ἀπολλύμενον, δόξῃ μετ' αἰσθήσεως περιληπτόν. τρίτον δὲ
» αὖ γένος ὂν τὸ τῆς χώρας ἀεὶ φθορὰν οὐ προσδεχόμενον, ἕδραν δὲ παρέχον ὅσα ἔχει γένεσιν πᾶσιν, αὐ-
» τὸ δὲ μετ' ἀναισθησίας ἁπτόν, λογισμῷ τινι νόθῳ μόγις πιστόν. πρὸς ὃ δὴ καὶ ὀνειροπολοῦμεν βλέποντες,
» καὶ φαμὲν ἀναγκαῖον εἶναί που τὸ ὂν ἅπαν ἔν τινι τόπῳ, καὶ κατέχον χώραν τινά. τὸ δὲ μήτε ἐν γῇ μήτε
» που κατ' οὐρανὸν οὐδὲν εἶναι. ταῦτα δὴ πάντα καὶ τούτων ἄλλα ἀδελφά, καὶ περὶ τὴν ἄυπνον καὶ ἀληθῶς φύσιν
» ὑπάρχουσαν ὑπὸ ταύτης τῆς ὀνειρώξεως οὐ δυνατοὶ γινόμεθα, διεγερθέντες διοριζόμενοι τἀληθὲς εἰ-
» πεῖν, ὡς εἰκόνι μέν, ἐπείπερ οὐδὲ αὐτὸ τοῦτο ἐφ' ᾧ γέγονεν αὐτῆς ἐστιν, ἑτέρου δέ τινος ἀεὶ φέρεται φάντα-
» σμα. διὰ ταῦτα ἐν ἑτέρῳ προσήκει γίνεσθαι οὐσίας ἁμωσγέπως ἀντεχομένην, ἢ μηδὲν τὸ παράπαν
» αὐτὴν εἶναι. τῷ δὲ ὄντως ὄντι βοηθὸς ὁ δι' ἀκριβείας ἀληθὴς λόγος. ὡς ἕως ἄν τι τὸ μὲν ἄλλο ᾖ, τὸ δὲ ἄλλο, οὐδέ-
» τερον ἐν οὐδετέρῳ γινόμενον, ἓν ἅμα ταὐτὸν καὶ δύο γενήσεσθον. οὗτος μὲν οὖν δὴ παρὰ τῆς ἐμῆς ψήφου
» λογισθεὶς ἐν κεφαλαίῳ δεδόσθω λόγος, ὄν τε καὶ χώραν καὶ γένεσιν εἶναι τρία τριχῇ, πρὶν οὐρανὸν γενέσθαι.

ταῦτα καὶ ἄλλα τοιαῦτα τοῦ Πλάτωνος λέγοντος, ὁ μὲν Ἀριστοτέλης κἀνταῦθα πρὸς τὸ φαινόμενον ἀποβλέψας τοῦ λόγου, καὶ τὸν Πλάτωνα φησὶ τὴν ὕλην καὶ τὴν χώραν ταὐτὸν λέγειν, ὡς καὶ οἱ ἀπὸ τοῦ διαστήματος ἐπιχειροῦντες. καὶ ἐν οἷς κατὰ τὸ πάρεργον ἐγκαλεῖν τῷ Πλάτωνι δοκεῖ, οὐ τοῦτο ἐνεκάλεσεν, ὅτι τὴν ὕλην τόπον εἶπεν ὁ Πλάτων τῶν εἰδῶν. ἤδει γὰρ καὶ αὐτὸς ἄλλο σημαινόμενον τοῦ τόπου τοῦ τῶν εἰδῶν δεκτικοῦ. ὅτε ἔλεγεν ἐν τῇ περὶ ψυχῆς, καὶ εὖ γε οἱ λέγοντες τὴν ψυχὴν τόπον εἰδῶν, πλὴν οὐκ ἐντελεχείᾳ ἀλλὰ δυνάμει τὰ εἴδη. καὶ ἄλλο σημαινόμενον τοῦ τόπου τοῦ τῶν σωμάτων δεκτικοῦ. περὶ οὗ νῦν ὁ λόγος ζητεῖ. ἀλλὰ τοσοῦτο μόνον λέγει πρὸς τὸν Πλάτωνα, εἰ τὴν ὕλην τόπον λέγει, τὰ δὲ εἴδη καὶ ὁ ἀριθμὸς καὶ κατ' αὐτὸν ἐν ὕλῃ, μέχρι γὰρ τούτων ἡ ὕλη, πῶς λέγει μὴ εἶναι ἐν τόπῳ τὰ εἴδη, διὸ μηδὲ εἶναι τόπον ἔξω τοῦ οὐρανοῦ, ὡς ἔλεγεν ἐν τοῖς περὶ ἀπείρου λόγοις. καὶ μήποτε οὐδὲ τοῦτο ἐγκαλοῦντός ἐστι τῷ Πλάτωνι, ἀλλ' ἐνδεικνυμένου τοῖς συνιέναι δυναμένοις, ὅτι οὐ κατὰ τὸ νῦν ζητούμενον τοῦ τόπου σημαινόμενον τὴν ὕλην ἔλεγεν ὁ Πλάτων τόπον. οὐ γὰρ ἂν ἀπέφησε τὰ εἴδη καὶ τοὺς ἀριθμοὺς ἐν τόπῳ εἶναι, εἴπερ μεταλαμβάνειν αὐτῶν ἐβούλετο τὴν ὕλην. ἀλλ' ὁ μὲν Ἀριστοτέλης οὕτως. ὁ δὲ Ἀλέξανδρος ὁμολογεῖ μὲν καὶ αὐτὸς κατ' ἄλλο σημαινόμενον τὴν ὕλην ἐν Τιμαίῳ χώραν κληθῆναι. εὐλόγως δέ φησι τὸν Ἀριστοτέλη λαμβάνεσθαι τοῦ Πλάτωνος. διότι κἂν μεταφορικῶς τις αὐτὸν λέγοι τὴν ὕλην τόπον καλεῖν, ἔδει τὸν μεταφοραῖς χρώμενον, πρῶτον ἔχειν κείμενον τί ἐστιν ὁ κυρίως τόπος. εἰ δὲ μηδαμοῦ φαίνοιτο λέγων ἀλλαχοῦ περὶ τόπου, ἄξιος αὐτῷ δοκεῖ ἐπιτιμήσεως, ὅτι μὴ εἰπὼν περὶ τοῦ κυρίως τόπου πρότερον, τῷ κατὰ μεταφορὰν χρῆται. ἀλλ' ὅτι μὲν εἰδῶν τόπον τὴν ὕλην ἀλλ' οὐχὶ σωμάτων ὁ Πλάτων λέγει, πρόδηλον ἐκ τῶν παρατεθέντων αὐτοῦ ῥημάτων ἐστίν. ὅτι δὲ οὐχ ἁπλῶς μεταφορική ἐστιν ἡ τοιαύτη χρῆσις, ἀλλὰ κατά τι κοινὸν τοῦ τόπου σημαινόμενον εἴληπται τὸ ὑποδεκτικόν, καθὸ καὶ Ἀριστοτέλης τὴν ψυχὴν τόπον εἰδῶν ἀξιοῖ καλεῖν, καὶ τοῦτο δῆλον ἐκ τῶν εἰρημένων. εἰ γὰρ τὸ μεταλαμβάνον τινὸς καὶ ὁριζόμενον ὑπ' αὐτοῦ, δέχεται ἐκεῖνο ὃ μεταλαμβάνει, τὸ δὲ δεχόμενόν τε καὶ χωροῦν αὐτὸ χώρα γίνεται τοῦ ἐγγινομένου, ἡ δὲ χώρα νενόμισται, μεταλαμβάνει δὲ τῶν εἰδῶν ἡ ὕλη, τόπος ἂν εἴη τῶν εἰδῶν. πλὴν οὐχ ὡς σωμάτων. ἄλλος γὰρ ὁ τῶν σωμάτων τόπος. καὶ ἐνταῦθα μὲν τὸ μεταληπτικὸν τόπον ἔθετο. ἔοικε δὲ καὶ ἄλλο τι τούτου περιεκτικώτερον εἰδέναι τοῦ τόπου σημαινόμενον ὁ Πλάτων τό, ἀφοριστικὸν τῆς οἰκείας τάξεως, εἴτε γὰρ κατὰ θέσιν γίνεται τοῦτο ὡς ἐπὶ τῶν

σωμάτων, εἴτε κατὰ μετάληψιν ὡς ἐπὶ τῶν δυνάμει καὶ ἐνεργείᾳ, εἴτε κατὰ μόνης τάξεως ἀφορισμόν, τόπος δοκεῖ. διότι καὶ ἡ τάξις κατὰ θέσιν δοκεῖ γίνεσθαι τινά. τὸ γὰρ ἐν τῇδε τῇ τάξει ἀφωρισμένον, κεῖσθαι ἐν αὐτῇ δοκεῖ. κεῖται δὲ πάντα ἐν τόπῳ. κατὰ τοῦτο δὴ τὸ κοινὸν σημαινόμενον τοῦ τόπου τὸ τῆς τάξεως ἀφοριστικόν, καὶ ὑπερουράνιον τόπον ὁ Πλάτων ὀνομάζει, λέγων ἐν Φαίδρῳ, τὸν δὲ ὑπερουράνιον τόπον οὔτε τις ὕμνησε ποιητὴς τῶν τῇδε. ὥστε τὰ μὲν περὶ τῆς ὕλης ὡς περὶ τόπου λεγόμενα, οὐχ ὡς τόπου σωμάτων ἀλλ᾽ ὡς εἰδῶν μεταληπτικοῦ ἀποδεκτέον. περὶ δὲ τοῦ τῶν σωμάτων τόπου τίνα ἔχει φύσιν, οὔτε ζητήσαντα προηγουμένως οἶδα τὸν Πλάτωνα, οὔτε ἀποφηνάμενον. πῶς γὰρ ἂν ἡ ὕλη τόπος εἴη σωμάτων, εἴπερ τὰ σώματα σύνθετά ἐστιν, ἢ ὡς ἐξ ὕλης καὶ εἴδους, ἢ ὡς εἶδος ἐν ὕλῃ. ἔσται γὰρ ἡ ὕλη οὐκέτι τοῦ εἴδους μόνον, ἀλλὰ καὶ ὕλης δεκτική. ὅλως δὲ εἰ μεθίσταται τὸ σῶμα ἀπὸ τόπου εἰς τόπον, ἀπὸ δὲ ὕλης οὐ μεθίσταται, οὐκ ἂν εἴη ἡ ὕλη τόπος. καὶ αὐτοῦ τοῦ Ἀριστοτέλους ἀκουσόμεθα ταύτην τὴν ὑπόθεσιν ἀναιροῦντος αὐτίκα μάλα. ὅτι δὲ διάφορα παρὰ τῷ Πλάτωνι τοῦ τόπου τὰ σημαινόμενα, καὶ ἄλλο μὲν τὸ ἐπὶ τῆς ὕλης, ἄλλο δὲ τὸ ἐπὶ τῶν νοητῶν, τὸ ἐν Φαίδρῳ ῥηθὲν δηλοῖ. τὸ γὰρ ἐπὶ τῆς ὕλης σημαινόμενον τοῦ τόπου τὸ ὡς ὑποδεκτικὸν καὶ ὁριζόμενον, καὶ ἔτι μετὰ τοῦ ἐν αὐτῷ ποιοῦν, ἀποφάσκει σαφῶς τῶν νοητῶν. οἷς ἐν Φαίδρῳ τὸν ὑπερουράνιον τόπον ἀφώρισεν. εἰπὼν γὰρ περὶ τῆς ὕλης ὡς περὶ τόπου καὶ χώρας καὶ ὑποδοχῆς καὶ ἕδρας τῶν εἰδῶν, καὶ τὸν τρόπον τῆς γνώσεως αὐτῆς παραδούς, ὅτι μετὰ ἀναισθησίας ἁπτόν ἐστι, καὶ λογισμῷ τινι νόθῳ μόγις πιστόν, ἐπάγει, πρὸς ὃ δὴ καὶ ὀνειροπολοῦμεν βλέποντες, καὶ τὰ ἑξῆς τῶν πρὸ βραχέος παρατεθέντων. ἀλλ᾽ εἰ μηδὲν περὶ τοῦ τῶν σωμάτων δεκτικοῦ τόπου φαίνεται λέγων ὁ Πλάτων, πῶς ὁ Ἀριστοτέλης τὸν Πλάτωνα μόνον ἐπιχειρῆσαι φησὶν εἰπεῖν τί ἐστιν ὁ τόπος. ἢ ὅτι περὶ τούτου τοῦ τόπου τοῦ κατὰ τὴν ὕλην, ὃν τόπον ἐκάλεσεν ὡς ὑποδοχὴν φαίνεται λέγων ὁ Πλάτων, ὅτι ἀΐδιος, ὅτι ἕδρα τῶν γενητῶν εἰδῶν, ὅτι μετὰ ἀναισθησίας ἁπτός, καὶ νόθῳ λογισμῷ πιστός, καὶ ὅσα ἄλλα περὶ αὐτῆς λέγει. καθόσον οὖν τόπον καὶ χώραν αὐτὴν καλέσας λέγει τι περὶ αὐτῆς, κατὰ τοσοῦτον αὐτὸν εἰρηκέναι φησίν. ἴσως δὲ καλῶς ἐπέστησεν αὐτὸς πάντων μάλιστα τὸ βάθος τῆς Πλάτωνος σοφίας ἐγνωκώς. ὅτι κἂν ἀφωρισμένως μὴ φαίνηται τὸ περὶ τόπου ζήτημα προβαλλόμενος, ἀλλ᾽ ἐπειδὴ μετὰ τῶν σωμάτων ἔχει τὴν ὑπόστασιν ὁ τόπος, καὶ τὴν θεωρίαν αὐτοῦ μετ᾽ αὐτῶν ἐποιήσατο. λέγει γοῦν ἐν Τιμαίῳ περὶ τῆς τοῦ τόπου δυνάμεως. καὶ δὴ κατὰ ταῦτα τὰ παθήματα διαμείβεται τὰς χώρας ἅπαντα. διέστηκε μὲν γὰρ ἐκ τοῦ γένους ἑκάστου τὰ πλήθη κατὰ τόπον ἴδιον, διὰ τὴν τῆς δεχομένης κίνησιν. τὰ δὲ ἀνομοιούμενα ἑκάστοτε ἑαυτοῖς, φέρεται διὰ τὸν σεισμὸν πρὸς τὸν ἐκείνων οἷς ἂν ὁμοιωθῇ τόπον. ἄλλον δὲ τρόπον ἐν Τιμαίῳ τὴν ὕλην, καὶ ἄλλον ἐν ταῖς ἀγράφοις συνουσίαις ὀνομάσαι φησίν. ἐν Τιμαίῳ μὲν γὰρ τὸ μεταληπτικὸν αὐτὴν φησί. μεταλαμβάνειν γὰρ τὴν ἀπειρότητα τοῦ νοητοῦ. ἐν δὲ ταῖς ἀγράφοις συνουσίαις μέγα καὶ μικρὸν ἐκάλει. ὅτι δὲ τὸ εἶναι τὸν τόπον πάντες ὡμολόγουν, δῆλον ἐκ τοῦ πάντας χρῆσθαι ταῖς τοῦ τόπου διαφοραῖς.

ἘΙΚΟΤΩΣ δὲ ἐκ τούτων σκοπουμένοις, δόξειεν ἂν εἶναι χαλεπὸν γνωρίσαι, τί ἐστιν ὁ τόπος, εἴπερ τούτων ὁποτερονοῦν ἐστιν, εἴτε ὕλη, εἴτε τὸ εἶδος. ἄλλως τε γὰρ τὴν ἀκροτάτην ἔχει θέαν. καὶ χωρὶς ἀλλήλων, οὐ ῥᾴδιον αὐτὰ γνωρίζειν.

Εἰπὼν ὅτι τινὲς μὲν τῶν περὶ τοῦ τόπου λόγων πείθουσι, τὸ εἶδος καὶ τὴν μορφὴν εἶναι τὸν τόπον, τινὲς δὲ τὴν ὕλην καὶ τὸ ὑποκείμενον, συνάγει καὶ ἐκ τούτου ὅτι χαλεπός ἐστιν ὁ περὶ τοῦ τόπου λόγος. καὶ γὰρ ὁ περὶ τῆς ὕλης χαλεπώτατος καὶ καθ᾽ αὑτήν. εἴπερ κατὰ μὲν τὸν Ἀριστοτέλη οὕτως ἄγνωστος ἡ ὕλη, ὡς κατὰ τὴν ἀναλογίαν μόνον εἶναι γνωστήν. κατὰ δὲ Πλάτωνα νόθῳ λογισμῷ μόγις πιστή. ἡ δὲ τοῦ εἴδους γνῶσις, καὶ ζωῆς δεῖται κεκαθαρμένης καὶ γνώσεως ἀκριβοῦς. καὶ ὅ γε ἓν εἶδος βουλόμενος μαθεῖν τῆς πάντων δεῖται γνώσεως, διὰ τὴν ταυτότητα καὶ ἑτερότητα τὴν πρὸς ἄλληλα τῶν εἰδῶν. εἰ δὲ καὶ ἀρχαί εἰσιν ἥ τε ὕλη καὶ τὸ εἶδος, αἱ ἀρχαὶ τὴν ἀκροτάτην ἔχουσι θεωρίαν. καὶ μέντοι χωρὶς ἀλλήλων ἀδύνατον αὐτὰ γνωρίζειν. καὶ γὰρ ἡ ὕπαρξις αὐτῶν μετ᾽ ἀλλήλων. διὰ πάντα οὖν ταῦτα χαλεπὸν τὸ γνῶναι τί ἐστιν ὁ τόπος, εἴπερ ἡ ὕλη ἢ εἶδος, ἢ ἀμφότερα ἐστίν.

ἈΛΛᾺ ΜῊΝ ὅτι γε ἀδύνατον ὁποτερονοῦν τούτων εἶναι τὸν τόπον, οὐ χαλεπὸν ἰδεῖν. τὸ μὲν γὰρ εἶδος καὶ ἡ ὕλη, οὐ χωρίζεται τοῦ πράγματος. τὸν δὲ τόπον ἐνδέχεται. ἐν ᾧ γὰρ ἀὴρ ἦν, ἐν τούτῳ πάλιν ὕδωρ ὥς φαμεν γίνεται. ἀντιμεθισταμένων ἀλλήλοις τοῦ τε ἀέρος καὶ ὕδατος, καὶ τῶν ἄλλων σωμάτων ὁμοίως.

Εἰπὼν ἐκ τίνων ἄν τις ὕλην ἢ εἶδος ὑπονοήσοι τὸν τόπον εἶναι, δείκνυσι δι᾽ ἑπτὰ ἐπιχειρημάτων ὅτι οὐδέτερον τούτων δυνατὸν εἶναι τὸν τόπον. καὶ πρῶτον δείκνυσιν ἐν δευτέρῳ σχήματι συλλογιζόμενος οὕτως. τὴν ὕλην καὶ τὸ εἶδος οὐκ ἐνδέχεται χωρίζεσθαι τοῦ πράγματος οὗ ἐστιν. ὁ δὲ τόπος χωρίζεται. ἡ ἄρα ὕλη ἢ τὸ εἶδος οὐκ ἔστιν ὁ τόπος. καὶ ὅτι μὲν ἡ ὕλη καὶ τὸ εἶδος οὐ χωρίζεται τῶν συνθέτων ἕως ἂν ᾖ, πρόδηλον. ἐν τούτοις γὰρ ἔχει τὸ εἶναι τὰ σύνθετα. ὅτι δὲ τὸν τόπον ἐνδέχεται χωρίζεσθαι καὶ ὄντος καὶ σωζομένου τοῦ ἐν τῷ τόπῳ, διὰ τῆς κατὰ τὴν ἀντιμετάστασιν ἐπαγωγῆς ἔδειξεν. ἐν ᾧ γὰρ ἀὴρ ἦν, ἐν τούτῳ πάλιν ὕδωρ. καὶ ὅτι ἐπακτικὸς ὁ λόγος, ἐδήλωσε διὰ τοῦ καὶ τῶν ἄλλων σωμάτων ὁμοίως.

ὭΣΤΕ, οὔτε μόριον, οὔτε ἕξις. ἀλλὰ χωριστὸς ὁ τόπος ἐστὶν ἑκάστου.

Δείξας ὅτι χωριστός ἐστι τοῦ πράγματος ὁ τόπος, εἰκότως συνήγαγεν ἄλλο συμπέρασμα, ὅτι οὔτε μόριον ἐστὶν ὁ τόπος τοῦ ἐν τόπῳ. εἰ γὰρ μόριον ὂν ἐχωρίζετο, οὔτε αὐτὸ μόριον ἔτι ἦν χωρισθέν, οὔτε ἐκεῖνο ἔμενεν ὅλον οὗ ἐχωρίσθη τὸ μόριον. οὐ μέντοι οὐδὲ ἕξις εἶναι δύναται χωριζομένη. ἡ γὰρ ἕξις οὐχ ὑπομένει χωρισθεῖσα, ἀλλὰ φθείρεται. ὁ δὲ τόπος ὑπομένει. καὶ δύναταί τις τὸ μὲν μόριον ἐπὶ τῆς ὕλης ἀκούειν, τὴν δὲ ἕξιν ἐπὶ τοῦ εἴδους. ἵνα ἡ δὲ ὕλη καὶ τὸ πάθος μόριον καὶ ἕξις, ὅπερ πρόκειται. ἕξις δέ ἐστι τὸ ὡς τελειότης συμβεβηκός. οἷόν ἐστι τὸ εἶδος. ὥστε οὔτε ὕλη οὔτε εἶδος ἐστὶν ὁ τόπος. δύναται δὲ καὶ καθολικώτερον ἀκούειν τὸ μὲν μόριον ἐπὶ πάντων τῶν οὐσιωδῶς συμπληρούντων, τὴν δὲ ἕξιν ἐπὶ τῶν συμβεβηκότων. οὔτε γὰρ πάθος, οὔτε δύναμις, οὔτε ἄλλό τι τοῦ ἐν τόπῳ ὁ τόπος ἐστίν. ἀφ' οὗ οὐ κατὰ συμβεβηκός ἐστιν ὁ τόπος τῶν ἐν τόπῳ. ἢ τὸ μὲν ἐν τόπῳ εἶναι συμβέβηκε καὶ ἀχωρίστῳ τῷ σώματι. ὁ δὲ τόπος οὐ τῷ ἐν τόπῳ συμβέβηκεν. ἀλλ' εἰ ἄρα, ἐκείνῳ οὗ πέρας καὶ ἐπιφάνειά ἐστι.

ΚΑῚ ΓᾺΡ δοκεῖ τοιοῦτόν τι εἶναι ὁ τόπος. οἷον τὸ ἀγγεῖον. ἔστι γὰρ τὸ ἀγγεῖον, τόπος μεταφορητός. τὸ δ' ἀγγεῖον, οὐδὲν τοῦ πράγματός ἐστιν.

Τοῦτο οἱ ἐξηγηταὶ συνάπτουσι τῷ προσεχῶς εἰρημένῳ δευτέρῳ συμπεράσματι. τὸ αὐτὸ δὲ δείκνυσι καὶ ἐκ τῆς τοῦ ἀγγείου πρὸς τὸν τόπον ὁμοιότητα. καὶ γὰρ τὸ ἀγγεῖον χωριστικόν ἐστι τοῦ ἐν αὐτῷ. καὶ ὁρίζονται αὐτὸ τόπον μεταφορητόν. ὡς οὖν τὸ ἀγγεῖον οὐδὲν τοῦ πράγματός ἐστιν, οὕτως οὐδὲ ὁ τόπος. ἡ δὲ ὕλη καὶ τὸ εἶδος, τοῦ πράγματος, καὶ δύναται μὲν τρία εἶναι τὰ συμπεράσματα. δύναται δὲ καὶ ἓν εἶναι. τῶν δὲ ἄλλων δύο τὸ μὲν, προσκατασκευὴν εἰλῆφθαι τῆς ἐλάττονος προτάσεως, τῆς λεγούσης τὸν τόπον ἐνδέχεσθαι χωρίζεσθαι, τὸ δὲ, ἀπὸ τοῦ μορίου καὶ τῆς ἕξεως τῆς ἑτέρας. δύναται δὲ καὶ δύο εἶναι, τοῦ τρίτου ῥηθέντος ἰδίου ὄντος. καὶ οὕτω μᾶλλον ἐκδέχονται.

ἙΜῈΝ οὖν χωριστός ἐστι τοῦ πράγματος, ταύτῃ μὲν οὐκ ἔστι τὸ εἶδος. ᾗ δὲ περιέχει, ταύτῃ ἕτερος τῆς ὕλης.

Ἡ ὕλη καὶ τὸ εἶδος τὸ μὲν ἀχώριστα εἶναι τοῦ συνθέτου κοινὸν ἔχουσι. καὶ ἐκ τούτου πρότερον κοινῶς ἐπ' ἀμφοῖν ἔδειξεν, ὅτι οὔτε ἡ ὕλη, οὔτε τὸ εἶδος ὁ τόπος ἐστί. τὸ μέντοι περιέχεσθαι ἀλλὰ μὴ περιέχειν, ἴδιον ἐστὶ τῆς ὕλης διάφορον πρὸς τὸν τόπον. βουλόμενος οὖν μὴ δὲ τοῦτο παρεῖναι, τὴν μὲν ὕλην ἐχώρισε τοῦ τόπου, κατὰ τὸ τὴν μὲν ὕλην περιέχεσθαι, τὸν δὲ τόπον περιέχειν. τὸ δὲ εἶδος κατὰ τὴν αὐτὴν ἐπιβολὴν πάλιν, καθ' ὅσον ὁ μὲν τόπος χωριστός, τὸ δὲ εἶδος ἀχώριστον. εἰ μὴ ἄρα οὐ κατὰ τὴν αὐτὴν ἔννοιαν εἴληπται νῦν ἁπλῶς τὸ ἀχώριστον τοῦ εἴδους, καθ' ἣν ἐλήφθη πρότερον. περιττὸν γὰρ αὐτὴν, δὶς παρὰ πόδας τὸ αὐτὸ καὶ κατὰ τὴν αὐτὴν ληφθῆναι ἔννοιαν. ἀλλ' ἐνεδείξατο διὰ τούτου, ὅτι τὸ εἶδος κατὰ μὲν τὸ περιεκτικὸν κοινωνεῖ τῷ τόπῳ τῆς ὕλης κατὰ τοῦτο διαφερούσης αὐτοῦ. τὸ δὲ περιεκτικὸν οὕτως ἔχει τὸ εἶδος, ὡς συμφυῶς καὶ ἀχωρίστως περιέχων, ἀλλ' οὐχὶ χωριστῶς ὥσπερ ὁ τόπος. καλῶς δὲ καὶ ὁ Ἀλέξανδρος ἐπιβάλλει τῷ χωρίῳ, λέγων, νῦν γὰρ ἀπὸ τοῦ μάλιστα ἑκατέρῳ ὑπάρχοντος τοῦτο εἴδει φημὶ καὶ τῇ ὕλῃ, τὴν πρὸς τὸν τόπον λαμβάνει διαφοράν. τῷ μὲν γὰρ ἐνύλῳ εἴδει μάλιστα ὑπάρχει τὸ ἀχώριστον. ὁ γὰρ χωρισμὸς τούτου, φθορὰ αὐτοῦ ἐστιν. ἡ δ' ὕλη εἰ καὶ ἀχώριστός ἐστιν εἴδους, ἀλλὰ τοῦ δέ γε τοῦ εἴδους χωριστή. τοῦ γὰρ ἀνθρώπου φθορᾶς εἰπεῖν τοῦ ἐν γενέσει, τὸ μὲν εἶδος ἅμα τῷ χωρισθῆναι ἔφθαρται. τὸ δὲ ὑποκείμενον μένει ἄλλο μεταλαβὸν εἶδος. εἰκότως οὖν τὸ μὲν εἶδος ἔδειξε μὴ ὂν τόπον ἀπὸ τοῦ μὴ χωρίζεσθαι. τὴν δὲ ὕλην ἐπειδὴ χωριστή πώς ἐστιν, οὐκέτι ἀπὸ τούτου, ἀλλ' ἀπὸ τοῦ περιέχεσθαι. ἀδύνατον γὰρ αὐτὴν ἄλλως ἐν ὑποστάσει εἶναι καὶ κρατεῖσθαι ἐν τῷ ὄντι, μὴ ὑπὸ τοῦ εἴδους ὁριζομένην.

ΔΟΚΕῚ δὲ ἀεὶ τὸ ὄν που αὐτό τε εἶναί τι, καὶ ἕτερόν τι ἐκτὸς αὐτοῦ,

Τὸ μὲν λεγόμενον δῆλον, ὅτι ἐκ τῆς ἐναργείας καὶ ἐκ τῆς κοινῆς ὑπολήψεως τοῦτο προφανές, ὡς ἄλλο μέν τι τὸ ἐν τόπῳ, ἄλλο δὲ ὁ τόπος. τοῦτο δὲ οἱ μὲν ἐξηγηταὶ ὡς ἄλλο τέταρτον ἐπιχείρημα τιθέασιν, ἀπὸ τοῦ ἄλλο μὲν εἶναι τὸ ἐν τόπῳ, ἄλλο δὲ τὸν τόπον τοῦ ἐν ᾧ ἐκτὸς ὄντος τοῦ ἐν αὐτῷ. εἰ οὖν τὸ ἐν τόπῳ ἡ ὕλη καὶ τὸ εἶδός ἐστιν, ἄλλο ἂν εἴη παρὰ ταῦτα ὁ τόπος. δύναται δὲ καὶ κοινὸν συμπέρασμα εἶναι τῶν πρὸ αὐτῶν ἐπιχειρημάτων, ἀπὸ τῆς ἐναργείας εἰλημμένον. καὶ τῇ γε τοιαύτῃ ἐννοίᾳ συνᾴδει μᾶλλον ἡ τοιαύτη γραφή, αἰτιολογικὸν ἔχουσα τὸν γάρ, δοκεῖ γὰρ ἀεὶ τὸ ὄν που, ἐν τισὶν ἀντιγράφοις οὕτω φερομένη. ἐπειδὴ γὰρ δοκεῖ ἄλλο μὲν εἶναι τὸ ἐν τόπῳ ἐξ ὕλης καὶ εἴδους ὄν, ἄλλος δὲ ὁ τόπος, εἰκότως ἄλλος μὲν ὁ τόπος, ἄλλο δὲ τὸ εἶδος καὶ ἡ ὕλη ἐστίν.

ΠΛΆΤΩΝΙ μέντοι λεκτέον, εἰ δεῖ παρεκβάντας εἰπεῖν, διατί οὐκ ἐν τόπῳ τὰ εἴδη καὶ οἱ ἀριθμοί, εἴπερ τὸ μεθεκτικὸν ὁ τόπος. εἴτε τοῦ μεγάλου καὶ τοῦ μικροῦ ὄντος τοῦ μεθεκτικοῦ, εἴτε τῆς ὕλης, καθάπερ ἐν τῷ Τιμαίῳ γέγραφεν.

Ἐν τοῖς περὶ τοῦ ἀπείρου λόγοις ἔλεγεν ὅτι ὁ Πλάτων ἔξω τοῦ οὐρανοῦ οὐδὲν εἶναι σῶμα ἐβούλετο, οὐδὲ τὰς ἰδέας, διὰ τὸ μὴ δὲ πού εἶναι αὐτάς. ἐν δὲ τούτοις ἐμνημόνευσεν, ὡς τὴν ὕλην τὸ μεθεκτικὸν τῶν εἰδῶν τόπον εἰπόντος. συγκρούει οὖν κατὰ τὸ φαινόμενον τοὺς λόγους. εἰ γὰρ τὸ μεθεκτικὸν τῶν εἰδῶν

ὁ τόπος ἐστὶ, διατί μὴ ἐν τῷ τόπῳ τὰ εἴδη ἅπερ καὶ ἀριθμοὺς ἔλεγε. τὸ δὲ μεθεκτικὸν ἐν μὲν ταῖς ἀγράφοις ταῖς περὶ τἀγαθοῦ συνουσίαις, μέγα καὶ μικρὸν ἐκάλει. ἐν δὲ τῷ τιμαίῳ ὕλην ἣν καὶ χώραν καὶ τόπον ὠνόμαζε. καὶ δηλονότι φαινομένη τίς ἐστιν ἐναντίωσις αὕτη. οὐ μέντοι ἐστὶν ἐναντία. τὴν μὲν γὰρ ὕλην τόπον ἔλεγε τῶν ἐνύλων, ὡς ὑποδοχὴν αὐτῶν. τὰ δὲ εἴδη τὰ χωριστὰ τῆς ὕλης ἤτοι τὰς ἰδέας ἔλεγε μὴ εἶναι ἐν τόπῳ. οὔτε γὰρ ὡς ἔνυλα εἴδη ἐν τῇ ὕλῃ ἐστὶν, ὡς ἐν τόπῳ ἐκεῖνα, οὔτε ὡς σώματα ἐν τῷ τῶν σωμάτων δεκτικῷ. ἐναργέστερον δ' ἂν ἔδοξεν ἡ ἐναντίωσις, εἴ τις τῷ λέγοντι τὰς ἰδέας μὴ εἶναι ἐν τόπῳ μηδὲ ἔξω τοῦ οὐρανοῦ, τὰ ἐν φαίδρῳ προσήγαγεν. ἐν οἷς φησὶ, τὸν δὲ ὑπερουράνιον τόπον οὔτε τις ὕμνησε ποιητὴς τῶν τῇδε, οὔτε ὑμνήσει κατ' ἀξίαν. ἡ γὰρ ἀχρώματός τε καὶ ἀσχημάτιστος καὶ ἀναφὴς οὐσία ὄντως οὖσα, ψυχῆς κυβερνήτῃ μόνῳ θεατὴ, περὶ ἣν τὸ τῆς ἀληθοῦς ἐπιστήμης γένος, τοῦτον ἔχει τὸν τόπον. ἐν δὲ τούτῳ καθορᾷ μὲν φησὶν αὐτὴν δικαιοσύνην, καθορᾷ δὲ σωφροσύνην, καθορᾷ δὲ ἐπιστήμην. οὐχ ᾗ γένεσις πρόσεστιν. οὐδὲ ἥ ἐστί που ἑτέρα ἐν ἑτέρῳ οὖσα. ἣν ἡμεῖς νῦν ὄντων καλοῦμεν. ἀλλὰ τὴν ἐν τῷ ὅ ἐστιν ὄντως ἐπιστήμην οὖσαν. καὶ τἆλλα ὡσαύτως τὰ ὄντως ὄντα. ἰδοὺ γὰρ σαφῶς ἐν τόπῳ τὰς ἰδέας εἶναί φησι τὴν τῆς δικαιοσύνης καὶ σωφροσύνης καὶ ἐπιστήμης. αὐτὸ γὰρ ἕκαστον ἡ ἰδέα ἐστίν. λέγει δὲ καὶ ἔξω τοῦ οὐρανοῦ τοῦτον εἶναι τὸν τόπον. ἀλλὰ δῆλον ὅτι ἄλλον μὲν τόπον ἀπέφασκε τῶν ἐκεῖ τὸν ὑποδεκτικὸν τῶν ἐνύλων εἰδῶν, ἢ τὸν τῶν σωμάτων. ἄλλον δὲ ἐξυμνεῖ τὸν ἀφοριστικὸν τῆς ἐκεῖ τάξεως. θαυμαστὸν δὲ πῶς ὁ ἀλέξανδρος καίτοι συννοήσας, ὅτι εἴδη τὰς ἰδέας λέγει νῦν ὁ ἀριστοτέλης, ὅμως ἀναγκάζεσθαι νομίζει τὸν πλάτωνα ἐν τόπῳ λέγειν τὰς ἰδέας, καίτοι ἀΰλους αὐτὰς λέγοντα, ἐπειδὴ τόπον καὶ χώραν τῶν ἐνύλων εἰδῶν εἶπε τὴν ὕλην. παρέκβασιν δὲ καλεῖ τὸν λόγον, ἐπειδὴ ὅσον μὲν ἐν τοῖς προκειμένοις ἤρκει δεῖξαι, ὅτι οὐκ ἔστιν ἡ ὕλη ὁ τόπος, ὡς ἐδόκει λέγειν ὁ πλάτων. τῷ δὲ μὴ ἁπλῶς τόπον ἀλλ' εἰδῶν τόπον εἰπόντι, ἀκολουθεῖ τι ἐναντίον τοῖς ὑπ' αὐτοῦ λεγομένοις ἐν ἄλλοις, τὸ τὰ εἴδη ἐν τόπῳ εἶναι. διὸ παρεκβῆναι τοῦ προκειμένου ὁμολογεῖ, τοῦτο ἐπάγων τὸ ἄτοπον.

ἜΤΙ ΠΩ͂Σ ἂν φέροιτο εἰς τὸν αὑτοῦ τόπον, εἰ ὁ τόπος ἦν ἡ ὕλη ἢ τὸ εἶδος. ἀδύνατον γὰρ οὗ μὴ κίνησις μηδὲ τὸ ἄνω ἢ κάτω ἐστὶ, τόπον εἶναι. ὥστε ζητητέος ἐν τοῖς τοιούτοις ὁ τόπος.

Ἕτερον τοῦτο ἐπιχείρημα δεικτικὸν τοῦ τὸν τόπον μήτε τὴν ὕλην εἶναι μήτε τὸ εἶδος, τοιαύτην ἔχον καὶ τοῦτο τὴν τοῦ λόγου ἀγωγήν. εἰ ὁ τόπος ἡ ὕλη ἢ τὸ εἶδος, οὐδὲν ἂν τῶν κινουμένων ἐπὶ τὸν ἑαυτοῦ τόπον φέροιτο. ἀλλὰ μὴν πᾶν τὸ κινούμενον κατὰ φύσιν ἐπὶ τὸν ἑαυτοῦ φέρεται τόπον, τὰ μὲν βαρέα κάτω, τὰ δὲ κοῦφα ἄνω. οὐκ ἄρα ὁ τόπος ἡ ὕλη ἢ τὸ εἶδός ἐστιν. οὐδὲ γὰρ φέρεται ἐπὶ τὴν ὕλην ἢ τὸ εἶδος. διότι σὺν αὐτοῖς καὶ ἐν αὐτοῖς ἐστι τούτων ἑκάτερον τοῖς φερομένοις. τί γὰρ ἄλλο ἐστὶ τὸ φερόμενον ἢ ὕλη καὶ εἶδος. τὸ δὲ ἐφεξῆς λεγόμενον, ἀδύνατον γὰρ οὗ μὴ κίνησις, μηδὲ τὸ ἄνω ἢ κάτω, τόπον εἶναι, ἄλλον λόγον ὁ ἀλέξανδρός φησι συνημμένον τῷ πρὸ αὐτοῦ, τοιοῦτον. ἐφ' ὃ μὴ ἔστι κίνησις, τοῦτο τόπος οὐκ ἔστιν. ἐπὶ δὲ τὴν ὕλην καὶ τὸ εἶδος οὐκ ἔστι κίνησις. οὐδὲ ἄρα ἡ ὕλη ἢ τὸ εἶδος τόπος ἐστί. δύναται δέ φησι καὶ τὸ τούτῳ συγκείμενον ἄλλος εἶναι λόγος τοιοῦτος. ὃ μὴ ἔχει διαφορὰς τήν τε ἄνω καὶ τὴν κάτω, οὐκ ἔστι τόπος. ἡ δὲ ὕλη καὶ τὸ εἶδος οὐκ ἔχει διαφορὰς τὸ ἄνω καὶ τὸ κάτω. οὐκ ἄρα ἡ ὕλη καὶ τὸ εἶδος τόπος. αὐτὸς δέ φησι συνθεὶς πάντα, ὡς ἕνα ἠρώτηκε λόγον, προσθεὶς τὸ πῶς ἂν φέροιτο ἔτι τὰ κινούμενα εἰς τοὺς αὐτῶν τόπους, εἰ ἡ ὕλη ἢ τὸ εἶδος τόπος, ὡς ὂν τοῦτο ἐναργὲς, ὅτι οὐδὲν ἐπὶ τὸ ἴδιον εἶδος ἢ τὴν ὕλην κινεῖται. οὕτως οὖν ὁ ἀλέξανδρος καὶ ὁ ἀσπάσιος. μήποτε δὲ εἷς μέν ἐστιν ὁ ὅλος λόγος, ὡς καὶ ἀλέξανδρος ἐπέστησεν, συνημμένον ἔχων τὸ πρότερον ῥηθὲν τοιοῦτον. εἰ ὁ τόπος ἡ ὕλη ἢ τὸ εἶδός ἐστιν, οὐδὲν ἂν τῶν κινουμένων ἐπὶ τὸν αὑτοῦ τόπον φέροιτο. ἐν δὴ τούτῳ τὴν μὲν πρόσληψιν ὡς σαφῆ παρῆκε. τὸ δὲ συνημμένον ἀποδείκνυσι, διὰ τοῦ ἀδύνατον γὰρ οὗ μὴ κίνησις, μηδὲ τὸ ἄνω ἢ τὸ κάτω, τόπον εἶναι. εἰ γὰρ ἐπὶ τὴν ὕλην ἢ τὸ εἶδος οὐκ ἔστι κίνησις, ἀλλ' οὐδὲ τὸ ἄνω ἢ κάτω, ἐφ' ἃ γίνονται αἱ φυσικαὶ κινήσεις, ὕλης εἰσὶ διαφοραὶ ἢ εἴδους, τόπου οὖσαι διαφοραί, ἐξ ἀμφοῖν δηλονότι εἰ τὸ εἶδος ἢ ἡ ὕλη τόπος, οὐδὲν ἂν τῶν κινουμένων ἐπὶ τὸν αὑτοῦ τόπον φέροιτο, τουτέστι τὸν ἄνω καὶ τὸν κάτω. ἐνάγει δέ με πρὸς τὴν τοιαύτην τῶν εἰρημένων ἀποδοχὴν, καὶ ὁ γὰρ αἰτιολογικὸς σύνδεσμος. ὡς γὰρ αἰτίαν ἐπάγων τοῦ μὴ ἂν φέρεσθαι εἰς τὸν αὑτοῦ τόπον ἕκαστον, εἰ τόπος εἴη ἡ ὕλη ἢ τὸ εἶδος, οὕτως οὖν ἐπῆκται. εἰ ἀληθῆ τὰ εἰρημένα, οὐκ ἐν τῇ ὕλῃ ἢ τῷ εἴδει χρὴ τὸν τόπον ζητεῖν, ἀλλ' ἐν ἐκείνῳ οὗ διαφορὰ τὸ ἄνω καὶ τὸ κάτω ἐστίν. ἐπὶ γὰρ ταῦτά δεῖ τι φέρεσθαι τὰ κινούμενα, οὐκ ἐπὶ τὴν ὕλην καὶ τὸ εἶδος. δυνατὸν δὲ καὶ κατηγορικῶς οὕτως ἐρωτᾶν τὸν λόγον ἐν δευτέρῳ σχήματι. τόπος ἐστὶν, ἐφ' ὃν ἕκαστον τῶν κατὰ φύσιν κινουμένων ἐπὶ τὸν αὑτοῦ τόπον κινεῖται. ἐς δὲ τὴν ὕλην καὶ τὸ εἶδος οὐδὲν κινεῖται. οὐκ ἄρα τὸ εἶδος ἢ ἡ ὕλη τόπος ἐστίν. ὅλως δὲ εἰ τὴν ὕλην καὶ τὸ εἶδος ἔχει ἀεὶ τὰ σώματα τόπον ὄντα, πῶς ἂν ἔτι κινοῖτο ἐπὶ τὸν οἰκεῖον τόπον.

ἘΙ Δ' ἐν αὐτῷ ὁ τόπος, δεῖ γὰρ εἴπερ ἢ μορφὴ ἢ ὕλη. ἔσται ὁ τόπος ἐν τόπῳ. μεταβάλλει γὰρ ἅμα τῷ πράγματι καὶ κινεῖται. καὶ τὸ εἶδος, καὶ τὸ ἀόριστον. οὐκ ἀεὶ ἐν τῷ αὐτῷ. ἀλλ' οὗπερ καὶ τὸ πρᾶγμα. ὥστε τοῦ τόπου ἔσται τόπος.

Ἕκτον τοῦτο ἐπιχείρημα, ὡς οἶμαι δεικνύον, ὅτι οὔτε τὸ εἶδος οὔτε ἡ ὕλη τόπος ἐστί, διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς καὶ τοῦτο. λέγει δέ. εἰ ἐν αὐτῷ τῷ πράγματι ὁ τόπος ἐστὶν, ἔσται τοῦ τόπου τόπος. ἀλλὰ μὴν τοῦτο ἀδύνατον, καὶ δι' αὐτὸ μὲν τοῦτο, καὶ διὰ τὸ τὸν τόπον σώματος εἶναι ἀλλ' οὐ τόπου, καὶ διὰ τὴν ἐπ' ἄπειρον δὲ προχώρησιν τόπον ἀεὶ πρὸ τόπου τιθέντων ἡμῶν. οὐκ ἄρα ἐν αὐτῷ τῷ πράγματι τόπος ἐστί. τοῦ δὲ ὑποθετικοῦ τούτου τόπου τὴν ὑπόθεσιν βεβαιοῦται, διὰ τοῦ δεῖ γὰρ εἴπερ ἡ μορφὴ ἢ ἡ ὕλη. εἰ γὰρ εἶδος ἢ ὕλη ἐστὶν ὁ τόπος, ἀνάγκη ἐν αὐτῷ εἶναι τῷ πράγματι τῷ ἐξ ὕλης καὶ εἴδους συνεστηκότι. τὸ δὲ συνημμένον ἀποδείκνυσιν ὑγιὲς, ἐκ τοῦ μεταβάλλει γὰρ ἅμα τῷ πράγματι καὶ κινεῖται καὶ τὸ εἶδος καὶ τὸ ἀόριστον, τουτέστιν ἡ ὕλη. τοῦ γὰρ πράγματος μεθισταμένου τοῦ συνθέτου, συμμεθίσταται καὶ τὸ εἶδος καὶ ἡ ὕλη, ἐξ ὧν ἐστι τὸ σύνθετον. καὶ ἐκεῖ ἐστιν ἔνθα ἂν ᾖ τὸ σύνθετον. εἰ οὖν ταῦτα ὁ τόπος, δηλονότι μέτεισιν ὁ τόπος τούτων μετιόντων, καὶ μέτεισιν ἀπὸ τόπου εἰς τόπον. ὥστε ἐν τόπῳ ἔσται ὁ τόπος. ὅτι δὲ τὰ φυσικὰ σώματα ἐξ ὕλης καὶ εἴδους, κινεῖται κατὰ τόπον καὶ μεταβάλλει τοὺς τόπους, πρόδηλον ἐστὶ τοῖς αἰσθανομένοις. καὶ δηλονότι καὶ αὐτὸ τοῦτο ἄτοπόν ἐστι, τὸ κινεῖσθαι τοὺς τόπους. κατὰ τόπον γὰρ καὶ εἰς τόπον ἀνάγκη κινεῖσθαι τὸ κινούμενον. ἀπορεῖ δὲ ὁ ἀλέξανδρος ἐν τούτοις, μή ποτε οὐκ ἀνάγκη εἴ τι ἐστὶν ἐν τόπῳ, καὶ τὰ ἐν αὐτῷ ὄντα ἐν τόπῳ εἶναι, εἰ μὴ ἄρα κατὰ συμβεβηκός. ἰδοὺ γὰρ τὰ μόρια τῶν ἐν τόπῳ ὄντων καὶ αἱ ἐν αὐτοῖς ποιότητες, οὐκ εἰσὶν ἐν τόπῳ καθ' αὑτά. ὥστε κἂν τὸ σύνθετον ἐν τόπῳ ᾖ, οὐκ ἀνάγκη τὸ εἶδος ἢ τὴν ὕλην ἐν τόπῳ εἶναι, πλὴν εἰ μὴ κατὰ συμβεβηκός. ὥστε καὶ εἰ τόπος εἴη τὸ εἶδος ἢ ἡ ὕλη, οὐκ ἂν εἴη ἐν τόπῳ, πλὴν εἰ μὴ κατὰ συμβεβηκός. οὕτω δ' οὐδὲν ἄτοπον καὶ τὸν τόπον ἐν τόπῳ εἶναι. καὶ γὰρ αὐτὸς λέγων τὸν τόπον τὸ τοῦ περιέχοντος πέρας, ἐν τῷ αὐτῷ εἶναι τόπῳ φησὶ, τό, τε τοῦ περιέχοντος πέρας καὶ τὸ τοῦ περιεχομένου. αἱ γὰρ ἐπιφάνειαι ἁπτόμεναι ἀλλήλων ἐν τῷ αὐτῷ εἰσι. λύων δὲ τὴν ἀπορίαν, εἰ ἐστί φησι τὸ εἶδος ἢ ἡ ὕλη τόπος τοῦ συνθέτου, ἴσα αὐτῷ ἐστιν. ὁ γὰρ τόπος ἴσος τῷ ἐν τόπῳ. εἰ οὖν τὸ σύνθετον ἴσον ἐστὶ τῷ τόπῳ, ἐν ᾧ κινηθὲν ἐγένετο, τὰ δὲ τῷ αὐτῷ ἴσα καὶ ἀλλήλοις ἐστὶν ἴσα, καὶ ἴσος ἂν εἴη τῷ εἴδει καὶ τῇ ὕλῃ ὁ τόπος ἐν ᾧ ἐγένετο τὸ σύνθετον σῶμα. τὸ δὲ ἐν τόπῳ ἴσον τῷ τόπῳ, καθ' αὑτὸ ἐν τόπῳ ἐστὶ καὶ οὐ κατὰ συμβεβηκός. καθὸ γὰρ διέστηκεν ἔστιν ἐν τόπῳ. εἰ οὖν ἡ ὕλη ἢ τὸ εἶδος ὂν τοῦ συνθέτου, καὶ συνδιεστὼς αὐτῷ ἐν τόπῳ ἐστὶν ἐν ᾧ γίνεται τὸ σύνθετον, καὶ ἴσον τῷ τόπῳ, καθ' αὑτὸ ἂν εἴη ἐν τόπῳ. ἄτοπον δέ φησιν ὁ ἀλέξανδρος καὶ τὸ δύο τόπους εἶναι ἅμα τοῦ αὐτοῦ πρώτως, εἴ γε ἀμφότεροι ἴσοι τῷ ἐν αὐτῷ, ὅ, τε ἐν ᾧ ἐγένετο καὶ τὸ εἶδος ἢ ἡ ὕλη. καὶ ταῦτα γὰρ ἴσα τῷ συνθέτῳ εἴπερ τόπος αὐτοῦ ἐστι. καὶ δηλονότι οἱ δύο ἅμα τοῦ αὐτοῦ τόποι πρώτως ἔσονται καὶ καθ' αὑτὸ, ἀλλ' οὐ κατὰ συμβεβηκὸς καὶ κατ' ἄλλο.

ἜΤΙ ὅταν ἐξ ἀέρος ὕδωρ γένηται, ἀπόλωλεν ὁ τόπος, οὐ γὰρ ἐν τῷ αὐτῷ τόπῳ τὸ γινόμενον σῶμα· τίς οὖν ἡ φθορά. ἐξ ὧν μὲν τοίνυν ἀναγκαῖον εἶναί τι τὸν τόπον, καὶ πάλιν ἐξ ὧν ἀπορήσειεν ἄν τις αὐτοῦ, περὶ τῆς οὐσίας, εἴρηται.

Τοῦτο τὸ ἐπιχείρημα ἕτερον φασὶ, καὶ ἀπορίαν ἰδίαν ἔχειν περὶ τόπου. ὅτι δοκεῖ ἀπόλλυσθαι ὁ ἑκάστου τόπος τῶν σωμάτων, ὅταν εἰς ἄλλο σῶμα μεταβολὴ αὐτοῖς γένηται. τοῦ δὲ ἀπολωλέναι τὸν τόπον σημεῖον. ὅτι οὐκέτι εἰσὶν ἐν τῷ αὐτῷ τόπῳ. ἀλλ' ἄτοπον. τίς γὰρ ἂν γένοιτο τόπου φθορά. μή ποτε δὲ τὸ ἔτι προσκείμενον, δηλοῖ περὶ τὸ αὐτὸ τῷ προσεχῶς εἰρημένῳ προβλήματι στρέφεσθαι τὸ ἐπιχείρημα. εἴπερ δὲ ἄρα ἄλλην ἔχει ἀπορίαν, οὕτω μᾶλλον αὐτὴν ἐκδεκτέον ὡς ἀσπάσιος ἐκδέχεται. ὅταν γὰρ ἐξ ἀέρος ὕδωρ γένηται, τουτέστιν ἐκ μείζονος σώματος ἔλαττον, ἀπόλλυται τοῦ τόπου μέρος. οὐ γὰρ τοσοῦτός ἐστιν ὁ τοῦ γινομένου ὕδατος τόπος, ὅσος ἦν τοῦ ἀέρος τοῦ εἰς αὐτὸ μεταβαλόντος. τίς δὲ τόπου φθορὰ πάνυ χαλεπὸν ἀποδοῦναι ὡς μαθησόμεθα. καὶ εἴη ἂν τοῦτο συγγενὲς ἐκείνῳ τῷ ἐπιχειρήματι, τῷ ἀπὸ τῆς αὐξήσεως τοῦ τόπου. ἐν ᾧ ἔλεγε πῶς οὖν περὶ τῶν αὐξανομένων ἐροῦμεν. ὡς γὰρ ἐκεῖ ἐδείκνυτο, ὅτι εἰ ἔστιν ὁ τόπος ἀνάγκη αὔξεσθαι τὸν τόπον, οὕτως ἐνταῦθα ἀνάγκη φθείρεσθαι τὸν τόπον. ἄπορον δὲ πῶς ἂν αὐξηθῇ ἢ μειωθῇ τόπος. οὐ δὲ γὰρ τὸ πρότερον ἀληθές. οὔτε μὴν τὸ δεύτερον. οὐ δὲ γὰρ ἐστὶ σημεῖον τοῦ ἀπολωλέναι τὸν τόπον, τὸ μηκέτι ἐν τῷ αὐτῷ εἶναι. δύναται γὰρ καὶ ὅταν ἐξ ἀέρος μεταβαλὸν ὕδωρ κάτω γένηται, μένειν ὁ αὐτὸς ἄνω τόπος, κἂν μὴ ὁ αὐτὸς ἀὴρ ᾖ ἐν αὐτῷ. κάλλιον δὲ τοῦ αὐτοῦ προβλήματος εἶναι τὸ ἐπιχείρημα, τοῦ δεικνύντος ὅτι οὔτε ἡ ὕλη οὔτε τὸ εἶδος ὁ τόπος ἐστί. καὶ μᾶλλον ἐπὶ τοῦ εἴδους ἀποδείκνυσθαι φησὶν ὁ ἀλέξανδρος οὕτως ἐκδεχομένων ἡμῶν. ὅταν γὰρ τῶν σωμάτων αἱ μεταβολαὶ εἰς ἄλλα σώματα γένωνται, ἀπόλωλεν αὐτῶν τὸ εἶδος. οὐ γὰρ ταυτὸν ὕδατος καὶ ἀέρος. εἰ δὴ τὸ εἶδος τόπος, ἀπόλωλεν αὐτῶν ὁ τόπος. ὥστε οὐκέτι εἰσὶν ἐν τῷ αὐτῷ τόπῳ. ἀλλὰ μὴν ἄτοπον τίς τοῦ τόπου φθορά. εἰ δὲ ὁ τόπος φθείρεσθαι δύναται, ἀπορίαν ἔχει εἰ ἔστι ταυτὸν τῷ τόπῳ τὸ εἶδος. εἰ δὲ τὴν ὕλην τις λέγει τόπον ἐν τῇ τῶν σωμάτων εἰς ἄλληλα μεταβολῇ, ὁ μὲν τόπος οὐκ ἔστιν ὁ αὐτὸς, ἡ δὲ ὕλη ἡ αὐτή. μένουσαν γὰρ αὐτὴν φαμὲν δέχεσθαι τὰ διαφέροντα εἴδη. ὥστε οὐκ ἔστιν ἡ ὕλη τόπος. καὶ τῷ μὲν ἀλεξάνδρῳ μᾶλλον δοκεῖ ἐπὶ τοῦ εἴδους ἀληθεύεσθαι τὸν λόγον. πῶς δὲ τὸ μὲν εἶδος

τόπον ὑποθέμενος, ἔλεγεν ὅτι τοῦ μὲν εἴδους φανερὰ ἡ φθορά, εἰ δὲ ὁ τόπος φθείρεσθαι δύναται ἀπο-
ρίαν ἔχει, καὶ οὕτω συνῆγεν ὅτι ὁ τόπος οὐκ ἔστι τὸ εἶδος, ἐπὶ δὲ τῆς ὕλης τὸν τόπον φησὶ μὴ εἶναι τὸν
αὐτόν, τὴν δὲ ὕλην τὴν αὐτὴν εἶναι, καίτοι τοῦ Ἀριστοτέλους εἰς ἓν μόνον ἄτοπον ἀπαγαγόντος τὸ ἀπό-
λωλεν ὁ τόπος. μήποτε οὖν ἐν ἀμφοῖν ὁμοίως ἀληθεύεται, ἐν ταῖς μεταβολαῖς τῶν σωμάτων τὸ ἀπο-
λωλέναι τὸν τόπον, εἴπερ ἢ ἡ ὕλη ἢ τὸ εἶδός ἐστιν ὁ τόπος. εἰ γὰρ μὴ μάτην τὴν ἐξ ἀέρος εἰς ὕδωρ μετα-
βολὴν παρέθετο, καὶ ὅλως τὴν ἐκ μείζονος εἰς ἔλαττον, ἀλλ' ἵνα τὴν συστολὴν τοῦ μεγέθους δηλώσῃ,
οὐ μόνον κατὰ τὸ εἶδος γινομένην, ἀλλὰ καὶ κατὰ τὴν διάστασιν τὴν ὑλικήν, δηλονότι καὶ ἐπὶ τῆς ὕλης
ἄτοπον συνάγεται, καὶ εἴη ἂν ὁ συλλογισμὸς τοιοῦτος. εἰ ὁ τόπος τὸ εἶδος ἢ ἡ ὕλη, ἐν τῇ μεταβολῇ
τῶν σωμάτων τῇ ἐκ μείζονος εἰς ἔλαττον ἀπόλωλεν ὁ τόπος. ἀλλὰ μὴν τοῦτο ἀδύνατον. τίς γὰρ ἂν εἴη
φθορὰ τόπου. καὶ τὴν μὲν πρόσληψιν ὡς ἐναργῆ παραλέλοιπε. τί γὰρ ἂν εἴη τῷ τόπῳ ἐναντίον εἰς ὃ
ἂν φθαρείη ὁ τόπος, ἢ ἐξ οὗ ἂν γένοιτο. τὸ δὲ συνημμένον δείκνυσι, διὰ τοῦ οὐ γὰρ ἐν τῷ αὐτῷ τόπῳ
τὸ γινόμενον σῶμα. καὶ γὰρ εἰ μὲν τὸ εἶδος ὑποτεθείη ὁ τόπος, ἄλλος ἐξ ἄλλου τελέως εὑρεθήσεται.
εἰ δὲ ἡ ὕλη, ἐλάττων ἐκ μείζονος ὁ τόπος. καὶ πάλιν οὐκ ἐν τῷ αὐτῷ τόπῳ τὸ γινόμενον σῶμα. καὶ
ὅτι εἰς ἄτοπον ἀπάγει τὴν τοῦ τόπου φθοράν, δηλοῖ τὸ τίς οὖν ἡ φθορά. τοῦτο δὲ καὶ ἐκ τῆς κοινῆς
περὶ τοῦ τόπου ἐννοίας, ὅτι οὐ συμφθείρεται τοῖς ἐν τόπῳ ὁ τόπος. ὥσπερ οὐδὲ τὰ ἀγγεῖα τοῖς ἐν
αὐτοῖς. ἀλλὰ μενόντων τούτων ἄλλοτε ἄλλων εἰς αὐτὰ μετάστασις γίνεται. καὶ ἐκ τοῦ τὰ σώματα
μεταβάλλειν κατὰ τοὺς τόπους, οὐ μέντοι τοὺς τόπους εἰς ἀλλήλους. οὐ γὰρ ὁ ἄνω τόπος εἰς τὸν κά-
τω μεταβάλλει. πῶς γὰρ οἷόν τε. ἀλλὰ τὰ ἄνω σώματα εἰς τὰ κάτω. ὁ δὲ Εὔδημος δεικνὺς ὅτι οὐκ
ἔστιν ὁ τόπος ἡ ὕλη, καὶ τοῦτο προστίθησιν. ἔτι δὲ ἡ μὲν ὕλη κινεῖται. ὁ δὲ τόπος ἀκίνητος. δῆλον δὲ ὅτι
καὶ τῷ εἴδει ἐφαρμόττει ὁ αὐτὸς διορισμός. καὶ γὰρ καὶ αὐτὸ κινεῖται.

ΜΕΤΑ δὲ ταῦτα ληπτέον, ποσαχῶς ἄλλο ἐν ἄλλῳ γίνεται. ἕνα μὲν δὴ τρόπον, ὡς ὁ δάκτυλος ἐν
τῇ χειρί, καὶ ὅλως τὸ μέρος ἐν τῷ ὅλῳ. ἄλλον δέ, ὡς τὸ ὅλον ἐν τοῖς μέρεσιν. οὐ γάρ ἐστι παρὰ τὰ μέρη
τὸ ὅλον. ἄλλον δὲ τρόπον, ὡς ὁ ἄνθρωπος ἐν ζώῳ, καὶ ὅλως ὡς εἶδος ἐν γένει. ἄλλον δὲ ὡς τὸ γένος ἐν
τῷ εἴδει. καὶ ὅλως τὸ μέρος τοῦ εἴδους ἐν τῷ τοῦ εἴδους λόγῳ. ἔτι ὡς ὑγίεια ἐν θερμοῖς καὶ ψυχροῖς.
καὶ ὅλως τὸ εἶδος ἐν τῇ ὕλῃ. ἔτι ὡς ἐν βασιλεῖ τὰ τῶν Ἑλλήνων. καὶ ὅλως ἐν τῷ πρώτῳ κινητικῷ.
ἔτι ὡς ἐν τῷ ἀγαθῷ. καὶ ὅλως ἐν τῷ τέλει. τοῦτο δ' ἐστὶ τὸ οὗ ἕνεκα. πάντων δὲ κυριώτατον. τὸ ὡς
ἐν ἀγγείῳ. καὶ ὅλως τὸ ἐν τόπῳ.

Συμπερανάμενος τοὺς λόγους, ἐξ ὧν τε ἀναγκαῖον εἶναί τι τὸν τόπον δοκεῖ, καὶ πάλιν ἐξ ὧν ἀπορή-
σειεν ἄν τις περὶ τῆς οὐσίας αὐτοῦ τί ποτε ἐστὶν ὁ τόπος, καὶ ὅλως εἰ ἔστιν, εἰ γὰρ ἃ δοκεῖ εἶναι ὁ τόπος
μὴ ἔστιν, ἀνάγκη καὶ εἰ ἔστιν ὅλως ἀπορεῖσθαι, τούτους οὖν συμπερανάμενος τοὺς λόγους, καὶ τὰς συγ-
κεχυμένας ἐν ἡμῖν δόξας διακρίνας, ἐπὶ τὴν εὕρεσιν λοιπὸν τῆς τοῦ τόπου φύσεως παρασκευάζε-
ται. ἐπειδὴ δὲ ἀπὸ τοῦ ἐν τόπῳ ὄντος εἰς ἔννοιαν ἐρχόμεθα τοῦ τόπου, τὸ δὲ ἐν τόπῳ ὂν ἔν τινι ἐστί,
διαιρεῖται πρῶτον πολλαχῶς λεγόμενον τὸ ἔν τινι. χρησιμεύσει δὲ αὐτῷ μάλιστα ἡ διαίρεσις, καὶ εἰς
τὴν λύσιν τοῦ ἐν τόπῳ τὸν τόπον ἔσεσθαι, κατὰ τὴν Ζήνωνος ἀπορίαν, ἣν εἶπε ζητεῖν τινα λύσιν. ἔλε-
γε γὰρ ὁ Ζήνων εἰ πᾶν τὸ ὂν ἐν τόπῳ, δηλονότι καὶ τοῦ τόπου τόπος ἔσται. καὶ τοῦτο ἐπ' ἄπειρον πρόεισι.
λυθήσεται οὖν ὁ λόγος οὗτος ἐκ τοῦ πλεοναχῶς τοῦ ἔν τινι λεγομένου, μὴ εἴ τι ἔν τινι ἐστὶ καὶ ἐν τόπῳ
εἶναι. διὸ καὶ εἰς τοῦτο συνεπληρώθη ὁ λόγος πᾶς ὁ περὶ τοῦ ἔν τινι. τὰ οὖν ἔν τινι κατὰ ὀκτὼ ἢ ἐννέα
τρόπους λέγεσθαι φησίν. ἔν τινι γάρ ἐστιν. ἢ ὡς μέρος ἐν ὅλῳ, ὡς ὁ δάκτυλος ἐν τῇ χειρί, ἢ ἐν τῷ
ὅλῳ σώματι, ἐν μὲν τῇ χειρὶ ὡς μέρος, ἐν δὲ τῷ ὅλῳ σώματι ὡς μέρος μέρους. ὃ καὶ μόριον καλοῦ-
σιν. ἢ ὡς τὸ ὅλον ἐν τοῖς μέρεσιν. ὡς τὸ πρόσωπον ἐν ὀφθαλμοῖς καὶ ῥινὶ καὶ τοῖς τοιούτοις. οὐ γάρ ἐστι
φησὶν παρὰ τὰ μέρη τὸ ὅλον. κἂν γὰρ ἄλλο τὸ εἶδος ἢ τοῦ ὅλου παρὰ τὸ τῶν μερῶν εἶδος, καθὸ καὶ
ὅλον καὶ μέρη φαμὲν εἰδητικῶς ἀντιτιθέντες, ἀλλὰ τό γε ὑποκείμενον τὸ αὐτό. οὐ γὰρ ἀπέσπασται
τὸ ὅλον τῶν μερῶν. ἄλλον δὲ τρόπον τὸ ἔν τινι, ὡς τὸ εἶδος ἐν τῷ γένει. ὡς λέγομεν ἐν τῷ ζώῳ τὸν
ἄνθρωπον. καὶ ἄλλον ὡς τὸ γένος ἐν εἴδει. ὡς ζῷον ἐν ἀνθρώπῳ ἵππῳ καὶ τοῖς ἄλλοις. ὅτι ἐν τῷ ἑκάστου τῶν
εἰδῶν λόγῳ περιέχεται. διὸ εἴδει εἶπεν, οὐκ εἴδεσιν. ὅτι γὰρ ἄλλως ἔν τινι ἐστὶ τὸ ὡς μέρος ἐν ὅλῳ, καὶ ἄλ-
λως τὸ ὡς εἶδος ἐν γένει, δῆλον ἐκ τοῦ τὸ μὲν ὅλον μηκέτι ὅλον εἶναι ἑνὸς ἀφαιρεθέντος μέρους, τὸ δὲ
γένος μηδὲν κωλύεσθαι ἑνὸς ἀφαιρεθέντος εἴδους. καὶ τὸ μὲν γένος πᾶν συνωνύμως πάντων τῶν εἰδῶν
κατηγορεῖται, τὸ δὲ ὅλον μόνων τῶν ὁμοιομερῶν, καὶ τούτων οὐ καθὸ ὅλον. ἔτι δὲ τὸ μὲν ὅλον ἐν
πᾶσίν ἐστι τοῖς μέρεσι, τὸ δὲ γένος καὶ ἐν ἑνί. διὸ καὶ ὁ Ἀριστοτέλης ὅπου μὲν ὅλον ἐν μέρεσιν εἶπεν, ὅπου
δὲ γένος ἐν εἴδει. πρὸς δὲ τούτοις τὸ μὲν γένος μέρος γίνεται τοῦ λόγου τοῦ εἴδους. καὶ οὕτω τὸ γέ-
νος ἐν τῷ εἴδει. τὸ δὲ ὅλον οὐκ ἔστι μέρος τοῦ λόγου τοῦ μέρους. καὶ ταῦτα εἰκότως. εἴπερ γένος μέν
ἐστι κοινότης τοῖς εἴδη διακεκειμένοις ἐπίσης ὑπάρχουσα. ὅλον δὲ συνοχὴ τῶν ἤδη διακεκειμένων
πρὸς ἄλληλα. πέμπτον δέ ἐστι τοῦ ἔν τινι σημαινόμενον, ὡς τὸ εἶδος ἐν τῇ ὕλῃ, ὡς ἡ ὑγίεια ἐν θερ-
μοῖς καὶ ψυχροῖς. ἐν ᾧ ἔοικε σημαινομένῳ πάντα τιθέναι τὰ ἐν ὑποκειμένῳ. ἕκτον δέ ἐστιν, ὡς τὰ

τῶν ἀρχομένων ἐν τῷ ἄρχοντι. ὡς ἐν βασιλεῖ τὰ τῶν ἑλλήνων ἐλέγετο πράγματα. καὶ ὅλως ἐν τῷ κινοῦντι καὶ ποιοῦντι, ὡς ἐν ἐξουσίᾳ καὶ δυνάμει καὶ διοικήσει. ὡς καὶ παρ' ὁμήρῳ τὸ διὸς δ' ἐν γούνασι κεῖται. ἕβδομον δὲ, ὡς ἐν τῷ ἀγαθῷ καὶ ὅλως ἐν τῷ τέλει τὰ τοῦ τέλους ἕνεκεν. ὡς ἐν τῷ πλουτεῖν ἢ ὑγιαίνειν τὰ αὐτῶν εἶναι, οὗ δὴ ἕνεκα πρακτέον. ἢ ὡς ἐν τῇ εὐδαιμονίᾳ αἱ ἀρεταί. ὄγδοον δὲ τὸ ὡς ἐν ἀγγείῳ. ἐπειδὴ δὲ τὸ ἀγγεῖον τόπος λέγεται μεταφορικῶς, εἰκότως ἐπήγαγε καὶ ὅλως ἐν τόπῳ, εἴτε ὡς ἓν σημαινόμενον, εἴτε καὶ ὡς δύο λαμβάνων. σημειωτέον δέ φησιν ὁ ἀλέξανδρος ὅτι τοῦ ὑποκειμένου παράδειγμα τὴν ὑγίειαν παραθέμενος, ἐπήγαγε καὶ ὅλως τὸ εἶδος ἐν τῇ ὕλῃ, ὡς τοῦ εἴδους ἐν ὑποκειμένῳ ὄντος. καίτοι τὸ μὲν ἐν ὑποκειμένῳ συμβεβηκός ἐστι. τὸ δὲ εἶδος οὐσίαν φαίη ἄν τις. καὶ τὸ μὲν ἐν ὑποκειμένῳ οὐκ ἔστι μέρος τοῦ συνθέτου, ὡς αὐτὸς ἐν κατηγορίαις ὡρίσατο λέγων, ὃ ἔν τινι μὴ ὡς μέρος ὂν ἀδύνατον εἶναι χωρὶς τοῦ ἐν ᾧ ἐστι, τὸ δὲ εἶδος μέρος ἐστὶ τοῦ ἐξ ὕλης καὶ εἴδους. καὶ εὔδημος δὲ τούτοις παρακολουθῶν, καὶ εἰπὼν ἄλλως δὲ τὰ πάθη καὶ αἱ ἕξεις ἐν ταῖς οὐσίαις, ἐπήγαγεν ἐπισκεπτέον δὲ εἰ οὕτω καὶ τὸ σχῆμα καὶ ὅλως ἡ μορφὴ ἐν τῇ ὕλῃ, καὶ αὐτὸς δηλονότι τὴν διαφορὰν ἐνδεικνύμενος. ἔοικεν οὖν ὡς ἓν λαμβάνειν, τό, τε ὡς εἶδος ἐν ὕλῃ, καὶ τὸ κυρίως ἐν ὑποκειμένῳ, κατὰ κοινήν τινα φύσιν τοῦ μορφωτικοῦ. ἄμφω γὰρ μορφωτικὰ τοῦ ὑποκειμένου ἐστί. κυριώτατον δὲ τὸ ὡς ἐν ἀγγείῳ, καὶ ὅλως ἐν τόπῳ, ὁ ἀλέξανδρος ἀκούει, διότι τὸ ἔν τινι κοινῶς τὸ ποῦ σημαίνει. τὸ δὲ ποῦ τὸ ἐν τόπῳ μάλιστα. κυριώτατον οὖν ὡς καὶ τῶν ἄλλων κοινόν. καὶ γὰρ τὸ μέρος ἐν τῷ ὅλῳ ὄν που ἐστί, καὶ τἄλλα τὰ εἰρημένα ὁμοίως. ἰδίως δὲ τὸ ποῦ εἴωθεν ἐπὶ τοῦ ἐν τόπῳ καὶ ἐν ἀγγείῳ λέγεσθαι. μήπω δὲ εἰρηκὼς τίνι διαφέρει ὁ τόπος τοῦ ἀγγείου, ὡς ἴσον δυναμένοις αὐτοῖς χρῆται. ταῦτα μὲν ἐνταῦθα τοῦ ἔν τινι σημαινόμενα παραδέδοται ὀκτὼ ἢ ἐννέα. εἰ δὲ ἐν κατηγορίαις ἑνδεκαχῶς οἱ ἐξηγηταὶ ἀπαριθμοῦνται τὸ ἔν τινι, ἀναμνηστέον ὅτι ἐκεῖ ἄλλο μὲν τὸ ὡς εἶδος ἐν ὕλῃ, ἄλλο δὲ τὸ ὡς συμβεβηκὸς ἐν οὐσίᾳ καὶ ὅλως ἐν ὑποκειμένῳ λέγουσι, καὶ ἄλλο μὲν τὸ ἐν τόπῳ ἄλλο δὲ τὸ ἐν ἀγγείῳ, ἐκ τῶν ἐνταῦθα λεγομένων τὰ δέκα σημαινόμενα διακρίνοντες, καὶ ἄλλο τι παρὰ ταῦτα προστιθέντες τὸ ἐν χρόνῳ. οἷον ὅτι ἀριστοτέλης ἐγεννήθη ἐπὶ τῆς τοσῆσδε ὀλυμπιάδος. ὃ νῦν ἴσως οὐ προσέθηκε, διὰ τὸ μήπω διδάξαι ὅλως περὶ χρόνου. λέγεται δὲ ἔν τινι καὶ τὸ ὑποκείμενον ἐν τῷ συμβεβηκότι. ὡς λέγομεν τὸ σῶμα ἐν νόσῳ εἶναι, καὶ τὸν ἄνθρωπον ἐν περιστάσει. εἰκὸς δὲ καὶ ἄλλα εἶναι τοῦ ἔν τινι, σημαινόμενα. δῆλον δὲ ὅτι πολλαχῶς λέγεται τὸ ἔν τινι, καὶ ὁμώνυμος ἐστὶν ἡ φωνή. τῶν δὲ ὁμωνύμως λεγομένων τὰ μέν. ἐπίσης ὑπάρχει. ὡς τὸ ἐρῶ καὶ κατὰ τοῦ φιλῶ καὶ κατὰ τοῦ λέξω. οὐδὲν γὰρ κυριώτερον ἐν τῷ ἑτέρῳ μᾶλλον ἢ ἐν τῷ ἑτέρῳ. τὰ δὲ οὐκ ἐπίσης, ὡς τὰ μὲν κυριώτερον τὰ δὲ ἀκυρότερον λέγεσθαι. ὡς πούς καὶ κορυφὴ κυριώτερον μὲν ἐπὶ τῶν ζώων, ἀκυρότερον δὲ καὶ μεταφορικώτερον ἐπὶ τοῦ ὄρους.

Α ΠΟΡΗΣΕΙΕ Δ' ἄν τις εἰ ἄρα καὶ αὐτό τι ἐν ἑαυτῷ ἐνδέχεται εἶναι, ἢ οὐθέν. ἀλλὰ πάντα ἢ οὐδαμοῦ, ἢ ἐν ἄλλῳ. διχῶς δὲ τοῦτό ἐστιν. ἤτοι καθ' αὑτό, ἢ καθ' ἕτερον. ὅταν μὲν γὰρ ᾖ μόρια τοῦ ὅλου, τό, τ' ἐν ᾧ, καὶ τό, ἐν τούτῳ, λεχθήσεται τὸ ὅλον ἐν αὐτῷ. λέγεται γὰρ καὶ κατὰ μέρη. οἷον, λευκός, ὅτι ἡ ἐπιφάνεια λευκή. καὶ ἐπιστήμων, ὅτι τὸ λογιστικόν. ὁ μὲν οὖν ἀμφορεὺς, οὐκ ἔσται ἐν ἑαυτῷ οὐδ' ὁ οἶνος. ὁ δὲ τοῦ οἴνου ἀμφορεὺς ἔσται. ὅ, τε γὰρ καὶ ἐν ᾧ, ἀμφότερα τοῦ αὐτοῦ μόρια.

Α παριθμησάμενος τοὺς ἔν τινι τρόπους, ἀπορίας ἄξιόν φησιν, εἰ ἔστι τις καὶ ἄλλος τρόπος καθ' ὃν αὐτό τι ἐν ἑαυτῷ ἐστιν. εἰ μὲν γὰρ ἔστιν, ἢ λείπει τοῖς εἰρημένοις τρόποις, ἢ ὑπό τινα τῶν εἰρημένων ὑπαχθήσεται. εἰ δὲ μὴ ἔστι, χρὴ τοῦτο δειχθῆναι. καὶ μάλιστα δι' ἀναξαγόραν αἴτιον τῆς τοῦ ἀπείρου μονῆς λέγοντα, τὸ αὐτὸ αὐτὸ στηρίζειν. τοῦτο δὲ ὅτι ἐν αὐτῷ. ἄλλο γὰρ οὐδὲν περιέχει. ταύτην μὲν τὴν δόξαν ἐκεῖ μὲν ἀνεῖλεν ἀπὸ τῆς ἀπείρου ἐννοίας. εἰ γὰρ ὅμοιον φησὶν τῷ ὅλῳ τὸ μόριον, καὶ τὸ μόριον ἂν ἐν ἑαυτῷ στηρίζοι. καὶ ἔσται πάντα ἀκίνητα. καὶ ἄλλα δὲ κατὰ τὴν αὐτὴν ἔφοδον τίθησιν ἐπιχειρήματα. ἐνταῦθα δὲ περὶ τοῦ ἔν τινι προελόμενος εἰπεῖν, ἀπὸ τοῦ ἐν ἑαυτῷ, οἰκείως πανταχοῦ τοῖς προκειμένοις ποιούμενος τοὺς λόγους, καὶ δεικνὺς ὅτι ἀδύνατόν τι αὐτὸ ἐν ἑαυτῷ εἶναι. ὡς εἰκὸς δὲ καὶ εἰς τὸ μὴ εἶναι τὸν τόπον ἐν τόπῳ χρησιμεύσει τι ἡ προκειμένη ἀπόδειξις. εἰ γὰρ ἔστιν ὁ τόπος ἐν τόπῳ καθὸ τόπος, αὐτό τι ἐν ἑαυτῷ ἔσται. εἰ οὖν τοῦτο ἀδύνατον, οὐδὲ ὁ τόπος ἐν τόπῳ ἔσται. ζητῶν δὲ εἴ τι αὐτὸ ἐν ἑαυτῷ δύναται εἶναι, ἐπειδὴ τὸ μὲν καθ' αὑτό τι λέγοιτο ἂν εἶναι ἐν ἑαυτῷ, τὸ δὲ καθ' ἕτερον, τὸ μὲν καθ' ἕτερον αὐτό τι εἶναι ἐν ἑαυτῷ συγχωρεῖ. δύναται γὰρ κατὰ μόριον. ὅταν γάρ φησιν μόρια ᾖ, τὸ ἐν ᾧ οἷον ὁ ἀμφορεὺς καὶ τὸ ἐν τούτῳ οἷον ὁ οἶνος, μόρια γὰρ ταῦτα τοῦ συναμφοτέρου, τό τε δύναται τὸ συναμφότερον καὶ ὅλον ἐν ἑαυτῷ λέγειν, ὅτι μόριον αὐτοῦ ἐν μορίῳ. καὶ ὅτι λέγεταί τινα κατὰ μόρια, πιστοῦται ἐκ τοῦ καὶ λευκὸν λέγεσθαι σῶμα ὅτι ἡ ἐπιφάνεια λευκή, καὶ ἐπιστήμονα ἄνθρωπον ὅτι ἐν τῷ λογιστικῷ ἡ ἐπιστήμη. εἰ τοίνυν καθ' ἑκάτερον τῶν μορίων τὸ ὅλον θεωρηθείη, ἔσται αὐτὸ καὶ τὸ ἐν ᾧ οἷον ὁ ἀμφορεὺς, καὶ τὸ ἐν τούτῳ οἷον ὁ οἶνος. καὶ διὰ τοῦτο αὐτὸ ἐν ἑαυτῷ. ὁ μὲν οὖν ἀμφορεὺς οὐκ ἔσται ἐν ἑαυτῷ, οὐδὲ ὁ οἶνος ἐν ἑαυτῷ. ὁ δὲ τοῦ οἴνου ἀμφορεὺς ἐν ἑαυτῷ ἔσται. εἴ τις μὴ φροντίζει τοῦ καταχρῆσθαι τοῖς ὀνόμασι, τὰ ἑκατέρῳ τῶν μορίων ἴδια προσόντα

συνάγων εἰς τὸ ὅλον. εἰ δὲ τὴν ἐπιφάνειαν μέρος λέγει τοῦ λευκοῦ σώματος, καίτοι πέρας οὖσαν αὐτοῦ, πρῶτον μὲν ἐπιστῆσαι χρὴ ὅτι καὶ τὸ λευκὸν μέρος καλεῖ τοῦ λευκοῦ σώματος. καίτοι ὡς ὁ ὁρισμὸς τῶν συμβεβηκότων λέγει, μὴ ὡς μέρη ὄντα δεῖ νοεῖν. ἔοικε γὰρ μέρη τὰ ὁπωσοῦν συμπληροῦντα καλεῖν. ἔπειτα εἰ τὸ σῶμα ἐκ τῶν τριῶν διαστάσεων συνέστηκε, μία δὲ τῶν διαστάσεων ἡ ἐπιφάνεια ὥς φησιν ὁ Ἀλέξανδρος, διατί μὴ μέρος ἂν λέγοιτο τοῦ σώματος. ἀλλὰ πῶς μία τῶν τριῶν ἐστι διαστάσεων ἡ ἐπιφάνεια, εἴπερ ἐπιφάνεια ἐστὶ τὸ μῆκος καὶ πλάτος ἔχον. ἢ δηλονότι καὶ οὕτω μέρος. κἂν ὡς πεπερασμένον δέ τις λάβῃ σῶμα, τί κωλύει τὸ πέρας μέρος ὡς συμπληρωτικὸν εἶναι τοῦ πεπερασμένου σώματος. οὐκ ἀνάγκη δέ οἶμαι ὡς ὁ Ἀλέξανδρος ἐπέστησε τὸ καθ' αὑτὸ ἀντὶ τοῦ πρώτως ἀκούειν. κυριωτάτη γὰρ ἀντίθεσις τοῦ καθ' αὑτὸ πρὸς τὸ καθ' ἕτερον, ὅτι τὸ κατὰ μέρος ὡς νῦν, ἤ τι ἔξωθεν. ὅπερ τὸ κυρίως κατὰ συμβεβηκὸς ποιεῖ. οὕτω δὲ καὶ τῷ πρώτως τὸ δευτέρως ἀντίκειται κυρίως. αὐτὸς δὲ τὸ κατ' ἄλλο ἀντέθηκεν.

ΟὝΤΩ ΜῈΝ οὖν ἐνδέχεται αὐτό τι ἐν αὑτῷ εἶναι. πρώτως δ' οὐκ ἐνδέχεται. οἷον, τὸ λευκὸν ἐν σώματι. ἡ ἐπιφάνεια γὰρ ἐν σώματι. ἡ δ' ἐπιστήμη, ἐν ψυχῇ. κατὰ ταῦτα δ' αἱ προσηγορίαι μέρη ὄντα ὥς γε ἐν ἀνθρώπῳ. ὁ δ' ἀμφορεὺς καὶ ὁ οἶνος, χωρὶς μὲν ὄντα, οὐ μέρη, ἅμα δὲ διότι ὅταν ᾖ μέρη ἔσται αὐτὸ ἐν αὑτῷ. οἷον τὸ λευκὸν ἐν ἀνθρώπῳ, ὅτι ἐν τῷ σώματι. καὶ ἐν τούτῳ, ὅτι ἐν τῇ ἐπιφανείᾳ. ἐν δὲ ταύτῃ, οὐκέτι κατ' ἄλλο. καὶ ἕτερά γε τῷ εἴδει ταῦτα. καὶ ἄλλην φύσιν ἔχει ἑκάτερον καὶ δύναμιν. ἥ τε ἐπιφάνεια καὶ τὸ λευκόν.

Δείξας ὅτι κατ' ἄλλο δυνατὸν αὐτό τι ἐν ἑαυτῷ εἶναι, ἐφεξῆς δείξει ὅτι πρώτως καὶ καθ' αὑτὸ ἀδύνατον. ἵνα δὲ σαφὴς ἡ διαφορά, διδάσκει πρῶτον τί ἐστι τὸ πρώτως, καὶ τί τὸ κατ' ἄλλο. τὸ γὰρ χρῶμα ἐν μὲν τῷ σώματι κατ' ἄλλο, ἐν δὲ τῇ ἐπιφανείᾳ πρώτως. καὶ ἡ ἐπιστήμη πρώτως μὲν ἐν τῷ λογιστικῷ, ἐν δὲ τῇ ψυχῇ ἢ τῷ ἀνθρώπῳ κατ' ἄλλο. ἐπειδὴ οὖν ἡ ἐπιφάνεια λευκή, μέρος δὲ ἡ ἐπιφάνεια, κατὰ μέρος δὲ αἱ προσηγορίαι, τὸ σῶμα προσαγορεύεται λευκὸν οὐ πρώτως οὐδὲ καθ' αὑτό, ἀλλὰ κατ' ἄλλο. καὶ ὁ ἄνθρωπος ἐπιστήμων. ὡς ὅταν γε ἡ ψυχὴ ἢ τῆς ψυχῆς τὸ λογιστικὸν ἐπιστῆμον λέγηται, ἀλλὰ μὴ ἐν ἀνθρώπῳ, οὐκέτι κατὰ τὸ μόριον ἢ κατ' ἄλλο, ἀλλὰ καθ' αὑτὸ καὶ πρώτως ἡ κατηγορία γίνεται. διὸ καὶ ἐπήγαγε τὸ ὥς γε ἐν ἀνθρώπῳ. οὕτω δὲ καὶ ὁ ἀμφορεὺς τοῦ οἴνου λέγεται ἐν ἑαυτῷ κατ' ἄλλο, διότι μέρος ἐν μέρει. τοιγαροῦν ὅταν καθ' αὑτὸν μὲν ὁ οἶνος ᾖ, καθ' αὑτὸν δὲ ὁ ἀμφορεύς, οὐ λέγεται ἐν ἑαυτῷ ὁ τοῦ οἴνου ἀμφορεύς. ὅταν δὲ συνέλθῃ, τότε ἐν ἑαυτῷ λέγεται. διότι ὅταν μὲν καθ' αὑτὰ ᾖ ταῦτα οὐκ ἔστιν ὡς μέρη, καὶ διὰ τοῦτο οὐκ ἔστι τὸ κατὰ ταῦτα λεγόμενον. ὅταν δὲ γένηται μέρη, ἐπειδὴ δέδεικται καὶ κατὰ μέρη ὀνομάζειν τὸ ὅλον, ἔσται αὐτὸς ἐν ἑαυτῷ ὁ τοῦ οἴνου ἀμφορεὺς κατ' ἄλλο, ὡς τὸ λευκὸν ἐν σώματι κατὰ τὴν ἐπιφάνειαν. ἐν δὲ τῇ ἐπιφανείᾳ οὐ κατ' ἄλλο, ἀλλὰ πρώτως. οὐ μὴν ἐπειδὴ πρώτως ἡ ἐπιφάνεια λευκή, ταὐτόν ἐστιν ἐπιφάνειά τε καὶ λευκόν, ὡς διὰ τοῦτο δύνασθαι αὐτό τι ἐν ἑαυτῷ κυρίως εἶναι. ἄλλος γὰρ ἐπιφανείας, καὶ ἄλλος λευκοῦ λόγος. καὶ ἄλλη ἡ φύσις ἑκάστου. ὥστε τὸ πρώτως ἔν τινι, οὐκ ἐν ἑαυτῷ ἀλλ' ἐν ἄλλῳ. τοῦτο δὲ ἐκ τῶν παρατεθέντων παραδειγμάτων συνενόησε, κυριώτατον εἰς ἀπόδοσιν ὂν τοῦ μηδὲν αὐτὸ ἐν ἑαυτῷ εἶναι πρώτως καὶ καθ' αὑτὸ ὡς μαθησόμεθα.

ΟὔΤΕ ΔῊ ἐπακτικῶς σκοποῦσιν, οὐδὲν ἐν αὑτῷ ὁρῶμεν κατ' οὐδένα τῶν διορισμῶν, τῷ τε λόγῳ δηλονότι ἀδύνατον. δεήσει γὰρ ἀμφότερα ἑκάτερον ὑπάρχειν. οἷον, τὸν ἀμφορέα, ἀγγεῖόν τε καὶ οἶνον εἶναι. καὶ τὸν οἶνον, οἶνόν τε καὶ ἀμφορέα, εἴπερ ἐνδέχεται αὐτό τι ἐν αὑτῷ εἶναι. ὥστε εἰ ὅτι μάλιστα ἐν ἀλλήλοις εἶεν, ὁ μὲν ἀμφορεὺς δέξεται τὸν οἶνον, οὐχ ᾗ αὐτὸς ὁ οἶνος, ἀλλ' ᾗ ἐκεῖνος. ὁ δ' οἶνος, ἐνέσται ἐν τῷ ἀμφορεῖ, οὐχ ᾗ ἀμφορεὺς αὐτός. ἀλλ' ᾗ ἐκεῖνος ἀμφορεύς. κατὰ μὲν οὖν τὸ εἶναι ὅτι ἕτερον, δῆλον. ἄλλος γὰρ ὁ λόγος ὁ τοῦ, ἐν ᾧ. καὶ ὁ τοῦ, ἐν τούτῳ.

Δείξας ὅτι πρώτως μὲν καὶ καθ' αὑτὸ ἀδύνατόν τι αὐτὸ ἐν ἑαυτῷ εἶναι, κατ' ἄλλο δὲ καὶ κατὰ μέρος δυνατόν, καὶ παράδειγμα τὸν ἀμφορέα τοῦ οἴνου παραθέμενος, καὶ ὡς πόρισμά τι συναγαγὼν ἐκ τῶν ἐκτεθέντων παραδειγμάτων, ὅτι ἕτερα τῷ εἴδει τό, τε ἐν ᾧ καὶ τὸ ἐν ἐκείνῳ, καὶ ἄλλην φύσιν ἔχει ἑκάτερον ἥ τε ἐπιφάνεια καὶ τὸ λευκόν, βούλεται ἡμᾶς μὴ μόνον ἀλλὰ παραδείγματα τῷ λόγῳ ἐπάγειν, ὡς τὸν ἐν τῷ ἀμφορεῖ οἶνον, ἢ τὸ ἐν τῇ ἐπιφανείᾳ λευκόν, δεικνύντας ὅτι πρώτως μὲν οὐ δυνατὸν αὐτό τι ἐν ἑαυτῷ εἶναι, κατ' ἄλλο δὲ δυνατόν, ἀλλὰ καὶ τὰ ἀπαριθμηθέντα τοῦ ἔν τινι σημαινόμενα παρατιθέντας καθ' ἕν, ἐκ τῆς ἐκείνων ἐπαγωγῆς σκοπεῖν, εἰ δυνατὸν καθ' οἱονδήποτε τῶν εἰρημένων τοῦ ἔν τινι διορισμῶν αὐτό τι ἐν ἑαυτῷ ᾖ. καὶ μετὰ τοῦτο κοινῇ τῷ λόγῳ σκοπεῖν, εἰ δύναταί τι αὐτὸ ἐν ἑαυτῷ εἶναι πρώτως. πανταχοῦ γὰρ δῆλον ἔσται ἡμῖν, ἄλλο μὲν εἶναι τὸ ἐν ᾧ, ἄλλο δὲ τὸ ἐν ἐκείνῳ. οὔτε γὰρ τὸ μέρος ἐν τῷ ὅλῳ ὂν ἐν ἑαυτῷ ἐστιν, ἄλλο γὰρ τὸ μέρος τοῦ ὅλου, οὔτε τὸ ὅλον ἐν τοῖς μέρεσιν ὂν καθὸ μέρη, ἐν ἑαυτῷ ἐστιν. εἴπερ τὰ μὲν μέρη πολλὰ καὶ διαφέροντα, τὸ δὲ ὅλον ἕν. κἂν γὰρ μὴ ᾖ παρὰ τὰ μέρη τὸ ὅλον, ἀλλὰ ἄλλο μὲν τὸ ὅλῳ εἶναι, ἄλλο δὲ τὸ μέρεσιν. οὐμέντοι οὐδὲ τὸ ὡς ἐν γένει τινὶ ὄν, ἐν ἑαυτῷ δύναται εἶναι. οὐδὲν γὰρ αὐτὸ αὑτοῦ γένος, εἴπερ ἄλλο τὸ γένος τοῦ εἴδους.

ἀλλ' οὐδὲ ὅταν ὡς γένος ἐν εἴδεσιν ᾖ, ἐν αὐτῷ ἐστιν. τὸ γὰρ γένος μέρος γίνεται τοῦ λόγου τοῦ εἴδους. καὶ ἀδύνατόν τι τὸ αὐτὸ καὶ μέρος καὶ ὅλον εἶναι. ἀλλ' οὐδὲ τὸ εἶδος ἐν τῇ ὕλῃ ὄν, ἐν ἑαυτῷ ἐστιν. ἑαυτοῦ γὰρ ἐκστὰν ἐν ὕλῃ γίνεται. ἀλλὰ καὶ ὅταν ἐν βασιλεῖ ἢ Λακεδαιμονίοις λέγωμεν εἶναι τὰ τῶν Ἑλλήνων πράγματα, αὐτὸ τοὐναντίον λέγομεν. ὅτι οὐκ ἐν ἑαυτοῖς ἀλλ' ἐν ἐκείνοις ἔχουσι τὴν ἑαυτῶν διοίκησιν. οὕτω δὲ καὶ τὰ ἐν τέλει διακέκειται, ὡς τῶν πρὸ αὐτοῦ πάντων ἐκείνου ἀπηρτημένων, ὡς ἄλλων ὄντων αὐτοῦ. τὸ δὲ ἐν ἀγγείῳ ἤδη εἴρηται. τὸ δὲ ἐν τόπῳ ἔτι ζητεῖται εἰ ἔστι τόπος ἐν τόπῳ. καὶ οὕτω μὲν ἐκ τῆς ἐπαγωγῆς τῶν τοῦ ἔν τινι τρόπων ἔστιν ἰδεῖν, ὅτι κατ' οὐδένα τούτων δύναταί τι αὐτὸ ἐν ἑαυτῷ εἶναι. καὶ ἐκ τοῦ λόγου δὲ δυνατὸν τὸ αὐτὸ γνῶναι. χρεία γὰρ καὶ τῆς λογικῆς ἀποδείξεως μάλιστα, ὅτι μὴ ἐκ διαιρέσεως ἀναγκαστικῆς ἐλήφθη τὰ τοῦ ἔν τινι σημαινόμενα, ἵνα τῇ καθ' ἕκαστον αὐτῶν ἐφόδῳ θαρρήσωμεν. καὶ ὅτι δυνατὸν λέγειν τὰ τοῦ ἔν τινι σημαινόμενα, ἐπ' ἐκείνων εἰλῆφθαι μόνον τῶν ἐν ἑτέρῳ ὄντων. ὅτι οὖν ἀδύνατον αὐτό τι ἐν ἑαυτῷ εἶναι, κατὰ τὸν δεύτερον τῶν ὑποθετικῶν τρόπων δείκνυσιν οὕτως. εἰ ἔστι τι αὐτὸ ἐν ἑαυτῷ, οἱ διάφοροι ὁρισμοὶ ἑνὶ καὶ τῷ αὐτῷ ὑπάρξουσιν. ἀλλὰ μὴν τοῦτο ἀδύνατον. οὐκ ἄρα ἔστι τι αὐτὸ ἐν ἑαυτῷ. καὶ τὸ μὲν συνημμένον δείκνυσι, διὰ τοῦ τὸν ἀμφορέα ἀγγεῖόν τε καὶ οἶνον εἶναι, καὶ τὸν οἶνον οἶνόν τε καὶ ἀμφορέα, εἴπερ ἐνδέχεταί τι αὐτὸ ἐν ἑαυτῷ εἶναι. εἰ γὰρ ὁ ἀμφορεὺς αὐτὸ τὸ σκεῦος ἐν ἑαυτῷ λέγοιτο εἶναι, ἐπειδὴ τὸ ἐν τῷ ἀμφορεῖ ὁ οἶνός ἐστιν, ἔσται ὁ ἐν ἑαυτῷ ἀμφορεὺς καὶ ἀμφορεὺς καὶ οἶνος. καὶ πάλιν εἰ ὁ οἶνος ἐν ἑαυτῷ ἐστιν, ἐπειδὴ τὸ ἐν ᾧ οἶνος ὁ ἀμφορεύς ἐστι, κατὰ μὲν τὸ ἐν ᾧ, ἀμφορεὺς ἔσται. κατὰ δὲ τὸ ἐν τούτῳ, οἶνος. καὶ οὕτω τὸ αὐτὸ ἀμφοτέρους ἕξει τοὺς λόγους τοὺς διαφέροντας, τόν τε ἐν ᾧ καὶ τὸν ἐν τούτῳ. ὅτι δὲ τοῦτο ἀδύνατον, πρόδηλον. ᾧ γὰρ οἱ διάφοροι ὁρισμοὶ ἐφαρμόττουσι, τοῦτο καὶ αὐτὸ διάφορον ἔσται. αὐτὸ δὲ ἑαυτοῦ τι καθ' ὅλον ἑαυτὸ διάφορον εἶναι, ἀδύνατον. καὶ πάνυ καλῶς ἐπὶ τοῦ αὐτοῦ παραδείγματος ἐποιήσατο τὸν λόγον, ἐφ' οὗ τὸ κατ' ἄλλο ἐν ἑαυτῷ εἶναι δυνατὸν ἔδειξεν. ἵνα ᾖ σαφὲς ἐπὶ τοῦ αὐτοῦ, ὅτι οὕτω μὲν ἐν ἑαυτῷ, ὡς καὶ τὸν οἶνον ἐν ἑαυτῷ, καὶ τὸν ἀμφορέα ἐν ἑαυτῷ, τὸν ἀμφορέα τοῦ οἴνου ἐν ἑαυτῷ ἀδύνατον εἶναι. εἰ δὲ ὡς ἄν τις ὅλως δύναιτο λέγειν, τοῦτο γάρ ἐστι τὸ, εἰ ὅτι μάλιστα ἐν ἀλλήλοις ἂν εἶεν, οὐχ ὅτι ἑκάτερον ἐν τῷ ἑτέρῳ, ἀλλ' ὅτι τὸ ἕτερον ἐν τῷ ἑτέρῳ. ὁ γὰρ οἶνος ἐν τῷ ἀμφορεῖ. καὶ ὁ ἀμφορεὺς δέξεται τὸν οἶνον, οὐ γινόμενος οἶνος, οὐδὲ δεχόμενος τὸν τοῦ οἴνου λόγον, ἀλλ' ᾗ οἶνον δεχόμενος τὸν οἶνον. ὁ δὲ οἶνος ἔσται ἐν τῷ ἀμφορεῖ, οὐχ ᾗ ἀμφορεὺς αὐτὸς, ἀλλ' ᾗ αὐτὸς μὲν οἶνος, ὁ δὲ δεχόμενος ἀμφορεύς ἐστι. μένει γὰρ ἑκάτερον ἐπὶ τῆς οἰκείας φύσεως, φυλάττοντα τὴν πρὸς ἄλληλα διαφοράν. ὡς ἐκ τούτων δῆλον εἶναι, ὅτι ἕτερον κατ' οὐσίαν ἐστὶ, καὶ ἕτερος ἑκατέρου λόγος, τοῦ τε ἐν ᾧ καὶ τοῦ ἐν τούτῳ. ᾧ ἀκολουθεῖ ἐναργῶς τὸ μὴ αὐτό τι ἐν ἑαυτῷ εἶναι. εἰ γὰρ ἕτερον τὸ ἐν ᾧ, καὶ ἕτερον τὸ ἐν τούτῳ, πῶς ἂν εἴη αὐτὸς ἐν ἑαυτῷ. καὶ οὕτως ἔδειξεν ὅτι πρώτως καὶ καθ' αὑτὸ οὐδέν ἐστιν ἐν ἑαυτῷ. καὶ μή τις οἰέσθω διὰ τοῦτο συνῆχθαι τὸ ἄτοπον, τὸ δύο ὁρισμοὺς τῷ αὐτῷ ἐφαρμόττειν, διὰ τὸ διπλοῦν ἐναργῶς ὑποτεθῆναι τὸν ἐν αὐτῷ ἀμφορέα οἴνου. κἂν γὰρ ἕν τι ὑποτεθῇ τὸ ἐν αὐτῷ, ἄλλον μὲν ἔχει λόγον καθόσον δεκτικὸν, ἄλλον δὲ καθόσον αὐτό ἐστιν ὃ δέχεται τὸ δεχόμενον.

A ἈΛΛᾺ ΜῊΝ, οὐδὲ κατὰ συμβεβηκὸς ἐνδέχεται. ἅμα γὰρ δύο σώματα ἐν τῷ αὐτῷ ἐν ἔσται. αὐτός τε γὰρ ἐν αὐτῷ ὁ ἀμφορεὺς ἔσται. εἰ οὗ ἡ φύσις δεκτικὴ, τοῦτ' ἐνδέχεται, ἐν ἑαυτῷ εἶναι. καὶ ἔτι ἐκεῖνο οὗ δεκτικόν ἐστιν, εἰ οἴνου ὁ οἶνος. ὅτι μὲν οὖν ἀδύνατον ἐν ἑαυτῷ τι εἶναι πρώτως δῆλον.

Δ εἰξας ὅτι πρώτως μὲν καὶ καθ' αὑτὸ οὐκ ἐνδέχεται αὐτὸ ἐν ἑαυτῷ εἶναι, κατ' ἄλλο δὲ δυνατὸν λέγεσθαι, ὅταν μέρους ὄντος ἐν μέρει τὸ ὅλον λέγηται κατὰ τὸ μέρος, ἐπειδὴ τῷ καθ' αὑτὸ καὶ πρώτως ἀντικεῖσθαι δοκεῖ τὸ κατὰ συμβεβηκὸς, ὑποπτεύσειεν ἄν τις ὡς κατὰ μέρος, οὕτω δὲ καὶ κατὰ συμβεβηκός τι αὐτὸ ἐν ἑαυτῷ εἶναι, δείκνυσιν ὅτι δὲ κατὰ τὸ συμβεβηκὸς αὐτό ἐστιν ἐν ἑαυτῷ. οὐ γὰρ ταὐτὸν τὸ κατὰ μέρος καὶ τὸ κατὰ συμβεβηκὸς ἀκριβολογουμένοις. κἂν γὰρ κοινὸν αὐτοῖς τὸ κατ' ἄλλο, ἀλλ' ἔστιν αὐτῶν διαφορά. τὸ γὰρ κατὰ συμβεβηκὸς δύναται καὶ καθ' ὅλον εἶναι. καὶ γὰρ ὁ ἐν τῇ νηὶ πλωτὴρ κατὰ συμβεβηκὸς μὲν λέγεται κινεῖσθαι, οὐ μὴν κατὰ μέρος. οὐ γάρ ἐστιν αὐτοῦ μέρος ἡ ναῦς. πάλιν δὲ κατὰ μέρος μέν τις ὁρᾶν λέγεται, ὡς κατὰ τοὺς ὀφθαλμοὺς ὁρῶν, οὐ μὴν καὶ κατὰ συμβεβηκός. καθ' αὑτὸ γὰρ ὑπάρχει τὸ τοῖς ὀφθαλμοῖς ὁρᾶν. ἀλλὰ καὶ ἀπεναντίας πως ἔχει τὸ κατὰ μέρος πρὸς τὸ κατὰ συμβεβηκός. τὸ μὲν γὰρ κατὰ μέρος, ὅταν ὅλον λέγηται κατὰ τὸ μέρος. ὡς εἰ λέγοιτο ἡ ναῦς τείζειν ὅτι ὁ ἱστός. καὶ τὸ ἐπὶ τοῦ ἀμφορέως τοῦ οἴνου πρότερον εἰρημένον. κατὰ συμβεβηκὸς δὲ, ὅταν τὸ μέρος κατὰ τὸ ὅλον. ὡς ὅταν ὁ πλωτὴρ κινεῖσθαι λέγηται, διότι ἡ ναῦς. καὶ τὸ σιμὸν, διότι ὁ Σωκράτης. τὸ γὰρ μέρος καὶ τὸ πάθος τῷ ὅλῳ συμβέβηκεν, ἀλλ' οὐχὶ τὸ ὅλον τούτοις. κατὰ συμβεβηκὸς οὖν κινεῖται τὸ συμβεβηκὸς καὶ τὸ κατὰ μέρος, οὐχ ὅταν αὐτὸ καθ' αὑτὸ κινῆται, ἀλλ' ὅταν τὸ λευκὸν γίνηται μέλαν, ἢ ὁ πλωτὴρ ἐν τῇ νηὶ περιπατῇ. ἀλλ' ὅταν ἐκεῖνο ᾧ συμβέβηκε κινῆται. λέγεται δὲ καὶ ὁ σίδηρος κατὰ συμβεβηκὸς καίειν, ὅταν τὸ ἐν αὐτῷ πῦρ καίῃ. ἀλλὰ κατὰ μέρος μᾶλλον ἢ κατὰ συμβεβηκός. κοινὸν γὰρ ὡς εἰπεῖν τὸ κατ' ἄλλο τῷ τε κατὰ

μέρος καὶ

μέρος καὶ τῷ κατὰ συμβεβηκός. ὡς οὖν ἐπὶ τῶν ἄλλων οὕτω καὶ ἐπὶ τοῦ ἔν τινι, κατὰ συμβεβη-
κὸς ἔν τινι λέγομεν εἶναι ἐκεῖνο, ὃ συμβεβηκὸς ἢ μέρος ἐστὶ τοῦ καθ' αὑτὸ ἔν τινι ὄντος. τό τε γὰρ
τὸ συμβεβηκὸς ἢ τὸ μέρος τοῦ καθ' αὑτὸ ἐν ὄντος, κατὰ συμβεβηκὸς λέγεται εἶναι ἐν ἐκείνῳ, ἐν ᾧ τὸ
καθ' αὑτό ἐστιν. οὕτω γοῦν τὰ τῷ σώματι συμβεβηκότα κατὰ συμβεβηκός ἐστιν ἐν τόπῳ, οἷον λευκό-
της καὶ θερμότης, τῷ τὸ σῶμα ἐν ᾧ ἐστι ταῦτα καθ' αὑτὸ εἶναι ἐν τόπῳ. οὕτως οὖν καὶ εἴ τι ἐν αὑτῷ
κατὰ συμβεβηκὸς εἴη, ἀνάγκη συμβεβηκέναι μέρος εἶναι τοῦ καθ' αὑτὸ ἐν ἑαυτῷ ὄντος. τούτῳ δὲ ἀ-
κολουθεῖ, τὸ εἰ ἔστι τι κατὰ συμβεβηκὸς ἐν ἑαυτῷ, δεῖν πάντως εἶναι πρὸ τούτου τὸ καθ' αὑτὸ ἐν ἑαυ-
τῷ. ὅπερ ἀδύνατον ἀποδέδεικται ἤδη. διὸ νῦν τοῦτο παρῆκε τὸ ἄτοπον ἐπάγειν. ἀκολουθεῖ δὲ καὶ
τὸ ἅμα δύο ἐν τῷ αὐτῷ εἶναι σώματα δηλονότι. περὶ γὰρ τούτων ὁ λόγος. εἰ γάρ τις λέγοι τὸν ἀμ-
φορέα ἐν ἑαυτῷ κατὰ συμβεβηκὸς εἶναι, ἐπειδὴ ἐκεῖνο ἐστὶ κατὰ συμβεβηκὸς ἔν τινι, ὃ τῷ καθ' αὑτὸ
ἔν τινι συμβέβηκεν, ἐπειδὴ ὁ οἶνος ἐν τῷ ἀμφορεῖ καθ' αὑτό, ἐὰν ὁ ἀμφορεὺς ἐν τῷ οἴνῳ κατὰ συμ-
βεβηκὸς ᾖ, ἔσται ὁ ἀμφορεὺς ἐν ἑαυτῷ κατὰ συμβεβηκός, καὶ ὁ οἶνος εἰ οἴνου ἐστὶν ἀμφορεὺς ἐν αὐτῷ
καθ' αὑτό. οὕτω μὲν οἶμαι ὁ Ἀσπάσιος. ὁ Ἀλέξανδρος δὲ γράφει οὕτως, οἷον εἰ ὁ οἶνος ἐν τῷ ἀμφορεῖ εἴη,
ὡς συμβεβηκὸς αὐτῷ ἢ ὡς μέρος αὐτοῦ, ὁ δὲ ἀμφορεὺς ἐν τῷ οἴνῳ καθ' αὑτό. οὕτω γὰρ ἂν ὁ οἶνος αὐ-
τὸς ἐν ἑαυτῷ κατὰ συμβεβηκὸς εἴη. ὅπερ τοῦ καθ' αὑτὸ ἐν ἑαυτῷ ὄντος οὐδὲν διαφέρει. ἀγνοῶ δὴ
πῶς τὸν οἶνον ἐν ἑαυτῷ κατὰ συμβεβηκὸς εἶπε, τοῦ Ἀριστοτέλους ἀκούων λέγοντος, αὐτός τε γὰρ ἐν
ἑαυτῷ ὁ ἀμφορεὺς ἔσται. ὅλως δὲ οὐδὲ δύναται ὁ οἶνος ἐν ἑαυτῷ κατὰ συμβεβηκὸς εἶναι, εἰ μὴ συμ-
βέβηκέ τινι τῷ καθ' αὑτὸ ὑπάρχοντι αὐτῷ. τί δὲ ἂν εἴη ἀκολουθότερον, τὸν οἶνον ἐν τῷ ἀμφορεῖ καθ'
αὑτὸ εἶναι, ἢ τὸν ἀμφορέα ὡς λέγει ἐν τῷ οἴνῳ. τὸ δὲ εἰ οὗ ἡ φύσις δεκτικὴ τοῦτο ἐνδέχεται ἐν ἑαυτῷ
εἶναι, ἀσάφειαν μὲν ἐποίησε τῷ λόγῳ μεταξὺ παραληφθέν. ἄτοπον δέ τι ἄλλο τῇ τοιαύτῃ ὑποθέ-
σει ἀκολουθοῦν ἐνεδείξατο, εἰ οὗ ἡ φύσις δεκτική ἐστι τοῦτο ἔν τινι γίνεσθαι, ἀλλὰ μὴ ἄλλο ἐν ἑαυτῷ.
συμβαίνει γὰρ τοῦτο τῷ λέγοντι τὸν ἀμφορέα αὐτὸν ἐν ἑαυτῷ εἶναι. δῆλον δὲ ὅτι κἂν τὸν οἶνον τις ἐν
ἑαυτῷ λέγῃ, συμβήσεται τὸ οὗ ἡ φύσις ἐν ἄλλῳ εἶναι ἐστί, τοῦτο δεκτικὸν εἶναι. ἀλλ' ἴσως ἐρεῖ τις ὅτι
παρὰ τὴν ὑπόθεσιν τοῦτο τὸ ἄτοπον συμβέβηκε, διότι ὁ ἀμφορεὺς οἴνου ἐστὶν ὁ ὑποτεθεὶς δεκτικὸς καὶ
ὁ ἀμφορεύς. τὸ δὲ οὐχ οὕτως ἔχει. ἀλλ' ἐπειδὴ τὸ κατὰ συμβεβηκὸς ἐν ἑαυτῷ ὂν τῷ καθ' αὑτὸ ἐν ἑαυτῷ
ὄντι συμβέβηκε, τὸ μὲν καθ' αὑτὸ δεκτικόν ἐστι, τὸ δὲ συμβεβηκὸς τούτῳ ἐν δεκτικῷ πέφυκεν εἶναι.
τὸ δὲ ἅμα γὰρ δύο ἐν τῷ αὐτῷ ἔσται, ὅτι μὲν ὡς ἄτοπον εἴρηται καὶ ἀδύνατον, δῆλον. δοκεῖ δὲ ἀ-
δύνατον εἶναι τὸ δύο ἅμα σώματα ἐν ταὐτῷ εἶναι. καὶ πάντες οἱ ἐξηγηταὶ οἷς ἐγὼ προσεντυχὴς γέγο-
να, τὸ ἀδύνατον ὡς ἐπὶ σωμάτων ἀκούουσι. μή ποτε δὲ οὐ μάτην οὐκ ὠνόμασε σώματα ὁ Ἀριστοτέ-
λης. ἀλλ' ἁπλῶς εἶπεν, ἅμα γὰρ δύο ἐν τῷ αὐτῷ ἔσται τό, τε δεκτικὸν καὶ τὸ ὑποδεχθέν, ἕτερα τῷ
εἴδει ὄντα κατ' αὐτὸ τοῦτο, καὶ ἄλλην φύσιν ἔχοντα ὡς ἔλεγε πρότερον. καὶ ὑπάρξουσι τῷ αὐτῷ
οἱ διαφέροντες λόγοι, ὅ, τε τοῦ δεκτικοῦ καὶ τοῦ ἐν αὐτῷ. ὅπερ ἀδύνατον. ὧν γὰρ διάφοροι οἱ λόγοι,
ταῦτα καὶ αὐτὰ διάφορα. ἀπορεῖ δὲ ὁ Ἀλέξανδρος, πῶς λέγεται μήτε καθ' αὑτὸ μήτε κατὰ συμ-
βεβηκὸς ἐν ἑαυτῷ εἶναι. εἰ γὰρ τὸ ὅλον ἐν τοῖς μέρεσι, τὰ δὲ μέρη ἐν τῷ ὅλῳ, ἔσται τὸ ὅλον ἐν τῷ ὅλῳ,
τουτέστιν ἐν ἑαυτῷ. ἀλλ' οὐ συνάγεται φησίν. οὐ γάρ ἐστιν ὁ μέσος ὅρος ὁ αὐτός. ἄλλος γὰρ ὁ πρῶτος
ἐστίν, ὅτε ἐλέγομεν τὸ ὅλον ἐν τοῖς μέρεσι, καὶ ἄλλος ὅτε ἐλέγομεν τὰ μέρη ἐν τῷ ὅλῳ. ἔτι δέ φησι
τὸ ἔν τινι ὡς ὁμώνυμον διῄρηται εἰς τὰ σημαινόμενα, οὐχ ὡς γένος εἰς εἴδη. δεῖ οὖν διορίσαι πῶς
ἐστὶν ἑκάτερον. καὶ ὅτι τὸ μὲν ὅλον ἐν τοῖς μέρεσιν ἀθρόως. τὰ δὲ μέρη ἐν τῷ ὅλῳ ὡς καθ' ἕκαστον.
πάντα γὰρ ἅμα, οὐκ ἐν τῷ ὅλῳ, ἀλλὰ τὸ ὅλον ἐστί. καὶ εἴρηται μετρίως ταῦτα. τοῦ μὲν γὰρ τῆς ἐ-
λάττονος προτάσεως ὅλου, κατηγορεῖσθαι τὸ ἐν τοῖς μέρεσιν εἶναι. τῷ δὲ ἐν τῇ μείζονι προτάσει ὅ-
λῳ, ὑπετέθη τὰ μέρη. εἰ οὖν ἄλλο τὰ μέρη, καὶ ἄλλο τὸ εἶναι ἐν τοῖς μέρεσι, δηλονότι μὴ ὄντος τοῦ
μέσου τοῦ αὐτοῦ οὐ συνάγεται τὰ ἄκρα. ἐπεὶ ὅ γε τοιοῦτος τοῦ παραλογισμοῦ τρόπος καὶ τὸ γένος ἐν
ἑαυτῷ ἔδειξεν ἂν εἶναι, καὶ τὸ εἶδος, καὶ τὴν οὐσίαν, καὶ τὸ συμβεβηκός. λέγομεν γὰρ τὸ γένος ἐν τῷ
εἴδει. τὸ εἶδος ἐν τῷ γένει. καὶ πάλιν τὸ εἶδος ἐν τῷ ἀτόμῳ. καὶ τὸ ἄτομον ἐν τῷ εἴδει. καὶ τὸ συμβε-
βηκὸς ἐν τῇ οὐσίᾳ. καὶ ἡ οὐσία ἐν τῷ συμβεβηκότι. ἀλλ' οὐδαμοῦ ὁ αὐτὸς ὅρος λαμβάνεται. καὶ διὰ
τοῦτο οὐ συνάγεται τὰ ἄκρα. τὸ δὲ λέγειν ὅτι τὰ μέρη ἐν τῷ ὅλῳ καθ' ἕκαστόν ἐστιν, ἀλλ' οὐχὶ πάν-
τα, πῶς ἔχει λόγον. ἢ ὅτι ἡ τῶν μερῶν ἄθροισις τῷ ὄντι τὸ ὅλον ἐστί. τότε οὖν ἐν τῷ ὅλῳ λέγεται,
ὅταν ὡς καθ' ἕκαστα μὲν ληφθῇ, οὐ πάντῃ δὲ ἀπεσπασμένα. οὐ γὰρ ἂν ἔτι μέρη εἴη. ἀλλ' ὁ μὲν Ἀλέξαν-
δρος καίτοι εἰωθὼς καὶ ἐφ' ὧν μηδὲν πρὸς ἔπος τὸν Πλάτωνα παράγειν εἰς ἐξέτασιν, οὐκ οἶδα ὅπως
ἐνταῦθα τοῦ Πλάτωνος ἐπελάθετο μᾶλλον. ἔστι δὲ ὁ δεικνὺς τὸ ὅλον ἐν ἑαυτῷ λόγος ἐκ τοῦ Παρμε-
» νίδου ἔχων οὕτως περὶ τοῦ ἑνὸς τοῦ ὅλου λεχθέντος. ἆρ' οὖν οὕτως ἔχον οὐκ αὐτό τε ἐν ἑαυτῷ ἔσται,
» καὶ ἐν ἄλλῳ; πῶς. τῶν μερῶν που ἕκαστον ἐν τῷ ὅλῳ ἐστί, καὶ οὐδὲν ἐκτὸς τοῦ ὅλου. οὕτως. πάντα δὲ τὰ
» μέρη ὑπὸ τοῦ ὅλου περιέχεται. τί μήν. καὶ τά γε πάντα μέρη τὰ αὐτοῦ τὸ ἕν ἐστι, καὶ οὔτε τι πλέον
» οὔτε τι ἔλαττον ἢ πάντα. οὐ γάρ. οὐκοῦν καὶ τὸ ὅλον ἕν ἐστι. πῶς δ' οὔ. εἰ ἄρα πάντα τὰ μέρη ἐν ὅλῳ

τυγχάνει ὄντα, ἔστι δὲ τά τε πάντα τὸ ἕν, καὶ αὐτὸ τὸ ὅλον, περιέχεται δὲ ὑπὸ τοῦ ὅλου τὰ πάντα
καὶ ὑπὸ τοῦ ἑνός, ὑπὸ τοῦ ἑνὸς ἂν περιέχοιτο τὸ ἕν. καὶ οὕτως ἂν ἤδη τὸ ἓν αὐτὸ ἐν ἑαυτῷ εἴη.
ἔστι δὲ τὸ συλλελογισμένον ἐν τούτοις. ὅτι τὸ ὅλον τὰ μέρη ἐστί. καὶ ὅτι πάντα τὰ μέρη περιέχε-
ται ἐν τῷ ὅλῳ. καὶ ὅτι τὰ περιεχόμενα ἐν τῷ ὅλῳ, ἐν τῷ ὅλῳ ἐστίν. ὥστε τὸ ὅλον ἐν τῷ ὅλῳ, του-
τέστιν ἐν ἑαυτῷ ἐστι. καὶ οἱ μέσοι ὅροι οἱ αὐτοὶ ἐλήφθησαν καὶ οὐχ ἕτεροι. ἐπειδὴ δὲ τὸ ἓν ἐστὶ τὸ λε-
χθὲν ὅλον, συμβαίνει εἰκότως ὅτι τὸ ἓν τὸ ὡς ὅλον ἐν ἑαυτῷ ἐστι. καὶ δηλονότι αἱ μὲν ἄλλαι προ-
τάσεις ἐναργεῖς εἰσι. καὶ ὅτι πάντα τὰ μέρη περιέχεται ἐν τῷ ὅλῳ. καὶ ὅτι τὰ περιεχόμενα ἐν
τῷ ὅλῳ ἐστίν. ἡ δὲ ἐλάττων πρότασις ἡ κυριωτέρα ἐν τῷ συλλογισμῷ ἐστιν, ἡ λέγουσα τὸ ὅλον πάν-
τα τὰ μέρη ἐστίν. ἣν καὶ αὐτὸς ὁ ἀριστοτέλης ὁμολογεῖ, λέγων οὐ γάρ ἐστι παρὰ τὰ μέρη τὸ ὅλον. εἰ
τοίνυν καὶ ἀριστοτέλης καὶ πλάτων ὀρθῶς συνελογίσαντο, ὁ μὲν ἀριστοτέλης ὅτι ἀδύνατον ἐν ἑαυ-
τῷ τι εἶναι πρώτως, ὁ δὲ πλάτων ὅτι τὸ ἓν ὅλον ἐν ἑαυτῷ ἐστι, δηλονότι ὁ μὲν ἀριστοτέλης ἐπὶ τῶν
σωματικῶν ἔδειξεν. εἰ γὰρ χρὴ τὸ ἐν ἑαυτῷ κυρίως ὂν μὴ κατὰ μέρος εἶναι, ἀλλ' ὅλον ἐν ὅλῳ, σῶμα
δὲ τὸ διῃρημένα ἔχον τὰ μέρη, πῶς τοῦτο ἂν ὅλον ἐν ὅλῳ εἴη. διὸ καὶ τὰ παραδείγματα ἐποιήσα-
το, ὡς ἐπὶ διάφορα τὰ μέρη ἔχοντος, οἷον τοῦ ἀμφορέως τοῦ οἴνου. εἰ δὲ μὴ ὅλον ἐν ὅλῳ, οὐδ' ἂν αὐτὸ
ἐν ἑαυτῷ εἴη κυρίως. εἰ δέ τι ἀσώματον ὅλον εἴη, μέρη μὲν ἔχον οὐ μεμερισμένα δέ, ἀλλ' ἀμερίστοις
διαφοραῖς διακεκριμένα, ὧν ἑκάστη δι' ὅλου χωρεῖ, ἀληθὲς ἐπὶ τούτου λέγειν, ὅτι ὅλον ἐν ὅλῳ καὶ
αὐτὸ ἐν ἑαυτῷ ἐστιν. ἐπὶ τούτου δὲ καὶ ἐπαληθεύει κυρίως τὸ ὅλον πάντα τὰ μέρη εἶναι. διότι μένει
ἐν τῇ συνοχῇ τοῦ ὅλου τὰ μέρη. ὥστε ἕκαστον διὰ τὴν ἀμέριστον ἕνωσιν ὥσπερ τὸ ὅλον ὁρᾶσθαι. ἐπὶ μέν-
τοι τῶν σωμάτων φεῦγον ἕκαστον εἰς τὴν οἰκείαν περιγραφὴν ἀποσπᾶται τοῦ ὅλου. ὥστε κἂν μὴ
ὑποκείμενα διαφορὰ ᾖ τοῦ τε ὅλου καὶ τῶν μερῶν, ἀλλ' οὐδὲ ταὐτόν ἐστιν ἁπλῶς ὅλον καὶ τὰ μέρη
διὰ τὸν μερισμόν. διττὸν δὲ τὸ μὴ ἐν ἑαυτῷ, τὸ μὲν κατὰ τὸ χεῖρον τοῦ ἐν ἑαυτῷ, τὸ δέ, κατὰ τὸ κρεῖτ-
τον. καὶ τὸ μὲν κατὰ τὸ χεῖρον, καθόσον ἐπὶ τῶν μεριστῶν, οὐ δύνανται τῷ ὅλῳ ἐφαρμόττειν οἱ
διάφοροι ὁρισμοί, ὅ τε τοῦ δεκτικοῦ καὶ ὁ τοῦ ἐν αὐτῷ, ἤτοι τοῦ περιέχοντος καὶ τοῦ περιεχομένου.
ὡς ὁ ἀριστοτέλης ἀπέδειξε. κατὰ δὲ τὸ κρεῖττον ὅτι ἡ τοῦ ἑνὸς ἁπλότης, οὐδὲ τὴν ἀμέριστον διαφο-
ρὰν τοῦ περιέχοντος καὶ περιεχομένου ἐπιδέχεται. ὡς καὶ τοῦτο ἔδειξεν ὁ πλάτων ἐν τῇ πρώτῃ
» τῶν ἐν παρμενίδῃ ὑποθέσεων λέγων, ἀλλὰ μὴν αὐτό γε ἐν ἑαυτῷ ὄν, κἂν αὐτὸ εἴη περιέχον, οὐκ
» ἄλλο ἢ αὐτό, εἴπερ καὶ ἐν ἑαυτῷ εἴη. ἔν τῳ γάρ τι εἶναι μὴ περιέχοντι, ἀδύνατον. ἀδύνατον γάρ.
» οὐκοῦν ἕτερον μὲν ἄν τι εἴη αὐτὸ περιέχον, ἕτερον δὲ τὸ περιεχόμενον. οὐ γὰρ ὅλον γε ἄμφω ταὐτὸν
» ἅμα πείσεται καὶ ποιήσει. καὶ οὕτω τὸ ἓν οὐκ ἂν εἴη ἔτι ἕν, ἀλλὰ δύο. καὶ δηλονότι εἰ μὴ περὶ ἄλλου
ταῦτα ἑνός, καὶ περὶ ἄλλου τὰ πρότερον ἐκτεθέντα ἐλέγετο, σαφῶς ἂν εἴη ἐναντία. καὶ οὐκ ἦν
εἰκὸς πλάτωνα οὕτω τὰ ἐναντία περὶ αὐτῶν λέγειν καὶ ἐν τῇ α' καὶ β' τῶν ὑποθέσεων, ὅπου
μὲν ἀποφάσκοντα πάντα τοῦ ἑνός, ὅπου δὲ καταφάσκοντα. ὁ μέντοι ἀριστοτέλης τὴν σωματικὴν
φύσιν ἔδειξε μὴ οὖσαν ἐν ἑαυτῇ, καὶ περὶ ταύτας συνεπεράνατο. ὅτι μὲν οὖν ἀδύνατον ἐν ἑαυτῷ
τι εἶναι πρώτως, δῆλον. καὶ γὰρ οὔτε τὸ μὴ ἔχον ὅλως διπλόην, ὥσπερ τὸ ἓν εἴη ἂν ἐν ἑαυτῷ, οὔτε
τὸ ἔχον μεμερισμένην τὴν διπλόην ὥσπερ τὰ σώματα. ἀλλὰ τὰ διπλόην ἔχοντα μετὰ ἁπλό-
τητος. ὅτι καὶ ταὐτὸν ἐν ἑαυτῷ τοιοῦτον ἁπλοῦν τι ἅμα καὶ διπλοῦν ὄν. ἀλλὰ πῶς ἡ τοῦ πλά-
τωνος ἀπόδειξις οὐχ ἁρμόσει καὶ τῷ ἀριστοτέλει. ὥστε καὶ κατ' αὐτὸν τὸ ὅλον ἐν ἑαυτῷ εἶναι. ἢ ὅτι
ἡ ἐλάττων πρότασις διάφορος. ὁ μὲν γὰρ πλάτων τὸ ὅλον πάντα τὰ μέρη φησὶν εἶναι διὰ τὴν ἀμέ-
ριστον ἕνωσιν. ὁ δὲ ἀριστοτέλης, οὐ γάρ ἐστι φήσας παρὰ τὰ μέρη τὸ ὅλον, ἐν τῷ ὑποκειμένῳ θεωρεῖ τὴν
ταὐτότητα.

ὋΔΕ ζήνων ἠπόρει, ὅτι εἰ ὁ τόπος ἐστί τι, ἐν τίνι ἔσται, λύειν οὐ χαλεπόν. οὐδὲν γὰρ κωλύει, ἐν ἄλλῳ
μὲν εἶναι τὸν πρῶτον τόπον, μὴ μέντοι ὡς ἐν τόπῳ ἐκείνῳ, ἀλλ' ὥσπερ ἡ μὲν ὑγίεια ἐν τοῖς θερμοῖς
ὡς ἕξις. τὸ δὲ θερμὸν ἐν τῷ σώματι, ὡς πάθος ὥστ' οὐκ ἀνάγκη εἰς ἄπειρον ἰέναι.

Ὁ ζήνωνος λόγος ἀναιρεῖν ἐδόκει τὸν τόπον, ἐρωτῶν οὕτως. εἰ ἔστιν ὁ τόπος, ἔν τινι ἔσται. πᾶν γὰρ
ὂν ἔν τινι. τὸ δὲ ἔν τινι, καὶ ἐν τόπῳ. ἔσται ἄρα καὶ ὁ τόπος ἐν τόπῳ. καὶ τοῦτο ἐπ' ἄπειρον. οὐκ ἄρα
ἐστὶν ὁ τόπος. μέλλων οὖν ἐπὶ τὴν εὕρεσιν τοῦ τόπου χωρεῖν, λύει πρῶτον ταύτην τὴν ἀπορίαν ἐκ
τῆς τοῦ ἔν τινι διαιρέσεως, ἣν προσέλαβεν εἰκότως. εἰκότως δὲ καὶ τὸ μηδὲν εἶναι ἐν ἑαυτῷ προαπέ-
δειξεν. ἵνα μή τις οἰηθῇ τὸν ζήνωνος λύειν λόγον, λέγων τὸ μὲν σῶμα ἐν τόπῳ, τὸν δὲ τόπον ἐν ἑαυτῷ,
καὶ οὕτω τὸ ἐπ' ἄπειρον ἱστάνειν. μᾶλλον οὖν ἐκ τῆς τοῦ ἔν τινι διαφορᾶς λύει οὕτως. εἰ μὲν γὰρ μοναχῶς
τὸ ἔν τινι ἐπὶ τοῦ ἐν τόπῳ ἐλέγετο, ἄλυτος ἂν ἦν ἡ τοῦ ζήνωνος ἀπορία. εἴπερ πᾶν τὸ ὂν εἴτε τὸ ἁπλῶς
εἴτε τὸ σωματικὸν ἔν τινι ἐστίν. ὡς οἱ παλαιοὶ πάντες ἐδόξαζον, ὀνειροπολοῦντες τὴν ἐν τῇ ὕλῃ ὡς ὁ
πλάτων φησὶ τῶν εἰδῶν ὑπόστασιν. ἐπεὶ δὲ πολλαχῶς λέγεται τὸ ἔν τινι, οὐδὲν κωλύει τὸν τόπον ἐν ᾧ
ἐστι τὸ σῶμα, εἶναι μὲν καὶ αὐτὸν ἔν τινι, οὐ μὴν ἐν τόπῳ. οὐδὲν γὰρ κωλύει τὸ μέν, ἐν ἄλλῳ εἶναι, τὸ δὲ ἐν ἄλλῳ.
ἡ γὰρ ὑγεία ἐν θερμοῖς, ἀλλ' ὡς ἕξις. τὸ δὲ θερμὸν ἐν σώματι, ἀλλ' ὡς πάθος. τὸ δὲ σῶμα ἐν τόπῳ. δια-

φορεῖ

φέρει δὲ ἡ ἕξις τοῦ πάθους, καθόσον ἡ μέν· τελειότης καὶ εἶδος ἐστὶν, ὡς καὶ πρότερον ἐμνημόνευσε. τὸ δὲ,
διάθεσις εὐαπόβλητος καὶ οὐκ οὐσιοποιός. τοιαῦται γὰρ καὶ ἐν κατηγορίαις αἱ παθητικαὶ ποιότητες ἐ-
λέγοντο. οὕτω δὲ οὐδὲν κωλύει τὸ μὲν σῶμα ἐν τόπῳ εἶναι, τὸν δὲ τόπον ἐν ἄλλῳ τινὶ, ὡς τὸ πέρας ἐν ᾧ
οὗ ἐστι πέρας, καὶ ἡ ἐπιφάνεια ἐν τῷ σώματι. ἀλλὰ καλῶς ὁ ἀλέξανδρος ζητεῖ κατὰ τίνα τῶν προει-
ρημένων τοῦ ἔν τινι τρόπων ἡ ἐπιφάνεια ἐστὶν ἐν τῷ σώματι, καὶ ὅλως τὸ πέρας ἐν τῷ περατουμένῳ,
πότερον ὡς πάθος, ἢ ἕξις, ἢ ὅλως ὡς ἐν ὑποκειμένῳ, ἢ μᾶλλον ὡς μέρος ἐν ὅλῳ. μέρος γάρ πως ἡ
ἐπιφάνεια, ἡ μὲν, ὡς πέρας τοῦ πεπερασμένου σώματος, ἡ δὲ κατὰ μῆκος καὶ πλάτος ἀφωρισμένη,
μέρος ἐστὶ τοῦ σώματος τοῦ κατὰ τὰς τρεῖς διαστάσεις οὐσιωμένου. πρώτως δὲ τόπον εἶπε, τὸν προσε-
χῶς περιέχοντα. ἐπειδὴ καὶ ὁ ἀὴρ σῶμα ὢν λέγεται εἶναι τόπος τινὸς, ὅταν ἡ τούτου πέρας ὁ προ-
σεχῶς περιέχων τόπος. ἐν δὴ τούτοις ἄξιά μοι δοκεῖ ζητήσεως, πρῶτον μὲν πῶς λύεται ὁ ζήνωνος
λόγος ἀπὸ τῆς τοῦ ἔν τινι διαφορᾶς, εἴπερ πᾶν τὸ ὂν ἔν τινι ἐστὶν ἑτέρῳ. κἂν γὰρ τὸ σῶμα ἔν τινι ὡς
ἐν τόπῳ, ὁ δὲ τόπος ἔν τινι ὡς πέρας, κἀκεῖνο πάλιν ἔν τινι ἔσται, κἀκεῖνο. καὶ οὕτως ἐπ' ἄπει-
ρον. δεύτερον δὲ, πῶς ἐνταῦθα μὲν τὸν ζήνωνος λύει λόγον ἐκ τῆς τῶν ἔν τινι διαφορᾶς, ὡς τοῦ ζή-
νωνος οὕτως ἐρωτῶντος, εἰ ὁ τόπος ἐστί τι, ἔν τινι ἔσται. πρότερον δὲ ἔλεγεν ἡ γὰρ ζήνωνος ἀπορία ζη-
τεῖ τινα λόγον. εἰ γὰρ πᾶν τὸ ὂν πού ἐστι, δηλονότι καὶ τοῦ τόπου τόπος ἔσται. εἰ γὰρ μὴ ἔν τινι ἀλλ' ἐν τό-
πῳ ἔλεγε τὸ ὂν ἄντικρυς, πῶς ἔτι δυνατὸν ἦν διὰ τῆς τῶν ἔν τινι διαφορᾶς λῦσαι τὴν ἀπορίαν
λέγοντα ὡς νῦν εἴρηται, ὅτι τὸ μὲν σῶμα ἐν τόπῳ, ὁ δὲ τόπος ἐν ἄλλῳ, εἴπερ καὶ αὐτὸς διὰ τὸ τῶν
ὄντων εἶναι ἐν τόπῳ ἐστί. καὶ πρὸς μὲν τοῦτο ῥητέον, ὅτι ἔοικεν ἐν μηδετέρῳ τούτων τῶν χωρίων
ἐπ' αὐτῆς θεῖναι τῆς λέξεως τὸν ζήνωνος λόγον, ἀλλ' ἐκείνου μέσον τι εἰπόντος, ὅπερ ἐδύνατο καὶ
εἰς τὸ ἐν τόπῳ μεταλαμβάνεσθαι, καὶ εἰς τὸ ἔν τινι, αὐτὸς τὴν μὲν ἀπορίαν ἐπιτιμῶν, εἰς τὸ ἐν τόπῳ
μετέλαβε. τῇ δὲ λύσει συνεργῶν, εἰς τὸ ἔν τινι. τί οὖν τοῦτο τὸ μέσον ἐστὶν, ἢ τὸ ποῦ. τοῦτο γὰρ ὡς ἔοικε
καὶ τὸ ἐν τόπῳ καὶ τὸ ἔν τινι σημαίνει. καὶ αὐτὸς ὁ ἀριστοτέλης ἐμνήσθη τοῦ ποῦ, πρὸ τοῦ θεῖναι τὸν ἕτε-
ρον λόγον, εἰπὼν, ἔτι δὲ καὶ αὐτὸς εἰ ἔστι τῶν ὄντων, ποῦ ἔσται. τὸν δὲ λόγον ἐρωτῶν, εἰς τὸ ἐν τόπῳ
τὸ ποῦ μετέλαβεν, εἰπὼν, εἰ γὰρ πᾶν τὸ ὂν ἐν τόπῳ. καὶ ὁ εὔδημος δὲ οὕτως ἱστορεῖ τὴν ζήνωνος
δόξαν, λέγων, ἐπὶ ταυτὸν δὲ καὶ ἡ ζήνωνος ἀπορία φαίνεται ἄγειν. ἀξιοῖ γὰρ πᾶν τὸ ὂν πού εἶναι. εἰ
δὲ ὁ τόπος τῶν ὄντων, ποῦ ἂν εἴη. οὐκοῦν ἐν ἄλλῳ τόπῳ. κἀκεῖνος δὴ ἐν ἄλλῳ. καὶ οὕτως εἰς τὸ πρό-
σω. καὶ ὁρᾷς ὅτι καὶ ὁ εὔδημος πρὸς τὸ τῆς ἀπορίας χρήσιμον, τὸ ποῦ εἰς τὸ ἐν τόπῳ μετέλαβεν. ὅπως
δὲ καὶ αὐτὸς ἐξέλαβε τὸ ποῦ, καὶ ὅτι κατὰ κοινὸν σημαινόμενον, δῆλον γίνεται ἐν οἷς λύει καὶ αὐτὸς
τὸν ζήνωνος λόγον, γράφων οὕτως. πρὸς δὲ ζήνωνα φήσομεν πολλαχῶς τὸ ποῦ λέγεσθαι. εἰ μὲν οὖν
ἐν τόπῳ ἠξίωκεν εἶναι τὰ ὄντα, οὐ καλῶς ἀξιοῖ. οὔτε γὰρ ὑγείαν, οὔτε ἀνδρίαν, οὔτ' ἄλλα μυρία
φαίη τις ἂν ἐν τόπῳ εἶναι. οὐδὲ δὴ ὁ τόπος τοιοῦτος ὢν, οἷος εἴρηται. εἰ δὲ ἄλλως τὸ ποῦ, κἂν ὁ τόπος
εἴη πού. τὸ γὰρ τοῦ σώματος πέρας ἐστὶ, τοῦ σώματος πού. ἔσχατον γάρ. καὶ ὁ ἀλέξανδρος δὲ ἐξηγού-
μενος πρότερον ἐκεῖνο τὸ χωρίον, τὸ λέγον πάντων δὲ κυριώτατον τὸ ὡς ἐν ἀγγείῳ καὶ ὅλως ἐν τό-
πῳ, σαφῶς λέγει ὅτι ἰσοδυναμεῖ τὸ ἔν τινι τῷ πού. τὸ γὰρ ποῦ φησὶ κοινὸν μέν ἐστι τῶν ἄλλων. καὶ
γὰρ τὸ μέρος ἐν τῷ ὅλῳ ὂν, πού ἐστιν. ἰδίως δὲ καὶ μάλιστα εἴωθε τὸ ποῦ ἐπὶ τῶν ἐν τόπῳ ὄντων καὶ
τῶν ἐν ἀγγείῳ λέγεσθαι. πρὸς δὲ τὴν πρώτην ἀπορίαν ῥητέον, ὅτι πρὸς μὲν τὸν ζήνωνος λόγον, εἰς
ἄτοπον ἀπάγοντα τὸ τὸν τόπον ἐν τόπῳ εἶναι, αὐτάρκης ἐστὶ λύσις ἡ ἀπὸ τῆς τοῦ ἔν τινι, ἤτοι ἀπὸ τῆς
τοῦ ποῦ διαφορᾶς. οὐ γὰρ ἔτι ὁ τόπος ἐν τόπῳ ἔσται. ὅπερ ἄτοπον ἐπῆγεν ὁ ζήνων. πρὸς δέ γε
τὴν ὑπ' ἐμοῦ ῥηθεῖσαν ἀπορίαν τὴν λέγουσαν, ὅτι κἂν μὴ ἐν τόπῳ, ἀλλὰ πού, καὶ ἐν ἑτέρῳ, καὶ τοῦτο
ἐν ἑτέρῳ, καὶ εἰς ἄπειρον, ὁ ἀριστοτέλης αὐτὸς ὑπαντήσει, ἐν τῷ τέλει τοῦ περὶ τοῦ τόπου προβλή-
ματος, πρὸς αὐτὴν τὴν ἀρχὴν τῆς ἐρωτήσεως ἐνιστάμενος. οὐ γὰρ συγχωρεῖ τὸν οὐρανὸν ἢ τὸ πᾶν ποῦ
εἶναι, ἢ ἔν τινι ὅλως, ὥς τε εἶναι τὸ παρ' αὐτὰ ἄλλο. καὶ ἀκουσόμεθα λέγοντος αὐτοῦ, τὸ δὲ πᾶν οὐ
πού. τὸ γὰρ πού αὐτό τε ἔστι τι, καὶ ἔτι ἄλλό τι δεῖ εἶναι παρὰ τοῦτο ἐν ᾧ περιέχεται. παρὰ δὲ τὸ πᾶν
καὶ ὅλον οὐδέν ἐστιν. οὐ δὲ ἔστιν οὐδὲν ἔξω τοῦ παντός. καὶ διὰ τοῦτο ἐν τῷ οὐρανῷ πάντα. ὥς τε τῶν
μὲν τοῦ παντὸς μερῶν ἄλλο ἐν ἄλλῳ οὐδὲν κωλύει εἶναι. τὸ δὲ πᾶν οὐκ ἂν εἴη ἐν ἑτέρῳ. οὐ γάρ ἐστι
τι παρὰ τὸ πᾶν. εἰ μὴ ἄρα ὡς ὅλον ἐν τοῖς μέρεσι τοῖς ἑαυτοῦ. καὶ οὕτως ἡ εἰς ἄπειρον προχώρη-
σις ἵσταται.

ἘΚΕΙΝΟ δὲ φανερὸν, ὅτι ἐπεὶ οὐδὲν τὸ ἀγγεῖον τῶν ἐν αὐτῷ. ἕτερον γὰρ τὸ, πρώτως ὅ, τε καὶ ἐν ᾧ,
οὐκ ἂν εἴη οὔτε ἡ ὕλη, οὔτε τὸ εἶδος ὁ τόπος. ἀλλ' ἕτερον. ἐκείνου γάρ τι ταῦτα τοῦ ἐνόντος καὶ ἡ ὕλη
καὶ ἡ μορφή. ταῦτα μὲν οὖν ἔσω διηπορημένα.

Ὁ μὲν τοῦ ζήνωνος λόγος ἐκ τοῦ τὸν τόπον ἐν τόπῳ εἶναι τὸ ἐπ' ἄπειρον ἐπειρᾶτο δεικνύναι. αὐτὸς δὲ
τὸ ἄλλο ἐν ἄλλῳ συγχωρήσας, οὐ μέντοι τὸν τόπον ἐν τόπῳ, καὶ ἐκ τούτου λύσας τὴν ἀπορίαν,
ὥσπερ πόρισμα ἐθεάσατο ἐκ τοῦ ἄλλο ἐν ἄλλῳ, τὸ μήτε τὴν ὕλην μήτε τὸ εἶδος τόπον εἶναι. ὡς
εἰ ἔλεγε λέλυται μὲν ἡ ζήνωνος ἀπορία, ἐκ τοῦ ἄλλο ἐν ἄλλῳ κατ' ἄλλον εἶναι τρόπον. ἐκ δὲ τοῦ

ἄλλο ἐν ἄλλῳ φανερὸν, ὅτι οὔτε ἡ ὕλη, οὔτε τὸ εἶδος τόπος ἐστίν. ἕτερον γάρ τό, τε ἐν ᾧ, καὶ τὸ ἐν τούτῳ. τὸ δὲ ἀγγεῖον καὶ ὁ τόπος δεκτικὸς τῶν ἐν αὐτοῖς γινομένων πρώτως ἐστίν. ἕτερα αὐτῶν. καὶ τὸ μὲν ἀγγεῖον ἀντὶ τοῦ τόπου παρέλαβεν, ὡς προφανὲς τῇ αἰσθήσει καὶ ἐναργῶς ἕτερον τῶν ἐν αὐτῷ, διὰ δὲ τὸ ἕτερον εἶναι τῶν ἐν αὐτῷ, οὐδὲν τῶν ἐν αὐτῷ ἐστιν. εἰ δὲ τοῦτο, οὐκ ἂν εἴη οὔτε ὕλη οὔτε εἶδος ὁ τόπος, ἀλλ᾽ ἕτερον. τοῦ γὰρ ἐν τόπῳ ὄντος ἐστὶ ταῦτα. παρατίθεται δὲ τοῦτο καὶ νῦν μέλλων προλαμβάνειν τὰ καθ᾽ αὑτὸ ὑπάρχοντα τῷ τόπῳ, ὡς κυριώτατον ὂν τῶν ὑπαρχόντων αὐτῷ τὸ ἕτερον τῶν ἐν αὐτῷ εἶναι. πανταχόθεν δὲ σκέψασθαι τοὺς περὶ τόπου λόγους, ἐπάγει ταῦτα μὲν ἡμῖν ἔστω διηπορημένα. οὐχ ὅτι μηδὲν τῶν μέχρι νῦν εἰρημένων ἀποδεικτικῶς εἴρηται, πολλὰ γὰρ οὕτως ἐῤῥέθη, ἀλλ᾽ ὡς ἀπόρου καὶ τοῦ εἶναι τὸν τόπον φανέντος, διὰ τὸ δυσκατάληπτον τῆς οὐσίας αὐτοῦ.

Τ Ι Δ Ε᾽ ποτ᾽ ἔστιν ὁ τόπος, ὧδ᾽ ἂν γένοιτο φανερόν. λάβωμεν δὲ περὶ αὐτοῦ, ὅσα δοκεῖ ἀληθῶς καθ᾽ αὑτὸ ὑπάρχειν αὐτῷ. ἀξιοῦμεν δὴ τὸν τόπον εἶναι πρῶτον μὲν περιέχον ἐκεῖνο, οὗ τόπος ἐστί. καὶ μηθὲν τοῦ πράγματος εἶναι, ἔτι τὸν πρῶτον τόπον. μήτε ἐλάττω μήτε μείζω. ἔτι μήτε ἀπολείπεσθαι ἑκάστου καὶ χωριστόν. πρὸς δὲ τούτοις. πάντα τόπον ἔχειν τὸ ἄνω καὶ κάτω. καὶ φέρεσθαι φύσει καὶ μένειν ἐν τοῖς οἰκείοις τόποις ἕκαστον τῶν σωμάτων. τοῦτο δὲ ποιεῖν ἢ ἄνω, ἢ κάτω. ὑποκειμένων δὲ τούτων, τὰ λοιπὰ θεωρητέον.

Ἐ πὶ τὴν τόπου εὕρεσιν λοιπὸν τραπεὶς, ἐπειδὴ δύσκολος ἐφάνη πανταχόθεν ὁ λόγος, ὥσπερ ἔθος ἐπὶ τῶν μὴ αὐτόθεν φαινομένων ὁρισμῶν, ἀπὸ τῶν καθ᾽ αὑτὸ ὑπαρχόντων τῷ τόπῳ, τὸν ὁρισμὸν αὐτοῦ συνάγειν πειράσεται. καὶ προλαμβάνει ἀπὸ τῶν περὶ τόπου κοινῶν ἐννοιῶν ἕξ τινὰ ἀξιώματα, καὶ διὰ τῶν ἤδη ῥηθέντων ἀποδειχθέντα. ὧν πρῶτον ὅτι περιέχει ὁ τόπος τὰ ἐν τόπῳ. τοῦτο γὰρ καὶ ἐκ τῆς πρὸς τὸ ἀγγεῖον ὁμοιότητος αὐτοῦ φανερὸν γίνεται. καὶ μέντοι καὶ διὰ τῶν παραδειγμάτων ὑπέδειξε, τὸ κυρίως τὸν τόπον νομίζεσθαι τὸ πρώτως περιέχον. ὅλως δὲ τὸ ἔν τινι πᾶν περιέχεσθαι δοκεῖ ὑπ᾽ ἐκείνου τοῦ ἐν ᾧ ἐστι. δεύτερον, τὸ μηδὲν εἶναι τὸν τόπον τοῦ ἐν τόπῳ. καὶ τοῦτο γὰρ ὑπέμνησεν δι᾽ ὧν ἐδείκνυτο, ὅτι μήτε ὕλη μήτε τὸ εἶδος τόπος ἐστί. τρίτον τὸ τὸν πρῶτον τόπον μήτε μείζονα μήτε ἐλάσσονα τοῦ ἐν τόπῳ ἦ, ἀλλ᾽ ἴσον. εἴτε γὰρ μεῖζον εἴη, οὐκ αὐτοῦ μόνου ἔσται τόπος. εἴτε ἐλάττων, οὐχ ὅλου αὐτοῦ. τέταρτον, τὸ μήτε ἀπολείπεσθαι ἑκάστου, καὶ χωριστὸν εἶναι. τουτέστι μήτε εἶναι ποτὲ καθ᾽ αὑτὸν ἐκτὸς σώματος, καὶ ὅμως μετὰ σώματος ὄντα, χωριστὴν τοῦ ἐν ἑαυτῷ σώματος ἔχειν τὴν ὑπόστασιν. τὸ δὲ μὴ εἶναι ἐκτὸς σώματος ἴσως τῇ τοῦ κενοῦ ἀναιρέσει θαῤῥῶν ἠξίωσε. καὶ ἔστιν αὕτη ἡ γραφὴ καὶ πλέον τι δηλοῦσα, καὶ καινοπρεπέστερον τὰ ἀντικεῖσθαι δοκοῦντα συνάγουσα. ἔστι καὶ ἄλλη τοιαύτη, ἔτι ἀπολείπεσθαι ἑκάστου, καὶ χωριστόν. καὶ ἔστιν αὕτη σαφής. ἴσον γὰρ τὸ ἀπολείπεσθαι τῷ χωριστόν. καὶ λέγοι ἂν τοιοῦτον εἶναι τὸν τόπον, ὡς μεταχωροῦντος τοῦ ἐν αὐτῷ, αὐτὸν ἀπολείπεσθαι καὶ χωρίζεσθαι. πέμπτη τόπου ἔννοια, τὸ διαφορὰς ἔχειν τὸ ἄνω καὶ κάτω. οὐχ ὅτι πᾶς ὁ ληφθεὶς ἄμφω ἔχει ταῦτα. τοῦ γὰρ ἀδυνάτων τὸ συνδραμεῖν εἰς ταυτὸν τὰ ἀντικείμενα. ἀλλ᾽ ἢ τῷ καὶ συνδέσμῳ συμπλεκτικῷ ὄντι ἀντὶ διαζευκτικοῦ τοῦ ἢ ἐχρήσατο, ἵν᾽ ᾖ λέγων πάντα τόπον ἔχειν τὸ ἄνω ἢ τὸ κάτω, ὥσπερ ὅμηρος τοὐναντίον τῷ ἢ ἀντὶ τοῦ καὶ ἐχρήσατο, λέγων, ἢ νέος ἠὲ παλαιὸς, ἀντὶ τοῦ νέος καὶ παλαιὸς, ἢ πάντα τόπον εἶπεν, ἀντὶ τοῦ τὴν τοῦ τόπου φύσιν διῃρῆσθαι τῷ ἄνω καὶ κάτω. οὐχὶ ἕκαστον. ἀλλὰ διατὶ τούτων μόνων ἐμνήσθη τῶν τοῦ τόπου διαφορῶν, καίτοι αὐτὸς εἰπὼν πρότερον, ταῦτα δὲ ἐστὶ τόπου μόρια καὶ εἴδη, τό, τε ἄνω καὶ τὸ κάτω, καὶ αἱ λοιπαὶ τῶν ἓξ διαστάσεων. ἢ ὅτι τὸ ἄνω καὶ τὸ κάτω ἐξαιρέτως διαφοραί εἰσι, τοῦ τῶν φυσικῶν σωμάτων ὡς φυσικῶν δεκτικοῦ τόπου. ἐπεὶ αἵ γε ἄλλαι κυρίως τῶν ζώων εἰσὶ, τῶν καὶ ἐν τοῖς τοῦ σώματος μορίοις κατ᾽ οὐσίαν ἐχόντων τὸ ἔμπροσθεν καὶ ὄπισθεν, καὶ τὸ δεξιὸν καὶ ἀριστερὸν, καὶ τὰς ὁρμὰς τῆς κινήσεως ἐπὶ ταῦτα ἐχόντων. ἕκτον δ᾽ ἐπὶ πᾶσιν ἀξιοῖ, τὸ τὰ φυσικὰ σώματα καὶ φέρεσθαι φύσει ἐπὶ τοὺς οἰκείους τόπους, καὶ μένειν ἐν αὐτοῖς. τὸ δὲ φύσει τουτέστι κατὰ τὴν αὐτῶν φύσιν. καὶ τοῦτο γὰρ ἐναργὲς, ὅτι ἡ μὲν βῶλος ἐπὶ τὸ κάτω φέρεται, ὅταν μὴ βίᾳ ἀλλὰ κατὰ τὴν ἑαυτῆς κινῆται φύσιν, καὶ τὸν οἰκεῖον καταλαβοῦσα τόπον μένει κάτω. καὶ τὸ πῦρ ὁμοίως ἄνω. τὸ γὰρ ἄνω καὶ τὸ κάτω οἰκεῖαι τῶν φυσικῶν σωμάτων διαφοραὶ, διὰ τὴν εἰρημένην αἰτίαν. καὶ ἔτι ὡς ἐν τῇ περὶ γενέσεως λέγεται, πτώσεις μᾶλλον εἰσὶν αὗται τῶν φυσικῶν σωμάτων, καὶ μὴ ἐχόντων τὴν καθ᾽ ὁρμὴν τῆς ψυχῆς κίνησιν. τούτων οὖν φησὶ προληφθέντων καὶ προϋποκειμένων, τὰ ἐφεξῆς θεωρητέον κανόσι τοῖς ῥηθησομένοις χρωμένων ἡμῶν. ἰστέον δὲ ὅτι καὶ θεόφραστος καὶ εὔδημος ἐν τοῖς περὶ τόπου ἀξιώμασι, καὶ τὸ ἀκίνητον εἶναι τὸν τόπον προλαμβάνουσι. διατὶ δὲ ὁ ἀριστοτέλης τοῦτο παρῆκε, δῆλον γενήσεται, ὅτε τὴν διαφορὰν τοῦ τόπου πρὸς τὸ ἀγγεῖον παραδώσει.

Δ Ε Ι Δ Ε᾽ πειρᾶσθαι τὴν σκέψιν οὕτω ποιεῖσθαι, ὅπως τὸ τί ἐστιν ἀποδοθήσεται ὥς τε τά τε ἀπορούμενα λύεσθαι, καὶ τὰ δοκοῦντα ὑπάρχειν τῷ τόπῳ, ὑπάρχοντα ἔσται. καὶ ἔτι τὸ τῆς δυσκολίας αἴτιον καὶ τῶν περὶ αὐτὸν ἀπορημάτων, ἔσται φανερόν. οὕτω γὰρ ἂν κάλλιστα δεικνύοιτο ἕκαστον.

Μετὰ

Μετὰ τὴν πρόληψιν τῶν κατὰ τὰς κοινὰς ἐννοίας ὑπάρχειν τῷ ζητουμένῳ πράγματι, τριῶν χρεία τούτων εἰς τὴν ἀναμφίλεκτον τοῦ τί ἐστιν ἀπόδοσιν. ἑνὸς μὲν, τοῦ τὰ κατὰ τὰς κοινὰς ἐννοίας ἀξιωθέντα, ὑπάρχοντα τῷ ὁρισμῷ τῷ προκειμένῳ φαίνεσθαι. ἑτέρου δὲ τοῦ λύεσθαι ἐξ αὐτοῦ τὰ πρὸς τὴν ὕπαρξιν τὴν τοιαύτην ἀπορηθέντα. καὶ τρίτου, τοῦ τὸ τῆς δυσκολίας αἴτιον καταφανὲς ἐκ τοῦ ἀποδοθέντος ὁρισμοῦ γενέσθαι, εἴπερ εἴη δύσκολον. τεκμήριον γὰρ ἐναργὲς καὶ τοῦτο γίνεται, τοῦ πᾶσαν αὐτοῦ τὴν φύσιν εὑρῆσθαι.

ΠΡΩΤΟΝ μὲν οὖν δεῖ κατανοῆσαι, ὅτι οὐκ ἂν ἐζητεῖτο ὁ τόπος, εἰ μὴ κίνησίς τις ἦν ἡ κατὰ τόπον. διὰ γὰρ τοῦτο καὶ τὸν οὐρανὸν μάλιστα οἰόμεθα ἐν τόπῳ, ὅτι ἀεὶ ἐν κινήσει. ταύτης δὲ, τὸ μὲν φορά. τὸ δ' αὔξησις καὶ φθίσις. καὶ ἐν τῇ αὐξήσει καὶ φθίσει μεταβάλλει. καὶ ὅπερ πρότερον ἦν ἐνταῦθα, πάλιν μεθέστηκεν εἰς ἔλαττον ἢ μεῖζον. ἔστι δὲ κινούμενον, τὸ μὲν καθ' αὑτὸ ἐνεργείᾳ. τὸ δὲ κατὰ συμβεβηκός. τοῦ δὲ κατὰ συμβεβηκὸς τὸ μὲν ἐνδεχόμενον κινεῖσθαι καθ' αὑτό. οἷον, τὰ μόρια τοῦ σώματος. καὶ ὁ ἐν τῷ πλοίῳ ἧλος. τὰ δ' οὐκ ἐνδεχόμενα, ἀλλ' ἀεὶ κατὰ συμβεβηκός. οἷον, ἡ λευκότης καὶ ἡ ἐπιστήμη. ταῦτα γὰρ οὕτω μεταβέβληκε τὸν τόπον, ὅτι ἐν ᾧ ὑπάρχουσι μεταβάλλει.

Προλαβὼν τὰς περὶ τόπου κοινὰς ἐννοίας, καὶ ὁποῖον εἶναι χρὴ τὸν ἀποδιδόμενον τοῦ τόπου ὁρισμὸν διδάξας ἡμᾶς, ἐφεξῆς ὁποῖα τὰ ἐν τόπῳ κυρίως εἶναι νομίζομεν ὑπομιμνήσκει πρῶτον, καὶ τότε ὁποῖος ὁ τόπος. τὰ δὲ ἐν τόπῳ κυρίως, ἀπὸ τῶν κατὰ τόπον κυρίως κινουμένων εὑρίσκεται. τὰ γὰρ κινούμενα κατὰ τόπον κυρίως, ταῦτα καὶ ἔστι κυρίως ἐν τόπῳ. ἀπὸ γὰρ τῆς ἀντιμεταστάσεως τῶν σωμάτων τὴν περὶ τόπου ἔννοιαν ἔσχομεν. καὶ ἀπὸ τῶν κατὰ τόπον κινουμένων τὰς περὶ τόπου ἐννοίας συνεισάγομεν. ὅτι ἄλλος παρὰ τὸ ἐν τόπῳ. καὶ ὅτι ἴσος, καὶ ὅτι χωριστός. καὶ ὅτι διαφορὰς ἔχει τὸ ἄνω καὶ τὸ κάτω, ἐφ' ἃ ἡ μετάστασις καὶ ἡ μονή. ὥστε τὰς πολλὰς ταύτας ἐννοίας εἰς τὴν αἰτίαν αὐτῶν μίαν τὴν κατὰ τόπον κίνησιν συνήγαγεν. ὑπέδειξε δὲ καὶ τὰ εἴδη τῆς ὁπωσοῦν κατὰ τόπον κινήσεως δύο ὄντα. τήν τε φοράν. ἥτις μόνως καὶ τελέως κατὰ τόπον κίνησίς ἐστι. καὶ τὴν αὔξησιν, καὶ φθίσιν. καὶ γὰρ ἐν τούτοις ὃ πρότερον ἦν ἐνταῦθα οἷον σπιθαμὴν ἀνέχον τῆς γῆς, τοῦτο μεθίσταται εἰς ἔλαττον ἢ μεῖζον τοῦ τόπου διάστημα. ἐπὶ μὲν τῆς αὐξήσεως δηλονότι εἰς μεῖζον. ἐπὶ δὲ τῆς φθίσεως εἰς ἔλαττον. καὶ ἀπὸ τούτων τῶν τριῶν μεταστάσεων ἡμῖν ἡ περὶ τοῦ τόπου γέγονεν ἔννοια. τῷ γὰρ ὄντι εἰ πάντα ἠρέμει καὶ μὴ μεθίστατο τὰ σώματα, μὴ δὲ ἀπελάμβανεν ἢ ἀπελίμπανε χώραν, τίς ἂν ἡμῖν ἔννοια περὶ τοῦ τόπου ἐγένετο. βουλόμενος οὖν ἐκ τῶν κατὰ τόπον κινουμένων τὸν τόπον εὑρεῖν, διαιρεῖται πρῶτον τά τε καθ' αὑτὸ κινούμενα καὶ τὰ κατὰ συμβεβηκός, τὰ καθ' αὑτὸ καὶ ἐνεργείᾳ λέγων. οἷον ἕκαστον τῶν σωμάτων ὅλον ἐστὶν ἀπολελυμένον, ἀπὸ ἄλλου τόπου μεταβαῖνον εἰς ἕτερον. οἷον τὸ ἐμὸν ὅταν βαδίζω. καὶ ἡ ναῦς πλέουσα. τὰ δὲ κατὰ συμβεβηκὸς ταῦτά ἐστι, τὰ τοῖς καθ' αὑτὰ κινουμένοις ὑπάρχοντα. ἢ ὡς μέρη, οἷον ἡ ἐμὴ χεὶρ καὶ ὁ τοῦ πλοίου ἧλος. ἢ ὡς συμβεβηκότα. οἷον ἡ λευκότης καὶ ἡ ἐπιστήμη. διαφορὰ δὲ καὶ τούτων ἐστί. τὰ μὲν γὰρ μόρια κἂν μὴ κινῆται καθ' αὑτὰ ἐν τῷ ὅλῳ ὄντα, διότι χρὴ τὰ καθ' αὑτὰ κινούμενα καὶ μεταβαίνοντα τόπον ἐκ τόπου ἀπολελυμένα εἶναι πάντῃ, ἀλλ' ἐνδέχεται ἀπολυθέντα τοῦ ὅλου κινεῖσθαι καθ' αὑτά. ὥστε ὅταν μετὰ τοῦ ὅλου κινῆται, τὸ μὲν κατὰ συμβεβηκὸς κινεῖσθαι ἐνεργείᾳ ἔχει, τὸ δὲ καθ' αὑτὸ δυνάμει. τὰ μὲν γὰρ συμβεβηκότα τοῖς καθ' αὑτὸ κινουμένοις οὐδὲ ἐνδέχεται καθ' αὑτὸ κινεῖσθαι, οὐδὲ δυνάμει ἔχει τοῦτο. οἷον ἡ λευκότης ἢ ἐπιστήμη. οὐ γὰρ δύναται ταῦτα χωρισθέντα καθ' αὑτὰ κινηθῆναι, ὅτι οὐδὲ ὅλως χωριστά. ἀλλ' οὕτως ἀεὶ ταῦτα κινεῖται καὶ μεταβάλλει, ὅτι ἐν ᾧ ὑπάρχουσι μεταβάλλει τοῦτο, ἄλλως δὲ οὔ, οὔτε ἐνεργείᾳ οὔτε δυνάμει. τούτου γοῦν οὕτως ἔχοντος, ἐκ τῶν καθ' αὑτὸ κατὰ τόπον κινουμένων ἑλεῖν χρὴ τὸν τόπον, ἀλλ' οὐκ ἐκ τῶν κατὰ συμβεβηκός. εἰ μὴ ἄρα δυνάμει καὶ ταῦτα ἔχοντα τὸ καθ' αὑτὸ κινεῖσθαι γένηται ἐνεργείᾳ ποτέ. ὡς τὰ διακριθέντα μέρη τῆς ὁλότητος καὶ καθ' αὑτὰ περιγραφέντα. τότε δὲ καθ' αὑτὸ γίνεται ἐν τόπῳ. καὶ ἔστι κατὰ τοῦτο χρήσιμος ἡ τῶν κατὰ συμβεβηκὸς κινουμένων διαίρεσις. ὡς γὰρ κινεῖται κατὰ τόπον, οὕτω καὶ ἔστιν ἐν τόπῳ. τὰ μὲν γὰρ δυνάμει τὸ καθ' αὑτὸ ἔχοντα ὥσπερ τὰ μέρη, δύναταί ποτε καὶ κινηθῆναι καθ' αὑτά, καὶ ἐν τόπῳ εἶναι καθ' αὑτά. τὰ δὲ κατὰ συμβεβηκὸς μόνως κινούμενα, οὐδὲ κινεῖσθαι ἂν λέγοιτο κυρίως κατὰ τόπον, οὐδὲ ἐν τόπῳ εἶναι οὐδέποτε. ἀλλ' ἐκεῖνα μόνα ὅσα ἀπολελυμένα ἅπτεται τινῶν. οὐκοῦν τὰ αὐτοῖς συνεχῆ. ταῦτα γὰρ καθ' ἑαυτὰ κινεῖται. καὶ ὅτι μὲν ἀπολελυμένα χρὴ εἶναι τὰ καθ' αὑτὸ κινούμενα καὶ καθ' αὑτὸ ὄντα ἐν τόπῳ, δῆλον. πρόδηλον δὲ καὶ ὅτι ἅπτεσθαι τινός. ἢ ὅτι εἰ μὴ τὸ πᾶν εἴη τὸ ἐξωτάτω, ἀνάγκη πάντως ἅπτεσθαι τινός. εἰ δὲ τὸ πᾶν, οὐδ' ἂν μεταβαίνοι τόπον ἐκ τόπου. τὸ δὲ πανταχόθεν ἁπτόμενον, περιέχεται ὑπὸ ἐκείνου μὴ συνεχοῦς ὄντος αὐτῷ. ἔστιν οὖν τὸ πρώτως ἐν τόπῳ ὄν, τὸ ὅλον καθ' αὑτὸ κινούμενον κατὰ τόπον καὶ ἀπολελυμένον, καὶ ἁπτόμενον τινὸς περιέχοντος ἴσου ἑαυτῷ. ἵνα δὲ προλαβὼν εἴπω, καὶ ἐκ τῶν ἐν τόπῳ καθ' ἑαυτὸ κινουμένων καὶ ὄντων δυνατὸν συνάγειν τὸν τοῦ τόπου ὁρισμόν. τὸ γὰρ τοῦ ἁπτομένου πέρας ἴσον περιέχει τὰ κινούμενα τοπικῶς. ὑφ' οὗ δὲ τὰ κινούμενα τοπικῶς περιέχεται, τοῦτο τόπος. τὸ ἄρα τοῦ ἁπτομένου καὶ τὰ τοπικῶς κινούμενα

περιέχοντος πέρας ὁ τόπος. καὶ ἡ κατὰ τὸ ποσὸν δὲ κίνησις τοπική τις οὖσα καὶ αὐτὴ, ὁμοίως ἔχει, οὐ πάντα μὲν ἀλλάσσοντος τὸν τόπον τοῦ αὐξομένου ἢ μειουμένου, προσεπιλαμβάνοντος δὲ ἢ ἀπολείποντος. διὸ καίτοι κατὰ τόπον οὖσα καὶ αὐτὴ, οὐ λέγεται ὅμως τοπικὴ, διὰ τὸ μὴ πάντα ἀμείβειν τόπον. αὕτη μὲν ἡ τῶν λεγομένων ἔννοια. καὶ τὸν οὐρανὸν δέ φησι διὰ τοῦτο οἰόμεθα ἐν τόπῳ, ὅτι κινούμενος ἄλλο τε ἄλλο τῶν μορίων κατ' ἄλλην καὶ ἄλλην θέσιν ἀμείβει.

ΕΠΕΙ ΔΕ λέγομεν εἶναι ὡς ἐν τόπῳ τῷ οὐρανῷ, διότι ἐν τῷ ἀέρι, οὗτος δ' ἐν τῷ οὐρανῷ. καὶ ἐν τῷ ἀέρι δὲ, οὐκ ἐν παντὶ, ἀλλὰ διὰ τὸ ἔσχατον αὐτοῦ καὶ περιέχον, ἐν τῷ ἀέρι φαμὲν εἶναι, εἰ γὰρ πᾶς ὁ ἀὴρ τόπος. οὐκ ἂν ἴσος εἴη ἑκάστου ὁ τόπος καὶ ἕκαστον. δοκεῖ δέ γε ἴσος εἶναι. τοιοῦτος δ' ὁ πρῶτος ἐν ᾧ ἐστιν. ὅταν μὲν οὖν μὴ διῃρημένον ᾖ τὸ περιέχον ἀλλὰ συνεχές, οὐχ ὡς ἐν τόπῳ λέγεται ἐν ἐκείνῳ, ἀλλὰ μέρος ἐν ὅλῳ. ὅταν δὲ διῃρημένον ᾖ καὶ ἁπτόμενον, ἐν πρώτῳ ἐστί τινι τῷ ἐσχάτῳ τοῦ περιέχοντος. ὃ οὔτ' ἐστι μέρος τοῦ ἐν αὐτῷ, οὔτε μεῖζον τοῦ διαστήματος. ἀλλ' ἴσον. ἐν γὰρ τῷ αὐτῷ τὰ ἔσχατα τῶν ἁπτομένων.

Μέχρι τοῦδε διορίσας τὰ καθ' αὑτὸ κινούμενα κατὰ τόπον, ἅπερ καθ' αὑτὸ καὶ ἐν τόπῳ ἐστὶ, διότι καὶ οὐσίας εἶναι χρὴ σωματικὰς, καὶ ὅλας καὶ ἀπολελυμένας τῆς πρὸς ἀλλήλας συνεχείας, καὶ περιεχομένας ὑπ' ἄλλου ὁμοίως, καὶ ἐπὶ τοῦ ὁλοσχερεστέρως λεγομένου τόπου, ἐπὶ τὸν κυρίως καὶ πρώτως λεγόμενον προάγει τὸν λόγον. ἵνα τούτῳ δείξῃ λοιπὸν ὑπαρχούσας τὰς περὶ τόπου προληφθείσας ἐννοίας. λέγομεν τοίνυν ὡς ἐν τόπῳ εἶναι ἐν τῷ οὐρανῷ τουτέστι τῷ κόσμῳ, ὅτι περιεχόμεθα ὑπ' αὐτοῦ, ὡς τοῦ περιέχειν σωματικῶς οἰκείου ὄντος τῷ τόπῳ. οὐ μέντοι προσεχῶς ἐν τῷ οὐρανῷ ἐσμεν, οὐδὲ κυρίως ἡμῶν οὗτός ἐστιν ὁ τόπος. ἀλλὰ διότι ἐν τῷ ἀέρι, οὗτος δὲ ἐν τῷ οὐρανῷ. διὰ ταὐτὰ δὲ καὶ ἐν τῷ ἀέρι, οὐχ ὅτι ἐν ἅπαντι τῷ ἀέρι. ἀλλὰ διὰ τὸ ἔσχατον αὐτοῦ καὶ προσεχῶς ἡμᾶς περιέχον. διὰ γὰρ τοῦτο καὶ ἐν τῷ ἀέρι. ὅτι γὰρ οὐχ ὅλος ὁ ἀὴρ ἐστὶν ἡμῶν τόπος, δῆλον εἴπερ ἴσον δεῖ τὸν τόπον τῷ ἐν τόπῳ εἶναι, καὶ εἰ μὴ ἴσος εἴη μὴ εἶναι τόπον. ἴσον δέ ἐστι τὸ ἔσχατον τοῦ περιέχοντος ἡμᾶς, τὸ πρὸς ἡμᾶς, ἐν ᾧ πρώτως ἐσμέν. ἆρ' οὖν τοῦτο ὁ τόπος, τὸ τοῦ περιέχοντος ἔσχατον τὸ προσεχὲς τῷ περιεχομένῳ, ἢ καὶ ἄλλης δεῖ τινος προσθήκης τῷ λόγῳ. ἣν καὶ προστίθησι. τὸ περιέχον ἢ συνεχές ἐστι τῷ περιεχομένῳ, ἢ διῃρημένον ἀπ' αὐτοῦ. καὶ εἰ μὲν συνεχές ἐστιν, οὐχ ὡς ἐν τόπῳ λέγεται τῷ περιέχοντι, ἀλλ' ὡς ἐν ὅλῳ μέρος. ὅταν δὲ διῃρημένον εἴη, καὶ ἁπτόμενόν ἐστι, καὶ ἐν πρώτῳ τῷ ἐσχάτῳ τοῦ περιέχοντος ὡς ἐν τόπῳ. καὶ δείκνυσιν ἐν τούτῳ τὴν διαφορὰν τῶν τε ὡς ἐν ὅλῳ ὄντων, καὶ τῶν ὡς ἐν τόπῳ. ὥσπερ μετ' ὀλίγον τὴν διαφορὰν τῶν ὡς ἐν τόπῳ κινουμένων, καὶ τῶν μετὰ τοῦ ὅλου κινουμένων. ὁ μέντοι Ἀλέξανδρος οἴεται διὰ τούτων δείκνυσθαι, ὅτι μὴ ἔστι τὰ συνεχῆ μόρια τοῦ ὅλου τοῦ ὄντος ἐν τόπῳ καθ' αὑτὰ ἐν τόπῳ, ἀλλ' ἐν ὅλῳ τῷ ἐν τόπῳ. καίτοι σαφῶς περὶ τῆς τοῦ περιέχοντος διαιρέσεως οἶμαι καὶ συνεχείας πρὸς τὸ ἐν αὐτῷ λέγει γράφων. ὅταν μὲν οὖν μὴ διῃρημένον ᾖ τὸ περιέχον ἀλλὰ συνεχές. καὶ πάλιν, ὅταν δὲ διῃρημένον καὶ ἁπτόμενον. σύμφωνον τοῦτο οὖν οἶμαι καὶ τῇ λέξει καὶ τοῖς προκειμένοις ἐστὶν ἀκούειν, ὅτι ὅταν μὲν συνεχὲς ᾖ τὸ περιέχον τῷ περιεχομένῳ, τότε ὡς μέρος ἐν ὅλῳ ἐστὶ τὸ περιεχόμενον ἐν τῷ περιέχοντι. ὅταν δὲ διῃρημένον, τότε ὡς ἐν τόπῳ τῷ ἐσχάτῳ τοῦ περιέχοντος τὸ περιεχόμενον, καὶ ἐν πρώτῳ τούτῳ. καὶ τούτῳ ἐφαρμόττει τὰ προληφθέντα περὶ τόπου ἀξιώματα, τό τε μηδὲν εἶναι τοῦ ἐν τόπῳ, ἔξωθεν γὰρ αὐτοῦ ἐστι, καὶ τὸ ἴσον αὐτῷ εἶναι. ὃ ἔδειξε διὰ τοῦ ἐν γὰρ τῷ αὐτῷ τὰ ἔσχατα τῶν ἁπτομένων, τουτέστι τὰ πέρατα τοῦ τε περιέχοντος καὶ τοῦ περιεχομένου. ἀλλ' εἰ μὲν ἐν τῷ αὐτῷ ὡς ἐν τόπῳ λέγοι, δηλονότι κατὰ συμβεβηκὸς ἂν εἴη λέγων. οὐ γὰρ δὴ αἱ ἐπιφάνειαι καθ' αὑτὰς ἐν τόπῳ. ἀλλ' οὐδὲ ὡς ἐν ὑποκειμένῳ τῷ αὐτῷ. ἑκατέρα γὰρ ἐπιφάνεια ἐν τῷ οἰκείῳ ἐστίν. ἀλλ' οὐδὲ κατ' ἄλλο τι τοῦ ἔν τινι σημαινόμενον αἱ ἐπιφάνειαι ἐν τῷ αὐτῷ εἰσι. μᾶλλον δὲ ἐν τῷ αὐτῷ ἀκουστέον ἀντὶ τοῦ ἅμα. ἐν τῷ αὐτῷ γὰρ λέγεται εἶναι καὶ ταῦτα, ὧν μηδέν ἐστι μεταξύ. καὶ ἔοικε καὶ οὗτος ὁ τρόπος τοῦ ἔν τινι παραλελεῖφθαι ἐν τῇ ἀπαριθμήσει τῶν τοῦ ἔν τινι σημαινομένων. τὰ γὰρ ἐφαρμόζοντα ἀλλήλοις, καὶ μή τε ὄγκον ποιοῦντα, μήτε ἔχοντά τι μεταξὺ, ἐν τῷ αὐτῷ ἐστιν. ἓν γὰρ γίνεται τὸ ἀμφοῖν πέρας ἐπὶ τῶν ἁπτομένων συμπιπτόντων, διὰ τὸ μὴ ἔχειν ἐπ' ἐκεῖνο διάστασιν. ὥσπερ ἐπὶ τῶν συνεχιζομένων ἀπόλλυται καὶ τὸ ἕν. συνεχῆ γάρ ἐστιν, ὧν οὐδέν ἐστι μεταξὺ πέρας ἐνεργείᾳ. οὕτω μὲν οὖν ὁ Ἀλέξανδρος τὸ ἐν τῷ αὐτῷ κατὰ τὸ ἅμα ἀκούει, ἄλλο τι τοῦτο λέγων παρὰ τὰ ἀπαριθμηθέντα τοῦ ἔν τινι σημαινόμενον. ὁ δὲ Ἀσπάσιος ἐν τῷ αὐτῷ μὲν ὡς ἐν τόπῳ ἀκούει. οὕτω μέντοι ὁ ἀμφορεὺς τοῦ οἴνου ἐν ἑαυτῷ ἐλέγετο. διότι μέρος ἐν μέρει. καὶ ἡ ἐπιφάνεια τοῦ ἐν τόπῳ, ἐν τόπῳ, μιᾶς γινομένης τῆς ἐπιφανείας διὰ τὸ ἀβαθές. ἀλλ' εἰ μία, πῶς ἔν τινι. ἢ ὡς ἐν τῷ τοῦ περιέχοντος σώματι.

ΚΑΙ ΣΥΝΕΧΕΣ μὲν ὂν, οὐκ ἐν ἐκείνῳ κινεῖται, ἀλλὰ μετ' ἐκείνου. διῃρημένον δὲ, ἐν ἐκείνῳ. καὶ ἐάν τε κινεῖται τὸ περιέχον, ἐάν τε μὴ, οὐδὲν ἧττον. ἔτι δ' ὅταν μὴ διῃρημένον ᾖ, ὡς μέρος ἐν ὅλῳ λέγεται. οἷον ὡς ἐν τῷ ὀφθαλμῷ ἡ ὄψις. ἢ ἐν τῷ σώματι ἡ χείρ. ὅταν δὲ διῃρημένον ᾖ, οἷον ἐν τῷ κάδῳ, τὸ ὕδωρ. ἢ ἐν τῷ κεραμίῳ, ὁ οἶνος. ἡ μὲν γὰρ χεὶρ, μετὰ τοῦ σώματος κινεῖται. τὸ δὲ ὕδωρ, ἐν τῷ κάδῳ.

Καὶ τοῦτο

Καὶ τοῦτο δεικτικὸν οἶμαι τοῦ δεῖν τὸ ἐν τόπῳ μὴ εἶναι συνεχὲς πρὸς τὸν τόπον, ἀλλ' ἀπολελυμένον. δείκνυσι δὲ ἀπὸ τῆς ἐν τόπῳ κινήσεως. εἴ γε τὸ μὲν ἐν τόπῳ, ἐν τόπῳ κινεῖται τῷ περιέχοντι αὐτό. τὸ δὲ συνεχὲς οὐ κινεῖται ἐν τῷ περιέχοντι αὐτὸ, ἀλλὰ μετ' ἐκείνου. ὅταν οὖν διαιρεθῇ, τότε ἐν τόπῳ ἐστί. τό τε γὰρ ἐν τῷ περιέχοντι κινεῖται. κἄν τε κινῆται τὸ περιέχον, ὥσπερ τὸ ἀγγεῖον, κἄν τε μὴ, ὡς ὁ κυρίως τόπος. ὁ μέντοι Ἀσπάσιος τὸ ἐν τόπῳ μένον, ἢ κινούμενον ὡς τὸ κλυδωνιζόμενον, ἢ κυκλοτερῶς περιφερόμενον ὕδωρ ἐξεδέξατο. δῆλον δὲ ὅτι τὸ ἀγγεῖον οὐχ ὅλον τόπος ἐστὶν, ἀλλ' ἡ κοίλη ἐπιφάνεια τοῦ κάδου ἢ τοῦ κεράμου. ὁ μέντοι Ἀλέξανδρος καὶ τοῦτο δεικτικόν φησι, τοῦ τὰ μέρη τὰ συνεχῆ μὴ εἶναι ἐν τόπῳ. εἴ γε τὸ μὲν ἐν τόπῳ ὂν, ἐν τούτῳ κινεῖται, τὸ δὲ ἐν ὅλῳ, οὔ, τοιοῦτον δὲ τὸ συνεχὲς μέρος, οὐκ ἐν ἐκείνῳ ἀλλὰ σὺν ἐκείνῳ κινεῖται. οὕτω δὲ ἐξηγούμενος τὰ ἐφεξῆς, ἀπὸ τοῦ. ἔτι, ἕως τοῦ, ἤδη τοίνυν φανερὸν ὅτι ἐστὶν ὁ τόπος, τὰ αὐτὰ τοῖς προειρημένοις εἶναι φησὶ, καὶ διπλῆν αἰτιᾶται γραφήν. ὡς εἴ γε τὰ πρότερα, τὰ ἀπὸ τοῦ, ὅταν μὲν οὖν μὴ διῃρημένον ᾖ, περὶ τῆς διαφορᾶς ἤκουε τῶν ἐν τόπῳ ὄντων πρὸς τὰ ἐν ὅλῳ, τὰ δὲ ἐφεξῆς, τὰ ἀπὸ τοῦ, συνεχὲς μὲν ὂν οὐκ ἐν ἐκείνῳ κινεῖται, περὶ τῆς διαφορᾶς τῶν ἐν τόπῳ κινουμένων, πρὸς τὰ μέρη τὰ μετὰ τοῦ ὅλου κινούμενα. δύναται ταῦτα συντόμως μετὰ παραδειγμάτων περὶ τῶν αὐτῶν λέγειν, τὰ μὲν πρῶτα περὶ τῶν ἐν ὅλῳ ἢ ἐν τόπῳ, τὰ δὲ ἐφεξῆς περὶ τῶν μετὰ τοῦ ὅλου ἢ ἐν τόπῳ κινουμένων. τὰ μὲν γὰρ συνεχῆ ὡς ἐν τινι ἂν εἴη, ὅτι ὡς μέρος ἐν ὅλῳ λέγεται, ὡς ἐν τῷ ὀφθαλμῷ ἡ ὄψις, ἢ ἐν τῷ σώματι ἡ χείρ. τὰ δὲ διῃρημένα ὡς ἐν τόπῳ ἢ ὡς ἐν ἀγγείῳ. κἂν εἰ ἄμφω τὰ παραδείγματα ἀγγείων παρέθετο κάδου καὶ κεράμου. τάχα δὲ τὸν μὲν οἶνον ἐν τῷ κεράμῳ παράδειγμα τοῦ ἐν τόπῳ ὄντος παρατίθεται, τὸ δὲ ὕδωρ ἐν τῷ κάδῳ, παράδειγμα τοῦ ἐν τόπῳ κινουμένου. ἐν γὰρ τῇ ἀνιμήσει κινεῖται τὸ ὕδωρ ἐν τῷ κάδῳ. ὥστε ποτὲ μὲν τὰ ὄντα ἐν τόπῳ, πρὸς τὰ ὄντα ἐν ὅλῳ παρατίθησιν ἀλλήλοις, ποτὲ δὲ τὰ κινούμενα. τοῦτο δὲ, ἵνα κατ' ἄμφω διορισθῇ τὰ ἐν τόπῳ πρὸς τὰ ἐν ὅλῳ. καὶ ὁ Ἀσπάσιος δὲ τελέως παρῆκε τὰ ὕστερα.

ἭΔΗ ΤΟΙΝΥΝ φανερὸν ἐκ τούτων, τί ἐστιν ὁ τόπος. σχεδὸν γὰρ τέτταρά ἐστιν, ὧν ἀνάγκη τὸν τόπον ἕν τι εἶναι. ἢ γὰρ μορφὴ, ἢ ὕλη, ἢ διάστημά τι, τὸ μεταξὺ τῶν ἐσχάτων, ἢ τὰ ἔσχατα, εἰ μὴ ἐστι μηδὲν διάστημα παρὰ τὸ τοῦ ἐγγινομένου σώματος μέγεθος. τούτων δ' ὅτι τὰ τρία οὐκ ἐνδέχεται εἶναι, φανερόν.

Ἀγαγὼν τὴν περὶ τόπου ἔννοιαν εἰς τὸ τοῦ περιέχοντος πέρας. τὸ πρὸς τῷ περιεχομένῳ ἀπολελυμένον αὐτοῦ, διότι καὶ περιεκτικὸν τοῦτο τοῦ ἐν αὐτῷ ἐστι. καὶ ἴσον, καὶ ἄλλο παρ' αὐτὸ, ἅπερ κυριώτατα τῶν περὶ τόπου ἀξιωθέντων ἐστὶν, ἤδη φανερὸν ἐκ τῶν εἰρημένων φησὶν εἶναι, τί ἐστιν ὁ τόπος, ὅτι τὸ πέρας τοῦ περιέχοντος καθὸ περιέχει τὸ περιεχόμενον. ὅτι δὲ τοῦτό ἐστιν, ἐφεξῆς καὶ ἐκ διαιρέσεως πειρᾶται δεικνύναι, καὶ χρῆται τῷ ἐκ πλειόνων λεγομένῳ διαιρετικῷ ὄντι τοιούτῳ. ἤτοι τὸ α. ἢ τὸ β, ἢ τὸ γ, ἢ τὸ δ. ἀλλ' οὔτε τὸ α. οὔτε τὸ β. οὔτε τὸ γ. τὸ δ ἄρα. καὶ φησὶν ὅτι τέσσαρά ἐστιν, ὧν ἀνάγκη τὸν τόπον ἕν τι εἶναι. ἢ γὰρ τὸ εἶδος τοῦ ἐν τόπῳ, ἢ ἡ ὕλη αὐτοῦ, ἢ τὸ διάστημα τὸ μεταξὺ τῶν ἐσχάτων τοῦ περιέχοντος τὸν τόπον ἀνάγκη εἶναι. ὅ τινες καὶ τῶν προτέρων ὡς οἱ περὶ Δημόκριτον, καὶ τῶν ὑστέρων ὡς οἱ περὶ Ἐπίκουρον καὶ οἱ Στωϊκοί. τινὲς δὲ καὶ κατὰ Πλάτωνα τοῦτο τὸν τόπον ἐνόμισαν. ἢ τὰ ἔσχατα τοῦ περιέχοντος. εἰ οὖν μηδὲν τῶν τριῶν ἐστιν ὡς δείξει, ἀνάγκη τὸ λειπόμενον εἶναι τὸν τόπον. τὸ δὲ διάστημα τοῦτο οἱ μὲν περὶ Δημόκριτον καὶ Ἐπίκουρον κενὸν εἶναι λέγουσιν οὕτως, ὥστε ποτὲ μὲν πληροῦσθαι σώματος, ποτὲ δὲ καὶ κενὸν ἀπολείπεσθαι. οἱ δὲ Πλατωνικοὶ καὶ οἱ Στωϊκοὶ εἶναι μὲν ἄλλο παρὰ τὰ σώματα φασὶν, ἀεὶ δὲ σῶμα ἔχειν, ὡς μηδέ ποτε κενὸν ἀπολείπεσθαι. ἀλλ' αὐτὸς μὲν ἅτε μὴ προσθεὶς τὴν ἀνάγκην τῆς διαιρέσεως, τὸ σχεδὸν προσέταξεν. ἐπειδὴ γὰρ ἐὰν μὴ ἀνελλιπὴς ἡ διαίρεσις φανῇ, σαθρὰ δοκεῖ ἡ ἀπόδειξις, πειρατέον τὴν ἀνάγκην εὑρεῖν. οὕτω γὰρ καὶ τὸ σχεδὸν οὐκ ἀορίστου ἐννοίας, ἀλλ' εὐλαβείας φιλοσόφου δειχθήσεται. εἰ τοίνυν αὐτὸ κινούμενον κατὰ τόπον μεταβάλλει κατὰ τόπον ἀνάγκη τὸν τόπον ἐκεῖνο εἶναι, καθὸ μεταβάλλει τὸ κατὰ τόπον κινούμενον. μεταβάλλει δὲ τὸ κατὰ τόπον κινούμενον, ἢ κατά τι τῶν ἐν αὐτῷ, ἢ κατά τι τῶν προσεχῶς περὶ ἑαυτό. ἀλλὰ τὰ μὲν ἐν τῷ κινουμένῳ ὕλη καὶ εἶδος ἐστὶ, καὶ παρὰ ταῦτα οὐδέν. τὰ δὲ προσεχῶς τό, τε πέρας τοῦ περιέχοντος αὐτὸ, καὶ τὸ μεταξὺ τοῦ πέρατος ἐκείνου διάστημα, εἴπερ ἐστὶ τοιοῦτο, καὶ ἄλλο οὐδὲν παρὰ ταῦτα. ὥστε καὶ ἀποφήναιτο ἄν τις ὅτι τῶν τεσσάρων τι ἓν ἔσται ὁ τόπος. ἐὰν οὖν δειχθῇ ὅτι τῶν τριῶν οὐδὲν οἷόν τε εἶναι, οὔτε τὴν ὕλην, οὔτε τὸ εἶδος, οὔτε τὸ διάστημα, δῆλον ὅτι τὸ πέρας ἂν εἴη τοῦ περιέχοντος ὁ τόπος. πῶς δὲ οὐκ εἶπεν, ἢ τὰ ἔσχατα, εἰ μηδέν ἐστι τῶν τριῶν, ἀλλ' εἰ μὴ ἔστι μηδὲν διάστημα παρὰ τὸ τοῦ ἐγγινομένου σώματος μέγεθος. ἢ ὅτι τῶν δύο τῶν ἄλλων αὕτη πιθανωτέρα δοκεῖ ἡ ὑπόθεσις, τῆς τε τὸ εἶδος καὶ τῆς τὴν ὕλην λεγούσης εἶναι τὸν τόπον. ἢ μᾶλλον ὅτι τὰ δύο διὰ πολλῶν ἔφθασεν ἀνελεῖν, δείξας πρότερον ὅτι οὔτε ἡ ὕλη οὔτε τὸ εἶδος ὁ τόπος ἐστίν. ὥστε εἰ τὸ διάστημα ἀναιρεθείη, κἂν μηδὲν προστεθῇ περὶ τῶν ἄλλων, λείπεται τὸ ἔσχατον τοῦ περιέχοντος εἶναι τὸν τόπον.

ἈΛΛᾺ ΜῈΝ τὸ περιέχειν δοκεῖ ἡ μορφὴ εἶναι. ἐν τῷ αὐτῷ γὰρ τὰ ἔσχατα τοῦ περιέχοντος καὶ

τοῦ περιεχομένου. ἔστι μὲν οὖν ἄμφω πέρατα, ἀλλ' οὐ τοῦ αὐτοῦ. ἀλλὰ τὸ μὲν εἶδος τοῦ πράγματος. ὁ δὲ τόπος, τοῦ περιέχοντος σώματος. διὰ δὲ τὸ μεταβάλλειν πολλάκις μένοντος τοῦ περιέχοντος τὸ περιεχόμενον καὶ διῃρημένον, οἷον ἐξ ἀγγείου ὕδωρ, τὸ μεταξὺ εἶναί τι δοκεῖ διάστημα. ὡς ὄν τι παρὰ τὸ σῶμα τὸ μεθιστάμενον. τὸ δ' οὐκ ἔστιν, ἀλλὰ τὸ τυχὸν ἐκπίπτει σῶμα τῶν μεθισταμένων, καὶ ἅπτεσθαι πεφυκότων.

Τὰς αἰτίας λέγει δι' ἃς ἕκαστον τῶν τριῶν τῶν ἄλλων ὑπενοήθη τόπος εἶναι. καὶ τοῦ μὴ ὀρθῶς ὑπονοηθῆναι πάλιν διδάσκει, τοὺς τρόπους καὶ τὰς διαφορὰς ὑποδεικνύων. καὶ πρῶτον περὶ τοῦ εἴδους. ἐπειδὴ γὰρ περιέχειν δοκεῖ ὁ τόπος τὸ ἐν αὐτῷ σῶμα, δοκεῖ δὲ καὶ τὸ εἶδος περιέχειν τὸ οὗ ἐστιν εἶδος, δοκεῖ τὸ εἶδος εἶναι ὁ τόπος. καὶ μάλιστα ὅτι ἐν ταὐτῷ δοκεῖ τό, τε εἶδος εἶναι πέρας ὂν τοῦ περιεχομένου, καὶ τὸ τοῦ περιέχοντος πέρας. καὶ γὰρ καὶ συντιθέμενα ταῦτα διὰ τὸ ἀβαθῆ εἶναι, οὐδὲν ποιεῖ πλέον. ὅτι δὲ διάφορα ταῦτα, τό τε εἶδος τοῦ ἐν τόπῳ, καὶ τὸ πέρας τοῦ περιέχοντος, δῆλον. εἴ γε τὸ μὲν, πέρας ἐστὶ τοῦ ἐν τόπῳ, τὸ δὲ, πέρας τοῦ περιέχοντος. εἰ οὖν ἄλλος ὁ τόπος παρὰ τὸ ἐν τόπῳ, ἄλλο ἂν εἴη τὸ εἶδος τοῦ ἐν τόπῳ, καὶ ἄλλος ὁ τόπος. διὰ πλειόνων δὲ πρότερον δείξας ὅτι τὸ εἶδος οὐκ ἔστι τόπος, ἠρκέσθη νῦν δεῖξαι τὴν τῶν περάτων τοῦ τε περιέχοντος καὶ τοῦ περιεχομένου διαφοράν. ἐφεξῆς δὲ πάλιν τὴν αἰτίαν προστίθησι, τοῦ τὸ διάστημα τὸ μεταξὺ τῶν τοῦ περιέχοντος περάτων νομίζεσθαι τὸν τόπον. ἐπειδὴ γὰρ εἰς ἔννοιαν ἤλθομεν τοῦ τόπου ἀπὸ τῆς ἀντιμεταστάσεως τῶν σωμάτων, τῷ ἄλλοτε ἄλλως ἐν τῷ αὐτῷ γίνεσθαι τόπῳ, δοκεῖ τι τὸ διάστημα ὁ τόπος εἶναι ἄλλο παρὰ τὸ μεθιστάμενον σῶμα, μεταξὺ τῶν τοῦ περιέχοντος περάτων οἷον τῆς κοίλης ἐπιφανείας τοῦ κεράμου, ὡς κενούμενον καὶ δεχόμενον τὰ ἀντιμεθιστάμενα σώματα, χωριστόν τι ὂν αὐτῶν. καὶ γὰρ καὶ τοῦτο ὑπάρχειν δοκεῖ τῷ τόπῳ. εἶτα τὴν αἰτίαν τῆς ἀπάτης προστίθησι. καὶ οὕτως ἐλέγχει τὸν λόγον, δεικνὺς μηδὲν εἶναι τοιοῦτον διάστημα. αἴτιον δὲ τῆς ἀπάτης φησὶ, τὸ ἐξιόντος τινὸς σώματος ἄλλο πάντως ἀντεισιέναι καὶ αὐτὸ διάστημα ἔχον. καὶ μεταφέρουσι τὸ τῶν σωμάτων διάστημα ἐπὶ τὸν τόπον, ὡς αὐτὸν ὄντα τὸ διάστημα. ὡς εἴ γε μὴ ἀντεισῄει πάντως ἄλλο σῶμα, ἀλλὰ συνέπιπτεν ἐν τῇ ἐξόδῳ τοῦ προτέρου τὸ δεχόμενον ἀγγεῖον, ὡς ἐπὶ τῶν ἀσκῶν ὁρῶμεν, οἳ συμπίπτουσι κενούμενοι, οὐκ ἂν εἶναι τὸ μεταξὺ διάστημα ἐνομίζομεν. τοιγαροῦν ἐπὶ τοῦ ἀέρος οὐχ ὁμοίως φανταζόμεθα ὑπομένειν τὸ διάστημα τοῦ ἐμοῦ σώματος. συγχεῖται γὰρ εὐθὺς κινηθέντος ἡ περιέχουσά με ἐπιφάνεια, καὶ ἑνοῦται πρὸς ἑαυτήν. νῦν δὲ τῷ ἄλλο τι ἀντεισιέναι διαστατὸν, ἅπτεσθαι δυνάμενον τοῦ περιέχοντος, ἀλλὰ μὴ ἡνωμένον πρὸς αὐτὸ, δοκεῖ μένειν τὸ διάστημα. διὰ τοῦτο γὰρ προσέθηκε τὸ τῶν ἅπτεσθαι πεφυκότων, ἀλλὰ μὴ ἑνοῦσθαι. τὰ γὰρ ἑνούμενα, οἷον ἀὴρ πρὸς ἀέρα καὶ ὕδωρ, οὐκέτι ὡς ἐν τόπῳ ἐστὶν, οὐδὲ ὡς ἐν ἀγγείῳ τούτῳ πρὸς ὃ συνεχίζεται. οὐ γὰρ μένει ἔτι ὁ τόπος διῃρημένος ἀπὸ τοῦ ἐν τόπῳ. ὅτι δὲ ἀντεισέρχεται πάντως τι ἀεὶ σῶμα, δηλοῖ τὰ στενὰ τῶν ἀγγείων, καὶ αἱ καλούμεναι κλεψύδραι, μὴ ἐκρέουσαι τὸ ἐν ὑπάρχον ὕδωρ, εἰ μὴ χώραν εἰσρυήσεως ἐν αὐτοῖς ὁ ἀὴρ λάβῃ. ἀλλ' ὑποθώμεθα φησὶν ὁ γαλωὸς, ἐξαιρεθέντος τοῦ ὕδατος ἐκ κεράμου, μηδὲν ἕτερον εἰσρυῆναι σῶμα. μένει τοίνυν τὸ μεταξὺ τῆς ἐπιφανείας τοῦ ἀγγείου διάστημα κεχωρισμένον. ἀλλὰ ἄλογος ἡ ὑπόθεσις. τὸ γὰρ ζητούμενον ὑποτίθεται. ζητούντων γὰρ ἡμῶν εἰ δύναται εἶναι διάστημα κεχωρισμένον, οὐχ ὅτι ἐστὶ δεικνὺς, ἀλλ' ἑαυτῷ πλάττων καὶ ἀναζωγραφῶν, ὑποτίθεται εἶναι διάστημα κεχωρισμένον. ὅλως δὲ ἀδύνατα ὑποτίθεται ὁ ταῦτα λέγων. ὡς γὰρ ἀδύνατον σώματος ὄντος μὴ εἶναι διάστημα, οὕτως ἀδύνατον διαστήματος ὄντος μὴ εἶναι σῶμα. τὸ γὰρ διάστημα ἐν τούτῳ. διὸ καὶ ὑποτιθέμενος μὴ εἶναι μὲν σῶμα ἐν τῷ ἀγγείῳ, εἶναι δὲ ἐν αὐτῷ διάστημα, ὑποτίθεται καὶ μὴ εἶναι σῶμα ἐν αὐτῷ καὶ εἶναι. ὑποτιθέσθω δὲ εἰ δοκεῖ τὰ αὐτὰ ἐπὶ τῶν ἁπτομένων σωμάτων καὶ μὴ κοίλων, ἀφαιρεθέντος τοῦ ἁπτομένου, μηδὲν ἅπτεσθαι αὐτῶν σῶμα. δῆλον οὖν ὅτι ὁ τοῦτο λέγων, αἰτεῖται κενὸν εἶναι. οὐ μέντοι ἀποδείκνυσιν. οὕτως οὖν καὶ ἐπὶ τῶν κοίλων, ἅ ἐστιν ἀγγεῖα. καὶ γὰρ καὶ τούτων ἀεί τι τὸ ἁπτόμενον. οὐ γὰρ διότι τὸ σχῆμα τοιαῦτα ἐστὶ, διὰ τοῦτο ἤλλαξε τὴν φύσιν. ὡς οὖν ἐπὶ τούτου λέγομεν, ὅτι εἰ ἐδύνατο τοῦτο γίνεσθαι, ὡς εἶναί τι διάστημα χωρὶς σώματος, ἦν ἂν κενὸν, ἐπεὶ δὲ μὴ ἔστιν ὡς δειχθήσεται, ἀδύνατον ὑποχωρήσαντος τοῦ τέως ἁπτομένου, μὴ ἄλλο τι ἀντ' ἐκείνου ἐλθὸν ἅπτεσθαι τοῦ αὐτοῦ σώματος, οὕτω καὶ ἐπὶ τοῦ ἀγγείου. ὅλως δὲ ἡ τοῦ καθ' αὑτὸ διαστήματος ἐπίνοια γίνεται, ἀφαιρούντων ἡμῶν τῇ φαντασίᾳ τὰς ποιότητας, καθ' ἃς τὸ μέν ἐστιν ὕδωρ, τὸ δὲ οἶνος, τὸ δὲ ἄλλο τι, καὶ λαμβανόντων τὸ τῶν ἴσων σωμάτων διάστημα, ὡς ἄλλο μὲν ἐκείνων ἕκαστον ὂν ἐν οἷς ἦν αὐτῷ τὸ εἶναι, ταὐτὸν δὲ αὐτῷ εἶναι διὰ τὴν ἰσότητα, καὶ τὸ χωρὶς ἐκείνων αὐτὸ λαμβάνειν μεθ' ὧν ἦν, τὸ μὲν ὡς οἴνου, τὸ δ' ὡς ὕδατος διάστημα. ἀλλ' ὅτι μὲν ὁ ὑποτιθέμενος ἐξαιρουμένου τοῦ ἐντὸς σώματος μηδὲν ἀντεισάγεσθαι, αἰτεῖ τι κενὸν εἶναι ἐν ὑποστάσει, πρόδηλον. εἰ μέντοι τις λέγοι, εἶναι μὲν τὸ διάστημα ἐν παντὶ τῷ κόσμῳ, οὐ μέντοι κενὸν εἶναι ποτέ τι ἐν αὐτῷ, οὔτε γίνεσθαι. ἀλλ' ἐξιόντος σώματος ἀντεισάγεσθαί τι ἄλλο πάντως, καὶ δι' αὐτὸ τοῦτο μηδὲν εἶναι κενὸν, καὶ εἶναι τοῦτο τὸ διάστημα τὸν τόπον, ἄλλη τίς ἐστιν αὕτη ὑπόθεσις, καὶ ἀλλοίων ἐλέγχων προσδεομένη. καὶ φαίνεται πρὸς τοιαύτην μάλιστα τὴν ὑπόθεσιν ὁ ἀριστοτέλης ἐνιστάμενος.

Εἰ δ' ἦν τι τὸ διάστημα τὸ πεφυκὸς καὶ μένον ἐν τῷ αὐτῷ τόπῳ ἄπειροι ἂν ἦσαν τόποι. μεθισταμένου γὰρ τοῦ ὕδατος, καὶ τοῦ ἀέρος. τὸ αὐτὸ ποιήσει τὰ μόρια ἅπαντα ἐν τῷ ὅλῳ, ὅπερ ἅπαν τὸ ὕδωρ ἐν τῷ ἀγγείῳ. ἅμα δὲ καὶ ὁ τόπος ἔσται μεταβάλλων, ὥστ' ἔσται καὶ τοῦ τόπου ἄλλος τόπος. καὶ πολλοὶ τόποι ἅμα ἔσονται. οὐκ ἔστι δὲ ἄλλος τόπος ὁ τοῦ μορίου. ἐν ᾧ κινεῖται, ὅταν τὸ ὅλον ἀγγεῖον μεθίστηται, ἀλλ' ὁ αὐτός. ἐν ᾧ γάρ ἐστιν, ἀντιμεθίσταται ὁ ἀὴρ καὶ τὸ ὕδωρ καὶ τὰ μόρια τοῦ ὕδατος. ἀλλ' οὐκ ἐν ᾧ γίνονται τόπῳ, ὃς μέρος ἐστὶ τοῦ τόπου, ὅς ἐστι τόπος ὅλου τοῦ οὐρανοῦ.

Εἰπὼν τὰ πείσαντα διάστημα εἶναι τὸν τόπον νομίσαι, καὶ τὰς αἰτίας τῆς ἀπάτης προσθεὶς, ἐπεὶ τὸν ἔλεγχον νῦν τρέπεται τῆς ὑποθέσεως ἀσαφέστερόν πως ἑρμηνεύσας τὸ ἐπιχείρημα. ἔχει δὲ οὕτως ἐξ ἀκολουθίας ἀναγκαστικὴν ὑπάρχον, κατὰ τὸν δεύτερον ἀναπόδεικτον τρόπον, καθ' ὃν ἐστὶ τὸ συνημμένον τοιοῦτον. εἰ ἔστιν ὁ τόπος διαστήματός τις φύσις ὑπομένοντος καθ' αὑτὸ, καὶ μὴ ἐν σώματι ὄντος, τρία ἄτοπα ἀκολουθήσει. καὶ γὰρ ἄπειροι ἔσονται τόποι, καὶ ὁ τόπος ἔσται μεταβάλλων κατὰ τόπον. ὥστε τοῦ τόπου ἔσται ἄλλος τόπος, καὶ πολλοὶ τόποι ἅμα ἔσονται. ἀλλὰ μὴν ταῦτα ἀδύνατα. οὐκ ἄρ' ἔσται τοιοῦτο διάστημα. φανήσεται δὲ τὸ συνημμένον ἀληθὲς, ἐὰν ὑποθώμεθα ἀγγεῖον ὕδωρ ἔχον ἢ ἀέρα, μεταφερόμενον ἀπὸ τόπου εἰς τόπον, οὕτως ὥστε καὶ τὸ ἐν αὐτῷ κινεῖσθαι οἰκείαν κίνησιν, κλυδαζόμενον ἢ κύκλῳ περιφερόμενον. εἰ οὖν κεχώρηκε δι' ὅλου τοῦ ὕδατος τὸ διάστημα, μεθισταμένου φησὶ τοῦ ὕδατος καὶ τοῦ ἀέρος, ταὐτὸν ποιήσει τὰ μόρια πάντα ἐν τῷ ὅλῳ, ὅπερ ἅπαν τὸ ὕδωρ ἐν τῷ ἀγγείῳ. ὥσπερ γὰρ ἐπὶ τῆς ἀντιμεταστάσεως τῶν σωμάτων, ὅταν ἐν ᾧ ἐστιν ὕδωρ ἐν αὐτῷ γίνηται ἀὴρ, ἐνοήσαμεν τὸν τόπον ὡς πρότερον εἴρηται, οὕτως ἀντιμεθισταμένων ἀλλήλοις τῶν μορίων τοῦ ὕδατος ἐν τῷ κλυδασμῷ, ἔσται ἕκαστον μόριον ἐν μέρει τοῦ διαστήματος, τουτέστιν ἐν τόπῳ καθ' αὑτὸ, εἴπερ ὅλον δι' ὅλου κεχώρηκε τοῦ ὕδατος τὸ διάστημα. οἱ μὲν γὰρ τὸ πέρας τοῦ περιέχοντος τόπον εἶναι λέγοντες, τὸ μὲν ὅλον καθ' αὑτὸ φησιν ἐν τόπῳ, τὰ δὲ μόρια κατὰ συμβεβηκός. ἐπεὶ δὴ οὐδὲ περιέχεται ταῦτα ὑπ' αὐτοῦ προσεχῶς. οἱ δὲ τὸ διάστημα τὸ διὰ πάντων χωροῦν, οὗτοι προσεχεῖς καὶ καθ' αὑτὸ τῶν μορίων λέγουσι τοὺς τόπους. καὶ γὰρ ἐν διαστήματι καθ' αὑτό ἐστιν ἕκαστον. τὰ δὲ προσεχῶς ἐν τόπῳ ὄντα, διωρισμένα ἐστὶν ὡς δέδεικται πρότερον. διωρισμένοι δὲ καὶ οἱ τόποι. εἰ οὖν διωρισμένα ἐστὶ τὰ μόρια τοῦ συνεχοῦς, ὡς δῆλον καὶ ἐκ τοῦ καθ' αὑτὸ κινεῖσθαι, ἄπειρα ἂν εἴη τὰ μόρια καὶ ἄπειροι οἱ τόποι. ἀντὶ δὲ τοῦ εἰπεῖν ὅτι καὶ τὰ μέρη οὐκέτι ἔσται συνεχῆ τῷ ὅλῳ, ἀλλὰ καθ' αὑτὰ ἔσται ἐν τόπῳ, εἶπεν ὅτι πάντα τὰ μόρια τὰ ἐν τῷ ὅλῳ τοῦτο ποιήσει, ὅπερ τὸ ὅλον ὕδωρ ἐν τῷ ἀγγείῳ. τὸ δὲ ὅλον ὕδωρ καθ' αὑτὸ μεθίστατο, καὶ καθ' αὑτὸ ἦν ἐν τόπῳ διωρισμένον. ὥστε τὸ διάστημα τόπον ὑποτεθὲν, αἴτιον γέγονε τοῦ τὰ μόρια καθ' αὑτὸ κινεῖσθαι κατὰ τόπον, καὶ ἐν τόπῳ εἶναι. τοῦτο δὲ τοῦ διωρίσθαι τὰ μόρια καὶ τοὺς τόπους. τοῦτο δὲ τοῦ καὶ τὰ μόρια ἄπειρα εἶναι καὶ τοὺς τόπους ἐνεργείᾳ. ἐπειδὴ δὲ περὶ τόπου νῦν ὁ λόγος, τὴν τῶν τόπων ἀπορίαν καὶ οὐχὶ τῶν μορίων ὡς ἄτοπον ἐπήνεγκεν. εἰ δὲ ἄπειροι τῷ πλήθει κατ' ἐνέργειαν διαστήματα ὄντες οἱ τόποι, καὶ ἐν τῷ κυάθῳ ἔσται τὸ μέγεθος ἄπειρον. ὁμοίως δὲ καὶ ἐπὶ τῶν μορίων τῶν ἐν τοῖς ἀπείροις τόποις ἀπείρων ῥητέον. τὸ γὰρ ἐξ ἀπείρων τῷ πλήθει μεγεθῶν ὁπηλικονοῦν ἔσται καὶ τῷ μεγέθει ἄπειρον. οὕτω μὲν οὖν συνάγεται εἰ ἔστι τὸ διάστημα ἐν τῷ αὐτῷ, δεῖ ἐν κυάθῳ ἀπείρους εἶναι τόπους. ἀκολουθεῖ δὲ καὶ τὸ δεύτερον ῥηθὲν ἄτοπον, τὸ ἅμα δὲ καὶ ὁ τόπος ἔσται μεταβάλλων. ὥστε τοῦ τόπου ἔσται τις ἄλλος τόπος. εἰ γὰρ μετασταίη τὸ ἀγγεῖον ἔχον ἐν ἑαυτῷ διάστημα, ἔσται τὸ διάστημα τοῦτο ἐν τῷ διαστήματι ἐν ᾧ τὸ ἀγγεῖον γέγονε. καὶ οὕτως ἔσται τοῦ τόπου τόπος ὅπερ ἄτοπον. καὶ τρίτον δὲ ὅτι πολλοὶ τόποι ἅμα ἔσονται. μεταφερομένου γὰρ τοῦ ἀγγείου, μεταφέρεται καὶ τὸ μεταξὺ τῶν περάτων αὐτοῦ διάστημα. καὶ γίνεται ἐν ἄλλῳ ἴσῳ διαστήματι, ὥστε τὰ ἐν τοῖς ἀγγείοις ἔσται, ἔν τε τοῖς ἐξ ἀρχῆς διαστήμασιν, ἅπερ ἐλέγοντο τόποι, καὶ ἐν τούτοις εἰς οὓς μεταβάντα γεγόνασι. καὶ πολλοὶ τόποι ἅμα ἔσονται πολλοῖς ἄλλοις τοῦ αὐτοῦ σώματος τόποις. ἆρ' οὖν μὴ τὰ αὐτὰ ἄτοπα ἀκολουθεῖ, καὶ τοῖς τὸ ἔσχατον τοῦ περιέχοντος λέγουσι τὸν τόπον, ἢ οὐδαμῶς. οὐ γὰρ λέγεται κινουμένου τοῦ ἀμφορέως ἐν ἄλλῳ τόπῳ γίνεσθαι τὸ ὕδωρ, ἢ τὰ τοῦ ὕδατος μόρια. ἐν τῷ αὐτῷ γάρ ἐστι καὶ οὐ γίνεται ἐν ἑτέρῳ, ὡς εἰ ἦν διάστημα ἐν διαστήματι. πῶς οὖν εἰ τὸν αὐτὸν κατέχει τόπον ὁ οἶνος καὶ καθ' ὅλου καὶ κατὰ μόρια, κινήσεται ἐκ θάσου ἀθήναζε. ἢ οὐδὲ κινεῖται καθ' αὑτόν. μένει γὰρ ἐν τῷ ἀμφορεῖ. ἀλλὰ κινεῖται καὶ μεθίσταται ὁ ἀμφορεὺς ἐν ᾧ ὁ οἶνος ἐστὶν, οὐκ αὐτὸς ὁ οἶνος οὐδὲ τὰ μόρια αὐτοῦ, εἰ μὴ κατὰ συμβεβηκός. ἀλλ' ὁπόταν ταῦτα κινῆται, ἀλλήλοις ἀντιμεθίσταται τὰ ἐν τῷ κεράμῳ. εἰ δὲ ἦν τὸ διάστημα ὁ τόπος, συμμεθίστατο ἂν τοῖς ἀγγείοις τὰ σώματα καθ' αὑτὰ, καὶ τὰ μόρια ὁμοίως ἐκείνοις διῃρημένως ἐξαλλάσσοντα τὸ διάστημα. καὶ ἐγίνετο ἂν ἐν ἄλλῳ καὶ ἐν ἄλλῳ τόπῳ οὐ κατὰ συμβεβηκός. ὧν ἕκαστος τόπος μέρος τοῦ μείζονος. καὶ πάλιν ὁ μείζων τοῦ μείζονος. καὶ τοῦτο ἄχρι τοῦ μεγίστου τόπου καὶ διαστήματος, ἐν ᾧπερ ἐστὶν ὁ οὐρανός. διάστημα γάρ τι ὑποτίθενται, ἐν ᾧ ὅλος ὁ κόσμος ἐστὶ κεχωρηκὼς δι' ὅλου. οὗ ἐν μέρει ἕκαστον ἀεὶ σῶμα ἐγγίνεται. καὶ γὰρ καὶ τούτῳ ὑπάρχει τῷ λόγῳ τούτῳ, τὸ, τόπον τόπου μέρος ποιεῖν, καθάπερ καὶ διάστημα

διαστήματος. ἀλλὰ τοῦτο μὲν ἔξωθεν. ἐκεῖνο δὲ ὅρα, ὅτι ἢ καθ' αὑτὸ ποιήσουσι κινεῖσθαι τὸν οἶνον, οἱ τὸ διάστημα τόπον λέγοντες μηδὲν τοῦ ἀμφορέως διαφέροντα κατὰ τοῦτο, ἢ πάντῃ ἀκίνητον μένειν ὁρῶσι τὸν ἐκ θάτερου μεταβαίνοντα ἀθυμάζει. κατὰ συμβεβηκὸς γὰρ τούτοις οὐ προχωρεῖ λέγειν. διότι ὁμοίως ἐν τῷ διαστήματι τόν τε ἀμφορέα λέγουσιν εἶναι, καὶ τὸν ἐν αὐτῷ οἶνον, καὶ τὰ μόρια αὐτοῦ. ταῦτα μὲν οὖν εἰς τὴν δυνατὴν σαφήνειαν τῆς ἀριστοτέλους λέξεως εἰρήσθω. προσεκτέον δὲ τῷ ἀλεξάνδρῳ, τὸ καὶ πολλοὶ ἅμα τόποι ἔσονται ἐξηγουμένῳ οὕτως. ἔσται γάρ φησι τὰ ἐν τοῖς ἀγγείοις, εἰ διάστημα ὁ τόπος εἴη, ἅμα τε ἐν τοῖς ἐξ ἀρχῆς τόποις τε καὶ διαστήμασιν, εἰς οὓς γέγονε πάλιν σὺν τῷ ἀγγείῳ. κἂν πάλιν μετακομισθῇ, ὁμοίως πάλιν συμμετακομίζοιτο ἂν ἐν τοῖς διαστήμασιν ἐν οἷς ἦν. οὕτω δὲ γίνοιντο ἂν ἑκάστῳ τῶν ἐν τοῖς ἀγγείοις ἄπειροι τόποι καὶ ἄπειρα διαστήματα, καθ' ἑκάστην μεταφορὰν τοῦ ἀγγείου διάστημά τι ἴσον αὐτῷ καὶ τοῦ ἐν αὐτῷ προσλαμβάνοντος, τουτέστι τόπον. πῶς δὲ τοῦτο ἀληθές. τάχα μὲν γὰρ οὐδὲ τὸ ἐν τῷ κεράμῳ διάστημα συμβαίνειν συγχωρήσουσιν, οἱ τὸ διάστημα λέγοντες τόπον, ἀλλ' ἀεὶ ἐν ἄλλῳ καὶ ἄλλῳ γίνεσθαι τοῦ διαστήματος μέρει. εἰ δὲ καὶ τοῦτο δώσει τις, ἀλλ' οὐκ ἀνάγκη καὶ ἐκεῖνο εἰς ὃ ἐγένετο ὁ κέραμος μεταβαίνειν. ἄλλο τε γὰρ ἐν ἄλλῳ μέρει τοῦ διαστήματος γίνεται. ἄμεινον οὖν οἶμαι τὸ πολλοὶ ἅμα ἔσονται, ἐπὶ τῶν μεθισταμένων πολλῶν ὄντων, καὶ εἰς οὓς μεθίστανται ἀκούειν, ὡς εἴρηται πρότερον. τὸ δὲ οὐκ ἔστι δὲ ἄλλος ὁ τόπος τοῦ μορίου ἐν ᾧ κινεῖται, εἴρηται πρὸς τὸ ἄτοπον τὸ λέγον, ὅτι ἔσται τόπος τόπου, καὶ πολλοὶ τόποι ἅμα. ὅπερ ἠκολούθησε, διὰ τὸ ἄλλο μὲν εἶναι διάστημα, ὃ ἤγαγε μεθ' ἑαυτοῦ τὸ ὕδωρ, ἄλλο δὲ τὸ ἐν ᾧ ἐγένετο. λέγει οὖν ὅτι οὐκ ἔστιν ἄλλος καὶ ἄλλος τόπος, ἀλλ' ὁ αὐτός. ἐπειδὴ οὐδὲ τὸ διάστημά ἐστιν ὁ τόπος, ἀλλὰ τὸ πέρας τοῦ περιέχοντος. ὅπερ τὸ αὐτό ἐστι. λέγει οὖν ὅταν μεθίσταται τὸ ἀγγεῖον ὅλον, ὁ τόπος τοῦ μορίου ἐν ᾧ ὂν συμμεθίσταται, οὐκ ἔστιν ἄλλος παρ' ἐκεῖνον ἐν ᾧ γίνεται, ὡς οἱ τὸ διάστημα λέγοντες τόπον φασίν, ἀλλ' ἐν ᾧ ἐστι τόπῳ, τουτέστιν ἐν τῷ πέρατι τοῦ περιέχοντος, ἐν τούτῳ ἀντιμεθίστανται ἀλλήλοις ὁ ἀὴρ καὶ τὸ ὕδωρ, ἐὰν ἄμφω ἐν τῷ κεράμῳ ὄντα, κινῆται ἐν αὐτῷ. εἰ δὲ μόνον ὕδωρ εἴη τὸ ἐμβεβλημένον, τὰ μόρια τοῦ ὕδατος ἀντιμεθιστάμενα ἀλλήλοις κινεῖται. καὶ ἐν τούτῳ ἐστὶ τῷ τόπῳ, ἐν ᾧ καὶ ἀντιμεθίσταται ἀλλήλοις, κἂν μετατεθῇ τὸ ἀγγεῖον. ἀλλ' οὐκ ἐν ἐκείνῳ, ἐν ᾧ ὥς φασι γίνεται τόπῳ τῷ διαστήματι εἰς ὃ μεθίσταται. ὃ μέρος κατὰ τὴν ὑπόθεσιν ἐστὶ τοῦ ὅλου διαστήματος. οὕτω μὲν οὖν ἀναιρεῖσθαι δοκεῖ τὸ εἶναι τὸ διάστημα τόπον. ἐπιστῆσαι δὲ ἄξιον, μήποτε τὸ μὲν ἀπείρους εἶναι τόπους συνήχθη, ἐκ τοῦ ὑποθέσθαι τὰ προσεχῶς καὶ καθ' αὑτὸ ἐν τόπῳ ὄντα, διωρισμένα πάντως ὀφείλειν εἶναι καὶ ὅλα περιγεγραμμένα, ἀλλὰ μὴ ἐν ὅλῳ περιεχόμενα. διὸ τὰ μέρη κατὰ συμβεβηκὸς ἐλέγετο ἐν τόπῳ, ἀλλ' οὐ καθ' αὑτό. τούτου δὲ αἴτιον οἶμαι, ἡ προϋποκειμένη παρ' ἡμῖν τοῦ τόπου ἔννοια, τὸ πέρας τοῦ περιέχοντος εἶναι βουλομένη. ἐν ᾧ οὐκ ἔστι τὰ μόρια καθ' αὑτά, οὐδὲ πλησιάζει αὐτῷ. ἔτι δὲ μᾶλλον εἴποι ἄν τις οὐδὲ τὸ ὅλον ἐστὶν οὕτω καθ' αὑτὸ ἐν τόπῳ, ὡς καθόλου προσεχὲς εἶναι τῷ τόπῳ, ἀλλὰ μόνον τὸ πέρας αὐτοῦ. εἰ δέ τις τὸ διάστημα ὑπόθοιτο τόπον, τὸ δι' ὅλων τῶν μερῶν χωροῦν, οὐδὲν μὲν κωλύει καὶ καθ' αὑτὸ εἶναι τὰ μόρια ἐν τόπῳ. οὐ μὴν ἀνάγκη διῃρῆσθαι αὐτά. ἀλλ' ὥσπερ μόρια αὐτὰ λέγομεν εἶναι, καίτοι μὴ διῃρημένα, διαιρεθέντα γὰρ οὐδὲ μόρια ἔτι, οὕτω καὶ ἐν τόπῳ λέγοντες τὰ τοῦ συνεχοῦς μόρια καθ' αὑτά, οὐκ ἀναγκασθησόμεθα διαιρεῖν αὐτά. ὡς γάρ ἐστιν, οὕτω καὶ ἐν τόπῳ ἐστίν. ἔστι δὲ ἀδιαίρετα. καὶ ἢ κατ' εἶδος μόνον διῃρημένα, ὡς κεφαλὴ καὶ ὦμοι καὶ βραχίονες, ἢ μόνον δυνάμει ὡς τὰ ὁμοιομερῆ. συνεχοῦς οὖν ὄντος τοῦ τόπου, καὶ ἔχοντος καὶ αὐτοῦ μέρη, τὸ συνεχὲς ἔσται ἐν αὐτῷ σῶμα καθ' ὅλον τε καὶ κατὰ μόρια. ἀλλ' οὐ δὲ τόπον ἐν τόπῳ γίνεσθαι ἀνάγκη. οὐδὲ πολλοὺς ἅμα τόπους. οὐδὲ μεταβάλλειν τὸν τόπον κατὰ τὴν τοιαύτην ὑπόθεσιν. εἴπερ ἐν ἐστὶ τὸ διὰ πάντων χωροῦν διάστημα ἄλλο τε ἐν ἄλλοις ἑαυτοῦ μορίοις. ἀλλ' ὅτι καὶ ἄλλο τῶν σωμάτων δεχόμενον. ὁ γὰρ τοῦ οἴνου ἀμφορεὺς ἐν διαστήματί τινι ὤν, τῷ χωροῦντι διά τε τοῦ σώματος τοῦ ἀμφορέως καὶ διὰ τοῦ σώματος τοῦ οἴνου, ὅταν μεταστῇ, οὐ συνεπάγεται ἐκείνῳ τὸ διάστημα. ἀλλ' ἀπ' ἐκείνου μεταβαίνει εἰς ἄλλο. ἐκεῖνο γὰρ εἴπερ ἐστὶ χωριστὴν ἔχον φύσιν, μόνιμον καὶ ἀκίνητόν ἐστιν. οὔτε οὖν ὁ τόπος μεταβήσεται οὕτως, οὔτε τόπος ἐν τόπῳ γενήσεται, οὔτε πολλοὶ ἅμα τοῦ αὐτοῦ ἔσονται τόποι. καὶ ταῦτα μὲν ἀρκείτω πρὸς τὴν τῶν εἰρημένων ἐνστάσεων λύσιν. ἄλλοι δὲ λόγοι καὶ συνηγορήσουσιν ἴσως μετ' ὀλίγον τῷ διαστήματι.

ΚΑΙ Η ὕλη δέ, δόξειεν ἂν εἶναι τόπος εἴγε ἐν ἠρεμοῦντί τις σκοποίη, καὶ μὴ κεχωρισμένῳ, ἀλλὰ συνεχεῖ. ὥσπερ γὰρ εἰ ἀλλοιοῦται, ἔστι τι ὃ νῦν μέν, λευκόν. πάλιν δὲ μέλαν. καὶ νῦν μὲν σκληρόν. πάλιν δὲ μαλακόν, διό φαμεν εἶναί τι τὴν ὕλην, οὕτω καὶ ὁ τόπος διὰ τοιαύτης τινὸς εἶναι δοκεῖ φαντασίας. πλὴν ἐκεῖνο μέν, διότι ὃ ἦν ἀήρ, τοῦτο νῦν ὕδωρ. ὁ δὲ τόπος, ὅτι οὗ νῦν ἦν ὁ ἀήρ, ἐνταῦθά ἐστι νῦν ὕδωρ. ἀλλ' ἡ μὲν ὕλη ὥσπερ ἐλέχθη ἐν τοῖς πρότερον, οὔτε χωριστὴ τοῦ πράγματος, οὔτε περιέχουσα. ὁ δὲ τόπος, ἄμφω.

Ανελὼν τὸ εἶδος εἶναι τὸν τόπον καὶ τὸ διάστημα, τρέπεται λοιπὸν ἐπὶ τὸ καὶ περὶ τῆς ὕλης τῇ τοιαύτῃ χρήσασθαι μεθόδῳ. καὶ ὥσπερ ἐπὶ τῶν ἄλλων, οὕτω καὶ ἐνταῦθα πρῶτον λέγει τὰς αἰτίας,

δι' ἃς ἄν τις οἰηθείη τὴν ὕλην εἶναι τόπον. καὶ πιθανώτερον ἢ πρόσθεν νῦν τῷ λόγῳ παρισάμενος. καὶ ἅμα τὸν τοῦ Πλάτωνος ἑρμηνεύει σκοπόν, δι' ὃν τὴν ὕλην ἐκεῖνος χώραν καὶ τόπον ἐκάλεσεν. ἔπειτα τοὺς λογισμοὺς ἐπάγει, δι' οὓς οὐ δυνατὸν νομίζει τὴν ὕλην εἶναι τὸν τόπον. βουλόμενος δὲ εἰπεῖν τὸ πιθανὸν τῆς τοῦ τόπου πρὸς τὴν ὕλην ὁμοιότητος, οἰκείως λαμβάνει τὴν ὑπόθεσιν. τότε γάρ φησιν ἡ ὕλη δόξειεν ἂν εἶναι ὁ τόπος, ὅταν ἐπὶ ἠρεμούντων τις τῶν ἐν τόπῳ σκοπῇ, ἀλλὰ μὴ κινουμένων κατὰ τόπον. τὰ γὰρ ἐν τῇ ὕλῃ, ἠρεμεῖ ἐν αὐτῇ, ἀλλ' οὐ κινεῖται. ἄμεινον δὲ ἴσως ὁ ἀσπάσιος τὴν ὁμοιότητα τῆς ὕλης καὶ τοῦ τόπου εἰσάγοντα παραπέμψασθαι δεῖν φησιν, ὅτι ἠρεμεῖ ἡ ὕλη. ὁ γὰρ τόπος ἠρεμεῖ καὶ ἀκίνητός ἐστιν ἕως ἂν ᾖ. ἔτι δὲ οὕτως ἂν ἡ ὕλη δόξειε τόπος, εἰ παριδόντες τι τῶν περὶ τόπου ἀξιωθέντων, συνεχὲς ὑποθοίμεθα τὸ ἐν τόπῳ πρὸς τὸν τόπον, ἐπειδὴ καὶ πρὸς τὴν ὕλην συνεχίζεται τὸ ἐν αὐτῇ γινόμενον εἶδος, ἀλλ' οὐ διήρηται ἀπ' αὐτῆς. δῆλον δὲ ὅτι ἐναντίον τοῦτο ἐστὶ τῷ πρότερον περὶ τόπου ἀξιωθέντι. ἐπὶ τῷ αὐτῆς οὖν ὑποθέσεως λέγει λοιπὸν τὴν αἰτίαν τῆς ἀπὸ τοῦ κυρίως τόπου παραιτωγῆς ἐπὶ τὴν ὕλην. ἔστι δὲ αὕτη ἡ τοῦ τρόπου ὁμοιότης, καθ' ὃν ἐπὶ τὴν ἔννοιαν ἤλθομεν τὴν περὶ τῆς ὕλης καὶ τὴν περὶ τοῦ τόπου. τήν τε γὰρ ὕλην ὑπολαμβάνομεν εἶναι, ὁρῶντές τι ἓν καὶ ταὐτόν, ὃ νῦν μὲν σκληρόν, πρότερον δὲ μαλακὸν ἦν, καὶ νῦν μὲν λευκόν, πρότερον δὲ μέλαν. ὃ λέγομεν τούτοις ὑποκείμενον. ὁμοίως δὲ καὶ εἰς τὴν τοῦ τόπου ἔννοιαν διὰ τὰς αὐτὰς ἀφορμὰς ἤλθομεν. διότι ὅπου πρότερον ἦν ἀήρ, ἐνταῦθα νῦν ἐστιν ὕδωρ. μικρὰν δὲ δοκῶν προσιέναι διαφοράν, δι' αὐτῆς σαλεύει πᾶσαν τὴν δοκοῦσαν ὁμοιότητα εἰπών, πλὴν ἐκεῖνο μέν, διότι ὃ ἦν ἀήρ, τοῦτο νῦν ὕδωρ καὶ τὰ ἑξῆς. εἰ γὰρ τὸ μὲν ἐν τῇ ὕλῃ γινόμενον εἶδος μορφοῖ τὴν ὕλην, καὶ ποιεῖ καθ' ἑαυτὸ ὀνομάζεσθαι, τὸ δὲ ἐν τόπῳ οὐ μορφοῖ τὸν τόπον, οὐδὲ ἐστί τι αὐτοῦ, οὐδὲ μετ' ἐκείνου ἕν τι ποιεῖ, οὐδὲ καλεῖται κατ' ἐκεῖνο ὁ τόπος, δῆλον ὅτι πολλὴ ἂν εἴη διαφορὰ τῆς ὕλης πρὸς τὸν τόπον. κοινὸν δὲ τούτων, τὸ μόνον τὸ αὐτὸ δεδέχθαι τὰ διάφορα. καθὸ καὶ ὁ Πλάτων τόπον καὶ χώραν καὶ ὑποδοχὴν τῶν εἰδῶν τὴν ὕλην ἐκάλεσεν. ἆρα οὖν καὶ τὴν οὐσίαν τόπον ἄν τις τοῦ συμβεβηκότος καλέσειεν; ἢ καὶ τοῦτο μὲν οὐκ ἂν εἴη πόῤῥω κατὰ τὴν ὑποδοχήν. διαφέρει δὲ ὅτι καὶ τὰ ἐν ὕλῃ καὶ τὰ ἐν τόπῳ οὐσίαι ἐν οὐσίαις εἰσίν. εἰπὼν δὲ ταῦτα, ἐπιφέρει λοιπὸν τοὺς λόγους. μᾶλλον δὲ ὑπομιμνήσκει διὰ βραχέων ἐκείνων ἃ πρότερον εἶπε, διακρίνοντα τὸν τόπον ἀπὸ τῆς ὕλης. ἔστι δὲ ταῦτα. ὁ τόπος χωριστὸς τοῦ ἐν αὐτῷ. ἡ ὕλη οὐ χωριστή. ὁ τόπος περιέχει τὸ ἐν ἑαυτῷ. ἡ ὕλη οὐ περιέχει, ἀλλὰ περιέχεται ὑπὸ τοῦ ἐν αὐτῇ. ἀλλὰ πῶς λέγεται μὴ εἶναι χωριστὴ ἡ ὕλη, εἴπερ γίνεται καὶ ἀπογίνεται ἐν αὐτῇ τὰ εἴδη, ὡς ἐν τόπῳ τὰ σώματα. ἢ πρῶτον μὲν τὸ χωριζόμενον χωριζομένου χωρίζεται. πᾶν δὲ τὸ χωριζόμενον ὑπομένειν δεῖ, ἵνα οὕτω λέγηται χωρίζεσθαι. τὸ δὲ εἶδος ἐκτὸς τῆς ὕλης οὐχ ὑπομένει. ὥστε οὐδὲ χωρίζεται. οὐδὲ ἡ ὕλη ἄρα ἀπ' αὐτοῦ. ἔπειτα καὶ ἐν αὐτῷ τῷ εἶναι, τὸ μὲν εἶδος ἐν τῇ ὕλῃ, τὸ δὲ σῶμα ἐν τῷ τόπῳ, ἡ μὲν ὕλη ἕν τι ποιεῖ τὸ σύνθετον μετὰ τοῦ εἴδους, συναλλοιουμένη πως τῷ εἴδει καὶ μάλιστα κατὰ τοὺς ἐκ τοῦ περιπάτου. οἳ ἐξ ὕλης καὶ εἴδους τὸ σύνθετον εἶναι λέγουσι. καὶ ταύτῃ οὐκ ἂν εἴη χωριστή. ὁ δὲ τόπος καὶ τό γε αὐτὸς ἐφ' ἑαυτοῦ ἐστιν, οὐδὲν ἐπικοινωνῶν τῷ ἐν τόπῳ. ὅλως δὲ οὐδὲ πρὸς τὸ εἶδος μόνον τὸ χωριστὸν τῆς ὕλης χρὴ νοεῖν, ἀλλὰ πρὸς τὸ ἔνυλον. οὐ γὰρ ὡς τοῦ ἐν τόπῳ χωριστὸς ὁ τόπος, οὕτω τοῦ ἐνύλου χωριστὴ ἡ ὕλη. οὐ γάρ ἐστι χωριστὴ τοῦ πράγματος οὗ ἐστιν ὕλη, ὥσπερ ὁ τόπος χωριστός, τοῦ πράγματος οὗ ἐστι τόπος.

Ε

ΕΙ ΤΟΙΝΥΝ μηδὲν τούτων τῶν τριῶν ὁ τόπος ἐστί. μήτε τὸ εἶδος μήτε ἡ ὕλη, μήτε διάστημά τι ἀεὶ ὑπάρχον ἕτερον παρὰ τὸ τοῦ πράγματος τοῦ μεθισταμένου, ἀνάγκη τὸν τόπον εἶναι τὸ λοιπὸν τῶν τεσσάρων, τὸ πέρας τοῦ περιέχοντος σώματος. λέγω δὲ τὸ περιεχόμενον σῶμα, τὸ κινητὸν κατὰ φοράν.

Δ

δείξας ὅτι τῶν τριῶν οὐδὲν ἐστιν ὁ τόπος τῶν εἰρημένων, συνάγει λοιπὸν ἐν τάξει τὸν συλλογισμόν, καὶ τὸ συμπέρασμα ἐπάγει, ὅτι ἀνάγκη τὸν τόπον εἶναι τὸ λοιπὸν τῶν τεσσάρων, τὸ πέρας τοῦ περιέχοντος σώματος, καθ' ὃ συνάπτει τῷ περιεχομένῳ. ἔχοι γὰρ ἄν τι καὶ ἄλλο πέρας τὸ περιέχον. οἷον ἡ σεληνιακὴ σφαῖρα περιέχει μὲν τὸ ὑπὸ τὴν σελήνην κατὰ τὴν κοίλην ἐπιφάνειαν, καθ' ἣν συνάπτει αὐτῷ. ἔχει δὲ καὶ ἄλλο πέρας τὸ τῆς κυρτῆς ἐπιφανείας τὸ πρὸς τῇ ἑρμαϊκῇ. λέγω δέ φησιν τὸ περιεχόμενον σῶμα, τὸ κινητὸν κατὰ φοράν, ὥστε τοῦτο εἶναι ἐν τόπῳ. καὶ γὰρ ἀπὸ τῆς κατὰ τόπον κινήσεως ὁ τόπος εὑρέθη. ἀνάγκη οὖν καὶ τὸν οὐρανὸν κινητὸν ὄντα κατὰ φορὰν ἐν τόπῳ εἶναι. ὅπερ αὐτὸς μετ' ὀλίγον ἀποφήσει. ἢ οὖν κινητὸν κατὰ φορὰν λέγει τὸ πεφυκὸς ποτὲ μὲν κινεῖσθαι, ποτὲ δὲ ἠρεμεῖν. ὁ δὲ οὐρανὸς οὐ κινητός, ἀλλ' ἀεὶ κινεῖται. ἢ ἄλλο ἐστί φησιν ὁ Ἀλέξανδρος τὸ κατὰ φοράν, καὶ ἄλλο τὸ κατὰ περιφοράν. τὸ μέν, ἐπ' εὐθείας καὶ ὅλον τόπον ἐκ τόπου μεταβάλλον. τὸ δέ, κύκλῳ καὶ ἐν τῷ αὐτῷ φερόμενον, κατὰ μόρια κινεῖται. διὸ οὐδὲ ἐν τόπῳ ἐστὶν ὅλον, ὅτι μὴ δὲ κινεῖται κατὰ τόπον ὅλον. ὁ μέντοι ἀσπάσιος οὐκ ἀντιστρέφει φησίν. οὐ γὰρ ἀνάγκη εἰ πᾶν τὸ ἐν τόπῳ κινητὸν κατὰ φοράν, καὶ τὸ κινητὸν κατὰ φορὰν ἐν τόπῳ εἶναι. καίτοι γε ἐχρῆν αὐτοῦ λέγοντος ἀκοῦσαι μετ' ὀλίγον τοῦ Ἀριστοτέλους, ὅτι πᾶν σῶμα ἢ κατὰ φορὰν ἢ κατὰ αὔξησιν κινητόν,

καθ' αὑτό που. εἶτα μετάγει λύων ὡς ἔοικε ταύτην τὴν ἀπορίαν ὁ Ἀριστοτέλης. ὁ δὲ οὐρανὸς ὥσπερ
εἴρηται οὔ που ὅλος. οὐδὲ ἔν τινι τόπῳ ἐστίν. εἴγε αὐτὸν μηδὲν περιέχει σῶμα. ὥσπερ δὲ οὔ που ὅλος,
οὕτως οὐδὲ κινεῖται καθ' ὅλον ἑαυτόν. οὐδὲ γὰρ μεταβαίνει τόπον ἐκ τόπου, ἀλλὰ μόνον κατὰ τὰ
μόρια καθ' ἃ καὶ κινεῖται. διὸ καὶ προσέθηκεν ὁ Ἀριστοτέλης τοῖς ἤδη παραγραφεῖσιν, ἐφ' ὃ δὲ κι-
νεῖται, ταύτῃ καὶ τόπος ἐστὶ τοῖς μορίοις. ἕτερον γὰρ ἑτέρου ἐχόμενον τῶν μορίων ἐστίν. εἰπὼν δὲ ὅτι
κατὰ συμβεβηκὸς ἐν τόπῳ καὶ ἡ ψυχὴ καὶ ὁ οὐρανός, ἐπήγαγε, τὰ γὰρ μόρια ἐν τόπῳ πως πάν-
τα. ἐπὶ τῷ κύκλῳ γὰρ περιέχει ἄλλο ἄλλο. διὸ κινεῖται κύκλῳ μόνον τὸ ἄνω. τὸ δὲ πᾶν, οὔ που. δῆ-
λον ὅτι τὸ κατὰ τὸ πᾶν. οὐδὲ γὰρ κινεῖται καθ' ὅλον. ὡς μέντοι κινεῖται, οὕτω πού. ἐφ' ὃ γὰρ κινεῖ-
ται, ταύτῃ καὶ τόπος ἐστὶ τοῖς μορίοις. καὶ ὡς πού, οὕτω κινεῖται. ἐπὶ τῷ κύκλῳ γάρ φησι περιέχει
ἄλλο ἄλλο. διὸ κινεῖται κύκλῳ μόνον, ἑκάτερον ὂν ἀληθές. ὅτι τὸ ἐν τόπῳ σῶμα κινητὸν κατὰ τό-
πον ἐστί. καὶ ὅτι τὸ κινητὸν κατὰ τόπον ἐν τόπῳ ἐστίν. ὡς γὰρ ἔχει τὸ ἕτερον οὕτω καὶ τὸ ἕτερον.

ΔΟΚΕΙ δὲ μέγα τι εἶναι καὶ χαλεπὸν ληφθῆναι ὁ τόπος, διά τε τὸ παρεμφαίνεσθαι τὴν ὕλην
καὶ τὴν μορφήν, καὶ διὰ τὸ ἐν ἠρεμοῦντι τῷ περιέχοντι γίνεσθαι τὴν μετάστασιν τοῦ φερομένου. ἐν-
δέχεσθαι γὰρ φαίνεται εἶναι διάστημα μεταξὺ ἄλλο τι τῶν κινουμένων μεγεθῶν. συμβάλλεται δέ τι
καὶ ὁ ἀήρ, δοκῶν, ἀσώματος εἶναι. φαίνεται γὰρ οὐ μόνον τὰ πέρατα τοῦ ἀγγείου εἶναι ὁ τόπος, ἀλλὰ καὶ
τὸ μεταξὺ ὂν ὡς κενόν.

ΕΙπὼν πρότερον ὅτι τοιοῦτον χρὴ τὸν ὅρον ἀποδοθῆναι τοῦ τόπου, ὥστε τά τε ἀπορούμενα λύεσθαι,
καὶ τὰ δοκοῦντα ὑπάρχειν τῷ τόπῳ ὑπάρχοντα εἶναι, καὶ ἔτι τὸ τῆς δυσκολίας αἴτιον καὶ τῶν
ἀπορημάτων ἔσεσθαι φανερόν, ἀποδοὺς τὸν τοῦ τόπου ὁρισμόν, εὐθὺς ἐκ τοῦ ἀποδοθέντος τὰ τῆς δυ-
σκολίας αἴτια πειρᾶται δεικνύναι. δοκεῖ γάρ τι φησὶ μέγα καὶ χαλεπὸν εἶναι ὁ τόπος, διὰ τὸ πα-
ρεμφαίνεσθαι τῇ αὐτοῦ σκέψει τὰ τρία τὰ διελεγχθέντα, τήν τε ὕλην, καὶ τὸ εἶδος, καὶ τὸ διά-
στημα. εἰ γὰρ ἅπερ δοκεῖ μάλιστα εἶναι ὁ τόπος, ταῦτα ἀδύνατον εἶναι αὐτόν, χαλεπὴ καὶ δύσκολος
ἂν εἴη ἡ τοῦ τόπου εὕρεσις. καὶ μέντοι εἰ ἄλλο ζητοῦσιν ἡμῖν ἄλλα παρεμφαίνεσθαι εἴωθεν, ἐμπόδιον
τοῦτο πρὸς τὴν εὕρεσιν ἱκανὸν γίνεται. καὶ τὸ μὲν εἶδος ὅτι δοκεῖ εἶναι ὁ τόπος εἴρηται πολλάκις, διά τε
τὸ περιέχειν, καὶ διὰ τὸ ἓν μετὰ τοῦ τόπου γίνεσθαι, ἐφαρμοζομένων ἀλλήλαις τῶν δύο ἐπιφα-
νειῶν, τῆς τε τοῦ περιεχομένου καὶ τῆς τοῦ περιέχοντος. προσέθηκε δὲ πάλιν τὴν ὕλην τῷ εἴδει,
διότι καὶ ἡ ὕλη χώρα καὶ τόπος εἶναι δοκεῖ τῶν εἰδῶν, ἄλλοτε ἄλλων ἐν αὐτῇ γινομένων εἰδῶν, ὥσ-
περ καὶ ἐν τῷ τόπῳ ἄλλοτε ἄλλων σωμάτων. ἐν ᾧ γὰρ πρότερον ἦν ἀέρος εἶδος, ἐν τούτῳ γίνεται
καὶ ὕδατος. καὶ εἴρηται πολλάκις ὅτι τὴν τοῦ τόπου ἔννοιαν ἡ ἀντιμετάστασις τῶν σωμάτων μάλιστα
ἡμῖν ἐνεποίησεν. ἀλλ' ἡ μὲν ὕλη καὶ τὸ εἶδος καθ' ὅν τινα τρόπον δοκοῦσι τόπος, πολλάκις εἰπὼν ἠρ-
κέσθη. δι' ἃς δὲ αἰτίας τὸ διάστημα δοκεῖ, πάλιν ὑπομιμνήσκει, ὡς καὶ πιθανωτέρας οὔσης τῆς ὑπο-
θέσεως καὶ πρὸς ὀλίγον ἐξεταθείσης. ἐπειδὴ γὰρ ἡ ἀντιμετάστασις τῶν σωμάτων ἐν τῷ περιέχοντι
γίνεται ἠρεμοῦντι, ὅπερ κατὰ τὸν Ἀλέξανδρον σημαίνει τῷ ἀκινήτῳ ὄντι, διὰ τὸ μὴ συγκινεῖσθαι
τῷ ἐν αὐτῷ τὸν τόπον, τὸ τὸ περιεχόμενον σῶμα καὶ ἀεὶ ἐν τόπῳ περιέχοντι γινόμενον διάστημα ἔχειν,
φαντασίαν τισὶ παρέσχεν, ὡς ὂν διάστημα ἄλλο παρὰ τὰ διαστήματα τὰ ἐν τοῖς σώμασι τοῖς κινου-
μένοις καὶ ἀλλάσσουσι τὸν τόπον, ἴσον ὂν αὐτοῖς κατὰ τὸ μέγεθος. μήποτε δὲ τὸ ἐν ἠρεμοῦντι οὐχ ὡς
ἀκινήτῳ κατὰ τὸν τόπον εἶπεν, ἀλλ' ὡς τῷ αὐτῷ μένοντι καὶ μὴ ἀμειβομένῳ. οὔτε γὰρ ἀποδέδεικται
πω τὸ ἀκίνητον εἶναι τὸν τόπον, οὔτε χρειῶδές ἐστιν οὕτω πρὸς τὴν τοῦ διαστήματος ἔννοιαν. τὸ δὲ μένειν
τὸ αὐτό, χρειῶδες. ἐπειδὴ τὰς διαφορὰς ἀφαιροῦντες τῶν ἀντιμεθισταμένων σωμάτων, τὸ διάστημα
ὡς τὸ αὐτὸ φανταζόμεθα. ἢ οὐ μάτην ὁ Ἀλέξανδρος τῷ ἠρεμοῦντι ὡς ἀκινήτῳ κατὰ τόπον ἤκουσεν.
ἀλλ' ὅτι κἂν ὁ Ἀριστοτέλης μεταβαῖνον ἀπέδειξε τὸ διάστημα, εἰς ἀτοπίαν ἀπάγων τὸν λόγον. ὅ τε
ἔλεγεν ἅμα δὲ καὶ ὁ τόπος ἔσται μεταβάλλων, ἀλλ' οἱ ὑποτιθέμενοι τὸ διάστημα τὸ διὰ παντὸς τοῦ
κόσμου χωροῦν, ἀκίνητον αὐτὸ ἔλεγον, ἄλλοτε ἐν ἄλλῃ ἑαυτοῦ μοίρᾳ ἄλλο τι καὶ ἄλλο τῶν σωμάτων
δεχόμενον. πρὸς δὲ τὸ δοκεῖν διάστημά τι εἶναι τὸν τόπον, συμβάλλεσθαι δοκεῖ καὶ τὸν ἀέρα δοκοῦν-
τά τισιν ἀσώματον εἶναι. διὰ γὰρ τοῦτο δοκεῖ καὶ τὸ μεταξὺ τῶν τοῦ ἀγγείου περάτων, κενή τις εἶναι
χώρα σωμάτων δεκτική. καὶ οὐ μόνον ἐν τοῖς τοῦ ἀγγείου πέρασιν εἶναι δοκεῖ τὰ ἐμβαλλόμενα, ἀλλὰ
καὶ ἐν τῇ μεταξὺ χώρᾳ. καὶ μᾶλλον ἐν αὐτῇ, εἴπερ αὐτὴ δι' ὅλου κεχώρηκεν. ἐν δὲ τοῖς πέρασι τοῦ
ἀγγείου, τὰ πέρατα τοῦ ἐν αὐτῷ προσεχῶς ἐστι. διὸ εἶπεν ὅτι φαίνεται οὐ μόνον τὰ πέρατα τοῦ ἀγγείου
εἶναι ὁ τόπος. δοκεῖ δὲ ἡ φαντασία αἰτία εἶναι, μετὰ τὴν ἀφαίρεσιν τοῦ σώματος κενὸν ὑπολειποῦσα
διάστημα. ὅτι δὲ κενεμβατεῖ, φαίη ἄν τις δῆλον. εἰ γὰρ ἀνέλοι καὶ ἐκεῖνο τὸ διάστημα ἡ φαντασία, πά-
λιν ἄλλο ὑπολειφθήσεται. καὶ τοῦτο οὐδέποτε παύσεται. σημειωτέον δέ φησιν ὁ Ἀλέξανδρος, ὅτι
καὶ τὸ ἀγγεῖον πέρας τοῦ περιέχοντος λέγει. καὶ ὅτι μὲν ἐν ᾧ λέγειν οὐ μόνον τὰ πέρατα τοῦ ἀγγείου ὁ
τόπος ἦ, οὐ λέγει τὸ ἀγγεῖον τὸ πέρας τοῦ περιέχοντος, δῆλον. ἀλλ' εἰ ἄρα, τὰ πέρατα τοῦ ἀγγείου. ἐκ δὲ τοῦ
ἐφεξῆς ἄν τις ἴσως συναγάγοι τοῦτο. εἴπερ τὸ μὲν ἀγγεῖον τόπος, ὁ δὲ τόπος πέρας τοῦ περιέχοντος.

Ἔστι δ' ὥσπερ τὸ ἀγγεῖον τόπος μεταφορητός, οὕτως ὁ τόπος ἀγγεῖον ἀμετακίνητον.

Μέχρι νῦν ὡς τοῖς αὐτοῖς τῷ τόπῳ καὶ τῷ ἀγγείῳ χρησάμενος, καὶ τὸν τοῦ τόπου ὁρισμὸν κοινὸν ἀποδοὺς τοῦ τε τόπου καὶ τοῦ ἀγγείου, πέρας γὰρ τοῦ περιέχοντος ἑκάτερον, καθ' ὃ συνάπτει τῷ περιεχομένῳ, οὐ γὰρ τὸ τοῦ ὀστράκου σῶμα ἀγγεῖον ἐστίν, ἀλλ' ἡ ἐντὸς ἐπιφάνεια, ἧς μενούσης συνεχοῦς ἔχει τὸ σκεῦος τὴν τοῦ ἀγγείου δύναμιν, κἂν πάθῃ τι τὸ τοῦ ὀστράκου βάθος, νῦν προστίθησι τὸ ἴδιον τοῦ τε τόπου καὶ τοῦ ἀγγείου. ὅτι ὁ μὲν τόπος ἀκίνητός ἐστι τῇ ἑαυτοῦ φύσει, τὸ δὲ ἀγγεῖον μεταφορητόν. κἂν ἐναλλάττῃ οὖν ποτε ὁ τόπος καὶ τὸ ἀγγεῖον, ἀλλ' ἑκάτερον σώζει τὸ ἴδιον. ὥστε τὸν μὲν τόπον ἀγγεῖον εἶναι ἀκίνητον, τὸ δὲ ἀγγεῖον τόπον μεταφορητόν. εἰκότως δὲ πέρας ὂν τοῦ περιέχοντος ὁ τόπος, ἀκίνητος λέγεται. καὶ γὰρ ὡς ἐπιφάνεια καθ' αὑτὴν ἀκίνητός ἐστι, καὶ ὡς τόπος ἔτι μᾶλλον. πῶς γὰρ ἂν ὁ τόπος κινοῖτο κατὰ τόπον. ἀλλὰ καὶ τὸ ἀγγεῖον φαίη ἄν τις κατὰ τὴν ἔνδον ἐπιφάνειαν μάλιστα ἀγγεῖον λέγεται. ἣ τὸ μὲν χωρητικὸν ὃ κοινόν ἐστι πρὸς τὸν τόπον κατ' ἐκείνην ἔχει. τὸ δέ, ὡς σκεῦος, καὶ κατὰ τὸ σῶμα, καὶ κατὰ τὸ μεταφορητὸν εἶναι σῶμα, δεκτικὸν καὶ αὐτό τινος ὂν σώματος. καὶ τάχα ἐν τοῖς περὶ τόπου ἀξιώμασι, διὰ τοῦτο οὐ προσέλαβεν ἀκίνητον εἶναι τὸν τόπον, ὅτι χρείαν εἶχεν ὡς ἀγγείῳ τῷ τόπῳ τέως χρήσασθαι, διὰ τὴν ἐκ τοῦ ἀγγείου πολλαχοῦ πρὸς τὸν τόπον χειραγωγίαν, καίτοι καὶ τοῦ θεοφράστου καὶ τοῦ εὐδήμου ὡς εἴρηται καὶ πρότερον τὸ ἀκίνητον ὡς ἓν τῶν περὶ τόπου ἀξιωμάτων προειληφότων. προστίθησι δὲ ὁ ἀλέξανδρος ὅτι εἴπερ καὶ τὸ ἀγγεῖον τόπος ἐστί, καὶ τὰ ἐν ἀγγείῳ ἐν τῷ τοῦ περιέχοντος αὐτὸ σώματος ἐστὶ πέρατι.

Διὸ ὅταν μὲν ἐν κινουμένῳ τι κινῆται, καὶ μεταβάλλῃ τὸ ἐντός, οἷον ἐν ποταμῷ πλοῖον, ὡς ἀγγείῳ χρῆται μᾶλλον, ἢ τόπῳ τῷ περιέχοντι. βούλεται δ' ἀκίνητον εἶναι ὁ τόπος. διὸ ὁ πᾶς μᾶλλον ποταμός, τόπος. ὅτι ἀκίνητος ὁ πᾶς. ὥστε τὸ τοῦ περιέχοντος πέρας ἀκίνητον πρῶτον, τοῦτ' ἔστιν ὁ τόπος.

Εἰπὼν τὴν διαφορὰν τοῦ τόπου καὶ τοῦ ἀγγείου, καὶ ἐπὶ πλέον αὐτὴν διαρθρῶσαι βουλόμενος, καὶ τὸ ἀκίνητον τοῦ τόπου βεβαιώσασθαι, διορίζει καὶ τὰ ἐν αὐτῷ ὄντα, διδάσκων πότε μὲν ὡς ἐν ἀγγείῳ λέγομεν εἶναι, πότε δὲ ὡς ἐν τόπῳ. καὶ λέγει ὅτι ὅταν κινούμενόν τι σῶμα ἐν κινουμένῳ τινὶ ἐνῇ, ὥστε συγκινεῖσθαι αὐτῷ τὸ ἐν ᾧ ἐστίν, ὥσπερ τὸ ἐν ποταμῷ πλοῖον ἢ ξύλον, οὐ τέμνον τὸ ὕδωρ, ἀλλ' ὑπὸ τοῦ ῥέοντος ὕδατος περιεχόμενον καὶ συγκαταφερόμενον αὐτῷ, τό, τε ὡς ἐν ἐκείνῳ τοῦ ὕδατος τῷ μορίῳ τῷ περιέχοντι αὐτό, μᾶλλον ὡς ἐν ἀγγείῳ ἐστὶν ἢ ὡς ἐν τόπῳ. τὸ δὲ κινούμενον ἀκινήτου μένοντος τοῦ ἐν ᾧ ἐστι, τοῦτο ἐστὶν ἐν τόπῳ. ὁ γὰρ τόπος οὐκ ἐθέλει συγκινεῖσθαι τῷ ἐν αὐτῷ, ἀλλ' ὑπομένειν. ἵνα μὴ καὶ αὐτὸς τόπου χρήζῃ κατὰ τόπον κινούμενος. τὸ δὲ ἐν κινουμένῳ κινούμενον ὡς τὰ ἐν τοῖς ἀγγείοις ἐκείνων κινουμένων δηλονότι, κατὰ συμβεβηκὸς κινεῖται. εἰπὼν οὖν τὸ ὡς ἐν ἀγγείῳ κινούμενον, ἐπὶ τοῦ αὐτοῦ παραδείγματος τὸ ἐν τόπῳ κινούμενον καὶ τὸν τόπον ὑποδείκνυσιν. ὡς γὰρ ἐν τούτῳ τῷ παραδείγματι, ὁ πᾶς μᾶλλον ποταμὸς τόπος ἂν εἴη τῆς νεώς, διότι ἀκίνητος ὁ σύμπας φυλάττων τὴν αὐτὴν χώραν, κατὰ τῆς αὐτῆς ῥέων ἀρχῆς, καὶ ἐπὶ τὸ αὐτὸ τέλος ἀφικνούμενος. τὸ δὲ μᾶλλον προσέθηκε, διότι οὐ κυρίως ὁ πᾶς ποταμὸς τόπος ἂν εἴη τῆς νεώς. οὐ γὰρ πέρας τοῦ περιέχοντός ἐστι τὸ πᾶν τοῦ ποταμοῦ ὕδωρ, οὐδὲ ἐπιφάνεια ὅλως, ἀλλὰ σῶμα. ἀλλὰ κατὰ τοῦτο μᾶλλον ὁ πᾶς, καθόσον μὴ συγκινεῖται. τόπος δὲ ὅλος τῆς νεώς, ὅτι ἐν μορίῳ αὐτοῦ φέρεται ἡ ναῦς. ἢ οὐδὲ τόπος τῆς νεὼς ὁ ποταμός. ἀλλ' εἴη ἂν ὁ μὲν ποταμὸς πᾶς ἐν τόπῳ ὥς φησιν ἀλέξανδρος, τῷ μὴ συγκινεῖσθαι αὐτῷ τὸ πέρας τοῦ περιέχοντος αὐτόν, ἡ δὲ ναῦς ἐν ἀγγείῳ. καὶ ἴσως ἂν λέγοι φησὶν οὐ τῆς νεὼς τὸν πάντα ποταμὸν τόπον, ἀλλὰ τοῦ ἐν αὐτῷ ὄντος. ἔστι δὲ τὸ ὕδωρ. εἴπερ ποταμὸν ἀκούσομεν μὴ τὸ ὕδωρ, ἀλλὰ τὴν ὕδωρ περιέχουσαν ἐπιφάνειαν τῆς γῆς. καταλληλότερον γὰρ ἂν ἐπ' αὐτοῦ λέγοιτο, τό, διὸ ὁ πᾶς ποταμὸς μᾶλλον τόπος. αὕτη γὰρ κυρίως τόπος τοῦ περιεχομένου καὶ κινουμένου ἐν αὐτῇ ὕδατος, ἀκίνητος οὖσα. οὐ μέντοι τῆς νεὼς ὁ τόπος πρώτως. ἀλλ' ἔστιν ἡ μὲν ναῦς ὡς ἐν ἀγγείῳ τῷ ὕδατι. τὸ δὲ ὕδωρ ὡς ἐν τόπῳ τῇ περιεχούσῃ αὐτὸ ὄχθῃ τοῦ ποταμοῦ. ἣν εἴη ἂν ποταμὸν ὁ ἀριστοτέλης καλέσας καὶ τόπον εἰπών, οὐ τῆς νεὼς ἀλλὰ τοῦ ὕδατος. εἰ δὲ τοῦτο, δηλονότι διαφόρως τὸν ποταμὸν ἐκάλεσε, ποτὲ μὲν τὸ ὕδωρ, ποτὲ δὲ τὴν τὸ ὕδωρ περιέχουσαν ἐπιφάνειαν. δείξας οὖν καὶ τὴν ἐν τόπῳ καὶ τὴν ἐν ἀγγείῳ διαφοράν, καὶ ἐκ ταύτης τὸ ἀκίνητον ὑποδείξας τοῦ τόπου, τὸν ὁρισμὸν λοιπὸν ὁλόκληρον ἐκ τῶν εἰρημένων συνάγει, ὅτι ἔστιν ὁ τόπος τὸ τοῦ περιέχοντος πέρας ἀκίνητον πρῶτον, διὰ τοῦ πρῶτον τὸ προσεχὲς δηλώσας συντόμως. ὅπερ πρότερον ἐσήμανε διὰ τοῦ καθ' ὃ συνάπτει τῷ περιεχομένῳ. ἔστι μὲν γὰρ τὸ ἐν τόπῳ λεγόμενον, καὶ ἐν τῇ ἔνδον ἐπιφανείᾳ τοῦ περιέχοντος σώματος, καὶ ἐν τῇ ἔνδον τοῦ τὸ περιέχον περιέχοντος. οἷον εἰ ἐν ὕδατι λίθος, καὶ τὸ ὕδωρ ἐν ἀέρι καὶ ἀκινήτῳ, ὁ λίθος περιέχεται ἐν τῇ ἐπιφανείᾳ τοῦ ἀέρος. οὐ μέντοι προσεχῶς ἐν ἐκείνῃ οὐδὲ πρώτως. οὐδὲ συνάπτει κατ' ἐκείνην τῷ περιεχομένῳ. διὸ οὐδὲ τόπος ἐκείνη κυρίως. ἔστι δὲ προσεχὲς καὶ τὸ τοῦ ἀγγείου πέρας τὸ πρὸς τῷ περιεχομένῳ, ἀλλὰ κινητὸν καὶ μεταφορητόν. διόπερ ἀγγεῖον ἀλλ' οὐ τόπος ἐστίν, ἐὰν μὴ καὶ τὸ ἀκίνητον προσλάβῃ. τοῦτο δὲ καὶ διὰ τῶν ἑξῆς συνίστησιν.

ΚΑῚ ΔΙᾺ τοῦτο τὸ μέσον τοῦ οὐρανοῦ καὶ τὸ ἔσχατον τὸ πρὸς ἡμᾶς τῆς κύκλῳ φορᾶς, δοκεῖ εἶναι τὸ μὲν, ἄνω, τὸ δὲ, κάτω, μάλιστα πᾶσι κυρίως. ὅτι τὸ μὲν ἀεὶ μένει. τοῦ δὲ κύκλου τὸ ἔσχατον, ὡσαύτως ἔχον μένει. ὥστ᾽ ἐπεὶ τὸ μὲν κοῦφον, τὸ ἄνω φερόμενόν ἐστι φύσει. τὸ δὲ βαρὺ τὸ κάτω, τὸ μὲν πρὸς τὸ μέσον περιέχον πέρας, κάτω ἐστί. καὶ αὐτὸ τὸ μέσον. τὸ δὲ πρὸς τὸ ἔσχατον, ἄνω. καὶ αὐτὸ τὸ ἔσχατον. καὶ διὰ τοῦτο δοκεῖ ἐπίπεδόν τι εἶναι καὶ οἷον ἀγγεῖον ὁ τόπος καὶ περιέχων. ἔτι ἅμα τῷ πράγματί πως καὶ ὁ τόπος. ἅμα γὰρ τῷ πεπερασμένῳ τὰ πέρατα.

Ὅτι ἀκίνητος ὁ τόπος συνίστησι καὶ ἐκ τῶν τοῦ τόπου κυριωτάτων διαφορῶν. αὗται δὲ ἦσαν ὡς εἴρηται πρότερον τό, τε ἄνω καὶ τὸ κάτω. καί μοι δοκεῖ τοιοῦτόν τινα συνάγειν συλλογισμόν. ὁ τόπος διαφορὰς ἔχει τὸ ἄνω καὶ τὸ κάτω. τὸ διαφορὰς ἔχον τὸ ἄνω καὶ τὸ κάτω, τὸ μέσον καὶ τὸ ἔσχατον ἔχει διαφοράς. τὸ διαφορὰς ἔχον τὸ μέσον καὶ τὸ ἔσχατον, ἀκινήτους ἔχει διαφοράς. τὸ ἀκινήτους ἔχον διαφοράς, ἀκίνητόν ἐστιν. ὁ τόπος ἄρα ἀκίνητός ἐστι. καὶ ὅτι μὲν διαφορὰς ἔχει τὸ ἄνω καὶ τὸ κάτω ὁ τόπος, ἤδη προηξίωται. πέμπτον γὰρ ἦν τῶν περὶ τόπου ἀξιωμάτων, τὸ πάντα τόπον ἔχειν τὸ ἄνω καὶ τὸ κάτω. ὅτι δὲ τὸ ἄνω καὶ τὸ κάτω τὸ μέσον καὶ τὸ ἔσχατον ἐστί, δείκνυσιν ἐκ τοῦ τὸ μὲν κοῦφον ἐπὶ τὸ ἔσχατον καὶ τὸ πέριξ φερόμενον, λέγεσθαι ἐπὶ τὸ ἄνω φέρεσθαι. οὕτω γὰρ τὸ πῦρ ἐπὶ τὸ πέριξ φερόμενον, ἄνω φέρεσθαι λέγομεν. καὶ τὸ βαρὺ ἐπὶ τὸ μέσον φερόμενον, ἐπὶ τὸ κάτω λέγεται φέρεσθαι ὥσπερ ἡ γῆ. ὅτι δὲ τὸ μέσον καὶ τὸ ἔσχατον ἀκίνητα, ὑπομιμνήσκει, διὰ τοῦ ὅτι τὸ μὲν ἀεὶ μένειν τοῦ δὲ κύκλῳ τὸ ἔσχατον ὡσαύτως ἀεὶ μένει. τὸ μὲν γὰρ μέσον ὅπερ ἐστὶ κέντρον τοῦ παντὸς καὶ ἡ περὶ αὐτὸ γῆ, ἀεὶ μένει καὶ κατὰ τόπον καὶ κατὰ ὕπαρξιν, τῇ ἑαυτῆς ὁλότητι καὶ τῷ εἴδει, κἂν τοῖς μέρεσι καὶ τῷ ἀριθμῷ μεταβάλληται. τοῦ δὲ κυκλοφορητικοῦ σώματος τὸ ἔσχατον τὸ πρὸς ἡμᾶς, ὅπερ ἐστὶ τῆς σεληνιακῆς σφαίρας ἡ κοίλη καὶ πρὸς ἡμᾶς ἐπιφάνεια, καθ᾽ ὕπαρξιν μὲν καὶ τῷ ὅλῳ καὶ τοῖς μέρεσι κατ᾽ ἀριθμὸν τὸ αὐτὸ ἀεὶ μένει, κατὰ τόπον δὲ κἂν τοῖς μέρεσι κινῆται, ἀλλά τό γε ὅλον οὐ μεταβαίνει τόπον ἐκ τόπου. ἀλλὰ μένει ὁμοίως τὸ ἀκίνητον ἔχουσα κατὰ τόπον, ὅπερ μάλιστα ζητεῖ ὁ λόγος. οὐ γὰρ δὴ τὸ καθ᾽ ὕπαρξιν. καὶ ἐπιστῆσαι χρὴ ὅτι τὸ ἄνω τὴν κοίλην τῆς σεληνιακῆς ἐπιφάνειαν λέγει. ὥς τε τὸ κινητὸν κατὰ φορὰν, τὸ ὑπὸ σελήνην. ὅτι δὲ τὸ ἀκινήτους ἔχον τὰς οἰκείας διαφοράς, καὶ αὐτὸ ἀκίνητόν ἐστι, πρόδηλον. συστατικαὶ γὰρ τῆς οὐσίας εἰσὶν αἱ διαφοραὶ καὶ μέρη τὰ οὐσιώδη. ἅμα δὲ καὶ ἐκ τοῦ μᾶλλον δῆλον. εἰ μὲν γὰρ κινοῖτο τὰ μέρη, οὐδὲν κωλύει τὸ ὅλον ἀκίνητον εἶναι, ὡς ἐπὶ τῶν κύκλῳ κινουμένων μερῶν. εἰ δὲ πάντη ἀκίνητα τὰ μέρη ἐστίν, ὡς μήτε καθ᾽ αὑτὰ μήτε κατὰ συμβεβηκὸς κινεῖσθαι, πολλῷ μᾶλλον ἂν εἴη τὸ ὅλον ἀκίνητον. πιστοῦται οὖν τὸ ἀκίνητον τοῦ τόπου, ἐκ τοῦ διαφορὰς τοῦ τόπου τὸ ἄνω καὶ τὸ κάτω λέγοντας ἡμᾶς, ἐκεῖνα λέγειν ἄνω καὶ κάτω ἅπερ ἀκίνητά ἐστι, τουτέστι τὸ μέσον καὶ τὸ ἔσχατον. ἀλλὰ τὸ μὲν ἔσχατον τὸ πρὸς ἡμᾶς τῆς κύκλῳ φορᾶς, εἴη ἂν ὁ ἄνω τόπος. τὰ γὰρ ἐπὶ τὸ ἄνω κινούμενα μέχρι ἐκείνου κινηθέντα, ὑπ᾽ ἐκείνου ἢ κατ᾽ ἐκεῖνο περιέχεται. καὶ ἔστιν ἐκεῖνο πέρας τοῦ περιέχοντος κυκλοφορητικοῦ σώματος, καθ᾽ ὃ περιέχει τὸ περιεχόμενον. κάτω δὲ, τί ἂν εἴη ὁ τόπος. οὔτε γὰρ τὸ κέντρον τόπος. οὐδὲν γὰρ περιέχει. καὶ ὅτι ἀμερὲς καὶ ὅτι πάντων ὑποδεεστάτῳ. οὔτε ἡ γῆ τόπος. σῶμα γὰρ ἡ γῆ, ἀλλ᾽ οὐ πέρας. οὐ μέντοι οὐδὲ τὸ τῆς γῆς πέρας. τοῦτο γὰρ μορφὴ τῆς γῆς ἐστιν, ἀλλ᾽ οὐ τόπος. ταύτας δὴ λύων τὰς ζητήσεις, ἐπήγαγε τὸ μὲν πρὸς τὸ μέσον περιέχον πέρας κάτω ἐστὶ καὶ αὐτὸ τὸ μέσον. τὸ δὲ πρὸς τὸ ἔσχατον, ἄνω καὶ αὐτὸ τὸ ἔσχατον. ἐν οἷς λέγει καὶ τίνες οἱ τόποι εἰσίν, ὅ, τε κάτω καὶ ὁ ἄνω. καὶ τίνα τὰ ἐν τόπῳ τῷ τε κάτω καὶ τῷ ἄνω. τὸ μὲν γὰρ μέσον αὐτὸ ὅπερ ἐστὶν ἡ γῆ, τὸ σῶμά ἐστι τὸ ἐν τῷ κάτω τόπῳ. τὸ δὲ πρὸς τὸ μέσον περιέχον πέρας, τοῦτο ἐστὶν ὁ κάτω τόπος, πέρας ὂν τὸ πρὸς τῇ γῇ τοῦ περιέχοντος τὴν γῆν σώματος, πῆ μὲν ὕδατος, πῆ δὲ ἀέρος. ἔστι δὲ ὅπου καὶ τῆς γῆς αὐτῆς κοιλότητα ἐχούσης, τὸ ἔνδον πέρας τόπος γίνεται, καὶ γῆς ἄλλης καὶ ὕδατος καὶ πυρὸς καὶ ἀέρος καὶ ζώων καὶ φυτῶν. καὶ ἐπειδὴ πάντα ταῦτα τὸν κάτω τόπον συμπληροῖ, καὶ οὐκ ἀφωρισμένη τις ἐπιφάνεια, διὰ τοῦτο καὶ αὐτὸς ἀορίστως εἶπε, τὸ μὲν πρὸς τὸ μέσον περιέχον πέρας κάτω ἐστὶ καὶ αὐτὸ τὸ μέσον. καὶ γὰρ καὶ τὸ μέσον ἄλλο τε ἄλλο ποτὲ μὲν γῆ, ποτὲ δὲ ἄλλο τι τῶν στοιχείων ἢ σωμάτων. πάντως δὲ ἐν τῷ μέσῳ ἐν ᾧ ἡ τῆς γῆς ὁλότης. ἔστι δὲ τὸ αὐτὸ πολλάκις καὶ ἐν πλειόνων σωμάτων πέρασιν, ὡς ἐν τόποις ἅμα εἶναι. ὡς ὅταν ἐν ποταμῷ λίθος ᾖ, μέρος μὲν ἔχων ἐρηρεισμένον ἐν τῇ γῇ, μέρος δὲ ὑπὸ τοῦ ὕδατος περιεχόμενον, καὶ μέρος ὑπερανέχον τοῦ ὕδατος, καὶ ἐν τῷ τοῦ ἀέρος πέρατι περιεχόμενον. καὶ οὕτω μὲν τὸ ἐν τῷ κάτω τόπῳ, καὶ ὁ κάτω τόπος. τὸ δὲ πρὸς τὸ ἔσχατον φησὶν ἄνω, καὶ αὐτὸ τὸ ἔσχατον. καὶ ἐνταῦθα ὥσπερ ἐπὶ τοῦ κάτω, ἔσχατον μὲν τὸ ἄνω τὸ ἐν τόπῳ ἐστίν, οἷον ὁ αἰθήρ. πρὸς δὲ τὸ ἔσχατον ὁ ἄνω τόπος. ὅς ἐστι τὸ πέρας τοῦ περιέχοντος, τὸ πρὸς τὸ ἔσχατον ἐν τόπῳ ὂν ἔνδον. οἷον ἡ κοίλη τῆς σελήνης ἐπιφάνεια πρὸς τῷ αἰθέρι οὖσα, ὃς ἔσχατος τῶν ἐν τόπῳ ἐστίν. τὸ δὲ μέσον τὸ ἐν τῷ κάτω τόπῳ. ἐπὶ δὲ τοῦ ἄνω τὸ ἀνάπαλιν. τὸ μὲν πρὸς τὸ ἔσχατον ἐοικὼς κατὰ τὴν λέξιν τῷ πρὸς τὸ μέσον, οὐχὶ τὸν τόπον τὸν ἄνω, ἀλλὰ τὸ ἐν τῷ ἄνω τόπῳ εἶπε. τὸ δὲ ἔσχατον ἐοικὸς τῷ μέσῳ, οὐχὶ τὸ ἐν τῷ ἄνω, ἀλλὰ τὸ ἄνω.

τὸ ἄνω. ὁ δὲ Ἀλέξανδρος καὶ ἄλλην ἐξήγησιν ἐπάγει τῇ λέξει. καθ' ἣν καθ' ἑκάτερον ἄμφω ἐπὶ τοῦ τόπου ἀκούει. ἐπειδὴ γάρ φησι μὴ μόνον τὸ ἐν τῷ κάτω ὂν περιέχεται ὑπὸ τοῦ πρὸς τὸ μέσον σώματος, οἷον εἰ ἀὴρ οὗτος εἴη, ἀλλὰ κατά τι μέρος καὶ ὑπὸ τῆς ἐπιφανείας τοῦ κάτω ὄντος σώματος, τοῦτο δέ ἐστιν ἡ γῆ, δεικνὺς τίνων πέρας ἐστὶν ὁ κάτω τόπος, διὰ τοῦτο εἶπε, τὸ τοῦ πρὸς τὸ μέσον ἤτοι πρὸς τὸ κάτω περιέχοντος πέρας, κάτω καὶ αὐτοῦ ὄντος. ὁμοίως δὲ καὶ ἄνω τὸ τοῦ πρὸς τὸ ἔσχατον περιέχοντος πέρας, καὶ αὐτὸ τὸ ἔσχατον. αὐτὸ γὰρ τὸ ἔσχατον φησὶ λέγειν, οὐ τὸ σῶμα οὐ τὸ πέρας, ἀλλὰ τὸ πέρας αὐτοῦ τὸ πρὸς ἡμᾶς. ἐκεῖνο γὰρ ὁ ἄνω τόπος. πρὸς δὲ τὸ ἔσχατον λέγοι ἂν τὸ ἔσχατον περιεχόμενον, οἷον τὸν αἰθέρα. οὕτω γὰρ τὰ περὶ τοῦ τόπου ἄμφω ἐπὶ τοῦ αὐτοῦ πέρατος λεγόμενα δυνατὸν ἀκούειν, ὅπερ ἐπὶ τοῦ μέσου οὐκ ἦν. ἐκεῖνο γὰρ ἄλλο μὲν πέρας ἦν τὸ πρὸς τὸ μέσον, ἄλλο δὲ τὸ τοῦ μέσου. καὶ ὁ Πορφύριος διττόν φησι τὸ κάτω. ἢ γὰρ τὸ πέρας τοῦ μέσου ὅ ἐστιν ὁ τόπος. ἢ αὐτὸ τὸ μέσον οὗ ὁ τόπος τὸ ἔσχατον. ὁμοίως δὲ καὶ τὸ ἄνω διττόν. ἢ τὸ πέρας τοῦ ἐσχάτου οἷον τοῦ αἰθέρος, ὅ ἐστιν ὁ τόπος, ἢ αὐτὸ τὸ ἔσχατον, ὅπερ ἐστὶν ὁ αἰθήρ. καὶ ἔοικε πέρας τοῦ μέσου εἰπεῖν, ἢ ἀντὶ τοῦ τὸ πρὸς τὸ μέσον περιέχον πέρας, ἢ τὸ τῆς γῆς πέρας, εἴτε τὸ ἐκτὸς εἴτε τὸ ἐντός. καθὸ γὰρ δέχεται καὶ περιέχει, τόπον λαμβάνει ἀνάλογον τῷ ἐσχάτῳ τοῦ αἰθέρος. κάτω γὰρ καὶ τὴν γῆν λέγομεν καὶ τὰ ἐν τῇ γῇ. ἐπειδὴ δὲ καὶ πέρας τοῦ περιέχοντος ἐστὶν ὁ τόπος, καὶ ὑποδεκτικὸς τοῦ ἐν αὐτῷ, διὰ τοῦτο καὶ ἐπίπεδον δοκεῖ ὁ τόπος τουτέστιν ἐπιφάνεια, μῆκος καὶ πλάτος ἄνευ βάθους ἔχων. διὸ καὶ ἐπίπεδον αὐτὸν ἐκάλεσεν, ὡς τῶν παλαιῶν πᾶσαν ἐπιφάνειαν ἐπίπεδον καλούντων. οἱ γὰρ νεώτεροι διαφορὰς ἐπιφανείας ἔλεγον τὴν ἐπίπεδον, καὶ ἄλλην τὴν σφαιρικήν, ἢ κωνικήν, ἢ κυλινδρικήν. καὶ ἐπίπεδον ἔλεγον ἐπιφάνειαν, ἥτις ἐξ ἴσου ταῖς ἐφ' ἑαυτῆς εὐθείαις κεῖται. ἔστι δὲ ὁ τόπος καὶ οἷον ἀγγεῖον. τὸ γὰρ ὑποδεκτικὸν κοινόν ἐστι καὶ τοῦ τόπου καὶ τοῦ ἀγγείου. ἔοικε δὲ τὸ καὶ διὰ τοῦτο δοκεῖ ἐπίπεδόν τι εἶναι προσθεῖναι, διὰ τοὺς τὸ εἶδος τὸν τόπον λέγοντας, ἐπιφάνειαν ὂν τοῦ σώματος. οὗτοι γὰρ καθόσον μὲν πέρατι καὶ ἐπιπέδῳ προσέβαλον, ἐγγὺς ἦλθον τῆς τοῦ τόπου ἐννοίας. καθόσον δὲ οὐ τοῦ περιέχοντος πέρας, ἀλλ' αὐτοῦ τοῦ ἐν τόπῳ, κατὰ τοσοῦτον ἀπεσφάλησαν. καὶ τὸ ἑξῆς δὲ τὸ ἔτι ἅμα τῷ πράγματί πως ὁ τόπος, ἅμα γὰρ τὰ πέρατα, πρὸς τὸ αὐτὸ τείνειν ἔοικεν, ἀπολογίαν τινὰ πορίζον τοῖς οἰηθεῖσι τὸ εἶδος εἶναι τὸν τόπον. ἅμα γὰρ τῷ πράγματι τῷ ἐν τόπῳ ἐστὶν ὁ τόπος. διότι ἅμα ἐστὶ τὰ πέρατα τοῦ τε ἐν τόπῳ καὶ αὐτοῦ ὅπερ ἐστὶν ὁ τόπος. οὐδὲν γάρ ἐστι μεταξύ. ὥς τε καὶ ἓν δοκεῖ γίνεσθαι διὰ τὴν ἐφαρμογὴν τῶν ἐπιπέδων. τὸ δὲ ἅμα ὅτι οὐχὶ τὸ ἐν τῷ αὐτῷ τόπῳ δηλοῖ, ἀλλὰ τὸ κατὰ ταυτὸν καὶ εἰς ἓν συντεῖνον, εἴρηται πρότερον. πῶς γὰρ ἂν εἴη τόπος ἐν τόπῳ.

Ὧ ΜΕΝ οὖν σώματι ἐστί τι ἐκτὸς σῶμα περιέχον αὐτό, τοῦτό ἐστιν ἐν τόπῳ. ᾧ δὲ μή, οὔ. διὸ κἂν ὕδωρ γένηται τοιοῦτο, τὰ μὲν μόρια κινήσεται αὐτοῦ. περιέχεται γὰρ ὑπ' ἀλλήλων, τὸ δὲ πᾶν, ἔστι μὲν ὡς κινήσεται, ἔστι δ' ὡς οὔ. ὡς μὲν γὰρ ὅλον, ἅμα τὸν τόπον οὐ μεταβάλλει. κύκλῳ δὲ κινήσεται. τῶν μορίων γὰρ οὗτος ὁ τόπος. καὶ ἄνω μὲν καὶ κάτω οὔ. κύκλῳ δὲ ἔνια. τὰ δὲ ἄνω καὶ κάτω, καὶ ὅσα ἔχει πύκνωσιν καὶ μάνωσιν.

Ὁρισάμενος τὸν τόπον ὅτι ἐστὶ τὸ τοῦ περιέχοντος πέρας ἀκίνητον πρῶτον, καὶ συστήσας τό, τε πρῶτον καὶ τὸ ἀκίνητον, ἐφιστάνει καλῶς, ὅτι κατὰ ταύτην τὴν ἀπόδοσιν οὐ πᾶν σῶμα ἐν τόπῳ ἐστίν. ἀλλ' ᾧ μὲν ἔστι τι ἐκτὸς σῶμα τὸ περιέχον αὐτό, τοῦτό ἐστιν ἐν τόπῳ. ᾧ δὲ μή, οὔ. ὥς τε οὔτε ἡ ἀπλανὴς σφαῖρα ἔσται ἐν τόπῳ. οὐ γὰρ ἔστι τι ἐκτὸς τὸ περιέχον αὐτήν, εἴπερ ἐστὶν ἐσχάτη πασῶν. οὔτε ὁ ὅλος κόσμος. οὐδὲ γὰρ τούτου ἔστι τι ἐκτός. ἢ γὰρ κενόν, ὅπερ δειχθήσεται μὴ ὄν, ἢ σῶμα. καὶ ἢ πεπερασμένον, καὶ ἔσται τι καὶ τούτου ἐκτός, εἰ πᾶν σῶμα ἐν τόπῳ, καὶ τοῦτο ἐπ' ἄπειρον, ἢ ἄπειρον σῶμα τὸ ἐκτὸς καὶ ἤδη ἀνήρηται τοῦτο. βουλόμενος οὖν πεῖσαι ὅτι οὐκ ἔστιν ἐν τόπῳ τὸ πᾶν καὶ ὁ οὐρανός, ἐπὶ παραδοξοτέρας ὑποθέσεως πειρᾶται συνεθίζειν ἡμᾶς. κἂν γὰρ ὕδωρ φησὶν ὑποτεθῇ τὸ πᾶν, ὃ μάλιστα δεῖται τοῦ ἐν τόπῳ ἢ ἐν ἀγγείῳ εἶναι, διὰ τὸ μὴ δύνασθαι χωρὶς τοῦ περιέχοντος αὐτὸ κρατεῖν, καὶ τὸ τοιοῦτον ὅμως πᾶν οὐκ ἂν εἴη ἐν τόπῳ. ἐπειδὴ πᾶν ὅλως ὑποκείμενον οὐκ ἔχει τι τὸ περιέχον ἐκτός. οὗ τὸ πρὸς τῷ περιεχομένῳ πέρας ὁ τόπος ὑπόκειται. τὰ μέντοι μόρια τοῦ ὕδατος ἦν ἂν ἐν τόπῳ, εἴπερ ἦν διῃρημένα, ὥσπερ καὶ νῦν τὰ τοῦ παντὸς μόρια διῃρημένα, καὶ ἁπτόμενα ἀλλήλων καὶ περιεχόμενα ἄλλα ὑπ' ἄλλων ἐν τόπῳ ἐστίν. ἐπειδὴ δὲ ἐν τόπῳ ἐλέγετο εἶναι τὰ κινητὰ κατὰ φοράν, διὰ τοῦτο ἀπὸ τῆς κατὰ τόπον κινήσεως, ὅπως τὰ μὲν μόρια ἐν τόπῳ ἐστὶ τὸ δὲ ὅλον οὐκ ἔστι, συλλογίζεται. καὶ ἔτι μέντοι ὅπως τὰ μὲν μόρια κινεῖται κατὰ τόπον, τὸ δὲ ὅλον ἀκίνητον μένει δείκνυσιν. ἀρξάμενος οὖν ἀπὸ τῶν ἐν τόπῳ ὄντων, μετέβη ἐπὶ τὰ κατὰ τόπον κινούμενα, ἀπὸ τούτων καὶ ἐκεῖνα δεικνύς. καὶ λέγει ὅτι τὰ μὲν μόρια κινήσεται αὐτοῦ. τὸ δὲ πᾶν ἔστι μὲν ὡς κινήσεται, ἔστι δὲ ὡς οὔ, περὶ τοῦ οὐρανοῦ λοιπὸν λέγων ἤτοι τοῦ παντὸς κόσμου. τὰ γὰρ αὐτὰ ἂν συνέβαινε καὶ εἰ τὸ ὕδωρ τὸ πᾶν ἦν. ὡς μὲν γὰρ ὅλον ἅμα τὸν τόπον οὐ μεταβάλλει. διότι οὐδὲ κινεῖται ὅλον κατὰ τόπον. διότι οὐδὲ ἔστι καθ' ὅλον ἐν τόπῳ. διότι οὐδὲ περιέχεται ὑπό τινος ἔξωθεν σώματος, εἴπερ αὐτός ἐστι τὸ πᾶν ἢ τὸ τοῦ παντὸς ἔσχατον. διὰ τοῦτο δὲ καὶ κύκλῳ κινεῖται ὁ οὐρανός, οὐ μέντοι ἄνω ἢ κάτω. ὅτι κύκλῳ μὲν δύναται κινεῖσθαι καὶ τὰ μὴ μεταβαίνοντα τόπον ἐκ τόπου καθ' ὅλον. διότι τοῖς μορίοις

μεταβαίνει κατὰ τόπον. ὁ γὰρ τοιοῦτος τόπος ὁ ἐν τοῖς κύκλῳ κινουμένοις, καθ' ὃν ἀλλήλων ἁπτόμενα τὰ μόρια, τόποι γίνονται ἀλλήλων κατὰ τὰ πέρατα, οἰκεῖος τῶν τοιούτων μορίων ἐστὶν ἀλλ' οὐχὶ τοῦ ὅλου. οὐ γὰρ ἅπτεταί τι ἔξωθεν τοῦ ὅλου. διὸ ἄνω καὶ κάτω οὐ δύναται κινεῖσθαι. ἢ γὰρ ἂν ὅλον μετέβαινε τόπον ἐκ τόπου. κύκλῳ δὲ μόνον. τῶν δὲ μορίων αὐτοῦ τὰ μὲν, κύκλῳ τὰ ἐν αὐτῷ τῷ οὐρανῷ. τὰ δὲ, κάτω καὶ ἄνω, ὅσα ἔχει πύκνωσιν καὶ μάνωσιν, τουτέστι τὰ τέσσαρα στοιχεῖα, τὰ καὶ εἰς ἄλληλα μεταβάλλοντα. ἀλλ' εἰ πᾶν τὸ κατὰ φορὰν κινούμενον ἐν τόπῳ ἐλέγετο εἶναι, τὸ δὲ κύκλῳ κινούμενον κατὰ φορὰν κινεῖται, πῶς οὐκ ἂν εἴη ἐν τόπῳ. ἢ οὐ ταὐτόν φησιν Ἀλέξανδρος τὸ κατὰ φορὰν καὶ κατὰ περιφοράν. εἰ δὲ ἡ κύκλῳ περιφορά ἐστιν, ἀλλὰ τῶν μορίων ἐστὶ περιφορὰ οὐχὶ τοῦ ὅλου. τὰ γὰρ μόρια καὶ ἀμείβει τοὺς τόπους. εἰ δέ τις ἀκριβολογοῖτο, οὐδὲ τὰ μόρια τοῦ κυκλοφορητικοῦ σώματος ἐν τόπῳ ἐστὶν, οὔτε κινεῖται κατὰ τόπον, οὔτε καθ' αὑτὰ οὔτε κατὰ συμβεβηκός. καθ' αὑτὰ μὲν γὰρ οὐκ ἔστιν ὅτι συνεχῆ ἐστι καὶ οὐ διῃρημένα. κατὰ συμβεβηκὸς δὲ οὐκ ἔστιν, ὅτι ἐκεῖνα τὰ μόρια κατὰ συμβεβηκὸς ἦν ἐν τόπῳ, ὧν τὰ ὅλα καθ' αὑτὰ ἐν τόπῳ ἦν. τὸ δὲ πᾶν οὐκ ἔστιν ἐν τόπῳ. ὥστε οὐδὲ τὰ μόρια αὐτοῦ τὰ συνεχῆ οὔτε καθ' αὑτὰ οὔτε κατὰ συμβεβηκός. πῶς οὖν λέγει τῶν μορίων γὰρ οὗτος ὁ τόπος. ἢ τῶν ἁπτομένων μορίων ἐστὶν ἀκούειν, οἷον τῶν σφαιρῶν τῶν ὑπ' ἀλλήλων περιεχομένων. ἐπὶ γὰρ τῶν συνεχῶν οὐχ ἁρμόττει λεγόμενον. οὐ γάρ ἐστι ταῦτα ἐν τόπῳ. ἔπειτα δὲ εἰ τὰ μόρια τόποι γίνονται ἀλλήλων, πῶς ἔτι ἀκίνητος ὁ τόπος τῶν μορίων κινουμένων καὶ τῶν περάτων αὐτῶν. ἀλλὰ μόρια ἀκουστέον, οὐ τὰ τοῦ ἐσχάτου σώματα τὰ συνεχῆ αὐτῷ, ἀλλὰ περιεχόμενα ὑπ' αὐτοῦ. ἡ γὰρ κοίλη τῆς ἀπλανοῦς ἐπιφάνεια τόπος γίνεται προσεχῶς τῆς τοῦ κρόνου σφαίρας. καὶ ἡ ἐκείνης, τῆς ἑξῆς. καὶ δηλονότι καθόσον μὲν συμπεριάγονται τῇ ἀπλανεῖ, ὡς ἐν ἀγγείῳ ἂν εἶεν ἐκείνῃ. καθόσον δὲ καὶ ἑκάστη κίνησιν ἰδίαν ἔχει, ὡς ἐν ἀκινήτῳ αὐτῇ κινούμεναι, ὡς ἐν τόπῳ εἰσί. πρὸς ταύτην δὲ τὴν ἔννοιαν, καὶ τὸ κύκλῳ δὲ κινεῖται, τῶν μορίων γὰρ οὗτος ὁ τόπος εἰρῆσθαι φησὶν ὁ Ἀλέξανδρος. κύκλῳ γὰρ κινούμενον, δηλονότι ἅπτεται μόνον τῶν περιεχομένων μορίων. εἰ δὲ τοῦτο, ὡς ἐν τόπῳ ἐστὶν αὐτῷ τὰ περιεχόμενα ὑπ' αὐτοῦ μόρια. καὶ ταῦτα δὲ ἐπὶ τῶν μορίων τοῦ παντὸς ὁ Ἀλέξανδρος ἀκούει, καὶ ἄνω μὲν καὶ κάτω, οὔ, κύκλῳ δὲ, καὶ κάτω καὶ ἄνω, τὸ μὲν, ἐπὶ τῶν πλανωμένων σφαιρῶν, τὸ δὲ, ἐπὶ τῶν ἐν γενέσει. καὶ γὰρ εἰ τὸ κύκλῳ δὲ, περὶ τοῦ παντὸς εἴρητο οἶμαι, ὡς τοῦ κύκλῳ δὲ καταλληλότερον περὶ παντὸς τοῦ οὐρανοῦ λεγομένου, ὅπερ ὡς ταὐτὸν τῷ παντὶ λαμβάνει. τινὲς δ' οὐ γράφουσιν ἔνια, ἀλλὰ τὰ δὲ, ἄνω καὶ κάτω. καὶ εἴπερ αὕτη καταλληλοτέρα ἡ γραφή, καὶ τὸ τῶν μορίων οὗτος ὁ τόπος, πρὸς τὸ, ὡς μὲν γὰρ ὅλον ἅμα τὸν τόπον οὐ μεταβάλλει ἀποδοτέον. ἵνα ᾖ λέγων, ὅτι τὸ πᾶν ἤτοι ὁ οὐρανὸς, ὅλον μὲν ἅμα τὸν τόπον οὐ μεταβάλλει. οὐδὲ γὰρ ἄνω καὶ κάτω κινεῖται. ἀλλὰ κύκλῳ μόνον, τὸν αὐτὸν ἀεὶ κατέχον τόπον. τὰ δὲ μόρια ἄνω κινεῖται καὶ κάτω. καὶ πολλὴν ἀσάφειαν ἐποίησε τῷ λόγῳ, τὸ λαβεῖν τὸ πᾶν ἀντὶ τοῦ οὐρανοῦ. πῶς γὰρ τοῦ οὐρανοῦ μόρια τὰ ἄνω καὶ κάτω κινούμενα. ἀλλ' ἴσως διὰ τοῦτο τὸν οὐρανὸν καὶ τὸ πᾶν ὡς τὸ αὐτὸ λέγει, ἵνα μόρια τοῦ παντὸς ἔχῃ ἤτοι τοῦ οὐρανοῦ τὰ ἐντὸς, αὐτοῦ μὴ ὄντος ἐν τόπῳ. εἴπερ δὲ μέχρι τοῦ κέντρου χωρεῖ, καὶ ὁ οὐρανὸς ταὐτόν τι τὸ πᾶν ἐστι καὶ μόρια αὐτοῦ τὰ ἄλλα. διὸ καὶ αὐτὸς ἴσως οὕτως εἶπε προελθών, οὐδὲ ἔστιν ἔξω οὐδὲν τοῦ παντός. καὶ διὰ τοῦτο ἐν τῷ οὐρανῷ πάντα. καὶ γὰρ ὁ οὐρανὸς τὸ πᾶν ἴσως. καθόσον μὲν γὰρ πάντα περιέχει καὶ τὰ πάντα χωρεῖ, κατὰ τοσοῦτον ἐν αὐτῷ πάντα, καὶ αὐτὸς τὸ πᾶν. καθ' ὅσον δὲ ἐστι καὶ ἄλλα παρ' αὐτὸν, κατὰ τοῦτο τὸ πᾶν ἴσως εἶπε. μάλιστα δ' ἂν εἴη τὸν οὐρανὸν τὸ πᾶν ἴσως λέγων, διότι τὸ παρὰ τὸν οὐρανὸν ἐλάχιστόν ἐστιν ἐν τῷ παντί. εἴπερ ἡ ὅλη γῆ σημείου καὶ κέντρου λόγον ἔχει πρὸς τὴν τῆς ἀπλανοῦς σφαῖραν. ὅτι γὰρ τὰ ὑπὲρ αὐτὴν στοιχεῖα, οὐ πολλῷ τινι μείζονα αὐτῆς ἐστι, δηλοῖ τὸ τὴν σκιὰν αὐτῆς διὰ παντὸς χωροῦσαν εἰς τὴν σεληνιακὴν σφαῖραν ἀποτείνεσθαι. ὅτι δὲ οὐρανὸν τὸ κυκλοφορητικὸν σῶμα λέγει ὅλον ὡς ἕν, δηλοῖ καὶ τὸ ἐπὶ τῷ τέλει τῆς ῥήσεως εἰρημένον, ὁ δὲ αἰθὴρ ἐν τῷ οὐρανῷ, ὁ δὲ οὐρανὸς οὐκέτι ἐν ἄλλῳ. καὶ δοκεῖ τοῖς ἐξηγηταῖς λέγειν καὶ τὰ μόρια αὐτοῦ καὶ αὐτὸν κύκλῳ κινεῖσθαι. καὶ τὰ μὲν μόρια αὐτοῦ καὶ ἐν τόπῳ εἶναι διὰ τὸ περιέχεσθαι ἄλλην σφαῖραν ὑπ' ἄλλης, καὶ κινεῖσθαι ἰδίας κινήσεις. τὸ δὲ ὅλον μὴ εἶναι ἐν τόπῳ, ἅτε μὴ περιεχόμενον ὑπό τινος. δῆλον δὲ ὅτι καὶ τὴν ἀπλανῆ διὰ τὴν αὐτὴν αἰτίαν οὐχ εὑροῦμεν ἐν τόπῳ. εἰ γάρ τις βιαζόμενος εἴποι καὶ ταύτην ὡς ἐφαπτομένην τῆς κρονίας κατὰ τὴν κοίλην ἐπιφάνειαν ἐν τόπῳ ταύτῃ εἶναι, πρῶτον μὲν ἔσται τὸ περιέχον ἐν τῷ περιεχομένῳ ὡς ἐν τόπῳ. ἔπειτα τῷ αὐτῷ λόγῳ χρώμενός τις, καὶ τὸν ὅλον οὐρανὸν ἐν τόπῳ ἐρεῖ, τῇ κυρτῇ τοῦ αἰθέρος ἐπιφανείᾳ. καὶ γὰρ καὶ ταύτης ἅπτεται κατὰ τὴν ἑαυτοῦ κοίλην. καὶ ὅλως πάντα τόπον ἐν τόπῳ φήσομεν οὕτως. ἀλλ' εἴ τις τὰ ἐνταῦθα λεγόμενα ἀκούοι, ὡς τοῦ μὲν παντὸς μὴ κινουμένου κατὰ τόπον, διὰ τὸ μὴ μεταβαίνειν τόπον ἐκ τόπου, ἀλλὰ κύκλῳ κινεῖσθαι, τῶν δὲ μορίων ἔνια μὲν κύκλῳ κινεῖσθαι, ὡς τὰ ἐντὸς τῆς ἀπλανοῦς σφαίρας, ἔνια δὲ ἄνω καὶ κάτω ὡς τὰ τέσσαρα στοιχεῖα, πρῶτον μὲν διὰ τί αἱ μερικαὶ σφαῖραι καίτοι μὴ μεταβαίνουσαι τόπον ἐκ τόπου, ὅμως κατὰ τόπον λέγονται κινεῖσθαι, καίτοι καὶ τοῦ παντὸς κύκλῳ μὲν μὴ κατὰ τόπον δὲ λεγομένου κινεῖσθαι, ἔπειτα τὸ τῶν μορίων γὰρ οὗτος ὁ τόπος βεβιασμένως ἀποδώσει, ἀλλ' ἄμεινον ὡς εἴρηται, τὸ μὲν

πᾶν ἤτοι τὸν ὅλον οὐρανὸν κύκλῳ μὲν κινεῖσθαι, μὴ κατὰ τόπον δέ, ὅτι μὴ μεταβάλλει τόπον ἐκ τόπου. τὰ δὲ μόρια ἅπερ ἐστὶν ὑπὸ σελήνην, καὶ ἄνω καὶ κάτω. ὁ γὰρ κατὰ μετάβασιν, τῶν μορίων ἐστὶ τόπος.

Ὥσπερ δ' ἐλέχθη, τὰ μέν ἐστιν ἐν τόπῳ κατὰ δύναμιν. τὰ δέ, κατ' ἐνέργειαν. διό, ὅταν μὲν συνεχὲς ᾖ τὸ ὁμοιομερὲς κατὰ δύναμιν ἐν τόπῳ τὰ μέρη. ὅταν δὲ χωρισθῇ μὲν ἅπτηται δὲ ὥσπερ σωρός, κατ' ἐνέργειαν. καὶ τὰ μὲν, καθ' αὑτά. οἷον, πᾶν σῶμα, ἢ κατὰ φορὰν, ἢ κατ' αὔξησιν κινητὸν, καθ' αὑτό που. ὁ δ' οὐρανὸς ὥσπερ εἴρηται, οὔ που ὅλος. οὐδ' ἔν τινι τόπῳ ἐστίν. εἴγε μηδὲν αὐτὸν περιέχει σῶμα. ἐφ' ᾧ δὲ κινεῖται, ταύτῃ καὶ τόπος ἐστὶ τοῖς μορίοις. ἕτερον γὰρ ἑτέρου ἐχόμενον τῶν μορίων ἐστίν. τὰ δέ, κατὰ συμβεβηκός. οἷον, ἡ ψυχὴ καὶ ὁ οὐρανός. τὰ γὰρ μόρια ἐν τόπῳ πως πάντα. ἐπὶ τῷ κύκλῳ γὰρ περιέχει ἄλλο ἄλλο. διὸ κινεῖται μὲν, κύκλῳ μόνον τὸ ἄνω. τὸ δὲ πᾶν, οὔ που. τὸ γὰρ πού αὐτό τε ἐστί τι, καὶ ἔτι ἄλλό τι δεῖ εἶναι παρὰ τοῦτο ἐν ᾧ ὃ περιέχει. παρὰ δὲ τὸ πᾶν καὶ ὅλον, οὐδέν ἐστιν ἔξωθεν τοῦ παντός. καὶ διὰ τοῦτο ἐν τῷ οὐρανῷ πάντα. ὁ γὰρ οὐρανὸς, τὸ πᾶν ἴσως. ἔστι δὲ ὁ τόπος οὐχ ὁ οὐρανός. ἀλλὰ τοῦ οὐρανοῦ τι τὸ ἔσχατον καὶ ἁπτόμενον τοῦ κινητοῦ σώματος πέρας ἠρεμοῦν. καὶ διὰ τοῦτο, ἡ μὲν γῆ, ἐν τῷ ὕδατι. τοῦτο δ' ἐν τῷ ἀέρι. οὗτος δ' ἐν τῷ αἰθέρι. ὁ δ' αἰθὴρ ἐν τῷ οὐρανῷ. ὁ δὲ οὐρανὸς οὐκ ἔτι ἐν ἄλλῳ.

Προθέμενος δεῖξαι ὅτι ὁ ὅλος οὐρανὸς καὶ ὁ πᾶς κόσμος οὐκ ἔστιν ἐν τόπῳ, τοὺς πάντας διαιρεῖται τρόπους καθ' οὓς λέγεταί τι ἐν τόπῳ. καὶ γὰρ τὰ μέν ἐστι δυνάμει, τὰ δὲ ἐνεργείᾳ. τὰ μὲν γὰρ συνεχῆ καὶ μήπω μέρη, κατὰ δύναμιν λέγεται ἐν τόπῳ, ὡς ὅταν διαιρεθῇ ἐν τόπῳ ἐσόμενα κατ' ἐνέργειαν. τὸ μέντοι χωριστὸν καὶ ἤδη διῃρημένον ὅταν περιέχηται ὑπό τινος, κατ' ἐνέργειαν ἐστὶν ἐν τόπῳ. πάλιν δὲ τὰ μὲν καθ' αὑτά ἐστιν ἐν τόπῳ, ὅσα κινεῖσθαι κατὰ τόπον πέφυκεν, ἢ κατὰ φορὰν, τουτέστι τὴν ἐπ' εὐθείας κίνησιν, καθ' ἣν καὶ ἡ ἀπὸ τόπου εἰς τόπον τοῦ ὅλου μετάβασις γίνεται. ἄλλο γάρ ἐστι φορὰ καὶ ἄλλο περιφορά. ἢ ὅσα κατὰ αὔξησιν καὶ μείωσιν κινεῖται, καὶ ταῦτα ἐν τόπῳ φαμὲν, ὡς καὶ αὐτὰ κατὰ τόπον κινούμενα. κἂν γὰρ μὴ ὅλον ἀμείβῃ τὸν τόπον, ἀλλὰ προσεπιλαμβάνει καὶ ἀφίησι τινὰ τόπον. διὸ καὶ ταῦτα καθ' αὑτὰ ἐν τόπῳ. εἰπὼν δὲ τὰ τρία σημαινόμενα τοῦ ἐν τόπῳ, τὸ δυνάμει, τὸ ἐνεργείᾳ, τὸ καθ' αὑτὸ, δείκνυσιν ὅτι ὁ οὐρανὸς ὥσπερ εἴρηται οὔ που ὅλος, οὐδὲ ἔν τινι τόπῳ, κατ' οὐδένα δηλονότι τῶν ῥηθέντων τοῦ ἐν τόπῳ τρόπων. οὔτε γὰρ ὡς δυνάμει, οὔτε ὡς ἐνεργείᾳ. εἰ μὴ ἔστι τι ἔξωθεν οὗ ἅπτεται ἢ οὗ ἅψεσθαι δυνήσεται, κἂν ὑποτεθῇ διαιρούμενος. τὸ δὲ πᾶν οὐδὲ ἔστιν ἐπινοῆσαι δυνάμει ὅτι οὐ μέρος. οὐ μέντοι οὐδὲ καθ' αὑτὸ ἐν τόπῳ, ὅτι οὐ προσλαμβάνει τόπον ἢ ἀφίησιν. οὐδὲ γὰρ κινητὸν ὅλως κατὰ τόπον ἐστὶν, ἅτε μήτε κατὰ φορὰν μήτε κατὰ αὔξησιν ἢ μείωσιν κινούμενον. αὐτὸς δὲ κοινὸν ἐπήγαγεν αἴτιον τοῦ κατὰ μηδένα τῶν τριῶν τρόπων ἐν τόπῳ εἶναι τὸν ὅλον οὐρανὸν, τὸ μηδὲν αὐτὸν περιέχειν σῶμα. εἰπὼν δὲ ὅτι ὅλως οὐκ ἔστιν ἐν τόπῳ, διότι οὐδὲ κινεῖται κατὰ τόπον ὅλος, ἐπήγαγεν, ἐφ' ᾧ δὲ κινεῖται ταύτῃ καὶ τόπος ἐστὶ τοῖς μορίοις. κινεῖται γὰρ οὔτε ἐπὶ τὸ ἄνω οὔτε ἐπὶ τὸ κάτω, ἀλλ' ἐπὶ τὸ κύκλῳ. διὸ αὐτὸς μὲν οὐκ ἔστιν ἐν τόπῳ, ἅτε μὴ κατὰ τόπον μεταβαίνων. γίνεται δὲ ὁ τόπος τοῖς μορίοις. αἱ γὰρ ἐντὸς ἀεὶ σφαῖραι περιέχονται ὑπὸ τῶν ἔξω. καὶ κινοῦνται ἐν τῷ ἐκείνων τόπῳ, τοῖς ἑαυτῶν μορίοις ἀμείβουσαι τοὺς τόπους. ᾧ καὶ διαφέρουσι τῆς ἀπλανοῦς ἤτοι τοῦ ὅλου οὐρανοῦ ἢ τοῦ παντὸς, ὅτι ταῦτα οὐκ ἀμείβει τόπον, οὐδὲ τοῖς μορίοις τοῖς συνεχέσι. τὰ γὰρ συνεχῆ μέρη τῆς ἀπλανοῦς, εἴπερ ἐξωτάτη αὕτη, οὐκ ἀμείβει τόπον, ὅτι μήτε ἐν τόπῳ, μήτε περιέχεται ὑπό τινος ἔξωθεν. ὁ δὲ μάξιμος καινοπρεπέστερον ἐξηγήσατο, τὸ ἐφ' ὃ δὲ κινεῖται, ταύτῃ καὶ τόπος ἐστὶ τοῖς μορίοις. κινεῖται γάρ φησι τὸ πλανώμενον ὡς ἐν τῷ δευτέρῳ περὶ οὐρανοῦ δείκνυσιν ἐπὶ τὰ ἀριστερά. ἐν τούτῳ οὖν καὶ τὰ μόρια ὡς ἐν τόπῳ. τὰ γὰρ δεξιὰ καὶ ἀριστερὰ τόπου διαφοραί. εἰπὼν δὲ ταῦτα περὶ τῶν τριῶν τοῦ ἐν τόπῳ τρόπων, ἐπήγαγε καὶ τὸν τέταρτον, τὰ δὲ κατὰ συμβεβηκός ἐστιν ἐν τόπῳ. οἷον ἡ ψυχὴ καὶ ὁ οὐρανός. καὶ ἡ μὲν ψυχὴ δῆλον ὅπως κατὰ συμβεβηκὸς ἐν τόπῳ. ὁ δὲ οὐρανὸς οὗ ἕνεκα πάντα εἴρηται, πῶς κατὰ συμβεβηκός ἐστιν ἐν τόπῳ. ἢ ὅτι τὰ μόρια ἐν τόπῳ πως. τὸ δὲ πως προσέθηκε φασὶ διὰ τὴν ἀπλανῆ, ὅτι ἐκείνη οὐκ ἐν τόπῳ. καίτοι εἰ δι' ἐκείνην προσετέθη, οὐκ ἂν ἐπῆγε τὸ πάντα. εἰ γὰρ μέρος μὲν τοῦ ὅλου οὐρανοῦ ἤτοι τοῦ παντός ἐστιν ἡ ἀπλανής, μὴ ἔστι δὲ αὕτη ἐν τόπῳ, οὐκ ἂν εἴη πάντα ἐν τόπῳ. εἰ μὴ ἄρα τὸ πως πάντα εἶπεν, οὐ τῷ τόπῳ, ἀλλὰ τῷ πάντα τὸ πως προστιθεὶς, ὅτι οὐχ ἁπλῶς πάντα, ἀλλ' ἐγγὺς πάντα, εἴπερ πάντα παρὰ ἕν. ὁ δὲ θεμίστιος τὸ πως ἤκουσεν ὡς εἴρηται, διότι ἡ ἐξωτάτω σφαῖρα κατὰ μὲν τὸ ἐντὸς εἴη ἂν ἐν τόπῳ. ἅπτεται γὰρ τῆς τοῦ κρόνου, καὶ περιέχεταί πως. κατὰ δὲ τὸ δεξιὸν παντελῶς ἀμοιρεῖ τόπου. δῆλον δὲ ὅτι ὁ οὕτως ἐκδεχόμενος, πανταχοῦ καὶ τὸν τόπον ἐν τόπῳ ὁρ[illegible], ὅτι κατὰ τὴν ἔνδοθεν ἐπιφάνειαν ἅπτεται τοῦ ἐν τόπῳ, καὶ τόπος ἔσται τὸ ἐν τόπῳ. μήποτε δὲ ὅπερ καὶ πρότερον εἶπον, οὔτε κατὰ συμβεβηκός ἐστιν ἐν τόπῳ, οὔτε τὸ πᾶν, οὔτε ὁ ἀπλανὴς οὐρανός. εἰ γὰρ κατὰ συμβεβηκὸς ἐν τόπῳ τοῦτο ἐστὶν, ὅπερ ἢ μέρος ἢ συμβεβηκός ἐστι τοῦ καθ' αὑτὸ ὄντος ἐν τόπῳ, ἔστι δὲ τὸ μὲν πᾶν οὔτε μέρος οὔτε συμβεβηκός τινος, ὁ δὲ ἀπλανὴς οὐρανὸς μέρος μὲν τοῦ παντὸς, οὐ μέντοι καθ' αὑτὸ ὄντος ἐν τόπῳ, δηλονότι οὐδὲ κατὰ συμβεβηκὸς ἂν εἴη ἐν τόπῳ. ἀλλ' ἔοικε τὸ κατ' ἄλλο ὡς κατὰ συμβεβηκὸς λαβεῖν. τὸ γὰρ κατὰ μέρη ἐν τόπῳ, κατ' ἄλλο ἐστί. κοινὸν γὰρ καὶ τῷ

κατὰ συμβεβηκὸς καὶ τῷ κατὰ μέρη, τὸ κατ' ἄλλο. ἐπεὶ γὰρ ἐν τοῖς μέρεσι τὸ ὅλον, κἂν μὴ ὡς μέρος
μὴ δὲ ὡς συμβεβηκὸς, τὰ δὲ μέρη ἐστὶν ἐν τόπῳ κατὰ τὴν ἐπὶ τὰ μέρη ἀναφορὰν, ἐν οἷς ἐστὶ τὸ ὅλον καὶ
τὸ πᾶν, καὶ ὁ οὐρανὸς ἐν τόπῳ ἂν εἴη κατὰ συμβεβηκός. μή ποτε δὲ οὔτε τῆς ἀπλανοῦς, οὔτε ἄλλης
σφαίρας τὰ μέρη ἐν τόπῳ ἐστί. κἂν γὰρ ἔχηται ἀλλήλων, ἀλλ' οὐ διῃρημένα. εἰ οὖν τὰ μέρη μὴ ἔστιν
ἐν τόπῳ καθ' αὑτὰ, οὐδὲ τὸ ὅλον ἂν εἴη ἐν τόπῳ κατὰ τὰ μέρη. καὶ ὁ μὲν Ἀλέξανδρος οὐρανὸν λέγε-
σθαι νῦν φησὶν, οὐ τὴν τῶν ἀπλανῶν σφαῖραν, οὐδὲ τὸ θεῖον σῶμα μόνον, ἀλλὰ τὸν κόσμον πάντα.
διότι τούτου μὲν τὰ μέρη πλὴν τῆς ἀπλανοῦς ἐν τόπῳ ἐστί. τῆς δὲ ἀπλανοῦς τὰ μέρη οὐκέτι. εἴπερ
τὸ ἐπὶ τὸ κύκλῳ γὰρ περιέχει ἄλλο ἄλλο, ἐπὶ τῶν τοῦ παντὸς μορίων ἀκούειν ἀνάγκη, ὡς τῆς μὲν
γῆς ἐν τῷ ὕδατι περιεχομένης, τοῦ δὲ ὕδατος ἐν τῷ ἀέρι, καὶ τούτου ἐν τῷ αἰθέρι, καὶ τούτου ἐν τῷ
οὐρανῷ ὡς αὐτὸς ἐρεῖ. μή ποτε δὲ ὡς καὶ αὐτὸς Ἀλέξανδρος ἐπέστησεν ἐφαρμόσοι ἂν καὶ τῇ ἀπλανεῖ
τὰ λεγόμενα. καὶ γὰρ τῶν τῆς ἀπλανοῦς μορίων ἐπὶ τὸ κύκλῳ περιέχει ἄλλο ἄλλο. ἕκαστον γὰρ τῶν
μορίων αὐτῆς ὑπ' ἄλλων τινῶν μορίων περιέχεται, τῶν μὲν προηγουμένων κατὰ κύκλον, τῶν δὲ
ἑπομένων. διὸ μόνον κύκλῳ κινεῖται τὸ τοιοῦτον, καὶ οὔτε ἐπὶ τὸ ἄνω, οὔτε ἐπὶ τὸ κάτω. ἐφ' ὃ δὲ κι-
νεῖται ὡς εἶπε πρότερον, ταύτῃ καὶ ὁ τόπος ἐστὶ τοῖς μορίοις, οὐκ αὐτὸς τόπος, ἀλλὰ ἄλλου ἄλλο κύ-
κλῳ περιέχοντος. διὸ οὐ κατὰ φορὰν, ἀλλὰ κατὰ περιφορὰν ἡ κίνησις. καὶ μή ποτε τοῦτο τὸ κύκλῳ
γὰρ περιέχει ἄλλο ἄλλο, ὡς κοινῶς καὶ τῷ παντὶ ἐφαρμόττον καὶ τῇ ἀπλανεῖ καὶ ἑκάστῃ τῶν οὐρανίων
σφαιρῶν τέθεικεν. ὅτι δὲ οὐκ ἔστι καθ' αὑτὸν ὁ οὐρανὸς ἐν τόπῳ, δείκνυσι σαφέστερον νῦν μεταλαβὼν
τὸ ὄνομα αὐτοῦ εἰς τὸ πᾶν. τὸ γὰρ ἐν τόπῳ αὐτό τε ἔστι φησὶ, καὶ ἔτι ἔξωθεν αὐτοῦ τοῦτο, ὃ περιέχει αὐτὸ
ὡς προείρηται, τοῦ δὲ παντὸς οὐδέν ἐστιν ἔξω. εἰ γὰρ ἔξω τι αὐτοῦ, οὐκέτι τοῦτο πᾶν, ἀλλὰ τὸ σὺν τῷ
ἔξω. καὶ ἔτι μέντοι ὡς εἴρηται πρότερον, εἰ μήτε ἄπειρον ἐστὶ σῶμα ὡς δέδεικται, μήτε κενὸν ὡς ἀπο-
δειχθήσεται, ἔσται τὸ ἔξω πεπερασμένον σῶμα. καὶ τοῦτο ἢ οὐδαμοῦ, καὶ οὕτω δυνατὸν ἔσται εἶναί τι
σῶμα μὴ ὂν ἐν τόπῳ, ἢ πού. καὶ οὕτως ἐπ' ἄπειρον. ὅπερ ἀδύνατον, καὶ διὰ τὸ ἀόριστον, καὶ ὅτι ἔσται
πάλιν σῶμα ἄπειρον. τὸ δὲ ὁ γὰρ οὐρανὸς τὸ πᾶν ἴσως, ἀντὶ τοῦ ὁ κόσμος δοκεῖ λέγεσθαι. τὸ γὰρ πᾶν
δείξας μὴ ὂν ἐν τόπῳ, εἰκότως συνῆψε τὸ τὸν κόσμον τὸ πᾶν εἶναι. τὸ δὲ ἴσως πρόσκειται φασὶν, ἢ
διὰ τὸ μηδέ πω εἰρῆσθαι περὶ τοῦ κενοῦ ὅτι οὐκ ἔστιν, ὃ φασί τινες περιέχειν τὸ πᾶν, ἢ διὰ τὸ μηδέ πω
δεδεῖχθαι ὅτι εἷς ἐστὶν ὁ κόσμος. ἢ ὅτι ἔστι τινὰ καὶ ἀσώματα εἴδη καθ' αὑτά. ἢ διὰ φιλόσοφον εὐλά-
βειαν. μή ποτε δὲ ἐπὶ τοῦ παντὸς κόσμου δείξας ὅτι οὐκ ἔστιν ἐν τόπῳ, καὶ βουλόμενος μὴ δὲ τὸν οὐ-
ρανὸν εἶναι ἐν τόπῳ διὰ τὰς αὐτὰς αἰτίας, οὐ γάρ ἐστι τι τοῦ ὅλου οὐρανοῦ ἔξω, ἐπήγαγεν ὁ γὰρ οὐ-
ρανὸς τὸ πᾶν ἴσως, τὸ ἴσως προσθεὶς, ὅτι περιεκτικὸς μὲν, καὶ ὅτι οὐδὲν ἔξω αὐτοῦ, καὶ ὅτι ἐλάχιστόν
τι τὸ παρ' αὐτόν ἐστι, καὶ τοῦτο ἐντὸς καὶ περιεχόμενον, οὐ μέντοι ἁπλῶς τὸ πᾶν. διότι δὲ ἐν αὐτῷ
πάντα, τὸ πᾶν ἴσως. ἐπιστῆσαι δὲ χρὴ ὅτι τὸν οὐρανὸν νῦν οὐ τὸν κόσμον λέγει. οὐ γὰρ ἂν εἶπε καὶ
διὰ τοῦτο ἐν τῷ οὐρανῷ πάντα ὡς ἐν τόπῳ. οὐ γὰρ ὡς ἐν τόπῳ πάντα ἐν τῷ κόσμῳ, ἀλλ' ὡς ἐν ὅλῳ.
ὅτι δὲ ὡς ἐν τόπῳ εἶπεν ἐν τῷ κυρίως οὐρανῷ τῷ κυκλοφορητικῷ σώματι τὰ πάντα, ἐδήλωσεν
εἰπών. ἔστι δὲ τόπος οὐχ ὁ οὐρανὸς ὅλος, ἀλλὰ τοῦ οὐρανοῦ τι τὸ ἔσχατον καὶ ἁπτόμενον τῶν κατ' εὐθεῖαν
κινουμένων. εἶπε δὲ τοῦ κινητοῦ σώματος, τουτέστι τοῦ καθ' αὑτὸ ἀπολελυμένου καὶ κινουμένου κατὰ
φοράν. ἔσχατον δὲ λέγει τὸ κοῖλον τῆς σεληνιακῆς σφαίρας, ὡς ἐν ἅπαντας τοὺς οὐρανοὺς λαβών.
τοῦτο δὲ καὶ διὰ τοῦ ἑξῆς δηλοῖ, εἰπὼν καὶ διὰ τοῦτο ἡ μὲν γῆ ἐν τῷ ὕδατι, καὶ τὰ ἑξῆς. καὶ ἐνταῦθα
φησὶν ὁ Ἀλέξανδρος δεῖν σημειώσασθαι, ὅτι μέχρι νῦν τῷ τοῦ οὐρανοῦ ὀνόματι χρησάμενος ἐπὶ τοῦ
κόσμου παντὸς, νῦν τὸν οὐρανὸν βούλεται τὴν ἐξωτάτω σφαῖραν τὴν τῶν ἀπλανῶν λέγειν. καίτοι
ὅτε ἔλεγεν ἐν τῷ οὐρανῷ πάντα, οὐ περὶ τοῦ κόσμου ἔλεγεν, ὡς ἐδήλωσεν ἐφεξῆς εἰπὼν, ἔστι δὲ ὁ τό-
πος οὐχ ὁ οὐρανὸς, ἀλλὰ τοῦ οὐρανοῦ τι τὸ ἔσχατον, καὶ μέντοι ἐν τούτοις ἀπάσιος οὐ περὶ τῆς τῶν ἀπλανῶν
σφαίρας ἔοικε λέγειν, ὡς φησὶν ὁ Ἀλέξανδρος, ἀλλὰ πᾶν τὸ θεῖον σῶμα οὐρανὸν καλεῖ, ὡς δηλοῖ καὶ
τὸ τὸ ἔσχατον αὐτοῦ καὶ ἁπτόμενον τοῦ κινητοῦ σώματος τόπον εἰπεῖν. κινητὰ γὰρ λέγει τὰ ἐπ' εὐθείας
κινεῖσθαι πεφυκότα. καὶ τὸ, ὁ δὲ αἰθὴρ ἐν τῷ οὐρανῷ. οὐ γὰρ ἐν τῇ ἀπλανεῖ ὁ αἰθὴρ, ἀλλὰ προσεχῶς
ἐν τῷ κοίλῳ τῆς σεληνιακῆς σφαίρας. ὡς ἕνα δὲ τὸν οὐρανὸν λαβὼν, εἰκότως εἶπεν ὁ δὲ οὐρανὸς οὐ-
κέτι ἐν ἄλλῳ. ὁ μέντοι Ἀλέξανδρος αἰθέρα φησὶ τὰς τῶν πλανωμένων σφαίρας εἰπεῖν. καὶ εἴη ἂν
φησὶ τὸ πῦρ παρεικὼς καὶ σὺν τῷ ἀέρι τεθεικώς. καίτοι οὐκ ἂν τοῦ πέμπτου σώματος τὸ μὲν αἰθέρα
τὸ δὲ οὐρανὸν ἐκάλει. καὶ γὰρ ὅτε τὸ πῦρ παρῆκε, τὸν ἀέρα ἐν τῷ οὐρανῷ ἐν τοῖς ἔμπροσθεν ἔλεγεν,
ἐπεὶ δὲ λέγομεν εἶναι ὡς ἐν τόπῳ ἐν τῷ οὐρανῷ, διότι ἐν τῷ ἀέρι, οὗτος δὲ ἐν τῷ οὐρανῷ. καὶ δῆ-
λον ὅτι οὐρανὸν ἢ τὸν ὅλον κόσμον ἔλεγεν, ἢ τὸ κυκλοφορητικὸν πᾶν. πολλὴν δὲ τοῖς προκειμένοις
ἀσάφειαν ἐποίησε, τὸ ποτὲ μὲν τὸ πᾶν, ποτὲ δὲ τὸν οὐρανὸν ὀνομάζειν. καὶ μή ποτε περὶ ἀμφοῖν
ποιεῖται τὸν λόγον, ὡς ἕνα τὸν ὅλον οὐρανὸν παραλαμβάνων, καὶ διὰ τὴν αὐτὴν αἰτίαν φημὶ δὴ διὰ
τὸ μὴ περιέχεσθαι ὑπό τινος, ὁμοίως καὶ τὸ πᾶν καὶ τὸν οὐρανὸν λέγων μὴ εἶναι ἐν τόπῳ. ὁ δὲ Εὔδη-
μος τὸ μὲν πᾶν οὐδὲ ὀνομάζει. ἐπὶ δὲ τοῦ οὐρανοῦ τὴν ζήτησιν ποιεῖται τοῦ ὅλου καὶ αὐτὸς ὡς οἶμαι

γράφων

γράφων οὕτως. εἰπὼν ὅτι τοῦ περιέχοντος ἢ περιέχον πέρας ὁ τόπος ἂν εἴη ἀκινήτου ὄντος, ἐπή-
γαγε. τὸ γὰρ κινούμενον ἀστειῶδες. καὶ διὰ τοῦτο τῶν τόπων τὴν ἀναφορὰν πρὸς τὸν οὐρανὸν ποιούμε-
θα. οὗτος γὰρ οὐ μεταλλάσσει τόπον ἄλλον. ἀλλ' εἴπερ, κατὰ μόρια. ἐν τῷ αὐτῷ γὰρ ἡ περιφορά.
αὐτὸς δὲ πότερόν ἐστιν ἐν τόπῳ, ἢ οὐκ ἔστιν, ἢ ὅπως ἑκάτερον. ὅλος μὲν γὰρ οὐκ ἔστιν ἐν τόπῳ εἰ μὴ ἔστι τι
ἐκτός. οὕτω γὰρ ἂν περιέχοιτο. τοῦτο δὲ ἐπισκεψόμεθα. τὰ δὲ ἄστρα καὶ ὅσα ἐντὸς τοῦ ἐξωτάτω σώ-
ματος ἐν τῷ ἐκείνου πέρατί ἐστιν, ἢ περιέχον ἐστί. τὰ δὲ οὕτως ἔν τινι, ἐν τόπῳ ἐστὶν ἐν ᾧ δὲ τὰ μόρια,
τὸ ὅλον λέγομεν εἶναι. οὕτω μὲν οὖν εἴη ἂν ἐν τόπῳ. ἔστι δὲ καὶ ἄλλως πού. ἐν τοῖς μορίοις γὰρ ἐστὶ τὸ
ὅλον. πολλαχῶς δὲ τὸ πού. ἐν οἷς καὶ ὅπως κατὰ συμβεβηκὸς ὁ ὅλος οὐρανὸς ἐν τόπῳ εἶπεν. ἀλλ' ἐπι-
στῆσαι ἄξιον, ποία τῶν κινήσεών ἐστιν ἡ κυκλοφορία. δῆλον γὰρ ὅτι οὔτε κατ' οὐσίαν ἐστίν, οὔτε κατὰ
ποσόν, οὔτε κατὰ ποιόν. λείπεται ἄρα εἴπερ ἐστὶ κίνησις, κατὰ τόπον αὐτὴν εἶναι. εἰ δὲ κατὰ τόπον
κινεῖται, καὶ ἐν τόπῳ πάντως ἐστὶν ὡς δέδεικται πολλάκις. ὁ δέ γε Ἀλέξανδρος σαφῶς λέγει μὴ
εἶναι τοπικὴν ταύτην τὴν κίνησιν, διότι μὴ ἀλλάσσει τόπον. τίς δέ ἐστιν οὐ λέγει. καίτοι σαφῶς τοῦ
Ἀριστοτέλους ἐν τῇ περὶ οὐρανοῦ τὴν κατὰ τόπον κίνησιν ἣν καλεῖ φορὰν διαιροῦντος, εἴς τε τὴν κύ-
κλῳ, καὶ τὴν ἐπ' εὐθείας, καὶ μικτήν. ἐν οἷς φησὶ πᾶν μὲν γὰρ τὸ φερόμενον, ἢ κύκλῳ φέρεται, ἢ
κατ' εὐθείας, ἢ τὴν μικτήν. καὶ ἐν τῷ ὀγδόῳ τῆσδε τῆς πραγματείας σαφῶς τὴν κυκλοφορίαν κα-
τὰ τόπον λέγει κίνησιν.

Φ ΑΝΕΡΟΝ δὲ ἐκ τούτων, ὅτι καὶ αἱ ἀπορίαι πᾶσαι, λύοιντ' ἄν, οὕτω λεγομένου τοῦ τόπου. οὔτε
γὰρ συναυξάνεσθαι ἀνάγκη τὸν τόπον οὔτε στιγμῆς εἶναι τόπον. οὔτε δύο σώματα ἐν τῷ αὐτῷ τόπῳ.
οὔτε διάστημά τι εἶναι σωματικόν. σῶμα γὰρ τὸ μεταξὺ τοῦ τόπου τὸ τυχόν. ἀλλ' οὐ διάστημα σώματος.
καὶ ἔστιν ὁ τόπος καὶ πού, οὐχ ὡς ἐν τόπῳ δὲ ἀλλ' ὡς τὸ πέρας ἐν τῷ πεπερασμένῳ. οὐ γὰρ πᾶν τὸ
ὂν ἐν τόπῳ ἀλλὰ τὸ κινητὸν σῶμα.

Ε ἰπὼν πρότερον οὕτω κάλλιστα δείκνυσθαι ἕκαστον, ἐὰν ἐκ τοῦ ἀποδοθέντος ὁρισμοῦ καὶ τὰ δοκοῦ-
τα ὑπάρχειν τῷ πράγματι ὑπάρχοντα φανῇ. καὶ τὰ τῆς δυσκολίας αἴτια φανερὰ γένηται,
καὶ ἔτι μέντοι καὶ αἱ ἀπορίαι λυθῶσι, καὶ δείξας ὅπως ὑπάρξει τῷ ἀποδοθέντι τοῦ τόπου ὁρισμῷ,
τῷ λέγοντι ὅτι ἔστι τὸ τοῦ περιέχοντος πέρας πρῶτον ἀκίνητον, τὰ δοκοῦντα ὑπάρχειν αὐτῷ καὶ
τὴν αἰτίαν τῆς δυσκολίας παραδείξας, νῦν τὸ λοιπὸν ὅπως αἱ ἐπαχθεῖσαι τῷ τόπῳ ἀπορίαι ἐκ
τοῦ ὁρισμοῦ διαλύονται, δείκνυσιν. ἣν δὲ μία τῶν ἀποριῶν αὕτη. εἰ πᾶν σῶμα ἐν τόπῳ καὶ ἐν παντὶ
τόπῳ σῶμα, τῶν αὐξανομένων δεήσει καὶ τὸν τόπον συναύξεσθαι. εἰ γὰρ μὴ τοῦτο, τὸ προστιθέμενον
σῶμα οὐκέτι ἔσται ἐν τόπῳ. ῥητέον οὖν ὅτι ὑποχωροῦντος τοῦ περιέχοντος σώματος, ἢ κατὰ ἀντι-
περίστασιν, ὅταν τὸ ἐφεξῆς τὸν τοῦ ἀλλαχοῦ μειωθέντος τόπον καταλαμβάνῃ, ἢ κατὰ πύκνωσιν καὶ
πίλησιν, καὶ τὰ πέρατα ὑπείκει, ὥστε τὰ αὐξανόμενα ἐν μείζονι γίνεσθαι τόπῳ, οὐ τοῦ τόπου καθ'
αὑτὸν αὐξομένου, οὐδὲν γὰρ πέρας καθ' αὑτὸ αὔξεται. ἀλλ' οὐδὲ τὸ σῶμα οὗ ἐστι πέρας αὔξεται.
τοὐναντίον δὲ ἐστὶν ὅτε καὶ συστέλλεται πυκνούμενον. ἀλλ' οὐδὲ στιγμῆς ἔσται τόπος. οὐ γὰρ ἀνάγκη εἰ τοῦ
σώματός ἐστι τόπος, καὶ τὰ πέρατα αὐτοῦ ἐν τόπῳ εἶναι. οὔτε γὰρ κεχωρισμένα οὔτε περιεχόμενα
ἐστίν, οἷα χρὴ εἶναι τὰ ἐν τόπῳ. ὅλως δὲ εἰ μὴ τὰ μόρια συνεχῆ ἐν τόπῳ ἐστίν, ὅτι μὴ κεχώρισται τοῦ ὅλου,
πολλῷ μᾶλλον τὰ πέρατα οὐκ ἂν εἴη ἐν τόπῳ. μήποτε δὲ οὐδὲ τὸ διαφορὰν εἶναι στιγμῆς καὶ τόπου
στιγμῆς, ἄτοπόν ἐστιν. εἰ γὰρ τοῦτο ἄτοπον, οὐδὲ ἅπτεσθαι ἀλλήλων σώματα δυνατόν. εἰ γὰρ μὴ ἡ στιγμὴ
τῇ στιγμῇ ἐφαρμόττει, οὐδὲ γραμμὴ γραμμῇ, οὐδὲ ἐπίπεδον ἐπιπέδῳ. τρίτον δὲ λύεσθαί φησιν ἐκεῖ-
νο τὸ ἄπορον ὃ πρῶτον ἐρρήθη, ὅτι οὔτε ἀσώματόν ἐστιν. διαστήματα γὰρ ἔχει τρία μῆκος καὶ πλάτος
καὶ βάθος, οἷς ὁρίζεται πᾶν σῶμα. καὶ ἀδύνατον σῶμα εἶναι τὸν τόπον. ἐν τῷ αὐτῷ γὰρ ἂν εἴη δύο σώ-
ματα. λύεται οὖν καὶ τοῦτο ἐκ τοῦ ὁρισμοῦ τοῦ τόπου. τὸ γὰρ πέρας τοῦ περιέχοντος οὐκ ἔχει τρία δια-
στήματα, οὐδὲ ἔστι σῶμα. διὰ δὲ τοῦ αὐτοῦ δείκνυται ὅτι μηδὲ διάστημα σωματικὸν ὁ τόπος ἐστί. τὸ γὰρ
σωματικὸν διάστημα, τὸ ἐπὶ τρία διεστώς ἐστιν. ὥστε τῷ μὲν λέγοντι τὸ ἐπὶ τρεῖς διαστάσεις διεστὼς τοῦ-
το εἶναι τὸν τόπον, ἕποιτο ἂν ἴσως τὸ δύο σώματα εἶναι ἐν τόπῳ. τῷ δὲ πέρας σώματος λέγοντι οὐ-
κέτι ἂν ἕποιτο τοῦτο. λύεται δὲ ἐκ τοῦ ὁρισμοῦ καὶ ἡ Ζήνωνος ἀπορία, ἣν καὶ πρότερον ἔλυσεν. ὁ μὲν
γὰρ Ζήνων ἔλεγεν, εἰ πᾶν τὸ ὂν πού, καὶ ὁ τόπος ἐν τόπῳ ἔσται. εἰ δὲ τὸ πέρας τοῦ περιέχοντος ὁ τό-
πος, ἔσται μὲν ἔν τινι καὶ ὁ τόπος, τοῦ πού τὸ ἔν τινι σημαίνοντος. ἔσται δὲ οὐχ ὡς ἐν τόπῳ, ἀλλ' ὡς πέ-
ρας ἐν τῷ σώματι, οὗ ἐστι τόπος. ὥστε καὶ ἀναγκαίως οὐκ ἂν εἴη ἐν τόπῳ ὁ τόπος. εἴπερ ἐν τόπῳ μέν
ἐστι τὸ κινητὸν σῶμα κατὰ φοράν, τὸ δὲ πέρας τοῦ περιέχοντος οὐκ ἔστι κινητὸν κατὰ φορὰν καθ'
αὑτό. οὐδὲ γὰρ ἔστι κεχωρισμένον.

Κ ΑΙ ΦΕΡΕΤΑΙ δὴ εἰς τὸν αὑτοῦ τόπον ἕκαστον, εὐλόγως. ὁ γὰρ ἐφεξῆς καὶ ἁπτόμενον μὴ βίᾳ,
συγγενές. καὶ συμπεφυκότα μὲν ἀπαθῆ. ἁπτόμενα δέ, παθητικὰ καὶ ποιητικὰ ἀλλήλων. καὶ μένει
δὴ φύσει πᾶν ἐν τῷ οἰκείῳ τόπῳ, ἕκαστον οὐκ ἀλόγως. καὶ γὰρ τὸ μόριος τόδε, ἐν ὅλῳ τῷ τόπῳ, ὡς
διαιρετὸν μόριος πρὸς ὅλον ἐστίν. οἷον, ὅταν ὕδατος κινήσῃ τις μόριον, ἢ ἀέρος. οὕτω δὲ καὶ ὁ ἀήρ, ἔχει

πρὸς ὕδωρ. ὅτι ὕλη γάρ. τὸ δὲ, εἶδος. τὸ μὲν ὕδωρ, ὕλη ἀέρος. ὁ δὲ ἀὴρ, ὅτι ἐνέργειά τις ἐκείνου. τὸ γὰρ ὕδωρ δυνάμει ἀήρ ἐστιν. ὁ δ᾽ ἀὴρ δυνάμει ὕδωρ ἄλλον τρόπον. διοριστέον δὲ περὶ τούτων ὕστερον. ἀλλὰ διὰ τὸν καιρὸν, ἀνάγκη μὲν εἰπεῖν. ἀσαφῶς δὲ νῦν ῥηθὲν, τότ᾽ ἔσται σαφέστερον. εἰ οὖν τὸ αὐτὸ ἡ ὕλη καὶ ἡ ἐντελέχεια, ὕδωρ γὰρ ἄμφω. ἀλλὰ τὸ μὲν δυνάμει, τὸ δὲ, ἐντελεχείᾳ. ἔχοι ἂν ὡς μόριόν πως πρὸς ὅλον. διὸ καὶ τούτοις ἀφή ἐστιν. σύμφυσις δὲ, ὅταν ἄμφω ἐνεργείᾳ ἓν γένωνται. καὶ περὶ μὲν τόπου, καὶ ὅτι ἐστὶν καὶ τί ἐστιν, εἴρηται.

Τ οὔτο οὐκ ἀχρείας λύσιν ἔχει. ἀλλὰ τελευταῖον ἔκειτο τῶν περὶ τόπου ἀξιωμάτων, τὸ φέρεσθαι φύσει καὶ μένειν ἐν τοῖς οἰκείοις τόποις ἕκαστον τῶν σωμάτων. δείκνυσιν οὖν καὶ τοῦτο ἀκόλουθον ὂν τῷ τοῦ τόπου ὁρισμῷ, ἅμα καὶ ἔνστασιν ὑποφερομένην οἶμαι λύων τινά. διὸ καὶ τοῦτο ἥρμοσε ταῖς τῶν ἀποριῶν διαλύσεσι. πῶς γὰρ φαίη τις ἂν τῆς γῆς τόπος ἂν εἴη τὸ τοῦ ὕδατος πέρας, ἢ τοῦ ὕδατος τὸ τοῦ ἀέρος. καὶ ἐφεξῆς ἐπὶ ἑκάστου σκοποῦσί τι. εἴπερ τὸν μὲν τόπον συγγενῆ δεῖ εἶναι τῷ ἐν τόπῳ καὶ ὅμοιον. διὸ καὶ οἰκεῖος αὐτῷ λέγεται. τὸ δὲ ὕδωρ τῇ γῇ, καὶ ὁ ἀὴρ τῷ ὕδατι ἀνόμοιον καὶ διάφορον καὶ ὑπεναντίον, ὡς καὶ μεταβάλλειν εἰς ἄλληλα. λέγει οὖν ὅτι τὰ ἐφεξῆς ἀλλήλοις ὄντα σώματα, καὶ ἁπτόμενα ἀλλήλων μὴ βίᾳ, ταῦτα συγγενῆ καὶ οἰκεῖα ἀλλήλοις ἐστί. τῷ μὲν πυρὶ ἀήρ· ἔχει γὰρ πρὸς αὐτὸ κοινὸν καὶ σύμβολον τὴν θερμότητα. διὸ καὶ ῥᾳδία ἡ ἐξ ἀέρος εἰς πῦρ μεταβολή. τῷ δὲ ἀέρι τὸ ὕδωρ. κοινὸν γὰρ καὶ τούτοις ἡ ὑγρότης. ὁμοίως καὶ τῷ ὕδατι ἡ γῆ. κατὰ γὰρ τὸ ψυχρὸν καὶ τούτοις ἡ συγγένεια. οὐκέτι δὲ ἡ γῆ πρὸς τὸν ἀέρα, ἢ τὸ ὕδωρ πρὸς τὸ πῦρ. καὶ τὸ πῦρ δὲ κἂν ἐν γενέσει καὶ μεταβολῇ τὸ εἶναι ἔχῃ. ἀλλ᾽ ὡς ἐν τοῖς τοιούτοις πάντων οἰκειότατόν ἐστι πρὸς τὴν τῆς σελήνης σφαῖραν, καὶ ταύτης πρὸς τὸ τῇ γενέσει πλησιάζον μέρος. φωτεινὸν γὰρ καὶ τὸ πῦρ καὶ ἄϋλον καὶ εἴδους λόγον ἔχον πρὸς τὰ ἄλλα στοιχεῖα. πρὸς τὸ συγγενὲς οὖν σῶμα φερόμενον ἕκαστον ἐπὶ τὸν οἰκεῖον φέρεται τόπον. καλῶς δὲ οὐ μόνον ἐφεξῆς εἶπεν ἀλλὰ καὶ ἁπτόμενα. ἐφεξῆς μὲν γάρ ἐστιν, ὧν οὐδέν ἐστι μεταξὺ ὁμογενὲς, ὡς αὐτὸς διδάξει. ὡς οἰκίαι ἐφεξῆς ἀλλήλων λέγονται, εἰ μὴ εἴη μεταξὺ αὐτῶν ἄλλη οἰκία. τὰ δὲ οὕτως ἐφεξῆς οὔτε ἅπτεται ἀλλήλων, οὔτε ἔστι τὸ ἕτερον ἐν τῷ ἑτέρῳ ὡς ἐν τόπῳ. δεῖται οὖν καὶ τοῦ ἅπτεσθαι ἵνα ᾖ ἐν τόπῳ. καὶ τὸ μὴ βίᾳ δὲ ἀναγκαίως πρόσκειται. δύναται γάρ τινα ἅπτεσθαι ἀλλήλων μὴ κατὰ φύσιν ἀλλὰ βίᾳ, καὶ ταῦτα μήτε συγγενῆ εἶναι μήτε ἅπτεσθαι ἀλλήλων κατὰ φύσιν. εἰ οὖν τὰ συγγενῆ σώματα φυσικὴν ἔχοντα τὴν πρὸς ἄλληλα τάξιν, ἐφίεται τοῦ ἐφεξῆς εἶναι ἀλλήλοις, καὶ ἅπτεσθαι ἀλλήλων μὴ βίᾳ, εἰκότως καὶ ἀποσπασθέντα ταῦτα σπεύδει πρὸς αὐτὰ ὡς πρὸς οἰκεῖα. καὶ μένει ἐν αὐτοῖς ὡς ἐν οἰκείοις. ἐπειδὴ δὲ καὶ τὰ μέρη συγγενῆ ἐστιν ἀλλήλοις καὶ τῷ ὅλῳ, οὐ μέντοι ὡς ἐν τόπῳ ἐστὶν ἐν ἀλλήλοις ἢ ἐν τόπῳ ὅλῳ, τὴν αἰτίαν τούτου λέγει. τὰ μὲν γὰρ συμπεφυκότα καὶ συνεχῆ ἀλλήλοις, ἀπαθῆ ὑπ᾽ ἀλλήλων ἐστὶν εὐλόγως. δεῖ μὲν γὰρ ἄλλο εἶναι τὸ ποιοῦν καὶ ἄλλο τὸ πάσχον. τὰ δὲ συνεχῆ καὶ συμπεφυκότα, ἕν ἐστι. τὰ δὲ μὴ ἀπαθῆ ἀλλὰ ποιοῦντα καὶ πάσχοντα, ταῦτα οὐκέτι συνεχῆ, οὐδὲ οὕτως συγγενῆ, ἀλλ᾽ ὡς τὰ ἁπτόμενα. ἐν οἷς ἄλλο μὲν τὸ ποιοῦν, ἄλλο δὲ τὸ πάσχον, πλησιάζοντα δὲ ἀλλήλοις καὶ συγγενῆ. οὐχ οὕτω δὲ, ὡς τὰ μέρη ἐκ τῶν αὐτῶν ὄντων στοιχείων, ἀλλὰ τὸ μὲν κοινὸν ἔχοντα, τὸ δὲ, διάφορον. διὸ καὶ μεταβάλλει εἰς ἄλληλα. ταῦτα οὖν καὶ τὰ ἐν τόπῳ ἐστί. τὰ γὰρ παρακείμενα ἀλλήλοις σώματα καὶ ἁπτόμενα ποιοῦντα καὶ πάσχοντα, ταῦτα κατὰ φύσιν καὶ κινεῖται καὶ φέρεται τὸ ἀτελέστερον ἐπὶ τὸ τελειότερον ὡς ὀρεγόμενον. εἰπὼν δὲ αἴτιον εἶναι τοῦ εὐλόγως ἐπὶ τὸν οἰκεῖον τόπον φέρεσθαι τὸ συγγενὲς τοῦ σώματος, οὗ πέρας ἐστὶν ὁ τόπος πρὸς τὸ ἐν τόπῳ, καὶ τοῦ μένειν εὐλόγως ἐν τῷ οἰκείῳ τόπῳ τὸ αὐτὸ αἴτιον φησίν. ὥσπερ γὰρ τὸ ἀφιστάμενον τοῦ συγγενοῦς, ἐφιέμενον αὐτοῦ κινεῖται ἐπ᾽ αὐτὸ, οὕτω καὶ τὸ γενόμενον ἐκεῖ μένειν ἐφίεται. σχεδὸν γὰρ μέρος ἐστὶν ἐκείνου, ὑφ᾽ οὗ περιέχεται κατὰ φύσιν. τὸ δὲ σχεδὸν, ὅτι οὐ συνεχὲς μέρος ἐστὶν, ἀλλὰ διῃρημένον. ὡς οὖν τοῖς μέρεσι κατὰ φύσιν ἐστὶ καὶ φέρεσθαι ἐπὶ τὰ ὅλα, καὶ μένειν ἐν αὐτοῖς, οὕτω καὶ τοῖς συγγενέσι κατὰ φύσιν ἐστὶ τὸ φέρεσθαι καὶ μένειν, ὡς ἐν οἰκείῳ τόπῳ διῃρημένοις οὖσι. κατὰ τοῦτο γάρ ἐστιν ἐν τόπῳ. ὥσπερ γὰρ τὰ κυρίως μέρη, οἷον ὕδατος μέρος ἢ ἀέρος, ἐν τῷ ὅλῳ φυλάττει τὴν πρὸς αὐτὸ οἰκειότητα καὶ κινούμενον καὶ μένον, οὕτω καὶ τὰ κατὰ τὸν ἕτερον τρόπον συγγενῆ φυλάττει τὴν οἰκειότητα. οἷον τὸ ὕδωρ πρὸς τὸν ἀέρα. κινούμενον δὲ ὑπέθετο τὸ μόριον, ἵνα αὐτὸ τοῖς ἐν τόπῳ μᾶλλον ὁμοιώσῃ. ἔοικε γὰρ μόριόν πως εἶναι τὸ ὕδωρ τοῦ ἀέρος διῃρημένον. οὐ μόριον δὲ ὅλως, ὡς ἔστι μόριον ἡ ὕλη ἐξ ἧς γίνεται τὸ γινόμενον τοῦ κατὰ τὸ εἶδος χαρακτηριζομένου συνθέτου. γίνεται γὰρ ἐξ ὕδατος ἀὴρ ὡς ἐξ ὕλης, ὡς ἐκ χαλκοῦ ἀνδριὰς, ἢ μᾶλλον ὡς ἐκ σπέρματος ζῷον. οὐ γὰρ ὑπομένοντος τοῦ ὕδατος γίνεται ὁ ἀήρ. ἀλλὰ πῶς εἰπὼν οὕτω δὲ καὶ ὁ ἀὴρ ἔχει πρὸς ὕδωρ, οἷον ὕλη γὰρ, τὸ δὲ εἶδος, τὸ μὲν ὕδωρ ὕλη ἀέρος, ὁ δὲ ἀὴρ ἐνέργειά τις ἐκείνου, μέρος ὅμως τὸ ὕδωρ, τοῦ ἀέρος φησίν. οὐ γάρ ἐστιν ἡ ὕλη τοῦ εἴδους μέρος, ἀλλὰ τοῦ συνθέτου ἄμφω. ἢ διὰ τοῦτο ὅτι τὸ σύνθετον κατὰ τὸ εἶδος μάλιστα οὐσιοῦται καὶ χαρακτηρίζεται. ἢ ὡς αὐτὸς εἶπεν, ὅτι τὸ ὕδωρ δυνάμει ἐστὶν ἀήρ. ὡς γὰρ τὸ σπέρμα μέρος δοκεῖ τοῦ ἐξ

αὐτοῦ γινομένου

αὐτοῦ γινομένου ζῴου, οὕτω καὶ τὸ ὕδωρ μέρος πώς ἐστι τοῦ ἐξ αὐτοῦ γινομένου ἀέρος, δυνάμει ὂν ἀήρ. ἀλλὰ παντὶ πρόχειρον ἦν ἐφιστάνειν, ὅτι καὶ ἐξ ἀέρος ὕδωρ γίνεται. καὶ ὁ ἀὴρ δυνάμει ἐστὶν ὕδωρ, καὶ ὕλη τοῦ ὕδατος ὁ ἀήρ. ὥς τε καὶ μέρος. ἀλλὰ ἄλλον φησὶ τρόπον ὁ ἀὴρ δυνάμει ὕδωρ, καὶ ἄλλον τὸ ὕδωρ δυνάμει ἀήρ. καὶ τὸν μὲν ἀκριβῆ περὶ τούτων διορισμὸν εἰς τὴν περὶ γενέσεως καὶ φθορᾶς πραγματείαν ὑπερτίθεται. δοκεῖ δὲ ἡ μὲν τοῦ ὑλικωτέρου καὶ παχυτέρου σώματος εἰς τὸ λεπτότερον μεταβολὴ γενέσει ἐοικέναι. ἡ δὲ τοῦ λεπτοτέρου εἰς τὸ παχύτερον, φθορᾷ. τοῦτο δὲ διότι τὰ λεπτομερέστερα τῶν στοιχείων εἴδους ἔχειν λόγον πρὸς τὰ παχυμερέστερα δοκεῖ. τοιγαροῦν ἀρετὴν μὲν ὕδατος τὴν κουφότητα φαμὲν, κακίαν δὲ ἀέρος τὴν παχύτητα. παντὶ δὲ τὸ μὲν ἀτελὲς παρὰ τὴν ὕλην, ἡ δὲ τελειότης παρὰ τὸ εἶδος ἐστί. καὶ τὸ μὲν τελειωθὲν εἴη ἂν ὡς μέρος ἐν τῷ μετὰ τῆς τελειότητος ὅλῳ. τὸ δὲ φθαρὲν οὐκ ἂν εἴη μέρος. εἰκότως οὖν τὸ μὲν ὕδωρ ἐπὶ τὸ πέρας τοῦ ἀέρος ἵεται. ὁ δὲ ἀὴρ οὐκέτι ἐπὶ τὸ τοῦ ὕδατος ἀλλ' ἐπὶ τὸ τοῦ πυρός. εἰπὼν οὖν ὅτι δυνάμει τὸ ὕδωρ ἀήρ ἐστι, καὶ ὅτι τὸ μὲν ὕδωρ ὕλῃ ἀναλογεῖ, ὁ δὲ ἀὴρ εἴδει, συλλογίζεται λοιπὸν, ὅτι ἔνθα τὸ αὐτὸ δυνάμει καὶ ἐνεργείᾳ ἂν ᾖ, καὶ τὸ μὲν δυνάμει εἴδει ἀναλογῇ, τὸ δὲ ἐνεργείᾳ ὕλῃ, μέρος γίνεται τὸ ἐνεργείᾳ τοῦ δυνάμει. ἐπεὶ οὖν τὸ ὕδωρ ἐνεργείᾳ μέν ἐστιν ὕδωρ, δυνάμει δὲ ἀὴρ, καὶ μεταβάλλει εἰς ἀέρα, καὶ συνυπάρχει πως αὐτῷ, ἔχοι ἂν ὡς μόριόν πως πρὸς ὅλον. κἂν δυνατὸν δὲ καὶ ἐπὶ ἀέρος τὸ αὐτὸ λέγειν, διότι καὶ οὗτος δυνάμει ὕδωρ ὢν μεταβάλλει εἰς ὕδωρ, ἀλλ' εἰ φθορᾷ μᾶλλον ἔοικεν αὕτη ἡ μεταβολὴ, οἰκειότερον ἂν ἐν τῷ πρὸς γένεσιν ὡμοιωμένῳ λέγοιτο τὸ μέρος καὶ ὅλον. οὗ δὲ ἕνεκεν ταῦτα παρείληπται, ἐπήγαγεν εἰπὼν, διὸ καὶ τούτοις ἁφή ἐστι. διὰ γὰρ τὴν συγγένειαν ἁφή ἐστιν ἀβίαστος ἐν αὐτοῖς. καὶ τὰ ὑλικώτερα ὡς ἐν τόπῳ περιέχεται ὑπὸ τῶν εἰδικωτέρων. τοῦτο δὲ, ὅταν ἑκάτερον ἐνεργείᾳ μὲν ᾖ ὅπερ ἐστι, δυνάμει δὲ τὸ ἕτερον. ὅταν δὲ ἐνεργείᾳ ἄμφω ἓν γένηται, τοῦτο δὲ συμβαίνει τοῦ ἑτέρου μεταβάλλοντος εἰς τὸ ἕτερον, διὰ τοῦ ὕδατος γινομένου ἀέρος, ἢ τοῦ ἀέρος ὕδατος, τοῦτο οὐκέτι ἅπτεται ἀλλήλων. οὐδὲ ὡς ἐν τόπῳ τὸ ἕτερον ἐν τῷ ἑτέρῳ ἐστίν. ἀλλὰ συμφύεται καὶ συνεχίζεται καὶ ὅλον καὶ μέρος ἀποτελεῖται. ἐπειδὴ δὲ τὴν συγγένειαν καὶ τὰς κοινὰς ποιότητας ᾐτιασάμεθα τῆς ἀβιάστου καὶ κατὰ φύσιν ἁφῆς, καὶ τοῦ ὡς ἐν τόπῳ εἶναι τῷ πέρατι τοῦ περιέχοντος σώματος, ἐπιστήσοι ἄν τις δικαίως οἶμαι ὅτι κατὰ τοῦτον τὸν λόγον μόνον ἔδει τὸ ὕδωρ εἶναι τῆς γῆς τόπον, ἀλλ' οὐχὶ καὶ τὸν ἀέρα. ἔπειτα εἰ ὡς ἐπὶ συγγενῆ ἵεται, διατί μὴ ἐν ἀέρι ἢ ἐν μέσῳ ὕδατι μένει ἡ βῶλος ἐν τῷ συγγενεῖ οὖσα καὶ ἀπεμένη αὐτοῦ. ἢ πρὸς μὲν τὸ πρῶτον δυνατὸν εἰπεῖν, ὅτι ὁ πρὸς τῇ γῇ ἀὴρ θολερὸς ὢν, ἐγγύς ἐστιν ὕδατος τὴν φύσιν, καὶ διὰ τοῦτο καὶ πρὸς τὴν γῆν ἐστι συγγενής. πρὸς δὲ τὸ δεύτερον, ὅτι καὶ τὸ ὕδωρ οὐ παντὶ τῷ ἀέρι συγγενές ἐστιν, ἀλλὰ τῷ πλησιάζοντι αὐτῷ μέρει. καὶ ἡ γῆ ὁμοίως τῷ ἐσχάτῳ καὶ γεώδει καὶ τοῦ ἀέρος καὶ τοῦ ὕδατος. καὶ διὰ τοῦτο οὔτε ὕδωρ ἐν τῷ μέσῳ τοῦ ἀέρος μένει, οὔτε βῶλος ἐν μέσῳ τοῦ ἀέρος ἢ τοῦ ὕδατος. ἀλλ' εἰ πάντα τοῦ ἀγαθοῦ καὶ τῆς ἑαυτῶν ὠφελείας ἐφίεται κατὰ φύσιν, πῶς σπεύδει πρὸς τὸ μεταβάλλον καὶ ἀλλοιοῦν αὐτὸ καὶ φθείρειν πεφυκός. τὰ γὰρ πλησιάζοντα ἀλλήλοις ἀμέσως μεταβάλλει εἰς ἄλληλα. μή ποτε οὖν οὐ μόνον ἀλλοιοῦσθαι πέφυκεν ὑπὸ τοῦ παρακειμένου καὶ μεταβάλλεσθαι εἰς αὐτό. ἀλλὰ καὶ ἀλλοιοῦν ἐκεῖνο καὶ εἰς ἑαυτὸ μεταβάλλειν. ἐφίεται οὖν τῆς ἑαυτοῦ προσαυξήσεως. ἀληθὲς δὲ λέγειν καὶ ὅτι οὐδὲ τὸ πλησιάζον διώκει ἕκαστον, ἀλλὰ τὴν ὁλότητα τὴν ἑαυτοῦ. καὶ ταύτης ἐφίεται ὡς ἐν ταύτῃ σωζόμενον. καὶ ταύτῃ καὶ ἐπὶ τὸν τοῦ ὅλου φέρεται τόπον ὅς τίς ποτέ ἐστιν. ἐπιστῆσαι δὲ ἄξιον ὅτι δύο παρῆκεν ἀλύτους ἀπορίας ὁ ἀριστοτέλης, τῶν πρὸς τὸν τόπον ἀπορηθεισῶν, τήν τε τρίτην καὶ τὴν τετάρτην. ὧν ἡ μὲν ἔλεγε τί γὰρ ἄν ποτε καὶ θείημεν εἶναι τὸν τόπον. οὔτε γὰρ στοιχεῖον οὔτε ἐκ στοιχείων οἷόν τε εἶναι. καὶ τὰ ἑξῆς. τὴν δὲ, ἔτι δὲ καὶ τίνος ἄν τις θείη τοῖς οὖσιν αἴτιον τὸν τόπον. καὶ τὰ ἑξῆς. καὶ πρὸς μὲν τὸ πρῶτον ῥητέον, ὅτι τὰ αὐτὰ ἄν τις καὶ περὶ πάσης ἐπιφανείας ἀπορήσειεν. οὔτε γὰρ ἀσώματον στοιχεῖον ἐστὶν ἐπειδὴ διέστηκεν, οὔτε σωματικὸν, ἐπειδὴ οὐ τριχῆ διαστατόν ἐστιν. ἀλλ' οὐδὲ ἐκ στοιχείων διὰ τὰς αὐτὰς αἰτίας, οὔτε γὰρ σῶμα ἐστὶ μὴ ὂν τριχῆ διαστατὸν, οὔτε πάντῃ ἀσώματον διεστώς. ἢ οὖν καὶ ἐπιφάνειαν πᾶσαν ἀναιρεῖν χρεὼν, διότι ὡς ἐπιφάνεια τῷ τόπῳ ἐπῆκται ταῦτα, ἢ οὐδὲ τόπον. εἰ δὲ καὶ τοιαύτη τίς ἐστι φύσις, ἥ τις διαστατὴ μέν ἐστιν, οὐ μέντοι ἐπὶ τρία, ὥς τε καὶ σῶμα εἶναι, τί κωλύει καὶ στοιχεῖον αὐτὴν εἶναι, ἤτοι μέρος τοῦ σώματος, καὶ ἐκ στοιχείων τοῦ τε διαστατοῦ καὶ τοῦ ἐπιπέδου, ἢ τοῦ μήκους καὶ τοῦ πλάτους. εἰ μὲν γὰρ τὸ ἀσώματον ἀπόφασιν ἐδήλου τοῦ διαστατοῦ, ἄτοπον καὶ ἀδύνατον ἦν τὸ μήτε σῶμα μήτε ἀσώματον εἶναι τὴν ἐπιφάνειαν. ἐπειδὴ δὲ τὸ μοναχῆ καὶ τὸ διχῆ διαστατὸν ἀσώματόν ἐστι, δυνατὸν εἶναί τι ὃ μήτε σῶμα ἐστὶ μήτε πάντῃ ἀδιάστατον. πρὸς δὲ τὴν ἀπὸ τῶν αἰτίων ἀπορίαν ῥητέον, ὅτι εἴπερ φυσικῶς ἐφίεται τὰ σώματα καὶ φέρεσθαι ἐπὶ τοὺς οἰκείους τόπους καὶ μένειν ἐν αὐτοῖς, τελικὸν ἂν εἴη αἴτιον ὁ τόπος, ὡς συνεκτικὸν καὶ τελεσιουργὸν καὶ περιποιητικὸν τῆς ἑκάστου τελειότητος. ἀτελῆ γάρ ἐστι τὰ ἐν ἀλλοτρίοις ὄντα τόποις τῆς οἰκείας ὁλότητος. διὸ καὶ αἱ κινήσεις αὐτῶν ἐπὶ τοὺς οἰκείους τόπους ἐπ' εὐθείας οὖσαι

ἀτελῶν εἰσιν. ὡς καὶ αὐτὸς Ἀριστοτέλης ἐν τῇ περὶ γενέσεως καὶ φθορᾶς ὡμολόγησεν. οὐδὲν γὰρ τῶν ἁπλῶν τέλειον ὂν ἐπ' εὐθείας κινεῖται. ἀλλ' ἢ μένει, ἢ κινεῖται κύκλῳ. οὕτω μὲν οὖν ὁ περὶ τόπον λόγος τῷ Ἀριστοτέλει διάκειται πολλὰς ἔχων ἀπορίας, καὶ πολλὰς εὐθύνας τοῖς μετ' αὐτὸν ὑποσχών. βούλομαι οὖν τάς τε πρὸς αὐτὸν ἐνστάσεις ἐκθέσθαι, καὶ τὴν αἰτίαν τοῦ παραλογισμοῦ τοῦ περὶ τὸν τόπον ἀποδεῖξαι. καὶ οὐδὲ οὕτω πέρας ἔχειν ὁ λόγος μοι δοκεῖ. καὶ γὰρ καὶ ἄλλαι γεγόνασι μετ' Ἀριστοτέλη περὶ τόπου δόξαι. ὧν τὴν ἐξέτασιν εἰ πρὸ αὐτοῦ ἐγεγόνεισαν, αὐτὸς ἂν ἡμῖν παρεδεδώκει. ὥστε ἄριστον αὐτῷ τὸ καὶ ἐκείνης ἐξετασθῆναι, καὶ τὴν διάστημα τὸν τόπον λέγουσαν ὑπόθεσιν βραχέως μὲν ὑπ' αὐτοῦ βασανισθεῖσαν, ἀρέσασαν δὲ τοῖς κλεινοτάτοις τῶν μετ' αὐτόν, δίκαιον οἶμαι πλείονος ἀξιῶσαι κατανοήσεως. εἰ δέ τι καὶ αὐτὸς δυναίμην συμβαλέσθαι τῇ διαρθρώσει τῶν περὶ τόπον ἐννοιῶν, ἀποδέξαιτο ἂν οἶμαι τὴν τόλμαν ὁ Ἀριστοτέλης, τὰς ἀρχὰς αὐτὸς παρασχών. ὥστε κἂν ἔξω που ὑπομνηματισμοῦ προϊέναι δόξω, τὸ χαλεπὸν καὶ πολυειδὲς τοῦ προβλήματος οἱ ἐντυγχάνοντες αἰτιάσθωσαν. ἰστέον οὖν ὅτι τῶν περὶ τόπου τι γραψάντων, οἱ μὲν, σῶμα τὸν τόπον, οἱ δὲ, ἀσώματον ὑπέθεντο. σῶμα μὲν, ὡς Πρόκλος ὁ ἐκ τῆς Λυκίας φιλόσοφος. τῶν δὲ ἀσώματον λεγόντων, οἱ μὲν πάντη ἀδιάστατον, οἱ δὲ διαστατὸν λέγουσι. καὶ τῶν πάντη ἀδιάστατον, οἱ μὲν, ὑποκείμενον τοῖς σώμασιν, ὡς ὁ Πλάτων τὴν ὕλην τόπον λέγων. οἱ δὲ τελεσιουργὸν τῶν σωμάτων, ὡς ὁ ἡμέτερος Δαμάσκιος. τῶν δὲ διαστατὸν λεγόντων, οἱ μὲν, ἐπὶ δύο διεστῶτα. ὡς ὁ Ἀριστοτέλης τε καὶ ὁ περίπατος ἅπας. καὶ τούτων οἱ μὲν, πάντη ἀδιάφορον καὶ ποτὲ καὶ ἄνευ σώματος μένον. ὡς οἱ περὶ Δημόκριτον καὶ Ἐπίκουρον. οἱ δὲ, διάστημα καὶ ἀεὶ σῶμα ἔχον, καὶ ἐπιτήδειον πρὸς ἕκαστον. ὡς οἱ κλεινοὶ τῶν Πλατωνικῶν, καὶ ὁ Λαμψακηνὸς Στράτων. ἀλλ' ἐν ὅσῳ πρόχειρον ἔχομεν τὸν Ἀριστοτέλη, τὴν μνήμην ἐκείνων πρῶτον ἐπισκεψώμεθα. πρῶτον δὴ τούτοις ἐπιστήσοι ἄν τις, οἷς ὁμόσε κεχώρηκεν ὁ Ἀριστοτέλης, τῷ τε μὴ κινεῖσθαι κατὰ τόπον τὸν οὐρανὸν, καὶ τῷ μὴ εἶναι μήτε αὐτὸν μήτε τὸ πᾶν ἐν τόπῳ. καὶ ἔτι μέντοι οὐ τὴν ἀπλανῆ μόνον ἀκίνητον κατὰ τόπον φησὶ, καὶ μὴ εἶναι ἐν τόπῳ, ὡς οἱ ἐξηγηταὶ λέγουσι συστέλλειν τὴν ἀτοπίαν ἡγούμενοι, ἀλλὰ ὅλον τὸν οὐρανόν. ὥστε ὡς ἓν αὐτὸν ἐθεάσατο. ὅτι γὰρ καὶ κινεῖσθαι κατὰ τόπον, καὶ εἶναι ἐν τόπῳ μόνα τὰ κατ' εὐθεῖαν κινούμενα νομίζει, πολλαχόθεν μὲν ἄν τις πιστώσαιτο. ἵνα δὲ μὴ πολλὰ γράφω, ἀρκεῖ μίαν ἢ δύο παραθέσθαι ῥήσεις.

» ἔστι δὲ τόπος οὐχ ὁ οὐρανός. ἀλλὰ τοῦ οὐρανοῦ τι τὸ ἔσχατον καὶ ἁπτόμενον
» τοῦ κινητοῦ σώματος. καὶ διὰ τοῦτο ἡ μὲν γῆ ἐν τῷ ὕδατι τοῦτο δὲ ἐν ἀέρι. ὁ δὲ ἀὴρ ἐν τῷ αἰθέρι. ὁ δὲ αἰθὴρ
» ἐν τῷ οὐρανῷ. ὁ δὲ οὐρανὸς οὐκέτι ἐν ἄλλῳ.

τὸν γὰρ Ἀλέξανδρον παραιτητέον, παραλελεῖφθαι μὲν τὸ πῦρ ἐνταῦθα λέγοντα, αἰθέρα δὲ τὸ πλανώμενον καλεῖσθαι. καὶ πρὸ τούτου δὲ, λέγω δέ φησι τὸ περιεχόμενον σῶμα τὸ κινητὸν κατὰ φοράν. περιεχόμενον δὲ λέγει τὸ ἐν τόπῳ. εἰ οὖν τὸ περιεχόμενον σῶμα κινητὸν κατὰ φορὰν τοῦτό ἐστιν ἐν τόπῳ, τὸ κατὰ φορὰν ἢ ἄλλο ἐστὶ τῆς κατὰ περιφοράν, καὶ δηλοῖ τὴν ἐπ' εὐθείας κίνησιν; ὡς καὶ οἱ ἐξηγηταὶ ὁμολογοῦσι. καὶ εἴη ἂν ἐν τόπῳ τὰ ἐπ' εὐθείας κινητά. οἷς καὶ τὸ κινητὸν πρέπει, διὰ τὸ μὴ ἀεὶ κινεῖσθαι ὥσπερ τὰ κυκλοφορούμενα, ἀλλ' ἔχειν τὸ δυνάμει. ἢ εἴ τις ἐκ τῶν ἐν τῷ τελευταίῳ βιβλίῳ τῆσδε τῆς πραγματείας, καὶ ἐκ τῶν περὶ οὐρανοῦ, τὴν φορὰν εἰς ταὐτὸν ἄγει τῇ κατὰ τόπον κινήσει, ὥστε καὶ τὰ κυκλοφορούμενα φέρεσθαι λέγειν, δηλονότι καὶ τὴν ἀπλανῆ καὶ τὸν ὅλον οὐρανὸν ἐν τόπῳ εἶναι ὁμολογήσει. ὅπερ σαφῶς ὁ Ἀριστοτέλης ἀπαγορεύει, διὰ τὸ μηδὲν ἔχειν ἔξωθεν τὸ περιέχον. ἀλλ' ἐν οἷς μὲν τὴν φορὰν ἀντιδιαιρεῖ τῇ κύκλῳ κινήσει, εἴρηται πρότερον. ἐν οἷς δὲ αὐτὴν ὡς κοινὸν γένος τῆς κατὰ τόπον κινήσεως λαμβάνει, ἔστι τάδε.

» τριῶν γὰρ οὐσῶν κινήσεων, τῆς τε κατὰ μέγεθος, καὶ τῆς κατὰ πάθος, καὶ τῆς
» κατὰ τόπον, ἣν καλοῦμεν φοράν.

καὶ διαιρεῖ λοιπὸν τὴν φορὰν λέγων, πᾶν μὲν γὰρ κινεῖται τὸ φερόμενον, ἢ εὐθεῖαν, ἢ κύκλῳ, ἢ μικτήν. ὥστε ἐκ τούτων καὶ ἐκεῖνο δῆλον σαφῶς γίνεται. ὅτι καὶ κατ' αὐτὸν ἡ κύκλῳ κίνησις, κατὰ τόπον κίνησις ἐστί. τὰ δὲ κατὰ τόπον κινούμενα, καὶ ἐν τόπῳ ἐστίν. ὥστε ἐκ τούτων καὶ ὁ πᾶς οὐρανὸς καὶ ἡ ἀπλανὴς ἐν τόπῳ ἐστί. πῶς οὖν ἐν τοῖς περὶ τόπου λόγοις καὶ τὴν ἀπλανῆ καὶ τὸν ὅλον οὐρανὸν, καὶ πάντα δὲ τὰ ὁριζόμενα κατὰ τὴν ἀπλανῆ, μὴ εἶναι ἐν τόπῳ φησί. καὶ τὴν αἰτίαν κοινὴν τούτων προσέθηκε λέγων, ᾧ μὲν οὖν σώματί ἐστί τι ἐκτὸς περιέχον αὐτὸ, τοῦτό ἐστιν ἐν τόπῳ. ᾧ δὲ μὴ, οὔ. καὶ τοῦτο εἰκότως εἴπερ τὸ πέρας τοῦ περιέχοντος ἐστὶν ὁ τόπος. καὶ ὅ γε Ἀλέξανδρος τούτοις μᾶλλον ἐνδοὺς, οὐ προσεποιήσατο τὰ πρότερον εἰρημένα, τὴν κύκλῳ κίνησιν λέγων μὴ εἶναι τοπικὴν, διὰ τὸ μὴ μεταβαίνειν ὅλον. γράφει οὖν ταῦτα διαῤῥήδην. καὶ γὰρ εἰ ἔστιν αὐτῷ κίνησις, ἀλλ' οὐ τοπική γε αὕτη. οὐ γὰρ ἀλλάσσει τόπον τῷ μὴ περιέχεσθαι. ἀλλ' ὅτι μὲν καὶ τὸ κυκλοφορούμενον φέρεται, δῆλον. καὶ ὅτι τὸ φερόμενον κινεῖται, ἀλλ' εἰ μὲν κατὰ τόπον ὡς ἡ προειρημένη ῥῆσις ἔλεγε, δηλονότι καὶ ἐν τόπῳ ἐστί. τὸ γὰρ κατὰ τόπον κινούμενον καὶ ἐν τόπῳ ἐστὶ, καὶ ὑπ' αὐτῶν εἶναι ὁμολογεῖται. εἴπερ ἀπὸ τῆς κατὰ τόπον κινήσεως μάλιστα ὁ τόπος εὑρέθη. εἰ δὲ λέγουσι μὴ κατὰ τόπον κινεῖσθαι, λεγέτωσαν ποῖον εἶδος κινήσεως ἐστὶν ἡ μεταβολὴ ἡ κυκλοφορία. οὔτε γὰρ κατ' οὐσίαν, οὔτε κατὰ ποσὸν, οὔτε κατὰ ποιόν. σαφέστατα δὲ ὁ Ἀ-

ριστοτέλης

ἀριστοτέλης τὴν κύκλῳ κίνησιν κατὰ τόπον φησὶν ἐν τῇ περὶ οὐρανοῦ. λέγων, πᾶσα δὲ κίνησις ἡ κατὰ τόπον, ἣν καλοῦμεν φορὰν, ἢ εὐθεῖα, ἢ κύκλῳ, ἢ ἐκ τούτων μικτή. οὐδὲν δὲ ἧττον σαφῶς τῆς κατὰ τόπον κινήσεως τοῖς ἀϊδίοις σώμασι μεταδίδωσι λέγων, τοῖς γὰρ ἀϊδίοις μόνον ἐνδέχεται κινεῖσθαι τὴν κατὰ τόπον κίνησιν. καὶ τὴν αἰτίαν ἐν ἄλλοις προστιθεὶς, ἥκιστα γάρ φησι τῆς οὐσίας ἐξίσταται τὸ κινούμενον τὴν κατὰ φορὰν κίνησιν. κατὰ μόνην γὰρ οὐδὲν μεταβάλλει τοῦ εἶναι, ὥσπερ ἀλλοιουμένου μὲν τὸ ποιὸν, αὐξομένου δὲ καὶ φθίνοντος τὸ ποσόν. ἐκ τούτων οὖν δῆλον φαίη τις ἂν, ὅτι οὔτε ἀληθῶς οὔτε συμφώνως ἑαυτῷ δοκεῖ μόνα τὰ ἐπ' εὐθείας κινούμενα, κατὰ τόπον κινεῖσθαι καὶ ἐν τόπῳ εἶναι λέγειν. ἀλλὰ τὸ ἀκόλουθον τῷ τοιούτῳ ὁρισμῷ τοῦ τόπου φυλάττων, κἂν ὁτιοῦν δέῃ συγκινδυνεύειν αὐτῷ. πῶς δὲ εἰπὼν οὐκ ἂν ἐζητεῖτο ὁ τόπος, εἰ μὴ κίνησις ἦν ἡ κατὰ τόπον, ἐπάγει διὰ γὰρ τοῦτο καὶ τὸν οὐρανὸν μάλιστα ἐν τόπῳ οἰόμεθα, ὅτι ἀεὶ ἐν κινήσει, καὶ ὅμως οὕτω σαφῶς ἀπαγορεύει τὸ εἶναι τὸν οὐρανὸν ἐν τόπῳ, λέγων, ὁ δὲ οὐρανὸς ὥσπερ εἴρηται οὔ που ὅλως οὐδὲ ἔστιν ἔν τινι τόπῳ, εἴπερ αὐτὸν μηδὲν περιέχει σῶμα. πῶς δὲ ἐν τόπῳ λέγει τὸ κινητὸν κατὰ φοράν. τὸ γὰρ ἐν τόπῳ ὂν οὐ πάντως κινεῖται κατὰ τόπον. πολλὰ γὰρ καὶ μένει κατὰ τόπον. καὶ γὰρ καὶ ἡ γῆ ὡς αὐτός φησιν ἐν τῷ ὕδατι οὖσα, ὡς ἐν τόπῳ μένει ὅμως. ὡς καὶ τοῦτο αὐτὸς ἐδήλωσε, τὴν τῆς μονῆς διαφορὰν τοῦ ἄνω καὶ τοῦ κάτω παραδιδοὺς, τὸ μὲν γὰρ ἀεὶ μένει, τὴν ἐν τῷ αὐτῷ τόπῳ μονὴν ἢ τὸ ἀκίνητον αὐτῆς λέγων, τοῦ δὲ κύκλου τὸ ἔσχατον ὡσαύτως ἔχον μένει, τὴν κατ' οὐσίαν ἐπὶ τούτου μονὴν θεωρῶν. ἔτι δὲ εἰ τὰ ἐν τῷ κινουμένῳ ὡς ἐν ἀγγείῳ μᾶλλον ἐστὶν ἢ ὡς ἐν τόπῳ, ὡς αὐτὸς δηλοῖ λέγων, διὸ ὅταν μὲν ἐν κινουμένῳ κινῆται καὶ μεταβάλλῃ τὸ ἐντὸς, οἷον ἐν ποταμῷ πλοῖον, ὡς ἀγγείῳ χρῆται μᾶλλον ἢ τόπῳ, καὶ τὸ πλανώμενον ὡς ἐν ἀγγείῳ ἂν εἴη τῇ ἀπλανεῖ. καὶ ἑκάστη σφαῖρα τῶν πλανωμένων ἐν τῇ περιεχούσῃ. καὶ μέντοι τὸ ὑπὸ σελήνην πᾶν τὸ κινητὸν κατὰ φορὰν, ὅπερ κυρίως ἐν τόπῳ λέγει, καὶ τοῦτο ἐν τῷ ἐσχάτῳ τοῦ οὐρανοῦ, τουτέστι τῇ κοίλῃ ἐπιφανείᾳ τῆς σεληνιακῆς σφαίρας ὂν, ὡς ἐν ἀγγείῳ ἂν εἴη. κινεῖται γὰρ καὶ ἡ σεληνιακὴ σφαῖρα. ποῦ οὖν ὁ τόπος, καὶ τίνα τὰ ἐν τόπῳ κυρίως. καὶ γὰρ ὁ ἀὴρ κινεῖται καὶ τὸ ὕδωρ, καὶ οὐδ' ἐν τούτοις ἂν εἴη ὁ τόπος. ὁπότε καὶ τὰ μόρια καὶ σώματα περιρρεῖται ὡς ἐπίπαν ὑπὸ ἀέρος καὶ ὕδατος. ἰστέον δὲ ὅτι καὶ ὁ θεόφραστος ἐν τοῖς φυσικοῖς ἀπορεῖ πρὸς τὸν ἀποδοθέντα λόγον τοῦ τόπου ὑπὸ τοῦ ἀριστοτέλους, τοιαῦτα ὅτι τὸ σῶμα ἔσται ἐν ἐπιφανείᾳ. ὅτι κινούμενος ἔσται ὁ τόπος. ὅτι οὐ πᾶν σῶμα ἐν τόπῳ, οὐδὲ γὰρ ἡ ἀπλανής. ὅτι ἐὰν συναχθῶσιν αἱ σφαῖραι, καὶ ὅλος ὁ οὐρανὸς οὐκ ἔσται ἐν τόπῳ. ὅτι τὰ ἐν τόπῳ ὄντα μηδὲν αὐτὰ μετακινηθέντα, ἐὰν ἀφαιρεθῇ τὰ περιέχοντα αὐτὰ οὐκέτι ἔσται ἐν τόπῳ. ἀλλ' ἴδωμεν, εἰ καὶ τοῖς προληφθεῖσι περὶ τοῦ τόπου ἀξιώμασι, σύμφωνος ἐστὶν ὁ ἀποδοθεὶς τοῦ τόπου ὁρισμός. περιέχειν πάντες φαμὲν τὰ ἐν ἑαυτῷ τὸν τόπον. καὶ δῆλον ὅτι οὐχ ὡς ἴδιον ἀποδίδοται τοῦτο τοῦ τόπου, ἀλλὰ καθόσον καὶ τὰ ἐν τόπῳ ἔν τινι ἐστί. πᾶν γὰρ τὸ ἔν τινι περιέχεσθαι φαμὲν ὑπ' ἐκείνου τοῦ ἐν ᾧ ἐστι. κατὰ ποῖον οὖν σημαινόμενον περιοχῆς περιέχειν λέγομεν τὸν τόπον. ἆρα καθόσον ὅλος δι' ὅλου χωρεῖ τοῦ περιεχομένου, ἢ καθόσον ἔξωθεν αὐτὸ περικαλύπτει. ἀλλ' εἰ μὲν δι' ὅλου χωρεῖ, πῶς ἂν τὸ πέρας εἴη τοῦ περιέχοντος. εἰ δὲ ὡς περικαλύπτων ἔξωθεν, οὕτω γε καὶ τὸ ἱμάτιον τόπος ἂν εἴη. ὅπερ οὐδεὶς οὐδὲ τῶν μεταφοραῖς χρωμένων λέγειν ἠξίωσεν. ἔτι δὲ τὸ οὕτως περιέχον ὡς τὸ πέρας τοῦ ἔξωθεν, ἢ τὸ ὅλον περιέχει ἢ τὴν ἐπιφάνειαν. ἀλλ' ὅλον οὐ δυνατόν. δεῖ γὰρ τὸ περιέχον ἢ μεῖζον ἢ ἴσον εἶναι τοῦ περιεχομένου. τὸ δὲ πέρας τοῦ περιέχοντος ἴσον ἐστὶ τῇ τοῦ περιεχομένου ἐπιφανείᾳ. αὕτη δὲ οὐκ ἦν ὅλον τὸ περιεχόμενον. ἀλλ' οὐδ' ἐπιφάνειά ἐστιν ἐν τόπῳ ὡς αὐτὸς ὁμολογεῖ. εἴπερ ἐν τόπῳ μέν ἐστι τὸ καθ' αὑτὸ ἀπολελυμένον, ἢ κινούμενον καθ' αὑτὸ ὥς φησιν. ἡ δὲ ἐπιφάνεια πέρας ἐστὶ τοῦ ἐν τόπῳ σώματος. ἀλλ' οἰήσεταί τις ἴσως κατὰ τὴν ἐπιφάνειαν τὸ ὅλον ἐν τόπῳ εἶναι. οὐ μέντοι οὐδὲ τοῦτο δυνατόν. εἰ γάρ τι κατὰ μέρος αὐτοῦ πάσχει τι ἢ ποιεῖ, δεῖ τὸ μέρος προηγουμένως τοῦτο πάσχειν ἢ ποιεῖν. οἷον εἴ τις κατὰ τὸν πόδα λακτίζει, δεῖ τὸν πόδα προηγουμένως τοῦτο ποιεῖν. καὶ εἴ τις κατὰ τὴν ἐπιφάνειαν λευκαίνεται, δεῖ προηγουμένως τοῦτο πάσχειν τὴν ἐπιφάνειαν. τὸ δὲ δεύτερον τῶν ἀξιωμάτων ἦν. τὸ ἴσον εἶναι τὸν τόπον τῷ ἐν τόπῳ. πῶς δὲ δυνατὸν ἐπιφάνειαν εἶναι σώματι ἴσην. οὕτω γὰρ ἂν καὶ γραμμὴ ἐπιφανείᾳ. καὶ σημεῖον γραμμῇ. ὥς τε καὶ σημεῖον σώματι. οὗ τί ἂν ἀτοπώτερον εἴη. ὅτι γὰρ τὸ σῶμα βούλεται εἶναι ἐν τόπῳ, δῆλον ἐκ τούτου, τὸ λέγειν ἐν τόπῳ τὸ κινητὸν κατὰ φορὰν, κινεῖται δὲ οὐχ ἡ ἐπιφάνεια κατ' αὐτὴν, ἀλλὰ τὸ σῶμα. ἀλλ' ἔοικεν ὡς περιοχὴ κατά τινα ληφθεῖσα τρόπον τὸν τῆς περικαλύψεως, ἀλλ' οὐ τὸν τῆς δι' ὅλου χωρήσεως, καὶ τὴν τῆς ἰσότητος ἔννοιαν κατ' ἐκείνην λαβεῖν. ἔτι δέ φησι τόπου διαφορὰς ἀξιοῦμεν εἶναι τὸ ἄνω καὶ τὸ κάτω. ὥσπερ οὖν ἔστι τι τὸ ἀνωτάτω, μεθ' ὃ οὔτε τόπος ἔστι τις οὔτε ἐν τόπῳ, οὕτως εἶναι δεῖ καὶ τὸ κατωτάτω. εἰ οὖν τὸ ἀνωτάτω τὸ πέρας ἐστὶν, εἴτε κατὰ τὸ κυρτὸν τὸ τῆς ἀπλανοῦς, εἴτε κατὰ τὸ τοῦ αἰθέρος, εἴπερ μόνον τὸ ὑπὸ σελήνην ἐστὶν ἐν τόπῳ, καὶ τὸ κατωτάτω ἂν εἴη τὸ μέσον τοῦ παντός. τοῦτο δέ ἐστι τὸ κέντρον καὶ τὰ τούτῳ πλησιάζοντα. οὐκ ἄρα ὁ τῆς γῆς τόπος κατωτάτω ὢν, τὸ πέρας ἐστὶ τοῦ ὕδατος ἢ τοῦ ἀέρος, ὡς ἐδήλου λέγων, καὶ διὰ τοῦτο

ἡ μὲν γῆ ἐν τῷ ὕδατι, τοῦτο δὲ ἐν τῷ ἀέρι, ὁ δὲ ἀὴρ ἐν τῷ αἰθέρι. εἰ δέ τις λέγει διττὸν εἶναι τὸ κάτω,
καὶ διττὸν τὸ ἄνω, τὸ μὲν, ὡς τὸν τόπον, τὸ δὲ, ὡς τὸ ἐν τόπῳ, ὥσπερ καὶ αὐτὸς ἐδήλωσεν, ἐν οἷς
φησὶ τὸ μὲν πρὸς τὸ μέσον περιέχον πέρας κάτω ἐστὶ, καὶ αὐτὸ τὸ μέσον, τὸ δὲ πρὸς τὸ ἔσχατον ἄνω,
καὶ αὐτὸ τὸ ἔσχατον, ἐπειδὴ καὶ αὐτὸς ὁμολογεῖ καὶ ἐν ταύτῃ τῇ πραγματείᾳ καὶ ἐν τῇ περὶ οὐρα-
νοῦ, τὸ μὲν μέσον εἶναι τὸ κάτω, τὸ δὲ πέριξ τὸ ἄνω, καὶ σφαιρικοῦ τοῦ παντὸς ὄντος, δηλονότι ὡς τὸ
κάτω τὸ κέντρον ἐστὶν, οὕτω τὸ ἄνω τὰ πέρατα, τῶν ἀπὸ τοῦ κέντρου ἐκβαλλομένων εὐθειῶν τί ἂν εἴη
τὸ κέντρον. οὔτε γὰρ τόπος ἐστὶν, εἴπερ ἐπιφάνεια ὁ τόπος καὶ περιοχὴ καὶ ἴσος τῷ ἐν τόπῳ, οὔτε ἐν
τόπῳ, εἰ τὸ ἐν τόπῳ ἐπιφάνειαν ἔχει καὶ κινητόν ἐστι κατὰ φοράν. ἀλλ' οὐδὲ ὁ ἄνω τόπος ἡ κοίλη τῆς
σελήνης ἐστὶν ἐπιφάνεια. οὐδὲ ἡ τῆς ἀπλανοῦς κοίλη. ἀλλ' εἰ ἄρα, ἡ κυρτή. εἰς ταύτην γὰρ τελευτᾷ τὰ
ἔσχατα τῶν ἐκ τοῦ κέντρου. ἔτι δὲ εἰ ἡ σεληνιακὴ σφαῖρα κύκλῳ κινεῖται, συγκινεῖται δὲ αὐτῇ καὶ
τὸ ὑπέκκαυμα κύκλῳ, ὡς ἐν τοῖς μετεωρολογικοῖς ὁμολογεῖ, τὸ ἄνω τοῦτο κατὰ τὸν αὐτοῦ διορισμὸν
οὐκέτι τόπου διαφορὰ, ἀλλὰ ἀγγείου ὡς αὐτὸς διώρισεν. ὅταν γὰρ ἐν κινουμένῳ φησὶ κινῆται καὶ
μεταβάλλῃ τὸ ἐντὸς, οἷον ὡς ἐν ποταμῷ πλοῖον, ὡς ἀγγείῳ χρῆται μᾶλλον ἢ τόπῳ τῷ περιέχοντι.
βούλεται γάρ φησιν ὁ τόπος ἀκίνητος εἶναι. διὸ καὶ ὁριζόμενος αὐτὸν φησὶ, τὸ τοῦ περιέχοντος ἀκί-
νητον πρῶτον, τοῦτό ἐστιν ὁ τόπος. εἰ οὖν μὴ ἔστι τὸ ὑπ' αὐτοῦ λεγόμενον ἄνω τόπου διαφορὰ, ἀλλ' ἀγγείου,
δηλονότι οὐδὲ τὸ κάτω. τὸ δὴ τελευταῖον ἔλεγεν ἀξίωμα φέρεσθαι φύσει, καὶ μένειν ἐν τοῖς οἰκείοις
τόποις ἕκαστον τῶν σωμάτων, τοῦτο δὲ ποιεῖν ἢ ἄνω ἢ κάτω. ὥστε εἰ κάτω φέρεται ἡ γῆ, κάτω δὲ τὸ
κέντρον, οὐκ ἐπὶ τὸ πέρας τοῦ ὕδατος ἢ τοῦ ἀέρος, ἀλλ' ἐπὶ τὸ κέντρον οἰσθήσεται, τοῦτο ἄρα ὁ τόπος
τῆς γῆς. καὶ φέρεταί γε οὕτως. τὰ γὰρ βάρη πρὸς ὀρθὰς πανταχόθεν καταφέρεται. τοῦτο δὲ οὐκ
ἂν συμβαίη σφαιρικῆς τῆς γῆς οὔσης, εἰ μὴ πρὸς τὸ κέντρον πάντων ἡ ῥοπὴ γίνοιτο. τὸ δὲ κέντρον οὐκέτι
πέρας τοῦ περιέχοντος σώματος ἀμερὲς ὄν. ἔτι δὲ καὶ αὐτὸς φησὶ τὸν αὐτὸν τόπον τοῦ ὅλου εἶναι καὶ
τοῦ μέρους. ἐν δὲ τῇ περὶ τοῦ οὐρανοῦ τὴν αἰτίαν ζητῶν τῆς ἐν μέσῳ μονῆς τῆς γῆς, οὐ τὸ πέρας τοῦ
ἀέρος ἀλλὰ τὸ μέσον ἠτιάσατο λέγων, ὥστε κἂν εἰ νῦν ἀφεθείη ἐκεῖ φέρεσθαι. καὶ ἐν τῷ τετάρτῳ δὲ
ταύτης τῆς πραγματείας, ἐν οἷς τὸν ἀναξαγόραν αἰτιᾶται, ὅτι στηρίζει αὐτὸ ἐν ἑαυτῷ λέγει τὸ
ἄπειρον, τὸ δὲ βαρὺ φησὶ μένει ἐπὶ τοῦ μέσου, ἡ δὲ γῆ ἐπὶ τοῦ μέσου. εἰ οὖν καὶ φέρεται τὸ φερόμενον
εἰς τὸν οἰκεῖον τόπον καὶ μένει ἐν αὐτῷ, δηλονότι τὸ μέσον ἂν εἴη ὁ τῆς γῆς τόπος. ἔτι δὲ εἰ πᾶν σῶμα
φύσει φέρεται καὶ μένει ἐν τῷ οἰκείῳ τόπῳ, ὡς τοῦ κατὰ φύσιν τευξόμενον, σωτήριον δὲ ἐστὶν ἑκά-
στου τὸ κατὰ φύσιν, πῶς τὸ ὕδωρ ἐπὶ τὸ πέρας τοῦ ἀέρος φέρεται. ὡς γὰρ καὶ αὐτὸς ὁμολογεῖ τὸ
ἔλαττον ὕδωρ ὑπὸ τοῦ πλείονος ἀέρος κρατεῖται καὶ μεταβάλλεται. τίνι οὖν ἐλπίδι φέρεται
τὸ ὕδωρ ἐπὶ τὸ φθεῖρον. ἀλλ' ἐπιπολάζειν τῇ γῇ βούλεται καὶ στηρίζεσθαι ὑπ' αὐτῆς. διὸ κἂν ἀφέ-
λῃς τὴν ὑποκειμένην γῆν, φέρεται πάλιν ἕως ἂν ἄλλην καταλάβῃ γῆν, καὶ τοῦ περιέχοντος ἀέρος
ἀφίσταται, καὶ τοῦ πέρατος αὐτοῦ ὡς οὐκ ὄντος οἰκείου τόπου. ἔτι δὲ εἰ τὸ πέρας τοῦ ἀέρος τόπος
ἦν τοῦ ὕδατος ἢ τῆς γῆς, τὸ ἐν τῷ ἀέρι ὕδωρ καὶ ἡ βῶλος πανταχόθεν ὑπὸ ἀέρος περιεχόμενα καὶ
κατέχοντα τὸν οἰκεῖον τόπον, οὐκ ἂν ἐκινήθη. εἰ δὲ ὅτι τὴν ὁλότητα καταλαβὸν ἀπαθέστερον
ἔσται, τῆς ὁλότητος ἐφίεται τῆς οἰκείας καὶ οὐ τοῦ τόπου. ἔτι δὲ εἰ οἰκεῖοι τοῖς σώμασιν οἱ τόποι,
πῶς τοῦ αὐτοῦ σώματος ἀνομοιομερεῖς εἰσιν οἱ τόποι. εἰ γάρ τις ἐν ποταμῷ ἑστὼς ὑπερανέχοι τοῦ ὕ-
δατος, κατὰ τὰ ἄνω μέρη τοῦ σώματος, ἔσται τοῦ αὐτοῦ τόπος καὶ τὸ τῆς γῆς πέρας ἐφ' ἣ βέβηκε,
καὶ τὸ τοῦ ὕδατος, καὶ τὸ τοῦ ἀέρος, τὸ μὲν, τὰ κάτω περιέχον τοῦ σώματος, τὸ δὲ τὰ ἄνω. ἀλλὰ μὴν
καὶ τὸ ἀκίνητον εἶναι τὸν τόπον, ὁ μὲν θεόφραστος καὶ εὔδημος ὡς ἀξίωμα καὶ αὐτὸ προσλαμβάνου-
σιν. ὁ δὲ ἀριστοτέλης τῷ ὁρισμῷ προστίθησι λέγων, ὥστε τὸ τοῦ περιέχοντος πέρας πρῶτον ἀκίνητον
τοῦτ' ἐστὶν ὁ τόπος. τὸ μέντοι ἐν τόπῳ πᾶν κινητὸν εἶναι φησὶ κατὰ τόπον. νῦν δὲ πᾶν τοὐναντίον ὁρᾶ-
ται, εἰ τὸ πέρας ἐστὶ τοῦ περιέχοντος ὁ τόπος. ἡ μὲν γὰρ γῆ μένει καὶ τὸ ὕδωρ. τὸ δὲ πέρας τοῦ πε-
ριέχοντος αὐτὰ ἀέρος κινεῖται. ἔτι δὲ εἰ ἀκίνητον εἶναι χρὴ τὸν τόπον, ἢ οὐκ ἀληθῶς φησὶν ὅτι τόπος
ἐστὶ τὸ τοῦ οὐρανοῦ ἔσχατον, καὶ ἁπτόμενον τοῦ κινητοῦ σώματος. ἢ εἰ τοῦτο ἀληθὲς, ἀκίνητον εἶναι χρὴ
τὸν οὐρανὸν, ἵνα ᾖ καὶ τὸ πέρας αὐτοῦ ἀκίνητον, οὐ γὰρ δὴ αὐτοῦ κινουμένου, τὸ πέρας αὐτοῦ ἔσται
ἀκίνητον. δῆλον δὲ ὅτι καὶ αὐτὸς κινεῖσθαι κύκλῳ βούλεται τὸν οὐρανόν. καὶ ἡ ἐνάργεια τοῦτο μαρ-
τυρεῖ. ὥστε ἢ τὸ ἀξίωμα σαλεύειν ἀνάγκη, τὸ λέγον ἀκίνητον εἶναι τὸν τόπον, ἢ μὴ λέγειν τόπον ἁ-
πλῶς τὸ πέρας τοῦ περιέχοντος. ἔτι δὲ οὐ μόνον κατὰ τόπον ἀκίνητον εἶναι βούλεται τὸν τόπον ἡ
ἔννοια ἡμῶν, ἀλλὰ καὶ κατ' οὐσίαν διαρκέστερον. τοιγαροῦν καὶ αὐτὸς ἀπὸ τοῦ μονίμου τὸ ἄνω καὶ κά-
τω χαρακτηρίζων, τὸ μὲν κάτω φησὶν ἀεὶ μένει, τοῦ δὲ κύκλου τὸ ἔσχατον ὡσαύτως ἔχον μένει. εἰ
οὖν καὶ τῇ οὐσίᾳ μονιμώτερον εἶναι χρὴ τὸν τόπον, πῶς ἂν εἴη τὸ πέρας τοῦ ἀέρος τόπος τῆς γῆς.
εὐμετάβολος γὰρ μᾶλλον ὁ ἀὴρ τῆς γῆς ἐστι. χρὴ δὲ καὶ τοῦτο ἐφιστάνειν οἶμαι, ὅτι ὁ τὸν τόπον οὕτως
ἀπολογιζόμενος, οὐ μόνον τὸν οὐρανὸν ὀφείλει μὴ εἶναι ἐν τόπῳ, μὴ δὲ κινεῖσθαι κατὰ τόπον, ἀλλὰ καὶ
τὰς ὑπὸ σελήνην ὁλότητας. καὶ γὰρ ὅτι μὲν καθ' αὑτὸ οὐκ ἔσται ἐν τόπῳ κατ' αὐτὸν, δῆλον

ὥσπερ καθ' αὑτὸ ἐν τόπῳ ἐστὶ τὸ κινητὸν κατὰ φοράν. τοῦτο δέ ἐστι τὸ μεταβαῖνον τόπον ἐκ τόπου. ὅτι
δὲ οὐ κατὰ συμβεβηκὸς ἔσται ἐν τόπῳ, δῆλον ἐντεῦθεν. εἰ γὰρ διότι τὰ μέρη αὐτῶν κινεῖται, τὰ δὲ
ὅλα ἐν τοῖς μέρεσιν, ὅρα τὸ συμβαῖνον. ἐκεῖνα τῶν μερῶν κινεῖται κατὰ τόπον, καὶ ἔστιν ἐν τόπῳ
καθ' αὑτά, ὅσα ἀπεσπασμένα καὶ διῃρημένα τοῦ ὅλου ἐστίν. ἐν δὲ τοῖς τοιούτοις οὐκ ἔστι τὸ ὅλον. πολ-
λὰ μὲν οὖν καὶ ἄλλα ἐπάγειν ἐστὶ τῷ λόγῳ. ὃ δὲ μάλιστα εἰς διάρθρωσιν τῶν περὶ τόπου δογμάτων
συντελεῖ, τοῦτό ἐστιν οἶμαι, τὸ τὰς κυριωτάτας ἀρχὰς ἀνευρεῖν. ἀφ' ὧν τοιοῦτος συναχθεὶς ὁ τόπος.
τοσοῦτον ἀνέχεται τῶν ἐνστάσεων. πρῶτον μὲν οὖν οἶμαι τὴν τῆς περιοχῆς τοῦ τόπου ἔννοιαν αἰτίαν
γενέσθαι. δεύτερον δὲ τὴν λῆψιν τοῦ καθ' αὑτὸ κινουμένου κατὰ τόπον. κοινῆς γὰρ οὔσης τῆς ἐννοίας
τοῦ τόπου, ὅτι περιεκτικός ἐστι τοῦ ἐν τόπῳ ὁ τόπος, καὶ τῆς περιοχῆς πολλαχῶς λαμβανομένης,
καὶ γὰρ πᾶν τὸ ἔν τινι περιέχεσθαι δοκεῖ ὑπ' ἐκείνου τοῦ ἐν ᾧ ἐστιν, αὐτὸς περιοχὴν ἐκείνην τὴν δι'
περικάλυψιν ἐξεδέξατο. καθ' ἣν ὡς εἶπον καὶ πρότερον καὶ τὸ ἱμάτιον ἂν εἴη τόπος, οὐ τοῦ ὅλου καθ'
αὑτὸ περιεχομένου, ἀλλὰ τοῦ ὅλου κατὰ τὴν ἐπιφάνειαν, ὡς κατὰ ταύτην ὁριζομένου τοῦ ὅλου. ὅτι
γὰρ τοιαύτην εἶχεν ἔννοιαν, δηλοῖ καὶ τὸν οὐρανὸν τὸ πᾶν ἴσως εἶναι λέγων, διὰ τὸ ἐξωτάτω πάν-
των εἶναι καὶ πάντα κατὰ τοῦτον περιέχειν τὸν τρόπον. ὅλον οὖν τὸ περιεχόμενον ὑποθέμενος εἶναι
κατὰ τὴν ἀφορίζουσαν τὸν ὄγκον ἐπιφάνειαν, περιεκτικὸν ὅλου τοῦ σώματος ἔφατο τὸ τοῦ πε-
ριέχοντος πέρας. καίτοι χώρα τις ὁ τόπος εἶναι δοκεῖ, καὶ ὑποδοχὴ τοῦ ὅλου, ἀλλ' οὐχὶ περικάλυ-
ψις. πρὸς δὲ τὴν τοιαύτην ἔννοιαν πολύ τι οἶμαι συνετέλεσε, τὸ τὰ μέρη δοκεῖν μὴ καθ' αὑτὰ εἶναι ἐν
τόπῳ ἀλλὰ κατὰ τὴν ὁλότητα. εἰ μὴ ἄρα καὶ τούτου ἡ τῆς περιοχῆς λῆψις αἰτία γέγονεν. εἰ γὰρ εἶχε
καὶ αὐτὰ τόπον, καὶ δι' αὐτῶν ἀεὶ ὁ τόπος ἂν ἐχώρει, συνεχὴς ὢν πρὸς τὸν ὅλον ἐκεῖνον τόπον, ὥσ-
περ καὶ αὐτὰ πρὸς τὴν οἰκείαν ὁλότητα. τὸ δὲ μὴ εἶναι τὰ μέρη καθ' αὑτὰ ἐν τόπῳ, εἴληπται μὲν
ὡς ἐναργές. ὅτι μὴ δὲ ἔστι καθ' αὑτὰ τὰ συνεχῆ μέρη. μήποτε δὲ πρῶτον μὲν μέσην ἔχοντα φύσιν
τὰ μέρη, τῶν τε πάντη ἀδιακρίτων στοιχείων, καὶ τῶν πάντη διακεκριμένων μονάδων, οὐκ ἂν φαίης
ὁποτέροις μετείη, ἢ καὶ κατ' ἀμφότερον αὐτὰ θεωρῆσαι ἅμα, ὅτι καὶ ἔστι καθ' αὑτὰ καὶ οὐκ ἔστι. καὶ
προσέπειτα εἰ μὲν συνεχῆ ὄντα ἐν διωρισμένῳ τόπῳ ἐλέγομεν εἶναι, ὄντως ἂν ἦν ἄτοπον. εἰ δὲ ἐν
συνεχεῖ, πόσον ἂν εἴη ἀκολουθότερον, ὡς ἔχει τὸ ἐν τόπῳ οὕτως ἔχειν καὶ τὸν τόπον, τὸ μὲν ὅλον πρὸς
τὸν ὅλον, τὸ δὲ μέρος πρὸς τὸ μέρος, καὶ τὸ μὲν συνεχὲς πρὸς τὸν συνεχῆ, τὸ δὲ διωρισμένον πρὸς
τὸν διωρισμένον. οὕτω γὰρ καὶ χωρητικὸς ὄντως ὁ τόπος ἔσται, καὶ ταύτῃ οἶμαι διορίσαι μᾶλλον ἐ-
χρῆν τοῦ τόπου τὸ ἀγγεῖον. ὅτι τὸ μὲν περικαλύπτει μόνον, ὁ δὲ δι' ὅλου χωρεῖ, ἀλλὰ μὴ τῷ κινουμένῳ
καὶ ἀκινήτῳ. περὶ δὲ τῆς λήψεως τοῦ καθ' αὑτὸ κινουμένου κατὰ τόπον, λέγω ὅτι ὥσπερ εἴωθεν ἀεὶ
καὶ νῦν ἐθελήσας ἀπὸ τῶν ἐναργῶν ποιήσασθαι τὴν ἐπὶ τὸν τόπον ἔφοδον, καὶ τούτοις μόνοις ἐγκα-
ταμείνας, τοιοῦτον αὐτὸν ἠναγκάσθη παραλαβεῖν. ᾧ γὰρ ὄντι ἡ κατὰ τόπον κίνησις, εἰς ἔννοιαν ἡμᾶς
ἤγαγε τοῦ τόπου. καὶ τῶν κατὰ τόπον κινουμένων, ἐκεῖνα μᾶλλον τὰ μεταβάλλοντα καθ' ὅλα ἑαυτὰ
τόπον ἐκ τόπου. ὁρῶντες γὰρ ὡς καὶ αὐτὸς εἶπεν ἔνθα πρότερον ἦν ἀήρ, ἐνταῦθα ὕδωρ γινόμενον,
εἰς ἔννοιαν τῆς κοινῆς ὑποδοχῆς ἤλθομεν, ἣν τόπον ἐκαλέσαμεν. ἐπειδὴ οὖν ἀπὸ τούτων μάλιστα ἡμεῖς
τὸν τόπον ἔγνωμεν, ταῦτα παρέλαβεν ὡς ἐν τόπῳ ὄντα. καίτοι φαίη τις ἂν μή πω τελέως τῆς
ἀριστοτέλους ἐννοίας καταδραξάμενος, ὅτι κἂν ἀπὸ τούτων ἡμεῖς εἰς ἔννοιαν ἤλθομεν τοῦ τόπου, ἀλλὰ
καὶ ἀπὸ τῆς κυκλοφορίας, ὡς αὐτὸς ἐν τῷ τελευταίῳ βιβλίῳ τῆσδε τῆς πραγματείας δεί-
κνυσιν, εἰς ἔννοιαν ἐρχόμεθα τῆς ἀκινήτου αἰτίας τῶν πάντων. καὶ οὐ δή που διὰ τοῦτο τὴν ἐν τῇ κυ-
κλοφορίᾳ μέθεξιν ἐκείνης τῆς ἀκινήτως καὶ πρώτως, κυρίως ἀπειροδυνάμου τῶν πάντων αἰτίαν
εἶναι φαμέν, τίς οὖν ἦν ἀνάγκη μένειν ἐν τούτοις μόνοις ἀφ' ὧν ὑπεμνήσθημεν. ἐπεὶ δὲ ὅλως ἐπά-
θομεν τοῦτο, καὶ ταῦτα εἶναι τὰ κυρίως κινούμενα κατὰ τόπον ὑπειλήφαμεν, ὥς τε καὶ πᾶν τὸ
ἐν τόπῳ τὸ κινητὸν κατ' εὐθεῖαν εἰπεῖν, ἀνάγκη γέγονε λοιπὸν τὸ καθ' αὑτὸ ἐν τόπῳ τοιοῦτον ἀφορί-
σασθαι, ὡς πρὸς ἄλλο τι περαίνειν, καὶ ταῦτα λέγειν ἅπερ αὐτός φησιν. ὅταν μὲν οὖν μὴ διῃρη-
μένον ᾖ τὸ περιέχον ἀλλὰ συνεχές, οὐχ ὡς ἐν τόπῳ λέγεται ἐν ἐκείνῳ, ἀλλ' ὡς μέρος ἐν ὅλῳ. ὅταν
δὲ διῃρημένον ᾖ καὶ ἁπτόμενον, ἐν πρώτῳ ἐστὶ τῷ ἐσχάτῳ τοῦ περιέχοντος. τὸ γὰρ μεταβαῖνον τόπον
ἐκ τόπου, πάντως ἐπιλήψεται τόπον ὃν πρότερον οὐκ εἶχε. διὸ τὰ κατὰ φορὰν καὶ κατὰ αὔξη-
σιν καὶ φθίσιν κινούμενα, τοιαῦτά φησιν εἶναι. τὰ δὲ ἐπιλαμβάνοντα τόπον, ἢ κενὸν ὄντα σώματος
αὐτὸν ἐπιλαμβάνει, ἀλλ' ἠξίωται ὥσπερ πᾶν σῶμα ἐν τόπῳ, οὕτω καὶ πάντα τόπον ἔχειν σῶμα,
ἢ ὅπερ λοιπὸν τοῦ πλησιάζοντος αὐτῷ καὶ πρὸς αὐτὸ περαίνοντος ἐπιλήψεται τὸν τόπον. δεῖ ἄρα
πάντως εἶναι τὸ ἁπτόμενον τοῦ τοιούτου σώματος, καὶ κατὰ τοῦτο περιέχον αὐτό. αὕτη μὲν οὖν οἶμαι
αἰτία γέγονε, τοῦ τὸ ὂν ἐν τόπῳ πάντως ὑφ' ἑτέρου περιεχόμενον ἔξωθεν ὑποθέσθαι, μὴ μέντοι καὶ
ἀντιστρέφειν τὸν λόγον. οὐ δὲ γὰρ τὸ περιεχόμενον ὑφ' ἑτέρου ἐν τόπῳ εἶναί φησιν, ἢ κατὰ τόπον
κινεῖσθαι, εἰ μὴ καὶ μεταβαίνει τόπον ἐκ τόπου. οὕτως ἀπὸ τούτων ἡ ἔννοια γέγονε τοῦ τόπου. καὶ
διὰ τοῦτο οὐ δὲ τὰς πλανωμένας ἐν τόπῳ φησὶν εἶναι, καίτοι περιεχομένας ὑπ' ἀλλήλων καὶ τῆς

ἀπλανοῦς, ὅτι οὐ μεταβαίνουσι τόπον. καὶ τί λέγω τὰς πλανωμένας. οὐδὲ τῶν στοιχείων τὰς ὁλό-
τητας ἐν τόπῳ φησίν. εἰ γὰρ πᾶν τὸ ἐν τόπῳ καὶ κινεῖσθαι κατὰ τόπον λέγει, εἴπερ τὸ κινητὸν σῶ-
μα ἐστὶν ἐν τόπῳ, καὶ κινητὸν κατὰ φορὰν τουτέστιν ἐπ' εὐθείας, ὡς τῆς κύκλῳ μὴ δὲ οὔσης κατὰ τό-
πον κινήσεως, δηλονότι μόνα τὰ εὐθυπορούμενα καὶ κινεῖσθαι καθ' αὑτὰ κατὰ τόπον καὶ εἶναι ἐν
τόπῳ φησίν, ὅτι ταῦτα μόνα μεταβάλλει τὸν τόπον. τοιαῦτα δὲ τῶν ὑπὸ σελήνην τὰ μέρη ἀπο
σπασθέντα τῆς οἰκείας ὁλότητος. αὗται μὲν τοι αἱ ὁλότητες ἢ μένουσιν, ἢ κύκλῳ κινοῦνται. εἰ μὴ
ἄρα αὐξομένας τις αὐτὰς ἢ μειουμένας ἐννοήσειε. τότε γὰρ ἐπιλαμβάνουσαι καὶ ἀφιεῖσαι τόπον,
κατὰ φορὰν κινεῖσθαι δοκοῦσιν. εἰ οὖν μήτε τῶν οὐρανίων ἐστί τι ἐν τόπῳ καὶ τῶν ὑπὸ σελήνην,
οὔτε τὰ μέρη ὅτι συνεχῆ, οὔτε τὰ ὅλα ὅτι οὐ μεταβαίνει, οὐδὲν ἂν εἴη κατὰ φύσιν ἐν τόπῳ, πλὴν εἰ
ἄρα τῶν φυτῶν καὶ τῶν μερικῶν ζώων. τὴν μὲν συναγωγὴν τοῦ τοιούτου ὁρισμοῦ ἐκ τούτων οἶμαι
γεγονέναι. ἐπεὶ δὲ καὶ ἐκ τῆς τετραχῆ γινομένης αὐτῷ διαιρέσεως τὸ αὐτὸ δοκεῖ συνάγειν, ἢ γὰρ ὕλη
φησὶν ἢ εἶδος ἐστὶν ὁ τόπος, ἢ τὸ πέρας τοῦ περιέχοντος, ἢ τὸ μεταξὺ τῶν περάτων διάστημα, ἀλλὰ
μὴν οὐδὲν τῶν ἄλλων τριῶν, τὸ πέρας ἄρα τοῦ περιέχοντος, εἰκὸς μὲν καὶ τοῦτο τῇ τῆς περιοχῆς
ἐννοίᾳ ἀκολουθῆσαι. διὰ τὴν οὐδὲ εἶναί τι δόξει τὸ μεταξὺ τοῖς τὴν περιοχὴν ὡς περικάλυψιν μόνον
ὑποθεμένοις. ἴσως δὲ καὶ τῷ ὁρισμῷ τοῦ σώματος. ὅς λέγει τὸ σῶμα τριχῇ διαστατὸν εἶναι, καὶ τὸ τριχῇ
διαστατὸν σῶμα. εἰ δὲ ἀνέλλιπής οὗτος ἢ μή, μετ' ὀλίγον ἐν τῷ περὶ τοῦ διαστήματος λόγῳ σκοπεῖν οἰ-
κειότερον. τοσοῦτον δὲ νῦν ἰστέον ὅτι τῷ ὑποτιθεμένῳ πᾶν τὸ τριχῇ διαστατὸν σῶμα εἶναι, καὶ μηδὲν
σῶμα διὰ σώματος χωρεῖν, ἀπογνωστέον ἂν εἴη τούτῳ τοῦ διαστήματος τοῦ μεταξὺ τῶν τοῦ περιέχον-
τος περάτων. ὅτι δὲ οὐδ' ἀπαράλειπτος ἡ τετραχῆ διαίρεσις αὕτη, μαθησόμεθα ἡνίκα ἂν καὶ ἄλλας
παρὰ ταύτας ὑποθέσεις περὶ τοῦ τόπου διερευνώμεθα. τοῦτο δὲ ἂν εἴποιμι πρὸς τὸ παρὸν, ὅτι πολ-
λὰ καὶ ἄλλα ἐστὶ τῶν ἐχόντων σχέσιν πρὸς ἄλληλα τὴν ἔν τινι. ἃ μήτε ὕλη, μήτε εἶδος ἐστὶ, μήτε τὸ με-
ταξὺ διάστημα. καὶ ὅμως οὐκ ἔστι τὸ πέρας τοῦ περιέχοντος. οὔτε γὰρ τὸ ὅλον ἐν οἷς τὰ μέρη. οὔτε τὰ μέ-
ρη ἐν οἷς τὸ ὅλον, οὔτε τὸ γένος, οὔτε ἄλλό τι, πλὴν τῶν ὡς ἀγγείων καὶ ὅλως τῶν περικαλύπτειν πε-
φυκότων. ἔοικε δὲ μὴ δι' αὐτὸ ὡς διαίρεσιν λαμβάνειν, ἀλλ' ὡς ἀπαρίθμησιν τῶν περὶ τόπου δοξα-
σμάτων, τῶν εἰς ἔννοιαν ἐλθόντων τινά. εἰ τοίνυν μὴ διαιρετικῶς εἴληπται, ἔνδοξος ἡ ἐπιχείρησις δο-
κεῖ καὶ οὐκ ἀποδεικτική. ὅτι δὲ αἱ πρὸς τὸ μεταξὺ διάστημα ῥηθεῖσαι ἀντιλογίαι ἔχουσί τι ἀναγκαῖον,
καὶ τοῦτο ἐν τοῖς περὶ τοῦ διαστήματος εἰσόμεθα λόγοις αὐτίκα μάλα. νῦν δὲ τοσοῦτον πρός τε τὴν
εἰρημένην τοῦ τόπου ὑπόθεσιν, καὶ πρὸς τὰς ἄλλας τὰς ῥηθησομένας εἰπών, ἐφ' ἑτέρους μεταβή-
σομαι λόγους. ὡς εἰς μερικὰς τοῦ τόπου χρείας ἀποβλέποντες, ἄλλοι πρὸς ἄλλην καὶ πρὸς ταύτην
ἐνευθυνοῦντες τὸν περὶ αὐτοῦ λόγον, πολλοῖς ἐξ ἀνάγκης πάντες ἀτόποις περιπεπτώκαμεν. τί γὰρ
δή ποτε τὸ μὲν ὅλον δεῖται τόπου, τὰ δὲ μέρη οὐκ ἔστιν ἐν τόπῳ. εἰ μὲν γὰρ τὰ σώματα δεῖται καθὸ
σώματα, οὐ δή που τὸ μὲν ὅλον σῶμα, τὰ δὲ μέρη ἀσώματα. εἰ δὲ καθὸ ὅλα δεῖται τόπου, διατί μὴ
καὶ ὁ οὐρανός ἐστιν ἐν τόπῳ καὶ ὅλος ὁ κόσμος. ἀλλ' ἔοικεν ὁ ἀριστοτέλης μόνα δεῖσθαι τοῦ τόπου λέ-
γειν, τὰ μεταβαίνοντα καθ' ὅλα ἑαυτά, καὶ ἐπιλαμβάνοντα τόπον ὃν οὐ πρότερον εἶχον. ὥσπερ
καὶ χρόνου δεῖσθαι φησὶν οὐ τὰ ἀΐδια, ἀλλὰ τὰ ἐν μέρει χρόνου ὑφεστῶτα, διὰ τὸ μὴ δὲ εἶναι τὸν ὅ-
λον χρόνον εἰ μὴ κατὰ μέρος. εἰ οὖν πρὸς τοῦτο χρειώδης εἶναι δοκεῖ ὁ τόπος πρὸς τὰς μεταβάσεις,
τοῖς μήτε ἑστάναι ἐν ταὐτῷ μήτε κινεῖσθαι δυναμένοις, εἰκότως ταῦτα μόνα φαίη ἂν ἐν τόπῳ. καὶ
ὅρα ὅπως οὐκ ἐπὶ τὴν ὅλην φύσιν τοῦ ζητουμένου ὁ λόγος ἀνέδραμεν, ἀλλ' ἐπὶ τὸ προσεχὲς ἡμῖν καὶ
γνώριμον. καίτοι καὶ τὰ δυνάμενα ἐν ταὐτῷ μένειν ἢ κινεῖσθαι, ὥσπερ ὁ οὐρανός, πῶς λέγεται
ἐν ταὐτῷ. ἆρα ὡς ἐν ἑαυτῷ; ἀλλ' οὐδὲν φησὶν ἐστὶν ἐν ἑαυτῷ σῶμα, ἐπεὶ ἄλλο τὸ ὅ, καὶ ἄλλο τὸ ἐν ᾧ.
κἂν μὴ κινεῖσθαι δὲ ὁ οὐρανὸς λέγηται, ὅτι οὐ μεταβαίνει τόπον ἐκ τόπου, ἀλλὰ μένει γε ἐν ταὐτῷ
καὶ ἀμετάβατος λέγεται, οὐ κατὰ τὴν οὐσίαν ἀλλ' ὡς τὸν αὐτὸν κατέχων τόπον. οὕτως ἄρα τὸ μὴ τὴν
χρείαν τοῦ τόπου προϋποθέσθαι τελέως, τοῦτο τῶν ἐνστάσεων ἐστὶν αἴτιον. ἀλλ' ὅπως μὲν ὁ θεῖος ἀριστο-
τέλης κἂν εἰ μὴ πάντα περιέλαβε τοῦ τόπου τὰ σημαινόμενα, διὰ τὸ πρώτως ὑπ' αὐτοῦ ζητῆσαι,
ἀλλ' ἐκεῖνο γε ᾧ προσέβαλε καλῶς ἂν εὗρεν, ὕστερον δειχθήσεται. μετὰ δὲ ταύτην τὴν ὑπόθεσιν ἐκεί-
νην εἰ δοκεῖ προβαλλώμεθα. ἣν πρόκλος ὁ ἐκ τῆς λυκίας φιλόσοφος διδάσκαλος τῶν ἡμετέρων
διδασκάλων γενόμενος καινοπρεπῆ παρέδωκε, πάντων ὧν ἴσμεν αὐτὸς μόνος σῶμα τὸν τόπον
λέγειν ἑλόμενος. οὗτος δὴ οὖν καὶ τὰ ἀξιώματα τὰ περὶ τόπου τοῦ ἀριστοτέλους δεξάμενος, καὶ τὴν
τετραχῆ γενομένην τῆς περὶ τόπου ζητήσεως διαίρεσιν ἀποδεξάμενος, ἀνάγκη φησὶν αὐτὸν ἢ ὕλην
εἶναι ἢ εἶδος, ἢ τὸ πέρας τοῦ περιέχοντος σώματος, ἢ διάστημα ἴσον τῷ ἐν τόπῳ τὸ μεταξὺ τῶν τοῦ
περιέχοντος περάτων. εἰ γὰρ μήτε τῶν ἐν αὐτῷ τι εἴη, μήτε τῶν περὶ αὐτὸ, οὐκ ἂν μεταβάλλειν δύ-
ναιτο κατὰ τόπον, μηδενὸς ἢ τῶν ἐν αὐτῷ ἢ τῶν περὶ αὐτὸ ἐξαλλαγὴν ὑπομένοντος. εἶναι δὲ τὰ μὲν
ἐν αὐτῷ τὸ εἶδος καὶ τὴν ὕλην, τὰ δὲ περὶ αὐτὸ τό, τε πέρας τοῦ περιέχοντος καὶ τὸ μεταξύ. δεί-
ξας οὖν ὅτι μήτε ὕλη ἐστὶ μήτε τὸ εἶδος διὰ τῶν αὐτῶν τῷ ἀριστοτέλει ἐπιχειρήσεων, ἀνελὼν δὲ καὶ

τὸ πέρας εἶναι τοῦ περιέχοντος ἐκ τῶν ἐπαγομένων ἀτόπων τῷ λόγῳ, συνήγαγεν ὅτι τὸ μεταξὺ
διάστημά ἐστιν ὁ τόπος. καὶ οὕτως ἐπισυνάπτει τῆς οἰκείας δόξης τὴν ἀπόδειξιν. ἐπειδὴ δὲ καὶ σαφῶς
αὐτὴν καὶ συνηρημένως ἐξέθετο, κάλλιον ἂν ἴσως εἴη τῶν αὐτοῦ ῥημάτων ἀκούειν ἐχόντων ὧδε. λεί-
» πεται τοίνυν εἰ μήτε εἶδος ὁ τόπος τοῦ ἐν τόπῳ, μήτε ὕλη, μήτε τὸ πέρας τοῦ περιέχοντος, τοῦτο
» ἐκεῖνο τὸ μεταξὺ τῶν περάτων τοῦ περιέχοντος διάστημα νοούμενον εἶναι τὸν πρῶτον ἑκάστου τόπον.
» τοῦ δὲ παντὸς κόσμου πᾶν τὸ διάστημα τὸ κοσμικὸν, ἕτερον ὂν παρ' αὐτὸ τὸ διάστημα. τοῦτο δὴ οὖν ἢ
» οὐδέν ἐστιν, ἢ ἔστι τι. καὶ εἰ μὲν μηδέν ἐστιν, ἡ τοπικὴ κίνησις ἔσται ἐκ τοῦ μηδενὸς εἰς μηδὲν, πάσης κινή-
» σεως κατά τι τῶν ὄντων οὔσης. καὶ οἱ κατὰ φύσιν τόποι οὐδὲν ἔσονται. καίτοι πᾶν τὸ κατὰ φύσιν
» εἶναί τι τῶν ὄντων ἀναγκαῖον. εἰ δὲ ἔστι τι, πάντως ἢ ἀσώματόν ἐστιν ἢ σωματικόν. ἀλλ' εἰ ἀσώματον,
» ἄτοπον. δεῖ γὰρ τὸν τόπον ἴσον εἶναι τῷ ἐν τόπῳ. σῶμα δὲ καὶ ἀσώματον ἴσα πῶς ἂν γένοιτο. τὸ γὰρ
» ἴσον καὶ ἐν ποσοῖς ἐστι, καὶ ἐν ὁμογενέσι ποσοῖς, οἷον γραμμαῖς πρὸς γραμμὰς, καὶ ἐπιφανείαις πρὸς
» ἐπιφανείας, καὶ σώμασι πρὸς σώματα. σῶμα ἄρα ἐστὶν, εἴπερ διάστημα ὁ τόπος. εἰ δὲ σῶμά ἐστιν, ἢ
» κινούμενον ἢ ἀκίνητόν ἐστιν. ἀλλ' εἰ κινούμενον ὁποσοῦν, ἀνάγκη καὶ κατὰ τόπον αὐτὸ κινεῖσθαι. ὥστε
» πάλιν ὁ τόπος δεήσεται τόπου. τοῦτο δὲ ἀδύνατον, ὡς καὶ Θεοφράστῳ δοκεῖ καὶ Ἀριστοτέλει μέντοι.
» φησὶ γοῦν τὸ μὲν ἀγγεῖον τόπον εἶναι κινητὸν, τὸν δὲ τόπον ἀγγεῖον ἀκίνητον, ὡς ἂν ἀκινήτου τοῦ τόπου
» κατὰ φύσιν ὄντος. εἰ δὲ ἀκίνητος ὁ τόπος, ἢ ἀδιαίρετός ἐστιν ὑπὸ τῶν ἐμπιπτόντων εἰς αὐτὸν σωμά-
» των, ὥστε σῶμα διὰ σώματος χωρεῖν. ἢ διαιρετὸς, ὡς ὁ ἀὴρ καὶ τὸ ὕδωρ ὑπὸ τῶν ἐν αὐτοῖς γινομέ-
» νων. ἀλλ' εἰ μὲν διαιρετὸς, σχιζομένου τοῦ ὅλου, τὰ μόρια κινήσεται ἐφ' ἑκάτερα τοῦ σχίζοντος. καὶ
» πρῶτον μὲν κινητὸς ἔσται ὁ τόπος, εἴπερ καὶ τὰ μόρια αὐτοῦ κινεῖται. δέδεικται δὲ ὅτι ἀκίνητος.
» ἔπειτα σχιζομένων τῶν μορίων, πάλιν ζητήσομεν ποῦ κεχώρηκε τὸ σχίσαν. εὑρεθήσεται γὰρ πάλιν
» ἄλλο διάστημα μεταξὺ τῶν τοῦ σχισθέντος μορίων, τὸ δεξάμενον τὸ σχίσαν. εἰς ὃ τοῦτο χωρῆσαν ἐν τό-
» πῳ λέγεται εἶναι. καὶ τοῦτο ἐπ' ἄπειρον. ἀδιαίρετον ἄρα σῶμα ὁ τόπος. εἰ δὲ ἀδιαίρετον, ἢ ἄϋλον
» ἔσται σῶμα ἢ ἔνυλον. ἀλλ' εἰ ἔνυλον, οὐκ ἔστιν ἀδιαίρετον. πάντα γὰρ τὰ ἔνυλα σώματα, χωρούντων
» εἰς αὐτὰ σωμάτων ἄλλων ἐνύλων, διαίρεσιν ὑπομένει παρ' αὐτῶν. ὥσπερ ὅταν εἰς ὕδωρ ἐμπίπτῃ τὸ
» ἡμέτερον σῶμα. μόνα δὲ τὰ ἄϋλα παρ' οὐδενὸς διαιρεῖσθαι πέφυκε. καὶ τοῦτο ἐξ ἀνάγκης. πᾶν γὰρ
» σῶμα ἄϋλον, ἀπαθές. πᾶν δὲ τὸ διαιρούμενον, οὐκ ἀπαθές. καὶ γὰρ ἡ διαίρεσις πάθος ἐστὶ τῶν σω-
» μάτων, ἀπολλῦσα τὴν ἕνωσιν. ἐπεὶ καὶ τοῦ συνεχοῦς καθὸ συνεχὲς οὐδὲν ἂν ἕτερον εὕροις πάθος, ἢ τὴν
» διαίρεσιν ἀφανίζουσαν τὴν συνέχειαν. ἔστιν ἄρα ὁ τόπος, ἵνα τὰ δεδειγμένα πάντα συναγάγωμεν,
» σῶμα, ἀκίνητον, ἀδιαίρετον, ἄϋλον. εἰ δὲ τοῦτο, πρόδηλον ὅτι καὶ τῶν σωμάτων πάντων ἀϋλότερον,
» τῶν τε κινουμένων καὶ τῶν ἐν τοῖς κινουμένοις ἀΰλων. ὥστε εἰ ἐκείνων τὸ ἁπλούστατον φῶς ἐστι, τῶν
» μὲν γὰρ ἄλλων στοιχείων τὸ πῦρ ἀσωματώτερον, αὐτοῦ δὲ τοῦ πυρὸς τὸ φῶς, φανερὸν ὅτι τὸ εἰλικρι-
» νέστατον ἐν τοῖς σώμασι φῶς ὁ τόπος ἂν εἴη. δύο τοίνυν φησὶ νοήσωμεν σφαίρας, τὴν μὲν φωτὸς ἑνὸς,
» τὴν δὲ ἐκ πολλῶν σωμάτων, ἴσας ἀλλήλαις κατὰ τὸν ὄγκον. ἀλλὰ τὴν μὲν, ἑδράσωμεν ὁμοῦ τῷ κέντρῳ.
» τὴν δὲ, ἐμβιβάσωμεν εἰς ταύτην, ὅλον τε ὄψει τὸν κόσμον ἐν τόπῳ ὄντα ἐν τῷ ἀκινήτῳ φωτὶ κινούμε-
» νον, καὶ τοῦτον καθ' ὅλον μὲν ἑαυτὸν ἀκίνητον ἵνα μιμῆται τὸν τόπον, κατὰ μέρος δὲ κινούμενον, ἵνα
ταύτῃ ἔλαττον ἔχῃ τοῦ τόπου. ταῦτα εἰπὼν, πιστοῦται ἀπὸ τοῦ Πλάτωνος τὸν λόγον, ὡς τὸ φῶς ἐ-
κεῖνο τὸ ἐν Πολιτείᾳ τῇ ἴριδι προσφερὲς τὸν τόπον εἶναι λέγοντος, καὶ ἀπὸ τῶν λογίων δὲ τῶν Χαλ-
» δαίοις ἐκδοθέντων, τὰ περὶ τῆς πηγαίας ψυχῆς εἰρημένα παρατιθέμενος. ἄρδην ἐμψυχοῦσα
» φάος πῦρ αἰθέρα κόσμους. τοῦτο γὰρ εἶναι τὸ φῶς τὸ ὑπὲρ τὸ ἐμπύριον, μονάδα ὂν πρὸ τριάδος,
τῆς τοῦ ἐμπυρίου καὶ αἰθερίου καὶ ὑλαίου. τοῦτο δὲ εἶναι φησὶ τὸ καὶ τὰς ἀϊδίους τῶν θεῶν λήξεις
πρῶτον ὑποδεξάμενον, καὶ τὰ αὐτοπτικὰ θεάματα ἐν ἑαυτῷ τοῖς ἀξίοις ἐκφαῖνον. ἐν τούτῳ γὰρ
τὰ ἀτύπωτα τυποῦσθαι φησὶ κατὰ τὸ λόγιον. καὶ τάχα ἂν φαίη διὰ τοῦτο τόπον αὐτὸ κεκλῆσθαι,
ὡς τύπον τινὰ ὄντα τοῦ ὅλου κοσμικοῦ σώματος, καὶ τὰ ἀδιάστατα διΐστασθαι ποιοῦντα. ἐπὶ δὲ
τούτοις ἀπορεῖ πρὸς ἑαυτὸν, πῶς σῶμα διὰ σώματος χωρήσει, καὶ πότερον ἄψυχός ἐστιν ἢ μετέχει
ψυχῆς. ἀλλὰ ἄψυχον φησὶν εἶναι ἀδύνατον, καὶ ὅτι κρείττων ἐστὶ τῶν ἐν αὐτῷ ἐμψυχωμένων ὄντων,
καὶ ὅτι τὰ λόγια ψυχοῦσθαι φασὶ καὶ τοῦτον, καὶ πρῶτον τῶν ἄλλων. εἰ δὲ ἔμψυχος, πῶς ἀκίνητος.
καὶ τὸ μὲν πρῶτον διαλύει ἀπὸ τῆς τῶν ἀΰλων σωμάτων ἀπαθείας. τὸ γὰρ ἄϋλον φησὶ σῶμα οὔτε
ἀντερείδει οὔτε ἀντερείδεται. τὸ γὰρ ἀντερειδόμενον, φύσιν ἔχει πάσχειν ὑπὸ τῶν ἀντερειδόντων
δύναμιν. ἀλλ' οὔτε διαιρεῖται ἀπαθὲς ὄν. ὥστε οὐδὲ τὸ ἄτοπον ἐκεῖνο δυνατὸν ἐπάγειν, ὅτι χω-
ρήσει τὸ ὅλον διὰ τοῦ σμικροτάτου. εἰ γὰρ μὴ πέφυκε διαιρεῖσθαι, οὐδ' ἂν εἰς ἴσα τέμνοιτο τῷ σμικρο-
τάτῳ. εἰ δὲ μὴ τοῦτο, οὐδ' ἂν χωρήσοι τὸ ὅλον δι' ἐκείνου. τὸ δέ γε δεύτερον λύει, λέγων ὑπ' αὐτῆς
αὐτὸν ψυχοῦσθαι τῆς πηγαίας ψυχῆς, θείαν ἔχοντα τὴν ζωὴν, καὶ κατὰ τὸ οὐσιῶδες αὐτοκίνητον
ἑστῶτα, ἀλλ' οὐχὶ τὸ κατ' ἐνέργειαν. εἰ γὰρ καὶ ἐν τῇ ψυχῇ διττὸν τίθεμεν τὸ αὐτοκίνητον, τὸ μὲν,
κατ' οὐσίαν φησὶ, τὸ δὲ, κατ' ἐνέργειαν, καὶ τὸ μὲν, ἀκίνητον φαμὲν, τὸ δὲ, κινούμενον, τί κωλύει

φάναι τὸν τόπον τῆς τοιαύτης μετέχειν ζωῆς, καὶ ζῆν κατ' οὐσίαν ἀμετάβατον, τὴν δὲ κόσμου κατὰ τὴν κατ' ἐνέργειαν αὐτοκίνητον. εἰ δὲ καὶ τὴν κατ' ἐνέργειαν φησὶ τοῦ τόπου κίνησιν θεωρεῖν ἐθέλοις, ὄψει κινητικὸν ὄντα τῶν κινουμένων σωμάτων, διαστηματικῶς ἐκείνων ἐξελιττόντων τὰ τοῦ τόπου μέρη, ἅτε μήτ' ἐκείνων ἐν παντὶ εἶναι τῷ τόπῳ δυναμένων, μήτε τοῦ τόπου πᾶσι παρεῖναι καθ' ἕκαστον ἑαυτοῦ μέρος. καὶ ταύτῃ μεσότης ἐστὶ πρὸς ψυχὴν τὴν ἀδιαστάτως κινοῦσαν. καὶ γὰρ ἔοικε ζωὴ μὲν καθὸ ζωὴ διδόναι κίνησιν. τὸ δὲ πρώτως ζωῆς μετασχὸν ὁ τόπος ὤν, τὴν κατὰ τὰ ἑαυτοῦ μέρη κίνησιν διδούς, τὴν κατὰ τόπον ἰδίως ἐκφῆναι κίνησιν, ἕκαστον ποιῶν τῶν κινουμένων μορίων ἐφίεσθαι, ἐν ὅλῳ αὐτῷ εἶναι, μὴ δυνάμενον δὲ διὰ τὴν φυσικὴν τοῦ διαστήματος ἰδιότητα παρὰ μέρος ἐν τῷ ὅλῳ γίνεσθαι. πᾶν γὰρ τοῦ εἶναί τι ἐφιέμενον, ἐκπεσὸν τοῦ εἶναι δι' ἔλλειψιν φύσεως, γίνεσθαι ἐφίεται τοῦτο ὅπερ εἶναι δι' ἀσθένειαν οὐ δεδύνηται. καὶ γὰρ ἔδει φησὶ τῆς ἀσωμάτου καὶ ἀμεταβάτου ζωῆς, οἵα ἐστὶν ἡ τῆς πηγαίας ψυχῆς, καὶ τῆς μεταβατικῆς καὶ σωματικῆς, μέσην εἶναι τὴν ἀμετάβατον μέν, σωματικὴν δέ. δοκεῖ δέ μοι φησὶ καὶ τὰ κέντρα τοῦ κόσμου παντὸς ὡς ἐν τούτῳ πεπηγέναι. εἰ γὰρ τὰ λόγιά φησι τὰ κέντρα τοῦ ὑλαίου κόσμου ἐν τῷ ὑπὲρ αὐτὸν αἰθέρι πεπηγέναι, κατὰ τὸ ἀνάλογον ἀναβαίνοντες, τοῦ ἀκροτάτου τῶν κόσμων ἐν τῷ φωτὶ τούτου τὰ κέντρα φήσομεν ἱδρύσθαι. μήποτε δέ φησι τὸ φῶς τοῦτο πρῶτόν ἐστιν εἰκὼν τοῦ πατρικοῦ βυθοῦ, καὶ διὰ τοῦτο ὑπερκόσμιος ὅτι καὶ ἐκεῖνος. ταῦτα καὶ τὰ τοιαῦτα περὶ τοῦ τόπου φησὶν ὁ Πρόκλος. ἡμεῖς δὲ τέως αὐτὴν αὐτοῦ τὴν ἀπόδειξιν ἐπισκεψώμεθα, ἀφ' ἧς τοιοῦτον εἶναι σῶμα συνήγαγε τὸν τόπον. καὶ πρῶτόν γε πρὸς τὴν τετραχῆ γινομένην διαίρεσιν ἐνιστάμενοι, τῶν εἰρημένων ἔναγχος ὑπομνησθῶμεν. ἐν οἷς ὡς ἐνόμιζον ἔδειξα μὴ διαίρεσιν ἀλλ' ἀπαρίθμησιν εἶναι τῶν περὶ τόπου δοξῶν. εἴπερ καὶ ἄλλοι τινές εἰσι τρόποι τῆς περὶ τόπου ἀποδόσεως. εἰ οὖν μὴ διαιρετικῶς εἴληπται, δηλονότι οὐκ ἀληθὲς εἰπεῖν, τὸ εἰ μήτε ὕλη, μήτε εἶδος, μήτε τὸ πέρας τοῦ περιέχοντος, λείπεται τὸ διάστημα εἶναι τὸ ἴσον τῷ ἐν τόπῳ ὄντι. ἐῶ γὰρ λέγειν ὅτι καὶ κατ' ἄλλην ἔννοιαν εἴληπται τὸ διάστημα νῦν, ἤπερ ὑπ' Ἀριστοτέλους. ἐκεῖνος μὲν γὰρ διωρισμένως ἀσώματον ὑπετίθετο τὸ διάστημα, ὡς δηλοῖ λέγων, ἀλλὰ καὶ τὸ μεταξὺ ὡς ὂν κενόν. ὁ δὲ τοῦ Πρόκλου λόγος ἀδιορίστως, ὥς γε καὶ ὑποδιαίρεσιν αὐτοῦ ποιήσασθαι εἰς σῶμα καὶ ἀσώματον. πλὴν εἰ καὶ ταῦτα παρείδοι τις, πῶς τὸ ἐφεξῆς ἀληθές, ὅτι ἀσώματον οὐκ ἂν εἴη τὸ μεταξὺ τούτου διάστημα τὸ τοπικόν. εἰ γὰρ ἴσος φησὶν ὁ τόπος κεῖται τῷ ἐν τόπῳ σώματι, σῶμα δὲ καὶ ἀσώματον οὐκ ἂν ἴσα γένοιτο, διότι τὸ ἴσον ἐν ποσοῖς ἐστι καὶ ὁμογενέσι ποσοῖς, οὐκ ἂν ἀσώματον εἴη τὸ τοπικὸν διάστημα. ἀλλ' εἰ τοῦτο φαμὲν ἴσον ὃ τῷ αὐτῷ μέτρῳ μετρεῖται, τὰ δὲ μέτρα κατὰ τὰς διαστάσεις γίνεται, καὶ οὐ κατὰ τὰ τῶν σωμάτων μεστώματα, πῶς οὐκ ἀληθὲς εἰπεῖν, τὸ τριχῆ διεστὼς ἴσον εἶναι τῷ τριχῆ διεστῶτι. καὶ γὰρ καὶ ὁμογενές ἐστι κατὰ τοῦτο. ἐπιφάνεια μὲν οὖν σώματι οὔτε ὁμογενὴς οὔτε ἴση γένοιτο ἄν, διὰ τὴν ἐπίλειψιν τῆς μιᾶς διαστάσεως κατ' εἶδος διαφερούσης. τὸ δὲ μῆκος καὶ πλάτος καὶ βάθος ἔχον, πῶς οὐκ ἂν ὁμογενὲς εἴη κατ' αὐτὸ τοῦτο τῷ τὰς αὐτὰς ἔχοντι διαστάσεις. ἀλλ' εἰ μὲν μὴ δεῖ εἶναι ὅλως καθ' ἑαυτὸ τοιοῦτόν τι διάστημα ἔλεγεν ὥσπερ ὁ Ἀριστοτέλης, αὐτὸ τοῦτο ἔδει δεῖξαι, ἢ ὡς ἀποδεδειγμένον λαβεῖν. εἰ δὲ συγχωρῶν εἶναι τόπον αὐτόν, οὔ φησιν ὑπάρχειν διὰ τὸ μὴ παρεισδύεσθαι τῷ ἐν τόπῳ σώματι, θαυμάζω πῶς ὀρθῶς εἴρηται. εἰ μὴ ἄρα τοιοῦτο τὸ διάστημα τοῦτο ἐνενόησεν, οἷον οἱ κενὸν αὐτὸ τιθέμενοι. ἀλλὰ τούτῳ οὐδὲ τριχῆ ἔνεστιν, οὐδὲ διάστασις ὡς φύσις τις καὶ εἶδος, ἀλλ' ὡς ἀπουσία μόνον καὶ στέρησις. αὐτὸς δὲ ὡς ἀσώματον συγκρίνει φύσιν. εἰ γὰρ μὴ τοῦτο, ῥᾷον ἦν εἰς τοὺς ἀναιροῦντας τὸ κενὸν ἀποπέμψαι λόγους. πῶς δὲ καὶ ἄυλον αὐτὸ δείκνυσι σῶμα. εἰ γὰρ ἔνυλον εἴη φησί, διαιρετόν ἐστι καὶ παθητόν. τί οὖν ὁ οὐρανὸς οὐκ ἔνυλος ὡμολόγηται, καὶ ὑπ' αὐτοῦ καὶ ὑπὸ Πλάτωνος καὶ ὑπὸ τῶν λογίων ὡς ἔνυλος παραδέδοται. καίτοι ἀπαθὴς καὶ ἀδιαίρετός ἐστι καὶ αὐτός. τί οὖν ὅσον ἐπὶ τούτῳ κωλύει καὶ τὸν τόπον ἔνυλον μὲν ἀδιαίρετον δὲ εἶναι σῶμα καὶ ἀπαθές, ἔχοντά τι κρεῖττον τῶν ἄλλων σωμάτων, ὥσπερ καὶ αὐτὸς ἀξιοῖ περὶ αὐτοῦ. εἰ μὴ ἄρα ἔνυλον καλεῖ τὸ ὑπὸ σελήνην, ὃ καὶ παθητὸν ὄντως ἐστί. καὶ τοῦτο ἀποφάσκει τοῦ τόπου. ἀλλ' οὐδὲν ἐκώλυεν αὐτὸν ὡς εἶπον ἔνυλον ὡς τὸν οὐρανὸν εἶναι. εἰ δὲ τοῦτο, πῶς ἔσται κρείττων τῶν ἀΰλων στερεωμάτων, ὧν καὶ αὐτός ἐστιν ὁ τόπος. κἂν γὰρ κατά τινα τρόπον ἔνυλα καὶ ἐκεῖνά φησιν αὐτὸς ἐν τῇ πρὸς Ἀριστοκλέα ἐπιστολῇ, οὐχ ὡς τὰ ὑπὸ σελήνην τὰ μεταβάλλοντα περὶ τὴν κοινὴν ὕλην, οὐδὲ ὡς τὰ οὐράνια τὰ ἐκ τῶν τεσσάρων στοιχείων τῶν διαφερόντων, καὶ διὰ τοῦτο κοινοῦ δεομένων ὑποκειμένου συγκείμενα. ἀλλ' ὅτι κινούμενα καὶ αὐτὰ κατὰ τόπον ἔχει τὸ δυνάμει, διὰ τὸ μὴ πανταχοῦ ὅλον εἶναι. πρῶτον μὲν γὰρ παρακινδυνευτικὸν ἂν εἴη τὸ τοῖς λογίοις ἀντιφθέγγεσθαι, τοῦτον μόνον ὑλαῖον λέγουσι τὸν κόσμον. ἔπειτα εἴη ἄν τι καὶ ἐπὶ τόπου ὕλη ἄλλο σημαινόμενον. οὐ καθ' ὅσον κινεῖται, ἀλλὰ καθ' ὅσον διεστώς, ἄλλο ἀλλαχοῦ τῶν μορίων ἔχει διαφέροντα ἀλλήλων. καίτοι τί ταῦτα λέγω, ὅτε τὸ ἄϋλον αὐτὸς τὸ τοῦ παθητοῦ ἐνύλου ὑπερέχον, κατηγόρησε τοῦ τόπου. οἷον ὡς ἔφην καὶ τὸ οὐράνιον ἂν εἴη. τὸ δὲ δὴ τέλος εἰ πάντων φησὶν αὐτὸν δεῖν τῶν σωμάτων ἀϋλότατον ὑποτίθεσθαι, ἔστι δὲ τῶν ἄλλων στοιχείων τὸ πῦρ ἀσωματώτερον, αὐτοῦ δὲ τοῦ πυρὸς τὸ φῶς, δηλονότι φῶς ἂν εἴη ὁ τόπος. καίτοι εἰ πυρὸς

εἶδός ἐστι τὸ φῶς ὡς ἐν Τιμαίῳ μεμαθήκαμεν, τὸ δὲ εἶδος οὐκ ἂν εἴη τοῦ γένους κρεῖττον, οὐκ ἂν ὅσον ἐπί γε τούτῳ τὸ φῶς εἴη κρεῖττον τοῦ πυρός. πρὸς μὲν οὖν τὸν ἀποδεικνύντα λόγον ταῦτα ἂν εἴποιμι διὰ βραχέων. πρὸς δὲ τὰς ἄλλας πίστεις, τὴν μὲν ἀπὸ τοῦ ἐν πολιτείᾳ λεγομένου τῇ ἴριδι προσεμφεροῦς φωτὸς, ὅτι τὸ ὅλον αἰνιγματωδῶς εἴρηται. καὶ δύναιτο μὲν ἂν τὸ αὐγοειδὲς ὄχημα τῆς τοῦ παντὸς ψυχῆς ἐνδείκνυσθαι, ὡς ὁ Πορφύριος ἐξηγήσατο. δύναιτο δὲ ἄν τι καὶ ἄλλο. εἰ δὲ τὰ λόγια φησὶ τὴν πηγαίαν ψυχὴν ἄρδην ἐμψυχοῦσαν φάος πῦρ αἰθέρα κόσμους, ὅτι μὲν ἄλλο τι τὸ φῶς ἐστὶ παρὰ τὸ ἐμπύριον καὶ αἰθέριον καὶ ὑλαῖον, καλῶς ἀπὸ τῶν διαιρέσεων διεπιστώσατο. καὶ ὅτι ὑπέρτερον πάντων. καὶ τοῦτο γὰρ ἡ τεταγμένη ἀπαρίθμησις δηλοῖ. μή ποτε δὲ ἡ μονάς ἐστι τοῦτο τῆς τῶν κόσμων τριάδος, ἣν καὶ αὐτὸς ὁμολογεῖ. μονὰς δὲ οὐχ ὡς τόπος τῶν τριῶν, ἀλλ᾽ ὡς εἷς κόσμος πρὸ τῶν τριῶν. εἶναι γὰρ δεῖ καὶ ἕνα πρὸ τῶν τριῶν, ὡς πρὸ τῆς ἑβδομάδος ἐστὶν ἡ τριάς. καί τοι τὸν ἕνα τοῦτον ἴσως φάος ἐκάλεσεν, ὡς ἄνθος ὄντα τοῦ ἐμπυρίου στερεώματος, καὶ ὡς κοινότητα τοῦ φαινομένου, τουτέστι τοῦ αἰσθητοῦ, τουτέστι τοῦ σωματικοῦ παντός. πᾶν γὰρ σῶμα αἰσθητόν ἐστιν, εἰ καὶ ἄλλο ἄλλαις αἰσθήσεσι σύμμετρον. μή ποτε δὲ ἐμπύριον εἰπόντα τὰ λόγια τὸν πρῶτον σωματικὸν κόσμον, φῶς ἐκάλεσε πᾶσαν τὴν ἀσώματον διάταξιν, τὴν τοῖς σωματικοῖς κόσμοις ἐποχουμένην καὶ ἐλλαμπομένην ἀπὸ τῆς πηγαίας ψυχῆς. καὶ μέντοι ὅτι τὰς ἀϊδίους τῶν θεῶν λήξεις πρῶτος ὑπεδέξατο ὁ τόπος, καλῶς ἂν εἴη λεγόμενον. οὐ μέντοι τούτῳ ἕπεσθαι νομίζω τὸ σῶμα εἶναι τὸν τόπον. κἂν γὰρ διάστημα εἴη, τί κωλύει καὶ τοῦτο ταῖς θείαις ἐπιστασίαις συνδιανενεμῆσθαι, καὶ μᾶλλον τοῦτο ἅτε συγγενέστερον ὑπάρχον πρὸς τὸ ἀσώματον. τὸ δὲ τοὺς τύπους τῶν τε χαρακτήρων καὶ τῶν ἄλλων θείων φασμάτων ἐν τῷ τόπῳ φαίνεσθαι, μάλιστα μὲν οὐ πάνυ τοι συμφωνεῖ τοῖς λογίοις, ἐν τῷ αἰθέρι λέγουσιν αὐτὰ φαίνεσθαι ἀλλ᾽ οὐκ ἐν τῷ φωτί. ἔπειτα καὶ ταῦτα ἐν τῷ διαστήματι δύναται τυποῦσθαι. οὐ γὰρ σώματος ὑποκειμένου δεῖται πρὸς τὸ αἰσθητὰ γενέσθαι. ἀλλ᾽ εἴπερ ἄρα διαστάσεως καὶ τυπώσεως. καὶ τὸ μὲν μηδὲν ἄτοπον εἶναι σῶμα διὰ σώματος χωρεῖν, τὸ ἄυλον διὰ τοῦ ἐνύλου ἢ καὶ τοῦ ἀΰλου, τάχα μὲν καὶ ἐξ ὧν αὐτὸς δείκνυσι πιστεύσειεν ἄν τις. μάλιστα δὲ ἐκ τῆς θείας παραδόσεως. εἴπερ καὶ τὸ ἐμπύριον διὰ τοῦ αἰθέρος, καὶ τὸν αἰθέρα φησὶ διὰ τοῦ ἐνύλου χωρεῖν. καὶ εἴπερ αἱ τετράδες καὶ αἱ ἑβδομάδες αἱ νοεραὶ πᾶσαι πηγαίαν ἔχουσαι τάξιν, καὶ διὰ τοῦτο ἐμπύριον τὴν ἐπιστασίαν, συμπεριέρχονται ὅμως τοῖς κόσμοις, ὡς καὶ τοῦ ἐμπυρίου διὰ πάντων χωροῦντος. εἰ μὴ δὲ δυσωπεῖ καὶ τὸ μὴ ἂν ἀτελεῖς εἶναι τὰς σφαίρας, ἀψίδας μόνον οὔσας καὶ οὐκέτι σφαίρας, εἰ μὴ μέχρι τοῦ κέντρου χωροῖεν. ἀλλ᾽ οὐδὲ οἰκειότης τις ἔσται τῷ κέντρῳ πρὸς τὴν περιφέρειαν ἑκάστης σφαίρας, εἰ μὴ συνδεῖται τινὶ ὁμοιογενεῖ πρὸς αὐτήν. οὐδὲ στερεώματα ἔτι ἔσονται οἱ κόσμοι ἀλλὰ καμαρώματα. πῶς οὖν τὰ λόγια φησὶν, ἑπτὰ γὰρ ἐξώγκωσε πατὴρ στερεώματα κόσμων. εἰ δὲ τῷ ταῦτα πρὸς πίστιν οὐκ ἀρκεῖ τοῦ τὰ ἄυλα σώματα, καὶ δι᾽ ἀλλήλων καὶ διὰ τῶν ἐνύλων χωρεῖν, ἀπαιτείτω καὶ τούτου τὰς εὐθύνας τὸν σῶμα τὸν τόπον λέγοντα. τί δὲ δή ποτε τῶν λογίων ἀθρόως εἰπόντων, καὶ τὸ φῶς καὶ τὸ πῦρ καὶ τὸν αἰθέρα καὶ τοὺς ἐνύλους κόσμους ἀπὸ τῆς πηγαίας ψυχοῦσθαι ψυχῆς, ἄρδην ἐμψυχοῦσα φάος πῦρ αἰθέρα κόσμους, αὐτὸς τὸ μὲν φῶς ἀπ᾽ αὐτῆς ἀμέσως ψυχοῦσθαι λέγει τῆς πηγαίας ψυχῆς, τοὺς δὲ ἄλλους κόσμους οὐκέτι. πῶς δὲ καὶ λέγει τὸ φῶς ὑπ᾽ αὐτῆς ψυχοῦσθαι. ἆρα ὅτι ψυχὴ ἐκείνου γίνεται; ἀλλ᾽ οὐκ ἂν εἴποι τοῦτο. πῶς γὰρ οἷόν τε τὴν πηγὴν τῶν ψυχῶν ἑνός τινος εἶναι ψυχήν. ἀλλ᾽ ὅτι τὰ μὲν ἄλλα καὶ ἰδίας ἔχει ψυχὰς, τοῦτο δὲ τὴν ἀπὸ τῆς πηγαίας ψυχῆς ἔλλαμψιν μόνην. καί τοι οὐδὲ τὸ ἐμπύριον ψυχὴν ἔχειν λέγουσι, νοερὸν αὐτὸ καλοῦντες. ἀλλ᾽ ἀπὸ τοῦ αἰθέρος ἄρχεσθαι τὰς ψυχάς φασιν. εἰ μὴ ἄρα παντὸς μὲν ψυχὴ σώματος ἐπιμελεῖται. ἀναλογία δέ τις ἐν τοῖς κόσμοις ἐστὶν ἡ τοῦ νοεροῦ καὶ ψυχικοῦ καὶ φυσικοῦ. εἰ δὲ καὶ τὰ κέντρα τοῦ ἐμπυρίου στερεώματος ἐν τῷ φωτὶ πεπηγέναι φησὶν, οὐ γὰρ δὴ πάντων τῶν κόσμων, ὡς ἡ ὑπ᾽ αὐτοῦ ἀναλογία δηλοῖ, τί ἄλλο ἢ τὸν αὐτὸν ἕξει λόγον τὸ φῶς πρὸς τὸ ἐμπύριον, ὃν τοῦτο πρὸς τὸ αἰθέριον, καὶ τοῦτο πρὸς τὸ ὑλαῖον. εἰ οὖν ταῦτα, καί τοι πεπηγότων ἐν αὐτοῖς τῶν καταδεεστέρων κέντρων οὐκ εἰσὶν αὐτῶν τόποι, οὐδ᾽ ἂν τὸ φῶς τόπος εἴη διὰ τοῦτο. πόθεν δὲ ὅτι τοῦ πατρικοῦ βυθοῦ παντὸς εἰκών ἐστι τὸ φῶς, ἀλλ᾽ οὐχὶ τῆς βάσεως τοῦ νοητοῦ. ὅπερ καὶ αὐτὸς βούλεται μᾶλλον. ἐκεῖνος γὰρ τῆς τριαδικῆς τῶν κόσμων τομῆς ἐξηρημένος, εἰς τρία λέγεται τέμνειν τὰ πάντα. τούτου γὰρ καὶ ἡ μονὰς τῆς τριάδος τῶν κόσμων ἐξάπτεται ὡς κόσμος εἷς, ἀλλ᾽ οὐχ ὡς τόπος τῶν κόσμων. εἰ γὰρ μὴ εἷς ὁ κόσμος πρὸ τριῶν, πῶς ἂν ὁ τόπος εἴη τῶν τριῶν προσεχὴς καὶ πρῶτος. ταῦτα μὲν ἄν τις εἴποι καὶ πρὸς τὰς τοιαύτας ἀναλογίας. τὰ δὲ ὅσα φησὶ, τὴν πρὸς τὰ ἀξιώματα τὰ περὶ τοῦ τόπου συμφωνίαν ἐπιδεικνὺς τῆς τοιαύτης ὑποθέσεως, οὐδὲν μᾶλλον τοῖς σῶμα τιθεμένοις τὸν τόπον ἁρμόσει, ἢ τοῖς ἀσώματον αὐτὸν διάστημα λέγουσιν. ὡς καὶ αὐτὸς μαρτυρεῖ, τὸν λόγον ἐπὶ διαστήματος ποιούμενος. ὁμοίως δὲ καὶ ὅσα προβαλλόμενος ὡς οἰκεῖα περὶ τόπου ζητήματα διαλύει, κοινὰ πρὸς πάσας σχεδόν ἐστι τὰς ὑποθέσεις. διόπερ ἐπὶ τέλει τῶν περὶ τόπου λόγων πειράσομαι τὰ τοιαῦτα συναγαγεῖν. νῦν δὲ ἐρωτᾶν ἔπεισί μοι τοὺς σῶμα τὸν τόπον

ἄϋλον ὑποθεμένους, πότερον διὰ τὸ σῶμα εἶναι τόπος ἐστὶ σωμάτων, ἢ διὰ τὸ ἄϋλον. ἀλλ᾽ οὐκ ἂν εἴποι
διότι σῶμα, ἀλλ᾽ ὅτι ἄϋλον σῶμα, καίτοι καὶ τὰ ὑπὲρ τὸν ὑλαῖον κόσμον στερεώματα ἄϋλα λέ-
γοντες, ὅμως οὐ τόπον ἀλλὰ δεῖσθαι τόπου φασίν. εἰ οὖν μήτε ὡς σῶμα μήτε ὡς ἄϋλον σῶμα, ἀνεν-
δεής ἐστιν αὐτὸς τόπου τοῖς ἄλλοις τόπος γινόμενος, διὰ τί ἄλλο λεγέτωσαν. δεύτερον εἰ διὰ τὸ ἄϋλος
εἶναι οὐ δεῖται τόπου, ἔοικεν ἡ ὕλη κυρίως εἶναι ἡ τοῦ τόπου δεομένη. καίτοι τίς ἂν ἐν τόπῳ λέγοι κα-
τὰ τὸν αὐτῆς λόγον τὴν ὕλην. εἰ δὲ τὸ ἔνυλόν τις φαίη, πῶς καὶ τὰ ἄϋλα ἐν τόπῳ. τρίτον δὲ καὶ
κυριώτατον ἄν τις καὶ τούτοις τὰ αὐτὰ ἐγκαλέσοι δικαίως ἅπερ τοῖς προτέροις. ὅτι τὴν ἰδιό-
τητα τοῦ τόπου παρῆκαν ζητεῖν, ἥτις ποτέ ἐστι, καὶ τίνα παρέχεται τοῖς ἐν αὐτῷ ὠφέλειαν. ἧς
μὴ εὑρεθείσης οἶμαι, οὔτε εἰ σῶμα οὔτε εἰ ἀσώματον ἐστὶν ὁ τόπος μαθεῖν δυνατόν. φέρε γὰρ εἰ καθὸ σῶμα
ἕκαστον δέοιτο τόπου, ἆρα δυνατόν ἐστι σῶμα τὸν τόπον εἶναι, καὶ οὐχὶ καὶ αὐτὸς δεήσεται τόπου;
τῶν δὲ διάστημα τὸν τόπον ἀσώματον λεγόντων, καὶ κοινωνία φαίνεται συχνὴ καὶ διαφορά. καθό-
σον μὲν γὰρ ἀσώματον πάντες λέγουσι τοῦτο χωρητικὸν σωμάτων, κατὰ τοῦτο κοινωνεῖν ἀλλήλοις
δοκοῦσι. καθόσον δὲ οἱ μὲν ὄντως αὐτὸ νομίζουσιν, οὐδὲν ἄλλο ἢ κατ᾽ ἀπουσίαν ὁρῶντες αὐτὸ τοῦ σώ-
ματος, καὶ τὸ χωρητικὸν σωμάτων οὐχ ὡς φύσιν ἔχειν τινά φασιν, ἀλλὰ διὰ τὸ μηδὲν εἶναι μὴ δὲ ἐμ-
ποδίζειν τοῖς ἐν αὐτῷ θεωροῦσιν, οἱ δὲ, καὶ φύσιν καὶ δύναμιν οἰκείαν ἔχειν αὐτό φασι, καὶ τὸ χω-
ρητικὸν τοῦτο οὐ κατὰ συμβεβηκὸς αὐτῷ ὑπάρχειν νομίζουσιν ἀλλὰ καθ᾽ αὑτὸ, διαφέρουσιν. εἰσὶ δὲ οἳ
καὶ κρεῖττον αὐτὸ τῶν σωμάτων λέγουσι. πάλιν δὲ αὖ τῶν τὸ κενὸν αὐτὸ τιθεμένων, οἱ μὲν, ἄπειρον
εἶναί φασι καὶ ὑπερβάλλον ἀπειρίᾳ τὰ σώματα, καὶ διὰ τοῦτο ἄλλο ἐν ἄλλοις αὐτοῦ μέρεσι κατα-
δεχόμενον ὡς ἂν ἔτυχεν, εἴπερ μέρη λέγειν ἐπὶ τοῦ ἀπείρου κενοῦ δυνατόν. τοιαύτην δὲ περὶ αὐτοῦ
δόξαν ἐσχηκέναι δοκοῦσιν οἱ περὶ δημόκριτον ἀρχαῖοι φυσιολόγοι. οἱ δὲ ἰσόμετρον αὐτὸ τῷ κοσμικῷ
σώματι ποιοῦσι. καὶ διὰ τοῦτο τῇ μὲν ἑαυτοῦ φύσει κενὸν εἶναι λέγουσι, πεπληρῶσθαι δὲ αὐτὸ σωμά-
των ἀεὶ, καὶ μόνῃ γε τῇ ἐπινοίᾳ θεωρεῖσθαι ὡς καθ᾽ αὑτὸ ὑφεστώς. οἷοί τινες οἱ πολλοὶ τῶν πλατω-
νικῶν φιλοσόφων γεγόνασι. καὶ στράτωνα δὲ οἶμαι τὸν λαμψακηνὸν τῆς τοιαύτης γενέσθαι δόξης.
τῶν μέντοι καὶ εἶδος ἔχειν αὐτὸ τιθεμένων, καὶ δύναμιν τῶν σωμάτων ὑπερτέραν ἔχειν λεγόν-
των, συριανὸν ἐτώ γε θείων ἂν τὸν μέγαν τοῦ λυκίου πρόκλου καθηγεμόνα. ὃς ἐν τοῖς εἰς τὸ δέκατον
τῶν πλάτωνος νόμων ὑπομνήμασι τοιαῦτα περὶ τοῦ τόπου γέγραφε. διάστημα γὰρ εἰπὼν αὐτὸν,
φησὶ διάστημα γάρ ἐστι τὸ ταῖς οἰκείαις τομαῖς καὶ διαιρέσεσιν, ἃς ἔσχεν ἐκ τῶν διαφόρων τῆς ψυχῆς
λόγων καὶ τῆς τῶν δημιουργικῶν εἰδῶν ἐλλάμψεως, οἰκειούμενον τὰ τοιὰ ἢ τὰ τοιὰ τῶν σωμάτων, καὶ
ποιοῦν ἑαυτὸ κατὰ τὰ δὲ μὲν τὰ μέρη χώραν οἰκείαν πυρὸς, ἐφ᾽ ἣν κατὰ φύσιν τὸ πῦρ ἐν τιμαίῳ
λέγει φέρεσθαι, κατὰ τάδε δὲ χώραν οἰκείαν γῆς, ἐφ᾽ ἣν κατὰ φύσιν ἡ γῆ φέρεται, καὶ μένει ἐν
ἑαυτῇ οὖσα. διὸ καὶ νῦν πάντα τὰ κινούμενα καὶ τὰ ἑστῶτα κατὰ φύσιν, ἐν τόπῳ φησὶν ἑκάτερον
ὑπομένειν. οὔτε δὲ ἡ κίνησις οὔτε ἡ στάσις τοῦ διαστήματος δουλεύει τῇ φύσει τῶν σωμάτων. οὐ δὲ παρ᾽
αὐτῆς ἐνδίδοται. πρὸς μὲν οὖν τοὺς τὸ κενὸν διάστημα τὸν τόπον εἶναι τιθεμένους, εἴτε ἄπειρον εἴτε
πεπερασμένον, ἀρκέσει τὸ ἀδύνατον αἰτιᾶσθαι τοῦ κενοῦ τὴν τοῦ τόπου δύναμιν, ὡς καὶ ἀριστοτέ-
λης φησὶν, ἐκ τῆς κατὰ φύσιν τῶν σωμάτων φορᾶς ἐπὶ τοὺς οἰκείους τόπους ἐπιδεικνύντι. τί δὲ ἂν
εἴη δύναμις ἤ τις διαφορὰ τοῦ κενοῦ ὡς κενοῦ θεωρουμένου, ὥστε τὸ μὲν, αὐτῶν πρὸς τάδε τῶν
σωμάτων οἰκείως ἔχειν, τὸ δὲ πρὸς τάδε, ἢ τὸ μὲν ἐν τῷ μέσῳ, τὸ δὲ ἐν τῷ πέριξ ἱδρύεσθαι. εἴτε γὰρ
ἄπειρον εἴη, πῶς ἂν ἔχοι τὸ μέσον ἢ τὸ πέριξ πέρατα ὄντα ταῦτα. εἴτε πεπερασμένον, καὶ τὸ πέ-
ρας ἂν κατὰ συμβεβηκὸς ἂν ἔχοι διὰ τὸ σῶμα, καὶ τὸ μέσον δὲ καὶ τὸ πέριξ ὡσαύτως, οὔτε γὰρ
πέρας ἔχοι ἂν τὸ οὕτω κενὸν, οὔτε διαφορὰν τοῦ μέσου καὶ πέριξ, σχεδόν τι ἀπόφασις ὂν σώματος,
καὶ οὐδὲν ἄλλο ἢ τὸ μὴ ὄν. ὅτι γὰρ οὐδέν ἐστι τὸ τοιοῦτο, δῆλον ἐκ τοῦ κἂν ἀφέλῃ τις αὐτὸ τῇ ἐπινοίᾳ,
πάλιν διάστημα κενὸν καταλιμπάνειν ἐν ᾧ τοῦτο ἦν. ὥσπερ τὸ σῶμα ἀφελόντες ἐκεῖνο καταλελοί-
παμεν. καὶ τοῦτο ἐπ᾽ ἄπειρον ποιοῦντες οὐ παυσόμεθα, κενὸν πρὸ κενοῦ τιθέντες ἀεί. διότι ματαία
ἐστὶν ἡ φαντασία καὶ ὄντως κενή. καὶ πρός γε τοὺς οὕτως τιθεμένους καλῶς ὁ ἀριστοτέλης ἐναντιώσε-
ται. ὅτι δὲ τὸ κενὸν διάστημα καὶ ὁ τόπος ἐστὶ, τάχα ἄν τις ὧδέ πως ἐπιχειροίη δεικνύναι, τοῖς αὐτοῖς
ἀξιώμασι τοῖς περὶ τοῦ τόπου προσχρώμενος. ὁ τόπος χωρητικὸς βούλεται εἶναι τοῦ ἐν τόπῳ σώμα-
τος, καὶ συνδιεστάναι τῷ σώματι, καὶ ἴσως αὐτῷ κατὰ τὰς τρεῖς ὑπάρχειν διαστάσεις. τὸ συνδιεστὼς
τῷ σώματι τριχῇ διέστηκε. τὸ τριχῇ διεστὼς ἢ σῶμα ἐστὶν ἢ ἀσώματον διάστημα. ἀλλ᾽ εἰ σῶμα, πάντως καὶ
αὐτὸ ἐν τόπῳ καθὸ σῶμα. τί γὰρ τοῦ ἐν τόπῳ σώματος καθὸ σῶμα διενήνοχεν. εἰ δὲ ὁ τόπος μὴ δεῖται
τόπου, οὐκ ἂν εἴη σῶμα. ἀσώματον ἄρα διάστημα ἐστὶν ὁ τόπος, χωρητικὴν ἔχον τῶν σωμάτων δύνα-
μιν. καὶ διὰ τοῦτο καὶ ἀριστοτέλης τὰ ἀπὸ τῆς κοινῆς φθεγγόμενος ἐννοίας ἔλεγε, διαστήματα μὲν
οὖν ἔχει τρία μῆκος καὶ βάθος καὶ πλάτος. ἀδύνατον δὲ σῶμα εἶναι τὸν τόπον. ἀλλά φασιν, εἰ καὶ
πᾶν τὸ τριχῇ διαστατὸν σῶμα λέγομεν, ἀλλ᾽ οὐ πᾶν σῶμα φυσικόν ἐστι. καὶ γὰρ καὶ μαθηματικόν τι
σῶμα εἶναι λέγομεν, ὃ καὶ στερεὸν καλοῦμεν, τὸ ταῖς τρισὶ διαστάσεσιν ὁριζόμενον. καὶ ὅμως οὐ βουλό-

μεθα ἐν τόπῳ εἶναι τὰ μαθηματικὰ σώματα. ὥστε εἰ καὶ σῶμα τις φιλονεικοίη δεικνύναι τὸ ψιλὴν
διάστασιν, ἀλλ' οὐ τοιοῦτον ἔσται ὡς τόπου καὶ αὐτὸ δεῖσθαι. ἀλλ' ἔστιν ἐν μέσῳ τοῦ τε ἐν λόγῳ καὶ
αἰσθητικοῦ σώματος ἐν ᾧ καὶ ψυχὴ τὴν ὑπόστασιν ἀσώματον ἔχοντος, καὶ τοῦ ἐνύλου καὶ φυσικοῦ. ὃ
καὶ σῶμα κυρίως καλοῦμεν. ὅλως γὰρ τὸ κυρίως καλούμενον σῶμα οὐ κατὰ τὰς διαστάσεις ὁρίζε-
ται. οὐ γὰρ ἂν ἀσώματα ἐλέγετο τὰ μαθηματικά. ἀλλὰ μετὰ τῶν διαστάσεων ἔχει τι μέσωμα τὸ
κυρίως σῶμα τὸ φυσικὸν, καθ' ὃ τῶν μαθηματικῶν διενήνοχε. δύο τοίνυν εἶναι μεγέθη παρεισωμέ-
να ἀλλήλοις, τό, τε τοῦ τόπου καὶ τὸ τοῦ σώματος, τὸ μὲν, πρὸς τῇ διαστάσει χωρητικὴν ἔχον δύνα-
μιν, τὸ δὲ, πρὸς τῇ διαστάσει πληρωτικὴν ἐκείνου τοῦ χωρήματος. ἵνα καθόσον μὲν διέστηκεν ἡ χώρα
κατὰ τοσοῦτον δύνηται τῷ ἐν τόπῳ σώματι. καθόσον δὲ οὐδὲν ἔχει σῶμα, κατὰ τοσοῦτον δύνηται
δέχεσθαι τὸ σῶμα, ὑπὸ μηδενὸς παρεμποδιζόμενον. καὶ τοῦτό ἐστιν ὡς ἔοικεν ἡ ἐν τῷ κόσμῳ τοῦ νοητοῦ
χάους εἰκὼν ἡ χώρα τῶν σωμάτων, παρὰ τὸ χῶ ῥῆμα ὃ σημαίνει τὸ χωρῶ χάος καλούμενον. καὶ
ὅτι οὐ κατ' ἐπίνοιαν μόνην κενὴν ὀνομάσθη τὸ τοπικὸν τοῦτο διάστημα, καὶ ἐντεῦθεν ἐστὶ συνιδεῖν. τὰ
κατὰ τόπον κινούμενα πόθεν ποῖ λέγομεν κινεῖσθαι. τὸ δὲ πόθεν ποῖ, διάστημά τι πάντως ἔχει μετα-
ξύ. τοῦτο οὖν τὸ μεταξὺ διάστημα, ἢ αὐτοῦ τοῦ κινουμένου σώματός ἐστιν, ἢ ἄλλου σώματος δι' οὗ κινεῖ-
ται τὸ κινούμενον, ἢ τοῦ ἀέρος, ἢ αὐτό τι καθ' αὑτὸ ἀσώματον. οὐ γάρ ἐστιν ἄλλο σῶμα, πλὴν τοῦ κινου-
μένου καὶ ἐκείνου τοῦ δι' οὗ ἡ κίνησις. ἀλλ' οὔτε τοῦ κινουμένου τὸ διάστημά ἐστιν. εἰ γὰρ ἐν τῷ οἰκείῳ δια-
στήματι ἐκινεῖτο, οὐδ' ἂν μεταβαῖνον ἐλέγετο τόπον ἐκ τόπου. οὐ μέντοι οὐδὲ ἄλλου τινὸς ἐνύλου
σώματος δι' οὗ κινεῖται. οὐ γὰρ μένοντος τοῦ ἀέρος ἢ τοῦ ὕδατος, κινεῖται τὸ δι' αὐτῶν κινεῖσθαι λεγό-
μενον, ἀλλὰ σχιζομένου. ἐκεῖνο οὖν ἐστι τὸ διάστημα, ὃ δίεισι τὰ κινούμενα, τὸ μετὰ σχέσιν ὑπολειπόμε-
νον, καὶ δεχόμενον τὰ δι' αὐτοῦ προποδίζοντα. καὶ κατ' ἐκεῖνο μετρεῖται τὸ διάστημα τῆς κινήσεως,
ἀπὸ τοῦ κινουμένου καταμετρούμενον τοσαυτάκις, ὁσαπλάσιόν ἐστιν αὐτὸ τοῦ κινουμένου σώματος.
οὐκ ἄρα τὸ οἰκεῖον μόνον ἐστὶ τῶν σωμάτων διάστημα, ἀλλά τι καὶ ἄλλο παρὰ ταῦτα. ὁ δέ γε τοῦ ἀρι-
στοτέλους λόγος, ὁ μηδὲν ἄλλο διάστημα παρ' αὐτὸ τὸ τοῦ σώματος ἀπολείπεσθαι διατεινόμενος, ἔστι
μὲν ἀσαφὴς ἱκανῶς, ἀρχόμενος ἀπὸ τοῦ εἰ δὲ ἦν τι διάστημα, τὸ πεφυκὸς καὶ μένον ἐν τῷ αὐτῷ, καὶ
τελευτῶν εἰς τὸ ὅς ἐστι τόπος ὅλου τοῦ οὐρανοῦ. καὶ εἴρηται πρότερον, ὅτι συνημμένον τι περαίνεται
δι' αὐτοῦ τὸ λέγον, ὡς εἰ ἔστι διάστημα τὸ πεφυκὸς μένειν ἐν τῷ αὐτῷ, ἄπειροι ἔσονται τόποι. καὶ ὁ τό-
πος κατὰ τόπον κινήσεται. καὶ ἔσται τοῦ τόπου τόπος. καὶ πολλοὶ τόποι ἅμα ἔσονται. ἀλλὰ μὴν
ταῦτα ἀδύνατα. ἀδύνατον ἄρα καὶ τὸ εἶναι τοιοῦτον διάστημα. καὶ εἴρηται πᾶς ὁ λόγος, ἐκ τοῦ καὶ
τὰ μόρια τοῦ ἐν τόπῳ καθ' αὑτὰ εἶναι ἐν τόπῳ, ἐπειδὴ δι' ἑκάστου τῶν μορίων χωρεῖ τὸ διάστημα. εἰ δὲ
τοῦτο, ἐπ' ἄπειρον διαιρουμένου τοῦ ἐν τόπῳ, ἀπείρους εἶναι συμβαίνει τοὺς τόπους. καὶ μεθισταμένου
τοῦ ὑποτεθέντος ἀγγείου, συμμεθίστανται οἱ τόποι εἰς ἄλλα διαστήματα. καὶ οὕτως ὁ τόπος κατὰ τό-
πον κινήσεται. καὶ ἔσται ὁ τόπος ἐν τόπῳ. ταῦτα δὲ τοῖς τὸ πέρας τοῦ περιέχοντος λέγουσι τὸν
τόπον οὐκ ἀκολουθεῖ. διότι τὰ μόρια τοῦ ἐν τόπῳ οὐκ ἔστι καθ' αὑτὰ ἐν τόπῳ. ὅτι δὲ οὐχ ἕπεται τὰ
ἄτοπα ταῦτα τῷ λόγῳ, δέδεικται κατὰ τὴν τῆς λέξεως ἐκείνης ἐξήγησιν. ὡς γὰρ τὸ σῶμα συ-
νεχὲς, οὕτω καὶ τὸ διάστημα συνεχὲς οἱ λέγοντες ὑποτίθενται καὶ ἀκίνητον. ὡς οὖν τὰ τοῦ σώματος
μόρια οὐκ ἔστιν οὕτω διακεκριμένα, οὐ γὰρ ἂν ἔτι μόρια εἴη, ἀλλὰ κόμματα καὶ μονάδες μᾶλλον, οὔ-
τε μέντοι συγκεκριμένα τελέως, στοιχείων γὰρ αὕτη φύσις ἐστὶν, ἀλλ' ἐν τῷ διακρίνεσθαι τὴν πᾶ-
σαν ἑαυτῶν ὑπόστασιν ἔλαχεν, οὕτω δὲ καὶ τὰ τόπου. καὶ ὡς αὐτὸς εἴωθε λέγειν, δυνάμει ἐστὶν ἀλλ' οὐκ
ἐνεργείᾳ τὰ μόρια τοῦ τε σώματος καὶ τοῦ τόπου. τοιαῦτα δὲ ὄντα τὰ μόρια τοῦ σώματος, καθὸ
τοιαῦτα ἐστὶν ἐν τῷ τοιούτῳ τόπῳ, καὶ οὐ κατὰ συμβεβηκός. εἰ δὲ τοῦτο ἀληθὲς, οὐ πᾶν τὸ καθ' αὑτὸ
ὂν ἐν τόπῳ ὡς αὐτός φησι διωρισμένον ὤφειλεν εἶναι. εἰ δὲ τούτῳ ἠκολούθησε τὸ πρός τι περαίνειν,
οὐδὲ τοῦτο πάντως ἀναγκαῖόν ἐστιν. ἀλλ' οὐδὲ μεταβήσεται ὁ τόπος. ἀκίνητον γὰρ ἅπαν ἐστὶ τὸ διά-
στημα, καθ' ἕκαστον ἑαυτοῦ μέρος τὸ ἀεὶ γινόμενον ἐν αὐτῷ τῶν σωμάτων ὑποδεχόμενον. ὡς διὰ τῶν
ὁλκῶν τὸ ὕδωρ χωροῦν ἀκινήτων ὄντων. ἄλλο τε κατ' ἄλλο μέρος περιέχεται, οὐ συνεφελκόμενον
ἑαυτῷ τοῦ ὁλκοῦ τὸ πρότερον μέρος. οὔτε οὖν τόπου δεήσεται ὁ τόπος, οὔτε πολλοὶ ἅμα ἔσον-
ται τόποι. οὐ γὰρ μεθίσταται τὰ τοπικὰ διαστήματα, οὐδὲ εἰς ἄλληλα ἐμβαίνει. οὐ μέντοι οὐδὲ ἄπει-
ροι ἔσονται οἱ τόποι, ἐπειδὴ μήτε τὰ τοῦ συνεχοῦς μέρη ἐνεργείᾳ διῄρηται εἰς ἄπειρα, μήτε τὰ τοῦ
διαστήματος. ἀλλὰ τὴν μὲν ὑπὸ ἀριστοτέλους λεγομένην ἀτοπίαν οὕτως οἶμαι ῥᾳδίως οἱ τὸ διάστημα
λέγοντες ἐκφεύξονται. τὰς δὲ ἄλλας ἀπορίας τὰς δυναμένας φέρεσθαι πρὸς τοῦτον τὸν λό-
γον ἐπισκεψώμεθα. καὶ πρῶτόν γε τὸ νῦν ὑποκείμενον διάστημα, πότερον ἔνυλον εἶδος ἢ ἄϋλον
ἐρωτητέον. καὶ γὰρ εἰ μὲν ἄϋλον, οὐ φυσικὸν ἂν εἴη, οὐδὲ τοῦτο περὶ οὗ ζητοῦμεν ὁ τόπος. ἔπει-
τα εἰ ἐπινοίᾳ μόνον ἐστὶν, εἴη ἂν καὶ τὸ ἐν τόπῳ ἐν ἐπινοίᾳ μόνον, καὶ οὐκ ἐν ὑποστάσει. καὶ εἴ-
περ ἄρα, τὸ μαθηματικὸν ἂν εἴη σῶμα. εἰ δὲ ἐν ὑποστάσει καὶ τοῦτο, πῶς ἂν εἴη παντελῶς

ἄϋλον ὑπὸ σελήνην τριχῆ διεστὼς, καὶ οὐσία καθ' αὑτὸ ὂν καὶ οὐχὶ συμβεβηκός. εἰ δὲ ἔνυλόν τις αὐτὸ λέγοι, πρῶτον μὲν τί διοίσει τοῦ σώματος τὸ τριχῆ διαστατὸν εἶδος ἐν ὕλῃ γινόμενον. εἰ μὲν γὰρ διαστάσεις ἐλέγομεν αὐτὸ μόνας, πολλὴ ἂν ἦν ἡ πρὸς τὸ διαστατὸν αὐτοῦ διαφορά. νῦν γὰρ τὸ μὲν, εἶδος μόνον, τὸ δὲ ἔνυλον εἶδος. εἰ δὲ καὶ τὸ διάστημα ἔνυλον εἶδος φαμὲν, καὶ τὸ σύνθετον διαστατὸν λέγομεν, τί ἔτι διοίσει τοῦ σώματος. ἔπειτα εἰ ἔνυλον ἐστὶν εἶδος, ἢ ὅλην κατέλαβε τὴν ὕλην ἢ μέρος αὐτῆς. ἀλλ' εἰ μέρος μὲν τὸ διάστημα, μέρος δὲ τὸ σῶμα, ἤ ἅμα δύο ὗλαι ἔσονται ἥτε τοῦ τόπου καὶ τοῦ ἐν τόπῳ ἐν τῷ αὐτῷ διαστήματι, ἢ ἀλλαχοῦ μὲν ἔσται ὁ τόπος, ἀλλαχοῦ δὲ τὸ ἐν τόπῳ σῶμα, καὶ οὔτε τὸ σῶμα ἐν τόπῳ, οὔτε ὁ τόπος σώματος. εἰ δὲ ὅλην κατέλαβε τὴν ὕλην τὸ διάστημα, πῶς ἡ τοῦτο δεξαμένη καθ' ὅλην ἑαυτὴν ἔτι δέξεται τὸ σῶμα. δεύτερον εἰ ἄλλος ὁ τόπος καὶ ἄλλο τὸ ἐν τόπῳ, ἤτοι μία μέν ἐστιν ἡ ὕλη, εἴδη δὲ δύο, ἢ πρὸς τοῖς εἴδεσι καὶ ὕλας εἶναι χρὴ δύο. ἀλλ' εἰ μία, ὅταν ἀποχωρῇ τοῦ τόπου τὸ ἐν τόπῳ, ἡ ὕλη ἑαυτῆς ἐκστήσεται, καὶ αὐτὴ ἑαυτῆς χωρισθήσεται, μένουσα μὲν διὰ τὸν τόπον, μεθισταμένη δὲ διὰ τὸ σῶμα. εἰ δὲ δύο, πῶς οἷόν τε ἐν τῷ αὐτῷ ὄγκῳ δύο ὕλας εἶναι τήν τε τοῦ τόπου καὶ τὴν τοῦ σώματος. τρίτον εἰ τὸ τοῦ σώματος διάστημα γίνεται ἐν τῷ τοπικῷ διαστήματι, πῶς δύο μὲν εἶναι σώματα ἐν ταὐτῷ δυσχεραίνομεν, δύο δὲ διαστήματα συγχωροῦμεν. τὰ γὰρ ἄλλα τῶν σωμάτων συμβεβηκότα, οἷον λευκότητες καὶ θερμότητες, τὴν δι' ἀλλήλων διέξιν οὐ κωλύουσι. τέταρτον εἰ τὸ σῶμα οὐσία ὂν ἐν τόπῳ ἐστὶν, ὁ δὲ τόπος διάστημα, τὸ δὲ διάστημα ποσὸν, τὸ δὲ ποσὸν συμβεβηκὸς, ἔσται ἡ οὐσία ἐν συμβεβηκότι. καὶ αὐτό γε τοῦτο ἄτοπον. καὶ μέν τοι γε ὅτι κρείττονα εἶναι τὸν τόπον τοῦ ἐν τόπῳ φαμὲν, πέμπτον τὸ διάστημα τοῦτο, ἢ ἄψυχον ἐστὶν ἢ ἔμψυχον. ἀλλ' εἰ μὲν ἄψυχον, καὶ ἄνουν ἔσται. νοῦν γὰρ ἄνευ ψυχῆς ἀδύνατον παραγενέσθαι τῳ. καὶ πῶς οὐ χεῖρον ἔσται τοῦ ἐν τόπῳ. νοῦν γὰρ ἐν ψυχῇ, ψυχὴν δὲ ἐν σώματι συνιστὰς ὁ θεὸς, τὸν κόσμον συνετεκτήνατο, ὡς ὁ Τίμαιος φησίν. εἰ δὲ ἔμψυχον, πῶς ἀκίνητον ἔσται ψυχὴν ἔχον αὐτοκίνητον. ἢ πῶς κινούμενον οὐ δεήσεται τόπου. ἕκτον δὲ πότερον ἀΐδιον ἐστὶ τὸ πᾶν διάστημα καθ' ὅλον τε καὶ κατὰ μέρη, ἢ τὸ μὲν τὸν οὐρανὸν δεξάμενον ἀΐδιον ἐστὶ, τὸ δὲ ὑπὸ σελήνην τοῖς μέρεσι φθαρτὸν, ἀλλ' εἰ μὲν τὸ πᾶν ἄφθαρτον, τί διοίσει τοῦ ἐν τῷ οὐρανῷ τὸ ὑπὸ σελήνην. εἰ δὲ τοῦτο φθαρτὸν, τίς ἂν εἴη τῆς φθορᾶς τρόπος, οὐ μεταβαλλόντων εἰς ἄλληλα τῶν τοῦ τόπου μερῶν, οὐδὲ τοῦ τόπου εἰς ἄλλο, οὐδὲ ἄλλου τινὸς εἰς τὸν τόπον. ἕβδομον, εἰ τὰ μὴ δεηθέντα τοῦ τόπου ἀδιάστατά ἐστι, τὰ διαστατὰ ἄρα δεήσεται τόπου, φαίη ἂν τις συλλογιστικὸς ἀνήρ. ταῦτα μὲν οὖν καὶ ἄλλα τοιαῦτα πρὸς τοὺς τὸ διάστημα τὸν τόπον λέγοντας δυνατὸν εἰπεῖν. οὐ πάντη δὲ τοῖς ἐρωτήσασι λόγοις ἐνδιδόναι χρή. εὖ τί γὰρ πρὸς τὸν ἐρωτήσαντα πότερον ἔνυλον ἢ ἄϋλον ἐστὶ τὸ διάστημα, ἔνυλον ἐροῦμεν. καὶ γὰρ ὥσπερ τὸ μὲν διεσπασμένον καὶ διωγκωμένον καὶ ἀόριστον ὑλικὸν φαμὲν, τὸν δὲ ὅρον καὶ τὸ πέρας καὶ τὴν μορφὴν εἰδικὸν, οὕτω καὶ ἐπὶ τοῦ διαστήματος ἐροῦμεν. καὶ γὰρ καὶ τούτου τὸ μὲν διεστηκὸς κατ' ἔκχυσιν καὶ πάρεσιν ὑλικὸν ἂν εἴη. τὸ δὲ ἔμμετρον καὶ ὡρισμένον, μᾶλλον δὲ τὸ ἐν αὐτῷ μέτρον καὶ τὸν ὅρον, εἰδητικόν. καὶ τὸ τοιοῦτον εἶδος ἐν μέρει δηλονότι τῆς ὕλης ἐγένετο, ὥσπερ καὶ τὸ οὐράνιον. ἄλλη γὰρ ἡ πρὸς τὸ τοπικὸν καὶ ἄλλη ἡ πρὸς τὸ σωματικὸν εἶδος παράλλαξις. καὶ οὐδὲν ἄτοπον δύο ὕλας ἐν ταὐτῷ εἶναι. οὐ γὰρ ἡ ὕλη τὴν δι' ἀλλήλων διέξιν κωλύει. οὐ μέν τοι οὐδὲ δύο διαστήματα ἐν ταὐτῷ εἶναι ἄτοπον, εἰ τὸ μὲν σωματικὸν εἴη, τὸ δὲ κενὸν, καὶ τὸ μὲν, χώρα τις, τὸ δὲ ἐν χώρᾳ. τετραχῶς γὰρ ἔοικε λέγεσθαι τὸ διάστημα. τὸ μὲν ἐν λόγῳ μόνον ἀδιαστάτῳ, ὡς ὁ ὁρισμὸς ἔχει τοῦ διαστήματος. τὸ δὲ, ἐν ἐπινοίᾳ διαστάσεως, ὡς ἔχει τὸ μαθηματικόν. τὸ δὲ ἔνυλον μετὰ ποιοτήτων καὶ ἀντιτυπιῶν φυσικῶν, οἷον τὸ σῶμα ἐστί. τὸ δὲ, ἔνυλον μὲν, ἄποιον δὲ πάντη καὶ ἀσώματον. ἄλλη δὲ παρὰ ταῦτα ἡ ὑλικὴ διάστασις, κατὰ τὸν διασπασμὸν καὶ τὸ ἀόριστον θεωρουμένη. ἀλλ' οὐδὲ συμβεβηκὸς ὁ τόπος. ἀλλ' οὐσία καὶ οὗτος. οὐ γὰρ διάστασις ἁπλῶς ἐστὶν, ἀλλὰ διαστῶσα χώρα. οὐδὲν δὲ θαυμαστὸν καὶ ἔμψυχον αὐτὸ εἶναι καὶ ἀκίνητον. οὐ γὰρ κινήσεως μόνης ἐστὶν αἰτία τῆς κατὰ τόπον ἡ ψυχικὴ ζωὴ, ἀλλὰ καὶ στάσεως. τοιγαροῦν πολλὰ τῶν ἐμψύχων εἰσὶν ἑστῶτα, ὡς ὁ ἄξων, καὶ οἱ πόλοι, καὶ τὸ κέντρον, καὶ ἡ γῆ πᾶσα. εἰ δὲ ἀρχὴ λέγεται κινήσεως ἡ ψυχὴ, ταύτης λέγεται τῆς ἐν στάσει θεωρουμένης. ἣν κυριώτερόν ἐστι γένεσιν καλεῖν. οὐδὲν δὲ θαυμαστὸν καὶ ἀΐδιον εἶναι τὸ πᾶν διάστημα, καὶ διαφορὰν ἔχειν τὸ οὐράνιον πρὸς τὸ ὑπὸ σελήνην. καὶ γὰρ οἱ οὐρανοὶ πάντες ἀΐδιοι ὄντες, πολλὴν ἔχουσι πρὸς ἀλλήλους διαφοράν. ἀλλ' εἰ τὰ μὴ δεηθέντα τόπου φασὶν ἀδιάστατά ἐστι, τὰ διαστατὰ δεήσεται τόπου. ἀλλ' ἔδει προσθεῖναι τὸ ᾗ τόπος ἐστίν. ὅμοιον γὰρ ὡς εἰ λέγοι τις, εἰ τὰ μὴ δεηθέντα χρόνου ἀκίνητα, τὰ κινούμενα ἐν χρόνῳ, ᾗ χρόνος ἐστίν. ἀλλ' εἰ δοκεῖ κοινὴ λοιπὸν πρός τε τοὺς σῶμα καὶ πρὸς τοὺς διάστημα λέγοντας τὸν τόπον ῥητέον. ὡς εἰ μέχρι τοῦ κέντρου χωρεῖ, οὐ μόνον τὰ παρὰ τοῖς βαρβάροις λεγόμενα ἄϋλα στερεώματα, ἀλλὰ καὶ πάντα τὰ τῶν οὐρανῶν σώματα, τοῦ ὑπὲρ περιχωροῦντος ἀεὶ διὰ τοῦ κατωτέρω, ἔσται ἐν τῷ αὐτῷ μέρει τοῦ τοπικοῦ διαστήματος, ἐμπύρειον ἅμα σῶμα, καὶ αἰθέριον, καὶ τῶν οὐρανῶν ἑκάστου, καί τινες τῶν γενεσιουργῶν στοιχείων ἑνὸς, ἢ πυρὸς,

ἢ ἀέρος,

ἢ ἀέρος, ἢ ὕδατος, ἢ γῆς. εἰ οὖν τὸν τόπον οἰκείως ἔχειν λέγομεν πρὸς τὰ ἐν τόπῳ, πρὸς τί ποτε
τούτων ἁπάντων τῶν σωμάτων οἰκείως ἔχειν τὸν τόπον ἐροῦμεν. ἔτι τε πρὸς τούτους καὶ πρὸς τοὺς
πέρας τοῦ περιέχοντος εἶναι λέγοντας τὸν τόπον ῥητέον, ὡς τῆς μὲν πρὸς τὸ πᾶν θέσεως ἑκάστου
τῶν ἀϊδίων μερῶν τὴν αἰτίαν ἀπολογίζονται. διατί γὰρ ἡ γῆ ἐν τῷ μέσῳ; ὅτι τοῦτο αὐτῇ τοῦ το-
πικοῦ σώματος, ἢ τοῦ τοπικοῦ διαστήματος, ἢ τοῦ περιέχοντος πέρας οἰκεῖον. διατὶ δὲ τῆς ἀπλα-
νοῦς, τὸ μὲν, βόρειον ἐστὶ, τὸ δὲ νότιον. ἢ τῶν πλανωμένων, ἥδε μὲν ἐξωτέρω τῶν σφαιρῶν, ἥδε δὲ ἐν-
δοτέρω. ἢ τοῦ ἐμοῦ σώματος ἡ μὲν κεφαλὴ κεῖται ἄνω, οἱ δὲ πόδες κάτω. καὶ ἥδε μὲν ἡ χεὶρ καὶ τὸ
ἧπαρ εἰ τύχοι δεξιά. ἥδε δὲ καὶ ὁ σπλὴν ἀριστερά. καίτοι εἰ τόπων εἰσὶ διαφοραὶ καὶ αὗται, πάν-
τως ἂν ὁ τόπος εἴη καὶ τούτων αἴτιος. πῶς δὲ τῶν εἰρημένων τις τόπων εἴτε σῶμα, εἴτε διάστημα εἴτε
πέρας τούτων, αἴτιον ἂν γένοιτο. καὶ γὰρ ἄλλο μὲν ἡ κεφαλὴ τοῦ διαστήματος ἐκείνου μέρος ἐ-
πέχει, ἑστῶτος ἐμοῦ. ἄλλο δὲ ἀναπεπτωκότος ἢ καθημένου. καὶ ἄλλο μὲν ἐνθάδε ὄντος, ἄλλο δὲ ἀλλα-
χοῦ. καίτοι ἀεὶ ἐν τῷ σώματί μου τὸν αὐτὸν ἐπέχει τόπον. πῶς δὲ καὶ ἐν δεξιοῖς ἔσται μέρεσιν ἀεὶ τὸ
ἧπαρ. τίνος γὰρ τὸ δεξιὸν τοῦτο, οὐ δήπου τοῦ διαστήματος ἢ τοῦ πέρατος τοῦ περιέχοντος. καὶ τοῦτο
δὲ κοινῶς πρὸς πάντας ῥητέον, ὅτι τῆς τοῦ τόπου χρείας μὴ διορισθείσης καλῶς, οὔτε εἰ σῶμα ὁ τό-
πος, οὔτε εἰ ἀσώματον, οὔτε εἰ διαστατὴν ἔχει φύσιν, οὔτε εἰ ἀδιάστατον, καταμαθεῖν ἐστί. τοὺς δὲ διά-
στημα καθ᾽ αὑτὸ χωριστὸν ἢ σῶμα λέγοντας τὸν τόπον, ἐρωτητέον εἰ καὶ τοῦ οὐρανοῦ τὰ μόρια ἐν τό-
πῳ λέγουσιν εἶναι, ἢ οὔ. καὶ γὰρ εἰ μὲν μή ἐστιν ἐν τόπῳ, δηλονότι οὐδὲ κινήσονται κατὰ τόπον. τὸ
γὰρ κινούμενον κατὰ τόπον ἐν τόπῳ εἶναι χρή. εἰ δὲ μὴ κινεῖται τὰ μέρη κατὰ τόπον, κατὰ τί ἄλλο
αὐτῶν ἐστὶν ἡ μετάβασις. εἰ δὲ κινεῖται κατὰ τόπον καὶ ἔστιν ἐν τόπῳ, ἢ ἐν σώματι, ἢ ἐν διαστήματι, ἢ
ὡς ἐν οἰκείῳ τόπῳ ἔσται, ἢ ὡς ἐν ἀλλοτρίῳ. ἀλλ᾽ εἰ μὲν ὡς ἐν οἰκείῳ, μενεῖ ἕκαστον ἐν αὐτῷ καὶ οὐ κι-
νήσεται. τὰ γὰρ ἐν τοῖς οἰκείοις ὄντα τόποις, τί δεῖται κινεῖσθαι μέλλοντα παρὰ φύσιν διατίθε-
σθαι ἐὰν ἐκστῶσι τοῦ κατὰ φύσιν τόπου. εἰ δὲ ἐν ἀλλοτρίῳ, πῶς ἔσται τὶ σῶμα ἀλλότριον ἔχον μό-
νον τόπον, οἰκεῖον δὲ οὐδαμῶς. εἰ δέ τις λέγοι. ὅτι ὅλον εἰ τύχοι τὸ κατὰ τὸν ζωδιακὸν διάστημα, ἢ τὸ
τοπικὸν σῶμα ἑκάστῳ ζῳδίῳ ἐστὶν οἰκεῖον, καὶ διὰ τοῦτο ἐν ὅλῳ ὁμοίως ἐστὶν ἕκαστον καὶ κινεῖται,
πρῶτον μὲν καὶ μένειν ὁμοίως ἐχρῆν ἐν ὅλῳ, ὅπερ ἀδύνατον. ἔπειτα ποῦ τὸ ἀξίωμα τὸ λέγον ἴσον
εἶναι ὀφείλειν τῷ ἐν τόπῳ τὸν τόπον. τὰ δὲ αὐτὰ ἄν τις ἀπορήσοι καὶ περὶ τῶν μερῶν τῶν ἐν τοῖς τέτρασι
στοιχείοις. ἐπειδὴ δὲ πρὸς ταῖς εἰρημέναις περὶ τόπου ὑποθέσεσιν, ἄλλην τινὰ διήρθρωσε Δαμάσκιος ὁ ἐκ
Δαμασκοῦ φιλόσοφος, ἀνὴρ ζητητικώτατος καὶ πολλοὺς εἰσαγαγὼν πόνους φιλοσοφίας, φέρε καὶ
ἐκείνην ἐκθώμεθα, μακροτέρων ἐξ ἀνάγκης δεομένην λόγων, διὰ τὸ καινοπρεπὲς τῆς ὑποθέσεως,
» ἐκ τῆς χρείας τοῦ τόπου βουλομένης αὐτοῦ τὴν οὐσίαν εὑρεῖν. λέγει δὲ ὧδε. τὰ ἐν γενέσει πάντα
» τῆς ἀμερίστου καὶ ἀδιαστάτου φύσεως ἐκπεσόντα, κατά τε τὴν οὐσίαν καὶ κατ᾽ ἐνέργειαν, διττὴν
» ἔσχε τὴν διάστασιν, τὴν μὲν κατ᾽ οὐσίαν, τὴν δὲ κατ᾽ ἐνέργειαν ἢ πάθος, καὶ τὴν κατ᾽ ἐνέργειαν διτ-
» τὴν, τὴν μὲν, τῇ οὐσίᾳ σύμφυτον, καθ᾽ ἣν ἐν συνεχεῖ ῥοῇ ἐστὶν ἡ οὐσία, τὴν δὲ, ἀπὸ τῆς οὐσίας προϊοῦ-
» σαν, καθ᾽ ἣν ἄλλοτε ἄλλα ἐνεργεῖ, παρατεταγμένας ἔχοντα καὶ οὐκ ἀθρόας τὰς ἐνεργείας.
» καὶ ἡ μὲν τῆς ἐνεργείας διάστασις κινήσεως εὐθὺς ἐδεήθη. καὶ συνυπῆρξεν αὐτῇ κίνησις. καὶ ἐγένε-
» το κατὰ κίνησιν ἡ διάστασις τὴν ἐνεργητικὴν ἢ παθητικήν. ἡ δέ γε τῆς οὐσίας διάστασις διττὴ καὶ
» αὕτη γέγονεν, ἡ μὲν, εἰς πλήθους διασπασμὸν, ἡ δὲ εἰς ὄγκον ὑπελθοῦσα. ἡ δὲ κατὰ μέγεθος καὶ
» ὄγκον ἐν θέσει γέγονεν εὐθὺς, διὰ τὴν ἄλλου ἀλλαχοῦ τῶν μορίων διάρριψιν. διττὴ δὲ καὶ αὕτη. ἡ
» μὲν, σύμφυτος τῇ οὐσίᾳ. ὥσπερ τοῦ ἐμοῦ σώματος τὸ τὴν κεφαλὴν ἄνω εἶναι, τοὺς δὲ πόδας κάτω.
» ἡ δὲ ἐπείσακτος. ὡς ποτὲ μὲν ἐν τῇ οἰκίᾳ, ποτὲ δὲ ἐν τῇ ἀγορᾷ τὴν θέσιν ἔχω. καὶ δηλονότι ἡ μέν
» ἐστι διηνεκὴς ἡ αὐτὴ ἕως ἂν ᾖ τὸ πρᾶγμα. ἡ δὲ, ἄλλοτε ἄλλη γίνεται. κεῖσθαι δὲ λέγομεν ἐκεῖνα κυ-
» ρίως, ὧν τὰ μόρια παρατέταται καὶ διέστηκεν ἀπ᾽ ἀλλήλων. διὸ καὶ τῶν μεγεθῶν καὶ τῶν ἐν
» αὐτοῖς περάτων ἡ θέσις εἶναι κυρίως δοκεῖ, ὅτι διέστηκε ταῦτα κατὰ συνέχειαν. οἱ δέ γε ἀριθμοὶ
» καίτοι διακριθέντες, ὅμως οὐ δοκοῦσι θέσιν ἔχειν, διὰ τὸ μὴ διεστάναι καὶ παρατετάσθαι. πλὴν
» εἴπου καὶ οὗτοι μέγεθος προσλάβωσι καὶ διάστασιν. τὰ γὰρ διαστήματα πάντα τὴν γινομένην συ-
» ναίρεσιν ἀπολέσαντα, τὸ ἐν αὐτοῖς εἶναι εἰς τὸ ἐν ἄλλῳ γίνεσθαι μετέβαλεν. ἐν ᾧ καὶ κεῖσθαι λέ-
» γεται, οἷον τὸ παρεθέντα καὶ τὸ αὐτοκρατὲς ἀπολέσαντα. ὥσπερ καὶ ἐν ταῖς ἐνεργείαις ἀφ᾽ ἑαυ-
» τῶν ἐκστάντα κινεῖσθαι λέγεται καὶ μεταβάλλειν. τούτων οὖν τῶν διαστάσεων, ἵνα μὴ παντε-
» λῶς εἰς τὸ ἀόριστον ὑπενεχθῶσι, μέτρα συναγωγὰ ὑπέστη, τοῖς μὲν κατὰ τὴν ἐν κινήσει ἐνέργειαν ὁ
» χρόνος. τῶν δὲ κατὰ τὴν οὐσίαν, τοῖς μὲν κατὰ διάκρισιν τὸ ὡρισμένον πλῆθος, ὅπερ ἐστὶν ὁ ἀρι-
» θμός. τοῖς δὲ κατὰ συνέχειαν τὸ ὡρισμένον μέγεθος, οἷον πηχυαῖον ἤ τι τοιοῦτον. τοῖς δὲ κατὰ τὴν
» τῆς θέσεως διάρριψιν ὁ τόπος. διὸ ἐν χρόνῳ μὲν λέγεται κινεῖσθαι τὰ κινούμενα, ἐν τόπῳ δὲ
» τὴν θέσιν τῆς οὐσίας ἔχειν καὶ αὐτῆς τῆς κινήσεως, καθ᾽ ὅσον καὶ αὐτὴ τοῦ κινεῖσθαι μετέχει. καὶ
» ὅτι μὲν περὶ θέσιν ἔχει, καὶ τῶν κειμένων τί ἐστιν ὁ τόπος, πρόδηλον. ταῦτα γὰρ ἐν τόπῳ

λέγομεν, ὅσα καὶ θέσιν ἔχειν φαμὲν, καὶ τὸ ἄνω καὶ τὸ κάτω τόπου διαφοραί εἰσι, κατὰ τὴν θέσιν θεωρούμεναι. ὥσπερ καὶ τὰ δεξιὰ καὶ ἀριστερὰ, καὶ ἔμπροσθεν καὶ ὄπισθεν. ὅτι δὲ ἀφοριστικὸς καὶ μετρητικὸς καὶ τακτικὸς τῆς θέσεώς ἐστιν ὁ τόπος, ἐντεῦθεν ἂν μάθοις. κεῖσθαι μὲν ἕκαστον φαμὲν κἂν ὁπωσοῦν ἀτάκτως κέηται. τὸν δὲ εὐθετισμὸν τὸν οἰκεῖον ἕκαστον τότε λέγεται ἔχειν, ὅταν τὸν οἰκεῖον ἀπολάβῃ τόπον. ὥσπερ γίνεται μὲν ἕκαστον ὁπουοῦν εἰς τὸ εἶναι παρελθὸν, τὸ δὲ εὔκαιρον ἔχει τὸ οἰκεῖον, ὅταν ἐν τῷ δέοντι γένηται χρόνῳ. διὰ τὸν τόπον οὖν τῶν μορίων ἕκαστον εὐθετίζοντα, ἡ μὲν κεφαλὴ τοῦ ἐμοῦ σώματος γέγονεν ἄνω, οἱ δὲ πόδες κάτω. καὶ τὸ μὲν ἧπαρ ἐν τοῖς δεξιοῖς, ἡ δὲ καρδία ἐν τῷ μέσῳ. καὶ οἱ μὲν ὀφθαλμοὶ δι' ὧν ὁρῶντες προΐμεν ἔμπροσθεν. τὸ δὲ μετάφρενον ᾧ ἀχθοφοροῦμεν, ὄπισθεν. καὶ εἰσὶν αὗται διὰ τὸν τόπον αἱ διαφοραὶ, ὥσπερ διὰ τὸν χρόνον ἄλλο τι πρὸ ἄλλου δημιουργεῖται τῶν τοῦ ἐμβρύου μερῶν, καὶ ἄλλη πρὸ ἄλλης ἡλικία πρόεισι τεταγμένη. καὶ οὐκ ἐπισυγχεῖται τὰ τρωϊκὰ τοῖς πελοποννησιακοῖς. τὸ γὰρ πρότερον καὶ τὸ ὕστερον χρόνου διαφοραί εἰσιν, ὡς τὸ ἄνω καὶ κάτω καὶ αἱ λοιπαὶ τέσσαρες διαστάσεις τοῦ τόπου. καθάπερ καὶ ἀριστοτέλης ὁμολογεῖ. καὶ τοῦ κόσμου ἄρα τὰ μόρια διὰ τὸν τόπον ἔχει τὸν οἰκεῖον εὐθετισμὸν ἐν τῷ ὅλῳ. καὶ ἔστιν ἐν τύπῳ φάναι ὁ τόπος κατὰ ταύτην τὴν ἐπιβολὴν, ὁ μὲν ἁπλῶς οὕτω λεγόμενος, ἀφορισμὸς τῆς τῶν σωμάτων θέσεως. ὡς δὲ τὸν κατὰ φύσιν εἰπεῖν, ἀφορισμὸς τῆς κατὰ φύσιν ἐπιβαλλούσης τοῖς σωματικοῖς μορίοις θέσεως, πρός τε ἄλληλα καὶ πρὸς τὸ ὅλον, καὶ τοῦ ὅλου πρὸς τὰ μόρια. ὡς γὰρ τῆς γῆς καὶ τοῦ οὐρανοῦ τὰ μόρια ἄλλα ἀλλαχοῦ τέτακται διὰ τὸν τόπον, καὶ τὰ μέν ἐστιν εἰ τύχοι βόρεια, τὰ δὲ νότια, οὕτω καὶ ὁ ὅλος οὐρανὸς καὶ ὅλη ἡ γῆ μέρη ὄντα τοῦ κόσμου, τὴν ἐπιβάλλουσαν αὐτοῖς τῆς θέσεως εὐμετρίαν καὶ διακόσμησιν ἔχουσι διὰ τὸν τόπον, ὁ μὲν, τὸ πέριξ τοῦ παντὸς, ἡ δὲ τὸ μέσον ἐπέχουσα. καὶ οὗτός ἐστιν ὁ τὴν σύμπτωσιν τοῖς μορίοις παρεχόμενος. εἰ δὲ καὶ ἐκ τοῦ τὸ πάξειν εἴρηται τόπος, ἐκ τοῦ τετόπακα παρακειμένου τόπος γινόμενος, ὡς εἰκασία τις ἂν τοῦ νοεροῦ ἀφορισμοῦ, καὶ οὕτω σύμφωνος ὁ λόγος. ταῖς γὰρ εἰκόσιν οὗτος παρέχεται τὴν σύστασιν, καὶ τὴν πρὸς τὰ παραδείγματα ὁμοιότητα. μὴ γὰρ κειμένου κατὰ τὸν οἰκεῖον τόπον ἑκάστου τῶν ἅπαξ διεστατῶν μερῶν, οὐκ ἄν ποτε ἡ εἰκὼν ὁμοιωθείη τῷ παραδείγματι. πᾶσα δὲ τάξις οἰχήσεται καὶ εὐμετρία καὶ διακόσμησις. καὶ εἴπερ ἀνέλοις τὸν τόπον, ὄψει τὴν τῶν σωμάτων διάθεσιν ἀλλόκοτόν τε καὶ ἄτακτον, καὶ εἰς παντελῆ φερομένην ἀοριστίαν. ἐν ποίᾳ γὰρ ἕκαστον τῶν μορίων θέσει στήσεται, πρὸς μηδεμίαν ἔχον οἰκείως. διὰ τοῦτον οὖν καὶ τὰ κινούμενα φυσικῶς κινεῖται, ἵνα τῆς οἰκείας θέσεως τὸ ἐπιβάλλον ἀπολάβῃ, καὶ τὰ ἱστάμενα ἕστηκεν ἐν τῷ προσήκοντι μέτρῳ τῆς θέσεως ἐμφιλοχωροῦντα. ὥστε τίνος μὲν αἴτιος ἐστὶν ὁ τόπος τοῖς σώμασι καὶ τοῖς σωματικοῖς πᾶσι, καὶ τί ποτέ ἐστιν αὐτὸς, τάχα ἂν ἐκ τῶν εἰρημένων τις συννοήσειεν. ἀκόλουθον δ' ἂν εἴη τὸν τοιοῦτον τόπον μήτε τὸ πέρας εἶναι τοῦ περιέχοντος. πῶς γὰρ τοῦτο τάξεώς ἐστιν αἴτιον ἢ ἀφορισμοῦ, αὐτὸ μᾶλλον ὑπὸ τῶν ἐν αὐτῷ γινομένων καὶ ὑπ' αὐτοῦ περιεχομένων ὁριζόμενον. ἀλλὰ μὴν οὐδὲ σῶμα ἂν εἴη. κἂν γὰρ ἄϋλόν τις αὐτὸν λέγῃ σῶμα, καὶ τοῦτο πάντως διαστατὰ μέρη ἔχον καὶ διαφορὰς μερῶν, καὶ αὐτὸ δεήσεται τοῦ τάττοντος αὐτὸ, καὶ τὸ μὲν ἐν μέσῳ, τὸ δὲ ἐν τῷ πέριξ κεῖσθαι ποιοῦντος. οὐ δὲ διάστημα δὲ τὸ τοιοῦτον εἶναι δυνατόν. καὶ γὰρ καὶ τὸ διάστημα διὰ τὰς αὐτὰς αἰτίας, ἅτε διαφορὰς ἔχον, καὶ ἄλλο ἀλλαχοῦ διερριμμένον κατὰ τὰ μόρια, εὐθετισμοῦ καὶ αὐτὸ δεῖται τινός. ἔοικε μὲν οὖν ὁ τόπος μέτρον εἶναι τῆς τῶν κειμένων θέσεως. ὥσπερ ὁ χρόνος ἀριθμὸς λέγεται τῆς τῶν κινουμένων κινήσεως. ἐπεὶ δὲ ἡ θέσις διττὴ, ἡ μὲν, οὐσιώδης, ἡ δὲ, ἐπείσακτος, καὶ ὁ τόπος ἂν εἴη διττὸς, ὁ μὲν, στοιχεῖον τελειωτικὸν τοῦ θέσιν ἔχοντος γινόμενος, ὁ δὲ, κατὰ συμβεβηκὸς ὑπάρχων. ἔστι δέ τις καὶ τῆς οὐσιώδους θέσεως διαφορὰ, καθόσον πως αὐτὰ ὅλα τὴν οἰκείαν ἔχει θέσιν τῶν οἰκείων μερῶν, πρός τε ἄλληλα καὶ πρὸς τὸ ὅλον. ἢ ὡς μέρη τὴν πρὸς τὸ ὅλον τε καὶ τὰ λοιπὰ μέρη. καὶ ταύτῃ διττὸς ὁ τόπος γίνεται, ὁ μὲν, ἰδίᾳ ἑκάστοις ἐπιβάλλων, ὁ δὲ, κατὰ τὴν ἐν τῷ ὅλῳ θέσιν ἀφοριζόμενος. ὥσπερ γὰρ τὸ ὅλον διττὸν, τὸ μὲν, ἑκάστῳ τῶν μερῶν ἐπιβάλλον, κατὰ τὴν ἀφωρισμένην αὐτοῦ καὶ διακεκριμένην ὑπόστασιν, καθὸ καὶ τὴν γῆν ὅλον τι εἶναι φαμὲν, καὶ οὐ τὴν γῆν μόνον, ἀλλὰ καὶ ζῷον καὶ φυτὸν, καὶ τῶν ἐν τούτοις μορίων ἕκαστον, τὸ δὲ, καὶ περιεκτικώτερον, ὡς τὸν κόσμον ὅλον καὶ τὴν γῆν ὅλην καὶ τὸν ἀέρα λέγομεν, καὶ ἔστιν ἑκάστης ὁλότητος οἰκεῖα μέρη, οὕτως οὖν καὶ τόπον ἄλλον μὲν τοῦ τῶν οἰκείων ἑκάστου μερῶν εὐθετισμὸν φαμὲν, οἷον τῶν ἐμῶν ἐν τῷ ἐμῷ ὅλῳ σώματι. ἄλλον δὲ τὸν καὶ τοῦ ὅλου τούτου, ὡς μέρους ἐν τόπῳ τῆς περιεκτικωτέρας ὁλότητος. καθὸ τόπος τῶν χερσαίων ἐστὶν ὁ τῆς γῆς τόπος. καὶ καθὸ ἡ γῆ τὸ μέσον ἐπέχει τοῦ παντός. κἂν γὰρ ἐκστήσῃ τις τὴν γῆν τῆς περὶ τὸ μέσον τοῦ παντὸς θέσεως, τῶν μὲν οἰκείων μερῶν τὸν εὐθετισμὸν ἐν τῷ ὅλῳ καθέξει τῷ οἰκείῳ. τὴν δὲ ὡς μέρους τοῦ παντὸς οὐκ ἔχει τότε. διὸ καὶ αὐτὴ ὅλη ἀφεθεῖσα ἂν ἐπὶ τὸ μέσον οἰσθείη, καί τοι τῶν ἐν αὐτῇ μερῶν φυλαττόντων τὴν πρὸς ἄλληλα διατύπωσιν, καὶ ὅταν αὐτὴ ἔξω τοῦ μέσου τυγχάνῃ. οὕτω δὲ καὶ ὁ ἐν τῷ ἀέρι μετέωρος ἄνθρωπος τῶν μὲν οἰκείων μερῶν ἕξει τὴν εὐταξίαν, τὴν δὲ ὡς μέρους πρὸς τὸ ὅλον οὐκέτι. καὶ ἐπειδὴ μέρη μᾶλλον ἐστὶ τῶν ὁλικωτέρων

ἢ αὐτὸ ὅλα,

ἢ αὐτὰ ὅλα κρατεῖται γὰρ ὑπὸ τῶν κρειττόνων μᾶλλον ἢ κρατεῖ τῶν καταδεεστέρων, τοῦτο δὲ ὅτι ἐν μείζονι λόγῳ ἐστὶν ἀεὶ τὰ πρῶτα πρὸς τὰ δεύτερα, ἤπερ τὰ δεύτερα πρὸς τὰ τρίτα, δικαίως κἂν τὸν οἰκεῖον εὐθετισμὸν ἔχῃ ἡ βῶλος ἢ ἐν ἀέρι, ἀλλὰ τοῦ γε ὁλικωτέρου ἐφιεμένη φέρεται. νεκρὸν γάρ ἐστι πανταχοῦ καὶ ἀπεψυγμένον τὸ ἴδιον, ὅταν ἀποσπασθῇ τοῦ κοινοῦ, καὶ στερηθῇ τῆς ἀπ' αὐτοῦ καθηκούσης εἰς αὐτὰ συνοχῆς. ὥσπερ τὰ φυτὰ κἂν πρόρριζά τις ἀνασπάσῃ καὶ πᾶσι τοῖς ἑαυτῶν συμπεπληρωμένα μορίοις, ἀλλ' αὐαίνεταί γε παραχρῆμα, τῆς κοινῆς ὁλότητος ἀποσπασθέντα. ζῇ γὰρ πάντα διὰ τὸ ἓν ζῶον τὸ κοσμικόν. ὥστε ἕως ἂν διὰ τῶν προσεχῶν ὁλοτήτων ἕκαστον ἐνερρίζωται τῷ κόσμῳ, ἕως τότε καὶ ζῇ καὶ σώζεται. ἐὰν δὲ ἀποσπασθῇ τῆς προσεχοῦς ὁλότητος, ἀποσπᾶται καὶ τῆς κοινῆς. οὕτως οὖν καὶ αἱ κατὰ φύσιν φοραὶ τῶν σωμάτων, καὶ αἱ ἐν τοῖς οἰκείοις τόποις μοναὶ σωθήσονται, τῷ τοιοῦτον ὑποτιθεμένῳ τὸν τόπον. καὶ ἡ κατὰ τόπον κίνησις τῶν κινουμένων, οὐδὲν ἄλλο ἐστὶν, ἢ θέσεων ἄλλοτε ἄλλων μετάληψις, ἕως ἂν τὴν προσήκουσαν ἀπολάβῃ τὸ κινούμενον, τοῦ μεταξὺ ἀέρος ἢ τοῦ ὕδατος διαιρουμένου, καὶ ἣν ἔχει τότε θέσιν ἀπολαβόντος, ἕως ἂν τὸ ἰσχυρότερον προσέλθῃ. καὶ ἔστι τῶν τοῦ ἀέρος μορίων θέσις, ἣν ἡ βῶλος ἢ ἐγὼ μεταλαμβάνω κινούμενος. καὶ οὗτός ἐστιν ὁ ἐν πλάτει τόπος ὃν διαμείβω, οὐκ ἐμὸς ἴδιος ὢν ἀφωρισμένος, ἀλλὰ τοῦ περιέχοντος ἀέρος. οὗ καὶ ἐγὼ πέφυκα γίνεσθαι ἄλλοτε ἐν ἄλλῳ μέρει. διὸ καὶ ἀπόρου ὄντος πῶς τὰ κινούμενα ἐν τόπῳ κινεῖται, εἴπερ τὰ ἐν τόπῳ ἠρεμεῖν μᾶλλον ἢ κινεῖσθαι λέγοιτο ἂν δικαίως ἴδωμεν ὅπως καὶ τὴν ἀπορίαν τίθησιν ὁ φιλόσοφος Συριανὸς, καὶ τὴν λύσιν ἐπάγει γράφων οὕτως.
» καὶ πῶς φαίη ἄν τις τὰ κινούμενα ἐν τόπῳ κινεῖται. μᾶλλον γὰρ πόθεν ποῖ τὰ κινούμενα. ὅλως γὰρ
» τὰ ἐν τόπῳ δοκεῖ ἠρεμεῖν. ἢ τὰ κινούμενα καὶ ἐν τόπῳ καὶ οὐκ ἐν τόπῳ. ἐν μὲν γὰρ τῷ πρώτῳ καὶ
» ὥσπερ ἰδίῳ τόπῳ ἑαυτῶν οὐκ ἔστιν. ἢ γὰρ ἂν ἠρέμει. ἐν δὲ τῷ ἐν πλάτει θεωρουμένῳ ἐστίν. ὡς λέγομεν
» καὶ τὸν ἥλιον ἐν λέοντι εἶναι, ὅτι τὸ πλάτος τοῦ λέοντος αὐτὸν περιέχει. καὶ τὸν πετόμενον ἀετὸν ἐν
» ἀέρι. καὶ τὴν οὐριοδρομοῦσαν ναῦν ἐν θαλάττῃ. πάντα γὰρ ταῦτα τὸν μὲν ἐν πλάτει τόπον ἔχει. τὸν
» δὲ πρῶτον καὶ ἴδιον ἕως ἂν κινῆται οὐκ ἔχει. καί μοι δοκοῦσι πρὸς τοῦτον μάλιστα τὸν ἔξωθεν τόπον ἀπιδεῖν οἱ πλεῖστοι τῶν περὶ τόπου λεγόντων. τίς γὰρ τῆς γῆς τόπος ἐρωτηθέντες, τὸ μέσον τοῦ παντὸς λέγουσιν. ὥσπερ τόπος τοῦ παντός ἐστιν ἴδιος, καὶ τῆς γῆς ὡς ἐν τῷ παντί. καὶ τίς τοῦ οὐρανοῦ, τὸ πέριξ. τὸν δὲ αὐτῆς τῆς γῆς τόπον τὸν εὐθετίζοντα αὐτῆς τὰ μόρια, καὶ τοῦ οὐρανοῦ τὸν τοιοῦτον οὐ προλογίζονται. ὁμοίως δὲ καὶ τῶν κατὰ μέρος ζώων τε καὶ φυτῶν. καὶ διὰ τοῦτο πάντες ὡς ἔοικε χωριστὸν εἶναι τὸν τόπον τοῦ ἐν τόπῳ ἀπεφήναντο. τῷ γὰρ ὄντι τὸ ἀπὸ τοῦ ὁλικωτέρου τόπου ἐπιβάλλον ἑκάστῳ, χωριστόν ἐστιν αὐτοῦ τοῦ ἐν τόπῳ. καὶ οὐκ ἔστιν αὐτοῦ προηγουμένως τόπος. καὶ ἀκίνητον δὲ τὸν τόπον ἀξιοῦσιν εἶναι, πρὸς τὸν κοινὸν τοῦτον καὶ ἐν πλάτει τόπον ἀποβλέψαντες. καὶ γὰρ ὁ μὲν ἴδιος ἑκάστου καὶ συνουσιωμένος, καὶ συγκινεῖται πάντως. ὁ δὲ κοινὸς ἐν πλάτει θεωρούμενος, μένει τοῦ ὁλικωτέρου ὢν καὶ περιεκτικωτέρου, ὡς σώματος ἴδιος. ἀλλ' ἴδωμεν εἰ δοκεῖ καὶ τὰ τούτῳ προσιστάμενα τῷ λόγῳ. καὶ πρῶτον γε ὅτι μὴ ἔστι τὸ εἶδος ὁ τόπος ἀποδείξαντες, νῦν τὸν εὐθετισμὸν τῶν μορίων εἶναι λέγομεν τὸν τόπον, καί τοι ἑκάστου εἴδους οἰκείαν τάξιν τῶν μορίων ἔχοντος, καθ' ἣν καὶ ἔστιν ἕκαστον. διὸ ἔστιν ὁ μὲν ἄνθρωπος ὄρθιος, τὰ δὲ ἄλογα τῶν ζώων εἰς τὴν γῆν κύπτοντα. καὶ τὰ μὲν, τοιῶσδε, τὰ δὲ τοιῶσδε διεσκευασμένα τοῖς μορίοις. πῶς οὖν ἡμεῖς οὐ τὸ κατὰ τὴν μορφὴν εἶδος αἴτιον τούτου φαμὲν, ἀλλὰ τὸν τόπον. δεύτερον εἰ τοῦ εὐθετισμοῦ τῶν μερῶν αἴτιον εἶναι λέγομεν, ὃ μὴ ἔστι μέρος, τοῦτο οὐδ' ἂν ἐν τόπῳ εἶναι λέγοιτο. πῶς οὖν οὐχὶ καὶ οὗτος ὁ λόγος τὰ αὐτὰ δοκεῖ πάσχειν τῷ τοῦ ἀριστοτέλους, τὸν ὅλον κόσμον οὐ συγχωρῶν εἶναι ἐν τόπῳ. εἴπερ μηδενός ἐστι μέρος, μηδὲ διέρριπται πρὸς ἄλλο τι μέρος ἀντιτεταγμένον αὐτῷ. τρίτον δὲ τὰ τοῦ οὐρανοῦ μέρη κινούμενα, πότερον κατὰ τόπον ἐροῦμεν κινεῖσθαι ἢ οὔ. εἰ γὰρ μὴ, πῶς οὐ ταῖς αὐταῖς ἀντιλογίαις αἷς καὶ ὁ ἀριστοτέλης ἐνσχεθησόμεθα. εἰ δὲ κατὰ τόπον κινεῖται, τίς οὗτος ὁ τόπος. δεῖ μὲν γὰρ τὸ κατὰ τόπον κινούμενον, ἄλλον μὲν ἀπολείπειν ἄλλον δὲ ἐπιλαμβάνειν τόπον. οὔτε δὲ ὁ τῶν μορίων τόπος, καθ' ὃν συντετάχθαι τὰ μόρια ἀλλήλοις φαμὲν, τοιοῦτός ἐστι, μένει γὰρ οὗτος ὁ αὐτὸς ἀεὶ, οὔτε ὁ πρὸς τὰ ἄλλα μόρια συντάττων κατ' οὐσίαν αὐτὰ, καθ' ὃν μετὰ τὸν κριὸν ὁ ταῦρος τέτακται, καὶ μετὰ τοῦτον οἱ δίδυμοι, καὶ ἑξῆς. αὗται γὰρ αἱ θέσεις αἱ αὐταὶ μένουσιν ἀεί. οὔτε μέντοι περιεκτικώτερον τινὰ καὶ ἀκίνητον τόπον ἡ νῦν ἀποδοθεῖσα ἔννοια τοῦ τόπου προσλογίζεται, καθ' ὃν μεταβάλλοντα τὰ μέρη κινεῖσθαι λέγεται κατὰ τόπον. πῶς δὲ ἄλλης καὶ ἄλλης γινομένης τῆς τοῦ παντὸς θέσεως κατὰ τὴν τῶν μερῶν ἀντιμετάστασιν, οὐκ ἔσται ὁ τοῦ παντὸς τόπος μεταβάλλων, καὶ ὅσαι θέσεις, τοσοῦτοι καὶ τόποι. τέταρτον, πῶς ἔτι κρείττων ὁ τόπος ἔσται τοῦ ἐν τόπῳ, στοιχεῖόν τι ὑπάρχον αὐτοῦ. τὸ γὰρ στοιχεῖον τοῦ στοιχειωτοῦ καταδεέστερον, ὥσπερ τὸ μέρος τοῦ ὅλου. πέμπτον, ἢ διαστατός ἐστιν ἢ ἀδιάστατος ὁ τόπος. ἀλλ' εἰ μὲν διαστατὸς, πῶς οὐχὶ καὶ αὐτὸς δεήσεται τόπου κατὰ τὰ εἰρημένα. εἰ δὲ ἀδιάστατος, πῶς ἴσος. ἢ πῶς περιεκτικὸς ἢ πῶς χωρητικὸς τῶν ἐν τόπῳ. τὸ γὰρ τῷ διαστατῷ ἴσον διεστάναι χρὴ, καὶ τὸ τοῦ ὠγκωμένου

περιεκτικὸν ἢ χωριστικὸν ὡρίσθαι. ἕκτον, πῶς οὐκ ἀχώριστον τοῦ ἐν τόπῳ τὸν τόπον δόξομεν ἡμεῖς λέγειν, πάντων σχεδὸν ἀξιούντων χωριστὴν αὐτὸν ἔχειν τοῦ ἐν τόπῳ φύσιν. ἕβδομον, πῶς ἀκίνητος ἔσται, στοιχεῖον γε ὢν τοῦ κινουμένου. συγκινηθήσεται γὰρ ἐκείνῳ. ὄγδοον, εἰ στοιχεῖον τοῦ ἐν τόπῳ τὸν τόπον εἶναι λέγομεν, πῶς οὐχὶ τὸν τόπον ἐν τῷ σώματι μᾶλλον φαμὲν εἶναι, ἀλλὰ τὸ σῶμα ἐν τῷ τόπῳ. τὸ γὰρ στοιχεῖον ἐν τῷ στοιχειωτῷ ἐστιν, ἀλλ' οὐκ ἀνάπαλιν. ἔνατον, εἰ μέτρον θέσεως ἐστὶν ὁ τόπος, πῶς ἀληθές ἐστι τὸ παρὰ τῶν πλειόνων φιλοσόφων ἀξιούμενον, ὅτι τὰ ἀΐδια τῶν θεῶν σύμβολα ἐν τῷ κόσμῳ μένει, διὰ τὸ ἐν ἀϊδίῳ τῷ τόπῳ διαγεγράφθαι, καὶ διὰ τούτου τοῦ μέσου καὶ τὰ ἐν τόπῳ σώματα τῶν θείων ἐλλάμψεων ἀπολαύει. δέκατον ἐπὶ πᾶσιν, εἰ ἀπὸ τῆς μεταστάσεως τῶν σωμάτων ἤλθομεν εἰς ἔννοιαν τοῦ τόπου, διότι ἔνθα πρότερον ἦν ὕδωρ ἐκεῖ γέγονεν ἀὴρ, πῶς ἑκάστου τὸν οἰκεῖον ἔχοντος τόπον δεησόμεθα τῆς ἀντιμεταστάσεως. ταῦτα μὲν οὖν ἄν τις καὶ τοιαῦτα ἄλλα λέγοι, πρὸς τὴν περὶ τόπου νεωτέραν δοκοῦσαν ταύτην ὑπόνοιαν ἐνιστάμενος. ῥητέον δὲ πρὸς μὲν τὸ πρῶτον, ὅτι τὸ ὅλον εἶδος πλήρωμα πάντων ἐστὶ τῶν ἑαυτοῦ στοιχείων, ἄλλο τε κατ' ἄλλο ἐκείνων ἔχον. καὶ ὥσπερ ὅλον ἐστὶν οὐ διὰ τὸ καλὸν εἰ τύχοι τὸ ἐν αὐτῷ, ἀλλὰ διὰ τὸ ὅλον, καὶ τέλειον διὰ τὴν τελειότητα, καὶ ἄλλο τι δι' ἄλλο τῶν ἐν αὐτῷ, οὕτω καὶ θέσιν ἔχει τεταγμένην καὶ εὔτοπον διὰ τὸν τόπον. μὴ τοίνυν χωρίζοντες τὸ εἶδος τῆς συνουσιωμένης αὐτῷ τοπικῆς μεθέξεως, ἐθελήσωμεν εὔθετον αὐτὸ καθ' ἑαυτὸ ἰδεῖν. ὅμοιον γὰρ, ὡς εἰ καὶ τὴν τελειότητα αὐτοῦ τῇ ἐπινοίᾳ χωρίσαντες, τέλειον ὅμως αὐτὸ καὶ ταύτης χωρὶς ὁρᾶν φιλονεικοῖμεν. οὐδὲν οὖν ἐναντίον ὁ λόγος οὗτος λέγει τῷ μὴ εἶναι τὸ εἶδος τὸν τόπον βουλομένῳ. εἰ δὲ ὁ δεικνὺς λόγος μὴ εἶναι εἶδος τὸν τόπον, ἀξιώματι ἐχρῆτο τοῦ χωριστὸν εἶναι τὸν τόπον τοῦ ἐν τόπῳ, καὶ προσλαμβάνων ἑτέραν πρότασιν τὴν λέγουσαν τὸ εἶδος τὸ ἐν τόπῳ οὐ χωριστόν ἐστιν αὐτοῦ, συνῆγεν ὅτι ὁ τόπος οὐκ ἔστι τὸ εἶδος τοῦ ἐν τόπῳ, χρὴ γινώσκειν ὅτι τὸ ἀξίωμα τοῦτο κατά τινας ἐννοίας εἴληπται τοῦ τόπου. αἷς οὐ συναρμόζει ἡ ὑπὸ τοῦ ἡμετέρου Δαμασκίου ῥηθεῖσα περὶ τοῦ τόπου σημασία. καὶ μέντοι εἰ ἀπὸ τῆς κατὰ τόπον ἀντιμεταστάσεως εἴληπται ὁ τόπος, καθ' ἣν ἔνθα πρότερον ὕδωρ ἦν εἰ τύχοι, ἐκεῖ ἀέρα ὁρῶμεν γινόμενον, τὸν ἐν πλάτει τόπον ἀλλ' οὐχὶ τὸν οἰκεῖον ἑκάστου τῶν μορίων οὕτως εὑρίσκομεν. ὁ μὲν γὰρ οἰκεῖος καθ' ὃν ὁ αὐτός ἐστι τοῦ αὐτοῦ σώματος λόγος, μένει ὡσαύτως. ὁ δὲ ἄλλοτε ἄλλου τόπος γινόμενος οὐκέτι οἰκεῖός ἐστι. πρὸς δὲ τὸ δεύτερον τῶν ἀπορηθέντων ῥητέον, ὅτι κἂν τὸν μορίων εὐθετισμὸν εἶναι λέγωμεν τὸν τόπον, ἀλλὰ καὶ τὸ ὅλον οὐδὲν ἧττον τετόπισται κατὰ τοῦτον. ὥσπερ γὰρ τὸ ἡρμοσμένον, καίτοι κατὰ τὴν πρὸς ἄλληλα συμμετρίαν τῶν μερῶν ἡρμοσμένον, ὅμως καὶ κατὰ τὸ ὅλον ἡρμόσθαι λέγομεν, οὕτω καὶ τὸ τεταγμένον καὶ εὐθετισμένον, κἂν τὰ μόρια τοῦτο πάσχῃ, ὅτι πᾶσα τάξις ἐν διακρίσει ἐστὶν, ἀλλ' αὐτό γε ἐστὶ τὸ τεταγμένον. καὶ τὸ τετοπισμένον ἄρα ὁμοίως ἕξει. καὶ γὰρ καὶ τὸ μεμερισμένον πᾶν κατὰ τὰ μόρια μεμέρισται. τάξιν δέ τινα καὶ μέτρον ἢ ἀφορισμὸν τῆς θέσεως τὸν τόπον φαμὲν, ἆρα δὲ καὶ ὅταν τὸ ὅλον ἡνωμένον εἶναι φῶμεν, οὐ κατὰ τὴν τῶν στοιχείων ἕνωσιν τὸ ὅλον ἡνῶσθαι φαμέν; καίτοι γε ὡς ὅλον καὶ ἐν αὐτῷ τῆς τῶν μερῶν διακρίσεως θεωρούμενον, οὔτε ἡρμοσμένον ἂν οὔτε ἡνωμένον λέγοιμεν, ἀλλὰ κατὰ τὰ μέρη τὸ ὅλον. ὥστε καὶ εὔθετόν τι σῶμα καὶ εὔτοπον εἶναι λέγομεν οὐκ ἄλλο, ἢ τὸ τῶν μορίων ἕκαστον ἔχον ἐν τῇ προσηκούσῃ θέσει κείμενον. καὶ ὅρα ὅτι ὥσπερ τὰ μόρια τοῦ ὅλου λέγομεν εἶναι, οὕτω καὶ τοὺς τῶν μορίων τόπους ἐν οἷς κεῖται τὰ μόρια τοῦ ὅλου εἶναι φαμὲν, οἷον τὸ μέσον καὶ τὸ πέριξ. εἰκότως. ὅτι τῆς ὅλης θέσεώς ἐστι μέρη ταῦτα, ὥσπερ τῆς ὅλης ἁρμονίας τόνος ὁ ὀξὺς καὶ ὁ βαρύς. ἔστιν οὖν κατὰ ἀλήθειαν ὁ ὅλος τόπος τοῦ ὅλου κόσμου. ἀλλ' οὕτως, ὡς ἐν τῇ τῶν μερῶν εὐθημοσύνῃ τὸ κῦρος ἔχον, καὶ ἐν τῇ ὅλῃ κατὰ τὰ μόρια. καὶ γὰρ καὶ αἱ τοῦ τόπου διαφοραὶ τὸ ἄνω καὶ τὸ κάτω τοῦ ὅλου εἰσὶ, καὶ πρὸς τοῦτο κρίνονται. ὡς εἴ γε ἡ κεφαλὴ μόνη τοῦ ἐμοῦ σώματος ἐτύγχανεν οὖσα, οὐκ ἂν ἄνω κεῖσθαι ἐλέγετο κατὰ τὸ συνουσιωμένον ἄνω. ὅλως δὲ οὐ τὰ μόρια μόνον εὐάρμοστον ἔχειν τὴν θέσιν πρὸς ἄλληλά τε καὶ πρὸς τὸ ὅλον λέγομεν, ἀλλὰ καὶ τὸ ὅλον πρὸς τὰ μόρια. πρὸς δὲ τὸ τρίτον ἔπεισί μοι λέγειν, ὅτι διττή τις ἐστὶν ὡς εἴρηται πρότερον θέσις, τοῦ τε ὅλου καὶ τῶν μορίων ἑκάστου, ἡ μὲν, οὐσιώδης καὶ ἀεὶ μόνιμος, ἡ δὲ ἐπείσακτος καὶ ἄλλοτε ἄλλη γινομένη. καὶ τῆς οὐσιώδους ἡ μέν ἐστι τοῦ ὅλου καθ' αὑτὸ, ἡ δὲ τοῦ ὅλου πρὸς τὰ μέρη. καὶ αὖ τῶν μερῶν ἡ μὲν καθ' αὑτὰ, ἡ δὲ πρὸς ἄλληλά τε καὶ πρὸς τὸ ὅλον. ἡ μὲν οὖν οὐσιώδης πᾶσα διάστασις ἤτοι θέσις ὡσαύτως ἀεὶ μένει, κἂν κινούμενα κἂν ἑστῶτα θεωρηθείη. καὶ ὁ συναγωγός τε καὶ ὁ μεριστικὸς αὐτῆς τόπος ὁ αὐτός ἐστιν ἀεί. ἡ δὲ ἐπεισοδιώδης ἀμείβεται. καὶ γὰρ οὐ μόνον τὰ μόρια τοῦ οὐρανοῦ μεταβάλλει τὴν θέσιν, ἀλλὰ καὶ τὸ ὅλον. ἄλλη γὰρ τοῦ ὅλου θέσις νῦν, καὶ ἄλλη μετὰ ὥραν. καὶ διὰ τὸ κινεῖσθαι κατὰ τόπον, καὶ τὰ μόρια καὶ τὸ ὅλον ἂν λέγοιτο δικαίως, ὅτι μεταβάλλει τῆς θέσεως τὴν τάξιν καὶ τὸν ἀφορισμὸν, ὃν ἐλέγομεν εἶναι τὸν τόπον. καὶ ὥσπερ κατὰ χρόνον ἐκεῖνα λέγομεν κινεῖσθαι, ὅσα ἄλλον ἀφιέντα χρόνον ἄλλον μεταλαμβάνει, κἂν φθείρηται ὁ πρῶτος, οὕτω καὶ κατὰ τόπον ἐκεῖνα λέγοιτο ἂν κινεῖσθαι, τὰ τὸν πρῶτον ἀφορισμὸν τῆς θέσεως ἀποβάλλοντα, καὶ μεταλαμβάνοντα ἕτερον, κἂν ὁ πρῶτος ἀεὶ φθείρηται.

φθείρηται. οὕτω δὲ καὶ κατὰ ποιότητα μεταβάλλειν λέγομεν, τὰ πρότερον μὲν ὄντα λευκά, αὖθις δὲ μελαινόμενα, οὐχ ὅτι που ὑπομένει καθ' ἑαυτὴν ἡ λευκότης, ἣν τὸ μελαινόμενον ἀποτίθεται. καὶ κατ' οὐσίαν δὲ μεταβάλλει τὰ γινόμενα καὶ φθειρόμενα, καὶ κατὰ ποσὸν τὰ αὐξανόμενα καὶ μειούμενα, τῆς προτέρας διαθέσεως οὐχ ὑπομενούσης. μὴ τοίνυν μηδὲ τοὺς τόπους ἀναγκάζωμεν σώζεσθαι τοὺς προτέρους ἐπὶ τῶν κατὰ τόπον μεταβαλλόντων. οὐδὲ γὰρ ἐπὶ ἡμῶν ἐν ταῖς μεταστάσεσιν οἱ τόποι σώζονται, ὅταν ἔνθεν ἐκεῖσε μεταβαίνωμεν. ἀλλ' ἡ ὁλότης ἐστὶν ἡ σωζομένη τοῦ περιέχοντος. καὶ ὁ ἐκείνης τόπος, δυνάμενος καὶ αὖθις κατά τι μέρος συμμέτρως ἔχειν πρὸς τὸ ἐμὸν διάστημα. ὥσπερ καὶ ἐγὼ καίτοι μεταστάς, δυνάμει ὅμως ἔχω τὴν πρὸς τὸ μέρος ἐκεῖνο τῆς ὁλότητος καὶ τὸν ἀφορισμὸν τῆς θέσεως αὐτοῦ συμμετρίαν. διὸ καὶ αὖθις αὐτῷ δύναμαι συναρμόζεσθαι, καὶ τὸν ἀφορισμὸν τῆς ἐμῆς θέσεως τουτέστι τὸν τόπον ἴσχειν κατ' ἐκεῖνον, ὅταν ὁ τοῦ ὅλου ἀέρος τόπος κατά τι ἑαυτοῦ τὴν ἐμὴν διάστασιν μετρήσῃ, καὶ ξυντάξῃ με τῇ τοῦ ἀέρος ὁλότητι. καὶ γὰρ καὶ αὐτὸς ὁ Ἀριστοτέλης ὥσπερ ὡς ἀξίωμα προλαμβάνει, τὸ δεῖν ὑπολείπεσθαι τὸν τόπον, τὸ πέρας τοῦ ἀέρος τὸ περιέχον ἐμὲ λέγει μένειν, ἀναχωροῦντος ἐμοῦ. εἰ δὲ ὅτι μένει ὁ τοῦ ὅλου τόπος ἀκίνητος, διὰ τοῦτο φαμὲν τὰ μέρη τόπον ἐκ τόπου μεταβάλλειν, τοῦτο καὶ ἐπὶ ταύτης οἶμαι συνθήσεται τῆς ὑποθέσεως. ὁ γὰρ τοῦ ὅλου τῆς θέσεως οὐσιώδης ἀφορισμὸς ὁ αὐτὸς ἀεὶ μένει, κἂν κινῆται τὸ πᾶν κἂν ἑστήκῃ. τοῦ δὲ μένοντος ἐκείνου τὸ πλῆθος τῶν ἄλλοτε ἄλλων γινομένων θέσεων, οἷα ἀνέλιξίς τις ἐστί. πᾶσαν γὰρ θέσιν τοῦ παντὸς ἡ μία οὐσιώδης περιέχει. ὁμοίως δὲ καὶ τῶν μερῶν ἑκάστου. καὶ κατὰ τοῦτο ὁ τόπος προσέοικε τῷ χρόνῳ. ὡς γὰρ ἐκείνου ὁ μέν τίς ἐστιν ἀΐδιος καὶ ἐν ταυτῷ μένων, ὁ τῇ γενέσει τῆς οὐσίας τῶν οὐρανίων συμπεφυκὼς ἀγενήτῳ πως οὔσῃ, καὶ μόνην ὑπόφασιν ἐχούσῃ γενέσεως, κατά τε τὴν σωματικὴν διάστασιν καὶ τὴν ὁποιανοῦν ἀλλοίωσιν, εἴπερ ἄρα τις καὶ τοῦτον καὶ τὸν τῆς ψυχικῆς οὐσίας μετρητικὸν χρόνον συγχωρήσοι καλεῖν, ἀλλὰ μὴ μεταξύ τι χρόνου καὶ αἰῶνος, ὁ δέ τις ἐν τῷ γίνεσθαι καὶ φθείρεσθαι τὴν ὅλην ἔχων ὑπόστασιν, οὗτος ὁ τήν τε μεταβατικὴν κίνησιν τῶν οὐρανίων καὶ τὴν παντοίαν τῶν ἐν γενέσει μεταβολὴν μετρῶν, οὕτω καὶ τόπος ὁ μὲν τὴν οὐσιώδη διάστασιν ἤτοι θέσιν μετρῶν, ἀΐδιός ἐστι καὶ μόνιμος ὥσπερ ἐκείνη. ὁ δὲ τὴν μεταβαλλομένην καὶ κατ' ἐνέργειαν θεωρουμένην, ἐν τῷ γίνεσθαι τὸ εἶναι ἔχει. καὶ ὥσπερ τὰς ἀεὶ γινομένας τῆς ψυχικῆς ζωῆς κατὰ φύσιν προβολάς, ἀνέλιξιν φαμὲν εἶναι, τῆς κατ' οὐσίαν προϋπαρχούσης καὶ συνῃρηκυίας ἐν ἑαυτῇ κατὰ τεταγμένους ὅρους τὴν τῶν προβολῶν διάκρισιν, οὕτω καὶ τοῦ παντὸς ὁ κατ' οὐσίαν τόπος συνῄρηκε πάντας τοὺς ἄλλοτε ἄλλους γινομένους, καὶ ἀφ' ἑαυτοῦ προάγει πάσης θέσεως τὴν συμμετρίαν. καὶ ἡ τοῦ κόσμου θέσις ἡ οὐσιώδης πάσας ὁμοίως αὐτοῦ τὰς θέσεις προείληφε, καὶ ὁ τόπος τοὺς τόπους. οὐ γὰρ οὐσίωται κατὰ τὸ ἀνατέλλειν ἢ δύνειν, ἢ ὅλως κατὰ τὴν τοιὰν ἢ τοιὰν τοῦ παντὸς θέσιν ὁ κόσμος. ὥσπερ οὐδὲ ἡ ψυχὴ κατά τινα ἄτομον προβολήν, ἀλλὰ κατὰ τὴν μονοειδῆ πρόληψιν πάσης τῆς ὁποιασοῦν θέσεως. ὥστε κἂν μηδὲν ἀκίνητον προϋποτεθῇ σῶμα ἢ διάστημα ὁ τόπος, οὐδὲν κωλύεται κατὰ τόπον τὰ οὐράνια κινεῖσθαι. καὶ γὰρ κατὰ χρόνον αὐτὰ κινεῖσθαι λέγουσιν, οὐ δή που καὶ τοῦ χρόνου σφαῖραν τινὰ ἀκίνητον προϋποτιθέμενοι, ἧς τὰ μόρια μεταβάλλειν φήσουσι κατὰ χρόνον κινούμενα. ἀλλ' εἰ καί τινος δεῖ μένοντος, ἀρκοῦνται τῷ οὐσιώδει χρόνῳ, ἢ ἐπὶ τὸν παραδειγματικὸν ἀναφέρουσι. μήποτε δὲ ἐκεῖνος ὁ μένειν λεγόμενος τόπος, οὐδὲ συντελεῖ τι μέγα πρὸς τὴν κατὰ τόπον κίνησιν. φέρε γὰρ ἀφαιρεθείσης τῷ λόγῳ τῆς τοῦ διαστήματος ἢ τοῦ τοπικοῦ σώματος σφαίρας, εἰ κινοῖτο τὸ σῶμα τοῦ οὐρανοῦ τὴν ἐγκύκλιον ταύτην κίνησιν, τίνα ἂν αὐτὴν ἄλλην ἢ τὴν κατὰ τόπον φήσομεν εἶναι. ἀλλ' ἔοικεν ἐκεῖνο τὸ ἀκίνητον τῇ ἡμετέρᾳ κρίσει λυσιτελεῖν, ἵνα πρὸς αὐτὸ παραβάλλοντες, κρίνωμέν τε καὶ διαριθμώμεθα τὰς μεταβάσεις. ὥσπερ οἱ ἀστρονόμοι καὶ τὴν ἄναστρον ὑπέθεντο σφαῖραν, καὶ τὸν ἐν αὐτῇ νοητὸν ζωδιακόν, καὶ τῶν ἄλλων ἄστρων τὰς νοητὰς ἐποχάς, οὐχ ἵνα κινῆται δι' ἐκεῖνα ὁ οὐρανὸς τὴν ἐγκύκλιον κίνησιν. ἀλλ' ἵνα τῆς κινήσεως τὰ μέτρα πρὸς ὡρισμένα πέρατα παραβάλλοντες, διαριθμήσασθαι δυνηθῶσι. καὶ πρὸς αὐτὸ δὲ τὸ κινεῖσθαι δοκεῖν αὐτά, πάνυ συμβάλλεται ἡμῖν, ἡ πρὸς τὸ ἀκίνητον παραβολή. πῶς γὰρ ἂν κινεῖσθαί τι κατὰ τόπον λέγοιμεν, ὃ μὴ μεταβάλλει τὴν θέσιν. πῶς δ' ἂν αἰσθοίμεθα μεταβεβληκότος τὸν τόπον τοῦ κόσμου, εἰ μὴ πρὸς τὰ κέντρα παραβάλλοιμεν αὐτόν. τὰ δὲ κέντρα πρὸς τὴν γῆν ἀφορίζομεν. εἰ δ' οὖν μήτε ἀνατολὴ μήτε δύσις εἴη μήτε μεσουράνημα, κινηθήσεται μὲν ὁμοίως ὁ οὐρανός. ἡμεῖς δὲ τῶν διαφόρων θέσεων τεκμήρια οὐχ ἕξομεν. πρὸς δὲ τὸ τέταρτον ῥητέον, ὅτι τελεσιουργὸς ὢν ὁ οὕτως ἀφορισθεὶς τόπος, ὁμοίως ἔχει ταῖς ἄλλαις τελειότησιν, οἷον τῷ καλῷ, τῷ ἀγαθῷ, τῷ ὅλῳ, τοῖς τοιούτοις. ὥσπερ οὖν τούτων ἕκαστον τοῦ μὲν ὅλου πληρώματος τοῦ μεθ' ἑαυτοῦ ἔλαττον φαίνεται, ἀντιδιαιρούμενον δὲ πρὸς τὰ ἄλλα κρεῖττον δοκεῖ, οὕτω καὶ ὁ τοιοῦτος τόπος πρὸς μὲν τὸ συνθετισμένον ὅλον συγκρινόμενος ὁ συνθετισμός, ἐνδεέστερος φανεῖται. ὡς δὲ τελειοῦν τοῦ τελειουμένου κρείττων δοκεῖ. ἀλλὰ δὴ καὶ πρὸς τὸ πέμπτον τῶν ἀπόρων, τὸ ζητοῦν πότερον διαστατός ἢ ἀδιάστατός ἐστιν ὁ τόπος ὁ τοιοῦτος, λέγομεν ὅτι μέτρον τῆς κατὰ τὴν θέσιν διαστάσεως

ὑπόκειται. πᾶν δὲ μέτρον συνεξισοῦσθαι βούλεται τῷ μετρουμένῳ, μᾶλλον δὲ συνεξισοῦν ἑαυτῷ τὸ μετρούμενον. ἀλλὰ τὸ μὲν ἐξῃρημένον μέτρον ἅτε καὶ δυνάμεως ὑπερβολῇ καὶ τῇ ἑνώσει τῆς οὐσίας ὑπερέχον τοῦ μετρουμένου, ἀναρπάζει τὸ μετρούμενον πρὸς τὴν οἰκείαν συναίρεσιν, μεταδιδὸν αὐτῆς ὡς δυνατὸν τῷ μετρουμένῳ. ὥσπερ καὶ τοὺς νοητοὺς ἀριθμοὺς πάντα μετρεῖν φαμὲν, κατὰ τὴν συνῃρημένην πάντων ἀκρότητα. καὶ ἔστι τὰ τοιαῦτα μετροῦντα μᾶλλον ἢ μέτρα. τὸ δέ γε συντεταγμένον ἅτε μέθεξις ὂν ἀπὸ τοῦ μετροῦντος εἰς τὸ μετρούμενον, καὶ συμμέτρως ἔχον πρὸς τὸ μετρούμενον, συνδιέστη καὶ συμπαρετάθη τῷ μετρουμένῳ. καὶ ὥσπερ ὁ παρ' ἡμῖν πῆχυς μέτρον ὑπάρχων, διαστατός ἐστιν ἀπὸ ἀδιαστάτου τοῦ μετροῦντος, τουτέστι τοῦ ἐν τῇ ψυχῇ πήχεος ἐπιγινόμενος, οὕτω δὲ καὶ ὁ χρόνος τῇ κινήσει συνδιέστηκε. καὶ ἔστι καὶ ἐπ' ἐκείνου τὸ αὐτὸ ἄπειρον, εἴτε διαστατός ἐστι καὶ αὐτὸς, εἴτε ἀδιάστατος. καὶ δηλονότι ὁ μεθεκτὸς οὗτος, μᾶλλον δὲ ἡ μέθεξις, συμμεμέρισται τῇ κινήσει, συμπαρομαρτῶν αὐτῇ πανταχοῦ, καὶ τὴν παράτασιν αὐτῆς καὶ τὸν σκεδασμὸν συνάγων, ἢ τό γε ἀληθὲς εἰπεῖν συναγωγὴ τῶν συναγομένων ὑπάρχων. καὶ ὁ τόπος οὖν οὗτος ὁ συνυπάρχων τοῖς σώμασι, συνδιέστηκεν αὐτοῖς. πανταχοῦ γὰρ τοῦ σώματος ἡ θέσις ἐστὶ, καὶ ὁ τῆς θέσεως ἀφορισμός. πῶς οὖν φαμὲν, εἰ διέστηκεν ὁ τόπος, οὐχὶ καὶ αὐτὸς ἐν θέσει ἔσται, καὶ δεηθήσεται τόπου, τοῦτο δὴ τὸ πρὸς πᾶσαν τὴν τόπου γινομένην ὑπόθεσιν ἐνιστάμενον. ἀλλ' εἰδέναι χρὴ ὅτι πᾶν τὸ οὑτινοσοῦν μετέχον, ἐνδεὲς ὂν ἀφ' ἑαυτοῦ τῆς τοῦ μετεχομένου φύσεως, λέγεται μετέχειν αὐτοῦ. τὰ δέ γε οἴκοθεν ἔχοντά τι, οὐ δέεται τῆς ἔξωθεν οὐδὲ ἔχουσιν ἐπεισαγωγῆς. ἐπεὶ καὶ εἰς ἄπειρον οὕτως ἀνάγκη προϊέναι. διὸ ἡ διάστασις αὐτὴ καθ' ἣν διέστηκε τὰ διεστῶτα, συνδιέστηκε μὲν αὐτοῖς, ἀλλ' οὐχ οὕτως, ὡς τὰ κατ' ἄλλο τι χαρακτηριζόμενα, καὶ κατὰ μέθεξιν τῆς διαστάσεως λεγόμενα διεστάναι. ἀλλ' ὡς αὐτὴ ἂν ἡ διάστασις διεστάναι λέγοιτο, συνεκτεταμένη τῷ διεστῶτι καὶ παρέχοντι ἑαυτήν. ὡς εἴ γε ἄλλης τινὸς ἐπεισάκτου δέοιτο διαστάσεως, πάλιν περὶ ἐκείνης ζητήσομεν. εἰ μὲν γὰρ ἀδιάστατος, πῶς ἐφαρμόσει τοῖς διεστῶσιν. εἰ δὲ διαστατὴ, καὶ αὐτὴ δεήσεται ἑτέρας, καὶ ἐπὶ ἄπειρον. καὶ διὰ τοῦτο οὔτε κινήσεως κίνησιν ἀπαιτητέον, οὔτε χρόνου χρόνον, οὔτε μέτρου μέτρον. τί οὖν ἄρα οὐ δυνήσονται καὶ οἱ σῶμα πάντα τόπον ἢ διάστημά τι λέγοντες ἀφωρισμένον, ἐκφυγεῖν οὕτω τὴν ἐπαχθεῖσαν ἀπορίαν αὐτοῖς. ἐπήγετο δὲ τὸ δεῖν εἴπερ καὶ ἐκείνων ἄλλο ἀλλαχοῦ τῶν μορίων ἐστὶν, ἐν τόπῳ πάντως εἶναι καὶ αὐτά. καὶ γὰρ ἐκεῖνοι ἐροῦσιν ἑτοίμως, ὅτι τὸ σῶμα ἐκεῖνο ἢ τὸ διάστημα τόπον εἶναι φαμὲν, τόπος δὲ τόπου οὐκ ἂν εἴη. ὥσπερ οὖν λέγουσιν. ὁ γοῦν φιλόσοφος Συριανὸς τὸν ταῦτα φασὶ διαποροῦντα, παρακαλέσομεν πρὸς τὴν διάνοιαν τῶν πρεσβυτέρων ὁρᾶν, καὶ μήτε κινήσεως κίνησιν ζητεῖν, μήτε στάσεως στάσιν, μήτε τόπου τόπον, μήτε ἀτοπίαν. ἀλλ' εἰ μὲν ταὐτὸν ἦν ἡ σώματος φύσις καὶ τὸ μέτρον τῆς θέσεως, καλῶς ἂν ἐλέγετο. εἰ δὲ πᾶν σῶμα καθὸ σῶμα μέτρου δεῖται, κἂν κατὰ τὴν διάστασιν μετρῆται, ἄλλο γάρ ἐστι διάστασις, καὶ ἄλλο μέτρον διαστάσεως, δηλονότι ἡ διάστασις καθὸ διάστασις, εἴπερ καθ' αὑτὴν εἴη, διαστάσεως μὲν οὐ δεῖται, μέτρου δὲ δεῖται. τὸ δέ γε μέτρον πῶς ἂν μέτρου δεηθείη. ἀλλ' ἔοικε μέτρου μὲν μὴ δεῖσθαι, τὴν δὲ διάστασιν ἐπείσακτον ἔχειν. καὶ ἔστι διαστάσεως ὁ τόπος κατὰ μέθεξιν τοῦ ἐν τόπῳ. ὥσπερ μεμέρισται τὸ ἐν τόπῳ, καὶ τετόπισται: κατὰ τόπον. καὶ οὐδὲν μὲν οἶμαι ἄτοπον οὕτω λέγειν. καὶ γὰρ καὶ τὴν λευκότητα σωματοῦσθαι φασὶ διὰ τὸ σῶμα, ὥσπερ τὸ σῶμα λευκαίνεται διὰ τὴν λευκότητα. τί οὖν ἄτοπον καὶ τὸν μεθεκτὸν τόπον διεστάναι, διὰ τὸ μετέχον αὐτοῦ διαστατὸν ὑπάρχον. φαίη γὰρ ἄν τις καταλαβεῖν βουλόμενον τὸ μετρούμενον ὑπ' αὐτοῦ, συνεκταθῆναι αὐτῷ. καὶ ἔχοι μὲν ἄν τινα καὶ ταῦτα λόγον. ἄμεινον δὲ οὕτως οἶμαι λέγειν, ὅτι ἄλλη ἐστὶν ἡ διάστασις ἡ κατ' εἶδος, ἥτις ἂν καὶ ἐν τοῖς παραδείγμασι θεωρηθείη, λόγος οὖσα, μᾶλλον δὲ εἶδος διαστάσεως. καὶ ἄλλη ἡ κατὰ τὴν ἀπὸ τοῦ διαστατοῦ ὕφεσιν, κατὰ πάθος γινομένη. τοιγαροῦν τὴν ἐν τῷ νῷ διάστασιν κατ' εἶδος προϋπάρχουσαν, ἤτοι τὴν τῆς διαστάσεως αἰτίαν, ὑφ' ἧς πᾶν μέγεθος ὑφίσταται, καίτοι πρώτην καὶ κυριωτάτην εἶναι λέγοντες, ὅμως ἀδιάστατον φαμὲν, διὰ τὴν ἀμέριστον τῆς νοερᾶς οὐσίας συναίρεσιν, καὶ οὐκ ἐκείνην μόνην, ἀλλὰ καὶ τὰ μετέχοντα αὐτῆς κατ' αὐτήν. τὰ δέ γε ἐνταῦθα διαστατὰ οὐ μόνον τῇ τῆς ἰδιότητος μεθέξει, ἀλλὰ καὶ τῇ ὑφέσει τῆς ἐκεῖθεν ἀμερείας διεστάναι φαμὲν, καὶ κατά γε τοῦτο τὸ σημαινόμενον τῆς διαστάσεως, οὐ τὰ σώματα μόνα διέστη ἐνταῦθα, ἀλλὰ καὶ τὰ τοῖς σώμασι συμβεβηκότα. ὥστε καὶ τὴν λευκότητα καὶ θερμότητα καὶ τοὺς ἀριθμοὺς, καὶ τὰ τοιαῦτα πάντα τὰ ἐνθάδε, μὴ μόνον διὰ τὰ ὑποκείμενα αὐτοῖς σώματα διεστάναι, ἀλλὰ καὶ δι' ἑαυτά. μᾶλλον δὲ τὴν μὲν αἰσθητικὴν διάστασιν ἔχει, διὰ τὸ τοῦ σώματος εἶδος ἐν ᾧ γέγονε. τὴν δὲ νοητὴν καὶ εἰκονικὴν διὰ τὴν ὕφεσιν τὴν ἀπὸ τοῦ ἀδιαστάτου. δι' ἣν καὶ τὸ σῶμα καίτοι καὶ ἐν νῷ σῶμα ὂν, ἐκεῖ μὲν ἀδιάστατον ἦν, ἐνταῦθα δὲ διέστη. ὡς οὖν τὸ θέσιν ἔχον σῶμα διέστη διὰ τὴν ὕφεσιν, οὕτω καὶ τὸ τῆς θέσεως μέτρον ὁ τόπος διέστη, ὡς διεστάναι τῷ μέτρῳ δυνατὸν, ὑφειμένῳ ὄν τι τοῦ μετροῦντος ἀδιαστάτου. διέστη οὖν ὁ τόπος πάντα συνάγων τὰ διεστῶτα, οὐχὶ τὰ σώματα μόνον ὡς λέγεσθαι δοκεῖ, οὐ δὲ τὰς διαστάσεις, εἴ τινές εἰσι καθ' αὑτὰς, ἀλλὰ καὶ ταῦτα καὶ τὰς ποιότητας, καὶ τὰ ἄλλα συμβεβηκότα, καὶ συνάγων καὶ ταύτας

οὐ μόνον κατὰ συμβεβηκὸς, καθόσον συνδιέστησαν τῷ σώματι, ἀλλὰ καὶ καθ' αὑτὰ, καθόσον καὶ
αὐτὰ διέστη τὴν ὕφεσιν. καὶ γὰρ καὶ χρόνου τὰ συμβεβηκότα δεῖται, οὐ διὰ τὸ σῶμα μόνον, ἀλλὰ
καὶ καθ' αὑτὰ διὰ τὴν γενητὴν ὕπαρξιν. καὶ ἵνα τὸ παράδοξον εἴπω, καὶ τὴν στιγμὴν αὐτὴν διεστά-
ναι ταύτην ἄν τις εἴποι τὴν διάστασιν. καθὸ θέσιν ἔχει καὶ πέρας γέγονε τῆς γραμμῆς. ἀλλὰ τὸ νῦν
δὴ τοῦτο περὶ τῆς γενητῆς διαστάσεως ῥηθὲν, ἑτέρας ἂν ἀπορίας ἀρχὴ γένοιτο δικαίως. εἰ γὰρ τὸ
διαστατὸν καίτοι καὶ ἐν νῷ προϋπάρχον τῇ ἰδιότητι, ὅμως οὐκ ἐδεήθη τόπου διὰ τὴν ἀδιάστατον
ἕνωσιν, ἔοικε δὲ μηδὲ ἐνθάδε διὰ τὴν ἰδιότητα τῆς διαστάσεως τοῦ τόπου δεῖσθαι, ἀλλὰ διὰ τὴν
νοητὴν ὑπόστασιν καὶ ἐν τῇ ὑφέσει γινομένην διόγκωσιν, καὶ τὴν τῶν μορίων διέρριψιν, εἰ δὲ τοῦτο,
δηλονότι καὶ αὐτὸς ὁ τόπος ὑπομείνας ταύτην τὴν καθ' ὕφεσιν διάστασιν, δεήσεται τόπου τοῦ συ-
νάγοντος. καὶ ὁ χρόνος δεήσεται χρόνου. ἢ καὶ τὰ κατ' ἰδιότητα διακεκριμένα καὶ παρατεταμένα
καὶ διεστῶτα, τῶν κατ' ἰδιότητα μέτρων ἐδεήθη. ὡς τὸ μὲν ἐκεῖ πλῆθος τοῦ ἐκεῖ ἀριθμοῦ. τὸ δὲ εἶναι
τοῦ ὄντος τῆς αἰωνίου συναιρέσεως. τὸ δὲ μέγεθος ἐκεῖνο τοῦ μεγεθικοῦ μέτρου. ὁμοίως δὲ καὶ τὰ κατὰ
ὕφεσιν εἰκονικῶς ὑποστάντα, ὑπὸ τῶν ὑφειμένων καὶ εἰκονικῶν μέτρων περιωρίσθη. ἅτε δὲ γενέ-
σεως ὄντα συναγωγὰ καὶ μετρητικὰ, μᾶλλον δὲ αὐτὴ ἡ συναγωγὴ καὶ αὐτὸ τὸ μέτρον, ὑπερανέχει
τῆς γενέσεως. καὶ ἀφ' ἑαυτῶν ἔχοντα τὸ μέτρον, οὐ δεῖται συναγωγῆς ἑτέρας, ὥσπερ τὰ ἄλλα
τὰ ὑπὸ τούτων συναγόμενα. ἀλλ' εἴπερ ἄρα καὶ δεῖται, κρείττονος δεῖται καὶ ἀμερεστέρας. μεσό-
της γάρ ἐστι τοῦ ταῦτα μετροῦντος καὶ τοῦ μετρουμένου, ἐξῃρημένα μὲν τῶν μετρούντων, ἐμφυόμενα
δὲ τοῖς μετρουμένοις. καὶ ὥσπερ τὰ σώματα διὰ μὲν τὸν οἰκεῖον μερισμὸν ἄμοιρα ζωῆς ἐστι καθ' αὑτὰ,
μετέχει δὲ ζωῆς τῆς ἀπὸ ψυχῆς ἐνδιδομένης καὶ ὁλοποιούσης αὐτὰ, καὶ ἡ ζωτικὴ μέθεξις αὐτὴ
διΐσταται μὲν καὶ μερίζεται περὶ τοῖς σώμασι διὰ τὴν ἀπὸ ψυχῆς ὕφεσιν, οὐ μέντοι ζωῆς πάλιν
ἑτέρας δεῖται, ἀλλ' αὐτῆς μόνης τῆς εἰς τὴν ψυχὴν ἐρριζώσεως, οὕτως ἂν ἔχοι καὶ ὁ τόπος. ἡ γὰρ
φύσις τοῦ μέτρου ὑπερτέρα πρὸς τὸ μετρούμενόν ἐστι, καὶ οὐ τῶν αὐτῶν ἐπιδεής, ὧν καὶ ἡ τοῦ μετρουμέ-
νου. οὐδὲ γὰρ τὸ καλὸν τὸ ἐνταῦθα, καίτοι διὰ τὴν ὕφεσιν ποσῶς αἰσχυνόμενον, δεῖται ἄλλου κα-
λοῦ τινος ἐνύλου μεθέξεως, ἀλλὰ μόνης τῆς πρὸς τὸ ἀρχέτυπον καλὸν ἀπεικασίας. καίτοι τὸ καλὸν
συντέτακται μᾶλλον πρὸς τὰ ἄλλα εἴδη. ὁ δέ γε τόπος καὶ ὁ χρόνος ἐξῃρημένην μᾶλλον ἔχουσι
φύσιν, κατὰ τὸ συναγωγὸν αὐτῶν θεωρούμενοι. καὶ ἡ διάστασις αὐτῶν οὐχ ὁμοία γέγονε ταῖς ἄλλαις
κατὰ μεσότητα θεωρουμέναις τοῦ τε ἀδιαστάτου καὶ μετροῦντος, καὶ τοῦ διαστατοῦ καὶ μετρουμένου.
καὶ γὰρ γενέσεως εἰς τοσοῦτον μετέχει τὸ μέτρον τῆς γενέσεως, εἰς ὅσον ὑφείθη τῆς ἀμερίστου αἰτίας
τῆς μετρούσης τὴν γένεσιν. ὑφείθη δὲ ὡς μὴ πάντη γένεσις εἶναι. οὐ γὰρ ἂν ἦν μέσον τὸ μέτρον τοῦ τε
μετροῦντος ἀγενήτου, καὶ τῆς μετρουμένης γενέσεως. μέσον δὲ ὂν, εἰ καὶ αὐτὸ μέτρου δεῖται, ἄλλης ἂν
δέοιτο μεσότητος. τὸ γὰρ μέτρον μέσον εἶναι χρὴ πάντως τοῦ τε μετροῦντος καὶ τοῦ μετρουμένου, ἐνερρι-
ζωμένον μὲν τῷ μετροῦντι, καὶ εἰς ἐκεῖνο κορυφούμενον, συνεκτεινόμενον δὲ τῷ μετρουμένῳ, μίαν δὲ
ἁπλῆν ἔχον τὴν συναμφοτέρων ὑπόστασιν. τὸ δέ γε σῶμα ὅπερ ὡς τόπον ἁπλῶς ὑποτίθενται,
σῶμά γε ὂν τῇ ἑαυτοῦ φύσει, διατί μὴ δεῖται καὶ αὐτὸ μέτρου. ὁμοίως δὲ καὶ τὸ διάστημα εἴπερ οὐ-
σία τίς ἐστι, καὶ ἄλλο ἀλλαχοῦ μέρος ἔχουσα. ἀλλὰ δὴ καὶ πρὸς τὸ ἕκτον καὶ πρὸς τὸ ἕβδομον τῶν
ἀπορηθέντων ἐροῦμεν, ὅτι οἱ χωριστὸν καὶ ἀκίνητον λέγοντες τὸν τόπον, καὶ ὡς ἀξιώματα ταῦτα
περὶ τοῦ τόπου προλαμβάνοντες, εἰς τὸν κοινὸν καὶ πλατικὸν ἀπεῖδον τόπον, ὡς καὶ πρότερον
εἴρηται. ὁ μὲν γὰρ ἴδιος ἑκάστου τῆς τῶν μορίων θέσεως, καὶ ἀχώριστόν ἐστιν αὐτοῦ, καὶ συγκινεῖται
κινουμένῳ. ὁ δὲ ἐν πλάτει, ὡς καὶ Συριανὸς ἔλεγε, καθ' ὃν καὶ ἡ κατὰ τόπον γίνεται κίνησις, ἄλλου
ὢν ἴδιος τοῦ ὁλικωτέρου σώματος, ἐκείνου μὲν καὶ ἀχώριστός ἐστι, καὶ συγκινεῖται ἐκείνῳ, εἴπερ
τύχοι κινούμενον. τοῦ δὲ ἐν ἐκείνῳ σώματος καὶ χωριστός ἐστιν καὶ ἀκίνητος ὥσπερ ἐκεῖνο. καὶ οὐδὲν
θαυμαστὸν εἰς τὸν πλατικὸν τοῦτον ἀποβλέψαι, τοὺς ἀπὸ τῆς ἀντιμεταστάσεως τῶν σωμάτων εἰς
ἔννοιαν ἐλθόντας τοῦ τόπου. τὸ δὲ ὄγδοον, εἰ στοιχεῖον φησὶν ὁ τόπος ἐστὶ τοῦ ἐν τόπῳ, τὸ δὲ στοιχεῖον
ἐν τῷ στοιχειωτῷ ἐστιν, ἀλλ' οὐχὶ τὸ στοιχειωτὸν ἐν τῷ στοιχείῳ, συμβήσεται τὸν τόπον ἐν τῷ σώματι
λέγειν, ἀλλ' οὐχὶ τὸ σῶμα ἐν τῷ τόπῳ. καὶ τοῦτο οὖν ἔστι μὲν διαλύειν λέγοντα, ὅτι ἐν τῷ ὁλικω-
τέρῳ καὶ περιεκτικωτέρῳ τόπῳ τὸ ἐν τόπῳ θεωροῦντες, εἰκότως ἐν ἐκείνῳ λέγομεν. ἔστι δὲ καὶ
ὡς πλήρωμα τοῦ ἐν τόπῳ προϋπάρχον ὁρᾶν αὐτὸ, συναγωγὸν αὐτοῦ τῆς διαστάσεως, ὡς εἰ καὶ τὴν
ἐμψυχίαν νοήσαις τοῦ ζῶντος σώματος. ἔχει γάρ τι καὶ ὁ τόπος ἐξῃρημένον, καὶ πάντα τοπικῶς
καὶ μετρητικῶς προσειληφὸς, ὅσα τὸ σῶμα σωματικῶς. διὸ καὶ ἐξῃρημένος καὶ χωριστὸς δοκεῖ. καὶ
τὸ σῶμα λέγεται ἐν τόπῳ, οὐχὶ ὁ τόπος ἐν τῷ σώματι. ἡ γὰρ παραβολὴ γίνεται ὡς κεχωρισμέ-
νων. ἔστιν οὖν ἐν τῷ συνάγοντι τὸ συναγόμενον. καὶ ἐν τῷ ἡνωμένῳ τὸ διακεχωρισμένον. καὶ ἐν τῷ
μετροῦντι τὸ μετρούμενον. ὥσπερ καὶ ἐν τῷ ὅλῳ τῷ τοῖς μέρεσιν ἀντιδιῃρημένῳ λέγεται εἶναι τὰ μέ-
ρη. καὶ γὰρ περιεκτικὸν καὶ χωρητικόν ἐστι τοῦ μετρουμένου τὸ μέτρον, ὁρίζον αὐτὸ πανταχόθεν καὶ
συνάγον. διατοι τοῦτο καὶ πρῶτον εἰκὸς ἀπολαύειν τῆς θείας ἐλλάμψεως, μάλιστα μὲν, τὸν τῶν

ὁλικωτέρων καὶ ἀϊδίων. εἰς ὃν καὶ ἀφορῶντες λέγουσι τῷ τόπῳ τὰ σύμβολα τῶν θεῶν ἀΐδια ἐντετάχθαι. ἤδη δὲ καὶ τὸν μερικώτερον καὶ ἑκάστου ἴδιον. ἡ γὰρ ἕνωσις καὶ τὸ μέσον καὶ ὁ ὅρος συγγενέστερα ταῖς ἑνιαίαις οὖσαι τῶν θεῶν ὑποστάσεσι, πρῶτα ἂν αὐτῶν ἀπολαύοι τῆς ἐλλάμψεως. ὥς τε καὶ τὸ ἔνατον τῶν ἀτόπων οὕτω διαλυτέον. τὸ δὲ ἔσχατον φησίν, εἰ εἰκονικῶς ἀρέσκει, τὸ εἰς ἔννοιαν ἡμᾶς ἐλθεῖν τοῦ τόπου μὴ ἀλλαχόθεν, ἢ ἀπὸ τῆς ἀντιμεταστάσεως τῶν σωμάτων, πῶς ἀπὸ ταύτης μέτρον ἢ ἀφορισμὸν θέσεως τὸν τόπον εἶναι λέγομεν. καὶ γὰρ καὶ μὴ μεθισταμένων καὶ μεθισταμένων ὁ οἰκεῖος ἀφορισμὸς ὁ ἑκάστου ὁ αὐτὸς μένει. ἢ καὶ τοῦτο ἀπὸ τῶν ἤδη πολλάκις εἰρημένων διαλέλυται. διττοῦ γὰρ ὄντος ὡς εἴρηται τοῦ τόπου, τοῦ μὲν, οὐσιώδους καὶ καθ' αὑτὸ ὑπάρχοντος ἑκάστῳ καὶ μένοντι καὶ κινουμένῳ τοῦ αὐτοῦ, τοῦ δὲ, ἄλλοτε ἄλλου γινομένου ἐν ταῖς μεταστάσεσι, κατὰ τὴν θέσιν τῆς πρὸς τὰ ὁλικώτερα συντάξεως, ὁ μὲν οὐσιώδης ἅτε τῇ οὐσίᾳ συμπεφυκὼς, δυσδιάκριτος ἀπὸ τῆς οὐσίας ἐστίν. ὁ δὲ ἄλλοτε ἄλλος γινόμενος τῆς οὐσίας τῆς αὐτῆς μενούσης, πλήττει ῥᾳδίως καὶ διεγείρει τὸ κρῖνον ἐν ἡμῖν τῇ πρὸς τὴν οὐσίαν ἑτερότητι. ὥσπερ καὶ τοῦ χρόνου διττὴν ἔχοντος τὴν φύσιν, καὶ τοῦ μὲν, τὴν οὐσιώδη κίνησιν μετροῦντος, τοῦ δὲ, τὴν ἐκτὸς κατ' ἐνέργειαν, ὁ μὲν κατ' οὐσίαν οὕτως ἐστὶ δυσκατανόητος, ὥσπερ καὶ χρόνος οὗτος ἄξιος λέγεσθαι, ὡς τὸν ἀριστοτέλη μηδὲ φάναι ὅλως ἔγχρονα τὰ τὴν οὐσίαν ἀΐδιον ἔχοντα. ἀλλ' ἐκεῖνα μόνα ὅσα τῶν γινομένων καὶ φθειρομένων μετρεῖται. καὶ γὰρ καὶ κίνησις ἡ μὲν οὐσιώδης ἄγνωστος ἦν, ἡ δὲ ἐνεργητικὴ πρόχειρος. καὶ θέσις ἡ μὲν οὐσιώδης κἂν ᾖ πάντως ἄλλων ἀλλαχῇ διεστώτων τῶν μορίων, ἀλλ' ὅτι γε ἑτέρα τίς ἐστι παρὰ τὰ μόρια, τότε γίνεται ἐκδηλότερον, ὅτε μενόντων τῶν μορίων ἐν τῇ κατ' οὐσίαν ἑαυτῶν θέσει, ἡ τοῦ ὅλου θέσις μεταβαλλομένη φαίνοιτο. τοῦτο δὲ ἐν ταῖς ἀντιμεταστάσεσι γίνεται. καὶ μή ποτε καὶ τοῦτο γέγονεν αἴτιον, τοῦ τὴν οὐσιώδη θέσιν τὴν ἰδίαν ἑκάστων καὶ τὸ ταύτης μέτρον διαλαθεῖν, τὸ δυσδιάκριτον τῆς θέσεως αὐτῆς ἀπὸ τοῦ κεῖσθαι λεγομένου. ἡ μέντοι κοινοτέρα ἐκ τῶν ἀντιμεταστάσεων προφανεστέρα ἦν. εἰς ἣν ὡς ἔοικε καὶ οἱ περιπατητικοὶ βλέποντες, τὰ κινούμενα κατὰ τόπον μόνα καὶ ἐν τόπῳ εἶναι φασί. διότι τοῦτον μάλιστα ἑώρων τὸν μεταβαλλόμενον τόπον. ἀλλ' ἐπειδὴ καὶ ταύτην τὴν περὶ τοῦ τόπου ἔννοιαν ὡς ἦν ἐμοὶ δυνατὸν διήρθρωσα, καὶ τάς τε ἀπορίας τὰς πρὸς αὐτὴν ἐξεθέμην, καὶ τὰς τῶν ἀποριῶν λύσεις ἐπήγαγον, ὅτι μὴ πάντη καινοπρεπής ἐστι, μηδὲ τοῖς κλεινοῖς τῶν φιλοσόφων ἀγνοηθεῖσα, βούλομαι δεῖξαι. καὶ γὰρ καὶ θεόφραστος ἐν τοῖς φυσικοῖς φαίνεται τὴν ἔννοιαν ταύτην ἐσχηκὼς περὶ τοῦ τόπου, ἐν οἷς φησιν ὡς ἐν ἀπορίᾳ προτείνων τὸν λόγον.

» μή ποτε οὐκ ἔστι καθ' αὑτὸν οὐσία τις ὁ τόπος. ἀλλὰ τῇ τάξει καὶ θέσει τῶν σωμάτων λέγεται κατὰ
» τὰς φύσεις καὶ δυνάμεις, ὁμοίως δ' ἐπὶ ζώων καὶ φυτῶν καὶ ὅλως τῶν ἀνομοιομερῶν, εἴτε ἐμ-
» ψύχων εἴτε ἀψύχων, ἔμμορφον δὲ τὴν φύσιν ἐχόντων. καὶ γὰρ τούτων τάξις τις καὶ θέσις τῶν με-
» ρῶν ἐστι πρὸς τὴν ὅλην οὐσίαν. διὸ καὶ ἕκαστον ἐν τῇ αὑτοῦ χώρᾳ λέγεται, τῷ ἔχειν τὴν οἰκείαν τά-
» ξιν. ἐπεὶ καὶ τῶν τοῦ σώματος μερῶν ἕκαστον ἐπιποθήσειεν ἂν καὶ ἀπαιτήσειε τὴν ἑαυτοῦ χώραν καὶ
» θέσιν. τὸ δὲ αὐτὸ δείξω τὸν θεῖον ἰάμβλιχον μαρτυρόμενον. καὶ γὰρ οὗτος ἐν τῷ πέμπτῳ βιβλίῳ
» τῶν εἰς τὸν τίμαιον ὑπομνημάτων ἐν κεφαλαίῳ δευτέρῳ τάδε γέγραφε. πᾶν σῶμα ᾗ σῶμα ὑπάρ-
» χει ἐν τόπῳ ἐστί. συμφυὴς γὰρ τοῖς σώμασιν ὁ τόπος συνυφέστηκε, καὶ οὐδαμῶς ἀπεσχισμένος αὐτῶν
» τῆς πρώτης παρόδου εἰς τὰ ὄντα, καὶ τῆς κυριωτάτης οὐσίας. εἰκότως γὰρ καὶ ὁ τίμαιος μετ'
» αὐτῆς τῆς τῶν σωμάτων ἀρχῆς τοῦ εἶναι καὶ τὸν τόπον πρώτως παράγει. ὅσοι δὴ οὖν οὐκ αἰτίας
» συγγενῆ ποιοῦσι τὸν τόπον, εἰς πέρατα ἐπιφανειῶν ἢ χωρήματα διάκενα, ἢ διαστήματα ὁποιαδήτι-
» ναοῦν αὐτὸν καθέλκοντες, ἅμα μὲν ἀλλότρια δοξάσματα ἐφέλκονται, ἅμα δὲ ἀποτυγχάνουσι τῆς
» ὅλης τοῦ τιμαίου προαιρέσεως, ἥτις ἀεὶ τὴν δημιουργίαν τῇ φύσει συνάπτει. ἔδει τοίνυν ὥσπερ τὰ
» σώματα συγγενῶς τῇ αἰτίᾳ παρήγαγεν, οὕτω καὶ τὸν τόπον ἠρτημένον ἀπὸ τῆς αἰτίας κατιδεῖν, ἥπερ
» ὁ τίμαιος ὑφηγεῖται. καὶ ὥσπερ τὸν τόπον ἐπειράθημεν ὁμοφυῆ πρὸς τὴν δημιουργίαν ἀποδοῦναι,
» οὕτω καὶ τὸν τόπον ἐξηγεῖσθαι. ὥς τε καὶ αὐτὸς τὰς ἄλλας ἐπιβολὰς ἀποσκευαζόμενος, τὰς ἔξω-
» θεν τῶν ἐν τόπῳ τὸν τόπον ποιούσας, συμφυῆ τὸν τόπον τοῖς ἐν τόπῳ φησί. καὶ προελθὼν δὲ, τῇ

οὖν δόξα φησὶ τὸ τέλειον καὶ τὸ τῆς οὐσίας συγγενὲς περὶ τὸν τόπον ἀφορίζεται. ἡ ἡ δύναμιν αὐτὸν σωματοειδῆ τιθεμένη τὴν ἀνέχουσαν τὰ σώματα καὶ διερείδουσαν, καὶ πίπτοντα μὲν ἀνεγείρουσαν, διασκορπιζόμενα δὲ συνάγουσαν, συμπληροῦσαν δὲ αὐτὰ ἅμα καὶ περιέχουσαν πανταχόθεν. ἔοικεν οὖν καὶ αὐτὸς ὁρισμὸν ἀποδιδόναι τοῦ τόπου, δύναμιν αὐτὸν σωματοειδῆ λέγων συμφυῆ τῷ ἐν τόπῳ, τὴν ἀνέχουσαν τὰ σώματα καὶ διερείδουσαν, καὶ πίπτοντα μὲν ἀνεγείρουσαν, διασκορπιζόμενα δὲ συνάγουσαν, συμπληροῦσαν δὲ αὐτὰ ἅμα καὶ συνέχουσαν πανταχόθεν. καὶ δηλονότι εἴπερ συμπληροῖ τὰ σώματα ὁ τόπος, οὐκ ἂν εἴη χωριστὸς τοῦ ἐν τόπῳ. περιεκτικῶς δὲ οὕτως ὡς ὁριστικός ἐστι καὶ συναγωγὸς σωμάτων. τί οὖν γὰρ τοσούτους καὶ τηλικούτους ἄνδρας διαμαρτεῖν ἐν τῇ περὶ τόπου δόξῃ φήσομεν, θοίνην οὐκ εὐτυχῆ προτιθέντες ταῖς ἡμετέραις ἀπορίαις, τοῖς εἰωθόσιν ἐντρυφᾶν ταῖς δοκούσαις τῶν παλαιῶν ἐναντιολογίαις, ἢ μᾶλλον ἑκάστῳ τῶν

περὶ τόπου τι γραψάντων παρακολουθοῦντες, δείξομεν μηδένα μὲν τῆς περὶ τόπου διαμαρτεῖν ἀληθείας, πολυειδοῦς δὲ ὄντος αὐτοῦ, ἄλλον κατ' ἄλλο τι τῶν εἰδῶν τοῦ τόπου θεάσασθαί τε καὶ ἐκφῆναι. ἵνα τοίνυν καὶ τὴν κοινὴν ἔννοιαν περὶ τόπου παντὸς ἰδεῖν δυνηθῶμεν, καὶ τὰς ὑπὸ τῶν φιλοσόφων εἰρημένας διαφορὰς ὑπ' αὐτὴν θεασώμεθα, λέγομεν ἀρχήν τινα πάλιν λαβόντες τοιάνδε. τὸ μὲν κυρίως ἓν ἅτε κατὰ πάντα τρόπον ἀδιάστατον καὶ ἀδιάκριτον καὶ ἀπαράλλακτον ὑπάρχον, ὅρος πάντων ἐστὶ καὶ μέτρον, οὔτε ὁρίζεσθαι δεόμενον οὔτε μετρεῖσθαι παρά τινος. ἀλλὰ μὴν καὶ τὸ ἡνωμένον ἐν τῷ ἑνί, κρατούμενον ἐστί, καὶ αὐτό πως ἀνενδεές ἐστι τῆς τοιαύτης τελεσιουργίας. ἡνωμένον δὲ λέγω νῦν οὐ τὸ συνεχές. ἤδη γὰρ καὶ τοῦτο διέστηκεν. ἀλλὰ τὸ μὴ πρὸς μέτρων τὴν ὁποιανοῦν διάκρισιν ὑπελθόν. τὸ δέ γε διακριθὲν κατὰ πλείονας τοῦτο τρόπους. καὶ τὸ μέν, κατὰ μέγεθος οὐσίας ἢ δυνάμεως διέστη. ὥσπερ τὰ συνεχῆ λεγόμενα ποσά. τὰ δέ, κατὰ πλῆθος διῃρέθη, ὡς τὰ διωρισμένα ἰδίως καλούμενα. τὰ δέ, κατὰ τὴν τοῦ εἶναι παράτασιν ἐξετάθη, ὅσα ἀΐδια καὶ κατὰ τοσόνδε χρόνον ἔχειν τὴν ὑπόστασιν ἐλέγομεν. ἐκβάντα δὲ ὅλως τοῦ ἑνιαίου πέρατος, καὶ πρὸς ἀπειρίαν ὁρμήσαντα καὶ ἀοριστίαν, μέτρων ἐδεήθη καὶ ἀφορισμῶν τῶν ὡρισμένα καὶ ἀσύγχυτα φυλαττόντων αὐτά. καὶ ἄλλων μὲν κατὰ τὴν εἰς ἄπειρον ἔκχυσιν, ἄλλων δὲ κατὰ τὴν ἐν ἀλλήλοις τῶν ἤδη διεστώτων μόνων κινδυνεύουσαν ἐπιγίνεσθαι σύγχυσιν. καὶ τοῦ μὲν διωρισμένου πλήθους τὸν εἰς ἄπειρον διασπασμὸν ἔστησεν ἀριθμός, ὡρισμένοις εἴδεσι περιλαβὼν τὴν διάκρισιν. τοῦ δὲ διϊσταμένου ποσοῦ τὴν ἀόριστον ἔκχυσιν ὥρισε τὸ μεγεθικὸν μέτρον, οἷον ὡς εἰκὸς φάναι τὸ πηχυαῖον ἢ τὸ δακτυλιαῖον. τῆς δὲ κατὰ τὸ εἶναι παρατάσεως τὸ οἷον μέγεθος, τὸ μὲν ἀκίνητον ἐμέτρησε καὶ συνήγαγεν εἰς ἓν ὁ αἰών. τὸ δὲ κινούμενον, εἰς ἀριθμὸν ὁ χρόνος. καὶ τοιαῦτα μὲν τὰ μέτρα τὰ μὴ συγχωρήσαντα τὸ ποσὸν εἰς ἀοριστίαν ἐξενεχθῆναι διακριθέν, μήτε ἐν τοῖς παραλείμμασι μήτε ἐν ταῖς εἰκόσιν. ἄλλο δέ τι ἐστὶ τῆς ἐν πᾶσι τούτοις τῶν διακριθέντων συγχύσεως ἀναιρετικόν, αἴτιον τοῦ μὴ ἐπισυγχεῖσθαι ἀλλήλοις τὰ μέρη κατὰ τὴν οἰκείαν ὁλότητα, ἀλλ' ἕκαστον τάξιν τε καὶ θέσιν τὴν προσήκουσαν ἀπολαμβάνειν. οὐ γὰρ ἀναιτίως ἐν μὲν τοῖς ἀριθμοῖς ἡ μὲν μονὰς πρὸ τῆς δυάδος τέτακται, ἡ δὲ δυὰς πρὸ τῆς τριάδος, καὶ ἐφεξῆς. οὐ δὲ ἐκ τοῦ ἐπιτυχόντος ἐναλλὰξ οἱ περιττοὶ καὶ ἄρτιοι τετάχαται, καὶ οἱ τετράγωνοι κατὰ τὸ ἑξῆς, τὰ μεταξὺ ἀλλήλων διαστήματα κατὰ δυάδα παραυξόμενα ἔχουσι. καὶ ὅσα ἄλλα γλαφυρὰ θεωρήματα τῆς οὐσιώδους τάξεως τῶν ἀριθμῶν ἐν τοῖς ἀριθμητικοῖς παρελάβομεν. κατὰ δὲ τὸν αὐτὸν τρόπον καὶ τῶν ἄλλων ἀσωμάτων εἰδῶν ἡ διάκρισις τέτακται. τὸ δὲ αὐτὸ αἴτιον καὶ τῶν ζώων καὶ τῶν φυτῶν ἔταξε τὴν κατὰ τὰ μόρια θέσιν. καθ' ἣν κεφαλὴ μὲν καὶ χεῖρες καὶ πόδες ἐπὶ ζώων τοιῶσδε κεῖνται πρὸς ἄλληλα, ῥίζαι δὲ καὶ στέλεχος καὶ κλάδοι ἐπὶ φυτῶν τοιῶσδε. καὶ οὐ μόνον τὴν τῶν μορίων πρὸς ἄλληλα τάξιν ἀφώρισεν, ἀλλὰ καὶ τὴν ἑκάστου ὅλου ὡς μέρους τὴν ἐν τῷ ὑλικωτέρῳ θέσιν διώρισεν. οὕτω γοῦν ἡ μὲν γῆ τὸ μέσον τοῦ παντὸς εἴληχεν, ὁ δὲ οὐρανὸς τὸ πέριξ, τὰ δὲ μέσα ἐν μέσοις. ἀλλὰ ταῦτα μὲν εἴρηταί πως καὶ πρόσθεν. νῦν δὲ προσκείσθω τοῖς εἰρημένοις, ὅτι κοινή τις ἂν εἴη τόπου παντὸς ἔννοια, ἡ λέγουσα ἀφορισμὸν αὐτὸν εἶναι τῆς ἑκάστου τῶν ἐν τοῖς οὖσι διακεκριμένων θέσεως. ὁ δὲ ἀφορισμός, ὁ μέν, κατὰ τὴν ὑποδοχήν ἐστιν, ὁ δέ, κατὰ τὴν περιοχήν, ὁ δέ, κατὰ τὴν ἑκάστου πρὸς τὰ ἄλλα τάξιν τῆς θέσεως. καὶ ταῦτα πάντα ἐν ἀσωμάτοις ἔστιν ὁρᾶν, καὶ ἐν σωματικοῖς. καὶ γὰρ αἱ νοηταὶ τάξεις ὡς τόπους διαφόρους ἐκληρώσαντο, τὰς τοῦ νοητοῦ κόσμου διαφόρους ὑποδοχάς. λέγει γοῦν ὁ Ὀρφεὺς περὶ ἐκείνου τοῦ τὰς τῶν λήξεων διαφορὰς ἔχοντος, τοῖσιν ἑλὼν διένειμε θεοῖς θνητοῖσί τε κόσμον. καὶ ἡ περιοχὴ δὲ τόπος ἐκεῖ λέγεται πολλάκις. διὸ καὶ τὴν Συρίαν Ἀταργάτην τόπον θεῶν καλοῦσι, καὶ τὴν Ἶσιν οἱ Αἰγύπτιοι, ὡς πολλῶν θεῶν ἰδιότητας περιεχούσας. κατὰ δὲ τὴν ἑκάστου πρὸς τὰ ἄλλα τῆς θέσεως τάξιν, ὁ Πλάτων ὑπερουράνιον καὶ νοητὸν τόπον φησὶν ἐκεῖνον, καθ' ὃν ἀφώρισται καὶ διακέκριται τῶν νοητῶν εἰδῶν ἡ τάξις. κατὰ δὲ τοῦτο τὸ σημαινόμενον καὶ τῶν ἀριθμῶν ἕκαστον ἐν τῷ οἰκείῳ τόπῳ λέγομεν τετάχθαι, ὅταν πρώτη μὲν ἡ μονάς, μετ' ἐκείνην δὲ ἡ δυάς, καὶ ἐφεξῆς ἡ τριάς. καὶ ὡς εἴρηται πρότερον οἱ τετράγωνοι τάσδε ἔχουσι τὰς χώρας, καὶ ἄλλοι ἄλλας τεταγμένως. καὶ ἡ ψυχὴ δὲ τόπος εἰδῶν οὕτω λέγεται, κατὰ τόδε τὸ τῆς περιοχῆς εἶδος. καὶ τὰ τῶν ἐπιχειρημάτων ἀποδεικτικῶς ἀφοριστικὰ τόπους καλοῦμεν. οἷον τὸν ἀπὸ τῶν ἐναντίων, ἢ ἀπὸ τῶν ὁμοίων ἐπιχειροῦντα, καὶ ἀπὸ γενῶν ἢ εἰδῶν. ὁμοίως δὲ καὶ ἐν τοῖς σωματικοῖς, κατὰ μὲν τὸν τῆς ἀποδοχῆς ἀφορισμὸν τὴν ὕλην τινὲς ᾠήθησαν τόπον. κατὰ δὲ τὸν τῆς περιοχῆς, ἐπειδὴ καὶ αὐτὸς ὁ μὲν συμφυής ἐστιν, ὁ δὲ ἔξωθεν, κατὰ τὴν συμφυῆ, τόπον λέγουσι τὸ κατὰ τὴν ἐπιφάνειαν εἶδος, ὡς ἐν τούτῳ κειμένου τοῦ ὅλου. κατὰ δὲ τὴν ἔξωθεν περιοχήν, ὡς ἐν αὐτῇ κειμένων τῶν θέσιν ἐχόντων, οἱ μέν, τὸ πέρας τοῦ περιέχοντος ἔθεντο τόπον, ὥσπερ ὁ Ἀριστοτέλης. οἱ δέ, τὸ ἀσώματον διάστημα, πολλὰ δοκοῦντες ἐκφεύγειν ἄτοπα τῶν τοῖς προτέροις ἐπαγομένων. κατὰ δὲ τὴν ἑκάστου πρὸς τὰ ἄλλα τάξιν τῆς θέσεως, ὡς ἀσώματον μέν, αἰσθητὸν δὲ καὶ ἐν σώμασι, τὸν τόπον ὁ προσεχῶς ἀποδεδομένος λόγος ἀφορίζεσθαί μοι δοκεῖ, ὃν εἶπον Δαμασκίου τοῦ ἡμετέρου καθηγεμόνος, καὶ ὑπὸ τοῦ

θεοφράστου καὶ ὑπὸ τοῦ θείου ἰαμβλίχου μαρτυρούμενον. ὡς γὰρ αὐτὴ ἡ θέσις ἀσώματός ἐστιν, οὔτε γὰρ τὸ κινούμενον σῶμα, οὔτε τὸ ἐν ᾧ κινεῖται ἡ θέσις ἐστίν. οὕτω καὶ ὁ τῆς θέσεως ἀφορισμὸς ἀσώματός ἐστι κατὰ ταύτην τὴν ἔννοιαν. διὸ καὶ αἱ διαφοραὶ τοῦ τόπου τό, τε ἄνω φημὶ καὶ τὸ κάτω, καὶ δεξιὰ καὶ ἀριστερά, καὶ ἔμπροσθεν καὶ ὄπισθεν, ἀσώματά ἐστι, κἂν ἐν σώματι ὑφεστηκότα θεωρῆται. δεξιὰν γὰρ λέγομεν χεῖρα οὐ μόνον κατὰ τὴν διάφορον κατασκευὴν αὐτῆς, ἀλλὰ καὶ ὅτι ἐν τοῖς δεξιοῖς κεῖται τοῦ σώματος ὥσπερ καὶ τὸ ἧπαρ. ἀλλ᾽ ἐν ἀσωμάτοις μὲν ὁ τῶν ἀριθμῶν τόπος ἔστω, τὴν τάξιν αὐτοῖς ἀφορίζων τῆς πρὸς ἀλλήλους θέσεως. ὁμοίως δὲ καὶ τῶν εἰδῶν τῶν τε νοερῶν καὶ τῶν ψυχικῶν. ἀλλὰ μὴν καὶ ἐν σώμασιν ὡς εἴρηται πρότερον ὁ τῶν μορίων, ἑκάστοις τὴν τάξιν καὶ τὸν εὐθετισμὸν πρός τε ἄλληλα καὶ πρὸς τὸ ὅλον παρεχόμενος τὸ οἰκεῖον, ἔτι δὲ καὶ ὁ ἐν τῷ κοινῷ ὅλῳ οἷον ἐν τῷ ὅλῳ κόσμῳ διὰ τοῦ προσεχῶς ὅλου, τὴν προσήκουσαν θέσιν. καὶ ἔοικεν εἰς τοῦτο μάλιστα τοῦ τόπου σημαινόμενον ἀπιδεῖν ὁ ἀριστοτέλης, καθ᾽ ὃ ἄλλο ἐν ἄλλῳ κεῖται τῶν σωμάτων. ὅλον μὲν ἐν ὅλῳ, οἷον ἐγὼ ἐν τῷ ἀέρι, μερικώτερον δὲ ἐν ὁλικωτέρῳ, κἂν ὁ προσεχὴς τόπος ἴσος εἶναι βούληται τῷ ἐν τόπῳ. λέγομεν γάρ φησιν εἶναι ὡς ἐν τόπῳ ἐν τῷ οὐρανῷ, διότι ἐν τῷ ἀέρι, οὗτος δὲ ἐν τῷ οὐρανῷ. καὶ ἐν τῷ ἀέρι δὲ οὐκ ἐν ἅπαντι. ἀλλὰ διὰ τὸ ἔσχατον αὐτοῦ καὶ περιέχον ἐν τῷ ἀέρι φαμὲν εἶναι. ἔστι δὲ καὶ περιεκτικὸς καὶ ὑποδεκτικὸς ὁ τοιοῦτος τόπος, καθόσον ὁλικώτερός ἐστιν. τόπος δὲ ὅλος κατὰ τὸν ἀφορισμὸν τῆς θέσεως. καὶ ὁ πλάτων δὲ τὴν ὕλην τόπον τῶν εἰδῶν εἶπε καὶ χώραν, ὡς ὑποδεχομένην τὴν θέσιν τῶν εἰδῶν τῶν εἰς αὐτὴν ἐκπεσόντων, καὶ ἀφορίζουσαν αὐτῶν τὴν διάστασιν. τὰ μὲν γὰρ εἴδη καθ᾽ αὑτὰ συνῃρημένην ἔχει τὴν τῶν μερῶν διάκρισιν. διαστάντα δὲ κατὰ τὴν ὑλικὴν ἀοριστίαν, ὑλικὴν ἔχει τὴν τάξιν τῆς διαστάσεως, ὡς ἄϋλον πρὸς τὴν τάξιν τῆς διακρίσεως. τόπος οὖν ἡ ὕλη τῶν εἰδῶν καὶ ὡς ὑποδοχή, καὶ ὡς διαστατῆς θέσεως καὶ τῆς τοιαύτης τάξεως αἰτία. ἀλλὰ μὴν καὶ τὸ διάστημα τόπος, ὡς προϋπογραφὴ καὶ τύπος τῶν ἐν αὐτῷ γινομένων σωμάτων. ὁ μὲν, ἴδιος ὡς ὁ τῶν οὐρανίων σφαιρῶν. ὁ δὲ κοινός, ὡς ὁ τῶν ἐπιμιγνυμένων ἀλλήλοις στοιχείων. ἐν γὰρ τῷ αὐτῷ διαστήματι καὶ πῦρ γίνεται καὶ ἀήρ, καὶ ὕδωρ καὶ γῆ ἄλλο τε ἄλλοτε κατὰ τὴν κοινὴν τοῦ διαστήματος ἐπιτηδειότητα. οὐδὲν δὲ θαυμαστὸν καὶ σῶμα σώματος εἶναι τόπον, ἀϋλότερον ἐνυλοτέρου, καὶ πρότερον τῇ φύσει τοῦ καταδεεστέρου, ὡς ὁ φιλόσοφος ἐπέβαλε πρόκλος. καὶ γὰρ οἱ κλεινοὶ τῶν φιλοσόφων ὁμολογοῦσι τὰς οὐρανίους σφαίρας ὁλοκλήρους εἶναι, καὶ μέχρι τοῦ κέντρου πεπληρωμένας. καὶ δηλονότι αἱ ἐνδοτέρω ἐν ταῖς ἐξωτέρω εἰσίν. οἷον ἡ τῆς σελήνης ἐν τῇ τοῦ ἑρμοῦ. καὶ αὕτη ἐν τῇ τῆς ἀφροδίτης. καὶ ἐφεξῆς οὕτως. ἀλλὰ καὶ τὰ ὑπὸ σελήνην στοιχεῖα, καὶ ζῷα, καὶ φυτά, ἐν πάσαις, εἰ καὶ προσεχέστερον ἐν τῇ σεληνιακῇ, ὡς συγγενέστερα αὐτῇ μᾶλλον. γίνεται οὖν ἕκαστος τῶν περιεχόντων τόπος τῷ περιεχομένῳ, ὡς περιεκτικός τε αὐτοῦ καὶ ὑποδεκτικὸς καὶ ἀφοριστικὸς τῆς θέσεως αὐτοῦ. διὸ οὐ δὲ ὡς ἐν ὅλῳ κατὰ τοῦτο εἰσίν, ἀλλ᾽ ὡς ἐν τόπῳ. ἐπεὶ οὖν ἡ ἀσσύριος θεολογία καὶ ὑπὲρ τόνδε τὸν κόσμον ἄλλο σῶμα θειότερον τὸ αἰθέριον παραδέδωκεν, οἶδεν δ᾽ αὐτὸ καὶ ὀρφεύς, ἐν οἷς φησιν, αἰθέρι πάντα πέριξ ἀφάτω λάβε· ἐν δ᾽ αὖ μέσσω οὐρανόν, ἴσασι δὲ καὶ ἀστρονόμοι τὴν ἄναστρον καὶ ὄντως ἀπλανῆ, ὑπὲρ τὴν λεγομένην ἀπλανῆ τιθέντες ἐξ ἀνάγκης, ἐπειδὴ καὶ ταύτην τὴν τοὺς πολλοὺς ἔχουσαν ἀστέρας ἀπὸ δύσεως κινουμένην ἐν ἑκατὸν ἔτεσι μίαν μοῖραν καταλαβόντες, δέονται τῆς τὴν φαινομένην ταύτην τὴν ἀπ᾽ ἀνατολῶν περιφορὰν περιαγούσης, ἐπεὶ οὖν ὡς ἠρξάμην λέγειν πολλὴν ἔχει μαρτυρίαν ὁ πρόκλος τῶν θειότερόν τι καὶ τοῦδε τοῦ κόσμου σῶμα πρεσβευόντων, εἰκότως ἐκεῖνο τόπον ἔθετο τοῦδε τοῦ παντὸς κόσμου. δῆλον δὲ ὅτι καὶ τῶν τοιούτων σωμάτων τῶν ὑποδεχομένων τε καὶ περιεχόντων τὰ ἄλλα, ἕκαστον διάστασιν ἔχον, καὶ μορίων διαφορὰς ἔχει καὶ τόπον οἰκεῖον, καὶ ὡς διάστημα καὶ ὡς τὴν τῶν μορίων εὐθετίζοντα τάξιν. ὅπερ οὖν ἐξ ἀρχῆς εἶπον. καὶ νῦν ὁρῶ, ὅτι τῶν περὶ τόπου λεγόντων ἕκαστος ἀπεῖδεν εἰς ἀληθῆ τινα περὶ τοῦ τόπου ἔννοιαν, καὶ τοῦ κοινοῦ χαρακτῆρος οὐκ ἀπέπεσεν. εἰ δὲ μὴ πάσαις πάντες ἐπέβαλον ταῖς τοῦ τόπου διανοίαις, θαυμαστὸν οὐδέν. οὐ δὲ γὰρ ἀπεικός ἐστι καὶ ἄλλας εἶναί τινας οὔπω γενομένας καταφανεῖς. προσκείσθω δὲ τοῖς εἰρημένοις καὶ τοῦτο. ὅτι δαμάσκιος ὁ ἡμέτερος διδάσκαλος, ἥψατο μὲν καλῶς τοῦ κατὰ τὸν εὐθετισμὸν τόπου, καὶ διήρθρωσέ γε αὐτὸν πρῶτος ὧν ἡμεῖς ἴσμεν. οὐ προσεποιήσατο δὲ καὶ τὰ ἄλλα τοῦ τόπου σημαινόμενα, τά τε ἐπὶ τῶν ἀσωμάτων καὶ τὰ ἐπὶ τῶν σωμάτων λεγόμενα. τὸ μὲν γὰρ ἀφορισμὸν καὶ μέτρον εἶναι θέσεως τὸν τόπον, καλῶς οἶμαι λέγεται. θέσις δὲ καὶ ἐν ἀσωμάτοις κατὰ τὴν τάξιν εἴη ἄν, ὡς καὶ ἐν ἀριθμοῖς τὴν δυάδα λέγομεν κεῖσθαι πρὸ τῆς τριάδος. ἔστι δὲ καὶ ἐν σώματι κατὰ τὴν διαστάσεως διαφοράν. τοῦτό τε οὖν ἐπισημαίνομαι. καὶ ὅτι τρία μέτρα ὑποθέμενος, τὸ μὲν τῆς διακρίσεως τὸν ἀριθμόν, τὸ δὲ τῆς ἐν τῇ κινήσει παρατάσεως τὸν χρόνον, τὸ δὲ τῆς διαστάσεως τὸν τόπον, οὐ διώρισε τὸ διττὸν τῆς διαστάσεως, τὸ μέν, ὡς μεγέθους ὡρισμένου, καθ᾽ ὃ τὸ μέν, πηχυαῖον, τὸ δὲ δακτυλιαῖον εἶναι λέγομεν, τὸ δέ, ὡς θέσιν ἐχούσης, καθ᾽ ἣν τὸ μὲν ἄνω τὸ δὲ κάτω καλοῦμεν. καὶ τὸ μὲν δεξιά, τὸ δὲ ἀριστερά. ἀλλά καίτοι πολλαχοῦ τῆς θέσεως μέτρον εἶναι λέγων τὸν τόπον, οὐ διέκρινεν

αὐτὸ ἀπὸ τοῦ μέτρου τοῦ μεγέθους. οὐδὲν δὲ ἴσως χεῖρον καὶ τῶν αὐτοῦ λόγων ἀκούειν, ἐν τῷ περὶ τό-
» που βιβλίῳ γράφοντος ὧδε. πέφυκεν ἀρχὴ ἡμῖν τρία μετάξ᾽ ὄντα τῶν μερισμῶν. οὔτε δὲ ἄλλος ἐστὶ
» μερισμὸς ἐν τῇ γενέσει παρὰ τοὺς τρεῖς, οὔτε ἄλλο μέτρον. καὶ γὰρ τὸ ἀδιαίρετον τριττόν. μονὰς γὰρ
» καὶ τὸ νῦν. καὶ σημεῖον. τῆς μὲν οὖν μονάδος ἡ κατὰ τὴν ὕλην διαίρεσις, ἣν ἀκριβέστερον φάναι τοῦ
» εἴδους, ποιεῖ τὸ πλῆθος. ὃ περιγράφει τις ἀριθμός. ὡς τὸ ἓν πρᾶγμα, καὶ μονὰς τὸ ἀδιαίρετον τοῦ ἀ-
» ριθμοῦ. τοῦ δὲ νῦν ἡ ῥύσις ποιεῖ παράτασιν. λέγω δὲ νῦν τὸ ἐν τῷ νῦν τοῦ ῥέοντος ἄρρευστον. διὸ τὸ κί-
» νημα πρὸς τὴν κίνησιν ὡς ἀρχὴ κινήσεως. τοῦτο δὴ οὖν μετρεῖν εἴληχε τὸ τοῦ χρόνου νῦν, καὶ τὴν ῥύσιν
» ὁ χρόνος, καθάπερ τὴν διαίρεσιν ὁ ἀριθμός. τοῦ δὲ σημείου ἡ ἔκτασις ποιεῖ διάστασιν. ἧ μέτρον σύνεστιν ὁ
» τόπος, ἀφοριστικὸν τῆς τε τοῦ ὅλου θέσεως ἁπάσης. μέχρις ὅσου διαστᾶσα τριχῆ, ὃ ἐστὶ πανταχῆ, εὖ
» ποιήσει κεῖσθαι τὸ ὅλον κατὰ τὴν ἑαυτοῦ πρὸς ἑαυτὸ πανταχῆ θέσιν, καὶ τὰ ἐν ἑαυτῷ μέρη πάν-
» τα. καὶ ἔτι τῆς πάντων τῶν μερῶν θέσεως ἐν τῷ παντὶ τόπῳ, καὶ τῆς ἑκάστου ἑκάστης. ὥστε καὶ
» εἰ σφαῖρα εἴη, ἢ ἄλλως ἔχοι τι μέσον, ἢ πέρας ἄλλο, καὶ τοῦ τόπου κεῖσθαι ὅπου κείμενον εὖ κείσε-
» ται. καὶ ὅτι μὲν τῆς θέσεως μέτρον εἶναι λέγει τὸν τόπον εὐθετίζοντα τὸ κείμενον, δῆλον. οὐ μόνης δὲ
» ταύτης, ἀλλὰ καὶ τοῦ μεγέθους ὡς μεγέθους μέτρον ἀφορίζεται. λέγει οὖν μετ᾽ ὀλίγα τῶν εἰρημένων,
» διὸ προϋπογραφή τις αὐτὸς ὢν τῆς τε ὅλης θέσεως καὶ τῶν μορίων αὐτῆς, καὶ ὡς ἄν τις εἴποι τύπος.
» εἰς ὃν ἐναρμόσασθαι χρὴ τὸ κείμενον, εἰ μέλλοι κεῖσθαι κατὰ τρόπον καὶ μὴ συγκεχύσθαι καὶ παρὰ φύ-
» σιν ἔχειν. διὸ ἢ ὅλον μεῖζον, ἢ ἔλαττον τοῦ ἁρμόζοντος μεγέθους τὸ δυστάν. ἢ ἐν τῷ παντὶ κείμενον ὅπου
» μὴ καλόν. ἢ τῶν μορίων αὐτοῦ τὴν ὀφειλομένην θέσιν οὐκ ἐχόντων, εἰ τὸν ἐγκέφαλον ἐν ταῖς πτέρ-
» ναις ἔχοι τις ἄνθρωπος κατὰ τὸν εἰπόντα. οὕτω σαφῶς τὸν τόπον, οὐ τοῦ εὐθετισμοῦ μόνον, ἀλλὰ καὶ
τοῦ μεῖζον ἢ ἔλαττον εἶναι τὸ δεσμὸς αἰτιᾶται. καίτοι ὡς οἶμαι τὰ μέτρα ἐχρῆν ἀφορίσασθαι, ἀρι-
θμόν, μέγεθος, τόπον, χρόνον. τὸν μὲν, τὴν διάκρισιν μετροῦντα. τὸ δὲ, τὴν διάστασιν. τὸν δὲ, τὴν παν-
τοίαν θέσιν. τὸν δὲ, τὴν τῆς γενέσεως παράτασιν. ταῦτα τοίνυν καὶ περὶ τόπου τοῖς φιλομαθέσι
συγγνωμονησάμενος, ἐπὶ τὰ ἑξῆς τοῦ Ἀριστοτέλους μέτειμι λοιπὸν, τὰ περὶ τοῦ κενοῦ πολυπραγμο-
νήσων.

ΤΜΗΜΑ ΔΕΥΤΕΡΟΝ ΠΕΡΙ ΚΕΝΟΥ.

ΤΟΝ ΑΥΤΟΝ δὲ τρόπον, ὑποληπτέον εἶναι τοῦ φυσικοῦ θεωρῆσαι, καὶ περὶ κενοῦ, εἰ ἔστιν, ἢ μή. καὶ πῶς ἐστιν ἢ τί ἐστιν, ὥσπερ καὶ περὶ τοῦ τόπου. καὶ γὰρ, παραπλησίαν ἔχει τήν τε ἀπιστίαν καὶ τὴν πίστιν, διὰ τῶν ὑπολαμβανομένων. οἷον γὰρ τόπον τινὰ καὶ ἀγγεῖον τὸ κενὸν τιθέασιν οἱ λέγοντες. δοκεῖ δὲ πλῆρες μὲν εἶναι, ὅταν ἔχῃ τὸν ὄγκον, οὗ δεκτικόν ἐστιν. ὅταν δὲ στερηθῇ, κενόν, ὡς τὸ αὐτὸ μὲν ὄν, κενὸν καὶ πλῆρες, καὶ τόπον. τὸ δ᾽ εἶναι αὐτοῖς, οὐ ταὐτὸ ὄν. Ἄρξασθαι δὲ δεῖ, τῆς σκέψεως, λαβοῦσιν, ἅ τε λέγουσιν οἱ φάσκοντες εἶναι καὶ πάλιν ἃ λέγουσιν οἱ μὴ φάσκοντες εἶναι. καὶ τρίτον, τὰς κοινὰς δόξας περὶ αὐτῶν.

Ἀρχόμενος τοῦ τρίτου βιβλίου, καὶ περὶ κινήσεως ὡς ἀναγκαίας τῷ φυσικῷ προθέμενος εἰπεῖν, ἐπήγαγεν ὅτι ἄνευ τόπου καὶ κενοῦ καὶ χρόνου κίνησιν ἀδύνατον εἶναι δοκεῖ. δῆλον οὖν φησιν, ὡς διά τε ταῦτα καὶ διὰ τὸ πάντων εἶναι κοινὰ καὶ καθόλου ταῦτα πᾶσι, σκεπτέον προχειρισαμένοις περὶ ἑκάστου τούτων. εἰπὼν οὖν περὶ κινήσεως καὶ ἐφεξῆς περὶ ἀπείρου, ἐπειδὴ ἡ κίνησις ἢ πεπερασμένη ἢ ἄπειρος δοκεῖ, καὶ συνεχὴς οὖσα ἐπ᾽ ἄπειρον ἐστὶ διαιρετή, ὥσπερ πάντα τὰ συνεχῆ, μετ᾽ ἐκεῖνα περὶ τόπου διείλεκται. ἐπειδὴ δέ τινες τὸ κενὸν τόπον ἔλεγον ἐστερημένον σώματος, καὶ τὸν τόπον διάστημα κενὸν σωμάτων δεκτικόν, πρὸς μὲν τοὺς διάστημα δεκτικὸν σωμάτων λέγοντας εἶναι τὸν τόπον, ἐν τοῖς περὶ τόπου λόγοις ὑπήντησε. πρὸς δὲ αὐτὴν τὴν τοῦ κενοῦ θέσιν, εἴτε τόπος εἴτε ὅτι δή ποτέ ἐστι, νῦν ὑπαντήσει, οἰκεῖον καὶ νῦν τοῦ φυσικοῦ τὸν περὶ κενοῦ λόγον ὑποδεικνύς. διότι τόπον τινὰ καὶ οἷον ἀγγεῖον τὸ κενὸν ἐννοοῦσιν οἱ λέγοντες. τὰ δὲ αὐτὰ προβλήματα καὶ περὶ κενοῦ φησιν εἶναι, ἅπερ καὶ περὶ τόπου. πρῶτον μὲν εἰ ἔστιν, ἢ μή, καὶ πῶς ἐστι. καὶ τί ἐστι. καὶ ὅτι μὲν ταὐτὸν σημαίνει τὸ πῶς ἐστι καὶ τί ἐστι, καλῶς ὁ Ἀσπάσιος ἐπέστησε. καὶ γὰρ ἐπὶ τόπου τὸ εἰ ἔστι καὶ τί ἐστι ζητῶν, οὕτως εἶπεν. εἰ ἔστι τι ἢ μή, καὶ πῶς ἐστι καὶ τί ἐστιν. ἀλλὰ δοκεῖ τὸ πῶς ἐστι καὶ τί ἐστιν ἐπὶ τοῦ κενοῦ μὴ ἔχειν χώραν, εἴπερ δείκνυται μὴ δὲ ὅλως ὂν τὸ κενόν. εἰ μὴ ἄρα τὸ πῶς καὶ τὸ τί, οὐ πρὸς τὴν ὑπόστασιν ἀναφέρων τοῦ κενοῦ προβάλλεται, ἀλλὰ πρὸς τοὺς τιθεμένους αὐτό, πῶς ἄρα αὐτό, καὶ τί τίθενται. ἢ ἐπειδὴ αἴτιον τοῦ κινεῖσθαι λεγόντων ἐκείνων τὸ κενόν, αὐτὸς αἴτιον τοῦ κινεῖσθαι τὴν ὕλην φησίν, ἣν κενὸν λέγεσθαι συγχωρεῖ, διὰ τοῦτο τρόπον τινὰ εἶναι τὸ κενὸν συγχωρεῖ. καὶ συμπεραινόμενος γοῦν τὸν περὶ αὐτοῦ λόγον οὕτως εἶπε, καὶ περὶ μὲν κενοῦ πῶς ἐστι καὶ πῶς οὐκ ἔστι, διωρίσθω, ὅτι ὡς μὲν λέγουσιν οἱ τιθέντες αὐτό, οὐκ ἔστιν. ὡς δὲ ὕλην, οὐδὲν κωλύει τὸ κενὸν εἶναι. παραπλησίαν δὲ ἔχει τὴν πίστιν καὶ τὴν ἀπιστίαν τῷ τόπῳ τὸ κενόν φησιν, ἐπειδὴ οἱ τὸ κενὸν τιθέντες τόπον αὐτὸ ἔλεγον ἐστερημένον σώματος, καὶ ἀπὸ τῶν κατὰ τόπον κινουμένων μάλιστα καὶ οὗτοι τὴν πίστιν ἐποιοῦντο

τοῦ κενοῦ ὥσπερ καὶ τοῦ τόπου. οἱ οὖν διάστημα κενὸν τὸν τόπον λέγοντες, ταυτὸν λέγοντες τὸ κενὸν καὶ τὸν τόπον, τὴν αὐτὴν πίστιν καὶ ἀπιστίαν ἔχουσιν ἐπιφερομένην τῇ ἑαυτῶν θέσει. ὅτι δὲ καὶ αὐτὸ διὰ τοῦτο παραπλησίαν ᾤηθη τὴν πίστιν καὶ τὴν ἀπιστίαν, ἐδήλωσεν ὑπαγαγών, οἱ γὰρ τόπον καὶ ἀγγεῖον τὸ κενὸν τιθέασιν οἱ λέγοντες. ἐφιστάνει δὲ καλῶς ὅτι τὸ αὐτὸ ἔχον μὲν ἐν ἑαυτῷ τὸ σῶμα, οὗ δεκτικόν ἐστι, πλῆρες λέγεται. ἐστερημένον δὲ αὐτοῦ, κενόν. τόπος δὲ τὸ αὐτὸ καθόσον δεκτικός. ὥστε τὸ αὐτὸ τῷ ὑποκειμένῳ καὶ κενόν ἐστι, καὶ πλῆρες, καὶ τόπος, τῷ δὲ λόγῳ διαφέρουσι. δῆλον δὲ ὅτι οὐ τὸ πλῆρες ταυτόν ἐστι κατὰ τὸ ὑποκείμενον τῷ τε κενῷ καὶ τῷ τόπῳ, ἀλλὰ τὸ διάστημα. τοῦτο γὰρ ποτὲ μὲν πλῆρές ἐστι, ποτὲ δὲ κενόν. καὶ τόπος τὸ αὐτὸ ὡς δεκτικόν, ἀλλ' οὐχ ᾗ πεπληρωμένον, οὐδὲ ᾗ κενόν. δεῖ δέ φησι τὸν ζητοῦντα εἰ ἔστιν ἢ μή, καὶ τί ἐστιν, ἐπισκέψασθαι πρῶτον ἃ λέγουσιν οἱ λέγοντες εἶναι, εἶτα ἃ λέγουσιν οἱ λέγοντες μὴ εἶναι. ἐκ τούτων γὰρ ἔσται δῆλον, εἴτε ἔστιν εἴτε μή, τοῖς ἀληθέστερα λέγουσι προστιθεμένων ἡμῶν, διὰ τὸ τὰς κοινὰς ἐννοίας ἤτοι τὰς δόξας ἀνερευνήσασθαι, περί τε τοῦ τόπου καὶ τοῦ κενοῦ καὶ τοῦ διαστήματος ἁπλῶς. ἔθος γὰρ αὐτῷ ταῖς κοιναῖς ἐννοίαις κριτηρίῳ χρωμένῳ, πρὸς ταύτας παραβάλλειν καὶ βασανίζειν τὰς ἀντικειμένας δόξας. ὅτι δὲ καὶ φύσει προηγούμενός ἐστιν ὁ περὶ τόπου λόγος τοῦ περὶ κενοῦ, δῆλον, εἴπερ ὁ τόπος κοινότερός ἐστι τοῦ τε πλήρους καὶ τοῦ κενοῦ. καὶ γὰρ τόπος ὁ μὲν, κενός ἐστιν, ὁ δὲ πλήρης. προηγεῖται δὲ τὰ κοινὰ τῶν ἰδίων. καὶ μέντοι ὁ μὲν τόπος ἕξει ἔοικε κατὰ τὸ δεκτικὸν ἀφωρισμένως, εἴτε ἔχει τι εἴτε μή, τὸ δὲ κενὸν στερήσει. ὕστερα δὲ πανταχοῦ τῆς ἕξεως ἡ στέρησίς ἐστιν. οὔτε οὖν ταυτόν ἐστι τόπος καὶ κενόν, οὔτε γὰρ ὁ τόπος ἐστὶ κενόν, εἴπερ τόπος ὁ μὲν κενός ἐστιν, ὁ δέ, πλήρης, κενὸν δὲ καὶ πλῆρες οὐκ ἂν εἴη τὸ αὐτό, οὔτε τὸ κενὸν τόπος καθὸ κενόν. ἀλλὰ καθὸ δεκτικόν ἐστι καὶ ἐπιτηδείως ἔχει πρὸς τὴν ὑπὸ τοῦ σώματος πλήρωσιν.

ΟΙ ΜΕΝ οὖν δεικνύναι πειρώμενοι ὅτι οὐκ ἔστιν, οὐχ ὃ βούλονται λέγειν οἱ ἄνθρωποι κενόν, τοῦτο ἐξελέγχουσιν. ἀλλ' ὃ ἁμαρτάνοντες λέγουσιν ὥσπερ Ἀναξαγόρας καὶ οἱ τοῦτον τὸν τρόπον ἐλέγχοντες. ἐπιδεικνύουσι γάρ, ὅτι ἐστί τι ὁ ἀήρ. στρεβλοῦντες τοὺς ἀσκούς. καὶ δεικνύντες, ὡς ἰσχυρὸς ὁ ἀήρ, καὶ ἐναπολαμβάνοντες ἐν ταῖς κλεψύδραις. οἱ δὲ ἄνθρωποι βούλονται κενὸν εἶναι διάστημα, ἐν ᾧ μηδέν ἐστι σῶμα αἰσθητόν. οἰόμενοι δὲ τὸ ὂν ἅπαν εἶναι σῶμα, φασὶν ἐν ᾧ ὅλως μηδέν ἐστι, τοῦτ' εἶναι κενόν. διὸ τὸ πλῆρες ἀέρος, κενὸν εἶναι. οὔκουν τοῦτο δεῖ δεικνύναι ὅτι ἔστι τι ὁ ἀήρ. ἀλλ' ὅτι οὐκ ἔστι διάστημα ἕτερον τῶν σωμάτων. οὔτε χωριστόν, οὔτε ἐνεργείᾳ ὄν, ὃ διαλαμβάνει τὸ πᾶν σῶμα, ὥστ' εἶναι μὴ συνεχές, καθάπερ λέγουσι Δημόκριτος καὶ Λεύκιππος καὶ ἕτεροι πολλοὶ τῶν φυσιολόγων. ἢ καὶ εἴ τι ἔξω τοῦ παντὸς σώματός ἐστιν ὄντος συνεχοῦς. οὗτοι μὲν οὖν οὐ κατὰ θύρας πρὸς τὸ πρόβλημα ἀπαντῶσιν. ἀλλ' οἱ φάσκοντες εἶναι, μᾶλλον.

Γ Προθέμενος εἰπεῖν ἅτε λέγουσιν οἱ φάσκοντες εἶναι τὸ κενόν, καὶ ἃ λέγουσιν οἱ μὴ εἶναι φάσκοντες, καὶ πρώτους τοὺς εἶναι φάσκοντας ὁρμήσας προχειρίσασθαι καὶ παραστῆναι τῷ λόγῳ, καὶ πιθανὸν αὐτὸν ὥσπερ εἴωθε δεῖξαι, πρὸ τοῦ τὰ ἐπιχειρήματα ἐπιθεῖναι τὰ τοιαῦτα, τοὺς ἐπιχειροῦντας μὲν ἐλέγχειν αὐτά, μὴ καλῶς δὲ πρὸς αὐτὰ ὑπαντῶντας, διελέγχει. καὶ οὕτω πρώτους παράγει τοὺς μὴ φάσκοντας εἶναι. ἅμα καὶ δείκνυσι πρὸς ποίαν ἔννοιαν τοῦ κενοῦ χρὴ διαμάχεσθαι, ὅτι οὐχ ᾗ λέγουσιν οἱ πολλοὶ μόνα νομίζοντες εἶναι σώματα τὰ ἀντιτυποῦντα, τὸν δὲ τοῦ λεγομένου ἀέρος τόπον πάντα κενὸν λέγοντες, ὡς τοῦ ἀέρος μηδὲν ὄντος. οἱ γοῦν περὶ Ἀναξαγόραν ἀναιρεῖν οἴονται τὸ εἶναί τι κενόν, εἰ μόνον δείξαιεν ὅτι ἔστι τι ὁ ἀήρ. καὶ ἐδείκνυον ὅτι καὶ σῶμά ἐστι καὶ ἀντίτυπον σῶμα, εἰς τοὺς ἀσκοὺς συνθλίβοντες αὐτόν. ἢ καταλληλότερόν ἐστιν ἀκούειν τοῦ Ἀριστοτέλους λέγοντος ὡς τοὺς πεφυσημένους παραφερόντων, καὶ δεικνύντων ὅπως δύσκολόν ἐστι τὸ στρεβλοῦν αὐτούς, ἐγκειμένου τοῦ ἀέρος. καίτοι τοὺς μὴ πεφυσημένους στρεβλοῦν πάνυ ῥᾴδιόν ἐστι. καὶ μέντοι καὶ τὰς κλεψύδρας ἐπιδεικνύντες, τουτέστι τοὺς ἅρπαγας, ὅταν μὲν ἔχωσιν ἀέρα, μὴ δεχομένας ὕδωρ. ἐκμυζηθέντος δὲ αὐτοῦ, εὐθέως ἁρπάζουσι τὸ ὕδωρ. καὶ οὐ πρότερον ἀφιᾶσι, πρὶν τὸν ἐπιπωματίζοντα τὴν ὀπὴν δάκτυλον ἀφελών τις, τῷ ἐξιόντι ὕδατι ἀνάλογον εἰσελθεῖν ἀέρα συγχωρήσει. οἱ οὖν οὕτως ἀντειπόντες τῷ κενῷ, ὅτι μὲν ἠπάτων τοὺς τὸν τοῦ ἀέρος τόπον κενὸν λέγοντες, ἤλεγχον αὐτούς. ὅτι δὲ μὴ ἔστι κενόν, τοῦτο γὰρ οἴονται οἱ ἄνθρωποι τὸ διάστημα κενόν, ἐν ᾧ μηδέν ἐστιν αἰσθητὸν σῶμα, οὐκ ἤλεγχον. ἐπειδὴ γὰρ τὸ ὂν ἅπαν σῶμα εἶναι νομίζουσιν, ὑπολαβόντες ὡς ταυτὸν τὸ ὂν τὸ μηδὲν καὶ, τὸ μὴ σῶμα, κενὸν λέγουσι τὸ διάστημα ἐν ᾧ μηδέν ἐστι, τοιαύτην ἔχοντες ἔννοιαν περὶ τοῦ κενοῦ. τὸ δὲ τὸν ἀέρα μὴ εἶναι σῶμα, καὶ διὰ τοῦτο μηδὲν εἶναι ἐν τῷ διαστήματι τῷ τὸν ἀέρα ἔχοντι, τοῦτο ἀπατώμενοι λέγουσιν. ἔδει οὖν οὐ πρὸς ἐκεῖνο ὑπαντᾶν, ὅπερ ἀπατώμενοι λέγουσιν, ἀλλὰ πρὸς αὐτὴν τὴν περὶ τοῦ κενοῦ ἔννοιαν, δεικνύντας ὅτι οὐκ ἔστι τι τὸ διάστημα ἄλλο παρὰ τὸ ἐν αὐτοῖς τοῖς σώμασι. τοῦτο γὰρ δηλοῖ, τό, οὔτε χωριστόν. κἂν γὰρ πλῆρες ᾖ, ἄλλο δὲ παρὰ τὰ σώματα, χωριστὸν τῶν σωμάτων ἐστί. καὶ ὅτι τοῦτο ἐν ὑποστάσει οὐκ ἔστιν, ἀλλὰ κατὰ μόνην ἐπίνοιαν. ὅπερ δηλοῖ τὸ οὔτε ἐνεργείᾳ ὄν. ἐκεῖνοι γὰρ ἔλεγον ἐνεργείᾳ τι τοιοῦτον εἶναι διάστημα, ὃ μεταξὺ τῶν σωμάτων ὑπάρχον, οὐκ ἐᾷ

συνεχῆ εἶναι τὰ σώματα, ὡς οἱ περὶ Δημόκριτον καὶ Λεύκιππον ἔλεγον, οὐ μόνον ἐν τῷ κόσμῳ κενὸν εἶναί τι λέγοντες ἀλλὰ καὶ ἔξω τοῦ κόσμου. ὅπερ δηλονότι τόπος μὲν οὐκ ἂν εἴη, αὐτὸ δὲ καθ' αὑτὸ ὑφέστηκε. ταύτης δὲ τῆς δόξης γέγονε καὶ Μητρόδωρος ὁ Χῖος, καὶ τῶν Πυθαγορείων τινές, ὡς μετ' ὀλίγον αὐτὸς ἐρεῖ. ὕστερον δὲ καὶ Ἐπίκουρος. ὁ μέντοι Πορφύριος οὐ γράφει, οὔτε χωριστὸν οὔτε ἐνεργείᾳ ὄν. ἀλλ' οὔτε ἀχώριστον αὐτῶν, οὔτε χωριστόν. ἀχώριστον μὲν γὰρ ἔθεντο φησὶν αὐτὸ οἱ περὶ Δημόκριτον, διότιπερ μὴ δὲ συνεχὲς τὸ πᾶν, μεσολαβουμένων τῶν σωμάτων ὑπὸ τοῦ κενοῦ. χωριστὸν δέ, οἱ λέγοντες ἔξω τοῦ κόσμου κενόν, συνεχὲς δὲ ἀπολείποντες τὸ πᾶν, ὡς οἱ Πυθαγορικοί. ἀμείνων δὲ οἶμαι ἡ προτέρα γραφή. ἔχει δὲ καὶ αὕτη λόγον. καὶ γὰρ τῶν περὶ τοῦ κενοῦ δοξαζόντων, οἱ μὲν χωριστὸν αὐτὸ καθ' ἑαυτὸ ἔλεγον εἶναι, δι' ὅλου τε τοῦ κόσμου χωροῦν. καὶ ὑπὲρ τὸν κόσμον ἐκτεινόμενον συνεχές. οἱ δέ, ἐν τοῖς σώμασι πανταχοῦ παρεσπαρμένον κατὰ μικρά, καὶ ταύτῃ δοκοῦν ἀχώριστον. διὸ καὶ τῶν ἐφεξῆς τεσσάρων ἐπιχειρημάτων, τὸ μὲν ἀπὸ τῆς κινήσεως καὶ τῆς αὐξήσεως, τὸ πρῶτον κενὸν εἰσάγει. τὸ δὲ ἀπὸ τῆς πλήσεως καὶ τῆς τέφρας, τὸ δεύτερον. ὥστε οἱ διὰ τοῦ δεικνύναι ὅτι ἔστι τι ὁ ἀὴρ βουλόμενοι πρὸς τὸ κενὸν ἐνίστασθαι, οὐκ ἐπὶ τὰς οἰκείας θύρας καὶ τὰς εἰσόδους πρὸς τὴν ἔννοιαν ταύτην ἔρχονται τοῦ κενοῦ. ἀλλὰ παρὰ θύρας τουτέστιν ἔξωθεν καὶ ἐπ' ἄλλας θύρας. ἢ οἱ διὰ τοίχου τινὸς εἰσιέναι πειρῶνται τοῦ μὴ εἰσάγοντος. ἐπὶ τούτων γὰρ καὶ ἡ παροιμία λέγεται. οὗτοι οὖν οὐ κατὰ θύρας ἀπαντῶσιν. ἀλλ' ἐκεῖνοι μᾶλλον εἰσὶ πιθανώτεροι, οἱ λέγοντες εἶναι τὸ κενόν. ὧν ἑξῆς τὰ ἐπιχειρήματα τίθησι.

ΛΕΓΟΥΣΙ δέ, ἓν μέν, ὅτι ἡ κίνησις ἡ κατὰ τόπον, οὐκ ἂν εἴη. αὕτη δ' ἐστὶ φορὰ καὶ αὔξησις. οὐ γὰρ ἂν δοκοίη εἶναι κίνησις, εἰ μὴ ἦ κενόν. τὸ γὰρ πλῆρες ἀδύνατον εἶναι δέξασθαι. εἰ δὲ δέξαιτο καὶ ἔσται δύο ἐν τῷ αὐτῷ, ἐνδέχοιτ' ἂν καὶ ὁποσαοῦν ἅμα εἶναι σώματα. τὴν γὰρ διαφορὰν δι' ἣν οὐκ ἂν εἴη τὸ λεχθέν, οὐκ ἔστιν εἰπεῖν. εἰ δὲ τοῦτο ἐνδέχεται, καὶ τὸ σμικρότατον δέξεται τὸ μέγιστον. πολλὰ γὰρ τὰ μικρὰ τὸ μέγα ἐστίν. ὥστ' εἰ πολλὰ ἴσα ἐνδέχεται ἐν ταὐτῷ εἶναι, καὶ πολλὰ ἄνισα. μέλισσος μὲν οὖν καὶ δείκνυσιν ὅτι τὸ πᾶν ἀκίνητον, ἐκ τούτων. εἰ γὰρ κινήσεται ἀνάγκη εἶναί φησι κενόν· τὸ δὲ κενόν, οὐ τῶν ὄντων. ἕνα μὲν οὖν τρόπον δεικνύουσιν ὅτι ἔστι τι κενόν.

Τέσσαρα τίθησιν ἐπιχειρήματα τῶν τὸ κενὸν εἶναι λεγόντων. ἓν μὲν κατὰ τὴν ἔννοιαν τοῦ χωριστοῦ κενοῦ. τὰ δὲ τρία, κατὰ τὴν τοῦ παρεσπαρμένου ἐν τοῖς σώμασι. καὶ πέμπτον ἐπ' αὐτοῖς ἐπάγει τὸ παρὰ τοῖς πυθαγορείοις δοξαζόμενον. τῶν δὲ τεσσάρων τὸ πρῶτον τοιοῦτόν τι ἐστίν, ἐκ διαιρετικοῦ τινος ὡρμημένον, τοῦ λέγοντος ὅτι ἡ κατὰ τόπον κίνησις, ἥτις ἔν τε τῇ φορᾷ θεωρεῖται καὶ ἐν τῇ αὐξήσει, ἢ διὰ κενοῦ τοῦ μεταξὺ γίνεται, ἢ διὰ πλήρους. ἀλλὰ διὰ πλήρους ἀδύνατον, ὡς δειχθήσεται. διὰ κενοῦ ἄρα. ἔστιν ἄρα τὸ κενόν. καὶ ὅτι μὲν διά τινος τοῦ μεταξὺ ἀνάγκη γίνεσθαι, αὐτόπιστον δοκεῖ τοῖς ἐννοοῦσιν, ὅτι ἡ ἀπό τινος ἐπί τι τοπικὴ μετάστασις, τοῦ τε ἀφ' οὗ, καὶ τοῦ εἰς ὅ, διεστηκότων ἀλλήλων, διά τινος τοῦ μεταξὺ γίνεται διαστήματος. ὅτι δὲ πᾶν διάστημα ἢ πλῆρες ἢ οὐ πλῆρες ἀνάγκην εἶναι, πρόδηλον. ἀντιφατικὴ γὰρ ἐστὶν ἡ διαίρεσις. τὸ δὲ οὐ πλῆρες πάντως κενόν. ὅτι δὲ διὰ πλήρους ἀδύνατον γίνεσθαι τὴν κίνησιν, δι' ὑποθετικοῦ δείκνυσι συλλογισμοῦ οὕτως. εἰ διὰ πλήρους ἡ τῶν σωμάτων κατὰ τόπον γίνεται κίνησις, σῶμα διὰ σώματος χωρήσει. καὶ τὸ μικρότατον δέξεται τὸ μέγιστον. ἀλλὰ μὴν τοῦτο ἀδύνατον, τὸ ἐν τῷ κυαθιαίῳ ὕδατι χωρηθῆναι τὴν θάλασσαν. ἀδύνατον ἄρα καὶ τὸ ἡγούμενον, τὸ διὰ πλήρους γίνεσθαι τὴν κίνησιν. καὶ τὸ μὲν συνημμένον ὅτι τὸ μικρότατον δέξεται τὸ μέγιστον, δείκνυσι, διὰ τοῦ εἰ δέχεται ὅλως ἄλλο σῶμα τὸ ἐξ ἀρχῆς, ὡς δύνασθαι ἐν τῷ αὐτῷ διαστήματι δύο εἶναι σώματα, δέξεται καὶ ταῦτα τρίτον ἄλλο, διὰ τοῦ δι' ὅλου χωροῦν, καὶ τὸ ὅλον πάλιν ἄλλο τέταρτον, καὶ ἐφεξῆς ὁποσαοῦν. οὐ γὰρ ἄν τις αἰτίαν εἴποι, δι' ἣν ἓν μὲν ἐδέξατο, πλείω δὲ οὔ. πλῆρες γὰρ τὸ ἓν ἦν, ὡς καὶ τὰ δύο. δέξεται ἄρα καὶ τὸ μέγιστον. ἐπειδὴ γὰρ τὸ μέγα δύναται εἰς πολλὰ ἴσα τῷ μικρῷ τῷ ἐξ ἀρχῆς ὑποκειμένῳ διαιρεθῆναι. πολλὰ γὰρ μικρὰ τὸ μέγα ἐστὶν ὥς φησιν, ἑκάστου τῶν ἐν τῷ μεγάλῳ μικρῶν τῶν ἴσων τῷ ὑποκειμένῳ γινομένου ἐν τῷ ἐξ ἀρχῆς μικρῷ, καὶ τὸ ὅλον ἂν ἐν αὐτῷ γένοιτο, καὶ τὸ σμικρότατον δέξεται τὸ μέγιστον. ὅπερ ἐστὶν ἐναργῶς ἄτοπον. δῆλον δὲ ὅτι εἰ τὰ ἴσα δέχοιτο ἑαυτῷ, καὶ τὰ ἄνισα δέξεται. τὰ γὰρ πλείονα ἴσα ἄνισον ποιεῖ. δέχεται οὖν καὶ τὰ ἄνισα. ὥστε καὶ τὰ μέγιστα. καίτοι καὶ αὐτὸ τὸ τὰ ἄνισα δέχεσθαι, ἄτοπον. διὸ οὐδὲ αὐτὸ παρῆκεν. ὅτι δὲ παλαιὸς οὗτος ὁ λόγος ἦν, ὁ τὸ κενὸν ἐκ τῆς κινήσεως εἰσάγων, πιστοῦται διὰ τοῦ καὶ μέλισσον ὡς ἐναργεῖ χρώμενον τῷ συνημμένῳ, τῷ λέγοντι, εἰ κινεῖταί τι τὸ ὄν, διὰ κενοῦ κινεῖσθαι, εἶτα προσλαμβάνοντα τὸ ἀλλὰ μὴν οὐκ ἔστι κενόν, ἐπάγειν τὸ οὐ κινεῖται ἄρα τὸ ὄν. καὶ ὅτι μὲν οὕτω πως ἐρωτᾷ τὸν λόγον ὁ μέλισσος, δῆλον. ἐρωτᾷ δὲ αὐτὸν οὐ περὶ τοῦ σωματικοῦ, οὐδὲ περὶ τοῦ μεριστοῦ ὄντος, ἀλλὰ περὶ τοῦ νοητοῦ καὶ ὁλοτελοῦς. ἐκεῖνο γὰρ καὶ ἓν καὶ ἀκίνητον εἶναι βούλεται, τὸ ἀκίνητον οἶμαι δεικνὺς διὰ τοῦ πάντα αὐτὸ εἶναι, καὶ μηδὲν εἶναι παρ' αὐτό, ἐφ' οὗ ἐκστήσεται διὰ κενοῦ. οὐ γὰρ ἐστὶ τὸ κενὸν ἐκεῖ. τάχα δὲ οὐδὲ ἑτερότης. εἴπερ πάντα αὐτό ἐστι. καὶ τὸ μὴ ὂν ἐν τῷ παντελῶς ὄντι χώραν οὐκ ἔχει. κἂν γὰρ

ἑτερότης ἡ ἐκεῖ, καθ' ἣν τὰ εἴδη διακέκριται ἀλλήλων, ἀλλὰ καὶ ἡ ἑτερότης ὄν. καὶ τὸ κενὸν οὐκ ἔχει χώραν ἐν τῷ παντελῶς ὄντι, ὥσπερ οὐδὲ τὸ μὴ ὄν. ἀλλὰ σὺ τῆσδ' ἀφ' ὁδοῦ διζήσιος εἶργε νόημα φησὶν ὁ μέγας παρμενίδης.

ἌΛΛΟΝ δ' ὅτι φαίνονται ἔνια συνιόντα καὶ πιλούμενα. διὸ καὶ τὸν οἶνον φασὶ μετὰ τῶν ἀσκῶν δέχεσθαι τοὺς πίθους. ὡς εἰς τὰ ἐνόντα κενὰ, συνιόντος τοῦ πυκνουμένου σώματος.

Δεύτερον τίθησι λόγον, τὸν ἀπὸ τῆς τῶν σωμάτων πιλήσεως. εἰ γὰρ τῆς αὐτῆς οὐσίας μενούσης, συνιζάνει καὶ ἐκτείνεται τὰ σώματα, δῆλον φασὶν ὅτι κενῶν ὄντων μεταξὺ διαστημάτων, ἡ κατ' αὐτὰ σύμπτωσις γίνεται. τούτου δὲ τεκμήριον παρατίθεται, τὸ τὸν πίθον μετὰ τῶν ἀσκῶν δέχεσθαι τὸν οἶνον. τοῦτο δὲ ὁ μὲν ἀλέξανδρος ἤκουσεν, ὡς τοῦ πίθου, κἂν εἰς ἀσκοὺς ἐμβληθῇ ὁ πληρῶν αὐτὸν οἶνος, δέχεσθαι αὐτὸν μετὰ τῶν ἀσκῶν. μή ποτε δὲ τοῦτο μὲν περιττὸν, καὶ διὰ τὴν δυσκολίαν τῆς συνθέσεως. ἀλλ' ὅτι ὁ αὐτὸς πίθος μεστὸς ὢν οἴνου, καὶ τοὺς ἀσκοὺς τοὺς δεχομένους τὸν ἐν αὐτῷ οἶνον προσεμβληθέντας, δέχεται καὶ οὐχ ὑπερχεῖται. ὅπερ ἀδύνατον ἦν φασὶ τοῦ οἴνου μὴ συμπιλουμένου. τοῦτο δὲ οὐκ ἂν ἐγένετο, μὴ κενῶν ὄντων μεταξὺ διαστημάτων. ὧν συμπιπτόντων, ἀποτελεῖται ἡ πίλησις. οἱ δὲ τὸ κενὸν τῆς πιλήσεως αἰτιώμενοι, καὶ τὰ βαρέα τῶν κούφων ταύτῃ διαφέρειν φασὶ, τῷ τὰ μὲν πλέον ἔχειν, τὰ δὲ ἔλαττον.

ἜΤΙ ΔΈ καὶ ἡ αὔξησις, δοκεῖ γίγνεσθαι πᾶσι διὰ κενοῦ. τὴν μὲν γὰρ τροφὴν εἶναι σῶμα, δύο δὲ σώματα, ἀδύνατον ἅμα εἶναι.

Εἰπὼν ὅτι ἡ κατὰ τόπον κίνησις οὐκ ἂν γένοιτο μὴ ὄντος κενοῦ, καὶ ὅτι τῆς κατὰ τόπον ἡ μέν ἐστι κατὰ αὔξησιν, ἡ δὲ κατὰ φορὰν, καὶ δείξας ἐπὶ τῆς κατὰ φορὰν τὸ εἰρημένον, νῦν λέγει πῶς ἐδείκνυον, ὅτι οὐδὲ ἡ κατὰ αὔξησιν κίνησις γένοιτο ἂν κενοῦ μὴ ὄντος. εἰ γὰρ ἡ μὲν αὔξησις γίνεται διὰ τροφῆς πάντῃ διϊούσης, ἡ δὲ τροφὴ σῶμα, ἀνάγκη ἢ διὰ πλήρους γίνεσθαι ἢ διὰ κενοῦ. ἀλλὰ διὰ πλήρους ἀδύνατον, ὡς δέδεικται. σῶμα γὰρ διὰ σώματος οὐ χωρεῖ, ὥστε ἅμα εἶναι δύο σώματα. δῆλον οὖν ὅτι εἰς τὰ κενὰ τοῦ τρεφομένου γινομένη ἡ τῆς τροφῆς εἴσοδος, πανταχῇ παρεσπαρμένα, ποιεῖ πανταχόθεν αὔξεσθαι τὸ τρεφόμενον. τὸ δὲ δοκεῖ γίνεσθαι πᾶσι τὸ ἔνδοξον ἐνδείκνυται τῆς ἐπιχειρήσεως.

ΜΑΡΤΎΡΙΟΝ δὲ καὶ τὸ περὶ τῆς τέφρας ποιοῦνται. ἣ δέχεται ἴσον ὕδωρ, ὅσον τὸ ἀγγεῖον τὸ κενόν.

Τοῦτο κεῖται μὲν ὡς τέταρτον ἐπιχείρημα κατασκευαστικὸν τοῦ κενοῦ. ἔστι δὲ ταυτόν πως τῷ περὶ τοῦ οἴνου καὶ τῶν ἀσκῶν, ἀπὸ τῆς πιλήσεως τῶν σωμάτων καὶ αὐτὸ προσαγόμενον. ὡς γὰρ ὁ πίθος πρὸς τῷ οἴνῳ δέχεται τοὺς ἀσκοὺς διὰ τὸ πιλεῖσθαι τὸν οἶνον, οὕτω τὸ τέφρας μεστὸν ἀγγεῖος ἐπὶ τῇ τέφρᾳ ὕδωρ δέχεται, συνιζανόντων τῶν ἐν τῇ τέφρᾳ κενωμάτων. διαφέρει δὲ τοῦτο τὸ παράδειγμα τοῦ κατὰ τὸν οἶνον ὡς οἶμαι, ὅτι ἐκεῖ μὲν πρὸς τῷ οἴνῳ καὶ τοὺς ἀσκοὺς ἐδέχετο τὸ αὐτὸ χώρημα, οὐκ ἔχοντας ἴσον ὄγκον τῷ οἴνῳ. ἐνταῦθα δὲ καὶ ἡ τέφρα καὶ τὸ ὕδωρ ἱκανὰ καὶ καθ' αὑτά ἐστι πληροῦν τὸ ἀγγεῖον, συμπιπτόντων δηλονότι τῶν ἐν ἑκατέρῳ πόρων, μᾶλλον δὲ τῶν μὲν ἐν τῷ ὕδατι συμπιπτόντων, τῶν δὲ ἐν τῇ τέφρᾳ τῶν μὲν συνιζανόντων, τῶν δὲ, τὸ ὕδωρ δεχομένων ἐν ἑαυτοῖς.

ΕἾΝΑΙ δ' ἔφασαν καὶ οἱ πυθαγόρειοι κενὸν καὶ ἐπεισιέναι αὐτὸ τῷ οὐρανῷ ἐκ τοῦ ἀπείρου πνεύματος, ὡς ἂν ἀναπνέοντι. καὶ τὸ κενὸν, ὃ διορίζει τὰς φύσεις. ὡς ὄντος τοῦ κενοῦ, χωρισμοῦ τινος τῶν ἐφεξῆς καὶ τῆς διορίσεως. καὶ τοῦτ' εἶναι πρῶτον ἐν τοῖς ἀριθμοῖς. τὸ γὰρ κενὸν διορίζειν τὴν φύσιν αὐτῶν.

Διὰ τὸ τῶν πυθαγορείων ἔνδοξον ὡς πέμπτον ἐπιχείρημα, τὴν δόξαν αὐτῶν παρατίθεται πρὸς τὸ εἶναι κενόν. ἔλεγον γὰρ ἐκεῖνοι τὸ κενὸν ἐπεισιέναι τῷ κόσμῳ, διὸ ἀναπνέοντι ἢ εἰσπνέοντι αὐτῷ ὥσπερ πνεῦμα, ἀπὸ τοῦ ἔξωθεν περικεχυμένου. χρείαν δὲ παρέχεσθαι, πρὸς τὸ μὴ συνεχῆ εἶναι πάντα τὰ σώματα ἀλλήλοις, ὡς ὁ ἀλέξανδρος ἀκούει. ὁ μέντοι ἀριστοτέλης οὐκ ἐπὶ σωμάτων ἤκουσεν. ἀλλὰ διορίζει φησὶ τὰς φύσεις, ὡς αἰτίου ὄντος τοῦ κενοῦ χωρισμοῦ τινος τῶν ἐφεξῆς καὶ τῆς διορίσεως αὐτῶν. τὰ γὰρ ἐφεξῆς ἀλλήλοις, ὧν μηδέν ἐστι μεταξὺ, ταῦτα διορίζει τὸ κενόν. ὅσα γὰρ ὑπὸ ἄλλων μεταξὺ διαλαμβάνεταί τινων, ταῦτα οὐχ ὑπὸ τοῦ κενοῦ ἀλλ' ὑπ' ἐκείνων χωρίζεται. τὴν δὲ κενοῦ τοιαύτην δύναμιν ἐν τοῖς ἀριθμοῖς εἶναί τε καὶ φαίνεσθαι πρώτοις, διορίζουσαν τὴν φύσιν αὐτῶν. τί γὰρ ἄλλο ἐστὶ τὸ διορίζον τὴν μονάδα τῆς δυάδος, καὶ ταύτην τῆς τριάδος, πλὴν τοῦ κενοῦ, μηδεμιᾶς οὔσης μεταξὺ ὑποστάσεως. ἀλλὰ τίνα ἂν εἴη ταῦτα τῶν πυθαγορείων αἰνίγματα. ἢ ὅτι ἡ ὑπὲρ τὸν σωματικὸν κόσμον διακριτικὴ τῶν ἐκεῖ εἰδῶν ἑτερότης ἀπὸ τοῦ κόσμου μεταχεθεῖσα, τῶν ἐν αὐτῷ εἰδῶν τὴν διάκρισιν ἀπειργάσατο καὶ τὸν χωρισμὸν, ἐκεῖ μὲν μὴ οὖσα κενόν. τὸ γὰρ καλὸν εἰ τύχοι ἕτερον τοῦ δικαίου, οὐχ ὅτι οὐκ ἔστι δίκαιον. ἀλλ' ὅτι πάντα ἐστὶ κατὰ τὸ καλὸν διὰ τὴν ἐκεῖ ἕνωσιν. καὶ ὅτι ἐν τῷ παντελῶς ὄντι οὐκ ἔστι τὸ μὴ ὄν. ἐνταῦθα δὲ ὁ χωρισμὸς γίνεται διὰ τὴν τοῦ μὴ ὄντος παρείσδυσιν. ἡ γὰρ μονὰς οὐκ ἔστι δυάς. καὶ ἡ δυὰς οὐκ ἔστι μονάς. καὶ τὸ μεταξὺ τοῦτο μὴ ὂν τοῦτό ἐστι τὸ κενὸν, ὃ χωρίζει τὰ ἐν τῷ κόσμῳ εἴδη. ὥσπερ τὰ ὑπὲρ τὸν κόσμον ἡ ἑτερότης ἡ ἐκεῖ ὂν οὖσα καὶ αὐτὴ, καὶ μὴ λεγομένη μὴ ὂν, διὸ οὐδὲ κενόν. αἴτιον δὲ τοῦ ἐνταῦθα κενοῦ. διὸ καὶ ἐκεῖνο

πῶς μὴ

πῶς μὴ ὂν ἐκάλεσεν ὁ ἐν σοφιστῇ πλάτων. ταῦτα μὲν οὖν τὰ ἐπιχειρήματα τέθεικεν ὁ ἀριστοτέλης τῶν λεγόντων εἶναι τὸ κενόν. ὁ δὲ λαμψακηνὸς στράτων ταῦτα μὲν εἰς δύο συνήγαγε τὰ τέσσαρα, εἴς τε τὴν κατὰ τόπον κίνησιν, καὶ εἰς τὴν τῶν σωμάτων πίλησιν. τρίτον δὲ προστίθησι τὸ ἀπὸ τῆς ὁλκῆς. τὴν γὰρ σιδηρῖτιν λίθον ἕτερα σιδήρια δι' ἑτέρων ἕλκειν συμβαίνει, ὅταν ἐπισπάσηται τὸ ἐκ τῶν πόρων τοῦ σιδήρου ἡ λίθος. ᾧ σώματι καὶ συνέλκεται ὁ σίδηρος. καὶ οὗτος πάλιν τὸν ἐφεξῆς ἕλκει. καὶ οὗτος ἄλλον. καὶ οὕτως ὁρμαθὸς σιδηρίων ἀποκρεμάννυται τῆς λίθου.

Ἐ ΞΩΝ μὲν οὖν οἱ μὲν φασὶν εἶναι οἱ δ' οὔ φασι, σχεδὸν τοσαῦτα καὶ τοιαῦτά ἐστι.

Τῶν λεγόντων εἶναι τὸ κενὸν πλείονα παρέθετο ἐπιχειρήματα. τὸ δὲ ἐκείνων τῶν ἀναιρούντων αὐτὸ λόγον ἐξέθετο τῶν περὶ ἀναξαγόραν. ὃν καὶ παρὰ θύρας ἀπαντᾶν ἔλεγεν, οὐχ ὅτι μὴ ἔστι τὸ κενόν, ἀλλ' ὅτι ὁ ἀὴρ σῶμά ἐστι δεικνύντα. εἰκότως οὖν νῦν ἄμφω τοὺς λόγους εἶπεν εἰρηκέναι, τούς τε εἶναι τιθέντας τὸ κενόν, καὶ τοὺς μὴ εἶναι.

Π ΡΟΣ ΔΕ τὸ, ποτέρως ἔχει, δεῖ λαβεῖν, τί σημαίνει τοὔνομα. δοκεῖ δὴ τὸ κενὸν, τόπος εἶναι, ἐν ᾧ μηδέν ἐστι. τούτου δ' αἴτιον, ὅτι τὸ ὂν σῶμα οἴονται εἶναι. πᾶν δὲ σῶμα, ἐν τόπῳ. κενὸν δὲ, ἐν ᾧ τόπῳ μηθέν ἐστι σῶμα. ὥστ' εἴ που μή ἐστι σῶμα, οὐδὲν εἶναι ἐνταῦθα. σῶμα δὲ πάλιν ἅπαν οἴονται εἶναι ἁπτὸν, τοιοῦτον δὲ, ὃ ἂν ἔχῃ βάρος ἢ κουφότητα. συμβαίνει οὖν ἐκ συλλογισμοῦ τοῦτο εἶναι κενὸν, ἐν ᾧ μηδέν ἐστι βαρὺ ἢ κοῦφον. ταῦτα μὲν οὖν ὥσπερ εἴπομεν καὶ πρότερον. ἐκ συλλογισμοῦ συμβαίνει. ἄτοπον δὲ, εἰ ἡ στιγμὴ κενόν. δεῖ γὰρ τόπον εἶναι, ἐν ᾧ σώματός ἐστι διάστημα ἁπτοῦ.

Καὶ τοὺς μὴ εἶναι τὸ κενὸν καὶ τοὺς εἶναι λέγοντας παραθέμενος, εἰκότως λοιπὸν καιρὸν ἔχειν φησὶ διαιτᾶν αὐτοῖς, πότερον οὕτως ἢ ἐκείνως ἔχει τὸ πρόβλημα. ἀλλ' ἐπειδὴ καὶ οἱ μὴ εἶναι τάχα δὲ καὶ οἱ εἶναι δεικνύντες, ἀδιάρθρωτον ἐφαίνοντο περὶ τὴν αὐτοῦ ἔννοιαν ἔχοντες, διὰ τοῦτο πρότερον φησὶ δεῖν τί σημαίνει τοὔνομα διορίσασθαι. δῆλον γὰρ ὅτι τοῦτο τὸ πρόβλημα καὶ τοῦ εἰ ἔστι προηγεῖται, ὡς ἐν τοῖς ὑστέροις ἀναλυτικοῖς μεμαθήκαμεν. οὐ γὰρ δυνατὸν ζητεῖν εἰ ἔστι τι, οὗ μὴ πρότερον ἔννοιαν προυβαλλοίμεθα. ὥσπερ οὐδὲ τὸ τί ἐστι ζητεῖν δυνατὸν, μὴ πρότερον ὅτι ἔστι πεισθέντας. διαφέρει δὲ τοῦ τί ἐστι τὸ τί σημαίνει τοὔνομα, ὅτι τοῦτο μὲν ἀπὸ τῶν τῇ περὶ αὐτοῦ ὑπαρχόντων ἐννοίᾳ εἴληπται, εἴτε ἔστιν εἴτε μὴ τὸ σημαινόμενον, ὡς ἐπὶ τοῦ κενοῦ νῦν φανήσεται καίτοι μὴ ὄντος. τὸ δὲ τί ἐστιν ἀπὸ τῶν αὐτῷ τῷ πράγματι ὑπαρχόντων. διὸ καὶ πάντως εἶναι χρὴ ἐκεῖνο ἐφ' οὗ τὸ τί ἐστι σκοποῦμεν. καὶ προηγεῖται τὸ εἰ ἔστι πρόβλημα τοῦ τί ἐστιν. ὁ δὲ ἀλέξανδρος ὡς ἐπὶ τοῦ τόπου φησὶ πρῶτον ἐξέθετο τί ἐσήμαινε τὸ ἔν τινι ὂν, οὕτω καὶ ἐνταῦθα ζητεῖ τί σημαίνει τὸ κενόν. μήποτε δὲ ἐπὶ τοῦ τόπου διὰ τὸ ὁμολογεῖσθαι τὴν ἔννοιαν, οὐκ ἐδεήθη προλαβεῖν τὸ τί σημαίνει τοὔνομα. οὐδὲ πρὸς τοῦτο προσελήφθη ἡ τῶν σημαινομένων τοῦ ἔν τινι ἀπαρίθμησις. ἀλλὰ πρὸς τὸ διορίσαι καὶ τὸ γένος τοῦ ἐν τόπῳ, καὶ τὸ ἐν τόπῳ τῶν ἄλλων τοῦ ἔν τινι σημαινομένων, καὶ μάλιστα τοῦ ὡς ἐν ὅλῳ. λέγει οὖν πρῶτον τί δοκεῖ σημαίνειν τὸ τοῦ κενοῦ ὄνομα. ὅτι τόπος εἶναι δοκεῖ κατὰ κοινὴν δόξαν ἐν ᾧ μηδέν ἐστιν. τί δὲ αἴτιον τοῦ οὕτω δοκεῖν, ἀλλὰ μὴ ἐν ᾧ μηδέν ἐστι σῶμα, ἐπάγει. ἐπειδὴ γὰρ πᾶν τὸ ὂν σῶμα λέγουσιν οἱ φυσιολογοῦντες, ἢ οἱ μήπω τὴν ἀσώματον θεασάμενοι φύσιν, δηλονότι τὸ μὴ σῶμα ὂν οὐδὲν εἶναι φασί. ταὐτὸν οὖν ἐστιν εἰπεῖν, ἐν ᾧ μηδέν ἐστι σῶμα, καὶ ἐν ᾧ μηδέν ἐστι. καὶ οὐδὲ τούτῳ ἀρκοῦνται. ἀλλ' ὥσπερ πᾶν τὸ ὂν σῶμα εἶναι λέγουσιν, οὕτω καὶ πᾶν σῶμα ἁπτὸν εἶναι φασί. διὸ τὸν ἀέρα οὔτε σῶμα οὔτε ὂν ἔλεγον. ἐπεὶ οὖν ἁπτόν ἐστι πᾶν ὅπερ βάρος ἔχει ἢ κουφότητα, ἐκ συλλογισμοῦ συμβαίνει λέγειν αὐτοὺς κενὸν εἶναι, ἐν ᾧ μηδέν ἐστι βαρὺ ἢ κοῦφον. ὥστε καὶ ἐν ᾧ ἐστιν ἀήρ. εἰ δ' οὕτω λέγοιεν ἀδιορίστως τὸ ἐν ᾧ τιθέντες, ἕπεται καὶ τὸ σημεῖον αὐτοὺς καὶ τὴν γραμμὴν καὶ τοὺς ἀριθμοὺς κενὸν λέγειν. οὐ γάρ ἐστι τι βαρὺ ἢ κοῦφον ἐν τούτοις, κἂν ἄλλα τινὰ αὐτοῖς ἐνυπάρχῃ. ἀλλ' οὕτως οὐ συνέσονται τῇ τοῦ κενοῦ ἐννοίᾳ. τόπος γὰρ εἶναι βούλεται καὶ διάστημα τὸ κενόν. ἐν ᾧ σώματός ἐστι διάστημα ἁπτοῦ. ἀλλ' οὐ τότε ἐστὶ κενὸν, ὅτε ἐν αὐτῷ ἐστι τὸ σῶμα. ἀλλ' ὅταν οὕτως ἔχῃ, ὡς δύνασθαι εἶναι ἐν αὐτῷ σῶμα. οὐκ ἔστι δὲ τὸ σημεῖον τοιοῦτον. καὶ δηλονότι τὸ ἄτοπον συνήχθη ἀπὸ τοῦ ἀδιορίστως εἰπεῖν ἐν ᾧ, μὴ συνεκφωνήσαντας ὅτι διάστημά τι χρὴ εἶναι. διὸ καταφρονήσας τῆς τῶν οὕτως ὑποθεμένων εὐκολίας, καὶ πρὸς τὴν ἔννοιαν ῥαπεὶς τοῦ κενοῦ, οὕτω τὰ ἐφεξῆς ἐπάγει, διάστημα αὐτὸ ὑποτιθέμενος.

Ἄ ΛΛΟ ΟΥΝ φαίνεται λέγεσθαι τὸ κενὸν, ἕνα μὲν τρόπον, τὸ μὴ πλῆρες αἰσθητοῦ σώματος, κατὰ τὴν ἁφήν. αἰσθητὸν δ' ἐστὶ κατὰ τὴν ἁφὴν, τὸ βάρος ἔχον καὶ κουφότητα. διὸ κἂν ἀπορήσειέ τις, τί ἂν φαῖεν, εἰ ἔχει τὸ διάστημα χρῶμα, ἢ ψόφον. πότερον κενὸν, ἢ οὔ. ἢ δῆλον ὅτι, εἰ μὲν δέχοιτο σῶμα ἁπτὸν, κενὸν εἶναι. εἰ δὲ μὴ, οὔ.

Εἰπὼν τὸ ἑπόμενον τῇ ἀδιορίστως εἰρημένῃ σημασίᾳ τοῦ κενοῦ, ἄτοπον ἐπάγει, καὶ τοὺς ὡς διάστημα

λέγοντας τὸ κενὸν τὸ πλῆρες ἢ μὴ πλῆρες αἰσθητοῦ σώματος κατὰ τὴν ἁφήν, γράφεται γὰρ ἑκατέρως. τοῦτο δὲ ὡς διάστημα λαμβάνεται. ὡς δηλοῖ καὶ ἡ ἐφεξῆς ἀπορία, ἡ λέγουσα εἰ ἔχει τὸ διάστημα. καὶ εἰ μὲν εἴη γεγραμμένον τὸ μὴ πλῆρες αἰσθητοῦ σώματος κατὰ τὴν ἁφήν, λέγοι ἂν διάστημά τι πεφυκὸς μὲν δέχεσθαι αἰσθητὸν σῶμα κατὰ τὴν ἁφήν, καὶ πληροῦσθαι ὑπ' αὐτοῦ, μὴ δεδεγμένον δὲ μηδὲ πεπληρωμένον. εἰ δὲ εἴη τὸ πλῆρες αἰσθητοῦ σώματος κατὰ τὴν ἁφήν, καὶ οὕτως ὡς πεφυκὸς πληροῦσθαι ἀκουστέον, ἀλλ' οὐχ ὡς πεπληρωμένον. ὅπερ διεσάφησεν εἰπών, ἢ δῆλον ὅτι εἰ μὲν δέχοιτο σῶμα ἁπτὸν κενόν. εἴτε δὲ οὕτως εἴτε ἐκείνως, τὸ ἐπιφερόμενον ἄπορον τοιοῦτόν ἐστιν. εἰ τὸ διάστημα ἐκεῖνο κατὰ μὲν τὴν ἁφὴν αἰσθητὸν σῶμα μὴ ἔχοι, χρῶμα δὲ ἢ ψόφον ἢ ἄλλην τινὰ ποιότητα κατ' ἄλλην αἴσθησιν ἀντιληπτὴν ἔχειν ὑποτεθῇ, ἆρα κενόν ἐστι τοῦτο, ἢ οὔ. εἰ μὲν γὰρ κενὸν λέγοιτο, πῶς ἂν εἴη κενὸν τὸ ποιότητα αἰσθητὴν ἔχον· πῶς δὲ ἂν εἴη τὸ κενὸν αἰσθητόν. εἰ δὲ μὴ κενόν, ἔσται τι μὴ κενόν, καίτοι μὴ ὂν πλῆρες αἰσθητοῦ σώματος κατὰ τὴν ἁφήν. ἰδοὺ γὰρ τὸ διάστημα ἐκεῖνο τὸ χρῶμα ἔχον ἢ ψόφον, καὶ πεφυκὸς πληροῦσθαι ἁπτοῦ σώματος, εἴπερ διάστημα καὶ μὴ πεπληρωμένον, ὅμως λέγεται μὴ εἶναι κενόν. αὐτὸς δὲ τὸ ἄπορον εἰπών, τὴν λύσιν ὡς ἀπὸ ἐκείνων τὴν ἐκείνοις προσήκουσαν ἐπήγαγε λέγων, ἢ δῆλον ὅτι εἰ μὲν δέχοιτο σῶμα ἁπτόν, κενόν. εἰ δὲ μή, οὔ. τοῦτο δὲ μὴ προσποιουμένων ἐστὶ τό, ἄτοπον εἶναι τὸ διάστημα ἐκεῖνο, κἂν δεκτικὸν εἴη ἁπτοῦ σώματος, μὴ τοῦτο δὲ ἔχοι, ἀλλὰ χρῶμα ἢ ψόφον ἢ ὅλως αἰσθητὴν ποιότητα, κενὸν λέγεσθαι. ὁ δὲ ἀλέξανδρος εἴπερ εἴη φησὶ γεγραμμένον τὸ πλῆρες αἰσθητοῦ σώματος κατὰ τὴν ἁφήν, δύναται λέγειν τὸ μὴ κατ' ἄλλην αἴσθησιν ἀλλὰ κατὰ μόνην τὴν ἁφήν. τοιοῦτον δὲ τὸν ἀέρα λέγειν αἰσθητὸν σῶμα κατὰ τὴν ἁφήν. ἐπειδὴ ἦν τις περὶ κενοῦ δόξα λέγουσα κενὸν εἶναι τὸν ἀέρα ἁπτὸν ὄντα, τῷ ῥοπήν τινα ἔχειν βάρους ἢ κουφότητος. ταύτην δὲ τὴν δόξαν οἱ περὶ τὸν ἀναξαγόραν ἀνατρέπειν ἐπεχείρουν, στρεβλοῦντες τοὺς ἀσκούς. καὶ εἴπερ εἴη φησὶ περὶ τοῦ ἀέρος λεγόμενον, τὸ ἀπορούμενον ἂν εἴη τοιοῦτον. εἰ οὗτος ὁ ἀὴρ ὃν κενὸν λέγουσι προσλάβοι χρῶμα ἢ ψόφον, ἢ τινα ἄλλην αἰσθήσει αἰσθητὴν ποιότητα διάφορον παρὰ τὴν ἁφήν, πότερον ἔτι μένει κενὸν ἢ οὔ. εἰ μὲν γὰρ ἔτι κενὸν λέγοιεν, οὐκ ἂν εἴη κενὸν τὸ πλῆρες αἰσθητοῦ κατὰ τὴν ἁφὴν ὡς ἐλέγετο. εἴπερ καὶ ἄλλα αἰσθητὰ ἔχον, κενὸν ἔτι μεμένηκεν. εἰ δὲ μηκέτι κενὸς ὁ ἀὴρ εἴη τούτων τι προσλαβών, εἴη ἂν ποιοτήτων οὐ σωμάτων τὸ κενὸν δεκτικόν. οὕτω δὲ καὶ ἐν τόπῳ ἂν οὐ τὰ σώματα ἀλλ' αἱ ποιότητες γίγνοιντο. καὶ αὐτὸς δὲ ὁ ἀλέξανδρος ἔοικεν οὐκ ἀποδέχεσθαι ταύτην τὴν ἐξήγησιν. τοιγαροῦν καὶ τὸ ἐφεξῆς, τό, ἢ δῆλον εἰ μὲν δέχοιτο σῶμα ἁπτόν, κενόν, εἰ δὲ μή, ὄν, οὐ τῷ ἀέρι καὶ τῷ κατ' αὐτὸν κενῷ ἐφαρμόζειν φησίν, ἀλλὰ τῷ διαστήματι. καὶ γὰρ οἱ τὸν ἀέρα κενὸν λέγοντες, τὸ διάστημα ἐν ᾧ ὁ ἀήρ, κενὸν ἔλεγον, ὡς τοῦ ἀέρος μηδὲν ὄντος. ὡς εἴ γε τὸν ἀέρα σῶμα αἰσθητὸν ἁφῇ ἐνόμιζον, οὐκ ἂν εἶπον κενὸν τὸ ἔχον αὐτὸν διάστημα. οὐ δ' ἂν οἱ περὶ ἀναξαγόραν ἀνῄρουν τὸ κενόν, δεικνύντες εἶναι σῶμα τὸν ἀέρα καὶ ἰσχυρόν. δεῖ γὰρ τοῦτο τὸ κενὸν ὁρίζεσθαι διάστημα πληροῦσθαι πεφυκὸς σώματος αἰσθητοῦ κατὰ τὴν ἁφήν. ἵνα τὸ τοῦ ἀέρος δεκτικὸν κενὸν ἀναφανῇ, τοῦ ἀέρος μὴ ὄντος σώματος αἰσθητοῦ κατὰ τὴν ἁφήν, ὡς ἐνόμιζον. λέγει δὲ ὁ ἀλέξανδρος καὶ τρίτην τινὰ φέρεσθαι γραφήν, τὴν λέγουσαν τὸ πλῆρες ἀναισθήτου σώματος κατὰ τὴν ἁφήν. καὶ εἴη ἂν ἀναίσθητον σῶμα τὸ διάστημα λέγων, τὸ τρεῖς ἔχον διαστάσεις, καὶ διὰ τοῦτο σῶμα λεγόμενον καὶ πλῆρες. ἐπειδὴ σώματος ὁρισμὸς εἶναι δοκεῖ, τὸ τὰς τρεῖς ἔχον σχεδὸν διαστάσεις. οὐδὲ ταύτῃ δὲ τῇ γραφῇ συνᾴδειν φησὶ τὴν ἐπαγομένην λύσιν ὁ ἀλέξανδρος. οὐκ οἶδα διατί, εἴπερ ὡς διάστημα εἴληπται. ἀλλὰ κατάλληλος ἡ προφορὰ διάστημα κενὸν εἰπεῖν, τὸ πλῆρες ἀναισθήτου σώματος κατὰ τὴν ἁφήν. τὸν δὲ ἀέρα φησὶν ὁ ἀλέξανδρος τῇ ἑαυτοῦ φύσει ἄλλαις μὲν αἰσθήσεσιν αἰσθητῶν ποιοτήτων μὴ μετέχειν, ἁπτὸν δὲ μόνον εἶναι. οὐ γὰρ ἂν ταῖς ἄλλαις αἰσθήσεσι διηκονεῖτο δι' αὐτοῦ γινομέναις, εἰ παρενέφαινέ τινα αὐταῖς οἰκείαν ποιότητα. μέλας γὰρ ὢν εἰ τύχοι, πῶς ἂν πρὸς τὴν τοῦ λευκοῦ διακομιδὴν ὑπηρετοῖτο. δῆλον δὲ ἔτι κατὰ ταύτην τὴν ἀπόδοσιν τοῦ κενοῦ, τὴν λέγουσαν κενὸν εἶναι ἐν ᾧ μηδέν ἐστι σῶμα αἰσθητὸν ἁφῇ, τουτέστι μὴ βαρὺ ἢ κοῦφον, καὶ εἴ τι διάστημά ἐστιν ἐν ᾧ ὁ οὐρανὸς κενὸν ἂν εἴη. τὸ γὰρ θεῖον καὶ κυκλοφορικὸν σῶμα ὡς ἐν τῇ περὶ οὐρανοῦ δέδεικται, οὔτε βαρύ ἐστιν οὔτε κοῦφον. ἔοικε δὲ τὸ μὲν πρῶτον συναχθὲν ἄτοπον τὸ τὴν στιγμὴν κενὸν εἶναι, συνῆχθαι ἀπὸ τοῦ ἀδιορίστως ληφθῆναι ἐν ᾧ. τοῦτο δὲ ἀπὸ τοῦ ἁφῇ μόνῃ διορισθῆναι ἐκεῖνο ὃ μὴ ἔστιν ἐν τῷ κενῷ, καὶ διὰ τοῦτο λέγεσθαι κενόν.

ἌΛΛΟΝ δὲ τρόπον, ἐν ᾧ μὴ τόδε τι μηδ' οὐσία τις σωματική. διό φασί τινες εἶναι τὸ κενὸν τὴν τῶν σωμάτων ὕλην. οἵπερ καὶ τόπον. τὸ αὐτὸ τοῦτο λέγοντες, οὐ καλῶς. ἡ μὲν γὰρ ὕλη οὐ χωριστὴ τῶν σωμάτων. τὸ δὲ κενόν, ζητοῦσιν ὡς χωριστόν.

Ἄλλην ἔννοιαν τοῦ κενοῦ παραδίδωσι, κενὸν λέγουσαν ἐν ᾧ μὴ ἔστιν οὐσία σωματική. τὸ γὰρ τόδε τι ἐξηγούμενος, ἐπήγαγε μηδὲ οὐσία σωματική. διάφορος δ' ἂν αὕτη τῆς προτέρας ἡ σημασία, τῷ ἐκεῖ μὲν κενὸν λέγεσθαι, ἐν ᾧ μηδέν ἐστι σῶμα αἰσθητὸν ἁφῇ, κατὰ τὴν ἀντιτυπίαν χαρακτηριζομένου τοῦ

νου τοῦ τοιούτου σώματος, τὸν τῷ ἀέρι μὴ ἐνορῶντες, κενὸν ἔλεγον τὸ διάστημα ἐν ᾧ ἀήρ. ἐνταῦθα δὲ
λέγεται κενὸν, ἐν ᾧ μηδεμία ἐστὶν οὐσία σωματική. ἡ δὲ σωματικὴ οὐσία οὐ μόνον βάρος ἔχει καὶ
κουφότητα, ἀλλὰ καὶ χρώματα καὶ σχήματα καὶ μεγέθη. διὸ κατὰ μὲν τὴν προτέραν ἀπόδοσιν,
τὸ διάστημα ἐν ᾧ ὁ οὐρανὸς κενὸν ἂν εἴη. ὅτι τὸ οὐράνιον σῶμα οὔτε βάρος ἔχει οὔτε κουφότητα. κατὰ
δὲ ταύτην τὴν ἀπόδοσιν, οὐκ ἂν εἴη κενόν. εἴπερ κενὸν μέν ἐστιν ἐν ᾧ μὴ ἔστι σώματος οὐσία, τὸ δὲ οὐράνιον
σῶμα οὐσία ἐστί. καὶ μή ποτε τῷ ὄντι ἡ μὲν προτέρα ἀπόδοσις ἐκείνων ἦν, τῶν βουλομένων τὸν ἀέρα
μὴ εἶναι σῶμα, διὰ τὸ μὴ εἶναι ἀντίτυπον, καὶ διὰ τοῦτο τὸ διάστημα ἐν ᾧ ἐστιν ὁ ἀὴρ κενὸν οἰομένων. πρὸς
οὓς καὶ ἀναξαγόρας ἀντιλέγων, ἠρκεῖτο δεικνύναι σῶμα τὸν ἀέρα. εἰ γὰρ κενὸν ἔλεγον ἐν ᾧ μηδὲν
ἦν σῶμα ἀντίτυπον, ὁ δὲ ἀὴρ κἂν μὴ ἀντίτυπον ἀλλ' ὅμως σῶμα ἐστὶ, καὶ τὸ ἐν ᾧ ἐστιν οὐ κενὸν, δηλο-
νότι οὐκ ἂν εἴη κενὸν νῦν λεγόμενον τὸ ὑπ' αὐτῶν ἀποδεδομένον. ὑποθέμενος δὲ τοὺς τὸ κενὸν λέγον-
τας, ἐν ᾧ μὴ ἔστιν οὐσία τις σωματικὴ, καὶ ταύτῃ δοκοῦντας ἀκριβέστερον λέγειν τῶν τῷ σώματι
τὸ ἁπτὸν προστιθέντων, καὶ διὰ τοῦτο ἀτόπῳ περιπεσόντων, ἀπάγει καὶ τούτους εἰς τὸ τὴν ὕλην τὸ
κενὸν λέγειν ὅταν καθ' αὑτὴν ᾖ. διότι αὕτη ἐστὶν ἐν ᾗ τὸ σωματικὸν εἶδος ἐγγίνεται. οἱ οὖν ταύτην ἔ-
χοντες ἔννοιαν τοῦ κενοῦ, τὴν ὕλην λέγουσι τὸ κενόν. οἱ δὲ αὐτοὶ οὗτοι καὶ τόπον αὐτὴν λέγουσιν,
ὥσπερ καὶ τὸ κενὸν λέγουσι τόπον. ὥστε κενὸν καὶ ὕλην καὶ τόπον ταυτὸν τῷ ὑποκειμένῳ λέγειν.
καὶ πρότερον μὲν ἐν τοῖς περὶ τόπου λόγοις ἤλεγξε τοὺς τόπον τὴν ὕλην λέγοντας. νῦν δὲ προχει-
ρισάμενος τοὺς τὸ κενὸν ὕλην λέγοντας, ἐπάγει καὶ τούτοις τὸ αὐτὸ ἄτοπον, τὸ τὴν ὕλην καὶ τὸ κε-
νὸν ταυτὸν λέγειν, τὰς ἐναντίας αὐτῶν ἐννοίας παραδεικνὺς, καθ' ἃς ἡ μὲν ὕλη οὐκ ἔστι χωριστὴ
τῶν πραγμάτων ὧν ἐστιν ὕλη. τὸ δὲ κενὸν οἱ λέγοντες ὡς χωριστὸν ζητοῦσιν ἐκείνου τοῦ ἐν αὐτῷ πεφυ-
κότος γίνεσθαι σώματος. ὡς ἐν δευτέρῳ σχήματι καὶ ἐνταῦθα δείκνυσθαι τὸ κενὸν μὴ ὂν ὕλην. τὸν
δὲ τόπον πῶς ἀπὸ τοῦ ὀνόματος τοῦ κενοῦ σημαίνεσθαι συγχωρεῖ.

ΕΠΕΙ ΔΕ καὶ περὶ τοῦ τόπου διώρισται, καὶ τὸ κενὸν, τόπον ἀνάγκη εἶναι εἰ ἔστιν, ἐστερημένον σώ-
ματος. τόπος δὲ καὶ πῶς ἐστι καὶ πῶς οὐκ ἔστιν, εἴρηται. φανερὸν οὖν ὅτι οὕτω μὲν, κενὸν, οὐκ ἔστιν.
οὔτε κεχωρισμένον, οὔτε ἀχώριστον. τὸ γὰρ κενὸν, οὐ σῶμα, ἀλλὰ σώματος διάστημα βούλεται εἶναι.
διὸ καὶ τὸ κενὸν, δοκεῖ τι εἶναι, ὅτι καὶ ὁ τόπος. καὶ διὰ ταῦτα. ἥκει γὰρ δὴ ἡ κίνησις ἡ κατὰ τόπον,
καὶ τοῖς τόπον φάσκουσιν εἶναί τι παρὰ τὰ σώματα τὰ ἐμπίπτοντα, καὶ τοῖς τὸ κενόν. αἴτιον δὲ κι-
νήσεως οἴονται εἶναι τὸ κενόν. οὕτως, ὡς ἐν ᾧ κινεῖται. τοῦτο δ' ἂν εἴη, οἷον, τὸν τόπον φασί τινες εἶναι.

Τὰς διαφόρους τοῦ κενοῦ δοκούσας ἐννοίας ἐκθέμενος πάσας εἰς ἓν τὸ αὐτὸ τείνειν ὑπέδειξε, τὸ τόπον
τινὰ εἶναι τὸ κενὸν ἐστερημένον σώματος. εἴτε γὰρ τόπος ἐν ᾧ μηδέν ἐστιν, εἴτε διάστημα τὸ μὴ πλῆρες
αἰσθητοῦ σώματος κατὰ τὴν ἁφὴν, εἴτε τὸ ἐν ᾧ μὴ τόδε τι μηδὲ οὐσία σωματικὴ, κατὰ πάσας ταύ-
τας τὰς ἀποδόσεις τὸ κενὸν διάστημά τι καὶ τόπος ἐστὶ σώματος ἐστερημένος. καὶ γὰρ τὸν μὲν τόπον
ὡς τόπον, ἐπειδὴ τινὸς ὁ τόπος, ὅταν δέξηται σῶμα, τότε νοοῦμεν. τὸ δὲ κενὸν ὅταν μήπω δέξη-
ται σῶμα. τὸ μέντοι εἶναι διαστήμασι κεχωρισμένοις τῶν σωμάτων, ἀμφοτέροις ὑπάρχει καὶ τῷ
κατ' αὐτὸν τόπῳ καὶ τῷ κενῷ. ἐπεὶ οὖν δέδεικται περὶ τόπου, ὅτι ὡς μὲν πέρας τοῦ περιέχον-
τος ἐστὶν, ὡς δὲ διάστημα καθ' αὑτὸ οὐκ ἔστι, τότε μὲν σύμμετρον ἐδείχθη τῷ περὶ τόπου λόγῳ, ὅτι οὐκ
ἔστι τοῦτο διάστημα. νῦν δ' ἐπειδὴ αὐτὸ τοῦτο πρόκειται σκοπεῖν, λοιπὸν μετὰ τὸ τί σημαίνει τοὔνομα
τοῦ κενοῦ, εἰ ἔστιν ὅλως τὸ κενὸν τουτέστι τὸ διάστημα τὸ εἰρημένον, χρὴ δεῖξαι λοιπὸν ὅτι οὐκ ἔστι τι
τοιοῦτον, οὔτε μὴ ἔχον ἐν ἑαυτῷ σῶμα, ὅπερ σημαίνει τὸ κεχωρισμένον, οὔτε ἔχον ὅπερ τὸ ἀχώρι-
στον. καὶ γὰρ τῶν λεγόντων τὸ κενὸν, οἱ μὲν οὕτως ἔλεγον ὡς εἶναί τι καθ' αὑτό. τὸ μὲν, ἀεὶ μηδὲν ἔχον
σῶμα, ὡς τὸ ἔξω τοῦ οὐρανοῦ. τὸ δὲ, ποτὲ, ὡς τὸ ἐν τοῖς μανοῖς, καὶ τὸ διαλαμβάνον τὰ σώματα πρὸς
τὸ μὴ συνεχῆ εἶναι. οἱ δὲ, ὡς ἔχον μέν τινα καὶ καθ' αὑτὸ φύσιν τοῦτο τὸ διάστημα, ἀεὶ δὲ σώματος πε-
πληρωμένον. δύναται δὲ κεχωρισμένον μὲν τὸ εἰρημένον ἔξω τοῦ οὐρανοῦ παρ' αὐτῶν λέγειν, ἀχώ-
ριστον δὲ τὸ τοῖς σώμασιν ἐμφερόμενον. ἀλλ' οὐχὶ τὸ ἀεὶ ἔχον σῶμα. αὕτη γὰρ ἡ ὑπόθεσις μετ' αὐτὸν ἐν
τοῖς πλατωνικοῖς σαφῶς ἐπεπόλασεν. ὅτι δὲ οἱ πρὸς τὸ μὴ εἶναι διάστημα τοιοῦτον τὸν τόπον ῥηθέν-
τες λόγοι, καὶ πρὸς τὸ τοιοῦτον κενὸν εὐλόγως ἂν λέγοιντο, δείκνυσι διὰ τοῦ τὰ αὐτὰ εἶναι κατα-
σκευαστικὰ τοῦ τοιούτου κενοῦ, ἅπερ καὶ τοῦ τόπου, τὸ ὑποδεκτικὸν, καὶ χωριστὸν, καὶ ὅτι κίνησις ἡ κα-
τὰ τόπον οὐκ ἂν εἴη. καὶ γὰρ καὶ τὸ κενὸν οὐ σῶμα, ἀλλὰ διάστημα σώματος δεκτικὸν δηλονότι βού-
λονται εἶναι. καὶ διὰ τοσαύτας αἰτίας καὶ εἶναι δοκεῖ τὸ κενὸν, δι' ἃς καὶ ὁ τόπος. ὁ δὲ ἀλέξανδρος
ἐκ τοῦ λέγειν φησὶν ὅτι τὸ κενὸν καίτοι τριχῇ διαστατὸν ὂν οὐ σῶμα, ἐλέγχειν ἐστὶ τοὺς κακῶς οἰομένους
ἐν κατηγορίαις ὑπ' αὐτοῦ ποσὸν σῶμα τὸ μαθηματικὸν λέγεσθαι, διάστημα μόνον ὂν ἄνευ τῆς ὕλης.
οὐδαμοῦ γὰρ λέγειν τὸ τοιοῦτον ἁπλῶς σῶμα, ἀλλ' ἢ σώματος διάστημα ἢ μαθηματικὸν σῶμα. ἐκεῖ δὲ
ἁπλῶς τὸ σῶμα ποσὸν ἔφη. δῆλον δὲ ὅτι τὸ μαθηματικὸν οὐκ ἂν εἴη σώματος διάστημα. καὶ γὰρ ἐνταῦθα
τὸ κενὸν οὕτω λέγεται σώματος διάστημα, ὡς διάστημα σώματος δεκτικὸν, ἀλλ' οὐχὶ διάστημα σώμα-
τος. ὁ δὲ ἀλέξανδρος οὕτως ἀκούων συλλογίζεται, ὅτι εἰ μὴ σῶμα ἀλλὰ διάστημα σώματος, ἀδύνατον

δὲ τοιοῦτον εἶναι διάστημα ἄνευ σώματος, ἀδύνατον εἶναι καὶ κενόν. εἰ μὴ ἄρα διάστημα σώματος λέγει, τὸ τριχῇ διαστατόν. οἷόν ἐστι καὶ τὸ τοῦ σώματος. οὕτω γὰρ ἂν εἴη λέγων, εἰ πανταχοῦ σώματος εἰσὶν αἱ τρεῖς διαστάσεις, οἱ μόνου σώματος ὑποτιθέμενοι, τὸ μὴ ὂν ὑποτίθενται. πλειόνων δὲ ὄντων ὡς εἴρηται τῶν αὐτῶν αἰτίων, τῆς τε τοῦ τόπου εἰς τὰ ὄντα εἰσαγωγῆς καὶ τῆς τοῦ κενοῦ, ἐνεδείξατο μὲν τὸ πλῆθος εἰπὼν καὶ διὰ ταῦτα, ἤγουν ἀφ' ὧν κατεσκευάζετο ὁ τόπος. τὴν δὲ κυριωτάτην δοκοῦσαν ἐπήγαγεν. ἥκει γάρ ἡ κίνησις φησὶν ἡ κατὰ τόπον, καὶ τοῖς τόπον φάσκουσιν εἶναί τι παρὰ τὰ σώματα, ἐμπίπτοντα εἰς αὐτὸ, καὶ τοῖς τὸ κενόν. ἐπειδὴ δὲ τοῦ αὐτοῦ πλείονα καὶ διάφορα αἴτια εἶναι, ὅτι ὡς τὸ αὐτὸ αἴτιον τῆς κατὰ τόπον κινήσεως τό, τε κενὸν καὶ ὁ τόπος, ἔδειξεν εἰπὼν καὶ τὸ κενὸν αἴτιον λέγειν, ὡς ἐν ᾧ κινεῖται. οὕτω δὲ ἦν καὶ ὁ τόπος αἴτιος.

ΟΥ᾿ΔΕΜΙΑ δ' ἀνάγκη εἰ ἔστι κίνησις, εἶναι κενόν, ὅλως μὲν οὖν ἁπάσης κινήσεως, οὐδαμῶς. διὸ καὶ μέλισσον ἔλαθεν. ἀλλοιοῦσθαι γὰρ ἐνδέχεται τὸ πλῆρες, ἀλλὰ δὴ, οὐδὲ τὴν κατὰ τόπον κίνησιν. ἅμα γὰρ ὑπεξιέναι ἀλλήλοις ἐνδέχεται, οὐδενὸς ὄντος διαστήματος χωριστοῦ παρὰ τὰ σώματα τὰ κινούμενα. καὶ τοῦτο δῆλον, καὶ ἐν ταῖς τῶν συνεχῶν δίναις. ὥσπερ καὶ ἐν ταῖς τῶν ὑγρῶν.

ΔΙΑΚΡΙΝΑΣ τὸ τοῦ ὀνόματος τοῦ κενοῦ σημαινόμενον, ὅτι ἐστὶ διάστημα καὶ τόπος ἐστερημένος σώματος, λοιπὸν ὅτι μὴ ἔστι τοῦτο μήτε χωριστὸν μήτε ἀχώριστον προτίθεται δεῖξαι. καὶ πρῶτον τοὺς ἐπιχειροῦντας λόγους εἰσάγειν τὸ κενόν, ὅτι μηδὲν ἔχουσιν ἀναγκαῖον δείκνυσι. καὶ πρῶτον τὸν πρῶτον ἐρωτηθέντα, καὶ τῶν ἄλλων δοκοῦντα πραγματειωδέστερον. ὃς ἔλεγεν, εἰ ἔστι κίνησις, ἔστι τὸ κενόν. καὶ νῦν μὲν ὅτι οὐκ ἀναγκαίως ἠρώτηται δείκνυσιν. ὀλίγον δὲ ὕστερον ὅτι καὶ πᾶν τοὐναντίον, εἰ ἔστι κίνησις, οὐκ ἔστι κενόν, καὶ εἰ ἔστι κενόν, οὐκ ἔστι κίνησις. νῦν δὲ τέως μὲν παρὰ τοῦ ἀδιορίστου τὸν λόγον ἐλέγχει. εἰ γὰρ καὶ ἔστι κινήσεως αἴτιον τὸ κενόν, οὔτι γε πάσης. οὐ γὰρ δὴ καὶ ἀλλοιώσεως. δύναται γάρ τι θερμαίνεσθαι καὶ λευκαίνεσθαι, καὶ ὅλως ἀλλοιοῦσθαι. καὶ πλῆρες ὂν καὶ μηδὲν προσδεόμενον κενοῦ. καὶ μέμφεται μελίσσῳ ἀδιορίστως ἀκίνητον τὸ πᾶν λέγοντι, διὰ τὸ μὴ εἶναι τὸ κενόν. ἀγνοῆσαι γὰρ δοκεῖ ὅτι ἀλλοίωσιν οὐδὲν ἐκώλυεν εἶναι, κἂν μὴ ᾖ κενόν. πόθεν δὲ πᾶν ἀκίνητον ὁ μέλισσος ἔλεγε, διὰ τὸ μὴ εἶναι κενόν, εἴρηται πρότερον. ἔδει οὖν εἴπερ ἄρα, ἐρωτᾶν, εἰ ἔστιν ἡ κατὰ τόπον κίνησις, ἔστι κενόν, ἀλλὰ μὴ ἁπλῶς εἰ ἔστι κίνησις. ἠτιάσατο δὲ τοῦτο ὡς ἄν τις εἴποι μελίσσου τὸ παρόραμα καὶ ἐν τῷ πρώτῳ βιβλίῳ λέγων, ἔπειτα ἀλλοίωσις διατί οὐκ ἂν εἴη. λύσας οὖν τὸ συνημμένον διὰ τῆς τοῦ ἀδιορίστου ἐρωτήσεως, ἑξῆς δείκνυσιν ὅτι οὐδὲ τῆς κατὰ τόπον κινήσεως αἴτιον τὸ κενόν. δύναται γὰρ ἀντιμεθίστασθαι ἀλλήλοις τὰ σώματα, καὶ οὕτω κινεῖσθαι κατὰ τόπον, τοὺς ἀλλήλων τόπους ἀμείβοντα, καὶ μηδενὸς ὄντος κενοῦ. ὅπερ εἶπε κεχωρισμένον διάστημα. τουτέστι τὸ μὴ σώματος ὂν ἀλλ' αὐτὸ καθ' αὑτό. καὶ ὅτι δυνατὸν τοῦτο, ἔδειξεν ἐπὶ τῶν περιδινουμένων καὶ τὸν αὐτὸν ἀεὶ τόπον κατεχόντων συνεχῶν σωμάτων. καὶ γὰρ καὶ οἱ στρόμβοι κινοῦνται κατὰ τόπον μὴ δεόμενοι κενοῦ. καὶ τὸ ὕδωρ ὅταν ἐν τῷ ἀγγείῳ κινῆται περιφερόμενον, τὸ μὲν ὅλον τὸν αὐτὸν κατέχει τόπον. τὰ δὲ μόρια αὐτοῦ ἀλλήλοις ἀντιμεθίσταται, κινούμενα τοπικῶς. καὶ οὔτε κενὸν προσλαμβάνει, οὔτε σῶμα διὰ σώματος χωρεῖ. ἐχρήσατο δὲ τούτῳ τῷ παραδείγματι καὶ ἐν τῷ πρώτῳ βιβλίῳ, πρὸς τὸ τοῦ μελίσσου ἀκίνητον ὑπαντῶν. ἀλλ' ἴσως ἄν τις λέγοι τὰ τοιαῦτα μὴ δὲ κινεῖσθαι κατὰ τόπον καθ' ἡμᾶς, ὅσα τὸν αὐτὸν φυλάττει τόπον κατὰ τὴν ὁλότητα. εἴπερ καὶ τὸν ὅλον οὐρανὸν ἀκίνητον κατὰ τόπον λέγομεν. καὶ μέντοι ἐπὶ τούτων μόνον δόξει τὸ κενὸν μὴ εἶναι αἴτιον τῆς κατὰ τόπον κινήσεως, τῶν κατὰ τὸ ὅλον ἐν τῷ αὐτῷ τόπῳ μενόντων ἀεί. προσφυέστερον οὖν ἐστι τὸ τοῦ στράτωνος παράδειγμα, ταύτας τὰς ὑπονοίας ἐκφυγόν. ἐὰν γὰρ εἰς ἀγγεῖον τις πεπληρωμένον ὕδατος ψηφῖδα ἐμβαλὼν, καταστρέψῃ τὸ ἀγγεῖον ἐπὶ στόμα ἐπέχον τὴν ἔκροιαν, ἡ ψῆφος ἐπὶ τὸ στόμα τοῦ ἀγγείου φέρεται, ἀντιμεθισταμένου τοῦ ὕδατος εἰς τὸν τῆς ψήφου τόπον. τὸ δὲ αὐτὸ καὶ ἐπὶ τῶν νηχομένων συμβαίνει, καὶ ἰχθύος καὶ οὑτινοσοῦν. ἐρεῖ δὲ καὶ αὐτὸς ἀριστοτέλης πλείονα περὶ τῆς ἀντιμεταστάσεως.

ἘΝΔΕΧΕΤΑΙ δὲ καὶ πυκνοῦσθαι, μὴ εἰς τὸ κενόν. ἀλλὰ διὰ τὸ τὰ ἐνόντα ἐκπυρηνίζειν. οἷον ὕδατος συνθλιβομένου, τὸν ἐνόντα ἀέρα.

ΔΕΥΤΕΡΟΣ ἦν λόγος τῶν δοκούντων δεικνύναι ὅτι ἔστι τὸ κενόν, ὁ ἀπὸ τῆς πιλήσεως. οὗ παράδειγμα ἦν τὸ κατὰ τοὺς ἀσκούς. οὓς ὁ πίθος δέχεται μετὰ τοῦ οἴνου, διὰ τὴν τοῦ οἴνου πίλησιν, οὐδὲν ἄλλο οὖσαν ἢ συνίζησιν εἰς τὰ ἐνυπάρχοντα κενά. λέγει οὖν πρὸς τοῦτον τὸν λόγον, ὅτι οὐκ ἀνάγκη τὸ πιλούμενον τῷ κενὰ ἔχειν ἐν ἑαυτῷ, εἰς αὐτὰ συστελλόμενον πυκνοῦσθαι. δύναται γὰρ ἐκθλιβομένου καὶ ἐκπυρηνιζομένου λεπτοτέρου τινὸς σώματος, συνιζάνειν τὰ λοιπὰ μόρια εἰς ὄγκον ἐλάττονα. καὶ γίνεται ἡ πίλησις, ἐξιόντος μὲν τοῦ λεπτομερεστέρου καὶ ἀραιοτέρου, ἢ πυρὸς καὶ ὕδατος, καὶ ὅλως τῶν λεπτοτέρων ἀπὸ τῶν παχυτέρων, τοῦ δὲ παχυμερεστέρου συνιζάνοντος. διὸ οὐ μόνον βραχύτερον τῷ ὄγκῳ ἐστὶ τὸ πυκνούμενον, ἀλλὰ καὶ τῇ ὅλῃ οὐσίᾳ παχυμερέστερον. τὸ γὰρ ἐκπυρηνίζειν εἴρηται, ἀπὸ

ται, ἀπὸ τῶν τοῦ πυρῆνος τῶν ἐλαῶν τοῖς δακτύλοις συμπιλουμένων ἐξακοντιζόντων, διὰ τὸ μυουρίζον σχῆμα.

ΚΑῚ ΑΥ̓ΞΑΝΕΣΘΑΙ, οὐ μόνον εἰσιόντος τινὸς, ἀλλὰ καὶ ἀλλοιώσει. οἷον εἰ ἐξ ὕδατος γίνοιτο ἀήρ. ἕτερος ἦν λόγος ἀπὸ τῆς αὐξήσεως, δεικνὺς ὅτι ἔστι τὸ κενὸν διά τινος συνημμένου τοιοῦδε, εἰ ἔστιν αὔξησις, ἔστι τὸ κενόν, ἀλλὰ μὴν τὸ πρῶτον, τὸ ἄρα δεύτερον, κατασκευάζων δὲ τὸ συνημμένον, ἐκ τοῦ τὴν τροφὴν διοδεύουσαν διὰ κενοῦ προστίθεσθαι τοῖς τρεφομένοις, διὰ τὸ μὴ σῶμα διὰ σώματος χωρεῖν. λέγει οὖν μὴ εἶναι ἀναγκαῖον πάντως, εἴ τι αὔξεται εἰσιόντος τινὸς σώματος, καὶ προσκρινόμενον αὔξεσθαι. πολλὰ γὰρ αὔξεται καὶ μείζω γίνεται πρὸς τὸν ὄγκον ἐξ ἐλαττόνων, οὐ προσκρινομένου τινὸς αὐτοῖς, ἀλλὰ ἀλλοιούμενα καὶ μεταβάλλοντα, εἰ ἔστι τῶν λεπτοτέρων σωμάτων. ὡς ὅταν ἐξ ὕδατος ἀὴρ γένηται. μείζων γὰρ ὁ ὄγκος ὁ τοῦ γινομένου ἀέρος ἐκ τοῦ ὕδατος ἐκείνου τοῦ ὕδατος, ἐξ οὗ γέγονεν ἀήρ. ὥστε οὐκ ἀληθὲς τὸ εἰ ἔστιν αὔξησις, ἔστι κενόν. ἐν δὴ τούτοις τὸ μὲν ἀλλοίωσιν εἰπεῖν τὴν ἐξ ὕδατος εἰς ἀέρα μεταβολὴν, καίτοι γένεσιν μὲν οὖσαν ἀέρος, φθορὰν δὲ ὕδατος, οὐδὲν θαυμαστόν. τὸ δὲ τῆς αὐξήσεως πλείονος ἐστὶν ἐπιστάσεως ἄξιον. πρῶτον μὲν πῶς ἐπὶ τῶν ἀψύχων αὔξησιν εἶναι φησί. καὶ πῶς τροφὴν αὐξάνεσθαι λέγει. καίτοι αὐτὸς ἐν τοῖς περὶ ψυχῆς σαφῶς λέγων, ὅτι μόνα αὔξεται τὰ τρεφόμενα. τρέφεται δὲ τὰ ἔμψυχα. τὰ γὰρ τῆς φυτικῆς μετέχοντα ψυχῆς, ταῦτα τρέφεσθαί τε καὶ αὔξεσθαι μόνα φησί. πῶς οὖν καὶ χωρὶς τροφῆς εἰσιούσης νῦν αὔξεσθαι φησίν. ἵνα τὸ ἑκατέρωθεν ἐπαγόμενον ἄτοπον ἐκφύγῃ τῆς ἐρωτήσεως, τῆς λεγούσης, ἢ διὰ πλήρους ἢ διὰ κενοῦ διιέναι τὴν τροφήν. λύων δὲ ταύτας τὰς ἐνστάσεις ὁ Ἀλέξανδρος, διὰ τὸ μή πω δῆλον εἶναι φησί, πῶς τοῖς τρεφομένοις καὶ αὐξομένοις ἡ πρόσκρισις γίνεται, καὶ τί ποτέ ἐστι τὸ αὐξόμενον τὸ εἶδος ἢ ἡ ὕλη, περὶ ὧν ἐν τοῖς περὶ γενέσεως ζητήσει τε καὶ διαιρήσει, καὶ δείξει πῶς ἡ αὔξησις γίνεται, καὶ τί ποτέ ἐστι τὸ αὐξόμενον τὸ εἶδος ἢ ἡ ὕλη, διὰ τοῦτο νῦν κοινότερον τὴν αὔξησιν λαβὼν, οὕτως ἐνέστη τῇ ἀπὸ ταύτης κατασκευῇ τοῦ κενοῦ. ἀλλ' εἰ πρὸς αὔξησιν ὅλως καὶ τροφὴν ὑπήντα, πῶς εἶχε λόγον παρὰ θύρας ἀπαντᾶν, καὶ μή πω περὶ τούτων ἐδίδαξε. μή ποτε οὖν ὡς ἐν τῷ περὶ κινήσεως λόγῳ πρῶτον μὲν ὑπήντησεν, ὡς ἀδιορίστως πάσης κινήσεως αἴτιον λεγόντων τὸ κενὸν, εἶτα καὶ ὡς τῆς κατὰ τόπον κινήσεως, οὕτω καὶ νῦν ὑπαντᾷ πρῶτον μὲν ὡς αὔξησιν τὴν ὁποιανοῦν ἐπίδοσιν λεγόντων. καὶ δείκνυσιν ὅτι ἀδύνατον εἰς μεῖζον ἐπιδιδόναι μέγεθος, καὶ μὴ κατὰ διάδοσιν τροφῆς. εἶτα οὕτως ἐφεξῆς ὡς μαθησόμεθα τὴν κυρίως αὔξησιν τὴν κατὰ διάδοσιν τροφῆς ὑποθέμενος λέγειν αὐτοὺς, καὶ ἀπὸ ταύτης τὴν ἀπορίαν τοῦ λόγου κινεῖν, περιτρέπειν αὐτοῖς πειρᾶται τὴν ἀπορίαν λέγων.

ὍΛΩΣ ΔῈ ὅ τε περὶ τῆς αὐξήσεως λόγος καὶ τοῦ εἰς τὴν τέφραν ἐγχεομένου ὕδατος, αὐτὸς αὑτὸν ἐμποδίζει. ἢ γὰρ οὐκ αὐξάνεται ὁτιοῦν, ἢ οὐ σώματι. ἢ ἐνδέχεται δύο σώματα ἐν τῷ αὐτῷ εἶναι. ἀπορίαν οὖν ἀξιοῦσι κοινὴν λύειν, ἀλλ' οὐ κενὸν δεικνύουσιν ὡς ἔστιν. ἢ πᾶν εἶναι τὸ σῶμα, ἀναγκαῖον κενὸν εἰ πάντῃ αὐξάνεται. καὶ αὐξάνεται διὰ κενοῦ. ὁ δ' αὐτὸς λόγος, καὶ ἐπὶ τῆς τέφρας. ὅτι μὲν οὖν ἐξ ὧν δεικνύουσι τὸ κενὸν εἶναι λύειν ῥᾴδιον, φανερόν.

Εἰ μὲν ἀδιορίστως ἀκούοι τις τὴν αὔξησιν ἐπὶ τῶν εἰς μεῖζον μέγεθος ἐπιδιδόντων, ἀρκεῖ προφέρειν αὐτοῖς τὴν ἀπὸ ὕδατος εἰς ἀέρα μεταβολὴν, καὶ ὅλως ἀπὸ τοῦ βραχυτέρου τῷ ὄγκῳ σώματος εἰς τὸ μεῖζον. εἰ δὲ ὡς ἐπὶ τῆς κυρίως αὐξήσεως τῆς γινομένης διὰ τὴν πρόσκρισιν τῆς τροφῆς, οὐκέτι ὑπὸ ἄλλων ἀνατραπήσονται λόγων οἱ τὸ κενὸν εἰσάγοντες διὰ τὴν τῆς τροφῆς πάροδον. ἀλλὰ τοῖς ἑαυτῶν πτεροῖς κατὰ τὴν παροιμίαν ἁλίσκονται. ἢ ὅπερ κυριώτερον ὁ Ἀριστοτέλης εἶπεν, αὐτὸς ἑαυτὸν ὁ λόγος ἐμποδίζει. ἵνα γὰρ λύσῃ κοινὴν ἀπορίαν τὴν περὶ τῆς τροφῆς, τὸ κενὸν εἰσάγει, μὴ λύων ἀλλὰ μᾶλλον ἀπορωτέραν τὴν ἀπορίαν ποιῶν. εἰ γὰρ διιούσης διὰ τοῦ κενοῦ τῆς τροφῆς ἡ πρόσκρισις γίνεται, καὶ οὕτως ἡ αὔξησις ἐπιτελεῖται ὥς φασιν, ἢ οὐ διὰ σώματος γίνεται ἡ τροφή. καὶ τίς ἦν ἡ χρεία τῆς τοῦ κενοῦ ὑποθέσεως, ἣν ὑπέθεντο, διὰ τὸ μὴ σῶμα διὰ σώματος χωρεῖν τὸ τρέφον διὰ τοῦ τρεφομένου. ἢ εἰ σῶμα ἡ τροφὴ, ἢ οὐ πᾶν μέρος τραφήσεται καὶ αὐξηθήσεται, ὅπερ ἐστὶ παρὰ τὴν ἐνάργειαν. κατὰ πᾶν γὰρ μέρος τρέφεται καὶ αὔξεται τὰ σώματα. ἢ εἰ πάντῃ τρέφοιτο καὶ αὔξοιτο, ἤτοι σῶμα διὰ σώματος χωρήσει, ὃ φεύγοντες ὑπέθεντο τὸ κενόν. ἢ πᾶν ἔσται σῶμα κενὸν, εἴπερ αὔξεται μὲν πᾶν, ἡ δὲ αὔξησις διὰ κενοῦ γίνεται. ὥστε μηκέτι σῶμα ἔχειν ἐν ἑαυτῷ κενὸν, ἀλλ' αὐτὸ κενὸν εἶναι, ὡς ταὐτὸν εἶναι σῶμά τε καὶ κενόν. ὥστε οἱ κενὸν ὑποτιθέμενοι, οὐχ ὅτι ἔστι κενὸν δεικνύουσιν. ἀλλὰ τὴν περὶ τῆς τροφῆς ἀπορίαν κοινὴν οὖσαν λύειν ἐπιχειροῦντες διὰ τοῦ κενοῦ, ἀπορωτέραν αὐτὴν ποιοῦσι. μεταξὺ δὲ τοῦ διαιρετικοῦ βαλὼν τὸ ἀπορίαν οὖν ἀξιοῦσι κοινὴν λύειν, ἀλλ' οὐ κενὸν δεικνύουσιν ὡς ἔστιν, εἶτα τὸ λοιπὸν ἐπαγαγὼν, τὸ ἢ πᾶν εἶναι τὸ σῶμα κενὸν ἀναγκαῖον, ἀσάφειαν ὀλίγην ἐνεποίησε τῷ ῥητῷ. ταύτας δὲ τὰς ἀπορίας καὶ ἐν τῇ περὶ γενέσεως καὶ φθορᾶς πραγματείᾳ περὶ τῆς τροφῆς ἀπορήσας, διέλυσε λέγων, μὴ ὁτῳοῦν μέρει παντὶ προσγίνεσθαι. ἀλλὰ τὸ μὲν ὑπεκρεῖν, τὸ δὲ προσέρχεσθαι. ὅταν

δὲ πλέον ᾖ τὸ ἐπιρρέον τοῦ ἀπορρέοντος, τότε γίνεται αὔξησις. ὥσπερ ὅταν πλέον ᾖ τὸ ἀπορρέον τοῦ ἐπιρρέοντος γίνεται φθίσις, γίνεται μὲν γὰρ ἐν τοῖς τῶν σωμάτων πόροις ἡ τροφή. καὶ ἐξομοιωθεῖσα προσφύεται. οὐ πᾶν δὲ τὸ σῶμα πόρος ἐστίν. ἀλλ᾽ ὅπου νῦν πόρος, ἐκεῖνο γίνεται πλῆρες. καὶ τὸ νῦν πλῆρες ἀπορρέον πορροποιεῖται. ἐπεὶ δὲ καὶ τέταρτος ἦν τις λόγος ὁ ἀπὸ τῆς τέφρας εἰσάγων τὸ κενόν, εἴπερ τὸ πλῆρες τέφρας ἀγγεῖον τοσοῦτον ὕδωρ ἐγχεόμενον τῇ τέφρᾳ δέχεται, ὅσον ἂν δέξηται καὶ κενὸν ὑπάρχον, ἢ γὰρ σῶμα φασὶ διὰ σώματος χωρήσει, ὅπερ ἄτοπον, ἢ εἰς τὰ τῆς τέφρας κενὰ χωρηθήσεται τὸ ὕδωρ, καὶ τούτοις οὖν φησι περιτρέπεται ἡ ἀπορία. φεύγοντες γὰρ τὸ σῶμα διὰ σώματος χωρεῖν, ἀναγκασθήσονται τὴν τέφραν ἀσώματον λέγειν καὶ δι᾽ ὅλης κενόν, ἵνα δέξηται τὸ ἀγγεῖον τὸ αὐτὸ τοῦ ὕδατος ποσόν, ὅσον εἰ καὶ μὴ εἶχε τὴν τέφραν. εἰ γὰρ οὖσα σῶμα ἡ τέφρα δέχοιτο τὸ ἴσον ὕδωρ, ἀκολουθήσει καὶ οὕτω τὸ σῶμα διὰ σώματος χωρεῖν. ὅπερ φεύγοντες ὑπέθεντο τὸ κενόν. ὥστε διὰ τοῦ κενοῦ καὶ οὗτοι λύειν τὴν ἀπορίαν ἐπιχειροῦντες, ὑπ᾽ αὐτοῦ πρὸς τὴν λύσιν ἐμποδισθήσονται. λύει δὲ τὴν τῆς τέφρας ἀπορίαν ὁ εὔδημος ἐν τῷ τρίτῳ τῶν φυσικῶν λέγων, ὅτι ἐνδέχεται καὶ ἄνευ τῶν κενωμάτων συμβαίνειν τὸ λεγόμενον. θερμὸν γὰρ ἐν τῇ τέφρᾳ περιλαμβάνεσθαί τι δοκεῖ, καθάπερ ἐν τῇ τιτάνῳ. δῆλον δέ. ἐπιχεομένου γὰρ ὕδατος, ἀμφότερα ταῦτα καίει. ἡ μὲν τίτανος αὐτή. ἡ δὲ τέφρα, τὸ διὰ τῆς τέφρας διηθούμενον ὕδωρ καίει τὰ σώματα. τούτου γ᾽ συμβαίνοντος, ἀτμὶς ἀποπορεύεται πολλή, ὥστε μειοῦσθαι τὸν ὄγκον διὰ τὴν ἀτμίδα. ἀλλ᾽ εἰ καὶ μειοῦται, οὐ δή που ἡ ὅλη τῆς τέφρας οὐσία δαπανᾶται. δυνατὸν οὖν οἶμαι καὶ τοῖς τὸ κενὸν ὑποτιθεμένοις καὶ τοῖς τὴν πύκνωσιν βοηθεῖν, λέγοντα μὴ μόνα τὰ τῆς τέφρας κενὰ λύειν τὸ ζητούμενον, ἀλλὰ καὶ τὰ τοῦ ὕδατος συνιζάνειν, ὑπὸ τοῦ πλήρους τῆς τέφρας ὠθούμενα, ὥστε μὴ τὸν αὐτὸν ὄγκον ἴσχειν τῷ καθ᾽ αὑτὸ ὕδατι εἰς τὴν τέφραν ἐμβαλλόμενον. ταῦτα μὲν οὖν ὁ ἀριστοτέλης πρὸς τοὺς ἱστορηθέντας ὑπ᾽ αὐτοῦ τιθέναι τὸ κενὸν λόγους ἀντείρηκεν. ὁ δὲ στράτων καὶ τὸν ἀπὸ τῆς ἕλξεως ἀναλύων, οὐ δὲ ἡ ἕλξις φησὶν ἀναγκάζει τίθεσθαι τὸ κενόν. οὔτε γὰρ εἰ ἔστιν ὅλως ἕλξις φανερόν, ὅτε καὶ πλάτων αὐτὸς τὴν ἑλκτικὴν δύναμιν ἀναιρεῖν δοκεῖ, οὔτε εἰ ἔστιν ἕλξις δῆλον, εἰ διὰ τὸ κενὸν ἡ λίθος ἕλκει, καὶ μὴ δι᾽ ἄλλην αἰτίαν. οὐ δὲ γὰρ ἀποδεικνύουσιν ἀλλ᾽ ὑποτίθενται τὸ κενὸν οἱ οὕτω λέγοντες.

ὍΤΙ Δ᾽ ΟΥ̓Κ ἔστι κενὸν οὕτω κεχωρισμένον ὥς ἔνιοί φασι, λέγωμεν πάλιν. εἰ γάρ ἐστιν ἑκάστου φορά τις τῶν ἁπλῶν σωμάτων φύσει. οἷον, τῷ πυρὶ μὲν ἄνω, τῇ δὲ γῇ, κάτω. καὶ πρὸς τὸ μέσον, δῆλον ὅτι οὐκ ἂν τὸ κενὸν εἴη αἴτιον τῆς φορᾶς. τίνος οὖν αἴτιον τὸ κενόν, δοκεῖ γὰρ αἴτιον εἶναι κινήσεως τῆς κατὰ τόπον. ταύτης δ᾽ οὐκ ἔστιν.

Δ[ε]ίξας ὅτι οἱ τιθέναι δοκοῦντες τὸ κενὸν λόγοι, οἱ μὲν οὐδὲν ἔχουσιν ἀναγκαῖον, οἱ δέ, ὅτι δοκοῦντες ἀπορίαν λύειν μείζονι περιπίπτουσι, προσέθετο λοιπὸν καὶ προηγουμένως δεῖξαι μὴ οὖσαν ὅλως ὑπόστασιν τοῦ τοιούτου κενοῦ. ἐπεὶ γὰρ ὡς εἴρηται πρότερον, οἱ μέν, κεχωρισμένον τι καθ᾽ αὑτὸ φασὶν εἶναι διάστημα κενὸν ἄπειρον, αἴτιον τοῖς σώμασι τῆς κατὰ τόπον κινήσεως, οἱ δέ, παρεσπαρμένον καὶ μεμιγμένον τοῖς σώμασι τὸ κενὸν ὑποτίθενται, πρὸς τὴν πρώτην ὑπαντᾷ δόξαν πρῶτον λέγων, ὡς εἰ διὰ τοῦτο κενὸν κεχωρισμένον λέγουσιν εἶναι, διότι αἴτιον ἐστὶν αὐτὸ τοῖς σώμασι τῆς κατὰ τόπον κινήσεως, μὴ ἔστι δὲ τούτου αἴτιον τὸ κενόν, οὐδ᾽ ἂν εἴη κεχωρισμένον κενόν. ἀλλὰ μὴν οὐκ ἔστι τὸ κενὸν αἴτιον τῆς κατὰ τόπον κινήσεως. οὐκ ἄρα ἐστὶ τὸ κενόν. τούτου δὴ τοῦ ὑποθετικοῦ τὸ μὲν συνημμένον πᾶς ἂν ὁμολογήσειεν. τὴν δὲ πρόσληψιν δείκνυσι δυνάμει οὕτω. τὸ αἴτιον τῆς κατὰ τόπον κινήσεως ἡ φύσις ἐστί. τὸ κενὸν οὐκ ἔστιν ἡ φύσις, ταύτην ὡς σαφῆ παραλιπὼν τὴν πρότασιν. τὸ κενὸν οὐκ ἔστιν ἄρα αἴτιον τῆς κατὰ τόπον κινήσεως. δυνατὸν δὲ καὶ ὑποθετικῶς οὕτω τὴν πρόσληψιν κατασκευάζειν. εἰ τοῖς σώμασι τῆς κατὰ τόπον φορᾶς ἣν ἐξ αὐτῶν κινοῦνται ἡ φύσις αἰτία, τὸ κενὸν οὐκ ἂν αἴτιον εἴη τῆς τοιαύτης κινήσεως. ἀλλὰ μὴν τὸ πρῶτον. τὸ ἄρα δεύτερον. ὅτι δὲ ἡ φύσις αἰτία τῆς κατὰ τόπον κινήσεως ἐστί, δείκνυσιν ἐναργῶς ἀπὸ τῆς φυσικῆς τῶν σωμάτων ῥοπῆς. εἰ γάρ ἐστι κατὰ φύσιν τῷ μὲν πυρὶ ἡ ἄνω φορά, τῇ δὲ γῇ ἡ ἐπὶ τὰ κάτω, τοῖς δὲ μεταξὺ ἡ ἐπὶ τὰ μέσα, δῆλον ὅτι ἡ φύσις καὶ οὐχὶ τὸ κενὸν αἴτιον ἐστὶ τῆς κατὰ τόπον κινήσεως. ὥστε μάτην τισὶ δοκεῖ τὸ κενὸν αἴτιον ὑπάρχειν ταύτης.

Ἔ ΤΙ ΕἸ ἔστι τι. οἷον τόπος ἐστερημένος σώματος ὅταν ᾖ κενόν, ποῦ οἰσθήσεται τὸ ἐντεθὲν εἰς αὐτὸ σῶμα. οὐ γὰρ δὴ εἰς ἅπαν.

Δ[ε]ίξας πρότερον ὅτι ὡς ποιητικὸν τῆς κινήσεως οὐκ ἔστιν αἴτιον τὸ κενόν, ἐπειδὴ καὶ οἱ τιθέντες αὐτὸ οὐχ ὡς ποιητικὸν ἐτίθεσαν, ἀλλ᾽ ὡς τὸ ἐν ᾧ, καὶ ὡς τόπον, ἐν ᾧ τὰ σώματα ἦν ἀνάγκη κινεῖσθαι, καὶ δι᾽ οὗ κινεῖσθαι, εἰκότως μεταβὰς ἀποδείκνυσιν, ὅτι οὐδὲ οὕτως αἴτιον ἢ συναίτιον ἐστὶ τὸ κενὸν ὡς τόπος, ἐν ᾧ κινεῖται τὸ κινούμενον καὶ μένει. εἰ γάρ ἐστιν οἷον τόπος τις τὸ κενόν, προσειληφὼς τὸ κενὸν εἶναι παρὰ τὸν τόπον, τῷ μηδὲν ἔχειν ἐν ἑαυτῷ σῶμα, ἀλλ᾽ ἐν στερήσει εἶναι ἐκείνου οὗ δεκτικόν ἐστιν, εἰ οὖν ἔστι τοιοῦτον ἄπειρόν τι ὡς λέγουσι, τὸ τεθὲν ἐν αὐτῷ σῶμα, ποῖ οἰσθήσεται. ποίαν

γὰρ διαφορὰν κινήσεως ἐνδώσει τὸ κενὸν, κενὸν ὑπάρχον, οὔτε γὰρ τὴν ἄνω, οὔτε τὴν κάτω ἀφωρισμένως. εἰ δὲ ἐπὶ πάντα ἅμα, ἢ διασπασθήσεται, ἢ μονῆς ἂν μᾶλλον ἢ κινήσεως εἴη. μᾶλλον δὲ οὐδὲ μονῆς. τί γὰρ μᾶλλον ἐν τῷδε ἢ ἐν τῷδε μενεῖ. τῷ δ' αὐτῷ ἐπιχειρήματι ἐν τῷ τρίτῳ βιβλίῳ περὶ τοῦ ἀπείρου λέγων ἐχρήσατο. εἰ γὰρ ἔσται φησὶ σῶμα ἄπειρον ὁμοειδὲς ὂν, ἔσται αὐτοῦ ἄπειρος ὁ οἰκεῖος τόπος. ὁ δὲ αὐτὸς καὶ ἑκάστου τῶν μορίων αὐτοῦ. ὁ γὰρ αὐτὸς κατὰ φύσιν τοῦ ὅλου καὶ τῶν μορίων. τὰ οὖν μόρια τοῦ ἀπείρου, ἐπεὶ ἄπειρος ὁ οἰκεῖος αὐτῶν τόπος, ἐπὶ ποῖον κινηθήσεται ἢ ἐν ποίῳ αὐτοῦ μενεῖ. οὔτε γὰρ ἐπὶ πᾶν αὐτὸ κινηθῆναι δύναται ἅμα, διασπασθήσεται γὰρ, οὐδὲ ἐπὶ τόδε μᾶλλον ἢ τόδε. ὁμοίως δὲ οὐδὲ μενεῖ. τί γὰρ μᾶλλον ἐν τῷδε ἢ ἐν τῷδε. τὸ αὐτὸ οὖν ἄτοπον προσάγει καὶ τοῖς λέγουσιν ἄπειρον κενὸν, ἐκεῖ μὲν ἀπὸ τῆς τῶν μερῶν τοῦ ἀπείρου πρὸς τὸ ὅλον ὁμοιότητος, ἐνταῦθα δὲ ἀπὸ τῆς τοῦ κενοῦ ἀδιαφορίας. ἀδιαφόρου γὰρ ὄντος, τί μᾶλλον ἐπὶ τόδε ἢ τόδε κινηθήσεται τὸ ἐν αὐτῷ τεθέν. ὥστε οὐ μόνον οὐκ ἂν εἴη αἴτιον κινήσεως τὸ κενὸν, ὡς τὸ ἐν ᾧ ἡ κίνησις, ἀλλὰ καὶ τοὐναντίον κωλυτικόν ἐστι καὶ τῆς κατὰ φύσιν κινήσεως τῶν σωμάτων. δῆλον δὲ ὅτι καὶ τῆς κατὰ φύσιν μονῆς. ἀδιαφόρου γὰρ ὄντος, τί μᾶλλον ἐνταῦθα μὲν ἡ γῆ μενεῖ, τὸ δὲ πῦρ πρὸς τὸ ἄνω.

Ὁ δ' ΑΥΤΟΣ λόγος καὶ πρὸς τοὺς τὸν τόπον εἶναί τι οἰομένους κεχωρισμένον, εἰς ὃν φέρεται. πῶς γὰρ οἰσθήσεται τὸ ἐντεθὲν ἢ μενεῖ. καὶ περὶ τοῦ ἄνω καὶ κάτω. καὶ ἐπὶ τοῦ κενοῦ, ἁρμόσει ὁ αὐτὸς λόγος εἰκότως. τὸ γὰρ κενὸν τόπον ποιοῦσιν οἱ φάσκοντες εἶναι.

Πρότερον μὲν κατὰ τὴν πρὸς τὸ ἄπειρον ὁμοιότητα τὸ κενὸν ἀνεῖλε. νῦν δὲ ἀπὸ τῆς πρὸς τὸ τοπικὸν διάστημα ὁμοιότητος ἐπιχειρεῖ. ὃς γὰρ ἂν ἁρμόσῃ λόγος πρὸς τοὺς διάστημα κεχωρισμένον τὸν τόπον λέγοντας, οὗτός φησιν ἁρμόσει καὶ πρὸς τοὺς τὸ κενὸν τοῦτο διάστημα εἰσάγοντας ἡμῖν. πῶς γὰρ ἐπὶ τὸν τοιοῦτον τόπον οἰσθήσεται τῶν φυσικῶν ἕκαστον σωμάτων, ἢ πῶς ἐν αὐτῷ μενεῖ, λεκτέον. οἱ μὲν γὰρ τὸ πέρας τοῦ περιέχοντος λέγοντες τόπον, ἐπειδὴ μὴ πέρας οὕτως ὡς τὴν μαθηματικὴν ἐπιφάνειαν λαμβάνουσιν, ἀλλὰ τὴν ἐν φυσικῷ σώματι, οὗ καὶ τῆς ἰδιότητος μετέχει τὸ πέρας, εἰκότως ἐπειδὴ τὰ σώματα διαφέρει τὰ ἄνω τῶν κάτω, διαφέρει καὶ τὰ πέρατα αὐτῶν. καὶ αἱ πρὸς ταῦτα φυσικαὶ φοραὶ τῶν σωμάτων διάφοροι εἰσί. τὸ δὲ διάστημα ἀδιάφορον πανταχοῦ. τί γὰρ διοίσει τὸ ἄνω τοῦ κάτω ἐπὶ τούτου. τί δὲ διοίσει πυρὸς ἐπιτηδειότης ἐπὶ τούτου ἤπερ ὕδατος. οὕτω δὲ καὶ ἐπὶ τοῦ κενοῦ. καὶ γὰρ τὸ κενὸν οὐδὲν ἄλλο ἢ διάστημα χωριστὸν ἡγοῦνται, ὥσπερ καὶ τὸν τόπον οἱ καὶ τοῦτον διάστημα λέγοντες. εἰ οὖν τὸ τοπικὸν διάστημα μὴ ἔστι κινήσεως αἴτιον, δηλονότι οὐδὲ τὸ κενόν. ὁμοίως δὲ οὐδὲ μονῆς. τί γὰρ μᾶλλον τῇδε τοῦ τόπου ἢ τοῦ κενοῦ ἢ τῇδε. ὁ δὲ Ἀλέξανδρος τὸ πῶς γὰρ οἰσθήσεται τὸ τεθὲν ἢ μενεῖ κατὰ ἀλληλότερον φησὶν ἀνέχειν οὕτω, πῶς οἰσθήσεται ἢ τὸ τεθὲν μενεῖ, ὡς τῆς θέσεως τῇ μονῇ οἰκείας. καίτοι καὶ τὰ κινούμενα εἴπερ ἐν τόπῳ κινεῖται, πῶς οὐκ ἂν λέγοιτο καὶ θέσιν ἔχειν ἐν ἐκείνῳ. ἀκριβεστέρα οὖν ἡ τοῦ Ἀριστοτέλους ἑρμηνεία ἂν εἴη.

ΚΑΙ ΠΩΣ δὴ ἐνέσται ἢ ἐν τόπῳ, ἢ ἐν τῷ κενῷ. οὐ γὰρ συμβαίνει ὅταν ὅλον τεθῇ ὡς ἐν κεχωρισμένῳ τόπῳ καὶ ὑπομένοντι σώματι. τὸ γὰρ μέρος ἐὰν μὴ χωρὶς τιθῆται, οὐκ ἔσται ἐν τόπῳ ἀλλ' ἐν τῷ ὅλῳ. ἔτι εἰ μηδὲ τόπος, οὐδὲ κενὸν ἔσται:.

Εἰ μὲν αὕτη μόνη ἡ λέξις ἕπεται τοῖς προειρημένοις, οὐδὲν ἀσαφὲς ἔσται. εἰπὼν γὰρ ὅτι τὸ τεθὲν ἐν τῷ κενῷ σῶμα οὔτε κινηθήσεται οὔτε μενεῖ, εὐλόγως ἐπιφέρει τὸ πῶς δὴ ἐνέσται ἐν τόπῳ ἢ ἐν τῷ κενῷ. πῶς γὰρ ὅλως ἔσται ἢ ὡς ἐν τόπῳ ἢ ὡς ἐν κενῷ ἐν τούτῳ, ἐν ᾧ μήτε κινεῖσθαι μήτε ἠρεμεῖν δύναται, καίτοι καὶ τῶν κινουμένων καὶ τῶν ἠρεμούντων ἢ ὡς ἐν τόπῳ ἢ ὡς ἐν κενῷ κινεῖσθαι δοκούντων ἢ ἠρεμεῖν. ἐπειδὴ δὲ ἐν τισὶν ἀντιγράφοις μετὰ τὴν εἰρημένην λέξιν ἐπάγεται ταῦτα, οὐ γὰρ συμβαίνει ὅταν ὅλον τεθῇ ὡς ἐν κεχωρισμένῳ τόπῳ καὶ ὑπομένοντι σώματι, τὸ γὰρ μέρος ἂν μὴ χωρὶς τίθηται οὐκ ἔσται ἐν τόπῳ ἀλλ' ἐν τῷ ὅλῳ, εἴη ἄν τι καὶ τοῦτο ἐπιχείρημα, πρὸς τὸ μὴ εἶναι τὸ χωριστὸν τοῦτο διάστημα, μήτε ὡς τόπον μήτε ὡς κενόν. πῶς γὰρ ἔσται φησὶ τὸ σῶμα ἐν τῷ τοιούτῳ διαστήματι, ἢ ὡς ἐν τόπῳ ἢ ὡς ἐν κενῷ. ταυτὸν δὲ εἰπεῖν πάλιν ὡς ἐν τόπῳ. οὐ γὰρ συμβαίνει τουτέστιν οὐ κατὰ λόγον ἀπαντᾷ, εἰ ὁ τόπος ὑπομένουσά τις φύσις τριχῇ διαστατὴ, καὶ ἐν αὐτῷ ὑποτεθῇ σῶμά τι. ἀλλά τι ἀπαντᾷ παρὰ λόγον τῷ οὕτω λέγοντι, ἐπιφέρει. δοκεῖ γὰρ ὅταν ὅλον τὸ σῶμα τεθῇ ἐν τόπῳ, τὸ μὲν ὅλον κατέχειν τὸν τόπον, τὰ δὲ μόρια αὐτοῦ τὰ συνεχῆ ἐν ὅλῳ εἶναι ἐκείνῳ τῷ ὄντι ἐν τόπῳ, ἀλλ' οὐ καθ' αὑτὰ ἐν τόπῳ. τότε γὰρ τὰ μόρια ἐν τόπῳ ὅταν χωρισθῇ τοῦ ὅλου, καὶ τῆς πρὸς αὐτὸ συνεχείας ἀπολυθῇ. ἕως δ' ἂν ᾖ συνεχῆ τῷ ὅλῳ, ἐν ὅλῳ ἐστὶν ὁ τόπος. καὶ τὰ συνεχῆ τῷ ὅλῳ μέρη, καὶ αὐτὰ καθ' αὑτὰ οὐδὲν ἧττον τοῦ ὅλου ἐν τόπῳ ἔσται. ὁμοίως γὰρ καὶ ταῦτα ἴσον ἑαυτοῖς κατέχει διάστημα. τὰ δὲ τούτῳ ἑπόμενα ἄτοπα ἐν τοῖς περὶ τόπου λόγοις εἶπεν, ὅτι ἐὰν τὰ μέρη καθ' αὑτὰ ᾖ ἐν τόπῳ, καὶ κινηθήσεται ὁ τόπος, καὶ ὁ τόπος ἐν τόπῳ ἔσται, καὶ πλείους τόποι ἅμα ἔσονται. τούτων δὲ ἐπὶ τοῦ τόπου συναχθέντων τῶν ἀτόπων, ἐὰν διάστημα ὑποτεθῇ ὁ τόπος, ἐπήγαγε τοῖς ἐλεγχομένοις καὶ τοῦτο. ὅτι εἰ μηδὲ τόπος ἐστί τι τοιοῦτον διάστημα, οὐδὲ κενὸν ἔσται. διότι καὶ τὸ κενὸν διάστημα ὡς ὁ τόπος ὑποτίθεται, καθάπερ εἴρηται πολλάκις.

ΣΥΜΒΑΙΝΕΙ δὲ τοῖς λέγουσιν εἶναι κενὸν ὡς ἀναγκαῖον εἴπερ ἔσται κίνησις, τοὐναντίον μᾶλλον ἐάν τις ἐπισκοπῇ, μὴ ἐνδέχεσθαι κινεῖσθαι μηδέν, ἐὰν ᾖ κενόν. ὥσπερ γὰρ οἱ διὰ τὸ ὅμοιον φάμενοι καὶ τὴν γῆν ἠρεμεῖν, οὕτως καὶ ἐν τῷ κενῷ ἀνάγκη ἠρεμεῖν. οὐ γάρ ἐστιν οὗ μᾶλλον ἢ ἧττον κινηθήσεται. ᾗ γὰρ κενόν, οὐκ ἔχει διαφοράν.

Καὶ τοὺς δοκοῦντας κατασκευάζειν τὸ κενὸν λόγους διαλύσας, καὶ ὅτι μὴ ἔστι τὸ κενὸν κινήσεως αἴτιον, καὶ διὰ τοῦτο οὐδὲ ὅλως ἐστὶν ἀποδείξας, νῦν καὶ τοὐναντίον αὐτοῖς συμβαίνειν οὗπερ ἐβούλοντο δείκνυσιν. οἱ μὲν γὰρ ᾤοντο μὴ δύνασθαι κίνησιν εἶναι τὴν κατὰ τόπον, εἰ μὴ εἴη κενόν. αὐτὸς δὲ δείκνυσι μὴ δυναμένην ὅλως εἶναι τὴν κατὰ τόπον τῶν σωμάτων κίνησιν, εἴπερ εἴη κενὸν τοιοῦτον ὡς κεχωρισμένον. καὶ πρῶτον μὲν ὅπερ εἶπε πρὸ ὀλίγου εἰς τοῦτο τείνειν τὸ ἐπιχείρημα τίθησιν, ὅτι ἀδιαφόρου ὄντος τοῦ κενοῦ, οὐδὲν μᾶλλον τῇ ἢ τῇ κινηθήσεται τὸ ἐν αὐτῷ κείμενον. οὕτω δὲ ἔχον οὐκ ἂν κινηθείη. ὅτι δὲ ὁμοίως ἔχον πρὸς πᾶν μόριον τοῦ ἐν ᾧ ἐστιν ἀκίνητον ἂν μένῃ, ἐπιστώσατο καὶ ἀπὸ τοῦ Πλάτωνος τὴν ἐν μέσῳ τῆς γῆς μονὴν ἐκ τούτου κατασκευάζοντος. ἐν οἷς φησιν ἐν Τιμαίῳ. ἰσόρροπον γὰρ πρᾶγμα ὁμοίου τινὸς εἰς μέσον τεθέν. εἰ γὰρ πρὸς πᾶν τὸ ὡδὶ ἑαυτοῦ μέρος ὁμοίως ἔχει, τί δὴ μᾶλλον πρὸς τὸ μέρος τόδε προσχωρήσειεν ἢ τόδε. εἴπερ καὶ αὐτὸ τὴν ἴσην ἔχει πρὸς πᾶν ῥοπήν. καὶ τὸ πᾶν τὸ ὡδὶ αὐτοῦ ὁμοίαν ἔχει πανταχόθεν τὴν ὡδὶ αὐτοῦ σχέσιν. τί γὰρ μᾶλλον τῇδε ἢ ἐκεῖσε κλιθείη. εἰ τοίνυν καὶ τὸ κενὸν ἀδιάφορον πάντῃ ἐστίν, αὐτό τε ὁμοίαν ἔχει σχέσιν πρὸς τὸ ἐν αὐτῷ τεθέν, καὶ ἐκεῖνο ὁμοίαν πρὸς τὸ ἐν ᾧ κεῖται πᾶν. ὥστε ταύτῃ ἰσόρροπον ᾖ. καὶ διὰ τοῦτο μὴ κινεῖσθαι. ἄξιον δὲ ἐπιστῆσαι, ὅτι τὴν κατὰ φύσιν κίνησιν ἔοικεν ἀναιρεῖν ἐκ τούτου τοῦ ἐπιχειρήματος, εἰ ἔστι κενόν. ταύτῃ γὰρ ἁρμόττει τὸ οὗ γὰρ ἐστιν οὐ μᾶλλον ἢ ἧττον κινηθήσεται. εἰ μὴ ἄρα καὶ τὴν παρὰ φύσιν συναναιρεῖ. ἡ γὰρ ἐναντία τοῖς κατὰ φύσιν ἡ παρὰ φύσιν ἐστί. σημειωτέον δέ φησιν ὁ Ἀλέξανδρος, ὅτι ἔν τισιν ἀντιγράφοις ἡ ἐπιχείρησις αὕτη οὐ φέρεται, ἴσως ὡς εἰρημένη ἤδη. ἀλλ᾽ ἡ μετὰ ταύτην.

ΠΡΩΤΟΝ μὲν οὖν ὅτι πᾶσα κίνησις, ἢ βίᾳ, ἢ κατὰ φύσιν. ἀνάγκη δὲ ἄνπερ ᾖ βίαιος εἶναι καὶ τὴν κατὰ φύσιν. ἡ μὲν γὰρ βίαιος, παρὰ φύσιν, ἡ δὲ παρὰ φύσιν, ὑστέρα τῆς κατὰ φύσιν, ὥστε εἰ μὴ κατὰ φύσιν ἐστίν, ἑκάστῳ τῶν φυσικῶν σωμάτων κίνησις, οὐδὲ τῶν ἄλλων ἔσται κινήσεων οὐδὲ μία. ἀλλὰ μὴν, φύσει γε πῶς ἔσται μηδὲ μιᾶς οὔσης διαφορᾶς κατὰ τὸ κενὸν καὶ τὸ ἄπειρον. ᾗ μὲν γὰρ ἄπειρον, οὐδὲν ἔσται κάτω. οὐδὲ ἄνω. οὐδὲ μέσον. ᾗ δὲ κενόν. οὐδὲν διάφορον τὸ κάτω τοῦ ἄνω, ὥσπερ γὰρ τοῦ μηδενός, οὐδὲ μία ἔσται διαφορά, οὕτως καὶ τοῦ μὴ ὄντος. τὸ δὲ κενὸν μὴ ὄν τι, καὶ στέρησις δοκεῖ εἶναι. ἡ δὲ φύσει φορά, διάφορος. ὥστ᾽ ἔσται τὰ φύσει, διάφορα. ἢ οὖν οὐκ ἔστι φύσει οὐδαμοῦ οὐδενὶ φορά, ἢ εἰ τοῦτ᾽ ἔστιν, οὐκ ἔστι κενόν.

Δευτέρῳ χρῆται τούτῳ λόγῳ, δεικνὺς ὅτι εἰ ἔστι κενὸν οὐκ ἔστιν κίνησις. οὐ μόνον ὅτι ἡ κατὰ φύσιν οὐκ ἔστιν, ἀλλ᾽ οὐδὲ ἡ βίαιος. εἰ οὖν πᾶσα κίνησις ἢ κατὰ φύσιν ἐστὶν ἢ παρὰ φύσιν, μηδετέρα δὲ εἶναι τούτων δύναται κενοῦ ὄντος, δηλονότι εἰ ἔστι κενὸν οὐκ ἔστιν ὅλως κίνησις. καὶ πρῶτον μὲν τίθησιν ὅτι πᾶσα κίνησις ἢ κατὰ φύσιν ἐστὶν ἢ βίαιος, ταὐτὸν δὲ εἰπεῖν παρὰ φύσιν, ἀρκεσθεὶς τῇ ἀνάγκῃ τῆς διαιρέσεως. εἶτα ὅτι ἐὰν ἡ κίνησις βίαιος, ταὐτὸν δὲ εἰπεῖν παρὰ φύσιν, πάντως ἔσται καὶ κατὰ φύσιν. εἴπερ τὸ παρὰ φύσιν ἐκτροπὴ τοῦ κατὰ φύσιν ἐστίν. ἡ δὲ ἐκτροπὴ πανταχοῦ ὑστέρα τῆς προηγουμένης ἐστὶν ὑπάρξεως. ὥστε εἰ μὴ κατὰ φύσιν εἴη κίνησις, οὐδὲ παρὰ φύσιν οὐδὲ ὅλως ἔσται κίνησις. τούτων οὖν προαποδεδειγμένων, δείκνυσι λοιπὸν ὅτι κενοῦ διαστήματος ὄντος ἀπείρου, οὐκ ἂν εἴη κατὰ φύσιν κίνησις. καὶ διὰ τὸ ἄπειρον καὶ διὰ τὸ κενόν. αἱ μὲν γὰρ κατὰ φύσιν κινήσεις ἐπὶ τὰς οἰκείας τοῦ τόπου γίνονται διαφοράς. αὗται δέ εἰσι τὸ ἄνω καὶ τὸ κάτω, ἢ τὸ μέσον καὶ τὸ πέριξ, πέρατα οὖσαι διαστάσεως. τὸ οὖν ἄπειρον οὔτε τὸ ἄνω ἕξει ἢ κάτω, οὔτε τὸ μέσον καὶ πέριξ, τὰ κατὰ φύσιν τοιαῦτα. τὰ μὲν γὰρ κατὰ σχέσιν οὐδὲν κωλύει εἶναι. ἀλλὰ ταῦτα μεταπίπτει ῥᾳδίως. τῶν δὲ φύσει κινουμένων αἱ κινήσεις ἐπὶ τὰ αὐτὰ ἀεὶ φέρονται. ὥστε οὐκ ἂν ἐν ταῖς κατὰ σχέσιν διαφοραῖς αἱ κατὰ φύσιν κινήσεις γίνοιντο. ὥστε ἀπείρου ὄντος οὐκ ἂν εἴη κατὰ φύσιν κίνησις. τὸ δὲ κενὸν διὰ τὸ ἀδιάφορον ἐμποδίσει τῇ κατὰ φύσιν κινήσει. οὐδὲν γὰρ διοίσει τὸ ἄνω τοῦ κάτω ἐν αὐτῷ, ἢ τὸ μέσον τοῦ πέριξ. ὥσπερ γάρ φησι τοῦ μηδενὸς οὐδὲ μία ἐστὶ διαφορά, οὕτω καὶ τοῦ κενοῦ. τὸ γὰρ κενὸν μὴ ὄν τι καὶ στέρησις δοκεῖ εἶναι. ὥστε καὶ ἀντιστρέψας ἀληθῶς ἐρεῖς, εἰ ἔστι κενὸν οὐκ ἔστιν ἡ κατὰ φύσιν κίνησις. ἀλλὰ μὴν καὶ εἰ βίαιος ἡ κίνησίς ἐστιν, ἀνάγκη πρὸ ταύτης εἶναι τὴν κατὰ φύσιν. εἰ δὲ τὴν κατὰ φύσιν εἶναι, κενὸν μὴ εἶναι. ὥστε καὶ εἰ βίαιος ἡ κίνησις, οὐκ ἔστι κενόν. εἰ οὖν πᾶσα κίνησις ἢ βίαιος ἢ κατὰ φύσιν, δηλονότι οὐκ ἂν εἴη κίνησις ὅλως κενοῦ ὄντος. ἡ οὖν ἐρώτησις τοῦ λόγου δύναται μὲν καὶ κατὰ τὸν δεύτερον καλούμενον ἀναπόδεικτον γεγονέναι οὕτως. εἰ ἔστι κενόν, οὐκ ἔστιν ἡ κατὰ φύσιν κίνησις. ἀλλὰ μὴν ἔστιν ἡ κατὰ φύσιν κίνησις. οὐκ ἄρα ἐστὶ κενόν. ἢ κατὰ τὸν πρῶτον. εἰ ἔστι κατὰ φύσιν κίνησις, οὐκ ἔστι κενόν. ἀλλὰ μὴν ἐστὶ κατὰ φύσιν κίνησις. οὐκ ἄρα ἔστι κενόν. δύναται δὲ καὶ κατὰ τὸν τέταρτον οὕτως. ἤτοι ἡ κατὰ φύσιν ἐστὶ κίνησις, ἢ τὸ κενόν. ἀλλὰ μὴν ἡ κατὰ φύσιν κίνησις ἐστίν. οὐκ ἄρα ἐστὶ τὸ κενόν.

ἜΤΙ ΝΥΝ μὲν κινεῖται μὴ τὰ ῥιπτούμενα, τοῦ ὤσαντος οὐχ ἁπτομένου. ἢ δι' ἀντιπερίστασιν ὥσπερ ἔνιοί φασιν, ἢ διὰ τὸ ὠθεῖν τὸν ὠσθέντα ἀέρα, θάττω κίνησιν τῆς τοῦ ὠσθέντος φορᾶς ἣν φέρεται εἰς τὸν οἰκεῖον τόπον. ἐν δὲ τῷ κενῷ οὐδὲν τούτων ἐνδέχεται ὑπάρχειν. οὐδ' ἔσται φέρεσθαι. ἀλλ' ἢ ὡς τὸ ὀχούμενον.

Ἐπειδὴ τὴν βίαιον κίνησιν ὄντος κενοῦ διὰ τῆς κατὰ φύσιν ἀνεῖλε πρότερον, ὡς εἰ μὴ ἔστιν ἡ κατὰ φύσιν κενοῦ ὄντος μὴ δὲ τῆς παρὰ φύσιν ὑποστῆναι δυναμένης, νῦν καὶ προηγουμένην ἀπόδειξιν ποιεῖται, τοῦ εἰ ἔστι τὸ κενὸν μὴ εἶναι βίαιον κίνησιν. τῆς δὲ βιαίου κινήσεως διχῶς γινομένης, ἢ παρόντος τοῦ βιαζομένου καὶ ὀχοῦντος ἢ ὠθοῦντος ἢ ἕλκοντος, ἢ μὴ παρόντος, ὡς ἐπὶ τῶν ῥιπτουμένων, ἐπὶ ταύτης ποιεῖται τὴν ἀπόδειξιν, τὴν ἑτέραν διὰ τὸ ἐναργὲς ὡς ὁ ἀλέξανδρος φησὶ παραλιπών. παρόντος μὲν γάρ φησι τοῦ βιαζομένου, καὶ τῷ κινεῖσθαι κινοῦντος, ἀνάγκη κατὰ φύσιν αὐτὸ κινούμενον, οὕτως ἐκεῖνο βιάζεσθαι. εἰ γὰρ καὶ τοῦτο βιαζόμενον βιάζοιτο. κἀκεῖνο ὑπ' ἄλλου, εἰς ἄπειρον ἂν προΐοιμεν. ἡ δὲ κατὰ φύσιν κίνησις οὐκ ἔστιν ἐν τῷ κενῷ ὡς δέδεικται πρότερον. μή ποτε δὲ οὐ διὰ τὸ ἐναργὲς τῆς ἀποδείξεως τὴν οὕτω βίαιον ἐν τέως παραλέλοιπεν, ἀλλ' ὅτι προείληπται οὗτος ὁ τρόπος τῆς ἀποδόσεως. νῦν δὲ προύκειτο τὴν βίαιον προηγουμένως, ἀλλ' οὐ διὰ τῆς κατὰ φύσιν ἀνελεῖν. μετ' ὀλίγον δὲ προσθήσει καὶ τὴν ἑτέραν. νῦν οὖν περὶ τῆς ἀπόντος τοῦ βιαζομένου, τουτέστι τῆς κατὰ ῥίψιν δείκνυσιν, ὡς οὐκ ἐσομένης ἐν τῷ κενῷ. ἐν μὲν γὰρ πλήρει γινομένης τῆς ῥίψεως, τὰ ῥιπτούμενα κινεῖται, ἢ τῷ ἀντιπεριΐστασθαι τὸν πρὸ τοῦ ῥιπτουμένου προωθούμενον ἀέρα ἀπὸ τῆς τοῦ ῥιπτοῦντος ῥύμης. εὐκινητότερος γὰρ ὢν τοῦ ῥιπτουμένου ὁ ἀὴρ προωθεῖται. καὶ τῇ βίᾳ ἀθρόος ἀντιπεριϊστάμενος ἐπωθεῖ τὰ κινούμενα. τούτου δὲ κατὰ συνέχειαν γινομένου, συνεχὴς ἡ κίνησις τοῦ ῥιφέντος μένει. ἕως ἂν κατ' ὀλίγον ἐκλυομένης τῆς τοῦ ἀντιπεριϊσταμένου ἀέρος ῥύμης, ἐπικρατήσῃ ταύτης ἡ οἰκεία τοῦ ῥιφέντος κατὰ φύσιν φορά. ταύτης δὲ τῆς δόξης ὁ πλάτων δοκεῖ, τὴν ἀντιπερίστα-
» σιν οὕτως ἐξηγούμενος ἐν τιμαίῳ. πάλιν δὲ ἐκπίπτοντος ἐντεῦθεν τοῦ πυρὸς, ἅτε οὐκ εἰς κενὸν ἐξιόν-
» τος ὠθούμενος ὁ πλησίον ἀὴρ, εὐκίνητον ἔτι ὄντα τὸν ὑγρὸν ὄγκον, εἰς τὰς τοῦ πυρὸς ἕδρας συνω-
» θῶν αὐτὸ ἑαυτῷ συμμίγνυσιν. ἢ οὖν οὕτως ἡ τῶν ῥιπτουμένων κίνησις μένει συνεχὴς, ἢ διὰ τὸ ἐπωθεῖν τὸν συναπωσθέντα ἀπὸ τοῦ ῥίψαντος τῷ τὸ βίᾳ φερόμενον ἀέρα. ὃς εὐκινητότερος ὢν τοῦ ῥιπτουμένου, ἕως ἂν ἔχῃ τὴν ἀπὸ τοῦ ῥίψαντος δύναμιν, προωθεῖ τὸ ῥιπτούμενον, ἐπισυρρέοντος αὐτῷ μετ' αὐτὸν ἀέρος ἀθρόου, διὰ τὸ βίαιον τῆς κινήσεως, καὶ συνεπωθοῦντος καὶ τούτου. ἕως ἂν κατ' ὀλίγον ἐκλυομένης τῆς ἐν αὐτῷ δυνάμεως, ἐπικρατήσῃ ταύτης ἡ τοῦ ῥιφέντος κατὰ φύσιν ἐπὶ τὸ κάτω φορά. ἀκίνητος γὰρ ὢν ὁ ἀὴρ, καὶ δεόμενος ἀρχῆς τινος πρὸς τὸ κινεῖσθαί τε καὶ φέρεσθαι, ταύτην λαβὼν ἐν τῇ τοῦ ῥιπτουμένου μετὰ βίας ἀφέσει, καὶ ὥσπερ συναφθεὶς τῷ ῥιφθέντι, ἀθρόως ἐπιρρεῖ αὐτῷ. καὶ μετὰ βίας τοῦτο ποιῶν, κινεῖ τὸ πεμφθέν τε καὶ ῥιφὲν, μηκέτι τοῦ ῥίψαντος αὐτῷ παρόντος. ἕως ἂν ἐκλυθῇ κατ' ὀλίγον ἡ βίαιος καὶ ἀθρόα φορά. οὕτω μὲν οὖν ἡ διὰ τοῦ πλήρους τῶν ῥιπτουμένων κίνησις ἀπολογεῖται. ἐν δὲ τῷ κενῷ οὐδέτερον τούτων οἷόν τε γενέσθαι. οὔτε γὰρ ὠθεῖν οὔτε ἀντιπεριΐστασθαι δύναταί τι, μηδενὸς ὄντος ἐν τῷ κενῷ. εἰπὼν δὲ ὅτι οὐδὲν τούτων ὑπάρχει ἐν τῷ κενῷ, οὐ δὲ ἐνδέχεται φέρεσθαι ἐν αὐτῷ, ἐπήγαγεν ἀλλ' ἢ ὡς τὸ ὀχούμενον, ἐνδεικνύμενος ὅτι κατὰ μὲν τὸν τῆς ῥίψεως τρόπον ἀδύνατον φέρεσθαι ἐν κενῷ τὸ φερόμενον. εἴπερ δὲ ἄρα, ὡς τὰ ὀχούμενα φέρεται. εἰ δὲ τοῦτο, ἢ ὑπ' αὐτοῦ τοῦ κενοῦ ὀχεῖται, ἢ ἐπί τινος σώματος. ἀλλ' ἐπὶ τοῦ κενοῦ ἀδύνατον. ἀδρανὲς γὰρ τὸ κενὸν εἴπερ τὸ μηδέν ἐστιν. εἰ δὲ σῶμά τι εἴη τὸ ὀχοῦν ἐν τῷ κενῷ καὶ βίᾳ κινοῦν, ἐπειδὴ κινούμενον καὶ αὐτὸ κινεῖ, δηλονότι ἢ κατὰ φύσιν κινεῖται. ἐδείχθη δὲ ἀδύνατον εἶναι τὸ κατὰ φύσιν ἐν τῷ κενῷ κινεῖσθαι, ἢ βίᾳ. καὶ εἰ βίᾳ, ἢ ῥιπτούμενον, καὶ ἀδύνατον. ἢ πάλιν ὡς ὀχούμενον, καὶ τοῦτο ἐπ' ἄπειρον. ἐπειδὴ δὲ ὡς εἴρηται τὸ μὲν, τῷ ῥίπτεσθαι βίᾳ κινεῖται, τὸ δὲ, τῷ παρεῖναι τὸ κινοῦν καὶ βιαζόμενον, τοῦτο δὲ ἢ ὠθοῦν ἢ ἕλκον ἢ ὀχοῦν βιάζεται. κοινότερον δὲ τὸ ὀχεῖν, ἐπειδὴ καὶ τὸ ἕλκον καὶ τὸ ὠθοῦν τρόπον τινὰ ὀχεῖ, διὰ τοῦτο τὸ ὀχοῦν ἔλαβεν ἀντὶ πάντων. ἀλλὰ τί κωλύει τὰ ζῶα αὐτά τε κινεῖσθαι καθ' ὁρμὴν οἰκείαν ἐν τῷ κενῷ, καὶ ἄλλα σώματα κινεῖσθαι βιαίως ἢ ὠθοῦντα ἢ ἕλκοντα ἢ ὀχοῦντα ἢ καὶ ῥιπτοῦντα. οὐ γάρ ἐστιν ἐπὶ τῶν ζώων εἰπεῖν ὅτι ἄνω ἢ κάτω ἀφωρισμένως κατὰ φύσιν κινήσεται. ὥστε τούτων μὴ ὄντων ἐν τῷ κενῷ, μὴ δὲ τὰ ζῶα κινεῖσθαι δύνασθαι. ἢ φυσικῆς οὔσης τῆς πραγματείας, περὶ φυσικῆς κινήσεως νῦν ὁ λόγος, ἀλλ' οὐ προαιρετικῆς. ὡς περί γε ἐκείνης ἐν τοῖς περὶ κινήσεως ζώων διαλέξεται. τὰ δέ γε ῥιπτούμενα κἂν ἀπὸ ζώων ῥιφῇ, μὴ παρόντος λοιπὸν τοῦ κινήσαντος, φυσικὴν ἔχει τὴν θεωρίαν, παρὰ φύσιν τὴν οἰκείαν κινούμενα.

ἜΤΙ ΟΥΔΕΙΣ ἂν ἔχοι εἰπεῖν, διὰ τί κινηθὲν στήσεταί που. τί γὰρ μᾶλλον ἐνταῦθα ἢ ἐνταῦθα. ὥστε ἢ ἠρεμήσει, ἢ εἰς ἄπειρον ἀνάγκη φέρεσθαι, ἐὰν μή τι ἐμποδίσῃ κρεῖττον.

Δείξας πρότερον ὅτι εἰ ἔστι κενὸν οὐκ ἔστι κίνησις, οὔτε ἡ κατὰ φύσιν, οὔτε ἡ παρὰ φύσιν, νῦν οἶμαι δείκνυσιν, ὅτι κενοῦ ὄντος, οὐ μόνον κίνησις ἀναιρεῖται, ἀλλὰ καὶ μονὴ ἡ κατὰ φύσιν. αἱ μὲν γὰρ κατὰ

φύσιν μοναὶ ἐν τοῖς οἰκείοις τόποις τῶν σωμάτων γίνονται, διαφόροις οὖσι. τὸ δὲ κενὸν ἀδιάφορον. τί οὖν μᾶλλον ἐνταῦθα ἢ ἐνταῦθα κινηθὲν στήσεται, ἐφ᾽ ὃ καὶ δι᾽ ὃ ἡ κίνησις τοῖς σώμασιν. ὥστε εἰ μηδεμία διαφορὰ ἐν τῷ κενῷ, κἂν ὑποθῆταί τις κινούμενα ἐν αὐτῷ τὰ σώματα, εἰς ἄπειρον ἀνάγκη κινεῖσθαι, ἐὰν μή τι ἰσχυρότερον ἐμποδίσῃ. κἂν ἠρεμεῖν λέγοιτο, ἀεὶ ἠρεμήσει. εἰ γὰρ ἐν τῷδε τῷ μορίῳ τοῦ κενοῦ ἠρεμεῖν πέφυκε, δηλονότι ὁμοίως ἐν πᾶσιν. ὥστε δεδειγμένον ἂν εἴη, ὅτι οὔτε ἵστασθαι κατὰ φύσιν δυνατὸν κενοῦ ὄντος. καὶ γὰρ τὸ ἢ εἰς ἄπειρον ἀνάγκη φέρεσθαι, ὡς ἀκόλουθον τῷ μὴ ἵστασθαι κατὰ φύσιν ἐπῆκται. εἰ δὲ οἱ ἐξηγηταὶ καὶ τοῦτο ἐπιχείρημα λέγουσιν, ὅτι οὐκ ἔσται κίνησις κατὰ φύσιν ἐν τῷ κενῷ, διότι τὰ κατὰ φύσιν κινούμενα ἐπὶ τὸν οἰκεῖον φέρεται τόπον, οὐκ ἔστι δὲ οἰκεῖος τόπος ἐν τῷ κενῷ διὰ τὸ ἀδιάφορον, ἄμεινον οἶμαι τῆς κινήσεως πρότερον ἀναιρεθείσης, νῦν τὴν στάσιν ἀναιρεῖσθαι. καὶ τοῦτο τῇ λέξει συμφωνότερόν μοι δοκεῖ, οὕτως ἀρχομένου τοῦ ἐπιχειρήματος. ἔτι οὐδεὶς ἂν ἔχοι εἰπεῖν διατί κινηθὲν στήσεταί που. τί δὲ ἂν εἴη ἐν τῷ κενῷ τοιοῦτον, ὡς ἐμποδίζειν κινεῖσθαι κρεῖττον ὄν, παρῆκε ζητεῖν, ὡς ἐναργὲς ὂν ὅτι μηδέν ἐστι. καὶ γὰρ ἐκεῖνο ἢ κατὰ φύσιν ἑστὼς ἢ παρὰ φύσιν ἐμποδίζοι ἄν. καὶ κατὰ φύσιν μὲν ἀδύνατον. εἰ δὲ καὶ αὐτὸ ἐμποδιζόμενον, ἐπ᾽ ἄπειρον ἂν πρόϊοι. ἀλλὰ καὶ εἰ κινούμενόν τις λέγοι βιάζεσθαι τὸ φερόμενον ἑστάναι, εἴρηται ἤδη καὶ περὶ τῆς κατὰ τοῦτο ἀτοπίας.

ἜΤΙ ΔΕ νῦν μὲν εἰς τὸ κενὸν, διὰ τὸ ὑπείκειν φέρεσθαι δοκεῖ. ἐν δὲ τῷ κενῷ, πάντῃ ὁμοίως τὸ τοιοῦτον, ὥστε πάντῃ οἰσθήσεται.

Γ ανταχόθεν τὰς ἐννοίας περικρούει, δι᾽ ἃς ὑποτίθεται τὸ κενόν. καὶ νῦν οὖν ἐπειδὴ οἱ τὸ κενὸν αἴτιον τιθέντες διὰ τὸ ὑπεικτικὸν αὐτοῦ, καὶ τὴν αἰτίαν τοῦ δι᾽ ἀέρος μὲν καὶ ὕδατος κινεῖσθαι, διὰ λίθου δὲ καὶ γῆς μηκέτι, ταύτην λέγοντες, ὅτι ὁ μὲν ἀὴρ καὶ τὸ ὕδωρ πολυκενά ἐστι, λίθοι δὲ καὶ γῆ πλήρη μᾶλλον, διὸ οὐχ ὑπείκουσιν, ἐπὶ τοῦ ἀπείρου φησὶ κενοῦ τί δρῶσι. πανταχοῦ γὰρ ὁμοίως εἶκον, οὐ παρέξει διαφορὰν τοῖς σώμασι τοῦ ἐπὶ τόδε τὸ μόριον ἢ τόδε κινεῖσθαι. ὥστε ἢ πανταχοῦ κινηθήσεται, ἢ οὐδαμοῦ. λέγει δὲ ὁ Ἀλέξανδρος ὅτι δυνατὸν τούτῳ τῷ ἐπιχειρήματι καὶ πρὸς τοὺς Στωϊκοὺς χρήσασθαι, ἄπειρον κενὸν λέγοντας ἐκτὸς περιέχειν τὸν κόσμον. διατί γὰρ ἀπείρου ὄντος τοῦ κενοῦ, ἐνταῦθα οὗ ἐστι μένει ὁ κόσμος καὶ οὐ φέρεται. ἢ εἰ φέρεται, τί μᾶλλον ἐνταῦθα ἢ ἀλλαχοῦ. τὸ γὰρ κενὸν ἀδιάφορον καὶ ὁμοίως ὑπεῖκον πανταχῇ. εἰ δὲ λέγουσιν ὅτι τῆς ἕξεως τῆς αὐτῆς αὐτὸν συνεχούσης μένει, πρὸς μὲν τὸ μὴ σκεδάννυσθαι αὐτοῦ τὰ μόρια καὶ διασπᾶσθαι καὶ ἄλλο ἀλλαχοῦ φέρεσθαι, συνεργοίη ἄν τι ἴσως ἡ ἕξις. πρὸς δὲ τὸ ὅλον μετὰ τῆς συνεχούσης ἕξεως μένειν, ἀλλὰ μὴ φέρεσθαι, οὐδὲν ἔτι ἡ ἕξις ποιήσει. εἴη δ᾽ ἄν φησι διὰ τούτων δεικνύμενον, ὅτι μὴ δ᾽ οὕτως αἴτιον τὸ κενὸν κινήσεως ὡς τὸ δι᾽ οὗ, εἴγε τὸ τεθὲν ἐν αὐτῷ ἐπὶ μηδέτερον αἰτίαν ἔχει τοῦ κινεῖσθαι. τοῦτο δὲ δηλονότι καὶ ἐκ προτέρων ἐπιχειρημάτων συνήγετο.

ἜΤΙ ΔΕ καὶ ἐκ τῶνδε φανερὸν τὸ λεγόμενον. ὁρῶμεν γὰρ τὸ αὐτὸ βάρος καὶ σῶμα, θᾶττον φερόμενον, διὰ δύο αἰτίας, ἢ τῷ διαφέρειν τὸ δι᾽ οὗ. οἷον, δι᾽ ὕδατος, ἢ γῆς, ἢ ἀέρος, ἢ τῷ διαφέρειν τὸ φερόμενον, ἂν τἄλλα ταὐτὰ ὑπάρχῃ, διὰ τὴν ὑπεροχὴν τοῦ βάρους ἢ τῆς κουφότητος. τὸ μὲν οὖν δι᾽ οὗ φέρεται αἴτιον, ὅτι ἐμποδίζει μάλιστα μὲν, ἀντιφερόμενον. ἔπειτα δὲ καὶ μένον. μᾶλλον δὲ, τὸ μὴ εὐδιαίρετον. τοιοῦτον δὲ τὸ παχύτερον. τὸ δὴ ἐφ᾽ οὗ α οἰσθήσεται διὰ τοῦ β τὸν ἐφ᾽ ᾧ γ, χρόνον. διὰ δὲ τοῦ δ, λεπτομεροῦς ὄντος, τὸν ἐφ᾽ ᾧ ε. εἰ ἴσον τὸ μῆκος τοῦ β, τῷ δ. κατὰ τὴν ἀναλογίαν τοῦ ἐμποδίζοντος σώματος. ἔστω μὲν γὰρ τὸ μὲν β; ὕδωρ. τὸ δὲ δ, ἀήρ. ὅσῳ δὲ λεπτότερον ἀὴρ ὕδατος καὶ ἀσωματώτερον, τοσούτῳ θᾶττον τὸ α διὰ τοῦ δ οἰσθήσεται, ἢ διὰ τοῦ β. ἐχέτω δὴ τὸν αὐτὸν λόγον ὅνπερ διέστηκεν ἀὴρ πρὸς ὕδωρ, τὸ τάχος. πρὸς τὸ τάχος. ὥστ᾽ εἰ διπλασίως λεπτὸν, ἐν διπλασίῳ χρόνῳ, τὴν τὸ β δίεισιν, ἢ τὴν τὸ δ. καὶ ἔσται ὁ ἐφ᾽ ᾧ γ χρόνος, διπλάσιος τοῦ ἐφ᾽ ᾧ ε. καὶ ἀεὶ δὴ ὅσῳ ἂν εἴη ἀσωματώτερον καὶ ἧττον ἐμποδιστικὸν καὶ εὐδιαιρετώτερον δι᾽ οὗ φέρεται. θᾶττον οἰσθήσεται. τὸ δὲ κενόν. οὐδένα ἔχει λόγον ᾧ ὑπερέχεται ὑπὸ τοῦ σώματος. ὥσπερ οὐδὲ τὸ μηδὲν πρὸς τὸν ἀριθμόν. εἰ γὰρ τὰ τέτταρα τῶν τριῶν ὑπερέχει ἑνί. πλείονι δὲ τοῖν δυοῖν. καὶ ἔτι τοῦ ἑνὸς πλείονι ἢ τοῖν δυοῖν. τοῦ δὲ μηδενὸς οὐκ ἔχει λόγον ᾧ ὑπερέχει. ἀνάγκη γὰρ διαιρεῖσθαι τὸ ὑπερέχον εἴς τε τὴν ὑπεροχὴν καὶ εἰς τὸ ὑπερεχόμενον. ὥστε ἔσται τὰ τέτταρα ὅσα τε ὑπερέχει καὶ οὐδέν. διὸ, οὐδὲ γραμμὴ στιγμῆς ὑπερέχει. εἰ μὴ σύγκειται ἐκ στιγμῶν. ὁμοίως δὲ καὶ τὸ κενόν. πρὸς τὸ πλῆρες. οὐδένα οἷόν τε ἔχειν λόγον. ὥστ᾽ οὐδὲ τὴν κίνησιν.

Τ ὰς πραγματειωδεστάτας νῦν ἀποδείξεις προσάγει τῷ λόγῳ, δεικνὺς ὅτι οὐκ ἔστι κίνησις ἐν κενῷ. τεττάρων δὲ ὄντων τῶν κατὰ ταύτην τὴν μέθοδον ἐπιχειρημάτων, διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς περαινομένων, τὸ μὲν πρῶτον συνάγει ὅτι ἔσται κίνησις ἄχρονος. τὸ δὲ δεύτερον ὅτι τὸ κενὸν λόγον ἕξει πρὸς τὸ πλῆρες. τὸ τρίτον ὅτι οὐ μόνον λόγον ἕξει τὸ κενὸν πρὸς τὸ πλῆρες, ἀλλὰ καὶ ὂν πλῆρες πρὸς πλῆρες. τὸ τέταρτον ὅτι ἐν τῷ αὐτῷ χρόνῳ τό, τε κενὸν καὶ τὸ πλῆρες διελεύσεται τὸ κινούμενον. προσλαμβάνει δὲ τὰς αἰτίας τῆς ἀνισοταχοῦς κινήσεως δύο οὔσας. ὁμοειδῶν γὰρ ὄντων

τῶν κινουμένων, διὰ τὸ ἀμφοῖν ἐπὶ τὸ κάτω πεφυκότων κινεῖσθαι, ἢ ἀμφοῖν ἐπὶ τὸ ἄνω, καὶ σχῆμα τὸ αὐτὸ ἐχόντων, ἡ ἀνισοταχὴς κίνησις γίνεται, ἢ τῷ διαφέρειν τὸ δι' οὗ, διὰ διὰ γῆς ἢ βορβόρου, ἢ δι' ὕδατος, ἢ δι' ἀέρος. καὶ εἰ τὸ μὲν διὰ μένοντος, τὸ δὲ δι' ἀντικινουμένου καὶ ἀντικρούοντος κινοῖτο. ἢ οὖν παρὰ τοῦτο τὸ μὲν θᾶττον κινεῖται τὸ αὐτὸ διάστημα, τὸ δὲ βραδύτερον. ἢ παρ' αὐτὰ τὰ κινούμενα ῥοπὴν μὲν ἔχοντα κατὰ φύσιν τὴν αὐτὴν, διὰ ἀνωφορα ὄντα ἢ κατωφορα, καὶ σχῆμα τὸ αὐτὸ, ὑπεροχὴν δὲ ἔχοντα πρὸς ἄλληλα τοῦ βάρους, εἴπερ βαρέα εἴη ἄμφω, ἢ τῆς κουφότητος, εἴπερ κοῦφα. καὶ γὰρ ἂν πάντα τὰ αὐτὰ ὑπάρχῃ, θᾶττον κινηθήσεται τὸ βαρύτερον. διὰ εἰ σφαῖρα χρυσοῦ τε καὶ ἀργύρου δι' ἀέρος ἄμφω κινοῖντο. ἀλλ' αὕτη μὲν ἡ διαφορὰ μετ' ὀλίγον λόγου τεύξεται. νῦν δὲ τὸ δι' οὗ ἡ κίνησις διάφορον ὑποτιθέμενος, τὸ μὲν παχυμερέστερον, τὸ δὲ λεπτομερέστερον, καὶ παρὰ τοῦτο τὰ ἀνισοταχῆ ὁρῶν, τὰ ἑπόμενα ἄτοπα τοῖς διὰ κενοῦ λέγουσι τὴν κίνησιν ἐπάγει. ὑποκείσθω γὰρ τὸ αὐτὸ βάρος ἐν ὥρᾳ μιᾷ δι' ἀέρος εἰ βούλει καὶ λεπτοτάτου, σταδιαῖον κινεῖσθαι διάστημα. διὰ τοίνυν τοῦ κενοῦ τὸ στάδιον τοῦτο ἐν πόσῳ κινηθήσεται χρόνῳ. εἰ γὰρ ἐν ἡμίσει εἰ τύχοι, ἔσται ὁ ἀὴρ διπλασίως παχύτερος τοῦ κενοῦ. καὶ εἰ ἐν τρίτῃ μοίρᾳ ἢ δεκάτῃ μοίρᾳ ἢ μυριοστῷ, ἔσται ὡς ὁ χρόνος πρὸς τὸν χρόνον, οὕτω τὸ δι' οὗ πρὸς τὴν σύστασιν. ἀλλὰ μὴν οὐδένα λόγον ἐστὶν εὑρεῖν τοῦ πλήρους πρὸς τὸ κενόν. παντὸς γὰρ ὑπερβάλλει τοῦ λαμβανομένου. συμβαίνει ἄρα ἐν μηδενὶ χρόνῳ διὰ τοῦ κενοῦ κινηθῆναι τὸ αὐτὸ βάρος ἴσον διάστημα, οὗ διὰ τοῦ πλήρους ἐκινήθη ἔν τινι χρόνῳ ὡρισμένῳ. ἔσται ἄρα κίνησις ἄχρονος. ὅπερ ἀδύνατον. εἴπερ πᾶσα κίνησις ἐν χρόνῳ γίνεται. ὅτι δὲ οὐδένα λόγον ἔχει τὸ κενὸν πρὸς τὸ πλῆρες, δείκνυσι διὰ τῆς τοῦ μηδενὸς πρὸς τὸν ἀριθμὸν ὁμοίας σχέσεως. οὐ γὰρ ἔχει τινὰ λόγον πρὸς τὸν ἀριθμὸν τὸ μηδὲν, ᾧ ὑπερέχεται ὑπ' αὐτοῦ. οὐδὲ ὑπερέχειν ἂν λέγοιτο τοῦ μηδενὸς ὁ ἀριθμός. δείκνυσι δὲ καὶ τοῦτο, λαβὼν τινὰ ἀλλήλων ὑπερέχειν ἅμα, καὶ κανόνα τινὰ τῶν ὑπερεχόντων παραδιδούς. ἐπειδὴ γὰρ πᾶν τὸ ὑπερέχον τινὸς διαιρεῖται εἴς τε τὸ ὑπερεχόμενον καὶ τὴν ὑπεροχὴν, καὶ σύγκειται δηλονότι ἐκ τούτων, εἰς ἃ γὰρ διαιρεῖταί τι ἐκ τούτων καὶ σύγκειται, ἐὰν τοῦ δ ἀριθμοῦ τὴν ὑπεροχὴν τὴν πρὸς τὸ μηδὲν λάβωμεν, δηλονότι ὁ δ αὐτός ἐστι. σύγκειται ἄρα ὁ δ ἐκ τοῦ δ καὶ τοῦ μηδενός. ἄτοπον δὲ μέρος τοῦ δ ἀριθμοῦ λέγειν τὸ μηδὲν, καὶ συγκεῖσθαι αὐτὸν ἐκ τοῦ μηδενός. διὰ τοῦτο δέ φησι μηδὲ τὴν γραμμὴν στιγμῆς ὑπερέχειν, ὅτι μὴ σύγκειται ἐκ στιγμῆς, μηδὲ ἔστι μέρος αὐτῆς ἡ στιγμή. δεῖ γὰρ ἐν τῷ ὑπερέχοντι ὡς μέρος εἶναι τὸ ὑπερεχόμενον. ἀλλὰ καὶ τὸ ὑπερέχον μόνην εἶναι τὴν ὑπεροχήν. ὡς οὖν οὐχ ὑπερέχει τοῦ μηδενὸς ὁ ἀριθμὸς, οὐδὲ λόγον ἔχει πρὸς αὐτὸ, οὕτως οὐδὲ τὸ σῶμα πρὸς τὸ κενόν. ἵνα μὴ συγκείμενον ᾖ τὸ σῶμα ἐκ σώματος καὶ κενοῦ. ὥστε οὐδὲ αἱ κινήσεις αἱ διὰ τούτων. οὐδὲ οἱ χρόνοι ἐν οἷς αἱ κινήσεις. ἐν οὐδενὶ ἔσονται λόγῳ. οὐδὲ γὰρ ἐν χρόνῳ ὅλως ἡ διὰ τοῦ κενοῦ κίνησις ἔσται. κατὰ δὲ τὸ εἰωθὸς αὐτῷ διὰ τὸ ἀκριβὲς ἐπὶ στοιχείων ποιούμενος τὴν ἔκθεσιν τίθησι, τὸ μὲν κινούμενον διὰ τῶν διαφόρων σωμάτων βάρος τὸ α. δι' ὧν δὲ κινεῖται τὸ μὲν πυκνότερον β, τὸ δὲ λεπτότερον δ. χρόνον δὲ ἐν ᾧ τὸ α διὰ τοῦ β ὡρισμένον τι μέγεθος κεκίνηται, τὸ γ διὰ δὴ τοῦ δ. ὃ λεπτότερον ἐστὶ τοῦ β τὸ α κινηθήσεσθαι φησὶ τὸ ἴσον διάστημα, ὅσον διὰ τοῦ β ἐκινήθη ἐν ἐλάττονι δηλονότι χρόνῳ. καὶ τοσοῦτον ἐλάττονι, ὅσον ἦν παχύτερον τὸ β, τὸ ἐμποδίζον αὐτοῦ μᾶλλον τὴν κίνησιν, τοῦ δ τοῦ λεπτοτέρου καὶ ἧττον ἐμποδίζοντος. σαφεστέραν δὲ τὴν ἀναλογίαν ποιῆσαι βουλόμενος, ὀνομάζει τὰ σώματα δι' ὧν τὸ α ἐκινεῖτο. καὶ τίθησιν ἐπὶ μὲν τοῦ β ὅπερ ἦν τὸ παχύτερον, ὕδωρ. ἐπὶ δὲ τοῦ δ. ὃ ἦν λεπτότερον, ἀέρα. καὶ λέγει ὅτι ὅσῳ ἀὴρ λεπτότερος ὕδατος καὶ ἀσωματώτερος ἐστὶ τουτέστιν ἧττον ἐμποδιστικὸς, τοσούτῳ διὰ τούτου θᾶττον κινηθήσεται τὸ α, ἢ τοῦ ὕδατος. διὰ τούτων οὖν τὸ πρῶτον συνήγαγεν ἀδύνατον, ὅτι ἔσται κίνησις ἄχρονος. εἰ γὰρ τὸ κενὸν πρὸς τὸ πλῆρες οὐδένα λόγον ἔχει, ὡς δὲ τὸ κενὸν πρὸς τὸ πλῆρες δι' ὧν ἡ κίνησις, οὕτως ἡ κίνησις πρὸς τὴν κίνησιν, καὶ οἱ χρόνοι τῶν κινήσεων μετρητικοὶ, δηλονότι καὶ ὁ χρόνος πρὸς τὸν χρόνον ὡς τὸ οὐδὲν πρὸς ἀριθμὸν ἔσται. οὐδὲ χρόνος ἄρα ἔσται. πᾶς γὰρ χρόνος πεπερασμένος πρὸς πάντα πεπερασμένον χρόνον ἐν λόγῳ τινὶ ἐστὶν, ἐπειδὴ καὶ πᾶς ἀριθμὸς πρὸς πάντα. ὥστε ἔσται τις κίνησις ἡ διὰ τοῦ κενοῦ μὴ ἐν χρόνῳ οὖσα. ἢ εἰ ἐν χρόνῳ αὕτη, ἔσται τις κίνησις πρὸς κίνησιν, καὶ χρόνος πρὸς χρόνον πεπερασμένα, ἐν μηδενὶ ὄντα λόγῳ. ὅπερ ἀδύνατον. καί μοι δοκεῖ τοῦτο μᾶλλον τὸ ἀδύνατον συνάγειν ὁ Ἀριστοτέλης ἐν τῷ περάτι τῆσδε τῆς λέξεως, δι' ὧν φησιν, ὁμοίως δὲ καὶ τὸ κενὸν πρὸς τὸ πλῆρες οὐδένα διὰ τε ἔχειν λόγον. ὥστε οὐδὲ τὴν κίνησιν. ὅτι δὲ σὺν τῇ κινήσει καὶ τὸν χρόνον παραλαμβάνει, δῆλον καὶ ἐκ τῶν ἑξῆς ῥηθησομένων γενήσεται.

Ἀλλ' εἰ διὰ τοῦ λεπτοτάτου ἐν τοσῷδὶ τὴν τοσήνδε φέρεται διὰ τοῦ κενοῦ, παντὸς ὑπερβάλλει λόγου. ἔστω γὰρ τὸ ζ κενὸν, ἴσον δὲ τῷ μεγέθει, τοῖς β καὶ δ. τὸ δὴ α εἰ δίεισι, καὶ κινηθήσεται μὲν ἔν τινι χρόνῳ, τῷ ἐφ' οὗ η. ἐν ἐλάττονι δὲ, ἢ τῷ ἐφ' οὗ ε. καὶ τοῦτον ἕξει τὸν λόγον τὸ κενὸν πρὸς τὸ πλῆρες.

Διὰ μὲν τοῦ πρώτου ἐπιχειρήματος δείξας ὅτι τὸ κενὸν ἐν οὐδενὶ λόγῳ ἐστὶ πρὸς τὸ πλῆρες, συνήγα-

γην ἐκ τούτου εἰ ἔστι διὰ κενοῦ κίνησις, τὸ περὶ τὴν κίνησιν καὶ τὸν χρόνον συμβαῖνον ἀδύνατον, ὅτι πεπερασμένη κίνησις πρὸς πεπερασμένον, ἐν οὐδενὶ λόγῳ ἔσται. τοῦτο γὰρ συμβαίνει τὸ ὥς τε οὐδὲ τὴν κίνησιν. καὶ ὅτι ἔσται κίνησις μὴ οὖσα ἐν χρόνῳ. νῦν δὲ εἰπὼν ὅτι ἡ τοῦ κενοῦ κίνησις ἐν οὐδενὶ ἔσται λόγῳ, οὐδὲ πρὸς τὴν διὰ λεπτοτάτου, τῷ ἄχρονον εἶναι τὴν διὰ τοῦ κενοῦ, τὰ ἑπόμενα τοῖς μὴ οὕτω λέγουσιν ἄτοπα ἐπάγει. καὶ ὁ μὲν ἀλέξανδρος τὸ, ἀλλ' εἰ διὰ τοῦ λεπτοτάτου ἐν τοσῳδὶ τὴν τοσηνδὶ φέρεται διὰ τοῦ κενοῦ, παντὸς ὑπερβάλλει λόγου, συμπέρασμα τοῦ προτέρου ἐπιχειρήματος ποιησάμενος, τοῦ νῦν προκειμένου ἤρξατο, ἀπὸ τοῦ ἔστω γὰρ τὸ ζ κενόν. ἄμεινον δὲ οἶμαι μὴ ὡς ἀρχὴν τοῦτο λέγειν. ἢ πῶς ἔχει λόγον ὁ γὰρ σύνδεσμος. ἀλλὰ διὰ τούτων δείκνυσι τὰ ἑπόμενα τοῖς ἔγχρονον ὑποτιθεμένοις τὴν διὰ τοῦ κενοῦ κίνησιν, καὶ λόγον εἶναι λέγουσι τῶν κινήσεων καὶ τῶν χρόνων. ἕπεται δὲ τὸ ἀντίστροφον, τὸ λόγον εἶναι τοῦ κενοῦ πρὸς τὸ πλῆρες, ὅπερ ἔδειξεν ἀδύνατον. ὡς γὰρ τῷ μηδένα λόγον εἶναι τοῦ κενοῦ πρὸς τὸ πλῆρες, ἀκολουθεῖ τὸ μήτε τῶν κινήσεων εἶναι μήτε τῶν χρόνων, οὕτως ἀκολουθεῖ τῷ καὶ τῶν κινήσεων εἶναι καὶ τῶν χρόνων λόγον, τὸ λόγον εἶναι τοῦ κενοῦ πρὸς τὸ πλῆρες. ὑποθέμενος γὰρ ἐν χρόνῳ πεπερασμένῳ γίνεσθαι τὴν διὰ τοῦ κενοῦ κίνησιν, καὶ τὴν αὐτὴν ἀναλογίαν ἐν τοῖς χρόνοις τῆς κινήσεως καὶ τοῖς δι' ὧν γίνεται ἡ κίνησις λαβὼν, ἐπὶ τούτων συνάγει τὸ ἀδύνατον. ὅτι ἕξει λόγον τὸ κενὸν πρὸς τὸ πλῆρες ὃν ὁ χρόνος πρὸς χρόνον, ταυτὸν δὲ εἰπεῖν ὃν ἀριθμὸς πρὸς ἀριθμόν. καὶ οὐ τοῦτο μόνον, ἀλλ' ὅτι ἕξει λόγον τὸ κενὸν πρὸς τὸ πλῆρες, ὃν ἔχει τὸ πλῆρες πρὸς τὸ πλῆρες. ἔστω γάρ φησι κενὸν τὸ ἐφ' οὗ ζ, ἴσον κατὰ τὸ μέγεθος τῷ τε β, ὃ ἦν ὕδωρ, καὶ τῷ δ ὃ ἦν ἀήρ. τὸ δὲ α τὸ κινούμενον εἰ κινεῖται ἔν τινι χρόνῳ διὰ τοῦ ζ κενοῦ, οἷον φέρε εἰπεῖν τῷ η, ἔσται δηλονότι ὁ η χρόνος ἐλάττων τοῦ ε, ἐν ᾧ τὸ α διὰ τοῦ δ ὃ ἦν ἀὴρ ἐκινεῖτο. ἔκειτο γὰρ ἐν τούτῳ διὰ τούτου κινεῖσθαι. ὃν δὴ ἔχει λόγον ὁ η χρόνος πρὸς τὸν ε, τοῦτον ἕξει καὶ τὸ κενὸν πρὸς τὸ πλῆρες. ὡς γὰρ τὰ ὑποκείμενα δι' ὧν αἱ κινήσεις πρὸς ἄλληλα, οὕτω καὶ αἱ κινήσεις καὶ οἱ χρόνοι τῶν κινήσεων. καὶ ἀνάπαλιν ὡς ὁ χρόνος πρὸς τὸν χρόνον, οὕτω καὶ τὸ ὑποκείμενον πρὸς τὸ ὑποκείμενον. ὥστε εἰ παντὸς χρόνου πεπερασμένου πρὸς πάντα χρόνον πεπερασμένον λόγος ἐστὶν, ἔσται καὶ τοῦ κενοῦ πρὸς τὸ πλῆρες λόγος. διὸ ἐπήγαγε καὶ τοῦτον ἕξει τὸν λόγον τὸ πλῆρες πρὸς τὸ κενὸν, ὡς ἀδύνατον ἐν λόγῳ εἶναι ἀριθμὸν πρὸς τὸ μηδὲν, ὡς ἔδειξε πρότερον.

ἈΛΛ' ἘΝ τοσούτῳ χρόνῳ ὅσος ἐφ' οὗ τὸ η τοῦ δ τὸ α δίεισι τὴν τὸ θ.

Ἐπὶ ταῖς αὐταῖς ὑποθέσεσι τρίτον ἀδύνατον συνάγει, ὅτι ἐν ἴσῳ χρόνῳ πλῆρές τι διελεύσεται καὶ κενὸν τὸ κινούμενον. οἷον τὸ α ἐν τῷ η χρόνῳ, ἐν ᾧ διὰ τοῦ ζ κενοῦ ἐκινεῖτο, καὶ διὰ πλήρους τινὸς κινηθήσεται. εἰ γὰρ ἐν τῷ ε χρόνῳ διὰ τοῦ δ παντὸς κεκίνηται, ἐν τῷ η ἐλάττονι ὄντι τοῦ ε, ἔλαττον γάρ ἐστιν, εἴπερ ἐν τῷ η διὰ τοῦ ζ κενοῦ ἐκινεῖτο τοῦ ἴσου τῷ δ, μόριόν τι τοῦ δ κινηθήσεται τὸ α. ἔστω τοῦτο θ. καὶ δηλονότι συνάγεται διὰ βραχέων μὲν ἐναργῶς δὲ, τὸ ἐν τῷ αὐτῷ χρόνῳ τῷ η, τὸ κινούμενον ὅπερ ἐστὶ τὸ α, τό, τε ζ κενὸν διϊέναι, καὶ τὸ θ πλῆρες, οὐ μέντοι ἴσα ὄντα τῷ μήκει. ἀγνοῶν δέ φησιν ὁ ἀλέξανδρος εἰς τοῦτο τὸν λόγον, κατέλιπε τὸ δεῖξαι τὸ ἑπόμενον ἄτοπον. ἦν δὲ τοῦτο τὸ ἴσον ἕξειν λόγον τὸ κενὸν πρὸς τὸ πλῆρες, ὃν τὸ πλῆρες πρὸς τὸ πλῆρες. ὡς γὰρ οἱ χρόνοι πρὸς ἀλλήλους ὁ η πρὸς τὸν ε, οὕτως ἕξει καὶ τὸ θ μόριον τοῦ δ πρὸς ὅλον τὸ δ. ἀλλὰ μὴν ὃν ἔχει λόγον ὁ η χρόνος πρὸς τὸν ε, τοῦτον εἶχε καὶ τὸ κενὸν τὸ ζ πρὸς τὸ πλῆρες τὸ δ. τὰ δὲ πρὸς τὰ αὐτὰ τὸν αὐτὸν λόγον ἔχοντα, καὶ πρὸς ἄλληλα τὸν αὐτὸν ἔχει λόγον. καὶ ὃν ἄρα λόγον ἔχει τὸ θ σῶμα πρὸς τὸ δ, τοῦτον ἕξει καὶ τὸ κενὸν τὸ ζ πρὸς τὸ πλῆρες τὸ δ. ὃν τὸ πλῆρες ἄρα πρὸς τὸ πλῆρες λόγον ἔχει, τοῦτον ἕξει καὶ τὸ κενὸν πρὸς τὸ πλῆρες. ταῦτα μὲν ὁ ἀλέξανδρός φησι. μήποτε δὲ συνάγεται μὲν καὶ τοῦτο τὸ ὑπ' αὐτοῦ λεγόμενον ἄτοπον. ὁ δὲ ἀριστοτέλης ὡς ἐναργῶς ἄτοπον καὶ ἀδύνατον συνήγαγε, τὸ ἐν ἴσῳ χρόνῳ πλῆρές τι διεξιέναι καὶ κενόν. καὶ λέγει προελθὼν αὐτῇ λέξει, συμβήσεται τοῦτο ἀδύνατον. ἐν ἴσῳ γὰρ χρόνῳ ληφθήσεται πλῆρες διεξιέναι τι καὶ κενόν. ἔσται γάρ τι ἀνάλογον σῶμα ἕτερον πρὸς ἕτερον, ὥσπερ χρόνος πρὸς χρόνον, τοῦτο ἐκεῖνο λέγων ὅπερ ἀναγκαίως συνήχθη. διότι γὰρ ὃ μέρος ἐστὶ τὸ θ μέγεθος τοῦ δ μεγέθους, τοῦτο καὶ ὁ η χρόνος τοῦ ε χρόνου, διὰ τοῦτο καὶ αὐτός ἐστιν ἐν ᾧ τὸ α τό, τε ζ κενὸν διέξεισι καὶ τὸ θ πλῆρες. εἰ δέ τις νομίζοι μηδὲν ἄτοπον συνάγεσθαι, διότι μεῖζόν ἐστι τὸ τοῦ κενοῦ διάστημα τοῦ ζ, τοῦ διαστήματος τοῦ θ σώματος, ἐπιστησάτω ὅτι καὶ ὁ ἀριστοτέλης οὐκ ἰσότητα συναγαγεῖν ἠβουλήθη, ἀλλὰ λόγων ὁμοιότητα. ἐπειδὴ γὰρ ἔδειξε πρότερον ὅτι τὸ κενὸν πρὸς τὸ πλῆρες οὐδένα ἔχει λόγον, ὡς οὐδὲ τὸ οὐδὲν πρὸς τὸν ἀριθμόν, εἰκότως νῦν ὡς ἄτοπον συνήγαγε τὸ ἐν ἴσῳ χρόνῳ διϊέναι πλῆρές τι καὶ κενόν.

ΔΙΕΙΣΙ δέ γε, κἂν ᾖ τι λεπτότητι διαφέρον τοῦ ἀέρος ἐφ' ᾧ τὸ ζ, ταύτην τὴν ἀναλογίαν ἣν ἔχει ὁ χρόνος ἐφ' ᾧ ε, πρὸς τὸν ἐφ' ᾧ η. ἐὰν γὰρ ᾖ τοσούτῳ λεπτότερον τὸ ἐφ' ᾧ ζ σῶμα, τοῦ δ ὅσῳ ὑπερέχει τὸ ε τοῦ η, ἀντεστραμμένως δίεισι τῷ τάχει ἐν τοσούτῳ, ὅσον τὸ η τὴν ζ, τὸ ἐφ' οὗ α, ἐὰν φέρηται. ἐὰν τοίνυν μηδὲν ᾖ σῶμα ἐν τῷ ζ, ἔτι θᾶττον. ἀλλ' ἦν ἐν τῷ η, ὥστ' ἐν ἴσῳ χρόνῳ δίεισι, πλῆρές τε ὂν καὶ κενόν. ἀλλ' ἀδύνατον. φανερὸν τοίνυν ὅτι εἰ ἔστι τις χρόνος ἐν ᾧ τοῦ κενοῦ ὁτιοῦν οἰσθήσε-

ται, συμβήσεται τοῦτο τὸ ἀδύνατον. ἐν ἴσῳ γὰρ ληφθήσεται πλῆρές τε ὂν διεξιέναι τι, καὶ κενόν. ἔσται γάρ τι ἀνάλογον σῶμα ἕτερον πρὸς ἕτερον, ὡς ὁ χρόνος, πρὸς χρόνον. ὡς δ' ἐν κεφαλαίῳ εἰπεῖν, δῆλον τὸ τοῦ συμβαίνοντος αἴτιόν ἐστι, ὅτι κινήσεως μὲν πρὸς κίνησιν πάσης ἐστὶ λόγος. ἐν χρόνῳ γάρ ἐστι. χρόνου δὲ παντὸς ἐστὶ πρὸς χρόνον πεπερασμένων ἀμφοῖν. κενοῦ δὲ πρὸς πλῆρες, οὐκ ἔστιν. ᾗ μὲν οὖν διαφέρουσι δι' οὗ φέρονται, ταῦτα συμβαίνει.

Διὰ τούτων φησὶν ὁ Ἀλέξανδρος προστίθησιν, ὅτι κἂν τοσούτῳ τῇ λεπτότητι διαφέρει τοῦ δ σώματος, ὅσῳ ὁ ε χρόνος ὑπερέχει τοῦ η, τὸ α ἐν τῷ η χρόνῳ ἴσον ἐκείνου τοῦ σώματος τοῦ λεπτοῦ διελεύσεται, ὅσον τοῦ δ τοῦ παχυτέρου ἐν τῷ ε. τίθησι δὲ νῦν λεπτότερον τοῦ δ σώματος τὸ ζ, ὅπερ πρότερον κενὸν ἐτίθει. ἂν γὰρ ᾖ τοσοῦτον τὸ ζ σῶμα λεπτότερον τοῦ δ, ὅσον ὑπερέχει ὁ ε χρόνος τὸν η, ἀντεστραμμένως τὸ μὲν ὑπερέχον τῇ λεπτότητι σῶμα ἐν τῷ ὑπερεχομένῳ χρόνῳ διελεύσεται. τὸ δὲ ὑπερεχόμενον σῶμα λεπτότητι ἐν τῷ ὑπερέχοντι χρόνῳ. ἐν μὲν γὰρ τῷ πλείονι τὸ παχύτερον, ἐν δὲ τῷ ἐλάττονι τὸ λεπτότερον. καὶ ἐξηγήσατο μὲν καλῶς καὶ κατὰ πόδας τῶν εἰρημένων ὁ Ἀλέξανδρος. τίνα δὲ χρείαν τοῖς προκειμένοις ταῦτα παρέχεται οὐκ εἶπεν. οὐ μέντοι οἶμαι οὐδὲ ὡς προσθήκη ταῦτα λέγεται. φησὶ δὲ μηδὲ ἀνάγκην ἔχειν τὸν λόγον τοῦτον. οὐδὲ γὰρ πάντως ἔσται λαβεῖν τι τοσούτῳ τοῦ δ λεπτότερον, ὅσον ὁ ε χρόνος ὑπερέχει τοῦ η. δύναται γὰρ μηδὲ τὴν ἀρχὴν εἶναί τι λεπτότερον τοῦ δ. δύναται δὲ καὶ εἶναι μὲν λεπτότερον αὐτοῦ, μὴ τοσούτῳ δὲ ὅσῳ ὑπερέχει ὁ ε χρόνος τοῦ η. καὶ τὸ ἡγεῖσθαι φησὶ πάντα τὰ προειρημένα οὕτως ὄντα ἰσχυρὰ εἰς τοῦτο συντείνειν, καὶ τούτου χάριν εἰρῆσθαι οὕτως ὄντος σαθροῦ, ὡς οἱ ἐξηγούμενοι λέγουσιν, οὐ παρακολουθούντων ἐστὶ ταῖς λέξεσιν οὐδὲ συνορώντων, ὅτι τοῦτο ἐξ ὑποθέσεως πρόσκειται καὶ οὐχ ὡς ἀναγκαῖον. διὸ καὶ οὕτως εἶπε, δίεισί γε κἂν ᾖ τῇ λεπτότητι διαφέρον, ἐνδεικνύμενος ὅτι οὐκ ἀνάγκη μὲν εἶναι. ἐὰν δὲ ᾖ, ἡ αὐτὴ ἀναλογία φυλαχθήσεται. καὶ τὸ μὲν μὴ πάντως εἶναί τι λεπτότερον τοῦ δ εἰκότως λέγεται. μήποτε δὲ ἄρα τὸ δ ὑποθέμενος ὁ Ἀριστοτέλης, καὶ τὸ τοῦ δ μέρος τὸ θ, τὸ δὲ ζ κενὸν λαβών, ἐβουλήθη προαγαγεῖν τὸν λόγον ἄχρι τοῦ λεπτοτάτου καὶ προσεχοῦς ὄντος τῷ κενῷ διὰ τὴν λεπτότητα. ἵνα καὶ τὴν ἀναλογίαν ἐπιδείξῃ σαφῶς, καὶ διὰ τῆς κατ' ὀλίγον τοῦ χρόνου μειώσεως ἔννοιαν παράσχῃ, ὅτι ἡ διὰ τοῦ κενοῦ κίνησις εἴπερ ἦν, οὐκ ἂν ἦν ἐν χρόνῳ. εἰ γὰρ καὶ τοῦ ἐλαχίστου χρόνου, ἐν ᾧ τὸ λεπτότατον δίεισι, θᾶττον ὤφειλεν εἶναι ἐκεῖνος ἐν ᾧ τὸ κενόν, δηλονότι οὐδ' ἂν χρόνος εἴη. διὸ οἶμαι ἐὰν φέρηται ἐπήγαγεν ἐπὶ τοῦ ζ. διότι εἰ μὲν λεπτὸν εἴη, κινοῖτο ἂν δι' αὐτοῦ τὸ α ἐν τῷ ε χρόνῳ. εἰ δὲ κενόν, οὐδὲ κινεῖται. πρὸς δὲ τούτοις εἰ ὑποτεθῇ ὅλως κινεῖσθαι διὰ κενοῦ ὄντος τοῦ ζ, τὸ προκείμενον ἄτοπον ἐναργέστερον συνάγεται. ἐν γὰρ θάττονι χρόνῳ κινηθήσεται, ἢ ἦν ἐν τῷ η ἡ τοῦ α διὰ τοῦ ζ κίνησις κενοῦ ὄντος. ἐν ᾧ καὶ διὰ σώματος ἐδείχθη τοῦ θ. ὥστε ἐν ἴσῳ χρόνῳ δίεισι πλῆρές τε ὂν καὶ κενόν. ὅπερ ἀδύνατον. καὶ τὸ αἴτιον ἐπήγαγε τοῦ ἀδυνάτου. εἰ γὰρ ἐν χρόνῳ τινὶ κινεῖται ὁτιοῦν διὰ τοῦ κενοῦ, συμβήσεται ἐν ἴσῳ χρόνῳ πλῆρές διεξιέναι τι καὶ κενόν. διότι ὡς εἴρηται καὶ πρότερον, ὡς τὸ δ πρὸς τὸ θ, οὕτω τὸ ε πρὸς τὸ η. ἀλλ' ὡς τὸ ε πρὸς τὸ η, οὕτως ἦν τὸ δ πρὸς τὸ ζ. καὶ ὡς ἄρα τὸ δ πρὸς τὸ θ, οὕτω τὸ δ πρὸς τὸ ζ. τὸ ἄρα ζ κενὸν πρὸς τὸ δ πλῆρες λόγον ἔχει, ὃν τὸ θ πλῆρες πρὸς τὸ δ πλῆρες. καὶ ἐν ἴσῳ χρόνῳ διεξελεύσεται κενόν τι καὶ πλῆρες. ὅπερ ἄτοπον, κἂν ἄνισα ᾖ. ὅτι δὲ πάντα ταῦτα τὰ ἄτοπα ἀκολουθεῖ τῷ λέγειν ὅτι ἐν χρόνῳ τινὶ ἡ διὰ τοῦ κενοῦ γίνεται κίνησις, αὐτὸς ἐδήλωσεν εἰπών, φανερὸν τοίνυν εἰ ἔστι τις χρόνος ἐν ᾧ τοῦ κενοῦ ὁτιοῦν οἰσθήσεται, συμβήσεται τοῦτο ἀδύνατον. τουτέστιν ἐὰν ὑποτεθῇ ἐν χρόνῳ κινεῖσθαι τι διὰ τοῦ κενοῦ. διατί δὲ τῇ διὰ τοῦ κενοῦ λεγούσῃ κινεῖσθαι ὑποθέσει ταῦτα τὰ ἀδύνατα ἕπεται, καλῶς ἐφεξῆς προσέθηκεν. εἰ γὰρ κινήσεως μὲν πρὸς κίνησιν καὶ χρόνου πρὸς χρόνον ἔστι τις λόγος πεπερασμένων ἀμφοῖν, κενοῦ δὲ πρὸς πλῆρες οὐκ ἔστι, δηλονότι ἄχρονος ἔσται ἡ διὰ τοῦ κενοῦ κίνησις. ἐὰν δὲ ἐν χρόνῳ τις ὑπόθηται τὴν διὰ τοῦ κενοῦ κίνησιν, ἐπειδὴ ὁ χρόνος λόγον ἔχει πρὸς χρόνον, ὡς δὲ οἱ χρόνοι ἐν οἷς ἡ κίνησις οὕτω καὶ τὰ ὑποκείμενα δι' ὧν ἡ κίνησις, ἔσται καὶ τὸ κενὸν πρὸς τὸ πλῆρες λόγον ἔχον, ὃ πλῆρες πρὸς πλῆρες. καὶ ἐν ἴσῳ χρόνῳ κινηθήσεταί τι διὰ κενοῦ καὶ διὰ πλήρους. ταῦτα μὲν οὖν ἐστι τὰ ἑπόμενα ἄτοπα. καὶ διὰ ταύτην τὴν αἰτίαν τῇ διαφορᾷ ἐκείνων δι' ὧν φέρεται τὰ φερόμενα τῇ παρὰ τὴν σύστασιν, ῥᾴδιον δὲ καὶ ἀπὸ τῆς ἑτέρας τῆς κατὰ τὴν ἀντικίνησιν ἀναιρεῖν τὸ κενόν. οὐ γὰρ ἀντικινήσεται τὸ κενόν, ὅτι μηδὲ κινήσεται ὅλως. μήποτε δὲ εἴ τις ὑπόθηται μὲν εἶναι χωρὶς τὸ κενόν, καὶ διὰ τοῦ κενοῦ γίνεσθαι λέγῃ τὴν κίνησιν, οὐ περιπεσεῖται τῶν ἐπαχθέντων ἀτόπων οὐδὲ τῶν ἐπαχθησομένων οὐδενί. δεδόσθω γὰρ ὅσον μὲν ἐπὶ τῷ κενῷ ἰσοταχῆ εἶναι τὰ κινούμενα. γίνεται δὲ ἡ διαφορὰ παρὰ τὰ ἐν τῷ κενῷ σώματα. ὧν ἐξωθουμένων ἢ θᾶττον ἢ βραδύτερον, οὕτως ἀνάγκη φέρεσθαι τὰ φερόμενα. εἰ οὖν τὸ μὲν εἴη παχὺ καὶ δυσδιαίρετον ἢ δυσεξώθητον, τὸ δὲ ἀνάπαλιν, ἀνισοταχὴς ἡ κίνησις γίνεται, καίτοι διὰ τοῦ κενοῦ πάσα γινομένη. γίνεται δὲ ἡ διαφορά, ὡς καὶ αὐτὸς εἶπέ τε καὶ ὁρεῖ καὶ παρ' αὐτὰ τὰ κινούμενα, εἰ τὰ μὲν πλείονα ῥοπὴν ἔχει, τὰ δὲ ἐλάττονα. ὡς γὰρ τῶν ἄλλων δυνάμεων, οὕτω καὶ τῶν κατὰ

τὴν ῥοπὴν τῆς διαφορᾶς ἔχει τὰ σώματα. καὶ οὕτως οὔτε ἄχρονος ἔσται κίνησις, οὔτε τὸ κενὸν λόγον
ἔχει πρὸς τὸ πλῆρες. οὔτε γὰρ διὰ μόνου κενοῦ γίνεταί ποτε ἡ κίνησις, οὔτε διὰ μόνον τὸ εὐδιαίρετον
τὸ δι᾽ οὗ θᾶττον φέρεται τὸ φερόμενον, ἀλλὰ καὶ διὰ τὴν οἰκείαν δύναμιν. ὅτι γὰρ οὐ διὰ κενοῦ διαστή-
ματος ἡ κίνησις, ἐντεῦθεν ἄν τις κατασκευάσειεν, ὡς εἴρηται καὶ ἐν τοῖς περὶ τοῦ τόπου λόγοις. τὸ
κινούμενον πόθεν ποῖ κινεῖται. τὸ οὖν μεταξὺ διάστημα τοῦ τε ὅθεν καὶ τοῦ ὅπου ἡ κίνησις, ἢ κενόν
ἐστιν, ἢ τοῦ μεταξὺ σώματος οἷον ἀέρος διάστημα. ἀλλὰ τὸ τοῦ ἀέρος συνεξίσταται τῷ ἀέρι. πῶς οὖν τὸ Δ
μὴ ὂν διάστημα διελεύσεται τὸ κινούμενον. πῶς δὲ τὸ μὴ ὂν μετρηθήσεται.

Κ ΚΑΤᾺ ΔῈ τὴν τῶν φερομένων ὑπεροχὴν, τάδε. ὁρῶμεν γὰρ τὰ μείζω ῥοπὴν ἔχοντα, ἢ βάρους,
ἢ κουφότητος, ἐὰν τἆλλα ὁμοίως ἔχῃ τοῖς σχήμασι, θᾶττον φερόμενα τὸ ἴσον χωρίον, καὶ κατὰ λό-
γον ὃν ἔχουσι τὰ μεγέθη πρὸς ἄλληλα ὥστε καὶ διὰ τοῦ κενοῦ, ἀλλὰ ἀδύνατον. διὰ τίνα γὰρ αἰτίαν
οἰσθήσεται θᾶττον. ἐν μὲν γὰρ τοῖς πλήρεσιν ἐξ ἀνάγκης θᾶττον γὰρ διαιρεῖ τῇ ἰσχύϊ τὸ μεῖζον. ἢ γὰρ
σχήματι διαιρεῖ, ἢ ῥοπῇ ἣν ἔχει τὸ φερόμενον ἢ τὸ ἀφεθέν. ἰσοταχῆ ἄρα πάντ᾽ ἔσται. ἀλλ᾽ ἀδύνατον.

Δ Δύο ῥηθέντων αἰτίων τῆς ἀνισοταχοῦς κινήσεως, ἑνὸς μὲν κατὰ τὴν διαφορὰν ἐκείνων δι᾽ ὧν ἡ κίνησις
γίνεται, εἰ τὸ μὲν εἴη παχύτερον καὶ στερεμνιώτερον, τὸ δὲ λεπτότερον καὶ εὐεικτότερον, ἢ τὸ μὲν,
μόνον, τὸ δὲ ἀντιφερόμενον, ἑτέρου δὲ κατὰ τὴν αὐτῶν τῶν κινουμένων διαφορὰν, πλειόνων δὲ
ὄντων καὶ τούτοις τοῦ ἀνισοταχοῦς αἰτίων, καὶ γὰρ σχήματος καὶ ῥοπῆς ἢ διὰ τὴν σύστασιν ἢ διὰ τὸ
μέγεθος διαφόρου οὔσης, καὶ γὰρ χρυσὸς βραχύτερος ξύλου μείζονός ἐστι βαρύτερος, καὶ βῶλος ἡ
μείζων τῆς βραχυτέρας, τὰ ἄλλα τὰ αὐτὰ φυλάττων, τὴν δὲ ῥοπὴν ἀμείβων ἐν τοῖς ὑποκειμένοις
σώμασι, δείκνυσι καὶ οὕτω τὰ ἑπόμενα ἄτοπα τοῖς διὰ κενοῦ λέγουσι τὴν κίνησιν γίνεσθαι. τῶν γὰρ
ἄλλων τῶν αὐτῶν ὄντων, τὰ μείζω ῥοπὴν ἔχοντα βάρους ἢ κουφότητος, ὁρῶμεν θᾶττον ἐπὶ τὸ κά-
τω ἢ ἐπὶ τὸ ἄνω φερόμενα. οἷον εἰ δύο σφαῖραι ἡ μὲν χρυσοῦ ἡ δὲ ἀργύρου ἰσομεγέθεις ἀφεθῶσι θᾶττον
ἡ χρυσῆ κατενεχθήσεται. ὁμοίως οὖν τοῦτο δεήσει γίνεσθαι καὶ ἐν τῷ κενῷ, εἴπερ διὰ κενοῦ ἡ κίνη-
σις γίνοιτο. ἀλλὰ μὴν ἐν τῷ κενῷ τοῦτο οὐ συμβήσεται. τί γὰρ ἔσται αἴτιον ἐν τούτῳ τοῦ τὸ μὲν θᾶττον
φέρεσθαι, τὸ δὲ βραδέως. ἐπὶ μὲν γὰρ τοῦ πλήρους τὸ βαρύτερον θᾶττον διαιρεῖ τὸ ὑποκείμενον.
ἐπὶ δὲ τοῦ κενοῦ οὐδεμία τοιαύτη αἰτιολογία χώραν ἕξει. οὐ γάρ ἐστί τι τὸ διαιρούμενον. ἰσοταχῶς
ἄρα οἰσθήσεται τὰ κινούμενα, κἂν τῇ ῥοπῇ διαφορὰ ὑπάρχῃ. ἀλλ᾽ ἀδύνατον. τὸ γὰρ βαρύτερον
εἶναι ἦν τὸ φέρεσθαι κάτω. ὁ δὲ Ἀλέξανδρος ἅμα δὲ ἀδύνατον γράφει, ἀντὶ τοῦ ἀλλὰ ἀδύνατον. καὶ
ἐξηγεῖται ἢ ὅτι ἀδύνατον ἅμα φέρεσθαι τὸ κουφότερον καὶ τὸ βαρύτερον, ἢ ὅτι συμβαίνει τὸ βα-
ρύτερον διὰ μὲν τὴν φύσιν αὐτοῦ ἀναγκαῖον εἶναι θᾶττον κινεῖσθαι, διὰ δὲ τὸ κενὸν μὴ θᾶττον κινεῖσθαι.
ταῦτα δὲ ἅμα συντρέχειν ἀδύνατον. τὸ δὲ κατὰ τὸν λόγον ὃν ἔχουσι τὰ μεγέθη πρὸς ἄλληλα, τὰ φε-
ρόμενα λέγει σώματα, κατὰ τὸν λόγον ὃν ἔχουσι πρὸς ἄλληλα τῆς ῥοπῆς φέρεσθαι. τοσούτῳ γὰρ
θᾶττον ἢ βραδύτερον. οἷον ἐὰν διπλασίως ἢ βαρύτερον, διπλασίως θᾶττον τουτέστιν ἐν ἡμίσει χρό-
νῳ κατενεχθήσεται. ἀλλ᾽ οὐδὲ τῆς παρὰ τὸ σχῆμα διαφορᾶς τὴν αἰτίαν οἱ τὸ κενὸν εἰσάγοντες ἀπο-
δώσουσι. ζητεῖται γὰρ διατί πλατὺς μὲν σίδηρος ἢ μόλυβδος ἐπιπολάζει μᾶλλον τῷ ὕδατι, στρογ-
γύλος δὲ οὐκέτι οὐδὲ μακρὸς, κἂν πάνυ σμικρότερος τύχῃ. καὶ τοῖς μὲν ἄλλοις ῥᾴδιον ὑπάρχει
λέγειν, ὅτι τὰ μὲν πλατέα διὰ τὸ πολὺν ἐπιλαμβάνειν ἀέρα ἢ ὕδωρ, οἷς ἐποχεῖται, οὐ ταχέως
φέρεται κάτω. οὐ γὰρ διαιρεῖται ῥᾳδίως τὸ ὑποκείμενον ὑπὸ τῆς τοῦ σχήματος ἀμβλύτητος. τὰ
δὲ ἄλλως ἐσχηματισμένα ὀλίγον ἐπιλαμβάνει. διὸ τάχιστα ὅπῃ ἂν ῥέψῃ τὸ ὑποκείμενον ῥήγνυται.
τοῖς δὲ τὸ κενὸν λέγουσιν ἀδύνατον οὕτως αἰτιολογεῖν. ἐκ δὴ τούτων φησὶν ὁ Ἀλέξανδρος ἔνεστι λέ-
γειν πρὸς Ἐπίκουρον, οὐδὲν δὲ ἧττον ἴσως καὶ πρὸς Δημόκριτον καὶ Λεύκιππον, καὶ ἁπλῶς τοὺς ἀρ-
χὰς τὰ ἄτομα λέγοντας καὶ τὸ κενὸν, ὅτι εἰ μὲν ἀνισοταχῶς φέρονται αἱ ἄτομοι ἐν τῷ κενῷ, τὰς
αἰτίας τῆς ἀνισοταχοῦς φορᾶς ὥρα λέγειν αὐτοῖς. οὐδὲν γὰρ αὐταῖς τὸ μέγεθος ἢ τὸ βάρος ἢ τὸ σχῆ-
μα πρὸς τὸ τάχος συμβάλλεται. εἰ δὲ ἰσοταχῶς, οὐδέποτε καταλείψεται ἡ ἑτέρα τὴν ἑτέραν,
οὐδὲ ἀλληλοτυπήσουσιν ἢ περιπλακήσονται. οὐδὲ γὰρ ἡ τῶν σχημάτων διαφορὰ οἵα τέ ἐστιν ἄνισον
αὐτῶν ποιεῖν τὴν φοράν. καὶ γὰρ τὰ σχήματα τῷ διαιρεῖν ἢ τῷ μὴ διαιρεῖν ἄνισον τὴν φορὰν ποιεῖ. ἐν
δὲ τῷ κενῷ οὐδέν ἐστι τὸ διαιρούμενον. ὥστε οὐδὲ γένεσις ἔσται τινὸς κατ᾽ αὐτούς. μήποτε δὲ τοῦτο τὸ ἄ-
τοπον αὐτοῖς ἀκολουθήσει, εἰ λέγοιεν ἀεὶ κινεῖσθαι τὰς ἀτόμους. εἰ γὰρ καὶ ἠρεμοῦσι καὶ ἰσοταχῶς
κινοῦνται, ἐπικαταλαμβάνουσιν ἀλλήλας. εἰ δέ τις ζητεῖ διατί ἀδύνατόν ἐστι τὸ ἰσοταχῶς κινεῖσθαι
τὸ βαρύτερον τῷ ἧττον βαρεῖ, ῥᾴδιον λέγειν, ὅτι εἰ μὴ ἡ προσθήκη τοῦ βάρους θᾶττω ποιεῖ τὴν κίνη-
σιν, οὐδὲ ἀρχὴν ἡ βαρύτης αἰτία ἔσται τῆς ἐπὶ τὸ κάτω κινήσεως ἐν τῷ κενῷ. ὃ γὰρ προστιθέμενον οὐκ
ἐπιτείνει οὐδὲ αὔξει τὴν κίνησιν, τοῦτο οὐδὲ τὴν ἀρχὴν ἂν αἴτιον εἴη κινήσεως. εἰ δὲ μὴ αἱ ῥοπαὶ τοῖς
σώμασιν εἰσὶν αἴτιαι τῆς κινήσεως τῆς ἐν τῷ κενῷ, οὐδ᾽ ἂν κινοῖτο τὴν ἀρχὴν ἐν τῷ κενῷ τὰ σώμα-
τα. οὐδὲ γὰρ ἄλλη τις αἰτία τῆς κατὰ φύσιν φορᾶς τοῖς σώμασι, πλὴν τῆς οἰκείας ῥοπῆς. ἔτι δέ φη-
σιν ὁ Ἀλέξανδρος εἰ πᾶν σῶμα βάρος ἔχειν τοῖς περὶ Ἐπίκουρον δοκεῖ, καὶ διὰ τὸ βάρος κινεῖσθαι τὰ

σώματα διὰ τοῦ κενοῦ, ἕπεται δὲ οἷς ἡ βαρύτης αἰτία τῆς κινήσεως, τούτοις τὴν μείζω ῥοπὴν ταχυτέρας αἰτίαν γίνεσθαι κινήσεως, οὐχ οἷόν τε δὲ τοῦτο ἐν τῷ κενῷ γίνεσθαι, οὐδ᾽ ἂν διὰ τὸ βάρος κινοῖτο ἐν αὐτῷ. εἰ δὲ μὴ διὰ τοῦτο, οὐδ᾽ ἂν ὅλως κινοῖτο. τούτων ἀκούων τις εὕροι προχείρως οἶμαι, ὅτι εἴπερ ἡ ῥοπὴ τοῖς σώμασιν αἰτία τῆς κινήσεως, καὶ ἡ πλείων τοῦ θᾶττον, διατί μὴ κινήσεται τὰ σώματα διὰ τοῦ κενοῦ. κἂν γὰρ ἔχῃ τι καὶ τὸ ῥᾷον ἢ μὴ ῥᾷον διαιρεῖσθαι, τὸ δι᾽ οὗ γίνεται ἡ κίνησις πρὸς τὸ θᾶττον καὶ βραδύτερον τῆς κινήσεως, ἀλλ᾽ οὐκ ἔστι τοῦτο τῆς ῥοπῆς αἴτιον. ἀλλ᾽ οὔσης ἐκείνης διαφόρου, προστίθησί τι τῇ διαφορᾷ τῆς κατὰ φύσιν ῥοπῆς, καὶ τὸ εὐδιαίρετον καὶ μή. ὡς γὰρ αἱ ἄλλαι ποιότητες αἱ ὁμογενεῖς ἐν τοῖς μείζοσιν εἰσὶ μείζονες, οὕτω καὶ τὴν ῥοπὴν ἀκόλουθον ἔχειν. καὶ ὅλως ἡ ῥοπὴ τῆς διαιρέσεως αἰτία μᾶλλον, ἀλλ᾽ οὐχ ἡ διαίρεσις τῆς ῥοπῆς, κἂν ὅπου μὲν ἐμποδίζῃ τι τὰ ὑποκείμενα, ὅπου δὲ οὔ.

ὍΤΙ ΜῈΝ οὖν εἰ ἔστι κενὸν συμβαίνει τοὐναντίον, ἢ δι᾽ ὃ κατασκευάζουσιν οἱ φάσκοντες εἶναι κενὸν, φανερὸν ἐκ τῶν εἰρημένων. οἱ μὲν οὖν, οἴονται τὸ κενὸν εἶναι, εἴπερ ἔσται ἡ κατὰ τόπον κίνησις, ἀποκεκριμένον καθ᾽ αὑτό. τοῦτο δὲ ταὐτόν ἐστι τῷ τὸν τόπον φάναι εἶναί τι κεχωρισμένον. τοῦτο δ᾽ ὅτι ἀδύνατον, εἴρηται πρότερον.

Οἱ τὸ κενὸν εἰσάγοντες ὡς ἀναγκαῖον εἰσῆγον τῇ κινήσει. ἐπειδὴ διὰ πλήρους ἀδύνατον ἦν κινεῖσθαι, ἵνα μὴ σῶμα διὰ σώματος χωρῇ. διὸ καὶ λόγον ἠρώτων συνημμένον λέγοντες, εἰ ἔστι κίνησις, ἔστι κενόν. αὐτὸς δὲ τοὐναντίον ἔδειξε διὰ πλειόνων, ὅτι εἰ ἔστι κενὸν, οὐκ ἔστι κίνησις. ὑπομιμνήσκει δὲ καὶ τῆς περὶ τόπου ῥηθείσης ἀποδείξεως, τὸν τόπον μὴ εἶναί τι διάστημα κενὸν κεχωρισμένον. ἁρμόσει γὰρ καὶ νῦν ὁ λόγος. ἐκεῖνος δέ ἐστιν ὁ συνάγων ὅτι ὁ τόπος κινηθήσεται, καὶ πολλοὶ τόποι ἅμα ἔσονται. εἰπὼν δὲ οἱ μὲν οὖν οἴονται τὸ κενὸν, οὐκ ἀποδέδωκεν εὐθέως τὸ δέ. ἀλλ᾽ ἀντειπὼν πρὸς τούτους πρότερον, οὕτω περὶ τῶν ἄλλως τιθεμένων τὸ κενὸν προστίθησι λέγων, εἰσὶ δέ τινες οἱ διὰ τοῦ κενοῦ καὶ πυκνοῦ.

ΚΑῚ ΚΑΘ᾽ αὑτὸ δὲ σκοποῦσι, φανείη ἂν τὸ λεγόμενον κενὸν, ὡς ἀληθῶς κενόν. ὥσπερ γὰρ ἐν ὕδατι ἂν θῇ τις κύβον ἐκστήσεται τοσοῦτον ὕδωρ ὅσον ὁ κύβος. οὕτω καὶ ἐν ἀέρι. ἀλλὰ τῇ αἰσθήσει ἄδηλον. καὶ ἀεὶ δὴ ἐν παντὶ σώματι ἔχοντι μετάστασιν ἐφ᾽ ὃ πέφυκεν συμμεθίστασθαι, ἀνάγκη ἂν μὴ συμπιλῆται, μεθίστασθαι ἢ κάτω ἀεί, εἰ κάτω ἡ φορά, ὥσπερ γῆς. ἢ ἄνω εἰ πῦρ. ἢ ἐπ᾽ ἄμφω, ὡς ὁ ἀήρ. ἢ ὁποῖον ἄν τι ᾖ τὸ ἐντιθέμενον. ἐν δὲ δὴ τῷ κενῷ, τοῦτο μὲν ἀδύνατον. οὐδὲ γὰρ σῶμα. διὰ δὲ τοῦ κύβου τὸ ἴσον διάστημα διεληλυθέναι δόξειεν, ὅπερ ἦν καὶ πρότερον ἐν τῷ κενῷ. ὥσπερ ἂν εἰ τὸ ὕδωρ μὴ μεθίσταιτο τῷ ξυλίνῳ κύβῳ, μηδ᾽ ὁ ἀήρ. ἀλλὰ πάντῃ διῄεσαν δι᾽ αὐτοῦ. ἀλλὰ μὴν καὶ ὁ κύβος ἔχει τοσοῦτον μέγεθος, ὅσον κατέχει τὸ κενόν. ὃ εἰ καὶ θερμόν ἐστιν ἢ ψυχρὸν ἢ βαρὺ ἢ κοῦφον, οὐδὲν ἧττον ἕτερον ἀλλὰ καὶ μᾶλλον, τῷ εἶναι πάντων τῶν παθημάτων ἐστί, καὶ εἰ μὴ χωριστόν. λέγω δὲ τὸν ὄγκον τοῦ ξυλίνου κύβου. ὥστε εἰ καὶ χωρισθείη πάντων τῶν ἄλλων καὶ μήτε βαρὺ μήτε κοῦφον εἴη, καθέξει τὸ ἴσον κενόν. καὶ ἐν τῷ αὐτῷ ἔσται τῷ τοῦ τόπου καὶ τῷ τοῦ κενοῦ μέρει, ἴσῳ αὑτῷ. τί οὖν διοίσει τὸ τοῦ κύβου σῶμα, τοῦ ἴσου κενοῦ καὶ τόπου. καὶ εἰ δύο τοιαῦτα, διὰ τί οὐ καὶ ὁποσαοῦν ἐν τῷ αὐτῷ ἔσται. ἓν μὲν δὴ τοῦτο ἄτοπον καὶ ἀδύνατον.

Καλὴ τάξις ἐστὶ τῆς διδασκαλίας. καὶ γὰρ πρότερον μὲν τοὺς δοκοῦντας κατασκευάζειν τὸ κενὸν λόγους διέλυσεν. εἶτα ὅτι μὴ ἔστι κινήσεως αἴτιον ἔδειξε. καὶ διὰ τοῦτο οὐδὲ ἔστιν ὅλως, εἴπερ διὰ τοῦτο παρείληπτο. καὶ τό γε εἰς τοὐναντίον περιέτρεψε τὸν λόγον. ἐκείνων γὰρ λεγόντων εἰ ἔστι κίνησις, ἔστι κενὸν αὐτὸς διὰ πολλῶν δείκνυσιν ἐπιχειρημάτων, ὅτι εἰ ἔστι κενὸν οὐκ ἔστι κίνησις. καὶ λοιπὸν ἐντεῦθεν αὐτὸ καθ᾽ αὑτὸ τὸ πρόβλημα προθεὶς διελέγχει, καὶ δείκνυσιν ὅτι οὐκ ἔστι κενόν, εἰς ἀδύνατον πάλιν ἄγων τὸ σῶμα διὰ σώματος χωρεῖν, εἴπερ εἴη κενόν. ὅπερ ἐκεῖνοι φεύγοντες ὑπετίθεντο τὸ κενόν. ὅταν γὰρ ἄλλο σῶμα ἐν ἄλλῳ σώματι τεθῇ, οἷον λίθινος κύβος ἐν ὕδατι ἢ ἀέρι, ἀναγκαῖον ἐκστῆναι τῷ ἐπεισιόντι τὸ προϋπάρχον, ἢ ἄνω εἰ πῦρ, ἢ κάτω εἰ γῆ, ἢ εἰς τὸ μεταξὺ εἴ τι τῶν μεταξὺ στοιχείων εἴη, καὶ τοσοῦτον ἐκστῆναι, ὅσον ὁ τοῦ τιθεμένου ὄγκος ἐστί. τοῦτο δὲ ἐπ᾽ ἐνίων μὲν δῆλον εὐθύς, ὡς ἐπὶ τοῦ λιθίνου κύβου τοῦ εἰς τὸ ὕδωρ ἐμβαλλομένου. τοσοῦτος γὰρ ὄγκος ἐκρεύσει τοῦ ὕδατος, ὅσος ἐστὶν ὁ τοῦ κύβου. ἐπ᾽ ἐνίων δὲ τῇ μὲν αἰσθήσει πρόδηλος οὐκ ἔστιν ἡ ὑποχώρησις. καταλαμβάνεται δὲ ἐκ κατασκευασμάτων τινῶν. ἐν γὰρ ταῖς ὑδραύλεσιν ὅταν μεστὰς οὔσας ἀέρος ἐγχέηται ὕδωρ, γλῶσσαι τινὲς σαλπίγγων ἢ αὐλῶν ταῖς ὀπαῖς προστιθέμεναι, δι᾽ ὧν ἔξεισι τὸ πνεῦμα, διὰ τοῦ ψόφου τὴν ἔξοδον διελέγχουσιν τὴν δι᾽ αὐτῶν τοῦ ἀέρος. εἰ δὲ μηδεμίαν ἔξοδον ἔχει τὸ προσεγκείμενον σῶμα, βιάζοιτο δὲ ἕτερος ἐπεμβάλλειν, ἢ πιλεῖται εἰς ἑαυτὸ τὸ ἐγκείμενον, καὶ παχύνεται συστελλόμενον, ὡς τὸ ἐπεμβαλλόμενον δέξασθαι τὸ ἀγγεῖον τοσοῦτον, ὅσον ἡ πίλησις συνέστειλε τοῦ πρώτου ὄγκου, ἢ διαρραγείη ἂν τὸ ἀγγεῖον μᾶλλον ἤπερ σῶμα ἕτερον δέξαιτο. τούτων οὖν οὕτως ἐναργῶς φαινομένων, ἐπὶ τοῦ κενοῦ τί φήσομεν συμβαίνειν, ὅταν ἐν αὐτῷ τι τεθῇ σῶμα. πότερον ὑπεξίστασθαι τὸν ἴσον ὄγκον τοῦ κενοῦ; ἀλλὰ γελοῖον τοῦτο, εἴπερ γελοῖον τὸ ἀδύνατον. τί γὰρ ὂν ὑπεξίσταται.

ἀλλὰ μένειν; οὐκοῦν δίεισι διὰ τοῦ κύβου τὸ ἴσον διάστημα τοῦ κενοῦ. ὥστ' εἰ μηδὲν παντάπασιν ἔστι τὸ κενόν, ἔχομεν ἡμεῖς τὸ ζητούμενον. εἰ δὲ ἔχει τινὰ φύσιν παρὰ τρία διεστῶς, πῶς δι' ἑτέρου τοιούτου διαστήματος δίεισιν. ὁμοίως γὰρ τοῦτο ἄτοπον, ὡς εἰ τὸ ὕδωρ μὴ ὑπεξιστάμενον διὰ τοῦ λιθίνου κύβου χωροίη. διατί γὰρ ταῦτα μὲν κωλυθήσεται δι' ἀλλήλων χωρεῖν, καὶ ἐν τῷ αὐτῷ γίνεσθαι τόπῳ, τὸ δὲ κενὸν οὔ. ἆρα ὅτι θερμὰ ταῦτα ἢ λευκὰ ἢ βαρέα, ἢ ὑπ' ἄλλων τινῶν παθῶν συμβεβηκότων αὐτοῖς πληρούμενα, τὸ κενὸν δὲ τῶν τοιούτων ἐστέρηται; ἢ τοῦτο ἄτοπον ὑπολαμβάνειν. ἐλέχθη γὰρ καὶ πρότερον, ὅτι τοῖς σώμασι τὸ εἶναι ἐν τόπῳ κατὰ μόνα ὑπάρχει τὰ διαστήματα, καθ' ἃ καὶ διῃρημένα τοῖς μορίοις ἐδείχθη τῆς θέσεως. κἂν γὰρ ἀχώριστα τὰ διαστήματα τῶν ἄλλων συμβεβηκότων εἴη, ἀλλὰ τό γε εἶναι αὐτοῖς διαστήμασιν, ὅπερ πέφυκεν ὁ λόγος χωρίζειν, ἕτερόν ἐστι. καὶ ὁ λίθος οὖν οὐκ ἐπειδὴ λευκὸς ἢ μέλας ἢ βαρύς, τοσόνδε τινὰ κατέχει τόπον. ἀλλ' ἐπειδὴ τοσοῦτον αὐτοῦ τὸ διάστημα. καίτοι φέρεται μὲν διὰ τὴν βαρύτητα εἰς τοῦτον τὸν τόπον. ὅταν δὲ ἐν τόπῳ ᾖ, κατὰ τὸν ὄγκον ἐστὶν ἐν τόπῳ. τούτῳ γὰρ μόνῳ τῶν ὑπαρχόντων τῷ κύβῳ τὸ τοῦ τόπου μέγεθος ἕπεται. ὥστε κἂν ὑπόθῃ τὸν λίθινον κύβον ἁπάντων κεχωρισμένον τῶν ἄλλων συμβεβηκότων, ἐν μόνῳ δὲ ὄντα τῷ διαστήματι, οὐδὲν ἧττον καθέξει τὴν ἴσην χώραν, ὅσην ἂν κατεῖχε καὶ μετὰ τῶν ἄλλων παθῶν. τί οὖν διοίσει τὸ τοῦ κύβου διάστημα τοῦ ἴσου κενοῦ καὶ τόπου. καὶ εἰ δύο τοιαῦτα ἐν τῷ αὐτῷ, διατί μὴ πλείω καὶ ἄπειρα. συναγαγὼν δὲ τὸν λόγον, ὄψει τὴν ἀνάγκην τῆς ἀποδείξεως. εἰ γὰρ ἔστι σῶμα ἐν κενῷ, διάστημα ἔσται ἐν διαστήματι. καὶ ὄγκος ἐν ὄγκῳ ἔσται, καὶ σῶμα ἐν σώματι. τὰ γὰρ ἄλλα συμβεβηκότα οὐδὲν κωλύει ἀσώματα ὄντα δι' ἀλλήλων χωρεῖν. εἰ οὖν ἀδύνατον σῶμα ἐν σώματι εἶναι, ἀδύνατον καὶ ἐν κενῷ εἶναι. ἀληθῶς δὲ κενὸν αὐτὸ εἶπεν, ὅτι δειχθήσεται μηδεμίαν χρείαν παρεχόμενον.

ἜΤΙ ΔῈ φανερὸν ὅτι τοῦτο ὁ κύβος ἕξει καὶ μεθιστάμενος, ὃ καὶ τὰ ἄλλα σώματα πάντα ἔχει. ὥστ' εἰ τοῦ τόπου μηδὲν διαφέρει, τί δεῖ ποιεῖν τόπον τοῖς σώμασι παρὰ τὸν ἑκάστου ὄγκον, εἰ ἀπαθὲς ὁ ὄγκος. οὐδὲν γὰρ συμβάλλεται εἰ ἕτερον περὶ αὐτὸν ἴσον διάστημα τοιοῦτον εἴη. ἌΛΛΩΣ. ἔτι δεῖ δῆλον εἶναι διὰ κενὸν ἐν τοῖς κινουμένοις. νῦν δὲ οὐδαμοῦ ἐντὸς τοῦ κόσμου. ὁ γὰρ ἀήρ, ἔστι τι. οὐ δοκεῖ δέ γε. οὐδὲ τὸ ὕδωρ εἰ ἦσαν οἱ ἰχθύες σιδηροῖ. τῇ γὰρ ἁφῇ ἡ κρίσις τοῦ ἁπτοῦ. ὅτι μὲν τοίνυν οὐκ ἔστι κεχωρισμένον κενόν, ἐκ τούτων ἐστὶ δῆλον.

Δεύτερον τοῦτο τίθησιν εἰς τὸ αὐτὸ τεῖνον ἐπιχείρημα. εἰ γὰρ τὸ ἐν ἑκάστῳ διάστημα χωριζόμενον τῷ λόγῳ τῶν παθῶν, τουτέστι τῶν συμβεβηκότων, οὐδὲν διαφέρει τοῦ κενοῦ, κινούμενα δὲ καὶ μεταφερόμενα τὰ σώματα σὺν τοῖς οἰκείοις κινεῖται διαστήμασι, τί δεῖ τοῖς σώμασιν ἄλλων τοιούτων διαστημάτων. εἰ γὰρ καθὸ διάστημα ἔχει ἕκαστον ἑτέρου δεῖται διαστήματος, πῶς οὐχὶ καὶ τὸ κενὸν ἄλλου δεήσεται, καὶ ἐκεῖνο ἄλλου. καὶ ἐπ' ἄπειρον οὕτω πορευσόμεθα.

ΕἸΣΙ ΔΈ τινες οἳ διὰ τοῦ μανοῦ καὶ πυκνοῦ, οἴονται φανερὸν εἶναι, ὅτι ἐστὶ κενόν. εἰ μὲν γὰρ μὴ ἔστι μανὸν καὶ πυκνόν, οὐδὲ συνιέναι καὶ πιλεῖσθαι οἷόν τε. εἰ δὲ τοῦτο μὴ ᾖ, ἢ ὅλως κίνησις οὐκ ἔσται, ἢ κυμανεῖ τὸ ὅλον, ὥσπερ ἔφη Ξοῦθος. ἢ εἰς ἴσον ἀεὶ μεταβάλλειν ἀέρα καὶ ὕδωρ. λέγω δέ, οἷον εἰ ἐξ ὕδατος κυάθου γέγονεν ἀήρ, ἅμα ἐξ ἴσου ἀέρος, ὕδωρ, τοσοῦτον γεγενῆσθαι, ἢ κενὸν εἶναι ἐξ ἀνάγκης. συμπιλεῖσθαι γὰρ καὶ συνεπεκτείνεσθαι, οὐκ ἐνδέχεσθαι ἄλλως.

Τῶν περὶ τοῦ κενοῦ λεγόντων, οἱ μέν, κεχωρισμένον τι καθ' αὑτὸ ὂν τὸ κενὸν ἔλεγον, ὡς διὰ πάντων τῶν σωμάτων χωρεῖν, καὶ κατά τι μὲν ἑαυτοῦ ἔχειν σῶμα, κατά τι δὲ οὔ. ὅπερ καὶ κυρίως κενὸν ἔλεγον, ὥσπερ τὸ ἔχον, τόπον. οἱ δέ, ἐν τοῖς σώμασι κατὰ μικρὰ πανταχοῦ διεσπαρμένον. εἰπὼν οὖν πρὸς τὴν προτέραν δόξαν, προβάλλεται νῦν τὴν λοιπήν, τῷ μὲν ἐκείνῳ τῷ, ὅτε ἔλεγεν, οἱ μὲν οὖν οἴονται τὸ κενὸν εἶναι, εἴπερ ἔσται ἡ κατὰ τόπον κίνησις, ἀποκεκριμένον καθ' αὑτό, τὴν δὲ νῦν ἐπαγαγών, ἐν τῷ, εἰσὶ δέ τινες, οἳ διὰ τοῦ μανοῦ καὶ τοῦ πυκνοῦ οἴονται φανερὸν εἶναι ὅτι ἔστι τὸ κενόν. οὗτοι γὰρ ἔλεγον ὅτι εἰ ἔστι μάνωσις καὶ πύκνωσις, ἔστι κενόν. καὶ ἤδη μὲν ἀντείρηκε πρὸς τὸν λόγον. εἷς γὰρ καὶ οὗτος τῶν ἐν ἀρχῇ τιθέντων τὸ κενὸν τεσσάρων λόγων ἦν κατὰ ἀλήθειαν λύειν, τῶν μέν, τὸ κεχωρισμένον καὶ καθ' αὑτὸ κενὸν ἀπὸ τῆς κινήσεως εἰσαγόντων, τῶν δὲ τὸ παρεσπαρμένον ἀπὸ τῆς μανώσεως καὶ τῆς πυκνώσεως. νῦν δὲ ἀκριβέστερον τὴν κατασκευὴν ἐκτίθεται τοῦ λόγου, καὶ τὴν ἀναίρεσιν ἐπάγει. οὐ μόνον γὰρ τὴν μάνωσιν καὶ τὴν πύκνωσιν ἀναιρεῖσθαι ἔλεγον οὗτοι, ἀναιρουμένου τοῦ κενοῦ, ἀλλ' ὅτι εἰ μὴ ἔστι κενόν, οὐκ ἔστι μάνωσις καὶ πύκνωσις. εἰ δὲ μὴ ἔστι μάνωσις καὶ πύκνωσις, ὅλως κίνησις οὐκ ἔσται. οὔτε γὰρ ἡ κατὰ τόπον, οὔτε ἡ κατὰ αὔξησιν, οὔτε ἡ κατ' ἀλλοίωσιν καὶ γένεσιν. τήν τε γὰρ κατὰ τόπον οὐκ ἄλλως γίνεσθαι φασίν, ἢ συστελλομένων καὶ πιλουμένων τῶν σωμάτων, καὶ χώραν τοῖς δι' αὐτῶν κινουμένοις παρεχόντων, ὥσπερ τοῖς διὰ πλῆθος βαδίζουσι. καὶ τὰ αὐξανόμενα δὲ καὶ ἐπεκτεινόμενα κατὰ τὸν ὄγκον πυκνουμένων ἄλλων καὶ συστελλομένων εἰς τὰ ἐν ἑαυτοῖς κενά, χώραν εἰς τὴν ἐπίδοσιν λαμβάνειν. ἀλλὰ καὶ τὰ γινόμενα μείζονα ἐξ ἐλαττόνων, καὶ χώραν μείζονα καταλαμβάνοντα, τῷ πιλεῖσθαι καὶ συστέλλεσθαί τινα γίνεται. πλῆσις

δὲ οὐκ ἔστι,

διὸ οὐκ ἔστι, μὴ παρεσπαρμένου κενοῦ τοῖς σώμασιν. ὅλως δὲ μανώσεως μὴ οὔσης, μὴ δύνασθαί τι ἐξ ἐλάττονος γίνεσθαι μεῖζον. μάνωσιν δὲ κενοῦ χωρὶς μὴ εἶναι διαλαμβάνοντος τὰ σώματα. ἀλλ' οὐδὲ ἀλλοίωσις γένοιτ' ἂν χωρὶς τῆς κατὰ τόπον κινήσεως. δεῖ γὰρ κινηθέντα πλησιάζειν ἀλλήλοις τό, τε ἀλλοιοῦν καὶ τὸ ἀλλοιούμενον. ἔλεγον οὖν ὡς εἰ μὴ ἔστι κενόν, οὐκ ἔστι μάνωσις καὶ πύκνωσις. εἰ δὲ μὴ εἴη μάνωσις καὶ πύκνωσις, οὐκ ἔστι κίνησις. εἰ δὲ μὴ οὔσης μανώσεως καὶ πυκνώσεως εἴη κίνησις, κυμανεῖ τὸ πᾶν, ὡς φησὶ Ξοῦθος ὁ Πυθαγορικός, καὶ ὑπερχυθήσεται καὶ ἐπὶ πλέον ἐκταθήσεται. ὡς ἡ θάλασσα διὰ τῶν κυμάτων εἰς τοὺς αἰγιαλοὺς ὑπερχεῖται. τοῦτο οὖν συμβαίνειν τῶν τε τοπικῶς ἐπ' εὐθείας κινουμένων προσωθούντων τὰ παρακείμενα, καὶ τῶν αὐξομένων ὁμοίως, διὰ τὸ μὴ εἶναι πίλησιν, δι' ἣν χώρα τοῖς προσιοῦσι γενήσεται. ἐπὶ μόνων γὰρ τῶν κύκλῳ κινουμένων τὴν ἀντιμετάστασιν γίνεσθαι. ἐπὶ τούτων γὰρ μόνων ἐδέχοντο τὴν ἀντιπερίστασιν. καὶ ὅταν δέ τι τῶν πεπυκνωμένων σωμάτων εἰς μανώτερον μεταβάλλῃ, προωθεῖσθαι πάλιν ἀνάγκη καὶ ὑπερχεῖσθαι. ἡ δὲ ὑπέρχυσις οὐκ ἂν γένοιτο πάλιν, μὴ ὄντος κενοῦ τοῦ κεχωρισμένου δηλονότι ἔξω τοῦ παντός. ὥστε εἰς τὸ αὐτὸ πάλιν ἥκει ὁ λόγος. ἀναιρουμένου γὰρ τοῦ κενοῦ, ἀναιρεῖται πίλησις. ἧς ἀναιρουμένης, εἰσάγεται τὸ κενόν. οὐ γὰρ δὴ εἰς σῶμα κυμανεῖ τὸ πᾶν, ἀλλ' εἰς κενὸν πάντως. ἔστι δέ τις καὶ ἄλλη πλασματώδης ὑπόθεσις ἐπὶ τῶν γενέσεων. εἴποι γὰρ ἄν τις ὅτι ὅταν μεταβάλλῃ κυαθιαῖον ὕδωρ εἰς μείζονα ἀέρα, ἄλλος ἀὴρ ὁπουοῦν ἴσος τούτῳ μεταβάλλων εἰς κυαθιαῖον ὕδωρ φυλάττει τὴν ἰσότητα. ἢ καὶ πῦρ ἐνίοτε εἰς ἀέρα μεταβαλὸν, τὴν ἀναλογίαν τηρεῖ. οὕτω γὰρ οἶμαι κάλλιον ἀκούειν, ἢ ὡς ὁ Θεμίστιος ἤκουσεν, ὅτι ἀνάγκη ἐξ ὕδατος κυαθιαίου κυαθιαῖον ἀέρα γίνεσθαι. τοῦτο δὲ ἀδύνατον. τάχα δὲ καὶ ὁ Ἀλέξανδρος οὕτως ἐξηγεῖται λέγων, ἴσον εἰς ἴσα γίνεσθαι τὴν μεταβολήν. εἰ μὴ ἄρα ἀμφότερα ἀμφοτέροις ἴσα λέγει, ἀλλ' οὐχὶ τῷ ὕδατι τὸν ἀέρα ὡς ὁ Θεμίστιος. εἰ οὖν ταῦτα ἄτοπα τό, τε μὴ εἶναι κενὸν καὶ τὸ ὑπερχεῖσθαι τὸ πᾶν, καὶ τὸ ἴσας γίνεσθαι τὰς μεταβολάς, ἀνάγκη κενὸν ἐν τοῖς σώμασι μεμιγμένον εἶναι. οὕτω γὰρ μόνως ἔσεσθαι πίλησίν τε καὶ μάνωσιν, καὶ μηδὲν ἀκολουθήσειν ἔτι τῶν εἰρημένων ἀτόπων.

ΕΙ ΜΕΝ οὖν τὸ μανὸν λέγουσι, τὸ, πολλὰ κενὰ κεχωρισμένα ἔχον, φανερόν. ὡς εἰ μηδὲ κενὸν ἐνδέχεται εἶναι χωριστόν. ὥσπερ μηδὲ τόπον ἔχοντα διάστημα ἑαυτοῦ, οὐδὲ μανὸν οὕτως. εἰ δὲ μὴ χωριστόν. ἀλλ' ὅμως ἐνεῖναί τι κενόν, ἧττον μὲν ἀδύνατον. συμβαίνει δὲ πρῶτον μὲν, οὐ πάσης κινήσεως αἴτιον τὸ κενόν. ἀλλὰ τῆς ἄνω, τὸ γὰρ μανὸν, κοῦφον. διὸ καὶ τὸ πῦρ μανὸν εἶναί φασιν. ἔπειτα κινήσεως αἴτιον, οὐχ οὕτω τὸ κενὸν, ὡς ἐν ᾧ. ἀλλ' ὥσπερ οἱ ἀσκοὶ τῷ φέρεσθαι αὐτοὶ ἄνω, φέρουσι τὸ συνεχὲς, οὕτω τὸ κενὸν ἀναφερές, καίτοι, πῶς οἷόν τε φορὰν εἶναι κενοῦ. ἢ τόπον κενοῦ. κενοῦ γὰρ γίνεται κενὸν, εἰς ὃ φέρεται. ἔτι δὲ πῶς ἐπὶ τοῦ βαρέος ἀποδώσουσι τὸ φέρεσθαι κάτω. καὶ δῆλον ὅτι εἰ ὅσῳ ἂν μανότερον καὶ κενώτερον ᾖ, ἄνω οἰσθήσεται, εἰ ὅλως εἴη κενὸν τάχιστ' ἂν φέροιτο. ἴσως δὲ, καὶ τοῦτο ἀδύνατον κινεῖσθαι. λόγος δ' ὁ αὐτὸς ὅτι ὥσπερ καὶ ἐν τῷ κενῷ ἀκίνητα πάντα, οὕτω καὶ τὸ κενὸν ὅτι ἀκίνητον. ἀσύμβλητα γὰρ τὰ τάχη.

Παραστήσας ὡς οἷόν τε ἦν τοῖς ἀπὸ τοῦ μανοῦ καὶ τοῦ πυκνοῦ τὸ κενὸν εἰσάγουσι λόγοις, καὶ προθέμενος ὑπαντῆσαι πρὸς αὐτοὺς, διαιρεῖ πάλιν τὸ κενὸν εἴς τε τὸ κεχωρισμένον καὶ τὸ ἀχώριστον. καὶ κεχωρισμένον μὲν κενὸν λέγει, τὸ καθ' αὑτὸ ὂν διάστημα συνεχὲς, δεκτικὸν μὲν σώματος, μὴ μέντοι δεδεγμένον. μὴ χωριστὸν δὲ, τὸ διεσπαρμένον ἐν τοῖς σώμασιν. αὗται γὰρ ἦσαν αἱ δύο τῶν τὸ κενὸν λεγόντων ὑποθέσεις. διαιρεῖ δὲ οἶμαι νῦν τὸ διεσπαρμένον, εἴς τε τὸ κατὰ μεγάλα διεσπαρμένον, καὶ εἰς τὸ μὴ κατὰ μεγάλα. καὶ λέγει ὅτι οἱ τὸ μανὸν λέγοντες, εἰ μὲν τοιοῦτον λέγουσιν ὡς ἔχον πολλὰ κεχωρισμένα, τουτέστιν ἔχοντα περιγραφὰς ἀξιολόγους, ἤδη δέδεικται ὅτι ἀδύνατον εἶναι κενὸν τοιοῦτον, ὡς καὶ κινεῖσθαι ἄν τι δι' αὐτοῦ. τὸ δὲ αὐτὸ ἐδείχθη καὶ ὅτε τὸν τόπον ἐδείκνυμεν μὴ ὄντα διάστημά τι κεχωρισμένον. ὅλως δὲ οὐδὲ μανὸν εἴη ἂν κατὰ τοιοῦτον τρόπον. εἰ δὲ τὸ μανὸν λέγοιεν, ὡς κατὰ μικρὰ ἐνεσπαρμένου τοῦ κενοῦ καὶ μὴ χωριστοῦ, πιθανωτέρα μὲν ἡ ὑπόθεσις καὶ ἧττον ἀδύνατος δοκοῦσα. συμβαίνει δὲ καὶ ταύτῃ ἄτοπα τὰ ῥηθησόμενα. πρῶτον μὲν ὅτι οὐ πάσης κινήσεως αἴτιον τὸ τοιοῦτο κενόν. ἀλλ' εἴπερ ἄρα, τῆς ἄνω. τὸ γὰρ μανὸν ὅπερ δοκεῖ μανὸν, διὰ τὸ ἐν αὐτῷ τοιοῦτον κενὸν, κοῦφον ἐστὶ καὶ ἀνώφορον. διὸ καὶ τὸ πῦρ μανὸν εἶναι καὶ αὐτοί φασι. τί οὖν αἴτιον ἔσται τῆς ἐπὶ τὸ κάτω κινήσεως, ὅπερ μετ' ὀλίγον ἐπάξει. ἀλλὰ νῦν συγχωρήσας τὸ μανὸν αἴτιον εἶναι τῆς ἐπὶ τὸ ἄνω κινήσεως, πῶς αἴτιον αὐτὸ τῆς τοπικῆς κινήσεως συμβαίνει γίνεσθαι, δείκνυσιν ὅτι οὐχ οὕτως ὡς τὸ δι' οὗ ἡ κίνησις, ὡς ἔλεγον οἱ τὸ κεχωρισμένον εἰσάγοντες κενόν. ἀλλ' ὡς αὐτὸ κινοῦν, καὶ ὡς τὸ ὑφ' οὗ ὥσπερ ἡ φύσις ἐδείχθη κινοῦσα. προσφυῶς δὲ καὶ χαριέντως εἰς παράδειγμα παρέθετο τοὺς ἐν ὕδατι πεφυσημένους ἀσκούς. οἵτινες τὰ ὑποκείμενα κουφίζουσιν ὡς τὰ ἐν θαλάττῃ δίκτυα, καὶ τὰ ἐπικείμενα αὐτοῖς. πολλοὶ γοῦν ποταμοὺς διαπεραιοῦνται, πορθμείοις τοῖς ἀσκοῖς χρώμενοι. οὕτω δὲ καὶ τὸ κενὸν δοκεῖ τὰ σώματα τὰ ἐν οἷς ἐστὶ κουφίζειν, τῷ αὐτὸ ἄνω φέρεσθαι. εἰ δὴ τοιοῦτο τὸ κενὸν, δύο ἄτοπα ἐπάγει πως. ἓν μὲν, τὸ εἶναι τινὰ κίνησιν καὶ φορὰν κενοῦ. πῶς γὰρ οἷόν τε φορὰν εἶναι κενοῦ, κενοῦ γε ὄντος. δεύτερον, εἰ ἄνω φέρεται κατὰ φύσιν

τὸ κενόν, ἔσται ἐν τῷ ἄνω δηλονότι ὡς ἐν τόπῳ· ὥστε καὶ αὐτὸ δηλονότι κενὸν ἔσται. ὥστε ἔσται τὸ κενὸν ἐν κενῷ. ἐπὶ δὲ τούτοις ἐπάγει τὸ ἑπόμενον ἄτοπον τοῖς ἀνωφορὸν λέγουσι τὸ κενόν. ἔστω γὰρ τοῦτο τῆς ἐπὶ τὸ ἄνω κινήσεως αἴτιον. τί δὴ ἐροῦσιν ἐπὶ τοῦ βαρέος, καὶ πῶς τὴν αἰτίαν ἀποδώσουσι τοῦ κάτω φέρεσθαι. οὐ γὰρ δὴ καὶ ταύτης τὸ κενὸν ἔσται αἴτιον. οὐ γὰρ ἐπισπάσεται κάτω καὶ τὰ ἐν οἷς ἐστι σώματα. ὥστε οὐχ ἁπλῶς τῆς κατὰ τόπον κινήσεως αἴτιον αὐτοῖς τὸ κενόν. ἀλλὰ ἄλλο τι τὸ καὶ τῆς κάτω καὶ τῆς ἄνω κινήσεως αἴτιον. ὡς γὰρ καθ' οὓς ἡ φύσις αἰτία κινήσεώς ἐστι τοῖς σώμασιν, οὐ τῆς ἄνω μόνον εἶναι λέγεται ἀλλ' ὁμοίως ἀμφοῖν, οὕτω καὶ τὸ κενὸν ἂν εἰ εἴη κινήσεως αἴτιον, ὁμοίως τῆς τε ἄνω καὶ τῆς κάτω ῥηθήσεται. εἰ δέ τις λέγοι τὰ βαρέα κατὰ τὴν ἐνοῦσαν ἐν τοῖς σώμασι κατωφορὸν αἰτίαν κάτω φέρεσθαι, βαρύτητα καλουμένην, διατί μὴ καὶ τὰ κοῦφα διὰ τὴν ἐν αὐτοῖς κουφότητα φέρεται ἐπὶ τὸ ἄνω, ἀλλὰ κωλύει ἡ φύσις, τὸ ἀντικείμενον τῇ βαρύτητι μὴ ἀποδοῦσα. ἁρμόζει δὲ οὗτος ὁ λόγος πρὸς τοὺς πάντα τὰ σώματα φύσει βαρέα καὶ κατωφορὰ λέγοντας. τοῦ δὲ ἄλλα ἄλλοις ἐπιπολάζειν, οἱ μὲν τὸ κενόν, οἱ δέ, τὴν τῶν βαρυτέρων ὑφίζησιν αἰτιῶνται. προστίθησι δὲ καὶ ἄλλο ἄτοπον τοῖς τὸ κενὸν τῆς ἄνω φορᾶς τῶν σωμάτων αἰτιωμένοις. εἰ γὰρ τοῦτο αἴτιον τῆς ἐπὶ τὸ ἄνω φορᾶς, ὡς ἑαυτῷ συναναφέρον τὰ σώματα, δηλονότι αὐτὸ καθ' αὑτὸ τὸ κενὸν τάχιστα ἂν οἰσθήσεται, εἴπερ καὶ τὰ σώματα ὀχοῦν φέρεται. καὶ τί ἄτοπον φαίη ἄν τις. ἢ ὅτι καὶ ἀδύνατόν ἐστι κινηθῆναι ὅλως τὸ κενόν. ὁ δὲ αὐτὸς λόγος φησὶν ἔσται καὶ νῦν, ὁ πρότερον δείξας ὅτι ἐν κενῷ οὐ γίνεται κίνησις, ἐπεὶ μὴ λόγον τινὰ ἔχει τὸ κενὸν πρὸς τὸ πλῆρες, οὗτος δείκνυσιν ὡς οὐδὲ τὸ κενὸν κινηθήσεται. εἰ γὰρ ἄλλο ἄλλου σῶμα θᾶττον κινεῖται διὰ τοῦ αὐτοῦ κινούμενον κατὰ τὴν ὑπεροχήν, ὥσπερ ἐπὶ τῶν κάτω φερομένων τῆς βαρύτητος, οὕτως ἐπὶ τῶν ἄνω φερομένων τῆς κουφότητος καὶ μανότητος, καὶ κατὰ ἀναλογίαν τὰ πλείονα κουφότητα ἔχοντα ἐν ἐλάττονι χρόνῳ, ἐπεὶ τὸ κοῦφον σῶμα μηδένα λόγον ἔχει πρὸς τὸ κενὸν μηδὲ ὑπερέχει αὐτοῦ, οὐδ' ἂν χρόνος τις αὐτοῦ εἴη ἐν ᾧ τὸ κενὸν ἄνω τὴν ἴσην κινεῖται τῷ κούφῳ σώματι. πᾶσαν γὰρ σωματικὴν κουφότητα ὑπεραίρει τὸ κενὸν κουφότητι κατὰ ἀσύμβλητον ὑπεροχήν. ὃν γὰρ ἔχει λόγον ὁ χρόνος, ἐν ᾧ κεκίνηται τὸ κενόν, πρὸς τὸν χρόνον ἐν ᾧ τὸ κοῦφον σῶμα, τοῦτον ἕξει καὶ τὸ κενὸν πρὸς τὸ σῶμα. ἀλλ' οὐδείς ἐστι τοῦ κενοῦ πρὸς τὸ σῶμα λόγος, ὡς οὐδὲ τοῦ μηδενὸς πρὸς ἀριθμόν. οὐκ ἄρα ἐν χρόνῳ τὸ κενὸν κινεῖται. οὐδὲ κινεῖται ἄρα. τὸ δὲ ἴσως προσέθηκεν, ὅτι κυρίως μὲν λαμβανομένου τοῦ κούφου καὶ μανοῦ σώματος, ἀναμφισβήτητον τὸ λεγόμενον. τὸ δὲ ὑπ' αὐτῶν λεγόμενον κοῦφον, οὐ παρὰ τὴν αὐτοῦ φύσιν ὂν κοῦφον, ἀλλὰ διὰ τὸ μεμίχθαι κενῷ, εἰ μὲν κατὰ τὸ σῶμα τὸ ἐν ἑαυτῷ πρὸς τὸ κενὸν συγκρίνοιτο, ἀσύμβλητα ἂν εἴη. εἰ δὲ κατὰ τὸ κενὸν πρὸς τὸ κενόν, οὐκ ἀσύμβλητα τὰ κενά. εἴη ἂν οὖν τὸ μανώτερον, τὸ ὑπερέχον μὲν κατὰ τὸ κενόν, ὑπερεχόμενον δὲ κατὰ τὸ σῶμα ἔν τινι λόγῳ. εἰ οὖν ἀναιρεῖται ἡ τοῦ κενοῦ κίνησις, οὐδὲ αἴτιον ἂν εἴη κινήσεως οὕτως, ὡς ὑπ' αὐτοῦ κινουμένων τῶν κινουμένων, διὰ τὸ αὐτὸ κινεῖσθαι, ὡς ἔλεγον οἱ τὸ κενὸν τὸ ἀχώριστον λέγοντες. ἀνῄρειτο δὲ ἡ τοῦ κενοῦ κίνησις, καὶ δι' αὐτὸ τοῦτο ὅτι ἄτοπόν ἐστιν εἶναι κενοῦ κίνησιν, καὶ διὰ τὰ ἄλλα.

ΕΠΕΙ ΔΕ κενὸν μὲν, οὔ φαμεν εἶναι, τἄλλα δ' ἠπόρηται ἀληθῶς, ἡ κίνησις οὐκ ἔσται, εἰ μὴ ἔσται πύκνωσις καὶ μάνωσις, ἢ κυμανεῖ ὁ οὐρανός, ἢ ἀεὶ ἴσον ὕδωρ ἐξ ἀέρος ἔσται, καὶ ἀὴρ ἐξ ὕδατος. δῆλον γὰρ ὅτι πλείων ἀὴρ ἐξ ὕδατος γίνεται. ἀνάγκη τοίνυν εἰ μή ἐστι πίλησις, ἢ ἐξωθούμενον τὸ ἐχόμενον τὸ ἔσχατον κυμαίνειν ποιεῖν, ἢ ἄλλοθί που τὸ ἴσον μεταβάλλειν ἐξ ἀέρος εἰς ὕδωρ ἵν' ὁ πᾶς ὄγκος τοῦ ὅλου ἴσος ᾖ, ἢ μηδὲν κινεῖσθαι. ἀεὶ γὰρ μεθισταμένου τοῦτο συμβήσεται, ἐὰν μὴ κύκλῳ περιίστηται, οὐκ ἀεὶ δὲ εἰς τὸ κύκλῳ ἡ φορά, ἀλλὰ καὶ εἰς τὸ εὐθύ. οἱ μὲν δὴ διὰ τοιαῦτα, κενόν τι φαῖεν ἂν εἶναι.

Ἐκείνων λεγόντων ὅτι εἰ μὴ ἔστι κενὸν οὐκ ἔστι μάνωσις καὶ πύκνωσις, εἰ δὲ μὴ ἡ μάνωσις καὶ πύκνωσις, οὐκ ἔστι κίνησις, ἢ κυμανεῖ τὸ πᾶν, αὐτὸς ἐφιστάνει καλῶς, ὅτι τὸ μὲν πρῶτον συνημμένον οὐ παραδεκτέον. οὐδὲ γὰρ ἔστι κενόν, καὶ ὅμως μάνωσις ἐστὶ καὶ πύκνωσις. τὰ δὲ ἐφεξῆς ὡς εἰρημένα καλῶς ἀποδέχεται. εἰ γὰρ μὴ ἔστι μάνωσις καὶ πύκνωσις τῷ ὄντι, ἢ οὐκ ἔστι κίνησις, ἢ κυμανεῖ τὸ πᾶν. ἢ εἴη μὴ ταῦτα, ἀνάγκη εἰ γίνοιτο ἐνταῦθα ὕδωρ ἐξ ἀέρος, ἀλλαχοῦ ἐξ ἴσου ὕδατος ἴσον ἀέρα γίνεσθαι, οὐ τῷ ὕδατι, ἀλλὰ τῷ ἀέρι ἐξ οὗ τὸ ὕδωρ. ὅτι γὰρ οὐχ ὡς ἤκουσαν οἱ ἐξηγηταὶ ἴσον τῷ ὄγκῳ τὸν ἀέρα τῷ ὕδατι λέγει, αὐτὸς παρέστησεν εἰπών. δῆλον γὰρ ὅτι ὁ πλείων ἀὴρ ἐξ ὕδατος γίνεται. καὶ οἶδα μὲν ὅτι τοῦτο ὡς ἔλεγχον ἀκούσονται τοῦ ἀεὶ ἴσον ὕδωρ ἐξ ἀέρος ἔσται, οἱ οὕτω τὸ ἴσον ἐκλαβόντες. ὅτι δὲ οὐχ οὕτως εἴρηται, ἀλλ' ὡς ἑρμηνευόμενον πῶς χρὴ τὴν ἰσότητα λαμβάνειν, ὅτι τοῦ γινομένου οὐ πρὸς τὸ ἐξ οὗ γίνεται, ὅτι εἰ ἐξ ἀέρος ὕδωρ ἐνθάδε, ἀλλαχοῦ ἐξ ἴσου τῷ ἐνθάδε γινομένῳ ὕδατι, ἴσον ἀέρα γινόμενον τῷ ἐξ οὗ γέγονεν ἐνθάδε τὸ ὕδωρ, ὅτι γὰρ οὕτως ὁ ἀριστοτέλης τὴν ἰσότητα εἶπε, δηλοῖ συμπεραινόμενος καὶ λέγων, ἀνάγκη τοίνυν εἰ μὴ ἔστι πίλησις, ἢ ἐξωθούμενον τὸ ἐχόμενον τὸ ἔσχατον κυμαίνειν ποιεῖν, ἢ ἄλλοθί που ἴσον μεταβάλλειν ἐξ ἀέρος εἰς ὕδωρ, ἵνα ὁ πᾶς ὄγκος τοῦ ὅλου ἰσωθῇ, ἢ μηθὲν κινῆται. τὸ γὰρ ἄλλοθι οὐκ ἂν προσέθηκεν, εἰ ἴσον ἔλεγε τῷ ὄγκῳ τὸ ὕδωρ τοῦ ἀέρος εἶναι τὸ γινόμενον τῷ ἐξ οὗ γίνεται. πῶς δὲ δῆλον ὅτι πλείων

ὁ ἀὴρ ἐξ ὕδατος γίνεται. ἢ ὅτι ἐκ τῶν ἀγγείων δῆλον τῶν ῥηγνυμένων τῆς τοῦ ὑγροῦ εἰς πνεῦμα μεταβολῆς. ὡς ἐπὶ τῶν πίθων τοῦ γλεύκους συνεχῶς ὁρᾶται γινόμενον, διὰ τὴν εἰς πλείονα ὄγκον μεταβολήν. ἀναλαμβάνει τοίνυν τὴν ἀπορίαν, βεβαιούμενος τὸ δεῖν εἶναι μάνωσιν καὶ πύκνωσιν, εἴπερ ἀδύνατα ἕπεται τοῖς ἀναιροῦσιν. ἵνα λοιπὸν δείξας ὡς οὐ διὰ τὸ παρεσπαρμένον κενὸν, ἀλλὰ δι' ἄλλην αἰτίαν ἡ μάνωσις καὶ ἡ πύκνωσις γίνεται, ἀνέλῃ τὸ κενὸν ὡς οὐκ ἀναγκαῖον πρὸς ταῦτα μετὰ τοῦ κίνησιν φυλάττειν. ἐπιστῆσαι δὲ ἄξιον ὅτι οἱ ἴσον τὸν ὄγκον τῶν μεταβαλλομένων ὑποτιθέμενοι, καὶ πλασματώδη λέγοντες θέσιν, οὐ παρεισάγουσι κίνησιν ἀλλὰ μόνον τὴν αὔξησιν καὶ τὴν γένεσιν. εἰπὼν δὲ ὅτι ἀνάγκη ἐστὶν εἰ μὴ εἴη κενὸν ἢ μηθὲν κινεῖσθαι, ἢ εἰ κινοῖτό τι, συνεχῶς ἄλλ' οὐ μετ' ἄλλο ὠθουμένου, ἢ κυμαίνειν ἀνάγκη καὶ ἔξω ὑπερχεῖσθαι τὸν οὐρανὸν, ἢ εἰς ἴσα γίνεσθαι τὰς μεταβολὰς, ἐπήγαγε καὶ τὸν ἄλλον τρόπον, καθ' ὃν ἦν δυνατὸν μὴ ὄντος κενοῦ κίνησιν εἶναι. καὶ τούτων συμβαίνει μηδέν. τοῦτο δέ ἐστι τὸ κύκλῳ ἀντιπεριΐστασθαι. ἐπὶ γὰρ τῶν κύκλῳ κινουμένων οὔτε κυμαίνειν ἀνάγκη, οὔτε εἰς ἴσα μεταβάλλειν, οὔτε μάνωσιν ἢ πύκνωσιν εἶναι. διότι τὰ κύκλῳ κινούμενα τὸν αὐτὸν ἀεὶ κατέχει τόπον, καὶ οὐ δεῖται ἑτέρας ἐπιλήψεως. εἰπὼν δὲ τοῦτο, παρίσταται πάλιν τῆς ἀποροῦσι λέγων, ὅτι κἂν ἡ κύκλῳ κίνησις λύει τὰς ἀπορίας οὐδενὸς δεομένη τῶν εἰρημένων, ἀλλ' οὐδὲ πᾶσα κίνησις οὐδὲ ἡ τοπικὴ κύκλῳ γίνεται. ἀλλ' ἔστι κίνησις τοπικὴ ἐπ' εὐθείας, ὥστε μένειν τὸ καλῶς ἠπορημένον ἐπὶ ταύτης. ὅτι πλήσεως μὴ οὔσης, ἢ οὐκ ἔσται κίνησις ἐπὶ τὸ ἄνω ἢ κάτω, ἢ κυμανεῖ τὸ πᾶν, ἢ εἰς ἴσα τὰς μεταβολὰς ἀνάγκη γίνεσθαι. ἵνα οὖν μὴ ταῦτα συμβαίνῃ τὰ ἄτοπα, τὸ κενὸν εἶναι ὑπέθεντο, ὡς πάντων ἀπολῦον αὐτοὺς τῶν τοιούτων. ὅτι δ' οὐκ ἐκείνων ἦν τὸ πιθανὸν τοῦτο τῆς ἀπορίας, ἀλλ' αὐτὸς τῷ λόγῳ παρασὰς τοιοῦτον αὐτὸ ὑπέδειξεν, ἱκανῶς οἶμαι τὸ φαῖον αὖ ἐνδείκνυται, ὡς οὐκ εἰπόντων μὲν, ἐρούντων δὲ ἡδέως, εἴ τις αὐτοῖς τὴν τοιαύτην μεταχείρισιν ἐπιδείξειεν.

Ἡμεῖς δὲ λέγομεν ἐκ τῶν ὑποκειμένων, ὅτι ἐστὶν ὕλη μία τῶν ἐναντίων θερμοῦ καὶ ψυχροῦ καὶ τῶν ἄλλων φυσικῶν ἐναντιώσεων. καὶ ἐκ δυνάμει ὄντος, ἐνεργείᾳ ὂν γίνεται. καὶ οὐ χωριστὴ μὲν ἡ ὕλη τῷ δ' εἶναι ἕτερον, καὶ μία τῷ ἀριθμῷ εἰ ἔτυχε χροιᾶς καὶ θερμοῦ καὶ ψυχροῦ. ἔστι δὲ καὶ σώματος ὕλη καὶ μεγάλου καὶ μικροῦ, ἡ αὐτή. δῆλον δὲ, ὅταν γὰρ ἐξ ὕδατος ἀὴρ γένηται, ἡ αὐτὴ ὕλη οὐ προσλαβοῦσα ἄλλο τι ἐγένετο. ἀλλ' ὃ ἦν δυνάμει, ἐνεργείᾳ ἐγένετο. καὶ πάλιν ὕδωρ ἐξ ἀέρος. ὡσαύτως. ὁτὲ μὲν, εἰς μέγεθος ἐκ σμικρότητος. ὁτὲ δὲ εἰς σμικρότητα ἐκ μεγέθους. ὁμοίως τοίνυν καὶ ἂν ἀὴρ πολὺς ὢν, ἐν ἐλάττονι γένηται ὄγκῳ, καὶ ἐξ ἐλάττονος μείζων, ἡ δυνάμει οὖσα γίνεται ὕλη, ἄμφω. ὥσπερ γὰρ καὶ ἐκ ψυχροῦ θερμὸν, καὶ ἐκ θερμοῦ ψυχρὸν ἡ αὐτὴ ὅτι ἦν δυνάμει, οὕτω καὶ ἐκ θερμοῦ, μᾶλλον θερμόν. οὐδενὸς γενομένου ἐν τῇ ὕλῃ θερμοῦ, ὃ οὐκ ἦν θερμὸν, ὅτε ἧττον ἦν θερμόν. ὥσπερ γε οὐδ' ἡ τοῦ μείζονος κύκλου περιφέρεια καὶ κυρτότης, ἐὰν γίνηται ἐλάττονος κύκλου, ἡ αὐτὴ οὖσα, ἢ ἄλλη, ἐν οὐδενὶ γέγονε τὸ κυρτὸν ὃ ἦν οὐ κυρτὸν, ἀλλ' εὐθύ. οὐ γὰρ τῷ διαλείπειν, τὸ ἧττον, ἢ τὸ μᾶλλόν ἐστι, οὐδ' ἔστι τῆς φλογὸς λαβεῖν τι μέγεθος. ἐν ᾧ οὐ καὶ λευκότης καὶ θερμότης ἔνεστιν. οὕτω τοίνυν καὶ ἡ προτέρα θερμότης τῆς ὑστέρας. ὥστε καὶ τὸ μέγεθος καὶ ἡ μικρότης τοῦ αἰσθητοῦ ὄγκου. οὐ προσλαβούσης τι τῆς ὕλης ἐπεκτείνεται, ἀλλ' ὅτι δυνάμει ἐστὶν ἡ ὕλη ἀμφοῖν. ὥστε ἐστὶ τὸ αὐτὸ, πυκνὸν καὶ μανὸν, καὶ μία ὕλη αὐτῶν.

Εἰπὼν ὅτι κενὸν οὔ φαμεν εἶναι, τὰ δὲ ἄλλα ἠπόρηται καλῶς παρὰ τοῖς ἀπορήσασιν, ὅτι εἰ μὴ εἴη πίλησις, ἓν τῶν εἰρημένων ἀδυνάτων συμβήσεται, ἢ γὰρ οὐκ ἔσται κίνησις, ἢ κυμανεῖ τὸ πᾶν, ἢ ἐπί γε τῶν εἰς μέγεθος ἐπιδιδόντων, ἴσην ἀνάγκη γίνεσθαι τὴν μεταβολὴν, νῦν λύει τὴν ἀπορίαν, συγχωρῶν μὲν εἶναι πίλησιν ἐν τοῖς σώμασιν, οὐ μέντοι διὰ τοῦτο καὶ κενὸν εἶναι ἐπιτρέπων, ἀλλ' ἄλλον τρόπον τὴν πύκνωσιν καὶ τὴν μάνωσιν αἰτιολογῶν, ἀπὸ τῆς ὑποκειμένης τοῖς σώμασιν ὕλης. περὶ ἧς ἐν τῷ πρώτῳ βιβλίῳ διδάξας, εἰκότως ἐκ τῶν ὑποκειμένων ταυτὸν δὲ εἰπεῖν προωμολογημένων ποιήσεσθαι τοὺς λόγους ἐπαγγέλλεται. εἴρηται γὰρ ὅτι ἔστιν ἡ ὕλη ὑποκείμενόν τι τοῖς ἐναντίοις. καὶ ἡ αὐτὴ ὕλη θερμοῦ καὶ ψυχροῦ ἐστίν, ὁμοίως δὲ καὶ ξηροῦ καὶ ὑγροῦ καὶ τῶν ἄλλων ἐναντιώσεων, μεταβάλλουσα ἀπὸ θατέρου εἰς θάτερον, διὰ τὸ ἀεὶ ἐνεργείᾳ μὲν εἶναι τὸ ἕτερον τῶν ἐναντίων, δυνάμει δὲ τὸ ἕτερον. καὶ τῇ μὲν ὑποστάσει οὐδέ ποτε χωρίς ἐστιν ἡ ὕλη ἑνὸς τῶν ἐναντίων. τῷ δὲ οἰκείῳ λόγῳ αὐτῆς καὶ τῇ ἐπινοίᾳ ἄλλη παρὰ ταῦτά ἐστι. καὶ μένουσα κατὰ τὸν ἀριθμὸν ἡ αὐτὴ, ἑκάτερον δέχεται τῶν ἐναντίων. ὥσπερ οὖν τῶν κατὰ τὸ ποιὸν ἐναντιώσεων ἡ αὐτὴ τῷ ἀριθμῷ ἐστὶν ὑποκειμένη ὕλη, οἷον θερμοῦ καὶ ψυχροῦ, λευκοῦ καὶ μέλανος, ἢ γλυκέος καὶ πικροῦ, οὕτω καὶ τῶν ἐν τῷ ποσῷ ἢ περὶ τὸ ποσὸν, καὶ μετὰ ποσοῦ τοῦ τε μεγάλου καὶ μικροῦ τοῦ ἐν τοῖς σώμασιν, ἡ αὐτή ἐστι τῷ ἀριθμῷ δεκτικὴ ὕλη. εἰ μὲν γὰρ εἶχε μέγεθός τι καθ' αὑτὴν ἡ ὕλη ὁποσονοῦν, οὐκ ἂν ἐδέξατο τὸ ἐναντίον ᾧ κατὰ φύσιν εἶχεν οὔτε μεῖζον οὔτε ἔλαττον. ὥσπερ οὐδὲ εἰ λευκὴ ἦν κατὰ φύσιν, ἐδέξατο ἂν τὸ μέλαν. ἐπειδὴ δὲ ὥσπερ τῶν ἄλλων εἰδῶν οὕτω καὶ μεγέθους καὶ σώματος ἐστέρηται, καὶ τὰς ἐν τῷ μεγέθει ἐναντιώσεις ἡ αὐτὴ τῷ ἀριθμῷ μένουσα δέχεται. δῆλον δὲ τοῦτο ἐκ τῆς ἐξ ὕδατος εἰς ἀέρα μεταβολῆς. οὐ γὰρ ἄλλη τις ἐπεισέρχεται ὕλη, ὅταν ἐξ ὕδατος ἀὴρ γένηται. ἀλλ' ἡ τότε οὖσα ὕλη δυνάμει ἦν ἀὴρ ὅταν ἀπὸ τοῦ δυνάμει μεταβάλλει εἰς τὸ ἐνεργείᾳ, ἡ αὐτὴ τῷ ἀριθμῷ μένουσα γίνεται ἀὴρ, ἥ τις ἦν πρό-

τερον ὕδωρ. καὶ μεῖζον γίνεται τὸν ὄγκον τὸ πρότερον ἔλαττον ὄν, οὔτε ὕλης μιχθείσης οὔτε κενοῦ προσεισελθόντος. οὐκέτι γὰρ ἂν ἦν αὕτη δυνάμει ἀήρ, εἴπερ μίξει τινὸς ἀὴρ γέγονεν. ὁμοίως δὲ κἂν ἐξ ἀέρος ὕδωρ γένηται, εἰς ἐλάττονα ὄγκον μεταβάλλει, οὐδεμιᾶς ὕλης ἐξισταμένης. ἐναργέστερον δὲ τοῦτο πεποίηκεν, αὐτὸν τὸν ἀέρα λαβὼν ἐκ μείζονος ἐλάττονα γινόμενον, καὶ ἐξ ἐλάττονος μείζονα, οὔτε προσεισιόντος τινὸς οὔτε ἀπιόντος, ἀλλ' αὐτοῦ τοῦ ἀέρος παχυνομένου καὶ λεπτυνομένου, τῆς ἐν αὐτῷ ὕλης ἄμφω δυναμένης, καὶ ἐκ τοῦ δυνάμει εἰς τὸ ἐνέργεια μεταβαλλούσης, καὶ οὕτως ἐκ μείζονος εἰς ἐλάττονα ὄγκον μεθισταμένης, καὶ ἐξ ἐλάττονος εἰς μείζονα. ἐπειδὴ δὲ οὐκ ἐξ ἀμεγέθους εἰς μέγεθος μεταβάλλει, ἢ ἀνάπαλιν, ἀλλ' ἐκ μείζονος εἰς ἔλαττον, ἢ ἐξ ἐλάττονος εἰς μεῖζον, ὅπερ ἔοικε τῷ μᾶλλον καὶ ἧττον ἐπὶ τῶν ποιοτήτων, διὰ τοῦτο δείκνυσι καὶ ἐπὶ τῶν ἄλλων ποιοτήτων, ὅτι ὡς εἰς τὰ ἐναντία οὕτως εἰς τὸ μᾶλλον καὶ ἧττον μεταβάλλει τὸ αὐτὸ ὑποκείμενον. ὡς γὰρ ἐκ θερμοῦ ψυχρὸν καὶ ἐκ ψυχροῦ θερμὸν γίνεται ἡ αὐτὴ ὕλη, ὅτι ἦν ἄμφω δυνάμει, οὕτω καὶ ἐκ θερμοῦ μᾶλλον θερμόν. οὐ γὰρ οὕτω μεταβάλλει, ὡς τινῶν πρότερον μὲν τοῦ ὑποκειμένου μορίων μὴ ὄντων θερμῶν, νῦν δὲ γεγονότων θερμῶν, ὡς τοῦ ἧττον θερμοῦ μίξει τῶν μὴ θερμῶν ὄντος τοιούτου. καὶ γὰρ ὅτε ἦν ἧττον θερμὸν τὸ σῶμα, ὁμοίως πᾶσα ἡ ὕλη ἦν τοιαύτη. καὶ ὅτε μᾶλλον ἐγένετο θερμή, πᾶσα ὁμοίως ἐπιδέδωκεν. ἂν γὰρ ἄλλα μὲν αὐτῆς εἴη θερμά, ὅτε ἧττον ἐστὶ θερμή, ἄλλα δὲ ὅτε μᾶλλον οὐκέτι ἡ αὐτὴ κατ' ἀριθμὸν θερμοτέρα γίνεται καὶ ἧττον θερμή, δεχομένη τὸ μᾶλλον τε καὶ ἧττον. ἀλλ' ἄλλο τι θερμὸν τῷ προϋπάρχοντι προσγίνεταί τε καὶ προσμίγνυται. ὡς οὖν ἐπὶ τούτων, οὕτω καὶ ἐπὶ τοῦ σώματος τοῦ μανουμένου καὶ πυκνουμένου καὶ μείζονος γινομένου καὶ ἐλάττονος ἡ αὐτή ἐστιν ὕλη, ἄμφω δεχομένη, καὶ οὐκ ἔξωθέν τι εἰσιὸν ἢ ἐξιόν, ὡς οἱ τὸ κενὸν εἰσάγοντες λέγουσιν. ἀγνοούντων γάρ ἐστι τὴν τῆς ὕλης φύσιν, ὡς ἡ αὐτὴ μένουσα δέχεται τὰ ἐναντία. δείξας δὲ ἐπὶ τῶν ἄλλων ποιοτήτων, ὅτι τὸ αὐτὸ μένον ὑποκείμενον δέχεται τὸ μᾶλλον τε καὶ ἧττον, δείκνυσιν αὐτὸ καὶ ἐπὶ τοῦ σχήματος. ἐπειδὴ κἂν ποιὸν ᾖ, ἀλλὰ πολλὴν ἔχει πρὸς μέγεθός τε καὶ ποσότητα κοινωνίαν. ἐὰν γὰρ μείζονος κύκλου περιφέρεια εἰς ἐλάττονος κύκλου κατακαμφθῇ σύστασιν, οὐ τῷ τινὰ μέρη τῆς περιφερείας πρότερον μὴ ὄντα κυρτὰ ἀλλ' εὐθεῖα, νῦν κυρτωθῆναι εἰς ἐλάττονα συνάγεται κύκλον. ἀλλὰ τῷ τὰ ἧττον κυρτά, μᾶλλον γενέσθαι κυρτά. κἄν τε οὖν ἡ αὐτὴ λέγοιτο περιφέρεια, ἡ πρότερον μὲν οὖσα κυρτὴ ὕστερον δὲ γινομένη μᾶλλον, κἄν τε ἄλλη μὲν ἐκείνη ἄλλη δὲ αὕτη, τοῦτο πρόδηλόν ἐστιν, ὅτι οὐχ ὡς εὐθεῖ κυρτότης ἐπεγένετο. ἀλλ' ὅτι τὸ ἧττον κυρτὸν μᾶλλον κυρτὸν γέγονεν. καὶ ἔοικε τὸ, ἢ ἄλλη προσθεῖναι εἰς περιουσίαν ἀποδείξεως. κἂν γὰρ μὴ βούληταί τις τὴν αὐτὴν εἶναι περιφέρειαν, τὴν πρότερον μὲν ἧττον κυρτήν, τανῦν δὲ μᾶλλον γινομένην, ἀλλ' ἄλλην καὶ ἄλλην λέγοι, καὶ οὕτως οὐχ ὡς εὐθεῖ κυρτὸν ἐπεισῆλθεν. ἀλλὰ τὸ ἧττον κυρτὸν μᾶλλον ἐγένετο κυρτόν. ὅλως γὰρ τὸ μᾶλλον ἧττον λέγεται, οὐκ ἐν τῷ διαλείπειν τι εἶδος ἐν τῷ ἧττον λεγομένῳ, καὶ μὴ διαλείπειν ἐν τῷ μᾶλλον. οὐ γὰρ προσεισέρχεταί τι εἶδος, ἀλλὰ τὸ ὅλον ἐπιτείνεται ἢ ἀνίεται. ὡς τὸ θερμότερον. ὡς τὸ γλυκύτερον. ὡς τὸ λευκότερον. οὕτως οὖν καὶ ἐπὶ σμικρότητος καὶ μεγέθους τοῦ αἰσθητοῦ ὄγκου, οὐ προσλαμβάνουσα ἡ ὕλη ἕτερον μέγεθος ἐπεκτείνεται, ἢ ἀποβάλλουσα συστέλλεται, ὡς λέγουσιν οἱ τὸ κενὸν αἰτιώμενοι. ἀλλὰ τὸ αὐτὸ μένον ὑποκείμενον, ὅπερ ἦν δυνάμει μεῖζον, γέγονεν ἐνεργείᾳ μεῖζον ἐξ ἐλάττονος. καὶ ὅπερ ἦν δυνάμει ἔλαττον, γέγονεν ἐνεργείᾳ ἔλαττον ἐκ μείζονος. τοῦτο γάρ ἐστι τὸ εἶναι δεκτικὴν τῶν ἐναντίων τὴν ὑποκειμένην φύσιν. ὅπερ ἐδήλωσε διὰ τοῦ ἡ δυνάμει ὕλη οὖσα, οὐχ ὅτι δυνάμει ὕλη ἐστὶ λέγων, ἀλλ' ὅτι ἡ ὕλη δυνάμει ταῦτά ἐστιν. ὡς δὲ κατὰ τὸ πᾶν μόριον ἡ φλὸξ καὶ θερμὴ καὶ λευκή ἐστιν, οὕτω κατὰ πᾶν μόριον καὶ μανή ἐστιν, οὐχὶ κατὰ τὴν τοῦ κενοῦ μίξιν. οὕτω δὲ ἡ θερμότης καὶ ἡ πρότερον πρὸς τὴν ὕστερον, οὐ τῷ προσιέναι τι ἢ ἀπιέναι ἔχει τὸ μᾶλλον καὶ τὸ ἧττον. οὐ γὰρ προσεισέρχεταί τι ἢ ἀπέρχεται εἶδος. ἀλλ' ἀνίεται ἢ ἐπιτείνεται τὸ αὐτό. αἰσθητὸν δὲ ὄγκον τὸ ἔνυλον εἶπεν, ὡς πρὸς ἀντιδιαστολὴν τοῦ νοητοῦ καὶ τοῦ μαθηματικοῦ. ὁ γὰρ αἰσθητὸς καὶ ἔνυλος, οὗτός ἐστιν ὁ ἐκτεινόμενος, καὶ συστελλόμενος. ἐπιστῆσαι δὲ ἄξιον ὅτι καὶ τὸ μέγεθος εἶδός τι εἶναι βούλεται. καὶ τὸ μικρὸν καὶ μέγα μεγέθους εἰδητικὰς διαφοράς. λόγοι γὰρ καὶ οὗτοι συμπληρωτικοὶ τῶν εἰδῶν προέρχονται εἰς τὴν ὕλην. ὡς γὰρ ἀπὸ λευκοῦ καὶ μέλανος καὶ θερμοῦ καὶ ψυχροῦ καὶ τῶν τοιούτων συμπληροῦται τὰ ζῶα καὶ τὰ φυτά, οὕτω καὶ ἀπὸ μεγέθους οἰκείου. διὸ καὶ ὥρισται ἐν ἑκάστῳ τῶν ζώων τό, τε μέγιστον καὶ τὸ ἐλάχιστον μέγεθος.

ἜΣΤΙ ΔῈ τὸ μὲν πυκνόν, βαρύ. τὸ δὲ μανόν, κοῦφον.

Δείξας ὅπως δυνατὸν εἶναι μάνωσιν καὶ πύκνωσιν καὶ κενοῦ μὴ ὄντος, ἀρκεῖν γὰρ τὴν τῆς ὕλης ἐπιτηδειότητα πρὸς τὴν ἔκτασίν τε καὶ τὴν συστολὴν τοῦ σωματικοῦ μεγέθους, ἐφεξῆς δείκνυσι πῶς τῷ μανῷ καὶ πυκνῷ ἡ διαφορὰ τῶν κατ' εὐθεῖαν κινήσεων ἀκολουθεῖ. εἰ γὰρ τὸ μανὸν κοῦφόν ἐστι, τὸ δὲ κοῦφον ἄνω κινεῖται τῇ αὐτοῦ φύσει, δηλονότι τὸ μανὸν γινόμενον, οὐ διὰ τὸ κενόν, ἀλλὰ διὰ τὴν ὑποκειμένην ὕλην τοῦτο, ἐπειδὴ ἅμα τῷ μανὸν εἶναι καὶ κοῦφόν ἐστι, καὶ ἄνω κινήσεται. ὁμοίως δὲ εἰ τὸ πυκνὸν καὶ βαρύ, τὸ δὲ βαρὺ κάτω, ἕξομεν τὰς αἰτίας τῆς κατὰ τόπον ἐπ' εὐθείας κινήσεως

μὴ δεόμενοι τοῦ κενοῦ.

ἜΤΙ ὭΣΠΕΡ ἡ τοῦ κύκλου περιφέρεια συναγομένη εἰς ἔλαττον οὐκ ἄλλο τι λαμβάνει τὸ κοῖλον. ἀλλ' ὃ ἦν συνήχθη, οὕτω καὶ τοῦ πυρὸς ὅτι ἄν τις λάβοι πᾶν ἐστι θερμὸν, οὕτω καὶ τὸ πᾶν συναγωγῇ καὶ διαστολῇ τῆς αὐτῆς ὕλης.

Αὕτη ἡ ῥῆσις δοκεῖ τὰ πρότερον εἰρημένα πάλιν λέγει. πῶς τὰ μᾶλλον καὶ ἧττον γινόμενα οὐ προσθήκῃ τινὸς ἢ ἀφαιρέσει τοῦτο πάσχει, οὔτε ἐπὶ τοῦ κυρτοῦ σχήματος, οὔτ' ἐπὶ τῆς τοῦ πυρὸς θερμότητος, οὔτ' ἐπὶ τῆς τοῦ μεγέθους ἐπιτάσεώς τε καὶ ἀνέσεως ἀλλὰ τῆς αὐτῆς ὕλης εἰς τἀναντία μεταβαλλομένης. καὶ οὐδὲν τοῖς ἤδη εἰρημένοις περὶ τούτου προστίθησιν. ἐν οἷς ἔλεγεν ὥσπερ γε οὐδὲ ἡ τοῦ μείζονος κύκλου περιφέρεια καὶ κυρτότης, καὶ τὰ ἑξῆς. ἀλλ' ἐκείνων τίς ἐστι παράφρασις. διὸ καὶ ἔν τισιν ἀντιγράφοις οὐ φέρεται, ὡς ἀπὸ παραγραφῆς εἰσενεχθεῖσα. τοιοῦτος καὶ ὁ τοῦ λόγου χαρακτήρ. ἀλλ' ἕπεται τῇ λέξει τῇ λεγούσῃ, ἔστι δὲ τὸ μὲν πυκνὸν βαρὺ, τὸ δὲ μανὸν κοῦφον, ἡ λέγουσα δύο γάρ ἐστιν ἀφ' ἑκατέρου τοῦ τε πυκνοῦ καὶ τοῦ μανοῦ, καὶ τὰ ἑξῆς.

ΔΥ'Ο ΓΑ'Ρ ἐστιν ἐφ' ἑκατέρου τοῦ τε πυκνοῦ καὶ τοῦ μανοῦ. τό τε γὰρ βαρὺ καὶ τὸ σκληρὸν, πυκνὰ δοκεῖ εἶναι. καὶ τἀναντία, μανὰ. τό τε κοῦφον καὶ τὸ μαλακόν. διαφωνεῖ δὲ τὸ βαρὺ καὶ τὸ σκληρὸν ἐπὶ μολύβδου καὶ σιδήρου.

Εἰπὼν ὅτι τὸ μὲν πυκνὸν βαρύ ἐστι, τὸ δὲ μανὸν κοῦφον, προστίθησιν ὅτι οὐ τὸ βαρὺ μόνον ἕπεται τῷ πυκνῷ, ἀλλὰ καὶ τὸ σκληρόν. καὶ αὖ πάλιν τῷ μανῷ, οὐ τὸ κοῦφον μόνον, ἀλλὰ καὶ τὸ μαλακόν. ὡς δύο εἶναι ἀφ' ἑκατέρου τοῦ τε πυκνοῦ καὶ τοῦ μανοῦ, τοῦ μὲν, τὸ βαρὺ καὶ τὸ σκληρὸν, τοῦ δὲ τὸ κοῦφον καὶ μαλακόν. τὴν δὲ χρείαν τῆς τοῦ μαλακοῦ καὶ σκληροῦ προσθήκης μετ' ὀλίγον εἰσόμεθα, ὅταν διὰ ταύτης τῶν ἄλλων τινῶν κινήσεων τῶν παρὰ τὴν τοπικὴν αἰτίαν τὴν ὕλην δεικνύῃ. ὅτι δὲ τοῦτο κἂν ἐπὶ τῶν πλειόνων οὕτως ἔχῃ, οὐκ ἐπὶ πάντων ἐστὶν ἀπαράβατον, ὑπέμνησεν ἡμᾶς διὰ σιδήρου καὶ μολύβδου. ὁ γὰρ μόλυβδος καίτοι μαλακώτερος ὢν τοῦ σιδήρου, βαρύτερος ὅμως ἐστὶν αὐτοῦ ἐν τῷ ἴσῳ ὄγκῳ καὶ μανότερος. καὶ μή ποτε οὐ μάτην τοῦτο προστέθεικεν, ἀλλ' ἐνδεικνύμενος ὅτι τὸ μανὸν εἶδός τι καὶ αὐτό ἐστιν, οὐ κατὰ παρεμπλοκὴν πλείονος κενοῦ γινόμενον. εἰ γὰρ τοῦτο, καὶ κουφότερον πάντως ἦν. νῦν δὲ οὐχ οὕτως ἔχον φαίνεται. εἴπερ ὁ μόλυβδος μανότερος ὢν τοῦ σιδήρου καὶ ἁπαλώτερος, βαρύτερος ὅμως ἐστὶν αὐτοῦ.

ἘΚ ΔΗ' τῶν εἰρημένων φανερὸν, ὡς οὔτ' ἀποκεκριμένον ἐστὶ κενὸν, οὔθ' ἁπλῶς. οὔτε ἐν τῷ μανῷ, οὔτε δυνάμει. εἰ μή τις βούλοιτο πάντως καλεῖν κενὸν, τὸ αἴτιον τοῦ φέρεσθαι. οὕτω δ' ἡ τοῦ βαρέος καὶ κούφου ὕλη ἡ τοιαύτη, εἴη ἂν τὸ κενόν. τὸ γὰρ πυκνὸν καὶ τὸ μανὸν, κατὰ ταύτην τὴν ἐναντίωσιν, φορᾶς ποιητικά. κατὰ δὲ τὸ σκληρὸν καὶ μαλακὸν, πάθους καὶ ἀπαθείας καὶ οὐ φορᾶς ἀλλ' ἑτεροιώσεως μᾶλλον.

Οἱ τὸ κενὸν λέγοντες, οἱ μὲν ἐνεργείᾳ ἔλεγον αὐτὸ εἶναι ἀεὶ ἀποκεκριμένον τῶν σωμάτων. οἱ δὲ δυνάμει, ὡς γινόμενον καὶ ἀπολλύμενον τοῖς σώμασι. καὶ τῶν ἐνεργείᾳ λεγόντων ἀποκεκριμένον, οἱ μὲν, ἁπλῶς καὶ καθ' αὑτὸ εἶναι ἔλεγον ἐκτὸς τῶν σωμάτων. ὡς οἱ τὸ κενὸν ἐκτὸς τοῦ κόσμου τιθέντες. οἱ δὲ, ἀποκεκριμένον μὲν καὶ ὡς ἐνεργείᾳ, οὐ μέντοι καθ' αὑτὸ ὂν, ἀλλὰ παρεσπαρμένον ἐν τοῖς σώμασι, καὶ διακόπτον αὐτῶν τὴν συνέχειαν. ὃ καὶ μανότητος αἴτιον γίνεται. ἔδειξεν οὖν ὅτι οὔτε ὡς καθ' αὑτὸ, οὔτε ὡς ἐν τοῖς σώμασι παρεσπαρμένον ἐστίν. ὥστε κατ' οὐδένα τρόπον ὡς ἐνεργείᾳ ὂν καὶ ἀποκεκριμένον. δυνάμει δέ φησιν ὁ Ἀλέξανδρος λέγοι ἂν τοῦτο, πρὸς ὃ τοὺς ὑστέρους ἐποιήσατο λόγους. ὃ γὰρ ἐγκεκρᾶσθαι καὶ μεμῖχθαι τοῖς σώμασι, μανότητος καὶ κουφότητος αὐτοῖς αἴτιον ἐλέγετο γίνεσθαι. τοῦτο δ' ἂν εἴη οἶμαι τὸ παρεσπαρμένον κενόν. ὅτι δὲ μὴ εἰσάγει τὴν μανότητα τὸ κενὸν, δέδεικται. ταῦτα μὲν ὁ Ἀλέξανδρος. ἐπιστῆσαι δὲ ἄξιον, εἰ τὸ δυνάμει κενὸν αἴτιον εἴρηται μανώσεως, ἀλλ' οὐχὶ τὸ ἐνεργείᾳ παρεσπαρμένον. μή ποτε οὖν δυνάμει λέγει κενὸν, τὸ μή πω μὲν ὂν, κατὰ διάστασιν δὲ τῶν σωμάτων ἄλλοτε ἄλλου γινόμενον. ὥσπερ ἡμεῖς τοὺς πόρους γίνεσθαι φαμὲν, ἐν οἷς ἐστιν ἀεί τι λεπτότερον τοῦ περιέχοντος σώματος. δῆλον δὲ ὅτι εἰ τὸ ἐνεργείᾳ κενὸν οὐκ ἔχει πάροδον εἰς τὰ ὄντα, οὐδὲ τὸ δυνάμει ἕξει. τὸ γὰρ δυνάμει τοῦτό ἐστι πανταχοῦ, τὸ πεφυκὸς εἰς ἐνέργειαν ἄγεσθαι πάντως, ἐὰν μὴ προσαπαγορεύσῃ πρὸς τὸ εἶναι τὸ ὑποκείμενον. δείξας δὲ ὅτι μὴ ἔστιν ὅλως κενὸν, ἐπειδὴ οἱ τὸ κενὸν τιθέμενοι ὡς αἴτιον αὐτὸ κινήσεως ἐτίθεντο, συγκαταβαίνων τῷ λόγῳ, καὶ τὴν δυνατὴν αὐτοῖς διόρθωσιν ἐπάγων, ὑπομιμνήσκει λέγων, ὅτι εἰ τὸ τῆς κατὰ τόπον κινήσεως αἴτιον τοῦτο λέγουσι τὸ κενὸν, αἴτιον δὲ ταύτης ἡ ὕλη δεκτικὴ μανότητος οὖσα καὶ πυκνότητος, ἢ ἀκριβέστερον εἰπεῖν κουφότητος καὶ βαρύτητος, λεγέσθω ἡ ὕλη κενόν. καὶ γὰρ ἐπιπρέπει ταύτῃ τὸ ὄνομα. καὶ εἴπερ εἴη ἐν ὑποστάσει, αὕτη ἂν εἴη τὸ κενόν. ἥ τις δέδεικται μὲν τῶν ὄντων οὖσα, οὐδὲν δὲ τῶν συνεγνωσμένων εἰδῶν, ἀλλὰ κατὰ ἀφαίρεσιν, ὡς κενὴ πάντων νοουμένη. ἐπειδὴ δὲ τὸ μανὸν καὶ τὸ πυκνὸν ἑκάτερον, δύο εἶχε συνεισφέροντα, τὸ μὲν μανὸν τό, τε κοῦφον καὶ τὸ μαλακὸν, τὸ δὲ πυκνὸν τό, τε βαρὺ καὶ τὸ σκληρὸν, εἰκότως τὸ μανὸν καὶ πυκνὸν κατὰ μὲν τὸ κοῦφον καὶ βαρὺ, τῆς ἐπ' εὐθείας κινήσεώς ἐστιν αἴτια. κατὰ δὲ τὸ μαλακὸν καὶ σκληρὸν, ταύτης μὲν οὐκέτι, εὐπαθείας δὲ καὶ δυσπαθείας. καθ' ἃς αἱ μεταβολαὶ καὶ ἑτεροιώσεις γίνονται. καὶ γὰρ

εὐπαθὲς μὲν τὸ μαλακόν ἐστι, δυσπαθὲς δὲ τὸ σκληρόν. ἔδειξεν οὖν εὐθὺς διὰ τούτων, ὅτι καὶ τῆς κατὰ ἀλλοίωσιν κινήσεως ἡ ὕλη ἐστὶν αἰτία, καὶ οὐχὶ τὸ κενόν. εἴπερ ἡ ἀλλοίωσις τῇ σκληρότητι καὶ μαλακότητι ἀκολουθεῖ, αὗται δὲ τῇ μανώσει καὶ πυκνώσει, αὗται δὲ διὰ τὴν ὕλην. ἀλλοίωσιν δὲ νῦν ἀκουστέον, οὐ τὴν κατὰ ποιότητα μόνην μεταβολήν, ἀλλὰ καὶ τὴν κατὰ ποσότητα καὶ τὴν κατ' οὐσίαν. τὸ γὰρ ποιεῖν καὶ πάσχειν ἐν τούτοις πᾶσι θεωρεῖται τοῖς εἴδεσι. καὶ ἰδοὺ νῦν δῆλον γέγονε τίνος ἕνεκεν ἡ τοῦ μαλακοῦ καὶ σκληροῦ ἐλήφθη ἀντίθεσις. ἵνα γὰρ δείξῃ ὅτι διὰ ταύτης καὶ τῶν ἄλλων τριῶν τῆς κινήσεως εἰδῶν αἰτία ἐστὶν ἡ ὕλη, τῆς κατὰ ποιότητα, τῆς κατὰ ποσότητα, τῆς κατ' οὐσίαν. εἰπὼν δὲ ὅτι ἡ τοῦ βαρέος καὶ κούφου ὕλη κινήσεως αἰτία, προσέθηκε τὸ ἡ τοιαύτη. διότι πάσαις μὲν ὑπόκειται ταῖς διαφοραῖς ἡ ὕλη. οὐ κατὰ πάσας δὲ κινήσεως τῆς τόπον ἐστὶν αἰτία, ἀλλὰ κατὰ μόνην τὴν τοῦ κούφου καὶ βαρέος ἀντίθεσιν.

Κ ΑΙ ΠΕΡΙ μὲν κενοῦ πῶς ἐστι καὶ πῶς οὐκ ἔστι, διωρίσθω τὸν τρόπον τοῦτον.

Κ αὶ ἐν ἀρχῇ τῶν περὶ κενοῦ λόγων προὔθετο ζητεῖν, εἰ ἔστιν ἢ μή, καὶ πῶς ἐστι καὶ τί ἐστι, καὶ νῦν συμπεραινόμενος τὸν λόγον πῶς ἐστι φησὶ καὶ πῶς οὐκ ἔστιν. ὅτι ὡς μὲν ἀποκεκριμένον κενὸν δυνάμει, οὐκ ἔστιν. εἴ τις διάστημα λέγοι τὸ κενὸν ἐστερημένον σώματος ἢ δυνάμει ἢ ἐνεργείᾳ. εἰ μέντοι ὡς κινήσεως αἰτίαν τὴν ὕλην λέγοι τὸ κενόν, συγχωρεῖ κατὰ τοῦτον τὸν τρόπον εἶναι τὸ κενόν. ταῦτα μὲν οὖν ὁ ἀριστοτέλης περὶ τούτου διετάξατο. ὁ μέντοι λαμψακηνὸς στράτων δεικνύναι πειρᾶται ὅτι ἔστι τὸ κενὸν διαλαμβάνον τὸ πᾶν σῶμα, ὥστε μὴ εἶναι συνεχές, λέγων ὅτι οὐκ ἂν δι' ὕδατος ἢ ἀέρος ἢ ἄλλου σώματος ἐδύνατο διεκπίπτειν τὸ φῶς, οὐδὲ ἡ θερμότης οὐδὲ ἄλλη δύναμις οὐδεμία σωματική. πῶς γὰρ αἱ τοῦ ἡλίου ἀκτῖνες διεξέπιπτον εἰς τὸ τοῦ ἀγγείου ἔδαφος. εἰ γὰρ τὸ ὑγρὸν μὴ εἶχε πόρους, ἀλλὰ βίᾳ διέστελλον αὐτὸ αἱ αὐγαί, συνέβαινεν ὑπερεκχεῖσθαι τὰ πλήρη τῶν ἀγγείων. καὶ οὐκ ἂν αἱ μὲν, τῶν ἀκτίνων ἀνεκλῶντο πρὸς τὸν ἄνω τόπον, αἱ δὲ, κάτω διεξέπιπτον. ἀλλὰ ταῦτα μὲν λύειν οἶμαι δυνατὸν κατὰ τὰς περιπατητικὰς ὑποθέσεις. καθ' ἃς καὶ ἡ θερμότης καὶ αἱ ἄλλαι σωματικαὶ δυνάμεις καὶ τὸ φῶς ἀσώματα ὄντα, οὐ χρῄζει κενοῦ διαστήματος ὑποκειμένου πρὸς ὑπόστασιν καὶ δίοδον. ἀλλ' ἐν τοῖς σώμασιν ὑφίσταται, οὐκ ὀγκοῦν τὰ σώματα. εἰ δὲ καὶ σῶμά τις λέγοι τὸ φῶς εἶναι, καὶ ἔνυλον σῶμα, τό γε ἀπὸ σελήνης τοῦ ἡλίου φῶς μαρτυρόμενος, τάς τε ἀνακλάσεις, καὶ τὰς τῶν στερεῶν ἀντιφράξεις, ὅτι παθητικὴ ὕλη συμμέμικται, καὶ οὕτω διὰ τῆς μανώσεως καὶ πυκνώσεως δυνατὸν λύειν τὴν ἀπορίαν. οὐδὲν γὰρ κωλύει τὰ οὕτω μανὰ τῶν σωμάτων, ὡς ὕδωρ καὶ ἀέρα, πυκνούμενα χώραν διδόναι τισὶ τῶν ἀκτίνων εἰς διέκπτωσιν. ὅσαι δὲ πυκνοτέροις μέρεσι προσπίπτουσιν, αὗται ἀντανακλῶνται. ταῦτα μὲν οὖν ὅπερ εἶπον οὕτω λύειν ἴσως δυνατὸν, μηδὲν ἐμποδιζόμενον πρὸς ἀναίρεσιν τοῦ τῷ ὄντι καθ' ὑπόστασιν κενοῦ. τὸ μέντοι καθ' αὑτὸ ὂν διάστημα χωρητικὸν τῶν σωμάτων, καὶ ἐπιτηδειότητας πρὸς τὰς διαφορὰς αὐτῶν διαφόρους ἔχειν, τάχα οὔπω ἐκ τῶν εἰρημένων ἀνῄρηται. καὶ γὰρ ἐν ταῖς μανώσεσι καὶ πυκνώσεσιν εἶναι δεῖ τινα χώραν καὶ διάστημα ἄλλο παρὰ τὸ τῶν σωμάτων. ὅπερ ἐπιλαμβάνει τὸ μανούμενον. οὐ γὰρ ἐν τῷ σώματι γίνεται τῷ πλησιάζοντι, ἀλλ' ἐν τῷ διαστήματι. ἀφ' οὗ τὸ πλησιάζον σῶμα ὠθηθὲν ἢ πιληθὲν ὑπεξέστη. φαίνεται δὲ καὶ ὁ πλάτων τὸ μὲν τῷ ὄντι κενὸν καὶ παντὸς σώματος ἐστερημένον διάστημα ἀπογινώσκων, καὶ τὴν τηλικὴν τούτου λέγων αἰτίαν. ἡ γὰρ τοῦ παντός φησι περίοδος ἐπειδὴ συμπεριέλαβε τὰ γένη κυκλοτερὴς οὖσα, καὶ πρὸς αὐτὰ πεφυκυῖα βούλεσθαι ξυνιέναι, σφίγγει πάντα, καὶ κενὴν χώραν οὐδεμίαν ἐᾷ λείπεσθαι. ὅλως γὰρ τὸ εἶναι τὸ κατ' ἐνέργειαν τοῦτο κενὸν καὶ τὴν συνέχειαν καὶ συμπάθειαν ἀνατρέπει τοῦ παντὸς, καὶ χρείαν οὐχ ἕξει τοῦ κενοῦ. τίνος γὰρ ἕνεκα γέγονε τόπος πλειόνων τῶν ἐσομένων ἐν ἑαυτῷ σωμάτων, εἴπερ πᾶσα χώρα πρὸς τὸ ἐν αὐτῇ γέγονεν. ἔτι δὲ εἰ τὸ μὲν ἔχει σῶμα. τὸ δὲ μὴ ἔχει, τίς ἡ ἀποκλήρωσις μηδεμιᾶς οὔσης ἐν τῷ κενῷ διαφορᾶς. τὸ μέντοι διάστημα τοῦτο ἄλλο μὲν ὂν παρὰ τὰ ἐν αὐτῷ σώματα, ἄλλοτε δὲ ἄλλο ἔχον ἐν ἑαυτῷ σῶμα, φαίνεται

» καὶ αὐτὸς εἰδὼς ὁ πλάτων καὶ κενὸν ὀνομάζων, ἐν οἷς φησι, τὰ γὰρ ἐκ μεγίστων γεγονότα μεγίστην κε-
» νότητα ἐν τῇ συστάσει παρέλιπε. τὰ δὲ, σμικρότητα ἐλαχίστην. ἡ δὲ τῆς πιλήσεως σύνοδος τὰ σμικρὰ εἰς τὰ τῶν μεγάλων διάκενα ξυνωθεῖ. καὶ μετ' ὀλίγον δὲ σαφῶς δεδήλωκε τὰ μεθιστάμενα σώματα, οὐκ εἰς κενήν τινα σώματος χώραν μεταχωρεῖν, ἀλλ' εἴς τινα σῶμα πρότερον ἄλλο ἔχουσαν αὐτῇ περιστάσεως γινομένης. ἐν οἷς φησι. πάλιν δὲ ἐκπίπτοντος τοῦ πυρὸς, ἅτε οὐκ εἰς κενὸν ἐξιόντος, ὠθούμενος ὁ πλησίον ἀὴρ, ἔτι τὸν ὑγρὸν ὄγκον εἰς τὰς τοῦ πυρὸς ἕδρας συνωθῶν, αὐτὸν ἑαυτῷ συμμίγνυσι. καὶ δηλονότι ἡ τοῦ πυρὸς ἕδρα χώρα τις ἦν ἐν ᾗ τὸ πῦρ ἦν. ὅτι δέ ἐστι τοῦτο διάστημα ἰσόμετρον γινόμενον τῷ ἐν αὐτῷ παντὶ σώματι, καὶ ἐκ τῶν περὶ τόπου πρότερον εἰρημένων ἀναμνησθῶμεν. τὰ γὰρ κινούμενα πόθεν ποῖ κατὰ τόπον, εἴτε κύκλῳ εἴτε ἐπ' εὐθείας, ὡς καὶ πρότερον εἶπον, ἐν διαστήματι πάντως ἀνάγκη κινεῖσθαι τινί. εἰ οὖν μήτε ἐν τῷ αὐτοῦ, μήτε ἐν τῷ τῶν παρακειμένων σωμάτων, ἐν ἄλλῳ τινὶ χωριστῷ σωμάτων κινηθήσεται. καὶ ἔστι τοῦτο τὸ διάστημα, τὸ τὴν πρόχειρον καὶ ἐμφανῆ τοῦ τόπου παρεχόμενον ἔννοιαν.

ΤΜΗΜΑ Γʹ ΠΕΡΙ ΧΡΟΝΟΥ.

ἘΧΟΜΕΝΟΝ δὲ τῶν εἰρημένων ἐστὶν, περὶ χρόνου ἐπελθεῖν.

Ὅτι μὲν ὁ περὶ κινήσεως λόγος οἰκειότατός ἐστι τῷ φυσικῷ, πρόδηλον εἴπερ ἡ φύσις ἀρχὴ κινήσεως ἐστί. καὶ εἴπερ τὰ φύσει τῶν μὴ φύσει διενήνοχεν. εἰ δὲ πᾶσα κίνησις ἐν χρόνῳ, καὶ οἱ μὲν, τὴν κίνησιν αὐτὴν, οἱ δὲ, τῆς κινήσεώς τι τὸν χρόνον ᾠήθησαν, δῆλον ὅτι καὶ ὁ περὶ χρόνου λόγος ἀναγκαῖος τῷ φυσικῷ. καὶ γὰρ προφανὴς καὶ ἀνὰ στόμα πᾶσιν ὁ χρόνος, καὶ τὸ ἀκριβὲς αὐτοῦ τῆς ὑποστάσεως πολλοὺς λέληθε. καὶ πᾶσι τοῖς φυσικοῖς καὶ ἐν γενέσει παρακολουθεῖ, ὥσπερ ἡ κίνησις. διὰ πάντα οὖν ταῦτα σπουδῆς ἄξιος τῷ φυσικῷ ὁ περὶ χρόνου λόγος. εἰπὼν δὲ περὶ κινήσεως ἐν τῷ τρίτῳ βιβλίῳ. καὶ συνάψας τὸν περὶ ἀπείρου λόγον, ἐπειδὴ συνεχὴς ἡ κίνησις, τὸ δὲ συνεχὲς ἐπ' ἄπειρον διαιρετὸν, καὶ ἡ ἄπειρον ἢ πεπερασμένον, λοιπὸν ἐπειδὴ πᾶσα κίνησις ἐν τόπῳ καὶ ἐν χρόνῳ γίνεται, καὶ πλησιαίτερος καὶ προφανέστερος ὁ τόπος τοῦ χρόνου δοκεῖ, εἰπὼν περὶ τόπου, καὶ προσθεὶς τὸν περὶ τοῦ κενοῦ λόγον, ἐπειδὴ τὸ κενὸν ἔλεγον τόπον ἐστερημένον σώματος, εἰκότως ἐχόμενον ἐστὶ φησὶ τῶν εἰρημένων ἐπελθεῖν περὶ χρόνου. θαυμαστὸν δέ τι πέπονθεν ὁ χρόνος, τὸ μὲν, κοινὸν πρὸς ἄλλα, τὸ δὲ, ἴδιον. ὡς γὰρ χρῶμα καὶ κίνησις τὴν μὲν ὕπαρξιν ἔχουσιν ἐναργῆ, τὸν δὲ τῆς οὐσίας λόγον δυσκατάληπτον, οὕτω καὶ τοῦ χρόνου ἡ μὲν ὕπαρξις οὐ τοῖς σοφοῖς μόνον, ἀλλὰ καὶ πᾶσιν ἐστὶ πρόδηλος. νεώτερον γὰρ καὶ πρεσβύτερον πάντες φαμὲν, καὶ χθές. καὶ σήμερον. καὶ αὔριον. καὶ πάλαι. καὶ τῆτες. καὶ εἰς νέωτα. ἡμέρας δὲ καὶ νύκτας καὶ μῆνας καὶ ἐνιαυτοὺς, τίς ἀγνοῶν ἄνθρωπος ἔτι δόξειε. τί δὲ δή ποτε ἐστὶν ὁ χρόνος ἐρωτηθεὶς, μόγις ἂν ὁ σοφώτατος ἀποκρίναιτο. καὶ τοῦτο μὲν κοινὸν πρὸς ἄλλα. ἴδιον δὲ τὸ τὴν ὕπαρξιν αὐτὴν μὴ δὲ αἰσθήσει καταληπτὴν ἔχοντα, κἂν ἔχῃ τινὰς ἀφορμὰς ἐξ αἰσθήσεως. οὐ γὰρ αἰσθητὸν τὸ πρεσβύτερον καὶ νεώτερον. οὐ δὲ τὸ χθὲς καὶ σήμερον, ὅμως πάντων δοκοῦν προφανέστερον. οὕτω δὲ ἄπορος ἡ περὶ τῆς οὐσίας αὐτοῦ ζήτησις ἔδοξεν, ὥστε τινὰς ἀπὸ ταύτης σκοτουμένους, καὶ τῆς ὑπάρξεως τοῦ χρόνου καίτοι οὕτως ἐναργοῦς οὔσης ἀπογνῶναι παντάπασι. καίτοι ἄτοπον τῇ τῆς οὐσίας ἀγνωσίᾳ τὴν τῆς ὑπάρξεως ἀναίρεσιν συναρτῆσαι. πολλὰ γὰρ τῶν ὄντων οὐ μόνον τίνα ἐστὶ, ἀλλὰ καὶ ὅτι ἔστιν ὑφ' ἡμῶν ἀγνοεῖται. καὶ ὅμως οὐδὲν ἧττον τῶν ὄντων ἐστίν.

ΠΡΩΤΟΝ δὲ καλῶς ἔχει, διαπορῆσαι περὶ αὐτοῦ. καὶ διὰ τῶν ἐξωτερικῶν λόγων, πότερον τῶν ὄντων ἐστὶν, ἢ τῶν μὴ ὄντων. εἶτα τίς ἡ φύσις αὐτοῦ.

Ὥσπερ ἐπὶ τῶν ἄλλων οὕτω καὶ ἐπὶ τοῦ χρόνου, εἰ ἔστι πρῶτον ὁ χρόνος ἢ μὴ ἔστι προθέμενος ζητεῖν, τοὺς ἀναιροῦντας αὐτὸν πρῶτον συνίστησι λόγους διὰ τῶν ἐξωτερικῶν. ἐξωτερικοὶ δὲ ἐστὶ τὰ κοινὰ καὶ δι' ἐνδόξων περαινόμενα, ἀλλὰ μὴ ἀποδεικτικὰ μὴ δὲ ἀκροαματικά. μετὰ δὲ τὴν τοιαύτην διάσκεψιν, ἐφεξῆς φησὶ δεῖν ἐπισκέψασθαι τίς ἡ φύσις ἐστὶ τοῦ χρόνου. μετὰ γὰρ τὸ εἰ ἔστι πρόβλημα. τὸ τί ἐστι διαδέχεται. σημειωτέον δέ φησιν ὁ ἀλέξανδρος, ὅτι ἐπὶ μὲν τοῦ κενοῦ ὃ ἔμελλε δείξειν μὴ ὂν, εἶπεν ἀρχόμενος τοῦ περὶ αὐτοῦ λόγου, τί σημαίνει τοὔνομα. ἐπὶ δὲ τοῦ χρόνου ὅς ἐστιν ὁμολογουμένως, τίς ἡ φύσις ζητεῖ. σημαίνεται μὲν γὰρ ἀπὸ ὀνομάτων τινῶν καὶ τὰ μὴ ὄντα, ὡς τραγέλαφος. φύσιν δὲ τὰ ἔχοντα οἰκείαν πάντως καὶ ἐστί. ταῦτα δὴ πῶς εἴρηται σκοπεῖν ἄξιον. καὶ γὰρ ἐπὶ τοῦ χρόνου ἀπὸ τοῦ εἰ ἔστιν ἤρξατο, οὐκ ἀπὸ τοῦ τί ἐστιν. ἔπειτα καὶ ἐπὶ τῶν ὁμολογουμένως ὄντων, ὅταν ἀσαφέστερα ᾖ τὰ ὀνόματα, τὸ τί σημαίνει τοὔνομα προηγεῖται τοῦ εἰ ἔστι. καὶ ταύτην τὴν τάξιν τῶν προβλημάτων ἐν τοῖς ἀποδεικτικοῖς παρελάβομεν. ἀλλ' ἐπειδὴ τὸ μὲν τοῦ κενοῦ ὄνομα καὶ πολλαχῶς ἐλέγετο, καὶ ἀδιάρθρωτον εἶχε τὴν ἔννοιαν, τὸ δὲ τοῦ χρόνου ἐναργὲς πᾶσιν ἦν, κἂν ἡ φύσις τοῦ χρόνου ἀκατάληπτος ὑπῆρχεν, εἰκότως ἐπὶ μὲν τοῦ κενοῦ τὸ τί σημαίνει τοὔνομα προελαμβάνετο, ἐπὶ δὲ τοῦ χρόνου τὸ εἰ ἔστι. ῥητέον οὖν μᾶλλον ὅτι τὸ μὲν τί σημαίνει τοὔνομα, καὶ ἐπὶ τῶν ὄντων καὶ ἐπὶ τῶν μὴ ὄντων, ὅταν ἀσαφὲς ᾖ τὸ λεγόμενον, προσήκει ζητεῖν. ὥσπερ καὶ τὸ ἔστιν ἢ μὴ, ἐπ' ἀμφοῖν. τὸ δὲ τί ἐστι, καὶ ὁποῖόν τι, καὶ διὰ τί, ἐπὶ τῶν ὄντων μόνων. καὶ ἐπὶ τῶν μὴ ὄντων δὲ, ἂν ᾖ σαφὲς τὸ ὄνομα, ὥσπερ τὸ τραγέλαφος, καὶ αὐτὸ τὸ μὴ ὂν, οὐ δεόμεθα τοῦ τί σημαίνει τοὔνομα.

ὍΤΙ ΜΕΝ οὖν ὅλως οὐκ ἔστιν ἢ μόγις καὶ ἀμυδρῶς, ἐκ τῶνδέ τις ἂν ὑποπτεύσειε. τὸ μὲν γὰρ αὐτοῦ γέγονε καὶ οὐκ ἔστι. τὸ δὲ μέλλει. καὶ οὔπω ἐστίν. ἐκ δὲ τούτων, καὶ ὁ ἄπειρος καὶ ὁ ἀεὶ λαμβανόμενος χρόνος, σύγκειται. τὸ δ' ἐκ μὴ ὄντων συγκείμενον, ἀδύνατον ἂν δόξειε μετέχειν ποτὲ οὐσίας. πρὸς δὲ τούτοις, παντὸς μεριστοῦ ἐάν περ ᾖ, ἀνάγκη ὅτε ἐστίν. ἤτοι ἔνια ἢ πάντα τὰ μέρη εἶναι. τοῦ δὲ χρόνου, τὰ μὲν γέγονε. τὰ δὲ, μέλλει. ἐστι δ' οὐδὲν ὄντος μεριστοῦ. τὸ δὲ νῦν, οὐ μέρος. μετρεῖ τε γὰρ τὸ μέρος. καὶ συγκεῖσθαι δεῖ τὸ ὅλον, ἐκ τῶν μερῶν. ὁ δὲ χρόνος, οὐ δοκεῖ συγκεῖσθαι ἐκ τῶν νῦν.

Τρία τίθησιν ἐπιχειρήματα δεικνύντα ὅτι οὐκ ἔστιν ὁ χρόνος. ὧν τὸ μὲν πρῶτον τοιοῦτον. ὁ χρόνος ἐκ παρεληλυθότος, καὶ μέλλοντος σύγκειται. ὧν τὸ μὲν οὐκέτι ἐστὶ, τὸ δὲ οὔπω ἐστί. τὸ ἐκ μὴ ὄντων συγκείμενον μὴ ὂν ἐστίν. ὁ χρόνος ἄρα μὴ ὂν ἐστί. κἂν γὰρ τὸν ἄπειρον κἂν τὸν ἀεὶ λαμβανόμενον λέγῃς, ἐκ τούτων ἐστί. τὸ δὲ δεύτερον ἐπιχείρημα προηξιωμένου δεῖται τοιοῦδε. παντὸς μεριστοῦ ἐάν περ ᾖ

αὐτό, ἤτοι ἔνια ἢ πάντα τὰ μέρη αὐτοῦ ἀνάγκη εἶναι. πάντα μὲν, ὡς ἔστι γραμμῆς καὶ ἐπιφανείας καὶ σώματος. ἔνια δὲ, ὡς ἐπὶ τῶν ἐν τῷ γίνεσθαι ἐχόντων, ὡς ἐπὶ ἀγῶνος καὶ κινήσεως. ἐπεὶ οὖν ὁ χρόνος εἴπερ ἐστὶ συνεχὴς ὢν μεριστός ἐστιν, ἀνάγκη ἢ πάντα ἢ ἔνια τῶν μορίων αὐτοῦ εἶναι. ἀλλὰ μὴν οὐδὲν ἐστὶ τοῦ χρόνου μόριον, εἴπερ μέρη μὲν αὐτοῦ ὁ παρεληλυθὼς καὶ ὁ μέλλων, οὐδέτερον δὲ τούτων ἐστὶν, ἀλλὰ τὸ μὲν, οὐκέτι, τὸ δὲ, οὔπω, οὐδὲ ὁ χρόνος ἄρα ἔστι. διαφέρει δὲ τοῦτο τὸ ἐπιχείρημα τοῦ προτέρου, καθόσον ἐκεῖνο μὲν κατηγορικῶς πρόεισι, τοῦτο δὲ ὑποθετικῶς. καὶ τὸ μὲν κατὰ τὴν ἐκ τῶν μερῶν σύνθεσιν, τὸ δὲ, κατὰ τὴν εἰς τὰ μέρη διαίρεσιν. διὸ καὶ ἐκεῖνο μὲν ὡς σύνθετον, τοῦτο δὲ ὡς μεριστὸν λαμβάνει τὸν χρόνον. κοινὸν δὲ αὐτοῖς τὸ διὰ τὴν τῶν μερῶν ἀνυπαρξίαν μὴ εἶναι τὸ ὅλον. ἐπειδὴ δὲ οὐ μόνον τὸ παρεληλυθὸς καὶ τὸ μέλλον μέρη δοκεῖ τοῦ χρόνου, ἀλλὰ καὶ τὸ ἐνεστὼς ὅπερ ἐστὶ τὸ νῦν, τοῦτο δὲ ὑφέστηκε, καὶ οὐκέτι ἀληθεῖς οἱ προειρημένοι δόξουσι συλλογισμοὶ, τέταρτον εἰκότως δείκνυσιν, ὅτι τὸ νῦν οὐκ ἔστι μέρος τοῦ χρόνου, δύο συλλογισμοὺς ἐν δευτέρῳ σχήματι συντόμως συνάγων τοιούτους. τὸ μέρος καταμετρεῖ τὸ ὅλον. τὸ νῦν οὐ καταμετρεῖ τὸν χρόνον ὅλον, τὸ ἄρα νῦν οὐκ ἔστι μέρος τοῦ χρόνου. ἴδιον δὲ τῶν τοῦ ποσοῦ μερῶν ἐστὶ τοῦτο, τὸ καταμετρεῖσθαι τὸ ὅλον ὑπὸ τοῦ μέρους. πάλιν δὲ τὸ μέρος συντίθησι τὸ ὅλον. τὸ δὲ νῦν οὐ συντίθησιν. οὐ γὰρ ἐκ τῶν νῦν σύγκειται ὁ χρόνος. ὥσπερ οὐδὲ ἐκ στιγμῶν ἡ γραμμὴ, οὔτε ὅλως ἐκ τῶν ἀδιαστάτων τὸ διαστατόν. ὁ δὲ ἀλέξανδρος γράφας τὸ μετρεῖται παθητικῶς, ἐν τῷ μετρεῖται γὰρ τὸ μέρος, παρασκελέστερον ἐξηγεῖται λέγων, ὅτι διάστημα ἔχει. τοῦ γὰρ ἐν διαστάσει καὶ συνεχοῦς καὶ τὰ μέρη ἐν διαστάσει. τὸ δὲ νῦν οὐκ ἔστι μετρητὸν, ὅτι μηδὲ διαστατόν. ἀλλ' οὐχ ὡς παθητικὸν τὸ μετρεῖται ληπτέον, ἀλλ' ὡς ῥῆμα τὸ μετρεῖ καὶ σύνδεσμον τὸ τε. τὸ γὰρ μέρος ἐπὶ τοῦ ποσοῦ μετρεῖν λέγεται τὸ ὅλον, ἀλλ' οὐχὶ αὐτὸ μετρεῖσθαι. καὶ οἶδε καὶ ταύτην τὴν γραφὴν ὁ ἀλέξανδρος. οὐ δοκεῖ δὲ εἰπεῖν συγκεῖσθαι ὁ χρόνος ἐκ τῶν νῦν, ὅτι μηδέπω δέδεικται τοῦτο. δειχθήσεται δὲ ἐν τοῖς ἐφεξῆς. ἐπειδὴ δὲ τὸ νῦν ἔστι μέν τι τοῦ χρόνου ἐν ὑποστάσει ὂν, οὐ μέντοι μόριον αὐτοῦ, διὰ τοῦτο ἀρχόμενος τῆς ῥήσεως εἶπε περὶ τοῦ χρόνου, ὅτι ἢ ὅλως οὐκ ἔστιν, ἢ μόλις καὶ ἀμυδρῶς. ἔστι γὰρ εἴπερ ἄρα ὁ χρόνος κατὰ τὸ νῦν, ὅπερ οὔτε χρόνος ἐστὶν, εἴπερ διαιρετὸς ὁ χρόνος, οὔτε μέρος χρόνου, εἴπερ μὴ μετρεῖ τὸ ὅλον. λέγοι δὲ ἂν τὸ ἢ μόλις καὶ ἀμυδρῶς, καὶ ὅτι τὸ μὲν γέγονεν αὐτοῦ, τὸ δὲ μέλλει. τοῦ δὲ μηδὲ ὅλως ἐν ὑπάρξει ὄντος, ἢ τοῦ τελείως ὄντος, οὐχ οἷόν τε τὸ μὲν γεγονέναι, τὸ δὲ μέλλειν.

Ε ΤΙ ΔΕ καὶ τοῦτο τὸ νῦν ὃ φαίνεται διορίζειν τὸ παρελθὸν καὶ τὸ μέλλον, πότερον ἓν καὶ τὸ αὐτὸ ἀεὶ διαμένει ἢ ἄλλο καὶ ἄλλο, οὐ ῥάδιον ἰδεῖν. εἰ μὲν γὰρ ἀεὶ ἕτερον καὶ ἕτερον, μηθὲν δ' ἐστὶ τῶν ἐν τῷ χρόνῳ ἄλλο καὶ ἄλλο μέρος ἅμα, ὃ μὴ περιέχει, τὸ δὲ περιέχεται, ὥσπερ ὁ ἐλάττων χρόνος ὑπὸ τοῦ πλείονος, τὸ δὲ νῦν μὴ ὂν πρότερον ἦν δὲ ὂν, ἀνάγκη ἐφθάρθαι ποτὲ, καὶ τὰ νῦν, ἅμα μὲν, ἀλλήλοις οὐκ ἔσται. ἐφθάρθαι δὲ ἀνάγκη, ἀεὶ τὸ πρότερον. ἐν ἑαυτῷ μὲν οὖν ἐφθάρθαι, οὐχ οἷόν τε διὰ τὸ εἶναι τότε. ἐν ἄλλῳ δὲ νῦν ἐφθάρθαι τὸ πρότερον νῦν, οὐκ ἐνδέχεται. ἔστω γὰρ ἀδύνατον ἐχόμενα εἶναι ἀλλήλων τὰ νῦν, ὥσπερ στιγμὴν στιγμῆς. εἴπερ οὖν ἐν τῷ ἐφεξῆς οὐκ ἐφθάρθαι, ἀλλ' ἐν ἄλλῳ, ἐν τοῖς μεταξὺ τοῖς νῦν ἀπείροις οὖσιν. ἅμα ἂν εἴη. τοῦτο δὲ ἀδύνατον.

Γ ρότερον μὲν ὡς ὂν τὸ νῦν λαβὼν, ἔδειξεν ὅτι μέρος οὐκ ἔστι τοῦ χρόνου. νῦν δὲ διὰ τοῦ πέμπτου τοῦδε ἐπιχειρήματος πειρᾶται δεικνύναι, ὅτι οὐδὲ αὐτὸ τὸ νῦν τὸ δοκοῦν εἶναι καὶ διορίζειν τὸ παρεληλυθὸς καὶ τὸ μέλλον ἔστι τι. ἀνάγκη γὰρ εἰ ἔστι τὸ νῦν, ἤτοι τὸ αὐτὸ εἶναι, ἢ ἄλλο καὶ ἄλλο, ὅπερ ταυτόν ἐστι τῷ οὐ τὸ αὐτό. εἰ οὖν μήτε τὸ αὐτό ἐστι, μήτε ἄλλο καὶ ἄλλο, δηλονότι οὐδὲ ἔστι. πρῶτον οὖν δείκνυσιν ὅτι ἄλλο καὶ ἄλλο οὐκ ἔστιν, οὕτως. εἰ ἄλλο καὶ ἄλλο ἐστὶ τὸ νῦν, δεῖ τὸ πρότερον ἐφθάρθαι. ἀλλὰ μὴν ἐφθάρθαι τὸ νῦν ἀδύνατον. οὐκ ἄρα ἄλλο καὶ ἄλλο τὸ νῦν. καὶ τὸ μὲν συνημμένον δείκνυσιν, ἐκ τοῦ μὴ εἶναι ἅμα τὸ πρότερον νῦν καὶ τὸ ὕστερον. οὐ γὰρ οἷόν τε δύο χρόνους ἅμα εἶναι, εἰ μὴ ὁ μὲν, πλείων, ὁ δὲ ἐλάττων, καὶ ὁ μὲν περιέχοι, ὁ δὲ περιέχοιτο. ὡς ὁ ἐνιαυτὸς ἔχει πρὸς τὸν ἐν αὐτῷ μῆνα, καὶ ὁ μὴν πρὸς τὴν ἐν αὐτῷ ἡμέραν. τῷ γὰρ ἐνεστάναι τόνδε τὸν μῆνα τὴν ἡμέραν, λέγεται καὶ ὁ μὴν ἐνεστάναι. καὶ οὕτως ἅμα εἶναι δοκοῦσι. τῶν δὲ νῦν οὐχ οἷόν τε τὸ μὲν περιέχειν, τὸ δὲ περιέχεσθαι, ἢ τὸ μὲν μέρος, τὸ δὲ ὅλον εἶναι, καὶ οὐδέτερον οὐδετέρου πλέον. οὐδὲ γὰρ ποσὰ, ἀλλ' ἀρχαὶ ποσῶν. τὸ δὲ πλέον ἐν ποσοῖς. ὥστε ἅμα εἶναι οὐ δύναται. ἀλλ' ἀνάγκη εἴπερ ἐστὶν ἄλλο καὶ ἄλλο τὸ πρότερον ἐφθάρθαι. ὃ γὰρ πρότερον ὂν ὕστερον οὐκ ἔστιν, ἔφθαρται. εἶτα καὶ τὴν πρόσληψιν δείκνυσι τὴν λέγουσαν, ὅτι ἐφθάρθαι τὸ νῦν ἀδύνατον, ἐκ διαιρέσεως καὶ ταύτην. εἰ γὰρ ἔφθαρται, ἐπειδὴ τὸ φθειρόμενον ἐν χρόνῳ φθείρεται, ἤτοι ἐν ἑαυτῷ ἔφθαρται ἢ ἐν ἄλλῳ νῦν. ἀλλ' ἐν ἑαυτῷ μὲν, ἀδύνατον. τότε γὰρ ἐστίν. εἰ οὖν ἐν ἄλλῳ, ἐπειδὴ οὐκ ἔστιν ἐχόμενα ἀλλήλων τὰ νῦν, οὐ γὰρ σύγκειται ὁ χρόνος ἐκ τῶν νῦν, ὅπερ νῦν μὲν ὑπέθετο, δείξει δὲ ὕστερον, ἔφθαρται δὲ ἐν ἄλλῳ νῦν, δηλονότι ἐν τῷ μεταξὺ αὐτοῦ τε καὶ τοῦ ἐν ᾧ ἔφθαρται ἦν. τῶν δὲ νῦν μεταξὺ χρόνος, ὥσπερ καὶ τῶν σημείων γραμμή. ἦν ἄρα ἐν τῷ μεταξὺ χρόνῳ. ἀλλ' ἐν τῷ μεταξὺ χρόνῳ ἄπειρά ἐστι νῦν, εἴγε πᾶς χρόνος ἐπ' ἄπειρον διαιρετὸς ὡς δειχθήσεται, καὶ διαιρεῖται κατὰ τὰ νῦν. ἔσται ἄρα ἅμα νῦν αὐτό τε

καὶ τὰ

καὶ τὰ ἐν οἷς ἐστιν ἀπείροις οὖσιν, εἴπερ ἐν τῷ μεταξὺ χρόνῳ ἦν. ἀλλὰ μὴν οὐδὲ ἐν τῷ μεταξὺ χρόνῳ φθείρεται παντὶ τὸ νῦν. εἰ γὰρ τοῦτο, δεήσει ἐν ἑκάστῳ μέρει αὐτοῦ μέρος τι τοῦ νῦν φθείρεσθαι. ἀλλ' ἔστιν ἀμερές. ὥστε οὔτε ἐν τῷ νῦν οὔτε ἐν τῷ μεταξὺ χρόνῳ ἔφθαρται τὸ νῦν. καὶ ἄλλως δὲ εἰ ἐν χρόνῳ τινὶ φθείρεται τὸ νῦν ἑτέρῳ παρ' ἑαυτό, ἢ καὶ ἐκεῖνο νῦν ἐστι. καὶ γίνεται δύο ἅμα νῦν, τό, τε φθειρόμενον καὶ ἐν ᾧ φθείρεται. ἢ χρόνος. καὶ ἤτοι παρελθών ἐστιν ἢ μέλλων. ἀλλ' εἰ μὲν παρελθών, πρὸ τοῦ εἶναι ἔφθαρται. εἰ δὲ μέλλων, οὐδέπω ἂν φθείροιτο τὸ νῦν, ἀλλὰ μέλλει ἀεὶ φθαρήσεσθαι. ἀεὶ γὰρ ἐν ᾧ φθείρεται μέλλει. καὶ ὅλως χρόνος ὁ παρελθὼν καὶ ὁ μέλλων. εἰ δὲ ἐν χρόνῳ φθείροιτο τὸ νῦν, συμπαρεκτείνοιτο ἂν τὸ ἀμερὲς τῷ μεριστῷ. εἰ τοίνυν μήτε ἐστὶ τὸ πρότερον νῦν, ὅτι οὐ δύναται δύο ἅμα εἶναι, μήτε ἔφθαρται, δηλονότι οὐδὲ πρότερον ἦν. εἰ δὲ μήτε ἦν μήτε ἐστὶ τὸ πρότερον νῦν, δηλονότι ἄλλο καὶ ἄλλο ἀδύνατον εἶναι τὸ νῦν.

ἈΛΛᾺ ΜῊΝ, οὐδὲ ἀεὶ τὸ αὐτὸ διαμένειν δυνατόν. οὐθενὸς γὰρ διαιρετοῦ πεπερασμένου, ἓν πέρας ἐστίν. οὔτε ἂν ἐφ' ἓν ᾖ συνεχές, οὔτε ἂν ἐπὶ πλείω. τὸ δὲ νῦν, πέρας ἐστί. καὶ χρόνον ἐστὶ λαβεῖν πεπερασμένον. ἔτι εἰ τὸ ἅμα εἶναι κατὰ τὸν χρόνον καὶ μήτε πρότερον μήτε ὕστερον, τὸ ἐν τῷ αὐτῷ εἶναι καὶ ἐν τῷ νῦν ἐστιν, εἰ τά τε πρότερον, καὶ τὰ ὕστερον ἐν τῷ νῦν τῳδί ἐστιν, ἅμα ἂν εἴη τὰ εἰς ἔτος γενόμενα μυριοστὸν, τοῖς γινομένοις τήμερον. καὶ οὔτε πρότερον. οὔτε ὕστερον οὐθὲν ἄλλο ἄλλου. περὶ μὲν οὖν τῶν ὑπαρχόντων αὐτῷ τοσαῦτα, ἔστω διηπορημένα.

Δείξας ὅτι ἄλλο καὶ ἄλλο νῦν ἀδύνατον εἶναι, ἐφεξῆς δείκνυσι διὰ δυοῖν ἐπιχειρημάτων, ὅτι οὐδὲ ἀεὶ τὸ αὐτὸ κατὰ ἀριθμὸν διαμένειν δυνατόν. εἰ μηδενὸς συνεχοῦς πεπερασμένου ἓν πέρας ἐστίν, εἴτε ἐφ' ἓν ᾖ συνεχὲς ὡς ἡ γραμμή, εἴτε ἐπὶ δύο ὡς τὸ ἐπίπεδον, εἴτε ἐπὶ τρία ὡς τὸ σῶμα, ἀλλ' ἡ μὲν γραμμὴ δύο σημείοις ὥρισται, τὸ δὲ ἐπίπεδον τοσούτοις, ὅσαι εἰσὶν αἱ γραμμαὶ αἱ περιέχουσαι, τὸ δὲ στερεὸν τοσούτοις ὅσα ἐστὶ τὰ περιέχοντα ἐπίπεδα, δηλονότι καὶ τὸ νῦν πέρας ὂν τοῦ πεπερασμένου χρόνου, οὐκ ἂν εἴη ἓν καὶ τὸ αὐτό. ἀλλὰ μὲν τὸ πρῶτον. τὸ ἄρα δεύτερον. ὃν γὰρ ἂν λάβωμεν χρόνον κἂν τὸν ἐλάχιστον πεπερασμένον, ἄλλο μὲν ἔχει τὸ ἐν ἀρχῇ νῦν, ἄλλο δὲ τὸ ἐν τῷ πέρατι. ἐφ' ἑκάτερα γὰρ ἀπὸ τοῦ νῦν περαίνεται. ὥστε οὐχ ἓν καὶ τὸ αὐτὸ ἀεὶ διαμένει τὸ νῦν. πεπερασμένον δὲ δεῖ λαβεῖν χρόνον, ὡς τὸ ἐπ' εὐθείας συνεχές. ὁποῖος ἐστὶ καὶ ὁ χρόνος. τὰ γὰρ τοιαῦτα οὐχ ἓν πέρας ἔχει. ἐπεὶ τῆς γε σφαίρας καὶ τοῦ κύκλου ἓν δοκεῖ πέρας εἶναι. ἀπὸ μιᾶς γὰρ ἐπιφανείας καὶ μιᾶς γραμμῆς περιέχονται. κατὰ δεύτερον δὲ τρόπον δείκνυσιν, ὅτι οὐ τὸ αὐτὸ ἀεὶ νῦν ἐπιμένει. εἰ γὰρ τὸ αὐτὸ ἀεὶ νῦν ἐστι, πάντα ἐν τῷ αὐτῷ νῦν ἔσται, καὶ οὔτε πρότερον οὔτε ὕστερον. τὰ δὲ οὕτως ὄντα ἅμα ἐστί. καὶ τὰ οὕτω γεγονότα ἅμα γέγονε. καὶ ἔσται τὰ πρεσβύτατα καὶ παλαιότατα ἅμα τοῖς ἄρτι γεγονόσι καὶ οὖσιν. ἐν γὰρ τῷ αὐτῷ νῦν ἐστιν ἀμφότερα. τούτου δὲ τί ἂν ἀτοπώτερον εἴη, τοῦ κατὰ τὸν κατακλυσμὸν νῦν εἶναι ἢ γεγονέναι. ἔσται δὲ καὶ ἰσήλικα τὰ πρὸ πολλοῦ καὶ ἄρτι γεγονότα, εἴπερ εἰσὶν ἰσήλικα τὰ ἐν τῷ αὐτῷ νῦν. πάνυ δὲ ἀσφαλῶς εἶπεν ὅτι τὰ πρότερον καὶ ὕστερον ἐν τῷ νῦν τῳδὶ γινόμενα ἐστί. τὸ γὰρ γεγονέναι ἔχει ἐν τῷ νῦν, ἀλλ' οὐχὶ τὸ εἶναι. τοῦτο γὰρ ἐν χρόνῳ. εἰ οὖν ἀνάγκη μὲν εἴπερ ἐστὶ τὸ νῦν, ἢ τὸ αὐτὸ εἶναι, ἢ ἄλλο καὶ ἄλλο, μήτε δὲ τὸ αὐτό ἐστι μήτε ἄλλο καὶ ἄλλο, δηλονότι οὐκ ἔστι τῶν ὄντων τὸ νῦν. ταῦτα οὖν συμπεραινόμενος, ἐπάγει ὅτι περὶ τῶν ὑπαρχόντων τῷ χρόνῳ, δι' ὧν δηλονότι δείκνυται ὅτι μὴ ἔστιν, εἴρηται. ὅλως δὲ εἰ ἀνάγκη εἴπερ ἐστὶν ὁ χρόνος συνεχῆ αὐτὸν εἶναι, τὸ δὲ νῦν οὔτε τῷ παρελθόντι συνάπτει οὔτε τῷ μέλλοντι, διὰ τὸ μηδέτερον αὐτῶν ἐν ὑποστάσει εἶναι δηλονότι οὐδ' ἂν συνεχὴς εἴη.

ΤῚ ΔΈ ἐστιν ὁ χρόνος. καὶ τίς αὐτοῦ ἡ φύσις, ὁμοίως ἔκ τε τῶν παραδεδομένων ἄδηλόν ἐστι, καὶ περὶ ὧν τυγχάνομεν διεληλυθότες πρότερον. οἱ μὲν γὰρ τὴν τοῦ ὅλου κίνησιν εἶναί φασιν. οἱ δὲ τὴν σφαῖραν αὐτήν. καίτοι τῆς περιφορᾶς καὶ τὸ μέρος, χρόνος τίς ἐστι. περιφορὰ δέ γε, οὔ. μέρος γὰρ περιφορᾶς τὸ ληφθέν, ἀλλ' οὐ περιφορά. ἔτι δ' εἰ πλείους ἦσαν οὐρανοί, ὁμοίως ἂν ἦν ὁ χρόνος ἡ ὁτουοῦν αὐτῶν κίνησις. ὥστε πολλοὶ χρόνοι ἅμα. ἡ δὲ τοῦ ὅλου σφαῖρα, ἔδοξε μὲν, τοῖς εἰποῦσιν εἶναι ὁ χρόνος. ὅτι ἔν τε τῷ χρόνῳ πάντα ἐστὶ καὶ ἐν τῇ τοῦ ὅλου σφαίρᾳ. ἔστι δ' εὐηθικώτερον τὸ εἰρημένον. ἢ ὥστε περὶ αὐτοῦ τὰ ἀδύνατα ἐπισκοπεῖν.

Δείξας ἐκ τῶν ῥηθέντων ἐπιχειρημάτων δριμέως προσενεχθέντων, ὅτι ἄδηλόν ἐστι τὸ εἶναι τὸν χρόνον, εἴπερ οὕτως εἰσὶ πιθανοὶ καὶ οἱ λέγοντες, μὴ εἶναι λόγοι, ἐφεξῆς φησι καὶ τὸ τί ἐστιν ὁ χρόνος, καὶ τίς ἡ φύσις αὐτοῦ, εἴπερ τις ἐκ τῶν παραδεδομένων ἐπιχειρήσει σκοπεῖν, ὁμοίως ἄδηλον εὑρήσει, ὥσπερ καὶ τὸ εἰ ἔστιν ἄδηλον ἐφαίνετο ἐν τοῖς λόγοις, ἐν οἷς ἐτύχομεν διεληλυθότες πρότερον. ἄδηλον οὖν καὶ τὸ τί ἐστιν, εἴπερ οἱ μὲν τὴν τοῦ ὅλου κίνησιν καὶ περιφορὰν τὸν χρόνον εἶναί φασιν. ὡς τὸν πλάτωνα νομίζουσιν ὅ τε εὔδημος, καὶ ὁ θεόφραστος, καὶ ὁ ἀλέξανδρος. οἱ δὲ, τὴν σφαῖραν αὐτὴν τοῦ οὐρανοῦ. ὡς τοὺς πυθαγορείους ἱστοροῦσι λέγειν, οἱ παρακούσαντες ἴσως τοῦ ἀρχύτου, λέγοντος καθόλου τὸν χρόνον διάστημα τῆς τοῦ παντὸς φύσεως. ἢ ὥς τινες τῶν στωϊκῶν ἔλεγον. οἱ δὲ τὴν κίνησιν ἁπλῶς. τρεῖς γὰρ ἱστορεῖ περὶ χρόνου δόξας, τὰς μυθικωτέρας παρείς. ἐν αἷς ἐκ διαιρέσεως

εἰλημμέναις πάσας συνείληφεν. ἢ γὰρ κίνησις ὁ χρόνος ἐστὶν, ἢ τὸ κινούμενον πρώτως ἡ τοῦ παντὸς σφαῖρα. καὶ εἰ κίνησις, ἢ ἡ πᾶσα κίνησις, ἢ ἡ τοῦ παντός. στάσιν γὰρ ἢ στάσεώς τι οὐκ ἐπιδέχεται ἡ τοῦ χρόνου ἔννοια. ὧν πρὸς μὲν τὴν λέγουσαν τὴν τοῦ οὐρανοῦ περιφορὰν τὸν χρόνον, βραχέα ἀντιλέγει. πρὸς δὲ τὴν εἰς ταυτὸν ἁπλῶς τῇ κινήσει ἄγουσαν, πλείονα. τὸ δὲ τὴν σφαῖραν αὐτὴν τοῦ οὐρανοῦ εἶναι τὸν χρόνον, ὡς ἄγαν ἀπίθανον, οὐδὲ ἀντιλογίας ἠξίωσεν ὁ ἀριστοτέλης. διὰ τοῦτο γὰρ ἔδοξαν τὸν οὐρανὸν λέγειν τὸν χρόνον, ὅτι ἔν τε τῷ οὐρανῷ τὰ πάντα, καὶ ἐν τῷ χρόνῳ τὰ πάντα. καὶ δῆλον ὅτι οἱ οὕτω λέγοντες, πρῶτον μὲν τοῦ ἔν τινι τὴν ὁμωνυμίαν ἠγνόησαν. ἣν αὐτὸς ἐν τοῖς περὶ τοῦ τόπου λόγοις καλῶς διωρίσατο. ἄλλο γὰρ τὸ ὡς ἐν χρόνῳ εἶναι, καὶ ἄλλο τὸ ὡς ἐν τόπῳ ἢ ἐν ὅλῳ. ἔπειτα ἀπείρως εἶχον τῶν συλλογιστικῶν συμπλοκῶν. διὸ καὶ εὐηθικωτέραν ἐκάλεσε τὴν δόξαν. ἐν γὰρ δευτέρῳ σχήματι ἐκ δύο καταφατικῶν συλλογιζόμενοι, ὅτι οὐρανός ἐστιν ἐν ᾧ τὰ πάντα, καὶ χρόνος ἐν ᾧ τὰ πάντα, καὶ διὰ τοῦτο ὁ χρόνος οὐρανός ἐστι. δύναται δὲ ἴσως καὶ ἐν πρώτῳ σχήματι. ὁ οὐρανὸς ἐν ᾧ τὰ πάντα. τὸ δὲ ἐν ᾧ τὰ πάντα χρόνος. ἔπειτα τοῦ μὲν χρόνου μέρη τὸ παρεληλυθὸς καὶ τὸ μέλλον. τῆς σφαίρας δὲ ἄλλα τὰ μέρη. καὶ ὁ μὲν χρόνος ἐν τῷ γίνεσθαι τὸ εἶναι ἔχει. ἡ δὲ σφαῖρα, οὔ. καὶ τῆς μὲν σφαίρας τὰ μόρια οὐ πανταχοῦ. ὁ δὲ χρόνος πανταχοῦ. καὶ γὰρ ἐν μὲν τῇ αὐτῇ σφαίρᾳ οἱ πρεσβύτεροι καὶ οἱ νεώτεροι, ἐν δὲ τῷ χρόνῳ, οὔ. καὶ αὕτη μὲν οὐσία τίς σωματική, ὁ δὲ χρόνος οὔ. ἀλλὰ ταύτην μὲν ὡς εὐηθεστέραν τὴν ὑπόθεσιν, οὐδὲ λόγου τινὸς ὁ ἀριστοτέλης ἠξίωσε. πρὸς δὲ τὴν ἑτέραν ὑπήντησε, τὴν λέγουσαν χρόνον εἶναι τὴν τοῦ παντὸς κίνησίν τε καὶ περιφοράν. τῆς γὰρ τοῦ παντὸς περιφορᾶς καὶ ἀνακυκλήσεως τὸ μέρος, οἷον ἡ ἡμέρα, χρόνος μέν ἐστι κατ' αὐτούς, περιφορὰ δὲ οὐκ ἔστι. τὸ γὰρ τῆς ἀνακυκλήσεως μέρος οὔτε ἀνακύκλησίς ἐστιν, οὔτε περιφορά. ἐξ οὗ συνάγει ὅτι χρόνος οὐ τοῦ παντὸς περιφορά. εἰ γάρ τις χρόνος μέρος ἐστὶν ἀνακυκλήσεως, οὐ πᾶς ἄρα χρόνος περιφορά. ὅτι δὲ μὴ ἔστι τὸ μέρος τῆς περιφορᾶς περιφορά, καίτοι χρόνος ὄν, ἐδήλωσεν εἰπὼν, μέρος γὰρ περιφορᾶς, οὐ περιφορά. ἡ γὰρ περιφορὰ ἡ ἀπὸ τοῦ αὐτοῦ ἐπὶ τὸ αὐτὸ κίνησις. καὶ τότε λέγεται περιενηνέχθαι τὸ πᾶν, ὅταν ἕκαστον αὐτοῦ τῶν μορίων ἀπὸ τοῦ αὐτοῦ εἰς τὸ αὐτὸ ἀποκατασταθῇ. ὁ δὲ εἰρημένος χρόνος, οἷον ἡμέρα ἢ νὺξ, μέρος περιφορᾶς ἐστι καὶ οὐ περιφορά. ἐὰν δὲ τὸ συναμφότερον λάβῃς τήν τε ἡμέραν καὶ τὴν νύκτα, πλείων οὗτος ὁ χρόνος τῆς τοῦ παντός ἐστι περιφορᾶς, διὰ τὴν τοῦ ἡλίου ἐπικίνησιν. εἶτα καὶ ἄλλο τίθησι πρὸς τὸ αὐτὸ ἐπιχείρημα. εἰ γὰρ πλείους ἦσαν φησὶν οὐρανοὶ τουτέστι κόσμοι, ὥσπερ ὑποτίθενται οἱ περὶ δημόκριτον, ἡ ἑκάστου ἂν αὐτῶν περιφορὰ χρόνος ἦν. οὕτω δὲ πολλοὶ ἂν ἅμα ἦσαν χρόνοι. ὅπερ ἀδύνατον. κινήσεις γὰρ ἅμα πλείους εἶναι δυνατὸν, χρόνους δὲ ἀδύνατον. τὸ γὰρ αὐτὸ νῦν πανταχοῦ τὸ αὐτό. ὁ δὲ εὔδημος καὶ ἄλλας ἐπιχειρήσεις τίθησιν. ὧν οὐδὲν ἄτο-

» πον δι' αὐτῆς ἀκούειν τῆς λέξεως λεγούσης. ἔτι δὲ ἡ μὲν κίνησις ἡ τοῦ παντὸς δηλονότι ἐν τούτῳ ἐστίν.
» οἷον ἡ διάρους βάδισις ἐν διάρει. καὶ ἡ τοῦ οὐρανοῦ ἄρα ἐν τῷ οὐρανῷ αὐτοτελής. τοῦτο δὲ ἄτοπον, οὐ δοκεῖ
» γὰρ ὁ χρόνος ἐν τῷ οὐρανῷ εἶναι, ἀλλὰ μᾶλλον ὁ οὐρανὸς ἐν τῷ χρόνῳ. ἔτι δὲ ἀτοπώτερον τὸ μὴ εἶναι
» χρόνον ἄλλοθι. ὁ γὰρ οὐρανὸς ἐν τῷ αὐτῷ ἀεὶ, ἐν ἄλλῳ δὲ οὐδενί. οὐκ ἔσται ἄρα οὔτε ἐν γῇ οὔτε ἐν θαλάττῃ
» ὁ χρόνος. εἰ δὲ μὴ τὴν ὅλην περιφορὰν λεκτέον τὸν χρόνον, ἀλλ' ὁμοίως τὴν οὑτινοσοῦν τῶν μορίων,
» ἕκαστον δὲ τῶν μορίων ἕτερον τοῦ οὐρανοῦ, ὁμοίως δὲ καὶ ὁ οὐρανὸς τῶν μορίων, καὶ αἱ κινήσεις ἕτε-
» ραι τοῦ τε ὅλου καὶ τῶν μορίων ἑκάστου. εἰ οὖν αἱ κινήσεις ἕτεραι φησὶν, ὁ δὲ χρόνος οὐχ ἕτερος ἀλλ' ὁ
» αὐτὸς, οὐκ ἂν εἶεν αἱ κινήσεις ὁ χρόνος. ὥστε οὔτε ἡ τοῦ παντὸς, οὔτε αἱ τῶν μορίων κινήσεις ὁ χρόνος
» ἐστίν. εἶτα προελθὼν καὶ ταῦτά φησιν. οἱ δὲ λέγοντες τὴν τοῦ ἡλίου κίνησιν τὸν χρόνον, πῶς ἐροῦσι
» περὶ τῶν ἄλλων ἀστέρων. οὐ γὰρ πάντων αἱ αὐταὶ φοραί. εἰ μὲν οὖν πᾶσαι χρόνοι ἕτεραι οὖσαι, αὐ-
» τὸ τοῦτο ἄτοπον. καὶ ἔσονται πολλοὶ χρόνοι ἅμα. εἰ δὲ μὴ χρόνοι εἰσὶ καὶ αἱ τῶν λοιπῶν φοραὶ, διαφο-
» ρὰν λεκτέον, διατί ἡ μὲν τοῦ ἡλίου φορὰ χρόνος, ἡ δὲ τῆς σελήνης οὐ χρόνος, οὐδὲ δὴ αἱ τῶν ἄλλων.
» τοῦτο δὲ ἔοικεν οὐκ εὐμαρεῖ. ὁ δὲ ἰάμβλιχος ἐν τῷ ὀγδόῳ τῶν εἰς τίμαιον ὑπομνημάτων, καὶ ταῦτα
» πρὸς τὴν δόξαν ἐπήγαγε. πᾶσα κίνησις ἐν χρόνῳ. κινήσεις πολλαὶ ὁμοῦ ἐνίστανται. τὰ δὲ τοῦ χρόνου
» μόρια ἄλλα ἄλλοτε. ἡ κίνησις περί τι μένον φέρεται. χρόνῳ δὲ οὐδὲν ἠρεμίας δεῖ. κινήσει κίνησις ἢ
» ἠρεμία ἐναντιοῦται, τῇ μὲν ἐν γένει ἢ ἐν γένει, τῇ δὲ ἐν εἴδει ἢ ἐν εἴδει. χρόνῳ δὲ οὐδέν. ὁ δὲ ἀλέξαν-

δρος φιλονεικῶν δεῖξαι τοῦ πλάτωνος δόξαν εἶναι, τὴν λέγουσαν χρόνον εἶναι τὴν τοῦ οὐρανοῦ φοράν, πρῶτον μὲν τὸν εὔδημον μαρτύρεται λέγοντα, ἠκολούθησε δὲ καὶ πλάτων τῇ λέξει ταύτῃ καὶ μάλα ἀτόπως. πρὶν γὰρ οὐρανὸν γενέσθαι φησὶν, κίνησιν εἶναι ἄτακτον. οὐ λίνον δὴ λίνῳ συνάπτει, εἴπερ πᾶσα κίνησις ἐν χρόνῳ. ἔπειτα οὐκ ἀποδέχεται τῶν λεγόντων, ὅτι καὶ ὁ πλάτων συμφώνως τῷ ἀριστοτέλει τὸν χρόνον ἀριθμὸν λέγει κινήσεως, εἰπὼν κατ' ἀριθμὸν ἰοῦσαν αἰώνιον εἰκόνα. οὐ γὰρ ἀριθμὸν κινήσεως φησὶ λέγειν τὸν χρόνον, ἀλλὰ κατὰ ἀριθμὸν κινήσεως ὅ ἐστι κατὰ τάξιν. ταῦτα μὲν ὁ ἀλέξανδρος. ἐμὲ δὲ ὑποδεῖξαι χρεών. πρῶτον μὲν πόθεν εὔδημος ὑπενόησε χρόνον λέγειν τὸν πλάτωνα τὴν τοῦ οὐρανοῦ περιφοράν. εἶτα ὅτι οὐκ ἀκολουθεῖ τοῦτο τὸ ἄτοπον τῷ πλάτωνι, ὡς ὁ ἀλέξανδρος συνελογίσατο, τὸ χρόνον εἶναι πρὸ χρόνου. εἰ γὰρ πᾶσα κίνησις φησὶν ἐν χρόνῳ, δηλονότι

καὶ ἡ πλημμελὴς καὶ ἄτακτος κίνησις ἐν χρόνῳ. εἰ οὖν ἡ τοιαύτη κίνησις ἦν πρὶν οὐρανὸν γενέ-
σθαι, δηλονότι καὶ χρόνος ἦν πρὸ τῆς τοῦ οὐρανοῦ περιφορᾶς. εἰ οὖν αὕτη ὁ χρόνος, εἴη ἂν ὁ χρόνος
πρὸ χρόνου. πρὸς ταῦτα οὖν ἀπολογήσασθαι δεῖ. τὸ γὰρ ὅπως ὁ Πλάτων κατ' ἀριθμὸν ἰοῦσαν αἰώ-
νιον εἰκόνα τὸν χρόνον εἶπε, τότε μαθησόμεθα, ὅταν Ἀριστοτέλους ἀριθμὸν κινήσεως λέγοντος τὸν χρό-
νον ἀκούσωμεν. καὶ τὸ μὲν τὴν οὐρανοῦ περιφορὰν χρόνον λέγειν τὸν Πλάτωνα, ἐκ τῶν δὲ οἶμαι τῶν
» ἐν Τιμαίῳ γεγραμμένων ὑπενοήθη. νὺξ μὲν οὖν ἡμέρα τε γέγονε διὰ ταῦτα, ἡ τῆς μιᾶς κυκλώσεως
» περίοδος. μεὶς δέ, ἐπειδὰν σελήνη τὸν ἑαυτῆς κύκλον περιελθοῦσα, ἥλιον ἐπικαταλάβῃ. ἐνιαυτὸς
» δέ, ὁπόταν ὁ ἥλιος τὸν ἑαυτοῦ περιέλθῃ κύκλον. τῶν δὲ ἄλλων τὰς περιόδους οὐκ ἐννενοηκότες ἄν-
» θρωποι πλὴν ὀλίγοι τῶν πολλῶν, οὔτε ὀνομάζουσιν, οὔτε πρὸς ἄλληλα ξυμμετροῦνται σκοποῦν-
» τες ἀριθμοῖς. ὥστε ὡς ἔπος εἰπεῖν οὐκ ἴσασι χρόνον ὄντα τὰς τούτων πλάνας. καὶ οὕτω μὲν ἑκάστην
» περίοδον χρόνον τινὰ δοκεῖ λέγειν, τὴν δὲ τοῦ παντὸς μίαν τὸν ὅλον χρόνον. φησὶ γὰρ ὡς ὁ τέλειος
» ἀριθμὸς χρόνου τὸν τέλειον ἐνιαυτὸν πληροῖ τότε, ὅταν ἁπασῶν τῶν περιόδων τὰ πρὸς ἄλληλα
» συμπερανθέντα τάχη, σχῇ κεφαλήν, τῷ αὐτοῦ καὶ ὁμοίως ἰόντος ἀναμετρηθέντα κύκλῳ. ὅτι δὲ οὐ
τὴν κίνησιν τῶν οὐρανίων ὁ Πλάτων λέγει τὸν χρόνον, ἀλλὰ τὸ μέτρον τῆς κινήσεως, σαφὲς μὲν οἶμαι
καὶ ἐκ τούτων τῶν παραγεγραμμένων ἐστί. τὸ γὰρ διὰ τὸ μὴ ἀριθμοῖς συμμετρεῖσθαι τὰς περιόδους,
διὰ τοῦτο μὴ εἰδέναι χρόνον ὄντα τὰς τούτων πλάνας, σαφῶς δηλοῖ ὅτι ὁ χρόνος κατὰ τὸ μέτρον
εἶναι τῶν κινήσεων ἔχει τὴν οὐσίαν. ἔτι δὲ ἐναργέστερόν ἐστι μαθεῖν ὅτι οὐ ταὐτὸν τὴν κίνησιν καὶ τὸν
χρόνον φησὶν ὁ Πλάτων, ἐὰν εὕρωμεν ἤδη κινηθέντι τῷ παντὶ κατὰ τὸν λόγον διὰ τὴν τῆς ψυχῆς
μετουσίαν, τότε ὡς μέτρον τῆς κινήσεως ἀπαγαγόντα τὸν χρόνον. λέγει δὲ οὕτως ἐν τῷ Τιμαίῳ μετὰ
» τὴν τοῦ σωματοειδοῦς ψύχωσιν. ὡς δὲ κινηθὲν αὐτὸ καὶ ζῶν ἐνενόησε τῶν ἀϊδίων θεῶν γεγονὸς ἄγαλ-
» μα, ὁ ἐγέννησε πατήρ, ἠγάσθη τε καὶ εὐφρανθεὶς ὅμοιον πρὸς τὸ παράδειγμα ἐπενόησεν ἀπεργά-
» σασθαι. καθάπερ οὖν αὐτὸ τυγχάνει ζῶον ἀΐδιον ὄν, καὶ τόδε τὸ πᾶν οὕτως εἰς δύναμιν ἐπεχείρησε
» τοιοῦτον ἀποτελεῖν. ἡ μὲν οὖν τοῦ ζώου φύσις ἐτύγχανεν οὖσα αἰώνιος. καὶ τοῦτο μὲν δὴ τῷ γεννητῷ
» παντελῶς προσάπτειν οὐκ ἦν δυνατόν. εἰκὼ δ' ἐπινοεῖ κινητήν τινα αἰῶνος ποιῆσαι. καὶ διακο-
» σμῶν ἅμα οὐρανὸν ποιεῖ μένοντος αἰῶνος ἐν ἑνὶ κατ' ἀριθμὸν ἰοῦσαν αἰώνιον εἰκόνα, τοῦτον ὃν δὴ χρό-
νον ὠνομάκαμεν. καὶ ὅτι μὲν πάντων ὑφισταμένων ἅμα ἀπὸ τοῦ δημιουργοῦ, τὴν πρὸς ἄλληλα τά-
ξιν ὁ λόγος ἐνεδείξατο, δῆλον. εἰ γὰρ ἅμα τῷ οὐρανῷ γέγονεν ὁ χρόνος, ὡς δηλοῖ τὸ μετ' ὀλίγον τού-
των εἰρημένον, χρόνος δ' οὖν μετ' οὐρανοῦ γέγονε, δηλονότι οὐδέτερον οὐδετέρου προηγεῖται τῷ χρό-
νῳ. πῶς δ' ἂν καὶ χρόνου τι τῷ χρόνῳ προϋπῆρχεν. εἰ δὲ κινηθέντι τῷ παντὶ τὸν χρόνον ἐπεισήγαγε,
δηλονότι οὐ ταὐτὸν ὁ χρόνος καὶ ἡ κίνησις κατ' αὐτόν. ἀλλὰ τελειωτικός πως ὁ χρόνος τῆς κινήσεως.
καὶ ὅταν δὲ τὸ πλημμελῶς καὶ ἀτάκτως κινούμενον λέγῃ προηγεῖσθαι τῆς τοῦ κόσμου γενέσεως ὁ
» Πλάτων, ἐν οἷς φησί, βουληθεὶς γὰρ ὁ θεὸς ἀγαθὰ μὲν πάντα, φλαῦρον δ' οὐδὲν εἶναι κατὰ δύνα-
» μιν, οὕτω δὴ πᾶν ὅσον ἦν ὁρατὸν παραλαβών, οὐχ ἡσυχίαν ἄγον, ἀλλὰ πλημμελῶς καὶ ἀτάκτως
» κινούμενον, εἰς τάξιν αὐτὸ ἤγαγεν ἐκ τῆς ἀταξίας, ἡγησάμενος ἐκεῖνο τούτου πάντως ἄμεινον, καὶ
ἐν τούτοις οὖν οὐ τοῦτο φησίν, ὅπερ δοκεῖ λέγειν τὸ φαινόμενον, ὅτι ἦν ποτε τῷ χρόνῳ προϋπάρχον
τὸ αἰσθητὸν ἄτακτον, καὶ ὕστερον ὡς ἐξ ὕπνου τινὸς ὁ δημιουργὸς ἀναστὰς ἔταξεν αὐτό. εἰ γὰρ διὰ
τὴν ἀγαθότητα δημιουργεῖ, ἡ δὲ ἀγαθότης αὐτοῦ ἀεὶ τελεία καὶ ἐνεργός ἐστι, καὶ τῷ εἶναι πάντα
ἀγαθύνει, δηλονότι τῇ τοῦ θεοῦ ἀγαθότητι συνυφέστηκεν ἡ δημιουργικὴ πρόνοια. ἐνδείκνυται δὲ τὸ
λεγόμενον ὅτι κόσμου καὶ τάξεως ὁ δημιουργὸς αἴτιός ἐστι τῷ παντί. εἴπερ τὸ τῆς αὐτοῦ ἐνεργείας
πλημμελὲς καὶ ἄτακτον ὑποτίθεται. καὶ τῷ λόγῳ δὲ ὑπέθετο πλημμελῆ κίνησιν πρὶν οὐρανὸν
γενέσθαι. καὶ εἰ πᾶσα κίνησις ἐν χρόνῳ, δηλονότι καὶ ὁ χρόνος ἐκεῖνος πλημμελὴς καὶ ἄτακτος καὶ
οἷον σκιαγραφία τις ὑποτεθήσεται τοῦ τελείου χρόνου, κατὰ τὴν τοῦ λόγου ὑπόθεσιν. ἀλλὰ ταῦτα
μὲν μὴ καὶ πλέονα τοῦ δέοντος εἴρηται. τῶν δ' ἐφεξῆς ἐχώμεθα.

ἘΠΕῚ ΔῈ δοκεῖ μάλιστα κίνησις εἶναι καὶ μεταβολή τις ὁ χρόνος, τοῦτ' ἂν εἴη σκεπτέον. ἡ μὲν οὖν
ἑκάστου μεταβολὴ καὶ κίνησις, ἐν αὐτῷ τῷ μεταβάλλοντί ἐστι μόνον, ἢ οὗ ἂν τύχῃ ὂν αὐτὸ τὸ κινού-
μενον καὶ μεταβάλλον. ὁ δὲ χρόνος ὁμοίως καὶ πανταχοῦ καὶ παρὰ πᾶσιν.

Δύο δόξας ἐκθέμενος περὶ χρόνου, τήν τε λέγουσαν χρόνον εἶναι τὴν τοῦ παντὸς περιφοράν, καὶ τὴν
λέγουσαν τὴν τοῦ παντὸς σφαῖραν, καὶ τὴν μὲν προτέραν ἐλέγξας, τὴν δὲ εὐηθικωτέραν οὐδὲ ἀν-
τιλογίας ἀξιώσας, τρίτην νῦν προστίθεται τὴν τῶν δυοῖν πιθανωτέραν, τὴν λέγουσαν τὸν χρόνον
κίνησιν εἶναι καὶ μεταβολήν τινα. καὶ δηλονότι ἄλλη τίς ἐστιν ὑπόθεσις αὕτη παρὰ τὴν λέγουσαν
τὴν τοῦ παντὸς περιφορὰν εἶναι τὸν χρόνον. καὶ οὐκ ἀναγκαίως νῦν ὁ Ἀλέξανδρος ἐπήγαγε, διὸ καὶ
Πλάτων τε καὶ ἄλλοι τινὲς κίνησιν εἶπον αὐτόν. ὁ γὰρ Πλάτων εἴπερ ἄρα, τὴν τοῦ παντὸς περιφο-
ρὰν εἶπε τὸν χρόνον. οὕτω γὰρ αὐτὸν μέχρι νῦν ἤκουσεν ὁ Ἀλέξανδρος. δοκεῖ δὲ ἡ αὐτή πως ἔννοια
εἶναι χρόνου καὶ κινήσεως. ῥύσιν γάρ τινα καὶ ὁ χρόνος καὶ χορείαν ἐνδείκνυται, καὶ ἐν τῷ γίνεσθαι

τὸ εἶναι ἔχει. ὅπερ ἐστὶ κινήσεως ἴδιον, καὶ συμβεβηκός τι καὶ συνεχές, καὶ ἐπ᾽ ἄπειρον διαιρετὸν ὁμοίως. ὅτι δὲ οὐκ ἔστι ταυτὸν κίνησις καὶ χρόνος δείκνυσι προλαμβάνων, ὅτι πᾶσα κίνησις καὶ μεταβολὴ ἐν αὐτῷ τῷ μεταβάλλοντι μόνον ἐστὶν, ἢ ἐν τῷ τόπῳ ἐν ᾧ ἂν τύχῃ ὂν τὸ κινούμενον καὶ μεταβάλλον. διὰ τοῦτο δέ φησιν ὁ ἀλέξανδρος τοῦτο προσέθηκεν· ὅτι ἐπὶ μὲν τῶν ἄλλων μεταβολῶν ἐν αὐτῷ τῷ μεταβάλλοντι ἐστὶν ἐκεῖνο τὸ καθ᾽ ὃ ἡ μεταβολή. τό, τε γὰρ ἀλλοιούμενον μεταβάλλει κατὰ τὴν ἐν ἑαυτῷ ποιότητα, καὶ τὸ αὐξόμενον κατὰ τὸ ἐν ἑαυτῷ ποσὸν, καὶ τὸ γινόμενον κατὰ τὴν ἐν ἑαυτῷ οὐσίαν. ὁ δὲ τόπος καθ᾽ ὃν μεταβάλλει τὸ κατὰ τόπον κινούμενον, οὐκ ἔστιν ἐν τῷ κινουμένῳ. ἀλλ᾽ ὅπου ἐστὶ τὸ μεταβάλλον, ἐκεῖ καὶ ἡ κίνησις. οὕτω μὲν ὁ ἀλέξανδρος. μήποτε δὲ καὶ ἡ κατὰ τόπον μὲν κίνησις ἐν τῷ κινουμένῳ ἐστίν. οὐ γὰρ ὁ τόπος καθ᾽ ὃν κινεῖται τὸ κινούμενον ὑποτίθεται χρόνος. ἀλλ᾽ ἡ κατὰ τόπον κίνησις. ἡ δὲ κίνησις ἐν τῷ κινουμένῳ ἐστὶν ἀεί, ὡς δέδεικται ἐν τοῖς περὶ κινήσεως λόγοις. οὐ διὰ τοῦτο οὖν ἐν τῷ τόπῳ πρόσκειται. ἀλλ᾽ ἐπειδὴ καὶ ἐν τῷ τόπῳ ἐν ᾧ ἐστὶ τὸ κινούμενον, οὐ μόνον τὴν κατὰ τόπον κίνησιν, ἀλλὰ καὶ τὰς ἄλλας λέγομεν κινήσεις. ἀθήνησι γοῦν καὶ γίνεσθαι φαμὲν, καὶ αὐξηθῆναι, καὶ φαλακρωθῆναι τὸν σωκράτη. ἀκριβῶς οὖν ὁ ἀριστοτέλης εἶπεν, ὅτι πᾶσα μεταβολὴ καὶ κίνησις ἐν αὐτῷ τῷ μεταβάλλοντι μόνον ἐστὶν, ἢ οὗ ἂν τύχῃ αὐτὸ ὂν τὸ κινούμενον. καὶ ὅτι οὕτως εἴληπται, δηλοῖ ἡ ἑτέρα πρότασις ἡ ταύτῃ προσληφθεῖσα, λέγουσα δὲ ὅτι ὁμοίως ὁ χρόνος πανταχοῦ καὶ παρὰ πᾶσιν. εἰ οὖν ἡ μὲν κίνησις οὐχ ὁμοία πανταχοῦ, ἀλλ᾽ ἐκεῖ μόνον οὗ ἐστὶ τὸ κινούμενον, οὐδὲ παρὰ πᾶσιν, ἀλλ᾽ ἐν τῷ μεταβάλλοντι μόνον, δῆλον ὅτι οὐκ ἔστιν ὁ χρόνος κίνησις, εἴπερ ὁμοίως ἐστὶ πανταχοῦ καὶ παρὰ πᾶσιν. ἡ συναγωγὴ ἐν δευτέρῳ σχήματι. ἀντίκειται δὲ τῷ μὲν πανταχοῦ τὸ οὗ ἐστὶ τὸ κινούμενον, τῷ δὲ παρὰ πᾶσι τὸ ἐν τῷ μεταβάλλοντι μόνον.

ἜΤΙ ΔῈ μεταβολὴ μέν ἐστι πᾶσα θάττων καὶ βραδυτέρα, χρόνος δ᾽ οὐκ ἔστι. τὸ γὰρ βραδὺ καὶ ταχὺ, χρόνῳ ὥρισται. ταχὺ μὲν γὰρ, τὸ ἐν ὀλίγῳ πολὺ κινούμενον, βραδὺ δὲ, τὸ ἐν πολλῷ ὀλίγον, ὁ δὲ χρόνος, οὐχ ὥρισται χρόνῳ. οὔτε τῷ ποσός τις εἶναι, οὔτε τῷ ποιός. ὅτι μὲν τοίνυν οὐκ ἔστι κίνησις, φανερόν. μηδὲν δὲ διαφερέτω λέγειν ἡμῖν ἐν τῷ παρόντι κίνησιν ἢ μεταβολήν.

Τὸ αὐτὸ δείκνυσι καὶ δι᾽ ἑτέρου πάλιν ἐν δευτέρῳ σχήματι συναγομένου συλλογισμοῦ τοιούτου. κίνησις θάττων ἐστὶ καὶ βραδυτέρα. χρόνος δὲ οὐκ ἔστι θάττων καὶ βραδύτερος. οὐκ ἄρα κίνησις ὁ χρόνος. ὅτι δὲ οὐκ ἔστι χρόνος θάττων καὶ βραδύτερος, δῆλον μὲν καὶ ἐκ τῆς συνηθείας. καὶ γὰρ πολὺν μὲν καὶ ὀλίγον χρόνον λέγομεν. θάττω δὲ καὶ βραδύτερον οὐ λέγομεν. δείκνυσι δὲ καὶ τοῦτο συλλογιστικῶς οὕτως. τὸ ταχὺ καὶ βραδὺ χρόνῳ ὥρισται. ὁ δὲ χρόνος οὐχ ὥρισται χρόνῳ. οὐκ ἄρα θάττων καὶ βραδύτερος ὁ χρόνος. ὅτι δὲ τὸ ταχὺ καὶ βραδὺ χρόνῳ ὁρίζεται, δῆλον. ταχὺ μὲν γὰρ λέγομεν τὸ ἐν ὀλίγῳ χρόνῳ πολὺ κινούμενον. βραδὺ δὲ τὸ ἐν πολλῷ ὀλίγον. χρόνον δὲ οὐχ οἷόν τε λέγειν ἢ ἐν ὀλίγῳ πολὺν γίνεσθαι, ἢ ἐν πολλῷ ὀλίγον. ἀλλὰ μὴν καὶ ὅτι ὁ χρόνος οὐχ ὥρισται χρόνῳ, δῆλον πάλιν. ἐκ τοῦ μήτε κατὰ ποσὸν ἑαυτοῦ ὑπὸ χρόνου τὸν χρόνον ὡρίσθαι. ὁ γὰρ πολὺς χρόνος πολύς ἐστιν οὐ τῷ ἐν πολλῷ χρόνῳ εἶναι. καὶ ὀλίγος οὐ τῷ ἐν ὀλίγῳ. τοῦτο γὰρ κινήσεως ἴδιον. πολλὴν γὰρ λέγομεν κίνησιν, τὴν ἐν πολλῷ χρόνῳ, καὶ ὀλίγην τὴν ἐν ὀλίγῳ. χρόνον δὲ οὐχ οὕτω. ποιὸς δὲ χρόνος οὐκ ἔστιν ὅλως, οἷον ταχὺς ἢ βραδύς. ὥστ᾽ οὐδ᾽ ἂν ὁρίζοιτο αὐτοῦ τὸ ποιὸν ὑπὸ χρόνου, ὥσπερ τὸ τῆς κινήσεως. ταχεῖαν γὰρ καὶ βραδεῖαν κίνησιν λέγομεν. καὶ τοῦτο τὸ ποιὸν χρόνῳ ὁρίζεται. ταχεῖα γὰρ κίνησις ἡ ἐν ὀλίγῳ χρόνῳ πολλή. καὶ βραδεῖα ἡ ἐν πολλῷ ὀλίγη. οὕτω τῆς κινήσεως τὸ ποσὸν ὁρίζεται χρόνῳ. τοῦ δὲ χρόνου οὐκέτι. κἂν γὰρ λέγηται πολὺς καὶ ὀλίγος χρόνος, ἀλλ᾽ οὐ κατὰ τὴν ἐπὶ τὸν χρόνον ἀναφορὰν ὁρίζεται ταῦτα, ἀλλὰ κατὰ τὴν ἐπὶ τὸ συνεχὲς καὶ τὸν ἀριθμόν, ὡς δειχθήσεται. ὁ δέ γε πλωτῖνος καὶ ἄλλο προστίθησιν ἐπιχείρημα, δεικτικὸν τοῦ μὴ εἶναι κίνησιν τὸν χρόνον. κίνησις μὲν γάρ φησι καὶ παύσαιτο ἂν καὶ διαλίποι. χρόνος δὲ, οὔ. ἐπεὶ δὲ οὐ ταυτόν ἐστι κίνησις καὶ μεταβολὴ, ὡς δείξει τοῦ πέμπτου βιβλίου τῆσδε τῆς πραγματείας ἀρχόμενος, τὴν γὰρ γένεσιν καὶ τὴν φθορὰν μεταβολὴν μὲν εἶναι δείξει, κίνησιν δὲ οὔ, ἐχρήσατο δὲ καὶ χρήσεται ἀδιαφόρως τῷ τῆς κινήσεως καὶ μεταβολῆς ὀνόματι. εἰκότως ἐπὶ τῇ ἀδιαφορίᾳ παρῃτήσατο τὸν ἀκροατὴν, ὅτι ἀδιαφόρως χρήσεται δηλώσας.

ἈΛΛᾺ ΜῊΝ οὐδ᾽ ἄνευ γε μεταβολῆς. ὅταν γὰρ αὐτοὶ μηδὲν μεταβάλλωμεν τὴν διάνοιαν, ἢ λάθωμεν μεταβάλλοντες οὐ δοκεῖ ἡμῖν γεγονέναι ὁ χρόνος. καθάπερ οὐδὲ τοῖς ἐν τῇ σαρδοῖ μυθολογουμένοις καθεύδειν παρὰ τοῖς ἥρωσιν ὅταν ἐγερθῶσι. συνάπτουσι γὰρ τὸ πρότερον νῦν, τῷ ὕστερον νῦν. καὶ ἓν ποιοῦσιν ἐξαιροῦντες διὰ τὴν ἀναισθησίαν τὸ μεταξύ. ὥσπερ οὖν εἰ μὴ ἦν ἕτερον τὸ νῦν ἀλλὰ ταυτὸ καὶ ἓν, οὐκ ἂν ἦν χρόνος. οὕτως καὶ ἐπεὶ λανθάνει ἕτερον ὂν, οὐ δοκεῖ εἶναι τὸ μεταξὺ χρόνος. εἰ δὴ τὸ μὴ οἴεσθαι εἶναι χρόνον τότε συμβαίνει ἡμῖν, ὅταν μὴ ὁρίσωμεν μηδεμίαν μεταβολήν. ἀλλ᾽ ἐν ἑνὶ καὶ ἀδιαιρέτῳ φαίνεται ἡ ψυχὴ μένειν, ὅταν δὲ αἰσθώμεθα. καὶ ὁρίσωμεν, τότε φαμὲν γεγονέναι χρόνον, φανερὸν ὅτι οὐκ ἔστιν ἄνευ κινήσεως καὶ μεταβολῆς ὁ χρόνος. ὅτι μὲν οὖν

οὔτε κίνησις, οὔτε ἄνευ κινήσεως ὁ χρόνος ἐστὶ, φανερόν.

Δ εἴξας ὅτι οὐκ ἔστιν ὁ χρόνος κίνησις, ἐφεξῆς δείκνυσιν ὅτι οὐδ' ἄνευ κινήσεως ἐστὶν, ἀλλὰ μετὰ κινή-
σεως πάντως. τοῦ γὰρ ἐπιστήμονος ἐστὶ καὶ τῶν σύνεγγυς ὄντων τῇ φύσει, καὶ τὴν διαφορὰν παραδι-
δόναι καὶ τὴν κοινωνίαν. ὅτι δὲ οὐκ ἄνευ κινήσεως ὁ χρόνος, οὐδὲ οἷόν τε χρόνον ἄνευ κινήσεως λαβεῖν,
δείκνυσιν οὕτως. ὁ χρόνος ἄνευ κινήσεως ἀσυναίσθητος ἡμῖν ἐστι. τὸ ἄνευ κινήσεως ἀσυναίσθητον, οὐκ
ἔστιν ἄνευ κινήσεως λαβεῖν, ὅτι μετὰ κινήσεως πάντως ὑφέστηκεν. ὁ ἄρα χρόνος μετὰ κινήσεως ὑφέ-
στηκε, καὶ ἄνευ ταύτης οὐδὲ ἔστιν οὐδὲ νοεῖται. ὅτι δὲ ἄνευ κινήσεως ἀσυναίσθητός ἐστι, δείκνυσιν ἐκ τοῦ
ὅταν ἀκίνητοι πάντη κατὰ τὴν διάνοιαν ὦμεν, ἢ λάθωμεν ἑαυτοὺς κινούμενοι κατ' αὐτὴν, τουτέστιν
ἐννοοῦντές τι, οὐδὲ χρόνον ἡγούμεθα γεγονέναι τινὰ, ὡς μὴ δυναμένου χωρὶς ἐννοίας κινήσεως ἐπι-
νοηθῆναι χρόνου. ὅτι δὲ τοῦτο οὕτως ἔχει, δῆλον ἡμῖν καὶ ἐκ τῶν ὕπνων. κοιμηθέντες γὰρ ὁμαλῶς καὶ
διαναστάντες, τὸν μεταξὺ χρόνον οὐκ ἐννοοῦμεν. δῆλον δὲ καὶ ἐν ταῖς συντόνοις νοήσεσιν ἢ πράξεσι.
πρὸς γὰρ ἐκείναις ὄντες τὴν διάνοιαν, οὐχ ἡγούμεθα μεταξὺ χρόνον γεγονέναι, καίτοι μακροῦ δια-
νυσθέντος πολλάκις. οὐ γὰρ τῷ κινεῖσθαι ἡμᾶς, ἀλλὰ τῷ κινήσεως ἔννοιαν λαμβάνειν, συνεννοοῦμεν
καὶ τὸν χρόνον ὡς τῇ κινήσει συνυπάρχοντα. διὰ τοῦτο γὰρ εἰπὼν ὅταν μηδὲν αὐτοὶ μεταβάλλω-
μεν, προσέθηκε τὴν διάνοιαν, ὅτι κατὰ τὴν παρακολούθησιν τὴν διανοητικὴν τῆς κινήσεως, ἀκί-
νητον αὐτὴν οὖσαν, καὶ ἡ τοῦ χρόνου συναίσθησις γίνεται. καὶ γὰρ καὶ ἐκ τοῦ ἐναντίου δυνατὸν
ἰδεῖν, ὅτι οἱ ἀλγοῦντες καὶ ταλαιπωρούμενοι, ἢ ἐν ἐνδείᾳ καὶ ἐπιποθήσει τινὸς ὄντες, πολὺ τὸ
» τοιοῦτο κίνημα νομίζοντες, πολὺν ἡγοῦνται καὶ τὸν χρόνον. λέγει γοῦν τις ἐν κωμῳδίᾳ, οὐδέ-
» ποθ' ἡμέρα γενήσεται. καὶ μὴν πάλαι γ' ἀλεκτρυόνων ἤκουσ' ἐγώ. καὶ ἄλλος, οἱ δὲ ποθοῦντες ἐν ἤματι
γηράσκουσιν. ὅτι δὲ οἱ τῇ κινήσει μὴ παρακολουθοῦντες οὐδὲ τοῦ χρόνου συναισθάνονται, ἡμεῖς μὲν
ὥσπερ εἶπον ὁσημέραι ἐκ τῶν ὕπνων γινώσκομεν. ὁ δὲ ἀριστοτέλης ἀπὸ μακροτέρου πιστοῦται τοῦτο ὕ-
πνου, τῶν ἐν σαρδοῖ τῇ νήσῳ παρὰ τοῖς ἥρωσι μυθολογουμένων καθεύδειν. ἐννέα γὰρ τῷ ἡρακλεῖ γε-
γονότων παίδων, ἐκ τῶν θεσπίου τοῦ θεσπιέως θυγατέρων, ἐν σαρδοῖ τελευτησάντων, ἔλεγον ἕως
ἀριστοτέλους τάχα δὲ καὶ ἀλεξάνδρου τοῦ ἐξηγητοῦ τῶν ἀριστοτέλους, ἄσηπτά τε καὶ ὁλόκληρα
διαμένειν τὰ σώματα, καὶ φαντασίαν καθευδόντων παρεχόμενα. καὶ οἱ μὲν ἐν σαρδοῖ ἥρωες, οὗτοι.
παρὰ τούτοις δὲ ὀνείρων ἕνεκεν, ἢ ἄλλης τινὸς χρείας, εἰκὸς ἦν συμβολικῶς τινας μακροτέρους
καθεύδειν ὕπνους. οἵτινες συνάπτοντες τὸ ἐν ἀρχῇ τοῦ ὕπνου νῦν τῷ ἐν τῷ πέρατι, καὶ ἓν ποιοῦντες
τὸ νῦν, διὰ τὸ ἀσυναίσθητον τῆς μεταξὺ τῶν δύο νῦν κινήσεως, συνῄρουν καὶ τὴν τοῦ χρόνου ἔννοιαν
εἰς τὸ νῦν. καὶ ἐξῄρουν τὸν χρόνον διὰ τὴν ἀναισθησίαν τῆς μεταξὺ κινήσεως. ὡς γὰρ εἰ μὴ ἦν φησιν ἕ-
τερον μὲν τὸ ἐν ἀρχῇ νῦν, ἕτερον δὲ τὸ ἐν τῷ πέρατι, ἀλλὰ ταυτὸν καὶ ἓν, οὐκ ἂν ἦν χρόνος, οὐ γὰρ
χρόνος τὸ νῦν, ἀλλὰ χρόνου πέρας, οὕτω καὶ ὅταν λανθάνῃ ἕτερον ὂν τὸ νῦν, οὐ δοκεῖ εἶναι ὁ μετα-
ξὺ τῶν δύο νῦν χρόνος. ὁ μέντοι εὔδημος τὴν ἀπὸ τῆς σαρδοῦς παρεὶς πίστιν, ἔκ τινος ἀθήνησι συμβε-
βηκότος αὐτὸ τὸ λεγόμενον πιστοῦται. λέγεται γάρ φησι θυσίας οὔσης δημοτελοῦς, ἑστιᾶσθαι τι-
νὰς ἐν καταγείῳ σπηλαίῳ. μεθυσθέντας δὲ κατακοιμηθῆναι πρὸς ἡμέραν ἤδη καὶ αὐτοὺς καὶ τοὺς οἰ-
κέτας, καὶ καθεύδειν τὸ λοιπὸν τῆς νυκτὸς, καὶ τὴν ἡμέραν καὶ ἔτι τὴν νύκτα. ἐπεγερθέντα γὰρ
ἕνα τινὰ, ὡς εἶδεν ἄστρα, πάλιν ἀπελθόντα ἀναπαύεσθαι. τῆς δὲ ἐπιούσης ἡμέρας ὡς ἠγέρθησαν,
τὴν κουρεῶτιν ἄγειν ὕστερον τῶν ἄλλων ἡμέραν. ὅθεν δὴ καὶ κατανοηθῆναι τὸ συμβάν. κουρεῶτις δὲ
ἦν ἡ τρίτη τῶν ἀπατουρίων ἡμέρα. ὥσπερ ἡ πρώτη δορπία. καὶ ἡ δευτέρα ἀνάρρυσις. καὶ ἡ τε-
τάρτη ἐπίβδα. μετὰ τὴν τῆς δευτέρας οὖν θυσίαν, καθευδήσαντες τὴν ἐφεξῆς ἡμέραν καὶ τὴν
μετ' αὐτὴν νύκτα, τὴν τετάρτην λοιπὸν ἀντὶ τῆς τρίτης ὡς κουρεῶτιν ἦγον. εἰ οὖν ὅταν μηδεμίαν
νομίσωμεν εἶναι μεταβολὴν, ἀλλ' ἐν τῷ αὐτῷ νῦν ἑστάναι, τότε συμβαίνει μηδὲ χρόνον οἴεσθαι εἶναι,
ὅταν δὲ αἰσθώμεθα κινήσεως, καὶ πλείω τὰ νῦν ὁρίσωμεν, τὸ μὲν, ὡς ἀρχὴν, τὸ δ' ὡς πέρας, τὸ
μὲν, ὡς πρότερον, τὸ δ' ὡς ὕστερον, τότε καὶ τοῦ μεταξὺ χρόνου συναισθανόμεθα, δηλονότι οὐκ ἔσται
ἄνευ κινήσεως καὶ μεταβολῆς χρόνος. ἐκ δὲ τῶν ἐνταῦθα ῥηθέντων ὁ θαυμάσιος γαληνὸς ἐν τῷ
ὀγδόῳ τῆς ἑαυτοῦ ἀποδεικτικῆς ὑπονοεῖ λέγειν τὸν ἀριστοτέλη, διὰ τοῦτο μὴ εἶναι χρόνον ἄνευ κινή-
σεως, ὅτι κινούμενον νοοῦμεν αὐτόν. καὶ ἐπάγει τι τῷ λόγῳ ἄτοπον, ὅτι καὶ τὰ παντάπασιν ἀκί-
νητα μετὰ κινήσεως ἀνάγκη εἶναι, εἴπερ καὶ τούτων ἡ νόησις ἡμῖν μετὰ κινήσεως ἐστίν. οὐδὲ γὰρ ἡμεῖς
ἀκινήτῳ νοήσει νοοῦμεν. εἴποι δ' ἄν τις ὅτι οὐδὲ διαστάσεως χωρὶς ἂν εἴη τὰ ἀδιάστατα, εἰ μετὰ διαστά-
σεως αὐτὰ νοοῦμεν ἡμεῖς, τὰ πολλὰ φανταστικῶς ἐνεργοῦντες. ἀλλὰ πρῶτον μὲν ἐχρῆν ἐννοῆσαι,
ὅτι ὁ ἀριστοτέλης οὐ βούλεται κινεῖσθαι τὴν ψυχὴν ἀλλ' ἐνεργεῖν, μόνας ἀξιῶν τὰς φυσικὰς με-
ταβολὰς κινήσεις καλεῖν. οὐκ ἄρα τὸ κινουμένους νοεῖν τὸν χρόνον λέγει μὴ εἶναι χωρὶς κινήσεως αὐ-
τόν. ἀλλ' ὅτι ἡ τῆς κινήσεως ἔννοια ἀκίνητος οὖσα συνεισάγει τὴν τοῦ χρόνου ἔννοιαν. καὶ ὅτι οὕτω λέ-
γει, δῆλον ποιεῖ καὶ ἐξ ὧν φησιν, ὅτι κἂν μεταβάλλωμεν τὴν διάνοιαν, τουτέστι κἂν τῇ διανοίᾳ περὶ
τὴν μεταβολὴν ἐνεργῶμεν, λανθάνωμεν δὲ μεταβάλλοντες, οὐ δοκεῖ ἡμῖν γεγονέναι χρόνος. καὶ

πάλιν λανθάνειν ἡμᾶς φησι τὴν κίνησιν, οὐ τῷ μὴ κινεῖσθαι, ἀλλὰ τῷ μηδεμίαν ἔννοιαν ἴσχειν κινήσεως. εἰ δὲ καὶ ἅμα κινήσεως ἡμᾶς αἰσθάνεσθαι φησὶ καὶ χρόνου, ἀλλ' οὐ κινουμένους αἰσθάνεσθαι. εἰ δὲ καὶ νομίζοι τις τό, ὅταν αὐτοὶ μὴ μεταβάλλωμεν τὴν διάνοιαν, ἀντὶ τοῦ μὴ κινούμεθα κατὰ διάνοιαν εἰρῆσθαι, καὶ οὕτως οὐ διὰ τὸ κινουμένους νοεῖν τὸν χρόνον. νομίζει μετὰ κινήσεως εἶναι τὸν χρόνον, ἀλλὰ διὰ τὸ κινήσει παρακολουθεῖν, κἄν τε κινούμενοι κἄν τε μὴ κινούμενοι παρακολουθῶμεν. διὸ καὶ ὡς διορθῶν ἐπήγαγε, τό, ἢ λάθωμεν μεταβάλλοντες. τοιγαροῦν ὅπερ εἶπον πρότερον, καὶ νοοῦντες καὶ ὁριαζόμενοι συντόνως, ὅτι μὲν κινούμεθα δῆλον. μὴ ἐφιστάνοντες δὲ τῇ παρατάσει τῆς κινήσεως, μηδὲ ὁρίζοντες τὸ πρότερον καὶ τὸ ὕστερον νῦν, ἀνεπαίσθητοι καὶ τοῦ μεταξὺ χρόνου γινόμεθα, ὡς τῇ κινήσει συνυφεστηκότος ἣν συνῃρήκαμεν. οὐ μέντοι ἄνευ τοῦ κίνησιν ἐννοεῖν ἀδύνατον μὲν τοὺς πόλους ἢ τὸ κέντρον τοῦ παντὸς ἐννοεῖν. καθόλου γὰρ ἐπὶ τῶν ἅμα συνυπαρχόντων, καὶ τὴν οὐσίαν ἐν τῇ πρὸς ἄλληλά πως ἐχόντων σχέσει, τῇ τοῦ ἑτέρου ἐννοίᾳ ἀνάγκη καὶ τὴν τοῦ ἑτέρου συνεννοεῖσθαι. ὁ γοῦν φίλον ἐννοῶν, καὶ ὅτι φίλου φίλος ἐστὶν ἐννοήσει. καὶ ὁ δεξιὸν ἐννοῶν, καὶ τὸ ἀριστερὸν εὐθὺς συννοεῖ. διὸ καὶ ἐφιστάνειν ἀξιῶ, πῶς εἶπεν ὁ Ἀλέξανδρος, ὅτι ἐπ' οὐδενὸς τῶν ἄλλων ἡμῖν ἐν τῷ ἄλλο τι νοεῖν ἡ τοῦ ἄλλου συνεισδύεται ἐπίνοια, εἰ μὴ ἐπὶ χρόνου τῇ τῆς κινήσεως ἐννοίᾳ τῆς τοῦ χρόνου συμπεφυκυίας. δῆλον δὲ ὅτι καὶ τῷ χρόνῳ συναναφέρεται ἡ κίνησις. βαδίσαντες γὰρ τοσόνδε χρόνον, τοσάδε στάδια ἠνυσμένα ἐν τοσῷδε χρόνῳ τεκμαιρόμεθα. καὶ ὁ Ἀριστοτέλης δὲ ἐν τοῖς ἑξῆς λέγει, ἀλλὰ μὴν ὅταν καὶ χρόνος δοκῇ γεγονέναι τις, ἅμα καὶ κίνησίς τις φαίνεται γεγονέναι.

ΛΗΠΤΕΟΝ δὲ ἐπειδὴ ζητοῦμεν τί ἐστι ὁ χρόνος, ἐντεῦθεν ἀρχομένοις, τί τῆς κινήσεως ἐστίν. ἅμα γὰρ κινήσεως αἰσθανόμεθα καὶ χρόνου. καὶ γὰρ ἐὰν ᾖ σκότος καὶ μηδὲν διὰ τοῦ σώματος πάσχωμεν, κίνησις δέ τις ἐν τῇ ψυχῇ ἐνῇ, εὐθὺς ἅμα δοκεῖ τις γεγονέναι καὶ χρόνος. ἀλλὰ μὴν, καὶ ὅταν γε χρόνος δοκεῖ γενέσθαι τις. ἅμα καὶ κίνησίς τις φαίνεται γεγονέναι. ὥστε ἤτοι κίνησις, ἢ τῆς κινήσεως τί ἐστι χρόνος. ἐπειδὴ οὖν οὐ κίνησις, ἀνάγκη τῆς κινήσεώς τι εἶναι αὐτόν.

Συμπερανάμενος ἐκ τῶν εἰρημένων, ὅτι οὔτε κίνησις ἐστὶν ὁ χρόνος, οὔτε ἄνευ κινήσεως, καὶ ὁρμήσας ἐπὶ ζήτησιν τῆς οὐσίας αὐτοῦ, πρῶτον μὲν προκατασκευάζει τοῖς ἤδη εἰρημένοις, ὅτι ἅμα αἴσθησιν ἔχομεν κινήσεώς τε καὶ χρόνου. κἂν γὰρ σκότος ᾖ φησιν, ὥστε μὴ ἡμᾶς σωματικῶς κινεῖσθαι, μήτε ἄλλων κινουμένων αἰσθάνεσθαι, κίνησις δέ τις ἐν τῇ ψυχῇ ἐνῇ, νοούσης τι τῆς ψυχῆς, ὅπερ ἴσον ἐστὶ φησὶν ὁ Ἀλέξανδρος, τῷ ἔννοιαν δέ τινα κινήσεως ἔχωμεν, ὅπερ ἐστὶ δηλονότι ἐπὶ πάσης τῆς κινήσεως, εὐθὺς ἅμα τὶς δοκεῖ γεγονέναι καὶ χρόνος. οὕτω δὲ ὁ Ἀλέξανδρος ἐξηγεῖται, εἰδὼς ὅτι οὐ βούλεται ὁ Ἀριστοτέλης κινεῖσθαι τὴν ψυχήν. ἀλλὰ κίνησιν ἐν τῇ ψυχῇ εἶπε τὴν ἀκίνητον ἔννοιαν τῆς ὁποιασοῦν κινήσεως. μήποτε δὲ κατὰ μὲν τὰς φυσικὰς κινήσεις ἀκινήτους οἴεται τὰς ψυχικὰς ἐννοίας ὁ Ἀριστοτέλης, ἄλλο δὲ εἶδος κινήσεως ἐνορᾷ. ἐφεξῆς δὲ τοῖς εἰρημένοις καὶ τὸ ἀντίστροφον προστίθησιν, ὅτι οὐ μόνον τῇ κινήσει συνεπινοεῖται ὁ χρόνος, ἀλλὰ καὶ τῷ χρόνῳ ἡ κίνησις. εἰκότως οὖν ἐπειδὴ συναναφέρεται ταῦτα ἀλλήλοις, ἢ κίνησις ἐστὶν, ἢ τῆς κινήσεώς τι ὁ χρόνος. εἰ οὖν δέδεικται ὅτι κίνησις οὐκ ἔστι, δηλονότι ἀπολείπεται τῆς κινήσεώς τι αὐτὸν εἶναι.

ΕΠΕΙ ΔΕ τὸ κινούμενον, κινεῖται ἔκ τινος εἴς τι, καὶ πᾶν μέγεθος συνεχές, ἀκολουθεῖ τῷ μεγέθει ἡ κίνησις. διὰ γὰρ τὸ μέγεθος εἶναι συνεχές, καὶ ἡ κίνησίς ἐστι συνεχής. διὰ δὲ τὴν κίνησιν, καὶ ὁ χρόνος. ὅση γὰρ ἡ κίνησις, τοσοῦτος καὶ ὁ χρόνος ἀεὶ δοκεῖ γεγονέναι.

Δείξας ὅτι μετὰ τῆς κινήσεως ἐστὶν ὁ χρόνος, ἐφεξῆς ζητεῖ τί ἄρα τῆς κινήσεως ἐστί. δείκνυσιν οὖν ὅτι συνεχὴς οὖσα ἡ κίνησις, ἔχει τὸ πρότερον καὶ ὕστερον. καὶ τοῦτο ἐστὶν ὁ χρόνος ὡς μαθησόμεθα. ὅτι δὲ συνεχὴς ἡ κίνησις, ὧδε δείκνυσι, διὰ τοῦ δεῖξαι πρότερον τὸ μέγεθος ἐφ' οὗ ἡ κίνησις συνεχές. τὸ κινούμενον ἔκ τινος εἴς τι κινεῖται. τὸ ἔκ τινος εἴς τι κινούμενον, ἐπὶ διαστατοῦ τινος μεγέθους κινεῖται. ἐπεὶ οὖν τὸ μέγεθος συνεχές, ἐπὶ μεγέθους δὲ ἡ κίνησις, καὶ ἡ κίνησις συνεχὴς διὰ τὸ μέγεθος, ὥσπερ ὁ χρόνος διὰ τὴν κίνησιν. ὅση γὰρ ἡ κίνησις, τοσοῦτος καὶ ὁ χρόνος δοκεῖ γεγονέναι. ὥσπερ ὅσον τὸ μέγεθος, τοσαύτη καὶ ἡ κίνησις. εἰ δὲ τὸ ὅσον τῆς κινήσεως συνεχές, ὡς καὶ τὸ μέγεθος, οἷον σταδίαιον, καὶ τὸ ὅσον τοῦ χρόνου συνεχές. εἰ γὰρ τὸ μὲν εἴη συνεχές, τὸ δὲ διωρισμένον, οὐκ ἂν λέγοιτο ὅτι ὅσον τὸ ἕτερον, τοσοῦτον καὶ τὸ ἕτερον ἐστίν. ἀσύμβλητα γὰρ τὰ τοιαῦτα ποσά. παραλιπὼν δὲ μίαν πρότασιν, τὴν λέγουσαν ὅτι τὸ ἔκ τινος εἴς τι κινούμενον, ἐπὶ μεγέθους κινεῖται, ἀσάφειαν ἔδοξε μικρὰν ἐμποιεῖν τῇ λέξει. καὶ ὁ Εὔδημος ἐν τῷ τρίτῳ τῶν φυσικῶν τὴν αὐτὴν ἔχων γνώμην

» φαίνεται, ὅτι διὰ μὲν τὸ μέγεθος ἡ κίνησις συνεχής, διὰ δὲ τὴν κίνησιν ὁ χρόνος, γράφων οὕτως. ἀ-
» ναλαβόντες δὴ πάλιν λέγωμεν, ὅτι τῶν συνεχῶν ὁ χρόνος εἶναι δοκεῖ καὶ τῶν μεριστῶν. οὐκοῦν καὶ
» ἡ κίνησίς τε καὶ τὸ μῆκος. τίς οὖν τούτων ἀρχή, καὶ τίνι πρώτως ὑπάρχει ταῦτα; ἆρ' οὖν τῷ μὲν
» μήκει καὶ τῷ σώματι καθ' αὑτὰ φαίνεται ταῦτα ὑπάρχειν; οὐ γὰρ τῷ εἶναί τι αὐτῶν, οὐ δὲ τῷ τοιαῦ-
» τα εἶναι μερίζεται καὶ συνεχῆ ἐστίν. ἡ δὲ κίνησις τῷ ἐπὶ μήκους εἶναι συνεχής τε καὶ μεριστὴ φαίνε-
» ται. συνεχὴς μὲν, τῷ ἐπὶ συνεχοῦς εἶναι. μεριστὴ δὲ τῷ διαιρεῖσθαι ὥσπερ τὸ μῆκος ὅτι γὰρ ἂν ληφθῇ

» τοῦ μήκους μόριον, τοῦτο καὶ τῆς κινήσεώς ἐστιν. ὁμοίως δὲ καὶ τοῦ χρόνου. ὡς γὰρ ἡ κίνησις, οὕτω καὶ
» τὸν χρόνον οἰόμεθα μερίζειν. ὁ δὲ Λαμψακηνὸς Στράτων οὐκ ἀπὸ τοῦ μεγέθους μόνον συνεχῆ τὴν κίνη-
σιν εἶναί φησιν, ἀλλὰ καὶ καθ' ἑαυτήν. ὡς εἰ διακοπείη, στάσει διαλαμβανομένη. καὶ τὸ μεταξὺ δύο
διαστάσεων κίνησιν οὖσαν ἀδιάκοπον. καὶ ποσὸν δέ τι φησὶν ἡ κίνησις, καὶ διαιρετὸν εἰς ἀεὶ διαιρετά.
εἰ δὲ τὸ ἐκστατικὸν ἔχοι τοῦ ἀεὶ παρόντος, καθὸ καὶ ὀνομάζεται κίνησις, καὶ κατὰ τοῦτο οὐ ποσόν ἐστιν,
οὐδὲν θαυμαστόν. καὶ γὰρ ὁ ἀριθμὸς διορίζει. ἀλλ' οὐ ποσοῦ τὸ διορίζειν. καὶ τὸ μέγεθος ἀλλοιοῦ-
ται, ἀλλ' οὐχ ᾗ ποσόν. διαφοραὶ γὰρ εἰσὶ ποσοῦ, ἀλλ' οὐ ποσόν. διὸ καὶ τὸ ἐκστατικὸν ἔστω διαφορὰ
τῆς κινήσεως. ἀλλὰ πῶς εἶπεν ὅση γὰρ ἡ κίνησις, τοσοῦτος καὶ ὁ χρόνος δοκεῖ γεγονέναι, εἴπερ ταχεῖαν
λέγομεν κίνησιν τὴν ἐν ὀλίγῳ χρόνῳ πολλήν. οὐκέτι γὰρ ὅση ἡ κίνησις. τοσοῦτος ὁ χρόνος, εἴπερ ἡ μὲν
πολλή ἐστιν, ὁ δὲ ὀλίγος. ἢ τὸ ὅσον καὶ ὅσον οὐκ ἐν ἰσότητι ποσῶν θεωρεῖται μόνων, ἀλλὰ καὶ ἐν λόγων
ταυτότητι. ὅσος γὰρ ὁ τῶν δ πρὸς τὰ β λόγος, τοσοῦτος καὶ ὁ τῶν η πρὸς τὰ δ. διπλάσιος γάρ.
οὕτω δὲ καὶ ὡς ἡ κίνησις πρὸς τὴν κίνησιν, ὁ χρόνος πρὸς τὸν χρόνον, τοῦ τάχους καὶ τῆς βραδυτῆτος τῶν
αὐτῶν ὄντων. καὶ ὁ Ἀριστοτέλης δὲ οὐ διὰ τὴν ἰσότητα τοῦ ποσοῦ τὸ ὅσον καὶ ὅσον παρέλαβεν, ἀλλὰ διὰ
τὴν ὁμοιότητα τῆς συνεχείας. τὰ γὰρ μὴ ὁμοίως συνεχῆ, οὐδὲ συμβλητά ἐστιν, ὥσπερ εἴρηται πρό-
τερον. ἀλλὰ μὴ δὲ τοῦτο παρῶμεν προσθεῖναι τοῖς ζητουμένοις, ὅτι ὁ ἀπὸ τοῦ μεγέθους ἐφ' οὗ ἡ κίνη-
σις τὴν συνέχειαν ἐπί τε τὴν κίνησιν καὶ τὸν χρόνον μεταφέρων λόγος, καὶ ἐκ ταύτης τὴν εὕρεσιν τῆς
οὐσίας τοῦ χρόνου ποιούμενος, μόνην τὴν κατὰ τόπον λαμβάνει κίνησιν. αἱ γὰρ ἄλλαι κινήσεις, οἷον
ἀλλοίωσις, αὔξησις μείωσις, γένεσις φθορά, μεγεθῶν μέν εἰσι κινήσεις. οὐ μέντοι ἐπὶ μεγεθικοῦ δια-
στήματος γίνονται. ὥστε καὶ χρόνον οὐ πάντα, ἀλλὰ μόνον ἐκεῖνον τὸν τῇ κατὰ τόπον κινήσει συνόν-
τα εὑρίσκει ὁ λόγος. ἀλλ' ὁ μὲν Ἀριστοτέλης ἔοικεν ἐκ τοῦ σαφεστέρου ποιήσασθαι τὴν ἐπιβολήν. ὁ
δὲ Στράτων φιλοκάλος καὶ αὐτὴν καθ' αὑτὴν τὴν κίνησιν ἔδειξε τὸ συνεχὲς ἔχουσαν, ἴσως καὶ πρὸς
τοῦτο βλέπων, ἵνα μὴ μόνον ἐπὶ τῆς κατὰ τόπον κινήσεως, ἀλλὰ καὶ ἐπὶ τῶν ἄλλων πασῶν συνά-
γηται τὰ λεγόμενα.

ΤΟ ΔΕ ΔΗ πρότερον καὶ ὕστερον ἐν τόπῳ, πρῶτόν ἐστιν. ἐνταῦθα μὲν δὴ τῇ θέσει. ἐπεὶ δ' ἐν τῷ
μεγέθει ἐστὶ τὸ πρότερον καὶ τὸ ὕστερον, ἀνάγκη καὶ ἐν κινήσει εἶναι τὸ πρότερον καὶ ὕστερον. ἀνάλο-
γον τοῖς ἐκεῖ. ἀλλὰ μὴν καὶ ἐν τῷ χρόνῳ ἐστὶ τὸ πρότερον καὶ ὕστερον, διὰ τὸ ἀκολουθεῖν ἀεὶ θατέρῳ
θάτερον αὐτῶν. ἔστι δὲ τὸ πρότερον καὶ τὸ ὕστερον αὐτῶν ἐν τῇ κινήσει. ὃ μέν ποτε ὂν. κίνησίς ἐστι. τὸ
μέντοι εἶναι αὐτῷ, ἕτερον καὶ οὐ κίνησις. ἀλλὰ μὴν καὶ τὸν χρόνον γε γνωρίζομεν, ὅταν ὁρίσωμεν
τὴν κίνησιν τὸ πρότερον καὶ ὕστερον ὁρίζοντες. καὶ τότε φαμὲν γεγονέναι χρόνον, ὅταν τοῦ προτέ-
ρου καὶ ὑστέρου ἐν τῇ κινήσει αἴσθησιν λάβωμεν, ὁρίζομεν δὲ, τῷ ἄλλο καὶ ἄλλο ὑπολαβεῖν αὐτὸ, καὶ
μεταξύ τι αὐτῶν ἕτερον. ὅταν γὰρ τὰ ἄκρα ἕτερα τοῦ μέσου νοήσωμεν, καὶ δύο εἴπῃ ἡ ψυχὴ τὰ
νῦν, τὸ μὲν πρότερον. τὸ δὲ ὕστερον, τότε καὶ τοῦτό φαμεν εἶναι χρόνον. τὸ γὰρ ὁριζόμενον τῷ νῦν
χρόνος εἶναι δοκεῖ καὶ ὑποκείσθω. ὅταν μὲν οὖν ὡς ἓν τὸ νῦν αἰσθανώμεθα καὶ μὴ, ἤτοι ὡς τὸ πρό-
τερον καὶ ὕστερον ἐν τῇ κινήσει, ἢ ὡς τὸ αὐτὸ μὲν, μὴ προτέρου δὲ καὶ ὑστέρου τινὸς, οὐ δοκεῖ χρόνος
γεγονέναι οὐθείς. ὅτι, οὐδὲ κίνησις. ὅταν δὲ τὸ πρότερον καὶ ὕστερον, τότε λέγομεν χρόνον. τοῦτο γάρ
ἐστιν ὁ χρόνος ἀριθμὸς κινήσεως κατὰ τὸ πρότερον καὶ ὕστερον. οὐκ ἄρα κίνησις ὁ χρόνος. ἀλλ' ᾗ ἀριθ-
μὸν ἔχει ἡ κίνησις. σημεῖον δὲ, τὸ μὲν γὰρ πλεῖον καὶ ἔλαττον κρίνομεν ἀριθμῷ. κίνησιν δὲ πλείω καὶ
ἐλάττω, χρόνῳ. ἀριθμὸς ἄρα τις ὁ χρόνος. ἐπεὶ δ' ἀριθμός ἐστι διχῶς, καὶ γὰρ τὸ ἀριθμούμενον καὶ
τὸ ἀριθμητὸν, ἀριθμὸν λέγομεν καὶ ᾧ ἀριθμοῦμεν. ὁ δὲ χρόνος ἐστὶ τὸ ἀριθμούμενον. ἔστι δὲ ἕτερον ᾧ
ἀριθμοῦμεν καὶ τὸ ἀριθμούμενον.

Ὁ τῶν λεγομένων ὅλος σκοπός ἐστιν, ὅτι ὥσπερ τὸ συνεχὲς ἡ κίνησις ἀπὸ τοῦ μεγέθους ἔχει, τοῦ ἐφ' οὗ ἡ
κίνησις, οὕτω καὶ τὸ πρότερον καὶ τὸ ὕστερον ἐν τῷ μεγέθει κατὰ θέσιν ὑπάρχον ἡ κίνησις, οἰκείως ἀπ'
αὐτοῦ μεταλαμβάνει. καὶ ἀπὸ τῆς κινήσεως ὁ χρόνος, ὥσπερ καὶ τὸ συνεχές. ἐπὶ μὲν γὰρ τοῦ μεγέ-
θους πρότερον εἰ τύχοι τὸ πρὸς τοῖς ἀθλοθέταις ἐστὶν, ὕστερον δὲ τὸ ἔσχατον τοῦ σταδίου. ἐπὶ δὲ τῆς
κινήσεως προτέρα μὲν ἡ κατὰ τὸ πρῶτον σημεῖον κίνησις, ὑστέρα δὲ ἡ κατὰ τὸ ὕστερον. ἀλλ' ἐπὶ μὲν
τοῦ μεγέθους συνυπάρχει ἀεὶ τὸ πρότερον τῷ ὑστέρῳ. ἅμα γὰρ τὸ πρῶτον σημεῖόν ἐστι καὶ τὸ ὕστερον.
ἐπὶ δὲ τῆς κινήσεως ἀπολλυμένου τοῦ προτέρου, ἐπιγίνεται τὸ ὕστερον. οὐ μέντοι ταὐτὸν κινήσει
τε εἶναι, καὶ προτέρῳ καὶ ὑστέρῳ κινήσεως. ὥσπερ οὐδὲ μεγέθει, καὶ ὑστέρῳ καὶ προτέρῳ μεγέθους.
ἀλλὰ κἂν τῷ ὑποκειμένῳ ταὐτὰ ᾖ, τῷ λόγῳ διαφέρει. ὥσπερ τὰ πέντε τῷ μὲν ὑποκειμένῳ εἰ τύ-
χοι ξύλα ἐστὶ, τὸ μέντοι πέντε αὐτοῖς εἶναι κατὰ τὸν ἀριθμόν ἐστι. καὶ τὸ μὲν ὑποκείμενον τῆς κινήσεως,
ἐντελέχεια τοῦ κινητοῦ ἐστι. τὸ δὲ πρότερον καὶ ὕστερον ἐν τῇ κινήσει, ἀριθμὸς καὶ τάξις ἐν τῷ τοιούτῳ.
ὁμοίως δὲ καὶ ἐπὶ τοῦ μεγέθους, ἀφ' οὗ τῇ κινήσει τὸ πρότερον καὶ τὸ ὕστερον, τὸ μὲν ὑποκείμενον εἰ
τύχοι κίονες. τὸ δὲ πρότερον καὶ ὕστερον τάξις ἐν αὐτοῖς. καὶ τοῦτό ἐστιν ὃ λέγει, ὃ μὲν ποτε ὂν κίνη-
σις, τουτέστιν ἡ ὕπαρξις αὐτῇ καὶ τὸ ὑποκείμενον. τὸ μέντοι εἶναι αὐτῷ, τουτέστιν ὁ λόγος ἕτερον καὶ

οὐ κίνησις. οὕτως οὖν χωρίσας τὸ πρότερον καὶ ὕστερον τὸ ἐν κινήσει, ζητεῖ λοιπὸν τί τὸ προτέρῳ
καὶ ὑστέρῳ εἶναι, ᾧ διαφέρουσι τῆς κινήσεως. ὥσπερ οὖν ἐπὶ τῆς γραμμῆς, ἕως μὲν μίαν αὐτὴν καὶ συνε-
χῆ νοοῦμεν, οὐ νοοῦμεν αὐτῆς τὸ μέντοι πρότερον τῇ θέσει μέρος, τὸ δὲ ὕστερον. ὅταν δὲ διελώμεθα
καὶ διορίσωμεν τοῖς σημείοις, εὐθέως τὸ μέν τι πρότερον τῇ θέσει ποιοῦμεν, τὸ δὲ ὕστερον, καὶ ἕτερα
τὰ ἄκρα τῆς μέσης γραμμῆς τῆς ὑπ' αὐτῶν περιεχομένης. οὕτω δὲ καὶ ἐπὶ τῆς κινήσεως οὐκ ἄλλως
νοοῦμεν ἐν αὐτῇ τὸ πρότερον καὶ τὸ ὕστερον, εἰ μὴ διελώμεθα αὐτὴν καὶ διορίσωμεν δίχα εἰς δύο, καὶ
λάβωμεν αἴσθησιν ὡς ἄλλου καὶ ἄλλου. τίνι οὖν διορίζομεν; οὐ δή που σημείῳ. οὐ γὰρ ἔχει θέσιν. ἀλλ'
ἄλλον τινὰ τρόπον. λέγω γὰρ προτέραν κίνησιν, ἣν κεκίνημαι εἰ τύχοι βαδίζων. ὑστέραν δὲ ἣν κινή-
σομαι. ὥστε ὁ διορισμὸς γίνεται, τῷ τὸ μὲν παρεληλυθέναι, τὸ δὲ μέλλειν. τὸ δὲ παρεληλυθὸς καὶ
τὸ μέλλον χρόνος. ταὐτὸν ἄρα ὁ χρόνος ἐστὶ, καὶ τὸ πρότερον καὶ τὸ ὕστερον, ὅταν διορίζηται ταῦτα.
διορίζεται δὲ, ὅταν προσπέσῃ τῇ ψυχῇ τὸ νῦν, τὸ μὲν ὡς ἀρχὴ τῆς κινήσεως, τὸ δὲ ὡς πέρας. τό
τε γὰρ τὸν μεταξὺ τῶν νῦν χρόνον εὐθὺς ἐννοοῦμεν ἕτερον αὐτῶν ὄντα, πολλάκις δὲ καὶ ἓν νῦν
λαμβάνοντες, τοῦ μὲν παρεληλυθότος ὡς πέρας, τοῦ δὲ μέλλοντος ὡς ἀρχὴν, ἔννοιαν πάλιν τοῦ
χρόνου λαμβάνομεν τοῦ τε προτέρου καὶ τοῦ ὑστέρου. οὕτω γὰρ ἄμεινον οἶμαι ἀκούειν, τοῦ, ἢ ὡς τὸ αὐτὸ
μὲν, προτέρου δὲ καὶ ὑστέρου τινὸς, ἤπερ ὡς ὁ Ἀλέξανδρος ἐξηγήσατο, τὸ αὐτὸ λέγων καὶ ἓν τὸ νῦν,
ἐν προτέρῳ δὲ καὶ τινὶ ὑστέρῳ ὂν, ὥσπερ παραγόμενον αὐτὸ καὶ ἄλλοτε κατ' ἄλλο γινόμενον τῆς κι-
νήσεως ἐπινοοῦντες. ὥστε πανταχόθεν ἡ τοῦ χρόνου ἔννοια ἐγγίνεται, τῷ διαλαμβάνεσθαι τὸ πρότε-
ρον καὶ ὕστερον τῆς κινήσεως. διαλαμβάνεται δὲ, ὅταν ὡς ἄλλο καὶ ἄλλο ληφθῇ, τουτέστιν ὅταν ἀ-
ριθμηθῇ. ὁ γὰρ ἀριθμὸς οὐχ ἑνὸς οὐδὲ τοῦ αὐτοῦ παντάπασιν ἐστὶν, ἀλλὰ τοῦ ἔχοντος ἄλλο καὶ ἄλλο.
ὥστε ἀριθμὸς κινήσεως ὁ χρόνος, ὡς ἀριθμητὸς κατὰ τὸ πρότερόν τε καὶ ὕστερον. καὶ ὅτι μὲν ἀριθμὸς
κινήσεως, δῆλον, εἴπερ πᾶν πλέον καὶ ἔλαττον ἀριθμῷ κρίνεται. τὸ δὲ πλέον καὶ ἔλαττον τῷ τῆς
κινήσεως χρόνῳ κρίνεται. πλείων γὰρ ἡ ἐν πλείονι χρόνῳ, ἰσοταχὴς λαμβανομένη, καὶ ἐλάττων
ἡ ἐν ἐλάττονι. ὥστε ἐν τρίτῳ σχήματι συνάγεσθαι, ὅτι τὶς ἀριθμός ἐστιν ὁ χρόνος. ὁ δ' Ἀλέξανδρος ἐκ
δύο καθόλου καταφατικῶν ἐν τρίτῳ σχήματι συνάγει οὕτω. παντὸς τὸ πλεῖον καὶ ἔλαττον ἀρι-
θμῷ κρίνεται. δῆλον οὖν ὅτι καὶ κινήσεως. ἀλλὰ μὴν πάσης κινήσεως τὸ πλεῖον καὶ ἔλαττον χρό-
νῳ κρίνεται. τὶς ἄρα ἀριθμὸς χρόνος ἐστί. προσσκεπτέον οὖν εἰ ὁ αὐτός ἐστιν ὑποκείμενος, ὅταν λέγωμεν
παντὸς τὸ πλεῖον καὶ ἔλαττον ἀριθμῷ κρίνεται, καὶ πάσης κινήσεως τὸ πλεῖον καὶ ἔλαττον ἀρι-
θμῷ κρίνεται. ὅτι δὲ καὶ κατὰ τὸ πρότερον καὶ ὕστερον ἀναγκαίως πρόσκειται, δῆλον, εἴπερ ἀ-
ριθμοῦνται μὲν κινήσεις καὶ πλείους ἅμα, ὡς ἐπὶ σοῦ φέρε, ὅταν αὔξῃς καὶ θερμαίνῃ καὶ προ-
βαίνῃς τόπον ἐκ τόπου, ὅτι τρεῖς ἅμα κινήσεις κινῇ. ἀλλ' οὐχ ὁ τοιοῦτος ἀριθμὸς τῆς κινήσεως χρόνος
ἐστὶν, ἀλλ' ὁ κατὰ τὸ πρότερόν τε καὶ ὕστερον. οὐδὲν δὲ θαυμαστὸν εἰ τὸ ἀριθμούμενον τῆς κινήσεως χρό-
νον εἶναι βουλόμενος, ἐν τῷ ὁρισμῷ οὐ τὸ ἀριθμητὸν εἶπεν, ἀλλὰ τὸν ἀριθμόν. λέγεται γὰρ καὶ τὸ ἀριθμού-
μενον ἀριθμὸς, ὡς καὶ τὸ μετρούμενον μέτρον. διὸ ἀριθμὸς ὁ μοναδικὸς, καὶ ἀριθμὸς βοῶν, καὶ ἀριθμὸς
ἵππων. καὶ αὖ πάλιν χοῖνιξ ἡ ξυλίνη, καὶ ἡ τοῦ σίτου. καὶ χοῦς ὁ κεραμεοῦς, καὶ ὁ τοῦ οἴνου. καὶ γὰρ
χοίνικα ἐσθίομεν. καὶ χοᾶ πίνομεν, οὐ τὴν ξυλίνην καὶ τὸν κεραμεοῦν, ἀλλὰ σίτου καὶ οἴνου. καὶ ὁ
μὲν ἀριθμῶν ἀριθμὸς οὐδ' ἁρμόσειε τῷ χρόνῳ. διῃρημένος γάρ ἐστι καὶ οὐ συνεχής. ὁ δὲ ἀριθμούμενος
δύναται καὶ συνεχὴς εἶναι. ὥσπερ τὸ δόρυ τὸ ἐνδεκάπηχυ. καὶ τὸ ἀριθμούμενον δὲ διττὸν, τὸ μὲν, κατὰ
τὸ ποσὸν, ὡς λέγομεν δύο κινήσεις ἢ τρεῖς, τὸ δὲ, κατὰ τὴν τάξιν, ὡς λέγομεν κατὰ τὴν προτέραν
κίνησιν καὶ ὑστέραν. δεῖξαι οὖν βούλεται, ὅτι ἀριθμός ἐστι κινήσεως ὁ χρόνος, καὶ ὡς ἀριθμούμενος,
καὶ ὡς κατὰ τὴν τάξιν ἀριθμούμενος. οὗτος γὰρ ἴδιος. ὁ γὰρ ἀριθμὸς κοινὸς καὶ κινήσεως, καὶ βοῶν,
καὶ ἵππων. ὅτε οὖν ἔλεγε, τὸ γὰρ ὁριζόμενον τῷ νῦν χρόνος εἶναι δοκεῖ, καὶ ὑποκείσθω, ἐνεδείκνυτο
πῶς ἀριθμὸς κινήσεως ὁ χρόνος ἐστὶν, ὅτι ὡς ἀριθμούμενον καὶ ὁριζόμενον, ἀλλ' οὐχ ὡς ἀριθμοῦν. τὸ
γὰρ ἀριθμούμενον ἐν τῇ κινήσει, καὶ οὕτως ὁριζόμενον ὡς ἄλλο καὶ ἄλλο, τὸ πρότερον καὶ ὕστερον ἦν
ἐν τῇ κινήσει, οὐχ ἡ κίνησις, εἴπερ ἄλλο καὶ ἄλλο δέδεικται τῆς κινήσεως τὸ πρότερον καὶ ὕστερον. ὁ
γὰρ τοῦ προτέρου καὶ τοῦ ὑστέρου τῆς κινήσεως ἀριθμὸς, οὗτός ἐστιν ὁ χρόνος, οὐχ ὁ τῆς κινήσεως αὐ-
τῆς. κινήσεων γὰρ ἀριθμὸς ὡς εἴρηται, καὶ εἰ πολλοὶ ἅμα εἶεν κινούμενοι, ἢ ἐγὼ βαδίζων καὶ θερμαι-
νόμενος καὶ αὐξόμενος, ἢ τὰ μέρη αὐτὰ τῆς κινήσεως. ἀλλ' οὗτος ὁ ἀριθμὸς οὐκ ἔστι χρόνος. ἡ ἑκάστης
μέντοι τούτων τῶν πολλῶν ἀναρίθμησις κατὰ τὸ πρότερον καὶ ὕστερον, τοῦτο ἤδη χρόνος. οὐ δὲ γὰρ
οὐδὲ τὸ ἐν τῷ μεγέθει πρότερον καὶ ὕστερον. ὑπομένει γὰρ ἅμα τὰ ἐν ἐκείνῳ. τὰ δὲ τοῦ χρόνου οὐχ
ὑπομένει. ἐπειδὴ δὲ ὑπὸ τοῦ χρόνου μετρεῖσθαι δοκοῦμεν, τοσῶνδε γὰρ λεγόμεθα ἐτῶν εἶναι, καὶ
τοσῶνδε ἡμερῶν ἡ ἑορτὴ, διὰ τοῦτό τινες μεταγράφουσι τὴν λέξιν ὡς ὁ Ἀσπάσιος φησὶν οὕτως. ὁ δὲ
χρόνος ἐστὶν οὐχ ὁ ἀριθμούμενος, ἀλλ' ᾧ ἀριθμοῦμεν. ἀλλὰ δῆλον ὅτι καὶ ὁ χρόνος ὑπὸ τοῦ μοναδικοῦ καὶ
ἀριθμοῦ μετρεῖται. λέγομεν γὰρ πόσοι χρόνοι διεληλύθασιν. οὐδὲν δὲ ἴσως κωλύει ἀριθμητὸν ὄντα καὶ
ἀριθμεῖν. καὶ τὴν ἐφεξῆς δὲ λέξιν ὁ Ἀσπάσιος οὕτως ἐκτίθεται. ἔστι δ' ἕτερον οὐχ ᾧ ἀριθμοῦμεν, ἀλλὰ

τὸ ἀριθμούμενον. καί φησιν ὅτι ἐὰν δεχώμεθα εἶναι κυρίως τὸ ἀριθμοῦμεν τὸν μοναδικὸν ἀριθμόν, ἔστι λέγειν ὅτι οὐχ οἷόν τε ἕτερον εἶναι τὸ ἀριθμοῦμεν. τὴν γὰρ μονάδα πολλάκις λαμβάνομεν. μονὰς δὲ μονάδος, οὔτε γένει οὔτε εἴδει οὔτε ἀριθμῷ διαφέρει. τὸ γὰρ ἀριθμῷ διαφέρον, ἢ μορφῇ διοίσει, ὡς Σωκράτης Πλάτωνος. ἢ τάξει, ὡς στιγμὴ στιγμῆς. ἢ τῷ νῦν τοῦ νῦν τῷ πρότερον τοῦ ὕστερον. ἢ θέσει, ὡς ἄνω καὶ κάτω. ἢ κατ' ἄλλην τινὰ τοιαύτην ἐπίνοιαν. ἅπερ ἐπὶ μονάδων οὐκ ἔστιν. ἄμεινον δέ φησι τὸ νῦν λαμβάνειν τὸ ἀριθμοῦμεν. μήποτε δὲ τὸ ἀριθμοῦν πανταχοῦ τὸ αὐτὸ πλειόνων. ὁ μὲν οὖν τῶν λεγομένων σκοπὸς τοιοῦτος. καλῶς δὲ πάντα σχεδὸν ἐξηγούμενος ὁ Ἀλέξανδρος, τινὰ μικρὰ παρεμβέβληκεν ἐπιστάσεως ἄξια. τοῦ γὰρ Ἀριστοτέλους ἐν ἀρχῇ τῆς προκειμένης ῥήσεως εἰπόντος, ὅτι τὸ πρότερον καὶ ὕστερον ἐν τόπῳ πρῶτόν ἐστιν, αὐτός φησιν ἴσον εἶναι τοῦτο τῷ τὸ δὴ πρότερον καὶ ὕστερον ἐν τόπῳ πρῶτόν ἐστιν, τουτέστιν ἐν τῷ μεγέθει τῷ κινουμένῳ. τῇ γὰρ θέσει φησὶ τὸ ἐν τόπῳ ὅ ἐστι τὸ μέγεθος, ἔχει τὸ πρότερον καὶ τὸ ὕστερον. πῶς δὲ τοῦτο εἴρηται. τὸ γὰρ τῇ θέσει πρότερον καὶ ὕστερον ἐν τῷ τόπῳ ἐστίν, ἀλλ' οὐκ ἐν τῷ μεγέθει τῷ ἐν τόπῳ. αἱ γὰρ θέσεις τοῦ μεγέθους κατὰ τὴν κίνησιν εἰσίν. ἤ τις ἀπὸ τοῦ τόπου ἔχει τὸ κατὰ τὴν θέσιν πρότερον καὶ ὕστερον. οὐ δὲ εἰσὶν ἅμα ἡ προτέρα καὶ ἡ ὑστέρα. ἀλλ' ἄλλοτε ἄλλην τὸ μέγεθος μεταλαμβάνει. αἱ δὲ τοῦ τόπου ἅμα εἰσί. πῶς δ' ἂν ἐκ τοῦ ἐν τῷ κινουμένῳ προτέρου καὶ ὑστέρου τῇ θέσει, οἷον τῆς κεφαλῆς καὶ τῶν ποδῶν, τὸ τῆς κινήσεως πρότερον καὶ ὕστερον λαμβάνοιτο. μήποτε οὖν ὅτε εἶπεν ὁ Ἀριστοτέλης, ὅτι ἐν τῷ μεγέθει τὸ πρότερον καὶ ὕστερόν ἐστιν, οὐ τῷ κινουμένῳ μεγέθει εἶπεν, ἀλλὰ τὸ ἐφ' οὗ ἡ κίνησις. πρὸς δὲ τὰ ὑπὸ Ἀριστοτέλους λεγόμενα ἀπορήσειεν ἄν τις. πρῶτον μέν, πῶς ἐν τῷ προτέρῳ καὶ ὑστέρῳ τῆς κατὰ τόπον κινήσεως τίθεται τὸν χρόνον, ὡς δηλοῖ τὸ ἀπὸ τοῦ ἐν τόπῳ πρότερον καὶ ὕστερον τὴν θέσιν ἔχοντος, ἐπὶ τὸ τῆς κινήσεως πρότερον καὶ ὕστερον μετελθεῖν, καίτοι τοῦ χρόνου οὐκ ἐν τῇ τοπικῇ μόνῃ ἀλλ' ἐν πάσῃ κινήσει θεωρουμένου. δεύτερον δὲ πῶς εἰπὼν ἐπειδὴ ἐν τῷ μεγέθει ἐστὶ τὸ πρότερον καὶ ὕστερον, ἀνάγκη καὶ ἐν κινήσει εἶναι τὸ πρότερον καὶ ὕστερον ἀνάλογον τοῖς ἐκεῖ, χρόνον εἶναι εἶπε τοῦτο τὸ πρότερον καὶ ὕστερον, τὸ καθ' ὁμοιότητα τοῦ μεγέθους ἐν τῇ κινήσει γινόμενον. καίτοι τὸ τοιοῦτο κατὰ τὴν θέσιν ἂν εἴη, καὶ οὐ κατὰ τὸν χρόνον, ὅταν ἡ μέν, κατὰ τὸ πρότερον τῇ θέσει μέγεθος ἐπινοῆται, ἡ δὲ κατὰ τὸ ὕστερον. ὡς τῆς Ἀθήνηθεν Θήβαζε κινήσεως πρῶτον τῇ θέσει τὸ πρὸς ταῖς Ἀθήναις. εἰ δέ τι καὶ χρονικόν ἐστιν ἐν τῇ κινήσει πρότερον καὶ ὕστερον, μήποτε οὐκ ἀπὸ τοῦ μεγέθους ἐνδέδοται τοῦτο. ἀλλ' ἔοικε διττὸν εἶναι τὸ ἐν τῇ κινήσει πρότερον καὶ ὕστερον, τὸ μέν, ἀπὸ τοῦ τόπου, τὸ δέ, ἀπὸ τοῦ χρόνου. καὶ ὥσπερ πρότερον τοῦ τόπου τὴν ἔννοιαν ἔλεγε γίνεσθαι, ἀπὸ τοῦ προτέρου καὶ ὑστέρου τοῦ ἐν τῇ κινήσει ὄντος κατὰ τὴν θέσιν, οὕτω καὶ τὸν χρόνον ἐννοεῖν ἡμᾶς βούλεται ἀπὸ τοῦ προτέρου καὶ ὑστέρου τοῦ ἐν τῇ κινήσει, οὐ τοῦ ἀπὸ τῆς θέσεως τοῦ μεγέθους ἐγγινομένου τῇ κινήσει, ἀλλὰ τοῦ ἀπὸ τῆς χρονικῆς παρατάσεως. μέση γὰρ οὖσα ἡ κίνησις τοῦ τε τόπου καὶ τοῦ χρόνου, ἑκάτερον προσλαμβάνει μέτρον, ἤτοι ἀριθμὸν τοῦ προτέρου καὶ ὑστέρου. ἀλλὰ κατὰ μὲν τὸν τόπον τοπίζεται, κατὰ δὲ τὸν χρόνον χρονίζεται. καὶ τοπίζεται μέν, καθόσον θέσιν ἔχει αὐτῆς ἡ διάστασις. χρονίζεται δὲ καθόσον ἐν ῥοῇ ἦν ἡ ὑπόστασις. οὔτε γὰρ εἰ θέσιν μόνην εἶχεν, ἐδεῖτο χρόνου. ἅμα γὰρ οὖσα, ἐν τῷ νῦν ἂν ἦν. οὔτε εἰ ῥοὴν μόνην, ἐδεῖτο τόπου. τῆς γὰρ κατὰ τὴν θέσιν διαστάσεως μέτρον ὁ τόπος ἦν. ὥστ' εἴ τις τὸν χρόνον ὁρίζοιτο ἀριθμὸν τοῦ προτέρου καὶ ὑστέρου, τοῦ κατὰ τὸ ῥέον τῆς κινήσεως, ὥσπερ τὸν τόπον ἀριθμὸν τοῦ προτέρου καὶ ὑστέρου, τοῦ κατὰ τὴν θέσιν τῆς διαστάσεως, οὐκ ἂν οἶμαι διαμαρτάνοι. ἐπειδὴ δὲ ὁ ἀριθμὸς διττός, ὁ μέν, ἀριθμητικός, ὃ δ' ἀριθμητὸς τοῦ ποσοῦ, ὅταν λέγωμεν ἕν, δύο, τρία, ὁ δέ, τακτικός, ὅταν λέγωμεν πρῶτον, δεύτερον, τρίτον, τοιοῦτός ἐστιν ἀριθμὸς ὁ χρόνος. διὸ κατὰ τὸ πρότερον καὶ ὕστερον ἀφορίζεται. τί οὖν ἄρα ἐλλειπῶς ὁ ὅρος ἔχει, μὴ προσκειμένου τοῦ κατὰ τὴν ῥοήν, ἢ τὴν τοῦ εἶναι παράτασιν προτέρου καὶ ὑστέρου, τοῦ διακρίνοντος αὐτὸ πρὸς τὸ κατὰ τὴν θέσιν; ἢ ἄρα τὸ μὲν κατὰ τὴν θέσιν κατὰ συμβεβηκός ἐστιν ἐν τῇ κινήσει. διὰ γὰρ τὴν τοῦ κινουμένου ἐν τῷ διαστήματι θέσιν, δοκεῖ διεστάναι τε καὶ θέσιν ἔχειν ἡ κίνησις. καὶ διὰ τοῦτο παρεῖται. ἡ μέντοι κατὰ ῥοὴν παράτασις, οὐσία τῆς κινήσεώς ἐστι. καὶ τοῦτο δὲ ὕστερον διοριζόμενος αὐτός, λέγει ἑκάστου τὸ εἶναι μετρεῖσθαι ὑπὸ τοῦ χρόνου. τάχα οὖν σαφέστερον ἦν, μὴ ἀπὸ τοῦ κατὰ τὸν τόπον προτέρου καὶ ὑστέρου τὸν χρόνον χαρακτηρίζειν, μηδὲ λέγειν ἐν τοῖς ἑξῆς, ὅτι ὅσον τὸ μέγεθος τοσαύτη ἡ κίνησις, καὶ ὅση ἡ κίνησις τοσοῦτος ὁ χρόνος. ταῦτα γὰρ τὰ κατὰ τὴν θέσιν τῆς κινήσεως, διάστασιν παραδίδωσιν οὐ τὴν κατὰ χρόνον. ἀλλ' ἐκείνοις αὐτοῦ μάλιστα προσεκτέον, ἐν οἷς φησι τὴν κατὰ τὸ εἶναι παράτασιν ὑπὸ τοῦ χρόνου μετρεῖσθαι. καὶ ταῦτα μὲν πρὸς τὸ δεύτερον τῶν ἀπορηθέντων. πρὸς δὲ τὸ πρῶτον λέγομεν, ὅτι κἂν πᾶσα κίνησις χρόνῳ μετρῆται, ἀλλ' ὥσπερ ἐναργεστέρα τῶν ἄλλων ἐστὶ κινήσεων ἡ κατὰ τόπον, οὕτω καὶ ὁ χρόνος ἐναργέστερος ὁ ταύτῃ τῇ κινήσει συνών, τοῦ ταῖς ἄλλαις κινήσεσι συνόντος χρόνου. μήποτε δὲ ἀκριβέστερον σκοποῦντι, καὶ αἱ ἄλλαι πᾶσαι κινήσεις, οἷον αὔξησις, γένεσις, ἀλλοίωσις, ὑπὸ τοῦ χρόνου μετροῦνται τούτου, τοῦ τῇ τοπικῇ κινήσει συνόντος. ὥραις γοῦν καὶ ἡμέραις καὶ μησὶ καὶ ἐνιαυτοῖς,

καὶ τῶν ἄλλων κινήσεων ὁρίζομεν τὴν παράτασιν. ὁ μέντοι εὔδημος ἐν τῷ τρίτῳ τῶν φυσικῶν
» τάδε γέγραφε. περὶ δὲ χρόνου τάχα ἄν τις ἀπορήσειε, τίνος ἢ ποίας κινήσεως ἀριθμός ἐστιν. οὐ δὴ
» φαίνεται μιᾶς τινος, ἀλλ' ὁμοίως πάσης. πάντως γάρ ἐστιν ὁμοίως ἀριθμὸς, ἐν ᾧ τὸ πρότερον καὶ ὕ-
» στερον. τοῦτο δὲ κοινὸν τῆς κινήσεως. ὥσπερ θνητοῦ ζώου ἐπιστήμη, οὐκ ἔστιν ἵππου οὐδὲ ἀνθρώπου, οὐδὲ
» ἄλλου τῶν εἰδῶν οὐδενὸς, ἀλλὰ τοῦ καθόλου, οὕτως ὁ δὲ χρόνος τῆσδέ τινος κινήσεως ἀριθμὸς, ἀλλ' ὁ-
» μοίως πάσης. ἔστι δὴ πανταχοῦ καὶ ὁμοίως ἂν ἡτισοῦν κίνησις. οὐ μὴν ἀλλὰ πρώτως καὶ μᾶλλον τῆ
» προτέρας καὶ ὁμαλωτέρας. ἐν ὡρισμένοις γὰρ γνωριμώτερος γίνεται. ταῦτα σαφῶς οὕτω
τοῦ εὐδήμου γεγραφότος, ἄξιον ἐπιστῆσαι τί τὸ καθόλου τοῦτο. εἰ μὲν γάρ ἐστιν ἐν ὑποστάσει ἡ καθό-
λου κίνησις, διατί μὴ καὶ ἄνθρωπος καὶ ἵππος καὶ τῶν ἄλλων ἕκαστον. διατί δὲ μὴ ὥσπερ ἡ κίνησις
ἡ μὲν, καθόλου, ἡ δὲ ἴδιος, οὕτω καὶ χρόνος, ὁ μὲν κοινὸς, ὁ δὲ ἴδιος. εἰ δὲ τὸ καθόλου τῆς κινήσεως ἢ
οὐδὲν ἢ ὕστερον, ὡς δὲ ἔχει ἡ κίνησις ἔχει καὶ ὁ χρόνος, καὶ οὗτος ἄρα ἢ οὐδὲν ἢ ἐπινοίᾳ μόνον. ἐπειδὴ δὲ
ἔδοξε τῷ ἀλεξάνδρῳ μὴ τὴν αὐτὴν ἔννοιαν ἔχειν ὁ ὑπὸ τοῦ ἀριστοτέλους ἀποδοθεὶς ὁρισμὸς τοῦ χρό-
νου, τοῖς εἰρημένοις ὑπὸ τοῦ πλάτωνος περὶ αὐτοῦ, φέρε καὶ τούτοις παραβάλλωμεν τοὺς λόγους.
ὁ μὲν γὰρ ἀριστοτέλης ἀριθμὸν κινήσεως εἶπε τὸν χρόνον κατὰ τὸ πρότερον καὶ ὕστερον. ὁ δέ γε πλά-
των τοῦ ἐν ἑνὶ μένοντος αἰῶνος κατ' ἀριθμὸν ἰοῦσαν αἰώνιον εἰκόνα τὸν χρόνον φησὶ, τῷ μὲν ἑνὶ τὸ κατ'
ἀριθμὸν ἀντιτιθεὶς, τῷ δὲ μένοντι τὸ κινούμενον, τῷ δὲ παραδείγματι τὴν εἰκόνα. καὶ ὅρα ὅτι πάν-
των μάλιστα ὁ ἀριστοτέλης καλῶς ἐνόησε τὴν τοῦ πλάτωνος ἔννοιαν περὶ τοῦ χρόνου. τὸ γὰρ κατ' ἀρι-
θμὸν ἰοῦσαν αἰώνιον εἰκόνα, τί ἄλλο ἐστὶν, ἢ τὸ κατ' ἀριθμὸν ὑποστῆναι τὸν χρόνον, οὔτε τὸν παραδειγμα-
τικὸν, οὔτε τὸν μοναδικὸν, ἀλλὰ τὸν εἰκονικὸν καὶ κατὰ τάξιν τῆς κινήσεως, τουτέστι κατὰ τὸ πρό-
τερον καὶ ὕστερον θεωρούμενον. ὁ γὰρ τοῦ κινουμένου ὡς κινουμένου ἴδιος ἀριθμὸς ἄλλοτε ἄλλο ἔχων,
τὸ πρότερον καὶ ὕστερον εἰσάγει, καὶ κατὰ τάξιν ἀφορίζεται. ταῦτα οὖν καλῶς θεασάμενος ὁ
ἀριστοτέλης, ἀντὶ τὸ σαφέστερον ἐξηγούμενος ἀριθμὸν κινήσεως εἶπε κατὰ τὸ πρότερον καὶ ὕστερον τὸν
χρόνον. ὥστε εἰ τὸ κατ' ἀριθμὸν τὸ κατὰ τάξιν δηλοῖ ὡς ὁ ἀλέξανδρος ὑπενόησεν, οὐδὲν ἄλλο δηλοῖ
ἢ τὸ κατὰ τὸ πρότερον καὶ ὕστερον. οὗτος γάρ ἐστιν ὁ τακτικὸς ἀριθμὸς, ὥσπερ ὁ μοναδικὸς τὸ ἐν δύο
ἢ τρία. ὅρα δὲ πῶς καὶ τὸν αἰῶνα καλῶς κατὰ τὴν πλάτωνος ἔννοιαν ὁ ἀριστοτέλης ἐνόησεν. ἐκείνου
γὰρ τὸ ἀΐδιον διὰ τὸν αἰῶνα τὸ αὐτὸ ζῶον λέγειν ἔχοντος, οὗτος ἀπὸ τοῦ ἀεὶ εἶναι τὴν ἐπωνυμίαν εἰλη-
φέναι φησὶν, ἔχειν τε καὶ περιέχειν τὸν ἅπαντα χρόνον, τῷ ἐν ἑνὶ μένειν καλῶς ἑρμηνεύσας καὶ
ἀπ' αὐτοῦ πᾶσι τὸ εἶναι καὶ τὸ ζῆν ἐπιλάμπεσθαι. τὸ δὲ πρῶτον μετέχον ζωῆς τὸ πρῶτόν ἐστι ζῶον.
ἐπειδὴ δὲ καὶ πρός τινα τῶν ἐνταῦθα λεγομένων ὁ πολυμαθέστατος ἐνέστη γαληνὸς, λέγων τὸν χρό-
νον δι' ἑαυτοῦ δηλοῦσθαι, φέρε καὶ ταύτην τὴν ἔνστασιν προβαλώμεθα. πολλὰ γὰρ ἐξαριθμησάμενος
τοῦ προτέρου καὶ ὑστέρου σημαινόμενα, τὰ μὲν ἄλλα οὐκ ἐφαρμόζειν φησὶ τῷ ὁρισμῷ, τὸ κατὰ χρό-
νον δὲ μόνον. ὥστε εἶναι τὸν χρόνον ἀριθμὸν κινήσεως κατὰ χρόνον. ταύτην δὲ τὴν ἔνστασιν διὰ δυοῖν
ἐπιχειρημάτων λύειν προθέμενος ὁ θεμίστιος, ἴστεον φησὶν ὅτι τὸ πρότερον καὶ ὕστερον ἐν κινήσει, οὐ διὰ
τὸν χρόνον τὸ μὲν, πρότερόν ἐστι, τὸ δὲ ὕστερον, ἀλλ' αὐτὸ μᾶλλον ποιεῖ τὸ ἐν χρόνῳ πρότερόν τε καὶ ὕ-
στερον. γίνεται δὲ ἐκ τοῦ κατὰ μέγεθος καὶ τὴν θέσιν, παρ' οὗ καὶ τὸ συνεχὲς ἔχει. καὶ διὰ τοῦτο διαῤῥή-
δην φησὶν ἀριστοτέλης, τὸ δὴ πρότερόν τε καὶ ὕστερον ἐν τόπῳ πρῶτόν ἐστιν. ἐνταῦθα μὲν δὴ τῇ θέσει.
ἐπεὶ δὲ ἐν τῷ μεγέθει, ἀνάγκη καὶ ἐν κινήσει. πρὸς δὴ ταῦτα εἴποι ἂν ὁ γαληνὸς, ὅτι τὸ ἐν κινήσει
πρότερον καὶ ὕστερον, τὸ ἀκολουθοῦν τῷ ἐν τῷ μεγέθει ἐφ' οὗ ἡ κίνησις προτέρῳ καὶ ὑστέρῳ, κατὰ
τὴν θέσιν μάλιστά ἐστι. τοιοῦτο γὰρ ἦν καὶ τὸ ἐν τῷ μεγέθει πρότερον καὶ ὕστερον. ἄλλο δὲ τὸ κατὰ τὸν
χρόνον ὡς εἴρηται πρότερον, συνυπάρχον μὲν τῷ ἐν τῇ κινήσει προτέρῳ καὶ ὑστέρῳ, οὐ κατὰ τὴν
θέσιν δὲ τὸ πρότερον καὶ ὕστερον ἔχον, ἀλλὰ κατὰ τὴν τοῦ εἶναι παράτασιν, ἄλλο τοῦτο ὂν παρὰ τὸ
κατὰ τὴν θέσιν τὴν ἀπὸ τοῦ μεγέθους ἐγγινομένην τῇ κινήσει. δευτέραν δὲ λύσιν ἐπάγων φησὶν, ἀλλὰ
καὶ δεδόσθω μηδὲν ἄλλο σημαίνειν τὸ πρότερόν τε καὶ ὕστερον, ἢ κατὰ τὸν χρόνον ὡς οἴεται. τί οὖν ἄ-
τοπον ἐκ τοῦδε συμβαίνει. οὐδὲ γὰρ ἡμεῖς ἄλλό τι λέγομεν εἶναι τὸν χρόνον, ἢ τὸ πρότερόν τε καὶ ὕ-
στερον ἐν κινήσει. πᾶσα δὲ ἀνάγκη ταυτὸν σημαίνειν τοὺς ὁρισμοὺς τοῖς ὀνόμασιν. ὥστε λανθάνει τοῦτο
μεμφόμενος τοῦ λόγου, δι' ὃ μᾶλλον ἐχρῆν αὐτὸν ἀποδέχεσθαι. καὶ πρὸς τοῦτο δὲ ἂν ὁ γαληνὸς εἴ-
ποι, ὅτι εἰ μὲν ἓν ἦν τὸ ἐν κινήσει πρότερον καὶ ὕστερον τὸ κατὰ τὸν χρόνον, καλῶς ἂν ἐλέγετο
τοῦτο εἶναι χρόνος, τὸ ἐν τῇ κινήσει πρότερον καὶ ὕστερον. καὶ οὐκ ἂν ἦν δι' ἑαυτοῦ δεικνύμενος ὁ
χρόνος. εἰ δὲ ἄλλο μὲν τὸ κατὰ τὴν θέσιν, οὐκ ὂν χρονικὸν, ἄλλο δὲ τὸ κατὰ τὸν χρόνον, ἀνάγκη λέ-
γειν ὅτι χρόνος ἐστὶ, τὸ ἐν τῇ κινήσει πρότερον καὶ ὕστερον τὸ κατὰ τὸν χρόνον. μήποτε οὖν εἴ τις τὸ
πρότερον καὶ ὕστερον λάβῃ, τὸ κατὰ τὴν τοῦ εἶναι παράτασιν, ἀλλ' οὐ τὸ κατὰ τὴν θέσιν, καὶ
σημαίνεται ὁ χρόνος, καὶ οὐ δι' ἑαυτοῦ σημαίνεται. καὶ τὸ ὄνομα αὐτοῦ τῷ προτέρῳ καὶ ὑστέρῳ οὐ
τὸ αὐτὸ ἁπλῶς ἔσται. ἀλλὰ τῷ τοιῷδε προτέρῳ καὶ ὑστέρῳ. ὅπερ ἐστὶν ὁ ὁρισμός. ἐπειδὴ δὲ δι-
χῶς εἰπὼν εἶναι τὸν ἀριθμὸν, τρία ἀπηριθμήσατο, τὸ ἀριθμούμενον, καὶ τὸ ἀριθμητὸν, καὶ

ᾧ ἀριθμοῦμεν,

ᾧ ἀριθμοῦμεν, παντὶ πρόδηλον ὅτι τὸ ἀριθμούμενον καὶ τὸ ἀριθμητὸν ταὐτόν ἐστι.

ΚΑῚ ὭΣΠΕΡ ἡ κίνησις ἀεὶ ἄλλη καὶ ἄλλη, καὶ ὁ χρόνος. ὁ δ' ἅμα πᾶς χρόνος ὁ αὐτός.

Δ εἴξας ὅτι ὁ χρόνος κινήσεώς τί ἐστιν, τὸ γὰρ ἀριθμητὸν τῆς κινήσεως ἐστὶ τὸ κατὰ τὸ πρότερον καὶ
ὕστερον, πιστοῦται τὴν συγγένειαν αὐτῶν καὶ ἐκ τῆς ῥοῆς κοινῆς οὔσης τῇ τε κινήσει καὶ τῷ χρόνῳ.
ὡς γὰρ ἡ κίνησις ἀεὶ ἄλλη καὶ ἄλλη, οὐχ ὑπομενούσης τῆς πρώτης ἀλλὰ φθειρομένης, οὕτω καὶ τοῦ χρόνου
τὸ πρότερον ἀεὶ φθείρεται ἐπιγινομένου τοῦ ὑστέρου. δῆλον δὲ ὅτι οὐ τὸ χρονικὸν μόνον τῆς κινήσεως
οὐχ ὑπομένει τοῦτο, ἀλλὰ καὶ τὸ κατὰ τὴν θέσιν. καὶ γὰρ ἐν τούτῳ τοῦ προτέρου φθειρομένου, τὸ
ὕστερον ἐπιγίνεται. καίτοι τοῦ μεγέθους αὐτοῦ, ἐφ' οὗ ἡ κίνησις γίνεται, τὸ πρότερον καὶ ὕστερον ὑπο-
μένει ἅμα. μόνοις γὰρ τοῖς ἐν τῷ γίνεσθαι τὸ εἶναι ἔχουσιν, ὑπάρχει τὸ τοῦ προτέρου ἀεὶ φθειρομέ-
νου τὸ ὕστερον ἐπιγίνεσθαι. τὸ ἐν κινήσει οὖν πρότερον καὶ ὕστερον, οὐχὶ τὸ κατὰ τὴν θέσιν αὐτῆς,
ἀλλὰ τὸ κατὰ τὴν τοῦ εἶναι παράτασιν, τοῦτό ἐστιν ὁ χρόνος, οὐχ ᾗ κίνησις, ἀλλ' ᾗ πρότερον καὶ ὕ-
στερον τοιοῦτο. τὸ γὰρ κατὰ τὴν θέσιν τῆς κινήσεως πρότερον καὶ ὕστερον, καθ' ὃ τῷ ἀθήνηθεν εἰς
θήβας βαδίζοντι, πρώτη κίνησίς ἐστιν ἡ πρὸς ταῖς ἀθήναις, τοῦτο τὸ πρότερον καὶ ὕστερον, κἂν ἐν τῷ
γίνεσθαι αὐτῷ τὸ εἶναι ἔχῃ, ἀλλὰ κατὰ τὴν πρὸς τὴν θέσιν ἀναφορὰν θεωρούμενον τὴν ὑπομένου-
σαν, ὑπομένειν πως δοκεῖ, ὅταν καὶ ἡ κίνησις ὡς συμπαρατεταμένη θεωρῆται τῷ μεγέθει ἐφ' οὗ ἡ
κίνησις. ὅταν δὲ κυρίως ὡς κίνησις θεωρῆται, κατὰ τὸ ῥέον καὶ τὸ ἐν τῷ γίνεσθαι τὸ εἶναι ἔχον, τότε
τὸ μὲν παρεληλυθὸς ἴσχουσα, τὸ δὲ, μέλλον, χρονίζεται. εἰπὼν δὲ τὴν κοινωνίαν τοῦ χρόνου πρὸς
τὴν κίνησιν, εἰκότως ἐπάγει τὴν διαφοράν. καὶ γὰρ ἡ μὲν κίνησις οὐ μόνον ἡ προτέρα τῆς μετ' αὐ-
τὴν ἄλλη, ὅπερ κοινὸν ὑπάρχει καὶ τῷ χρόνῳ, ἀλλὰ καὶ αἱ ἅμα οὖσαι διαφέρουσιν ἀλλήλων. αἱ
μὲν, καὶ τῷ εἴδει, εἰ τὸ μὲν, φθείροιτο, τὸ δ' αὔξοιτο, τὸ δ' ἀλλοιοῖτο. αἱ δὲ τῷ ἀριθμῷ μόνον, εἰ
πλείω ἅμα φθείροιτο ἢ αὔξοιτο ἢ ἀλλοιοῖτο. ἡ γὰρ κίνησις ἐν τῷ κινουμένῳ. ὥστε ὅσα τὰ κινού-
μενα, τοσαῦται καὶ αἱ κινήσεις. ὁ μέντοι χρόνος ὁ αὐτός ἐστι πανταχοῦ, κατά τι τοῦ ταυτοῦ ση-
μαινόμενον. καὶ οὐ διαφέρει χρόνος χρόνου. οὐδὲ γὰρ ἡ διαφορὰ ἐκείνων, παρ' οἷς ἐστιν ὁ χρόνος, εἴτε
κατ' εἶδός ἐστιν, εἴτε κατ' ἀριθμὸν, τοῦ χρόνου διαφορά ἐστι. καὶ γὰρ τὰ ἐν ἀθήναις, καὶ τὰ ἐν κορίν-
θῳ, ἐν τῷ αὐτῷ χρόνῳ ἐστί. διότι οὐχ ὡς ἑκάστου κινουμένου ἰδία τίς ἐστι κίνησις, οὕτως ἑκάστης κι-
νήσεως ἀφωρισμένης ἀριθμός ἐστιν ὁ χρόνος. ἀλλὰ πασῶν ὡς μιᾶς. ἓν γὰρ καὶ ταὐτὸν ἐν πάσαις
ταῖς ἅμα γινομέναις τὸ πρότερόν τε καὶ ὕστερον, καθὸ τοιοῦτον. οὐ γὰρ καθὸ ἡ μὲν, ἐν τῷδε ἐστὶν, ἡ
δὲ, ἐν τῷδε. οὐδὲ καθὸ ἡ μὲν, φορά ἐστιν, ἡ δὲ αὔξησις, ἡ δὲ ἀλλοίωσις, πρότερον καὶ ὕστερον ἔχουσιν.
ἀλλὰ κατὰ τὸ κοινὸν καθὸ κίνησις. διὸ καὶ ὁμήλικα λέγεται, ὅτι ἅμα ἐν τῷ αὐτῷ χρόνῳ ἐστίν. ὥσ-
περ καὶ πεντὰς ἡ αὐτὴ, κἂν τὰ ἐν οἷς ἐστι διάφορα ᾖ. μόνη δὲ ἡ διαφορὰ κατὰ χρόνον ἐστὶ παρὰ τὴν
τῶν νῦν ἑτερότητα. ἐν γὰρ τῇ τούτων λήψει τῷ χρόνῳ τὸ εἶναι ἐστὶν, ὅταν τὸ μὲν, πρότερον
ληφθῇ, τὸ δὲ, ὕστερον. εἰ δὲ ἡ ἐν τῷ νῦν διαφορὰ τὴν ἐν χρόνῳ διαφορὰν ποιεῖ, ἔσται καὶ ἡ ἐν χρόνῳ
διαφορὰ κατὰ τὸ πρότερον καὶ ὕστερον μόνον. τοῦ δὲ ἅμα ὄντος χρόνου, οὐκ ἔστι τὸ μὲν πρότερον
τὸ δ' ὕστερον. ὥστε οὐ διαφέρει ὁ ἅμα ὢν χρόνος. πρὸς δὴ ταῦτα ἀπορῶν τις ἂν οἶμαι λέγοι. ὅτι εἰ
μὲν ἦν ὁ χρόνος ἀριθμὸς ὡς ἀριθμῶν, τάχα ἂν ἦν εἷς καὶ ὁ αὐτός. ἐπεὶ δὲ ὡς ἀριθμούμενος, οὗτος
δέ ἐστιν ὁ ἤδη καταταχθεὶς καὶ ἐν μεθέξει γεγονὼς, πῶς οἷόν τε ταὐτὸν εἶναι. εἰ δὲ κατὰ τὸ κοινὸν
καθὸ χρόνος, διατί μὴ καὶ ἡ κίνησις καθὸ κίνησις ἡ αὐτὴ ἂν εἴη. εἰ δὲ καὶ ἡ κίνησις καὶ τὸ ἄλλο καὶ
ἄλλο ἔχει καὶ τὸ κοινὸν, πρῶτον μὲν τί τὸ κοινὸν λεγέτωσαν, οἱ τὰ κοινὰ ἢ οὐδὲν ἢ ὕστερον λέγοντες.
ἔπειτα διατί μὴ καὶ χρόνος ὁ μὲν, κοινὸς, ὁ δ' ἴδιος. λύοι δ' ἄν τις τὴν ἀπορίαν οἶμαι λέγων, ὅτι οὐ
πάσης κινήσεως ἀριθμός ἐστιν ὡς ἀριθμητὸς ὁ χρόνος κατὰ ταύτην τὴν ὑπόθεσιν, οἷον καὶ τῆς ἐμῆς βα-
δίσεως καὶ τῆς σῆς λευκάνσεως. ἐπεὶ οὕτω γε οὐκ ἂν ἦν ἀδιάφορος, οὐδὲ ἅμα καθ' ἓν νῦν ἀφορι-
ζόμενος ὁ χρόνος. ἀλλὰ τῆς πρώτης καὶ ἁπλῆς τοῦ οὐρανοῦ κινήσεως ἀριθμητὸν ὁ χρόνος ὢν, κατὰ
τὸ ἐκείνης πρότερον καὶ ὕστερον ἀριθμεῖ τὰ ἐν ταῖς διαφόροις κινήσεσι πρότερα καὶ ὕστερα, καθ' ἓν
τὸ οἰκεῖον νῦν. διὸ καὶ ἅμα πανταχοῦ ὁ αὐτὸς χρόνος. καὶ αὐτὸς δὲ ὁ ἀριστοτέλης προϊὼν τὸ νῦν οὐκ
ἀριθμητὸν μόνον ἀλλὰ καὶ ἀριθμοῦν θήσεται. ὅταν λέγῃ, ᾗ μὲν οὖν πέρας τὸ νῦν, οὐ χρόνος ἀλλὰ
συμβέβηκεν. ᾗ δὲ ἀριθμεῖ. καὶ εἰ τοῦτο οὕτως ἔχει, καθὸ μὲν ἀριθμεῖ ἀδιάφορος ἔσται. καθὸ δὲ ἀριθμεῖ-
ται διάφορος. μήποτε δὲ συμφωνότερον τῷ ἀριστοτέλει λέξομεν, ὅτι αἱ διάφοροι κινήσεις κἂν καθὸ
κινήσεις τοιαίδε διαφέρωσιν ἀλλήλων ἢ τῷ εἴδει ἢ τῷ ἀριθμῷ, ἀλλά τό γε κοινὸν τῆς κινήσεως τὸ ἐν
τῷ γίνεσθαι τὸ εἶναι ἔχον καὶ κατατεταγμένον, καθ' ὃ τὸ πρότερον αὐτῶν καὶ ὕστερον τὸ κατὰ
τὴν τοῦ εἶναι παράτασιν λαμβανόμενον, καθ' ὃ καὶ ὁ χρόνος ἀφορίζεται, ἓν καὶ τὸ αὐτό ἐστι παν-
ταχοῦ. τὸ γὰρ πρότερον τῆς ἐμῆς βαδίσεως καὶ τῆς σῆς λευκάνσεως ὡς κινήσεως εἰ ἅμα εἴη, ἐν τῷ αὐτῷ
νῦν ἔσται. ὁμοίως δὲ καὶ τὸ ὕστερον ἐν τῷ αὐτῷ τῷδε τῷ κατὰ τὸ πέρας τοῦ βιβλίου δηλουμένῳ. κἂν
γὰρ μὴ ἐξῃρημένον που καθ' αὑτὸ ᾖ τὸ κοινὸν τῆς κινήσεως, ἀλλὰ κατατεταγμένον, φυλάττον γε

ὅμως τὴν κοινότητα, πανταχοῦ τὸ αὐτό ἐστι. κατ᾽ ἐκεῖνο γὰρ οὐδὲ εἰς ἀριθμὸν οὔπω διῄρηνται αἱ κινήσεις.

ΤΟ ΓΑΡ νῦν τὸ αὐτὸ ὅ ποτ᾽ ἦν. τὸ δ᾽ εἶναι αὐτῷ ἕτερον. τὸ δὲ νῦν τὸν χρόνον μετρεῖ. ᾗ πρότερον καὶ ὕστερον. τὸ δὲ νῦν, ἔστι μὲν ὥς, τὸ αὐτό. ἔστι δ᾽ ὡς οὐ τὸ αὐτό. ᾗ μὲν γὰρ ἐν ἄλλῳ καὶ ἄλλῳ, ἕτερον· τοῦτο δ᾽ ἦν αὐτῷ τὸ νῦν. ᾗ δὲ ὅ ποτε ὄν ἐστι τὸ νῦν, τὸ αὐτό. ἀκολουθεῖ γὰρ ὥσπερ ἐλέχθη τῷ μὲν μεγέθει ἡ κίνησις, ταύτῃ δ᾽ ὁ χρόνος ὥς φαμεν, καὶ ὁμοίως δὴ τῇ στιγμῇ τὸ φερόμενον ᾧ τὴν κίνησιν γνωρίζομεν, καὶ τὸ πρότερον ἐν αὐτῇ καὶ τὸ ὕστερον. τοῦτο δὲ ὃ μέν ποτε ὄν, τὸ αὐτό. ἔστι στιγμὴ γάρ, ἢ λίθος. ἤ τι ἄλλο τοιοῦτον. τῷ λόγῳ δέ, ἄλλο ὥσπερ οἱ σοφισταὶ λαμβάνουσιν ἕτερον τὸ, Κορίσκον ἐν Λυκείῳ εἶναι, καὶ τὸ Κορίσκον ἐν ἀγορᾷ. καὶ τοῦτο δὴ τῷ ἄλλοθι καὶ ἄλλοθι εἶναι, ἕτερον. τῷ δὲ φερομένῳ, ἀκολουθεῖ τὸ νῦν, ὥσπερ ὁ χρόνος τῇ κινήσει. τῷ γὰρ φερομένῳ γνωρίζομεν τὸ πρότερον καὶ ὕστερον ἐν κινήσει. ᾗ δ᾽ ἀριθμητὸν τὸ πρότερον καὶ ὕστερον, τὸ νῦν ἐστίν. ὥστε καὶ ἐν τούτοις ὃ μέν ποτε ὂν νῦν, ἔστι τὸ αὐτό. πρότερον γὰρ ἢ ὕστερόν ἐστι τὸ, ἐν κινήσει. τὸ δ᾽ εἶναι, ἕτερον. ᾗ ἀριθμητὸν γὰρ τὸ πρότερον καὶ ὕστερον. τὸ νῦν ἐστι. καὶ γνώριμον μάλιστα, τοῦτ᾽ ἔστι. καὶ γὰρ ἡ κίνησις, διὰ τὸ κινούμενον. καὶ ἡ φορὰ διὰ τὸ φερόμενον. τόδε γάρ τι τὸ φερόμενον. ἡ δὲ κίνησις, οὔ. ἔστι μὲν οὖν ὡς τὸ αὐτὸ τὸ νῦν λεγόμενον ἀεί. ἔστι δ᾽ ὡς οὐ τὸ αὐτό, καὶ γὰρ καὶ τὸ φερόμενον.

Εἰπὼν ὅτι κοινωνεῖ τῇ κινήσει ὁ χρόνος τῷ γίνεσθαι καὶ φθείρεσθαι, καὶ αὖ πάλιν διαφέρει, ὅτι αἱ μὲν κινήσεις διαφέρουσιν ἀλλήλων, ὁ δὲ ἅμα πᾶς χρόνος ὁ αὐτός, αἰτίαν τούτου φησὶ τὸ τὸ νῦν τὸ αὐτὸ εἶναι τῷ ὑποκειμένῳ. τοῦτο γὰρ σημαίνει τὸ ὅ ποτε ἦν. ὡς γὰρ ἐπὶ τοῦ προτέρου καὶ ὑστέρου ἔλεγεν, ὅτι ὃ μέν ποτε ὂν κίνησίς ἐστι, τὸ δὲ εἶναι αὐτῷ ἄλλο καὶ οὐ κίνησις, οὕτω καὶ περὶ τοῦ νῦν εἶπεν, ὅτι τῷ μὲν ὑποκειμένῳ ἕν τι καὶ ταυτόν ἐστι, τῷ δὲ λόγῳ διάφορον, καθόσον τὸ μὲν πρότερόν ἐστι, τὸ δ᾽ ὕστερον. κατὰ τοῦτο δὲ τὸ πρότερον καὶ τὸ ὕστερον τὸ εἶναι ἔχει, καὶ μέτρον χρόνου ἐστὶ τὸ νῦν, καθ᾽ ὃ μετρεῖται ὁ χρόνος ὡς ἄλλο καὶ ἄλλο ὄν. ὥσπερ κατὰ τὴν μονάδα μετρεῖται ὁ ἀριθμός. εἰκότως οὖν καὶ ἡ τοῦ χρόνου διαφορὰ καὶ ταυτότης, κατὰ τὴν τῶν νῦν διαφορὰν καὶ ταυτότητα λαμβάνεται. καὶ ὁ αὐτὸς μὲν ἔσται χρόνος ὁ ἀπὸ τῶν ἀδιαφόρως λαμβανομένων νῦν ὁριζόμενος, κἂν ἐν διαφόροις ᾖ κινήσεσιν. διὸ ἡ αὐτὴ σήμερον ἡμέρα, ἐν ᾗ τὸ μὲν αὔξεται, τὸ δὲ λευκαίνεται, τὸ δὲ περιπατεῖ, τὰ αὐτὰ νῦν ἔχουσα τό, τε ἐν ἀρχῇ καὶ τὸ ἐν τῷ τέλει. ἐὰν δὲ διαφέροντα ληφθῇ τὰ νῦν, τῷ τὰ μὲν πρότερα εἶναι, τὰ δὲ, ὕστερα, διάφορος ἂν εἴη καὶ ὁ χρόνος. ὁ οὖν ἅμα ὢν χρόνος, ὑπὸ τῶν αὐτῶν καὶ ἀδιαφόρων νῦν ὁριζόμενος, οὐκ ἂν διαφέροι. ἀσάφειαν δὲ μικρὰν ἡ λέξις ἔχειν δοκεῖ, τοῦ Ἀριστοτέλους παρὰ τὴν ἑαυτοῦ συνήθειαν τὸ αὐτὸ διαφόρως ἑρμηνεύσαντος, ἢ μᾶλλον τὸ πρότερον διὰ τοῦ ἑξῆς σαφηνίσαντος. εἰπὼν γὰρ τὸ γὰρ νῦν τὸ αὐτὸ ὅ ποτε ἦν, τὸ δὲ εἶναι αὐτῷ ἕτερον, εἶτα ἐπαγαγὼν ὅτι τὸ νῦν τὸν χρόνον μετρεῖ καθὸ πρότερον καὶ ὕστερον, βουλόμενος σαφηνίσαι πῶς ἕτερον τὸ νῦν, πάλιν τὸ διαιρετικὸν ὅλον τέθεικεν, εἰπὼν τὸ δὲ νῦν ἔστι μὲν ὡς τὸ αὐτό, ἔστι δὲ ὡς οὐ τὸ αὐτό. ᾗ μὲν γὰρ ἐν ἄλλῳ καὶ ἄλλῳ ἕτερον, τοῦτο δ᾽ ἦν αὐτῷ προτέρῳ καὶ ὑστέρῳ λέγειν. εἶτα πάλιν ἐπήγαγεν, ὃ δέ ποτε ὂν τὸ νῦν ἔστι τὸ αὐτό. ὅπερ ταυτόν ἐστι τῷ τὸ γὰρ νῦν τὸ αὐτὸ ὅ ποτε ἦν. οὐκ ὂν δὲ ἀναμφίλεκτον οἶμαι, τὸ τὸ νῦν ταυτὸν μὲν εἶναι τῷ ὑποκειμένῳ τῷ δὲ λόγῳ ἕτερον, κατὰ τὸ ἐν ἄλλῳ καὶ ἄλλῳ λαμβανόμενον πρότερον καὶ ὕστερον γίνεσθαι, κατασκευάζειν πειρᾶται διὰ τῆς πρὸς τὰ σύστοιχα αὐτῷ ἀκολουθίας. ἀκολουθεῖν μὲν γὰρ ἐλέγετο πρότερον τῷ μὲν μεγέθει ἡ κίνησις, τῇ δὲ κινήσει ὁ χρόνος. διότι ὅσον τὸ μέγεθος τὸ ἐφ᾽ οὗ ἡ κίνησις, τοσοῦτος καὶ ὁ χρόνος τὸ ἀριθμητὸν ὂν τῆς κινήσεως. τούτων δὲ ἀκολουθούντων, ἀκολουθήσει καὶ τὰ τούτων γεννητικὰ ἀλλήλοις. ἔστι δὲ τοῦ μὲν μεγέθους ἡ στιγμὴ γεννητική. εἴ γε ἡ γραμμὴ ῥύσις στιγμῆς, καὶ πρῶτον μέγεθος ἡ γραμμή. τῆς δὲ κινήσεως τὸ φερόμενον ποιητικόν, καὶ τοῦ χρόνου τὸ νῦν. ὡς οὖν ἡ αὐτὴ στιγμὴ ῥυϊσκομένη ποιεῖ τὸ μέγεθος, ἀλλ᾽ οὐ παρατιθεμένη πρὸς ἄλλην στιγμήν, καὶ τὸ αὐτὸ φερόμενον ποιεῖ τὴν κίνησιν, οὕτω καὶ τὸ νῦν τὸ αὐτὸ ὂν κατὰ τὸ ὑποκείμενον, τῷ πρότερον καὶ ὕστερον ἀριθμούμενον λαμβάνεσθαι, τὸν χρόνον ὁρίζει τε καὶ ποιεῖ. ὅτι δὲ οὕτως ἔχει τὸ νῦν ἀπὸ τοῦ ἐναργεστέρου κατασκευάζει τοῦ κινουμένου καὶ ὅτι μὲν ἐναργέστερον τοῦτο, ὑπέμνησε διὰ τοῦ καὶ τὴν κίνησιν ἡμᾶς τούτῳ γνωρίζειν, καὶ τὸ πρότερον ἐν αὐτῇ καὶ ὕστερον. τῷ γὰρ φερόμενον κατ᾽ ἄλλο καὶ ἄλλο τοῦ ὑποκειμένου γίνεσθαι μέρος, καὶ τὴν κίνησιν γνωρίζομεν, καὶ τὸ πρότερον καὶ ὕστερον, τό, τε ἐν τῇ κινήσει καὶ τὸ ἐν τῷ χρόνῳ. ὅτι δὲ τὸ αὐτὸ τῷ ὑποκειμένῳ ἐστὶ τὸ κινούμενον ὡς ἐναργὲς λαμβάνει, ὅτι ἢ στιγμή ἐστιν, ἢ λίθος, ἤ τι ἄλλο τοιοῦτον. καὶ ὅτι μὲν ὁ λίθος ὁ αὐτός ἐστι, πρόδηλον κἂν ἄλλο τε ἐν ἄλλῳ γίνηται τόπῳ. ὅτι δὲ καὶ ἡ στιγμὴ ἡ αὐτὴ ἐν τῇ ῥύσει, δῆλον εἴπερ συνεχές ἐστι τὸ γινόμενον, καὶ οὐ κατὰ ἐπαφὴν στιγμῶν συνίσταται. ἀλλὰ τῷ προτέρῳ μένοντι συνυφαίνεται τὸ ἐφεξῆς, κατὰ τὴν τῆς μιᾶς στιγμῆς ῥύσιν. τῷ δὲ λόγῳ διαφέρει ὁ φερόμενος λίθος, τῷ κατ᾽ ἄλλο καὶ ἄλλο τοῦ μεγέθους ἐφ᾽ οὗ φέρεται γίνεσθαι. ὅτι δὲ διαφορά τις αὕτη δοκεῖ, ἐκ τῶν σοφιστικῶν

λόγων κατασκευάζει. οἵτινες τὴν διαφορὰν ταύτην ἐπὶ τὸ ὑποκείμενον μεταφέροντες, ἄτοπον
ἐδόκουν συνάγειν τὸ τὸ αὐτὸ ὂν ἕτερον ἑαυτοῦ γίνεσθαι. ἔλεγον γὰρ ὁ αὐτὸς ὢν Κορίσκος, ποτὲ μὲν
ἐν ἀγορᾷ ποτὲ δὲ ἐν Λυκείῳ γίνεται. ὁ ποτὲ μὲν ἐν ἀγορᾷ ποτὲ δὲ ἐν Λυκείῳ γινόμενος, ἕτερος ἑαυτοῦ
γίνεται. οὐ φυλάξαντες τὸ ἕτερον καθὸ ἕτερον ἐλήφθη, ἀλλὰ τὸ κατὰ συμβεβηκὸς ἕτερον εἰς τὸ
οὐσιῶδες μεταγαγόντες. σοφιστικὸν οὖν ἐνεδείξατο εἶναι τὸ νομίζειν, ὅτι ἀκολουθεῖ τῷ λόγῳ ἕτε-
ρον εἶναι τὸ πρότερον καὶ ὕστερον, τὸ καὶ τῷ ὑποκειμένῳ εἶναι ἕτερον. δείξας δὲ ὅπως τὸ φερόμενον
τῷ μὲν ὑποκειμένῳ τὸ αὐτό ἐστι, τῷ δὲ λόγῳ ἕτερον, ὁμοίως ἔχειν φησὶ καὶ τὸ νῦν, εἴπερ ἀκολουθεῖ
καὶ τὰ αὐτὰ πάσχει, τῇ μὲν κινήσει ὁ χρόνος ὡς εἴρηται πρότερον, τῷ δὲ κινουμένῳ τὸ νῦν. τὴν δὲ
ὁμοιότητα καὶ ταυτότητα τούτων δηλοῖ, τὸ, καὶ τὸ νῦν τῷ φερομένῳ καὶ οὐκ ἄλλῳ γνωρίζομεν
τὸ πρότερον καὶ ὕστερον ἐν τῇ κινήσει. οὐ γὰρ ἂν διεκρίθη ταῦτα μένοντος τοῦ φερομένου. ἀλλ' ἐπει-
δὴ τὸ φερόμενον ποτὲ μὲν κατὰ τὸν πρότερον γίνεται τόπον, ποτὲ δὲ κατὰ τὸν ὕστερον, διατοῦτο
καὶ τῆς κινήσεως γίνεται τὸ μὲν, πρότερον, τὸ δ' ὕστερον. καθόσον δὲ ἀριθμητὸν τὸ πρότερον τοῦτο
καὶ ὕστερον, κατὰ τοσοῦτον φησὶ νῦν δείκνυται. καὶ δηλονότι πάλιν κατά γε ἐμὲ ἐκεῖνο τὸ πρό-
τερον τῆς κινήσεως ληπτέον, οὐ τὸ κατὰ τὴν θέσιν, ἀλλὰ τὸ κατὰ τὴν τοῦ εἶναι παράτασιν, ὥστε
καὶ τὸ νῦν τῷ μὲν ὑποκειμένῳ ταυτόν ἐστι, τῷ λόγῳ δὲ ἕτερον. τὸ γὰρ ἀριθμητὸν αὐτὸ εἶναι καὶ ὡς
ἄλλο καὶ ἄλλο διαλαμβάνεσθαι, δίδωσιν αὐτῷ τὴν κατὰ λόγον διαφοράν. καὶ ὁ Εὔδημος δὲ τὰ
» αὐτὰ περὶ τοῦ νῦν ἐν τῷ τρίτῳ τῶν φυσικῶν φησὶ γράφων οὕτως. εἰ δὲ νοήσαιμεν φερομένην
» στιγμὴν, τῷ δὲ ἐν ἄλλῳ τῆς γραμμῆς γίνεσθαι, καὶ αὐτὴν ἄλλο καὶ ἄλλο γινομένην, οὕτω δὲ ὑποθείη-
» μεν καὶ περὶ τοῦ νῦν ἔχειν, τὸ μὲν ὑποκείμενον, ὅτι δή ποτε δεῖ νοῆσαι αὐτὸ, διαμένει τὸ αὐτό. ἐν ἄλλῳ
» δὲ καὶ ἄλλῳ γινόμενον, ἕτερον καὶ ἕτερον ἔσται. ὥστε εἶναι κατὰ μὲν τὸ ὑποκείμενον, ὅτι δή ποτέ ἐστι,
» ταυτό. τῷ δὲ ἐν ἄλλῳ καὶ ἄλλῳ γίνεσθαι, καθὸ ἕτερον ἤδη πρότερον καὶ ἕτερον ὕστερον γίνεται,
ταύτῃ τὸ νῦν ἕτερον. ταύτῃ δὲ καὶ ἀριθμὸς ὁ χρόνος. ὥστε ὅταν μὲν τὰ νῦν ᾖ τὰ αὐτὰ, καὶ ὁ ἀ-
ριθμὸς καὶ ὁ χρόνος ὁ αὐτὸς ἔσται. ὅταν δὲ ἕτερα, καὶ τὰ λοιπὰ ἕτερα. δείξας δὲ τὴν τοῦ νῦν πρὸς
τὸ κινούμενον ἀκολουθίαν ἐκ τοῦ προτέρου καὶ ὑστέρου, δείκνυσι καὶ ἐκ τοῦ γνώριμα ἄμφω κατὰ
ταῦτα εἶναι, τὴν μὲν κίνησιν κατὰ τὸ κινούμενον, τὸν δὲ χρόνον κατὰ τὸ νῦν. γνωρίζεται γὰρ ἡ κίνη-
σις διὰ τὸ κινούμενον, καὶ ὁ χρόνος διὰ τὸ νῦν. τοῦτο γοῦν δοκεῖ μόνον ἐν ὑπάρξει τοῦ χρόνου εἶναι. διατί
δὲ γνωριμώτερον τῆς φορᾶς τὸ φερόμενον, ἐδήλωσεν εἰπὼν, τόδε γάρ τι τὸ φερόμενον, ἡ δὲ κί-
νησις οὔ. οὐσία γὰρ καὶ ὑφεστὼς ἅμα ὅλον τὸ φερόμενον, ἡ δὲ κίνησις συμβεβηκὸς καὶ ἐν τῷ γίνεσθαι
τὸ εἶναι ἔχει. ἐν τῇ τοῦ κινουμένου γὰρ μεταβάσει ἡ κίνησις ὑφέστηκεν. εἰπὼν δὲ καὶ γὰρ ἡ κίνησις διὰ
τὸ κινούμενον, ἐπήγαγε καὶ ἡ φορὰ διὰ τὸ φερόμενον. οὐχ ὅτι ἡ φορὰ οὐκ ἔστι κίνησις. ἀλλ' ὅτι ἐπὶ τῆς
φορᾶς προφανέστερόν ἐστι τὸ ἀπὸ τοῦ φερομένου γνωρίζεσθαι τὴν φοράν. κἂν γὰρ ἡ ἀλλοίωσις ἀπὸ τοῦ
ἀλλοιουμένου, καὶ ἡ αὔξησις ἀπὸ τοῦ αὐξομένου ὡς οὐσίας καὶ τούτων ὄντων γνωρίζηται, ἀλλὰ
μᾶλλον καὶ ἡ φορὰ ἀπὸ τοῦ φερομένου, ἐπειδὴ προφανεστέρα ἐστὶν ἡ φορὰ τῶν ἄλλων κινήσεων. εἶτα
λοιπὸν ἐκ τῶν εἰρημένων συμπεραινόμενος λέγει, ἔστι μὲν οὖν ὡς τὸ αὐτὸ νῦν, ἔστι δ' ὡς οὐ τὸ αὐτό.
καὶ γὰρ τὸ φερόμενον. διὰ γὰρ τὴν πρὸς τὸ φερόμενον ἀκολουθίαν, καὶ διὰ τὸ ἐξ ἐκείνου τὸ εἶναι
ἔχειν, καὶ τὸ νῦν τὸ αὐτὸ καὶ ἕτερόν ἐστιν. Ἐν δὲ τούτοις ἐπιστάσεως ἄξιον εἶναί μοι δοκεῖ, πῶς τὸ πρό-
τερον καὶ ὕστερον τῷ ὑποκειμένῳ τὸ αὐτό φησιν εἶναι. πῶς γὰρ τὸ παρεληλυθὸς τῷ ἐνεστηκότι, καὶ τὸ
μηκέτι ὂν τῷ ὄντι. τὸ μὲν γὰρ φερόμενον καὶ ἄλλοτε ἀλλαχοῦ γινόμενον, ἅτε ὑπομένον ἐν τῷ εἶναι,
ἀληθὲς εἰπεῖν ὅτι τῷ ὑποκειμένῳ τὸ αὐτό ἐστιν. ἡ δὲ κίνησις καὶ ὁ χρόνος, καὶ ὅσα ἐν τῷ γίνεσθαι τὸ
εἶναι ἔχει, πῶς ἂν εἴη τὰ αὐτὰ τῷ ὑποκειμένῳ. τῇ μὲν γὰρ στιγμῇ τοῦτο ἐνορᾶν οὐδὲν κωλύει. κατὰ
γὰρ τὴν ταύτης ῥύσιν ὑφιστάμενον τὸ μέγεθος ὑπομένει ὅλον, καὶ οὐκ ἐν τῷ γίνεσθαι τὸ εἶναι ἔχει
ὥσπερ ὁ χρόνος. πῶς δὲ τῷ φερομένῳ καὶ τῇ στιγμῇ τὸ νῦν ἀκολουθεῖ κατ' ἐκεῖνα, καὶ ἀπ' ἐκείνων
τοῦτο ἔδειξε, τοσαύτης οὔσης αὐτῶν τῆς διαφορᾶς, ὡς τὰ μὲν, ὑπομένειν, τὰ δὲ, μὴ ὑπομένειν. πῶς
οὖν ἂν τὸ μὴ ὑπομένον τῷ ὑπομένοντι ὁμοίως ἂν ἔχοι, τὸ τῷ ὑποκειμένῳ τὸ αὐτὸ εἶναι. δεύτερον δὲ
ἄξιον ζητεῖν, τριῶν ὄντων τούτων, μεγέθους, κινήσεως, χρόνου, ἀκολουθούντων ἀλλήλοις ὥς φησι,
καὶ τοῦ μὲν μεγέθους ὑπὸ στιγμῶν περατουμένου, τοῦ δὲ χρόνου ὑπὸ τοῦ νῦν, τί ἂν εἴη τούτοις ἀνάλο-
γον ἐν τῇ κινήσει, τῇ τε στιγμῇ φημὶ καὶ τῷ νῦν. πέρας γὰρ εἶναι κινήσεως ἄλλο, οὐ τὸ κινού-
μενον χρή. ποίαν γὰρ ἔχει τοῦτο πρὸς τὸ νῦν καὶ τὴν στιγμὴν ἀκολουθίαν. μή ποτε οὖν πρὸς
μὲν τὸ πρῶτον τῶν ἀπορηθέντων ῥητέον, ὅτι τὰ νῦν ἀλλήλων κατ' οὐδὲν διαφέρει, πλὴν τῷ
τὸ μὲν πρότερον, τὸ δὲ ὕστερον εἶναι. ἐπεὶ οὔτε γένει, οὔτε εἴδει, ἀλλ' οὔτε ἀριθμῷ. ὥσπερ οὐ-
δὲ μονὰς μονάδος. τὰ γὰρ ἀριθμῷ διαφέροντα ὡς καὶ πρότερον εἴρηται, συμβεβηκόσι δια-
φέρουσί τισιν, ὡς Πλάτων Σωκράτους. ἴσως οὖν διὰ τὸ κατὰ μηδένα τρόπον διαφορᾶς δια-
φέρειν, τὸ αὐτὸ τῷ ὑποκειμένῳ εἴρηται. ἀλλ' ἡ ὁμοιότης βίαιος δοκεῖ ἡ πρὸς στιγμὴν καὶ λί-
θον, τῶν μὲν, ὑπομενόντων, τῶν δὲ ἐν τῷ γίνεσθαι καὶ φθείρεσθαι τὸ εἶναι ἐχόντων. ἐὰν οὖν

πρὸς ταύτην τὴν ἀναλογίαν μὴ ἀκριβολογώμεθα, ἄμεινον οἶμαι λέγειν, ὅτι τὸ ὑποκείμενον ταὐτὸν τῷ εἴδει ταὐτὸν σημαίνει. καὶ γὰρ αὐτὸς ὀλίγον προελθὼν ἐρεῖ, ὅτι ὥσπερ ἡ κίνησις τῷ εἴδει ἡ αὐτὴ τῷ πάλιν καὶ πάλιν, οὕτω καὶ ὁ χρόνος. τὸ δὲ οὕτω τῷ εἴδει τὸ αὐτὸ ὡς κατὰ μηδὲν εἶναι διάφορον, καὶ τῷ ἀριθμῷ πως τὸ αὐτὸ δοκεῖ, ὡς καὶ ἐπὶ τῶν μονάδων εἴρηται πρότερον. καὶ μετ᾽ ὀλίγον τὸν Εὔδημον μάρτυρα παραθήσομαι. διόπερ οὐδὲ πάνυ δοκεῖ σκληρὰ ἡ πρὸς τὴν στιγμὴν καὶ τὸ φερόμενον ὁμοιότης τοῦ νῦν. πρὸς δὲ τὸ δεύτερον τῶν ζητηθέντων ῥητέον, ὅτι τὸ κίνημα πέρας ἐστὶ κινήσεως. οὐ μέντοι οὔτε ἀρχὴ κινήσεως, οὔτε αἰτία. ὡς αἰτία γοῦν τήν τε στιγμὴν καὶ τὸ νῦν ὑποτιθέμενος, τὸ μὲν τῆς γραμμῆς, τὸ δὲ τοῦ χρόνου, εἰκότως τούτοις ἀνάλογον τὸ φερόμενον ἔλαβεν.

ΦΑΝΕΡΟΝ δὲ, καὶ ὅτι εἴτε χρόνος μὴ εἴη, τὸ νῦν οὐκ ἂν εἴη. εἴτε τὸ νῦν μὴ εἴη, ὁ χρόνος οὐκ ἂν εἴη. ἅμα γὰρ ὥσπερ τὸ φερόμενον καὶ ἡ φορὰ, οὕτως καὶ ὁ ἀριθμὸς ὁ τοῦ φερομένου καὶ ὁ τῆς φορᾶς. χρόνος μὲν γὰρ, ὁ τῆς φορᾶς ἀριθμός. τὸ δὲ νῦν, ὡς τὸ φερόμενον. οἷον, μονὰς ἀριθμοῦ, καί

Εἰπὼν πῶς ἔχει τὸ νῦν πρὸς τὸν χρόνον, ὅτι ὡς τὸ φερόμενον πρὸς τὴν φορὰν, καὶ ὅτι γνωριμώτερόν ἐστι τὸ νῦν τοῦ χρόνου, νῦν καὶ τὴν συνύπαρξιν αὐτῶν ἀποδείκνυσι, κατὰ τὴν ὁμοιότητα πάλιν τὴν πρὸς τὸ φερόμενον καὶ τὴν φοράν. ὥσπερ γάρ φησι τὸ φερόμενον καὶ ἡ φορὰ ἅμα ἐστὶν, ἀδύνατον γὰρ τὸ ἕτερον χωρὶς τοῦ ἑτέρου εἶναι, εἰ τὸ φερόμενον μὴ κατὰ τὴν οὐσίαν, ἀλλὰ καθὸ φέρεται λαμβάνοις, οὕτω καὶ τὸ νῦν καὶ ὁ χρόνος. καὶ τὴν ἀνάγκην ἔδειξε τῆς ἀκολουθίας, ἐκ τῆς πρὸς τὸ φερόμενον καὶ τὴν φορὰν ἀναλογίας. ἔστι γὰρ τοῦ μὲν φερομένου ἀριθμὸς τὸ νῦν, οἷον μονάς τις, ὡς ἀδιαίρετον ἐφαρμόζουσα ἀδιαιρέτῳ. τῆς δὲ κινήσεως ὁ χρόνος ἀριθμός. ὡς γὰρ ἡ μονὰς τῷ πάλιν καὶ πάλιν λαμβάνεσθαι ποιεῖ τὸν ἀριθμὸν, οὕτω καὶ τὸ νῦν τὸν χρόνον, καὶ τὸ φερόμενον τὴν φοράν. ἀριθμὸς δὲ ὁ χρόνος τῆς φορᾶς, οὐ καθὸ φορὰ ὡς εἴρηται, ἀλλὰ κατὰ τὸ πρότερον καὶ ὕστερον τὸ ἐν αὐτῇ. οὐ γὰρ ὁ αὐτὸς τῆς κινήσεως ἀριθμὸς ὁ χρόνος, ἀλλὰ τὸ μεταξὺ διάστημα τοῦ προτέρου καὶ ὑστέρου, ὡς τοῦ προτέρου καὶ ὑστέρου κατὰ τὸ πάλιν λαμβάνεσθαι τὸ διάστημα ποιούντων. διαφέρει δὲ ἡ μονὰς τοῦ τε φερομένου καὶ τοῦ νῦν, καθόσον ἡ μὲν διωρισμένον ποιεῖ τὸν ἀριθμὸν, ἐκεῖνα δὲ συνεχῆ τήν τε κίνησιν καὶ τὸν χρόνον.

ΣΥΝΕΧΗΣ τε δὴ ὁ χρόνος τῷ νῦν. καὶ διῄρηται κατὰ τὸ νῦν. ἀκολουθεῖ γὰρ καὶ τοῦτο τῇ φορᾷ καὶ τῷ φερομένῳ. καὶ γὰρ ἡ κίνησις καὶ ἡ φορὰ, μία τῷ φερομένῳ ὅτι ἕν. καὶ οὐχ ὅ ποτε ὄν. καὶ γὰρ ἂν διαλίποι. ἀλλὰ καὶ τῷ λόγῳ. καὶ ὁρίζει δὴ τὴν πρότερον καὶ ὕστερον κίνησιν, τοῦτο. ἀκολουθεῖ δὲ καὶ τοῦτό πως, τῇ στιγμῇ, καὶ γὰρ ἡ στιγμὴ καὶ συνέχει πως τὸ μῆκος καὶ ὁρίζει. ἔστι γὰρ τοῦ μὲν ἀρχή. τοῦ δὲ τελευτή. ἀλλ᾽ ὅταν μὲν οὕτω λαμβάνῃ τις ὡς δυσὶ χρώμενος τῇ μιᾷ ἀνάγκη ἵστασθαι. εἰ ἔσται ἀρχὴ καὶ τελευτὴ ἡ αὐτὴ στιγμή. τὸ δὲ νῦν διὰ τὸ κινεῖσθαι τὸ φερόμενον ἀεὶ ἕτερον. ὥσθ᾽ ὁ χρόνος, ἀριθμὸς οὐχ ὡς τῆς αὐτῆς στιγμῆς ὅτι καὶ ἀρχὴ καὶ τελευτὴ, ἀλλ᾽ ὡς τὰ ἔσχατα τῆς γραμμῆς μᾶλλον καὶ οὐχ ὡς τὰ μέρη διά τε τὸ εἰρημένον. τῇ γὰρ μέσῃ στιγμῇ, ὡς δυσὶ χρήσεται, ὥστε ἠρεμεῖν συμβήσεται, καὶ ἔτι φανερὸν, ὅτι οὐδὲ μόριον τὸ νῦν, τοῦ χρόνου. οὐδ᾽ ἡ διαίρεσις τῆς κινήσεως. ὥσπερ οὐδ᾽ αἱ στιγμαὶ τῆς γραμμῆς. αἱ δὲ γραμμαὶ, δύο τῆς μιᾶς μόρια.

Ὅτι καὶ ἡ συνέχεια τοῦ χρόνου καὶ ἡ διαίρεσις κατὰ τὸ νῦν, δείκνυσι πάλιν ἐκ τῆς πρὸς τὸ φερόμενον καὶ τὴν φορὰν ἀκολουθίας. καὶ γὰρ ἡ κίνησις ταὐτὸν δὲ εἰπεῖν ἡ φορὰ τῷ φερομένῳ γίνεται συνεχὴς καὶ μία, καὶ οὐκ ἄλλῳ τινί. τούτῳ δὲ γίνεται μία καὶ συνεχὴς, ὅτι καὶ τοῦτο ἓν δέδεικται κατὰ τὸ ὑποκείμενον. ὃ πάλιν ὅ ποτε ὂν εἶπεν. οἷον εἰ λίθος εἴη τὸ φερόμενον, καὶ κατ᾽ αὐτὸ τὸ φερόμενον εἶναι, τουτέστι τῷ λόγῳ τοῦ φερομένου. ἀλλὰ κατὰ μὲν τὸ ὑποκείμενον οὐκ ἔσται τῆς συνεχείας αἴτιον. δύναται γὰρ καὶ διαλείπειν φερόμενον. καὶ μένει μὲν ὁ αὐτὸς λίθος, οὐ ποιεῖ δὲ συνεχῆ τὴν κίνησιν. ἐπειδὴ κἂν αὐτὸ ἓν μένῃ κυρίως, ἀλλ᾽ ἡ κίνησις αὐτοῦ διακόπτεται, στάσει διαλαμβανομένη. εἰ μέντοι ὡς ἓν κατὰ τὸν λόγον τοῦ φερομένου καὶ ὡς φερόμενον ληφθῇ, τότε αἴτιον γίνεται τοῦ μίαν καὶ συνεχῆ τὴν κίνησιν εἶναι. οὐ μόνον δὲ συνεχῆ τὸν χρόνον ποιεῖ τὸ νῦν κατὰ τὴν πρὸς τὸ φερόμενον ἀκολουθίαν, ἀλλὰ καὶ διαιρεῖ αὐτὸν διορίζον τὸ πρότερον καὶ ὕστερον τῆς κινήσεως. οὕτω γὰρ διαιρεῖται ὁ χρόνος. ἀκολουθεῖ δὲ κατὰ τὸ συνεχίζειν καὶ διορίζειν, οὐ μόνον τῷ φερομένῳ, ἀλλὰ καὶ τῇ στιγμῇ κατά τινα τρόπον. καὶ γὰρ ἡ στιγμὴ ὅταν ἡ αὐτὴ ληφθῇ, τοῦ μὲν, ἀρχὴ, τοῦ δὲ τελευτὴ, καὶ συνέχει τὸ μῆκος, εἴπερ ἐν ἑκατέρῳ μέρει τοῦ μήκους μία καὶ ἡ αὐτὴ λαμβάνοιτο, καὶ διαιρεῖ μέντοι αὐτό. κατὰ γὰρ σημεῖον ἡ διαίρεσις τοῦ μήκους γίνεται. ὁμοίως δὲ καὶ τὸ νῦν καὶ συνέχει καὶ διαιρεῖ τὸν χρόνον. κατά γε οὖν τὸ συνέχειν καὶ διαιρεῖν ἁπλῶς ἀκολουθεῖ καὶ τῇ στιγμῇ. καθόσον δὲ ἡ αὐτὴ στιγμὴ ἀρχὴ καὶ τελευτή ἐστιν, ὡς δυσὶ χρώμεθα τῇ μιᾷ. καὶ ἀνάγκη ἵστασθαι ἐν μιᾷ στιγμῇ δὶς λαμβανομένῃ, ποτὲ μὲν ὡς πέρατι, ποτὲ δὲ ὡς ἀρχῇ. ὑπομένει γὰρ καὶ ἐν θέσει τὸ εἶναι αὐτῆς. τὸ δὲ φερόμενον οὐκ ἔστι δὶς λαβεῖν. ἀεὶ γὰρ ἄλλο καὶ ἄλλο. ἄλλο δὲ οὐχ ὅτι ἕτερον ἑαυτοῦ. ἀλλ᾽ ὅτι ἄλλο ἐν ἄλλῳ καὶ ἄλλῳ. εἰ γὰρ ἐν ταὐτῷ δὶς, ἀνάγκη στῆναι. κινεῖσθαι δὲ ὑπόκειται συνεχῶς. οὕτω δὲ καὶ τὸ νῦν οὐκ ἔσται δὶς λαβεῖν. πῶς οὖν τῷ ἀριθμεῖσθαι τῷ νῦν ὁ χρόνος. ἢ οὐχ ὡς τὸ αὐτὸ σημεῖον δὶς ὡς ἀρχήν τε καὶ τελευτήν. ἀλλ᾽ εἴπερ

ἄρα, ὡς

ἄρα, ὡς τὰ δύο πέρατα τῆς γραμμῆς, τοδὶ, καὶ τοδί. ταῦτα δὲ ὁρίζει τὸ μεταξὺ διάστημα τῆς γραμμῆς, ἕτερον καὶ ἕτερον ὄντα. οὕτω δὲ καὶ τὰ νῦν ἀριθμεῖται ὡς ἄλλο καὶ ἄλλο, τὸ μὲν πρότερον, τὸ δ᾽ ὕστερον. δὶς δὲ τοῦτο λαβεῖν ἀμήχανον. στάίη γὰρ ἂν ὁ χρόνος. τοῦτο δὲ ἀμήχανον. τὴν μέντοι στιγμὴν δὶς λαβεῖν οὐδὲν ἄτοπον, θέσιν ἔχουσαν καὶ ὑπομένουσαν. τὸ δὲ νῦν οὐχ ὑπομένει ὥστε δὶς ληφθῆναι. δῆλον δὲ ὅτι εἰ ὡς πέρας καὶ ἀρχὴ λαμβάνοιτο ἡ στιγμὴ, διῄρηται κατ᾽ αὐτὴν ἡ γραμμή. διῃρημένη δὲ, οὐκέτι συνεχής. ὥστε οὐδ᾽ ἡ ἐπ᾽ αὐτῆς κίνησις συνεχής. ὁ δὲ χρόνος συνεχὴς, ἐπειδὴ καὶ ἡ κίνησις συνεχής. ἀριθμὸς οὖν τῶν νῦν ὁ χρόνος, οὔτε ὡς τοῦ αὐτοῦ δὶς λαμβανομένου, ὥσπερ τῆς στιγμῆς τῆς δὶς λαμβανομένης, ἀλλ᾽ ὡς ἐκείνης τῆς ἄλλης καὶ ἄλλης τῆς μὲν ὡς ἀρχῆς τῆς δ᾽ ὡς πέρατος. καὶ οὐδὲ οὕτως ἀρχὴ καὶ πέρας, ὡς τὰ μέρη λέγεται πολλάκις τό, τε πρῶτον καὶ ἔσχατον. καὶ ὅτι μὲν οὐ τῇ δὶς λαμβανομένῃ στιγμῇ ἔοικε τὰ νῦν, ἔδειξε διὰ τοῦ τῇ γὰρ μέσῃ στιγμῇ ὡς δυσὶ χρήσεται. ὥστε ἠρεμεῖν συμβήσεται. εἰ οὖν μὴ ἠρεμεῖ ὁ χρόνος, οὐχ ὡς ἡ δὶς λαμβανομένη στιγμή ἐστιν ἐν αὐτῷ τὸ νῦν. ἀλλ᾽ ὡς ἀρχὴ καὶ τελευτή. ὅτι δὲ οὐχ οὕτως ἀρχὴ καὶ τελευτὴ ὡς τὰ μέρη, ἀλλ᾽ ὡς τὰ πέρατα, ἐφεξῆς πιστοῦται πάλιν, ἐκ τῆς πρὸς τὰ σύστοιχα αὐτοῦ ὁμοιότητος. ὥστε τὸ μὲν διά τε τὸ εἰρημένον καὶ τὸ ἑξῆς αἰτιολογικὸν ἀποδέδοσθαι, πρὸς τὸ οὐχ ὡς τῆς αὐτῆς στιγμῆς ὅτι ἀρχὴ καὶ τελευτή, ἀλλ᾽ ὡς τὰ ἔσχατα τῆς ἀρχῆς μᾶλλον. τὸ δὲ καὶ ἔτι φανερὸν ὅτι, οὐδὲν μόριον καὶ τὰ ἑξῆς, πρὸς τὸ καὶ οὐχ ὡς τὰ μέρη. καὶ εἰ μὲν οὕτως εἴη γεγραμμένον ὡς ἀλέξανδρός τε καὶ ἀσπάσιος γράφουσι, καὶ ἔτι φανερὸν ὅτι οὐδὲν μέρος ὁ χρόνος τῆς κινήσεως, ὥσπερ οὐδὲ ἡ στιγμὴ τῆς γραμμῆς, χρόνον φασὶ λέγειν τὸ νῦν. ὃ οὔτε τῆς κινήσεως οὔτε τοῦ χρόνου μόριον. πέρας γὰρ αὐτοῦ. τὸ δὲ πέρας οὐ μέρος. οὐδὲ γὰρ τὸ σημεῖον μέρος τῆς γραμμῆς. γραμμῆς γὰρ μέρος γραμμή. οὕτω μὲν ὁ ἀλέξανδρος. ὁ δὲ ἀσπάσιος, ὁ χρόνος φησὶν οὐκ ἔστι μόριον τῆς κινήσεως. διότι ἀριθμεῖ μὲν αὐτὴν κατὰ τὸ νῦν. τοῦτο δὲ πέρας ἐστὶ τῆς κινήσεως, μέρος δὲ οὔ. πῶς δὲ τὸ νῦν πέρας ἂν λέγοιτο κινήσεως. ὧν γὰρ ἄλλη ἡ ὑπόστασις, τούτων καὶ τὰ πέρατα ἄλλα. εἰ οὖν διαφέρει χρόνος κινήσεως, καὶ τὰ πέρατα αὐτῶν διοίσει. ἄμεινον οὖν οἶμαι ἡ ἐν πολλοῖς τῶν ἀντιγράφων φερομένη γραφή. ἣν πορφύριος καὶ θεμίστιος εἰδότες φαίνονται, ἔχουσαν οὕτως. καὶ ἔτι φανερὸν ὅτι οὐδὲν μόριον τὸ νῦν τοῦ χρόνου, οὐδὲ ἡ διαίρεσις τῆς κινήσεως, ὥσπερ οὐδὲ αἱ στιγμαὶ τῆς γραμμῆς. αἱ δὲ γραμμαὶ αἱ δύο τῆς μιᾶς μόρια. γραμμαὶ γὰρ γραμμῆς δηλονότι μόρια, ἀλλ᾽ οὐχὶ στιγμαί. διαίρεσιν δὲ καλεῖ τὸ πέρας τῆς κινήσεως, ὡς κατὰ τοῦτο διαιρουμένης αὐτῆς. ὅπερ ἐν τοῖς περὶ κινήσεως λόγοις κίνημα καλεῖ. εἰπόντος δὲ τοῦ ἀριστοτέλους ὥστε ὁ χρόνος ἀριθμὸς οὐχ ὡς τῆς αὐτῆς στιγμῆς, ὁ ἀλέξανδρος φησὶν ὅτι χρόνον τὸ νῦν εἴρηκεν. οὐκ οὕτως οὖν φησι τὸ νῦν ἀριθμὸς, ὡς ὁ τῆς στιγμῆς ἀριθμός. ὡς ὅταν τὴν μίαν ὡς δύο καὶ δὶς λαμβάνωμεν. μή ποτε δὲ οὐκ ἀνάγκη χρόνον τὸ νῦν ἐκδέχεσθαι. ἀλλὰ τὸ λεγόμενον, ὅτι ἀριθμός ἐστιν ὁ χρόνος, ὡς ἐκ μονάδων τῶν νῦν, οὐχὶ τοῦ αὐτοῦ δὶς λαμβανομένου, ἀλλὰ ἄλλου καὶ ἄλλου.

Ἡ ΜΕΝ οὖν πέρας τὸ νῦν, οὐ χρόνος, ἀλλὰ συμβέβηκεν. ᾗ δ᾽ ἀριθμεῖ, ἀριθμός. τὰ μὲν γὰρ πέρατα, ἐκείνου μόνον ἐστὶν οὗ ἐστι πέρατα. ὁ δ᾽ ἀριθμὸς ὁ τῶνδε τῶν ἵππων ἡ δεκάς. καὶ ἄλλοθι. ὅτι μὲν τοίνυν ὁ χρόνος ἀριθμὸς κινήσεως ἐστὶ κατὰ τὸ πρότερον καὶ ὕστερον, καὶ συνεχὴς, συνεχοῦς γὰρ, φανερόν.

Εἰπὼν ὅτι τὸ νῦν οὕτως ἐστὶ πέρας, ὡς τὰ ἔσχατα τῆς αὐτῆς γραμμῆς σημεῖα, ἐπειδὴ καθ᾽ αὑτὸ μέν ἐστι χρόνου πέρας τὸ νῦν, τῷ τὸν χρόνον ἄλλο εἶναι μηδὲν, ἢ τὸ ἀριθμούμενον τῆς κινήσεως κατὰ τὸ πρότερόν τε καὶ ὕστερον, ἅπερ ἦν τὰ νῦν, ἐφιστάνει ὅτι ὅταν ὡς ἀριθμοῦμενον τῆς κινήσεως λαμβάνηται τὸ νῦν, τότε τῆς κινήσεως γίνεται πέρας. καὶ συμβέβηκεν αὐτῷ τὸ πέρατι εἶναι. τότε δὲ καὶ κατὰ τὸ ὑποκείμενον τὸ νῦν λαμβάνεται. καὶ ἐν ἐκείνῳ μόνῳ ἐστὶν οὗ ἐστι πέρας. ὅταν δὲ ὡς χρόνου λαμβάνηται πέρας, οὔτε συμβεβηκός ἐστι, καθ᾽ αὑτὸ γὰρ ὑπάρχει τῷ χρόνῳ. καὶ ἐπειδὴ ἀριθμὸς τὸ νῦν πανταχοῦ, ὁ δὲ πανταχοῦ ὢν ἀριθμὸς ὁ ἀριθμῶν ἐστιν, ἡ γὰρ τοὺς δέκα ἵππους μετροῦσα δεκὰς, καὶ τοὺς δέκα ἀνθρώπους μετρεῖ, καὶ τὸ νῦν οὖν ἅμα πανταχοῦ ἐστι, καὶ οὐκ ἐν τῇ κινήσει μόνῃ, ἧς πέρας ἐστὶν οὐχ ὡς νῦν, ἀλλ᾽ ὡς κίνημα. ζητήσας δὲ ὁ ἀλέξανδρος πῶς εἶπεν ἀριθμεῖν τὸ νῦν, οὐ γὰρ ἦν ἀριθμὸς ὁ χρόνος ὡς ἀριθμῶν ἀλλ᾽ ὡς ἀριθμούμενος, ἤτοι φησὶν ἡ γραφὴ οὐκ ἔστιν ἀριθμεῖ, ἀλλ᾽ ἀριθμεῖται. ἢ ἀριθμεῖται μὲν τὰ νῦν ἐν τῇ κινήσει, ἀριθμεῖ δὲ τὸν χρόνον. κατὰ γὰρ τὰ νῦν ἡ διαίρεσις τοῦ χρόνου. καὶ τούτοις ἀριθμοῦμεν αὐτόν. ὥστε εἶναι τὸ νῦν ἀριθμούμενον μὲν ὡς ἐν κινήσει, ἀριθμοῦν δὲ ὡς πρὸς τὸν χρόνον. ὅτι γὰρ ὡς ἀριθμοῦντα ἀριθμὸν τὸ νῦν λαμβάνει, δηλοῖ λέγων, ὁ γὰρ ἀριθμὸς τῶνδε τῶν ἵππων ἡ δεκάς. καὶ ἄλλοθι, δύναται τὸν δὲ καὶ τὴν κίνησιν ὑπὸ τοῦ νῦν ἀριθμουμένην ἰδεῖν. εἰ γὰρ ὁ χρόνος ἀριθμὸς κινήσεως κατὰ τὸ πρότερον καὶ ὕστερον, τὸ δὲ πρότερον καὶ ὕστερον τὸ νῦν ἐστι, τῷ νῦν ἀριθμεῖται ἡ κίνησις. ἐπειδὴ δὲ ὁ χρόνος οὐκ ἔστι τὰ νῦν, ἀλλὰ τὸ μεταξὺ τῶν νῦν, ἅπερ ἐστὶν ἀριθμοῦντα, καὶ αὐτὸς ἀριθμούμενος γίνεται. δῆλον δὲ ὅτι καὶ πᾶς ὁ μεθεκτὸς κατὰ τοῦτο ἀριθμεῖν ἂν λέγοιτο. οἷ ἡ τῶν ἵππων δεκάς. κατὰ τοῦτον γὰρ ἀριθμοῦνται οἱ ἵπποι. ἀλλ᾽ ὁ τοιοῦτος οὐκ ἐλέγετο πανταχοῦ εἶναι. οὗτος γὰρ ἦν ὁ ἀριθμητός.

εἰ οὖν ἀριθμεῖν λέγοιτο τὸ νοῦ, ἐκεῖνο ἂν λέγοιτο τὸ ἀριθμητὸν μὲν τῆς πρώτης κινήσεως, ἀριθμούμενον δὲ τὰς ἄλλας. τοῦτο γὰρ δὴ ἁπανταχοῦ ἐστι. ταῦτα εἰπὼν, συμπεραίνεται τὰ εἰρημένα. καὶ ὅτι συνεχής ἐστιν ὁ χρόνος προστίθησι, διότι συνεχοῦς ἐστιν ἀριθμός. ἐν γὰρ τούτῳ ἔχει τὸ εἶναι ὁ χρόνος, ἐν τῷ ἀριθμὸς εἶναι κινήσεως. ἡ οὖν τοῦ χρόνου οὐσία παρεκτεινομένη τῇ συνεχείᾳ τῆς ἀριθμουμένης κινήσεως, συνεχὴς ἂν εἴη καὶ αὐτή. μὴ διαλιπούσης γὰρ, οὐδὲ αὐτὴ ἂν διαλιμπάνοι. τοῖς γὰρ πέρασι τῆς κινήσεως, οὐ καθὸ πέρατα κινήσεως, ἀλλὰ καθὸ πρότερον καὶ ὕστερον ὁριζόμενος ὁ χρόνος, καθὸ καὶ χρόνος ἐστὶ, συνεχὴς ἂν εἴη καὶ αὐτός.

ΕΛΑΧΙΣΤΟΣ δὲ ἀριθμός. ὁ μὲν ἁπλῶς ἐστιν ἡ δυάς. τὶς δὲ ἀριθμός ἐστιν, ἔστι μὲν ὡς. ἔστι δὲ ὡς οὐκ ἔστιν. οἷον, γραμμῆς ἐλάχιστος ἀριθμός. πλήθει μέν ἐστιν, αἱ δύο, ἢ ἡ μία. μεγέθει δ' οὐκ ἔστιν ἐλάχιστος. ἀεὶ γὰρ διαιρεῖται πᾶσα γραμμή. ὥστε ὁμοίως καὶ ὁ χρόνος. ἐλάχιστος γὰρ κατὰ μὲν ἀριθμόν ἐστιν, ὁ εἷς, ἢ οἱ δύο κατὰ μέγεθος δ' οὐκ ἔστιν.

ΕἸπὼν ὅτι καὶ ἀριθμός ἐστιν ὁ χρόνος καὶ συνεχὴς, βούλεται τὴν δοκοῦσαν ἐν τοῖς εἰρημένοις εἶναι μάχην παραμυθήσασθαι. ὁ μὲν γὰρ ἀριθμὸς διωρισμένον ἐστὶ ποσόν. τὸ δὲ συνεχὲς οὐ διωρισμένον. καὶ ὅπερ αὐτός φησιν, ἐν μὲν ἀριθμῷ ἔστι τι τὸ ἐλάχιστον, οἷον ἡ δυάς. πρῶτος γὰρ ἀριθμὸς αὕτη, καὶ ἀδιαίρετος εἰς ἀριθμούς. ἐν δὲ συνεχεῖ οὐκ ἔστι τὸ ἐλάχιστον. ἐπ' ἄπειρον γὰρ τὸ συνεχὲς εἰς συνεχῆ διαιρεῖται. εἰ οὖν ἀριθμὸς μέν ἐστιν ἐλάχιστος, χρόνος δὲ οὐκ ἔστιν ἐλάχιστος εἴπερ συνεχὴς, οὐκ ἂν εἴη ὁ χρόνος ἀριθμός. τοῦτο οὖν λύων, χρῆται τῷ πρότερον εἰρημένῳ, ὅτι ἀριθμὸς ὁ χρόνος, οὐχ ὡς τὸ ἀριθμοῦν, ἀλλ' ὡς τὸ ἀριθμούμενον. διχῶς δὲ λεγομένου τοῦ ἀριθμοῦ, ὁ μὲν ἁπλῶς καὶ κυρίως, οὗτος δέ ἐστιν ᾧ ἀριθμοῦμεν, διωρισμένος τέ ἐστι, καὶ ἐξ ἀδιαιρέτων σύγκειται τῶν μονάδων. καὶ διὰ τοῦτο ἔστιν ἐν αὐτῷ ὁ ἐλάχιστος. ὁ δὲ ὡς ἀριθμούμενος, οὐχ ἁπλῶς οὗτος οὐδὲ κυρίως λεγόμενος ἀριθμὸς, καὶ ἐν συνεχέσιν ὑφέστηκεν. ἀλλ' ὡς μὲν ἀριθμὸς καὶ οὗτος λαμβανόμενος, οἷον δύο γραμμαὶ ἢ δύο ἔτη, ἔχει τὸ ἐλάχιστον. ὡς δὲ μέγεθος, οὐκέτι. ἔχει γὰρ καὶ τὴν κατὰ τὸ μέγεθος ποσότητα ταῦτα, καὶ οὐ μόνον τὴν κατ' ἀριθμόν. ἐφιστάνει δὲ καλῶς ὁ Ἀλέξανδρος, ὅτι ἐλάχιστον ἀριθμὸν τὴν δυάδα εἰπὼν καὶ οὐχὶ τὴν μονάδα, διότι ἡ μονὰς οὔπω ἀριθμὸς, εἴπερ ἀριθμός ἐστι τὸ ἐκ μονάδων συγκείμενον πλῆθος, ἀσύνθετον δὲ ἡ μονὰς, γραμμὴν ὅμως μίαν καὶ χρόνον ἕνα ὡς ἐλάχιστα κατ' ἀριθμὸν δυνάμενα λέγεσθαι ἔλαβε. τοῦτο δὲ ἢ κοινότερον φησὶ, διότι μὴ περὶ τούτων ὁ λόγος προύκειτο νῦν. ἢ ὅτι ἐνταῦθα μὲν τοῦ ὡς ἀριθμοῦντος ἀριθμοῦ ἀσύνθετος ἐστι παντελῶς ἡ μονὰς, οὐδέ πω ἀριθμὸς οὖσα. ἐνταῦθα δὲ τοῦ ἀριθμουμένου καὶ τὸ ἓν ἤδη ἀριθμός. σύνθεσις γὰρ ἐν αὐτῷ τοῦ τε ὑποκειμένου καὶ τῆς μονάδος.

ΦΑΝΕΡΟΝ δὲ δὴ καὶ διότι ταχὺς μὲν καὶ βραδὺς οὐ λέγεται, πολὺς δὲ καὶ ὀλίγος. καὶ μακρὸς καὶ βραχύς. ᾗ μὲν γὰρ συνεχὴς, μακρὸς καὶ βραχύς. ᾗ δὲ ἀριθμὸς, πολὺς καὶ ὀλίγος. ταχὺς δὲ καὶ βραδὺς, οὐκ ἔστιν. οὐδὲ γὰρ ὁ ἀριθμὸς ᾧ ἀριθμοῦμεν, ταχὺς καὶ βραδὺς οὐδείς.

ΔΕίξας ὅπως ὁ χρόνος καὶ ἀριθμὸς ὢν ὡς ἀριθμητὸς, καὶ συνεχὴς ὡς μέγεθος, διότι μὲν τὸ ἀριθμὸς εἶναι τὸ ἐλάχιστον ἔχει, διότι δὲ τὸ συνεχὴς οὐκ ἔχει, ὡς ἀκόλουθον ἐπιφέρει τούτοις, ὅτι εὐλόγως ὁ χρόνος τὸ μὲν πολὺ καὶ ὀλίγον ὡς ἀριθμὸς ἔχει, τὸ δὲ μακρὸν καὶ βραχὺ ὡς μέγεθος. τούτων γὰρ ἴδια ταῦτα. ταχὺς δὲ καὶ βραδὺς οὐκέτι λέγεται, διότι μηδεὶς ἀριθμὸς ταχὺς καὶ βραδύς. οὔτε γὰρ ᾧ ἀριθμοῦμεν ὁ μοναδικὸς ταχὺς καὶ βραδὺς λέγεται, οὔτε ὁ ἀριθμητός. πόθεν γὰρ ἂν οὗτος ἔσχε τὸ ταχὺ καὶ βραδὺ τοῦ ἀριθμοῦντος μὴ ἔχοντος. ὡς γὰρ τὸ ἀριθμὸς εἶναι δι' ἐκεῖνον ἔχει, οὕτως εἰ καὶ ταχὺς ἦν ὁ ἀριθμῶν ἀριθμὸς καὶ βραδὺς, καὶ τὰ ἀριθμούμενα εἶχεν ἂν παρ' αὐτοῦ τὸ ταχὺ καὶ βραδύ. δῆλον δὲ ὅτι οὐδὲ τὸ μέγεθος καθὸ μέγεθος ἔχει τὸ ταχὺ καὶ βραδύ. κινήσεως γὰρ ἀλλ' οὐ μεγέθους ἴδια ταῦτα. ἔδειξε δὲ καὶ πρότερον ὅτι ὁ μὲν χρόνος οὐκ ἔχει τὸ ταχὺ καὶ βραδὺ, ἡ δὲ κίνησις ἔχει. ὁρίζεται μὲν γοῦν ταῦτα χρόνῳ. χρόνος δὲ χρόνῳ οὐχ ὁρίζεται.

ΚΑΙ Ὁ αὐτὸς δὲ, πανταχοῦ ἅμα. πρότερον δὲ καὶ ὕστερον, οὐχ ὁ αὐτός. ὅτι καὶ ἡ μεταβολὴ. ἡ μὲν παροῦσα, μία. ἡ δὲ γεγενημένη καὶ ἡ μέλλουσα, ἑτέρα. ὁ δὲ χρόνος ἀριθμός ἐστιν. οὐχ ᾧ ἀριθμοῦμεν, ἀλλ' ὁ ἀριθμούμενος. οὗτος δὲ καὶ συμβαίνει κατὰ πρότερον καὶ ὕστερον, ἀεὶ ἕτερος. τὰ γὰρ νῦν, ἕτερα. ἔστι δὲ ὁ ἀριθμὸς εἷς μὲν καὶ ὁ αὐτὸς, ὁ τῶν ἑκατὸν ἵππων. καὶ τῶν ἑκατὸν ἀνδρῶν. ὧν δ' ἀριθμὸς ἕτερα, οἱ ἵπποι τῶν ἀνθρώπων.

ἜΝι τῶν πρότερον εἰρημένων περὶ τοῦ χρόνου, τὸ τὸν ἐνεστῶτα καὶ κατὰ τὸ νῦν θεωρούμενον ἅμα πανταχοῦ εἶναι τὸν αὐτὸν, τὸν δὲ πρότερον καὶ ὕστερον οὐ τὸν αὐτὸν εἶναι. ὅτι οὖν καὶ τοῦτο ἀκολουθεῖ τῇ ἀποδοθείσῃ τοῦ χρόνου ἐννοίᾳ, ὥσπερ καὶ τὰ προσεχῶς εἰρημένα, δείκνυσιν ἐκ τοῦ καὶ τὴν κίνησιν, ἐν ᾗ τῷ χρόνῳ ταῦτα τὸ εἶναι ἔχει. ἡ μὲν γὰρ παροῦσα καὶ ἐνεστῶσα κίνησις ἡ αὐτή. οὐ γάρ ἐστι ταύτης πρὸς ἑαυτὴν διαφορά. ἀλλ' ἔστι κατὰ τὸ κοινὸν εἶδος τῆς τοῦ εἶναι παρατάσεως μία. ἡ μέντοι παρεληλυθυῖα καὶ ἡ μέλλουσα ἕτεραι ἀλλήλων. ὡς οὖν ἔχει ἡ μία κίνησις τὸ ταὐτὸν καὶ θάτερον, οὕτως ἔχει καὶ πᾶς ὁ χρόνος, ὁ ἅμα πάσας τὰς κινήσεις μετρῶν. οὐ γάρ ἐστιν ὁ χρόνος τῆσδε καὶ τῆσδε τῆς κινήσεως ἀριθμὸς, καθὸ τοιάδε, ἀλλὰ κινήσεως ᾗ κίνησις. διὸ εἷς ὁ χρόνος πολλῶν οὐσῶν κινήσεων. ὅτι

σεων. ὅτι οὐχ ᾗ πολλαὶ ταύτῃ αὐτῶν ἐστιν ἀριθμός, ἀλλ' ᾗ κινήσεις πᾶσαι. ἡ δὲ μεταβολὴ ἡ παροῦσα μία πᾶσα καθὸ μεταβολή. ὁ δὲ χρόνος οὐ τῷ εἴδει μόνον εἷς, ἀλλὰ καὶ τῷ ἀριθμῷ. ὅτι τῆς τῷ εἴδει μιᾶς κινήσεως ἐστὶ καὶ κατ' ἀριθμόν, ὅτι μηδὲν αὐτῆς προσποιεῖται τὰς διαφοράς. ὁ δὲ πρότερος χρόνος τοῦ ὑστέρου ἕτερος. ὅτι καὶ ἡ κίνησις κἂν ὡς μία τῷ ἀριθμῷ ληφθῇ, διὰ τὸ ἐν τῷ γίνεσθαι τὸ εἶναι ἔχειν, τῷ προτέρῳ καὶ ὑστέρῳ ἑτέρα. ἐφεξῆς δὲ δείκνυσι διότι ὁ πρότερος καὶ ὕστερος χρόνος οὐχ οἱ αὐτοί. ὁ μὲν γὰρ ἀριθμὸς ᾧ ἀριθμοῦμεν ὁ αὐτὸς ἀεί, ἄν τε πρότερον ἄν τε ὕστερον λαμβάνηται. οἷον ἡ τριάς. τὰ μέντοι μετρούμενα οὐκέτι τὰ αὐτὰ εἶναι ἀνάγκη. ἄλλοι γὰρ οἱ ἵπποι τῶν ἀνθρώπων, εἰ οὖν ὁ χρόνος ἀριθμὸς οὕτως, ὡς τὸ ἀριθμούμενον ἐν τῇ κινήσει οὐχ ὡς τὸ ἀριθμοῦν, τὸ δὲ ἀριθμούμενον τῆς κινήσεως οὐχ ὑπομένει τὸ αὐτό, ἀλλ' ἄλλο λαμβάνεται, εἰκότως καὶ χρόνος ἄλλος ὁ πρότερος τοῦ ὑστέρου, καὶ ὁ παρεληλυθὼς τοῦ μέλλοντος. καὶ γὰρ τὰ νῦν οἷς ἀριθμεῖται καὶ διορίζεται, ἕτερα. τὸ γὰρ ἀριθμούμενον τῆς κινήσεως κατὰ τὸ πρότερον καὶ ὕστερον, ἕτερα καὶ δηλονότι τῷ λόγῳ ἕτερα, τῷ δὲ ὑποκειμένῳ ὡς τῷ εἴδει τὰ αὐτά. οὕτω γὰρ δέδεικται πρότερον.

Ἔτι ὡς ἐνδέχεται κίνησιν εἶναι τὴν αὐτὴν καὶ μίαν πάλιν καὶ πάλιν, οὕτω καὶ χρόνον ἐνδέχεται. οἷον ἐνιαυτὸν, ἢ ἔαρ, ἢ μετόπωρον.

Εἰπὼν ὅτι ἡ μὲν παροῦσα καὶ ἐνεστῶσα κίνησις ἡ αὐτὴ πᾶσα κατὰ τὴν κοινότητα, καὶ διὰ τοῦτο καὶ ὁ χρόνος ὁ ἐνεστὼς ὁ αὐτὸς ἅμα πανταχοῦ, ἡ δὲ παρεληλυθυῖα καὶ ἡ μέλλουσα ἕτερα, καὶ οἱ χρόνοι ἕτεροι, νῦν δείκνυσιν ὅπως καὶ τὸ πρότερον καὶ ὕστερον καὶ ἐν κινήσει καὶ ἐν χρόνῳ τὸ αὐτῷ εἶναι δύναται, τῷ πάλιν καὶ πάλιν. καὶ εἰπὼν πρότερον τὸ νῦν τῷ ὑποκειμένῳ ταυτὸν εἶναι, τῷ δὲ λόγῳ διάφορον, νῦν οἶμαι διαρθροῖ πῶς τό γε τὸ αὐτὸ ἔλεγε. καὶ ὅτι οὕτως ὥσπερ ἡ κίνησις τῷ πάλιν καὶ πάλιν, τουτέστι τῷ τὴν αὐτὴν οὖσαν κατ' εἶδος πάλιν γίνεσθαι καὶ πάλιν. ἐπειδὴ γὰρ αἱ κινήσεις πάλιν καὶ πάλιν γίνονται, οἷον ἡλίου ἀπὸ τοῦ αὐτοῦ πάλιν καὶ πάλιν ἰόντος, καὶ ἀπὸ κριοῦ καὶ ἀπὸ ζυγοῦ πάλιν καὶ πάλιν, ὁ δὲ χρόνος ἀκολουθεῖ τῇ κινήσει, δηλονότι καὶ ἐνιαυτὸς πάλιν, καὶ ἔαρ πάλιν καὶ πάλιν γίνεται καὶ μετόπωρον. ἀλλὰ διατί ἄρα οὔτε πρότερον εἶπε τῷ εἴδει τὸ αὐτὸ εἶναι τὸ νῦν, ἀλλὰ τῷ ὑποκειμένῳ, οὔτε νῦν τὸν χρόνον τῷ εἴδει ταυτὸν, ἀλλὰ τῷ πάλιν καὶ πάλιν, ὥσπερ τὴν κίνησιν. καίτοι γε αὐτοῦ μάλιστά ἐστιν ἡ τοῦ ταυτοῦ τριχῇ γινομένη διαστολή, γένει καὶ εἴδει καὶ ἀριθμῷ. ἢ ὅτι οὐ μόνον τὰ γένει τὰ αὐτὰ πολλὴν ἔτι διαφορὰν ἀπολείπει, ἀλλὰ καὶ τὰ εἴδει τὰ αὐτὰ λεγόμενα, εἰ τῷ ἀριθμῷ διαφέρει ὡς πλάτων καὶ σωκράτης, πολλὴν ἔχουσι συμβεβηκότων διαφοράν. αἱ δέ γε κινήσεις αἱ πάλιν καὶ πάλιν ὡς αἱ αὐταὶ, καὶ τὰ νῦν, καὶ οἱ χρόνοι, σχεδόν τι καὶ τῷ ἀριθμῷ οἱ αὐτοί εἰσιν. οὕτω δὲ καὶ οἱ πυθαγόρειοι τὰ αὐτά πως καὶ τῷ ἀριθμῷ, τὰ πάλιν καὶ πάλιν ἔλεγον γίνεσθαι. οὐδὲν δὲ ἴσως χεῖρον καὶ τῆς εὐδήμου ῥήσεως ἐκ τοῦ τρίτου τῶν φυσικῶν τὰ ἐνταῦθα λεγόμενα παραφραζούσης ἀκούειν. ὁ δὲ αὐτὸς χρόνος πότερον γίνεται ὥσπερ ἔνιοί φασιν ἢ οὔ, ἀπορήσειεν ἄν τις. πλεοναχῶς δὴ λεγομένου τοῦ ταυτοῦ, τῷ μὲν εἴδει φαίνεται γίνεσθαι τὸ αὐτό. οἷον θέρος καὶ χειμὼν, καὶ αἱ λοιπαὶ ὧραί τε καὶ περίοδοι. ὁμοίως δὲ αἱ κινήσεις αἱ αὐταὶ γίνονται τῷ εἴδει. τροπὰς γὰρ καὶ ἰσημερίας καὶ τὰς λοιπὰς πορείας ὁ ἥλιος ἀποτελεῖ. εἰ δέ τις πιστεύσειε τοῖς πυθαγορείοις, ὡς πάλιν τὰ αὐτὰ ἀριθμῷ κἀγὼ μυθολογήσω, τὸ ῥαβδίον ἔχων, ὑμῖν καθημένοις, οὕτω καὶ τὰ ἄλλα πάντα ὁμοίως ἕξει, καὶ τὸν χρόνον εὔλογόν ἐστι τὸν αὐτὸν εἶναι. μιᾶς γὰρ δὴ καὶ τῆς αὐτῆς κινήσεως, ὁμοίως δὲ καὶ πολλῶν τῶν αὐτῶν, τὸ πρότερον καὶ ὕστερον ἓν καὶ ταυτόν. καὶ ὁ τούτων δὴ ἀριθμός. πάντα ἄρα τὰ αὐτά. ὥστε καὶ ὁ χρόνος. καὶ ὅρα ὅτι μίαν καὶ τὴν αὐτὴν λέγει κίνησιν τὴν πάλιν καὶ πάλιν, καὶ τὸ πρότερον καὶ ὕστερον ἓν καὶ τὸ αὐτό. ὅτι δὲ καὶ οὗτος ἄλλο καὶ ἄλλο τὸ ἀεὶ γινόμενον εἶναί φησι καὶ τῆς κινήσεως καὶ τοῦ χρόνου, ἄκουσον οἷα μετ' ὀλίγον τῶν ἤδη παρατεθέντων γέγραφεν. ὥσπερ δὲ τῆς κινήσεως τὸ ἄτομον ἐστὶ μόνον, τὸ δὲ παρεληλυθὸς ἔρρει, τὸ δὲ ἐσόμενον οὔπω ἐστὶν, οὕτω καὶ τοῦ χρόνου τὸ μὲν οἴχεται, τὸ δ' οὔπω ἐστί, τὸ δὲ παρὸν ἐστὶν ἄλλο καὶ ἄλλο γινόμενον ἀεί.

Οὐ μόνον δὲ τὴν κίνησιν τῷ χρόνῳ μετροῦμεν, ἀλλὰ καὶ τῇ κινήσει τὸν χρόνον διὰ τὸ ὁρίζεσθαι ὑπ' ἀλλήλων. ὁ μὲν γὰρ χρόνος ὁρίζει τὴν κίνησιν ἀριθμὸς ὢν αὐτῆς. ἡ δὲ κίνησις, τὸν χρόνον. καὶ λέγομεν πολὺν ἢ ὀλίγον χρόνον, τῇ κινήσει μετροῦντες καθάπερ καὶ τῷ ἀριθμητῷ τὸν ἀριθμόν. οἷον, τῷ ἑνὶ ἵππῳ, τὸν τῶν ἵππων ἀριθμόν, τῷ μὲν γὰρ ἀριθμῷ, τὸ τῶν ἵππων πλῆθος γνωρίζομεν. πάλιν δὲ τῷ ἑνὶ ἵππῳ, τὸν τῶν ἵππων ἀριθμὸν αὐτόν. ὁμοίως δὲ καὶ ἐπὶ τοῦ χρόνου καὶ τῆς κινήσεως. τῷ μὲν γὰρ χρόνῳ τὴν κίνησιν, τῇ δὲ κινήσει, τὸν χρόνον μετροῦμεν. καὶ τοῦτ' εὐλόγως συμβέβηκεν. ἀκολουθεῖ γὰρ τῷ μεγέθει ἡ κίνησις. τῇ δὲ κινήσει ὁ χρόνος, τῷ, καὶ ποσὰ καὶ συνεχῆ καὶ διαιρετὰ εἶναι. διὰ μὲν γὰρ τὸ μέγεθος εἶναι τοιοῦτον, ἡ κίνησις ταῦτα πέπονθε. διὰ δὲ τὴν κίνησιν, ὁ χρόνος. καὶ μετροῦμεν καὶ τὸ μέγεθος τῇ κινήσει. καὶ τὴν κίνησιν, τῷ μεγέθει. πολλὴν γὰρ φαμὲν εἶναι τὴν ὁδὸν, ἂν ἡ πορεία πολλή. καὶ ταύτην πολλὴν, ἂν ἡ ὁδὸς πολλή. καὶ τὸν χρόνον, ἂν ἡ κίνησις, καὶ τὴν κίνησιν, ἂν ὁ χρόνος.

Ε Ἐπειδὴ ἀριθμὸς καὶ μέτρον κινήσεως ὁ χρόνος λέγεται, ὡς κατὰ τοῦτον μετρουμένης τῆς κινήσεως, ἐλέγετο δὲ καὶ θάττων καὶ βραδυτέρα ἡ κίνησις, ἡ ἐλάττονι καὶ πλείονι χρόνῳ μετρουμένη, προστίθησι νῦν ὅτι οὐ μόνος ὁ χρόνος μετρεῖ τὴν κίνησιν, ἀλλὰ καὶ ἡ κίνησις τὸν χρόνον. μετρεῖται δὲ ἑκάτερον ὑπὸ θατέρου, τῷ ὁρίζεσθαι ὑπ' ἀλλήλων, τήν τε κίνησιν ὑπὸ τοῦ χρόνου, καὶ τὸν χρόνον ὑπὸ τῆς κινήσεως. ἐν ᾧ γὰρ χρόνῳ πολλὴ ἡ κίνησις, πολὺς οὗτος λέγεται. προηγουμένως δὲ ὁ χρόνος τὴν κίνησιν μετρεῖ, ἀριθμὸς ὢν αὐτῆς, καὶ κατὰ τὸ πρότερον καὶ ὕστερον ὁρίζων αὐτήν. κατὰ συμβεβηκὸς δέ πως καὶ ἀντιμετρεῖται ὑπ' αὐτῆς. καὶ ἐπὶ τῶν ἄλλων δὲ μέτρων ἁπάντων ὁρῶμεν τοῦτο γινόμενον. ἀντιμετρεῖται γὰρ ὑπὸ τῶν μετρουμένων τὰ μέτρα. τῷ γὰρ τῶν πυρῶν μεδίμνῳ κρίνομεν τὸν ξύλινον μέδιμνον, εἰ μὴ μείζων ἢ ἐλάττων ἐστί. καὶ τῇ κοτύλῃ τοῦ οἴνου τὴν χαλκῆν ἀντιμετροῦμεν κοτύλην. εἰπὼν δὲ ἐπὶ χρόνου καὶ κινήσεως καὶ τῶν συνεχῶν ἄλλων μέτρων, ὅτι καὶ ἀντιμετρεῖται αὐτὰ ὑπὸ τῶν μετρουμένων, λέγει ὅτι τὸ αὐτὸ καὶ ἐπὶ τῶν ἀριθμῶν ἐστιν ἰδεῖν. καὶ γὰρ ὁ ἀριθμὸς τρόπον τινὰ ἀριθμεῖται ὑπὸ τῶν ἀριθμουμένων ὑπ' αὐτοῦ. ὥσπερ γὰρ δέκα ἵππους φαμὲν, ὅτι δέκα μονάσιν αὐτοὺς ἠριθμήσαμεν, οὕτω καὶ τὰς μονάδας δέκα λέγομεν, ὅτι δέκα ἵπποις ἰσώθησαν. μήποτε γὰρ οὐδὲ εἰς ἔννοιαν ἤλθομεν τῶν δέκα, μὴ ἕνα ἵππον εἶναι καὶ τὸν ἕνα ἄνθρωπον τοσαυτάκις λαβόντες. εἰπὼν δὲ ταῦτα, καὶ τὴν αἰτίαν ἐπάγει τῆς ἀντιμετρήσεως. ἀκολουθεῖ γάρ φησιν ὥσπερ ἐλέχθη τῷ μὲν μεγέθει ἡ κίνησις, τῇ κινήσει δὲ ὁ χρόνος. ἐπεὶ οὖν ὡς ἔχει ἡ κίνησις πρὸς τὸ μέγεθος, οὕτως ὁ χρόνος πρὸς τὴν κίνησιν, ἡ δὲ κίνησις μετρεῖ τε ἅμα τὸ μέγεθος, καὶ ἀντιμετρεῖται ὑπ' αὐτοῦ, πολλὴν γὰρ φαμὲν εἶναι τὴν ὁδὸν, ἐὰν ἡ πορεία πολλὴ ᾖ, καὶ πολλὴν τὴν πορείαν ἐὰν ἡ ὁδὸς πολλή, παρισούμενα γὰρ ἀλλήλοις ἀντιμετρεῖ ἄλληλα, καὶ ὁ χρόνος συνεχὴς ὢν καὶ διαιρετὸς διὰ τὴν κίνησιν, τί θαυμαστὸν, εἰ καὶ μετρεῖται ὑπ' αὐτῆς. ὥσπερ καὶ ἡ κίνησις διὰ τὸ μέγεθος ταῦτα ἔχουσα, μετρεῖται ὑπ' αὐτοῦ. διάφορος δὲ φέρεται ἡ γραφὴ ἐπὶ τῷ τέλει ταύτης τῆς ῥήσεως. κἂν μὲν οὕτως ἔχῃ, καὶ τὸν χρόνον ἂν ἡ κίνησις, καὶ τὴν κίνησιν ἂν ὁ χρόνος, ὥσπερ ἐν τοῖς πλείοσι φέρεται, σαφές ἐστι τὸ λεγόμενον. εἰ δὲ καὶ τὸν χρόνον ἂν ἡ κίνησις, καὶ τὴν κίνησιν ὁ χρόνος, φέρεται γὰρ καὶ αὕτη ἡ γραφή, καὶ ἀποσκευάζεται αὐτὴν ὁ Ἀλέξανδρος, δι' ἀμφοτέρων τὸ αὐτὸ λέγων σημαίνεσθαι, ὅτι ὁ χρόνος ὑπὸ τῆς κινήσεως μετρεῖται. καίτοι πῶς τό. καὶ ὁ χρόνος τὴν κίνησιν, σημαίνοι ἂν, ὅτι καὶ ὁ χρόνος ὑπὸ τῆς κινήσεως μετρεῖται. ἀλλὰ τὸ καὶ τὸν χρόνον ἂν ἡ κίνησις εἰπὼν, εἰς πίστιν τοῦ ὅτι ἡ κίνησις τὸν χρόνον μετρεῖ, κατὰ ταύτην τὴν ἔννοιαν ἐπήγαγεν γοργῶς, καὶ ὁ χρόνος τὴν κίνησιν. ἐπιστῆσαι δὲ ἄξιον ὅτι καὶ νῦν ὑπὸ μὲν τοῦ μεγέθους τὴν κίνησιν μετρεῖσθαί φησιν, ὑπὸ δὲ τῆς κινήσεως τὸν χρόνον. καίτοι τὸ πρότερον καὶ ὕστερον τὸ ἀπὸ τῆς ἐν τῷ μεγέθει θέσεως ἐνδιδόμενον τῇ κινήσει, ἄλλο ἐστὶ παρ' ἐκεῖνο τὸ κατὰ τὴν τοῦ εἶναι παράτασιν, καθ' ὃ θεωρεῖται ὁ χρόνος. διὸ καὶ τὴν ἀναλογίαν δεῖ σκοπεῖν τὴν λέγουσαν, ὡς ἔχει τὸ μέγεθος ἔχει ἡ κίνησις, καὶ ὡς ἡ κίνησις ὁ χρόνος, πῶς ἂν ἔχοι τὸ ἀληθές. κἂν γὰρ πολλῆς οὔσης τῆς ὁδοῦ, καὶ τῆς κινήσεως πολλῆς, οὐδὲν κωλύει τὸν χρόνον ὀλίγον εἶναι, ἐὰν ταχὺ τὸ κινούμενον ᾖ. ἢ δυνατὸν μὲν καὶ ὅσον ἐφ' ἑαυτοῖς ταῦτα σκοπεῖν, ὅτι ὅσον ἐπὶ τῇ κινήσει πολὺς ἂν εἴη ὁ χρόνος ὁ τῆς πολλῆς κινήσεως. δυνατὸν δὲ καὶ κατὰ ἀναλογίαν τοῦ τάχους τὸ πολὺ καὶ τὸ ὀλίγον τοῦ χρόνου λαμβάνειν. τῷ γὰρ ταχυτάτῳ πολὺς ἂν εἴη ὁ χρόνος ὁ τῆς μιᾶς ἡμέρας, ὡς ἐξ Ἤλιδος εἰς Ἐπίδαυρον πολλὴν ὁδὸν διατρέχειν.

Ε Ἐπεὶ δ' ὁ χρόνος μέτρον κινήσεώς ἐστι, καὶ τοῦ κινεῖσθαι, μετρεῖ δ' οὗτος τὴν κίνησιν, τῷ ὁρίσαι τινὰ κίνησιν ἢ καταμετρήσει τὴν ὅλην, ὥσπερ καὶ τὸ μῆκος, ὁ πῆχυς τῷ ὁρίσαι τι μέγεθος, ὃ ἀναμετρήσει τὸ ὅλον, καὶ ἔστι τῇ κινήσει τὸ ἐν χρόνῳ εἶναι, τὸ μετρεῖσθαι τῷ χρόνῳ καὶ αὐτήν, καὶ τὸ εἶναι αὐτῆς. ἅμα γὰρ τὴν κίνησιν καὶ τὸ εἶναι τῇ κινήσει, μετρεῖ. καὶ τοῦτ' ἔστιν αὐτῇ τὸ ἐν χρόνῳ εἶναι, τὸ μετρεῖσθαι αὐτῆς τὸ εἶναι. δῆλον δ' ὅτι καὶ τοῖς ἄλλοις τοῦτ' ἔστι τὸ ἐν χρόνῳ εἶναι, τὸ μετρεῖσθαι αὐτῶν τὸ εἶναι, ὑπὸ τοῦ χρόνου.

Δ Δείξας τί ἐστιν ὁ χρόνος, καὶ τὰ ὑπάρχειν αὐτῷ λεγόμενα συμφωνοῦντα δείξας τῷ ὁρισμῷ, καὶ ὅτι κυρίως ἐν χρόνῳ λέγομεν τὰ περιεχόμενα ὑπὸ τοῦ χρόνου, νῦν οἶμαι τὰ συνεκτικώτατα τὰ περὶ χρόνου λέγων, δηλοῖ κατὰ τί ἕκαστον ἐν χρόνῳ εἶναι λέγεται. μακροαπόδοτος δὲ γινόμενος ὁ λόγος, ἀσάφειαν ἔχει τινά. ἡ δὲ ἀπόδοσις τοῦ, ἐπεὶ δέ ἐστιν ὁ χρόνος μέτρον κινήσεως καὶ τοῦ κινεῖσθαι, τοῦτο ἐστὶ τὸ ἐν χρόνῳ εἶναι, καὶ τῇ κινήσει καὶ τοῖς ἄλλοις τὸ μετρεῖσθαι αὐτῶν τὸ εἶναι ὑπὸ τοῦ χρόνου. ὁ δὲ καὶ σύνδεσμος ἐν τῷ. καὶ τοῦτό ἐστιν, οὐκ ἔστιν οἶμαι περιττὸς, ὡς Ἀλέξανδρος ἐνόμισε, πρὸς τὰ προσεχῶς εἰρημένα συμπλέκων. ἴσως δὲ ὡς καὶ Ἀλέξανδρος ἐγκρίνει, ἡ ἀπόδοσις ἀπὸ τοῦ, δῆλον ὅτι καὶ τοῖς ἄλλοις τοῦτό ἐστι, τοῦ τοῖς ἄλλοις μετὰ τῆς κινήσεως ἀντὶ τοῦ πᾶσιν εἰλημμένου. διὰ γὰρ μέσης τῆς κινήσεως κατασκευάζει, ὅτι πᾶσι τοῦτό ἐστι τὸ ἐν χρόνῳ εἶναι, τὸ μετρεῖσθαι αὐτῶν τὸ εἶναι ὑπὸ τοῦ χρόνου. καὶ τοῦτο εἰκότως. τὸ γὰρ εἶναι ἑκάστου, ἡ ἐνέργεια καὶ ἡ κίνησις τοῦ ὄντος αὐτοῦ ἐστιν. ὡς οὖν ἔλεγεν, ἐπειδή ἐστιν ὁ χρόνος μέτρον κινήσεως καὶ τῇ κινήσει καὶ τοῖς ἄλλοις κατὰ τὴν κίνησιν αὐτῶν, τοῦτό ἐστι τὸ ἐν χρόνῳ εἶναι, τὸ μετρεῖσθαι αὐτῶν τὸ εἶναι ὑπὸ τοῦ χρόνου. δείκνυσι δὲ ὅπως

ἡ κίνησις ἐν χρόνῳ οὕτως. ὁ χρόνος μετρεῖ τὴν κίνησιν. τὸ δὲ μετρεῖν τὴν κίνησιν τὴν μὴ ἅμα οὖσαν, ἀλλ' ἐν
τῷ γίνεσθαι τὸ εἶναι ἔχουσαν, κυρίως ταυτόν ἐστι τῷ μετρεῖν τὸ εἶναι αὐτῆς. τουτέστιν ἐφ' ὅσον ἐστὶν ἡ
κίνησις. μετρεῖ μὲν γὰρ ἡ κίνησις καὶ κατὰ τὸ διάστημα τὸ ἐφ' οὗ ἡ κίνησις. ὅταν λέγωμεν σταδίου τὴν
κίνησιν εἶναι. ἀλλὰ τοῦτο κατὰ συμβεβηκὸς ἔχει τὸ μέτρον, καὶ οὐχ ἡ κίνησις. ὡς γὰρ ὑπομένοντος τοῦ
προτέρου οὕτως ἔχει τὸ τοιοῦτο μέτρον. ὡς δὲ κίνησις καὶ ὡς ἐν τῷ γίνεσθαι τὸ εἶναι ἔχουσα, μέτρον
ἔχει τὸν ἐφ' ὅσον γίνεται χρόνον. τοῦτο γὰρ αὐτῆς τοῦ εἶναι μέτρον, ἐν τῷ γίνεσθαι τὸ εἶναι ἐχούσης. καὶ
ἰδοὺ νῦν ὡς οἶμαι ὁ ἀριστοτέλης σαφῶς παραδέδωκε, πῶς μέτρον κινήσεως ὁ χρόνος. ὅτι ὡς κατὰ
τὴν τοῦ εἶναι παράτασιν αὐτῆς, καθ' ἣν μάλιστα καὶ ὑφέστηκεν. ἐπὶ γὰρ τῆς κινήσεως ὡς φησὶν ἀλέ-
ξανδρος, ταυτὸν τὸ εἶναι, καὶ τὸ κινήσει εἶναι. ὥσπερ καὶ περὶ τῶν ἄλλων τῶν ἐν τῷ γίνεσθαι τὸ εἶναι ἐ-
χόντων. καὶ διὰ τοῦτο ταυτόν ἐστι τὸ μετρεῖν τὴν κίνησιν, καὶ τὸ εἶναι τῆς κινήσεως. δῆλον δὲ ὅτι ἄλλο
ἐστὶ τοῦτο τὸ εἶναι, παρ' ἐκεῖνο τὸ συνήθως ὑπὸ τοῦ περιπάτου λεγόμενον, καὶ τὸ εἶδος σημαῖνον. τοῦτο
γὰρ τὴν παράτασιν τῆς ὑπάρξεως, καὶ οἷον τὴν ἐνέργειαν τοῦ ὄντος δηλοῖ. ἐπεὶ οὖν ἡ τῆς κινήσεως
οὐσία ἐνέργεια ἐστὶ παρατεταμένη, ἐντελέχεια γὰρ ἦν τοῦ κινητοῦ, εἰκότως ταυτόν ἐστι κίνησις καὶ
τὸ εἶναι τῆς κινήσεως. διὸ καὶ αὐτὸς μέτρον κινήσεως εἰπὼν τὸν χρόνον, ἐπήγαγε καὶ τοῦ κινεῖσθαι,
οὐχ ὡς ἄλλο τοῦτο προστιθεὶς, ἀλλ' ὅτι ἐνέργεια ἐστὶν ἡ κίνησις ἐνδεικνύμενος, καὶ ὡς ἐνεργείας μέτρον
ἐστὶν ὁ χρόνος. ὅτι δὲ μετρεῖται ὑπὸ χρόνου ἡ κίνησις καὶ τοῦ εἶναι αὐτῆς, δείκνυσιν ἐκ τοῦ πᾶσαν τὴν
ληφθεῖσαν ὁρίζεσθαι χρόνῳ. ἡ γὰρ μέλλουσα οὔπω ἐστί. διὸ οὐδὲ ὥρισται. ὥσπερ γὰρ ὁ λέγων ὅτι τὸ
εἶναι τοῦ ἀνθρώπου ὁ χρόνος μετρεῖ, τοῦτο λέγει, ὅτι τοσαῦτα ἔτη ὅσα ὁ ἄνθρωπος ζῇ, ὁ χρόνος ὁρί-
ζει καὶ μετρεῖ, οὕτω καὶ ἐπὶ τῆς κινήσεως. ὁ λέγων τὸ εἶναι τῆς κινήσεως ὑπὸ τοῦ χρόνου μετρεῖσθαι,
οὐδὲν ἄλλο λέγει, ἢ ὅτι ἐφ' ὅσον ἡ κίνησις ἐστὶν ὁ χρόνος μετρεῖ. καὶ ἐπὶ μὲν τῶν ἄλλων ἃ μὴ ἐν τῷ γίνε-
σθαι τὸ εἶναι ἔχει, ἀλλ' ἔστιν ὅλα ἐν ὑποστάσει, ὡς ἐπὶ ἀνθρώπου, τὸ μὲν εἶναι τοῦ ἀνθρώπου, τουτέστι
τὸ διάστημα τῆς ὑπάρξεως αὐτοῦ, ὁ χρόνος καταμετρεῖ. αὐτὸν δὲ τὸν ἄνθρωπον τουτέστι τὸ διάστημα τὸ
τοῦ ἀνθρώπου, ἢ πῆχυς ἤ τι τοιοῦτο μετρεῖ. ἐπὶ δὲ τῆς κινήσεως, καὶ τὸ εἶναι τῆς κινήσεως καὶ αὐτὴν
τὴν κίνησιν ὁ χρόνος καταμετρεῖ. ἐπὶ γὰρ τῆς κινήσεως συντρέχει τό, τε εἶναι τῆς κινήσεως, ὃ χρόνῳ
μετρητόν ἐστι, καὶ ἡ κίνησις αὐτή. εἰ δὲ ταῦτα ἀληθῆ, τί ἂν εἴη τῆς κινήσεως τὸ ὑπὸ τοῦ μεγέθους με-
τρούμενον. εἴπερ μὴ μόνον τὸ μέγεθος τῇ κινήσει μετροῦμεν, ἀλλὰ καὶ τὴν κίνησιν τῷ μεγέθει ὡς εἴρηται.
ἢ δηλονότι ἡ διάστασις αὐτῆς ἡ αὐτὴ οὖσα τῷ ὑποκειμένῳ τῇ τοῦ εἶναι παρατάσει, ἐνέργεια γάρ ἐστι
καὶ οὐχ ὑπομένει, μετρεῖται, ὡς μὲν διάστασις ὑπομένουσα διὰ τὴν πρὸς τὸ μέγεθος ἀναφορὰν, ὑπὸ
τοῦ μεγέθους. σταδιαίαν γὰρ τὴν κίνησιν λέγομεν. ὡς δὲ τοῦ εἶναι παράτασις ὑπὸ χρόνου. ἐπεὶ δὲ
ταυτόν ἐστι τῷ ὑποκειμένῳ ταῦτα, εἰκότως εἴρηται ταυτὸν εἶναι κίνησις καὶ τὸ κινήσει εἶναι. εἰπὼν
δὲ μέτρον εἶναι τὸν χρόνον τῆς κινήσεως, πῶς αὐτὴν καταμετρεῖ προστίθησι. τὸ γὰρ μετρούμενον πᾶν
ὑπὸ μέρους ἰδίου καταμετρεῖσθαι δοκεῖ. ἐπειδὴ καὶ μέρος τοῦτο ἐστὶν ὃ καταμετρεῖ τὸ ὅλον. ὅπερ
ἐκ τοσούτων ἐστὶ μέτρων, ὁσάκις μετρεῖται. καὶ ἡ κίνησις οὖν εἰ ὑπὸ κινήσεως καταμετρεῖται. τὸ γὰρ
μέρος τῆς κινήσεως κίνησις ἐστί. καὶ πᾶν συνεχὲς ἔστιν εἰς ἴσα πεπερασμένα διελεῖν. πῶς οὖν ὑπὸ
τοῦ χρόνου λέγεται ἡ κίνησις μετρεῖσθαι. ὁρίζει φησὶ μέρος τῆς κινήσεως ὁ χρόνος, ὃ καταμετρεῖ τὴν
ὅλην κίνησιν. ὁρίζει δὲ τοῦτο τὸ πρότερον καὶ ὕστερον νῦν. καὶ παραπλησίως ὁ χρόνος τὴν κίνησιν
μετρεῖ, ὡς καὶ ὁ πῆχυς τὸ μέγεθος, οὐκ ὢν μέρος αὐτοῦ, ἀλλὰ τῷ ὁρίσαι τι μέρος αὐτοῦ. ὑφ' οὗ μέρους
τοσαυτάκις ληφθέντος καταμετρεῖται τὸ ὅλον. ἐπεὶ οὖν καὶ ἡ ὁρισθεῖσα κίνησις ὑπὸ τοῦ χρόνου,
οἷον ἡ ὡριαία μετρεῖ τὴν ὅλην κίνησιν, διὰ τοῦτο λέγεται ὑπὸ τοῦ χρόνου μετρεῖσθαι ἡ κίνησις. δείξας
οὖν ὅτι τῇ κινήσει τοῦτο ἐστὶ, τὸ ἐν χρόνῳ εἶναι αὐτὴν, ταυτὸν δὲ εἰπεῖν τὸ εἶναι αὐτῆς ὑπὸ χρόνου
μετρεῖσθαι, ἀπὸ ταύτης καὶ ἐπὶ τὰ ἄλλα μεταβαίνει τὰ ἐν χρόνῳ λεγόμενα. ὡσανεὶ ἔλεγεν, εἰ τῇ
κινήσει τὸ ἐν χρόνῳ τοῦτο ἐστὶ, τὸ μετρεῖσθαι αὐτῆς τὸ εἶναι ὑπὸ τοῦ χρόνου, καὶ τοῖς ἄλλοις τοῦτο ἔσται
τὸ ἐν χρόνῳ εἶναι, τὸ μετρεῖσθαι αὐτῶν τὸ εἶναι ὑπὸ τοῦ χρόνου. διότι τὸ εἶναι αὐτῶν ἡ ἐνέργεια καὶ
ἡ κίνησις τοῦ ὄντος αὐτῶν ἐστίν. ἀλλὰ μὴν τὸ πρῶτον. τὸ ἄρα δεύτερον. οὐκέτι δὲ καὶ ἐπὶ τῶν ἄλλων
εἶπε, τὸ καὶ αὐτὰ καὶ τὸ εἶναι αὐτῶν μετρεῖσθαι ὑπὸ τοῦ χρόνου. διότι ἐπὶ μὲν τῆς κινήσεως, ταυτὸν
ἡ κίνησις ἦν, καὶ τὸ εἶναι τῆς κινήσεως. ἐπὶ δὲ τῶν ἄλλων τῶν ἐν χρόνῳ λεγομένων οὐχ ὁμοίως. ἀλλὰ
τὸ μὲν κατὰ τὸ εἶναι αὐτῶν διάστημα ἐν τῷ γίνεσθαι τὸ εἶναι ἔχει, αὐτὰ δὲ οὐχ οὕτως. ἔστιν οὖν ἐν χρό-
νῳ, ὅτι καὶ τούτων τὸ εἶναι ὑπὸ χρόνου μετρεῖται. ἐκ δὴ τούτων ἀπορεῖν οἶμαι συμβαίνει, πρῶτον
μὲν εἰ κινήσεως ἀριθμὸς καὶ μέτρον ὁ χρόνος, πῶς ἄλλό τι παρὰ τὴν κίνησιν ὑπὸ χρόνου μετρεῖται καὶ
ἐν χρόνῳ ἐστίν. ὥς τε εἰπεῖν ὅτι καὶ τοῖς ἄλλοις τοῦτο ἐστὶ τὸ ἐν χρόνῳ εἶναι. τὰ γὰρ ἄλλα τῆς κινήσεως.
οὐ κινήσει δὲ ἡ κίνησις, οὐδὲ ὑπὸ χρόνου μετρεῖται. εἴπερ κινήσεως μέτρον ἐστὶν ὁ χρόνος. δεύτερον δὲ ὁ
ἄνθρωπος ὅδε, καὶ ἵππος ὅδε, καὶ τῶν ἄλλων ἕκαστον, ὅσα μὴ ἐν τῷ γίνεσθαι τὸ εἶναι ἔχει, ὡς δυνατὸν
ἐπὶ τῶν ἐν γενέσει τοῦτο λέγειν, πῶς ἂν εἴη ἐν χρόνῳ, εἴπερ ὁ χρόνος ἐν τῷ γίνεσθαι τὸ εἶναι ἔχει, καὶ
συμπαρατίθεσθαι ἀνάγκη τῷ χρόνῳ τὸ ἐν χρόνῳ λεγόμενον. καὶ πρὸς μὲν τὴν πρώτην ἀπορίαν ἐκ-

τέον ἴσως, ὅτι ἐπειδὴ τῆς κατὰ τόπον μάλιστα κινήσεως ποιούμενος τὸν λόγον, ὡς δηλοῖ τὸ λέγειν
ὑπὸ τοῦ μεγέθους μετρεῖσθαι τὴν κίνησιν, καὶ ταύτην πολλὴν εἶναι ἂν ἡ ὁδὸς ἡ πολλή, τὰ ἄλλα τὰ
λοιπὰ λέγει τῆς κινήσεως καὶ μεταβολῆς εἴδη, αὔξησιν, ἀλλοίωσιν, γένεσιν. ἄμεινον δὲ ἴσως λέγειν,
ὅτι ἡ μὲν κίνησις ἐνέργεια ἐστί, καὶ ἐν τῷ γίνεσθαι τὸ εἶναι ἔχει, καὶ ταυτόν ἐστι κίνησις. καὶ τὸ εἶναι
τῆς κινήσεως προηγουμένως ἐν χρόνῳ ἐστί, καὶ ὑπὸ τοῦ χρόνου μετρεῖται. τὰ δὲ ἄλλα ὅσα λέγεται
ἐν χρόνῳ, οἷον ἄνθρωπος, ἢ ἵππος, καὶ αὐτὰ κατὰ τὴν οὐσιώδη κίνησιν ἑαυτῶν, ὃ σημαίνει τὸ εἶναι
ἐνέργεια τῆς οὐσίας, καὶ τοῦ ὄντος ὄν, καὶ ἐνέργεια οὐ τελεία, οὐδὲ ἑστῶσα, ἀλλ' ἐν τῷ γίνεσθαι
τὸ εἶναι ἔχουσα, κατὰ τοῦτο ἐν χρόνῳ ἐστὶν ἐκ γενέσεως καὶ φθορᾶς συγκείμενον. τὰ οὖν ἄλλα παρὰ
τὴν κίνησιν, τὰς ἐν χρόνῳ οὐσίας λαβών, καὶ ταύτας κατὰ τὴν ἑαυτῶν κίνησιν, ἥτις ἐστὶν ἡ τοῦ εἶναι
παράτασις, ἐν χρόνῳ εἶναί φησιν. ὡς τά γε τὰ κυρίως ὄντα καὶ μὴ ἐν τῷ γίνεσθαι τὸ εἶναι ἔχοντα,
ἅπερ ἀΐδια καλοῦσι καὶ πλάτων καὶ ἀριστοτέλης, οὐκ ἔστιν ἐν χρόνῳ, ἀλλ' ἐν αἰῶνι τῷ ἐν ἑνὶ μένοντι.
καὶ εἰ ταῦτα ἀληθῆ, λέλυται καὶ τὸ δεύτερον ἄπορον. αἱ γὰρ γενηταὶ οὐσίαι, ἔγχρονοι λέγονται,
κατὰ τὴν τοῦ οἰκείου εἶναι ῥοὴν καὶ παράτασιν. ἐπειδὴ τοσοῦτον γὰρ εἶναι λέγονται καὶ αὗται, ἐφ' ὅ-
σον χρόνον τὸ εἶναι αὐτῶν παρατείνεται. καὶ οὕτως ὁ χρόνος μέτρον τῆς κατὰ τὸ εἶναι ῥοῆς καὶ παρα-
τάσεως ἐστί. καὶ ταῦτα ἐστὶν ὡς ἐμοὶ δοκεῖ, τὰ νοερῶς καὶ ἐπιστημόνως παραδοθέντα τοῦ ἀριστοτέλους
φιλοσοφήματα περὶ τοῦ χρόνου.

ΤΟ ΓΑΡ ἐν χρόνῳ εἶναι, δυοῖν ἐστὶ θάτερον. ἓν μὲν τὸ εἶναι τότε, ὅτε ὁ χρόνος ἐστίν. ἓν δὲ, τὸ, ὥσπερ
ἔνια λέγομεν, ὅτι ἐν ἀριθμῷ ἐστί. τοῦτο δὲ σημαίνει. ἤτοι ὡς μέρος ἀριθμοῦ, καὶ πάθος, καὶ ὅλως ὅτι
τοῦ ἀριθμοῦ τι, ἢ ὅτι ἐστὶν αὐτοῦ ἀριθμός. ἐπεὶ δ' ἀριθμὸς ὁ χρόνος, τὸ μὲν νῦν καὶ τὸ πρότερον καὶ
ὅσα τοιαῦτα, οὕτως ἐν χρόνῳ, ὡς ἐν ἀριθμῷ μονάς. καὶ τὸ περιττὸν καὶ τὸ ἄρτιον. τὰ μὲν γὰρ τοῦ ἀ-
ριθμοῦ τι, τὰ δὲ τοῦ χρόνου τί ἐστι. τὰ δὲ πράγματα ὡς ἐν ἀριθμῷ, τῷ χρόνῳ τί ἐστι. εἰ δὲ τοῦτο, περιέ-
χεται ὑπὸ ἀριθμοῦ ὥσπερ καὶ τὰ ἐν τόπῳ, ὑπὸ τοῦ τόπου. φανερὸν δὲ, καὶ ὅτι οὐκ ἔστι τὸ ἐν χρόνῳ
εἶναι, τὸ εἶναι ὅτε ὁ χρόνος ἐστίν. ὥσπερ οὐδὲ τὸ ἐν κινήσει εἶναι, οὐδὲ τὸ ἐν τόπῳ ὅτε ἡ κίνησις καὶ ὁ τό-
πος ἐστίν. εἰ γὰρ ἔσται τὸ ἔν τινι οὕτως, πάντα τὰ πράγματα ἐν ὁτῳοῦν ἔσται. καὶ ὁ οὐρανὸς ἐν τῇ
κέγχρῳ. ὅτε γὰρ ἡ κέγχρος ἐστὶ καὶ ὁ οὐρανός ἐστιν. ἀλλὰ τοῦτο μὲν, συμβέβηκεν, ἐκεῖνο δ' ἀνάγκη πα-
ρακολουθεῖν. καὶ τῷ ὄντι ἐν χρόνῳ εἶναι τινὰ χρόνον, ὅτε κἀκεῖνό ἐστι. καὶ τῷ ἐν κινήσει ὄντι, εἶναι τότε
κίνησιν. ἐπεὶ δ' ἔστιν ὡς ἐν ἀριθμῷ τὸ ἐν χρόνῳ, ληφθήσεταί τις πλείων χρόνος, παντὸς τοῦ ἐν χρόνῳ
ὄντος. διὸ ἀνάγκη πάντα τὰ ἐν χρόνῳ ὄντα, περιέχεσθαι ὑπὸ τοῦ χρόνου. ὥσπερ καὶ τἆλλα ὅσα
ἔν τινι ἐστίν. οἷον, τὰ ἐν τῷ τόπῳ, ὑπὸ τοῦ τόπου.

Εἰπὼν ὅτι ἐν χρόνῳ λέγεται ἡ κίνησις, ὡς μετρουμένη ὑπὸ τοῦ χρόνου, τὰ σημαινόμενα τοῦ ἐν χρόνῳ
ἐφεξῆς ἀπαριθμεῖται. ἵνα δῆλον γένηται, πῶς μὲν τὰ χρονικὰ ἐν χρόνῳ ἐστίν, οἷον τὸ νῦν, καὶ τὸ
πρότερον, καὶ τὸ ὕστερον, καὶ τὰ τοιαῦτα, πῶς δὲ τὰ ἄλλα πράγματα. δύο γὰρ σημαίνει τὸ ἐν
χρόνῳ. ἓν μὲν τὸ εἶναι τότε, ὅτε χρόνος ἐστίν. ἓν δὲ οὕτως, ὡς λέγομεν ὅτι ἐν ἀριθμῷ ἐστί. καὶ τοῦτο δὲ
διττόν. ἢ γὰρ οὕτως ἐν ἀριθμῷ, ὅτι μέρος ἢ πάθος ἀριθμοῦ. ὡς τὰ δύο, καὶ τὸ περιττόν, τὸ μὲν, μέρος,
τὸ δὲ, πάθος. ἢ ὅτι ἔστιν αὐτῶν ἀριθμός, καὶ ἀριθμεῖται, ὡς οἱ δέκα ἵπποι, καὶ οἱ δέκα βόες ἐν ἀριθμῷ.
ἐπεὶ οὖν ἀριθμὸς ὁ χρόνος, ὡς ἔχει τὰ ἐν ἀριθμῷ, οὕτως ἔχει καὶ τὰ ἐν χρόνῳ. ὥς γε τὸ μὲν νῦν, καὶ
πρότερον, οὕτως ἐν χρόνῳ, ὡς ἐν τῷ μοναδικῷ ἀριθμῷ ἡ μονὰς καὶ τὸ περιττόν. τὰ μὲν γὰρ τοῦ ἀ-
ριθμοῦ, τὰ δὲ, τοῦ χρόνου μέρη ἢ συμβεβηκότα. κίνησις δὲ καὶ τἆλλα τὰ μὴ ὄντα μέρη ἢ πάθη τοῦ
χρόνου, οὕτως ἐν χρόνῳ ἐστίν, ὡς ἐν τῷ ἀριθμῷ οἱ δέκα ἄνθρωποι, τῷ ἀριθμεῖσθαι ὑπὸ αὐτοῦ. ὥσπερ δὲ
τῶν οὕτως ἐν ἀριθμῷ λεγομένων πλείων τίς ἐστιν ἀριθμὸς ἀεί, οὕτω καὶ τῶν ἐν χρόνῳ ὄντων πλείων
τίς ἐστιν ἀεὶ χρόνος. καὶ γὰρ ὁ χρόνος ἀριθμός τις ἐστίν. εἰ δὲ τοῦτο, τὰ ἐν χρόνῳ ὄντα περιέχεται ὑπὸ
τοῦ χρόνου, καὶ τὰ ἐν τόπῳ ὄντα περιέχεται ὑπὸ τοῦ τόπου. καὶ ὅλως τὰ ἔν τινι ὡς περιεκτικῷ.
καὶ ὅρα ὅπως ὁ ἀριστοτέλης τὴν κοινωνίαν τοῦ χρόνου τὴν πρὸς τὸν τόπον καὶ τὸν ἀριθμόν, πρὸ τῶν
ὕστερον αὐτὴν ἐκφῆναι αὐτῶν ἐνόησε. τοῦτο δὲ ἐστι κυριώτερον τοῦ ἐν χρόνῳ σημαινόμενον. τὸ γὰρ λέγειν
ἐν χρόνῳ εἶναι, τὸ εἶναι ὅτε ὁ χρόνος ἐστίν, ἀκυρώτερον λέγεται ἐν χρόνῳ. οὕτω γὰρ καὶ ἐν κινήσει
εἶναι λέγοιτο ἂν τὸ ἀκίνητον, εἰ ἔστιν ὅτε κίνησις ἐστί. τοῦτο δὲ τί διαφέρει τοῦ λέγειν, τὸν οὐρανὸν ἐν
κέγχρῳ εἶναι, καὶ ὅλως πᾶν ἐν παντί, καὶ τὸ μέγιστον ἐν τῷ ἐλαχίστῳ, εἴπερ ὅτε ἐστὶν οὐρανὸς καὶ ἡ
κέγχρος ἐστίν. ἀλλὰ τὸ μὲν ἅμα εἶναι πολλοῖς συμβέβηκεν. ὃ σημαίνει τὸ ὅτε καὶ τότε. τὸ δὲ εἶναι θάτε-
ρον ἐν θατέρῳ, τὸ περιέχεσθαι ἐστὶν ὑπὸ τοῦ ἑτέρου τὸ ἕτερον. καὶ ἀκολουθεῖ μὲν τούτοις καὶ τὸ
ἅμα εἶναι. ἀλλ' οὐκ ἐπειδὴ ἅμα, διὰ τοῦτο ἐν ἀλλήλοις. ἀλλ' ὅτι ἐν ἀλλήλοις, διὰ τοῦτο ἅμα. καὶ ὅτι ἄμ-
φω ἐν τῷ αὐτῷ χρόνῳ. τὰ μέντοι μὴ ἐν χρόνῳ, κἂν χρόνου ὄντος ᾖ, οὐκ ἂν λέγοιτο ἅμα ὅτι ἅμα τὰ
ἐν τῷ αὐτῷ χρόνῳ ἐστίν. ἀλλ' οὐδὲ τὸ ὅτε καὶ τότε τούτοις προσήκει λεγόμενα. δεῖξας δὲ ὅτι τὰ κυ-
ρίως λεγόμενα ἐν χρόνῳ οὕτω λέγεται, ὡς τὰ περιεχόμενα ὑπὸ τοῦ χρόνου, ὥσπερ καὶ τὰ ἐν ἀ-
ριθμῷ ὑπὸ ἀριθμοῦ, τεκμήριόν τι τῶν οὕτως ἐν χρόνῳ, καὶ ἅμα αἴτιον τοῦ οὕτω λέγεσθαι παραδί-

δῶσι. τῶν γὰρ κυρίως ἐν χρόνῳ ὄντων, πλείονα χρόνον ἔστιν ἀεὶ λαβεῖν τοῦ εἶναι αὐτῶν. οὕτω γοῦν ἔσται
περιεχόμενα ὑπὸ τοῦ χρόνου, καὶ κυρίως ἐν χρόνῳ λεγόμενα, ὥσπερ ἐν τόπῳ καὶ ἐν ἀριθμῷ.
διό φησιν ὁ Ἀλέξανδρος τὰ ἀΐδια οὐκ ἔστιν ἐν χρόνῳ. οὐ γὰρ περιέχει αὐτῶν ὁ χρόνος τὸ εἶναι. καὶ εἰ
μὲν ἀΐδια τὰ αἰώνια λέγει, ὥσπερ καὶ Πλάτων ὠνόμασεν ἐν Τιμαίῳ περὶ παραδείγματος εἰπών,
ἡ μὲν οὖν ζώου φύσις ἐτύγχανεν οὖσα ἀΐδιος, καλῶς ἂν λέγοι. τὸ γὰρ αἰώνιον οὐκ ἐν χρόνῳ, οὐδὲ
περιέχεται ὑπὸ τοῦ χρόνου. εἰ δὲ ἀΐδιον λέγει τὸ κατὰ πάντα τὸν χρόνον ὑφεστηκός, οὐκ ἔστιν ἀλη-
θὲς ὅτι οὐκ ἔστι τοῦτο ἐν χρόνῳ, εἰ μόνον οὕτως ὑποτεθείη ὡς ἐν χρόνῳ τὸ εἶναι ἔχειν. τοιαῦτα δὲ τὰ ἐν
τῷ γίνεσθαι τὸ εἶναι ἔχοντα, καὶ μὴ ἅμα ὅλα ὑφεστηκότα, ὥσπερ τὰ αἰώνια. μαρτυρεῖ δὲ καὶ αὐτὸς
» ὁ Ἀλέξανδρος αὐτῇ τῇ λέξει γράφων, ἡ δὲ κίνησις ἀΐδιος οὖσα, ἐν χρόνῳ ἐστίν, ὅτι οὐκ ἔστιν ἐν ὑπο-
» στάσει, οὐδὲ ἡ αὐτή τις ὑπομένουσα κατ᾽ ἀριθμόν. ἀλλ᾽ ἐν τῷ γίνεσθαι τὸ εἶναι ἔχει. ἀεὶ οὖν γινομένη
» ἄλλη καὶ ἄλλη οὖσα ἔστιν οὕτως ἐν χρόνῳ. εἰ τοίνυν καὶ τὰ ἄλλα τὰ ἐν γενέσει κατὰ τὴν κίνησιν ἐστὶν
ἐν χρόνῳ, κατὰ γὰρ τὸ εἶναι ἑαυτῶν, εἴ τινα εἴη ἀνέκλιπτον ἔχοντα τὸ εἶναι ἐν τῷ γίνεσθαι ὑφεστώς,
εἴτε κατ᾽ ἐνέργειαν εἴτε κατὰ ποιότητα μεταβαλλόμενα, εἴτε κατὰ τόπον, οὐδὲν κωλύει ταῦτα ἐν
χρόνῳ εἶναι. ἀλλὰ τὸ μὲν ἐν ἀριθμῷ εἶναι κατὰ πάντα, ἔοικε τὸ ἐν χρόνῳ εἶναι. διότι καὶ ἀριθμός ἐστιν
ὁ χρόνος. καὶ γὰρ τῶν ἐν ἀριθμῷ ὄντων ἔστι πλείω λαβεῖν ἀριθμόν. διότι πᾶν τὸ ἠριθμημένον ἐν πε-
περασμένῳ ἐστὶν ἀριθμῷ. παντὸς δὲ πεπερασμένου ἀριθμοῦ ἔστι πλείω λαβεῖν ἀριθμόν. διότι ἐπὶ τὸ ἄ-
πειρον αὔξεται ὁ ἀριθμός. ὥσπερ τὸ μέγεθος ἐπὶ τὸ ἄπειρον μειοῦται. τῶν δὲ ἐν τόπῳ ὄντων οὐκ ἔστιν
ἀεὶ πλείω τόπον λαβεῖν. εἰ μὲν γὰρ τὸ πέρας τοῦ περιέχοντος ἐστὶν ὁ τόπος, ἢ ὁ τῶν διακεκριμένων
διαθετισμός, συμπεριγέγραπται τῷ τόπῳ ὁ τόπος. εἰ δὲ τὸ διάστημα ὁ τόπος, τὰ μὲν μερικὰ σώμα-
τα ἐν τόπῳ ὄντα, ἔχει ἀεί τινα τόπον ὑπερβάλλοντα, εἰς ὃν πολλάκις καὶ μεθίσταται. τὸ δὲ ὅλον οὐκέτι
ἔχει μείζονα τόπον. τὸν γὰρ ὅλον τὸ ὅλον κατείληφεν. ὥστε κατὰ πᾶν τοῦ τόπου σημαινόμενον, ἀλη-
θὲς εἰπεῖν ὅτι οὐ παντὸς τόπου ἔστι μείζονα τόπον λαβεῖν, ὡς παντὸς χρόνου καὶ παντὸς ἀριθμοῦ.
τῷ δὲ τοῦ τόπου παραδείγματι ἐχρήσατο, πρὸς μόνον τὸ δεῖξαι ὅτι τὰ ἐν χρόνῳ περιέχεται ὑπὸ
χρόνου, ὥσπερ τὰ ἐν τόπῳ ὑπὸ τοῦ τόπου. τὸν δὲ ὅλον λόγον οὕτω συνήγαγεν ὁ Ἀλέξανδρος. τὰ ἐν
χρόνῳ ὄντα ἐν ἀριθμῷ ἐστι. τῶν ἐν ἀριθμῷ ὄντων ἀριθμός ἐστι. τῶν ἄρα ἐν χρόνῳ ὄντων ἀριθμός ἐστιν. ὧν
δὲ ἐστὶν ἀριθμός, τούτων πλείων ἐστὶν ἀριθμός. πεπερασμένων γὰρ ἀριθμός. παντὸς δὲ πεπερασμέ-
νου πλείονα ἐστὶ λαβεῖν. τῶν ἄρα ἐν χρόνῳ ὄντων πλείων ἐστὶν ἀριθμὸς κατὰ τὸν χρόνον.

ΚΑΙ ΠΑΣΧΕΙΝ δή τι ὑπὸ τοῦ χρόνου καθάπερ καὶ λέγειν εἰώθαμεν, ὅτι κατατήκει ὁ χρόνος.
καὶ γηράσκει πάνθ᾽ ὑπὸ τοῦ χρόνου, καὶ ἐπιλανθάνεται διὰ τὸν χρόνον. ἀλλ᾽ οὐ μεμάθηκεν. οὐδὲ
νέον γέγονεν, οὐδὲ καλόν. φθορᾶς γὰρ αἴτιος καθ᾽ αὑτὸν μᾶλλον ὁ χρόνος. ἀριθμὸς γὰρ κινήσεως. ἡ δὲ
κίνησις, ἐξίστησι τὸ ὑπάρχον.

Δείξας ὅτι τὸ ἐν χρόνῳ ὂν περιέχεται ὑπὸ τοῦ χρόνου, καὶ οὕτω περιέχεται ὡς καὶ πρὸ αὐτοῦ εἶναι
χρόνον, μετ᾽ αὐτὸ προστίθησιν ἐφεξῆς, ὅτι καὶ πάσχει τὰ ἐν χρόνῳ ὄντα ὑπὸ τοῦ χρόνου. εἰώθα-
μεν γὰρ λέγειν ὅτι κατατήκει ὁ χρόνος. καὶ γηράσκει πάντα ὑπὸ τοῦ χρόνου. καὶ ἐπιλανθάνεται
διὰ τὸν χρόνον. ἅπερ ἐστὶν οὐσίας καὶ ζωῆς καὶ γνώσεως φθαρτικά. οὐ γὰρ ὁμοίως λέγομεν ὅτι με-
μάθηκεν, οὐδὲ νέον γέγονεν, οὐδὲ καλὸν διὰ τὸν χρόνον. διότι φθορᾶς μᾶλλον αἴτιος ὁ χρόνος δοκεῖ,
ἀριθμὸς ὢν κινήσεως. ἡ δὲ κίνησις ἔκστασις τοῦ ὄντος ἐστὶ καὶ μεταβολή. ὥστε εἰκότως ὁ χρόνος κινή-
σεώς τι ὤν, τὸ ἐν αὐτῷ ὂν ἐξίστησι τοῦ εἶναι καὶ μεταβάλλειν ποιεῖ, ἀριθμὸς ὢν τῆς ἑκάστου τῶν ὄντων
ἐν αὐτῷ μεταβολῆς τε καὶ ἐκστάσεως. ἀσφαλῶς δὲ τὸ μᾶλλον προσέθηκε, τῷ φθορᾶς γὰρ αἴτιος
καθ᾽ αὑτόν. καὶ διότι οὐδὲ τοῦ πάσχειν αἴτιος ὁ χρόνος αὐτῷ δοκεῖ ἁπλῶς τε καὶ καθ᾽ αὑτὸν εἶναι. ἀλλὰ
κατὰ τοσοῦτον καθ᾽ ὅσον τοῖς ἐν χρόνῳ οὖσι πᾶσι τὸ πάσχειν ὑπάρχει. δῆλον δὲ καὶ ὅτι οὐ μόνον
φθορᾶς, ἀλλὰ καὶ γενέσεως καὶ ἐκφάνσεως αἴτιος ἐδόκει τῷ εἰπόντι, ἅπανθ᾽ ὁ μακρὸς κἀναρίθμη-
τος χρόνος φύει τἄδηλα καὶ φανέντα κρύπτεται. καὶ οὐ μόνης λήθης ἀλλὰ καὶ μαθήσεως. ὁ γὰρ
χρόνος τί μ᾽ εἰδέναι ποιεῖ, λέγοντος ἐστὶν ἀκούειν ἐκείνου. ὁ δὲ Σιμωνίδης τὸν σοφώτατον τῷ χρόνῳ πε-
ριῆψε. τούτῳ γοῦν ἔφη πάντας εὑρίσκειν καὶ μανθάνειν. Εὔηνος δὲ ἐξ ἀμφοῖν πεποίηκε, τὸν σοφώτα-
τόν τε καὶ ἀμαθέστατον χρόνον. καὶ αὐτὸς δὲ Ἀριστοτέλης ἔλεγεν ἐν τῷ τρίτῳ βιβλίῳ τὴν κίνησιν
διττήν, τὴν μὲν ἀπὸ εἴδους εἰς στέρησιν, τὴν δὲ ἀπὸ στερήσεως εἰς εἶδος. καὶ ἐξίστησιν οὖν οὐκ ἀπὸ εἴδους
μόνον, ἀλλὰ καὶ ἀπὸ στερήσεως. διὰ τοῦτο δὲ μᾶλλον φθορᾶς αἴτιος, ὅτι τὰ μὲν γινόμενα εἰ καὶ ἐν χρό-
νῳ δοκεῖ γίνεσθαι, ἀλλ᾽ οὔ τι γε ὑπὸ χρόνου. ὅτι πρόδηλον τὸ ποιοῦν αἴτιον, ἄλλο ὂν παρὰ τὸν χρό-
νον. οἷον ὁ οἰκοδόμος τῆς οἰκίας. τὰ δὲ φθειρόμενα οὐ μόνον ἐν χρόνῳ φθείρεσθαι δοκεῖ, ἀλλὰ καὶ ὑπὸ
χρόνου. ὅταν μηδὲν ἄλλο τοῦ φθείρεσθαι τὴν οἰκίαν αἴτιον φαίνηται. ὁμοίως δὲ μανθάνειν μὲν ὁ διδά-
σκαλος ποιεῖ. πρὸς δὲ λήθην ἀρκεῖν ὁ χρόνος δοκεῖ.

ΩΣΤΕ φανερὸν ὅτι τὰ ἀεὶ ὄντα, ᾗ ἀεὶ ὄντα, οὐκ ἔστιν ἐν χρόνῳ. οὐ γὰρ περιέχεται ὑπὸ τοῦ χρό-
νου. οὐδὲ μετρεῖται τὸ εἶναι αὐτῶν ὑπὸ τοῦ χρόνου. σημεῖον δὲ, τούτου, ὅτι οὐ πάσχει οὐδὲν ὑπὸ τοῦ

χρόνου ὡς οὐκ ὄντα ἐν τῷ χρόνῳ.

Δ Δείξας ὅτι ταῦτά ἐστιν ἐν χρόνῳ, ὧν πλείονα χρόνον ἐστὶ λαβεῖν, καὶ ὅτι πάσχει τὰ ἐν χρόνῳ ὑπὸ τοῦ χρόνου, διὸ πόρισμά τι ἐκ τῶν εἰρημένων συνάγει, ὅτι τὰ ἀεὶ ὄντα ᾗ ἀεὶ ὄντα οὐκ ἔστιν ἐν χρόνῳ. οὔτε γὰρ περιέχεται ὑπὸ τοῦ χρόνου, ὡς εἶναι πλείονα χρόνον τοῦ εἶναι αὐτῶν λαβεῖν, οὔτε πάσχει τι ὑπὸ χρόνου. τὸ δὲ ᾗ ἀεὶ ὄντα προσέθηκε, διότι ἡ ὕπαρξις ἐστὶν αὐτῶν ἡ παρισουμένη τῷ χρόνῳ. αἱ μέντοι κινήσεις αὐτῶν καὶ αἱ μεταβολαὶ, ἐν χρόνῳ, τῷ ἑκάστης αὐτῶν εἶναι πλείω λαβεῖν. τί οὖν ἡ ἀΐδιος κίνησις, δειχθήσεται γὰρ ἀΐδιος ἡ κυκλοφορία, ἆρα ἐν χρόνῳ ἐστὶν, ἢ οὔ. εἰ μὲν γὰρ μὴ ἐν χρόνῳ, οὐ πάσης κινήσεως ἀριθμὸς ὁ χρόνος. εἰ δὲ ἐν χρόνῳ, πῶς ἐν χρόνῳ τοῦτο, οὗ μὴ ὑπερβάλλει χρόνος. ἢ ὅτι ἀεὶ ἄλλη καὶ ἄλλη, καὶ οὐδέποτε κατ' ἀριθμὸν ἡ αὐτή. διατοῦτο ἔστι τῆς λαμβανομένης πλείονα χρόνον λαβεῖν. ὁ δὲ θεμίστιος κἂν μὴ περιττεύῃ φησὶ τῆς κινήσεως ὁ χρόνος, μηδὲ οὕτως αὐτὴν περιέχῃ, ἀλλ' ὅτι γε ἀλλήλοις συνήρμοσται συμπαρεκτεινόμενα, καὶ συνετεροιούμενα, καὶ δεῖται ἀλλήλων, διατοῦτο ἔστιν ἡ κίνησις ἐν χρόνῳ. τάχα δ' ἄν τις εἴποι ὅτι τούτου γε ἕνεκεν καὶ ὁ χρόνος ἔσται ἐν τῇ κινήσει. τὰ δὲ ἀΐδια κατ' οὐσίαν λεγόμενα, τὰ μὲν ἀεὶ ἅμα ὅλα ὄντα, οἷα τὰ νοητὰ καὶ ὄντως ὄντα, καὶ τὴν ἐνέργειαν ἀεὶ ἅμα ὅλην ἔχει. καὶ ὑπὲρ τὸν χρόνον ἐστὶ, παντελῶς ὑπὸ τοῦ αἰῶνος μετρούμενα. ἡ δὲ οὐράνιος οὐσία ὅτι μὲν κατ' οὐσίαν ἀμετάβλητός ἐστι, πρόδηλον. εἰ μέντοι μηδὲ ἀλλοίωσιν ὑπομένει τινὰ, δηλονότι κίνησιν μηδεμίαν ἔχουσα μηδὲ παράτασιν ἐν τῷ εἶναι, ὑπὲρ χρόνον ἔσται καὶ αὐτή. χρόνος γὰρ τῶν γινομένων, οὐχὶ τῶν ὄντων μέτρον ἐστίν. εἰ δὲ ἔστι τις αὐτοῖς ὑπ' ἀλλήλων ἐνδιδομένη τελείωσις, κατὰ τοὺς διαφόρους σχηματισμοὺς, ὡς ἐπὶ τῆς σελήνης ἐναργῶς ὁρῶμεν γινόμενον, καὶ ἔστιν ἄλλοτε ἄλλη γινομένη αὕτη καὶ τῆς οὐσίας τελειωτικὴ, δηλονότι κατὰ ταῦτα ὑπὸ τοῦ χρόνου μετρηθήσεται. τὸ γὰρ γενέσεως μεταχὸν, ἔχειν τι δεῖ πάντως γινόμενον καὶ ἀπολλύμενον. ἀλλ' οὐ κατ' οὐσίαν ἀνάγκη. τῷ δὲ ἀριστοτέλει καὶ τοῖς ἀπ' αὐτοῦ ἐκ τῶν ἐναργῶν ἀεὶ φιλοσοφοῦσιν, ἀρέσκει τὴν μὲν οὐσίαν τῶν οὐρανίων καὶ ἀγένητον καὶ ὑπὲρ χρόνον εἶναι, τὰς δὲ κινήσεις χρονίζεσθαι. καὶ μήποτε ἄμεινον λέγειν, ὅτι τῶν μὲν ἄκρων δύο τῶν πάντη ἀκινήτων, καὶ τῶν πάντη μεταβαλλομένων, τῶν μὲν αἰὼν, τῶν δὲ χρόνος μέτρον ἐστί. τῶν δὲ μέσων δύο ψυχῆς καὶ τῶν ἀϊδίων σωμάτων, ἄλλα τινὰ μέσα μέτρα μὴ τυχόντα ὀνομάτων.

Ε ἘΠΕῚ Δ' ἘΣΤῚΝ ὁ χρόνος μέτρον κινήσεως, ἔσται καὶ ἠρεμίας μέτρον κατὰ συμβεβηκός. πᾶσα γὰρ ἠρεμία ἐν χρόνῳ. οὐ γὰρ ὥσπερ τὸ ἐν κινήσει ὂν, ἀνάγκη κινεῖσθαι, οὕτω καὶ τὸ ἐν χρόνῳ. οὐ γὰρ ἡ κίνησις ὁ χρόνος, ἀλλ' ἀριθμὸς κινήσεως. ἐν ἀριθμῷ δὲ κινήσεως ἐνδέχεται εἶναι καὶ τὸ ἠρεμοῦν. οὐ γὰρ πᾶν τὸ ἀκίνητον ἠρεμεῖ. ἀλλὰ τὸ ἐστερημένον κινήσεως. πεφυκὸς δὲ κινεῖσθαι, καθάπερ εἴρηται ἐν τοῖς πρότερον. τὸ δὲ εἶναι ἐν ἀριθμῷ, ἔστι τὸ εἶναι τινὰ ἀριθμὸν τοῦ πράγματος. καὶ μετρεῖσθαι τὸ εἶναι αὐτοῦ, τῷ ἀριθμῷ ἐν ᾧ ἐστίν. ὥστ' εἰ ἐν χρόνῳ, ὑπὸ χρόνου μετρήσει δ' ὁ χρόνος τὸ κινούμενον καὶ τὸ ἠρεμοῦν, ᾗ τὸ μὲν κινούμενον τὸ δὲ, ἠρεμοῦν. τὴν γὰρ κίνησιν αὐτῶν μετρήσει καὶ τὴν ἠρεμίαν πόση τις. ὥστε τὸ κινούμενον οὐχ ἁπλῶς ἔσται μετρητὸν ὑπὸ χρόνου, ᾗ ποσόν τί ἐστιν. ἀλλ' ᾗ ἡ κίνησις αὐτοῦ ποσή.

Μ Μέχρι τοῦδε μέτρον κινήσεως τὸν χρόνον εἰπὼν, προστίθησιν εἰκότως ὅτι καὶ ἠρεμίας μέτρον ὁ χρόνος ἐστὶ, καὶ διατοῦτο ἐπειδὴ κινήσεως. ὁ γὰρ παρασυναπτικὸς σύνδεσμος ὁ ἐπειδὴ τοῦτο δηλοῖ. εἰ γὰρ ἡ ἠρεμία στέρησις ἐστὶ κινήσεως, τὰ δὲ αὐτὰ κριτικά τε καὶ μετρητικὰ τῶν τε ἕξεων ἐστὶ καὶ τῶν στερήσεων, ὥσπερ φωτὸς καὶ σκότους ἡ ὄψις, καὶ φωνῆς καὶ ἡσυχίας ἡ ἀκοὴ, καὶ τοῦ εὐθέος καὶ τοῦ στρεβλοῦ ὁ κανὼν, εἰκότως τὸ τὴν κίνησιν μετροῦν, καὶ τὴν ταύτης στέρησιν τὴν ἠρεμίαν μετρήσει. κατὰ συμβεβηκὸς δὲ ταύτην. τὴν μὲν γὰρ κίνησιν καθ' αὑτὸ ὁ χρόνος μετρεῖ. ἐν τούτῳ γὰρ αὐτοῦ ἡ οὐσία. κατὰ συμβεβηκὸς δὲ καὶ τὴν ἠρεμίαν καὶ κατὰ τὴν πρὸς τὴν κίνησιν ἀναφορὰν μετρεῖ. μετρεῖ γὰρ αὐτῆς τὸ ὅσον οὐ κεκίνηται, ὡς καὶ αὐτὸς ἐρεῖ. ἔστι γάρ τις χρόνος ὃν ἠρεμεῖ τὸ ἠρεμοῦν. οὗ πλείονα λαβεῖν ἐστίν. ἠρεμεῖν γὰρ ἐκεῖνα λέγεται, τὰ καὶ κινεῖσθαι πεφυκότα. καὶ ὁ μὲν ἀλέξανδρος ἀριθμὸν τῆς ἠρεμίας τὸν χρόνον φησὶν, ὅτι συμβέβηκε τῇ κινήσει ἡ στέρησις τῆς κινήσεως. ἧς καθ' αὑτὸ ἀριθμός ἐστιν ὁ χρόνος. ὁ δὲ θεμίστιος τὴν κίνησιν ἄλλην μετρεῖν. ἡ γοῦν νὺξ μέτρον μὲν καθ' αὑτὴν τῆς τοῦ ἡλίου φορᾶς τῆς ὑπὸ γῆν. κατὰ συμβεβηκὸς δὲ καὶ τῆς τῶν ζώων ἠρεμίας. λέγοιτο δ' ἂν τάχα καὶ ἄλλως. ἐπειδὴ γὰρ πᾶσα ἠρεμία μεταξὺ δυοῖν κινήσεών ἐστιν, ἃς καθ' αὑτὸ μετρεῖ, καὶ ἔστι τὸ μὲν πρότερον νῦν πέρας ὂν τῆς προτέρας κινήσεως, τὸ δὲ ὕστερον ἀρχὴ τῆς δευτέρας, τὸ μεταξὺ διάστημα χρόνου ἂν εἴη, τοῦ διαστήματος τῆς μεταξὺ ἠρεμίας μετρητικὸς κατὰ συμβεβηκός. ὅτι συμβέβηκε μεταξὺ δυοῖν κινήσεων ἠρεμίαν εἶναι. ἀλλὰ πῶς ὁ χρόνος ἐν τούτῳ οὐσιωμένος, ἐν τῷ ἀριθμὸς εἶναι καὶ μέτρον κινήσεως, καὶ τὴν ἠρεμίαν στέρησιν οὖσαν τῆς κινήσεως μετρεῖ. ἔσται γὰρ καὶ ἡ ἠρεμία κίνησις, εἴπερ τὸ μετρούμενον ὑπὸ χρόνου κίνησίς ἐστι. ταύτην οὖν λύων τὴν ἔνστασιν φησὶν, οὐκ ἀνάγκη τὸ ἐν χρόνῳ ὂν κινεῖσθαι. οὐ γὰρ κίνησις ὁ χρόνος. ἀλλὰ ἀριθμὸς κινήσεως καὶ συμβεβηκός τι. οὐκ εἴ τι δὲ ἐν τῷ συμβεβηκότι, ἤδη καὶ ἐν ἐκείνῳ ᾧ τοῦτο συμβέβηκεν. οὐ γὰρ εἴ τι ἐν τῇ ἡμέρᾳ, ἤδη καὶ ἐν τῇ φορᾷ τοῦ ἡλίου. εἴπερ ἡμέρα ἐστὶ τοσόσδε χρόνος, ὁ τῆς τοσῆσδε τοῦ ἡλίου κινήσεως ἀριθμός. ὥστε οὐκ ἀνάγκη

κινεῖσθαι τὴν ἠρεμίαν, κἂν ἐν τῷ ἀριθμῷ τῆς κινήσεως τῷ χρόνῳ εἶναι οὐ κεκώλυται. λέγομεν γὰρ ὅτι ὁ κάμνων ἐν τοσῷδε χρόνῳ ἠρέμησε. καὶ γὰρ ὁ κανὼν κριτήριον καθ' αὑτὸ τῶν εὐθέων ὑπάρχων, κατὰ συμβεβηκὸς κρίνει καὶ τὰ στρεβλά. εἰπὼν δὲ ὅτι καὶ τὸ ἠρεμοῦν ἐν χρόνῳ, τί τὸ ἠρεμοῦν λέγει, ὅτι οὐ πᾶν τὸ ἀκίνητον. εἰ γὰρ τοῦτο, οὐ πάσης ἂν ἠρεμίας μέτρον ὁ χρόνος. οὐ γὰρ δὴ καὶ τῆς ἀϊδίου ἀκινησίας. ἐπεὶ μὴ περιέχει αὐτῆς τὸ εἶναι. ἀλλ' ἔστιν ἠρεμοῦντα ταῦτα ὡς εἴρηται, ὅσα πεφυκότα κινεῖσθαι ἐστέρηται τοῦ κινεῖσθαι. τὸ δὲ πεφυκὸς κινεῖσθαι οὐκ ἀΐδιον ἔχει τὴν ἀκινησίαν. εἶτα καὶ τί τὸ ἐν χρόνῳ προστίθησιν. ὅτι ὥσπερ τὸ ἐν ἀριθμῷ ἐστι τὸ εἶναι τινὰ ἀριθμὸν τοῦ πράγματος, καὶ μετρεῖσθαι αὐτοῦ τὸ εἶναι τῷ ἀριθμῷ ἐν ᾧ ἐστιν, οὕτω καὶ τὸ ἐν χρόνῳ τὸ ὑπὸ χρόνου μετρεῖσθαι τὸ εἶναι αὐτοῦ. ἐφ' οἷς προστίθησιν ὅτι καὶ τὸ ἠρεμοῦν καθὸ ἠρεμοῦν μετρήσει ὁ χρόνος, ὥσπερ καὶ τὸ κινούμενον καθὸ κινούμενον. ἀλλ' οὐ τὸ ὑποκείμενον μετρεῖ, ἀλλὰ τὴν κίνησιν καὶ τὴν ἠρεμίαν αὐτῶν. ὥς τε φησὶν Ἀλέξανδρος καὶ τῶν ἀϊδίων τὰς κινήσεις, ἀλλ' οὐχὶ τὰς τῶν κινουμένων οὐσίας μετρήσει ὁ χρόνος. τινῶν δὲ ἐκ τῶν ἐνταῦθα εἰρημένων ἐλλιπῆ λεγόντων εἶναι τὸν ἀποδοθέντα τοῦ χρόνου ὁρισμόν, ἔδει γάρ φασι μὴ μόνον κινήσεως αὐτὸν ἀλλὰ καὶ ἠρεμίας ἀριθμὸν ἀφορίσασθαι, ἐπισκήπτων ὁ Ἀλέξανδρος, ὡς ἴσον φησὶν ὂν τὸ ἀριθμὸν κινήσεως τῷ μέτρον κινήσεως, οὕτως ἀκούουσι τοῦ ἀριθμὸς κινήσεως. διὸ ἀξιοῦσιν ἐπεὶ μέτρον καὶ ἠρεμίας ἐστὶν οὐ μόνον κινήσεως, καὶ τοῦτο τῷ λόγῳ προστίθεσθαι. οὐ μὴν ταυτόν ἐστιν. οὐ γὰρ ἐν τῷ μετρεῖν τὴν κίνησιν ὁ χρόνος τὸ εἶναι ἔχει. ἀλλὰ τοῦτο μὲν αὐτῷ συμβέβηκε. τὸ δὲ εἶναι αὐτῷ καὶ ἡ οὐσία, ἐν τῷ ἀριθμεῖσθαι τὸ ἐν κινήσει πρότερον καὶ ὕστερον καθὸ πρότερον καὶ ὕστερον, ὃ οὐκ ἔστιν ἐν ἠρεμίᾳ. οὐ γὰρ καὶ ταύτῃ ἐν τῇ μεταβάσει τῇ ἀπὸ προτέρου τινός, ἐπί τι δεύτερον καὶ μετ' αὐτὸ τὸ εἶναι ὥσπερ τῇ κινήσει. καὶ τοῦτο σαφῶς ἐδήλωσεν εἰπών, ἐν ἀριθμῷ δὲ κινήσεως ἐνδέχεται εἶναι καὶ τὸ ἠρεμοῦν. τὸ δὲ εἶναι ἐν ἀριθμῷ, τὸ εἶναι τινὰ ἀριθμὸν τοῦ πράγματος. ταῦτα τοῦ Ἀλεξάνδρου λέγοντος, θαυμάζειν ἔπεισί μοι, πῶς λέγει τὴν ἠρεμίαν μὴ ἔχειν τὸ πρότερον καὶ ὕστερον ὥσπερ τὴν κίνησιν. εἰ γὰρ μὴ εἶχεν, ἀλλὰ συνῆπται τὸ πρότερον νῦν τῷ ὑστέρῳ, οὐκ ἂν ἦν χρόνου ἔννοια ἐν ἠρεμίᾳ, ὥσπερ οὐδὲ ἐν κινήσει. εἰ δὲ ἔστι τὸ πρότερον καὶ τὸ ὕστερον, καὶ μετάβασις ἀπ' ἐκείνης ἐπὶ τοῦτο, καὶ τοῦ προτέρου φθειρομένου τὸ ὕστερον ἐπιγίνεται, πῶς οὐκ ἐν τῷ γίνεσθαι τὸ εἶναι ἔχει, καὶ ἠρεμία καὶ κίνησίς τις καὶ ἐν αὐτῇ οὖσα φανήσεται. μήποτε οὖν διττὴ ἡ κίνησις, ἡ μὲν, ἀντικειμένη τῇ ἠρεμίᾳ, ἡ δέ, καὶ αὐτῇ ὑπάρχουσα παράτασις οὖσα τοῦ εἶναι τῆς ἠρεμίας. ὥσπερ γὰρ τῶν ἄλλων πάντων τῶν ἐν γενέσει τὴν ῥοὴν τῆς ὑπάρξεως τὸ εἶναι πρότερον ἐκαλοῦμεν, καὶ τῆς ἠρεμίας τὸ εἶναι ἐν ῥοῇ ἐστι καὶ παρατάσει. διὸ καὶ ὁ Ἀριστοτέλης καίτοι ἐν ἀρχῇ κατὰ συμβεβηκὸς εἰπὼν μετρεῖσθαι τὴν ἠρεμίαν ὑπὸ τοῦ χρόνου, ὅμως προελθών φησι, μετρήσει δὲ ὁ χρόνος τὸ κινούμενον καὶ τὸ ἠρεμοῦν, τὸ μὲν, ᾗ κινούμενον, τὸ δέ, ᾗ ἠρεμοῦν. τὴν γὰρ κίνησιν αὐτῶν καὶ τὴν ἠρεμίαν, πόση τις, τουτέστι τὴν παράτασιν ἑκατέρας μετρήσει, ἐκείνην τὴν κατὰ τὸ εἶναι, τουτέστι τὴν γένεσιν καὶ τὴν ῥοήν. καὶ μήποτε διὰ τοῦτο κατὰ συμβεβηκὸς εἶπε τὴν ἠρεμίαν ὑπὸ τοῦ χρόνου μετρεῖσθαι. ὅτι οὐχ ὡς ἠρεμία ἁπλῶς, ἀλλὰ κατὰ τὸ εἶναι τὸ γενητὸν αὐτῆς, ὥσπερ καὶ ἡ κίνησις καὶ τὰ ἄλλα εἴδη κατὰ τοῦτο χρονίζονται. πλὴν ἐπειδὴ ἐπὶ τῆς κινήσεως ταυτόν ἐστι κίνησις καὶ τὸ εἶναι τῆς κινήσεως, εἰκότως τῇ κινήσει καθ' αὑτὸ ὑπάρχειν ὁ χρόνος δοκεῖ. ὅτι δὲ στέρησιν κινήσεως τὴν ἠρεμίαν, οὐχ ὡς τὸ στρεβλὸν τοῦ εὐθέος, καὶ ὅλως τὰ παρὰ φύσιν τῶν κατὰ φύσιν, ἀλλ' ὡς τὴν ἀπουσίαν τοῦ πεφυκότος λέγει κατὰ φύσιν καὶ αὐτὴν οὖσαν, δῆλον εἰ καὶ τὴν φύσιν ὁριζόμενος ἀρχὴν καὶ αἰτίαν οὐ μόνον κινήσεως, ἀλλὰ καὶ ἠρεμίας αὐτὴν ἔλεγε καθ' αὑτήν. καὶ γὰρ τῆς ἠρεμίας ἡ φύσις αἰτία. διὰ τοῦτο δὲ ἴσως στάσιν αὐτὴν οὐκ ἐκάλεσεν, διὰ τὸ βούλεσθαι ἰδίῳ ὀνόματι καλέσαι τὴν στάσιν, εἰς ἣν καὶ ἀφ' ἧς μεταβάλλει ἡ κίνησις. καὶ γὰρ καὶ τὰ ἀεὶ ἀκίνητα μένοντα, ὡς οἱ πόλοι καὶ ὁ ἄξων τοῦ παντός, ἑστάναι μὲν λέγονται, ἠρεμεῖν δὲ οὐκέτι, ὅτι τὸ ἠρεμεῖν προσήκει τοῖς κινουμένοις ποτέ.

ΩΣΤΕ ὅσα μήτε κινεῖται μήτε ἠρεμεῖ, οὐκ ἔστιν ἐν χρόνῳ. τὸ μὲν γὰρ ἐν χρόνῳ εἶναι, ἐστὶ τὸ μετρεῖσθαι χρόνῳ. ὁ δὲ χρόνος, κινήσεως καὶ ἠρεμίας μέτρον.

Εἰπὼν πρότερον τίνα τὰ ἐν χρόνῳ, ὅτι τὰ κινούμενα καὶ ἠρεμοῦντα, καὶ τὰ ποτὲ μὲν ὄντα ποτὲ δὲ μὴ ὄντα, ὧν καὶ ὑπερβάλλει χρόνος, ἐν τούτοις δείκνυσι τίνα οὐκ ἔστι ἐν χρόνῳ, ὅτι ὅσα μήτε κινεῖται μήτε ἠρεμεῖ οὐκ ἔστιν ἐν χρόνῳ. καὶ ἐφεξῆς οὔτε τὸ μὴ ὂν πάντ[illegible], οὔτε τὸ ἀϊδίως ὄν. ἀλλ' ἐκεῖνα ὧν γένεσις ἐστὶ καὶ φθορά. ὅτι δὲ ὅσα μήτε κινεῖται μήτε ἠρεμεῖ οὐκ ἔστιν ἐν χρόνῳ δείκνυσιν οὕτως. εἰ μέτρον κινήσεως καὶ ἠρεμίας ἐστὶν ὁ χρόνος, ἃ μήτε κινεῖται μήτε ἠρεμεῖ, ταῦτα οὐκ ἔστιν ἐν χρόνῳ. ἔστι δὲ μήτε κινούμενα μήτε ἠρεμοῦντα τὰ ἀκίνητα τῇ ἑαυτῶν φύσει. καὶ δηλονότι τὰ κατὰ πᾶσαν κίνησιν ἀκίνητα. καὶ ὁ μὲν συλλογισμός ἐστιν ἐν δευτέρῳ σχήματι τοιοῦτος. τὰ ἐν χρόνῳ ὄντα μετρεῖται ὑπὸ χρόνου. τὰ μήτε κινούμενα μήτε ἠρεμοῦντα οὐ μετρεῖται ὑπὸ χρόνου. καὶ τὸ συμπέρασμα, ὅτι τὰ μήτε κινούμενα μήτε ἠρεμοῦντα οὐκ ἔστιν ἐν χρόνῳ. τούτων δὲ τὴν μὲν μείζονα πρότασιν τέθεικεν, διὰ τοῦ τὸ μὲν γὰρ ἐν χρόνῳ ἐστὶ τὸ μετρεῖσθαι χρόνῳ. τὴν δὲ ἐλάττονα τὴν λέγουσαν,

τὰ μήτε κινούμενα μήτε ἠρεμοῦντα οὐ μετρεῖται ὑπὸ χρόνου, αὐτὴν μὲν οὐ τέθεικε. τὴν δὲ κατα-
σκευαστικὴν αὐτῆς τὴν λέγουσαν, ὁ δὲ χρόνος κινήσεως καὶ ἠρεμίας μέτρον ἐστίν. ᾧ δεῖ προσυπα-
κούειν τὸ, μόνων, ὡς ἤδη δεδειγμένων. εἰ δὲ τούτων μόνων, δηλονότι ἀληθές ἐστιν, ὅτι τὸ μήτε κι-
νούμενον μήτε ἠρεμοῦν οὐ μετρεῖται ὑπὸ τοῦ χρόνου. ἐπειδὴ δὲ τῶν ὄντων τὰ μέν ἐστιν ἀκίνητα, τὰ
δὲ, ἀεικίνητα, τὰ δὲ, ποτὲ κινούμενα καὶ ποτὲ ἠρεμοῦντα, δηλονότι τὰ μὲν ἀκίνητα παντελῶς,
οὐκ ἔστιν ἐν χρόνῳ. τὰ δὲ ἀεὶ καὶ τὰ ποτὲ κινούμενα, καὶ τὰ ἠρεμοῦντα, ἐν χρόνῳ ἐστίν. ὅσα δὲ μήτε
ἀϊδίως μήτε ποτὲ κινεῖται, ταῦτα οὐκ ἔστιν ἐν χρόνῳ. δῆλον δὲ ὅτι τὰ ποτὲ κινούμενα, ταῦτα ἐστὶ
τὰ καὶ ποτὲ ἠρεμοῦντα. ἀλλὰ πῶς ὁ χρόνος κινήσεως καὶ ἠρεμίας μέτρον ἐστίν. οἱ μὲν γὰρ λέγοντες
κινήσεως μέτρον εἶναι καθ' αὑτὸν, τῆς δὲ ἠρεμίας ὡς στερήσεως οὔσης κινήσεως εἰκότως μόνον τούτων
μέτρον εἶναι λέγουσιν. οἱ δὲ κινήσεως μὲν μόνης μέτρον εἶναι τὸν χρόνον λέγοντες, τῆς δὲ ἠρεμίας κα-
τὰ τὸ εἶναι, καὶ ταύτης ἐν ῥοῇ θεωρουμένης, δηλονότι οὐ μόνης ἠρεμίας, ἀλλὰ καὶ τῶν ἄλλων πάν-
των τῶν ἐν γενέσει ὡς αὐτὸς εἶπε μέτρον ἐστὶν ὁ χρόνος κατὰ τὸ εἶναι. τῆς γὰρ κατὰ τὴν ῥοὴν τοῦ εἶναι
κινήσεως ἐστὶ μέτρον ὁ χρόνος κυρίως. ἥτις ἴδιός ἐστι τῆς γενέσεως. ἀλλ' ἴσως ἐπειδὴ πάντα τὰ ἐν
γενέσει ἢ κινεῖται ἢ ἠρεμεῖ, ἀληθὲς εἰπεῖν ὅτι ταῦτα μόνα ἐν χρόνῳ ἐστίν.

ΦΑΝΕΡΟΝ οὖν, ὅτι οὐδὲ τὸ μὴ ὂν ἔσται πᾶν ἐν χρόνῳ. οἷον, ὅσα μὴ ἐνδέχεται ἄλλως. ὥσπερ τὸ, τὴν
διάμετρον εἶναι, τῇ πλευρᾷ σύμμετρον. ὅλως γὰρ, εἰ μέτρον μέν ἐστι κινήσεως ὁ χρόνος καθ' αὑτό. τῶν
δὲ ἄλλων κατὰ συμβεβηκὸς, δῆλον ὅτι ὧν τὸ εἶναι μετρεῖ, τούτοις ἅπασιν ἔσται τὸ εἶναι ἐν τῷ ἠρεμεῖν
ἢ κινεῖσθαι. ὅσα μὲν οὖν φθαρτὰ καὶ γενητὰ καὶ ὅλως ὁτὲ μὲν ὄντα, ὁτὲ δὲ μὴ, ἀνάγκη ἐν χρόνῳ
εἶναι. ἔστι γὰρ χρόνος τις πλείων ὃς ὑπερέξει τοῦ εἶναι αὐτῶν καὶ τοῦ μετροῦντος τὴν οὐσίαν. τῶν δὲ μὴ
ὄντων, ὅσα μὲν περιέχει ὁ χρόνος, τὰ μὲν οὖν ἦν. οἷον, Ὅμηρός ποτε ἦν. τὰ δὲ, ἔσται. οἷον, τῶν μελλόν-
των τι. ἐφ' ὁπότερα περιέχει. καὶ εἰ ἐπ' ἄμφω, ἀμφότερα καὶ ἦν καὶ ἔσται. ὅσα δὲ μὴ περιέχει
μηδαμῇ, οὔτ' ἦν, οὔτ' ἐστὶν, οὔτ' ἔσται. ἔσται δὲ τὰ τοιαῦτα τῶν μὴ ὄντων, ὅσων τὰ ἀντικείμενα ἀεί ἐστιν. οἷον,
τὸ, ἀσύμμετρον εἶναι τὴν διάμετρον. ἀεί ἐστι καὶ οὐκ ἔσται τοῦτο ἐν χρόνῳ. οὐ τοίνυν οὐδὲ τὸ σύμμετρον. διὸ ἀεὶ
οὐκ ἔστιν. ὅτι ἐναντίον τῷ ἀεὶ ὄντι. ὅσων δὲ τὸ ἐναντίον μὴ ἀεὶ, ταῦτα δύναται καὶ εἶναι καὶ μή. καὶ
ἔστι γένεσις καὶ φθορὰ αὐτῶν.

Ἔτι ἐπιμελεῖ διαρθρῶν τίνα τὰ ἐν χρόνῳ ἐστὶν ἢ οὐκ ἔστιν. καὶ δείκνυσιν οὖν, ὅτι οὔτε τὰ πάντῃ μὴ ὄντα
ἐν χρόνῳ ἐστὶν, οὔτε τὰ ἀϊδίως ὄντα, οὐ γὰρ ὅλως ὧν ὑπερβάλλει χρόνος. ἀλλ' ἐκεῖνα μόνα ὧν ἐστι γένεσις
καὶ φθορά. σαφεστέραν δὲ διὰ τούτων ποιεῖ τὴν ἔννοιαν ἣν ἔχει περὶ τοῦ χρόνου. λέγει δὲ ὅτι οὔτε τὰ μὴ
ὄντα πάντα ἐστὶν ἐν χρόνῳ, ἀλλά τινά. τῶν γὰρ μὴ ὄντων τὰ μὲν, παρῆλθεν, οἷον Ὅμηρος ὁ ποιητής.
τὰ δὲ μέλλει. οἷον ἔκλειψις. τὰ δὲ, καὶ παρῆλθε καὶ μέλλει. ὡς πόλεμος καὶ ἔκλειψις. καὶ ταῦτα μὲν
πάντῃ ἐν χρόνῳ δειχθήσεται. ἔστι δέ τινα τῶν μὴ ὄντων, ὅσα μὴ ἐνδέχεται εἶναι. ὥσπερ καὶ τὴν διά-
μετρον σύμμετρον εἶναι τῇ πλευρᾷ, οὐκ ἐνδέχεται ὅλως εἶναι. ταῦτα οὖν οὐκ ἔστιν ἐν χρόνῳ. καὶ τὴν
αἰτίαν προστίθησιν. ἐπειδὴ γὰρ μέτρον ἐστὶν ὁ χρόνος κινήσεως μὲν καθ' αὑτὸ, τῶν δὲ ἄλλων κατὰ συμ-
βεβηκός. ἄλλα δὲ λέγει τήν τε ἠρεμίαν αὐτὴν, καὶ τὰ κινούμενα καὶ ἠρεμοῦντα αὐτά. ὧν τὴν μὲν
ἠρεμίαν καὶ αὐτὴν ὁ χρόνος μετρεῖ, μετρῶν φησὶν ὁ Ἀλέξανδρος τὸ ὅσον οὐ κεκίνηται τοῦ ἠρεμοῦντος.
οἶμαι δὲ ὅτι καὶ τὴν τοῦ εἶναι τῆς ἠρεμίας παράτασιν. καὶ διὰ τοῦτο φησὶ κατὰ συμβεβηκὸς, ὅτι κα-
τὰ τὴν αὐτῶν τὴν κίνησιν ἀναφοράν. τὰ δὲ ὑποκείμενα τῇ τε κινήσει καὶ τῇ ἠρεμίᾳ, οὐδὲ τὴν ἀρχὴν
αὐτὰ μετρεῖ. ἀλλὰ κατὰ συμβεβηκὸς ταῦτα λέγεται μετρεῖν, τῷ τοῖς μετρουμένοις ὑπὸ τοῦ χρόνου
τῇ τε κινήσει καὶ τῇ ἠρεμίᾳ ταῦτα συμβεβηκέναι, τῷ εἶναι ἄνθρωπον ἢ ἵππον τὸ κινούμενον ἢ ἠρε-
μοῦν. ἐπεὶ οὖν μόνα μετρεῖ ὁ χρόνος κίνησιν καὶ ἠρεμίαν, δῆλον ὡς ὧν τὸ εἶναι μετρεῖται, ταῦτα ἐν
τῷ κινεῖσθαι ἢ ἠρεμεῖν ἕξει τὸ εἶναι. τοιαῦτα δέ ἐστι τὰ γενητὰ καὶ φθαρτά. καὶ ὅλως ὅσα ὁτὲ μὲν
ὄντα, ὁτὲ δὲ μή. διὸ καὶ περιέχεται ταῦτα ὑπὸ τοῦ χρόνου. ἔστι γὰρ χρόνος τις πλείων, ὃς ὑπερέ-
χει τοῦ μετροῦντος τὴν οὐσίαν αὐτῶν. τῶν οὖν μὴ ὄντων, ὅσα μὲν τοιαῦτά ἐστιν, ὡς γεγονέναι ποτὲ ἢ
ἔσεσθαι, ἢ καὶ γεγονέναι καὶ ἔσεσθαι, τούτων τὸν τοῦ μὴ εἶναι χρόνον ὑπερέχει ὁ χρόνος. καὶ γὰρ ὁ ἐν
ᾧ ἦν ἢ ἔσται, χρόνος ἐστί. διὸ τὰ τοιαῦτα τῶν μὴ ὄντων ἔσται ἐν χρόνῳ. εἰπὼν δὲ τὸ οἷον, τῶν μελλόντων,
προσέθηκε τὸ ἐφ' ὁπότερα περιέχει. ἐπὶ μὲν γὰρ τῶν γεγονότων, ὑπὸ τοῦ παρεληλυθότος χρό-
νου ὄντος, ἐν ᾧ ἐτύγχανον ὄντα, τὸ μὴ εἶναι αὐτῶν περιέχεται, ἤτοι ὁ χρόνος ὁ τούτου μετρητικός. διὸ
ἐν χρόνῳ τὰ οὕτω μὴ ὄντα. ἐπὶ δὲ τῶν ἐσομένων ὑπὸ τοῦ μέλλοντος. ὁ γοῦν ἐν ᾧ ἔσται χρόνος μετὰ τὸ
ἐν ᾧ οὐκ ἔστι, πλείων ἐστὶ τοῦ ἐν ᾧ οὐκ ἔστιν. διὸ καὶ ταῦτα ἐν χρόνῳ. ὅσα δὲ πρότερον μὲν ἦν καὶ ὕστερον
ἔσται, νῦν δὲ οὐκ ἔστιν, οἷον ἔκλειψις ἢ διοσημεία ἢ πόλεμος, τούτων ὁ τοῦ μὴ εἶναι χρόνος ἐπ' ἀμφότερα
περιέχεται. καὶ γὰρ ὑπὸ τοῦ παρεληλυθότος ὅτι ἐν ἐκείνῳ ἦν. καὶ ὑπὸ τοῦ μέλλοντος ὅτι ἐν
ἐκείνῳ ἔσται. καὶ πλείων ἑκάτερος τοῦ ἐν ᾧ μὴ ἔστι μόνου, ὅ, τε μετὰ τοῦ παρεληλυθότος, καὶ ὁ μετὰ
τοῦ μέλλοντος. διὸ καὶ ἐπὶ τῶν τοιούτων ἐστὶ τὸ μὴ εἶναι αὐτῶν ἐν χρόνῳ, ὥσπερ καὶ τὸ εἶναι. ὑπερ-
βάλλει γὰρ ἑκατέρου χρόνος. καὶ διὰ τοῦτο περιέχεται ὑπὸ χρόνου, καὶ ἐν χρόνῳ ἐστίν. ὧν δὲ

ἀδύνατος

ἀδύνατος ἡ ὕπαρξις, τούτων τὸ μὴ εἶναι οὐκ ἔστιν ἐν χρόνῳ. τίνα δὲ ταῦτά ἐστι, πρότερον μὲν ἐπὶ
παραδείγματος εἶπεν, ὥσπερ τὸ τὴν διάμετρον εἶναι τῇ πλευρᾷ σύμμετρον. νῦν δὲ καὶ διὰ καθο-
λικοῦ κανόνος παρέδωκεν. ὧν γὰρ ἀΐδια τὰ ἀντικείμενα, ταῦτα ἀδύνατον αὐτὰ εἶναι. ἐπεὶ οὖν
ἀϊδίως τε καὶ ἀναγκαίως ἀσύμμετρος ἡ διάμετρος τῇ πλευρᾷ, τὸ σύμμετρον αὐτὴν εἶναι ἀδύνατόν
ἐστι. πάλιν δὲ τίνα ἐστὶ τὰ δυνάμενα καὶ εἶναι καὶ μὴ εἶναι, κανονικῶς παρέδωκεν εἰπών, ὅσων τὰ
ἐναντία μὴ ἀεί ἐστιν, ἀλλὰ ποτὲ δηλονότι. εἰ μὲν γὰρ ἀεὶ ἦν τὰ ἐναντία, οὐδέ ποτε ἂν ἦν αὐτά. εἰ δὲ μη-
δέ ποτε ἦν τὰ ἐναντία αὐτοῖς, αὐτὰ ἂν ἦν ἀεί. εἰ δέ ποτε μὲν ἐστί, ποτὲ δὲ μὴ ἔστι τὰ ἐναντία, καὶ αὐτὰ
ποτὲ μὲν ὄντα, ποτὲ δὲ μὴ ὄντα, γινόμενα ἂν εἴη καὶ φθειρόμενα. ὅτε μὲν γάρ ἐστι τὰ ἐναντία, αὐτὰ
οὐκ ἔστιν. ὅτε δὲ μὴ ἔστιν ἐκεῖνα, ταῦτα ἐστί.

T ΤΟ᾽, ΔΕ᾽ νῦν ἐστι συνέχεια χρόνου. ὥσπερ ἐλέχθη. συνέχει γὰρ τὸν χρόνον τὸν παρελθόντα καὶ
ἐσόμενον. καὶ ὅλως, πέρας χρόνου ἐστίν. ἔστι γὰρ τοῦ μὲν ἀρχή. τοῦ δὲ, τελευτή. ἀλλὰ τοῦτ᾽ οὐχ ὥσπερ
ἐπὶ τῆς στιγμῆς μενούσης φανερόν. διαιρεῖ δὲ δυνάμει. καὶ ᾗ μὲν τοιοῦτον, ἀεὶ ἕτερον τὸ νῦν. ᾗ δὲ
συνδεῖ, ἀεὶ τὸ αὐτό. ὥσπερ ἐπὶ τῶν μαθηματικῶν γραμμῶν. οὐ γὰρ ἡ αὐτὴ ἀεὶ μία στιγμὴ τῇ
νοήσει. διαιρούντων γὰρ, ἄλλη. ᾗ δὲ μία, ἡ αὐτὴ πάντῃ. οὕτω καὶ τὸ νῦν. τὸ μὲν, τοῦ χρόνου διαίρεσις
κατὰ δύναμιν. τὸ δὲ, πέρας ἀμφοῖν καὶ ἑνότης. ἔστι δὲ τὸ αὐτὸ καὶ κατὰ τὸ αὐτὸ ἡ διαίρεσις καὶ ἡ
ἕνωσις. τὸ δ᾽ εἶναι οὐ ταυτό.

Γ Περὶ τοῦ νῦν καθὸ μάλιστα δοκεῖ εἶναι χρόνος εἰπεῖν προτίθεται, τοῦ τε κυρίως καὶ τοῦ ἐν πλάτει λε-
γομένου. καὶ πρῶτον περὶ τοῦ κυρίως, περὶ οὗ καὶ πρότερον εἴρηκεν. ὅτι συνεχὴς ὁ χρόνος τῷ
νῦν, καὶ διῄρηται κατὰ τὸ νῦν. ταῦτα δὴ καὶ νῦν περὶ αὐτοῦ διὰ μακροτέρων φησί, ὅτι συνέ-
χεια χρόνου τὸ νῦν ἐστι. ταύτῃ γάρ ἐστι καθὸ συνεχής ἐστιν ὁ χρόνος. συνεχῆ μὲν γάρ ἐστιν, ὧν τὰ μό-
ρια πρός τινα κοινὸν ὅρον συνάπτει. ὡς ἐν τῷ ϛ´ βιβλίῳ τῆσδε τῆς πραγματείας δειχθήσεται.
πρὸς δὲ τὸ νῦν τὰ μόρια τοῦ χρόνου συνῆπται τό, τε παρεληλυθὸς καὶ τὸ μέλλον, κοινὸν ὅρον γινό-
μενον ὡς ἐν ἀμφοτέροις ὑπάρχον. καὶ οὕτω λαμβανόμενον συνέχει τὸν χρόνον τὸ νῦν. ὅταν δὲ ὡς
πέρας τοῦ παρεληλυθότος, καὶ ὡς ἀρχὴ τοῦ μέλλοντος ληφθῇ καὶ νοηθῇ, διεῖλεν αὐτὸν πάλιν. τὸ
γὰρ αὐτὸ ποτὲ μὲν συνέχει, ποτὲ δὲ διαιρεῖ. ὡς ἔχει καὶ ἡ στιγμὴ ἐν τῷ μήκει. καὶ γὰρ αὕτη καὶ
συνέχει τὸ μῆκος, ὅταν ὡς μία ἐπινοῆταί τε καὶ λαμβάνηται. καὶ διαιρεῖ, ὅταν ὡς δυσὶ χρησώ-
μεθα, τοῦ μὲν, πέρας αὐτὴν λέγοντες, τοῦ δὲ, ἀρχήν. οὕτως ὁ ἀλέξανδρος, τὴν μὲν συνέχειαν δη-
λοῦσθαι νομίζων, ἕως τοῦ συνέχει γὰρ τὸν χρόνον τὸν παρελθόντα καὶ ἐσόμενον, τὰ δ᾽ ἐντεῦθεν
περὶ τῆς διαιρέσεως ἀκούων, διότι τοῦ μὲν ἀρχήν, τοῦ δὲ, τελευτὴν εἶπε τὸ νῦν. οὐχ οὕτω μέντοι
ὥσπερ ἐπὶ τῆς στιγμῆς ὑπομένον συνέχει. τὸ γὰρ νῦν τοῦ χρόνου ῥέοντος οὐχ ὑπομένει. διαφόρου
δὲ οὔσης τῆς γραφῆς, καὶ τῆς μὲν ἐχούσης καὶ ὅρος χρόνου, τῆς δὲ καὶ πέρας χρόνου, ἀμφοῖν μὲν
ἡ αὐτὴ ἔννοια. καὶ γὰρ προελθὼν τὸ νῦν κοινὸν ὅρον πέρας ἀμφοῖν καλεῖ καὶ ἑνότητα. οἰκειότερος δὲ
ὁ ὅρος. διότι συνεχῆ λέγομεν ἐκεῖνα, τὰ πρὸς κοινὸν ὅρον συνάπτοντα. καὶ ὁ ἀλέξανδρος τὸ διαι-
ρεῖ δὲ, δυνάμει, ἀκούει πρὸς τὸ προειρημένον, ὅτι οὐχ ὡς ἐπὶ στιγμῆς μενούσης φανερὸν, ἀλλὰ δυνά-
μει διαιρεῖ τὸ νῦν. καὶ ἔχει λόγον οὕτως ἡ ἑρμηνεία. λέγει οὖν ὅτι τὸ νῦν τὸν χρόνον διαιρεῖ δυνάμει,
τουτέστι τῷ ἐπινοεῖσθαι. οὐ γὰρ ἐνεργείᾳ ὡς ἡ στιγμὴ τῷ ἔχειν θέσιν καὶ ὑπομένει καὶ κεχωρισμένα
δεικνύναι τὰ μέρη. διὰ γὰρ τὴν ῥοὴν τοῦ χρόνου, οὐ δύναται χωρὶς ἀλλήλων ὑπομένοντα δειχθῆ-
ναι τὰ τοῦ χρόνου μέρη. καὶ ὅταν μὲν ὡς συνέχον λαμβάνηται τὸ νῦν, ταυτὸν καὶ τῷ λόγῳ καὶ
οὐ τῷ ὑποκειμένῳ μόνον ἐστίν. οὐ γὰρ κατ᾽ ἄλλον καὶ ἄλλον λόγον λαμβανόμενον συνέχει τὸν χρόνον.
ἀλλ᾽ ὅταν πρὸς τὰ μέρη ἄμφω τὸν αὐτὸν ἔχῃ λόγον, κοινὸς ὅρος γινόμενος ἀμφοῖν. οὕτω δὲ ἔχει τὰ
ἐπὶ τοῦ νῦν φησιν, ὥσπερ ἐπὶ τῶν μαθηματικῶν. καθὸ μὲν τὴν αὐτὴν οὖσαν στιγμὴν κατὰ τὸ ὑπο-
κείμενον λαμβάνομεν, ὡς διαιροῦσαν τῷ λόγῳ καὶ τῇ νοήσει τὸ μῆκος, καὶ τοῦ μὲν πέρας, τοῦ δὲ ἀρ-
χὴν γινομένην, πλείους αὐτὴν ποιοῦμεν τῷ λόγῳ, τὴν αὐτὴν οὖσαν κατὰ τὸ ὑποκείμενον. ἄλλος γὰρ
λόγος τῆς ὡς πέρατος, καὶ ἄλλος τῆς ὡς ἀρχῆς λαμβανομένης. καθόσον δὲ ὡς μίαν αὐτὴν οὐ
τῷ ὑποκειμένῳ μόνον, ἀλλὰ καὶ τῷ λόγῳ λαμβάνομεν ὡς συνέχουσαν τὴν γραμμήν, κατὰ δὴ
ταύτῃ πάντῃ μία γίνεται. τουτέστιν οὐ κατὰ τὸ ὑποκείμενον μόνον, ὅπερ καὶ τῇ διαιρούσῃ ὑ-
πῆρχεν, ἀλλὰ καὶ κατὰ τὸν λόγον. δύναται δέ φησιν ἀλέξανδρος τὸ τῇ νοήσει μὴ πρὸς τὴν
διαίρεσιν συντάττεσθαι, ἀλλὰ πρὸς τὸ ἄλλη. τῇ γὰρ νοήσει ἄλλη καὶ ἄλλη γίνεται ἡ διαιροῦσα στι-
γμή. οὐ γὰρ δὴ τῷ ὑποκειμένῳ. ὡς δὲ ἔχει ἐν τοῖς μαθηματικοῖς ἡ στιγμὴ τῆς γραμμῆς, οὕτω
καὶ ἐν τοῖς φυσικοῖς ἔχει τὸ τοῦ χρόνου νῦν. τὸ μὲν γὰρ ὡς διαιροῦν τὸν χρόνον λαμβάνεται τῇ
ἐπινοίᾳ καὶ οἷον δυνάμει. οὐ γὰρ ὡς ἐνεργείᾳ καὶ ὑπομένον. ἀλλ᾽ οὕτως ἡ ἐν τῇ γραμμῇ διαι-
ρετικὴ στιγμὴ δὶς ἐπινοουμένη δυνάμει, δύο ἐστὶ γίνεται δὲ ἐνεργείᾳ δύο, ὅταν χωρισθῇ ἀπ᾽
ἀλλήλων τὰ μέρη τῆς γραμμῆς. τὸ δὲ νῦν δυνάμει ὡς ἔοικε τούτῳ, ὅταν ἐπινοίᾳ ἑκάτε-
ρον δὶς λαμβάνηται. οὐ γὰρ γίνεταί ποτε ταύτῃ ἐνεργείᾳ. οὐ γὰρ ὑπομένει ἡ δυνάμει φησὶν

ἀλέξανδρος, ὅτι κατὰ δύναμίν τινα καὶ λόγον τὸ ἓν κατὰ τὸ ὑποκείμενον δύο γίνεται τῷ λόγῳ. τὸ μὲν οὖν διαιροῦν, οὕτως. τὸ δὲ ὡς πέρας, τουτέστιν ὡς ὅρος καὶ ἕνωσις ἀμφοῖν, ἐν ἀμφοτέροις ὁμοίως ὂν λαμβάνεται. ὅταν γὰρ τὸ αὐτὸ ἔχῃ λόγον πρὸς ἄμφω, τότε ἑνοῖ τε αὐτὰ, καὶ ἓν ποιεῖ. κατὰ τὸ αὐτὸ δὲ σημεῖον, καὶ κατὰ τὸ αὐτὸ νῦν, καὶ ἡ διαίρεσις καὶ ἡ συνέχεια τῷ τε μήκει καὶ τῷ χρόνῳ. ὁ δὲ λόγος οὐχ ὁ αὐτὸς τοῦ τε ἑνοῦντος καὶ τοῦ διαιροῦντός ἐστιν. εἴπερ τὸ μὲν ἓν καὶ τὸ αὐτὸ οὐ μόνον τῷ ὑποκειμένῳ ἀλλὰ καὶ τῷ λόγῳ, τὸ δὲ ὡς δύο τῷ λόγῳ λαμβάνεται. διατί δὲ ἄρα τῇ τῶν μαθηματικῶν μεγεθῶν διαιρέσει τε καὶ συνεχείᾳ ἐχρήσατο πρὸς παράδειγμα, καὶ οὐχὶ τῇ τῶν φυσικῶν. καὶ γὰρ ἐπὶ τούτων ἀληθὲς τὸ λεγόμενον. ἢ τοῖς μαθηματικοῖς προσεχρήσατο. πρῶτον μὲν ὅτι τὸ κυρίως νῦν ἀμερές ἐστιν. ἀμερὴς δὲ καὶ ἡ στιγμὴ ἡ μαθηματική ἐστιν, ἀλλ' οὐχ ἡ φυσική. ἔπειτα διὰ τὸ ἐν ἐπινοίᾳ μόνῃ τὴν τούτων εἶναι διαίρεσιν, ὥσπερ καὶ τὴν τοῦ χρόνου φύσιν. ἐν γὰρ τοῖς φυσικοῖς μεγέθεσι, καὶ ἐν ὑποστάσει ἐστὶν ἡ τοιαύτη διαίρεσις. μήποτε δὲ καὶ ἐν τῷ χρόνῳ ἐστὶν, εἴ τις τοὺς φυσικοὺς διορισμοὺς ἐννοήσει τῶν τοῦ χρόνου μερῶν, οἷον ἡμέρας, καὶ νυκτὸς, καὶ μηνῶν, καὶ ἐνιαυτῶν. ὡς καὶ ἐπὶ τῆς κινήσεως ἔχει. καὶ γὰρ καὶ ταύτης οἶμαι τινὰς εἶναι φυσικοὺς διορισμοὺς, τοὺς μὲν, ἐκ τῶν ὑποκειμένων, τοὺς δὲ καὶ ἐξ αὐτῆς τῆς κατὰ τὴν κίνησιν διαφορᾶς.

ΤΟ ΜΕΝ οὖν οὕτω λέγεται τῶν νῦν. ἄλλο δὲ, ὅταν ὁ χρόνος ὁ τούτου ἐγγὺς ᾖ, ἥξει νῦν ὅτι τήμερον ἥξει. ἧκε νῦν. ὅτι ἦλθε τήμερον. τὰ δ' ἐν ἰλίῳ, γέγονεν οὐ νῦν. οὐδ' ὁ κατακλυσμὸς γέγονε νῦν. καίτοι συνεχὴς χρόνος εἰς αὐτά. ἀλλ' ὅτι οὐκ ἐγγύς.

Εἰπὼν περὶ τοῦ κυρίως λεγομένου νῦν, ὃ ἀδιάστατόν τε καὶ ἀμερὲς ὂν, συνέχει τὸν χρόνον καὶ διαιρεῖ, προστίθησι καὶ τὰ ἄλλα σημαινόμενα τοῦ νῦν, καθ' ἃ λέγεσθαι συνείθισαι οὐκέτι κυρίως. ὁ γὰρ ἐφ' ἑκάτερα παρακείμενος τῷ τοιούτῳ νῦν χρόνος, ὅ, τε παρεληλυθὼς καὶ ὁ μέλλων ἅτε ἐγγὺς ὢν αὐτοῦ, νῦν καὶ αὐτὸς λέγεται, κατὰ τὴν πρὸς τὸ κυρίως λεγόμενον γειτνίασιν. λέγομεν γὰρ ἥξειν νῦν τὸν σήμερον ἐλευσόμενον. καὶ ἥκειν νῦν τὸν πρὸ ὀλίγου ἐληλυθότα. τὰ δὲ ἐν ἰλίῳ οὐ γέγονε νῦν. οὐδ' ὁ κατακλυσμός. καίτοι συνεχὴς ὁ χρόνος. ἀλλ' οὐκ ἦν ἐγγὺς τοῦ κυρίως νῦν τὰ τότε πραχθέντα ἀλλὰ πόῤῥω.

ΤΟ ΔΕ ποτὲ, χρόνος ὡρισμένος, πρὸς τὸ πρότερον νῦν. οἷον, ποτὲ ἐλήφθη ἡ τροία. καὶ ποτὲ ἔσται κατακλυσμός. δεῖ γὰρ πεπεράνθαι πρὸς τὸ νῦν. ἔσται ἄρα ποσός τις ἀπὸ τοῦδε χρόνος καὶ εἰς ἐκεῖνο. καὶ ἦν εἰς τὸ παρελθόν. εἰ δὲ μηδεὶς χρόνος ὃς οὔποτε. πᾶς ἂν εἴη χρόνος πεπερασμένος. ἆρ' οὖν ὑπολείψει, ἢ οὔ. εἴπερ ἀεὶ ἐστὶ κίνησις. ἄλλος οὖν, ἢ ὁ αὐτὸς πολλάκις. δῆλον ὅτι ὡς ἂν ἡ κίνησις, οὕτω καὶ ὁ χρόνος. εἰ μὲν γὰρ ἡ αὐτὴ καὶ μία γίνεταί ποτε, ἔσται χρόνος εἷς καὶ ὁ αὐτός. εἰ δὲ μὴ, οὐκ ἔσται. ἐπεὶ δὲ τὸ νῦν τελευτὴ καὶ ἀρχὴ τοῦ χρόνου, ἀλλ' οὐ τοῦ αὐτοῦ, ἀλλὰ τοῦ μὲν παρήκοντος τελευτή. ἀρχὴ δὲ τοῦ μέλλοντος, ἔχοι ἂν ὥσπερ ὁ κύκλος ἐν τῷ αὐτῷ πως τὸ κυρτὸν καὶ τὸ κοῖλον, οὕτω καὶ ὁ χρόνος ἀεὶ ἐν ἀρχῇ καὶ τελευτῇ. καὶ διὰ τοῦτο δοκεῖ ἀεὶ ἕτερος. οὐ γὰρ τοῦ αὐτοῦ ἀρχὴ καὶ τελευτὴ, τὸ νῦν. ἅμα γὰρ ἂν καὶ κατὰ τὸ αὐτὸ, τἀντικείμενα εἴη. καὶ οὐχ ὑπολείψει δή. ἀεὶ γὰρ ἐν ἀρχῇ.

Ἐφεξῆς περί τε τοῦ ποτὲ ἐπιῤῥήματος καὶ τῶν ἄλλων ὅσα χρονικά ἐστι πειράσεται διδάσκειν. ἅμα δὲ καὶ τὰ πρὸς τὸ νῦν ἔχοντα τὴν σχέσιν διαρθροῖ. πρὸς δὲ τούτοις ἵνα δείξῃ δι' αὐτοῦ, ὅτι οὐδεὶς χρόνος λαμβάνεται ἄπειρος. ἔστιν οὖν φησὶ τὸ ποτὲ χρόνος ὡρισμένος πρός τε τὸ πρότερον νῦν καὶ τὸ ὕστερον νῦν. οἷον ποτὲ ἐλήφθη τροία. τοῦτο λέγομεν δηλοῦντες, ὅτι ἔστι τι ἀπόστημα ἀπὸ τοῦ ἐνεστῶτος νῦν, ὃ ἦν ὅτε ἥλω τροία. ὁμοίως δὲ καὶ πρὸς τὸ μέλλον. λέγομεν γὰρ πότε ἔσται κατακλυσμός. ἐφ' οἷς δείξει λοιπὸν ὅτι πᾶς ὁ λαμβανόμενος χρόνος ὥρισται. πᾶς γὰρ ὁ χρόνος τὸ ποτὲ κατηγορούμενον ἔχει. τοῦτο γάρ ἐστι τὸ εἰ δὲ μηδεὶς χρόνος ὃς οὐ ποτέ. οὐχ ὅτι ὁ χρόνος ποτὲ ἦν ἢ ἔσται. ἀλλ' ὅτι οὐδείς ἐστι χρόνος, ὃς τὴν ποτὲ κατηγορίαν οὐκ ἀναδέχεται. εἰ οὖν πᾶς χρόνος ποτὲ, πᾶς δὲ ὁ ποτὲ ὥρισται, τοῦτο γὰρ ἔναγχος ἐδείχθη, πᾶς χρόνος ὥρισται. κἂν ὁ λαμβανόμενος δὲ χρόνος ὥρισται, οὐδὲ παύσεται, ἀλλ' ἀεὶ ἔσται. ἐπεὶ καὶ ἡ κίνησις ἧς ἀριθμὸς ὁ χρόνος. ὅτι δὲ ἡ κίνησις οὐκ ἐπιλείψει ποτὲ, ἐπὶ τῷ τέλει τῆσδε τῆς πραγματείας δειχθήσεται. ἀλλ' εἰ καὶ ἠρεμίας μέτρον ὁ χρόνος, δόξει καὶ μὴ οὔσης κινήσεως εἶναι χρόνος, τοιαύτην ἔνστασιν λύων ὁ ἀλέξανδρος, μετρεῖ μὲν φησὶ καὶ τὴν ἠρεμίαν ὁ χρόνος, τὸ δὲ εἶναι καὶ ἡ οὐσία αὐτοῦ ἐν τῇ κινήσει. ταύτης γάρ ἐστιν ἀριθμὸς, ὡς ἀποδέδεικται πρότερον. πάλιν οὖν ἀναμνησθῶμεν, ὅτι οὐ τῆς ἀντιδιῃρημένης τῇ ἠρεμίᾳ κινήσεως ἀριθμὸς ὤφειλε νοεῖσθαι ὁ χρόνος, ἀλλὰ καὶ τῆς ἐν ἠρεμίᾳ, καὶ πᾶσι τοῖς ἐν γενέσει τὴν ὑπόστασιν ἔχουσι κατὰ τὴν τοῦ εἶναι παράτασιν ὑπ' αὐτοῦ θεωρούμενος. λέγοιτο δ' ἂν τὸ εἶναι καὶ ἡ οὐσία αὐτοῦ ἐν τῇ κινήσει, ὅτι τὴν πρώτην καὶ κυριωτάτην τῶν κινήσεων τὴν κυκλοφορίαν μετρῶν, κατ' ἐκείνην καὶ τὰς ἄλλας κινήσεις μετρεῖ. ἐρωτήσας δὲ περὶ τοῦ χρόνου, εἰ μὴ ἐπιλείπων ὁ αὐτὸς ἢ ἄλλος ἐστὶν, ἐγκρίνει καὶ νῦν ὅτι ὁμοίως τῇ κινήσει ὁ αὐτὸς πάλιν καὶ πάλιν γίνεται, τῷ μὲν ἀριθμῷ ἄλλος καὶ ἄλλος, εἴδει δὲ ὁ αὐτός. οὕτω γὰρ καὶ ἐπὶ κινήσεως ἐλέγετο. ὅτι δὲ καὶ ἀεὶ ἄλλος καὶ ἄλλος καὶ οὐκ ἐπιλείψει ὁ χρόνος, δείκνυσιν ἐναργῶς διὰ τοῦ νῦν.

τοῦ νῦν. ἐπεὶ γὰρ τὸ αὐτὸ νῦν τὸ ἐνεστὼς ὡς ἐνεστώς, οὐ δὲ γὰρ ὡς πέρας ἁπλῶς ἅμα ἀρχὴ καὶ τελευτὴ χρόνου, ἀρχὴ μὲν τοῦ μέλλοντος, τελευτὴ δὲ τοῦ παρεληλυθότος, καὶ ἔστιν ἐν τῷ αὐτῷ νῦν ταῦτα, ὥσπερ ἐν τῷ κύκλῳ τὸ κυρτὸν καὶ τὸ κοῖλον, δηλονότι ἄλλου μὲν ἐστὶ πέρας, ἄλλου δὲ ἀρχή. οὕτω γὰρ καὶ διαιρεῖ τὸν χρόνον. καὶ ἀδύνατον ἅμα τοῦ αὐτοῦ τὸ αὐτὸ νῦν καὶ ἀρχὴν εἶναι καὶ πέρας. εἴη γὰρ ἂν ἅμα τὸ αὐτὸ τὰ ἀντικείμενα, ἅπερ αὐτὸς κοινότερον ἐναντία εἴρηκεν. εἴη δὲ ἂν καὶ ἐναντία πως ἡ ἀρχὴ καὶ τὸ πέρας, καὶ οὐ μόνον ὡς τὰ πρός τι ἀντίκειται. καὶ ὁ χρόνος ἐστὶν ὁ τὰ ἐναντία ἔχων. εἰ γοῦν οὗ μὲν πέρας ἐστὶ τὸ νῦν, οὗτος παρεληλυθώς ἐστιν, οὗ δὲ ἀρχὴ οὗτος μέλλων, ἂν τὸ αὐτὸ νῦν πέρας καὶ ἀρχὴ ληφθῇ, εἴη ἂν ἅμα ὁ αὐτὸς χρόνος καὶ παρεληλυθὼς καὶ μέλλων, εἴ τις ἐναντίωσίς ἐστιν ἐν χρόνῳ. εἰ τοίνυν μὴ τοῦ αὐτοῦ, ἀλλὰ πέρας μὲν τοῦ παρῳχηκότος, ἀρχὴ δὲ τοῦ μέλλοντος, ἀναγκαίως ὁ μέλλων ἄλλος ἔσται τοῦ παρεληλυθότος. διὰ τὸ αὐτὸ δὲ τοῦτο οὐδέποτε ἐπιλείψει ὁ χρόνος, τῷ τὸ ἐνεστὼς νῦν ὁμοίως μὲν ὡς ἔστι πέρας οὕτω καὶ ἀρχὴν εἶναι, πέρας μὲν τοῦ παρεληλυθότος, ἀρχὴν δὲ τοῦ μέλλοντος. ἔσται ἄρα καὶ ὁ μέλλων ἀεί. ἀρχῆς γὰρ οὔσης, δεῖ εἶναι καὶ τὸ οὗ ἐστιν ἀρχή, καὶ οὐκ ἐπιλείψει. ὅτι δὲ οὐδὲν κωλύει τὸ αὐτὸ πέρας εἶναι καὶ ἀρχήν, καὶ ὅλως τὰ ἐναντία, κατ᾽ ἄλλην καὶ ἄλλην σχέσιν λαμβανόμενον, ἔδειξεν ἐπὶ τῆς τοῦ κύκλου περιφερείας. ἐφ᾽ ἧς τὸ ληφθὲν πᾶν κοῖλόν τε ἐστὶ καὶ κυρτὸν ἅμα τὸ αὐτὸ κατ᾽ ἄλλην καὶ ἄλλην σχέσιν λαμβανόμενον. καὶ οὐχ οἷόν τε θάτερον μὲν εἶναι περὶ τὴν τοῦ κύκλου γραμμήν, τὸ δὲ ἕτερον μὴ εἶναι. οὕτως οὖν καὶ πάλιν νῦν τὸ κυρίως λαμβανόμενον πέρας τέ ἐστιν ἅμα καὶ ἀρχή, κατὰ τὴν πρὸς τοὺς διαφέροντας χρόνους σχέσιν. ὁ γὰρ ἐνεστὼς χρόνος καθὸ ἐνεστώς, μέσος ἐστὶ τοῦ παρεληλυθότος καὶ τοῦ μέλλοντος.

ΤῸ ΔῈ ἬΔΗ, τὸ ἐγγύς ἐστι τοῦ παρόντος νῦν ἀτόμου, μέρος τοῦ μέλλοντος χρόνου πότε βαδίσεις, ἤδη. ὅτι ἐγγὺς ὁ χρόνος ἐν ᾧ μέλλει. καὶ τοῦ παρελθόντος χρόνου. τὸ μὴ πόρρω τοῦ νῦν. πότε βαδίσεις, ἤδη βεβάδικα. τὸ δὲ Ἴλιον φαμὲν ἤδη ἑαλωκέναι, οὐ λέγομεν. ὅτι πόρρω λίαν τοῦ νῦν.

Καὶ τὸ ἤδη χρονικόν ἐστιν ἐπίρρημα, ὥσπερ καὶ τὸ ποτέ. δείξεται δὲ καὶ αὐτὸ τῷ νῦν τῷ ἀτόμῳ, ἀλλ᾽ οὐχὶ τῷ ἐν πλάτει λεγομένῳ. τὸ γὰρ ἐφ᾽ ἑκάτερα ἐγγὺς τοῦ ἐνεστῶτος νῦν, τοῦτο ἤδη λέγομεν. καὶ γὰρ γεγονέναι καὶ ἔσεσθαι ἤδη τοῦτο λέγεται, ὃ πρὸ ὀλίγου γέγονε, καὶ μετ᾽ ὀλίγον ἔσται. πότε γὰρ βαδίσεις ἐρωτηθέντες, ἤδη λέγομεν. καὶ ἤδη βεβάδικα, ὅταν ὁ χρόνος ἐγγὺς ᾖ τοῦ νῦν. ἐπὶ δὲ τῶν πρὸ πολλοῦ χρόνου γεγονότων, οὐδεὶς λέγει τὸ ἤδη. οὐδεὶς γὰρ λέγει Ἴλιον ἤδη ἑαλωκέναι. ἐπεὶ πάλαι ἥλω. ἐγγὺς γὰρ τοῦ ἐνεστῶτος βούλεται εἶναι τὸ ἤδη.

ΚΑῚ ΤῸ ἄρτι, τὸ ἐγγὺς τοῦ παρόντος νῦν, καὶ μόριον τοῦ παρελθόντος. πότε ἦλθες, ἄρτι. ἐὰν ᾖ ὁ χρόνος ἐγγὺς τοῦ ἐνεστῶτος νῦν.

Καὶ τὸ ἄρτι χρονικὸν μόριον εἶναί φησι τοῦ παρεληλυθότος χρόνου, τὸ ἐγγὺς τοῦ νῦν τοῦ ἐνεστῶτος. πότε γὰρ ἦλθες ἐρωτηθέντες, ἄρτι λέγομεν. ἐὰν ὁ χρόνος ἐν ᾧ ἤλθομεν ἐγγὺς ᾖ τοῦ νῦν. καὶ ὁ μὲν ἀριστοτέλης ὡς ἐπὶ μόνου τοῦ παρεληλυθότος τὸ ἄρτι λεγόμενον ἀκούει, ὡς καὶ τὸ παράδειγμα δηλοῖ. ὁ δὲ ἀλέξανδρος καὶ ἀσπάσιος καὶ ἐπὶ τοῦ μέλλοντος λέγεσθαί φασι. πότε γὰρ ἥξει ἐρωτηθέντες, λέγομεν ἄρτι, ἐὰν εὐθὺς μέλλῃ ἀφικνεῖσθαι. οὕτω δέ φησιν ἀλέξανδρος οὐδὲν διοίσει τὸ ἄρτι τοῦ ἤδη, εἰ μὴ κατὰ τὸ ὄνομα μόνον. κατὰ μέντοι ἀριστοτέλη, τὸ μὲν ἤδη ἐφ᾽ ἑκάτερα λέγεται, τὸ δὲ ἄρτι ἐπὶ τοῦ παρεληλυθότος, καὶ ταύτῃ διαφέρειν δοκοῦσιν. ἀλλ᾽ οὐδὲ τοῦ νῦν ταῦτα διοίσει φησὶν ἀλέξανδρος, τότε ἤδη καὶ τὸ ἄρτι, τοῦ λεγομένου ἐπὶ τοῦ χρόνου καὶ ἐν πλάτει. ὃ ἐγγύς ἐστι τοῦ κυρίως λεγομένου νῦν. διὸ καὶ αὐτὸ οὕτως ὠνόμασται. ὥστε φησὶ τὸ νῦν τὸ ἐν πλάτει λεγόμενον, καὶ τὸ ἤδη καὶ τὸ ἄρτι, τοῦ αὐτοῦ χρόνου δηλωτικά. ὁ δὲ ἀσπάσιος τὸ νῦν σφοδρότητα τοῦ ἐγγὺς εἶναι δηλοῦν φησι. μήποτε δὲ τὸ μὲν νῦν τὸ ἐν πλάτει, ἅτε ἐγγὺς ὂν τοῦ κυρίως νῦν, ταύτης ἔτυχε τῆς ἐπωνυμίας. τὸ δὲ ἤδη μετὰ τοῦ ἐγγὺς καὶ συμπερασματικόν ἔχει τι σημαινόμενον, κἂν ἐπὶ τοῦ μέλλοντος λέγηται χρόνου. τὸ δὲ ἄρτι τὸ νεωστὶ δηλοῦν φαίνεται. καὶ τάχα μὲν καὶ ἐπὶ τοῦ μέλλοντος λέγοιτο τὸ ἄρτι. ἡ δὲ πολλὴ συνήθεια ἐπὶ τοῦ παρεληλυθότος αὐτῷ προσκέχρηται.

ΠΆΛΑΙ δέ, τὸ πόρρω.

Τὸ ἐν τῷ παρεληλυθότι πόρρω τοῦ νῦν τοῦ χρόνου μέρος πάλαι λέγομεν, ἀντικείμενον τῷ ἄρτι ἐν ὀνόματι, ἐφ᾽ ἑκάστου τούτων τοσαύτην περιλαμβάνοντες ἔννοιαν.

ΤῸ ΔῈ ἘΞΑΊΦΝΗΣ τὸ ἐν ἀναισθήτῳ χρόνῳ διὰ μικρότητα ἐκστάν.

Τὸ ἐξαίφνης δεῖται τούτων, καὶ τοῦ ἐν ὀλίγῳ γίνεσθαι χρόνῳ ὅλον ἅμα, ὡς δοκεῖν ἄχρονον εἶναι ὅπερ ἐξαίφνης λέγομεν, καὶ τοῦ διά τε τὴν ὀλιγότητα τοῦ χρόνου, καὶ τὴν ὀξύτητα τῆς τοῦ γινομένου κινήσεως, ἀνεπαισθήτους ἡμᾶς γίνεσθαι τῆς χρονικῆς αὐτοῦ παρατάσεως. οὕτω γοῦν τὴν ἀστραπὴν ἐξαίφνης γίνεσθαί φαμεν, ὅτι ἀθρόα καὶ ἐν ὀλίγῳ καὶ ὀξέως οὐ προσαισθανομένοις δὲ συνεθιζομένοις ἡ ἔκλαμψις γίνεται. διὰ τοῦτο δὲ καὶ τοὺς ἀνδρειοτάτους τὰ ἐξαίφνης διαταράττει. ζητεῖ δὲ ὁ ἀλέξανδρος, πῶς ἀναίσθητον τὸν χρόνον λέγει διὰ μικρότητα, καίτοι ἐν τοῖς περὶ αἰσθήσεως καὶ αἰσθητῶν μηδένα χρόνον

βουλόμενος ἀναίσθητον εἶναι τῇ ἑαυτοῦ φύσει. μή ποτε οὖν φησιν ἐπειδὴ ὁ αἰσθητὸς καὶ ἀναίσθητος χρόνος τῷ αἰσθητῷ καὶ μὴ αἰσθητῷ πάθει κρίνεται, ὅταν τινὸς γινομένου ἀντίληψιν μὴ δυνηθῶμεν ἔχειν, διὰ ταχύτητα μὲν τῆς ἐκείνου κινήσεως, ὀλιγότητα δὲ τοῦ χρόνου, ἐν ᾧ ἐγένετο ἢ ἐκινήθη, τότε ἐπ' ἐκείνου ἀναίσθητος ὁ χρόνος εἴη ἂν οὕτως. οὐχ ἁπλῶς ἀναίσθητος. ἔστι γὰρ ἐν αὐτῷ, εἰ καὶ μὴ ἐκείνου, ἀλλ' ἄλλου τινὸς αἰσθέσθαι. ἑαυτῶν γοῦν ἐν ἐκείνῳ τῷ χρόνῳ καὶ ὄντων καὶ αἰσθανομένων ἀντιλαμβανόμεθα. οὐ γάρ ἐστι χρόνον λαβεῖν, ἐν ᾧ οὐκ οἷοί τε ἐσόμεθα ἑαυτῶν ὄντων ἀντιλαβέσθαι. ὥστε ἁπλῶς μὲν οὗτος ὁ βραχὺς χρόνος αἰσθητὸς ἂν εἴη. ἀναίσθητος δὲ ἐπὶ τοῦδέ τινος, ὃ λέγομεν ἐξαίφνης γεγονέναι. ὡς διὰ τὸ τῆς κινήσεως ἀναίσθητον καὶ τὸν χρόνον ἀναίσθητον λέγεσθαι, ἐν ᾧ ἡ τοιαύτη κίνησις. ἢ κοινότερόν φησιν ἄρτι χρόνον ὠνόμασεν τὸ πέρας τοῦ χρόνου τὸ νῦν. ὅ ἐστιν ἀναίσθητον τῇ ἑαυτοῦ φύσει. ἔθος γὰρ αὐτῷ καὶ τοῦτο χρόνον καλεῖν. τὰ οὖν ἐν τούτῳ γεγονότα, ἔστι δὲ τὸ πέρας τῶν μεταβολῶν ἐν τούτῳ, καὶ εἴ τινα ἀχρόνως γίνεται, ἐν ἀναισθήτῳ γίνεται τῷ νῦν. καὶ λέγεται ταῦτα ἐξαίφνης. ἐπὶ γὰρ τῶν ἐξαίφνης γινομένων τὸ ἐξαίφνης εἴωθε λέγεσθαι. ἐν τισὶ δὲ τῶν ἀντιγράφων διὰ σμικρότητα γέγραπται. καὶ σημαίνει ἂν κινηθέν.

Μ ΕΤΑΒΟΛΗ δὲ πᾶσα φύσει ἐκστατικόν. ἐν δὲ τῷ χρόνῳ πάντα γίνεται καὶ φθείρεται. διὸ καὶ οἱ μὲν σοφώτατον ἔλεγον. ὁ δὲ πυθαγόρειος Πάρων, ἀμαθέστατον. ὅτι καὶ ἐπιλανθάνονται ἐν τούτῳ, λέγων ὀρθότερον. δῆλον οὖν ὅτι φθορᾶς μᾶλλον ἔσται καθ' αὑτὸν αἴτιος, ἢ γενέσεως. καθάπερ ἐλέχθη καὶ πρότερον. ἐκστατικὸν γὰρ ἡ μεταβολὴ καθ' αὑτήν. γενέσεως δὲ καὶ τοῦ εἶναι, κατὰ συμβεβηκός. σημεῖον δὲ ἱκανόν, ὅτι γίνεται μὲν μηδὲν ἄνευ τοῦ κινεῖσθαι πως αὐτὸ καὶ πράττειν. φθείρεται δὲ καὶ μηδὲν κινούμενον. καὶ ταύτην μάλιστα λέγειν εἰώθαμεν ὑπὸ τοῦ χρόνου φθοράν. οὐ μὴν. ἀλλ' οὐδὲ ταύτην ὁ χρόνος ποιεῖ. ἀλλὰ συμβαίνει ἐν χρόνῳ γίνεσθαι, καὶ ταύτην τὴν μεταβολήν.

Μ ετὰ τὴν τῶν χρονικῶν ἐπιρρημάτων διάρθρωσιν, τοῦ νῦν, τοῦ ποτέ, τοῦ ἤδη, τοῦ ἄρτι, τοῦ πάλαι, τοῦ ἐξαίφνης, τὸ πρότερον εἰρημένον ὅτι φθορᾶς αἴτιος μᾶλλον ἢ γενέσεως ὁ χρόνος, αὐτό τε διαρθροῖ πλέον, καὶ ἔτι προστίθησιν ὅτι οὐδὲ φθορᾶς καθ' αὑτὸν αἴτιος. παραλαβὼν γὰρ ὅτι πᾶσα μεταβολὴ ἐκστατικόν ἐστι, τούτῳ μὲν χρήσεται μετ' ὀλίγον εἰς τὴν ἀπόδειξιν. νῦν δὲ τέως ἐπειδὴ πάντα φησὶ καὶ τὰ γινόμενα καὶ τὰ φθειρόμενα, ἐν χρόνῳ. τὰ μὲν γίνεται, τὰ δὲ, φθείρεται, εἰκότως οἱ μὲν, σοφώτατον, οἱ δὲ, ἀμαθέστατον λέγουσιν εἶναι τὸν χρόνον. σιμωνίδης μὲν γὰρ σοφώτατον, ὅτι γίνονται ἐπιστήμονες ὑπὸ χρόνου. πάρων, δὲ ὁ πυθαγόρειος ἀμαθέστατον, ὅτι ἐπιλανθάνονται ὑπὸ χρόνου. οὗτος δὲ ἔοικεν εἶναι, οὗ καὶ εὔδημος ἀνωνύμως ἐμνήσθη, λέγων ἐν ὀλυμπίᾳ σιμωνίδου τὸν χρόνον ἐπαινοῦντος ὡς σοφώτατον, εἴπερ ἐν αὐτῷ αἱ μαθήσεις γίνονται καὶ αἱ ἀναμνήσεις, παρόντα τινὰ τῶν σοφῶν εἰπεῖν, τί δὲ ὦ σιμωνίδη οὐκ ἐπιλανθανόμεθα μέντοι ἐν τῷ χρόνῳ; καὶ μή ποτε καὶ παρὰ ἀριστοτέλει ἐν τῷ, ὁ δὲ πυθαγόρειος πάρων, τὸ πάρων οὐκ εἶναι ὄνομα κύριον, ἀλλὰ μετοχήν. παρόντα γὰρ τὸν πυθαγόρειον τῷ σιμωνίδῃ λέγοντι, ὅτι σοφώτατος ὁ χρόνος, εἰπεῖν φασὶν ὅτι ἀμαθέστατον. δοκεῖ οὖν οὗτος λέγειν ὀρθότερον. μεταβολὴ γὰρ πᾶσα φύσει ἐκστατικόν. δῆλον οὖν ὅτι φθορᾶς μᾶλλον αἴτιος ὁ χρόνος καθ' αὑτόν ἐστιν ἢ γενέσεως, καθάπερ ἐλέχθη καὶ πρότερον. καὶ γὰρ ἡ κίνησις καὶ ἡ μεταβολὴ καθ' αὑτὸ μὲν ἐξίστησι τὸ προϋπάρχον. ἐπειδὴ δὲ συμβαίνει τισὶν ἐξισταμένοις τῆς οἰκείας οὐσίας μεταβάλλειν εἰς ἕτερα, διὰ τοῦτο καὶ γενέσεως αἰτία κατὰ συμβεβηκὸς ἡ κίνησις δοκεῖ. εἰ οὖν ὁ χρόνος ἀριθμὸς κινήσεως καὶ μεταβολῆς, ἡ δὲ μεταβολὴ καὶ ἡ κίνησις φθορᾶς καθ' αὑτό ἐστιν αἰτία, καὶ ὁ χρόνος φθορᾶς καθ' αὑτό ἐστιν αἴτιος, εἴπερ τῆς κινήσεως ἀριθμὸς ὁ χρόνος. τεκμήριον δὲ τῆς τῶν εἰρημένων ὀρθότητος ποιεῖται, ὅτι τοῖς μὲν γινομένοις οὐ μόνον ὁ χρόνος ἀρκεῖ πρὸς τὴν γένεσιν, ἀλλὰ προσδεῖται καί τινος ἐνεργείας ὑφ' ἧς γίνεται, οἷον τέχνης, ἢ φύσεως. ἢ διδασκαλίας, ἢ πράξεως. τοῖς δὲ φθειρομένοις αὐτὸς ἀρκεῖ μόνον ὁ χρόνος πρὸς τὴν φθοράν, κἂν ἔξωθεν αἰτία μηδεμία προσγένηται. ὥσπερ τοῖς ἐν χρόνῳ τηκομένοις τε καὶ σηπομένοις. περὶ ὧν καὶ λέγειν εἰώθαμεν, ὅτι ὑπὸ χρόνου ταῦτα πεπόνθασι. καὶ αὕτη ἐστὶν ἡ ὑπὸ τοῦ χρόνου γινομένη φθορά. ταῦτα δὲ εἰπὼν ἐπήνεγκεν, οὗ ἕνεκεν ἀνέλαβε τὰ πρότερον εἰρημένα, ὅτι οὐδὲ τὴν φθορὰν ὁ χρόνος καθ' αὑτὸ ποιεῖ. ἀλλὰ συμβαίνει ἐν χρόνῳ γίνεσθαι καὶ ταύτην τὴν μεταβολήν. τί οὖν τὸ τῆς φθορᾶς αἴτιον. ἡ ἑκάστου φύσις φασὶν οἱ ἐξηγηταὶ καὶ ἡ ὑποκειμένη ὕλη. μέτρα γὰρ ἑκάστου τῶν ἐν γενέσει ὑπὸ τῆς φύσεως ἐστὶν ὡρισμένα, καὶ αὐξήσεως, καὶ ἀκμῆς, καὶ παρακμῆς. καὶ τὸ μὲν αὐξήσεως εἶναι καὶ ἀκμῆς αἰτίαν τὴν φύσιν ὁμολογούμενον εἴρηται. τίς δὲ ἡ φθορᾶς αἰτία. λέγομεν γὰρ ὄντως φύσιν ἔχειν φθαρτήν. ἡ μὲν κυρίως λεγομένη φύσις, ποιητική τις καὶ κινητικὴ τῶν σωμάτων, ἀρχὴ γενέσεώς ἐστι, καὶ τοῦ εἶναι προηγουμένως αἰτία. διὸ καὶ τὸν ποιητὴν ἐν τῷ β'. βιβλίῳ τῆς δὲ τῆς πραγματείας γελοίως ἐκεῖνό φησιν εἰπεῖν, ἔχει τελευτὴν ἧσπερ οὕνεκ' ἐγένετο. οὐ γὰρ ἀφορᾷ τὴν φύσιν εἰς τέλος τὴν φθοράν, ἀλλὰ τὴν γένεσιν καὶ τὸ εἶναι. τοιαύτης δὲ οὔσης τῆς τῶν ἐπικήρων γενέσεως. ὡς ἄλλου γινομένου πάντως ἄλλο φθείρεσθαι, παρυφίστανται ταῖς γενέσεσιν αἱ φθοραί, καὶ αἱ καθ' αὑτὰς κινήσεις ταῖς δημιουργικαῖς κινήσεσι. τὸ δὲ φύσει φθαρτὸν, κατὰ τὸ πεφυκέναι καὶ ὑλικὸν καὶ ἀτελὲς λέγομεν.

γομεν. αἰτία δὲ φθορᾶς εἴ τις ζητήσειεν, ἤτε τῆς ὑποκειμένης ὕλης φύσις ἐστὶν, οὐ δυναμένη στέγειν ἀεὶ τὰ εἴδη, καὶ ὁ τῶν ἐναντίων ἐνθάδε διὰ τὴν ὕφεσιν διασπασμὸς, οὐ δυναμένων συνυπάρχειν ἀλλήλοις, ὡς ἐν τῇ πρώτῃ καὶ νοερᾷ αὐτῶν αἰτίᾳ. εἰ οὖν ταῦτα ἀληθῆ, καὶ ὁ χρόνος προηγουμένως μὲν ἂν εἴη γενέσεως αἴτιος, κατὰ δεύτερον δὲ λόγον φθορᾶς. ὁ μέντοι ἀριστοτέλης κἀνταῦθα τὰ ἐναργέστερον φαινόμενα παραλαμβάνων αἴτια, τὸν χρόνον τῆς φθορᾶς αἰτιᾶται μᾶλλον. αὐτὸς γὰρ τὸ μᾶλλον προστέθεικεν. ἐπεὶ ὅτι πάσης μεταβολῆς τὴν ὕλην αὐτὸς ᾐτιάσατο, διὰ τὴν πρὸς τὰ ἐναντία ἐπιτηδειότητα, ἐμάθομεν ἐν τῷ τέλει τῶν περὶ τοῦ οὐρανοῦ λόγων. ἀλλὰ πῶς ὁ χρόνος εἴπερ μέτρον ἐστὶν, αἴτιος γενέσεως λέγεται καὶ φθορᾶς. ἢ ὅτι καὶ τὸ μέτρον συμπληρωτικόν ἐστιν, ὥσπερ καὶ τοῦ μεγέθους τὸ εἶναι τρίπηχυ ἢ τετράπηχυ, οὕτω καὶ τῆς τοῦ γίνεσθαι ἢ φθείρεσθαι παρατάσεως, τὸ ἐπὶ τόσον ἢ τόσον.

ΟΤΙ, ΜΕΝ οὖν ἐστιν ὁ χρόνος, καὶ τί καὶ ποσαχῶς λέγομεν τὸ νῦν, καί τί τὸ ποτέ. καὶ τὸ ἄρτι καὶ τὸ ἤδη καὶ τὸ πάλαι. καὶ τὸ ἐξαίφνης, εἴρηται.

Δοκεῖ μὲν τὸ ὅτι ἐστὶ μὴ ἀποδεδεῖχθαι, ἀλλὰ καὶ τοὐναντίον ἐν τῇ ἀρχῇ τῶν περὶ χρόνου λόγων ὅτι οὐκ ἔστι δριμέως ἐπικεχείρηται. ἐν δὲ τῷ δεικνύναι τί ἐστιν ὁ χρόνος, περί τινος τῶν ὄντων οὗ καὶ ἔννοιαν ἔχομεν ποιησάμενος τὸν λόγον, καὶ ὅτι ἐστὶ συναπέδειξε. δείξει δὲ καὶ ἐφεξῆς εὐθὺς, ὅταν δεικνύῃ πᾶσαν μεταβολὴν καὶ πᾶν τὸ κινούμενον ἐν χρόνῳ κινεῖσθαι, καὶ τὸ πρότερον καὶ ὕστερον ἐν χρόνῳ εἶναι.

ΤΟΥΤΩΝ δὴ μὲν οὕτως διηριθμημένων, φανερὸν ὅτι ἅπασαν μεταβολὴν, καὶ ἅπαν τὸ κινούμενον, ἀνάγκη κινεῖσθαι ἐν χρόνῳ. τὸ γὰρ θᾶττον καὶ βραδύτερον, κατὰ πᾶσάν ἐστι μεταβολήν. ἐν πᾶσι γὰρ οὕτω φαίνεται. λέγω δὲ θᾶττον κινεῖσθαι τὸ πρότερον μεταβάλλον εἰς τὸ ὑποκείμενον κατὰ τὸ αὐτὸ διάστημα, καὶ ὁμαλὴν κίνησιν κινούμενον. οἷον, ἐπὶ τῆς φορᾶς εἰ ἄμφω κατὰ τὴν περιφερῆ κινεῖται, ἢ ἄμφω κατὰ τὴν εὐθεῖαν. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων. ἀλλὰ μὴν τό γε πρότερον ἐν χρόνῳ ἐστί. πρότερον γὰρ καὶ ὕστερον λέγομεν, κατὰ τὴν πρὸς τὸ νῦν, ἀπόστασιν· τὸ δὲ νῦν ὅρος τοῦ παρήκοντος, καὶ τοῦ μέλλοντος. ὥστε ἐπεὶ τὰ νῦν ἐν χρόνῳ, καὶ τὸ πρότερον καὶ ὕστερον ἐν χρόνῳ ἔσται. ἐν ᾧ γὰρ τὸ νῦν, καὶ ἡ τοῦ νῦν ἀπόστασις. ἐναντίως δὲ λέγεται τὸ πρότερον, κατά τε τὸν παρεληλυθότα χρόνον, καὶ τὸν μέλλοντα. ἐν μὲν γὰρ τῷ παρεληλυθότι, πρότερον λέγομεν, τὸ πορρώτερον τοῦ νῦν. ὕστερον δὲ, τὸ ἐγγύτερον. ἐν δὲ τῷ μέλλοντι, πρότερον μὲν, τὸ ἐγγύτερον. ὕστερον δὲ, τὸ πορρώτερον. ὥστε ἐπεὶ τὸ μὲν πρότερον ἐν χρόνῳ, πάσῃ δ' ἀκολουθεῖ κινήσει τὸ πρότερον, φανερὸν ὅτι πᾶσα μεταβολὴ καὶ πᾶσα κίνησις ἐν χρόνῳ ἐστίν.

Εἰπὼν πρὸ ὀλίγου ὅτι πάντα ἐν χρόνῳ καὶ γίνεται καὶ φθείρεται, νῦν τοῦτο δεῖξαι προτίθεται, καθολικωτέραν ποιούμενος τὴν ἀπόδειξιν, ὅτι πᾶσα μεταβολὴ καὶ πᾶσα κίνησις ἐν χρόνῳ γίνεται. ἡ γὰρ τούτου δεῖξις καὶ πρὸς τὴν περὶ χρόνου οἰκείως ἔχει ζήτησιν. καὶ βεβαιοῖ τὸ πρότερον καὶ ὕστερον ἐν χρόνῳ δεδειγμένον, ὅτι φθορᾶς μᾶλλον ἢ γενέσεως ἐστὶν αἴτιος ὁ χρόνος. καὶ τὸ μὲν ἐπιχείρημα τοιοῦτον, ἐν πρώτῳ σχήματι συναγόμενον. πᾶσα κίνησις τὸ πρότερον καὶ ὕστερον ἔχει. τὸ ἔχον πρότερον καὶ ὕστερον ἐν χρόνῳ ἐστίν. οἷς ἕπεται τὸ πᾶσαν κίνησιν ἐν χρόνῳ εἶναι. ἐπειδὴ δὲ μὴ ἐναργεῖς εἰσιν αἱ προτάσεις, ἑκατέραν κατασκευάσει. τὴν μὲν ἐλάττονα οὕτως. πᾶσα κίνησις τὸ θᾶττον ἔχει καὶ βραδύτερον. κατὰ πᾶσαν γάρ ἐστιν ἢ θᾶττον κινεῖσθαι ἢ βραδύτερον. πᾶν δὲ τὸ ἔχον τὸ θᾶττον καὶ βραδύτερον, τὸ πρότερον καὶ ὕστερον ἔχει. τούτοις γὰρ τὸ θᾶττον ὁρίζεται καὶ βραδύτερον. θᾶττον γὰρ ἐκεῖνο λέγομεν, τὸ πρότερον εἰς ἐκεῖνο μεταβάλλον ἐφ' ὃ ἡ κίνησις. βραδύτερον δὲ τὸ ὕστερον. ἡ δὲ σύγκρισις ὀρθῶς ἂν γίνοιτο, εἰ καὶ τὸ τῆς κινήσεως εἶδος τὸ αὐτὸ λάβοιμεν, οἷον τὸ κατὰ τόπον. καὶ τὸ διάστημα ἴσον τε καὶ ὅμοιον. οἷον ἐπὶ περιφερείας ἢ ἐπ' εὐθείας. καὶ τὴν κίνησιν ὁμαλῆ. ἐὰν γὰρ τὸ μὲν ἀνωμάλως, τὸ δ' ὁμαλῶς κινῆται, δύναται καὶ τὸ θᾶττον κινούμενον ὕστερον ἐπὶ τὸ πέρας ἀφικνεῖσθαι τῆς κινήσεως. γίνεται δέ τις καὶ παρὰ τὸ τοῦ ὑποκειμένου σχῆμα διαφορὰ τῆς κινήσεως, εἰ τὸ μὲν, εὐθὺ εἴη, τὸ δὲ, περιφερές. τὴν δὲ μείζονα πρότασιν τὴν λέγουσαν τὸ πρότερον καὶ ὕστερον ἐν χρόνῳ εἶναι, ἔδειξε διὰ τοῦ τὸ πρότερον καὶ ὕστερον λέγεσθαι κατὰ τὴν πρὸς τὸ νῦν ἀπόστασιν. πρότερον μὲν γὰρ τὸ τοῦ ἐνεστῶτος νῦν ἐπὶ τὸ παρεληλυθὸς διϊστάμενον πλέον, ὕστερον δὲ ἔκειτο τὸ τοῦ νῦν ἐγγυτέρω. ἐπὶ δὲ τοῦ μέλλοντος ἀνάπαλιν, πρότερον μὲν τὸ ἐγγυτέρω τοῦ νῦν, ὕστερον δὲ τὸ πορρωτέρω. ὥστε τὸ πρότερον καὶ ὕστερον κατὰ τὴν πρὸς τὸ νῦν ἀπόστασιν τὸ εἶναι ἔχει. τὸ γὰρ νῦν ὅρος τοῦ παρελθόντος καὶ τοῦ μέλλοντος. ὥστε ἐπεὶ τὸ νῦν ἐν χρόνῳ, καὶ τὸ πρότερον καὶ ὕστερον ἐν χρόνῳ ἔσται. ἐν ᾧ γὰρ τὸ νῦν, καὶ ἡ τοῦ νῦν ἀπόστασις. ὅπερ ἐστὶ τὸ πρότερον καὶ ὕστερον. εἰ οὖν πᾶσα κίνησις τὸ πρότερον καὶ τὸ ὕστερον ἔχει, ταῦτα δὲ ἐν χρόνῳ, καὶ πᾶσα κίνησις ἐν χρόνῳ, ἑκατέρας τῶν προτάσεων ἀληθῶς ληφθείσης. ὅτι γὰρ ὡς προσεχεῖς τῆς ἀποδείξεως προτάσεις τέθεικε, τήν τε λέγουσαν ὅτι πᾶσα κίνησις τὸ πρότερον ἔχει καὶ τὸ ὕστερον, καὶ τὴν λέγουσαν τὸ πρότερον καὶ ὕστερον ἐν χρόνῳ, ἐδήλωσε μετὰ τὴν δεῖξιν ἐπενεγκὼν, ὥστε ἐπεὶ τὸ μὲν πρότερον

ἐν χρόνῳ, πάσῃ δὲ ἀκολουθεῖ κινήσει τὸ πρότερον, φανερὸν ὅτι πᾶσα μεταβολὴ καὶ πᾶσα κίνησις ἐν χρόνῳ ἐστίν. ἀκολουθεῖν δέ ἐστι, τὸ ἕπεσθαι καὶ κατηγορεῖσθαι.

ΑΞΙΟΝ ΔΕ ἐπισκέψεως, καὶ πῶς ποτε ἔχει ὁ χρόνος πρὸς τὴν ψυχήν. καὶ διατί ἐν παντὶ εἶναι δοκεῖ ὁ χρόνος, καὶ ἐν γῇ καὶ ἐν θαλάττῃ καὶ οὐρανῷ. ἢ, ὅτι κινήσεώς τι πάθος. ἢ ἕξις, ἀριθμός γε ὤν. ταῦτα δὲ κινητὰ πάντα. ἐν τόπῳ γὰρ πάντα. ὁ δὲ χρόνος καὶ ἡ κίνησις, ἅμα κατά τε τὴν δύναμιν καὶ κατ᾽ ἐνέργειαν.

Δύο προβάλλεται ζητεῖν ἐν τούτοις. ἓν μὲν, πῶς ἔχει πρὸς τὴν ψυχὴν ὁ χρόνος. τοῦτο δέ ἐστιν εἰ δύναιτο χρόνος εἶναι ψυχῆς μὴ οὔσης. ταυτὸν δὲ εἰπεῖν εἰ δύναται τὸ ἀριθμούμενον εἶναι, μὴ ὄντος τοῦ ἀριθμοῦντος, εἴπερ ψυχὴ τὸ ἀριθμοῦν. ἀλλὰ τοῦτο μὲν πρῶτον προβαλλόμενος, ὕστερον ἐπιχειρήσει διαρθροῦν. τὸ δὲ ἕτερον, διατί πανταχοῦ ὁ χρόνος εἶναι δοκεῖ, καὶ ἐν γῇ καὶ ἐν θαλάττῃ καὶ ἐν οὐρανῷ. καὶ δὴ τούτου πρῶτον τὴν αἰτίαν ἀποδίδωσιν. ὅτι ὁ χρόνος ἀριθμὸς ὢν κινήσεως, ἐκείνης τί ἐστιν ἕξις ἢ πάθος. ὥς τε συμβεβηκός ἐστιν ἀχώριστον τῇ κινήσει. καὶ γὰρ καὶ ὁ ἀριθμὸς ἐν τοῖς ἀριθμουμένοις εἶναι δοκεῖ, καὶ ἔχεσθαι ὑπ᾽ αὐτῶν. ἐπειδὴ οὖν ταῦτα πάντα ἐν οἷς ὁ χρόνος λέγεται, οἷον γῆ. θάλαττα, οὐρανὸς, σώματά ἐστι, πᾶν δὲ σῶμα ἐν τόπῳ, τὸ δὲ ἐν τόπῳ κινητὸν ἢ καθ᾽ ὅλον ἢ κατὰ μόρια, τὸ δὲ κινητὸν μετὰ τῆς κινήσεως ἔχει καὶ τὸ τῇ κινήσει συμβεβηκὸς, ὡς πάθος ἢ ἕξιν τὸν χρόνον, εἰκότως ἐν γῇ καὶ θαλάττῃ καὶ ἐν οὐρανῷ ἐν οἷς ἡ κίνησις, ἐν τούτοις καὶ χρόνος ἐστί. ταῦτα δὲ συντόμως συναγαγὼν ἐπήγαγεν, ὁ δὲ χρόνος καὶ ἡ κίνησις ἅμα κατά τε δύναμιν καὶ κατὰ ἐνέργειαν. εἰπὼν γὰρ συνυπάρχειν τῇ κινήσει τὸν χρόνον, ἐν ὅσοις ἐστὶ καὶ ἡ κίνησις, προστίθησιν ὅτι καὶ ὁμοίως ἔχει τῇ κινήσει ὁ χρόνος ἑκασταχοῦ. εἰ μὲν δυνάμει ἡ κίνησις, δυνάμει καὶ ὁ χρόνος. εἰ δὲ ἐνεργείᾳ, καὶ ὁ χρόνος ἐνεργείᾳ. καὶ διατοῦτο ἐν τῇ συναγωγῇ τοῦ λόγου, κινητὰ εἶπε τὰ ἐν τόπῳ καὶ οὐχὶ κινούμενα. ἵνα ἄμφω περιλάβῃ καὶ τὰ δυνάμει καὶ τὰ ἐνεργείᾳ. κινητὸν γὰρ καὶ τὸ κινούμενον, καὶ τὸ πεφυκὸς κινεῖσθαι, οἷον τὸ ἠρεμοῦν ὥς φησιν Ἀλέξανδρος. λέγει δὲ πάθος τῆς κινήσεως τὸν χρόνον ὡς συμβεβηκὸς, ὡς τῶν ἀριθμητῶν ὁ ἀριθμὸς πάθος. ἕξιν δὲ διότι ἔχεται ὑπὸ τῆς κινήσεως. ἀλλ᾽ εἰ δυνάμει κινούμενον τὸ ἠρεμοῦν λέγεται νῦν ὡς ὁ Ἀλέξανδρος ἤκουσεν, ἐν ᾧ δὲ δυνάμει ἡ κίνησις ἐν τούτῳ δυνάμει καὶ ὁ χρόνος, δηλονότι ἐν τῷ ἠρεμοῦντι δυνάμει ἂν εἴη ὁ χρόνος. καίτοι οὐ μόνον τὰ κινούμενα ἀλλὰ καὶ τὰ ἠρεμοῦντα ἐν χρόνῳ εἶναι ἐλέγετο κατ᾽ ἐνέργειαν. μέτρον γὰρ καὶ ἠρεμίας ὁ χρόνος κατ᾽ ἐνέργειαν, ὡς τοῦ εἶναι τῆς ἠρεμίας ὥσπερ καὶ τοῦ τῆς κινήσεως ὑπὸ τοῦ χρόνου μετρουμένου. μήποτε οὖν πρὸς τὸν χρόνον οὐ τὰ ἠρεμοῦντα δυνάμει κινούμενα ἀκουστέον. ἀλλὰ τὰ μήπω μὲν παρελθόντα εἰς γένεσιν, δυνάμενα δὲ γενέσθαι. εἰ γὰρ τῆς κατὰ τὴν γένεσιν κινήσεως ἀριθμὸς ἦν ὁ χρόνος, ταύτην δὲ ἐκινεῖτο καὶ τὰ ἠρεμεῖν λεγόμενα, δηλονότι καὶ ἡ κίνησις κατ᾽ ἐνέργειαν εἴη ἂν ἐν τούτοις, καὶ ὁ τὴν τοιαύτην κίνησιν μετρῶν χρόνος. ἐπειδὴ δὲ κατὰ συμβεβηκὸς ἐν χρόνῳ τὴν ἠρεμίαν ἤκουσεν ὁ Ἀλέξανδρος, εἴποι ἂν τὸ καθ᾽ αὑτὸ ἐν χρόνῳ τὴν κίνησιν, ποτὲ μὲν τὸ δυνάμει ὡς ἐν τῷ ἠρεμοῦντι, ποτὲ δὲ ἠρεμία ἐν τῷ ἤδη κινουμένῳ λαμβάνεσθαι. ἱστορεῖ δὲ καὶ ἄλλην γραφὴν ὁ Ἀλέξανδρος, διὰ τὴν εἰρημένην ἴσως ἀπορίαν μεταπλασθεῖσαν οὕτω. ὁ δὲ τόπος καὶ ἡ κίνησις ἅμα κατά τε δύναμιν καὶ ἐνέργειαν, εἰς πίστιν τοῦ κινητὰ εἶναι τὰ εἰρημένα γῆν θάλατταν οὐρανὸν, προστεθέντος αὐτοῦ τὸ νῦν εἰρημένον, ὡς τῶν μὲν ἐνεργείᾳ ὄντων ἐν τόπῳ ἐνεργείᾳ καὶ καθ᾽ αὑτὸ κινουμένων, τῶν δὲ δυνάμει ἐν τόπῳ ὥσπερ τὰ μέρη τοῦ ὅλου ἔχει, τούτων καὶ κινητῶν δυνάμει ὄντων. τεκμήριον οὖν τοῦ ὑπάρχειν τοῖς ἐν τόπῳ οὖσι τὴν κίνησιν, τὸ ὡς ἕκαστον τοῦ ἐν τόπῳ μετέχει, οὕτω μετέχει καὶ τῆς κινήσεως, εἰ μὲν δυνάμει, δυνάμει, εἰ δὲ ἐνεργείᾳ, ἐνεργείᾳ. προχείρου δὲ ὄντος ἀπορεῖν πῶς ὁ χρόνος ἐν οὐρανῷ, μὴ ὄντι ἐν τόπῳ, εἴπερ τὰ ἐν τόπῳ μόνα κινητὰ, τὰ δὲ κινητὰ μόνα ἐν χρόνῳ, αἰσθόμενος καὶ λύων ὁ Ἀλέξανδρός φησιν, ὅτι ἐν τῷ οὐρανῷ ὁ χρόνος εἰ καὶ μὴ ἔστιν ἐν τόπῳ, πρόδηλον. ἀεὶ γὰρ κινεῖται. ἔνθα δὲ κίνησις, ἐκεῖ καὶ χρόνος. ἀλλ᾽ ἐνταῦθα μὲν τῶν ἄλλων τῶν ἀεὶ κινουμένων ἐδεήθη τοῦ τόπου, διὰ τοῦ ἐν τόπῳ αὐτὰ εἶναι δεῖξαι ὅτι καὶ κινητά. τὸ δὲ θεῖον σῶμα οὐκ ἐδεῖτο δείξεως πρὸς τὸ κινητὸν εἶναι φανερὰ γὰρ αὐτοῦ καὶ ἐναργὴς ἡ κίνησις οὖσα ἀΐδιος. ταῦτα μὲν οὖν ὁ Ἀλέξανδρος αὐτῇ λέξει γέγραφεν. εἰ δὲ κινεῖται ὁ οὐρανὸς τὴν κύκλῳ κίνησιν, δηλονότι κατὰ τόπον ἐστὶν ἡ κίνησις αὕτη, καὶ οὐ κατ᾽ ἄλλο εἶδος κινήσεως. τὸ δὲ κατὰ τόπον κινούμενον ἐν τόπῳ ἐστί.

ΠΟΤΕΡΟΝ δὲ μὴ οὔσης τῆς ψυχῆς εἴη ἂν ὁ χρόνος, ἢ οὔ, ἀπορήσειεν ἄν τις ἀδυνάτου γὰρ ὄντος εἶναι τοῦ ἀριθμήσοντος, ἀδύνατον καὶ ἀριθμόν τι εἶναι ὥς τε δῆλον ὅτι οὐδ᾽ ἀριθμός. ἀριθμὸς γὰρ ἢ τὸ ἠριθμημένον, ἢ τὸ ἀριθμητόν. εἰ δὲ μηδὲν ἄλλο πέφυκεν ἢ ψυχὴ ἀριθμεῖν καὶ ψυχῆς νοῦς, ἀδύνατον εἶναι χρόνον ψυχῆς μὴ οὔσης. ἀλλ᾽ ἢ τοῦτο ὅ ποτε ὂν ἐστὶν ὁ χρόνος. οἷον, εἰ ἐνδέχεται κίνησιν ἄνευ ψυχῆς εἶναι, τὸ δὲ πρότερον καὶ ὕστερον ἐν κινήσει ἐστίν, χρόνος δὲ ταῦτά ἐστιν ᾗ ἀριθμητά ἐστιν.

Μεταβέβηκεν ἐνταῦθα τὸ ἕτερον τῶν προτεθέντων, ὃ καὶ πρότερον ἦν, ἐκεῖ μὲν οὕτω προτεθὲν πῶς ποτε ἔχει ὁ χρόνος πρὸς τὴν ψυχὴν, ἐνταῦθα δὲ σαφέστερον μεταληφθέν. ζητεῖται γὰρ εἰ μὴ οὔσης τῆς

ψυχῆς, εἴη ἂν ὁ χρόνος ἢ οὔ. ἐπειδὴ γὰρ εὔλογον δοκεῖ τὰ πρός τι συνυπάρχειν καὶ συναναιρεῖσθαι
ἀλλήλοις, δεξιοῦ γὰρ μὴ ὄντος οὐδὲ ἀριστερόν ἐστιν, ἔστι δὲ πρός τι καὶ τὸ ἀριθμητικὸν καὶ τὸ ἀριθμητόν,
καὶ ἔστι ψυχὴ μὲν ἀριθμητικὸν καὶ ὁ τῆς ψυχῆς νοῦς, οὐ γὰρ τῷ παθητικῷ ἀριθμοῦμεν ἀλλὰ τῷ λό-
γῳ, ὁ δὲ χρόνος ἀριθμητόν, ὥστε μὴ οὔσης ψυχῆς οὐδὲ ὁ χρόνος εἶναι δοκεῖ. ἀντέθηκε δὲ τὸ ἀριθμῆσον
τῷ ἀριθμητῷ, δέον φασὶ τὸ ἀριθμητικὸν ἀντιθεῖναι. ταυτὸν δὲ ἐστι τὸ ἀριθμητικὸν καὶ τὸ ἀριθμῆσον,
τὸ μὲν, κατὰ δύναμιν, τὸ δὲ, κατὰ τὸν μέλλοντα χρόνον λεγόμενον. ὅπερ πάλιν τὸ δυνάμει συνεκ-
φαίνει. ὥσπερ ταυτὸν ἀριθμητὸν καὶ τὸ ἀριθμησόμενον. προσέλαβε δὲ καὶ ὅτι ἀριθμός ἐστιν, ἢ τὸ ἠρι-
θμημένον ἢ τὸ ἀριθμητόν. λέγομεν γὰρ ἀριθμὸν ἢ τὸ ἤδη ἀριθμηθέν, ἢ τὸ δυνάμενον ἀριθμηθῆναι. οἷον τὸ
τῶν στρατιωτῶν πλῆθος ἀριθμητόν, ὅτι δύναται ἀριθμηθῆναι. ἔστι δὲ καὶ τὸ ἠριθμημένον ἀριθμητόν.
μὴ ὄντος οὖν τοῦ ἀριθμητοῦ, οὐδὲ ἀριθμὸς εἴη ἄν. ὥστε ἡ ὅλη συναγωγὴ κατὰ τὴν διὰ τριῶν ἀγωγὴν
τοιαύτη. εἰ μὴ τὸ ἀριθμῆσον, οὐδὲ τὸ ἀριθμητόν. εἰ μὴ τὸ ἀριθμητόν, οὐδὲ ὁ ἀριθμὸς ὁ ὡς ἀριθμητός. εἰ οὖν
τὸ μὲν ἀριθμῆσον ἡ ψυχὴ κατὰ τὸν ἑαυτῆς νοῦν, ὁ δὲ χρόνος ἀριθμός, μὴ οὔσης ψυχῆς οὐκ ἂν εἴη χρό-
νος. ἐνίσταται δὲ πρὸς τὸν λόγον τοῦτον ὁ βοηθός, λέγων μηδὲν κωλύειν τὸ ἀριθμητὸν εἶναι καὶ δίχα τοῦ
ἀριθμοῦντος, ὥσπερ καὶ τὸ αἰσθητὸν δίχα τοῦ αἰσθανομένου. ὁ δὲ ἀλέξανδρος καὶ τὴν ἔνστασιν διὰ
πλειόνων τέθεικε. καὶ τὴν λύσιν ἐπήγαγεν, ἀκολουθῶν τῷ ἀριστοτέλει. ἄξιον γάρ φησι ζητῆσαι, πῶς
ὑγιές ἐστι τὸ μὴ ὄντος τοῦ ἀριθμήσοντος μηδὲ ἀριθμητὸν εἶναι. τὸ μὲν γὰρ ἀριθμὸν μὴ εἶναι, μηδὲ τὸ ἀρι-
θμούμενον καθὸ ἀριθμούμενον, μὴ ὄντος τοῦ ἀριθμοῦντος, ἐχέτω λόγον, εἰ τῷ ἀριθμῷ ἐν τῷ ἀριθμεῖ-
σθαι τὸ εἶναι. τὸ μέντοι ἀριθμητὸν αὐτὸ, καὶ ὃ οἷόν τε ἀριθμηθῆναι, οἷον ἄνθρωποι ἢ ἵπποι, οὐ δοκεῖ τῷ
ἀριθμοῦντι συναναιρεῖσθαι. τὸ γοῦν πρότερον καὶ ὕστερον ἐν κινήσει ὄντα ἀριθμητὰ, δείκνυσιν αὐτὸς
εἶναι δυνάμενα καὶ μὴ οὔσης ψυχῆς, εἴ γε κίνησιν οἷόν τε εἶναι μὴ οὔσης ψυχῆς. λύων δὴ τὴν ἀπορίαν
φησίν, ἢ οὐκ ἀριθμητὸν ἔσται. ἀλλὰ τὸ μὲν ᾧ συμβέβηκεν ἀριθμητῷ γίνεσθαι, ἔσται. οἷον ἵπποι ἢ ἄνθρω-
ποι. οὐ μὴν ἀριθμητὸν ὡς ἀριθμητόν. καὶ γὰρ καὶ ἐπὶ τῶν ἄλλων πρός τι, μὴ ὄντος εἰ τύχοι τοῦ δεξιοῦ,
ὃς μὲν ἦν ἀριστερὸς ἔσται οἷον σωκράτης, ἀριστερὸς δ' οὔ. εἰ οὖν τὸ πρότερον καὶ ὕστερον ὡς ἀριθμητὸς ἀ-
ριθμητὸς ὁ χρόνος ἦν, μὴ ὄντος τοῦ ἀριθμήσοντος, οὐκ ἂν εἴη ὁ χρόνος. τὸ μέντοι τῷ χρόνῳ ὑποκείμενον,
ὅπερ ἦν ἡ κίνησις οὐδὲν κωλύει εἶναι. ταύτην δὲ τὴν λύσιν συντόμως ὁ ἀριστοτέλης παραδέδωκε,
διὰ τοῦ, ἀλλ' ἢ τοῦτο ὅ ποτε ἐστὶν ὁ χρόνος. τὸ γὰρ ὑποκείμενον τῷ χρόνῳ ἤτοι τῷ ἀριθμητῷ, οὐδὲν κωλύει
εἶναι καὶ μὴ οὔσης ψυχῆς, εἰ ὅλως οἷόν τε κίνησιν χωρὶς ψυχῆς εἶναι. χρόνος δὲ οὐκ ἔσται. εἰ γὰρ τὰ μὲν
ἐνεργείᾳ λέγεται πρὸς τὰ ἐνεργείᾳ, τὰ δὲ δυνάμει πρὸς τὰ δυνάμει, ἂν ᾖ ἀδύνατον εἶναι τὸ ἀρι-
θμῆσον, ἀδύνατον ἂν εἴη καὶ τὸ ἀριθμητόν, εἴ γε ἀριθμητὸν τὸ οἷόν τε ἀριθμηθῆναι. οὐδὲ γὰρ αἰσθήσεως
ἀναιρεθείσης, μένοντος τοῦ χρώματος, τὸ χρῶμα ἔσται ὡς ὁρατόν, ἀλλ' ὡς χρῶμα μόνον. πάνυ δὲ ἀκρι-
βῶς προσέθηκε τὸ, εἰ ἐνδέχεται κίνησιν εἶναι ἄνευ ψυχῆς. ὅσον μὲν γὰρ ἐπὶ τῇ κατὰ τὰ πρός τι ἀν-
τιθέσει, καὶ ἀναιρεθείσης τῷ λόγῳ τῆς ψυχῆς, κἂν μὴ χρόνον ἀλλὰ κίνησίν γε οὐδὲν κωλύει εἶναι. εἰ
μέντοι μὴ δύναται κίνησις ἄνευ ψυχῆς εἶναι, οὐ μόνον ὁ χρόνος ἀλλὰ καὶ ἡ κίνησις ἀναιρεθήσεται
ψυχῆς μὴ οὔσης. εἰ γὰρ ἡ κυκλοφορία, ἐξ ἧς καὶ αἱ ἄλλαι κινήσεις καὶ μεταβολαὶ τὸ εἶναι ἔχουσιν,
ἀπὸ νοῦ καὶ κατ' ὄρεξιν ἐστίν, ὡς ὁμολογεῖ καὶ ἀλέξανδρος, ἀναιρουμένης ψυχῆς, ἀναιροῖτο ἂν πᾶ-
σα κίνησις. ἥ, τε γὰρ κατὰ τόπον ἀπὸ τῆς κυκλοφορίας. ἔτι περ αἱ τῶν ἁπλῶν σωμάτων μεταβολαὶ
εἰς ἄλληλα παρ' αὐτῆς. κατὰ γὰρ βαρύτητα καὶ κουφότητα. καὶ εἰ ἡ κατὰ τόπον κίνησις προτέ-
ρα ἐστὶν ἡ κατὰ φύσιν, ὑστέρα δὲ ἡ παρὰ φύσιν τῆς κατὰ φύσιν. καὶ τῆς τῶν ζώων δὲ κατὰ φύσιν κι-
νήσεως, ἥ τε οἰκεία ψυχή ἐστιν αἰτία, καὶ ἡ κυκλοφορία. ἄνθρωπος γὰρ ἄνθρωπον γεννᾷ καὶ ὁ ἥλιος.
ὥστε καὶ τῆς κατὰ γένεσιν μεταβολῆς αἰτία ἐστὶν ἡ κυκλοφορία. καὶ αἱ κατὰ ἀλλοίωσιν δὲ καὶ
αὔξησιν καὶ μείωσιν μεταβολαὶ ἀπ' ἐκείνης. ἡ γὰρ τοῦ ἡλίου πρόσοδός τε καὶ ἄφοδος τὴν πλείστην
τούτων αἰτίαν παρέχεται. τούτων δὲ ῥηθέντων, ἐπιστῆσαι ἄξιον ὡς οἶμαι, ὅτι τοῦ ἀριθμοῦντος ἀναι-
ρουμένου, ὡς μὲν ἀριθμὸς ἀριθμητὸς ὁ χρόνος ἀναιρεῖται. ὡς μέντοι τὸ πρότερον καὶ ὕστερον τὸ κατὰ
τὴν τοῦ εἶναι τῆς κινήσεως παράτασιν οὐκ ἀναιρεῖται. κατὰ τοῦτο δὲ ὁ χρόνος ὑφέστηκε. τὸ γὰρ ἀρι-
θμητὸν εἶναι συμβέβηκεν αὐτῷ κατὰ τὸ πρότερον καὶ ὕστερον. ψυχῆς δὲ ἀναιρουμένης, ἥ τις ἀρχὴ γε-
νέσεώς ἐστι καὶ τῆς κατὰ τὴν γένεσιν πάσης κινήσεως, ᾗ συνυπάρχει ὁ χρόνος, ἀναιρεθήσεται καὶ ὁ
χρόνος. εἰκότως οὖν ὁ ἀριστοτέλης, ὡς μὲν ἀριθμούσης τῆς ψυχῆς, ἀναιρουμένης, ὡς ἀριθμητὸν ἀναιρεῖ-
σθαι τὸν χρόνον φησίν. ὡς μέντοι ἀρχῆς γενέσεως καὶ κινήσεως ἀναιρουμένης καὶ τὴν κίνησιν καὶ τὴν
γένεσιν ἀναιρεῖσθαι ἐνδείκνυται, διὰ τοῦ εἰ ἐνδέχεται κίνησιν εἶναι ἄνευ ψυχῆς. οὐ μόνον δὲ τῷ τὴν
κίνησιν ἀναιρεῖσθαι συναναιρεῖται ὁ χρόνος κινήσεώς τι ὤν, ἀλλὰ καὶ αὐτὸς καθ' αὑτὸν ἐν τῷ γίνεσθαι
τὸ εἶναι ἔχων ἀναιρεθήσεται, ψυχῆς ἀναιρουμένης. ἥ τις αἰτία πάσης γενέσεως καὶ κινήσεως ἦν. καὶ
ὅρα πῶς κἀνταῦθα ὁ ἀριστοτέλης σύμφωνα γέγραφε τῷ σφετέρῳ καθηγεμόνι, εἰπὼν εἰ ἐνδέχε-
ται κίνησιν εἶναι ἄνευ ψυχῆς, τουτέστιν ἄνευ τοῦ κινοῦντος, ἐκείνῳ λέγοντι, ὅτι τοῖς ἄλλοις ὅσα κινεῖ-
ται πηγὴ καὶ ἀρχὴ κινήσεως ἐστὶν ἡ ψυχή, καὶ ὅτι ἐξ ἀρχῆς ταύτης πᾶν τὸ γινόμενον γίνεται.

Ἀ ΠΟΡΗΣΕΙΕ δ' ἄν τις καὶ ποίας κινήσεως ὁ χρόνος ἀριθμός. ἢ ὁποιασοῦν. καὶ γὰρ γίνεται ἐν χρόνῳ καὶ φθείρεται καὶ αὐξάνεται καὶ ἀλλοιοῦται ἐν χρόνῳ καὶ φέρεται, ᾗ οὖν κίνησίς ἐστι, ταύτῃ ἐστὶν ἑκάστης κινήσεως ἀριθμός. διὸ κινήσεως ἁπλῶς ἀριθμός ἐστι συνεχοῦς, ἀλλ' οὐ τινός.

Ἀριθμὸν κινήσεως δείξας τὸν χρόνον, καὶ μέχρι νῦν ὡς ἐπὶ τῆς κατὰ τόπον κινήσεως τὸν πλείονα λόγον ποιησάμενος, ταύτῃ γὰρ ἥρμοττε τὸ μετρεῖσθαι ὑπὸ τοῦ μεγέθους τὴν κίνησιν, καὶ τὸ λέγειν ὅτι πολλήν τινα φαμὲν εἶναι τὴν ὁδόν, ἂν ᾖ ἡ πορεία πολλή, καὶ ταύτην πολλὴν ἂν ᾖ ἡ ὁδὸς πολλή, ἐπειδὴ τῶν κινήσεων πλείονα ἐστὶν εἴδει, τὸ μὲν κατὰ τόπον, τὸ δὲ κατὰ ποιόν, τὸ δὲ κατὰ ποσόν, ἔστι δὲ καὶ ἡ γένεσις καὶ ἡ φθορὰ κατ' οὐσίαν μεταβολή, εἰ καὶ μὴ κίνησις αὕτη, ὡς μετὰ τοῦτο τὸ βιβλίον ἀκριβολογουμένῳ φανήσεται, ἀλλ' οὖν καὶ ἐν ταύτῃ τὸ πρότερον καὶ ὕστερον καὶ ἡ τοῦ χρόνου μέθεξις ὁρᾶται, εἰκότως ἀπορίας ἄξιον εἶναι φησί, ποίας τούτων τῶν κινήσεων ἐστὶν ἀριθμὸς ὁ χρόνος. καὶ λέγει μὴ τῆσδέ τινος εἶναι, καθὸ ἥδε τις, ἀλλὰ τῆς ὁποιασοῦν κινήσεως. οὐ γὰρ καθὸ φθορὰ ἢ ἀλλοίωσις ἤ τις ἄλλη μεταβολή ἐστι, κατὰ τοῦτο ἀριθμὸς αὐτῆς ἐστιν ὁ χρόνος. ἀλλὰ κινήσεως καὶ μεταβολῆς καθὸ τοιαύτη. ὃ κοινόν ἐστι πάσαις ταῖς εἰρημέναις κινήσεσι. πάσης οὖν ὁμοίως κινήσεως ἀριθμὸς ὁ χρόνος ἐστίν. ἐν πάσαις γὰρ τὸ πρότερον ἐνορᾶται καὶ τὸ ὕστερον. καὶ ὅπερ ἀριθμούμενον ἐστὶν ὁ χρόνος. καθὸ οὖν κινήσεως ἁπλῶς, ἀλλ' οὐχ ἥδε τις κίνησις ἐν χρόνῳ. καλῶς δὲ εἰπὼν ὅτι κινήσεως ἐστὶν ἀριθμὸς ὁ χρόνος, τὸ συνεχοῦς προσέθηκεν, ἀλλ' οὐ τινός. καθὸ γὰρ συνεχὴς ἡ κίνησις, κατὰ τοῦτο ἔχει τὸ πρότερόν τε καὶ ὕστερον τὸ κατὰ χρόνον ἀριθμούμενον. εἰ γὰρ διῃρημένη ληφθείη, οὐχ ὑπὸ χρόνου, ἀλλ' ὑπὸ ἀριθμοῦ μετρεῖται. δύο γὰρ ἢ τρεῖς ἢ πλείους γίνονται κινήσεις, τῷ μοναδικῷ ἀριθμῷ μετρούμεναι. ἐὰν γὰρ ἡ μὲν ἀλλοίωσις ᾖ, ἡ δὲ φθορά, ἡ δὲ αὔξησις, μηδεμιᾶς οὔσης αὐτῶν συνεχείας πρὸς ἀλλήλας, τρεῖς γίνονται κινήσεις. καθὸ δὲ τούτων ἑκάστη συνεχής ἐστι, τὰ ἐν αὐτῇ πρότερα καὶ ὕστερα ἀριθμεῖται, οὐκέτι τῷ μοναδικῷ ἀριθμῷ ἀλλὰ τῷ χρόνῳ. ὁ δὲ Ἀλέξανδρος τῷ χρόνῳ παρέχειν τὸ εἶναί φησι τὸ πρότερον καὶ ὕστερον πάσης κινήσεως, καθὸ συνεχής, καὶ καθὸ ἀκολουθεῖ τῷ μεγέθει ἐφ' οὗ γίνεται, ἐν ᾧ πρώτῳ τὸ πρότερόν τε καὶ ὕστερον. ἀπορητέον οὖν καὶ πρὸς τὸν Ἀριστοτέλη ταῦτα, ἅπερ καὶ ἐγὼ πρότερον οἶμαι συντομώτερον, καὶ ὁ Θεμίστιος πλατύτερον ἀπορεῖ. εἰ γὰρ τὸ πρότερόν τε καὶ ὕστερον πρῶτον ἐστὶν ἐν τῷ μεγέθει τε καὶ τῷ διαστήματι ἐφ' οὗ ἡ κίνησις, εἶθ' οὕτως ἐν τῇ κινήσει καὶ τῷ χρόνῳ, πῶς ἐπὶ τῆς αὐξήσεώς τε καὶ ἀλλοιώσεως τὸ πρότερον καὶ ὕστερον. οὐ γὰρ ἐν διαστήματί γε αὗται. οὐδὲ πόθεν, ποῖ. ἀλλ' ὁλόκληρον τὸ σῶμα θερμαίνεται κατ' ὀλίγον, καὶ ὁλόκληρον αὔξεται καὶ πήγνυται. πόθεν οὖν ἐπὶ τούτων ἕξει τὸ πρότερόν τε καὶ ὕστερον ὁ χρόνος ὥσπερ ἐκ τῆς φορᾶς ἐκ τοῦ διαστήματός τε καὶ τῆς θέσεως. πῶς δὲ μὴ ἔχον τὸ πρότερον καὶ ὕστερον, τὸν κατ' αὐτὰ ἀριθμὸν ἕξει. ἢ ἐπὶ μὲν τῆς αὐξήσεως εἴποι τις ἂν εἶναι τὸ πόθεν, ποῖ. ἀπὸ γὰρ τοῦ ἐλάττονος εἰς τὸν μείζονα τόπον ἡ μεταβολή. ἐπὶ ἀλλοιώσεως δὲ καὶ γενέσεως καὶ φθορᾶς τί ἐροῦμεν. πόθεν γὰρ ἔτι τὸ πρότερόν τε καὶ ὕστερον ἕξει ἡ κίνησις ἢ ὁ χρόνος. ἢ οὖν μόνην τὴν κατὰ τόπον κίνησιν προηγουμένως μετρεῖ ὁ χρόνος, ἢ εἰ καὶ τὰς ἄλλας προηγουμένως, οὐδὲν προσδεῖται τοῦ τῇ θέσει προτέρου καὶ ὑστέρου, ἵνα καὶ αὐτὸς σχῇ τὸ πρότερόν τε καὶ ὕστερον. ἀλλ' ἐπειδὴ καὶ ὁ Θεμίστιος ἔνδοξος φαίνεται τῇ ἀπορίᾳ, πολλάκις ἐξετάζειν ταῦτα κελεύων καὶ ἀβασανίστως μὴ παραδέχεσθαι, οὐδὲν ἴσως κωλύει τὴν ἐμὴν καὶ νῦν ὑπόνοιαν εἰπόντα, μετὰ τῆς ἀπορίας καὶ ἐκείνην εἰς ἐξέτασιν προτιθέναι τοῖς ἐντυγχάνουσι. τὸ πρότερον καὶ ὕστερον τάξεως δηλωτικὸν ὑπάρχον, ἄλλο μὲν τὸ κατὰ τὸν χρόνον εἶναι νομίζω, κατὰ ἀριθμὸν καὶ τάξιν τῶν πλειόνων νῦν ὑφιστάμενον τῶν ὁριζόντων τὸν χρόνον. ἄλλο δὲ τὸ ἐν τῇ κατὰ τὴν τάξιν θέσει θεωρούμενον. διττὸν δὲ τοῦτο. τὸ μὲν, ἐν μεγέθει. ὡς τὸ ὁδοῦ πρότερον ἐκεῖνο μέρος, τὸ ὅθεν ἀρχόμεθα, ὕστερον δὲ τὸ εἰς ὃ λήγομεν. τὸ δὲ ἐν ἀριθμῷ, καὶ τούτῳ διττῷ, ἢ τῷ ἀριθμοῦντι καὶ μοναδικῷ. ὡς λέγομεν προτέραν εἶναι τῆς δυάδος τὴν μονάδα, καὶ τὴν δυάδα τῆς τριάδος. ἢ τῷ μεθεκτῷ καὶ ἀριθμουμένῳ. ὡς τὰ νοητὰ τῶν αἰσθητῶν πρότερα, καὶ ὅδε ὁ κίων τοῦδε τοῦ κίονος. καὶ γὰρ καὶ τὰ ἀσώματα θέσιν ἔχειν δοκεῖ, κατὰ μεταφορὰν λεγομένης τῆς θέσεως. τρίτον δὲ τοῦ προτέρου καὶ τοῦ ὑστέρου σημαινόμενον ἐστὶν ἐν ταῖς ἐνεργείαις τε καὶ κινήσεσι. τὸ μὲν, κατὰ τὸν ἀριθμὸν τῶν ὁριζόντων τὴν κίνησιν περάτων. ἃ κινήματα καλοῦμεν, ἀνάλογον ἔχοντα πρός τε τὰ τῆς γραμμῆς σημεῖα καὶ τὰ τοῦ χρόνου νῦν. τὸ δὲ, κατ' αὐτὰ τὰ μέρη τῆς κινήσεως, συνεχοῦς οὔσης ἀφ' ἑαυτῆς. ἀλλ' ἡ μὲν ἐν τόπῳ κίνησις τὸ κατὰ τὴν θέσιν πρότερόν τε καὶ ὕστερον εἰς ἑαυτὴν ἀναδεχομένη, συναρμόττει τοῦτο τῷ οἰκείῳ προτέρῳ καὶ ὑστέρῳ, τῷ τε ὡς πέρατι καὶ τῷ ὡς μέρει. ὅταν πρώτην κίνησιν τῶν δρομέων τὴν πρὸς τοῖς ἀθλοθέταις λέγωμεν, ὑστέραν δὲ τὴν ἐν τῷ πέρατι τοῦ σταδίου. καὶ ἔστι τοῦτο τὸ κατὰ τὴν θέσιν πρότερον καὶ ὕστερον οἰκεῖον τῆς κατὰ τόπον κινήσεως. καὶ ταύτῃ δὲ καὶ ταῖς ἄλλαις κινήσεσιν ἐν τῷ γίνεσθαι τὸ εἶναι ἐχούσαις, ὁ χρόνος ἀφ' ἑαυτοῦ τὸ πρότερον καὶ ὕστερον δίδωσιν ἐφαρμόττων τῷ προτέρῳ καὶ ὑστέρῳ τῆς κινήσεως. τὰ γὰρ ὁρίζοντα τὸν χρόνον νῦν ἑπόμενα τοῖς τῆς κινήσεως ὅροις. ὁρίζει τῷ χρόνῳ τὴν κίνησιν. μέτρον οὖν κι-

νήσεως

νήσεως ὁ χρόνος. κατὰ γὰρ τὸ ἑαυτοῦ πρότερον καὶ ὕστερον ἐφαρμόττων τῷ προτέρῳ καὶ ὑστέρῳ τῆς κινήσεως, μετρεῖ τῷ χρόνῳ τὴν κίνησιν. οὕτω δὲ καὶ ἡ κίνησις γίνεται μέτρον τοῦ χρόνου, ὅταν τὰ οἰκεῖα τῆς κινήσεως πρότερον καὶ ὕστερον ἐφαρμόζοντα τοῖς τοῦ χρόνου προτέροις καὶ ὑστέροις, ἐρίσῃ τῇ κινήσει τὸν χρόνον. οὕτω δὲ καὶ τὸ τοπικὸν μέγεθος τὴν κίνησιν οὐ πᾶσαν ἀλλὰ τὴν τοπικὴν μετρεῖ, ὅταν τὸ πρότερον καὶ ὕστερον τοῦ τόπου τὸ κατὰ θέσιν ἐφαρμόσῃ τοῖς τῆς κινήσεως. εἰ δὲ ὁ ἀριστοτέλης ὡς κοινῷ τούτῳ χρῆται, τῷ ἀπὸ τοῦ μεγέθους μετρεῖσθαι τὴν κίνησιν, εἰκὸς διὰ τὸ ἐναργὲς αὐτῷ χρῆσθαι. διὸ καὶ διετέλεσε μέχρι πλείστου, ὡς ἐπὶ τῆς κατὰ τόπον κινήσεως τὸν λόγον ποιούμενος.

Α ΛΛ' ἜΣΤΙ νῦν κεκινῆσθαι καὶ ἄλλα, ὧν ἑκατέρας τῆς κινήσεως εἴη ἂν ἀριθμός. ἕτερος οὖν χρόνος ἔσται καὶ ἅμα δύο ἴσοι χρόνοι ἂν εἶεν, ἢ οὔ. ὁ ἅπας γὰρ χρόνος εἷς ὁμοίως καὶ ἅμα. εἴδει δὲ καὶ οἱ μὴ ἅμα. εἰ γὰρ εἶεν κύνες οἱ δ' ἵπποι ἑκάτεροι δ' ἑπτὰ, ὁ αὐτὸς ἀριθμός. οὕτω καὶ τῶν κινήσεων τῶν ἅμα περαινομένων, ὁ αὐτὸς χρόνος. ἀλλ' ἡ μὲν ταχεῖα ἴσως. ἡ δ' οὔ. καὶ ἡ μὲν, φορά. ἡ δ' ἀλλοίωσις. ὁ μέντοι χρόνος, ὁ αὐτός. εἴπερ καὶ ὁ ἀριθμὸς ἴσος καὶ ἅμα, τῆς τε ἀλλοιώσεως, καὶ τῆς φορᾶς. καὶ διὰ τοῦτο αἱ μὲν κινήσεις ἕτεραι καὶ χωρίς. ὁ δὲ χρόνος, πανταχοῦ ὁ αὐτός. ὅτι καὶ ὁ ἀριθμὸς, εἷς καὶ πανταχοῦ ὁ αὐτὸς ὁ τῶν ἴσων καὶ ἅμα.

Α ἀπορίαν τίθησι τοῖς εἰρημένοις περὶ τοῦ χρόνου ἀκολουθοῦσαν. καὶ ἅμα ὃ πολλάκις εἶπε τὸ τὸν αὐτὸν χρόνον ἅμα πανταχοῦ εἶναι, πλείονος ἀξιοῖ διαρθρώσεως. ἡ δὲ ἀπορία τοιαύτη. εἰ ἀριθμὸς κινήσεως ὁ χρόνος, καὶ ἔστιν ἡ μὲν κίνησις ἐν τῷ κινουμένῳ ὡς ἐμάθομεν, ὁ δὲ χρόνος ἐν τῇ κινήσει, εἶεν ἂν τοσοῦτοι χρόνοι ὅσα τὰ κινούμενα, καὶ αἱ κινήσεις. πλείους οὖν ἅμα ἔσονται χρόνοι, οὐχ ὡς περιέχων καὶ περιεχόμενος. τοῦτο γὰρ οὐδὲν ἄτοπον ἦν. λύων οὖν τὴν ἀπορίαν οὐχ οὕτως ἔχειν φησίν. οὐ γὰρ πλείους ἅμα χρόνοι γίνονται. ἀλλ' ὁ ἴσος χρόνος πᾶς ἐν τῷ ἐνεστῶτι, ὁ αὐτὸς εἷς ἅμα ἐστὶ τῷ ἀριθμῷ. εἴδει δὲ οἱ αὐτοί εἰσι, καὶ οἱ μὴ ἅμα. τουτέστιν ὁ παρεληλυθὼς τῷ μέλλοντι. τοῦτο δὲ εἰπὼν ὅπως πλειόνων οὐσῶν κινήσεων εἷς ὁ χρόνος ἐστὶ, καίτοι ἀριθμὸς ὢν κινήσεως, διδάσκει. ὡς γὰρ ἐπὶ τοῦ μοναδικοῦ ἀριθμοῦ οὐ τῇ τῶν ἀριθμουμένων διαφορᾷ ὁ ἀριθμὸς συνδιαιρεῖται, διὸ ἐὰν οἱ μὲν ἵπποι, οἱ δὲ, κύνες ὦσιν οἱ ἀριθμούμενοι, ὄντες ἑκάτεροι ἑπτὰ, οὗτοι μὲν διαφέρουσιν ἀλλήλων, ὁ δὲ ἀριθμὸς ὁ τῆς ἑβδομάδος ὁ αὐτός ἐστιν ἐν ἀμφοτέροις, οὐ γὰρ καθὸ διάφοροι ἀριθμὸν ἔχουσι τὸν αὐτὸν, ἀλλὰ κατὰ τὸ τοσαῦτα εἶναι, ὅ ἐστιν αὐτοῖς κοινὸν, οὕτως οὐδὲ ἐπὶ τῶν κινήσεων καὶ τοῦ χρόνου ἀριθμοῦ ὄντος. τὸ γὰρ νῦν ταυτὸν ἐν πάσαις καὶ ἐν κατ' ἀριθμὸν, κἂν ἡ μὲν φορὰ, ἡ δὲ ἀλλοίωσις ᾖ. καὶ ἔστιν ἐν πάσαις τὸ ἀριθμούμενον, καὶ τὸ πρότερον καὶ ὕστερον λαμβανόμενον τὸ νῦν. ὥστε εἰ τοῦτο τὸ αὐτὸ ἐν πάσαις, εἰκότως καὶ ὁ χρόνος ἐν πάσαις ὁ αὐτός. εἰ μὲν γὰρ ἄλλως συμβεβηκὸς ἦν ταῖς κινήσεσιν ὁ χρόνος, ὥσπερ τὸ θερμὸν καὶ τὸ λευκὸν, εὐλόγως ἂν ἐκείναις συνδιῃρεῖτο. ἐπειδὴ δὲ τὸ ἀριθμούμενον ἐστὶν αὐτῶν καὶ τὸ ποσὸν, οὐδὲν κωλύει τοῦτο ταυτὸν εἶναι καὶ ἐν τοῖς πλείοσιν. ὥσπερ γε καὶ ἐπὶ τοῦ μοναδικοῦ ἀριθμοῦ, ταυτόν ἐστι τὸ ἀριθμούμενον, διὰ τὸ τοσόνδε, κἂν πλείω τὰ ἀριθμητὰ καὶ διαφέροντα ἀλλήλων ὑπάρχῃ. οὕτως οὖν καὶ τῶν κινήσεων τῶν ἅμα ὁ αὐτὸς χρόνος. ἀλλ' οὐχ ἡ αὐτὴ ταχυτὴς, οὐδὲ ὁ αὐτὸς τόπος. οὐ γὰρ κατὰ ταχυτῆτα καὶ βραδυτῆτα. οὐδὲ κατὰ τὰ διάφορα τῶν κινήσεων εἴδη αἱ κινήσεις ἀριθμούμεναι τὸν χρόνον ποιοῦσιν. διὸ εἰ ἡ μὲν ἀλλοίωσις, ἡ δὲ φορὰ, ἡ δὲ αὔξησις εἴη. ἀλλὰ κατὰ μόνον τὸ πρότερόν τε καὶ ὕστερον. ἅπερ ταυτὰ ἐν πάσαις ταῖς ἅμα. καὶ οὕτω λαμβανόμενα νῦν ἐστιν. εἰ οὖν τὰ νῦν τὰ αὐτά ἐστιν οἷς ἀριθμοῦμεν τὸν χρόνον, καὶ ὁ χρόνος ὁ αὐτὸς ὁ ὑπὸ τῶν νῦν ὁριζόμενός τε καὶ περιεχόμενος. ὡς γὰρ ἡ τῶν κινουμένων κατὰ τόπον διαφορὰ, κατ' ἄλλο τι διὸ κατὰ χρῶμα ἢ χυμὸν, καὶ μὴ καθὸ κινεῖται διὸ κουφότητα ἢ βραδυτῆτα, οὐ ποιεῖ κινήσεων διαφορὰν, οὕτως οὐδὲ αἱ τῶν κινήσεων διαφοραὶ διαφορὰν ποιοῦσι χρόνου. ἐπεὶ μὴ καθὸ διαφέρουσιν, ἀριθμός ἐστιν αὐτῶν ὁ χρόνος. ἀλλὰ κατὰ τὸ ἐν αὐταῖς πρότερον καὶ ὕστερον, ὃ ἔχουσιν ἀδιάφορον. ὁ γὰρ τούτων ἀριθμὸς ἀδιάφορος. ὁ δὲ ἀριθμός φησιν ἀλέξανδρος οὐκ ἔστι τῶν ἐνυπαρχόντων τῷ ἀριθμητῷ. ὥστε οὐδ' ὁ χρόνος ἀριθμὸς ὢν, οὕτως ἐν κινήσει. οὐδὲ γὰρ τὸ ὄνομα τῷ οὗ ἐστιν ὄνομα οὕτως ἐνυπάρχει ὡς τὸ λευκόν. διότι τὸ μὲν αὐτὸ κατ' ἀριθμὸν ὄνομα πλειόνων ἅμα ἐστὶν ὥσπερ καὶ ὁ ἀριθμός. λευκὸν δὲ οὐ τὸ αὐτὸ κατ' ἀριθμὸν ἐν πλείοσι. καὶ ταῦτα δὲ προσέθηκεν ὁ ἀλέξανδρος, δηλῶν ὅτι μὴ οὕτως ἐν τῇ κινήσει ὁ χρόνος, ὡς ὁ συνδιαιρούμενος αὐτῇ ἀριθμός, τὸ εἶναι ἔχει ἐν τῷ ἀριθμεῖσθαι. ἐπεὶ μὴ ὄντος γε τοῦ ἀριθμοῦντος, ὡς ἔδειξεν ὁ ἀριστοτέλης, οὐδὲ ὁ ἀριθμὸς χρόνος ἔσται, εἰ καὶ ἡ κίνησις εἴη, εἰ δὲ ὁ χρόνος παρὰ τοῦ ἀριθμοῦντος τὸ εἶναι ἔχει, καὶ οὕτω γινόμενος ἔστιν ἐν κινήσει, οὐκ ἔστιν ἐνυπάρχων τῇ κινήσει οὕτως, ὡς ἐκείνης τι ὤν. διὸ οὐδὲ συνδιαιρεῖται αὐτῇ. ἐν δὴ τούτοις ζητητέον τὸν ἀλέξανδρον, πῶς ὁ ἐν τῷ ἀριθμεῖσθαι ἀριθμὸς οὐκ ἐνυπάρχει τῷ ἀριθμητῷ. ἢ πῶς ὁ χρόνος ἀριθμὸς ὢν κινήσεως, ὡς ἀριθμητὸν οὐκ ἐνυπάρχει τῇ κινήσει, οὐδὲ ἔστι τι ἐκείνης, καίτοι πάθος καὶ ἕξις λεγόμενος τῆς κινήσεως. ἔλεγε γοῦν ἢ ὅτι κινήσεως πάθος ἢ ἕξις, ἀριθμός γε ὤν. ἔτι δὲ μᾶλλον πῶς ἔχει λόγον τὸν ἀριθμητὸν ἀριθμὸν, καὶ τὴν ἕξιν τὸ πάθος ἢ ὅλως τὸ συμβεβηκὸς,

οὕτως ἔχειν πρὸς ἐκεῖνο οὐκ ἔστιν, ὡς ἔχει τὸ ὄνομα, ὥστε τὸ αὐτὸ τῷ ἀριθμῷ πλείοσιν ὑπάρχειν. ὁ μὲν
γὰρ ἀριθμῶν ἀριθμός, ἅτε ἐξῃρημένος τῶν ἀριθμουμένων, εἷς ἂν καὶ ὁ αὐτὸς ὑπάρχοι πλείοσιν. ὁ δὲ
ἀριθμητὸς ἤδη καὶ κατατεταγμένος ἐν τῷ μετέχοντι, καὶ συνδιῃρημένος ἐκείνῳ, ὁμοίως ἔχει τῷ
λευκῷ. τὸ δὲ ὄνομα τοῦτο εἰς ὃ ἀπεῖδεν ὁ ἀλέξανδρος τὸ κατὰ θέσιν, ἐπεισοδιῶδες. καὶ ἄτοπον ὁμοίως
ἔχειν νομίζειν τὰ κατὰ τὴν ἡμετέραν θέσιν σχεδιαζόμενα, τοῖς ὑπὸ φύσεως συντεταγμένοις.
τοῦτο δὲ ἠκολούθησε τοῖς λέγουσι τὸν ἀριθμὸν ὑπὸ τοῦ ἀριθμοῦντος γίνεσθαι, καὶ διὰ τοῦτο τὸν χρό-
νον ὑπὸ τῆς ψυχῆς. ὅπερ ὑπενοήθη διὰ τὸ πρός τι εἶναι τὸ ἀριθμοῦν καὶ τὸ ἀριθμούμενον. καὶ ὡς
μὲν ἀριθμούμενον ἔστω ἅμα, ὥσπερ καὶ τὸ χρῶμα καθὸ ὁρατόν. κατὰ μέντοι τὴν οἰκείαν φύσιν, καὶ
χωρίς. ὑφέστηκε γάρ. καὶ αὐτὸς ἀριστοτέλης ἐμέμψατο πρόσθεν τοῖς τὸ χρῶμα ἴδιον αἰσθητὸν ὄψεως
ὁριζομένοις, ἀλλὰ μὴ τὴν φύσιν αὐτοῦ δηλοῦσιν. οὕτως οἶμαι μέμψαιτο ἄν τις τῷ τὸν ἀριθμὸν τὸν με-
θεκτὸν ἐν τῷ ἀριθμεῖσθαι ἁπλῶς τὸ εἶναι ἔχειν λέγοντι. οἱ γὰρ δάκτυλοί μου τῆς χειρὸς πέντε εἰσί,
κἂν μηδεὶς αὐτοὺς ἀριθμήσῃ. τοῖς δὲ ὑπὸ τοῦ ἀριστοτέλους ῥηθεῖσι προσαπορεῖ καλῶς ὁ θεμίστιος. καὶ
» ἀρκεῖ τῶν ἐκείνου παρατιθεμένων ἀκοῦσαι. εἰ γὰρ κοινῶς φησι πάσης κινήσεως ἀριθμός ἐστιν ὁ χρό-
» νος, φαίνεται οὐ παρὰ τῆς κινήσεως τὸ εἶναι ἔχον. εἰ γὰρ μὴ παρὰ τῆσδε ἢ τῆσδε, οὐδὲ παρὰ κινή-
» σεως ὅλως. ἄτοπον γὰρ τὸ λέγειν ὅτι τὸ πρότερον καὶ ὕστερον ταυτὸν ἐν πάσαις κινήσεσιν. αὐτὸ γὰρ
» τοῦτο ζητητέον ἐστί, πῶς ταυτὸν τὸ νῦν. πότερον γένει ἢ εἴδει ἢ ἀριθμῷ. εἰ μὲν γὰρ γένει ἢ εἴδει, πλείω
» δή που κατ' ἀριθμόν. εἰ δὲ ἐν ἀριθμῷ, πῶς τῶν κατ' ἀριθμὸν διαφερόντων ἓν κατ' ἀριθμὸν πάθος ἢ
» ἕξις. οὕτω δὲ αὐτὸς ὀνομάζει τὸν χρόνον τῆς κινήσεως. ἀμήχανον γὰρ ταυτὸν καὶ ἓν κατ' ἀριθμὸν ὑπάρ-
» χειν. οὕτω γὰρ ἓν ἅμα καὶ οὐχ ἓν γενήσεται. ὥστε εἰ πλείω τὰ νῦν ἐπὶ τῶν πλειόνων κινήσεων,
» ἐπὶ τῶν ἅμα οὐσῶν ἅμα πλείω ἔσται νῦν. ὅπερ οὐδὲ εἰς ἐπίνοιαν ἐλθεῖν δυνατόν. εἰ δὲ μὴ πλείω
» ἀλλ' ἓν καὶ ταυτόν, ἐξῃρημένον ἔσται καὶ οὐδὲν τῆς κινήσεως ὁ χρόνος. οὐδὲ γὰρ ἐκεῖνο ἔχει τινὰ λόγον,
» ὅτι ὥσπερ τὸ ἀριθμούμενον ἐν τοῖς δέκα ἵπποις καὶ τοῖς δέκα προβάτοις, οὕτω καὶ ἐν ταῖς κινήσε-
» σιν. οὐδὲ γὰρ ἐκεῖ ταυτὸν τὸ ἀριθμούμενον, εἰ μὴ τῷ λόγῳ μόνον ὅτι ἄμφω δέκα. ὅπερ ἡ ἡμετέρα ἐπί-
» νοια καὶ θεωρία τοῦ ἐν τοῖς διαφέρουσιν ὁμοίως, ὑπόστασις δὲ οὐδεμία καθ' ἑαυτήν. τοῦτο δὲ ἐπὶ τοῦ
» χρόνου πῶς εὔλογον ἔννοιαν μόνον εἶναι τῆς ἡμετέρας ψυχῆς τὸν χρόνον, φύσιν δὲ οἰκείαν μὴ ἔχειν.
» ὥσπερ ἔοικε δώσειν ἀριστοτέλης, ὅταν συγχωρῇ μὴ οὔσης ψυχῆς μηδὲ τὸν χρόνον ὑπάρχειν. ἐπεὶ καὶ
» τὸ μέτρον καὶ τὸ ἀριθμὸν λέγειν τὸν χρόνον, τοιαύτην ἐστὶν ὑπόνοιαν ἐνδιδόντος. ὥσπερ καὶ βοηθός
» φησιν, ὅτι οὐδὲν μέτρον ὑπὸ τῆς φύσεως γίνεται, ἀλλ' ἡμέτερον ἔργον ἐστὶ τὸ μετρεῖν καὶ ἀριθμεῖν.
τοιαῦτα καὶ τοῦ θεμιστίου γράφοντος, τὰ μὲν ἄλλα καλῶς ἀντιδιατετάχθαι νομίζω. πῶς γὰρ δεῖ τε
καὶ πάθος ἢ ἕξιν εἶναι τῆς κινήσεως τὸν χρόνον, καὶ πάλιν ὡς κεχωρισμένον ἅμα τὸν αὐτὸν παντα-
χοῦ εἶναι. τὸ μέντοι λέγειν ὅτι ἡ κοινότης τῶν ἐν μεθέξει ἀριθμῶν, τῆς ἡμετέρας ἐπινοίας ἐστί, πε-
ριπατητικὸν μὲν εἶναι δοκεῖ. δεῖται δὲ ὡς οἶμαι διορισμοῦ τινος. καὶ γὰρ ὑφέστηκε μὲν καὶ ἡ τοιαύτη
κοινότης. διὸ καὶ κοινὴν ἔχει τὴν φύσιν τὰ μετέχοντα. ἀλλὰ μετὰ τῆς διαφορᾶς ὑφέστηκε. τὸ δὲ αὐ-
τὴν καθ' ἑαυτὴν ὁρᾶν τὴν κοινότητα, τῆς ἡμετέρας ἐπινοίας ἐστίν. ἀλλ' οὐδὲ ἀναιρεῖ τὴν οἰκείαν τοῦ
χρόνου ὑπόστασιν ἀριστοτέλης. οὐδὲ ἐν ἐπινοίᾳ τίθησιν αὐτόν, εἰ μὴ οὔσης ψυχῆς μηδὲ χρόνον εἶναι φησί.
καὶ τὸ ὑποκείμενον γὰρ τοῦ χρόνου τὴν κίνησιν, καὶ τὸ οἷον εἶδος τὸν ἀριθμὸν ὑπὸ τῆς ψυχῆς δίδοσθαι
νομίζων, ἐπειδὴ καὶ πάσης γενέσεως καὶ κινήσεως αἰτία ἡ ψυχή, εἰκότως ἀναιρουμένης τῆς ψυχῆς
ἀναιρεῖσθαι τὸν χρόνον φησίν. οὐ μέντοι ἐν ἐπινοίᾳ διὰ τοῦτο εἶναι τὸν χρόνον, ὅτι τῷ αἰτίῳ συναναι-
ρεῖται. πῶς δὲ οὐδὲν μέτρον ὑπὸ τῆς φύσεως γίνεται, εἴπερ πάντα τὰ φυσικὰ εἴδη μέτροις καὶ ἀ-
ριθμοῖς οἰκείοις διακεκόσμηται. εἰ μὴ ἄρα λέγοι μηδὲν γίνεσθαι ὃ μόνον μέτρον ἐστίν, ἀλλὰ καὶ μὴ μεμε-
τρημένον. μὴ γὰρ εἶναι πῆχυν φυσικὸν ἢ μονάδα, αὐτόμετρα ὄντα. εἰ δὲ τοῦτο, ἐννοητέον ὅτι καὶ ὁ χρό-
νος κἂν ᾖ μέτρον κινήσεως, ἀλλ' ἔχει φύσιν οἰκείαν καὶ μεμέτρηται καὶ αὐτὸς ὑπὸ τῆς κινήσεως. ἀλλὰ
ταῦτα μὲν ὅπῃ καλῶς ἢ μὴ καλῶς λέγεται παρὰ τῶν ἀνδρῶν τούτων ζητητέον. τὸ δὲ νῦν ἐχόμενον
πῶς ἄρα ὁ ἀριστοτέλης ἀμφότερα λέγειν περὶ τοῦ χρόνου καὶ ἐναντία δοκεῖ. καὶ ὅτι πάθος ἢ ἕξις ἐστὶ
τῆς κινήσεως ὡς ἀχώριστος. καὶ ὅτι ὁ αὐτὸς κατ' ἀριθμόν ἐστιν, ἐν ταῖς διαφόροις κινήσεσιν ὡς χωρι-
στός. μή ποτε οὖν ἀριθμὸν ὅλως ὑποθέμενος τὸν χρόνον, τὸ τοῦ ἀριθμοῦ ἴδιον ἐνέδειξεν αὐτῷ, τὸ καὶ ἐν τῷ
μεθεκτῷ ἀριθμῷ, κἂν διάφορα ᾖ τὰ ὑποκείμενα, ἴσος δὲ ὁ ἀριθμός. οἷον μονὰς ἵππου, καὶ μονὰς ἀνθρώ-
που, ἀφαιρεθεῖσαι κατ' ἐπίνοιαν ἐκ τῶν ὑποκειμένων, ἀδιάφοροι παντελῶς εἰσί. λευκότης δὲ ἡ ἐν
χιόνι καὶ ἡ ἐν ψιμμυθίῳ ἀφαιρεθεῖσαι τῇ ἐπινοίᾳ τῶν ὑποκειμένων, διαφέρουσιν ἀλλήλων λευκό-
τητος διαφοραῖς. εἰσὶ γὰρ διαφοραὶ λευκότητος καὶ γλυκύτητος καὶ τῶν ἄλλων συμβεβηκότων,
αὐτῶν καθ' ἑαυτά, κἂν ἄνευ τῶν ὑποκειμένων λαμβάνηται. ἀριθμῷ δὲ τῶν ἴσων οὐκ εἰσὶ διαφοραί.
οὐ γὰρ διαφέρει μονὰς μονάδος, οὐδὲ ἡ μεθεκτὴ καθὸ μονάς, οὐδὲ πεντὰς πεντάδος καθὸ πεντάς.
ὥσπερ οὐδὲ ἐπὶ τῶν μοναδικῶν ἀριθμῶν ἐστιν ἰδεῖν διαφορὰν μονάδος πρὸς μονάδα. ἐρεῖ δὲ περὶ
τούτου καὶ αὐτὸς προελθών. ὁ μέντοι ἰάμβλιχος ἐν τούτοις ἀπὸ τοῦ ἀχωρίστου χρόνου εἰς τὸν χωριστὸν

ἀναδραμεῖν αὐτὸν οἴεται. καὶ διὰ τοῦτο τὸν αὐτὸν κατ' ἀριθμὸν ἐν ταῖς διαφόροις κινήσεσιν εἶναι λέγει. μνημονευτέον δὲ καὶ τῆς πρότερον εἰρημένης λύσεως, ὅτι κινήσεως ἀριθμός ἐστιν ὁ χρόνος κατὰ τὸ κοινὸν τῆς κινήσεως, καὶ κατὰ τὴν τοῦ εἶναι παράτασιν. ὃ πανταχοῦ τὸ αὐτό ἐστιν.

Ἐ ἘΠΕῚ ΔῈ ἘΣΤῚ φορὰ καὶ ταύτης ἡ κύκλῳ, ἀριθμεῖται δ' ἕκαστον ἑνί τινι συγγενεῖ, μονάδες, μονάδι. ἵπποι δ' ἵππῳ. οὕτω καὶ ὁ χρόνος χρόνῳ τινὶ ὡρισμένῳ. μετρεῖται δὲ ὥσπερ εἴπομεν, ὅ, τε χρόνος κινήσει, καὶ ἡ κίνησις χρόνῳ. τοῦτο δ' ἐστὶν, ὅτι ὑπὸ τῆς ὡρισμένης κινήσεως χρόνῳ, μετρεῖται τῆς τε κινήσεως τὸ ποσὸν, καὶ τοῦ χρόνου. εἰ οὖν τὸ πρῶτον μέτρον πάντων τῶν συγγενῶν, ἡ κυκλοφορεία ἡ ὁμαλὴς μέτρον μάλιστα, ὅτι ὁ ἀριθμὸς ταύτης γνωριμώτατος. ἀλλοίωσις μὲν οὖν οὐδὲ αὔξησις, οὐδὲ γένεσις, οὐκ εἰσὶν ὁμαλεῖς φορὰ δ' ἐστί.

Ἐ τὸν χρόνον ἀριθμὸν ὡς ἀριθμούμενον, καὶ μέτρον ὡς μετρούμενον, ἐπειδὴ ἕκαστον τῶν μετρουμένων καὶ ἀριθμουμένων ἀριθμεῖται καὶ κινεῖται συγγενεῖ τινι, οἷον μονάδες μονάδι, καὶ πήχεις πήχει, καὶ ἵπποι ἵππῳ, καὶ ὅλως ἰδίῳ μορίῳ τῷ ἁπλουστάτῳ τῶν ἐν αὐτῷ, ὅσα γὰρ μέρη τοσαῦτα καὶ μέτρα καὶ ὁ πλάτων φησὶ, κἂν γὰρ ὑπ' ἄλλου τινὸς μετρῆται, διὰ τοῦτο καὶ ὑπ' ἐκείνου μετρεῖται, ὅτι μορίῳ αὐτοῦ ἴσον ἐστὶ τὸ μετροῦν, ἐπεὶ οὖν ὡς εἴρηται μέτρῳ τινὶ ἑαυτοῦ μετρεῖται τὸ μετρούμενον, ὁ δὲ χρόνος συνεχὴς ὢν μετρεῖται, καὶ συνάγεται ὅτι ὁ χρόνος μέρει ἑαυτοῦ μετρεῖται, ζητεῖ οὖν τίς ἂν εἴη χρόνος πρῶτος καὶ ἁπλοῦς, ὃς πάντα χρόνον μετρήσει. εἰ οὖν κινήσεως μέτρον ὁ χρόνος, ἐὰν κίνησίς τις εὑρεθῇ μέτρον οὖσα τῶν ἄλλων κινήσεων, δηλονότι ὁ ταύτης χρόνος μέτρον τοῦ χρόνου φανήσεται. τίς οὖν κίνησις τοιαύτη. ἢ δηλονότι ἡ πρώτη καὶ ὁμαλὴς καὶ γνώριμος. ἡ γὰρ μὴ πρώτη καὶ ἀνώμαλος καὶ ἄγνωστος καὶ εἰς μέτρον ἀνεπιτήδειος. ἀλλ' αἱ μὲν τῶν γεννητῶν ἴδιαι κινήσεις, ἀλλοίωσις. αὔξησις μείωσις. γένεσις φθορά, καὶ τῆς φορᾶς ἡ ἐπ' εὐθείας, οὔτε πρῶται. οὐ γὰρ πρῶτα τὰ γεννητὰ τῶν ἀϊδίων. οὔτε ὁμαλεῖς αἱ τοιαῦται κινήσεις, ἀλλὰ πάσχουσιν ἀνωμαλίαν ἀνώμαλοι. οὐ γὰρ ἴσαι αἱ ἐν ἴσῳ χρόνῳ γινόμεναι ἀλλοιώσεις, ἢ αὐξήσεις, ἢ γενέσεις. οὔτε μὴν γνώριμοι. μόνη δὲ ἡ κυκλοφορεία τοιαύτη. ὥστε αὕτη τὸ τῆς κινήσεως μέτρον, καὶ διὰ τοῦτο καὶ τοῦ χρόνου. μέτρον δὲ γίνεται κινήσεως ὁρισθεῖσα ὑπὸ χρόνου, καὶ γενομένη τοσήδε. οἷον ἡ ὥρα χρόνου μέν ἐστι μέρος. ὁρίζει δὲ τοσήνδε κίνησιν τῆς περιφορᾶς τοῦ παντός. ὁμοίως δὲ καὶ ἡ ἡμέρα καὶ ἐνιαυτὸς, τήν τε τοῦ παντὸς καὶ τὴν τοῦ ἡλίου κίνησιν ὁρίσασα, μέτρον πασῶν ἐποίησε τῶν κινήσεων καὶ τοῦ ὅλου χρόνου. ὁ μὲν γὰρ πρότερος καὶ ἐλάττων χρόνος μετρεῖ τὸν χρόνον. μέτρον γὰρ ἡ μὲν ὥρα τῆς ἡμέρας. ἡ δὲ ἡμέρα τοῦ μηνός. ὁ δὲ μὴν τοῦ ἐνιαυτοῦ. μετρεῖ δὲ καὶ τὴν κίνησιν τὴν ὡριαίαν καὶ ἡμερήσιον. εἰ δὲ καὶ ταῦτα τοσαίδε τῆς τοῦ ἡλίου περιφορᾶς, δηλονότι ἀντιμετροῦνται ὑπὸ τῆς κινήσεως. διὸ καὶ αὐτὸς εἶπεν, ὅτι μετρεῖται καὶ ὁ χρόνος κινήσει, καὶ ἡ κίνησις χρόνῳ. ὑπὸ γὰρ τῆς ὁρισμένης κινήσεως χρόνῳ, ἥ τε κίνησις μετρεῖται καὶ ὁ χρόνος. ὁ ἄρα ὑπὸ τῆς κυκλοφορείας ἀντιμετρούμενος χρόνος πρώτης τε οὔσης καὶ ὁμαλοῦς, μετρεῖ τὸν πάντα χρόνον. εἰ οὖν τὸ πρῶτον πανταχοῦ μέτρον τῶν συγγενῶν ἐστι, δηλονότι καὶ ἐν κινήσει ἡ κυκλοφορεία καὶ πρώτη οὖσα καὶ ὁμαλὴς μέτρον μάλιστα, διά τε ταῦτα, καὶ ὅτι ἀριθμὸς ὁ ταύτης γνωριμώτατος. ἀριθμὸν δὲ τῆς κυκλοφορείας ὁ ἀλέξανδρος τὸν χρόνον ἤκουσε τὴν πρώτην ὡς γνωριμώτατον τῶν χρόνων. ἡμέραι γὰρ καὶ νύκτες ὁ τῆς κυκλοφορείας ἀριθμός. ὃς γνωριμώτατός ἐστι τῶν χρόνων. ἢ τὸν τῆς ὁμαλοῦς φησι κινήσεως ἀριθμὸν γνωριμώτατον εἶπε, διότι ἴσον ἐπὶ ταύτης τὸ ἀριθμούμενον, καὶ τὸ ἐν τῷ ἀριθμεῖσθαι αὐτῷ τὸ εἶναι ἔχον, ὅπερ ἐστὶν ὁ χρόνος. καὶ οὐκ ἔστιν ἐπ' αὐτῆς λαβεῖν τὴν μὲν θᾶττον, τὴν δὲ βραδυτέραν, ὧν ἂν ὦσι χρόνοι. ἡ οὖν ὁμαλὴς καὶ γνωριμωτάτῳ χρόνῳ ὁριζομένη κίνησις μέτρον ἐστί. δύναται δὲ οἶμαι τὸν ἀριθμὸν τῆς περιφορᾶς γνώριμον λέγειν, οὐ τὸν χρόνον λέγων, ἀλλὰ καθ' ὃν αὕτη ἡ περιφορὰ ἀριθμεῖται. οἷον ὅτι δὶς ἢ τρὶς περιεγράφη τὸ πᾶν. εὐσυνοπτότερον γὰρ τοῦτο καὶ οἰκειότερον τῷ μέτρον τὴν κυκλοφορείαν δεικνύντι τέως. καὶ ὁ ταύτην δὲ ὁρίζων χρόνος γνωριμώτατος καὶ πρῶτος. ἡμέραις γὰρ μῆνα, καὶ μησὶν ἐνιαυτὸν, καὶ ἐνιαυτοῖς πάντα τὸν χρόνον μετροῦμεν. ὅτι δὲ ὁμαλὴς τῶν κινήσεων ἡ κυκλοφορεία μόνη, ἐν τῷ τελευταίῳ βιβλίῳ τῆσδε τῆς πραγματείας δειχθήσεται. ἀπορήσοι δ' ἄν τις ὅπερ καὶ πλωτῖνος ἠπορηκέναι δοκεῖ. εἰ μὲν γὰρ τῆς ὁμαλοῦς καὶ συνεχοῦς κινήσεως ἀριθμὸς ἢ μέτρον ὁ χρόνος, τί ἂν εἴη μέτρον τῆς ἀνωμάλου καὶ ἀτάκτου κινήσεως. εἰ δὲ πάσης ὁμοίως ἀριθμὸς ὁ χρόνος, πῶς ἔτι ὡς ἀριθμητὸς ἀλλ' οὐχὶ ὡς χωριστὸς ληφθήσεται. ὥσπερ ἡ αὐτὴ δεκὰς ἐλεφάντων καὶ μυρμήκων, ὅτι χωριστὴ ἦν ἀριθμοῦσα. μήποτε οὖν ὥσπερ προηγουμένην ὑπόστασιν ἔχει ἡ ὁμαλὴς καὶ συνεχὴς κίνησις καὶ τεταγμένη, ταύτῃ δὲ ἡ ἀνώμαλος καὶ ἄτακτος παρυφίσταται, οὕτω καὶ χρόνῳ μετρεῖται προηγουμένως μὲν ἡ ὁμαλὴς, κατὰ δεύτερον δὲ λόγον καὶ ἡ ἀνώμαλος. καὶ γὰρ καὶ ταύτην ὥραις καὶ ἡμέραις μετροῦμεν. εἰδέναι δὲ χρὴ, ὅτι ὁ μὲν ἀλέξανδρος γράφας, τοῦτο δ' ἐστὶν ὅτι τῆς ὡρισμένης κινήσεως χρόνῳ, ἀντὶ τοῦ ὑπὸ τῆς ὡρισμένης κινήσεως, ὑπὸ χρόνου εἰρῆσθαι φησί. τινὰ δὲ τῶν ἀντιγράφων ὑπὸ τῆς ὡρισμένης κινήσεως ἔχει τὴν γραφὴν, ἐπὶ τὸ σαφέστερον ἴσως τινῶν προσθέντων τὴν πρόθεσιν.

Δ ΙῸ ΚΑῚ δοκεῖ ὁ χρόνος εἶναι, ἡ τῆς σφαίρας κίνησις. ὅτι ταύτῃ μετροῦνται αἱ ἄλλαι κινήσεις. καὶ ὁ χρόνος, ταύτῃ τῇ κινήσει. διὰ δὲ τοῦτο, καὶ τὸ εἰωθὸς λέγεσθαι συμβαίνει. φασὶ γὰρ κύκλον εἶναι τὰ ἀνθρώπινα πράγματα. καὶ τῶν ἄλλων τῶν κίνησιν ἐχόντων φυσικὴν καὶ γένεσιν καὶ φθοράν. τοῦτο δὲ ὅτι ταῦτα πάντα, τῷ χρόνῳ κρίνεται καὶ λαμβάνει τελευτὴν καὶ ἀρχὴν, ὥσπερ ἂν εἰ κατά τινα περίοδον. καὶ γὰρ ὁ χρόνος αὐτὸς, εἶναι δοκεῖ κύκλος τίς. τοῦτο δὲ πάλιν δοκεῖ, διότι τοιαύτης φορᾶς ἐστὶ μέτρον. καὶ μετρεῖται αὐτὸς ὑπὸ τοιαύτης. ὥστε τὸ λέγειν εἶναι τὰ γινόμενα τῶν πραγμάτων κύκλον, τὸ λέγειν ἐστὶ τοῦ χρόνου εἶναί τινα κύκλον. τοῦτο δὲ, ὅτι μετρεῖται τῇ κυκλοφορείᾳ. παρὰ γὰρ τὸ μέτρον, οὐδὲν ἄλλο παρεμφαίνεται τὸ μετρούμενον. ἀλλ᾽ ἢ πλείω μέτρα, τὸ ὅλον.

Ε ἴωθεν ἀριστοτέλης τοῖς ἐπιχειροῦσι μὲν εἰς τὴν τῆς ἀληθείας γνῶσιν, μὴ καταδραττομένοις δὲ αὐτῆς ἀκριβῶς βοηθεῖν, πολλάκις εὔλογον πρόφασιν τῆς παραγωγῆς λέγων. ἅμα δὲ καὶ τὸν ἑαυτοῦ συνίστησι λόγον, διὰ τοῦ δεικνύναι καὶ τοὺς ἐσφαλμένους εἰς τοιοῦτό τι βλέποντας ἀποσφαλῆναι. παρατίθεται οὖν πρώτους μὲν τοὺς λέγοντας χρόνον εἶναι τὴν κυκλοφορείαν. ἔχοι γὰρ ἄν τινα λόγον, ἐπείπερ ταύτῃ αἵ τε κινήσεις πᾶσαι μετροῦνται καὶ ὁ χρόνος. εἶτα καὶ τὸ εἰωθὸς λέγεσθαι τὸ κύκλον εἶναι τὰ ἀνθρώπινα πράγματα, ἢ καὶ τὰ πάντων πράγματα τῶν ἐν γενέσει καὶ φθορᾷ, συμβαῖνον δείκνυσι τοῖς εἰρημένοις περί τε τοῦ χρόνου καὶ τῆς κυκλοφορείας. διότι πάντα ταῦτα χρόνῳ κρίνεται, καὶ τὴν ἀρχὴν τὴν ἑαυτῶν καὶ τὸ τέλος ἔγχρονον ἔχοντα. ὁ δὲ χρόνος κύκλος εἶναι διότι καὶ μέτρον κυκλοφορείας ἐστὶν αὐτὸς, καὶ μετρεῖται ὑπὸ κυκλοφορείας. ὥστε τὸ λέγειν κύκλον εἶναι τὰ πράγματα, ταυτόν ἐστι τῷ λέγειν εἶναί τινα τοῦ χρόνου κύκλον. τοῦτο δὲ διότι μετρεῖται τῇ κυκλοφορείᾳ. εἰ οὖν τὸ μετρούμενον οὐδενὶ δοκεῖ τοῦ μετροῦντος διαφέρειν ἢ μόνῳ τῷ πλήθει, τὸ γὰρ μετρούμενον πολλὰ τὰ μετροῦντά ἐστι, καὶ γὰρ τὸ ὑπὸ πήχεος μετρούμενον τῷ πολλοὺς πήχεις εἶναι τοῦ πήχεος διαφέρει, καὶ ὁ χρόνος ὑπὸ κύκλου μετρούμενος κύκλος ἂν εἴη καὶ αὐτὸς πολλάκις. κἂν γὰρ ἄλλο τι τὸ ὑποκείμενον τοῖς μέτροις ἐστὶ, τῷ τε μετροῦντι καὶ τῷ μετρουμένῳ, οἷον εἰ ὁ μὲν μετρῶν πῆχυς χαλκοῦς ἐστιν, ὁ δὲ μετρούμενος ξύλινος. ἀλλ᾽ αὐτό γε τοῦτο καθὸ ὁ μὲν μετρεῖ, ὁ δὲ μετρεῖται, τὸ αὐτὸ πῆχυς. ταυτὸν δὲ εἰπεῖν μῆκος τοσόνδε ὥσπερ καὶ κύκλος τοσόσδε.

Λ ΕΓΕΤΑΙ δὲ ὀρθῶς καὶ ὅτι ὁ ἀριθμὸς μὲν ὁ αὐτὸς ὁ τῶν προβάτων καὶ τῶν κυνῶν εἰ ἴσος ἑκάτερος. δεκὰς δὲ, οὐχ ἡ αὐτή. οὐδὲ δέκα τὰ αὐτά ὥσπερ οὐδὲ τρίγωνα τὰ αὐτὰ, τὸ ἰσόπλευρον, καὶ τὸ σκαληνόν. καίτοι σχῆμά γε τὸ αὐτὸ, ὅτι τρίγωνα ἄμφω. ταυτὸν γὰρ λέγεται, οὗ μὴ διαφέρει διαφορᾷ. ἀλλ᾽ οὐχὶ οὗ διαφέρει. οἷον τρίγωνον τριγώνου διαφορᾷ διαφέρει. τοιγαροῦν ἕτερα τρίγωνα. σχήματος δὲ σχήματος, οὔ. ἀλλ᾽ ἐν τῇ αὐτῇ διαιρέσει καὶ μιᾷ. σχῆμα γὰρ τὸ μὲν τοιόνδε, κύκλος. τὸ δὲ τοιόνδε, τρίγωνον. τούτου δὲ τὸ μὲν τοιόνδε, ἰσόπλευρον. τὸ δὲ τοιόνδε σκαληνόν. σχῆμα μὲν οὖν τὸ αὐτὸ καὶ τοῦτο. τρίγωνον γάρ. τρίγωνον δ᾽ οὐ τὸ αὐτὸ καὶ ὁ ἀριθμὸς δὴ ὁ αὐτός. οὐ γὰρ διαφέρει ἀριθμοῦ διαφορᾷ, ὁ ἀριθμὸς αὐτῶν. δεκὰς δὲ, οὐχ ἡ αὐτή. ἐφ᾽ ὧν γὰρ λέγεται διαφέρει. τὰ μὲν γὰρ κύνες τὰ δ᾽ ἵπποι. καὶ περὶ μὲν χρόνου καὶ αὐτοῦ καὶ τῶν περὶ αὐτὸν οἰκείων τῇ σκέψει εἴρηται.

Τ ὸ μὲν λεγόμενον τοῦτο ἐστὶν, ὅπερ καὶ πρότερον εἴρηται. ὅτι ὥσπερ ἀριθμὸς ὁ αὐτός ἐστι τῶν ἴσων καὶ διαφερόντων ἀριθμῶν, οἷον ἑπτὰ ἵππων καὶ ἑπτὰ κυνῶν ἡ ἑβδομὰς, οὕτω καὶ ὁ χρόνος ἀριθμὸς καὶ αὐτὸς ὢν, εἷς καὶ ὁ αὐτός ἐστι τῶν διαφερουσῶν καὶ ἅμα οὐσῶν κινήσεων. τέθεικε δὲ αὐτὸ πάλιν, οὐχ ὅτι περιττολογεῖν εἴωθεν ἀριστοτέλης. ἀλλ᾽ ἅμα μὲν ἀκριβέστερον ἐπιχειρεῖ περὶ αὐτοῦ διαρθρῶσαι, πολλὴν ἔνστασιν ἔχοντος. ἅμα δὲ καὶ τοῦτο τοῖς ἀπὸ τῶν ἄλλων συμφωνουμένοις συνέταξε. πρόδηλον γὰρ δοκεῖ ὅτι ὁ αὐτὸς ἀριθμός ἐστι τῶν ἑπτὰ κυνῶν, κἂν διαφέρῃ ταῦτα κατὰ τὸ ὑποκείμενον. τεκμαίρομαι δ᾽ ὅτι καὶ ἀπὸ τοιαύτης ἐννοίας τὰ αὐτὰ πάλιν ἀνέλαβε. καὶ ἐκ τοῦ λέγεται δὲ ὀρθῶς, καὶ ὅτι ἀριθμὸς μὲν ὁ αὐτὸς ὁ τῶν προβάτων καὶ τῶν κυνῶν, εἰ ἴσος ἑκάτερος, δεκὰς δὲ οὐχ ἡ αὐτή, οὐδὲ δέκα τὰ αὐτά. διδάσκει δὲ ἡμᾶς φησὶν ὁ ἀλέξανδρος διὰ τούτων, τίνι χρὴ κρίνειν τῶν ὑπό τι ταυτὸν ὄντων, τὰ διαφέροντα ἀλλήλων καὶ τὰ ταυτά. ὅσα μὲν γὰρ μὴ διαφέρει οἰκείᾳ διαφορᾷ τούτου, καθὸ λέγεται τάδε τινὰ, ταῦτα τὰ αὐτά ἐστιν ἀλλήλοις κατὰ τοῦτο. ὅσα δὲ διαφέρει οἰκείᾳ διαφορᾷ ἐκείνου, ἕτερα κατὰ τοῦτο. τὸ γὰρ τρίγωνον τὸ ἰσόπλευρον καὶ τὸ ἰσοσκελὲς, ἔστι μὲν καὶ σχήματα, ἔστι δὲ καὶ τρίγωνα. ἀλλὰ σχήματα μὲν τὰ αὐτά ἐστιν ἀλλήλοις. ἐπεὶ μὴ διαφέρει προσεχῶς σχήματος διαφορᾷ. σχήματος γὰρ διαφοραὶ εὐθύγραμμον καὶ περιφερόγραμμον. τὰ δὲ τρίγωνα πάντα ὑπὸ τὴν αὐτὴν τοῦ σχήματος διαφορὰν τέτακται. εὐθύγραμμα γάρ ἐστι. καὶ ἔτι μέντοι ὑπὸ τριῶν εὐθειῶν περιέχεται. τρίγωνα μέντοι οὐκέτι τὰ αὐτά. τριγώνου γὰρ διαφορᾷ διαφέρει ἀλλήλων. τοῦ γὰρ τριγώνου καθὸ τρίγωνον διαφορὰ τὸ ἰσόπλευρον καὶ ἰσοσκελὲς καὶ τὸ σκαληνόν. καὶ ὁ ἀριθμὸς δὴ τῶν ἴσων κατ᾽ ἀριθμὸν οὐ διαφερόντων ἀριθμοῦ διαφορᾷ, ὁ αὐτὸς κατ᾽ ἀριθμόν ἐστιν. οἷον ἡ προβάτων καὶ κυνῶν ἑβδομάς. ἀριθμοῦ μὲν γὰρ διαφορὰ τὸ περιττὸν καὶ τὸ ἄρτιον. καὶ τούτων ἑκατέρου τὸ ἐκ τόσων καὶ τόσων μονάδων. ὁ δὲ ἑπτὰ ἐφ᾽ ὧν ἂν λέγηται ὁ αὐτὸς καὶ ἀδιάφορος ἀριθμός

ἐστι, κατὰ τὸ εἶναι ἀριθμός. τὰ μέντοι ἀριθμούμενα, οἷον τὰ ἑπτὰ πρόβατα, καὶ οἱ ἑπτὰ κύνες, καὶ ἡ κατ' αὐτὰ ἑβδομὰς, οὐχ ἡ αὐτή. ἄλλα γὰρ τὰ πρόβατα, καὶ ἄλλοι οἱ κύνες, ἅπερ ἦν ἀριθμούμενα. οὕτω δὲ καὶ ἄνθρωπος καὶ ἵππος, οὐσίαι μὲν αἱ αὐταί. οὐ γὰρ διαφέρουσιν ἀλλήλων οὐσίας διαφορᾷ. οὐσίας γὰρ διαφοραὶ ἔμψυχον καὶ ἄψυχον. καὶ ἔστι τὰ εἰρημένα ἡ ἔμψυχα οὐσία. ζῶα μέντοι οὐ τὰ αὐτά. ἐπεὶ ζώου διαφορᾷ διαφέρουσιν ἀλλήλων. τὸ γὰρ λογικὸν καὶ ἄλογον ζώου διαφοραί. πάλιν πλάτων καὶ σωκράτης καθὸ ζῶα οἱ αὐτοί. ἐπεὶ μὴ διαφέρουσιν ἀλλήλων ζώου διαφορᾷ. ἄνθρωποι μέντοι οὐχ οἱ αὐτοί. καθ' ἃ γὰρ ἄνθρωποι διαφέρειν ἀλλήλων πεφύκασι, κατὰ ταῦτα καὶ οὗτοι διαφέρουσιν ἀλλήλων. ὁμοίως δὴ καὶ τὰ δέκα πρὸς τὰ δέκα ἔχει. ἀριθμὸς μὲν ὁ αὐτός. οὐ γὰρ ἀριθμοῦ διαφορᾷ διαφέρει τὰ δέκα τῶν δέκα. ἄρτια γάρ. ἀλλ' οὐδὲ ἀρτίου ἀριθμοῦ διαφορᾷ διαφέρει, ἥ τις ἂν εἴη κατὰ τὸ ἐκ πλειόνων ἢ ἐλαττόνων συγκεῖσθαι μονάδων. τὰ μέντοι ὑποκείμενα αὐτοῖς, καὶ ὧν κατηγορεῖται, ταῦτα δὲ ἐστι τὰ ἀριθμούμενα, ἕτερα ἢ γένει, ἢ εἴδει, ἢ ἀριθμῷ. διὸ οὐκέτι δεκὰς ἡ αὐτή, οὐδὲ δέκα τὰ αὐτά. ἀμφοτέρως γὰρ λέγεται τὰ ἠριθμημένα. καὶ ὁ χρόνος δὴ ὁ ἐνεστὼς πανταχοῦ ὁ αὐτός. οὐ γὰρ διαφέρει χρόνου διαφοραῖς ἐν ἀσίᾳ καὶ εὐρώπῃ ὢν ἅμα. χρόνου γὰρ διαφοραὶ μόναι ὁ παρῳχηκὼς καὶ ὁ μέλλων. οὐ γὰρ αἱ τοῦ χρόνου διαφοραὶ κατὰ τὰς τῶν κινήσεων διαφοράς. οὐ γὰρ ὡς ἄλλην καὶ ἄλλην ἀριθμοῦμεν τὰς ἅμα οὔσας. κινήσεις μέντοι οὐχ αἱ αὐταὶ ὧν ἀριθμὸς ὁ χρόνος, ἐὰν ἡ μὲν ἀλλοίωσις ᾖ, ἡ δὲ φορά. αὗται γὰρ κινήσεων διαφοραί. ἐν δὴ τούτοις ἐπιστῆσαι χρή, πρῶτον μὲν τίνι διαφέρει ὁ κανὼν οὗτος τῆς ταυτότητος καὶ ἑτερότητος, τοῦ συνήθως λεγομένου, τοῦ τῷ γένει ἢ εἴδει ἢ ἀριθμῷ τὰ ταυτὰ καὶ ἕτερα διακρίνοντος, ἤτοι ἓν καὶ πολλά. ἐπὶ μὲν τούτου, γένει λέγομεν καὶ εἴδει τὰ αὐτὰ καὶ ἕν, ὧν τὸ αὐτὸ γένος καὶ εἶδος κατηγορεῖται. ὡς ἄνθρωπος καὶ ἵππος γένει ἕν, ὅτι ἄμφω ζῶα. εἴδει δὲ σωκράτης καὶ πλάτων, ὅτι ἄνθρωποι ἄμφω. ἀριθμῷ δὲ τὸ αὐτὸ ἕν, οὗ μονὰς κατηγορεῖται ἡ αὐτὴ καὶ μία. ἐπὶ δὲ τοῦ νῦν παραδοθέντος κανόνος, ἐάν τινων δυοῖν ἢ πλειόνων τὸ αὐτὸ ὄνομα κατηγορῆται, ταυτὰ μὲν λέγεται κατ' ἐκεῖνο, ὅταν μὴ διαφέρῃ ταῖς ἐκείνου διαφοραῖς. διάφορα δὲ ὅταν διαφέρῃ. τὸ γοῦν ἰσόπλευρον καὶ τὸ σκαληνὸν τρίγωνον, σχήματα μὲν τὰ αὐτά. ὅτι οὐ διαφέρει ταῖς διαφερούσαις τὸ σχῆμα διαφοραῖς. αὗται δέ εἰσι τὸ εὐθύγραμμον καὶ τὸ περιφερόγραμμον καὶ μικτὸν εἰ βούλει. ἄμφω γὰρ τὰ τρίγωνα εὐθύγραμμά ἐστιν, ἢ ἐκ τριῶν εὐθειῶν συνέστηκε. τρίγωνα μέντοι οὐ τὰ αὐτά ἐστιν, ἀλλὰ διάφορα. ὅτι τριγώνου διαφοραῖς διενήνοχε τῷ ἰσοπλεύρῳ καὶ ἰσοσκελεῖ καὶ σκαληνῷ. ταύταις γὰρ διαιρεῖται τὸ τρίγωνον. ὥστε καὶ τῶν ἐν τῷ προτέρῳ κανόνι τῶν αὐτῶν λεγομένων κατὰ γένος καὶ κατ' εἶδος, οἷον τῶν τριγώνων, ἐνταῦθα τὶς εὕρηται διαφορά. διότι ἐκεῖ μὲν ἡ ταυτότης κατὰ τὴν τοῦ κοινοῦ γένους ἢ εἴδους ἐλέγετο μέθεξιν. καὶ ἡ διαφορὰ κατὰ τὴν ἄλλου καὶ ἄλλου εἴδους ἢ γένους. ἐνταῦθα δὲ ἡ μὲν ταυτότης κατὰ τὸ ἐν τῇ αὐτῇ διαφορᾷ τοῦ κοινῶς κατηγορουμένου περιέχεσθαι. τρίγωνα γοῦν τὰ αὐτὰ λέγομεν τὰ ἰσόπλευρα πάντα. καὶ ζῶα τὰ αὐτὰ τὰ λογικά. ἡ δὲ κατά τι ἑτερότης, ὅταν κατὰ τὰς διαφορὰς τοῦ κοινῶς κατηγορουμένου διαφέρῃ. τὸ γὰρ ἰσόπλευρον τοῦ σκαληνοῦ ὡς τρίγωνον τριγώνου διαφέρει. ὅτι ταῖς τοῦ τριγώνου διαφοραῖς διαφέρουσιν ἀλλήλων. ὥστε ἐκεῖ μὲν ἡ ταυτότης καὶ ἑτερότης κατὰ τὸ γένος ἦν καὶ τὸ εἶδος. ἐνταῦθα δὲ κατὰ τὰς διαφοράς. μή ποτε δὲ καὶ κατὰ τὸ εἶδος εὐθύς. αἱ γὰρ ἕτεραι διαφοραὶ μετὰ τοῦ αὐτοῦ γένους ἕτερα καὶ τὰ εἴδη ποιοῦσιν. ἐκ δὴ τῶν εἰρημένων οἶμαι φανερὸν γέγονεν, ὅπως ὁ ἀριστοτέλης τὸ νῦν τὸ κατὰ τὸν ἐνεστῶτα, κἂν διάφορα ᾖ τὰ ἐν αὐτῷ, τὸ αὐτό φησιν εἶναι, ὡς μὴ διαφέρον ταῖς τοῦ νῦν διαφοραῖς. ὥστε τό γε πρότερον καὶ ὕστερον διαφέροντα ταῖς τοῦ νῦν διαφοραῖς, οὐκέτι τὰ αὐτά εἰσι νῦν. ὥσπερ τὰ μὲν ἰσόπλευρα καὶ τὰ ἰσοσκελῆ οὐκ ἔστι τὰ αὐτὰ τρίγωνα, ὅτι διαφέρει ταῖς τοῦ τριγώνου διαφοραῖς. τὰ δὲ ἰσόπλευρα τὰ αὐτά, ὅτι μὴ διαφέρει τριγώνου διαφοραῖς. καίτοι τῷ ἀριθμῷ καὶ ταῦτα διενήνοχεν, οὐχ ὡς ἀριθμοῦ διαφορᾷ διαφέροντα, ἀλλ' ὡς κατὰ μονάδας διωρισμένα. εἰ δὲ καὶ αἱ μονάδες μηδεμιᾷ διαφορᾷ διαφέρουσιν ἀλλήλων, τῷ μηδὲν ἄλλο εἶναι ἢ μονάδες, ὥσπερ αἱ τοῦ μοναδικοῦ ἀριθμοῦ μονάδες, οὐκ ἂν οὐδ' ἀριθμῷ λέγοιντο διαφέρειν ἀλλήλων. σωκράτης μὲν γὰρ καὶ πλάτων τῷ γένει καὶ τῷ εἴδει οἱ αὐτοὶ λεγόμενοι, ὅτι καὶ ζῶα ἄμφω καὶ ἄνθρωποι, τῷ ἀριθμῷ διαφέρειν ἀλλήλων λέγονται, ὅτι διάφοροι μονάδες εἰσί, συμβεβηκόσι πολλοῖς διαφέρουσαι. εἴπερ ὁ μὲν σωφρονίσκου καὶ φαιναρέτης υἱὸς ἦν, ὁ δὲ ἀρίστωνος καὶ περικτιόνης. καὶ ὁ μέν, σιμὸς προγάστωρ ἐξόφθαλμος. ὁ δέ, εὐρὺς πλατὺς τὸ σῶμα καὶ εὐόφθαλμος. καὶ ὁ μὲν, διδάσκαλος πλάτωνος. ὁ δὲ μαθητὴς σωκράτους. καὶ κατὰ τὰς τῶν πράξεων διαφοράς. καὶ αἱ τῶν νῦν οὖν μονάδες τῶν κατὰ τὸ ἐνεστὼς λαμβανομένων, καθόσον μὲν ὡς νῦν λαμβάνονται, ἀδιάφοροι καὶ αἱ αὐταί εἰσιν, ὡς ἐν τῷ μοναδικῷ ἀριθμῷ μονάδες. εἰ δέ τις μετὰ τῶν ὑποκειμένων εἰδῶν αὐταῖς συμβεβηκότων διαφορὰς προλογίζοιτο, διαφέρειν ἂν λέγοι τῷ ἀριθμῷ, τὸ μέντοι πρότερον καὶ ὕστερον νῦν, ταῖς τοῦ εἴδους τοῦ νῦν διαφοραῖς διενηνόχασιν. ὥστε ὅταν τὰ νῦν τὰ αὐτὰ λέγῃ ὁ ἀριστοτέλης, ἢ τὸν χρόνον, ἐν οἷς φησι, καὶ ὁ αὐτὸς δὲ πανταχοῦ ἅμα, καὶ ἐν ἄλλοις, ὁ αὐτὸς δὲ χρόνος ὁ ἴσος καὶ πᾶς

ἅμα, ἔλεγε δὲ εἷς καὶ ὁ μὴ ἅμα, δηλονότι τὸν αὐτὸν καὶ οὐχ λέγει τὸν μὴ διαφέροντα ταῖς τοῦ νῦν διαφο-
ραῖς. καὶ χρόνος δὲ τοιοῦτος ὁ ἀεὶ ἐνεστὼς ἴσος. ὁ γὰρ πρότερος καὶ ὕστερος ἔλεγε μόνον εἷς ἐστιν, οὐχ ὅτι ταῖς τῶν
αὐτοῦ εἴδους διαφοραῖς διενηνόχασιν. οὕτω γὰρ οὐκ ἂν ἦσαν εἷς καὶ ὁ αὐτός. ἀλλ᾽ ὅτι τοῦ αὐτοῦ εἴδους ὄντες τοῦ
νῦν, ἢ τοῦ χρόνου, μετέχουσι. ταῦτα μὲν οὖν ἀρκείτω πρὸς ἑρμήνειαν τῶν ὑπ᾽ ἀριστοτέλους περὶ τοῦ χρόνου
λεγομένων. ἑκάστοις δὲ ἀπὸ ἀρχῆς ἄχρι τέλους τῶν ὑπὸ αὐτοῦ ῥηθέντων παρακολουθῶν, τὴν δυνατὴν
ἐποιησάμην διάρθρωσιν. ἐπειδὴ δὲ οὐ τοῦτο πρόκειται μόνον τέλος ἡμῖν τῆς φιλομαθοῦς γυμνασίας,
τὸ τὴν ἀριστοτέλους δόξαν ἥτις ποτέ ἐστι περὶ χρόνου μαθεῖν, ἀλλὰ μᾶλλον τί ποτέ ἐστιν ὁ χρόνος κατὰ μα-
θεῖν, οὕτω δὲ οἶμαι καὶ τὴν ἀριστοτέλους ἔννοιαν τὴν περὶ χρόνου ἐπιτυχέστερον γνωσόμεθα, τοῦτο συντόμως
διευκρινήσωμεν. μετὰ δὲ τοῦτο καὶ τῶν περὶ χρόνου φιλοσοφησάντων τὰς ἐννοίας ἐπισκεψώμεθα. τοῦ
δὲ ἀριστοτέλους ἐν ἀρχῇ τοῦ λόγου δριμέως ἐπιχειρήσαντος εἰς τὸ μὴ εἶναι τὸν χρόνον, καὶ τὰ ἐπι-
χειρήματα μὴ λύσαντος ἐκεῖνα, καλῶς ἂν ἔχοι πρὸς τῷ τέλει καὶ αὐτὰ διαλῦσαι κατὰ τὸ δυνα-
τόν. τέλος γὰρ οὐκ ἂν ἄλλως ὁ περὶ χρόνου λόγος ἀπολαμβάνοι. ἡ μὲν οὖν ἑνιαία καὶ ἡνωμένη φύσις ἐν
ἁπλότητι μένουσα, πάσης ὑπερανέχει διακρίσεως. καὶ ἡ μὲν ἕν ἐστιν. ἡ δὲ, κεκράτηται τῷ ἑνὶ, ὀλί-
γον τι τοῦ ἑνὸς παραλλάξασα πρὸς τὸ ἓν ὂν εἶναι. καὶ οὐδὲ τὸ εἶναι τοῦ ὄντος ἐκεῖ διακέκριται.
ὅπου δὲ ὡς ἡνωμένοις ὅλως ἀνεφάνη διάκρισις, ἐκεῖ καὶ πλῆθος ἀνεφάνη μετὰ τοῦ ἑνὸς, καὶ ὅλον καὶ
μέρη γέγονε. καὶ τῶν ἐνθάδε ἄλλων ἀλλαχοῦ διαστάντων προϋπογραφή τις ἐξέλαμψε. καὶ τὸ εἶναι
ἄλλο γέγονε παρὰ τὸ ὄν. ὅπου δὲ διάκρισις ὁπωσοῦν, εὐθὺς ἔδει καὶ μέτρον εἶναι τῆς διακρίσεως. ἵνα
μὴ τοῦ ἑνὸς ἐκστάντα, πρὸς ἀοριστίαν ὑπενεχθῇ. διὸ τὸ μὲν πλῆθος ἐμετρήθη τῷ ἀριθμῷ. ἵνα μὴ ἀνά-
ριθμον καὶ ὄντως ἄπειρον καὶ ἀόριστον ᾖ. ἡ δὲ κατὰ συνέχειαν διάστασις ἐμετρήθη μεγέθους ὅρῳ. καθ᾽ ὃν
τοσόνδε τι καὶ τὸ συνεχὲς ὥσπερ τὸ διωρισμένον γινόμενον, ἔστησε τὴν ἐπὶ ἄπειρον ἔκστασιν. ὁμοίως
δὲ καὶ ἡ τῶν μερῶν ἄλλου ἀλλαχοῦ διάκρισις, εὐθετισμοῦ καὶ τάξεως ἐδεήθη τῆς τοπικῆς. καὶ ταῦτα
μὲν τῆς κατὰ τὴν οὐσίαν καὶ τὸ ὂν διακρίσεώς ἐστι τὰ μέτρα. ἐπειδὴ δὲ καὶ τὸ εἶναι τοῦ ὄντος ὡς ἐν
ἐκείνοις διεκρίθη, οἷον βίος τις τοῦ ὄντος γινόμενον παρατεταμένος, ἔμεινε δὲ ὅμως ἐν τῷ ἑνὶ ὄντι,
διότι καὶ ἡ ἐνέργεια ἐν τῇ οὐσίᾳ, τῇ γοῦν οὐσίᾳ ἐστὶν ἐνέργεια τὰ ἐκεῖ, ὡς καὶ ἀριστοτέλης ἐνθέως θεα-
σάμενος ἀνεφθέγξατο, μέτρον ἔσχε κατὰ τοῦτο τὸν αἰῶνα, συνάγοντα τὴν τοῦ εἶναι παράτασιν εἰς
τὴν ἀκίνητον ἐν τῷ ἀεὶ ὄντι μονήν. καὶ οὕτω μὲν τῆς νοητῆς τετραχῇ γινομένης διακρίσεως, τὰ τέσσα-
ρα ταῦτα ἀνεφάνη μέτρα, ἀριθμὸς, μέγεθος, τόπος, αἰών. τὸ δὲ αἰσθητὸν ἀπὸ τοῦ νοητοῦ προελθὸν, καὶ
τὸ γενητὸν ἀπὸ τοῦ ὄντος κατ᾽ ἐκτροπήν τινα καὶ παράλλαξιν, οὐ γὰρ ἔμεινεν ἐν ὑφειμένοις τοῦ ὄντος
μέτροις, ἀλλὰ τῷ μὴ ὄντι συναναφυρὲν ἀγαπῆσαν πρὸς τὸ ὁπωσοῦν εἶναι, τὴν ἀπὸ τοῦ ὄντος ἐν τῷ
μὴ εἶναι παράχρωσιν, διὸ καὶ εἰκὼν ὑπέστη τοῦ ὄντος τὸ γινόμενον, εἰκότως οὖν καὶ τὴν διάκρισιν οὐκ
εἰδητικὴν ἔσχεν ὥσπερ ἐκεῖ, ἑκάστου μὴ μόνον ἡνωμένου τοῖς ἄλλοις πᾶσιν, ἀλλὰ καὶ ὄντος ὅπερ
τὰ ἄλλα. παθητικὴν δὲ μᾶλλον τὴν διάκρισιν ἡ γένεσις ἀνεδέξατο, ἀπὸ τῆς ἀμερίστου φύσεως εἰς με-
ρισμὸν ὑπελθοῦσα. καὶ διὰ τοῦτο ὁ μὲν τοῦ πλήθους ἐκεῖ διορισμὸς, ἐνταῦθα διασπασμὸς γέγονεν.
ἡ δὲ ἐκεῖ συμφυὴς ἑνότης, ἐνταῦθα διεστῶσα συνεχὼς ποσότης ἔνυλος ἀναπέφανται. καὶ ἡ τῶν
μερῶν ἐκεῖ διάκρισις, ἐνταῦθα ἄλλων ἀλλαχοῦ διάρριψις ἀπετελέσθη. οὕτω δὲ καὶ ἡ τοῦ εἶναι παρά-
τασις εἰδητικῶς ἐκεῖ διακριθεῖσα τοῦ ὄντος, μείνασα δὲ ἐν τῷ ἑνὶ ὄντι καθ᾽ ὑπόστασιν, ἐνταῦθα πα-
ρετάθη καθ᾽ ὕπαρξιν, ἐν κινήσει τῇ γενεσιουργῷ τὸ εἶναι λαχοῦσα. τοιγαροῦν καὶ τὰ μέτρα τῶν πα-
θητικῶν διακρίσεων γενητὴν ἔσχε καὶ αὐτὰ τὴν ὑπόβασιν. ἀριθμός τε ταῖς μονάσι διεσπασμένος.
καὶ μεγεθικὸν μέτρον διεστώς. καὶ τόπος συμμεμετρημένος. καὶ χρόνος ῥέων τε καὶ τῷ προτέρῳ καὶ
ὑστέρῳ διωρισμένος. καὶ οὕτω δή τι καὶ ταῦτα τῆς γενέσεως μετέχειν, ὡς καὶ αὐτὰ δοκεῖν μέτρων
προσδεῖσθαι. καὶ γὰρ ὁ ἀριθμὸς ὁ ἐνταῦθα ἠριθμῆσθαι δοκεῖ. καὶ τὸ μεγεθικὸν μέτρον οἷον ὁ πῆχυς
μεμετρῆσθαι. καὶ τὰ τοῦ τόπου μέρη τάξεως καὶ αὐτὰ καὶ εὐθετισμοῦ καὶ τοπισμοῦ δεῖσθαι. καὶ ὁ
χρόνος ἐν χρόνῳ εἶναι ὡς προϊόντες εἰσόμεθα. παραιτοῦμαι δὲ ἐνταῦθα τὸν ἐμαυτοῦ καθηγεμόνα δα-
μάσκιον, οὐ τέσσαρα βουλόμενον εἶναι τὰ μέτρα, ἀλλὰ τρία, ἀριθμὸν καὶ τόπον καὶ χρόνον, ἐν τοῖς
περὶ ἀριθμοῦ καὶ τόπου καὶ χρόνου γεγραμμένοις αὐτῷ συγγράμμασιν. ὥσπερ γὰρ τοῦ πλήθους ὁ
ἀριθμὸς μέτρον, οὕτω τοῦ μεγέθους φησὶν ὁ τόπος. καίτοι ἐναργῶς οἶμαι δῆλον, ὅτι ἄλλο μὲν τὸ μέτρον
καὶ ὁ ὅρος ἐστὶ, καθ᾽ ὃ δίπηχυ ἢ τρίπηχυ λέγομεν εἶναί τι. καὶ ἄλλο τὸ κατὰ τὸν εὐθετισμὸν, καθ᾽ ὃ τὸ
μὲν ἄνω τῶν μορίων, τὸ δὲ κάτω, καὶ τὸ μὲν, δεξιὰ, τὸ δ᾽ ἀριστερά. ἔστιν οὖν ὁ χρόνος μέτρον τῆς τοῦ
εἶναι ῥοῆς, εἶναι δὲ λέγω οὐ τοῦ κατὰ τὴν οὐσίαν μόνον, ἀλλὰ καὶ τοῦ κατὰ τὴν ἐνέργειαν. καὶ θαυμα-
στῶς ὁ ἀριστοτέλης εἶδέ τε τοῦ χρόνου τὴν φύσιν, καὶ ἐξέφηνεν εἰπὼν, ὅτι καὶ τῇ κινήσει καὶ τοῖς
ἄλλοις τοῦτό ἐστι τὸ ἐν χρόνῳ εἶναι, τὸ μετρεῖσθαι αὐτῶν τὸ εἶναι ὑπὸ τοῦ χρόνου. ὥσπερ δὲ ἡ κίνησις οὐ
κατὰ τὰ ἀμερῆ γίνεται, οὐδὲ γὰρ σύγκειται ἐκ κινημάτων, οὐδὲ γὰρ ἡ γραμμὴ ἐκ στιγμῶν, ἀλλὰ
τὰ μὲν πέρατα καὶ τῆς γραμμῆς καὶ τῆς κινήσεως ἀμερῆ ἐστι, τὰ δὲ μέρη αὐτῶν ἐξ ὧν σύγκειται
συνεχῆ ὄντα οὐκ ἔστιν ἀμερῆ ἀλλὰ μεριστά, οὕτω δὲ καὶ τοῦ χρόνου τὰ μὲν ὡς πέρατα τὰ νῦν ἀμερῆ

ἐστι, τὰ δὲ ὡς μέρη οὐκέτι. συνεχὴς γὰρ ὢν ὁ χρόνος, διαιρούμενα ἔχει καὶ αὐτὸς τὰ μέρη εἰς ἀεὶ διαι-
ρετά. ὥστε κἂν ἐν συνεχεῖ ῥοῇ ἥ τε κίνησις καὶ ὁ χρόνος, οὐκ ἔστιν αὐθυπόστατος ἀλλ' ἐν τῷ γίνεσθαι
τὸ εἶναι ἔχει. τὸ δὲ γίνεσθαι οὐ τὸ μὴ εἶναι ἁπλῶς ἐστιν, ἀλλὰ τὸ ἄλλοτε ἐν ἄλλῳ μέρει τοῦ εἶναι ὑφί-
στασθαι. ὥσπερ γὰρ ὁ αἰὼν αἴτιός ἐστι τοῦ κατὰ τὸ εἶναι μένειν ἐν τῷ ἑαυτοῦ ἑνὶ ὄντι, τὴν νοητὴν διαί-
ρεσιν ἀπομένειν ἀπὸ τοῦ οἰκείου ἑνὸς ὄντος, οὕτως ὁ χρόνος αἴτιος τοῦ χορεύειν περὶ τὸ νοητὸν ἐν τοῦ
εἴδους ἀπαύγασμα, τὸ εἰς αἴσθησιν ἐκεῖθεν ὑπελθόν, καὶ τεταγμένην ἔχον τὴν τῆς χορείας συνέ-
χειαν. ὡς γὰρ διὰ τὸν τόπον οὐ σύγκειται τὰ μέρη τῶν διεστώτων, οὕτω διὰ τὸν χρόνον οὐ σύγκειται
τὸ εἶναι τῶν φοινικῶν, τῷ τῶν πελοποννησιακῶν εἶναι. οὐδὲ ἐν ἑκάστῳ τὸ εἶναι τοῦ βρέφους τῷ εἶναι τοῦ
νεανίσκου. καὶ δηλονότι πανταχοῦ κινήσει σύνεστιν ὁ χρόνος καὶ μεταβολῇ, συνέχων τὰ ἐν τῷ γί-
νεσθαι τὴν ὕπαρξιν ἔχοντα. ὅπερ ταυτόν ἐστι τῷ χορεύειν ποιῶν περὶ τὸ ὂν τὸ γινόμενον. καὶ ὅτι μὲν
πάντων τῶν γενητῶν καὶ πάσης γενέσεως κρατητικὸς ἐν τῷ γίνεσθαι καὶ συνεκτικὸς ὁ χρόνος,
ὅ, τε ἀεί, ὅ, τε ποτέ, καλῶς εἴρηκεν ὁ δαμάσκιος. τὸ δὲ ἑξῆς ὅτι καθ' ἑαυτὸν ἀμεταβλησίας αἴτιος
ἂν εἴη, τοῖς ὅσον ἐφ' ἑαυτοῖς ἐξισταμένοις τοῦ εἶναι ὅπερ εἰσίν, ὥστε μᾶλλον ἠρεμίας ἤπερ κινήσεως
ὁ χρόνος, ἔοικε μὲν εἰρῆσθαι διὰ τὴν τοῦ χρόνου πρὸς τὸν αἰῶνα ὁμοιότητα, καὶ τὴν ἐν τῷ γίνεσθαι
συνοχήν. ὡς γὰρ ἐκεῖνος τοῦ μένειν ἐν τῷ εἶναι αἴτιος, οὕτως ὁ χρόνος τοῦ μένειν ἐν τῷ γίνεσθαι. μή ποτε
δὲ οὐ προσήκει τὸ μένειν ὅλως τῷ χρόνῳ, ὥσπερ οὐδὲ τὸ εἶναι τῇ γενέσει. ἀλλ' ὥσπερ ἡ γένεσις ἀνέλι-
ξίς τις ἐκτετραμμένη τοῦ ὄντος γέγονεν, οὕτως ἡ περὶ τὸ ὂν χορεία ἀνέλιξις τῆς ἐν τῷ ὄντι μονῆς. ἀλλὰ
ταῦτα μὲν οὐ τοσοῦτον ἐμὲ θράττει λεγόμενα παρ' αὐτοῦ. ἐκεῖνα δὲ μᾶλλον, ἅπερ καὶ ζῶν ἔτι πολλά-
κις πρὸς ἐμὲ λέγων οὐκ ἔπειθε, τὸ εἶναι ἅμα τὸν ὅλον χρόνον ἐν ὑποστάσει. ταῦτα οὖν καὶ ἐν τοῖς περὶ
χρόνου γεγραμμένοις ἐκθέμενος, ἐπισκέψασθαι βούλομαι. τοῦ γὰρ ἀριστοτέλους εἰπόντος ὅτι ἐν χρό-
νῳ ἐκεῖνό ἐστιν, οὗ ἔστιν ἔξω χρόνον λαβεῖν, οὕτω τι περιλαμβάνεσθαι ὑπὸ τοῦ χρόνου, ἐνιστάμενος πρὸς
» ταῦτα τάδε γέγραφε. θαυμάσειε δ' ἄν τις ἔτι μεῖζον, ὡς τοῦ ἐν χρόνῳ ὄντος ἀκούσας τὸν ἀφορισμόν,
» ὅτι οὗ ἐστιν ἔξω χρόνον λαβεῖν. οὕτω γὰρ περιλαμβάνεσθαι ὑπὸ τοῦ χρόνου, ὡς κατὰ τὴν περιο-
» χὴν μετροῦντα καὶ ἀριθμοῦντα τὸν χρόνον, ὁρῶν ἔσωθεν ὄντα τοῦ περιεχομένου ὡς τὸν τόπον. καὶ
» δὴ λέγει ταῦτα καὶ αὐτός. ἀλλ' εἰ ταῦτα, πῶς πάθος τι τῆς κινήσεως χρόνος, οἷον μέτρησις. ὁ γὰρ τό-
» πος οὐ τοιοῦτος. καὶ εἰ μέτρησις, κἂν μηδὲν εἴη λαβεῖν ἔξω, μεμέτρηται καὶ ἐν χρόνῳ. παράλογον δὲ
» ἐπισυμβαίνει καὶ τοῦτο, μὴ εἶναι χρόνον τὸν σύμπαντα χρόνον. οὐ λέγω τὸ εἶδος οἷον τὴν μορφήν, ὡς
» αὐτὸς ἔφη πάντα ἅμα εἶναι τὸν χρόνον, καθάπερ εἴ τις λέγοι πάντα ἅμα τὸν ἄνθρωπον εἶναι σωκρά-
» τη. ἀλλὰ τὸν κοινὸν ἀεὶ ῥέοντα χρόνον, ὃν περιειλῆφθαι λέγει ὑπὸ τοῦ αἰῶνος. καί τοι ἀεὶ ῥέοντα
» χρόνον τοῦτον ὁμολογοῦμεν. ἐν ᾧ καὶ τὴν ἀεὶ τῶν εἰδῶν μεταβολὴν γίνεσθαι, καὶ τῶν οὐρανίων σω-
» μάτων τὴν ἀεικινησίαν. ἀλλ' ὅμως οὐκ ἐν χρόνῳ αὐταὶ κατὰ τὸν ἀφορισμόν. τοῦ γὰρ γινομένου χρό-
» νου τί ἂν ἔξωθεν εἴη νοεῖν. παράδοξον δὲ καὶ τὸ μὴ τοῦ χρόνου ὅλου τὰ μόρια χρόνον ποιεῖν. ἔδει γὰρ
» εἰ τὸ παρελθὸν καὶ ἐνεστηκὸς καὶ μέλλον χρόνου μέρη, ἢ τὸ πέρυσι καὶ τῆτες καὶ ἐς νέωτα, εἰ μέρη
» χρόνου καὶ τὸν ὅλον ἐξ αὐτῶν χρόνον ποιεῖν. οὗ ὄνομα τὸ ἀεί. ἄτοπον δὲ καὶ ἐκεῖνο τὸ ἀεὶ τοῦτον κατ' ἀ-
» ριθμὸν μὴ εἶναι ἐν χρόνῳ, διότι μὴ ῥεῖ ἡ οὐσία, μὴ δὲ πέφυκε ῥεῖν. ἀεὶ δὲ εἶναι μόνον ὡς τὸ ἀσύμμετρόν
» φησι τῆς διαμέτρου πρὸς τὴν πλευράν. καί τοι εἰ τὸ πολυχρονιώτατον ἐν χρόνῳ, διατί μὴ καὶ τὸ
» παγχρόνιον εἴ τις ὀνομάζοι καὶ τοῦτο. διατὶ δὲ τὸ μὲν πανταχοῦ οἷον τὸ πᾶν, ἢ εἰ βούλει τὸ ἐπ' οὐρά-
» νιον πᾶν ἐν τόπῳ λέγομεν, κατειληφός γε πάντα τόπον, οὗ γὰρ ὅλον τὸ πανταχοῦ, ἐνθάδε τοῦ
» χρόνου μὴ οὕτω νοοῦμεν ἐν χρόνῳ εἶναι τῷ ὅλῳ, τὸ ἀεὶ ὂν τοῦτον ἐν ταὐτῷ κατ' ἀριθμόν. ὃ γάρ ἐστι
» πρὸς τὸν τόπον τὸ πανταχοῦ, τοῦτο πρὸς τὸν χρόνον τὸ ἀεί. διατὶ δὲ τόπος μέν ἐστιν ἀΐδιος, οἷον ἡ κοίλη
» τοῦ οὐρανοῦ περιφέρεια, καὶ τὸ μέσον τοῦ κόσμου, κατὰ τοῦτον δὲ εἰπεῖν καὶ ἀριθμὸς ἀεὶ ὁ αὐτός,
» οἷον ὁ τῶν ἄστρων, χρόνος δὲ μόνος εἷς ὁ φθαρτὸς καὶ γενητός, οὐκ ἔξω πλειόνων ἀεί. καὶ γὰρ εἰ καὶ κα-
» τὰ τὸν ἀριθμόν, ἀλλ' οὐδὲ τοῦ ἀϊδίου ἀριθμοῦ ἔξω τις ἀΐδιος. πᾶς δὲ καὶ αὐτὸς ἀριθμός. ἐν δὴ τού-
τοις τὴν ὁμοιότητα τοῦ χρόνου πρὸς τὸν τόπον τοῦ ἀριστοτέλους λαβόντος, καθόσον καὶ ὁ χρόνος ὁρί-
ζει τὸ ἐν χρόνῳ καὶ περιέχει, ὥσπερ καὶ ὁ τόπος τὸ ἐν τόπῳ, καὶ ὁ ἀριθμὸς τὸ ἐν ἀριθμῷ λεγόμενον,
αὐτὸς ἀξιοῖ εἰ μὴ παντὸς τόπου ἔστιν ἔξω τόπον λαβεῖν, μὴ δὲ παντὸς χρόνου εἶναι χρόνον ἔξω λαβεῖν.
καί τοι δῆλον ὅτι διαφέρειν καὶ ὁ ἀριστοτέλης οἴεται τὸν τόπον τοῦ χρόνου, καθόσον ὁ μὲν τόπος ἅμα
εἶναι οὐ κωλύεται, ὁ δὲ χρόνος ἐν τῷ γίνεσθαι ἔχει τὸ εἶναι, ὥσπερ καὶ ἡ κίνησις. οὐ μέν τοι ὅλος ἅμα
ὑφέστηκεν. εἰ οὖν ἐν τῷ γίνεσθαι τὸ εἶναι ἔχει ὁ χρόνος ὥσπερ καὶ ἡ κίνησις, πῶς παράλογον τὸ μὴ
εἶναι ἅμα τὸν σύμπαντα χρόνον. τοὐναντίον γὰρ ἂν ἦν παράλογον ἅμα εἶναι πᾶν, τὸ ἐν τῷ γίνεσθαι
τὸ εἶναι ἔχον. εἰ οὖν μὴ ἔστι παράλογον τὸ μὴ εἶναι ἅμα πᾶσαν τὴν κίνησιν, διὰ τὸ ῥοὴν εἶναι, οὐδὲ τὸ
μὴ εἶναι ἅμα τὸν ῥέοντα χρόνον παράλογον, κἂν τὸ κοινὸν εἶδος μένῃ τῷ πάλιν καὶ πάλιν ὡς ἐνθάδε
τῆς κινήσεως. εἰ δὲ ἀεὶ ῥέοντα χρόνον λέγομεν, τὸ ἀεὶ οὐχ ὡς ἅμα ὑφεστὼς ἄπειρον, ἀλλὰ κατὰ τὸ
ἐπ' ἄπειρον λέγομεν. οὕτω γὰρ καὶ χρόνον καὶ κίνησιν ἀεὶ εἶναι λέγομεν, ὡς μηδέ ποτε ἐκλείποντα,

οὐχ ὡς ἅμα ὅλον ἔχοντα τὸ ἀεί. διττὸν γὰρ καὶ τὸ ἀεί, τὸ μὲν ἅμα ὅλον ὡς τὸ αἰώνιον, τὸ δέ, ἐν τῷ γί-
νεσθαι τὸ εἶναι ἔχον κατὰ τὸν ἀνέκλειπτον χρόνον. ἐν τούτῳ οὖν καὶ ἡ ἀεὶ μεταβολὴ τῶν εἰδῶν
γίνεται, καὶ αὕτη ῥέουσα τῷ εἶναι, κατὰ δὲ τὸ εἶδος τῷ πάλιν καὶ πάλιν μένουσα, καὶ ἡ τῶν οὐ-
ρανίων ἀεικινησία. καὶ ὥσπερ ἡ κίνησις τῶν οὐρανίων οὐχ ἅμα ὅλη ἐστίν, οὕτως οὐδὲ ὁ μετρητικὸς αὐ-
τῆς σύμπας χρόνος. καὶ διὰ τοῦτο τοῦ μὲν ἅμα ὅλου χρόνου, ἅτε μηδὲ ὑφεστηκότος, οὐκ ἔστι τι ἔξω λα-
βεῖν. τοῦ δὲ ἀεὶ ἐν ὑποστάσει ὄντος ἔστιν ἔξω λαβεῖν, διὰ τὴν τοῦ ἀεὶ τούτου ἀνέκλειπτον ῥοήν. ἀλλ' οὐδὲ
παράδοξον οἶμαι τὸ τοῦ μὴ ὅλου ἅμα ὄντος χρόνου, τὰ μόρια χρόνον ποιεῖν, οἷον τὸ παρελθὸν καὶ ἐνε-
στηκὸς καὶ μέλλον. εἰ μὲν γὰρ ἅμα εἶναι τὰ μόρια ταῦτα ἐλέγομεν, ἄτοπον ἂν ἦν τῶν μορίων ἅμα
ὄντων, μὴ καὶ τὸ ὅλον ἅμα εἶναι. εἰ δὲ οὕτως ἐστὶ μόρια, ὡς τοῦ μὲν οὐκέτι ὄντος, τοῦ δὲ μήπω ὄντος, πῶς
οἷόν τε τὸ ὅλον ἅμα εἶναι. τάχα γὰρ ἄν τις γράψας ἐναργέστερον δείξῃ τὸ παράδοξον. τοῦ γὰρ ὅλου
χρόνου ἅμα ὄντος, παράδοξον πῶς οὐχ ἅμα τὰ μόρια. καὶ εἰ μὴ ἅμα τὰ μόρια, παράδοξον εἰ ὅλως
ἅμα. τὸ δὲ ἀεὶ ὄνομα τοῦ χρόνου, οὐχ ὡς ἅμα ὄντος τοῦ ἀεί, ὅπερ καὶ πρότερον εἶπον, ἀλλ' ὡς κατὰ τὸ
ἀνέκλειπτον ἔχοντος τὸ ἀεί. ἀτόπως δέ φησιν ὑπὸ τοῦ ἀριστοτέλους τὰ ἀΐδια λέγεσθαι μὴ εἶναι ἐν
χρόνῳ, ὡς τὸ ἀσύμμετρον εἶναι τὴν διάμετρον τῇ πλευρᾷ. καίτοι εἰ μὲν τῶν ἑστώτων καὶ ἅμα ὅλων
ἐστὶ τοῦτο, δηλονότι τῶν ὄντων καὶ οὐ γινομένων ἐστὶν ὡς τὸ ἄρτιον εἶναι τὴν δυάδα καὶ τὰς ἰδέας
ἀσωμάτους. καὶ οὐκ ἂν εἴη ταῦτα ἐν χρόνῳ ἀλλ' ἐν αἰῶνι μᾶλλον. εἰ δὲ ἐν χρόνῳ, δηλονότι καὶ ἐν κινή-
σει. καὶ οὐκέτι ὅλον ἅμα ὑφεστήξεται. οὐ γὰρ ἐπειδὴ ἐν χρόνῳ γινώσκομεν ἡμεῖς τὰ ὑπὲρ χρόνον,
διὰ τοῦτο καὶ ἐν χρόνῳ ἐκεῖνα ποιήσομεν. εἰ δὲ τὸ πολυχρόνιον φησὶν ἐν χρόνῳ, διατί μὴ καὶ τὸ παγχρό-
νιον. καὶ ἔστω γε καὶ τοῦτο ἐν χρόνῳ, εἴπερ ἐν κινήσει. καὶ μὴ ἅμα ὅλον ὑφέστηκε. τοιγαροῦν ἀΐδιον τὴν
κυκλοφορίαν λέγομεν, ὡς καὶ αὐτὴν ἀνέκλειπτον, καὶ ὑπὸ χρόνου μετρουμένην ἀνεκλείπτου. ἀλλ' οὐ-
δὲ τοῦτο ἀναγκαῖον, εἰ ἔστι τι ἐν ὅλῳ τῷ τόπῳ ἅμα, ὃ πανταχοῦ λέγομεν, οἷον τὸν ὅλον σωματοειδῆ
κόσμον, εἶναι καὶ ἐν τῷ ὅλῳ ἅμα χρόνῳ τὸ ἀεὶ ὂν ταυτὸν ἐν τούτῳ κατ' ἀριθμόν. τὸν μὲν γὰρ ὅλον τό-
πον εἶναι ἅμα οὐδὲν ἄτοπον. οὐδὲ γὰρ ἐν τῷ γίνεσθαι τὸ εἶναι ἔχει ὁ τόπος ὥσπερ ἡ κίνησις. τὸν δὲ χρό-
νον πῶς δυνατὸν κινήσεως ὄντα μέτρον. ὥστε κἂν ἀνάλογον ἔχῃ τὸ πανταχοῦ πρὸς τὸ ἀεί, ἀλλὰ τὸ
μὲν ὑπομένει, τὸ δὲ ῥεῖ. καὶ εἰ ἔτυχεν ἄπειρον εἶναι τὸ πανταχοῦ, τὸ μέν, ἦν ἄπειρον μένον, τὸ δὲ ἐπ' ἄ-
πειρον. διατί δέ φησι τόπος μὲν καὶ ἀριθμὸς ἐστὶν ἀΐδιος παρὰ τοῦ φθαρτοῦ, χρόνος δὲ οὐκ ἔστιν. ἢ ἔστι
μὲν καὶ χρόνος ἀΐδιος, ἀνέκλειπτον οὖν ἀποδείκνυσι τὸν χρόνον ὁ ἀριστοτέλης, ἀλλ' ἐν τῷ γίνεσθαι τὸ
εἶναι ἔχων ὥσπερ ἡ κίνησις, καὶ τὸ ἀεὶ αὐτοῖς ὑπάρχειν, ἀλλ' οὐχ ἅμα ὅλον ὄν, ἀλλ' ἐπ' ἄπειρον προϊόν.
ἵνα δὲ συνελὼν εἴπω τὴν ἐμαυτοῦ γνώμην, εἰ ἔστι τις γένεσις καὶ κίνησις, οὐκ ἐν τῷ γίνεσθαι τὸ εἶναι
ἔχουσα, οὐδὲ ἄλλο μετ' ἄλλο ἑαυτῆς μόριον, ἀλλ' ἅμα ὅλη ὑφεστῶσα, ὡς τὴν τῆς ψυχικῆς οὐσίαν, ἢ εἰ
μὴ ταύτης, τὴν γοῦν τοῦ οὐρανίου σώματος εἴποι τις ἂν γενητὴν μὲν εἶναι, ὡς ἀπὸ μόνης αἰτίας ὑφε-
στῶσαν, καὶ κινητὴν οὕτως οὖσαν κατὰ τὴν τῆς γενέσεως κίνησιν, καθ' ἣν τοῦ ὄντως ὄντος εἰς τὸ γινό-
μενον ὑπέστη, καὶ ἀπὸ παραδείγματος εἰς εἰκόνα, εἴ τις οὖν τοιαύτην γένεσιν καὶ κίνησιν ὁρᾷ, ὡς ὁ
ἐμὸς πολλάκις διετείνατο δαμάσκιος, εἰκότως καὶ χρόνον ἅμα ὅλον ὁρᾶν φιλονεικεῖ μετρητικὸν τῆς
τοιαύτης κινήσεως, καὶ τοῦ εἶναι ἅμα ὄντος. εἰ δὲ γενητὸν ὁ πλάτων ὁρίζεται τὸ γινόμενον καὶ ἀπολ-
λύμενον, ὄντως δὲ οὐδέποτε ὄν, καὶ εἰ πᾶσα κίνησις μεταβολή, καὶ ἄλλο πάντως ἔχει μετ' ἄλλο,
οὐ χρὴ λέγειν γενητὰ ἢ κινητὰ τὰ ἅμα ὅλα ὄντα. εἰ μὴ κατά τινα τρόπον ἐνιδεῖν ἐν αὐτοῖς τὴν με-
ταβολὴν δυνατόν. καὶ οἶδα μὲν ὅτι τὸ γινόμενον καὶ ἀπολλύμενον, καὶ ἐπὶ τῶν ἀϊδίων γενητῶν
ἀμεταβλήτων δὲ κατ' οὐσίαν ἐξηγούμενος ὁ δαμάσκιος, ἔλεγε μέσην τοῦ ὄντος καὶ μὴ ὄντος τὴν τοιαύ-
την φύσιν. καὶ κατὰ μὲν τὴν εἰς τὸ ὂν ἀνάτασιν ἔλεγε γινόμενον αὐτό. κατὰ δὲ τὴν εἰς τὸ μὴ ὂν ὑπό-
βασιν ἀπολλύμενον. ἀλλὰ μήποτε τὸ μέσον οἷον ἐστὶ τὸ τῆς ψυχικῆς οὐσίας, οὐδὲ γενητόν ἐστι κυρίως,
ἀλλὰ μέσον ἀμερίστου καὶ μεριστοῦ, ταυτὸν δὲ εἰπεῖν ὄντος καὶ γενέσεως. καὶ διὰ τοῦτο μέσῳ τινὶ
αἰῶνος καὶ χρόνου μετρεῖται μέτρῳ. ὅπερ διὰ τὸ μὴ ἔχειν ἴδιον ὄνομα, ποτὲ μὲν αἰῶνα, ποτὲ δὲ χρόνον,
οἱ φιλόσοφοι καλοῦσιν. ἡ μέντοι τῶν οὐρανίων σωμάτων οὐσία, γενητὴ μὲν ὅλη. ὁρατὴ γὰρ ἁπτή τε
ἐστὶ καὶ σῶμα ἔχει. γενητὴ δὲ οὖσα, καὶ μὴ μείνασα ἐν τῷ ἑνί, κίνησιν ἔχει καὶ μεταβολήν, κἂν μὴ τὴν
κατ' οὐσίαν, ὡς ποτὲ μὲν εἶναι, ποτὲ δὲ μὴ εἶναι, ἀλλὰ τὴν κατὰ οἷον ἀλλοίωσίν τινα. καθ' ἣν ἐν τοῖς
διαφόροις σχηματισμοῖς, διαφόρου ζωῆς τε καὶ τελειότητος, αὐτοί τε μεταλαμβάνουσιν εἰς τὰς ἑαυ-
τῶν οὐσίας ἀπὸ τῶν οἰκείων παραδειγμάτων, καὶ ἀλλήλοις καὶ τοῖς ὑπὸ τὴν σελήνην μεταδι-
δόασιν. ἀλλ' ἐπειδὴ καὶ διαίρεσιν τῆς τοῦ χρόνου ποιούμενος ὑποστάσεως ὁ δαμάσκιος, πολλὰ περὶ τοῦ
ἅμα ὅλου ὑφεστῶτος χρόνου λέγει, φέρε καὶ ἐκείνων ἐπισκεψώμεθα τινά. ἔχει δὲ οὕτως. τίς δὲ ὁ σύμ-
» πας χρόνος. ἢ οὗ μὴ ἔξεστιν ἔξω τινὰ λαβεῖν. τοῦ δὲ ἀεί τι ἂν ἐκτὸς εἴποιμεν δήλωμα χρόνου. τῷ γοῦν ἀ-
» ριστοτέλει καὶ ὑπὲρ χρόνον ἔδοξε τοῦτο, καὶ τῷ αἰῶνι προσήκειν. τὸ ἀεὶ ἄρα ἐστὶν ὁ μέγιστος χρόνος. πό-
» τερον οὖν τὸ ἀεὶ γενὲς ἀεὶ καὶ ὁ ῥέων χρόνος οὗτος ὁ μέγιστος; ἀλλ' οὗτος οὐδέποτε πάρεισιν εἰς τὸ εἶναι
» σύμπας. οὐδὲ γίνεται ὅλος ἀθρόος. οὐδὲ ἔστιν ἀεὶ τὸ ἀεί. μᾶλλον δὲ οὐδέποτε. ἐν μὲν γὰρ τῷ ποτὲ πῶς

Damascius.

ἂν εἴη τὸ

» ἂν εἴη τὸ ἀεί, χαλεπὸν καὶ πλάσαι. ταὐτὸν γὰρ ἔσται καὶ ἅμα τὸ ποτὲ καὶ τὸ ἀεί. ἀλλὰ μὴν οὐδὲ ἐν
» τῷ ἀεί. αὐτὸ γὰρ τοῦτο λέγομεν οὐκ εἶναι ἅμα τὸ ἀεί, ῥεῖν δὲ κατὰ μέρος. ἄτοπον οὖν τὸν μὲν τινὰ καὶ
» ἐλάχιστον ὑφίστασθαι χρόνον, τὸν δὲ σύμπαντα μηδέποτε. καίτοι εἰ σημαίνει τι τὸ ἀεί, καὶ μή ἐστιν
» ὄνομα κενόν, ἀδύνατον τὸ ἀεὶ πρᾶγμα μὴ εἶναι ἀεί. δηλοῖ γὰρ τὸ ἀΐδιον. ἀΐδιον δέ ἐστιν, ὃ ἀδύνατον
» ποτὲ μὴ εἶναι, ἢ μηδέποτε εἶναι. καὶ ὅπερ οὐκ ἐνδέχεται μὴ εἶναι, καὶ ἀναγκαῖον εἶναι. ἐπεὶ καὶ
» εἰ τὸ ἀεὶ μή ἐστιν, ἢ ἔστι μὴ ἀεί, οὐδὲν ἔσται τῶν γενητῶν ἀΐδιον. ὥστε οὔτε οὐρανὸς ἀεί, οὔτε κόσμος κατ᾽
» ἀριθμὸν ὁ αὐτός. ἀλλὰ ῥυήσεται πάντα, τοῦ ἀεὶ ἐν ῥοῇ ὄντος, οὔτε δὴ ὄντος οὔτε γινομένου. τὸ γὰρ
ποτὲ ἑκάστοτε γενήσεται, καὶ οὐ τὸ ἀεί. καὶ διὰ μὲν τούτων τὸ τοῦ οὐρανοῦ ἀεὶ καὶ τοῦ σύμπαντος κό-
σμου, ἅμα ὅλον εἶναι βούλεται, οὐ κατὰ τὸ ἐπ᾽ ἄπειρον καὶ ἀειγενὲς καὶ τὸν ῥέοντα χρόνον, ἀλλὰ
κατὰ τὸν ἅμα ὅλον ὑφεστηκότα. ἐν δὲ τοῖς ἑξῆς ἀκριβέστερον οἶμαι ἐπιβλέπων, ἀλλαχοῦ που πρώ-
τως τὸν τοιοῦτον χρόνον ὑποτίθεται. καὶ ἐξ ἐκείνου καὶ ἐν τῇ τοῦ οὐρανοῦ οὐσίᾳ τοιοῦτον ὑφίστα-
σθαί φησιν. ἀνάγκη δὲ πλείονα παραγράφειν. ζητήσας γάρ τι τὸ ἀεὶ ποιοῦν ἔσται τὸ ποτὲ πάλιν καὶ
» πάλιν γινόμενον, οὐδέποτε παυόμενον τοῦ πάλιν καὶ πάλιν, ἐπάγει, ἢ φυσικόν γε ὂν ἡ φύσις ποιή-
» σει, καὶ ψυχὴ πρὸ τῆς φύσεως. αὕτη γὰρ πάσης ἐξάρχει μεταβολῆς. καὶ πῶς ἡ φύσις ἀϊδίων σω-
» μάτων οὖσα δημιουργός, καὶ τὸν ἀεὶ ῥέοντα χρόνον ἀφ᾽ ἑαυτῆς ἐκχέουσα, πῶς οὐκ ἀΐδιος καὶ λό-
» γων πλήρης ἀϊδίων. οὐκοῦν καὶ ὁ τοῦ χρόνου λόγος ἀΐδιος, ἐνουσιωμένος αὐτῇ, οὗτος ἂν εἴη χρόνος
» ὁ ἀεὶ παρὼν ὅλος καὶ σύμπας. ὁμοίως δὲ καὶ ὁ ἐν τῇ ψυχῇ λόγος τοῦ χρόνου προϋπάρχων, ἀεὶ
» κατ᾽ ἀριθμὸν ὁ αὐτὸς ἔσται χρόνος. εἰ δὲ ἐν τῇ ἀμεταβλήτῳ ψυχῇ καὶ φύσει τῇ τοιαύτῃ χρό-
» νος ἔσται συνῃρημένος, εἰς ὅλον τὸ τοῦ χρόνου εἶδος, καὶ σύμπας χρόνος οὗτός ἐστιν, ἀεὶ μένων ἐν
» τῷ ἀεί, καὶ οὐδαμῇ ῥέων, ἔχων ἐν ἑνὶ τὸ πρότερον καὶ ὕστερον. καὶ τὸν νῦν αὐτὸ ὃ λέγομεν ἐνε-
» στῶτα χρόνον. ἀπὸ γοῦν τοῦ ἑστῶτος ἀδιαιρέτου ὁ ῥέων διχῇ διαιρεῖται ὅπως ἂν διαιροῖτο. μή πω
γὰρ περὶ τούτου. λέγει δὲ προϊὼν ὅτι τὸ μέν ἐστιν ἐν ταῖς ἐνεργείαις τῶν ἀμεταβλήτων φύ-
σεων ταῖς μεταβαλλομέναις, εἴτε ψυχικῶν, εἴτε σωματοειδῶν, σωζούσαις τὸ ἀεὶ κατὰ τὸ εἶδος
μόνον. τὸ δέ, ἐν ταῖς μεταβαλλομέναις ἐπ᾽ ἄπειρον οὐσίαις ὁρᾶται ἀεί, σωζόμενον κατὰ εἶδος
ἐν ταῖς ὁλότησιν αὐτῶν. τὸ δὲ ἐν τοῖς γινομένοις ἢ ἀπογινομένοις πεπερασμένον, τοῦτο ἢ κατὰ
κύκλον ὡς ἡ τοῦ ὅλου γενητοῦ περίοδος ἢ τοῦ ἡλίου εἰ τύχοι, ἀπὸ τοῦ αὐτοῦ ἐπὶ τὸ αὐτὸ μία πε-
» ριφορά, ἢ κατ᾽ εὐθυπορείαν, ὡς ἐπὶ τῶν ἀτόμων καὶ φθαρτῶν θεωρεῖται. οὕτω μὲν τὸν ῥέον-
» τα χρόνον διεῖλεν. τοῖς δὲ προειρημένοις συνῆψε ταῦτα. εἰ δ᾽ οὖν τὸ ποιοῦν ἀΐδιον καὶ ἐν χρό-
» νῳ τῷ ἀεί, ποιεῖ δὲ τῷ εἶναι τὰ πρῶτα τῶν γινομένων, εἰ γὰρ ταῖς ἐνεργείαις ποιεῖ, πολλῷ
» μᾶλλον τῷ εἶναι, δημιουργικὴ γὰρ ἡ οὐσία πρὸ τῶν ἐνεργειῶν, καὶ τὸ ἀΐδιον πρὸ τοῦ μὴ τοιού-
» του, ὥστε καὶ ἐν τοῖς ἀϊδίοις τῶν γινομένων ἐνστήξει κατ᾽ οὐσίαν τὸν ἀεὶ ὄντα, καὶ μηδέποτε
» ῥέοντα χρόνον. μᾶλλον δὲ ταῦτα ἐκείνῳ συνδήσει πρὸς τὸ ἀΐδιον. τοῦ γὰρ ἀεὶ μετασχοῦσα ἡ τοῦ
» οὐρανοῦ οὐσία, γέγονεν ἀΐδιος κατ᾽ αὐτὸ τὸ ἀεί, ταὐτὸν δὲ εἰπεῖν τὸν σύμπαντα χρόνον οὐσιωθεῖ-
» σα. ὁ ἄρα τῷ ὅλῳ καὶ ἀϊδίῳ χρόνῳ ὁμοφυὴς καὶ ὁμόγονος, εἴτε ἀπὸ ψυχῆς ἀρχόμενος, εἴτε ἀπὸ
» τῆς ἑαυτοῦ φύσεως. οὗτος μὲν γὰρ εἰς ὕστερον οὐ ῥέων οὐδὲ ῥέον τι συνών, ὁ σύμπας τῷ ὄντι χρό-
» νος ἐστίν. ἀφ᾽ οὗ ὁ ῥέων κατὰ μέρος ἐκμηρύεται. καὶ διὰ τοῦτον οὐ παύεται γινόμενος, καίτοι ἑ-
» κάστοτε παυόμενος, ὁ ἑκάστοτε ἐνιστάμενος. ὅτι ἐκεῖνος ἀεὶ κατ᾽ ἀριθμὸν ὁ αὐτὸς ἕστηκεν, ἐνεργῶν
» τὸν ἀεὶ κατ᾽ εἶδος. ὡς γὰρ τοῦ οὐρανοῦ ἡ ἐνέργεια κυκλοφορεία πάλιν καὶ πάλιν ἀνέκλειπτος,
» οὕτω καὶ χρόνου ἐκεῖ τοῦ εἰς ἓν συνῃρημένου, ὁ τῆς κυκλοφορείας χρόνος ἐνέργεια. καὶ τί διοίσει
» φαίη τις ἂν τοῦ αἰῶνος ὁ συνῃρημένος εἰς ἓν ὡς λέγομεν χρόνος. ὁ γοῦν Ἀριστοτέλης αἰῶνα τοῦτον
» ἂν λέγοι εἶναι, ἐν τῷ περιέχεσθαι τὸν ἑκάστοτε γινόμενον ἕκαστον χρόνον. καὶ τάχα ἂν κατακο-
» λουθοίη μᾶλλον Ἀριστοτέλει, τοῦτο λέγων Ἀλέξανδρος. ἢ πρὸς μὲν Ἀλέξανδρον εἴποι τις ἄν, ὡς
» εἴη σκεπτέον, εἰ ταὐτὸν Ἀριστοτέλης θήσεται τὸ εἶναι καὶ τὸ ἀεί, τῆς τε τοῦ πέμπτου σώματος
» οὐσίας, καὶ τῆς τοῦ ἀκινήτου ὀρεκτοῦ. εἰ γὰρ αὕτη μὲν αἰτία, ἐκείνη δὲ ἀπὸ αἰτίας, ὡς αὐτὸς ὁμο-
» λογεῖ, καὶ εἰ μὴ γένεσιν ἀξιοῖ κατηγορεῖν τῆς σωματικῆς ἀϊδιότητος, τοῦτο γὰρ μόνον τὸ ὄνομα πα-
» ραιτεῖσθαί φησιν, εἰ δ᾽ οὖν διάφοροι, συγχωρήσειεν ἂν καὶ τὸ ἀεὶ διττὸν εἶναι, τὸ μέν, αἰτίαν, τὸ
» δ᾽ ἀπ᾽ αἰτίας. ἡμεῖς δὲ οἱ τὸ ὑπὸ ἑτέρου ὑφιστάμενον γενητὸν εἶναι καὶ γινόμενον ὁμολογοῦντες, εἰ-
» κότως ἂν οὐκ αἰῶνα καλοῖμεν αὐτὸν ἀλλὰ χρόνον, αἰῶνος εἰκόνα ταύτην πρώτην τιθέμενοι. ἐν δὴ
τούτοις ἵν᾽ ἀπὸ τῶν τελευταίων ἄρξωμαι, εἰ γινόμενον οὗτός ἐστιν ὁ χρόνος, πάντως ὅτι καὶ κινού-
μενος. ὅπου γὰρ γένεσις, ἐκεῖ καὶ κίνησις καὶ μεταβολὴ πάντως. γενητὸν γὰρ ὁ Πλάτων ἐκεῖ-
νό φησιν τὸ γινόμενον καὶ ἀπολλύμενον, ὄντως δὲ οὐδέποτε ὄν. καὶ τὸν χρόνον δὲ τὸν πρώτιστον,
ὃν ἅμα οὐρανῷ γενέσθαι φησίν, ἰοῦσαν εἰκόνα κατ᾽ ἀριθμὸν ἐκάλεσε τοῦ μένοντος ἐν ἑνὶ αἰῶ-
νος, ὡς πάντως κίνησιν τῷ χρόνῳ συνεπινοῶν. τὸν δὲ Ἀλέξανδρον ἢ καὶ πρὸ τούτου τὸν

ἀριστοτέλη, καλῶς μὲν ἂν ἀπαιτοίη τις λέγειν, τί διαφέρει τὸ εἶναι καὶ τὸ ἀεὶ τῆς πέμπτης οὐσίας,
τοῦ εἶναι καὶ ἀεὶ τῆς πρώτης κατ᾽ αὐτοὺς αἰτίας. εἴποιεν δ᾽ ἂν οἶμαι αἰώνιον μὲν ἐκεῖνο τὸ εἶναι καὶ
τὸ ἀεί, ὡς τὸ ἄπειρον ἐν ταὐτῷ συνηγμένον ἔχον, καὶ ὅπερ ἄν τις αὐτοῦ λάβοι τὸ ὅλον λαμβάνων. τὸ
δὲ τῆς πέμπτης οὐσίας, ἀΐδιον μέν, ἀλλ᾽ οὐχ ὡς ἅμα ὅλον, ἀλλ᾽ ὡς ἐπὶ τὸ ἄπειρον προϊόν. διὸ καὶ ἔγχρο-
νον. ὅπερ γὰρ ἄν τις αὐτοῦ λάβῃ τοῦ εἶναι μέρος, ἔχει τι ἑαυτοῦ ἔξω, ἅτε ἐπὶ τὸ ἄπειρον προχωροῦν. κἂν
αἰῶνα δέ τις τοιοῦτον λέγῃ, πᾶν τὸ ἀεὶ αἰώνιον εἶναι βουλόμενος, καὶ οὕτω διαιρῶν εἴς τε τὸ ἅμα
ὅλον, καὶ εἰς τὸ ἐν τῷ γίνεσθαι τὸ εἶναι ἔχον, περὶ μὲν τὰ ὀνόματα διαφωνεῖ πρὸς τὸν πλάτωνα.
τὰ δὲ πράγματα ὀρθῶς διαιρεῖ καὶ συμφώνως ἐκείνῳ. πρὸς δὲ τὰ ἐν ἀρχῇ τῆς νῦν παρατεθείσης
λέξεως ἐφιστάνειν πάλιν ἀξιῶ. ὅτι τὸ ἀεὶ καθ᾽ ἕνα τρόπον λαμβάνει τὸν τὸ ἄπειρον εἰς ἓν ὁμοῦ συλ-
λαμβάνοντα. καίτοι τὸ ἀειγενὲς οἶδε προσὸν τῷ ῥέοντι χρόνῳ, ἄλλο δηλονότι τοῦτο ἀεὶ λαμβάνων
ἐπὶ τοῦ χρόνου τὸ ἐπ᾽ ἄπειρον. καὶ τό γε τοιοῦτον ἀεὶ οὐδὲ τῷ ἀριστοτέλει δοκεῖ τῷ αἰῶνι προσήκειν,
» ὥς φησιν ὁ δαμάσκιος. λέγει δὲ ἐν τῷ τρίτῳ τῆσδε τῆς πραγματείας ἀριστοτέλης, ἄλλως δὲ ἔν τε τῷ
» χρόνῳ δῆλον τὸ ἄπειρον, καὶ ἐπὶ τῶν ἀνθρώπων, καὶ ἐπὶ τῆς διαιρέσεως τῶν μεγεθῶν. ὅλως μὲν γὰρ
» οὕτως ἐστὶ τὸ ἄπειρον, τῷ ἀεὶ ἄλλο καὶ ἄλλο λαμβάνεσθαι. καὶ τὸ λαμβανόμενον μὲν ἀεί, πεπερα-
» σμένον, ἀλλ᾽ ἀεί γε ἕτερον καὶ ἕτερον. ἔτι τὸ εἶναι πλεοναχῶς λέγεται. ὥστε τὸ ἐπὶ τὸ ἄπειρον οὐ δεῖ
» λαμβάνειν ὡς τόδε τι, οἷον ἄνθρωπον ἢ οἰκίαν. ἀλλ᾽ ὡς ἡμέρα λέγεται καὶ ὁ ἀγών. οἷς τὸ εἶναι οὐχ ὡς
» οὐσία γέγονεν, ἀλλ᾽ ἀεὶ ἐν γενέσει ἢ φθορᾷ εἰ καὶ πεπερασμένον. ἀλλ᾽ ἀεὶ ἕτερον καὶ ἕτερον. ἀλλ᾽ ἐν μὲν
» τοῖς μεγέθεσιν ὑπομένοντος τοῦ ληφθέντος τοῦτο συμβαίνει. ἐπὶ δὲ τοῦ χρόνου καὶ τῶν ἀνθρώπων φθει-
» ρομένων, οὕτως ἔσται μὴ ἐπιλείπειν. ἔτι δὲ σαφέστερον τὸ ἐπὶ τὸ ἄπειρον τοῦτο ἀεὶ παρέστησεν, εἰπών.
» συμβαίνει δὲ τοὐναντίον ἄπειρον εἶναι, ἢ ὡς λέγουσιν. οὐ γὰρ οὗ μηδὲν ἔξω ἐστίν, ἀλλ᾽ οὗ ἀεί τι ἔξω ἐστί,
» τοῦτο ἄπειρον. δοκεῖ δὲ ὡς ἄτοπον ἐπάγειν τῷ λόγῳ τὸ τοιοῦτον ἀεὶ μηδέποτε εἶναι σύμπαν, μηδὲ
εἶναι ἀεὶ τὸ ἀεί. καίτοι τί ἂν ἄτοπον εἴη, ἐπὶ τοῦ τοιούτου ἀεὶ τοῦ ἐν τῷ γίνεσθαι τὸ εἶναι ἔχοντος. καὶ
ἄλλο δὲ ἄτοπόν φησι, τὸ τὸν μέν τινα καὶ ἐλάχιστον χρόνον ὑφίστασθαι, τὸν δὲ σύμπαντα μηδέποτε.
καίτοι ἀτοπώτερον καὶ ἀδυνατώτερον ἂν εἴη, τὸ τὰ ἐν τῷ γίνεσθαι τὸ εἶναι ἔχοντα ἅμα ὅλα ὑφε-
στάναι. ὅλως δέ φησιν εἰ τὸ ἀεὶ μὴ ἔστιν ὄνομα κενόν, ἀδύνατον τὸ ἀεὶ πρᾶγμα μὴ εἶναι ἀεί. δηλοῖ γὰρ τὸ
ἀΐδιον. ἀΐδιον δέ ἐστιν, ὃ ἀδύνατον ποτὲ μὴ εἶναι, ἢ μηδέποτε εἶναι. καὶ ὅπερ οὐκ ἐνδέχεται μὴ εἶναι,
καὶ ἀναγκαῖον εἶναι. καὶ οὗτος δὲ ὁ λόγος δοκεῖ μοι σοφίζεσθαι, τὸ ἀεὶ ὂν ἀντὶ τοῦ ἀεὶ γινομένου λαβών.
οὐδὲ γὰρ τὸ ἀεὶ ὂν οὕτως ἀεὶ γίνεσθαι ὄνομα κενόν ἐστιν. ἀλλ᾽ ἔστιν ἐν ὑποστάσει οὕτως ὡς ἀεὶ γινόμενον.
ἔστι γάρ τι τοῦ εἶναι καὶ τοιοῦτο σημαινόμενον, καθόσον μέτεστί πῃ καὶ τῇ γενέσει τοῦ ὄντος. καὶ γὰρ ἡ
ὄρχησις ἔστιν ὅταν γίνηται. καὶ ὀρχεῖσθαι λέγομεν τὸν ὀρχηστήν, ἀλλ᾽ οὐχ ὡς ἅμα ὅλης οὔσης τῆς ὀρ-
χήσεως, ἀλλ᾽ ὡς ἐν τῷ γίνεσθαι τὸ εἶναι ἐχούσης. ἐφεξῆς δὲ ἔοικε καὶ ἐν τοῖς γενητοῖς εἶναι τὸ ἀεὶ τοῦτο
βουλόμενος, τὸ ἑστὼς καὶ κατ᾽ ἀριθμὸν τὸ αὐτό. ὅπερ ἄν τις θαυμάσειεν. εἰ γὰρ τὸ ἀεὶ μὴ ἔστι φησίν,
ἢ ἔστι μὴ ἀεί, οὐδὲν ἔσται τῶν γενητῶν ἀΐδιον. ὥστε οὔτε οὐρανὸς ἀεί, οὔτε κόσμος κατ᾽ ἀριθμὸν ὁ αὐτός.
ἀλλὰ ῥευσεῖται πάντα, τοῦ ἀεὶ ἐν ῥοῇ ὄντος, οὔτε δὴ ὄντος, οὔτε γινομένου. τὸ γὰρ ποτὲ ἑκάστοτε γενή-
σεται, καὶ οὐ τὸ ἀεί. εἰ τοίνυν τὸ ἀεὶ τοῦ γενητοῦ οὐρανοῦ καὶ κόσμου ὡς ἑστηκὸς ἀξιοῖ θεωρεῖν, καὶ ὡς
ἅμα ὅλον ὄν, λεγέτω τί τοῦ ὄντως ὄντος καὶ αἰωνίου διοίσει τὸ γενητόν. ἀλλ᾽ ἔοικεν ἡ διὰ μεσότητος
πρόοδος αἰτία εἶναι, τοῦ καὶ αὐτὸν καλῶς ἐρωτᾶν, πῶς οὐρανὸς καὶ κόσμος κατ᾽ ἀριθμὸν ὁ αὐτὸς
ἔσται, ἐὰν ἐν τῷ γίνεσθαι καὶ φθείρεσθαι τὸ εἶναι ἔχῃ. καὶ ἐμὲ πάλιν ἀντερωτᾶν, εἰ γενητὸς ὢν ὁ οὐ-
ρανὸς καὶ ὁ σωματικὸς ὅδε κόσμος, τὸ ἀεὶ ἑστηκὸς ἔχει καὶ ἅμα ὅλον ὑφεστηκός, πῶς τοῦ αἰωνίου καὶ
ὄντως ὄντος διοίσει τὸ τοιοῦτον γενητόν. δυοῖν γὰρ ὄντων ἄκρων ὡς οἶμαι τῶν ἀεὶ σημαινομένων, τοῦ τε
κυρίως αἰωνίου καὶ ὄντως ὄντος καὶ ἅμα ὅλου ὑφεστηκότος, καὶ τοῦ κατ᾽ οὐσίαν ῥέοντος, καὶ ἄλλοτε
ἄλλο τῷ ἀριθμῷ κατ᾽ οὐσίαν τὸ γινόμενον ἔχοντος, ὡς ἥ τε κίνησις τῶν οὐρανίων ἐναργῶς ὁρᾶται, καὶ
εἴδη πάντα τὰ ὑπὸ σελήνην, τὸ γὰρ ἀνθρώπειον εἶδος ἐν ἄλλοις καὶ ἄλλοις ἀεὶ θεωρεῖται ἀτόμοις
τοῖς γινομένοις καὶ φθειρομένοις, τούτων οὖν τῶν ἄκρων, δύο μεσότητές εἰσιν, ἥ τε φυσικὴ ἅμα καὶ
σωματική, καὶ ἡ ψυχική. πρὸς μὲν τοῦ ὄντως ὄντος ἡ ψυχική. πρὸς δὲ τοῦ μόνως γινομένου ἡ τῶν ἀϊ-
δίων σωμάτων φυσικὴ σύστασις. ὧν ἡ μὲν ψυχικὴ κἂν ἐξέβη τῆς αἰωνίου συναιρέσεως, καὶ τῆς ἀμε-
ρίστου τελέως ὑποστάσεως, ἀλλ᾽ οὐχ ὑπέβη πρὸς τὸ τελέως μεριστόν, οὔτε κατ᾽ οὐσίαν, οὔτε κατὰ τὴν
τοῦ εἶναι παράτασιν. διόπερ καὶ ὁ πλάτων καὶ ὁ ἀριστοτέλης, εἰς δύο διελόντες τὰ μέτρα τῆς τοῦ
εἶναι παρατάσεως, εἰς αἰῶνα καὶ χρόνον, ὁ μὲν πλάτων ἄμφω τὰς μεσότητας ἐν χρόνῳ δοκεῖ
τεθεικέναι, περὶ μὲν τῆς ψυχῆς εἰπών, ὅτι ἤρξατο ἀπαύστου καὶ ἔμφρονος βίου πρὸς τὸν σύμπαντα
χρόνον, περὶ δὲ τοῦ ὅλου οὐρανοῦ ἤτοι κόσμου, ὅτι χρόνος μετ᾽ οὐρανοῦ γέγονεν. ὁ δὲ ἀριστοτέλης ἐν αἰῶνι
μᾶλλον τέθεικε, τὸν χρόνον τοῖς ἐναργῶς ἀεὶ γινομένοις καὶ φθειρομένοις ἀποδούς. ἀκριβεῖ δὲ λόγῳ, μέ-
σα ἂν εἴη τῶν μέσων τὰ μέτρα καὶ ἄλλοις ὀνόμασι σύμμετρα. καὶ τὸ ἀεὶ τοίνυν τό, τε τῆς ψυχι-
κῆς οὐσίας, καὶ τὸ τῆς οὐρανίας καὶ τῆς κοσμικῆς ὁλότητος, οὔτε ὅλον ἅμα νοητέον ὡς τὸ

κυρίως

κυρίως αἰώνιον, οὔτε γινόμενον καὶ φθειρόμενον οὕτως, ὡς τὸ τῆς ὑπὸ σελήνην. ἀλλ' ὥσπερ αἱ οὐσίαι μέσην ἔχουσι φύσιν, οὕτω καὶ ἡ τοῦ εἶναι παράτασις αὐτῶν, καὶ τὰ μέτρα τῆς τοῦ εἶναι παρατάσεως. καὶ εἰ βούλεταί τις χρόνον καλεῖν, οὐδεὶς φθόνος ὀνομάτων. μὴ μέντοι τοῦτο τὸ τοῦ χρόνου σημαινόμενον τὸ σύνηθες, τὸ τῷ ἐνεστῶτι καὶ παρεληλυθότι καὶ μέλλοντι διαιρούμενον, ἐφ' οὗ καὶ ἀριστοτέλης καὶ πλάτων τάττουσι τὸ ὄνομα, ἐπ' ἐκείνων φερέτω. μὴ δὲ τὸ ἀεὶ μόνον ἐκεῖνο γινωσκέτω, τὸ ἅμα ὅλον ὑφεστὼς καὶ ἐν ἑνὶ μένον. ἀλλ' ἰδέτω καὶ τὸ ἐπ' ἄπειρον ἀεὶ τὸ ἐν τῷ γίνεσθαι τὸ εἶναι ἔχον, καὶ τὰς ἐν μέσῳ τούτων τεταγμένας τοῦ ἀεὶ διαφοράς. ἃς ἀκριβολογούμενός τις, οὔτε τῷ αἰῶνι κυρίως προσήκειν οὔτε τῷ χρόνῳ βουλήσεται. μετὰ γὰρ κινήσεως πάντως εἶναι, καὶ κινήσεως ὁ χρόνος εἶναί τι δοκεῖ. εἰ δὲ τὸν ῥέοντα τοῦτον χρόνον τὸν τὴν σωματικὴν μετροῦντα κίνησιν, τήν τε κατ' οὐσίαν, καὶ τὴν κατὰ τὰς ἄλλας μεταβολάς, ὁ ἐν τῇ φύσει λόγος ἀΐδιος τοῦ χρόνου, ὁ ἐνουσιωμένος τῇ φύσει, οὗτός ἐστιν ὁ παράγων, καὶ οὗτός ἐστιν ὥς φησι χρόνος ὁ ἀεὶ παρὼν ὅλος καὶ σύμπας, ὁμοίως δὲ καὶ ὁ ἐν τῇ ψυχῇ λόγος τοῦ χρόνου προϋπάρχων ἀεὶ κατ' ἀριθμόν, ὁ αὐτὸς οὗτός ἐστιν ἅμα ὁ ὅλος χρόνος, ὅν φησιν ἅμα ὅλον ὑφεστάναι, οὐκέτι μοι σκληρὸν τὸ δόγμα δοκεῖ. λόγον μὲν γὰρ χρόνου ὥσπερ καὶ κινήσεως ἅμα ὅλον εἶναι καὶ ἐν ψυχῇ καὶ ἐν φύσει, ὡς ἔστιν ἐν ἐκείνοις τὸ ἅμα, οὐδὲν θαυμαστόν. καὶ γὰρ τοῦ σώματος ὁ λόγος προϋπάρχει ἀσώματος καὶ ἀδιάστατος. καὶ ἀπ' ἐκείνου τοῦτο τὸ ἐν διαστάσει, ὅπερ ἀδιάστατον εἶναι ἀδύνατον. οὕτως οὖν καὶ χρόνος καὶ κίνησις, ἐν μὲν παραδείγμασι καὶ λόγοις εἰδητικοῖς ἔσω ὅλα ἅμα. ἐν εἰκόσι δὲ καὶ ὑποστάσεσι γενηταῖς ὡς οἶμαι ἀδύνατον. μή ποτε δὲ οὐδὲ οἱ φυσικοὶ καὶ ψυχικοὶ λόγοι, εἴπερ τοῦ ὄντως ὄντος καὶ τοῦ ἐν ἑνὶ μένειν ὑπέβησαν, δύνανται τὸ ὅλον ἅμα ἔχειν ὡς ἀκριβῶς εἰπεῖν, ἀλλ' οὕτως ὡς ἐκείναις προσήκει ταῖς μεσότησιν. ὡς δὲ συνελόντι φάναι, ἐν μεθέξει μὲν ἅμα χρόνον ὅλον θεωρεῖν, ἀδύνατον εἶναι νομίζω. ἀπὸ δὲ τῆς τοῦ αἰῶνος ἀναλογίας, εἰς ἔννοιαν ἦλθον καὶ ἐγὼ τοῦ πρώτου χρόνου, τοῦ ὑπὲρ πάντα τὰ ἔγχρονα ὄντος, καὶ ἐν ταῖς ἑαυτοῦ μεθέξεσιν ἐκεῖνα χρονίζοντος, τουτέστι τὴν τοῦ εἶναι παράτασιν αὐτῶν εὐθετίζοντος καὶ μετροῦντος, καὶ τάξιν ἔχειν ποιοῦντος τὰ τῆς τοιαύτης παρατάσεως μόρια. ὡς γὰρ ὁ αἰὼν πρὸ τῶν αἰωνίων ὑφεστηκώς, μέσος ἐστὶ τῆς τε ἡνωμένης τοῦ ὄντος ὑπεροχῆς, καὶ τῆς τοῦ νοῦ διακεκριμένης ὑποβάσεως, κατὰ τὸ διακρινόμενον αὐτὸς ὑφεστώς, διὸ καὶ ζωῇ σύστοιχος ὁ αἰών, ἐπειδὴ καὶ αὐτὴ μεταξὺ τοῦ ὄντος οὖσα καὶ τοῦ νοῦ, ταὐτὸν δὲ εἰπεῖν τοῦ ἡνωμένου καὶ τοῦ διακεκριμένου, κατὰ τὸ διακρινόμενον ὑφέστηκεν, οὕτως οὖν μεταξὺ τοῦ ὄντως ὄντος καὶ τοῦ γινομένου, ταὐτὸν δὲ εἰπεῖν τοῦ ἀκινήτου καὶ κινουμένου, ἤτοι τὸ ἅμα ὅλον ἔχοντος τὸ εἶναι, τό, τε τῆς οὐσίας καὶ τῆς δυνάμεως τῆς ἐνεργείας, εἶναι δεῖ πάντως τὸ τῆς μὲν γενέσεως ἐξῃρημένον προσεχῶς, ὑποβεβηκὸς δὲ τοῦ ὄντος, καὶ διὰ τοῦτο μετροῦν καὶ συνέχον καὶ τάττον τὴν παράτασιν τῆς γενέσεως τῇ ἑαυτοῦ μεθέξει. οὐ γὰρ ἡ παράτασίς ἐστιν ὁ μεθεκτὸς χρόνος. ἀλλὰ τὸ μέτρον καὶ ἡ τάξις τῆς παρατάσεως. καὶ εἰ ταῦτα ἀληθῆ λέγω, ὡς ἔχει πρὸς τὴν ζωὴν ὁ αἰὼν ὁ ἀμέθεκτος, οὕτως ἔχει πρὸς τὴν ψυχὴν ὁ πρῶτος οὗτος χρόνος. οὔτε δὲ ἡ ζωὴ αἰώνιός ἐστιν, αἰώνιον γὰρ τὸ ὑπὸ αἰῶνος μετρούμενον, ἀλλὰ καὶ ἡ αὐτὴ μὲν τῷ αἰῶνι οὐσία, κατ' ἄλλην δὲ θεωρουμένη ἰδιότητα, οὔτε ἡ ψυχὴ ἔγχρονος ἀλλ' αὐτόχρονος. πλὴν ὅτι ψυχὴ μὲν κατὰ τὸ ζωοποιόν ἐστι. χρόνος δὲ κατὰ τὸ μετρητικὸν τῆς τοῦ εἶναι παρατάσεως. εἰ μὴ ἄρα ἡ πρόοδος ἐν τούτοις τὰς οὐσίας διέστησεν, ὡς ἄλλην μὲν εἶναι τὴν ψυχήν, ἄλλον δὲ τὸν χρόνον. καὶ γὰρ καὶ ἐκεῖ τριφυὴς ἦν ἡ μεσότης ἐκείνη, ἄλλως μὲν ὡς ζωή, ἄλλως δὲ ὡς αἰών, ἄλλως δὲ ὡς ὁλότης θεωρουμένη, οὐ διῃρημένων ἐκείνων, ἀλλ' ἡμῶν περὶ τὴν ἡνωμένην ἐκείνων παντότητα διαιρουμένων. καὶ δηλονότι οὗτος ἂν εἴη ὁ χρόνος, ὁ ὡς θεὸς ὑπό τε χαλδαίων καὶ τῆς ἄλλης ἱερᾶς ἁγιστείας τιμηθείς. ἀλλ' οὐ περὶ τούτου τοῖς φυσικοῖς ὁ λόγος, ἀλλὰ τοῦ ἐν μεθέξει θεωρουμένου. διὸ τούτων μὲν ἅλις ἔστω τῶν λόγων. τὰς δὲ τῶν πρεσβυτέρων περὶ τοῦ χρόνου δόξας αὖθις σκεψώμεθα. τάχα γὰρ καὶ τοῦ νῦν εἰρημένου χρόνου τινὲς αὐτῶν φανήσονται παραψάμενοι. ὁ μὲν οὖν πυθαγόρειος ἀρχύτας, ὃς καὶ πρῶτος ὧν ἀκοὴ ἴσμεν δοκεῖ τὴν οὐσίαν ἀφορίζεσθαι τοῦ χρόνου, τάδε περὶ αὐτοῦ γέγραφεν ἐν τῷ
» περὶ τοῦ παντὸς λόγῳ. τὸ δὲ πόκα καὶ ὁ χρόνος καθόλου μὲν ἴδιον ἔχει τὸ ἀμερὲς καὶ τὸ ἀνυπόστα-
» τον. τὸ γὰρ νῦν ἀμερὲς ἐόν, καὶ λεγόμενον ἅμα καὶ νοούμενον παρελήλυθε, καὶ οὐκ ἐντὶ παραμένει.
» γινόμενον γὰρ συνεχῶς, ταὐτὸ μὲν οὐδέποκα σώζεται κατ' ἀριθμόν, κατὰ μέντοι γε τὸ εἶδος. ὁ γὰρ
» ἐνεστὼς νῦν χρόνος καὶ ὁ μέλλων, οὐκ ἐντὶ ὡυτὸς τῷ προγεγονότι. ὁ μὲν γὰρ ἀπογέγονε καὶ οὐκέτι
» ἐντί. ὁ δὲ ἅμα νοούμενος καὶ ἐνεστακὼς παρῴχηκε. καὶ οὕτως ἀεὶ συνάπτει τὸ νῦν συνεχῶς, ἄλλο
» καὶ ἄλλο γινόμενόν τε καὶ φθειρόμενον, κατὰ μέντοι τὸ εἶδος ταὐτό. πᾶν γὰρ τὸ νῦν ἀμερὲς καὶ
» ἀδιαίρετον, πέρας μὲν ἐντὶ τῶ προγεγονότος, ἀρχὰ δὲ τῶ μέλλοντος. ὥσπερ καὶ γραμμᾶς εὐ-
» θείας κλασθείσας, τὸ σαμεῖον περὶ ὃ ἁ κλάσις, ἀρχὰ μὲν γίνεται τᾶς ἑτέρας γραμμᾶς, πέρας
» δὲ τᾶς ἑτέρας. συνεχὴς δὲ ὁ χρόνος καὶ οὐ διωρισμένος, ὥσπερ ἀριθμὸς καὶ λόγος καὶ ἁρμονία. τῶ
» μὲν γὰρ λόγω ταὶ συλλαβαὶ τὰ μέρεα. ταῦτα δὲ διωρισμένα. καὶ τᾶς ἁρμονίας τοὶ φθόγγοι. καὶ τῶ
» ἀριθμῶ ταὶ μονάδες. γραμμὰ δὲ καὶ χωρίον καὶ τόπος συνεχής. τὰ γὰρ μέρεα τούτων κοινὰ τμάματα.

» ποιεῖ διαιρούμενα. τέμνεται γὰρ γραμμὰ μὲν κατὰ στιγμάς. ἐπίπεδον δὲ κατὰ γραμμάς. στερεὸν δὲ
» κατ' ἐπίπεδον. ἐντὶ δ' ὧν καὶ ὁ χρόνος συνεχής. οὐ γὰρ ἦς ποκα φύσις, ὁπόκα χρόνος οὐκ ἦς. οὐδὲ κίνασις,
» ὁπόκα τὸ νῦν οὐ παρῆς. ἀλλ' ἀεὶ ἦς, καὶ ἐσεῖται. καὶ οὐδέ ποκα ἐπιλείψει τὸ νῦν, ἄλλο καὶ ἄλλο γι-
» νόμενον. καὶ ἀριθμῷ μὲν ἅτερον, εἴδει δὲ τωὐτόν. διαφέρει δὲ γραμμὰ τῶν ἄλλων συνεχέων, ὅτι
» τᾶς μὲν γραμμᾶς καὶ τῷ χωρίῳ καὶ τῷ τόπῳ τὰ μέρεα ὑφέστακε. τῷ δὲ χρόνῳ τὰ μὲν γινόμενα
» ἔφθαρται, τὰ δὲ γινασόμενα φθαρήσεται. διόπερ ὁ χρόνος ἤτοι τὸ παράπαν οὐκ ἐντί, ἢ ἀμυδρῶς
» καὶ μόλις ἐντί. ὧ γὰρ τὸ μὲν παρεληλυθὸς οὐκέτι ἐντί, τὸ δὲ μέλλον οὐδέπω ἐντί, τὸ δὲ νῦν ἀμερὲς
» καὶ ἀδιαίρετον, πῶς ἂν ὑπάρχοι τοῦτο κατ' ἀλάθειαν. Ὁ μέντοι θεῖος Ἰάμβλιχος ἐν τῷ πρώτῳ τῶν
εἰς τὰς κατηγορίας ὑπομνημάτων, τὸν Ἀρχύταν ὁρίζεσθαί φησι τὸν χρόνον, ὡς ἔστι κινάσιός τις
ἀριθμός, ἢ καὶ καθόλω διάστημα τᾶς τῶ παντὸς φύσιος. ἐξηγεῖται δὲ τὸν ὁρισμὸν αὐτός, ὡς κινή-
σεως μὲν εἴρηται τινός, οὐχὶ μιᾶς τῶν πολλῶν. αἱ γὰρ ἄλλαι χρόνου λελείψονται. οὐδὲ τῆς τῶν πολ-
λῶν κοινότητος. αὕτη γὰρ οὐ μία. ἀλλὰ τῆς ὄντως μιᾶς καὶ πασῶν τῶν ἄλλων προϋπαρχούσης,
διὸ μονάδος τῶν κινήσεων. ἥ ἐστι πρώτη δικαίως καὶ αἰτία πασῶν ἡ ψυχικὴ κατὰ τὴν προβολὴν τῶν
λόγων, ἐκφυομένη πρώτη μεταβολή. ταύτης δὴ ἀριθμὸς οὐκ ἐπιγινόμενος, οὐδὲ ἔξωθεν ὡς Ἀριστο-
τέλης οἴεται. ἀλλὰ προτεταγμένος αὐτῆς ἐν αἰτίας τάξει, καὶ προποδίζων αὐτὴν κατὰ μέτρα
τὰ πρόσφορα, οὐσιοῖ οὐσιώδη οὖσαν ἐνέργειαν, οἷον ἐκμαιευομένη τῶν ψυχῆς οὐσιωδῶν λόγων τὰς
αὐτοκινήτους προβολάς. τὸ δὲ καθόλου διάστημα τῆς τοῦ παντὸς φύσεως ὑποληπτέον φησὶ τοὺς ἀρ-
χαίους λέγειν, τὸ ἐν τοῖς λόγοις θεωρούμενον συνεχὲς αὐτῶν, καὶ εἰς μερισμὸν διϊστάμενον. ὃ γὰρ
ἐπὶ τῶν ἐν γενέσει μεταβολῶν ἐπιδείκνυσι, τούτου τοῦ νῦν παρὰ τὸ πρόσθεν νῦν, καὶ ταύτης τῆς
κινήσεως παρὰ τὴν πρόσθεν κίνησιν, τοῦτο δὴ πολὺ πρότερον καὶ ἀρχηγικώτερον ἐπὶ τῆς οὐσίας
τῶν ὅλων φυσικῶν λόγων προϋπάρχον θεωρεῖται. καὶ κυρίως συμπληροῖ τὸ διάστημα τοῦ πρεσβυ-
τάτου πάντων χρόνου, τοῦ συνέχοντος τοὺς τῆς φύσεως λόγους. συμφωνεῖ δέ φησι πρὸς τὸ αὐτὸ καὶ
ἡ τῶν ἔτι παλαιοτέρων δόξα. οἱ μὲν γὰρ ὥσπερ καὶ τοὔνομα δηλοῖ, χορείᾳ τινὶ τοῦ νοῦ, οἱ δὲ ταῖς τῆς
ψυχῆς περιόδοις, οἱ δὲ τῇ τούτων φυσικῇ χώρᾳ, οἱ δὲ ταῖς ἐγκυκλίοις περιφοραῖς τὸν χρόνον ἀφω-
ρίσαντο. ἃ πάντα περιείληφεν ἡ πυθαγόρειος αἵρεσις. καὶ νῦν μέν φησιν ὡς δύο τοὺς ὅρους διωρθω-
σάμεθα ταῖς ἐξηγήσεσι. δεῖ δὲ εἰς ἓν συνελεῖν ἀμφοτέρους τούτους τοὺς λόγους, καὶ ὡς συνεχῆ καὶ
διωρισμένον ἅμα τὸν χρόνον ποιεῖν, εἰ καὶ συνεχής ἐστι κυριώτερον. οὕτω μὲν οὖν ὁ Ἰάμβλιχος τὸν
ψυχικὸν καὶ τὸν φυσικὸν χρόνον ὑπὸ τοῦ Ἀρχύτου παραδεδόσθαί φησιν. διὰ δὲ τῆς ἔμπροσθεν ὑπ'
ἐμοῦ παρατεθείσης τοῦ Ἀρχύτου ῥήσεως, τὴν εἰς τὸ ἐκτὸς ἐκφαινομένην τοῦ χρόνου ἐνέργειαν δηλοῦ-
σθαί φησιν. οὐ τοίνυν μόνον ἀξιοῦντος ὑφεστηκέναι τοῦ Ἀρχύτου, ἀλλὰ καὶ χρόνον εἶναι προηγούμενον
ἐν τοῖς οὖσι, κατὰ τὴν ἑαυτοῦ τάξιν διακείμενον, πρὸς ὃν ἀναφέρεται τὸ πρότερον καὶ δεύτερον
τῶν ἡμετέρων πράξεων. ὅπερ οὐκ ἂν ἦν μὴ προϋφεστῶτος τοῦ χρόνου. τὸ δὲ ἀμερὲς καὶ ἀνυπόστατον
ὁ Ἰάμβλιχος ἐπ' ἄλλου καὶ ἄλλου χρόνου ἀκούειν ἀξιοῖ, κατὰ μὲν τὰ εἴδη τῶν λόγων τὰ ἑστῶτα ἐν
ἑαυτοῖς τὸ ἀμερὲς ἀφοριζόμενος, κατὰ δὲ τὰς προϊούσας ἀπ' αὐτῶν κινήσεις, ἐπειδὴ αὗται οὐ
διασώζουσι τὴν ἀμέριστον καὶ ἀκίνητον οὐσίαν τὸ ἀνυπόστατον. καὶ κατὰ μὲν τὴν μένουσαν ἐν οὐσίαις
ἐνέργειαν καὶ τελειότητα, τὸ ἀμερές. κατὰ δὲ τὴν ἐξιοῦσαν εἰς γένεσιν ῥοπὴν ἀπὸ τοῦ ὄντος, τὸ ἀνυ-
πόστατον, ὅτι τὸ τῆς πρώτης οὐσίας καθαρὸν οὐ διέσωσε. καὶ ποῦ φησι δεῖ νοεῖν τὴν τοῦ χρόνου ἔστιν
τε καὶ ἔκστασιν. ἐν τοῖς μετέχουσιν αὐτοῦ φήσομεν. γινόμενα γοῦν ταῦτα ἀεί, οὐ δύναται τὴν ἐκείνου
σταθερὰν οὐσίαν ἀκινήτως δέξασθαι. ἄλλοτε δὲ ἄλλοις μέρεσι τοῖς ἑαυτῶν ἐκείνης ἐφαπτόμενα, τὸ
ἑαυτῶν πάθημα ἐκείνης καταψεύδεται. καὶ τὸ γίνεσθαι νῦν τούτοις ὑπάρξει τοῖς ἀεὶ μετέχουσι,
τοῦ νῦν ἀμεροῦς ὄντος ἴδια. καὶ ἀπ' αὐτοῦ ἐνδίδοται τοῖς ἄλλοτε ἄλλως γινομένοις. διόπερ καὶ ἡ μὲν
κατ' ἀριθμὸν ἑτερότης ἀεὶ ἀλλοιουμένη, τῆς τῶν μετεχόντων ἐστὶ διαφορότητος δεῖγμα. τὸ δὲ εἶδος
ταὐτὸ μένον, τὴν τοῦ ἀμεροῦς νῦν ἐνδείκνυται ταυτότητα. οὕτω μὲν οὖν ὁ Ἰάμβλιχος τὸν Ἀρχύταν
ἐξηγήσατο, καὶ ἄλλα πολλὰ τῇ ἐξηγήσει προσευπορήσας. ὁ δὲ Δαμάσκιος οἶμαι πολὺ χθαμαλώτερον,
ἀλλ' οἰκειότερόν γε πρὸς τὴν Ἀρχύτου λέξιν, ἀριθμὸν μὲν τινὸς κινήσεως ἀκούει, οὐ τῆς ὡς εἴδους καὶ
ἀκινήτου, ἀλλὰ τῆς μεταβολικῆς. ὥστε οὐ τῆς ψυχικῆς μόνης, ἀλλὰ πάσης ὁμοίως μεταβολῆς
ἴσως δὲ καὶ ὅτι ἀτόμων ἀεὶ καὶ ἄτομος ἡ μεταβολή, διαστάσεως τινός. τὸ γὰρ καθόλου ἀμετάβλη-
τον. καθόλου δὲ διάστημα τῆς τοῦ παντὸς φύσεως, ὅτι οὐ μόνης κινήσεως ἀλλὰ καὶ ἠρεμίας. ὅπερ
καὶ Ἀριστοτέλης καλῶς νοήσας εἶπεν, ὅτι τοῦτό ἐστι τῇ κινήσει τὸ ἐν χρόνῳ εἶναι, τὸ μετρεῖσθαι αὐ-
τῆς τὸ εἶναι ὑπὸ τοῦ χρόνου. ὥστε καὶ τῆς ἠρεμίας ἡ τοῦ εἶναι διάστασις ὑπὸ τοῦ χρόνου με-
τρεῖται, ὥσπερ καὶ τῆς κινήσεως ὁ χρόνος λέγεται τῆς παρατάσεως ταύτης τῆς τοῦ εἶναι
τῆς ἐν γενέσει. καὶ ἔοικεν Ἀριστοτέλης τὸ διάστημα τῆς φύσεως εἰς τὴν παράτασιν τοῦ εἶναι τοῦ
ἑκάστου μεταλαβεῖν. εἰπὼν οὖν ἀριθμὸν κινήσεως ἐπὶ κοινότερόν τι μετῆλθε τὸ διάστημα τῆς
φύσεως τὸ τοῖς γινομένοις οἰκεῖον. ὅπερ καὶ ἐπὶ ἠρεμίας θεωρεῖται καὶ ὅλως πάσης γενητῆς τε

καὶ φυσικῆς οὐσίας. διὸ καὶ οὕτως εἶπε, καὶ καθόλου τὸ διάστημα τῆς τοῦ παντὸς φύσεως, ὡς ἐν τοῖς φυσικοῖς μάλιστα τὸν χρόνον θεωρεῖσθαι βουλόμενος. καὶ γὰρ καὶ ἡ ψυχὴ χρόνου μετέχει, καθ' ὅσον φύσεως καὶ γενέσεως κοινωνεῖ, ὥσπερ αἰῶνος, ὅταν εἰς τὸ ὄντως ὂν ἀναδράμῃ. καὶ οἰκειότερον δὲ τῷ χρόνῳ τὸ διάστημά ἐστιν ἤπερ ἀριθμός. οὐ γὰρ ὡς αἱ μονάδες διεστήκασιν ἀλλήλων, οὕτω καὶ τὰ νῦν. οὐ γὰρ παρεμπίπτει τι μεταξὺ τῶν νῦν, ὃ μὴ νῦν ἐστί. διὸ καὶ συνεχὴς ὁ χρόνος ἀλλ' οὐ διωρισμένος, ὡς ὁ λόγος ὀνόματι καὶ ῥήματι, καὶ συλλαβαῖς καὶ στοιχείοις, καὶ ἡ ἁρμονία τοῖς φθόγγοις. ἐπειδὴ δὲ καὶ ἄλλο διάστημα τὸ μεγεθικὸν ἦν, προσέθηκε τῆς τοῦ παντὸς φύσεως, φύσιν καλέσας τὴν τοῦ γινομένου ἀπὸ τοῦ ὄντος ἔκφυσιν ἀεὶ γινομένην καὶ ῥέουσαν. καὶ προελθὼν ἔτι σαφέστερον ἐποίησεν, ὅτι οὐ κατὰ μέγεθος ὥρισε τὸ διάστημα, ἀλλὰ κατὰ τὴν τοῦ ἀεὶ συνέχειαν. ἀμερὲς δὲ καὶ ἀνυπόστατον καλεῖ τὸν χρόνον, διότι κατὰ τὸ νῦν αὐτὸν ὁρᾷ τὸ ἀδιάστατον. ἀνυπόστατον δέ, ὅτι οὐχ ὑπομένει τὸ αὐτὸ τῷ ἀριθμῷ. τοιαύτη γὰρ ἡ φύσις τῶν ἐν τῷ γίνεσθαι τὸ εἶναι ἐχόντων. διὸ καὶ κίνησις καὶ τὸ πρότερον καὶ ὕστερον ἐν τούτοις. καὶ ὅρα ὅτι ὅταν μὲν ἀμερὲς καὶ ἀνυπόστατον λέγῃ τὸν χρόνον, καὶ ὅταν τὸν ἐν τῷ νῦν χρόνον διαφέρειν λέγῃ τοῦ παρῳχημένου, ταυτὸν λέγει τὸ νῦν τῷ χρόνῳ. ὅταν δὲ πέρας τοῦ παρῳχημένου χρόνου καὶ ἀρχὴν τοῦ μέλλοντος λέγῃ τὸ νῦν, τότε ἕτερον. καὶ ὅταν τὸ μὲν νῦν ἀδιαίρετον λέγῃ, τὸν δὲ χρόνον συνεχῆ. καὶ ὅταν τὸν χρόνον ἀριθμὸν ὁρίζηται. τὸ γὰρ νῦν οὐκ ἂν εἴποι ἀριθμόν, ἀδιαίρετον ὄν. ἔοικεν οὖν καὶ ἀρχύτας ὥσπερ καὶ ἀριστοτέλης τὴν τῶν νῦν συνεχῆ καὶ ἀδιαίρετον ῥοὴν τίθεσθαι τὸν χρόνον, καὶ τοῦτον μάλιστα παραδιδόναι τὸν ἐν τῇ γενέσει σύστοιχον, καὶ κυρίως λεγόμενον χρόνον εἰκόνα ὄντως τοῦ αἰῶνος. ὁ δέ γε πλάτων καὶ ἀριστοτέλης ἣν ἐχέτην περὶ χρόνου δόξαν, εἴρηται πρότερον. καὶ θεόφραστος δὲ καὶ εὔδημος οἱ τοῦ ἀριστοτέλους ἑταῖροι, τὰ αὐτὰ φαίνονται τῷ ἀριστοτέλει περὶ χρόνου δοξάσαντές τε καὶ διδάξαντες. ὁ μέντοι λαμψακηνὸς στράτων αἰτιασάμενος τὸν ὑπ' ἀριστοτέλους τε καὶ τῶν ἀριστοτέλους ἑταίρων ἀποδοθέντα τοῦ χρόνου ὁρισμόν, αὐτὸς καίτοι θεοφράστου μαθητὴς ὢν τοῦ πάντα ἀκολουθήσαντος τῷ ἀριστοτέλει, καινοτέραν ἐβάδισεν ὁδόν. ἀριθμὸν μὲν γὰρ κινήσεως εἶναι τὸν χρόνον οὐκ ἀποδέχεται. διότι ὁ μὲν ἀριθμὸς διωρισμένον ποσόν, ἡ δὲ κίνησις καὶ ὁ χρόνος συνεχής. τὸ δὲ συνεχὲς οὐκ ἀριθμητόν. εἰ δὲ ὅτι ἄλλο καὶ ἄλλο τὸ μέρος τῆς κινήσεως, καὶ τούτων τὸ μὲν πρότερον, τὸ δ' ὕστερον, κατὰ τοῦτο ἐστί τις κινήσεως ἀριθμός, οὕτω γε ἂν καὶ τὸ μῆκος ἀριθμητὸν εἴη. καὶ γὰρ καὶ τούτου ποσὸν ἄλλο καὶ ἄλλο ἐστί. καὶ τῶν ἄλλων τῶν κατὰ συνέχειαν γινομένων. καὶ τὸ μέν, πρότερον, τὸ δὲ ὕστερον. ὥστε καὶ τοῦ χρόνου εἴη ἂν χρόνου χρόνος. ἔτι ἀριθμοῦ μὲν οὐκ ἔστιν γένεσις ἢ φθορά, κἂν τὰ ἀριθμητὰ φθείρηται. ὁ δὲ χρόνος καὶ γίνεται καὶ φθείρεται συνεχῶς. καὶ τοῦ μὲν ἀριθμοῦ ἀναγκαῖον εἶναι πάντα τὰ μέρη. μὴ γὰρ οὐσῶν τῶν τριῶν μονάδων, οὐδ' ἂν ἡ τριὰς εἴη. τοῦ δὲ χρόνου ἀδύνατον. ἔσται γὰρ ὁ πρότερος χρόνος καὶ ὁ ὕστερος ἅμα. ἔτι τὸ αὐτὸ ἔσται μονὰς καὶ νῦν, εἴπερ ὁ χρόνος ἀριθμός. ὁ μὲν γὰρ χρόνος ἐκ τῶν νῦν σύνθετος. ὁ δὲ ἀριθμὸς ἐκ μονάδων. καὶ τοῦτο δὲ ἀπορεῖ. τί μᾶλλόν ἐστιν ὁ χρόνος ἀριθμὸς τοῦ ἐν κινήσει προτέρου καὶ ὑστέρου, ἢ τοῦ ἐν ἠρεμίᾳ. καὶ γὰρ ἐν ταύτῃ ὁμοίως ἐστὶ τὸ πρότερον καὶ ὕστερον. ἀλλὰ ταῦτα μὲν ἐκ τῶν εἰρημένων ἤδη ῥᾴδιον ἀπολύσασθαι. τῆς γὰρ ἐν γενέσει ῥοῆς, ἥ τις κοινὴ καὶ κινήσεώς ἐστι, καὶ τῆς ἀντικειμένης αὐτῇ ἠρεμίας, καὶ τῶν ἐν πᾶσι τοῖς γινομένοις εἶναι μέτρον ὁ χρόνος ὑπὸ ἀριστοτέλους ἐλέγετο. ἀριθμὸν δὲ τὸν χρόνον ἔλεγον, οὐχ ὅτι ἁπλῶς ἀριθμός. συνεχῆ γὰρ αὐτὸν δείκνυσι τὸν χρόνον, ὥσπερ καὶ τὸ μέγεθος καὶ τὴν κίνησιν. ἀλλ' ὡς τῷ διορισμῷ τῶν ἐν τῇ συνεχείᾳ προτέρου καὶ ὑστέρου γνωριζόμενον, ὑπὸ τῶν αἰσθέσθαι χρόνου δυναμένων. ὥστε οὐδὲν κινεῖ τῆς ἀριστοτέλους ἐννοίας τὰ ἀπὸ τοῦ ἀριθμοῦ ἐπιχειρήματα. πρὸς δὲ τὸ ἐν χρόνῳ εἶναι λεγόμενον καλῶς ἐνίστασθαι δοκεῖ. εἰ γὰρ τοῦτό ἐστι φησὶ τὸ ἐν χρόνῳ εἶναι, τὸ ὑπὸ τοῦ χρόνου περιέχεσθαι, οὐθὲν ἂν δηλονότι τῶν ἀϊδίων ἐν χρόνῳ εἴη. ἀλλ' ἔοικεν ἀριστοτέλης τὸ ἐν τῷ παντὶ χρόνῳ ὑφεστὼς αἰώνιον λέγειν, ἀλλ' οὐκ ἔγχρονον, ἅτε οὐ περιεχόμενον χρόνῳ. μήποτε δὲ εἰ ἐν τῷ ἀεὶ γίνεσθαι τὸ εἶναι ἔχει ὁ ἀεὶ χρόνος, καὶ τὸ ἐν χρόνῳ ἀΐδιον τοιοῦτόν ἐστιν. οἷον ἡ τοῦ οὐρανοῦ κίνησις, ὡς τὸ ἀεὶ κατὰ τὸ ἐπ' ἄπειρον ἔχειν, ἀληθὲς εἰπεῖν ὅτι πᾶς ὁ λαμβανόμενος χρόνος ὑπὸ χρόνου ἄλλου περιέχεται. καὶ ἄλλα δὲ πολλὰ ἀντειπὼν πρὸς τὴν ἀριστοτέλους ἀπόδοσιν ὁ στράτων, αὐτὸς τὸν χρόνον τὸ ἐν ταῖς πράξεσι ποσὸν εἶναι τίθεται. πολὺν γὰρ φησὶ χρόνον φαμὲν ἀποδημεῖν, καὶ πλεῖν, καὶ στρατεύεσθαι, καὶ πολεμεῖν, ὁμοίως δὲ καθῆσθαι. καὶ καθεύδειν, καὶ μηδὲν πράττειν, καὶ πολὺν χρόνον φαμὲν καὶ ὀλίγον. ὧν μὲν ἐστὶ τὸ ποσὸν πολύ, πολὺν χρόνον. ὧν δὲ ὀλίγον, ὀλίγον. χρόνος γὰρ τὸ ἐν ἑκάστοις τούτων ποσόν. διὸ καὶ φασὶν οἱ μὲν βραδέως ἥκειν, οἱ δὲ ταχέως τὸν αὐτόν, ὡς ἂν ἑκάστοις φαίνηται τὸ ἐν τούτοις ποσόν. ταχὺ μὲν γὰρ εἶναι φαμέν, ἐν ᾧ τὸ μὲν ποσὸν ἀφ' οὗ ἤρξατο καὶ εἰς ὃ ἐπαύσατο, ὀλίγον. τὸ δὲ γεγονὸς ἐν αὐτῷ πολύ. τὸ βραδὺ δὲ τοὐναντίον, ὅταν ᾖ τὸ μὲν ποσὸν ἐν αὐτῷ πολύ, τὸ δὲ πεπραγμένον ὀλίγον. διό φησιν οὐκ ἔστιν ἐν ἠρεμίᾳ τὸ ταχὺ καὶ τὸ βραδύ. πᾶσα γὰρ ἴση ἐστὶ τῷ ἑαυτῆς ποσῷ. καὶ οὔτε ἐν ὀλίγῳ τῷ ποσῷ πολλή, οὔτε ἐν πολλῷ βραχεῖα. διὰ τοῦτο δέ φησι καὶ πλείω μὲν εἶναι καὶ ἐλάττω χρόνον λέγομεν. θάττω δὲ καὶ βραδύτερον χρόνον οὐ λέγομεν. πρᾶξις μὲν γὰρ καὶ κίνησις ἐστὶ θάττων καὶ βραδυτέρα. τὸ δὲ ποσὸν

τὸ ἐν ᾧ ἡ πρᾶξις οὐκ ἔστι θᾶττον καὶ βραδύτερον, ἀλλὰ πλέον καὶ ἔλαττον ὥσπερ καὶ χρόνος. ἡμέρα
δὲ καὶ νύξ φησι καὶ ἐνιαυτὸς, οὐκ ἔστι χρόνος οὐδὲ χρόνου μέρη. ἀλλὰ τὰ μὲν, ὁ φωτισμὸς καὶ ἡ σκία-
σις. τὰ δὲ, ἡ τῆς σελήνης καὶ ἡ τοῦ ἡλίου περίοδος. ἀλλὰ χρόνος ἐστὶ τὸ ποσὸν ἐν ᾧ ταῦτα. ἀλλ' εἰ ἕτερον
μὲν τὸ πεπραγμένον, ἕτερον δὲ τὸ ποσὸν ἐν ᾧ πέπρακται, καὶ τοῦτο ἐστὶν ὁ χρόνος, ὅτι μὲν ποσὸν
εἴρηται. ὁποῖον δὲ ποσὸν, ἄδηλον. διὸ οὐδὲ ἔστιν ἀπὸ τούτου ἔννοιαν τοῦ χρόνου λαβεῖν τὸν μὴ προειλη-
φότα. καὶ ὅτι μὲν ἐστί τι ἕτερον ποσὸν παρὰ τὸ τῶν κινήσεων καὶ ἠρεμιῶν ἴδιον, δῆλον. εἴπερ πολ-
λὴν κίνησιν ἐν ὀλίγῳ χρόνῳ γίνεσθαι φαμὲν, ὅταν ταχεῖα ᾖ. ὀλίγην δὲ ἐν πολλῷ, ὅταν βραδεῖα. τί
δὲ τοῦτο ἐστὶν οὐ διεσάφησεν ὁ λόγος. διὰ τοῦτο δέ φησι πάντα ἐν χρόνῳ εἶναι φαμὲν, ὅτι πᾶσι τὸ πο-
σὸν ἀκολουθεῖ καὶ τοῖς γινομένοις καὶ οὖσι. πολλὰ δὲ κατὰ τὸ ἐναντίον λέγομεν. τὴν γὰρ πόλιν ἐν τα-
ραχῇ εἶναι, καὶ τὸν ἄνθρωπον ἐν φόβῳ καὶ ἡδονῇ, ὅτι ταῦτα ἐν ἐκείνοις. ταῦτα μὲν οὖν τὰ τοῦ στρά-
τωνος ὡς συντόμως ἀπομνημονεῦσαι, περὶ χρόνου δοξάσματά τε καὶ ἀπορήματα. καὶ πάντες οἱ
εἰρημένοι περὶ τὸν φυσικὸν χρόνον διέτριψαν. κἂν ἐνεδείξαντό τινος αὐτὴν ἐπὶ τοῦ χωριστοῦ καὶ ἐξῃ-
ρημένου, καὶ ἐν αἰτίας λόγῳ προεστηκότος χρόνου. ἐν δὲ τοῖς νεωτέροις πλωτῖνος φαίνεται πρῶτος
τὸν πρῶτον ἐπιζητήσας χρόνον. καὶ ζωὴν αὐτόν φησι ψυχῆς ἐν κινήσει μεταβατικῇ ἐξ ἄλλου εἰς
ἄλλον βίον, οἰκείως τοῦτο τοῖς περὶ τοῦ αἰῶνος αὐτῷ ῥηθεῖσιν ἀφομοιούμενος. αἰῶνα γὰρ εἶναι λέγει,
καὶ περὶ τὸ ὂν ἐν τῷ εἶναι ζωὴν ὁμοῦ πᾶσαν καὶ πλήρη ἀδιάστατον πανταχῇ. κάλλιον δὲ ἴσως αὐ-
τῶν ἀκοῦσαι τῶν νοερῶν τοῦ πλωτίνου ῥημάτων. εἰ οὖν χρόνον τις λέγοι ψυχῆς ἐν κινήσει μεταβα-
τικῇ, ἐξ ἄλλου εἰς ἄλλον βίον ζωὴν εἶναι, ἆρα ἂν δοκοῖ τι λέγειν; εἰ γὰρ αἰὼν ἐστὶ ζωὴ ἐν στάσει καὶ τῷ
αὐτῷ καὶ ὡσαύτως καὶ ἄπειρος ἤδη, εἰκόνα δὲ δεῖ τοῦ αἰῶνος τὸν χρόνον, ὥσπερ καὶ τόδε τὸ πᾶν ἔχει,
πρὸς ἐκεῖνο εἶναι, ἀντὶ μὲν ζωῆς τῆς ἐκεῖ, ἄλλην δεῖ ζωὴν τὴν τῆσδε τῆς δυνάμεως τῆς ψυχῆς ὥσπερ
ὁμώνυμον εἶναι λέγειν. καὶ ἀντὶ κινήσεως νοερᾶς ψυχῆς τινὸς μέρους κίνησιν. ἀντὶ δὲ ταυτότητος καὶ
τοῦ ὡσαύτως καὶ μένοντος, τὸ μὴ μένον ἐν τῷ αὐτῷ ἄλλο δὲ καὶ ἄλλο ἐνεργοῦν. ἀντὶ δὲ ἀδιαστάτου καὶ
ἑνὸς εἴδωλον τοῦ ἑνὸς τὸ ἐν συνεχείᾳ ὄν. ἀντὶ δὲ ἀπείρου καὶ ὅλου τὸ εἰς ἄπειρον πρὸς τὸ ἐφεξῆς ἀεί. ἀντὶ
δὲ ἀθρόου ὅλου τὸ κατὰ μέρος ἐσόμενον, καὶ ἀεὶ ἐσόμενον ὅλον. οὕτω γὰρ μιμήσεται τὸ ἤδη ὅλον ἀθρόον
καὶ ἄπειρον ἤδη, εἰ ἐθελήσει ἀεὶ προσκτώμενον εἶναι ἐν τῷ εἶναι. καὶ γὰρ τὸ εἶναι οὕτω τὸ ἐκείνου μι-
μήσεται. δεῖ δὲ οὐκ ἔξωθεν τῆς ψυχῆς λαμβάνειν τὸν χρόνον, ὥσπερ οὐδὲ τὸν αἰῶνα ἐκεῖ ἔξω τοῦ ὄντος.
οὐδὲ αὖ παρακολούθημα οὐδὲ ὕστερον, ὥσπερ οὐδὲ ἐκεῖ. ἀλλ' ἐνορώμενα καὶ ἐνόντα καὶ συνόντα,
ὥσπερ κἀκεῖ ὁ αἰών. προστίθησι δὲ καὶ ὅτι οὐχ ὁ χρόνος μετρεῖ τὴν κίνησιν, ἀλλ' ἡ κίνησις τὸν χρόνον.
εἴπερ ἀφανὴς μὲν ὁ χρόνος ἐστὶν, ἐμφανὴς δὲ ἡ κίνησις, ἀπὸ δὲ τῶν φανερῶν γνωρίζεται καὶ μετρεῖ-
ται τὰ ἀφανῆ. λέγει οὖν ὅτι τὸ μετρούμενον ὑπὸ τῆς περιφορᾶς, τοῦτο δὲ ἐστὶ τὸ δηλούμενον, ὁ χρό-
νος ἔσται οὐ γεννηθεὶς ὑπὸ τῆς περιφορᾶς ἀλλὰ δηλωθείς. διό φησι καὶ κινήσεως ἐνεχθῆναι εἰς τὸ
εἰπεῖν μέτρον, ἀντὶ τοῦ εἰπεῖν κινήσει μετρούμενον, εἶτα προσθεῖναι τί ὂν κινήσει μετρεῖται. προστίθη-
σι δὲ καὶ τοῦτο. ἆρ' οὖν καὶ ἐν ἡμῖν ὁ χρόνος, ἢ ἐν ψυχῇ τῇ τοιαύτῃ πάσῃ, καὶ ὁμοειδῶς ἐν πάσῃ, καὶ
αἱ πᾶσαι μία. διὸ οὐ διασπασθήσεται ὁ χρόνος, ἐπεὶ οὐδὲ ὁ αἰὼν ὁ κατ' ἄλλο ἐν τοῖς ὁμοειδέσι πᾶ-
σιν. ἐν δὴ τούτοις χρόνον οἴεται τὴν μεταβατικὴν τῆς ψυχῆς ζωήν. ἐπειδὴ καὶ αἰῶνα τὴν περὶ τὸ
ὂν ἐν τῷ εἶναι ζωὴν ὁμοῦ πᾶσαν καὶ πλήρη ἀδιάστατον πανταχῇ ὡς εἴρηται πρότερον. καὶ ἔοικεν
ἐκ τῆς ἀναλογίας ὑπόνοιαν ἔχειν τοιαύτην ὁ πλωτῖνος. ὡς γὰρ ἐν τῷ νοητῷ μετὰ τὸ πρώτως γινό-
μενον, ὅπερ καὶ αὐτὸ νοῦν καλεῖ, ἡ νοερὰ ζωή ἐστιν, εἰς ταυτὸν ἰοῦσα τῷ αἰῶνι, διὸ τὸ μετ' αὐτὴν καὶ
ζῶον καὶ αἰώνιόν ἐστιν, οὕτω καὶ ἐπ' ἄκρῳ τοῦ γεννητοῦ μετὰ τὴν ἀμέριστον οὐσίαν ἡ ψυχικὴ ζωὴ, εἰς
ταυτὸν ἔρχεται τῷ χρόνῳ. ἐφιστάνει δὲ αὐτῷ ὁ δαμάσκιος, ὡς ἀντὶ αἰῶνος τὸν αἰώνιον νοῦν παραδε-
δωκότι. μή ποτε δὲ ἡ ἐπὶ τὸ ὂν ἐν τῷ εἶναι ζωὴ, εἴπερ ἡ μετὰ τὸ ὂν εὐθύς ἐστιν, οὐκ ἔστιν ἡ κατὰ τὸν αἰώνιον
νοῦν τὸν τρίτον. ἀλλ' ἡ κατὰ τὸν μέσον. ὃν καὶ αὐτὸν νοῦν καλεῖ ὁ πλωτῖνος, ὥσπερ καὶ τὸν πρῶτον.
ἀλλ' ἐκεῖνο οἶμαι ἄξιον ἐπιστάσεως, μή ποτε κἂν ἐν τοῖς νοητοῖς ἥνωται ἥτε ζωὴ καὶ ὁ αἰὼν, καὶ ἡμεῖς
περὶ τὴν ἐκεῖ ἕνωσιν διαιρούμενοι, ποτὲ μὲν ζωὴν, ποτὲ δὲ αἰῶνα, ποτὲ δὲ ὅλον καὶ μέρη τὴν ἐκεῖ με-
σότητα καλοῦμεν, ὡς ἐν παρμενίδῃ μεμαθήκαμεν, ἀλλ' ἔν γε τοῖς γενέσεως ἐφαπτομένοις, οὐκέτι
μένει ἡ ἐν αὐτῇ ἕνωσις, εἰς εἰκονικὴν προελθοῦσα φύσιν, κἂν ἔχῃ τι τῆς εἰκόνος ἐξῃρημένον καὶ τῆς
γενέσεως. ἀλλ' ἡ μὲν ψυχικὴ ζωὴ τῆς νοερᾶς ἐστὶν εἰκὼν, ὁ δὲ χρόνος τοῦ αἰῶνος, ὡς καὶ ὁ πλάτων φη-
σίν. οὐκ ἂν οὖν εἴη χρόνος ἁπλῶς ἡ μεταβατικὴ τῆς ψυχῆς ζωὴ, ἀλλ' ἔγχρονος. ὥσπερ αἰώνιος ἡ τοῦ
νοῦ ἀμετάβατος. καὶ ἔστιν οὗτος πρῶτος χρόνος ὁ τὴν τῆς ψυχῆς μετάβασιν μετρῶν, εἴπερ πρωτίστη με-
ταβολή ἐστιν ἡ ψυχικὴ καὶ ἀπ' ἐκείνης αἱ ἄλλαι. καὶ τοῦτο τάχα ἐστὶν, οὗ καὶ ἀριστοτέλης ἐφαψάμενος
ἔλεγε, μὴ εἶναι χρόνον εἰ μὴ εἴη ψυχὴ, διότι μὴ ἔστι τὸ ἀριθμοῦν. ἀρχέσθω μὲν οὖν ἀπὸ τῆς ψυ-
χῆς ὁ χρόνος, ἄλλος δὲ ὢν παρὰ τὴν ψυχὴν, καὶ τὰς μεταβολικὰς αὐτῆς μετρῶν ἐνεργείας. τὴν γὰρ
οὐσίαν καὶ τὰς οὐσιώδεις ἐνεργείας αὐτῆς, ἐν μεσότητι τῆς ἀμερίστου καὶ τῆς περὶ τοῖς σώμασι μεριζομένης
φύσεως ὑποστάσας, μέσον τι μέτρον αἰῶνος καὶ χρόνου συνέξει καὶ μετρήσει κατὰ τὸ δικαιότατον.

μετὰ δὲ τὸν

μετὰ δὲ τὸν Πλωτῖνον καὶ ὁ Ἰάμβλιχος ἡμῖν ἡκέτω, φῶς ἀνάπτων καὶ αὐτὸς ταῖς ἡμετέραις νοήσεσι. λέγει οὖν καὶ αὐτὸς περὶ τοῦ πρώτου καὶ ἀμεθέκτου χρόνου, ἐν τῷ εἰς τὰς κατηγορίας ὑπομνήματι, τὴν Ἀρχύτου λέξιν ἐξηγούμενος. οὐ δὲ γὰρ ὡς ἡ τοῦ λύχνου φλὸξ, οὕτως ἡ τοῦ ἀμεροῦς ἐνέργεια ἀεὶ γίνεται. οὔτε γὰρ αἰσθητή γε αὕτη, οὔτε ῥέουσα μένει ἐν τῷ προϊέναι. ἀεί τε ἔστι, καὶ ἀεὶ ἐνεργεῖ, καὶ οὐδέποτε γίνεται. προέστηκε δὲ ἐν τῷ ἀκινήτῳ οὖσα ἀγένητος, ἐν τῷ αὐτῷ κατ' ἀριθμὸν εἴδει, καὶ ἄφθαρτος. ἀλλὰ γίνεσθαι φησὶν ἀεὶ τὸ νῦν. οἶμαι δὲ αὐτόθεν φαίνεσθαι, ὡς τὸ γινόμενον ποτὲ ἤρξατο γίνεσθαι, καὶ οὐκ ἀεὶ γίνεται. καὶ ὅτι τὸ νῦν ἔστι καὶ οὐ γίνεται. εἰ δὲ γίνεται ἐν παρατάσει ἔχον τὸ κινεῖσθαι, οὐ γίνεται ἐν τῷ νῦν. ἠρεμία γὰρ μᾶλλον θεωρεῖται κατὰ τὸ νῦν καὶ οὐ κίνησις. ἀλλὰ συνεχές τι φησὶ, καὶ κινήσεως μέτρον συνεχοῦς. καὶ αἴτιον γεννητικὸν τοῦ χρόνου τὸ ἀμερὲς ὑποληπτέον. ποῦ τοίνυν ὁ ῥέων καὶ ὁ γινόμενος χρόνος. ἢ ἐν τοῖς μετέχουσι. γινόμενα γάρ φησι ταῦτα ἀεὶ, οὐ δύναται τὴν ἐκείνου σταθερὰν οὐσίαν ἀκινήτως δέξασθαι. ἄλλοτε δὲ ἄλλοις μέρεσι τοῖς ἑαυτῶν ἐκείνης ἐφαπτόμενα, τὸ ἑαυτῶν πάθημα ἐκείνης καταψεύδεται. καὶ τὸ γίνεσθαι οὖν τούτοις ὑπάρξει τοῖς ἀεὶ μετέχουσι τοῦ νῦν. ἡ δὲ ἐν τοῖς ἄλλοτε ἄλλως ἔχουσι καθ' ἓν συνεχὲς ταυτότης, τοῦ νῦν ἀμεροῦς ἰδία. ἔοικε δὲ ἐν τούτοις, ἓν μὲν τὸ πρὸ τῶν μετεχόντων νῦν ἀγένητον ὑποτίθεσθαι. ἐκ δὲ τούτου τὰ τοῖς μετέχουσιν ἐνδιδόμενα. ὡς δὲ τὸ νῦν, οὕτω καὶ χρόνος εἷς μὲν ὁ πρὸ τῶν χρονιζομένων, πολλοὶ δὲ οἱ ἐν τοῖς μετέχουσι γινόμενοι. ἐν οἷς δὴ καὶ ὁ μὲν παρεληλυθώς. ὁ δὲ ἐνεστώς. ὁ δὲ μέλλων. οὐ κατὰ εὐτρεπισμόν φησιν ὥς τινες οἴονται τῶν ἡμετέρων πράξεων, ἀλλὰ καθ' ὑπόστασιν χρόνου τὰς ἡμετέρας πράξεις οὗ διατάττοντος. οὐδὲ γὰρ τὸ πρῶτον καὶ δεύτερον φησὶν οἷόν τε τῶν πράξεων συλλογίζεσθαι, μὴ ὑφεστῶτος τοῦ χρόνου καθ' ἑαυτὸν, πρὸς ὃν τὸ τεταγμένον τῶν πράξεων ἀναφέρεται. ὅτι δὲ περιεκτικὸς ὁ χρόνος καθ' αὑτὸν τῆς ψυχῆς, ἐκείνη δηλώσει ἡ λέξις. εἰκότως ἄρα αἰῶνος εἰκὼν κινητὴ ἀφώρισται ὁ χρόνος, ὡς τῆς ψυχῆς πρὸς τὸν νοῦν ἀπεικασθείσης, καὶ τῶν λόγων αὐτῆς πρὸς τὰς νοήσεις ἀφομοιωθέντων. καὶ τοῦ νῦν ἀμεροῦς ἐν αὐτῇ πρὸς τὸ ἐν ἑνὶ μένον. καὶ τὸ περιεκτικὸν πάντων τούτου πρὸς τὸ ἐκείνου ἅμα. καὶ ἀεὶ τὰ ὄντα ἐν ἑαυτῷ περιέχον. καὶ πρὸς τὸ ἐκείνου ἑστηκὸς, καὶ τὸ τοῦδε κινούμενον ἀπεικασθὲν, καὶ πρὸς τὸ μέτρον τῶν οὐσιῶν τὸ τῆς γενέσεως μέτρον ἀποτυπωθέν. δῆλος οὖν ἐστι τὸν μὲν αἰῶνα περιεκτικὸν μέτρον τιθέμενος. τὸν δὲ χρόνον οὐσίαν μὲν αὐτὸν, μετροῦντα δὲ τὴν γένεσιν, πρώτην μὲν τὴν ψυχικὴν, ἀπὸ δὲ ταύτης τὴν ἀπ' αὐτῆς προϊοῦσαν. ἔνθα λοιπὸν κινήσει σύστοιχος καὶ ἀνυπόστατός ἐστιν ὁ χρόνος, ὡς ἐν τῷ γίνεσθαι τὸ εἶναι ἔχων. βούλεται δὲ οὐ τὸ νῦν ἐνεστηκέναι μόνον, ἀλλὰ καὶ χρόνον μεταξὺ δύο περάτων. προσκείσθω δὲ καὶ τὰ ἀπὸ τῶν εἰς τὸν Τίμαιον ὑπομνημάτων. ἐν τοίνυν τῷ ὀγδόῳ βιβλίῳ τῷ Πλάτωνι μάλιστα παρακολουθῶν, τὴν πρὸς τὸν αἰῶνα τοῦ χρόνου συναρτησιν παραδίδωσι. διὸ καὶ περὶ ἐκείνου μάλιστα ποιεῖται τὸν λόγον, τοῦ ἐξῃρημένου μὲν ἀπὸ τοῦ κόσμου, πάσης δὲ τῆς ἐν αὐτῷ κινήσεως τὰ μέτρα περιέχοντός τε καὶ χορηγοῦντος. ὃς ἄλλος ἂν εἴη παρὰ τὸν φυσικὸν ζητούμενον χρόνον. λέγει δὲ ἐν τῷ ἕκτῳ κεφαλαίῳ ταῦτα. τὴν δὲ οὐσίαν αὐτοῦ τὴν κατ' ἐνέργειαν, τῇ προϊούσῃ διακοσμήσει, καὶ συντεταγμένην πρὸς τὰ δημιουργούμενα, καὶ ἀχώριστον τῶν ἀποτελουμένων ὑφ' ἑαυτῆς ὑπάρχουσῃ, ταύτην συντάττομεν. τὸν γοῦν διάκοσμον ἅμα οὐρανὸν ποιεῖν, δηλοῖ τοῦτο, ὅτι συντέτακται τῇ διακοσμήσει τῇ ἀπὸ τοῦ δημιουργοῦ προελθούσῃ καὶ ἡ τοῦ χρόνου ὑπόστασις. καὶ δῆτα καὶ αὕτη προηγεῖται τῆς τοῦ οὐρανοῦ περιόδου. ὥσπερ δὴ καὶ ἡ διακοσμοῦσα αὐτὴν διακόσμησις, προσεχῶς τε αὐτῆς προτέτακται κατὰ τὰ αὐτὰ ταῖς ἐκείνης ἐπιστασίαις. ὅλην τε καὶ αὐτὴν ἀθρόως συνείληφε διωρισμένοις τισὶ πέρασιν, ἅτε διασώζουσα τὸν λόγον τῆς αἰτίας ἀφ' ἧς παράγεται. τάξιν μὲν οὖν εἶναι τοῦ χρόνου καὶ ἡμεῖς συγχωροῦμεν, οὐ μέντοι τὴν τεταγμένην, ἀλλὰ τὴν τάττουσαν, οὐδὲ τὴν ἑπομένην τοῖς προηγουμένοις, ἀλλὰ τὴν ἀρχηγὸν τῶν ἀποτελουμένων καὶ πρεσβυτέρων. οὐδὲ τὴν μεριστῶς κατὰ λόγους, ἢ κινήσεις, ἢ ἄλλας διωρισμένας δυνάμεις ἀφωρισμένην, ἀλλὰ τὴν παντελῆ καθ' ὅλας τὰς δημιουργικὰς ἀπογεννήσεις συμπεπληρωμένην. τὸ δὲ πρότερον καὶ ὕστερον ἐν τῇ τάξει οὐ κατὰ κινήσεων μεταβάσεις, οὐδὲ κατὰ ζωῆς ἀνελίξεις, οὐδὲ κατὰ κοσμικῶν γενέσεων διεξόδους, οὐδὲ κατ' ἄλλο οὐδὲν τοιοῦτον τιθέμεθα. ἀλλὰ κατ' αἰτίων προηγησιν, καὶ συμπλοκὴν συνεχῆ τῶν ἀπογεννήσεων, καὶ πρωτουργὸν ἐνέργειαν, καὶ δύναμιν ἐπιτελεστικὴν τῶν κινήσεων, καὶ κατὰ τοιαῦτα πάντα ἀφορίζομεθα. ἔτι τοίνυν οὐ μετὰ τῆς προϊούσης ἀπὸ τῆς ψυχῆς κινήσεως, ἢ ζωῆς, τὸν χρόνον καὶ ὁμοῦ τὸν ὅλον οὐρανὸν λέγομεν ἀπογεννᾶσθαι. ἀλλ' ἀπὸ τῆς προϊούσης ἀπὸ τοῦ δημιουργοῦ νοερᾶς διακοσμήσεως. μετὰ γὰρ ταύτης ὁ χρόνος τε ἐν αὐτῷ συνυπέστη καὶ ὁ κόσμος. καὶ αὐτὸς δὲ ὁ παλαιὸς λόγος διαρρήδην τὸν θεὸν διακοσμοῦντα, καὶ παράγοντα τὸν χρόνον ὁμοῦ καὶ τὸν οὐρανὸν ποιεῖν ἀποφαίνεται. καὶ θείη ἄν τις αὐτὸν εἶναι μέτρον, οὔτε κατὰ τὸ μετροῦν τὴν φορὰν, ἢ τῇ κινήσει μετρούμενον, ἢ δηλοῦν τὴν περιφορὰν ἢ δηλούμενον. ἀλλὰ κατὰ τὸ αἴτιον καὶ ἐν ὁμοῦ δὴ πάντων. ταῦτα μὲν οὖν περὶ τοῦ ἐξῃρημένου τῆς γενέσεως, καὶ καθ' ἑαυτὸν ὑφεστηκότος γέγραφεν. ἅμα δὲ περὶ τούτου καὶ περὶ τοῦ ἀπ' αὐτοῦ ἐκδιδομένου τῷ κόσμῳ, ἐν τῷ δεκάτῳ κεφαλαίῳ τάδε γέγραφε. διὰ δὴ ταῦτα καὶ κατὰ τὸ παράδειγμα τῆς διαιωνίας φύσεως, ὁμοιότατος

αὐτὸς αὐτῷ κατὰ δύναμιν ἐστὶ καὶ ὁ χρόνος. καὶ προσέοικε τῷ αἰῶνι. καὶ πρὸς ἑαυτὸν ὁμοιότατός
ἐστι κατὰ τὸ δυνατὸν κατὰ τὴν ὁμοιομερῆ φύσιν. διὰ μιᾶς τε ἐνεργείας ἐνίσταται. καὶ πρόεισι κατ'
αὐτὴν καὶ ὁρίζει πάντα τὰ γινόμενα ὡσαύτως, κἂν ᾖ διαφέροντα. λέγει τοίνυν περὶ τούτων καὶ
ἄλλην ἀπόδειξιν τοιαύτην. τὸ μὲν γὰρ δὴ παράδειγμα πάντα αἰῶνα ἐστίν. ὁ δὲ αὖ διατέλους τὸν ἅ-
παντα χρόνον γέγονεν. ὥς τε καὶ ὢν καὶ ἐσόμενος. ὁ τοίνυν ἐστὶν ὡς παράδειγμα ἐν τῷ νοητῷ, τοῦτο
ὡς εἰκὼν ἐστὶν ἐν τῷ γεννητῷ. καὶ ὅπερ ἐστὶν ἐκεῖ κατ' αἰῶνα, τοῦτο ἐνταῦθα κατὰ χρόνον. καὶ τὸ ἐν τῷ
νοητῷ κατὰ τὸ νῦν ἤδη παρόν, τοῦτο ἐν τοῖς τῇδε κατὰ συνέχειαν διατέλους παραγίνεται. καὶ
τὸ ὂν ὡσαύτως τὸ ἐν αὐτῷ, γεγονός τε καὶ ὂν καὶ ἐσόμενον κατὰ τοὺς τῇδε τόπους ἐκφαίνεται. καὶ
τὸ ἀδιάστατον ἐκεῖ, διεστηκὸς ἐνταῦθα καθορᾶται. καὶ νῦν δὴ τοῦ χρόνου γέγονε κατάδηλος ἡ μέση
διπλῆ φύσις, μέση μὲν αἰῶνός τε καὶ οὐρανοῦ. διπλῆ δέ, καθόσον συνυφίσταται μὲν πρὸς τὸν κό-
σμον, συντάττεται δὲ πρὸς τὸν αἰῶνα. καὶ τοῦ μέν, ἡγεῖται. τῷ δ' ἀφομοιοῦται. τοιαύτη μὲν ἐστὶν ἡ
τῶν προκειμένων λέξεων τοῦ τιμαίου σαφήνεια κατὰ τὸν θεῖον ἰάμβλιχον. ἀλλὰ καὶ πρόκλος ὁ
ἐκ λυκίας φιλόσοφος, ὁ τῶν ἡμετέρων διδασκάλων καθηγεμών, περὶ μὲν τοῦ χωριστοῦ χρόνου τὰ
αὐτά πως τῷ ἰαμβλίχῳ φιλοσοφεῖ. καὶ οὐ μόνον νοῦν, ἀλλὰ καὶ θεὸν αὐτὸν ἀποδεικνύειν πειρᾶ-
ται, ὡς καὶ εἰς αὐτοψίαν ὑπὸ τῶν θεουργῶν κληθῆναι. τοῦτον δὲ τὰς μὲν ἔσω μενούσας ἐνεργείας
ἀμεταβλήτους ἔχειν φησί, τὰς δὲ εἰς τὸ ἐκτὸς ἀποτεινομένας. μεταβαλλομένας. περὶ μέντοι τοῦ
μεθεκτοῦ καὶ ἀχωρίστου τῆς γενέσεως χρόνου, τὰ αὐτὰ τῷ ἀριστοτέλει διατάττεται, νομίζων τὸν
ἀριστοτέλην κατὰ τὸ νῦν μόνον ὑφεστάναι λέγειν τὸν χρόνον. οἱ δὲ μετὰ πρόκλον ἕως ἡμῶν σχεδόν τι
πάντες οὐκ ἐν τούτῳ μόνον, ἀλλὰ καὶ ἐν τοῖς ἄλλοις ἅπασι τῷ πρόκλῳ κατηκολούθησαν. ἀσκλη-
πιόδοτον ἐξαίρω λόγου, τὸν ἄριστον τῶν πρόκλου μαθητῶν, καὶ δαμάσκιον τὸν ἡμέτερον. ὧν ὁ μέν,
δι' ἄκραν εὐφυΐαν καινοτέροις ἔχαιρε δόγμασιν. ὁ δὲ δαμάσκιος διὰ φιλοπονίαν καὶ τὴν πρὸς τὰ
ἰαμβλίχου συμπάθειαν, πολλοῖς οὐκ ὤκνει τῶν πρόκλου δογμάτων ἐφιστάνειν. ἐμοὶ δὲ πρὸς τὰς
εἰρημένας τῶν δύο φιλοσόφων δόξας, τοσοῦτον λεγέσθω, ὡς εἰ μὲν τὸ αἴτιον τοῦ χρόνου τὸ ἐν νοῖς
καὶ θεοῖς ζητοῦντες, νοῦν καὶ τοῦτο ἑστῶτα καὶ θεὸν ἔλεγον, ἀνάγκη δέχεσθαι. καὶ γὰρ καὶ κινήσεως
καὶ τῆς γενέσεως εἴ τις τὰς πρώτας αἰτίας ζητεῖ, νοῦν πάντως καὶ θεὸν εὑρήσει. καὶ θαυμαστὸν οὐδὲν
εἰ καὶ ὀνόμασιν αὐτὸν καλοίη τοῖς αὐτοῖς, ἐπειδὴ τοῦτο πολλαχοῦ τοῖς θεολογοῦσιν ἤρεσεν, ἴσως δὲ καὶ
αὐτοῖς τοῖς θεοῖς. εἰ μέντοι τις τὸν συνεγνωσμένον τοῦτον ζητεῖ χρόνον, τὸν τῇ κινήσει συνυπάρχον-
τα, οὔτε ἀκίνητον οὔτε ἅμα ὅλον ὑφεστῶτα, οὔτε νοῦν οἶμαι λέγειν δυνατόν. ὥσπερ οὐδὲ τὴν κίνησιν
ἀκίνητον, οὐδὲ ἅμα ὅλην ὑφεστῶσαν ἔστιν ἐπινοεῖν. ἀλλ' ὅπερ ἡμῖν λοιπὸν τῶν περὶ χρόνου προβλη-
μάτων ὑπολέλειπται, τοῦτο νῦν μεταχειριστέον, τὰς ἀπορίας τὰς ὑπὸ ἀριστοτέλους ἐν ἀρχῇ ῥη-
θείσας πρὸς τὴν τοῦ χρόνου ὑπόστασιν, ταύτας διαλῦσαι. δῆλον γὰρ ὅτι τούτων μὴ λυθεισῶν, καὶ εἰ ἔστιν
ὅλως ὁ χρόνος οὐδεὶς βεβαίως πεισθήσεται. σπουδῆς δὲ ἀξία μάλιστα ἐστὶν ἡ τῶν ἀποριῶν λύσις, ὅτι
καὶ αὐτὸς ἀριστοτέλης ἐν τοῖς περὶ τόπου λόγοις, τὰς ἐν ἀρχῇ ῥηθείσας ἀπορίας ἐν τῷ πέρατι δια-
λύσας, ταύτας ἀλύτους καταλέλοιπε. καὶ τῶν μετ' αὐτὸν δὲ ἐξηγητῶν, οὐδεὶς αὐτῶν οἶμαι τὰς
λύσεις παραδέδωκεν, οὐδὲ ὁ φιλοπονώτατος τῶν αὐτοῦ ἐξηγητῶν ὁ ἐξ ἀφροδισιάδος ἀλέξαν-
δρος. ἵνα δὲ πρόχειρος ἡ τῶν ἠπορημένων ἀνάμνησις γένηται, τὰ τοῦ ἀριστοτέλους ἡμῖν προσκείσθω
ῥήματα. ὅτι μὲν οὖν ἢ ὅλως οὐκ ἔστιν, ἢ μόγις καὶ ἀμυδρῶς, ἐκ τούτων ἄν τις ὑποπτεύσειε. τὸ μὲν γὰρ
αὐτοῦ γέγονε καὶ οὐκ ἔστι. τὸ δὲ μέλλει καὶ οὔπω ἐστίν. ἐκ δὲ τούτων καὶ ὁ ἄπειρος καὶ ὁ ἀεὶ λαμβανό-
μενος χρόνος σύγκειται. τὸ δὲ ἐκ μὴ ὄντων συγκείμενον, ἀδύνατον εἶναι δόξειε μετέχειν οὐσίας.
πρὸς δὲ τούτοις παντὸς μεριστοῦ ἄνπερ ᾖ, ἀνάγκη ὅτε ἐστὶν ἢ πάντα τὰ μέρη ἢ ἔνια εἶναι. τοῦ δὲ χρό-
νου τὰ μέν, γέγονε, τὰ δὲ μέλλει. ἔστι δὲ οὐδὲν ὄντος μεριστοῦ. τὸ δὲ νῦν οὐ μέρος. μετρεῖται γὰρ τὸ μέ-
ρος. καὶ συγκεῖσθαι δεῖ τὸ ὅλον ἐκ τῶν μερῶν. ὁ δὲ χρόνος οὐ δοκεῖ συγκεῖσθαι ἐκ τῶν νῦν. ἔτι δὲ τὸ
νῦν ὃ φαίνεται ὁρίζειν τὸ παρελθὸν καὶ τὸ μέλλον, πότερον ἓν καὶ ταὐτὸ διαμένει, ἢ ἄλλο καὶ
ἄλλο, οὐ ῥᾴδιον ἰδεῖν. εἰ μὲν γὰρ ἀεὶ ἕτερον καὶ ἕτερον, μηδὲν δὲ ἐστὶ τῶν ἐν τῷ χρόνῳ ἄλλο καὶ ἄλλο
ἅμα μέρος, ὃ μὴ περιέχει, τὸ δὲ περιέχεται, ὥσπερ ὁ ἐλάττων χρόνος ὑπὸ τοῦ πλείονος, τό, τε
νῦν μὴ ὂν πρότερον δὲ ὄν, ἀνάγκη ἐφθάρθαι ποτέ, καὶ τὰ νῦν ἅμα μὲν ἀλλήλοις οὐκ ἔσται, ἐφθάρ-
θαι δὲ ἀεὶ ἀνάγκη τὸ πρότερον. ἐν αὐτῷ μὲν οὖν ἐφθάρθαι τὸ νῦν οὐχ οἷόν τε, διὰ τὸ εἶναι τότε. ἐν
ἄλλῳ δὲ νῦν ἐφθάρθαι τὸ πρότερον νῦν οὐκ ἐνδέχεται. ἔστω γὰρ ἀδύνατον ἐχόμενα ἀλλήλων εἶναι
τὰ νῦν, ὥσπερ στιγμὴν στιγμῆς. εἴπερ οὖν ἐν τῷ ἐφεξῆς οὐκ ἔφθαρται, ἀλλ' ἐν ἄλλῳ, ἐν τοῖς με-
ταξὺ νῦν ἀπείροις οὖσιν ἅμα ἂν εἴη. τοῦτο δὲ ἀδύνατον. ἀλλὰ μὴν οὐδὲ τὸ αὐτὸ ἀεὶ διαμένειν δυνατόν.
οὐδενὸς γὰρ διαιρετοῦ πεπερασμένου ἓν πέρας ἐστίν. οὔτ' ἂν ἐφ' ἓν ᾖ συνεχές, οὔτ' ἂν ἐπὶ πλείω. τὸ δὲ
νῦν πέρας ἐστί, καὶ χρόνον ἐστὶ λαβεῖν πεπερασμένον. ἔτι εἰ τὸ ἅμα εἶναι κατὰ χρόνον καὶ μή τε
πρότερον μήτε ὕστερον, τὸ ἐν τῷ αὐτῷ εἶναι καὶ ἐν τῷ νῦν, εἰ τὰ πρότερον καὶ ὕστερον γινόμενα ἐν
τῷ νῦν τῳδί ἐστιν, ἅμα ἂν εἴη τὰ εἰς ἔτος γενησόμενα μυριοστὸν τοῖς γινομένοις τήμερον, καὶ οὔτε πρό-

τερον οὔτε ὕστερον οὐδὲν ἄλλο ἄλλου. ταύτας τοίνυν τὰς ἀπορίας ὁ φιλόσοφος Δαμάσκιος λύειν ἐπιχειρεῖ, τὸν ἐνεστῶτα χρόνον οὐ κατὰ τὸ ἀμερὲς νῦν λαμβάνειν ἀξιῶν. πέρας γὰρ χρόνου τὸ τοιοῦτο νῦν καὶ οὐ χρόνος. τοῦ δὲ περατουμένου μὴ ὄντος, οὐδ᾽ ἂν τὸ πέρας ὑφεστήξεται. οὐ μέντοι οὔτε κίνησις οὔτε μεταβολή τις ἐν τῷ τοιούτῳ νῦν φανεῖται. μεριστὸν γάρ τι ἐν ἀμερεῖ πῶς ὑποστήσεται. ἀλλὰ ταῦτα μὲν καὶ αὐτὸς αὖ ὁ ἀπορῶν εἴποι λόγος. θαυμάζω δὲ ἔγωγε φησὶν οὕτω καὶ τοῖς ῥήμασι λέγων, πῶς τὸν μὲν Ζήνωνος ἐπιλύονται λόγον, ὡς οὐ κατά τι ἀδιαίρετον τῆς κινήσεως ἐπιτελουμένης, ἀλλὰ καθ᾽ ὅλον βῆμα προκοπτούσης ἀθρούστερον, καὶ οὐκ ἀεὶ τὸ ἥμισυ πρὸ τοῦ ὅλου, ἀλλὰ ποτὲ καὶ ὅλον καὶ μέρος οἷον ὑπεραλλομένης. οὐ συνενόησαν δὲ οἱ τὸ ἀδιαίρετον μόνον νῦν εἶναι λέγοντες, τὸ αὐτὸ καὶ ἐπὶ τοῦ χρόνου συμβαῖνον, ἅτε συνόντος ἀεὶ τῇ κινήσει καὶ οἷον συμπαραθέοντος, ὥστε καὶ συμβηματίζοντος ὅλῳ πηδήματι συνεχεῖ, καὶ οὐ κατὰ νῦν διεξιόντος ἐπὶ τὸ ἄπειρον, καὶ ταῦτα κινήσεως μὲν οὔσης ἐναργοῦς ἐν τοῖς πράγμασι, τοῦ δ᾽ Ἀριστοτέλους οὕτω δεικνύντος λαμπρῶς, ὅτι οὐδὲν ἐν τῷ νῦν κινεῖται οὐδὲ μεταβάλλεται. ἀλλ᾽ ἐν τούτῳ μὲν κεκίνηται καὶ μεταβέβληται. μεταβάλλεται δὲ καὶ κινεῖται πάντως ἐν χρόνῳ. τὸ γοῦν ἅμα τῆς κινήσεως μέρος ὂν κινήσεως τὸ ἐν τῷ κινεῖσθαι, οὐκ ἐν τῷ νῦν ἔσται κινούμενον. οὐδὲ ἐν μὴ ἐνεστῶτι χρόνῳ τό γε ἐνεστώς. ὥστε ἐν ᾧ κίνησις ἡ ἐνεστῶσα, χρόνος οὗτός ἐστιν ὁ ἐνεστώς, ἄπειρος ὢν τῇ διαιρέσει, ἀπείρου οὔσης. ἑκάτερον γὰρ συνεχές. πᾶν δὲ συνεχὲς ἐπ᾽ ἄπειρον διαιρετόν. ταῦτα εἰπών, καὶ τὴν Ἀριστοτέλους παρατίθεται ῥῆσιν. ἐν ᾗ τὴν Ζήνωνος ἀπορίαν ἐπιλύεται ἔχουσαν οὕτως. αἱ γὰρ αὐταὶ διαιρέσεις ἔσονται τοῦ χρόνου καὶ τοῦ μεγέθους. καὶ εἰ ὁποτερονοῦν ἄπειρον, καὶ θάτερον. καὶ ὡς θάτερον, καὶ θάτερον. οἷον εἰ μὲν τοῖς ἐσχάτοις ἄπειρος ὁ χρόνος, καὶ τὸ μῆκος τοῖς ἐσχάτοις. εἰ δὲ τῇ διαιρέσει, τῇ διαιρέσει καὶ τὸ μῆκος. εἰ δὲ ἀμφοῖν, ἀμφοῖν καὶ τὸ μέγεθος. διόπερ καὶ ὁ Ζήνωνος λόγος ψεῦδος λαμβάνει, τὸ μὴ ἐνδέχεσθαι τὰ ἄπειρα διελθεῖν, ἢ ἅψασθαι τῶν ἀπείρων καθ᾽ ἕκαστον ἐν πεπερασμένῳ χρόνῳ. διχῶς γὰρ λέγεται καὶ ὁ χρόνος καὶ τὸ μῆκος ἄπειρον, καὶ ὅλως πᾶν τὸ συνεχές, ἢ κατὰ διαίρεσιν ἢ τοῖς ἐσχάτοις. τῶν μὲν οὖν κατὰ τὸ ποσὸν ἀπείρων οὐκ ἐνδέχεται ἅψασθαι ἐν πεπερασμένῳ χρόνῳ. τῶν δὲ κατὰ διαίρεσιν ἐνδέχεται. καὶ γὰρ αὐτὸς ὁ χρόνος οὕτως ἄπειρος. ὥστε ἐν τῷ ἀπείρῳ καὶ οὐκ ἐν τῷ πεπερασμένῳ συμβαίνει διιέναι τὸ ἄπειρον, καὶ ἅπτεσθαι τῶν ἀπείρων τοῖς ἀπείροις οὐ τοῖς πεπερασμένοις. ἐκ δὴ τούτων φανερὸν ὅτι ἐν τοῖς συνεχέσιν οὐ βούλεται ἐνέργεια εἶναι. οὐ μέντοι οὐδὲ τὸ ὅλων ἀθρούστερον βῆμα, οὐδὲ τὸ τοῦ ὅλου μέρους ἅλμα, δοκεῖ μοι λόγον ἔχειν ἐπὶ τῆς κινήσεως ἢ ἐπὶ τοῦ χρόνου λεγόμενον. ἐπὶ μὲν γὰρ τοῦ τόπου, οὗ τὰ μόρια ὑπομένει, δυνατὸν οἶμαι τὴν τοιαύτην σύλληψιν θεωρεῖν. ἐπὶ μέντοι τῶν ἐν τῷ γίνεσθαι τὸ εἶναι ἐχόντων οὐκ ἂν εἴη τι ἀθρόον λαβεῖν, πλὴν εἰ μὴ κατὰ τὴν ἡμετέραν ἐπίνοιαν. τὸ γὰρ ἀθρόον ἐκεῖνο ἀνάγκη μὴ ὡς ῥέον ἀλλ᾽ ὡς ἑστηκὸς λαβεῖν, καὶ μὴ ὡς γινόμενον ἀλλ᾽ ὡς ὄν. καίτοι τί ἐστι τοιοῦτον ἐν τοῖς τὸ ὂν ἐν τῷ γίνεσθαι ἔχουσιν. ἀλλὰ τούτοις μᾶλλον προσεκτέον τοῖς παρὰ τοῦ φιλοσόφου Δαμασκίου ῥηθεῖσιν αὐταῖς λέξεσι. τὸ δ᾽ αὖ ἀεὶ μηδέποτε ὂν συνηγμένον εἰς ἕν, ἐν δὲ τῷ γίνεσθαι τὸ εἶναι ἔχον, τοιοῦτον εἶναι τὸν χρόνον. ὡς ἡμέραν, καὶ νύκτα, καὶ μῆνα, καὶ ἐνιαυτόν. οὐδὲν γὰρ τούτων ἀθρόον, οὐδὲ ὁ ἀγών. καίτοι πάρεστιν ὁ ἀγὼν ἄλλοις κατὰ μέρος ἐπιτελούμενος. οὐδὲ ὄρχησις. καὶ αὕτη γὰρ κατὰ μέρος. ἀλλ᾽ ὅμως ὀρχεῖσθαι λέγεταί τις ἐνεστῶσαν ὄρχησιν. οὕτω δὴ καὶ τὸν σύμπαντα χρόνον ἐφεστάναι γινόμενον, ἀλλ᾽ οὐκ ὄντα. καὶ γὰρ τὰ κοινὰ τῶν εἰδῶν ἀΐδια λέγειν ἡμᾶς ὡς ἀεὶ γένη. καὶ ῥέοντα μὲν κατ᾽ ἀριθμὸν ἔσω, τὰ δὲ αὐτὰ κατ᾽ εἶδος. καὶ τὴν συνέχειαν κατὰ τοῦτο σώζειν ψυχὴ ταύτην διαιρουμένην, ὡς πρὸς ἡμᾶς καὶ τὸν καθ᾽ ἡμᾶς ἐνεστῶτα χρόνον. ἄλλοις γοῦν ἄλλος ὁ ἐνεστώς. ἐπεὶ καθ᾽ ἑαυτόν γε ὁ χρόνος εἷς συνεχής. τούτων οὖν καλῶς εἰρημένων, δυνάμει ῥητέον εἶναι τὴν τοῦ χρόνου διαίρεσιν. καὶ τὸ ἀμερὲς νῦν δυνάμει. τὴν δὲ ἡμετέραν ἐπίνοιαν διαιρεῖν, καὶ τὸ νῦν ὑφιστάνειν τοῦτο ὡς πέρας καὶ τὸ ἀμερές, καὶ συλλαμβάνειν ὡς ἔστη κατὰ μέρη τινὰ χρόνου, οὐ καθ᾽ ἓν εἶδος ἀφορίζοντας, οἷον ἡμέρας καὶ μῆνας καὶ ἐνιαυτούς. καίτοι ἡ τῶν εἰδῶν τούτων ἀπόστασις κατελείφθη μὲν τοῦ εἶναι μεγάλης τινὸς μοίρας, ἀλλ᾽ ἐν τῷ γίνεσθαι τὸ εἶναι ἔχει. κἂν ἀθρόον τις τὸ εἶδος στῆσαι βουληθῇ, οὐκέτι ταὐτὸν τοῦτο ἐν γινέσει λαμβάνει. ἀλλὰ τὸ χωριστὸν καὶ ἐξῃρημένον οὐ κατὰ μέθεξιν ῥέουσαν. ὥσπερ ὁ ποταμὸς ὑφίσταται τὸ τῇδε. καὶ γὰρ τῶν ποταμῶν ἑκάστου ἐστὶν εἶδος ἑστηκός. ἀφ᾽ οὗ ὁ ῥέων ποταμὸς ὑφίσταται ἐν ῥοῇ τὸ εἶδος δεχόμενος. καὶ ἂν στήσῃς τὸν ποταμόν, οὐκέτι ὁ ποταμὸς ἔσται. οὕτως οὖν καὶ τὸ ἐνεστὼς καὶ τὸ παρεληλυθὸς καὶ τὸ μέλλον, κατ᾽ εἶδος μὲν ἐν τῷ ἑνὶ εἴδει συνείληπται τοῦ χρόνου. ἀνελίττεται δὲ ἐν τῇ γενέσει, τὸ μὲν ἀεὶ προϊὸν εἰς τὸ εἶναι ὑφεστὼς λεγόμενον, τὸ δὲ ἐφθαρμένον παρεληλυθός, τὸ δὲ μήπω ὂν μέλλον. χρόνος δὲ ὁ σύμπας ἐστὶν ἐνδελεχῶς ῥέων, ὥσπερ καὶ ἡ κίνησις. κἂν ἀπολαβὼν τὸν ἐνεστῶτα τοῖς νῦν ὡς ἐνεργείᾳ ἑκατέρωθεν παρατούμενον ἀθρόον στήσῃ, ἀπολέσει τὸ τοῦ χρόνου εἶδος ἐν τῷ γίνεσθαι τὸ εἶναι ἔχον, ὥσπερ ἡ κίνησις. οἶμαι οὖν τὴν ἀπορίαν γίνεσθαι, τῆς ψυχῆς κατὰ τὰ ἐν αὐτῇ ἑστῶτα εἴδη πάντα γινώσκειν ἐπιχειρούσης. οὕτω γοῦν καὶ τὴν κίνησιν ἵστησιν, εἰδητικῶς αὐτὴν καὶ οὐ κατὰ τὴν σύμφυτον αὐτῇ ῥοὴν γινώσκειν ἐπιχειροῦσα. καὶ ὥσπερ τὴν νοητὴν

ἕνωσιν διακρίνει, μὴ δυναμένη συνελεῖν τὴν ἐκείνης παντότητα, ἀλλ' ἰδίᾳ μὲν δικαιοσύνην, ἰδίᾳ δὲ σωφροσύνην, ἰδίᾳ δὲ ἐπιστήμην καθορῶσα, καίτοι ἑκάστου ἐκεῖ παντὸς ὄντος, καὶ συλλογίζεται ὅτι ἀθάνατος ἡ ψυχή, τρεῖς ὅρους τιθεῖσα, ψυχὴν αὐτοκίνητον ἀθάνατον, καίτοι τῆς ψυχῆς καθὸ ψυχὴ καὶ τὸ αὐτοκίνητον καὶ τὸ ἀθάνατον ἑαυτῇ ἐχούσης, ὡς οὖν ταῦτα πάσχει πρὸς τὰ νοητὰ καὶ ἡνωμένα τῶν ὄντων, διακρίνουσα ἐν ἑαυτῇ τὴν ἐκείνων ἕνωσιν, καὶ τοιαῦτα νομίζουσα οἷά τίς ἐστιν ἡ ἐν αὐτῇ περὶ ἐκείνων γνῶσις, οὕτως οἶμαι τῇ στάσει τῶν ἐν αὐτῇ εἰδῶν ἱστάνειν ἐπιχειρεῖ τὸν ποταμὸν τῆς γενέσεως. καὶ διὰ μέρη τοῦ χρόνου περιγράφουσα διωρισμένα κατὰ τὸ ἑστὼς ἵστησιν, ἀφορισμόν τινα ἀθρόον συλλαμβάνουσα. μέση γὰρ οὖσα τὴν οὐσίαν τῶν τε γινομένων καὶ τῶν ὄντων, ἑκάτερα κατὰ τὴν ἑαυτῆς φύσιν νοεῖν ἐπιχειρεῖ, τὰ μὲν ὄντα κατὰ τὸ χεῖρον μὲν ἐκείνων ἑαυτῇ δὲ συμφυὲς συνάγουσα, τὰ δὲ γινόμενα, κατὰ τὸ κρεῖττον μὲν τῆς γενέσεως, ἑαυτῇ δὲ γνωριμώτερον. οὕτω γοῦν ἡμέραν καὶ μῆνα καὶ ἐνιαυτὸν γινώσκει συναιροῦσα εἰς ἓν εἶδος ἕκαστον, καὶ ἀποτομὰς τοῦ ὅλου χρόνου τοῦ ῥέοντος περιγράφουσα. εἰ οὖν μὴ κενεμβατεῖ παντελῶς ἡ ἐμὴ ἔννοια ταῦτα λέγουσα, ἐκ ταύτης ἀξιῶ τὰς πρὸς τὸν χρόνον ἀπορίας διαλύειν. τούτων γὰρ ἡ μὲν πρώτη φησίν, ἐπεὶ μήτε τὸ παρεληλυθός ἐστι μήτε τὸ μέλλον, ἐκ δὲ τούτων καὶ ὁ ἄπειρος καὶ ὁ ἀεὶ λαμβανόμενος χρόνος σύγκειται, τὸ ἐκ μὴ ὄντων συγκείμενον ἀδύνατον ἂν εἶναι δόξειε μετέχειν οὐσίας. καὶ δῆλον ὅτι ὁ ταῦτα ἀπορῶν, οὐ προσποιεῖται τὴν ῥοὴν τῆς γενέσεως, οὐ δὲ διορίζει τῶν ἅμα ὅλων ὑφεστώτων τὰ ἐν τῷ γίνεσθαι τὸ εἶναι ἔχοντα. ἐφ' ὧν τὸ ἀνάπαλιν ἄν τις εἴποι, ὅτι εἰ μὴ τὸ μὲν γέγονεν αὐτῶν, τὸ δ' οὔπω ἐστίν, ἤτοι ἕνια ἢ πάντα τὰ μέρη εἶναι. ὅλως γὰρ τὸ εἶναι τούτοις οὐ προσήκει, ἀλλὰ τὸ γίνεσθαι. καὶ ἔστιν οὗτος ὁ τῆς ὑποστάσεως αὐτῶν τρόπος ὅλου ῥέοντος τοῦ εἴδους ἐνδελεχῶς. ἐπειδὴ δὲ ὁ κατὰ τὸ νῦν ἑστὼς ὑφεστάναι καὶ εἶναι δοκεῖ, καὶ ταύτῃ λύειν δυνατὸν εἶναι δοκεῖ τὴν ἀπορίαν, ὅτι τὸ νῦν μέτριος τοῦ μορίου ἐστί, δεικνύουσιν ὅτι τὸ νῦν οὐκ ἔστι μέρος τοῦ χρόνου ἐκ δυοῖν ἐπιχειρημάτων. πᾶν μέρος μετρεῖ τὸ ὅλον. ὥς τε καὶ τὸ τοῦ χρόνου μέρος. εἰ οὖν τὸ νῦν ἀμερὲς ὄν, οὐ μετρεῖ τὸν χρόνον συνεχῆ ὄντα, δηλονότι τὸ νῦν οὐκ ἀεὶ μέρος τοῦ χρόνου. ἔτι δὲ καὶ οὕτω δείκνυσι. τὸ μέρος τοῦ χρόνου συντίθησι τὸν ὅλον χρόνον. μέρος γάρ ἐστιν ἐξ οὗ σύγκειται τὸ ὅλον. τὸ δὲ νῦν οὐ συντίθησι τὸν χρόνον. οὐ γὰρ σύγκειται ἐκ τῶν νῦν, ὡς δείκνυσιν ἐν τοῖς περὶ κινήσεως. τὸ ἄρα νῦν οὐκ ἔστι μέρος χρόνου. καὶ ἔστω ταῦτα καλῶς λεγόμενα. οὐ δὲ γὰρ κατὰ [illegible] τὸ νῦν ὁ χρόνος. οὐ δὲ γάρ ἐστιν ἐνέργεια τὸ νῦν ἀφωρισμένον. ὡς ὅγε διελοὺς εἶναι τὸ νῦν πέρας ὂν χρόνου, πάντως δώσει καὶ τὸ περατούμενον. αἱ δὲ ἐφεξῆς ἀπορίαι πειρῶνται δεικνύναι, ὅτι τὸ νῦν οὐ πέρας χρόνου ἐνυπόστατόν ἐστιν. ἀλλ' οὐδ' ὥσπερ χρόνου ἔχειν τινὰ ὑπόστασιν δύναται. εἴπερ ἀνάγκη μὲν εἰ πάρεστιν ἢ τὸ αὐτὸ διαμένειν ἢ ἄλλο καὶ ἄλλο γίνεσθαι. ἑκάτερον δὲ ἀδύνατον δείκνυται. ταῦτα δὲ ὥσπερ ἐνέργεια τοῦ νῦν ὑποτιθεμένου λέγεται, καὶ ὡς μέρος χρόνου λαμβανομένου. ὧν οὐδέτερον ἀληθές. ἔπειτα δὲ ἀξιοῖ εἰ φθείρεται τὸ νῦν, ἢ ἐν αὐτῷ φθείρεσθαι, ἢ ἐν ἄλλῳ νῦν. ἐπειδὴ τὸ φθειρόμενον ἐν χρόνῳ φθείρεται, ὥσπερ τὸ γινόμενον ἐν χρόνῳ γίνεται. καὶ δηλονότι οὗτος ὁ λόγος χρόνου χρόνον ἀπαιτεῖ. καίτοι κινήσεως εἶναι κίνησιν αὐτὸς ἀπέφηνε. καὶ ὅλως εἰ τῶν μέτρων μέτρα πειραθῶμεν λαβεῖν, ἐπ' ἄπειρον ἥξομεν τοῦ μετρητικοῦ πήχεος, ἄλλον πῆχυν μετρητικὸν ὡς μετρητὸν λαμβάνοντες, καὶ πρὸ τῶν ἀριθμῶν ἀριθμοὺς τιθέντες. εἰ δὲ ταῦτα ἄτοπα, ἀρκοῦντος ἑκάστου τῆς ἑαυτοῦ ἰδιότητος, τοῖς ἄλλοις δεομένοις αὐτῆς μεταδιδόναι, οὐ μέντοι καὶ αὐτοῦ χρήζοντος μεταλαβεῖν τούτου ὅπερ ἐστίν, ἄτοπον καὶ ἐκεῖνο. εἰ δὲ καὶ λέγοι τις χρήζειν, βιαζόμενος ὡς οἶμαι λέγει, καὶ ἀρέσκει ὅμως ἑαυτῷ μεταδιδόναι. ὥς τε οὐκ ἀνάγκη τὸν χρόνον ἐν χρόνῳ φθείρεσθαι, οὐ δὲ τὸ νῦν ἐν τῷ νῦν. ἀλλ' οὐ δὲ ἅμα πλείονα εἶναι δυνατόν. ἐν γὰρ τῇ ῥύσει τοῦ χρόνου κατὰ τὴν ὁποιανοῦν καὶ ὑπονοουμένην στάσιν, ἡ τοῦ νῦν θεωρεῖται ὑπόστασις. ἀλλὰ πῶς εἰ ἐν τῷ γίνεσθαι τὸ εἶναι ἔχει ὁ χρόνος, κινούμενος καὶ αὐτός, οὐ δεήσεται χρόνου τοῦ μετροῦντος καὶ τάττοντος τὰ τοῦ χρόνου μέρη, ὥς τε μὴ ἐᾶσαι συγχυθῆναι ἀλλήλοις. ἢ οὕτω κινεῖται ὁ χρόνος, ὡς τῇ κινήσει συμπαρομαρτῶν, μέτρον ὂν τῆς κινήσεως. καὶ γὰρ καὶ ὁ πολὺς συνδιΐσταται τῷ μετρουμένῳ, μένων ἐν τῇ τοῦ μέτρου ἰδιότητι, καὶ ἀνενδεὴς ὢν τοῦ μετροῦντος. ἐκ δὲ τούτων τῶν λύσεων καὶ τὰς τοῦ στράτωνος ἀπορίας περὶ τοῦ μὴ εἶναι τὸν χρόνον διαλύειν δυνατόν, καὶ αὐτὰς τὰς ἀριστοτέλους διεσκεδασμένας, καὶ τὸ νῦν ἐνέργεια λαμβανούσας. ἀλλ' ὅπως ταῦτα πρὸς διάλυσιν μὴ ἀρκεῖ τῶν εἰρημένων, ἐντυγχανέτω τῷ τοῦ φιλοσόφου δαμασκίου περὶ χρόνου συγγράμματι. τίνος δ' εἵνεκεν ἄρα τὰς ἀπορίας ἃς προύλαβεν οὐ διέλυσεν ὁ ἀριστοτέλης. ἢ ὅτι τῆς νῦν ἀμερείας ὁ λόγος ἐδεῖτο, καὶ τοῦ μὴ εἶναι ἐνέργεια τὸ νῦν. ἅπερ ἐν τῷ ἕκτῳ βιβλίῳ τῆσδε τῆς πραγματείας, ἐν τοῖς περὶ κινήσεως λόγοις ἀποδείκνυσιν. ἐν οἷς πολλὰ περὶ τῆς πρὸς ἄλληλα σχέσεως τοῦ τε χρόνου καὶ τῆς κινήσεως διδάσκει, καὶ καλὰ θεωρήματα.

ΣΙΜΠΛΙΚΙΟΥ ΥΠΟΜΝΗΜΑ ΕΙΣ ΤΟ ΠΕΜΠΤΟΝ ΤΗΣ ΑΡΙΣΤΟΤΕΛΟΥΣ ΦΥΣΙΚΗΣ ΑΚΡΟΑΣΕΩΣ.

Ν τῷ τρίτῳ βιβλίῳ ταύτης τῆς πραγματείας περὶ κινήσεως διδάξας τῆς κοινῶς λεγομένης, ἥτις ταὐτόν ἐστι τῇ μεταβολῇ, καὶ ἀδιαφόρως ἐπ' ἐκείνου τῷ τῆς μεταβολῆς καὶ κινήσεως ὀνόματι χρησάμενος, βούλεται νῦν διελεῖν καὶ δεῖξαι, ὅτι κοινοτέρα μὲν καὶ καθολικωτέρα τῆς κινήσεως ἡ μεταβολή ἐστιν. ἡ δὲ κίνησις μερικωτέρα τῆς μεταβολῆς ἐστι. καὶ ὡς εἶδος πρὸς γένος ἐστὶ πρὸς τὴν μεταβολήν. εἴπερ καὶ ἡ γένεσις καὶ ἡ φθορὰ μεταβολαὶ μέν εἰσιν ὡς δείξει, κινήσεις δὲ οὔ. διελὼν δὲ τὴν κίνησιν ἀπὸ τῆς μεταβολῆς, καὶ τὰ εἴδη λοιπὸν τῆς κυρίως κινήσεως παραδίδωσι. καὶ ἔστιν οὗτος ὁ λόγος ἠρτημένος εἰκότως τοῦ κοινοῦ περὶ τῆς μεταβολῆς λόγου, καὶ συνεχὴς πρὸς αὐτόν. ὁ δὲ μεταξὺ τὰ περὶ ἀπείρου, καὶ τόπου, καὶ κενοῦ, καὶ χρόνου παρενεβλήθη. διὸ τὸ πέμπτον τοῦτο βιβλίον τοῖς περὶ ἀρχῶν φυσικῶν λεγομένοις, ὁ ἀριστοτέλης καὶ οἱ ἀριστοτέλους ἑταῖροι συναριθμοῦσιν. ὥσπερ τὰ ἐφεξῆς τρία περὶ κινήσεως καλεῖν εἰώθασι. μετὰ δὲ τὴν διαίρεσιν τῆς κινήσεως τῆς κατὰ τὸ ποσὸν καὶ ποιὸν καὶ τὴν ποῦ κατηγορίαν, φυσικὰ προστίθησι θεωρήματα ἐν τούτοις, περί τινων διδάσκων καὶ αὐτῶν κοινῶς τοῖς φυσικοῖς πράγμασι παρακολουθούντων, τοῖς ἐν τόπῳ τὴν ὕπαρξιν ἔχουσι καὶ κινουμένοις κατὰ τόπον. τί τὸ ἅμα. τί τὸ χωρίς. τί τὸ ἅπτεσθαι. τί τὸ μεταξύ. τί τὸ ἐφεξῆς. τί τὸ ἐχόμενον. τί τὸ συνεχές. καὶ τοῖς ποίοις ἕκαστον τούτων ὑπάρχειν πέφυκε. καὶ τίς ἡ μία κίνησις κατὰ πάντα τὰ σημαινόμενα τοῦ ἑνός. τριχῶς δὲ λέγεται τὸ ἓν, γένει, εἴδει, ἀριθμῷ. καὶ ἐπὶ τέλει προστίθησι, ποία κίνησις ποίᾳ κινήσει, καὶ ποία ἠρεμία ἐναντία. θαυμάζω δὲ τὸν φιλοσοφώτατον πορφύριον, πῶς ἐν τῇ συνόψει τούτου τοῦ βιβλίου, καίτοι φιλοκάλως περὶ τῆς διαιρέσεως τῶν ὀκτὼ βιβλίων ἱστορῶν, ὅτι πάντες μὲν τὰ πέντε φυσικὰ καλοῦσι, τὰ δὲ τρία περὶ κινήσεως, αὐτὸς ὅμως τὰ ἀπὸ τοῦ πέμπτου ἄχρι τοῦ ὀγδόου βιβλίου ἐφεξῆς τέσσαρα περὶ κινήσεως ἔχειν τὴν πραγματείαν αὐτῇ λέξει φησί, καὶ ἰδίᾳ περὶ κινήσεως ἐπιγράφεσθαι.

ΜΕΤΑΒΑΛΛΕΙ δὲ, τὸ μεταβάλλον πᾶν. τὸ μὲν, κατὰ συμβεβηκός. οἷον, ὅταν λέγωμεν τὸ μουσικὸν βαδίζειν. ὅτι ᾧ συμβέβηκε μουσικῷ εἶναι, τοῦτο βαδίζει. τὸ δὲ, τῷ τούτου τι μεταβάλλειν, ἁπλῶς λέγεται μεταβάλλειν. οἷον, ὅσα λέγεται κατὰ μέρη. ὑγιάζεται γὰρ τὸ σῶμα, ὅτι ὁ ὀφθαλμὸς ἢ ὁ θώραξ. ταῦτα δὲ μέρη τοῦ ὅλου σώματος. ἔστι δέ τι, ὃ οὔτε κατὰ συμβεβηκὸς κινεῖται, οὔτε τῷ ἄλλο τι τῶν αὐτοῦ. ἀλλὰ τῷ αὐτὸ κινεῖσθαι πρῶτον. καὶ τοῦτό ἐστι τὸ καθ' αὑτὸ κινητόν. κατ' ἄλλην δὲ κίνησιν, ἕτερον. οἷον ἀλλοιωτόν. καὶ ἀλλοιώσεως ὑγιαντὸν, ἢ θερμαντὸν, ἕτερον. ἔστι δὲ καὶ ἐπὶ τοῦ κινοῦντος ὡσαύτως. τὸ μὲν γὰρ κατὰ συμβεβηκὸς κινεῖ. τὸ δὲ, κατὰ μέρος, τῷ, τῶν τούτου τι. τὸ δὲ, καθ' αὑτὸ πρῶτον. οἷον, ὁ μὲν ἰατρὸς ἰᾶται. ἡ δὲ χεὶρ, πλήττει.

Π ροθέμενος δεῖξαι μερικωτέραν οὖσαν μεταβολῆς τὴν κίνησιν, διαιρεῖ πρῶτον τὰς τῆς μεταβολῆς διαφοράς, τὴν μὲν, κατὰ συμβεβηκὸς λέγων, ὅταν λέγωμεν τὸν μουσικὸν βαδίζειν, ὅτι ἄνθρωπος, ᾧ συμβέβηκε τὸ μουσικῷ εἶναι, βαδίζει καθ' αὑτό. καὶ ὅταν τὸν ἐν τῇ νηῒ ἠρεμοῦντα πλωτῆρα λέγωμεν κινεῖσθαι, ὅτι ἡ ναῦς, ἣ τρόπον τινὰ συμβέβηκεν ὁ πλωτὴρ, καθ' αὑτὴν κινεῖται καὶ μεταβάλλει. τὰ δέ φησι λέγομεν μεταβάλλειν, ὅτι κατὰ μέρη μεταβάλλει. ὅταν ὑγιάζεσθαι τὸ σῶμα λέγομεν, ὅτι ὁ ὀφθαλμὸς ἢ ὁ θώραξ μέρη ὄντα αὐτοῦ ὑγιάζεται. ἢ κινεῖσθαι τὸν ἄνθρωπον, ὅτι ἡ χεὶρ αὐτοῦ κινεῖται. τρίτη δὲ διαφορὰ μεταβολῆς ἐστιν, ὅταν μήτε κατὰ συμβεβηκὸς κινῆται τὸ κινούμενον, μήτε κατὰ μέρος, ἀλλὰ προηγουμένως καὶ οὐχὶ τῷ ἄλλο κινεῖσθαι. ὅπερ πρῶτον τῷ κατὰ συμβεβηκὸς ἀντίκειται. καὶ καθ' ἑαυτὸ ὅλον, ὅπερ τοῦ κατὰ μέρος κεχώρισται. καὶ τοῦτό ἐστι τὸ καθ' αὑτὸ κινητὸν ἤτοι μεταβλητόν. ἐπὶ μεταβολῆς γὰρ ἔτι ποιεῖται τὸν λόγον, κἂν τὰ παραδείγματα κινήσεων ᾖ. πρῶτον δὲ διαρθρώσας τό, τε κατὰ συμβεβηκὸς καὶ τὸ κατὰ μέρος, οὕτως ἐπάγει τὸ καθ' αὑτό. διότι ἐκ τῆς ἐκείνων ἀφαιρέσεως τοῦτο παρείσησι. καὶ ἐπάγει ὅτι πολλῶν ὄντων εἰδῶν τῆς μεταβολῆς, ἐν πᾶσιν αἱ τρεῖς εἰσιν αὗται τῆς μεταβολῆς διαφοραὶ εἰρημέναι. ἄλλο γὰρ κατ' ἄλλο μεταβολῆς εἶδος ἔχει τὰς εἰρημένας διαφοράς. οἷον τὸ ἀλλοιωτὸν κατ' ἀλλοίωσιν. ἐπειδὴ δὲ πολλὰ τῆς ἀλλοιώσεως εἴδη, καὶ καθ' ἕκαστόν εἰσιν αἱ τρεῖς διαφοραί, ἐπήγαγε καὶ ἀλλοιώσεως ὑγιαντὸν ἢ θερμαντὸν, καὶ ὑγιάζεσθαι καὶ θερμαίνεσθαι, ἔστι κατὰ συμβεβηκὸς, καὶ κατὰ μέρος, καὶ καθ' αὑτό. καθ' αὑτὸ μὲν γὰρ θερμαίνεται τὸ ὕδωρ. κατὰ συμβεβηκὸς δὲ τὸ γλυκὺ ὕδωρ. κατὰ μέρος δὲ, ὅταν μέρος τοῦ ὕδατος τοῦ ξεστιαίου θερμαινόμενον, λέγωμεν τὸ ξεστιαῖον θερμαίνεσθαι. εἰπὼν δὲ ἐπὶ τοῦ κινουμένου καθ' ἕκαστον εἶδος εἶναι τὰς τοιαύτας διαφοράς, ἐπάγει ὅτι καὶ ἐπὶ τοῦ κινοῦντός εἰσιν αὗται αἱ διαφοραί. καὶ δηλονότι καὶ ἐπὶ τούτου καθ' ἕκαστον εἶδος. ὑγιάζει γὰρ ὁ μουσικὸς κατὰ

συμβεβηκός, ὅταν τῷ καθ' αὑτὸ ἰατρεύοντι τῷ ἰατρῷ συμβαίνῃ τὸ μουσικῷ εἶναι. καὶ θερμαίνει κατὰ συμβεβηκὸς ποτὲ ἡ τοῦ ψυχροῦ ὕδατος κατάχυσις, ὅταν τῇ ἔνδον θερμότητι ἐπισυμβῇ. καὶ κατὰ μέρος κινεῖ, ὅταν τὴν μύλην τῇ χειρὶ κινῇ. κινεῖ δὲ καθ' αὑτὸ, τὸ μήτε κατὰ συμβεβηκὸς μήτε κατὰ μόριον κινοῦν, ἀλλὰ καθ' αὑτὸ πρῶτον. οὕτω γὰρ ἀντιτίθει τῷ μὲν κατὰ συμβεβηκὸς τὸ καθ' αὑτὸ, τῷ δὲ κατὰ μέρος τὸ πρώτως, ὥς φησιν Ἀλέξανδρος. ἢ τάχα ἀμφοτέροις ἑκάτερον. καὶ τὸ καθ' αὑτὸ γὰρ πρός τε τὸ κατὰ συμβεβηκὸς ἀντίκειται, καὶ πρὸς τὸ κατὰ μέρος. διότι ἐκεῖνο οὐ καθ' ὅλον ἑαυτό. καὶ τὸ πρώτως πάλιν ὁμοίως, οὐ τῷ κατὰ μόριον μόνον, ἀλλὰ καὶ τῷ κατὰ συμβεβηκός. διότι ἐκεῖνο οὐ πρώτως κινεῖ. ἀλλὰ τῷ τῷ πρώτως κινοῦντι συμβεβηκέναι. ὅτι δὲ ἀμφῶ ἐφ' ἑκατέρου παρέλαβε, δηλοῖ καὶ αὐτὸς ἐφεξῆς τὸ πρῶτον ἀντὶ ἀμφοτέρων εἰπών. ὅταν λέγῃ, ἐπεὶ δὲ ἔστι μέν τι τὸ κινοῦν πρῶτον, ἔστι δέ τι τὸ κινούμενον. ὁ δὲ Ἀλέξανδρος τὸ πρῶτον ἐκείνου τοῦ καθ' αὑτὸ δηλωτικὸν εἶναί φησι. τὸ γοῦν πρῶτόν φησιν αὐτὸ κινοῦν καὶ μὴ κατὰ μόριον, οὐ δὲ κατὰ συμβεβηκὸς κινεῖ. καὶ ὅτι μὲν τὸ πρῶτον καὶ αὐτὸς ἀμφοτέροις ἀντικεῖσθαι νομίζει, τῷ τε κατὰ μέρος καὶ κατὰ συμβεβηκὸς, δῆλον. οὐ μέντοι τὸ οὕτω πρῶτον οἶμαι, ὡς μὴ κατὰ μόριον κινοῦν, ἀνάγκη μὴ δὲ κατὰ συμβεβηκὸς κινεῖν. ὁ γὰρ ἰατρεύων μουσικὸς, οὐ κατὰ μόριον κινῶν, οὐ γὰρ μόριον ὁ ἰατρὸς τοῦ μουσικοῦ, κατὰ συμβεβηκὸς ἰατρεύει. εἰ γάρ τις λέγοι τὸν ἰατρὸν μέρος εἶναι τοῦ μουσικοῦ ἰατροῦ, ἀναγκασθήσεται ὅταν ὁ μουσικὸς ἰατρὸς ἰατρεύῃ, μὴ λέγειν καθ' αὑτὸ ἰατρεύειν αὐτὸν, ἀλλὰ κατὰ μέρος.

ἘΠΕῚ δ' ἔστι μέντοι τὸ κινοῦν πρῶτον, ἔστι δέ τι τὸ κινούμενον. ἔτι ἐν ᾧ ὁ χρόνος, καὶ παρὰ ταῦτα ἐξ οὗ καὶ εἰς ὅ. πᾶσα γὰρ, κίνησις ἔκ τινος καὶ εἴς τι. ἕτερον γὰρ τὸ πρῶτον κινούμενον καὶ εἰς ὃ κινεῖται, καὶ ἐξ οὗ, οἷον, τὸ ξύλον. καὶ τὸ θερμὸν, τὸ ψυχρόν. τούτων δὲ, τὸ μὲν, ὅ. τὸ δ' εἰς ὅ. τὸ δ' ἐξ οὗ, ἡ δὴ κίνησις δηλονότι ἐν τῷ ξύλῳ, οὐκ ἐν τῷ εἴδει. οὔτε γὰρ κινεῖ, οὔτε κινεῖται τὸ εἶδος ἢ ὁ τόπος, ἢ τὸ τοσόνδε.

Διακρίνας τὴν καθ' αὑτὸ μεταβολὴν ἀπό τε τῆς κατὰ συμβεβηκὸς καὶ τῆς κατὰ μέρος, ἐπί τε τοῦ κινουμένου καὶ ἐπὶ τοῦ κινοῦντος, τὴν καθ' αὑτὸ καὶ πρώτως προεβάλλετο, πρὸς τὴν διάρθρωσιν τῶν τῆς μεταβολῆς εἰδῶν. διότι πᾶσα γνῶσις ἐπιστημονικὴ καὶ ἀποδεικτικὴ ἀπὸ τῶν καθ' αὑτὰ ὑπαρχόντων συνάγεται. πρὸ δὲ τοῦ τὰ εἴδη τῆς μεταβολῆς παραδοῦναι καὶ τῆς κινήσεως, πρῶτον δείκνυσιν ἐν τίνι ἐστὶν ἡ κίνησις. ἐπειδὴ γὰρ ἡ κίνησις οὐ τῶν καθ' ἑαυτὰ ὑφισταμένων ἐστὶν, ἀλλὰ τῶν ἐν ἄλλοις τὸ εἶναι ἐχόντων, ἂν μὴ πρότερον φανείη ἐν τίνι ἐστὶν, οὔτε ἡ φύσις αὐτῆς γνωσθείη ἄν, οὔτε τὰ εἴδη διορισθείη. πρὸ δὲ τούτου τίνα ἐστὶ τὰ συνεδρεύοντα τῇ κινήσει. τουτέστι τίνα χρὴ πάντως εἶναι εἰ ἔστι κίνησις καὶ μεταβολή. ὥς τε ἐκ τούτων τινὶ ζητεῖν μὲν τὴν κίνησιν. καὶ αὐτὸς μὲν ὡς ἐναργῆ ταῦτα λαμβάνει. διὸ καὶ τῷ παρασυναπτικῷ χρῆται συνδέσμῳ. προφανὴς δέ ἐστι καὶ ἡ ἀνάγκη τοῦ λόγου. ἐπειδὴ γὰρ ἡ κίνησις ἤτοι ἡ μεταβολὴ πάθος τι τοῦ κινουμένου ἐστὶν ἐνεργητικὸν, καὶ τὸ πάσχον εἶναι χρὴ, καὶ τούτῳ τὸ ποιοῦν εὐθὺς συνεισάγεσθαι. τὸ γὰρ πάσχον πρὸς τὸ ποιοῦν ἔστι τε καὶ λέγεται. μεταβολὴ δὲ οὖσα, καὶ ἄλλο μετ' ἄλλο δηλοῦσα, καὶ τὸ ἐξ οὗ καὶ τὸ εἰς ὃ πάντως συνεμφαίνει. εἰ καὶ ἄλλο μὲν ἐπὶ τῆς φορᾶς τὸ ἐξ οὗ καὶ τὸ εἰς ὅ, τόποι γὰρ ἐναντίοι, ἄλλα δὲ ἐπὶ τῶν ἄλλων κινήσεων. ἐπειδὴ δὲ καὶ τὸ πρότερον καὶ τὸ ὕστερον πάντως ἔχει, εἴπερ ἄλλο μετ' ἄλλο καὶ σωμάτων ἐστὶ, περὶ γὰρ τῶν τοιούτων νῦν ὁ λόγος, καὶ χρόνον καὶ τόπον ἀνάγκη συνεισάγεσθαι. πᾶσα γὰρ κίνησις ἐν χρόνῳ, ὡς ἔδειξεν ἐν τῷ πρὸ τούτου, καὶ πᾶν σῶμα ἐν τόπῳ. θεὶς δὲ καὶ ὀνόματα τῷ μὲν κινουμένῳ τὸ ὅ, τῷ δὲ ἐξ οὗ κινεῖται τὸ ἐξ οὗ, τῷ δὲ εἰς ὃ κινεῖται τὸ εἰς ὅ, καὶ εἰπὼν ἕτερα εἶναι τὸ ἐξ οὗ καὶ εἰς ὃ αὐτοῦ τοῦ κινουμένου, ὥσπερ τοῦ ξύλου τό, τε ψυχρὸν ἐξ οὗ κινεῖται, καὶ τὸ θερμὸν εἰς ὃ κινεῖται, δείκνυσιν ἐκ τῶν διαφόρων ὀνομάτων τὴν ἑτερότητα. εἰπὼν δὲ ἕτερον εἶναι τὸ κινούμενον, προσέθηκε τὸ πρῶτον, τὸ καθ' αὑτὸ κινούμενον δηλῶν. ἐπὶ γὰρ τούτου ἀληθὲς τὸ ἕτερον αὐτοῦ εἶναι τὸ ἐξ οὗ. ἐπὶ δέ γε κατὰ συμβεβηκὸς κινεῖσθαι λεγομένων οὐδὲν κωλύει ταὐτὸ εἶναι τὸ κινούμενον τῷ ἐξ οὗ. οἷον ὅταν λέγῃ τις τὸ λευκὸν κινεῖσθαι. κινουμένου τοῦ ᾧ συμβέβηκεν εἶναι λευκῷ. εἴη δὲ ἡ κίνησις αὐτῷ ἐκ λευκοῦ. γίνεται γὰρ τότε ταὐτὸν καθ' αὑτὸ τότε κινούμενον, καὶ τὸ ἐξ οὗ. ἀλλὰ καὶ τὸ κινοῦν τοῦ καθ' αὑτὸ κινουμένου ἕτερον. κατὰ συμβεβηκὸς δὲ οὐδὲν κωλύει ταὐτὸν εἶναι τὸ κινοῦν καὶ τὸ κινούμενον. ὡς ὁ κυβερνήτης κινῶν τὴν ναῦν, ἑαυτὸν συγκινεῖ, καὶ ὁ ἰατρὸς ὅταν ἑαυτὸν ἰατρεύῃ. διορίσας δὲ ταῦτα ἀπ' ἀλλήλων, ἐπάγει ἡ δὲ κίνησις δηλονότι ἐν τῷ ξύλῳ, τουτέστιν ἐν τῷ κινουμένῳ. καὶ εἴτε οὕτω γέγραπται ἡ δὲ κίνησις, εἴτε οὕτως ἡ δὴ κίνησις, ἀμφότερα οἶμαι τούτῳ ἀκολούθως ἐπάγεται, τῷ ἐπεὶ δὲ ἔστιν μέν τι τὸ κινοῦν, καὶ τοῖς ἑξῆς. ἐπεὶ γὰρ τὰ προειρημένα δεῖ εἶναι, εἰ κίνησίς ἐστι, δηλονότι ἡ κίνησις οὐκ ἐν ἄλλῳ τινὶ τῶν προειρημένων ἐστὶν, ἀλλ' ἐν τῷ κινουμένῳ. τὸ γὰρ εἶδος ἢ τὸ μέγεθος ἢ ὁ τόπος, ἢ ὅλως εἰς ὃ κινεῖται τὸ κινούμενον, οὔτε κινεῖ οὔτε κινεῖται. ἀλλ' ἄλλο τούτων ἑκάτερόν ἐστιν. ὁ δὲ Ἀλέξανδρος εἰ μὲν ἡ δὴ κίνησις εἴη γεγραμμένον, ἕπεσθαι δὴ τοῦτο τοῖς προτέροις ὡς εἴρηται φησίν. εἰ δὲ γράφοιτο ἡ δὲ κίνησις διὰ τοῦ πέμπτου, εἰπών φησι τίνα δεῖ εἶναι εἰ κίνησις ἔσται, ὅτι κινοῦν, κινούμενον, χρόνον, τόπον καὶ ἐξ οὗ, καὶ εἰς ὅ, καὶ ὅτι ἕτερα καὶ

κεχωρισμένα, τὸ κινοῦν, τὸ κινούμενον, καὶ τὸ εἰς ὅ, προστίθησι περὶ αὐτῆς τῆς κινήσεως. καὶ λέγει, ὅτι αὕτη πρὸς τὴν χρείαν τῶν εἰρημένων, ἐν τῷ κινουμένῳ ἐστὶν, οὔτε γὰρ καθ᾽ αὑτὴν, οὐδὲν γὰρ πάθος καθ᾽ αὑτό. οὔτε ἐν τῷ κινοῦντι. διότι τὸ μὲν κινοῦν ἐνεργείᾳ ὂν, ἀμετάβλητόν ἐστι καθόσον κινεῖ. ἡ δὲ κίνησις μεταβολή. καὶ τὸ ἐν ᾧ ἐστι μεταβάλλει κατ᾽ αὐτήν. ἀλλ᾽ οὐδὲ ἐν τῷ τόπῳ ἡ κίνησις. καὶ ὅτι ἀκίνητος κατ᾽ αὐτὸν ὁ τόπος. καὶ ὅτι ἄλλος ὁ τόπος, καὶ ἄλλο τὸ κατὰ τόπον κινούμενον, ἐν ᾧ χρὴ τὴν κίνησιν εἶναι. ἀλλ᾽ οὐδ᾽ ἐν τῷ ἐξ οὗ κίνησις. ὅτι τὸ ἀφιστάμενον αὐτοῦ οὐκ ἂν ἐκινεῖτο, ἀλλὰ τὸ ἐν αὐτῷ ὄν. νῦν δὲ ἀνάπαλιν, τὸ μὲν ἐν αὐτῷ οὐ κινεῖται, τὸ δὲ αὐτοῦ ἀφιστάμενον κινεῖται. ἀλλ᾽ οὐδ᾽ ἐν τῷ εἰς ὃ εἴη ἂν ἡ κίνησις. ὅτι τὸ ἐπ᾽ αὐτὸ ἰὸν κινήσεται πρὸ τοῦ ἐν κινήσει γενέσθαι. καὶ ὅτι κατὰ τὸ αὐτὸ κινήσεται καὶ ἠρεμήσει. καθόσον μὲν γὰρ ἐν κινήσει, κινήσεται. καθόσον δὲ ἐν τέλει γέγονεν, ἠρεμήσει. ἐπεὶ δὲ οὐ κατὰ ποιότητα μόνον γίνεται ἡ κίνησις, ἣν κατ᾽ εἶδος λέγει οὖσαν ἀλλοίωσιν, οὐδὲ κατὰ γένεσιν καὶ φθορὰν, αἵπερ κυριώταται μεταβολαὶ κατ᾽ εἶδος ἂν λέγοιντο, ἀλλὰ γίνονται κινήσεις καὶ κατὰ τόπον ὡς ἡ φορὰ, καὶ κατὰ ποσὸν ὡς αὔξησις καὶ μείωσις, διὰ τοῦτο μετὰ τὴν κατ᾽ εἶδος προσέθηκε καὶ ταύτας, εἰπὼν ἢ ὁ τόπος, ἢ τὸ τοσόνδε. ὡς γὰρ τὸ εἶδος περὶ τῶν κατ᾽ εἶδος κινουμένων, οὔτε κινοῦν ἐστὶν οὔτε κινούμενον, οὕτως οὐδὲ ὁ τόπος περὶ τῶν κατὰ τόπον, οὐδὲ τὸ ποσὸν περὶ τῶν κατὰ τὸ ποσόν. ὅτι δὲ ἐν τῷ κινοῦντι οὐδαμῶς ἐστὶν ἡ κίνησις, καὶ ἐν τῷ τρίτῳ ταύτης ἔδειξε τῆς πραγματείας. ἔνθα καὶ προηγουμένως διδάσκει ἐν τίνι ἐστὶν ἡ κίνησις. ἔδειξε δὲ ἐκεῖ ὅτι οὐδὲ ἐν τῷ χρόνῳ, εἴπερ ἀριθμὸς κινήσεως ἐστὶν ὁ χρόνος. λείπεται οὖν τρία, τό, τε κινοῦν, τὸ ἐξ οὗ, καὶ τὸ εἰς ὅ. διὸ καὶ περὶ τούτων μάλιστα ζητεῖ, ἐν τίνι ἡ κίνησις. τὸ δὲ εἶδος φησὶ καὶ ὁ τόπος καὶ τὸ μέγεθος, οὔτε κινεῖ, οὔτε κινεῖται, ταύτην δηλονότι τὴν κίνησιν, ἣν τὸ εἰς αὐτὸ μεταβάλλον κινεῖται. τὸ μὲν γὰρ ἀλλοιούμενον κινεῖται κατὰ ἀλλοίωσιν. τὸ δὲ εἶδος ἐφ᾽ ὃ κινεῖται τὸ ἀλλοιούμενον, οἷον τὸ λευκὸν, οὐ λευκαίνεται. ἀλλ᾽ οὐδὲ τὸ εἶδος εἰς ὃ μεταβάλλει τὸ γινόμενον, γίνεται κατ᾽ ἐκείνην τὴν γένεσιν. γίνεται μέντοι μὴ πρότερον ὄν. καὶ καλῶς γε οἶμαι ὁ Στράτων τὴν κίνησιν οὐ μόνον ἐν τῷ κινουμένῳ φησὶν εἶναι, ἀλλὰ καὶ ἐν τῷ ἐξ οὗ, καὶ ἐν τῷ εἰς ὅ. ἄλλον δὲ τρόπον ἐν ἑκάστῳ. τὸ μὲν γὰρ ὑποκείμενόν φησι κινεῖται ὡς μεταβάλλον. τὸ δὲ ἐξ οὗ καὶ τὸ εἰς ὅ, τὸ μὲν, ὡς φθειρόμενον, τὸ δὲ, ὡς γινόμενον. εἰ δέ τινα τῶν εἰδῶν κινεῖν λέγεται, ὥσπερ ἡ ψυχὴ τὸ ζῷον, καὶ ἡ βαρύτης τὸν λίθον, οὐχὶ τὸ αἴτιον τῆς κινήσεως ζητεῖ νῦν. οἷα ἐστὶν ἡ βαρύτης καὶ ἡ ψυχή. ἀλλ᾽ ἐν τίνι ἐστὶν ἡ κίνησις. οὐ κινεῖται δὲ ἡ βαρύτης προηγουμένως, ἀλλὰ κατὰ συμβεβηκός. ὡς ὁ ἐν τῇ νηῒ πλωτήρ. ἐξαρκεῖ δὲ καὶ ὁ τῆς κινήσεως ὁρισμὸς δεῖξαι, ὅτι ἐν τῷ κινουμένῳ, οὐκ ἐν ἄλλῳ τινὶ ἐστὶν ἡ κίνησις. ἐλέγετο γὰρ ἐντελέχεια τοῦ κινητοῦ ἡ κίνησις.

ΑΛΛ᾽ ἜΣΤΙ κινοῦν, καὶ κινούμενον, εἰς ὃ κινεῖται. μᾶλλον γὰρ εἰς ὅ, ἢ ἐξ οὗ κινεῖται, ὀνομάζεται ἡ μεταβολή. διὸ καὶ ἡ φθορὰ, εἰς τὸ μὴ ὂν μεταβολή ἐστι. καίτοι καὶ ἐξ ὄντος μεταβάλλει τὸ φθειρόμενον, καὶ ἡ γένεσις, εἰς ὄν. καίτοι ἐκ μὴ ὄντος. τί μὲν οὖν ἐστὶν ἡ κίνησις, εἴρηται πρότερον. τὰ δὲ εἴδη καὶ τὰ πάθη, καὶ ὁ τόπος εἰς ἃ κινοῦνται τὰ κινούμενα ἀκίνητά ἐστιν. οἷον, ἡ ἐπιστήμη καὶ ἡ θερμότης. καίτοι ἀπορήσειεν ἄν τις, εἰ τὰ πάθη κινήσεις. ἡ δὲ λευκότης πάθος. ἔσται γὰρ εἰς κίνησιν μεταβολή. ἀλλ᾽ ἴσως οὐχ ἡ λευκότης κίνησις, ἀλλ᾽ ἡ λεύκανσις.

Δείξας ὅτι πέντε ὄντων τῶν ὀφειλόντων εἶναι, εἴπερ εἴη κίνησις, τοῦ κινουμένου, καὶ τοῦ κινοῦντος, καὶ τοῦ χρόνου, καὶ τοῦ ἐξ οὗ ἡ κίνησις, καὶ εἰς ὅ, ἐν τῷ κινουμένῳ ἐστὶν ἡ κίνησις, καὶ ἐν οὐδενὶ τῶν ἄλλων, ἐκ τῶν πέντε τρία λαμβάνει, τὰ χρήσιμα πρὸς τὸν ἐφεξῆς αὐτῷ λόγον ἐσόμενα, τὸ κινοῦν, καὶ τὸ κινούμενον, καὶ τὸ εἰς ὃ ἡ κίνησις, τὸν μὲν χρόνον παραλιπὼν ἔξωθεν ὄντα. διατί δὲ τὸ εἰς ὃ ἡ κίνησις παραλαβὼν τὸ ἐξ οὗ παραλέλοιπεν, αὐτὸς διδάσκει. μᾶλλον γάρ φησιν ἡ μεταβολὴ ἀπὸ τοῦ εἰς ὃ μεταβάλλει τὸ μεταβάλλον ἐπονομάζεται, ἢ ἀπὸ τοῦ ἐξ οὗ μεταβάλλει. φθορὰν γὰρ λέγομεν τὴν εἰς τὸ μὴ ὂν μεταβολὴν, καὶ γένεσιν τὴν εἰς τὸ ὄν. καίτοι ἡ φθορὰ ἐξ ὄντος, καὶ ἡ γένεσις ἐκ μὴ ὄντος. ἀλλ᾽ ὅμως ἀπὸ τοῦ τέλους μᾶλλον ὀνομάζεται. δηλοῖ δὲ τοῦτο μάλιστα ἡ ἀλλοίωσις, τὸ ὄνομα τοῦ εἰς ὃ ἔχουσα. λευκαίνεσθαι γὰρ λέγομεν, τὸ εἰς λευκότητα ἰὸν, καὶ θερμαίνεσθαι τὸ εἰς θερμότητα. οὕτω δὲ καὶ τὸ φθείρεσθαι ἀπὸ τοῦ μὴ ὄντος ὀνομάζεται μᾶλλον, καὶ τὸ γίνεσθαι ἀπὸ τοῦ ὄντος. ὑπομιμνήσκει δὲ ἡμᾶς τοῦ ὁρισμοῦ τῆς κινήσεως, τοῦ ἐν τῷ τρίτῳ βιβλίῳ ἀποδοθέντος, δεικνὺς καὶ δι᾽ ἐκείνου ὅτι ἡ κίνησις ἐν τῷ κινουμένῳ ἐστίν. εἰ γάρ ἐστιν ἡ κίνησις ἐντελέχεια τοῦ κινητοῦ ᾗ κινητὸν, ἡ δὲ ἐντελέχεια εἶδος οὖσα ἢ ἐνέργεια, ἐν ἐκείνῳ ἐστὶν οὗ ἐστιν ἐντελέχεια, δηλονότι ἡ κίνησις ἐν τῷ κινουμένῳ ἐστίν. ἀλλ᾽ οὔτε ἐν τῷ εἴδει, εἴπερ εἰς εἶδος ἡ μεταβολὴ ὡς περὶ τῶν γινομένων. οὔτε ἐν τῷ πάθει, ὡς περὶ τῶν ἀλλοιουμένων. οὔτε ἐν τόπῳ, ὡς περὶ τῶν φερομένων. διότι τὰ μὲν ἐν οἷς ἐστὶν ἡ κίνησις, κινεῖται. τὰ δὲ εἴδη καὶ πάθη καὶ τόπος, εἰς ἃ ἡ κίνησις, ἀκίνητά ἐστιν ὡς δέδεικται. καὶ πιστοῦται διὰ τοῦ τῆς περὶ ἐπιστήμης καὶ θερμότητος παραδείγματος. εἰ γὰρ ταῦτά ἐστι τὰ κινούμενα, τὰ εἰς αὐτὰ ἰόντα οὔπω κινεῖται. καὶ τὰ ἐν αὐτοῖς γινόμενα οὐκ ἠρεμήσει, ἀλλὰ κινηθήσεται. εἰπὼν δὲ ὅτι τὰ εἴδη καὶ τὰ πάθη καὶ ὁ τόπος, καὶ δηλονότι καὶ τὸ ποσὸν, εἰς ἃ κινεῖται τὰ κινούμενα ἀκίνητά ἐστιν, ἀπορίαν ἐπάγει τῷ λόγῳ τοιαύτην. εἰ ἡ λευκότης πάθος, τὸ δὲ πάθος κίνησις, ἡ εἰς πάθος μεταβολὴ εἰς κίνησιν ἂν εἴη διὰ

κινήσεως. καὶ οὐκέτι ἐν τῷ κινουμένῳ μόνῳ ἡ κίνησις. ἀλλὰ καὶ ἐν τῷ εἰς ὃ ἡ κίνησις. εἰ δὲ τοῦτο, ἔσται τὸ κινούμενον αὐτὸ τὸ πάθος. ἢ καὶ ὅτε μεταβέβληκεν ἔτι κινούμενον, εἴγε εἰς κίνησιν μεταβέβληκεν. ἢ ὅτε γέγονεν ἐν κινήσει, μηκέτι κινούμενον. λύει δὲ τὴν ἀπορίαν γοργῶς, διὰ τῆς πρὸς τὴν μείζονα πρότασιν ἐνστάσεως, λέγουσαν τὰ πάθη κινήσεις εἶναι. οὐ γὰρ ἡ λευκότης φησὶ κίνησίς ἐστιν, ἀλλ' ἡ λεύκανσις. τουτέστιν οὐ τὸ λευκὸν, ὅπερ ἐστὶ τὸ πάθος, κίνησίς ἐστιν. ἀλλ' ἡ λεύκανσις, ἥτις ἐστὶν εἰς τὸ λευκὸν μεταβολή. διὸ τὸ πάσχον, ὅπερ ἐστὶ τὸ λευκαινόμενον, κινεῖται. ἀλλ' οὐ τὸ λευκόν. μήποτε δὲ τῆς ἀπορίας γινομένης ἐκ τῆς τοῦ πάθους ὁμωνυμίας, διότι πάθος λέγομεν καὶ τὸ τέλος τῆς πείσεως, τουτέστι τὸ λευκὸν, καὶ τὴν πεῖσιν αὐτὴν ὥσπερ τὴν λεύκανσιν, τῷ διορισμῷ τῆς ὁμωνυμίας τὴν ἀπορίαν ἔλυσεν. οὐ γὰρ τὸ αὐτὸ ἔλαβον μέσον ὅρον αἱ προτάσεις. ἀλλ' ἡ μὲν ἐλάττων ἔλεγε τὸ λευκὸν πάθος εἶναι, τὸ πέρας τῆς πείσεως, τὸ ἐφ' ὃ ἡ κίνησις λαμβάνουσα. ἡ δὲ μείζων τὸ πάθος κίνησιν ἔλεγε, πάθος τὴν κατὰ τὸ πάσχειν μεταβολὴν οἷον τὴν λεύκανσιν λέγουσα.

ἜΣΤΙ ΔΈ καὶ ἐν ἐκείνοις, καὶ τὸ κατὰ συμβεβηκὸς, καὶ τὸ κατὰ μέρος, καὶ τὸ κατ' ἄλλο, καὶ τὸ πρώτως, καὶ μὴ κατ' ἄλλο. οἷον, τὸ λευκαινόμενον, εἰς μὲν τὸ νοούμενον, μεταβάλλει κατὰ συμβεβηκός. τῷ γὰρ χρώματι συμβέβηκε νοεῖσθαι. εἰς δὲ χρῶμα, ὅτι μέρος τὸ λευκὸν τοῦ χρώματος. καὶ εἰς τὴν εὐρώπην, ὅτι μέρος αἱ ἀθῆναι τῆς εὐρώπης. εἰς δὲ τὸ λευκὸν χρῶμα, καθ' αὑτό. πῶς μὲν οὖν καθ' αὑτὸ κινεῖται, καὶ πῶς κατὰ συμβεβηκὸς, καὶ πῶς κατ' ἄλλο τι, καὶ πῶς τὸ αὐτὸ πρῶτον, καὶ ἐπὶ κινοῦντος καὶ ἐπὶ κινουμένου, δῆλον. καὶ ὅτι ἡ κίνησις οὐκ ἐν τῷ εἴδει, ἀλλ' ἐν τῷ κινουμένῳ, καὶ κινητῷ κατ' ἐνέργειαν.

Δείξας ὅτι ἐν τῷ κινουμένῳ ἡ κίνησις, καὶ οὐκ ἐν ἄλλῳ τινὶ τῶν τῇ κινήσει συνυπαρχόντων, ἐφεξῆς ὅπερ πρότερον ἔδειξεν, ἐπί τε τοῦ κινοῦντος καὶ ἐπὶ τοῦ κινουμένου, ὅτι τὸ μέν τι ἐστὶν αὐτῶν κατὰ συμβεβηκὸς, τὸ δὲ κατὰ μέρος, τὸ δὲ καθ' αὑτὸ καὶ πρώτως, νῦν λέγει ὅτι καὶ ἐπὶ τὰ ἄλλα τὰ τῇ κινήσει συνυπάρχοντα ἡ διαίρεσις αὕτη ἐκτείνεται. τό, τε ἐν ᾧ, καὶ τὸ ἐξ οὗ, καὶ τὸ εἰς ὅ, τὰ τρία. ταῦτα γὰρ ἐσήμανεν, εἰπὼν ἔστι δὲ καὶ ἐν ἐκείνοις. ἀλλὰ περὶ μὲν τοῦ ἐν ᾧ ὅπερ ἐστὶν ὁ χρόνος, ἀπέδειξεν ἐν τοῖς περὶ χρόνου. περὶ δὲ τῶν δύο προθέμενος, ποιεῖται τὸν λόγον ἐφ' ἑνὸς τοῦ εἰς ὃ ἡ μεταβολὴ πάθους ἢ εἴδους ἢ τόπου. τὸ γὰρ εἰς λευκὸν μεταβάλλον, ὅπερ ἐστὶ τὸ λευκαινόμενον, εἰς μὲν τὸ νοούμενον κατὰ συμβεβηκὸς μεταβάλλει. συμβέβηκε γοῦν τῷ λευκῷ τὸ νοεῖσθαι. εἰς δὲ χρῶμα μεταβάλλειν λεγόμενον κατὰ μέρος μεταβάλλει. ὅτι μέρος ἐστὶ τοῦ χρώματος τὸ λευκόν. μέρη γάρ πως ἐστὶ καὶ τὰ εἴδη τῶν γενῶν. εἰς μέντοι λευκὸν λεγόμενον μεταβάλλειν τὸ λευκαινόμενον, οὔτε κατὰ συμβεβηκὸς ἀλλὰ καθ' αὑτὸ μεταβάλλει, οὔτε κατὰ μέρος ἀλλὰ πρώτως. ὁμοίως δὲ καὶ εἰς τὸ κατὰ τόπον μεταβάλλον, εἰς ἀθήνας ἀπιόν. εἰς μὲν τὸ νοούμενον κατὰ συμβεβηκὸς μεταβάλλει. συμβέβηκε γὰρ καὶ ταῖς ἀθήναις τὸ νοεῖσθαι. εἰς δὲ τὴν εὐρώπην κατὰ μέρος, ὅτι μέρος αἱ ἀθῆναι τῆς εὐρώπης. εἰς δὲ τὰς ἀθήνας καθ' αὑτὸ καὶ πρώτως. καὶ ἐπὶ τοῦ ἐξ οὗ δὲ, κἂν αὐτὸς παραλέλοιπεν αὐτὸ, τὰ αὐτά πως δυνατὸν λέγειν. τὸ γὰρ ἐκ λευκοῦ μεταβάλλον, κατὰ συμβεβηκὸς μὲν ἐκ τοῦ νοουμένου μεταβάλλει. κατὰ μέρος δὲ ἐκ χρώματος. καθ' ἑαυτὸ δὲ ἐκ λευκοῦ. συμπεραινόμενος δὲ λοιπὸν τὸν ὅλον λόγον, δι' οὗ ἔδειξε τίνα τέ ἐστι τὰ τῇ κινήσει συνυπάρχοντα, καὶ ὅτι ἐν πᾶσίν ἐστι τό τε καθ' αὑτὸ καὶ πρώτως, καὶ ἔτι τὸ κατὰ συμβεβηκὸς καὶ κατὰ μέρος, καὶ ὅτι ἡ κίνησις ἐν τῷ κινουμένῳ καὶ οὐκ ἐν τῷ εἴδει, ἐν ᾧ ἂν μάλιστα τῶν ἄλλων ἔδοξεν εἶναι, οὔτε γὰρ ἐν τῷ κινοῦντι, οὔτε ἐν τῷ τόπῳ, εἴπερ ἀκίνητα ἐκεῖνα, οὔτε μᾶλλον ἐν τῷ ἐξ οὗ δῆλόν φησιν ὅτι ἐν τῷ κινουμένῳ ἡ κίνησις. τὸ δὲ κινούμενον μετέλαβεν εἰς τὸ κινητὸν κατ' ἐνέργειαν, ἵνα τοῦ ὅρου τῆς κινήσεως ἡμᾶς ὑπομνήσῃ. εἰ γὰρ ἐντελέχεια τοῦ κινητοῦ ἐστιν ἡ κίνησις, τὸ κινούμενον κινητόν ἐστι κατ' ἐνέργειαν.

ἩΜΈΝ οὖν κατὰ συμβεβηκὸς μεταβολὴ, ἀφείσθω. ἐν ἅπασί τε γάρ ἐστι, καὶ ἀεὶ καὶ πάντων. ἡ δὲ μὴ κατὰ συμβεβηκὸς, οὐκ ἐν ἅπασιν, ἀλλ' ἐν τοῖς ἐναντίοις καὶ τοῖς μεταξὺ, καὶ ἐν ἀντιφάσει. τούτου δὲ πίστις ἐκ τῆς ἐπαγωγῆς. ἐκ δὲ τοῦ μεταξὺ μεταβάλλει, ὡς ἐναντίου. χρῆται γὰρ αὐτῷ ὡς ἐναντίῳ ὄντι, πρὸς ἑκάτερον. ἔστι γάρ πως τὸ μεταξὺ, τὰ ἄκρα. διὸ καὶ τοῦτο πρὸς ἐκεῖνα, καὶ ἐκεῖνα πρὸς τοῦτο λέγεταί πως ἐναντία. οἷον, ἡ μέση, βαρεῖα πρὸς τὴν νήτην. καὶ ὀξεῖα πρὸς τὴν ὑπάτην. καὶ τὸ φαιὸν λευκὸν πρὸς τὸ μέλαν. καὶ μέλαν, πρὸς τὸ λευκόν.

Δείξας ὅτι τὸ καθ' αὑτὸ καὶ κατὰ συμβεβηκὸς ὑπάρχει καὶ ἐπὶ τοῦ κινοῦντος καὶ ἐπὶ τοῦ κινουμένου ἅπερ τῶν ἐν τῇ κινήσει συνυπαρχόντων ὡς χρήσιμα πρὸς τὸν ἐφεξῆς λόγον ἐξελέξατο, τὸ κατὰ συμβεβηκὸς ἐν ᾧ καὶ τὸ κατὰ μέρος συνέλαβεν ὡς ἄπειρόν τε καὶ ἀόριστον ἀποσκευάζεται. καὶ ὅτι τοιοῦτό ἐστι, δείκνυσι, διὰ τοῦ τὴν κατὰ συμβεβηκὸς μεταβολὴν ἐν πᾶσί τε εἶναι καὶ ἀεὶ καὶ πάντων. ἐν πᾶσι μὲν, ὅτι ἐν τοῖς δέκα γένεσίν ἐστιν ἡ κατὰ συμβεβηκὸς μεταβολή. τῷ γοῦν τὴν οὐσίαν εἶναι τὴν κινουμένην, τὰ δ' ἄλλα πάντα τῇ οὐσίᾳ συμβεβηκέναι, ἕκαστον αὐτῶν δυνάμεθα λέγειν κινεῖσθαι, ὅταν ἡ ὑποκειμένη αὐτοῖς οὐσία καθ' αὑτὴν κινῆται. τὸ δὲ καὶ πάντων, ἤτοι ὅτι πάντων ἐστὶ κατηγορεῖσθαι τῶν κινουμένων καὶ ἀκινήτων τὸ κινεῖν καὶ κινεῖσθαι, ὅταν κατὰ συμβεβηκὸς κατηγορῶμεν.

ὥσπερ τῆς ψυχῆς. ἀκίνητος γὰρ οὖσα ἡ ψυχὴ κατὰ τὴν ἑαυτῆς φύσιν, λέγοιτ' ἂν κατὰ συμβεβηκὸς κινεῖσθαι. ἢ πάντων, ἀντὶ τοῦ πάντων εἰς πάντα. καὶ γὰρ τὸ λευκὸν εἰς τὸ μουσικὸν ἔστιν εἰπεῖν μεταβάλλειν κατὰ συμβεβηκός. καὶ τὸ γλυκὺ εἰς τὸ ἄνω. τὸ δὲ ἐν πᾶσι καὶ πάντων, ἐπὶ τῶν φυσικῶν ἀκούειν χρὴ, ἐφ' ὧν ὑπάρχειν δυνατὸν τὸ κατὰ συμβεβηκὸς κινεῖσθαι. τὰ γὰρ ὑπὲρ τὴν φύσιν ἅπερ ἐστὶ τὰ πρώτως κινοῦντα, οὐ μόνον καθ' αὑτὰ ἀκίνητα, ἀλλ' οὐδὲ κατὰ συμβεβηκὸς κινούμενα δειχθήσεται. τὸ δὲ ἀεὶ, σημαίνοι ἂν ὅτι καὶ ὅτε μὴ κινεῖταί τι δι' ὅ τε κινεῖσθαι αὐτὸ κατὰ συμβεβηκὸς, τῷ ἐν τῷ κινουμένῳ εἶναι. ὡς ὁ ἐν τῇ πλεούσῃ νηῒ ἠρεμῶν. ἢ ὅτι καὶ ἐπὶ τῶν μηκέτι ὄντων ἔστιν οὕτω κατηγορεῖν τὸ κινεῖσθαι. τὸν γὰρ μηκέτι ὄντα Σωκράτη ἔστιν εἰπεῖν κινεῖσθαι, ὅταν τὸ σῶμα καὶ ἡ ὕλη ἥ τις ἦν ποτε Σωκράτους κινῆται. ᾧ γὰρ συμβέβηκεν εἶναι Σωκράτει, τοῦτο κινεῖται. εἰ οὖν τὸ κατὰ συμβεβηκὸς οὕτως ἐστὶν ἄπειρον καὶ ἀόριστον, οὐδεμία δὲ ἐπιστήμη περὶ τὸ ἄπειρον καὶ ἀόριστον, εἰκότως παραιτεῖται τὴν κατὰ συμβεβηκὸς μεταβολήν. ἐκλέγεται δὲ τὴν μὴ κατὰ συμβεβηκὸς, ὡς οὐκ ἐν ἅπασι καὶ ἀεὶ καὶ πάντων οὖσαν κοινὴν, ἀλλ' ἐν ὡρισμένοις. ἐν γὰρ τοῖς ἐναντίοις καὶ τοῖς μεταξὺ, καὶ ἐν ἀντιφάσει. τουτέστι κατὰ τὰ ἐναντία καὶ τὰ μεταξὺ, καὶ κατὰ ἀντίφασιν. τοῦ δὲ πᾶσαν μεταβολὴν κατά τι τούτων γίνεσθαι, τὴν πίστιν ἐκ τῆς ἐπαγωγῆς ποιεῖται. ἣν γὰρ ἄν τις προχειρίσαιτο, κατὰ τούτων τινὰ γινομένην εὑρήσει. καὶ ὁ λόγος δὲ οὕτως ἔχειν ἀναγκάσει. οὔτε γὰρ ἐκ τοῦ αὐτοῦ τι εἰς τὸ αὐτὸ, οὔτε ἐξ ὁμοίου εἰς ὅμοιόν τι μεταβάλλει. τί γὰρ δεῖ μεταβολῆς. ἀλλ' ἢ ἐξ ἐναντίου εἰς ἐναντίον, ἢ ἐκ τοῦ μεταξὺ, ἢ πάντως γε ἐκ τοῦ μὴ τοιούτου. ὅπερ ἐστὶ τὸ κατὰ τὴν ἀντίφασιν. δέδεικται δὲ καὶ ἐν τῷ πρώτῳ τῆσδε τῆς πραγματείας, ὅτε τὰ ἐναντία ἀρχὰς ἐτίθετο, προσαποδείξας, ὅτι οὐκ ἐκ τοῦ τυχόντος ἡ μεταβολὴ γίνεται. εἰπὼν δὲ ἐκ τῶν μεταξὺ τὴν μεταβολὴν, τὴν αἰτίαν τούτου προσέθηκεν, ὅτι ὡς ἐξ ἐναντίου γίνεται τοῦ μεταξύ. καὶ τὴν δὲ πάλιν τούτου προσέθηκεν, ὅτι τὸ μεταξὺ πρὸς ἑκάτερον τῶν ἄκρων τὸν τοῦ ἐναντίου λόγον ἔχει. ἡ γὰρ μέση, ὀξεῖα πρὸς τὴν ὑπάτην, καὶ βαρεῖα πρὸς τὴν νήτην ἐστί. καὶ τὸ φαιὸν λευκὸν μὲν πρὸς τὸ μέλαν, πρὸς δὲ τὸ λευκὸν μέλαν. εἰ γὰρ τὸ μεταξὺ κατὰ μίξιν καὶ κρᾶσιν τῶν ἐναντίων λέγεται, ὡς τὸ φαιὸν ἐκ λευκοῦ καὶ μέλανος, καὶ τὸ χλιαρὸν ἐκ θερμοῦ καὶ ψυχροῦ, ἢ καθ' ἓν εἶδος τοιοῦτον, τὸ ἐκ τοῦ μεταξὺ μεταβάλλον, οὐ καθὸ κοινωνεῖ καὶ μετέχει τοῦ εἰς ὃ μεταβάλλει, κατὰ τοῦτο μεταβάλλει. οὐδὲν γὰρ εἰς ὃ ἐστὶ μεταβάλλει. ἀλλὰ καθὸ ἄλλο παρ' ἐκεῖνό ἐστιν. ἦν δὲ ἄλλο τὸ μεταξὺ τοῦ ἑτέρου τῶν ἄκρων, καθόσον τοῦ ἐναντίου μετεῖχεν. ὥστε ἀληθῶς εἴρηται, ὅτι ὡς ἐξ ἐναντίου ἡ τοῦ μεταξὺ μεταβολὴ γίνεται. εἰ γὰρ τὸ φαιὸν ἐκ τοῦ λευκοῦ καὶ μέλανός ἐστι μεμιγμένον, εἰς μὲν λευκὸν μεταβάλλει κατὰ τὸ ἐν αὐτῷ μέλαν. τοῦτο δὲ ἐναντίον τῷ λευκῷ. εἰς δὲ τὸ μέλαν πάλιν κατὰ τὸ ἐν αὐτῷ λευκόν.

ε ἘΠΕΙ ΔΕ πᾶσα μεταβολὴ, ἔστιν ἔκ τινος εἴς τι. δηλοῖ δὲ καὶ τοὔνομα. μετ' ἄλλο γάρ τι, καὶ τὸ μὲν πρότερον δηλοῖ, τὸ δ' ὕστερον, μεταβάλλοι ἂν τὸ μεταβάλλον τετραχῶς. ἢ γὰρ ἐξ ὑποκειμένου εἰς ὑποκείμενον, ἢ οὐκ ἐξ ὑποκειμένου, εἰς οὐχ ὑποκείμενον. ἢ μὴ ἐξ ὑποκειμένου, εἰς ὑποκείμενον, ἢ ἐξ ὑποκειμένου, εἰς μὴ ὑποκείμενον. λέγω δὲ τὸ ὑποκείμενον, τὸ καταφάσει δηλούμενον. ὥστε ἀνάγκη ἐκ τῶν εἰρημένων, τρεῖς εἶναι μεταβολάς. τήν τε ἐξ ὑποκειμένου εἰς ὑποκείμενον, καὶ τὴν ἐξ ὑποκειμένου εἰς μὴ ὑποκείμενον, καὶ τὴν ἐκ μὴ ὑποκειμένου, εἰς ὑποκείμενον. ἡ γὰρ μὴ ἐξ ὑποκειμένου εἰς μὴ ὑποκείμενον, οὐκ ἔστι μεταβολὴ, διὰ τὸ μὴ εἶναι κατὰ ἀντίθεσιν. οὔτε γὰρ ἐναντία οὔτε ἀντίφασίς ἐστιν.

α ἈΠΟσκευασάμενος τὴν κατὰ συμβεβηκὸς μεταβολὴν, καὶ τὴν καθ' αὑτὸ προχειρισάμενος, προτίθεται πάσας λαβεῖν τὰς μεταβολὰς, προλαβὼν ὅτι πᾶσα μεταβολὴ ἔκ τινος εἴς τι γίνεται. ὅπερ ἐναργὲς ὂν ὑπέμνησε καὶ ἐκ τοῦ τῆς μεταβολῆς ὀνόματος. ἄλλο γὰρ μετ' ἄλλο δηλοῖ. καὶ τὸ μετὰ σημαίνει ὅτι τὸ μέν τι πρότερόν ἐστιν ἐν αὐτῇ, τὸ δὲ, ὕστερον. τοῦτο δὴ προλαβὼν ἐκ διαιρέσεως, λοιπὸν ἀπαραλείπτους τὰς μεταβολὰς εὑρίσκει πάσας. ἐπεὶ γὰρ ἔκ τινος εἴς τι πᾶσα μεταβολὴ, ἢ ἐξ ὑποκειμένου φησὶν εἰς ὑποκείμενον, ἢ ἐξ οὐχ ὑποκειμένου εἰς οὐχ ὑποκείμενον, ἢ ἐξ οὐχ ὑποκειμένου εἰς ὑποκείμενον, ἢ ἐξ ὑποκειμένου εἰς οὐχ ὑποκείμενον. παρὰ γὰρ τούτους τοὺς τρόπους οὐκ ἔστιν ἄλλην συμπλοκὴν εὑρεῖν τοῦ ἔκ τινος εἴς τι. τί δὲ τὸ ὑποκείμενον αὐτῷ σημαίνει, δεδήλωκεν, εἰπὼν λέγω δὴ τὸ ὑποκείμενον τὸ καταφάσει δηλούμενον. ἵνα μὴ τὴν οὐσίαν μόνην ὑποκείμενον νομίζωμεν, ἀλλὰ καὶ τὸ ποιὸν καὶ τὸ ποσόν. καὶ πᾶν ὂν τὸ καταφάσει δηλούμενον. καταφάσει δὲ δηλούμενον, οὐ τὸ διὰ προτάσεως καταφατικῆς σημαινόμενον, ἀλλὰ τὸ ἄνευ ἀποφαντικοῦ μορίου. ὡς ἄνθρωπος, καὶ τὸ λευκὸν, καὶ ὅσα τοιαῦτα. καὶ ταῦτα γὰρ καταφάσεις ἐκάλουν, καὶ ἁπλᾶ ὄντα καὶ σύνθετα. τὰ δὲ μετὰ τοῦ ἀρνητικοῦ μορίου ἀποφατικὰ ὀνόματα καλοῦσιν. ὡς τὸ οὐκ ἄνθρωπος. τὸ δὲ ὑποκείμενόν ἐστι τὸ ὂν, καταφάσει δηλούμενον δηλονότι. τὸ δὲ οὐχ ὑποκείμενον, τὸ μὴ ὂν ἐστὶ, τὸ ἐκ τῆς ἀποφάσεως σημαινόμενον. καὶ τοῦτο εἰκότως. πᾶσα γὰρ μεταβολὴ ἐξ ἐναντίου εἰς ἐναντίον γίνεται. ἢ ἐκ τοῦ μὴ τοιούτου εἰς τὸ τοιοῦτον. τὰ δὲ ἐναντία καταφάσει δηλοῦνται. ἄμφω γὰρ εἴδη ἐστίν. καὶ διὰ τοῦτο ἡ ἐξ ὄντος εἰς ὂν, ἤτοι ἐκ τοῦ ἐναντίου εἰς τὸ ἐναντίον, ἐξ ὑποκειμένου εἰς ὑποκείμενον εἴρηται. ἡ δὲ ἐκ τοῦ μὴ τοιούτου

τουτέστι τοῦ μὴ ὄντος, εἰς τὸ μὴ τοιοῦτο, ἡ μὲν, ἐξ οὐχ ὑποκειμένου εἰς ὑποκείμενον τουτέστιν ἐξ ἀπο-
φάσεως εἰς κατάφασιν, ἡ δὲ, ἐξ ὑποκειμένου εἰς οὐχ ὑποκείμενον, ἄμφω κατ᾽ ἀντίφασιν γινόμεναι τοῦ
ὄντος καὶ μὴ ὄντος. διὸ καὶ ἡ τετάρτη ἡ ἐξ οὐχ ὑποκειμένου εἰς οὐχ ὑποκείμενον, κἂν διὸ τὸ ἀπαρά-
λειπτον τῶν συμπλοκῶν παρελήφθη, οὐκ ἔστι καθ᾽ αὑτὸ μεταβολὴ ἀόριστος οὖσα. τὸ γὰρ ἐκ τοῦ μὴ
λευκοῦ εἰς τὸ μὴ θερμὸν μεταβάλλον, ἔχει ἀόριστον τὴν μεταβολὴν, εἰ μὴ τύχοι τὸ μὴ θερμὸν μέλαν
ὑπάρχον. καθ᾽ αὑτὰ δὲ, οὔτε ἐναντία ἐστὶ τὰ τοιαῦτα, ἐπείπερ μὴ καταφάσει δηλοῦνται. οὔτε ἀντιφα-
τικῶς ἀντίκειται. ἐπείπερ ἄμφω ἀποφάσεις εἰσί. δέδεικται δὲ προσεχῶς ὅτι πᾶσα μεταβολὴ ἐν τοῖς
ἐναντίοις, καὶ ἐν τοῖς κατ᾽ ἀντίφασιν ἀντικειμένοις γίνεται. κἂν εἶπεν οὖν τετραχῶς μεταβάλλειν τὸ
μεταβάλλον, οὐχ ὡς ἐν πᾶσι τοῖς τμήμασι τῆς διαιρέσεως οὔσης τῆς μεταβολῆς λέγει. ἀλλ᾽ ὅτι ἐν τῇ
διαιρέσει ταύτῃ πᾶσα μεταβολὴ περιέχεται. ἡ γὰρ μία τῶν τεσσάρων, ἡ ἐξ οὐχ ὑποκειμένου εἰς
οὐχ ὑποκείμενον, οὐκ ἔστι μεταβολή. ὁ δὲ Εὔδημος καὶ τὰς στερήσεις ὑποκειμένοις ἐοικέναι φησίν. οὐ γὰρ
ὁμοίως λέγεται τὸ τυφλὸν, καὶ τὸ μὴ ἔχον ὀφθαλμούς. οὐδὲ τὸ φαλακρὸν καὶ τὸ μὴ ἔχον τρίχας.
ὑποκείμενα οὖν καὶ τὰ τοιαῦτά φησιν, οὐχ ὁμοίως δὲ ταῖς καταφάσεσιν.

Ἡ ΜΕΝ οὖν ἐξ οὐχ ὑποκειμένου εἰς ὑποκείμενον μεταβολὴ κατ᾽ ἀντίφασιν, γένεσίς ἐστιν. ἡ μὲν ἁ-
πλῶς, ἁπλῆ. ἡ δὲ τίς, τινός. οἷον, ἡ μὲν ἐκ μὴ λευκοῦ εἰς λευκὸν, γένεσις τούτου. ἡ δ᾽ ἐκ τοῦ μὴ ὄντος ἁ-
πλῶς εἰς οὐσίαν, γένεσις ἁπλῶς. καθ᾽ ἣν ἁπλῶς γίνεσθαι καὶ οὔ τι γίνεσθαι λέγομεν. ἡ δ᾽ ἐξ ὑπο-
κειμένου, εἰς οὐχ ὑποκείμενον, φθορά. ἁπλῶς μὲν, ἡ ἐκ τῆς οὐσίας εἰς τὸ μὴ εἶναι. τὶς δὲ ἡ εἰς τὴν ἀντι-
κειμένην ἀπόφασιν. καθάπερ ἐλέχθη καὶ ἐπὶ τῆς γενέσεως.

Ἀ ποκείνας τὴν ἀδόκιμον συμπλοκὴν, τὴν ἐξ οὐχ ὑποκειμένου εἰς οὐχ ὑποκείμενον, διὰ τὸ μήτε
ἐναντίαν μήτε ἐν ἀντιφάσει εἶναι, τὰς τρεῖς λοιπὸν ὑποβάλλει τοῖς εἴδεσι τῆς μεταβολῆς. καὶ πρῶ-
τον τὴν ἐξ οὐχ ὑποκειμένου εἰς ὑποκείμενον, κατ᾽ ἀντίφασιν γινομένην γένεσιν εἶναί φησι, καλῶς τὸ
κατὰ ἀντίφασιν προσθείς. οὐ γὰρ ἐκ μὴ λευκοῦ εἰς γλυκὺ ἡ μεταβολὴ γίνεται, πλὴν εἰ μὴ κατὰ
συμβεβηκός. τὴν δὲ καθ᾽ αὑτὸ πᾶσαν ἐκ τοῦ μὴ ὑποκειμένου εἰς ὑποκείμενον μεταβολὴν, ἀνάγκη κατ᾽
ἀντίφασιν γίνεσθαι. ἐπειδὴ δὲ διχῶς ἡ γένεσις λέγεται, ἡ μὲν, ἁπλῶς, ἡ δὲ, τίς, ἁπλῶς μὲν γένε-
σις ἐπὶ τῶν οὐσιῶν λέγεται, ὅταν ἐκ μὴ ὄντος ἁπλῶς ἡ μεταβολὴ γίνηται. τὶς δὲ γένεσις ἐπὶ τῶν
ἄλλων, ὅταν ἐκ τινὸς μὴ ὄντος εἰς τὸ ἀντικείμενον αὐτοῦ μεταβάλλῃ. οἷον ἐκ τοῦ μὴ λευκοῦ ἀνθρώπου
εἰς λευκὸν ἄνθρωπον, τὶς γένεσις. οὐχ ἁπλῶς οὐδὲ οὐσίας γένεσις. τὸ δὲ τὶ ἐξ ἁπλῶς μὴ ὄντος. ἁπλῶς
δὲ μὴ ὂν, οὐ τὸ μηδαμῇ μηδαμῶς ὂν λέγει. ἐκ γὰρ τοῦ οὕτω μὴ ὄντος οὐδὲ γίνεταί τι. ἀλλὰ τὸ ἐνεργείᾳ
μὲν μὴ ὂν, δυνάμει δὲ ὄν. ἁπλῶς μὲν γὰρ μὴ ὂν, τὸ ἁπλῶς μὴ τόδε. ἁπλῶς δὲ μὴ τόδε, τὸ μὴ κατ᾽ ἐνέρ-
γειαν ὄν. πῶς δὲ οὐχὶ καὶ τῆς οὐσίας ἡ γένεσις ἐκ τοῦ μὴ τόδε ὄντος, ἄλλο δέ τι ὄντος ἐστίν. ὥσπερ καὶ
ἡ τοῦ λευκοῦ, ἀλλ᾽ ἐκ τοῦ ἁπλῶς μὴ ὄντος. εἴ γε μηδέποτε ἡ ὕλη καθ᾽ αὑτήν ἐστιν, ἀλλ᾽ ἀεὶ μετά τινος εἴ-
δους καὶ ἐνεργείᾳ. καὶ γὰρ ὁ ἄνθρωπος ἐκ σπέρματος γίνεται, καὶ ἡ συκῆ. τὸ δὲ σπέρμα οὐ μόνον δυ-
νάμει ἐστὶν ἄνθρωπος, ἀλλὰ καὶ ἐνεργείᾳ σπέρμα. ὥσπερ τὸ μὴ λευκὸν, ἐξ οὗ τὸ λευκὸν γίνεται. πῶς
οὖν ἐκ τοῦ ἁπλῶς μὴ ὄντος οὐσία, τὸ δὲ λευκὸν ἐκ τοῦ τινὸς μὴ ὄντος. λύουσι δὲ ταύτην τὴν ζήτησιν
λέγοντες, ὅτι ἡ μὲν οὐσία οὐκ ἐξ ἐναντίου, ἀλλ᾽ ἐκ στερήσεως γίνεται. οὐ γὰρ ἔχει ἡ οὐσία ἐναντίον. τὸ
δὲ λευκὸν ἐκ τοῦ μέλανος, ἢ τοῦ μεταξὺ ὡς μέλανος. ᾧ οὖν διαφέρει στέρησις τοῦ ἐναντίου, τούτῳ δια-
φέρει νῦν τὸ ἁπλῶς λεγόμενον μὴ ὂν, ἐξ οὗ ἡ τῆς οὐσίας γένεσις, τοῦ τινὸς μὴ ὄντος, ἐξ οὗ ἡ τῶν
ἄλλων. ἢ τὶς οὐδὲ γένεσις ἁπλῶς λέγεται, ἀλλὰ τὶς γένεσις. καθόσον μὲν ἐκ τοῦ μὴ τόδε, καὶ αὐτὴ
γένεσις. καθόσον δὲ ἐκ τοῦ τόδε καὶ τοῦ ἐναντίου ἀλλοίωσις. καὶ προσφυέστερον δὲ ἔτι λύοντες λέγου-
σιν, ὅτι ἡ μὲν εἰς οὐσίαν μεταβολὴ, οὐδενὸς ἐνεργείᾳ ὑποκειμένου καὶ ὑπομένοντος γίνεται. καθ᾽ οὗ
δυνάμεθα κατηγορῆσαι ὅτι τόδε ἐστὶ τὸ μεταβάλλον. ἐπὶ δὲ τῆς εἰς οὐσίαν μεταβολῆς αὐτὸ τὸ ὑποκεί-
μενον ἄλλοτε ἄλλο γίνεται. οἷον τὸ σπέρμα. διὸ καὶ ἐκ τοῦ μὴ ὄντος ἁπλῶς ἡ εἰς οὐσίαν μεταβολὴ λέ-
γεται. αἱ δὲ κατὰ τὰ ἐναντία συμβεβηκότα μεταβολαὶ, ἐνεργείᾳ τι ἔχουσιν ὑποκείμενον, ταὐτὸν
μένον, ᾧ συμβέβηκε τἀναντία, καθ᾽ οὗ τὸ ἀλλοιοῦσθαι κατηγορεῖται. ὡς ὁ ἄνθρωπος μένων ἄνθρω-
πος μελαίνεται, ἢ τόδε τὸ σῶμα, καὶ οὐχὶ ἄλλό τι γινόμενον. ὥσπερ τὸ σπέρμα μὴ μένον σπέρμα,
ἀλλ᾽ ἀεὶ ἄλλό τι γινόμενον, μεταβάλλει εἰς ἄνθρωπον. καὶ τοῦτο δὲ καλῶς προστίθησιν ὁ Ἀσπάσιος, εἰς
διάκρισιν τῆς ἁπλῶς γενέσεως καὶ τῆς τινός. ὅτι ἡ μὲν ἁπλῶς γένεσις ἄνευ προσθέσεως λέγεται.
ἄνθρωπος γὰρ λέγεται γεγονέναι καὶ ἵππος. λευκὸν δὲ μετὰ προσθήκης. ἄνθρωπον γὰρ λευκόν. εἰπὼν
δὲ περὶ τῆς ἐξ οὐχ ὑποκειμένου εἰς ὑποκείμενον μεταβολῆς, ὅτι ἁπλῶς γένεσις αὕτη, ἐφεξῆς περὶ τῆς
ἀντικειμένης αὐτῇ λέγει, τῆς ἐξ ὑποκειμένου εἰς οὐχ ὑποκείμενον. καὶ φησὶ τὴν τοιαύτην μεταβολὴν
τὴν φθορὰν εἶναι, ἁπλῶς μὲν, τὴν ἐκ τῆς οὐσίας εἰς τὸ μὴ ὂν αὐτῆς. τινὰ δὲ, τὴν εἰς ἀντικειμένην ἀπόφασιν. οὐ
γὰρ ἡ ἐκ τοῦ γλυκέος εἰς τὸ μὴ λευκὸν μεταβολὴ, φθορά τις ἐστὶν ὡρισμένη. ἀλλ᾽ ἡ εἰς τὴν οἰκείαν ἀπό-
φασιν, εἰς τὸ μὴ γλυκὺ, ὡς ἔλεγεν ἐπὶ τῆς γενέσεως, κατ᾽ ἀντίφασιν. ταὐτὸν γὰρ εἰπεῖν κατ᾽ ἀντί-
φασιν, καὶ εἰς τὴν ἀντικειμένην ἀπόφασιν. ἀλλ᾽ εἰ ἡ φθορὰ μεταβολή ἐστιν ἐξ ὄντος εἰς τὸ μὴ ὂν, πᾶσα

δὲ μεταβολὴ

δὲ μεταβολὴ ἐκ τοῦ δυνάμει ὄντος εἰς τὸ ἐνέργεια, ἔσται τὸ μὲν ὂν δυνάμει, τὸ δὲ μὴ ὂν ἐνεργείᾳ. ἢ καὶ τὸ ἐξ ὄντος εἰς τὸ μὴ ὂν μεταβάλλον, καθόσον τὸ ὂν δυνάμει ὄν ἐστι, καὶ πέφυκε μὴ ὂν γίνεσθαι, κατὰ τοῦτο μεταβάλλει εἰς τὸ μὴ ὄν, τὸ ἐνεργείᾳ μὴ ὄν.

Ε ΙΔΗ τὸ μὴ ὂν λέγεται πλεοναχῶς, καὶ μήτε τὸ κατὰ σύνθεσιν ἢ διαίρεσιν ἐνδέχεται κινεῖσθαι, μήτε τὸ κατὰ δύναμιν τὸ, τὸ τῷ ἁπλῶς κατ᾽ ἐνέργειαν ὄντι ἀντικείμενον. τὸ μὲν γὰρ μὴ λευκὸν, ἢ μὴ ἀγαθὸν, ὅμως ἐνδέχεται κινεῖσθαι κατὰ συμβεβηκός. εἴη γὰρ ἂν ἄνθρωπος τὸ μὴ λευκόν. τὸ δὲ ἁπλῶς μὴ τόδε οὐδαμῶς. ἀδύνατον γὰρ τὸ μὴ ὂν, κινεῖσθαι. εἰ δὲ τοῦτο, καὶ τὴν γένεσιν κίνησιν εἶναι. γίνεται γὰρ τὸ μὴ ὄν. εἰ γὰρ καὶ ὅτι μάλιστα κατὰ συμβεβηκὸς γίνεται, ἀλλ᾽ ὅμως ἀληθὲς εἰπεῖν, ὅτι ὑπάρχει τὸ μὴ ὂν, κατὰ τοῦ γινομένου ἁπλῶς. ὁμοίως δὲ καὶ τὸ ἠρεμεῖν. ταῦτά τε δὴ πάντα συμβαίνει δυσχερῆ, τῷ κινεῖσθαι τὸ μὴ ὄν. καὶ εἰ πᾶν τὸ κινούμενον ἐν τόπῳ, τὸ δὲ μὴ ὂν, οὐκ ἔστιν ἐν τόπῳ. εἴη γὰρ ἄν που. οὐ δὲ δὴ ἡ φθορὰ κίνησις. ἐναντίον μὲν γὰρ κινήσει κίνησις, ἢ ἠρεμία. ἡ δὲ φθορὰ, γενέσει ἐναντίον.

Τὸ μὲν προκείμενόν ἐστι δεῖξαι, ὅτι οὔτε γένεσις οὔτε φθορὰ κινήσεις εἰσίν. ἐπεὶ δὲ ἡ γένεσις ἐκ τοῦ μὴ ὄντος εἰς τὸ ὂν εἴρηται μεταβολὴ, ἡ δὲ φθορὰ ἐκ τοῦ ὄντος εἰς τὸ μὴ ὄν, πολλαχῶς δὲ λέγεται τὸ μὴ ὄν, τὰς σημασίας αὐτοῦ πρῶτον ἀπαριθμεῖται. καὶ δείκνυσι τὸ πῶς λεγόμενον μὴ ὂν, τῇ γενέσει καὶ φθορᾷ προσῆκον, κινεῖσθαι ἀδύνατον. τὸ μὲν οὖν οὕτω μὴ ὂν ὡς μηδαμῇ μηδαμῶς ὂν, ὡς πάντη ἀφανὲς παρῆκε. τὸ δὲ ὁπωσοῦν ἐν ὑποστάσει μὴ ὂν, τριχῇ διεῖλε. λέγεται γὰρ μὴ ὂν, τὸ μὲν, ὡς ψεῦδος. ὅπερ ἐν συνθέσει καὶ διαιρέσει ἐστίν. ἡ γὰρ συντίθησι τὰ μὴ συγκείμενα, ὡς ὁ λέγων λύκων κέρατα ἔχειν. ἢ διαιρεῖ τὰ μὴ διῃρημένα. ὡς ὅταν λέγῃ ἀριστόξενον μὴ εἶναι μουσικόν. τὸ δὲ συγκεῖσθαι καὶ διαιρεῖσθαι, κυρίως μὲν ἐπὶ τῶν σωμάτων λέγεται κατὰ μεταφορὰν δὲ, ἐπὶ τοῦ ὑπάρχοντος καὶ μὴ ὑπάρχοντος, τουτέστιν ἐν καταφάσει καὶ ἀποφάσει. σύνθεσις μὲν γὰρ ἡ κατάφασις. διαίρεσις δὲ ἡ ἀπόφασις. ἐν ταύταις δὲ τὸ ψεῦδος καὶ τὸ ἀληθές. ὁ γὰρ ἀποφαντικὸς λόγος ταῦτα ἔχει. λέγεται μὴ ὄν, καὶ τὸ δυνάμει μὲν ὂν, ἐνεργείᾳ δὲ μὴ ὄν. ὃ ἀντίκειται τῷ ἐνεργείᾳ ὄντι. λεγόμενον ἁπλῶς μὴ ὄν, διὰ τὴν πρὸς τὸ ἁπλῶς ὂν ἀντίθεσιν. ἀντίκειται γὰρ τῷ δυνάμει τὸ ἐνεργείᾳ. ὡς τὸ μή πω ὂν ὅλως πρὸς τὸ ἤδη ὄν. καὶ ἡ ἐκ τοῦ τοιούτου μὴ ὄντος μεταβολὴ, εἰς τὸ ἀντικείμενον αὐτῷ ὄν, ἡ ἁπλῆ καὶ ἁπλῶς γένεσις ἦν. λέγεται δὲ μὴ ὂν καὶ τὸ τόδε μέν τι μὴ ὄν, ἄλλο δέ τι ἐνεργείᾳ ὄν. οἷον θερμὸν μὲν οὐκ ἔστι, σῶμα δὲ ἐστὶν ἐνεργείᾳ. τοῦτο ὑπομένον τὸ μὴ ὂν θερμὸν εἰς τὸ θερμὸν μεταβάλλει. διὸ καὶ τινὰ γένεσιν, καὶ τινὸς, ἀλλ᾽ οὐχ ἁπλῶς γένεσιν ταύτην ἐκάλει τὴν μεταβολήν. καὶ ἣν ἡ μὲν πρώτη γένεσις ἐκ τοῦ ἁπλῶς μὴ ὄντος ἐπὶ τῶν οὐσιῶν, ἁπλῆ γένεσις οὖσα, καὶ ἁπλῶς γένεσις. ὅτι ἐκ τοῦ μὴ ὄντος τοῦ τῷ ἐνεργείᾳ ἀντικειμένου ἡ μεταβολὴ ἦν. τῶν γὰρ μὴ ὄντων, ὅσα ἐνδέχεται ὅλως εἶναι μὴ ὄντα, τὸ ἁπλῶς μὴ ὂν τὸ τῷ ἁπλῶς ὄντι ἀντικείμενόν ἐστιν. ἁπλῶς δὲ ὄν, τὸ ἐνεργείᾳ ὄν ἐστιν. ὥστε καὶ ἁπλῶς μὴ ὂν τὸ δυνάμει. ἐνδειξάμενος οὖν τὴν εἰς τρία ταῦτα τοῦ ὁπωσοῦν ἐν ὑποστάσει διαίρεσιν μὴ ὄντος, λέγει μήτε τὸ κατὰ σύνθεσιν καὶ διαίρεσιν μὴ ὄν, τουτέστι τὸ κατὰ κατάφασιν καὶ ἀπόφασιν ψεῦδος, κινεῖσθαι, οὔτε γὰρ λόγος ψευδὴς οὔτε δόξα ὅταν εἰς ἀληθῆ μεταβάλλῃ, κινεῖται. ὡς ἔδειξεν ἐν κατηγορίαις. οὐ γὰρ κατὰ τὴν ἑαυτῶν μεταβολὴν ἀεὶ μεταπίπτει ταῦτα, ἀλλ᾽ ἄλλων τινῶν πολλάκις κινουμένων. ὁ γὰρ πρότερον ψευδόμενος τῇ δόξῃ καὶ τῷ λόγῳ, ὅτι κάθηται ὁ σωκράτης, ἐὰν ἑστὼς τυγχάνῃ, καθίσαντος σωκράτους ἀληθεύει, οὔτε τῆς δόξης ἢ τοῦ λόγου μεταβαλλόντων, ἀλλὰ τοῦ πράγματος. οὔτε οὖν κατὰ σύνθεσιν ἢ διαίρεσιν ἐνδέχεται φησὶ κινεῖσθαι. ἐπειδὴ μὴ δὲ μεταβάλλει τοῦτο ὅλως καθ᾽ αὑτὸ, ἀλλὰ ἄλλου μεταβάλλοντος αὐτὸ μεταβάλλει. οὔτε δὲ τὸ κατὰ δύναμιν μὴ ὄν, τουτέστι τὸ ὡς δυνάμει μὴ ὄν, ὃ τῷ κατ᾽ ἐνέργειαν ὄντι ἀντίκειται. οὔτε οὖν τοῦτο φησὶ δυνατὸν κινεῖσθαι. διότι ἡ κίνησις κἂν ἀτελὴς ἐνέργεια, ἀλλ᾽ οὖν ἐνέργειά πως ἐστίν. καὶ χρὴ τὸ κινούμενον ἐνεργείᾳ τι ὄν, καὶ τὸ δέ τι ὄν, καὶ σωζόμενον, κινεῖσθαι. τὸ δὲ οὕτω λεγόμενον μὴ ὄν, οὐδὲν τῶν ὄντων ἐνεργείᾳ ἐστίν. οὐ δὲ γὰρ τὸ σπέρμα μένον σπέρμα, μεταβάλλει εἰς φυτὸν ἢ ζῶον. ὥσπερ ὁ ἄνθρωπος μένων ἄνθρωπος, κατά τι τῶν συμβεβηκότων ἑαυτῷ κινεῖται, ἀπὸ μὴ λευκοῦ εἰς λευκὸν, καὶ ἀπὸ μὴ ἀγαθοῦ εἰς ἀγαθὸν μεταβάλλων. καὶ διὰ τοῦτο κινεῖσθαι λέγοιτ᾽ ἂν τὰ ἀλλοιούμενα καὶ οὐ μεταβάλλεσθαι μόνον. ὅτι ἐνεργείᾳ τι ὑπομένον, ἐνεργεῖ κατὰ τὴν κίνησιν. τῇ τοίνυν παραθέσει τοῦ τρίτου μὴ ὄντος, καθὸ ἡ τὶς γένεσις ἐλέγετο, τήν τε διαφορὰν τῆς τινὸς γενέσεως πρὸς τὴν ἁπλῶς ἐδήλωσε. καὶ τὴν αἰτίαν ἐφανέρωσε, τοῦ τὸ μὲν ἁπλῶς γινόμενον καὶ εἰς οὐσίαν μεταβάλλον, μὴ λέγειν κινεῖσθαι, τῶν δὲ ἄλλων τὴν μεταβολὴν κίνησιν ὀνομάζειν. τοῦ γὰρ τὶ μὲν ὄντος ἐνεργείᾳ, οἷον ἀνθρώπου, τὶ δὲ μὴ ὄντος, οἷον οὐ λευκοῦ, διὰ τὸ δυνάμει εἶναι λευκὸν, δύναται τὸ ἐνεργείᾳ ὂν ὁ ἄνθρωπος κινεῖσθαι οὐ καθ᾽ αὑτό. ὑπομένει γὰρ ὁ ἄνθρωπος. ἀλλὰ κατὰ τὸ συμβεβηκὸς αὐτῷ. διὸ καὶ κατὰ συμβεβηκὸς αὐτό φησι κινεῖσθαι, οὐ συνήθως τῷ ὀνόματι χρησάμενος. ἡ γὰρ ἀπὸ τοῦ μὴ λευκοῦ εἰς τὸ λευκὸν μεταβολὴ, καθ᾽ αὑτό ἐστιν ἀλλ᾽ οὐ κατὰ συμβεβηκός. κέκληκε δὲ αὐτὸ κατὰ συμβεβηκὸς, ὅτι τὸ οὕτω μὴ ὂν ὡς μὴ λευκὸν, τῷ ἐνεργείᾳ ὄντι συμβέβηκεν. εἰ δὲ οὕτω τὸ τὶ μὴ ὂν κινεῖται, τὸ ἁπλῶς μὴ ὄν, τουτέστι τὸ μὴ δὲ ὂν ἐνεργείᾳ μὴ δὲ ὑπομένον, οὔτε καθ᾽ αὑτὸ οὔτε κατὰ συμβεβηκὸς ἂν κινοῖτο. οὔτε γὰρ καθὸ μὴ ἔστι κινεῖται, οὔτε τῷ ἄλλό τι εἶναι ἐνεργείᾳ τοῦτο μένον. ὡς ἄνθρωπος ἦν τὸ μὴ λευκόν. εἰ οὖν τὸ οὕτω μὴ ὂν ἀδύνατον κινεῖσθαι, ἡ δὲ ἐκ τοῦ οὕτω μὴ ὄντος, ὃ ἁπλῶς μὴ ὂν ἐλέγετο, εἰς τὸ ἁπλῶς

καὶ ἐνεργείᾳ ὂν μεταβολὴ γένεσις ἦν, ἀδύνατον τὴν γένεσιν κίνησιν εἶναι. γίνεται μὲν γὰρ τὸ μὴ ὄν. οὐκ ἔστι δὲ τὸ ὄν. κινεῖται δὲ τὸ ὄν. εἴπερ ἐνέργειά τις ἡ κίνησις. διὸ ἐπιστῆσαι χρὴ, ὅτι ἐν μὲν τοῖς εἰς οὐσίαν μεταβάλλουσι κίνησις μὲν ὅλως οὐκ ἔστιν. ὅτι οὐκ ἔστι τι ἐν αὐτοῖς τὸ ἐνεργείᾳ ὂν, ἵνα ἐνεργῇ τὴν κίνησιν. μεταβολὴ δὲ μόνον ἐν ἐκείνοις ἐστὶν ἡ κατὰ γένεσιν. ἐν δὲ ταῖς κατὰ ποιότητα ἢ κατὰ ποσότητα ἢ κατὰ τόπον μεταβολαῖς, ἢ ὅλως ταῖς παρὰ τὴν οὐσίαν, κίνησις μέν ἐστι τοῦ ἐνεργείᾳ ὑπομένοντος, οἷον τοῦ ἀνθρώπου κινουμένου. γένεσις δὲ τοῦ λευκοῦ ἐκ μὴ λευκοῦ. τὸ δὲ ὅλον ἀλλοίωσις. οὕτω καὶ ἐπὶ τῶν ἄλλων. διὰ τοῦτο οὖν ἡ γένεσις κίνησις οὐκ ἔστιν, ὅτι οὐκ ἔστι τὸ κινούμενον ἐνεργείᾳ τι ὑπομένον, ὡς τὸ ἀλλοιούμενον καὶ αὐξόμενον καὶ φερόμενον. ὁ μὲν γὰρ ἄνθρωπος ὑπομένων λευκαίνεται. τὸ δὲ οὐ λευκὸν τὸ ἐν αὐτῷ οὐχ ὑπομένον, ὥσπερ ὁ ἄνθρωπος, μεταβάλλει εἰς τὸ λευκόν. διὸ οὐ κινεῖται μὲν τὸ οὐ λευκόν. γίνεται δὲ λευκόν. ὥστε ἡ γένεσις οὐκ ἔσται κίνησις. εἰπὼν δὲ, τὸ μὴ ὂν ἐξ οὗ ἡ γένεσις, οὐ κινεῖται μὲν, γίνεται δὲ, γίνεται γάρ φησι τὸ μὴ ὄν, πῶς εἶπε γίνεσθαι τὸ μὴ ὂν ἐξηγεῖται. ὅτι οὐ τὸ καθ' αὑτὸ μὴ ὂν γίνεται. ἀλλ' ᾧ συμβέβηκε τὸ μὴ ὄν. ἡ γὰρ ὕλη καὶ ὅλως τὸ δυνάμει ἐξ οὗ γίνεται τὸ γινόμενον, οὐ καθ' αὑτὸ μὴ ὄν ἐστιν. ἀλλ' ὅτι συμβέβηκεν αὐτῷ τὸ μὴ ὄν, οἷον ἡ στέρησις. ἥτις οὐχ ὑπομένει ἐν τῇ γενέσει. πλὴν καθόσον τὸ γινόμενον διὰ τὴν στέρησιν οὐκ ἔστι τοῦτο ὃ γίνεται, ἀληθὲς εἰπεῖν ὅτι ὑπάρχει τὸ μὴ ὂν κατὰ τοῦ γινομένου ἁπλῶς. τὸ γὰρ ἁπλῶς γινόμενον οἷον ἡ ὕλη τοῦ ἀνθρώπου, οὐδὲν ἔχον ἐνεργείᾳ ὑπομένον, ὅλον κατὰ τὸ δυνάμει καὶ τὴν στέρησιν τοῦ ἀνθρώπου ὑφέστηκεν. ὁ δὲ λευκαινόμενος ἄνθρωπος, ὑπομένοντος τοῦ κατ' ἐνέργειαν ἀνθρώπου, λευκαίνεται. εἰ οὖν τὸ γινόμενον ἀληθὲς εἰπεῖν μὴ ὄν, ὅτι μηδέν ἐστι κατ' ἐνέργειαν, τὸ δὲ μὴ κατ' ἐνέργειαν οὐ κινεῖται, ἡ γένεσις οὐκ ἂν εἴη κίνησις. λέγει δὲ καὶ ἄλλην ἐξήγησιν ὁ Ἀλέξανδρος τοῦ προκειμένου τοιαύτην. τῷ ἁπλῶς μὴ ὄντι, τουτέστι τῷ δυνάμει, ἐξ οὗ γίνεται τὸ γινόμενον, κατὰ συμβεβηκὸς ὑπάρχει τὸ γίνεσθαι. ὅτι ᾧ συμβέβηκε τὸ ἁπλῶς μὴ ὄν, τουτέστιν ἡ στέρησις, τοῦτο γίνεται. τὸ δὲ κινεῖσθαι οὐ κατὰ συμβεβηκὸς ὑπάρχει αὐτῷ, εἴπερ μηδὲ ἔστιν ὅλως. ἀλλ' εἴπερ ἄρα τὸ κινεῖσθαι, τούτῳ, τῷ μὴ ὄντι ὑπάρχει. ὃ ἀντίκειται τῷ τινὶ ὄντι. ὅπερ ἐστὶν οὐχ ἁπλῶς μὴ ὄν. ἀλλὰ τόδε μὴ ὄν. ἐφ' οὗ ἡ τὶς γένεσις κατηγορεῖται. καὶ τοῦτο ἢ κατὰ συμβεβηκός. οὐ γὰρ καθὸ μὴ ὄν. ἀλλὰ καθὸ ἄλλο τι ὄν. δεῖ γὰρ τὸ κινούμενον εἶναι ὄν. οὕτως γὰρ ἐνεργείᾳ ἡ κίνησις. τεκμήριον οὖν τοῦ μὴ κινεῖσθαι τὸ γινόμενον ἔλαβε, τὸ ὑπάρχειν αὐτῷ τὸ μὴ ὄν. ὁ δὲ Ἀσπάσιος οὕτως ἐξηγεῖται τὴν λέξιν ταύτην. εἰπών φησιν ὅτι μὴ ὄν ἐστι τὸ γινόμενον, ἐπειδὴ τοῦτο ἀμφισβητήσιμον ἦν, εἴποι γὰρ ἄν τις μὴ εἶναι τὸ μὴ ὂν τὸ γινόμενον, ἀλλ' ἐκ τοῦ μὴ ὄντος, διὰ τοῦτο λέγει, ὅτι κἂν ὅτι μάλιστα συγχωρήσωμεν τὸ μὴ ὂν κατὰ συμβεβηκὸς λέγεσθαι γίνεσθαι καὶ μὴ κυρίως. ἀλλ' ὅμως τό γε ἀναστρέφον αὐτῷ ἀληθές ἐστιν, ὅτι τὸ γινόμενον τὸ μὴ ὄν ἐστιν. οὐ γὰρ ἂν ἔτι γίνοιτο. εἴπερ ὂν ἦν. ἐπεὶ οὖν τὸ γινόμενον οὐκ ὄν ἐστι, τὸ δὲ οὐκ ὂν οὐ κινεῖται, τὸ γινόμενον οὐ κινεῖται. οὐδὲ ἡ γένεσις ἂν εἴη κίνησις. ὁμοίως δέ φησι καὶ τὸ ἠρεμεῖν τοῖς ἁπλῶς γινομένοις οὐχ ὑπάρχει. καὶ γὰρ ἡ ἠρεμία ὄντος ἐστὶ στέρησις οὖσα τοῦ πεφυκότος κινεῖσθαι. κινεῖσθαι δὲ πέφυκε τὸ ὄν. ὥστε ὃ ἀδύνατον κινεῖσθαι, τοῦτο καὶ ἠρεμεῖν ἀδύνατον. ἀμφότερα γὰρ τοῦ ὄντος ἐνεργείᾳ ἐστί. δείξας οὖν ἐκ τοῦ τῷ γινομένῳ ὑπάρχειν τὸ μὴ ὄν, ὅτι οὔτε κινεῖται οὔτε ἠρεμεῖ τὸ γινόμενον, ἐπεὶ γὰρ ἄμφω ταῦτα ὄντος εἰσὶν ἐνέργεια, ἐφεξῆς κατ' ἄλλην ἐπιχείρησιν τὸ αὐτὸ δείκνυσιν, ἄτοπόν τι λέγων ἕπεσθαι τοῖς λέγουσι κινεῖσθαι τὸ γινόμενον, εἴπερ μὴ ὄν ἐστιν. εἰ γὰρ πᾶν τὸ κινούμενον ἐν τόπῳ, ὡς δείξει προελθὼν, τὸ δὲ μὴ ὂν οὐκ ἐν τόπῳ καθ' αὑτό, τὸ ἄρα μὴ ὂν οὐ κινεῖται, ἐν δευτέρῳ σχήματι συναχθέντος τοῦ λόγου. καὶ ὅτι μὲν τὸ γινόμενον μὴ ὄν ἐστιν, ὑπέμνησε πρότερον. ὅτι δὲ τὸ μὴ ὂν οὐκ ἐν τόπῳ, συντόμως ἐνεδείξατο, διὰ τοῦ εἴη γὰρ ἂν πού. εἰ δὲ πού ἐστι, δηλονότι καὶ ἔστι, καὶ ἐνεργείᾳ ἐστί. τὸ γὰρ δυνάμει ὂν, οὔτε ἁπλῶς ὄν ἐστιν, οὔτε πού ἐστιν. ὥστε καὶ ἐν πρώτῳ σχήματι δυνατὸν συναγαγεῖν οὕτω. τὸ γινόμενον, τὸ ἐνεργείᾳ μὴ ὄν ἐστι. τὸ ἐνεργείᾳ μὴ ὂν, οὐκ ἔστιν ἐν τόπῳ καθ' αὑτό. τὸ μὴ ὂν ἐν τόπῳ, οὐ κινεῖται. τὸ ἄρα γινόμενον οὐ κινεῖται. ἡ ἄρα γένεσις οὐκ ἔστι κίνησις. δυνατὸν δὲ τὸ αὐτὸ καὶ ὑποθετικῶς συλλογίσασθαι. ὅτι δὲ οὐδὲ ἡ φθορὰ κίνησις, δείκνυσι συντόμως προλαβὼν, ὅτι τῇ κινήσει ἡ κίνησίς ἐστιν ἐναντίον, ἢ ἠρεμία. ἐπεὶ οὖν ἡ φθορὰ ἐναντία ἐστὶ τῇ γενέσει, εἰ ἔστι κίνησις ἡ φθορὰ, ἀνάγκη τὴν γένεσιν ἢ κίνησιν εἶναι ἢ ἠρεμίαν. εἰ οὖν ἡ γένεσις μηδέτερον δέδεικται οὖσα τούτων, δηλονότι οὐδὲ ἡ φθορὰ κίνησίς ἐστιν. ἀλλ' οὐδὲ ἠρεμία. εἴη γὰρ ἂν πάλιν ἡ γένεσις κίνησις. εἴπερ ἐναντία αὕτη ἐστὶ τῇ φθορᾷ. κοινότερον δὲ νῦν τὴν ἠρεμίαν ἀντὶ τοῦ ἀντικειμένην εἰπεῖν, ἐναντίαν εἶπε τῇ κινήσει, στέρησιν αὐτὴν ἀποδεικνύναι μέλλων τῆς κινήσεως.

Ἐ ΠΕΙ ΔΕ πᾶσα κίνησις μεταβολή τις, μεταβολαὶ δὲ τρεῖς αἱ εἰρημέναι. τούτων δὲ αἱ κατὰ γένεσιν καὶ φθορὰν, οὐ κινήσεις. αὗται δέ εἰσιν αἱ κατ' ἀντίφασιν, ἀνάγκη τὴν ἐξ ὑποκειμένου εἰς ὑποκείμενον μεταβολὴν, κίνησιν εἶναι μόνον. τὰ δὲ ὑποκείμενα, ἢ ἐναντία ἢ μεταξύ. καὶ γὰρ ἡ στέρησις κείσθω ἐναντίον, καὶ δηλοῦται καταφάσει, τὸ γυμνὸν, καὶ λευκὸν, καὶ μέλαν.

Τὴν μεταβολὴν τετραχῇ διελὼν, εἴς τε τὴν ἐξ ὑποκειμένου εἰς ὑποκείμενον, καὶ τὴν ἐξ οὐχ ὑποκειμένου εἰς ὑποκείμενον, καὶ τὴν ἐξ ὑποκειμένου εἰς οὐχ ὑποκείμενον, καὶ τὴν ἐξ οὐχ ὑποκειμένου εἰς οὐχ ὑποκείμενον, καὶ τὴν τελευταίαν συμπλοκὴν ὡς ἀσύστατον ἀποκρίνας ἔδειξεν ὅτι οὐδετέρα τῶν δύο μεταβολῶν κίνησίς ἐστιν. οὔτε ἡ ἐξ οὐχ ὑποκειμένου εἰς ὑποκείμενον. ἥτις ἦν ἡ γένεσις. οὔτε ἡ ἐξ ὑποκειμένου εἰς οὐχ ὑποκείμενον

κείμενον. ἢ τις ἦν ἡ φθορά. καὶ ἐπάγει λοιπὸν, ἐπεὶ δὲ πᾶσα κίνησις μεταβολή τις, τὸ δὲ ἄλλο μετ' ἄλλο ἐν αὐτῇ θεωρεῖται, τρεῖς δὲ ἐλείχθησαν αἱ πᾶσαι μεταβολαὶ, ὧν αἱ δύο κατ' ἀντίφασιν, αὗται δὲ ἦσαν αἱ κατὰ γένεσιν καὶ φθορὰν οὐ κινήσεις, ἀνάγκη τὴν λοιπὴν μεταβολὴν τὴν ἐξ ὑποκειμένου εἰς ὑποκείμενον, ταύτην εἶναι κίνησιν μόνην. τὰ δὲ ὑποκείμενα ἐξ ὧν καὶ εἰς ἃ αἱ μεταβολαὶ, ἢ ἐναντία ἐστὶν ἢ μεταξύ. εἶπε δὲ ὅτι καὶ τὰ μεταξὺ εἰς τὰ ἄκρα ὡς ἐναντία μεταβάλλει. ἐπεὶ δὲ καὶ ἐκ στερήσεως γίνεται μεταβολὴ, ἐζήτησεν ἄν τις, πότερον ὡς ἐξ ὑποκειμένου εἰς ὑποκείμενον, ἢ κατ' ἀντίφασίν ἐστιν ἡ τοιαύτη μεταβολή. καὶ λέγει ὅτι ὡς ἐξ ὑποκειμένου εἰς ὑποκείμενον. κείσθω γάρ φησιν ἐναντίον ἡ στέρησις. εἰ δὲ ἐναντίον, δηλονότι καταφάσει δηλοῦται. καταφάσει δὲ δηλούμενον τὸ ὑποκείμενον εἴρηκεν εἶναι πρότερον. ὥστε ἡ στέρησις ὑποκείμενόν ἐστι. καὶ τὸ ἐκ στερήσεως μεταβάλλον εἰς ἕξιν, ὡς ἐξ ὑποκειμένου εἰς ὑποκείμενον μεταβάλλει. τί οὖν οὐχὶ καὶ ἡ γένεσις ἐκ στερήσεως ἐστί. πῶς οὖν οὐχὶ καὶ αὕτη ἐξ ὑποκειμένου. ἢ ὥσπερ τὸ δυνάμει διττόν ἐστι, τὸ μὲν πρὸς οὐσίαν, τὸ δὲ πρὸς συμβεβηκὸς, οὕτω καὶ ἡ στέρησις, ἡ μὲν, οὐσίας ἐστὶν, ἡ δὲ, συμβεβηκότος. καὶ ἡ μὲν τοῦ συμβεβηκότος, διότι ἐν οὐσίᾳ τοῦτό ἐστι, πολλοῦ τοῦ ὄντος μετέχει, καὶ καταφάσει δηλοῦται. καὶ ἔστιν ὑποκείμενον. καὶ δύναται κινεῖσθαι τὸ ἐν ᾧ ἡ στέρησίς ἐστιν, ὡς τὸ νοσοῦν, καὶ ἄμουσον, καὶ γυμνόν. ἡ δὲ τῆς οὐσίας στέρησις, ἐπειδὴ οὐσίας ἐκπεσοῦσα, καὶ τοῦ ὄντος ἐκπέπτωκεν, ἀποφάσει δηλοῦται. ὂν δὲ δηλονότι νῦν τὸ ἐνέργεια καὶ οὐσία λέγεται. καὶ οὐκ ἐκεῖνο τὸ ὂν, οὗ καὶ ἡ στέρησις, καὶ τὸ δυνάμει, καὶ ἡ ὕλη μετέχει. παράδειγμα δὲ τοῦ τὴν στέρησιν καταφάσει δηλοῦσθαι, τὸ γυμνὸν λαβὼν, ἐπήγαγε καὶ τὸ λευκὸν καὶ τὸ μέλαν, δεικνὺς ὅτι ὡς ταῦτα καταφάσει δηλοῦται, οὕτω καὶ τὸ γυμνόν. μή ποτε δὲ καὶ ἄλλό τι ἐνεδείξατο διὰ τούτου, ὅτι τὰ ἐξ ἀλλήλων γινόμενα ἐναντία, οὐ μόνον ὡς ἐξ ἐναντίων γίνεται, ἀλλὰ καὶ ὡς ἐξ ἀποφάσεων. τὸ γὰρ λευκὸν ἐκ τοῦ μέλανος γίνεται, ὅτι τὸ μέλαν οὐ λευκόν ἐστι. καὶ μέντοι καὶ ὡς ἐκ στερήσεως. τὸ γὰρ σῶμα τὸ τέως μέλαν ἀπουσίαν ἔχει λευκοῦ, πεφυκὸς καὶ αὐτὸ δέχεσθαι. στέρησις δὲ οὐδέν ἐστιν ἄλλο, ἢ ἀπουσία τοῦ πεφυκότος ἐνυπάρχειν. τὸ δὲ γυμνὸν οὐ τῆς κυρίως στερήσεώς ἐστι παράδειγμα. ἐκείνη γὰρ οὐκ ἀνακάμπτει ποτὲ εἰς τὴν ἕξιν, ὥσπερ τὸ γυμνὸν εἰς τὸ ἐνδεδύσθαι. οὕτω μὲν οὖν ὁ ἀριστοτέλης τὴν κίνησιν τινὰ μεταβολὴν λέγει, ἐπὶ πλέον οὖσαν τὴν μεταβολὴν τῆς κινήσεως, τὴν γένεσιν καὶ τὴν φθορὰν μεταβολὰς λέγων, κινήσεις δὲ οὔ. ὁ δέ γε πλάτων τοὐναντίον δοκεῖ τὴν κίνησιν ἐπὶ πλέον τῆς μεταβολῆς λέγειν. καὶ γὰρ τὰς μὲν μεταβολὰς τὰς αὐτὰς τῷ ἀριστοτέλει λέγει, κινήσεις αὐτὰς εἶναι βουλόμενος. καὶ γὰρ καὶ τὴν γένεσιν καὶ τὴν φθορὰν ἐν τῷ δεκάτῳ τῶν νόμων ταῖς φυσικαῖς κινήσεσι συναριθμεῖ. κίνησιν δὲ καὶ τὴν τοῦ νοῦ ἐνέργειαν ὀνομάζει, σφαίρας ἐν τόρνου κινήσει τὴν ἐπιστρεπτικὴν τοῦ νοῦ κίνησιν ἀπεικάζων. τοσαύτης οὖν δοκούσης αὐτῶν ἐν τούτοις διαφορᾶς, θαυμάζω εἰ μὴ μόνον μέχρι τῶν ὀνομάτων ἐστὶν ἡ διαφωνία. τὴν μὲν οὖν μεταβολὴν ὁμοίως ἑκάτερος ἐπὶ πάντων τίθησι, τῶν κατὰ χρόνον ἐξαλλαττομένων. κίνησιν δὲ ὁ μὲν πλάτων πᾶσαν τὴν ἀπὸ τοῦ ὄντος ἔκστασιν ὑποθέμενος, τάς τε μεταβολὰς ἁπάσας κινήσεις εἶπεν εἰκότως. καὶ μέντοι καὶ τὰς ἀμεταβλήτους καὶ ἀεὶ κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἐχούσας ἐνεργείας, οὐκ ὤκνησε κινήσεις καλεῖν, διὰ τὴν τῆς ἐνεργείας πρόοδον ἀπὸ τοῦ ὄντος. ἔκστασις γὰρ τῆς οὐσίας ἐστὶν ἡ ἐνέργεια, εἰς οὐσίαν πάλιν ἐρειδομένη. ὁ δέ γε ἀριστοτέλης σύμμετρα φιλοσοφῶν τοῖς πολλοῖς ἀνθρώποις, καὶ τὰς παρακοὰς αὐτῶν φυλαττόμενος, ηὐλαβήθη τὴν τοῦ νοῦ ἐνέργειαν ἀμετάβλητον οὖσαν, ἢ ὡς αὐτὸς ἔτι σεμνότερον εἶπεν οὐσίαν οὖσαν τὴν ἐνέργειαν τοῦ νοῦ κίνησιν εἰπεῖν. ὁ γὰρ ἀκούων κίνησιν εὐθὺς μεταβολὴν ἐννοεῖ, καὶ παθητὸν τὸ κινούμενον ὑποπτεύει. καὶ χρόνον εὐθὺς τῇ κινήσει συναναφέρει. ἐν δὲ ταῖς μεταβολαῖς διαφοράν τινα θεασάμενος, καθ' ὅσον αἱ μὲν, ἐνεργείᾳ ὄντος ἤδη τοῦ μεταβάλλοντος καὶ ὑπομένοντος ἐπιτελοῦνται, ὥσπερ ἀλλοίωσις, καὶ αὔξησις, καὶ μείωσις, καὶ ἡ κατὰ τόπον μεταβολὴ, ἐν πάσαις γὰρ ταύταις ταῖς μεταβολαῖς, τὸ μεταβάλλον οἷον ὁ αὐτὸς ὁ λευκαινόμενος, ἢ ὁ αὐξανόμενος ἢ ὁ βαδίζων, ἐνεργείᾳ ὢν αὐτὸς, καὶ ὑπομένων αὐτὸς, μεταβάλλει κατὰ ταῦτα, τινὲς δὲ τῶν μεταβολῶν οὐκ ἐκ τοῦ ἐνεργείᾳ ὄντος, ἀλλ' ἐκ τοῦ δυνάμει, οὐδὲ ὑπομένοντος ἀλλὰ ἀεὶ ἄλλοτε ἄλλου γινομένου ἐπιτελοῦνται, ὥσπερ ἡ τοῦ ἀνθρώπου γένεσις ἐκ τοῦ σπέρματος, ὅπερ ἐστὶν ἐν τούτῳ οὐσιωμένον, ἐν τῷ δυνάμει ἄνθρωπον εἶναι, ἐνεργείᾳ δὲ οὐδέν ἐστιν, δηλοῖ δὲ τὸ μὴ ἐπιμένειν ἐν τῷ τοῦ σπέρματος εἴδει, ὅπερ ὑπάρχει τοῖς τελείοις καὶ ἐνεργείᾳ ἤδη οὖσιν, ἀλλὰ ἄλλοτε ἄλλο γίνεσθαι, ἕως ἂν εἰς τὸ ἐνεργείᾳ καταντήσῃ, ταύτην οὖν τὴν διαφορὰν ἐν ταῖς μεταβολαῖς θεασάμενος, καὶ ὅτι αἱ μὲν ἐκ τοῦ δυνάμει εἰς τὸ ἐνεργείᾳ, ἐκ τοῦ οὕτω μὴ ὄντος, εἰς τὸ οὕτως ὂν παθητικαὶ μᾶλλόν εἰσιν, εἰ καὶ ἔστι τι καὶ ἐν αὐταῖς βραχύτατον ἐνεργητικὸν, τὸ γὰρ δυνάμει παθητικόν ἐστι μάλιστα, αἱ δὲ ἐκ τοῦ ἐνεργείᾳ ἤδη ὄντος, καὶ ἐνεργεῖν δυναμένων, μεταβολαὶ μέν εἰσι παθητικαὶ καὶ αὗται οὖσαι, φανοτέραν δὲ ἔχουσι τὴν ἐνέργειαν, ἐπεὶ οὖν ἡ κίνησις καίτοι μεταβολή τις οὖσα καὶ πάθος τοῦ κινουμένου, ἐνέργειά τις δοκεῖ ὅμως αὐτοῦ εἶναι, καὶ ἔστιν ἀτελὴς μὲν διὰ τὸ πολλῷ συμμεμίχθαι τῷ πάθει, ἐνέργεια δὲ ὅμως, διαστέλλων τῶν μεταβολῶν τὰς μὲν ἐνεργητικὰς κινήσεις καλεῖ, τὰς δὲ παθητικὰς μεταβολὰς μόνον, ὡς κατὰ τὸ πάθος μάλιστα χαρακτηριζομένας, κἂν ἔχωσι τὸ βραχύτατον καὶ αὗται ἐνεργητικόν. καὶ θαυμάζω τὴν ὀνοματοθέτου σοφίαν, πῶς τὸ μεταβάλλειν καίτοι ἐνεργητικῶς λεγόμενον, πάθος ὅμως δηλοῖ. εἰ οὖν

τὸ τῆς κινήσεως ὄνομα κατ' ἄλλο μὲν σημαινόμενον ὁ Πλάτων ἐκδέχεται, τὴν ἀπὸ τοῦ ὄντος ἔκστασιν τοῦ ὁπωσοῦν ὄντος κίνησιν καλῶν, ὁ δὲ Ἀριστοτέλης κατὰ τὰς κοινὰς τῶν ὀνομάτων προλήψεις, τὴν μεταβολικὴν ἐνέργειαν καλεῖ κίνησιν, ἀλλ' οὔτε τὴν παντελῶς ἀμετάβλητον τὴν τοῦ νοῦ, οὔτε τὴν κατὰ πάθος σχεδόν τι μόνον μεταβολὴν, ἐλάχιστον ἢ οὐδὲν ἔχουσαν τὸ ἐνεργητικόν, τοῦ ὀνόματος οἶμαι οὐ τοῦ πράγματός ἐστιν ἡ διαφορά. ἐπεὶ καὶ ὁ Πλάτων ἀκίνητον ἂν εἴποι ὡς ἀμετάβλητον τὴν τοῦ νοῦ κίνησιν. καὶ τὴν τῶν μεταβολῶν διαφορὰν οὕτω λεπτῶς διακριθεῖσαν ἀποδέξαιτο ἄν. καὶ ὁ Ἀριστοτέλης τὴν ἐνέργειαν ὁμολογῶν τοῦ νοῦ, λέγων αὐτὸν τῇ οὐσίᾳ ἐνέργειαν, εἴ τις δοίη αὐτῷ τοὺς πολλοὺς ἀνθρώπους κίνησιν εἶναι ἀμετάβλητον καὶ ἄχρονον δυναμένους ἐννοεῖν, οὐκ ἂν οἶμαι παραιτήσαιτο τὴν ἐνέργειαν τοῦ νοῦ κίνησιν καλεῖν. ἀλλὰ ταῦτα μὲν ἐμοὶ φίλον οὕτω τῶν φίλων ἀνδρῶν ἀλλήλοις τε καὶ τῇ σοφίᾳ συνοεῖν. εὐθύνουσι δὲ τὸν Ἀριστοτέλη τὴν γένεσιν καὶ τὴν φθορὰν ἐκβάλλοντα τῶν κινήσεων, ἐκ τοῦ τὸ μὲν κινούμενον ἐν τόπῳ εἶναι, τὸ δὲ μὴ ὂν ἐξ οὗ ἡ γένεσις καὶ εἰς ὃ ἡ φθορὰ μὴ εἶναι ἐν τόπῳ. λέγοντες κακῶς τὸ μὴ ὂν ἐξ οὗ ἡ γένεσις τὴν ὕλην λαμβάνειν. καὶ διὰ τοῦτο λέγειν αὐτὴν μὴ εἶναι ἐν τόπῳ. οὐ δὲ γὰρ τὴν πρώτην ὕλην, οὐδὲ τὸ ἁπλῶς σῶμα ἡ γένεσις. οὐδὲ γὰρ σῶμα γίνεται καθὸ σῶμα, ὡς αὐτὸς ἀπέδειξεν ἐν τῇ περὶ οὐρανοῦ. ἀλλὰ τὸ γινόμενον καὶ φθειρόμενον τὸ τοιόνδε σῶμά ἐστι. τοῦτο δὲ πᾶν ἐν τόπῳ. ψευδὴς ἄρα φασὶν ἡ πρότασις, ἡ λέγουσα τὸ μὴ ὂν ἐξ οὗ ἡ γένεσις οὐκ ἐν τόπῳ. ἀλλ' εἴποι ἂν οἶμαι πρὸς ταῦτα, ὅτι οὔτε τὴν πρώτην ὕλην οὔτε τὸ ἁπλῶς σῶμα εἰπὼν μὴ ὂν ἐξ οὗ ἡ γένεσις, εἶπεν αὐτὸ μὴ ἐν τόπῳ εἶναι. ἀλλὰ τὸ δυνάμει καθὸ δυνάμει. ὡς γὰρ ὂν οὐκ ἔστι κατ' ἐνέργειαν τὸ κατὰ τὸ δυνάμει οὕτω μόνον, οὕτως οὐδὲ ἐν τόπῳ κατ' ἐνέργειαν. εἴη γὰρ ἄν που φησίν. εἰ γὰρ ἐν τόπῳ εἴη κατ' ἐνέργειαν, καὶ εἴη ἂν κατ' ἐνέργειαν. εἰ δὲ καὶ τὸ ἁπλῶς μὴ ὂν φασὶ λάβοιμεν, ἀναγκάσομεν αὐτὸν καὶ τὴν γένεσιν κίνησιν φάναι, διὰ τὸν ὅρον τῆς κινήσεως. εἰ γὰρ τὸ ἁπλῶς μὴ ὂν δυνάμει ἐστὶν τοῦτο ὃ γίνεται, ἡ δὲ ἐκ τοῦ δυνάμει ὁδὸς εἰς τὸ ἐνέργειᾳ κίνησίς ἐστιν, ὡς ὁρίζεται αὐτὸς, ἔσται καὶ ἡ ἐκ τοῦ ἁπλῶς μὴ ὄντος ὁδὸς, εἰς τὸ ἐνέργειᾳ ὃ ἦν ἐκεῖνο δυνάμει ὂν κίνησις. εἰ γοῦν αὕτη ἐστὶ γένεσις, δῆλον τὸ συμβαῖνον. τοιοῦτο μὲν οὖν κατὰ ταύτην τὴν λέξιν ἐστὶ τὸ δεύτερον ἐπιχείρημα, εὐαπολυτώτερον οἶμαι τοῦ προτέρου τυγχάνον. ὁ γὰρ ἀποδοθεὶς ἐν τῷ τρίτῳ βιβλίῳ τῆς κινήσεως ὅρος οὗτος, τῆς μεταβολῆς ἦν. καὶ μέχρι τοῦ νῦν ἀδιορίστως ἐχρήσατο τῷ τῆς κινήσεως ὀνόματι καὶ τῆς μεταβολῆς, ἀδιόριστον τὸ δυνάμει λαμβάνων. νῦν δὲ διελὼν αὐτὸ εἰς τὸ ἁπλῶς μὴ ὂν καὶ τὸ τὶ μὴ ὂν, κατὰ ταύτην τὴν διαίρεσιν τὴν κίνησιν διέκρινε τῆς γενέσεως καὶ τῆς φθορᾶς. τὸ δὲ ἐφεξῆς τὸ λέγον μὴ πᾶσαν κίνησιν μεταβολὴν εἶναι, εἴπερ ὁ νοῦς κινεῖται ἀμετάβλητον καὶ ἄχρονον κίνησιν, ἐξ ὑποθέσεως προϊὸν, ἀναφέρεται συλλυομένης τῆς ὑποθέσεως. ὁ γὰρ Ἀριστοτέλης ὡς εἴρηται κατὰ τὰς τῶν πολλῶν δόξας, πᾶσαν κίνησιν μεταβολὴν καὶ ἔγχρονον τιθέμενος, οὐκ ἀξιοῖ τὴν τοῦ νοῦ ἐνέργειαν κίνησιν καλεῖν. ἵνα μὴ μεταβολὴν εὐθὺς καὶ χρόνον ἀκούων ἐπ' ἐκείνης φαντάζηται. ὁ δὲ Πλάτων κἂν λέγῃ κινεῖσθαι τὸν νοῦν καὶ τὴν ψυχὴν, καὶ τὰ φυσικὰ σώματα, κατ' ἄλλο καὶ ἄλλο σημαινόμενον ἑκάστῳ τούτων τὴν κίνησιν ἀποδίδωσιν. ἐπεὶ πῶς καὶ τὸν νοῦν κινεῖσθαι λέγων, τὴν ψυχὴν αὐτοκίνητον κατ' οὐσίαν εἶναι φησίν. εἰ γὰρ πᾶν τὸ κινούμενον ἢ ὑφ' ἑαυτοῦ ἢ ὑπὸ ἄλλου κινεῖται, τοῦτο γὰρ καὶ πρὸ τοῦ Ἀριστοτέλους ὁ Πλάτων ἠξίωσε, καὶ προϋπάρχει τὸ ὑφ' ἑαυτοῦ κινούμενον τοῦ ὑπὸ ἄλλου κινουμένου, ὁ νοῦς ἂν εἴη κατὰ αὐτὸν πρὸ τῆς ψυχῆς αὐτοκίνητος. ἀλλὰ τὴν μὲν ἐν τῷ νῷ κίνησιν κατὰ τὴν ἀπὸ τοῦ ὄντος ὄντως πρώτην εἰς ἐνέργειαν ἔκστασιν ἐθεάσατο. τὸ δὲ αὐτοκίνητον τῆς ψυχῆς κατὰ τὴν ἀφ' ἑαυτῆς διάκρισιν, καὶ τὴν ἐν αὐτῇ διπλόην, καθ' ἣν αὐτογένητός γε ὑπέστη. τὸ γὰρ αὐτοζῶον καὶ τὸ αὐθυπόστατον οἶμαι καὶ τῷ νῷ προσήκειν. τὴν δέ γε φυσικὴν κίνησιν κατὰ τὴν τοῦ προτέρου καὶ ὑστέρου κατὰ χρόνον μεταβολὴν καὶ αὐτὸς ἐθεάσατο, ὁμοίως τῷ Ἀριστοτέλει. πλὴν ὅτι ὁ μὲν Πλάτων πάσας τὰς φυσικὰς μεταβολὰς κινήσεις ἠξίωσε καλεῖν. ἣν ἐζήλωσε δόξαν καὶ Ἀριστοτέλης ἐν ταῖς κατηγορίαις, καὶ ἐν ταύτῃ τῇ πραγματείᾳ μέχρι τοῦδε. τὸν γοῦν ὅρον τῆς μεταβολῆς ὡς κινήσεως ἀπέδωκεν ἐν τῷ τρίτῳ. εὑρὼν δὲ τὴν εἰρημένην ἐν ταῖς μεταβολαῖς διαφορὰν, κατὰ ταύτην διέστησε τὴν κίνησιν ἀπὸ τῆς γενέσεως καὶ φθορᾶς. εἰ δὲ δοκεῖ διὰ τοὺς δυσχεραίνοντας πρὸς τὴν διαφορὰν τῆς κινήσεως καὶ τῆς μεταβολῆς, κἂν μακρότερος ὁ λόγος γίνηται, πειραθῶμεν σαφέστερόν τι περὶ αὐτῶν εἰπεῖν. τῶν ὄντων ἐπειδὴ τὰ μέν ἐστιν οὐσίαι, τὰ δὲ συμβεβηκότα, δηλονότι καὶ αἱ μεταβολαὶ αἱ μὲν εἰς οὐσίαν γίνονται, αἱ δὲ, εἰς συμβεβηκός. καὶ τὸ δυνάμει ὂν, ἤτοι τὸ μὴ ὂν, ἐξ οὗ ἡ μεταβολή, τὸ μὲν, πρὸς οὐσίαν δυνάμει ἀντιφάσκει, τὸ δὲ, πρὸς συμβεβηκός. κοινῶς μέντοι καθόσον ἐκ τοῦ μὴ ὄντος εἰς ὂν, μεταβολὴ ἡ τοιαύτη γένεσίς ἐστι. τὸ γὰρ πρότερον μὴ ὂν, ὕστερον δὲ ὂν, διὰ γενέσεως ἔχει τὸ εἶναι. ἀλλ' ἡ μὲν εἰς οὐσίαν μεταβολή, ἁπλῶς γένεσις. οἷον ἄνθρωπος ἐκ μὴ ἀνθρώπου. ὅτι καὶ κυρίως ὂν ἡ οὐσία. ἡ δὲ εἰς συμβεβηκὸς, οἷον ἐκ λευκοῦ εἰς μὴ λευκὸν, τὶς γένεσις. ὅτι καὶ τὶ ὂν τὸ συμβεβηκὸς, μὴ καθ' ἑαυτὸ ὑπάρχον, ἀλλὰ τῇ οὐσίᾳ πάντως παραφυόμενον. ἑκατέρα μέντοι γένεσις, καθόσον ἐκ μὴ ὄντος εἰς ὂν μεταβολή. καὶ κατὰ ἀντίφασιν, ὅπερ ἴδιον γενέσει τε καὶ φθορᾷ, ἀντικειμένη. ἐπειδὴ δὲ πάλιν τῶν δυνάμει τούτων ἀφ' ὧν ἡ μεταβολή, τὸ μὲν πρὸς συμβεβηκὸς πεφυκὸς οὐσία ἐστὶν ὑπομένουσα

κατὰ τὸ

κατὰ τὸ ὑποκείμενον αὐτὴ καθ' ἑαυτὴν τελεία καὶ ἐνεργός, καὶ οὐ συμπληροῦσά τινα ἄλλην οὐσίαν μετὰ
τοῦ συμβεβηκότος. οἷον ὁ ἄνθρωπος ἐκ μέλανος εἰς λευκὸν μεταβάλλων. ἢ ἐκ βραχυτέρου εἰς μεῖζον. ἢ
ἀπὸ τοῦ κάτω εἰς τὸ ἄνω. ὅτε καὶ τὸ ἐναντίον πάντως ἔχει τῷ εἰς ὃ μεταβάλλει ἡ ὑποκειμένη οὐσία. ἢ γὰρ
εἰς λευκὸν μέλαν ὂν πρότερον, ἤ τι τῶν μεταξὺ χρωμάτων ἔχον, οὕτως εἰς λευκὸν μεταβάλλει. καὶ
ἐπὶ τῶν ἄλλων ὡσαύτως. τὸ δέ γε πρὸς οὐσίαν δυνάμει, οἷον ὁ μὴ ἀήρ, ἀφ' οὗ ἡ εἰς ἀέρα γίνεται μετα-
βολή, κἂν εἴη ὕδωρ ἢ σῶμα ἄποιον, ἀλλὰ τὸ μὲν ὕδωρ οὐχ ὑπομένει ἐν τῇ εἰς τὸν ἀέρα μεταβολῇ, τὸ δὲ
ἄποιον σῶμα συμπληρωτικόν ἐστιν ἑκατέρας οὐσίας. καὶ οὐδὲ τὸ ἐναντίον τῷ εἰς ὃ ἡ μεταβολή ἐστιν,
ἐν τῷ πρὸς οὐσίαν δυνάμει. οὐ γάρ ἐστί τι τῇ οὐσίᾳ ἐναντίον. ἐπεὶ οὐσίας πάλιν δέονται ἄμφω τῆς
παρὰ μέρος τὰ ἐναντία δεχομένης. κἂν κοινὸν ἀμφοτέραις ταῖς μεταβολαῖς, τὸ ἐκ μὴ ὄντος εἰς ὄν,
καὶ ἐκ τοῦ δυνάμει εἰς τὸ ἐνεργείᾳ, ἀλλὰ καὶ διαφορά τις ἀξιόλογος ἐν αὐταῖς ὁρᾶται. καθόσον ἡ μὲν
ὑποκειμένου τινός ἐστι τελείου καὶ ὑπομένοντος, καὶ ἐκ τοῦ συμβεβηκότος αὐτῷ καὶ μὴ συμπληροῦντος
αὐτοῦ τὴν οὐσίαν ἐναντίου, εἰς τὸ ἐναντίον μεταβάλλοντος. ἡ δέ, οὐκ ἐκ τοῦ τοιούτου. ἀλλ' ἐκ τοῦ δυνάμει
ἀτελοῦς ὡς πρὸς τὸ ὄν, καὶ ἐκ τοῦ οὕτω μὴ ὄντος εἰς τὸ ὄν. καὶ ἀπὸ στερήσεως εἰς εἶδος, οὐ συνόντος τῇ στερή-
σει τοῦ ἐναντίου εἴδους, τῷ εἰς ὃ ἡ μεταβολή, ὥσπερ ἐπὶ τῶν συμβεβηκότων. οὐ γάρ αὐτή ἐστιν ἡ ὑπο-
μένουσα οὐσία. ἀλλὰ στέρησις, καὶ τὸ δυνάμει τῆς ὕλης, καὶ αὐτὴ ἡ ὕλη. κἂν γὰρ τὸ ἄποιον σῶμα ὑπομένῃ,
ἀλλὰ καὶ τοῦτο ὑλικόν ἐστι καὶ ἀνενέργητον, ἕως ἂν τῶν ποιοτήτων μετάσχῃ. καὶ τὸ δυνάμει καὶ τὸ μὴ ὄν,
οὕτως ἐστὶ πρὸς τὸ σύνθετον εἶδος, ὡς καὶ ἡ πρώτη ὕλη. καὶ γὰρ ἐκ τούτου ὡς ἐξ ἐκείνης τὸ σύνθετον. οὐ γὰρ
οὕτως ἔχει τοῦτο πρὸς τὰς οὐσιώδεις ποιότητας, ὡς πρὸς τὸ λευκὸν ὁ ἄνθρωπος. καὶ ὅτι μὲν πολλή τις
τῶν μεταβολῶν τούτων ὁρᾶται διαφορά, δῆλον ἐκ τῶν εἰρημένων. διατί δὲ τὴν μὲν κατὰ ἀντίφασιν
γένεσιν εἶναι, τὴν δὲ ἐκ τοῦ ἐναντίου κίνησιν λέγει, ἄξιον ἐπισκέψασθαι. καὶ γὰρ ἡ κατὰ ἀντίφασιν ἔκστασις
οὖσα, ἀπὸ τοῦ μὴ ὄντος εἰς τὸ ὄν, ἢ ἀνάπαλιν, δοκεῖ κίνησις. καὶ ἡ εἰς τὸ ἐναντίον, τὸ πρότερον μὲν μὴ ὄν,
ὕστερον δὲ ὄν, γένεσις. κατὰ τίνα οὖν σημαινόμενα, συνδιαιρεῖ τοῖς πράγμασι τοῖς διαφέρουσι τὰ ὀ-
νόματα. ἢ ὅτι ἡ μὲν κίνησις ἐνεργητική τις εἶναι μεταβολὴ δοκεῖ. κινεῖται οὖν οὐκ ἄλλό τι, ἀλλ' ἢ τὸ
ἐνεργεῖν δυνάμενον. ἐνεργεῖ δὲ τὸ ἐνεργείᾳ. ἐνέργεια δέ ἐστι τὸ τέλειον εἶδος. ὥστε κἂν ἔχῃ τι ἀτελὲς
καὶ δυνάμει, καθόσον μεταβάλλει, ἀλλὰ καθόσον ἐνεργεῖ ἐνέργειά ἐστιν. ἡ μέντοι γένεσις εἰς ὂν οὖσα με-
ταβολὴ καὶ εἰς οὐσίαν, τοῦ ἀτελοῦς πάντως καὶ τῆς μὴ οὐσίας ἐστίν. ὅπερ κατὰ τὸ δυνάμει μᾶλλον θεω-
ρεῖται, καὶ οὐ κατὰ τὸ ἐνεργείᾳ. διὰ τοῦτο οὖν ἡ μὲν ἐκ τοῦ ἐναντίου ἢ τοῦ μεταξὺ εἰς τὸ ἐναντίον, ταυτὸν
δὲ εἰπεῖν ἐξ ὑποκειμένου εἰς ὑποκείμενον, ὅτι τοῖς ἐναντίοις ὑπόκειται ἡ οὐσία. ἐπειδὴ δὲ οὐσίας ἐστὶ με-
ταβολὴ καὶ ἐνέργεια τινὸς ὄντος, οἷον ἀνθρώπου, κίνησίς ἐστι καὶ οὐ γένεσις. οὐ γὰρ γίνεται ὁ ἄνθρωπος
ἐὰν μελανθῇ ἢ βαδίσῃ. ὅτι οὐκ ἔστι τις οὐσία ὁ μελανθεὶς ἢ ὁ βαδίσας ἄνθρωπος. ἀλλ' οὐσία καὶ συμβεβη-
κός. διὰ τοῦτο ἡ τοιαύτη μεταβολὴ ὡς ἐνέργεια κίνησις λέγεται. τὸ δέ γε ἀτελὲς καὶ δυνάμει καὶ μή πω
ὄν, εἰ καὶ πάσχει τὴν εἰς τὸ ὂν μεταβολήν, ἀλλ' οὔπω πάσχει ὡς ὂν καὶ οὐσία γινόμενον. ἀλλ' οὐχ ὡς ἐνέργεια
οὐσία ὢν ὁ ἄνθρωπος ἐκ μέλανος εἰς λευκὸν μεταβάλλει. οὐ γὰρ εἰς εἶδος οὐδὲ εἰς οὐσίαν ἡ τοιαύτη μεταβο-
λή. διὸ οὐ γένεσις. ἀλλὰ καὶ τελείου. διὸ ἐνέργεια καὶ κίνησις. καὶ διὰ τοῦτο ὁ Ἀριστοτέλης διετείνατο, ὅτι τὸ
μὴ ὂν οὐ κινεῖται. οὐ γὰρ ἐνεργεῖ. τὸ γὰρ ἐνεργοῦν ὂν εἶναι χρὴ πάντως. καὶ ὅτι συνανῄρηται τὸ εἶναι τῷ
ἐνεργεῖν. ὥστε καὶ συνεπιφέρεται. καὶ μέντοι ὅτι ὂν ἐκεῖνο νομίζομεν ὡς καὶ ὁ Πλάτων μαρτυρεῖ, τὸ
ποιεῖν δυνάμενον καὶ πάσχειν. τὸ δέ γε μὴ ὂν εἴπερ εἰς τὸ ὂν πρόεισι καὶ εἰς οὐσίαν, γίνεσθαι μὲν ἂν λέγοιτο,
κινεῖσθαι δὲ οὔ. σημεῖον δὲ τῆς ἀτελείας αὐτοῦ καὶ τὸ μὴ εἶναι ἐν τόπῳ παρέλαβεν ὁ Ἀριστοτέλης. τὸ μὲν
γὰρ τέλειον ἤδη καὶ ἐνεργεῖν δυνάμενον φυσικόν, ἅτε ταῖς οἰκείαις ποιότησι πεπληρωμένον, ἢ κοῦφον
ἐστὶν ἢ βαρύ. καὶ πάντως ἢ ἄνω ἢ κάτω. καὶ γὰρ αὐτὸς πᾶν τὸ ἐν τόπῳ ἢ κοῦφον ἢ βαρύ φησι. τὸ δέ γε ἀτε-
λὲς καὶ μὴ ὄν, εἴτε τὴν ὕλην λέγοι τις, εἴτε τὸ ἄποιον σῶμα, μετὰ τοῦ δυνάμει ἢ τῆς στερήσεως, ἅτε μὴ
ἔχοντα κουφότητα ἢ βαρύτητα, οὐκ ἔστιν ἐν τόπῳ. ἀλλ' εἰ ἡ κίνησις τοῦ κινουμένου πάθος οὖσα ὅμως
λέγεται ἐνέργεια, διατί μὴ καὶ ἡ γένεσις τοῦ γινομένου πάθος οὖσα, ῥηθείη ἂν καὶ αὐτὴ ἐνέργεια, καὶ διὰ
τοῦτο κίνησις. ἢ οὐδ' ἂν λέγοιτο πάθος ὅλως ἡ γένεσις, ὅτι τὸ πάθος διάθεσίς τις εἶναι βούλεται τοῦ ὄντος
κατ' αὐτόν. λέγει γοῦν καὶ ἐν τοῖς ἑξῆς περὶ ποιοῦ γράφων. λέγω δὲ ποιὸν οὐ τὸ ἐν τῇ οὐσίᾳ. καὶ γὰρ ἡ δια-
φορὰ ποιόν. ἀλλὰ τὸ παθητικόν, καθὸ λέγεται πάσχειν ἢ ἀπαθὲς εἶναι. ὥσπερ γὰρ καὶ κινεῖσθαι ἀδύ-
νατόν ἐστι τὸ μὴ ὄν, οὕτω καὶ πάσχειν. εἰ δέ τις καὶ τὴν γένεσιν πάθος εἶναι βιάζοιτο, ἄλλο τοῦτο πάθους ση-
μαινόμενον. ὅπερ οὐκ ἂν εἰς ταυτὸν ἔρχοιτο τῇ κινήσει. ἔτι δὲ ἄν τις καὶ ἐντεῦθεν ἴδοι τῆς κινήσεως πρὸς
τὴν γένεσιν καὶ τὴν φθορὰν τὴν διαφοράν. τὸ κινούμενόν τι πάντως ὂν οὕτω κινεῖσθαι λέγομεν. βαδίζει γὰρ
ὁ ἄνθρωπος, καὶ λευκαίνεται μένων ἄνθρωπος. τὸ δὲ γινόμενον ἅτε αὐτὸ ὅλον καθ' ἑαυτὸ τὴν μεταβολὴν ἴσχον, οὐχ
ὑπομένει. τεκμήριον δὲ τούτου ἐναργές. κινούμενον γὰρ ἐκεῖνο λέγομεν, ὅπερ μετ' ὀλίγον ἔσται κεκινημένον.
καὶ κεκινημένον ὃ πρὸ ὀλίγου κινούμενον ἦν, ὡς ὑπομένοντος κατ' ἄμφω τοῦ αὐτοῦ. ἐπὶ δὲ τῆς γενέ-
σεως οὐχ οὕτως. οὐ γὰρ ὅπερ ἐστὶ γινόμενον, τοῦτο ἐστὶ γεγενημένον. γινόμενον γὰρ ὕδωρ ὁ ἀήρ ἐστιν. οὐ
μέντοι γεγενημένον ἐστὶν ὁ ἀὴρ ὕδωρ. οὐδὲ ἔστιν ὅλως. ὅπερ γὰρ πολλάκις εἶπον. ὅλῳ ἑαυτῷ καὶ οὐ

κατά τι μετέβαλε. διὸ οὐκ ἔστιν ἐν τῇ γενέσει τὸ ὑποκείμενον. τί οὖν ἐροῦσιν ἄν τις ἐν τῇ εἰς ὕδωρ ἐξ ἀέρος μεταβολῇ, οὐχὶ μεταβαλὼν ὁ ἀὴρ τὴν θερμὴν ποιότητα εἰς τὴν ψυχρὰν, μενούσης τῆς ὑγρᾶς ἐγένετο ὕδωρ, καὶ τοῦ ἀποίου σώματος ὑπομείναντος, καὶ ἄλλων ἴσως πολλῶν; ἢ εἰ μὲν ἀποβαλὼν τὴν θερμὴν ποιότητα καὶ μεταλαβὼν τὴν ψυχρὰν, ὁ ἀὴρ, ἔμενεν ὅμως ἀὴρ ὁ αὐτὸς, ποτὲ μὲν ψυχρὸς ποτὲ δὲ θερμὸς γινόμενος, ὥσπερ ἀμέλει κατὰ θέρος καὶ χειμῶνα πάσχει, οὔτε εἰς οὐσίαν ἂν ἦν ἡ μεταβολὴ, οὔτε γένεσις τὸ τοιοῦτον ἀλλ' ἀλλοίωσις. εἰ δὲ οὐσιώδης ἦν ἡ ἀποβληθεῖσα θερμότης, οὐκέτι ἔμεινεν ὁ ἀὴρ ὁ ἀποβαλών. ὥστε οὐχ ὑπομένει οὐσία, οὐδὲ εἶδος. ἀλλὰ πάλιν τὸ ἀτελὲς καὶ τὸ δυνάμει, καὶ τὸ μὴ ὂν, ἀφ' οὗ ἡ γένεσις. ἀλλ' οὐδὲ τὸ ὑγρὸν τοῦ ἀέρος ὑπομένειν οἶμαι ἐν τῇ εἰς ὕδωρ μεταβολῇ, πλὴν κατὰ συνήθειαν. ἐπεὶ ἄλλο τῷ εἴδει τὸ τοῦ ἀέρος ὑγρὸν, καὶ ἄλλο τὸ τοῦ ὕδατος. τεκμήριον δὲ τοῦ ἐν μὲν τῇ γενέσει μὴ εἶναι τινὰ τὴν ὑπομένουσαν οὐσίαν, ἐν δὲ τῇ κινήσει εἶναι, τὸ τὴν μὲν γένεσιν κατὰ ἀντίφασιν τοῦ ὄντος καὶ τοῦ μὴ ὄντος ἐπιτελεῖσθαι, τὴν δὲ κίνησιν ἐξ ἐναντίου εἰς ἐναντίον. οἷς ἀνάγκη ὑποκεῖσθαι οὐσίαν ὑπομένουσαν, τὰ ἐναντία παρὰ μέρος πεφυκυῖαν ὑποδέχεσθαι, ἢ τὰ μεταξὺ, ἢ τὴν ἀντικειμένην τῷ συμβεβηκότι στέρησιν. οἷον ἀμουσίαν, ἢ νόσον, καὶ τὸ γυμνόν. ἅτινα διὰ τὸ οὐσίαις συνυπάρχειν ὑπομενούσαις, καὶ καταφατικῶς λέγονται, καὶ εἰδοποιεῖταί πως. ἡ δέ γε τῆς οὐσίας στέρησις ὄντως μὴ ὄν ἐστι. καὶ ἄλλως δὲ οἰκείως ταῖς ἀριστοτέλους ὑποθέσεσι τήνδε ἄν τις οἶμαι τῆς γενέσεως καὶ τῆς κινήσεως ἴδοι τὴν διαφοράν. πᾶσαν μὲν γὰρ μεταβολὴν τὸ ἄλλο μετ' ἄλλο πάντως ἔχειν φησίν. ἀλλὰ τινὰ μὲν ἀθρόαν καὶ ἄχρονον θεασάμενος, καὶ οὐκ ἐν παρατάσει τὸ εἶναι ἔχουσαν, γένεσιν μὲν αὐτὴν ἐκάλεσεν, ὅτι ἐκ τοῦ μὴ ὄντος εἰς τὸ ὂν, καὶ φθορὰν, ὅτι ἐκ τοῦ ὄντος εἰς τὸ μὴ ὄν. κίνησιν δὲ οὔ, ὅτι ἐν παρατάσει καὶ ἐν χρόνῳ πᾶσα κίνησις. τὸ δὲ εἶδος παραγίνεσθαι καὶ ἀπογίνεσθαι φησὶν ἀχρόνως. κἂν δοκῇ τις χρόνος ἐν τῇ γενέσει δαπανᾶσθαι, μὴ τῆς γενέσεως εἶναι τοῦτο μέρος, ἀλλὰ τῆς κινήσεως τῶν ἐν τῇ γενέσει κινουμένων εἰδῶν καὶ ἀλλοιουμένων. ὧν τῇ πολυειδεῖ ῥοπῇ καὶ ἀλλοιώσει ἀθρόως ἤδη γίνεται τὸ εἶδος. διὸ ἡ μὲν κίνησις ἐν τῷ γίνεσθαι ἔχει τὸ εἶναι. καὶ ἔστι γένεσις κινήσεως. ὅτι τὸ ἀεὶ ὂν τῆς κατὰ τὴν κίνησιν παρατάσεως γέγονε. γενέσεως δὲ γένεσις οὐκ ἔστιν ὡς αὐτὸς δείκνυσιν. οὐδὲ κινήσεως κίνησις. καίτοι εἰ εἶχε παράτασιν καὶ ἡ γένεσις, ὥσπερ ἡ κίνησις καὶ ἀεὶ ἄλλοτε ἄλλο αὐτῆς εἰς τὸ ὂν παρῆν, ἐν τῷ γίνεσθαι ἂν εἶχε τὸ εἶναι. καὶ ἦν ἂν γενέσεως γένεσις. ἀλλ' εἰ τὸ κοινὸν ὄνομα τῆς μεταβολῆς ἐξηγούμενος, μετ' ἄλλο γάρ τι φησὶ, καὶ τὸ μὲν πρότερον δηλοῖ, τὸ δ' ὕστερον, πῶς οὐ δόξει πᾶσα μεταβολὴ τὸ πρότερον καὶ ὕστερον ἔχουσα, καὶ χρόνου παράτασιν ἔχειν. ὥστε καὶ ἡ γένεσις. ἢ ἔστι μὲν ἐν προτέρῳ χρόνῳ τὸ ἐξ οὗ ἡ γένεσις. οἷον τὸ σπέρμα. καὶ ἔστιν ἐν ὑστέρῳ χρόνῳ τὸ εἰς ὃ, οἷον ὁ ἄνθρωπος. καὶ ἔστι καὶ τὸ μεταξὺ χρόνος. ἀλλ' οὐ τοῦ εἴδους ὁ χρόνος οὗτος. οὔπω γὰρ ἔστιν, εἴπερ ἀχρόνως παραγίνεται. ἀλλὰ τῶν πρὸ τοῦ εἴδους καὶ τῶν ἀποκειμένων τῷ εἴδει, οἷς ἐπανθεῖ. καὶ τούτων δὲ ἕκαστον εἰ ὡς γινόμενον θεωρήσεις, οἷον σάρκα καὶ ὀστοῦν καὶ νεῦρον, καὶ τούτων ἀθρόαν εὑρήσεις τὴν γένεσιν. εἰ δὲ μὴ ὡς εἶδός τι ἄλλο λαμβάνοντα, ἀλλ' ὡς κατὰ τὰς παθητικὰς ποιότητας θερμαινόμενα, ἀλλοίωσις ἔσται τοῦτο καὶ οὐ γένεσις.

ΕἸ ΟΥ̂Ν αἱ κατηγορίαι διῄρηνται οὐσίᾳ καὶ ποιότητι. καὶ τῷ ποὺ καὶ τῷ ποτὲ, καὶ τῷ πρός τι, καὶ τῷ ποσῷ, καὶ τῷ ποιεῖν ἢ πάσχειν;

Διελὼν τὴν μεταβολὴν εἴς τε τὴν γένεσιν καὶ τὴν φθορὰν, καὶ εἰς τὴν κίνησιν, καὶ δείξας ὅτι ἡ κατ' οὐσίαν μεταβολὴ γένεσίς ἐστι καὶ φθορὰ, ἡ δὲ κατά τι τῶν συμβεβηκότων, κίνησις, ἤδη διελὼν δὲ καὶ τὴν γένεσιν καὶ τὴν φθορὰν εἴς τε τὴν ἁπλῶς καὶ εἰς τὴν τινὰ, βούλεται λοιπὸν καὶ τὴν κίνησιν διελεῖν, τὴν διαίρεσιν αὐτῆς κατὰ τὰς κατηγορίας ποιούμενος. ἐν ὅσαις γὰρ ἂν τῶν κατηγοριῶν δειχθῇ κίνησις οὖσα, τοσαῦτα ἔσται καὶ τὰ τῆς κινήσεως εἴδη. ἐπειδὴ δὲ ἡ κίνησις μεταβολὴ ἦν ἐξ ὑποκειμένου εἰς ὑποκείμενον, καὶ ἐξ ἐναντίου εἰς ἐναντίον, ἐκθέμενος ἑπτὰ κατηγορίας, ἐν αἷς ἔδοξεν ἂν εἶναι κίνησις, οὐσίαν, ποιὸν, ποῦ, πρός τι, ποσὸν, καὶ τὸ ποιεῖν, καὶ τὸ πάσχειν, καὶ δείξας ὅτι ἐν τοῖς τέτρασι τούτων οὐκ ἔστι κίνησις, καταλέλοιπεν ἐν τοῖς τρισὶν αὐτὴν, ποιῷ, ποσῷ, καὶ τῷ ποῦ. διὸ καὶ τρεῖς αἱ πᾶσαι κινήσεις κατὰ γένος. ἐν δὲ τῇ ἀπαριθμήσει τῶν κατηγοριῶν παρέλιπε τὸ ποτὲ, καὶ τὸ κεῖσθαι, καὶ τὸ ἔχειν, ὡς προδήλως ἐν τούτοις μὴ οὔσης τῆς κινήσεως, κατά φησιν ὁ ἀλέξανδρος. διότι μὴ ἔστιν ἐν αὐτοῖς ἐναντίωσις. οὔτε γὰρ ἐν τῷ κεῖσθαι, οὔτε ἐν τῷ ἔχειν, οὔτε ἐν χρόνῳ. ἡ δὲ κίνησις ἐξ ἐναντίου εἰς ἐναντίον. τὸ δέ γε κεῖσθαι καὶ τὸ ἔχειν ἠρεμίᾳ μᾶλλον ἔοικεν ἢ κινήσει. ἐπειδὴ δὲ ἐν τῷ χρόνῳ δοκεῖ τις εἶναι ἐναντίωσις, τοῦ παρελθόντος πρὸς τὸ μέλλον, καὶ τοῦ νεωτέρου πρὸς τὸ πρεσβύτερον, ὁ ἀλέξανδρος σπουδάζει διὰ πλειόνων δεικνύναι ὅτι οὐκ ἔστιν ἐν τῷ χρόνῳ κίνησις. πᾶσα μὲν γὰρ κίνησίς φησι μετὰ χρόνου καὶ ἐν χρόνῳ. οὐ μὴν εἰς χρόνον τι κινεῖται. ὡς γὰρ εἰς κίνησιν οὐδὲν κινεῖται, οὕτως οὐδὲ εἰς χρόνον. κινήσεως γάρ τι ὁ χρόνος. εἰ γάρ τι εἰς χρόνον κινεῖται, ἤτοι οὐκ ἔχον χρόνον ἤδη τὸ ἔχειν κινεῖται. ἢ ἔχον ἕτερον ἄλλον ἐξ ἄλλου. ἀλλὰ τὸ μὲν ἐκ τοῦ μὴ ἔχειν χρόνον εἰς τὸ ἔχειν κινούμενον, πρὸ τοῦ ἐν χρόνῳ εἶναι, εἴη ἂν ἐν χρόνῳ. εἰ γὰρ ἵνα σχῇ χρόνον κινεῖται. πάσῃ δὲ κινήσει παρακολουθεῖ χρόνος εἴη ἂν ἐν χρόνῳ ἤδη, καθὸ καὶ ἐν κινήσει. ἔτι γένεσις ἀλλ' οὐ κίνησις ἐξ οὐχ

ὑποκειμένου

ὑποκειμένου εἰς ὑποκείμενον. ἀλλ' οὐδὲ ἐξ ἄλλου φησὶ χρόνου εἰς ἄλλον χρόνον κινήσεται. ἔσται γάρ τις
μεταξὺ χρόνος τοῦ τε ἐξ οὗ καὶ τοῦ εἰς ὅν, ὁ τῇ κινήσει παρακολουθῶν. ὥστε οὐδέπω ὂν ἐν ἄλλῳ χρό-
νῳ, εἴ γε ἐπ' αὐτὸν κινεῖται, εἴη ἂν ἐν ἄλλῳ τῷ τῆς κινήσεως χρόνῳ. ἔτι ἡ μὲν κίνησις ἐξ ἐναντίου εἰς
ἐναντίον. χρόνος δὲ χρόνῳ οὐκ ἔστιν ἐναντίος. καὶ κοινῶς δὲ εἰ πᾶσα μεταβολὴ ἢ ἐξ ἐναντίου ἢ ἐξ ἀντι-
φάσεως, καὶ τὰ εἰς χρόνον κινούμενα οὕτω κινοῖτ' ἄν. ἀλλ' ἐκ μὲν ἀντιφάσεως, ἀδύνατον. ἐδείχθη γὰρ
ὅτι ἐκ μὴ χρόνου εἰς χρόνον οὐχ οἷόν τε κινεῖσθαι. ἔσται γὰρ ἐν χρόνῳ πρὸ τοῦ εἶναι ἐν χρόνου. οὐδὲ ὡς
ἐξ ἐναντίων δέ, οὐ γάρ ἐστιν ἐν χρόνῳ ἐναντίωσις. ἔτι φησὶ τὸ εἰς χρόνον κινούμενον, εἰς μέτρον κινήσεως
κινεῖται. ἔνθα δὲ τὸ μέτρον, καὶ τὸ μετρούμενον. ὥστε ἅμα καὶ εἰς κίνησιν κινεῖται. δείξει δὲ ὁ ἀριστοτέ-
λης ὅτι κίνησις εἰς κίνησιν οὐκ ἔστιν, ὅτι μηδὲ κινήσεως κίνησις ἐστίν. ἔτι φασὶν ἡ κίνησις ἐξ ὑποκειμένου
εἰς ὑποκείμενον. ὁ δὲ χρόνος ἐν τῷ γίνεσθαι τὸ εἶναι ἔχει. καὶ οὐκ ὑποκείμενον. ἢ εἰ ὑποκείμενον ἦν φησιν.
ὡς τὸ καταφάσει δηλούμενον, ἦν ἂν ὁ χρόνος καὶ οὐκ ἐγένετο. τινὲς δὲ καὶ τοιαῦτα ἐπάγουσι πρὸς τὸ
μὴ εἶναι κατὰ χρόνον κίνησιν, ὅτι καθ' ὅσα κινεῖσθαι δυνατόν, κατὰ τοσαῦτα καὶ ἠρεμεῖν. καὶ γὰρ
κατὰ τὸ ποιὸν καὶ κατὰ τὸ ποσὸν καὶ τὸν τόπον. καὶ κινεῖσθαι καὶ ἠρεμεῖν δυνατόν. εἰ οὖν κατὰ χρό-
νον μὴ δυνατὸν ἠρεμεῖν, διότι ἀεὶ ὁ ἐπιὼν χρόνος ἕτερος, οὐδὲ κινεῖσθαι δυνατὸν κατὰ χρόνον. ἔτι
ἀλλάσσει τι χρόνον καὶ ἠρεμοῦν οὐδὲν ἔλαττον, ὡς ἤδη τῷ πρόσθεν ἔδειξεν αὐτός. ὅτι δὲ οὐκ ἔστιν ἐν
χρόνῳ ἐναντίωσις, οὕτως ἂν οἶμαί τις δείξειε. τὰ ἐναντία εἰς ἄλληλα μεταβάλλειν πέφυκεν. ἀλλ' οὐ τὸ
ἕτερον μόνον εἰς τὸ ἕτερον. ἐν δὲ τῷ χρόνῳ ἢ τοῖς ἐν τῷ χρόνῳ τὰ δοκοῦντα ἐναντία, παρεληλυθὸς
ἐστὶ καὶ μέλλον, ἢ τὸ νεώτερον ἢ πρεσβύτερον. ὧν τὸ μὲν παρεληλυθὸς εἰς τὸ μέλλον μεταβάλλει.
τὸ δὲ μέλλον εἰς τὸ παρεληλυθὸς οὐκέτι. καὶ τὸ μὲν νεώτερον εἰς τὸ πρεσβύτερον μεταβάλλει. τὸ
δὲ πρεσβύτερον εἰς τὸ νεώτερον οὐκέτι. ὥστε οὐκ ἂν εἶεν ταῦτα ἐναντία. εἰ δὲ μὴ ταῦτα, οὐδὲ ἄλλην
ἐστὶν εὑρεῖν κατὰ χρόνον ἐναντίωσιν. ἐν δὴ τούτοις ἐπιστῆσαι χρή, ὅτι κἂν μὴ ἡ κυρίως ἐναντίωσις τῷ
χρόνῳ, ἀλλὰ ἀντίθεσίς τις ἐστὶ καὶ ἡ μεταβολὴ ἐκ τοῦ παρεληλυθότος εἰς τὸ μέλλον, ἐξ ὑποκειμένου
εἰς ὑποκείμενον ἐστὶ κατὰ ἀντίθεσιν. ὁμοίως καὶ ἡ ἐκ τοῦ νεωτέρου εἰς τὸ πρεσβύτερον. οὐσία γάρ ἐστιν
ὑπομένουσα, ἢ ζώου ἢ φυτοῦ, ἢ ὅλου σώματος ἢ ἀσωμάτου, κατὰ χρόνον μεταβάλλουσα, ὥσπερ κα-
τὰ ποιότητα καὶ ποσότητα καὶ τόπον. δῆλον δὲ ὅτι οὐκ ἀπὸ τοῦ μὴ ἔχειν χρόνον εἰς τὸ ἔχειν κινήσε-
ται τὸ κατὰ χρόνον μεταβάλλον. ἀλλ' ἐξ ἄλλου εἰς ἄλλο. οὕτω μέντοι ὡς ἤδη ποιότητος ἢ ποσότη-
τος. ὡς γὰρ τὸ ἐκ μέλανος εἰς λευκὸν κινούμενον, διὰ χρώματος μὲν κινεῖται, οὐχ ὡρισμένου δέ, καὶ
τὸ ἐκ παιδικοῦ μεγέθους εἰς ἀνδρὸς αὐξόμενον, διὰ μεγέθους πρόεισιν, ἀλλ' ἀορίστως, καὶ οὐδὲν ἄτο-
πον τὸ μηδέπω ὂν ἐν χρώματι ἐφ' ὃ κινεῖται ἐν χρώματι ὅμως εἶναι ἄλλῳ, καὶ μηδέπω ὂν ἐν μεγέθει
ἐφ' ὃ κινεῖται, ἐν ἄλλῳ ὅμως εἶναι μεγέθει, καὶ μηδέπω ὂν ἐν τόπῳ εἰς ὃν φέρεται, ἐν ἄλλῳ εἶναι
τόπῳ τῷ δι' οὗ φέρεται, οὕτω καὶ τὸ ἐκ χρόνου τινὸς εἰς ἄλλον χρόνον κινούμενον, μηδέπω ὂν ἐν ἐκεί-
νῳ τῷ εἰς ὃν κινεῖται, εἴη ἂν ἐν ἄλλῳ τῷ τῆς κινήσεως χρόνῳ. καὶ οὐδὲν οἶμαι τοιοῦτον ἄτοπον ἐπήγαγεν
ἀλέξανδρος. πρὸς δὲ τὸ μὴ ἠρεμεῖν ἐν χρόνῳ ῥητέον, ὅτι ὥσπερ εἶναι ἕκαστον ἐν χρόνῳ λέγεται, κα-
τὰ σύλληψιν τινὰ θεωρουμένου τοῦ χρόνου, οἷον ὥρας, καὶ μηνός, καὶ ἐνιαυτοῦ, οὕτω καὶ ἠρεμεῖν κα-
τὰ χρόνον καὶ κινεῖσθαι ἀπ' ἄλλου ἐπ' ἄλλον δυνατόν. ἡ μέντοι θέσις καὶ ἐναντίωσιν ἔχειν δοκεῖ. ὥσ-
τε καὶ τὸ ἀπ' αὐτῆς παρώνυμον τὸ κεῖσθαι. τὸ γὰρ ἵστασθαι τῷ καθῆσθαι, καὶ τῷ ὑπτίῳ τὸ πρηνὲς
ἐναντία ἐστί. καὶ ἐν τῷ ἔχειν δὲ αὐτὸς ἐναντίωσιν ἔοικεν ἀποτίθεσθαι. καὶ γὰρ ἡ στέρησίς φησι κεῖσθω
ἐναντίον. καὶ δηλοῦται καταφάσει τὸ γυμνόν. τὸ δὲ γυμνὸν στέρησίς ἐστι τοῦ ἐνδεδύσθαι καὶ ἔχειν ἱμά-
τια. μή ποτ' οὖν ταύτας τὰς τρεῖς τὰς κατηγορίας τὸ ποτὲ καὶ τὸ κεῖσθαι καὶ τὸ ἔχειν παραλέλοι-
πεν ἐνταῦθα, διὰ τὴν αὐτὴν αἰτίαν δι' ἣν καὶ ἐν κατηγορίαις τὴν διδασκαλίαν αὐτῶν παραλέλοι-
πεν, ἀρκεσθεὶς μόνῃ τῇ ὑπογραφῇ τοῦ σημαινομένου. αἴτιον δέ ἐστι τοῦ μὴ ταύτας εἶναι τῶν κατηγοριῶν
κυρίας, ὥσπερ τὰς ἄλλας. ἡ μὲν οὐσία οὐσιοῖ τὸ ὑποκείμενον. καὶ τὴν ὅλην ὕπαρξιν παρέχει αὐτῷ.
διὸ ἡ κατ' αὐτὴν μεταβολὴ γένεσίς ἐστι καὶ φθορά. τῶν δὲ ἄλλων αἱ μέν, διατιθέασί πως τὴν ὑποκει-
μένην οὐσίαν. αἱ δέ, σχετικαί τινες εἰσὶ καὶ ἀμενηναί. καὶ γὰρ τὸν χρόνον καὶ ἀδρανῆ πως ἔοικεν ὁρᾶν
ὁ ἀριστοτέλης. ὃς μηδὲ γενέσεως αἴτιον αὐτὸν δοκεῖ λέγειν, φθορᾶς δὲ μόνον αἰτιᾶσθαι, καὶ οὐδὲ
ταύτης κυρίως. ἀλλ' ὅταν οὐχ ὁρῶμεν φησὶν ἄλλο αἴτιον. τοῦ μέντοι τόπου πολλὴν ὁρᾷ δύναμιν.
εἴπερ ὡς αὐτός φησι, γένεσίς ἐστι τοῦ πυρὸς ἤδη τὸ ἄνω φορά. διὸ καὶ αὐτοφυῶς ἐφίενται τῶν οἰκείων
τόπων τὰ φυσικὰ σώματα. καὶ τὸ κεῖσθαι δὲ καὶ τὸ ἔχειν οὐδεμίαν δοκεῖ τοῖς σώμασιν ἐμποιεῖν ἀξίαν
λόγου διάθεσιν. ταύτας μὲν οὖν διὰ τὸ ἀμενηνὸν ἴσως καὶ νῦν καὶ τότε ὁ ἀριστοτέλης παρέλιπε. τὸ
μέντοι πρός τι διὰ τὸ πάσης σχέσεως εἶναι περιληπτικόν, εἰκότως μνήμης ἠξίωσεν. ἀλλὰ ταῦτα μὲν οὐ
πολλῆς ἄξιον ζητήσεως, δι' ἣν τινα δή ποτε αἰτίαν τὰ τρία ταῦτα παραλέλοιπεν ὁ ἀριστοτέλης,
τὰς κατηγορίας ἀπαριθμούμενος. ἐκεῖνο δὲ μάλα σπουδῆς ἄξιον ζητεῖν, ἐν τίσι κατηγορίαις ἐστὶν ἡ
κίνησις. καὶ πρὸ τούτων ζητεῖν εἰ τὴν κίνησιν ἀποφάσκει μόνον τινῶν κατηγοριῶν ὁ ἀριστοτέλης, ἢ καὶ
τὴν μεταβολήν. ἀκολουθοῦντες οὖν τοῖς ὑπὸ τοῦ ἀριστοτέλους λεγομένοις ταῦτα ζητήσωμεν.

ἈΝΆΓΚΗ τρεῖς εἶναι κινήσεις· τήν τε τοῦ ποσοῦ, καὶ τὴν τοῦ ποιοῦ, καὶ τὴν κατὰ τόπον. κατ' οὐσίαν δὲ οὐκ ἔστι κίνησις, διὰ τὸ μηθὲν εἶναι τῶν ὄντων οὐσίᾳ ἐναντίον.

Ἐκθέμενος τὰς ἀξιολόγους τῶν κατηγοριῶν, ἐν τρισὶ τούτων φησὶν εἶναι κίνησιν, ἐν τῷ ποιῷ, ἐν τῷ ποσῷ· καὶ ἐν τῷ ποῦ. καὶ πρῶτον μὲν δεικνύει ὅτι ἐν ταῖς ἄλλαις κατηγορίαις οὐκ ἔστι κίνησις, οὔτε ἐν οὐσίᾳ, οὔτε ἐν τῷ πρός τι, οὔτε ἐν τῷ ποιεῖν καὶ πάσχειν. καὶ τότε ὅτι ἐν ταῖς τρισὶ ταύταις ταῖς εἰρημέναις ἐστὶ κίνησις. καὶ ὅτι μὲν ἐν τῇ οὐσίᾳ οὐκ ἔστι κίνησις, δείκνυσι διὰ τοῦ τὴν μὲν κίνησιν ἐξ ἐναντίου εἰς ἐναντίον εἶναι μεταβολήν, μηδὲν δὲ εἶναι τῆς οὐσίας ἐναντίον. εἰ γὰρ ἦν τι ἐναντίον αὐτῇ, ἐξ ἐναντίου ἂν ἡ εἰς τὴν οὐσίαν ἐπετελεῖτο μεταβολή. ἐφ' ὧν γάρ ἐστιν ἐναντία, ἐκ τούτων καὶ εἰς ταῦτα αἱ μεταβολαὶ γίνονται. ἡ οὖν ἡ εἰς οὐσίαν μεταβολή, οὐκ ἐξ οὐσίας ἐναντίας, ἀλλ' ἐκ στερήσεως γίνεται. καὶ ἡ ἐξ οὐσίας πάλιν οὐκ εἰς οὐσίαν, ἀλλ' εἰς στέρησιν καὶ φθοράν. οὐ γάρ ἐστι τῷ ἀνθρώπῳ τι ἐναντίον ὡς τῷ λευκῷ. εἰ οὖν ἡ μὲν κίνησις ἐν τοῖς ἐναντίοις, οὐσία δὲ οὐκ ἐν ἐναντίοις, ἐν οὐσίᾳ οὐκ ἔστι κίνησις. οὐ γὰρ ἐξ ὑποκειμένου εἰς ὑποκείμενον. οὐδὲ ἐκ τοῦ ἐνεργείᾳ τὸ δέ τι ὄντος καὶ ὑπομένοντος γίνεται εἰς οὐσίαν μεταβολή. ἀλλὰ κατὰ ἀντίφασιν. ἐκ γὰρ τοῦ μὴ τόδε, τόδε καὶ οὐσία γίνεται. ὡς ἔδειξεν ἐν τῷ πρώτῳ τῆσδε τῆς πραγματείας, ἐκ στερήσεως λέγων γίνεσθαι τὴν οὐσίαν. καὶ κοινότερον ἐκεῖ τὴν στέρησιν ἐναντίαν λέγει τῷ εἴδει. εἰ οὖν ἡ στέρησις ἀπουσία καὶ μὴ ὄν, τὸ δὲ μὴ ὂν οὐκ οὐσία οὐδὲ καταφάσει δηλοῦται, δηλονότι οὐκ ἐξ ἐναντίας οὐσίας ἡ οὐσία γίνεται. εἰ δέ τις τὸ σπέρμα ἐξ οὗ ὁ ἄνθρωπος οὐσίαν ὁρῶν, ἐξ οὐσίας λέγει γίνεσθαι τὴν εἰς οὐσίαν μεταβολήν, καὶ διὰ τοῦτο κίνησιν εἶναι ἐν τῇ οὐσίᾳ νομίζει, οὐκ ἐννοεῖ ὅτι ἐκ σπέρματος ὁ ἄνθρωπος, οὐ καθὸ οὐσία τὸ σπέρμα, ἀλλὰ καθὸ δυνάμει ἄνθρωπος. ταὐτὸν δὲ εἰπεῖν ἐκ τῆς τοῦ ἀνθρώπου στερήσεως καὶ τοῦ μὴ ὄντος. εἰ δὲ λέγει κίνησιν εἶναι τὴν τοιαύτην μεταβολήν, τί ἔσται τὸ κινούμενον ἐν αὐτῇ, ἐνεργείᾳ ὂν καὶ ὑπομένον. οὔτε γὰρ ὁ ἄνθρωπος. οὔπω γὰρ ἔστι. γίνεται γάρ. οὔτε τὸ σπέρμα. οὐ γὰρ σώζεται. τὸ δὲ ὑποκείμενον τῷ σπέρματι ἡ ὕλη ἐστί, τὸ δυνάμει μὲν ὄν, ἐνεργείᾳ δὲ μὴ ὄν. τὸ δὲ ἐνεργείᾳ μὴ ὂν οὐχ οἷόν τε κινεῖσθαι. εἰ δὲ ἡ μὲν κίνησις ἐξ ἐναντίου εἰς ἐναντίον, τὸ δὲ σπέρμα οὐκ ἔστιν ἐναντίον τῷ γινομένῳ, οὐκ ἂν εἴη κίνησις ἡ ἐκ σπέρματος μεταβολή. ζητήσειε δ' ἄν τις πῶς οὐκ εἰσὶν ἐναντίαι οὐσίαι ἀλλήλαις τὸ πῦρ καὶ τὸ ὕδωρ, ὥστε εἶναι ἐναντίαν οὐσίαν οὐσίᾳ. εἰ δὲ τοῦτο, πῶς ἡ εἰς ἄλληλα πυρὸς καὶ ὕδατος μεταβολὴ ἐξ ἐναντίου εἰς ἐναντίον οὖσα, οὐκ ἔστι κίνησις. ὥστε καὶ ἐν οὐσίᾳ εἶναι κίνησιν. ἢ ῥητέον ὅτι ἐν ὕδατι καὶ πυρὶ ἐναντίαι ποιότητές εἰσί τινες, ψυχρὸν θερμῷ καὶ ὑγρὸν καὶ ξηρῷ· ἐν οἷς οὐκ ἔστι μόνοις τῷ πυρὶ τὸ εἶναι. ἀλλὰ καὶ ἐν κουφότητι καὶ λαμπρότητι, καθ' ἃ τῷ πυρὶ δόξει μᾶλλον ἡ γῆ εἶναι ἐναντία. τὸ δὲ τοῦ πυρὸς εἶδος ἐν πάσαις ταῖς ποιότησίν ἐστι, καὶ τῇ ὑποκειμένῃ ταῖς ποιότησιν οὐσίᾳ. ὥστε τῷ πυρὶ ἁπλῶς οὐδέν ἐστιν ἐναντίον, κἂν αἱ ποιότητες τοῦ πυρὸς καὶ ὕδατος ἀλλήλαις ὦσιν ἐναντίαι. κἂν συγχωρήσῃ δέ τις ἐναντία εἶναι πῦρ καὶ ὕδωρ, ἡ εἰς ἄλληλα αὐτῶν μεταβολὴ οὐκ ἂν εἴη κίνησις. τί γάρ ἐστι τὸ κινούμενον ὅταν ὕδωρ εἰς πῦρ μεταβάλλῃ. οὔτε γὰρ τὸ ὕδωρ. φθείρεται γάρ. οὔτε τὸ πῦρ. οὐδέπω γάρ ἐστιν. ὃ δέ ἐστι μετὰ τὴν κίνησιν κεκινημένον τοῦτο ἦν καὶ τὸ κινούμενον. ἐπιστῆσαι δὲ χρὴ ὅτι ἐκ τῶν νῦν εἰρημένων τὴν κίνησιν ἀποφάσκει τῶν ἄλλων κατηγοριῶν, ἀλλ' οὐ τὴν μεταβολήν. μεταβολὴ γάρ ἐστιν ἐν τῇ οὐσίᾳ ἡ γένεσις καὶ ἡ φθορά.

ΟΥ̓ΔῈ ΔΉ, τῷ πρός τι. ἐνδέχεται γὰρ θατέρου μεταβάλλοντος, ἀληθεύεσθαι θάτερον, μηδὲν μεταβάλλον. ὥστε, κατὰ συμβεβηκὸς ἡ κίνησις αὐτῶν.

Ἐφεξῆς δείκνυσιν ὅτι οὐδὲ ἐν τῷ πρός τι ἐστὶ κίνησις καθ' αὑτήν. οὐ γὰρ κατὰ τὴν οἰκείαν μεταβολὴν τὰ πρός τι ἀεὶ μεταπίπτει. ἀλλὰ καὶ μηδὲν αὐτὰ κινούμενα ἄλλοτε ἄλλως ἔχει ἄλλων κινουμένων. ὥστε οὐ διὰ κινήσεως οἰκείας ἡ κατὰ τὸ πρός τι μεταβολή. τὰ δὲ κινούμενα αὐτὰ καθ' αὑτὰ δεῖ μεταβάλλειν. ὥσπερ τὰ ἀλλοιούμενα καὶ αὐξανόμενα καὶ φερόμενα. τὸ δὲ πρότερον δεξιὸν ἀριστερὸν γίνεται ἄλλου κινηθέντος. καὶ τὸ αὐτὸ μηδὲν μεταβάλλον, μεῖζον καὶ ἔλαττον, καὶ διπλάσιον καὶ ἥμισυ. καὶ ὡς αὐτὸς ὁ λόγος ποτὲ μὲν ἀληθής, ποτὲ δὲ ψευδής, τοῦ πράγματος μεταπίπτοντος. εἰ οὖν μεταβάλλει τι κατὰ τὸ πρός τι μὴ κινηθέν, οὐκ ἔστιν ἡ κατὰ τὸ πρός τι μεταβολὴ κίνησις. πλὴν εἰ κατὰ συμβεβηκός. ἐκεῖνο γὰρ καθ' αὑτὸ μεταβάλλει οὐ τοῦτο, ᾧ συμβέβηκε δεξιὸν εἶναι. καὶ οὕτω τοῦτο γίνεται ἐκ δεξιοῦ ἀριστερόν. καὶ αὐτὰ τὰ καθ' αὑτὰ κινούμενα, καὶ διὰ τῆς οἰκείας κινήσεως τὴν κατὰ τὰ πρός τι σχέσιν ἀμείβοντα, ἢ κατὰ τόπον κινούμενα τοῦτο ποιεῖ. ὡς ὁ ἐκ δεξιοῦ ἀριστερὸς γινόμενος. ἢ κατὰ ποιότητα. ὡς ὁ ἐξ ἀνομοίου ὅμοιος. ἢ κατὰ ποσότητα. ὡς ἴσον ἐξ ἀνίσου γινόμενον. ὥστε ἡ τῆς σχέσεως ἀλλαγὴ κατὰ τὴν κατά τι ἐκείνων κίνησιν γίνεται. ταῦτα μὲν ὁ Ἀλέξανδρος καλῶς περὶ τῶν πρός τι τὰ τοῦ Ἀριστοτέλους σαφηνίζων ἔγραψεν. ἐφιστάνοι δὲ ἄν τις ἴσως πρῶτον μέν, εἰ τὴν κίνησιν ἀποφάσκει μόνον τοῦ πρός τι, ἢ καὶ τὴν μεταβολήν. ὡς δοκεῖ λέγων, ἐνδέχεται γὰρ θατέρου μεταβάλλοντος, ἀληθεύεσθαι θάτερον μηδὲν μεταβάλλον εἰ μὴ ἄρα τις λέγοι ὅτι τῷ τῆς μεταβολῆς ὀνόματι ἀντὶ τῆς κινήσεως ἐχρήσατο νῦν. δηλοῖ δὲ ἐφεξῆς μεταλαβὼν τὴν μεταβολὴν εἰς τὴν κίνησιν, ἐν τῷ, ὥστε κατὰ συμβεβηκὸς ἡ κίνησις αὐτῶν. ἄλλου γὰρ καθ' αὑτὸ κινουμένου

ἢ κατὰ τόπον ἢ κατὰ ποιότητα ἢ κατὰ ποσότητα, δοκεῖ αὐτό τι μεταβάλλειν. ἡ δὲ κατὰ ταῦτα μεταβολὴ κίνησις. δεύτερον μήποτε ἡ τοῦ πρός τι κατηγορία ὑποκείμενον μηδὲν ἔχουσα ἴδιον, ἀλλὰ σχέσις μόνον οὖσα, ἐν οὐσίᾳ καὶ ποιότητι, καὶ ποσότητι καὶ ταῖς ἄλλαις κατηγορίαις, καὶ ἐν ἀμφοτέροις ὑφεστῶσα τοῖς τὴν σχέσιν πρὸς ἄλληλα ἔχουσι, τοῦ ἑτέρου κινουμένου, ποιεῖ πάντως καὶ τὸ ἕτερον κινεῖσθαι, οὐ κατὰ συμβεβηκὸς ἀλλὰ καθ' αὑτό. διότι μένουσα ἡ σχέσις ἐν ἀμφοτέροις ἡ αὐτὴ κινεῖται. ὥσπερ τῆς μιᾶς ῥάβδου θατέρου τῶν περάτων κινηθέντος συγκινεῖται καὶ θάτερον. οὕτω δὲ καὶ τοῦ προτέρου δεξιοῦ κινηθέντος κατὰ τόπον, κινεῖται καὶ ἡ σχέσις. καὶ μεταβάλλει ἑκάτερον κατὰ τὴν σχέσιν, τὸ μὲν πρότερον δεξιὸν εἰς τὸ ἀριστερόν, τὸ δὲ ἀριστερὸν εἰς τὸ δεξιόν. κἂν γὰρ ἀκίνητον κατὰ τόπον ἔμεινε τὸ πρῶτον ἀριστερὸν ὄν, ἀλλ' ἡ σχέσις καθ' ἣν ἀριστερὰ ἦν ἐκινήθη, καὶ τὴν θέσιν μετέβαλεν. ἐφιστάνειν οὖν χρὴ οὐ περὶ τοῦ ἔχοντος τὴν σχέσιν, ἀλλὰ περὶ τῆς σχέσεως αὐτῆς, εἴτε καθ' αὑτὸ εἴτε κατὰ συμβεβηκὸς αὐτὴν χρὴ λέγειν κινεῖσθαι. ὅτι γὰρ τῆς σχέσεως καθ' αὑτὸ κινουμένης, καὶ τὰ ἔχοντα τὴν σχέσιν, τὴν κατὰ τὴν σχέσιν κίνησιν καθ' αὑτὰ ἔχει, πρόδηλον δοκεῖ. καὶ ἔχει μέν τινα διαφοράν, τὸ ποτὲ μὲν αὐτοῦ τινὸς κινουμένου, ποτὲ δὲ ἑτέρου μεταβάλλεσθαι τὴν σχέσιν αὐτοῦ. ἀλλὰ πρῶτον καὶ ἀμφοῖν κινουμένων, μεταβάλλεται ἡ σχέσις. ὡς ἡ τῆς ἰσότητος εἰς τὴν τοῦ διπλασίου πρὸς τὸ ἥμισυ. ὅταν τῶν τριῶν καὶ τριῶν τῶν μὲν ἀφαιρεθῇ μονάς, τοῖς δὲ προστεθῇ. καὶ ἐπὶ τούτων δέ, καὶ ἐφ' ὧν τοῦ ἑτέρου μεταβάλλοντος, ἀμείβεται ἡ σχέσις, μιᾶς οὔσης τῆς ἀμφοῖν σχέσεως, καὶ ταύτης εἴτε ὑπ' ἀμφοῖν εἴτε ὑφ' ἑνὸς κινουμένης, πῶς οὐ καθ' αὑτὸ ἄμφω κινεῖται, κατὰ τὴν σχέσιν κινούμενα τὴν μίαν. καὶ εἰ μὲν πρότερον οὖσα ὅλως ἡ σχέσις γίνοιτο ὕστερον κατ' οὐσίαν οὔσης τῆς μεταβολῆς, ὡς ὅτε παιδίου γεννηθέντος, ὁ μὲν πατὴρ γίνοιτο, ὁ δὲ υἱός, ἁπλῶς σχέσεως γένεσίς ἐστι. φθαρέντος δὲ τοῦ ἑτέρου, ἢ ἀμφοτέρων ἁπλῶς, φθορὰ τῆς σχέσεώς ἐστιν. εἰ δὲ κατ' ἄλλην τινὰ κατηγορίαν γίνοιτο σχέσις, μὴ πρότερον οὖσα, τὶς γένεσίς ἐστι. καὶ πάλιν τὶς φθορά. εἰ δὲ τὰ ὑποκείμενα μεταβάλλει κατὰ τὴν σχέσιν, ἀπ' ἄλλης ἄλλην μεταλαμβάνοντα, ὥσπερ ἀπὸ δεξιοῦ εἰς ἀριστερόν, ἢ ἀπὸ τοῦ ἀνομοίου εἰς ὅμοιον, ἢ ἀπὸ ἀνίσου εἰς ἄνισον μεταβάλλοντα, καὶ ἐξ ἐναντίου εἰς ἐναντίον, μένοντος τοῦ ὑποκειμένου, κίνησις δοκεῖ τοιαύτη κατὰ τὴν σχέσιν καὶ τὸ πρός τι. ὅλως δὲ εἰ ἔστιν ἐναντίωσις ἐν τῷ πρός τι, ὡς ἐν κατηγορίαις ἠκούσαμεν λέγοντος αὐτοῦ, ὑπάρχει δὲ καὶ ἐναντιότης ἐν τοῖς πρός τι, οἷον ἀρετὴ καὶ κακία ἐναντία, καὶ ἐπιστήμη καὶ ἄγνοια, ἔστι δὲ καὶ οὐσία τὶς ὑποκειμένη τοῖς πρός τι, καὶ ὑπομένουσα ἐν τῇ ἐξ ἐναντίου εἰς ἐναντίον μεταβολῇ, ὥσπερ ἐπὶ τούτων τῶν παραδειγμάτων ἡ ψυχή, διατί μὴ κίνησιν λέγομεν τὴν τοιαύτην μεταβολήν. καὶ γὰρ ἐξ ὑποκειμένου εἰς ὑποκείμενον τὸ ἐκ δεξιοῦ εἰς ἀριστερόν. ἐκ γὰρ σώματος εἰς σῶμα. καὶ ἐξ ἐπιστήμης εἰς ἄγνοιαν. ἐκ γὰρ ψυχῆς εἰς ψυχήν. καὶ τὰ ὑποκείμενα ἐναντία, ἡ ἐπιστήμων ψυχὴ τῇ ἀγνοούσῃ. ταῦτα μὲν οὖν ἴσως ἀντιδιατάττοιτο ἄν τις πρὸς τὸν λόγον. μήποτε δὲ γίνεται μὲν τὰ πρός τι καὶ κινεῖται, ἀλλ' οὐ καθ' αὑτό, ἀλλὰ κατὰ συμβεβηκός. ὅπερ καὶ αὐτὸς συνεχώρησεν εἰπών, ὥστε κατὰ συμβεβηκὸς ἡ κίνησις αὐτῶν. εἰ γὰρ μὴ ἔστιν ὅλως καθ' αὑτὸ τὰ πρός τι, ἀλλ' ἑτέροις ἐπισυμβέβηκεν, ἐν τῇ πρὸς ἄλληλα αὐτῶν σχέσει θεωρούμενα, καὶ γίνεται κατὰ συμβεβηκός, καὶ κινεῖται κατὰ συμβεβηκός. ὁ γὰρ σχέσιν καθ' αὑτὸ λέγων γίνεσθαι ἢ κινεῖσθαι, ἔοικε τῷ λέγοντι τὸ κατὰ συμβεβηκὸς καθ' αὑτὸ εἶναι. ἐάσας οὖν ὁ ἀριστοτέλης τὴν κατὰ συμβεβηκὸς κίνησιν καὶ μεταβολὴν ὡς ἀόριστον ὅτε ἔλεγεν, ἡ μὲν οὖν κατὰ συμβεβηκὸς μεταβολὴ ἀφείσθω, ἐν ἅπασι γάρ ἐστι καὶ ἀεὶ καὶ πάντων. τὴν δὲ καθ' αὑτὸ ζητῶν, εἰκότως εἶπεν ἐν τοῖς πρός τι μὴ ὑπάρχειν αὐτήν. κἂν γίνηται καὶ φθείρηται ἡ κατὰ τὰ πρός τι σχέσις, ἀλλ' ὡς αὐτὸς ἐν τῷ ἑβδόμῳ βιβλίῳ διώρισε, γίνονται καὶ φθείρονται αἱ τοιαῦται σχέσεις ἀλλοιουμένων τινῶν, ἐν οἷς τυγχάνουσιν οὖσαι πρώτοις. τὸ δὲ τοιοῦτο κατὰ συμβεβηκός.

ΟὐΔΕ ΔΗ ποιοῦντος καὶ πάσχοντος. οὐδὲ παντὸς κινουμένου καὶ κινοῦντος. ὅτι οὐκ ἔστι κινήσεως κίνησις. οὐδὲ γενέσεως γένεσις. οὐδ' ὅλως μεταβολὴ μεταβολῆς. πρῶτον μὲν γὰρ διχῶς ἐνδέχεται κινήσεως εἶναι κίνησιν. ἢ ὡς ὑποκειμένου, οἷον ἄνθρωπος κινεῖται, ὅτι ἐκ λευκοῦ εἰς μέλαν μεταβάλλει. ἆρά γε οὕτω καὶ ἡ κίνησις, ἢ θερμαίνεται, ἢ ψύχεται. ἢ τόπον μεταλλάττει, ἢ αὐξάνεται, ἢ φθίνει. τοῦτο δὲ ἀδύνατον. οὐ γὰρ τῶν ὑποκειμένων τί ἐστιν ἡ μεταβολή, ἢ τῷ ἕτερόν τι ὑποκείμενον ἐκ μεταβολῆς μεταβάλλειν εἰς ἕτερον εἶδος. οἷον, ἄνθρωπος ἐκ νόσου εἰς ὑγείαν. ἀλλ' οὐδὲ τοῦτο δυνατόν. πλὴν κατὰ συμβεβηκός. αὕτη γὰρ ἡ κίνησις ἐξ ἄλλου εἴδους εἰς ἄλλο ἐστὶ μεταβολή. καὶ ἡ γένεσις δὲ καὶ ἡ φθορὰ ὡσαύτως. πλήν, αἱ μὲν εἰς ἀντικείμενα ὡδί. ἡ δὲ κίνησις, οὐχ ὁμοίως. ἅμα οὖν μεταβάλλει ἐξ ὑγιείας εἰς νόσον, καὶ ἐξ αὐτῆς ταύτης τῆς μεταβολῆς, εἰς ἄλλην. δῆλον δ' ὅτι ὅταν νοσήσῃ, μεταβεβληκὸς ἔσται εἰς ὁποιανοῦν. ἐνδέχεται γὰρ ἠρεμεῖν. καὶ ἔτι εἰς μὴ τὴν τυχοῦσαν ἀεί. κἀκείνη ἔκ τινος εἴς τι ἕτερον. ὥστε καὶ ἡ ἀντικειμένη ἔσται ἡ ὑγίανσις. ἀλλὰ τῷ συμβεβηκέναι. οἷον, εἰ ἐξ ἀναμνήσεως εἰς λήθην μεταβάλλοι. ὅτι ᾧ ὑπάρχει, ἐκεῖνο μεταβάλλει. ὁτὲ μέν, εἰς ἐπιστήμην. ὁτὲ δὲ εἰς ὑγίειαν.

Ε ἐφεξῆς δείκνυσιν, ὅτι οὐδὲ κατὰ τὸ ποιεῖν καὶ πάσχειν κίνησίς ἐστι, μεταλαβὼν τὸ ποιεῖν καὶ πάσχειν εἰς τὸ ποιοῦν καὶ πάσχον. εἰ γάρ ἐστι κίνησις κατὰ τὸ ποιεῖν καὶ τὸ πάσχειν, οὕτως ἐστὶν ὡς τοῦ ποιοῦντος καὶ πάσχοντος κατὰ τὸ ποιεῖν καὶ τὸ πάσχειν μεταβάλλοντος. ὥσπερ καὶ κατὰ ποιότητα ἐστιν ὅτι τὸ ποιὸν σῶμα κατὰ τὴν ἐν αὐτῷ ποιότητα μεταβάλλει. εἴη δὲ ἂν τοῦ μὲν ποιοῦντος κατὰ τὸ ποιοῦν μεταβολὴ, ὅταν τὸ ποιοῦν ἐκ τοῦ ποιεῖν εἰς ἄλλό τι ποιεῖν μεταβάλλῃ. τοῦ δὲ πάσχοντος, ὅταν τὸ πάσχον ἐκ τοῦ πάσχειν εἰς ἄλλο πάσχειν μεταβάλλῃ ἐξ ἄλλου. προστέθεικε δέ φησιν ὁ Ἀλέξανδρος οὐδὲ παντὸς κινουμένου καὶ κινοῦντος, δεικνὺς τὸ προκείμενον καθολικώτερον. ἔστι γὰρ τὸ μὲν ποιεῖν ὑπὸ τὸ κινεῖν, τὸ δὲ πάσχειν ὑπὸ τὸ κινεῖσθαι. ἀλλ' εἰ τοῦτο ἀληθὲς, καὶ τὸ μὲν ποιεῖν καὶ πάσχειν ὑπὸ τὸ κινεῖν καὶ κινεῖσθαι, τὸ δὲ κινεῖν καὶ κινεῖσθαι ὑπὸ τὸ μεταβάλλειν καὶ μεταβάλλεσθαι, παντὸς οἶμαι ζητεῖν, διατί ἐν ταῖς κατηγορίαις τὸ ποιεῖν καὶ τὸ πάσχειν ἔταξεν ὡς καθολικώτερα, οὐχὶ δὲ τὸ κινεῖν καὶ κινεῖσθαι, ἢ μᾶλλον τὸ μεταβάλλειν καὶ τὸ μεταβάλλεσθαι. μή ποτε οὖν καθολικώτερά ἐστι τούτων τὸ ποιεῖν καὶ τὸ πάσχειν. καὶ γὰρ τὸ ἠρεμίζειν καὶ τὸ ἐν αὐτῷ συνέχειν, ποιεῖν τί ἐστιν. οὐ μέντοι κινεῖν οὐδὲ μεταβάλλειν. εἰ δὲ τοῦτο ἀληθὲς, τὸ ποιεῖν καὶ τὸ πάσχειν οὐχ ὡς εἰς καθολικώτερα ἀνήγαγε τὸ κινεῖν καὶ κινεῖσθαι. ἀλλὰ μετήγαγεν αὐτὰ πρὸς τὴν ὑπόθεσιν. ὁ γὰρ λέγων εἶναι κίνησιν, ἐν τῷ ποιοῦντι καὶ πάσχοντι οὕτως ἂν λέγει, ὡς τοῦ μὲν κινοῦντος, τοῦ δὲ κινουμένου. κἂν συγχωρήσῃ οὖν τις τοῦτο, ἐκ περιουσίας δείκνυσιν, ὅτι οὐδὲ παντὸς κινουμένου καὶ κινοῦντός ἐστι κίνησις. τουτέστιν ὅτι οὐ κινεῖται ἡ κίνησις, οὔτε ἐκείνη καθ' ἣν τὸ κινοῦν κινεῖ, οὔτε ἐκείνη καθ' ἣν τὸ κινούμενον κινεῖται. ἐπεὶ ὅτι καὶ τὸ κινοῦν κατὰ κίνησιν κινεῖ, καὶ τὸ κινούμενον κατὰ κίνησιν κινεῖται, δῆλον ὅτι ἐν τῷ πάσχοντι καὶ κινουμένῳ ἐστὶν ἡ κίνησις ὡς αὐτὸς ἔδειξεν. οὐ λέγει οὖν ὅτι οὐ κινεῖται τὸ πάσχον τι ἐν ᾧ ἡ κίνησις. ἀλλ' ὅτι οὐχ οὕτω ταῦτα ἔχει κίνησιν, ὡς τῆς ἐν αὐτοῖς κινήσεως κινουμένης. ὃ καὶ δῆλον πεποίηκε, διὰ τοῦ οὐκ ἔστι κινήσεως κίνησις. εἰ γὰρ μὴ ἔστι κινήσεως κίνησις, οὔτε ἡ κινοῦντος κίνησις οὔτε ἡ τοῦ κινουμένου κινηθείη ἄν. οὐδὲ ποιοῦν δὴ καὶ πάσχον, εἴπερ αὗται οὐ κινοῦνται. ποιοῦντος δὲ καὶ πάσχοντος οὐχὶ τῶν οὐσιῶν εἶπεν. αὗται γὰρ κινοῦνται. ἀλλ' ἀντὶ τοῦ ποιεῖν καὶ πάσχειν αἵπερ ἦσαν αἱ κατηγορίαι, καὶ ἀντὶ ποιήσεως καὶ πείσεως τὸ ποιοῦν καὶ πάσχον ἔλαβεν. ὅτι καὶ τὸ ποιοῦν κατὰ τὴν ποίησίν ἐστι ποιοῦν, καὶ τὸ πάσχον κατὰ τὴν πεῖσιν πάσχον. ὅτι δὲ οὐκ ἐπὶ κινήσεως μόνης τοῦτ' ἀληθὲς, ἀλλὰ καὶ ἐπὶ τῆς ἀντικειμένης τῇ κινήσει γενέσεως, καὶ ἐπὶ τῆς ἄμφω μεταβολῆς περιεχούσης, ἐδήλωσεν εἰπὼν οὐδὲ γενέσεως γένεσις, οὐδὲ ὅλως μεταβολὴ μεταβολῆς. δείξας οὖν ὅτι ὁ λέγων κίνησιν εἶναι ἐν τῷ ποιεῖν καὶ πάσχειν, κινήσεως λέγει κίνησιν εἶναι, εἴπερ τὸ ποιοῦν κατὰ τὴν ποίησιν κινεῖ, καὶ τὸ πάσχον κατὰ τὴν πεῖσιν, ἡ δὲ ποίησις καὶ ἡ πεῖσις κινήσεις τινές εἰσι, δείκνυσι λοιπὸν διὰ δύο ἐπιχειρημάτων ὅτι οὐκ ἔστι κινήσεως κίνησις. ὥστε οὐδ' ἐν τῷ ποιεῖν καὶ πάσχειν κίνησις ἔσται. τῶν δὲ δύο ἐπιχειρημάτων, τὸ μὲν πρῶτον ἐκ διαιρέσεως ἀναγκαίας εἰλημμένον, τοιοῦτόν ἐστιν. εἰ ἔστι κινήσεως κίνησις, ἢ ὑποκείμενόν τι ἐστὶν ἡ κίνησις ὡς αὐτὴ κινουμένη κατά τι εἶδος κινήσεως. ὥσπερ λέγομεν κίνησιν ἀνθρώπου μεταβάλλοντος, ἢ κατὰ ποιὸν ἢ κατὰ ποσὸν ἢ κατὰ τόπον. εἰ δὲ τοῦτο, ἔσται ἡ κίνησις θερμαινόμενον ἢ αὐξόμενον, ἤ τινα ἄλλην μεταβολὴν μεταβάλλον, ἵνα ᾖ κινήσεως κίνησις. ἀλλὰ μὴν ὑποκείμενον οὐκ ἔστιν ἡ κίνησις. οὔτε γὰρ θερμαίνεσθαι οὔτε ψύχεσθαι λέγεται. οὐσίας γάρ ἐστι ταῦτα ἴδια. ἡ δὲ κίνησις οὐκ ἔστιν οὐσία, ἐν τῷ κινουμένῳ τὸ εἶναι ἔχουσα, ὡς ἐν ὑποκειμένῳ καὶ οὐσίᾳ. εἰ οὖν οὕτω μὴ ἔστι κινήσεως κίνησις, λείπεται εἰ ἔστιν ὅλως, οὕτως εἶναι, ὡς ἐν ὑποκειμένῳ οὔσης τῆς κινήσεως, τὸ ὑποκείμενον μεταβάλλειν ἐκ κινήσεως ἑτέρας εἰς ἑτέραν κίνησιν. ὡς λέγομεν ἐκ τοῦ λευκαίνεσθαι μεταβάλλειν εἰς τὸ μελαίνεσθαι, ὅτι ὑποκείμενόν τι αὐτοῖς οἷον ὁ ἄνθρωπος, ἐκ τοῦ ἑτέρου αὐτῶν εἰς ἕτερον μεταβάλλει. ἀλλ' οὐδὲ οὕτω φησὶν οἷόν τε λέγειν κινήσεως εἶναι κίνησιν, ὡς ἄλλου τινὸς ὑποκειμένου, ἐκ κινήσεως τινὸς εἰς κίνησιν ἑτέραν μεταβάλλοντος, ἐξ ἑτέρου εἴδους δηλονότι εἰς ἕτερον, πλὴν εἰ μὴ κατὰ συμβεβηκός τις λέγοι. πῶς δὲ κατὰ συμβεβηκὸς ἐκ κινήσεως δυνατὸν εἰς κίνησιν μεταβάλλειν, αὐτὸς ἐρεῖ. ὅταν γὰρ μεταβάλλῃ τις ἐκ λήθης εἰς ἀνάμνησιν, ἐκ κινήσεως μὲν εἰς κίνησιν ἡ μεταβολὴ δοκεῖ. κινήσεις γάρ τινες ἥ τε ἀνάμνησις καὶ ἡ λήθη. ἀλλὰ κατὰ συμβεβηκὸς τῆς κινήσεως ἡ κίνησις δοκεῖ. διότι ᾧ συμβέβηκε τὸ ἐπιλανθάνεσθαι, οὗτος εἰς τὸ μνημονεύειν μεταβάλλει. ὁμοίως δὲ καὶ ἐκ τοῦ νοσάζεσθαι εἰς τὸ ὑγιάζεσθαι μεταβάλλει. ἐκ νόσου γὰρ εἰς ὑγείαν οὕτως εἶπεν, ὡς ἐκ κινήσεως εἰς κίνησιν. τὸ δὲ εἰς ἕτερον εἶδος καλῶς πρόσκειται. καὶ τὴν αἰτίαν αὐτὸς ἐπήγαγεν, εἰπὼν, αὕτη γὰρ ἡ κίνησις ἐξ ἄλλου εἴδους εἰς ἄλλο ἐστὶ μεταβολή. καὶ οὐ μόνη ἡ κίνησις. ἀλλὰ καὶ ἡ γένεσις καὶ ἡ φθορὰ ὡσαύτως ἔχει. ἐξ ἄλλου γὰρ εἴδους εἰς ἄλλο καὶ ἐπὶ τούτων ἡ μεταβολή. πᾶσα γὰρ μεταβολὴ ἐξ ἀντικειμένου εἰς ἀντικείμενον. πλὴν ὅτι ἡ μὲν γένεσις καὶ ἡ φθορὰ εἰς ἀντικείμενα οὕτως ὡς κατὰ ἀντίφασιν. ἡ δὲ κίνησις εἰς τὰ ἀντικείμενα τὰ ὡς ἐναντία. τοῦτο γὰρ αὐτῷ δηλοῖ, τὸ αἱ μὲν, τουτέστιν ἡ γένεσις καὶ ἡ φθορὰ, εἰς ἀντικείμενα ὡδὶ, τουτέστι κατὰ ἀντίφασιν. ἡ δὲ ὡδὶ, τουτέστιν εἰς τὰ ἐναντία, ἡ κίνησις. ἔδειξε δὲ καὶ διὰ παραδείγματος, ὅτι πᾶσα μεταβολὴ ἐξ ἄλλου εἰς ἄλλο

εἶδος γίνεται, εἰπών· οἷον ἄνθρωπος ἐκ νόσου εἰς ὑγείαν. ὡς γὰρ ἐπὶ τούτου διαφέροντά ἐστι τὸ ἐξ οὗ
καὶ τὸ εἰς ὅ, οὕτω καὶ εἰ ἐκ κινήσεώς τι εἰς κίνησιν κινεῖται, διαφέρουσα ἔσται ἡ ἐξ ἧς τῆς εἰς ἥν. ἡ γὰρ
ἐκ τῆς βραδυτέρας κινήσεως εἰς τὴν θάττω μεταβολή, τάχα μὲν καὶ αὐτὴ ἐξ ἀντικειμένου εἴδους
εἰς ἀντικείμενόν ἐστι. τάχα δὲ οὐκ ἐκ κινήσεως εἰς κίνησίν ἐστι. μία γάρ ἡ εἰς τὸ αὐτό, γίνεται δὲ ἡ ἐπίτασις
ἐκ τοῦ μεταξύ, καὶ ὡς ἐκ στάσεώς τε καὶ ἠρεμίας. ἡ γὰρ βραδεῖα κίνησις μίξει ἠρεμίας. καὶ ἔχει πρὸς
τὴν ταχεῖαν οὕτως ὡς τὸ φαιὸν πρὸς τὸ λευκόν. κατὰ συμβεβηκὸς μὲν οὖν ὡς εἴρηται δυνατὸν κι-
νήσεως εἶναι κίνησιν. ὅταν τὸ ὑποκείμενον εἰς ἑτέραν κίνησιν ἐξ ἑτέρας μεταβάλλῃ. καθ' αὑτὸ δὲ
ἀδύνατον. καὶ τὸ ἑπόμενον ἄτοπον ἐπήγαγεν αὐτὸς εἰπών, ἅμα οὖν μεταβάλλει ἐξ ὑγείας εἰς νόσον,
καὶ ἐξ αὐτῆς ταύτης τῆς μεταβολῆς εἰς ἄλλην. εἰ γὰρ ἡ ἐξ ὑγείας εἰς νόσον μεταβολὴ ἡ κίνησις αὐτὴ
κινεῖσθαι λέγοιτο, τὸ ἐξ ὑγείας εἰς νόσον κινούμενον ἅμα τε ταύτην κινεῖται τὴν κίνησιν, καὶ ἐξ αὐ-
τῆς ταύτης εἰς ἄλλην μεταβάλλει, οἷον εἰς λεύκανσιν. εἴπερ ἡ κίνησις κινεῖται. ἅμα τε οὖν εἰς νόσον
ἂν εἴη μεταβάλλον, καὶ εἰς ἐκεῖνο, ὅ τέλος ἐστὶ τῆς μεταβολῆς, εἰς ἣν μετέβαλεν ἐκ τῆς ἐξ ὑγείας εἰς
νόσον μεταβολῆς. οἷον τὸ λευκόν. ὅταν οὖν ἐν νόσῳ ᾖ, δηλονότι ἅμα τε εἴη ἂν εἰς νόσον μεταβεβλη-
κὸς, καὶ εἰς ἄλλο τι εἰς ὃ ἦν ἡ κίνησις, εἰς ἣν ἡ προτέρα κίνησις μετέβαλεν. ἐπειδὴ δὲ οὐκ ἦν ὡρισμέ-
νον τὸ εἰς ὁποίαν, διὰ τοῦτο ὅταν νοσήσῃ φησί, μεταβεβληκὸς ἔσται εἰς ὁποιανοῦν. ἐνδέχεται γὰρ καὶ
μεταβάλλειν τὸ μεταβάλλον, καὶ ἠρεμῆσαι παυσάμενον τῆς μεταβολῆς. ὅταν μέντοι ἐκ κινήσεως
εἰς κίνησιν κινεῖσθαι λέγηται, ἀνάγκη εἰς ὁποιανοῦν κίνησιν μεταβεβληκέναι, καὶ οὐκέτι εἰς ἠρε-
μίαν. τὸ οὖν ἐκ κινήσεως εἰς κίνησιν μεταβάλλον, δηλονότι κινούμενον τὴν κίνησιν ἔτι ἐκείνην, ἐξ ἧς
λέγεται μεταβάλλειν, ἔσται καὶ ἄλλην κινούμενον, εἰς ἣν λέγεται ἐκ ταύτης μεταβάλλειν. ὡς γὰρ
τὸ ἐκ λευκοῦ εἰς μέλαν, ὅτι ὂν ἐν τῷ λευκῷ ἐξ αὐτοῦ μεταβάλλει, ἔχει τι αὐτοῦ, ἕως ἂν τελέως με-
ταβάλλῃ ἐξ αὐτοῦ, οὕτως εἰ ἐκ κινήσεώς τι εἰς κίνησιν μεταβάλλει, ἔτι ὂν ἐν τῇ κινήσει ἐξ ἧς λέγε-
ται μεταβάλλειν καὶ κινούμενον κατ' αὐτήν, ἅμα καὶ κατ' ἐκείνην κινήσεται εἰς ἣν μεταβάλλει.
καὶ ἔτι ὅταν ᾖ πρὸς τὸ ἕτερον μεταβεβληκὸς, ὅπερ εἶπεν αὐτὸς ὅταν νοσήσῃ, τότε καὶ εἰς ἕτερον
ὁποιονοῦν ἔσται μεταβεβληκός. ὥστε πρῶτον μὲν ἄτοπον τὸ ἐπὶ πλείω ἅμα καὶ διαφέροντα κινεῖ-
σθαι. ἔπειτα τὸ ἐν πλείοσιν ἅμα εἶναι. τρίτον δὲ εἰ ἡ κίνησις μεταβολή ἐστιν ἐξ ἐναντίου εἰς ἐναντίον,
καὶ μεταβάλλει τι ἐκ κινήσεως εἰς κίνησιν, δηλονότι ἐκ τῆς ἐκ τοῦ ἐναντίου εἰς τὸ ἐναντίον, μετα-
βάλλοι ἂν εἰς τὴν ἐξ ἐναντίου εἰς ἐναντίον. αὗται γάρ εἰσιν ἐναντίαι κινήσεις. ὡς γὰρ τὸ ἐκ χρώματος
εἰς χρῶμα μεταβάλλον, οὐκ ἐκ τοῦ τυχόντος εἰς τὸ τυχόν, ἀλλ' ἐξ ἐναντίου εἰς ἐναντίον μεταβάλλει,
οὕτω καὶ τὸ ἐκ κινήσεως εἰς κίνησιν μεταβάλλον καὶ κινούμενον, οὐκ εἰς τὴν τυχοῦσαν μεταβάλλει,
ἀλλ' εἰς τὴν ἐναντίαν. αὕτη δὲ ἦν ἡ ἐξ ἐναντίου εἰς ἐναντίον. καὶ ἐπὶ τῆς κινήσεως τοῦτο ἔτι μᾶλλον.
εἴπερ τὸ κινήσει εἶναί ἐστι, τὸ μεταβολῇ εἶναι ἐξ ἐναντίου εἰς ἐναντίον. ὥστε συμβήσεται καὶ τὸ πρό-
σθεν ἄτοπον ἕτερον. οὐ μόνον γὰρ ἐπὶ πλείω ἅμα καὶ διαφέροντα κινήσεται, ἀλλὰ καὶ ἐπὶ ἐναντία.
καὶ οὐ μόνον ἐπὶ πλείοσιν ἅμα καὶ διαφέρουσιν ἔσται, ἀλλὰ καὶ ἐναντίοις. ἡ μὲν γὰρ ἐν κινήσει ἐστὶ τῇ
κατὰ τὸ ὑγιάζεσθαι, ἐκ νόσου εἰς ὑγείαν μεταβάλλει. ἡ δὲ ἐκ τῆς κινήσεως ταύτης μεταβάλλει εἰς
ἄλλην τὴν ἐναντίαν αὐτῇ, οὐ γὰρ εἰς τὴν τυχοῦσαν, ἅμα ἂν εἰς ὑγείαν μεταβάλλοι ἐν τῷ ὑγιάζεσθαι
κατὰ τὴν αὐτὴν ταύτην μεταβολήν, καὶ εἰς τὸ ἐναντίον τῇ ὑγείᾳ τὴν νόσον μεταβάλλοι, εἰ κινεῖται
καθ' αὑτὸ ἡ κίνησις. ἐπειδὴ δὲ τὸ κινούμενον ἐπί τι, κἂν γίνηται ἐν ἐκείνῳ ἐφ' ὃ κινεῖται, ὅταν παύση-
ται τῆς κινήσεως, ἅμα ἔσται ἐν τοῖς ἐφ' ἃ ἅμα ἐκινεῖτο κατ' ἀμφοτέρας τὰς κινήσεις, ἦν δὲ ταῦτα
νόσος τε καὶ ὑγεία, ἅμα ἔσται ἐν νόσῳ τε καὶ ὑγείᾳ καὶ ὅλως ἐν τοῖς ἐναντίοις τὸ ἐκ κινήσεως εἰς κίνη-
σιν κινούμενον. καὶ αὐτὸς μὲν ὁ ἀριστοτέλης τὸ μὲν ἐπὶ πλείω διαφέροντα κινεῖσθαι, καὶ τὸ ἐν πλείο-
σι διαφέρουσιν εἶναι ἐσήμανε, διὰ τοῦ ἅμα οὖν μεταβάλλει ἐξ ὑγείας εἰς νόσον, καὶ ἐξ αὐτῆς ταύ-
της τῆς μεταβολῆς εἰς ἄλλην. δῆλον δὴ ὅτι ὅταν νοσήσῃ μεταβεβληκὸς ἔσται εἰς ὁποιανοῦν. τὸ δὲ
ἐπὶ τὰ ἐναντία ἅμα κινεῖσθαι καὶ ἐν τοῖς ἐναντίοις ἅμα εἶναι, ἐσήμανε διὰ τοῦ, καὶ ἔτι εἰς μὴ τὴν τυ-
χοῦσαν ἀεί, κἀκείνην ἔκ τινος εἴς τι ἑτέραν. ὥστε καὶ ἡ ἀντικειμένη ἔσται ὑγίανσις. τί οὖν οὐ μετα-
βάλλει τι ἐκ τοῦ ἀναμιμνήσκεσθαι εἰς τὸ ἐπιλανθάνεσθαι, καὶ ἐκ τοῦ νοσίζεσθαι εἰς ὑγείαν, ἢ εἰς τὸ
ὑγιάζεσθαι; εἰ οὖν κινήσεις αὗται καὶ ἐναντίαι, πῶς οὐκ ἂν εἴη μεταβολὴ μεταβολῆς, καὶ κινήσεως
κίνησις. ταύτην δὴ λύει τὴν ἔνστασιν. φησὶ γὰρ οὐ καθ' αὑτὸ ἐκ κινήσεως εἶναι εἰς κίνησιν τὴν μεταβο-
λήν, ἀλλὰ κατὰ συμβεβηκός. ὅτι ᾧ συμβέβηκεν ἀναμιμνήσκεσθαι, οὗτος ἐπιλανθάνεται πάλιν. εἰ
μὲν γὰρ ἀναμιμνησκόμενος ἐν τῷ ἀναμιμνήσκεσθαι ἐπελανθάνετο, ἦν ἂν οὕτως ἐκ κινήσεως εἰς κί-
νησιν μεταβολή. ἔδει γὰρ ἔτι μένοντα ἐν μνήμῃ κινεῖσθαι εἰς λήθην. τὸ γὰρ κινούμενον ἔτι μένον ὅ-
περ ἐστὶ κινεῖται. οὐ γὰρ οὕτως ἔχει ὡς τὸ γινόμενον. ἐπειδὴ δὲ καθόλου χρὴ τὸ κινηθὲν γενόμενον ἐφ' ὃ
ἐκινεῖτο στῆναι, εἰ μέλλει τὴν ἐναντίαν πάλιν κίνησιν κινεῖσθαι, καὶ ὁ ἀναμιμνησκόμενος ὅταν ἀνα-
μνησθῇ ἔστη, εἶθ' οὕτως εἴπερ ἄρα ἐπιλανθάνεται. τὸ οὖν περὶ τὸ αὐτὸ ἀμφότερα γίνεσθαι παρὰ
μέρος, κινεῖσθαι λέγομεν ἐν τῇ συνηθείᾳ ἐκ τοῦδε εἰς τόδε. πῶς δὲ κατὰ συμβεβηκὸς τὸ ἀναμιμνή-

σκεσθαι μεταβάλλει εἰς τὸ ἐπιλανθάνεσθαι, ἐδήλωσεν εἰπὼν, ὅτι ᾧ ὑπάρχει παρὰ μέρος ταῦτα, τουτέστιν ὁ ἄνθρωπος ἢ ἡ ψυχὴ, ἐκεῖνο μεταβάλλει κατὰ ταῦτα. εἰ οὖν ἀνάγκη ἢ ὑποκείμενον εἶναι τὴν κίνησιν, ἢ ἐν ὑποκειμένῳ, οὔτε δὲ ὑποκείμενόν ἐστιν οὔτε ἐν ὑποκειμένῳ οὖσα δύναται κινεῖσθαι κατ' οὐδένα τρόπον εἴη ἂν κινήσεως κίνησις. ἐπιστῆσαι δὲ ἐν τούτοις οἶμαι ἄξιον, ὅτι οὐ πᾶσαν μεταβολὴν ἀποφάσκει τῆς κινήσεως, ἀλλὰ τὴν κίνησιν μόνην. τὸ γὰρ ἅμα μεταβάλλειν ἐξ ὑγείας εἰς νόσον, καὶ ἐξ αὐτῆς ταύτης τῆς μεταβολῆς εἰς ἄλλην, ὅπερ ὡς ἄτοπον ἐπήγαγεν, ἕπεται τούτῳ τῷ τὴν κίνησιν κινεῖσθαι. τὸ γὰρ κινούμενον ὑπομένον ὅπερ ἐστὶ κινεῖται. εἰ οὖν τὸ νοσάζεσθαι κινεῖται μένον ὅπερ ἐστὶν, εἰς τὸ ἀντικείμενον τὸ ὑγιάζεσθαι μεταβάλλει. ὥστε τὸ αὐτὸ ἂν νοσάζοιτο καὶ ὑγιάζοιτο. τοῦτο δὲ τὸ ἄτοπον τῇ γενέσει οὐκ ἀκολουθεῖ. οὐ γὰρ μένον τι ὅπερ ἐστὶ γίνεται, ὥσπερ μένον ὅπερ ἐστὶ κινεῖται. οὐ γὰρ ἐξ ὄντος εἰς ὄν. ἀλλ' ἐκ μὴ ὄντος εἰς ὂν, καὶ ἐξ οὐχ ὑποκειμένου εἰς ὑποκείμενον. ἀλλὰ κἂν ἐκ μὴ ὄντος εἰς ὂν ἡ γένεσις, ἐὰν τῆς μεταβολῆς ταύτης μεταβολήν τις εἴπῃ, ἐπειδὴ καὶ τὸ μεταβάλλον ἐξ ἀντικειμένου εἰς ἀντικείμενον μεταβάλλει, ἅμα ἐκ μὴ ὄντος εἰς ὂν, καὶ ἐξ ὄντος εἰς μὴ ὂν μεταβάλλει. ὥστε καθὸ γίνεται φθείρεσθαι.

ἜΤΙ ΔῈ εἰς ἄπειρα βαδιεῖται. εἰ ἔσται μεταβολῆς μεταβολὴ, καὶ γενέσεως γένεσις ἀνάγκη δὴ καὶ τὴν προτέραν, εἰ ἡ ὑστέρα ἔσται. οἷον, εἰ ἡ ἁπλῆ γένεσις ἐγίνετό ποτε καὶ τὸ γινόμενον ἐγίνετο. ὥστε οὔπω ἦν τὸ γινόμενον ἁπλῶς, ἀλλά τι γινόμενον καὶ γινόμενον ἤδη. καὶ πάλιν τοῦτ' ἐγίνετό ποτε. ὥστε, οὐκ ἦν πω τότε γινόμενον. ἐπεὶ δὲ τῶν ἀπείρων οὐκ ἔστι τι πρῶτον, οὐκ ἔσται τὸ πρῶτον. ὥστ' οὐδὲ τὸ ἐχόμενον. οὔτε γίνεσθαι οὖν, οὔτε κινεῖσθαι οἷόν τε, οὔτε μεταβάλλειν οὐδέν.

Δείξας ὅτι οὐκ ἔστι κινήσεως κίνησις, τουτέστιν ὅτι ἡ κίνησις οὐ κινεῖται, καθολικώτερον ἔτι δείκνυσι τὸ πρόβλημα, ὅτι οὐδὲ μεταβολὴ μεταβολῆς ἐστιν ὅλως. καὶ ἵνα δείξῃ ὅτι τὴν μεταβολὴν νῦν οὐκ ἀντὶ κινήσεως εἶπεν ἀλλ' ἐνταῦθα τῆς κυρίως μεταβολῆς τὸ ὄνομα τέθεικεν τῆς κοινῆς, ὑφ' ἣν καὶ ἡ κίνησίς ἐστι καὶ ἡ γένεσις καὶ ἡ φθορὰ, ἐπήγαγε τὸ καὶ γενέσεως γένεσιν. δείκνυσι δὲ αὐτὸ διὰ τῆς εἰς ἄτοπον ἀπαγωγῆς, συλλογιζόμενος οὕτως. εἰ ἔστι κινήσεως κίνησις, ἢ γενέσεως γένεσις, ἢ ὅλως μεταβολῆς μεταβολὴ, οὔτε κίνησίς ἐστιν, οὔτε γένεσις, οὔτε ὅλως μεταβολή. τούτων δὲ μὴ ὄντων, οὔτε τὸ γίνεσθαι, οὔτε τὸ κινεῖσθαι, οὔτε τὸ μεταβάλλειν ὅλως τι δυνατὸν εἶναι. εἰ δὲ μὴ ταῦτα, οὔτε τὰ κινούμενα οὔτε τὰ μεταβάλλοντα ἔσται. καὶ ὅτι μὲν ταῦτα ἄτοπα καὶ ἀδύνατά ἐστι, καὶ διὰ τοῦτο ἐκεῖνα οἷς ταῦτα ἕπεται, εἴπερ ἕπεται, τουτέστι τὸ εἶναι κινήσεως κίνησιν, καὶ γενέσεως γένεσιν, καὶ μεταβολῆς μεταβολὴν, πρόδηλον. τὸ δὲ συνημμένον διὰ δύο μέσων ὅρων δείκνυσιν. εἰ γάρ ἐστι γενέσεως γένεσις ἢ μεταβολῆς μεταβολὴ, εἰς ἄπειρον ἀνάγκη προϊέναι εἰ δὲ τοῦτο, οὔτε τὸ πρῶτον ἔσται οὔτε τὸ ἔσχατον. ὥστε οὐκ ἔσται οὔτε γένεσις οὔτε μεταβολή. ὅτι δὲ εἰς ἄπειρον ἀνάγκη προϊέναι τὴν πρόοδον, εἰ ἔστι μεταβολῆς μεταβολὴ, δείκνυσιν ἐκ τοῦ εἴπερ ὅλως ἐστὶ μεταβολῆς μεταβολὴ, μὴ μόνον ταύτης εἶναι τῆς προβεβλημένης, ἀλλὰ καὶ ἐκείνης ἀφ' ἧς ἡ εἰς ταύτην γέγονε. καὶ πάλιν ἐκείνης ἄλλην, καὶ ἀεὶ τῆς λαμβανομένης μεταβολῆς προϋπάρχουσάν τινα ἄλλην μεταβολὴν ἀνάγκη λαμβάνεσθαι. εἰ δὲ τοῦτο, εἰς ἄπειρον ἀεὶ προϊέναι ἄλλην πρὸ ἄλλης λαμβάνοντα. εἰ δὲ τοῦτο, καὶ τὸ ἐφεξῆς ἀκολουθήσει. πρώτης γὰρ μὴ οὔσης μεταβολῆς, οὐδ' ἂν ἡ μετὰ ταύτην εἴη. οὐδὲ ἡ ταύτης ἐφεξῆς. οὐδὲ ἄλλη τις ὅλως ἕως τῆς ἐσχάτης. ὥστε εἰ ἔσται μεταβολῆς μεταβολὴ, οὐκ ἔσται μεταβολή. αὐτὸς δὲ ἐνταῦθα τῆς γενέσεως τὸν λόγον προάγει μᾶλλον, τῇ ἀφωρισμένῃ μεταβολῇ τῆς διανοίας ἐπερειδομένης, ἤπερ τῇ κοινῇ. καὶ τὸ ἄτοπον ἐνταῦθα τοῦ μηδὲν γίνεσθαι φανερώτερόν ἐστιν. ἕπεται γὰρ τούτῳ τὸ μηδὲν εἶναι τῶν γενητῶν, ἐναργῶς ἄτοπον ὑπάρχον. καὶ μέντοι καὶ ἄλλό τι ἄτοπον προσαναφαίνεται κατὰ ταύτην τὴν ἀπόδειξιν, τὸ μὴ οὖσαν τὴν γένεσιν ἤδη εἶναι. διαφόρου δὲ οὔσης ἐν τούτῳ τῷ χωρίῳ τῆς γραφῆς, ὁ Ἀλέξανδρος τὴν σαφεστέραν ἔγραψεν ἔχουσαν οὕτως. οἷον εἰ ἡ ἁπλῆ γένεσις ἐγίνετό ποτε, καὶ τὸ γινόμενον ἐγίνετο. ὥστε οὔπω ἦν ἤδη. καὶ ἐξηγεῖται ἁπλῆν γένεσιν, τὴν χωρὶς τοῦ γινομένου νοουμένην. περὶ ἧς ζητοῦμεν εἰ γίνεται. εἰ οὖν αὕτη ἡ γένεσις ἐγίνετό ποτε, τὸ δὲ γινόμενον γίνεται τέως, καὶ οὔπω ἐστὶν, οὐ γὰρ οἷόν τε αὐτὸ γινόμενον μὴ γίνεσθαι, οὔπω οὖσα ἡ γένεσις ἤδη ἦν. οὐ γὰρ ἠδύνατο γενέσθαι μὴ οὔσης γενέσεως. οἶδε δὲ καὶ τοῦτο τῷ εἰρημένῳ προσκείμενον ὁ Ἀλέξανδρος, ἀλλὰ γινόμενον ἦν, γινόμενον ἤδη. ὅπερ τῷ εἰρημένῳ ἀτόπῳ, τῷ μήπω γένεσιν οὖσαν ἤδη εἶναι, τὸ ἀντίστροφον ἄτοπον ἀποδίδωσι, τὸ ἤδη οὖσαν τὴν γένεσιν, γινόμενον ἔτι εἶναι· τουτέστι μήπω εἶναι. καὶ ἄλλην δὲ γραφὴν προστίθησι τοιαύτην. ὥστε οὔπω ἦν τὸ γινόμενον ἁπλῶς. ἀλλά τι γιγνόμενον ἤδη. καὶ εἴη ἂν τὸ λεγόμενον. ὅτι ἡ ἁπλῆ γένεσις ἐγίνετο ἤδη. τινὸς γενέσεως οὔσης· δι' ἧς γὰρ ἡ ἁπλῆ γένεσις ἐγίνετο. αὕτη γένεσις οὖσα ἤδη ἦν. καὶ ἐν πολλοῖς ἀντιγράφοις αὕτη φέρεται ἡ γραφή. μήποτε δὲ οὕτως αὐτὴν ἐξηγητέον. εἰ γίνοιτο ἡ γένεσις, οὔπω ἦν ἁπλῶς ἡ γένεσις τὸ γινόμενον. ἀλλά τι γινόμενον ἤδη. τουτέστιν ἀλλὰ καὶ ἄλλό τι μετὰ τῆς γενέσεως πεπονθὸς τὴν γένεσιν. ὥστε τὸ ὅλον γινόμενον εἶναι. ὥσπερ ἐστὶ γινόμενον ὁ ἄνθρωπος. εἰ οὖν γίνοιτο ἡ γένεσις, οὐ γένεσις ἔσται ἁπλῶς, ἀλλὰ ἕν τι τῶν γινομένων. ταῦτα οὖν μεταξὺ τὰ ἄτοπα προσυνδειξάμενος, ἐφεξῆς

προστίθησι πῶς ἐπ' ἄπειρον προελεύσεται ἡ γένεσις, καὶ πῶς ἀναιρεθήσεται, εἰ ἔστι γενέσεως γέ-
νεσις. εἰ γὰρ ἡ γένεσις διὰ γενέσεως γίνεται, καὶ πάλιν ἐκείνη ἡ γένεσις διὰ γενέσεως, καὶ ὁμοίως
πάλιν γένεσις διὰ γενέσεως, οὐ γὰρ ἔστιν εἰπεῖν διατί ἥδε μὲν γίνεται, δι' ἧς δὲ αὕτη γίνεται γενέσεως
οὐχὶ καὶ αὐτὴ γίνεται, εἰ οὖν ταῦθ' οὕτως, ἀνάγκη ἐπ' ἄπειρον ἰέναι, ἄλλην πρὸ ἄλλης γένεσιν γενέ-
σεως λαμβάνοντα. ἐπὶ δὲ τῶν ἀπείρων φησὶν οὐκ ἔστι πρῶτον. παντὸς γὰρ τοῦ λαμβανομένου ἔστι τι
λαβεῖν πρότερον. εἰ δὲ μὴ πρῶτον φησὶν, οὐδὲ τὸ ἐχόμενον. οὐ δὲ τὸ μετ' ἐκεῖνο ἄρα. ὥστε οὐδὲ τὸ ἔσχα-
τον τοῦτο ἀφ' οὗ ὡρμήθη ὁ λόγος. ὁ δὲ ἀσπάσιος ἐὰν γράφηται φησὶν, ὡς εἰ ἡ ἁπλῆ γένεσις ἐγίνετό
ποτε, καὶ τὸ γινόμενον ἐγίνετο, ὥστε οὔπω ἦν γινόμενον ἁπλῶς, ἀλλὰ γινόμενον ἤδη, ἔσται μόνον
φησὶ δεικνύμενον διὰ ταύτης τῆς λέξεως ὃ προέθετο, ὅτι ἐπ' ἄπειρον προήξει ἡ γένεσις. εἰ γὰρ ἡ γέ-
νεσις ἐγίνετο, ἁπλῶς δὲ γινόμενόν ἐστιν τὸ εἰς οὐσίαν ἐρχόμενον, εἰ οὖν τὸ γινόμενον γινόμενόν ἐστιν, οὔπω
ἦν γινόμενον ἁπλῶς. οὐ γὰρ ἔρχεται εἰς οὐσίαν, ἀλλ' εἰς τὸ ἁπλῶς γινόμενον. πάλιν δὲ ἐκεῖνο δι' οὗ
γινόμενον ἐγίνετο, δεῖ γινόμενον εἶναι. καὶ τοῦτο ἐπ' ἄπειρον. καὶ τῷ ἐπὶ τῆς κινήσεως δέ φησι λόγῳ
συμφωνοτέρα ἔσται ἡ τοιαύτη γραφή. ἐπὶ γὰρ τῆς κινήσεως οὕτως ἡ ἀπειρία μόνον δείκνυται κα-
τὰ τὸν αὐτὸν τρόπον, εἰ ἔστι κινήσεως κίνησις. ταῦτα μὲν ἐν τούτοις τὰ τοῦ ἀριστοτέλους καὶ τῶν ἀρι-
στοτέλους ἐξηγητῶν. ἐφιστάνειν δὲ ἄξιον ὡς οἶμαι, πῶς ἐπὶ τῶν ἐπ' ἄπειρον εἰ μὴ ἔστι τὸ πρῶτον οὐδὲ
τὸ ἐχόμενόν ἐστιν, ὡς εἶπεν ὁ ἀριστοτέλης. καὶ διατοῦτο εἰ ἐπ' ἄπειρόν ἐστι γένεσις πρὸ γενέσεως, καὶ με-
ταβολὴ πρὸ μεταβολῆς, οὐκ ἔστι γένεσις οὐδὲ μεταβολή. οὗτος γὰρ ὁ λόγος ἀναιρεῖν δοκεῖ τὴν ἐπ'
ἄπειρον πρόοδον τῶν γινομένων καὶ φθειρομένων. ἣν μάλιστα φαίνεται βεβαιῶν ὁ ἀριστοτέλης. καὶ
γὰρ ὅτι ἔστι δείκνυσι. καὶ τὰς αἰτίας αὐτῆς ἀνευρίσκει ἐν τῇ περὶ γενέσεως καὶ φθορᾶς, τήν τε ὑλι-
κὴν καὶ ποιητικὴν καὶ τελικήν. καὶ αὐτός ἐστιν ὁ λέγων ἐν τῷ δευτέρῳ τῆς πραγματείας ἐκείνης,
ὅτι τῷ λειπομένῳ τρόπῳ συνεπλήρωσε τὸ ὅλον ὁ θεὸς, ἐνδελεχῆ ποιήσας τὴν γένεσιν, τοῦ ἐνδελεχοῦς
τὸ ἐπ' ἄπειρον δηλοῦντος. καὶ ἐν τῷ τρίτῳ ταύτης τῆς πραγματείας ἀναιρῶν τὸ κατ' ἐνέργειαν
ἄπειρον, καὶ τῷ μεγέθει καὶ τῷ ἀριθμῷ τὸ ἐπ' ἄπειρον εἶναι συγχωρεῖ. ὅπερ ἐν τούτοις ἀναιρεῖν δο-
κεῖ. εἰ δὲ ὅπερ ἐπὶ τῆς γενέσεως αὐτὸς ἐρωτᾷ, ἐπί τινος ἐρωτήσω τῶν ἀτόμων, οἷον εἰ τοῦδε τοῦ ἀν-
θρώπου ἢ τοῦ παιδὸς ἀνάγκη πατέρα εἶναι, καὶ ἐκείνου πατέρα, καὶ τοῦτο εἰς ἄπειρον, ἐπειδὴ τῶν ἀ-
πείρων οὐκ ἔστι πρῶτον, εἰ δὲ μὴ πρῶτον ὥς φησιν, οὐδὲ τὸ ἐχόμενον ἔσται, οὐδὲ οὗτος ὁ πατὴρ ἢ ὁ ἄν-
θρωπος, οὐδὲ ὅλως ἔσται πατὴρ ἢ ἄνθρωπος κατὰ ταύτην τὴν ἐρώτησιν. εἴπερ πρὸ παντὸς παιδὸς
ἀνάγκη πατέρα εἶναι, καὶ πρὸ παντὸς ἀνθρώπου ἄνθρωπον. ἄνθρωπος γὰρ ἄνθρωπον γεννᾷ καὶ ἥλιος,
ὡς αὐτός φησιν. εἰ οὖν οὕτω καὶ γενέσεως γένεσις προηγεῖται, καὶ διατοῦτο τὴν γένεσιν ἀνεῖλεν, ὅτι
ἀνάγκη εἰς ἄπειρον προϊέναι, ἐπὶ δὲ τῶν ἀπείρων ὥς φησιν οὐκ ἔστι πρῶτον, ὥστε οὐδὲ τὸ ἐχόμενον,
τῷ αὐτῷ λόγῳ ἀναιρεθήσεται πάλιν ἡ ἐπ' ἄπειρον πρόοδος. καί τοι ὅπερ εἶπον, αὐτὸς τὰ ἄλλα τοῦ
ἀπείρου σημαινόμενα τὰ κατ' ἐνέργειαν, ὅσα ὁμοῦ τὸ ἄπειρον εἶναι φησὶν εἴτε ἀριθμῷ εἴτε μεγέθει
ἀνελὼν, μόνον τοῦ ἀπείρου σημαινόμενον τὸ ἐπ' ἄπειρον καταλέλοιπε, λέγων οὕτως. ὅλως μὲν γὰρ
» οὕτως ἐστὶ τὸ ἄπειρον, τῷ ἀεὶ ἄλλο καὶ ἄλλο λαμβάνεσθαι. καὶ τὸ λαμβανόμενον μὲν ἀεὶ πεπερα-
» σμένον. ἀλλ' ἀεί γε ἕτερον καὶ ἕτερον, ὡς ἡ ἡμέρα καὶ ὁ ἀγών. οἷς τὸ εἶναι οὐχ ὡς οὐσία γέγονεν. ἀλλ' ἀεὶ
» ἐν γενέσει καὶ φθορᾷ πεπερασμένον. ἀλλ' ἀεὶ ἕτερον καὶ ἕτερον. εἶναι δὲ τοῦτο τὸ ἐπ' ἄπειρον, ἔν τε τῷ
χρόνῳ φησὶ καὶ ἐπὶ τῶν ἀνθρώπων. δῆλον δὲ ὅτι καὶ πάντων τῶν ἐν γενέσει, καὶ ἐπὶ τῆς τοῦ με-
γέθους διαιρέσεως. ἐν πᾶσι δὲ τοῖς τοιούτοις οὐκ ἔστι τὸ πρῶτον. χρόνος γὰρ ἀεὶ πρὸ χρόνου, καὶ ἄνθρω-
πος πρὸ ἀνθρώπου. διατί οὖν μὴ καὶ γένεσις οὕτω, κἂν ἄλλη πρὸ ἄλλης ἀεὶ, καὶ μὴ ἔστι πρώτη, ἔστιν
ὅμως κατὰ τὸ ἄπειρον. μήποτε δὲ τὸ μὲν εἰς ἄπειρον ἰέναι ἀναγκαίως ἕπηται τῷ λόγῳ, καὶ τὸ
μὴ εἶναι πρῶτον ἐπὶ τῶν οὕτως ἀπείρων. παντὸς γὰρ τοῦ ληφθέντος ἔστι τι πρότερον λαβεῖν. τὸ δὲ
εἰ μὴ ἔστι τὸ πρῶτον οὐδὲ τὸ ἐχόμενόν ἐστιν, οὐκ οἶδα ὅπως ἀληθὲς δοκεῖ. ἐπὶ γὰρ τῆς εἰς ἄπειρον
προόδου πρῶτον μὲν οὐκ ἔστιν οὐδὲ ἔσχατον. παντὸς δὲ τοῦ ληφθέντος ἔστι τι ἐχόμενον καὶ ἄνωθεν καὶ
κάτωθεν. διὸ οὐδὲν κωλύει καὶ ἐπ' ἄπειρον πατέρα πρὸ παιδὸς, καὶ ἄνθρωπον πρὸ ἀνθρώπου, οὕτω δὲ
καὶ γένεσιν πρὸ γενέσεως φαίη ἄν τις, ὁμοίως τιθέντων ἡμῶν εἶναι ὅμως πατέρα καὶ γένεσιν, κἂν μὴ
ἔστι πρῶτος πατὴρ καὶ πρώτη γένεσις. τοῦ γὰρ ἀεὶ ληφθέντος τὸ ἐχόμενον οὐκ ἐπιλείπει. καὶ γὰρ
ἐφ' ὧν μὲν ἄπειρα κατ' ἐνέργειαν ὑποτίθεταί τις προηγεῖσθαι τοῦ λαμβανομένου, οἷον τοῦδε τοῦ παιδὸς
ἀπείρους κατ' ἐνέργειαν πατέρας, τουτέστιν ἅμα πάντας ὑφεστῶτας, ἀληθὲς ὅτι ἀδύνατον τοῦτον
γενέσθαι τὸν πατέρα. τὸ γὰρ τοιοῦτον ἄπειρον ἀδιεξίτητόν ἐστιν. ἐπὶ δὲ τῶν ἐπ' ἄπειρον, ἐφ' ὧν μὴ πάν-
τα τὰ ἄπειρα ἅμα ὑφέστηκεν, ἀλλὰ τὸ λαμβανόμενον ἀεὶ πεπερασμένον ἐστὶν, ἐν πέρατι τῶν προϋπαρ-
ξάντων ὑποστὰν, ἀεὶ δὲ ἕτερον καὶ ἕτερον, καὶ διατοῦτο εἰς ἄπειρον, ἐπὶ τούτων οὐκ ἀναιρεῖται τὸ
προστεθὲν, οὐδὲ ἡ πρόοδος, κἂν ἐπ' ἄπειρον τὰ αἴτια αὐτοῦ πρόεισιν, ἄλλο πρὸ ἄλλου λαμβανόμενον.
πεπέρανται γὰρ ἐν τῷ προκειμένῳ οἷον ἐν τῷ σωκράτει, τὰ πρὸ αὐτοῦ πατρικὰ αἴτια ἢ ἀνθρώπι-
να. διατοῦτο γοῦν κἂν εἰς ἄπειρον ἄλλος πρὸ ἄλλου πατὴρ, ἢ ἄλλος πρὸ ἄλλου ἄνθρωπος, καὶ μὴ ἔστι

τὸ πρῶτον λαβεῖν, οὐκ ἀναιρεῖται ὅμως ὁ σωκράτης ὡς πατὴρ ἢ ὡς ἄνθρωπος, ὅτι ἐπερατώθη εἰς αὐτὸ τὰ αἴτια. ὅπου μέντοι τὸ ἄπειρον κατ' ἐνέργειαν, τουτέστιν ἅμα πάντων ὑφεστώτων τῶν προηγουμένων αἰτίων, ὁ ἀριστοτέλης ἀναιρεῖ τὴν τοῦ ἐκείνης ἔσεσθαι λεγομένου ὑπόστασιν, ὀρθῶς ὁ λόγος ἔχει. καὶ τὸ μὴ εἶναι γενέσεως γένεσιν, καὶ κίνησιν κινήσεως, καὶ ὅλως μεταβολὴν μεταβολῆς, διά τε τῶν προτέρων ἐπιχειρημάτων δειχθὲν καὶ διὰ τῶν ἑξῆς δειχθησόμενον τῷ ἀριστοτέλει μενέτω. πρὸς δὲ τὸ διὰ τοῦ ἐπ' ἄπειρον λόγον ἡ ζήτησίς μοι νῦν γέγονεν. εἰ ἀληθῶς ἔλαβε τὸ μὴ ὄντος ἐν τῷ ἐπ' ἄπειρον τοῦ πρώτου, μηδὲ τὸ ἐχόμενον εἶναι. ᾧ ἠκολούθησε τὸ εἰ ἔστι γενέσεως γένεσις μὴ εἶναι γένεσιν. εἰ γὰρ ἔστι γενέσεως γένεσις, ἀνάγκη ἐπ' ἄπειρον προϊέναι. εἰ δὲ τοῦτο, οὐκ ἔστι τὸ πρῶτον ὥστε οὐδὲ τὸ ἐχόμενόν φησιν. ὥστε οὐδὲ ἡ προτεθεῖσα γένεσις. ἀλλ' ἐγυμνάσατο μὲν μετρίως ὁ λόγος οὗτος, ἢ λαθὼν ἢ οὐ νοήσας, ὅτι τὸ ὑπὸ τοῦ ἀριστοτέλους εἰρημένον, τὸ ἐπὶ δὲ τῶν ἀπείρων οὐκ ἔστι πρῶτον, ὥστε οὐδὲ τὸ ἐχόμενον, οὐκ ἐπὶ πάντων εἴρηται τῶν ἐπ' ἄπειρον. ἀλλ' ἐπὶ τῶν νῦν ὑποτεθέντων ἐπ' ἄπειρον ἰέναι τῆς γενέσεως καὶ τῆς μεταβολῆς. εἰ γὰρ ἡ ἁπλῆ φησὶ γένεσις, ἥτις οὐχὶ γενέσεως γένεσίς ἐστιν, ἀλλὰ ἄλλου τινὸς οἷον ἀνθρώπου, εἰ οὖν αὕτη ἐγένετό ποτε, ὡς λέγουσιν οἱ γενέσεως γένεσιν τιθέντες, γινομένην ἐγένετο. ἐπειδὴ γὰρ ἡ γένεσις ἐν τῷ γίνεσθαι τὸ εἶναι ἔχει, ἐὰν γίνηται ἡ γένεσις, γινόμενόν τι γίνεται, καὶ οὔπω ἐστὶ γινόμενον. τὸ γὰρ γινόμενον οὔπω ἐστὶν ὃ γίνεται. καὶ δηλονότι καὶ ἡ τούτου γένεσις ἐγίνετο, καὶ οὔπω ἦν. τὸ μὲν γὰρ γίνεσθαι ἤδη ἔχει. τὸ δὲ εἶναι ὅπερ γίνεται, τουτέστι γινόμενον οὔπω ἔχει. καὶ εἰ ἐπ' ἄπειρον τοῦτο, ἐπὶ δὲ τῶν ἐπ' ἄπειρον πάντων μὲν κοινῶς οὐκ ἔστι τὸ πρῶτον λαβεῖν, ἄλλο γὰρ πρὸ ἄλλου ἀεί, ἐπὶ δὲ τούτων καὶ ἰδίως, ὅτι οὐδὲν τῶν λαμβανομένων ἐστὶν ὃ λέγεται, οὐ γὰρ ἔστι γένεσις, ἀλλὰ γίνεται εἰ ἔστι γενέσεως γένεσις. εἰ οὖν μὴ ἔστι τις γένεσις ὅλως ἀφ' ἧς ἄρξασθαι δυνατόν, οὐδὲ τὸ ἐχόμενον ἔσται. τουτέστιν οὐδὲ ἐφεξῆς ἄλλη γένεσις ἔσται. ὅτι μή ἐστι πρὸ αὐτῆς γένεσις. καθ' ἣν γενήσεται. καὶ γὰρ καὶ ἡ πρὸ αὐτῆς ἐγίνετο γένεσις. καὶ ἤδη τοῦτο εἶχε τὸ γίνεσθαι γινόμενον, ἐπειδὴ ἐν τῷ γίνεσθαι τὸ εἶναι ἔχει ἡ γένεσις. οὐ μέντοι εἶναί πω τοῦτο ὅπερ ἐγίνετο, τουτέστι γένεσις. οὐδὲ αἱ ἐφεξῆς οὖν γενέσεις εἰσίν, εἴπερ γίνεσθαι μὲν ὑπόκεινται, γένεσις δὲ αὐτῶν οὐ προϋπάρχει, κατὰ τοὺς λέγοντας εἶναι γενέσεως γένεσιν. διὸ καὶ τοῦτο ἐπήγαγεν τὸ ἄτοπον, τὸ μήτε τὸ γίνεσθαι εἶναι, μήτε τὸ κινεῖσθαι, μήτε τὸ μεταβάλλειν. ἃ ἕπεται τοῖς ἐπ' ἄπειρον γένεσιν γενέσεως, καὶ μεταβολὴν μεταβολῆς ὑποτιθεμένοις. ἄνθρωπον δὲ πρὸ ἀνθρώπου τιθεὶς ἐπ' ἄπειρόν τις, οὐ περιπίπτει τούτῳ τῷ ἀτόπῳ. κἂν γὰρ πρῶτος ἄνθρωπος μὴ ᾖ, ἀλλ' ὁ λαμβανόμενος πᾶς ἄνθρωπος ἤδη ἐστίν, ὡς δύνασθαι ποιεῖν ἄνθρωπον, καὶ οὐχὶ γινόμενος ἄνθρωπος. ὥσπερ ἡ γένεσις γινομένη ἦν ἔτι καὶ οὐκ οὖσα.

ΕΤΙ ΤΟΥ αὐτοῦ, κίνησις ἡ ἐναντία. καὶ ἔτι ἠρέμησις, καὶ γένεσις καὶ φθορά. ὥστε τὸ γινόμενον ὅταν γίγνηται γινόμενον, τότε φθείρεται. οὔτε γὰρ εὐθὺς γινόμενον, οὔθ' ὕστερον. εἶναι γὰρ δεῖ τὸ φθειρόμενον.

Καὶ δι' ἄλλης ἐπιχειρήσεως δείκνυσιν ὅτι οὐκ ἔστι γενέσεως γένεσις, εἰς ἄτοπον ἀπάγων, τὸ τὸ γινόμενον ὅταν γίνηται τότε φθείρεσθαι. καὶ ἔστιν οὕτως ἄτοπον τὸ τὰς ἐναντίας κινήσεις ἅμα κινεῖσθαι. δείκνυσι δὲ αὐτό, προλαβὼν ὡς ἀξίωμα τὸ τὰς ἐναντίας κινήσεις τοῦ αὐτοῦ εἶναι, οὐχ ἅμα δηλονότι ἄμφω, οὐδὲ ἄμφω πάντως κατὰ φύσιν. ἀλλ' ὅτι τὸ κινούμενον τινὰ κίνησιν, κινητόν ἐστι καὶ κατὰ τὴν ἐναντίαν αὐτῇ. ὁμοίως δὲ προλαμβάνει καὶ ὅτι οὗ ἐστι κίνησίς τις, τούτου καὶ ἡ τῇ κινήσει ἐκείνῃ ἀντικειμένη ἠρέμησις. καὶ γὰρ ἐπ' ἀλλοιώσεως καὶ αὐξήσεως καὶ φορᾶς καὶ ἐπὶ γενέσεως καὶ φθορᾶς ἀληθῆ ταῦτα. εἰ οὖν ἔστι γενέσεως γένεσις, ὥστε γινόμενόν τι εἶναι τὴν γένεσιν, δηλονότι καὶ φθειρόμενον ἔσται. τοῦ γὰρ αὐτοῦ τὸ γίνεσθαι καὶ φθείρεσθαι ἐστί. πότε οὖν φθείροιτο ἂν τοῦτο τὸ γινόμενον ἡ γένεσις. εἰ γὰρ μήτε ἐν ἀρχῇ τοῦ γίνεσθαι, ὅπερ εἶπεν αὐτὸς εὐθὺς γινόμενον, οὐ γὰρ ἂν ἐγίνετο ἔτι, μήτε ὕστερον μετὰ τὸ γενέσθαι, ὅτε πάντα φθείρεται τὰ φθειρόμενα, ἡ γὰρ γένεσις ἐν τῷ γίνεσθαι οὖσα, καὶ μετὰ τὸ γενέσθαι οὐκέτι οὖσα, οὐκ ἂν τότε φθείροιτο, εἶναι γὰρ δεῖ τὸ φθειρόμενον ἵνα φθείρηται, ἡ δὲ γένεσις μετὰ τὸ γενέσθαι οὐκέτι ἐστίν, ὥσπερ οὐδὲ ἡ κίνησις, μετὰ τὸ κινηθῆναι τὸ κατ' αὐτὴν κινούμενον, εἰ οὖν μήτ' εὐθὺς γινομένη ἡ γένεσις φθείρεται, μήτε ὕστερον μετὰ τὸ γενέσθαι, ἀνάγκη ὅταν γίνηται τότε φθείρεσθαι. ὁ μὲν γὰρ σωκράτης ὅταν παύσηται τοῦ γίνεσθαι καὶ γενόμενος ἤδη ᾖ, τότε φθείρεται. ἡ δὲ γένεσις εἴπερ γίνεται, ὅταν γινομένη ᾖ οὐκέτι ἐστίν. ὥστε ἂν δὲ φθείρεται τότε. εἶναι γὰρ δεῖ τὸ φθειρόμενον. ὥστε ἐὰν γινομένη ᾖ ἡ γένεσις, ὅταν γίνηται γινόμενον τότε φθείρεται. ὅπερ ἄτοπον τὸ ἅμα τὸ αὐτὸ γίνεσθαί τε καὶ φθείρεσθαι εἰ γὰρ γίνεται ἡ γένεσις, δηλονότι καὶ φθείρεται. διὰ τὸ προληφθὲν ἀξίωμα, τὸ τοῦ αὐτοῦ εἶναι τὰς ἐναντίας κινήσεις. καὶ ὁ μὲν ἀριστοτέλης ἐπὶ τῆς γενέσεως διὰ βραχέων τὸ ἄτοπον ἐνεδείξατο. εἰ δὲ ἡ γένεσις τινός ἐστι γένεσις. καὶ τὸ γινόμενον ὅταν γίνηται τότε φθαρήσεται. οἷον ὁ σωκράτης ἤ τι ἄλλο τῶν γινομένων. ἐφ' ὧν ἐναργέστερον τὸ ἄτοπον, τὸ τὸ αὐτὸ ἅμα γίνεσθαι καὶ φθείρεσθαι, ἀναιρουμένης γενέσεως καὶ φθορᾶς. ἐμφαίνεται δέ τι καὶ ἄλλο συμπέρασμα τοῖς εἰρημένοις. εἰ γὰρ μὴ φθείρεται ἡ γένεσις, μήτε εὐθὺς ἀρχομένη, μήτε ὕστερον μετὰ τὸ γενέσθαι, διότι ἀρχομένη μὲν οὔπω ἐστί, γενομένη δὲ οὐκέτι ἐστί, μὴ μέντοι

μὴ δὲ γινομένη φθείροιτο, ἵνα μὴ ἅμα τὰς ἐναντίας κινήσεις κινηθῇ, δηλονότι ὅλως οὐ φθείρεται. εἰ δὲ μὴ φθείρεται, οὐδὲ γίνεται κατὰ τὸ προσληφθὲν ἀξίωμα τὸ λέγον ὅτι τοῦ αὐτοῦ κίνησις ἡ ἐναντία. ἀλλὰ τούτῳ μὲν τῷ ἀξιώματι, τῷ τοῦ αὐτοῦ κίνησιν εἶναι τὴν ἐναντίαν, καὶ διὰ τούτου γένεσις καὶ φθορὰν τοῦ αὐτοῦ, προσχρησάμενος, ἤλεγξε τὰ εἰρημένα. τὸ δὲ καὶ ἠρέμησιν αὐτοῦ εἶναι καὶ τοῦτο προσαξιωθὲν, τίνα χρείαν αὐτῷ ἐν τούτοις παρέχετο. λέγουσι δὲ καλῶς οἱ ἐξηγηταὶ ὅτι διὰ τῆς ἠρεμίας ἐνελέγξατο, καὶ ἐπὶ κινήσεως ἁρμόττειν τὸν αὐτὸν λόγον. εἰ γὰρ ἡ κίνησις κινεῖται, τὸ δὲ κινούμενον τινὰ κίνησιν, καὶ ἠρεμεῖν πέφυκε τὴν ἐκείνῃ τῇ κινήσει ἀντικειμένην ἠρεμίαν, δηλονότι καὶ ἡ κίνησις ἠρεμήσει κίνησις οὖσα. ὅπερ ἄτοπον. ἔτι δὲ ἀτοπώτερον τὸ ἅμα αὐτὴν κινεῖσθαι καὶ ἠρεμεῖν. εἰ γὰρ εἶναι δεῖ τὸ ἠρεμοῦν ὥσπερ καὶ τὸ φθειρόμενον, ἡ δὲ κίνησις εὐθὺς μὲν ἀρχομένη οὔπω ἐστὶ, παυσαμένη δὲ οὐκέτι ἐστὶν, ἀλλ᾽ ἐν τῷ κινεῖσθαι τὸ εἶναι ἔχει εἴπερ κινοῖτο, δηλονότι ἅμα κινήσεται καὶ ἠρεμήσει. καὶ ἐκ τοῦ ἑτέρου δὲ ἀξιώματος, τοῦ λέγοντος τοῦ αὐτοῦ τὰς ἐναντίας εἶναι κινήσεις, καὶ ἐπὶ τῆς κινήσεως τὸ ἄτοπον συναχθήσεται. εἰ γὰρ ἐν τῷ κινεῖσθαι μόνος ἐστὶν ἡ κίνησις, ὥσπερ ἐν τῷ γίνεσθαι ἡ γένεσις, καὶ οὔτε πρότερον οὔτε ὕστερον, ἐὰν κινῆται ἡ κίνησις, ἐπειδὴ εἰς τὴν ἐναντίαν κινεῖται μένουσα ὅπερ ἦν, τὰς ἐναντίας ἅμα κινήσεται. ἐπειδὴ δὲ ἡ γένεσις ἠλέγχθη μήτε γινομένη μήτε φθειρομένη, ζητεῖν οἶμαι πάλιν ἀναγκαῖον, εἰ μὴ περὶ τῆς ἁπλῶς γενέσεως, ἀλλὰ περὶ τῆς τινὸς οἷον τοῦ σωκράτους ἠλέγχθη, ὅτι οὔτε ἐγένετο οὔτε ἐφθάρη, πῶς ὅλως τῶν ὄντων ἦν. εἴπερ ἀνάγκη πᾶν τὸ ὁπωσοῦν ὑποστὰν, ἢ τῶν ἀεὶ ὄντων εἶναι, ἢ τῶν γινομένων καὶ φθειρομένων. εἰ οὖν ἡ τοῦ σωκράτους γένεσις καθ᾽ ἣν γέγονεν ὁ σωκράτης, μὴ τῶν ἀεὶ ὄντων ἐστὶν, ἀνάγκη τῶν γινομένων καὶ φθειρομένων αὐτὴν εἶναι. καὶ ὅλως εἰ πρότερον μὴ οὖσα ὕστερον ἦν, καὶ πάλιν οὐκ ἔστι, πῶς οὐχὶ καὶ γεγονέναι καὶ ἐφθάρθαι αὐτὴν ἐροῦμεν. μήποτε οὖν ἀνάγκη μὲν εἶναι μεταβολὴν, καὶ περὶ τὴν μερικὴν γένεσιν. εἴπερ πρότερον μὴ ἔστιν, οὖσα ὕστερον, καὶ πάλιν οὐκ ἔστι. καὶ εἰ χρόνῳ μετρουμένην ἔχει τὴν ὑπόστασιν. ἀλλ᾽ ὁ μὲν ἀριστοτέλης καὶ ταῦτα κατὰ συμβεβηκὸς μεταβάλλειν ἐρεῖ μετ᾽ ὀλίγον. καθ᾽ αὑτὸ μὲν γὰρ μεταβάλλει τὸ ὑποκείμενον. ἡ δὲ μεταβολὴ κατὰ συμβεβηκὸς, ὅτι ἐν τῷ καθ᾽ αὑτὸ μεταβάλλοντί ἐστι. μήποτε δὲ καθ᾽ αὑτὸ μεταβάλλειν ἀνάγκη τὴν μεταβολὴν τὴν γινομένην καὶ φθειρομένην. ἀλλ᾽ ὀνομάτων ἔνδεια τὴν ἀπορίαν ποιεῖ. τὰς γὰρ τῶν πραγμάτων μεταβολὰς εἰς δύο ἢ εἰς τρία διαστησάμενοι, εἴς τε κίνησιν καὶ γένεσιν καὶ φθορὰν, ταῖς τῶν μεταβολῶν μεταβολαῖς κατ᾽ ἄλλον τρόπον γινομέναις, οὐκέτι ἔχομεν οἰκεῖα προσάπτειν ὀνόματα. ὥσπερ γὰρ ἄλλο τι ἐστὶν ὁ σωκράτης, καὶ ἄλλο παντελῶς κατὰ ὑποστάσεως εἶδος ἡ τοῦ σωκράτους μεταβολὴ, οὕτω καὶ τούτων ἀμφοῖν αἱ μεταβολαὶ διαφέρουσι τῇ ὅλῃ φύσει. καὶ εἴπερ ἦν ὀνόματα ἴδια ταῖς τῆς γενέσεως καὶ φθορᾶς μεταβολαῖς, οὐκ ἂν ἴσως τὰ εἰρημένα ἄτοπα ἠκολούθησεν. οὐ γὰρ ἂν ἦν γινόμενον ἡ γένεσις οὐδὲ φθειρόμενον, ἀλλὰ ἄλλως πως εἰς τὸ εἶναι καὶ μὴ εἶναι μεταβάλλουσα. τεκμαίρομαι δὲ τοῦτο καὶ ἐκ τῆς κινήσεως. τὴν γὰρ κίνησιν κινεῖσθαι μὲν ἢ ἠρεμεῖν λέγοντες, ἀτόποις περιπεσούμεθα· γίνεσθαι δὲ καὶ φθείρεσθαι αὐτὴν οὐ παραιτούμεθα λέγειν. τὴν γὰρ κίνησιν ἐν τῷ γίνεσθαι καὶ φθείρεσθαι τὸ εἶναι ἔχειν πάντως φαμὲν, καὶ τάχα καὶ τῷ ἀριστοτέλει ταῦτα δοκοῦντα μετ᾽ ὀλίγον φανήσεται. ὅταν μεταβολὴν μὲν εἶναι τῆς κινήσεως λέγῃ, κίνησιν δὲ αὐτὴν εἶναι οὐ συγχωρῇ. οὐ γάρ ἐστι φησὶ μάθησις ἡ τῆς μαθήσεως γένεσις. μήποτε δὲ καὶ τὸ συναχθὲν ὡς ἄτοπον, εἰ ἔστι γενέσεως γένεσις, τὸ ἅμα γίνεσθαι καὶ φθείρεσθαι τὴν γένεσιν, εἴπερ ἐν τῷ γίνεσθαι καὶ φθείρεται, καὶ οὔτε ἐν ἀρχῇ οὔτε ἐν τέλει, ἐπὶ τῶν τοιούτων τῶν ἐν τῷ γίνεσθαι καὶ φθείρεσθαι τὸ εἶναι ἐχόντων οὐκ ἔστιν ἄτοπον. καὶ γὰρ ἡ ἡμέρα καὶ ὁ ἀγὼν, καίτοι φθειρόμενα, οὔτε ἐν ἀρχῇ φθείρεται, ὅτι μήπω τότε ἐστίν. εἶναι δὲ χρὴ τὸ φθειρόμενον. οὔτε ἐν τέλει, ὅτι τότε οὐκέτι ἐστίν. ἀλλὰ τῷ γίνεσθαι καὶ τὸ φθείρεσθαι συνακολουθεῖ. οὕτω δὲ καὶ ἡ κίνησις ὥσπερ καὶ ὁ χρόνος, κἂν τῷ λόγῳ διαφέρῃ ἐπ᾽ αὐτῶν τὸ γίνεσθαι καὶ φθείρεσθαι. ἀλλ᾽ ὅπερ ἂν λάβῃς μέρος γινόμενον ὄψει. εἰ γὰρ πρότερον γινόμενον μέρος τι τῆς κινήσεως ἢ τοῦ χρόνου ὕστερον φθείρεται, ὥσπερ οἰκία, ἀνάγκη εἶναι μεταξὺ χρόνον, ἐν ᾧ οὔτε γίνεται οὔτε φθείρεται. ἀλλ᾽ ἔστη. καὶ ἕστηκε κατὰ τὸ εἶναι. καίτοι ἐπὶ τῆς κινήσεως καὶ ἐπὶ τοῦ χρόνου, καὶ πάντων τῶν ἐν τῷ γίνεσθαι τὸ εἶναι ἐχόντων, οὐκ ἔστι στάσιν λαβεῖν. ἀλλ᾽ ἔοικε θαυμασίως πως ἐν τοῖς τοιούτοις τὰ τρία μεμίχθαι, γένεσις, καὶ φθορὰ, καὶ τὸ εἶναι. καὶ γὰρ καὶ τοῦτο ἐν παντὶ μέρει τῶν τοιούτων φαντάζεται, καθὸ καὶ εἶναι δοκεῖ, κατὰ τὸ ἐπιβάλλον αὐτῷ τοῦ ὄντος μέτρον. ὥσπερ καὶ γίνεσθαι καὶ φθείρεσθαι κατὰ τὴν μέθεξιν ταύτην τῆς γενέσεως καὶ φθορᾶς. καὶ οὐχὶ κατ᾽ ἐκείνας τὰς διεστώσας ἀλλήλων. καὶ τῇ φύσει, ὡς ἐναντίας καὶ συνυπάρχειν μὴ δυναμένας. καὶ τῷ χρόνῳ, ὡς τὴν μὲν προτέραν εἶναι, τὴν δὲ ὑστέραν. καὶ τὸ μικρὸν δὲ τοῦτο ἐστὶ τὸ παρὰ πλάτωνι γινόμενον καὶ ἀπολλύμενον, ὄντως δὲ οὐδέποτε ὄν. εἰκὼν γὰρ τοῦ ὄντως ὄντος ἐστὶ, τὸ ἐν αὐτῷ μετὰ τῆς γενέσεως καὶ φθορᾶς ἐμφαινόμενον. τάχα δὲ κἂν ᾖ ἐν τοῖς οὖσιν ἡ μικτὴ φύσις αὐτὴ, καθ᾽ ἣν τὸ γινόμενον ἅμα καὶ φθείρεται, οὐδὲν ἧττον ἄτοπον ἔσται τὸ ὑπὸ τοῦ ἀριστοτέλους ἐπηγμένων, εἰ γίνοιτο ἡ γένεσις καὶ ἡ κίνησις κινοῖτο. εἰς γὰρ τὸ ἐναντίον οὔσης τῆς μεταβολῆς, αὐτὸ τὸ γίνεσθαι καὶ

φθείρεσθαι ἔσται, καὶ τὸ κινεῖσθαι καὶ ἠρεμεῖν. ἀλλ᾽ ὅτι μὲν καὶ ἀριστοτέλης συγχωρεῖ τὴν μεταβολὴν κατὰ συμβεβηκὸς μεταβάλλειν, αὐτοῦ λέγοντος ἀκουσόμεθα. εἰ δὲ καθ᾽ αὑτὸ κατ᾽ ἄλλον τινὰ τρόπον, ἐπὶ πλέον ζητείσθω. τὸ δὲ ἑξῆς ἐπιχείρημα προσφυέστερον οἶμαι τῶν προκειμένων δεικτικὸν ὑπάρχον, τοιοῦτόν ἐστιν.

ἜΤΙ ΔΕῖ ὕλην ὑπεῖναι καὶ τῷ γινομένῳ καὶ τῷ μεταβάλλοντι. τίς οὖν ἔσται. ὥσπερ τὸ ἀλλοιωτὸν ἢ σῶμα ἢ ψυχή, οὕτω δὴ τὸ γινόμενον, κίνησις ἢ γένεσις. καὶ πάλιν τί εἰς ὃ κινοῦνται. δεῖ γὰρ εἶναί τι τὴν τοῦδε ἐκ τοῦδε εἰς τόδε κίνησιν. καὶ μὴ κίνησιν ἢ γένεσιν.

Καὶ τοῦτο κοινὸν ἐπὶ πάσης μεταβολῆς ἐστὶ τὸ ἐπιχείρημα. εἰ γὰρ γενέσεως γένεσίς ἐστι, καὶ ὅλως μεταβολῆς μεταβολή, ἐπειδὴ πᾶν τὸ γινόμενον ἔκ τινος ὑποκειμένου γίνεται καὶ ὕλης τινός, ἥ τις τὸ εἶδος δεχομένη γίνεται τοῦτο ὃ γίνεται, γίνεσθαι δὲ λέγεται καὶ ἡ γένεσις, καὶ ἡ μεταβολὴ μεταβάλλειν, ἔσται τι ὑποκείμενον ἐξ οὗ ἡ γένεσις καὶ ἡ μεταβολή. ὥσπερ γὰρ καὶ τῷ πυρὶ γινομένῳ ὑπόκειταί τις ὕλη ἐξ ἧς γίνεται. καὶ τῷ ἀνδριάντι ὁ χαλκός, καὶ τῇ ἀλλοιώσει ὑπόκειται ἢ σῶμα ἢ ψυχή, οὕτω καὶ τῷ γινομένῳ. καὶ οὐ μόνον τῷ ἁπλῶς γινομένῳ. ἀλλὰ καὶ τῇ τινὶ γενέσει καὶ κινήσει καὶ ὅλως μεταβολῇ. τούτου γὰρ χάριν παραδείγματι τῇ ἀλλοιώσει ἐχρήσατο. μηδενὸς γὰρ ὄντος ὑποκειμένου, οὐδ᾽ ἂν γίνοιτό τι. εἰ οὖν ἡ γένεσις γίνεται, καὶ ἐστὶ γινόμενον ἡ γένεσις, δεῖ πάντως καὶ τούτῳ γινομένῳ ὕλην ὑπάρχειν. ἥ τις τῇ μεθέξει τῆς γενέσεως γίνεται. καὶ εἰ κινεῖται ἡ κίνησις, ὁμοίως ὑποκείμενόν τι ἔσται τὸ κατὰ τὴν κίνησιν κινούμενον, καὶ ἐκ τοῦδε εἰς τόδε, τουτέστιν ἐξ ἄλλου εἴδους εἰς ἄλλο. εἰς ὃ μεταβάλλον τὸ ἐν τῷ κινουμένῳ ὑποκείμενον καὶ γινομένῳ, γένεσις καὶ κίνησις γίνεται. ὥσπερ ἐν τῷ λευκαινομένῳ τὸ ὑποκείμενον κατὰ τὴν λεύκανσιν μεταβάλλον, εἰς λευκὸν μεταβάλλει. εἰ οὖν ὑποκείμενόν τι χρὴ εἶναι τὸ γινόμενον, οὐ κίνησις οὐ γένεσις, ἄλλο δὲ παρὰ τὴν κίνησιν καὶ γένεσιν, τί τοῦτο ἐστίν. ὥσπερ τὸ ἀλλοιωτὸν ἢ σῶμά ἐστιν ἢ ψυχὴ ἄλλο παρὰ τὴν ἀλλοίωσιν. εἰ δὲ ἡ κίνησις κινεῖται, καὶ ἡ γένεσις γίνεται, καὶ οὐκ ἔστι τι ὡς ὕλη ὑποκείμενον, ἄτοπον καὶ ἀδύνατον, εἴπερ ἀνάγκη ὕλην ὑποκεῖσθαι τῷ κινουμένῳ καὶ γινομένῳ. τοῦτο μὲν οὖν ἓν ἄτοπον συνήγαγε συντόμως, διὰ τοῦ τίς οὖν ἔσται ἡ ὑποκειμένη ὕλη, ὥσπερ τὸ ἀλλοιωτὸν ἢ σῶμα ἢ ψυχή. ἕτερον δὲ ἐκ τοῦ δεῖν μὲν εἶναί τι εἰς ὃ κινοῦνται τὰ κινούμενα ἄλλο παρὰ ταῦτα. οἷον εἰ λευκαίνεται τὸ σῶμα, ἔστι τι λευκὸν ἄλλο παρὰ τὸ σῶμα, εἰς ὃ κινεῖται τὸ σῶμα. μηδὲν δὲ ἐπὶ τῶν προκειμένων εἶναι ἄλλο παρὰ ταῦτα. εἰ γὰρ κινεῖται ἡ κίνησις, καὶ γίνεται ἡ γένεσις, τίνα ἔσται παρὰ τὴν κίνησιν καὶ τὴν γένεσιν ἄλλα, εἰς ἃ κινεῖται ἡ κίνησις καὶ γίνεται ἡ γένεσις. ὥσπερ τὸ λευκὸν καὶ ἡ ἐπιστήμη, ἄλλα ἐστὶ σώματος καὶ ψυχῆς, εἰς ἃ κινοῦνται τὸ σῶμα καὶ ἡ ψυχή. εἰ οὖν μὴ ἐπὶ τούτων ἐστὶν ἄλλο τι τὸ εἰς ὅ, χρὴ δὲ πάντως εἶναι ἐπὶ τοῦ κινουμένου καὶ γινομένου, δηλονότι οὔτε ἡ κίνησις κινεῖται, οὔτε ἡ γένεσις γίνεται. δεύτερον οὖν τοῦτο ἄτοπον, ἀπὸ τοῦ δεῖν μὲν ἐπὶ τῶν κινουμένων εἶναί τι, τὸ εἰς ὃ κινοῦνται καὶ εἰς ὃ γίνονται. ὥσπερ καὶ ἐξ οὗ κινοῦνται καὶ ἐξ οὗ γίνονται. εἰ δὲ λέγει τις τὴν κίνησιν κινεῖσθαι καὶ τὴν γένεσιν γίνεσθαι, οὐκ ἔχει τι εἰπεῖν εἰς ὃ κινεῖται ἡ κίνησις, καὶ εἰς ὃ γίνεται ἡ γένεσις, ἄλλο τι παρὰ ταῦτα. ὥσπερ οὐδὲ τὸ ἐξ οὗ ἔχομεν εἰπεῖν πρότερον. ταῦτα μὲν οὖν, εἰ οὕτως εἴη γεγραμμένον, δεῖ γὰρ εἶναι τὴν τοῦδε ἐκ τοῦδε εἰς τόδε κίνησίν τε καὶ γένεσιν. ὁ δὲ ἀλέξανδρος καὶ ἄλλην θεὶς γραφὴν τὴν λέγουσαν ἐκ τοῦδε εἰς τόδε κίνησιν μὴ κίνησιν, ἐξηγεῖται καὶ ταύτην οὕτως. εἰ ἡ κίνησις κινούμενόν ἐστιν, ἄλλο δέ τι τὸ κινούμενον, καὶ ἄλλο τὸ καθ᾽ ὃ ἡ κίνησις, οἷον τὸ σῶμα καὶ ἡ λεύκανσις, δηλονότι ἡ κίνησις τῆς κινήσεως ἡ ἐκ τοῦδε εἰς τόδε οὐκ ἂν εἴη κίνησις. ὥστε οὐκ ἀληθὲς ὅτι κινεῖται ἡ κίνησις. καὶ ὁ θεμίστιος ταύτην ἔοικεν ἀποδέχεσθαι τὴν γραφήν. ἐφιστάνει δὲ καλῶς ὁ ἀλέξανδρος, ὅτι ἡ προτέρα γραφὴ μᾶλλον οἰκεία τοῖς προκειμένοις. διότι τοῦτο τὸ συμπέρασμα τὸ τὴν κίνησιν μὴ εἶναι κίνησιν ἐφεξῆς δείκνυσιν ὁ ἀριστοτέλης. καὶ τοῦτο δὲ ῥητέον ὅτι τὸ ἐπιχείρημα τοῦτο πεποίηται, ἐκ τοῦ δεῖν μὲν ἐπὶ τῶν κινουμένων καὶ γινομένων εἶναι τὸ ἐξ οὗ καὶ εἰς ὅ. εἰ δὲ λέγει τις τὴν κίνησιν κινεῖσθαι, καὶ τὴν γένεσιν γίνεσθαι, μηδέτερον ἔχειν ἐπ᾽ αὐτῶν ἀποδιδόναι μήτε τὸ ἐξ οὗ, μήτε τὸ εἰς ὅ.

ἍΜΑ ΔΈ, καὶ πῶς ἔσται. οὐ γὰρ ἔσται μάθησις, ἡ τῆς μαθήσεως γένεσις. ὥστε οὐδὲ γενέσεως γένεσις. οὐδέ τις τινός.

Πέμπτον οἶμαι τοῦτο ἐπιχείρημα, δεικνύον ὅτι οὔτε γένεσις γενέσεώς ἐστιν, οὔτε κινήσεως κίνησις. ἀπάγει δὲ καὶ τοῦτο εἰς ἄτοπον. εἰ γὰρ ἐστὶ κινήσεως κίνησις, καὶ γενέσεως γένεσις, οὔτε ἡ τῆς κινήσεως κίνησις δύναται κίνησις εἶναι, οὔτε ἡ τῆς γενέσεως γένεσις. δείκνυσι δὲ καὶ αὐτὸ ἐξ ὁμοίου παραθέσεως. ὥσπερ γάρ φησιν οὐκ ἔστι μάθησις ἡ τῆς μαθήσεως γένεσις, εἴη γὰρ ἂν μάθησις πρὶν γενέσθαι, οὕτως οὐδὲ γενέσεως γένεσις. εἰ γὰρ ἡ γένεσις γινόμενόν ἐστιν. εἴπερ ἐστὶ τῆς γενέσεως γένεσις. τὸ δὲ γινόμενον οὔπω ἐστὶν οὐκ ἂν εἴη γένεσις ἡ τῆς γενέσεως γινομένη γένεσις. ἔτι δὲ εἰ ἄλλο τὸ ἀλλοιούμενον καὶ ἄλλο ἡ ἀλλοίωσις αὐτοῦ, καὶ ἄλλο τὸ μανθάνον καὶ ἄλλο ἡ μάθησις αὐτοῦ, οὕτω δὲ καὶ ἄλλο τὸ γινόμενον καὶ ἄλλο ἡ γένεσις αὐτοῦ, εἰ τὸ γινόμενον ἡ γένεσίς ἐστιν, ἡ τῆς γενέσεως γένεσις οὐκ ἔσται γένεσις. οὐδ᾽ ἡ τῆς

κινήσεως

κινήσεως κίνησις ἔσται κίνησις. διὰ τοῦτο οὖν ἀρχόμενος τοῦ ἐπιχειρήματος οὕτως εἶπεν. ἅμα δὲ πῶς καὶ ἔσται. ἢ ἅμα δὲ καὶ πῶς ἔσται. ἑκατέρως γὰρ εὑρίσκεται γεγραμμένον. τὸ δὲ αὐτὸ σημαίνει. πῶς γὰρ ἔσται φησὶν ἡ κίνησις, ἡ τῆς κινήσεως λεγομένη κίνησις, ἢ γένεσις ἡ τῆς γενέσεως γένεσις. προσέθηκε δὲ καὶ τὸ οὐδὲ τὶς τινός, ἵνα μὴ νομίσῃ τις τῆς μὲν καθόλου γενέσεως μὴ εἶναι γένεσιν, ὅτι ἀνάγκη καὶ ταύτην εἶναι καθόλου, δύο δὲ καθόλου ἀδύνατον τὰ αὐτὰ εἶναι. καὶ ὅτι τῆς καθόλου οὐκ ἔστι γένεσις, ὡς αὐτὸς ἐν τῷ πρώτῳ τῆς περὶ γενέσεως εἶπε. τῆς δὲ τινὸς μηδὲν κωλύειν τινὰ ἄλλην γένεσιν εἶναι. καὶ τοῦτο γοῦν ἀνεῖλεν. ἁπλῶς γὰρ ἄλλο καὶ τῷ γένει καὶ τῷ εἴδει τὸ γινόμενόν ἐστι, καὶ ἄλλο ἡ γένεσις αὐτοῦ. ἐπιστῆσαι δὲ ἄξιον, ὅπερ πρότερον ἔλεγον, ὅτι ὁ Ἀριστοτέλης μεταβολὴν τῆς κινήσεως εἶναί φησι. γένεσιν δὲ ἀλλ᾽ οὐ κίνησιν αὐτὴν εἶναι βούλεται. ὅταν λέγῃ, οὐ γάρ ἐστι μάθησις ἡ τῆς μαθήσεως μάθησις. κίνησιν γάρ ἐστιν ἡ μάθησις.. καὶ τὴν μεταβολὴν αὐτῆς γένεσιν μὲν εἶναι βούλεται, μάθησιν δ᾽ οὔ. καὶ τῆς τινὸς οὖν γενέσεως ἔστι πάντως μεταβολή. καθ᾽ ἣν εἰς τὸ εἶναι ἢ τὸ μὴ εἶναι πρόεισιν. ἀλλ᾽ οὔτε γένεσιν οὔτε φθορὰν ταύτας ῥητέον, διὰ τὰ εἰρημένα ἄτοπα. ἀλλ᾽ ὥσπερ ταῦτα μεταβολαί εἰσιν ἄλλων τῷ γένει τινῶν, οἷον ἀνθρώπου καὶ ἵππου, οὕτω καὶ τούτων ἄλλας τῷ γένει θετέον τὰς μεταβολάς. ἀνάγκη δὲ τῷ κοινῷ ὀνόματι καλεῖν οὐκ ἔχοντα ἴδιον.

ἜΤΙ ΕἸ τρία εἴδη κινήσεώς ἐστι, τούτων τινὰ ἀνάγκη εἶναι τὴν ὑποκειμένην φύσιν καὶ εἰς ἃ κινοῦνται. οἷον ἀνάγκη τὴν φορὰν ἀλλοιοῦσθαι ἢ φέρεσθαι.

Κ αλῶς οὖν ἐξ ὑποθέσεως εἶπεν, εἰ τρία εἴδη κινήσεώς ἐστιν. τοῦτο γὰρ ἀποδεῖξαι προέκειτο, ὅτι ἐν ταῖς τρισὶ μόναις κατηγορίαις ἐστὶν ἡ κίνησις, ἐν ποσῷ, καὶ ποιῷ, καὶ ποῦ. οὔτε δὲ ἐν ταῖς ἄλλαις, οὔτε ἐν τῷ ποιεῖν καὶ πάσχειν. διότι κινήσεως κίνησις οὐκ ἔστιν. εἰς ὃ καὶ τὰ εἰρημένα ἐπιχειρήματα, καὶ τοῦτο τὸ νῦν προκείμενον κατεβάλετο. ἐπεὶ οὖν ἴδιόν τι γέγονε πρόβλημα, τὸ μὴ εἶναι κινήσεως κίνησιν, δείκνυσιν αὐτό, ὑποθέμενος τρία εἶναι τῆς κινήσεως εἴδη, καὶ προσθεὶς ὅτι ἀνάγκη πᾶν τὸ κινούμενον, κατὰ τούτων τι τῶν τῆς κινήσεως εἰδῶν κινεῖσθαι. καὶ διὰ τοῦτο ἡ ὑποκειμένη φύσις τῷ λόγῳ, τουτέστιν ἡ κίνησις ἣν λέγομεν κινεῖσθαι, ἢ ἀλλοίωσίς ἐστιν, ἢ φορά, ἢ κατὰ ποσὸν μεταβολή. οὐ μόνον δὲ τὴν κίνησιν ἣν λέγομεν κινεῖσθαι, ὑποκειμένην τῇ κινήσει, καθ᾽ ἣν λέγεται κινεῖσθαι, ἀνάγκη τούτων τι εἶναι. ἀλλὰ καὶ τὰ εἰς ἃ κινοῦνται, ἢ γὰρ ποιόν, ἢ ποσόν, ἢ ποῦ, καὶ τούτων ἕκαστον. ἢ γὰρ εἰς λευκόν. ἢ εἰς μεῖζον. ἢ ἄνω. ἢ εὐθὺ τὰ τούτων σύστοιχα. τούτων δὲ οὕτως ἐχόντων, κατὰ κοινοῦ λαβὼν τὸ ἀνάγκη, ἐπήγαγεν ὅτι ἀνάγκη τὴν φοράν, εἴπερ αὕτη τύχοι ἡ κίνησις ἣν λέγομεν κινεῖσθαι, ἢ ἀλλοιοῦσθαι, ἢ φέρεσθαι, ἢ κατὰ ποσὸν μεταβάλλειν. ὅπερ καὶ καταγέλαστον δοκεῖ τὸ τὴν φορὰν λευκαίνεσθαι ἢ θερμαίνεσθαι, καὶ ἀδύνατόν ἐστιν.

ὍΛΩΣ ΔῈ ἐπεὶ κινεῖται τὸ κινούμενον πᾶν τριχῶς, ἢ τῷ κατὰ συμβεβηκὸς ἢ τῷ μέρος τι. ἢ τῷ καθ᾽ αὑτό, κατὰ συμβεβηκὸς μόνον ἂν ἐνδέχοιτο μεταβάλλειν τὴν μεταβολήν. οἷον εἰ ὁ ὑγιαζόμενος, τρέχοι ἢ μανθάνοι. τὴν δὲ κατὰ συμβεβηκὸς ἀφεῖμεν πάλαι.

Δ είξας ὅτι ἀδύνατον κίνησιν κινήσεως εἶναι, ἢ γένεσιν γενέσεως καθ᾽ αὑτό, ἢ ὅλως μεταβολὴν μεταβολῆς διὰ πλειόνων ἐπιχειρημάτων, προστίθησιν ὅτι τριχῶς τῆς κινήσεως λεγομένης, ὡς διώρισε πρότερον, ἢ καθ᾽ αὑτὸ ἢ κατὰ μόριον ἢ κατὰ συμβεβηκός, κατὰ συμβεβηκὸς μόνως δυνατὸν εἶναι κινήσεως κίνησιν, καὶ γενέσεως γένεσιν, καὶ ὅλως μεταβολὴν μεταβολῆς. ὅταν ὁ ὑγιαζόμενός φησι τρέχῃ ἢ μανθάνῃ. καὶ οὐχ ὡς ὁ Ἀλέξανδρος οἶμαι λέγει, ὅτι διὰ ταύτης τῆς κινήσεως ὑγιάζεται. ἀλλ᾽ οὐδ᾽ ἐκ ταύτης εἰς ταύτην μεταβάλλει. ὅτι γὰρ οὐχ ὡς αἴτιον τὸ τρέχειν τῆς ὑγιάνσεως παρέλαβεν, ἀλλ᾽ ὡς τὴν τυχοῦσαν κίνησιν, δηλοῖ, πρῶτον μὲν ὅτι οὐχὶ τὸν τρέχοντα ὑγιαζόμενον ὑπέθετο, ἀλλὰ τὸν ὑγιαζόμενον τρέχοντα. ἔπειτα ὅτι ἐπήγαγε τὸ, ἢ μανθάνει. οὐ γὰρ δὴ καὶ διὰ τῆς μαθήσεως ὑγιάζεται. ἀλλ᾽ οὐδὲ εἰ ἦν κινήσεως κίνησις, ἐκ τῆς ἑτέρας εἰς ἑτέραν ἦν ἂν ἡ μεταβολή. ἀλλ᾽ ὑπῆρχεν ἡ ἑτέρα τῇ ἑτέρᾳ. ὥστε κατ᾽ αὐτὴν κινεῖσθαι. ἀλλὰ λέγοι ἂν κινήσεως κίνησιν εἶναι κατὰ συμβεβηκός. ὅταν τῷ κινουμένῳ κίνησις οἷον ὑγίανσις τῷ ὑγιαζομένῳ ὑπάρχῃ, καὶ ἄλλη κίνησις τὸ τρέχειν καὶ τὸ μανθάνειν, τότε κατὰ συμβεβηκὸς τούτων τις τῶν κινήσεων ὑπάρχει τῷ ὑγιάζεσθαι. ὥστε κατὰ συμβεβηκὸς τὴν κατὰ τὸ ὑγιάζεσθαι κίνησιν τρέχειν ἢ μανθάνειν. ὅτι ᾧ συμβέβηκε τὸ ὑγιάζεσθαι οἷον τῷ Σωκράτει οὗτος τρέχει ἢ μανθάνει. ἰστέον ὅτι τὰ μὲν τῶν βιβλίων οὕτως ἔχει τὴν γραφήν, κατὰ συμβεβηκὸς μόνως ἂν ἐνδέχοιτο μεταβάλλειν τὴν μεταβολήν. οἷον εἰ ὁ ὑγιαζόμενος τρέχοι ἢ μανθάνοι. τὰ δὲ οὕτως. κατὰ συμβεβηκὸς μόνως ἂν ἐνδέχοιτο μεταβάλλειν τὴν μεταβολήν. εἰ συμβαίνει τινὶ τρέχοντι ὑγιαίνειν. οἷον ὁ ὑγιαζόμενος τρέχει ἢ μανθάνει. καὶ οἶδε καὶ ταύτην τὴν γραφὴν ὁ Ἀλέξανδρος. κἂν οὕτω δὲ ᾖ γεγραμμένον, οὐχ οὕτως οἶμαι λέγεσθαι, ὡς τοῦ τρέχειν αἰτίου τῆς ὑγείας γινομένου, ἀλλ᾽ ὡς ἀμφοῖν τῷ αὐτῷ ὑπαρχόντων. καὶ τοῦτο οἶμαι ἐνδεικνύμενος ὁ Ἀριστοτέλης, ἐπήγαγε τὸ ἢ μανθάνει. οὐ γὰρ δὴ ὥσπερ τὸ τρέχειν οὕτω καὶ τὸ μανθάνειν αἴτιον ὑγείας δοκεῖ. ἀλλὰ τὸ τρέχειν ὡς κίνησίν τινα παρέλαβεν, ὥσπερ καὶ τὸ μανθάνειν. μόνως οὖν κατὰ συμβεβηκὸς δυνατὸν εἶναι κινήσεως κίνησιν. καὶ οὔτε καθ᾽ αὑτὸ ὡς δέδεικται πρότερον, οὔτε κατὰ μέρος. ὡς γὰρ οὐκ ἂν καθόλου ἡ ἀλλοίωσις φθείροιτο, οὕτως οὐδὲ κατὰ μέρος ἂν φθείροιτο. εἰ οὖν μόνον κατὰ συμβεβηκός, τὸ δὲ κατὰ συμβεβηκὸς ἐκβέβληται ὡς ἀνεπιτήδειον πρὸς ἐπιστήμην, συνάγοιτ᾽ ἂν ὅτι οὐκ ἔστι κινήσεως κίνησις. ἐξ οὗ δῆλον ὅτι οὐκ ἔστιν ἐν τῷ

ποιεῖν καὶ πάσχειν κίνησις. ὅπερ προέκειτο δεῖξαι. ἐπεὶ δὲ τοῦ πάσχοντος μόνου τὸν λόγον ἐποιήσατο, διότι μία οὖσα ἡ ἐνέργεια ἐκ τοῦ ποιοῦντος ἐν τῷ πάσχοντί ἐστιν.

ΕΠΕΙ ΔΕ οὔτε οὐσίας οὔτε τοῦ πρός τι οὔτε τοῦ ποιεῖν καὶ πάσχειν, λείπεται κατὰ τὸ ποιὸν καὶ τὸ ποσὸν καὶ τὸ ποῦ κίνησιν εἶναι μόνον. ἐν ἑκάστῳ γάρ ἐστι τούτων ἐναντίωσις.

Προθέμενος δεῖξαι ὅτι οὐκ ἐν πάσαις κατηγορίαις ἐστὶν ἡ κίνησις, ἀλλ' ἐν μόναις τρισὶ, τῷ ποσῷ, τῷ ποιῷ, καὶ τῷ ποῦ, καὶ δείξας ὅτι οὔτε ἐν οὐσίᾳ, οὔτε ἐν τῷ πρός τι, οὔτε ἐν τῷ ποιεῖν καὶ πάσχειν, ἐπειδὴ κινήσεις μὲν αὗταί τινές εἰσι, κινήσεως δὲ κίνησις οὐκ ἔστι καθ' αὑτὸ, ὅπερ διὰ πλειόνων ἀπέδειξε, συμπεραίνεται λοιπὸν ὅτι μὴ οὔσης κινήσεως ἐν ταῖς ἄλλαις κατηγορίαις, λείπεται κατὰ τὸ ποιὸν καὶ τὸ ποσὸν καὶ τὸ ποῦ, κίνησιν εἶναι μόνον, καὶ τὴν αἰτίαν τοῦ ἐν τούτοις εἶναι κίνησιν προστίθησιν εἰπὼν, ἐν ἑκάστῳ γάρ ἐστι τούτων ἐναντίωσις. ἡ γὰρ κίνησις ἐξ ἐναντίου εἰς ἐναντίον ἦν μεταβολή. εἰ οὖν ἔστιν ἐναντίωσις ἐν τῇ τοῦ πρός τι κατηγορίᾳ, ὡς αὐτὸς ἐν κατηγορίαις ἐδήλωσεν, εἰπὼν ὑπάρχει δὲ καὶ ἐναντιότης ἐν τοῖς πρός τι, οὐδὲν κωλύει καὶ κατὰ ταύτην εἶναι κίνησιν. τὸ μὲν γοῦν κινούμενον ἐνταῦθα ἡ οὐσία ἐστί. κινεῖται δὲ κατὰ τὴν σχέσιν, ὥσπερ κατὰ ποιότητα, καὶ ποσότητα, καὶ τὴν τοῦ ποῦ κατηγορίαν. καὶ γὰρ ἐκεῖ ἡ οὐσία ἐστὶν ἡ κατ' ἐκείνας κινουμένη ὑπομένουσα. αἱ δὲ ποιότητες αὗται καὶ ποσότητες καὶ αἱ κατὰ τόπον φοραὶ, γίνονται καὶ φθείρονται μᾶλλον ἤπερ κινοῦνται. οὐ γὰρ ὑπομένουσιν. ὅπερ προσεῖναι χρὴ τοῖς κινουμένοις. ἀλλ' ἡ ὑποκειμένη οὐσία ἐν τῇ κατ' ἐκείνην μεταβολῇ ὑπομένουσα, κινεῖσθαι λέγεται. καὶ κατὰ τὸ ποιεῖν δὲ καὶ τὸ πάσχειν κινοῖτο ἂν τὸ ὑποκείμενον. κἂν αὐτὴ ἡ ποίησις καὶ ἡ πεῖσις οὐ κινῶνται, ἀλλὰ γίνονται καὶ φθείρονται καὶ ταύτῃ μεταβάλλουσιν. ἀντίκειται δὲ τὸ ποιεῖν καὶ τὸ πάσχειν, ὡς τὰ πρός τι. διὸ καὶ συνυπάρχει ἀλλήλοις, καὶ μεταβάλλει εἰς ἄλληλα πολλάκις. ὑγρανθεὶς γὰρ ὁ ἀὴρ ὑπὸ τοῦ ὕδατος ὑγραίνει τὴν γῆν. καὶ θερμανθεὶς ὑπὸ τοῦ πυρὸς θερμαίνει. καὶ κατὰ τὰς λοιπὰς δὲ κατηγορίας ἡ ὑποκειμένη οἶμαι οὐσία λέγοιτο ἂν κινεῖσθαι. κατὰ χρόνον μὲν, ἐκ τοῦ παρεληλυθότος εἰς τὸ μέλλον, κἂν μὴ κυρίως ᾖ ἐναντία ταῦτα. ὅπερ τὸ μὲν παρεληλυθὸς εἰς τὸ μέλλον μεταβάλλει, τὸ δὲ μέλλον οὐκέτι εἰς τὸ παρεληλυθός. κατὰ δὲ τὸ κεῖσθαι καὶ ἐναντιότης φαίνεται τῆς στάσεως πρὸς τὴν καθέδραν. καὶ τοῦ πρηνοῦς πρὸς τὸ ὕπτιον. καὶ οὐδὲν ἄτοπον τὴν ὑποκειμένην οὐσίαν κινεῖσθαι, καὶ κατὰ ταύτας τὰς ἀντιθέσεις αὐτὴν ὑπομένουσαν. καὶ ἐν τῷ ἔχειν δὲ μεταβολή τις ἐστὶ τοῦ ὑποκειμένου, ἀπὸ στερήσεως τῆς καταφάσει δηλουμένης εἰς ἕξιν. οἷον ἐκ τοῦ γυμνοῦ εἰς τὸ ἔχειν ἱμάτιον. καὶ τοῦτο καὶ αὐτὸς ὁ Ἀριστοτέλης στερήσεως καταφατικῆς τέθεικε παράδειγμα, δηλῶν τὰς κατὰ κίνησιν μεταβολὰς, ὅτε ἔλεγε καὶ γὰρ ἡ στέρησις κεῖσθαι ἐναντίον. καὶ δηλοῦται καταφάσει τὸ γυμνὸν καὶ λευκὸν καὶ μέλαν. ἀλλὰ μή ποτε ὁ Ἀριστοτέλης κίνησιν ὡς μεταβολὴν τοῦ ὑποκειμένου κατὰ διάθεσιν θεασάμενος, πασῶν αὐτὴν ἀπέφησε τῶν σχετικῶν κατηγοριῶν καὶ ἀμενηνῶν, καὶ οὐδὲν ἐκφανῶς τὸ ὑποκείμενον διατιθεισῶν. τὸ γὰρ κεῖσθαι καὶ τὸ ἔχειν, οὐδεμίαν δοκεῖ τῷ ὑποκειμένῳ διάθεσιν ἐμποιεῖν. τί γὰρ διαφέρει τῷ σώματι πρηνεῖ κεῖσθαι ἢ ὑπτίῳ, καὶ περικεῖσθαι δακτύλιον ἢ μή. καὶ τὸν χρόνον δὲ ὡς ἀδρανῆ δοκεῖ θεάσασθαι. διὸ γενέσεως μὲν αἴτιον οὐδαμῶς φησιν εἶναι. φθορᾶς δὲ μόνης δοκεῖν, καὶ ταύτης διὰ τὸ μηδὲν ἄλλο ὁρᾶν αἴτιον. τοιαύτη δὲ καὶ ἡ κατὰ τὸ πρός τι σχέσις. δι' ἣν οἶμαι καὶ τὸ αἴτιον ἐνεδείξατο τοῦ μὴ εἶναι κίνησιν ἐν ταῖς σχετικαῖς κατηγορίαις, τὸ μὴ διατιθέναι τὸ ὑποκείμενον. ὅταν λέγῃ, ἐνδέχεται γὰρ θατέρου μεταβάλλοντος, ἀληθεύεσθαι θάτερον μηδὲν μεταβάλλον. τουτέστι μὴ τρεπόμενον. μηδὲ ἀποβάλλον τινὰ διάθεσιν ἢ προσλαμβάνον. ὅπερ ἐπὶ τῶν σχετικῶν πασῶν κατηγοριῶν ὑπάρχον, διὰ μιᾶς τῆς τοῦ πρός τι κατηγορίας ἐνεδείξατο. τὸ γὰρ ποιὸν καὶ τὸ ποσὸν καὶ ἡ κατὰ ταῦτα μεταβολὴ, τρέπει καὶ διατίθησιν ἄλλως ἄλλοτε τὰς ὑποκειμένας οὐσίας. ὁμοίως δὲ καὶ ὁ τόπος δύναμιν τὴν τυχοῦσαν ἔχει κατ' αὐτὸν, εἴπερ γένεσιν νομίζει τῶν στοιχείων τὴν ἐπὶ τοὺς οἰκείους τόπους φοράν. ἐν δὲ τῷ ποιεῖν καὶ τῷ πάσχειν οὐ βούλεται εἶναι κίνησιν. διότι κίνησις ἐκεῖνα. κινήσεως δὲ κίνησις οὐκ ἔστι, κἂν γένεσις ᾖ καὶ φθορὰ αὐτῆς. γενέσεως δὲ γένεσις οὐκ ἔστι, κἂν μεταβολὴ ᾖ. οὐδὲ μεταβολὴ μεταβολῆς, κἂν ἄλλος τις ᾖ τρόπος, καθ' ὃν ἡ μεταβολὴ ἀπὸ τοῦ μὴ εἶναι εἰς τὸ εἶναι πρόεισι, καὶ ἀπὸ τοῦ εἶναι εἰς τὸ μὴ εἶναι. διὰ τὰς εἰρημένας οὖν ἴσως διαφορὰς ὁ Ἀριστοτέλης ἀπαγορεύει κίνησιν εἶναι ἐν ταῖς εἰρημέναις κατηγορίαις μεταβολὴν πάντως εἶναι συγχωρῶν ἐν αὐταῖς εἴπερ μὴ εἰσὶν ἀΐδιοι. ὁ μέντοι Εὔδημος ἐν τοῖς ἑαυτοῦ φυσικοῖς παραφράζων τὰ τοῦ Ἀριστοτέλους, καὶ εἰπὼν ὅτι ἐν τῷ πρός τι οὐκ ἔστι κίνησις πλὴν κατὰ συμβεβηκὸς, καὶ τὴν αἰτίαν προσθεὶς, γίνεται γάρ φησι καὶ ἔστι τὸ δίπηχυ διπλάσιον ἀκίνητον ὂν, πάντῃ πάντως γινομένου πηχυαίου, καὶ εἰπὼν ὅτι τὸν αὐτὸν τρόπον καὶ ἐπὶ τῶν ἄλλων τῶν πρός τι συμβαίνει, ἐπήγαγεν, εἰ ἐν χρόνῳ δὲ πάντα κινεῖται. τρόπον δὲ ἄλλον οἶμαι τοῦτο ἐνδεικνύμενος, ὅτι κίνησις μὲν τῶν ὑποκειμένων ἐστὶν ἡ κατὰ τὰς σχέσεις. ἄλλον δὲ τρόπον ἤπερ κατὰ τὰς διαθέσεις. ὥσπερ ἄλλον τρόπον κατὰ τὴν οὐσίαν. ὅτι οὐδὲ κίνησιν καλεῖν ἀξιοῦσιν οἱ ἀπὸ τοῦ περιπάτου, ἀλλὰ γένεσιν καὶ φθορὰν, διὰ τὸ μὴ ὑπομένειν τὸ μεταβάλλον. ὁ μέντοι Θεόφραστος ἐν τῷ πρώτῳ τῶν ἑαυτοῦ φυσικῶν, καὶ καθ' ἕκαστον γένος τῶν κατηγοριῶν τὴν κίνησιν θεωρεῖσθαί φησι, γράφων οὕτως. περὶ δὲ κινήσεως τὸν μὲν καθόλου καὶ κοινὸν λόγον οὐ χαλεπὸν ἀποδοῦναι καὶ εἰπεῖν, ὡς ἐνέργειά τις ἐστὶν ἀτελὴς τοῦ δυνά-

μει ὄντος ᾗ τοιοῦτον, καθ' ἕκαστον γένος τῶν κατηγοριῶν. ἔοικε δὲ καὶ νῦν κίνησιν κοινῶς τὴν μετα-
βολὴν λέγειν. καὶ γὰρ ὁ ὁρισμὸς ὁ λέγων ἐντελέχειαν τοῦ δυνάμει ᾗ τοιοῦτόν ἐστιν, οὐ τῆς κυρίως
κινήσεώς ἐστιν. ἀλλὰ καὶ γενέσεως καὶ φθορᾶς, καὶ ὅλως πάσης μεταβολῆς. διὸ καὶ προελθὼν ὀλί-
γον ὁ θεόφραστος, ζητεῖν δεῖν φησι περὶ τῶν κινήσεων, εἰ αἱ μὲν, κινήσεις εἰσὶν, αἱ δὲ ὥσπερ ἐνέργειαί
τινες. ἀλλ' ὅτι μὲν μεταβολὴν ἀνάγκη πάντως εἶναι καὶ ἐν ταῖς σχετικαῖς κατηγορίαις τῶν ὑπο
κειμένων κατὰ τὰς σχέσεις, πρόδηλον, εἴπερ μὴ ἀΐδιοί εἰσιν αἱ τῶν οὐσιῶν κατ' αὐτὰς σχέσεις. εἰ οὖν
μεταβάλλουσι κατ' αὐτὰς αἱ οὐσίαι, ἢ κατὰ γένεσιν καὶ φθορὰν αὐτὰς ἀνάγκη μεταβάλλειν, ἢ κα-
τὰ κίνησιν. εἴπερ αὗται διαφοραὶ μεταβολῆς ἀπὸ τοῦ ἀριστοτέλους ἐκ διαιρέσεως παραδίδον-
ται. ἀλλὰ γίνεσθαι τὸν ἄνθρωπον οὐκ ἂν λέγοιμεν, ὅταν δακτύλιον περιθῆται, ἢ κατ' ἄλλην με-
ταβάλλῃ σχέσιν. ὥστε κινεῖσθαι ἀνάγκη κατὰ τὰς τοιαύτας μεταβολάς. κατ' ἄλλον δὲ τρόπον τῆς
κινήσεως ὁ εὔδημος εἶπε. καὶ οὐ κατ' ἐκεῖνον καθ' ὃν αἱ κατὰ διάθεσιν μεταβολαὶ γίνονται. καὶ γὰρ
καὶ αὐτὸς ὁ ἀριστοτέλης προϊὼν τὴν ἀποβολὴν τῇ λήψει ἐναντίαν εἶναί φησι. καὶ μεταβολὰς ταύτας
ἀξιοῖ καλεῖν, λέγων, δι' ὃ γένεσις φθορᾷ ἐναντία. καὶ ἀποβολὴ λήψει. αὗται δὲ μεταβολαὶ μὲν, κινή-
σεις δὲ οὔ. εἰ δὲ βούλεταί τις μηδὲ ὅλως κίνησιν ἐν ταύταις εἶναι ταῖς κατηγορίαις, μηκέτι τὴν με-
ταβολὴν εἰς μόνας γένεσιν καὶ φθορὰν καὶ κίνησιν διαιρείτω. ἀλλὰ προστιθέτω τι καὶ ἄλλο εἶδος τὸ
ταῖς κατὰ σχέσιν μεταβολαῖς ἐφαρμόττον. ὥστε τὴν μὲν ἐξ οὐχ ὑποκειμένου εἰς ὑποκείμενον με
ταβολὴν γένεσιν εἶναι, τὴν δὲ ἐξ ὑποκειμένου εἰς οὐχ ὑποκείμενον φθοράν. τὴν δὲ, λοιπὴν τὴν ἐξ
ὑποκειμένου εἰς ὑποκείμενον διαιρεῖσθαι. εἴς τε τὴν κατὰ διάθεσιν. ἣν κίνησιν ἀξιοῖ καλεῖν ὁ ἀριστο-
τέλης. καὶ εἰς τὴν κατὰ σχέσιν. ἣν κίνησιν μὲν ἀπαγορεύει καλεῖν. ὡς οὐδεμίαν ἐμφαίνουσαν τοῦ ὑπο
κειμένου τροπήν. διὰ δὲ τὸ μὴ κεῖσθαι ὄνομα ἴδιον, τῷ τοῦ γένους ὀνόματι μεταβολὴν καὶ αὐτὴν κα-
λεῖ. καὶ τοῦτο δὲ ἀληθὲς οἶμαι λέγειν. ὡς εἰ τὰ κατὰ μέρος κινούμενα μὴ ἀξιοῖ καθ' αὑτὰ λέγειν κι-
νεῖσθαι, ἀλλὰ τοῖς κατὰ συμβεβηκὸς κινουμένοις ταῦτα συντάττει, πολλῷ μᾶλλον τὰ κατὰ
σχέσιν διὰ τὰ ἄλλων κινουμένων αὐτὰ μεταβάλλοντα οὐκ ἂν εἴποι καθ' αὑτὰ κινεῖσθαι. περὶ δὲ τῶν
καθ' αὑτὰ κινουμένων ἡ ζήτησις. ὥστε κἂν ὁ θεόφραστος ἐν πάσαις εἶναι λέγῃ ταῖς κατηγορίαις
τὴν κίνησιν, ἀδιορίστως εἶπε, μήπω μήτε τὴν κίνησιν τῆς μεταβολῆς διορίσας, μήτε τὸ καθ' αὑτὸ καὶ
τὸ κατὰ συμβεβηκός. ἀλλὰ ταῦτα μὲν ἐνταῦθα πλέον ζητείσθω, εἴπερ δόξει ζητήσεως ἄξια, διὰ τὴν
ἐν αὐτοῖς τῶν ἐξηγητῶν παραδρομήν. ἐνταῦθα δὲ τὰ ἑξῆς ἰτέον.

Ἡ ΜΕΝ ΟΥΝ κατὰ τὸ ποιὸν κίνησις, ἀλλοίωσις ἔστω. τοῦτο γὰρ ἐπέζευκται κοινὸν ὄνομα. λέγω δὲ τὸ
ποιὸν, οὐ τὸ ἐν τῇ οὐσίᾳ. καὶ γὰρ ἡ διαφορὰ, ποιόν. ἀλλὰ τὸ παθητικὸν, καθ' ὃ λέγεται πάσχειν, ἢ
ἀπαθὲς εἶναι. ἡ δὲ κατὰ τὸ ποσὸν, τὸ μὲν κοινὸν ἀνώνυμον. καθ' ἑκάτερον δὲ, αὔξησις καὶ φθίσις. ἡ
μὲν εἰς τὸ τέλειον μέγεθος, αὔξησις. ἡ δ' ἐκ τούτου, φθίσις. ἡ δὲ κατὰ τόπον, καὶ τὸ ἴδιον καὶ τὸ κοινὸν,
ἀνώνυμος. ἔστω δὲ φορὰ καλουμένη τὸ κοινόν. καίτοι λέγεταί γε φέρεσθαι ταῦτα μόνα κυρίως. ὅταν
μὴ ἐπ' αὐτοῖς ᾖ τὸ στῆναι τοῖς μεταβάλλουσι τὸν τόπον. καὶ ὅσα αὐτὰ μὴ ἑαυτὰ κινεῖ κατὰ τόπον.

Ἀφορίσας τὰς κατηγορίας, ἐν αἷς χρὴ τὴν καθ' αὑτὸ κίνησιν ὑπάρχειν, τὴν τοῦ ποιοῦ καὶ ποσοῦ καὶ
τὴν τοῦ ποῦ, διδάσκει λοιπὸν τίς ἐν ἑκάστῳ τῶν γενῶν τούτων κίνησις. καὶ τίνες αὐτῶν αἱ διαφοραί,
καὶ μέχρι τῶν ὀνομάτων. καὶ τέως ὅτι ἡ κατὰ τὸ ποιὸν κίνησις κοινῷ ὀνόματι ἀλλοίωσις καλεῖται.
ἐπειδὴ δὲ ποιαὶ λέγονται καὶ αἱ οὐσιώδεις διαφοραὶ, οἷον τὸ λογικὸν τὸ χρεμετιστικὸν, ποιαὶ δὲ λέγον-
ται καὶ αἱ παθητικαὶ καλούμεναι ποιότητες, οἷον θερμότητες καὶ ξηρότητες, καθ' ἃς πάσχειν ἢ ἀ-
παθὲς εἶναι λέγομεν, διορίζει καλῶς. ὅτι τὴν κατὰ ταύτας τὰς ποιότητας μεταβολὴν, καὶ κί-
νησιν καλεῖν ἀξιοῦμεν, καὶ ἀλλοίωσιν κατονομάζομεν. ἡ δὲ κατὰ τὰς οὐσιώδεις διαφορὰς μεταβολὴ,
οὐ κίνησις ἀλλὰ γένεσις καλεῖται καὶ φθορά. διὸ οὐδὲ ἀλλοίωσις, ἀλλὰ γένεσις μᾶλλον. ἄλλο γὰρ καὶ
οὐκ ἀλλοῖον ἀναφαίνεται τὸ γινόμενον. οὐ κίνησις δὲ, ὅτι οὐδὲν ὑποκείμενον ἐνεργείᾳ ὂν καὶ τὸ αὐτὸ
μένον, ἐκ λογικοῦ εἰς ἄλογον μεταβάλλει, ἢ ὅλως ἐξ ἐναντίου εἰς ἐναντίον. ποιότητες δὲ λέγονται αἱ
συστατικαὶ τῶν εἰδῶν διαφοραὶ, καίτοι οὐσίαι οὖσαι, ὅτι περὶ οὐσίαν τὸ ποιὸν ἀφορίζουσιν. ἔοικε δὲ
τὸ τῆς ἀλλοιώσεως ὄνομα αὐτὸς ἐπιθεῖναι τῇ κατὰ τὸ ποιὸν κινήσει. ἐνταῦθα δὲ τῆς κατὰ ποσότητα με-
ταβολῆς οὐκ ἔστι κοινὸν ὄνομα κείμενον, ὥσπερ ἐνταῦθα τῆς κατὰ ποιότητα ἀλλοίωσις. ἀλλ' ἡ μὲν εἰς τὸ
τέλειον μέγεθος κίνησις, αὔξησις λέγεται. ἡ δὲ ἐκ τοῦ τελείου μεγέθους, μείωσις. ἔδειξε δὲ διὰ τούτων
καὶ τίς ἡ κατὰ τὸ ποσὸν ἐναντίωσις. ὅτι τὸ τέλειον μέγεθος καθ' ἕκαστον τῶν αὔξεσθαι πεφυκότων,
καὶ τὸ ἀτελές. ἀλλ' ἡ μὲν κατὰ τὸ ποιὸν μεταβολὴ τὸ κοινὸν εἶχεν ὠνομασμένον. ἡ δὲ κατὰ τὸ ποσὸν
τὰ ἴδια. ἡ μέντοι κατὰ τόπον κίνησις κατ' ἄμφω φησὶν ἀνώνυμός ἐστιν. οὔτε γὰρ κοινὸν ὄνομα τῆς
κατὰ τόπον ἴδιον κινήσεώς ἐστιν, οὔτε ἴδια ἑκάστης. φορὰν δὲ τὸ κοινὸν αὐτὸς καλέσας, ἢ καὶ οὕ-
τω καλούμενον εὑρὼν, ὅτι μὴ κυρίως καλεῖται δείκνυσιν. εἴπερ μόνα ταῦτα κυρίως φέρε-
σθαι λέγομεν, τὰ ἄψυχα, τά τε φύσει, καὶ τὰ κινούμενα βίᾳ. τὰ μέντοι ἔμψυχα καὶ τοῦ κινεῖ-
σθαι καὶ τοῦ στῆναι ἀρχὴν ἐν ἑαυτοῖς ἔχοντα τὴν ψυχὴν, οὐκέτι κυρίως λέγομεν φέρεσθαι.

ἀλλ' ἐκεῖνα μόνα ὅσα μήτε αὐτὰ ἑαυτὰ κινεῖ κατὰ τόπον, μήτε ὅταν κινῆται ἐξουσίαν τοῦ στῆναι ἔχει. ἐν τούτοις ὁ εὔδημος προστίθησιν, ὅτι πᾶσαι αἱ κινήσεις καὶ αἱ μεταβολαὶ, ἀπὸ τοῦ εἰς ὃ μᾶλλον λέγονται, ἢ ἀπὸ τοῦ ἐξ οὗ. αὔξησις μὲν ἡ ἐπὶ τὸ μέγα. μείωσις δὲ ἡ ἐπὶ τὸ μικρόν. καὶ ἐπὶ ἀλλοιώσεως, μάθησις ὑγίανσις. καὶ ἐπὶ τῶν κατὰ τόπον, εἰς ἄθηνας ὡς εἰς κέλευθον μᾶλλον, ἢ ἀνάπαλιν.

Η ΔΕ ἘΝ τῷ αὐτῷ εἴδει μεταβολὴ ἐπὶ τὸ μᾶλλον καὶ ἧττον, ἀλλοίωσίς ἐστιν. ἡ γὰρ ἐξ ἐναντίου εἰς ἐναντίον, κίνησις, ἢ ἁπλῶς, ἢ πῇ. ἐπὶ μὲν γὰρ τὸ ἧττον ἰοῦσα, εἰς τοὐναντίον λεχθήσεται μεταβάλλειν. ἐπὶ δὲ τὸ μᾶλλον, ὡς ἐκ τοῦ ἐναντίου τὸ εἰς αὐτό. διαφέρει γ' οὐδὲν πῇ μεταβάλλειν, ἢ ἁπλῶς. πλὴν πῇ δεήσει τὰ ἐναντία ὑπάρχειν. τὸ δὲ μᾶλλον καὶ ἧττόν ἐστι, τὸ πλέον ἢ ἔλαττον τοῦ ἐναντίου ἐνυπάρχειν, καὶ μή. ὅτι μὲν οὖν αὗται τρεῖς μόναι κινήσεις εἰσὶν, ἐκ τούτων δῆλον.

Ε ἰπὼν ὅτι ἡ μὲν κατὰ τὸ ποιὸν κίνησις κοινὸν ὄνομα ἔχει τὴν ἀλλοίωσιν, ἡ δὲ κατὰ τὸ ποσὸν κοινὸν μὲν οὐκ ἔχει, ἴδια δὲ τὴν αὔξησιν καὶ τὴν μείωσιν, ἡ δὲ κατὰ τόπον οὔτε κοινὸν οὔτε ἴδιον, ἐπειδὴ τὰ κατὰ ποιότητα μεταβάλλοντα, ποτὲ μὲν ἐξ ἄλλου εἴδους εἰς ἄλλο μεταβάλλει, ὡς ἐκ τοῦ μέλανος εἰς τὸ λευκὸν, ποτὲ δὲ ἐν τῷ αὐτῷ εἴδει μένοντα, ἐπὶ τὸ μᾶλλον αὐτοῦ καὶ ἧττον τὴν μεταβολὴν ποιεῖται, ἐφιστάνει καλῶς, ὅτι ἡ κατὰ τὸ μᾶλλον καὶ ἧττον ἐν τῷ αὐτῷ εἴδει μεταβολὴ ἀλλοίωσίς ἐστι. καὶ οὐ χρὴ ζητεῖν ἕτερον ἐπ' αὐτῆς ὄνομα. ὅτι δὲ τοῦτο οὕτως ἔχει, δείκνυσιν ἐκ τοῦ πᾶσαν κίνησιν δεδεῖχθαι, ἐκ τοῦ ἐναντίου εἰς ἐναντίον γινομένην, ἢ ἁπλῶς, ἢ πῇ. ἔστι δὲ ἡ πῇ, ἐκ τοῦ μεταξὺ γινομένη, κατὰ τὴν ἐν τῷ αὐτῷ εἴδει ἐπίτασιν. ἐδείχθη δὲ καὶ ἡ ἀπὸ τοῦ μεταξὺ καὶ εἰς τὸ μεταξὺ μεταβολὴ, ἀπὸ ἐναντίου εἰς ἐναντίον οὖσα. εἰ οὖν τὸ λευκὸν ἧττον γινόμενον λευκὸν εἰς τὸ μεταξὺ μεταβάλλει, ὡς εἰς τὸ ἐναντίον ἑαυτοῦ, δηλονότι ὡς εἰς μέλαν μεταβάλλει. τὸ γὰρ ἧττον λευκὸν μίξει τοῦ μέλανος γίνεται τοιοῦτο. διὸ καὶ ἐπὶ τὸ ἧττον ἰοῦσα ἡ κίνησις εἰς τοὐναντίον λεχθήσεται μεταβάλλειν. ἐπὶ δὲ τὸ μᾶλλον ὅταν μᾶλλον λευκὸν γίνηται. ὡς ἐκ τοῦ ἐναντίου ἑαυτῷ λευκῷ ὄντι μεταβάλλει τοῦ ἧττον λευκοῦ, καθόσον μέλαν ἦν τὸ μεταξύ. εἰ οὖν τὸ εἰς τὸ ἧττον καὶ τὸ μᾶλλον, ὡς εἰς τὸ μεταξὺ καὶ ἐκ τοῦ μεταξὺ κινεῖσθαί ἐστι, τὸ δὲ μεταξύ. πῇ ἐναντίον, καὶ ἡ εἰς τὸ μᾶλλον καὶ εἰς τὸ ἧττον κίνησις, ὡς εἰς ἐναντίον καὶ ἐξ ἐναντίου πῇ οὖσα ὁμοίως ἀλλοίωσις καλεῖται. ὥσπερ καὶ ἡ εἰς τὸ ἁπλῶς ἐναντίον αὐτοῦ τὸ μέλαν, καὶ ἡ ἐκ τοῦ μέλανος. διαφέρει γὰρ οὐδὲν πρὸς τὸ ἀλλοίωσιν λέγεσθαι, τὸ πῇ μεταβάλλειν καὶ ἁπλῶς. τουτέστιν εἰς τὰ μεταξὺ, καὶ ἐκ τούτων. ἢ εἰς τὰ ἄκρα, καὶ ἐξ ἐκείνων. εἰπὼν δὲ ὅτι οὐδὲν διαφέρει τὸ πῇ μεταβάλλειν ἢ ἁπλῶς, προσέθηκεν ἀσφαλῶς, πλὴν ὅτι ἐπὶ τῆς πῇ μεταβολῆς, πῇ δεήσει τὰ ἐναντία ὑπάρχειν. τὸ γὰρ μεταξὺ ἐξ οὗ καὶ εἰς ὃ ἡ πῇ μεταβολὴ, οὐχ ἁπλῶς ἐναντίον ἐστὶ πρὸς ἑκάτερον τῶν ἄκρων. ἀλλὰ πῇ ἐναντίον, καὶ πῇ οὐκ ἐναντίον. διὸ οὐχ ἁπλῶς ἐναντίον. καὶ διὰ τὸ τὸ μεταξὺ τοῦτο πῇ μὲν εἶναι ἐναντίον, πῇ δὲ οὔ, καὶ ποτὲ μὲν πλέον, ποτὲ δὲ ἔλαττον ἔχειν τοῦ ἐναντίου, τὸ μᾶλλον καὶ ἧττον συμβαίνει ταῖς ἐκ τούτου καὶ εἰς τοῦτο μεταβολαῖς. εἰ οὖν διὰ τὸ μεταξύ ἐστιν ἡ τοῦ μᾶλλον καὶ ἧττον φύσις, εἰκότως ἡ μὲν ἐπὶ τὸ μεταξὺ κίνησις ἧττον ἐν τῷ αὐτῷ εἴδει ποιεῖ τὸ κινούμενον, ἡ δὲ ἀπὸ τοῦ μεταξὺ μᾶλλον. ὁ μὲν οὖν ἀλέξανδρος καὶ ὁ θεμίστιος τὸ μᾶλλον καὶ τὸ ἧττον ἐπὶ μόνης τῆς κατὰ τὸ ποιὸν μεταβολῆς ὑπὸ τοῦ ἀριστοτέλους εἰλῆφθαι νομίζουσιν, ἴσως ἐπειδὴ τοῦ ποιοῦ τὸ μᾶλλον καὶ τὸ ἧττον ἴδιά ἐστιν. ὁ δὲ πορφύριος ἐπειδή φησιν ἐν πάσῃ κινήσει ἔστι τὸ μᾶλλον καὶ τὸ ἧττον, καὶ γὰρ ἐν τῇ κατὰ τόπον ἐπίτασις καὶ ἄνεσις, καὶ ἐν τῇ κατὰ αὔξησιν καὶ φθίσιν, καὶ ἐν τῇ κατ' ἀλλοίωσιν, ζητεῖ τὴν κατὰ τὸ μᾶλλον καὶ ἧττον κίνησιν, τίνος χρὴ γένους θέσθαι. καί φησιν, ὅτι ἡ ἐπὶ τὸ αὐτὸ εἶδος μεταβολὴ ἐπὶ τὸ μᾶλλον καὶ ἧττον, ἀλλοίωσίς ἐστι. κατὰ ποιότητα γὰρ εἶναι, ἐν ᾧ ἂν κινήσεως εἴδει γίνηται. ταῦτα δὲ εἰπὼν, ἐπὶ τῆς κατὰ τόπον κινήσεως καὶ αὐτὸς τὰ ὑπὸ τοῦ ἀριστοτέλους εἰρημένα ἐξηγεῖται. εἰκὸς δὲ τὸν πορφύριον εἰς ταύτην ἐλθεῖν τὴν ἔννοιαν, διὰ τὸ τὸν ὁρισμὸν μηδαμῶς παρενδείξασθαι, ὅτι τῆς κατὰ ποιότητα μόνης κινήσεως τὸ μᾶλλον καὶ τὸ ἧττον ζητεῖ. εἰ δὲ καὶ τὸ μᾶλλον καὶ τὸ ἧττον ποιότητος ἴδια εἶναι δοκεῖ, χρὴ γινώσκειν ὅτι παντὸς εἴδους αἱ συστατικαὶ διαφοραὶ, ποιότητές τινές εἰσι. καὶ τοῦ ποσοῦ, αἱ τοῦ ἐντελοῦς διαφοραὶ καὶ ἀτελοῦς, καὶ τοῦ μεταξύ. καὶ τοῦ ποῦ, αἱ τοῦ ἄνω καὶ κάτω, καὶ τοῦ μεταξύ. κατὰ τὰς διαφορὰς οὖν τὸ μᾶλλον καὶ τὸ ἧττον ἐπιδεχόμεναι, καὶ αὗται ἀλλοιοῦσθαι λέγονται. τὰ δὲ ἐναντία καὶ τὰ μεταξὺ καὶ ἐν τῷ ποσῷ κατὰ τὸ τέλειον καὶ τὸ ἀτελὲς, καὶ ἐν τῷ ποῦ κατὰ τὸ ἄνω καὶ τὸ κάτω θεωρεῖται, τάχα καὶ αὐτὰ κατὰ τὴν χαρακτηριστικὴν αὐτοῖς ποιότητα ἐνυπάρχοντα. εἰπὼν δὲ ταῦτα ὁ ἀριστοτέλης, συμπεραίνει λοιπὸν λέγων ἐκ τῶν εἰρημένων εἶναι δῆλον ὅτι μόναι τρεῖς εἰσιν αὗται κινήσεις ἡ κατὰ τὸ ποιὸν, ἡ κατὰ τὸ ποσὸν, καὶ ἡ κατὰ τόπον.

Α' ΚΙΝΗΤΟΝ δ' ἐστὶ, τό, τε ὅλως ἀδύνατον κινηθῆναι, ὥσπερ ὁ ψόφος ἀόρατος. καὶ τὸ ἐν πολλῷ χρόνῳ, μόγις κινούμενον, ἢ τὸ βραδέως ἀρχόμενον, ὃ λέγεται δυσκίνητον. καὶ τὸ πεφυκὸς μὲν, κινεῖσθαι καὶ δυνάμενον, μὴ κινούμενον δὲ τότε, ὅτε πέφυκε. καὶ οὗ καὶ ὥς. ὅπερ ἠρεμεῖν καλῶ τῶν ἀκινήτων μόνον. ἐναντίον γὰρ ἠρεμία κινήσει. ὥστε στέρησις ἂν εἴη τοῦ δεκτικοῦ.

Δ ιακρῖναι τὴν κίνησιν ἀπὸ τῆς γενέσεως καὶ φθορᾶς, καὶ αὐτὴν καθ' αὑτὴν ἀφορισάμενος, ὅτι ἐστὶν ἐκ τοῦ ἐναντίου εἰς τὸ ἐναντίον μεταβολή, ὑπομένοντος τοῦ ὑποκειμένου καὶ μεταβάλλοντος, καὶ δείξας ἐν τίσι μὲν τῶν τοῦ ὄντος γενῶν ἐστὶ κίνησις, ἐν τίσι δὲ οὐκ ἔστιν, ἀκόλουθον ἦν καὶ περὶ ἠρεμίας εἰπεῖν. ἥ τις ἀντίκειται τῇ κινήσει, στέρησις οὖσα αὐτῆς. ὁ δὲ εἰς τὸ καθολικώτερον ἀνελθὼν, περὶ ἀκινησίας λέγει, ὑφ' ἣν καὶ ἡ ἠρεμία τάττεται. καὶ διαιρεῖ τὸ ἀκίνητον τετραχῶς, κυρίως μὲν ἀκίνητον λέγων τὸ μὴ πεφυκὸς ὅλως κινεῖσθαι. καὶ παράδειγμα τοῦ κυρίως μὴ πεφυκότος παρέθετο, τὸ τὸν ψόφον ἀόρατον λέγεσθαι. ὅλως γὰρ οὐ πέφυκεν ὁ ψόφος ὁρᾶσθαι. ἀκίνητα δὲ οὕτως εἰσὶ καὶ οἱ ἐν τῷ οὐρανῷ πόλοι, ὡς μὴ πεφυκότες κινεῖσθαι. ἀλλ' οὗτοι γε κἂν μὴ κινῶνται καθ' αὑτὸ, ἀλλὰ κατὰ συμβεβηκὸς τῷ ἐν τῷ κινουμένῳ εἶναι. κυριώτατα δὲ ἀκίνητοί εἰσιν, αἱ πάντη χωρισταὶ σωμάτων οὐσίαι. αὗται γὰρ οὐδὲ κατὰ συμβεβηκὸς πεφύκασι κινεῖσθαι. λέγεται δὲ καταχρηστικώτερον ἀκίνητον τὸ κινούμενον μὲν, βραδέως δὲ, ὡς ἐν πολλῷ χρόνῳ ὀλίγον διανύειν διάστημα. ὥστε τῇ αἰσθήσει ἢ μηδὲ ὅλως δοκεῖν κινεῖσθαι, ἢ βραχύτατον. ὡς οἱ ἀπλανεῖς ἀστέρες ἀκίνητοι δοκοῦσι τὴν ἐπ' ἀνατολὰς κίνησιν, διὰ τὸ κατὰ ἑκατὸν ἔτη μίαν κινεῖσθαι μοῖραν. λέγεται δὲ ἀκίνητον καὶ τὸ βραδέως ἀρχόμενον κινεῖσθαι καὶ μόλις, ἄλλο ὂν τοῦ βραδύνοντος ἐν τῇ κινήσει. ὡς λέγομεν ἀοργήτους τοὺς βραδέως καὶ μόλις ἀρχομένους ὀργίζεσθαι. τέταρτον δὲ σημαινόμενον τοῦ ἀκινήτου λέγει, τὸ πεφυκὸς μὲν κινεῖσθαι καὶ δυνάμενον, μὴ κινούμενον δὲ τότε, ὅτε πέφυκε κινεῖσθαι καὶ δύναται. καὶ ταύτην τὴν ἀκινησίαν ἠρεμίαν καλεῖ μόνην, ἀκριβῶς αὐτὴν περιγράψας. ἠρεμία γάρ ἐστιν ἀκινησία τοῦ πεφυκότος κινεῖσθαι. ἀλλ' οὐχ ἁπλῶς, ἀλλ' ὅτε πέφυκε. καὶ γὰρ πέφυκεν ὁρᾶν τὸ σκυλάκιον, ἀλλ' οὐκ εὐθὺς τεχθέν. διὸ οὐδὲ ἠρεμεῖν τότε λέγοιτο ἂν κατὰ τὴν ὅρασιν. οὐδὲ γὰρ τυφλόν ἐστιν, ὡς ἐστερημένον ὄψεως. στέρησις γὰρ καὶ ἡ ἠρεμία τῆς κινήσεως. ἀλλὰ καὶ εἴ τι μὴ κινεῖται ἔνθα μὴ πέφυκε κινεῖσθαι, ὡς ἐν ἀέρι τὰ πεζὰ, οὐκ ἂν λέγοιτο ἠρεμεῖν. ὅτι μηδὲ πέφυκεν ἐκεῖ κινεῖσθαι. ἀλλὰ καὶ εἰ ὡς πέφυκε κινεῖσθαι μὴ κινεῖται, τότε λέγεται ἠρεμεῖν. τὰ μὲν ὄρνεα κατὰ τὴν πτῆσιν ἠρεμεῖ. τὰ δὲ πεζὰ κατὰ βάδισιν καὶ δρόμον. τὰ δὲ ἔνυδρα κατὰ νῆξιν. οὐκέτι δὲ τὰ πεζὰ λέγοιτο ἂν κατὰ πτῆσιν ἠρεμεῖν. οὐδὲ τὰ ἄλλα παρηλλαγμένως. ἐπειδὴ μηδὲ τὴν ἀρχὴν οὕτω πέφυκε κινεῖσθαι. ζητεῖν δὲ χρὴ τὰ μὴ κινούμενα ὅτε μὴ πέφυκε κινεῖσθαι. ὡς τὸ νεογενὲς σκυλάκιον οὐχ ὁρῶν, τότε ὑπὸ ποῖον εἶδος ἀναχθήσεται τοῦ ἀκινήτου, οὔτε γὰρ ὑπὸ τὰ ὅλως ἀνεπίδεκτα κινήσεως, οὔτε ὑπὸ τὰ ἀργῶς κινούμενα, οὔτε ὑπὸ τὰ πεφυκότα κινεῖσθαι τότε καὶ μὴ κινούμενα. ἀλλ' ἢ ὑπὸ τὰ βραδέως ἀρχόμενα. ἢ ἄλλο τι τοῦ ἀκινήτου εἶδός ἐστιν. ὃ ποτὲ μὲν πέφυκε μὴ κινεῖσθαι μόνως, ποτὲ δὲ πέφυκε κινεῖσθαι, καὶ μὴ κινεῖσθαι. ἐπὶ δὲ τούτων τῶν μὴ πεφυκότων ὁ Ἀλέξανδρος οὐ τὸ ἀκίνητον φησὶν ἁρμόζει, ἀλλὰ τὸ μὴ κινούμενον. τὸ δὲ ἐναντίον γὰρ ἡ ἠρεμία τῇ κινήσει, κοινότερον εἴρηται. διότι ποτὲ καὶ τὴν στέρησιν ἐναντίον λέγει, καὶ καταφάσει δηλοῦσθαι ὡς τὸ γυμνόν. διὸ καὶ ἐπήνεγκεν, ὥστε στέρησις ἂν εἴη τοῦ δεκτικοῦ. καὶ γὰρ ὑπαλλάσσει πολλάκις τὰ ἐναντία καὶ τὴν στέρησιν. τοιγαροῦν καὶ ἐπὶ τῶν ὁμολογουμένων ἐναντίων τὸ χεῖρον αὐτῶν στέρησιν λέγει τοῦ βελτίονος. ὡς τὸ μέλαν τοῦ λευκοῦ, καὶ τοῦ θερμοῦ τὸ ψυχρόν. καὶ πάλιν τὰ κατὰ στέρησιν ἀντικείμενα ἐναντία καλεῖ. ὅταν μὴ ἀκριβολογῆται περὶ τὰ εἴδη τῆς ἀντιθέσεως. ὡς νῦν τὴν ἠρεμίαν ἐναντίαν λέγει τῇ κινήσει. εἰ μὴ ἄρα ἐναντίον εἶπεν, ἀντὶ τοῦ ἀντικείμενον. ἀλλὰ διατί ἡ μὲν ἠρεμία τῆς κινήσεως στέρησις ἐστιν, ἡ δὲ κίνησις οὐκ ἔστι στέρησις τῆς ἠρεμίας. ἢ ὅτι προηγουμένως ἡ φύσις κινήσεώς ἐστιν αἰτία ἐνεργείας οὔσης. αἱ δὲ στερήσεις ἕξεων εἰσὶ καὶ ἐνεργειῶν ἀπουσίαι. καὶ ἡ ἠρεμία οὐκ ἔστι στάσις ἐνέργεια. ἐνέργεια γὰρ καὶ ἡ στάσις καὶ εἶδος τῇ κινήσει σύστοιχον. ἡ δὲ ἠρεμία οὐκ ἔστιν ἐνέργεια. ἀλλ' ἀπουσία μόνον κινήσεως. οὐ γὰρ τοιαύτης στέρησίς ἐστιν ἡ ἠρεμία. οἷον ἡ τυφλότης. ἐκεῖναι γὰρ οὐκ ἀπουσίαι μόνον εἰσὶ τῶν ἐνεργειῶν. ἀλλὰ καὶ τῶν ἕξεων καὶ τῶν οὐσιῶν παρὰ φύσιν διαθέσεις. διὸ οὐδὲ ἀνακάμπτουσιν. ὡς ἡ ἠρεμία στέρησις οὖσα τοῦ δεκτικοῦ τῆς κινήσεως.

Τ Ὶ ΜΕΝ οὖν ἐστὶν κίνησις καὶ τί ἠρεμία, καὶ πόσαι μεταβολαὶ καὶ ποῖαι κινήσεις φανερὸν ἐκ τῶν εἰρημένων.

Σ υμπεραίνεται λοιπὸν τὸ ὅλον πρόβλημα τὸ διακρῖναι τὴν κίνησιν τῶν ἄλλων μεταβολῶν, καὶ τὰς κατηγορίας ἐν αἷς ἐστὶν ἡ κίνησις ἀφορισάμενον, καὶ τὴν ἠρεμίαν πῶς ἔχει πρὸς τὴν κίνησιν ὑποδεῖξαι. τί μὲν οὖν ἐστὶν ἡ κίνησις εἴρηκε, μεταβολὴν αὐτὴν εἰπὼν ἐκ τοῦ ἐναντίου εἰς τὸ ἐναντίον, ὑπομένοντος τοῦ ὑποκειμένου καὶ μεταβάλλοντος. τί δὲ ἠρεμία, ὅτι στέρησις τοῦ πεφυκότος κινεῖσθαι, ὅτε πέφυκε, καὶ οὗ πέφυκε, καὶ ὡς πέφυκε. πόσαι δὲ αἱ μεταβολαί. ὅτι πᾶσαι αἱ ἐκ τοῦ δυνάμει εἰς τὸ ἐνέργεια πρόοδοι, μένοντος τοῦ δυνάμει ἔτι. καὶ ὅτι τούτων κινήσεις μὲν αἱ ἐξ ἐναντίου εἰς ἐναντίον ὡς εἴρηται. αἱ δὲ ἄλλαι αἱ κατὰ ἀντίφασιν γενέσεις καὶ φθοραί. τὸ γὰρ ἐν ταῖς τρισὶ κατηγορίαις εἶναι κίνησιν, τῷ ποιῷ, τῷ ποσῷ, τῷ ποῦ, ἤδη πρῶτον συνεπεράνατο, ὅτε ἔλεγεν, ὅτι μὲν οὖν αὗται τρεῖς μόναι κινήσεις εἰσὶν, ἐκ τούτων δῆλον.

ΤΜΗΜΑ ΔΕΥΤΕΡΟΝ.

ΜΕΤΑ δὲ ταῦτα λέγομεν τί ἐστι τὸ ἅμα, καὶ χωρὶς, καὶ τί τὸ ἅπτεσθαι, καὶ τί τὸ μεταξὺ, καὶ τί τὸ ἐφεξῆς, καὶ τί τὸ ἐχόμενον, καὶ τί τὸ συνεχὲς, καὶ τοῖς ποίοις ἕκαστον τούτων, ὑπάρχειν πέφυκεν.

Τῶν πέντε πρώτων βιβλίων τῆς φυσικῆς ἀκροάσεως σκοπὸν ἐχόντων περὶ τῶν φυσικῶν ἀρχῶν, καὶ τῶν κοινῇ πᾶσι τοῖς φυσικοῖς πράγμασι παρακολουθούντων διδάξαι, τὸ πέμπτον τοῦτο βιβλίον τὸν περὶ μεταβολῆς λόγον ἐτελειώσατο. ἐν μὲν γὰρ τῷ τρίτῳ, τὸ κοινὸν πάσης μεταβολῆς ἀπέδωκε, κίνησιν ὀνομάζων αὐτήν. ἐνταῦθα δὲ ἀναλαβὼν τὸν λόγον, τὸ γένος τῆς μεταβολῆς εἰς τὰ οἰκεῖα διελὼν εἴδη, ἐν τούτων τὴν κίνησιν οὖσαν ἀπέδειξε. καὶ τίνι τῶν ἄλλων μεταβολῶν διαφέρει παραδέδωκε. καὶ ἐν τίσι γένεσι τοῦ ὄντος τὴν ὑπόστασιν εἴληχε. τὸ δὲ ἐντεῦθεν διδάσκει περὶ τινῶν τῶν καὶ αὐτῶν κοινῶς παρακολουθούντων τοῖς φυσικοῖς πράγμασι, τοῖς ἐν τόπῳ τὴν ὑπόστασιν ἔχουσι. καί μοι δοκεῖ τὰ μὲν περὶ τῶν μεταβολῶν ἐν τούτοις εἰρημένα, τοῖς ἐν τῷ τρίτῳ βιβλίῳ περὶ κινήσεως ῥηθεῖσι τὸ πλῆρες ἀποδιδόναι. τὰ δὲ ἐντεῦθεν ῥηθησόμενα, τοῖς περὶ τόπου λόγοις ἀκολουθεῖν. οὓς ἐν ἀρχῇ τοῦ τετάρτου βιβλίου συνεπεράνατο. ἔχει δέ τινα χρείαν ταῦτα, τὰ μὲν, πρὸς τὰ ἐφεξῆς ἐν τοῖς τρισὶ βιβλίοις περὶ κινήσεως ῥηθησόμενα. τὰ δὲ, πρὸς τὸ μὴ συνεχές τι γίνεσθαι ἐξ ἀμερῶν δεῖξαι. διὸ καὶ ἀρχόμενος τοῦ ἕκτου βιβλίου, ἐπὶ τούτοις ὡς δεδειγμένοις ποιεῖται τὸν λόγον, εἰπὼν, ἐπεὶ δὲ ἐστι συνεχὲς καὶ ἁπτόμενον καὶ ἐφεξῆς. ὅτι δὲ ὡς τῷ φυσικῷ χρησίμων ὄντων μνήμην αὐτῶν ποιεῖται νῦν, δῆλον εὐθὺς ἀπὸ τοῦ ἅμα. ἐν μὲν γὰρ ταῖς κατηγορίαις, ὅπου περὶ τῶν σημαντικῶν φωνῶν ἦν ὁ λόγος, ὡς πλεοναχῶς λεγόμενον τὸ ἅμα, διελὼν εἰς τὰ σημαινόμενα, τὰ μὲν, τῷ χρόνῳ εἶπεν ἅμα. τὰ δὲ, τῷ συναναιρεῖν ἄλληλα, καὶ μηδέτερον εἶναι θατέρου τοῦ εἶναι αἴτιον. τὰ δὲ, τῷ ἐκ τοῦ αὐτοῦ γένους ἀντιδιῃρῆσθαι. ἐνταῦθα δὲ τούτων μὲν οὐδενὸς μνημονεύει. τίνα δὲ λέγεται κατὰ τόπον ἅμα εἶναι, νῦν λέγει. τοῖς γὰρ φυσικοῖς σώμασι τὸ ἅμα κατὰ τόπον μάλιστα ὑπάρχει. ζητεῖν δὲ ἀξιοῖ καὶ ἐν ποίοις ἕκαστον τούτων ὑπάρχειν πέφυκεν. ὅπερ διὰ τοῦ τί ἐστιν ἕκαστον δηλωθήσεται. δείξει δὲ καὶ αὐτὸς, ὅτι τὸ μὲν ἅμα, καὶ τὸ χωρὶς, καὶ τὸ ἅπτεσθαι, καὶ τὸ ἐχόμενον, καὶ τὸ συνεχὲς, καὶ τὸ μεταξὺ, ἐν τοῖς θέσιν ἔχουσι θεωρεῖται. τὸ δὲ ἐφεξῆς καὶ ἐν τοῖς οὐκ ἔχουσι θέσιν. ὥσπερ ἐν ἀριθμοῖς.

ἍΜΑ ΜΕΝ οὖν λέγεται ταῦτα εἶναι κατὰ τόπον, ὅσα ἐν ἑνὶ τόπῳ ἐστὶ πρώτῳ. χωρὶς δὲ, ὅσα ἐν ἑτέρῳ.

Ἅμα εἶναι λέγει ταῦτα κατὰ τόπον, ὅσα ἐν ἑνὶ τόπῳ ἐστὶ τῷ πρώτῳ. τίς οὖν ὁ εἷς τόπος, καὶ τίς ὁ πρῶτος διακριτέον. εἷς μὲν οὖν ἐστιν ὥς φησιν Ἀλέξανδρος, ὁ μὴ διῃρημένος ἀλλὰ συνεχής. τῷ καὶ αὐτὰ ἅμα λεγόμενα ἐν τόπῳ συνεχῆ ἀλλήλοις εἶναι, ὡς τὰ τοῦ συνεχοῦς μέρη. οὐ γὰρ ὅτι ἐν ἑνὶ τῷ αὐτῷ κατὰ ἀριθμόν ἐστι τόπῳ δύο σώματα ἢ πλείω, τὰ ἅμα λέγομεν εἶναι, ὡς δι' ἀλλήλων χωρεῖν. τοῦτο γὰρ ἀδύνατον ἀποδέδεικται ἐν τῷ πρὸ τούτου βιβλίῳ. ἀλλ' ὅτι ὅσα μὴ διῄρηται, μηδὲ ἀπὸ οἰκείας ἐπιφανείας περιέχεται, ταῦτα οὐδὲ ἴδιον ἔχει τόπον. ἓν ἐστι γὰρ καὶ συνεχὲς καὶ τὸ τοῦ περιέχοντος πέρας, τὸ περιέχον τὰ οὕτως ἡνωμένα ἀλλήλοις. οὕτω μὲν οὖν ὁ Ἀλέξανδρος τὸν ἕνα τόπον τὸν συνεχῆ ἀκούει, καὶ τὰ ἅμα ἐν τόπῳ συνεχῆ νομίζει εἶναι. καίτοι τὰ ἅμα μᾶλλον διέστηκεν ἀλλήλων, ἤπερ τὰ ἁπτόμενα. καὶ τὰ ἁπτόμενα μᾶλλον, ἤπερ τὰ συνεχῆ, ὡς μαθησόμεθα. πῶς οὖν τὰ ἅμα συνεχῆ. ἀλλ' ἕνα τόπον ῥητέον τῶν ἅμα κατὰ τόπον λεγομένων, τὸν προσεχῶς διῃρημένα αὐτὰ περιέχοντα. τὴν πόλιν, εἰ ἐν πόλει. καὶ τὸν περίβολον, εἰ ἐν περιβόλῳ. τὸ δὲ πρώτῳ πρόσκειται, μηνυτικὸν τοῦ προσεχῶς οἰκείου τόπου τῶν ἅμα λεγομένων ἐν τόπῳ εἶναι. ταῦτα γάρ ἐστι τὰ κυρίως ἅμα κατὰ τόπον ἐπεὶ κοινότερον ἅμα λέγονται ἐν τόπῳ εἶναι, καὶ τὰ ἐν τῇ αὐτῇ οἰκίᾳ ὄντα, καὶ τὰ ἐν τῷ αὐτῷ θεάτρῳ, καὶ τὰ ἐν τῇ αὐτῇ πόλει, καὶ τὰ ἐν τῷ κόσμῳ. ἀλλ' οὔτε εἷς κυρίως ὁ τῶν ἅμα λεγομένων οὗτος τόπος, οὔτε προσεχὴς καὶ οἰκεῖος, πολλὰ καὶ ἄλλα ἐν ἑαυτῷ ἔχων. ἀλλὰ πρώτως καὶ κυρίως ἐστὶ τόπος, ὁ προσεχῶς περιέχων τοῦτο, ὃ λέγεται ἐν ἑαυτῷ εἶναι ὡς ἐν τόπῳ. οὕτω γὰρ αὐτὸς ἐδίδαξεν ἐν τῷ πρὸ τούτου βιβλίῳ. καὶ ἐπὶ τῶν παχυλῶς δὲ ἅμα λεγομένων ἐν τόπῳ, ὡς ἐν τῇ οἰκίᾳ καὶ πόλει, διὰ τὸ ὡς ἕνα καὶ προσεχῆ τόπον λαμβάνεσθαι τὴν οἰκίαν ἢ τὴν πόλιν, κἂν μὴ κυρίως, διὰ τοῦτο καὶ αὐτὰ ἅμα λέγονται κοινότερον. τὸ γὰρ ἅμα συναγωγὸν ἔχον ἔννοιαν, καὶ τὰ κεχωρισμένα συνάγει, ἢ ἀκριβῶς ἢ παχύτερον. ἀκριβῶς μὲν, ὅταν καὶ αὐτὸ ἀκριβῶς ἅμα λέγηται, τὸν ἕνα καὶ προσεχῆ τόπον ἀκριβῶς σημαῖνον. παχύτερον δὲ, ὅταν ἐν διαφόροις μὲν, ὑφ' ἑνὸς δέ τινος περιεχομένοις, ἐν ᾧ λέγονται ἅμα ᾖ. οἷον ἐν οἰκίᾳ καὶ πόλει. κυριώτερον δὲ ἅμα λέγεται, τὰ ἐν ἐλάσσονι τῷ αὐτῷ. τὰ γὰρ ἐν τῇ αὐτῇ οἰκίᾳ τῶν ἐν τῇ αὐτῇ πόλει, κυριώτερον ἅμα λέγεται. καὶ τῆς οἰκίας τὰ ἐν τῷ αὐτῷ οἰκήματι. καὶ τῶν αὐτοῦ οἰκήματος τὰ ἐν μέρει. καὶ ἁπλῶς τὰ ἐν ἑνὶ πρώτῳ ἀτόμῳ ὄντι αὐτῷ, ᾧ μὴ καὶ ἄλλα σώματα στερεὰ περιέχοντι, κἂν ἀήρ τις ᾖ μεταξὺ, κἂν μὴ συνεχῆ ᾖ μηδὲ ἁπτόμενα, ταῦτα κυρίως ἅμα. τοῖς κεκραμένοις δέ φησι μάλιστα τοῦτο ὑπάρχειν ὁ Εὔδημος. οὐδὲ τούτοις δὲ κυριώτατα. δύο γὰρ σώματα οὐχ οἷόν τε εἶναι ἅμα ἐν ἑνὶ καὶ ἀτόμῳ τόπῳ. ἀλλὰ κατὰ μὲν τὸν λόγον τὸ ἀκριβὲς φησὶ ζητητέον. κατὰ δὲ τὰς χρείας καὶ τὸ ἱκανὸν, καὶ τὸ σύνεγγυς δὴ τούτου πᾶν ἅμα λεκτέον. λέγεται δὲ καὶ ἐν χρόνῳ ἅμα τὰ ἐν ἑνὶ αὐτῷ ἀτόμῳ χρόνῳ. ὃς δηλονότι καὶ εἷς καὶ προσεχής ἐστι. τὸ δὲ χωρὶς, ἀπὸ τοῦ ἅμα δῆλόν ἐστι. τὰ γὰρ ἐν διεστῶσιν ἀλλή-

λων

λων χρόνοις καὶ τόποις ὄντα, ταῦτα χωρὶς ἀλλήλων ἐστὶ καὶ κατὰ χρόνον καὶ κατὰ τόπον.

ἍΠΤΕΣΘΑΙ δὲ, ὧν τὰ ἄκρα ἅμα.

Ζητεῖ μὲν ἐν τούτοις καλῶς ὁ Ἀλέξανδρος, ἐπειδὴ διχῶς τὰ ἄκρα λέγεται, τὰ μὲν, ὡς μέρη τῶν ὧν ἐστιν ἄκρα· τὰ δὲ, ὡς πέρατα, ποῖα ἄκρα τῶν ἁπτομένων εἶναι ἅμα φησί· τὰ δὲ ἐφεξῆς οὐκ οἶδα πῶς ἐπάγει. εἰ μὲν γὰρ τὰ ὡς μέρη φησὶν, οὐκ ἔστι ταῦτα ἅμα. ἦν γὰρ ἅμα τὰ ἐν ἑνὶ πρώτῳ τόπῳ, ἅπερ συνεχῆ ἐστι. τὰ δὲ τῶν διῃρημένων καὶ ἁπτομένων σωμάτων μέρη, οὐκ ἐν ἑνὶ πρώτῳ τόπῳ ἐστίν. οὔτε γὰρ συνεχῆ ἐστιν ἀλλήλοις οὔτε κατὰ πάντα τὰ οἰκεῖα μόρια ἐφαρμόζει ἀλλήλοις. ἀλλ' ἔστιν καὶ αὐτὰ ἁπτόμενα ἀλλήλων. ἢ ἄκρα μὲν φησι λέγειν τὰς ἐπιφανείας καὶ τὰ πέρατα τῶν σωμάτων, καθ' ἃ ἅπτεται ἀλλήλων. ἅμα δὲ ταῦτα λέγει καὶ ἐν τῷ αὐτῷ τόπῳ κατὰ συμβεβηκός. ὡς γὰρ ἡ ἐπιφάνεια τοῦ ἑτέρου τῶν ἁπτομένων σωμάτων κατὰ συμβεβηκὸς ἐν τόπῳ, τῷ τὸ σῶμα οὗ ἐστι πέρας ἐν τόπῳ εἶναι, οὕτω καὶ ἀμφοτέρων αἱ ἐπιφάνειαι τῶν σωμάτων, καθ' ἃς ἅπτονται ἀλλήλων, ἐν τόπῳ κατὰ συμβεβηκός. ὅτι ἐν ᾧ ἡ ἑτέρα πέρας ἦν, ἐν τούτῳ ἀμφότεραι γίνεται. ἐφαρμόζουσι γὰρ ἀλλήλαις ἐν τῇ τῶν σωμάτων ἁφῇ. δύναται δέ φησι τὰ ἅμα νῦν ἀντὶ τοῦ ἐφαρμόζειν λέγειν. τὰ γὰρ ἐφαρμόζοντα ἀλλήλοις, καὶ ἅμα. ἅπτεται οὖν ταῦτα ἀλλήλων, ὧν τὰ πέρατα ἐφαρμόζει ἀλλήλοις. καὶ οὕτως ἐστὶν ἅμα. τὸ γὰρ πρότερον εἰρημένον ἅμα, οὐκ ἁπλῶς, ἀλλ' ὡς προσέθηκε κατὰ τόπον. καὶ εἴη ἂν φησὶ τοῦτο ἄλλο σημαινόμενον τοῦ ἅμα. ἐν δὴ τούτοις ἀπορεῖ δικαίως ὁ Ἀλέξανδρος, τὴν τοῦ ἅμα ἐξήγησιν ἑαυτοῦ φυλάττων, καθ' ἣν ἔλεγε τὰ ἅμα συνεχῆ εἶναι, πῶς τῶν ἁπτομένων ἅμα τὰ πέρατα ἔσται. καὶ ἀναγκάζεται ἄλλο τοῦ ἅμα σημαινόμενον εἰσάγειν, τὸ ἐφαρμόζον. ἔστι δὲ οὐκ ἄλλο, ἀλλὰ ἄλλων. ἐκεῖνο μὲν γὰρ τὸ ἅμα τῶν σωμάτων ἐστὶ, τῶν ἐν ἑνὶ τόπῳ τῷ προσεχῶς αὐτὰ περιέχοντι. κἂν ἦν οἶμαι καὶ ἄλλα τὰ ὑπὸ τοῦ αὐτοῦ τόπου περιεχόμενα. καὶ γὰρ καὶ αὐτὰ ἅμα τοῖς πρότερον εἰρημένοις ἦν. ἐν δὲ τοῖς ἁπτομένοις οὐ τὰ σώματα αὐτὰ μόνα ὑπὸ ἑνὸς τόπου περιέχεσθαι λέγει, κἂν διῃρημένα ᾖ, ἀλλὰ καὶ τὰς ἐπιφανείας αὐτῶν συνῆφθαι, καὶ ἐν ἑνὶ τόπῳ εἶναι, ὡς πέφυκεν ἡ ἐπιφάνεια ἐν τόπῳ εἶναι. προσδιορισμὸς γὰρ τοῦ ἅμα ἐπὶ τὴν συνέχειαν καὶ τὴν ἕνωσίν ἐστιν τὸ ἅπτεσθαι. τὰ γὰρ ὑπὸ ἑνὸς τοῦ προσεχοῦς τόπου περιεχθέντα, ὅταν πελάσῃ ἀλλήλοις, ὡς τὰς ἐπιφανείας συνάψαι, καὶ ἐν ἑνὶ τόπῳ ποιῆσαι ἐφαρμοζούσας ἀλλήλαις διὰ τὸ ἀβαθές, τότε ἅπτεσθαι λέγεται ἀλλήλων. ὥσπερ ὅταν αἱ δύο ἐπιφάνειαι μία γένωνται, τότε συνεχίζεται. δῆλον δὲ τοῦτο οὕτως ἔχον, καὶ ἐκ τοῦ τὰ μὲν ἁπτόμενα πάντως καὶ ἅμα εἶναι, τὰ δὲ ἅμα ὄντα μὴ πάντως καὶ ἅπτεσθαι.

ΜΕΤΑΞῪ δὲ, εἰς ὃ πρῶτον πέφυκεν ἀφικνεῖσθαι τὸ μεταβάλλον ἢ εἰς ὃ ἔσχατον μεταβάλλει κατὰ φύσιν συνεχῶς μεταβάλλον. ἐν ἐλαχίστοις δ' ἐστὶ τὸ μεταξὺ, τρισίν. ἔσχατον μὲν γάρ ἐστι τῆς μεταβολῆς τὸ ἐναντίον. συνεχῶς δὲ κινεῖται, τὸ μηδὲν ἢ τὸ ὀλίγιστον διαλεῖπον τοῦ πράγματος, μὴ τοῦ χρόνου. οὐδὲν γὰρ κωλύει διαλείποντα, καὶ εὐθὺς δὲ μετὰ τὴν ὑπάτην φθέγξασθαι τὴν νεάτην. ἀλλὰ τοῦ πράγματος ἐν ᾧ κινεῖται. τοῦτο δὲ ἔν τε ταῖς κατὰ τόπον καὶ ἐν ταῖς ἄλλαις μεταβολαῖς φανερόν. ἐναντίον δὲ κατὰ τόπον, τὸ κατ' εὐθεῖαν ἀπέχον πλεῖστον. ἡ γὰρ ἐλαχίστη πεπέρασται. μέτρον δὲ τὸ πεπερασμένον.

Περὶ τοῦ ἐν κινήσει μεταξὺ λέγει, ὅτι τοῦτό ἐστι μεταξὺ, ὃ μέσον ἐστὶ τοῦ τε ἐξ οὗ μεταβάλλει τὸ μεταβάλλον, καὶ τοῦ εἰς ὃ ἔσχατον μεταβάλλει. διὸ καὶ ἐκ τούτου ἐσήμανεν αὐτὸ, ἐκ τοῦ πρῶτον εἰς αὐτὸ ἀφικνεῖσθαι τὸ μεταβάλλον, ἤπερ εἰς ἐκεῖνο εἰς ὃ ἔσχατον μεταβάλλει, κατὰ φύσιν συνεχῶς μεταβάλλον. καὶ ὅτι μὲν τὸ μεταξὺ παρ' ἑκάτερα ἑαυτοῦ ἔχει τό, τε ἐξ οὗ καὶ τὸ εἰς ὃ, δῆλον καὶ ἐκ τοῦ ὀνόματος. τοῦτο γάρ ἐστι τὸ μεταξὺ δι' ἑαυτοῦ τὸ κινούμενον, ἀπὸ θατέρου ἐπὶ θάτερον. διὸ καὶ ἐν ἐλαχίστοις τρισίν ἐστιν. ἀδύνατον γὰρ μὴ ἑκατέρωθεν ὄντος τινὸς εἶναι τὸ μεταξύ. ἐν ἐλαχίστοις δὲ τρισὶν εἶπεν, ὅτι δύναται καὶ πλείω εἶναι τὰ μεταξὺ τινῶν λαμβανόμενα. τὰ μέν τοι ἄκρα ἐστὶ, τὰ ἐξ οὗ, καὶ τὰ εἰς ὅ. ἅπερ ἐστὶν ἐναντία ἔμμεσα. ἐξ ἐναντίου γὰρ καὶ εἰς ἐναντίον ἡ κατὰ φύσιν γίνεται κίνησις. εἰ γὰρ τὸ ἔσχατον τῆς μεταβολῆς, εἰς ὃ ἡ μεταβολὴ τελευτᾷ, ἐναντίον ἐστὶ, τὸ δὲ ἐναντίον ἐναντίῳ ἐναντίον ἐστὶ, καὶ τὸ πρῶτον ἐξ οὗ ἡ μεταβολὴ ἐναντίον. τὸ δὲ μεταξὺ τῶν ἐναντίων, κατὰ τόπον μὲν φυσικῶς, ὁ μέσος τοῦ ἄνω τε καὶ τοῦ κάτω. κατὰ ποιότητα δὲ, τὸ καθ' ἑκάστην ἐναντίωσιν τῶν ἐμμέσων ἐναντιώσεων, μέσον. κατὰ ποσὸν δὲ, τοῦ ἐντελοῦς μεγέθους καὶ ἀτελοῦς τὸ μέσον. ἐξ ὧν καὶ εἰς ἃ μεταβάλλει τὸ αὐξανόμενον καὶ μειούμενον ἔτι σωζόμενον. ὥρισται γὰρ τὰ κατὰ φύσιν ἑκάστου μεγέθη. τὰ δὲ ἄλλως μέσα τινῶν λεγόμενα, οὐ κυρίως ἐστὶ μεταξύ. ἀλλὰ ἀπὸ τῆς πρὸς ταῦτα ὁμοιότητος λέγεται. τὸ δὲ κατὰ φύσιν συνεχῶς μεταβάλλον, δηλωτικόν ἐστι, τοῦ δεῖν τὸ μεταξὺ καθὸ ἡ κίνησις ὁμοειδὲς εἶναι τοῖς ὧν ἐστι μεταξύ. τότε γὰρ συνεχῶς κινεῖται, μηδὲν διαλείποντα ἢ ὀλίγον τοῦ ἐφ' ὃ κινεῖται ἢ καθ' ὃ κινεῖται. ταῦτα δὲ ἐξ ἐναντίου εἰς ἐναντίον. ἐπεὶ δύναταί τι εἰς τὸ ἄνω κινηθὲν κατὰ φύσιν, πάλιν ἀπὸ τούτου εἰς τὸ κάτω κινεῖσθαι βίᾳ. ἀλλ' οὐ διὰ τοῦτο τὸ ἄνω ἔσται μεταξὺ τοῦ κάτω, ἀφ' οὗ καὶ ἐφ' ὃ κινεῖται τὸ κινούμενον. οὔτε γὰρ κατὰ φύσιν ἀμφό-

πέρατα, οὔτε συνεχῶς. δῆλον δὲ ὅτι τῶν ἐναντίων, τὰ μέν ἐστιν ἄμεσα, τὰ δὲ ἔμμεσα. καὶ ὅτι ἐν τοῖς ἐμμέσοις ἐναντίοις ἐστὶ τὸ μεταξύ. εἰπὼν δὲ τοῦτο εἶναι τὸ μεταξύ, εἰς ὃ τὸ συνεχῶς κατὰ φύσιν κινούμενον πέφυκε πρώτως μεταβάλλειν, ἤπερ εἰς ὃ ἔσχατον, καὶ τί τὸ ἔσχατον ὅτι τὸ ἐναντίον, ἀκολούθως λέγει τὸ συνεχὲς τοῦτο ποῖόν ἐστιν. ἐπειδὴ γὰρ ἡ μεταβολὴ διττὸν ἔχει τὸ συνεχές, τὸ μὲν, ἀπὸ τοῦ χρόνου, τὸ δὲ, ἀπὸ τοῦ ὑποκειμένου, καθ' ὃ ἡ μεταβολὴ γίνεται, οἷον τῆς ἀλλοιώσεως ἢ τῆς αὐξήσεως, ἢ τῆς φορᾶς, καὶ ἑκάτερον συνεχὲς τοιοῦτόν ἐστιν, ὡς μηδὲν ἢ ἐλάχιστον ἀπολείπειν, τὸ μὲν ἀπὸ τοῦ χρόνου κατὰ χρόνον, τὸ δὲ ἀπὸ τοῦ ὑποκειμένου κατὰ τὸ ὑποκείμενον λέγει ὅτι οὐ τοῦ κατὰ χρόνον συνεχοῦς χρεία τῷ μεταβάλλοντι, πρὸς τὴν εἰς τὸ μεταξὺ ἄφιξιν, πρὸ τοῦ εἰς τὸ πέρας ἐλθεῖν. τοῦ πράγματος γὰρ ἢ τοῦ χρόνου εἶπεν, ἀντὶ τοῦ πράγματος ἤπερ τοῦ χρόνου. καὶ γὰρ διαλείποντος τοῦ χρόνου τῆς βαδίσεως, ὥστε τὸ βαδίζον ἀναπαυσάμενον πάλιν βαδίζειν, οὐδὲν κωλύει ἐλθεῖν εἰς τὸ τῆς βαδίσεως μεταξὺ, καὶ τοῦ ὑποκειμένου μήκους. καὶ μὴ διαλείποντος δὲ τοῦ χρόνου, ἀλλὰ συνεχοῦς ὄντος, ἐνδέχεται ἀπὸ τοῦ ἐναντίου εἰς τὸ ἐναντίον μεταβάλλειν εὐθύς. ὡς εἴ τις τὴν ὑπάτην κρούσας, εἰς τὴν νήτην εὐθὺς μεταβαίνοι. οὐκ ἄρα τὸ συνεχὲς τοῦ χρόνου συντελεῖ πρὸς τὸ μεταξὺ τοῦτο. ἀλλὰ τὸ τοῦ ὑποκειμένου. εἰ μὲν κατὰ τόπον ἡ μεταβολὴ, τοῦ τε τόπου αὐτοῦ καὶ τῆς κατὰ τόπον κινήσεως. καὶ γὰρ συνεχοῦς κατὰ ταῦτα τῆς μεταβολῆς οὔσης, ἀδύνατον τὸ κινούμενον μὴ εἰς πρῶτον ἐλθεῖν τὸ μεταξὺ, καὶ τότε εἰς τὸ ἔσχατον. καὶ εἰ μὴ συνεχὴς οὕτως, ἀλλ' ἔχει τινὰ μεγάλα διαλείμματα, οὐ πάντως εἰς τὸ μεταξὺ πρὸ τοῦ πέρατος ἀφικνεῖται. ἀρχαιοπρεπῶς δὲ ἀπήγγελται, τὸ οὐδὲν γὰρ κωλύει διαλείποντα, καὶ εὐθὺς δὲ μετὰ τὴν ὑπάτην φθέγξασθαι τὴν νεάτην. εἰπὼν δὲ συνεχῶς κινεῖσθαι κατὰ τοῦτο τὸ συνεχὲς, τὸ μηδὲν ἢ τὸ ἐλάχιστον διαλεῖπον τοῦ πράγματος ἤπερ τοῦ χρόνου, ὅτι οὐ χρεία τοῦ χρόνου, ἐδήλωσεν. ἔκ τε τοῦ, διαλείποντος τοῦ χρόνου μηδὲν κωλύειν διὰ τοῦ μεταξὺ τὴν κίνησιν εἶναι. καὶ μὴ διαλείποντος, οὐδὲν κωλύει καὶ ἀπὸ τοῦ ἐναντίου εἰς τὸ ἐναντίον εἶναι τὴν μετάβασιν, μὴ διὰ τοῦ μεταξύ. δείξας δὲ δι' ἀμφοῖν, ὅτι οὐχὶ τῆς τοῦ χρόνου συνεχείας χρεία, πρὸς τὴν διὰ τοῦ μεταξὺ κίνησιν, ἐπήγαγεν ἀλλὰ τοῦ πράγματος ἐν ᾧ κινεῖται, ὥστε τοῦτο μηδὲν ἢ τὸ ἐλάχιστον διαλείπειν. τὸ δὲ ἐλάχιστον διάλειμμα τοῦ πράγματος, ὥσπερ ἀναλογίαν τῆς ὅλης κινήσεως παραβάλλειν δεῖ. ἐὰν μὲν γὰρ ὀλίγον ᾖ πρὸς αὐτὸ τὸ διάλειμμα, καὶ ὁ σκοπὸς εἷς μένει τοῦ πράγματος. ὡς εἴ τις Ἀθήνηθεν εἰς Πειραιᾶ βαδίζων, ἐπιστὰς πρὸς βραχὺ δήσοι τὸ ὑπόδημα, οὐ διέκοψε τὴν συνέχειαν. εἰ μέντοι μήτε εἷς ὁ σκοπὸς τῆς εἰς τὸν Πειραιᾶ ἀφίξεως, ἀλλὰ καὶ τῆς ὁδοῦ ἐκτραπεὶς οἰκονομήσοι τι τῶν πρὸς τὴν χρείαν, οὐκέτι συνεχὴς αὕτη ἡ κίνησις. καὶ τὰ μὲν μιᾶς οὔσης τῆς προθέσεως μεταξὺ συμβαίνοντα, ὅτε πολυχρόνια γίνεται διασπᾷ τῆς κινήσεως τὴν συνέχειαν. ὡς τὸ κιθαρίζειν, ὅταν ῥαγείσης τῆς χορδῆς ἄλλην ἐνάπτειν ἀναγκασθῶμεν. μὴ μενούσης δὲ μιᾶς τῆς προθέσεως, καὶ ὀλιγοχρόνιόν τι παρεμπεσὸν, λύει τὴν συνέχειαν. ὡς εἴ τις εἰς τὸν Πειραιᾶ τε ἅμα καταβαίνειν προτίθοιτο, καὶ τῶν ἐν τῇ ὁδῷ τινὶ διαλεχθῆναι. μετὰ δὲ τὸ εἰπεῖν ποίου συνεχοῦς πρὸς τὸ μεταξὺ δεῖ, ὅτι τοῦ κατὰ τὸ πρᾶγμα, λέγει καὶ περὶ τοῦ ἐναντίου, εἰς ὃ ἔσχατον μεταβάλλει τὸ μεταβάλλον διὰ τοῦ μεταξὺ τί τοῦτό ἐστι, καὶ ἐν τίσι θεωρεῖται. καὶ λέγει ὅτι κατὰ τόπον ἐναντίον ἐστὶ, τὸ κατ' εὐθεῖαν πλεῖστον ἀπέχον. τὸ μὲν γὰρ πλεῖστον ἀπέχειν, ἀρχὴ ἦν τοῖς ἐναντίοις. τὸ δὲ κατ' εὐθεῖαν προκείμενον ὡρισμένον καὶ μεμετρημένον, ποιεῖ τὸ πλεῖστον. ὡρισμένη γάρ ἐστιν ἡ εὐθεῖα. μετρεῖται δὲ πάντα τῷ ὡρισμένῳ. ἐπειδὴ γὰρ ἡ εὐθεῖα ἐλαχίστη ἐστὶ τῶν τὰ αὐτὰ πέρατα ἐχουσῶν γραμμῶν, ἡ δὲ ἐλαχίστη ὥρισται, τοῦτο γὰρ αὐτοῦ σημαίνει τὸ πεπέρανται, ἡ δὲ ὁρισμένη μεμέτρηται, καὶ τὸ κατ' εὐθεῖαν πλεῖστον μεμετρημένον ἂν εἴη καὶ ὡρισμένον, ὥστε καὶ πλεῖστον κυρίως λέγεσθαι. ἡ γὰρ ἐπὶ τὰ αὐτὰ πέρατα τῆς εὐθείας περιφορὴς, ἀόριστός ἐστι, καὶ ἄλλοτε ἄλλου μέτρου, ἡ μὲν, μᾶλλον κυρτουμένη, ἡ δὲ ἧττον. ὥστε εἰ τῇ περιφορεῖ κρίνοιτο ἡ τῶν περάτων διάστασις, δυνατὸν τῆς μείζονος περιφορείας τὰ πέρατα κυρτοτέρας οὔσης ἐγγυτέρω εἶναι, ἤπερ τὰ τῆς ἐλάττονος. καὶ ἔσται ἐγγυτέρω τὰ μείζονι γραμμῇ διεστῶτα. καὶ ὅλως ἡ μὲν ἐπὶ τὰ αὐτὰ πέρατα εὐθεῖα, μία καὶ διὰ τοῦτο ὡρισμένη. αἱ δὲ περιφέρειαι πολλαὶ καὶ ἀόριστοι. καὶ ἔοικε τὰ ἐναντία πρῶτον ἐν τῷ τόπῳ φανῆναι, καὶ ἀπὸ τούτου καὶ εἰς τἆλλα μετῆχθαι. διὸ καὶ ἡ ὑπογραφὴ τῶν ἐναντίων, τὰ πλεῖστον ἀπέχοντα ἀποδίδωσι. τὰ οὕτω κεχωρισμένα πλεῖστον ἀπ' ἀλλήλων, οἷα τὰ κατὰ τόπον, ἐναντία ἐστὶν, εἰ μέλλοι πλεῖστον οὕτω καὶ ὡρισμένον διεστάναι. ᾗ γὰρ τὸ πλεῖστον ὥρισται. ᾗ τὸ ἐλάχιστον κατ' εὐθεῖαν ἔχειν χρὴ τὴν διάστασιν.

Ἐ ΦΕΞΗ͂Σ δὲ, οὗ μετὰ τὴν ἀρχὴν μόνον ὄντος ἢ φύσει ἢ θέσει. ἢ ἄλλῳ τινὶ οὕτως ἀφορισθέντος, μηδὲν μεταξύ ἐστι τῶν ἐν ταὐτῷ γένει, οὗ ἐφεξῆς ἐστι. λέγω δ' οἷον γραμμὴ, γραμμῆς, ἢ γραμμαί. ἢ μονάδος, μονὰς, ἢ μονάδες. ἢ οἰκίας, οἰκία. ἄλλο δ' οὐθὲν κωλύει μεταξὺ εἶναι. τὸ γὰρ ἐφεξῆς, τινὶ ἐφεξῆς, καὶ ὕστερόν τι. οὐ γὰρ τὸ ἓν ἐφεξῆς τοῖν δυοῖν. οὐδ' ἡ νουμηνία τῆς δευτέρας ἐφεξῆς. ἀλλὰ ταῦτ' ἐκείνων.

Τὸ ἐφεξῆς τινὶ ἐφεξῆς ἐστιν, ὃ ἀρχῆς ἔχει λόγον πρὸς αὐτό. τὸ γὰρ μετὰ τὴν ἀρχὴν ὁμογενὲς ὂν τῇ ἀρχῇ, μᾶλλον δὲ ὁμοειδὲς, ἐφεξῆς ἐστι τῇ ἀρχῇ. ὅταν μηδὲν ὁμογενὲς ἢ ὁμοειδὲς μεταξὺ ᾖ αὐτοῦ τε

καὶ τῆς

καὶ τῆς ἀρχῆς. οἷον οἰκία, οἰκία ἐφεξῆς ἡ δευτέρα τῇ πρώτῃ, ὅταν μὴ ᾖ ἄλλη μεταξὺ αὐτῶν οἰκία.
καὶ ἡ ἀρχὴ δὲ τοῦ ἐφεξῆς ὄντος, καὶ τὸ ἐφεξῆς αὐτὸ, πολλαχῶς λέγεται. ἢ γὰρ θέσει, ἢ τάξει, ἢ
εἴδει, ἢ πάθει, ἢ χρόνῳ, ἢ γενέσει, ἢ ἀριθμῷ, ἢ ἄλλῳ τινὶ τοιούτῳ. θέσει μὲν, ὅσα πού ἐστιν. οἷον εἰ
γραμμὰς πλείους γράψαιμεν, ἢ οἰκίας πλείους ἢ πόλεις λάβοιμεν. τάξει, ὡς τὸ προοίμιον τῆς
διηγήσεως. καὶ αὐτὴ τῶν ἀγώνων. εἴδει δὲ, οἷον εἰ τὰ χρώματα ἐφεξῆς καθ᾽ ἕκαστον λάβοιμεν, ἀπὸ τοῦ
λευκοῦ ἀρξάμενοι μέχρι τοῦ μέλανος, εἴτε ἑπτὰ εἴη ταῦτα, εἴτε καὶ πλείονα. καταριθμεῖται δὲ αὐ-
τὰ ὁ ἀριστοτέλης ἐν τῷ περὶ αἰσθητῶν. πάθει δὲ, εἰ τὴν ἀπὸ ψυχροῦ μεταβολὴν ὁδῷ γινομένην, εἰς
τὸ γαλακτῶδες καὶ χλιαρὸν καὶ θερμὸν καὶ ζεστὸν νοήσαιμεν. κατὰ χρόνον δὲ, ὅταν νουμηνίαν καὶ
δευτέραν καὶ τρίτην, καὶ τὰς ἐφεξῆς ὀνομάζωμεν. γενέσει δὲ, ὅταν ἐπὶ μὲν τῶν ζώων λέγωμεν
πρῶτον τὴν καρδίαν συνίστασθαι. εἶτα πνεύμονα εἰ τύχοι, εἶτα σπλῆνα. εἶτα νεφρούς. ἐπὶ δὲ τῶν
φυτῶν ῥίζαν. εἶτα πρέμνον, εἶτα στέλεχος, καὶ τὰ ἑξῆς. ἀριθμῷ δὲ, ὅταν μονάδα, δυάδα, τριάδα,
λέγωμεν ἐφεξῆς. τῶν δὲ ἀρχῶν αἱ μὲν, φύσει εἰσίν. ὡς αἱ κατ᾽ ἀριθμόν. φύσει γὰρ πρῶτον τὸ ἓν τῶν
δύο. καὶ ταῦτα τῶν τριῶν. καὶ αἱ κατὰ τὴν γένεσιν τῶν ζώων καὶ τῶν φυτῶν. ἔτι δὲ καὶ αἱ κατὰ
τὰ εἴδη. οἷον ἐπὶ τῶν χρωμάτων. αἱ δὲ κατὰ πάθη ἀρχαὶ, ὡς ἐπὶ τοῦ λευκοῦ καὶ τοῦ ψυχροῦ εἴρη-
ται, ὡς ἂν ἡμεῖς ὁρίζωμεν, οὕτως ἕξουσι τὸ δεύτερον καὶ τὸ ἐφεξῆς, εἴτε ἀπὸ τοῦ ψυχροῦ, εἴτε ἀπὸ
τοῦ ζέοντος ἀρξόμεθα. καὶ ἐπὶ τῶν χρωμάτων, εἴτε ἀπὸ τοῦ λευκοῦ, εἴτε ἀπὸ τοῦ μέλανος. ἐπὶ δὲ τοῦ
χρόνου, καὶ τῶν ῥεόντων καὶ γινομένων, φύσει τὸ πρότερον, πρότερόν ἐστιν. ἃς δὲ ἡμεῖς ποιούμεθα
ἀρχὰς, ἐνιαυτοῦ μὲν περὶ θερινὰς τροπὰς ὡς ἀθηναῖοι. ἢ περὶ μετοπωρινὰς, ὡς οἱ περὶ τὴν νῦν κα-
λουμένην ἀσίαν, ἢ περὶ χειμερινὰς. ὡς ῥωμαῖοι, ἢ περὶ ἐαρινὰς, ὡς ἄραβες καὶ δαμασκηνοί. μηνὸς
δὲ, ὡς τινὲς ἀρχὴν τὴν πανσέληνον λέγουσιν, ἢ τὴν νέαν, ἔθνη. θέσει αὗται. ἐπὶ δὲ τῶν ἐν τόπῳ,
ὅταν μὲν τάξις τις εἴη τῶν κειμένων, καὶ ἡ ὡρισμένη ἐπ᾽ εὐθείας ἢ ξύλα, ἢ κίονες, ἔσονται τὰ ἄκρα
ἀρχαὶ ἐφ᾽ ἑκάτερον. καὶ ὡς ἂν ἡμεῖς θώμεθα, ἔσται οὕτω τῶν περάτων ἀρχὴ ἐκεῖνο, καὶ τὸ ἐφεξῆς
λαμβανόμενον. ἐπὶ δὲ τῶν ἐν πόλεσιν οἰκιῶν, οὐκέτι ἄκραι τινές εἰσι. τὸ δὲ ἀφ᾽ ὁποτέρας ἀρξώμε-
θα ἐφ᾽ ἡμῖν καταλείπεται. καὶ ἔστιν ὅλον θέσει, εἴτε στρογγύλος, εἴτε τετράγωνος, εἴτε ὁποῖος ἂν ᾖ ὁ
περίβολος. παραπλησίως δὲ καὶ ἐπὶ τῶν πόλεων αὐτῶν, τὸ ἐφεξῆς κατὰ θέσιν ἐστίν. τούτων δὲ διω-
ρισμένων, ἐκεῖνο χρὴ κρατεῖν ὅτι ὁμογενῆ ἀνάγκη εἶναι τὰ ἐφεξῆς. τὸ δὲ ὁμογενὲς πολυχουστερον. εἰ
μὲν γὰρ παῖδας ἄρρενας στήσαντες, ἐφεξῆς λέγομεν, ὡς ἐν παισὶ φαμὲν τὸ ὁμογενές. εἰ δὲ καὶ ἄν-
δρας ἀναμίξαντες, ὡς ἄρρεν τὸ ὁμογενές. εἰ δὲ καὶ γυναῖκας, ὡς ἀνθρώπους. προσθέντες δὲ καὶ ἄλο-
γα ζῶα, ὡς ζῶα λέγομεν ὁμογενῆ, καὶ ἐφεξῆς. προσεχέστερον γὰρ καὶ πορρώτερον ἑκάστων τὸ ὁμο-
γενές. εἰ μὲν γὰρ πάντα βάθρα εἴη, καθὸ βάθρα ἔσται ὁμογενῆ. εἰ δὲ καὶ διφρέαι, καθὸ καθέδραι. εἰ
δὲ καὶ κλῖναι, καθὸ ἀναπαυσόμεθα ἐπ᾽ αὐτῶν. ἀκατονόμαστον γάρ ἐστι τὸ κοινὸν ἐπ᾽ αὐτῶν. εἰ δέ τινων
ἐφεξῆς μεταξύ τινα γένοιτο ἀνομοειδῆ, οὐκ ἐπὶ τούτων τῶν ἐφεξῆς ῥητέον οἰητέον συμβαίνειν. οὔτε
γὰρ ἐπὶ τῶν κατ᾽ ἀριθμὸν, οὔτε ἐπὶ τῶν κατὰ χρόνον, οὔτε ἐπὶ τῶν κατ᾽ εἶδος ἢ πάθος μεταβαλ-
λόντων. ἐπὶ δὲ τῶν κατὰ γένεσιν, οἷον ἐπὶ καρδίας καὶ πνεύμονος, ἔστι μεταξὺ καὶ ἀνομογενῆ γι-
νόμενα. οἷον αἱ φλέβες. διὸ τὸ εἰλῆφθαι ὡς ἐν σπλάγχνοις τὰ ἐφεξῆς. δῆλον δὲ ὅτι ἐπὶ μὲν τῶν φύ-
σει τὴν ἀρχὴν ἐχόντων, καὶ τὸ ἐφεξῆς φύσει. καὶ ὅτι οὐκ ἔστιν ἀναστρέψαντα εἰπεῖν, τὰ γὰρ δύο τοῦ
ἑνὸς ἐφεξῆς. οὐ μέντοι καὶ τὸ ἓν τῶν δύο. ἐπὶ δὲ τῶν θέσει, ὡς ἂν ὁρίσωμεν τὴν ἀρχὴν. οὕτω καὶ τὸ
ἐφεξῆς ἔχει, εἴτε τὸ ψυχρὸν ἀρχὴν εἴτε τὸ ζέον ὁρίζωμεν. ὁ δὲ θεμίστιος προστίθησιν, ὅτι κυρίως μὲν
ἐφεξῆς τὰ ὁμοειδῆ ἐστιν. οἶκος, οἴκῳ. καὶ γραμμὴ, γραμμῇ. λέγεται δὲ ἐφεξῆς καί τινα μὴ ὁμοειδῆ πολ-
λάκις. ἐφεξῆς γὰρ ὁ ἀγὼν τῇ πομπῇ, καὶ τὸ νυμφαῖον τῷ γυμνασίῳ. ἱστέον δὲ ὅτι τῶν πολλῶν ἀντιγρά-
φων ἐχόντων, ἐφεξῆς δὲ οὗ μετὰ τὴν ἀρχὴν ὄντος ἢ θέσει ἢ εἴδει, ὁ ἀλέξανδρος οὕτω γράφει, οὗ μετὰ
τὴν ἀρχὴν μόνον ὄντος, τὸ μόνον προστιθεὶς. καὶ ἐξηγεῖται, ὅτι δηλωτικόν ἐστι τὸ μόνον τοῦ μὴ κυρίως
πάντως τὴν ἀρχὴν λαμβάνεσθαι. ἀλλ᾽ ὅπως ἂν ἡ ἀρχὴ ληφθῇ ἢ φύσει ἢ θέσει, τοῦ ἐφεξῆς ἀκολου-
θοῦντος. ἐφεξῆς δὲ εἶπε γραμμὴ, γραμμῆς, ἢ γραμμαί. καὶ μονὰς, μονάδος, ἢ μονάδες. διότι καὶ μίαν
γραμμὴν ἐφεξῆς εἶναι δυνατὸν τῇ πρώτῃ γραμμῇ, καὶ πλείονας. καὶ μίαν μονάδα τῇ πρώτῃ
μονάδι, καὶ πλείονας.

ἐ ΧΟ΄ΜΕΜΟΝ δὲ, ὃ ἂν ἐφεξῆς ὂν ἅπτηται.

ἐ ἰπὼν τί τὸ ἁπτόμενον, καὶ τί τὸ ἐφεξῆς, ἐπάγει τί τὸ ἐχόμενον. ὅτι τὸ ἐφεξῆς ἅμα ὂν καὶ ἁπτόμενον,
τοῦτο ἐχόμενόν ἐστιν. οὔτε γὰρ τὸ ἐφεξῆς μόνον ἀρκεῖ πρὸς τὸ ἔχεσθαι. οἱ γὰρ ἀριθμοὶ ἐφεξῆς ὄντες,
οὐ λέγονται ἔχεσθαι ἀλλήλων, ὅτι μὴ ἅπτονται. οὔτε τὸ ἅπτεσθαι μόνον αὔταρκες πρὸς τὸ ἔχεσθαι.
ὁ γοῦν χιτὼν ἁπτόμενος τοῦ σώματος, διὰ τὸ μὴ ἐφεξῆς εἶναι, οὐ λέγεται ἐχόμενος αὐτοῦ. οἰκία δὲ
οἰκίᾳ ἐφεξῆς οὖσα, ὅταν καὶ ἅπτωνται ἀλλήλων αὗται, ἐχόμεναί εἰσι. καὶ οἱ τῶν ἁλύσεων κρίκοι.
ὁμογενῆ γὰρ δεῖ εἶναι τὰ ἐχόμενα, καὶ μηδὲν ἔχειν μεταξὺ μήτε ὁμογενὲς, μήτε ἀνομοιογενές. διὸ
οὐ μόνον ἐφεξῆς ἐστιν, ἀλλὰ καὶ ἁπτόμενα. τὸ μὲν γὰρ ἐχόμενον πᾶν, καὶ ἐφεξῆς ἐστι. τὸ δὲ ἐφεξῆς,

ἐχόμενον οὐ πᾶν. εἰ μὴ καὶ θέσιν ἔχοι καὶ ἅπτοιτο. διὸ οὔτε ἡ δευτέρα τῆς νουμηνίας ἔχεσθαι λέγεται κυρίως, οὔτε ἐκ λευκοῦ μέλαν γινόμενον, ἔχεσθαι τοῦ λευκοῦ. ὅτι μὴ θέσιν ἔχει ταῦτα, μηδὲ ὑπομένει ἄμφω. ἀλλὰ τῆς δευτέρας οὔσης, ἡ νουμηνία οὐκέτι ἐστί. καὶ τοῦ μέλανος γινομένου, τὸ λευκὸν οἴχεται. τὰ δὲ μήτε θέσιν ἔχοντα μήτε ὑπομένοντα ἄμφω, οὐκ ἂν ἅπτοιτο. τὰ δὲ μὴ ἁπτόμενα, οὐκ ἂν ἔχοιτο. εἰ δὲ θείη τις λευκὸν σῶμα, καὶ τούτου ἁπτόμενον φαιὸν, καὶ ἐκείνου μέλαν, οὐδὲν κωλύει ταῦτα ἔχεσθαι ἀλλήλων. τῶν δὲ ὑγρῶν τὰ μὲν συγχεόμενα οὐκ ἔχεται ἀλλήλων. ἔλαιον δὲ καὶ ὕδωρ λέγοιτο ἂν ἔχεσθαι ἀλλήλων.

ἘΠΕῚ ΔῈ πᾶσα μεταβολὴ ἐν τοῖς ἀντικειμένοις, τὰ δὲ ἀντικείμενα, τά τε ἐναντία, καὶ τὰ κατὰ ἀντίφασιν, ἀντιφάσεως δὲ οὐδὲν ἀνὰ μέσον, φανερὸν ὅτι ἐν τοῖς ἐναντίοις ἔσται τὸ μεταξύ.

Εἴρηκε μὲν ἤδη τί ἐστι τὸ μεταξύ. ὅτι τὸ εἰς ὃ πέφυκε τὸ πρῶτον ἀφικνεῖσθαι πᾶν τὸ μεταβάλλον, πρὸ τοῦ εἰς τὸ ἔσχατον ἐλθεῖν, προσθεὶς ὅτι τὸ ἔσχατον τῆς μεταβολῆς ἐστι τὸ ἐναντίον. ἐκείνοις οὖν τὰ ἀκόλουθα προσθεὶς, ἀποδείκνυσιν ὅτι τὸ μεταξὺ ἐν τοῖς ἐναντίοις ἐστί. δείκνυσι δὲ αὐτὸ οὕτως. τὸ μεταξὺ ἐν μεταβολῇ ἐστι. πᾶσα μεταβολὴ ἀπὸ ἀντικειμένου εἰς ἀντικείμενον. πᾶσα δὲ ἡ ἀπὸ ἀντικειμένου εἰς ἀντικείμενον μεταβολὴ, ἢ ἀπὸ ἀντιφάσεως, ἢ ἀπὸ ἐναντίου ἐστί. καὶ γὰρ ἡ στέρησις ἐναντίον πως, ὡς εἴρηκεν αὐτός. καὶ τῶν πρός τι τινὰ ἐναντία ἐστίν. εἰ οὖν ἡ κατὰ ἀντίφασιν μεταβολὴ κατὰ γένεσιν καὶ φθοράν ἐστιν, οὐκ ἔστι δὲ γενέσεως καὶ φθορᾶς μεταξὺ, διότι τὸ μὲν μεταξὺ ὑφεστώτων τινῶν μεταξύ ἐστιν, ἐν δὲ τῇ γενέσει καὶ φθορᾷ οὐχ ὑφέστηκε τὰ ἄκρα, ἀλλ᾽ ἐν μὲν τῇ γενέσει μόνον τὸ εἰς ὃ, ἐν δὲ τῇ φθορᾷ μόνον τὸ ἐξ οὗ, τὰ γὰρ ἄλλα οὐχ ὑποκείμενά ἐστιν, ἀλλὰ ἀποφάσει δηλούμενα ἀνάγκη ἐν τοῖς ἐναντίοις εἶναι τὸ μεταξύ. οὐκ ἐν πᾶσι δὲ τοῖς ἐναντίοις λέγει. ἔστι γάρ τινα τῶν ἐναντίων ἄμεσα. ἀλλ᾽ ὅτι ἐν τῷ γένει τῶν ἐναντίων.

ΤῸ ΔῈ συνεχὲς, ἔστι μὲν, ὅπερ ἐχόμενόν τι. λέγω δὲ εἶναι συνεχὲς, ὅταν τὸ αὐτὸ γένηται καὶ ἓν τὸ ἑκατέρου πέρας οἷς ἅπτονται. καὶ ὥσπερ σημαίνει τοὔνομα, συνέχηται. τοῦτο δὲ οὐχ οἷόν τε, δυοῖν ὄντοιν εἶναι τοῖν ἐσχάτοιν. τούτου δὲ διωρισμένου, φανερὸν ὅτι ἐν τούτοις ἐστὶ τὸ συνεχὲς, ἐξ ὧν ἕν τι πέφυκε γίνεσθαι κατὰ τὴν σύναψιν. καὶ ὥς ποτε γίγνεται τὸ συνέχον ἓν, οὕτω καὶ τὸ ὅλον ἔσται ἕν. οἷον, ἢ γόμφῳ, ἢ κόλλῃ. ἢ ἁφῇ. ἢ προσφύσει. φανερὸν δὲ, καὶ ὅτι πρῶτον τὸ ἐφεξῆς ἐστι. τὸ μὲν γὰρ ἁπτόμενον, ἀνάγκη ἐφεξῆς εἶναι. τὸ δ᾽ ἐφεξῆς οὐ πᾶν ἅπτεσθαι. διὸ καὶ ἐν προτέροις τῷ λόγῳ, τὸ ἐφεξῆς ἐστιν. οἷον, ἐν ἀριθμοῖς. ἁφὴ δὲ οὐκ ἔστι. καὶ εἰ μὲν συνεχὲς, ἀνάγκη ἅπτεσθαι. εἰ δὲ ἅπτεται, οὔπω συνεχές. οὐ γὰρ ἀνάγκη ἓν εἶναι αὐτῶν τὰ ἄκρα, εἰ ἅμα εἶεν. ἀλλ᾽ εἰ ἓν, ἀνάγκη καὶ ἅμα. ὥστε ἡ σύμφυσις ὑστάτη κατὰ τὴν γένεσιν. ἀνάγκη γὰρ ἅψασθαι εἰ συμφύσεται τὰ ἄκρα. τὰ δὲ ἁπτόμενα, οὐ πάντα συμπέφυκεν. ἐν οἷς δὲ μή ἐστιν ἁφὴ δῆλον ὅτι οὐκ ἔστιν οὐδὲ σύμφυσις ἐν τούτοις. ὥστ᾽ εἰ ἔστι στιγμὴ καὶ μονὰς οἵας λέγουσι κεχωρισμένας, οὐχ οἷόν τε εἶναι μονάδα καὶ στιγμὴν τὸ αὐτό. ταῖς μὲν γὰρ ὑπάρχει τὸ ἅπτεσθαι. ταῖς δὲ μονάσι τὸ ἐφεξῆς. καὶ τῶν μὲν, ἐνδέχεται εἶναί τι μεταξύ. πᾶσα γὰρ γραμμὴ, μεταξὺ στιγμῶν. τῶν δ᾽ οὐκ ἀνάγκη. οὐδὲν γοῦν μεταξὺ δυάδος καὶ μονάδος. τί μὲν οὖν ἐστι τὸ ἅμα καὶ χωρὶς καὶ τί τὸ ἅπτεσθαι καὶ τί τὸ μεταξὺ καὶ τὸ ἐφεξῆς καὶ τί τὸ ἐχόμενον καὶ συνεχὲς καὶ τοῖς ποίοις ἕκαστον τούτων ὑπάρχει, εἴρηται.

Ὥσπερ ἀπὸ τοῦ ἐφεξῆς καὶ τοῦ ἅπτεσθαι ἐγίνετο τὸ ἐχόμενον, οὕτω καὶ ἀπὸ τοῦ ἐχομένου τὸ συνεχές. ὅταν ἡ ἁφὴ τῶν ἐχομένων γένηται ἕνωσις. τοῦτο δὲ γίνεται, ὅταν τῶν ἁπτομένων τὰ πέρατα δύο τέως ὄντα, συμφυέντα ἓν γένηται. τότε γὰρ οὐκέτι μένει ἁπτόμενα. δεῖ δὲ καὶ τὰ ἅπτεσθαι μέλλοντα ἀλλήλων, συνεχῆ εἶναι. μεριστὰ γοῦν, διότι τὰ ἀμερῆ οὐχ ἅπτεται ἀλλήλων. φανερὸν οὖν ὅτι ἐν τούτοις ἐστὶ τὸ συνεχὲς, ἐξ ὧν ἕν τι πέφυκε κατὰ τὴν συναφὴν γίνεσθαι. πέφυκε δὲ γίνεσθαι ἓν, τὰ μὲν συμφύσει. ὥσπερ τὰ ἐγκεντριζόμενα φυτά. τὰ δὲ ἁφῇ καὶ συναρμογῇ. ὡς ἡ ναῦς. τῶν δὲ τὸ αἴτιον τοῦ ἓν εἶναι πλεῖον μὲν ἢ κατὰ ἁφήν. ἐνδεέστερον δὲ συμφύσεως. ὥσπερ ὕδατος καὶ ἀέρος. καὶ διαλυθέντων γὰρ αὐτῶν οὐχ ἧττον τὰ μόρια ἥνωται. καὶ τὴν αὐτὴν τῷ ὅλῳ σώζει φύσιν. ἄλλα δὲ δεσμῷ ἔχει τὸ ἓν, ὡς φάκελος. τὰ δὲ, πλοκῇ, ὡς ἱμάτιον. τὰ δὲ, ἐμπλέξει τῶν μορίων, ὡς ἡ ἅλυσις. τὰ δὲ, ῥάψει, ὡς ὑποδήματα. τὰ δὲ, κόλλῃ, ὡς χάρτης. τὰ δὲ, κράσει, ὡς μελίκρατον. τὰ δὲ, συνθέσει τοιᾷδε, ὡς σωρός. τὰ δὲ, συντάξει, ὡς τὸ στράτευμα. τὰ δὲ, συνδέσμῳ, ὥσπερ αἱ οὐχ ἁπλαῖ προτάσεις. τὸ δὲ ἅρμα καὶ ἡ συνωρὶς κατὰ πολλοὺς τρόπους ἓν γίνεται. ὁ μὲν γὰρ δίφρος ὥσπερ καὶ οἱ τροχοὶ συναρμόσει ἓν γίνονται. τὸ δὲ πρὸς ἄλληλα τούτων ἑνοποιὸν αἴτιον, σύνθεσις ἄν τις εἴη. τῶν δὲ ἵππων ὡς πρὸς ἀλλήλους τε καὶ τὸν δίφρον, σύζευξις. τὸ μέντοι πᾶν σύστημα σύνθεσις. εἰσὶ δὲ καὶ ἄλλοι πλείους τρόποι τῆς τοῦ ἑνὸς συστάσεως. ὁ μέντοι Ἀριστοτέλης τεττάρων ἀνεμνήσθη, ἢ γόμφῳ εἰπὼν, ἢ κόλλῃ, ἢ ἁφῇ, ἢ προσφύσει γίνεσθαι ἓν τὸ συνέχον. λέγεται δὲ συνέχον ἓν τὸ ἀναβεβηκὸς, καὶ ὑπὲρ συνεχὲς ὂν καὶ αἴτιον τοῦ συνεχοῦς. καὶ γοῦν τὸ μὲν συνεχὲς, καὶ ἕν. τὸ δὲ ἓν, οὐ πᾶν συνεχές. πλοῖον γὰρ, καὶ ἱμάτιον, καὶ οἰκία, ἕν τι, ἀλλ᾽ οὐχὶ συνεχές. φανερὸν δέ φησι καὶ ὅτι πρὸς νόησιν πρῶτόν ἐστι τὸ ἐφεξῆς τοῦ ἁπτομένου. τὸ δὲ ἁπτόμενον τοῦ συνεχοῦς. τὸ μὲν γὰρ ἁπτόμενον ἀνάγκη

ἐφεξῆς εἶναι. τὸ δὲ ἐφεξῆς οὐ πᾶν ἅπτεσθαι. διὸ καὶ ἐν προτέροις τῷ λόγῳ τὸ ἐφεξῆς ἐστι. πρότεροι γὰρ καὶ πρεσβύτεροι οἱ ἀριθμοὶ τῶν μεγεθῶν. καὶ ἐν τούτοις τὸ ἐφεξῆς. τὰ γὰρ δύο τοῦ ἑνὸς ἐφεξῆς. ἁφὴ δὲ οὐκ ἔστι μονάδων. πρότεροι δὲ ἀριθμοὶ καὶ μονάδες σωμάτων καὶ μεγεθῶν, οὐχ ὑποστάσει, ἀλλὰ λόγῳ. διὸ κατὰ γένεσιν τελευταῖον τῇ ἐπινοίᾳ τὸ συνεχές. πρῶται γὰρ αἱ μονάδες, ἐν αἷς τὸ ἐφεξῆς. θέσιν δὲ λαβουσῶν, τὸ ἅπτεσθαι ἐπιγίνεται. τῆς δὲ ἁφῆς συμφυείσης, τὸ συνεχές. καὶ οὐδὲν ἔτι μετὰ τοῦτο. ὁ μέντοι εὔδημος τὸ συμφυὲς τοῦ συνεχοῦς μᾶλλον θεασάμενος ἡνωμένον, καὶ ἴδιον τῶν φυσικῶν αὐτὸ εἰπὼν, τοῦτό φησι κατὰ τὸν λόγον πρῶτόν ἐστι καὶ ἀρχή. τούτῳ γὰρ ἕπεται τὸ συνεχὲς, καὶ ἐχόμενόν τε, καὶ ἐφεξῆς. κατὰ δὲ τὴν γένεσίν φησι τελευταῖον τὸ συμφυές. δῆλον δὲ ὅτι τῷ λόγῳ τοῦτο πρῶτον εἶπεν, ὡς ἐξ ἐκείνων συνεστώς. ὁ δὲ ἀριστοτέλης τὸ ἐφεξῆς τοῦ ἅπτεσθαι πρῶτον εἶπε τῷ λόγῳ, ὡς ὁλικώτερον καὶ ἁπλούστερον καὶ συναναιροῦν καὶ συνεπιφερόμενον. ὕστατον οὖν κατὰ γένεσιν τὸ συνεχές. διὸ εἰ συνεχῆ εἴη, ἀνάγκη ἅπτεσθαι. οὐχ οὕτω δὲ λέγει, ὡς τοῦ συνεχοῦς, καὶ ὅτε συνεχές ἐστιν, ἁπτομένου ὄντος. οὐκέτι γὰρ ἔσται συνεχὲς κατ᾽ ἐκεῖνο τὸ μέρος καθ᾽ ὃ ἡ ἁφή. ἀλλ᾽ ὅτι συνεχοῦς γινομένου, ἐκ πλειόνων ἀνάγκη τὴν ἁφὴν προϋποστῆναι. εἰ δὲ ἅπτοιτό τινα, οὐκ ἀνάγκη συνέχειαν ἐπινοεῖσθαι. ὥστε ἐν οἷς οὐκ ἔστιν ἡ ἁφὴ, οὔτε σύμφυσις οὔτε συνέχειά ἐστιν ἐν τούτοις. εἴπερ τῆς συνεχείας προηγεῖσθαι δεῖ τὴν ἁφήν. οὐ μέντοι ἐν πᾶσιν ἐν οἷς ἐστιν ἁφὴ, καὶ σύμφυσιν γίνεσθαι ἤδη δυνατόν. καὶ γὰρ ξύλου λίθος ἅπτεται, καὶ ἱμάτιον ζώου. ἀλλ᾽ οὐ συμφύεται ταῦτα εἰς ἕνωσιν. εἰ οὖν ἀληθὲς τὸ μὴ εἶναι ταυτὸν τὸ ἐφεξῆς καὶ τὸ ἅπτεσθαι, μὴ δὲ τοῖς αὐτοῖς ὑπάρχει, συνάγεταί τι ὥσπερ πόρισμα ἀπὸ τούτου, ὅτι κἂν εἶεν στιγμὴ καὶ μονὰς χωρισταὶ τῶν πραγμάτων. ὥσπερ ὑποτίθενταί τινες. οἱ τὰ ὑποκείμενα τοῖς μαθήμασι μὴ ἐξ ἀφαιρέσεως λέγοντες, οὐκ ἂν εἴη ταυτὸν στιγμὴ καὶ μονὰς, ὡς ἔδοξέ τισι, κἂν ἀμερῆ ἄμφω, κἂν ἀρχὴ ποσοῦ ἑκάτερον ᾖ. εἴπερ ταῖς στιγμαῖς ὑπάρχει θέσιν ἐχούσαις τὸ ἅπτεσθαι κατὰ στιγμὴν, ταῖς δὲ μονάσι τὸ ἐφεξῆς ὑπάρχει. εἰ οὖν μὴ ἐν τοῖς αὐτοῖς τὸ ἅπτεσθαι καὶ τὸ ἐφεξῆς, οὐκ ἂν εἴη ταυτὸν στιγμὴ καὶ μονάς. ὑπάρχει δὲ ταῖς στιγμαῖς τὸ ἅπτεσθαι οὐ καθ᾽ ἑαυτάς. ἀμερεῖς γάρ εἰσι. τὰ δὲ ἁπτόμενα μεριστὰ ἀνάγκη εἶναι. ἀλλ᾽ ὅτι, ἢ τὸ ἅπτεσθαι ἀντὶ τοῦ ἐφαρμόζειν εἶπε. σημεῖον γὰρ σημείῳ συντεθὲν, σημεῖον ποιεῖ. οὕτω δὲ αὐτὸ ἤκουσεν ὁ ἀλέξανδρος. ἢ μᾶλλον ὅτι κατὰ τὰ σημεῖα ὑπάρχει τὸ ἅπτεσθαι ταῖς γραμμαῖς. οὐ μόνον δὲ ἐκ τῆς διαφορᾶς τοῦ ἅπτεσθαι καὶ τοῦ ἐφεξῆς ἡ διαφορὰ τοῦ σημείου καὶ τῆς μονάδος δείκνυται, ἀλλὰ καὶ ἐκ τοῦ μεταξύ. εἴπερ τινῶν μὲν στιγμῶν ἐνδέχεται εἶναί τι μεταξύ. τῶν μὲν γὰρ ἐφαρμοζουσῶν ἀλλήλαις στιγμῶν, οὐδέν ἐστι μεταξύ. τῶν δὲ μὴ ἐφαρμοζουσῶν ἐνδέχεται εἶναι μεταξὺ γραμμὴν ἢ γραμμάς. οὐ δὲ γὰρ τούτων ἀνάγκη μεταξὺ εἶναι γραμμήν. ἀλλ᾽ ἐνδέχεται, εἴπερ καθ᾽ αὑτὰς ὑποτεθεῖεν αἱ στιγμαὶ, καὶ μὴ ὡς τῶν ἐν σώματι γραμμῶν πέρατα. τῶν δὲ μονάδων οὐδὲν μεταξύ ἐστι. μονάδος γὰρ καὶ δυάδος ἀνάγκη μηδὲν μεταξὺ εἶναι. τὸ γὰρ οὐκ ἀνάγκη μεταξὺ, ἀντὶ τοῦ ἀνάγκη μὴ εἶναι μεταξὺ εἴρηται. οἱ γὰρ ἀριθμοὶ ὡς οἱ πυθαγόρειοι λέγουσι τῷ κενῷ ἀπ᾽ ἀλλήλων χωρίζονται, οὐδὲν ἔχοντες ἀλλήλων μεταξύ. ἰστέον δὲ ὅτι διχῶς φερομένης τῆς γραφῆς ἐν τοῖς βιβλίοις, ὅπου μὲν πᾶσα γὰρ γραμμὴ μεταξὺ στιγμῶν, ὅπου δὲ πάσης γὰρ γραμμῆς μεταξὺ στιγμὴ, τὴν προτέραν ὡς ἀφεστέραν οὐδὲν ἴσασιν οἱ ἐξηγηταί. πᾶσα γὰρ γραμμὴ πεπερασμένη μεταξὺ δύο στιγμῶν ἐστι, τῶν τὰ πέρατα αὐτῆς ὁριζουσῶν. ἐνδέχεται δὲ καὶ μὴ εἶναι μεταξὺ γραμμὴν, ὅταν καθ᾽ αὑτὰς αἱ στιγμαὶ νοηθῶσιν, ὑπὸ τῶν χωριστὰς αὐτὰς ὑποτιθεμένων. ἡ δὲ ἑτέρα εἴπερ μὴ κατὰ διαφθορὰν εἴη γεγραμμένον, ἀκολουθοίη ἂν τῷ προειρημένῳ. εἰπὼν γὰρ περὶ τῶν στιγμῶν, καὶ τῶν μὲν, ἐνδέχεται εἶναι μεταξύ τι, ἐπήγαγε, πάσης γὰρ γραμμῆς μεταξὺ στιγμή. εἰ γὰρ πάσης γραμμῆς μεταξὺ στιγμὴν ἐνδέχεται εἶναι τὴν διαιροῦσαν αὐτὴν, καὶ πάλιν τῶν παρ᾽ ἑκάτερα τῆς στιγμῆς γραμμῶν διαιρεῖν ἑκατέραν στιγμή ἐστιν, ἀληθὲς ὅτι τῶν στιγμῶν τῆς τε ἄκρας ὁποτερασοῦν καὶ τῆς μέσης, ἐνδέχεται εἶναί τι μεταξὺ τὴν γραμμήν. τῶν γὰρ ὄντων τί ἐστι γραμμή. καὶ τῆς μέσης καὶ τῆς λοιπῆς ἄκρας τὴν ἑτέραν γραμμήν. ἢ ἔχοι ἄν τι πλέον ἡ γραφὴ αὕτη, ἡ λέγουσα πάσης γὰρ γραμμῆς μεταξὺ στιγμὴ, τὸ μὴ ἐπὶ τῆς πεπερασμένης μόνης γραμμῆς ἀληθεύειν, τὸ ἐνδέχεσθαι εἶναι μεταξύ τι τῶν στιγμῶν, ἀλλὰ καὶ ἐπὶ τῆς ἀπείρου. καὶ γὰρ ταύτην ἐνδέχεται διελεῖν στιγμὴ, καὶ δεῖξαι ὡς εἴρηται, ὅτι μεταξὺ τῶν στιγμῶν ἐνδέχεται εἶναι γραμμάς. εἰπὼν δὲ περὶ ἑκάστου τῶν προτεθέντων, συμπεραίνεται λοιπὸν τὸν λόγον, ὑπομιμνήσκων κατὰ τάξιν ὅτι εἴρηται περὶ πάντων, καὶ ὅ, τι ἐστὶν ἕκαστον, καὶ τοῖς ποίοις τῶν ὄντων ὑπάρχει. εἴρηται γοῦν ὅτι τὰ μὲν ἄλλα πάντα τοῖς ἔχουσι θέσιν ὑπάρχει. τὸ δὲ ἐφεξῆς καὶ τοῖς οὐκ ἔχουσι θέσιν. εἴπερ καὶ ἐν ἀριθμοῖς τοῦτο θεωρεῖται.

ΜΙΑ ΔΕ κίνησις, λέγεται πολλαχῶς. τὸ γὰρ ἓν, πολλαχῶς λέγομεν. γένει μὲν οὖν μία κατὰ τὰ σχήματα τῆς κατηγορίας ἐστί. φορὰ μὲν γὰρ, πάσῃ φορᾷ τῷ γένει μία. ἀλλοίωσις δὲ φορᾶς, ἑτέρα τῷ γένει. εἴδει δὲ μία. ὅταν τῷ γένει μία οὖσα καὶ ἐν ἀτόμῳ εἴδει ᾖ. οἷον, χρώματος μέν εἰσι διαφοραί. τοιγαροῦν ἄλλη τῷ εἴδει, μέλανσις. καὶ λεύκανσις. πᾶσα οὖν λεύκανσις πάσῃ λευκάνσει ἡ αὐτὴ κατὰ

τὸ εἶδος ἔσται. καὶ πᾶσα μέλανσις, μελάνσει. λευκότητι δ' οὐκέτι. διὸ τῷ εἴδει μία λεύκανσις λευ-
κάνσει πάσῃ. εἰ δέ ἐστιν ἅττα ἃ καὶ γένη ἅμα καὶ εἴδη ἐστὶ, δῆλον οὖν, ὡς εἴδει πως μία ἔσται. ἁπλῶς
δὲ μία εἴδει, οὔ. οἷον, ἡ μάθησις, εἰ ἡ ἐπιστήμη εἶδος μὲν ὑπολήψεως, γένος δὲ τῶν ἐπιστημῶν.

Α Ἀκόλουθον ἦν μετὰ τὰ περὶ κινήσεως ἤδη ῥηθέντα, ἐν οἷς διέκρινε τὴν κίνησιν τῆς γενέσεως καὶ τῆς
φθορᾶς, καὶ τὰς κατηγορίας ἐν αἷς κίνησις ὑπάρχει παραδέδωκε, ταῦτα τὰ νῦν ῥηθησόμενα περὶ
κινήσεως ἐπαγαγεῖν. τίς ἡ μία κίνησις. καὶ ὅτι τριχῶς λεγομένου τοῦ ἑνὸς, ἢ γένει ἢ εἴδει ἢ ἀριθμῷ,
ὡς καὶ ἐν ἄλλοις διώρισται, ἡ μία κίνησις τριχῶς ῥηθήσεται. καὶ τίς μὲν ἡ τῷ γένει μία. τίς δὲ ἡ τῷ
εἴδει. τίς δὲ ἡ τῷ ἀριθμῷ. ἥ τις καὶ κυρίως μία λεχθήσεται. ἐπειδὴ δὲ ἡ μία συνεχής ἐστι, καὶ ἡ συ-
νεχὴς μία, ἔδει προγινώσκειν τί τὸ συνεχές ἐστιν, ἵνα καὶ περὶ κινήσεως αὐτὸ γνωρίζειν δυνώμεθα.
ἐπειδὴ δὲ τὸ μὲν συνεχὲς ἐχόμενόν τι ἐστὶ, τὸ δὲ ἐχόμενον ἐφεξῆς τι καὶ ἁπτόμενον, ταῦτα δὲ ἅμα
εἶναι χρὴ, συνθεωρεῖται δὲ τούτοις καὶ τὸ μεταξὺ, εἰκότως ἡ ἐκείνων διδασκαλία πρὸ τῶν νῦν
ῥηθησομένων παραδέδοται. αὐτὸ μέντοι τοῦτο τὸ πρόβλημα, τὸ δεικνύειν τίς ἡ μία κίνησις, ἔστι μὲν
καθ' αὑτὸ τῆς φυσικῆς θεωρίας οἰκειότατον, ὡς δηλώσει τὰ περὶ αὐτοῦ λεγόμενα. καὶ πρὸς τὸ τέ-
λος δὲ τῆς ὅλης πραγματείας τῆς φυσικῆς συντελέσει τὸ σκοπιμώτατον. ἀπ' αὐτοῦ γὰρ δειχθή-
σεται τίς ἡ μία καὶ συνεχὴς ἐν τῷ κόσμῳ κίνησις. ὅτι ἡ κυκλοφορία. καὶ τί τὸ προσεχὲς ταύτην
κινοῦν. ὅτι ἀκίνητον καὶ ἀμερὲς καὶ ἀΐδιον αἴτιον. τὸ δὲ νῦν ἔχον τὴν μίαν κίνησιν τριχῶς λέγεσθαί
φησιν, ὥσπερ καὶ τὸ ἓν, ἢ γένει ἢ εἴδει ἢ ἀριθμῷ. γένει μὲν οὖν μία κίνησις ἡ ἐν τῇ αὐτῇ κατηγορίᾳ.
οἷον πᾶσα φορὰ πρὸς πᾶσαν φορὰν μία τῷ γένει ἐστίν. ἐν γὰρ τῇ ποὺ κατηγορίᾳ ἐν γένει ὄντι πᾶ-
σαι. καὶ ἀλλοίωσις πρὸς ἀλλοίωσιν. ἐν γὰρ ποιότητι. ὁμοίως δὲ καὶ αὔξησις πρὸς αὔξησιν, καὶ μείω-
σις πρὸς μείωσιν. ἐν ποσότητι γὰρ πάντα. εἰ οὖν ἕτεραι τῷ γένει κινήσεις, οὐχ ὡς γένος τι κοινὸν ἡ
κίνησις κατηγορεῖται τῶν πολλῶν κινήσεων ὥστε οὐδὲ ὁρισμὸς αὐτῆς ὡς ἑνὸς γένους καὶ μιᾶς φύ-
σεως ἐγένετο. εἴδει δὲ αἱ πλείονες εἰσὶ κινήσεις, ὅταν ἐν τῷ αὐτῷ γένει οὖσαι καὶ ἐν τῇ αὐτῇ κατηγο-
ρίᾳ, καὶ ἐν εἴδει τῷ αὐτῷ εἰσιν. ὑπὸ αὐτὸ γένος, ὄντι ἀτόμῳ καὶ μὴ διαιρουμένῳ εἰς εἴδη. οἷον πᾶσαι
αἱ λευκάνσεις καὶ τῷ γένει μία εἰσὶ, χρώματα γὰρ καὶ ποιότητες. καὶ τῷ εἴδει μία. λεύκανσις δὲ καὶ
μέλανσις τῷ μὲν γένει αἱ αὐταὶ, τῷ δὲ εἴδει διάφοροι. εἰπὼν δὲ ὅτι χρώματος μὲν εἰσὶ διαφοραὶ κα-
τὰ κίνησιν λεύκανσις καὶ μέλανσις, καὶ διὰ τοῦτο λεύκανσις μὲν καὶ μέλανσις διάφοροι κατ' εἶδος
εἰσὶ, λεύκανσις δὲ λευκάνσει ἡ αὐτὴ τῷ εἴδει, καὶ μέλανσις μελάνσει, ἐπήγαγε, λευκότητος δὲ οὐκ
ἔσται. διό πως εἴδει μία λεύκανσις λευκάνσει. καὶ εἴη ἂν λέγων ὅτι χρώματος μὲν εἰσὶ κατ' εἶδος δια-
φοραὶ, ὅτι μὴ ἔστιν ἄτομον εἶδος τὸ χρῶμα. εἰς εἴδη καὶ αὐτὸ διαιρούμενον τὸ λευκὸν καὶ τὸ μέλαν. λευ-
κότητος δὲ οὐκ εἰσὶ κατ' εἶδος διαφοραί. διότι ἄτομον εἶδος ἡ λευκότης ὡς ὁ ἄνθρωπος. καὶ διὰ τοῦτο
φησὶν ἡ αὐτή πως τῷ εἴδει λεύκανσις λευκάνσει. τὸ δὲ πῶς πρόσκειται διὰ τὴν ἐπαχθησομένην
ἀπορίαν πρὸς τὴν μίαν τῷ εἴδει κίνησιν. ἴστεον δὲ ὅτι ἐν τισὶ τῶν βιβλίων οὕτως τὸ ῥητὸν φέρεται,
λευκότητος δὲ οὐκ ἔστι, διόπερ εἴδει μία πως λεύκανσις λευκάνσει. καὶ οἱ ἐξηγηταὶ δὲ φαίνονται
παραδεχόμενοι αὐτό. εἰπὼν δὲ μίαν εἶναι τῷ εἴδει κίνησιν τὴν ἐν ἀτόμῳ μίαν οὖσαν, ἐπειδὴ ἔστι τινὰ
εἴδη, ἃ οὐδὲν κωλύεται καὶ γένη ἄλλων εἰδῶν εἶναι, διὰ τὸ μὴ εἶναι ἄτομα εἴδη, ὥσπερ τὸ ὄρνεον εἶδος
ὂν τοῦ ζῴου, καὶ γένος ἐστὶν εἰδῶν τινῶν, οἷον ἀετοῦ καὶ ἱέρακος, λέγει ὅτι αἱ κατὰ τὰ τοιαῦτα εἴδη
αἱ αὐταὶ κινήσεις, ἁπλῶς μὲν οὐκ εἰσὶν αἱ αὐταὶ τῷ εἴδει. διότι διαιροῦνται εἰς διάφορα εἴδη, ὡς τὸ
χρῶμα εἰς τὸ λευκὸν καὶ μέλαν. πῶς δὲ εἰσὶν, ὅτι ἐν τῷ αὐτῷ εἴδει εἰσὶ, κἂν μὴ ᾖ ἄτομον τὸ εἶδος. πα-
ράδειγμα δὲ τῶν ὑπ' ἀλλήλων εἰδῶν τὴν ἐπιστήμην παρέθετο, εἶδος μὲν οὖσαν ὑπολήψεως, ταὐτὸν
δὲ εἰπεῖν γνώσεως, γένος δὲ τῶν ἄλλων ἐπιστημῶν, οἷον γεωμετρίας, ἀριθμητικῆς, μουσικῆς, ἰα-
τρικῆς, καὶ τῶν λοιπῶν. εἰ οὖν ἡ μάθησις ἀνάληψίς ἐστιν ἐπιστήμης, καὶ κίνησις κατὰ ἐπιστήμην, ὡς ἡ
ἐπιστήμη πῶς μὲν ὡς ἓν εἶδός ἐστιν, ὅτι ἀπὸ γένους διῃρέθη τῆς γνώσεως, ἁπλῶς δὲ οὐχ ἓν ὅτι οὐκ
ἔστιν ἄτομον εἶδος, οὕτως ἕξει καὶ ἡ μάθησις κίνησις οὖσα, καὶ ἐπιστήμης ἀνάληψις.

Α ἈΠΟΡΗΣΕΙΕ δ' ἄν τις εἰ εἴδει μία κίνησις, ὅταν ἐκ τοῦ αὐτοῦ τὸ αὐτὸ εἰς τὸ αὐτὸ μεταβάλλῃ.
οἷον, ἡ μία στιγμὴ ἐκ τοῦδε τοῦ τόπου, εἰς τόνδε τὸν τόπον πάλιν καὶ πάλιν. εἰ δὲ τοῦτο, ἔσται ἡ κυκλο-
φορία τῇ εὐθυφορίᾳ ἡ αὐτή. καὶ ἡ κύλισις τῇ βαδίσει. ἢ διώρισται τὸ ἐν ᾧ ἐὰν ἕτερον ᾖ τῷ εἴδει, ὅτι
ἑτέρα κίνησις. τὸ δὲ περιφερὲς, τοῦ εὐθέος, ἕτερον τῷ εἴδει. γένει μὲν οὖν καὶ εἴδει κίνησις μία, οὕτως.

Τ Εἰπὼν μίαν κατ' εἶδος εἶναι κίνησιν, τὴν κατὰ τὸ αὐτὸ εἶδος ἐπιτελουμένην, ἀπορεῖ εἰ δεῖ μίαν λέγειν
κίνησιν κατ' εἶδος τὴν τοῦ αὐτοῦ κινουμένου, καὶ ἐκ τοῦ αὐτοῦ εἰς τὸ αὐτὸ πάλιν καὶ πάλιν, κινούμενον
μὲν τὴν στιγμὴν λαβὼν, ἓν δὲ εἶδος κινήσεως τὸ ἀπὸ τοῦ αὐτοῦ εἰς τὸ αὐτὸ τὴν εὐθυφορίαν. καὶ λέγει
ὅτι εἴ τις ταύτην μίαν τῷ εἴδει κίνησιν λέγει, ἔσται ἡ κυκλοφορία τῇ εὐθυφορίᾳ ἡ αὐτὴ κατ' εἶδος.
δύναται γὰρ τὸ αὐτὸ ἀπὸ τοῦ αὐτοῦ ἐπὶ τὸ αὐτὸ, ποτὲ μὲν ἐπ' εὐθείας κινεῖσθαι, ποτὲ δὲ κύκλῳ.
καὶ ἔσται ἡ κυκλοφορία τῇ εὐθείᾳ ἡ αὐτὴ τῷ εἴδει. ὁμοίως δὲ καὶ ἡ κύλισις τῇ βαδίσει. καὶ λύει τὴν
ἀπορίαν, διωρίσθαι λέγων μίαν τῷ εἴδει γίνεσθαι κίνησιν, ὅταν ἄτομον εἶδος ᾖ, καθ' ὃ γίνεται, ἢ ὡς

αὐτὸ, εἶπεν ἐν ᾧ γίνεται. ἐὰν δὲ ἕτερον καὶ ἕτερον ᾖ τοῦτο, ὅτι ἑτέρα καὶ ἑτέρα κίνησίς ἐστι. τὸ δὲ περιφερὲς τοῦ εὐθέος ἕτερον τῷ εἴδει. εἴτε τὸ ἐν ᾧ ἡ κίνησίς ἐστιν ληφθείη, ὡς εὐθεῖα γραμμὴ καὶ περιφερής. εἴτε ὁ τρόπος καθ' ὃν ἡ κίνησις. ὡς ἡ κύλισις καὶ ἡ βάδισις. καὶ τοῦτο ἂν μᾶλλον σημαίνοι τὸ ἐν ᾧ ἡ κίνησις. ἡ γὰρ κύλισις καὶ ἡ βάδισις δύνανται ἐπ' εὐθείας ἀμφότερα γίνεσθαι. καὶ οὐδὲν διοίσουσι κατὰ τὸ ὑποκείμενον. καὶ ὁ ἀριστοτέλης δὲ τοὺς τρόπους τῆς κινήσεως παραφέρειν ἔοικε, κυκλοφορίαν λέγων καὶ εὐθυφορίαν, καὶ περιφερὲς καὶ εὐθὺ κινήσεως εἴδη, ἀλλ' οὐχὶ γραμμὰς ὑποτίθεσθαι. ἡ δὲ ἀπορία αὕτη καὶ λύσις, ἔοικεν ἐπῆχθαι πρὸς διορισμὸν ἀκριβέστερον τῆς μιᾶς τῷ εἴδει κινήσεως. δι' οὗ τὸ μὲν οὕτως εἶδος ἓν ὡς ὑπάλληλον, καὶ διαιρούμενον εἰς εἴδη καὶ αὐτὸ διαιρεῖσθαι, δείκνυσι μὴ ποιοῦν μίαν κατ' εἶδος κίνησιν. τὸ γὰρ εἶδος τοῦτο, καθ' ὃ τὸ αὐτὸ ἀπὸ τοῦ αὐτοῦ ἐπὶ τὸ αὐτὸ πάλιν καὶ πάλιν κινεῖται, εἴ τις λέγει κυρίως ἓν εἶδος, ὁμοίως καὶ τὴν κυκλοφορίαν καὶ εὐθυφορίαν κυρίως ἓν εἶδος ἐρεῖ. ἐπεὶ δὲ οὐκ ἔστιν ἄτομον τὸ εἶδος τοῦτο τῆς κινήσεως, ἀλλὰ διαιρεῖται εἰς ταῦτα, πῶς μὲν τὰ αὐτὰ τῷ εἴδει ἐστὶ ταῦτα, ἁπλῶς δὲ οὐκ ἔστι τὰ αὐτά.

Α ΠΛΩΣ δὲ μία κίνησις, ἡ τῇ οὐσίᾳ μία καὶ τῷ ἀριθμῷ. τίς δὲ ἡ τοιαύτη, δῆλον διελομένοις. τρία γάρ ἐστι τὸν ἀριθμὸν περὶ ἃ λέγομεν τὴν κίνησιν μίαν. ὅ, καὶ ἐν ᾧ. καὶ ὅτε. λέγω δὲ ὅ ὅτι ἀνάγκη εἶναί τι τὸ κινούμενον. οἷον, ἄνθρωπος, ἢ χρυσόν. καὶ ἔν τινι τοῦτο κινεῖσθαι. οἷον ἐν τόπῳ, ἢ ἐν πάθει. καὶ ποτέ. ἐν χρόνῳ γὰρ πᾶν κινεῖται. τούτων δὲ, τὸ μὲν εἶναι τῷ γένει ἢ τῷ εἴδει μίαν, ἔστιν, ἐν τῷ πράγματι ἐν ᾧ κινεῖται. τὸ δὲ ἐχόμενον, ἦν ἐν τῷ χρόνῳ. τὸ δ' ἁπλῶς μίαν, ἐν ἅπασι τούτοις. καὶ γὰρ, ἐν ᾧ ἓν δεῖ εἶναι καὶ ἄτομον. οἷον, τὸ εἶδος, καὶ αὖ, τὸ, ὅτε. οἷον τὸν χρόνον, ἕνα καὶ μὴ διαλείπειν. καὶ τὸ κινούμενον ἓν εἶναι μὴ κατὰ συμβεβηκός. ὥσπερ τὸ λευκὸν μελαίνεσθαι, καὶ κορίσκον βαδίζειν. ἓν δὲ καὶ ὁ κορίσκος καὶ λευκόν. ἀλλὰ κατὰ συμβεβηκός. μὴ δὲ κοινὸν, εἴη γὰρ ἂν ἅμα δύο ἀνθρώπους ὑγιάζεσθαι τὴν αὐτὴν ὑγίανσιν. οἷον, ὀφθαλμίας. ἀλλ' οὐ μία αὕτη ἀλλ' εἴδει μία. τὸ δὲ, σωκράτη τὴν αὐτὴν μὲν ἀλλοίωσιν ἀλλοιοῦσθαι τῷ εἴδει, ἐν ἄλλῳ δὲ χρόνῳ, καὶ πάλιν ἐν ἄλλῳ. εἰ μὲν ἐνδέχεται τὸ φθαρὲν, πάλιν ἓν γίνεσθαι τῷ ἀριθμῷ, εἴη ἂν καὶ αὕτη μία. εἰ δὲ μὴ, ἡ αὐτὴ μὲν, μία δ' οὔ.

Ε ἰπὼν τίς ἡ τῷ γένει μία κίνησις, καὶ τίς ἡ τῷ εἴδει ἥ τε κυρίως, καὶ ἡ πὼς μὲν, πῶς δὲ οὔ, λέγει λοιπὸν τίς ἡ τῷ ἀριθμῷ μία κίνησις. ἣν καὶ ἁπλῶς καὶ κυρίως καὶ τῇ οὐσίᾳ μίαν λέγει. κυρίως γὰρ ἕν, τὸ τῷ ἀριθμῷ ἕν. ὅτι τὸ τῷ γένει καὶ τῷ εἴδει ἕν, πολλὰ μᾶλλόν ἐστιν ἢ ἕν. μίαν δὲ τῷ ἀριθμῷ φησι, τὴν ἓν τῷ ἀριθμῷ τῶν τριῶν ἕκαστον ἐχουσῶν, περὶ ἃ ἡ κίνησίς ἐστιν, ὡς δυνατὸν ἐν ἑκάστῳ τὸ ἓν τῷ ἀριθμῷ ὑπάρχειν. τρία δέ ἐστι περὶ ἃ ἡ κίνησις, τό, τε κινούμενον αὐτὸ, οἷον ὁ σωκράτης. καὶ τὸ ἐν ᾧ, ἤτοι καθ' ὃ εἶδος κινεῖται τὸ κινούμενον. οἷον ἡ βάδισις. καὶ τὸ ὅτε ὁ χρόνος. ἐν ᾧ κινεῖται τὸ κινούμενον. πᾶν γὰρ τὸ κινούμενον ἐν χρόνῳ κινεῖται. τούτων δὲ τῶν τριῶν τὸ μὲν ἐν ᾧ ἡ κίνησις καθ' αὑτὸ, τῷ εἴδει μίαν κίνησιν ἐπιδείκνυσιν. ἡ μὲν γὰρ κυκλοφορία τῇ εὐθυφορίᾳ μία τῷ γένει. ὅτι καὶ ἡ εὐθεῖα τῇ περιφερείᾳ τῷ γένει ἡ αὐτή. γραμμαὶ γὰρ ἄμφω. πᾶσα δὲ εὐθυφορία τῷ εἴδει ἡ αὐτή. ὁμοίως δὲ καὶ πᾶσα κυκλοφορία. ἐπειδὴ καὶ πᾶσα εὐθεῖα πάσῃ εὐθείᾳ ἡ αὐτὴ τῷ εἴδει. καὶ πᾶς κύκλος παντὶ κύκλῳ. ὁ δὲ συνεχὴς χρόνος καθ' αὑτὸν ἐχομένας ποιεῖ τὰς κινήσεις τὰς διαφόρους, κἄν τε τὸ αὐτὸ ᾖ τὸ κινούμενον, κἄν τε διάφορον, μὴ διαλείποντος τοῦ χρόνου. ὅταν μέν τοι καὶ τὸ κινούμενον ἓν κατ' ἀριθμὸν ᾖ τὸ αὐτὸ, οἷον ὁ σωκράτης, καὶ τὸ εἶδος τῆς κινήσεως ἓν οἷον ἡ βάδισις, καὶ ὁ χρόνος εἷς καὶ συνεχὴς ὡς ἡ ἡμέρα, μία τότε γίνεται κατ' ἀριθμὸν ἡ κίνησις. καὶ πῶς μὲν εἷς ὁ χρόνος λαμβάνεται κἂν διαστατὸς ᾖ, ἐσήμηνε διὰ τοῦ μὴ διαλείπειν. εἷς γὰρ χρόνος ὁ συνεχὴς καὶ μὴ διαλείπων λέγεται. πῶς δὲ ἓν κατ' ἀριθμὸν τὸ κινούμενον, ἐδήλωσεν, ὅτι τὸ μὴ ὡς κατὰ συμβεβηκὸς λαμβανόμενον. ὁ γὰρ κορίσκος ὅταν ἅμα μελαίνηται καὶ βαδίζῃ, εἷς κατ' ἀριθμὸν ὢν, ὡς δοκεῖ κινεῖται δύο κινήσεις ἅμα. ἀλλὰ κατὰ συμβεβηκὸς ἐν τῷ λευκῷ κορίσκῳ τὸ ἕν. ὅτι τὸ λευκὸν τῷ κορίσκῳ συμβέβηκε. διὸ καὶ αἱ κινήσεις δύο, κἂν ἐν συνεχεῖ γίνωνται χρόνῳ. ὅτι καὶ τὸ κινούμενον οὐ καθ' αὑτὸ ἕν, ἀλλὰ κατὰ συμβεβηκὸς ἐλήφθη. οὐ γὰρ κατὰ τὸ αὐτὸ ἀμφοτέρας κινεῖται τὰς κινήσεις ὁ κορίσκος. ἀλλ' ἑκατέραν αὐτῶν κατ' ἄλλο καὶ ἄλλο, ὡς δύο ὄντων τῶν κινουμένων. καθὸ μὲν γὰρ λευκὸς ὁ κορίσκος μελαίνεται. καθὸ δὲ βαδιστικὸς βαδίζει, τοῦτο μὲν καθ' αὑτὸ ἔχων, τὸ δὲ λευκὸν κατὰ συμβεβηκός. τὸ δὲ καθ' ὃ ἡ κίνησις ἐν τοῖς τοιούτοις, οὐ μόνον ἀριθμῷ οὐκ ἔστιν ἕν, ἀλλ' οὐ δὲ εἴδει οὐ δὲ γένει. εἴπερ τὸ μὲν μελαίνεσθαι ἀλλοιοῦσθαί ἐστιν, τὸ δὲ βαδίζειν φέρεσθαι. εἰπὼν δὲ ὅτι ἓν εἶναι δεῖ τὸ κινούμενον μὴ κατὰ συμβεβηκὸς ἕν, ἐπάγει ὅτι καὶ καθ' ὃ ἡ κίνησις ἓν εἶναι δεῖ οὕτως. ὡς ἄτομον καὶ ἓν τῷ ἀριθμῷ. ἀλλὰ μὴ ὡς κοινὸν καὶ τῷ εἴδει ἕν, ἀλλ' οὐχὶ τῷ ἀριθμῷ. οἷά ἐστιν ἡ τῶν νοσούντων ὀφθαλμῶν εἰ τύχοι ὑγίανσις. εἴη γὰρ ἂν δύο ἀνθρώπους ἅμα ὑγιάζεσθαι τὴν αὐτὴν ὑγίανσιν τὴν τῆς ὀφθαλμίας. ἀλλ' ἡ τοιαύτη μία καὶ ἡ αὐτὴ τῷ εἴδει καὶ οὐ τῷ ἀριθμῷ, ὅταν ὡς κοινὴ λαμβάνηται. εἰπὼν δὲ ὅτι ἐπὶ τῆς κυρίως μιᾶς κινήσεως καὶ τὸ κινούμενον ἓν εἶναι χρὴ καθ' αὑτὸ, ἀλλὰ μὴ κατὰ συμβεβηκὸς, καὶ τὸ καθ' ὃ ἡ κίνησις ἓν ὡς ἄτομον, ἀλλὰ μὴ ὡς κοινὸν, ἐπάγει ὅτι καὶ τὸν χρόνον ἐν τῇ συνεχείᾳ ἕνα εἶναι χρή. οἷον εἰ ὁ σωκράτης μανθάνοι γραμματικὴν ἐν συνεχεῖ χρόνῳ. μία γὰρ αὕτη κίνησίς ἐστιν, ὅτι τὸ

ἐν ὁ χρόνος κατὰ τὴν συνέχειαν ἔχει καὶ οὐ κατὰ τὸ ἀριθμῷ κυρίως ἐν ὡς τὸ ὑποκείμενον. ὁ δὲ εὔδημός φησιν ὡς ὁ χρόνος. οὐ δὲ γὰρ ἡ ἀλλοίωσίς φησιν ὑπομένει, οὐ δὲ ἡ φορά. ἀλλ᾽ ὥσπερ ὁ χρόνος ὑπορρεῖ καὶ ἄλλη γίνεται ἀεί. διὸ τῷ εἴδει ἐν ταύτην ῥητέον, ἀλλ᾽ οὐ τῷ ἀριθμῷ. εἰ μέν τοι φησὶν ὁ ἀριστοτέλης ἀπὸ τῆς πάλιν ἐν ἄλλῳ χρόνῳ τὴν αὐτὴν ἣν ἀπέβαλεν ἀναλαμβάνει, οὐ λεκτέον ἔτι ταύτην μίαν τῷ ἀριθμῷ, ἀλλὰ μᾶλλον τῷ εἴδει τὴν αὐτήν. καὶ τὴν ἀνάγκην ἐνεδείξατο τοῦ λόγου διὰ τῆς ἀδυνάτου ὑποθέσεως. τότε γὰρ ἂν ἦν μία τῷ ἀριθμῷ κίνησις, ἡ τῆς προτέρας μαθήσεως, καὶ τῆς μετὰ τὴν λήθην ἀναλήψεως τῆς ἐπιστήμης, εἰ ἐνεδέχετο τὸ φθαρὲν τὸ αὐτὸ τῷ ἀριθμῷ πάλιν γενέσθαι. εἰ δὲ τοῦτο ἀδύνατον, ἀδύνατον καὶ τὴν ἐν ἄλλῳ χρόνῳ καὶ ἄλλως γινομένην κίνησιν μίαν εἶναι κατ᾽ ἀριθμόν. τοῦτο δὲ τὸ ζήτημα τῇ τῶν στωϊκῶν ἐστὶ μᾶλλον ἁρμόττει παλιγγενεσίᾳ. λέγοντες γὰρ ἐκεῖνοι τὸν αὐτόν με πάλιν γενέσθαι τῇ παλιγγενεσίᾳ, ζητοῦσιν εἰκότως πότερον εἷς εἰμι τῷ ἀριθμῷ ὁ νῦν καὶ τότε, διὰ τὸ τῇ οὐσίᾳ εἶναι ὁ αὐτὸς, ἢ τῇ κατατάξει τῇ εἰς ἄλλην καὶ ἄλλην κοσμοποιΐαν διαφοροῦμαι. ἁπλῶς δὲ μία κίνησις, ἐν ᾗ τὸ κινούμενον ἀριθμῷ ἓν καθ᾽ αὑτό ἐστι. καὶ τὸ καθ᾽ ὃ κινεῖται ἓν εἶναι εἴδει κατηγορίας, ἄτομον ὑπάρχον καὶ μὴ κοινόν. καὶ ὁ χρόνος συνεχὴς καὶ μὴ διαλείπων. εἰ δὲ μὴ πάντα ταῦτα συνδράμῃ, ἡ αὐτὴ μὲν τῷ εἴδει δύναται μία κίνησις εἶναι, μία δὲ κίνησις οὐκέτι κατ᾽ ἀριθμόν.

ἜΧΕΙ ΔΈ ἀπορίαν ταύτῃ παραπλησίαν. καὶ πότερον μία ἡ ὑγεία καὶ ὅλως αἱ ἕξεις καὶ τὰ πάθη τῇ οὐσίᾳ εἰσὶν ἐν τοῖς σώμασι. κινούμενα γὰρ φαίνεται τὰ ἔχοντα καὶ ῥέοντα. εἰ δ᾽ ἡ αὐτὴ καὶ μία ἡ ἕωθεν καὶ νῦν ὑγεία, διατί οὐκ ἂν καὶ ὅταν διαλιπὼν λάβῃ, καὶ πάλιν τὴν ὑγείαν καὶ αὐτὴ καὶ ἐκείνη μία τῷ ἀριθμῷ ἂν εἴη. ὁ γὰρ αὐτὸς λόγος. πλὴν τοσοῦτον διαφέρει. ὅτι εἰ μὲν δύο, δι᾽ αὐτὸ τοῦτο. ὡς τῷ ἀριθμῷ μία. καὶ τὰς ἕξεις ἀνάγκη. μία γὰρ ἀριθμῷ ἐνέργεια, ἑνὸς ἀριθμῷ. εἰ δ᾽ ἡ ἕξις μία, ἴσως, οὐκ ἂν τῳ δόξειέ πω μία καὶ ἐνέργεια εἶναι. ὅταν γὰρ παύσηται βαδίζων. οὐκέτι ἐστὶν ἡ βάδισις. πάλιν δὲ βαδίζοντος ἔσται. εἰ οὖν μία καὶ ἡ αὐτή, ἐνδέχοιτο ἂν τὸ αὐτὸ καὶ ἓν καὶ φθείρεσθαι καὶ εἶναι πολλάκις. αὗται μὲν οὖν εἰσιν αἱ ἀπορίαι ἔξω τῆς νῦν σκέψεως.

Εἰπὼν ὅτι τοῦ χρόνου διαλείποντος, οὐκ ἂν εἴη μία τῷ ἀριθμῷ ἡ κίνησις, εἰ μὴ τὸ φθαρὲν καὶ γενόμενον ἓν εἴδει εἴη ἢ τῷ ἀριθμῷ, καὶ τοῦτο ὡς ἀδύνατον ἐνδειξάμενος, διὰ τοῦ εἰ μὲν ἐνδέχεται τὸ φθαρὲν πάλιν ἓν γίνεσθαι τῷ ἀριθμῷ, βουλόμενος τινὰ ἀπορίαν ἐκθέσθαι, τὴν δοκοῦσαν [illegible], ὅτι οὐδὲν κωλύει τὴν φθειρομένην κίνησιν καὶ τὴν γινομένην μίαν τῷ ἀριθμῷ γίνεσθαι, μετάγει τὴν ἀπορίαν ἀπὸ τῶν κινήσεων ἐπὶ τὰς ἕξεις, ὡς ἐκείναις πιθανώτερον ἐπιχειρουμένην. χρῆται δὲ τῷ ἡρακλείτου λόγῳ, τῷ λέγοντι πάντα ῥεῖν, καὶ μηδέποτε τὸ αὐτὸ εἶναι. καὶ λέγει ὅτι εἰ μία κατ᾽ ἀριθμὸν ἡ ὑγεία ἐστὶν, ἡ ἕωθεν ἄχρις ἑσπέρας, συνεχοῦς ὄντος τοῦ χρόνου, καί τοι καὶ τῶν σωμάτων καὶ τῶν ἕξεων καὶ τῶν παθῶν πάντων ῥεόντων, ὥς φησιν ἡράκλειτος, διατί καὶ οὐχὶ ὅταν διαλείπων τουτέστιν νοσήσας ὑγιασθῇ, τὴν αὐτὴν τῷ ἀριθμῷ ῥηθήσεται εἰληφέναι. καὶ γὰρ σωκράτης ἐξ ἀποδημίας ἐπανελθὼν, εἷς καὶ ὁ αὐτός ἐστι κατ᾽ ἀριθμὸν τῷ πρὶν ἀποδημῆσαι. καὶ ἡ ὑγεία. καὶ ἡ ἐπιστήμη ἡ αὐτὴ τοῦ αὐτοῦ δοκεῖ. ὥσπερ καὶ τὰ διαλυτὰ καὶ συμπηκτὰ κλινίδια τὰ αὐτά ἐστι, κἂν πολλάκις διαλυθέντα συντεθῇ. ἢ τὰ μὲν κλινίδια τὰ αὐτὰ, αἱ δὲ συνθέσεις καὶ αἱ διαλύσεις οὐχ αἱ αὐταὶ τῷ ἀριθμῷ. εἰ οὖν ἕξις μία, κἂν διαλίπῃ ὁ χρόνος, διατί μὴ καὶ ἡ κίνησις ἤτοι ἡ ἐνέργεια μία, ἡ ἐκ τῆς ἕξεως. ὅπερ δὲ ἐπὶ τῆς ἕξεως, τοῦτο καὶ ἐπὶ τῶν παθῶν δυνατὸν λέγειν. ὅτι ἐὰν εἷς ὁ πυρετὸς, ἢ μία ἡ ὀφθαλμία ἢ ἓν τὸ χρῶμα ἕωθεν ἕως ἑσπέρας, διατί μὴ καὶ διαλείποντος τοῦ χρόνου μία. εἰ δὲ ἓν κατ᾽ ἀριθμὸν ταῦτα, διατί μὴ καὶ αἱ κινήσεις καὶ αἱ ἐνέργειαι. ταῦτα εἰπὼν ἐφιστάνει τῇ ἀπὸ τῶν ἐνεργειῶν ἐπὶ τὰς ἕξεις μεταβάσει. ὅτι διαφορά τις ἐστὶ τῶν ἐνεργειῶν πρὸς τὰς ἕξεις καὶ τὰ πάθη. εἰ μὲν γὰρ ἡ ἐνέργεια μία, ἀνάγκη καὶ τὴν ἕξιν μίαν εἶναι, καὶ ἔτι πρότερον τὸ ὑποκείμενον. μία γὰρ ἀριθμῷ ἐνέργεια, μιᾶς ἕξεως ἀριθμῷ. καὶ μιᾶς ἕξεως τῷ ἀριθμῷ, ἓν τὸ ὑποκείμενον. οὐκέτι δὲ τὸ ἀνάπαλιν ἀληθές. οὐ γὰρ ἑνὸς ὄντος τοῦ ὑποκειμένου, ἀνάγκη καὶ τὴν ἕξιν μίαν εἶναι. οὔτε μιᾶς τῆς ἕξεως οὔσης, ἀνάγκη μίαν τὴν ἐνέργειαν εἶναι. τὸ γοῦν ὑποκείμενον δύναται πολλὰς ἕξεις ἔχειν. καὶ μιᾶς οὔσης ἕξεως, δυνατὸν πολλὰς ἐνεργείας ἀποδίδοσθαι, διαλειμμάτων τοῦ χρόνου μεταξὺ γινομένων, καὶ οὕτω πληθυνομένων τῶν ἐνεργειῶν. ὅσα δὲ περὶ τῶν ἕξεων, ταῦτα καὶ περὶ τῶν παθῶν ἁρμόττει λέγειν. διαθέσεις γὰρ ἑκάτερον ψυχῆς καὶ σώματος. ἀλλὰ τὸ μὲν πάθος εὐαπόβλητός ἐστι διάθεσις. ἡ δὲ ἕξις μόνιμος. πῶς δὲ εἰ ἡ αὐτὴ ἕξις ἢ καὶ τὸ αὐτὸ πάθος, οὐχὶ καὶ ἡ κίνησις ἤτοι ἡ ἐνέργεια, ἡ ἀπὸ τῆς ἕξεως τῆς αὐτῆς, μία καὶ ἡ αὐτὴ, καὶ εἰ ἐκ διαλειμμάτων γίνεται. ἐνδέχεται γὰρ τὸ αὐτὸ φθείρεσθαι καὶ εἶναι πολλάκις. ὅπερ πρότερον ἀπεγνώσθη. αὗται οὖν φησιν αἱ ἀπορίαι ἔξω τῆς νῦν εἰσὶ σκέψεως, καὶ ὅλως τῆς περὶ κινήσεως πραγματείας. τὸ γοῦν περὶ ἕξεων καὶ παθῶν ζητεῖν, πῶς ταῦτα ἓν καὶ οὐχ ἕν, καὶ εἰ ὁμοίως τὸ ἓν ἔχει, ἥ τε διαλείπουσα ἕξις καὶ πάλιν καὶ πάλιν ἐγγινομένη, καὶ ἡ μένουσα μὲν, τῷ δὲ ῥεῖν τὸ ὑποκείμενον ἀλλάττεσθαι δοκοῦσα, ὡς ἐν ἄλλῳ καὶ ἄλλῳ ὑποκειμένῳ ἄλλη κατ᾽ ἀριθμὸν οὖσα, ταῦτα τὰ ζητήματα ἐφαπτέ-

μενα τοῦ τε πρώτου ὑποκειμένου καὶ τοῦ δευτέρου, καὶ τί τὸ μέσον ζητοῦντα ῥεούσης τῆς ὕλης, ἄλλης ἂν εἴη πραγματείας. ἐφάπτεται γὰρ καὶ τῶν τοῦ αὐξομένου δυσλύτων ἀπορημάτων. τί τὸ μένον ἐν τῷ δι᾽ ὅλου μεταβάλλοντι καὶ αὐξανομένῳ. οὐ γὰρ δὴ ἀσκῷ παραπλησίως φυσᾶται τὸ αὐξόμενον μὲν ὡς ἀσκός, εὐρυνόμενον δὲ καὶ ὀγκούμενον. ἀλλ᾽ ἔστι τρόπος δυσκατανόητος. ὃν ἐν τῇ περὶ γενέσεως καὶ φθορᾶς παρέδωκε πραγματείᾳ. διὸ ταῦτα πάντα ὡς ἀλλότρια τῆς περὶ κινήσεως πραγματείας ἀποσκευάζεται. ταῦτα μὲν οὖν περὶ τῆς ὅλης τῶν εἰρημένων ἐννοίας. κατὰ δὲ τὴν λέξιν, τὸ εἰ μὲν δύο, δι᾽ αὐτὸ τοῦτο, βραχέως ἀπαγγελθέν, ἀσάφειαν ἐποίησε. λέγει δὲ ὅτι ὁ αὐτὸς λόγος ἐπὶ τῶν ἕξεων καὶ τῶν κινήσεων ἁρμόζει. πλὴν τοσοῦτον διαφέρει ὁ τῶν ἕξεων λόγος πρὸς τὸν τῶν κινήσεων. ὅτι εἰ μὲν δύο αἱ ἕξεις αἱ ἐκ διαλείμματος ἐγγινόμεναι, δι᾽ αὐτὸ τοῦτο δύο καὶ αἱ ἀπὸ τῶν ἕξεων ἐνέργειαι καὶ κινήσεις. ὅπερ ἐλλείπει τῷ λόγῳ. δείκνυσι δὲ τοῦτο ἐκ τοῦ ἀντιστρόφου αὐτῷ. ὡς γὰρ τῷ ἀριθμῷ ὅταν ἡ μία ἐνέργεια ᾖ πάλιν καὶ πάλιν, καὶ τὰς ἕξεις τὰς πάλιν καὶ πάλιν μίαν εἶναι ἀνάγκη, οὕτως ἐὰν δύο ὦσιν αἱ ἕξεις, καὶ τὰς ἐνεργείας δύο εἶναι ἀνάγκη. εἰ γὰρ μία, καὶ ἡ ἕξις μία. καὶ τὸ ὑποκείμενον ἔτι μᾶλλον ἕν. καὶ τὴν ἀνάγκην ἐπήγαγε. μία γὰρ τῷ ἀριθμῷ ἐνέργεια. ἡ ἑνὸς τῷ ἀριθμῷ τοῦ ἐνεργοῦντος, εἴτε ἕξις εἴη εἴτε δύναμις, εἴτε τὸ ὑποκείμενον. εἰπὼν δὲ ὅτι δυοῖν οὐσῶν τῶν ἕξεων, δι᾽ αὐτὸ τοῦτο καὶ αἱ ἐνέργειαι δύο, καὶ πρὸς τὴν τούτου ἀπόδειξιν τὸ ἀντίστροφον παραθείς, καὶ καθ᾽ ἑαυτὸ χρήσιμον τοῖς προκειμένοις ὑπάρχον, τὸ λέγον ὅτι ἡ τῷ ἀριθμῷ μία ἐνέργεια ἀπὸ μιᾶς τῷ ἀριθμῷ ἕξεώς ἐστι, καὶ κατὰ ταῦτα δείξας τὴν ὁμοιότητα τῶν πρὸς ἀλλήλους λόγων τῆς ἕξεώς τε καὶ ἐνεργείας, προστίθησι καὶ τὴν διαφοράν, δι᾽ ἣν καὶ τὴν ὁμοιότητα παρέθετο. εἰ γὰρ ἡ ἕξις μία φησίν, οὐκ ἂν τῷ δόξειε μία καὶ ἡ ἐνέργεια εἶναι, ὡς μιᾶς τῆς ἐνεργείας οὔσης μίαν ἀνάγκη καὶ τὴν ἕξιν εἶναι. ἀπὸ γὰρ τῆς αὐτῆς ἕξεως καὶ μία δύναται εἶναι ἐνέργεια καὶ πλείους. διὸ εἶπεν, οὐκ ἂν τῷ δόξειέ πω μία. ἀλλὰ καὶ πλείους δηλονότι. ὅταν γὰρ παύσηται βαδίζων, οὐκέτι ἔσται ἡ βάδισις. πάλιν δὲ βαδίζοντος, ἔσται, μιᾶς οὔσης τῆς βαδιστικῆς, ἕξεως. καὶ ἄλλην δὲ γραφὴν τοῦδε τοῦ ῥητοῦ φέρεσθαι φησὶν ὁ Ἀλέξανδρος τοιαύτην. ὅτι εἰ μὲν δύο οὕτω τῷ ἀριθμῷ, καὶ τὰς ἕξεις ἀνάγκη. μία γὰρ ἀριθμῷ ἐνέργεια, ἑνὸς ἀριθμῷ. καὶ ἀκούει τὸ εἰ μὲν δύο οὕτω τῷ ἀριθμῷ, οὐκ ἐπὶ τῆς ἕξεως, ἀλλ᾽ ἐπὶ τοῦ ὑποκειμένου τῇ ἕξει. ὅπερ διὰ τὴν συνεχῆ ῥύσιν οὐ μένειν ἓν τῷ ἀριθμῷ. καὶ διὰ τοῦτο καὶ τὰς ἕξεις ἀνάγκη πλείους εἶναι τῷ ἀριθμῷ. ἡ γὰρ μία ἕξις τῷ ἀριθμῷ, ἑνὸς τῷ ἀριθμῷ ὑποκειμένου. ὡς δὲ τὸ ὑποκείμενον ἔχει πρὸς τὴν ἕξιν, οὕτως ἡ ἕξις πρὸς τὴν ἐνέργειαν. καὶ γὰρ μιᾶς μὲν ἐνεργείας μία ἕξις. μιᾶς δὲ ἕξεως καὶ πολλὰς ἐνεργείας εἶναι δυνατόν, τοῖς διαλείμμασι τοῦ χρόνου μεριζομένας.

ἘΠΕΙ ΔΕ συνεχὴς πᾶσα κίνησις, τήν τε ἁπλῶς μίαν, ἀνάγκη καὶ συνεχῆ εἶναι. εἴπερ πᾶσα διαιρετή. καὶ εἰ συνεχής, μία. οὐ γὰρ πᾶσα γένοιτ᾽ ἂν συνεχὴς πάσῃ. ὥσπερ οὐδὲ ἄλλο οὐδέν, τῷ τυχόντι, τὸ τυχόν. ἀλλ᾽ ὅσων ἓν τὰ ἔσχατα. ἔσχατα δέ, τῶν μὲν οὐκ ἔστι. τῶν δ᾽ ἐστίν. ἀλλὰ τῷ εἴδει καὶ ὁμώνυμα. πῶς γὰρ ἅψαιτο ἢ ἓν γένοιτο τὸ ἔσχατον γραμμῆς καὶ βαδίσεως. ἐχόμεναι μὲν οὖν εἶεν ἂν καὶ αἱ μὴ αὐταὶ τῷ εἴδει μὴ δὲ τῷ γένει. δραμὼν γὰρ ἄν τις πυρέξειεν εὐθύς. καὶ οἷον, ἡ λαμπὰς ἐκ διαδοχῆς, φορὰ ἐχομένη. συνεχὴς δ᾽ οὐκ ἔστι. κεῖται γὰρ τὸ συνεχές, ὧν τὰ ἔσχατα ἕν. ὥστε ἐχόμεναι καὶ ἐφεξῆς εἰσι, τῷ τὸν χρόνον εἶναι συνεχῆ. συνεχεῖς δέ, τῷ τὰς κινήσεις. τοῦτο δ᾽ ὅταν ἓν τὸ ἔσχατον γένηται ἀμφοῖν. διὸ ἀνάγκη τὴν αὐτὴν τῷ εἴδει εἶναι καὶ ἑνός. καὶ ἐν ἑνὶ χρόνῳ τὴν ἁπλῶς συνεχῆ κίνησιν καὶ μίαν. τῷ χρόνῳ μὲν ὅπως μὴ ἀκινησία μεταξὺ ᾖ. ἐν τῷ διαλείποντι γὰρ ἠρεμεῖν ἀνάγκη. πολλαὶ οὖν καὶ οὐ μία ἡ κίνησις, ὧν ἐστιν ἠρεμία μεταξύ. ὥστε εἴ τις κίνησις στάσει διαλαμβάνεται. οὔτε μία, οὔτε συνεχής. διαλαμβάνεται δὲ εἰ μεταξὺ χρόνος. τῆς δὲ τῷ εἴδει μὴ μιᾶς, οὐ. καὶ εἰ μὴ διαλείπεται ὁ χρόνος. ὁ μὲν γὰρ χρόνος, εἷς. τῷ δ᾽ εἴδει, ἡ κίνησις ἄλλη. τὴν μὲν γὰρ μίαν, ἀνάγκη καὶ τῷ εἴδει μίαν εἶναι. ταύτην δὲ ἁπλῶς εἶναι μίαν, οὐκ ἀνάγκη. τίς μὲν οὖν κίνησις ἁπλῶς μία, εἴρηται.

Δείξας τίς ἡ μία κίνησις ἐκ τῶν τριῶν τῶν περὶ ἃ ἡ κίνησις, τοῦ τε κινουμένου, καὶ τοῦ καθ᾽ ὃ ἡ κίνησις, καὶ τοῦ χρόνου, ὧν ἕκαστον ὡς πέφυκεν ἓν ἀριθμῷ χρὴ εἶναι, εἰ μέλλοι μία εἶναι κυρίως κίνησις, προστίθησιν ἄλλα τινὰ καθ᾽ αὑτὰ ὑπάρχοντα τῇ μιᾷ κινήσει. ὧν πρῶτον τὸ συνεχῆ εἶναι τὴν μίαν κίνησιν. δείκνυσι δὲ αὐτὸ, ἐκ τοῦ πᾶσαν τὴν λαμβανομένην κίνησιν αὐτὴν ἑκάστην, κἂν μόριος ᾖ κινήσεως, συνεχῆ εἶναι κατὰ φύσιν. οὐχ ὅτι πᾶσα ἡ κίνησις πάσῃ κινήσει συνεχής. ἀλλ᾽ ὅτι ἑκάστη καθ᾽ αὑτήν. εἰ δὲ τοῦτο ἀληθές, διότι πᾶσαν κίνησιν ἀνάγκη διαιρετὴν εἶναι, ὅπερ μετ᾽ ὀλίγον τῆς ἀρχῆς παρέβαλε, τὸ γὰρ διαιρετὸν συνεχές, ἀνάγκη τὴν ἁπλῶς μίαν κίνησιν δειχθεῖσαν συνεχῆ εἶναι πρὸς ἑαυτὴν μίαν οὖσαν, ὡς καὶ ἕκαστον μόριος κινήσεως. καὶ εἰ συνεχὴς δέ, μία ἐστίν. ὡς ἀντιστρέφειν ἀλλήλοις. ὅτι δὲ ἡ μία κατ᾽ ἀριθμὸν κίνησίς ἐστιν ἡ συνεχής, καὶ ἀδύνατον τὰς μὴ οὕτω μίαν κίνησιν ποιούσας συνεχεῖς εἶναι, δείκνυσι, διὰ τοῦ οὐ γὰρ πᾶσα ἂν γένοιτο συνεχὴς πάσῃ. οὔτε γὰρ αἱ τῷ εἴδει αἱ αὐταὶ συνεχεῖς ἀλλήλαις ὁμοίως, οὔτε αἱ τῷ γένει. ἔτι δὲ μᾶλλον αἱ ἀνομογενεῖς οὐκ ἂν εἶεν συνεχεῖς.

οὐ γὰρ δύναται πᾶσα κίνησις πάσῃ κινήσει συνεχὴς εἶναι. οἷον ἡ βάδισις τῇ λευκάνσει ἢ μαθήσει.
εἰ γὰρ ἠδύνατο, οὐκ ἂν ἡ συνεχὴς μία ἦν τῷ ἀριθμῷ. οὔτε γὰρ αἱ τῷ εἴδει αἱ αὐταὶ, οὔτε αἱ τῷ γέ-
νει, οὔτε ἔτι μᾶλλον αἱ κατὰ ταῦτα διαφέρουσαι, μία τῷ ἀριθμῷ εἰσιν. αὐτὸς μέν τοι δείκνυσιν ὅτι
οὐ πᾶσα κίνησις πάσῃ κινήσει συνεχὴς, κἂν ἐν συνεχεῖ χρόνῳ γίνοιτο, ἐκ τοῦ μηδὲ ἄλλο μηδὲν τῷ τυ-
χόντι τὸ τυχὸν συνεχὲς εἶναι, κἂν ὁμοειδῆ τύχῃ ὄντα. οὔτε γὰρ σῶμα σώματι παντὶ, οὔτε
ἐπιφάνειαν, οὔτε γραμμαὶ, κἂν ἐν τῷ αὐτῷ χρόνῳ ὦσιν. ἀλλ' ἐκεῖνα τῶν ὄντων γίνεται συνεχῆ ἀλλή-
λοις, ὧν τὰ ἔσχατα δυνατὸν ἓν γίνεσθαι. ἔσχατα δὲ τὰ μὲν τῶν ὄντων οὐκ ἔχει. ὥσπερ αἱ μονάδες ἀ-
διαίρετοι οὖσαι. διὸ οὐ γίνεταί τι ἐξ αὐτῶν συνεχές. τὰ δὲ, ἔχει μὲν ἔσχατα, ἀλλὰ δὲ τῷ εἴδει καὶ δια-
φέροντα, καὶ ὁμωνύμως ἔσχατα λεγόμενα ἢ πέρατα. ὥσπερ ἐπὶ μὲν τῶν ἑτεροφύλων ἐναργές
ἐστιν. ἄλλο γὰρ πέρας γραμμῆς καὶ ἄλλο βαδίσεως. καὶ ἐπὶ κινήσεως δὲ ἄλλο πέρας λευκάνσεως,
καὶ ἄλλο πέρας βαδίσεως, καὶ ἄλλο θερμάνσεως. καὶ λευκάνσεως δὲ, ἄλλο πέρας τῆς ἐμῆς, καὶ
ἄλλο τῆς σῆς. καὶ ἐν ἐμοὶ ἄλλο τῆς τῶν τριχῶν, καὶ ἄλλο τῆς τοῦ δέρματος. διὸ ἐκ τούτων οὐκ ἂν γέ-
νοιτο συνεχὴς κίνησις. ἀλλ' ἐχόμεναι μὲν φησὶν εἶεν ἂν κινήσεις καὶ αἱ μὴ αὐταὶ τῷ εἴδει, μὴ δὲ τῷ γέ-
νει δηλονότι. δραμὼν γὰρ ἄν τις πυρέξειεν εὐθύς. ἐχόμενα δὲ ταῦτα οὐ τῷ ἅπτεσθαι, ὡς πρόσθεν
ἐπὶ τῶν κατὰ θέσιν ἀφωρίζετο τὸ ἐχόμενον. οὐ γάρ ἐστιν ἁφὴ ἐπὶ τούτων. ἀλλὰ τῷ τὸν χρόνον εἶναι
συνεχῆ. εἶπε γὰρ καὶ τῇ τοῦ χρόνου συνεχείᾳ κρίνεσθαι τὰς ἐχομένας κινήσεις. ὡς τῇ τοῦ καθ' ὃ κι-
νοῦνται ταυτότητι, τὰς τῷ γένει ἢ τῷ εἴδει τὰς αὐτάς. κἂν δραμὼν οὖν τις εὐθὺς πυρέξειε, μη-
δενὸς μεταξὺ γινομένου χρόνου, οὐ συνεχεῖς αἱ κινήσεις. ἀνομοειδῆ γὰρ αὐτῶν τὰ πέρατα, ὡς μὴ
δύνασθαι ἓν γενέσθαι. συνεχῆ δὲ ἦν, ὧν τὰ πέρατα ἕν. τὰ δὲ τούτων πέρατα ὁμωνύμως λεγό-
μενα πέρατα, καὶ μὴ κοινωνοῦντα τῆς αὐτῆς φύσεως, οὐκ ἂν συμφύοιντο εἰς ἕν. ἀλλ' ἐπὶ μὲν τού-
των πρόδηλον. καὶ τῶν ὁμοειδῶν δὲ κινήσεων, κἂν ὁμοειδῆ τὰ πέρατα, εἰ μὴ συμφύοιντο, οὐ ποιεῖ
συνέχειαν. ὡς ἐπὶ τῆς ἐμῆς καὶ σῆς λευκάνσεως κἂν ἐν συνεχεῖ γίνοιτο χρόνῳ, οὔτε συνεχὴς οὔτε
μία γένοιτ' ἄν. διότι τὴν μὲν συνεχῆ καὶ τῷ ἀριθμῷ μίαν ἀνάγκη καὶ τῷ εἴδει μίαν εἶναι. τὴν δὲ τῷ
εἴδει μίαν, οὐκ ἀνάγκη καὶ τῷ ἀριθμῷ μίαν εἶναι. ἐπὶ δὲ τῆς φορᾶς τῆς λαμπάδος τῆς ἐκ διαδοχῆς
μεταδρόμου διαδιδομένης ἀλλήλοις ὑπὸ τῶν τρεχόντων, οἱ μὲν ἐξηγηταὶ μίαν καὶ συνεχῆ δοκεῖν
τὴν τῶν τρεχόντων κίνησιν φασὶν, ὁμοειδῆ οὖσαν, μὴ μέν τοι κυρίως εἶναι μίαν μὴ δὲ συνεχῆ, τῷ μὴ
τὸ αὐτὸ εἶναι τὸ κινούμενον. ἀλλ' ἔστι φησὶν ἐχομένη καὶ αὐτή. οὐδὲ γὰρ τούτων τῶν κινήσεων τὰ ἔσχα-
τα ἕν. ἀλλ' ἑκάστου τῶν τρεχόντων οἰκεῖον τοῦ δρόμου τι πέρας ἐστί. καὶ οὐκ ἔστι τὸ τοῦ φθάσαντος δρό-
μου πέρας, ἀρχὴ τοῦ μετ' αὐτὸν τρέχοντος. αἱ δὲ τοιαῦται κινήσεις ἐχόμεναι εἰσὶ, τῷ τὸν χρόνον ἐν
ᾧ γίνονται συνεχῆ εἶναι. ἀλλ' οὐχὶ αὗται αἱ κινήσεις συνεχεῖς. μή ποτε δὲ οὐ τὴν τῶν τρεχόντων
κίνησιν δοκοῦσαν μίαν, ἐχομένην εἶναι καὶ οὐ συνεχῆ φησὶν ὁ ἀριστοτέλης, ἀλλὰ τὴν τῆς λαμπάδος
φορὰν καὶ κίνησιν μίαν δοκοῦσαν, ὡς ἑνὸς ὄντος τοῦ φερομένου, καὶ διὰ τὴν τῆς λαμπάδος συνέ-
χειαν μὴ δὲ αὐτὴν μίαν καὶ συνεχῆ εἶναι, ἀλλ' ἐχομένην. ὁ μὲν γὰρ τῶν πολλῶν δρόμος οὐκ ἂν εἴη
εἷς, πολλῶν ὄντων τῶν τρεχόντων. ἡ δὲ τῆς λαμπάδος φορὰ, καὶ μιᾶς οὔσης καὶ τὴν ἀγγελίαν ἐχούσης
συνεχῆ, μία δοκοῦσα, οὐκ ἔστιν οὐδὲ αὐτὴ μία. ὅτι διίσταται τὰ πέρατα, καὶ στάσει διαλαμβάνε-
ται τῇ διαδοχῇ. διχῶς δὲ τὴν γραφὴν ταύτην εὗρον φερομένην. ὅπου μὲν, οἷον ἡ λαμπὰς ἐκ διαδο-
χῆς φορᾶς γινομένη, συνεχὴς δ' οὔ. ὅπου δὲ οἷον ἡ λαμπὰς ἐκ διαδοχῆς φορᾷ ἐχομένη, συνεχὴς δ' οὔ.
καὶ ἔοικεν ἑκατέρωθι ἡ λαμπὰς οὐ τὴν δᾷδα λέγειν, ἀλλὰ τὴν ἔκλαμψιν καὶ διαδρομὴν τοῦ φωτός.
ἐχόμεναι γάρ φησιν εἶεν ἂν αἱ κινήσεις, καὶ αἱ μὴ αὐταὶ τῷ εἴδει, καὶ αἱ αὐταί. ὡς ἡ λαμπὰς, τουτέστιν
ἡ διαδρομὴ τῆς λαμπάδος. τὴν γὰρ κίνησιν λαμπάδα ἐκάλεσε, τὴν κατὰ τὸ αὐτὸ εἶδος, ὡς πρότε-
ρον περὶ τῆς μὴ κατὰ τὸ αὐτὸ λέγων. δραμὼν γὰρ ἄν τις φησὶ πυρέξειε. καὶ τάχα τῆς ἐν πειραιεῖ
λαμπάδος τῆς ἐν βενδιδίοις μνημονεύει. περὶ ἧς ὁ πλάτων ἐν ἀρχῇ τῆς πολιτείας, λαμπὰς ἔσται
φησὶν ἀφ' ἵππων τῇ θεῷ. καὶ ἑρμηνεύων τὸ γινόμενον, λαμπάδια φησὶν ἔχοντες διαδώσουσιν ἀλλή-
λοις, ἁμιλλώμενοι τοῖς ἵπποις. αἱ οὖν τοιαῦταί φησι κινήσεις ἐχόμεναί εἰσιν, ἀλλ' οὐ συνεχεῖς. συνε-
χεῖς γὰρ ὧν τὰ ἔσχατα ἕν. ὥστε εἰ συνεχεῖς, καὶ ἐχόμεναι. συνεχὲς γάρ φησιν ἐστὶν ὅπερ ἐχόμενόν τι.
ἔτι δὲ καὶ ἐφεξῆς εἰσιν. εἰ γὰρ ἐχόμεναι, καὶ ἐφεξῆς. εἴπερ ἐχόμενον ἔλεγεν, ὃ ἐφεξῆς ὂν ἅπτεται.
ἀλλὰ τοῦτο μὲν ἐπὶ τῶν θέσιν ἐχόντων. κινήσεις δ' ἐχόμεναι ἀλλήλων οὖσαι, εὐθὺς καὶ συνεχεῖς εἰσι,
συναλειφομένων ἀλλήλοις τῶν περάτων, τῷ καὶ τὸν χρόνον τὸν μετροῦντα τὴν κίνησιν συνεχῆ εἶναι.
τὰ γὰρ νῦν ἐφεξῆς ὄντα, ὡς μὴ ἔχειν μεταξὺ χρόνον, ὃς ὁμογενὴς ἦν τοῖς ἑκατέρωθεν, οὐκ ἐφεξῆς
ἀλλὰ συνεχῆ γίνεται. ἀμερῆ γὰρ ὄντα οὐκ ἐφάπτεται. ἀλλ' ἐφαρμόζεται ἀλλήλοις καὶ γίνεται
ἕν. καὶ συνεχὲς ποιεῖ τὸ ὅλον. τὸ δὲ αὐτὸ καὶ ἐπὶ τῆς κινήσεως συμβαίνει. εἰ οὖν ὁ χρόνος μέτρον ἐστὶ κι-
νήσεως, καὶ ἡ κίνησις διὰ τὸν χρόνον γίνεται συνεχὴς, καὶ ὁ χρόνος διὰ τὴν κίνησιν. καὶ ἑκάτερον
δι' ἑαυτὸ τῷ τὰ ἔσχατα τῶν μερῶν εἰς ἓν συντρέχοντα ἔχειν. εἰ οὖν ταῦτα οὕτως ἔχει, καλῶς ἐξ ἀρ-
χῆς ἐλέγετο, ὅτι ἀνάγκη τὴν ἁπλῶς συνεχῆ καὶ μίαν κίνησιν, τὰ τρία ταῦτα, τό. τε εἶδος καθ' ὃ ἡ

κίνησις,

κίνησις καὶ τὸ κινούμενον, καὶ τὸν χρόνον, ἕκαστον ἓν τῷ ἀριθμῷ ἔχειν. τῷ μὲν χρόνῳ ἀνάγκη μίαν εἶναι, ἵνα μὴ ἀκινησία μεταξὺ γένηται. οὐ γὰρ ἂν εἶεν δύο ἢ πλείονες χρόνοι, μὴ μεταξὺ ἀκινησίας οὔσης. εἰ γὰρ μὴ εἴη μεταξὺ ἀκινησία, συνεχίζονται πρὸς ἀλλήλους καὶ οἱ χρόνοι ὥσπερ καὶ ἡ κίνησις. ἀκινησίας δὲ οὔσης μεταξὺ, καὶ αἱ κινήσεις πλείους γίνονται μιᾶς, αἱ παρ᾽ ἑκάτερα τῆς ἀκινησίας. καὶ οἱ χρόνοι τρεῖς ὅ, τε τὴν ἀκινησίαν μετρῶν, καὶ οἱ τὰς παρ᾽ ἑκάτερα τῆς ἀκινησίας κινήσεις. συλλογίζεται οὖν δυνάμει οὕτως. ἡ κίνησις πλείονας ἔχουσα χρόνους στάσει διαλαμβάνεται. ἡ στάσει διαλαμβανομένη, οὐκ ἔστι μία. καὶ ταύτην πρώτην τέθεικε τὴν πρότασιν. καὶ τὸ συμπέρασμα δῆλον ὅτι, ἡ κίνησις πλείονας ἔχουσα χρόνους οὐκ ἔστι μία. εἰ δὲ τοῦτο ἀληθὲς, καὶ τὸ σὺν ἀντιθέσει ἀντίστροφον ἀληθὲς, ὅτι ἡ μία κίνησις ὑφ᾽ ἑνὸς μετρεῖται χρόνου. ἡ μέντοι τῷ εἴδει μὴ μία κίνησις, κἂν ἐν συνεχεῖ χρόνῳ γίνηται, οὐκ ἂν εἴη μία τῷ ἀριθμῷ, κἂν τὸ αὐτὸ ἔχῃ τὸ κινούμενον. ὡς εἰ δραμὼν αὖτις πυρέξειεν εὐθύς. οὐ γὰρ γίνεται τῶν τοιούτων κινήσεων τὰ ἔσχατα ἕν. ἄλλη γὰρ τῷ εἴδει ἡ κατ᾽ ἄλλο εἶδος. ὥστε ἔτι μᾶλλον τῷ ἀριθμῷ ἕτεραι αὗται. εἰ μὲν γὰρ μία τῷ ἀριθμῷ κίνησίς ἐστι, δεῖ καὶ τὸ εἶδος τῆς κινήσεως τὸ αὐτὸ εἶναι. εἰ δὲ τὸ εἶδος ἕν, οὐ μία πάντως ἡ κίνησις, εἰ μὴ καὶ τὸ κινούμενον ἓν εἴη, καὶ ὁ χρόνος συνεχὴς καὶ εἷς. αὕτη γάρ ἐστιν ἡ εἰρημένη ἁπλῶς κίνησις μία. καὶ δηλονότι τὸ προστεθὲν τῇ μιᾷ κινήσει, τὸ καὶ συνεχῆ αὐτὴν εἶναι, τῇ κατ᾽ ἀριθμὸν μιᾷ, καὶ κυρίως μιᾷ, προσήκει μόνῃ, οὔτε τῇ κατὰ γένος οὔτε τῇ κατ᾽ εἶδος τὸ ἓν ἐχούσῃ. ἐπιστῆσαι δὲ ἄξιον, ὅπως ἀναγκαίως προπαρελήφθη τῆς κατὰ τὴν μίαν κίνησιν ἀποδείξεως, ἡ τοῦ ἐχομένου, καὶ τοῦ ἐφεξῆς, καὶ τοῦ συνεχοῦς διδασκαλία. εἴπερ δι᾽ ἐκείνων ἐδείχθη, τίς μὲν ἡ μία καὶ συνεχὴς κίνησις, τίνες δὲ αἱ ἐφεξῆς ἐχόμεναι.

ε΄ ΤΙ ΔΕ λέγεται μία καὶ ἡ τέλειος. ἐάν τε κατὰ γένος, ἐάν τε κατὰ εἶδος ᾖ, ἐάν τε κατ᾽ οὐσίαν. ὥσπερ καὶ ἐπὶ τῶν ἄλλων τὸ τέλειον καὶ ὅλον τοῦ ἑνός. ἔστι δ᾽ ὅτε κἂν ἀτελὴς ᾖ, μία λέγεται ἐὰν μόνον ᾖ συνεχής.

Δ ἕτερον ἄλλό τι προστίθησι τῆς μιᾶς κινήσεως ἴδιον τὸ τέλειον οὐ τῇ κατ᾽ ἀριθμὸν μιᾷ τῇ κυρίως μιᾷ προσῆκον μόνῃ. ἀλλὰ καὶ τῇ κατ᾽ εἶδος καὶ τῇ κατὰ γένος μιᾷ λεγομένῃ. μίαν γάρ φησι κυριώτερον λέγομεν κίνησιν ἐὰν καὶ τέλειος ᾖ, εἴτε κατὰ γένος ἐστὶν ἡ λαμβανομένη, εἴτε κατ᾽ εἶδος, εἴτε κατ᾽ ἀριθμόν. ὅπερ καὶ οὐσίαν ἐκάλεσε. κατὰ γένος μὲν γὰρ κίνησις ἡ κατὰ τόπον, ἡ πόθεν, ποῖ. καὶ ὅταν τέλειος γένηται αὕτη, τουτέστιν ὅταν τὸ κινούμενον ἀφίκηται εἰς ἐκεῖνο ἐφ᾽ ὃ ἔσπευδε, καὶ τελεία γένηται ἡ κίνησις, τότε μίαν αὐτὴν λέγομεν. κατ᾽ εἶδος δὲ, ἡ κάτωθεν ἄνω, καὶ ἄνωθεν κάτω. κατ᾽ ἀριθμὸν δὲ, ἡ τοῦδε τοῦ πυρὸς, καὶ τῆσδε τῆς βώλου. καὶ τούτων οὖν ἑκάστη ὅταν τελεία γένηται, τότε μία κυρίως ἐστίν. αἱ μὲν γὰρ κατ᾽ εἶδος καὶ κατὰ γένος πλείονες τῷ ἀριθμῷ οὖσαι, μία γίνονται κατὰ γένος καὶ κατὰ τὸ εἶδος. αἵ τε γὰρ πόθεν, ποῖ, κατ᾽ αὐτὸ τοῦτο μία. καὶ αἱ ἄνωθεν κάτω, πᾶσαι μία. καὶ ὁμοίως αἱ κάτωθεν ἄνω. καὶ μία μᾶλλον ἂν τέλειος ἡ ἑκάστη, ἤπερ ἐὰν ἀτελής. εἰ γὰρ ἓν ἕκαστον λέγομεν, εἰς τὴν οὐσίαν αὐτοῦ καὶ τὸ εἶδος ἀποβλέποντες, εἷς ὁ σωκράτης, εἷς ὁ ἄνθρωπος, ἓν τὸ ζῶον, ὅταν μήπω τὸ εἶδος ἀπειλήφῃ τούτων ἕκαστον, ἀλλ᾽ ἀτελὲς ᾖ, ὥσπερ τὸ εἶδος οὔπω ἀπείληφεν, οὕτως οὐδὲ τὸ ἓν κατὰ τὴν μορφὴν καὶ τὸν χαρακτῆρα, καθ᾽ ὃ ἕκαστον λέγεται ἕν. ὥσπερ γὰρ οὔπω ὂν λέγομεν τὸ γινόμενον καὶ κατ᾽ οὐσίαν ἀτελὲς ὄν, οὕτως οὐδὲ ἓν αὐτὸ λέγειν δυνατόν. ἓν μὲν γὰρ καὶ τὸ ἀτελὲς λέγομεν. οἷον τὸ σπέρμα ἕν, καὶ τὸ ἔμβρυον ἕν, ἀλλ᾽ οὐχ ὡς ἄνθρωπον ἕν. ἀλλ᾽ ἐκεῖνο ὅπερ ἐστὶ τέλειον σπέρμα ἕν. ὅτι τέλειον σπέρμα. καὶ ἔμβρυον ὁμοίως. καὶ ὅλως δὲ τὸ ἀτελὲς δυνάμει ἐστὶν ἔτι. τὸ δὲ δυνάμει τὶ ὂν, πλείω δύναται, καὶ οὐ τοῦτο μόνον. δῆλον οὖν ὅτι ἡ κατ᾽ ἀριθμὸν μία κίνησις, ὅταν πρὸς τοῖς τρισὶν ἐκείνοις τοῖς ἤδη ῥηθεῖσι καὶ τὸ τέλειον προσλάβῃ, τότε κυριώτερον γίνεται μία. ὁ δὲ ἀλέξανδρος ἐν τούτοις, τοῖς πυθαγορείοις αὐτὸν καὶ τοῖς πλατωνικοῖς φησι κατακολουθεῖν. οἵτινες τὸ ἓν ἄριστον ὑπολαμβάνοντες, τῷ τελείῳ ἀπένεμον καὶ ὁλοκλήρῳ, καὶ διὰ τοῦτο ἀρχὴν ἔλεγον αὐτὸ, ὡς καὶ τῆς κοινῆς χρήσεως κατὰ τῶν τελείων καὶ ὅλων τὸ ἓν κατηγορούσης. εἰκὸς δὲ καὶ τὸν ἀριστοτέλη καὶ τὸν ἀλέξανδρον εἰς τὰ ἐν τῷ πλάτωνος παρμενίδῃ κατὰ τὴν δευτέραν ὑπόθεσιν λεγόμενα ἀφορᾶν. ἐν οἷς τὸ ἓν ὂν ὅλον ἀποδείξας, καὶ ὅτι τέλειόν ἐστι δείκνυσιν ἀρχὴν αὐτὸ καὶ μέσον καὶ τέλος ἔχειν, συλλογισάμενος οἷς τὸ τέλειον χαρακτηρίζεται. λέγει δὲ περὶ μὲν τοῦ ὅλου συμπεραινόμενος, καὶ ὅλον ἄρα ἐστὶν, ὅπερ ἂν ᾖ ἕν, καὶ μόρια ἔχῃ, περὶ δὲ τοῦ τελείου. τί δὲ εἰ ὅλον, οὐ καὶ ἀρχὴν ἂν ἔχῃ καὶ μέσον καὶ τελευτήν. ἢ οἷόν τε ὅλον εἶναι ἄνευ τριῶν τούτων. προστίθησι δὲ ὁ ἀριστοτέλης, ὅτι κυριώτερον μὲν μία κίνησις ἡ συνεχὴς, ὅταν καὶ τέλειος ᾖ. ἤδη δὲ καὶ ἡ ἀτελὴς, ἐὰν μόνον συνεχὴς λέγηται κατ᾽ ἀριθμὸν καὶ αὕτη. ἐπιστῆσαι δὲ χρὴ, ὅτι τὸ μὲν συνεχὲς τῇ κατ᾽ ἀριθμὸν μιᾷ κινήσει προσήκειν φησὶ μόνῃ. ἣν καὶ κυρίως μίαν εἶναί φησι· τοῦ τελείου δὲ καὶ ταῖς κατὰ γένος καὶ ταῖς κατ᾽ εἶδος τὸ ἓν ἐχούσαις μετεῖναί φησιν.

ὅτι τοῦ μὲν συνεχοῦς οὐ μέτεστιν αὐταῖς, διῃρημένοις εἰς τὰ οἰκεῖα πλήθη, ἅπερ οὐκ ἔστιν ἀλλήλοις συνεχῆ. οὔτε γὰρ οἱ πολλοὶ ἄνθρωποι συνεχεῖς ἀλλήλοις, ἐξ ὧν καὶ ἐν οἷς ἐστιν ὁ εἷς ἄνθρωπος, οὔτε τὰ ζῶα. τέλειον δέ ἐστιν ἕκαστον εἶδος καὶ γένος, κατὰ τὴν τοῦ οἰκείου χαρακτῆρος ἀπόληψιν. κἂν γὰρ κοινὸν ᾖ τι καὶ μὴ ἄτομον, καὶ αὐτὸ κατ᾽ εἶδος ἀφωρισμένον ἔχει τελειότητα οἰκείαν.

Ἔτι δ᾽ ἄλλως παρὰ τὰς εἰρημένας λέγεται μία κίνησις, ἡ ὁμαλής. ἡ γὰρ ἀνώμαλος, ἔστιν ὡς, οὐ δοκεῖ μία. ἀλλὰ μᾶλλον ἡ ὁμαλής, ὥσπερ ἡ εὐθεῖα. ἡ γὰρ ἀνώμαλος διαιρετή. ἔοικε δὲ διαφέρειν ὡς τὸ μᾶλλον καὶ ἧττον. ἔστι δ᾽ ἐν ἁπάσῃ κινήσει, τὸ ὁμαλῶς ἢ μή. καὶ γὰρ ἂν ἀλλοιοῦτο ὁμαλῶς, καὶ φέροιτο ἐφ᾽ ὁμαλοῦ. οἷον, κύκλου, ἢ εὐθείας. καὶ περὶ αὔξησιν ὡσαύτως καὶ φθίσιν. ἀνωμαλίας δ᾽ ἐστὶ διαφορά. ὁτὲ μὲν, ἐφ᾽ ᾧ κινεῖται. ἀδύνατον γὰρ ὁμαλῆ εἶναι τὴν κίνησιν μὴ ἐπὶ ὁμαλῷ μεγέθει. οἷον, ἡ τῆς κεκλασμένης κίνησις ἢ ἡ τῆς ἕλικος. ἢ ἄλλου μεγέθους. ὧν μὴ ἐφαρμόττει τὸ τυχὸν ἐπὶ τὸ τυχὸν μέρος. ἡ δὲ, οὔτε ἐν τῷ πού, οὔτε ἐν τῷ ποτέ. οὔτε ἐν τῷ εἰς ὅ. ἀλλ᾽ ἐν τῷ ὥς. ταχυτῆτι γὰρ καὶ βραδυτῆτι ἐνίοτε διώρισται. ἧς μὲν γὰρ τὸ αὐτὸ τάχος, ὁμαλής. ἧς δὲ μὴ, ἀνώμαλος. διὸ οὐκ εἴδη κινήσεως οὐδὲ διαφοραὶ, τάχος καὶ βραδυτής. ὅτι πάσαις ἀκολουθεῖ ταῖς διαφόροις κατ᾽ εἶδος. ὥστε οὐδὲ βαρύτης καὶ κουφότης ἡ εἰς τὸ αὐτό. οἷον, γῆς πρὸς αὐτήν. ἢ πυρὸς, πρὸς αὐτό. μία μὲν οὖν ἡ ἀνώμαλος, τῷ συνεχής, ἧττον δὲ, ὅπερ τῇ κεκλασμένῃ συμβαίνει φορᾷ. τὸ δὲ ἧττον, μίξις ἀεὶ τοῦ ἐναντίου. εἰ δὲ πᾶσαν τὴν μίαν ἐνδέχεται καὶ ὁμαλῆ εἶναι καὶ μὴ, οὐκ ἂν εἶεν αἱ μὴ κατ᾽ εἶδος ἐχόμεναι καὶ αὗται μία καὶ συνεχής. πῶς γὰρ ἂν εἴη ὁμαλής. ἡ ἐξ ἀλλοιώσεως συγκειμένη καὶ φορᾶς. δέοι γὰρ ἂν ἐφαρμόττειν.

Τρίτον τοῦτο προστίθησι τῇ μιᾷ κινήσει ὑπάρχον τὸ ὁμαλὲς, καὶ τῇ κατὰ γένος καὶ τῇ κατ᾽ εἶδος καὶ τῇ κατ᾽ ἀριθμὸν ἁρμόττειν δυνάμενον. ὥσπερ καὶ τῇ ἀντικειμένῃ αὐτῇ τὸ ἀνώμαλον. καὶ πανταχοῦ τῶν ἄλλων τῶν αὐτῶν ὄντων, ἡ ὁμαλὴς μᾶλλον μία δοκεῖ εἶναι τῆς ἀνωμάλου. διότι ἡ ἀνώμαλος διῃρημένη πως εἶναι δοκεῖ, κατὰ τὰς ἐν τῇ ἀνωμαλίᾳ διαφοράς. λέγει δὲ πρῶτον τίς ἡ ὁμαλὴς κίνησις, καὶ τίς ἡ ἀνώμαλος. καὶ δεῖγμα τῆς ὁμαλοῦς τὴν εὐθεῖαν παρήγαγεν, ὥς φησιν ὁ Ἀλέξανδρος. διὰ τὸ καὶ τῆς κινήσεως τῆς ἐπ᾽ εὐθείας ὅμοια εἶναι πάντα τὰ μόρια, καὶ πάντα πᾶσιν ἐφαρμόζειν, ὥσπερ καὶ τῆς εὐθείας γραμμῆς. ἐφ᾽ ἧς ἡ τοιαύτη κίνησις γίνεται. ὁμοίως δέ φησι καὶ ὁ κύκλος ἔχει. καὶ ἡ ἐπὶ τοῦ κύκλου κίνησις. ὁμαλὴς γὰρ καὶ αὕτη διὰ τὸ πανταχόθεν ὁμοίως περιάγεσθαι τῆς κυκλικῆς γραμμῆς. ἀνώμαλοι δέ εἰσιν αἱ κεκλασμέναι γραμμαὶ, καὶ μὴ ὁμοίως περιηγμέναι, ὡς πᾶν μόριον παντὶ ἐφαρμόττειν καὶ αἱ ἐπὶ τῶν τοιούτων κινήσεις. μήποτε δὲ τὸ ὥσπερ ἡ εὐθεῖα, οὐ τὴν κίνησιν τὴν ἐπὶ τῆς εὐθείας γραμμῆς ἐνδείκνυται. ἀλλ᾽ οὕτως ἔχειν πᾶσαν ὁμαλῆ κίνησιν φησὶ κατὰ πᾶν εἶδος κινήσεως, οὐ μόνον φορᾶς, ἀλλὰ καὶ ἀλλοιώσεως καὶ αὐξήσεως, ὡς ἔχει ἡ εὐθεῖα. ὁμαλὴς γὰρ αὕτη, διὰ τὸ πᾶν μόριον παντὶ ἐφαρμόττειν. καὶ πᾶσα οὖν κίνησις εἴτε ἐπ᾽ εὐθείας, εἴτε ἐπὶ κύκλου, εἴτε κατ᾽ ἀλλοίωσιν, εἴτε κατ᾽ αὔξησιν ὁμαλὴς οὖσα, οὕτως ἔχει ὡς ἡ εὐθεῖα. ἐπεὶ δυνατὸν καὶ ἐπ᾽ εὐθείας ἀνωμάλως κινεῖσθαι. ὅταν μὴ αὐτὴ ἡ κίνησις ὁμοίως ᾖ τῇ εὐθείᾳ διακειμένη, ὡς πᾶν μόριον παντὶ ὅμοιον εἶναι. διαφέρειν δέ φησι τὴν ὁμαλῆ τῆς ἀνωμάλου κατὰ τὸ μᾶλλον καὶ ἧττον. ὡς μέν φησιν ὁ Ἀλέξανδρος, ὅτι μᾶλλον μία ἡ ὁμαλὴς τῆς ἀνωμάλου, καὶ ἧττον ἐκείνη ταύτης. συνεχεῖς γὰρ ἀμφότεραι. μήποτε δὲ οὐ πρὸς τὸ μία τὸ μᾶλλον καὶ ἧττον λέγει νῦν, ἀλλὰ πρὸς τὸ εἶδος, ἐν ᾧ εἰσίν. εἰ μὲν κατ᾽ εὐθεῖαν ἢ κύκλον τὸ ὁμαλὲς καὶ ἀνώμαλον, ὅτι μᾶλλον εὐθεῖα καὶ κύκλῳ ἡ ὁμαλὴς τῆς ἀνωμάλου. εἰ δὲ κατὰ λεύκανσιν ἢ θέρμανσιν, ὅτι μᾶλλον λεύκανσις καὶ μᾶλλον θέρμανσις ἡ ὁμαλὴς τῆς ἀνωμάλου. καὶ εἰ κατὰ αὔξησιν ὁμοίως. διὸ καὶ ἐπήγαγεν ὅτι ἔστιν ἐν πάσῃ κινήσει τὸ ὁμαλές. εἰ δὲ κατὰ τὸ μᾶλλον καὶ ἧττον ἐν τῷ αὐτῷ εἴδει διαφέρουσιν, οὐ κατ᾽ εἶδος αὐτῶν ἐστιν ἡ διαφορά. ἐν γὰρ τῷ αὐτῷ εἴδει τὸ ἧττον, μίξει τοῦ ἐναντίου τοιοῦτόν ἐστιν. οἷον τὸ ἧττον λευκὸν, μίξει μέλανος. καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως. εἰπὼν δὲ ὅτι ἐν πάσῃ κινήσει ἔστι τὸ ὁμαλῶς καὶ μὴ, καὶ γὰρ ἀλλοιοῖτο ἄν τι ὁμαλῶς, ἐπήγαγε καὶ φέροιτο ἂν ἐφ᾽ ὁμαλοῦς. ἢ ἐφ᾽ ὁμαλῷ, ὡς ὁ Ἀλέξανδρος καὶ ὁ Πορφύριος λέγουσιν. οἷον κύκλῳ ἢ εὐθείᾳ. ἐπειδὴ γὰρ ἀδύνατόν τι ὁμαλῶς ἐνεχθῆναι, μὴ ἐπὶ ὁμαλοῦς φερόμενον τὴν ὁμαλῆ φορὰν, ἀπέδωκεν ἐπὶ τῶν ἐφ᾽ ὧν οἷόν τε γίνεσθαι αὐτὴν, εἰπὼν οἷον κύκλου ἢ εὐθείας. δύναται μὲν γὰρ καὶ ἐπὶ τούτων ἀνώμαλος φορὰ γίνεσθαι. ἀλλ᾽ ἥ γε ὁμαλὴς ἐπ᾽ οὐδενὸς γίνεται, ἢ ἐπὶ ὁμαλοῦς. εἰπὼν δὲ τίς ἡ ὁμαλὴς κίνησις, ὅτι ἡ μία καὶ ἡ ὁμοιομερὴς ὡς ἡ εὐθεῖα, καὶ τίς ἡ ἀνώμαλος, ὅτι ἡ εἰς πολλὰς διαιρουμένη, καὶ τίς αὐτῶν ἡ διαφορὰ, ὅτι οὐ κατ᾽ εἶδος ἀλλὰ κατὰ τὸ μᾶλλον καὶ τὸ ἧττον, λοιπὸν τίνες αἱ τῆς ἀνωμάλου κινήσεως διαφοραὶ, καὶ παρὰ πόσας καὶ τίνας αἰτίας ἀνώμαλος γίνεται κίνησις, λέγει. οἰκεῖα γὰρ τῷ περὶ κινήσεως καὶ ταῦτα λόγῳ. ἐνίοτε μὲν οὖν παρὰ τὸ ἐφ᾽ οὗ γίνεται, οἷ ἐπὶ κεκλασμένης. ἀδύνατον γὰρ ὁμαλῆ κίνησιν γίνεσθαι ἐπὶ ἀνωμάλου γινομένην. οἷα καὶ ἡ ἕλιξ ἐστίν. ἢ ὅλως ἐπὶ μεγέθους τοιούτου, οὗ μὴ ἐφαρμόζει τὸ τυχὸν μέρος ἐπὶ τὸ τυχόν. κἂν συνεχὴς ἡ ἐπ᾽ αὐτοῦ κίνησις γίνηται. ζητητέον δὲ εἰ καὶ ἐπ᾽ ἀλλοιώσεως κατὰ τοῦτο ἔσται ὁμαλὴς καὶ ἀνώμαλος κίνησις, κατὰ τὸ ἐφ᾽ οὗ ἡ κίνησις. ὅπερ

ἐπὶ τῶν φερομένων ὁ τόπος ἐφ' οὗ φέρεται φερόμενον, οὕτως ἐπὶ ἀλλοιώσεως ἡ ποιότης ἐστί. πᾶν δὲ
τὸ κατὰ ποιὸν μεταβάλλον, ἐξ ἐναντίου εἰς ἐναντίον μεταβάλλει, μελαινόμενον ἢ λευκαινόμενον. οὐδὲν
δὲ μέρος τῆς λευκάνσεως ἢ τῆς μελάνσεως ἐφαρμόζειν δύναται τῷ ἄλλῳ μέρει, οὐ μόνον ὅτι οὐχ ὑφεστη-
κόσι, ἀλλ' οὐδὲ τῇ ἐννοίᾳ. οὔτε ἔσται μέρος ἑτέρῳ μέρει ὅμοιον. ἀλλ' ὡς ἐπὶ τῆς ἡμέρας. ἐπὶ δὲ τῆς
αὐξήσεως καὶ φθίσεως, ἐπειδὴ κατὰ μέγεθος αἱ μεταβολαὶ ἐπ' εὐθείας γίνεσθαι δοκοῦσι καὶ ὁμαλαί, εἰ
ἔστι τις ἄλλη ἀνωμαλία κατά γε τὸ αὐξόμενον ἔσται. εἰ ποτὲ μὲν εἴη ἡ αὔξησις τροφῆς μὴ ἐνούσης, ποτὲ
δὲ καὶ εἰς φθορὰν μεταβάλλοι. ὡς ἐν ταῖς νόσοις. ἀνώμαλος γὰρ ἔσται τότε ἡ αὔξησις. ὥσπερ καὶ εἰ
ποτὲ μὲν πλέον, ποτὲ δὲ ἔλαττον εἰς φθίσιν ἐπιδιδοίη. ἐπὶ δὲ ἀλλοιώσεως, ἡ μὲν κατὰ τὸν τεταγμέ-
νον προποδισμὸν γινομένη τῆς ποιότητος ἀνωμαλία, αὐτῆς ἐστιν ἡ ἀνωμαλία. ὅταν δὲ νῦν μὲν σφο-
δρότερον θερμαίνηται, αὖθις δὲ ἧττον, καὶ πάλιν ἐπιτείνῃ, τότε ἀνώμαλον κατὰ τὴν ποιότητα ἐφ' ὃ
ἡ κίνησις γίνεται. ἄλλη δέ τις ἀνωμαλία ἐν πάσαις ταῖς κινήσεσίν ἐστι κατὰ ταχυτῆτα καὶ βραδυτῆ-
τα, καὶ ὅλως παρὰ τὸν χρόνον. καὶ ἔστιν αὕτη κινήσεως κυρίως ἀνωμαλία. ἥ τις οὔτε κατὰ τὸ ἐφ' οὗ κι-
νεῖται τὸ κινούμενον, ὡς ἡ προειρημένη ἐστίν. οὕτω γὰρ σημαίνει αὐτῷ τὸ πού. οὔτε ἐν τῷ τὸν χρόνον μὴ
ἕνα καὶ συνεχῆ εἶναι. ὅπερ αὐτῷ τὸ ποτὲ σημαίνει. οὔτε παρὰ τὸ εἰς ὃ ἡ μεταβολὴ γίνεται. οἷον εἰς τὸ
ἄνω, ἢ κάτω, ἢ λευκὸν, ἢ μέλαν, ἢ μέγα, ἢ μικρόν. ἐνδέχεται γὰρ πάντων τούτων τῶν αὐτῶν καὶ ὁμοίων
ὄντων, τοῦ ἐφ' οὗ, τοῦ χρόνου, τοῦ εἰς ὃ, ἀνώμαλον κίνησιν γίνεσθαι, παρὰ τὸν τῆς κινήσεως τρόπον καὶ
τὸ ὡς, εἰ ποτὲ μὲν ταχέως, ποτὲ δὲ βραδέως κινεῖται. τότε γὰρ ἀνώμαλος γίνεται κίνησις. ὥσπερ
ὁμαλὴς, ὅταν ὁμοία ᾖ ἡ κίνησις. ἔστι γὰρ ὅτε φησὶν ἡ ἀνωμαλία οὐ τοῖς πρότερον εἰρημένοις. ἀλλὰ τα-
χυτῆτι διώρισται καὶ βραδυτῆτι. εἰπὼν δὲ ὅτι ἔστι τις ὁμαλότης καὶ ἀνωμαλία παρὰ τὴν τοῦ κινου-
μένου ταχυτῆτα καὶ βραδυτῆτα, ἐπάγει ὅτι ταῦτα τουτέστιν ἡ ταχυτὴς καὶ βραδυτὴς, οὐκ ἔστιν εἴδη
κινήσεων. οὐδὲ διαφορὰ κατ' εἶδος ἡ ταχυτὴς καὶ ἡ βραδυτὴς, καθ' ἃς διαφέρουσιν ἀλλήλων αἱ ὁμαλαὶ
καὶ ἀνώμαλοι κινήσεις. καὶ δείκνυσιν ἐκ τοῦ ἐν πᾶσι τοῖς εἴδεσι τῆς κινήσεως εἶναι ταχυτῆτα καὶ βραδυ-
τῆτα. καὶ γὰρ φέρεσθαι καὶ αὔξεσθαι καὶ ἀλλοιοῦσθαι, δύναται τὸν ἑκατέρως. τὸ δὲ ἐν πᾶσιν ὂν τοῖς εἴ-
δεσιν, οὐκ ἀντιδιαιρεῖται ἐκείνοις τοῖς ἐν οἷς ἐστί. τὸ γὰρ ἀντιδιαιρούμενόν τινι, ἔξω ὀφείλει εἶναι ἐκείνου.
ἀλλὰ μὴν οὔτε ἑνός τινος τῶν τῆς κινήσεως εἰδῶν εἴδη ἐστὶν ἡ ταχυτὴς καὶ ἡ βραδυτὴς, τὸ γὰρ τινὸς
εἶδος, οὐχ οἷόν τε εἶδος εἶναι καὶ τοῦ ἀντιδιῃρημένου αὐτῷ. διὰ γὰρ ταύτην τὴν αἰτίαν, οὐδὲ τὸ θῆλυ οὐ-
δὲ τὸ ἄρρεν εἴδη ζώου, ὅτι ἐν πᾶσιν ἔστι σχεδὸν τοῖς εἴδεσιν. οὔτε γοῦν ἀντιδιαιρεῖσθαι τούτοις δύνα-
ται, οἷον τῷ πεζῷ καὶ ἐνύδρῳ καὶ πτηνῷ, ὡς εἶναι πρὸς τούτοις τὸ θῆλυ καὶ τὸ ἄρρεν εἴδη ζώου, ἐν
ἐκείνοις γάρ ἐστιν, ἀλλ' οὐδὲ τινὸς αὐτῶν εἴδη εἴη ἄν, οἷον τοῦ πεζοῦ. ἔστι γοῦν καὶ ἐν τοῖς ἄλλοις. οὐχ οἷόν τε
δὲ τῶν διαφερόντων γενῶν ταὐτὰ εἴδη εἶναι. διὸ οὐδὲ γυνὴ καὶ ἀνὴρ εἴδη τοῦ ἀνθρώπου, ὅτι ἔστι καὶ
ἐν τοῖς ἀντιδιαιρουμένοις τῷ ἀνθρώπῳ. ἡ γὰρ γυνὴ καὶ ὁ ἀνὴρ κατὰ τὸ θῆλυ καὶ τὸ ἄρρεν τὴν διαφο-
ρὰν ἔχουσιν. ἡ μὲν οὖν κουφότης καὶ βαρύτης κατ' εἶδος διαφέρουσιν ἀλλήλων. ἡ δὲ ταχυτὴς καὶ
βραδυτὴς, ἐνέργειαί εἰσι καθ' ἑκατέραν τούτων τῶν δυνάμεων. καὶ τὸ κοῦφον γὰρ θᾶττον καὶ βρα-
δύτερον ἐπὶ τὸ ἄνω φέρεται. καὶ τὸ βαρὺ ἐπὶ τὸ κάτω. τὸ μὲν γὰρ βαρύτερον, θᾶττον. τὸ δὲ ἧττον
βαρὺ, βραδύτερον. ὡς οὖν τὸ βαρύτερον καὶ τὸ ἧττον βαρὺ, οὐ κατ' εἶδος διαφέρουσιν ἐν ῥοπῇ ἀλλή-
λων, οὕτω καὶ αἱ ταῖς δυνάμεσι ταύταις ἀκολουθοῦσαι ἐνέργειαι, ἡ ταχυτὴς καὶ ἡ βραδυτὴς, οὐκ εἰσὶ
κατ' εἶδος διαφοραὶ τῆς ἐνεργητικῆς κινήσεως. ἐν γὰρ τῷ αὐτῷ εἴδει μένουσι, ποτὲ μὲν τῷ τοῦ πυρὸς, ὅταν
θᾶττον καὶ βραδύτερον κινῆται, ποτὲ δὲ τῷ τῆς γῆς. οὐδὲ γὰρ ἡ βαρύτης καὶ ἡ κουφότης αἱ ἐν τῷ αὐτῷ
εἴδει μένουσαι, ὅταν πυρὸς τὸ μὲν κουφότερον τὸ δὲ βαρύτερον λέγωμεν, κατ' εἶδός εἰσι διαφοραί.
ὅτι μὴ δὲ τὸ πῦρ πυρὸς κατ' εἶδος διαφέρει, μὴ δὲ γῆ γῆς. ἀλλ' οὐδὲ αὐτὴ ἡ ἄτομος γῆ ἑαυτῆς κατ' εἶδος
διαφέρει, κἂν πρὸς τὸν οἰκεῖον τόπον θᾶττον κινῆται. ἐπιστῆσαι οὖν χρὴ, ὅτι ταχυτῆτα καὶ βραδυ-
τῆτα λέγει νῦν μὴ διαφέρειν ἀλλήλων, τὰς ἐν τῇ ἀνωμαλίᾳ θεωρουμένας. αὗται δὲ ἐν τῷ αὐτῷ
εἴδει κατὰ τὸ μᾶλλον καὶ ἧττον ὑφεστήκασι. τὸ δὲ μᾶλλον καὶ ἧττον ἐν τῷ αὐτῷ εἴδει ὂν οὐ ποιεῖ τὴν
κατ' εἶδος διαφοράν. αὗται δέ εἰσιν αἱ ἐν πᾶσι τοῖς εἴδεσι τῆς κινήσεως θεωρούμεναι, ἐν οἷς καὶ ἡ ἀνω-
μαλία. εἰ δέ τις εἴη ταχυτὴς καὶ βραδυτὴς μὴ ἐν τῷ αὐτῷ εἴδει θεωρούμεναι, μὴ δὲ κατὰ τὸ μᾶλλον
καὶ ἧττον ἀφωρισμέναι, ὡς ὅταν ταχὺν λέγωμεν τὸν ἵππον, καὶ βραδεῖαν τὴν χελώνην, καὶ τα-
χέα τὰ πτηνὰ, καὶ βραδέα τὰ χερσαῖα, ἡ τοιαύτη ταχυτὴς καὶ βραδυτὴς, οὔτε ἐν πᾶσι τοῖς εἴδε-
σι τοῖς κατὰ τόπον κινουμένοις, οὔτε ἐν ἐπὶ ἄμφω, οὔτε κατὰ τὸ μᾶλλον καὶ ἧττον ὑφεστήκασιν. εἰ
μὴ ἄρα καὶ ἐν ταύταις καθ' ὕφεσιν τοῦ τάχους ἐστὶν ἡ βραδυτὴς, καὶ κατὰ σύγκρισιν λεγόμεναι
τὸ μᾶλλον ἔχουσι καὶ τὸ ἧττον. ὁ γὰρ ἵππος κἂν τῆς χελώνης ταχύτερος, ἀλλὰ πτηνοῦ βραδύτε-
ρος. καὶ κἂν ἐν ἄλλῳ καὶ ἄλλῳ εἴδει ζώων ὑφεστήκασιν, ἀλλ' ἐν ἐπὶ κινήσεως τῷ τῆς φορᾶς. ὁ δὲ αὐτὸς
τρόπος τῆς φορᾶς ἐστὶ καὶ ἐν ἀλλοιώσει. καὶ γὰρ θερμαίνει τὸ μὲν, θᾶττον, τὸ δὲ, βραδύτερον. καὶ
οὐδὲν ἧττόν ἐστιν ἐν τούτοις τὸ μᾶλλον καὶ ἧττον, τοῦ αὐτοῦ τῆς κινήσεως ὄντος εἴδους. εἰπὼν δὲ τὴν
ὁμαλῆ κίνησιν μίαν εἶναι, καὶ μᾶλλον τῆς ἀνωμάλου διὰ τὴν ὁμοιότητα, λέγει ὅτι καὶ ἡ ἀνώμαλος

μία δὲ τὸ συνεχές, εἴπερ εἴη συνεχὲς μὲν, ἀνώμαλον δέ, ἔκειτο γὰρ ἡ μὲν ἡ συνεχὴς μία εἶναι, ὥσπερ ἡ μία καὶ συνεχής. συνεχὴς δέ ἐστι ποτὲ καὶ ἡ ἀνώμαλος. καὶ συνεχὴς δὲ ἧττόν ἐστιν αὕτη καὶ μία τῆς ὁμαλοῦς. εἰ δὲ ἧττον, τὸ δὲ ἧττον ἐν παντὶ μίξει τοῦ ἐναντίου, ἔχοι ἄν τι καὶ πλήθους ἐν αὐτῇ ἡ ἀνώμαλος. τὸ δὲ ἧττον ὅπερ τῇ κεκλασμένῃ συμβαίνει φορᾷ, ταυτόν ἐστι τῷ τῇ εὐθεῖ τῆς κεκλασμένης γινομένῃ φορᾷ συμβαίνειν. πᾶσα γὰρ ἡ ἐπὶ τῆς τοιαύτης ἀνωμάλου καὶ ἧττον συνεχὴς καὶ μία. ὥσπερ ἡ ἐπὶ τῆς κεκλασμένης. καὶ γὰρ ἧττον ἔχει τὸ συνεχές, καὶ μία ἐστίν. εἰπὼν δὲ ὅτι τὴν μίαν ἐνδέχεται καὶ ὁμαλῆ εἶναι καὶ μή, ἐπάγει, τίνες ἀνώμαλοι κινήσεις οὐ δύνανται συνεχεῖς εἶναι καὶ μία. καὶ λέγει ὅτι αἱ ἐχόμεναι ἀλλήλων κινήσεις ἂν μὴ κατ᾽ εἶδος εἶεν αἱ αὐταί, οὐκ ἂν εἶεν μία καὶ συνεχής. καὶ δείκνυσιν αὐτὸ λαβὼν ἐκ τῶν προειρημένων, ὅτι τὴν μίαν καὶ συνεχῆ κίνησιν οἷον τὴν ἐπὶ τὸ ἄνω ἢ ἐπὶ τὸ κάτω, ἢ τὴν λεύκανσιν, ἢ θέρμανσιν, ἢ αὔξησιν, ἢ μείωσιν, ἐνδέχεται καὶ ὁμαλῆ εἶναι καὶ ἀνώμαλον. καὶ προσλαβὼν ὅτι ἡ ἐξ ἀνομοίων εἰδῶν συγκειμένη, οἷον ἐξ ἀλλοιώσεως καὶ φορᾶς, οὐκ ἂν εἴη ὁμαλής, συνήγαγε συμπέρασμα ἐν δευτέρῳ σχήματι, ὅπερ καὶ μέσον τέθεικεν. ὅτι αἱ μὴ κατ᾽ εἶδος ἐχόμεναι κινήσεις, οὐκ ἂν εἶεν μία καὶ συνεχής. τῶν δὲ προτάσεων τὴν μὲν μείζονα πρώτην τέθεικε, τὴν λέγουσαν τὴν μίαν πᾶσαν καὶ συνεχῆ κίνησιν ἐνδέχεσθαι καὶ ὁμαλῆ καὶ ἀνώμαλον εἶναι. τὴν δὲ ἐλάττονα ἐσχάτην, τὴν λέγουσαν πῶς γὰρ ἂν εἴη ὁμαλής, ἡ ἐξ ἀλλοιώσεως συγκειμένη καὶ φορᾶς, ἀντὶ ἀποφάσεως τὸ σχῆμα τῆς ἐρωτήσεως παραλαβών. καὶ τὴν αἰτίαν ἐπήγαγε, δέοι γὰρ ἂν ἐφαρμόττειν. ὁμαλὴς γάρ ἐστιν, ἧς τὰ μόρια ἀλλήλοις ἐφαρμόττειν δύναται. οὐ μόνον δὲ ὁμαλῆ ἀδύνατον εἶναι τὴν ἐκ διαφόρων εἰδῶν, ἀλλὰ καὶ ἀνώμαλον οὕτως ὡς μίαν καὶ συνεχῆ. ἡ γὰρ ἀνώμαλος κίνησις εἴρηται ἧττον μία. τὸ δὲ ἧττον μίξει τοῦ ἐναντίου, οὐ τοῦ ἀνομοειδοῦς πάντη καὶ ἐκβεβηκότος, ἀλλὰ τοῦ ἐν τῷ αὐτῷ εἴδει τὸ μετέχον φυλάττοντος. τὸ γὰρ φαιὸν ἧττόν ἐστι λευκὸν, οὐ φορᾶς μίξει ἀλλὰ μέλανος. καὶ τὸ μετὰ συνεχείας οὖν ἀνώμαλον, ἐν τῷ αὐτῷ εἴδει ἢ γένει τὸ μᾶλλον καὶ ἧττον ἔχει. τὸ γοῦν ἐκ διαφερόντων εἰδῶν τῆς κινήσεως, οὐκ ἂν εἴη οὐδὲ ἀνώμαλον ὡς συνεχὲς καὶ ἕν.

ἜΤΙ ΔῈ διοριστέον, ποία κίνησις ἐναντία κινήσει. καὶ περὶ μονῆς δέ, τὸν αὐτὸν τρόπον. διαιρετέον δὲ πρῶτον, πότερον ἐναντία κίνησις ἡ ἐκ τοῦ αὐτοῦ τῇ εἰς τὸ αὐτό, οἷον ἡ ἐξ ὑγιείας, τῇ εἰς ὑγίειαν οἷον, καὶ γένεσις καὶ φθορὰ δοκεῖ. ἢ ἡ ἐξ ἐναντίων. οἷον, ἡ ἐξ ὑγιείας, τῇ ἐκ νόσου. ἢ ἡ εἰς ἐναντία. οἷον ἡ εἰς ὑγίειαν τῇ εἰς νόσον. ἢ ἡ ἐξ ἐναντίου τῇ εἰς ἐναντίον οἷον ἡ ἐξ ὑγιείας τῇ εἰς νόσον. ἢ ἡ ἐξ ἐναντίου εἰς ἐναντίον, τῇ ἐξ ἐναντίου εἰς ἐναντίον. οἷον ἡ ἐξ ὑγιείας εἰς νόσον τῇ ἐκ νόσου εἰς ὑγίειαν. ἀνάγκη γὰρ ἢ ἕνα τινὰ τούτων εἶναι τῶν τρόπων, ἢ πλείους. οὐ γάρ ἐστιν ἄλλως ἀντιτιθέναι.

Τοῖς εἰρημένοις περὶ κινήσεως καὶ μεταβολῆς προβλήμασι, καὶ τοῦτο προστίθησιν ἀναγκαῖον, ποία κίνησις, ποίᾳ κινήσει ἐναντία. ζητήσει δὲ καὶ περὶ μονῆς ἤτοι ἠρεμίας τὰ αὐτὰ ζητήματα, καὶ ἔστιν ἀναγκαῖον τὸ πρόβλημα. ἐκ τούτου γὰρ καὶ αἱ φυσικαὶ κινήσεις δείκνυνται, καὶ ἡ τῶν στοιχείων πρὸς ἄλληλα ἐναντίωσις. καὶ τίνα ἐκ τίνων γίνεται. καὶ ἄλλα πλεῖστα τῶν ἐν φυσιολογίᾳ. ἐπειδὴ δὲ ἡ κίνησις ἔκ τινος εἴς τι, καὶ ἐξ ἐναντίου εἰς ἐναντίον μεταβολή ἐστιν, ἐκτίθεται τοὺς τρόπους, καθ᾽ οὓς δυνατὸν δύο κινήσεις εἶναι ἐναντίας. καὶ διακρίνει τίνες ἐν ταύταις αἱ ἐναντίαι κινήσεις εἰσίν. ἐπειδὴ δὲ ἀπεφήνατο μὴ εἶναι ἄλλως ἀντιτιθέναι ἢ κατὰ τοὺς εἰρημένους τρόπους, τὰ ἔκ τινος εἴς τι μεταβάλλοντα, πειρατέον ἐκ διαιρέσεως ἀνευρεῖν αὐτούς, ᾧ φαίνεται καὶ αὐτὸς χρώμενος. ἐπεὶ οὖν ἔκ τινος εἴς τι ἡ μεταβολή, καὶ ἐξ ἐναντίου εἰς ἐναντίον, ἀνάγκη τὰς ἐναντίας κινήσεις, ἢ ἐξ ἑνὸς τῶν δύο, ἢ ἐκ τῶν δύο τῶν ἐναντίων χαρακτηρίζεσθαι. ἢ οὖν ἄμφω αἱ κινήσεις ἐξ ἑνὸς τοῦ αὐτοῦ χαρακτηρισθήσονται, ὅταν ἡ μὲν, ἐξ αὐτοῦ, ἡ δέ, εἰς αὐτὸ γίνηται. οἷον ἡ ἐκ νόσου μεταβολή, τῇ εἰς νόσον. ἢ ἡ ἐξ ὑγιείας τῇ εἰς ὑγίειαν. ὡς δοκοῦσιν ἀντικεῖσθαι γένεσις καὶ φθορά. ἡ μὲν γὰρ γένεσις εἰς τὸ ὄν ἐστιν μεταβολή. ἡ δὲ φθορὰ ἐκ τοῦ ὄντος. ὥστε ἡ εἰς τὸ αὐτὸ τῇ ἐκ τοῦ αὐτοῦ. ἡ γὰρ ἐκ τοῦ αὐτοῦ τῇ ἐκ τοῦ αὐτοῦ, ἢ ἡ εἰς τὸ αὐτὸ τῇ εἰς τὸ αὐτό, οὐδ᾽ ἂν δόκησιν ἐναντιώσεως παράσχοιεν. ἢ ἀφ᾽ ἑκατέρου ἑκάτερον χαρακτηρισθήσεται, καὶ τοῦτο διχῶς. ἢ γὰρ ὡς ἐκ τοῦ ἐναντίου, ὡς ἡ ἐξ ὑγιείας τῇ ἐκ νόσου. ἢ ὡς εἰς τὸ ἐναντίον, ὡς ἡ εἰς ὑγίειαν τῇ εἰς νόσον. ἢ ὅταν ἡ μὲν ἐκ τοῦ ἐναντίου, ἡ δέ, εἰς τὸ ἐναντίον. ὡς ἡ ἐξ ὑγιείας τῇ εἰς νόσον. ἢ ἄμφω ἀπ᾽ ἀμφοῖν χαρακτηρισθήσονται, ἀντικειμένως τὸ ἐξ οὗ καὶ τὸ εἰς ὃ ἔχουσαι. ὅταν ἑκατέρα ἐκ τοῦ ἐναντίου εἰς τὸ ἐναντίον γίνηται. οἷον ἡ ἐξ ὑγιείας εἰς νόσον, τῇ ἐκ νόσου εἰς ὑγίειαν. καὶ οὕτω διελὼν ἐπήγαγεν, ὅτι ἀνάγκη ἢ τούτων ἕνα εἶναι τὸν τρόπον, καθ᾽ ὃν κίνησις κινήσει ἐναντιοῦται, ἢ πλείους. διότι οὐκ ἔστιν ἄλλως ἀντιτιθέναι τὰς ἀντικειμένας μεταβολάς.

ἜΣΤΙ ΔῈ ἡ μὲν ἐξ ἐναντίου τῇ εἰς ἐναντίον οὐκ ἐναντία. οἷον, ἡ ἐξ ὑγιείας τῇ εἰς νόσον. ἡ αὐτὴ γὰρ καὶ μία τὸ μέντοι εἶναι, οὐ τὸ αὐτὸ αὐταῖς. ὥσπερ οὐ δὲ τὸ αὐτὸ ἐξ ὑγιείας μεταβάλλειν καὶ τὸ εἰς νόσον. οὐδὲ ἡ ἐξ ἐναντίου, τῇ ἐξ ἐναντίου. ἅμα γὰρ συμβαίνει ἐξ ἐναντίου καὶ εἰς ἐναντίον ἢ μεταξύ. ἀλλὰ περὶ μὲν τούτου, ὕστερον ἐροῦμεν. ἀλλὰ μᾶλλον τὸ εἰς ἐναντίον, μεταβάλλειν δόξειεν ἂν αἴτιον εἶναι τῆς ἐναντιώσεως, ἢ τὸ ἐξ ἐναντίου. ἡ μὲν γὰρ ἀπαλλαγὴ ἐξ ἐναντιότητος. ἡ δὲ λῆψις. καὶ λέ-

γεται δὲ

γίνεται δὲ ἑκάστη εἰς ὃ μεταβάλλει μᾶλλον, ἢ ἐξ οὗ. οἷον ὑγίανσις ἡ εἰς ὑγίειαν. νόσανσις δὲ ἡ εἰς νόσον. λείπεται δὴ ἡ εἰς ἐναντία, καὶ ἡ εἰς ἐναντία ἐξ ἐναντίων. τῇ εἰς ἐναντία ἐξ ἐναντίων. τάχα μὲν οὖν συμβαίνει τὰς εἰς ἐναντία, καὶ ἐξ ἐναντίων εἶναι. ἀλλὰ τὸ εἶναι ἴσως, οὐ τὸ αὐτό. λέγω δὲ τὸ εἰς ὑγίειαν, τῷ ἐκ νόσου. καὶ τὸ ἐξ ὑγιείας, τῷ εἰς νόσον. ἐπεὶ δὲ διαφέρει μεταβολὴ κινήσεως. ἡ ἔκ τινος γὰρ ὑποκειμένου εἴς τι ὑποκείμενον μεταβολή, κίνησίς ἐστιν, ἡ ἐξ ἐναντίου εἰς ἐναντίον τῇ ἐξ ἐναντίου εἰς ἐναντίον κίνησις ἐναντία. οἷον ἡ ἐξ ὑγιείας εἰς νόσον, τῇ ἐκ νόσου εἰς ὑγίειαν. δῆλον δὲ καὶ ἐκ τῆς ἐπαγωγῆς, ὁποῖα δοκεῖ τὰ ἐναντία εἶναι. τὸ νοσάζεσθαι γὰρ τῷ ὑγιάζεσθαι. καὶ τὸ μανθάνει, τῷ ἀπατᾶσθαι μὴ δι᾽ αὐτοῦ. εἰς ἐναντία γάρ. ὥσπερ γὰρ ἐπιστήμην ἐστίν, οὕτω καὶ ἀπάτην καὶ δι᾽ αὐτοῦ κτᾶσθαι, καὶ δι᾽ ἄλλου. καὶ ἡ ἄνω φορὰ τῇ κάτω. ἐναντία γὰρ ταῦτα ἐν μήκει. καὶ ἡ εἰς δεξιὰ τῇ εἰς ἀριστερά. ἐναντία γὰρ ταῦτα ἐν πλάτει. καὶ ἡ εἰς τὸ ἔμπροσθεν τῇ εἰς τὸ ὄπισθεν, ἐναντία γὰρ καὶ ταῦτα ἐν βάθει. ἡ δ᾽ εἰς τὸ ἐναντίον μόνον, οὐ κίνησις, ἀλλὰ μεταβολή. οἷον, τὸ γίνεσθαι λευκὸν μὴ ἔκ τινος.

Ε Ἐκ διαιρέσεως οὕτως ἀπαραλείπτου τὰς ἀντιθέσεις λαβών, ἑκάστην λοιπὸν προχειριζόμενος δείξει, ποῖαι εἰσὶν ἐναντίαι κινήσεις. καὶ πρῶτον ὅτι ἡ ἐξ ἐναντίου τῇ εἰς ἐναντίον οὐκ ἔστιν ἐναντία. οἷον ἡ ἐξ ὑγιείας τῇ εἰς νόσον. ἡ αὐτὴ γάρ ἐστι καὶ μία. ἡ γὰρ κίνησις ἡ ἐξ ἐναντίου εἰς ἐναντίον, ἡ ἐξ ὑγιείας μεταβολὴ εἰς νόσον γίνεται. καὶ ἡ εἰς νόσον πάντως ἐξ ὑγιείας. ὥστε μία, καὶ οὔτε ἐναντίαι οὔτε πλείους. οὐ μέντοι ὁ αὐτός φησι λόγος, τῇ τε ἐξ ἐναντίου, καὶ τῇ εἰς ἐναντίον. διότι ἡ μὲν ἐξ ἐναντίου τὸ ἐξ οὗ ἡ μεταβολὴ μηνύει. ἡ δὲ εἰς ἐναντίον τὸ εἰς ὅ. καὶ ἔστι καθ᾽ ἑκατέραν ἐκ φορᾶς προηγούμενον μὲν τὸ ἕτερον τῶν ἐναντίων. κατὰ συμβεβηκὸς δὲ θάτερον δηλούμενον. καὶ διὰ τοῦτο εἶπεν ὥσπερ οὐ τὸ αὐτὸ, τὸ ἐξ ὑγιείας μεταβάλλειν, καὶ τὸ εἰς νόσον μεταβάλλειν. οὐ γὰρ ταυτὸν ἑκάτερον σημαίνει, τῷ ὅπου μὲν τὸ ἐξ οὗ, ὅπου δὲ τὸ εἰς ὃ ὡρίσθαι. καὶ καθόλου οὖν οὐ τὸ αὐτὸ πάντῃ τῷ ἐξ ἐναντίου τῷ εἰς ἐναντίον. δευτέραν ἀντίθεσιν προχειρίζεται, τὴν ἐξ ἐναντίου τῇ ἐξ ἐναντίου, κατὰ μὲν τὸ ἐξ ἐναντίων δοκοῦσαν ἐναντίαν εἶναι, οὐ μέντοι κινήσεις ἐναντίας περιέχουσαν. ὅτι πᾶσα κίνησις οὐ μόνον τὸ ἐξ οὗ ἔχει, ἀλλὰ καὶ τὸ εἰς ὅ. τὸ γὰρ ἐξ ὑγιείας κινούμενον πόθεν μὲν ἡ κίνησις ἄρχεται, δηλοῖ. τὴν δὲ εἰς ὃ κίνησιν οὐκ ἐμφαίνει. αὐτὸς δὲ πρῶτον δείκνυσιν, ὅτι αὕτη ἡ αὐτή ἐστι τῇ κατ᾽ ἄμφω λεγομένῃ. ἅμα γὰρ συμβαίνει ἐξ ἐναντίου εἶναι καὶ εἰς ἐναντίον ἢ τὸ μεταξύ. καὶ τοῦτο ὡς ἐναντίον. ὥστε εἶναι τὴν ἀντίθεσιν τῆς ἐξ ἐναντίου εἰς ἐναντίον. ἐν ᾗ μόνῃ δείξει προελθὼν τὴν τῶν κινήσεων ἐναντίωσιν. διὸ νῦν ἀναβάλλεται αὐτήν. δῆλον δὲ ὅτι καὶ ἡ εἰς ἐναντίον τῇ εἰς ἐναντίον, ἡ αὐτή ἐστι. τὸ γὰρ εἰς ἐναντίον ἐξ ἐναντίου πάντως. ὥστε πάλιν τὴν αὐτὴν ἀντίθεσιν γίνεσθαι, τὴν ἐξ ἐναντίου εἰς ἐναντίον, τῇ ἐξ ἐναντίου εἰς ἐναντίον. εἰ δέ τις οὕτω ψιλῶς ὡς κατὰ διαίρεσιν λάβοι, τὴν ἐξ ἐναντίου τῇ ἐξ ἐναντίου μόνον, μὴ προσλογιζόμενος ὅτι καὶ εἰς ἐναντία αὗται, καὶ πάλιν τῇ εἰς ἐναντίον τὴν εἰς ἐναντίον, μὴ ἐννοῶν ὅτι αἱ εἰς ἐναντία καὶ ἐξ ἐναντίων πάντως εἰσί, μᾶλλον δόξουσιν αἱ εἰς ἐναντίον γινόμεναι μεταβολαὶ ἐναντίαι εἶναι, ἤπερ αἱ ἐξ ἐναντίων. διότι ἡ λῆψις τῶν ἐναντίων μᾶλλον ἔχει ἐναντίωσιν, ἤπερ ἡ μεταβολὴ τῶν ἐναντίων. τὰ μὲν γὰρ ἀποβάλλοντα τὰ ἐναντία, παύεσθαι κατὰ τοῦτο δοκεῖ τῆς ἐναντιώσεως. τὰ δὲ προσλαμβάνοντα, γίνεσθαι μᾶλλον ἐναντία. καὶ ἔστιν ἡ μὲν εἰς ἐναντίον μεταβολή, τῇ λήψει τῶν ἐναντίων χαρακτηριζομένη. ἡ δὲ ἐξ ἐναντίων, τῇ ἀποβολῇ. ἔτι δὲ καὶ αἱ κινήσεις καὶ αἱ μεταβολαὶ χαρακτηρίζεσθαι δοκοῦσι, μᾶλλον ἀπὸ τῶν εἰς ἃ γίνονται, καὶ οὐκ ἀπὸ τῶν ἐξ ὧν, ὡς ἤδη καὶ πρότερον εἴρηται. νοσάζεσθαι γὰρ λέγομεν, τὸ εἰς νόσον ἰόν. καὶ ὑγιάζεσθαι, τὸ εἰς ὑγίειαν. εἰπὼν δὲ μᾶλλον ἐναντίας δύνασθαι εἶναι τὰς εἰς ἐναντία γινομένας, ἤπερ τὰς ἐξ ἐναντίων, καὶ ἀποκρίνας ἔτι μᾶλλον δι᾽ αὐτοῦ τὰς ἐξ ἐναντίων, ζητεῖ λοιπὸν περί τε τῶν εἰς ἐναντία γινομένων εἰ αὗται ἐναντίαι, καὶ περὶ τῶν ἐξ ἐναντίων εἰς ἐναντία. λείπεσθαι γὰρ ταύτας τὰς συζυγίας φησί, τῶν ἐν αἷς αἱ ἐναντίαι δύνανται κινήσεις γίνεσθαι. ἐπεὶ καὶ ἡ πρώτη κατὰ τὴν διαίρεσιν λείπεται, ἡ ἐκ τοῦ αὐτοῦ τῇ εἰς τὸ αὐτό. οὐδέπω γὰρ οὐδὲ περὶ ταύτης εἴρηται. δείξει δὲ ὅτι οὐκ ἐν κινήσει ἡ ἀντίθεσις αὕτη. λέγει δὲ περὶ τῶν εἰς ἐναντία, ὅτι συμβαίνει μὲν ταῖς εἰς ἐναντία γινομέναις, καὶ ἐξ ἐναντίων γίνεσθαι. ὥσπερ εἶπε καὶ ἐπὶ τῶν ἐξ ἐναντίων, προσθεὶς ἐκεῖ ὅτι μᾶλλον ἐναντίαι αἱ εἰς ἐναντία τῶν ἐξ ἐναντίων. κἂν συμβαίνῃ δέ φησι ταῖς εἰς ἐναντία καὶ ἐξ ἐναντίων γίνεσθαι, ὡς εἶναι ταυτὸν τό, τε εἰς ἐναντίον, καὶ τὸ ἐξ ἐναντίου εἰς ἐναντίον, τὸ γὰρ εἰς ὑγίειαν μεταβάλλον ἅμα καὶ ἐκ νόσου μεταβάλλει, τὸ δὲ εἶναι καὶ ὁ λόγος οὐχ ὁ αὐτός ἐστιν, τοῦ τε εἰς ὑγίειαν καὶ τοῦ ἐκ νόσου. καὶ διὰ τοῦτο οὐδὲ αὗται ἐναντίαι, μὴ ἔχουσαι πρὸς τῷ εἰς ὃ καὶ τὸ ἐξ οὗ, ὥσπερ εἶπε προϊὼν οὗτος. ἀποδείξας δὲ ὅτι ἐν οὐδεμιᾷ τῶν εἰρημένων ἀντιθέσεων ἔστι κινήσεων ἐναντίωσις, ἐφεξῆς δείκνυσιν ὅτι τῶν λοιπῶν δύο, τῆς ἐξ αὐτοῦ εἰς αὐτὸ, καὶ τῆς ἐξ ἐναντίου εἰς ἐναντίον, αὕτη ἐστὶν ἡ τὴν ἐναντίωσιν ἔχουσα τῶν κινήσεων. δείκνυσι δὲ ἀπ᾽ αὐτῆς τῆς αἰτίας ἀρξάμενος. ἐπειδὴ γὰρ ἡ κίνησις τῆς μεταβολῆς ταύτῃ διενήνοχε, τῷ ἐξ ὑποκειμένου εἰς ὑποκείμενον εἶναι, καὶ ἐξ ἐναντίου εἰς ἐναντίον, τὸ δὲ ἐναντίον ὑποκείμενόν ἐστιν, εἰκότως ἡ ἐξ ἐναντίου εἰς ἐναντίον κίνησις, τῇ ἐξ ἐναντίου εἰς ἐναντίον κινήσει ἐναντία ἐστί. μεταβολαὶ μὲν γὰρ καὶ ἐξ ὑποκειμένων εἰς

οὐχ ὑποκείμενα εἰσί, καὶ ἐξ οὐχ ὑποκειμένων εἰς ὑποκείμενα. ὥσπερ ἡ φθορὰ καὶ ἡ γένεσις. αἱ μέντοι κινήσεις ἐξ ὑποκειμένων εἰς ὑποκείμενά εἰσι, καὶ ἐξ ἐναντίων εἰς ἐναντία. ὅτι δὲ ταῦτα οὕτως ἔχει, καὶ ἐκ τῆς ἐπαγωγῆς ἐπιστώσατο. τὰς γὰρ ὁμολογουμένας ἐναντίας κινήσεις λαβὼν, τὸ νοσάζεσθαι καὶ τὸ ὑγιάζεσθαι, εὑρίσκει ταύτας ἐξ ἐναντίων εἰς ἐναντία γινομένας. τοιοῦτο δὲ καὶ τὸ μανθάνειν καὶ τὸ ἀπατᾶσθαι ὑφ᾽ ἑτέρου φησί. τὸ ὑφ᾽ ἑτέρου προσθεὶς, ἢ ὅτι τὸν ὑφ᾽ ἑαυτοῦ ἀπατώμενον δυνατὸν μὴ ἐξ ἐναντίας δόξης μεταβάλλειν, μὴ δὲ γεγονέναι ἐν τῇ ἀληθεῖ πρότερον δόξῃ περὶ τὸ προκείμενον, ἀλλ᾽ εὐθὺς ἐξ ἀρχῆς περὶ αὐτὰ ψευδοδοξῆσαι. ὁ δὲ τοιοῦτος οὐκ ἐξ ἐναντίου εἰς ἐναντίον μεταβάλλει. ὁ μέντοι ὑφ᾽ ἑτέρου παραγόμενος, εἰς τὸ ἀντικείμενον περιάγεται, ἀπὸ ἀληθοῦς εἰς ψεῦδος μεθιστάμενος. οὕτω μὲν οὖν ὁ Ἀλέξανδρος. μή ποτε δὲ ὥσπερ ὁ μανθάνων, ποτὲ μὲν ἐκ ψεύδους εἰς ἀλήθειαν μετάγεται, ποτὲ δὲ οὐδὲ περὶ τοῦ προκειμένου ἐννοῶν, οὔτ᾽ εἰ ψεῦδος οὔτ᾽ ἀληθὲς, ἐπιστήμην αὐτοῦ λαμβάνει, οὕτω καὶ ὁ ἀπατώμενος ἢ ἀπὸ ἀληθοῦς εἰς ψεῦδος μεταβάλλει, ἢ ψευδῆ δόξαν ἴσχει εὐθὺς ἀπὸ τοῦ ἀπατῶντος. δύο δὲ τούτων ὄντων τοῦ τε μανθάνειν καὶ τοῦ εὑρίσκειν, τοῦ μὲν, ἔξωθεν, τοῦ δὲ ἔνδοθεν τὴν ἐπιστήμην πορίζοντος, ἀντίκειται δὲ τῇ μὲν μαθήσει ἡ ὑφ᾽ ἑτέρου ἀπάτη, τῇ δὲ εὑρέσει ἡ ὑφ᾽ ἑαυτοῦ. εἰκότως οὖν τῇ μαθήσει οὐχ ἁπλῶς ἀπάτην, ἀλλὰ τὴν ὑφ᾽ ἑτέρου ἀπάτην ἀντιτέθεικεν, οὐχ ὡς ἀπὸ ἀληθοῦς εἰς ψεῦδος πάντως μετατιθέμενον, ἀλλ᾽ ἐκ τοῦ μὴ ψευδοδοξεῖν μεθιστάμενον, εἴτε ἀληθές τι πρότερον δοξάζων περὶ τοῦ προκειμένου ἐτύγχανεν ὁ ἀπατώμενος, εἴτε μὴ δοξάζων ὅλως. ἡ δὲ ἀντίθεσις τοῦ μανθάνειν πρὸς τὸ ἀπατᾶσθαι μὴ δι᾽ αὐτοῦ, κινήσεώς ἐστιν ἀντίθεσις τῆς ἀπὸ ἀγνοίας εἰς γνῶσιν, πρὸς τὴν ἀπὸ γνώσεως εἰς ἄγνοιαν. καὶ τρίτην δὲ πίστιν ἀπὸ τῶν κατὰ τὴν φορὰν ἐναντιώσεων ἐπάγει, τοῦ ἐναντίας εἶναι κινήσεις τὰς ἐξ ἐναντίων εἰς ἐναντία. τὴν γὰρ ἐπὶ τὸ ἄνω φορὰν τῇ ἐπὶ τὸ κάτω ἐναντίαν λέγομεν, ὡς ἐν μήκει. καὶ ἡ εἰς δεξιὰ τῇ εἰς ἀριστερὰ ἐναντία, ὡς ἐν πλάτει. καὶ ἡ εἰς τὸ ἔμπροσθεν τῇ εἰς τὸ ὄπισθεν, ὡς ἐν βάθει. δείξας δὲ καὶ ἐκ τῆς ἐπαγωγῆς, ὅτι ἐναντίαι κινήσεις ἐκεῖναι αἱ ἐξ ἐναντίων εἰς ἐναντία γινόμεναι, ἐπισημαίνεται πάλιν, ὅτι ἡ εἰς τὰ ἐναντία μόνον λεγομένη, μὴ συμπροσφέρουσα δὲ καὶ τὸ ἐξ ἐναντίων, οὐ κίνησίς ἐστιν, ἀλλὰ μεταβολή. διότι ἓν ὑποκείμενον δηλοῖ τὸ εἰς ὃ μόνον. τὸ δὲ ἐξ οὗ οὐκ ἔστιν. ὅπερ χρὴ τῇ κινήσει προσεῖναι, ἐξ ὑποκειμένου εἰς ὑποκείμενον γινομένῃ. καὶ γὰρ τὸ γίνεσθαι λευκὸν, κατ᾽ αὐτὸ τοῦτο μεταβολὴν μὲν ὡς γένεσιν σημαίνει, κίνησιν δὲ οὔ. ὅτι μὴ πρόσκειται αὐτῷ τὸ ἐξ οὗ καὶ ἐν τῇ λέξει ἐπεὶ δῆλον ὅτι ἐκ μέλανος τὸ λευκὸν γίνεται.

ΚΑῚ ὍΣΟΙΣ δὲ μή ἐστί τι ἐναντίον, ἡ ἐξ αὐτοῦ τῇ εἰς αὐτὸ μεταβολῇ, ἐναντία. διὸ γένεσις φθορᾷ ἐναντία. καὶ ἀποβολὴ λήψει. αὗται δὲ, μεταβολαὶ μὲν κινήσεις δ᾽ οὔ. τὰς δ᾽ εἰς τὸ μεταξὺ κινήσεις ὅσοις τῶν ἐναντίων τί ἐστι μεταξὺ, ὡς εἰς ἐναντία πως θετέον, ὡς ἐναντίῳ γὰρ χρῆται τῷ μεταξὺ ἡ κίνησις ἐφ᾽ ὁπότερα ἂν μεταβάλλῃ. οἷον ἐκ φαιοῦ μὲν, εἰς τὸ λευκὸν, ὡς ἐκ μέλανος καὶ ἐκ λευκοῦ εἰς φαιὸν ὡς εἰς μέλαν. ἐκ δὲ μέλανος εἰς φαιὸς, ὡς εἰς λευκὸν τὸ φαιόν. τὸ γὰρ μέσον, πρὸς ἑκάτερον λέγεταί πως τῶν ἄκρων, καθάπερ εἴρηται καὶ πρότερον. κίνησις μὲν δὴ κινήσει ἐναντία οὕτως ἡ ἐξ ἐναντίου εἰς ἐναντίον τῇ ἐξ ἐναντίου εἰς ἐναντίον.

Μία λοιπὸν ἀντίθεσις καὶ αὕτη δοκοῦσα ἀπελείπετο, ἣν πρῶτον ἀπηριθμήσατο κατὰ τὴν διαίρεσιν, ἡ ἐκ τοῦ αὐτοῦ τῇ εἰς τὸ αὐτό. λέγει οὖν καὶ περὶ τούτου, ὅτι ὥσπερ αἱ εἰς ἐναντία μὴ ἔχουσαι ἀντικείμενα τὰ ἐξ οὗ, μεταβολαὶ μέν εἰσι, κινήσεις δ᾽ οὔ, οὕτω καὶ αἱ ἐκ τοῦ αὐτοῦ εἰς τὸ αὐτὸ ἓν μόνον τὸ ὑποκείμενον λαμβάνουσαι, τὸ αὐτό τό, τε ἐξ οὗ καὶ τὸ εἰς ὅ, τὸ δὲ ἐναντίον αὐτῷ παραλείπουσαι, μεταβολαί εἰσιν ἐναντίαι, ἀλλ᾽ οὐ κινήσεις. ἡ γὰρ κίνησις ἐξ ἐναντίου εἰς ἐναντίον. τὸ δὲ ἐκ τοῦ αὐτοῦ εἰς τὸ αὐτὸ, τῇ γενέσει προσήκει καὶ τῇ φθορᾷ. ἐξ οὗ γὰρ ἡ φθορὰ μεταβάλλει, εἰς τοῦτο ἡ γένεσις πρόεισι. καὶ ἐξ οὗ ἡ γένεσις, εἰς τοῦτο ἡ φθορά. ὁμοίως δὲ καὶ ἡ ἀποβολὴ πρὸς τὴν λῆψιν ἔχει. ἡ γὰρ τοῦ αὐτοῦ λῆψις πρὸς τὴν τοῦ αὐτοῦ ἀποβολὴν ἐναντίως ἔχει. οὗ γὰρ ἡ ἀποβολὴ, τούτου ἡ λῆψις. καὶ οὗ ἡ λῆψις, τούτου ἡ ἀποβολή. εἰπὼν δὲ πρότερον ὅτι ἅμα μὲν συμβαίνει ἐξ ἐναντίου καὶ εἰς ἐναντίον ἡ μεταξὺ, δείκνυσι νῦν, ὅτι καὶ εἰς τὸ μεταξὺ καὶ ἐκ τῶν μεταξὺ, ὡς εἰς ἐναντία καὶ ἐξ ἐναντίων γίνονται, τῷ τὸ μεταξὺ πρὸς ἑκάτερον τῶν ἄκρων ἐναντίου λόγον ἔχειν. μίξει γὰρ τῶν ἐναντίων τὰ μεταξὺ συνίσταται ὡς εἴρηται πρότερον. διὸ καὶ ὡς ἐναντίῳ χρῆται τῷ μεταξὺ ἡ κίνησις, ἐφ᾽ ὁπότερα ἂν μεταβάλλῃ. οἷον ἐκ φαιοῦ μὲν, ὅταν εἰς λευκὸν μεταβάλλῃ, ὡς μέλανι χρῆται τῷ φαιῷ. καὶ ὅταν ἐκ λευκοῦ εἰς φαιόν. ὅταν δὲ ἐκ φαιοῦ εἰς μέλαν. ἢ ἐκ μέλανος εἰς φαιόν. τότε ὡς λευκῷ χρῆται τῷ φαιῷ. καὶ τὰς ἀπὸ τοῦ μεταξὺ οὖν καὶ ἐπὶ τὸ μεταξὺ κινήσεως, ὡς ἐναντίας θετέον.

ἘΠΕῚ ΔῈ κινήσει οὐ μόνον δοκεῖ κίνησις εἶναι ἐναντία. ἀλλὰ καὶ ἠρεμία, τοῦτο διοριστέον. ἁπλῶς μὲν γὰρ ἐναντίον κίνησις κινήσει. ἀντίκειται δὲ καὶ ἡ ἠρεμία. στέρησις γάρ ἐστιν. ἔστι δ᾽ ὡς καὶ ἡ στέρησις ἐναντία λέγεται. ποία δὲ ποία. οἷον τῇ κατὰ τόπον. ἡ κατὰ τόπον. ἀλλὰ τοῦτο μὲν νῦν λέγεται ἁπλῶς. πότερον γὰρ τῇ ἐνταῦθοι μονῇ ἡ ἐκ τούτου ἢ εἰς τοῦτο κίνησις ἀντίκειται. δῆλον δὴ ὅτι ἐπεὶ ἐν δυσὶν ἡ κίνησις ὑποκειμένοις τῇ μὲν ἐκ τούτου εἰς ἐναντίον, ἡ ἐν τούτῳ μονή. τῇ δ᾽ ἐκ τοὐναντίου εἰς τοῦτο, ἡ ἐν τῷ ἐναντίῳ.

ἐν τῷ ἐναντίῳ. ἅμα δὲ καὶ ἀλλήλαις ἐναντίαι αὗται. καὶ γὰρ ἄτοπον εἰ κινήσεις μὲν ἐναντίαι εἰσίν, ἠρεμίαι δὲ ἀντικείμεναι οὐκ εἰσίν. εἰσὶ δέ, αἱ ἐν τοῖς ἐναντίοις. οἷον, ἡ ἐν ὑγιείᾳ τῇ ἐν νόσῳ ἠρεμίᾳ. κινήσει δέ, τῇ ἐξ ὑγιείας εἰς νόσον. τῇ γὰρ ἐκ νόσου εἰς ὑγίειαν, ἄλογον. ἡ γὰρ εἰς αὐτὸ κίνησις, ἐν ᾧ ἕστηκεν, ἠρέμησις μᾶλλόν ἐστιν. ἣ συμβαίνει γε ἅμα γίνεσθαι τῇ κινήσει. ἀνάγκη δὲ ἢ ταύτην ἢ ἐκείνην εἶναι. οὐ γὰρ ἥ γε ἐν λευκότητι ἠρεμία ἐναντία τῇ ἐν ὑγιείᾳ.

εἴξας ποῖαι κινήσεις ἐναντίαι εἰσὶν ἀλλήλαις, ἐπειδὴ καὶ ἠρεμία πρὸς κίνησιν ἀντίκειται, καὶ δοκεῖ ἐναντία εἶναι, ζητεῖ καὶ περὶ ταύτης, πρῶτον μὲν ὅπως ἀντίκειται ἁπλῶς ἡ ἠρεμία τῇ κινήσει. ἔπειτα καὶ ποία ἠρεμία ποίᾳ κινήσει ἀντίκειται. ἐπειδὴ καὶ πρὸ τῆς κινήσεώς ἐστιν ἠρεμία, καὶ μετὰ κίνησιν. καὶ λέγει ὅτι κυρίως μὲν ἐναντίον κίνησις κινήσει ἐστί. καὶ γὰρ εἴδη ἄμφω. καὶ μεταβάλλει εἰς ἄλληλα. ἡ δὲ ἠρεμία πρὸς κίνησιν ἀντίκειται μέν, ὡς στέρησις δὲ μᾶλλον ἀντίκειται, καὶ οὐχ ὡς κυρίως ἐναντία. διότι μὴ εἶδός τί ἐστιν καὶ αὐτὴ ὥσπερ ἡ κίνησις, ἀλλ' ἀπουσία μόνον κινήσεως. ἔστι δὲ ὡς καὶ ἡ στέρησις φησὶν ἐναντία λέγεται, κοινῶς μὲν πᾶσα στέρησις, καθ' ὅσον ἀντίκειται, τῷ εἴδει, ἢ τῇ ἕξει, ἢ τῇ ἐνεργείᾳ. ἡ δὲ ἀντίθεσις ἐναντίωσις δοκεῖ. αὕτη δὲ ἡ στέρησις ἡ κατὰ τὴν ἠρεμίαν, καὶ ἄλλο τι ἔχει, καθὸ ἐναντία λέγοιτο ἂν μᾶλλον τῶν ἄλλων στερήσεων. τὰ μὲν γὰρ τὰς ἄλλας ἔχοντα στερήσεις, οὐ μεταβάλλει εἰς τὰς ἕξεις ἢ τὰ εἴδη. ὁ γοῦν νεκρὸς καὶ ὁ τυφλὸς οὐ μεταβάλλουσιν εἰς τὸ ζῆν ἢ τὸ ὁρᾶν. τὰ δὲ ἠρεμοῦντά ποτε, καὶ κινεῖσθαι πάλιν πέφυκεν. ἠρεμία γάρ ἐστιν ἡ τοῦ πεφυκότος κινεῖσθαι ἀκινησία. καὶ ἔοικεν ἡ στέρησις αὕτη τῇ τῆς ὕλης στερήσει, τῇ μετὰ τῆς ἐπιτηδειότητος τῆς πρὸς τὸ εἶδος θεωρουμένῃ. ἐφ' ἧς καὶ ἀληθές τό ἐστιν ὡς ἐναντία καὶ ἡ στέρησις λέγεται. ἐπειδὴ γὰρ αἱ γενέσεις ἐκ τῶν ἐναντίων, τὰ πεφυκότα μεταβάλλειν κατὰ τὴν ἐναντίωσιν τὴν ἐν ἑαυτοῖς, ἔχει ταύτην τὴν ἐπιτηδειότητα. εἶτα ζητεῖ ποία ἠρεμία ποίᾳ κινήσει ἀντίκειται, κατὰ τὴν μέσην ταύτην ἀντίθεσιν τῶν τε κυρίως λεγομένων στερήσεων καὶ τῶν ἐναντίων, καθ' ἣν ἡ ἠρεμία τῇ κινήσει ἀντίκειται. καὶ πρῶτον λέγει ὅτι ἡ ἔν τινι γένει ἠρεμία ἐναντία τῇ ἐν τῷ αὐτῷ γένει κινήσει. τοῦτο δὲ δι' ἑνὸς γένους κινήσεως ἐσήμανεν, εἰπὼν τῇ κατὰ τόπον ἡ κατὰ τόπον. δῆλον γὰρ ὅτι καὶ ἐπὶ τῶν ἄλλων κινήσεων, ἀλλοιώσεώς τε φημὶ καὶ αὐξήσεως ὁ αὐτός ἐστι λόγος. οὐ γὰρ ἡ κατὰ τὸ ποιὸν ἠρεμία, ἔστιν ἐναντία τῇ κατὰ τόπον κινήσει. ἀλλ' ἡ κατὰ τόπον τῇ κατὰ τόπον. καὶ ἡ κατὰ ἀλλοίωσιν τῇ κατὰ ἀλλοίωσιν. καὶ ἡ κατὰ τὸ ποσὸν τῇ κατὰ τὸ ποσόν. ἀλλ' οὐκ ἀρκεῖ τοῦτο εἰπεῖν, ὅτι ἡ κατὰ τόπον ἠρεμία τῇ κατὰ τόπον κινήσει ἀντίκειται. καὶ ὅλως αἱ ὁμογενεῖς ἀλλήλαις. τοῦτο γὰρ ἁπλῶς ὁλοσχερῶς λέγεται. πλείους γὰρ κινήσεις καὶ ἠρεμίαι καθ' ἑκάστην τοπικὴν διάστασιν εἰσί. καὶ γὰρ κατὰ μῆκος κίνησις ἡ μέν, ἐπὶ τὸ ἄνω, ἡ δὲ ἐπὶ τὸ κάτω. καὶ ἠρεμία ἡ μέν, ἐν τῷ ἄνω, ἡ δὲ ἐν τῷ κάτω. διὸ ζητητέον ποία ἐν τούτοις ἠρεμία, ποίᾳ κινήσει ἀντίκειται. καὶ φησὶν ὅτι ἐπειδὴ ἡ κίνησις ἐξ ὑποκειμένου εἰς ὑποκείμενόν ἐστι, τοῦτο δὲ δηλοῖ τὸ ἐν δυσὶν ὑποκειμένοις εἶναι, ἐξ ἐναντίου δὲ εἰς ἐναντίον ἐστίν, ᾧ καὶ διαφέρει κίνησις γενέσεως καὶ φθορᾶς, τῇ μὲν κινήσει τῇ ἐκ τοῦδε εἰς τὸ ἐναντίον, οἷον τῇ ἐκ τοῦ κάτω εἰς τὸ ἄνω, ἢ ἐκ τοῦ λευκοῦ εἰς τὸ μέλαν, ἡ ἐν τῷ κάτω καὶ τῷ λευκῷ μόναι ἐναντίαι. πάλιν δὲ τῇ ἐκ τοῦ ἄνω ἐπὶ τὰ κάτω κινήσει, ἢ τῇ ἐκ τοῦ μέλανος εἰς τὸ λευκόν, ἡ ἐν τῷ ἄνω ἠρεμία καὶ ἡ ἐν τῷ λευκῷ ἐναντία. ὥστε καθόλου τὴν ἐν τούτῳ, ἐξ οὗ ἡ κίνησις γίνεται, ἠρεμίαν, ἐναντίαν τῇ ἐξ αὐτοῦ κινήσει γίνεσθαι, ἀλλ' οὐχὶ τῇ εἰς αὐτό. καὶ γὰρ ἀνάγκη ἐκεῖνο μὲν ὃ φεύγει κατὰ φύσιν ἐναντίον εἶναι, τὸ δὲ εἰς ὃ ἄπεισιν οἰκεῖον. ἐπειδὴ δέ φησιν ἄτοπον κινήσεις μὲν ἐναντίας εἶναι ἀλλήλαις, ἠρεμίας δὲ μὴ εἶναι, ῥητέον ὅτι καὶ ἠρεμίαι αὗται εἰσὶν ἐναντίαι ἀλλήλαις, αἱ ἐν τοῖς ἐναντίοις τόποις καὶ ταῖς ἐναντίαις ποιότησιν ἢ ποσότησιν. οἷον ἡ ἐν τῷ ἄνω ἠρεμία, τῇ ἐν τῷ κάτω. καὶ ἡ ἐν τῷ λευκῷ, τῇ ἐν τῷ μέλανι. καὶ ἡ ἐν ὑγείᾳ τῇ ἐν νόσῳ. κινήσει μέντοι τῇ ἐξ ὑγείας ἡ ἐν ὑγείᾳ ἠρεμία ἀντίκειται, οὐχ ἡ ἐν νόσῳ, ὡς εἴρηται πρότερον. τῇ γὰρ ἐκ νόσου εἰς ὑγείαν ἀντικεῖσθαι αὐτὴν εὔλογον. καὶ τὴν αἰτίαν νῦν προστίθησιν ἐναργῶς. ἡ γὰρ κατὰ φύσιν φησὶ κίνησις ἡ εἰς ἐκεῖνο, ἐν ᾧ κατὰ φύσιν ἠρεμεῖ τὸ κινούμενον, σκοπὸν ἐκείνην ἔχουσα τὴν ἠρεμίαν, καὶ δι' αὐτὴν γινομένη, γένεσις τρόπον τινὰ τῆς ἠρεμίας ἐστὶ καὶ ἠρέμησις. ὥστε οἰκειότης ἐστὶ πλείστη τῇ κινήσει τῇ ἐν ᾧ ἠρεμήσει, πρὸς τὴν ἐν ἐκείνῳ ἠρεμίαν. εἰ δὲ οἰκεία, οὐκ ἐναντία. οὐ γὰρ τῇ γενέσει τινὸς τὸ γινόμενον ἐναντίον οἷόν τε λέγειν ἢ στέρησιν αὐτῆς. εἰ δὲ καὶ τέλος τῶν ἐπί τι κινουμένων ἡ ἐν ἐκείνοις ἠρεμία, τὸ τέλος τινὸς πῶς ἂν ἐναντίον εἴη ἢ στέρησις αὐτοῦ. εἰ τοίνυν ἀνάγκη τὴν ἐξ οὗ ἢ τὴν εἰς ὃ ἠρεμίαν ἐναντίαν εἶναι τῇ κινήσει, οὐ γὰρ δὴ ἡ ἐξ ἄλλου γένους ἠρεμία, ἐναντία ἔσται τῇ ἐν ἄλλῳ γένει κινήσει, ἀδύνατον δὲ τὰς εἰς ὃ ἐναντίας ἀλλήλαις εἶναι, ἀνάγκη τὴν ἐν ᾧ ἠρεμίαν ἐναντία εἶναι τῇ ἐξ αὐτοῦ κινήσει. καὶ γὰρ εἰ κατὰ φύσιν ἐστὶ τῷ κινουμένῳ ἡ ἐκ τοῦδε κίνησις, ἡ ἐν αὐτῷ ἠρεμία παρὰ φύσιν αὐτῷ γίνεται. ἐναντίον δὲ τὸ παρὰ φύσιν τῷ κατὰ φύσιν. εἰ δέ τις ἀπορεῖ, πῶς εἰ ἓν ἑνὶ ἐναντίον, τῇ κινήσει καὶ κίνησις ἀντίκειται καὶ ἠρεμία, καὶ τῇ ἠρεμίᾳ ὁμοίως καὶ ἠρεμία καὶ κίνησις ἐναντίαι λέγονται, ῥητέον ὅτι οὐ κυρίως ἐναντίαι εἰσὶν ἠρεμία καὶ κίνησις ἀλλ' οὐδὲ στέρησις ἡ ἠρεμία τοιαύτη, οἵαν ἐν κατηγορίαις εἶπε τὴν μὴ ὑποστρέφουσαν εἰς τὸ εἶδος. ἀλλὰ κατά τι μέσον εἶδος στερήσεως καὶ ἐναντιότητος, ἔοικεν ἀντικεῖσθαι ἀλλήλοις ἠρεμία καὶ κίνησις.

ΟΣΟΙΣ ΔΕ μὴ ἔστιν ἐναντία, τούτων μεταβολὴ μέν ἐστιν ἀντικειμένη ἡ ἐξ αὐτοῦ τῇ εἰς αὐτό. κίνησις δ' οὐκ ἔστιν. οἷον ἡ ἐξ ὄντος τῇ εἰς ὄν. καὶ μόνη μὲν τούτων οὐκ ἔστιν. ἀμεταβλησία δὲ, καὶ εἰ μέν τι εἴη ὑποκείμενον τὸ μὴ ὄν, ἡ ἐν τῷ ὄντι ἀμεταβλησία τῇ ἐν τῷ μὴ ὄντι, ἐναντία. εἰ δὲ μή ἐστί τι τὸ μὴ ὄν, ἀπορήσειεν ἄν τις, τίνι ἐναντία ἡ ἐν τῷ ὄντι ἀμεταβλησία, καὶ εἰ ἠρεμία ἐστίν. εἰ δὲ τοῦτο, ἢ οὐ πᾶσα ἠρεμία κινήσει ἐναντία, ἢ ἡ γένεσις, καὶ ἡ φθορὰ κίνησις. δῆλον τοίνυν ὅτι ἠρεμία μὲν, οὐ λεκτέα εἰ μὴ καὶ αὗται κινήσεις. ὅμοιον δέ τι καὶ ἀμεταβλησία. ἐναντία δὲ, ἢ οὐθενί. ἢ τῇ ἐν τῷ μὴ ὄντι. ἢ τῇ φθορᾷ. αὕτη γὰρ ἐξ αὐτῆς. ἡ δὲ γένεσις, εἰς ἐκείνην.

Εἰπὼν τὴν ἐν τῷ ἑτέρῳ τῶν ἐναντίων ἠρεμίαν ἐναντίαν εἶναι τῇ ἐξ αὐτοῦ κινήσει, ζητεῖ εἰ καὶ ἐπὶ τῶν μεταβολῶν τῶν μὴ ἐξ ἐναντίου εἰς ἐναντίον γινομένων, καὶ διὰ τοῦτο μὴ οὐσῶν κινήσεων, ὡς ἐλέγετο ἐπὶ γενέσεως καὶ φθορᾶς, ἔστι τις ἠρεμία ταύταις ταῖς μεταβολαῖς ἐναντία, τῇ ἐξ αὐτοῦ εἰς αὐτό. αὗται γοῦν ἦσαν αἱ μεταβολαὶ ὡς γένεσις καὶ φθορὰ ἀντικείμεναι. φθορὰ μὲν ἡ ἐκ τοῦ ὄντος εἰς τὸ μὴ ὄν μεταβολή. γένεσις δὲ, ἡ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ ὄν. ἢ οὐκ ἔστιν αὐταῖς ἀντικειμένη ἠρεμία, διότι οὐδὲ κινήσεις αὗται λέγονται, ἀλλὰ μεταβολαὶ μόναι. ἡ δὲ ἠρεμία τῇ κινήσει ἀντίκειται. τί οὖν οὐκ ἔστι τι πέρας τῆς γενέσεως ἡ ἐν τῷ εἴδει μονή, ὥσπερ τῆς ἄνωθεν κάτω κινήσεως ἡ ἐν τῷ κάτω μονή. ἢ ἔστι μὲν, οὐ μὴν ἠρεμία κλητέα αὕτη. ἀλλὰ ἀμεταβλησία μᾶλλον. διότι ἡ μὲν τῆς κινήσεως ἀπουσία, ἠρεμία λέγεται. ἡ δὲ τῆς μεταβολῆς, ἀμεταβλησία. ἀλλ' ἔσω ἀμεταβλησίαν καλεῖσθαι. τίνι ἂν εἴη ἀμεταβλησία, καὶ τίνι μεταβολῇ ἐναντία ἡ ἀμεταβλησία αὕτη. ἢ μὲν ἔστι τι ὑποκείμενον τὸ μὴ ὄν ὥσπερ ἡ ὕλη, ἡ ἐν τῷ ὄντι ἀμεταβλησία τῇ ἐν τῷ μὴ ὄντι ἀμεταβλησίᾳ ἔσται ἐναντία, καὶ τῇ ἐκ τοῦ ὄντος μεταβολῇ. εἰ δὲ μὴ ἔστι τι τὸ μὴ ὄν φησιν, ἀπορήσειεν ἄν τις τίνι ἀμεταβλησία ἐστὶν ἐναντία ἡ ἐν τῷ ὄντι ἀμεταβλησία. ἀπορήσειε δ' ἄν τις φησὶ καὶ εἰ ἠρεμίαν χρὴ λέγειν τὴν ἐν τῷ ὄντι ἀμεταβλησίαν. διὰ τὰ ἑπόμενα ἄτοπα. εἰ γὰρ ἠρεμίαν τις λέγοι ἐπὶ γενέσεως καὶ φθορᾶς τὴν ἐν τῷ ὄντι ἀμεταβλησίαν, δυοῖν θάτερον ἀνάγκη. ἢ γὰρ οὐ πᾶσα ἠρεμία κινήσει ἐναντία ἔσται. ἐπεί περ ἡ ἐν τῷ ὄντι ἀμεταβλησία ἠρεμία οὖσα, τῇ ἐκ τοῦ ὄντος μεταβολῇ ἀντίκειται. αὕτη δὲ οὐκ ἔστι κίνησις ὡς δέδεικται πρότερον. διότι μὴ ἔστιν ἐξ ὑποκειμένου εἰς ὑποκείμενον. ἢ εἰ πᾶσα ἠρεμία κινήσει ἀντίκειται, ἔσται καὶ ἡ φθορὰ κίνησις. ὁμοίως δὲ καὶ ἡ γένεσις. δέδεικται δὲ ὅτι οὐκ εἰσὶν αὗται κινήσεις. ἵν' οὖν μηδέτερον τούτων τῶν ἀτόπων συμβαίνῃ, ἠρεμίαν μὲν οὐ κλητέον τὴν ἐν τῷ ὄντι μονήν. ὅμοιον δέ τι αὐτὸ ἠρεμίᾳ κλητέον. καὶ ῥητέον αὐτὸ ἀμεταβλησίαν στέρησιν οὖσαν οὐ κινήσεως ἀλλὰ μεταβολῆς. αὕτη δὲ ἡ ἐν τῷ ὄντι ἀμεταβλησία, ἢ οὐδενί ἐστιν ἐναντία. ἡ γὰρ ἠρεμία καὶ οὐχὶ ἡ ἀμεταβλησία ἔκειτο τινὶ ἐναντίον. ἢ εἰ ἔστι τινὶ ἐναντία, ἤτοι τῇ ἐν τῷ μὴ ὄντι ἀμεταβλησίᾳ ἔσται ἐναντία, εἰ ἔστι τι τὸ μὴ ὄν. ἢ τῇ φθορᾷ. ἥτις ἐστὶν ἐκ τοῦ ὄντος μεταβολή. ταύτῃ γὰρ ὡς μεταβολῇ ἀντικείσεται. κἂν μὴ ᾖ τι τὸ μὴ ὄν. διὸ οὕτως εἶπεν, ἢ τῇ ἐν τῷ μὴ ὄντι, ἢ τῇ φθορᾷ. αὕτη γάρ φησιν ἡ φθορὰ ἐξ αὐτῆς ἐστι τῆς ἐν τῷ ὄντι ἀμεταβλησίας. ἡ δὲ γένεσις ὁδός ἐστιν ἐπ' ἐκείνην. ὡς γὰρ ἐπὶ τῆς ἠρεμίας ἐλέχθη, οὕτως ἔχει καὶ ἐπὶ τῆς ἀμεταβλησίας. ἡ γοῦν ἐξ οὗ μεταβάλλει ἀμεταβλησία, τῇ ἐξ οὗ μεταβολῇ ἀντίκειται, ἀλλ' οὐχὶ τῇ εἰς αὐτό. ὥστε τῇ μὲν φθορᾷ ὡς μεταβολῇ ἀντίκειται, ἡ ἐν τῷ ὄντι ἀμεταβλησία. τῇ δὲ γενέσει καὶ τῇ ἐν τῷ ὄντι ἀμεταβλησίᾳ, εἴη ἂν ἀμεταβλησία ἀντικειμένη ἡ ἐν τῷ μὴ ὄντι, εἴπερ εἴη τι τὸ μὴ ὄν. ἡ δὲ ἐν ἀρχῇ ταύτης τῆς λέξεως γραφὴ διχῶς φέρεται. ἢ γὰρ οὕτως. ὅσοις δὲ μὴ ἔστιν ἐναντία, μεταβολὴ μέν ἐστιν ἀντικειμένη, ἡ ἐξ αὐτοῦ τῇ εἰς αὐτό, κίνησις δὲ οὐκ ἔστιν. ἢ οὕτως. ὅσοις δὲ μὴ ἔστιν ἐναντία, τούτων μεταβολὴ μέν ἐστιν ἀντικειμένη, καὶ τὰ ἑξῆς. τὰ δὲ αὐτὰ τοῖς προτέροις καὶ ταῦτα σημαίνει. ἔστι δὲ γοῦν τρίτη τοιαύτη. ὅσοις μὴ ἔστιν ἐναντία, ὧν μεταβολὴ μέν ἐστιν ἀντικειμένη ἡ ἐξ αὐτοῦ τῇ εἰς αὐτό, κίνησις δὲ οὐκ ἔστι. καὶ ταύτην μᾶλλον ὁ Ἀλέξανδρος ἀποδέχεται. ὡς γὰρ σημαίνων φησὶ τίνων οὐκ ἔστιν ἠρεμία ἀλλὰ ἀμεταβλησία, λέγει. ἀλλ' οὐχ ὡς δεικνὺς ὅτι μὴ εἰσὶ κινήσεις αἱ τοιαῦται μεταβολαί, μηδὲ ὡς κινήσεις ἀλλήλαις ἀντίκεινται, ἀλλ' ὡς μεταβολαί. τοῦτο γὰρ ἤδη δέδεικται.

ἈΠΟΡΗΣΕΙΕ δ' ἄν τις διατί ἐν μὲν τῇ κατὰ τόπον μεταβολῇ εἰσὶ καὶ κατὰ φύσιν καὶ παρὰ φύσιν, καὶ μοναὶ καὶ κινήσεις. ἐν δὲ ταῖς ἄλλαις, οὔ. οἷον ἀλλοίωσις, ἡ μὲν, κατὰ φύσιν. ἡ δὲ, παρὰ φύσιν. οὐθὲν γὰρ μᾶλλον ἡ ὑγίανσις, ἢ ἡ νόσανσις κατὰ φύσιν. ἢ παρὰ φύσιν. οὐδὲ λεύκανσις, ἢ μέλανσις. ὁμοίως δὲ καὶ ἐπὶ τῶν αὐξήσεως καὶ φθίσεως. οὔτε γὰρ αὗται ἀλλήλαις ἐναντίαι ὡς φύσει ἢ παρὰ φύσιν, οὔτε αὔξησις αὐξήσει. καὶ ἐπὶ γενέσεως δὲ καὶ φθορᾶς. ὁ αὐτὸς λόγος. οὔτε γὰρ ἡ μὲν γένεσις, κατὰ φύσιν. ἡ δὲ φθορά, παρὰ φύσιν. τὸ γὰρ γηρᾶν, κατὰ φύσιν. οὔτε γένεσιν ὁρῶμεν τὴν μὲν, κατὰ φύσιν. τὴν δὲ, παρὰ φύσιν, εἰ δὲ ἔστι τὸ, βίᾳ παρὰ φύσιν, καὶ φθορὰ ἂν εἴη φθορᾷ ἐναντία ἡ βίαιος ὡς παρὰ φύσιν οὖσα τῇ κατὰ φύσιν. ἆρα οὖν καὶ γενέσεις εἰσὶν ἔνιαι, βίαιοι, καὶ οὐχ εἱμαρμέναι, αἷς ἐναντίαι αἱ κατὰ φύσιν. καὶ αὐξήσεις βίαιοι καὶ φθίσεις. οἷον, αὐξήσεις αἱ τῶν ταχὺ διὰ τρυφὴν ἡβόντων. καὶ οἱ σῖτοι, οἱ ταχὺ ἁδρυνόμενοι, καὶ μὴ πιληθέντες. ἐπὶ δ' ἀλλοιώσεως, πῶς. ἢ ὡσαύτως. ἔνιαι γὰρ ἂν αἱ μὲν τινὲς, βίαιοι. αἱ δὲ, φυσικαί, οἷον οἱ ἀφιέμενοι μὴ ἐν κρισίμοις ἡμέραις. οἱ δ' ἐν κρισίμοις, οἱ μὲν παρὰ φύσιν ἠλλοίωνται. οἱ δὲ κατὰ φύσιν. ἔσονται δ' ἐναντίαι αἱ φθοραὶ ἀλλήλαις οὐ γενέσει.

γενέσει. καὶ τί γε κωλύει; ἔστι γὰρ ὡς. καὶ γὰρ εἰ ἡ μὲν ἡδεῖα, ἡ δὲ, λυπηρὰ εἴη. ὥστε οὐχ ἁπλῶς φθορὰ φθορᾷ ἐναντία. ἀλλ᾽ ᾗ ἡ μὲν, τοιαδὶ, ἡ δὲ, τοιαδὶ αὐτῶν ἐστιν.

Εἰπὼν τίνες κινήσεις καὶ ἠρεμίαι, τίσι κινήσεσιν, καὶ ἠρεμίαις εἰσὶν ἐναντίαι κατὰ φύσιν ἄμφω, ὅτι κίνησις μὲν κινήσει ἡ ἐκ τοῦ ἐναντίου τῇ ἐκ τοῦ ἐναντίου, κίνησις δὲ μονῇ ἡ ἔκ τινος τῇ ἐν αὐτῷ, ἐπειδὴ οὐ μόνον αἱ κατὰ φύσιν ταῖς κατὰ φύσιν ἀντίκεινται, ὡς ἡ κάτωθεν ἄνω τοῦ πυρὸς, τῇ ἄνωθεν κάτω τῆς γῆς, ἀλλὰ καὶ ἡ τοῦ αὐτοῦ παρὰ φύσιν τῇ κατὰ φύσιν, ὡς τῆς γῆς ἡ κάτωθεν ἄνω τῇ ἄνωθεν κάτω, μέλλων καὶ περὶ τούτων λέγειν τῶν ἀντιθέσεων, ἀπορεῖ πρῶτον, διατί ἐν μὲν τῇ κατὰ τόπον μεταβολῇ καὶ κινήσεις εἰσὶ καὶ μοναὶ, καὶ κατὰ φύσιν καὶ παρὰ φύσιν, οἷον πυρὸς παρὰ φύσιν μὲν, κίνησις μὲν ἡ εἰς τὸ κάτω μονὴ δὲ ἡ ἐν τῷ κάτω, κατὰ φύσιν δὲ, κίνησις μὲν εἰς τὸ ἄνω, μονὴ δὲ ἡ ἐν τῷ ἄνω, καὶ ἐπὶ τῶν ἄλλων ἁπλῶν σωμάτων καὶ ἄλλων ἁπλῶν κινήσεων ὁ αὐτὸς λόγος, ἐπί γε τῶν κατὰ τόπον, ἐπὶ δὲ ἀλλοιώσεως καὶ τῆς κατὰ τὸ ποσὸν μεταβολῆς, οὐκέτι ἡ τοῦ κατὰ φύσιν καὶ παρὰ φύσιν ἀντίθεσις ὁρᾶσθαι δοκεῖ. οὐδὲν γὰρ μᾶλλον τὸ λευκαίνεσθαι τοῦ μελαίνεσθαι κατὰ φύσιν ἢ παρὰ φύσιν τοῖς σώμασι. καὶ τὸ ὑγιάζεσθαι ἢ νοσάζεσθαι. ὁμοίως γὰρ δοκεῖ τὸ σῶμα τῶν ζώων ἀμφοτέρων τούτων εἶναι δεκτικόν. ὁ δὲ αὐτὸς λόγος καὶ περὶ αὐξήσεως καὶ φθίσεως. οὔτε γὰρ ἡ μὲν αὔξησις κατὰ φύσιν, ἡ δὲ μείωσις παρὰ φύσιν, οὔτε ἀνάπαλιν. ἀλλ᾽ οὐδὲ αὔξησις αὐξήσει ἀντικεῖσθαι δοκεῖ, ὡς εἶναι τὴν μὲν, κατὰ φύσιν, τὴν δὲ παρὰ φύσιν. ὁμοίως δὲ καὶ περὶ τῶν ἄλλων μεταβολῶν τῆς γενέσεως καὶ φθορᾶς ἔχει. οὐ γὰρ τὸ μὲν ἕτερον αὐτῶν κατὰ φύσιν ἡ γένεσις, τὸ δὲ ἕτερον παρὰ φύσιν ἡ φθορά. τὸ γὰρ γῆρας ὅ ἐστιν μεταβολὴ ἐκ τοῦ εἶναι εἰς τὸ μὴ εἶναι καὶ φθορὰ, κατὰ φύσιν καὶ αὐτὸ δοκεῖ εἶναι. ἀλλ᾽ οὐδὲ γένεσις γενέσει δοκεῖ οὕτως ἀντικεῖσθαι, ὡς εἶναι τὴν μὲν, κατὰ φύσιν, τὴν δὲ, παρὰ φύσιν. ἀπορήσας δὲ οὕτω, τὸ μὲν ἄμφω τὰς ἀντικειμένας, οἷον λεύκανσιν καὶ μέλανσιν, καὶ αὔξησιν καὶ μείωσιν, καὶ γένεσιν καὶ φθορὰν, κατὰ φύσιν εἶναι ἐνδίδωσι. καὶ γὰρ ἐπὶ τῆς κατὰ τόπον ἡ ἄνω καὶ ἡ κάτω ἀντικείμεναι ἄμφω εἰσὶ κατὰ φύσιν, εἰ καὶ ἐπὶ ἄλλου καὶ ἄλλου. τὸ δὲ ἐπὶ τοῦ αὐτοῦ εἴδους, οἷον αὐξήσεως ἢ γενέσεως καὶ φθορᾶς, εἶναι τὴν μὲν κατὰ φύσιν, τὴν δὲ, παρὰ φύσιν, ὡς ἐπὶ τῆς ἄνω κινήσεως ἢ ἐπὶ τῆς κάτω, δείκνυσιν ἐκ τοῦ τὸ βίαιον ἐν πάσαις ὁρᾶσθαι, τὸ δὲ βίαιον παρὰ φύσιν εἶναι. καὶ φθορὰ ἂν οὕτω εἴη φθορᾷ ἐναντία ἡ βίαιος τῇ κατὰ φύσιν. ἀλλ᾽ ἐπὶ μὲν φθορᾶς τὸ βίαιον δῆλον. καὶ γενέσεις δέ εἰσι βίαιοι, καὶ οὐ κατὰ τὸν εἱρμὸν τῆς φύσεως γινόμεναι. ἃς οὐχ εἱμαρμένας εἶπεν, ὅταν παρὰ ἡλικίαν γεννᾷ τινά. καὶ σημειοῦνται ἐντεῦθεν οἱ ἐξηγηταὶ, ὅτι τὴν εἱμαρμένην οἱ ἀπὸ τοῦ περιπάτου ἐν τοῖς κατὰ φύσιν τίθενται, ἐπεὶ περ τὰς βιαίας καὶ παρὰ φύσιν κινήσεις οὐχ εἱμαρμένας εἶπε. καὶ αὐξήσεις δὲ παρὰ φύσιν εἶναι φησί τινάς. ὡς τῶν ταχὺ διὰ τρυφὴν ἡβώντων. οἱ καὶ γεννῶσιν ἂν παρὰ φύσιν καὶ βίᾳ. καὶ σῖτος δὲ διὰ θέρμην ταχὺ φύεται καὶ αὔξεται, ἐν τοῖς ἀδώνιδος καλουμένοις κήποις, πρὸ τοῦ ῥιζωθῆναι καὶ πιληθῆναι ἐν τῇ γῇ. καὶ ἐπὶ ἀλλοιώσεως δὲ τὸ κατὰ φύσιν εὑρίσκει καὶ παρὰ φύσιν. οἱ μὲν γὰρ ἐν ταῖς κρισίμοις ἡμέραις τῶν νόσων παυόμενοι, κατὰ φύσιν ἀλλοιοῦνται καὶ βεβαίως. οἱ δὲ μὴ ἐν κρισίμοις, παρὰ φύσιν καὶ ἀβεβαίως. εἰπὼν δὲ γένεσιν γενέσει ἐναντίαν εἶναι καὶ φθορὰν φθορᾷ, ἐπέστησεν ὅτι ἔσονται φθοραὶ ἐναντίαι ἀλλήλαις. εἰ δὲ τοῦτο, ἐπειδὴ τῇ φθορᾷ καὶ ἡ γένεσις ἀντίκειται, δύο ἐνὶ ἔσται ἐναντία. τῇ γὰρ φθορᾷ καὶ ἡ γένεσις ἔσται καὶ ἡ φθορὰ ἐναντία. ὁμοίως δὲ καὶ τῇ γενέσει γένεσις καὶ φθορὰ, ἐπεὶ περ καὶ γενέσει γένεσις ἀντίκειται. ταύτην δὴ τὴν ἔνστασιν βραχέως ἐκλειξάμενος διὰ τοῦ, ἔσονται δὴ ἐναντίαι φθοραὶ ἀλλήλαις οὕτω λαμβανόμεναι, καὶ οὐχὶ γενέσει, εἰ οὕτω καὶ γενέσει, δύο ἐνὶ ἐναντία ἔσται, λύει τὴν ἔνστασιν λέγων μηδὲν κωλύειν κατά τι καὶ φθορὰν εἶναι φθορᾷ ἐναντίαν. οὐ καθὸ φθορά. ἀλλὰ καθὸ ἡ μὲν, κατὰ φύσιν, ἡ δὲ παρὰ φύσιν. ἃ συμβέβηκε ταῖς φθοραῖς. ὥστε οὐ δύο ἐνὶ ἐναντία. ἐπεὶ περ καθὸ μὲν φθορὰ γενέσει μόνη ἐναντία ἐστὶ, καθὸ δὲ κατὰ φύσιν φθορὰ τῇ παρὰ φύσιν. ὥσπερ καὶ εἰ ἡ μὲν τὸ ἡδὺ εἶχε συμβεβηκὸς, ἡ δὲ, τὸ λυπηρὸν, ἦν ἄν τις αὐτῶν κατὰ τοῦτο ἀντίθεσις.

Ὅλως μὲν οὕτω ἐναντίαι κινήσεις καὶ ἠρεμίαι, τὸν εἰρημένον τρόπον εἰσίν. οἷον, ἡ ἄνω, τῇ κάτω. τόπου γὰρ ἐναντιώσεις αὗται. φέρεται δὲ τὴν μὲν ἄνω φορὰν φύσει τὸ πῦρ. τὴν δὲ κάτω, ἡ γῆ. καὶ ἐναντίαι αὐτῶν αἱ φοραὶ, τὸ δὲ πῦρ. ἄνω μὲν φύσει. κάτω δὲ, παρὰ φύσιν. καὶ ἐναντία γε ἡ κατὰ φύσιν αὐτοῦ, τῇ παρὰ φύσιν. καὶ μοναὶ δ᾽ ὡσαύτως. ἡ γὰρ ἄνω μονὴ τῇ ἄνωθεν κάτω κινήσει, ἐναντία. γίνεται δὲ τῇ γῇ, ἡ μὲν μονὴ ἐκείνη, παρὰ φύσιν, ἡ δὲ κίνησις αὕτη, κατὰ φύσιν. ὥστε κινήσει μονὴ ἐναντία ἡ παρὰ φύσιν τῇ κατὰ φύσιν τοῦ αὐτοῦ. καὶ γὰρ ἡ κίνησις ἡ τοῦ αὐτοῦ, ἐναντία οὕτως. ἡ μὲν γὰρ κατὰ φύσιν αὐτῶν ἔσται ἡ ἄνω ἢ ἡ κάτω. ἡ δὲ, παρὰ φύσιν.

Δείξας ὅτι καὶ ἡ κατὰ φύσιν καὶ ἡ παρὰ φύσιν ἐναντίωσίς ἐστιν ἐν ταῖς κινήσεσι, ἐφεξῆς δείκνυσι μὴ κατ᾽ ἄλλον τινὰ τρόπον ἐναντιώσεως, παρὰ τὸν πρότερον εἰρημένον ταῖς κινήσεσιν ὑπάρχειν, ἤτε κατὰ φύσιν καὶ παρὰ φύσιν κινήσεις εἰσὶν ἐναντίαι. ἀλλ᾽ ἔστιν ὁ αὐτὸς τρόπος τῆς ἐναντιώσεως. ὅταν γὰρ τὸ αὐτὸ ἢ τὸ κινούμενον τὰς ἐναντίας κινήσεις, τουτέστι τὰς ἐκ τῶν ἐναντίων καὶ εἰς τὰ ἐναντία,

ὅτε ἡ ἑτέρα αὐτῷ ἐστι κατὰ φύσιν, τότε ἡ ἑτέρα γίνεται αὐτῷ παρὰ φύσιν. φέρεται μὲν γὰρ τὴν ἄνω φορὰν φύσει τὸ πῦρ, τὴν δὲ κάτω ἡ γῆ. καὶ ἐναντίαι γε αὗται αἱ φοραί. τὸ δὲ πῦρ ἄνω μὲν κατὰ φύσιν κινεῖται, κάτω δὲ παρὰ φύσιν. καὶ ἐναντία ἡ κατὰ φύσιν αὐτοῦ τῇ παρὰ φύσιν. ὅτι δὲ ἐναντίων καὶ εἰς ἐναντία. καὶ αἱ μοναὶ δὲ ὡσαύτως. ἡ γὰρ ἄνω μονὴ τῇ ἄνωθεν κάτω κινήσει ἐναντία. γίνεται δὲ τῇ γῇ ἡ μὲν ἄνω μονὴ παρὰ φύσιν, ἡ δὲ κάτω κίνησις κατὰ φύσιν. ὥστε κινήσει μονὴ ἐναντία ἡ παρὰ φύσιν τοῦ αὐτοῦ. καὶ γὰρ ἡ κίνησις τοῦ αὐτοῦ ἐναντία. τῇ ἑκάστου ἄρα τῶν στοιχείων κατὰ φύσιν κινήσει, ἐναντία κίνησις παρὰ φύσιν αὐτῷ ἐστιν. ἐπεὶ δὲ δὴ οὔ τι κινεῖται ἢ κατὰ φύσιν ἢ παρὰ φύσιν, ἡ ἐν ἐκείνῳ μονὴ ἀντίκειται τῇ δὴ αὐτοῦ κινήσει, δηλονότι τοῖς ἁπλοῖς σώμασιν, αἱ ἐν ἐκείνοις μοναί, δι᾽ ὧν κατὰ φύσιν κινοῦνται, αὗται παρὰ φύσιν εἰσίν. ὥστε αἱ παρὰ φύσιν αὐτοῦ μοναί τε καὶ ἠρεμίαι, ἐναντίαι εἰσὶ ταῖς κατὰ φύσιν αὐτῶν κινήσεσιν. ἔν τισι δὲ τῶν ἀντιγράφων μετὰ τὸ τέλος τῆς ῥήσεως ταύτης τὸ λέγον, ἡ μὲν γὰρ κατὰ φύσιν αὐτῶν ἡ ἄνω ἢ κάτω, ἡ δὲ παρὰ φύσιν, πρόσκειται τοῦτο, καθόλου δὲ καὶ πρώτως ταῦτα κυρίως ὑπάρχει. ἴσασι δὲ ἔν τισι τοῦτο προσκείμενον καὶ οἱ ἐξηγηταί. λέγοι δὲ ἂν ὅτι ταῦτα τὸ κατὰ φύσιν καὶ παρὰ φύσιν κινεῖσθαι, κυρίως τοῖς ἁπλοῖς τῶν φυσικῶν σωμάτων ὑπάρχει καὶ πᾶσι καὶ πρώτως, ἐν τῇ κατὰ τόπον αὐτῶν κινήσει καὶ ἠρεμίᾳ. ἐν δὲ ταῖς ἄλλαις κινήσεσιν, ἔστι μὲν καὶ ἐν αὐταῖς τὸ κατὰ φύσιν καὶ παρὰ φύσιν ὡς εἴρηκεν. οὐ κυρίως δὲ οὐδὲ πρώτως, ἀλλὰ κατὰ τὴν ἀπὸ τούτων μεταφοράν. δοκεῖ δὲ ἐλλείπειν τῷ καθόλου δὲ καὶ πρώτως ταῦτα κυρίως ὑπάρχει, τὸ, τούτοις τοῖς ἁπλοῖς σώμασιν. ὧν ἐν τῇ ἄνω καὶ κάτω φορᾷ τὸ κατὰ φύσιν καὶ παρὰ φύσιν ἐτεχνολόγησεν.

ἜΧΕΙ Δ᾽ ἈΠΟΡΊΑΝ, εἰ ἔστι πάσης ἠρεμίας τῆς μὴ ἀεί, γένεσις. καὶ αὕτη τὸ ἵστασθαι. τοῦ δὴ παρὰ φύσιν μένοντος, οἷον τῆς γῆς ἄνω, εἴη ἂν γένεσις. ὅτε ἄρα ἐφέρετο ἄνω βίᾳ, ἵστατο. ἀλλὰ τὸ μὲν ἱστάμενον, ἀεὶ δοκεῖ φέρεσθαι θᾶττον. τὸ δὲ βίᾳ, τοὐναντίον. οὐ γινόμενον ἄρα ἠρεμοῦν, ἔσται ἠρεμοῦν. ἔτι δοκεῖ τὸ ἵστασθαι κυρίως λέγεσθαι ἢ ὅλως εἶναι ἐπὶ τοῦ κατὰ φύσιν εἰς τὸν αὐτοῦ τόπον, φέρεσθαι, ἢ συμβαίνειν ἅμα.

Ἀπορεῖ νῦν εἰ ἔστι πάσης ἠρεμίας γένεσις. ἡ οὖν· τὸ γὰρ μὴ εἶναι γένεσιν πάσης ἠρεμίας ἀδύνατον. καὶ τὴν αἰτίαν βραχέως ἐνεδείξατο, διὰ τοῦ εἰπεῖν, τῆς μὴ ἀεί. ἡ γὰρ ἠρεμία στέρησίς ἐστι κινήσεως ἐν τῷ ποτὲ κινουμένῳ. ἡ δὲ ἐν τῷ ποτὲ κινουμένῳ ἠρεμία οὐκ ἔστιν ἀεί, εἴπερ ποτὲ κινεῖται. τὸ δὲ μὴ ἀεὶ ὄν, γέγονε. τὸ δὲ γεγονὸς ἐγίνετο. τὸ δὲ γινόμενον, γένεσιν ἔχει. κατὰ γὰρ τὴν γένεσιν γίνεσθαι λέγεται. ὥσπερ τὸ κινούμενον κατὰ τὴν κίνησιν κινεῖσθαι. αὐτὸς δὲ ἠρκέσθη τὸ μὴ ἀεὶ εἶναι τὴν ἠρεμίαν, ὅτι τὰ ὄντα ἢ ἀεὶ ὄντα εἰσίν, ἢ ποτὲ γινόμενα. ἐνδειξάμενος οὖν τὴν ἀνάγκην τοῦ δεῖν πᾶσαν ἠρεμίαν γένεσιν ἔχειν, καὶ προσθεὶς ὅτι ἡ γένεσις τῆς ἠρεμίας τὸ ἵστασθαι ἐστίν, ὥσπερ ἐστὶ τὸ ἠρεμίζεσθαι, τὸ γὰρ ἠρεμεῖν, τὸ ἑστάναι ἐστί, τοῦ δὲ ἑστάναι γένεσις τὸ ἵστασθαι, ὡς τοῦ κεκινῆσθαι τὸ κινεῖσθαι, ἐπάγει λοιπὸν τὴν ἀπορίαν τὴν ἀναιρεῖν πειρωμένην τὸ πᾶσαν ἠρεμίαν γένεσιν ἔχειν, διὰ τοῦ δεικνύναι ὅτι ἡ βίαιος ἠρεμία οὐκ ἔχει γένεσιν. οὐδὲ γοῦν ἔχει τὸ ἵστασθαι. εἰ γὰρ ἡ βίαιος ἄνω ἠρεμία καὶ τὸ ἑστάναι ἄνω βίᾳ τῆς γῆς γένεσιν ἔχει, ἔχοι ἂν τὸ ἵστασθαι βιαίως, τουτέστι τὸ φέρεσθαι βιαίως ἐπὶ τὸ ἑστάναι. εἰ οὖν τὸ ἵστασθαι ὅλως μὴ δυνατὸν εἶναι βιαίου φορᾶς ἐπὶ τὸ ἑστάναι, δηλονότι οὐκ ἂν εἴη τῆς βιαίου ἠρεμίας γένεσις. ὅτι δὲ τὸ ἵστασθαι οὐκ ἔστιν ἐπὶ τῆς βιαίου, δείκνυσι δυνάμει οὕτως. τὸ ἱστάμενον κατὰ φύσιν φέρεται ἕως ἐκεῖνον τὸν τόπον, ἐν ᾧ ἔσται ἑστηκός. τὸ κατὰ φύσιν ἐπί τινα τόπον φερόμενον ἐν ᾧ ἔσται ἑστηκός, πλησιαίτερον ἐκείνου γινόμενον τοῦ τόπου, θᾶττον κινεῖται δυναμούμενον ἔτι μᾶλλον ὑπ᾽ αὐτοῦ. καὶ συμπέρασμα τούτου τοῦ λόγου, ὅτι τὸ ἱστάμενον. τουτέστι τὸ ἐπὶ τὸ ἑστάναι φερόμενον, θᾶττον κινεῖται πλησιάζον τῷ τόπῳ ἐν ᾧ στήσεται. προσληφθείσης οὖν ἑτέρας ταύτης προτάσεως, τῆς λεγούσης ὅτι τὸ βίᾳ φερόμενον οὐ φέρεται θᾶττον πρὸς τῷ τόπῳ ἐν ᾧ βίᾳ στήσεται, ἀλλὰ καὶ βραδύτερον, συνάγεται ἐν δευτέρῳ σχήματι. προσεχῶς μέν, ὅτι τὸ βίᾳ φερόμενον οὐχ ἵσταται, τουτέστιν οὐκ ἔχει ὁρμὴν ἐπὶ τὸ ἑστάναι, ταύτῃ δὲ ἠκολούθησε, τὸ βίᾳ ἠρεμοῦν μὴ γίνεσθαι ἠρεμοῦν, εἴπερ μὴ ἔχει τὸ ἵστασθαι καὶ ἠρεμίζεσθαι. τὸ οὖν βίᾳ ἠρεμοῦν ἔσται ἠρεμοῦν, οὐ γινόμενον ἠρεμοῦν. οὐ πάσης ἄρα ἠρεμίας γένεσίς ἐστιν, εἴπερ τῆς βιαίου μὴ ἔστιν. ἐφεξῆς δὲ δοκεῖ ὡς ἄλλο ἐπιχείρημα ἐπάγειν διὰ τοῦ, ἔτι δοκεῖ τὸ ἵστασθαι κυρίως λέγεσθαι ἐπὶ τοῦ κατὰ φύσιν, καὶ τῶν ἑξῆς μᾶλλον δ᾽ οἶμαι τὸ συνεκτικὸν τοῦ προτέρου λόγου διὰ τούτου ἀποδεικνύναι. συνῆκται γὰρ ὁ λόγος ἐκεῖνος, ὡς τοῦ ἵστασθαι μὴ δυναμένου τῷ βίᾳ φερομένῳ προσεῖναι, ἀλλὰ τῷ κατὰ φύσιν ἐπὶ τὸ ἑστάναι κινουμένῳ. τῷ γὰρ τὴν ὁρμὴν καὶ τὸν σκοπὸν ἐπὶ τὸ ἑστάναι ἔχοντι, τούτῳ προσήκει τὸ ἵστασθαι. ὡς τὸ ἠρεμίζεσθαι τῷ εἰς ἠρεμίαν σπεύδοντι. καὶ τὸ λευκαίνεσθαι τῷ εἰς τὸ λελευκάνθαι. εἰπὼν δὲ ἔτι τὸ ἵστασθαι δοκεῖ κυρίως λέγεσθαι ἐπὶ τοῦ κατὰ φύσιν εἰς τὸν οἰκεῖον τόπον ἰόντος, οὐκ ἐπὶ τοῦ παρὰ φύσιν, ἐπήγαγεν, εἴπερ ὡς φησὶν ὁ Ἀλέξανδρος καὶ τοῦτο εἴη γεγραμμένον, ἢ ὅλως εἶναι. καὶ σημαίνοι ἄν φησιν, ὅτι τὸ ἵστασθαι δοκεῖ, ἢ ὅλως εἶναι ἐνέργεια, τῶν φυσικῶν σωμάτων ἑκάστῳ τοῦτο εἶναι τὸ εἰς τὸν αὐτοῦ καὶ εἰς τὸν οἰκεῖον φέρεσθαι τόπον. ἅμα γὰρ ἐστὶ γεγονὸς καὶ ἐνέργεια ὄν, καὶ κινεῖται εὐθέως ἐπὶ τὸν οἰκεῖον τόπον,

σπεῦδον ἐπὶ τὴν κατὰ τοῦτο τελειότητα, εἰ μή τι ἐμποδίζοι. ὅ ἐστί φησι λεκτικὸν τοῦ τὸ ἵστασθαι λέ-
γεσθαί τε καὶ εἶναι, ἐπὶ τῆς κατὰ φύσιν λεγομένης κινήσεως. οὕτω μὲν οὖν ὁ Ἀλέξανδρος, ἁψάμενος
οἶμαι καὶ τοῦ μέλλοντος ὑπ' ἐμοῦ λέγεσθαι. μήποτε δὲ τὸ ἢ ὅλως εἶναι, πρὸς τὸ λέγεσθαι ἀποδέ-
δοται. ὅτι δοκεῖ τὸ ἵστασθαι κυρίως λέγεσθαι. ἢ οὐ λέγεσθαι μόνον. ἀλλὰ καὶ εἶναι ὅλως ἐπὶ τοῦ
κατὰ φύσιν. ἵνα μὴ τὸ λέγεσθαι εἰς λεκτικὴν συνήθειαν ἀποπέμψῃ τὸ ἵστασθαι. ἀλλὰ τὸ ἵστασθαι κυ-
ρίως εἶναι τὸ εἰς τὸν αὐτοῦ τόπον φέρεσθαι. ἢ εἰ τὸ μὲν ἵστασθαι ἐπὶ τῆς στάσεως ἐφ' ἣν σπεύδει τὴν
ἔννοιαν ἔχει, τὸ δὲ φέρεσθαι ἐπὶ τῆς κινήσεως, οὐκ εἶναι ἁπλῶς τὸ ἵστασθαι ταὐτὸν τῷ εἰς τὸν αὐτοῦ
τόπον φέρεσθαι, ἀλλὰ συμβαίνειν ἅμα. ἢ τότε συμβαίνειν τὸ ἵστασθαι, ὅτε συμβαίνει τι ἐπὶ τὸν αὐτοῦ
τόπον φέρεσθαι. τοῦτο δὲ καὶ πρὸ ὀλίγου αὐτὸς εἶπεν οὕτως. ἡ γὰρ εἰς αὐτὸ κίνησις, ἠρέμισις μᾶλλον
ἐστίν. ἢ συμβαίνει γε ἅμα γίνεσθαι τῇ κινήσει. εἰ οὖν τοῦτο ἄτοπον τὸ μὴ γινόμενόν τι ἠρεμοῦν εἶναι ἠρε-
μοῦν, ὅπερ ἐπήγαγεν, ἄτοπον δὲ ὅτι τὸ γεγονὸς ἀνάγκη πρότερον γίνεσθαι, διττὸν ῥητέον τὸ ἵστα-
σθαι, τὸ μὲν κατὰ φύσιν κυρίως, τὸ δὲ παρὰ φύσιν μεταφορικῶς ὁμωνύμως. καὶ διὰ τοῦτο ἴσως
εἰπὼν τὸ ἵστασθαι ἐπὶ τοῦ κατὰ φύσιν λέγεσθαι, προσέθηκε τὸ κυρίως. τῷ γὰρ ὄντι τὸ ἐπὶ στάσιν
ἰὸν ἵστασθαι λέγεται, ὡς τὸ ἐπὶ ἠρεμίαν ἠρεμίζεσθαι. τὸ μέντοι βίᾳ κινούμενον οὐκ ἐπὶ στάσιν κι-
νεῖται. ἐὰν οὖν παύσηται ἡ βῶλος τῆς βίᾳ γινομένης ἐπὶ τὸ ἄνω κινήσεως, ἐπὶ τὸ κάτω φέρεται
εὐθέως, ἐὰν μή τι βίᾳ κρατήσῃ. βίαιος γὰρ ἠρεμία ἐστίν, ἡ βίᾳ κρατοῦντός τινος. ὥσπερ βίαιος κίνη-
σις ἡ βίᾳ κινοῦντος. κἂν τὸ ἵστασθαι οὖν μὴ λέγηται κυρίως προϋπάρχειν τοῦ βίᾳ ἠρεμοῦντος, ἀλλ'
ὅτι γέγονεν ἠρεμοῦν, ἀνάγκη γένεσιν αὐτοῦ προϋπάρχειν, καὶ τὸ ἵστασθαί τι ἀνάλογον. τί οὖν ἄρα
σοφιστικόν ἐστι τὸ ἐπιχείρημα, ἀπὸ τῆς ὁμωνυμίας τοῦ ἵστασθαι προαχθέν; ἢ τάχα τὸν λόγον σοφιστι-
κῶς οὕτως ἀπορούμενον θείς, διέλυσε διὰ τῆς τοῦ κυρίως ἵστασθαι διακρίσεως, δείξας ὅτι κυρίως μὲν
οὐκ ἂν λέγοιτο ἵστασθαι τὸ βιαίως φερόμενον. καταχρηστικῶς δὲ οὐδὲν κωλύει τὸ βίαιον στάσιν βιαίως
φερόμενον ἵστασθαι καὶ αὐτὸ λέγειν, ὅτι προηγεῖταί τι τῆς βιαίου ἠρεμίας, ἀνάλογον ὂν τῷ κυρίως
ἵστασθαι, τῷ τῆς κατὰ φύσιν ἠρεμίας προηγουμένῳ. ὅπερ τῇ κατὰ φύσιν κινήσει συνῆν. εἰ μὴ ἄρα
ὅπερ εἶπον ἡ μὲν κατὰ φύσιν κίνησις ἔχει εἰκότως ἐν ἑαυτῇ καὶ τὸ ἵστασθαι, ὅπερ ἐστὶ τὸ ἐπὶ τὸ ἑστάναι
σπεύδειν. ἡ δὲ παρὰ φύσιν οὐκ ἐπὶ τὸ ἑστάναι ἐν τῷ παρὰ φύσιν σπεύδοντος τοῦ κινουμένου, οὐκ ἂν ὅ-
λως ἔχοι τὸ ἵστασθαι. οὐδὲ γὰρ σταίη ἂν τὸ βίᾳ ἐνεχθέν, εἰ μὴ βίᾳ κατέχοιτο. πλὴν ἐπειδὴ ἀδύνατον
τὸ βίᾳ που ἠρεμοῦν μὴ βίᾳ ἐνεχθῆναι εἰς ἐκεῖνον τὸν τόπον, ἐν ᾧ βίᾳ ἠρεμεῖ, εἴπερ τὸ κατὰ φύσιν φε-
ρόμενον εἰς τὸν κατὰ φύσιν φέρεται τόπον, ἐν ᾧ κατὰ φύσιν ἠρεμεῖ, προηγεῖται τῆς βιαίου ἠρεμίας
ἡ βίαιος φορά. ὥσπερ τῆς κατὰ φύσιν ἡ κατὰ φύσιν. καὶ κατὰ τοῦτο καὶ εἰ μὴ κυρίως, λέγοιτ' ἂν ἵστα-
σθαι καὶ τὸ βιαίως φερόμενον, ὅταν βίᾳ μέλλῃ ἠρεμεῖν. τὸ δὲ κατὰ φύσιν φερόμενον λέγεται κυ-
ρίως ἵστασθαι, ὅτι ἐπὶ στάσιν ἵεται. ἐπειδὴ δὲ τοῦτο τὸ πρὸς τοῖς οἰκείοις τόποις γινόμενα, θᾶττον φέ-
ρεσθαι τὰ κατὰ φύσιν φερόμενα, ὡς ἀξίωμα πάντες προφέρουσι, καὶ τὴν μὲν αἰτίαν εὔλογον ἀπο-
διδόασι, δυναμοῦσθαι λέγοντες αὐτὸ μᾶλλον πλησιάζον τῇ οἰκείᾳ ὁλότητι, ὡς τελειούμενον τότε
μᾶλλον κατὰ τὸ εἶδος, ἄλλοι δὲ τὸ πλῆθος τοῦ μεταξὺ ἀέρος ἐμποδίζειν λέγουσι τοῖς ἐπὶ τὸ ἄνω ἢ
κάτω κινουμένοις, ἕως ἂν πλησιάζοντα τοῖς οἰκείοις τόποις ἀπολίπῃ ὀλίγον τὸ μεταξύ, τὴν δὲ πί-
στιν τοῦ οὕτως ἔχειν ὅτι τὰ κατὰ φύσιν φερόμενα, θᾶττον κινεῖται πρὸς τοῖς οἰκείοις τόποις γινόμενα
ὀλίγοι προστιθέασιν, οὐδὲν ἴσως κωλύει τὰ ὑπὸ τοῦ φυσικοῦ Στράτωνος εἰρημένα τεκμήρια παραγρά-
ψαι. ἐν γὰρ τῷ περὶ κινήσεως οὕτως εἰπών, ὅτι τὴν τοῦ ἐσχάτου τόπου ἐξαλλαγὴν ἐν ἐλαχίστῳ χρό-
νῳ ἐξαλλάσσει τὸ κινούμενον, ἐπάγει, ἐν μὲν οὖν τοῖς τῷ βάρει φερομένοις διὰ τοῦ ἀέρος, φανερὸν
ἐστὶν οὕτω γινόμενον. τό, τε γὰρ ἀπὸ τῶν κεράμων καταρρέον ὕδωρ, ἐάν τις ἀφ' ὑψηλοῦ τόπου φερό-
μενον αὐτὸ θεωρῇ, ἄνω συνεχὲς φαίνεται ῥέον. ἐν δὲ τῷ κάτω διεσπασμένον πίπτει ἐπὶ τὸ ἔδαφος.
εἰ οὖν μὴ ἀεὶ τὸν ὕστερον τόπον θᾶττον ἐφέρετο, οὐκ ἄν ποτε συνέβαινεν αὐτῷ τοῦτο. λέγει δὲ τοῦτο τὸ
ἀποσπᾶσθαι τοῦ συνεχοῦς, τὸ πλησιαίτερον τοῦ ἐδάφους γινόμενον. ἔτι δὲ καὶ ἄλλο προστίθησι τεκμή-
ριον λέγων, ἐάν τις λίθον ἢ ἄλλο βάρος ἔχον ἀπὸ τῆς γῆς ὑψώσας, ὅσον δακτυλιαῖον ὕψος, ῥίψῃ, οὐ
πάνυ ποιήσεται ἔνδηλον πληγὴν ἐπὶ τῷ ἐδάφει. ἐὰν δὲ πλέθρον ἢ ἔτι πλέον ἀποσχὼν ἄνωθεν
ἀφῇ, ἰσχυρὰν πληγὴν ποιήσεται. καὶ ἄλλο μὲν οὐδὲν αἴτιόν φησι τῆς πληγῆς ἐστίν. οὔτε γὰρ τὸ βάρος
μεῖζον ἔχει. οὔτε μεῖζον τὸ κινούμενον γεγένηται. οὔτε πλείω τόπον ἐπωθοῦν. οὔτε ὑπὸ πλείονος ἐ-
πωθούμενον. ἢ παρὰ τὸ θᾶττον φέρεσθαι. παρὰ τοῦτο γὰρ καὶ ταῦτα καὶ ἄλλα πολλὰ συμπτώμα-
τα συμβαίνει. τοῦτο δὲ οἶμαι τὸ τεκμήριον δηλοῖ. ἔτι ὀλίγον ἐξαιρούμενον ἀπὸ τῆς γῆς, ὡς ἔτι ἐν τῇ γῇ
ὄν, δυσκίνητόν ἐστιν. ἀπὸ πολλοῦ δὲ κινούμενον ἐπὶ τὸν οἰκεῖον τόπον, ἀεὶ καὶ μᾶλλον δυναμοῦται πρὸς
τοῦτο. ὁ δὲ Ἀσπάσιος εἰς ταύτην τὴν λέξιν ἐπεράτωσε τὸ βιβλίον.

ἜΧΕΙ Δ' ἈΠΟΡΊΑΝ, εἰ ἐναντία ἡ μονὴ ἡ ἐνταῦθα, τῇ ἐντεῦθεν κινήσει. ὅταν γὰρ κινῆται ἐκ τοῦ-
δε, ἢ καὶ ἀποβάλλῃ, ἔτι δοκεῖ ἔχειν τὸ ἀποβαλλόμενον. ὥστε εἰ ἡ αὐτὴ ἠρεμία ἐναντία τῇ ἐντεῦθεν
εἰς τοὐναντίον κινήσει, ἅμα ὑπάρξει τἀναντία. ἢ πῃ ἠρεμεῖ, εἰ ἔτι μένει.

Εἰπὼν πρότερον ὅτι τῇ ἐκ τοῦ ἐναντίου εἰς τὸ ἐναντίον κινήσει, ἡ ἐν τούτῳ μονὴ ἀντίκειται, τῇ δὲ ἐκ τοῦ ἐναντίου εἰς τοῦτο ἡ ἐν τῷ ἐναντίῳ, ἀπορεῖ νῦν πρὸς τοῦτο καὶ λέγει, ὅτι ἐναντία ἐστὶν ἡ ἐνθάδε ἠρεμία, τῇ ἐντεῦθεν κινήσει ὡς εἴρηται πρότερον, ἐπειδὴ τὸ ἀρχόμενον κινεῖσθαι ἐντεῦθεν, ἔτι ἐστὶ καὶ ἐνθάδε, ἐνθάδε δὲ ὂν ἠρεμεῖ, τοῦτο γάρ ἐστι τὸ ἐνθάδε εἶναι αὐτῷ, συμβαίνει ἅμα τὸ αὐτὸ ἠρεμεῖν τε καὶ κινεῖσθαι, ταῖς ἐναντίαις ἀλλήλαις κινήσεσί τε καὶ ἠρεμίαις. ἡ γὰρ εἰς ὃ κίνησις τῇ ἐν αὐτῷ μονῇ οὐκ ἔστιν ἐναντία. διὸ οὐκ ἐπὶ τούτων ἐποιήσατο τὸν λόγον. τὸ δὲ ἅμα περὶ ταὐτὸ τἀναντία συμβαίνειν, ἀδύνατον. ὅτι δὲ τὸ ἀρχόμενον ἐντεῦθεν κινεῖσθαι ἔτι ἐστὶν ἐνταῦθα, δείκνυσιν ἐκ τοῦ λόγου τοῦ λέγοντος, ὅτι τοῦ κινουμένου τὸ μέν τι ἐστὶν ἐκεῖ ἐξ οὗ κινεῖται, τὸ δὲ ἐκεῖ εἰς ὃ κινεῖται. ὥσπερ γὰρ εἰ νοήσαιμεν τι λευκὸν μελαινόμενον, μήπω δὲ τελέως μελανθέν, μένει ἔχον τι ἔτι τοῦ λευκοῦ, καὶ ἠρεμοῦν ἐν τῷ λευκῷ κατὰ τοσοῦτον, οὕτω καὶ ἡ τοπικὴ κίνησις ἔτι ἔχουσά τι τῆς ἐν τῇ ἠρεμίᾳ διαθέσεως, λέγοιτο ἂν μὴ ἀποβεβληκέναι τελέως τὴν ἠρεμίαν. λύει δὲ τὴν ἀπορίαν λέγων μηδὲν ἄτοπον συμβαίνειν ἐκ τοῦ λόγου, ἐὰν ἡ περὶ τὸ αὐτὸ τὰ ἐναντία, μὴ κατὰ τὸ αὐτὸ δέ, ἀλλὰ κατ' ἄλλο καὶ ἄλλο. τὸ γὰρ αὐτὸ δυνατὸν εἶναι λευκὸν καὶ μέλαν κατ' ἄλλο καὶ ἄλλο μέρος ὃ γίνεται ἐπὶ τοῦ τῆς κινήσεως ἀρχομένου. οὐ γὰρ κατὰ τὸ αὐτὸ ἠρεμεῖ καὶ κινεῖται, ἀλλὰ κατ' ἄλλο καὶ ἄλλο. τὸ μὲν γὰρ αὐτοῦ ἐκεῖ ἐστι, τὸ δὲ οὐκ ἔστιν. οὐ γὰρ ἀμερὲς τὸ κινούμενον. δειχθήσεται γὰρ ὅτι οὐδὲν ἀμερὲς κινεῖται. εἰ δέ τι εἴη ἐν τοῖς ἐναντίοις κατ' ἄλλο καὶ ἄλλο, οὐδὲν ἄτοπον. τοῦτο οὖν διὰ βραχέων ἐνδειξάμενος, διὰ τοῦ εἰπεῖν, εἰ πῇ ἠρεμεῖ, ἢ ἔτι μένει, τουτέστιν εἰ κατά τι ἠρεμεῖ, ἢ κατά τι μένει, ὅτι οὐδὲ ἐναντία ἠρέμησις τῇ κινήσει κυρίως ἐπιφέρει. στέρησις γὰρ μᾶλλόν ἐστιν. ἀλλ' ἔστι κυρίως κίνησις κινήσει ἐναντία, ἡ ἐξ ἐναντίου εἰς ἐναντίον, τῇ ἐξ ἐναντίου εἰς ἐναντίον, ὥσπερ εἴρηται. ἐν γὰρ ταῖς τοιαύταις κινήσεσιν οὐ συμβαίνει τὸ αὐτὸ ἐν τοῖς ἐναντίοις εἶναι.

ΚΑΙ ΠΕΡΙ μὲν κινήσεως καὶ ἠρεμίας καὶ πῶς ἑκατέρα μία, καὶ τίνες ἐναντίαι τίσιν, εἴρηται. ὡς μὲν ἡ κίνησις μία εἴρηται. οὐ μέντοι πῶς μία ἠρεμία. ἀλλ' ἔοικεν ὡς εἰρημένον καὶ τοῦτο παρεῖναι, διότι ἐκ τῶν περὶ κινήσεως ῥηθέντων, δῆλόν ἐστι καὶ περὶ τῆς ἠρεμίας πῶς μία. εἰ γὰρ στέρησις κινήσεως ἐν τῷ πεφυκότι ἐστὶν ἡ ἠρεμία, δηλονότι ὁσαχῶς λέγεται μία κίνησις, τοσαυταχῶς καὶ ἠρεμία ῥηθήσεται. ὥστε καὶ αὕτη, ἡ μέν, γένει τις ἔσται μία, ἡ δὲ εἴδει, ἡ δὲ ἀριθμῷ καὶ οὐσίᾳ. μέχρι τούτου τὸ πέρας τοῦ βιβλίου ἐστὶν ἐν τισὶν ἀντιγράφοις. ἐν δὲ ἄλλοις καὶ τὰ ἑξῆς ῥηθησόμενα πρόσκειται. ἅπερ οὐδὲ Πορφύριος συνοψίζειν, οὐδὲ ὁ Θεμίστιος παραφράζειν εἵλετο. ὁ μέντοι Ἀλέξανδρος ἐπισημηνάμενος ὅτι ἐν τισὶν ἀντιγράφοις οὐ φέρεται, ἐξηγεῖται ὅμως αὐτά.

ΑΠΟΡΗΣΕΙΕ δ' ἄν τις καὶ περὶ τοῦ ἵστασθαι. εἰ καὶ ὅσαι παρὰ φύσιν κινήσεις ταύταις ἐστὶν ἠρεμία ἀντικειμένη. εἰ μὲν οὖν μὴ ἔσται, ἄτοπον. μένει γάρ. βίᾳ δέ. ὥστε ἠρεμοῦν τι ἔσται οὐκ ἀεὶ ἄνευ τοῦ γενέσθαι. ἀλλὰ δῆλον ὅτι ἔσται. ὥσπερ γὰρ κινεῖται παρὰ φύσιν, καὶ ἠρεμοίη ἄν τι παρὰ φύσιν.

Ὑπὲρ μὴ ὡς ἔτυχε ταῦτα πρόσκειται, τὰ αὐτὰ τοῖς πρότερον εἰρημένοις λέγουσιν. ἐν οἷς ἀναιρεῖν δοκεῖ τὸ ἵστασθαι, ἐπὶ τῶν παρὰ φύσιν ἠρεμούντων, καὶ παρὰ φύσιν κινουμένων. πρότερον δὲ συστήσας αὐτὸ διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς, ὅτε συνῆγεν, ὅτι εἰ μὴ ἔστι τὸ ἵστασθαι ἐπὶ τῶν βίᾳ κινουμένων καὶ βίᾳ ἠρεμούντων, οὐ γινόμενον ἠρεμοῦν ἔσται τι ἠρεμοῦν, ἐπειδὴ ἐν ἐκείνοις ἔδοξε τὸ ἵστασθαι ἀποφάσκειν τῶν βίᾳ κινουμένων, διὰ τὸ τὸ ἱστάμενον ἀεὶ φέρεσθαι θᾶττον, τὸ δὲ βίᾳ τοὐναντίον, καὶ διὰ τοῦτο τὸ ἵστασθαι ἐπὶ τοῦ κατὰ φύσιν εἰς τὸν οἰκεῖον τόπον ἰόντος λέγεσθαι, βούλεται δὲ ὡς ἔοικεν ἐφ' ἑκάτερα κρατύνεσθαι τὴν ἀπορίαν, διὰ τοῦτο νῦν τὸ ἕτερον μέρος αὐτῆς ἀνέλαβε, τὸ δεικνύον ὅτι καὶ ἐπὶ τῆς βιαίου κινήσεως καὶ τῆς βιαίου ἠρεμίας τῆς ἀντικειμένης αὐτῇ, ἀνάγκη εἶναι τὸ ἵστασθαι. εἰ γὰρ μή, μένει δέ τι βίᾳ, ἔσται ἠρεμοῦν τι οὐκ ἀεὶ ἄνευ τοῦ γενέσθαι. ὅπερ εἶπε πρότερον. ὅτι οὐ γινόμενον ἄρα ἠρεμοῦν ἔσται ἠρεμοῦν. νῦν δὲ προσέθηκε τῷ ἠρεμοῦν τὸ ἔσται οὐκ ἀεί. περιττῶς οἶμαι. εἰ γὰρ ἠρεμεῖ τὸ πεφυκὸς κινεῖσθαι οὐκ ἂν εἴη ἀΐδιος ἠρεμία. δῆλον δὲ ὅτι φησὶν ἔσται βίᾳ τι ἠρεμοῦν. ὡς γὰρ κινεῖταί τι παρὰ φύσιν, οὕτω καὶ ἠρεμεῖ παρὰ φύσιν. ὥστε εἶναι τὸν συλλογισμὸν κατὰ τὸν δεύτερον τρόπον τῶν ὑποθετικῶν τοιοῦτον. ὄντος τοῦ βίᾳ μένοντος ὡς ἀποδείξω, εἰ μὴ ἔστι τὸ ἵστασθαι ἐπ' αὐτοῦ ὡς καὶ ἐπὶ τοῦ κατὰ φύσιν, ἠρεμοῦν τι ἔσται οὐκ ἀεὶ ἄνευ τοῦ γενέσθαι. εἰ οὖν ἀδύνατόν ἐστι τοῦτο, ἔστι καὶ ἐπὶ τοῦ βίᾳ μένοντος τὸ ἵστασθαι. ὅτι δέ ἐστι τὸ βίᾳ μένον καὶ παρὰ φύσιν, δῆλον ἐκ τοῦ εἶναι τὸ παρὰ φύσιν κινούμενον. ἀντικεῖσθαι δὲ τῇ παρὰ φύσιν κινήσει οὐ τὴν παρὰ φύσιν μονὴν κυρίως. ἀντίκειται γὰρ τῇ παρὰ φύσιν κινήσει, οἷον τῇ ἐπὶ τὸ ἄνω τῆς γῆς, οὐχ ἡ παρὰ φύσιν αὐτῆς ἡ ἐν τῷ ἄνω μονή, ἀλλ' ἡ κατὰ φύσιν ἡ ἐν τῷ κάτω. ἀκριβέστερον δέ μοι δοκοῦσιν οἱ ταύτην τὴν λέξιν, τὸ αὐτὸ ἀπαραλλάκτως τῇ πρότερον εἰρημένῃ λέγουσαν, ὡς ὕστερον ὑπό τινων προστεθεῖσαν οὐ προσιέμενοι.

ΕΠΕΙ ΔΕ ΕΣΤΙΝ ἐνίοις κίνησις κατὰ φύσιν καὶ παρὰ φύσιν. οἷον, τῷ πυρί, κατὰ φύσιν μὲν, ἡ ἄνω. ἡ δὲ κάτω παρὰ φύσιν, πότερον αὕτη ἐναντία ἢ ἡ τῆς γῆς. αὕτη γὰρ φέρεται κατὰ φύσιν κάτω. ἢ δῆλον ὅτι ἄμφω, ἀλλ' οὐχ ὡσαύτως, ἀλλ' ἡ μὲν, ὡς κατὰ φύσιν κατὰ φύσιν οὔσης. τῆς δ' αὐτοῦ ἡ ἄνω

τοῦ πυρὸς, τῇ κάτω, ὡς ἡ κατὰ φύσιν οὖσα τῇ παρὰ φύσιν οὔσῃ. ὁμοίως δὲ καὶ ταῖς μοναῖς. ἴσως δὲ ἠρεμία, κίνησις πῃ ἀντίκειται. ὅταν γὰρ κινῆται ἐκ τοῦδε καὶ ἀποβάλλῃ, ἔτι δοκεῖ ἔχειν τὸ ἀποβαλλόμενον, ὥστε εἰ αὕτη ἡ ἠρεμία ἐναντία τῇ ἐντεῦθεν εἰς τοὐναντίον κινήσει ἅμα ὑπάρξει τὰ ἐναντία, ἢ πῇ ἠρεμεῖ, εἰ ἔτι μένει. ὅλως δὲ τοῦ κινουμένου, τὸ μὲν, ἐκεῖ. τὸ δ' εἰς ὃ μεταβάλλει. διὸ καὶ μᾶλλον κίνησις κινήσει ἐναντίον, ἢ ἠρέμησις. τίς μὲν οὖν κίνησις ἁπλῶς μία εἴρηται. καὶ περὶ μὲν κινήσεως καὶ ἠρεμίας πῶς ἑκατέρα μία, καὶ τίνες ἐναντίαι τίσιν, εἴρηται.

T Ὁ μὲν λεγόμενόν ἐστιν, ἐπειδὴ τῷ μὲν πυρὶ ἡ μὲν ἄνω κίνησις κατὰ φύσιν, ἡ δὲ κάτω παρὰ φύσιν, τῇ δὲ γῇ ἡ μὲν κάτω κατὰ φύσιν, ἡ δὲ ἄνω παρὰ φύσιν, πότερον τῇ τοῦ πυρὸς κατὰ φύσιν ἡ αὐτοῦ τοῦ πυρὸς παρὰ φύσιν ἐναντία ἔσται, ἢ ἡ τῆς γῆς κατὰ φύσιν. καὶ ἐπικρίνει ὅτι ἄμφω ἐναντίαι, ἀλλ' οὐχ ὡσαύτως. ἀλλ' ἡ μὲν τῆς γῆς κατὰ φύσιν τῇ τοῦ πυρὸς κατὰ φύσιν, ὡς κατὰ φύσιν ἄμφω. ἡ δὲ τοῦ πυρὸς κατὰ φύσιν τῇ παρὰ φύσιν αὐτοῦ, ὡς ἡ παρὰ φύσιν. τῇ κατὰ φύσιν. καὶ αὕτη δὲ ἡ λέξις ἐκ περιττοῦ πρόσκειται. ἤδη ἐνθεῖσα συντομώτερον οὕτως. φέρεται δὲ τὴν μὲν ἄνω φορὰν φύσει τὸ πῦρ, τὴν δὲ κάτω ἡ γῆ. καὶ ἐναντίαι γε αὐτῶν αἱ φοραί. τὸ δὲ πῦρ ἄνω μὲν φύσει. κάτω δὲ παρὰ φύσιν. καὶ ἐναντία γε ἡ κατὰ φύσιν αὐτοῦ τῇ παρὰ φύσιν. ὅτι δὲ ἐκ περιττοῦ ταῦτα πρόσκειται, δηλοῖ πάλιν ὁ αὐτὸς ἐπίλογος καὶ τούτοις ἐπαγόμενος, ὁ λέγων, περὶ μὲν οὖν κινήσεως καὶ ἠρεμίας, πῶς ἑκατέρα μία, καὶ τίνες ἐναντίαι τίσιν εἴρηται. μετὰ δὲ τὴν κατὰ μέρος ἐν τῷ βιβλίῳ τούτῳ διάρθρωσιν, καλὸν ἂν οἶμαι καὶ τὰ κεφάλαια αὐτοῦ συντόμως τε καὶ ὡς δυνατὸν ἀπαραλείπτως ἀναγράψασθαι. προθέμενος τοίνυν ἐν ἀρχῇ τὴν μεταβολὴν διελεῖν, εἴς τε κίνησιν, καὶ τὰ τῆς κινήσεως εἴδη, καὶ εἰς γένεσιν καὶ φθοράν, πρῶτον δείκνυσιν ὅτι τὰ μεταβάλλοντα τριχῶς μεταβάλλει, ἢ κατὰ συμβεβηκὸς, ἢ κατὰ μέρος, ἢ καθ' αὑτὸ καὶ πρώτως. ἵνα τούτων ποιήσηται τὴν διαίρεσιν. εἶτα ὅτι οὐ μόνον τὰ μεταβαλλόμενα καὶ κινούμενα, ἀλλὰ καὶ τὰ μεταβάλλοντα καὶ κινοῦντα κατὰ τοὺς τρεῖς τούτους τρόπους διήρηται. καὶ ἐφεξῆς ὅτι ὄντων πέντε τῶν ὑπαρχόντων, εἰ ἔσται κίνησις, τοῦ κινοῦντος, τοῦ κινουμένου, τοῦ χρόνου, καὶ ἔτι τοῦ ἐξ οὗ ἡ κίνησις, καὶ τοῦ εἰς ὅ, ἐν τῷ κινουμένῳ ἐστὶν ἡ κίνησις καὶ ἐν οὐδενὶ ἄλλῳ. τὸ δὲ αὐτὸ δείκνυσι, καὶ ἀπὸ τοῦ ὁρισμοῦ τῆς κινήσεως. εἶτα ὅτι τὸ εἶδος εἰς ὃ κινεῖται τὸ γινόμενον, καὶ τὸ πάθος εἰς ὃ κινεῖται τὸ ἀλλοιούμενον, καὶ ὁ τόπος εἰς ὃν κινεῖται τὸ φερόμενον, ὅτι ἀκίνητά ἐστι, καὶ τὸ μέγεθος εἰς ὃ τὸ αὐξόμενον, καὶ ὅλως τὸ εἰς ὃ ἡ κίνησις. τούτοις δὲ ἀπορίαν ἐπάγει τοιαύτην. εἰ ἡ λευκότης πάθος, τὸ δὲ πάθος κίνησις, ἡ εἰς πάθος μεταβολὴ εἰς κίνησιν ἂν εἴη ἐστὶ κινήσεως. καὶ οὐκ ἐν τῷ κινουμένῳ μόνῳ ἡ κίνησις, ἀλλὰ καὶ ἐν τῷ εἰς ὅ. καὶ λύει τὴν ἀπορίαν ἐκ τῆς τοῦ πάθους ὁμωνυμίας, ὅτι καὶ τὸ λευκὸν πάθος λέγεται καὶ ἡ λεύκανσις. κίνησις δὲ οὐ τὸ λευκὸν, ἀλλ' ἡ λεύκανσις. δείξας δὲ πρότερον ὅτι καὶ τὸ κινοῦν καὶ τὸ κινούμενον τριχῶς λέγεται, προστίθησιν ὅτι καὶ ἐν τοῖς ἄλλοις, τῷ τε ἐξ οὗ, καὶ τῷ εἰς ὅ, καὶ τῷ ἐν ᾧ τουτέστι τῷ χρόνῳ, ἔστι τὸ τριττὸν, τό, τε κατὰ συμβεβηκὸς, καὶ τὸ κατ' ἄλλο, καὶ τὸ πρώτως καὶ καθ' αὑτό. καὶ οὕτω τὴν μὲν κατὰ συμβεβηκὸς καὶ κατ' ἄλλο μεταβολὴν, ὡς κοινὴν πάντων καὶ ἀόριστον ἀποσκευασάμενος, ἐν τῇ καθ' αὑτὸ καὶ πρώτως ὡρισμένῃ καὶ ἐπιστήμῃ πρεπούσῃ τὰς μεταβολῶν διαφορὰς ἐπιδείκνυσι, τριχῇ διελὼν αὐτάς. καὶ τὴν μὲν, ἐν τοῖς ἐναντίοις λέγει, τὴν δὲ ἐν τοῖς μεταξὺ ὡς ἐναντίοις, τὴν δὲ ἐν ἀντιφάσει. δείξας δὲ ἐν τίσιν ἐστὶν ἡ μεταβολὴ, δείκνυσιν ἑξῆς κατὰ πόσους γίνεται τρόπους, ἐκ διαιρέσεως προσάγων τὸν λόγον. τὸ γὰρ μεταβάλλον πᾶν, ἢ ἐξ ὑποκειμένου εἰς ὑποκείμενον μεταβάλλει, τουτέστιν ἐξ ὄντος εἰς ὄν. ἢ ἐξ ὑποκειμένου εἰς οὐχ ὑποκείμενον, ὅπερ ἐστὶν ἐξ ὄντος εἰς μὴ ὄν. ἢ ἀνάπαλιν. ἢ τὸ λοιπὸν ἐξ οὐχ ὑποκειμένου εἰς οὐχ ὑποκείμενον. ὅπερ ἐστὶν ἀσύστατον. οὐδὲν γὰρ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ μὴ ὂν μεταβάλλει. καὶ ἔστιν ἡ μὲν ἐξ ὑποκειμένου εἰς οὐχ ὑποκείμενον, καὶ ἡ ἐξ οὐχ ὑποκειμένου εἰς ὑποκείμενον, γένεσις καὶ φθορὰ οὐκ οὖσαι κινήσεις. ἡ δὲ ἐξ ὑποκειμένου εἰς ὑποκείμενον, μόνη κίνησις. τὰ δὲ ὑποκείμενα ἢ ἐναντία ἢ μεταξύ. ἐπὶ τούτοις ζητεῖ ἐν ποίαις τῶν κατηγοριῶν ἐστὶν ἡ κίνησις. καὶ δείκνυσιν ὅτι ἐν τῇ τοῦ ποιοῦ. καὶ τοῦ ποσοῦ, καὶ τοῦ ποῦ. οὔτε δὲ ἐν οὐσίᾳ, οὔτε ἐν τῷ πρός τι, οὔτε ἐν τῷ ποιεῖν καὶ πάσχειν. ἔπειτα μὴ ἔστι κινήσεως κίνησις, μὴ δὲ γενέσεως γένεσις, μὴ δὲ ὅλως μεταβολὴ μεταβολῆς. ὅπερ πολυειδῶς ἀποδείκνυσι. καὶ ἐφεξῆς δείκνυσιν ὅτι ἡ μὲν κατὰ τὸ ποιὸν κίνησις κοινὸν ἔχει ὄνομα τὴν ἀλλοίωσιν. ἡ δὲ κατὰ τὸ ποσὸν κοινὸν μὲν οὐκ ἔχει, ἴδια δὲ αὔξησιν καὶ μείωσιν. ἡ δὲ φορὰ οὔτε ἴδιον οὔτε κοινόν. ἡ γὰρ φορὰ ἐπὶ μόνων λέγεται τῶν ἀψύχως κινουμένων. καὶ ὅτι τὸ μᾶλλον καὶ ἧττον ἐν πάσαις ταῖς κινήσεσιν ἀλλοίωσίς ἐστι. δείξας δὲ ταῦτα ἐπὶ τῆς κινήσεως, ἐφεξῆς τὸ ἀκίνητον τετραχῶς διαιρεῖ, εἴς τε τὸ ὅλως κινηθῆναι ἀδύνατον, καὶ τὸ ἐν πολλῷ χρόνῳ μόγις κινούμενον, καὶ τὸ βραδέως ἀρχόμενον, καὶ τὸ πεφυκὸς μὲν κινεῖσθαι δυνάμενον, μὴ κινούμενον δὲ τότε ὅτε πέφυκε. καὶ οὗ. καὶ ὥς. ὅπερ ἠρεμεῖν μόνον τῶν ἀκινήτων φησὶ λέγεσθαι. ταῦτα δὲ περὶ κινήσεως καὶ ἀκινησίας εἰπὼν, διαρθροῖ λοιπὸν, τί τὸ ἅμα. τί τὸ χωρίς. τί τὸ ἅπτεσθαι. τί τὸ μεταξύ. τί τὸ ἐφεξῆς. τί τὸ ἐχόμενον. τί τὸ συνεχές. καὶ τοῖς ποίοις ἕκαστον τούτων ὑπάρχειν πέφυκε. καὶ τούτοις προστίθησιν ἐν τίσιν ἐστὶ τὸ μεταξύ. προλαβὼν δὲ ὡς χρήσιμα τὰ εἰρημένα πρὸς τὸν

ἐφεξῆς λόγους, δείκνυσιν ὅτι τριχῶς λέγεται ἡ μία κίνησις, ἢ τῷ γένει, ἢ τῷ εἴδει, ἢ τῷ ἀριθμῷ. καὶ ὅτι κυριώτερον μία τῷ ἀριθμῷ μία. ἡ τις ἕκαστον τῶν τριῶν περὶ ἃ ἡ κίνησις, τό, τε κινούμενον, καὶ τὸ εἶδος καθ' ὃ κινεῖται, καὶ τὸν χρόνον ἐν ᾧ κινεῖται, ἓν κατ' ἀριθμὸν ἔχει. καὶ ἐπάγει ὅτι ἡ μία τῷ ἀριθμῷ κίνησις, καὶ συνεχής ἐστι. καὶ ὅτι ἡ κατὰ γένος μία κίνησις, καὶ ἡ κατ' εἶδος, καὶ ἡ κατ' ἀριθμόν, τότε μᾶλλον ἔχει τὸ μία εἶναι, ὅταν τέλειος ᾖ. καὶ ὅτι ἡ μὲν κατὰ γένος καὶ κατ' εἶδος μία κίνησις τότε μία λέγεται ὅταν τέλειος ᾖ. ἡ δὲ κατ' ἀριθμὸν μία κἂν μὴ τέλειος ᾖ, συνεχὴς δὲ μόνον, λέγεται μία. καὶ ἐφεξῆς ὅτι καὶ τὸ ὁμαλὲς δεῖ προσεῖναι τῇ μιᾷ κινήσει. μᾶλλον δὲ μία ἡ ὁμαλὴς τῆς ἀνωμάλου. ὅτι τὸ ταχὺ καὶ βραδὺ οὐκ ἔστιν εἴδη κινήσεως, διότι ἐν πᾶσιν ἐστὶ ταῦτα τοῖς τῆς κινήσεως εἴδεσι. καὶ λοιπὸν διαιρεῖ τὰς τῶν κινήσεων ἀντιθέσεις. καὶ διακρίνει τῶν ἄλλων ἐκείνην τὴν κατὰ ἐναντίωσιν. καὶ τότε ζητεῖ ποία κίνησις ποίᾳ κινήσει ἐναντία. καὶ ποία κίνησις ποίᾳ ἠρεμίᾳ ἐναντία. καὶ ποῖαι ἠρεμίαι ἀλλήλαις. καὶ προστίθησιν ὅτι καὶ ἡ κατὰ τὸ κατὰ φύσιν καὶ παρὰ φύσιν ἐναντίωσίς ἐστιν ἐν ταῖς κινήσεσι καὶ ἠρεμίαις, κατὰ τὸν αὐτὸν τρόπον, καθ' ὃν καὶ ἐν τοῖς κατὰ φύσιν. καὶ ἀπορεῖ εἰ ἔστι τῆς παρὰ φύσιν μονῆς ἔστι προηγούμενον τὸ ἵστασθαι. καὶ ἐπιχειρεῖ ἐφ' ἑκάτερα. καὶ ἑτέραν ἀπορίαν ἐπάγει, εἰ ἐναντία ἡ ἐνταῦθα μονὴ τῇ ἐντεῦθεν κινήσει ὡς εἴρηται, τὸ δὲ κινούμενον καὶ ἠρεμεῖν, πῶς οὐχ ἅμα ὑπάρξει τὰ ἐναντία. καὶ τὴν λύσιν τῇ ἀπορίᾳ συμπεριέλαβεν, ὅτι οὐ κατὰ ταυτὸν τὰ ἐναντία, ἀλλὰ πῇ μὲν ἠρεμεῖ, πῇ δὲ κινεῖται.

ΣΙΜΠΛΙΚΙΟΥ ΥΠΟΜΝΗΜΑ ΕΙΣ ΤΟ ΕΚΤΟΝ ΤΗΣ ΑΡΙΣΤΟΤΕΛΟΥΣ ΦΥΣΙΚΗΣ ΑΚΡΟΑΣΕΩΣ.

Ἔθος ἔχοντες οἱ ἐκ τοῦ περιπάτου, τὴν τῶν βιβλίων τάξιν ἐπιγράφειν, κατὰ τὴν τάξιν τῶν τοῦ λόγου στοιχείων, ἄλφα, βῆτα, γάμμα, καὶ ἐφεξῆς, εἰκότως εἰς τὸ ἕκτον τῆς φυσικῆς ἀκροάσεως, ἐπιγράφουσι ζῆτα. ὅπερ ἐν ἀριθμοῖς τὸν ἑπτὰ ἀριθμὸν δηλοῖ. ἐν δὲ τοῖς στοιχείοις, τὴν ἕκτην τάξιν ἀποκεκλήρωται. εἴρηται δὲ καὶ πρότερον, ὅτι τὰ μὲν πέντε βιβλία τὰ πρὸ τούτου, φυσικὰ καλοῦσι. τὰ δ' ἐντεῦθεν τρία, περὶ κινήσεως. οὕτω γὰρ καὶ ἀνδρόνικος ἐν τῷ πέμπτῳ βιβλίῳ τῶν ἀριστοτέλους περὶ κινήσεως διατάττεται, μαρτυροῦντος περὶ τῶν πρώτων καὶ θεοφράστου, γράψαντος ἐν δήμου περί τινος αὐτῷ τῶν διημαρτημένων ἀντιγράφων κατὰ τὸ πέμπτον βιβλίον. ὑπὲρ ὧν φησὶν ἐπέστειλας κελεύων με γράψαι καὶ ἀποστεῖλαι ἐκ τῶν φυσικῶν, ἤτοι ἐγὼ οὐ ξυνίημι, ἢ μικρόν τι παντελῶς ἔχει τοῦ ἀναμέσον, τοῦ ὅπερ ἠρεμεῖν καλῶ τῶν ἀκινήτων μόνον, ἐναντίον γὰρ ἠρεμία κινήσει. ὥστε στέρησις ἂν εἴη τοῦ δεκτικοῦ. ὥστε καὶ τὸ πέμπτον βυβλίον ὁ θεόφραστος ἐκ τῶν φυσικῶν νομίζει. αὐτὸς δὲ ὁ ἀριστοτέλης ἐν τῷ ὀγδόῳ κατ' ἀρχὰς φησίν, ἀρξώμεθα δὲ πρῶτον ἐκ τῶν διωρισμένων ἡμῖν ἐν τοῖς φυσικοῖς πρότερον. φαμὲν δὴ τὴν κίνησιν, ἐνέργειαν εἶναι τοῦ κινητοῦ ᾗ κινητόν. τοῦτο δὲ εἴρηκε ἐν τῷ τρίτῳ. καὶ πάλιν, ἐτέθη μὲν γὰρ ἡ φύσις ἐν τοῖς φυσικοῖς ἀρχὴ κινήσεως καὶ ἠρεμίας. τοῦτο δὲ ἐν τῷ δευτέρῳ εἴρηκε. ἐπὶ δὲ τῇ τελευτῇ τοῦ ὀγδόου φησίν, ἄπειρον μὲν οὖν ὅτι οὐκ ἐνδέχεται μέγεθος εἶναι, δέδεικται πρότερον ἐν τοῖς φυσικοῖς. εἴρηκε δὲ καὶ περὶ τούτου, ἐν τῷ τρίτῳ. καὶ ὅτι τὰ μὲν πέντε φυσικὰ ἐκάλουν, διὰ τούτων δῆλον. ὅτι δὲ τὰ τελευταῖα περὶ κινήσεως, δηλοῖ σαφῶς ὁ ἀριστοτέλης, ἐν τῷ πρώτῳ τῶν περὶ οὐρανοῦ λέγων, ἀλλ' ἐκεῖνό γε φανερὸν ὅτι ἀδύνατον τὴν ἄπειρον διελθεῖν ἐν πεπερασμένῳ χρόνῳ. ἐν ἀπείρῳ ἄρα. δέδεικται γὰρ τοῦτο πρότερον ἐν τοῖς περὶ κινήσεως. καὶ πάλιν λόγος ἐν τοῖς περὶ κινήσεως, ὅτι οὐθὲν ἔχει ἄπειρον δύναμιν τῶν πεπερασμένων, οὐδὲ τῶν ἀπείρων πεπερασμένην. εἴρηται δὲ περὶ τούτων ἐν τοῖς τρισίν. ὅτι δὲ τὰ τρία ἐστὶ περὶ κινήσεως, καὶ τὰ πέντε φυσικά, μαρτυρεῖ καὶ δάμασος ὁ τὸν βίον εὐδήμου γράψας λέγων, καὶ τῶν ἐκ τῆς περὶ φύσεως πραγματείας τῆς ἀριστοτέλους τῶν περὶ κινήσεως τρία. φυσικὰ δὲ ἐκάλουν οὐ τὰ ὀκτὼ μόνα, ἀλλὰ καὶ τὰ περὶ οὐρανίου, καὶ περὶ ψυχῆς, καὶ ἄλλα πλεῖστα. ἰδίως δὲ φυσικῆς ἀκροάσεως τὰ πέντε. ὅτι δὲ τὸ νῦν προκείμενον βιβλίον τῇ τάξει μετὰ τὸ πέμπτον ἐστί, δηλοῖ μὲν καὶ εὔδημος τὸ τῷ ἀριστοτέλει ὧδε εἰρημένον, συνάψας τοῖς ἐν τῷ πέμπτῳ βιβλίῳ ἐκτεθεῖσι, τὸ μηδὲν τῶν συνεχῶν ἐξ ἀμερῶν συγκεῖσθαι. καὶ ἀνδρόνικος δὲ ταύτην τὴν τάξιν τούτοις τοῖς βιβλίοις ἀποδίδωσι. καὶ μέντοι καὶ ὁ ἀριστοτέλης τοῖς ἐν τῷ πέμπτῳ βιβλίῳ παραχθεῖσι, τῷ συνεχεῖ καὶ ἁπτομένῳ καὶ ἐφεξῆς, εὐθὺς ἐν ἀρχῇ τούτου τοῦ βιβλίου προσεχρήσατο. ὅτι δὲ καὶ πρὸ τοῦ ἑβδόμου τοῦτο, δῆλον ἐξ ὧν ἐν τῷ πέρατι τούτου τοῦ βιβλίου δείξας ὅτι οὐδὲν ἀμερὲς κινεῖται, καὶ ὅτι οὐδεμία μεταβολὴ ἄπειρος, ἐν τῷ η ὅπερ ἐφεξῆς ὂν τούτῳ ἕβδομόν ἐστιν, ὡς δεδειγμένοις χρῆται τούτοις. ὁμοίως δὲ καὶ τὸ μὴ εἶναι κίνησιν ἄπειρον ἐν πεπερασμένῳ χρόνῳ, μήτε ἀπείρου ὄντος τοῦ κινουμένου μήτε πεπερασμένου, ἐνταῦθα μὲν δείκνυσι. χρῆται δὲ αὐτῷ ἐν ἐκείνῳ ὡς δεδειγμένῳ.

ἘΠΕΙ ΔΕ ἐστι συνεχὲς καὶ ἁπτόμενον καὶ ἐφεξῆς ὡς διώρισται πρότερον, συνεχῆ μὲν, ὧν τὰ ἔσχατα ἕν. ἁπτόμενα δὲ, ὧν ἅμα. ἐφεξῆς δὲ, ὧν μηθὲν μεταξὺ συγγενές, ἀδύνατον ἐξ ἀδιαιρέτων εἶναί τι συνεχές. οἷον, γραμμὴν ἐκ στιγμῶν. εἴπερ ἡ γραμμὴ μὲν, συνεχές. ἡ στιγμὴ δὲ, ἀδιαίρετον. οὔτε γὰρ ἓν τὰ ἔσχατα τῶν στιγμῶν. οὐ γάρ ἐστι τὸ μὲν, ἔσχατον. τὸ δ' ἄλλο τι μόριον τοῦ ἀδιαιρέτου. οὔθ' ἅμα τὰ ἔσχατα. οὐ γάρ ἐστιν ἔσχατον οὐθὲν τοῦ ἀμεροῦς. ἕτερον γὰρ τὸ ἔσχατον, καὶ οὗ ἔσχατον.

Πέντε ὄντων ἐν τοῖς οὖσι μεγεθῶν, γραμμῆς, ἐπιφανείας, σώματος, καὶ ἔτι κινήσεως, καὶ χρόνου, τὸ μὲν συγκεῖσθαι ἕκαστον ἐξ ἐκείνων τῶν μερῶν εἰς ἃ καὶ διαιρεῖται, κοινή τις πᾶσιν ἔδοξεν ἔννοια. ἰδίᾳ δὲ λοιπὸν οἱ μὲν, ἐπ' ἄπειρον πᾶν τὸ ληφθὲν μέγεθος εἰς μεγέθη διαιρεῖσθαι νομίζουσιν, ὡς μηδέποτε τῆς διαιρέσεως εἰς ἀμερῆ καταληγούσης. καὶ διὰ τοῦτο καὶ ἐκ τῶν μερῶν συγκεῖσθαι τὰ μεγέθη λέγουσι, καὶ οὐκ ἐξ ἀμερῶν. οἱ δὲ, τῆς ἐπ' ἄπειρον τομῆς ἀπεγνωκότες, ὡς οὐ δυναμένων ἡμῶν ἐπ' ἄπειρον τέμνειν, καὶ ἐκ τούτου πιστώσασθαι τὸ ἀκατάληκτον τῆς τομῆς, ἐξ ἀδιαιρέτων ἔλεγον ὑφίστασθαι τὰ σώματα, καὶ εἰς ἀδιαίρετα διαιρεῖσθαι. πλὴν ὅτι λεύκιππος μὲν καὶ δημόκριτος, οὐ μόνον τὴν ἀπάθειαν αἰτίαν τοῖς πρώτοις σώμασι τοῦ μὴ διαιρεῖσθαι νομίζουσιν, ἀλλὰ καὶ τὸ σμικρὸν καὶ ἀμερές. ἐπίκουρος δὲ ὕστερον ἀμερῆ μὲν οὐχ ἡγεῖται, ἄτομα δὲ αὐτὰ διὰ τὴν ἀπάθειαν εἶναί φησι. καὶ πολλαχοῦ μὲν τὴν δημοκρίτου δόξαν καὶ λευκίππου ὁ ἀριστοτέλης διήλεγξεν. καὶ δι' ἐκείνους ἴσως τοὺς ἐλέγχους πρὸς τὸ ἀμερὲς ἐνισταμένους, ὁ ἐπίκουρος ὕστερον γενόμενος, συμπαθῶν δὲ τῇ δημοκρίτου καὶ λευκίππου δόξῃ περὶ τῶν πρώτων σωμάτων, ἀπαθῆ μὲν ἐφύλαξεν αὐτά. τὸ δὲ

ἀμερὲς αὐτῶν παρείλετο, ὡς δῆλον ἐκ τῶν ὑπὸ τοῦ ἀριστοτέλους ἐλεγχομένων. νῦν μέντοι ὁ ἀριστοτέλης καθόλου δεῖξαι προτίθεται, ὅτι οὐ συνέστηκεν ἐξ ἀμερῶν τὰ μεγέθη. τὰ συνεχῆ διάστασιν ἔχοντα. καὶ πρῶτον μὲν ἐπὶ τῶν τοῦ σώματος μεγεθῶν τοῦτο δείκνυσι. καὶ τό τε ἐπὶ κινήσεως καὶ χρόνου. ἐπειδὲ ἐστι τινὰ μεγέθη καὶ ἐξ ἁπτομένων τινῶν συγκείμενα, ὡς οἰκία, ὡς σωρός, ὅτι οὐδὲ τὸ τοιοῦτο μέγεθος δυνατὸν ἐξ ἀμερῶν συγκεῖσθαι συναποδείκνυσιν. εἰ οὖν πᾶν μέγεθος ἢ ὡς ἐκ συνεχῶν σύγκειται τῶν μερῶν, ἢ ὡς ἐξ ἁπτομένων, τὰ δὲ ἀμερῆ οὔτε συνεχῆ δύναται γενέσθαι ἀλλήλων οὔτε ἁπτόμενα, οὐδὲν ἂν εἴη μέγεθος ἐξ ἀμερῶν συγκείμενον. καὶ δείκνυσιν ἐπὶ τῆς γραμμῆς καὶ τῶν στιγμῶν πρῶτον, ὅτι ἀδύνατον συνεχῆ οὖσαν τὴν γραμμὴν ἐκ στιγμῶν εἶναι. δείκνυσι δὲ αὐτὸ οὕτως. ἡ γραμμὴ συνεχὴς οὖσα, ἐκ μερῶν ἐστι συνεχῶν. συνεχῆ δὲ ἦν ὧν τὰ ἔσχατα ἕν. εἰ οὖν ἡ γραμμὴ ἐκ τῶν τὰ ἔσχατα ἓν ἐχόντων μερῶν ἐστιν, αἱ δὲ στιγμαὶ τὰ ἔσχατα ἓν οὐκ ἔχουσιν, οὐκ ἂν εἶεν ἐκ στιγμῶν αἱ γραμμαί, κατὰ τὴν τοῦ δευτέρου σχήματος συναγωγήν. καὶ ὅτι μὲν συνεχὴς ἡ γραμμὴ καὶ ἐκ συνεχῶν μερῶν, ὧν τὰ ἔσχατα ἕν, πρόδηλον. ὅτι δὲ τῶν στιγμῶν οὐκ ἔστιν ἓν τὰ ἔσχατα, δείκνυσιν ἐκ τοῦ ὧν ἐστιν ἔσχατον ἄλλο μὲν τὸ ἔσχατον εἶναι, ἄλλο δὲ τὸ οὗ ἔσχατόν ἐστιν. εἰ οὖν ἡ στιγμὴ ἀμερής, οὐκ ἔστι τι αὐτῆς ἔσχατον. εἰ δὲ τοῦτο, οὐκ ἂν εἶεν δυοῖν στιγμῶν τὰ ἔσχατα. ὥστε καὶ ἕν τι ἐξ αὐτῶν γενέσθαι. οὐκ ἄρα συνεχές τι ἐκ στιγμῶν οἷόν τε γενέσθαι. εἰ δὲ λέγοι τις ὅτι τὸ πέρας οὐκ ἔστι μέρος, καὶ διὰ τοῦτο οὐδὲν κωλύει τοῦ ἀμεροῦς εἶναι πέρας, ὁμολογεῖ καὶ οὗτος ὅτι οὐ ταὐτόν ἐστι τὸ ὅλον καὶ τὸ πέρας. ἔστιν οὖν καὶ ἄλλο τι παρὰ τὸ πέρας. ἐν δὲ τῇ στιγμῇ οὐκ ἔστιν. ὅλως δὲ τὸ ἔχον πέρας καὶ ἀρχὴν ἔχει καὶ μέσον. ὥστε καὶ μόρια. δέδεικται οὖν ὅτι ἀδύνατον ἐξ ἀμερῶν εἶναι τὸ συνεχές. τὰ γὰρ ἐπὶ γραμμῆς εἰρημένα καὶ ἐπὶ ἄλλων συνεχῶν ῥηθήσεται. οὐ γὰρ διότι στιγμαί, ἀλλ' ὅτι ἀμερῆ, ἀληθῆ τὰ περὶ αὐτῶν εἰρημένα. ἀμερῆ δὲ καὶ τὰ νῦν καὶ αἱ μονάδες. ὥστε καὶ εἰ σώματά τις ἀμερῆ λέγει, ὡς ὁ διόδωρος οἴεται δεικνύναι, καὶ ἐπὶ ἐκείνων τὰ αὐτὰ ῥηθήσεται.

ἜΤΙ ἈΝΑΓΚΗ ἤτοι συνεχεῖς εἶναι τὰς στιγμάς, ἢ ἁπτομένας ἀλλήλων, ἐξ ὧν ἐστι τὸ συνεχές. ὁ δ' αὐτὸς λόγος, καὶ ἐπὶ πάντων τῶν ἀδιαιρέτων. συνεχεῖς μὲν δὴ οὐκ ἂν εἶεν, διὰ τὸν εἰρημένον λόγον. ἅπτεται δὲ ἅπαν, ἢ ὅλον ὅλου, ἢ μέρος, μέρους. ἢ ὅλου μέρος. ἐπεὶ δ' ἀμερὲς τὸ ἀδιαίρετον, ἀνάγκη ὅλον ὅλου ἅπτεσθαι. ὅλον δ' ὅλου ἁπτόμενον, οὐκ ἔσται συνεχές. τὸ γὰρ συνεχές, ἔχει τὸ μὲν ἄλλο, τὸ δ' ἄλλο μέρος. καὶ διαιρεῖται εἰς οὕτως ἕτερα καὶ τόπῳ κεχωρισμένα.

Ἐπειδὴ δοκεῖ τινὰ μεγέθη καὶ συνεχῆ γίνεσθαι, ἐκ μὴ συνεχῶν ἀλλὰ ἁπτομένων, ὡς ὁ τοῖχος ἐκ τῶν πλίνθων, ὅτι μηδὲ οὕτως ἐκ σημείων ἢ ἐξ ἀμερῶν ὅλως δυνατὸν μέγεθός τι γίνεσθαι. δείκνυσι προλαβών, ὅτι εἴ τι γίνεται ἐκ στιγμῶν, ἢ ἐκ συνεχιζομένων αὐτῶν γίνεσθαι ἢ ἐξ ἁπτομένων ἀνάγκη. καὶ ὅτι συνεχεῖς οὐ γίνονται διὰ τὰ προδεδειγμένα. καὶ λοιπὸν ἐπάγει ὅτι οὐδὲ ἁπτόμεναι αἱ στιγμαὶ ποιοῦσί τι συνεχές. καὶ πρόχειρον μὲν ἦν δεῖξαι, ὅτι οὐδὲ ἅπτονται ἀλλήλων αἱ στιγμαί, εἴπερ ἅπτεται ἐκεῖνα ὧν πέρατα ἅμα, αἱ δὲ στιγμαὶ πέρατα οὖσαι πέρας οὐκ ἔχουσιν. ὁ δέ, τοὺς τρόπους ἐκθέμενος ἐκ διαιρέσεως, καθ' οὓς ἅπτεσθαι λέγοιντο ἄν τινα ἀλλήλων, καὶ εἰπὼν ὅτι ἢ ὅλον ὅλου ἅπτεται, ὡς σημεῖον σημείου, ἢ ἐφαρμόζουσιν ἀλλήλαις ὡς γραμμαί, ἢ τὸ μὲν κατὰ μόριον τὸ δὲ καθόλου, ὡς γραμμὴ σημείου, ἢ κατὰ μόρια, ὡς γραμμὴ γραμμῆς κατὰ σημεῖον, μόριον γάρ πως τοῦ ὅλου τὸ σημεῖον, ἐπάγει ὅτι ἀμερεῖς οὖσαι αἱ στιγμαί, οὔτε κατὰ μέρη, οὔτε καθ' ὅλον καὶ μέρος ἐφάψονται. ἀλλ' εἰ ἄρα, ὅλον ὅλου, ὡς ἐφαρμόζειν ἀλλήλοις. ταῦτα δὲ ἁπτόμενα μὲν οὐκ ἂν λέγοιτο κυρίως. εἴπερ ἁπτόμενα ἦν, ὧν τὰ πέρατα ἀλλήλοις ἐφαρμόζει, οὐχ ὅλα ὅλοις. εἰ δὲ καὶ συγχωρήσει τις καὶ ταῦτα ἁπτόμενα καλεῖν, ἢ κατ' ἄλλον τρόπον πελάζειν ἀλλήλοις, οὐκ ἂν ἐκ τῶν τοιούτων γένοιτό τι μέγεθος, τό, τε γὰρ ἐκ συνεχῶν γινόμενον μέγεθος, καὶ τὸ ἐξ ἁπτομένων, μέρη ἔχει, τὸ μὲν ἄλλο, τὸ δ' ἄλλο. τὸ δὲ ἐξ ἀμερῶν οὐκ ἔχει. ὥστε οὐδὲ ἐξ ἁπτομένων τῶν σημείων γίνοιτο ἄν τι μέγεθος. καὶ ἡ μὲν πρώτη δεῖξις προῆλθεν ἀπὸ τοῦ μὴ ἔχειν πέρατα τὰ σημεῖα. αὕτη δὲ ἀπὸ τοῦ μέρη μὴ ἔχειν. ἄλλο δὲ τὸ πέρας καὶ ἄλλο τὸ μέρος. κἂν αὐτὸς νῦν δοκῇ τῷ πέρατι ὡς μέρει κεχρῆσθαι. εἰπὼν δὲ ὅτι τὸ συνεχὲς ἔχει, τὸ μὲν ἄλλο, τὸ δὲ ἄλλο μέρος, ἐπήγαγε καὶ διαιρεῖται εἰς οὕτως ἕτερα καὶ τόπῳ κεχωρισμένα. τὸ γὰρ συνεχὲς ἐπειδὴ μήτε σύγκειται ἐξ ἀμερῶν, μήτε διαιρεῖται εἰς ἀμερῆ, εἰς συνεχῆ διαιρεῖται. ὥστε μὴ τὸ ὅλον μόνον, ἀλλὰ καὶ τῶν μερῶν ἕκαστον τῶν ἐξ αὐτοῦ διῃρημένων, τὸ μὲν ἄλλο μέρος ἔχειν, τὸ δὲ ἄλλο, οὐ τῷ λόγῳ μόνον κεχωρισμένα, ὥσπερ αἱ τοῦ μήλου ποιότητες, ἀλλὰ καὶ τῷ τόπῳ.

ἈΛΛᾺ ΜΉΝ, οὐδὲ ἐφεξῆς ἔσται στιγμὴ στιγμῆς. ἢ τὸ νῦν τῶν νῦν. ὥστ' ἐκ τούτων εἶναι τὸ μῆκος ἢ τὸν χρόνον. ἐφεξῆς μὲν γάρ ἐστιν, ὧν μηθέν ἐστι μεταξὺ συγγενές. στιγμῶν δ' ἀεὶ τὸ μεταξύ, γραμμή. καὶ τῶν νῦν χρόνος.

Δείξας ὡς οὐδὲ ἐκ συνεχῶν στιγμῶν ἢ τῶν νῦν, οὐδὲ ἐξ ἁπτομένων δυνατὸν ἕν τι γενέσθαι μέγεθος, ἐκ περιουσίας δείκνυσιν, ὅτι ἐκ τῶν ἐφεξῆς στιγμῶν ἢ τῶν νῦν, εἴ τις νομίζοι γίνεσθαί τι μῆκος ἢ

χρόνον,

χρόνον, οὐ καλῶς οἴεται. πρῶτον μὲν κἂν ἐφεξῆς ἦν ταῦτα ἀλλήλοις, οὐκ ἐποίει τι ἓν, ἀνομογενοῦς τινὸς ὄντος μεταξύ. ἔπειτα ὅτι οὐ μόνον συνεχεῖς ἀλλήλαις ἀδύνατον εἶναι τὰς στιγμὰς καὶ ἁπτομένας. ἀλλ' οὐδὲ ἐφεξῆς ἀλλήλαις αὐτὰς εἶναι δυνατόν. καὶ ἔστιν ἐκ τοῦ μᾶλλον τὸ ἐπιχείρημα. εἰ γὰρ ἐφεξῆς ἀλλήλαις ἀδύνατον εἶναι τὰς στιγμὰς, πολλῷ μᾶλλον ἅπτεσθαι ἀλλήλων ἀδύνατον. ἐπείπερ τὰ ἁπτόμενα πρὸς τῷ ἐφεξῆς εἶναι, καὶ ἅμα ἔχει τὰ πέρατα. καὶ ἔτι μᾶλλον συνεχεῖς εἶναι ἀδύνατον, εἰ τὰ πέρατα αὐτῶν εἰς ἓν συντρέχειν ἀνάγκη, τῶν μερῶν ἄλλου ἀλλαχῆ κατὰ τόπον διεστῶτος. ὅτι δὲ οὐκ εἰσὶν ἐφεξῆς ἀλλήλων αἱ στιγμαὶ, δείκνυσι τῷ ἐφεξῆς προσχρώμενος, καὶ πάλιν ἐν δευτέρῳ σχήματι συλλογιζόμενος οὕτως. ἐφεξῆς ἐστιν, ὧν οὐδὲν μεταξύ ἐστι συγγενές. ὡς οἰκίαι ἐφεξῆς ἀλλήλαις, ὧν μὴ ἔστιν οἰκία τις μεταξὺ, κἂν δένδρον ἢ ἄλλό τι μεταξὺ τυγχάνῃ ἢ ἀργὸς τόπος. τῶν δὲ στιγμῶν ἔστι τι μεταξὺ ὁμογενὲς γραμμὴ, καὶ τῶν νῦν χρόνος. συνάγεται οὖν ὅτι οὔτε αἱ στιγμαὶ ἐφεξῆς εἰσιν, οὔτε τὰ νῦν. καὶ ὅτι μὲν μεταξὺ δυοῖν στιγμῶν πανταχοῦ γραμμή ἐστι, καὶ μεταξὺ δυοῖν νῦν χρόνος, πρόδηλον. πῶς δὲ ὁμογενὴς ἡ γραμμὴ ταῖς στιγμαῖς. ἢ ὡς πέρας ἐκείνῳ οὗ ἐστι πέρας. ὡς ἐν ἠθικοῖς τὴν ἡδονὴν συγγενῆ τὴν οἰκείαν ἔδειξε τῇ ἐνεργείᾳ, ἧς ἐστι πέρας. ἀλλ' εἰ τὸ μὲν σημεῖον ὁμογενὲς τῇ γραμμῇ, τὸ δὲ νῦν τῷ χρόνῳ, ποσὰ δὲ ἡ γραμμὴ καὶ ὁ χρόνος, ποσὰ ἂν εἴη καὶ τὸ σημεῖον καὶ τὸ νῦν. εἰ μὴ ἄρα ὑπὸ τὸ ποσὸν καὶ ταῦτα ὡς ποσοῦ πέρατα. ὑπὸ γάρ τινα ἂν ἄλλην εἴη κατηγορίαν, ἐπείπερ χρὴ πᾶν τὸ ἐν ὑποστάσει ὑπό τινα τῶν δέκα κατηγοριῶν ἀναχθῆναι. καὶ εἰ ἐν παντὶ χρόνῳ ἐστὶ νῦν, καὶ ἐν πάσῃ γραμμῇ σημεῖον, ὧν μεταξύ ἐστι γραμμὴ καὶ χρόνος, τούτων μεταξὺ ἂν εἴη σημεῖον καὶ τὸ νῦν. εἰ μὴ ἄρα δυνάμει καὶ οὐκ ἐνεργείᾳ ἐστὶν ἐν τῇ γραμμῇ στιγμὴ, καὶ ἐν τῷ χρόνῳ τὸ νῦν. ἢ τὸ δυνάμει ὂν δύναται καὶ ἐνεργείᾳ γίνεσθαι. ὁ δὲ Εὔδημος τῷ ἐπιχειρήματι οὕτως ἐχρήσατο. εἰ γάρ ἐστιν ἐφεξῆς φησι τὰ ἀμερῆ, δεῖ πάντως εἶναί τι αὐτῶν μεταξὺ μὴ ὁμογενές. ὥστε στιγμὴ μὲν οὐκ ἂν εἴη. γραμμὴ δὲ ἢ κενὸν μεταξὺ στιγμῶν ἐν μήκει. εἰ μὲν οὖν γραμμὴ, οὐκ ἔσται ἐκ τῶν στιγμῶν ἡ γραμμὴ, οὐ γὰρ ἐν αὐτῇ αἱ ἐφεξῆς στιγμαί. εἰ δὲ κενὸν, πλέον ἔσται τὸ κενὸν ἐν τοῖς συνεχέσι τῶν ἐξ ὧν, τουτέστι τῶν ἐφεξῆς λεγομένων στιγμῶν. ἢ οὐδὲ ἔσται ὅλως μέγεθος. ὥσπερ γὰρ ἁπτόμεναι δύο στιγμαὶ μῆκος οὐδὲν ποιοῦσιν, οὕτως οὐδὲ στιγμαὶ καὶ κενόν. μή ποτε οὖν ὀρθῶς ἐννοήσαι δοκεῖ τὸ ὑπὸ τοῦ Ἀριστοτέλους ῥηθὲν ὁ Εὔδημος, ὅτι οὐκ ἀναιρεῖ ἁπλῶς τὸ ἐφεξῆς εἶναι στιγμὴν στιγμῇ, ἢ τὸ νῦν τῷ νῦν. ἀλλὰ τὸ οὕτως εἶναι ἐφεξῆς. ὥστε ἐκ τούτων εἶναι τὸ μῆκος ἢ τὸν χρόνον. εἰ γὰρ μεταξὺ τῶν στιγμῶν καὶ τῶν νῦν γραμμή ἐστι καὶ χρόνος, πῶς ἐκ τῶν ἐφεξῆς στιγμῶν εἴη ἂν συγκειμένη ἡ γραμμή. ἐπείπερ πέρατα μόνον αὐτῆς εἰσιν αἱ ἐφεξῆς στιγμαί. ὁ δὲ Ἀλέξανδρος καὶ οὕτως ἐπεχείρησε τῷ λόγῳ. ὁμογενῆ φησι τῶν σημείων τὴν γραμμὴν εἶπε, καὶ τῶν νῦν τὸν χρόνον κατ' αὐτοὺς ἐκείνους. εἴ γε ἕκαστον αὐτῶν ἐξ ἀμερῶν σύγκειται ὡς αὐτός φησιν, ἡ μὲν γραμμὴ τῶν σημείων, ὁ δὲ χρόνος τῶν νῦν. ὥστε κατ' αὐτοὺς ἐκείνους οὐκ ἐφεξῆς τὰ σημεῖα. εἴ γε τὸ ἐξ αὐτῶν γινόμενον κατ' αὐτοὺς μεταξύ ἐστιν αὐτῶν, ὃν αὐτοῖς ὁμογενές. καὶ ἔοικεν ὁ Ἀλέξανδρος πανταχοῦ τὸ ἐφεξῆς νομίζειν ἀναιρεῖν τὸν Ἀριστοτέλην, ἀλλὰ μὴ τὸ οὕτως ἐφεξῆς εἶναι, ὥστε ἐκ τούτων τὸ μῆκος εἶναι ἢ τὸν χρόνον. ὅπερ σαφῶς διὰ τῶν λέξεων ὁ Ἀριστοτέλης ἐσήμανεν.

ἜΤΙ ΔΙΑΙΡΟΙΤ' ἊΝ εἰς ἀδιαίρετα, ἐπείπερ ἐξ ὧν ἐστιν ἑκάτερον εἰς ταῦτα διαιρεῖται. ἀλλ' οὐθὲν ἦν τῶν συνεχῶν εἰς ἀμερῆ διαιρετόν. ἄλλο δὲ γένος, οὐχ οἷόν τε εἶναι μεταξὺ τῶν στιγμῶν, καὶ τῶν νῦν, οὐθέν. εἰ γὰρ ἔσται, δῆλον, ὡς ἤτοι διαιρετὸν, ἢ ἀδιαίρετον ἔσται. καὶ εἰ διαιρετὸν, ἢ εἰς ἀδιαίρετα. ἢ εἰς ἀεὶ διαιρετά. τοῦτο δὲ συνεχές.

Καὶ τοῦτο οἶμαι τὸ ἐπιχείρημα τοῦ αὐτοῦ δεικτικόν ἐστι, τοῦ μὴ δὲ ἐφεξῆς εἶναι τὰ ἀμερῆ, ὥστε ἐκ τούτων εἶναι τὸ μῆκος ἢ τὸν χρόνον. δηλοῖ δὲ καὶ τὸ ἔτι προσκείμενον, ὅτι πρὸς τὸ αὐτὸ καὶ οὗτος ὁ λόγος πεπόρισται. ἔστι δὲ τοιοῦτος. εἰ ἐκ τῶν ἐφεξῆς ἀμερῶν τὸ συνεχές ἐστιν, τουτέστιν ἡ γραμμὴ καὶ ὁ χρόνος, περὶ ὧν εἴρηται τὸ ἑκάτερον, ἡ μὲν, ἐκ στιγμῶν. ἡ δὲ ἐκ τῶν νῦν, καὶ διαιροῖτο ἂν εἰς τὰ ἐφεξῆς ἀδιαίρετα. ἐξ ὧν γὰρ ἕκαστον σύγκειται, εἰς ταῦτα καὶ διαιρεῖται. καὶ ἔστιν αὕτη τοῦ συνημμένου ἡ ἀπόδειξις. ἡ δὲ πρόσληψις λοιπὸν ἐξ ἀναιρέσεως τοῦ ἑπομένου, ἀλλὰ μὴν οὐδὲν ἦν τῶν συνεχῶν εἰς ἀμερῆ διαιρετόν. καὶ τὸ συμπέρασμα ἤτοι ἡ ἐπιφορὰ ὡς σαφὴς παρεῖται, ὅτι τὸ συνεχὲς οὐ σύγκειται ἐκ τῶν ἐφεξῆς ἀμερῶν. τὴν δὲ πρόσληψιν τὴν λέγουσαν μηδὲν τῶν συνεχῶν εἰς ἀμερῆ διαιρετὸν εἶναι δείκνυσι, μεταλαβὼν τὸ συνεχὲς εἰς τὸ μεταξύ. τὸ γὰρ μεταξὺ ἦν γραμμὴ καὶ ὁ χρόνος. καὶ λέγει ὅτι ἄλλο γένος οὐχ οἷόν τε εἶναι μεταξὺ τῶν ἀδιαιρέτων. οὐ γὰρ οἷόν τε μεταξὺ τούτων εἶναι τὸ φαιὸν ἢ τὸ γλισχρόν. ἀλλ' ἢ τὸ διαιρετὸν ἢ τὸ ἀδιαίρετον. καὶ μάλιστα εἰ ἐκ τῶν ἀδιαιρέτων συγκεῖσθαι λέγεται τὸ μεταξύ. καὶ γὰρ ἀντιφατική ἐστιν ἡ διαίρεσις ἐν τῷ γένει τούτῳ, ἡ τοῦ διαιρετοῦ καὶ τοῦ ἀδιαιρέτου. εἰ οὖν ἀδιαίρετον μὴ ἔστι τὸ μεταξὺ συνεχὲς, ἐπείπερ συγκεῖσθαι λέγεται ἐκ τῶν ἀμερῶν, τὸ δὲ συγκείμενον διαιρεῖται, ἀνάγκη αὐτὸ διαιρετὸν εἶναι, καὶ ἤτοι εἰς ἀδιαίρετα, ἢ εἰς ἀεὶ διαιρετά. ἀλλὰ τοῦ μὴ εἰς ἀδιαίρετα ἐφεξῆς προστίθησι τὴν ὑπόμνησιν. εἰ γὰρ εἰς ἀδιαίρετα, ἔσται ἀδιαίρετον ἀδιαιρέτου ἁπτόμενον, ἵνα γένηταί τι ἐξ αὐτῶν. ὅπερ ἀπεδείχθη ἀδύνατον. ζητεῖ δὲ

ὁ Ἀλέξανδρος πῶς ὑγιὴς ἡ λέξις, εἰ διὰ μὲν τοῦ μὴ διαιρεῖσθαι τὸ συνεχὲς εἰς ἀμερῆ δείκνυσιν
ὅτι μηδὲ σύγκειται ἐξ ἀμερῶν, ὅπερ ἔλεγεν, ἀλλ' οὐδὲ ἦν τι τῶν συνεχῶν εἰς ἀμερῆ διαιρε-
τὸν, τὸ δὲ μὴ διαιρεῖσθαι εἰς ἀμερῆ δείκνυσι, διὰ τοῦ μὴ ἅπτεσθαι τὰ ἀμερῆ ἀλλήλων, τουτέστι
μὴ συγκεῖσθαι ἀλλήλοις, δι' οὗ ἔδειξεν ἤδη ὅτι ἐξ ἀμερῶν οὐχ οἷόν τε συγκεῖσθαι τὸ μέγεθος.
καὶ λύει τὴν ἔνστασιν λέγων, ἄλλο εἶναι τὸ ἐπιχείρημα τὸ ἀπὸ τοῦ μεταξὺ, τὸ λέγον ὅτι ἢ διαι-
ρετόν ἐστιν ἢ ἀδιαίρετον. καὶ εἰ διαιρετὸν ἢ εἰς ἀδιαίρετα ἢ εἰς ἀεὶ διαιρετά. εἰ τοίνυν τὸ συνεχὲς μήτε
ἀδιαίρετόν ἐστι, μήτε διαιρετὸν εἰς ἀδιαίρετα, ἐξ ἀνάγκης ἂν εἴη διαιρετὸν εἰς ἀεὶ διαιρετά. καὶ πιστοῦ-
ταί φησιν αὐτὸ ἐκ τούτου. εἰ εἰς ἀδιαίρετα διαιρεῖται, ἔσται ἀδιαίρετον ἀδιαιρέτου ἁπτόμενον, ἵνα
γένηται τὸ συνεχές. μή ποτε δὲ οὐδὲ ὡς εἴρηται πρότερον διάλληλος ἡ λέξις ἐστίν. ἀλλ' ἐκ τοῦ μὴ ἅπτε-
σθαι ἀλλήλων τὰ ἀμερῆ, πρῶτον μὲν ἔδειξεν ὅτι οὐ σύγκειται ἐξ ἀμερῶν τὰ συνεχῆ. οὐχ ὅτι
ταὐτὸν τὸ ἅπτεσθαι καὶ τὸ συγκεῖσθαι ἤτοι συνεχίζεσθαι. ἀλλ' ὅτι πάντως προηγεῖται τὸ ἅπτε-
σθαι τοῦ συνεχίζεσθαι. νῦν δὲ δείκνυσιν ἐκ τοῦ αὐτοῦ πάλιν καὶ ὅτι οὐ διαιρεῖται εἰς ἀμερῆ τὰ συ-
νεχῆ. ἐκ δὲ τούτου ὅτι οὐδὲ σύγκειται ἐξ ἀμερῶν. ὥστε εἰ ἄμφω μὲν ἐκ τοῦ μὴ ἅπτεσθαι δείκνυται, τὸ
δὲ μὴ συγκεῖσθαι καὶ ἐκ τοῦ μὴ διαιρεῖσθαι, οὐκ ἔστιν αὕτη διάλληλος ἡ λέξις. μή ποτε δὲ ἐπὶ τῶν τοιούτων
οὐδὲ ἔστιν ἄτοπος ἡ διάλληλος λέξις. εἰ γὰρ μὴ διαιρεῖται εἰς ἀμερῆ, οὐ σύγκειται ἐξ ἀμερῶν. καὶ εἰ μὴ
σύγκειται ἐξ ἀμερῶν, οὐ διαιρεῖται εἰς ἀμερῆ. καὶ ἐπὶ πάντων τῶν ἀλλήλοις ἀντακολουθούντων. εἰ
γὰρ τέτοκε, γάλα ἔχει. καὶ εἰ γάλα ἔχει, τέτοκε. προστίθησι δὲ καὶ τοιαύτας τινὰς ἐπιχειρήσεις ὁ Ἀλέ-
ξανδρος, ἐκ τοῦ Εὐδήμου λαβών. εἰ ἔστιν ἐξ ἀμερῶν μέγεθος, ἔσται γραμμὴ γραμμῆς στιγμῇ μείζων.
ἀλλ' εἰ τοῦτο, ἢ οὐ διαιρεθήσεται πᾶσα γραμμὴ δίχα. ἢ εἰ διαιρεθήσεται, καὶ ἡ ἐκ περιττῶν συγκει-
μένη διαιροῖτο ἄν. οὕτω δ' ἂν εἴη καὶ τὸ σημεῖον διαιρούμενον. ἔτι εἰ ὅλως γραμμὴ γραμμῆς σημείῳ μεί-
ζων, καὶ κύκλος ἂν εἴη κύκλου. ὥστε ὁ μὲν ἐξ ἀρτίων, ὁ δὲ ἐκ περιττῶν. ἢ οὖν τὸν ἐκ περιττῶν οὐ
διαιρήσομεν εἰς ἡμικύκλια, ἢ τὸ σημεῖον δίχα διαιρήσομεν. τὴν δὲ διαίρεσιν ἐποιήσατο τοῦ διαιρετοῦ εἰς
ἀδιαίρετα, ἢ εἰς ἀεὶ διαιρετά. ἵνα τὸ συνεχὲς ἐν τῷ διαιρετῷ εἰς ἀεὶ διαιρετὰ περιγράψῃ.

Φ ΑΝΕΡΟΝ δὲ καὶ ὅτι πᾶν συνεχὲς διαιρετὸν εἰς ἀεὶ διαιρετά. εἰ γὰρ εἰς ἀδιαίρετα, ἔσται ἀδιαίρετον
ἀδιαιρέτου ἁπτόμενον. ἓν γὰρ τὸ ἔσχατον, καὶ ἅπτεται τῶν συνεχῶν.

Δ είξας ἐν τοῖς προτέροις ἐπιχειρήμασιν, ὅτι τὸ συνεχὲς οὐ σύγκειται ἐξ ἀμερῶν, δείκνυσι νῦν
ὅτι οὐδὲ διαιρεῖται εἰς ἀμερῆ. ὅτι μὲν γὰρ διαιρεῖται τὸ συνεχὲς μέγεθος ἔχον, πρόδηλον. καὶ ὅτι
ἀνάγκη τὸ διαιρούμενον ἢ εἰς ἀδιαίρετα, ἢ εἰς διαιρετὰ διαιρεῖσθαι ὡς προείρηται. οὐ γάρ ἐστι τι τῆς
ἀντιφάσεως μεταξύ. ὅτι δὲ οὐκ εἰς ἀδιαίρετα διαιρεῖται τὸ συνεχὲς, δείκνυσιν ἐκ τοῦ συμβαίνειν
ἀδιαίρετον ἀδιαιρέτου ἅπτεσθαι. εἰ γὰρ ἓν τὰ ἔσχατα τῶν τὸ συνεχὲς ποιούντων γίνεται, ἀνάγκη
πρότερον ἅψασθαι αὐτὰ ἀλλήλων, καὶ οὕτως εἰς τὸ ἓν συναλείφεσθαι. ὥστε εἰ ἓν γίνεται, πάν-
τως καὶ ἅπτεται. εἰ μέν τοι καὶ ἅπτεται, οὐ πάντως ἕν. διὸ ὡς αἴτιον τελικὸν τοῦ ἅπτεσθαι τὸ ἓν
γίνεσθαι εἶπεν. οὐ γὰρ οἷόν τε ἓν γίνεσθαι τὰ μὴ ἁψάμενα μεγέθη. ὅτι δὲ ἀδύνατον ἐξ ἁπτομένων
μερῶν γίνεσθαί τι συνεχὲς τουτέστι μέγεθος, ἔδειξε πρότερον ἐκ τῆς τῶν ἁπτομένων διαιρέσεως.
οὔτε γὰρ μέρει δυνατὸν ἅπτεσθαι τὰ ἀμερῆ, οὔτε ὅλον ὅλου ἁπτόμενα τὰ μέρη καὶ ἐφαρμόζοντα
ἀλλήλοις, συνεχές τι ποιεῖ. διότι τὸ συνεχὲς ἄλλο ἀλλαχοῦ μέρος ἔχει. κοινότερον δέ φησιν ὁ Ἀλέ-
ξανδρος τὸ ἐξ ἁπτομένων συγκείμενον μέγεθος λέγεσθαι συνεχές. καὶ οὕτως ἀκούει ἐπὶ τοῦ Ἀριστοτέ-
λους εἰπόντος, ἓν γὰρ τὰ ἔσχατα, ἢ ἅπτεται τὰ ἔσχατα τῶν συνεχῶν. μή ποτε δὲ οὐ τὸ ἐξ ἁπτομένων
εἶπε συνεχὲς ὁ Ἀριστοτέλης. ἀλλ' ὅτι τὸ ἔσχατον τῶν συνεχῶν τῶν ἐμποιούντων τι μεῖζον συνεχὲς ἐξ ἑαυτῶν,
ἕν ἐστιν. εἰ δὲ ἕν, καὶ ἅπτεσθαι ἀνάγκη ὡς εἴρηται. οὐ γὰρ γίνεται ἕν, μὴ πρότερον ἁψάμενα.

Τ ΟΥ Δ' ΑΥΤΟΥ λόγου, καὶ μέγεθος καὶ χρόνον καὶ κίνησιν, ἐξ ἀδιαιρέτων συγκεῖσθαι, καὶ διαι-
ρεῖσθαι εἰς ἀδιαίρετα, ἢ μηθέν. δῆλον δὲ ἐκ τῶνδε. εἰ γὰρ τὸ μέγεθος ἐξ ἀδιαιρέτων σύγκειται, καὶ
ἡ κίνησις ἡ τούτου, ἐξ ἴσων κινήσεων ἔσται ἀδιαιρέτων. οἷον, εἰ τὸ α, β. γ, ἐκ τῶν α β γ,
ἐστὶν ἀδιαιρέτων ἡ κίνησις, ἐφ' ἧς δ ε ζ ἣν ἐκινήθη τὸ ω ἐπὶ τῆς α β γ, ἕκαστον μέρος
ἔχει ἀδιαίρετον. εἰ δὴ παρούσης κινήσεως ἀνάγκη κινεῖσθαί τι, καὶ εἰ κινεῖταί τι, ἀνάγκη παρεῖναι
κίνησιν. καὶ τὸ κινεῖσθαι ἔσται ἐξ ἀδιαιρέτων. τὸ μὲν δὴ α. ἐκινήθη τὸ ω, τὴν τὸ δ κινούμενον
κίνησιν. τὸ δὲ β, τὴν τὸ ε. καὶ τὸ γ, ὡσαύτως τὴν ζ. εἰ δὴ ἀνάγκη τὸ κινούμενον πόθεν, ποῖ,
μὴ ἅμα κινεῖσθαι καὶ κεκινῆσθαι οὗ ἐκινεῖτο ὅτε ἐκινεῖτο, οἷον, εἰ Θήβαζέ τι βαδίζει, ἀδύνατον ἅμα
βαδίζειν Θήβαζε καὶ βεβαδικέναι Θήβαζε. τὴν δὴ τὸ α τὴν ἀμερῆ ἐκινεῖτο τὸ ω, ᾗ ἡ τὸ δ κί-
νησις παρῆν. ὥστ' εἰ μὲν ὕστερον διῆλθεν ἢ διῄει, διαιρετὴ ἂν εἴη. ὅτε γὰρ διῄει, οὔτε ἠρέμει, οὔτε διε-
ληλύθει, ἀλλὰ μεταξὺ ἦν. εἰ δ' ἅμα διέρχεται καὶ διελήλυθε, τὸ βαδίζον ὅτε βαδίζει, βεβαδικὸς ἐκεῖ
ἔσται. καὶ κεκινημένον οὗ κινεῖται. εἰ δὲ τὴν μὲν ὅλην α β γ κινεῖταί τι, καὶ ἡ κίνησις, ἣν κινεῖται
τὰ δ ε ζ ἐστὶ, τὴν δὲ ἀμερῆ, τὴν α οὐθὲν κινεῖται, ἀλλὰ κεκίνηται. εἴη ἂν ἡ κίνησις, οὐκ ἐκ κινή-
σεων, ἀλλ' ἐκ κινημάτων. καὶ τὸ κεκινῆσθαί τι μὴ κινούμενον. τὴν γὰρ α, διελήλυθεν οὐ διεξῄει. ὥστε

ἔσται τι

ἔσται τι βεβαδικέναι μηδέποτε βαδίζον. ταύτην γὰρ βεβάδικεν οὐ βαδίζον ταύτην. εἰ οὖν ἀνάγκη ἢ ἠρεμεῖν ἢ κινεῖσθαι πᾶν, ἠρεμεῖ δὲ καθ' ἕκαστον τῶν α β γ ὥστ' ἔσται τι συνεχῶς ἠρεμοῦν ἅμα καὶ κινούμενον. τὴν γὰρ α. β. γ. ὅλην ἐκινεῖτο καὶ ἠρέμει ὁτιοῦν μέρος. ὥστε καὶ πᾶσαν. καὶ εἰ μὲν τὰ ἀδιαίρετα τῆς δ ε ζ. κινήσεις κινήσεως παρούσης, ἐνδέχοιτ' ἂν μὴ κινεῖσθαι ἀλλ' ἠρεμεῖν. εἰ δὲ μὴ κινήσεις εἰσί, τὴν κίνησιν μὴ ἐκ κινήσεων εἶναι.

Δ εἴξας κοινῶς ὅτι οὐδὲν συνεχὲς ἐξ ἀδιαιρέτων σύγκειται, οὐδὲ διαιρεῖται εἰς ἀδιαίρετα, ἐπειδὴ τῶν συνεχῶν ὡς συνελόντι εἰπεῖν τρία ἐστί, μέγεθος, κίνησις, χρόνος δείκνυσι νῦν ὅτι ὁ αὐτός ἐστιν ἐπ' αὐτοῖς λόγος. καὶ ὁμοίως ἢ ἐξ ἀδιαιρέτων πανταχοῦ σύγκειται, καὶ διαιρεῖται εἰς ἀδιαίρετα ἢ οὐδὲν αὐτῶν. καὶ πρῶτον δείκνυσιν ὅτι ὁμοίως ἔχει τῷ μεγέθει ἡ κίνησις, καὶ τότε ὅτι καὶ ὁ χρόνος τὸν αὐτὸν ἔχει τούτοις λόγον. ὅτι δὲ εἰ τὸ μέγεθος ἐξ ἀδιαιρέτων σύγκειται, καὶ ἡ κίνησις ἡ ἐπ' αὐτοῦ ἐκ τοσούτων ἀδιαιρέτων κινήσεων συνεστήξεται, δείκνυσι πρῶτον διὰ ἐκθέσεως ὡς εἴρηται τὸ πρόβλημα σαφηνίζων. εἰ γὰρ εἴη μέγεθος τὸ αβγ, ἐκ τριῶν ἀδιαιρέτων τῶν αβγ συγκείμενον, καὶ εἴη τι κινούμενον διὰ τοῦ αβγ μεγέθους τὸ ω, τὴν δεζ κίνησιν, ἔσται καὶ αὕτη ἐξ ἀδιαιρέτων τινῶν συγκειμένη. καὶ ἡ μὲν ἔκθεσις τοῦ προβλήματος τοῦ, τὴν ὁμοιότητα παριστῶντος, ἔστιν αὕτη. ἡ δὲ ἀπόδειξις κατὰ τὸν δεύτερον τῶν ὑποθετικῶν ἐκ τῆς τοῦ ἑπομένου ἀναιρέσεως γίνεται. ὁ δὲ συλλογισμὸς τοιοῦτος. εἰ τὸ μέγεθος ἐξ ἀδιαιρέτων, καὶ ἡ κίνησις ἐξ ἀδιαιρέτων. ἀλλὰ μὴν ἡ κίνησις οὐκ ἐξ ἀδιαιρέτων ὡς δείξει. οὐδὲ ἄρα τὸ μέγεθος. καὶ τὸ μὲν συνημμένον ἐκ τῶν πρότερον δειχθέντων τέθεικεν. εἰ γὰρ ἀκολουθεῖ ἡ κίνησις τῷ μεγέθει ἐφ' οὗ γίνεται ὡς δέδεικται, εὐλόγως εἰ τὸ μέγεθος εἴη ἐξ ἀδιαιρέτων συγκείμενον, καὶ ἡ ἐπ' αὐτοῦ κίνησις. τὴν δὲ πρόσληψιν τὴν λέγουσαν, ἀλλὰ μὴν ἡ κίνησις οὐκ ἐξ ἀδιαιρέτων, δι' ἄλλου τοιούτου κατασκευάζει συλλογισμοῦ. εἰ ἡ κίνησις ἐξ ἀδιαιρέτων, καὶ τὸ κινεῖσθαι ἐξ ἀδιαιρέτων. ἀλλὰ μὴν τοῦτο ἀδύνατον. καὶ τὸ ἡγούμενον ἄρα. καὶ πάλιν τὸ συνημμένον τὸ λέγον. εἰ ἡ κίνησις ἐξ ἀδιαιρέτων. καὶ τὸ κινεῖσθαι ἐξ ἀδιαιρέτων, δείκνυσι κατὰ τὸν δεύτερον ἀναπόδεικτον συλλογιζόμενος οὕτως. λαβὼν ὡς ἀντιστρέφοντα τὸ παρούσης κινήσεως κινεῖσθαί τι, καὶ εἰ κινεῖταί τι παρεῖναι κίνησιν, ἐξ οὗ συνάγεται ὅτι ὡς ἔχει ἡ κίνησις, ἔχει τὸ κινεῖσθαι, συνάπτει δὲ τὸ ἑπόμενον, ποιῶν τὸ συνημμένον τοιοῦτον. εἰ ἡ κίνησις ἐξ ἀδιαιρέτων, καὶ τὸ κινεῖσθαι ἐξ ἀδιαιρέτων. ἀλλὰ μὴν τοῦτο ἀδύνατον δειχθήσεται. ἀκολουθήσει οὖν τὸ μηδὲ τὴν κίνησιν ἐξ ἀδιαιρέτων εἶναι. ᾧ τεθέντι, συναποδειχθήσεται τὸ μηδὲ τὸ μέγεθος ἐξ ἀδιαιρέτων εἶναι. ὃ καὶ πρότερον καθ' ἑαυτὸ ἀπεδείχθη. νῦν δὲ προσαπεδείχθη τὸ ὁμοίως ἔχειν τὴν κίνησιν καὶ τὸ μέγεθος, κατὰ τὸ μὴ εἶναι ἐξ ἀδιαιρέτων. τὴν μὲν οὖν ἀντιστροφὴν τοῦ παρεῖναι κίνησιν, καὶ τοῦ κινεῖσθαι ὡς ἐναργῆ παρέλαβεν. οὐ γὰρ οἷόν τε ἢ κινεῖσθαί τι, μὴ κινήσεως παρούσης, ἢ κινήσεως παρούσης μὴ κινεῖσθαι. μεταβαίνει δὲ ἀπὸ τῆς κινήσεως διὰ τὸ κινεῖσθαι, διότι διὰ τούτου φανερώτερον ἐστὶ τὸ ἑπόμενον ἄτοπον, τῷ ἐξ ἀδιαιρέτων εἶναι, ἤπερ διὰ τῆς κινήσεως αὐτῆς. ἀπὸ γὰρ τῆς διαφορᾶς τοῦ κινεῖσθαι καὶ κεκινῆσθαι, γίνεται ἡ ἀπόδειξις ὡς μαθησόμεθα, ἡ ἀναιροῦσα τὸ ἐξ ἀμερῶν τὴν κίνησιν συγκεῖσθαι. λαβὼν οὖν διὰ τῆς ἐκθέσεως, ὅτι τὸ ω τὸ κινούμενον τὸ α μέγεθος, ἐκινήθη τὴν τὸ δ ἔχουσαν ἐπιγεγραμμένην κίνησιν, ὅτι μὴ οἷόν τε τὸ κινούμενον τινὰ τούτων τῶν κινήσεων ἀδιαίρετον εἶναι, δείκνυσι, προλαβὼν ἀδύνατον εἶναι τὸ κινούμενον πόθεν ποῖ, ἅμα τε κινεῖσθαι ἐφ' ὃ κινεῖται καὶ κεκινῆσθαι, καὶ εἶναι ἐκεῖ ἐφ' ὃ ἐκινεῖτο. τὸ γὰρ ἐς θήβας βαδίζον, ἀδύνατον ἅμα βαδίζειν τε εἰς θήβας, καὶ εἶναι ἐν θήβαις ὅτε βαδίζει. ἀλλὰ πρῶτον γίνεται τὸ βαδίζειν ἐς θήβας τοῦ ἐν θήβαις εἶναι. τοῦτο προλαβὼν μεταβαίνει πάλιν ἐπὶ τὴν ἔκθεσιν. καὶ λέγει ὅτι τὴν α ἀμερῆ γραμμὴν ἢ διάστασιν, ἡ παρ' ἣν κίνησις ἡ τὸ δ, ἣν ἐκινεῖτο τὸ ω, κατὰ γὰρ τὴν τὸ δ κίνησιν τὸ ω ὑπέκειτο ἐπὶ τῆς α κινεῖσθαι, ἀνάγκη ἢ πρότερον μὲν διϊέναι ὕστερον δὲ διεληλυθέναι, ἢ ἅμα διϊέναι καὶ διεληλυθέναι. οὐ γάρ ἐστί τι μεταξύ. ἀλλ' εἰ πρότερον διΐοι, ὕστερον δὲ διελήλυθε, διαιρετὴ ἂν εἴη ἡ κίνησις. ὅπερ πιστοῦται διὰ τοῦ ὅτε διῄει, οὔτε ἠρεμεῖν ὡς μήπω ἀρξάμενον κινεῖσθαι, οὐ γάρ ἐστιν ἐν τῷ ἐξ οὗ ἐκινεῖτο, οὔτε ἤδη διεληλυθέναι οὐκέτι γὰρ ἂν ἐπί τι ἐκινεῖτο. ἀλλὰ μεταξὺ τοῦ τε ἐξ οὗ καὶ τοῦ εἰς ὅ. εἰ δὲ μεταξύ ἐστιν ἡ κίνησις, καὶ οὐδέπω πᾶσα γέγονε, μεριστὴ ἂν εἴη καὶ διαιρετή. καὶ τοῦτο μὲν ἀκολουθεῖ τῷ πρότερον διϊὸν ὕστερον διεληλυθέναι. ἐπεὶ πᾶσα κίνησις πόθεν ποῖ οὖσα μόρια ἔχει, καὶ τὸ μέν τι αὐτῆς γέγονε, τὸ δὲ μέλλει. εἰ δὲ λέγοι τις ὅτι ἅμα τε διέρχεται καὶ διελήλυθεν, ἔσται τὸ βαδίζον ὅτε βαδίζει βεβαδικὸς ἤδη καὶ κεκινημένον, καὶ ἐν ἐκείνῳ ὂν ἐφ' ὃ κινεῖται. οὗ τί ἂν εἴη ἀδυνατώτερον. εἶτα προστίθησί τι, ὅπερ εἰκὸς ἦν τινὰ εἰπεῖν, ὅτι ἐπὶ μὲν τοῦ ὅλου μεγέθους τοῦ αβγ τοῦ ἐξ ἀμερῶν συγκειμένου, μὴ ὄντος δὲ ἀμεροῦς, τὸ ω κινεῖσθαι τὴν δεζ κίνησιν, μηκέτι δὲ ἑκάστην τούτων τῶν ἀμερῶν κινεῖσθαι ἀλλὰ κεκινῆσθαι, οὕτω γὰρ οὐκέτι δόξει ἀκολουθεῖν, τὸ ἅμα τε κινεῖσθαι καὶ κεκινῆσθαι, ἐπὶ μὲν γὰρ τῆς ὅλης ἔσται κινούμενον, οὐκέτι μέντοι καὶ καθ' ἕκαστον τῶν μορίων αὐτοῦ τῶν ἀδιαιρέτων ἔσται κινούμενον, θεὶς δὴ τοῦτο, τὰ ἑπόμενα ἄτοπα τῇ τοιαύτῃ ὑπονοίᾳ ἐπάγει. ἤτε γὰρ κίνησις ἔσται συγκειμένη οὐκ ἐκ κινήσεων, ἀλλ' ἐκ κινημάτων, τουτέστιν ἐκ τῶν περάτων τῆς κινήσεως, καὶ ἐκ τῶν

κεκινῆσθαι. ἡ γὰρ δεζ κίνησις οὐχ ἕξει τὰ μόρια τὰ δ καὶ ε καὶ ζ κινήσεις. κεκινῆσθαι γὰρ ἔκειτο ταῦτα οὐ κινεῖσθαι. ὁμοίως δὲ καὶ τοῦ κινεῖσθαι τὰ μόρια ἔσται οὐ κινεῖσθαι, ἀλλὰ κεκινῆσθαι. καὶ διαιρεθήσεται τὸ κινεῖσθαι εἰς μόρια ἃ οὐ κινεῖσθαι ἐστὶν, ἀλλὰ κεκινῆσθαι. ἐπάγει δὲ καὶ ἄλλο ἄτοπον ἀκολουθοῦν ταύτῃ τῇ ὑποθέσει, τὸ κεκινῆσθαί τι μὴ πρότερον κινούμενον· οἷον βεβαδικέναι τι μὴ πρότερον βαδίζον. κεῖται μὲν γὰρ κινεῖσθαι τὸ ω τὴν δεζ κίνησιν, ἐπὶ τοῦ αβγ μεγέθους. οὔτε δὲ ἐπὶ τοῦ α κινεῖται, κεκίνηται γὰρ ἐπ' αὐτοῦ, οὔτε ἐπὶ τοῦ β. ὁμοίως δὲ οὐδὲ ἐπὶ τοῦ γ. τὴν ὅλην ἄρα κίνησιν κεκινημένον ἔσται μὴ κινούμενον αὐτὴν πρότερον. ὅτι δὲ οὐ πάντη ἀπίθανον ταύτην τέθεικε τὴν ἔνστασιν, δηλοῖ τὸ καὶ θέντος αὐτὴν, καὶ διαλύσαντος, τοὺς περὶ ἐπίκουρον ὅμως ὕστερον γινομένους, οὕτω λέγειν τὴν κίνησιν γίνεσθαι. ἐξ ἀμερῶν γὰρ καὶ τὴν κίνησιν καὶ τὸ μέγεθος καὶ τὸν χρόνον εἶναι λέγοντες, ἐπὶ μὲν τοῦ ὅλου μεγέθους τοῦ ἐξ ἀμερῶν συνεστῶτος κινεῖσθαι λέγουσι τὸ κινούμενον, καθ' ἕκαστον δὲ τῶν ἐν αὐτῷ ἀμερῶν οὐ κινεῖσθαι, ἀλλὰ κεκινῆσθαι. διότι τὸ εἰ τεθείη καὶ ἐπὶ τούτων κινεῖσθαι τὸ ἐπὶ τοῦ ὅλου κινούμενον, διαιρετὰ αὐτὰ ἔσεσθαι. ἐπάγει δὲ καὶ ἄλλο ἄτοπον τῷ λέγοντι λόγῳ, ἐπὶ μὲν τοῦ αβγ μεγέθους, τοῦ ἐξ ἀμερῶν μὲν συγκειμένου, μὴ ὄντος δὲ ἀμεροῦς, κινεῖσθαι τὸ ω τὴν δεζ κίνησιν, μηκέτι δὲ καὶ ἐπὶ ἑκάστου τῶν αβγ ἀμερῶν κινεῖσθαί τι ἀλλὰ κεκινῆσθαι. καὶ ἔστιν ἐναργὴς ὁ ἔλεγχος. εἰ γὰρ τὸ πεφυκός φησι κινεῖσθαι, ὅτε πέφυκεν ἀνάγκη ἠρεμεῖν ἢ κινεῖσθαι, ὅτε δὲ τὴν αβγ μεριστὴν κινεῖται συνεχῶς τὸ ω, οὔτε ἐν τῷ α οὔτε ἐν τῷ β, οὔτε ἐν τῷ γ κινεῖται ὡς λέγουσιν, ἠρεμοίη ἄν. ἀλλ' ἔκειτο καὶ κινεῖσθαι ἐπὶ τοῦ αβγ μεγέθους συνεχῶς. καίτοι εἰ ἐν πᾶσι τοῖς αβγ μορίοις συνεχῶς ἠρεμεῖ, καὶ ἐν παντὶ ἂν αὐτῷ ἠρεμοίη. ὥστε ἅμα καὶ κινούμενον ἂν εἴη τὸ αὐτὸ κατὰ τὸ αὐτό. καὶ ἠρεμοῦν συνεχῶς. οὗ τί ἂν εἴη ἀδυνατώτερον. καὶ τέταρτον δὲ ἄτοπον ἐπάγει τῷ λόγῳ, σποράδην μὲν ἐν τοῖς προδεδειγμένοις εἰρημένον, νῦν δὲ ἐν ἰδίῳ κατατεταχθὲν ἐπιχειρήματι. τὰ γὰρ δεζ ἀδιαίρετα, ἤτοι κινήσεις εἰσὶν, ἢ οὐ κινήσεις. ἀλλ' εἰ μὲν κινήσεις, ἔσται τι παρούσης κινήσεως αὐτῷ μὴ κινούμενον ἀλλὰ ἠρεμοῦν. τὸ γὰρ ω ὅτε μὲν ἐπὶ τοῦ α ἦν, παρῆν αὐτῷ ἡ δ κίνησις. ὅτε δὲ ἐπὶ τοῦ β ἡ ε. ὅτε δὲ ἐπὶ τοῦ γ ἡ ζ. εἰ δὲ μὴ κινήσεις τὰ δεζ, ἡ κίνησις ἔσται οὐκ ἐκ κινήσεως συγκειμένη, οὐδὲ τὰ μέρη αὐτῆς κινήσεις ἔχουσα. καὶ δηλονότι ὁ λέγων ἐξ ἀμερῶν συγκεῖσθαι τὸ μέγεθος καὶ τὴν κίνησιν καὶ τὸν χρόνον, τοῦτο οὐχ ὡς ἄτοπον προσδέχοιτ' ἄν, ἀλλ' ὡς ἐκ τῶν ἄλλων δεδειγμένου τοῦ τὴν κίνησιν μὴ ἐξ ἀμερῶν συγκεῖσθαι, τῷ λέγοντι ἐπὶ τοῦ α καὶ β καὶ γ μεγέθους μὴ κινεῖσθαι ἀλλὰ κεκινῆσθαι, εἰκότως ἐπῆκται καὶ τοῦτο τὸ ἐπιχείρημα.

Ὁ ΜΟΙ'ΩΣ δὲ ἀνάγκη τῷ μήκει καὶ τῇ κινήσει ἀδιαίρετον εἶναι τὸν χρόνον. καὶ συγκεῖσθαι ἐκ τῶν νῦν ὄντων ἀδιαιρέτων. εἰ γὰρ ἅπασα διαιρετός. ἐν τῷ ἐλάττονι δὲ τὸ ἰσοταχὲς δίεισιν ἔλαττον, διαιρετὸς ἔσται καὶ ὁ χρόνος. εἰ δ' ὁ χρόνος διαιρετὸς ἔσται, ἐν ᾧ φέρεταί τι τὴν α, καὶ ἡ τὸ α ἔσται διαιρετή.

Γ ροθέμενος δεῖξαι ὅτι ὁμοίως ἔχουσι, τὸ μέγεθος καὶ ἡ κίνησις καὶ ὁ χρόνος, πρὸς τὸ ἐκ διαιρετῶν εἶναι ἢ ἐξ ἀδιαιρέτων, καὶ δείξας πρῶτον ὅτι ὡς ἔχει τὸ μέγεθος οὕτως ἔχει καὶ ἡ κίνησις, καὶ ὅτι ἑκάτερον ἐκ διαιρετῶν ἐστὶ τῶν μερῶν, προστίθησι νῦν, ὅτι ὁμοίως τῷ μεγέθει ἐφ' οὗ ἡ κίνησις. καὶ τῇ κινήσει, καὶ τὸν χρόνον ἔχειν ἀνάγκη, πρὸς τὸ ἐξ ἀδιαιρέτων εἶναι ἢ μή. εἰ γὰρ ἐκεῖνα ἐξ ἀδιαιρέτων, καὶ ὁ χρόνος ἐκ τῶν νῦν ἔσται ὄντων ἀδιαιρέτων. καὶ τὸ ἕτερον δηλονότι ἀληθές. ὅπερ νῦν μὲν ὡς ἐναργὲς οὐ προστέθεικεν, ὅτι εἰ καὶ ἐκ διαιρετῶν ἐκεῖνα, καὶ ὁ χρόνος ἐκ διαιρετῶν. τοῦτο δὲ αὐτὸ δεικνὺς, ὅτι εἰ τὸ μέγεθος ἢ ἡ κίνησις ἐξ ἀδιαιρέτων, καὶ ὁ χρόνος ἐξ ἀδιαιρέτων ἔσται, ἐκ τούτου δείκνυσι καὶ τὸ νῦν προκείμενον τὸ ὁμοίως ἔχειν καὶ πρὸς τὸ ἐκ διαιρετῶν εἶναι. κατὰ μὲν τὴν γραφὴν τὴν λέγουσαν, εἰ γὰρ πᾶσα διαιρετὸς, τουτέστιν εἰ διαιρετὸς πᾶσα γραμμὴ ἢ διάστασις, ἔθος γὰρ τῷ ἀριστοτέλει θηλυκῶς τὰ μεγέθη καλεῖν, διότι τὸ γραμμὴν ἀντὶ μεγέθους ἐκτίθεσθαι, εἰ οὖν διαιρετὸς ἡ γραμμὴ ἢ ἡ κίνησις, ἐπειδὴ τὸ ἰσοταχῶς κινούμενον ἔλαττον μέγεθος ἢ ἔλαττον μέρος κινήσεως, ἐν ἐλάττονι χρόνῳ δίεισιν, οὐ γὰρ ἐν τῷ αὐτῷ χρόνῳ καὶ τὸ μεῖζον καὶ τὸ ἔλαττον ἢ τοῦ μεγέθους ἢ τῆς κινήσεως κινηθήσεται τὸ ἰσοταχῶς κινούμενον συνδιαιρεθήσεται τῇ κινήσει ἢ τῷ μεγέθει καὶ ὁ χρόνος. οὐ γάρ ἐστιν ἔλαττόν τι λαβεῖν, τοῦτο διαιρετὸν ἔσται. εἰκότως οὖν ἐπήγαγεν ὅτι καὶ ὁ χρόνος διαιρετὸς ἔσται. οὕτω δὲ ἀπὸ τοῦ μεγέθους διαιρετὸν δεῖξας τὸν χρόνον, τῇ αὐτῇ ἐφόδῳ ἀπὸ τοῦ χρόνου τὸ μέγεθος διαιρετὸν δείκνυσι. τάχα δὲ ἵνα καὶ τοῦ πᾶσα ἀβιάστως ἀκούσωμεν ἐπὶ τῆς κινήσεως, ῥητέον ἀπὸ μὲν τῆς κινήσεως τὸν χρόνον δεδεῖχθαι διαιρετὸν, ἀπὸ δὲ τοῦ χρόνου τὸ μέγεθος. εἰ γὰρ πᾶς ὁ χρόνος διαιρετὸς, καὶ ἐκεῖνος ἐν ᾧ κινεῖταί τι τὸ α μέγεθος τὸ δοκοῦν ἀδιαίρετον, διαιρετὸς ἔσται. ὥστε ἐν τῷ ἐλάττονι τοῦ ὅλου, τὸ ἰσοταχῶς κινούμενον ἔλαττον τοῦ α διελεύσεται. διαιρετὸν ἄρα τὸ α. εἴπερ ἔστι τι αὐτοῦ ἔλαττον μέρος λαβεῖν. εἰ μέντοι εἴη γεγραμμένον ὡς ἔν τισιν ἀντιγράφοις εὑρίσκεται, εἰ γὰρ πᾶς διαιρετὸς, ἐξηγεῖται ὁ ἀλέξανδρος, ὅτι εἰ πᾶς ὁ χρόνος ἐστὶ διαιρετὸς, συνδιαιρεθήσεται τῷ χρόνῳ διαιρουμένῳ καὶ τὸ μέγεθος. καίτοι ὁ ἀριστοτέλης οὐ τοῦτο ἐπάγει. ἀλλ' ὅτι καὶ ὁ χρόνος διαιρετὸς ἔσται. καὶ τοῦτο ὁ ἀλέξανδρος ὕστερον ἐπιστήσας, λέγει ὅτι δείξας ὅτι ἂν τὸ μέγεθος πάντη διαιρετὸν ᾖ, καὶ ὁ χρόνος

ἔσται διαιρετός, ἐπάγει πάλιν τὸ ἀντίστροφον, διὰ τοῦ εἰ ὁ χρόνος διαιρετὸς ἐν ᾧ φέρεταί τι τὴν α, καὶ ἡ τὸ α ἔσται διαιρετή. ὁ μέντοι ἀσπάσιος καὶ ἄλλην εἶδε τῆς τοιαύτης γραφῆς διαστολήν. εἰ γὰρ πᾶς, εἶτα ἐπάγει ἀδιαίρετος. καὶ ἐξηγεῖται ὅτι εἰ πᾶς ὑποτεθείη ἀδιαίρετος χρόνος, ἐν τῷ ἐλάττονι δὲ τὸ ἰσοταχὲς δίεισιν ἔλαττον, διαιρετὸς ἔσται καὶ ὁ χρόνος ὁ ὑποτεθεὶς ἀδιαίρετος. καλῶς δὲ ὁ ἀσπάσιος ἐνταῦθα ὑπέστιξεν, ὅτι οὐ μόνον ἀκολουθίαν δείκνυσιν ὡς θατέρου ὄντος διαιρετοῦ καὶ θάτερον ἔσται, ἀλλὰ καὶ προσαναγκάζει διαιρετὰ εἶναι καὶ τὸν χρόνον καὶ τὸ μέγεθος, ὥσπερ καὶ τὴν κίνησιν. ἡ γὰρ ἀπὸ τῶν ἰσοταχῶν ἀπόδειξις τὴν διαίρεσιν ἀναγκάζει, ὡς ἐφεξῆς μαθησόμεθα. δείκνυται γὰρ ταῦτα καὶ δι' ἐκθέσεως οὕτως. ἔστω γὰρ ἰσοταχὲς τὸ ω. μέγεθος δὲ τὸ αε διαιρετὸν ἐφ' οὗ κινεῖται. καὶ κείσθω ὅτι τὸ ἰσοταχὲς ἐν ἐλάττονι χρόνῳ ἔλαττον δίεισι. διερχέσθω τὴν αε, ἐν τῷ ζη χρόνῳ. ἐὰν οὖν ἔλαττον διέλθῃ τῆς αε, οἷον τὴν αβ, ἐν ἐλάττονι χρόνῳ αὐτὴν διελεύσεται τῷ ζθ. ἔσται ἄρα καὶ ὁ χρόνος τετμημένος. ὁμοίως δὲ ἐὰν τέμωμεν τὸ αβ μέγεθος ἔλαττον προϊόντος τοῦ ω, πάλιν τὸν ζθ χρόνον συντεμοῦμεν. ἀεὶ γὰρ σὺν τῷ μεγέθει καὶ ὁ χρόνος τμηθήσεται. ὅτι δὲ ἐὰν καὶ ὁ χρόνος ᾖ διαιρετός, καὶ τὸ μέγεθος ἔσται διαιρετόν, κειμένου πάλιν τοῦ τὸ ἰσοταχὲς ἐν ἐλάττονι χρόνῳ ἔλαττον κινεῖσθαι, φανερὸν καὶ τοῦτο. ἔστω γὰρ διαιρετὸς ὁ χρόνος ἐφ' ᾧ ζη. καὶ τὸ ω ἰσοταχῶς κινείσθω τὴν αε ἐν τῷ ζη χρόνῳ. οὐκοῦν ἐν ἐλάττονι χρόνῳ τῷ ζθ ἔλαττον κινηθήσεται τὴν αβ. τμηθήσεται ἄρα τῷ ζη χρόνῳ ὁμοίως καὶ ἡ αε, καὶ πᾶν μέγεθος. οὕτω δὲ ἐκ τῆς ἰσοταχοῦς κινήσεως τοῦ κινουμένου δείξας, ὅτι ὁμοίως διαιροῦνται ὅ, τε χρόνος καὶ τὸ μέγεθος, καὶ ἐκ τῆς θάττονος καὶ βραδυτέρας κινήσεως τὸ αὐτὸ δείκνυσι, διδάσκων ὅτι ὑπὸ μὲν τοῦ βραδίου κινουμένου μερίζεται τὰ μεγέθη, ὑπὸ δὲ τοῦ τάχιον ὁ χρόνος.

ἘΠΕΙ ΔῈ πᾶν μέγεθος εἰς μεγέθη διαιρετόν, δέδεικται γὰρ ὅτι ἀδύνατον ἐξ ἀτόμων εἶναί τι συνεχές, μέγεθος δ' ἐστὶν ἅπαν συνεχές, ἀνάγκη τὸ θᾶττον, ἐν τῷ ἴσῳ χρόνῳ, μεῖζον, καὶ ἐν τῷ ἐλάττονι, ἴσον. καὶ ἐν τῷ ἐλάττονι, πλεῖον κινεῖσθαι. καθάπερ ὁρίζονταί τινες τὸ θᾶττον. ἔστω γὰρ τὸ ἐφ' ᾧ, τὸ α τοῦ ἐφ' ᾧ β. θᾶττον. ἐπεὶ τοίνυν θᾶττόν ἐστι τὸ πρότερον μεταβάλλον, ἐν ᾧ χρόνῳ τὸ α μεταβέβληκεν ἀπὸ τοῦ γ εἰς τὸ δ, οἷον ἐν τῷ ζη. ἐν τούτῳ, τὸ β, οὔπω ἔσται πρὸς τὸ δ, ἀλλ' ἀπολείψει. ὥστε ἐν τῷ ἴσῳ χρόνῳ πλεῖον δίεισι τὸ θᾶττον. ἀλλὰ μὴν καὶ ἐν τῷ ἐλάττονι, πλέον τούτου. ἐν ᾧ γὰρ τὸ α γεγένηται πρὸς τῷ δ, τὸ β ἔστω πρὸς τῷ ε τὸ βραδύτερον ὄν. οὐκοῦν ἐπεὶ τὸ α πρὸς τῷ δ γεγένηται ἐν ἅπαντι τῷ ζη χρόνῳ, πρὸς τῷ θ ἔσται ἐν ἐλάττονι τούτου. καὶ ἔστω ἐν τῷ ζκ. τὸ μὲν οὖν γθ, ὃ διελήλυθε τὸ α μεῖζόν ἐστι τοῦ γε. ὁ δὲ χρόνος ὁ ζκ ἐλάττων τοῦ παντός, τοῦ ζη. ὥστε ἐν ἐλάττονι, δίεισι μεῖζον. φανερὸν δὲ ἐκ τούτων, καὶ ὅτι τὸ θᾶττον ἐν ἐλάττονι χρόνῳ δίεισι τὸ ἴσον. ἐπειδὴ γὰρ τὴν μείζω ἐν ἐλάττονι διέρχεται τοῦ βραδυτέρου, αὐτὸ δὲ καθ' αὑτὸ λαμβανόμενον, ἐν πλείονι χρόνῳ τὴν μείζω τῆς ἐλάττονος. οἷον, τὴν λμ. τῆς λξ. πλείων ἂν εἴη ὁ χρόνος ὁ πρ. ἐν ᾧ τὴν λμ. διέρχεται. ἢ ὁ πσ. ἐν ᾧ τὴν λξ. ὥστε εἰ ὁ πρ χρόνος ἐλάττων ἔσται τοῦ πχ ἐν ᾧ τὸ βραδύτερον διέρχεται τὴν λξ. καὶ ὁ πσ ἐλάττων ἐστὶ τοῦ ἐφ' ᾧ χ. τοῦ γὰρ πρ ἐλάττων. τὸ δὲ τοῦ ἐλάττονος ἔλαττον, καὶ αὐτὸ ἔλαττον. ὥστε ἐν ἐλάττονι κινηθήσεται τὸ ἴσον. ἔτι δὲ εἰ πᾶν ἀνάγκη μὲν ἢ ἐν ἴσῳ χρόνῳ ἢ ἐν ἐλάττονι ἢ ἐν πλείονι κινεῖσθαι, καὶ τὸ μὲν ἐν πλείονι βραδύτερον, τὸ δ' ἐν ἴσῳ ἰσοταχές. τὸ δέ, θᾶττον. οὔτε ἰσοταχές, οὔτε βραδύτερον οὔτ' ἐν ἴσῳ ἂν οὔτ' ἐν πλείονι κινεῖτο τὸ θᾶττον. λείπεται οὖν ἐν ἐλάττονι. ὥστε ἀνάγκη καὶ τὸ ἴσον μέγεθος ἐν ἐλάττονι χρόνῳ διϊέναι τὸ θᾶττον.

Ὁ μὲν ἀλέξανδρος ἐν τούτοις φησί, μετὰ τὸ δεῖξαι ὅτι ὡς ἔχει τὸ μέγεθος καὶ ἡ κίνησις, πρὸς τὸ ἐξ ἀμερῶν εἶναι ἢ μὴ εἶναι, οὕτως ἔχει καὶ ὁ χρόνος, νῦν δείκνυσιν ὅτι μὴ σύγκειται ὁ χρόνος ἐξ ἀμερῶν μηδ' ἐκ τῶν νῦν. μήποτε δὲ ἤδη καὶ τοῦτο δέδεικται, ὅτε ἔλεγε καὶ ὁ χρόνος διαιρετὸς ἔσται, τουτέστι πᾶν μόριον χρόνου. χρόνος γὰρ τὸ τοῦ χρόνου μόριον. ἀλλ' ὡς εἴρηται μετὰ τὸ ἐκ τῆς ἰσοταχοῦς τοῦ κινουμένου κινήσεως δεῖξαι, καὶ ὅτι διαιρετὰ ἐπ' ἄπειρόν ἐστιν ὅ, τε χρόνος καὶ τὸ μέγεθος, καὶ δηλονότι καὶ ἡ κίνησις, καὶ ὅτι ἀνάλογον ἀλλήλοις διαιροῦνται, νῦν ἐκ τοῦ θᾶττον καὶ βραδύτερον τὰ αὐτὰ δείκνυσιν. οὐ γὰρ μόνον ὅτι ὁ χρόνος διαιρετός, ἀλλ' ὅτι καὶ τὸ μέγεθος. καὶ τοῦτο καὶ αὐτὸς ὁμολογεῖ ὁ ἀλέξανδρος. καὶ ὁ ἀριστοτέλης δὲ λέγει πρὸς τῷ τέλει τῆς ῥήσεως, ὅτι διαιρεῖ τὸ μὲν θᾶττον τὸν χρόνον, τὸ δὲ βραδύτερον καὶ τὸ μῆκος. προηγουμένως μέντοι τὸν χρόνον ἀποδείκνυσιν ἐν τούτοις διαιρετόν. καὶ σὺν τῷ χρόνῳ τὸ μέγεθος, εἰς ὃ καὶ ἀπέβλεψεν ὁ ἀλέξανδρος. διὸ καὶ ἐπήγαγεν ὁ ἀριστοτέλης τό, ἅμα δὲ δῆλον ὅτι καὶ μέγεθος ἅπαν ἐστὶ τὸ συνεχές. ἐν μέντοι τῇ ἐκθέσει παράλληλα δείκνυσιν ἄμφω. προλαμβάνει δὲ εἰς τὴν τούτου δεῖξιν, ὅτι ἀνάγκη τὸ θᾶττον ἐν τῷ ἴσῳ χρόνῳ μεῖζον, καὶ ἐν τῷ ἐλάττονι πλέον κινεῖσθαι. ταῦτα δὲ δείκνυσι μὲν καὶ διὰ τοῦ ὁρισμοῦ τοῦ θάττονος. θᾶττον γὰρ λέγομεν τὸ ἐν ἴσῳ χρόνῳ μεῖζον κινούμενον καὶ ἐν τῷ ἐλάττονι πλέον. δείκνυσι δὲ καὶ ἐκ τοῦ ἀκολουθεῖν, τῷ πᾶν μέγεθος διαιρετὸν εἶναι, τὸ θᾶττον κινούμενον ἐν ἴσῳ χρόνῳ πλέον κινεῖσθαι, καὶ τὸ βραδύτερον ἔλαττον. εἰ γὰρ μὴ ἦν πᾶν μέγεθος διαιρετόν, οὐχ οἷόν τε ἦν τὸ βραδύτερον ἀεὶ ἐν τῷ ἴσῳ χρόνῳ ἔλαττον κινεῖσθαι τοῦ

θάττονος. τὸ γὰρ ἄτομον καὶ τὸ ἀμερὲς, ἐν τῷ αὐτῷ χρόνῳ καὶ τὸ θᾶττον διέρχεται καὶ τὸ βραδύτερον. εἰ γὰρ ἐν πλείονι, ἐν τῷ ἴσῳ ἔλαττόν τι τοῦ ἀμεροῦς διελεύσεται. διὸ καὶ τοῖς περὶ ἐπίκουρον ἀρέσκει ἰσοταχῶς πάντα διὰ τῶν ἀμερῶν κινεῖσθαι, ἵνα μὴ τὰ ἄτομα αὐτῶν διαιρούμενα μηκέτι ἄτομα ᾖ. ἐκ δὲ τοῦ ὁρισμοῦ τοῦ θάττονος δῆλόν ἐστιν ὅτι ἀνάγκη πᾶν μέγεθος εἰς μεγέθη διαιρετὸν εἶναι, τοῦ τὸ θᾶττον καὶ τὸ βραδύτερον τοιαῦτα εἶναι, εἴπερ ὁ ὁρισμὸς οὗτός ἐστιν αὐτῶν. εἰ μὴ ἄρα διὰ τοῦτο τοιαῦτά ἐστι τὸ θᾶττον καὶ τὸ βραδύτερον, ἐπεὶ πᾶν μέγεθος εἰς ἀεὶ διαιρετὰ διαιρετόν ἐστιν. οὕτως οὖν συντόμως δείξας ὅτι τὸ θᾶττον ἐν ἴσῳ χρόνῳ μεῖζον κινεῖται, δείκνυσι λοιπὸν αὐτὸ καὶ διὰ τῆς ἐκθέσεως. θεὶς γὰρ θᾶττον μὲν κινούμενον τὸ α, βραδύτερον δὲ τὸ β, καὶ προλαβὼν ὡς ἐναργὲς ὅτι τοῦτό ἐστι θᾶττον, ὃ πρότερον τοῦ βραδυτέρου μεταβάλλει, ἐκτίθεται χρόνον μὲν ἐν ᾧ μεταβάλλει τὸ θᾶττον, τὸ ζη. μέγεθος δὲ, ὃ μεταβάλλει ἐν τῷ ζη χρόνῳ, τὸ γδ. ἐπεὶ οὖν ἐν ᾧ χρόνῳ τὸ α τὸ θᾶττον μεταβέβληκεν ἀπὸ τοῦ γ ἐπὶ τὸ δ, τὸ δὲ βραδύτερον τὸ β οὔπω ἔρχεται εἰς τὸ δ, ἀλλ' ἀπολείπεται, εἴπερ τοῦτο τὸ βραδύτερον τὸ ὕστερον μεταβάλλειν, δηλονότι τὸ θᾶττον ἐν τῷ ἴσῳ χρόνῳ πλέον διελήλυθε τοῦ βραδυτέρου, εἴπερ τὸ μὲν, ὅλην τὴν γδ, τὸ δὲ ἀπολείπει. εἶτα δείκνυσιν ὅτι καὶ ἐν τῷ ἐλάττονι χρόνῳ, τὸ θᾶττον μεῖζον δίεισιν, οὐχ ὁσονοῦν μεῖζον. τοῦτο γὰρ ψεῦδος. ἀλλ' ὅτι μεῖζόν τι. τῶν γὰρ αὐτῶν ἐκκειμένων, ἐπεὶ τὸ α ἐν τῷ ζη χρόνῳ πρὸς τῷ δ γέγονε, τὸ δὲ βραδύτερον τὸ β ἀπελείφθη ἐν ὑστέρῳ τοῦ δ, κατὰ τὸ ε εἰ τύχοι, ἔστι δέ τι μέγεθος μεταξὺ τοῦ δ καὶ ε, διαιρετὸν ὂν καὶ αὐτὸ, διῃρήσθω κατὰ τὸ θ. μείζων δέ ἐστιν ἡ γθ τῆς γε, ἐλάττων δὲ τῆς γδ. ἐπεὶ οὖν τὸ α ἐν τῷ ζη χρόνῳ παντὶ κεκίνηται τὴν γδ, ἐν ἐλάττονι ἔσται τὴν γθ κεκινημένον. ἐλάττων γὰρ αὕτη ὅλης τῆς γδ. καὶ ἔσω ἐλάττων χρόνος τοῦ ζη χρόνου, ὁ ζκ. ἀλλὰ μὴν καὶ τὸ β ἔκειτο ἐν τῷ ζη χρόνῳ παντὶ τὴν γε κεκινημένον. ἥτις ἦν ἐλάττων τῆς γθ. ἐν πλείονι ἄρα χρόνῳ τὸ β τὴν ἐλάττονα κεκίνηται τῆς γθ. ἣν τὸ α ἐν ἐλάττονι χρόνῳ τοῦ ζη τῷ ζκ κεκίνηται. δέδεικται ἄρα καὶ τὸ τέταρτον ὅτι τὸ θᾶττον ἐν ἐλάττονι χρόνῳ μεῖζον δίεισι διάστημα. καὶ προχείρως οὕτως ἂν δειχθείη. εἰ γὰρ τὸ θᾶττον ἐν διπλασίῳ λόγῳ τὸ τάχος ἔχει πρὸς τὸ βραδύτερον, τοῦ θάττονος τὴν δίποδα κινουμένου, τὸ βραδύτερον τὴν ποδιαίαν κινεῖται. ὥστε τὴν δίποδα τὸ θᾶττον ἐν ἐλάττονι χρόνῳ κινηθήσεται, μείζονα οὖσαν τῆς ποδιαίας. τοῦτο δὲ ἐκ περιουσίας ἔοικε δεικνύναι ὁ ἀριστοτέλης, πρὸς τὸ λαβεῖν ὅτι εἰ πλέον ἐν ἐλάττονι κινεῖται τὸ θᾶττον, πολὺ μᾶλλον τὸ ἴσον ἐν τῷ ἐλάττονι κινηθήσεται. τούτῳ γὰρ καὶ προσχρήσεται πρὸς τὴν διαίρεσιν. ὃ τρίτον δείκνυσι καὶ αὐτὸ διὰ τῆς ἐκθέσεως, φανερὸν καὶ αὐτὸ λέγων ἐκ τῶν ἤδη δεδειγμένων γεγονέναι. καὶ ἦν μὲν δυνατὸν διὰ τῆς αὐτῆς ἐκθέσεως καὶ τοῦτο δειχθῆναι. ἀμείψας δὲ αὐτὸς τὰ στοιχεῖα, διὰ τὸ πολυειδῶς οἶμαι γυμνάζειν τοὺς ἐντυγχάνοντας, ἀσαφέστερον ἐποίησε τὸν λόγον. λαμβάνει μὲν γὰρ ἀντὶ τοῦ γθ μεγέθους τὸ λμ. καὶ ἀντὶ τοῦ γε τὸ λξ. χρόνον δὲ τὸν ἐν ᾧ τὸ α, τουτέστι τὸ θᾶττον κινούμενον τὸ μεῖζον διάστημα κινεῖται. τὸ λμ, ἤτοι τὸ γθ, τὸν πρ, ἀνάλογον ὄντα τῷ ζκ. ἐν ᾧ δὲ τὸ ἔλαττον τοῦ λμ διάστημα κινεῖται τὸ λξ, ἤτοι τὸ γε, τὸν πσ, ἐλάττονα δηλονότι ὄντα τοῦ πρ. λαμβάνει δὲ καὶ τὸν πχ χρόνον, ἐν ᾧ τὸ β τὸ βραδύτερον ἔκειτο κεκινῆσθαι τὴν γε. ἣν νῦν λξ εἶπεν. οὗτος δὲ ἦν ὁ ζη μείζων τοῦ πρ, εἴπερ ὁ πρ ἀνάλογός ἐστι τῷ ζκ. ἐπὶ τοιαύτης τοίνυν ἐκθέσεως λέγει, ὅτι ἐπειδὴ δέδεικται τὸ θᾶττον τὴν μείζω τουτέστι τὴν λμ, ἤτοι τὴν γθ, ἐν ἐλάττονι χρόνῳ τῷ πρ ἤτοι τῷ ζκ διιέναι, ἣν τὸ βραδύτερον ἐν τῷ μείζονι διῄει τῷ ζη, αὐτὸ δὲ καθ' αὐτὸ τὸ θᾶττον λαμβανόμενον ἰσοταχῶς κινούμενον ἐν πλείονι χρόνῳ τὴν μείζω τῆς ἐλάττονος δίεισιν, οἷον τὴν λμ τῆς λξ, πλείων ἂν εἴη ὁ χρόνος ὁ πρ, ἐν ᾧ τὴν λμ διέρχεται, ἢ ὁ πσ, ἐν ᾧ τὴν λξ. εἰ οὖν τὴν λξ, τὸ μὲν βραδύτερον διέρχεται ἐν τῷ χρόνῳ τῷ πχ, τὸ δὲ θᾶττον ἐν τῷ πσ, ὁ δὲ πσ ἐλάττων τοῦ πρ, καὶ ὁ πρ ἐλάττων τοῦ πχ, τὸ δὲ τοῦ ἐλάττονος ἔλαττον καὶ αὐτὸ μᾶλλον ἔτι ἔλαττον, δηλονότι τὸ θᾶττον ἐν ἐλάττονι χρόνῳ δίεισι τὸ αὐτὸ τῷ λμ τουτέστιν ἴσον, ἤπερ τὸ βραδύτερον. τοῦτο δὲ τὸ θᾶττον κινούμενον τοῦ βραδυτέρου ἐν ἐλάττονι χρόνῳ τὸ ἴσον διάστημα κινηθήσεται. καὶ ἄλλως δὲ δείκνυσιν ἐκ διαιρέσεως οὕτως. εἰ πᾶν τὸ ἴσον διάστημα τινὶ κινούμενον, ἢ ἐν ἴσῳ χρόνῳ κινεῖται, ἢ ἐν πλείονι, ἢ ἐν ἐλάττονι, καὶ παρὰ ταῦτα οὐκ ἔστι, καὶ τὸ θᾶττον ἄρα ἴσον διάστημα τῷ βραδυτέρῳ κινούμενον, ἐν πλείονι χρόνῳ κινηθήσεται, ἢ ἐν ἴσῳ, ἢ ἐν ἐλάττονι. ἀλλὰ τὸ μὲν ἐν πλείονι χρόνῳ κινούμενον τὸ ἴσον ἢ τὸ αὐτὸ διάστημα, βραδύτερον. οὗτος γὰρ τοῦ βραδυτέρου ὁ ὁρισμός. τὸ δὲ ἐν ἴσῳ, ἰσοταχές. τὸ δὲ θᾶττον, οὔτε ἰσοταχές ἐστιν ἐκείνῳ, οὐ ἔστι θᾶττον, ὅτι ἔτι μᾶλλον βραδύτερον. ὥστε οὔτε ἐν ἴσῳ χρόνῳ οὔτε ἐν πλείονι τὴν ἴσην δίεισιν. ἐν ἐλάττονι ἄρα. χρὴ δὲ καὶ τοὺς τοῦ κινουμένου βραδύτερον ὁρισμοὺς ἀπὸ τοῦ θάττονος μετάγειν. ἐπειδὴ καὶ ὁ ἀριστοτέλης οὐ μόνον τῷ τοῦ θάττονος ὁρισμῷ χρήσεται, ἀλλὰ καὶ τῷ τοῦ βραδυτέρου. εἰ οὖν θᾶττον τὸ ἐν ἴσῳ χρόνῳ πλέον κινούμενον, βραδύτερον τὸ ἐν ἴσῳ χρόνῳ ἔλαττον. καὶ εἰ θᾶττον τὸ ἐν ἐλάττονι χρόνῳ πλέον κινούμενον διάστημα βραδύτερον τὸ ἐν πλείονι χρόνῳ ἔλαττον. ὁμοίως εἰ θᾶττον τὸ ἐν ἐλάττονι χρόνῳ πλεῖον κινούμενον διάστημα, βραδύτερον τὸ ἐν πλείονι χρόνῳ ἴσον κινούμενον.

ἐπεὶ δὲ

ΕΠΕΙ ΔΕ πᾶσα μὲν κίνησις ἐν χρόνῳ. καὶ ἐν ἅπαντι χρόνῳ δυνατὸν κινηθῆναι. πᾶν δὲ τὸ κινού-
μενον ἐνδέχεται καὶ θᾶττον κινεῖσθαι καὶ βραδύτερον. ἐν ἅπαντι χρόνῳ ἔσται τὸ θᾶττον κινεῖσθαι
καὶ βραδύτερον. τούτων δ᾽ ὄντων, ἀνάγκη καὶ τὸν χρόνον συνεχῆ εἶναι. λέγω δὲ συνεχὲς τὸ διαιρετὸν
εἰς ἀεὶ διαιρετά. τούτου γὰρ ὑποκειμένου τοῦ συνεχοῦς, ἀνάγκη συνεχῆ εἶναι τὸν χρόνον. ἐπεὶ γὰρ
δέδεικται ὅτι τὸ θᾶττον ἐν ἐλάττονι χρόνῳ δίεισι τὸ ἴσον, ἔστω τὸ μὲν ἐφ᾽ ᾧ α, θᾶττον, τὸ δ᾽ ἐφ᾽ ᾧ β,
βραδύτερον, καὶ κεκινήσθω τὸ βραδύτερον, τὸ ἐφ᾽ ᾧ γ δ μέγεθος, ἐν τῷ ζ η χρόνῳ. δῆλον
τοίνυν ὅτι τὸ θᾶττον ἐν ἐλάττονι τούτου κινηθήσεται τὸ αὐτὸ μέγεθος. καὶ κεκινήσθω, ἐν τῷ ζ θ.
πάλιν δ᾽ ἐπεὶ τὸ θᾶττον ἐν τῷ ζ θ διελήλυθε τὴν ὅλην τὴν γ δ, τὸ βραδύτερον ἐν τῷ αὐτῷ
χρόνῳ, τὴν ἐλάττω δίεισιν. ἔστω οὖν ἐφ᾽ ἧς γ κ. ἐπεὶ δὲ τὸ βραδύτερον τὸ β, ἐν τῷ ζ θ χρό-
νῳ τὴν γ κ διελήλυθε, τὸ θᾶττον ἐν ἐλάττονι δίεισιν. ὥστε πάλιν διαιρεθήσεται ὁ ζ θ χρόνος.
τούτου δὲ διαιρουμένου, καὶ τὸ γ κ μέγεθος διαιρεθήσεται κατὰ τὸν αὐτὸν λόγον. εἰ δὲ τὸ μέγε-
θος, καὶ ὁ χρόνος. καὶ ἀεὶ τοῦτ᾽ ἔσται μεταλαμβάνουσιν ἀπὸ τοῦ θάττονος τὸ βραδύτερον. καὶ ἀπὸ τοῦ
βραδυτέρου, τὸ θᾶττον, καὶ τῷ ἀποδεδειγμένῳ χρωμένοις. διαιρήσει γὰρ τὸ μὲν θᾶττον, τὸν χρόνον.
τὸ δὲ βραδύτερον τὸ μῆκος. εἰ οὖν ἀεὶ μὲν, ἀντιστρέφειν ἀληθὲς, ἀντιστρεφομένου δὲ, ἀεὶ γίνεται διαί-
ρεσις, φανερὸν ὅτι πᾶς χρόνος ἐστὶ συνεχής. ἅμα δὲ δῆλον, καὶ ὅτι μέγεθος ἅπαν ἐστὶ συνεχές. τὰς
αὐτὰς γὰρ καὶ τὰς ἴσας διαιρέσεις, ὅτε χρόνος καὶ τὸ μέγεθος διαιρεῖται.

Δ εἴξας ὅτι τὸ θᾶττον ἴσον διάστημα ἐν ἐλάττονι χρόνῳ κινεῖται, καὶ τὸ βραδύτερον ἐν τῷ ἴσῳ ἔλαττον,
τούτοις προσχρώμενος δείκνυσιν ὅτι ὁ χρόνος οὐ σύγκειται ἐκ τῶν νῦν ὄντων ἀμερῶν. ἀλλ᾽ ἔστι συνε-
χής τε καὶ εἰς ἀεὶ διαιρετὰ διαιρετός. ὁμοίως δὲ καὶ τὸ μέγεθος. καὶ τὸ μὲν θᾶττον διαιρεῖ τὸν χρόνον,
τὸ δὲ βραδύτερον τὸ μέγεθος. ἵνα δὲ μή τις εἴπῃ ὅτι οὐ πᾶσα κίνησις ἐν χρόνῳ, οὐδὲ ἐν πάσῃ κινήσει
τὸ θᾶττον καὶ τὸ βραδύτερον, εἰ δὲ τοῦτο, οὐ πᾶς χρόνος ὑπὸ τοῦ θάττονος διαιρεθήσεται, ὑπο-
μιμνήσκει τούτων ὡς ἐν τοῖς ἔμπροσθεν δεδειγμένων τε καὶ ὡμολογημένων. ὅτι πᾶσα κίνησις ἐν
χρόνῳ γίνεται, καὶ ἐν παντὶ χρόνῳ κίνησις. εἴπερ χρόνος κινήσεώς τι ὂν ἐδείχθη. ὥστε ὅπου κίνησις,
καὶ ὁ χρόνος. καὶ ἔνθα χρόνος, ἐκεῖ καὶ κίνησις. ἐπὶ τούτῳ προσλαμβάνει τὸ πᾶν τὸ κινούμενον δύνα-
σθαι καὶ θᾶττον κινεῖσθαι καὶ βραδύτερον. καὶ ἀπορεῖ καλῶς ὁ Ἀλέξανδρος, πῶς ἐπὶ τοῦ κυκλοφο-
ρητικοῦ σώματος ἀληθὲς ὁμαλῶς κινουμένου, τὸ θᾶττον καὶ βραδύτερον κινεῖσθαι. καὶ πρῶτον μὲν
λύει μαλθακῶς ὡς οἶμαι, λέγων μὴ εἰρηκέναι τὸν Ἀριστοτέλη τὸ αὐτὸ θᾶττον καὶ βραδύτερον κινεῖσθαι,
ἀλλὰ δύνασθαι κινεῖσθαι. ὃ φησι καὶ τῷ κυκλοφορητικῷ ὑπάρχειν. διὰ τὸ κατ᾽ οἰκείαν κίνησιν οὕτω
κινεῖσθαι, καὶ μὴ κατηναγκασμένως, μηδὲ ὡς κωλύεσθαι ὑπό τινος τὸ καὶ ἄλλως κινεῖσθαι. οὐδὲ
γὰρ οἱ ἀγαθοὶ τἀγαθὰ κατ᾽ ἀνάγκην πράττουσιν. εἰ καὶ ἀεὶ ταῦτα πράττουσιν. ἀλλ᾽ ἔχουσι τὴν ἀντι-
κειμένων δύναμιν. ἐχρῆν δὲ οἶμαι ἐννοεῖν πρῶτον μὲν, ὅτι οἱ ἀγαθοὶ ἄνθρωποι δύναμιν ἔχειν λέγον-
ται τοῦ ἐναντίου, ὅτι ποτὲ καὶ ἐνεργοῦσι κατ᾽ αὐτό. τὰ δὲ οὐράνια καὶ ἀΐδια ὄντα, πῶς ἂν ἔχοι δύναμιν
μηδέποτε ἐκβαίνουσαν εἰς ἐνέργειαν. ἔπειτα ὅτι διττή τίς ἐστιν ἡ ἀνάγκη, ἡ μὲν, θειοτέρα. καθ᾽ ἣν
ἀνάγκη τὸν θεὸν ἀγαθὸν εἶναι, καὶ τὰς ἀχράντους ψυχὰς μηδέποτε κακοῦσθαι. ἡ δὲ, βίαιος, καθ᾽ ἣν
ἀναγκάζονται καὶ οἱ κακοὶ ὑπὸ τὸν νόμον μὴ ἁμαρτάνειν. καὶ ἡ δύναμις δὲ διττή. ἡ μὲν, τελεία.
ἡ δὲ ἀτελής. καὶ δυνάμει μᾶλλον. τὰ οὖν οὐράνια καὶ ἀνάγκην ἔχει τὴν θειοτέραν. ἀεὶ ὡσαύτως κι-
νεῖσθαι. καὶ βούλησιν ἐν τῷ ἀγαθῷ ὡρισμένην καὶ τελεωτάτην καὶ τῆς ἀμφιβόλου δυνάμεως κα-
θαρεύουσαν. οὐ γὰρ ὁμοίως ἔχουσιν αἱ θεῖαι ψυχαὶ ταῖς ἀνθρωπίναις τὸ ἀγαθόν. ἀλλ᾽ αἱ μὲν, πεπερα-
σμένον καὶ μεταβάλλον ποτὲ εἰς τὸ ἐναντίον. αἱ δὲ, ἀπειροδύναμον καὶ ἀεὶ ἐν ταυτότητι ἱδρυ-
μένον. ἐφεξῆς δὲ λύει καλῶς δυνάμει λέγων, ὅτι ἡ κίνησις διάστημα ἔχει τὸ αὐτὸ τῷ μεγέθει, ἐφ᾽ οὗ
γίνεται. τὸ οὖν διάστημα τῆς κινήσεως τῆς ἐπὶ τοῦ σταδίου, ἢ ἐπὶ μιᾶς μοίρας τοῦ ζωδιακοῦ γινομένης,
δύναται καὶ τὸ θᾶττον κινούμενον διανύσαι καὶ τὸ βραδύτερον, ἀλλὰ τὸ μὲν, ἐν ἐλάττονι χρόνῳ, τὸ
δὲ ἐν πλείονι. καὶ παράγει καὶ τὸν Εὔδημον ἐν τῷ δευτέρῳ τῶν φυσικῶν οὕτως ἀποδεικνύντα τὸ
εἰρημένον. λέγει γὰρ καὶ αὐτὸς ἐπειδὴ τὸ κινούμενον πᾶν ἐν χρόνῳ, καὶ ἐν παντὶ χρόνῳ ἐστὶ κίνη-
σις, κινήσει δὲ πάσῃ τάχος καὶ βραδυτὴς ἕπεται, μερίζεσθαι πάντα ἀνάγκη τὰ εἰρημένα. ἔστι
γὰρ κατὰ τοῦ αὐτοῦ μεγέθους θᾶττον τι καὶ βραδύτερον κινούμενον λαβεῖν, εἰ καὶ μὴ τὸ αὐτὸ ποτὲ
μὲν θᾶττον ποτὲ δὲ βραδύτερον οἷόν τε κινηθῆναι. λαβὼν δὲ διὰ τοῦ ἐν παντὶ χρόνῳ γίνεσθαι κίνη-
σιν. καὶ πᾶσαν ἔχειν κίνησιν τὸ θᾶττον καὶ βραδύτερον, ἐπάγει ὅτι τούτων ὄντων ἀνάγκη καὶ τὸν
χρόνον συνεχῆ εἶναι. καὶ ἀφορίζεται τὸ συνεχὲς ὅτι τὸ διαιρετόν ἐστιν εἰς ἀεὶ διαιρετά. καὶ
λοιπὸν ἐπάγει ὅτι τοιούτου ὄντος τοῦ συνεχοῦς, ἀνάγκη τὸν χρόνον συνεχῆ εἶναι, εἴπερ ἐν παντὶ
χρόνῳ ἔστι κίνησις θάττων καὶ βραδυτέρα. καὶ δείκνυσιν ὅτι ἀεὶ διαιρεῖται καὶ ὁ χρόνος καὶ
τὸ μέγεθος. καὶ ὑπὸ μὲν τοῦ θάττονος διαιρεῖται ὁ χρόνος, ὑπὸ δὲ τοῦ βραδυτέρου τὸ μέ-
γεθος. λαβὼν δὲ τὰ προειρημένα, ὅτι τὸ θᾶττον τοῦ βραδυτέρου δίεισι τὸ ἴσον διάστημα ἐν ἐ-
λάττονι χρόνῳ, τὸ δὲ βραδύτερον τοῦ θάττονος ἐν ἴσῳ χρόνῳ ἔλαττον διάστημα, καὶ ἐκθέμενος

πάλιν θᾶττον μὲν κινούμενον τὸ α, βραδύτερον δὲ τὸ β, μέγεθος δὲ ὃ κινεῖται τὸ βραδύτερον
ἐν τῷ ηζ χρόνῳ τὸ γδ, λέγει ὅτι τὸ θᾶττον κινούμενον ἐν ἐλάττονι τοῦ ζη χρόνῳ, κινηθήσεται
τὴν γδ. καὶ ἔστω οὗτος ὁ ζθ. ἐπεὶ οὖν τὸ θᾶττον ἐν τῷ ζθ χρόνῳ διελήλυθε τὴν γδ, δῆλον
ὡς τὸ βραδύτερον ἐν τῷ αὐτῷ χρόνῳ ἔλαττον διελεύσεται. διὰ τὸ ἐν παντὶ μὲν χρόνῳ κίνησιν γίνε-
σθαι, δύνασθαι δὲ ἐφ' οὗ τὸ θᾶττον κινεῖται, ἐπὶ τούτου καὶ τὸ βραδύτερον κινεῖσθαι. ἔστω οὖν ὃ
διελήλυθε τὸ β τὸ βραδύτερον ἐν τῷ ζθ χρόνῳ, τὸ γκ μέγεθος. πάλιν δὲ ἐπεὶ τὸ βραδύτε-
ρον ἐν τῷ ζθ χρόνῳ διελήλυθεν τὸ γκ μέγεθος, τὸ θᾶττον ἐν ἐλάττονι αὐτὸ διελεύσεται. διαιρεθή-
σεται οὖν πάλιν ὁ ζθ χρόνος. ἀλλ' ἐν ᾧ πάλιν χρόνῳ τὸ θᾶττον διελήλυθε τὸ γκ μέγεθος, ἐν
τούτῳ τὸ βραδύτερον ἔλαττον πάλιν τοῦ γκ μέγεθος διελεύσεται. καὶ οὕτως ἀεὶ ὁ μὲν χρόνος
ὑπὸ τοῦ θάττονος διαιρεθήσεται, τὸ δὲ μέγεθος ὑπὸ τοῦ βραδυτέρου. διὰ τὸ ἐν παντὶ χρόνῳ κίνη-
σιν γίνεσθαι, καὶ πᾶσαν κίνησιν δύνασθαι καὶ θᾶττω γίνεσθαι καὶ βραδυτέραν. τούτοις γὰρ κειμένοις
ἐξ ἀνάγκης ἕπεται τὰ δεδειγμένα. δι' ὧν δῆλον τὸ πάντα χρόνον εἶναι διαιρετόν. ἐν παντὶ γὰρ τῷ
ληφθέντι τὸ βραδύτερον κινούμενον ἔσται διεξιόν τι μέγεθος. ὃ τὸ θᾶττον κινούμενον ἐν ἐλάττονι χρό-
νῳ δίεισιν. ἐν ᾧ χρόνῳ τὸ βραδύτερον κινούμενον ἔλαττον μέγεθος δίεισι. καὶ οὕτως ἀεὶ ἀντιστρεφο-
μένου τοῦ θάττονος καὶ τοῦ βραδυτέρου, ὑπὸ μὲν τοῦ θάττονος εἰς ἄπειρον ὁ χρόνος διαιρεῖται, ὑπὸ
δὲ τοῦ βραδυτέρου τὸ μέγεθος. ἀντιστροφὴν δὲ νῦν, ἤτοι τὴν μετάληψιν τὴν ἀπὸ τοῦ θάττονος ἐπὶ τὸ
βραδύτερον, καὶ τὴν ἀπὸ τοῦ βραδυτέρου εἰς τὸ θᾶττον, ἢ καὶ ἀντιστροφὴν ἔστι λαβεῖν τοιαύτην. εἰ
τὸ θᾶττον διαιρεῖ τὸν χρόνον, καὶ τὸ βραδύτερον τὸ μέγεθος. καὶ εἰ τὸ βραδύτερον τὸ μέγεθος, καὶ τὸ
θᾶττον τὸν χρόνον. δέδεικται δὲ ταῦτα ὑπ' ἐκείνων τῶν προδεδειγμένων, τοῦ τε τὸ θᾶττον ἐν ἐλάττο-
νι χρόνῳ κινεῖσθαι τὸ ἴσον, καὶ τοῦ τὸ βραδύτερον ἐν τῷ ἴσῳ χρόνῳ τὸ ἔλαττον. εἰκότως δὲ περὶ τοῦ
χρόνου δείξας, ἐπήγαγεν ὅτι ἐκ τῶν εἰρημένων δῆλον γέγονεν, ὅτι καὶ τὸ μέγεθος ἅμα συνεχές ἐστι.
ταυτὸν δὲ εἰς ἄπειρον εἰπεῖν διαιρετόν. διότι τὰς αὐτὰς καὶ ἰσαρίθμους διαιρέσεις ὅ, τε χρόνος διαι-
ρεῖται καὶ τὸ μέγεθος. εἰκὸς δὲ τινὰς καὶ ἐνταῦθα μέμφεσθαι τὴν ἀπόδειξιν καὶ ὡς διάλληλον, καὶ
ὡς αὐτὸ δι' αὑτοῦ δεικνῦσαν. εἴπερ ἐκ μὲν τοῦ πᾶν μέγεθος εἰς μεγέθη διαιρετὸν εἶναι. δείκνυσιν ὅτι
τὸ θᾶττον ἐν τῷ ἴσῳ χρόνῳ μεῖζον, καὶ ἐν τῷ ἐλάττονι τὸ πλέον κινεῖται, καὶ ἐν τῷ ἴσῳ τὸ ἔλαττον.
ἀπὸ δὲ τούτου ὅτι διαιρετὸς ὁ χρόνος, καὶ ἀπὸ τούτου ὅτι τὸ μέγεθος τοιοῦτον. δόξει γὰρ λέγειν ἐπειδὴ
τὸ μέγεθος ἀεὶ διαιρετὸν, καὶ ὁ χρόνος ἀεὶ διαιρετός. καὶ ἐπειδὴ ὁ χρόνος, καὶ τὸ μέγεθος. καὶ συνε-
λόντι ἐπειδὴ τὸ μέγεθος ἀεὶ διαιρετόν ἐστι, τὸ μέγεθος ἀεὶ διαιρετόν ἐστιν. ἀλλὰ ῥητέον ὅτι πρῶτον μὲν
καὶ ἐκ τοῦ τοῦ προλαβεῖν ὅτι πᾶν μέγεθος εἰς μεγέθη διαιρετόν ἐστιν, ἔκ τε τοῦ ὁρισμοῦ τοῦ θάττονος καὶ
ἐκ τῆς ἐκθέσεως δείκνυσι τὰ προκείμενα. ἔπειτα ὅτι προηγουμένως νῦν τὸν χρόνον δείκνυσι διαι-
ρετόν. ᾧ συναποδείκνυται καὶ τὸ μέγεθος. ἐκ δὲ αὖ τρίτον ῥητέον, ὅτι διὰ τῆς τοιαύτης ἀποδείξεως ὁ
ἀριστοτέλης ἐνεδείξατο, ὅτι διὰ τὸ ὁμοφυῶς εἶναι συνεχῆ τό, τε μέγεθος καὶ τὸν χρόνον, καὶ ἐξ ἀλλή-
λων ἀποδείκνυνται οὕτως, ὡς αἴτια ἀλλήλοις δοκεῖν τῆς εἰς ἄπειρον διαιρέσεως. μήποτε δὲ τοιαύ-
τη τίς ἐστιν ἡ τοῦ λόγου ἀγωγή. δείξας πρότερον ἐκ τῆς ἰσοταχῆς τοῦ κινουμένου κινήσεως, ὅτι μὴ
σύγκειται ἐξ ἀμερῶν μήτε τὸ μέγεθος, μήτε ἡ κίνησις, μήτε ὁ χρόνος, ἀλλ' ἔστι συνεχῆ καὶ διαιρετὰ
εἰς ἀεὶ διαιρετά, καὶ τὸ αὐτὸ τοῦτο προθέμενος δεῖξαι καὶ ἐκ τοῦ θᾶττον καὶ τοῦ βραδύτερον κινου-
μένου, πρῶτον μὲν συντόμως οὕτω δείκνυσιν αὐτὸ δυνάμει, λέγων, ὡς εἰ μὴ ἦν πᾶν μέγεθος εἰς με-
γέθη διαιρετόν, τό, τε τοῦ χρόνου, καὶ τὸ τοῦ μήκους. καὶ τὸ τῆς κινήσεως, οὐκ ἂν ἦν τὸ θᾶττον καὶ τὸ
βραδύτερον τοιαῦτα, οἷα ὁριζόμενοι λέγομεν αὐτά, θᾶττον λέγοντες τὸ ἐν τῷ ἴσῳ χρόνῳ μεῖζον, καὶ
ἐν τῷ ἐλάττονι πλέον κινούμενον. ἐπειδὴ δὲ διαιρετά ἐστι τὰ μεγέθη, διὰ τοῦτο καὶ τὰ διαιρετικὰ
αὐτῶν ἐστι τό, τε θᾶττον καὶ τὸ βραδύτερον. τὸ μὲν θᾶττον τοῦ χρόνου. τὸ δὲ βραδύτερον τοῦ μήκους. καὶ
ἔστιν ὡς ἀπὸ τῶν πρός τι ἡ πίστις. ἐναργοῦς γὰρ ὄντος τοῦτο θᾶττον καὶ βραδύτερον. καὶ εἶναι ἐν τοῖς
οὖσι, καὶ διαιρετικὰ εἶναι τοῦ χρόνου καὶ τοῦ μεγέθους, ἐπειδὴ ἀνάγκη τὸ διαιρετικὸν εἶναι, εἴπερ ἔστι
τὸ διαιρετόν. ἔστι δὲ τὸ διαιρετικὸν, ὥστε καὶ τὸ διαιρετὸν ὥσπερ καὶ δέδεικται. εἶτα συστήσας διὰ τῆς
ἐκθέσεως, ὅτι τοιαῦτά ἐστι τὸ θᾶττον καὶ τὸ βραδύτερον οἷα λέγεται, χρῆται λοιπὸν αὐτοῖς εἰς
τὴν τοῦ χρόνου καὶ τὴν τοῦ μήκους διαίρεσιν, τὸν τρόπον τῆς εἰς ἄπειρον διαιρέσεως διὰ τῆς ἐκθέσεως
ἐπιδεικνύων. ἐπιστῆσαι δὲ χρὴ ὅτι διὰ τῆς κινήσεως νῦν τὸν χρόνον καὶ τὸ μέγεθος ἔδειξε διαιρετά. τὸ
γὰρ θᾶττον καὶ βραδύτερον κινήσεώς εἰσι διαφοραί. διότι πᾶν τὸ κινούμενον ἐνδέχεται καὶ θᾶττον
κινεῖσθαι καὶ βραδύτερον, ὡς αὐτὸς εἶπε, τὸ αὐτὸ δηλονότι τῆς κινήσεως διάστημα. ὅπερ λαμβάνε-
ται ἐκ τοῦ διαστήματος ἐφ' οὗ κινεῖται. οὐκ ἂν δὲ ἦν τὸ αὐτὸ διάστημα τῆς κινήσεως καὶ θᾶττόν τι καὶ
βραδύτερον κινεῖσθαι, εἰ μὴ διαιρετὸν ἦν καὶ τὸ τῆς κινήσεως μέγεθος. τὰ οὖν τρία μεγέθη, τό, τε τῆς
κινήσεως καὶ τοῦ χρόνου καὶ τοῦ μήκους ἐφ' οὗ ἡ κίνησις, ὁμοίως ὄντα συνεχῆ καὶ διαιρετὰ εἰς ἀεὶ διαι-
ρετά, ἐξ ἀλλήλων δείκνυνται. ἀνάγκη γὰρ ἑνὸς ὄντος διαιρετοῦ, καὶ τὰ λοιπὰ διαιρεῖσθαι. τοῦ γὰρ
μήκους διαιρετοῦ ὄντος, ἀνάγκη καὶ τὴν ἐπ' αὐτοῦ κίνησιν διαιρετὴν εἶναι, καὶ τὸν μετροῦντα αὐτὴν
χρόνον.

χρόνου. καὶ τῆς κινήσεως διαιρετῆς οὔσης, καὶ τὸ μῆκος ἐφ' οὗ γίνεται. καὶ τὸν μετροῦντα αὐτὴν χρόνον, ἀνάγκη διαιρετὸν εἶναι. καὶ τοῦ χρόνου διαιρετοῦ ὄντος, τήν τε κίνησιν τὴν ὑπ' αὐτοῦ μετρουμένην ἀνάγκη διαιρετὴν εἶναι. καὶ τὸ μέγεθος ἐφ' οὗ ἡ κίνησις. ὡς γὰρ τὸ ἐφ' οὗ ἡ κίνησις διαιρούμενον διαιρεῖ τὴν κίνησιν, οὕτω καὶ ἡ κίνησις τὸ μῆκος ἐφ' οὗ γίνεται.

ΤΙ ΔῈ καὶ ἐκ τῶν εἰωθότων λόγων λέγεσθαι, φανερὸν ὡς εἴπερ ὁ χρόνος ἐστὶ συνεχής. ὅτι καὶ τὸ μέγεθος εἴπερ ἐν τῷ ἡμίσει χρόνῳ, ἥμισυ διέρχεται. καὶ ἁπλῶς ἐν τῷ ἐλάττονι ἔλαττον. αἱ γὰρ αὐταὶ διαιρέσεις, ἔσονται τοῦ χρόνου καὶ τοῦ μεγέθους καὶ εἰ ὁποτερονοῦν ἄπειρον, καὶ θάτερον, καὶ ὡς θάτερον, καὶ θάτερον. οἷον, εἰ μὲν τοῖς ἐσχάτοις ἄπειρος ὁ χρόνος, καὶ τὸ μῆκος τοῖς ἐσχάτοις. εἰ δὲ τῇ διαιρέσει, τῇ διαιρέσει καὶ τὸ μῆκος. εἰ δὲ ἀμφοῖν ὁ χρόνος, ἀμφοῖν καὶ τὸ μέγεθος.

Δ εἶξας δι' ἐκθέσεως ὅτι τῇ τοῦ χρόνου διαιρέσει συνδιαιρεῖται καὶ τὸ μέγεθος, τὸ αὐτὸ δείκνυσθαι λέγει καὶ ἐξ ἄλλων λόγων, συνειθισμένων ὡς ἔοικε τότε τοῖς περὶ τούτων διαλεγομένοις. ἦν δὲ ὁ λόγος ἀπὸ τῶν ἰσοταχῶς κινουμένων εἰλημμένος τοιοῦτος. εἰ τὸ ἰσοταχῶς κινούμενον ἐν τῷ ἡμίσει χρόνῳ ἥμισυ διέρχεται, καὶ ἀεὶ ἐν τῷ ἐλάττονι ἔλαττον, καὶ κατὰ τὸν αὐτὸν λόγον ἔλαττον, ἕπεται τοῦ χρόνου ἐπ' ἄπειρον ὄντος διαιρετοῦ, ὁμοίως καὶ τὸ μέγεθος ἐφ' οὗ ἡ κίνησις ἐπ' ἄπειρον διαιρετὸν εἶναι. αἱ γὰρ αὐταὶ διαιρέσεις ἀμφοτέρων. εἰ δὲ ὁμοίως ἔχουσιν ἀλλήλοις, δηλονότι εἰ ἄπειρον τὸ ἕτερον καὶ τὸ ἕτερον ἄπειρον ἔσται. διττοῦ δὲ ὄντος ἐν τοῖς συνεχέσι τοῦ ἀπείρου, ἤτοι διχῶς ἐπινοεῖσθαι δυναμένου, ἢ τοῖς ἐσχάτοις, ἄπειρον δὲ τοῖς ἐσχάτοις ἐστὶ τὸ μὴ ἔχον ἔσχατα, ἀλλ' ἀδιεξίτητον ὄν, ἢ τῇ διαιρέσει, τῷ ἀεὶ τὸ λαμβανόμενον μόριον διαιρετὸν εἶναι, ἢ κατ' ἄμφω, ὡς ἂν ἔχοι φησὶν ὁ χρόνος τὸ ἄπειρον, οὕτως αὐτὸ καὶ τὸ μέγεθος ἕξει. ἀλλ' ὅτι μὲν ὡς ὁ χρόνος συνεχὴς ὢν ἐπ' ἄπειρόν ἐστι διαιρετός, οὕτω καὶ τὸ μέγεθος, δῆλον. ἐπειδὴ καὶ αὐτὸ συνεχές ἐστι. πᾶν δὲ συνεχὲς ἐπ' ἄπειρον διαιρετόν ἐστιν. ἐπειδὴ δὲ ὁ χρόνος καὶ τοῖς ἐσχάτοις ἄπειρός ἐστι, μήτε ἀρχὴν ἔχων μήτε πέρας, ἐν τῷ τελευταίῳ ταύτης δείκνυται τῆς πραγματείας, πῶς ἀληθὲς ὅτι καὶ τὸ μέγεθος οὕτως ἄπειρόν ἐστιν. αὐτὸ γὰρ τοὐναντίον ἐν τῷ τρίτῳ ταύτης δέδεικται τῆς πραγματείας, ὅτι οὐδὲ μέγεθος ἄπειρόν ἐστι τοῖς ἐσχάτοις. μήποτε οὖν ὥσπερ ὁ χρόνος διττός ἐστιν, ὁ μὲν, ἄπειρος τοῖς ἐσχάτοις, ὁ τὴν ἄναρχον καὶ ἀτελεύτητον κυκλοφορίαν μετρῶν, ὁ δὲ, τοῖς ἐσχάτοις μὲν πεπερασμένος, ἐν δὲ τῇ διαιρέσει μόνῃ τὸ ἄπειρον ἔχων, ὡς ὁ μερικὸς ὁ τὰς ἐπ' εὐθείας κινήσεις μετρῶν, οὕτω καὶ τὸ μέγεθος διττόν ἐστι. τὸ μὲν, ἄπειρον τοῖς ἐσχάτοις, οὐχ ὡς ἀόριστον, οἷον ἀπεγίνωσκεν ἐν τῷ τρίτῳ βιβλίῳ. ἀλλ' ὡς κυκλικὸν καὶ μήτε ἀρχὴν ἔχον μήτε πέρας. τὸ δὲ, καὶ ἀρχὴν ἔχον καὶ πέρας, οἷα τὰ ἐν γενέσει, ἐπ' ἄπειρον δὲ ὄντα διαιρετὰ τῷ συνεχῆ εἶναι. ἀμφοῖν δὲ τοῖν ἀπειρίαιν καὶ ὁ ὅλος χρόνος μετέχει, καὶ τὸ κυκλοφορητικὸν σῶμα. καὶ γὰρ ἄναρχα καὶ ἀτελεύτητα καὶ συνεχῆ ὄντα, ἐπ' ἄπειρόν ἐστι διαιρετά. ἐμοὶ μὲν οὖν ἐπῆλθεν οὕτω καὶ ἀπορῆσαι ταύτην τὴν ἀπορίαν καὶ διαλῦσαι, παρ' οὐδενὶ τῶν ἐξηγητῶν αὐτὴν εὑρηκότι. εἰ δέ τις πιθανωτέρως ἐπιβάλλοι. φίλος ὢν ἀλλ' οὐκ ἐχθρὸς κρατεῖ. δῆλον δὲ ὅτι κἂν αὐτὸς τοῦ χρόνου καὶ τοῦ μεγέθους ἐμνημόνευσε μόνον ἐν τούτοις, ἀνάγκη καὶ περὶ τῆς κινήσεως τὰ αὐτὰ ἀκούειν. ὡς γὰρ ὁ χρόνος ἔχει, οὕτω καὶ ἡ κίνησις ἔχει ἧς ἐστι μέτρον ὁ χρόνος.

Δ ΙῸ ΚΑῚ ὁ ζήνωνος λόγος, ψεῦδος λαμβάνει τὸ μὴ ἐνδέχεσθαι τὰ ἄπειρα διελθεῖν ἢ ἅψασθαι τῶν ἀπείρων καθ' ἕκαστον ἐν πεπερασμένῳ χρόνῳ. διχῶς γὰρ λέγεται καὶ τὸ μῆκος καὶ ὁ χρόνος, ἄπειρον. καὶ ὅλως πᾶν τὸ συνεχές, ἢ τῷ κατὰ διαίρεσιν, ἢ τοῖς ἐσχάτοις. τῶν μὲν οὖν κατὰ τὸ ποσὸν ἀπείρων, οὐκ ἐνδέχεται ἅψασθαι ἐν πεπερασμένῳ χρόνῳ. τῶν δὲ κατὰ διαίρεσιν, ἐνδέχεται. καὶ γὰρ αὐτὸς ὁ χρόνος, οὕτως ἄπειρος. ὥστε ἐν τῷ ἀπείρῳ, καὶ οὐκ ἐν τῷ πεπερασμένῳ συμβαίνει διιέναι τὸ ἄπειρον. καὶ ἅπτεσθαι τῶν ἀπείρων τοῖς ἀπείροις οὐ τοῖς πεπερασμένοις.

Δ εἶξας ὁμοίως ὂν τὸ ἄπειρον ἔν τε τῷ χρόνῳ καὶ ἐν μεγέθει, τούτῳ προσχρώμενος, λύει τινὰ τῶν ὑπὸ τοῦ ἐλεάτου ζήνωνος ἠρωτημένων λόγων, πρὸς τὸ μὴ εἶναι κίνησιν. ἔστι δὲ ὁ λόγος ὁ τοῦ ζήνωνος τοιοῦτος. εἰ ἔστι κίνησις, ἐνδέχεται ἐν πεπερασμένῳ χρόνῳ τὰ ἄπειρα διελθεῖν, ἁπτόμενον αὐτῶν ἑκάστου. ἀλλὰ μὴν τοῦτο ἀδύνατον. οὐκ ἄρα ἐστὶ κίνησις. καὶ τὸ μὲν συνημμένον ἐδείκνυ. χρώμενος τῇ τῶν μεγεθῶν ἐπ' ἄπειρον διαιρέσει. εἰ γὰρ πᾶν μέγεθος εἰς ἄπειρα διαιρετὸν, εἴη ἂν καὶ ἐξ ἀπείρων συγκείμενον. ὥστε τὸ κινούμενον καὶ διϊὸν ὁτιοῦν μέγεθος, ἄπειρον ἂν κινοῖτο καὶ διεξίοι, καὶ ἀπείρων ἅπτοιτο ἐν πεπερασμένῳ χρόνῳ, ἐν ᾧ τὸ ὅλον τὸ πεπερασμένον δίεισιν. ἅψασθαι δὲ τῶν ἀπείρων καθ' ἕκαστόν φησιν, ἐπεὶ δύναταί τι τὰ ἄπειρα δοκεῖν διεληλυθέναι τῷ ὑπερβαίνειν αὐτά. καὶ οὕτω μὲν τὸ συνημμένον ἐδείκνυ. τὴν δὲ πρόσληψιν τὴν λέγουσαν, ἀλλὰ μὴν ἀδύνατον τὰ ἄπειρα διελθεῖν καὶ ἅψασθαι ἐν πεπερασμένῳ χρόνῳ, δείκνυσιν ἐκ τοῦ τὸ ἄπειρον ἀδιεξίτητον εἶναι. ἐκ τοῦ μὴ δυνατὸν εἶναι ἐν πεπερασμένῳ χρόνῳ τῶν ἀπείρων ἅψασθαι. εἴγε ἐν ἄλλῳ καὶ ἄλλῳ τοῦ χρόνου ἅπτεται τὸ κινούμενον τῶν τοῦ ὑποκειμένου μερῶν. ἀδύνατον δὲ ἑκάστου ἅψασθαι εἰπεῖν τῶν ἀπείρων, διότι ὁ ἁπτόμενος οἷον ἀριθμεῖ. ἀδύνατον δὲ ἀριθμῆσαι τὰ ἄπειρα. ὁ δὲ ἀριστοτέλης τὴν πρόσληψιν αἰτιᾶται. οὐ γὰρ ἀδύνατον ἐν πεπερασμένῳ χρόνῳ τὰ ἄπειρα διελθεῖν. διχῶς γὰρ λεγομένου τοῦ ἀπείρου, τοῦ

μὲν, κατὰ τὰ ἔσχατα, τοῦ δὲ, τῇ διαιρέσει, τὸ μὲν κατὰ τὸ ποσὸν ἄπειρον, οὗ τὰ μέρη ἄπειρα τῷ πλήθει κατ' ἐνέργειαν, διότι καὶ τὸ μέγεθος ἄπειρον, ἀδύνατόν τι διελθεῖν ἐν πεπερασμένῳ χρόνῳ. τὸ δὲ κατὰ διαίρεσιν καὶ δυνάμει ἄπειρον, οὐκ ἐνεργείᾳ ἐνδέχεται. καὶ γὰρ ὁ λαμβανόμενος πεπερασμένος χρόνος, οὗτος ἐστὶν ἄπειρος κατὰ διαίρεσιν. οὐκ ἐν πεπερασμένῳ οὖν τὸ ἄπειρον. ἀλλ' ἐν τῷ ὁμοίως ἀπείρῳ. καὶ ἅπτεται οὖν τῶν δυνάμει ἀπείρων, ἀλλ' οὐ τῶν καθ' ἕκαστον ἐνεργείᾳ διῃρημένων τοῦ ὑποκειμένου μορίων, τὸ κινούμενον ἐν τοῖς ὁμοίως ἀπείροις τοῦ χρόνου μέρεσιν, ἢ ἐν τοῖς αὐτοῦ. καὶ γὰρ καὶ τὸ κινούμενον συνεχὲς ὄν, ἐπ' ἄπειρόν ἐστι διαιρετόν. τὸ οὖν σόφισμα τοῦ Ζήνωνος ἐγίνετο παρὰ τὴν τοῦ ἀπείρου ὁμωνυμίαν, καὶ τὸ μεταλαμβάνειν τὸ κατὰ διαίρεσιν ἄπειρον εἰς τὸ τοῖς ἐσχάτοις ἄπειρον. τοῦτο γὰρ ἀδύνατον ἦν τὸ ἄπειρον ἐν πεπερασμένῳ χρόνῳ διελθεῖν, καὶ ἅψασθαι τῶν οὕτως ἀπείρων. τὸ δὲ κατὰ διαίρεσιν ἄπειρον μέγεθος ἐν τῷ κατὰ διαίρεσιν ἀπείρῳ χρόνῳ διελθεῖν, οὐδὲν ἄτοπον. ὁ δὲ Ζήνων τὸ μὲν μέγεθος εἰς τὰ ἄπειρα διῃρημένον ἐνεργείᾳ ἐλάμβανεν, τὸν δὲ χρόνον οὐκέτι, καίτοι ὁμοίως ἔχοντα τῷ μεγέθει. ἀλλ' ἐνταῦθα μὲν οὕτως ἔλυσε τὴν Ζήνωνος ἀπορίαν, μηδὲν ἄτοπον λέγων ἐν τῷ ὁμοίως ἀπείρῳ χρόνῳ, τὰ ὁμοίως ἄπειρα διϊέναι. ἐν δὲ τῷ τελευταίῳ ταύτης τῆς πραγματείας τὴν λύσιν ταύτην, πρὸς μὲν τὸν ἐρωτῶντα ἱκανῶς ἔχειν ταύτην φησίν. ἐρωτᾷ γὰρ εἰ ἐν πεπερασμένῳ χρόνῳ ἄπειρα ἐνδέχεται διεξελθεῖν. πρὸς δὲ τὸ πρᾶγμα καὶ τὴν ἀλήθειαν οὐχ ἱκανῶς. οὐδὲ γὰρ ὁ χρόνος τὸ ἄπειρον ἐνεργείᾳ ἔχει, ἀλλὰ δυνάμει. διὸ ἀκριβέστερον ἐκεῖ λύει, δεικνὺς ἐν τοῖς συνεχέσι μὴ εἶναι τὰ ἄπειρα κατ' ἐνέργειαν, ἀλλὰ δυνάμει. τῷ γοῦν ἐρωτῶντι φησίν, εἰ ἐνδέχεται ἄπειρα διεξελθεῖν ἢ ἐν χρόνῳ ἢ ἐν μήκει, ῥητέον ὅτι ἔστιν μὲν ὡς ἐνδέχεται, ἔστι δὲ ὡς οὐκ ἐνδέχεται. ἐντελεχείᾳ μὲν γὰρ ὄντα ἄπειρα οὐκ ἐνδέχεται· δυνάμει δὲ ἐνδέχεται.

ΟΥ̓́ΤΕ ΔῊ οὖν τὸ ἄπειρον οἷόν τε ἐν πεπερασμένῳ χρόνῳ διελθεῖν, οὐδ' ἐν ἀπείρῳ τὸ πεπερασμένον. ἀλλ' ἄν τε ὁ χρόνος ἄπειρος ᾖ, καὶ τὸ μέγεθος ἔσται ἄπειρον, ἐάν τε τὸ μέγεθος, καὶ ὁ χρόνος. ἔστω γὰρ πεπερασμένον μέγεθος ἐφ' οὗ α β. χρόνος δὲ ἄπειρος, ἐφ' οὗ γ. εἰλήφθω δή τι τοῦ χρόνου, πεπερασμένον, ἐφ' ᾧ γ δ. ἐν τούτῳ οὖν δίεισί τι τοῦ μεγέθους. καὶ ἔστω διεληλυθὸς, ἐφ' ᾧ β ε. τοῦτο δὲ ἢ καταμετρήσει τὸ ἐφ' ᾧ α β. ἢ ἐλλείψει. ἢ ὑπερβαλεῖ. διαφέρει γὰρ οὐθέν, εἰ γὰρ ἀεὶ τὸ ἴσον τῷ β ε. μέγεθος ἐν ἴσῳ χρόνῳ δίεισι. τοῦτο δὲ, καταμετρεῖ τὸ ὅλον, πεπερασμένος ἔσται ὁ πᾶς χρόνος, ἐν ᾧ διῆλθεν. εἰς ἴσα γὰρ διαιρεθήσεται ὡς καὶ τὸ μέγεθος.

Δείξας ὁμοίως συνεχῆ τόν τε χρόνον καὶ τὸ μέγεθος, καὶ ὁμοίως διαιρετὰ ἐπ' ἄπειρον, καὶ τὸν Ζήνωνος λόγον ἐκ ταύτης διαλύσας τῆς ὁμοιότητος, προστίθησί τι τοῖς προαποδεδειγμένοις ὡς ἀκόλουθόν τε καὶ ὡς ἐξ ἐκείνων δεικνύμενον, τὸ μήτε τὸ ἄπειρον διάστημα κἂν ὑποτεθῇ εἶναι ἐν πεπερασμένῳ χρόνῳ δύνασθαί τι κινηθῆναι, μήτε ἐν ἀπείρῳ χρόνῳ πεπερασμένον. ἄπειρον δὲ νῦν λαμβάνει τὸ κυρίως ἄπειρον τὸ κατ' ἐνέργειαν. ὃ παρὰ τοῖς ἐσχάτοις ἔλεγεν ἄπειρον. ποιεῖται δὲ τὴν δεῖξιν διὰ τοῦ ἀδυνάτου ἐκθετικῶς, πεπερασμένον μὲν μέγεθος λαβὼν τὸ ἐφ' οὗ α β. χρόνον δὲ ἄπειρον τὸ ἐφ' οὗ γ. καὶ ἀφελών τι τοῦ χρόνου πεπερασμένον τὸ ἐφ' οὗ γ δ. ἐν ᾧ τὸ κινούμενον τοῦ α β μεγέθους δίεισίν τι, οἷον τὸ β ε. μόριον γάρ τι αὐτοῦ κινηθήσεται ἐν τῷ γ δ χρόνῳ, εἴπερ τὸ ὅλον τὸ α β ἐν τῷ ἀπείρῳ χρόνῳ τῷ γ ἐκινεῖτο. ὁσαπλάσιον δή ἐστιν τὸ α β μέγεθος τοῦ ἰδίου μορίου τοῦ β ε, τοσαυταπλάσιος ἔσται καὶ ὅλος ὁ χρόνος, ἐν ᾧ τὸ κινούμενον ὁμαλῶς καὶ ἰσοταχῶς ὅλον τὸ α β μέγεθος δίεισι, τοῦ γ δ χρόνου, ἐν ᾧ τὸ β ε μέγεθος κινεῖται. πεπερασμένος δὲ ὁ γ δ χρόνος. πεπερασμένος ἄρα καὶ ὁ γ χρόνος, ἐν ᾧ τὸ α β μέγεθος τὸ πεπερασμένον δίεισι, καὶ οὐκ ἄπειρος. εἰς ὅσα γὰρ τὸ α β μέγεθος διαιρεῖται, ἴσα τῷ β ε, εἰς τοσαῦτα καὶ ὁ γ χρόνος, ἴσα τῷ γ δ. πεπερασμένον δὲ ἦν τὸ α β μέγεθος, καὶ ὁ γ δ χρόνος. ὥστε εἰ πεπερασμένα καὶ τῷ μεγέθει καὶ τῷ ἀριθμῷ, ὥσπερ τὸ μέγεθος, οὕτω καὶ ὁ χρόνος διαιρεθήσεται. καὶ ἡ μὲν ἀπόδειξις τοιαύτη. μεταξὺ δὲ ἔνστασιν λύει τὴν λέγουσαν, ὅτι τὸ β ε μέγεθος οὐ πάντως καταμετρεῖ τὸ ὅλον τὸ α β. ὥστε καὶ ἀληθῶς εἰπεῖν ὅτι τριπλάσιον εἰ τύχοι ἢ τετραπλάσιον, ἢ ὁποσαπλασιονοῦν ἐστι τὸ α β τοῦ β ε. δυνατὸν γὰρ καὶ ἐλλείπειν ἐν τῇ μετρήσει καὶ ὑπερβάλλειν. λέγει οὖν ὅτι οὐδὲν διαφέρει, κἂν ἐλλείπῃ κἂν ὑπερβάλλῃ. εἰ μόνον τὸ ἴσον τῷ β ε μεγέθει, ἐν ἴσῳ τῷ χρόνῳ τῷ γ δ διεξέρχεται. ὡς γὰρ τὸ β ε μέγεθος δαπανᾷ τὸ α β, κἄν τε ὑπερβάλλῃ κἄν τε ἐλλείπῃ, καὶ τὸ ἐλλεῖπον γὰρ μέρει τινὶ αὐτοῦ ἐλλείπει, καὶ τὸ ὑπερβάλλον ὁμοίως ποσῷ τινι ὑπερβάλλει, οὕτω καὶ ὁ γ δ χρόνος πεπερασμένος δαπανήσει τὸν γ χρόνον, κἂν ἐλλείπῃ κἂν πλεονάζῃ, τοσαυταπλάσιος αὐτοῦ γενόμενος, ὁσαπλάσιον τὸ β ε μέγεθος τοῦ α β μεγέθους, εἴτε ἀπηρτισμένος, εἴτε καὶ μέρει τινὶ αὐτοῦ ἐλλείπων ἢ πλεονάζων. ἅμα γὰρ τό τε μέγεθος τὸ α β ὑπὸ τοῦ β ε καταμετρηθήσεται, καὶ ὁ γ χρόνος ὑπὸ τοῦ γ δ, διὰ τὸ εἰς ἴσα τῷ ἀριθμῷ διαιρεῖσθαι. ἐπιστῆσαι δὲ χρὴ ὅτι ὅταν μὲν λέγῃ, τοῦτο δὲ ἢ καταμετρήσει τὸ ἐφ' οὗ α β, ἢ ἐλλείψει ἢ ὑπερβαλεῖ, κυρίως χρῆται τῇ καταμετρήσει. καταμετρῆσαι γάρ ἐστι, τὸ ἀπηρτισμένως πολλαπλασιασθὲν ἐξισωθῆναι τῷ καταμετρουμένῳ. ὅταν δὲ λέγῃ τοῦτο δὲ καταμετρεῖ τὸ ὅλον, τὸ καταμετρεῖ ἀντὶ τοῦ δαπανᾷ ἐχρήσατο. κἂν γὰρ ἐλλείπῃ ἢ

πλεονάζῃ, εἰς ὅσα τὸ μέγεθος καὶ τὸ πεπερασμένον διῃρέθη, εἰς ἴσα τῷ ἀριθμῷ, τουτέστιν εἰς τοσαῦτα καὶ ὁ χρόνος διαιρεθήσεται ὁ γ, ἐν ᾧ τὸ αβ μέγεθος ὅλον ἐκινήθη. οὕτω δὲ ἀκολουθήσει τὸ πεπερασμένον αὐτὸ εἶναι. ὁσαπλάσιος γὰρ ἂν ᾖ τοῦ πεπερασμένου, εἴτε ἀπηρτισμένως, εἴτε καὶ μετὰ μορίου τινὸς, πεπερασμένος ἔσται. διχῶς δὲ φερομένης τῆς γραφῆς, τῆς ἐν τῷ τέλει τῆς ῥήσεως ταύτης, εἰ μὲν εἴη γεγραμμένον, εἰς ἴσα γὰρ διαιρεθήσεται καὶ τὸ μέγεθος, ἀσάφειαν ἔχει. λέγοι δ' ἄν· εἰς ἴσα γὰρ διαιρεθήσεται. εἰς ὅσα καὶ τὸ μέγεθος. εἰ δὲ ὡς Ἀλέξανδρος καὶ Θεμίστιος καὶ Ἀσπάσιος γράφουσιν, εἰς ἴσα γὰρ διαιρεθήσεται ὡς καὶ τὸ μέγεθος, σαφὲς ἂν εἴη τὸ λεγόμενον. ὅτι καὶ ὁ χρόνος εἰς ἴσα τῷ ἀριθμῷ διαιρεθήσεται, εἰς ὅσα καὶ τὸ μέγεθος. περὶ γὰρ τοῦ χρόνου λέγει, τοῦτον δεικνὺς ὅτι μὴ ἄπειρος.

ἜΤΙ ΔΈΙ μὴ πᾶν μέγεθος ἐν ἀπείρῳ χρόνῳ δίεισιν. ἀλλ' ἐνδέχεταί τι καὶ ἐν πεπερασμένῳ διελθεῖν, οἷον, τὸ βε. τοῦτο δὲ καταμετρήσει τὸ πᾶν, καὶ τὸ ἴσον, ἐν ἴσῳ δίεισιν, ὥστε πεπερασμένος ἔσται καὶ ὁ χρόνος. ὅτι δ' οὐκ ἐν ἀπείρῳ δίεισι τὸ βε. φανερὸν, εἰ ληφθείη ἐπὶ θάτερα πεπερασμένος ὁ χρόνος. εἰ γὰρ ἐν ἐλάττονι τὸ μέρος δίεισι, τοῦτον ἀνάγκη πεπεράνθαι. θατέρου γε πέρατος ὑπάρχοντος. ἡ αὐτὴ δὲ ἀπόδειξις, καὶ εἰ τὸ μὲν μῆκος ἄπειρον. ὁ δὲ χρόνος πεπερασμένος.

Λαβὼν πρότερον τὸ βε μέγεθος ἀδιοριστότερον, καὶ ὡς μὴ πάντως καταμετροῦν τὸ αβ, ἀλλὰ καὶ ὑπερβάλλον ἐνίοτε ἢ ἐλλεῖπον, καὶ ἀπὸ τοῦ γδ χρόνου πεπερασμένου μετρουμένης τῆς ἐπ' αὐτοῦ κινήσεως, ἀπὸ ἄμφω ἐνστάσεις ἔχειν δοκεῖ τινας, διὰ τούτου τοῦ ἐπιχειρήματος τοιοῦτον ἀφαιρεῖ τὸ βε, ὡς καταμετρεῖν τὸ ὅλον. καὶ ἐξ ὑποθέσεως λαμβάνει, τὸ ἐν πεπερασμένῳ χρόνῳ διϊέναι αὐτὸ τὸ δι' αὐτοῦ κινούμενον. καὶ δείκνυσιν ὅτι κἂν καταμετροῦν ἐξ ἀρχῆς ὑποτεθῇ τὸ βε, τοῦ γδ χρόνου ληφθέντος πεπερασμένου, καὶ ὅλος ὁ χρόνος δειχθήσεται. εἰ γὰρ δέκατον ληφθείη μέρος τὸ βε τοῦ βα, τὸ ἰσοταχῶς κινούμενον ἐν δέκα χρόνοις ἴσοις τῷ γδ, τὰ δέκα μέρη τὰ ἴσα τῷ βε κινηθήσεται. τὰ δὲ πεπερασμένα δέκα μέρη τοῦ χρόνου συντεθέντα, πεπερασμένον τὸν ὅλον ποιεῖται δείκνυσιν ὅτι οὐ δυνατὸν τὸ βε μέγεθος πεπερασμένον καὶ μέρος ὂν τοῦ αβ, ἐν ἀπείρῳ χρόνῳ διϊέναι, εἴπερ ὅλον τὸ αβ ἐν ἀπείρῳ δίῃει. ὑποθέμενος γὰρ κατὰ θάτερα πεπερασμένον τὸν γ χρόνον, καὶ λαβὼν ὡς ἐναργὲς τὸ ἐν ἐλάττονι χρόνῳ τὸ μόριον κινεῖσθαί τι ἤπερ τὸ ὅλον, ὅτι πεπερασμένος ἐφ' ἑκάτερα ὁ χρόνος ἐν ᾧ τὸ βε κινεῖταί τι δείκνυσιν. ἀπὸ γὰρ τῆς αὐτῆς ἀρχῆς ἀρξάμενον πεπερασμένης οὔσης, συμπεραίνει αὐτὸν καὶ ἐπὶ θάτερον. εἰ γὰρ μὴ τοῦτο, οὐκέτι ἐν ἐλάττονι χρόνῳ τὸ μέρος διεξιὸν ἔσται, ἤπερ τὸ ὅλον. ἀλλ' ἐν τῷ ἴσῳ. κατὰ θάτερα δὲ πεπερασμένον ἔλαβε τὸν χρόνον, ἵνα ἐφ' ἑκάτερα πεπερασμένον ἀφέλῃ ἐκεῖνον, ἐν ᾧ τὸ βε δίεισιν. καὶ συγχωρηθείη δὲ ἂν αὐτῷ τοῦτο ῥᾳδίως. εἰ γὰρ ἐν τῷ ἐπὶ θάτερα ἀπείρῳ μὴ δυνατὸν τὸ βε διελθεῖν, πολλῷ μᾶλλον ἐν τῷ ἐπ' ἄμφω ἀπείρῳ ἀδύνατον. ἀλλ' εἰ ὡς ἐναργὲς ἔλαβε τὸ ἐν ἐλάττονι τὸ μέρος διϊέναι, τὸ δὲ τοῦ ἀπείρου ἔλαττον πεπερασμένον ἀνάγκη εἶναι, τίνος ἔτι δεῖ λόγος πρὸς τὸ ἐν πεπερασμένῳ χρόνῳ τὸ βε διεξιέναι. εἰ μὴ ἄρα τοῦ ἐπ' ἄμφω ἀπείρου ἔλαττον τὸ ἐπὶ θάτερα ἄπειρον καὶ αὐτὸ ἄπειρον ὄν. ἀλλ' εἰ τοῦτο, διατί ἐπὶ θάτερα ἄπειρον ὑπέθετο τὸν χρόνον, ἐν ᾧ τὸ αβ μέγεθος δίεισι τὸ κινούμενον. εἰ γὰρ ἐπ' ἄμφω ἄπειρον ὑπέθετο τοῦτο, οὐδὲν ἐκώλυεν ἐν ἐλάττονι τοῦ ἐπ' ἄμφω ἀπείρου, ἐν ᾧ τὸ αβ δίεισι, διϊέναι τὸ βε μέρος ὂν τοῦ αβ, ἐν τῷ ἐπὶ θάτερα ἀπείρῳ μέρει ὄντι καὶ αὐτῷ τοῦ ἐπ' ἄμφω ἀπείρου. ἢ εἰ ἀνάγκη ὡς ὑπὸ τοῦ βε μεγέθους καταμετρεῖται τὸ αβ μέγεθος, οὕτω καὶ ὑπὸ τοῦ χρόνου τὸν χρόνον, ἀδύνατον τὸν μὲν, ἐπ' ἄμφω ἄπειρον εἶναι, τὸν δὲ ἐπὶ θάτερα. οὔτε γὰρ καταμετρεῖ ὁ ἄπειρος, ἀόριστος ὢν καὶ ἀνάριθμος καὶ ἄμετρος, οὔτε καταμετρεῖται. ὑποθέμενος οὖν τὸ βε καταμετρεῖν τὸ αβ, καὶ λαβὼν ὅτι εἰς ἴσα διαιρεθήσεται τῷ ἀριθμῷ ὅ, τε χρόνος καὶ τὸ μέγεθος, τὰς τοιαύτας ἐνστάσεις ἐξέκλινε. τὸ γὰρ καταμετροῦν τὸ πεπερασμένον, πεπερασμένον ἀνάγκη εἶναι. ὡς τὸ βε τὸ ε. καὶ τὸ ἰσάκις τὸ πεπερασμένον καταμετροῦν, οἷον δεκάκις ἢ εἰκοσάκις, οὐ δὲ ἐπὶ θάτερα δυνατὸν εἶναι ἄπειρον. εἰ γὰρ τὸ εἰκοσαπλάσιον αὐτοῦ πεπερασμένον ἐστὶ καὶ ὡρισμένον καὶ ἠριθμημένον, πολλῷ μᾶλλον τὸ τοῦ εἰκοσαπλασίου εἰκοστόν. δείξας δὲ οὕτως ὅτι ἀδύνατον ἐν ἀπείρῳ χρόνῳ τὸ πεπερασμένον μέγεθος κινηθῆναι, τοῖς αὐτοῖς χρωμένους φησὶν, ὅτι μηδὲ τὸ ἄπειρον ἐν πεπερασμένῳ χρόνῳ διελθεῖν δυνατὸν ἔνεστι δεῖξαι. πεπερασμένου γὰρ ὑποτεθέντος τοῦ χρόνου, ἀφαιρείσθω τι μόριον αὐτοῦ, ὑφ' οὗ καταμετρηθήσεται ὁ ὅλος. ἀφαιρείσθω δὲ καὶ ἐκ τοῦ ἀπείρου μεγέθους μέγεθός τι, ἐφ' οὗ ἐκινήθη ἐν τῷ ἀφαιρεθέντι χρόνῳ. ἐπεὶ οὖν ἐν ἴσῳ χρόνῳ ἴσον κινεῖται, ἰσάκις καταμετρηθήσεται ὁ χρόνος ὑπὸ τοῦ χρόνου καὶ τὸ μέγεθος ὑπὸ τοῦ μεγέθους. τὸ δὲ ἐκ πεπερασμένων συγκείμενον, καὶ τῷ μεγέθει καὶ τῷ ἀριθμῷ πεπερασμένον ἔσται ἀλλ' οὐκ ἄπειρον. καλῶς δὲ ἐπέστησεν ὁ Θεμίστιος, ὅτι εἰ καὶ μὴ ἐν ἴσῳ χρόνῳ τὸ ἴσον κινεῖται διάστημα. ἀλλὰ ποτὲ μὲν ἐν πλείονι τὸ ἴσον, ποτὲ δὲ ἐν ἐλάττονι, διαιρεθέντος καὶ οὕτω τοῦ πεπερασμένου διαστήματος εἰς τὰ ἴσα μέρη συνδιαιρεθήσεται καὶ ὁ χρόνος εἰς τοσαῦτα μὲν μέρη, οὐκέτι δὲ εἰς ἴσα ἀλλήλοις. ἀλλὰ πρός γε τὸ πεπερασμένον αὐτὸν ἐπιδεῖξαι, ἐξαρκεῖ τὸ ἐκ μορίων πεπερασμένων αὐτὸν ἐπιδεῖξαι καὶ τῷ ἀριθμῷ καὶ τῷ μεγέθει, κἂν

ἄνισα τυγχάνει τὰ μόρια. τὸ γὰρ ἐκ πεπερασμένων καὶ τῷ ἀριθμῷ καὶ τῷ μεγέθει, μορίων πεπερα-
σμένον ἀνάγκη εἶναι. ὁμοίως δὲ καὶ ἀνάπαλιν. εἰ ὁ χρόνος μὲν πεπερασμένος, ἄπειρον δὲ ὑπόκειται
τὸ διάστημα. μόνως τοίνυν ἐνδέχεται ἐν ἀπείρῳ χρόνῳ πεπερασμένον κινεῖσθαι διάστημα, εἰ κύκλῳ
τὸ αὐτὸ πάλιν καὶ πάλιν κινεῖται, ὥσπερ τὰ θεῖα σώματα. αἱ γὰρ ἐπ' εὐθείας ἀνακάμπτουσαι κι-
νήσεις, στάσει διαλαμβάνονται, ὡς ἐν τῷ τελευταίῳ ταύτης δειχθήσεται τῆς πραγματείας. εἰ
δὲ τὸ πεπερασμένον σῶμα οὐ δίεισιν ἄπειρον διάστημα ἐν πεπερασμένῳ χρόνῳ, φανερὸν ὅτι οὐδὲ τὸ
ἄπειρον σῶμα εἰ κινούμενον ὑποθοίμεθα, διέλθοι ἂν πεπερασμένον διάστημα ἐν χρόνῳ πεπερασμένῳ.
ἡνίκα γὰρ δίεισι τὸ ἄπειρον σῶμα τὴν πεπερασμένην γραμμήν, καὶ ἡ πεπερασμένη γραμμὴ τὸ
ἄπειρον σῶμα διέξεισιν. ἀποδέδεικται δὲ τοῦτο ἀδύνατον. καὶ μέντοι εἰ καὶ τὸ διάστημα ἄπειρον ὑπο-
θοίμεθα, καὶ τὸ κινούμενον σῶμα, μόνον δὲ τὸν χρόνον πεπερασμένον, ἀνάγκη καὶ τὰ λοιπὰ ἀναφανῆ-
ναι πεπερασμένα.

ΦΑΝΕΡΟΝ οὖν ἐκ τῶν εἰρημένων ὡς οὔτε γραμμή, οὔτε ἐπίπεδον, οὔτε ὅλως τῶν συνεχῶν οὐθὲν
ἔσται ἄτομον. οὐ μόνον διὰ τὸ νῦν λεχθέν, ἀλλὰ καὶ διότι συμβήσεται διαιρεῖσθαι τὸ ἄτομον. ἐπεὶ γὰρ
ἐν ἅπαντι χρόνῳ τὸ θᾶττον καὶ βραδύτερόν ἐστι, τὸ δὲ θᾶττον πλεῖον διέρχεται ἐν τῷ ἴσῳ χρόνῳ.
ἐνδέχεται καὶ διπλάσιον καὶ ἡμιόλιον διιέναι μῆκος, εἴη γὰρ ἂν οὗτος ὁ λόγος τοῦ τάχους. ἐνηνέχθω
οὖν τὸ θᾶττον ἡμιόλιον ἐν τῷ αὐτῷ χρόνῳ. καὶ διῃρήσθω τὰ μεγέθη τὰ μὲν τοῦ θάττονος, ἐφ' ᾧ α β.
β γ. γ δ. εἰς τρία ἄτομα. τὰ δὲ τοῦ βραδυτέρου εἰς δύο. ἐφ' ὧν ε ζ. ζ η. οὐκοῦν καὶ ὁ χρόνος,
διαιρεθήσεται εἰς τρία ἄτομα. τὸ γὰρ ἴσον, ἐν τῷ ἴσῳ χρόνῳ δίεισι. διῃρήσθω γοῦν ὁ χρόνος εἰς τὴν
κ λ. λ μ. μ ν. πάλιν δὲ ἐπεὶ τὸ βραδύτερον ἐνήνεκται τὴν ε ζ. ζ η. οὐκοῦν καὶ ὁ χρόνος
τμηθήσεται δίχα. διαιρεθήσεται ἄρα τὸ ἄτομον. καὶ τὸ ἀμερὲς, οὐκ ἐν ἀτόμῳ δίεισιν ἀλλ' ἐν πλείο-
νι. φανερὸν οὖν, ὅτι οὐθέν ἐστι τῶν συνεχῶν ἀμερές.

Δείξας ὅτι οὐδὲν τῶν συνεχῶν οἷόν τε ἐξ ἀμερῶν συγκεῖσθαι, μὴ μέγεθος, μὴ κίνησιν, μὴ χρόνον, καὶ
ὅτι πᾶν μέγεθος συνεχὲς διαιρετόν ἐστιν εἰς ἀεὶ διαιρετά, ἢ γὰρ ἀδιαίρετον ἀνάγκη αὐτὸ εἶναι. ἢ
διαιρετόν. καὶ εἰ διαιρετόν, ἢ ἀδιαίρετα ἢ εἰς ἀεὶ διαιρετά, ἀλλ' οὔτε ἀδιαίρετόν ἐστι μέγεθός γε ὄν, οὔτε
εἰς ἀδιαίρετα διαιρετόν, ἔσται γὰρ ἀδιαίρετον ἀδιαιρέτου ἁπτόμενον, ὥστε εἰς ἀεὶ διαιρετά, δείξας
δὲ καὶ ὅτι ὁμοίως ὁ χρόνος καὶ τὸ μέγεθος τό, τε ἄπειρον ἔχουσι καὶ τὸ πεπερασμένον, ἐξ οὗ καὶ τὸν
ὑπὸ Ζήνωνος ἐρωτηθέντα λόγον, περὶ τοῦ μὴ εἶναι κίνησιν ἔλυσε, λέγει νῦν ὅτι δεδειγμένου ἡμῖν
τοῦ τὰ συνεχῆ μὴ διαιρεῖσθαι εἰς ἄτομα, φανερὸν ἐκ τούτου ὅτι οὐδὲν μόριον τῶν συνεχῶν ἄτομόν
ἐστι καὶ ἀδιαίρετον, εἴπερ μὴ διαιρετὰ εἰς ἄτομα τὰ συνεχῆ. δείξει δὲ καὶ ἐπ' αὐτῶν τῶν μορίων ὁ λό-
γος, ὅτι ἀδύνατον αὐτὰ ἄτομα εἶναι, πρῶτον μὲν τὸ τοῦ μεγέθους, εἶτα καὶ τὸ τοῦ χρόνου. διαφέροι
δ' ἂν ἡ ἀπόδειξις αὕτη τῆς προτέρας, ὅτι ἐκείνη μὲν ἐδείκνυ μὴ ὄντα αὐτὰ ἀδιαίρετα. αὕτη δὲ
δείκνυσι προηγουμένως ὅτι διαιρετά ἐστι. καὶ τὴν ἀνάγκην τῆς διαιρέσεως ἐπιδείκνυσι. καὶ μέντοι
πρότερον μὲν ἀπὸ τῆς τοῦ συνεχοῦς φύσεως ἀπεδείκνυτο τὰ μόρια αὐτοῦ διαιρετά. νῦν δὲ αὐτὰ
καθ' αὑτὰ τὰ μόρια ἀποδείκνυται τοιαῦτα. γραμμὴν δὲ τὸ μέρος τῆς γραμμῆς εἶπε. καὶ ἐπίπεδον
τὸ μέρος τοῦ ἐπιπέδου. καὶ χρόνον τὸ τοῦ χρόνου. καὶ ὅλως συνεχὲς τὸ τοῦ συνεχοῦς μέρος. περὶ γὰρ
τῶν ἐν τοῖς συνεχέσι μορίων νῦν ὁ λόγος ἐστὶν αὐτῷ, ὅτι οὐκ ἔστιν ἀδιαίρετα. ὃ δείκνυσι πρῶτον ἐπὶ
τοῦ μεγέθους, εἶτα καὶ ἐπὶ τοῦ χρόνου, προσχρώμενος τῷ ὁμοίως ἔχειν πρὸς ἄλληλα τόν τε χρόνον καὶ
τὸ μέγεθος ἐφ' οὗ ἡ κίνησις. δείκνυσι δὲ αὐτὸ διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς, κατὰ τὸν δεύτερον τῶν
ὑποθετικῶν δυνάμει συλλογιζόμενος οὕτως. εἰ τὸ μέρος τοῦ μεγέθους ἄτομον, διαιρεθήσεται τὸ ἄτο-
μον. τὸ γὰρ μέρος τοῦ μεγέθους διαιρεῖται. ἀλλὰ μὴν ἀδύνατον διαιρεῖσθαι τὸ ἄτομον, καὶ τὸ ἡγού-
μενον ἄρα ἀδύνατον, τὸ μέρος τοῦ μεγέθους ἄτομον εἶναι. καὶ τὸ μὲν συνημμένον δείκνυσι, προσχρώ-
μενος καὶ ἐναργεῖ ὄντι καὶ προειλημμένῳ, τῷ ἐν παντὶ χρόνῳ εἶναι τὸ θᾶττον καὶ τὸ βραδύτερον.
εἴπερ ἐν παντὶ μὲν χρόνῳ κίνησις, ἐν πάσῃ δὲ κινήσει τὸ θᾶττόν ἐστι καὶ βραδύτερον καὶ ἔτι μέντοι
τῷ τὸ θᾶττον κινούμενον ἐν τῷ ἴσῳ χρόνῳ, μεῖζον διάστημα κινεῖσθαι τοῦ βραδύτερον κινουμένου. τού-
των δὲ κειμένων, τρίτον λαμβάνει τὸ καὶ ἐν λόγῳ τινὶ δύνασθαι λαβεῖν τὰς κινήσεις, τήν τε τοῦ θάττο-
νος καὶ τὴν τοῦ βραδυτέρου, ὡς ἐν τῷ αὐτῷ χρόνῳ κινεῖσθαι διπλάσιον τὸ θᾶττον τοῦ βραδυτέρου,
ἢ ἡμιόλιον. ταῦτα οὖν προλαβὼν, δι' ἐκθέσεως δείκνυσι τὸ προκείμενον, ἡμιόλιον ὑποθέμενος τὴν
τοῦ θάττονος κίνησιν πρὸς τὴν τοῦ βραδυτέρου. ὥστε ἐν ᾧ χρόνῳ τὸ βραδύτερον κινεῖταί τι μέγεθος,
ἐν τούτῳ τὸ θᾶττον ἓν καὶ ἥμισυ ἐκείνου κινεῖσθαι. διῃρήσθω οὖν φησι τὰ δύο ταῦτα μεγέθη. ὃ μὲν
κινεῖται θᾶττον τὸ α δ, εἰς τρία μέρη, τὰ α β, β γ. γ δ. ὃ δὲ βραδύτερον τὸ ε, εἰς δύο, τὰ ε ζ.
ζ η. οὕτω γὰρ ἡμιόλιος ὁ λόγος. ὁμοίως δὲ καὶ ὁ χρόνος ἔχων τῷ μεγέθει, ἐφ' οὗ ἡ κίνησις, διαιρεθή-
σεται καὶ αὐτὸς κατὰ τὴν ὑπόθεσιν, ὁ κ ν χρόνος, ἐν ᾧ τὸ θᾶττον κινεῖται τὴν α δ, εἰς τρεῖς χρό-
νους, τοὺς κ λ, λ μ, μ ν. τὸ γὰρ ἴσον ἐν τῷ ἴσῳ χρόνῳ δίεισι τὸ κινούμενον ἰσοταχῶς. ἐπεὶ οὖν τὸ
βραδύτερον κινούμενον, ἐν τῷ αὐτῷ χρόνῳ κινεῖται τὴν ε ζ. ζ η, ἐκ δύο οὐσῶν ἀμερῶν, τὴν ε ζ

ἄρα ἐν τῷ ἡμίσει χρόνῳ κινηθήσεται. διαιρεθήσεται ἄρα δίχα καὶ ὁ χρόνος ὥσπερ τὸ μέγεθος, ἐφ' οὗ τὸ βραδύτερον κινεῖται. εἰ δὲ ὁ ἐκ τριῶν ἀτόμων συγκείμενος δίχα διαιρεθείη, διαιρεθήσεται τὸ αὐτοῦ μέσον ἄτομον. οὐ γὰρ οἷόν τε ἄλλως εἰς ἴσα δύο τὸ ἐκ τριῶν ἴσων διαιρεθῆναι. ἴσαι δὲ αἱ ἄτομοι, καὶ οὐχ ἡ μὲν μείζων, ἡ δὲ ἐλάττων. ὡς εἶναι τὰς δύο τῇ μιᾷ ἴσας. εἰκότως ἄρα ἐπήγαγε, τὸ διαιρεθήσεται ἄρα τὸ ἄτομον. ὅπερ ἀδύνατον. ἀδύνατον ἄρα, καὶ ᾧ τοῦτο ἠκολούθησε, τὸ ἄτομον εἶναι τὸ μέρος τοῦ συνεχοῦς. ἐπάγει δὲ καὶ ἄλλο ἄτοπον ἑπόμενον, ὅτι ἀμερὲς οὐκ ἐν ἀτόμῳ δίεισι. τὸ γὰρ βραδύτερον κινούμενον δίεισι τὸ ἐζ μέγεθος κατὰ ταύτην τὴν μέθοδον, οὐκ ἐν ἀτόμῳ χρόνῳ τῷ κλ̄ ὅπερ ἐχρῆν. ἀλλ' ἐν τῷ ἀμερεῖ ἔλαττον τοῦ ἀμεροῦς κινηθήσεται. τί δ' ἂν εἴη τοῦ ἀμεροῦς ἔλαττον. καὶ μέντοι καὶ οὕτω διαιρεθήσεται τὸ ἀμερές, εἴπερ ἔστι τι αὐτοῦ ἔλαττον, εἴς τε τὸ ἔλαττον, καὶ τὴν ὑπεροχήν. ἐν δὴ τούτοις προθέμενος τὰ μέρη τῶν μεγεθῶν μάλιστα δεῖξαι μὴ ὄντα ἄτομα, διότι τῷ λέγοντι αὐτὰ ἄτομα εἶναι, ἀκολουθεῖ τὸ διαιρεῖσθαι τὰ ἄτομα. ὅπερ ἐστὶν ἀδύνατον. τὰ μὲν δὴ τοῦ χρόνου μέρη εἰ ὑποτίθεται ἄτομα, ἔδειξε διαιρούμενα. τὰ δὲ τοῦ μεγέθους οὐκέτι, καίτοι ἡμιόλια τὰ μεγέθη λαβών, ὅτι ἔλεγεν ἐνηνέχθω οὖν τὸ θᾶττον ἡμιόλιον ἐν τῷ αὐτῷ χρόνῳ. μήποτε οὖν διὰ τὴν τοῦ χρόνου μερῶν ἐνεδείξατο, ὅτι καὶ τὰ τοῦ μεγέθους μέρη διαιρεθήσεται, ἄτομα ὑποτεθέντα. εἰ γὰρ τοῦ κν̄ χρόνου δίχα τμηθέντος κατὰ τὸ ξ, τὸ λμ̄ μόριον ἄτομον ὑποτεθέν, διῃρέθη ἐν τῷ κξ χρόνῳ τῷ ἡμίσει, τὸ ἥμισυ τοῦ αδ μεγέθους διελεύσεται τὸ θᾶττον κινούμενον. καὶ τμηθήσεται τὸ βγ̄ μόριον δίχα, ἄτομον ὑποτεθέν.

ἈΝΑΓΚΗ δὲ καὶ τὸ νῦν τὸ μὴ καθ' ἕτερον, ἀλλὰ καθ' αὑτὸ καὶ πρῶτον λεγόμενον ἀδιαίρετον εἶναι, καὶ ἐν ἅπαντι τοιοῦτον χρόνῳ ἐνυπάρχειν. ἔστι γὰρ ἔσχατόν τι τοῦ γεγονότος. οὗ ἐπὶ τάδε, οὐθὲν ἐστὶ τοῦ μέλλοντος. καὶ πάλιν τοῦ μέλλοντος οὗ ἐπὶ τάδε, οὐθέν ἐστι τοῦ γεγονότος. ὃ δὴ ἔφαμεν ἀμφοῖν εἶναι πέρας. τοῦτο δὲ ἂν δειχθῇ ὅτι τοιοῦτόν ἐστι, καθ' αὑτὸ καὶ ταὐτὸν, ἅμα φανερὸν ἔσται καὶ ὅτι ἀδιαίρετον. ἀνάγκη δὲ τὸ αὐτὸ εἶναι τὸ, νῦν τὸ ἔσχατον ἀμφοτέρων τῶν χρόνων. εἰ γὰρ ἕτερον, ἐφεξῆς μὲν οὐκ ἂν εἴη θάτερον θατέρῳ, διὰ τὸ μὴ εἶναι συνεχὲς ἐξ ἀμερῶν.

Δείξας διαιρετὰ τὰ μέρη τῶν συνεχῶν, τοῦ τε χρόνου καὶ τοῦ μεγέθους, καὶ δηλονότι καὶ τῆς μέσης τούτων κινήσεως, ἐκ τοῦ εἰ μὴ διαιρετὰ εἴη διαιρεῖσθαι τὸ ἄτομον, ὅπερ ἀδύνατον, ἐπειδὴ καὶ τὸ νῦν τοῦ χρόνου τί ἐστιν, εἰκότως ἐφεξῆς τὰ περὶ αὐτοῦ διαρθροῖ. διττοῦ δὲ ὄντος τοῦ νῦν, τοῦ μὲν ὡς ἀρχῆς καὶ πέρατος τοῦ χρόνου, ὃ ἀναλογεῖ τῇ στιγμῇ τῇ ἐν τῇ γραμμῇ, τοῦ δὲ, κατὰ τὸν ἐνεστῶτα χρόνον λεγομένου, ὃς ἀντιδιῄρηται πρὸς τὸν παρεληλυθότα καὶ τὸν μέλλοντα, τὸ μὲν ὡς ἀρχὴν καὶ πέρας, ὃ καὶ ἀδιαίρετόν ἐστι, καθ' αὑτὸ καὶ πρώτως νῦν λέγεσθαί φησι. τὸ δὲ ἕτερον οὐ καθ' αὑτὸ οὐδὲ πρώτως. ἀλλὰ καθ' ὃ συνέχει ἐν ἑαυτῷ τὸ πρώτως καὶ καθ' αὑτό. οὕτω γάρ τοι καὶ ἐν τόπῳ τὸ μέν τι λέγεται καθ' αὑτὸ καὶ πρώτως. ὃ καὶ ἐν τῷ πέρατι τοῦ περιέχοντος ἐστὶ προσεχῶς. τὸ δὲ, οὐχ οὕτως. ὡς ἐν τῷ οἴκῳ εἶναι, διότι τὸ πέρας τοῦ περιέχοντος ἐστὶ προσεχῶς ἐν τῷ οἴκῳ. τὸ οὖν καθ' αὑτὸ καὶ πρώτως λεγόμενον νῦν, ἀδιαίρετόν ἐστι φησὶ καὶ ἓν κατ' ἀριθμὸν τὸ αὐτὸ, τοῦ μὲν παρεληλυθότος πέρας, τοῦ δὲ μέλλοντος ἀρχὴ, καὶ οὐκ ἄλλο καὶ ἄλλο ταῦτα, τοιοῦτο δὲ ὂν, οὐκ ἔστι μέρος χρόνου. εἴπερ ἐν παντὶ ἐνυπάρχει τῷ χρόνῳ τὸ αὐτὸ, ἀρχὴ καὶ τέλος ὄν. ὥσπερ τὸ σημεῖον ἐν πάσῃ γραμμῇ, ὅταν ὡς μία καὶ συνεχὴς λαμβάνηται. πάντῃ γάρ ἐστι διαιρετή. καὶ ἡ διαίρεσις κατὰ τὸ σημεῖον. περὶ δὴ τούτου τοῦ νῦν ἔδειξε μὲν καὶ ἐν τοῖς περὶ χρόνου, ὅτι ἔστιν ἀμερὲς καὶ ἀδιαίρετον, καὶ ἐν παντὶ χρόνῳ ἓν καὶ ταὐτὸν, πέρας μὲν τοῦ γεγονότος, ἀρχὴ δὲ τοῦ μέλλοντος. δείκνυσι δὲ καὶ νῦν τοῦτο, προλαβὼν ὡς ἐναργὲς, ὅτι τὸ νῦν ἔσχατόν ἐστι τοῦ γεγονότος. καὶ πρὸ τοῦ νῦν τούτου, ὃ εἶπεν αὐτὸς, οὗ ἐπὶ τάδε, ὡς ἐπὶ τὸ γεγονὸς, οὐδὲν ἂν εἴη τοῦ μέλλοντος. πρὸ γὰρ τῆς τοῦ γεγονότος τελευτῆς πῶς δύναται εἶναί τι μέλλον. εἴη γὰρ ἂν οὐκέτι μέλλον. ἀλλ' ἔτι γεγονὸς πρὸ τοῦ πέρατος ὑπάρχον τοῦ γεγονότος. πάλιν δὲ πρόδηλον ὅτι ἀρχὴ τοῦ μέλλοντος τὸ νῦν ἐστιν. εἴπερ μετ' αὐτὴν οὐδέν ἐστι τοῦ γεγονότος. πῶς γὰρ ἄν τι παρεληλυθότος εἴη μετὰ τὴν τοῦ μέλλοντος ἀρχήν. ἀλλ' ὁ μὲν ἀριστοτέλης ἐπὶ τάδε ἀμφοῖν εἰπὼν καὶ τοῦ πέρατος καὶ τῆς ἀρχῆς, ἀσαφῆ τὸν λόγον ἐποίησεν. ὁ δὲ εὔδημος οὐδέν φησιν ἐπὶ τάδε τοῦ πέρατος, οὐδὲ ἐπέκεινα τῆς ἀρχῆς. ταῦτα οὖν τό, τε ἔσχατον τοῦ γεγονότος, καὶ τὸ πρῶτον τοῦ μέλλοντος, ὧν οὐδεὶς μεταξὺ χρόνος οὔτε παρεληλυθὼς οὔτε μέλλων, ἐὰν δειχθῇ ταὐτὸν καὶ ἓν κατ' ἀριθμὸν ὄντα, τὰ δοκοῦντα δύο, δεδειγμένον ἔσται, ὅτι ἀδιαίρετόν ἐστι τοῦτο, ὃ ἀρχὴν ἅμα καὶ πέρας τοῦ χρόνου τὸ αὐτὸ λέγομεν. οὕτως οὖν ὁρίσας ἀκριβῶς τὸ νῦν περὶ οὗ ὁ λόγος, δείκνυσιν ὅτι ἓν καὶ ταὐτόν ἐστι τὸ ἔσχατον τοῦ τε παρεληλυθότος καὶ τοῦ μέλλοντος, ἔσχατον καὶ τὴν ἀρχὴν τοῦ μέλλοντος καλέσας. διότι καὶ ἡ ἀρχὴ πέρας τι καὶ μέρος ἐστι. δείκνυσι δὲ τοῦτο, τρία συνάπτων ἀδύνατα ἑπόμενα, τῷ λέγοντι μὴ ἓν καὶ ταὐτὸν εἶναι νῦν τὸ πέρας τοῦ παρεληλυθότος καὶ τὴν ἀρχὴν τοῦ μέλλοντος, ἀλλ' ἕτερον καὶ ἕτερον. ὧν τὸ μὲν πρῶτον ἐκ διαιρέσεως εἴληπται τοιαύτης. εἰ ἔστιν ἕτερον καὶ ἕτερον, ἢ ἐφεξῆς ἐστιν ἀλλήλων, τὸ δὲ ἐφεξῆς νῦν ἀντὶ τοῦ ἔχεσθαι καὶ ἅπτεσθαι λαμβάνει, ἢ κεχωρισμένως ἀλλήλων, καὶ οὐκ ἔστι παρὰ ταῦτα. εἰ οὖν μήτε ἅπτεσθαι

δυνατὸν αὐτά, οὐ μόνον ὅτι τὰ ἁπτόμενα ἄλλο χρὴ ἔχειν πέρας, ᾧ ἅπτεται, καὶ ἄλλο τὸ περατούμενον, ἀλλὰ καὶ ὅπερ αὐτός φησιν ὅτι ἀδύνατον συνεχές τι ἐξ ἀμερῶν εἶναι. ἔστι δὲ ὁ μὲν χρόνος συνεχής. τὰ δὲ πέρατα αὐτοῦ ἀμερῆ. τοῦτο γὰρ ὡς ὁμολογούμενον νῦν εἴληπται, διὰ τὸ τὰ πέρατα ὑποκεῖσθαι. εἰ γὰρ μὴ εἴη ἀμερῆ, οὐκ ἂν εἴη ἔσχατα. ἀλλὰ τούτῳ, ἄλλα τὰ ἔσχατα. δόξει δὲ οὕτω συλλογιζόμενος τὸ ἐν ἀρχῇ λαμβάνειν. προὔκειτο γὰρ δεῖξαι τὸ νῦν ἀδιαίρετον. ἐὰν γάρ φησι δειχθῇ ὅτι ταὐτὸν ἅμα, φανερὸν ἔσται ὅτι καὶ ἀδιαίρετον. ὁ δὲ προσχρῆται τούτῳ ὡς ἐναργεῖ, ἀδύνατον λέγων συνεχές τι εἶναι ἐξ ἀδιαιρέτων. ἢ δυνατὸν λέγειν, ὅτι τὸ προσεχῶς ζητούμενον ἐστίν, εἰ ἄμφω ταῦτα τὰ πέρατα ἅμα ἓν κατ' ἀριθμόν ἐστι. καὶ τοῦτό ἐστι τὸ νῦν. καὶ πρὸς τοῦτο παρείληπται ὡς ἐναργές, τὸ μὴ εἶναι δύο πέρατα ἁπτόμενα ἀλλήλων, καὶ ποιοῦντά τι συνεχές. διὰ τὸ δεῖν μὲν τὰ ἁπτόμενα κατὰ τὰ μέρη ἅπτεσθαι, τὰ δὲ πέρατα ἀμερῆ εἶναι καὶ ἀδιαίρετα ἑκάτερον καθ' αὑτό. ἐπεὶ οὐδὲν κωλύει ἀπ' ἀλλήλων κεχωρισμένα καὶ διῃρημένα εἶναι. ὅπερ ἐπὶ τοῦ πέρατος καὶ τῆς ἀρχῆς ἀδύνατον ὂν δειχθήσεται. ἐδείχθη δὲ καθόλου, ὅτι μὴ οἷόν τε ἐξ ἀμερῶν ἁπτομένων ἀλλήλων γίνεσθαί τι συνεχές. καὶ διὰ μὲν τούτου δέδεικται, ὅτι οὐκ ἔστι δύο τὰ ἔσχατα, ὡς ἁπτόμενα ἀλλήλων. διὰ δὲ τοῦ ἐφεξῆς, ὅτι οὔτε οὕτω δύο ὡς κεχωρισμένα, ἐξ ὧν συνάγεται ὅτι ἓν καὶ τὸ αὐτό. ᾧ ἀκολουθεῖ τὸ καὶ ἀδιαίρετον αὐτὸ εἶναι, οὐχ ὡς ἐπὶ δύο περάτων νῦν λεγόμενον ὥσπερ πρότερον, ἀλλ' ὡς ἐπὶ τοῦ κοινοῦ. καὶ μέντοι τοῦ ἀδιαιρέτου οὐκ ἀπὸ τοῦ συνεχοῦς δεικνυμένου ὡς πρότερον, ἀλλ' ἀπὸ τοῦ ἓν εἶναι. ὥστε οὐ τὸ ἐν ἀρχῇ λαμβάνει ὁ ἀριστοτέλης, ἐνταῦθα μὲν τὰ ὑποτεθέντα δύο πέρατα ἀμερῆ ἀναγκάζων εἶναι, ἐκεῖ δὲ τὸ εὑρεθὲν ἓν καὶ ταὐτὸν ἀδιαίρετον ἀποδεικνύς.

ΕἸ ΔῈ ΧΩΡΊΣ. ἑκάτερον μεταξὺ ἔσται χρόνος. πᾶν γὰρ τὸ συνεχὲς τοιοῦτον. ὥστ' εἶναί τι συνώνυμον, μεταξὺ τῶν περάτων. ἀλλὰ μὴν εἰ ὁ χρόνος τὸ μεταξύ, διαιρετὸν ἔσται. πᾶς γὰρ χρόνος δέδεικται ὅτι διαιρετός. ὥστε διαιρετὸν τὸ νῦν. εἰ δὲ διαιρετὸν τὸ νῦν, ἔσται τι τοῦ γεγονότος ἐν τῷ μέλλοντι, καὶ τοῦ μέλλοντος ἐν τῷ γεγονότι. καθ' ὃ γὰρ ἂν διαιρεθῇ, τοῦτο διοριεῖ τὸν παρήκοντα καὶ τὸν μέλλοντα χρόνον.

Δ δείξας ὅτι ἕτερον καὶ ἕτερον οὐ δύναται εἶναι τὰ ἔσχατα, ὡς ἁπτόμενα ἀλλήλων, δείκνυσιν ἐφεξῆς ὅτι οὐδὲ ὡς κεχωρισμένα καὶ ἀφεστῶτα ἀλλήλων ἔσται ὅλως δύο τὰ ἔσχατα τοῦ χρόνου. εἰ γὰρ εἴη δύο, ἀνάγκη χρόνον εἶναι μεταξύ. ἐν παντὶ γὰρ συνεχεῖ τὸ μεταξὺ τῶν περάτων συνώνυμόν ἐστιν ἐκείνοις, ὧν ἐστι πέρατα. εἰ μὲν γοῦν γραμμῶν τὰ πέρατα ἐν αὐτοῖς εἴη, τὸ μεταξὺ γραμμή. πάντων γὰρ σημείων μεταξὺ γραμμή. αἱ δὲ γραμμαὶ συνώνυμοι ἀλλήλαις. εἰ δὲ τὰ πέρατα εἶεν γραμμαί, τὸ μεταξὺ τῶν γραμμῶν ἐπιφάνεια. αἱ γοῦν γραμμαὶ τῶν ἐπιφανειῶν πέρατα εἰσί. τῶν οὖν ἐν τῇ συνεχείᾳ τῆς ἐπιφανείας λαμβανομένων δύο γραμμῶν κεχωρισμένων, τὸ μεταξὺ ἐπιφάνεια πάντως ἐστί. καὶ τὸ μεταξὺ τῶν ἐν τῷ σώματι δύο ἐπιφανειῶν σῶμα. ἐπὶ δὲ τούτου κἂν κεχωρισμένων σωμάτων ἐπιφανείας λάβωμεν, τὸ μεταξὺ σῶμα ἀνάγκη εἶναι, διὰ τὸ μηδὲν εἶναι κενόν. καὶ ἐπὶ κινήσεως δὲ ὁ αὐτὸς λόγος. μεταξὺ γοῦν τῶν τῆς κινήσεως περάτων, ἃ κινήματα καλοῦσι τῶν ἐν τῇ συνεχείᾳ τῆς κινήσεως ἀνάγκη κίνησιν εἶναι. ὁμοίως δὲ καὶ ἐπὶ τοῦ χρόνου. συνεχὴς γὰρ καὶ οὗτος. καὶ ἔστι πέρατα αὐτοῦ τὰ νῦν. καὶ διὰ τοῦτο ἀνάγκη μεταξὺ τῶν νῦν διεστώτων χρόνον εἶναι. ἔχει γάρ τι καὶ ἐξαίρετον ὁ χρόνος παρὰ τὰ ἄλλα συνεχῆ, τὸ πᾶς εἶναι συνεχής τε καὶ μὴ ἀποσπᾶσθαι ἀπ' αὐτοῦ ὡς γραμμὴ ἀπὸ γραμμῆς, καὶ ἐπιφάνεια ἀπὸ ἐπιφανείας, αἱ ἐν τοῖς διαφόροις σώμασι. πάντων οὖν τῶν τοῦ χρόνου περάτων χρόνος τὸ μεταξύ. πᾶς δὲ χρόνος διαιρετός, διότι ὁ χρόνος συνεχής, πᾶν δὲ συνεχὲς διαιρετόν. ἂν οὖν διαιρεθῇ ὁ μεταξὺ χρόνος οὗτος τοῦ τε πέρατος τοῦ παρεληλυθότος καὶ τῆς ἀρχῆς τοῦ μέλλοντος, ὃ νῦν ἐκάλεσεν ὡς ἐνεστῶτα, διότι τὸ μεταξὺ τοῦ παρεληλυθότος ἐστὶ καὶ τοῦ μέλλοντος, ἐὰν οὖν οὗτος διαιρεθῇ, εἰς παρεληλυθότα καὶ μέλλοντα διαιρεθήσεται. πᾶν γὰρ τὸ ἐνεστὼς οὕτω διαιρεῖται. τούτων δὴ προειλημμένων, ἐπειδὴ ὁ μεταξὺ χρόνος οὗτος, καθόσον μὲν μετὰ τὸ πέρας ἐστὶ τοῦ παρεληλυθότος, μέλλων ἐστί, καθόσον δὲ πρὸ τῆς ἀρχῆς τοῦ μέλλοντος, παρεληλυθώς, ὅταν μὲν ὡς μέλλων ὅλος ὁ μεταξὺ ληφθῇ, τότε ἔσται τι τοῦ παρεληλυθότος, τὸ ἐκ τῆς διαιρέσεως γινόμενον ἐν τῷ μέλλοντι. ὅταν δὲ ὡς παρεληλυθὼς πάλιν ληφθῇ, τὸ μέλλον ἔσται ἐν τῷ παρεληλυθότι τὸ ἐκ τῆς διαιρέσεως. δυνατὸν δὲ καὶ ἐπὶ ἑκατέρου μέρους τῆς διαιρέσεως συνάγειν τὸ ἄτοπον, ὡς ἀσπάσιος συνήγαγεν. ἐπεὶ γοῦν ἡ τοῦ μεταξὺ διαίρεσις, τὸ μέν, παρεληλυθὸς ποιεῖ, τὸ δέ, μέλλον, ἐὰν ἑκάτερον τῶν τμημάτων τοῦ ἐνεστῶτος διαιρεθῇ, εἰς παρεληλυθὸς πάλιν καὶ μέλλον διαιρεθήσεται. καὶ ἔσται καὶ ἐν τῷ παρεληλυθότι τοῦ μέλλοντός τι, καὶ ἐν τῷ μέλλοντι τοῦ παρεληλυθότος.

ἍΜΑ ΔῈ καὶ οὐκ ἂν καθ' αὑτὸ εἴη τὸ νῦν. ἀλλὰ καθ' ἕτερον. ἡ γὰρ διαίρεσις, οὐ τοῦ καθ' αὑτό.

Δ δεύτερον ἐπιχείρημα τοῦτο, ἐνστάσεώς οἶμαι τινὸς λυτικόν, τῆς λεγούσης ὅτι οὐδὲν ἄτοπον μεταξὺ τοῦ παρεληλυθότος καὶ τοῦ μέλλοντος, εἶναι τὸ νῦν τὸ ὡς ἐνεστώς. καὶ λέγει ὅτι τὸ μεταξὺ τοῦτο οὐκ ἔστι τὸ καθ' αὑτὸ νῦν. ἀμερὲς γὰρ τὸ καθ' αὑτό. τοῦτο δὲ διαιρετόν, διότι χρόνος ἐστί. κἂν λέγηται οὖν νῦν,

οὐχ ὡς καθ' αὑτὸ ὑπάρχοντος αὐτῷ τοῦ ὀνόματος λέγεται, ἀλλ' ὡς καθ' ἕτερον. ὅτι ἐστὶν ἐν αὐτῷ τὸ καθ' αὑτό. ὅτι δὲ οὐ καθ' αὑτὸ τοῦτο νῦν ἐστιν, οἷον χρὴ εἶναι τὸ κυρίως μεταξὺ τοῦ παρεληλυθότος καὶ τοῦ μέλλοντος, δῆλον ἐκ τοῦ διαιρεῖσθαι. ἡ γὰρ διαίρεσις οὐ τοῦ καθ' αὑτὸ νῦν ἐστιν. ἀλλὰ τοῦ ἐν πλάτει καὶ καθ' ἕτερον λεγομένου. ἔστι δὲ καὶ ἄλλη γραφὴ τοιαύτη. ἡ γὰρ διαίρεσις καθ' αὑτό. καὶ λέγοι ἂν ὅτι τὸ μεταξὺ τοῦτο καθ' ἕτερόν ἐστι νῦν. ἡ γὰρ διαίρεσίς ἐστι τὸ καθ' αὑτὸ νῦν, ἀλλ' οὐ τὸ διαιρούμενον.

ΠΡΟΣ ΔΕ τούτοις. τοῦ νῦν. τὸ μέν τοι γεγονὸς ἔσται. τὸ δὲ, μέλλον. καὶ οὐκ ἀεὶ τὸ αὐτὸ γεγονὸς, ἢ μέλλον. οὐδὲ δὴ τὸ νῦν τὸ αὐτό. πολλαχῇ γὰρ διαιρετὸς ὁ χρόνος. ὥστ' εἰ ταῦτα ἀδύνατον ὑπάρχειν τῷ νῦν, ἀνάγκη τὸ αὐτὸ εἶναι τὸ ἐν ἑκατέρῳ νῦν.

Δείξας πρότερον ὅτι ἕπεται τοῖς λέγουσι, μήτε ἓν καὶ ἓν εἶναι τῷ ἀριθμῷ τὸ πέρας τοῦ παρεληλυθότος καὶ τὴν ἀρχὴν τοῦ μέλλοντος, ἀλλ' ἔχειν μεταξὺ χρόνον, τὸ ἔσεσθαί τι τοῦ μέλλοντος χρόνου ἐν τῷ παρεληλυθότι, καὶ τοῦ παρεληλυθότος ἐν τῷ μέλλοντι, νῦν δείκνυσιν ὅτι αὐτοῦ τούτου τοῦ νῦν, ὃ μεταξὺ τοῦ παρεληλυθότος ὑπόκειται καὶ τοῦ μέλλοντος, ἔσται τὸ μὲν, παρεληλυθὸς τὸ δὲ μέλλον. ὁ γὰρ μεταξὺ τῶν περάτων χρόνος ὃς δοκεῖ νῦν εἶναι, ἐπεὶ μήτε παρεληλυθώς ἐστι μήτε μέλλων, οὗτος ἂν διαιρεθῇ, δηλονότι καὶ τὰ μέρη αὐτοῦ νῦν ἔσται. ὁ γὰρ ὅλος νῦν ἦν. ἀλλ' ἡ διαίρεσις πᾶσα χρόνου, τὸ μὲν, παρεληλυθὸς ποιεῖ, τὸ δὲ μέλλον, διορίζουσα ἑκάτερον. ὥστε τοῦ νῦν τι μέρος καὶ αὐτὸ νῦν ὂν, τὸ μέν τι παρεληλυθὸς ἔσται, τὸ δὲ μέλλον. ἄτοπον δὲ τοῦ νῦν τοῦ ἐνεστῶτος τὸ μὲν παρεληλυθέναι λέγειν, τὸ δὲ μέλλειν. ἕπεται μέν τοι τῷ ἐν πλάτει τὸ νῦν ὁρίζοντι, τὸ μέν τι αὐτοῦ παρεληλυθὸς εἶναι, τὸ δὲ μέλλον. ὅπου γε τὸ κυρίως νῦν ἀμερὲς ὂν διορίζει τὸ παρεληλυθὸς καὶ τὸ μέλλον. ἐὰν δὲ πάλιν τὸ μεταξὺ τοῦτο κατ' ἄλλο τμηθῇ, καὶ μὴ καθ' ὃ πρόσθεν ἐτμήθη, ἀλλ' ἢ πλησίον τῆς ἀρχῆς τοῦ μέλλοντος, ἢ πλησίον τοῦ πέρατος τοῦ παρεληλυθότος, εἰ μὲν τῆς ἀρχῆς τοῦ μέλλοντος, ἔσται τότε ὡς ἐν τῷ παρεληλυθότι μέρος ὂν αὐτοῦ. εἰ δὲ τοῦ πέρατος τοῦ παρεληλυθότος, ἔσται ὡς ἐν τῷ μέλλοντι. καὶ οὕτω πάλιν τοῦ νῦν τὸ αὐτὸ μέρος, γεγονὸς ἢ μέλλον ἔσται. καὶ μεταπίπτοι ἂν τὸ αὐτὸ, ἑκάστης διαιρέσεως τὸ μέν τι γεγονὸς τὸ δὲ μέλλον ποιούσης τοῦ διαιρουμένου. δείξας δὲ ὅτι οὐκ ἀεὶ τὸ αὐτὸ γεγονὸς καὶ μέλλον ἔσται, ἐπάγει ὅτι οὐδὲ νῦν τὸ αὐτὸ ἔσται ἀεί. αἴτιον δὲ ὅτι μεταξὺ οὗτος ὁ χρόνος ὢν, διαιρετός ἐστιν εἰς ἀεὶ διαιρετά. καὶ πᾶσαι αἱ ἐν αὐτῷ τομαὶ εἰς τὰ νῦν ἔσονται τὰ ἐνεστῶτα. ἐπειδὴ καὶ ὅλος οὗτος ὁ χρόνος ἐν ᾧ αἱ τομαὶ, νῦν ἐστι. καὶ αἱ διαιρέσεις νῦν ἄλλοτε ἄλλαι γινόμεναι. συμβήσεται οὖν εἰ ὁ μεταξὺ χρόνος νῦν ἐστι, τὰ ἐν τῷ αὐτῷ νῦν γινόμενα μὴ εἶναι ἰσοχρόνια, διὰ τὰ πολλὰ τὰ ἐν τῷ πλάτει νῦν. εἰ οὖν μήτε οὕτω δύο τὰ ἔσχατα ὡς ἅπτεσθαι ἀλλήλων, μήτε οὕτω δύο ὡς κεχωρίσθαι, ἀνάγκη ἓν καὶ ταὐτὸν εἶναι νῦν τό, τε πέρας τοῦ παρεληλυθότος καὶ τὴν ἀρχὴν τοῦ μέλλοντος.

ἈΛΛᾺ ΜῊΝ εἰ ταὐτὸν φανερὸν ὅτι καὶ ἀδιαίρετον. εἰ γὰρ διαιρετὸν, πάλιν τὰ αὐτὰ συμβήσεται ἃ καὶ ἐν τῷ προτέρῳ. ὅτι μὲν τοίνυν ἐστί τι ἐν τῷ χρόνῳ ἀδιαίρετον ὅ φαμεν εἶναι τὸ νῦν, δῆλον ἐκ τῶν εἰρημένων.

Τῷ ἓν καὶ ταὐτὸν εἶναι τὸ πέρας τοῦ παρεληλυθότος καὶ τὴν ἀρχὴν τοῦ μέλλοντος ἀποδεδειγμένῳ, ἀκολουθεῖ φησὶ καὶ ἀδιαίρετον εἶναι αὐτό. εἰ γὰρ εἴη διαιρετὸν, ἕποιτο ἂν πάλιν τῇ διαιρέσει αὐτοῦ τὰ προειρημένα ἄτοπα. ἔσται γὰρ τοῦ νῦν τὸ μὲν, παρεληλυθὸς, τὸ δὲ, μέλλον. καὶ οὐ τὸ αὐτὸ ἀεὶ παρεληλυθὸς, οὐδὲ τὸ αὐτὸ ἀεὶ μέλλον. ἀλλ' οὐδὲ τὸ νῦν ἀεὶ τὸ αὐτό. ὅτι δὲ ἀδιαίρετον, δῆλον καὶ ἐκ τοῦ πέρας μὲν εἶναι τοῦ παρεληλυθότος, καὶ τοῦ μέλλοντος ἀρχὴν, ἀδιαίρετα δὲ εἶναι καὶ τὸ πέρας καὶ τὴν ἀρχήν. ἀλλὰ τοῦτο μὲν ὡς ὁμολογούμενον ἐλάμβανεν, ὅτε ἔλεγε μὴ εἶναι τὸ συνεχὲς ἐξ ἀμερῶν. νῦν δὲ ἔδειξεν, οὐχ ὅτι ἑκάτερον ἀδιαίρετον τό, τε πέρας καὶ ἡ ἀρχή. ἀλλ' ὅτι ἄμφω ἓν καὶ ταὐτόν ἐστι. καὶ οὕτως ἓν ὡς ἀδιαίρετον. ἓν γάρ τι καὶ ἡ ἡμέρα. ἀλλ' οὐχ ὡς ἀδιαίρετον. τὰ δὲ νῦν ταῦτα ἄμφω ἓν καὶ ταὐτὸν εὑρέθη κατὰ τὸ ὑποκείμενον, καὶ οὕτως ἓν ὡς ἀδιαίρετα.

ὍΤΙ Δ' ΟΥ̓ΔῈΝ ἐν τῷ νῦν κινεῖται, ἐκ τῶνδε φανερόν. εἰ γάρ ἐστιν. ἐνδέχεται καὶ θᾶττον κινεῖσθαι ἐν αὐτῷ καὶ βραδύτερον. ἔστω δὴ τὸ νῦν, ἐφ' ᾧ ν. κεκινήσθω δ' ἐν αὐτῷ τὸ θᾶττον, τὴν αβ. οὐκοῦν τὸ βραδύτερον ἐν τῷ αὐτῷ, ἐλάττω τῆς αβ κινηθήσεται. οἷον, τὴν αγ. ἐπεὶ δὲ τὸ βραδύτερον ἐν ὅλῳ τῷ νῦν κεκίνηται τὴν αγ, τὸ θᾶττον ἐν ἐλάττονι τούτου κινηθήσεται. ὥστε διαιρεθήσεται τὸ νῦν. ἀλλ' ἦν ἀδιαίρετον. οὐκ ἄρα ἐστὶ κινεῖσθαι ἐν τῷ νῦν. ἀλλὰ μὴν, οὐδ' ἠρεμεῖν. ἠρεμεῖν γὰρ ἐλέγομεν, τὸ πεφυκὸς κινεῖσθαι μὴ κινούμενον ὅτε πέφυκε, καὶ οὗ. καὶ ὥς. ὥστ' ἐπεὶ ἐν τῷ νῦν οὐδὲν πέφυκε κινεῖσθαι, δῆλον ὅτι οὐδ' ἠρεμεῖν.

Δείξας ὅτι ἓν καὶ ταὐτόν ἐστι καὶ ἀδιαίρετον, τὸ ὡς ἀρχὴ ἅμα καὶ πέρας λαμβανόμενον, ἔτι παραδοξότερον ἐπάγει. τὸ μηδὲν ἐν αὐτῷ μήτε κινεῖσθαι μήτε ἠρεμεῖν. καὶ δείκνυσιν αὐτὸ διὰ πλειόνων ἐπιχειρημάτων. ὧν τὸ πρῶτον τοιοῦτόν ἐστιν. εἰ κινεῖταί τι ἐν τῷ νῦν, διαιρετὸν ἔσται τὸ νῦν. ἀλλὰ μὴν τοῦτο ἀδύνατον. δέδεικται γὰρ ἀδιαίρετον. οὐκ ἄρα κινεῖταί τι ἐν τῷ νῦν. καὶ ἡ μὲν πρόσληψις φανερὰ, ὅτι ἀδύνατον διαιρετὸν εἶναι τὸ νῦν. τὸ δὲ συνημμένον δείκνυσι, προλαβὼν ἤδη ὁμολογη-

μένον, ὅτι ἐν ᾧ δυνατόν τι κινεῖσθαι βραδύτερον, ἐν τούτῳ δυνατὸν καὶ θᾶττον κινεῖσθαι. δι' ὧν δεί-
κνυσιν ἐκθετικῶς, ὅτι ἐὰν κινῆταί τι ἐν τῷ νῦν, διαιρεῖσθαι ἀνάγκη τὸ νῦν. ἔστω γὰρ τὸ νῦν, ἐν ᾧ
κινεῖσθαί τι λέγεται τὸ γ. καὶ τὸ θᾶττον κινούμενον ἐν τῷ γ κινείσθω τὴν αβ. οὐκοῦν τὸ βρα-
δύτερον ἐν τῷ αὐτῷ γ ἔλαττον τῆς αβ κινηθήσεται, οἷον τὴν αγ. ἐπεὶ τοίνυν τὸ βραδύτερον
ἐν τῷ γ τὴν αγ κεκίνηται, τὸ θᾶττον ἐν ἐλάττονι τοῦ γ τὴν αγ κινηθήσεται. διαιρεθήσεται
ἄρα τὸ γ, ἐδείχθη δὲ ἀδιαίρετον. ἐφεξῆς δὲ δείκνυσιν ὅτι οὐδ' ἠρεμεῖ τι ἐν τῷ νῦν συντόμως, τῷ
αὐτῷ τρόπῳ χρώμενος τῆς ἀποδείξεως. εἰ γὰρ μὴ κινεῖταί τι ἐν τῷ νῦν, οὐδὲ ἠρεμεῖ. ἀλλὰ μὴν ὡς
δέδεικται οὐ κινεῖταί τι ἐν τῷ νῦν, οὐδὲ ἠρεμεῖ ἄρα. καὶ πάλιν ἡ μὲν πρόσληψις σαφὴς ὡς προσε-
χῶς δεδειγμένη. τὸ δὲ συνημμένον ἀπομιμνήσκει ἐκ τοῦ ὁρισμοῦ τοῦ ἠρεμεῖν. ἠρεμεῖν γὰρ λέγομεν
οὐ πᾶν τὸ ἀκίνητον. ἀλλὰ τὸ πεφυκὸς μὲν κινεῖσθαι, μὴ κινούμενον δὲ ὅτε πέφυκε κινεῖσθαι. διὸ τὸ
ἀρτιγενὲς σκυλάκιον οὐ λέγομεν ἠρεμεῖν κατὰ τὴν ὅρασιν, ὅτι οὐδὲ πέφυκεν τότε κινεῖσθαι κατ'
αὐτήν. καὶ οὐ πέφυκεν. οὐ γὰρ ἠρεμεῖ τὰ δένδρα μὴ κινούμενα ἐν τῇ γῇ. καὶ ὡς πέφυκεν. οὐδ' ἠρεμεῖ
τὰ νηκτὰ μὴ βαδίζοντα. οὕτω γὰρ ὡρίσατο τὸ ἠρεμεῖν. εἰ οὖν ἐν τῷ νῦν οὐδὲν πέφυκε κινεῖσθαι, δη-
λονότι οὐδ' ἠρεμεῖν.

ἜΤΙ ΔΕῚ τὸ αὐτὸ μέν ἐστι τὸ νῦν ἐν ἀμφοῖν τοῖν χρόνοιν, ἐνδέχεται δέ, τὸν μὲν, κινεῖσθαι, τὸν δ' ἠρε-
μεῖν ὅλον, τὸ δ' ὅλον κινούμενον τὸν χρόνον ἐν ὁτῳοῦν κινηθήσεται τῶν τούτου, καθὸ πέφυκε κινεῖ-
σθαι, καὶ τὸ ἠρεμοῦν ὡσαύτως ἠρεμήσει, συμβήσεται τὸ αὐτὸ ἅμα ἠρεμεῖν καὶ κινεῖσθαι. τὸ γὰρ αὐτὸ
ἔσχατον τῶν χρόνων ἀμφοτέρων, τὸ νῦν.

Δεύτερον ἐπιχείρημα δεικνύον, ὅτι ἐν τῷ κυρίως νῦν οὔτε κινεῖσθαί τι δυνατὸν οὔτε ἠρεμεῖν. δείκνυσι
δὲ καὶ τοῦτο κατὰ τὸν δεύτερον τῶν ὑποθετικῶν τρόπον, εἰς ἀδύνατον ἀπάγων τὸ τὸ αὐτὸ ἅμα κι-
νεῖσθαι καὶ ἠρεμεῖν. λαβὼν γὰρ τὸ προδεδειγμένον, ὅτι τὸ νῦν ἓν καὶ ταυτὸν τῷ ἀριθμῷ ὄν, πέρας
μέν ἐστι τοῦ παρεληλυθότος ἀρχὴ δὲ τοῦ μέλλοντος λέγει ὅτι ἐὰν ληφθῇ τι τὸν παρεληλυθότα χρόνον
ὅλον κινούμενον, καὶ ἐν ὁτῳοῦν αὐτοῦ κινούμενον ἔσται τῶν καθ' ἃ πέφυκε κινεῖσθαι. εἰ οὖν καὶ ἐν τῷ πέρατι
αὐτοῦ τῷ νῦν πέφυκε κινεῖσθαι ὡς ὑποτίθεται ὁ λόγος, δηλονότι καὶ ἐν αὐτῷ κινηθήσεται. ἐὰν δὴ
ληφθῇ τὸ αὐτὸ τὸν μέλλοντα χρόνον ὅλον ἠρεμοῦν, δυνατὸν γὰρ οὕτως ὑποθέσθαι, καὶ ἐν ὁτῳοῦν ἠρεμή-
σει τῶν αὐτοῦ, ἐν ᾧ πέφυκεν ἠρεμεῖν. εἰ οὖν πέφυκεν ἐν τῷ νῦν τῷ κατὰ τὴν ἀρχὴν τοῦ μέλλοντος ἠρεμεῖν,
ἠρεμήσει καὶ ἐν αὐτῷ τὸ ἐν ὅλῳ τῷ μέλλοντι ἠρεμοῦν. ἐν τῷ αὐτῷ ἄρα νῦν, ὃ πέρας μέν ἐστι τοῦ πα-
ρεληλυθότος, ἀρχὴ δὲ τοῦ μέλλοντος, κινηθήσεταί τι ἅμα καὶ ἠρεμήσει κατὰ ταυτόν. ἀδιαίρετον γὰρ
τὸ νῦν. διὸ οὐκ ἐν τῷδε μὲν αὐτοῦ κινηθήσεται, ἐν τῷδε δὲ ἠρεμήσει. τὸ δὲ καθ' ὃ πέφυκε κινεῖσθαι
προσέθηκε, διότι ἐν μὲν τοῖς μορίοις τοῦ χρόνου πέφυκε τὰ κινούμενα κινεῖσθαι, ἐν δὲ τοῖς πέρα-
σιν οὐ πέφυκεν. εἰ μέντοι τις ὑπόθοιτο καὶ ἐν τούτοις κινεῖσθαι, τὸ δεδειγμένον ἄτοπον ἀκολουθήσει.

ἜΤΙ Δ' ἨΡΕΜΕΙ͂Ν μὲν λέγομεν τὸ ὁμοίως ἔχον καὶ αὐτὸ καὶ τὰ μέρη νῦν καὶ πρότερον. ἐν δὲ τῷ
νῦν, οὐκ ἔστι τὸ πρότερον. ὥστε οὐδ' ἠρεμεῖν. ἀνάγκη ἄρα καὶ κινεῖσθαι τὸ κινούμενον ἐν χρόνῳ, καὶ
ἠρεμεῖν τὸ ἠρεμοῦν.

Τρίτον συνάγει ὅτι ἐν τῷ νῦν οὐκ ἔστιν ἠρεμεῖν. ὁ δὲ συλλογισμὸς εἴη ἂν ἐν δευτέρῳ σχήματι κατηγορι-
κὸς τοιοῦτος. ἠρεμεῖν ἐστι τὸ ὁμοίως ἔχειν αὐτὸ καὶ τὰ μέρη αὐτοῦ καὶ νῦν καὶ πρότερον. ἐν τῷ νῦν
ἀδιαιρέτῳ ὄντι οὐκ ἔστι τὸ νῦν καὶ πρότερον. ἐν τῷ νῦν ἄρα τὸ ἠρεμεῖν οὐκ ἔστιν. ἀποδείξας δὲ οὕτως
ἐναργῶς τὸ προτεθέν, εἰκότως ἐπήγαγεν ὅτι ἀνάγκη τὸ κινούμενον κινεῖσθαι ἐν χρόνῳ, καὶ ἠρεμεῖν τὸ
ἠρεμοῦν. εἴπερ ἐν τῷ νῦν οὔτε κινεῖσθαι δυνατὸν οὔτε ἠρεμεῖν.

ΤῸ ΔῈ μεταβάλλον ἅπαν ἀνάγκη διαιρετὸν εἶναι. ἐπεὶ γὰρ ἔκ τινος εἴς τι πᾶσα μεταβολή, καὶ
ὅταν μὲν ᾖ ἐν τούτῳ εἰς ὃ μετέβαλλεν, οὐκέτι μεταβάλλει. ὅταν δὲ ἐξ οὗ μετέβαλλε καὶ αὐτὸ καὶ
τὰ μέρη οὐ μεταβάλλει. ἀνάγκη οὖν τὸ μέν τι ἐν τούτῳ εἶναι, τὸ δὲ, ἐν θατέρῳ, τοῦ μεταβάλλοντος.
οὔτε γὰρ ἐν ἀμφοτέροις, οὔτ' ἐν μηδετέρῳ δυνατόν. λέγω δὲ εἰς ὃ μεταβάλλει τὸ πρῶτον κατὰ τὴν
μεταβολήν. οἷον, ἐκ τοῦ λευκοῦ τὸ φαιόν. οὐ τὸ μέλαν. οὐ γὰρ ἀνάγκη τὸ μεταβάλλον ἐν ὁποτερῳοῦν
εἶναι τῶν ἄκρων. φανερὸν ὅτι πᾶν τὸ μεταβάλλον, ἔσται διαιρετόν.

Δείξας πρότερον ὅτι καὶ τὸ μέγεθος ἐφ' οὗ ἡ κίνησις διαιρετόν ἐστιν εἰς ἀεὶ διαιρετά, καὶ ἡ κίνησις αὐτὴ
καὶ ὁ χρόνος, νῦν δείκνυσιν ὅτι καὶ τὸ κινούμενον αὐτὸ ἀδύνατον ἀμεγέθες εἶναι καὶ ἀδιαίρετον. καὶ
τοῖς προσεχῶς δὲ εἰρημένοις ἀκολούθως ἕπεται τὰ νῦν λεγόμενα. δείξας γὰρ ὅτι ἐν τῷ ἀμερεῖ
τοῦ χρόνου τῷ νῦν οὐδὲν οὔτε κινεῖται οὔτε ἠρεμεῖ, ἐν χρόνῳ δὲ τῷ διαιρετῷ καὶ τὰ κινούμενα κινεῖται,
καὶ τὰ ἠρεμοῦντα ἠρεμεῖ, νῦν δείκνυσιν ὅτι οὐ μόνον ὁ χρόνος ἐν ᾧ ἡ κίνησις διαιρετός ἐστιν. ἀλλὰ καὶ
τὸ κινούμενον αὐτό. καὶ ἡ κίνησις. καὶ τὸ κινεῖσθαι καὶ τὸ μέγεθος. ἐφ' οὗ ἡ κίνησις, ὁμοίως ἔχει πάντα.
διότι ἑνὸς διαιρουμένου καὶ τἄλλα διαιρεθήσεται. νῦν δὲ τέως ὅτι τὸ κινούμενον διαιρετὸν δείκνυσι,
προλαβὼν ὡς ὁμολογούμενον, ὅτι πᾶσα μεταβολὴ ἔκ τινος εἴς τι ἐστί. καὶ ὡς αὐτῇ διαιρέσεως τοιαύ-
της τὸν λόγον ποιούμενος, λέγει. ἐπειδὴ τὸ μεταβάλλον ἔκ τινος εἴς τι μεταβάλλει, ἀνάγκη αὐτὸ

ἐν τῷ μεταβάλλειν,

ἐν τῷ μεταβάλλειν, ἢ ἐν ἐκείνῳ ἔτι εἶναι ἐξ οὗ μεταβάλλει καὶ αὐτὸ καὶ τὰ μέρη αὐτοῦ, ἢ εἰς ὃ μεταβάλλει, ἢ ἐν ἀμφοτέροις, ἢ ἐν οὐδετέρῳ αὐτὸ πάλιν καὶ τὰ μέρη αὐτοῦ. ἢ πάλιν τὸ μέν τι αὐτοῦ ἐν ἐκείνῳ ἐξ οὗ μεταβάλλει, τὸ δὲ ἐν ἐκείνῳ εἰς ὃ μεταβάλλει. καὶ παρὰ ταῦτα οὐ δοκεῖ τι ἄλλο τμῆμα εἶναι τῆς διαιρέσεως. ἐὰν οὖν δειχθῇ ὅτι οὐδὲν τῶν ἄλλων τμημάτων ὑγιές ἐστι, καὶ λειφθῇ τὸ λέγον τὸ μέν τι αὐτοῦ εἶναι ἐν ᾧ ἐξ οὗ μεταβάλλει, τὸ δὲ ἐν τῷδε εἰς ὃ μεταβάλλει, διαιρετὸν δηλονότι φανήσεται τὸ μεταβάλλον. ἀλλ' ὅτι μὲν ὅταν ᾖ ἐν τούτῳ ἐξ οὗ μεταβάλλει, οὐ μεταβάλλει, δῆλον. ἠρεμεῖ γὰρ τότε καὶ οὔπω μεταβάλλει. ἀλλ' οὐδὲ ὅταν ἐν ἐκείνῳ εἰς ὃ μεταβάλλει. μεταβεβληκὸς γὰρ ἔσται τότε καὶ οὐ μεταβάλλον. ἀλλ' οὐδ' ἐν ἀμφοτέροις ὅλον εἶναι δυνατὸν αὐτὸ, τῷ τε ἐξ οὗ μεταβάλλει, καὶ τῷ εἰς ὃ μεταβάλλει. αὐτὸ γὰρ ἑαυτοῦ χωρὶς ἔσται. καὶ ἅμα μεταβεβληκὸς ἔσται χωρὶς τοῦ μεταβάλλειν. ἀλλ' οὐδὲ οὕτως ἕξει, ὡς ἐν μηδετέρῳ εἶναι μήτε αὐτὸ μήτε τὰ μέρη αὐτοῦ. ἐν μηδετέρῳ δὲ οὕτω λέγεται, ὡς μηδὲ ἐν τῷ μεταξύ. ὡς ἔσται δῆλον. καὶ ἔστι πάντων τοῦτο τὸ ἀδυνατώτατον. λείπεται ἄρα τοῦ μεταβάλλοντος τὸ μέν τι εἶναι ἐν ἐκείνῳ ἐξ οὗ μεταβάλλει, τὸ δὲ ἐν ἐκείνῳ εἰς ὃ μεταβάλλει. εἰ δὲ τοῦτο, διαιρετὸν ἔσται. οὐχ ὅτι ὅταν ἀπὸ τοῦ λευκοῦ εἰς μέλαν μεταβάλλῃ, τὸ μὲν ἐν τῷ λευκῷ ἔσται, τὸ δὲ ἐν τῷ μέλανι. ἀνάγκη γὰρ ἐν τῷ φαιῷ πρῶτον γενέσθαι. διὸ προσέθηκε τὸ λέγω δὲ εἰς ὃ μεταβάλλει, τὸ πρῶτον κατὰ τὴν μεταβολήν. οἷον ἐκ τοῦ λευκοῦ τὸ φαιὸν οὐ τὸ μέλαν. διὸ οὐκ ἀνάγκη τὸ μεταβάλλον ἢ ἐν τῷ ἐξ οὗ εἶναι, ἢ ἐν τῷ εἰς ὅ. ἀλλ' ἐν τῷ πρώτῳ κατὰ τὴν μεταβολήν. πρῶτον δὲ τοῦ εἰς ὃ ὡς εἰς τέλος τὸ μεταξὺ, καὶ τοῦ μέλανος τὸ φαιόν. διὰ γὰρ τούτου ἐπὶ τὸ μέλαν ὁδεύει ἀπὸ τοῦ λευκοῦ. ὥστε ὅταν λέγῃ οὐχ οἷόν τε εἶναι ἐν τῷ εἰς ὃ μεταβάλλει, οὐκ εἰς ὃ πρῶτον μεταβάλλει ἀκουστέον. ἀλλ' ἐφ' ὃ σπεύδει ὡς ἐπὶ τέλος. ὁμοίως δὲ καὶ ὅταν λέγῃ οὔτε ἐν τῷ μηδετέρῳ, οὐχ ὡς ἐν τῷ μεταξὺ δυναμένου εἶναι λέγει. ἀλλ' ὡς εἰ ἔλεγεν οὔτε ἐν τῷ λευκῷ οὔτε ἐν τῷ μέλανι οὔτε ἔν τινι τῶν μεταξύ. φανερὸν οὖν φησιν ὅτι πᾶν τὸ μεταβάλλον ἔσται διαιρετόν. τῶν δὲ μερῶν οὐδὲν καθ' αὑτὸ μεταβάλλει. ἀλλ' ὅσα τούτων μεταβάλλει, κατὰ συμβεβηκὸς μεταβάλλει. τοῦ γὰρ σώματος κινουμένου, κινεῖται καὶ τὰ ἐν αὐτῷ. οἷον ἐπίπεδον γραμμὴ, στιγμή. ἐκ δὲ τούτου τοῦ ἐπιχειρήματος δυνατόν ἐστι λύειν τὸν τὴν κίνησιν ἀναιροῦντα λόγον, ἐκ τοῦ δεῖν τὸ κινούμενον, ἢ ἐν ᾧ ἐξ οὗ ἡ κίνησις εἶναι, ἢ ἐν ᾧ εἰς ὃ ἡ κίνησις, μηδέτερον δὲ δυνατὸν εἶναι. ἔν τε γὰρ ᾧ ἐξ οὗ ὂν, οὔπω κινεῖται. καὶ ἐν ᾧ εἰς ὃ ὂν, οὐκέτι κινεῖται ἀλλ' ἠρεμεῖ. ἐλέχθη γὰρ ὅτι ἐν οὐδετέρῳ ὅλον. ἀλλὰ τὸ μέν τι αὐτοῦ ἐν τούτῳ, τὸ δὲ ἐν ἐκείνῳ. ἐν δὲ τούτοις ὁ ἀλέξανδρος εἰς τὴν οἰκείαν περὶ ψυχῆς ὑπόθεσιν πάντα ἕλκων, τὴν λέγουσαν ἀχώριστον εἶναι τοῦ σώματος τὴν ψυχὴν, καὶ ἐκ τῶν νῦν λεγομένων φησὶν δῆλον εἶναι τοῦτο. ἐπείπερ ἡ ψυχὴ ἀσώματός τε καὶ ἀμερὴς, τὸ δὲ ἀμερὲς οὐ κινεῖται, εἰ ἀνάγκη τοῦ κινουμένου τὸ μέν τι ἐξ οὗ κινεῖται εἶναι, τὸ δὲ εἰς ὃ κινεῖται, τὸ δὲ μὴ κινούμενον οὐ χωρίζεται. τοῦτο δὲ τὸ ἄτοπόν φησι φεύγοντες τινὲς, ὄχημα αὐτῇ σῶμά τι περιάπτουσι. καὶ λανθάνουσιν αὐτοὶ διὰ τούτου, ἢ σῶμα διὰ σώματος χωρεῖν λέγοντες. εἴγε ἡ ψυχὴ εἰς πᾶν ἐγκρίνεται τὸ σῶμα ὅταν μετὰ σώματος ᾖ. ἢ καὶ τούτου χωρίζοντες αὐτὴν, καὶ κινοῦντες καθ' αὑτὴν ἐν τῇ εἰς τὰ σώματα εἰσκρίσει. ῥητέον δὲ οἶμαι πρὸς μὲν τὸ κινεῖσθαι τὴν ψυχὴν ἀμερῆ οὖσαν, ὅτι σωματικὴν μὲν οὐ κινεῖται κίνησιν. κινεῖται μέντοι βουλευομένη καὶ διανοουμένη, καὶ κρίνουσα, καὶ θεωροῦσα, τὰς ψυχῇ προσηκούσας κινήσεις. καὶ δύναιτο μὲν ἂν οἶμαι ὁ ἀποδοθεὶς τῆς κινήσεως ὁρισμὸς καὶ ταῖς ψυχικαῖς κινήσεσιν ἐφαρμόττειν, ἢ πάσαις, ἢ ταῖς γε πλείσταις, ἐχούσαις τι δυνάμει ἐν τῷ κινεῖσθαι. εἰ δὲ καὶ μὴ ἐφαρμόττει ἀλλὰ κεχώρισται, κατ' ἄλλο τι κινήσεως εἶδος αὐτὰς ἀφοριστέον. ταῦτα δὲ καὶ τῷ κορυφαίῳ ἀρέσκει τῶν ἀριστοτέλους ἑταίρων θεοφράστῳ, ἐν τῷ πρώτῳ τῶν περὶ κινήσεως αὐτοῦ λέγοντι, ὅτι αἱ μὲν ὀρέξεις καὶ αἱ ἐπιθυμίαι καὶ ὀργαὶ, σωματικαὶ κινήσεις εἰσὶ, καὶ ἀπὸ τούτου ἀρχὴν ἔχουσιν. ὅσαι δὲ κρίσεις καὶ θεωρίαι, ταύτας οὐκ ἔστιν εἰς ἕτερον ἀναγαγεῖν. ἀλλ' ἐν αὐτῇ τῇ ψυχῇ καὶ ἡ ἐνέργεια καὶ τὸ τέλος. εἰ δὲ δὴ καὶ ὁ νοῦς, κρεῖττόν τι μέρος καὶ θειότερον, ἅτε δὴ ἔξωθεν ἐπεισιὼν καὶ παντέλειος. καὶ τούτοις ἐπάγει, ὑπὲρ μὲν οὖν τούτων σκεπτέον εἴ τινα χωρισμὸν ἔχει πρὸς τὸν ὅρον. ἐπεὶ τό γε κινήσεις εἶναι καὶ ταύτας ὁμολογούμενον. καὶ στράτων δὲ ὁ λαμψακηνὸς ὁ θεοφράστου γεγονὼς ἀκουστὴς, καὶ τοῖς ἀρίστοις περιπατητικοῖς ἀριθμούμενος, τὴν ψυχὴν ὁμολογεῖ κινεῖσθαι οὐ μόνον τὴν ἄλογον ἀλλὰ καὶ τὴν λογικὴν, κινήσεις λέγων εἶναι τὰς ἐνεργείας τῆς ψυχῆς. λέγει οὖν ἐν τῷ περὶ κινήσεως πρὸς ἄλλοις πολλοῖς καὶ τάδε. ἀεὶ γὰρ ὁ νοῶν κινεῖται, ὥσπερ καὶ ὁ ὁρῶν καὶ ἀκούων καὶ ὀσφραινόμενος. ἐνέργεια γὰρ ἡ νόησις τῆς διανοίας, καθάπερ καὶ ἡ ὅρασις τῆς ὄψεως. καὶ πρὸ τούτου δὲ τοῦ ῥητοῦ γέγραφεν. ὅτι γοῦν εἰσιν αἱ πλεῖσται τῶν κινήσεων αἴτιαι, ἃς ἡ ψυχὴ καθ' αὑτὴν κινεῖται διανοουμένη, καὶ ἃς ὑπὸ τῶν αἰσθήσεων ἐκινήθη πρότερον, δῆλόν ἐστιν. ὅσα γὰρ μὴ πρότερον ἑώρακε, ταῦτα οὐ δύναται νοεῖν, οἷον τόπους, ἢ λιμένας, ἢ γραφὰς, ἢ ἀνδριάντας, ἢ ἀνθρώπους, ἢ τῶν ἄλλων τι τῶν τοιούτων. ἀλλ' ὅτι μὲν ἡ ψυχὴ κινεῖται

κατὰ τοὺς ἀρίστους τῶν περιπατητικῶν, κἂν μὴ τὴν σωματικὴν κίνησιν, δῆλον ἐκ τούτων. καὶ αὐτὸς
δὲ ὁ ἀριστοτέλης ἐν τῷ τελευταίῳ βιβλίῳ ταύτης τῆς πραγματείας, ἡ γὰρ φαντασία καὶ ἡ δό-
ξα φησὶν κινήσεις τινὲς εἶναι δοκοῦσι. πρὸς δὲ τὸν ἀπὸ τοῦ ὀχήματος λόγον ῥητέον, ὅτι οὐ διὰ τὸ χω-
ρίζεσθαι τούτου τοῦ σώματος τὴν ψυχὴν τὸ ὄχημα ἐκεῖνο φαμὲν ταύτης ἐξηρτῆσθαι. καὶ γὰρ ἐν αὐτῷ
οὖσα κεχώρισται κατ' οὐσίαν αὐτοῦ. εἰ γὰρ ἐνεργείας ἔχει χωριστὰς αὐτοῦ, πολλῷ μᾶλλον τὴν οὐσίαν
ἔχει κεχωρισμένην, ὡς ὁ ἀριστοτέλης ἐν τοῖς περὶ ψυχῆς διετάξατο. οὐ μέντοι οὐδὲ τοπικῶς ἐν
τούτῳ τῷ σώματι λέγεται εἶναι ἡ ψυχή, ὥσπερ ἐν ἀγγείῳ, ἀλλὰ σχετικῶς. ὥστε πρὸς τὸ χωρισθῆ-
ναι αὐτοῦ, οὐ δεῖται σώματος ἄλλου τοπικῶς κινουμένου. ἀρκεῖ γὰρ ἡ τοῦ σώματος ἀνεπιτηδειότης
πρὸς τὸ μὴ δέχεσθαι τὴν ἔλλαμψιν τῆς ψυχῆς. καὶ τοῦτό ἐστι τὸ χωρισθῆναι τὴν ψυχήν. ἀλλ' ἐκεῖνο τὸ
ὄχημα τῆς ψυχῆς ἀποδείκνυται ἐξηρτῆσθαι, διότι ἐγκόσμιος οὖσα, καὶ ἐν διαφόροις μέρεσι πο-
λιτευομένη τοῦ κόσμου, οἰκεῖον ἔχει πάντως ὄχημα τῷ μέρει ἐκείνῳ, ἐν ᾧ πολιτεύεται ψυχούμενον
ὑπ' αὐτῆς. ὅταν οὖν ἐν ἀέρι πολιτεύηται, πνευματικόν ἐστι τὸ ἐξημμένον αὐτῆς. ὥσπερ ἐνταῦθα τὸ
ὀστρεῶδες τοῦτο. εἰ δὲ τοῦτο τὸ αἴτιον τῶν διαφόρων ὀχημάτων, οὐκ ἀναγκαῖον ἴσως ἐν τούτῳ οὖσαν
ἔχειν καὶ τὸ πνευματικόν. εἰ δὲ καὶ ἔχει, οὐκ ἀναγκαῖον εἶναι ἐν τούτῳ ἐκεῖνο, ὥστε σῶμα διὰ σώμα-
τος χωρεῖν. ὁπότε οὐδὲ τοῦτο οἶμαι ἄτοπον, τὰ ὑπέρτερα καὶ λεπτότερα καὶ μὴ ὁμοφυῆ διὰ τῶν
παχυτέρων καὶ ἐνυλοτέρων χωρεῖν. καὶ γὰρ τὸ ἡλιακὸν φῶς κατὰ τὸ σῶμα λέγοντας αὐτὸ, δι' ὅ-
λου λέγεται χωρεῖν τοῦ ἀέρος. καὶ αἱ οὐράνιαι σφαῖραι τέλειαι οὖσαι καὶ οὐχ ἁψῖδες μόνον, εἴπερ
συνεχεῖς εἰσι πρὸς τὸ κέντρον, δι' ὅλων χωροῦσι τῶν ἐφεξῆς. ταῦτα μὲν οὖν ὡς καὶ αὐτὸς εἶπεν ὁ ἀ-
λέξανδρος ἔξωθεν ὄντα, τοιαύτης τυγχανέτω παρ' ἐμοῦ διακρίσεως. ἀποροῦσι δὲ καλῶς πρὸς τὸ
εἰρημένον ὑπὸ τοῦ ἀριστοτέλους, ὅτι τὸ κινούμενον τὸ μέν τι ἔχει ἐν τῷ ἐξ οὗ κινεῖται, τὸ δὲ ἐν τῷ εἰς ὃ
ἢ τῷ μεταξύ. εἰ γὰρ τοῦτο ἀληθές, πῶς ἐν τῷ πρώτῳ ταύτης τῆς πραγματείας, αὐτὸς αἰτιώμενος
μέλισσον ὡς ἀρχὴν λέγοντα τῆς ἀλλοιώσεως, ἐπήγαγεν, ὥσπερ οὐκ ἀθρόας γινομένης τῆς μετα-
βολῆς. ὡς γὰρ δυναμένου τινὸς ἅπαντος ἀθρόως ἀλλοιοῦσθαι καὶ μὴ κατὰ μέρος, λέγει. καὶ γὰρ τὸ
πηγνύμενον γάλα καὶ ὕδωρ καί τι θερμαινόμενον ὅλον ἀθρόως δοκεῖ μεταβάλλειν ἀλλοιούμενον καὶ
οὐ κατὰ μέρος. εἰ δὲ οὕτω γίνεται ἀλλοίωσις, κἂν σῶμα τὸ κινούμενον ᾖ, οὐκ ἀνάγκη τοῦ μεταβάλλον-
τος τὸ μέν τι ἐν ἐκείνῳ ἐξ οὗ ἡ μεταβολὴ εἶναι, τὸ δὲ, ἐν ἐκείνῳ εἰς ὃ πρῶτον μεταβάλλει. τὸ γὰρ
ἀθρόον μεταβάλλον, ὅλον ἐν τῷ ἑτέρῳ ἐστὶν εἰς ὃ μεταβέβληκε. τοιαύτης δὲ τῆς ἀπορίας οὔσης, ὁ
ἀλέξανδρος οὐ πρὸς τὸ νῦν λεγόμενον ἀπαντᾶν τὴν ἀπορίαν ταύτην φησίν. νῦν γὰρ περὶ τοῦ μετα-
βάλλοντος ὁ λόγος, τοῦτο δέ ἐστι τὸ μηδέ πω μεταβεβληκὸς, ἀλλ' ἔτι μεταβάλλον. ἐφ' οὗ πᾶσα ἀνάγ-
κη τὸ μέν τι αὐτοῦ ἐν τῷ ἐξ οὗ εἶναι, τὸ δὲ ἐν τῷ εἰς ὃ πρῶτον ἡ μεταβολή. ἀλλ' εἴπερ ἄρα, εἴη ἂν ἡ ἀ-
πορία πρὸς τὸ μὴ πᾶν τὸ μεταβεβληκός. ὃ διὰ τοῦ μεταβάλλειν μεταβέβληκεν, οὐ μεταβάλλον
πρότερον. μεταβεβληκὸς ἂν εἴη. ἀπορεῖται οὖν ἡ ἀπορία οὐ πρὸς τὸ μεταβάλλον, ἀλλὰ πρὸς τὸ με-
ταβεβληκός. εἰ δυνατὸν μεταβεβληκὸς εἶναί τι μὴ πρότερον μεταβάλλον. καὶ γὰρ ὁ ἀριστοτέλης
ἐν τοῖς προειρημένοις ὡς εἰς ἄτοπον ἀπάγει τοῦτον τὸν λόγον, ὅτε ἔλεγεν, ὥστε ἔσται τι βεβαδικέναι
μὴ πρότερον βαδίζον. διὰ δὲ ταύτην τὴν ἀπορίαν φασί τινες τὴν δεῖξιν αὐτὸν νῦν, ἐπὶ τοῦ κατὰ
τόπον κινουμένου πεποιῆσθαι. ἐπὶ γὰρ τούτου ὑγιὲς δοκεῖ τὸ τοῦ κινουμένου, τὸ μέν τι ὀφείλειν εἶναι
ἐν τῷ ἐξ οὗ, τὸ δὲ ἐν τῷ εἰς ὃ πρῶτον ἡ μεταβολή. καὶ τοῦτο πιστοῦται διὰ τοῦ τὸ ἐπὶ τοῦ μεγέθους
κινούμενον λαβεῖν. τοῦτο γὰρ τοπικῶς κινεῖται. τινὲς δὲ περὶ παντὸς κινουμένου φασὶν αὐτὸν δει-
κνύναι. καὶ οὐ περὶ κινουμένου μόνον, ἀλλὰ περὶ παντὸς μεταβάλλοντος. λέγει γὰρ τὸ δὲ μετα-
βάλλον ἅπαν ἀνάγκη διαιρετὸν εἶναι. οὐκ ἄρα περὶ τοῦ κατὰ τόπον κινουμένου μόνον ὁ λόγος. ἔτι
δὲ δι' οὗ δείκνυσι διαιρετὸν εἶναι τὸ μεταβάλλον, οὐ μόνον τοῖς κατὰ τόπον κινουμένοις ὑπάρχει, ἀλλ'
ὁμοίως πᾶσι τοῖς μεταβάλλουσι. πᾶσα γὰρ μεταβολὴ ἔκ τινος εἴς τι, ὡς καὶ αὐτὸς εἶπεν. εἰ οὖν διὰ
τὸ ἔκ τινος εἴς τι γίνεσθαι τὴν μεταβολὴν, διὰ τοῦτο τὸ μεταβάλλον διαιρετόν ἐστι, τὸ δὲ ἔκ τινος εἴς
τι οὐ μόνον τὰ κατὰ τόπον ἔχει κινούμενα, ἀλλὰ καθάπαξ ἅπαντα τὰ μεταβάλλοντα, ἢ πάντα
ὁμοίως ἔσται διαιρετὰ μεταβάλλοντα, τοῦ πόθεν ποῖ κεκοινωνηκότα, ἢ οὐδέν. ὅτι δὲ οὐ περὶ μό-
νων τῶν τοπικῶς κινουμένων, ἀλλὰ περὶ πάντων ὁ λόγος αὐτῷ, ἐδήλωσε καὶ διὰ τοῦ παρα-
δείγματος οὗ παρέθετο. τὸ γὰρ φαιὸν καὶ τὸ λευκὸν καὶ τὸ μέλαν παρέλαβε, καθ' ἃ ἡ ἀλλοίωσις
ἀλλ' οὐχ ἡ τοπικὴ κίνησις ἐπιτελεῖται. εἰς δὲ τὴν ἀλλοίωσιν ἀφορῶν ἐν τῷ πρώτῳ ταύτης τῆς
πραγματείας, εἶπε τὸ ὥσπερ οὐκ ἀθρόας γινομένης μεταβολῆς. δύναιτο δ' ἂν τῷ λευκῷ καὶ
τῷ φαιῷ καὶ τῷ μέλανι χρῆσθαι νῦν εἰς παράδειγμα, οὐχ ὡς περὶ ἀλλοιώσεως λέγων. ἀλλ'
ὑπὲρ τοῦ δεῖξαι τί ἐστι τὸ ἐφεξῆς, εἰς ὃ ἡ μεταβολὴ γίνεται. ἐν μέντοι τοῖς ἐφεξῆς ἐπὶ πάντων
τῶν κινουμένων χρῆται τῷ διαιρετὰ αὐτὰ εἶναι, ὡς καθόλου δεδειγμένῳ. ἐπὶ τέλει δὲ τοῦ βιβλίου

καὶ περὶ τῶν κατ' ἀντίφασιν μεταβαλλόντων, ταῦτα δ' ἐστὶ τὰ γινόμενα καὶ φθειρόμενα, λέγει ὅτι μέρος ἐστὶ καὶ τούτων ἐν ἑκατέρῳ τῆς ἀντιφάσεως μορίῳ, ὡς δεδειγμένον ἔχων, ὅτι οὐ τὸ κινούμενον μόνον διαιρετὸν, ἀλλὰ καὶ τὸ μεταβάλλον ἅπαν. ἐπιστῆσαι δὲ ἄξιον, ὅτι ἐπὶ τῶν κατὰ τόπον κινουμένων ἀνάγκη εἶναι τὸ μέν τι ἐν τῷ ἐξ οὗ, τὸ δέ τι ἐν τῷ εἰς ὅ. οὕτω γὰρ ἐπὶ τούτων τὸ πόθεν ποῖ. ἐπὶ δὲ τῆς ἀλλοιώσεως καὶ τῆς αὐξήσεώς τε καὶ μειώσεως οὐκ ἀναγκαῖον δοκεῖ τὸ οὕτως ἔχειν. ἀλλὰ δύναται ἐπὶ τούτων, καὶ ἡ ἀλλοίωσις ἀθρόα γίνεσθαι, καὶ αὔξεσθαι ἀθρόως. παντὶ γὰρ μορίῳ τοῦ αὐξομένου ἡ πρόσθεσις ἅμα γίνεσθαι δοκεῖ. ὁμοίως δὲ καὶ ἡ μείωσις ἀθρόα. γίνοιτο δ' ἂν ὁ Ἀλέξανδρος κίνησίς φησιν καὶ ἐπὶ τοῦ ἀθρόως μεταβάλλοντος, τῷ πάντως εἶναι καὶ ἐπὶ τούτων τι μεταξύ. καθ' ὃ ἡ μεταβολὴ γίνεται, καὶ μὴ δύνασθαι τὸ μεταβάλλον κατ' αὐτὰ ἐκ τοῦδε εἰς τόδε μεταβάλλειν, εἰ μὴ διὰ τοῦ μεταξύ. τὸ γὰρ μέγεθος εἰς ὃ μεταβάλλει τὸ αὐξόμενον, καὶ πᾶν τὸ προστιθέμενον αὐτῷ ἵνα αὐξηθῇ, διαιρετόν ἐστιν. ὁμοίως δὲ τὸ ἀποιὸν, ἵνα μειωθῇ. καὶ τῶν ποιοτήτων δὲ εἰς ἃς ἡ κατ' ἀλλοίωσιν μεταβολὴ γίνεται, ἔστι τινὰ μεταξύ. δι' ὧν ἐπὶ τὸ εἶναι τοιοῦτον μεταβάλλει τὸ ἀλλοιούμενον, κἂν ὅλον μεταβάλλῃ ἅμα. εἰς ὃ γὰρ ἂν μεταβάλλῃ, ἔσται τι ἐκείνου πρῶτον, ὃ μεταξύ ἐστιν τοῦ τε ἐξ οὗ μεταβάλλει, καὶ τοῦ εἰς ὃ μεταβέβληκε. διὸ καὶ πᾶσα κίνησις ἐν χρόνῳ. χρὴ δέ φησιν ὁ Ἀλέξανδρος περὶ τούτου ἐπὶ πλέον ζητῆσαι. μετ' ὀλίγον γὰρ δεικνὺς, ὅτι διαιρετός ἐστι καὶ ἡ ποιότης καθ' ἣν ἀλλοίωσις γίνεται, λέγει ὅτι κατὰ συμβεβηκός. τῇ γὰρ τοῦ ἀλλοιουμένου διαιρέσει συνδιαιρεῖται, ὡς καὶ τούτου κατὰ μόρια μεταβάλλοντος. μή ποτε δέ φησιν ἄμεινον ἀκούειν, τοῦ ὥσπερ οὐκ ἀθρόας μεταβολῆς γινομένης, οὐχ ὡς ἐφ' ὅλου τοῦ κινουμένου εἰρημένου, ἀλλ' ὡς μέρους τοῦ κινουμένου ἀθρόως μεταβάλλοντος, οὐκέτι δὲ καὶ τοῦ ὅλου. μέρος γὰρ τοῦ πηγνυμένου γάλακτος ἀθρόον μεταβάλλει, ἀλλ' οὐ τὸ ὅλον. οὗ σημεῖον τὸ μὴ ὁμοίως γίνεσθαι τὴν πῆξιν ἐπί τε πλείονος καὶ ἐλάττονος. ἐπὶ παντὸς γὰρ θᾶττον μεταβάλλει τὸ εὐπαθέστερον, ἢ τῇ φύσει, ἢ τῷ ἐγγυτέρω τοῦ ποιοῦντος εἶναι. καὶ τοῦ ἡλιοκαυτοῶτος μέρος ἀθρόον μεταβάλλει. ἡ γοῦν τετραμμένη πρὸς τὸν ἥλιον ἐπιφάνεια πρώτη. ἣν δὲ οὐκ αὐτὴ ἡ κινουμένη. ἀλλ' ὅσω ἣν αὕτη. τὸ δὲ αὐξόμενον εἰ καὶ πᾶν αὔξεται, ἀλλ' οὐχ ἅμα. ἄλλα γὰρ ἄλλων μόρια ἐγγυτέρω τῆς χορηγούσης αὐτοῖς τὴν αὔξησιν τροφῆς. ταῦτα μὲν οὖν ὁ Ἀλέξανδρος εἰς τοῦτον συνεβάλετο τὸν τόπον. ὁ δὲ εὐφραδὴς Θεμίστιος οὐκ ἀποδέχεται τὸν Ἀλέξανδρον, τὸ καὶ ἐν τοῖς δοκοῦσιν ἀθρόως μεταβάλλεσθαι, ὡς ἐπὶ τοῦ πηγνυμένου γάλακτος καὶ τοῦ μελαινομένου σώματος, τὸ μέν τι πρότερον μεταβάλλειν μέρος, τὸ δὲ ὕστερον. τὴν γὰρ αἴσθησίν φησιν δεικνύναι, ὅτι γίνονταί τινες τῶν σωμάτων μεταβολαὶ καὶ ἀλλοιώσεις. μή ποτε δὲ ἡ ἀπὸ τῆς αἰσθήσεως μαρτυρία ἐν τούτοις οὐκ ἔστιν ἀσφαλής. διαφύγοι γὰρ ἂν τὴν αἴσθησιν καὶ τοῦ γάλακτος καὶ τοῦ μελαινομένου σώματος μικρὰ μόρια, μὴ ἅμα τοῖς λοιποῖς ἀλλοιούμενα. ἀλλὰ ῥητέον μᾶλλον, ὅτι εἴπερ ἐστὶν ὅλως τι μέρος καὶ βραχὺ, τὸ ἀθρόως ἀλλοιούμενον, ὅπερ δίδωσιν ὁ Ἀλέξανδρος, ἐπειδὴ καὶ ἐκεῖνο μεριστόν ἐστιν, εἰ μὲν ὅλον ἅμα ἀλλοιοῦται, οὐκ ἀληθὲς τὸ νῦν ὑπὸ τοῦ Ἀριστοτέλους ῥηθὲν, ὅτι τὸ μεταβάλλον πᾶν, τὸ μὲν, τῶν ἑαυτοῦ μερῶν ἐν τῷ ἐξ οὗ μεταβάλλει ἔχει, τὸ δὲ, ἐν τῷ εἰς ὃ μεταβάλλει. εἰ δὲ μὴ τὸ μέρος ἅμα ὅλον ἀλλοιοῦται, παρέλκοι ἂν τὸ ἐν τῷ πρώτῳ βιβλίῳ ῥηθὲν πρὸς Μέλισσον, τὸ ὥσπερ οὐκ ἀθρόας γινομένης μεταβολῆς. ὥστε μένειν ἔτι τὴν ἀπορίαν. ὁ μέντοι Θεμίστιος ἅ φησιν ἡμῖν ἐπῆλθεν εἰς βοήθειαν τῷ λόγῳ, ταῦτά ἐστιν. οἰόμεθα τὸν Ἀριστοτέλη περὶ μὲν τῶν ἀθρόως μεταβαλλόντων ὅτι διαιρετά ἐστι, μηδὲ λόγου προσδεῖσθαι νομίσαι. εἰ γὰρ ἀθρόως ἐκεῖνα μεταβάλλειν φαμὲν, ὧν ἅπαντα ἅμα τὰ μέρη καὶ καθ' ἕνα χρόνον ἀλλοιοῦται ἢ αὔξεται, δῆλον ὡς ἐπὶ τῶν μέρη τινὰ κεκτημένων ἐστὶν ἡ τοιαύτη μεταβολή. ἃ δὲ οὐδὲν κέκτηται μέρος, πῶς ἀλλοιοῖτο ἂν ἅμα καθ' ὅλα τὰ μέρη. ἢ τοίνυν οὐ τοῦτό ἐστι τὸ μεταβάλλειν ἀθρόως, τὸ ὁμοῦ κατὰ πάντα τὰ μόρια μεταβάλλειν. ἢ εἰ τὸ ἀθρόως τοῦτό ἐστι, γελοῖον τὸ ζητεῖν εἰ διαιρετὰ τὰ τοιαῦτα. διόπερ Ἀριστοτέλης ἐπὶ μὲν τούτων οὐδ' ὅλως ἐποιήσατο τὸν λόγον. ἐπὶ δὲ τῶν κατὰ τοὺς ἄλλους τρόπους μεταβαλλόντων.

ΙΝΗΣΙΣ δ' ἐστὶ διαιρετὴ, διχῶς. ἕνα μὲν τρόπον, τῷ χρόνῳ. ἄλλον δὲ, κατὰ τὰς τῶν μερῶν τοῦ κινουμένου κινήσεις. οἷον, εἰ τὸ α γ κινεῖται ὅλον, καὶ τὸ α β κινηθήσεται. καὶ τὸ β γ ἔσω δὴ τοῦ μὲν α β, ἡ δ, ε. τοῦ δὲ β γ, ἡ ε ζ κίνησις τῶν μερῶν. ἀνάγκη δὲ τὴν ὅλην. ἐφ' ἧς ἡ δ ζ τοῦ α γ εἶναι κίνησιν, κινήσεται γὰρ κατὰ ταύτην. ἐπεὶ γοῦν ἑκάτερον τῶν μερῶν, κινεῖται καθ' ἑκατέραν. οὐδὲν δὲ κινεῖται κατὰ τὴν τοῦ ἄλλου κίνησιν. ὥστε ἡ ὅλη κίνησις. τοῦ ὅλου ἐστὶ μεγέθους κίνησις.

Δ έξας πᾶν τὸ κινούμενον διαιρετὸν, νῦν δείκνυσιν ὅτι καὶ ἡ κίνησις διαιρετή. καὶ διχῶς ἔσται διαιρετή. καθ' ἕνα μὲν τρόπον τῷ χρόνῳ. διότι πᾶσα μὲν κίνησις ἐν χρόνῳ, πᾶς δὲ χρόνος διαιρετός. καὶ δέδεικται ὅτι ἐν τῷ ἐλάττονι χρόνῳ ἔλαττον κινεῖται, τὸ ὁμοίως κινούμενον. καὶ ἐν τῷ πλείονι πλέον. τὸ δὲ ἔχον τὸ πλέον καὶ ἔλαττον, τοῦτο διαιρετόν ἐστι κατὰ τὸν χρόνον. καὶ γὰρ ἐκεῖνος τὸ πλέον καὶ ἔλαττον ἔχει, διότι διαιρετός ἐστιν. ἀλλὰ περὶ μὲν τῆς κατὰ χρόνον διαιρέσεως τῆς κινήσεως, καὶ εἴρηκεν ἤδη πλείονα, καὶ μετ' ὀλίγον πάλιν ἐρεῖ. δείξας δὲ προ-

σιχῶς ὅτι τὸ κινούμενον διαιρετόν ἐστιν, ἐφεξῆς νῦν δείκνυσι τὸν ἕτερον τρόπον τῆς κατὰ τὴν κίνησιν διαιρέσεως, κατὰ τὴν διαίρεσιν τοῦ κινουμένου γινομένην. ἐπειδὴ γὰρ τὸ κινούμενον διαιρετὸν ὂν ἔχει τι διάστημα καὶ μῆκος, ἀνάγκη καὶ τὴν κίνησιν αὐτοῦ ἐν ὅλῳ οὖσαν τῷ τοῦ κινουμένου διαστήματι, καὶ αὐτὴν τὸ αὐτὸ τῷ κινουμένῳ διάστημα ἔχειν. εἰ τοίνυν ἴση ἡ τῆς κινήσεως διάστασις τῷ τοῦ κινουμένου διαστήματι, τῷ εἰς μέρη διαιρουμένῳ, διαιροῖτο ἂν καὶ αὐτὴ τὸν αὐτὸν τρόπον τοῖς τοῦ κινουμένου μέρεσιν. ὡς εἶναι τὸν ὅλον λόγον τοιοῦτον. εἰ ἡ αὐτὴ κίνησις τοῦ ὅλου ἐστὶν, ἥπερ καὶ τῶν μερῶν συντεθεῖσα, διαιροῖτο ἂν ἡ κίνησις κατὰ τὸ μέγεθος τὸ κινούμενον. τοῦ δὴ συνημμένου ἐναργοῦς ὄντος, εἰ τὸ ἡγούμενον ἀληθές. καὶ τὸ λῆγον ἀληθὲς ἔσται. ὅτι δὲ τὸ ἡγούμενον ἀληθὲς δείκνυσι δι' ἐκθέσεως τοιαύτης. ἔστω κινούμενον μέγεθος τὸ αγ. μέρη δὲ αὐτοῦ τὰ αβ βγ. ἔστω τοῦ μὲν αβ κίνησις ἡ δε. τοῦ δὲ βγ ἡ εζ. τοῦ γὰρ ὅλου κινουμένου ἀνάγκη καὶ τὰ μέρη κινεῖσθαι. λέγω οὖν ὅτι καὶ τοῦ αγ μεγέθους ὅλου ὅλη ἔσται κίνησις ἡ δζ. τοῦτο δὲ διὰ πλειόνων δείκνυσιν. ἀποδειχθέντος δ' αὐτοῦ, δηλονότι διαιροῖτο ἂν ἡ κίνησις κατὰ τὸ μέγεθος. δείκνυσι δὲ αὐτὸ κατὰ τὸ πρῶτον ἐπιχείρημα, λαβὼν ὡς ἐναργές τι, ὅτι οὐδὲν τῶν κινουμένων κινεῖται κίνησιν τὴν ἄλλου. δῆλον δὲ τοῦτο σκοπουμένοις ἐπὶ τῶν τῆς κινήσεως εἰδῶν καὶ ἐπὶ τῶν μερῶν. οὔτε γὰρ τὸ κατὰ τόπον κινούμενον τὴν τοῦ ἀλλοιουμένου κίνησιν κινήσεται, οὔτε τὸ τὴν τοῦ αβ, τὴν τοῦ βγ. ἀλλ' ἑκάτερον τὴν ἑαυτοῦ. εἰ οὖν τὸ αγ ὅλον κινεῖται, δῆλον ὡς κατὰ μέρη αὐτοῦ κινεῖται, οἷον τὸ αβ. καὶ τὸ βγ. οὕτω γὰρ καὶ τὸ ὅλον ἔσται κινούμενον. καὶ ἔσται τοῦ μὲν αβ κίνησις ἡ δε, τοῦ δὲ βγ ἡ εζ, μέρη οὖσαι καὶ αὗται ὅλης τῆς δζ κινήσεως. κἂν γὰρ μὴ καθ' αὑτὰ κινῆται τὰ μέρη τοῦ συνεχοῦς ἐν τῇ τοῦ ὅλου κινήσει, ἀλλ' ἔν γε τῷ ὅλῳ κινεῖται. διὰ τοῦτο γὰρ καὶ ἡ κίνησις διαιρετὴ, ἀλλ' οὐ διαιρουμένη. διῃρημένη γὰρ ἂν ἦν, εἰ ἕκαστον τῶν τοῦ ὅλου μερῶν καθ' αὑτὸ ἐκινεῖτο. εἰ οὖν ἡ μὲν δε τοῦ αβ, ἡ δὲ εζ τοῦ βγ, δηλονότι καὶ ὅλην τὴν δζ ἀνάγκη ὅλου εἶναι τοῦ αγ. ἄλλου γὰρ αὐτὴν οὐχ οἷόν τε εἶναι, διὰ τὸ κείμενον καθόλου, ὅτι οὐδὲν κινεῖται κατὰ τὴν ἄλλου κίνησιν. τούτου γὰρ κειμένου, οὔτε τῶν μερῶν τινος τοῦ αγ μεγέθους ἔσται ὅλη ἡ δζ κίνησις, οὔτε ἄλλου τινὸς παρὰ ταῦτα. οὕτω μὲν οὖν καθ' ἕνα τρόπον ἐδείχθη τὸ προτεθέν. ἦν δὲ τοῦτο ὅτι ἡ τῶν μερῶν κίνησις συντεθεῖσα ὅλη, τοῦ ἐκ τῶν μερῶν ὅλου μεγέθους ἔσται κίνησις. καὶ τὸ ἀντίστροφον οὖν ἀληθές. ὅτι εἰ τοῦ ὅλου ὅλη. καὶ τῶν μερῶν τὰ μέρη. ᾧ ἀκολουθεῖ ἐξ ἀνάγκης τὸ τὴν κίνησιν διαιρεῖσθαι κατὰ τὸ κινούμενον μέγεθος. ἀλλὰ διὰ τί μὴ τοῦ αγ μεγέθους κίνησίν τινα λαβὼν τὴν δζ, οὕτω τοῦ μὲν αβ δείξας τὴν δε, τοῦ δὲ βγ τὴν εζ, συνήγαγεν ὅτι κατὰ τὸ μέγεθος διαιρεῖται ἡ κίνησις. ἢ ὅτι τοῦτο τὸ ἐν ἀρχῇ ἦν λαβεῖν, ἀλλ' οὐ δι' ἑτέρων ἀποδεῖξαι τὸ προκείμενον. καὶ μέντοι εἰ ὅλου τοῦ αγ ὅλη ἐξ ἀρχῆς ἐλήφθη ἡ δζ, οὐ πάντως ἠκολούθει καὶ τὰ μέρη τῶν μερῶν. τί γάρ. εἰ ἀδιαίρετος ἦν ἡ κίνησις. εἰ μέντοι τὰ μέρη τῶν μερῶν, ἀνάγκη καὶ τὴν ὅλην τοῦ ὅλου. τὸ γὰρ ὅλον δυνατὸν καὶ ἀδιαίρετον εἶναι καὶ διαιρετόν.

ἜΤΙ ΔῈ εἰ ἅπασα μὲν κίνησις τινὸς, ἡ δ' ὅλη κίνησις ἡ ἐφ' ἧς δζ, μήτε τῶν μερῶν ἐστὶ μηδετέρου. μέρους γὰρ ἑκατέρα. μήτε ἄλλου μηδενός. οὐ γὰρ ἡ ὅλη ὅλου, καὶ τὰ μέρη τῶν μερῶν. τὰ δὲ μέρη τοῦ δζ τῶν αβγ καὶ οὐκ ἄλλων. πλειόνων γὰρ οὐκ ἦν μία κίνησις, κἂν ἡ ὅλη κίνησις εἴη τοῦ αβγ μεγέθους.

Δεύτερον ἐπιχείρημα τοῦτο, δεικνύον ὅτι ὅλη ἡ δεζ ὅλου τοῦ αβγ μεγέθους ἐστί. δείκνυται δὲ ἐπὶ προειλημμένῳ, τῷ τὴν μὲν δε τοῦ αβ εἶναι μεγέθους, τὴν δὲ εζ τοῦ βγ. καὶ ἐπὶ ἀξιώματι τῷ λέγοντι, ὅτι πᾶσα κίνησις κινουμένου τινός ἐστιν. ἡ δὲ δεῖξις ἐκ διαιρέσεώς τινος πρόεισι τοιαύτη. ἡ δζ κίνησις ὅλη, ἢ τῶν μερῶν τοῦ αγ μεγέθους ἐστὶν ὁποτέρου, ἢ τοῦ αγ ὅλου, ἢ ἄλλου τινὸς παρὰ ταῦτα. καὶ ἔστιν ἀνελλιπὴς ἡ διαίρεσις. εἰ οὖν μήτε τῶν μερῶν ἐστιν μηδετέρου ἡ ὅλη, μέρους γὰρ ἑκατέρου ἐστὶν, ἡ μὲν δε τοῦ αβ. ἡ δὲ εζ τοῦ βγ. ὥστε οὐδετέρου αὐτῶν ἡ ὅλη. ἀλλὰ μὴν οὐδὲ ἄλλου τινὸς ἔσται ἡ δζ κίνησις. εἰ γὰρ ἦν ὅλη τινὸς ἄλλου, καὶ τὰ μόρια αὐτῆς τῶν ἐκείνου μορίων ἂν ἦν. οὐ γὰρ δὴ ἀμερὲς ὂν ἐκινεῖτο. τοῦτο δὲ ὡς ἐναργὲς λαμβάνει, καὶ ὡς ἤδη δεδειγμένον αὐτῷ ἐν τῇ πρὸ ταύτης ἐπιχειρήσει. ἀλλὰ μὴν τὰ μέρη τῆς δζ, τὰ δε, εζ, τῶν τοῦ αγ μερῶν ἐστὶ, τοῦ τε αβ. καὶ τοῦ βγ. καὶ οὐ δύναται ταῦτα τὰ μέρη τῆς κινήσεως, καὶ ἄλλων εἶναι μερῶν. οὐ γὰρ οἷόν τε τὴν αὐτὴν καὶ μίαν κατ' ἀριθμὸν πλειόνων εἶναι. λείπεται ἄρα ὅλην τὴν δζ κίνησιν, ὅλου τοῦ αγ μεγέθους εἶναι.

ἜΤΙ ΔΈ Ἰ μὴ ἐστι τοῦ ὅλου κίνησις ἄλλη. οἷον ἐφ' ἧς θι ἀφαιρεθήσεται ἀπ' αὐτῆς ἡ ἑκατέρων τῶν μερῶν κίνησις. αὗται δ' ἴσαι ἔσονται ταῖς δε εζ. μία γὰρ ἑνὸς κίνησις. ὥστ' εἰ μὲν ὅλη διαιρεθήσεται ἡ θι εἰς τὰς τῶν μερῶν κινήσεις. ἴση ἔσται ἡ θι, τῇ δζ. εἰ δ' ἀπολείπει τι. οἷον, τὸ κι, αὕτη οὐδενὸς ἔσται κίνησις. οὔτε γὰρ τοῦ ὅλου, οὔτε τῶν μερῶν διὰ τὸ μίαν εἶναι τοῦ ἑνὸς, οὔτε ἄλλου οὐδενός. ἡ γὰρ συνεχὴς κίνησίς ἐστι συνεχῶν τινων. ὡσαύτως δὲ, καὶ εἰ ὑπερβάλλει κατὰ τὴν διαίρεσιν. ὥστ' εἰ τοῦτο ἀδύνατον, ἀνάγκη τὴν αὐτὴν εἶναι καὶ ἴσην. αὕτη μὲν οὖν ἡ διαίρεσις, κατὰ

τὰς τῶν μερῶν κινήσεις ἐστίν. καὶ ἀνάγκη παντὸς εἶναι τοῦ μεριστοῦ αὐτήν.

Δείξας τὴν δζ κίνησιν ὅλην τοῦ αγ μεγέθους οὖσαν ὅλου, διὰ τὸ μὴ δύνασθαι ἄλλου τινὸς εἶναι μεγέθους, νῦν δείκνυσι τὸ αὐτὸ διὰ τὸ μὴ δύνασθαι ἄλλην τινὰ κίνησιν εἶναι τοῦ αγ μεγέθους παρὰ τὴν δζ. εἰ γὰρ δυνατόν, ἔστω τοῦ αγ μεγέθους ὅλου ἄλλη τις παρὰ τὴν δζ ἡ θι. τὰ δὴ μέρη τῆς θι, ἔσται τῶν μερῶν τοῦ αγ. καὶ εἰ μὲν τὰ μέρη τῆς θι κινήσεως, οἷον τὰ θκ, κι, ἴσα ἐστὶ τοῖς μέρεσι τῆς δζ κινήσεως, οἷον τοῖς δε εζ. καὶ τὰ αὐτὰ ἀνάγκη καὶ τὴν ὅλην τὴν θι, τῇ ὅλῃ δζ, ἴσην εἶναι καὶ τὴν αὐτήν. ἑκάστου γὰρ κίνησις μία. καὶ οὐ δύνανται οὔτε τῶν μερῶν τοῦ αγ ἄλλαι τινὲς κινήσεις εἶναι μετὰ τῶν δε εζ, οὔτε τοῦ ὅλου μετὰ τῆς δζ. ἀλλ' εἰ μὲν ἡ θι κίνησις εἰς τὰς τῶν μερῶν κινήσεις διαιρεθείη, ἡ αὐτὴ ἔσται τῇ δζ. εἰς γὰρ τὰ ἐκείνης μέρη διαιρεῖται. αὐτὸς δὲ ἀντὶ τοῦ εἰπεῖν ἡ αὐτὴ ἔσται τῇ δζ, ἐπείπερ εἰς τὰ ἐκείνης μέρη διαιρεῖται, ἴση ἔσται εἶπεν ἡ θι τῇ δζ. εἰ δὲ ἀφαιρουμένων ἀπὸ τῆς θι τῶν ἴσων τῆς δε εζ, ἀπολειφθείη τι ἄλλο μέρος, οἷον τὸ κι, τοῦτο τὸ μέρος τῆς θι κινήσεως, οὐδενὸς ἔσται κίνησις τοῦ αγ. οὔτε γὰρ τοῦ ὅλου. ἡ γὰρ θι ὅλη τοῦ ὅλου ἦν. οὔτε μέρους τινὸς αὐτοῦ. οὐδὲ γὰρ ἔχει τι ἄλλο μέρος παρὰ τὸ αβ βγ, ὧν ἦν κίνησις ἡ θι, εἰς δύο διαιρεθεῖσα ταῖς δε εζ ἴσας. εἰπὼν δὲ οὔτε ἄλλου τῶν μερῶν, τὸ μὲν προσθεῖναι διότι μηδὲ ἄλλο μέρος ἔχει παρῆκεν ὡς σαφές. ὅτι δὲ οὐδενὸς τῶν εἰς ἃ διῄρηται ἐστίν, ἔδειξεν εἰπὼν διὰ τὸ μίαν εἶναι τοῦ ἑνός. οὐ γὰρ δύναται τὸ αὐτὸ μέρος ἅμα τῶν τε δε εζ μερῶν τινὸς εἶναι καὶ ὅλου. ἀλλ' οὐδὲ καὶ ἔξωθεν ἄλλου τινὸς ἔσται. οὗ αἰτίαν προσέθηκε, τὸ συνεχὴς μὲν γὰρ ἡ θι κίνησις. ἡ δὲ συνεχὴς συνεχοῦς τινος καὶ ἑνός. οὐδὲν δέ ἐστιν ἄλλο ἐν τῷ αγ μόριον, παρὰ τὴν αβ βγ συνεχὲς αὐτῷ. τὸ γὰρ ἔξωθεν λαμβανόμενον καὶ μὴ ὂν μέρος τοῦ αγ, οὐ συνεχές ἐστιν αὐτῷ. ὁ δὲ αὐτὸς λόγος, κἂν αἱ τῶν μορίων τοῦ κινουμένου κινήσεις ὑπερβάλλωσι τὴν τῆς θι κινήσεως διαίρεσιν. ὡς εἶναι τὰς τῶν μορίων τοῦ αγ κινήσεις, τῶν αβ βγ, τὰς δε εζ, μείζους τῶν τῆς θι κινήσεως μορίων. ἣν ἀπόκειται τὸ αγ κινεῖσθαι. τίνος γὰρ ἔσται τὸ ὑπέρβλημα. οὔτε γὰρ τοῦ ὅλου, τούτου γὰρ ἡ ὅλη ἦν, οὔτε τῶν μερῶν τινός. ἕτεραι γάρ εἰσιν αὗται τοῦ ὑπερβλήματος. εἰ οὖν ἀνάγκη τινὸς εἶναι πᾶσαν κίνησιν, ἐλλειπούσης δὲ ἢ ὑπερβαλλούσης, οὔτε δὲ τὸ ἔλλειμμα οὔτε τὸ ὑπέρβλημα τινὸς ἔσται, δηλονότι οὔτε ἐλλείπει οὔτε ὑπερβάλλει. ἀλλ' ἀπαρτίζει, καὶ ἴση ἐστὶν ἡ ἐκ τῶν μορίων τῇ ὅλῃ. εἰ δὲ ἴση ἡ αὐτή. καὶ γὰρ τὰ μόρια πάντα τὰ αὐτὰ τῷ ὅλῳ. οὕτως οὖν δείξας, ὅτι ἡ τῆς κινήσεως διαίρεσις κατὰ τὴν διαίρεσιν γίνεται τοῦ κινουμένου μεγέθους, ἐπείπερ καὶ ἡ ὅλη τοῦ ὅλου, καὶ τὰ μέρη τῶν μερῶν ἐστι, συμπεραίνεται τὰ εἰρημένα. παντὸς δὲ τοῦ μεριστοῦ εἶπεν, ἢ ἀντὶ τοῦ κινουμένου, ἔδειξε γὰρ ὅτι πᾶν τὸ κινούμενον μεριστόν ἐστιν. ἢ παντὸς τοῦ μεριστοῦ εἶπεν, ἀντὶ τοῦ πάντων τῶν μορίων τοῦ κινουμένου. εἰ δὲ πάντων τῶν μορίων τοῦ κινουμένου ἐστὶν ἡ κίνησις, καὶ διαιροῖτο ἂν κατὰ τὰ μόρια τοῦ κινουμένου. ὁ δὲ Εὔδημος καὶ οὕτως ἔδειξε τὸ προκείμενον. εἰ γάρ ἐστιν τοῦ ὅλου κίνησις, ἔστι δὲ καὶ τῶν μορίων ἑκάστου, ἕτεραι δὲ αὗται, καὶ μέρος ἑκάστη τῆς ὅλης, αἱ τῶν μορίων κινήσεις μόρια ἔσονται τῆς ὅλης, τοσοῦτον ἕκαστον, ὁπόσον μόριον καὶ αὐτὸ τοῦ κινουμένου ἐστίν. ὥστε εἰ τὰ τοῦ κινουμένου μόρια ἰσάζει τῷ ὅλῳ, καὶ αἱ κινήσεις αἱ τοῦ κινουμένου ἴσαι ἔσονται τῇ ὅλῃ. καὶ ἀπορίαν δέ τινα φαίνεσθαι περὶ τὰ εἰρημένα φησὶν ὁ Εὔδημος, πῶς χρὴ λέγειν τὰ μόρια κινεῖσθαι. οὐ γάρ ἐστιν ἐνεργείᾳ. ἢ πάντα ἔσται τὰ μεριστὰ πολλὰ καὶ ἄπειρα. ἓν δὲ οὐθέν. εἰ δὴ δεῖ νοῆσαι τὰ μέρη, ἐπὶ μὲν ἀλλοιώσεως φαίνεταί πως ἐνδέχεσθαι τὸ λεχθέν. λευκαίνεται γὰρ καὶ σκέλος τῶν ἄλλων ἕκαστον. καὶ τούτων ἴδιαι φαίνονται αἱ ἀλλοιώσεις ἀριθμῷ. ἐνδέχεται γὰρ τὸ μὲν λευκαίνεσθαι, τὸ δὲ μὴ λευκαίνεσθαι. ἔδει δὲ ἔσωθεν αἱ αὐταί. γίνεται οὖν καὶ ἡ πάντων τῇ τοῦ ὅλου ἡ αὐτή. τί γὰρ διαφέρει τὴν ἑκάστου καθ' ἕκαστον εἰπεῖν, ἢ ἁπάντων ἅμα. ἐπὶ δὲ τῶν φερομένων πῶς ἐροῦμεν ἕκαστον. ἕκαστον γὰρ τῶν μορίων ἴσην ἐνήνεκται, καὶ τὸ πρῶτον ληφθέν, καὶ τὸ ἔσχατον, καὶ ὁποιονοῦν. ἀλλὰ δὴ τὰ μόρια ἄπειρα. πότερον οὖν τὴν τοῦ ὅλου κίνησιν σταδιαίαν λεκτέον, ἢ πολυστάδιον. ἄπειρα γὰρ ἔσται στάδια τὸ ὅλον, οὔπω γε διεληλυθός. ἡ δὲ αὔξησις τῇ ἀλλοιώσει φαίνεται συμπαθεστέρα. ὥστε αἱ μὲν τούτων κινήσεις, κατὰ τὰς τῶν μορίων κινήσεις συμμεριασθήσονταί πως. περὶ δὲ τῆς κατὰ τόπον κινήσεως ἐπισκεπτέον. ταῦτα μὲν οὖν ὁ Εὔδημος αὐτοῖς ῥήμασιν ἀπορεῖ. ῥητέον δὲ οἶμαι πρὸς αὐτὰ τὸ πρὸ ὀλίγου ῥηθέν. ὅτι κἂν μὴ καθ' αὑτὰ κινῆται κατὰ τόπον τὰ μέρη τοῦ συνεχοῦς, ἀλλ' ἔν γε τῷ ὅλῳ κινεῖται. καὶ διὰ τοῦτο καὶ ἡ κίνησις καὶ τὸ μέγεθος διαιρετά, ἀλλ' οὐ διῃρημένα λέγεται. διῃρημένα γὰρ ἂν ἦν, εἰ ἕκαστον τῶν τοῦ ὅλου μερῶν καθ' ἑαυτὸ ἐκινεῖτο.

ΑΛΛΗ ΔΕ κατὰ τὸν χρόνον. ἐπεὶ γὰρ ἅπασα κίνησις ἐν χρόνῳ, χρόνος δὲ πᾶς διαιρετός, ἐν δὲ τῷ ἐλάττονι ἐλάττων ἡ κίνησις, ἀνάγκη πᾶσαν κίνησιν διαιρεῖσθαι κατὰ τὸν χρόνον.

Εἰπὼν διχῶς διαιρετὴν εἶναι πᾶσαν κίνησιν, ἕνα μὲν τρόπον τῷ χρόνῳ, ἄλλον δὲ κατὰ τὸ κινούμενον μέγεθος, καὶ δείξας κατὰ τρεῖς τρόπους ὅτι κατὰ τὸ κινούμενον μέγεθος διαιρετή ἐστι, συντόμως καὶ σαφῶς δείκνυσιν, ὅτι καὶ κατὰ χρόνον διαιρετή ἐστιν ἡ κίνησις. πᾶσα γὰρ κίνησις ἐν χρόνῳ. χρόνος

δὲ πᾶς διαιρετός. καὶ ἐν μὲν τῷ ἡμίσει τοῦ χρόνου τὸ ἥμισυ κινεῖται τὸ ὁμαλῶς κινούμενον. ἐν δὲ τῷ τρίτῳ τὸ τρίτον. καὶ ὅλως ἐν μὲν τῷ πλείονι πλέον, ἐν δὲ τῷ ἐλάττονι ἔλαττον. εἰ δὲ ἐν μὲν τῷ πλείονι χρόνῳ πλείων κίνησις. ἐν δὲ τῷ ἐλάττονι ἔλαττον, καὶ κατὰ τὸν αὐτὸν λόγον, πᾶσα ἄρα κίνησις διαιρεῖται κατὰ τὸν χρόνον. εἴη δὲ ἄν φησιν ὁ Ἀλέξανδρος, ἡ μὲν κατὰ χρόνον γινομένη διαίρεσις τῆς κινήσεως, ὥσπερ κατὰ μῆκος. ἡ δὲ κατὰ μέρη τοῦ κινουμένου, ὥσπερ ἂν εἴη κατὰ πλάτος. καὶ γὰρ ὁ μὲν χρόνος κατὰ γραμμὴν πρόεισιν, οὐδὲν ἐμφαίνων πλάτος. τὸ δὲ κινούμενον πλάτος ἔχον, ὡς ἐπὶ ἐπιφανείας κινεῖται, ἀλλ' οὐχ ὡς ἐπὶ γραμμῆς.

ΕΠΕΙ ΔΕ πᾶν τὸ κινούμενον, ἔν τινι κινεῖται καὶ χρόνον τινὰ καὶ παντὸς κινουμένου ἐστὶ κίνησις, ἀνάγκη τὰς αὐτὰς εἶναι διαιρέσεις, τοῦ τε χρόνου καὶ τῆς κινήσεως, καὶ τοῦ κινεῖσθαι καὶ τοῦ κινουμένου, καὶ ἐν ᾧ ἡ κίνησις. πλὴν οὐ πάντων ὁμοίως ἐν οἷς ἡ κίνησις. ἀλλὰ τοῦ μὲν ποσοῦ καθ' αὑτό. τοῦ δὲ ποιοῦ, κατὰ συμβεβηκός. εἰλήφθω γὰρ ὁ χρόνος ἐν ᾧ κινεῖται ἐφ' ᾧ α. καὶ ἡ κίνησις, ἐφ' ᾧ β. εἰ οὖν τὴν ὅλην ἐν τῷ παντὶ χρόνῳ κεκίνηται, ἐν τῷ ἡμίσει, ἐλάττω. καὶ πάλιν τούτου διαιρεθέντος, ἐλάττω ταύτης. καὶ ἀεὶ οὕτως. ὁμοίως δὲ καὶ εἰ ἡ κίνησις διαιρετή, καὶ ὁ χρόνος διαιρετός. εἰ γὰρ τὴν ὅλην ἐν τῷ παντί, τὴν ἡμίσειαν ἐν τῷ ἡμίσει. καὶ πάλιν τὴν ἐλάττονα ἐν τῷ ἐλάττονι.

Δ Δείξας τὰ συνεχῆ πάντα τό, τε μέγεθος τὸ κινούμενον, καὶ τὸ καθ' ὃ ἡ κίνησις, εἴτε κατὰ τόπον, εἴτε κατὰ ποιότητα ἢ ποσότητα, καὶ τὴν κίνησιν, καὶ τὸ κινεῖσθαι, καὶ τὸν χρόνον, διαιρετὰ εἶναι εἰς ἀεὶ διαιρετά, καὶ μηδὲν ἐξ ἀδιαιρέτων, νῦν δείκνυσιν ὅτι πάντων τούτων αἱ αὐταὶ διαιρέσεις εἰσί. καὶ ὁμοίως πάντα συνδιαιρεῖται ἀλλήλοις. τὸ δὲ καὶ παντός ἐστιν ἡ κίνησις, ἢ ἐλλείπει τοῦ κινουμένου. ἵνα ᾖ, παντὸς τοῦ κινουμένου ἐστὶ κίνησις. ὅπερ εἶπε πρότερον, ὅτι πᾶσα κίνησις τινός ἐστιν, τοῦ κινουμένου δηλονότι. τούτου γὰρ καὶ τὸ καθ' ὃ ἡ κίνησις, καὶ ὁ χρόνος ἐν ᾧ κινεῖται. ἢ παντός ἐστι κίνησις, διότι τὸ κινούμενον καθ' αὑτὸ ὅλον ὂν καὶ πᾶν κινεῖται. καὶ τὸ ἔν τινι δὲ τὸ καθ' ὃ ἡ κίνησις δηλοῖ, τό, τε κατὰ τόπον, καὶ τὸ κατὰ ποσόν, καὶ τὸ κατὰ ποιόν. εἰπὼν οὖν τὴν αὐτὴν εἶναι τούτων πάντων διαίρεσιν, ἐπειδὴ τὸ ποιὸν δοκεῖ μὴ διαιρεῖσθαι κατ' αὑτὸ τὴν εἰς μέρη διαίρεσιν, ὅτι μὴ δὲ ποσόν ἐστι, διὰ τοῦτο προσέθηκεν, ὅτι οὐχ ὁμοίως πάντα διαιρεθήσεται τὰ καθ' ἃ ἡ κίνησις γίνεται. ὁ μὲν γὰρ τόπος καθ' ὃν ἡ κατὰ τόπον κίνησις, καὶ τὸ μέγεθος καθ' ὃ ἡ αὔξησις καὶ μείωσις, ποσὰ ὄντα, καθ' αὑτὰ διαιρεθήσεται. τὸ δὲ ποιὸν καθ' ὃ ἡ ἀλλοίωσις οὐκέτι καθ' αὑτό, ἀλλὰ κατὰ συμβεβηκὸς διαιρεῖται. τῷ γὰρ τὸ σῶμα διαιρεῖσθαι, ἐν ᾧ τὸ ποιόν, τούτῳ καὶ αὐτὸ τὸ ποιὸν διαιρεθήσεται. θεὶς δὲ τὸ τοῦ μὲν τόπου καθ' αὑτὸ εἶναι τὴν διαίρεσιν, οὐκέτι προσέθηκε τὸ καὶ τοῦ μεγέθους, καθ' ὃ ἡ κατὰ αὔξησιν καὶ μείωσιν κίνησις. ἀλλ' ὡς γνώριμον τοῦτο παρείς, ἐπήγαγε τοῦ δὲ ποιοῦ κατὰ συμβεβηκός. ἢ δεῖ φησιν ὁ Ἀλέξανδρος γεγράφθαι. ἀντὶ τοῦ μὲν τόπου καθ' αὑτό, τὸ τοῦ μὲν ποσοῦ καθ' αὑτό. οὕτως γὰρ περὶ τόπου τε ἂν καὶ περὶ μεγέθους ἔλεγε. ποσὸν γὰρ ἑκάτερον. ταῦτα οὖν προθείς, μετὰ ταῦτα δείκνυσιν αὐτά. καὶ πρῶτον ὅτι τῷ χρόνῳ συνδιαιρεῖται ἡ κίνησις. καὶ ἀνάπαλιν, ὅτι τῇ κινήσει ὁ χρόνος. εἰ γὰρ ἐν τῷ α χρόνῳ τι ὅλην τὴν β κινεῖται, δῆλον ὡς τὸ ὁμαλῶς κινούμενον ἐν τῷ ἡμίσει τοῦ α χρόνου, τὴν ἡμίσειαν τῆς β κινήσεως κινηθήσεται. καὶ ἀεὶ τῇ τοῦ χρόνου διαιρέσει συνδιαιρεθήσεται κατὰ τὰ αὐτὰ καὶ ἡ κίνησις. ἀνάπαλιν δὲ εἰ ἡ κίνησις διαιρετή, καὶ ὡς διαιρετή, τοῦτο γὰρ νῦν μάλιστα δείκνυται, καὶ τὸν χρόνον οὕτως ἀνάγκη διαιρετὸν εἶναι. εἰ γὰρ ὅλην τὴν β κίνησιν ἐν τῷ α παντὶ χρόνῳ κεκίνηταί τι, καὶ τὴν ἡμίσειαν ἐν τῷ ἡμίσει, καὶ τὴν ἐλάττονα ἀεὶ ἐν τῷ ἐλάττονι κινηθήσεται χρόνῳ.

ΤΟΝ ΑΥΤΟΝ δὲ τρόπον, καὶ τὸ κινεῖσθαι διαιρεθήσεται. ἔστω γὰρ ἐφ' ᾧ γ, τὸ κινεῖσθαι. κατὰ δὴ τὴν ἡμίσειαν κίνησιν, ἔλαττον ἔσται τοῦ ὅλου. καὶ πάλιν κατὰ τὴν τῆς ἡμισείας, ἡμίσειαν. καὶ εἰ ἀεί, οὕτως. ἔστι δὲ καὶ ἐκθέμενον τὸ, καθ' ἑκατέραν τῶν κινήσεων κινεῖσθαι. οἷον, κατά τε τὴν δγ καὶ τὴν γε λέγειν, ὅτι τὸ ὅλον ἔσται κατὰ τὴν ὅλην. εἰ γὰρ ἄλλο, πλείω ἔσται κινεῖσθαι κατὰ τὴν αὐτὴν κίνησιν. ὥσπερ ἐδείξαμεν καὶ τὴν κίνησιν διαιρετὴν εἰς τὰς τῶν μερῶν κινήσεις οὕτως. ληφθέντος γὰρ τοῦ κινεῖσθαι, καθ' ἑκατέραν, συνεχὲς ἔσται τὸ ὅλον.

Δ Δείξας τὸν χρόνον καὶ τὴν κίνησιν ἀλλήλοις ὁμοίως διαιρούμενα, δείκνυσιν ὅτι καὶ τὸ κινεῖσθαι, ὅ ἐστιν ἐνέργεια κατὰ τὴν κίνησιν ἢ πάθος, ὁμοίως τῇ κινήσει διαιρεῖται. εἰ γὰρ τὸ κινεῖσθαι παρουσίᾳ κινήσεώς ἐστι, δηλονότι τῇ μὲν τῆς πλείονος κινήσεως παρουσίᾳ πλεῖον τὸ κινεῖσθαι, τῇ δὲ τῆς ἐλάττονος ἔλαττον. ὥστε συνδιαιρεθήσεται τῇ κινήσει τὸ κινεῖσθαι, ἧς παρουσίᾳ ἐστιν. εἰ γὰρ τὸ γ ἐστὶ τὸ κινεῖσθαι ὅλον, ἡ δὲ αδ κίνησις, ἧς παρουσίᾳ ἐστὶ τῷ γ τὸ κινεῖσθαι, κατὰ τὴν ἡμίσειαν τῆς αδ τὴν αβ κίνησιν ἔλαττον ἔσται τὸ κινεῖσθαι. τὸ γὰρ ἥμισυ τοῦ γ. ὡσαύτως κἂν τὴν ἡμίσειαν τῆς αβ κινήσεως λάβωμεν, κατὰ ταύτην ἥμισυ τοῦ ἡμίσεος κινεῖσθαι ἔσται. καὶ ἀεὶ οὕτω διαιροῦντες τὴν κίνησιν, τῇ αὐτῇ διαιρέσει καὶ τὸ κινεῖσθαι διαιρήσομεν. οὕτω μὲν οὖν ἔδειξεν, εἰ τὸ ὅλον κινεῖσθαι τῇ τῆς ὅλης κινήσεως παρουσίᾳ γίνεται, καὶ τὰ μέρη τοῦ κινεῖσθαι κατὰ τὰ αὐτὰ μέρη τῆς κινήσεως διαιρεῖται. ἐφεξῆς δὲ δι' ἐκθέσεως τὸ ἀνάπαλιν δείκνυσιν. ὅτι εἰ τὰ μόρια τοῦ κινεῖσθαι τῇ τῶν μορίων τῆς κινήσεως παρουσίᾳ

συνδιῄρηται,

συνδιῄρηται, καὶ τὸ ὅλον κινεῖσθαι τῇ τῆς ὅλης κινήσεως παρουσίᾳ γενήσεται. ἔστω γὰρ ἡ ὅλη κί-
νησις ἡ δε διῃρημένη κατὰ τὸ γ. καὶ τοῦ μὲν γδ μέρους αὐτῆς ἡ ἐνέργεια καὶ τὸ κινεῖσθαι ἔστω
τὸ ζη. τοῦ δὲ γε τοῦ ἑτέρου τῆς κινήσεως μέρους τὸ κινεῖσθαι ἔστω τὸ ηθ. ὥστε τὸ ζθ ὅλον τὸ
κινεῖσθαι κατὰ τὴν ὅλην κίνησιν τὴν δε γίνεσθαι. εἰ δὲ λέγοι τις τῆς ὅλης δε κινήσεως, μὴ τὸ
ζθ εἶναι τὸ κινεῖσθαι, ἀλλ' ἢ τὸ ζη ἢ ηθ, ἢ ἄλλο τι παρὰ ταῦτα, οὐκ ὀρθῶς ἐρεῖ. τοῦ μὲν γὰρ
ζη κινεῖσθαι, ἡ δγ κίνησις ἦν. τοῦ δὲ ηθ ἡ γε. οὐδετέρα δὲ ἡ ὅλη ἡ δε. εἰ δὲ ἄλλου τινός, πλείω
ἔσται κινεῖσθαι κατὰ τὴν αὐτὴν κίνησιν. ὅπερ ἀδύνατον. μιᾶς γὰρ κινήσεως τῷ ἀριθμῷ, ἓν τὸ κινεῖ-
σθαι. τὸ δὲ ὥσπερ ἐδείξαμεν καὶ τὴν κίνησιν διαιρετὴν εἰς τὰς τῶν μερῶν κινήσεις εἶπε, διότι πρὸ
ὀλίγου δεικνύς, ὅτι ἡ κίνησις συνδιαιρεῖται τοῖς τοῦ κινουμένου κατ' αὐτὴν μέρεσιν, ἔλεγε καὶ ἐκεῖ,
ὡς εἰ μὴ ἡ ἐκ τῶν μερῶν τῆς ὅλης συγκειμένη κίνησις εἴη ὅλου τοῦ κινουμένου, ἀλλ' ἄλλη τις, ἄτοπον
ἀκολουθήσει, τὸ πλείους εἶναι τοῦ αὐτοῦ κινήσεις. τά τε γὰρ μόρια τῆς πρώτης ληφθείσης κινήσεως
ἔσονται τοῦ αὐτοῦ κινήσεις, καὶ τὰ τῆς δευτέρας τῆς ὑποτεθείσης εἰ εἴη ἄλλη. καὶ οὕτως ἅμα ἂν εἴη
τὰς δύο κινούμενον. δείξας δὲ τὸ ἑπόμενον ἄτοπον, ἂν μὴ τὸ ὅλον κινεῖσθαι παρουσίᾳ τῆς ὅλης κι-
νήσεως λέγῃ τις γίνεσθαι, ἧς τῇ τῶν μερῶν παρουσίᾳ τὰ τοῦ κινεῖσθαι μέρη ἔκειτο γινόμενα, πῶς ὅλον
τὸ κινεῖσθαι ἔσται παρουσίᾳ τῆς ὅλης κινήσεως λέγει. εἰ γὰρ ληφθείη καθ' ἑκάτερον μόριον τῆς κινήσεως
οὔσης συνεχοῦς τὸ κινεῖσθαι, καὶ τοῦτο ὁμοίως τῇ κινήσει συνεχὲς ἂν δεικνύοιτο κατ' αὐτὴν γινόμενον.

ὩΣΑΥΤΩΣ δὲ δειχθήσεται καὶ τὸ μῆκος διαιρετόν. καὶ ὅλως πᾶν ἐν ᾧ ἐστιν ἡ μεταβολή. πλὴν
ἔνια, κατὰ συμβεβηκός. ὅτι τὸ μεταβάλλον ἐστὶ διαιρετόν. ἑνὸς γὰρ διαιρουμένου, πάντα διαιρεθή-
σεται. καὶ ἐπὶ τοῦ πεπερασμένα εἶναι ἢ ἄπειρα ὁμοίως ἕξει κατὰ πάντων.

ὯΣΠΕΡ ὁ χρόνος φησὶν ἐδείχθη καὶ ἡ κίνησις καὶ τὸ κινεῖσθαι ταῖς αὐταῖς διαιρέσεσι διαιρούμενα, οὕτω
δειχθήσεται τοῖς προειρημένοις συνδιαιρούμενον τὸ καθ' ὃ ἡ κίνησις γίνεται. εἰ μὲν κατὰ τόπον ἡ κί-
νησις, τὸ μῆκος. εἰ δὲ κατὰ ποσότητα ὡς αὔξησις καὶ μείωσις, τὸ μέγεθος. εἰ δὲ κατὰ ποιότητα ἡ ποιό-
της. ὅτι γὰρ ἂν διαιρεθῇ τούτων, καὶ τὰ ἄλλα πάντα τῇ αὐτῇ διαιρέσει συνδιαιρεθήσεται. εἰ γὰρ
ἐν ὅλῳ τινὶ χρόνῳ ὅλην τινὰ κίνησιν κινοῖτό τι, ἢ κατὰ τὸ ποιόν, ἢ κατὰ τὸ ποσόν, ἢ κατὰ τόπον,
διαιρεθέντος τοῦ χρόνου εἰς ἥμισυ ἢ τρίτον ἢ ἄλλο τι μόριον, καὶ ἡ κίνησις καὶ τὸ καθ' ὃ ἡ κίνησις εἰς τὰ
αὐτὰ μόρια διαιρεθήσεται. ἡ μέντοι ποιότης εἰ κατὰ ποιότητα ἡ κίνησις εἴη. οὐ καθ' αὑτὸ διαιρεθή-
σεται. ἀλλὰ κατὰ συμβεβηκός. οὐ γὰρ καθὸ ποιότης. ἀλλὰ καθὸ τὸ ἀλλοιούμενον καὶ μεταβάλλον
κατὰ ποιότητα, ποσόν ἐστι. τῷ γὰρ τούτου τὸ ἥμισυ ἐν τῷ ἡμίσει χρόνῳ ἀλλοιοῦσθαι, καὶ τὸ καθ' ὃ ἡ
ἀλλοίωσις γίνεται, εἰς ἥμισυ διαιρεῖται. τοῦ γὰρ ἐν τῷ ὅλῳ ποιοῦ ἥμισυ, τὸ ἐν τῷ ἡμίσει τοῦ ὅλου.
καὶ τὸ κινούμενον δὲ ὁμοίως διαιρεθήσεται τοῖς εἰρημένοις, ὡς εἶπεν ἐν τοῖς πρώτοις. εἰ γὰρ ὅλον ἐν
τῷ ὅλῳ χρόνῳ, ἔσται τὸ ἥμισυ αὐτοῦ ἐν τῷ ἡμίσει κινούμενον. ἀλλ' ἐπὶ μὲν τῶν βίᾳ κατὰ τόπον κι-
νουμένων, συνδιαιρεῖται τὸ κινούμενον τῷ χρόνῳ. τὸ γὰρ πλεῖον μέγεθος τὸ αὐτὸ διάστημα ἐν πλείο-
νι χρόνῳ κινεῖται βίᾳ, καὶ τὸ ἔλαττον ἐν ἐλάττονι. ἐπὶ δὲ τῆς κατὰ φύσιν γινομένης κινήσεως, πῶς
τοῦτο ὑγιές ἐστιν. ἀνάπαλιν γὰρ ἐν τοῖς κατὰ φύσιν κινουμένοις, τὸ μέρος τοῦ ὅλου, καὶ τὸ ἔλαττον τοῦ
πλείονος ἐν πλείονι χρόνῳ κινεῖται. ἢ καὶ ἐπὶ τούτων σώζεται μὲν τὸ ἀνάλογον, τῷ χρόνῳ διαι-
ρεῖσθαι τὸ μέγεθος, καὶ τῷ μεγέθει τὸν χρόνον. ἀλλ' ἀνάπαλιν, καὶ οὐχ ὁμοίως τῆς ἀναλογίας γινο-
μένης. ἡ μὲν γὰρ τοῦ μεγέθους διαίρεσις τοῦ κατὰ φύσιν κινουμένου, τὸν χρόνον αὐξήσει κατὰ τὴν ἀνα-
λογίαν τῆς διαιρέσεως. ὅσῳ γὰρ ἂν ἔλαττον ᾖ τὸ κινούμενον κατὰ φύσιν, τοσούτῳ πλείων ὁ χρόνος ἐν
ᾧ κινεῖται. ἡ δὲ τοῦ χρόνου πάλιν διαίρεσις, τὸ μέγεθος αὐξήσει κατὰ τὴν ἀναλογίαν τῆς ἰδίας διαι-
ρέσεως. ὅσῳ γὰρ ἂν ἐλάττων ὁ χρόνος, τοσούτῳ μεῖζον τὸ κατὰ φύσιν κινούμενον μέγεθος τὴν αὐτὴν
κίνησιν τῷ ἐλάττονι. ὥστε ἀνάπαλιν ἔχειν τὴν ἀναλογίαν ἐπί τε τῶν κατὰ φύσιν, καὶ ἐπὶ τῶν παρὰ
φύσιν κινουμένων κατὰ τόπον. δείξας δὲ ὅτι ὁμοίως ἀλλήλοις πάντα τὰ εἰρημένα διαιρεῖται, ὁμοίως
ἔχειν φησὶ καὶ ἐπὶ τοῦ πεπερασμένα εἶναι ἢ ἄπειρα, τὰ ἐκ τῆς διαιρέσεως αὐτῶν γινόμενα μόρια.
πῶς δέ ἐστιν ἐν αὐτοῖς τὸ ἄπειρον, καὶ ὅτι κατὰ τὸ ἐπ' ἄπειρον, ἐν τοῖς ἐφεξῆς αὐτὸς διαρθρώσει.

ἨΚΟΛΟΥΘΗΚΕ δὲ μάλιστα τὸ διαιρεῖσθαι πάντα καὶ ἄπειρα εἶναι, ἀπὸ τοῦ μεταβάλλοντος.
εὐθὺς γὰρ ἐνυπάρχει τῷ μεταβάλλοντι, τὸ διαιρετὸν καὶ τὸ ἄπειρον. τὸ μὲν οὖν διαιρετόν, δέδεικται
πρότερον. τὸ δ' ἄπειρον ἐν τοῖς ἑπομένοις ἔσται δῆλον.

ΛΟΙΠΟΥ ὄντος τοῦ δεῖξαι, ὅτι καὶ τὸ κινούμενον. ὅπερ ἤδη δέδεικται διαιρετόν, ὁμοίως διαιρεῖται τοῖς
ἄλλοις, ἐκ περιουσίας τοῦτο δείκνυσιν, ὅτι καὶ τὰ ἄλλα πάντα τὰ διαιρούμενα τῇ πρὸς τὸ κινούμενον
ἀκολουθίᾳ διαιρεῖται. οὔτε γὰρ ὁ χρόνος, οὔτε ἡ κίνησις, οὔτε τὸ κινεῖσθαι, οὔτε ὁ τόπος, ἢ μέγεθος, ἢ ποιότης,
ἴσα ὅλα τε τοῦ κινουμένου καὶ μόρια αὐτοῦ. εἰκότως δὲ ἀπὸ τούτου τοῖς ἄλλοις ὑπάρχει ἡ διαίρεσις, διότι
τὰ λοιπὰ ἢ τούτου ἐστίν, ἢ τοῦ τούτου. τὸ μὲν γὰρ μῆκος, τοῦ σώματος. καὶ ἡ κίνησις, καὶ τὸ μέγεθος καὶ ἡ ποιό-
της. ὁ δὲ χρόνος τῆς κινήσεως. ἡ μέντοι ποιότης ἐναργέστερον τὸ ᾗ διαιρετὴ ἀπὸ τοῦ μεγέθους ἔχει τοῦ κινου-
μένου. τὸ γὰρ ποιὸν οὔτε συνεχὲς οὔτε διαιρετὸν καθ' αὑτό. προσθεὶς δὲ ὅτι καὶ τὸ ἄπειρον ὁμοίως ἔχει πάντα,

ἀπὸ τοῦ μεγέθους ἀρξάμενα τοῦ κινουμένου, τὸ μὲν ὅτι τὸ διαιρετὸν ὁμοίως ἔχει πάντα, δεδεῖχθαί φησιν. τοῦτο γὰρ ἐστὶν ὃ προσεχῶς ἔδειξε. πῶς δὲ τὸ ἄπειρον ἐν αὐτοῖς, καὶ πῶς ὁμοίως ἐν πᾶσιν, ὕστερον δειχθήσεται. ζητεῖ δὲ πάλιν ὁ Ἀλέξανδρος, πῶς ἡ κατὰ ἀλλοίωσιν κίνησις τὴν διαίρεσιν, κατὰ τὴν τοῦ κινουμένου μεγέθους διαίρεσιν ἔχει, εἴπερ τινὰ καὶ ἀθρόως μεταβάλλει, ὥσπερ αὐτός φησι πρὸς Μέλισσον ἀντιτεινόμενος, ἐν τῷ πρώτῳ ταύτης τῆς πραγματείας. ἐνταῦθα δὲ καὶ ἐφιστάνει ὁ Ἀλέξανδρος, ὅτι κἂν μὴ πᾶν ἀλλὰ μέρος τι αὐτοῦ ἀθρόον μεταβάλλῃ, οὐκέτι τῇ τοῦ μορίου διαιρέσει τούτου συνδιαιροῖτο ἄν, οὔτε ἡ κίνησις οὔτε ὁ χρόνος. καὶ ἐπικρίνει λέγων. ἢ οὐ πᾶσι τοῖς μορίοις αὐτοῦ συνδιαιρεῖται, ἀλλὰ τοῖς ὡς κινουμένου καθὸ κινεῖται.

Ε ἘΠΕΙ ΔῈ πᾶν τὸ μεταβάλλον, ἔκ τινος εἴς τι μεταβάλλει, ἀνάγκη τὸ μεταβεβληκὸς ὅτε πρῶτον μεταβέβληκεν, εἶναι ἐν ᾧ μεταβέβληκε. τὸ γὰρ μεταβάλλον, ἐξ οὗ μεταβάλλει, ἐξίσταται ἢ ἀπολείπει αὐτό. καὶ ἤτοι ταὐτόν ἐστι τὸ μεταβάλλειν καὶ τὸ ἀπολείπειν, ἢ ἀκολουθεῖ τῷ μεταβάλλειν τὸ ἀπολείπειν. τῷ δὲ μεταβεβληκέναι, τὸ ἀπολελοιπέναι. ὁμοίως γὰρ ἑκάτερον ἔχει πρὸς ἑκάτερον. ἐπεὶ οὖν μία τῶν μεταβολῶν ἡ κατ᾽ ἀντίφασιν, ὅτε μεταβέβληκεν ἐκ τοῦ μὴ ὄντος εἰς τὸ ὄν, ἀπολέλοιπε τὸ μὴ ὄν, ἔσται ἄρα ἐν τῷ ὄντι. πᾶν γὰρ ἀνάγκη ἢ εἶναι, ἢ μὴ εἶναι. φανερὸν οὖν ὅτι ἐν τῇ κατ᾽ ἀντίφασιν μεταβολῇ, τὸ μεταβεβληκὸς ἔσται ἐν ᾧ μεταβέβληκεν. εἰ δ᾽ ἐν ταύτῃ καὶ ἐν ταῖς ἄλλαις. ὁμοίως γὰρ ἐπὶ μιᾶς καὶ τῶν ἄλλων.

Τ ὃ προκείμενόν ἐστι δεῖξαι, ὅτι τὸ μεταβεβληκὸς ὅτε πρῶτον μεταβέβληκεν, εἰς ὃ μεταβέβληκεν, ἀνάγκη ἐν τούτῳ εἶναι εἰς ὃ μεταβέβληκεν. οὐ γὰρ ἁπλῶς τὸ μεταβεβληκὸς ἀνάγκη ἤδη εἶναι ἐν τῷ εἰς ὃ μετέβαλλεν. εἰ γάρ τι μεταβάλλον ἐκ μέλανος εἰς λευκὸν εἴη ἐν τῷ φαιῷ, τοῦτο μεταβεβληκὸς μὲν ἔσται ἐκ τοῦ μέλανος. οὔπω μέντοι μεταβεβληκὸν εἰς τὸ λευκὸν εἰς ὃ μετέβαλλεν, δι᾽ ὃ οὐδὲ ἐν τῷ λευκῷ ἐστί πω εἰς ὃ μετέβαλλεν. τὸ δὲ πρῶτον πρόσκειται τῷ μεταβέβληκε, διότι οὕτως ἀληθεύει ὁ λόγος. τὸν γὰρ ἐλθόντα ἀθλώαζε, ὅτε πρῶτον ἐλήλυθεν ἐν ἀθλώαις εἶναι ἀνάγκη. τὸν μέντοι πέρυσιν ἐληλυθότα ἀθλώαζε, οὐκέτι ἀναγκαῖον νῦν εἶναι ἐν ἀθλώαις. τότε δὲ ἦν, ὅτε πρώτως ἐλήλυθε. τὸ μὲν οὖν πρόβλημα τοιοῦτον. προλαβὼν δὲ ὡς ἐναργές, ὅτι τὸ μεταβάλλον πᾶν ἔκ τινος εἴς τι μεταβάλλει, δείκνυσι τὸ προκείμενον ἀπό τε τῆς τῶν ὀνομάτων μεταλήψεως, καὶ ἀπὸ τῆς ἐναργῶς τοῦτο ἐχούσης μεταβολῆς κατὰ γένεσιν καὶ φθοράν. ἡ μὲν οὖν μετάληψις ἐγένετο τοῦ μεταβάλλειν εἰς τὸ ἀπολείπειν. ἢ γὰρ ταὐτόν ἐστι τὸ μεταβάλλειν καὶ τὸ ἀπολείπειν. ἢ ἀκολουθεῖ τῷ μεταβάλλειν τὸ ἀπολείπειν. εἰ δὲ ταῦθ᾽ οὕτως ἔχει πρὸς ἄλληλα, ὥστε ἢ τὰ αὐτὰ εἶναι, ἢ τὸ ἕτερον τῷ ἑτέρῳ ἀκολουθεῖν, δηλονότι καὶ τὸ μεταβεβληκέναι καὶ ἀπολελοιπέναι οὕτως ἕξει πρὸς ἄλληλα. ὥστε ἢ τὰ αὐτὰ εἶναι. ἢ ἕπεσθαι τῷ μεταβεβληκέναι τὸ ἀπολελοιπέναι. τούτου δὲ προειλημμένου, φανερὸν ὅτι ἐπεὶ καὶ κατὰ γένεσιν καὶ φθορὰν μεταβολή ἐστιν ἐκ τοῦ μὴ ὄντος εἰς τὸ ὄν, οὐκοῦν τὸ γεγονέναι. τὸ μεταβεβληκέναι ἐστὶν ἐκ τοῦ μὴ ὄντος. τὸ δὲ μεταβεβληκέναι, τὸ ἀπολελοιπέναι ἐστὶ τὸ μὴ ὄν. τὸ δὲ ἀπολελοιπέναι τὸ μὴ ὄν, ἐν ὄντι πάντως ἐστίν. οὐδὲν γὰρ μεταξὺ τοῦ εἶναι καὶ μὴ εἶναι, καὶ τῆς ἀντιφάσεως. καὶ ἡ μεταβολὴ δὲ εἰς τὸ ὂν ἐγίνετο αὐτῷ. δείξας δὲ ἐπὶ τῆς γενέσεως τὸ προκείμενον, ἐπήγαγεν, ὅτι εἰ ἐν ταύτῃ τῇ μεταβολῇ οὕτως ἔχει, καὶ καθόλου ἐν πάσαις ἀληθές, ὅτι πᾶν τὸ μεταβεβληκὸς ὅτε πρῶτον μεταβέβληκεν, ἔστιν ἐν τῷ εἰς ὃ μετέβαλλε. τοῦτο δὲ ἀληθὲς ἐξ ὑποθέσεως τῆς λεγούσης, ὅτι ὁμοίως ἐπί τε μιᾶς μεταβολῆς ὁποιασοῦν, καὶ ἐπὶ τῶν ἄλλων ἔχει τὸ εἰρημένον.

ἜΤΙ ΔῈ καὶ καθ᾽ ἑκάστην λαμβάνουσι, φανερόν, εἴπερ ἀνάγκη τὸ μεταβεβληκὸς εἶναί που, ἐξ οὗ μεταβέβληκεν, ἢ ἔν τινι. ἐπεὶ γὰρ ἐξ οὗ μεταβέβληκεν ἀπολέλοιπεν, ἀνάγκη δὲ εἶναί που, ἢ ἐν τούτῳ, ἢ ἐν ἄλλῳ ἔσται. εἰ μὲν οὖν ἐν ἄλλῳ οἷον ἐν τῷ γ τὸ εἰς τὸ β μεταβεβληκός, πάλιν ἐκ τοῦ γ μεταβάλλει εἰς τὸ β. οὐ γὰρ ἦν ἐχόμενον τῷ β. ἡ γὰρ μεταβολή, συνεχής. ὥστε τὸ μεταβεβληκὸς ὅτε μεταβέβληκε, μεταβάλλει εἰς ὃ μεταβέβληκε, τοῦτο ἀδύνατον. ἀνάγκη ἄρα τὸ μεταβεβληκὸς εἶναι ἐν τούτῳ, εἰς ὃ μεταβέβληκε. φανερὸν οὖν ὅτι καὶ τὸ γεγονός, ὅτε γέγονεν ἔσται. καὶ τὸ ἐφθαρμένον οὐκ ἔσται. καθόλου τε γὰρ εἴρηται περὶ πάσης μεταβολῆς. καὶ μάλιστα δῆλον, ἐν τῇ κατὰ ἀντίφασιν. Ὅτι μὲν τοίνυν τὸ μεταβεβληκὸς ὅτε μεταβέβληκε πρῶτον ἐν ἐκείνῳ ἐστὶ δῆλον.

Α ἀξιώσας ὡς ἐπὶ τῆς γενέσεως ἔχει, οὕτως ἔχειν καὶ ἐπὶ τῶν ἄλλων μεταβολῶν τὸ μεταβεβληκός, εἶναι γὰρ ἐν ἐκείνῳ τὸ μεταβεβληκὸς εἰς ὃ μετέβαλλεν, νῦν καὶ ἐφ᾽ ἑκάστης μεταβολῆς πειρᾶται αὐτὸ τοῦτο δεικνύναι οὕτως ἔχον. καὶ χρῆται δείξει καθολικῇ, ἐπὶ πάσης μεταβολῆς ἁρμόσαι δυναμένῃ. ἅμα δὲ διὰ ταύτης τῆς ἀποδείξεως καὶ ἔνστασιν λύει φερομένην πρὸς τὴν προτέραν ἀπόδειξιν. εἴποι γὰρ ἄν τις ὅτι τὸ μεταβεβληκὸς κἂν ἀπολέλοιπεν ἐκεῖνο ἐξ οὗ μεταβάλλει, δύναται μὴ πόρρω εἶναι ἐν τοῖς εἰς ἃ μεταβάλλει, ἀλλ᾽ ἐν μεταξύ τινι. ἔστι γὰρ ἐν ταῖς πλείσταις μεταβολαῖς τὸ μεταξύ. καὶ οὐκ ἐχρῆν ἀπὸ τῶν κατὰ τὴν ἀντίφασιν μεταβολῶν τῶν μὴ ἐχουσῶν τι μεταξύ, καὶ τὰς ἄλλας μεταβολὰς κανονίζειν, ἐν αἷς ἐστι τὸ μεταξύ. λύει οὖν καὶ ταύτην τὴν ἔνστα-

σιν διὰ τούτου τοῦ ἐπιχειρήματος. εἰ γὰρ ἀνάγκη τὸ μεταβεβληκὸς εἶναί που, εἶτα ἵνα μή τις τὸ ποῦ
ἐπὶ διαθέσεως ἀκούσῃ τινὸς ὡς εἴρηται, ἀλλ᾽ ἐπὶ τόπου, ὅπερ δοκεῖ σημαίνειν τὸ ποῦ, προσέθηκε
τὸ ἢ ἔν τινι ὅπερ κοινότερον δοκεῖ, εἰ οὖν τὸ μεταβεβληκὸς ἀναγκαῖον εἶναι ἔν τινι, ἢ τόπῳ, ἢ μεγέ-
θει, ἢ πάθει. ἢ τῷ ἑτέρῳ μέρει τῆς ἀντιφάσεως, ἀπολέλοιπε δὲ τὸ ἐξ οὗ μεταβάλλει, ἢ ἐν τούτῳ ἔσται
εἰς ὃ μετέβαλλεν. ἢ εἰ ἐν ἄλλῳ τινὶ ὄν τι παρὰ τοῦτο εἰς ὃ μετέβαλλεν, μεταβάλλοι ἂν ἔτι εἰς ὃ ἐλέγε-
το μεταβεβληκέναι, καὶ οὐ μεταβεβληκὸς εἴη. οὐ γὰρ ἄνευ μεταβολῆς ἀπὸ τούτου ἐν ᾧ ὑπόκειται
εἶναι, ἔσται εἰς ἐκεῖνο εἰς ὃ ἔκειτο μεταβάλλειν. διάστημα γάρ τι πάντως ἔσται ἀπὸ τούτου εἰς ἐκεῖνο.
οὐ γὰρ ἅμα ἐστὶ ταῦτα παρακείμενα ἀλλήλοις, ὡς δύνασθαι ἀπὸ τούτου εἰς ἐκεῖνο μεταβεβληκέναι
χωρὶς τοῦ μεταβάλλειν. εἰ γὰρ συνεχὴς ἡ μεταβολὴ ἡ ἀπὸ τοῦ α ἐπὶ τὸ β, εἰς ὃ μεταβάλλει,
ἀνάγκη ἐστὶ μήπω ὂν ἐν τῷ β, μεταβάλλειν ἐπ᾽ αὐτό. εἰς γὰρ τοῦτο ἔκειτο μεταβάλλειν. εἰ δὲ
μὴ συνεχὴς ἡ ἐπὶ τὸ β μεταβολή, οὐδὲ τὴν ἀρχὴν εἰς τοῦτο μετέβαλλεν, ἀλλ᾽ εἰς ἐκεῖνο ἐν ᾧ πρῶ-
τον πέπαυται τῆς μεταβολῆς. ὥστε εἰ μήπω ἐστὶ τὸ μεταβεβληκὸς ἐν τῷ β, ἔτι ἂν εἰς αὐτὸ με-
ταβάλλοι, εἰς ὅπερ μετέβαλλεν. ὅπερ ἀδύνατον. ἀδύνατον ἄρα τὸ μεταβεβληκὸς ἐν ἄλλῳ τινὶ
εἶναι, ἢ ἐν ἐκείνῳ εἰς ὃ μετέβαλλεν, δύναται δέ φησιν ὁ Ἀλέξανδρος διὰ τοῦ συνεχὴς δὲ ἡ μεταβολὴ
δείκνυσθαι, ὅτι οὐδὲ ἐν ἄλλῳ τινὶ ἔσται τὸ ἀπὸ τοῦ α εἰς τὸ β μεταβεβληκός, ὅπερ ἐκτός ἐστι τῆς
αβ καὶ κεχώρισται αὐτῆς. εἰ γὰρ συνεχὴς ἡ μεταβολή, ἡ δὲ συνεχὴς ἐπὶ συνεχοῦς καὶ οὐ διαλεί-
πουσα, οὐκ ἂν εἴη τῇ αβ συνεχὲς τὸ κεχωρισμένον αὐτῆς. λύσας οὖν καὶ τὴν εἰρημένην ἔνστασιν,
ἐπιφέρει ὅτι φανερὸν καὶ νῦν γέγονεν, ὅτι ἀληθές ἐστι τὸ εἰρημένον καὶ ἐπὶ τῆς κατὰ ἀντίφασιν
μεταβολῆς. τὸ γὰρ γεγονὸς ὅτε γέγονε, τότε ἔσται. καὶ ὅτε ἔφθαρται, τότε οὐκ ἔσται. καὶ καθόλου
περὶ πάσης μεταβολῆς ἀληθῶς εἴρηται τὸ εἰρημένον, εἰ καὶ μάλιστα ἐν τῇ κατ᾽ ἀντίφασιν προφανέ-
στερόν ἐστιν. ἐπειδὴ ἀνάγκη μὲν ἐν τῷ ἑτέρῳ μέρει τῆς ἀντιφάσεως εἶναι, τὸ κατά τινα τῶν μετα-
βολῶν τούτων μεταβάλλον. ἀδύνατον δὲ ἐν τῷ ἐξ οὗ μεταβέβληκε καὶ ἀπολέλοιπεν εἶναι ἔτι.
ἀνάγκη ἄρα, ἐν τῷ ἑτέρῳ.

Ε Ν Ω ΔΕ πρώτῳ νῦν πρῶτον μεταβέβληκε τὸ μεταβεβληκός, ἀνάγκη ἄτομον εἶναι. λέγω δὲ
πρῶτον, ὃ μὴ τῷ ἕτερόν τι αὐτοῦ εἶναι πρῶτον, τοιοῦτόν ἐστιν. ἔστω γὰρ διαιρετὸν τὸ αγ καὶ διῃ-
ρήσθω κατὰ τὸ β. εἰ μὲν οὖν ἐν τῷ αβ μεταβέβληκεν, ἢ πάλιν ἐν τῷ βγ. οὐκ ἂν ἐν πρώ-
τῳ τῷ αγ μεταβεβληκὸς εἴη. εἰ δ᾽ ἐν ἑκατέρῳ μετέβαλλεν. ἀνάγκη γὰρ ἢ μεταβεβληκέναι. ἢ με-
ταβάλλειν ἐν ἑκατέρῳ. κἂν ἐν τῷ ὅλῳ μεταβάλλοι, ἀλλ᾽ οὐ μεταβεβληκός. ὁ αὐτὸς δὲ λόγος, καὶ
εἰ ἐν τῷ μὲν μεταβάλλει, ἐν δὲ τῷ, μεταβέβληκεν. ἔσται γάρ τι τοῦ πρώτου πρότερον. ὥστε οὐκ
ἂν εἴη διαιρετὸν τὸ πρῶτον ἐν ᾧ μεταβέβληκε. φανερὸν τοίνυν ὅτι καὶ τὸ ἐφθαρμένον καὶ τὸ γεγο-
νός, ἐν ἀτόμῳ, τὸ δὲ ἔφθαρται, τὸ δέ, γέγονε.

ἔδειξεν ὅτι τὸ μεταβεβληκός, ὅτε πρῶτον μεταβέβληκεν, ἀναγκαῖον ἐν ἐκείνῳ εἶναι, εἰς ὃ μετέ-
Δ βαλλεν, νῦν δείκνυσιν ὅτι τοῦτο τὸ ἐν ᾧ πρῶτον μεταβέβληκε τὸ μεταβεβληκός. οὐ χρόνος ἐστίν,
ἀλλὰ ἄτομόν τι χρόνου πέρας, ὅπερ νῦν καλοῦμεν. ὅπερ Πλάτων ἐξαίφνης ἐκάλεσεν. ἐξηγησά-
μενος δὲ τί σημαίνει τὸ πρῶτον, οὕτως ἐπὶ τὴν ἀπόδειξιν τοῦ προκειμένου χωρεῖ. πρῶτον γὰρ καθό-
λου λέγεσθαί φησιν τὸ δέ τι, ἢ τοιόνδε εἶναι, ἢ τοσόνδε, καὶ ἐπὶ πάντων ὁμοίως, ὃ μὴ τῷ εἶναι ἕτε-
ρόν τι παρὰ αὐτοῦ τοιοῦτο, καὶ αὐτὸ τοιοῦτο λέγεται. ἀντίκειται δὲ τῷ πρώτῳ τὸ κατ᾽ ἄλλο. κατ᾽ ἄλλο
δὲ λέγεται, ἤτοι τῷ μόριόν τι αὐτοῦ εἶναι τοιοῦτον, ὅλον τοιοῦτον λεγόμενον. οἷον τὸ ὁρᾶν λέγομεν
ὑπάρχειν τῷ ἀνθρώπῳ οὐ πρώτῳ. διότι τοῖς ὄμμασι πρώτοις. καὶ ἐν Ἀθήναις εἶναι λεγόμεθα, τῷ
μόριον τῶν Ἀθηνῶν εἶναι τὸν ἐν ᾧ ἐσμὲν τόπῳ. ἢ τῷ τὸ γένος αὐτοῦ καὶ ᾧ ὑποτέτακται τοιοῦτον
εἶναι, καὶ αὐτὸ τοιοῦτο λέγεται. ὡς τὸ ἰσόπλευρον τρίγωνον δυσὶν ὀρθαῖς ἴσας λέγεται τὰς τρεῖς
γωνίας ἔχειν, οὐ πρῶτον. ἀλλὰ διότι πᾶν τρίγωνον. ἐπεὶ οὖν δύναταί τι λέγεσθαι μεταβεβλη-
κέναι ἐν χρόνῳ τινί, ὅτι ἔν τινι τῶν τούτου μεταβέβληκεν, ἐν γὰρ τῷ πέρατι αὐτοῦ, διὰ τοῦτο προ-
σέθηκε τῷ πρώτῳ. δείκνυσι δὲ ὅτι ἄτομον τὸ ἐν ᾧ πρώτῳ μεταβέβληκε τὸ μεταβεβληκός, διὰ
τῆς εἰς ἀδύνατον ἀπαγωγῆς. εἰ γὰρ δυνατόν, ἔστω τὸ ἐν ᾧ πρώτῳ μεταβέβληκε διαιρετόν. καὶ ἔστω
τὸ αγ. καὶ διῃρήσθω κατὰ τὸ β. ἀνάγκη οὖν ἢ ἐν ἑκατέρῳ αβ βγ μεταβεβληκέναι, τὸ ἐν
τῷ αγ πρώτῳ ὑποκείμενον μεταβεβληκέναι. ἢ ἐν ἑκατέρῳ μεταβάλλειν. ἢ ἐν μὲν τῷ ἑτέρῳ
μεταβάλλειν, ἐν δὲ τῷ ἑτέρῳ μεταβεβληκέναι. ἀλλ᾽ εἰ μὲν ἐν ἑκατέρῳ τῶν αβ βγ μεταβέβλη-
κεν, οὐκέτι ἐν τῷ αγ πρῶτον μεταβέβληκεν, εἴγε καὶ ἐν τῷ μορίῳ αὐτοῦ πρώτῳ τῷ αβ μετα-
βέβληκεν. πῶς δὲ καὶ ἐν ἀμφοτέροις πρώτοις μεταβεβληκέναι λέγοιτ᾽ ἄν, εἴπερ ὅτε μὲν ἐν τῷ
πρώτῳ μέρει μεταβέβληκεν, οὔπω ἐν τῷ δευτέρῳ, ὅτε δὲ ἐν τῷ δευτέρῳ, οὐκέτι ἐν τῷ πρώτῳ.
εἰ δὲ ἐν ἀμφοτέροις τοῖς μορίοις τοῦ αγ, τῷ τε αβ καὶ βγ μεταβάλλον ἐστί, καὶ ἐν ὅλῳ τῷ
αγ ἔσται μεταβάλλον, οὐ μεταβεβληκός. ὑπέκειτο δὲ μεταβεβληκέναι ἐν τῷ αγ πρώτῳ. τὸ γὰρ ἐν
πᾶσι τινὸς τοῖς μέρεσι μεταβάλλον, καὶ ἐν ὅλῳ ἂν αὐτῷ μεταβάλλον εἴη. εἰ δὲ ἐν μὲν τῷ ἑτέρῳ μέρει

τοῦ αγ μεταβάλλει ἔτι, ἐν δὲ τῷ ἑτέρῳ μεταβέβληκεν, ἄτοπόν τι συμβαίνει, τὸ εἶναι πρότερον τοῦ πρώτου. ὑπέκειτο γὰρ ἐν τῷ αγ πρώτῳ μεταβεβληκέναι. εἰ οὖν ἐν μέρει αὐτοῦ ὁποτερῳοῦν μεταβέβληκεν, ἐν πρώτῳ τούτῳ ἂν εἴη μεταβεβληκὸς, καὶ τότε ἄρα ἐν τῷ ὅλῳ, ὥστε τοῦ πρώτου πρότερον ληφθήσεται. ἄτοπον δὲ καὶ καθ' αὑτὸ μὲν τοῦτο τὸ εἶναί τι τοῦ πρώτου πρότερον. οὐκέτι γὰρ πρῶτόν ἐστιν ἐκεῖνο, οὗ ἐστί τι πρότερον. καὶ μέντοι ὅτι ἐν πρώτῳ ἐλέγετο ἐκεῖνο, τὸ μὴ ἐν μέρει αὐτοῦ ἀλλ' ἐν ὅλῳ. εἰ οὖν ἐν μέρει τοῦ αγ ἦν τὸ μεταβεβληκέναι. οὐκέτι τὸ αγ πρῶτον ἦν ἐν ᾧ μεταβέβληκε. δέδεικται οὖν ὅτι τῷ ὑποτιθεμένῳ διαιρετὸν εἶναι, τὸ ἐν ᾧ πρώτῳ τι μεταβέβληκεν, ἀδύνατον ἀκολουθεῖ τι καθ' ἕκαστον τμῆμα τῆς διαιρέσεως, εἰκότως συνεπεράνατο τὸν λόγον, εἰπὼν, ὥστε οὐκ ἂν εἴη διαιρετὸν, ἐν ᾧ μεταβέβληκε πρώτῳ δηλονότι, κἂν παρῆκεν ὡς σαφὲς αὐτό. ἐπειδὴ δὲ ἐν τῷ πρὸ τούτου ἐπιχειρήματι ἔδειξεν, ὅτι τὸ μεταβεβληκὸς ὅτε πρῶτον μεταβέβληκεν, ἐν ἐκείνῳ ἐστὶν ἐν ᾧ μεταβέβληκε, καὶ ὅτι τοῦτο ἐναργῶς φαίνεται μάλιστα, ἐν τῇ κατὰ γένεσιν καὶ φθορὰν μεταβολῇ, εἰκότως καὶ νῦν ἐπήγαγε φανερὸν εἶναι, ὅτι καὶ τὸ γεγονὸς καὶ τὸ ἐφθαρμένον, ἐν ἀτόμῳ τὸ μὲν ἔφθαρται, τὸ δὲ, γέγονεν. εἰ γὰρ τὸ ἐφθαρμένον καὶ τὸ γεγονὸς, ἐν ᾧ πρώτῳ μεταβέβληκεν τὸ μὲν ἐφθαρμένον ἐστὶ τὸ δὲ γεγονὸς, τὸ δὲ ἐν ᾧ πρώτῳ τὸ μὲν ἐφθαρμένον ἐστί. τὸ δὲ γεγονός. ἐν ἀτόμῳ τὸ μὲν ἔφθαρται τὸ δὲ γέγονεν, τὸ ἐφθαρμένον καὶ τὸ γεγονὸς ἐν ἀτόμῳ τὸ μὲν ἔφθαρται τὸ δὲ γέγονεν. διὰ τούτου δέ φησιν ὁ ἀλέξανδρος καὶ τὴν λύσιν ἡμῖν ἐνεδείξατο, τοῦ ὑπὸ τῶν σοφιστῶν ἐρωτωμένου λόγου. ἐν ποίῳ χρόνῳ δίων ἀπέθανεν. ἢ γὰρ ὅτε ἔζη, ἢ ὅτε τέθνηκεν. ἀλλ' οὔτε ἐν ᾧ ἔζη, ἐν ἐκείνῳ γὰρ ἔζη, οὔτε ἐν ᾧ τέθνηκεν. ἐν παντὶ γὰρ τούτῳ τεθνήκει. εἰ οὖν μήτε ἐν ᾧ χρόνῳ ἔζη, μήτε ἐν ᾧ τέθνηκεν ἀπέθανε ὁ δίων, οὐκ ἀπέθανεν. σημαίνει δὲ τὸ μὲν ἀπέθανε, τὴν πρώτην ἀπὸ τοῦ ζῆν μεταβολήν. τὸ δὲ ὅτε τέθνηκε, τὸν χρόνον ἐν ᾧ τεθνηκώς ἐστιν. ἐπεὶ οὖν οὐκ ἐν χρόνῳ τὸ μεταβεβληκὸς μεταβέβληκεν, οὐ φοβητέον τὸ οὐδέποτε ἀπέθανεν ὁ δίων. οὐδέποτε γοῦν ὡς ἐν χρόνῳ, εἴπερ ἐν ἀτόμῳ μεταβέβληκεν ἀπὸ τοῦ ζῆν.

Λ ΕΓΕΤΑΙ δὲ, τὸ ἐν ᾧ πρώτῳ μεταβέβληκε, διχῶς. τὸ μὲν, ἐν ᾧ πρώτῳ ἐτελέσθη ἡ μεταβολή. τότε γὰρ ἀληθὲς εἰπεῖν ὅτι μεταβέβληκε, τὸ δ' ἐν ᾧ πρώτῳ, ἤρξατο μεταβάλλειν. τὸ μὲν οὖν κατὰ τὸ τέλος, τῆς μεταβολῆς πρῶτον λεγόμενον ὑπάρχει τε καὶ ἔστιν. ἐνδέχεται γὰρ ἐπιτελεσθῆναι τὴν μεταβολήν. καὶ ἔστι μεταβολῆς τέλος. ὃ δὴ καὶ δέδεικται ἀδιαίρετον ὂν διὰ τὸ πέρας εἶναι. τὸ δὲ κατὰ τὴν ἀρχὴν, ὅλως οὐκ ἔστιν. οὐ γάρ ἐστιν ἀρχὴ μεταβολῆς. οὐδ' ἐν ᾧ πρώτῳ τοῦ χρόνου μετέβαλεν. ἔστω γοῦν πρῶτον, ἐφ' ᾧ τὸ αδ. τοῦτο δὴ καὶ ἀδιαίρετον μὲν οὐκ ἔστι. συμβήσεται γὰρ ἐχόμενα εἶναι τὰ νῦν. ἔτι δ' εἰ ἐν τῷ γα χρόνῳ παντὶ ἠρεμεῖ, κείσθω γὰρ ἠρεμοῦν, καὶ ἐν τῷ α, ἠρεμήσει. ὥστε εἰ ἀμερές ἐστι τὸ αδ, ἅμα ἠρεμήσει, καὶ μεταβεβληκὸς ἔσται. ἐν μὲν γοῦν τῷ α, ἠρεμεῖ. ἐν δὲ τῷ δ μεταβέβληκεν. ἐπεὶ δ' οὐκ ἔστιν ἀμερὲς, ἀνάγκη διαιρετὸν εἶναι καὶ ἐν ὁτῳοῦν τῶν τούτου μεταβεβληκέναι. διαιρεθέντος γὰρ τοῦ αδ, εἰ μὲν ἐν μηδετέρῳ μεταβέβληκεν, οὐδ' ἐν τῷ ὅλῳ. εἰ δ' ἐν ἀμφοῖν μεταβάλλει, καὶ ἐν τῷ παντί. εἰ δ' ἐν θατέρῳ μεταβέβληκεν, οὐκ ἐν τῷ ὅλῳ πρώτῳ. ὥστε ἀνάγκη ἐν ὁτῳοῦν μεταβεβληκέναι. φανερὸν τοίνυν ὅτι οὐκ ἔστιν ἐν ᾧ πρώτῳ μεταβέβληκεν. ἄπειρον γὰρ αἱ διαιρέσεις.

Δ είξας ὅτι τὸ μεταβεβληκὸς ὅτε πρῶτον μεταβέβληκεν, ἔστιν ἐν ἐκείνῳ εἰς ὃ μεταβέβληκε, καὶ ὅτι τοῦτο τὸ ἐν ᾧ πρώτῳ μεταβέβληκεν ἄτομόν ἐστιν, οὐ γοῦν ἐν χρόνῳ, ἀλλ' ἐν τῷ νῦν, ἀκολούθως τούτοις ἐπάγει, ὅτι τὸ πρῶτον ἐν ᾧ μεταβέβληκέ τι διχῶς λέγεται. τό, τε εἰς ὃ μετέβαλλε τὸ μεταβάλλον, ἐν ᾧ καὶ πέπαυται τοῦ μεταβάλλειν, καὶ μεταβεβληκός ἐστιν ἐν αὐτῷ. λέγεται δὲ καὶ τὸ ἐν ᾧ πρώτῳ ἤρξατο τῆς μεταβολῆς καὶ τοῦ μεταβάλλειν. καὶ τοῦτο γὰρ λέγεται ἐν ᾧ πρώτῳ μεταβέβληκε. διότι οἶμαι ἀπὸ τοῦ μὴ μεταβάλλειν μετέβη. διχῶς οὖν οὕτω λεγομένου καὶ ἀκουομένου τοῦ ἐν ᾧ πρώτῳ μεταβέβληκε, τὸ μὲν ἐπὶ τοῦ τέλους φησὶν τῆς μεταβολῆς πρῶτον λεγόμενον, καὶ ἔστι καὶ λέγεται κυρίως. ἐπιτετέλεσται γὰρ ἡ μεταβολή. καὶ ἔστι τι ἐν ᾧ πρώτῳ ἐπετετελέσθη ὡς δέδεικται τὸ νῦν. οὐ γάρ ἐστι τὸ τέλος τῆς μεταβολῆς μεταβολή. τὸ δὲ κατὰ τὴν ἀρχὴν τῆς μεταβολῆς, ἥ τις ἀρχὴ καὶ αὐτὴ μεταβολῆς ἐστι, πρῶτον λεγόμενον τοῦ χρόνου, ἐν ᾧ ἡ ἀρχὴ τῆς μεταβολῆς, τοῦτό φησιν οὐκ ἔστιν ὅλως ἐν ὑποστάσει. ἀλλὰ κενῶς λέγεται καὶ ἀκούεται. διότι οὐκ ἔστι λαβεῖν πρῶτον τοῦ χρόνου. ἐν ᾧ ἤρξατο τῆς μεταβολῆς τὸ μεταβάλλον. οὔτε γὰρ τῆς μεταβολῆς, οὔτε τοῦ χρόνου ἔστιν ἀρχὴν λαβεῖν, ἐν ᾧ πρῶτόν τι μετέβαλλε. διότι ἡ ἀρχὴ τῆς μεταβολῆς μεταβολὴ καὶ αὐτή ἐστιν. ἀλλ' οὐκ ἔξω τοῦ μεταβάλλειν ἔστι τὸ ἐν αὐτῇ ὥσπερ ἐν τῷ πέρατι, ὅτε μεταβεβληκὸς ἦν. καὶ εἴη ἂν τὸ λεγόμενον, ὅτι μὴ ἔστιν ἀρχὴ ἀρχῆς. ἐπειδὴ τοῦ χρόνου ὃ ἂν ὡς ἀρχὴ ὑποτεθῇ, τοῦτο ἄλλην ἀρχὴν ἔχον εὑρεθήσεται. δείκνυσι δὲ αὐτὸ καὶ δι' ἐκθέσεως οὕτως. εἰλήφθω γάρ τι φησὶν πρῶτον τοῦ χρόνου, ἐν ᾧ τῆς μεταβολῆς τὸ μεταβάλλον ἤρξατο. καὶ ἔστω τοῦτο τὸ αδ. τὸ δὴ αδ ἀδιαίρετον οὐκ ἂν εἴη. ἔσται γὰρ ὁ χρόνος ἐξ ἀδιαιρέτων συγκείμενος. ἡ γὰρ ἀρχὴ τῆς μεταβολῆς μεταβολή. πᾶσα δὲ μεταβολὴ ἐν χρόνῳ. ὥστε εἰ ἀδιαίρετον τὸ αδ κατὰ τὴν ὑπόθεσιν χρόνος ἔσται. καὶ

ὁ χρόνος ἔσται ἐξ ἀδιαιρέτων συγκείμενος. ὅπερ ἐσήμαινε διὰ τοῦ συμβήσεται γὰρ ἐχόμενα εἶναι τὰ
νῦν. ἢ τοῦτο εἴρηκε τοῖς τὸ ΑΔ, ἐν ᾧ ἤρξατο τῆς κινήσεως, ἀδιαίρετον ὑποτιθεμένοις συμβαίνειν.
διότι συμβήσεται ἐν τῷ νῦν κίνησιν γίνεσθαι, εἴπερ τὸ ΑΔ ἀδιαίρετον ὂν τὸ νῦν ἐστιν, ἐν δὲ τούτῳ ἤρξατο
κινεῖσθαι, ἡ δὲ ἀρχὴ τῆς κινήσεως κίνησίς ἐστιν. εἰ δὲ ἐν τῷ νῦν εἴη κινούμενόν τι, ἐπειδὴ πᾶν τὸ κινού-
μενον ἐν χρόνῳ κινεῖται, χρόνου ἂν εἴη μέρη τὰ νῦν. καὶ ὁ χρόνος εἴη ἂν εἰς τὰ νῦν διαιρούμενος, καὶ
ἐκ τῶν νῦν συγκείμενος. ἐν ᾧ γὰρ δύναται κίνησις γίνεσθαι, τοῦτο μόριόν ἐστι τοῦ χρόνου. ὅτι δὲ μὴ
ἔστιν ἀμερὲς τὸ ΑΔ, καὶ δι' ἄλλου δείκνυσιν ἐπιχειρήματος τοιούτου. τὸ ἀρχόμενον ἐν τῷ ΑΔ κι-
νεῖσθαι, ἐξ ἠρεμίας πάντως μεταβάλλον ἄρχεται κινεῖσθαι. ἔσται οὖν ἐν τῷ ΑΓ ἠρεμοῦν, καὶ
ἐν τῷ ΑΔ ἀρχόμενον κινεῖσθαι. εἰ οὖν ἐν παντὶ τῷ ΑΓ ἠρεμεῖ, δηλονότι καὶ ἐν τῷ Α τοῦ ΑΓ ὄντι
ἠρέμει. εἰ οὖν ἔστι τὸ ΑΔ ἀμερές, ταυτὸν ἔσται τῷ Α τὸ ΑΔ. καὶ ἐν τῷ ΑΔ ἠρεμοίη ἂν ἄρα τὸ ἐν
αὐτῷ τῆς μεταβολῆς ἀρχόμενον. τὸ δὲ ἀρχόμενον ἐν αὐτῷ τῆς μεταβολῆς, κινεῖται ἐν αὐτῷ. ἐν
τῷ αὐτῷ ἄρα ἠρεμήσει καὶ κινήσεται. ὅπερ ἀδύνατον. ἔλαβε δὲ ἐν τῷ Α ἠρεμεῖ, ὡς ἴσον τῷ μὴ κι-
νεῖσθαι. ἔκειτο γὰρ ὅτι ἐν τῷ ἀμερεῖ οὔτε κινεῖσθαι οἷόν τέ τι οὔτε ἠρεμεῖν. ἀκολουθεῖ οὖν κατὰ ἀλή-
θειαν, οὐ τὸ ἅμα ἐν τῷ αὐτῷ νῦν ἠρεμεῖν τε καὶ κινεῖσθαι, ἀλλὰ τὸ ἅμα μὴ κινεῖσθαί τε καὶ κινεῖσθαι.
ὅπερ ἀδυνατώτερόν ἐστι διὰ τὸ ἀξίωμα τῆς ἀντιφάσεως. δείξας δὲ ὅτι οὐκ ἀδιαίρετος ἀλλὰ διαιρετός
ἐστιν ὁ κατὰ τὴν ἀρχὴν τῆς μεταβολῆς χρόνος, δείκνυσιν ἐφεξῆς τὸ προκείμενον, ὅτι οὐδέν ἐστι λαβεῖν
ἐν τούτῳ ἐν ᾧ πρώτῳ μεταβάλλει τὸ μεταβάλλον. εἰ γὰρ μὴ ἀμερὲς τὸ ΑΔ, ἀνάγκη αὐτὸ διαιρετὸν
εἶναι, καὶ μὴ ἐν πρώτῳ αὐτῷ μεταβάλλειν. εἰ γὰρ ἐν πρώτῳ τῷ ΑΔ μεταβάλλει, ἢ ἐν ὁτῳοῦν αὐτοῦ
μορίῳ μεταβάλλον ἔσται, ἢ ἐν οὐδετέρῳ, ἢ ἐν τῷ ἑτέρῳ. ἀλλ' εἰ μὲν ἐν ἀμφοτέροις, ἢ ἐν θατέρῳ, οὐκ
ἐν τῷ ὅλῳ πρώτως μεταβάλλει. εἰ δὲ ἐν μηδετέρῳ μεταβάλλει, οὐδὲ ἐν τῷ ὅλῳ μεταβάλλει ἂν
οὐδαμῶς. εἰ οὖν μεταβάλλει ἐν τῷ ὅλῳ, ἐν ὁτῳοῦν αὐτοῦ μορίῳ μεταβάλλει. πολλὰ δὲ ἔσται μό-
ρια, εἴπερ συνεχὲς τὸ ὅλον, πᾶν δὲ συνεχὲς ἐπ' ἄπειρον διαιρετόν. ὥστε οὐκ ἔστι λαβεῖν ἐν ᾧ πρώ-
τῳ μεταβάλλει. ἐν παντὶ γὰρ τῷ λαμβανομένῳ ὁμοίως. καὶ οὐκ ἔστιν ἐν τῇ ἐπ' ἄπειρον διαιρέσει
τὸ πρῶτον. καὶ ἔστι μὲν ὁ λόγος περὶ τοῦ πρώτως μεταβάλλειν. ἡ γὰρ ἀρχὴ τῆς κινήσεως κίνη-
σίς ἐστιν. αὐτὸς δὲ ἀντὶ τοῦ μεταβάλλειν τῷ μεταβεβληκέναι χρῆται. ἐπειδὴ τὸ μεταβάλλον εἰς
τέλος τοῦ μεταβάλλειν ἐρχόμενον, μεταβέβληκεν. ἐν δὴ τούτοις ἄπορον δοκεῖ, πῶς πέρας μὲν
εἶναι λέγεται καὶ τῆς κινήσεως καὶ τοῦ χρόνου, καθ' ὃ τὸ μεταβάλλον μεταβεβληκέναι λέ-
γεται, ἀρχὴ δὲ μὴ εἶναι. καὶ γὰρ ὁ Θεόφραστος ἐν τῷ πρώτῳ τῶν περὶ κινήσεως, θαυμαστά φησι
φαίνεται κατ' αὐτὴν ὄντα τὴν φύσιν τῆς κινήσεως. οἷον εἰ μὴ ἔστιν αὐτῆς ἀρχή, πέρας δὲ ἔστι.
πῶς δὲ τὸ μὲν πέρας ἀδιαίρετον ἐλαμβάνομεν, τὴν δὲ ἀρχὴν ἐπ' ἄπειρον διαιρετήν. δυνατὸν γὰρ
τοῖς αὐτοῖς χρώμενον λόγοις, καὶ τὸ πέρας τοῦ συνεχοῦς ἐπ' ἄπειρον διαιρετὸν λαβεῖν, καὶ τὴν
ἀρχὴν ἀδιαίρετον. ἔοικεν οὖν καὶ τὸ πέρας διττὸν εἶναι, καὶ ἡ ἀρχὴ διττὴ τῆς τε κινήσεως, καὶ τοῦ
χρόνου, καὶ παντὸς συνεχοῦς, τὸ μέν, ὡς τὸ πρῶτον ἢ τὸ ἔσχατον μέρος τοῦ συνεχοῦς, τὸ δέ, ὡς ἀρχὴ
καὶ πέρας, τὰ μηκέτι μέρη μηδὲ ὅμοια τῷ ὅλῳ. ἐπεὶ γὰρ τῶν τοιούτων καὶ ἠξίωται, τὸ μὴ εἶναι
ταυτὸν ἀρχὴν καὶ τὸ οὗ ἐστιν ἀρχή, μηδὲ πέρας καὶ τὸ οὗ ἐστι πέρας. ὥσπερ τὸ σημεῖον καὶ ἀρχὴ
καὶ πέρας τῆς γραμμῆς ἐστιν οὐκ ὂν αὐτὸ γραμμή. ὁμοίως δὲ καὶ τὸ νῦν τοῦ χρόνου, καὶ τὸ κίνημα τῆς
κινήσεως. καλοῦσι γὰρ οὕτω τὸ τῆς κινήσεως πέρας. καὶ πρῶτον μέν, τὸ μεταβεβληκέναι ἐν τῷ
τοιούτῳ πέρατι ἔλεγεν ἤ, τῷ μετὰ τὴν ὅλην μεταβολήν. νῦν δὲ ἀρχὴν λαμβάνει καὶ χρόνου καὶ κι-
νήσεως, τὴν ὡς μέρος. δῆλον δέ, ἐκ τοῦ εἰπεῖν τοῦτο ἀρχὴν ἐν ᾧ ἤρξατο πρώτῳ μεταβάλλειν, τουτέστι
κινεῖσθαι. τὸ δὲ κινούμενον πᾶν ἐν χρόνῳ κινεῖται, καὶ οὐκ ἐν πέρατι χρόνου. ἡ δὲ τοιαύτη ἀρχὴ μέρος
οὖσα συνεχοῦς καὶ συνεχής, διαιρετή ἐστιν εἰς ἀεὶ διαιρετά. τὸ δὲ τοιοῦτον οὐκ ἔχει ἀρχήν. ὅτι ὅπερ
ἂν λάβῃς καὶ ἐκεῖνο διαιρετόν ἐστιν. ἐπεὶ ἥγε ἀδιαίρετος ἀρχὴ ἡ ἀντικειμένη τῷ πέρατι, ἐν ᾧ μετα-
βεβληκέναι λέγεται, τοιαύτη ἐστίν, ὡς μὴ μεταβάλλειν τι ἐν αὐτῇ, ὡς οὐδὲ ἐν τῷ πέρατι. ἀλλὰ πρὸ
μεταβολῆς ὑπάρχειν, καὶ μὴ ἔχει ἄλλην ἀρχὴν πρὸ αὐτῆς. αὐτὸς δὲ ἀρχὴν κινήσεως καὶ πρώτην
κίνησιν λαβών, τὴν κατὰ τὸ μεταβάλλειν, ὡς μέρος κινήσεως καὶ ἐν χρόνῳ οὖσαν, πέρας δὲ τὸ ἐν ᾧ
πρώτῳ μεταβέβληκε τὸ μεταβάλλον, τοῦτο μὲν ὑπάρχειν φησὶ καὶ ληπτὸν εἶναι, ἐνδέχεται γὰρ
ἐπιτελεσθῆναι μεταβολήν. ἐκεῖνο δὲ μὴ ὑπάρχειν μηδὲ εἶναι λαβεῖν. ὅτι πάσης ἐν ἐκείνῳ ἀρχῆς
ἔστιν ἄλλη ἀρχή. ὥσπερ καὶ ἐπὶ τοῦ πέρατος, τοῦ ὡς μέρους παντὸς πέρατος, ἔστιν ἄλλο πέρας
λαβεῖν. καὶ δηλονότι ὡς μὲν συνεχοῦς τοῦ ὅλου ληφθέντος πεπερασμένου, καὶ τὰ ἀμερῆ πέρατα,
καὶ τὰ ὡς μέρη, τελευταῖά ἐστι λαβεῖν. ὅταν δὲ ὡς ἐπ' ἄπειρον διαιρετὸν ληφθῇ, οὔτε τὰ ἀμερῆ,
οὔτε τὰ μεριστὰ πέρατα καταλαβεῖν δυνατόν. πρὸ παντὸς γὰρ τοῦ ληφθέντος μεριστοῦ ἔστιν ἄλλο.
καὶ μετὰ πᾶν ἄλλο. κἂν ληφθῇ δέ τι πρῶτον μέρος ἢ ἔσχατον, ἐπειδὴ μεριστόν ἐστι τοῦτο, ἀνάγκη ἐν
ὁτῳοῦν αὐτοῦ μεταβεβληκέναι. ὥστε πάλιν ἔσται τι αὐτοῦ πρότερον καὶ μεριζομένου ἀεὶ τοῦ ληφθέν-
τος, μόνος πρῶτον ἔσται τὸ ὡς ἄτομον ἀρχὴ ἢ πέρας ὄν.

ΟΥ̓ ΔῈ ΔῊ τοῦ μεταβεβληκότος ἐστί τι πρῶτον ὃ μεταβέβληκεν. ἔστω γὰρ τὸ δζ, πρῶτον μεταβεβληκὸς τοῦ δε. πᾶν γὰρ δέδεικται διαιρετὸν τὸ μεταβάλλον. ὁ δὲ χρόνος ἐν ᾧ τὸ δζ μεταβέβληκεν, ἔστω ἐφ' ᾧ θι. εἰ οὖν ἐν τῷ παντὶ τὸ δζ μεταβέβληκεν, ἐν τῷ ἡμίσει ἔλαττον ἔσται τὸ μεταβεβληκὸς, καὶ πρότερον τοῦ δζ καὶ πάλιν τούτου, ἄλλο. κἀκείνου ἕτερον. καὶ ἀεὶ, οὕτως. ὥστε οὐθὲν ἔσται πρῶτον τοῦ μεταβάλλοντος ὃ μεταβέβληκεν. ὅτι μὲν οὖν οὔτε τοῦ μεταβάλλοντος, οὔτε ἐν ᾧ μεταβάλλει χρόνῳ πρῶτον οὐθέν ἐστι, φανερὸν ἐκ τῶν εἰρημένων.

Δείξας ὅτι οὐδέν ἐστι τοῦ χρόνου λαβεῖν, ἐν ᾧ πρώτῳ τὸ μεταβάλλον ἤρξατο τῆς μεταβολῆς, νῦν δείκνυσιν ὅτι οὐδὲ αὐτοῦ τοῦ μεταβάλλοντός ἐστί τι πρῶτον ὡς μόριον λαβεῖν. τὸ γὰρ τοιοῦτο πρῶτον καὶ νῦν λαμβάνει. ἀλλ' οὐχὶ τὸ ἀμερὲς τὸ τῷ ἀμερεῖ πέρατι ἀντικείμενον. ὅπερ ἐπὶ τοῦ χρόνου ἔλεγε τὸ ἐν ᾧ μεταβέβληκε. καὶ δείκνυσι καὶ αὐτὸ δι' ἐκθέσεως, τῇ εἰς ἀδύνατον ἀπαγωγῇ χρώμενος. ἐπειδὴ γὰρ διαιρετόν ἐστι πᾶν τὸ μεταβάλλον, ἔστω τὸ ζε τὸ μεταβάλλον ὅλον. καὶ διῃρήσθω εἰς τὰ ζδ, δε. καὶ πρῶτον ἔστω μεταβεβληκὸς τὸ ζδ τοῦ δε. ὁ δὲ χρόνος ἐν ᾧ τὸ ζδ μεταβέβληκεν ἔστω ὁ θι. ἐν χρόνῳ γὰρ πᾶσα μεταβολή. καὶ ὅρα ὅτι νῦν χρόνον ἔθετο τὸν θι, ἐν ᾧ μεταβέβληκε τὸ ζδ, οὐχ ὡς πέρας τὸ μεταβέβληκε λαβὼν, ἀλλ' ἀντὶ τοῦ μετέβαλεν αὐτὸ θείς. εἰ οὖν ἐν τῷ παντὶ χρόνῳ ᾧ θι, τὸ δζ μεταβέβληκεν, ἐν τῷ ἡμίσει τοῦ θι χρόνου, ἐπειδὴ καὶ πᾶς χρόνος διαιρετός ἐστιν, ἔλαττόν τι ἔσται τοῦ δζ μεταβεβληκός. καὶ δηλονότι καὶ πρὸ τοῦ ὅλου τοῦ ζδ, καὶ πάλιν τοῦ μορίου τούτου, ἄλλο τι πρῶτον κατὰ τὴν τοῦ λαμβανομένου χρόνου διαίρεσιν. οὕτω δὲ ἀεὶ τοῦ πρώτου ἄλλο ἔσται πρότερον. καὶ οὐδὲν ἔσται τοῦ μεταβεβληκότος, ὃ πρῶτον μεταβέβληκεν. ἐπὶ δὴ τούτοις συμπεραίνεται, ὅτι οὔτε τοῦ μεταβάλλοντος, οὔτε τοῦ χρόνου ἐν ᾧ μεταβάλλει τὸ μεταβάλλον ἔστι τι πρῶτον λαβεῖν.

ΑΥ̓ΤῸ ΔῈ ὃ μεταβάλλει ἢ καθ' ὃ μεταβάλλει οὐκέτι ὁμοίως ἔχει. τρία γάρ ἐστιν ἃ λέγεται κατὰ τὴν μεταβολήν. τό τε μεταβάλλον, καὶ ἐν ᾧ καὶ καθ' ὃ μεταβάλλει. οἷον, ὁ ἄνθρωπος καὶ ὁ χρόνος. καὶ τὸ λευκόν. ὁ μὲν οὖν ἄνθρωπος καὶ ὁ χρόνος, διαιρετοί. περὶ δὲ τοῦ λευκοῦ, ἄλλος λόγος. πλὴν κατὰ συμβεβηκός γε πάντα διαιρετά. ᾧ γὰρ συμβέβηκε τὸ ποιὸν, ἢ τὸ λευκὸν, ἐκεῖνο διαιρετόν ἐστιν. ἐπεὶ ὅσα γε καθ' αὑτὰ λέγεται διαιρετὰ, καὶ μὴ κατὰ συμβεβηκὸς, οὐδ' ἐν τούτοις ἔσται τὸ πρῶτον. οἷον, ἐν τοῖς μεγέθεσιν. ἔστω γὰρ ἐφ' ᾧ αβ μέγεθος. καὶ κινείσθω ἐκ τοῦ β εἰς τὸ γ πρῶτον. οὐκ οὖν εἰ μὲν ἀδιαίρετον ἔσται τὸ βγ, ἀμερὲς ἀμεροῦς ἔσται ἐχόμενον. εἰ δὲ διαιρετὸν, ἔσται τι τοῦ γ πρότερον, εἰς ὃ μεταβέβληκε. κἀκείνου πάλιν, ἄλλο. καὶ ἀεὶ οὕτως, διὰ τὸ μηδέποτε ὑπολείπειν τὴν διαίρεσιν. ὥστε οὐκ ἔσται πρῶτον εἰς ὃ μεταβέβληκεν. ὁμοίως δὲ καὶ ἐπὶ τῆς τοῦ ποσοῦ μεταβολῆς. καὶ γὰρ αὕτη ἐν συνεχεῖ ἐστιν. φανερὸν οὖν ὅτι ἐν μόνῃ τῶν κινήσεων τῇ κατὰ τὸ ποιὸν, ἐνδέχεται ἀδιαίρετον καθ' αὑτὸ εἶναι.

Δείξας ὅτι οὔτε τοῦ χρόνου ἔστι τι πρῶτον, ἐν ᾧ τὸ μεταβεβληκὸς ἤρξατο τῆς μεταβολῆς, οὔτε αὐτοῦ τοῦ μεταβάλλοντος ἔστι τι πρῶτον ὃ μεταβέβληκεν, ἐπειδὴ πᾶσα μεταβολή τινός ἐστι τοῦ μεταβάλλοντος, καὶ ἔν τινι, ἐν χρόνῳ γὰρ, καὶ κατά τι, ἢ γὰρ κατὰ τόπον, ἢ κατὰ ποσὸν, ἢ κατὰ ποιὸν, ἢ κατὰ ἀντίφασιν, ἐπὶ τὸ τρίτον τοῦτο μετελήλυθε, τὸ καθ' ὃ ἡ μεταβολὴ γίνεται, ζητῶν καὶ ἐπ' αὐτοῦ εἰ ἔστι τι πρῶτον τοῦ καθ' ὃ ἡ μεταβολή. περὶ τούτου δὲ εἰπὼν ἐξ ἀρχῆς. αὐτὸ δὲ ὃ μεταβάλλει. εἰς σαφέστερον αὐτὸ μετέλαβε τό. καθ' ὃ μεταβάλλει. ὡς γὰρ ἐξηγητικὸν ἐκείνου τοῦτο προσέθηκε. καὶ λέγει. ὅτι οὐκέτι ὁμοίως ἔχει τὸ ζητούμενον ἐπὶ παντὸς τοῦ καθ' ὃ ἡ μεταβολὴ, ὡς ἐπὶ τοῦ μεταβάλλοντος αὐτοῦ καὶ τοῦ χρόνου. ταῦτα μὲν γὰρ τῇ αὑτῶν φύσει διαιρετά ἐστι. καὶ διὰ τοῦτο οὐδέν ἐστιν αὐτῶν πρῶτον λαβεῖν, ἐν ᾧ ἡ ἀρχὴ τῆς μεταβολῆς. οὐκέτι δὲ πᾶν τὸ καθ' ὃ ἡ μεταβολὴ διαιρετὸν καθ' αὑτό. τὸ γὰρ ποιὸν, καθ' ὃ ἡ κατ' ἀλλοίωσιν μεταβολὴ γίνεται, οὐκ ἔστι τῇ αὑτοῦ φύσει διαιρετόν. ὅτι μὴ δὲ ποσόν. κατὰ συμβεβηκὸς μέντοι καὶ αὐτὸ διαιρετόν ἐστι, τῷ τὸ ὑποκείμενον αὐτῷ καὶ ἀλλοιούμενον διαιρετὸν εἶναι. τούτῳ γὰρ καὶ ἡ ποιότης συνδιαιρεῖται, ποσὸν μὲν ὂν καὶ αὐτὴν κατὰ συμβεβηκός. ποσοῦ γοῦν τὸ διαιρεῖσθαι. κατὰ συμβεβηκὸς δὲ πάντα εἶπε διαιρετὰ, οὐχ ὡς καὶ τοῦ τόπου καὶ τοῦ μεγέθους κατὰ συμβεβηκὸς διαιρουμένων. ταῦτα γοῦν καθ' αὑτὰ διαιρετά ἐστιν. ἀλλ' ἤτοι πάντα τὰ ποιὰ καθ' ἃ ἡ ἀλλοίωσις κατὰ συμβεβηκὸς εἶπε διαιρετά. ἢ ὅτι συναριθμουμένου τοῖς διαιρετοῖς καὶ τοῦ κατὰ συμβεβηκὸς διαιρουμένου, πάντα γίνεται διαιρετὰ τὰ καθ' ἃ ἡ μεταβολή. καὶ ἐπὶ πάντων ἀληθὲς τὸ μὴ εἶναι τὸ πρῶτον λαβεῖν διὰ τὴν ἐπ' ἄπειρον διαίρεσιν. εἶτα τῶν καθ' ἃ ἡ μεταβολὴ γίνεται τὰ καθ' αὑτὰ διαιρετὰ λαβὼν, πρῶτον τὸν τόπον ἐπὶ τούτου δείκνυσιν, ὅτι οὐκ ἔστι τὸ πρῶτον λαβεῖν, ἐκθέμενος τὸ μὲν κινούμενον μέγεθος τὸ αβ, τόπον δὲ ἐφ' οὗ κινεῖται, ἀρχὴν μὲν ἔχοντα καὶ αὐτὸν τὸ β, τέλος δὲ τὸ γ. διότι τὸ κινούμενον τῇ ἑαυτοῦ ἀρχῇ ἢ τῷ τέλει τῆς ἀρχῆς, τοῦ τόπου ἁπτόμενον, οὕτως ἄρχεται τῆς κινήσεως. διὸ κοινὸν ἔλαβε τὸ β, μόριόν τι τοῦ τόπου λαβὼν τὸ βγ. ὅπερ ἀνάγκη ἢ ἀδιαίρετον εἶναι ἢ διαιρετόν. καὶ εἰ μὲν ἀδιαίρετα τό, τε β καὶ τὸ γ, καὶ ἐχόμενα ἀλλήλων, ἔσται ὁ βγ τόπος συνεχὴς ὢν, καὶ μέγεθος ἔχων, ἐξ ἀδιαιρέτων

συγκείμενος. καὶ ἔσται τὰ ἀμερῆ καὶ ἀδιαίρετα ἀλλήλων ἐχόμενα. ὃ δέδεικται ἀδύνατον ὄν. εἰ δὲ διῄρηται ἀπ' ἀλλήλων τὰ πέρατα τοῦ τόπου τὸ β καὶ τὸ γ, ἔσται τι πρὸ τοῦ γ οἷον τὸ δ. εἰς ὃ πρῶτον μεταβέβληκε, τὸ ἀπὸ τοῦ β ἐπὶ τὸ γ κινούμενον κατὰ τόπον. καὶ τοῦ δ πάλιν ἄλλο πρότερον, οἷον τὸ ε. κἀκείνου πάλιν ἄλλο πρότερον. καὶ ἀεὶ οὕτως. ὥστε μηδὲν εἶναι πρῶτον λαβεῖν τοῦ τόπου, εἰς ὃ τὸ κινούμενον μεταβέβληκε, διὰ τὸ μηδέποτε ἐπιλείπειν τὴν διαίρεσιν. ὅμοιος δέ ἐστιν ὁ λόγος καὶ ἐπὶ τῆς τοῦ ποσοῦ μεταβολῆς, τῆς κατὰ αὔξησιν καὶ μείωσιν. καὶ τὴν αἰτίαν τῆς ὁμοιότητος προσέθηκε. διότι καὶ τὸ αὐξόμενον μέγεθος συνεχές ἐστι, καὶ διαιρετὸν εἰς ἀεὶ διαιρετά. τὸ γὰρ τοσόνδε αὐξόμενον μέγεθος ἐν τῷ τοσῷδε χρόνῳ, καὶ ἐν τῷ ἐλάττονι ἔλαττον αὐξηθήσεται, καὶ ἐν τῷ τούτου πάλιν ἐλάττονι ἔλαττον. ὅτι δὲ τὴν προτέραν δεῖξιν ἐπὶ τοῦ τόπου ἐποιήσατο, ἐδήλωσεν ἐκεῖ, ἄλλο μὲν τὸ κινούμενον μέγεθος λαβὼν τὸ αβ, ἄλλο δὲ τὸ ἐφ' οὗ κινεῖται τὸ βγ, ἐκ τοῦ β εἰς τὸ γ κινούμενον. τὸ δὲ αὐξόμενον καὶ μειούμενον μέγεθος ἐν τῷ αὐτῷ ἐστι. δείξας δὲ ὅτι οὔτε τοῦ τόπου οὔτε τοῦ μεγέθους ἐστί τι πρῶτον λαβεῖν, διὰ τὸ συνεχῆ εἶναι καὶ διαιρετὰ εἰς ἀεὶ διαιρετά, ἐπήγαγεν ὅτι μόνων τῶν καθ' ἃ ἡ κίνησις τὸ ποιὸν καθ' αὑτὸ ἀδιαίρετον ἐνδέχεται εἶναι. δῆλον δὲ ὅτι κατὰ συμβεβηκὸς καὶ τοῦτο διαιρετόν. κἂν ἀδιαίρετον δὲ ᾖ τῇ αὑτοῦ φύσει, οὐ δὲ ἐν αὐτῷ ἔσται τι πρῶτον. τὸ γὰρ πρῶτον ἐν διαιρουμένῳ καὶ μέρη ἔχοντι. ἀλλὰ καὶ καθ' ὃ τοῦ ὑποκειμένου ᾧ συνδιαιρεῖται οὐκ ἔστι τι πρῶτον, οὐδὲ αὐτοῦ τοῦ συνδιαιρουμένου εἴη ἄν τι πρῶτον. συνδιαιρεῖται δὲ ἡ ἀλλοίωσις, εἰ μὴ ἀθρόα γίνοιτο ἡ μεταβολή. ἣν αὐτὸς ἠξίου γίνεσθαι ἐν τῷ πρώτῳ βιβλίῳ, πρὸς Μέλισσον διαλεγόμενος, ὅτε ἔλεγεν ὥσπερ οὐκ ἀθρόας μεταβολῆς οὔσης. ὁ μέντοι Εὔδημος εὐλαβέστερον περὶ τούτου διετάξατο, ἐν τῷ δευτέρῳ τῶν φυσικῶν γράφων οὕτως. τὰ δὲ ἀλλοιούμενα πῶς χρὴ λαμβάνειν μεταβάλλοντα. εἰ μὲν γὰρ ἡ ποσὸν τὸ σῶμα ἀλλοιοῦται, καὶ μὴ πᾶν ἅμα θερμαίνεται καὶ ξηραίνεται, ἐν τούτοις ἔσται τὸ πρῶτον. εἰ δέ πως ἄλλως πάσχουσιν, ἄλλος λόγος.

Ε ἘΠΕΙ ΔΕ τὸ μεταβάλλον ἅπαν ἐν χρόνῳ μεταβάλλει. λέγεται δ' ἐν χρόνῳ μεταβάλλειν καὶ ὡς ἐν πρώτῳ, καὶ ὡς καθ' ἕτερον. οἷον, ἐν τῷ ἐνιαυτῷ, ὅτι ἐν τῇ ἡμέρᾳ μεταβάλλει. ἐν ᾧ πρώτως χρόνῳ μεταβάλλει τὸ μεταβάλλον, ἐν ὁτῳοῦν ἀνάγκη τούτου μεταβάλλειν. δῆλον μὲν οὖν καὶ ἐκ τοῦ ὁρισμοῦ. τὸ γὰρ πρῶτον, οὕτως ἐλέγομεν. ἀλλὰ δὴ καὶ ἐκ τῶνδε φανερόν. ἔστω γὰρ ἐν ᾧ πρώτῳ κινεῖται τὸ κινούμενον, ἐφ' ᾧ χρ. καὶ διῃρήσθω κατὰ τὸ κ. πᾶς γὰρ χρόνος, διαιρετός. ἐν δὲ τῷ χκ χρόνῳ, ἤτοι κινεῖται ἢ οὐ κινεῖται. καὶ πάλιν ἐν τῷ κρ, ὡσαύτως. εἰ μὲν οὖν ἐν μηδετέρῳ κινεῖται, ἠρεμοίη ἂν ἐν τῷ παντί. κινεῖσθαι γὰρ ἐν μηδενὶ τῶν τούτου κινούμενον, ἀδύνατον. εἰ δ' ἐν θατέρῳ μόνῳ κινεῖται, οὐκ ἂν ἐν πρώτῳ κινοῖτο τῷ χρ. καθ' ἕτερον γὰρ ἡ κίνησις. ἀνάγκη ἄρα ἐν ὁτῳοῦν τοῦ χρ κεκινῆσθαι.

Δ Δείξας ὅτι οὐκ ἔστιν ἐν τῷ χρόνῳ ἐν ᾧ τι μεταβάλλει τὸ πρῶτον λαβεῖν, ἐπειδὴ λέγεταί τι ἐν πρώτῳ χρόνῳ μεταβάλλειν, τὸ μὴ ἔν τινι μέρει τοῦ λεγομένου χρόνου ἀλλ' ἐν αὐτῷ τῷ προσεχῶς, προτίθεται δεῖξαι ὅτι καὶ τοῦτο τὸ πρῶτον διαιρετὸν ὄν, οὐ συγχωρεῖ τὸ κυρίως πρῶτον λαβεῖν. διχῶς γὰρ λεγομένου τοῦ ἐν χρόνῳ μεταβάλλειν, ἢ ὡς ἐν ᾧ πρώτῳ, ἢ ὡς καθ' ἕτερον. καθ' ἕτερον μέν ἐστι, τὸ ἔν τινι τῶν τούτου μερῶν μεταβάλλον. ἐν γὰρ τῷ ἐνιαυτῷ τούτῳ ὁ ἀγὼν, ὅτι ἐν τῇδε αὐτοῦ τῇ ἡμέρᾳ. πρώτῳ δὲ τὸ ἐν τῇδε τῇ ἡμέρᾳ, ἢ τῇδε τῇ ὥρᾳ. πρῶτος οὖν πως λέγεται οὗτος ὁ χρόνος, εἴπερ μὴ ἔστι πρῶτον χρόνον λαβεῖν. καὶ δείκνυσιν ὅτι οὔτε οὗτος πρῶτος κυρίως ἐστίν. εἴπερ καὶ οὗτος μεριστός ἐστι χρόνος ὤν, καὶ ἀνάγκη ἐν ὁτῳοῦν αὐτοῦ μέρει μεταβάλλειν τὸ μεταβάλλον. ὥστε μὴ ἔχειν εἰπεῖν ἐν ᾧ πρώτῳ τὸ κινούμενον ἤρξατο τῆς κινήσεως. τοῦ γὰρ ληφθέντος πρώτου, ἄλλο τι πρότερον ληφθῆναι δυνατόν, καὶ ἐκείνου ἄλλο, καὶ ἀεὶ οὕτως. δείκνυσι δὲ καὶ ἐκ τοῦ ὁρισμοῦ τοῦ τοιούτου πρώτου, ὅτι μέρος τι ὂν τοῦ ὅλου, διαιρετόν ἐστι καὶ αὐτό. ἐν πρώτῳ γὰρ ἐλέγετο εἶναί τι, ἢ κινεῖσθαι χρόνῳ, τὸ μὴ ἔν τινι τῶν τοῦ εἰρημένου χρόνου ὂν ἢ κινούμενον. τῷ γὰρ κατά τι μέρος καὶ τῷ κατ' ἄλλο, τὸ πρῶτον ἀντίκειται. ὡς μεριστὸς οὖν εἴληπται καὶ οὗτος ὁ χρόνος, εἴπερ διὰ τοῦτο πρῶτος, ὅτι οὐκ ἔν τινι τῶν αὐτοῦ μερῶν. τὴν δὲ ἀπόδειξιν δι' ἐκθέσεως πάλιν ποιεῖται, καὶ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς, ὅτι οὐδὲ ἐπὶ τούτου ἀληθὲς τὸ πρῶτον εἶναι χρόνον κυρίως ἐν ᾧ κινεῖταί τι. λαμβάνει δὴ χρόνον ἐν ᾧ τὸ κινούμενον πρώτῳ κινεῖται, τὸν χρ. καὶ ἐπειδὴ πᾶς χρόνος διαιρετός, διαιρεῖ αὐτὸν κατὰ τὸ κ. τὸ δὴ ἐν πρώτῳ τῷ χρ χρόνῳ κινούμενον, ἐν τῷ μέρει αὐτοῦ τῷ χκ, ἤτοι κινεῖται ἢ οὐ κινεῖται. καὶ ὁμοίως ἐν τῷ κρ. καὶ εἰ μὲν ἐν μηδετέρῳ κινεῖται, οὐδὲ ἐν παντὶ τῷ χρ χρόνῳ κινηθήσεται ἀλλ' ἠρεμήσει. ὃ γὰρ ἐν μηδενὶ τῶν μορίων τινὸς κινεῖται, τοῦτο ἀδύνατον ἐν ὅλῳ αὐτῷ κινεῖσθαι. εἰ δὲ ἐν τῷ ἑτέρῳ μέρει αὐτοῦ τῷ χκ, ἢ τῷ κρ κινεῖται, ἐν δὲ τῷ ἑτέρῳ μὴ κινεῖται, οὐκ ἂν ἐν τῷ πρώτῳ κινοῖτο τῷ χρ. ἐν γὰρ τῷ τούτου τινὶ γίνεται κινούμενον. ὅπερ οὐκ ἦν τὸ ἐν πρώτῳ τῷ χρ χρόνῳ κινεῖσθαι. τὸ γὰρ ἐν πρώτῳ ἦν, τὸ μὴ ἔν τινι τῶν τούτου, ἀλλ' ἐν ἅπαντι. οὐκ ἄρα πρῶτος ὁ χρόνος ὁ χρ, εἴπερ πᾶς χρόνος διαιρετός ἐστιν. ἀλλ' εἰ τὸ ἐν πρώτῳ τῷ χρόνῳ τοῦτο ἦν, τὸ μὴ ἔν τινι τῶν τούτου ἀλλ' ἐν ἅπαντι, δυνατὸν τὸ ἐν ἅπαντι τῷ χρ χρόνῳ κινούμενον, ἐν πρώτῳ αὐτῷ κινεῖσθαι. κἂν γὰρ μεριστὸς

καὶ ὁ χρόνος ὁ ΧΡ, τὸ μὴ ἔν τινι τῶν αὐτοῦ ἀλλ' ἐν ἅπαντι κινούμενον, ἐν πρώτῳ αὐτῷ λέγοιτ' ἂν κινεῖσθαι. ἀλλ' ἀρχὴν μὲν χρόνου καὶ οὕτω πρῶτον οὐκ ἔστι λαβεῖν. ὃ γὰρ ἂν λάβῃς μέρος χρόνου ὡς πρῶτον, ἔχει τι ἑαυτοῦ πρότερον, διὰ τὴν ἐπ' ἄπειρον τοῦ χρόνου διαίρεσιν. χρόνον δέ τινα πρῶτον οἷόν τέ ἐστι λαβεῖν, ὅλον ὁμοῦ λαμβανόμενον. ἐν ὅλῳ γάρ τι πᾶν μεταβάλλει, καὶ οὐκ ἐν μορίῳ αὐτοῦ, ὡς τῇ κινήσει αὐτοῦ συμπαρατείνεσθαι τὴν μεταβολήν. ὁ γοῦν ἀγὼν ἐπιτελεῖται μὲν τῷδε τῷ μηνί, ἀλλ' οὐ πρώτῳ, ἀλλὰ πρώτῳ τῇδε τῇ ἡμέρᾳ. καὶ τῆσδε τῆς ἡμέρας ἐν ὥραις, ἐν αἷς ἐπιτελεῖται πάσαις ὁμοίως. καὶ ἔστιν οὗτος πρῶτος χρόνος, οὐχ ὅτι οὐκ ἔστιν ἄλλος χρόνος πρὸ αὐτοῦ. ἀλλ' ὅτι οὐκ ἔστιν ἄλλος πρὸ αὐτοῦ ἐν ᾧ ὁ ἀγὼν ἐπιτελεῖται. καὶ ὅτι οὐκ ἐν ὁτῳοῦν αὐτοῦ μέρει, ὥστε τὴν ἐπ' ἄπειρον διαίρεσιν εἰσαχθῆναι. ἀλλ' ἐν ὅλῳ αὐτῷ ἐπιτελεῖται ὁ ὅλος ἀγών. καὶ ἡ μεταβολὴ αὐτοῦ συμπαρατείνεται τῇ τοῦ χρόνου κινήσει. ὁ μέντοι ἀριστοτέλης ἐν ταῖς ἐκτεθείσαις ἀποδείξεσιν ἔδειξεν, ὅτι πρῶτον οὕτω χρόνον ὡς ἀρχὴν χρόνου οὐκ ἔστι λαβεῖν. διὸ καὶ τῇ ἐπ' ἄπειρον τοῦ χρόνου διαιρέσει ἐχρήσατο, οὐδαμοῦ κατὰ τὸ ὅλον αὐτὸν λαβών. ἐφεξῆς δὲ καὶ ὡς ὅλον αὐτὸν λαμβάνων, πρῶτον αὐτὸν χρόνον καλεῖ, ὅταν λέγῃ, εἰ γὰρ ἐν τῷ ΧΡ πρώτῳ χρόνῳ τὸ ΚΛ κεκίνηται. ἐπειδὴ δὲ ἀναγκαῖόν ἐστι τὸ πρόβλημα, οὐδὲν ἄτοπον οἶμαι καὶ τὰ τῷ εὐδήμῳ περὶ τούτου γεγραμμένα παραθέσθαι, πάντων μᾶλλον τῶν ἐξηγητῶν τὴν τοῦ ἀριστοτέλους γνώμην ἐπισταμένου. γράφει δὲ ὁ
» εὔδημος ἐν τῷ δευτέρῳ τῶν φυσικῶν ταῦτα. πῶς ἔσται τὸ πρῶτον ἐν ᾧ μετέβαλλεν. ἐν ᾧ μὲν γὰρ
» ἐπιτελέσθη, ἔστι. πέρας γὰρ ἐν τούτῳ. τὸ δὲ τέλος ἢ τὸ πρῶτον πλεοναχῶς λέγεται. ἕνα μὲν τρό-
» πον, ἐν ᾧ ἀτόμῳ. τοῦτο δὲ ἐνταῦθα μὲν τοῦ μεταβεβληκέναι ἐστίν. ἐπειδὴ ἔστι μεταβεβληκέναι ἐν ἀτόμῳ.
» ἐπὶ δὲ τοῦ ἠρεμεῖν καὶ μεταβάλλειν, οὐκ ἔστιν. ἐπειδὴ οὔτε κινεῖται οὔτε ἠρεμεῖ ἐν ἀτόμῳ. ἐν ᾧ δὲ πρώ-
» τῳ κινεῖται ἔστιν ὥσπερ εἴρηται. οὐ μὴν ἔν τινι. ἀλλ' ὁμοίως ἐν παντί. λέγομεν γοῦν ὅτι ἐν τῷ μηνὶ τῷ
» ὀλυμπικῷ ἐξέλιπεν ὁ ἥλιος, ὅτι τῇ νουμηνίᾳ. καὶ τῇ νουμηνίᾳ δέ, ὅτι ἔν τινι μορίῳ ταύτης. ἐν τῷδε
» δὲ τῷ μορίῳ οὐκέτι ὅτι ἐν ἄλλῳ. ἀλλ' ὅτι ἐν ὁτῳοῦν τούτου. ἀλλὰ τοῦτο μεριστόν. ὥστε πρότερον ἐν τῷ
» προτέρῳ. πρότερον γὰρ τὸ μέρος ἐν τῷ μέρει. ἀλλ' ἡ ὅλη ἐν τῷ ὅλῳ χρόνῳ. ὥστε ἐν τούτῳ πρώτῳ
» ἐξέλιπεν ὡς ἐν χρόνῳ. χρόνος μὲν οὖν οὐκ ἔστι πρῶτος, ἐπειδὴ πᾶς μεριστός. ἐν ᾧ δὲ πρώτῳ ἐκινεῖτο
» ἢ ἄλλο τι ἔπασχεν, ἔστιν. ἐπειδὴ ἐν χρόνῳ τὰ τοιαῦτά ἐστι. καὶ ἔν τινι οὕτως, ὥστε ἐν ὁτῳοῦν γίνεσθαι
» αὐτοῦ. τοῦτο δὲ λέγει τὸ ἐν πρώτῳ.

Δ ΕΔΕΙΓΜΕΝΟΥ δὲ τούτου, φανερὸν ὅτι πᾶν τὸ κινούμενον ἀνάγκη κεκινῆσθαι πρότερον. εἰ γὰρ ἐν τῷ ΧΡ χρόνῳ, πρώτῳ τὸ ΚΛ κεκίνηται μέγεθος ἐν τῷ ἡμίσει τὸ ὁμοταχῶς κινούμενον καὶ ἅμα ἀρξάμενον, τὸ ἥμισυ ἔσται κεκινημένον. εἰ δὲ τὸ ὁμοταχὲς ἐν τῷ αὐτῷ χρόνῳ κεκίνηταί τι, καὶ θάτερον ἀνάγκη τὸ αὐτὸ κεκινῆσθαι μέγεθος. ὥστε κεκινημένον ἔσται τὸ κινούμενον.

Δ δεδειγμένου τοῦ πάντα χρόνον καὶ πᾶν μέγεθος καὶ τὸ πρῶτον λεγόμενον ἐπ' ἄπειρον διαιρετὸν εἶναι, ἕπεσθαι τούτῳ φησίν, τὸ πᾶν τὸ κινούμενον ἐξ ἀνάγκης πρότερον κεκινῆσθαι. οὐχ ὡς πεπαῦσθαι δὲ τῆς κινήσεως λέγεται κεκινῆσθαι τὸ κινούμενον. ἀλλ' ὡς ἤδη τι διεληλυθέναι τὸ διιόν. ἐπεὶ γὰρ τὸ κινούμενον ὅταν κινῆται, μετήλλαχεν ἔκ τινος εἴς τι, εἰ γὰρ ἐν ταὐτῷ εἴη οὐκ ἂν κινοῖτο, τὸ δὲ μετηλλαχὸς κεκίνηται, δῆλον ὡς τὸ κινούμενον ἀναγκαῖόν ἐστι κεκινῆσθαι. αὐτὸς δὲ δείκνυσιν αὐτὸ οὕτως. λαμβάνει τὸ ΚΛ κινούμενον ἐν ΧΡ χρόνῳ πρώτῳ. ἐν παντὶ οὖν αὐτοῦ κινεῖται μορίῳ. τὸ γὰρ κεκίνηται ὡς εἶπον, οὐχ ὡς πεπαυμένου τῆς κινήσεως ἤδη τοῦ κεκινῆσθαι λεγομένου λαμβάνει, ἀλλ' ὡς ἐν τῷ κινεῖσθαι ἤδη τι διεληλυθός. ἐπεὶ οὖν ἔστι τις χρόνος ὁ ΧΡ, ἐν ᾧ πρώτῳ μεταβάλλει τὸ κινούμενον τὸ ΚΛ, τῷ ἐν παντὶ αὐτῷ μεταβάλλειν, ἐὰν ἄλλο τι ὁμοταχῶς τῷ ΚΛ κινούμενον ληφθῇ, ἅμα τοῦ κινεῖσθαι ἀρχόμενον τῷ ΚΛ, ἐν τῷ ἡμίσει χρόνῳ τοῦ ΧΡ, τουτέστι τῷ ΧΚ, τὸ ἥμισυ διελεύσεται. ἐν τῷ αὐτῷ δὲ χρόνῳ καὶ τὸ ΚΛ τὸ ἰσοταχὲς αὐτῷ καὶ ἅμα ἀρξάμενον αὐτῷ τὸ αὐτὸ διελεύσεται. ἐν γοῦν ὁτῳοῦν μορίῳ τοῦ χρόνου κεκίνηται, τὸ ἐν παντὶ αὐτῷ κινούμενον. τὸ ἄρα κινούμενον τὴν ὅλην, τὴν ἡμίσειαν πρότερον κεκίνηται. ἐπειδὴ δὲ τὸ ΚΛ ἐν πρώτῳ τῷ ΧΡ χρόνῳ ὑπέθετο κεκινημένον, διὰ τοῦτο ἄλλο τι ἔλαβεν ὁμοταχὲς τῷ ΚΛ, ἐν τῷ ἡμίσει χρόνῳ τοῦ ΧΡ χρόνου τὸ ἥμισυ κινούμενον, οὗ ἐκινήθη τὸ ΚΛ ἐν ὅλῳ τῷ ΧΡ χρόνῳ. ἵνα δι' ἐκείνου καὶ τὸ ΚΛ δείξῃ, καὶ αὐτὸ πρὸ τοῦ τὸ ὅλον κεκινῆσθαι, τὸ ἥμισυ κεκινημένον, εἰ γὰρ αὐτὸ τὸ ΚΛ καθ' αὑτὸ ἔλαβεν ἐν τῷ ἡμίσει τοῦ ΧΡ χρόνου τῷ ΧΚ κεκινημένον, ἔνστασιν ἂν ἔχειν ἐδόκει τινά, διότι ἐν πρώτῳ τῷ ΧΡ χρόνῳ ὑπετέθη κεκινημένον τὸ ΚΛ.

Ε ΕΤΙ ΔΕ εἰ ἐν τῷ παντὶ χρόνῳ τῷ ΧΡ κεκινῆσθαι λέγομεν ἢ ὅλως ἢ ἐν ὁτῳοῦν χρόνῳ τῷ λαβεῖν τὸ ἔσχατον αὐτοῦ νῦν, τοῦτο γάρ ἐστι τὸ ὁρίζον, καὶ τὸ μεταξὺ τῶν νῦν χρόνος, κἂν ἐν τοῖς ἄλλοις ὁμοίως λέγοιτο κεκινῆσθαι. τοῦ δ' ἡμίσεος ἔσχατον ἡ διαίρεσις. ὥστε καὶ ἐν τῷ ἡμίσει κεκινημένον ἔσται. καὶ ὅλως ἐν ὁτῳοῦν τῶν μερῶν. ἀεὶ γὰρ ἅμα τῇ τομῇ, χρόνος ἐστὶν ὡρισμένος ὑπὸ τῶν νῦν. εἰ οὖν ἅπας μὲν χρόνος, διαιρετὸς ὁ μεταξὺ τῶν νῦν χρόνος, ἅπαν τὸ μεταβάλλον, ἄπειρα ἔσται μεταβεβληκός.

Δ εύτερον ἐπιχείρημα τοῦτο δεικνύον, ὅτι ἀνάγκη πᾶν τὸ κινούμενον κεκινῆσθαι πρότερον. εἰ γὰρ πᾶν τὸ κεκινημένον κεκινῆσθαι λέγομεν ἐν ὁπωσοῦν χρόνῳ, τῷ λαβεῖν τὸ ἔσχατον νῦν τὸ ὁρίζον τὸν παρεληλυθότα χρόνον ἐν ᾧ ἐκινεῖτο, πρὸ παντὸς γὰρ τοῦ νῦν χρόνος ἐστὶ, διὰ τὸ μὴ ἔχεσθαι ἀλλήλων τὰ νῦν, πᾶς δὲ χρόνος καὶ ὁ ἐλάχιστος διαιρεῖται τῷ νῦν, δηλονότι καὶ ἐν ἐκείνῳ τῷ νῦν τῷ διαιροῦντι εἰς ἥμισυ τὸν παρεληλυθότα χρόνον, κεκινημένον ἔσται. ὥστε τὸ κινούμενον κατὰ τὸ ἔσχατον τοῦ χρόνου νῦν, πρὸ τοῦ κινεῖσθαι ταύτην τὴν κίνησιν κεκινημένον ἦν, ὅτε τὸ ἥμισυ διῆλθεν. ἦν γὰρ καὶ τοῦ ἡμίσεος ἔσχατόν τι νῦν. καὶ οὐ τοῦ ἡμίσεος μόνον, ἀλλὰ καὶ ὁτουοῦν μέρους μείζονός τε καὶ ἐλάττονος. διότι πᾶς χρόνος καὶ ὁ ἐλάχιστος διαιρετός ἐστι. καὶ διαιρεῖται κατὰ τὸ νῦν. καὶ καθ' ἕκαστον νῦν κεκινημένον ἐστὶν, ὥσπερ καθ' ἕκαστον χρόνον κινούμενον. εἰ δὲ τοῦτο οὕτως ἔχει, καὶ πᾶς χρόνος ἐπ' ἄπειρον ὑπὸ τῶν νῦν διαιρεῖται, καὶ πάντων τῶν νῦν μεταξὺ χρόνος ἐστὶν, ἵνα μὴ ἔχηται ἀλλήλων τὰ νῦν, τὸ κινούμενον οὐ μόνον κεκίνηται πρὸ τοῦ κινεῖσθαι. ἀλλὰ καὶ ἀπειράκις κεκίνηται. ὁσάκις γὰρ ἐστὶ λαβεῖν τὸ νῦν κατὰ τοῦ χρόνου ἐν ᾧ κινεῖται τὸ κινούμενον, τοσαυτάκις ἐστὶν αὐτοῦ κατηγορεῖν τὸ κεκινῆσθαι. τὸ δὲ νῦν ἐστὶ λαβεῖν τοσαυτάκις, ὁσάκις ἐστὶ διελεῖν τὸν χρόνον. ὁ δὲ χρόνος ἐπ' ἄπειρόν ἐστι διαιρετὸς ὡς δειχθήσεται. ἄπειρα ἄρα ἔσται κεκινημένον τὸ κινούμενον. εἰ γὰρ πᾶς χρόνος διαιρετός ἐστιν, ἔστι δὲ καὶ τὸ μεταξὺ τῶν διαιρέσεων χρόνος, διὰ τὸ μὴ ἔχεσθαι ἀλλήλων τὰ νῦν, καὶ οὗτος διαιρετὸς ἔσται. ὥστε εἰ πᾶς μὲν χρόνος διαιρετὸς, μετὰ πᾶσαν δὲ τὴν ληφθεῖσαν διαίρεσιν καταλείπεται χρόνος, οὐδέποτε ἐπιλείψει ἡ διαίρεσις, τῷ μηδέποτε ἐπιλείπειν ἐν ταῖς τομαῖς τὸ διαιρεῖσθαι δυνάμενον. τοιοῦτος δὲ ἦν ὁ χρόνος. ἐπ' ἄπειρον ἄρα ἡ διαίρεσις. ἐφ' ὅσον δὲ ἡ διαίρεσις, κατὰ τοσοῦτον καὶ τὰ νῦν. κατὰ ταῦτα γὰρ ἡ διαίρεσις ἐφ' ὅσον δὲ τὰ νῦν, κατὰ τοσοῦτον καὶ τὸ κεκινῆσθαι κατηγορεῖται τοῦ κινουμένου. ἀπειράκις ἄρα ἔσται μεταβεβληκὸς τὸ κινούμενον. δῆλον δὲ ὅτι δυνάμει τὰ ἄπειρα καὶ οὐκ ἐνεργείᾳ. ὥσπερ καὶ ἡ διαίρεσις δυνάμει τὸ ἄπειρον ἔχει, τῷ ἐπ' ἄπειρον διαιρεῖσθαι τὸ διαιρούμενον. ἀλλ' οὐχὶ τῷ εἰς ἄπειρά ποτε διῃρῆσθαι κατ' ἐνέργειαν.

Ἔ ΤΙ ΔΕ͂Ι τὸ συνεχῶς μεταβάλλον καὶ μὴ δὲ φθαρὲν μὴ δὲ πεπαυμένον τῆς μεταβολῆς, ἢ μεταβάλλειν, ἢ μεταβεβληκέναι ἀναγκαῖον ἐν ὁπωσοῦν. ἐν δὲ τῷ νῦν, οὐκ ἔστι μεταβάλλειν, ἀνάγκη μεταβεβληκέναι καθ' ἕκαστον τῶν νῦν. ὥστε εἰ τὰ νῦν ἄπειρα, πᾶν τὸ μεταβάλλον, ἄπειρα ἔσται μεταβεβληκός.

Τ ρίτον τοῦτο ἐπιχείρημα δεικνύον, ὅτι πᾶν τὸ μεταβάλλον ἐπ' ἄπειρον πρότερον μεταβέβληκε. τὸ γὰρ συνεχῶς κινούμενον, καὶ μήτε ἐφθαρμένον μήτε πεπαυμένον τῆς κινήσεως ἐφ' ὁσονοῦν, ἀνάγκη ἐν ᾧ κινεῖσθαι λέγεται χρόνῳ ἢ μεταβάλλειν ἢ μεταβεβληκέναι. ἀλλὰ μὴν ἐν τῷ νῦν δέδεικται ὅτι οὐκ ἔστι μεταβάλλειν. μεταβεβληκέναι ἄρα. ὥστε καθ' ἕκαστον τῶν νῦν τῶν ἐν τῷ χρόνῳ λαμβανομένων, ἐν ᾧ κινεῖται τὸ κινούμενον συνεχῶς, κεκινημένον καὶ μεταβεβληκὸς ἔσται. ἄπειρα δὲ τὰ νῦν ὡς ἐπ' ἄπειρον. ἄπειρα ἄρα ἔσται μεταβεβληκὸς τὸ μεταβάλλον.

ΟΥ̓ ΜΌΝΟΝ δὲ τὸ μεταβάλλον, ἀνάγκη μεταβεβληκέναι, ἀλλὰ καὶ τὸ μεταβεβληκὸς. ἀνάγκη μεταβάλλειν πρότερον. ἅπαν γὰρ τὸ ἔκ τινος εἴς τι μεταβεβληκὸς, ἐν χρόνῳ μεταβέβληκεν. ἔστω γὰρ ἐν τῷ νῦν ἐκ τοῦ α εἰς τὸ β μεταβεβληκός. οὐκοῦν ἐν μὲν τῷ αὐτῷ νῦν ἐν ᾧ ἐστιν ἐν τῷ α, οὐ μεταβέβληκεν. ἅμα γὰρ ἂν εἴη ἐν τῷ α καὶ τῷ β. τὸ γὰρ μεταβεβληκὸς ὅτε μεταβέβληκεν ὅτι οὐκ ἔστιν ἐν τούτῳ, δέδεικται πρότερον. εἰ δ' ἐν ἄλλῳ μεταξὺ ἔστιν ὁ χρόνος, οὐ γὰρ ἦν ἐχόμενα τὰ νῦν. ἐπεὶ οὖν ἐν χρόνῳ μεταβέβληκε, χρόνος δὲ πᾶς διαιρετὸς, ἐν τῷ ἡμίσει ἄλλο ἔσται μεταβεβληκὸς, καὶ πάλιν ἐν τῷ ἐκείνου ἡμίσει, ἄλλο. καὶ ἀεὶ οὕτως ὥστε μεταβάλλοι ἂν πρότερον.

Δ είξας ὅτι πᾶν τὸ μεταβάλλον ἀνάγκη πρότερον μεταβεβληκέναι, δείκνυσι καὶ τὸ ἀντίστροφον αὐτῶν ἀληθὲς ὂν, ὅτι πᾶν τὸ μεταβεβληκὸς ἀνάγκη πρότερον μεταβάλλειν. δείκνυσι δὲ αὐτὸ, προαποδείξας ὅτι πᾶν τὸ μεταβεβληκὸς ἔκ τινος εἴς τι, ἐν χρόνῳ μεταβέβληκε. τοῦτο δὲ δείκνυσι διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς. εἰ γὰρ μὴ ἐν χρόνῳ, ἀλλ' ἐν τῷ νῦν τῷ αὐτῷ ἀπὸ τοῦ α εἰς τὸ β μεταβέβληκεν, ἅμα ἔσται καὶ ἐν τῷ α καὶ ἐν τῷ β. ὅπερ ἀδύνατον. οὐ δὲ γὰρ δυνατὸν τὸ μεταβεβληκὸς ὅτε μεταβέβληκεν, εἶναι ἐν τούτῳ ἐξ οὗ μεταβέβληκεν. ὡς ἔδειξε πρότερον ὅτε ἔλεγεν ὅτι τὸ μεταβάλλειν καὶ ἀπολείπειν, ἤτοι ταυτόν ἐστιν, ἢ ἀκολουθεῖ τῷ μεταβάλλειν τὸ ἀπολείπειν. σαφεστέρα δ' ἂν ἦν ἡ λέξις, εἰ τῷ ἅμα γὰρ ἂν εἴη καὶ ἐν τῷ α καὶ ἐν τῷ β, ἐπαγαγὼν τὸ, ὅπερ ἀδύνατον, τότε ὑπέμνησε τῆς τοῦ ἀδυνάτου αἰτίας, λέγων, τὸ γὰρ μεταβεβληκὸς ὅτε μεταβέβληκεν ὅτι οὐκ ἔστιν ἐνταῦθα, δέδεικται πρότερον. εἰ οὖν μὴ ἐν τῷ αὐτῷ νῦν ἀπὸ τοῦ α εἰς τὸ β μεταβέβληκεν, ἀλλ' ἐν ἑτέρῳ καὶ ἑτέρῳ, πάντων δὲ δυοῖν νῦν μεταξὺ χρόνος ἐστὶν, εἴπερ μὴ ἐχόμενά ἐστι τὰ νῦν, δηλονότι ἐν χρόνῳ τὴν μεταβολὴν ὑπέμεινε. τοῦτο γὰρ σημαίνει νῦν τὸ ἐν τῷ χρόνῳ μεταβεβληκέναι, ἀλλ' οὐχὶ ἐκεῖνο ὅπερ ἔθος ἐστὶ τοῦ μεταβάλλειν. εἰ οὖν ἐν χρόνῳ μεταβέβληκε, πᾶς δὲ χρόνος διαιρετὸς, δηλονότι καὶ ἐν τῷ ἡμίσει τοῦ χρόνου τὸ ἥμισυ μεταβέβληκε. καὶ πρότερόν γε τὸ ἥμισυ πρὶν τὸ ὅλον. καὶ ἐν τῷ ἡμίσει τοῦ ἡμίσεος χρόνου τὸ ἥμισυ πάλιν τοῦ ἡμίσεος

μεγέθους μετέβαλλε. καὶ ἀεὶ οὕτω διὰ τὴν ἐπ᾽ ἄπειρον τοῦ χρόνου διαίρεσιν. τὸ δὲ κατὰ μόρια μεταβεβληκὸς οὐχ οἷόν τε ἀθρόως ὅλον μεταβεβληκέναι. ἀλλὰ διὰ τοῦ μεταβάλλειν εἰς τὸ μεταβεβληκέναι πρόεισι. μόνως γὰρ ἂν ἦν τὸ μεταβεβληκὸς, οὐ διὰ τοῦ μεταβάλλειν μεταβεβληκὸς, εἰ ἄχρονος ἐγένετο ἡ μεταβολὴ, καὶ ἦν τὸ μέγεθος ἐξ ἀτόμων συγκείμενον. πάσης δὲ μεταβολῆς ἐν χρόνῳ γινομένης, ἀνάγκη πᾶν τὸ μεταβεβληκὸς ἔκ τινος εἴς τι διὰ τοῦ μεταβάλλειν πρότερον μεταβεβληκέναι.

Ε ΤΙ ΔΕ ΕΠΙ τοῦ μεγέθους φανερώτερον τὸ λεχθέν. διὰ τὸ συνεχὲς εἶναι τὸ μέγεθος. ἐν ᾧ μεταβάλλει τὸ μεταβάλλον. ἔστω γὰρ τὸ μεταβεβληκὸς ἐκ τοῦ γ εἰς τὸ δ. οὐκοῦν εἰ μὲν ἀδιαίρετόν ἐστι τὸ γδ, ἀμερὲς ἀμεροῦς ἔσται ἐχόμενον. ἐπεὶ δὲ τοῦτο ἀδύνατον, ἀνάγκη μέγεθος εἶναι τὸ μεταξὺ, καὶ εἰς ἄπειρα διαιρετόν. ὥστ᾽ εἰς ἐκεῖνα μεταβάλλει πρότερον. ἀνάγκη ἄρα πᾶν τὸ μεταβεβληκὸς, μεταβάλλειν πρότερον. ἡ δ᾽ αὐτὴ ἀπόδειξις καὶ ἐν τοῖς μὴ συνεχέσιν. οἷον, ἔν τε τοῖς ἐναντίοις, καὶ ἀντιφάσει. ληψόμεθα γὰρ τὸν χρόνον, ἐν ᾧ μεταβέβληκε. καὶ πάλιν τὰ αὐτὰ ἐροῦμεν, ὥστε ἀνάγκη τὸ μεταβεβληκὸς μεταβάλλειν. καὶ τὸ μεταβάλλον μεταβεβληκέναι. καὶ ἔστι τοῦ μὲν μεταβάλλειν τὸ μεταβεβληκέναι πρότερον. τοῦ δὲ μεταβεβληκέναι, τὸ μεταβάλλειν. καὶ οὐδέποτε ληφθήσεται τὸ πρῶτον. αἴτιον δὲ τούτου, τὸ μὴ εἶναι ἀμερὲς ἀμεροῦς ἐχόμενον. ἔσται ἄπειρον γὰρ ἡ διαίρεσις. καθάπερ ἐπὶ τῶν αὐξανομένων καὶ καθαιρουμένων γραμμῶν.

Α πὸ τοῦ χρόνου ἐν ᾧ ἡ μεταβολὴ δείξας ὅτι πρὸ τοῦ μεταβεβληκέναι ἐστὶ τὸ μεταβάλλειν, τὸ αὐτὸ ἐναργέστερον εἶναί φησιν ἀπὸ τοῦ μεγέθους καθ᾽ ὃ ἡ μεταβολὴ, ἐπὶ τῶν κατὰ μέγεθος δηλονότι μεταβαλλόντων. ταῦτα δέ ἐστι τά τε κατὰ τόπον μεταβάλλοντα, καὶ τὰ κατὰ αὔξησιν καὶ φθίσιν. τὰ γὰρ κατὰ ποιὸν μεταβάλλοντα, οὐχ ὑποπίπτει ταύτῃ τῇ ἀπὸ τοῦ μεγέθους ἀποδείξει. ὥσπερ οὐδὲ τὰ γινόμενα καὶ φθειρόμενα. οὐδὲ γὰρ κατὰ ποσὸν ἡ τούτων μεταβολή. ὥστε οὐ κατὰ συνεχῆ καὶ ἀεὶ διαιρετά εἰσιν, ἐξ ὧν ἡ ἀπόδειξις γέγονεν. ὅτι δὲ φανερώτερον ἐπὶ τοῦ μεγέθους τὸ προκείμενον ἢ ἐπὶ τοῦ χρόνου ἐστὶ, δῆλον. εἴπερ ἐν μὲν τῇ ἀπὸ χρόνου ἀποδείξει καὶ τῷ μεγέθει προσεχρήσατο. ὅτε ἔλεγεν ἐν τῷ ἡμίσει ἄλλο ἔσται μεταβεβληκὸς, καὶ πάλιν ἐν τῷ ἐκείνου ἡμίσει ἄλλο. ἐν δὲ τῇ ἀπὸ τοῦ μεγέθους οὐ δεῖται τοῦ χρόνου. δείκνυσι δὲ αὐτὸ, λαβὼν δύο μεγέθη. ἢ τοῦ τόπου, ὡς ἐπὶ τῆς κατὰ τόπον μεταβολῆς. ἢ καθ᾽ ὃ ἡ αὔξησις καὶ φθίσις. καὶ τὸ μὲν, ἐξ οὗ μεταβάλλει, τὸ δὲ, εἰς ὃ μεταβάλλει πρώτως, τὸ μὲν, γ τὸ δὲ, δ θέμενος. ἐφ᾽ ὧν ἀνάγκη ἢ ἀδιαίρετον εἶναι ὅλον τὸ γδ, ἢ διαιρετόν. ἀλλ᾽ ἀδιαίρετον, ἀδύνατον. ἀμερὲς γὰρ ἂν ἦν ἀμεροῦς ἐχόμενον, τό, τε ἐξ οὗ, καὶ τὸ εἰς ὅ. εἰ δὲ διαιρετὸν, μέγεθός ἐστι μεταξύ. οὗ τὸ μὲν ἐξ οὗ ἀρχή ἐστι, τὸ δὲ εἰς ὃ τελευτή. τὸ δὲ μέγεθος διαιρετὸν εἰς ἀεὶ διαιρετά. ὥστε εἰς τὰ μέρη μεταβάλλει πρότερον, καὶ εἰς τὰ τῶν μερῶν μέρη. ταῦτα δὲ εἰπὼν κοινὸν ἐπάγει συμπέρασμα, ὅτι ἀνάγκη τὸ μεταβεβληκὸς μεταβάλλειν πρότερον. καὶ ἐπειδὴ ἡ προσεχὴς ἀπόδειξις ἡ ἀπὸ τοῦ μεγέθους ἤτοι τοῦ συνεχοῦς, οὐκ ἐπιβάλλει τοῖς κατὰ ποιότητα, ἅπερ εἴωθεν ἐναντία, οὐδὲ τοῖς κατὰ γένεσιν καὶ φθορὰν μεταβάλλουσιν, ἅπερ ἐν ἀντιφάσει καλεῖ, καὶ ἐν τούτοις φησὶν εἶναι τὴν αὐτὴν ἀπόδειξιν, ἀπὸ τοῦ χρόνου λαμβανομένην ἐν ᾧ μεταβέβληκε. τοιαύτη δὲ ἦν ἡ πρὸ ταύτης ἀπόδειξις, τῷ συνεχεῖ καὶ ἀεὶ διαιρετῷ τοῦ χρόνου ἐπὶ πάσης μεταβολῆς συγχρησαμένη. εἰκότως οὖν ἀμφοτέρων ὁμοῦ λοιπὸν καθόλου συνεπεράνατο, ὅτι καὶ τὸ μεταβεβληκὸς ἀνάγκη μεταβάλλειν πρότερον, καὶ τὸ μεταβάλλον μεταβεβληκέναι, καὶ ἑκάτερον ἀεὶ πρὸ τοῦ ἑτέρου. οὐ γάρ ἐστι τὸ πρῶτον καὶ τὴν ἀρχὴν τῆς μεταβολῆς λαβεῖν, διὰ τὸ τὰ συνεχῆ ἐπ᾽ ἄπειρον διαιρετὰ εἶναι, καὶ μὴ συγκεῖσθαι αὐτὰ ἐξ ἀμερῶν. ἄπειρος γὰρ ἡ διαίρεσις ἐπὶ τῶν συνεχῶν. καὶ καθάπερ φησὶν, δῆλον ἐστι τοῦτο ἐπὶ τῶν αὐξομένων καὶ καθαιρουμένων γραμμῶν. ἂν γὰρ λάβωμέν τινα γραμμὴν, καὶ διέλωμεν αὐτὴν δίχα, καὶ τὸ μὲν ἥμισυ ἀδιαίρετον φυλάξωμεν, τὸ δὲ ἥμισυ αὐτῆς διελόντες δίχα πάλιν, τὸ ἕτερον αὐτοῦ προσθῶμεν τῷ ἀδιαιρέτῳ ἐξ ἀρχῆς ἡμίσει, καὶ ἀεὶ τὸ ἐξ ἀρχῆς αὐξήσομεν τῇ τῶν ἡμίσεων τοῦ διαιρουμένου προσθήκῃ, ἐπ᾽ ἄπειρον καθαίρεσις καὶ αὔξησις φανήσεται.

Φ ΑΝΕΡΟΝ οὖν, ὅτι καὶ τὸ γεγονὸς, ἀνάγκη γίνεσθαι πρότερον. καὶ τὸ γινόμενον, γεγονέναι. ὅσα διαιρετὰ καὶ συνεχῆ. οὐ μέντοι ἀεὶ ὃ γίνεται. ἀλλ᾽ ἄλλο ἐνίοτε. οἷον, τῶν ἐκείνου τι. ὥσπερ τῆς οἰκίας τὸν θεμέλιον. ὁμοίως δὲ καὶ ἐπὶ τοῦ φθειρομένου καὶ ἐφθαρμένου. εὐθὺς γὰρ ἐνυπάρχει τῷ γινομένῳ καὶ ἐφθειρομένῳ ἄπειρόν τι. συνεχεῖ γε ὄντι. καὶ οὐκ ἔστιν οὔτε γίνεσθαι μὴ γεγονός τι, οὔτε γεγονέναι μὴ γινόμενόν τι. ὁμοίως δὲ καὶ ἐπὶ τοῦ φθείρεσθαι καὶ ἐπὶ τοῦ ἐφθάρθαι. ἀεὶ γὰρ ἔσται τοῦ μὲν φθείρεσθαι, τὸ ἐφθάρθαι πρότερον. τοῦ δὲ ἐφθάρθαι, τὸ φθείρεσθαι. φανερὸν οὖν ὅτι καὶ τὸ γεγονὸς ἀνάγκη γίνεσθαι πρότερον, καὶ τὸ γινόμενον γεγονέναι. πᾶν γὰρ μέγεθος καὶ πᾶς χρόνος, ἀεὶ διαιρετά. ὥστ᾽ ἐν ᾧ ἂν ᾖ οὐκ ἂν εἴη ὡς πρώτῳ.

Γ ρότερον εἰπὼν ὅτι ἡ αὐτὴ ἀπόδειξις, ἡ πρὸ τοῦ μεταβεβληκέναι τὸ μεταβάλλειν δεικνῦσα, καὶ τοῖς μὴ συνεχέσι προσήκει τοῖς τε ἐναντίοις, καὶ τοῖς κατὰ ἀντίφασιν, ὅταν ἀπὸ τοῦ χρόνου ληφθῇ ἡ ἀπόδειξις,

ἀπόδειξις, νῦν δείκνυσιν ὅτι καὶ ἐπὶ τῶν κατὰ ἀντίφασιν μεταβαλλόντων, τουτέστι τῶν ἐκ τοῦ μὴ ὄντος εἰς τὸ ὄν, ἢ ἐκ τοῦ ὄντος εἰς τὸ μὴ ὄν, τουτέστι τῶν γινομένων καὶ φθειρομένων, ὅσα διαιρετὰ καὶ συνεχῆ ἐστιν, οὐ μόνον ἡ ἐκ τοῦ χρόνου ἀπόδειξις ἁρμόσει, ἀλλὰ καὶ ἡ ἀπὸ τοῦ μεγέθους. ὥστε τὸ γεγονὸς μέγεθος ἀνάγκη γίνεσθαι πρότερον, καὶ τὸ γινόμενον γεγονέναι. καὶ οὐκ ἐπὶ τῶν γινομένων μόνον ἀληθὴς ὁ λόγος, ἀλλ' ἐπὶ πάντων τῶν ὁπωσοῦν μεταβαλλόντων. οὐ μέντοι ἀεὶ ὃ γίνεται τοῦτο καὶ γέγονε πρότερον. ἀλλά τι τῶν ἐκείνου μερῶν. γινομένης γὰρ ἔτι τῆς οἰκίας, γέγονέ τι αὐτῆς ἤδη ὁ θεμέλιος. ὅταν οἱ τοῖχοι καὶ ὁ κέραμος γίνηται. καὶ ἐπ' αὐτοῦ δὲ ἴσως τοῦ θεμελίου ἀληθὲς εἰπεῖν, ὅτι γινομένου ἀεί τι προγέγονε, διὰ τὸν ἐπ' ἄπειρον μερισμόν. διατί δὲ εἰπὼν ἀλλὰ ἄλλο τι, προσέθηκε τὸ ἐνίοτε. ἀεὶ γὰρ ἐπὶ τοῦ ἔτι γινομένου μέρος τι αὐτοῦ προγέγονεν. ἢ ὅτι τὸ ἐνίοτε πρόσκειται, οὐχὶ ἐφ' ὧν τὸ γεγονέναι προηγεῖται τοῦ γίνεσθαι. ἀλλ' ἐφ' ὧν τὸ γίνεσθαι τοῦ γεγονέναι. καὶ γὰρ ἐνίοτε αὐτὸ τοῦτο ἐλέγετο γίνεσθαι, ὃ νῦν γεγονέναι λέγεται. οἷον ἡ οἰκία ἢ ὁ θεμέλιος. ἐνίοτε δὲ τὸ γινόμενον πρότερον, οὐ τοῦτο ἦν ὃ νῦν γέγονεν, ἀλλὰ ἄλλο τι καὶ μέρος αὐτοῦ. εἰ γὰρ ἡ οἰκία γέγονεν, ἐγίνετο πρότερον. ἀλλ' ἐγίνετο μὲν, καὶ ὅτε ἐτελειοῦτο ἡ σύμπασα οἰκία. οὐ μὴν ἀλλὰ καὶ ὅτε ὁ θεμέλιος αὐτῆς ἐγίνετο, τῆς οἰκίας τι ἦν τὸ γινόμενον. ὁμοίως δὲ ἔχει φησὶν καὶ ἐπὶ τοῦ ἐφθαρμένου, ὥσπερ ἐπὶ τοῦ γινομένου. καὶ γὰρ τοῦ φθείρεσθαι τὸ ἐφθάρθαι προηγεῖται, καὶ τοῦ ἐφθάρθαι τὸ φθείρεσθαι. καὶ ἐπὶ τούτων οὐκ ἀνάγκη τὸ ἐφθαρμένον τοῦτο εἶναι, ὃ ἐφθείρετο πρότερον. οὐδὲ τὸ φθειρόμενον ὃ ἔφθαρται. ἀλλὰ δύναται καὶ μόριον τοῦ ὅλου τὸ ἡγούμενον εἶναι. ὡς γὰρ ἐπὶ γενέσεως οὕτως ἀνάγκη καὶ ἐπὶ φθορᾶς ἔχειν. καὶ τὴν αἰτίαν τοῦ προηγεῖσθαι ἀλλήλων ταῦτα ἐπί τε γενέσεως καὶ φθορᾶς προσέθηκε, τὸ ἐνυπάρχειν τι ἄπειρον τοῖς γινομένοις καὶ φθειρομένοις. σωμάτων γάρ ἐστι καθ' αὑτὸ καὶ κυρίως ἡ γένεσις καὶ ἡ φθορά. τὰ δὲ σώματα ἐπ' ἄπειρον διαιρετά. καὶ τούτου δὲ αἴτιον, τὸ συνεχῆ αὐτὰ εἶναι. πᾶν γὰρ συνεχὲς ἐπ' ἄπειρον διαιρετόν ἐστιν, ὅτι οὐ σύγκειται ἐξ ἀμερῶν τὰ συνεχῆ. καὶ ὁ χρόνος δὲ ἐν ᾧ γένεσίς ἐστι καὶ φθορὰ συνεχὴς ὢν, ἐπ' ἄπειρόν ἐστι διαιρετὸς καὶ αὐτός. ὥστε καὶ διὰ τὴν ἀπὸ τοῦ χρόνου καὶ διὰ τὴν ἀπὸ τοῦ μεγέθους ἀπόδειξιν, καὶ ἐπὶ γενέσεως καὶ φθορᾶς ἀεὶ προηγήσεται τοῦ ἑτέρου τὸ ἕτερον. τὸ δὲ ἐν ἀρχῇ τῆς λέξεως, τὸ ὅσα διαιρετὰ καὶ συνεχῆ προσκεῖσθαί φησιν ὁ ἀλέξανδρος, ὅτι ἔστι τινὰ, ἐφ' ὧν τὸ γίνεσθαι κατηγοροῦμεν, οὐ διὰ γενέσεως τὸ εἶναι ἔχοντα. τὰς γὰρ ἀφὰς γεγονέναι λέγομεν, οὐχὶ γίνεσθαι. καὶ δηλονότι ἐπὶ τῶν τοιούτων οὐ προηγεῖται τὸ γεγονέναι τοῦ γίνεσθαι, οὐδὲ τὸ γίνεσθαι τοῦ γεγονέναι, εἴπερ μηδὲ ὅλως ἐν αὐτοῖς τὸ γίνεσθαι. ὅλως δὲ τὸ προηγεῖσθαι ἀεὶ τοῦ μὲν μεταβεβληκέναι τὸ μεταβάλλειν, τοῦ δὲ μεταβάλλειν τὸ μεταβεβληκέναι, ἐπὶ μὲν τῆς κατὰ τόπον μεταβολῆς, γνωριμώτερόν ἐστι, διὰ τὸ συνεχὲς εἶναι τὸ τοῦ τόπου διάστημα, καὶ διαιρεῖσθαι ὁμοίως τῷ χρόνῳ. ἐπὶ δὲ τῶν ἄλλων μεταβολῶν, διορίζεσθαι ἀσφαλές, ὡς εἰ μὲν ἅπασα μεταβολὴ ἐν χρόνῳ, ἀληθὲς ὅτι τὸ μεταβάλλειν κατὰ χρόνον προηγεῖται τοῦ μεταβεβληκέναι, καὶ τοῦ μεταβάλλειν τὸ μεταβεβληκέναι. εἰ δὲ καὶ ἀθρόως γίνονται τινὲς μεταβολαὶ, οὐκέτι τοῦτο ἴσως συγχωρητέον. ἀθρόως, οὐχ ὡς καθόλου τὰ μόρια μόνον, ὡς ἐπὶ τῆς πήξεως. ἀλλ' οὐχ ὡς ἐν χρόνῳ. ἐπὶ γὰρ τούτων ἀλλήλων οὐ προηγεῖται τὸ μεταβάλλειν καὶ τὸ μεταβεβληκέναι. ὅτι οὐδὲ ἔστιν ὅλως ἐπ' αὐτῶν τὸ μεταβάλλειν. δοκεῖ δὲ ὁ θεόφραστος ἀπορεῖν, εἰ πᾶσα μεταβολὴ ἐν χρόνῳ, ὑφορώμενος ἴσως τὰς ἀπὸ σκότους εἰς φῶς μεταβολὰς, ὅταν εἰσκομισθέντος εἰς τὸ δωμάτιον λύχνου, πᾶς ἀθρόως ὁ οἶκος ἀναπλησθῇ τοῦ φωτὸς ἄνευ χρόνου. ἡ δὲ ἀφὴ εἰ μὴ διὰ γενέσεως τὸ εἶναι ἔχει, οὐδὲ γεγονέναι λέγεται, ἀλλ' εἶναι ἄνευ γενέσεως. διὸ ἐν τῷ πρώτῳ τῶν περὶ οὐρανοῦ, ἐν τῷ τοῦ ἀγενήτου σημαινομένων τὸ κατὰ τὴν ἀφὴν ἀριστοτέλης εἶναί φησιν.

ἘΠΕΙ ΔΕ πᾶν τὸ κινούμενον ἐν χρόνῳ κινεῖται, καὶ ἐν τῷ πλείονι μεῖζον μέγεθος, ἐν τῷ ἀπείρῳ χρόνῳ ἀδύνατόν ἐστι πεπερασμένην κινεῖσθαι. μὴ τὴν αὐτὴν ἀεί. καὶ τῆς ἐκείνης τι κινούμενον. ἀλλ' ἐν τῷ ἅπαντι ἅπασαν. ὅτι μὲν οὖν εἴ τι ἰσοταχῶς κινοῖτο ἀνάγκη τὸ πεπερασμένον ἐν πεπερασμένῳ κινεῖσθαι, δῆλον. ληφθέντος γὰρ μορίου ὃ καταμετρήσει τὴν ὅλην, ἐν ἴσοις τοῖς χρόνοις τοσούτοις ὅσα τὰ μόριά ἐστιν τὴν ὅλην κεκίνηται. ὥστ' ἐπεὶ ταῦτα πεπέρασται καὶ τὸ ποσὸν ἕκαστον. καὶ τὸ ποσάκις ἅπαντα καὶ ὁ χρόνος ἂν εἴη πεπερασμένος. τοσαυτάκις γὰρ ἔσται τοσοῦτος, ὅσος ὁ τοῦ μορίου χρόνος. πολλαπλασιασθεὶς τῷ πλήθει τῶν μορίων. ἀλλὰ δὴ κἂν ᾖ μὴ ἰσοταχῶς, διαφέρει οὐδέν. ἔστω γὰρ ἐφ' ἧς τὸ α καὶ τὸ β διάστημα πεπερασμένον ὃ κεκίνηται ἐν τῷ ἀπείρῳ. καὶ ὁ χρόνος ἄπειρος ἐφ' οὗ τὸ γδ. εἰ δὴ ἀνάγκη πρότερον, ἕτερον ἑτέρου κεκινῆσθαι. τοῦτο δὲ δῆλον ὅτι τοῦ χρόνου ἐν τῷ προτέρῳ καὶ ὑστέρῳ ἕτερον κεκίνηται. ἀεὶ γὰρ ἐν τῷ πλείονι, ἕτερον ἔσται κεκινημένον. ἐάν τε ἰσοταχῶς, ἐάν τε μὴ ἰσοταχῶς μεταβάλλῃ. καὶ ἐάν τε ἐπιτείνῃ ἡ κίνησις. ἐάν τε ἀνίῃ. ἐάν τε μένῃ, οὐθὲν ἧττον. εἰλήφθω δή τι τοῦ αβ διαστήματος, τὸ αε. ὃ καταμετρήσει τὴν αβ. τοῦτο δὴ, τοῦ ἀπείρου, ἔν τινι ἐγένετο χρόνῳ. ἐν ἀπείρῳ γὰρ, οὐχ οἷόν τε. τὸ γὰρ ἅπαν ἐν ἀπείρῳ, καὶ πάλιν ἕτερον δὴ, ἐὰν λάβω ὅσον τὸ αε ἀνάγκη ἐν πεπερασμένῳ χρόνῳ. τὸ γὰρ ἅπαν ἐν ἀπείρῳ. καὶ οὕτω δὴ λαμβάνων. ἐπειδὴ τοῦ μὲν ἀπείρου οὐθέν ἐστι μόριον ὃ καταμετρήσει, ἀδύνατον γὰρ τὸ ἄπειρον εἶναι ἐκ πεπερασμένων καὶ ἴσων καὶ ἀνίσων. διὰ τὸ καταμετρηθήσεσθαι τὰ πεπερασμένα πλήθει καὶ μεγέθει ὑπό τινος ἑνὸς, ἐάν τε ἴσα ἢ ἐάν τε ἄνισα. ὡρισμένα δὲ τῷ μεγέθει, οὐθὲν ἧττον. τὸ δὲ διάστημα τὸ πεπερασμένον ποσοῖς τοῖς αε μετρεῖται, ἐν πεπερασμένῳ ἂν χρόνῳ τὸ αβ κινοῖτο.

ρόκειται μὲν αὐτῷ δεῖξαι, ὅτι οὔτε ἐν ἀπείρῳ χρόνῳ δυνατόν ἐστι πεπερασμένην κινεῖσθαι γραμμὴν ἢ κίνησιν, οὔτε ἐν πεπερασμένῳ ἄπειρον. καὶ πρῶτον τὸ πρῶτον ἐτίθει. πῶς δὲ λαμβανομένης τῆς πεπερασμένης γραμμῆς καὶ κινήσεως, ἀληθές ἐστι τὸ ἀδύνατον εἶναι πεπερασμένην ἐν τῷ ἀπείρῳ χρόνῳ κινεῖσθαι, προδιείλετο. ὥστε εἰ τὴν ὅλην πεπερασμένην οὖσαν ἅπαξ λέγει ἐν παντὶ τῷ ἀπείρῳ διελθεῖν, καὶ μὴ τὴν αὐτὴν πολλάκις. ὥσπερ ὁρῶμεν ἐπὶ τοῦ κυκλοφορητικοῦ σώματος γινόμενον. ἢ τῆς αὐτῆς πάλιν καὶ πάλιν. οὕτω γὰρ ἐνδέχεται. ὥστε δὲ ἅπαξ τὴν αὐτὴν κινηθῆναι ἐν τῷ ἀπείρῳ χρόνῳ ἀδύνατον. καὶ φθάνει μὲν ἤδη δεδειχώς, ὅτι οὔτε ἐν ἀπείρῳ χρόνῳ πεπερασμένα τῷ πλήθει διελθεῖν δυνατόν, οὔτε ἐν πεπερασμένῳ ἄπειρα, ὅτε πρὸς τὸν Ζήνωνος ἐνέστη λόγον. τὸ αὐτὸ δὲ τοῦτο νῦν δείκνυσι πρῶτον μὲν ἐπὶ τοῦ μεγέθους. εἶτα καὶ ἐπὶ αὐτῆς τῆς κινήσεως, καθολικωτέρᾳ τῇ ἀποδείξει χρώμενος. προσλαμβάνει δὲ τῶν ἤδη ὁμολογηθέντων τινά. ὅτι πᾶν τὸ κινούμενον ἐν χρόνῳ κινεῖται. καὶ ὅτι τὸ αὐτὸ ἐν πλείονι χρόνῳ μεῖζον κινεῖται μέγεθος, καὶ δηλονότι καὶ πλείονα κίνησιν. τοῦ δὴ κινουμένου ἢ ἰσοταχῶς ἢ ἀνισοταχῶς κινουμένου, ἐπὶ πρώτου τοῦ ἰσοταχῶς κινουμένου δείκνυσι τὸ προκείμενον. ἐφ' οὗ καὶ προχειροτέρα ἐστὶν ἡ ἀπόδειξις. ληφθέντος γοῦν μορίου τινὸς τῆς ὅλης γραμμῆς, ἢ τῆς ὅλης κινήσεως, ὃ καταμετρήσει τὴν ὅλην πεπερασμένην οὖσαν, ἔσται τι καὶ τοῦ χρόνου πεπερασμένον, ἐν ᾧ τὸ ληφθὲν μόριον ἐκινοῖτο τῆς γραμμῆς ἢ τῆς κινήσεως. εἰ δὲ τὴν ὅλην ἐν τῷ ἀπείρῳ χρόνῳ ἐκινεῖτο, δηλονότι τὸ μέρος ἐν τῷ πεπερασμένῳ. διὰ τὸ προληφθὲν ἀξίωμα τὸ λέγον, ὅτι τὸ αὐτὸ ἐν πλείονι χρόνῳ μεῖζον κινεῖται. ἐν ἴσοις οὖν τῷ ἀριθμῷ χρόνοις πεπερασμένοις, ὅσα τὰ μόρια ἐστὶ τῆς γραμμῆς καὶ τῆς κινήσεως, τὴν ὅλην κεκίνηται τὸ κινούμενον. εἰ οὖν τὰ μέρη τῆς γραμμῆς καὶ τῆς κινήσεως πεπέρανται καὶ τῷ μεγέθει καὶ τῷ ἀριθμῷ, τοῦτο γὰρ αὐτῷ σημαίνει, τὸ ποσὸν ἕκαστον, καὶ τὸ ποσάκις, καὶ τὰ τοῦ χρόνου μόρια ὁμοίως ἂν εἴη καὶ τῷ μεγέθει καὶ τῷ ἀριθμῷ πεπερασμένα. οὗ δὲ τὰ μόρια καὶ τῷ μεγέθει καὶ τῷ ἀριθμῷ πεπέρανται, καὶ αὐτὸ ἂν εἴη ὅλον πεπερασμένον. οὐκ ἄρα ἄπειρός ἐστιν ὁ χρόνος, ἀλλὰ πεπερασμένος. ἐν ᾧ τὴν πεπερασμένην γραμμὴν καὶ κίνησιν δίεισι τὸ κινούμενον καὶ κίνησιν. κἂν μὴ ἰσοταχῶς δέ φησι κινῆται τὸ κινούμενον, οὐδὲν διαφέρει πρὸς τὸ δεῖξαι, ὅτι τὸ πεπερασμένον μέγεθος καὶ τὴν πεπερασμένην κίνησιν, οὐκ ἐν ἀπείρῳ χρόνῳ δίεισι τὸ κινούμενον, ἀλλ' ἐν πεπερασμένῳ, ἑνὸς μόνου φυλαττομένου, τοῦ ἐν πλείονι χρόνῳ ἄλλο προσλαμβάνειν διάστημα τὸ κινούμενον, ἄν τε ἰσοταχῶς κινῆται, ἄν τε παρὰ μέρος ἀνίῃ καὶ ἐπιτείνῃ. ἄν τε ἐπὶ τοῦ ἑτέρου τούτων μένῃ ἀεί, ἢ τῆς ἀνέσεως ὡς ἀνιέναι μόνον, ἢ τῆς ἐπιτάσεως ὡς ἀεὶ ἐπιτείνειν. προστιθεμένου γάρ τινος χρόνου, ἐν ᾧ κεκίνηταί τι τοῦ ὁπωσοῦν κινουμένου, πάντως καὶ διάστημά τι προστεθήσεται ἢ μεγέθους ἢ κινήσεως τῷ διαστήματι. ὃ φθάνει κεκινῆσθαι ἐν τῷ πρὶν ληφθέντι χρόνῳ. καὶ διαιρεῖται πάλιν καὶ ὁ χρόνος, κἂν εἰς ἄνισα τῇ γραμμῇ καὶ τῇ κινήσει, ἀλλ' εἰς πεπερασμένα γε τῷ ἀριθμῷ καὶ τῷ μεγέθει. δείκνυσι δὲ αὐτὸ προλαβὼν τὸ ἤδη δεδειγμένον. ὅτι πᾶν τὸ κινούμενον πρότερον ἄλλο μόριον τούτου κεκίνηται, ἐν μορίῳ τοῦ παντὸς χρόνου. τῶν γοῦν τοῦ μεγέθους καὶ τῆς κινήσεως μορίων, ἃ κινεῖται, ἄλλο ἄλλου πρότερον κεκίνηται, κατὰ τὰ μόρια τοῦ χρόνου τὰ πρότερα καὶ ὕστερα τὴν τάξιν τῆς κινήσεως ποιουμένου τὸ κινούμενον. οὐ γὰρ πᾶν ἅμα τὸ διάστημα κεκίνηται. ἀλλὰ μὴν οὕτω γινομένης τῆς κινήσεως, ἂν τῷ τοσῷδε χρόνῳ τοσήνδε τινὰ ᾖ κεκινημένον, εἴτε ἰσοταχῶς εἴτε ἀνισοταχῶς κινούμενον, προστεθέντος τινὸς χρόνου ἐν τῷ πλείονι πλείονα κινηθήσεται. οὐ γὰρ δὴ τὴν αὐτὴν καὶ ἐν τῷ πλείονι καὶ ἐν τῷ ἐλάττονι εἴπερ ἀληθὲς ἐκεῖνο τὸ ἀξίωμα. τὸ λέγον ἐν τῷ πλείονι χρόνῳ μεῖζον κινεῖσθαι διάστημα. καὶ μὴ τὸ αὐτὸ ἔν τε τῷ πλείονι καὶ τῷ ἐλάττονι. πρὸς τὴν τοῦ χρόνου προσθήκην καὶ τῆς κινήσεως καὶ τοῦ μεγέθους προστιθεμένων. διὸ παρέλαβε τὸ τὰ πρῶτα μόρια τοῦ μεγέθους ἢ τῆς κινήσεως, κατὰ τὰ πρῶτα μόρια τοῦ χρόνου κινεῖσθαι τὸ κινούμενον. ἐὰν οὖν μόρια ἔχῃ τό, τε διάστημα καὶ ἡ κίνησις. ἔστω τὸ αβ, ὧν τὰ μέν, πρῶτα, τὰ δέ, ὕστερα κεκίνηται τὸ κινούμενον, ἐὰν ἀφέλωμέν τι μόριον τὸ αε, ὃ τὴν αβ ὅλην καταμετρήσει πεπερασμένην, καὶ ἀπὸ τοῦ γδ ἀπείρου χρόνου ἀφέλωμεν, ἐν ᾧ τὸ μόριον ἐκεῖνο ἀνισοταχῶς ἐκινήθη τὸ κινούμενον, ἔσται δηλονότι πεπερασμένον καὶ μόριον τοῦ παντός. κἂν πάλιν ἄλλο τοῦ διαστήματος καὶ τῆς κινήσεως ἀφέλωμεν, καὶ λάβωμεν τὸ τοῦ χρόνου πεπερασμένον, κἂν μὴ ἴσον ᾖ τῷ πρώτῳ ἀφαιρεθέντι χρόνῳ, πεπερασμένος ὅμως ἐστί. διότι τὸ ὅλον διάστημα τὸ πεπερασμένον ἐν τῷ ἀπείρῳ ἐκινεῖτο χρόνῳ τὸ κινούμενον. ἀδύνατον δὲ ἐν τῷ αὐτῷ τό, τε ὅλον καὶ τὸ μέρος κινεῖσθαι. ἐὰν δὴ ἀφαιροῦντες ἀεὶ ἀπὸ τοῦ πεπερασμένου διαστήματος ἢ τοῦ μεγέθους ἢ τῆς κινήσεως, ἴσον τῷ πρώτῳ ἀφαιρεθέντι, δαπανήσωμεν αὐτό, καὶ καθ' ἕκαστον ἀπὸ τοῦ ἀπείρου χρόνου τοῦ γδ πεπερασμένον ἀφέλωμεν, ἐν ᾧ κινεῖται τὸ ἀνισοταχῶς κινούμενον, τοσαῦτα ἔσται τὰ τοῦ ἀριθμοῦ μόρια, ὅσα καὶ τὰ τοῦ μεγέθους. πεπερασμένα δὲ τὸν ἀριθμὸν τὰ τοῦ μεγέθους. πᾶν γὰρ πεπερασμένον εἰς ἴσα ἀλλήλοις τῷ ἀριθμῷ πεπερασμένα διαιρεῖται. καὶ οἱ χρόνοι ἄρα πεπερασμένοι κατ' ἀριθμὸν ἔσονται, ἐν οἷς τὸ πᾶν διάστημα διελεύσεται τὸ κινούμενον. ὁ δὲ ἐκ πεπερασμένων τῷ ἀριθμῷ καὶ τῷ διαστήματι συγκείμενος χρόνος, πεπερασμένος καὶ αὐτός ἐστιν. ἐν πεπερασμένῳ ἄρα χρόνῳ τὴν πεπερασμένην γραμμὴν καὶ κίνησιν κινήσεται τὸ κινούμενον, καὶ οὐκ ἐν ἀπείρῳ. κἂν γὰρ μὴ ἴσα ᾖ τὰ τοῦ χρόνου μόρια, διὰ τὸ ἀνισοταχὲς τῆς κινήσεως, ἀλλὰ πεπερασμένα γε ὄντα τῷ ἀριθμῷ, καὶ ἕκαστον τῷ μεγέθει πεπερασμένον, τὸ ὅλον πεπερασμένον ποιεῖ, κἄν τε ἴσα κἄν τε ἄνισα ᾖ. καὶ εἴη ἂν ὁ συλλογισμὸς ἐν δευτέρῳ σχήματι τοιοῦτος. ὁ χρόνος ἐν ᾧ τὸ κινούμενον κινεῖται τὴν

νεῖται τὴν πεπερασμένην εἴτε γραμμὴν εἴτε κίνησιν, ὑπὸ μορίων ἀπαρτίζεται ἢ καταμετρεῖται, τῷ ἀριθμῷ καὶ τῷ μεγέθει πεπερασμένων. ὁ ἄπειρος χρόνος ὑπὸ τοιούτων μορίων οὐκ ἀπαρτίζεται. ὁ ἄρα χρόνος ἐν ᾧ τὴν πεπερασμένην δίεισι τὸ κινούμενον, οὐκ ἔστιν ἄπειρος. ἐπειδὴ δὲ τοῦ ἀπείρου χρόνου οὐκ ἦν ληφθῆναι τι μόριον, ὃ καταμετρήσει αὐτόν, καθ' ἕκαστον δὲ μόριον τοῦ μεγέθους ὃ κινεῖται τὸ κινούμενον, ἢ τῆς κινήσεως, δύναταί τι ληφθῆναι τοῦ χρόνου μόριον πεπερασμένον, καὶ συναπαρτίζεται τὰ μόρια τοῦ χρόνου, τοῖς μορίοις τοῦ μεγέθους ἢ τῆς κινήσεως, ἐάν τε ἴσα ᾖ ἀλλήλοις ἐάν τε ἄνισα, ὁ δὲ ἐκ πεπερασμένων καὶ τῷ μεγέθει καὶ τῷ ἀριθμῷ χρόνος, πεπερασμένος ἐστὶ καὶ οὐκ ἄπειρος, διὰ τοῦτο οὕτω μετεχειρίσατο τὴν ἀπόδειξιν.

ὩΣΑΥΤΩΣ δὲ καὶ ἐπὶ ἠρεμήσεως. ὥστε οὔτε γίνεσθαι, οὔτε φθείρεσθαι οἷόν τε ἀεί τι τὸ αὐτὸ καὶ ἕν.

Εἰ μὲν ἡ ἠρέμησις τὴν ἠρεμίαν αὐτῷ δηλοῖ νῦν, τὴν ἀντικειμένην τῇ κινήσει, ἐπειδὴ καὶ τὸ ἠρεμοῦν ἐν χρόνῳ ἠρεμεῖ, λέγοι ἂν ὅτι ὥσπερ κίνησιν πεπερασμένην ἀδύνατον ἐν ἀπείρῳ χρόνῳ γίνεσθαι, οὕτω καὶ ἠρεμίαν. εἰ δὲ ἡ ἠρέμησις καὶ τὸ ἠρεμίζεσθαι τὴν κίνησιν δηλοῖ τὴν ἐπὶ ἠρεμίαν, ὅπερ ἐν τοῖς ἑξῆς ἵστασθαι καλεῖ, ὡς ἐπὶ στάσιν ἰόν, εἰκότως τοιαῦτα καὶ ἐπὶ ἠρεμήσεως ἀξιοῖ, ἅπερ καὶ ἐπὶ τῆς κινήσεως. τὴν γὰρ κίνησιν διχῇ τεμών, τὸ μὲν πρὸς τὸ ἐξ οὗ κινεῖται τὸ κινούμενον, κινεῖσθαι καλεῖ. τὸ δὲ πρὸς τὸ εἰς ὅ, ἵστασθαι καὶ ἠρεμίζεσθαι. τὸ δέ, ὥστε οὔτε γίνεσθαι οὔτε φθείρεσθαι οἷόν τε ἀεί τι τὸ αὐτὸ καὶ ἕν, πόρισμά ἐστι συνηγμένον ἐκ τῶν εἰρημένων, τὸ μήτε γίνεσθαι μήτε φθείρεσθαι ἀεὶ τὸ αὐτὸ καὶ ἕν, τουτέστιν τὸ πεπερασμένον ἐν ἀπείρῳ χρόνῳ. τοῦτο γὰρ σημαίνει τὸ ἀεί. εἰ γὰρ πᾶσα κίνησις καὶ πᾶσα μεταβολὴ πεπερασμένη ἐν πεπερασμένῳ γίνεται χρόνῳ, τὸ δὲ γίνεσθαι καὶ φθείρεσθαι μεταβάλλειν ἐστί, πᾶσα γένεσις καὶ φθορὰ πεπερασμένη ἐν πεπερασμένῳ γίνεται χρόνῳ. ἡ δὲ τοῦ πεπερασμένου γένεσις καὶ φθορὰ πεπερασμένη ἐστίν. ὥστε καὶ αὕτη ἐν πεπερασμένῳ γίνεται χρόνῳ. ὥσπερ γὰρ κινεῖσθαι τὴν πεπερασμένην γραμμὴν ἐν ἀπείρῳ χρόνῳ ἀδύνατον, πλὴν εἰ μὴ πάλιν καὶ πάλιν, οὕτω καὶ γίνεσθαι ἢ φθείρεσθαι τὸ πεπερασμένον ἐν ἀπείρῳ χρόνῳ ἀδύνατον.

Ὁ ΑΥΤΟΣ δὲ λόγος καὶ ὅτι οὐδὲ ἐν πεπερασμένῳ χρόνῳ ἄπειρον οἷόν τε κινεῖσθαι οὐδὲ ἠρεμίζεσθαι. οὔθ' ὁμαλῶς κινούμενον. οὔτ' ἀνωμάλως. ληφθέντος γάρ τινος μέρους ὃ ἀναμετρήσει τὸν ὅλον χρόνον, ἐν τούτῳ ποσόν τι διέξεισι τοῦ μεγέθους καὶ οὐχ ὅλον. ἐν γὰρ τῷ παντὶ ὅλον καὶ πάλιν ἐν τῷ ἴσῳ ἄλλο. καὶ ἐν ἑκάστῳ ὁμοίως. εἴτε ἴσον, εἴτε ἄνισον τῷ ἐξ ἀρχῆς. διαφέρει γὰρ οὐδέν, εἰ εἴη μόνον πεπερασμένον τι ἕκαστον. δῆλον γὰρ ὡς ἀναιρουμένου τοῦ χρόνου, τὸ ἄπειρον οὐκ ἀναιρεθήσεται. πεπερασμένης τῆς ἀφαιρέσεως γινομένης, καὶ τῷ ποσῷ, καὶ τῷ ποσάκις. ὥστ' οὐ δίεισιν ἐν πεπερασμένῳ χρόνῳ τὸ ἄπειρον. οὐδέν τε διαφέρει τὸ μέγεθος ἐπὶ θάτερα ἢ ἐπ' ἀμφότερα εἶναι ἄπειρον. ὁ γὰρ αὐτὸς ἔσται λόγος.

Δείξας ὅτι μὴ οἷόν τε ἐν ἀπείρῳ χρόνῳ πεπερασμένον τι μέγεθος διϊέναι, ἢ πεπερασμένην εἶναι κίνησιν, νῦν τὸ ἀντίστροφον ἐκείνῳ δείκνυσιν, ὅτι μὴ δὲ τὸ ἄπειρον οἷόν τε διεξελθεῖν, μὴ δὲ ἄπειρον εἶναι κίνησιν ἐν πεπερασμένῳ χρόνῳ. ἀλλ' οὐ δὲ ἠρεμίζεσθαι ἄπειρον ἠρέμησιν ἐν πεπερασμένῳ χρόνῳ. καὶ εἰ τὸ ἠρεμίζεσθαι τὸ ἠρεμεῖν σημαίνει τὸ ἀντικείμενον τῷ κινεῖσθαι, λέγοι ἂν ὅτι οὐ δὲ ἄπειρον ἠρεμίαν οἷόν τέ τι ἠρεμεῖν ἐν ἀπείρῳ χρόνῳ. τὸ δὲ οὔτε ὁμαλῶς κινούμενον οὔτε ἀνωμάλως, εἰ μὲν κατὰ κοινοῦ ἐπάγεται τῷ κινεῖσθαι καὶ ἠρεμίζεσθαι, εἴη ἂν τὸ ἠρεμίζεσθαι σημαῖνον τὸ πρὸς ἠρεμίαν ἰέναι. εἰ δὲ πρὸς μόνον ἐπάγεται τὸ κινεῖσθαι, μᾶλλον ἂν ὑπὸ τοῦ ἠρεμίζεσθαι τὸ ἠρεμεῖν σημαίνοιτο. ἀποδείξει δὲ τῇ αὐτῇ χρῆται καὶ νῦν, τὸ πεπερασμένον καὶ ἐνταῦθα διαιρῶν, καὶ συνδιαιρῶν αὐτῷ τὸ ἄπειρον. πλὴν ὅτι πρότερον μὲν τὸ μέγεθος διελών, αὐτὸ γὰρ ἦν τὸ πεπερασμένον ὑποτεθέν, συνδιεῖλε τὸν ἄπειρον ὑποτεθέντα χρόνον. νῦν δὲ τὸν χρόνον ὑποθέμενος πεπερασμένον, καὶ ἀπ' αὐτοῦ μόριόν τι ἀφελών, ὃ καταμετρεῖ τὸν ὅλον. ἐπειδὴ ἐν ἑκάστῳ τούτων τῶν χρόνων πεπερασμένον τι κινεῖται τὸ κινούμενον, ἴσα μέν, ὅταν ἰσοταχῶς κινῆται, ἄνισα δέ, ὅταν μὴ ἰσοταχῶς, ἀεὶ δὲ πεπερασμένα. οὐ γὰρ δὴ ἐν μορίῳ τοῦ ὅλου χρόνου τὴν ἄπειρον κινηθήσεται. ἐν γὰρ τῷ ὅλῳ χρόνῳ ὑπέκειτο τὴν ἄπειρον κινεῖσθαι. συνδαπανηθήσεται οὖν τῷ πεπερασμένῳ χρόνῳ, καὶ τὸ ἄπειρον ὑποτεθὲν μέγεθος, εἴτε ἴσα εἴτε ἄνισα εἴη τμήματα. πεπερασμένης δὲ τῆς διαιρέσεως οὔσης, ἐν τῷ πεπερασμένῳ ὄντι χρόνῳ, ὁμοίως συμπερανθήσεται καὶ ἡ ἐν τῷ μεγέθει διαίρεσις, καὶ τῷ ποσῷ. καὶ τῷ ποσάκις, τουτέστιν. καὶ τῷ μεγέθει καὶ τῷ ἀριθμῷ. τὸ ἐκ πεπερασμένων δὲ καὶ τῷ μεγέθει καὶ τῷ ἀριθμῷ οὐκ ἔστιν ἄπειρον. ὥστε ἐν πεπερασμένῳ οὐ δίεισι χρόνῳ τὸ ἄπειρον. προστίθησι δὲ ὅτι οὐδὲν πρὸς τὴν δεῖξιν διαφέρει, τὸ ἐπὶ θάτερα λαβεῖν ἄπειρον τὸ μέγεθος, ἢ ἐπ' ἀμφότερα. δῆλον δὲ ὅτι καὶ πρότερον τὸν χρόνον. κἂν γὰρ ἐπ' ἄμφω ληφθῇ, ἡ αὐτὴ προχωρεῖ δεῖξις. ἐν γὰρ τῷ τοῦ πεπερασμένου μορίῳ χρόνου τῷ πεπερασμένῳ, ἀνάγκη μόριόν τι τοῦ μεγέθους, τοῦ καὶ ἐπ' ἄμφω ὑποκειμένου ἀπείρου πεπερασμένον ληφθῆναι. καὶ τοσαυτάκις ληφθὲν τὸ πεπερασμένον μέρος, ὁσάκις καὶ ἐπὶ τοῦ χρόνου τοῦ πεπερασμένου ὄντος, κἄν τε ἴσα κἄν τε ἄνισα ᾖ τὰ μέρη, πεπερασμένον δείξει τὸ ὑποτεθὲν ἄπειρον μέγεθος. καὶ πρότερον δὲ λαβὼν τὸν χρόνον ἐπὶ θάτερα πεπερασμένον, ἔδειξεν ὅτι τὸ μόριον τοῦ ἀπείρου μεγέθους ἐν πεπερασμένῳ χρόνῳ κινηθήσεται τὸ κινούμενον, κἂν τὸ πᾶν εἴη κινεῖσθαι ἐν ἀπείρῳ.

ΑΠΟΔΕΔΕΙΓΜΕΝΩΝ δὲ τούτων, φανερὸν ὅτι οὐδὲ τὸ πεπερασμένον μέγεθος τὸ ἄπειρον ἐνδέχεται διελθεῖν ἐν πεπερασμένῳ χρόνῳ διὰ τὴν αὐτὴν αἰτίαν. ἐν γὰρ τῷ μορίῳ τοῦ χρόνου πεπερασμένον δίεισι καὶ ἐν ἑκάστῳ ὡσαύτως. ὥστ᾽ ἐν τῷ παντὶ πεπερασμένον. ἐπεὶ οὖν τὸ πεπερασμένον οὐ δίεισι τὸ ἄπειρον ἐν πεπερασμένῳ χρόνῳ, δῆλον ὡς οὐδὲ τὸ ἄπειρον τὸ πεπερασμένον. εἰ γὰρ τὸ ἄπειρον τὸ πεπερασμένον, ἀνάγκη καὶ τὸ πεπερασμένον διϊέναι τὸ ἄπειρον. οὐδὲν γὰρ διαφέρει ὁπότερον εἶναι τὸ κινούμενον. ἀμφοτέρως γὰρ τὸ πεπερασμένον δίεισι τὸ ἄπειρον. ὅταν γὰρ κινῆται τὸ ἄπειρον ἐφ᾽ ᾧ τὸ α, ἔσται τι αὐτοῦ κατὰ τὸ β πεπερασμένον. οἷον, τὸ γδ. καὶ πάλιν ἄλλο καὶ ἄλλο. καὶ ἀεὶ οὕτως. ὥστε ἅμα συμβήσεται τὸ ἄπειρον κεκινῆσθαι τὸ πεπερασμένον, καὶ τὸ πεπερασμένον διεληλυθέναι τὸ ἄπειρον. οὐδὲ γὰρ δυνατὸν ἴσως τὸ ἄπειρον ἄλλως κινηθῆναι διὰ τοῦ πεπερασμένου, ἢ τῷ τὸ πεπερασμένον διϊέναι τὸ ἄπειρον. ἢ φερόμενον, ἢ ἀναμετροῦν. ὥστ᾽ ἐπεὶ τοῦτ᾽ ἀδύνατον, οὐκ ἂν δίοι τὸ ἄπειρον τὸ πεπερασμένον. ἀλλὰ μὴν, οὐδὲ τὸ ἄπειρον, ἐν πεπερασμένῳ χρόνῳ, τὸ ἄπειρον δίεισιν. εἰ γὰρ τὸ ἄπειρον καὶ τὸ πεπερασμένον. ἐνυπάρχει γὰρ τῷ ἀπείρῳ καὶ τὸ πεπερασμένον. ἔτι δὲ καὶ τοῦ χρόνου ληφθέντος, ἡ αὐτὴ ἔσται ἀπόδειξις.

Πρότερον δείξας καὶ προσεχῶς πάλιν, ὅτι τὸ κινούμενον οὔτε μέγεθος πεπερασμένον, οὔτε κίνησιν πεπερασμένην, ἐν ἀπείρῳ κινηθήσεται χρόνῳ, ὁμοίως δὲ καὶ τὸ ἀντίστροφον, ὅτι οὔτε μέγεθος οὔτε κίνησιν ἄπειρον ἐν πεπερασμένῳ χρόνῳ κινηθήσεται, τούτοις ὥσπερ πορίσματα τὰ ἑπόμενα ἐπάγει, τὰ ἐπ᾽ αὐτοῦ τοῦ κινουμένου συμβαίνοντα, οὐκέτι ἀδιορίστως ὡς πρότερον λαμβανομένου, ἀλλὰ διοριζομένου, καὶ ποτὲ μὲν ἀπείρου, ποτὲ δὲ πεπερασμένου ὑποτεθέντος. δεδειγμένων γάρ φησι τῶν εἰρημένων ἐκ τῆς αὐτῆς ἀποδείξεως, φανερόν ἐστιν ἐπὶ τοῦ κινουμένου, ὅτι εἴτε πεπερασμένον ὑποτεθείη, ἀδύνατον αὐτὸ ἄπειρόν τι μέγεθος ἐν πεπερασμένῳ χρόνῳ διελθεῖν. εἴτε ἄπειρον ὑποτεθείη, εἰ κινοῖτο ὅλως τὸ ἄπειρον, οὔτε τὸ πεπερασμένον ἐν τῷ πεπερασμένῳ διελεύσεται χρόνῳ, οὔτε ἔτι μᾶλλον τὸ ἄπειρον. καὶ ὅτι μὲν πεπερασμένον τι ὂν, οὐ διελεύσεταί τι ἄπειρον μέγεθος ἐν πεπερασμένῳ χρόνῳ, δείκνυσι διὰ τῆς αὐτῆς ἧς καὶ πρότερον ἀποδείξεως. διαιρουμένου γὰρ τοῦ πεπερασμένου χρόνου εἰς πεπερασμένα μόρια, ἐν ἑκάστῳ πεπερασμένον τι διϊὸν μέρος τοῦ μεγέθους, τὸ κινούμενον ἀπαρτίζει τὸ ὅλον, ὥστε πεπερασμένον τι διϊέναι καὶ οὐκ ἄπειρον ἐν τῷ πεπερασμένῳ χρόνῳ. εἰ δὲ ἄπειρον ὑποτεθείη τὸ κινούμενον, τὸ δὲ διάστημα δι᾽ οὗ κινεῖται πεπερασμένον, οὐ κινηθήσεται τὸ ἄπειρον ἐν τῷ πεπερασμένῳ χρόνῳ διὰ τοῦ πεπερασμένου. οὐδὲν γὰρ διαφέρει φησίν, ἢ τὸ κινούμενον ἄπειρον ποιεῖν, πεπερασμένον δὲ τὸ διάστημα, ἢ ἀνάπαλιν. ἐὰν γὰρ τὸ α ἄπειρον κινῆται διὰ τοῦ β πεπερασμένου, ἔσται τι τοῦ ἀπείρου μέρος ἐν τῷ β, οἷον τὸ γδ. καὶ πάλιν ἄλλο. καὶ ἀεὶ οὕτως, ἕως ἂν πάντα τὰ τοῦ ἀπείρου μέρη τοῦ κινουμένου παρέλθῃ τὸ β. ὥστε ἅμα συμβήσεται τό, τε κινούμενον ἄπειρον ὂν διεληλυθέναι διὰ τοῦ β, καὶ τὸ β πεπερασμένον ὂν διεληλυθέναι τὸ ἄπειρον. οὐδὲ γὰρ ἄλλως δυνατὸν διϊέναι λέγειν τὸ πεπερασμένον, ἢ τῷ τὸ πεπερασμένον δι᾽ ὅλου τοῦ ἀπείρου ἐλθεῖν. τὸ γὰρ ἄπειρον μέγεθος, εἴπερ ἄπειρον εἴη πανταχοῦ ὂν, αὐτὸ μὲν οὐκ ἔχει ποῦ μεταβῆναι. λέγοιτο δ᾽ ἂν κινεῖσθαι διά τινος πεπερασμένου μόνος οὕτως, εἰ τὸ πεπερασμένον διὰ πάντων αὐτοῦ τῶν μορίων διεξίοι. ὅπερ εἰ γίνοιτο, ἀναμετρηθήσεται τὸ ἄπειρον ὑπὸ τοῦ πεπερασμένου. οὐ γὰρ ἂν ἄλλως οἷόν τε διελθεῖν αὐτό. εἰ οὖν καὶ τοῦτο ἄτοπον, καὶ πάλιν τὸ πεπερασμένον φαίνεται διὰ τοῦ ἀπείρου καὶ νῦν διϊὸν, ὅπερ ἀδύνατον ἐδείχθη, δηλονότι οὐκ ἂν δίοι διὰ τοῦ πεπερασμένου τὸ ἄπειρον ἐν πεπερασμένῳ χρόνῳ. καλῶς οὖν εἶπε μηδὲν διαφέρειν ὁποτερονοῦν εἶναι τὸ κινούμενον. δείξας δὲ ὅτι οὔτε τὸ πεπερασμένον μέγεθος ἄπειρον διάστημα δίεισιν ἐν πεπερασμένῳ χρόνῳ, οὔτε τὸ ἄπειρον μέγεθος τὸ πεπερασμένῳ διάστημα, νῦν δείκνυσιν ὅτι μηδὲ τὸ ἄπειρον μέγεθος τὸ ἄπειρον διάστημα ἐν πεπερασμένῳ χρόνῳ δίεισιν. εἰ γὰρ μέλλοι τὸ ἄπειρον ὅλον διεξιέναι διὰ τοῦ ἀπείρου, δεῖ τι μέρος αὐτοῦ πρότερον πεπερασμένον διελθεῖν αὐτό. καὶ οὐκ ἔστιν εἰπεῖν ὅτι οὐκ ἔχει τὸ ἄπειρον μέρος πεπερασμένον. ἐνυπάρχει γὰρ τῷ ἀπείρῳ τὸ πεπερασμένον. εἰ οὖν δέδεικται ἀδύνατον τὸ πεπερασμένον ἐν ἀπείρῳ χρόνῳ διελθεῖν, δηλονότι οὐδὲ τὸ ἄπειρον διελεύσεται ἐν τῷ πεπερασμένῳ. καὶ ἀπὸ τοῦ χρόνου δέ φησιν ἀρξάμενοι τὸ αὐτὸ δείξομεν. δέδεικται γὰρ πρότερον ὅτι μὴ οἷόν τε ἄπειρον διελθεῖν ἐν πεπερασμένῳ χρόνῳ. ἐὰν γὰρ ἀπὸ τοῦ χρόνου μόριον ἀφέλωμέν τι καταμετροῦν τὸν ὅλον πεπερασμένον ὄντα, ἐν τούτῳ μόριόν τι κινηθήσεται τοῦ ἀπείρου. ἐπειδὴ τὸ ἄπειρον ὅλον ὑπέκειτο ἐν τῷ ὅλῳ χρόνῳ κινεῖσθαι τῷ πεπερασμένῳ. ἐὰν οὖν καθ᾽ ἕκαστον τῶν τοῦ πεπερασμένου χρόνου μορίων λαμβάνωμέν τι τοῦ ἀπείρου μόριον, ἐπειδὴ τὰ τοῦ χρόνου πεπερασμένου ὄντος πεπερασμένα ἐστὶ, συναπαρτιθήσεται καὶ τὰ τοῦ ἀπείρου. καὶ οὐκέτι ἄπειρον ἔσται διϊόν.

ΕΠΕΙ Δ᾽ ΟΥΤΕ τὸ πεπερασμένον τὸ ἄπειρον δίεισιν, οὔτε τὸ ἄπειρον τὸ πεπερασμένον. οὔτε τὸ ἄπειρον ἐν πεπερασμένῳ χρόνῳ κινεῖται, φανερὸν ὅτι οὐδὲ κίνησις ἔσται ἄπειρος ἐν τῷ πεπερασμένῳ χρόνῳ τί γὰρ διαφέρει τὴν κίνησιν ἢ τὸ μέγεθος ποιεῖν ἄπειρον. ἀνάγκη γὰρ ὁποτερονοῦν καὶ θάτερον εἶναι ἄπειρον.

εἶναι ἄπειρον. πᾶσα γὰρ φορὰ ἐν τόπῳ.

Δ Δέδεικται μὲν ἤδη πρότερον μετὰ τοῦ μεγέθους ἐφ' οὗ ἡ κίνησις, ὅτι οὐδὲ κίνησιν ἄπειρον ἐν πεπερασμένῳ χρόνῳ κινήσεται τὸ κινούμενον, οὐδὲ ἐν ἀπείρῳ πεπερασμένην. κοινὴ γὰρ ἦν ἡ ἀπόδειξις. ὁποῖον γὰρ τὸ διάστημα τὸ δι' οὗ ἡ κίνησις, τοιαύτη καὶ ἡ κίνησίς ἐστι. διὸ καὶ ἐγὼ τὴν κίνησιν ἐν τῇ ἀποδείξει τῷ μεγέθει συμπαρελάμβανον. αὐτὸς δὲ ἐν τῇ ἀρχῇ μὲν τοῦ θεωρήματος εἰπὼν, ἀδύνατόν ἐστιν ἐν τῷ ἀπείρῳ χρόνῳ πεπερασμένην κινεῖσθαι, μὴ τὴν αὐτὴν ἀεὶ καὶ τὴν ἐκείνης τι κινούμενον, ἴσως μὲν ὡς ἐπὶ γραμμῆς λέγων δι' ἧς ἡ κίνησις, θηλυκὸν ὄνομα τέθεικεν, ἴσως δὲ τὴν κίνησιν ἐννοῶν. εἰ δὲ καὶ περὶ ἠρεμίας τῆς ἀντικειμένης τῇ κινήσει τὰ αὐτὰ ἠξίωσε, δηλονότι καὶ περὶ κινήσεως ἦν τὰ πρότερον ἀποδεδειγμένα. καὶ γὰρ εἰς τοῦτο ἔτεινεν ὁ λόγος αὐτῷ. νῦν μέντοι ἐκ τῶν περὶ μεγέθους δειχθέντων, δι' ὧν ἡ κίνησις ἐπιτελεῖται, συνάγει τὸ μηδὲ κίνησιν ἄπειρον εἶναι ἐν πεπερασμένῳ χρόνῳ. τὸ γὰρ μέγεθος δι' οὗ ἡ κίνησις τὸ τοπικόν ἐστιν. ἀφ' οὗ ἡ κατὰ τόπον κίνησις ἔχει τὸ διάστημα. ἐπειδὴ γάρ φησιν οὔτε τὸ ἄπειρον μέγεθος οὔτε τὸ πεπερασμένον, τὴν κατὰ τόπον κίνησιν κινούμενον, οὐ διέεισι τὸ ἄπειρον διάστημα ἐν πεπερασμένῳ χρόνῳ, φανερὸν ὅτι οὐδὲ κίνησις ἔσται ἄπειρος ἐν πεπερασμένῳ χρόνῳ, εἰ μὴ πάλιν καὶ πάλιν ἐπὶ τοῦ αὐτοῦ γίνοιτο. ἡ γὰρ ἄπειρος πᾶσα κίνησις ἡ κατὰ φορὰν, ἐπὶ ἀπείρου διαστήματος τοπικοῦ γίνεται. πᾶσα γὰρ φορὰ κατὰ τόπον κίνησίς ἐστι. καὶ ἡ ἄπειρος μία ἐπὶ ἀπείρου τόπου, ἐὰν μὴ πάλιν καὶ πάλιν ἡ αὐτή. εἰ οὖν δέδεικται ὅτι οὐκ ἔστιν ἄπειρον διάστημα κινεῖσθαι ἐν πεπερασμένῳ χρόνῳ, δηλονότι οὐδὲ κίνησιν ἄπειρον εἶναι δυνατόν. ἦν γὰρ ἂν καὶ τὸ διάστημα ἄπειρον δι' οὗ ἡ κίνησις. ἀλλ' ὅσον ἐπὶ τὸ δεῖξαι μηδὲν ἄπειρον, τίνα χρείαν παρέχει τὸ μηδὲ τὸ κινούμενον ἄπειρον εἶναι. ἢ ὅτι ἐὰν ἡ ἄπειρον μέγεθος καὶ κινῆται ὅλως κἂν ἐφ' ὁσονοῦν χρόνον, ἄπειρος ἔσται ἡ κίνησις, ὡς τῷ μεγέθει οὗ ἐστι συνεκτεινομένη. δέδεικται γὰρ ἡ κίνησις ὡς καὶ τῷ μεγέθει συνδιΐσταται οὗ ἐστιν ἡ κίνησις, ὥσπερ καὶ τῷ διαστήματι δι' οὗ διέεισι τὸ κινούμενον. καλῶς οὖν οὐ μόνον τῇ τοῦ διαστήματος ἀπειρίᾳ, συνανεῖλε τὴν ἐν πεπερασμένῳ χρόνῳ τῆς κινήσεως ἀπειρίαν, ἀλλὰ καὶ τῇ τοῦ κινουμένου μεγέθους ἀπειρίᾳ. εἰ γὰρ ἀμφοτέροις τούτοις συμπαρατείνεται ἡ κίνησις, μηδετέρου τούτων ἀπείρου ὑπάρχοντος τῷ κινουμένῳ ἐν πεπερασμένῳ χρόνῳ, οὐδὲ κίνησις ἂν αὐτῷ ἄπειρος ὑπάρξοι.

Ε ἘΠΕῚ ΔῈ πᾶν ἢ κινεῖται ἢ ἠρεμεῖ, τὸ πεφυκὸς ὅτε πέφυκε καὶ οὗ καὶ ὥς. ἀνάγκη τὸ ἱστάμενον ὅτε ἵσταται κινεῖσθαι. εἰ γὰρ μὴ κινεῖται, ἠρεμήσει, ἀλλ' οὐκ ἐνδέχεται ἠρεμίζεσθαι τὸ ἠρεμοῦν. τούτου δ' ἀποδεδειγμένου, φανερὸν, ὅτι καὶ ἐν χρόνῳ ἵστασθαι ἀνάγκη. τὸ γὰρ κινούμενον, ἐν χρόνῳ κινεῖται. τὸ δ' ἱστάμενον, δέδεικται κινούμενον. ὥστε ἀνάγκη ἐν χρόνῳ ἵστασθαι. ἔτι δ' εἰ τὸ μὲν θᾶττον καὶ βραδύτερον ἐν χρόνῳ λέγομεν, ἵστασθαι δ' ἐστὶ θᾶττον καὶ βραδύτερον. ἐν ᾧ δὲ χρόνῳ πρώτως τὸ ἱστάμενον ἵσταται, ἐν ὁτῳοῦν ἀνάγκη τούτου ἵστασθαι. διαιρεθέντος γὰρ τοῦ χρόνου, εἰ μὲν ἐν μηδετέρῳ τῶν μερῶν ἵσταται, οὐδὲ ἐν τῷ ὅλῳ ὥστ' οὐκ ἂν ἵσταται τὸ ἱστάμενον. εἰ δ' ἐν θατέρῳ, οὐκ ἂν ἐν πρώτῳ ὅλῳ ἵσταιτο. καθ' ἑκάτερον γὰρ ἐν τούτῳ ἵσταται, καθάπερ ἐλέχθη καὶ ἐπὶ τοῦ κινουμένου πρότερον. ὥσπερ δὲ τὸ κινούμενον οὐκ ἔστιν ἐν ᾧ πρώτῳ κινεῖται, οὕτως οὐδ' ἐν ᾧ ἵσταται τὸ ἱστάμενον. οὔτε γὰρ τοῦ κινεῖσθαι οὔτε ἵστασθαί ἐστί τι πρῶτον. ἔστω γὰρ ἐν ᾧ πρώτῳ ἵσταται, ἐφ' ᾧ τὸ α β. τοῦτο δὴ ἀμερὲς μὲν, οὐκ ἐνδέχεται εἶναι. κίνησις γὰρ οὐκ ἔστιν ἐν τῷ ἀμερεῖ, διὰ τὸ κεκινῆσθαί τι αὐτοῦ. τὸ δ' ἱστάμενον, δέδεικται κινούμενον. ἀλλὰ μὴν, εἰ διαιρετόν ἐστιν, ἐν ὁτῳοῦν αὐτοῦ τῶν μερῶν ἵσταται. τοῦτο γὰρ δέδεικται πρότερον, ὅτι ἐν ᾧ πρώτως ἵσταται ἐν ὁτῳοῦν τῶν ἐκείνου ἵσταται. ἐπεὶ οὖν χρόνος ἐστὶν, ἐν ᾧ πρώτως ἵσταται, καὶ οὐκ ἄτομον, ἅπας δὲ χρόνος εἰς ἄπειρα μεριστὸς, οὐκ ἔσται ἐν ᾧ πρώτῳ ἵσταται.

Τ Τὸ μὲν προκείμενόν ἐστιν αὐτῷ, κἂν παραδοξολογεῖν δοκῇ κατὰ τὸ φαινόμενον, δεῖξαι ὅτι τὸ ἱστάμενον ταὐτόν ἐστι τῷ κινουμένῳ, καὶ ὅτι ὅσα τῷ κινουμένῳ ὑπάρχει τοιαῦτα καὶ τῷ ἱσταμένῳ. λαβὼν δὲ ἄλλο μὲν τὸ ἠρεμοῦν τὸ τῷ κινουμένῳ ἀντικείμενον καὶ ἐν ταὐτῷ μένον, ἄλλο δὲ τὸ ἠρεμιζόμενον, τὸ κινούμενον ἐπὶ τὸ ἠρεμεῖν, ὥσπερ τὸ λευκαινόμενον ἐπὶ τὸ λευκὸν εἶναι, τῷ μὲν ἠρεμοῦντι ταὐτόν φησιν εἶναι τὸ ἑστώς, τῷ δὲ ἠρεμιζομένῳ τὸ ἱστάμενον. ὅπερ ἐστὶ τὸ ἐπὶ στάσιν ἰόν. καὶ πρῶτον δείκνυσιν ὅτι κινεῖται τὸ ἱστάμενον, προλαβὼν ἀναγκαῖόν τι διαιρετικὸν, τὸν λόγον ὅτι πᾶν ἢ κινεῖται ἢ ἠρεμεῖ, τὸ πεφυκὸς δηλονότι. τὸ γὰρ ἀκίνητον φύσει, οὔτε κινεῖται οὔτε ἠρεμεῖ. ἀλλ' ὅπερ κινεῖσθαι πέφυκε, τοῦτο καὶ ἠρεμεῖν. ἐπειδὴ στέρησις τοῦ κινεῖσθαι τὸ ἠρεμεῖν ἐστιν. ἐστέρηται δὲ τὸ πεφυκὸς ἔχειν, ὅτε πέφυκε μὴ ἔχον. οὐ γὰρ δὴ τὸ ἀρτιγενὲς σκυλάκιον, ἠρεμεῖν ἂν λέγοιτο κατὰ τὸ μὴ ὁρᾶν. ὅτι τότε οὐδὲ πέφυκεν ὁρᾶν. ἀλλ' οὐδὲ ὁ ἐν τῷ στήθει μὴ ἔχων ὀφθαλμοὺς ἄνθρωπος, ἐστερῆσθαι ἂν λέγοιτο τοῦ ἐν τῷ στήθει μὴ ἔχειν. ὅπου γὰρ πέφυκεν ἔχειν μὴ ἔχων, λέγοιτο ἂν ἐστερῆσθαι. οὐδὲ οἱ ἰχθῦς τῆς ἐν ἀέρι κινήσεως ἐστερῆσθαι ἂν λέγοιντο, ὅτι μηδὲ ἐπεφύκεσαν ἐκεῖ κινεῖσθαι. ἀλλ' οὐδὲ τῆς κατὰ βάδισιν κινήσεως οἱ ἰχθύες ἐστέρηνται. νήχεσθαι γὰρ ἀλλ' οὐχὶ βαδίζειν πεφύκασιν. ἀνάγκη οὖν πᾶν τὸ πεφυκὸς κινεῖσθαι, εἰ μὴ κινοῖτο ὅτε πέφυκε, ἢ ὅπου πέφυκε, ἢ ὥσπερ πέφυκεν, ἐν στερήσει ὂν τοῦ κινεῖσθαι,

ἠρεμεῖν αὐτό. τὸ οὖν ἱστάμενον, τουτέστι τὸ περὶ στάσιν ἰόν, ἐπειδὴ πεφυκός ἐστι κινεῖσθαι, ἀνάγκη ἢ κινεῖσθαι ἢ ἠρεμεῖν. ἀλλὰ μὴν οὐκ ἠρεμεῖ. τὸ γὰρ ἠρεμοῦν ἤδη οὐκέτι ἠρεμίζεται. ὁδὸς γὰρ εἰς ἠρεμίαν ὥσπερ τὸ ἠρεμίζεσθαι, οὕτω καὶ τὸ ἵστασθαι ἐστί. ταυτὸν γὰρ ἄμφω. διὸ τὸ ἠρεμίζεσθαι μετέλαβεν εἰς τὸ ἵστασθαι. εἰ οὖν τὸ ἱστάμενον κινεῖται, τὸ δὲ κινούμενον ἐν χρόνῳ κινεῖται, φανερὸν ἐκ τῶν δεδειγμένων ὅτι τὸ ἱστάμενον ἐν χρόνῳ ἵσταται. εἴπερ τὸ ἱστάμενον πεφυκὸς κινεῖσθαι καὶ ἠρεμεῖν οὐκ ἠρεμεῖ ἀλλὰ κινεῖται, τὸ δὲ κινούμενον ἐν χρόνῳ κινεῖται. δείκνυσι δὲ τοῦτο καὶ ἄλλως. εἰ γὰρ ἵστασθαί ἐστι θᾶττον καὶ βραδύτερον, τὸ γὰρ περὶ στάσιν ἰὸν ἢ θᾶττον ἄπεισιν ἢ βραδύτερον, πᾶν δὲ τὸ θᾶττον καὶ βραδύτερον ἐν χρόνῳ, τὸ ἄρα ἵστασθαι ἐν χρόνῳ. δείξας δὲ ὅτι τὸ ἱστάμενον καὶ κινούμενόν ἐστι καὶ ἐν χρόνῳ ἵσταται, δείκνυσιν ἐφεξῆς ὅτι καὶ τοῦτο ὑπάρχει τῷ ἱσταμένῳ ὥσπερ τῷ κινουμένῳ, τὸ μὴ εἶναι πρῶτον λαβεῖν ἐν ᾧ ἵσταται τὸ ἱστάμενον. διότι πρὸ παντὸς τοῦ πρώτου τεθέντος ἔστι τι πρότερον ὡς καὶ περὶ τῆς κινήσεως ἐδείκνυτο, διὰ τὴν ἐπ' ἄπειρον τομὴν καὶ τοῦ χρόνου καὶ τοῦ διαστήματος, ὃ κινεῖται. καὶ τῆς κινήσεως αὐτῆς. καὶ τοῦ καθ' ὃ κινεῖται τὸ κινούμενον, ὅταν κατὰ ποσὸν κινῆται. ὅτι δὲ οὐκ ἔστι πρῶτον λαβεῖν ἐν ᾧ ἵσταται τὸ ἱστάμενον, ἀλλ' ὅνπερ ἄν τις χρόνον ὡς πρῶτον λάβῃ, πρὸ τούτου ἄλλος εὑρεθήσεται, δείκνυσι. πρότερον δείξας, ὅτι ἐν ᾧ χρόνῳ πρώτῳ ἵσταται, ἐν ὁτῳοῦν τούτου ἀνάγκη ἵστασθαι. διαιρεθέντος γὰρ τοῦ χρόνου ἐν ᾧ πρώτῳ λέγεται ἵστασθαι τὸ ἱστάμενον, εἰ μὲν ἐν μηδετέρῳ τῶν μερῶν ἵστασθαι εἴποις, οὐδὲ ἐν τῷ ὅλῳ. ὥστε οὐκ ἂν ἵσταιτο τὸ ἱστάμενον. εἰ δὲ ἐν τῷ ἑτέρῳ ἵσταιτο, καὶ πρῶτον δηλονότι ἐν τῷ πρώτῳ, οὐκ ἂν ἐν πρώτῳ τῷ ὅλῳ ἵσταιτο. ἐν γὰρ τῷ ὅλῳ οὕτως ἵστατο, ὡς καθ' ἕτερον τῶν μερῶν ἱστάμενον. ὥσπερ πρότερον περὶ τοῦ κινουμένου ἐλέχθη. ὁμοίως γὰρ ἔχει τὸ κινούμενον καὶ τὸ ἱστάμενον, ὅτι καὶ τὸ ἱστάμενον κινούμενόν ἐστιν. ὡς οὖν τὸ κινούμενον ἐν ᾧ ἂν πρώτῳ ὑποτεθῇ κινεῖσθαι ἀνάγκη ἐν τινι τῶν τούτου αὐτὸ κινεῖσθαι, οὕτως ἔχει καὶ τὸ ἱστάμενον. τοῦτο οὖν προδείξας, ἐφεξῆς δείκνυσιν ἐκ τούτου, ὅτι ὥσπερ τοῦ κινεῖσθαι οὐκ ἔστι πρῶτον λαβεῖν, ἐν ᾧ κινεῖταί τι, οὕτως οὐδὲ τοῦ ἵστασθαι. δείκνυσι δὲ καὶ τοῦτο διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς. ἔστω γάρ φησιν ἐν ᾧ πρώτῳ λέγεται ἵστασθαι τὸ ἐφ' ᾧ αβ. ὃ πρότερον μὲν εὐθὺς διεῖλεν. νῦν δὲ δείκνυσι πρῶτον ὅτι διαιρετόν ἐστιν, ἐκ τοῦ μὴ εἶναι ἀμερές. ὅτι δὲ οὐκ ἔστιν ἀμερές, δείκνυσιν ἐκ τοῦ μὴ εἶναι κίνησιν ἐν τῷ ἀμερεῖ. ὥστε οὐδὲ τὸ ἵστασθαι, εἴπερ τὸ ἵστασθαι κινεῖσθαί τί ἐστιν. ὅτι δὲ ἡ κίνησις οὐκ ἔστιν ἐν τῷ ἀμερεῖ, διὰ τῶν ἤδη δειχθέντων ὑπέμνησεν. εἰ γὰρ ἀνάγκη τὸ κινούμενον κεκινῆσθαι πρότερον, οὐκ ἐν ἀμερεῖ ἡ κίνησις. οὐ γὰρ δυνατὸν ἐν τῷ αὐτῷ κινεῖσθαί τι καὶ κεκινῆσθαι. τὸ δὲ ἱστάμενον δέδεικται κινούμενον. ἐπεὶ τοίνυν διαιρετόν ἐστιν τὸ αβ, ἐν ᾧ πρώτῳ λέγεται ἵστασθαι τὸ ἱστάμενον, ἐν ὁτῳοῦν αὐτοῦ τῶν μορίων ἵσταται. τοῦτο γὰρ προδέδεικται, ὡς ἐν ᾧ πρώτῳ ἵστασθαί τι λέγεται, ἐν ὁτῳοῦν τῶν ἐκείνου μορίων ἵστασθαι ἀνάγκη. εἰ οὖν χρόνος ἐστὶν ἐν ᾧ πρώτῳ ἵστασθαι λέγεται, καὶ οὐκ ἄτομόν τι, χρόνος δὲ ἅπας ἐπ' ἄπειρον διαιρετός, οὐκ ἄρα ἔσται πρῶτόν τι αὐτοῦ. οὐδὲ τοῦ ἵστασθαι ἄρα ἔσταί τις ἀρχή, ἐν ᾗ πρώτως ἵστασθαι ῥηθείη ἂν τὸ ἱστάμενον. ὡς γὰρ ὁ χρόνος ἔχει ἐν ᾧ τὸ ἵστασθαι, οὕτω καὶ τὸ ἐν αὐτῷ ἵστασθαι. διὰ οὖν τὸ ἐν ὁτῳοῦν τῶν μορίων τοῦ ἐπ' ἄπειρον διαιρουμένου ἵστασθαι, ἔδειξεν ὅτι οὐκ ἔστι τι πρῶτον ἐν ᾧ ἵσταται. οὐδὲ γὰρ ἔστι τι πρῶτον τοῦ ἐπ' ἄπειρον διαιρουμένου. ἀλλ' εἰ τὸ ἵστασθαι κινεῖσθαι ἐστίν, περὶ δὲ τοῦ κινεῖσθαι δέδεικται ὅτι οὐκ ἔστι τι λαβεῖν, ἐν ᾧ πρώτῳ κινεῖται τὸ κινούμενον, δηλονότι οὐδὲ τοῦ ἵστασθαι ἔστι τι πρῶτον λαβεῖν. τίς οὖν χρεία τῆς καὶ περὶ τούτου ἀποδείξεως τῷ βραχυλογοῦντι. ἢ πρῶτον μὲν βουλόμενος ἀποδεῖξαι, ὅτι τὸ ἵστασθαι τοῦτο κινεῖσθαί τι ἐστί, κἂν παρὰ τὴν συνήθειαν ᾖ τὸ λεγόμενον, εἰκότως προήχθη δεῖξαι, ὅτι ὅσα τῷ κινεῖσθαι ὑπάρχει, τοσαῦτα καὶ τῷ ἵστασθαι, καθ' ὅσον κινεῖσθαί τί ἐστι τὸ ἵστασθαι. ἔπειτα εἰ μὲν ταυτὸν ἀπαράλλακτος ἦν τὸ κινεῖσθαι καὶ τὸ ἵστασθαι, περιττὸς ἂν ἦν ὁ περὶ τοῦ ἵστασθαι λόγος. ἐπεὶ δὲ οὐχ ἁπλῶς κινεῖσθαι ἐστὶ τὸ ἵστασθαι τοῦτο, ἀλλὰ τὸ περὶ στάσιν κινεῖσθαι, ταυτὸν ὂν ὡς εἴρηται τῷ ἠρεμίζεσθαι, εἰκότως καὶ ἐπὶ τούτοις τοῦ κινεῖσθαι τὴν ἀπόδειξιν ἐποιήσατο. ἵνα ἔχῃ ἐπὶ πάσης κινήσεως ἀληθῆ τὸν λόγον, τῆς τε πρὸς τὸ ἐξ οὗ ἡ κίνησις, καὶ τῆς πρὸς τὸ εἰς ὅ. καὶ ὅτι ταύτην ἔσχε τὴν ἔννοιαν ὁ ἀριστοτέλης, τεκμαίρομαι ἐκ τοῦ περὶ τῆς ἠρεμίας τὰ αὐτὰ εὐθὺς ἐπαγαγεῖν, τῆς ἀντικειμένης τῇ ὅλῃ κινήσει.

ΟΥ̓ΔῈ ΔῊ τὸ ἠρεμοῦν, ὅτε πρῶτον ἠρέμησεν ἐστιν. ἐν ἀμερεῖ μὲν γὰρ οὐκ ἠρέμησε, διὰ τὸ μὴ εἶναι κίνησιν ἐν ἀτόμῳ. ἐν ᾧ δὲ τὸ ἠρεμεῖν καὶ τὸ κινεῖσθαι. τότε γὰρ ἔφαμεν ἠρεμεῖν, ὅτε καὶ ἐν ᾧ πεφυκὸς κινεῖσθαι, μὴ κινεῖται τὸ πεφυκός. ἔτι δὲ καὶ τότε λέγομεν ἠρεμεῖν, ὅταν ὁμοίως ἔχῃ νῦν καὶ πρότερον, ὡς οὐχ ἑνί τινι κρίνοντες, ἀλλὰ δυοῖν τοῖν ἐλαχίστοιν. ὥστ' οὐκ ἔσται ἐν ᾧ ἠρεμεῖ ἀμερές. εἰ δὲ μεριστόν, χρόνος ἂν εἴη. καὶ ἐν ὁτῳοῦν αὐτοῦ τῶν μερῶν ἠρεμήσει. τὸν αὐτὸν γὰρ τρόπον δειχθήσεται ὃν καὶ ἐπὶ τῶν πρότερον, ὥστ' οὐδὲν ἔσται πρῶτον. τούτου δ' αἴτιον, ὅτι ἠρεμεῖ μὲν, καὶ κινεῖται πᾶν ἐν χρόνῳ. χρόνος δ' οὐκ ἔστι πρῶτος οὐδὲ μέγεθος. οὐδ' ὅλως συνεχὲς οὐδέν. ἅπαν γὰρ εἰς ἄπειρα μεριστόν.

Μετὰ τὸ δεῖξαι περὶ πάσης κινήσεως τῆς τε ἁπλῆς καὶ τῆς κατὰ τὸ ἵστασθαι λεγομένης, ὅτι οὐκ ἔστι τὸ πρῶτον λαβεῖν αὐτῆς, ἀλλ' ὅπερ ἄν τις ὡς πρῶτον λάβῃ, ἔστι τι καὶ τούτου πρότερον, νῦν τὰ

αὐτὰ περὶ

αὐτὰ περὶ τῆς ἠρεμίας δείκνυσι, τῆς τῇ ὅλῃ κινήσει ἀντικειμένης. αἰτία δὲ ἡ αὐτὴ καὶ ἐπὶ τῆς ἠρεμίας, ἥ τις καὶ ἐπὶ τῆς κινήσεως. διὸ καὶ ἀποδείξει τῇ αὐτῇ χρῆται. εἰ γὰρ στέρησίς ἐστιν ἡ ἠρεμία τῆς κινήσεως, στέρεται δὲ τὸ πεφυκὸς κινεῖσθαι, ἐν ᾧ πέφυκε κινεῖσθαι μὴ κινούμενον, ἐν χρόνῳ καὶ ἠρεμεῖν ἀνάγκη, καὶ οὐκ ἐν ἀτόμῳ. ὥσπερ οὐδὲ κινεῖσθαι ἐν ἀτόμῳ. ἔτι δὲ καὶ ἄλλως δείκνυσιν ὅτι ἐν χρόνῳ τὸ ἠρεμεῖν ἐστὶ καὶ οὐκ ἐν ἀτόμῳ, ὑπομιμνήσκων ἡμᾶς τοῦ πρόσθεν περὶ τῆς ἠρεμίας λεχθέντος. ὅτι ἠρεμεῖν λέγεται τὸ ὁμοίως ἔχον αὐτὸ νῦν καὶ τὰ μέρη αὐτοῦ, καὶ πρότερον. ὥστε ὑπὸ δυοῖν νῦν ὁρίζεσθαι τὴν ἠρεμίαν, τοῦ τε νῦν καὶ τοῦ πρότερον. πάντων δὲ δυοῖν νῦν χρόνος μεταξύ ἐστιν. ἐν χρόνῳ οὖν πᾶσα ἠρεμία. καὶ γὰρ τὸ νῦν καὶ τὸ πρότερον χρόνου μέρη εἰσί. τοῦ δὲ χρόνου ἐν ᾧ τὸ ἠρεμεῖν ἤρξατο τῆς ἠρεμίας, οὐκ ἔστι τι πρῶτον λαβεῖν. καὶ γὰρ ὁ χρόνος συνεχὴς καὶ ἐπ' ἄπειρον διαιρετός. οὐδὲν δ' ἐν συνεχεῖ πρῶτον.

ἘΠΕΙ ΔΕ πᾶν τὸ κινούμενον ἐν χρόνῳ κινεῖται, καὶ ἔκ τινος εἴς τι μεταβάλλει, ἐν ᾧ χρόνῳ κινεῖται καθ' αὑτὸ καὶ μὴ τῷ ἐκείνου τινὶ, ἀδύνατον τότε κατά τι εἶναι πρῶτον τὸ κινούμενον, τὸ γὰρ ἠρεμεῖν ἐστὶ τὸ ἐν τῷ αὐτῷ εἶναι χρόνον τινὰ καὶ αὐτὸ καὶ τῶν μερῶν ἕκαστον. οὕτω γὰρ λέγομεν ἠρεμεῖν, ὅταν ἐν ἄλλῳ καὶ ἄλλῳ τῷ νῦν ἀληθὲς ᾖ εἰπεῖν, ὅτι ἐν τῷ αὐτῷ καὶ αὐτὸ καὶ τὰ μέρη. εἰ δὲ τοῦτ' ἔστι τὸ ἠρεμεῖν, οὐκ ἐνδέχεται τὸ μεταβάλλον κατά τι εἶναι ὅλον κατὰ τὸν πρῶτον χρόνον. ὁ γὰρ χρόνος, διαιρετὸς ἅπας. ὥστε ἐν ἄλλῳ καὶ ἄλλῳ αὐτοῦ μέρει ἀληθὲς ἔσται εἰπεῖν ὅτι ἐν τῷ αὐτῷ ἐστὶ καὶ αὐτὸ καὶ τὰ μέρη. εἰ γὰρ μὴ οὕτως, ἀλλ' ἐν ἑνὶ μόνῳ τῷ νῦν, οὐκ ἔσται χρόνον οὐθένα κατά τι. ἀλλὰ κατὰ τὸ πέρας τοῦ χρόνου. ἐν δὲ τῷ νῦν, ἔστι μὲν, ἀεὶ κατά τι μένον, οὐ μέντοι ἠρεμεῖ. οὔτε γὰρ κινεῖσθαι οὔτε ἠρεμεῖν ἐστιν ἐν τῷ νῦν. ἀλλὰ μὴ κινεῖσθαι μὲν ἀληθὲς ἐν τῷ νῦν. καὶ εἶναι κατά τι. ἐν χρόνῳ δ' οὐκ ἐνδέχεται εἶναι, κατὰ τὸ ἠρεμοῦν. συμβαίνει γὰρ τὸ φερόμενον ἠρεμεῖν.

Τὰ παράδοξα τῶν περὶ κινήσεως θεωρημάτων, ἅπερ οὐκ ἄν τις οὐδὲ ἐννοήσειε ῥᾳδίως οὐδὲ πιστεύσειε, ταῦτα μετὰ ἀποδείξεως ἐν τούτοις παραδίδωσιν ὁ ἀριστοτέλης. καὶ ἦν μὲν κἀκεῖνα θαυμαστὰ τὰ προσεχῶς ἀποδεδειγμένα, ὅτι οὐκ ἔστιν ἀρχὴν λαβεῖν οὔτε κινήσεως οὔτε ἠρεμίας. δῆλον δὲ ὅτι οὐδὲ τέλος διὰ τὴν αὐτὴν αἰτίαν. ἔτι δὲ μᾶλλον ἀπεμφαίνει τὸ νῦν δεικνύμενον. ὅπερ καὶ διὰ τὸ λῦσαι τὸν ζήνωνος κατὰ κινήσεως λόγον, ἔοικε παραδιδόναι ἐν τούτοις. ἐπειδὴ γάρ φησιν ἐν χρόνῳ κινεῖται τὸ κινούμενον, ἐν ᾧ χρόνῳ κινεῖται καθ' αὑτὸ, τουτέστιν ἐν ᾧ ὅλῳ, καὶ μὴ τῷ ἔν τινι τῶν ἐκείνου κινεῖσθαι, ὅπερ ἐν πρώτῳ πρόσθεν ἐλέγετο, ταὐτὸν γὰρ αὐτῷ ταῦτα ἐπὶ τοῦ χρόνου σημαίνει, τὸ ἐν πρώτῳ καὶ τὸ καθ' αὑτὸ, καὶ τὸ μὴ ἐν τῷ ἐκείνου τινὶ, ἀδύνατον ἐν τούτῳ τῷ χρόνῳ κατά τι εἶναι τοῦ διαστήματος ἐν ᾧ κινεῖται. ὥστε καὶ αὐτὸ τὸ κινούμενον, καὶ τῶν μερῶν ἕκαστον αὐτοῦ ἐν τῷ αὐτῷ εἶναι καὶ ἴσῳ ἑαυτοῖς διαστήματι. δείκνυσι δὲ αὐτὸ οὕτως. εἰ τὸ κινούμενον ἐν χρόνῳ τινὶ πρώτῳ, ἔστιν ἔν τινι τῷ αὐτῷ καὶ αὐτὸ καὶ τὰ μέρη αὐτοῦ, ἐπειδὴ πᾶς χρόνος διαιρεῖται εἰς πρότερον καὶ ὕστερον χρόνον, ἔσται ἔν τινι τῷ αὐτῷ νῦν καὶ πρότερον, καὶ αὐτὸ καὶ τὰ μέρη αὐτοῦ. τὸ δὲ ἐν τῷ αὐτῷ χρόνον τινὰ ὂν καὶ αὐτὸ καὶ τὰ μέρη αὐτοῦ, ἠρεμεῖ. τὸ ἄρα κινούμενον ἐν χρόνῳ τινὶ πρώτῳ. ἐὰν ᾖ ἔν τινι τῷ αὐτῷ καὶ τὰ μέρη αὐτοῦ, ἠρεμεῖ. ἀλλὰ μὴν ἀδύνατον ὅτε κινεῖταί τι ἠρεμεῖν αὐτό. οὐκ ἄρα τὸ ἐν πρώτῳ χρόνῳ κινούμενον, ἔστιν ἔν τινι τῷ αὐτῷ καὶ αὐτὸ καὶ τὰ μέρη αὐτοῦ. ὅτι δὲ τοῦτό ἐστι τὸ ἠρεμεῖν, ἔδειξε διὰ τοῦ οὕτω γὰρ λέγομεν ἠρεμεῖν, ὅταν ἐν ἄλλῳ καὶ ἄλλῳ τῷ νῦν ἀληθὲς ᾖ εἰπεῖν. ὅτι ἐν τῷ αὐτῷ καὶ αὐτὸ καὶ τὰ μέρη ἐστί. δέδεικται οὖν τὸ προκείμενον, ὅτι οὐκ ἐνδέχεται τὸ μᾶλλον κατὰ τὸν πρῶτον χρόνον εἶναι κατά τι, καθ' ὃ μεταβάλλει αὐτὸ καὶ τὰ μέρη αὐτοῦ. τοῦτο γὰρ σημαίνει τὸ ὅλον. αἴτιον δὲ ὅτι πᾶς χρόνος διαιρετός ἐστιν. ὥστε ἐν ἄλλῳ καὶ ἄλλῳ αὐτοῦ μέρει προτέρῳ καὶ ὑστέρῳ ἀληθὲς ἔσται εἰπεῖν, ὡς ἐν τῷ αὐτῷ ἐστὶ καὶ τὸ ὅλον καὶ τὰ μέρη. τοῦτο δὲ ἦν τὸ ἠρεμεῖν, ἀλλ' οὐ κινεῖσθαι. ὥστε οὐκ ἐν πρώτῳ χρόνῳ μεταβάλλον ἔσται τὶ κατά τι αὐτὸ καὶ τὰ μέρη. ἀλλὰ εἰ ἐν μηδενὶ χρόνῳ τὸ κινούμενόν ἐστι, κατά τι τοῦ διαστήματος ἐφ' οὗ κινεῖται, εἰ κατὰ τόπον κινεῖται, μὴ δὲ τὸν ἴσον αὐτῷ κατέχει τόπον, πῶς διανύει τὸ ὅλον ἐν τούτῳ τῷ χρόνῳ διάστημα, καὶ διέξεισιν αὐτό. ἢ ὅτι ἐν τῷ νῦν ἐστι κατά τι τοῦ διαστήματος. τοῦτο δὲ πέρας ἐστὶ τοῦ χρόνου, ὥστε εἰ ἐν χρόνῳ λέγεται, οὐ πρώτῳ οὐδὲ καθ' αὑτό. ἀλλὰ καθ' ὅσον ἔν τινι τοῦ χρόνου οὐ μορίῳ, ἀλλὰ πέρατι. διὸ καὶ ἀρχόμενος τοῦ λόγου αὐτὸς εἶπε, μὴ τῷ ἐν ἐκείνου τινὶ, εἰς τὸ πέρας αὐτοῦ τὸ νῦν ἀφορῶν. ἐν τῷ νῦν δὲ μόνον κατέχει τὸν ἴσον ἑαυτῷ τόπον, ἐν ᾧ δύναται καὶ ἠρεμῆσαι. οὐ μέντοι ἠρεμεῖ ἐν αὐτῷ τότε. πᾶν γὰρ τὸ ἠρεμοῦν ἐν χρόνῳ ἠρεμεῖ, οὐκ ἐν τῷ νῦν. ὥσπερ καὶ κινεῖται ἐν χρόνῳ. ἐν ᾧ γοῦν κινεῖται, ἐν τούτῳ καὶ ἠρεμεῖ. διὸ μὴ κινεῖσθαι μέν τι φάναι ἐν τῷ νῦν δυνατὸν ἀληθεύοντα. ἠρεμεῖν δ' οὐχ οἷόν τε ἐν τῷ νῦν. τὸ δὲ ἐν χρόνῳ δὲ οὐκ ἐνδέχεται εἶναι κατὰ τὸ ἠρεμοῦν, περὶ τοῦ κινουμένου εἴρηται. διότι τὸ κινούμενον ἔστι μὲν κατὰ τὸ ἴσον αὐτῷ, ἐν ᾧ καὶ ἠρεμοῦν εἶναι δύναται. ἐν γὰρ τῷ ἴσῳ αὐτῷ ἠρεμεῖ. οὐ μὴν ἐν χρόνῳ ἐστὶν ἐν τῷ ἴσῳ αὐτῷ τὸ κινούμενον, ἀλλ' ἐν τῷ νῦν. εἰ γὰρ ἐν χρόνῳ, εἴη ἂν ἠρεμοῦν. τὸ γὰρ ἐν χρόνῳ τινὶ αὐτὸ καὶ τὰ μέρη αὐτοῦ ἔν τινι ὂν, ἠρεμοῦν ἐδείχθη. ἔσται οὖν τὸ αὐτὸ ἠρεμοῦν τε καὶ κινούμενον.

ΖΗΝΩΝ δὲ παραλογίζεται. εἰ γὰρ ἀεί φησιν ἠρεμεῖ πᾶν ἢ κινεῖται ὅταν ᾖ κατὰ τὸ ἴσον, ἔστι δ' ἀεὶ τὸ φερόμενον ἐν τῷ νῦν, τὸ κατὰ τὸ ἴσον ἀκίνητον τὴν φερομένην εἶναι ὀϊστόν. τοῦτο δέ ἐστι ψεῦδος. οὐ γὰρ σύγκειται ὁ χρόνος ἐκ τῶν νῦν ὄντων ἀδιαιρέτων. ὥσπερ οὐδ' ἄλλο μέγεθος οὐδέν.

Αἱ τοῦ θεσπεσίου Ζήνωνος τοῦ Ἐλεάτου ἀπορίαι. περὶ οὗ ὁ σιλλογράφος εἶπε τό, ἀμφοτερογλώσσοιο μέγα σθένος οὐκ ἀλαπαδνὸν Ζήνωνος, καὶ τῶν θαυμαστῶν τούτων περὶ κινήσεως θεωρημάτων τοῦ Ἀριστοτέλους γεγόνασιν ἡμῖν αἰτίαι. ὡς γὰρ χρήσιμον πρὸς λύσιν τῶν Ζήνωνος λόγων, τὸ προειρημένον ἡμῖν περὶ τῆς κινήσεως παραδέδωκε. διὸ καὶ τῆς ἀπορίας εὐθὺς ἐμνήσθη τῆς Ζήνωνος. καὶ τὴν λύσιν αὐτῆς ἀπὸ τοῦ προσεχῶς ῥηθέντος ἐποιήσατο. ὁ δὲ Ζήνωνος λόγος προλαβών, ὅτι πᾶν ὅταν ᾖ κατὰ τὸ ἴσον ἑαυτῷ ἢ κινεῖται ἢ ἠρεμεῖ, καὶ ὅτι οὐδὲν ἐν τῷ νῦν κινεῖται, καὶ ὅτι τὸ φερόμενον ἀεὶ ἐν τῷ ἴσῳ αὐτῷ ἐστι καθ' ἕκαστον νῦν, ἐῴκει συλλογίζεσθαι οὕτως. τὸ φερόμενον βέλος ἐν παντὶ νῦν κατὰ τὸ ἴσον ἑαυτῷ ἐστιν. ὥστε καὶ ἐν παντὶ τῷ χρόνῳ. τὸ δὲ ἐν τῷ νῦν κατὰ τὸ ἴσον ἑαυτῷ ὂν οὐ κινεῖται. ἠρεμεῖ ἄρα ἐπειδὴ μηδὲν ἐν τῷ νῦν κινεῖται. τὸ δὲ μὴ κινούμενον ἠρεμεῖ. ἐπειδὴ πᾶν ἢ κινεῖται ἢ ἠρεμεῖ. τὸ ἄρα φερόμενον βέλος ἕως φέρεται, ἠρεμεῖ κατὰ πάντα τὸν τῆς φορᾶς χρόνον. οὗ τί ἂν εἴη παραδοξότερον. εἰπὼν δὲ ὅτι ἅπαν ἢ ἠρεμεῖ ἢ κινεῖται, ὅταν ᾖ κατὰ τὸ ἴσον, ἐπήγαγεν, ἔστι δὲ τὸ φερόμενον ἀεὶ ἐν τῷ νῦν. ὅτι δὲ κατὰ τὸ ἴσον ἐστὶ τὸ φερόμενον ἐν τῷ νῦν, δῆλον. τὴν δὲ λύσιν τῶν ἀποριῶν αὐτὸς ἐπήγαγε, πρὸς τὸ ἔστιν ἀεὶ τὸ φερόμενον κατὰ τὸ ἴσον ἑαυτοῦ ἐνιστάμενος. οὐ γὰρ εἰ ἐν παντὶ χρόνῳ ἐστὶ νῦν, ἐν δὲ τῷ νῦν ἐστι κατὰ τὸ ἴσον ἑαυτῷ, ἤδη καὶ ἐν χρόνῳ ἐστὶ καὶ ἀεί. διότι μὴ μόριον χρόνου τὸ νῦν ἐστιν, ἀλλὰ πέρας. ἐν ᾧ δέδεικται τὸ κινούμενον ἐν τῷ ἴσῳ ἑαυτῷ ὄν, ἐν τῷ πρὸ τούτου θεωρήματι. εἰ οὖν ὁ χρόνος μὴ σύγκειται ἐκ τῶν νῦν τῶν ἀδιαιρέτων, τοῦτο δὲ προστέθηκεν, ἐπειδὴ καὶ χρόνον τινὰ ὡς ἐνεστῶτα νῦν καλοῦμεν, οὐδὲ τὸ φερόμενον βέλος τὸν χρόνον ἐν ᾧ φέρεται, ἐν τῷ ἴσῳ ἑαυτῷ ἐστιν. ὥστ' οὐδ' ἠρεμεῖ ἐν ἐκείνῳ τῷ χρόνῳ. καὶ ἐκεῖνο δὲ οὐκ ἀληθῶς εἴληπται, ὅτι πᾶν ἢ κινεῖται ἢ ἠρεμεῖ. ἐδείκνυτο γάρ, ὅτι ἐν τῷ νῦν οὔτε κινεῖταί τι οὔτε ἠρεμεῖ. οὐ γὰρ εἴ τι μὴ κινεῖται, τοῦτο ἠρεμεῖν ἀνάγκη. ὥστε ἐκ τοῦ προλεχθέντος θεωρήματος τοῦ δεικνύντος, ὅτι οὐκ ἔσται χρόνον οὐδένα κατά τι τὸ κινούμενον, ἀλλὰ κατὰ τὸ πέρας τοῦ χρόνου, ἔλυσε τὸ ἀεὶ τὸ φερόμενον κατὰ τὸ ἴσον ἑαυτῷ εἶναι. οὐ γὰρ ἀεί. ἀλλ' ἐν τῷ νῦν. ὅτε συμβαίνει αὐτῷ μήτε κινεῖσθαι μήτε ἠρεμεῖν. τὸ δὲ νῦν τοῦτο, ἐν ᾧ τὸ ἴσον ἑαυτῷ κατέχει τὸ κινούμενον, ὡς δυνάμει μόνον ὑπάρχον, ἐννοεῖν χρὴ ὥσπερ τὴν ἐν τῇ γραμμῇ στιγμήν. εἰ γὰρ ἐνεργείᾳ ληφθείη πανταχοῦ τοῦ χρόνου, εἰς τὰ ἀμερῆ ἂν διαιροῖτο ὁ χρόνος, καὶ ἐκ τούτων συντίθοιτο. καὶ ἔσται ἐνεργείᾳ τὰ ἄπειρα. ὁ δὲ Ζήνωνος λόγος ὡς ἐκ τῶν νῦν συγκειμένου τοῦ χρόνου τὴν ἀπορίαν ἐκίνησεν. ὡς εἴγε μὴ τοῦτο δοθείη αὐτῷ, οὐκ ἔστιν ἀληθὲς ὅτι ἔστιν ἀεὶ ἐν τῷ ἴσῳ τὸ φερόμενον.

ΤΕΤΤΑΡΕΣ δ' εἰσὶ λόγοι περὶ κινήσεως Ζήνωνος, οἱ παρέχοντες τὰς δυσκολίας τοῖς λύουσι. πρῶτος μὲν, ὁ περὶ τοῦ μὴ κινεῖσθαι διὰ τὸ πρότερον εἰς τὸ ἥμισυ δεῖν ἀφικέσθαι τὸ φερόμενον ἢ πρὸς τὸ τέλος, περὶ οὗ διείλομεν ἐν τοῖς πρόσθεν λόγοις.

Τέτταρας εἶναί φησι τοὺς περὶ κινήσεως τοῦ Ζήνωνος λόγους. δι' ὧν γυμνάζων τοὺς ἀκροωμένους, ἀναιρεῖν ἐδόκει τὸ ἐναργέστατον ἐν τοῖς οὖσι τὴν κίνησιν. ὥστε καὶ Διογένην τὸν κύνα τῶν ἀποριῶν ποτε τούτων ἀκούσαντα, μηδὲν μὲν εἰπεῖν πρὸς αὐτούς. ἀναστάντα δὲ βαδίσαι, καὶ διὰ τῆς ἐνεργείας αὐτῆς λῦσαι τὰ ἐν τοῖς λόγοις σοφίσματα. τέτταρας δὲ εἶναι λόγους φησὶ τοὺς δυσκολίας παρέχοντας τοῖς λύειν ἐπιχειροῦσιν, ἢ ὅτι τέτταρες ἦσαν πάντες οἱ περὶ κινήσεως λόγοι δυσαντίβλεπτοι πάντες τυγχάνοντες, ἢ ὅτι πλειόνων ὄντων τέτταρές εἰσιν οἱ πραγματειωδέστεροι. ἔπρεπε δὲ τῷ περὶ κινήσεως πραγματευομένῳ, λύειν τοὺς ἀναιρεῖν αὐτὴν ἐπιχειροῦντας λόγους, καὶ μάλιστα τοὺς ἐκ τῶν φυσικῶν ἀρχῶν ἐπιχειρηθέντας. οἷοι ἦσαν καὶ οἱ Ζήνωνος λόγοι, τῇ ἐπ' ἄπειρον τομῇ τῶν μεγεθῶν ἀποχρώμενοι, καὶ τῷ κινεῖσθαι πᾶν ἢ ἠρεμεῖν, καὶ ὅσα τοιαῦτα. τῶν δὴ τεττάρων λόγων ἀδύνατά τινα ἕπεσθαι δεικνύντων τῷ εἶναι κίνησιν, ὁ πρῶτος τοιοῦτός ἐστιν. εἰ ἔστι κίνησις, ἀνάγκη τὸ κινούμενον ἐν πεπερασμένῳ χρόνῳ ἄπειρα διεξιέναι. τοῦτο δὲ ἀδύνατον. οὐκ ἄρα ἐστὶ κίνησις. ἐδείκνυ δὲ τὸ συνημμένον, ἐκ τοῦ τὸ κινούμενον διάστημά τι κινεῖσθαι. παντὸς δὲ διαστήματος ἐπ' ἄπειρον ὄντος διαιρετοῦ, τὸ κινούμενον ἀνάγκη τὸ ἥμισυ πρῶτον διελθεῖν οὗ κινεῖται διαστήματος, καὶ τότε τὸ ὅλον. ἀλλὰ καὶ πρὸ τοῦ ἡμίσεος τοῦ ὅλου τὸ ἐκείνου ἥμισυ. καὶ τούτου πάλιν τὸ ἥμισυ. εἰ οὖν ἄπειρα τὰ ἡμίση διὰ τὸ παντὸς τοῦ ληφθέντος δυνατὸν εἶναι τὸ ἥμισυ λαβεῖν, τὰ δὲ ἄπειρα ἀδύνατον ἐν πεπερασμένῳ χρόνῳ διελθεῖν, τοῦτο δὲ ὡς ἐναργὲς ἐλάμβανεν ὁ Ζήνων, ἀδύνατον ἄρα κίνησιν εἶναι. τούτου δὲ τοῦ λόγου πρότερον ἀπομνημόνευσεν ὁ Ἀριστοτέλης, λέγων ἀδύνατον εἶναι ἐν πεπερασμένῳ τὰ ἄπειρα διεξελθεῖν, καὶ τῶν ἀπείρων ἅψασθαι. ἀλλὰ μὴν πᾶν μέγεθος ἀπείρους διαιρέσεις ἔχει. ἀδύνατον ἄρα ἐν πεπερασμένῳ χρόνῳ μέγεθός τι διελθεῖν. ἔλυσε δὲ αὐτὸν εἰπών, μὴ εἶναι ἐνεργείᾳ τὰ ἄπειρα ἐν τῷ μεγέθει, ἀλλὰ δυνάμει. τὰ μὲν οὖν ἐνεργείᾳ ἡμίση ἢ ἄπειρα οὐχ οἷόν τε διεξελθεῖν ἐν πεπερασμένῳ χρόνῳ. τὰ δὲ δυνάμει οὐδὲν κωλύει. οὐ δὲ γὰρ τὸ κινούμενον διαιροῦν εἰς ἄπειρα.

εἰς ἄπειρα ἡμίση τὸ διάστημα δίεισιν, ἀλλ' ὡς ἓν καὶ συνεχές. διὸ οὐ κωλύεται διεξιέναι τὰ οὕτως ἄπειρα. εἰ γὰρ διαιρεθήσεται εἰς τὰ ἡμίση, οὐκέτι ὡς ἐπὶ ἑνὸς καὶ συνεχοῦς κινηθήσεται. οὐ δὲ ἡ κίνησις συνεχὴς ἔσται. οὕτω μὲν οὖν κατὰ τὸν ἀπείρου διορισμὸν ἔλυσε τὸν λόγον. ἔτι δὲ καὶ ἐκ τοῦ ὁμοίαν εἶναι τὴν ἀπειρίαν ἔν τε τῷ χρόνῳ καὶ τῷ διαστήματι. ὥστε οὐκ ἐν πεπερασμένῳ χρόνῳ τὸ ἄπειρον, ἀλλ' ἐν ὁμοίως ἀπείρῳ δίεισι. καὶ γὰρ ὁ χρόνος ἐπ' ἄπειρον διαιρετός. ἀλλὰ δυνάμει καὶ οὐκ ἐνεργείᾳ τὸ ἄπειρον. τὰ οὖν δυνάμει ἄπειρα τοῦ μεγέθους ἐν τοῖς δυνάμει ἀπείροις τοῦ χρόνου δίεισιν.

ΔΕΥΤΕΡΟΣ δὲ ὁ καλούμενος Ἀχιλλεύς. ἔστι δ' οὗτος ὅτι τὸ βραδύτερον οὐδέποτε καταληφθήσεται θέον ὑπὸ τοῦ ταχίστου. ἔμπροσθεν γὰρ ἀναγκαῖον ἐλθεῖν τὸ διῶκον ὅθεν ὥρμησε τὸ φεῦγον ὥστ' ἀεί τι προέχειν ἀναγκαῖον τὸ βραδύτερον. ἔστι δὲ καὶ οὗτος ὁ αὐτὸς λόγος τῷ διχοτομεῖν. διαφέρει δὲ ἐν τῷ διαιρεῖν μὴ δίχα τὸ προσλαμβανόμενον μέγεθος. τὸ μὲν οὖν μὴ καταλαμβάνεσθαι τὸ βραδύτερον συμβέβηκεν ἐκ τοῦ λόγου. γίνεται δὲ παρὰ τὸ αὐτὸ τῇ διχοτομίᾳ. ἐν ἀμφοτέροις γὰρ συμβαίνει μὴ ἀφικνεῖσθαι πρὸς τὸ πέρας διαιρουμένου πως τοῦ μεγέθους. ἀλλὰ πρόσκειται ἐν τούτῳ, ὅτι οὐδὲ τὸ τάχιστον τετραγῳδημένον ἐν τῷ διώκειν τὸ βραδύτερον. ὥστ' ἀνάγκη καὶ τὴν λύσιν εἶναι τὴν αὐτήν. τὸ δ' ἀξιοῦν ὅτι τὸ προέχον οὐ καταλαμβάνεται, ψεῦδος. ὅτε γὰρ προέχει, οὐ καταλαμβάνεται ἀλλ' ὅμως καταλαμβάνεται, εἴπερ δώσει διεξιέναι τὴν πεπερασμένην. οὗτοι μὲν οὖν λόγοι δύο.

Καὶ οὗτος ὁ λόγος ἐκ τῆς ἐπ' ἄπειρον διαιρέσεως ἐπικεχείρηται κατ' ἄλλην διασκευήν. καὶ εἴη ἂν τοιοῦτος. εἰ ἔστι κίνησις, τὸ βραδύτερον ὑπὸ τοῦ ταχίστου οὐδέποτε καταληφθήσεται. ἀλλὰ μὴν τοῦτο ἀδύνατον. οὐκ ἄρα ἐστὶ κίνησις. ἡ μὲν πρόσληψις ἐναργής ἐστιν. τὸ δὲ συνημμένον κατεσκεύασε, τὸ λέγον ὅτι εἰ ἔστι κίνησις ἀδύνατον τὸ βραδύτατον ὑπὸ τοῦ ταχίστου καταληφθῆναι, βραδύτατον μὲν λαμβάνων τὴν χελώνην, ἣν καὶ ὁ μῦθος ὡς φύσει βραδεῖαν ἐν τῇ πρὸς τὸν ἵππον ἁμίλλῃ παρέλαβε, ταχύτατον δὲ τὸν Ἀχιλλέα. ὃς οὕτως ἐδόκει ποδωκέστατος, ὡς τὸ ποδάρκης ἴδιον αὐτοῦ δοκεῖν ὄνομα παρ' Ὁμήρῳ. διὰ τὸ αὐτῷ καὶ τοῖς συμμάχοις αὐτοῦ ἀρκεῖν τὴν ταχυτῆτα τῶν ποδῶν. Ἀχιλλεὺς οὖν ὁ λόγος ἀπὸ τοῦ παραληφθέντος ἐν αὐτῷ Ἀχιλλέως ἐκλήθη. ὃν ἀδύνατόν φησιν ὁ λόγος τὴν χελώνην διώκοντα καταλαβεῖν. καὶ γὰρ ἀνάγκη μὲν τὸ καταληψόμενον πρὸ τοῦ καταλαβεῖν εἰς τὸ πέρας ἐλθεῖν πρῶτον, ὅθεν ἐξώρμησε τὸ φεῦγον. ἐν ᾧ δὲ τὸ διῶκον ἐπὶ τοῦτο παραγίνεται, ἐν τούτῳ τὸ φεῦγον πρόεισί τι διάστημα. εἰ καὶ ἔλαττον οὗ τὸ διῶκον προῆλθε τῷ βραδύτερον εἶναι, ἀλλ' οὖν πρόεισιν. οὐ γὰρ δὴ ἠρεμεῖ. καὶ ἐν ᾧ πάλιν χρόνῳ τοῦτο δίεισι τὸ διῶκον ὃ προῆλθε τὸ φεῦγον, ἐν τούτῳ πάλιν τῷ χρόνῳ δίεισί τι τὸ φεῦγον τοσούτῳ ἔλαττον οὗ πρότερον ἐκινήθη, ὅσῳ βραδύτερόν ἐστιν αὐτὸ τοῦ διώκοντος. καὶ οὕτως ἐν παντὶ χρόνῳ ἐν ᾧ τὸ διῶκον δίεισιν, ὃ προεληλύθει τὸ φεῦγον βραδύτερον ὄν, ἐν τούτῳ πρόεισί τι καὶ τὸ φεῦγον. κἂν γὰρ ἀεὶ ἔλαττον, ἀλλ' οὖν δίεισί τι καὶ αὐτὸ κινούμενον ὅλως. τῷ δὲ ἐπ' ἄπειρον ἄλλο ἄλλου διάστημα ἔλαττον λαμβάνειν, διὰ τὴν ἐπ' ἄπειρον τῶν μεγεθῶν τομήν, οὐ μόνον Ἕκτωρ ὑπὸ τοῦ Ἀχιλλέως οὐ καταληφθήσεται, ἀλλ' οὐδὲ ἡ χελώνη. ὑποκείσθω γὰρ στάδιον εἶναι τὸ ὑποκείμενον, καὶ προάγειν τὴν χελώνην τὸ ἥμισυ τοῦ σταδίου. καὶ δεκαπλάσιον ἐν τῷ αὐτῷ χρόνῳ τῆς χελώνης κινεῖσθαι τὸν Ἀχιλλέα. ἀρξαμένου δὴ τοῦ Ἀχιλλέως ἀπὸ τῆς ἀρχῆς τοῦ σταδίου διώκειν τὴν χελώνην, ἐν ὅσῳ πρόεισι τὸ ἥμισυ στάδιον ὡς ἐλθεῖν εἰς τὸ ἥμισυ ὅθεν ἡ χελώνη ἐξώρμησε, καὶ ἡ χελώνη ἔσται τὸ δέκατον διερχομένη τοῦ ὑπολειπομένου ἡμισταδίου. πάλιν δὲ ἐν ὅσῳ ὁ Ἀχιλλεὺς τὸ δέκατον τούτου τοῦ ἡμισταδίου δίεισι, τοῦ δεκάτου τοῦ ἡμισταδίου ἡ χελώνη δέκατον διέρχεται. εἰ οὖν ἐπὶ πᾶν τὸ λαμβανόμενον δέκατόν τινος διαστήματος, καὶ αὐτὸ δέκατον ἔχει, ἀεί τε ἡ χελώνη ἔσται προάγουσά τι τὸν Ἀχιλλέα. καὶ οὐδέποτε οὐδέτερον αὐτῶν τὸ στάδιον διέξεισιν. ὁ μὲν οὖν λόγος καὶ οὗτος τοιοῦτος. τὸν αὐτὸν δέ φησιν εἶναι τοῦτον τῷ πρὸ αὐτοῦ. διότι καὶ ἡ τούτου πιθανότης ἤρτηται ἐκ τῆς τοῦ μεγέθους ἐπ' ἄπειρον διαιρέσεως. διαφέρειν δὲ ἐκείνου δοκεῖ, τῷ μὴ κατὰ διχοτομίαν καὶ ἐς ἥμισυ διαιρεῖν ἀεί. ἀλλὰ κατ' ἄλλον τινὰ λόγον, καθ' ὃν ἡ τοῦ ταχίστου κίνησις ὑπερέχει τὴν τοῦ βραδυτάτου, εἴτε δεκαπλάσιος εἴτε ἄλλός τις ὁ λόγος εἴη. προστετραγῴδηται δὲ τούτῳ τῷ λόγῳ, τῷ ὅτι οὐδὲ τὸ τάχιστον καταλήψεται τὸ βραδύτατον διῶκον, καὶ ὁ Ἀχιλλεὺς καὶ ἡ χελώνη, ὡς ἐν τραγῳδίᾳ ἢ κωμῳδίᾳ παρεισαγόμενα πρόσωπα. ἡ δὲ λύσις καὶ ἐνταῦθα ἡ αὐτὴ ἀπὸ τοῦ διορισμοῦ τῆς ἐπ' ἄπειρον διαιρέσεως. οὐ γὰρ ἐνεργείᾳ τὰ ἄπειρα ἐπὶ τοῦ συνεχοῦς καὶ τῆς συνεχοῦς ἐπ' αὐτοῦ κινήσεως. οὐ γὰρ ἔτι συνεχῆ μένει διαιρούμενα. καθὸ γὰρ διαιρεῖται αὐτό τι ἵσταται καὶ οὐ τηρεῖ συνεχὲς τὸ μέγεθος. τὸ δὲ βραδύτερον ὅτε μὲν προέχει οὐ καταλαμβάνεται. καταλαμβάνεται δ' ὅμως. εἰ γὰρ δίδωσιν ὁ λόγος διεξιέναι τὴν πεπερασμένην, ὥσπερ τὸ ἡμιστάδιον καὶ τὸ δέκατον τοῦ ἡμισταδίου, δηλονότι καὶ ὅλον τὸ στάδιον διελεύσεται. καὶ θᾶττον τοῦ βραδυτέρου κινουμένου ἐν τῷ αὐτῷ χρόνῳ, ὅπερ τὸ βραδύτερον διεξῆλθεν, ἐπιλήψεται. καὶ οὕτω καταλήψεται αὐτό. ὃ γὰρ ἐν ταῖς δέκα ὥραις κινεῖται τὸ βραδύτερον, ἐν μιᾷ ὥρᾳ διελθὸν τὸ ταχύτερον, εἰς τὸ αὐτὸ καταντήσει τῷ βραδυτέρῳ. ἡ δὲ ἀπορία καὶ ἐνταῦθα

γέγονε παρὰ τὸ ἐνεργείᾳ τὰ ἄπειρα λαβεῖν. ὅπερ οὐκ ἔστιν ἀληθὲς καὶ μάλιστα συνεχῶν φυλαττομένων τοῦ τε μεγέθους καὶ τῆς κινήσεως. κἂν γὰρ ἀνάγκη κινεῖσθαί τι πρῶτον μέρος τοῦ κινουμένου καὶ οὕτω τὸ ὅλον, ἀλλ' οὐχ ὡρισμένον ἀνάγκη τοῦτο εἶναι. μᾶλλον δὲ ἀνάγκη μὴ εἶναι ὡρισμένον, ἵνα μὴ διαιρῆται τὸ συνεχές.

Τ ΡΙΤΟΣ δέ, ὁ νῦν ῥηθείς. ὅτι ἡ ὀϊστὸς φερομένη ἕστηκε. συμβαίνει δέ, παρὰ τὸ λαμβάνειν τὸν χρόνον συγκεῖσθαι ἐκ τῶν νῦν. μὴ διδομένου γὰρ τούτου, οὐκ ἔσται ὁ συλλογισμός.

Τ ρίτον εἶναί φησι τοῦ Ζήνωνος λόγον, ὃν πρὸ ὀλίγου διέλυσε, λέγοντα, ὅτι τὸ φερόμενον βέλος ἐν τῷ φέρεσθαι ἵσταται. εἴπερ ἀνάγκη πᾶν ἢ κινεῖσθαι ἢ ἠρεμεῖν, τὸ δὲ φερόμενον ἀεὶ κατὰ τὸ ἴσον ἑαυτῷ ἐστί. τὸ δὲ ἀεὶ κατὰ τὸ ἴσον ἑαυτῷ ὂν οὐ κινεῖται. ἠρεμεῖ ἄρα. ψεῦδος δὲ λαμβάνει ὁ λόγος οὗτος ὅτι ἀεὶ κατὰ τὸ ἴσον ἑαυτῷ ἐστι τὸ φερόμενον. δέδεικται γὰρ ὅτι ἐν τῷ νῦν μόνῳ κατὰ τὸ ἴσον ἑαυτῷ ἐστί. καὶ τοῦτο μὲν συγχωρεῖ. οὐκ ἐννοεῖ δὲ ὅτι ἐν τῷ νῦν οὐδὲν οὔτε ἠρεμεῖ οὔτε κινεῖται. ἐπειδὴ δὲ τὰ νῦν οὐκ ἐπιλείπει, διὰ τοῦτο νομίζει ἐν τῷ χρόνῳ τῆς φορᾶς ἑστάναι αὐτό, οὐδὲν ἐκ τούτου συλλογιζόμενος, εἴπερ μὴ ἔστιν ἀλλήλοις συνεχῆ τὰ νῦν, μὴ δὲ γίνεται ἐκ τῶν νῦν χρόνος.

Τ ΕΤΑΡΤΟΣ δὲ ὁ περὶ τῶν ἐν τῷ σταδίῳ κινουμένων ἐξ ἐναντίας ἴσων ὄγκων παρ' ἴσους. τῶν μὲν ἀπὸ τέλους τοῦ σταδίου. τῶν δ' ἀπὸ μέσου, ἴσῳ τῷ τάχει. ἐν ᾧ συμβαίνειν οἴεται ἴσον εἶναι χρόνον, τῷ διπλασίῳ τὸν ἥμισυν. ἔστι δ' ὁ παραλογισμὸς, ἐν τῷ τὸ μὲν, παρακινούμενον. τὸ δὲ, παρ' ἠρεμοῦν, τὸ ἴσον μέγεθος ἀξιοῦν τῷ ἴσῳ τάχει τὸν ἴσον φέρεσθαι χρόνον. τοῦτο δὲ ψεῦδος. οἷον, ἔστωσαν οἱ ἑστῶτες ἴσοι ὄγκοι, ἐφ' ὧν τὰ α α α α. οἱ δὲ ἐφ' ὧν τὰ β ἀρχόμενοι ἀπὸ τοῦ μέσου τῶν α ἴσοι τὸν ἀριθμὸν τούτοις ὄντες καὶ τὸ μέγεθος. οἱ δ' ἐφ' ὧν τὰ γ ἀπὸ τοῦ ἐσχάτου ἴσοι τὸν ἀριθμὸν τούτοις ὄντες καὶ τὸ μέγεθος καὶ ἰσοταχεῖς τοῖς β. συμβαίνει δὴ τὸ πρῶτον ϐ, ἅμα ἐπὶ τῷ ἐσχάτῳ εἶναι καὶ τὸ πρῶτον γ, παράλληλα κινουμένων. συμβαίνει δὴ τὰ γ, παρὰ πάντα τὰ α, διεξεληλυθέναι. τὰ δὲ β, παρὰ τὰ ἡμίση. ὥστε καὶ ἥμισυν εἶναι τὸν χρόνον. ἴσον γὰρ ἑκάτερόν ἐστι παρ' ἕκαστον. ἅμα δὲ συμβαίνει τὰ β παρὰ πάντα τὰ γ παρεληλυθέναι. ἅμα γὰρ ἔσται τὸ πρῶτον γ. καὶ τὸ πρῶτον ϐ, ἐπὶ τοῖς ἐναντίοις ἐσχάτοις. ἴσον χρόνον παρ' ἕκαστον γινόμενον τῶν β, ὅσον περὶ τῶν α. ὥς φησι διὰ τὸ ἀμφότερα ἴσον χρόνον παρὰ τὰ α γίνεσθαι. ὁ μὲν οὖν λόγος, οὗτός ἐστιν. συμβαίνει δὲ παρὰ τὸ εἰρημένον ψεῦδος.

Κ αὶ ὁ τέταρτος τῶν περὶ κινήσεως τοῦ Ζήνωνος λόγων, εἰς ἀδύνατον ἀπάγων καὶ οὗτος τὸ εἶναι κίνησιν, τοιοῦτός τις ἦν. εἰ ἔστιν κίνησις, τῶν ἴσων μεγεθῶν καὶ ἰσοταχῶν τὸ ἕτερον τοῦ ἑτέρου ἐν τῷ αὐτῷ χρόνῳ διπλασίαν κίνησιν κινήσεται, καὶ οὐκ ἴσην. καὶ ἔστι μὲν καὶ τοῦτο ἄτοπον. ἄτοπον δὲ καὶ τὸ τούτῳ ἑπόμενον, τὸ τὸν αὐτὸν καὶ ἴσον χρόνον ἅμα διπλάσιόν τε καὶ ἥμισυν εἶναι. δείκνυσι δὲ αὐτὸ ὁμολογούμενον λαβών, τὸ τὰ ἰσοταχῆ καὶ ἴσα ἐν τῷ ἴσῳ χρόνῳ ἴσον διάστημα κεκινῆσθαι. καὶ ἔτι μέντοι τῶν ἰσοταχῶν καὶ ἴσων, ἂν τὸ μὲν, ἥμισυ, τὸ δὲ, διπλάσιον εἴη κεκινημένον, ἐν ἡμίσει μὲν χρόνῳ τὸ ἥμισυ, ἐν διπλασίῳ δὲ τὸ διπλάσιον εἶναι κεκινημένον. τούτων προληφθέντων, στάδιον ὑποτίθεται, ἐφ' οὗ τὸ δε. καὶ τέσσαρα μεγέθη, ἢ ὁσαοῦν, ἄρτια μόνον, ὥστε ἔχειν ἡμίση, ἰσόογκα. ὡς δὲ ὁ Εὔδημός φησι, κύβους. ἐφ' ὧν τὰ α α α α. ὡς τὸ μέσον διάστημα ἐπέχειν τοῦ σταδίου ἑστῶτα ταῦτα. ὧν ἑστώτων, πρῶτον ὁρίζει τὸ πρὸς τῇ ἀρχῇ τοῦ σταδίου τῇ κατὰ τὸ δ. ἔσχατον δὲ τὸ πρὸς τῷ ε. καὶ λαμβάνει ἄλλους τέσσαρας ὄγκους ἢ κύβους, ἴσους τοῖς ἑστῶσι καὶ τὸ μέγεθος καὶ τὸν ἀριθμόν, ἐφ' ὧν τὰ β β β β, ἀρχομένους μὲν ἀπὸ τῆς ἀρχῆς τοῦ σταδίου, τελευτῶντας δὲ κατὰ τὸ μέσον τῶν τεσσάρων α α α α, κινουμένους δὲ τούτους ὡς ἐπὶ τὸ ἔσχατον τοῦ σταδίου τὸ ε. διὸ καὶ πρῶτον λέγει τὸν κατὰ τὸ μέσον τῶν α α α α, ὡς ἔμπροσθεν ὄντα τῶν λοιπῶν ἐν τῇ ἐπὶ τὸ ε κινήσει. διὰ τοῦτο δὲ ἀρτίους ἔλαβε τοὺς ὄγκους, ἵνα ἔχωσιν ἡμίση. δεῖται γὰρ τούτων ὡς μαθησόμεθα. διὸ καὶ τὸ πρῶτον ϐ κατὰ τοῦ μέσου τίθησι τῶν ἑστώτων. α α α α εἶτα καὶ ἄλλους ἴσους τῷ μεγέθει καὶ τῷ ἀριθμῷ, τοῖς β β β β δηλονότι καὶ τοῖς α α α α, λαμβάνει, ἐφ' ὧν τὰ γ γ γ γ, ἀντικειμένους τοῖς β β β β. τῶν γὰρ ϐ ϐ ϐ ϐ ἀπὸ τοῦ μέσου τοῦ σταδίου, ἐν ᾧ καὶ τῶν α α α α τὸ μέσον ἦν ἐπὶ τὸ ἔσχατον τοῦ σταδίου τὸ ε κινουμένων, οἱ γ γ γ γ ἀπὸ τοῦ ἐσχάτου μέρους, ἐν ᾧ τὸ ε, ἐπὶ τὸ δ κινοῦνται τὸ ἐν τῇ ἀρχῇ τοῦ σταδίου. καὶ πρῶτον δηλονότι τῶν τεσσάρων γ γ γ γ τὸ πρὸς τὸ δ νενευκός, ἐφ' ὃ ἡ κίνησις τοῖς γ γ γ γ. τίθησι δὲ τὸ πρῶτον γ κατὰ τοῦ πρώτου ϐ. τοιαύτης οὖν τῆς ἐξ ἀρχῆς θέσεως ὑποτεθείσης, ἐὰν τῶν α α α α ἑστώτων, τὰ μὲν β β β β κινεῖται, ὡς ἀπὸ τοῦ μέσου τῶν τε α α α α καὶ τοῦ σταδίου, ἐπὶ τὸ τέλος τοῦ σταδίου τὸ ε, τὰ δὲ γ γ γ γ ὡς ἀπὸ ἐσχάτου τοῦ σταδίου ἐπὶ τὴν ἀρχὴν δηλονότι, οὐ γὰρ δὴ ὡς ἀπὸ τοῦ ἐσχάτου ϐ, ὅπερ ὡς ἔοικεν ἔν τισιν ἀντιγράφοις εὑρὼν ὁ Ἀλέξανδρος, ἠναγκάσθη λέγειν, ὅτι ὃ πρότερον εἶπε πρῶτον ϐ, τοῦτο νῦν ἔσχατον ἐκάλεσε, συμβαίνει τὸ πρῶτον β ἅμα ἐπὶ τῷ ἐσχάτῳ ᾖ τῆς αὐτοῦ κινήσεως, καὶ τὸ πρῶτον γ, παράλληλα κινουμένων αὐτῶν, καὶ ἰσοταχῶς ἐπὶ τῷ ἐσχάτῳ ἀλλήλων. τοῦ γὰρ πρώτου γ κατὰ τοῦ πρώτου β ὄντος ἐξ ἀρχῆς, καὶ ἀντικινουμένων αὐτῶν ἰσοταχῶς, καὶ διε-

ξελθόντων ἄλληλα, τὸ μὲν πρῶτον ε ἐπὶ τῷ ἐσχάτῳ ἔσται γ. τὸ δὲ πρῶτον γ ἐπὶ τῷ ἐσχάτῳ ε. καὶ τοῦτ᾽ ἂν εἴη τὸ ἅμα τὸ πρῶτον β ἐπὶ τῷ ἐσχάτῳ εἶναι συμβαίνειν, καὶ τὸ πρῶτον γ, παρ᾽ ἄλληλα κινουμένων. ἡ γὰρ παράλληλα κίνησις, ποιεῖ τὸ ἐν τοῖς ἐσχάτοις ἀλλήλων γίνεσθαι. συμβαίνει δέ φησι καὶ τὸ γ τὸ πρῶτον δηλονότι παρὰ πάντα τὰ α διεληλυθέναι, τὸ δὲ β παρὰ τὰ ἡμίση α. καὶ ὅτι μὲν τὸ ε τὸ ἀπὸ τοῦ μέσου τῶν α ἀρχόμενον, διὰ τῶν δύο αα ἐκινήθη, ἢ διὰ τῶν ἡμίσεων, ὅπερ αὐτὴ αἰτία, ἐν ὅσῳ τὸ γ διὰ τῶν διπλασίων β δίεισι, δῆλον. τὸ γὰρ πρῶτον ε ἀπὸ τοῦ μέσου τῶν α τὴν ἀρχὴν ἐποιήσατο. καὶ ἐν ὅσῳ τὸ β παρὰ τὰ δύο αα τὰ ἔσχατα τὰ ἑστῶτα κινεῖται, τὸ γ τὸ πρῶτον ἀντικινούμενον τοῖς ε διὰ τῶν τεττάρων β β β β δίεισι. αἱ γὰρ δύο κινήσεις τῶν ἀντικινουμένων διπλάσιον ἀνύουσι διάστημα τῆς μιᾶς, ἣν κινεῖται τὸ β παρὰ τὰ ἱστάμενα α. καὶ ταῦτα μὲν δῆλον. πῶς δὲ παρὰ πάντα τὰ α τὸ γ διελήλυθεν. οὔτε γὰρ παρὰ ταῦτα ἐκινεῖτο, ἀλλὰ παρὰ τὰ ε, οὔτε ἀπ᾽ ἀρχῆς τῶν α ἐκινεῖτο, ἀλλ᾽ ἀπ᾽ ἀρχῆς τῶν β. ἤ τις ἦν κατὰ τὸ μέσον τῶν α. πῶς οὖν τὸ γ παρὰ πάντα τὰ α κεκίνηται. ἢ ὅτι καὶ τὰ β ἴσα ἦν τοῖς α. τὸ οὖν γ ἐν ὅσῳ χρόνῳ παρὰ τὰ β κεκίνηται, εἴη ἂν καὶ παρὰ τὰ α τὰ ἴσα τοῖς β κεκινημένον. καὶ ὁ παραλογισμὸς ἐνταῦθα ἐστὶν, ὅτι ἔλαβεν ἁπλῶς ἐν ἴσῳ χρόνῳ κινούμενον, τὸ παρὰ ἴσα κινούμενον, μὴ προσλογιζόμενος ὅτι τῶν ἴσων τὰ μὲν, ἀντικινούμενα ἦν, τὰ δὲ ἑστῶτα. λαβὼν δὲ ὅμως ὅτι ἐν ἴσῳ χρόνῳ τά τε β καὶ τὰ α δίεισι τὸ γ, ἐπειδὴ ἐν ὅσῳ χρόνῳ τὸ πρῶτον ε δίεισι τὰ δύο αα, ἐν τούτῳ τὸ γ τὰ τέσσαρα β ἤτοι τὰ τέσσαρα α, συνήγαγεν ὅτι τὸ β, καίτοι ἰσοταχὲς ὂν τῷ γ, ἐν τῷ αὐτῷ χρόνῳ τὸ ἥμισυ κινεῖται, οὗ τὸ γ κινεῖται. ὅπερ ἐστὶ παρὰ τὸ προωμολογημένον καὶ τὸ ἐναργές. τὰ γὰρ ἰσοταχῆ τὸ ἴσον κινεῖται ἐν τῷ ἴσῳ χρόνῳ. ἀλλ᾽ ὅταν ὁμοίως ἔχῃ, ὥστε ἢ ἄμφω παρὰ τὰ ἑστῶτα κινεῖσθαι, ἢ ἄμφω παρὰ τὰ κινούμενα. καὶ οὐχ ὅταν τὸ μὲν, παρὰ τὰ ἑστῶτα ὡς τὸ ε, τὸ δὲ, παρὰ τὰ ἀντικινούμενα ὡς τὸ γ. ἔτι δὲ καὶ ὁ χρόνος ἐν ᾧ κινεῖται τὸ β διὰ τῶν δύο αα, ἥμισυς ἐστὶ τοῦ χρόνου, ἐν ᾧ κινεῖται τὸ γ διὰ τῶν τεσσάρων α, εἴπερ ἴσα τὰ α τοῖς β, καὶ ἰσοταχῆ τό, τε ε καὶ τὸ γ. ἐδόκει δὲ καὶ ἴσος εἶναι ὁ χρόνος, ἤτοι ὁ αὐτὸς ἐν ᾧ τὸ ε ἐκινεῖτο διὰ τῶν δύο αα, καὶ ἐν ᾧ τὸ γ διὰ τῶν τεσσάρων β. συμβήσεται οὖν καὶ μέγεθος τὸ αὐτὸ εἶναι διπλάσιόν τε καὶ ἥμισυ. εἴπερ ἐν τῷ αὐτῷ χρόνῳ τῶν ἰσοταχῶν τὸ μὲν β τὰ δύο α διήει, τὸ δὲ γ τὰ τέσσαρα β, ἴσων ὄντων τῶν ε τοῖς α. καὶ χρόνον τὸν αὐτὸν διπλάσιόν τε καὶ ἥμισυν. εἴπερ καὶ ἥμισυς ἦν χρόνος, ἐν ᾧ τὸ β διὰ τῶν δύο αα διήει, τοῦ χρόνου ἐν ᾧ τὸ γ διὰ τῶν τεσσάρων β, καὶ ὁ αὐτός. τὸ δὲ ἴσον γὰρ ἑκάτερον ἐστὶ παρ᾽ ἕκαστον, δηλοῖ ὅτι καὶ τὸ β καὶ τὸ γ ἰσοταχῆ ὄντα, ἴσον χρόνον ποιεῖ παρ᾽ ἕκαστον, δι᾽ ὧν κινεῖται τῶν τε β καὶ τῶν α. εἰ δὲ ἴσον, δηλονότι διπλάσιός ἐστιν ὁ χρόνος, ἐν ᾧ τὸ γ τὰ τέσσαρα β δίεισιν. ἥμισυς δὲ ἐν ᾧ τὸ ε τὰ δύο αα. ἢ μᾶλλον ἐν ᾧ τὸ γ τὰ τέσσαρα α δίεισι, τοῦ ἐν ᾧ τὸ ε τὸ ἰσοταχὲς αὐτῷ τὰ δύο α. εἴρηται γὰρ ὅτι ἐν ᾧ τὰ τέσσαρα β δίεισι τὸ γ, ἐν τούτῳ καὶ τὰ α. εἰπὼν δὲ ὅτι συμβαίνει τὸ γ παρὰ πάντα τὰ α διεληλυθέναι, διότι παρὰ πάντα τὰ β διέρχεται, μεταξὺ θεὶς τὰ ἑπόμενα ἄτοπα, τό, τε ἥμισυ διάστημα τῷ διπλασίῳ διαστήματι ταὐτὸν εἶναι, καὶ τὸν ἥμισυν χρόνον τῷ διπλασίῳ χρόνῳ, ἐπήγαγεν ὅτι ἅμα συμβαίνει καὶ τὰ ε παρὰ πάντα τὰ γ παρεληλυθέναι, ὥσπερ τὰ γ παρὰ τὰ ε. ἅμα γὰρ ἔσται τὸ πρῶτον γ καὶ πρῶτον β, ἐπὶ τοῖς ἐναντίοις ἐσχάτοις, τὸ μὲν γ ἐπὶ τῇ ἀρχῇ τοῦ σταδίου, τὸ δὲ β ἐπὶ τῷ τέλει. ἅπερ ἄμφω ἔσχατά ἐστιν. ἀντικινούμενα γὰρ ἰσοταχῶς καὶ ἴσα ὄντα, καὶ ἀπ᾽ ἀρχῆς ἀρξάμενα ἀλλήλων, τὰ πέρατα ἅμα ἀλλήλων καταλαμβάνει, ἴσον χρόνον παρ᾽ ἕκαστον γινόμενον τῶν β τὸ γ, ὅσον παρ᾽ ἕκαστον τῶν α, κἂν μὴ κινῆται τὸ γ παρὰ τὰ α. διὰ τὸ ἀμφότερα τά τε γ καὶ τὰ β ἴσα ὄντα καὶ ἰσοταχῆ, ἴσον χρόνον παρὰ τὰ α γίνεσθαι. διὰ δὲ τούτου ἅμα μὲν ἐνεδείξατο, διατί ἔλαβε τὰ γ παρὰ τὰ α κεκινῆσθαι, καίτοι μὴ κεκινημένα. ὅτι διὰ τὴν πρὸς τὰ ε ἰσότητα καὶ ἰσοτάχειαν. ἅμα δὲ, καὶ ὅτι παρὰ ταῦτα γέγονεν ὁ παραλογισμὸς ἐνεδείξατο, διὰ τοῦ προσθεῖναι ὥς φησιν. οὐ γὰρ ἴσον χρόνον τὸ γ παρ᾽ ἕκαστον γίνεται τῶν ἀντικινουμένων καὶ τῶν α τῶν ἑστώτων. δύναται δέ φησιν ὁ Ἀλέξανδρος, τὸ συμβαίνει δὲ τὸ γ παρὰ πάντα τὰ α διεληλυθέναι, ἑξῆς εἶναι τὸ ἴσον χρόνον παρ᾽ ἕκαστον γινόμενον τὸ ε, ὅσονπερ τῶν α. εἶτα ἐφεξῆς τὸ δὲ β παρὰ τὰ ἡμίση, ἕως τοῦ ἅμα γὰρ ἔσται τὸ πρῶτον γ καὶ τὸ πρῶτον β ἐπὶ τοῖς ἐναντίοις ἐσχάτοις. ἐφεξῆς δὲ τούτοις τὸ διὰ τὸ ἀμφότερα ἴσον χρόνον κατὰ τὸ α γίνεσθαι. ὁ μὲν οὖν λόγος τοιοῦτός ἐστιν, εὐηθέστατος ὢν ὥς φησιν Εὔδημος, διὰ τὸ προφανῆ τὸν παραλογισμὸν ἔχειν. εἴπερ ἀξιοῖ τὰ ἴσα καὶ ἰσοταχῆ, ἐὰν τὸ μὲν παρὰ κινούμενον κινῆται, τὸ δὲ παρὰ τὸ ἠρεμοῦν, τὸ ἴσον διάστημα ἐν τῷ ἴσῳ χρόνῳ κινεῖσθαι. ὅπερ ἐστὶν ἐναργῶς ἄτοπον. τὰ γὰρ ἀντικινούμενα ἀλλήλοις ἰσοταχῆ, διπλασίαν ἀφίσταται διάστασιν ἐν τῷ αὐτῷ χρόνῳ. ἐν ᾧ τὸ παρ᾽ ἠρεμοῦν κινούμενον, τὸ ἥμισυ διΐσταται, κἂν ἰσοταχὲς ἐκείνοις ᾖ.

ΟΥ̓ ΔῈ ΔῊ κατὰ τὴν ἐν τῇ ἀντιφάσει μεταβολὴν οὐδὲν ἡμῖν ἔσται ἀδύνατον. οἷον εἰ ἐκ τοῦ μὴ λευκοῦ εἰς τὸ λευκὸν μεταβάλλει. καὶ ἐν μηδετέρῳ ἐστίν. ὡς ἄρα οὔτε λευκὸν ἔσται, οὔτε οὐ λευκόν. οὐ γὰρ εἰ μὴ ὅλον ἐν ὁποτερῳοῦν ἐστιν οὐ λεχθήσεται λευκὸν, ἢ οὐ λευκόν. λευκὸν γὰρ λέγομεν ἢ οὐ λευ-

κὸν, οὐ τῷ ὅλον εἶναι τοιοῦτον. ἀλλὰ τῷ τὰ πλεῖστα ἢ τὰ κυριώτατα μέρη. οὐ ταυτὸν δὲ ἐστὶ μὴ εἶναί τε ἐν τούτῳ, καὶ μὴ εἶναι ἐν τούτῳ ὅλον. ὁμοίως δὲ καὶ ἐπὶ τοῦ ὄντος καὶ ἐπὶ τοῦ μὴ ὄντος, καὶ τῶν ἄλλων τῶν κατ᾽ ἀντίφασιν ἔσται. μὴ γὰρ ἐξ ἀνάγκης ἐν θατέρῳ τῶν ἀντικειμένων. ἐν οὐδετέρῳ δ᾽ ὅλον ἀεί.

Δ ιαλύσης τοὺς τοῦ Ζήνωνος λόγους τοὺς ἀναιρεῖν δοκοῦντας τὴν κίνησιν, παράγει καὶ ἄλλους λόγους εἰς τὸ αὐτὸ ἀπορουμένους σοφιστικῶς. ἵνα καὶ αὐτῶν διαλύσῃ τοὺς σοφισμούς. ὧν ὁ πρῶτος ὁ ἐκ τῆς κατὰ ἀντίφασιν μεταβολῆς ἐπιχειρῶν τὴν κίνησιν ἀναιρεῖν, ἐστὶ τοιοῦτος. ἐπειδὴ κινεῖται τὸ κινούμενον ἔκ τινος εἴς τι μεταβάλλον, ἐν μηδετέρῳ δέ ἐστιν ὅτε κινεῖται, οὔτε ἐν τῷ ἐξ οὗ, οὐκέτι γὰρ κινεῖται τότε, οὔτε ἐν τῷ εἰς ὅ, οὔπω γὰρ κινεῖται τότε, ὡς καὶ αὐτὸς Ἀριστοτέλης ἐν τούτῳ τῷ βιβλίῳ διδάσκει, ἔστι δὲ καὶ κατὰ ἀντίφασιν μεταβολή, τὸ μεταβάλλον κατὰ ἀντίφασιν ἐν οὐδετέρῳ μορίῳ ἔσται τῆς ἀντιφάσεως. ἀλλ᾽ ἐν τῷ μεταξύ, ὅπερ ἄτοπον. οὐκ ἔστι γὰρ μεταξύ τι τῆς ἀντιφάσεως. ἢ εἰ μὴ τότε, οὐκ ἀληθὲς ὅτι τὸ μεταβάλλον, οὔτε ἐν τῷ ἐξ οὗ μεταβάλλει ἐστίν, οὔτε ἐν τῷ εἰς ὃ μεταβάλλει, ἐν ᾧ μεταβάλλει χρόνῳ. καὶ γὰρ ἡ κατὰ ἀντίφασιν μεταβολὴ τὸ μὲν ἐξ οὗ ἔχει, τὸ δὲ εἰς ὅ. ἐκ τε λευκοῦ εἰς μὴ λευκόν, καὶ ἐκ μὴ λευκοῦ εἰς λευκὸν μεταβάλλει, καὶ ἐξ ὄντος εἰς μὴ ὄν, καὶ ἐκ μὴ ὄντος εἰς ὄν. εἰ οὖν μεταβολῆς οὔσης ἀνάγκη ἐν μηδετέρῳ τῆς ἀντιφάσεως εἶναι τὸ μεταβάλλον, τοῦτο δὲ ἀδύνατον, διότι οὐδὲν ἐκφεύγει τὴν ἀντίθεσιν τῆς ἀντιφάσεως, οὐκ ἂν εἴη μεταβολή. τοῦτον δὴ λύων τὸν λόγον, φησὶν ὅτι ὅλον μὲν τὸ μεταβάλλον κατὰ ἀντίφασιν, ἐν οὐδετέρῳ μορίῳ τῆς ἀντιφάσεως ἐστί, μέρος δέ τι ἐν ἑκατέρῳ. καὶ δέδεικται τοῦτο πρότερον. ὅτε ἔλεγεν ὅτι τοῦ μεταβάλλοντος ἀνάγκη, τὸ μέν, ἐν τῷ ἐξ οὗ. τὸ δέ τι ἐν τῷ εἰς ὅ. εἰ δὲ τοῦτο, οὔτε ἐν τῷ μέρει τῷ ἑτέρῳ τῆς ἀντιφάσεως ἔσται ὅλον τὸ μεταβάλλον, οὔτε τῆς ἀντιφάσεώς τι μεταξὺ ἔσται, ἐν ᾧ αὐτὸ δεήσει εἶναι. ἀλλ᾽ ἔστιν ἐν ἀμφοτέροις. τί οὖν ῥηθήσεται λευκὸν ἢ οὐ λευκόν. ἀνάγκη γὰρ τὸ ἕτερον διὰ τὸ τῆς ἀντιφάσεως ἀξίωμα. εἴτε δὲ λευκόν, εἴτε οὐ λευκόν, οὐκ ἐν ἀμφοτέροις. ταύτην δὲ λύων τὴν ἔνστασίν φησιν, ὅτι οὐκ ἀνάγκη ὅλον ἐν ὁποτέρῳ εἶναι, ὥστε λευκὸν ἢ οὐ λευκὸν λέγεσθαι. καὶ γὰρ λευκὸν λέγεται, οὐ μόνον τὸ τοιοῦτον ὅλον ὄν. ἀλλὰ καὶ τὸ τὰ πλεῖστα ἢ καὶ κυριώτερα μέρη τοιαῦτα ἔχον. ὁμοίως δὲ καὶ οὐ λευκόν, τὸ τὰ πλεῖστα ἢ καὶ κυριώτερα μὴ ἔχον λευκά. ὥστε ἐν ᾧ τὸ πλέον ἢ τὸ κυριώτερον, ἐκ τούτου ῥηθήσεται. ὅλον δὲ ἐν οὐδετέρῳ ἐν ᾧ τὸ μεταβάλλειν ἔσται. πῶς οὖν τὸ αὐτὸ λευκὸν καὶ οὐ λευκόν. ἢ πρῶτον μὲν καὶ οὗτος ὁ διορισμὸς ἐπὶ τῇ βεβαιότητι τῆς ἀντιφάσεως παρηγγέλλετο, τὸ μὴ κατ᾽ ἄλλο καὶ ἄλλο. ἔπειτα τὸ μὲν ἁπλῶς μὴ εἶναι ἐν λευκῷ, οὐ δύναται τῷ ἐν λευκῷ εἶναι συναληθεύειν. τὸ δὲ μὴ εἶναι ὅλον ἐν λευκῷ, δύναται τῷ κατὰ μέρος λευκῷ συναληθεύειν. καὶ λέγεται λευκὸν ὃ μὴ ὅλον ἐστὶ λευκόν. ἐπειδὴ μὴ ταυτόν ἐστι τὸ οὐ λευκὸν ἁπλῶς, καὶ τὸ οὐχ ὅλον λευκόν. λαβὼν δὲ ἐπὶ τοῦ λευκοῦ καὶ μὴ λευκοῦ τὴν κατ᾽ ἀντίφασιν μεταβολήν, καὶ ἐπὶ ταύτης λύσας τὴν ἀπορίαν διὰ τῆς τοῦ ὅλου προσθήκης, οὐ γὰρ ἀληθὲς τὸ μὴ ἐν μηδετέρῳ ἁπλῶς εἶναι τῆς ἀντιφάσεως τὸ μεταβάλλον, ὡς ὁ ἀπορῶν ἠξίου, ἀλλὰ ἀληθὲς τὸ μὴ ὅλον εἶναι, οὐ ταυτὸν δὲ τὸ μὴ ὅλον εἶναι, καὶ τὸ μὴ εἶναι, λύσας οὖν οὕτως ἐπὶ τοῦ λευκοῦ καὶ οὐ λευκοῦ, ἐπήγαγεν ὅτι ὁμοίως ἔχει καὶ ἐπὶ τοῦ ὄντος καὶ μὴ ὄντος. ἐφ᾽ ὧν κυριώτερόν ἐστιν ἰδεῖν τὴν κατὰ ἀντίφασιν μεταβολὴν μόνην οὖσαν. τὸ μὲν γὰρ λευκὸν καὶ εἰς τὸ ἐναντίον κυρίως μεταβάλλει τὸ μέλαν, καὶ εἰς τὸ μεταξύ. τὸ δὲ ὂν εἰς τὸ μὴ ὂν μόνον, καὶ τὸ μὴ ὂν εἰς τὸ ὄν. προσθεὶς οὖν καὶ τὸ ὂν καὶ τὸ μὴ ὄν, κοινῶς ἐπήγαγεν ὅτι κατὰ πᾶσαν ἀντίφασιν οὕτω λυτέον τὴν ἀπορίαν. ἔσται μὲν γὰρ κατὰ τὸ μεταβάλλον ὥσπερ καὶ τὰ ἄλλα πάντα ἐξ ἀνάγκης ἐν θατέρῳ μέρει τῆς ἀντιφάσεως. ἀλλ᾽ οὐκ ἀεὶ ὅλον. ἐν γὰρ τῷ μεταβάλλειν οὐχ ὅλον. διὸ ἁπλῶς μὲν λεγομένης τῆς ἀντιφάσεως, αὕτη τῆς ἀπορίας ἡ λύσις, διορίζουσα τοῦ μὴ εἶναι τὸ μὴ ὅλον εἶναι. εἰ δὲ μετὰ τῆς τοῦ ὅλου προσθήκης λέγοιτο ἡ πρότασις, λευκόν ἐστιν ὅλον, ἀληθὴς ἐπὶ τούτων ἡ ἔχουσα τὸ οὐχ ὅλον ἀπόφασις. ἀλλ᾽ ὅτι μὲν καὶ τὸ γινόμενον καὶ φθειρόμενον ἔστιν εἰπεῖν πῶς μὲν ὄν, πῶς δὲ μὴ ὄν, κατὰ τὸν συνεθισμὸν τὸν πρός τε ὂν καὶ τὸ μὴ ὄν, δῆλον. τίνα δὲ ἄλλα ἐστὶ κατὰ ἀντίφασιν. ἢ πάντα τὰ ὄντα, ὅταν καταφάσει καὶ ἀποφάσει τῇ ἀντιφατικῶς ἀντικειμένῃ διαιρῆται.

ΠΑΛΙΝ ἐπὶ τοῦ κύκλου καὶ ἐπὶ τῆς σφαίρας καὶ ὅλως τῶν ἐν αὐτοῖς κινουμένων ὅτι συμβήσεται αὐτὰ ἠρεμεῖν. ἐν γὰρ τῷ αὐτῷ τόπῳ, χρόνον τινὰ ἔσται καὶ αὐτὰ καὶ τὰ μέρη. ὥστε ἠρεμήσει ἅμα καὶ κινήσεται. πρῶτον μὲν γάρ, τὰ μέρη οὐκ ἔστιν ἐν τῷ αὐτῷ οὐδένα χρόνον. εἶτα καὶ τὸ ὅλον μεταβάλλει αἰεὶ εἰς ἕτερον. οὐ γὰρ ἡ αὐτή ἐστιν ἡ ἀπὸ τοῦ α λαμβανομένη περιφέρεια καὶ ἡ ἀπὸ τοῦ β καὶ ἡ ἀπὸ τοῦ γ καὶ τῶν ἄλλων ἑκάστου σημείων. πλὴν ὡς ὁ μουσικὸς ἄνθρωπος, καὶ ἄνθρωπος ὅτι συμβέβηκεν. ὥστε μεταβάλλει αἰεὶ ἡ ἑτέρα εἰς τὴν ἑτέραν. καὶ οὐδέποτε ἠρεμήσει. τὸν αὐτὸν δὲ τρόπον καὶ ἐπὶ τῆς σφαίρας καὶ τῶν ἐν αὐτοῖς κινουμένων.

Ὅτι μὲν ἔτι πρὸς λόγον ἐνίσταταί τινα τῶν ἀναιρούντων τὴν κίνησιν, δῆλον ἐκ τοῦ καὶ τὸ πρὸ τούτου ἐπιχείρημα, ὡς ἀκόλουθον τοῖς πρὸς τὸν Ζήνωνα εἰρημένοις οὕτως ἄρξασθαι, οὐ δὲ δὴ κατὰ τὴν ἐν ἀντιφάσει μεταβολήν, οὐδὲν ἧσσον ἔτι ἔσται ἀδύνατον πρὸς τὴν κίνησιν. δῆλον οὖν ὅτι καὶ νῦν ὡς περὶ αὐτοῦ λέγων, πάλιν φησὶν ἐπὶ τοῦ κύκλου καὶ τῆς σφαίρας καὶ τῶν ἐν αὐτοῖς κινουμένων, ὅτι συμβή-

σεται αὐτὰ ἠρεμεῖν ὡς οἴονται οἱ σοφιζόμενοι, οὐδὲ τοῦτο ἀδύνατόν τι τῷ ἐπάγει εἶναι κίνησιν. καὶ
ὁ ἀσπάσιος δὲ τοῦτον ἔχει τὸν σκοπὸν καὶ τοῦτόν φησιν τὸν λόγον. καὶ πρὸ αὐτοῦ ὁ εὔδημος. ὁ μέντοι ἀλέ-
ξανδρος νομίζει τὸ νῦν λεγόμενον, πρὸς τοὺς ἀναιροῦντας τὸν ἀποτεθέντα ὑπ' αὐτοῦ ὁρισμὸν τῆς
ἠρεμίας λέγεσθαι. ἐπειδὴ γὰρ ἠρεμεῖν εἶπε τὸ ἐν ταὐτῷ χρόνον τινὰ ὄν, καὶ αὐτὸ καὶ τὰ μέρη, δείκνυσιν
ὅτι οὐδὲ τοῦτο ἀναιρεῖται διὰ τῶν ἐν τῷ αὐτῷ τόπῳ κινουμένων, ὡς οἴονταί τινες. τοιαῦτα δέ ἐστι
τὰ περιφερόμενα. ἃ δοκεῖ ἐν τῷ αὐτῷ εἶναι χρόνον τινὰ καὶ αὐτὰ καὶ τὰ μέρη καίτοι κινούμενα. δείκνυ-
σιν οὖν φησιν ὅτι οὐχ ὑποπίπτει ταῦτα τῷ τῆς ἠρεμίας ὁρισμῷ. καὶ ὅτι μὲν τοῦτο δείκνυσι, δῆλον.
δείκνυσι δὲ αὐτὸ, οὐ τὸν τῆς ἠρεμίας ὁρισμὸν βεβαιούμενος, ἀλλὰ τὸ μὴ δὲ ἐκ ταύτης τῆς ἀπορίας
ἀναιρεῖσθαι τὴν κίνησιν. ἐῴκει δὲ τοιαύτη τις εἶναι ἡ ἀπορία. εἰ τὰ δοκοῦντα τὴν πρώτην καὶ κυριωτά-
την κίνησιν κινεῖσθαι τὴν κυκλικὴν, ταῦτα φαίνεται μὴ κινούμενα ἀλλ' ἠρεμοῦντα, οὐκ ἂν εἴη κί-
νησις. τοῦ δὲ συνημμένου εὐπαραδέκτου ὄντος, τίς γὰρ οὐχ ὁμολογεῖ, ὅτι εἰ ἡ πρώτη καὶ κυριωτάτη τῶν
κινήσεων μὴ ἔστι κίνησις ἀλλ' ἠρεμία, οὐκ ἂν εἴη κίνησις, τὴν πρόσληψιν ἐδόκουν ἀποδεικνύναι, ὁμο-
λογούμενον μὲν ἐκ τῶν δεδειγμένων λαμβάνοντες, τὸ τὰ ἐν τῷ αὐτῷ τόπῳ χρόνον τινὰ ὄντα καὶ αὐτὰ
καὶ τὰ μέρη ἠρεμεῖν, προσλαμβάνοντες δὲ τὸ τὰ κυκλικῶς καὶ σφαιρικῶς κινούμενα ἐν τῷ αὐτῷ τόπῳ
χρόνον τινὰ εἶναι καὶ αὐτὰ καὶ τὰ μέρη, καὶ διὰ τούτων συνάγοντες ὅτι τὰ κυκλικῶς καὶ σφαιρικῶς
κινεῖσθαι δοκοῦντα ἠρεμεῖ. λύει δὲ καὶ τοῦτον τὸν λόγον, δεικνὺς ὅτι τὰ οὕτω κινούμενα, οὔτε αὐτὰ
οὔτε τὰ μέρη αὐτῶν ἐν τῷ αὐτῷ τόπῳ ἐστὶν οὐδένα χρόνον. καὶ πρῶτον ὅτι τὰ μέρη οὐκ ἔστιν ἐν τῷ αὐτῷ
οὐδένα χρόνον φησίν. ἕκαστον γὰρ τῶν μορίων ἄλλοτε ἐν ἄλλῳ καὶ κατ' ἄλλο γίνεται τοῦ περιέχοντος. εἰ
γὰρ μὴ τὴν αὐτὴν ἀεὶ θέσιν διαφυλάττοι τὰ μέρη, δηλονότι ἄλλοτε ἐν ἄλλῳ τόπῳ ἕκαστόν ἐστιν. ἠρε-
μοῦν δὲ ἦν τὸ ὁμοίως ἔχον αὐτό τε καὶ τὰ μέρη χρόνον τινά. ἀλλ' οὐδὲ τὸ ὅλον ἐν τῷ αὐτῷ μένει. εἰ γοῦν
τὰ μόρια πάντα, καὶ τὸ ὅλον κινεῖται κατὰ τὰ μόρια. αὐτὸς δὲ περιγεγονότως μᾶλλον οὐκ ἀπὸ τῶν
μερῶν δείκνυσι τὸ ὅλον κινούμενον, ἀλλὰ καθ' ὅλον ἑαυτό. καὶ τὸ ὅλον γάρ φησι μεταβάλλει ἀεὶ, εἰς
ἕτερον δηλονότι τόπον. ὅπερ δοκεῖ θαυμαστόν. εἰ γὰρ ἄλλη ἐστὶ περιφέρεια, ἡ ἀπὸ τοῦ α λαμβανομένη
μέχρι τοῦ α, καὶ ἄλλη ἡ ἀπὸ τοῦ β μέχρι τοῦ β, καὶ καθ' ἕκαστον σημεῖον οὕτω, καὶ ἡ τοπικὴ περι-
φέρεια ὁμοίως εἰς τὰς ἀναλόγους ταύταις διῄρηται. καὶ ἔστιν ἑκάστη περιφέρεια ὅλη ἄλλη καὶ τοῦ
ἐν τόπῳ καὶ τοῦ τόπου. ἐπεὶ δὲ καὶ κινεῖται τὰ σημεῖα, τὸ ὅλον μεταβάλλει ἀεὶ εἰς ἕτερον καὶ ἕτερον
ὅλου τόπον. εἴπερ μὴ ἔστιν ἡ αὐτὴ ἡ ἀπὸ τοῦ α ἐπὶ τὸ α περιφέρεια, τῇ ἀπὸ τοῦ β ἐπὶ τὸ β, μήτε ἐν τῷ
τόπῳ μήτε ἐν τῷ ἐν τόπῳ, πλὴν εἰ μὴ κατὰ συμβεβηκός. ὅτι πᾶσαι τῆς αὐτῆς εἰσὶ περιφερείας.
ὡς ὁ μουσικὸς ἄνθρωπος, ὅτι συμβέβηκε τῷ ἀριστοξένῳ καὶ μουσικῷ εἶναι ἀνθρώπῳ ὄντι. ὥστε μετα-
βάλλοι ἂν ἀεὶ ἡ ἑτέρα εἰς τὴν ἑτέραν. τὰς γὰρ ἀλλήλων θέσεις μεταλαμβάνουσιν. ὅπου γὰρ νῦν ἦν
ἡ ἀπὸ τοῦ α ἐπὶ τὸ α περιφέρεια, ἐκεῖ μετ' ὀλίγον ἔσται ἡ ἀπὸ τοῦ β ἐπὶ τὸ β. μεταβάλλοντα δὲ, οὐκ
ἔσται ἐν τῷ αὐτῷ χρόνον τινὰ τὰ μέρη, οὐδὲ τὸ ὅλον. οὐδὲ ἠρεμήσει ἄρα. δείξας δὲ ἐπὶ τοῦ κύκλου
τὸ μήτε τὸ ὅλον μήτε τὰ μέρη ἠρεμεῖν, μὴ δὲ γὰρ ἐν τῷ αὐτῷ μένειν, τὸν αὐτὸν λόγον φησὶν ἔσεσθαι καὶ
ἐπὶ τῆς σφαίρας, καὶ ἐπὶ τῶν ἄλλων τῶν ἐν αὑτοῖς κινουμένων, καὶ μὴ ἐξισταμένων τοῦ ἑαυτῶν τόπου.
οἷοι καὶ οἱ στρόμβοι εἰσὶ, καὶ εἴ τι ἄλλο περιδινεῖται. ἰστέον δὲ ὅτι τοῦ ἀριστοτέλους εἰπόντος μὴ τὴν αὐτὴν
εἶναι περιφέρειαν πρῶτον, τὴν ἀπὸ τοῦ α λαμβανομένην, τῇ ἀπὸ τοῦ β, ὁ φιλαλήθης εὔδημος πότε-
ρόν φησιν τὴν αὐτὴν φατέον εἶναι περιφέρειαν τὴν ὅλην ὁποθενοῦν ἀρξαμένην, ἢ ἑτέραν ἔχει ζήτησιν.

ἈΠΟΔΕΔΕΙΓΜΕΝΩΝ δὲ τούτων λέγομεν. ὅτι τὸ ἀμερὲς, οὐκ ἐνδέχεται κινεῖσθαι, πλὴν κατὰ
συμβεβηκός. οἷον κινουμένου τοῦ σώματος, ἢ τοῦ μεγέθους τοῦ ἐν ᾧ ὑπάρχει καθάπερ ἂν εἰ τὸ ἐν τῷ
πλοίῳ κινοῖτο ὑπὸ τῆς τοῦ πλοίου φορᾶς, ἢ τὸ μέρος τῇ τοῦ ὅλου κινήσει. ἀμερὲς δὲ λέγω, τὸ κατὰ
ποσὸν ἀδιαίρετον. καὶ γὰρ αἱ τῶν μερῶν κινήσεις ἕτεραί εἰσι κατ' αὐτά τε τὰ μέρη καὶ κατὰ τὴν τοῦ ὅ-
λου κίνησιν. ἴδοι δ' ἄν τις, καὶ ἐπὶ τῆς σφαίρας μάλιστα τὴν διαφοράν. οὐ γὰρ τὸ αὐτὸ τάχος ἔσται τῶν
τε πρὸς τῷ κέντρῳ καὶ τῶν ἐκτός. καὶ τῆς ὅλης. ὡς οὐ μιᾶς οὔσης κινήσεως. καθάπερ οὖν εἴπομεν, οὕτω
μὲν ἐνδέχεται κινεῖσθαι τὸ ἀμερές. ὡς ὁ ἐν τῷ πλοίῳ καθήμενος τοῦ πλοίου θέοντος. καθ' αὑτὸ δ' οὐκ
ἐνδέχεται. μεταβαλλέτω γὰρ ἐκ τοῦ αβ, εἰς τὸ βγ. εἴτ' ἐκ μεγέθους εἰς μέγεθος, εἴτ' ἐξ εἴδους εἰς
εἶδος. εἴτε κατ' ἀντίφασιν. ὁ δὲ χρόνος ἔστω ἐν ᾧ πρώτῳ μεταβάλλει, ἐφ' οὗ δ. οὐκοῦν ἀνάγκη αὐτὸ
καθ' ὃν μεταβάλλει χρόνον, ἢ ἐν τῷ αβ εἶναι. ἢ ἐν τῷ βγ. ἢ τὸ μέν τι αὐτοῦ, ἐν τούτῳ. τὸ δέ τι ἐν θα-
τέρῳ. πᾶν γὰρ τὸ μεταβάλλον οὕτως εἶχεν. ἐν ἑκατέρῳ μὲν οὖν, οὐκ ἔσται τι αὐτοῦ. μεριστὸν γὰρ ἂν
εἴη. ἀλλὰ μὴν οὐδ' ἐν τῷ βγ. μεταβεβληκὸς γὰρ ἔσται. ὑπόκειται δὲ μεταβάλλειν. λείπεται δὴ αὐτὸ
ἐν τῷ αβ εἶναι, καθ' ὃν μεταβάλλει χρόνον. ἠρεμήσει ἄρα. τὸ γὰρ ἐν τῷ αὐτῷ εἶναι χρόνον τινὰ, ἠρεμεῖν
ἦν. ὥστ' οὐκ ἐνδέχεται τὸ ἀμερὲς κινεῖσθαι, οὐδ' ὅλως μεταβάλλειν. μοναχῶς γὰρ ἂν οὕτως ἦν αὐτοῦ
κίνησις εἰ ὁ χρόνος ἦν ἐκ τῶν νῦν. ἀεὶ γοῦν ἐν τῷ νῦν κεκινημένον ἂν ἦν, καὶ μεταβεβληκός. ὥστε κινεῖ-
σθαι μὲν, μηδέποτε. κεκινῆσθαι δ' ἀεί. τοῦτο δ' ὅτι ἀδύνατον, δέδεικται καὶ πρότερον. οὔτε γὰρ ὁ χρόνος
ἐκ τῶν νῦν, οὔθ' ἡ γραμμὴ ἐκ στιγμῶν. οὔθ' ἡ κίνησις ἐκ κινημάτων. οὐθὲν γὰρ ἄλλο ποιεῖ ὁ τοῦτο λέγων,
ἢ τὴν κίνησιν ἐξ ἀμερῶν. καθάπερ ἂν εἰ τὸν χρόνον ἐκ τῶν νῦν, ἢ τὸ μέγεθος ἐκ στιγμῶν.

Δ εἴξας πρότερον ὅτι οὔτε κινεῖταί τι ἐν ἀμερεῖ οὔτε ἠρεμεῖ, ἀλλὰ μὴν κινεῖσθαι μὲν, ἀληθὲς ἦν εἰπεῖν ἐν ἀμερεῖ, οὔτε μέντοι ἠρεμεῖν, καὶ διαπορῶν μνημονεύσας τοῦ Ζήνωνος λόγου ὡς παραλογιζομένου, ὅταν ἀξιοῖ πᾶν ἢ ἠρεμεῖν ἢ κινεῖσθαι, ὅταν ᾖ κατὰ τὸ ἴσον, καὶ διαλύσας ἐκ τούτου τὸν ἀναιρεῖν πειρώμενον λόγον τὴν κίνησιν, εἶτα καὶ τοὺς ἄλλους τοῦ Ζήνωνος λόγους παραγαγών, τοὺς ἀναιρεῖν σοφιστικῶς καὶ αὐτοὺς πειρωμένους τὴν κίνησιν, καὶ διαλύσας αὐτούς, καὶ μνημονεύσας δυοῖν ἄλλων λόγων τὸν αὐτὸν ἐχόντων σκοπόν, καὶ διαλύσας καὶ ἐκείνους, ἀποδεδειγμένων φησὶ τῶν τε περὶ κινήσεως προσεχῶς ῥηθέντων, καὶ τῶν πρότερον, περὶ τοῦ μήτε κινεῖσθαί τι ἐν ἀμερεῖ μήτε ἠρεμεῖν, λέγομεν ἐφεξῆς ἐκείνοις, ὅτι τὸ ἀμερὲς οὐκ ἐνδέχεται κινεῖσθαι, πλὴν κατὰ συμβεβηκός, τῷ εἶναι ἐν τῷ κινουμένῳ σώματι ἢ μεγέθει. πῶς δὲ λέγεται, ἐδήλωσεν ἤδη τοῦ κατὰ τὸ πλοῖον παραδείγματος. τὰ γὰρ ἐν αὐτῷ μὴ κινούμενα καθ' αὑτά, τῷ ἐν κινουμένῳ εἶναι τῷ πλοίῳ, καὶ αὐτὰ φέρεται κατὰ συμβεβηκός. τῷ δὲ σώματι τὸ μέγεθος προσέθηκεν, ὡς μὲν Ἀλέξανδρός φησι, μέγεθος τὴν γραμμὴν καὶ τὴν ἐπιφάνειαν λέγων, ἅπερ οὐκ ἔστι σώματα οὐδὲ χωριστὰ σώματος. ὁ δὲ Ἀσπάσιος ἐκ παραλλήλου ταῦτα λέγεσθαί φησιν. οὐ γὰρ κινεῖταί τι καθ' αὑτὸ ἄλλο μέγεθος πλὴν τὸ σῶμα. καὶ γὰρ καὶ ἡ γραμμὴ καὶ ἡ ἐπιφάνεια κατὰ συμβεβηκὸς κινοῦνται, τῷ ἐν κινουμένῳ εἶναι τῷ σώματι. μή ποτε δὲ ὁρμήσας εἰπεῖν, οἷον κινουμένου τοῦ σώματος τῷ ἐνυπάρχειν, ἐπέστησεν ὅτι οὐκ ἐν τῷ σώματι πρώτῳ τὸ ἀμερές ἐστιν, ἀλλ' ἐν τῇ γραμμῇ. διὸ προσέθηκεν ἢ τοῦ μεγέθους, τῷ ἐνυπάρχειν ἐν κινουμένῳ μὲν τῷ τῆς γραμμῆς μεγέθει. καὶ αὐτὸ δὲ κατὰ συμβεβηκὸς κινουμένῳ, τῷ ἐνυπάρχειν τῇ ἐπιφανείᾳ. ἢ τις καὶ αὐτὴ κατὰ συμβεβηκὸς κινεῖται, τῷ ἐνυπάρχειν τῷ καθ' αὑτὸ κινουμένῳ σώματι. ταῦτα οὖν πάντα ἐνεδείξατο, προσθεὶς τὸ ἢ τοῦ μεγέθους. εἰπὼν δὲ τῷ ἐν τῷ πλοίῳ ἠρεμοῦν κατὰ συμβεβηκὸς κινεῖσθαι, τῷ ἐν κινουμένῳ εἶναι τῷ πλοίῳ, προσέθηκεν ἢ τὸ μέρος τῇ τοῦ ὅλου κινήσει, καὶ γὰρ καὶ τὸ μέρος κατὰ συμβεβηκὸς κινεῖται, ὅταν τὸ ὅλον κινῆται, τῷ ἐν κινουμένῳ εἶναι τῷ ὅλῳ. μέλλων δὲ δεικνύναι ὅτι οὐχ οἷόν τε τὸ ἀμερὲς κινεῖσθαι καθ' αὑτό, ὁρίζεται πρῶτον τὸ ἀμερὲς ὅτι ἐστὶ τὸ κατὰ ποσὸν ἀδιαίρετον. καὶ τοῦτον τὸν ὁρισμὸν μεταξὺ παρεμβαλών, ἀκολούθως τῷ ἢ τὸ μέρος τῇ τοῦ ὅλου κινήσει, ἐπάγει καὶ γὰρ αἱ τῶν μερῶν κινήσεις ἕτεραί εἰσι κατ' αὐτά τε τὰ μέρη, καὶ κατὰ τὴν τοῦ ὅλου κίνησιν, ἔνστασιν λύων τινὰ φερομένην πρὸς τὸ κατὰ συμβεβηκὸς κινεῖσθαι τὰ μέρη. ὅτε γὰρ τὴν κίνησιν ἐδείκνυ μὲν διαιρετὴν οὖσαν οὐ μόνον κατὰ τὸν χρόνον, ἀλλὰ καὶ κατὰ τὰ τοῦ κινουμένου μόρια, τότε καὶ τῶν μορίων αὐτῶν καθ' αὑτὰ κίνησις ἐλαμβάνετο. νῦν δὲ κατὰ συμβεβηκός φησι κινεῖσθαι τὰ μόρια, τῷ ἐν κινουμένῳ εἶναι τῷ ὅλῳ. λέγει οὖν ὅτι διτταί εἰσιν αἱ τῶν μερῶν κινήσεις, αἱ μὲν, αὐτῶν καθ' αὑτὰ κινουμένων τῶν μερῶν, αἱ δὲ, κατὰ τὴν τοῦ ὅλου κίνησιν. ἅμα δὲ διὰ τούτου καὶ τὴν διαφορὰν δείκνυσι, τῆς τε τῶν μερῶν ἐν τῷ ὅλῳ κινήσεως, καὶ τῆς τοῦ μέρους ἐν τῷ μεγέθει. ἐπειδὴ γὰρ εἶπεν ὅτι τὸ ἀμερὲς οὐκ ἐνδέχεται κινεῖσθαι, πλὴν κατὰ συμβεβηκός, τῷ ἐνυπάρχειν κινουμένῳ τῷ σώματι, ὥσπερ καὶ τὸ μέρος τῇ τοῦ ὅλου κινήσει κινεῖσθαι λέγεται, ἐπήγαγεν, ὅτι ἡ τοῦ μέρους κίνησις διττή ἐστι. ταύτῃ οὖν διαφέρει τοῦ ἀμεροῦς, ὅτι τὸ μὲν ἀμερὲς μόνως κατὰ συμβεβηκὸς κινεῖται. τὸ δὲ μέρος καθ' αὑτὸ καὶ κατὰ συμβεβηκός. ὅτι δὲ ἐν τῇ τοῦ ὅλου κινήσει εἰσὶ καὶ τῶν μερῶν ἑκάστου καθ' αὑτὰ κινήσεις, δείκνυσιν ἐναργῶς καὶ ἐπὶ τῆς περιφερομένης σφαίρας. ἄλλο γὰρ τὸ τάχος ἐστὶ τῶν πρὸς τὸ κέντρον μορίων αὐτῆς. καὶ ἄλλο τῶν ἴσων τούτοις πρὸς τῇ ἐκτὸς ἐπιφανείᾳ. εἰ γὰρ μὴ πολλῷ θάττω ἦν τὰ πρὸς τῇ ἐκτὸς ἐπιφανείᾳ μόρια τῶν πρὸς τῷ κέντρῳ, οὐκ ἂν τοσοῦτον μεῖζον διάστημα ἐν τῷ αὐτῷ χρόνῳ διεξῄει, κατὰ τὴν τῆς σφαίρας περιφοράν. συναποκαθίσταται γὰρ τὸ μὲν, κατὰ τὸν μέγιστον, τὸ δὲ κατὰ τὸν ἐλάχιστον κύκλον περιφερόμενα. δύναται δέ φησιν ὁ Ἀλέξανδρος τό, τῶν πρὸς τῷ κέντρῳ καὶ τῶν ἐκτὸς λέγειν, περί τε τῶν διὰ τοῦ κέντρου γραφομένων μεγίστων κύκλων, ὡς τοῦ ἰσημερινοῦ καὶ τοῦ ζῳδιακοῦ, καὶ τῶν περὶ τοὺς πόλους. οὗτοι γὰρ ἐκτός εἰσι τῆς σφαίρας τοῦ κέντρου. καὶ δῆλον ὅτι ἀνάπαλιν ἐπὶ τούτων, θάττονες μὲν ὡς μείζονες οἱ πρὸς τῷ κέντρῳ, βραδύτεροι δὲ οἱ ἐκτός. εἴπερ ἐν τῷ αὐτῷ χρόνῳ συναποκαθίσταται τὰ ἐν αὐτοῖς σημεῖα. οὕτω μὲν οὖν διαφέρουσιν ἀλλήλων αἱ τῶν μορίων κινήσεις. καὶ τῆς ὅλης δέ, ἣν ἡ ὅλη κινεῖται σφαῖρα διαφέρουσιν. εἴπερ ἐκείνη μὲν ἐν τῷ αὐτῷ χρόνῳ πάντα δίεισι τὰ ἐν τῇ σφαίρᾳ διαστήματα, τῶν δὲ μερῶν ἕκαστον τὸ καθ' αὑτό. καὶ οὐδενὸς μέρους κίνησις ἡ αὐτή ἐστι τῇ ὅλῃ. ὥστε καὶ τὰ μόρια κινεῖται τινὰ κίνησιν καθ' αὑτὰ παρὰ τὴν τοῦ ὅλου. καὶ οὐ μόνον κατὰ συμβεβηκὸς ἡ τούτων κίνησις, ὡς ἡ τῶν ἀμερῶν. ταῦτα περὶ τῶν μερῶν δείξας, μεταβαίνει λοιπὸν ἐπὶ τὸ ἀμερές, ὅτι τοῦτο κατὰ συμβεβηκὸς μόνως ἐνδέχεται κινεῖσθαι, ὡς ὁ ἐν τῷ πλοίῳ καθήμενος, τοῦ πλοίου θέοντος, καθ' αὑτὸ δὲ οὐκ ἐνδέχεται. δείκνυσι δὲ τοῦτο ἐπὶ πάντων τῶν τῆς μεταβολῆς εἰδῶν, κατὰ μέγεθος μὲν λέγων μεταβάλλειν τὸ αὐξόμενον καὶ μειούμενον, καὶ τὸ κατὰ τόπον μεταβάλλον. μέγεθος γάρ τι καὶ ὁ τόπος. διὸ οὐδὲ ἐμνημόνευσε τοῦ τόπου, ὡς ἐν τῷ μεγέθει συνειλημμένου. ἐξ εἴδους δὲ εἰς εἶδος, τὴν κατὰ ποιότητα λέγει μεταβολήν. ποιότης γὰρ τὸ εἶδος. κατὰ ἀντίφασιν δέ, τὴν γένεσιν καὶ τὴν φθοράν. ἐκ γὰρ

τοῦ μὴ ὄντος εἰς τὸ ὄν, καὶ ἀπὸ τοῦ ὄντος εἰς τὸ μὴ ὂν αὕται. δείκνυσι δὲ αὐτὸ κατὰ τὴν εἰς ἀδύνατον
ἀπαγωγήν, προσχρώμενος τοῖς ἔμπροσθεν δεδειγμένοις, περὶ τοῦ πᾶν τὸ κινούμενον διαιρετὸν εἶναι.
διὸ καὶ ἐκεῖ καθολικωτέραν ἐπὶ πάντων τῶν κινουμένων ἐδόκει ποιεῖν τὴν ἀπόδειξιν, καὶ οὐκ
ἐπὶ μόνων τῶν κατὰ τόπον μεταβαλλόντων. λαβὼν δὲ ὅτι τὸ μεταβάλλον πόθεν ποῖ μεταβάλλει
καὶ ἐν χρόνῳ, συλλογίζεται δυνάμει οὕτως. εἰ τὸ ἀμερὲς μεταβάλλει καθ' αὑτό, τὸ δὲ μεταβάλλον ἐν
τῷ μεταβάλλειν, ἀνάγκη ἢ ὅλον ἐν ἐκείνῳ ἦν εἰς ὃ μεταβάλλει, ἢ ὅλον ἐν ἐκείνῳ ἐξ οὗ μεταβάλλει,
ἢ τὸ μέν τι αὐτοῦ ἐν τούτῳ, τὸ δὲ ἐν ἐκείνῳ, τὸ γὰρ ἐν μηδετέρῳ ὡς ἐναργῶς ἄτοπον παρῆκεν, ἀδύνα-
τον δὲ ἐν τούτων εἶναί τινι τὸ ἀμερές, ἀδύνατον ἂν εἴη μεταβάλλειν αὐτὸ καθ' αὑτό. καὶ τὸ μὲν συνημ-
μένον ὡς ἐναργὲς ὂν ἐκ τῆς διαιρέσεως τῆς καὶ πρότερον ῥηθείσης παρέλαβε. τὴν δὲ πρόσληψιν
καθ' ἕκαστον δείκνυσι. καὶ πρῶτον ὅτι εἰ τὸ μέν τι αὐτοῦ ἐν τούτῳ εἴη, τὸ δ' ἐν ἐκείνῳ, ἔδειξεν ἀδύνα-
τον ἐκ τοῦ μεριστὸν εἶναι τὸ τοιοῦτον. εἶτα ὅτι οὐδ' ἐν τῷ εἰς ὃ μεταβάλλει ἐστί. τὸ γὰρ ἐν ἐκείνῳ ὂν με-
ταβεβληκὸς ἐστί. τοῦτο δὲ ὑπόκειται μεταβάλλον. εἶτα καὶ τὸ λειπόμενον. ὅτι οὐδὲ ἐν τῷ ἐξ οὗ με-
ταβάλλει ἐστὶ καθ' ὃν μεταβάλλει χρόνον. ἐν γὰρ τῷ ἐξ οὗ μεταβάλλει ὄν, ἠρεμεῖ καὶ οὐ μεταβάλλει.
τὸ γὰρ ἐν τῷ αὐτῷ εἶναι χρόνον τινά, ἠρεμεῖν λέγεται. ὥστε οὐκ ἐνδέχεται τὸ ἀμερὲς κινεῖσθαι, οὐ-
δὲ ὅλως μεταβάλλειν καθ' αὑτό. δεῖξας δὲ οὕτως ὅτι ἀδύνατον εἶναι κίνησιν τοῦ ἀμεροῦς, ἀκριβε-
στέραν ἐπάγει κατανόησιν, λέγων. ὅτι μόνως ἂν ἦν οὕτως αὐτοῦ κίνησις, εἰ ὁ χρόνος ἦν ἐκ τῶν νῦν. ἦν
δ' ἂν αὐτοῦ καὶ τότε κίνησις, οὐχ ὡς κινουμένου ἀλλ' ὡς κεκινημένου. ἕκαστον γὰρ ἐν τῷ νῦν κεκίνηται
οὐ κινεῖται. εἰ γὰρ ἐκινεῖτο, ἔδει αὐτοῦ τὸ μέν τι ἐν ἄλλῳ ἦν, τὸ δὲ ἐν ἄλλῳ, ὥσπερ δέδεικται πρότε-
ρον. τὸ δὲ τοιοῦτον οὐκ ἀμερές. εἰ δὲ ἐκ τῶν νῦν ὁ χρόνος συγκείσεται, ἀκολουθεῖ καὶ τὴν κίνησιν ἐκ
κινημάτων, ἅπερ ἐστὶ πέρατα κινήσεως ἀμερῆ, συγκεῖσθαι. εἰ γὰρ καθ' ἕκαστον τῶν νῦν κεκίνηται
τὸ ἀμερές, ἐκ δὲ τῶν νῦν ὁ χρόνος, ἔσται καὶ ἡ κίνησις ἐκ τοσούτων κινημάτων καὶ περάτων κινήσεως
συγκειμένη, ἐξ ὅσων καὶ ὁ χρόνος τῶν νῦν, ἐν ᾧ χρόνῳ κεκινῆσθαι λέγεται τὸ ἀμερές. ὅτι δὲ ἀδύνα-
τον ἐξ ἀμερῶν συγκεῖσθαί τι συνεχές, δέδεικται διὰ πλειόνων. οὔτε γοῦν χρόνος, οὔτε μέγεθος, οὔτε
κίνησις ἐξ ἀμερῶν δύναται συγκεῖσθαι. ὥστε οὐδὲ οὕτως ἂν ἔχῃ κίνησιν τὸ ἀμερές, ὡς κεκινημένον
ἐν χρόνῳ. καὶ γὰρ ἄλλως τοῦτο ἀδύνατον. δέδεικται γὰρ ὅτι τὸ κεκινημένον ἀνάγκη κινεῖσθαι πρό-
τερον, ὥσπερ καὶ τὸ κινούμενον πρότερον κεκινῆσθαι. εἰ δὲ ἦν κίνησις ἐν τῷ νῦν, ἐγίνετό τι κεκινη-
μένον ἐν αὐτῷ, οὐ διὰ τοῦ κινεῖσθαι ἐπὶ τοῦτο ἐλθόν. κινεῖσθαι γὰρ οὐκ ἦν ἐν τῷ νῦν, ἀλλὰ κεκινῆ-
σθαι μόνον. τὸ γὰρ πέρας ἐν τῷ πέρατι.

Ἔ ΤΙ ΔΕ, καὶ ἐκ τῶνδε φανερόν. ὅτι οὔτε στιγμὴν, οὔτ' ἄλλο ἀδιαίρετον οὐδὲν ἐνδέχεται κινεῖσθαι.
ἅπαν γὰρ τὸ κινούμενον, ἀδύνατον πρότερον μεῖζον κινηθῆναι ἑαυτοῦ, πρὶν ἂν ἢ ἴσον, ἢ ἔλαττον. εἰ
δὲ τοῦτο, φανερὸν ὅτι καὶ ἡ στιγμὴ ἔλαττον ἢ ἴσον κινηθήσεται πρῶτον ἐπεὶ δ' ἀδιαίρετος, ἀδύνα-
τον ἔλαττον κινηθῆναι πρότερον. ἴσην ἄρα ἑαυτῇ. ὥστε ἔσται ἡ γραμμὴ ἐκ στιγμῶν. ἀεὶ γὰρ ἴσην κινου-
μένη, τὴν πᾶσαν γραμμὴν στιγμὴ καταμετρήσει. εἰ δὲ τοῦτο ἀδύνατον, καὶ τὸ κινεῖσθαι τὸ ἀδιαίρε-
τον ἀδύνατον.

Κ αὶ ἄλλως δείκνυσιν ὅτι οὐχ οἷόν τε κινεῖσθαι τὸ ἀμερές. ἡ δὲ δεῖξις αὕτη ὅτι μὴ κατὰ φορὰν κινεῖται
δείκνυσιν. καὶ ἐπὶ τούτοις γίνεται προομολογούμενον, ὅτι τὸ κινούμενον, ἢ μεῖζόν τι τοῦ οἰκείου ὄγκου
τοπικὸν διάστημα διεξέρχεται, ἢ ἴσον ἢ ἔλαττον. οὐ γὰρ ἀδύνατον καὶ ἔλαττον αὐτοῦ κινηθῆναι διά-
στημα. τὸ γὰρ πηχυαῖον καὶ ἔλαττον αὐτοῦ ἤτοι ἡ πηχυαῖον δύναται διάστημα κινεῖται. κατέχειν μὲν τὸ
ἀεὶ ἴσον ἑαυτῷ ἀνάγκη. κινεῖσθαι δὲ ποτὲ μὲν ἴσον, ποτὲ δὲ μεῖζον, ποτὲ δὲ ἔλαττον. ὅταν μὲν γὰρ
ἀπολίπῃ τὸν τόπον, ἐν ᾧ ἦν αὐτὸ μόνον ὅλον, ἴσον ἑαυτῷ ὄντα, καὶ τὸν ἐκείνῳ συνεχῆ πάλιν ἐπι-
λάβῃ ἴσον ἑαυτῷ, τότε ἴσον ἑαυτῷ κεκίνηται. εἰ δὲ μὴ ὅλον τὸν ἴσον ἑαυτῷ τόπον ἀπολίποι, ἔλαττον
ἑαυτοῦ κινεῖται διάστημα. εἰ δὲ μὴ μόνον τὸν ἴσον ἑαυτῷ ἀπολίποι. ἀλλὰ καὶ ἄλλον ἐκείνῳ συνεχῆ, τότε
μεῖζον ἑαυτοῦ κινεῖται διάστημα. τοῦτο τε οὖν προειλῆφθαι χρή, καὶ ὅτι ἀδύνατον τὸ κινούμενον μεῖζόν
τι ἑαυτοῦ διάστημα διελθεῖν τοπικὸν, πρὶν ἴσον ἑαυτῷ ἢ ἔλαττον διελθεῖν. τούτων οὖν προειλημμένων,
δῆλον ὅτι καὶ ἡ στιγμὴ πρὸ τοῦ μεῖζον ἑαυτῆς κινηθῆναι, ἢ ἴσον ἑαυτῇ ἀεί, ἢ ἔλαττον αὐτῆς κινηθή-
σεται διάστημα. ἐπεὶ δὲ ἔλαττον ἀδύνατον, οὐδὲν γὰρ ἔλαττον τοῦ ἀμεροῦς, δηλονότι ἴσην ἑαυτῇ
διάστασιν ἀεὶ κινεῖται ἡ στιγμή. εἴπερ κινεῖται καὶ κἂν μείζονα κινηθῇ, ὡς ἐξ ἴσων πολλῶν συγκει-
μένην τὴν μείζονα κινεῖται. εἰ δὲ ἀεὶ κατὰ τὸ ἴσον ἑαυτῇ κινηθήσεται, ὅταν διεξέλθῃ τὴν γραμμήν,
ἔσται αὐτὴν καταμεμετρηκυῖα. εἰ δὲ τοῦτο, ἔσται ἡ γραμμὴ ἐκ στιγμῶν τοσούτων ἀμερῶν συγκειμένη,
ὁσάκις ἐπ' αὐτῆς κινούμενον τὸ ἀμερὲς κατὰ τὰ ἴσα ἑαυτῷ ἐγένετο. πᾶν γὰρ τὸ καταμετρούμενον
ὑπό τινος, μόριόν τι ἔχει ἑαυτοῦ τὸ καταμετροῦν αὐτό, τοσαυταπλάσιον αὐτοῦ ὄν, ὁσάκις ἂν ὑπ' αὐ-
τοῦ καταμετρῆται. ἀδύνατον δὲ τὴν γραμμὴν ἐξ ἀμερῶν συγκεῖσθαι. ἀδύνατον ἄρα κινεῖσθαι τὸ
ἀμερές. καὶ ἔστιν ἡ ὅλη τοῦ λόγου σύνθεσις καὶ αὕτη εἰς ἀδύνατον ἀπάγουσα, τοιαύτη. εἰ κινεῖται ἡ
στιγμὴ κατὰ φοράν, κατὰ τὸ ἴσον ἑαυτῇ κινουμένη ἀεί, καταμετρήσει τὴν γραμμήν. καὶ ἔσται ἡ

γραμμὴ ἐκ στιγμῶν. ἀλλὰ μὴν τοῦτο ἀδύνατον. οὐκ ἄρα κινεῖται ἡ στιγμή.

Ἔτι δ' εἰ ἅπαν ἐν χρόνῳ κινεῖται, ἐν δὲ τῷ νῦν μηθέν, ἅπας δὴ χρόνος διαιρετός, εἴη ἄν τις χρόνος ἐλάττων ὁτουοῦν τῶν κινουμένων ἐν ᾧ κινεῖται ὅσον αὐτό. οὗτος μὲν γὰρ ἔσται ὁ χρόνος ἐν ᾧ κινεῖται διὰ τὸ πᾶν ἐν χρόνῳ κινεῖσθαι. χρόνος δὲ πᾶς διαιρετὸς δέδεικται πρότερον. εἰ δὲ ἄρα ἡ στιγμὴ κινεῖται, ἔσται τις χρόνος ἐλάττων ἐν ᾧ αὐτὴ ἐκινήθη. ἀλλ' ἀδύνατον. ἐν γὰρ τῷ ἐλάττονι, ἔλαττον ἀνάγκη κινεῖσθαι. ὥστε ἔσται διαιρετόν, τὸ ἀδιαίρετον εἰς τὸ ἔλαττον. ὥσπερ καὶ ὁ χρόνος εἰς τὸν χρόνον. μοναχῶς γοῦν ἂν κινοῖτο, τὸ ἀμερὲς καὶ ἀδιαίρετον, εἰ ἦν ἐν τῷ νῦν κινεῖσθαι δυνατὸν τῷ ἀτόμῳ. τοῦ γὰρ αὐτοῦ λόγου, ἐν τῷ νῦν κινεῖσθαι καὶ ἀδιαίρετόν τι κινεῖσθαι.

Τρίτος οὗτος λόγος, δεικνὺς ὅτι τὸ ἀμερὲς ἀδύνατον κινεῖσθαι. καὶ πρόεισι μὲν καὶ οὗτος ὡς ἐπὶ στιγμῶν. ἡ δὲ λέξις ἐπὶ πάσης ἁρμόττει μεταβολῆς, προλαμβάνουσα τὸ προδεδειγμένον, ὅτι πᾶν τὸ κινούμενον ἐν χρόνῳ κινεῖται, ἐν δὲ τῷ νῦν οὐδὲν κινεῖται, καὶ εἰς ἀδύνατον ἀπάγουσα καὶ αὐτὴ τὸ διαιρετὸν εἶναι τὸ ἀδιαίρετον, εἰ κινεῖται τὸ ἀμερές. ὁ δὲ λόγος τοιοῦτος. εἰ κινεῖται τὸ ἀμερές, ἐν χρόνῳ κινεῖται. πᾶς δὲ χρόνος διαιρετὸς εἴη ἂν οὖν ἐπὶ παντὸς κινουμένου εἴτε μεριστοῦ εἴτε ἀμεροῦς ἐλάττων τις χρόνος, τοῦ ἐν ᾧ τὸ ἴσον ἑαυτῷ κινεῖται τὸ κινούμενον. καὶ ἐν αὐτῷ ἔλαττον ἀνάγκη τι κινεῖσθαι. ὥστε ἔσται τι τοῦ ἀδιαιρέτου ἔλαττον. καὶ διαιρεθήσεται τὸ ἀδιαίρετον, εἴς τε τὸ ἔλαττον καὶ τὴν ὑπεροχήν. ὥστε ἔσται διαιρετὸν τὸ ἀδιαίρετον. διαιρεθήσεται γὰρ τὸ κινούμενον εἰς ἔλαττόν τι καὶ αὐτὸ κινούμενον. ὥσπερ καὶ ὁ χρόνος εἰς ἐλάττονα χρόνον ἐν ᾧ κινεῖται τὸ ἔλαττον. ὥσπερ δὲ πρότερον ἐπήγαγε τῇ ἀποδείξει, ὅτι μοναχῶς ἂν ἦν οὕτω κίνησις τοῦ ἀμεροῦς, εἰ ὁ χρόνος ἦν ἐκ τῶν νῦν, οὕτω νῦν λέγει, ὅτι μοναχῶς ἂν κινοῖτο τὸ ἀμερές, εἰ ἐν τῷ νῦν δυνατὸν ἦν κινεῖσθαι αὐτό. εἰ γὰρ ἦν δυνατὸν ἐν τῷ νῦν κινεῖσθαι, τὸ ἀμερὲς ἦν ἂν τὸ κινούμενον ἐν αὐτῷ, καὶ οὐκ ἄλλο. δῆλον δὲ ἐκ τῶν εἰρημένων, ὅτι κινεῖσθαι μὲν οὐχ οἷόν τε ἐν τῷ νῦν, κεκινῆσθαι δὲ μόνον.

Μεταβολὴ δ' οὐκ ἔστιν οὐδεμία ἄπειρος. ἅπασα γὰρ ἦν ἔκ τινος εἴς τι καὶ ἡ ἐν ἀντιφάσει καὶ ἡ ἐν ἐναντίοις. ὥστε τῶν μὲν κατὰ τὴν ἀντίφασιν, ἡ φάσις καὶ ἡ ἀπόφασις πέρας. οἷον, γενέσεως μὲν τὸ ὄν. φθορᾶς δὲ τὸ μὴ ὄν. τῶν δ' ἐν τοῖς ἐναντίοις, τὰ ἐναντία. ταῦτα γὰρ ἐστὶν ἄκρα τῆς μεταβολῆς. ὥστε καὶ ἀλλοιώσεως πάσης. ἐξ ἐναντίων γάρ τινων ἡ ἀλλοίωσις. ὁμοίως δὲ καὶ αὐξήσεως καὶ φθίσεως. αὐξήσεως μὲν γὰρ τὸ πέρας, τοῦ κατὰ τὴν οἰκείαν φύσιν τελείου μεγέθους. φθίσεως δέ, ἡ τούτου ἔκστασις. ἡ δὲ φορά, οὕτω μὲν οὐκ ἔσται πεπερασμένη. οὐ γὰρ ἅπασα ἐν ἐναντίοις. ἀλλ' ἐπειδὴ τὸ ἀδύνατον τμηθῆναι οὕτω τῷ μὴ ἐνδέχεσθαι τμηθῆναι. πολλαχῶς γὰρ λέγεται τὸ ἀδύνατον, οὐκ ἐνδέχεται τὸ οὕτως ἀδύνατον τέμνεσθαι. οὐδ' ὅλως τἀδύνατον γενέσθαι, γίνεσθαι. οὐδὲ τὸ μεταβάλλειν ἀδύνατον ἐνδέχοιτ' ἂν μεταβάλλειν εἰς ὃ ἀδύνατον μεταβάλλειν. εἰ οὖν τὸ φερόμενον μεταβάλλοι εἴς τι καὶ δυνατὸν ἔσται μεταβάλλειν. ὥστε οὐκ ἄπειρος ἡ κίνησις. οὐδ' οἰσθήσεται τὴν ἄπειρον. ἀδύνατον γὰρ διελθεῖν αὐτήν. ὅτι μὲν οὖν οὕτως οὐκ ἔστιν ἄπειρον μεταβολὴ ὥστε μὴ διωρίσθαι πέρασι, φανερόν.

Ἐπειδὴ δέδεικται πρότερον ὅτι παντὸς τοῦ κινεῖσθαι προηγεῖται τὸ κεκινῆσθαι, καὶ τοῦ κεκινῆσθαι τὸ κινεῖσθαι, καὶ ἐδόκει τοῦτο τοῖς προχείρως ἀκούουσιν, ἄπειρον ἑκάστην ὑποτίθεσθαι μεταβολήν, διὰ τοῦτο προστίθησι τὸ θεώρημα, δεικνύον ὅτι οὐκ ἔστιν ἄπειρος μεταβολή. δείκνυσι δὲ ἐκ τοῦ πᾶσαν μεταβολὴν εἶναι ἔκ τινος εἴς τι. ταῦτα δὲ ὥρισται. καὶ γὰρ ἡ κατὰ ἀντίφασιν, κἂν μὴ ἐξ ὑποκειμένου εἰς ὑποκείμενον, ἀλλ' ἔκ τινος εἴς τι καὶ αὐτή. ἐκ γὰρ τοῦ μὴ ὄντος εἰς ὄν, καὶ ἐκ τοῦ ὄντος εἰς τὸ μὴ ὄν. καὶ τὸ μὴ ὂν δέ τι ἐστὶ σημαινόμενον ὅλως. καὶ ἡ μὲν κατὰ ἀντίφασιν πέρατα καὶ ὅρους ἔχει τὰ μόρια τῆς ἀντιφάσεως, τὸ εἶναι καὶ τὸ μὴ εἶναι. ἡ δὲ ἀλλοίωσις κίνησις οὖσα, ἐξ ἐναντίου εἰς ἐναντίον ἐστί. τὰ δὲ ἐναντία ὥρισται. οἷον λευκὸν καὶ μέλαν. θερμὸν καὶ ψυχρόν. ὑγεία καὶ νόσος. ἀγαθὸν καὶ κακόν. τὰ γοῦν ἐναντία πλεῖστον διέστηκε. τὰ δὲ πλεῖστον διεστῶτα ὥρισται. καὶ ἡ αὔξησις δὲ καὶ ἡ μείωσις πέρατα ἔχει. ἡ μέν, τὸ κατὰ τὴν οἰκείαν φύσιν τέλειον μέγεθος. ἡ δέ, τὴν ἀπὸ τούτου ἔκστασιν. ἐπὶ δὲ τῆς φορᾶς οὐ πανταχοῦ τὰ πέρατα ὡρισμένα ἐστίν. ἐπὶ μὲν γὰρ τῆς κατ' εὐθεῖαν τὸ ἄνω καὶ τὸ κάτω ἐναντία καὶ ὡρισμένα ἐστίν. οὐκέτι δὲ καὶ ἡ τῶν ζώων κίνησις, ἣν κινεῖται μεταβατικῶς, ὡρισμένα ἔχει τὰ πέρατα. καὶ ἡ ἐγκύκλιος δὲ φορὰ οὐκ ἐξ ἐναντίου εἰς ἐναντίον. οὐ γὰρ ἔστι τι τῇ κυκλοφορᾷ ἐναντίον. ἀπὸ γὰρ τοῦ αὐτοῦ ἐπὶ τὸ αὐτὸ ἡ κυκλοφορεία. ἀλλ' οὐκ ἀπὸ ἐναντίου εἰς ἐναντίον. οὐδὲ γὰρ αὐτὸ αὑτῷ ἐναντίον. εἰ οὖν μὴ ἔστιν ἐναντίωσις ἐν πάσῃ φορᾷ, κατὰ ταύτην μὲν οὐκ ἔστι δεῖξαι τὸν τῶν περάτων ὁρισμόν. κατ' ἄλλην δὲ μέθοδον δείκνυσιν ἐπὶ πάσης μεταβολῆς ἁρμόζουσαν, προλαβὼν ὅτι τὸ ἀδύνατον τμηθῆναι οὐκ ἐνδέχεται τέμνεσθαι. πολλαχῶς δὲ τοῦ ἀδυνάτου λεγομένου, καὶ γὰρ τὸ μόγις, καὶ τὸ χαλεπῶς, ὡς ἐν τῇ τοῦ ἀδυνάτου διαιρέσει καὶ τοῦ δυνατοῦ μεμαθήκαμεν, καὶ ὃ οὐκ ἐνδέχεται ὅλως, τοῦτο νῦν τοῦ ἀδυνάτου τὸ σημαινόμενον ἐκλέγεται. καὶ λέγει ὅτι τὸ οὕτως ἀδύνατον τμηθῆναι ὡς μὴ ἐνδέχεται τμηθῆναι, οὐκ ἐνδέχεται τέμνεσθαι. οὐδὲ τὸ ἀδύνατον γενέσθαι ἐνδέχεται γίνεσθαι. μάτην γὰρ ἂν γίνοιτο εἰ μὴ δυνατὸν αὐτῷ γενέσθαι. οὐδὲν δὲ μάτην οὔτε ὁ θεὸν ποιεῖ οὔτε ἡ φύσις. τάχας δὲ ἀκριβέστερον ὁ ἀριστοτέλης οὐδὲ γίνεσθαι ὅλως φησίν, ὃ μὴ ἐνδέχεται γενέσθαι. κἂν γοῦν ἐθέλωσιν

ἐκεῖνοι

ἐκεῖνοι τὴν ὄσσαν ἐπὶ τῷ ὀλύμπῳ, καὶ ἐπὶ τῇ ὄσσῃ τὸ πήλιον, οὐκ ἦν γένεσις αὐτοῖς τῆς εἰς οὐρανὸν ἀναβάσεως. ἐπεὶ μὴ δὲ γενέσθαι δυνατὸν ἦν ἐκείνην. τὸ γὰρ γινόμενόν τι, καὶ γενέσθαι φύσιν ἔχει. εἰ δὲ ταῦτα ἀληθῆ, οὐ δὲ τὸ μεταβάλλειν ἀδύνατον, ἐνδέχεται μεταβάλλειν εἰς ἐκεῖνο, εἰς ὃ ἀδύνατον μεταβάλλειν, ὥστε καὶ τὸ τούτων ἀντίστροφον ἀληθὲς, ὅτι εἴ τι μεταβάλλει εἴς τι, τοῦτο καὶ μεταβάλλειν τουτέστι μεταβεβληκέναι εἰς ἐκεῖνο δυνατὸν εἶναι. ὃ δὲ μεταβαλεῖν οἷόν τε εἴς τι, τουτέστι μεταβεβληκέναι, τοῦτο οὐκ ἂν ἄπειρον διάστημα κινοῖτο οὐ δὲ ἄπειρον κίνησιν. ἐν γὰρ τῇ ἀπείρῳ κινήσει οὐδέν ἐστιν ἔσχατον, εἰς ὃ τὸ μεταβάλλον δυνατὸν ἔσται μεταβάλλειν. πεπερασμένη ἄρα καὶ ἡ κατὰ τόπον κίνησις πᾶσα. καὶ γὰρ τῆς κύκλῳ ἐστί τι πέρας τὸ αὐτὸ ἀφ' οὗ ἤρξατο. δείξας οὖν ταῦτα, συνεπέρανατο τὸν λόγον, φανερὸν εἶναι λέγων, ὅτι οὐκ ἔστιν ἄπειρος μεταβολὴ, ὥστε μὴ ὁρίζεσθαι πέρασιν. εἴπερ τὸ μεταβάλλον ἀδύνατον μὴ μεταβάλλειν εἰς ὃ μεταβάλλει.

A ἈΛΛ' ΕἸ οὕτως ἐνδέχεται ὥστε τῷ χρόνῳ εἶναι ἄπειρον τὴν αὐτὴν οὖσαν καὶ μίαν, σκεπτέον. μὴ μιᾶς μὲν γὰρ γινομένης, οὐθὲν ἴσως κωλύει. οἷον, εἰ μετὰ τὴν φορὰν ἀλλοίωσις εἴη, καὶ μετὰ τὴν ἀλλοίωσιν αὔξησις, καὶ πάλιν γένεσις. οὕτω γὰρ ἀεὶ μὲν, ἔσται τῷ χρόνῳ κίνησις. ἀλλ' οὐ μία. διὰ τὸ μὴ εἶναι μίαν ἐξ ἁπασῶν. ὥστε δὲ γίνεσθαι μίαν, οὐκ ἐνδέχεται ἄπειρον εἶναι τῷ χρόνῳ πλὴν μιᾶς. αὕτη δ' ἐστὶ μία, ἡ κύκλῳ φορά.

Δ Δείξας μηδεμίαν κίνησιν οὕτως ἄπειρον, ὡς μὴ ἔχειν πέρατα τό, τε ἐξ οὗ καὶ τὸ εἰς ὅ, ἐπὶ τούτοις ζητεῖ, εἰ ἐνδέχεται ἄπειρον κίνησιν τῷ χρόνῳ γίνεσθαι, τὴν αὐτὴν καὶ μίαν κατ' εἶδος πάλιν καὶ πάλιν γινομένην, ἐπειδὴ τὸ ἐπ' εὐθείας ἄπειρον ἀδύνατον ἐδείχθη. μή ποτε οὖν δυνατὸν μίαν κατ' ἀριθμὸν εἶναι συνεχῆ κίνησιν, τῷ πάλιν καὶ πάλιν γίνεσθαι τὴν αὐτήν. καὶ ἐπέστησε καλῶς, ὅτι μὴ μίαν μὲν μὴ δὲ τὴν αὐτὴν οὐδὲν κωλύει εἶναι τῷ χρόνῳ ἄπειρον, εἰ ἄλλη ἄλλην διαδέχοιτο. οἷον εἰ μετὰ φορὰν ἀλλοίωσις εἴη. καὶ μετ' αὐτὴν αὔξησις. καὶ πάλιν γένεσις. ἀλλ' οὐ γίνεται ἡ ἐκ τούτων μία, οὔτε τῷ ἀριθμῷ οὔτε τῷ εἴδει, ὡς αὐτὸς δείξει. κοινότερον μὲν γὰρ ἂν λέγοιτο καὶ ἡ οὕτω γινομένη μία. κυρίως δὲ οὐκ ἔστι μία καὶ συνεχής. ἡμεῖς δὲ ζητοῦμεν εἰ οἷόν τε ἐστὶ μίαν καὶ συνεχῆ κίνησιν ἐπ' ἄπειρον γίνεσθαι, τῷ πάλιν καὶ πάλιν τὴν αὐτὴν, μὴ διαλαμβανομένην ὑπὸ στάσεων τινῶν μεταξὺ, μὴ δὲ ἐξ ἀνομοειδῶν συγκειμένην, ἀλλὰ τὴν αὐτὴν οὖσαν κατὰ τὸ εἶδος. μίαν δέ φησιν μόνην δύνασθαι τοιαύτην γίνεσθαι τὴν κύκλῳ. διότι ἐν ταῖς ἄλλαις κινήσεσιν ἡ ἐπὶ τὰ αὐτὰ πάλιν καὶ πάλιν ἐπάνοδος στάσεσι διαλαμβάνεται. ἡ κύκλῳ ἄρα μόνη δύναται μία καὶ συνεχὴς γίνεσθαι ἄπειρος τῷ χρόνῳ. καλῶς δὲ τῷ χρόνῳ προσέθηκεν. ὅτι οὐ τῷ μεγέθει, οὐ δὲ τῇ ἐφ' ἓν τῆς κινήσεως ἐκτάσει. ἀλλὰ ταῦτα νῦν μὲν προανεφθέγξατο, ὠδίνων ἤδη τὴν ἐπ' αὐτοῖς ἀλήθειαν. ὕστερον δὲ ἀποδείξει. ἡ μὲν οὖν τῶν κατὰ μέρος ἐν τούτῳ τῷ βιβλίῳ σαφήνεια κατά γε τὴν ἐμὴν δύναμιν, οὕτως ἐχέτω. ἡ δὲ σύντομος ἐπὶ κεφαλαίων ἐπιδρομὴ, τοιάδε τις ἔστω. τὸ συνεχὲς ὅ τι ποτέ ἐστιν ἐκ τῶν προδιωρισμένων λαβὼν, καὶ ὅτι τὸ μέγεθος συνεχὲς, δείκνυσι πρῶτον ὡς ἐπὶ γραμμῆς, ὅτι οὐ σύγκειται ἐξ ἀμερῶν, τουτέστιν ἐκ στιγμῶν. οὐ δὲ διαιρεῖται εἰς ταῦτα. εἶτα ὅτι καὶ ἡ κίνησις καὶ ὁ χρόνος ὁμοίως συνεχῆ ὄντα τῷ μεγέθει, ὁμοίως ἔχει τῷ μήτε συγκεῖσθαι ἐξ ἀμερῶν μήτε διαιρεῖσθαι εἰς ἀμερῆ. πρῶτον δὲ τὴν τοῦ μεγέθους καὶ τὴν τῆς κινήσεως ὁμοιότητα δείξας, τότε προστίθησι τὸν χρόνον. βουλόμενος δὲ καὶ δι' ἐκθέσεως δεῖξαι τὰ προειρημένα, προδείκνυσιν ὅτι τὸ θᾶττον ἐν τῷ ἴσῳ χρόνῳ μεῖζον δίεισι τοῦ βραδυτέρου, καὶ ἐν τῷ ἐλάττονι καὶ ἴσον καὶ πλέον. δείκνυσι δὲ τοῦτο διά τε τοῦ ὁρισμοῦ τοῦ θάττονος καὶ διὰ τῆς ἐκθέσεως. τούτοις δὲ προσχρώμενος, συνάγει δι' ἐκθέσεως. ὅτι καὶ τὸ μέγεθος καὶ ὁ χρόνος ἐπ' ἄπειρον διαιροῦνται. καὶ τὸ μὲν θᾶττον διαιρεῖ τὸν χρόνον. τὸ δὲ βραδύτερον τὸ μέγεθος. τὰ δὲ αὐτὰ δείκνυσι καὶ ἐκ τοῦ τὸ ἰσοταχὲς ἀεὶ ἐν τῷ ἡμίσει χρόνῳ τὸ ἥμισυ διϊέναι. καὶ ἁπλῶς ἐν τῷ ἐλάττονι τὸ ἔλαττον. τῶν γὰρ αὐτῶν διαιρέσεων γινομένων, εἰ τὸ ἕτερον ἐπ' ἄπειρον διαιρετόν ἐστι, καὶ τὸ ἕτερον τοιοῦτον ἔσται. δείξας δὲ ὅτι οὕτως ἡ διαίρεσις εἰς ἀεὶ διαιρετὰ γίνεται, λύει τὸν ζήνωνος λόγον τὸν ἀναιρεῖν τὴν κίνησιν ἐπιχειροῦντα, διὰ τῆς τῶν μεγεθῶν ἐπ' ἄπειρον διαιρέσεως. εἰ γὰρ ἔστι φησὶν κίνησις, ἀνάγκη ἐν πεπερασμένῳ χρόνῳ τὰ ἄπειρα διελθεῖν. δείκνυσιν οὖν ὅτι οὐκ ἐν πεπερασμένῳ τὰ ἄπειρα. ἀλλ' ἐν τῷ ὁμοίως ἔχοντι τὸ ἄπειρον χρόνῳ. καὶ γὰρ ὥσπερ τὸ μέγεθος, οὕτω καὶ ὁ χρόνος οὐκ ἐνεργείᾳ, ἀλλὰ τῷ κατὰ διαίρεσιν ἐπ' ἄπειρον τὸ ἄπειρον ἔχει. δείξας δὲ ὅτι τὰ μέρη τοῦ μεγέθους καὶ τοῦ χρόνου καὶ δηλονότι καὶ τῆς κινήσεως διαιρετά ἐστιν, ἐφεξῆς δείκνυσιν ὅτι τὸ κυρίως νῦν, κἂν δοκῇ χρόνου μέρος εἶναι, οὐκ ἔστι μέρος ἀλλὰ πέρας καὶ ἀρχή. καὶ ὅτι ἓν καὶ ταυτόν ἐστι τῷ ἀριθμῷ, τό, τε πέρας τοῦ παρεληλυθότος καὶ ἡ ἀρχὴ τοῦ μέλλοντος. δείκνυσι δὲ αὐτὸ διὰ τοῦ δεῖξαι, ὅτι οὐ δύναται δύο ταῦτα εἶναι, οὔτε ὡς ἁπτόμενα, οὐ γὰρ ἅπτεται τὰ ἀμερῆ. οὔτε ὡς κεχωρισμένα. μεταξὺ γὰρ ἂν ἔχοι χρόνον. τῷ δὲ ἓν καὶ ταυτὸν εἶναι τὸ νῦν, ὡς ἀκόλουθον ἐπάγει τὸ καὶ ἀδιαίρετον αὐτὸ εἶναι. καὶ προσχρώμενος τοῖς δεδειγμένοις, δείκνυσιν ὅτι ἐν τῷ νῦν οὔτε κινεῖσθαί τι δυνατὸν οὔτε ἠρεμεῖν. ἀλλὰ καὶ τὸ κινούμενον ἐν χρόνῳ κινεῖται. καὶ τὸ ἠρεμοῦν ἐν χρόνῳ ἠρεμεῖ. ἐφεξῆς δὲ δείκνυσι πάλιν, ὅτι οὐ μόνον ἡ κίνησις διαιρετὴ καὶ ὁ χρόνος, ἀλλὰ καὶ αὐτὸ τὸ κινούμενον μέγεθος κατ' ἄλλην ἐπιχείρησιν τοιαύτην. εἰ ἀνάγκη ἔκ τινος εἴς τι κινούμενον, τὸ μὲν, αὐτοῦ ἐν τῷ ἐξ οὗ κινεῖται ἔχειν, τὸ δὲ, ἐν τῷ εἰς ὃ κινεῖται, διαιρετὸν ἂν εἴη τὸ κινούμενον. καὶ τὴν κίνησιν διαιρετὴν δείκνυσιν, οὐ μόνον κατὰ τὸν χρόνον ὡς πρότερον, ἀλλὰ καὶ κατὰ τὸ μέγεθος τὸ προσεχῶς διαιρετὸν δεδειγμένον. καὶ οὕτω καὶ τὸ καθ' ὃ ἡ κίνησις, εἴτε κατὰ τόπον, εἴτε κατὰ ποσὸν, εἴτε κατὰ ποιὸν, καὶ τὴν κίνησιν, καὶ τὸ κινεῖσθαι, καὶ τὸν χρόνον διαιρετὰ δείξας, ἐφεξῆς δείκνυσιν

ὅτι πάντων τούτων αἱ αὐταὶ διαιρέσεις. καὶ ὁμοίως πάντα συνδιαιρεῖται ἀλλήλοις. καὶ πρῶτον ὅτι ὁ
χρόνος καὶ ἡ κίνησις. εἶτα ὅτι ἡ κίνησις καὶ τὸ κινεῖσθαι. εἶτα ὅτι καὶ τὰ καθ' ἃ ἡ κίνησις. προθέμενος δὲ
ἐφεξῆς δεῖξαι, ὅτι τὸ μεταβεβληκὸς οὐκ ἐν χρόνῳ μεταβέβληκεν, ἀλλ' ἐν τῷ νῦν ἀχρόνῳ ὄντι καὶ ἀτόμῳ,
πρῶτον δείκνυσιν ὅτι τὸ μεταβεβληκὸς ἐν ἐκείνῳ ἐστὶν, ἐν ᾧ πρώτῳ μεταβέβληκεν. καὶ οὕτως ὅτι τὸ ἐν ᾧ
πρώτῳ τι μεταβέβληκεν, ἄτομόν ἐστι καὶ οὐ χρόνος. διαιρεῖται δὲ τὸ ἐν ᾧ πρώτῳ διχῶς, εἴς τε τὴν ἀρχὴν
τῆς μεταβολῆς καὶ εἰς τὸ πέρας. καὶ δείκνυσιν ὅτι τὸ μὲν πέρας ἐστὶν, ἡ δὲ ἀρχὴ οὐκ ἔστιν. οὐ δὲ ἔστιν ἀρχὴ μετα-
βολῆς. ἀλλ' οὐδὲ τοῦ μεταβεβληκότος ἔστι τι πρῶτον ὃ μεταβέβληκε. τῶν δὲ καθ' ἃ ἡ μεταβολὴ, ἐπὶ μὲν τοῦ
τόπου καὶ τοῦ ποσοῦ οὐκ ἔστι τὸ πρῶτον λαβεῖν. διότι συνεχῆ ἐστίν. ἐπὶ δὲ τοῦ ποιοῦ καθ' αὑτὸ μὲν οὐκ ἔστι. κατὰ
συμβεβηκὸς δέ ἐστιν. ἀλλ' οὐδὲ ἐπὶ τοῦ χρόνου ἐν ᾧ ἡ μεταβολή. ἔστι τὸ πρῶτον λαβεῖν. ὡς δὲ ἑπόμενον τοῖς εἰρη-
μένοις ἐπάγει, τὸ πᾶν τὸ κινούμενον κεκινῆσθαι πρότερον, καὶ τὸ κεκινημένον πρότερον κινεῖσθαι. καὶ δείκνυ-
σιν ὅτι καὶ ἐπὶ γενέσεως καὶ φθορᾶς ὁ αὐτὸς ἁρμόσει λόγος. καὶ συνάγει λοιπὸν ὅτι καὶ ἐπὶ πάσης μεταβο-
λῆς ὁ αὐτὸς ἁρμόσει λόγος. τούτοις δὲ ἐπάγει τὸ ἀδύνατον εἶναι ἐν ἀπείρῳ χρόνῳ γραμμὴν πεπερασμένην
ἢ κίνησιν κινεῖσθαι, πλὴν εἰ μὴ τὴν αὐτὴν πάλιν καὶ πάλιν, ὡς ἐπὶ τὴν κυκλοφορίαν. ἀλλ' οὐδὲ γίνεσθαι ἢ
φθείρεσθαι. ἀκόλουθον δὲ τούτῳ τὸ μηδὲ ἐν πεπερασμένῳ χρόνῳ ἄπειρον κινηθῆναι δύνασθαι ἢ ἠρεμίζεσθαι,
μήτε μέγεθος μήτε κίνησιν ἢ ἠρεμίαν. καὶ ἐφεξῆς δείκνυσιν, ὅτι οὐδὲ τὸ ἄπειρον μέγεθος δίεισι τὸ πεπερα-
σμένον διάστημα ἐν πεπερασμένῳ χρόνῳ. καὶ οὕτω περὶ τῶν τελείων καὶ ἀπαρτιζομένων κινήσεων τε-
χνολογήσας τὰ ὑπάρχοντα, λοιπὸν τὸ ἐπὶ στάσιν ἰὸν, καὶ διὰ τοῦτο ἵστασθαι λεγόμενον, παραδίδωσι,
δεικνὺς ὅτι κἂν ἵστασθαι λέγηται τοῦτο, ταυτόν ἐστι τῷ κινουμένῳ. καὶ ὅσα τῷ κινουμένῳ ὑπάρχει, το-
σαῦτα καὶ τῷ οὕτως ἵστασθαι λεγομένῳ ὑπάρξει. ὥστε καὶ τὸ ἐν χρόνῳ ἵστασθαι. καὶ τὸ μὴ εἶναι τὸ πρῶτον
λαβεῖν ἐν ᾧ ἵστασθαι, ὥσπερ οὐδὲ ἐν τῷ κινεῖσθαι. δείξας δὲ ταῦτα ἐπί τε τῆς ἁπλῶς κινήσεως, καὶ τῆς
κατὰ τὸ ἵστασθαι λεγομένης, δείκνυσι καὶ ἐπὶ τῆς ἠρεμίας τῆς τῇ ὅλῃ κινήσει ἀντικειμένης, ὅτι καὶ ἐπὶ
ταύτης τό, τε ἐν χρόνῳ. καὶ ὅτι οὐκ ἔστι τὸ πρῶτον λαβεῖν. τούτων δὲ ἔτι θαυμασιώτερον ἐφεξῆς δείκνυσιν,
ὅτι τὸ κινούμενον ἐν ᾧ χρόνῳ κινεῖται πρώτῳ, ἀδύνατον κατά τι εἶναι τοῦ διαστήματος, ἐν ᾧ κινεῖται,
ὥστε ἐν ὅλῳ τῷ χρόνῳ καὶ αὐτὸ καὶ τῶν μερῶν ἕκαστον αὐτοῦ ἐν τῷ αὐτῷ εἶναι καὶ ἴσῳ αὐτῷ διαστήμα-
τι. ἀλλ' ἐν τῷ νῦν μόνῳ ἐστὶ, ἐν τῷ ἴσῳ αὐτῷ διαστήματι. ἐκ δὲ τούτου καὶ τὸν Ζήνωνος λόγον ἔλυσε, τὸν λέ-
γοντα, εἰ τὸ φερόμενον βέλος ἀεὶ κατὰ τὸ ἴσον ἑαυτῷ ἐστὶ, τὸ δὲ κατὰ τὸ ἴσον ἑαυτῷ χρόνον ὄν τινα ἠρεμεῖ,
τὸ φερόμενον βέλος ἕως ἂν κινεῖται ἠρεμεῖ. λύει δὲ διὰ τοῦ μὴ ἐν χρόνῳ εἶναι κατὰ τὸ ἴσον ἑαυτῷ. ἀλλ' ἐν
τῷ νῦν, ἐν ᾧ οὔτε κινεῖταί τι οὔτε ἠρεμεῖ. τεσσάρων δὲ ὄντων τῶν περὶ κινήσεως τοῦ Ζήνωνος λόγων ὁ μὲν
πρῶτος ἔλεγεν, εἰ ἔστι κίνησις, ἀνάγκη τὸ κινούμενον ἐν πεπερασμένῳ χρόνῳ ἄπειρα διεξιέναι. ὃν ἔλυσεν
ἤδη. δεύτερος ὁ καλούμενος Ἀχιλλεὺς, καὶ αὐτὸς λέγων, εἰ ἔστι κίνησις, τὸ βραδύτατον ὑπὸ τοῦ ταχίστου
οὐ καταληφθήσεται, διὰ τὴν ἐπ' ἄπειρον τῶν μεγεθῶν τομήν. ἐκ τῶν αὐτῶν δὲ ὡρμημένος καὶ αὐτὸς,
τοῖς αὐτοῖς λυθήσεται. τρίτος τοῦ Ζήνωνος λόγος ἐστὶν ὁ ἀπὸ τοῦ φερομένου βέλους. καὶ τέταρτος ὁ ἀπὸ
τῶν ἐν τῷ σταδίῳ ἴσων καὶ ἰσοταχῶν μεγεθῶν, τῶν μὲν, παρὰ ἑστῶτα κινουμένων, τῶν δὲ παρὰ ἀντικι-
νούμενα, καὶ ταύτῃ δοκούντων ἄτοπόν τι συνάγειν, τὸ τῶν ἴσων καὶ ἰσοταχῶν μεγεθῶν ἐν τῷ αὐτῷ χρό-
νῳ, τὸ ἕτερον τοῦ ἑτέρου κίνησιν διπλασίαν κινεῖσθαι, καὶ τὸν αὐτὸν καὶ ἴσον χρόνον ἅμα διπλάσιόν τε
καὶ ἥμισυν εἶναι. ἡ δὲ τούτου λύσις προφανεστέρα. ὁρμήσας δὲ ὅλως διαλῦσαι τοὺς ἐνισταμένους πρὸς τὴν
κίνησιν λόγους, μετὰ τοὺς τοῦ Ζήνωνος, καὶ ἄλλους παράγει καὶ διαλύει. ὧν πρῶτος ὁ ἀπὸ τῆς ἀντιφάσεως,
ὁ λέγων, εἰ γὰρ τὸ μεταβάλλον οὔτε ἐν τῷ ἐξ οὗ μεταβάλλει ἐστὶν, οὔπω γὰρ ἂν μεταβάλλοι, οὔτε ἐν τῷ
εἰς ὃ μεταβάλλει, οὐκέτι γὰρ ἂν μεταβάλλοι, ἐν τῷ μεταξὺ ἔσται. εἰ δὴ ἔστι μεταβολὴ, ἔσται τι τῆς ἀντι-
φάσεως μεταξὺ, τοῦ ὄντος καὶ μὴ ὄντος, καὶ λευκοῦ καὶ μὴ λευκοῦ. ὅπερ ἀδύνατον. οὐκ ἄρα ἔσται μετα-
βολή. λύει δὲ καὶ τοῦτον τὸν λόγον, ἐκ τοῦ ὅλον μὲν ἐν οὐδετέρῳ εἶναι, ἀλλὰ τὸ μέν τι αὐτοῦ ἐν τῷ ἐξ οὗ, τὸ
δὲ ἐν τῷ εἰς ὅ. δεύτερον δὲ διαλύει λόγον ἄλλον τινὰ, οὕτως ἐνίστασθαι δοκοῦντα πρὸς τὴν κίνησιν. εἰ τὰ
δοκοῦντα τὴν πρώτην καὶ κυριωτάτην κίνησιν κινεῖσθαι ὁ κύκλος καὶ ἡ σφαῖρα, ταῦτα οὐ κινεῖται
ἀλλ' ἠρεμεῖ, εἴπερ ἐν τῷ αὐτῷ τόπῳ ἐστὶν, οὐκ ἂν εἴη κίνησις. λύει δὲ δεικνὺς, ὅτι τὰ οὕτω κινούμενα, οὔτε
αὐτὰ οὔτε τὰ μέρη αὐτῶν ἐν τῷ αὐτῷ τόπῳ ἐστὶν οὐδένα χρόνον. μετὰ δὲ ταῦτα δείκνυσιν, ὅτι τὸ ἀμερὲς
οὐ κινεῖται πλὴν κατὰ συμβεβηκὸς, τῷ εἶναι ἐν κινουμένῳ σώματι ἢ μεγέθει. δείκνυσι δὲ αὐτὸ διὰ τριῶν
ἐπιχειρημάτων. ἐπὶ τούτοις δείκνυσιν, ὅτι οὐδεμία μεταβολὴ ἄπειρός ἐστι, κἂν ἀνάγκη πρὸ τοῦ κινεῖσθαι
εἶναι ἀεὶ τὸ κεκινῆσθαι, καὶ πρὸ τοῦ κεκινῆσθαι τὸ κινεῖσθαι. δείκνυσι δὲ αὐτὸ καθ' ἕκαστον εἶδος μεταβο-
λῆς, ἐξ ὡρισμένου εἰς ὡρισμένον οὔσης τῆς μεταβάσεως. καὶ ἐπὶ τέλει ζητεῖ, εἰ ἐνδέχεται τῷ χρόνῳ
ἄπειρον κίνησιν γενέσθαι, τὴν αὐτὴν καὶ μίαν κατ' εἶδος πάλιν καὶ πάλιν γινομένην. καὶ λέγει ὅτι ἡ κύ-
κλῳ μόνη δύναται τοιαύτη εἶναι, ὡς τοῦ πάλιν καὶ πάλιν ἐν αὐτῇ μὴ διαλαμβανομένου στάσει. καὶ
ἀποδείξει δὲ τοῦτο ὕστερον.

ΣΙΜΠΛΙΚΙΟΥ ΥΠΟΜΝΗΜΑ ΕΙΣ ΤΟ ΕΒΔΟΜΟΝ ΤΗΣ ΑΡΙΣΤΟΤΕΛΟΥΣ ΦΥΣΙΚΗΣ ΑΚΡΟΑΣΕΩΣ.

Ἔστι μὲν ἕβδομον τοῦτο τῆς φυσικῆς ἀκροάσεως βιβλίον. ὅπερ ἢ ἐπιγράφειν ἔθος ἐστὶ τοῖς ἐκ τοῦ περιπάτου. διχῶς δὲ φέρεται, κατὰ τὴν λέξιν μόνην ἔχον ὀλίγην τινὰ διαφοράν. τὰ γὰρ προβλήματα καὶ αἱ ἀποδείξεις αὐτῶν ἐπὶ τῆς αὐτῆς τάξεως, ἐν ἀμφοτέροις τὰ αὐτὰ φέρεται. ὅπερ δὲ ἐστὶν ἀμφοῖν οἱ τοῦ ἀριστοτέλους ἐξηγηταὶ σαφηνίζουσι, τοῦτο κατὰ τὴν νῦν προεχειρισάμην. ἰστέον δὲ ὅτι τῶν ἐν τῷ ἑβδόμῳ τούτῳ βιβλίῳ κειμένων προβλημάτων, τὰ κυριώτερα καὶ πρὸς τὴν προκειμένην πραγματείαν οἰκειότερα, ἐν τῷ μετὰ τοῦτο βιβλίῳ τῷ τελευταίῳ τῆς ὅλης πραγματείας κεῖται μετὰ ἀποδείξεων ἀσφαλεστέρων. διὸ καὶ παρέλκειν ἔδοξέ τισι τοῦτο τὸ βιβλίον ἐν τῇ πραγματείᾳ, μαλθακωτέραις ἢ ὥς φησιν ἀλέξανδρος λογικωτέραις ταῖς ἀποδείξεσι χρώμενον. καὶ ὅ γε εὔδημος μέχρι τοῦδε τοῖς ὅλης σχεδὸν τῆς πραγματείας κεφαλαίοις ἀκολουθήσας, τοῦτο παρελθὼν ὡς περιττὸν, ἐπὶ τὰ ἐν τῷ τελευταίῳ βιβλίῳ κεφάλαια μετῆλθε. καὶ ὁ θεμίστιος δὲ τὴν ὅλην πραγματείαν παραφράζων, ἐν τούτῳ τῷ βιβλίῳ γενόμενος, πολλὰ τῶν ἐν αὐτῷ κεφαλαίων κατηνωτίσατο. ἀλλ᾽ ἐπειδὴ φαίνεται καὶ τοῦτο μὴ πάνυ τοι τῆς πρὸς τὰ ἄλλα βιβλία συγγενείας τὰ ἐν ταύτῃ τῇ πραγματείᾳ ἀπᾷδον, μὴ δὲ τῆς τοῦ ἀριστοτέλους ἀγχινοίας ἀνάξιον, τάχα ἂν εἴποιμι πρότερον μὲν ὑπὸ τοῦ ἀριστοτέλους γραφῆναι τοῦτο, ὕστερον δὲ ἐν τῷ τελευταίῳ βιβλίῳ τῶν ἐν τούτῳ κεφαλαίων ἀκριβέστερον διαρθρωθέντων, τινὰς ὡς οἰκεῖον αὐτὸ τῇ πραγματείᾳ συντάξαι. καὶ ἔχοι ἂν οἶμαι χρείαν οὐκ ἀπόβλητον, προγυμνάζον ἡμᾶς καὶ συνεθίζον, εἰς τὴν τῶν μεγάλων ὄντως καὶ συνεκτικῶν τῆς ὅλης φυσιολογίας θεωρημάτων κατανόησιν, ὧν ἐν τῷ τελευταίῳ βιβλίῳ παραδίδωσιν ὁ ἀριστοτέλης. αὐτίκα γοῦν πρῶτον ἐν τούτῳ ὑπ᾽ αὐτοῦ προβληθὲν, τὸ πᾶν τὸ κινούμενον ὑπό τινος κινεῖσθαι, ἀκριβεστέρας ἐκεῖ τετύχηκεν ἀποδείξεως. ἀλλὰ τοῖς γε ἐνταῦθα παρακολουθοῦντες τέως παραδιδομένοις, τὴν ἔννοιαν αὐτῶν ὡς δυνατὸν ἀνιχνεύσωμεν.

ἍΠΑΝ ΤΟ κινούμενον, ἀνάγκη ὑπό τινος κινεῖσθαι. εἰ μὲν γὰρ ἐν ἑαυτῷ μὴ ἔχει τὴν ἀρχὴν τῆς κινήσεως, φανερὸν, ὅτι ὑφ᾽ ἑτέρου κινεῖται. εἰ δὲ ἐν αὐτῷ, εἰλήφθω ἐφ᾽ οὗ τὸ αβ. ὃ κινεῖται μὴ τῷ τῶν τούτου κινεῖσθαί τι. πρῶτον μὲν οὖν, τὸ ὑπολαμβάνειν τὸ αβ ὑφ᾽ ἑαυτοῦ κινεῖσθαι διὰ τὸ ὅλον τε κινεῖσθαι, καὶ ὑπὸ μηθενὸς τῶν ἔξωθεν, ὅμοιόν ἐστιν, ὥσπερ ἂν τις τοῦ δε κινοῦντος τὸ εζ, καὶ αὐτοῦ κινουμένου, ὑπολαμβάνοι τὸ δεζ ὑφ᾽ αὐτοῦ κινεῖσθαι. διὰ τὸ μὴ συνορᾶν πότερον ὑπὸ ποτέρου κινεῖται. πότερον τὸ δε ὑπὸ τοῦ εζ, ἢ τὸ εζ ὑπὸ τοῦ δε.

Τὸ μὲν προκείμενόν ἐστιν, ὅτι πᾶν τὸ κινούμενον ὑπό τινος κινεῖσθαι. ἀφ᾽ οὗ πάντα τὰ ἐφεξῆς ἤρτηται φυσικὰ θεωρήματα. ἐπεὶ δὲ τῶν κινουμένων τὰ μὲν, ἔξωθεν κινεῖται, τὰ δὲ οὐκ ἔξωθεν, ἔξωθεν μὲν, τὰ βίᾳ κινούμενα, οὐκ ἔξωθεν δὲ τά τε κατὰ φύσιν κινούμενα σώματα, καὶ τὰ κατὰ ὁρμὴν ψυχὴν, ὅτι μὲν τὰ ἔξωθεν κινούμενα ὑπό τινος κινεῖται οὐκ ἠξίωσε δεῖξαι, προφανοῦς ὄντος τοῦ κινοῦντος, ἢ τῷ ὠθεῖν, ἢ τῷ ἕλκειν, ἢ τῷ ὀχεῖν, ἢ τῷ δινεῖν. ἐπὶ δὲ τοῦ δοκοῦντος ἐξ ἑαυτοῦ καὶ μὴ ἔξωθεν κινεῖσθαι, δείκνυσι διορίσας πρότερον, τὸ καθ᾽ αὑτὸ καὶ πρώτως κινούμενον, ἀπὸ τῶν κατ᾽ ἄλλο καὶ ὅλως κατὰ συμβεβηκὸς κινουμένων. οἷα καὶ τὰ κατὰ μόριον κινούμενά ἐστιν, ὡς ἐν ἀρχῇ τοῦ πέμπτου βιβλίου διῄρηται. καὶ γὰρ ὁ τὴν χεῖρα κινῶν αὐτὸς λέγεται κινεῖσθαι. ἀλλὰ τῷ τῶν αὐτοῦ τι κινεῖσθαι λέγεται αὐτὸς κινεῖσθαι. τὸ δὴ καθ᾽ αὑτὸ καὶ πρώτως ἐξ ἑαυτοῦ κινούμενον, ὃ οὔτε κατὰ συμβεβηκὸς, οὔτε τῷ τῶν τούτου τι κινεῖσθαι κινεῖται, λαβὼν, ἐν τῷ οὕτω κινουμένῳ δείκνυσιν, ἄλλο μὲν ὂν τὸ κινούμενον, ἄλλο δὲ τὸ κινοῦν. πρῶτον δὲ τὴν νόησιν ἡμᾶς ἀπευθύνει, διδάσκων μὴ διὰ τοῦτο νομίζειν τὸ ἐξ ἑαυτοῦ ὅλον κινούμενον ὑπὸ μηδενὸς κινεῖσθαι, ὅτι μὴ φαίνεται ἔξωθεν τὸ κινοῦν αὐτό. δύναται γὰρ μὴ εἶναι φανερὸν τὸ κινοῦν ὡς τὸ κινούμενον, καὶ ἐφ᾽ ὧν προδήλως ἄλλο ἐστὶ τὸ κινοῦν, καὶ ἄλλο τὸ ὑπὸ τούτου κινούμενον. ὡς ἐπὶ ἐκθετικοῦ παραδείγματος τοῦτο δείκνυσιν αὐτός. εἰ γὰρ τοῦ κμ κινουμένου ὅλου, τὸ μέρος μὲν αὐτοῦ τὸ κλ κινεῖ κινούμενον καὶ αὐτὸ, μέρος δὲ τὸ ὑπολειπόμενον αὐτοῦ τὸ λμ ὑπὸ τοῦ κλ κινεῖται, οὐκ ἄν τις λέγοι τὸ κμ δικαίως μὴ κινεῖσθαι ὑπό τινος, διὰ τὸ μὴ φανερὸν εἶναι πότερον ἐν αὐτῷ τὸ κινοῦν, καὶ πότερον τὸ κινούμενον. καὶ γὰρ ἐπὶ τῶν ζώων, ὅλον μὲν ὁρᾶται κινούμενον τὸ ζῶον, ὁμολογεῖται δὲ ὑπὸ τῆς ψυχῆς τὸ σῶμα κινεῖσθαι. ἥτις τῷ κινεῖσθαι τὸ σῶμα συγκεῖται αὐτῷ. διὸ κἂν μὴ φαίνηται, ὑπ᾽ αὐτῆς λέγομεν κινεῖσθαι τὸ σῶμα. οὕτως οὖν καὶ τοῦ ἀβόλου κινουμένου, κἂν μὴ φαίνηται τὸ κινοῦν, οὐ διὰ τοῦτο χρὴ λέγειν ὑπὸ μηδενὸς κινεῖσθαι αὐτό. εἰ οὖν καὶ τὸ ἔξωθεν κινούμενον προδήλως ὑπό τινος κινεῖται. καὶ τὸ ἐξ ἑαυτοῦ κἂν μὴ φαίνηται τὸ κινοῦν οὐδὲν κωλύει ὑπό τινος κινεῖσθαι, συνάγεται ὅτι πᾶν τὸ κινούμενον ὑπό τινος κινεῖται, τοῦ μὴ φαίνεσθαι τὸ κινοῦν οὐδὲν ἡμῖν ἐμποδίζοντος πρὸς τὸν λόγον. δῆλον δὲ ὅτι ἐκ τούτου τοῦ ἐπιχειρήματος, οὐ δέδεικται μὲν ὅτι καὶ τὸ ἐξ αὐτοῦ δοκοῦν κινεῖσθαι ἐξ ἀνάγκης ὑπό τινος κινεῖται. ἔγνωμεν δὲ ὅτι κἂν μὴ φαίνηται τὸ κινοῦν, οὐδὲν κωλύει ὑπό τινος κινεῖσθαι τὸ κινούμενον. τὸ δὲ ἐφεξῆς δείκνυσι τὸ προκείμενον οὕτως.

ἜΤΙ ΤΟ ὑφ᾽ ἑαυτοῦ κινούμενον οὐδέποτε παύσεται κινούμενον. τῷ ἕτερόν τι στῆναι κινούμενον ἀνάγκη τοίνυν εἴ τι παύσεται κινούμενον τῷ ἕτερόν τι στῆναι, τοῦθ᾽ ὑφ᾽ ἑτέρου κινεῖσθαι. τούτου γὰρ φανεροῦ γινομένου, ἀνάγκη πᾶν τὸ κινούμενον κινεῖσθαι ὑπό τινος. ἐπεὶ γὰρ εἴληπται τὸ αβ κινούμενον διαιρετὸν ἔσται. πᾶν γὰρ

τὸ κινούμενον διαιρετὸν ἦν. διῃρήσθω τοίνυν ἐπὶ τὸ γ. ἀνάγκη δὴ τοῦ γ ἠρεμοῦντος ἠρεμεῖν καὶ τὸ αβ. εἰ γὰρ μὴ, εἰλήφθω κινούμενον. τοῦ τοίνυν βγ ἠρεμοῦντος κινοῖτο ἂν τὸ αγ. οὐκ ἄρα καθ' αὑτὸ κινεῖται τὸ αβ. ἀλλ' ὑπέκειτο καθ' αὑτὸ κινεῖσθαι πρῶτον. δῆλον τοίνυν ὅτι τοῦ γβ ἠρεμοῦντος ἠρεμήσει καὶ τὸ βα. καὶ τότε παύσεται κινούμενον. ἀλλ' εἴ τι τῷ ἄλλο ἠρεμεῖν ἵσταται καὶ παύεται κινούμενον, τοῦθ' ὑφ' ἑτέρου κινεῖται. φανερὸν δὴ διότι πᾶν τὸ κινούμενον, ὑπό τινος κινεῖται. διαιρετὸν γὰρ πᾶν τὸ κινούμενόν ἐστιν. καὶ τοῦ μέρους ἠρεμοῦντος, ἠρεμήσει τὸ ὅλον.

Δ έξας ὅτι οὐκ ἀνάγκη εἰ μὴ φαίνεται τὸ κινοῦν ὑπὸ μηδενὸς κινεῖσθαι τὸ κινούμενον, καὶ τὴν ἀπὸ τοῦ φαίνεσθαι πρόληψιν διαρθρώσας, δείκνυσι λοιπὸν τὸ προκείμενον, ὅτι πᾶν τὸ κινούμενον ὑπό τινος κινεῖται. δείκνυσι δὲ αὐτὸ, προλαβὼν ὅτι εἴ τι ἠρεμεῖ, τῷ ἄλλο πεπαῦσθαι κινούμενον, ἀνάγκη ὑπό τινος αὐτὸ κινεῖσθαι. τὸ μὲν γὰρ μὴ κινούμενον ὑπό τινος, οὐκ ἀνάγκη παύσασθαι κινούμενον, ἄλλου τινὸς παυσαμένου. ἀπὸ τύχης μὲν γὰρ ἄν ποτε, καὶ τὸ μὴ ὑπό τινος κινούμενον, παυσαμένης τῆς κινήσεως ἐκείνου, παύσαιτο ἂν κινούμενον καὶ αὐτό. οὐ μὴν ἐξ ἀνάγκης. εἰ οὖν τὸ μὴ ὑπό τινος κινούμενον οὐκ ἀνάγκη πεπαῦσθαι, ἄλλου τινὸς παυσαμένου, τὸ ἐξ ἀνάγκης παυσάμενον, ἄλλου τινὸς παυσαμένου, ἀνάγκη ὑπό τινος κινεῖσθαι. τοῦτο οὖν κατὰ τὸν δεύτερον τῶν ὑποθετικῶν συναγαγὼν, καὶ προσλαβὼν τὸ πᾶν τὸ κινούμενον διαιρετὸν εἶναι, ὅπερ ἔδειξε πρὸς τῷ τέλει τοῦ προλαβόντος βιβλίου, ἐκτίθεται τὸ αβ κινούμενον διαιρετὸν ὂν, ὅτι κινούμενον. καὶ διαιρεῖ αὐτὸ κατὰ τὸ γ. καὶ λέγει ὅτι τοῦ γβ μὴ κινουμένου, ὅ ἐστι μέρος τοῦ αγβ, οὐδὲ τὸ αβ ὅλον ἔτι κινηθήσεται. εἰ γὰρ λέγοι τις τὸ αβ κινεῖσθαι, τοῦ γβ μὴ κινουμένου, ἀλλὰ τοῦ αγ μόνου, οὐκέτι τὸ αβ ὅλον ἔσται καθ' αὑτὸ κινούμενον οὐδὲ πρώτως. ἀλλὰ τῷ μόριον αὐτοῦ κινεῖσθαι τὸ αγ. ἀλλ' οὐχ οὕτως ὑπέκειτο κινεῖσθαι, ἀλλὰ καθ' αὑτὸ καὶ πρώτως τὸ αβ. μὴ κινουμένου ἄρα τοῦ γβ, οὐδὲ τὸ αβ ὅλον πρώτως κινηθήσεται. εἰ δὲ μὴ κινεῖται ἔτι τὸ αβ, τοῦ γβ ἠρεμοῦντος, ὑπό τινος ἔσται κινούμενον. τοῦτο γὰρ ἦν κείμενον, ὑπ' ἄλλου κινούμενον, ὃ τῷ στῆναί τι παύεται κινούμενον. ταύτην τὴν ἀπόδειξιν αἰτιᾶται μὲν καὶ ὁ φιλοπονώτατος γαληνός. αἰτιῶνται δὲ καὶ ἄλλοι, ὡς ἀδυνάτῳ χρωμένην ὑποθέσει, τῇ λεγούσῃ, τοῦ αβ πρώτως καὶ καθ' αὑτὸ κινουμένου, τὸ γβ μὴ κινεῖσθαι. ὁ δὲ ἀλέξανδρος καίτοι πολλαχοῦ τὴν ἀπόδειξιν ὑποπτεύων, εἵλετο λέγειν ὅτι οὐκ ἔστι πρὸς ὑπόθεσιν ἀδύνατον, τὸ τοῦ καθ' αὑτὸ καὶ πρώτως κινουμένου μέρος ὑποθέσθαι ἱστάμενον. μόνα γάρ φησιν πρὸς ὑπόθεσιν ἐστὶν ἀδύνατα, ὅσα ἀλλήλων ἐστὶν ἀναιρετικά. ὡς τὸ διὰ πέρας πλεῖν. μήποτε δὲ καὶ τοῦτο τοιοῦτόν ἐστιν. εἰ γὰρ τὸ καθ' αὑτὸ καὶ πρώτως κινούμενον τοῦτο ἦν τὸ ὅλον αὐτὸ κινούμενον, καὶ οὐχὶ τῷ μέρος τι αὐτοῦ κινεῖσθαι κινούμενον, πῶς δύναται τῷ καθ' αὑτὸ καὶ πρώτως κινουμένῳ, συνυπάρχειν τὸ μέρος μέν τι αὐτοῦ κινεῖσθαι, μέρος δὲ μὴ κινεῖσθαι. ἀλλ' ἡ μὲν ἀκολουθία ὑγιής. εἰ γὰρ σταίη τι μόριον τοῦ καθ' αὑτὸ κινουμένου, καὶ τὸ ὅλον στήσεται. καὶ οὐκέτι ὅλον καθ' αὑτὸ κινηθήσεται καὶ πρώτως. τὸ δὲ τοῦ καθ' αὑτὸ κινουμένου στῆναί τι μόριον, ἕως ἂν καθ' αὑτὸ κινούμενον ὅλον ὑπόκειται, τοῦτο ἀδύνατον. ἐμοὶ δὲ καὶ τοῦτο ἄπειρον δοκεῖ, πῶς εἴληπται τὸ αγβ κινούμενον. εἰ μὲν γὰρ ὡς σῶμα μόνον, τί ἂν εἴη ἐν αὐτῷ τὸ κινοῦν. εἰ δὲ ὡς ζῷον, τοῦ μὲν γβ κινουμένου μόνον ὡς σώματος ὄντος, τοῦ δὲ αγ κατὰ τὴν τοῦ ζῴου ψυχὴν τεταγμένου, καὶ διὰ τοῦτο κινοῦντός τε ἅμα καὶ κινουμένου, πῶς τὸ ὅλον καθ' αὑτὸ καὶ πρώτως λέγεται κινεῖσθαι, εἴπερ τὸ αγ τουτέστιν ἡ ψυχὴ κατὰ συμβεβηκὸς κινεῖται, τῷ ἐν κινουμένῳ εἶναι τῷ σώματι. πῶς δὲ ὅλως τὸ αγ κινοῖτο ἂν τοῦ γβ ἠρεμοῦντος. εἴπερ ἡ ψυχὴ καθ' ἑαυτὴν μὲν ἀκίνητός ἐστι. κινεῖται δὲ τῷ ἐν κινουμένῳ εἶναι τῷ σώματι. ὥστε οὐδὲ κατὰ μέρος ἂν τὸ αβ λέγοιτο κινεῖσθαι, ὡς τοῦ αγ ἐν αὐτῷ κινουμένου. εἰ γὰρ τὸ γβ ἠρεμεῖ κατὰ τὸ σῶμα τεταγμένον, καὶ τὸ αγ ἠρεμοίη ἂν ἀντὶ τῆς ψυχῆς παρειλημμένον. ἐγκαλοῦσι δὲ τῷ λόγῳ καὶ ὡς τὸ ἐν ἀρχῇ αἰτοῦντι, εἴπερ διὰ τοῦ μὴ κινεῖσθαι τὸ μέρος, δείκνυσι τὸ ὅλον μὴ καθ' αὑτὸ κινούμενον. ὁ γὰρ ὑποτιθέμενος μὴ κινεῖσθαι τὸ μέρος, δι' αὐτοῦ τούτου ὑποτίθεται μηδὲ τὸ ὅλον κινεῖσθαι καθ' αὑτὸ καὶ πρώτως. ἐπεὶ δὲ οὐκ ἀπόβλητόν τι τῶν ἀριστοτέλους νοημάτων εἶναί μοι δοκεῖ, οὔτε ὁ ἀλέξανδρος καίτοι πολλαχῇ στραφεὶς, διορθώσας φαίνεται τὸν λόγον ὡς ἄπταιστον, οὐδὲν ἴσως κωλύει καὶ τὴν ἐμὴν περὶ αὐτοῦ ὑπόνοιαν, εἰς ἐξέτασιν προθεῖναι τοῖς ἐντυγχάνουσι. μήποτε οὖν ὁ ἀριστοτέλης προθέμενος δεῖξαι, ὅτι τὸ καθ' αὑτὸ καὶ πρώτως κινούμενον τὸ σῶμα ὂν, οὐκ ἐξ αὐτοῦ τὴν τοῦ εἶναι ἀρχὴν ἔχει, ἀλλ' ὑπό τινος κινεῖται, δείκνυσι τοῦτο, προλαβὼν, ὅτι τὸ ἠρεμοῦν, τῷ ἄλλο τι πεπαῦσθαι κινούμενον, ὑπό τινος κινεῖται. καὶ οὐκ ἐξ ἑαυτοῦ τὴν κίνησιν ἔχει, οὐδὲ ἑαυτὸ κινεῖ. τοῦτο δὲ ἔδειξε διὰ τοῦ ἀντικειμένου αὐτῷ ἐναργεστέρου ὄντος, σὺν ἀντιθέσει τὴν ἀντιστροφὴν ποιησάμενος. εἰ γὰρ τὸ μὴ ὑπό τινος κινούμενον οὐκ ἀνάγκη παύεσθαι κινούμενον τῷ ἄλλο τι ἠρεμεῖν, ὃ τῷ ἄλλο τι ἠρεμεῖν ἀνάγκη παύεσθαι κινούμενον, ὑπό τινος κινεῖται. τὸ δὲ ἄλλο, τὸ μέρος ἔλαβεν. οὗ παυομένου, παύεσθαι τὸ ὅλον καθ' αὑτὸ καὶ πρώτως κινούμενον. διὸ καὶ ἐν τῷ τέλει τοῦ λόγου ἐπήγαγε, τοῦ δὲ μέρους μὴ κινουμένου, ἀνάγκη καὶ τὸ ὅλον ἠρεμεῖν. οὐχ ὡς κινοῦν οὖν ἔλαβεν ἐκεῖνο, οὗ παυομένου παύεται τὸ ὅλον κινούμενον, ἀλλ' ὡς καὶ αὐτὸ ἐν τῷ ὅλῳ κινούμενον, καὶ τῇ ἑαυτοῦ κινήσει συμπληροῦν τὴν τοῦ ὅλου κίνησιν. καίτοι εἰ ἐξ ἑαυτοῦ τὸ ὅλον ἐκινεῖτο, καὶ μὴ ὑπό τινος ἄλλου, ἀλλ' αὐτὸ ἦν καὶ κινοῦν καὶ κινούμενον, ἀνάγκη ἦν ὅλον ὅλῳ ἑαυτῷ ἐφαρμόττειν καὶ ἀμερὲς εἶναι καὶ ἀδιαίρετον, προσθήσω δ' ὅτι καὶ ἀεὶ κινεῖσθαι. ὡς γὰρ μὴ ἀπολεῖπον ἑαυτοῦ οὔποτε λήγει κινούμενον. εἰ δὲ διαιρετόν ἐστιν, ἐπειδὴ οὐκ ἐφαρμόττει ὅλον ὅλῳ ἑαυτῷ οὐ πάρεστιν ἀλλήλοις πανταχοῦ τὸ κινοῦν καὶ τὸ κινούμενον.

κινούμενον. μᾶλλον δὲ οὐδαμοῦ πάρεστιν ἐν τούτῳ. διὸ καὶ μέρος τι μὴ κινούμενον δυνατὸν ἐπὶ τούτου λαβεῖν, καὶ διὰ τὸ μέρος καὶ τὸ ὅλον ἠρεμεῖν. εἰκότως οὖν καὶ αὐτὸς τὸ διαιρετὸν εἶναι τὸ κινούμενον, αἴτιον εἶναι εἶπεν τοῦ τὸ ὅλον ἠρεμεῖν τοῦ μέρους μὴ κινουμένου. ὡς εἶναι τὴν τοῦ λόγου συναγωγὴν κατὰ μὲν Ἀλέξανδρον ἐν πρώτῳ σχήματι τοιαύτην. πᾶν τὸ καθ' αὑτὸ κινούμενον καὶ πρώτως ἐξ ἀνάγκης οὐ κινεῖται, παυσαμένου τινὸς τῆς κινήσεως. ὃ ἐξ ἀνάγκης οὐ κινεῖται παυσαμένου τινὸς τῆς κινήσεως, τοῦτο ὑπό τινος κινεῖται. τάχα δ' ἐν δευτέρῳ σχήματι συνάγειν ἄμεινον οὕτως. τὸ καθ' αὑτὸ καὶ πρώτως κινούμενον διαιρετὸν ὄν, ἠρεμοῦντος τοῦ μέρους τὸ ὅλον ἠρεμεῖ. τὸ ἐξ ἑαυτοῦ κινούμενον οὐκ ἠρεμεῖ ὅλον μέρους ἠρεμοῦντος. οὐ γὰρ ἔχει μέρος τὸ τοιοῦτον. τὸ ἄρα καθ' αὑτὸ καὶ πρώτως κινούμενον διαιρετὸν ὄν, οὐκ ἐξ ἑαυτοῦ κινεῖται. ὅπερ εἰς τὸ ὑπό τινος κινεῖσθαι μεταλαμβανόμενον, καταφατικὸν ἐποίησε τὸν Ἀλέξανδρον ἐν πρώτῳ σχήματι συναγαγεῖν τὸ συμπέρασμα. ὅτι δὲ οὕτως ὡς εἶπον συνῆκται, τεκμαίρομαι ἐκ τοῦ τὴν ἐλάττονα πρότασιν ὅλην αὐτὸν τεθεικέναι πρὸς τῷ πέρατι τοῦ λόγου, λέγοντα, ἀεὶ μὲν γὰρ ἔσται τὸ κινούμενον διαιρετόν, τοῦ δὲ μέρους μὴ κινουμένου ἀνάγκη καὶ τὸ ὅλον ἠρεμεῖν. ὃ ταὐτόν ἐστιν ὡς οἶμαι τῷ τὸ κινούμενον διαιρετὸν ὄν, τοῦ μέρους ἠρεμοῦντος τὸ ὅλον ἠρεμεῖ. εἰ δὲ ἔτυχον ὁπωσοῦν ἐγὼ τοῦ σκοποῦ τῶν εἰρημένων, οὐκ ἀδύνατον οἶμαι τοῦ καθ' αὑτὸ καὶ πρώτως κινουμένου μέρος ὑποτιθέναι μὴ κινούμενον. καθ' αὑτὸ μὲν γὰρ καὶ πρώτως κινούμενον ὑπετέθη τὸ διαιρετὸν μὲν ὄν, οὔπω δὲ διῃρημένον. τὸ δὲ διαιρετὸν ὑποθέσθαι διῃρημένον, οὐκ ἔστι τῶν ἀδυνάτων. καὶ διὰ τοῦτο καὶ ὁ Ἀριστοτέλης διαιρετὸν ὑποθέμενος τὸ καθ' αὑτὸ κινούμενον, διεῖλεν αὐτό. καὶ τῇ διαιρέσει τῇ κατ' ἐνέργειαν ἠκολούθησε τὸ μὴ καθ' αὑτὸ κινεῖσθαι. καὶ πρὸς τὴν ἐμὴν δὲ ἀπορίαν λέγω, ὅτι τὸ ΑΒ τὸ κινούμενόν ἐστι σῶμα. ὅπερ οὐκ ἐξ ἑαυτοῦ κινεῖσθαι ἔδειξεν, ἐκ τοῦ μερισθῆναι καὶ μέρους ἐν αὐτῷ ὑποτεθέντος ἠρεμεῖν, ἠρεμεῖ τὸ ὅλον. ὅπερ τῷ ἐξ ἑαυτοῦ κινουμένῳ οὐχ ὑπάρχει. διὰ τὸ μὴ δὲ ἔχειν μέρος. οὕτω δὲ ληφθεὶς ὁ λόγος, οὐδὲ τὸ ἐν ἀρχῇ αἰτεῖν ἂν λέγοιτο. ἐλήφθη μὲν γὰρ τὸ ΑΒ, ἕως ἂν διαιρετὸν ᾖ καὶ μὴ διῃρημένον, καθ' αὑτὸ καὶ πρώτως κινούμενον. διαιρεθέντος δὲ τοῦ διαιρετοῦ τῇ τοῦ μέρους ἠρεμίᾳ, ἐδείχθη τὸ ὅλον ἠρεμοῦν. ὡς μὴ δὲ καθ' αὑτὸ καὶ πρώτως ἔτι κινούμενον εἶναι αὐτό, μετὰ τὸ ἐνεργείᾳ διαιρεθῆναι. εἴτε γὰρ κινεῖται τὰ ἐνεργείᾳ γενόμενα μέρη, οὐκέτι πρώτως τὸ ὅλον κινεῖται. εἴτε ἠρεμεῖ τι τῶν μερῶν, οὐκέτι καθ' αὑτὸ τὸ ὅλον κινεῖται, ἀλλ' ἔπερ ἄρα τῷ μέρος τι αὐτοῦ κινεῖσθαι. ἰστέον μέντοι ὅτι ἐν τῷ ἐφεξῆς βιβλίῳ προτίθεται πάλιν δεῖξαι τοῦτο, τὸ πᾶν τὸ κινούμενον ὑπό τινος κινεῖσθαι, καὶ δείκνυσιν αὐτὸ ἀκριβέστερόν τε καὶ ἐναργέστερον.

ἘΠΕῚ ΔῈ τὸ κινούμενον πᾶν ὑπό τινος κινεῖται. ἀνάγκη καὶ τὸ κινούμενον πᾶν ἐν τόπῳ κινεῖσθαι ὑπ' ἄλλου. καὶ τὸ κινοῦν τοίνυν ὑφ' ἑτέρου. ἐπειδὴ καὶ αὐτὸ κινεῖται, καὶ πάλιν τοῦτο ὑφ' ἑτέρου, οὐ δὴ εἰς ἄπειρον πρόεισιν. ἀλλὰ στήσεταί που. καὶ ἔσται τι ὃ πρώτως αἴτιον ἔσται τοῦ κινεῖσθαι. εἰ γὰρ μὴ ἀλλ' ἐς ἄπειρον πρόεισιν, ἔστω τὸ μὲν Α, ὑπὸ τοῦ Β κινούμενον. τὸ δὲ Β ὑπὸ τοῦ Γ. τὸ δὲ Γ ὑπὸ τοῦ Δ. καὶ τοῦτον δὴ τὸν τρόπον, εἰς ἄπειρον προβαινέτω. ἐπεὶ οὖν ἅμα τὸ κινοῦν, καὶ αὐτὸ κινεῖται, δῆλον ὡς ἅμα κινήσεται τότε Α καὶ τὸ Β. κινουμένου γὰρ τοῦ Β κινηθήσεται καὶ τὸ Α. καὶ τοῦ Β δὴ κινουμένου, τὸ Γ. καὶ τοῦ Γ, τὸ Δ. ἔσται τοίνυν ἅμα, ἥτε τοῦ Α κίνησις καὶ τοῦ Β. καὶ τοῦ Γ. καὶ τῶν λοιπῶν ἑκάστου. καὶ λαβεῖν τοίνυν αὐτῶν ἕκαστον δυνησόμεθα. καὶ γὰρ εἰ ἕκαστον ὑφ' ἑκάστου κινεῖται, οὐδὲν ἧττον μία τῷ ἀριθμῷ ἡ ἑκάστου κίνησις καὶ οὐκ ἄπειρος τοῖς ἐσχάτοις. ἐπειδήπερ τὸ κινούμενον πᾶν, ἔκ τινος εἰς τι κινεῖται. ἢ γὰρ ἀριθμῷ συμβαίνει τὴν αὐτὴν κίνησιν εἶναι, ἢ γένει. ἢ εἴδει. ἀριθμῷ μὲν οὖν λέγω τὴν αὐτὴν κίνησιν τὴν ἐκ τοῦ αὐτοῦ εἰς τὸ αὐτὸ τῷ ἀριθμῷ ἐν τῷ αὐτῷ χρόνῳ τῷ ἀριθμῷ γινομένην. οἷον ἐκ τοῦδε τοῦ λευκοῦ ὅ ἐστιν ἓν τῷ ἀριθμῷ εἰς τόδε τὸ μέλαν κατὰ τόνδε τὸν χρόνον, ἕνα ὄντα τῷ ἀριθμῷ. εἰ γὰρ κατ' ἄλλον, οὐκέτι μία ἔσται τῷ ἀριθμῷ ἀλλὰ τῷ εἴδει. γένει δ' ἡ αὐτὴ κίνησις, ἡ ἐν τῇ αὐτῇ κατηγορίᾳ τῆς οὐσίας ἢ τοῦ γένους. εἴδει δέ, ἡ ἐκ τοῦ αὐτοῦ τῷ εἴδει, εἰς ταὐτὸ τῷ εἴδει. οἷον ἐκ τοῦ λευκοῦ εἰς τὸ μέλαν. ἢ ἐκ τοῦ ἀγαθοῦ εἰς τὸ κακόν. μὴ διάφορον ἐν τῷ εἴδει. ταῦτα δ' εἴρηται καὶ ἐν τοῖς προτέροις. εἰλήφθω τοίνυν ἡ τοῦ Α κίνησις, καὶ ἔστω ἐφ' οὗ τὸ Ε. καὶ ἡ τοῦ Β. ἐφ' οὗ τὸ Ζ. καὶ ἡ τοῦ Γ Δ. ἐφ' οὗ τὸ Η Θ. καὶ ὁ χρόνος ἐν ᾧ κινεῖται τὸ Α ὁ Κ. ὡρισμένης δὴ τῆς κινήσεως τοῦ Α, ὡρισμένος ἔσται καὶ ὁ χρόνος καὶ οὐκ ἄπειρος ὁ Κ. ἀλλ' ἐν τῷ αὐτῷ χρόνῳ ἐκινεῖτο τὸ Α καὶ τὸ Β. καὶ τῶν λοιπῶν ἕκαστον. συμβαίνει τοίνυν τὴν κίνησιν τὴν ΕΖΗΘ. ἄπειρον οὖσαν, ἐν ὡρισμένῳ χρόνῳ κινεῖσθαι τῷ Κ. ἐν ᾧ γὰρ τὸ Α ἐκινεῖτο, καὶ τὰ τῷ Α ἐφεξῆς ἅπαντα ἐκινεῖτο ἄπειρα ὄντα. ὥστ' ἐν τῷ αὐτῷ κινεῖται. καὶ γὰρ ἤτοι ἴση ἡ κίνησις ἔσται ἡ τοῦ Α τῇ τοῦ Β καὶ τῶν ἄλλων ἢ μείζων. διαφέρει δ' οὐδέν. πάντως γὰρ τὴν ἄπειρον κίνησιν, ἐν πεπερασμένῳ χρόνῳ συμβαίνει κινεῖσθαι. τοῦτο ἀδύνατον.

Λαβὼν ὡς δεδειγμένον τὸ πᾶν τὸ κινούμενον ὑπό τινος κινεῖσθαι, τούτου κειμένου, δείκνυσιν ὅτι ἔστι τι τὸ πρῶτον κινοῦν, καὶ οὐκ ἐπ' ἄπειρον ἄλλο ἄλλο κινεῖ. ἀλλ' ἔστι τι ὃ κινεῖ μὴ ὑπ' ἄλλου κινούμενον. δείκνυσι δὲ αὐτὸ ἐπὶ τῆς κατὰ τόπον κινήσεως, ἐπειδὴ αὕτη πρώτη τῶν κινήσεων, τῷ μὴ οὔσης αὐτῆς μὴ δὲ ἄλλην τινὰ κίνησιν εἶναι, ὡς ἐν τῷ ἐφεξῆς βιβλίῳ μαθησόμεθα. τὸ δὲ ὑπ' ἄλλου κινούμενον καλῶς εἴρηται. ἵνα μὴ μόνον ὑπ' ἄλλου εἰπὼν δόξῃ τὸ ἐν ἀρχῇ λαμβάνειν, τὸ εἶναί τι τὸ πρῶτον κινοῦν. ὃ δείκνυσι διὰ τοῦ δεῖξαι ὅτι οὐκ ἐπ' ἄπειρον ἄλλο πρὸ ἄλλου κινούμενον κινεῖ. ἐὰν οὖν ἐπὶ τῆς κατὰ τόπον κινήσεως δειχθῇ τὸ εἶναι τὸ πρῶτον κινοῦν, καὶ καθόλου ἂν εἴη δεδειγμένον. ἡ δὲ δεῖξις διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς πρόεισιν. ὑποθέμενος γὰρ ἐπ' ἄπειρον ἄλλο ὑπ' ἄλλου κινεῖσθαι, δείκνυσιν ἑπόμενον τούτῳ τὸ ἐν πεπερασμένῳ χρόνῳ ἄπειρον γίνεσθαι κίνησιν. ὅπερ ἀδύνατον ἐν τῷ πρὸ τούτου δέδεικται βιβλίῳ; ἐπὶ τούτου οὖν τοῦ τὸ ὑπ' ἄλλου κινούμενον ἀεὶ κινεῖσθαι ποιεῖται τὴν δεῖξιν, ἀναιρῶν τούτου τὸ ἐπ' ἄπειρον, καὶ δεικνὺς ὅτι ἔστι τι πρῶτον κινοῦν, μὴ ὑπ'

ἄλλου αὐτὸ κινούμενον. ὑποθέμενος γὰρ τὸ κινούμενον ὑπὸ ἄλλου ἀεὶ κινουμένου καὶ αὐτοῦ ὑπ' ἄλλου κινεῖσθαι, καὶ τοῦτο ἐπ' ἄπειρον, δείκνυσι τὸ ἑπόμενον ἀδύνατον τῇ ὑποθέσει. ἐπεὶ γὰρ τὸ κινοῦν ὑπόκειται κινούμενον αὐτὸ ὑπό τινος κινεῖν, δηλονότι ἅμα τε αὐτὸ ἔσται κινούμενον ὑπὸ τοῦ κινοῦντος αὐτὸ, καὶ κινοῦν τὸ ὑφ' ἑαυτοῦ κινούμενον, εἴπερ τῷ ὑπὸ ἄλλου κινεῖσθαι κινεῖ. ἐν τῷ αὐτῷ ἄρα χρόνῳ καὶ κατὰ τὸ αὐτὸ, ἥ τε τοῦ κινοῦντος καὶ ἡ τοῦ κινουμένου κίνησις ἐπιτελεῖται. ὅτε γὰρ κινεῖται τὸ κινοῦν, τότε κινεῖ. ὥστε ἅμα ἡ κίνησις ἔσται πάντων τῶν κινούντων τε καὶ κινουμένων. εἰ γὰρ τὸ μὲν α ὑπὸ τοῦ β κινοῖτο, τὸ δὲ β ὑπὸ τοῦ γ, τοῦτο δὲ ὑπὸ τοῦ δ, καὶ ἀεὶ τὸ ἐχόμενον ὑπὸ τοῦ ἐχομένου, φανερὸν ὅτι ἅμα ἔσται ἡ τοῦ α, καὶ ἡ τοῦ β, καὶ ἡ τοῦ γ, καὶ ἑκάστη τῶν κινούντων καὶ κινουμένων κίνησις ἐπειδὴ ἕκαστον τῶν κινούντων τε καὶ κινουμένων ἓν κατ' ἀριθμόν ἐστι. τοῦ δὲ ἑνὸς κατ' ἀριθμὸν μία κατ' ἀριθμὸν ἡ κίνησις. κἂν γὰρ ἡ ἐκ πάντων μία καὶ συνεχὴς γίνηται, ἀλλ' ἡ μία αὕτη σύγκειται ἐκ τῶν κατ' ἀριθμὸν τοσούτων, ὅσα ἐστὶ τὰ κινοῦντα καὶ κινούμενα. κἂν γὰρ ἅμα πάντα κινῆται, ἀλλ' ἕκαστον αὐτῶν ἰδίαν κίνησιν κινεῖται, διωρισμένην κατ' ἀριθμόν. τοῦ γὰρ ἀριθμῷ ἑνὸς, μία ἡ κατ' ἀριθμὸν κίνησις καὶ ὡρισμένη τῷ ἑνί. πᾶσα γὰρ κίνησίς φησιν ἔκ τινος εἴς τι. τοῦτο γάρ ἐστι τὸ κινήσει εἶναι καὶ ὅλως μεταβολῇ, τὸ ἔκ τινος εἴς τι εἶναι. καὶ ὡρίσθαι τῷ ἐξ οὗ καὶ τῷ εἰς ὅ. εἰπὼν δὲ ὅτι ἑκάστου τῶν κινούντων καὶ κινουμένων μία τῷ ἀριθμῷ κίνησις, δείκνυσιν ὅτι ἡ ἐκ τοῦ αὐτοῦ εἰς τὸ αὐτὸ κατὰ ἀριθμὸν, ἐν τῷ αὐτῷ κατ' ἀριθμὸν χρόνῳ γινομένη. ἐκ τοῦ αὐτοῦ δὲ τὸ ἐξ οὗ λέγει καὶ εἰς τὸ αὐτὸ τὸ εἰς ὅ. εἴτε τὸ αὐτό ἐστιν εἴτε ἕτερον τὸ ἐξ οὗ καὶ εἰς ὅ. καὶ ὁ χρόνος δὲ ἂν μὴ εἷς ᾖ καὶ συνεχὴς τῆς ἔκ τινος εἴς τι κινήσεως ἀλλὰ διαλείπων, οὐκέτι μία ἡ κίνησις. ἂν γὰρ ἐκ τοῦδε τοῦ λευκοῦ εἰς τόδε τὸ μέλαν μεταβάλλῃ, μὴ ἐν ἑνὶ κατ' ἀριθμὸν καὶ συνεχεῖ χρόνῳ, ἀλλ' ἐν ἄλλῳ καὶ ἄλλῳ, καὶ εἰ ὅτι μάλιστα ἓν κατ' ἀριθμὸν εἴη τό, τε ἐξ οὗ καὶ τὸ εἰς ὅ, καὶ τὸ μεταβάλλον ἕν, οὐκ ἔσται μία κατ' ἀριθμὸν μία κίνησις ἡ διακεκομμένη. ἀλλ' εἴπερ ἄρα μία τῷ εἴδει. εἰπὼν δὲ περὶ τῆς κατ' ἀριθμὸν μιᾶς κινήσεως, ἐπάγει ὅτι καὶ ἡ κίνησις ὥσπερ καὶ τὰ ἄλλα τριχῶς τὸ ἓν εἶναι ἔχει. ἢ γὰρ ἀριθμῷ ὡς εἴρηται ἢ γένει ἢ εἴδει. καὶ τίς μὲν ἡ κατ' ἀριθμὸν μία εἴρηται. γένει δὲ μία κίνησις ἐστὶν ἡ τῆς αὐτῆς κατηγορίας· οἷον οὐσίας, ὡς ἡ γένεσις καὶ ἡ φθορά. ἢ ποιότητος, ὡς ἀλλοίωσις. ἢ ποσότητος, ὡς αὔξησις καὶ μείωσις. ἢ τῆς ποῦ, ὡς ἡ κατὰ τόπον. κατηγορίας γὰρ ταῦτα τὰ γένη λέγειν ἔθος αὐτῷ. εἴδει δὲ αἱ αὐταὶ κινήσεως εἰσὶν, αἱ ἐκ τῶν αὐτῶν τῷ εἴδει εἰς τὰ αὐτὰ πάλιν ἀλλήλοις τῷ εἴδει γινόμεναι. οἷον αἱ ἐκ λευκῶν εἰς μέλανα γινόμεναι. τοῦ γὰρ αὐτοῦ εἴδους ἐστὶ τὰ λευκὰ, καὶ τοῦ αὐτοῦ τὰ μέλανα. εἴτε οὖν ἅμα γίνοιντο πλείονες κινήσεις ἐκ λευκῶν εἰς μέλανα, εἴτε ἐν ἄλλῳ καὶ ἄλλῳ χρόνῳ, αἱ αὐταὶ τῷ εἴδει εἰσίν. εἰπὼν δὲ ἡ ἐξ ἀγαθοῦ εἰς κακὸν, ἐπήγαγεν, ἐὰν ᾖ ἀδιάφορον τῷ εἴδει τὸ ἀγαθὸν δηλονότι καὶ τὸ κακόν. ὡς σωφροσύνη καὶ ἀκολασία. εἰ μέντοι κατ' εἶδος διαφέρει τἀγαθὰ, τά τε ἐξ ὧν, καὶ πάλιν τὰ εἰς ἃ ἡ μεταβολὴ, ὡς σωφροσύνη ἀνδρίας. καὶ ἀκολασία δειλίας, οὐκ εἰσὶν ὁμοειδεῖς αἱ ἐν τοῖς τοιούτοις μεταβολαί. ἀλλ' εἴπερ ἄρα, ὁμογενεῖς κατὰ τὸ ἀγαθὸν καὶ κακόν. περὶ δὲ τῆς μιᾶς κατ' ἀριθμὸν κινήσεως προειρηκὼς ἔτυχον. καὶ χρὴ τοσοῦτον μόνον προσθεῖναι, ὅτι καὶ τὸ κινούμενον εἶναι χρὴ ἓν κατ' ἀριθμὸν, εἰ μέλλει μία κατ' ἀριθμὸν ἡ κίνησις εἶναι. εἴρηται δὲ περὶ τῆς μιᾶς κινήσεως καὶ ἐν τῷ πέμπτῳ τῆς δὲ τῆς πραγματείας· εἰς ἃ ἀναπέμπων ἡμᾶς εἶπεν ἐν τοῖς πρότερον εἰρῆσθαι. μετὰ δὲ τὸ συστῆσαι ὅτι μίαν κατ' ἀριθμὸν κίνησιν ἕκαστον κινεῖται τῶν κινούντων τε καὶ κινουμένων, λαμβάνει τὸν χρόνον ἐν ᾧ τὸ ἓν τῶν κινουμένων κινεῖται. οἷον τὸ α πεπερασμένον ὄντα. ἐπειδὴ καὶ ἡ κίνησις ἡ ἑκάστου πεπερασμένη ὑπόκειται, ἔκ τινος εἴς τι οὖσα. ἡ δὲ πεπερασμένη κίνησις δέδεικται ἐν πεπερασμένῃ χρόνῳ. καὶ τίθησι τὸν τῆς κινήσεως τοῦ α χρόνον πεπερασμένον τὸν κ. ἐπειδὴ δὲ ἄπειρά ἐστι τὰ κινοῦντα καὶ κινούμενα, κἂν ἡ ἑκάστου κίνησις πεπερασμένη ᾖ, ἀλλ' ἡ ἐξ ἁπασῶν ἀπείρων ὄντων ἄπειρος ἔσται. τὸ γὰρ συντεθειμένον μέγεθος ἐκ τῆς τῶν ἀπείρων τῷ πλήθει μεγεθῶν συνθέσεως, ἀνάγκη ἄπειρον εἶναι, κἂν πεπερασμένον ἕκαστον ᾖ τῶν συντιθέντων. ἄπειρος οὖν ἡ ε ζ η θ ὡς τῷ λόγῳ εἰπεῖν κίνησις, ἡ ἐκ τῶν ἀπείρων τῷ πλήθει κινήσεων συνεστῶσα. ἐπεὶ οὖν ἐν ᾧ τὸ α κινεῖται χρόνῳ τουτέστιν ἐν τῷ κ, ἐν τούτῳ καὶ τῶν ἄλλων ἕκαστον τῶν κινουμένων ἀπείρων ὄντων τῷ πλήθει κινεῖται, συμβήσεται καὶ τὴν ὅλην τὴν ε ζ η θ κίνησιν ἄπειρον οὖσαν ἐν πεπερασμένῳ γίνεσθαι χρόνῳ τῷ κ. ἀδύνατον ἄρα τι ἠκολούθησε, τὸ ἐν πεπερασμένῳ χρόνῳ ἄπειρον κινεῖσθαι κίνησιν. ἐδείχθη γὰρ τοῦτο ἀδύνατον ἐν τῷ πρὸ τούτου βιβλίῳ. ἠκολούθησε δὲ τῷ ἄπειρα τῷ πλήθει ὑποτίθεσθαι τὰ κινοῦντα καὶ κινούμενα. ἀδύνατον ἄρα τὸ εἶναι ταῦτα ἄπειρα. ἔστιν ἄρα πρῶτόν τι ὃ κινεῖ, μηκέτι ὑπὸ ἄλλου κινούμενον. ἐπειδὴ δὲ τὸ ἐξ ἀπείρων τῷ πλήθει μεγεθῶν, κἂν τε ἴσα ᾖ τὰ μεγέθη κἂν τε ἄνισα, ἄπειρόν ἐστι μέγεθος δέ τι καὶ ἡ κίνησις, εἰκότως προσέθηκεν ὅτι εἴτε ἴσαι ἀλλήλοις εἰσὶν αἱ ἄπειροι κινήσεις τῷ πλήθει, εἴτε ἄλλαι ἄλλων μείζους, ἀμφοτέρως ἄπειρος ἡ ὅλη.

ΟΥ̓ΤΩ ΜῈΝ οὖν δόξειεν ἂν δείκνυσθαι τὸ ἐξ ἀρχῆς. οὐ μὴν δείκνυταί γε, διὰ τὸ μηδὲν ἄτοπον συμβαίνειν. ἐνδέχεται γὰρ ἐν πεπερασμένῳ χρόνῳ κίνησιν ἄπειρον εἶναι. μὴ τὴν αὐτὴν δὲ, ἀλλ' ἑτέραν καὶ ἑτέραν πολλῶν κινουμένων ἀπείρων. ὅπερ συμβαίνει καὶ τοῖς νῦν.

Ἀδιορίστως ληφθέντος ἐν τῇ προειρημένῃ ἀποδείξει, τοῦ ἄπειρα εἶναι τὰ πλήθει τὰ κινοῦντα καὶ κινούμενα, ἐφιστάνει καλῶς, ὅτι μὴ τυγχάνων τοῦ προσήκοντος προσδιορισμοῦ ὁ λόγος, δοκεῖ μὲν ἀποδεικνύναι τὸ ἐξ ἀρχῆς προτεθὲν, τὸ εἶναί τι πρῶτον κινοῦν, διὰ τοῦ ἀδύνατόν τι δεῖξαι ἑπόμενον τῷ ἀντικειμένῳ. τῷ λέγοντι ἐπ' ἄπειρον ἄλλο ὑπὸ ἄλλου ἀεὶ κινεῖν τε καὶ κινεῖσθαι, καὶ διὰ τοῦτο ἀπείρους κινήσεις ὑποθεμένῳ, καὶ μίαν ἄπειρον τῷ μεγέθει τὴν ἐκ τῶν ἀπείρων συστήσαντι. καὶ συναγαγόντι ἀδύνατόν τι τὸ τὴν

ἄπειρον

ἄπειρον ταύτην ἐν πεπερασμένῳ χρόνῳ κινεῖσθαι. ὅτι οὖν μὴ συνάγεται ἐκ τῶν κειμένων τούτων ἀδύνατόν τι, δείκνυσι. τὸ μὲν γὰρ κείμενον ἦν, τῶν ἀπείρων τῷ πλήθει καὶ αἱ κινήσεις ἄπειροι τῷ πλήθει. ἐνδέχεται δὲ τὰς ἀπείρους ταύτας τῷ πλήθει κινήσεις ἐν πεπερασμένῳ χρόνῳ γίνεσθαι, ἅμα γινομένας ὡς εἴρηται, τήν τε τοῦ α καὶ τοῦ β καὶ τῶν ἄλλων. καὶ οὐδὲν ἀδύνατον ἀκολουθεῖ. ἀλλὰ τὸ ἀδύνατον ἠκολούθησεν ἄν, τῷ μίαν ἄπειρον κίνησιν ἐν πεπερασμένῳ χρόνῳ κινεῖσθαι. ἐπεὶ τό γε πλείους τῷ πλήθει καὶ ἀπείρους ἐν πεπερασμένῳ γίνεσθαι οὐκ ἀδύνατον. εἰ οὖν μέλλει τὸ ἀδύνατον ἀκολουθεῖν, χρὴ δεῖξαι πῶς αἱ ἄπειροι τῷ πλήθει κινήσεις εἰς μίαν κίνησιν ἄπειρον τῷ μεγέθει συντίθενται, ἅμα γινομένην ἐν πεπερασμένῳ χρόνῳ, ἐν ᾧ καὶ μία τῶν πεπερασμένων γίνεται. οὕτω γὰρ ἂν ἠκολούθησε, τὸ ἀδύνατον τὸ ἐν πεπερασμένῳ χρόνῳ ἄπειρον εἶναι κίνησιν. τοῦτο οὖν ἐφεξῆς ποιεῖ δεικνύς, ὅπως μία ἄπειρος ἡ τοιαύτη κίνησις ἀποτελεῖται.

Α ΛΛ' ΕΙ τὸ κινούμενον πρώτως κατὰ τόπον καὶ σωματικὴν κίνησιν, ἀνάγκη ἅπτεσθαι ἢ συνεχὲς εἶναι τῷ κινοῦντι καθάπερ ὁρῶμεν ἐπὶ πάντων τοῦτο συμβαῖνον. ἔσται γὰρ ἐξ ἁπάντων ἓν τὸ πᾶν ἢ συνεχές. τὸ δὴ ἐνδεχόμενον εἰλήφθω. καὶ ἔστω τὸ μὲν μέγεθος ἢ τὸ συνεχές, ἐφ' οὗ τὸ αβγδ, ἡ δὲ τούτου κίνησις ἡ εζηθ. διαφέρει δ' οὐδὲν ἢ πεπερασμένον ἢ ἄπειρον, ὁμοίως γὰρ ἐν πεπερασμένῳ τῷ κ κινηθήσεται. ἢ ἄπειρον ἢ πεπερασμένον. τούτων δ' ἑκάτερον, τῶν ἀδυνάτων. φανερὸν οὖν, ὅτι στήσεταί ποτε. καὶ οὐκ εἰς ἄπειρον πρόεισι τὸ ἀεὶ ὑφ' ἑτέρου, ἀλλ' ἔσται τι ὃ πρῶτον κινηθήσεται. μηθὲν δὲ διαφερέτω, τὸ, ἐξ ὑποτεθέντος τινὸς τοῦτο δείκνυσθαι. τοῦ γὰρ ἐνδεχομένου τεθέντος, οὐδὲν ἄτοπον ἔδει συμβαίνειν.

Π ολλῶν μὲν ὄντων καὶ ἀπείρων τῷ πλήθει κινούντων τε καὶ κινουμένων, οὐδὲν ἀδύνατον ἕπεται τῷ τὰς ἀπείρους κινήσεις ἅμα ἐν πεπερασμένῳ γίνεσθαι χρόνῳ. ἀλλ' ἕν τι γίνεταί φησιν τὸ ἐκ πάντων τῶν κινούντων καὶ κινουμένων. τὸ γὰρ κινοῦν τι κατὰ τόπον πρῶτον τουτέστι προσεχῶς καὶ μὴ δι' ἄλλου, καὶ σωματικὴν κίνησιν κινοῦν, ἀνάγκη συνεχὲς ὂν τῷ κινουμένῳ κινεῖν, ἢ ἁπτόμενον αὐτοῦ οὕτω κινεῖν αὐτό. σωματικὴν δὲ λέγει κίνησιν τὴν ἀντερειστικήν. κινεῖ μὲν γὰρ καὶ τὸ πρώτως κινοῦν καὶ τὸ ἐραστόν. καὶ εἰ καὶ κατὰ τόπον κινεῖ ταῦτα, ἀλλ' οὐ σωματικῶς. σωματικῶς γὰρ κινεῖ τὸ ὠθοῦν, ἢ ἕλκον, ἢ δινοῦν, ἢ ὀχοῦν. τὰ δὲ τοιαῦτα ἅπτεσθαι ἀνάγκη τῶν ὑπ' αὐτῶν κινουμένων, καὶ διὰ τῆς ἀφῆς τρόπον τινὰ ἑνοῦσθαι αὐτοῖς. κἂν πλείω οὖν κἂν ἄπειρα, τὰ κινοῦντα καὶ κινούμενα ἐκ διαδοχῆς, καὶ ταῦτα γὰρ ἓν ἔσται κατὰ τὴν ἀφήν. εἴτε δὲ ἄπειρόν φησιν τὸ ἓν τοῦτο, εἴτε πεπερασμένον, οὐδὲν διαφέρει. οὐχ ὅτι ἀδύνατον ἐξ ἀπείρων τῷ πλήθει μεγεθῶν ἁπτομένων ἀλλήλων, κἂν τῶν δημοκρείτου ἀτόμων εἴη τῷ μεγέθει βραχύτερα, πεπερασμένον τι ἓν γίνεσθαι. ἀλλ' ὅτι οὐ πρόκειται νῦν σκοπεῖν, εἴτε ἔστι τι ἄπειρον μέγεθος, εἴτε οὐκ ἔστι. κἂν πεπερασμένον γὰρ αὐτό τις ὑπόθηται, τῆς κινήσεως ἀπείρου οὔσης καὶ μιᾶς τῆς ἐκ τῶν ἀπείρων τῷ πλήθει κινήσεων συγκειμένης, ἀκολουθήσει τὸ ἀδύνατον τὸ ἐν πεπερασμένῳ χρόνῳ ἄπειρον κίνησιν κεκινῆσθαι, εἴτε πεπερασμένον εἴη τὸ μέγεθος, εἴτε ἄπειρον. ἀμφοτέρως γὰρ τὸ ἀδύνατον ἕπεται, ὡς δέδεικται ἐν τῷ πρὸ τούτου βιβλίῳ. καὶ νῦν δὲ ὑπέμνησεν ἡμᾶς, ὡς ὅπως ἂν ληφθῶσιν αἱ ἄπειροι τῷ πλήθει κινήσεις, εἴτε ἴσαι εἴτε ἄνισοι, μέγεθος οὖσαι, ἄπειρον καὶ τὸ ὅλον τῷ μεγέθει ποιοῦσι, προσθεὶς νῦν καὶ ὅτι μία γίνεται κίνησις, κατὰ τὴν τῶν κινούντων καὶ κινουμένων ἐπαφὴν ἓν ποιούντων τὸ κινούμενον. ἡ γὰρ τοῦ ἑνὸς κίνησις μία. τὸ δὲ, ὃ γὰρ ἐνδέχεται, ληψόμεθα ὡς ὑπάρχον, περὶ τοῦ ἴσας ἢ ἀνίσους λαβεῖν εἶπεν. ἐπεὶ γὰρ ἀμφότερα ἐνδέχεται, ὁπότερον ἂν ὑποτεθῇ, τούτῳ ἕξομεν ἀκόλουθον τὸ ἀδύνατον. ἄπειρον δὲ ὑποθέμενος τὸ ἐκ τῶν αβγδ μέγεθος, ἀπείρων ὄντων τῷ πλήθει μεγεθῶν, ἐν τῇ συναγωγῇ τοῦ λόγου ἢ τὸ πεπερασμένον ἢ τὸ ἄπειρον εἶπεν, ὡς καθ' ἑκάτερον τοῦ ἀδυνάτου ἀκολουθοῦντος. καὶ γὰρ ἄπειρον καὶ πεπερασμένον μέγεθος ἄπειρον κινεῖσθαι κίνησιν ἐν πεπερασμένῳ χρόνῳ, ὁμοίως ἀδύνατον ἐδείχθη ἐν τῷ προλαβόντι βιβλίῳ. μετὰ δὲ τὸ διαλῦσαι τὴν ἐκ τοῦ ἀορίστως ὑποτεθέντος ἔνστασιν, συμπεραίνεται λοιπὸν τὸν λόγον. ἀδυνάτου γὰρ δειχθέντος τοῦ ἐπ' ἄπειρον εἶναι τὰ κινοῦντα καὶ κινούμενα, εἴπερ ἀδύνατόν τι αὐτῷ ἠκολούθησεν, ἀνάγκη τὸ ἀντικείμενον τούτῳ ἀληθὲς εἶναι, τὸ ἵστασθαι τὴν πρόοδον ταύτην καὶ μὴ ἐπ' ἄπειρον ἰέναι. ἀλλ' εἶναί τι τὸ πρώτως κινοῦν μηκέτι αὐτὸ ὑπ' ἄλλου κινούμενον. ἐπεὶ δὲ οὐ δεικτικῶς ἀλλ' ἐξ ὑποθέσεως αὐτῷ προῆλθεν ὁ λόγος, τῆς ἄπειρα τῷ πλήθει τὰ κινοῦντα καὶ τὰ κινούμενα ὑποθεμένης, καὶ ταύτῃ τὸ ἀδύνατον ἐπήγαγεν, ἵνα μὴ εἴπῃ τις μηδὲν εἶναι δεδειγμένον, εἴπερ ἐξ ὑποθέσεως τὸ ἀδύνατον ἠκολούθησε, καλῶς ἐπήγαγεν ὅτι ἡ ὑπόθεσις εἴληπται ὡς ἐνδεχομένη. ὁ γὰρ μὴ συγχωρῶν εἶναί τι πρῶτον κινοῦν, ὡς ἐνδεχομένου τοῦ ἐπ' ἄπειρον δύνασθαι λαμβάνειν ἄλλο πρὸ ἄλλου κινοῦν τε καὶ κινούμενον. οὕτως ἐκεῖνο οὐ συγχωρεῖ. τῷ δὲ ἐνδεχομένῳ ὑποτεθέντι οὐδὲν ἀδύνατον ἀκολουθεῖ. ἀλλ' ἀδύνατον μὲν ἀδυνάτῳ, δυνατὸν δὲ δυνατῷ, ὡς ἐν τοῖς ἀναλυτικοῖς ἐδιδάχθημεν. ὥστε κἂν ὡς ἐνδεχόμενον ὑποτεθῇ, οὐκ ἦν ἐνδεχόμενον. ὅταν δὲ λέγῃ ἡ γὰρ ὑπόθεσις εἴληπται ἐνδεχομένη, ἀντὶ τοῦ ὡς ἐνδεχομένη ἀκουστέον. ὥστε κἂν ἐξ ὑποθέσεως συνέβη τὸ ἀδύνατον, ἐξ ὑποθέσεως συνέβη ὡς ἐνδεχομένης ὑποτεθείσης. καὶ εἴπερ ἦν ἐνδεχομένη, οὐκ ἐχρῆν ἀδύνατόν τι αὐτῇ ἀκολουθῆσαι.

Τ Ο ΔΕ ΠΡΩΤΟΝ κινοῦν, μὴ ὡς τὸ οὗ ἕνεκεν. ἀλλ' ὅθεν ἡ ἀρχὴ τῆς κινήσεως ἅμα τῷ κινουμένῳ. ἅμα δὲ λέγω, διότι οὐθὲν αὐτῶν μεταξύ ἐστι. τοῦτο γὰρ κοινὸν ἐπὶ παντὸς κινουμένου καὶ κινοῦντός ἐστιν. ἐπεὶ δὲ τρεῖς εἰσὶ κινήσεις, ἥ τε κατὰ τόπον καὶ κατὰ τὸ ποιὸν καὶ κατὰ τὸ ποσόν, ἀνάγκη καὶ τὰ κινούμενα τρία. ἡ μὲν οὖν κατὰ τόπον φορά, ἡ δὲ, κατὰ τὸ ποιὸν ἀλλοίωσις. ἡ δὲ κατὰ τὸ ποσὸν αὔξησις καὶ φθίσις. πρῶτον μὲν οὖν ὑπὲρ τῆς φορᾶς εἴπωμεν. αὕτη γὰρ πρώτη τῶν κινήσεών ἐστιν.

Ἵνα δείξῃ μίαν τῷ ἀριθμῷ γινομένην κίνησιν τὴν ἐκ τῆς ἐπ' ἄπειρον τῶν κινούντων καὶ τῶν κινουμένων ὑποθέσεως, καὶ τούτῳ τὸ ἀδύνατον ἐπαγάγῃ τό, ἐν πεπερασμένῳ χρόνῳ ἄπειρον κίνησιν κινεῖσθαι, ἐχρήσατο τῷ τὸ προσεχῶς κινοῦν ὀφείλειν ἅπτεσθαι τοῦ κινουμένου, ἢ συνεχὲς αὐτῷ εἶναι. τοῦτο δὲ τότε μὲν ἀπὸ τῆς ἐπαγωγῆς ἐπιστώσατο, εἰπὼν καθάπερ ὁρῶμεν ἐπὶ πάντων. νῦν δὲ ἀποδεῖξαι αὐτὸ καθ' ἕκαστον εἶδος κινήσεως προτίθεται, ὅτι τὸ προσεχῶς κινοῦν ἀνάγκη ἅμα τῷ κινουμένῳ εἶναι. ἐπεὶ δὲ τὸ κινοῦν διττόν, τὸ μέν, ὡς τὸ ὅθεν ἡ ἀρχὴ τῆς κινήσεως τουτέστι τὸ ποιητικόν, τὸ δὲ ὡς τὸ οὗ ἕνεκεν τουτέστι τὸ τελικόν, περὶ τοῦ ποιητικοῦ νῦν αὐτῷ ἡ ἀπόδειξις γίνεται. τὸ γὰρ ὡς τέλος κινοῦν καὶ ὅλως τὸ ὀρεκτόν, οὐχ ἅμα τῷ κινουμένῳ. ἡ γὰρ ὄρεξις μὴ παρόντος μάλιστά ἐστιν ἔκτασις ἐπ' αὐτὸ οὗτος. πρῶτον δὲ κινοῦν λέγεται μέν, καὶ τὸ τὴν αἰτίαν ἐνδιδοῦν τῆς κινήσεως, κἂν δι' ἄλλων τινῶν μεταξὺ κινήσεων. ὡς ὁ διὰ σχοίνου ἕλκων, ἢ διὰ ῥάβδου ὠθῶν. οὕτω δὲ καὶ τὸ πρώτιστον αἴτιον τῆς κινήσεως τὸ ἀκίνητον, τὰ ἐνταῦθα λέγεται καὶ ὡς ποιητικὸν κινεῖν. πρῶτον δὲ κινοῦν λέγεται καὶ τὸ προσεχῶς κινοῦν. ὡς νῦν ἐχρήσατο τῷ ὀνόματι, τὸ πρῶτον οὕτω κινοῦν λέγων ἅμα τῷ κινουμένῳ. ὅπως δὲ καὶ τὸ ἅμα λέγει, αὐτὸς ἐξηγήσατο. εἰπών, λέγω δὲ τὸ ἅμα ὅτι οὐδέν ἐστι μεταξύ. ὅ ταὐτόν ἐστι τῷ ἅπτεσθαι. ἅπτεσθαι γὰρ ἐκεῖνα ἐλέγετο, ὧν τὰ ἄκρα ἅμα, ὥστε μηδὲν ἔχειν μεταξύ. εἰπὼν δὲ ὅτι τοῦτο κοινόν ἐστιν ἐπὶ παντὸς τοῦ κινουμένου καὶ κινοῦντος, δηλονότι τοῦ οὕτως ὡς εἴρηται ποιητικῶς κινοῦντος, διαιρεῖ λοιπὸν τὰ εἴδη τῆς κινήσεως, εἰς τὴν κατὰ τόπον, καὶ κατὰ ποιόν. καὶ κατὰ ποσόν. καὶ τρία τὰ κινοῦντα λαβών, τὸ φερόν καὶ τὸ ἀλλοιοῦν καὶ τὸ αὖξον ἢ φθῖνον, ἐπὶ πρώτης τῆς φορᾶς ὡς πρώτης οὔσης τῶν κινήσεων, ὡς δείξει ἐν τῷ ἐφεξῆς βιβλίῳ, τὸν λόγον ποιεῖται.

ἍΠΑΝ ΔΗ τὸ φερόμενον, ἢ ὑφ' αὑτοῦ κινεῖται, ἢ ὑπ' ἄλλου. ὅσα μὲν οὖν αὐτὰ ὑφ' αὑτῶν κινεῖται, φανερὸν ἐν τούτοις, ὅτι ἅμα τὸ κινούμενον καὶ τὸ κινοῦν ἐστί. ἐνυπάρχει γὰρ αὐτοῖς τὸ πρῶτον κινοῦν. ὥστ' οὐδέν ἐστιν ἀνὰ μεταξύ. ὅσα δ' ὑπ' ἄλλου κινεῖται, τετραχῶς ἀνάγκη γίνεσθαι. τέτταρα γὰρ εἴδη τῆς ὑπ' ἄλλου φορᾶς. ἕλξις. ὦσις. ὄχησις. δίνησις. ἅπασαι γὰρ αἱ κατὰ τόπον κινήσεις ἀνάγονται εἰς ταύτας. ἡ μὲν γὰρ ἔπωσις, ὦσίς τίς ἐστι. ὅταν τὸ ἀπ' αὐτοῦ κινοῦν ἐπακολουθοῦν ὠθῇ. ἡ δ' ἄπωσις, ὅταν μὴ ἐπακολουθῇ κινῆσαν. ἡ δὲ ῥίψις, ὅταν σφοδροτέραν ποιήσῃ τὴν ἀπ' αὐτοῦ κίνησιν τῆς κατὰ φύσιν φορᾶς. καὶ μέχρι τοσούτου φέρηται, ἕως ἂν κρατῇ ἡ κίνησις. πάλιν ἡ δίωσις καὶ σύνωσις, ἄπωσις καὶ ἕλξις εἰσίν. ἡ μὲν γὰρ δίωσις, ἄπωσις. ἡ γὰρ ἀπ' αὐτοῦ, ἢ ἀπ' ἄλλου ἐστὶν ἡ ἄπωσις. ἡ δὲ σύνωσις, ἕλξις. καὶ γὰρ πρὸς αὐτὸ καὶ πρὸς ἄλλο ἡ ἕλξις. ὥστε καὶ ὅσα τούτων εἴδη. οἷον σπάθησις καὶ κέρκισις. ἡ μέν, γὰρ σύνωσις. ἡ δέ, δίωσις. ὁμοίως δὲ καὶ αἱ ἄλλαι συγκρίσεις. καὶ διακρίσεις. ἅπασαι γὰρ ἔσονται διώσεις ἢ συνώσεις. πλὴν ὅσαι ἐν γενέσει καὶ φθορᾷ εἰσίν.

Φερόμενον μὲν λέγει, τὸ κατὰ τόπον κινούμενον, καὶ ἀπὸ τῆς φορᾶς οὕτω προσαγορευόμενον. ὅτι δὲ ὄντος τοῦ κινουμένου, ἀνάγκη καὶ τὸ κινοῦν εἶναι, δῆλον. εἴπερ πᾶν τὸ κινούμενον ὑπό τινος ἐδείχθη κινεῖσθαι. διελὼν δὲ τὰ κατὰ τόπον κινούμενα, εἴς τε τὰ ὑφ' ἑαυτῶν κινούμενα καὶ ἐν ἑαυτοῖς ἔχοντα τὸ κινοῦν, ὥσπερ τὰ ζῷα ἐν ἑαυτοῖς ἔχει τὴν ψυχὴν κινοῦσαν τὸ σῶμα, καὶ εἰς τὰ ἔξωθεν καὶ ὑπ' ἄλλου κινούμενα, παρὰ γὰρ τούτους τοὺς τρόπους οὐκ ἔστιν. κινεῖσθαι, τὰ μὲν ὑφ' ἑαυτῶν κινούμενα, φανερόν φησιν ὡς ἐν ἑαυτοῖς ἅμα τὸ κινοῦν ἔχει τῷ κινουμένῳ, μὴ κεχωρισμένον αὐτοῦ μὴ δὲ διαλαμβανόμενον ὑπό τινος μεταξὺ παρεμπίπτοντος. οὕτω γοῦν ἡ ψυχὴ σύνεστι τῷ σώματι κινοῦσα αὐτό, κἂν μὴ σωματικῶς κινῇ. ἡ δὲ ὑπό τινος ἔξωθεν κινοῦντος γινομένη κίνησις, βίαιος οὖσα δηλονότι καὶ οὐ κατὰ φύσιν, τέσσαρας ἔχει τὰς ἀνωτάτω διαφοράς. ἢ γοῦν ἕλκει τὸ κινοῦν, ἢ ὠθεῖ, ἢ ὀχεῖ, ἢ δινεῖ. ὅτι δὲ οὗτοι μόνοι τρόποι τῆς ἔξωθεν καὶ ὑπ' ἄλλου γινομένης βιαίου κινήσεώς εἰσι, δείκνυσιν ἐκ τοῦ πάσας τὰς ὑπ' ἄλλου γινομένου βίᾳ κινήσεις, ὑπό τινα τούτων ἀνάγεσθαι τῶν διαφορῶν. τὴν μὲν γὰρ ἔπωσιν καὶ τὴν ἄπωσιν ὑπὸ τὴν ὦσιν ἀνάγει. εἰ γάρ ἐστιν ἡ ὦσις ὡς αὐτός μετ' ὀλίγον ὁρίζεται, ἢ ἀφ' ἑαυτοῦ πρὸς ἄλλο, ἢ ἀπ' ἄλλου πρὸς ἄλλο, ἔπωσις δέ ἐστιν ὅταν ἀφ' ἑαυτοῦ τινι κινουμένῳ ἀκολουθοῦντος ἐπωθῇ αὐτό, ἄπωσις δέ, ὅταν ἀφ' ἑαυτοῦ ἢ ἀπ' ἄλλου ὠθῆταί τι ὑπὸ τοῦ κινοῦντος μὴ ἐπακολουθοῦντος τῷ κινουμένῳ, κοινὴ ἂν εἴη ἀμφοῖν ἡ ὦσις. διαφέρουσι δὲ ἡ ἔπωσις καὶ ἡ ἄπωσις, τῷ ἐπακολουθεῖν ἢ μή. καὶ τὴν ῥίψιν δὲ εἰς τὴν ὦσιν ἀνάγεσθαί φησιν. ἕως γὰρ τότε ῥιπτεῖσθαί τι λέγεται, ἕως ἂν ἡ σφοδρότης τῆς ὤσεως ἐπικρατῇ τῆς οἰκείας τοῦ ῥιπτουμένου κινήσεως. ὅταν γὰρ ἐκείνης λυθείσης αὕτη ἐπικρατήσῃ, οἷον εἰ λίθος εἴη, οὐκέτι κατὰ τὴν ῥίψιν φέρεται, πλάγιος εἰ τύχοι ἢ πρὸς τὸ ἄνω. ἀλλὰ κατὰ τὴν οἰκείαν ῥοπὴν ἐπὶ τὸ κάτω. ὦσις τὶς οὖν ἐστι καὶ ἡ ῥίψις. κἂν γὰρ ἐπὶ τὸ κάτω τις ῥίψῃ τὸν λίθον, ἕως μὲν ἡ τοῦ ῥίψαντος ὦσις ἐπικρατῇ τῆς κατὰ φύσιν κινήσεως, ῥίψις ἐστὶν ἡ κίνησις. ἐκλυθείσης δ' ἐκείνης, καὶ τῆς κατὰ φύσιν κρατούσης, οὐκέτι ῥίψις οὐδὲ ὦσις. καὶ ἐπὶ τῆς ῥίψεως δέ, κἂν τὸ ῥίψαν μηκέτι ἅπτηται τοῦ ῥιφθέντος, ἀλλ' ὅ γε ἀὴρ προσεχῶς κινοῦν αὐτό, τὴν ἀρχὴν ἀπὸ τοῦ πρώτου κινήσαντος λαβών, καὶ εὐφυῶς ἔχων πρὸς τὴν ἐπὶ τὸ πλάγιον κίνησιν, διὰ τὸ μήτε βαρὺς ἁπλῶς εἶναι μήτε κοῦφος, ὠθεῖ τὸ ῥιφθὲν ἐφαπτόμενος αὐτοῦ. ὥσπερ αὐτὸν ὁ πρώτως κινήσας ἄνθρωπος εἰ τύχοι, ἢ ὁ παρ' ἐκείνου τὴν δύναμιν τοῦ κινεῖν κατὰ τὸ συνεχὲς διαδεξάμενος ἀήρ. οὕτω γὰρ αὐτὸς ἐν τῷ ἐφεξῆς βιβλίῳ τὴν ῥίψιν αἰτιολογεῖ, τὴν ἀντιπερίστασιν μὴ προσιέμενος. καὶ τὴν δίωσιν δὲ καὶ σύνωσιν τῇ ὤσει ὑπάγει καὶ ἕλξει. ἡ μὲν γὰρ δίωσις ἄπωσίς ἐστιν ἀπ' ἀλλήλων. ἡ δὲ ἄπωσις ὦσις. ἡ δὲ σύνωσις. ἕλξις. ἡ δὲ ἕλξις ἢ πρὸς αὐτὸ ἢ πρὸς ἄλλο. δοκεῖ δὲ καὶ ἡ σύνωσις ὦσίν τινα δηλοῦν. ἀλλ' οὐ χωριστὴν ὡς ἡ δίωσις. ἀλλὰ συναγωγὸν μᾶλλον καὶ συμπιλητικήν. καὶ

τὰ εἴδη δέ φησιν τῆς τε συνώσεως καὶ τῆς διώσεως ὑπὸ τὴν ὦσιν καὶ τὴν ἕλξιν ἀναχθήσεται. εἴδη δὲ τῆς μὲν διώσεως κόρκισις, καὶ πτύσις. καὶ ἐκπνοὴ, καὶ πᾶσα διακειτικὴ κίνησις. τῆς δὲ συνώσεως, σπάθησις, καὶ εἰσπνοὴ, καὶ ἡ τῆς τροφῆς ἢ τοῦ πόματος ὁλκή. καὶ ἁπλῶς πᾶσα συγκειτικὴ κίνησις. ἵνα γὰρ μὴ τοῖς καθ' ἕκαστον ἐπιὼν, ἅμα μὲν μηκύνῃ τὸν λόγον, ἅμα δὲ ὑποψίαν τοῖς παραλειπομένοις παράσχηται, εἰς σύγκρισιν καὶ διάκρισιν πάσας τὰς τοιαύτας ἀνάγαγὼν, τὴν μὲν διάκρισιν τινὰ ὦσιν φησὶν εἶναι, τὴν δὲ σύγκρισιν ἕλξιν. εἰπὼν δὲ ὅτι πᾶσαι αἱ συγκρίσεις καὶ διακρίσεις ἔσονται σύνωσις καὶ δίωσις, ἐπήγαγεν, ὅσαι ἐν γενέσει καὶ φθορᾷ εἰσιν. ἐπειδὴ γὰρ τοῖς περὶ ἀναξαγόραν λεύκιππον καὶ δημόκριτον πᾶσα γένεσις καὶ φθορὰ, συγκρίσει καὶ διακρίσει γίνεσθαι ἐδόκει, αὐτῷ μὲν τοῦτο οὐκ ἀρέσκει, εἰ δὲ γίνεται ὅλως φησίν τινὰ καὶ φθείρεται κατὰ σύγκρισιν καὶ διάκρισιν, οὐκ ἂν ἡ σύγκρισις αὕτη καὶ διάκρισις ἀνάγοιτο εἰς τὴν σύνωσιν καὶ δίωσιν. οὐδὲ διὰ τούτων εἰς τὴν ἕλξιν καὶ τὴν ὦσιν. τὸ μὲν γὰρ διωθούμενον καὶ συνωθούμενον, ὄντα κατ' οὐσίαν καὶ μένοντα ἅπερ ἐστὶν, διωθεῖσθαι καὶ συνωθεῖσθαι λέγεται. καὶ ὅλως ὠθεῖσθαι καὶ ἕλκεσθαι. τὰ δὲ γινόμενα καὶ φθειρόμενα οὐ μένοντα ἐπὶ τῆς οἰκείας οὐσίας, κατὰ γένεσιν καὶ φθορὰν μεταβάλλει. ἐπειδὴ κατ' οὐσίαν εἰσὶν αἱ τοιαῦται μεταβολαί. διὸ οὐκ ὤσεις οὐδὲ ἕλξεις αἱ τοιαῦται συγκρίσεις καὶ διακρίσεις. οὐδὲ γὰρ κινήσεις ὅλως εἰσὶν αἱ γενέσεις καὶ φθοραί. οὐδὲ ἕλκεσθαι ἢ ὠθεῖσθαι οἷόν τε τὸ ἔτι γινόμενον καὶ μήπω ὄν. ἐπειδὴ δὲ ὁ ἀλέξανδρος ἐν τῷ ἑτέρῳ ἑβδόμῳ βιβλίῳ τῷ κατὰ τὴν λέξιν ὀλίγον τι τούτου διαφέροντι, καὶ τὴν σπάθησιν καὶ τὴν κόρκισιν τῇ ὤσει ὑπάγεσθαι λέγει, ἰστέον ὅτι ἐν οἷς ἔγνων ἐγὼ, οὕτως εὗρον γεγραμμένον, καὶ ἡ σπάθησις δὲ καὶ ἡ κόρκισις. τὸ μὲν γάρ αὐτῶν σύγκρισις, τὸ δὲ διάκρισις. ἰστέον δὲ ὅτι ὁ θεμίστιος ἐν οἷς ἀνέγνων ἐγὼ βιβλίοις, ἀπὸ ταύτης τῆς ῥήσεως τῆς λεγούσης, ἅπαν δὴ τὸ φερόμενον ἢ αὐτὸ ὑφ' ἑαυτοῦ κινεῖται ἢ ὑπ' ἄλλου, ἤρξατο τοῦτο τὸ βιβλίον παραφράζειν, τῶν μέχρι τούτου ῥηθέντων ἐν αὐτῷ καταφρονήσας. καὶ οὐδὲ ἐν τοῖς ἑξῆς τὴν συνέχειαν φυλάττει.

A'' ΜΑ ΔΕ φανερὸν, ὅτι οὐδὲ ἔστιν ἄλλο τι γένος κινήσεως. ἡ σύγκρισις καὶ διάκρισις. ἅπασαι γὰρ διανέμονται εἰς τινὰς τῶν εἰρημένων. ἔτι δ' ἡ μὲν εἰσπνοὴ, ἕλξις. ἡ δ' ἐκπνοὴ, εἰσίν. ὁμοίως δὲ καὶ ἡ πτύσις. καὶ ὅσαι ἄλλαι διὰ τοῦ σώματος ἢ ἐκκριτικαὶ ἢ ληπτικαὶ κινήσεις. αἱ μὲν, γὰρ ἕλξεις εἰσ δέ. αἱ δ' ἀπώσεις. δεῖ δὲ καὶ τὰς ἄλλας τὰς κατὰ τόπον ἀνάγειν. ἅπασαι γὰρ πίπτουσιν εἰς τέσσαρας ταύτας.

E Ἰπὼν τὰς συγκρίσεις καὶ διακρίσεις τὰς μὲν, συνώσεις εἶναι, τὰς δὲ διώσεις, καὶ διὰ τοῦτο τὰς μὲν, ὤσεις τὰς δ' ἕλξεις, ἐπειδή τινες τῶν φυσικῶν ἀρχὰς οὐ μόνον τῶν κατὰ τόπον κινήσεων, ἀλλὰ καὶ πασῶν ἐτίθεντο τὴν σύγκρισιν καὶ διάκρισιν, οὐ μόνον κινήσεων ἀλλὰ καὶ μεταβολῶν πασῶν, αὐτὸς οὐ τοῦτο μόνον ἀναιρεῖν δοκεῖ τὸ πασῶν ἀρχὰς αὐτὰς εἶναι τῶν κινήσεων, ἀλλ' οὐδὲ ἀρχαί φησιν εἰσὶ πρῶται. οὐδὲ γένος τι ὅλως κινήσεως τοῦτο παρὰ τὰ τέσσαρα τὰ εἰρημένα. ἀλλ' ὑπ' ἐκεῖνα καὶ ταῦτα ἀνάγεται καὶ τὰ τούτων εἴδη. καὶ γὰρ ἡ μὲν εἰσπνοὴ σύγκρισις οὖσα, ἕλξις ἐστίν. ἡ δὲ ἐκπνοὴ διάκρισις οὖσα, ὦσις ἐστίν. ὁμοίως δὲ καὶ ἡ πτύσις. καὶ ὅσαι ἄλλαι φησὶν διὰ τοῦ σώματος ἐκκριτικαί εἰσιν ἢ ληπτικαὶ κινήσεις, αἱ μὲν, διακριτικαὶ οὖσαι, αἱ δὲ συγκριτικαὶ, αἱ μὲν, ὑπὸ τὴν ὦσιν ἀνάγονται, αἱ δὲ ὑπὸ τὴν ἕλξιν. οὕτω μὲν οὖν τὴν ἀρχὴν ὁ ἀλέξανδρος ἐξηγήσατο, τὴν σύγκρισιν καὶ διάκρισιν λέγων δεδεῖχθαι μὴ ἄλλο γένος οὔσας κινήσεως, ἀλλ' ὑπαγομένας αὐτὰς ταῖς προειρημέναις τέτρασιν ὡς μέρη ἐκείνων οὔσας. ἐφεξῆς δὲ ἀναλαβὼν τὸν λόγον, εἴτε κατ' ἄλλην ἐπιβολὴν ὕστερον προσγραφέντα, εἴτε οὐκ οἶδ' ὅπως, γενικωτάτας φησὶν ὑπ' αὐτοῦ κινήσεις δεδεῖχθαι τήν τε σύγκρισιν καὶ διάκρισιν. πάντα γάρ φησιν τὰ εἴδη τῆς κινήσεως ὑπὸ ταῦτα εὑρεθήσεται. εἰ γὰρ πάντα μὲν ὑπὸ τὴν δίωσιν καὶ τὴν σύνωσιν, τούτων δὲ ἡ μὲν σύγκρισις. ἡ δὲ διάκρισις, πάντα εἰς σύγκρισιν καὶ διάκρισιν ἀνάγοιτ' ἄν. ταῦτα ὁ ἀλέξανδρος αὐτῇ τῇ λέξει γέγραφεν, καίτοι τοῦ ἀριστοτέλους εἰπόντος, ὁμοίως δὲ καὶ αἱ ἄλλαι συγκρίσεις καὶ διακρίσεις, ἅπασαι γὰρ ἔσονται διώσεις καὶ συνώσεις, πλὴν ὅσαι ἐν γενέσει καὶ φθορᾷ. ὥστε οὐχ ἡ σύνωσις σύγκρισίς τις ἐστίν. οὐδὲ ἡ δίωσις διάκρισίς τις ὡς ὁ ἀλέξανδρός φησιν. ἀλλὰ τοὐναντίον αἱ συγκρίσεις καὶ διακρίσεις συνώσεις καὶ διώσεις εἰσί. πῶς δὲ εἰς σύγκρισιν καὶ διάκρισιν πᾶσαι ἀνάγοιντ' ἂν ἐκ τῶν νῦν εἰρημένων αἱ κινήσεις, εἴπερ πάσας εἰς τέσσαρας τὰς εἰρημένας πίπτειν φησὶν ὁ ἀριστοτέλης, καὶ τὰς δύο πάλιν τῶν τεττάρων τὴν ὄχησιν καὶ τὴν δίνησιν εἰς τὰς δύο τὰς λοιπὰς ἀνάγεσθαι τὴν ἕλξιν καὶ τὴν ὦσιν. καὶ ἐπὶ τούτων ὡς κοινὸν συνήγαγε τὸν προκείμενον λόγον, εἰπὼν ὥστε εἰ τὸ ὠθοῦν καὶ τὸ ἕλκον ἅμα τῷ ὠθουμένῳ, φανερὸν ὅτι τοῦ κατὰ τόπον κινουμένου καὶ κινοῦντος οὐδέν ἐστι μεταξύ. ἀλλ' οὐκ εἶπεν ὥστε εἰ τὸ συγκρῖνον καὶ διακρῖνον. ἐν μέντοι τῷ ἑτέρῳ ἑβδόμῳ βιβλίῳ οὕτως αὐτῇ λέξει γεγραμμένον ἐστίν. καὶ πᾶσα δὴ κίνησις ἡ κατὰ τόπον σύγκρισις καὶ διάκρισις ἐστίν. καὶ ἀπὸ ταύτης ἴσως τῆς λέξεως ὁ ἀλέξανδρος τὰ ὕστερον ῥηθέντα προσέθηκεν, οὐ συμφωνοῦντα τοῖς ἐνταῦθα γεγραμμένοις ὡς δοκεῖ. δυνατὸν δὲ ἴσως συμφώνως δεικνύναι τούτους τοὺς λόγους τοῦ ἀριστοτέλους τὴν σύγκρισιν καὶ τὴν διάκρισιν οὐχ ἁπλῶς ὑπὸ τὴν σύνωσιν καὶ τὴν δίωσιν, ἤτοι τὴν ἕλξιν καὶ τὴν ὦσιν ὡς ὑπὸ καθολικωτέρας ἀνάγοντος, ἀλλ' ὡς τὰς αὐτὰς ἐκείναις πάσης λέγοντος. οὕτω γὰρ ὁ ἀλέξανδρος ὕστερον διετάξατο λέγων, πᾶσαι ἂν ὑπάγοιντο ταῖς δύο ταύταις τῇ ἕλξει καὶ τῇ ὤσει. ὧν ἡ μὲν σύγκρισις ἐστίν, ἡ δὲ διάκρισις. καὶ οὕτω γενικώταται ἂν εἶεν κινήσεις σύγκρισίς τε καὶ διάκρισις.

T ΟΥΤΩΝ δὲ πάλιν, ἡ ὄχησις καὶ ἡ δίνησις, εἰς ἕλξιν καὶ ὦσιν. ἡ μὲν γὰρ ὄχησις, κατὰ τούτων τινὰ τῶν τριῶν τρόπων ἐστίν. τὸ μὲν γὰρ ὀχούμενον κινεῖται κατὰ συμβεβηκὸς, ὅτι ἐν κινουμένῳ ἐστὶ, ἢ ἐπὶ κινουμένου τινός. τὸ δ' ὀχοῦν, ὀχεῖ. ἢ ἑλκόμενον, ἢ ὠθούμενον. ἢ δινούμενον. ὥστε κοινὴ ἐστὶν ἁπασῶν τῶν τριῶν ἡ ὄχησις. ἡ δὲ δίνησις

σύγκειται, ἐξ ἕλξεώς τε καὶ ὤσεως. ἀνάγκη γὰρ τὸ δινοῦν, τὸ μὲν, ἕλκειν. τὸ δ᾽ ὠθεῖν. τὸ μὲν, γὰρ ἀφ᾽ αὑτοῦ. τὸ δὲ, πρὸς αὑτὸ ἄγει. ὥστ᾽ εἰ τὸ ὠθοῦν καὶ τὸ ἕλκον ἅμα τῷ ὠθουμένῳ καὶ τῷ ἑλκομένῳ, φανερὸν ὅτι τοῦ κατὰ τόπον κινουμένου καὶ κινοῦντος, οὐδέν ἐστι μεταξύ. ἀλλὰ μὴν τοῦτο δῆλον, καὶ ἐκ τῶν ὁρισμῶν. ὦσις μὲν γάρ ἐστιν, ἡ ἐφ᾽ αὑτοῦ, ἢ ἀπ᾽ ἄλλου πρὸς ἄλλο κίνησις. ἕλξις δὲ, ἡ ἀπ᾽ ἄλλου πρὸς αὑτὸ, ἢ πρὸς ἄλλο. ὅταν θάττων ἡ κίνησις ᾖ τοῦ ἕλκοντος ἢ χωρίζουσα ἀπὸ ἀλλήλων τὰ συνεχῆ. οὕτω γὰρ συνεφέλκηται θάτερον.

Δ εἴξας ὅτι εἰς τὰς τέσσαρας εἰρημένας πᾶσαι αἱ κατὰ τόπον ἀνάγονται κινήσεις, τὰς δύο πάλιν τήν τε ὄχησιν καὶ τὴν δίνησιν, εἰς τὰς λοιπὰς ἀνάγει δύο τήν τε ὦσιν καὶ τὴν ἕλξιν. δείκνυσι γὰρ τὴν μὲν ὄχησιν ἢ κατὰ ἕλξιν ἢ κατὰ ὦσιν ἢ κατὰ δίνησιν γινομένην. τὴν δὲ δίνησιν συγκειμένην ἔκ τε ὤσεως καὶ ἕλξεως. καὶ ὅτι μὲν ἡ ὄχησις ὑπό τινα τῶν τριῶν ἐστι δείκνυσι, λαμβάνων τὸ μὲν ὀχούμενον μὴ καθ᾽ αὑτὸ κινεῖσθαι ἀλλὰ κατὰ συμβεβηκός. τῷ γὰρ τὸ ὀχοῦν κινεῖσθαι, τούτῳ κινεῖται τὸ ὀχούμενον. καὶ ὡς ἐκεῖνο καθ᾽ αὑτὸ κινεῖται, οὕτω τοῦτο κατὰ συμβεβηκός. ὥστε τὰ ὀχοῦντα χρὴ ζητεῖν κατὰ πόσους κινεῖται τρόπους. κατὰ γὰρ τοὺς αὐτοὺς κινηθήσεται καὶ τὸ ὀχούμενον. τῶν δὲ ὀχούντων τὰ μὲν, ἀφ᾽ ἑαυτῶν κινούμενα ὀχεῖ, ὡς ὁ ἵππος τὸν ἀναβάτην, καὶ ὅλως τὰ ἔμψυχα. τὰ δὲ, ἔξωθεν καὶ αὐτὰ κινούμενα. ἀλλὰ περὶ μὲν τῶν ἐμψύχων καὶ ἐξ ἑαυτῶν κινουμένων δέδεικται πρότερον, ὅτι ἅμα ἐν ἑαυτοῖς καὶ τὸ κινοῦν καὶ τὸ κινούμενον. τὰ δὲ ἄψυχα καὶ ἔξωθεν κινούμενα, ἐν οἷς τινὰ ὀχοῦντά ἐστι, κατὰ τρεῖς κινεῖται τρόπους. ἢ γὰρ ἑλκόμενα. ὡς ἡ ναῦς ἡ ὀχοῦσα τοὺς ἐπιβάτας. ἢ ὠθούμενα. ὡς ἡ πρὸς ἄνεμον πλέουσα. ἢ δινούμενα, ὡς στρόμβοι καὶ μύλοι. οἵτινες καὶ ὀχοῦσι τινὰ αὐτοῖς ἐπικείμενα ἔστιν ὅτε. ὥστε ἡ ὄχησις κοινὴ τῶν τριῶν ἐστι τρόπων. ἢ γοῦν ἕλξει ἢ ὤσει ἢ δινήσει κινεῖται τὸ ὀχούμενον. οὕτω μὲν ἡ ὄχησις. ἡ δὲ δίνησίς φησιν σύγκειται ἔκ τε ἕλξεως καὶ ὤσεως. ὁ γὰρ δινῶν ποτὲ μὲν ἐφ᾽ ἑαυτὸν προσάγει τὸ δινούμενον, ποτὲ δὲ ἀφ᾽ ἑαυτοῦ ἀπωθεῖ. ὡς ἐπὶ τῶν ταῖς χερσὶν ἀληθόντων. ὠθῶν γὰρ ἀφ᾽ ἑαυτοῦ τὴν μύλην καὶ πάλιν ἕλκων, ποιεῖται τὴν δίνησιν. εἰ οὖν αἱ μὲν τέσσαρες κινήσεις εἰς ἕλξιν ἀνάγονται καὶ ὦσιν, τὸ δὲ ἕλκον καὶ τὸ ὠθοῦν ἅμα τῷ ἑλκομένῳ καὶ ὠθουμένῳ ἐστὶν, φανερὸν ὅτι τὰ κατὰ τόπον κινοῦντα ἅμα ἐστὶ τοῖς ὑπ᾽ αὐτῶν κινουμένοις κατὰ τόπον, καὶ οὐδέν ἐστι μεταξὺ αὐτῶν. λοιπὸν οὖν δεῖξαι ὅτι τὸ ὠθοῦν καὶ τὸ ἕλκον ἅμα τοῖς ὑπὸ αὐτῶν κινουμένοις ἐστί. τοῦτο δὴ δείκνυσιν ἐκ τῶν ὁρισμῶν τῆς τε ὤσεως καὶ τῆς ἕλξεως. ὁ δὲ κυριώτατος τῶν ἀποδείξεων τρόπος ἐκ τῶν ὁρισμῶν ἐστιν. ὁρισμὸς δὲ τῆς μὲν ὤσεως ἐστὶ, κίνησις ἡ ἀφ᾽ ἑαυτοῦ πρὸς ἄλλο, ἢ ἀπ᾽ ἄλλου πρὸς ἄλλο. τῆς δὲ ἕλξεως, κίνησις ἀπὸ ἄλλου ἢ πρὸς ἑαυτὸ ἢ πρὸς ἄλλο. ὅταν γάρ φησιν θάττων κίνησις ᾖ τῆς χωριζούσης ἀπ᾽ ἀλλήλων τὰ συνεχῆ, τότε φησὶν τὸ ἕλκον ἐφέλκεται θάτερον ἢ πρὸς ἑαυτὸ ἢ πρὸς ἄλλο, ὅταν κατισχύῃ τὸ ἕλκον τῆς τοῦ ἑλκομένου οἰκείας κινήσεως, τῷ θάττονα εἶναι τὴν τοῦ ἕλκοντος κίνησιν τῆς τοῦ ἑλκομένου. ἥτις ὅσον ἐφ᾽ ἑαυτῇ χωρίζει ἀπ᾽ ἀλλήλων τὰ συνεχῆ, τουτέστι τὰ ἑλκόμενα ἐπὶ τὸ ἅπτεσθαι, καὶ ταύτῃ συνεχιζόμενα. ἡ γὰρ οἰκεία κίνησις ἑκάστου ὅσον ἐφ᾽ ἑαυτῇ χωρίζει καὶ ἀποσπᾷ τὰ ὑπὸ τοῦ ἕλκοντος βίᾳ συναπτόμενα ἀλλήλοις. πολλαχοῦ γὰρ τὰ ἁπτόμενα συνεχῆ καλεῖν εἴωθεν ὁ ἀριστοτέλης. ὅταν δὲ ἡ τοῦ ἕλκοντος κίνησις θάττων ᾖ τῆς τοῦ ἑλκομένου, τῆς χωριζούσης ἀπ᾽ ἀλλήλων τὰ συνεχῆ μέλλοντα γίνεσθαι ὑπὸ τῆς ὁλκῆς, τότε ἡ ὁλκὴ γίνεται. καὶ συνεφέλκεται τὸ κινούμενον ὑπὸ τοῦ κινοῦντος. ἢ μᾶλλον ῥητέον, ὅταν θάττων ἡ κίνησις ᾖ τοῦ ἕλκοντος βίᾳ πρὸς τὸ ἀνόμοιον καὶ ἀποσπῶντος τὸ τέως ὂν συνεχὲς πρὸς τὸ ὅμοιον, τῆς τοῦ ἑλκομένου κατὰ φύσιν κινήσεως τῆς χωριζούσης ἀπὸ ἀλλήλων τὰ ἀνόμοια συνεχῆ. αἱ γὰρ κατὰ φύσιν δυνάμεις ἕκαστα τοῖς ὁμοίοις συνεχίζουσαι, ἐν τοῖς οἰκείοις φυλάττουσι τόποις. ὥσπερ αἱ βίᾳ ἕλκουσαι ἀποσπῶσαι τὰ τέως συνεχῆ, ἐπὶ τοὺς ἀνομοίους ἕλκουσι τόπους. εἰ δὲ καὶ ἐπὶ τοὺς ὁμοίους, ὡς εἴ τις ἐπὶ τὸ κάτω λίθον ἕλκει, ἢ ἐπὶ τὸ ἄνω πῦρ, ἀλλὰ θάττον εἶναι χρὴ τὴν τοῦ ἕλκοντος κίνησιν τῆς τοῦ ἑλκομένου, κἂν ἐπὶ τὰ αὐτὰ γίνηται, εἰ μέλλοι ἡ ὁλκὴ ἐπιτελεῖσθαι. ἰστέον δὲ ὅτι τὴν λέξιν ταύτην τὴν λέγουσαν, ὅταν θάττων ἡ κίνησις ᾖ τῆς χωριζούσης ἀπ᾽ ἀλλήλων τὰ συνεχῆ, ἔν τισιν ἀντιγράφοις ὁ ἀλέξανδρος μὴ φέρεσθαί φησιν. πῶς δὲ ἂν ἔχοι τοῦτο λόγον, εἴπερ ἀπὸ ταύτης τῆς προσθήκης εὐθὺς ὁ ἀριστοτέλης ἐπάγει. ἐν μέντοι τῷ ἑτέρῳ ἑβδόμῳ βιβλίῳ ἡ λέξις αὕτη οὕτως ἔχει. ἡ δὲ ἕλξις ὅταν ἤτοι πρὸς αὑτὸν ἢ πρὸς ἕτερον θάττων ἡ κίνησις ᾖ τοῦ ἕλκοντος μὴ χωριζομένη τῆς τοῦ ἑλκομένου.

Τ ΆΧΑ ΔΈ δόξειεν ἂν εἶναί τις ἕλξις καὶ ἄλλως. τὸ γὰρ ξύλον ἕλκει τὸ πῦρ, οὐχ οὕτως. τὸ δ᾽ οὐθὲν διαφέρει κινουμένου τοῦ ἕλκοντος ἢ μένοντος ἕλκειν. ὁτὲ μὲν γοῦν ἕλκει οὗ ἐστιν. ὁτὲ δὲ οὗ ἦν. ἀδύνατον δὲ ἢ ἀφ᾽ αὑτοῦ πρὸς ἄλλο, ἢ ἀπ᾽ ἄλλου πρὸς αὑτὸ κινεῖν μὴ ἁπτόμενον. ὥστε φανερὸν ὅτι τοῦ κατὰ τόπον κινουμένου καὶ κινοῦντος, οὐδέν ἐστι μεταξύ.

Τ ὸν λόγον ἀποδοὺς τῆς ἕλξεως, καὶ θάττον ἐν αὐτῷ ἀποδοὺς τὴν κίνησιν τοῦ ἕλκοντος τῆς τοῦ ἑλκομένου κατὰ φύσιν κινήσεως ἐπέστησεν, ὅτι τινὰ τῶν ἑλκόντων δοκεῖ ἕλκειν μὴ κινούμενα αὐτά. ὥσπερ τὸ ξύλον ἕλκειν δοκεῖ τὸ πῦρ πρὸς ἑαυτό. καὶ ἔτι μᾶλλον ἡ ἡρακλεία λίθος τὸν σίδηρον, καὶ τὸ ἤλεκτρον τὸ ἄχυρον οὐ κινούμενα αὐτά. πῶς οὖν θάττων ἡ τούτων κίνησις εἴη ἂν τῆς κατὰ φύσιν τῶν ἑλκομένων κινήσεως. ἢ καὶ ἐπὶ τούτων τὴν φυσικὴν δύναμιν ἐκείνην τὴν ἕλκουσαν βίᾳ ἰσχυροτέραν εἶναι χρὴ τῆς τῶν ἑλκομένων δυνάμεως, κἂν μὴ κινῆται τὰ ἕλκοντα. διό φησιν οὐδὲν διαφέρει, εἴτε κινουμένου τοῦ ἕλκοντος εἴτε μένοντος γίνεται ἡ ὁλκή. τὸ δὲ ὁτὲ μὲν γὰρ ἕλκει οὗ ἐστιν, ὁτὲ δὲ οὗ ἦν ὁ ἀλέξανδρος ἐξηγούμενος, τὸ μὲν οὗ ἐστι φησὶ σημαίνει τὸ ἀφ᾽ οὗ ἐστιν. τὸ δὲ οὗ ἦν τὸ ἀφ᾽ οὗ ἦν. καὶ λέγει δὲ τὸ μὲν ἀφ᾽ ἑαυτοῦ πρὸς ἄλλο ἕλκον ἀφ᾽ οὗ ἐστιν αὐτὸ τὸ ἕλκον, ἀπὸ τούτου ἄγει τὸ ἑλκόμενον. τὸ δὲ ἀπ᾽ ἄλλου πρὸς αὐτὸ ἀφ᾽ οὗ ἦν τὸ ἑλκόμενον,

ἀπάγει αὐτὸ προσάγων αὐτῷ. ἀλλ' ἀπίθανός μοι δοκεῖ ἡ μετάληψις τοῦ οὗ εἰς τὸ ἀφ' οὗ. κάλλιον οὖν οἶμαι προσελθὼν ἐξηγήσατο. ὅτι εἰπὼν μηδὲν διαφέρει ἢ κινούμενον ἐπήγαγεν, ὅτι τὸ μὲν μένον ἕλκει, ὅπου ἐστὶν αὐτό. τὸ δὲ κινούμενον ἐλθὸν ἐπὶ τὸ ἑλκόμενον, ἄγει αὐτὸ εἰς τὸν ἑαυτοῦ τόπον. ἐν ᾧ ἦν πρὸ τοῦ ἐπὶ τὸ ἑλκόμενον κινηθῆναι. ζητεῖ δὲ ὁ ἀλέξανδρος καλῶς. πῶς τὰ φυσικῶς ἕλκοντα οἷον ἡ ἡρακλεία λίθος καὶ τὰ τοιαῦτα ἁπτόμενα τῶν ἑλκομένων ἕλκει αὐτά. καὶ λέγει ὅτι κἂν μὴ αὐτὰ αὐτῶν ἅπτηται, ἀλλὰ τῇ δυνάμει δι' ἧς ἕλκει αὐτά, ἐκείνη αὐτῶν ἅπτεται. ἀλλ' οὐ τοῦτο ἦν τὸ προκείμενον τῷ ἀριστοτέλης δεῖξαι ὅτι ἀσωμάτῳ δυνάμει ἅπτεται τὸ ἕλκον τοῦ ἑλκομένου. ἀλλὰ σωματικῇ. ὡς μηδὲν εἶναι μεταξὺ σῶμα. κάλλιον οὖν τὸ ἐφεξῆς ὑπ' αὐτοῦ λεγόμενον. ἢ γὰρ ἀπόρροιαί τινες εἰσὶν ἀπὸ τῶν ἠρεμούντων καὶ οὕτως ἑλκόντων σωματικαί. δι' ὧν ἁπτομένων καὶ ἐμπλεκομένων ὥς τινες λέγουσιν ἕλκεται τὰ ἑλκόμενα. ἢ περὶ τῶν οὕτως ἑλκομένων ὁ λόγος αὐτῷ ἦν. ἄδηλον γὰρ τὸ γινόμενον ἐπὶ ἐκείνων. ἀλλὰ περὶ τῶν ξύλων εἶπεν. ἃ μένοντα τὸ πῦρ κατέχει παρ' αὐτοῖς ἕλκοντά πως αὐτό. καὶ τὴν ἄνω φορὰν αὐτοῦ βιαζόμενα, διὰ τὸ ἐξῆφθαι ἀπ' αὐτῶν. ὁ δὲ ἀλέξανδρος ἐπέστησεν ὅτι ἐν ταύτῃ τῇ ῥήσει προστέθεικεν ὁ ἀριστοτέλης τῇ λέξει τὸ ἀφ' ἑαυτῆς πρὸς ἄλλο. ὅπερ τῆς ὤσεως ἴδιον ἔργον ἐστὶ καὶ τῆς ἀπώσεως. μή ποτε δὲ οὐ περὶ τοῦ ἕλκοντος ἄμφω εἶπε τὸ ἀφ' ἑαυτοῦ πρὸς ἄλλο. ἔργον ἢ ἀπ' ἄλλου πρὸς ἑαυτό. ἀλλὰ τὸ μὲν ἀφ' ἑαυτοῦ πρὸς ἄλλο περὶ τοῦ ὠθοῦντος. τὸ δὲ ἀπ' ἄλλου πρὸς αὐτό, περὶ τοῦ ἕλκοντος. διὸ τὰς τέσσαρας κινήσεις εἰς ὦσιν καὶ ἕλξιν ἀναγαγὼν κοινῶς λοιπὸν συνεπεράνατο. ὅτι τοῦ κατὰ τόπον κινουμένου καὶ κινοῦντος, οὐδέν ἐστι μεταξύ. μετὰ δὲ ταύτην τὴν λέξιν ἔν τισιν ἀντιγράφοις ὁ ἀλέξανδρος, τὴν αὐτήν τινα λέξιν, γεγράφθαι φησίν. ὁμοίως δὲ καὶ εἴ τι ἐστὶ γεννητικὸν καὶ ποιητικὸν τοῦ ποιοῦ, καὶ τοῦτο ἀνάγκη ποιεῖν ἁπτόμενον βαρὺ κοῦφον. ἐφεξῆς δὲ τούτῳ κεῖσθαί φησιν οὐχὶ τὸ ἀλλὰ μὴν οὐδὲ τοῦ ἀλλοιουμένου ὅπερ μετὰ τὰ πρότερον εἰρημένα ἐν τοῖς πλείστοις γέγραπται. ἀλλὰ τὸ μετ' ὀλίγον τοῦτο. ἐν πᾶσι γὰρ συμβαίνει ἅμα εἶναι τὸ ἔσχατον ἀλλοιοῦν καὶ τὸ πρῶτον ἀλλοιούμενον. καὶ λέγοι ἄν φησι διὰ τῆς τοιαύτης λέξεως ὅτι οὐ μόνον τὰ κυρίως κινοῦντα καὶ κινούμενα ἅμα ἐστίν, οἷον τὰ κατὰ τόπον καὶ ποσὸν καὶ ποιὸν μεταβάλλοντα καὶ μεταβαλλόμενα, ἀλλὰ καὶ τὰ κατ' εἶδος τουτέστι τὰ κατ' οὐσίαν, ἅπερ ἐστὶ γένεσις καὶ φθορά. καὶ ἐν τοῖς τοιούτοις γὰρ τὸ μεταβάλλον ἅμα τῷ μεταβαλλομένῳ ἐστίν, ὡς ἐπὶ τῶν βαρέων καὶ κούφων γινομένων ἔχει. τουτέστι τῶν σωματικῶν στοιχείων. τὰ οὖν ποιοῦντα καὶ γεννῶντα ταῦτα ποιοῦ τινος εἰσὶ γεννητικά. ποιὰ γὰρ τὸ βαρὺ καὶ τὸ κοῦφον. καὶ γὰρ ἐν τῷ ἐφεξῆς βιβλίῳ δείκνυσιν ὅτι καὶ ταῦτα κινεῖται ὑπό τινος τοῦ ποιήσαντος ταῦτα. τοῦτο νῦν λέγει ὅτι κἂν εἴ τι ἐστὶ ποιητικὸν καὶ γεννητικὸν βαρέος καὶ κοῦφον, καὶ τοῦτο ἀνάγκη ποιεῖν ἁπτόμενον. τὸ γὰρ ἐφεξῆς τὸ συμβαίνει ἅμα τὸ ἔσχατον ἀλλοιοῦν εἶναι. καὶ τὸ πρῶτον ἀλλοιούμενον, περιττὸν αὐτόθεν δοκεῖ καὶ μετακείμενον. ἐπειδὴ ἐφεξῆς περὶ τοῦ ἀλλοιουμένου καὶ ἀλλοιοῦντός ἐστιν ὁ λόγος. καὶ ἐν πᾶσι τοῖς ἀντιγράφοις, ἡ ἐφεξῆς ῥηθησομένη λέξις γέγραπται.

Ἀλλὰ μὴν οὐδὲ τοῦ ἀλλοιουμένου καὶ τοῦ ἀλλοιοῦντος. τοῦτο δὲ δῆλον ἐξ ἐπαγωγῆς. ἐν ἅπασι γὰρ συμβαίνει ἅμα εἶναι τὸ ἔσχατον ἀλλοιοῦν καὶ τὸ ἀλλοιούμενον ὑπὸ τῶν εἰρημένων. ταῦτα γάρ ἐστι πάθη τῆς ὑποκειμένης ποιότητος. ἢ γὰρ θερμαινόμενον, ἢ γλυκαινόμενον, ἢ πυκνούμενον, ἢ ξηραινόμενον, ἢ λευκαινόμενον, ἀλλοιοῦσθαι φαμέν, ὁμοίως τό τε ἄψυχον καὶ τὸ ἔμψυχον λέγοντες. καὶ πάλιν τῶν ἐμψύχων, τά τε μὴ αἰσθητικὰ τῶν μερῶν, αὐτάς τε τὰς αἰσθήσεις. ἀλλοιοῦνται γάρ πως καὶ αἱ αἰσθήσεις. ἡ γὰρ αἴσθησις ἡ κατ' ἐνέργειαν, κίνησίς ἐστι διὰ τοῦ σώματος, πασχούσης τι τῆς αἰσθήσεως. καθ' ὅσα μὲν οὖν τὸ ἄψυχον ἀλλοιοῦται, καὶ τὸ ἔμψυχον. καθ' ὅσα δὲ τὸ ἔμψυχον, οὐ κατὰ ταῦτα πάντα τὸ ἄψυχον. οὐ γὰρ ἀλλοιοῦται κατὰ τὰς αἰσθήσεις. καὶ τὸ μέν, λανθάνει. τὸ δ' οὐ λανθάνει πάσχον. οὐδὲν δὲ κωλύει καὶ τὸ ἔμψυχον λανθάνειν, ὅταν μὴ κατὰ τὰς αἰσθήσεις γίγνηται ἡ ἀλλοίωσις. εἴπερ οὖν ἀλλοιοῦται τὸ ἀλλοιούμενον ὑπὸ τῶν αἰσθητῶν, ἐν ἅπασί γε τούτοις φανερόν, ὅτι ἅμα ἐστὶ τὸ ἔσχατον ἀλλοιοῦν, καὶ τὸ πρῶτον ἀλλοιούμενον. τῷ μὲν γὰρ συνεχὴς ὁ ἀήρ. τῷ δ' ἀέρι τὸ σῶμα. πάλιν δὲ τὸ μὲν χρῶμα, τῷ φωτί. τὸ δὲ φῶς τῇ ὄψει. τὸν αὐτὸν δὲ τρόπον καὶ ἡ ἀκοὴ καὶ ἡ ὄσφρησις. πρῶτον γὰρ κινοῦν πρὸς τὸ κινούμενον, ὁ ἀήρ. καὶ ἐπὶ τῆς γεύσεως ὁμοίως. ἅμα γὰρ τῇ γεύσει ὁ χυμός. ὡσαύτως δὲ καὶ ἐπὶ τῶν ἀψύχων καὶ ἀναισθήτων. ὥστ' οὐδὲν ἔσται μεταξὺ τοῦ ἀλλοιουμένου καὶ τοῦ ἀλλοιοῦντος.

Μετὰ τὰ κατὰ τόπον κινοῦντα καὶ κινούμενα καὶ εἴπερ ἄρα μετὰ τὰ αὐτὰ τὸ εἶδος, περὶ τοῦ ἀλλοιουμένου καὶ ἀλλοιοῦντος προστίθεται εἰπεῖν. ὅτι καὶ ἐπὶ τούτων οὐδέν ἐστι μεταξὺ ὅπερ διὰ τῆς ἐπαγωγῆς γνώριμον εἶναί φησιν. ἐν πάσῃ γὰρ ἀλλοιώσει ἅμα εὑρίσκεται τό τε ἔσχατον ἀλλοιοῦν καὶ τὸ πρῶτον ἀλλοιούμενον. λέγει δὲ ἔσχατον ἀλλοιοῦν ὃ μέχρι τοῦ νῦν πρῶτον ἐκάλει τὸ προσεχῶς κινοῦν καὶ μεταβάλλον. τοῦτο δὲ πῇ μὲν πρῶτόν ἐστιν ὡς προσεχὲς τῷ κινουμένῳ, πῇ δὲ ἔσχατον τῶν κινούντων ὅταν διὰ μέσων τινῶν κινῇ τὸ πρώτως καὶ κυρίως κινοῦν. πρῶτον δὲ ἀλλοιούμενον λέγει, ὃ καθ' αὑτὸ ἀλλοιοῦται καὶ οὐ κατὰ συμβεβηκός. οὔτε τῷ τὸ τούτου τι ἀλλοιοῦσθαι. τῷ γὰρ οὕτως ἀλλοιουμένῳ ἅμα τὸ ἀλλοιοῦν. εἰπὼν δὲ ἐκ τῆς ἐπαγωγῆς δῆλον εἶναι, ὅτι οὐδέν ἐστι μεταξὺ τοῦ ἀλλοιοῦντος καὶ τοῦ ἀλλοιουμένου, ἐφεξῆς παρατίθεται ταῦτα δι' ὧν οἷόν τε ἐκ τῆς ἐπαγωγῆς τὸ προκείμενον λαμβάνειν. καὶ δείξας πρῶτον τῷ λέγω ὑπὸ τίνων ἀλλοιοῦται τὰ ἀλλοιούμενα, ὑφ' ὧν μὲν ἄγει ταῦτα ἐπακτικῶς, παραδεικνύων. ὅτι ἅμα ὄντων τούτων τοῖς ὑπ' αὐτῶν ἀλλοιουμένοις ἡ ἀλλοίωσις γίνεται. ὑπόκειται γάρ φησιν ἡμῖν, τουτέστι κεῖται καὶ ὡμολόγηται, τὸ τὰ ἀλλοιούμενα κατὰ τὰς παθητικὰς λεγομένας ποιότητας πάσχοντα ἀλλοιοῦσθαι. εἶδος δέ τι ποιότητος ἐν κατηγορίαις τὸ κατὰ τὰς παθητικὰς ποιότητας ἔγνωμεν, τέταρτον τοῦτο μετὰ τὴν ἕξιν καὶ τὴν δύναμιν καὶ τὸ σχῆμα.

παθητικαὶ δὲ ποιότητές εἰσιν, ὧν ἡ ἀντίληψις διὰ πάθους γίνεται, τοῖς αἰσθανομένοις. οἷον θερμότητες. ψυχρότητες ξηρότητες. γλυκύτητες, πικρότητες. καὶ αἱ τοιαῦται. καὶ αἱ κατὰ τὰ χρώματα διαθέσεις ἐπιπολαιότεραι καὶ οὐκ εἰδοποιοί. ἃς πάσας οὐ τῷ πάθος ἐμποιεῖν τοῖς ἀντιλαμβανομένοις παθητικὰς ἔφη ποιότητας καλεῖσθαι. ἀλλὰ τῷ αὐτὰς ἀπὸ πάθους ἐγγίνεσθαι τοῖς λαμβάνουσιν αὐτάς. ἡ γὰρ τοῦ πυρὸς θερμότης πάθος μὲν ἐμποιεῖ τοῖς μετέχουσιν. οὐ μέντοι παθητικὴ λέγεται. ὅτι οὐ διὰ πάθους ἐγένετο, ὥστε διάθεσιν ἐπιπόλαιον εἶναι καὶ εὐμετάβλητον. ἀλλ' οὐσιώδης ἐστίν. εἰ οὖν τὰ ἀλλοιούμενα πάσχει, τὰ δὲ πάσχοντα ὑπὸ τῶν αἰσθητῶν πάσχει, τὰ γὰρ ποιοῦντα τὰ τοιαῦτα πάθη αἰσθητά ἐστι, τὰ ἄρα ἀλλοιούμενα ἀλλοιοῦται ὑπὸ τῶν αἰσθητῶν πάσχοντα. αἰσθητὰ δέ φησιν εἶναι, οἷς διαφέρει σῶμα σώματος. διαφέρει δὲ κατὰ τὰς ποιότητας. καὶ γὰρ καὶ αἱ ποιότητες, ποιότητές πως εἰσί. κοινὸν οὖν ἔχοντα τὸ σῶμα διαφέρει ταῖς ποιότησιν ἢ πλείοσιν ἢ ἐλάττοσιν. ἢ τῷ τῶν αὐτῶν ποιοτήτων μᾶλλον ἢ ἧττον μετέχειν. εἰ οὖν σώματά εἰσι τὰ κατὰ τὰς παθητικὰς ποιότητας ἀλλοιοῦντα καὶ ἀλλοιούμενα, ἀνάγκη πελάζοντα ἀλλήλοις ἀλλοιοῦσθαι καὶ ἀλλοιοῦν. οὔτε γὰρ τὸ σῶμα δρᾷ τι εἰς ἄλλο σῶμα κεχωρισμένον, οὔτε ἡ ποιότης χωριστὴ τοῦ σώματός ἐστιν. οὔτε ἐνεργεῖ χωριστῶς. τὸ δὲ, ταῦτα γάρ ἐστι πάθη τῆς ὑποκειμένης ποιότητος εἶπε, δηλοῖ ὅτι τοῦ τετάρτου ὑποτεθέντος εἴδους τῆς ποιότητος ὃ παθητικὸν λέγεται, ταῦτά ἐστι τὰ πάθη. δὲ ὑποκειμένην ποιότητα τὴν αἰσθητὴν λέγει. περὶ ἧς ἦν ὁ λόγος ὅτι ταῦτά ἐστιν αὐτῆς τὰ πάθη. ἐφεξῆς δὲ διαιρεῖ τὰ ἀλλοιούμενα σώματα, εἴς τε τὰ ἔμψυχα καὶ τὰ ἄψυχα καὶ τῶν ἐμψύχων τὰ μόρια εἴς τε τὰ αἰσθητικά, οἷον σάρκες νεῦρα καὶ τὰ τοιαῦτα, καὶ εἰς τὰ ἀναίσθητα. ἐν οἷς καὶ τρίχας καὶ ὄνυχας. καὶ εἰς αὐτὰς τὰς αἰσθήσεις, ἃς ἔοικε καὶ τὰ αἰσθητικὰ συμπαραλαμβάνειν, εἰπὼν τῶν ἐμψύχων τά τε μὴ αἰσθητικὰ τῶν μορίων, καὶ αὐτὰς τὰς αἰσθήσεις. ἀλλοιοῦνται γάρ φησί πως καὶ αἱ αἰσθήσεις αὗται, καὶ οὐ μόνα τὰ αἰσθητικὰ μόρια. οὐ μὴν ὡς τὰ σώματα ἀλλοιοῦνται. ὅτι δὲ ἀλλοιοῦνται καὶ αἱ αἰσθήσεις, ἔδειξεν εἰπών, πῶς γὰρ γίνονται αἱ αἰσθήσεις αἱ κατ' ἐνέργειαν. διττὴ γὰρ ἡ αἴσθησις. ἡ μὲν, οὐσιώδης. ἡ δὲ, δύναμις τῆς τοιαύτης οὐσίας. ἡ δὲ, ἐνέργεια τῆς οὐσίας κατὰ τὴν δύναμιν. αὕτη οὖν ἡ κατ' ἐνέργειαν φησὶν αἴσθησις, οἷον τὸ ὁρᾶν καὶ τὸ ἀκούειν, κίνησίς ἐστι διὰ τοῦ σώματος τοῦ αἰσθητικοῦ μορίου συγκρινομένου ἢ διακρινομένου. ἀλλ' οὔπω τοῦτο αἴσθησις. συγκρίνεται γὰρ καὶ διακρίνεται καὶ τὰ ἀναίσθητα σώματα. ἀλλ' ὅταν αὕτη ἡ κατ' οὐσίαν αἴσθησις πάθη τι πάθος οἰκεῖον, τότε ἡ κατ' ἐνέργειαν αἴσθησις ἐπιτελεῖται. τί δὲ τὸ πάθος, ἐν τῷ περὶ αἰσθήσεως λέγει, ὅτι ἀντίληψίς ἐστι τοῦ αἰσθητοῦ εἴδους χωρὶς τῆς ὕλης. ἀντίληψις δὲ οὐ καθαρῶς ἐνεργητική, ὡς ἡ τοῦ νοῦ ἔνδοθεν ὅλη οὖσα, ἀλλ' ἔχουσά τι καὶ παθητικὸν ὑπὸ τοῦ αἰσθητικοῦ. διὸ καὶ μετὰ ἀλλοιώσεως γίνεται. καὶ ἀλλοιοῦσθαι λέγονται καὶ αἱ αἰσθήσεις αἱ οὐσιώδεις. εἰπὼν δὲ πῶς αἱ αἰσθήσεις ἀλλοιοῦνται, ὅτι τῷ ἔχειν τι παθητικὸν τὴν ἐνέργειαν αὐτῶν, ἐφεξῆς τὴν διαφορὰν τῆς ἀλλοιώσεως παραδίδωσι τῶν τε ἐμψύχων σωμάτων καὶ τῶν ἀψύχων. καὶ πρῶτον μὲν λέγει ταύτην, ὅτι καθ' ὅσα μὲν τὰ ἄψυχα σώματα ἀλλοιοῦται, κατὰ ταῦτα καὶ τὰ ἔμψυχα. καὶ γὰρ ψύχεται, καὶ θερμαίνεται, καὶ ὑγραίνεται, καὶ ξηραίνεται. καὶ πάσας τὰς τοιαύτας ἀλλοιώσεις ἄμφω ὑφίσταται. οὐ μὴν καθ' ὅσα τὸ ἔμψυχον ἀλλοιοῦται, τοσαῦτα καὶ τὸ ἄψυχον. τὴν γὰρ κατὰ τὰς αἰσθήσεις ἀλλοίωσιν οὐδὲν τῶν ἀψύχων ἀλλοιοῦται. ἔμψυχον δὲ νῦν λέγει κατὰ τὰς αἰσθήσεις ἀλλοιοῦσθαι, οὐχὶ πάντα. οὐ γὰρ δὴ καὶ τὰ φυτά, καίτοι ὄντα ἔμψυχα καὶ αὐτά, κατὰ τὰς αἰσθήσεις ἀλλοιοῦται. ἀλλὰ τὰ ζῶα νῦν λέγει ἔμψυχα τὰ αἰσθήσει καὶ τῇ κατὰ τόπον κινήσει χαρακτηριζόμενα. δευτέραν δὲ λέγει διαφορὰν τῆς τῶν ἐμψύχων ἀλλοιώσεως πρὸς τὴν τῶν ἀψύχων. ὅτι τὰ μὲν ἄψυχα οὐ γνωρίζει, οὐδὲ αἰσθάνεται πάσχοντα οὐδέποτε. τὰ δὲ ἔμψυχα τουτέστι τὰ ζῶα ποτὲ μὲν αἰσθάνεται πάσχοντα, ὅταν κατὰ τὰς αἰσθήσεις πάσχῃ, ὥστε ὁρᾶν ἢ ἀκούειν ἢ κατά τινα ἄλλην αἴσθησιν αἰσθάνεσθαι. ποτὲ δὲ κἂν αἰσθητικὰ εἴη, οὐκ αἰσθάνεται. καὶ γὰρ λευκαίνεται καὶ μελαίνεται τὰ ζῶα καὶ αὔξεται καὶ μειοῦται, οὐκ αἰσθανόμενα τούτων. εἰπὼν δὲ ταύτας τὰς διαφοράς, ἐπάνεισιν ἐπὶ τὸ προκείμενον, ὑπὲρ οὗ μὲν ἄγων τὸ τὰ ὑπὸ τῶν αἰσθητῶν ἀλλοιούμενα ἅμα εἶναι. ἐν ἅπασι γάρ φησι φανερόν, ὅτι ἅμα ἐστὶ τὸ ἔσχατον ἀλλοιοῦν καὶ τὸ πρῶτον ἀλλοιούμενον. καὶ δείκνυσιν αὐτὸ φανερὸν ὄν, τῇ παραθέσει τῶν καθ' ἑκάστην αἴσθησιν ἀλλοιούντων τε καὶ ἀλλοιουμένων. καὶ πρῶτον τῶν κατὰ τὴν ἁφήν. τῷ μὲν γὰρ αἰσθητῷ φησιν τῷ ἀλλοιοῦντι συνεχής ἐστιν ὁ ἀήρ. τῷ δὲ ἀέρι, τὸ σῶμα τὸ ἀλλοιούμενον. εἰ μὲν γὰρ μηδὲν ἦν μεταξὺ τοῦ ἀλλοιουμένου, δῆλον ἂν ἦν τὸ ἐξ ἀρχῆς. καὶ ἐφ' ὧν δὲ ἐστὶν ὁ ἀὴρ μεταξὺ δείκνυσιν ὅτι καὶ οὗτος ὢν τὸ ἔσχατον καὶ προσεχῶς ἀλλοιοῦν, ἅμα ἐστὶ τῷ πρώτως ἀλλοιουμένῳ καὶ συνεχὴς αὐτῷ. συνεχὲς δὲ πάλιν τὸ ἁπτόμενον καλέσας, ἐπειδὴ τὸ ἁπτὸν αἰσθητόν, προσέθηκε καὶ τὴν ἁφήν. ἥτις οὐκ ἔστιν ἐν ἀποκεχωρισμένῳ τινὶ αἰσθητηρίῳ, ἀλλ' ἐν ὅλῳ τῷ σώματι. διὰ τοῦτο εἶπε, τῷ δὲ ἀέρι τὸ σῶμα. οὕτω γὰρ ψυχρότητος καὶ θερμότητος αἰσθανόμεθα καὶ τῶν τοιούτων. ὅταν μὴ ἀμέσως πελάζῃ τὸ ἀλλοιοῦν, ἀλλ' ἐμμέσως, ἤγουν διὰ μέσου τοῦ ἀέρος. ὁμοίως δὲ καὶ ἐπὶ τοῦ ὁρατοῦ. τὸ μὲν γὰρ χρῶμα τὸ ὁρατόν, πελάζει τῷ φωτὶ τουτέστι τῷ πεφωτισμένῳ ἀέρι. οὐ δυνατὸν γὰρ ἄνευ φωτὸς αἰσθέσθαι τινὸς ὁρατοῦ. τὸ δὲ φῶς τῇ ὄψει, τουτέστι τῷ ὀπτικῷ αἰσθητηρίῳ. τὸ γὰρ χρῶμα κινητικόν ἐστι τοῦ κατ' ἐνέργειαν διαφανοῦς. ὅπερ προσεχῶς κινεῖ τὴν ὄψιν. τὸν αὐτὸν δὲ τρόπον καὶ ἡ ἀκοὴ καὶ ἡ ὄσφρησις τῷ πρώτῳ κινοῦντι πελάζει. πρῶτον δὲ πάλιν λέγει κινοῦν τὸ προσεχῶς κινοῦν, ὃ πρὸ ὀλίγου ἔσχατον ἐκάλει. καὶ τὴν αἰτίαν νῦν προσθεὶς τοῦ πρῶτον αὐτὸ λέγεσθαι. πρὸς γὰρ τὸ κινούμενόν φησι τοῦτο πρῶτον λέγεται ὡς προσεχὲς αὐτῷ. ὅτι δὲ δι' ἀέρος ἥ τε ἀκοὴ καὶ ἡ ὄσφρησις γίνεται ἐν τοῖς περὶ

ψυχῆς ἀπελείχθη. ἐπὶ μέντοι τῆς γεύσεως ἅμα τῇ γεύσει ὁ χυμὸς ὁ γευστός, ὡς μὴ δεῖσθαι τῆς διὰ μέσου τεχνολογίας. δείξας δὲ ἐπὶ τῶν αἰσθητικῶν ἀλλοιώσεων ἅμα τὸ πρῶτον κινοῦν καὶ τὸ κινούμενον, ὁμοίως φησὶν δειχθήσεσθαι καὶ ἐπὶ τῆς τῶν ἀψύχων ἀλλοιώσεως ἅμα ὂν τὸ πρῶτον καὶ προσεχῶς κινοῦν τῷ κινουμένῳ. οὔτε γὰρ θερμαίνεταί τι ἄψυχον σῶμα, οὔτε ψύχεται. οὔτε ξηραίνεται. οὔτε ὑγραίνεται. οὔτε ὅλως πάσχει τι καὶ ἀλλοιοῦται, μὴ ἁπτομένου αὐτοῦ τοῦ ἀλλοιοῦντος. εἰ δὲ ἐπὶ τῶν ἐμψύχων καὶ τῶν ἀψύχων ἡ ἀλλοίωσις γίνεται, ἅμα ὄντος τοῦ προσεχῶς ἀλλοιοῦντος τῷ ἀλλοιουμένῳ, ἀσφαλὲς καὶ καθόλου λέγειν, ὅτι οὐδέν ἐστι μεταξὺ τοῦ ἀλλοιοῦντος καὶ ἀλλοιουμένου. ἀψύχων δὲ εἰπὼν, προσέθηκε καὶ ἀναισθήτων, ἢ περὶ τῶν αὐτῶν λέγων, τὰ γὰρ ἄψυχα καὶ ἀναίσθητά εἰσιν, ἢ ἀναίσθητα λέγων τὰ ἐν τοῖς ἐμψύχοις μὴ αἰσθανόμενα μόρια. καὶ τὰ φυτὰ δὲ ἀναίσθητα μὲν, οὐκ ἄψυχα δέ.

ΟΥ̓ ΔῈ ΜῈΝ τοῦ αὐξανομένου τε καὶ αὔξοντος. αὐξάνει γὰρ τὸ πρῶτον αὖξον προσγινόμενον. ὥστε ἓν γίγνεσθαι τὸ ὅλον. καὶ πάλιν φθίνει τὸ φθῖνον ἀπογινομένου τινὸς τῶν τοῦ φθίνοντος. ἀνάγκη οὖν συνεχὲς εἶναι καὶ τὸ αὖξον καὶ τὸ φθῖνον. τῶν δὲ συνεχῶν οὐδὲν μεταξύ. φανερὸν οὖν ὅτι τοῦ κινουμένου καὶ τοῦ κινοῦντος πρώτου καὶ ἐσχάτου πρὸς τὸ κινούμενον, οὐδέν ἐστιν ἀνὰ μέσον.

Μετὰ τὰ κατὰ ἀλλοίωσιν κινοῦντα καὶ κινούμενα, δείκνυσιν ὅτι καὶ τοῦ αὔξοντος καὶ αὐξομένου προσεχῶς οὐκ ἔστι τι ἀνὰ μέσον, οὐδὲ τοῦ μειοῦντος καὶ τοῦ μειουμένου. καὶ ἔστι ταῦτα ἐναργέστερα. εἴπερ τὸ προσεχῶς αὖξον προστίθεται τῷ αὐξομένῳ, καὶ οὕτως αὔξει ἑνούμενον αὐτῷ. καὶ τὸ μειούμενον τῷ ἀπορρεῖν τι αὐτοῦ φθίνει καὶ ἔλαττον γίνεται. τὸ δὲ ἀπορρέον συνεχὲς ἦν πρὸ τοῦ ἀπορρεῦσαι τῷ μειουμένῳ. εἰ οὖν τὸ μὲν αὖξον καὶ τὸ μειοῦν τὸ προστιθέμενόν ἐστιν καὶ τὸ ἀπορρέον, ταῦτα δὲ συνεχῆ κυρίως ἦν τῷ αὐξομένῳ καὶ μειουμένῳ, τῶν δὲ συνεχῶν οὐδὲν ἀναμέσον, τοῦ αὔξοντος ἄρα καὶ αὐξομένου καὶ τοῦ μειοῦντος καὶ μειουμένου οὐδέν ἐστιν ἀναμέσον. δείξας δὲ ἰδίᾳ ἐπὶ ἑκάστου τῶν τῆς κινήσεως εἰδῶν, καὶ κοινῶς λοιπὸν ἐπὶ πάντων συνεπεράνατο, ὅτι τοῦ κινουμένου καὶ τοῦ κινοῦντος πρώτου καὶ ἐσχάτου πρὸς τὸ κινούμενον οὐδέν ἐστιν ἀναμέσον. τὸ δὲ προσεχῶς κινοῦν καὶ πρώτως κινοῦν, ὡς πρὸς τὸ κινούμενον λέγεται, ὅτι προσεχὲς ἐκείνῳ. καὶ ἔσχατον δὲ πρὸς αὐτὸ λέγεται, ὅτι πάντων τῶν κινούντων ἔσχατόν ἐστι τὸ προσεχὲς τῷ κινουμένῳ.

Ὅ ΤΙ ΔῈ τὸ ἀλλοιούμενον ἅπαν ἀλλοιοῦται ὑπὸ τῶν αἰσθητῶν ἐν τούτοις μόνοις ἀλλοίωσις λέγεται ἐν καθ' αὑτὰ πάσχει. ἐκ τῶνδε θεωρητέον. τῶν γὰρ ἄλλων μάλιστα ἄν τις ὑπολάβοι, ἔν τε τοῖς σχήμασι καὶ ἐν ταῖς μορφαῖς καὶ ἐν ταῖς ἕξεσι καὶ ταῖς τούτων λήψεσι καὶ ἀποβολαῖς, ἀλλοίωσιν ὑπάρχειν. ἐν οὐδετέροις δέ ἐστι. τὸ μὲν γὰρ σχηματιζόμενον ὅταν ἐπιτελεσθῇ, οὐ λέγομεν ἐκεῖνο ἐξ οὗ ἐστι. οἷον τὸν ἀνδριάντα χαλκόν. ἢ τὴν πυραμίδα, κηρόν. ἢ τὴν κλίνην ξύλον. ἀλλὰ παρωνυμιάζοντες, τὸν μὲν, χαλκοῦν. τὸ δὲ, κήρινον. τὸ δὲ, ξύλινον. τὸ δὲ πεπονθὸς καὶ ἠλλοιωμένον, προσαγορεύομεν. ξηρὸν γὰρ καὶ ὑγρὸν καὶ σκληρὸν καὶ θερμὸν, τὸν χαλκὸν λέγομεν, καὶ τὸν κηρόν. καὶ οὐ μόνον οὕτως, ἀλλὰ καὶ τὸ ὑγρὸν καὶ τὸ θερμὸν, χαλκὸν λέγομεν. ὁμωνύμως τῷ πάθει προσαγορεύοντες τὴν ὕλην. ὥστ' εἰ κατὰ μὲν τὸ σχῆμα καὶ τὴν μορφὴν οὐ λέγεται τὸ γεγονὸς ἐν ᾧ ἐστι τὸ σχῆμα, κατὰ δὲ τὰ πάθη καὶ τὰς ἀλλοιώσεις λέγεται, φανερὸν ὅτι οὐκ ἂν εἶεν αἱ γενέσεις αὗται ἀλλοιώσεις.

Δείκνυς ὅτι ἡ κατὰ ἀλλοίωσιν κίνησις ἅμα ὄντων τοῦ τε ἀλλοιοῦντος καὶ ἀλλοιουμένου γίνεται, συνεχρήσατο τῷ τὴν ἀλλοίωσιν κατὰ πάθος γίνεσθαι, πάσχειν δὲ τὰ πάσχοντα ὑπὸ τῶν αἰσθητῶν, ὥστε τὰ ἀλλοιούμενα ὑπὸ τῶν αἰσθητῶν ἀλλοιοῦσθαι. τούτῳ οὖν χρησάμενος τότε, νῦν δείκνυσιν αὐτό. ὅτι γὰρ ἐν μόνοις τούτοις φησὶν λέγεται ἀλλοίωσις, ὅσα καθ' αὑτὰ πάσχει ὑπὸ τῶν αἰσθητῶν, καθ' αὑτὰ μὲν τὰ μὴ κατὰ συμβεβηκὸς πάσχοντα λέγων, ὁ γὰρ σωκράτης κατὰ συμβεβηκὸς ὁρατὸς, καθ' αὑτὸ δὲ τὸ χρῶμα, ὑπὸ τῶν αἰσθητῶν δὲ τῶν παθητικῶν ποιοτήτων, φησὶν δῆλον ἐκ τοῦ κατὰ μηδεμίαν ἄλλην ποιότητα ἀλλοίωσιν γίνεσθαι. ὅτι μὲν γὰρ κατὰ τὰς παθητικὰς ποιότητας γίνεται ἀλλοίωσις, ἐναργὲς καὶ ὁμολογούμενόν ἐστιν. ὅτι δὲ κατὰ μόνας ταύτας καὶ κατ' οὐδεμίαν ἑτέραν γίνεται ποιότητα ἀλλοίωσις, τοῦτο οὐκ ὂν ἐναργές. δείκνυσιν ἐκ τοῦ μήτε τὰς κατὰ τὸ σχῆμα μεταβολὰς μήτε τὰς κατὰ ἕξιν ἀλλοιώσεις εἶναι. ἕξεις δέ εἰσιν αἵ τε ἐπιστῆμαι καὶ ἀρεταὶ καὶ ὑγεῖαι καὶ νόσοι. καὶ τὰ τοιαῦτα. εἰπὼν δὲ ἐν τοῖς σχήμασι καὶ μορφαῖς καὶ ταῖς ἕξεσιν ὑπολαβεῖν ἄν τινα εἶναι τὴν ἀλλοίωσιν, προσέθηκεν ἢ ταῖς τούτων λήψεσι καὶ ἀποβολαῖς. οὐ γὰρ ταυτόν ἐστι τὸ ποιότητα ἔχειν τῷ ἀλλοιοῦσθαι. ἐν γὰρ μεταβολαῖς ἡ ἀλλοίωσις. δείκνυσιν οὖν ὅτι οὔτε ἐν τοῖς σχήμασιν ἢ ταῖς ἕξεσιν, ἢ ἐν ταῖς λήψεσιν αὐτῶν καὶ ἀποβολαῖς ἡ ἀλλοίωσίς ἐστι. καὶ πρῶτον ἐπὶ τοῦ σχήματος ποιεῖται τὸν λόγον, δεικνὺς ὅτι μή ἐστιν ἀλλοιοῦσθαι τὸ σχηματίζεσθαι, ἢ κατὰ σχῆμα μεταβάλλειν. τῶν γὰρ ἄλλων μάλιστα ἄν τις ὑπολάβοι φησὶν τὸ σχῆμα καὶ τὴν ἕξιν δέχεσθαι ἀλλοίωσιν, ἤτοι πάντων τῶν ἄλλων λέγων, ἢ μᾶλλον τῶν τῇ ἐν ποιότητι. καὶ γάρ τι καὶ ἄλλο ποιότητος εἶδος ἡ δύναμις καὶ ἐπιτηδειότης, καθ' ἣν πυκτικοὶ ἢ δρομικοὶ λεγόμεθα. περὶ δὴ τούτου τοῦ εἴδους τὸν λόγον οὐκ ἐποιήσατο, διὰ τὸ μήτε εἰ ταῦτα ποιότητές εἰσι γνώριμον εἶναι, τάς τε λήψεις καὶ ἀποβολὰς αὐτῶν ἔτι μᾶλλον ἀδήλους ὑπάρχειν. δείκνυσι δὲ ὅτι οὐκ ἀλλοιοῦται τὸ σχηματιζόμενον, ἐν δευτέρῳ σχήματι συλλογιζόμενος οὕτω. τὸ σχηματιζόμενον ὅταν ἀπολάβῃ τὸ σχῆμα καὶ τελειωθῇ κατ' αὐτὸ, οὐκέτι λέγεται τῷ ὀνόματι ᾧ τὸ ὑποκείμενον καὶ σχηματιζόμενον ἐλέγετο. ὁ γὰρ ἀνδριὰς οὐκέτι λέγεται χαλκὸς. ἀλλὰ παρωνύμως χαλκοῦς. καὶ ἡ κλίνη οὐ λέγεται ξύλον, ἀλλὰ ξυλίνη. καὶ ἡ ἀπὸ τοῦ κηροῦ πυραμὶς οὐ κηρὸς, ἀλλὰ κηρίνη. τὸ δὲ ἀλλοιούμενον ἢ ψυχρὸν ἢ θερμὸν γεγονὸς, ἤ τινος τοιαύτης μεταλαχὸν ποιότητος, ἔτι τῷ αὐτῷ ὀνόματι καλεῖται εἴτε χαλκὸς εἴτε ξύλον εἴη τὸ θερμαινό-

μενον, ἢ ψυχόμενον, ἢ λευκαινόμενον, ἢ μελαινόμενον, ἤ τι τοιοῦτο πάσχον. μένει γὰρ χαλκὸς καὶ ξύλον λεγό-
μενον καὶ μετὰ τὸ πάθος. χαλκὸς γὰρ ὑγρὸς ἢ σκληρὸς καὶ ξύλον λέγεται. καὶ οὐ τοῦτο μόνον. ἀλλὰ καὶ ἀντιστρό-
φως, τὸ ὑγρὸν τόδε χαλκὸν λέγομεν, ἂν τύχῃ κεχυμένος, καὶ τὸ θερμὸν ξύλον. ὥστε ὅθεν ἂν ἀρξοιώμεθα,
τὸ ἠλλοιωμένον πάντως τὸ αὐτὸ λέγεται, ὥσπερ καὶ πρότερον ἦν. προσέθηκε δὲ τὴν ἀντιστροφὴν, ἵνα κἂν βιάζη-
ταί τις ἐπὶ τῶν ἐσχηματισμένων, ἀπὸ τοῦ ὑποκειμένου ἀρχόμενος, τῷ αὐτῷ καλεῖν ὀνόματι, διὸ ὁ κηρὸς τρί-
γωνόν ἐστιν, ἢ ὁ χαλκὸς κύκλος, μηκέτι δύναιτο τὸ αὐτὸ φυλάττειν ὄνομα ἀρχόμενος ἀπὸ τοῦ σχήματος. οὐ
γὰρ δύναται τὸ λέγειν τὸ τρίγωνον κηρὸν, ἢ τὸν ἀνδριάντα χαλκόν. ὁμωνύμως δὲ τῷ πάθει προσαγορεύειν τὴν
ὕλην φησὶν, ὅτι ὑγρὸν καὶ τὸ πάθος λέγομεν καὶ τὸν χαλκὸν, καὶ θερμὸν τὸ πάθος καὶ τὸ ξύλον. κατασκευά-
σας δὲ διὰ πλειόνων τὰς προτάσεις, εἶτα συνῃρημένως αὐτὰς ἐκθέμενος, καὶ πρώτην τὴν ἐλάσσονα,
ὅταν λέγῃ, ὥστε εἰ μὲν κατὰ τὸ σχῆμα καὶ τὰς ἕξεις, εἶτα τὴν μείζονα, ὅταν λέγῃ, κατὰ δὲ τὸ πάθος καὶ
τὰς ἀλλοιώσεις λέγεται. οὕτως ἐπιφέρει τὸ συμπέρασμα. καὶ ἦν μὲν τὸ προκείμενον εἰπεῖν, ὅτι αἱ σχηματί-
σεις οὐκ εἰσὶν ἀλλοιώσεις. ὁ δὲ ἐπήγαγεν ὅτι αἱ γενέσεις οὐκ εἰσὶν ἀλλοιώσεις, δεικνὺς ὅθεν ἔχει τὴν ἰσχὺν ὁ
λόγος, ὅτι ἐκ τοῦ τὰς μετασχηματίσεις γενέσεις ἤδη τινὰς εἶναι. δέδεικται δὲ ἐν τῷ πέμπτῳ βιβλίῳ, ὅτι
αἱ γενέσεις οὐκ εἰσὶ κινήσεις. ὥστε οὐδὲ ἀλλοιώσεις. αἱ γὰρ ἀλλοιώσεις κινήσεις τινές εἰσιν. ὑπομιμνήσκει δὲ
ἡμᾶς τῶν ἐκεῖ δειχθέντων. καὶ γὰρ τὸ μὲν ἀλλοιούμενον μένον ὅπερ ἐστὶν ἀλλοιοῦται, ὡς δηλοῖ τὸ ὄνομα τὸ αὐτὸ
φυλάττον. τὸ δὲ γινόμενον οὐ μόνον ὅπερ ἦν μεταβάλλει. ἀλλ' οὐδὲ τὸ σχηματιζόμενον μένει τελείως ὅπερ
ἦν, ὡς δηλοῖ τῷ μὴ καλεῖσθαι τῷ αὐτῷ ὀνόματι, κἂν μὴ τελέως γινόμενον ᾖ. μέσην μὲν γὰρ ἔοικε τινὰ φύσιν
ἔχειν τὸ σχηματιζόμενον τῶν τε γινομένων καὶ τῶν ἀλλοιουμένων. πρὸς δὲ τὸ γινόμενον αὐτὸ μᾶλλον δοκεῖ ἀπο-
κλίνειν. διότι μὴ δὲ τῷ αὐτῷ ὀνόματι καλεῖται. ὅπερ τοῖς γινομένοις ὑπάρχει. τὸ μέντοι παρωνυμιάζε-
σθαι δηλοῖ, τὸ ἀποχωρεῖν αὐτὸ τῶν τελείως γινομένων. ἀπορήσειε δ' ἄν τις ἴσως, μήποτε μᾶλλον δράττον-
ται τοῦ ὑποκειμένου αἱ παθητικαὶ ποιότητες, καὶ μᾶλλον μεταβάλλουσιν αὐτὸ διὰ βάθους χωροῦσαι, ἤπερ
τὸ σχῆμα τὴν ἐπιφάνειαν μόνον διατιθέν. ἢ κἂν διὰ βάθους πως χωρῶσιν αἱ παθητικαὶ ποιότητες, ἀλλ'
ἐπεισοδιώδεις εἰσὶν καὶ συμβεβηκότα, παραχρῶσιν τινὰ ἀμυδρὰν καὶ εὐαπόβλητον ποιοῦσαι. κατὰ γὰρ
τὰς τοιαύτας ἡ ἀλλοίωσις γίνεται. ἀλλοιοῦται γοῦν ὁ σίδηρος ἐπιπολαίως θερμαινόμενος. ἐὰν δὲ πυρακτω-
θῇ, οὐκέτι ἀλλοίωσις τοῦτο. ἀλλ' εἰς ἕτερον εἶδος μετάβασις. τοιγαροῦν καὶ ἐνεργείας ἔχει τότε πυρίους.

ἜΤΙ ΔῈ καὶ εἰπεῖν οὕτως ἄτοπον ἂν δόξειεν ἠλλοιοῦσθαι τὸν ἄνθρωπον, ἢ τὴν οἰκίαν, ἢ ἄλλο ὁτιοῦν τῶν
γεγενημένων. ἀλλὰ γίνεσθαι μὲν, ἴσως ἕκαστον ἀναγκαῖον, ἀλλοιουμένου τινός. διὰ τῆς ὕλης πυκνουμένης,
ἢ μανουμένης. ἢ θερμαινομένης ἢ ψυχομένης. οὐ μέντοι τὰ γινόμενα ἀλλοιοῦται. οὐδ' ἡ γένεσις αὐτῶν
ἀλλοίωσίς ἐστιν.

Δείξας μὴ ὁμοίως λέγεσθαι ἐπὶ τῶν κατὰ τὸ σχῆμα μεταβολῶν τό, τε ὑποκείμενον καὶ τὸ ἐσχηματι-
σμένον, καὶ ταύτῃ τοῖς γινομένοις ἐξομοιώσας τὰ σχηματιζόμενα, ἐπὶ τῆς γενέσεως δείκνυσιν ὅτι μὴ ἔστιν
ἡ γένεσις ἀλλοίωσις, ὡς ἔχων λοιπὸν ὅτι οὐδὲ ἡ μετασχημάτισις ἀλλοίωσίς ἐστιν. ἄτοπον γάρ φησιν τὸν γε-
γονότα ἄνθρωπον, ἢ τὴν γεγονυῖαν οἰκίαν λέγειν ἠλλοιῶσθαι. ἀλλὰ γάρ τινα καὶ οὐκ ἀλλοῖα γέγονε. κατ' οὐ-
σίαν γάρ, ἀλλ' οὐ κατά τι συμβεβηκὸς αὐτοῖς ἡ μεταβολὴ γέγονε. τὸ μὲν γὰρ ἀλλοιούμενον μένον ὅπερ ἦν
καὶ μετὰ τὸ ἀλλοιοῦσθαι, οὕτως ἀλλοιοῦται. τὸ δὲ γινόμενον μήπω ὂν γίνεται. οὔτε γὰρ ὁ ἄνθρωπος ἦν πω,
οὔτε ἡ οἰκία. εἰπὼν δὲ ἄτοπον εἶναι τὸ γεγονὸς ἠλλοιῶσθαι λέγειν, ἐπειδὴ φαίνεται ἀλλοίωσις ἐν τῇ γενέ-
σει, καὶ οὐδ' ἂν γένοιτό τι μὴ οὔσης ἀλλοιώσεως, διορίζει τοῦτο καλῶς λέγων, γίνεσθαι μὲν ἕκαστον τῶν
γινομένων ἀλλοιουμένης τῆς ὑποκειμένης ὕλης. μένουσα γὰρ ἐκείνη ὅπερ ἐστὶν ὑπομένει τὰς μεταβολάς. οὐ
μέντοι ἡ γένεσις τοῦ γινομένου ἀλλοίωσίς ἐστιν. οὐδὲ γὰρ ἂν ἀλλοιοῖ τὸ μήπω ὄν. τὸ γὰρ γινόμενον οὔπω ἐστίν.

ἈΛΛᾺ ΜῊΝ οὔτε αἱ ἕξεις οὔτε αἱ τοῦ σώματος ἀρεταί. αἱ μὲν γὰρ ἀρεταί. αἱ δὲ κακίαι, τῶν ἕξεων οὐκ
ἔστι δὲ οὔτε ἡ ἀρετὴ, οὔτε ἡ κακία ἀλλοίωσις. ἀλλ' ἡ μὲν ἀρετὴ, τελείωσίς τίς ἐστιν. ὅταν λάβῃ τὴν ἑαυτοῦ ἀρε-
τὴν, τότε λέγεται τέλειον ἕκαστον. τότε γάρ ἐστι μάλιστα τὸ κατὰ φύσιν. ὥσπερ κύκλος τέλειος, ὅταν μάλιστα
γένηται κύκλος βέλτιστος. ἡ δὲ κακία, φθορὰ τούτου καὶ ἔκστασις. ὥσπερ οὖν οὔτε τὸ τῆς οἰκίας τελείω-
μα λέγομεν ἀλλοίωσιν, ἄτοπον γὰρ εἰ ὁ θριγκὸς καὶ ὁ κέραμος ἀλλοίωσις. ἢ εἰ θριγκουμένη καὶ κεραμουμένη,
ἀλλοιοῦται, ἀλλὰ μὴ τελειοῦται ἡ οἰκία. τὸν αὐτὸν τρόπον, καὶ ἐπὶ τῶν ἀρετῶν καὶ τῶν κακιῶν καὶ τῶν
ἐχόντων ἢ λαμβανόντων. αἱ μὲν γὰρ τελειώσεις. αἱ δέ, ἐκστάσεις εἰσί. ὥστε οὐκ ἀλλοιώσεις.

Δείξας ὅτι ἡ κατὰ τὸ σχῆμα καὶ τὴν μορφὴν μεταβολὴ οὐκ ἔστιν ἀλλοίωσις, ἀλλὰ γένεσις μᾶλλον, δείκνυσι
ὅτι οὐδὲ ἡ κατὰ τὴν ἕξιν μεταβολὴ, ἥτις ἦν τὸ πρῶτον εἶδος τῆς ποιότητος, οὐδὲ αὕτη ἀλλοίωσίς ἐστιν,
ἀλλὰ γένεσις μᾶλλον. διαιρεῖ δὲ τὰς ἕξεις εἴς τε τὰς ψυχικὰς, ὡς ἀρετὴν καὶ κακίαν, καὶ εἰς τὰς σωμα-
τικὰς, ὡς ὑγείαν καὶ νόσον. ὧν οὐδεμία αἰσθητή ἐστιν. ἵνα δείξας καὶ ταύτας ἀλλοιώσεις μὴ οὔσας, κρα-
τύνῃ τὸ τὰς ἀλλοιώσεις κατὰ τὰς παθητικὰς καὶ αἰσθητὰς ποιότητας γίνεσθαι μόνον. ὅπερ ἦν τὸ προκεί-
μενον. οὐδὲ αἱ ἕξεις δέ φησιν ἀλλοιώσεις εἰσί. τουτέστιν αἱ κατὰ τὰς ἕξεις μεταβολαί. ἢ ὅτι οὐ δι' ἀλλοιώσεως
αἱ ἕξεις παραγίνονται. ὅτι δὲ οὐκ εἰσὶν ἀλλοιώσεις, δείκνυσιν εἰς ἀρετὴν καὶ κακίαν πάσας ἀναγαγών. καὶ
γὰρ καὶ ὑγεία καὶ νόσος, ἀρετὴ καὶ κακία σώματός εἰσιν. εἰ οὖν τὸ εἰς τὴν ἑαυτοῦ ἀρετὴν μεταβάλλον,
εἰς τὸ κατὰ φύσιν ἑαυτοῦ μεταβάλλει. τὸ δὲ εἰς τὸ φύσιν τὸ ἑαυτοῦ μεταβάλλον τὴν τελειότητα τότε τὴν
οἰκείαν ἀπολαμβάνει, δὲ τὴν τελειότητα τὴν οἰκείαν ἕκαστον ἀπολάβοι. τότε ἔστιν ὅπερ ἐστίν, ὅτε δὲ εἰς τοῦτο

προέλθοι τὸ εἶναι ὅπερ ἐστὶ, τότε γέγονεν ἀλλ' οὐκ ἠλλοίωται, δῆλον δή που τὸ συμπέρασμα. αὐτὸς δὲ συμπέρασμα εἶπε τὸ, ὅταν λάβῃ τὴν ἑαυτοῦ ἀρετὴν τότε μάλιστα κατὰ φύσιν ἐστίν. ὅτε δὲ μάλιστα κατὰ φύσιν ἐστὶν, τότε λέγεται τέλειον ἕκαστον. τὸ δὲ τὴν τελειότητα τὴν ἑαυτοῦ ἀπολαμβάνον, οὐκ ἂν λέγοιτο ἀλλοιοῦσθαι. ὡς οὐδὲ ὁ κεραμούμενος οἶκος ἀλλοιοῦσθαι λέγεται, ἀλλὰ γίνεσθαι μᾶλλον. ὥσπερ δὲ ἡ εἰς τὴν ἀρετὴν τὴν οἰκείαν ἑκάστου μεταβολὴ γένεσίς τις ἐστὶν αὐτοῦ, οὕτω καὶ ἡ εἰς τὴν κακίαν φθορά. θαυμαστῶς δὲ τὸ τοῦ κύκλου παράδειγμα παρέθετο, δηλῶν ὅτι ὥσπερ λέγονται μέν τινες κύκλοι, οὐ μέντοι εἰσὶ κύκλοι ἂν μὴ ἔχωσι τὸ τέλειον, οὕτω καὶ ἐπὶ τῶν ἄλλων εἰδῶν ἁπάντων, οὐκ ἔστι κυρίως τοῦτο ὃ λέγεται τὸ μὴ ἔχον τὴν ἑαυτοῦ τελειότητα. οὐδὲ γὰρ ἐπιδέχεται τὸν τοῦ εἴδους ὁρισμὸν τὸ ἀτελὲς κατὰ τὸ εἶδος. εἰ δὲ εἰσὶν αἱ μὲν εἰς τὰς ἀρετὰς μεταβολαὶ τελειώσεις, αἱ δὲ εἰς τὰς κακίας φθοραὶ καὶ ἐκστάσεις τῆς τελειώσεως, γενέσεις ἂν εἶεν μᾶλλον καὶ φθοραὶ αἱ εἰς τὰς ἕξεις μεταβολαὶ, ἀλλ' οὐκ ἀλλοιώσεις. ἄτοπον γὰρ τὴν τοῦ θριγκοῦ περιβολὴν, ἢ τὴν τοῦ κεράμου ἐπίθεσιν ἀλλοίωσιν λέγειν, τῆς οἰκίας μηδέπω οὔσης ἀλλ' ἔτι γινομένης. ὁμοίως δὲ καὶ ἡ εἰς τὴν ἀρετὴν μεταβολὴ τελείωσίς ἐστιν. ἡ δὲ τελείωσις εἰς γένεσιν συντελεῖ. ἀλλὰ ζητήσοι ἄν τις οἶμαι, πῶς τὴν ἀρετὴν καὶ τὴν κακίαν γένεσιν καὶ φθορὰν τῆς ψυχῆς δυνατὸν λέγειν. εἴπερ ἔχουσα τὸ εἶδος τῆς ἀνθρωπίνης ψυχῆς καὶ ὑπομένουσα ἐν τῷ αὐτῷ, ποτὲ μὲν ἀρετοῦται, ποτὲ δὲ κακύνεται. διόπερ ὁ αὐτὸς, ποτὲ μὲν φαῦλος, ποτὲ δὲ σπουδαῖος γίνεται. πῶς δὲ ὁμοία ἡ τῆς ἀρετῆς πρόσληψις τῇ τοῦ κεράμου ἢ τοῦ περιβόλου. ταῦτα μὲν γὰρ μέρη τῆς οἰκίας εἰσὶ καὶ οὐχ ἕξεις. ἐκεῖναι δὲ οὐ μέρος. εἰ γὰρ μέρος ἦν ἡ ἀρετὴ τῆς ψυχῆς, ἀπώλλυτ' ἂν ἡ τὴν ἀρετὴν ἀποβάλλουσα. ὅλως δὲ διττὴ ἡ τελειότης, ἡ μὲν, τῆς οὐσίας αὐτῆς οὖσα, καθ' ἣν πρώτοις καὶ μέσοις καὶ ἐσχάτοις ἑαυτῆς μέρεσι συμπεπλήρωται, οὐκ οὖσα ἕξις αὐτή. τί γὰρ τὸ ἔχον, μήπω τοῦ εἴδους ὄντος χωρὶς τῆς τοιαύτης τελειότητος. ἡ δὲ κατὰ τὴν ἀρετὴν καὶ τὴν κακίαν καὶ ὅλως κατὰ τὴν ἕξιν, ἐπείσακτός ἐστι τῷ ὅλῳ εἴδει καὶ ἐπισυμβαίνουσα. καὶ γὰρ γίνονται καὶ ἀπογίνονται αὗται χωρὶς τῆς τοῦ ὑποκειμένου φθορᾶς. πῶς οὖν εἰς παράδειγμα τῆς ἕξεως τὴν κατὰ μέρη τελειότητα παρέθετο. ὡς ἐπὶ τῆς οἰκίας. μήποτε οὖν ἕκαστον εἶδος κατὰ φύσιν ἔχον, οὐ μόνον τῇ τῶν μερῶν τῶν οἰκείων τελειότητι συμπεπλήρωται, ἀλλὰ καὶ τῇ οἰκείᾳ ἀρετῇ. τὸ γὰρ κατὰ φύσιν ἔχειν οὐδὲν ἄλλο ἐστὶν, ἢ τὸ τὴν τελειότητα ἔχειν καὶ ἀρετὴν τὴν οἰκείαν, ὥστε τὰς κατὰ φύσιν ἐνεργείας ἀποτελεῖν. καὶ διὰ τοῦτο ὁ ἀριστοτέλης ἀπὸ τοῦ κατὰ φύσιν τὴν τελειότητα συνελογίσατο. ὥσπερ οὖν τὸ νοσοῦν σῶμα οὐκ ἂν εἴη τέλειον, ὅτι μὴ δύναται τὰς κατὰ φύσιν ἐνεργείας ἀποδιδόναι, κἂν πάντα ἔχῃ τὰ σωματικὰ μέρη, νεκρὰ γὰρ αὐτὰ ἔχει τοῦ κατὰ φύσιν ἐστερημένα, καὶ τῷ νεκρῷ προσέοικεν, οὕτω καὶ ἡ λογικὴ ψυχὴ τὴν κατὰ φύσιν αὐτῇ προσήκουσαν ἀρετὴν ἀποβάλλουσα, καὶ μὴ δυναμένη τὰς κατὰ φύσιν αὐτῇ προσηκούσας ἐνεργείας ἀποτελεῖν, οὐ ψυχὴ κυρίως. οὐδὲ ζωὴ λογικὴ κατὰ φύσιν ἔχουσα. ἀλλὰ νενεκρωμένη τίς ἐστιν. ὡς μέρος οὖν τὸ κυριώτατον τῆς ὅλης ἑκάστου οὐσίας, τὴν κατὰ φύσιν αὐτῷ προσήκουσαν ἀρετὴν προσλογιστέον. ἧς χωρὶς νεκρὸν τὸ λοιπόν ἐστι καὶ ὁμωνύμως λεγόμενον. δηλοῖ δὲ τὸ τὰς οἰκείας ἐνεργείας τοῦ εἴδους μὴ ἀποδιδόναι. καλῶς οὖν ὁ ἀριστοτέλης τοῖς μέρεσι τῆς οἰκίας τὴν κατὰ τὴν ἕξιν τελειότητα ὡς μέρος οὖσαν τὸ κυριώτατον παρέβαλεν. οὐδὲ γὰρ συμβεβηκός ἐστι κατὰ ἀλήθειαν ἡ ἕξις καὶ ἡ ἀρετή. φθείρει γὰρ τὸ ὑποκείμενον ὑποχωροῦσα, ὥσπερ οὐδὲ ἡ ψυχὴ συμβεβηκὸς τῷ ἐμψύχῳ σώματι.

ἜΤΙ ΔῈ καὶ φαμὲν ἁπάσας εἶναι τὰς ἀρετὰς, ἐν τῷ πρός τι πῶς ἔχειν. τὰς μὲν, γὰρ τοῦ σώματος. οἷον ὑγείαν καὶ εὐεξίαν ἐν κράσει καὶ συμμετρίᾳ θερμῶν καὶ ψυχρῶν τίθεμεν, ἢ αὐτὰ πρὸς αὑτὰ τῶν ἐντός. ἢ πρὸς τὸ περιέχον. ὁμοίως δὲ καὶ τὸ κάλλος καὶ τὴν ἰσχύν. καὶ τὰς ἄλλας ἀρετὰς καὶ κακίας. ἑκάστη γάρ ἐστι τῷ πρός τι πῶς ἔχειν. καὶ περὶ τὰ οἰκεῖα πάθη εὖ ἢ κακῶς διατίθησι τὸ ἔχον. οἰκεῖα δὲ ὑφ' ὧν γίνεσθαι καὶ φθείρεσθαι πέφυκεν. ἐπεὶ οὖν τὰ πρός τι οὔτε αὐτά ἐστιν ἀλλοιώσεις, οὔτε αὐτῶν ἐστιν ἀλλοίωσις οὔτε γένεσις, οὐθ' ὅλως οὐδὲ μεταβολὴ οὐδεμία, φανερὸν ὅτι οὐθ' αἱ ἕξεις, οὐθ' αἱ τῶν ἕξεων ἀποβολαὶ καὶ λήψεις, ἀλλοιώσεις εἰσίν. ἀλλὰ γίγνεσθαι μὲν ἴσως αὐτὰς καὶ φθείρεσθαι ἀλλοιουμένων τινῶν ἀνάγκη. καθάπερ καὶ τὸ εἶδος καὶ τὴν μορφήν. οἷον θερμῶν καὶ ψυχρῶν ἢ ξηρῶν καὶ ὑγρῶν. ἢ ἐν οἷς τυγχάνουσιν οὖσαι πρώτοις. περὶ ταῦτα γὰρ ἑκάστη λέγεται κακία καὶ ἀρετή. ὑφ' ὧν ἀλλοιοῦσθαι πέφυκε τὸ ἔχον. ἡ μὲν γὰρ ἀρετὴ ποιεῖ ἀπαθὲς ἢ ὡς δεῖ παθητικόν. ἡ δὲ κακία, παθητικὸν μὲν ἐναντίως καὶ ἀπαθές.

Ὅτι μὴ εἰσὶν ἀλλοιώσεις αἱ κατὰ τὰς ἀρετὰς καὶ τὰς κακίας μεταβολαὶ δείκνυσιν ἐκ τοῦ μηδὲ ποιότητας αὐτὰς εἶναι, ἀλλὰ ὑπὸ τὰ πρός τι ἀνάγεσθαι. κατὰ δὲ τὰ πρός τι ἔδειξεν αὐτὸς ἐν τῷ πέμπτῳ βιβλίῳ μήτε ἀλλοίωσιν γίνεσθαι μήτε ὅλως μεταβολήν. ὅτι δὲ αἱ ἀρεταὶ καὶ αἱ κακίαι ὑπὸ τὰ πρός τι, δείκνυσι μὲν πρῶτον ἐπὶ τῶν τοῦ σώματος ποιούμενος τὸν λόγον, εἶτα ἀπὸ τούτων μεταβαίνων ἐπὶ τὰς τῆς ψυχῆς. ἡ γὰρ ὑγεία φησὶν καὶ ἡ εὐεξία σώματος οὖσαι ἀρεταὶ, ἐν συμμετρίᾳ εἰσὶ τῶν σωματικῶν ποιοτήτων καὶ τῶν πρώτων δυνάμεων, θερμοτήτων, ψυχροτήτων, ὑγροτήτων, ξηροτήτων, ἤτοι πρὸς ἀλλήλας αὐτῶν τὸ σύμμετρον ἐχουσῶν, ἢ καὶ πρὸς τὸ περιέχον, ὥστε διὰ τὴν τοιαύτην συμμετρίαν μὴ εἶναι εὔτρεπτα καὶ εὐπαθῆ τὰ σώματα ὑπὸ τοῦ περιέχοντος. καὶ τὸ κάλλος δὲ ἀρετὴ τοῦ σώματος ὂν, ἐν συμμετρίᾳ τῶν τε μερῶν ἐστι τῶν ἀνομοιομερῶν μάλιστα καὶ τοῦ χρώματος. καὶ ἡ ἰσχὺς δὲ ἀρετὴ καὶ αὐτὴ οὖσα σώματος, ἐν συμμετρίᾳ τῶν ὁμοιομερῶν μάλιστά ἐστι νεύρων καὶ ὀστῶν. ἡ δὲ συμμετρία τῶν πρός τι. ἑκάστη οὖν τῶν ἀρετῶν τῶν σωματικῶν ἐν τῷ πρός τι πῶς ἔχειν, εἴπερ συμμετρία ἐστίν. ὁμοίως δὲ καὶ αἱ κακίαι ταῖς ἀρεταῖς ἀντικείμεναι. ἐν

ἀσυμμετρία τῶν αὐτῶν ἐστι παθῶν. ἐν γὰρ ὑπερβολῇ ἢ ἐλλείψει. καὶ ἡ μὲν ἀρετὴ ἑκάστη εὖ διατίθησι περὶ τὰ οἰκεῖα πάθη τὸ ἔχον αὐτήν. οἰκεῖα δὲ πάθη ἐστὶν, ὑφ' ὧν συμμέτρως μὲν ἐχόντων, γίνεται καὶ εὐθημονεῖ, θερμὸν, ψυχρὸν, ξηρὸν, ὑγρὸν καὶ τὰ τοιαῦτα, ἀσυμμέτρως δὲ ἐχόντων, φθείρονται καὶ κακοῦνται τὰ σώματα, εὐπαθέστερα γινόμενα καὶ εὐμετάβολα ἐν τοῖς οἰκείοις πάθεσιν ὑπό τε τοῦ περιέχοντος καὶ ὑπ' ἀλλήλων. εἰ οὖν αἱ ἀρεταὶ καὶ κακίαι τοῦ σώματος ἐν τῷ πρός τι πὼς ἔχειν εἰσὶ, δέδεικται δὲ ἐν τῷ ἑβδόμῳ βιβλίῳ, ὅτι ἐν τῷ πρός τι οὐκ ἔστι κίνησις καθ' αὑτὸ οὐδὲ μεταβολὴ ὅλως, δηλονότι οὐδὲ ἀλλοίωσις εἴη ἄν. ἐδείχθη γὰρ πᾶσα μεταβολὴ ἢ κατ' οὐσίαν γινομένη, ὡς γένεσις καὶ φθορά. ἢ κατὰ ποσὸν ὡς αὔξησις καὶ μείωσις. ἢ κατὰ ποιὸν, ὡς ἀλλοίωσις. ἢ κατὰ τὸ ποῦ, ὡς ἡ φορά. εἰ οὖν αἱ μὲν ἀρεταὶ καὶ κακίαι τῶν σωμάτων ἐν τῷ πρός τι εἰσὶν ὡς συμμετρίαι καὶ ἀσυμμετρίαι, τὰ δὲ πρός τι οὐκ ἔστιν ἐν ποιότητι, τῶν δὲ μὴ ἐν ποιῷ ὄντων οὐ κατὰ ἀλλοίωσιν ἡ μεταβολὴ, δηλονότι ἡ κατὰ τὰς ἀρετὰς καὶ τὰς κακίας μεταβολὴ οὐκ ἔστιν ἀλλοίωσις. δείξας δὲ ὅτι αἱ ἀρεταὶ καὶ κακίαι καὶ ὅλως αἱ ἕξεις αἱ σωματικαὶ ἐν τῷ πρός τι εἰσὶν, ἐπάγει ὅτι τὰ πρός τι οὔτε αὐτά ἐστιν ἀλλοιώσεις, ὡς ἡ θέρμανσις, ὥστε τὸ μετέχον αὐτῶν ἀλλοιοῦσθαι. τὸ μὲν γὰρ θερμαινόμενον ἢ ψυχόμενον ἀλλοιοῦσθαι λέγομεν. τὸ δὲ διπλάσιον ἢ δεξιὸν ἢ σύμμετρον ἢ ὅμοιον ἢ ἴσον γινόμενον, οὐ λέγομεν ἀλλοιοῦσθαι. ἀλλ' οὐδὲ τῶν πρός τι ἀλλοίωσίς ἐστιν ὥσπερ τῆς οὐσίας, ὥστε τὰ πρός τι γινόμενα καὶ σχέσεις λαμβάνοντα πρός τι καὶ ἀλλοιοῦσθαι ποτὲ λέγειν. οὐ γὰρ τὸ διπλάσιον μέγεθος ἴσον γινόμενον ἀλλοιοῦται, ὥσπερ τὸ θερμαινόμενον. διαφέρει δὲ τὸ ἀλλοίωσις εἶναι τοῦ ἀλλοιουμένου. ὅτι ἡ μὲν ἀλλοίωσις μετέχεται ἀπὸ τοῦ ἀλλοιουμένου, ὡς ἡ θέρμανσις ἀπὸ τοῦ θερμαινομένου. τὸ δὲ ἀλλοιούμενον ἀλλοιώσεως μετέχον ἀλλοιοῦται. τὸ οὖν πρός τι φησὶν οὔτε ἀλλοίωσίς ἐστιν, οὔτε ἀλλοιοῦται. ἔδειξε δὲ ἐν τῷ ἑβδόμῳ βιβλίῳ ὅτι οὔτε γένεσις οὔτε κίνησις οὔτε ὅλως μεταβολή ἐστι κατὰ τὰ πρός τι, ἐκ τοῦ μηδὲν αὐτό τι μεταβάλλον, ἄλλου τινὸς μεταβάλλοντος, ποτὲ μὲν διπλάσιον εἶναι, ποτὲ δὲ οὔ. φανερὸν οὖν ἐκ τῶν πρότερον εἰρημένων, ὅτι ἡ κατὰ τὸ σχῆμα μεταβολὴ οὐκ ἔστιν ἀλλοίωσις. ἐκ δὲ τῶν νῦν, ὅτι οὐδὲ ἡ κατὰ τὰς ἀρετὰς καὶ τὰς κακίας τοῦ σώματος μεταβολὴ, καὶ ὅλως αἱ τῶν ἕξεων ἀποβολαὶ καὶ λήψεις οὐκ εἰσὶν ἀλλοιώσεις, ἐφεξῆς δὲ τὴν αἰτίαν διδάσκει, δι' ἣν ἀλλοιοῦσθαι δοκεῖ τὰ κατ' αὐτὰς μεταβάλλοντα. καὶ λέγει ὅτι γίνεσθαι καὶ φθείρεσθαι αὐτὰς ἀλλοιουμένων τινῶν ἀνάγκη. ὑγεία γὰρ γίνεται, θερμαινομένων τινῶν τοῦ σώματος καὶ ψυχομένων, τουτέστιν ἀλλοιουμένων. ἀλλ' οὔτε ἡ ἀλλοίωσις ὑγεία ἐστίν. οὔτε ἡ ὑγεία ἀλλοίωσις. ἀλλ' ἐπιγίνεται τῇ ἀλλοιώσει ἡ συμμετρία τῶν ἀλλοιουμένων. καθ' ἣν ἡ ὑγεία θεωρεῖται. ὁ δὲ αὐτὸς λόγος καὶ ἐπὶ ἰσχύος καὶ ἐπὶ κάλλους. εἰ γάρ τινων ἀλλοιουμένων ἐπιγίνεται ταῦτα, πῶς ἄν τις λέγοι τὰ ἐπιγινόμενα καὶ μηδέπω ὄντα ἀλλοιοῦσθαι. οὐ γὰρ τὸ εἰς ὑγείαν μεταβάλλον κατ' αὐτὸ τοῦτο ἀλλοιοῦται. ἀλλὰ διὰ τὸ ἀλλοιοῦσθαι μεταβάλλει. εἰ μὲν γὰρ ἐν τῷ θερμὸν ἢ ψυχρὸν εἶναι τὸ ὑγιαίνειν ἦν ἡ εἰς ὑγείαν μεταβολὴ, ἦν ἂν ἀλλοίωσις. ἐπειδὴ δὲ τούτων οὐδὲν ἦν ἡ ὑγεία, ἐν δὲ τῇ τούτων συμμετρίᾳ τὸ εἶναι ἔχει, δῆλον ὡς ἀλλοίωσις μὲν οὐκ ἔστιν ἡ εἰς ὑγείαν μεταβολὴ, δι' ἀλλοιώσεως δὲ ἐπιγίνεται. τὸ δὲ καθάπερ τὸ εἶδος καὶ τὴν μορφὴν εἶπε, δηλῶν ὅτι ὥσπερ ἡ γένεσις, αὕτη γάρ ἐστιν ἡ εἰς τὸ εἶδος καὶ τὴν μορφὴν μεταβολὴ, κατά τε τὴν τοῦ εἴδους λῆψιν καὶ ἀποβολὴν οὐκ ἔστι μὲν ἀλλοίωσις, ἀλλοιουμένων δὲ γίνεταί τινων, οὕτως ἔχει καὶ ἐπὶ τῆς κατὰ τὴν ἕξιν μεταβολῆς. καὶ γὰρ αὕτη ἀλλοίωσις μὲν οὐκ ἔστιν. ἀλλοιουμένων δέ τινων ἐπιγίνεται. ἢ τὸ σχῆμα καὶ τὴν μορφὴν εἶπεν, τὸ σχῆμα δηλῶν καὶ τὴν κατ' ἐκεῖνο μεταβολὴν, εἴπερ γοῦν καὶ ἐπ' ἐκείνου γίνεσθαι ἴσως ἕκαστον, ἀλλοιουμένου τινὸς οἷον τῆς ὕλης πυκνουμένης ἢ μανουμένης. εἰπὼν δὲ ὅτι αἱ ἕξεις γίνονται ἀλλοιουμένων τινῶν, οἷον ψυχρῶν, θερμῶν, ξηρῶν, ὑγρῶν, ἐπήγαγεν ἢ ἐν οἷς τυγχάνουσιν οὖσαι πρώτοις, ὡς οὐ προκείμενον αὐτῷ νῦν ζητεῖν, περὶ τὰ τίνων πάθη καὶ κατὰ τίνας μεταβολὰς πρώτας καὶ ἀλλοιώσεις αἱ ἕξεις γίνονται, εἴτε τὰ τῶν ὁμοιομερῶν ὡς Ἀναξαγόρας, εἴτε τὰ τῶν ἀτόμων ὡς ὁ Δημόκριτος, εἴτε τὰ τῶν ποιοτήτων ὡς Ἀριστοτέλης. ὅτι μὲν γὰρ ἀλλοιουμένων τινῶν γίνονται, πρόδηλον. τίνων δὲ, ζητείσθω. πιστοῦται δὲ τὸν λόγον καὶ ἐκ τοῦ τὴν κακίαν καὶ τὴν ἀρετὴν περὶ τὰ πάθη λέγεσθαι, ὑφ' ὧν ἀλλοιοῦσθαι πέφυκε τὸ ἔχον. ἤτε γὰρ ἀρετὴ ἐγγινομένη, ἢ τελέως ἀπαθὲς ποιεῖ. εἴ γε πάθη μόνα τὰ μοχθηρὰ καλοῦμεν, ἢ ὡδὶ παθητικόν. τουτέστι μεμετρημένως. εἰ μὴ ἐν ἀπαθείᾳ, ἀλλ' ἐν συμμετρίᾳ παθῶν τὴν ἀρετὴν θεωροῦμεν. τοιαῦται γάρ εἰσιν ἐπὶ τῆς ψυχῆς αἵ τε ἠθικαὶ καὶ πολιτικαὶ ἀρεταί. οὐκ ἐκκόπτουσαι τελέως τῆς ψυχῆς τοὺς θυμοὺς καὶ τὰς ἐπιθυμίας. ἀλλὰ μετροῦσαι αὐτῶν τὰ κινήματα. καὶ ἐπὶ τοῦ σώματος οὐκ ἀπαθὲς ποιεῖ τὸ σῶμα ἀπὸ τῶν θερμῶν καὶ ψυχρῶν. ἀλλὰ μετρεῖ αὐτῶν τὰ πάθη ἡ σωματικὴ ἀρετὴ, τουτέστιν ὑγεία. ὥσπερ ἡ κακία καὶ ἡ νόσος ἡ ἀμετρία αὐτῶν ἐστίν. εἰ οὖν περὶ ταῦτα αἱ ἀρεταὶ καὶ αἱ κακίαι εἰσὶν, ὑφ' ὧν καὶ καθ' ἃ τὸ ἔχον αὐτὰς ἀλλοιοῦσθαι πέφυκε. κατὰ δὲ τὰς παθητικὰς ποιότητας αἱ ἀλλοιώσεις, περὶ τὰ πάθη ἂν καὶ τὰς παθητικὰς ποιότητας τοῦ σώματος εἶεν, ἀρεταὶ καὶ κακίαι τοῦ σώματος. ὥστε ἐκείνων ἀλλοιουμένων ταύτας γίνεσθαι. περὶ τίνα δὲ πάθη ἑκάστη τῶν τοῦ σώματος ἀρετῶν οἷον ὑγεία καὶ ἰσχὺς καὶ κάλλος προσκείμενον οὐκ ὂν, νῦν παρῆκε ζητεῖν. ὥσπερ δὲ ἡ ἀρετὴ τῶν μὲν μοχθηρῶν παθῶν, ἀπαθεῖς ποιεῖ, τῶν δὲ μεμετρημένων, ἅπερ οὐδὲ πάθη τινὲς ἀξιοῦσι καλεῖν, παθητικοὺς, οὕτως ἡ κακία τῶν μὲν μοχθηρῶν παθῶν, παθητικοὺς ποιεῖ. τῶν δὲ μεμετρημένων ἀπαθεῖς. ὥστε περὶ πάθη ἡ ἀρετὴ καὶ ἡ κακία. καὶ τῇ κατὰ ταῦτα ἀλλοιώσει γίνονται. τῇ μὲν συμμετρίᾳ αὐτῶν, ἡ ἀρετή. τῇ δὲ ἀμετρίᾳ ἡ κακία. ὥστε οὔτε αἱ ἕξεις ἀλλοιώσεις εἰσίν. οὔτε αἱ κατὰ τὰς ἕξεις μεταβολαί. ἐπειδὴ δὲ καὶ

ἐν τούτοις ὁ ἀριστοτέλης λέγει. ὅτι τῶν πρός τι οὐκ ἔστιν ἀλλοίωσις, οὔτε γένεσις, οὔτε ὅλως μετα-
βολὴ οὐδεμία. ἐπιστῆσαι χρὴ ὅτι τὰς ἀρετὰς καὶ τὰς κακίας εἰπὼν τῶν πρός τι εἶναι, ἑκάστη
γάρ φησιν ἐστὶ τῷ πρός τι πῶς ἔχειν, γίνεσθαι καὶ φθείρεσθαι λέγει αὐτὰς ἀλλοιουμένων τινῶν. πῶς
οὖν τῶν πρός τι οὐκ ἔστι γένεσις. οὐδὲ ὅλως μεταβολή. ἢ γίνεται μὲν πάντως καὶ φθείρεται καὶ τὰ
πρός τι. τὸ γὰρ μὴ ὂν πρότερον διπλάσιον ὕστερόν ἐστι. καὶ πάλιν οὐκ ἔστι. ὃ δὲ πρότερον μὴ ὂν ὕστερον
ὕστερόν ἐστι ὕστερον γίνεται. καὶ ὃ πρότερον ὂν ὕστερον οὐκ ἔστιν, ὕστερον φθείρεται. ἀλλ' οὐ καθ' αὑτὰ γίνε-
ται καὶ φθείρεται. ἀλλ' ὡς ἐνταῦθα δώρεισεν ἀλλοιουμένων τινῶν, καὶ ὅλως μεταβαλλόντων γίνε-
ται ταῦτα καὶ φθείρεται. ἐνδέχεται γάρ φησιν ἐν τῷ ε βιβλίῳ θατέρου μεταβάλλοντος ἀληθεύε-
σθαι θάτερον μηδὲν μεταβάλλει. ὥστε κατὰ συμβεβηκὸς ἡ κίνησις αὐτῶν. τὴν δὲ κατὰ συμβεβηκὸς
μεταβολὴν ἀφῆκεν ἐν ἐκείνοις ὡς ἀόριστον. ἐν ἅπασι γάρ φησιν ἐστὶν καὶ ἀεὶ καὶ πάντων. εἰ οὖν τὰ
πρός τι μὴ ἐστὶ καθ' αὑτὰ ἀλλ' ἐν ἄλλοις τὸ εἶναι ἔχει, ἐκείνων μεταβαλλόντων καὶ τὰ πρός τι με-
ταβάλλει οὐ καθ' αὑτὰ ἀλλὰ κατὰ συμβεβηκός.

Ὁ ΜΟΙΩΣ δὲ καὶ ἐπὶ τῶν τῆς ψυχῆς ἕξεων. ἅπασαι γὰρ καὶ αὗται τῷ πρός τι πῶς ἔχειν. καὶ αἱ
μὲν ἀρεταὶ, τελειώσεις. αἱ δὲ κακίαι, ἐκστάσεις. ἔτι δὲ ἡ μὲν ἀρετὴ, εὖ διατίθησι πρὸς τὰ οἰκεῖα πά-
θη. ἡ δὲ κακία, κακῶς. ὥστε οὐδ' αὗται ἔσονται ἀλλοιώσεις. οὐδὲ δὴ καὶ ἀποβολαὶ καὶ αἱ λήψεις
αὐτῶν. γίνεσθαι δ' αὐτὰς ἀναγκαῖον, ἀλλοιουμένου τοῦ αἰσθητικοῦ μέρους. ἀλλοιωθήσεται δὲ ὑπὸ τῶν
αἰσθητῶν. ἅπασα γὰρ ἡ ἠθικὴ ἀρετὴ, περὶ ἡδονὰς καὶ λύπας τὰς σωματικάς. αὗται δὲ, ἢ ἐν τῷ πράττειν,
ἢ ἐν τῷ μεμνῆσθαι, ἢ ἐν τῷ ἐλπίζειν. αἱ μὲν οὖν ἐν τῇ πράξει, κατὰ τὴν αἴσθησίν εἰσι. ὥσθ' ὑπὸ αἰσθη-
τοῦ τινὸς κινεῖσθαι. αἱ δ' ἐν τῇ μνήμῃ καὶ τῇ ἐλπίδι, ἀπὸ ταύτης εἰσί. ἢ γὰρ οἷα ἔπαθον μεμνημένοι
ἥδονται, ἢ ἐλπίζοντες οἷα μέλλουσι. ὥστ' ἀνάγκη πᾶσαν τὴν τοιαύτην ἡδονὴν, ὑπὸ τῶν αἰσθητῶν γί-
νεσθαι. ἐπεὶ δ' ἡδονῆς καὶ λύπης ἐγγινομένης, καὶ ἡ κακία καὶ ἡ ἀρετὴ ἐγγίνεται, περὶ ταύτας
γάρ εἰσιν, αἱ δὲ ἡδοναὶ καὶ αἱ λῦπαι ἀλλοιώσεις τοῦ αἰσθητικοῦ, φανερὸν ὅτι ἀλλοιουμένου τινὸς, ἀ-
νάγκη καὶ ταύτας ἀποβάλλειν καὶ λαμβάνειν. ἔτι ἡ μὲν γένεσις αὐτῶν μετ' ἀλλοιώσεως. αὐτὴ δ' οὐκ
ἔστιν ἀλλοίωσις.

Δ είξας ὅτι αἱ ἀρεταὶ καὶ κακίαι τοῦ σώματος, καὶ ὅλως καὶ αἱ ἕξεις αἱ σωματικαὶ οὐ δι' ἀλλοιώσεως γίνον-
ται καὶ ἀπογίνονται. εἴπερ αἱ μὲν ἀρεταὶ τελειότητές εἰσι κατὰ φύσιν. αἱ δὲ κακίαι παρὰ φύσιν. τὰ
δὲ εἰς τὸ κατὰ φύσιν ἰόντα γίνονται ἀλλ' οὐκ ἀλλοιοῦνται. καὶ τὰ εἰς τὸ παρὰ φύσιν φθείρεται εἴπερ ἐν
τῷ πρός τι εἰσὶ, μεταβαίνει λοιπὸν ἐπὶ τὰς τῆς ψυχῆς ἕξεις. καὶ δείκνυσιν ὅτι οὐδὲ αἱ κατὰ ταύτας
μεταβολαὶ ἀλλοιώσεις εἰσὶν εἴπερ καὶ αὗται. ὥσπερ καὶ αἱ σωματικαὶ τελειότητες εἰσὶ τῆς ψυχῆς καὶ
ἐν τῷ πρός τι πῶς ἔχειν τὴν ὑπόστασιν ἔχουσιν. ὡς οὖν τελειότητος. γενέσεις μᾶλλον αἱ λήψεις αὐτῶν καὶ
φθοραὶ, αἱ ἀποβολαὶ οὐκ ἀλλοιώσεις. ἕκαστον γὰρ τῶν ὄντων ὅταν τέλειον ᾖ καὶ κατὰ φύσιν, τότε μά-
λιστά ἐστιν ὅπερ λέγεται εἶναι. καὶ γὰρ ἵππος μάλιστα, ὁ τὴν ἵππου ἀρετὴν ἔχων. καὶ τῶν ἄλλων ἕκαστον. ὅτι
δὲ καὶ αἱ τῆς ψυχῆς ἀρεταὶ τῶν πρός τι δῆλον. εἴπερ καὶ αὗται συμμετρίαι εἰσὶν ἐκείνων, ἐν οἷς ἐγγίνονται.
θυμῶν καὶ ἐπιθυμιῶν καὶ τῶν τοιούτων. ὥσπερ αἱ σωματικαὶ θερμῶν καὶ ψυχρῶν καὶ τῶν τοιούτων.
αὐτὸς δὲ τὸ πρός τι αὐτῶν ἐδήλωσε διὰ τοῦ ἡ μὲν ἀρετὴ εὖ διατίθησι πρὸς τὰ οἰκεῖα πάθη. ἡ δὲ κα-
κία κακῶς. ὡς γὰρ ταῖς σωματικαῖς ἕξεσι πρός τι οὔσαις ὑπῆρχε τὸ ἑκάστην αὐτῶν περὶ τὰ οἰκεῖα πάθη
εὖ ἢ κακῶς διατιθέναι τὸ ἔχον αὐτήν. ἡ μὲν ἀρετὴ διὰ συμμετρίαν. ἡ δὲ κακία δι' ἀσυμμετρίαν. ἢ ἀπαθὲς
ἢ παθητικὸν ποιοῦσιν ὧδε, οὕτω καὶ αἱ ἀρεταὶ εὖ διατιθέασι πρὸς τὰ οἰκεῖα πάθη τὰ ἔχοντα. καὶ αἱ κα-
κίαι κακῶς. ὥστε καὶ αὗται τῶν πρός τι εἰσί. συμμετρίαι τινὲς οὖσαι καὶ ἀσυμμετρίαι. εἰ οὖν τὰ πρός τι
μήτε αὐτὰ ἀλλοιώσεις, μήτε ἔστιν αὐτῶν ἀλλοίωσις, οὔτε αἱ ψυχικαὶ ἕξεις, ἀλλοιώσεις εἰσίν. οὔτε ἀπο-
βολαὶ καὶ λήψεις αὐτῶν γίνεσθαι μέντοι καὶ ταύτας ἀναγκαῖον ὥσπερ τὰς σωματικὰς ἀλλοιουμένου
τινὸς, αἱ μὲν γὰρ σωματικαὶ ἕξεις γίνονται. ἀλλοιουμένων τῶν ἐν οἷς τυγχάνουσιν οὖσαι πρώτως θερμῶν καὶ
ψυχρῶν καὶ τῶν τοιούτων. αἱ δὲ ψυχικαὶ ἀλλοιουμένου τοῦ αἰσθητικοῦ μέρους. ἀλλοιωθήσεται δὲ ὕστερον δῆ-
λον ὅτι ὑπὸ τῶν αἰσθητῶν πρὸς ἃ πέφυκεν. τοῦ δὲ αἰσθητικοῦ ἀλλοιουμένου εἶπεν, ὡς τοῦ παθητικοῦ. τὰ
γὰρ πάθη ὥς φησιν ὁ πλωτῖνος, ἢ αἰσθήσεις εἰσίν. ἢ οὐκ ἄνευ αἰσθήσεων. εἰπὼν δὲ πρότερον κοινῶς περὶ
τῶν ψυχικῶν ἕξεων. ὅτι καὶ αὗται τελειώσεις εἰσὶ καὶ ἐν τῷ πρός τι συμμετρίαι τινὲς οὖσαι καὶ ἀσυμμε-
τρίαι. καὶ ὅτι γίνονται ἀλλοιουμένου τοῦ αἰσθητικοῦ, διαιρεῖ λοιπὸν τὰς ψυχικὰς ἀρετὰς, εἴς τε τὰς ἠθικὰς
καὶ τὰς διανοητικάς. καὶ ἐφ' ἑκατέρων δείκνυσι πῶς ἐν τῷ πρός τι εἰσί. καὶ πῶς ἀλλοίωσις μὲν οὐδετέρα.
οὐδὲ ἔστιν αὐτῶν ἀλλοίωσις. γίνεται δὲ ἀλλοιουμένων τινῶν. καὶ ὅτι μὲν ἡ ἠθικὴ ἀρετὴ ἀλλοιουμένου τοῦ αἰσθη-
τικοῦ γίνεται, δείκνυσιν. ἐκ τοῦ πᾶσαν τὴν ἠθικὴν ἀρετὴν περὶ ἡδονὰς εἶναι καὶ λύπας τὰς σωματικὰς, ὡς
ἐν τοῖς ἠθικοῖς ἀποδέδεικται. αἱ δὲ ἡδοναὶ καὶ λῦπαι αἱ σωματικαὶ ἀλλοιουμένου τοῦ αἰσθητικοῦ ὑπὸ
τῶν αἰσθητῶν γίνονται. ὥστε ἡ ἠθικὴ ἀρετὴ ἀλλοιουμένου τοῦ αἰσθητικοῦ ὑπὸ τῶν αἰσθητῶν γίνε-
ται. ὅτι δὲ αἱ ἡδοναὶ καὶ αἱ λῦπαι ἀλλοιουμένου τοῦ αἰσθητικοῦ γίνονται, δείκνυσιν ἐκ διαιρέσεως. ἡδό-
μεθα γὰρ ἢ λυπούμεθα, ἢ ἐν τῷ πράττειν ἢ ἐν τῷ μεμνῆσθαι. καὶ γὰρ ἡ μνήμη τῶν ἡδέων ἡδονὴν.

ποιεῖ. καὶ τῶν λυπηρῶν λύπην. ἢ ἐν τῷ ἐλπίζειν. καὶ γὰρ καὶ ἐλπίδες αἱ μὲν τῶν ἡδέων ἥδουσιν, αἱ δὲ τῶν λυπηρῶν λυποῦσιν. εἰ οὖν καὶ ἐν τῷ πράττειν ἡδοναὶ καὶ λῦπαι αἰσθηταί εἰσι, καὶ ὑπὸ τῶν αἰσθητῶν γίνονται, καὶ αἱ ἐν τῷ μεμνῆσθαι δὲ ἐλπίζειν γινόμεναι ἀπὸ αἰσθητῶν γίνονται, ἢ γὰρ οἷα ἐπάθομεν καὶ ὧν ἠσθόμεθα μεμνημένοι ἡδόμεθα ἢ λυπούμεθα, ἢ οἷα πεισόμεθα καὶ ὅσων αἰσθησόμεθα ἐννοοῦντες, δηλονότι αἱ ἡδοναὶ καὶ λῦπαι ἢ μὲν συμβαίνουσιν, ἀλλοιουμένου τοῦ αἰσθητικοῦ ὑπὸ τῶν αἰσθητῶν. ὅτι δὲ ἡ ἠθικὴ ἀρετὴ περὶ ἡδονάς ἐστι καὶ λύπας, δέδεικται μὲν ὡς πρότερον εἶπον ἐν τοῖς ἠθικοῖς διὰ πλειόνων. λεγέσθω δὲ καὶ νῦν συντόμως, ὅτι συνεθισμὸς τοῦ ἥδεσθαι καὶ λυπεῖσθαι, μὴ ὡς ἔτυχεν, ἀλλ᾽ ἐφ᾽ οἷς δεῖ, καὶ ὅτε δεῖ, καὶ ἐφ᾽ ὅσον δεῖ, οὗτος τὴν ἠθικὴν ἀρετὴν ποιεῖ. καὶ ταῦτα καὶ ὁ Πλάτων ἐν νόμοις διδάσκει περὶ τῆς ἡδονῆς καὶ τῆς λύπης λέγων, δύο γὰρ αὗται πηγαὶ μεθεῖνται ῥεῖν. ὧν ὁ μὲν ἀρυτόμενος ὅθεν τε δεῖ, καὶ ὁπότε, καὶ ὁπόσον, εὐδαιμονεῖ καὶ πόλις καὶ ζῶον ἅπαν. ἀποδείξας δὲ τὰς προτάσεις συνῃρημένως ἐκτίθεται τὸν συλλογισμὸν οὕτως. ἀρετὴ ψυχῆς καὶ κακία ἐγγίνεται, ἡδονῆς καὶ λύπης ἐγγινομένης. ἡδοναὶ δὲ καὶ λῦπαι ἀλλοιώσεις εἰσὶ τοῦ αἰσθητικοῦ. φανερὸν ἄρα ὅτι ἀρετὴ καὶ κακία ἐγγίνονται καὶ φθείρονται, ἀλλοιουμένου τοῦ αἰσθητικοῦ, ὥστε τότε ἀποβάλλειν αὐτὰς καὶ λαμβάνειν. δῆλον οὖν ἐκ τῶν εἰρημένων ὅτι ἡ μὲν γένεσις τῆς ἀρετῆς καὶ κακίας ἀλλοιουμένων τινῶν ἕπεται. αὐτὴ δὲ ἡ γένεσις αὐτῶν οὐκ ἔστιν ἀλλοίωσις. ἀλλ᾽ ἐπιγίνεται τῇ κατὰ τὴν ἡδονὴν καὶ λύπην ἀλλοιώσει τοῦ αἰσθητικοῦ. ἡ μὲν ἀρετὴ κατὰ τὸ ἐγγινόμενον τῇ ἀλλοιώσει ταύτῃ μέτρον. ἡ δὲ κακία κατὰ τὴν ἀμετρίαν. τὸ δὲ αἱ ἡδοναὶ καὶ αἱ λῦπαι ἀλλοιώσεις εἰσὶ τοῦ αἰσθητικοῦ εἶπεν. ἀντὶ τοῦ ἀλλοιουμένου τοῦ αἰσθητικοῦ γίνονται. ἡ μὲν γὰρ ἀλλοίωσις τοῦ αἰσθητικοῦ, οἷον θέρμανσις ἢ ψύξις ἢ διάκρισις ἢ σύγκρισις, ἢ ὅπως ἄν τις αὐτὰς ταῖς ἰδιοτροπίαις ὀνομάζειν δύναιτο, πάθη τοῦ αἰσθητικοῦ ἐστιν ὑπὸ τῶν αἰσθητῶν ἐγγινόμενα. τούτοις δὲ ἐπιγίνεται ποτὲ μὲν ἡδονή, ποτὲ δὲ λύπη. τούτων δὲ συμμέτρων μὲν ἐγγινομένων ἀρετὴ ἀκολουθεῖ. ἀσυμμέτρων δὲ κακία.

ἈΛΛᾺ ΜῊΝ οὐδὲ τῷ διανοητικῷ μέρει τῆς ψυχῆς ἡ ἀλλοίωσις. τὸ γὰρ ἐπιστῆμον μάλιστα τῶν πρός τι λέγεται. τοῦτο δὲ δῆλον. κατ᾽ οὐδεμίαν γὰρ δύναμιν κινηθεῖσιν ἐγγίνεται τὸ τῆς ἐπιστήμης, ἀλλ᾽ ὑπάρξαντός τινος. ἐκ γὰρ τῆς κατὰ μέρος ἐμπειρίας τὴν καθόλου λαμβάνομεν ἐπιστήμην. οὐδὲ δὴ ἡ ἐνέργεια γένεσις. εἰ μή τις καὶ τὴν ἀνάβλεψιν καὶ τὴν ἁφὴν γενέσεις φησί. τοιοῦτον γὰρ ἡ ἐνέργεια.

Δείξας ἐν μέρει ὅτι αἱ ἠθικαὶ ἀρεταὶ καὶ κακίαι καὶ αἱ τούτων λήψεις καὶ ἀποβολαὶ οὐκ εἰσὶν ἀλλοιώσεις, ἐφεξῆς δείκνυσιν ὅτι οὐδὲ αἱ τοῦ νοητικοῦ μέρους οὔτε αἱ τούτων λήψεις καὶ ἀποβολαὶ ἀλλοιώσεις εἰσίν. ὥσπερ δὲ ἠθικαὶ ἀρεταὶ ἦσαν αἱ περὶ τὸ ἄλογον τῆς ψυχῆς, ἐν ᾧ ἡδοναὶ καὶ λῦπαι κοινῶς αὐταῖς καὶ τοῖς ἀλόγοις ζώοις ὑπάρχουσαι, πολλὰ γάρ ἐστι καὶ ἐν τούτοις διὰ συνεθισμοῦ κατορθούμενα, οὕτω νοητικαὶ ἢ διανοητικαί, γράφεται γὰρ καὶ ἑκατέρως, αἱ περὶ τὸ λογικὸν εἰσὶ τῆς ψυχῆς. περὶ ὃ ἐπιστήμη συνίσταται καὶ ἡ κατ᾽ αὐτὴν ἀρετή. οὐδὲ ἡ τούτου οὖν φησιν ἕξις ἀλλοίωσίς ἐστιν. οὐδὲ ἔστιν αὐτῆς ἀλλοίωσις, οὐδὲ γένεσις, ἀπὸ τοῦ εἰς τὰ πρός τι καὶ ταύτην ἀνάγει. τὰ δὲ πρός τι ἐστὶ περὶ ὧν εἶπε πρὸ ὀλίγου, ὅτι οὔτε αὐτά ἐστιν ἀλλοιώσεις. οὔτε ἐστὶν αὐτῶν ἀλλοίωσις οὔτε γένεσις, οὔτε ὅλως μεταβολὴ καθ᾽ αὑτὸ δηλονότι. ἐπεὶ κατὰ συμβεβηκὸς καὶ τὰ πρός τι καὶ γίνεσθαι βούλεται καὶ μεταβάλλειν. εἰ οὖν ἐν τῷ πρός τι ἐστὶ τὸ ἐπιστῆμον, τοῦ δὲ πρός τι οὐκ ἔστιν ἀλλοίωσις, οὐδὲ τῆς ἕξεως τῆς ἐπιστήμης ἔστιν ἀλλοίωσις, οὔτε γένεσις οὔτε ὅλως μεταβολὴ καθ᾽ αὑτό. ὅτι δὲ ἡ κατὰ τὴν ἐπιστήμην ἕξιν ἐν τῷ πρός τι ἐστὶ κατασκευάζων ἐκ τοῦ μᾶλλον τὴν ἀρχὴν ὑπέμνησε, πολὺ μᾶλλον τῶν ἠθικῶν ἕξεων τὸ ἐπιστῆμον ἐν τῷ πρός τι πῶς ἔχειν λεγόμενον παραδεικνύς. ἐναργέστερον γὰρ ἔχει τὸ πρός τι ἡ ἐπιστήμη τῶν ἐν τῷ ἠθικῶν ἀρετῶν, σωφροσύνης καὶ δικαιοσύνης. ἐκεῖναι μὲν γὰρ διὰ τῆς συμμετρίας εἰς τὸ πρός τι ἀνήγοντο. ἡ δὲ ἐπιστήμη ἐπιστητοῦ ἐστι καὶ πᾶσα γνῶσις τοῦ γνωστοῦ. δεύτερον δὲ δείκνυσιν ὅτι αἱ τοῦ νοητικοῦ ἕξεις ἐν τῷ πρός τι εἰσί. διὰ τοῦ μὴ εἶναι γένεσιν αὐτῶν. τοῦτο γὰρ ἦν ἴδιον τῶν πρός τι, τὸ τὸ δυνάμει ἐν αὐτοῖς ἐνέργεια γίνεσθαι, μὴ δὲ αὐτὸ καθ᾽ αὑτὸ μεταβάλλον. δεῖ γὰρ τούτου μεμνῆσθαι πανταχοῦ, ὅτι τὴν καθ᾽ αὑτὸ γένεσιν καὶ μεταβολὴν ἀποφάσκει ὁ Ἀριστοτέλης τῶν πρός τι, κατὰ συμβεβηκὸς αὐτὸ καὶ γίνεσθαι καὶ μεταβάλλειν συγχωρῶν. ὃ μέντοι μηδὲν αὐτὸ καθ᾽ αὑτὸ μεταβάλλει, δηλονότι οὐδὲ γίνεται καθ᾽ αὑτό. πᾶσα γὰρ γένεσις μεταβολή. εἰ οὖν τὸ κατὰ δύναμιν ἐπιστῆμον τὸ ἐν τῷ νοητικῷ ἐνέργεια γίνεται καὶ συνίσταται, τότε ἡ ἐπιστήμη τῶν καθόλου γνῶσις οὖσα γίνεται, ὅταν ἐξ αἰσθήσεως ἐμπειρία τις τῶν καθ᾽ ἕκαστα γνώσεων συναχθῇ. ὅτι μὲν γὰρ πᾶς ἄνθρωπος λογικός, ἐπιστημονικῶς γνωρίζομεν ἐκ τῆς τῶν καθ᾽ ἕκαστα ἐφόδου, καὶ πείρας. ἡ δὲ πεῖρα οὐκ ἐν τῷ νοητικῷ γίνεται, ἀλλ᾽ ἐν τῷ αἰσθητικῷ καὶ φανταστικῷ. ἐν τούτοις οὖν τῆς τῶν κατὰ μέρος πείρας συναχθείσης, τὸ δυνάμει ἐπιστῆμον τὸ ἐν τῷ νοητικῷ ἐνέργεια ἐγένετο, οὐδὲν αὐτὸ κινηθέν. οὕτω μὲν οὖν ὁ Ἀλέξανδρος ἐξηγήσατο, ἐκ τῶν κατὰ μέρος συνάγεσθαι τὸ καθόλου καὶ τὴν τοῦ καθόλου γνῶσιν βουλόμενος. καὶ τὸ ἐπίσταται γάρ πως

τῷ καθόλου τὰ ἐν μέρει ὡς σημεῖον εἰπεῖν εἰρῆσθαι, τῷ διὰ τῶν ἐν μέρει τὴν τοῦ καθόλου γνῶσιν ἀθροίζεσθαι. εἴπερ ἡ καθόλου ἐπιστήμη ἑκάστου τῶν ὑπὸ τὸ καθόλου ἐστίν, ἐξ ὧν ἠθροίσθη. περιείληπται γὰρ ἐν τῇ τοῦ καθόλου ἐπιστήμῃ τὰ ἐν μέρει, ὡς ἐκ τούτων καὶ ἐπὶ τούτοις ἐκείνης γινομένης. εἰ δὲ μὴ δυνατὸν ἐκ τῶν κατὰ μέρος ἀπείρων ὄντων τὰ καθόλου συνάγεσθαι, μήτε ἐν τῷ αἰσθητικῷ καὶ φανταστικῷ γνώσει τῆς ἐν νῷ ἐπιστήμης ὑποστατικὴν εἶναι, χείρονα οὖσαν πολλῷ κρείττονος, ἁπλοϊκώτερον καὶ ἀληθέστερον οἶμαι μᾶλλον ἐξηγητέον τὸ ὑπὸ τοῦ Ἀριστοτέλους εἰρημένον. ὁ γὰρ νοῦς ἐπιστήμην ἔχων τῶν μὲν καθόλου ἀεὶ κατ' ἐνέργειαν εἴτε πρόχειρον εἴτε μή, τῶν δὲ ἐν μέρει δυνάμει, ὅταν ἡ αἴσθησις προσβάλλῃ τῷ μερικῷ, τότε ἂν ὁ νοῦς οὐ γινώσκει τὸ καθόλου ἐνέργεια ἐν τῷ μερικῷ, ἀλλὰ γινώσκει τῷ καθόλου τὰ ἐν μέρει. ὁ γάρ τις ἄνθρωπος καὶ ἄνθρωπος ὡς αὐτὸς εἶπεν ἐν ἄλλοις. καὶ διὰ τοῦτο πῶς προστέθηκεν, ὅτι οὐκ ἔστι σύστοιχος ἡ τοῦ καθόλου γνῶσις τῇ τοῦ μερικοῦ. ἀλλὰ γινώσκεται τῇ καθόλου τὸ μερικόν, τῷ περιέχεσθαι ὑπὸ τὸ καθόλου τὸ ἐν μέρει.

ΠΆΛΙΝ ΔΕ τῆς χρήσεως καὶ τῆς ἐνεργείας, οὐκ ἔστι γένεσις. εἰ μή τις καὶ τῆς ἀναβλέψεως καὶ τῆς ἁφῆς οἴεται γένεσιν εἶναι. καὶ τὸ ἐνεργεῖν ὅμοιον τούτοις.

Δείξας ὅτι τὸ δυνάμει ἐπιστῆμον τοῦ μερικοῦ αἰσθητοῦ, μηδὲν αὐτὸ κινούμενον, ὅταν γένηται τὸ μερικὸν καὶ εἰς αἴσθησιν ἔλθῃ, γινώσκει αὐτὸ τῷ καθόλου, ἐξ οὗ συνῆπται ὅτι τῶν πρός τι ἐστί, καὶ διὰ τοῦτο οὔτε ἀλλοίωσις ἐστὶν αὐτοῦ καθ' αὑτό, οὔτε γένεσις οὔτε ὅλως μεταβολή, νῦν δείκνυσιν ὅτι καὶ ὑπάρχοντος τοῦ ἐπιστητοῦ εἴτε μερικοῦ εἴτε καθόλου, ὅταν τὸ ἐπιστῆμον ἐνεργῇ περὶ αὐτό, χρώμενον τῇ ἐπιστήμῃ, οὐ διὰ γενέσεως ἐπιτελεῖται ἡ τοιαύτη ἐνέργεια. οὐδὲ ἔστι τῆς τοιαύτης χρήσεως γένεσις. διότι δὲ γένεσις οὐκ ἔστιν αὐτῆς, διὰ τοῦτο οὐδὲ ἀλλοίωσις. γένεσις δὲ οὐκ ἔστιν αὐτῆς, διότι ἐνέργεια ἐστίν. ἡ μὲν γὰρ γένεσις ἐν χρόνῳ. ἡ δὲ ἐκ τοῦ μὴ ἐνεργεῖν εἰς τὸ ἐνεργεῖν μεταβολὴ ἀχρόνως γίνεται. ὥσπερ καὶ ἡ ἀνάβλεψις καὶ ἡ ἁφή. ὅτι δὲ ἀχρόνως ἡ εἰς ταῦτα μεταβολὴ γίνεται, δῆλον ἐκ τοῦ παντὸς τοῦ ὑποτεθέντος χρόνου ὡς ἐλαχίστου, ἐν ᾧ ἀπὸ τοῦ μὴ ἅπτεσθαι καὶ μὴ ὁρᾶν εἰς τὸ ἅπτεσθαι καὶ τὸ ὁρᾶν γίνεται, ἐλάττονα εὑρίσκεσθαι χρόνον. ὥστε οὐδὲ ἀλλοίωσις ἂν εἴη ἡ τοιαύτη μεταβολή. καὶ γὰρ ἡ ἀλλοίωσις ἐν χρόνῳ. ἔτι δὲ εἰ ἡ μὲν ἀνάβλεψις καὶ ἡ ἁφὴ ἐνέργειαί εἰσιν, ἡ δὲ ἀλλοίωσις πάθος, οὐκ ἂν εἴη τῆς ἐνεργείας πάθος καθὸ ἐνέργεια. ὁμοίως δὲ καὶ ἡ ἐκ τοῦ μὴ ἐνεργεῖν κατὰ τὴν ἐπιστήμην εἰς τὸ ἐνεργεῖν μεταβολή, οὐ διὰ γενέσεως οὐδὲ δι' ἀλλοιώσεως γίνεται.

Ἡ ΔΕ ἘΞ ἀρχῆς λῆψις τῆς ἐπιστήμης, γένεσις μὲν οὐκ ἔστιν, οὐδ' ἀλλοίωσις. τὸ γὰρ ἠρεμῆσαι καὶ στῆναι τὴν διάνοιαν, ἐπίστασθαι καὶ φρονεῖν λεγόμεθα. εἰς δὲ τὸ ἠρεμεῖν, οὐκ ἔστι γένεσις. ὅλως γὰρ οὐδὲ μιᾶς μεταβολῆς καθάπερ εἴρηται πρότερον.

Οὐ μόνον ἡ χρῆσις καὶ ἡ ἐνέργεια ἡ κατὰ τὴν ἐπιστήμην τὴν κατὰ τὴν ἕξιν ἐνοῦσαν, οὐ διὰ γενέσεως οὐδὲ δι' ἀλλοιώσεως ἀπὸ τοῦ μὴ ἐνεργεῖν εἰς τὸ ἐνεργεῖν μεταβάλλει, ἀλλὰ καὶ ἡ ἐξ ἀρχῆς λῆψις τῆς ἐπιστήμης. αὕτη δὲ ἐστὶν ἡ ἐκ τῆς πρώτης δυνάμεως εἰς τὴν ἕξιν μεταβολή, τὴν δυναμένην λοιπὸν ἐνεργεῖν. καθ' ἣν οὐδέπω οἷοί τε ὄντες ἐπιστήμην ἔχειν, μεταβάλλομεν εἰς τὸ δύνασθαι λοιπὸν τὴν ἐπιστήμην ἔχειν. τοιαύτη δὲ γίνεται κατάστασις μετὰ τὴν πρώτην ἡλικίαν, ἠρεμιζομένης καὶ ἡσυχαζομένης τῆς διανοίας ἀπὸ τῆς πολλῆς ταραχῆς. ἣν ὑπομένει διὰ τὰς προσκρίσεις τε καὶ ἀποκρίσεις τοῦ σώματος, τὰς διὰ τὴν τροφὴν καὶ αὔξησιν γινομένας, ἀτονωτέρας ἔτι τῆς φύσεως οὔσης. καὶ τὴν τοιαύτην οὖν μεταβολήν φησι μήτε ἀλλοίωσιν εἶναι μήτε γένεσιν. ἡ γὰρ ἠρέμησις τουτέστιν ἡ εἰς ἠρεμίαν μεταβολή, κίνησίς ἐστιν ὡς δέδεικται πρότερον· κινήσεως δὲ κίνησις οὐκ ἔστιν, οὐδὲ γενέσεως γένεσις, οὐδὲ ὅλως μεταβολὴ μεταβολῆς, ὡς καὶ ταῦτα προδέδεικται. καὶ νῦν ὑπέμνησε, διὰ τοῦ γενέσεως γὰρ οὐδεμιᾶς μεταβολῆς, καθάπερ εἴρηται πρότερον. καλῶς δὲ ἀπὸ τοῦ στῆναι τὴν διάνοιαν ὁ Ἀριστοτέλης τὸ ἐπίστασθαι ἐτυμολογεῖ, σύμφωνα κἀνταῦθα τῷ σφετέρῳ καθηγεμόνι φθεγγόμενος. καὶ γὰρ ὁ Πλάτων ἐν τῷ Τιμαίῳ ταύτας αἰτίας εἶναί φησι τῆς ἐξ ἀρχῆς τῶν ἀνθρωπίνων ψυχῶν ἀνοίας, καὶ τοιαύτην τὴν τῆς ἐπιστήμης ἀπόληψιν. μετὰ γὰρ τὴν τῶν ἀϊδίων δημιουργίαν, οἱ τὰ θνητὰ διακοσμοῦντες τὰς τῆς ἀθανάτου φησὶ ψυχῆς περιόδους ἐνέδουν εἰς ἐπίρρυτον σῶμα καὶ ἀπόρρυτον. αἱ δὲ εἰς ποταμὸν ἐνδεθεῖσαι πολύν, οὔτε ἐκράτουν οὔτ' ἐκρατοῦντο. βίᾳ δὲ ἐφέροντό τε καὶ ἔφερον. καὶ πολλὰ περὶ τῆς τοιαύτης καταστάσεως εἰπών, ἐπάγει, διὰ
» δὴ πάντα ταῦτα τὰ πάθη νῦν κατ' ἀρχάς τε ἄνους ψυχὴ γίνεται τὸ πρῶτον, ὅταν εἰς σῶμα ἐν-
» δεθῇ θνητόν, ὅταν δὲ τὸ τῆς αὔξης καὶ τροφῆς ἔλαττον ἐπιῤῥεῦμα, πάλιν δὲ αἱ περίοδοι λαμβανό-
» μεναι γαλήνης, τὴν αὐτῶν ὁδὸν ἴωσι. καὶ καθιστῶνται μᾶλλον ἐπιόντος τοῦ χρόνου, τότε ἤδη πρὸς τὸ
» κατὰ φύσιν ἰόντων σχῆμα, ἑκάστων τῶν κύκλων αἱ περιφοραὶ κατευθύνονται. εἰ γὰρ καὶ τοῖς τε-
» λείοις ἀφροσύνης αἰτίαι γίνεται, αἵ τε τοῦ σώματος καὶ αἱ τῶν ἀλόγων ὀρέξεων κινήσεις, πόσῳ μᾶλλον
τοῖς νέοις ἐν οἷς καὶ σφοδρότερα τὰ σωματικὰ κινήματα, καὶ ἡ φύσις ἀτονωτέρα, καὶ ὁ λόγος ἀγύ-
» μναστός τε καὶ ἄπειρός ἐστι. προστίθησι δὲ καὶ ταῦτα ὁ Πλάτων. ἂν μὲν οὖν συνεπιλαμβάνηταί τις ὀρθὴ
» τροφὴ παιδεύσεως, ὁλόκληρος ὑγιής τε παντελῶς τὴν μεγίστην ἀποφυγὼν νόσον γίνεται. καταμελήσας δὲ

» χωλὴν τὴν τοῦ βίου διαπορευθεὶς ζωὴν, ἀτελὴς καὶ ἀνόητος εἰς ᾅδου πάλιν ἔρχεται. ὁ δὲ ὅλος λόγος τῷ ἀριστοτέλει συνῆκται οὕτως. ἡ ἐξ ἀρχῆς λῆψις τῆς ἐπιστήμης διὰ τοῦ ἠρεμίζεσθαι γίνεται. τοῦ δὲ ἠρεμίζεσθαι οὐκ ἔστι κίνησις οὐδὲ μεταβολή. ἐπειδὴ τὸ ἠρεμίζεσθαι μεταβολή ἐστι. μεταβολῆς δὲ οὐκ ἔστι μεταβολή. εἴη γὰρ ἂν εἴς τε τὰ ἀντικείμενα ἅμα τι μεταβάλλον, καὶ ἅμα ἐν τοῖς ἀντικειμένοις γινόμενον. ἔτι τε ἐπ' ἄπειρον ἡ πρόοδος ἔσται τῆς μεταβολῆς καὶ γενέσεως, ὡς δέδεικται πρότερον. διὰ δὲ ταῦτα οὐδὲ τοῦ ἠρεμίζεσθαι εἴη ἂν μεταβολή. τὸ δὲ γένεσις μὲν οὐκ ἔστιν, εἴρηκε μὲν ὡς ἀνταποδώσων τι, οὐ φαίνεται δέ τι ἀνταποδιδούς. εἰ μὴ ἄρα τὸ μετὰ πολλὰ ῥηθὲν, τὸ ἐν ἀμφοτέροις δὲ ἀλλοιουμένων τινῶν τῶν ἐν τῷ σώματι, καὶ πρὸς τοῦτο ἀποδέδοται ὡς ἀλέξανδρός φησιν. μή ποτε δὲ τὴν γραφὴν εὑρὼν ὁ ἀλέξανδρος ἔχουσαν, τῷ γὰρ ἠρεμῆσαι καὶ στῆναι τὴν διάνοιαν, ἐνόμισεν ἐλλιπῆ τὸν λόγον εἶναι, ὡς τοῦ δὲ τῷ μὲν μὴ ἀποδεδομένου. ἀλλὰ πρῶτον μὲν καὶ ὁ γὰρ τὴν αἰτίαν λέγων, ἀποδίδοταί πως οἶμαι πρὸς τὸ μέν. ἔπειτα δὲ ἐν τισὶ τῶν ἀντιγράφων, τῷ δὲ ἠρεμῆσαι καὶ στῆναι γέγραπται. καὶ εἴη ἂν ἀποδεδομένον.

Ε ἜΤΙ ΔΕ ὥσπερ ὅταν ἐκ τοῦ μεθύειν ἢ καθεύδειν, ἢ νοσεῖν εἰς τἀναντία μεταστῇ τις, οὔ φαμεν ἐπιστήμονα γεγονέναι πάλιν. καίτοι ἀδύνατος ἦν τῇ ἐπιστήμῃ χρῆσθαι πρότερον, οὕτως οὐδ' ὅταν ἐξ ἀρχῆς λαμβάνῃ τὴν ἕξιν. τῷ γὰρ καθίστασθαι τὴν ψυχὴν ἐκ τῆς ἠθικῆς ἀρετῆς, φρόνιμόν τι γίνεται καὶ ἐπιστῆμον. διὸ καὶ τὰ παιδία οὔτε μανθάνειν δύνανται, οὔτε κατὰ τὰς αἰσθήσεις ὁμοίως κρίνειν τοῖς πρεσβυτέροις. πολλὴ γὰρ ἡ ταραχὴ καὶ ἡ κίνησις.

Δ Δείξας ὅτι καὶ ἡ ἐξ ἀρχῆς λῆψις τῆς ἐπιστήμης, τουτέστι τοῦ δύνασθαι τὴν ἐπιστήμην ἔχειν καὶ ἐν ἕξει γίνεσθαι αὐτῆς, οὐ διὰ γενέσεως τῆς ἐπιστήμης οὐδὲ δι' ἀλλοιώσεως τοῦ ἐπιστήμονος ἐσομένου γίνεται, εἴπερ διὰ τοῦ ἠρεμίζεσθαι τὴν ἐν τῷ σώματι ταραχὴν προσγίνεται, τὸ δὲ ἠρεμίζεσθαι οὐ διὰ κινήσεως, εἴπερ κίνησις μὲν τὸ ἠρεμίζεσθαι, κίνησις δὲ κινήσεως οὐκ ἔστιν, καὶ διὰ παραδείγματος νῦν δείκνυσι τοῦ μεθύοντος ἢ καθεύδοντος ἢ νοσοῦντος, ὅτι οὐκ ἀλλοιουμένου τι τοῦ ἐπιστήμονος, ἡ εἰς τὴν χρῆσιν καὶ τὴν ἐνέργειαν τῆς ἐπιστήμης μεταβολὴ γίνεται, οὐδὲ γινομένου ἐπιστήμονος. κἂν ἀδύνατος ἦν τῇ ἐπιστήμῃ χρῆσθαι ἐν τῷ καθεύδειν ἢ μεθύειν ἢ νοσεῖν ὁ ἐπιστήμων. ἀρκεῖ γὰρ ἡ τοῦ ἐμποδίζοντος ἐξαίρεσις. οὕτως οὖν φησιν οὐδ' ἐν τῷ ἐξ ἀνεπιστημοσύνης εἰς τὸ φρονεῖν μεταβάλλειν τι, ἐγίνετό τι ὃ μὴ πρότερον ἦν. οὔτε ἀλλοιοῦται ὁ νοῦς. ἀλλὰ στάσις μόνη γίνεται τῆς φυσικῆς ταραχῆς καὶ γαλήνη. καὶ ἀρκεῖ τοῦτο πρὸς τὸ δύνασθαι φρονεῖν καὶ ἐπίστασθαι. διὰ γὰρ τὴν ταραχὴν ταύτην φησὶ καὶ τὰ παιδία οὐδὲ μανθάνειν δύνανται, οὔτε ὁμοίως τοῖς τελείοις αἰσθάνεσθαι καὶ κρίνειν ἀκριβῶς τὰ αἰσθητά. πολλὴ γάρ φησιν ἡ ταραχὴ καὶ ἡ κίνησις ἐν τοῖς παιδίοις, διὰ τὴν τροφὴν καὶ τὴν αὔξησιν. ὡς οὖν πρὸς τὸ αἰσθάνεσθαι γίνεται ἐπιτήδεια τὰ παιδία παυομένης τῆς ταραχῆς, οὕτω καὶ πρὸς τὸ μανθάνειν καὶ τὸ φρονεῖν καὶ τὸ ἐπίστασθαι, ἀρκούσης τῆς τῶν ταραττόντων ἠρεμήσεως. ἀλλ' οἱ μὲν μεθύοντες καὶ καθεύδοντες καὶ νοσοῦντες, τὴν ἕξιν ἔχοντες, καὶ πρὸς μόνην τὴν ἐνέργειαν ἐμποδιζόμενοι, εἰκότως οὐδὲ γίνεσθαι ἐπιστήμονες λέγονται, οὔτε ἀλλοιοῦσθαι εἰς ἐπιστήμονας. τὰ δὲ παιδία εἰ λαμβάνει ποτὲ τὴν ἕξιν τῆς ἐπιστήμης καὶ τῆς φρονήσεως, μὴ πρότερον ἔχοντα, πῶς οὐκ ἐπιστήμονα γίνεται ἐξ ἀνεπιστημόνων. ἢ πῶς ὅμοιον τὸ ἀπὸ τοῦ μεθύοντος καὶ καθεύδοντος καὶ νοσοῦντος παράδειγμα, τοῖς τὴν ἕξιν ἣν μὴ εἶχον λαμβάνουσι. μή ποτε οὖν εἰ ὁμοίως ἔχει ὁ ἐξ ἀρχῆς λαμβάνων τὴν ἕξιν τῷ μεθύοντι καὶ καθεύδοντι, ἀεὶ ἡ ψυχὴ τὴν ἕξιν ἔχει. καὶ αἱ μαθήσεις ὄντως ἀναμνήσεις εἰσὶν, ὡς ὁ τοῦ πλάτωνος βούλεται λόγος. ἀλλ' ἔστι καὶ ἔχειν ὥς φησιν ὁ πλωτῖνος, καὶ μὴ πρόχειρον ἔχειν. καὶ τοῦ προχείρου καὶ τοῦ μὴ προχείρου πολλαὶ αἱ διαφοραί. καὶ τὰ μὲν παιδία οὕτως ἔχει τὴν ἕξιν τῆς ἐπιστήμης καὶ τῆς φρονήσεως, ὡς ἐν τῇ οὐσίᾳ οὖσαν τέως ἀκίνητον. διὸ καὶ λήψεως ταῦτα δοκεῖ δεῖσθαι τῆς ἐπιστήμης. καὶ μανθάνειν αὐτά φαμεν, τῆς μαθήσεως νύξεως οὔσης τινὸς, καὶ τῆς λήψεως κινήσεως ἤδη καὶ παρασκευῆς εἰς ἐνέργειαν. ἅπερ οὐδὲ αὐτὰ ὑπάρχει τοῖς παισίν. ἀλλ' ὅταν ἡ ταραχὴ τοῦ σώματος ἤδη παύηται, ὡς πρότερον ἔτι μᾶλλον κατακεχωσμένης τῆς ἕξεως, καὶ πολλῆς βοηθείας δεομένης πρὸς ἔκφανσιν. ὁ δὲ μεθύων ἢ καθεύδων γραμματικὸς προκεχείρισται μέν πως τὴν ἕξιν. ἐμπεπόδισται δὲ ἔτι πως ὁ προκεχειρισμός. ὁ δὲ νήφων καὶ ἐγρηγορὼς καὶ ὑγιαίνων προχειροτέραν μὲν καὶ ἑτοιμοτέραν ἔχει τὴν ἕξιν, ἔτι δέ πως καὶ οὗτος ἐπεχομένην. κἂν ἡ δύναμις ἐν τούτῳ παρεσκεύασται, πρὸς ἄλλοις δέ ἐστιν. ἢ τὸ γνωστὸν οὔπω πάρεστιν. ὡς ὅ γε ἐνεργῶν κατὰ τὴν ἕξιν, ἤδη τελέως αὐτὴν καὶ εἰς ἐνέργειαν προκεχείρισται. ὁ δὲ ἀριστοτέλης ἤρξατο μὲν ἀπὸ τοῦ πρόχειρον ἔχοντος τὴν ἕξιν, διὰ δὲ τὸ μὴ παρεῖναι τῇ αἰσθήσει τὸ γνωστὸν μὴ ἐνεργοῦντος. εἶτα ἐπήγαγε τὸν χρώμενον καὶ ἐνεργοῦντα, εἶτα τὸν λαμβάνοντα τὴν ἐπιστήμην. καὶ ἴσως ἀπὸ τοῦ ἐναργεστέρου τὴν ἀρχὴν ἐποιήσατο. ὁ γὰρ τῷ τὸ ἐπιστητὸν γενέσθαι ἐπιστάμενος οὐδὲν αὐτὸς κινηθεὶς, ἀλλὰ τῷ ἄλλο τι γενέσθαι ἐπιστήμων γίνεται κατ' ἐνέργειαν. καὶ ἡ ἐνέργεια δὲ ἡ κατὰ τὴν ἐπιστήμην, οὐκ ἔστιν ἀλλοίωσις τοῦ ἐπιστήμονος οὐδὲ γένεσις. ἀλλ' οὐδὲ ἡ λῆψις τῆς ἐπιστήμης δοκοῦσα, ἀλλοιουμένου τοῦ λαμβάνοντος γίνεται.

ΚΑΘΙΣΤΑΤΑΙ δὲ καὶ ἠρεμίζει. πρὸς ἔνια δ' ὑπ' ἄλλων. ἐν ἀμφοτέροις δὲ ἀλλοιουμένων τινῶν τῶν ἐν σώματι, καθάπερ καὶ ἐπὶ τῆς ἐχρήσεως καὶ τῆς ἐνεργείας, ὅταν νήφων γένηται καὶ ἐγερθῇ.

Εἰπὼν ὅτι καθισταμένης τῆς τῶν ἐμποδιζόντων ταραχῆς, καὶ αἰσθητικοὶ γίνονται καὶ φρόνιμοι καὶ ἐπιστήμονες, ἐπάγει ὅτι πρὸς ἔνια μὲν ὑπὸ τῆς φύσεως καθίστανται, τουτέστι πρὸς τὸ τὰς αἰσθήσεις ἀκραιφνέστερον ἐνεργεῖν, πρὸς ἔνια δὲ ὑπὸ ἐθῶν καὶ διδασκαλίας, ὥσπερ πρὸς τὰς ὀρέξεις, βοηθούσης καὶ πρὸς ταύτας τῆς φύσεως. μήποτε δὲ πρὸς μὲν τὰς φυσικὰς κινήσεις τάς τε αἰσθητικὰς καὶ τὰς ὀρεκτικὰς ὑπὸ τῆς φύσεως καθίστανται. πρὸς δὲ τὰς τεχνικὰς καὶ λογικὰς ὑπὸ τοῦ λόγου. καθίστανται δέ φησιν ἐν ἀμφοτέροις ἀλλοιουμένων τινῶν. ἐν ἀμφοτέροις δὲ ἂν λέγοι, τοῖς τε ὑπὸ τῆς φύσεως ἔνδοθεν καθισταμένοις, καὶ τοῖς ἔξωθεν ὑπὸ ἐθῶν καὶ διδασκαλίας. ἢ ἐν ἀμφοτέροις εἶπε, τοῖς τε ἐξ ἀρχῆς λαμβάνουσι τὴν ἕξιν, καὶ τοῖς μετὰ μέθην ἢ ὕπνον ἢ νόσον ἀποκαθισταμένοις. ἀλλοιουμένων δέ τινων ἐν τῷ σώματι, καθίστανται ἄμφω οἵ τε ἔνδοθεν καὶ ἔξωθεν καθιστάμενοι. ὑγροτέρων γὰρ ἢ ξηροτέρων ἢ θερμοτέρων ἢ ψυχροτέρων τῶν σωμάτων γινομένων. ὡς ἔχει καὶ ἐπὶ τοῦ ἐκ τοῦ μεθύειν εἰς τὸ νήφειν μεταβάλλοντος, ἐξ ὑγρότητος καὶ θερμότητος ἀσυμμέτρου, εἰς τὸ κατὰ φύσιν ἀποκαθισταμένου τοῦ πνεύματος, καὶ διὰ τοῦτο χρωμένου πάλιν τῇ ἐπιστήμῃ, τοῦ πρότερον ἀδυνατοῦντος χρῆσθαι διὰ τὴν μέθην καὶ τὴν ἀπ' αὐτῆς δυσκρασίαν. ὥσπερ οὖν καὶ ἐπὶ τούτου οὐκ ἀναλαμβάνεται ἡ ἕξις ὅταν νήψῃ, ἀλλὰ παυσαμένου τοῦ ἐνοχλοῦντος διὰ τῆς τινῶν ἐν τῷ σώματι ἀλλοιώσεως, ἕτοιμος ἡ χρῆσις, οὕτως καὶ ἐπὶ τοῦ τὴν ἕξιν ἐξ ἀρχῆς ἀναλαμβάνειν δοκοῦντος.

ΦΑΝΕΡΟ͂Ν οὖν ἐκ τῶν εἰρημένων, ὅτι τὸ ἀλλοιοῦσθαι καὶ ἀλλοίωσις, ἔν τε τοῖς αἰσθητοῖς γίνεται, καὶ ἐν τῷ αἰσθητικῷ μορίῳ τῆς ψυχῆς, ἐν ἄλλῳ δὲ οὐδενί. πλὴν κατὰ συμβεβηκός.

Ὑπομιμνήσκει λοιπὸν ἡμᾶς οὗ χάριν ἐλέχθη πάντα τὰ προειρημένα. προὔκειτο γὰρ αὐτῷ δεῖξαι ὅτι ἡ ἀλλοίωσις κατὰ τὰς παθητικὰς ποιότητας γίνεται. αὗται δέ εἰσιν αἱ αἰσθηταὶ ὑφ' ὧν ἡ αἴσθησις ἀλλοιοῦται, ὥστε τῆς ψυχῆς τὸ αἰσθητικὸν μόνον ἀλλοιοῦται καθ' αὑτό. ἤτοι τὸ ἔχον τὴν ψυχὴν κατὰ τὸ αἰσθητικὸν ἀλλοιοῦται. οὐ μέντοι ὁ νοῦς οὐδὲ τὸ θεωρεῖν καὶ φρονεῖν δι' ἀλλοιώσεως ἐπιτελεῖται. πλὴν κατὰ συμβεβηκός. ἀλλοιουμένων γάρ τινων ἐν τῷ σώματι ὡς καὶ ἐπὶ τοῦ μετὰ μέθην νήφοντος εἴρηται. καὶ μέντοι τῷ εἶναι ἐν τῷ αἰσθανομένῳ καὶ ἀλλοιουμένῳ. κατὰ δὲ τὴν ἐπιστήμην αὐτὴν οὐκ ἔστιν ἀλλοίωσις. καὶ ὅτι τελειότης ἐστίν. ἡ δὲ εἰς τελειότητα μεταβολή. γένεσις δοκεῖ μᾶλλον καὶ οὐκ ἀλλοίωσις. καὶ ὅτι τῶν πρός τι ἡ ἐπιστήμη. ἐν δὲ τοῖς πρός τι κίνησις οὐκ ἔστιν καθ' αὑτό. ζητεῖ δὲ ὁ Ἀλέξανδρος εἰ ἡ κατὰ ποιότητα μεταβολὴ ἀλλοίωσίς ἐστιν. ποιότητος δὲ πρῶτον μὲν εἶδος ἐν κατηγορίαις. ἕξις καὶ διάθεσις ἀπηρίθμηται. τέταρτον δὲ γένος ποιότητος σχῆμά τε καὶ ἡ περὶ ἕκαστον μορφή. πῶς ἡ κατὰ τὴν ἕξιν καὶ τὸ σχῆμα μεταβολὴ οὐκ ἔστιν ἀλλοίωσις. καὶ λύει καλῶς ἐκ τῶν Ἀριστοτέλους. κατὰ γὰρ τὰς παθητικὰς μόνας ποιότητας τὴν ἀλλοίωσιν γίνεσθαί φησιν ὁ Ἀριστοτέλης. τὸν δὲ πρῶτον καὶ τὸν τέταρτον τρόπον τῆς ποιότητος ἐλέγχει ὡς οὐ ποιοῦντος ἀλλοίωσιν. ὅσαι γὰρ ποιότητες εἰς τὴν οὐσίαν καὶ τὴν τελειότητα συντελοῦσι, καὶ εἶδος γίνονται τοῦ μετέχοντος οὐ ποιοῦσιν. ἀλλοῖα τὰ κατ' αὐτὰς μεταβάλλοντα. ἀλλὰ μᾶλλον ἄλλα. ποιοῦνται δ' εἰσὶν αἵ τε ἕξεις τελειότητες οὖσαι. καὶ εἶναι τοῦτο ποιοῦσαι ὅπερ λέγεται, καὶ τὰ σχήματα. διὸ τὸ σχηματισθὲν οὐκέτι λέγεται, τῷ τῆς ὕλης ὀνόματι ξύλον ἢ χαλκός. ἀλλ' οὐδὲ ἡ κατὰ θερμότητα καὶ ψυχρότητα καὶ ξηρότητα καὶ ὑγρότητα μεταβολὴ ἀεὶ ἀλλοίωσίς ἐστιν. ὅταν γοῦν ἐξ ὕδατος πῦρ γένηται. μεταβαλούσης τῆς ὑγρότητος καὶ ψυχρότητος εἰς ξηρότητας καὶ θερμότητα, οὐ λέγεται ἀλλοίωσις ἡ τοιαύτη μεταβολή. ὅτι οὐσιώδης καὶ εἰδοποιός ἐστιν ἡ μεταβολή. καὶ αἱ κατὰ τὰς ἀρετὰς οὖν μεταβολαὶ τελειοῦσαι τὸ ὑποκείμενον. καὶ εἰς τὸ τί ἦν εἶναι συντελοῦσαι οὐκ εἰσὶν ἀλλοιώσεις. οὐδὲ αἱ κατὰ τὰ σχήματα καὶ τὰς μορφάς. ἀλλ' ἐκεῖναι μόναι αἱ κατὰ τὰς συμβεβηκυίας ποιότητας. αἵτινες πάθη μόνον ἐμποιοῦσι τοῖς μετέχουσι. καὶ οὐκ οὐσιοῦσιν οὐδὲ εἰδοποιοῦσιν αὐτά.

ἈΠΟΡΗΣΕΙΕ δ' ἄν τις πότερον ἔσται κίνησις πᾶσα πάσῃ συμβλητὴ ἢ οὔ. εἰ δὴ ἐστὶ πᾶσα συμβλητή. καὶ ὁμοταχὲς τὸ ἐν ἴσῳ χρόνῳ ἴσον κινούμενον, ἔσται περιφερής τις ἴση εὐθείᾳ, καὶ μείζων δὴ καὶ ἐλάττων. ἔτι ἀλλοίωσις καὶ φορά τις ἴση ὅσων ἐν ἴσῳ χρόνῳ τὸ μὲν ἀλλοιωθῇ. τὸ δ' ἐνεχθῇ. ἔσται ἄρα ἴσον τὸ πάθος μήκει. ἀλλ' ἀδύνατον. ἀλλ' ἆρ' ὅταν ἐν ἴσῳ χρόνῳ ἴσον κινηθῇ τότε ἰσοταχές. ἴσον δὲ οὐκ ἔστι πάθος μήκει. ὥστε οὐκ ἔστιν ἀλλοίωσις φορᾷ ἴση. οὐδὲ ἐλάττων. ὥστε οὐ πᾶσα συμβλητή.

Συμπερανάμενος τὸν ἐξ ἀρχῆς λόγον τὸν δεικνύντα ὅτι τὸ πρώτως κινοῦν. μὴ ὡς τὸ οὗ ἕνεκα. ἀλλὰ τὸ ὅθεν ἡ ἀρχὴ τῆς κινήσεως, καὶ τὸ προσεχῶς ὑπ' αὐτοῦ κινούμενον. κατὰ πᾶν εἶδος κινήσεως ἅμα ἐστὶ καὶ οὐδέν ἐστι μεταξύ, καὶ ἕκαστον εἶδος κινήσεως μέχρι νῦν ἐπισκεψάμενος καθ' αὑτό. καὶ τὰ ὑπάρχοντα αὐτῷ παραδούς, ἀπορεῖ καὶ ζητεῖ ἐντεῦθεν εἰ πᾶσα κίνησις πάσῃ ἐστὶ συμβλητή, κατὰ τὰς ἰδίας τῆς κινήσεως διαφορὰς τό, τε θᾶττον καὶ τὸ βραδύτερον. ὥστε μὴ μόνον τὰς ὁμοειδεῖς ἀλλήλαις συμβάλλειν. οἷον ἀλλοίωσιν ἀλλοιώσει. ὡς εἶναι αὐτῶν τὴν μὲν θάττω τινὸς ἀλλοιώσεως, τὴν δὲ

βραδυτέραν. τὴν δὲ ἴσην. ἀλλ' εἰ καὶ ἀλλοίωσιν φορᾷ συμβάλλειν δυνατόν ἐστιν. ἢ αὐξήσει καὶ μειώσει.
ὥστε ἢ ἰσοταχεῖς αὐτὰς λέγειν. ἢ τὴν μὲν θάττω. τὴν δὲ βραδυτέραν. ἰστέον δὲ ὅτι τὸ συμβάλλειν ταυτὸν
σημαίνει τῷ παραβάλλειν καὶ συγκρίνειν καὶ ὅλως συνεξετάζειν. ἀλλ' οἱ μὲν ἀρχαῖοι παραβάλλε-
σθαι ταῦτα ἀλλήλοις ἔλεγον. οἱ δὲ νεώτεροι συγκρίνεσθαι. τῶν ἀρχαίων φυσικῶν τῷ τῆς συγκρί-
σεως ὀνόματι κεχρημένων ἐπὶ τοῦ συνάγοντος εἰς ταυτὸ τὰ κεχωρισμένα. ἀπορήσας δὲ τοῦτο. δείκνυ-
σιν ὅτι οὐκ ἔστι πᾶσα κίνησις πάσῃ συμβλητή. οὐ γάρ ἐστι πασῶν κοινόν τι μέτρον. ἀλλ' αἱ ὁμοειδεῖς
μόνον ἀλλήλαις. δείκνυσι δὲ αὐτὸ διὰ ἀδυνάτου ἐπὶ δυεῖν φορῶν πρῶτον τῆς τε ἐπ' εὐθείας καὶ τῆς
κύκλῳ. προλαβὼν τὸ ἤδη δεδειγμένον αὐτῷ τὸ ὁμοταχῆ εἶναι τὰ ἐν ἴσῳ χρόνῳ ἴσον κινούμενα.
καὶ ἐπιφέρων ἀδύνατον τῷ συμβλητὰς εἶναι τὸ ἴσην ἔσεσθαι εὐθεῖαν γραμμὴν περιφερεῖ. εἰ γὰρ
εἴη ἰσοταχῆ τινα. τὸ μὲν ἐπ' εὐθείας τινὸς κινούμενον. τὸ δὲ ἐπὶ περιφεροῦς. ἰσοταχῆ δέ ἐστι τὰ ἐν
ἴσῳ χρόνῳ ἴσον κινούμενον, ἴση ἔσται ἡ εὐθεῖα τῇ περιφερεῖ. τοῦτο δὲ ἐζητεῖτο μὲν ἔτι εἰ δυνατὸν εὐθεῖαν
ἴσην εἶναι περιφερεῖ. ἀπέγνωστο δὲ μᾶλλον. καὶ διὰ τοῦτο οὐδὲ ὁ τοῦ κύκλου τετραγωνισμὸς ηὕρη-
τό πω. καὶ νῦν δὲ κἂν δοκῇ ηὑρῆσθαι. ἀλλὰ μετά τινων ὑποθέσεων ἀντιλεγομένων. αἴτιον δὲ τοῦ καίτοι
μήπω εὑρεθέντα τὸν τοῦ κύκλου τετραγωνισμὸν ζητεῖσθαι ἔτι καὶ τὸ εἰ ἔστιν εὐθεῖα περιφερεῖ ἴση, τὸ
μηδὲ ὅτι ἀδύνατα ταῦτα ἐστὶν ηὑρῆσθαί πω. ὥσπερ τὸ τὴν διάμετρον ἀσύμμετρον εἶναι τῇ πλευρᾷ.
διὸ τοῦτο οὐδὲ ζητεῖται ἔτι. δείξας δὲ τὰς ἐπὶ τῶν γραμμῶν τούτων κινήσεις ἀσυμβλήτους, διὰ
τὸ ἕπεσθαί τι ἀδύνατον δοκοῦν τῷ συμβλητὰς αὐτὰς ὑποτιθεμένῳ, δείκνυσιν ἐφεξῆς ἐπὶ τῶν
ἀνομοειδῶν κινήσεων ἀλλοιώσεώς τε καὶ φορᾶς, ὅτι καὶ αὗται ἔτι μᾶλλον ἀσύμβλητοί εἰσι. δείκνυσι
δὲ καὶ τοῦτο διὰ ἀδυνάτου. εἰ γάρ τις λέγοι ἴσην ἀλλοίωσιν φορᾷ. τουτέστιν ἰσοταχῆ. ὅταν ἐν ἴσῳ χρόνῳ
τὸ μὲν ἀλλοιωθῇ τὸ δὲ ἐνεχθῇ, συμβήσεται ἴσον εἶναι τὸ πάθος τὸ κατὰ τὴν ἀλλοίωσιν. τῷ μήκει τῷ
κατὰ τὴν φοράν. ἰσοταχῆ γὰρ ἦν τὰ ἐν ἴσῳ χρόνῳ ἴσον κινούμενα. ἀλλὰ ἀδύνατον ἴσον εἶναι πάθος
μήκει. ἀσύμβλητα γὰρ τὸ ποσὸν καὶ τὸ ποιόν. ὅτι τοῦ μὲν ἴσον. τοῦ δὲ τὸ ὅμοιον κατηγορεῖται. καὶ
δῆλον ὅτι μὴ δυνατὸν τὸ ἴσον κατηγορηθῆναι, οὐδ' ἂν τὰ κινούμενα κατ' αὐτὰ ἰσοταχῆ λέγεσθαι
δυνατόν. πῶς γὰρ οἷόν τε θερμότητα ἢ λευκότητα ἴσην λέγειν μήκει. εἰ οὖν μὴ ἔστιν ἴσον πάθος μή-
κει, μηδὲ συμβλητὰ ταῦτα ἀλλήλοις, οὐδὲ αἱ κατ' αὐτὰς κινήσεις ἴσαι ἔσονται οὐδὲ συμβληταί.
εἰ γὰρ ἐκεῖναι. καὶ ταῦτα. διὰ τὸ ἰσοταχῆ εἶναι τὰ ἐν ἴσῳ χρόνῳ ἴσον κινούμενα. εἰπὼν δὲ ὅτι ἔσται
ἄρα ἴσον πάθος μήκει. τὴν αἰτίαν τούτου τὸ εἶναι ἀδύνατον ἐπήγαγε. τότε γὰρ ἰσοταχῆ λεγόμενα.
ὅταν ἐν ἴσῳ χρόνῳ ἴσον κινηθῇ. τὸ δὲ ἢ ἐλάττων προσκείμενον. τὸ ὅλως αὐτὰς εἶναι συμβλητὰς
ἀναιρεῖ. εἰ μήτε ἴση μήτε ἐλάττων. δῆλον γὰρ ὅτι οὐδὲ μείζων. ὅπου γὰρ ἡ μείζων. καὶ ἡ ἐλάττων. δεί-
ξας δὲ ὅτι οὐδὲ φορὰ πᾶσα πάσῃ συμβλητή. οὐδὲ ἡ ἀλλοίωσις ὅλως τῇ φορᾷ, εἰκότως συνεπερά-
νατο. ὅτι οὐ πᾶσα κίνησις πάσῃ συμβλητή.

Ε ΕΠΙ ΔΕ τοῦ κύκλου καὶ τῆς εὐθείας πῶς συμβήσεται. ἄτοπόν τε γὰρ εἰ μὴ ἔσται κύκλῳ ὁμοίως
τουτὶ κινεῖσθαι. καὶ τοῦτο ἐπὶ τῆς εὐθείας. ἀλλὰ εὐθὺς ἀνάγκη ἢ θᾶττον ἢ βραδύτερον. ὥσπερ εἰ κάταν-
τες. τὸ δ' ἄναντες. ἔτι οὐδὲν διαφέρει οὐδ' ἐν τῷ λόγῳ. εἴ τις φήσειεν ἀνάγκην εἶναι θᾶττον εὐθὺς ἢ βρα-
δύτερον κινεῖσθαι. ἔσται γὰρ μείζων καὶ ἐλάττων ἡ περιφερὴς τῆς εὐθείας, ὥστε καὶ ἴση. εἰ γὰρ ἐν
τῷ α χρόνῳ τὸ μὲν τὴν β διῆλθε τὸ δὲ τὴν γ, μείζων ἂν εἴη ἡ β τῆς γ. οὕτω γὰρ τὸ θᾶττον ἐλέγετο.
οὐκοῦν καὶ εἰ ἐν ἐλάττονι ἴσον, θᾶττον. ὥστε ἔσται τι μέρος τοῦ α ἐν ᾧ τὸ β τοῦ κύκλου τὸ ἴσον δίεισι
καὶ τὸ γ ἐν ὅλῳ τῷ α τὴν γ. ἀλλὰ μὴν εἰ ἔστι ξυμβλητὰ συμβαίνει τὸ ἄρτι ῥηθὲν ἴσην εὐθεῖαν εἶναι
κύκλῳ. ἀλλ' οὐ ξυμβλητά. οὐδ' ἄρα αἱ κινήσεις.

Δ Δείξας ὅτι οὔτε ἡ κύκλῳ τῇ ἐπ' εὐθείας συμβλητή. οὔτε ἡ ἀλλοίωσις τῇ φορᾷ, ἀπορεῖ διατί οὐ συμ-
βλητὴ ἡ κύκλῳ τῇ ἐπ' εὐθείας. καὶ αὐτὴ ἡ εὐθεῖα τῇ περιφερεῖ. πρῶτον μὲν γὰρ ἄτοπόν φησι. τὸ
ἀδύνατον νομίζειν ὁμοίως καὶ ἰσοταχῶς, τοῦτο μὲν ἐπὶ τῆς εὐθείας κινεῖσθαι. τοῦτο δὲ ἐπὶ τοῦ κύ-
κλου. ἀλλ' εὐθὺς οἴεσθαι ἀνάγκη εἶναι θᾶττον κινεῖσθαι τὸ ἐπὶ τοῦ ἑτέρου αὐτῶν κινούμενον, παρὰ
τοῦ ὑποκειμένου δηλονότι τὴν διαφορὰν λαμβάνον. ὡς ἂν εἰ τὸ μὲν ἐπὶ κατάντους ἐκινεῖτο. τὸ δὲ
ἐπὶ ἀνάντους. ἐπὶ μὲν γὰρ τῶν οὕτως ἐχόντων, οὐδὲν ἄτοπον καὶ τῶν φύσει ἰσοταχῶν ἀνισο-
ταχῆ γίνεσθαι τὴν κίνησιν. διὰ τὴν τῶν ὑποκειμένων διαφοράν. ὁ δὲ κύκλος καὶ ἡ εὐθεῖα τίνα
ἔχει τοιαύτην πρὸς ἄλληλα διαφοράν. καὶ μάλιστα εἰ μὴ ὀρθὸς ὁ κύκλος ἑστήκοι. ὥστε δοκεῖν ἀνα-
βαίνειν καὶ καταβαίνειν τὸ κινούμενον. ἀλλ' ὕπτιος ἐν ἐδάφει κέοιτο. ἐφεξῆς δὲ πειρᾶται δει-
κνύναι ὅτι κἂν ὑποτεθῇ ἐπὶ τῆς ἑτέρας αὐτῶν ἀεὶ θάττω γίνεσθαι τὴν κίνησιν. εἴτε παρὰ τὰς
ὑποκειμένας γραμμάς. εἴτε παρ' ἄλλην αἰτίαν. καὶ εἴτε τὸ αὐτὸ εἴη τὸ ἐφ' ἑκατέρας κινού-
μενον. εἴτε ἕτερον καὶ ἕτερον, οὐδὲ οὕτω συμβαίνει τὸ ἀσυμβλήτους αὐτὰς εἶναι. ἔσται γὰρ ἡ
μὲν μείζων αὐτῶν. ἐφ' ἧς ἐν τῷ ἴσῳ χρόνῳ θᾶττον κινεῖσθαι τὸ κινούμενον ἐτέθη. ἡ δὲ ἐλάττων
ἐφ' ἧς τὸ βραδύτερον. ἐν αἷς δὲ τὸ μεῖζον καὶ τὸ ἔλαττόν ἐστιν, ἐν ταύταις οἷόν τέ ἐστι καὶ τὸ ἴσον
λαβεῖν. ὥστε ἔσται τις περιφερὴς εὐθείᾳ ἴση. τὸ δὲ ἔσται γὰρ μείζων καὶ ἐλάττων ἡ περιφερὴς

τῆς εὐθείας εἶπεν. αὐτίκα γὰρ ἔσται ποτὲ μείζων, ποτὲ δὲ ἐλάττων. μείζων μὲν ἂν τὸ ἐπ' αὐτῆς κινούμενον θᾶττον ὑποτεθῇ κινεῖσθαι. ἐλάττων δὲ ἂν βραδύτερον. τὸ γὰρ θᾶττον κινούμενον ἐν τῷ ἴσῳ χρόνῳ μεῖζον κινηθήσεται. καὶ τὸ βραδύτερον ἔλαττον. δείκνυσι δὲ αὐτὸ καὶ διὰ ἐκθέσεως. εἰ γὰρ ἐν τῷ αὐτῷ χρόνῳ τῷ α. τὸ μὲν θᾶττον κινούμενον τὴν β τὴν περιφερῆ διελήλυθε. τὸ δὲ βραδύτερον τὴν γ τὴν εὐθεῖαν, δῆλον ὡς μείζων ἔσται ἡ β περιφέρεια τῆς γ εὐθείας. ἐπειδὴ θᾶττον ἀφωριζόμεθα πρότερον τὸ ἐν ἴσῳ χρόνῳ μεῖζον κινούμενον. ἀλλὰ μὴν θᾶττόν ἐστι καὶ τὸ ἐν ἐλάττονι χρόνῳ ἴσον κινούμενον. ὥστε τὸ θᾶττον ἐν μέρει τινὶ τοῦ α χρόνου μέρος τι τῆς β περιφερείας κινήσεται. ὃ ἴσον ἐστὶ τῇ γ εὐθείᾳ. ἣν ἐν παντὶ τῷ α χρόνῳ κεκίνηται τὸ βραδύτερον κινούμενον. ἴση ἄρα καὶ οὕτως ἔσται ἡ εὐθεῖα τῇ περιφερείᾳ. ὃ δεδήλωκεν διὰ τοῦ ἔσται τι μέρος τοῦ α, ἐν ᾧ τὸ β τοῦ κύκλου δίεισι. λαμβάνει δὲ τὸ β τὸ μέρος τοῦ κύκλου. ὃ ἴσον ἐστὶ τῇ γ. τὸ δὲ καὶ τὸ γ ἐν ὅλῳ τῷ α τὴν γ, ἀσάφειαν ἔχει. διότι καὶ τὸ κινούμενον κατὰ τῆς εὐθείας ἐκάλεσε νῦν γ. μὴ πρότερον καλέσας. παραστὰς δὲ οὕτω τῷ λέγοντι λόγῳ συμβλητὰ εἶναι καὶ τὴν εὐθεῖαν τῇ περιφερείᾳ. καὶ τὰς ἐπ' αὐτῶν κινήσεις. ἑκατέρῳ γὰρ θάτερον ἕπεται, τὸ μὲν ἐλέγξαι τὸν παραλογισμὸν τῆς συνηθείας παρῆκε νῦν, ὡς τελειότερον μέλλων τὴν διακριτικὴν αἰτίαν ἐπάγειν τῶν τε συμβλητῶν καὶ τῶν μή. εἰς δὲ τὸ αὐτὸ ἀδύνατον ἀπαγαγὼν πάλιν, ἀναιρεῖ τὸ εἶναι συμβλητὰς τὰς κινήσεις καὶ τὰς γραμμάς. τὴν εὐθεῖαν τῇ περιφερεῖ. εἰ γάρ εἰσιν αἱ γραμμαὶ συμβληταί φησι. συμβαίνει τὸ ἀρτίως ῥηθὲν ἀδύνατον, τὸ ἴσην εἶναι εὐθεῖαν κύκλῳ. εἰ δὲ τοῦτο ἀδύνατον. οὐκ ἔστι συμβλητὰ ἥ τε εὐθεῖα καὶ ἡ περιφερής. εἰ δὲ μὴ ταῦτα συμβλητά. οὐδὲ αἱ ἐπ' αὐτῶν κινήσεις. ἕπεται γὰρ ἀλλήλοις. ὡς καὶ ὁ τῶν ἰσοταχῶν ὁρισμὸς δηλοῖ. εἴγε ἰσοταχῆ τὰ ἐν ἴσῳ χρόνῳ ἴσον κινούμενα. εἴτε γοῦν αἱ κινήσεις συμβληταί, καὶ τὰ διαστήματα ἐφ' ὧν αἱ κινήσεις συμβλητὰ καὶ ἴσα. εἴτε ταῦτα ἴσα, ἃ ἐν τῷ ἴσῳ χρόνῳ κινεῖται. καὶ αἱ κινήσεις ἰσοταχεῖς εἰσίν.

Α' ἈΛΛ' ὍΣΑ μὴ ὁμώνυμα, ἅπαντα ξυμβλητά. οἷον διὰ τί οὐ ξυμβλητόν. πότερον ὀξύτερον τὸ γραφεῖον. ἢ ὁ οἶνος ἢ ἡ νήτη. ὅτι γὰρ ὁμώνυμα, οὐ ξυμβλητά. ἀλλ' ἡ νήτη τῇ παρανήτῃ ξυμβλητόν. ὅτι τὸ αὐτὸ σημαίνει τὸ ὀξὺ ἐπ' ἀμφοῖν. ἆρ' οὖν οὐ ταὐτὸ τὸ ταχὺ ἐνταῦθα κἀκεῖ. πολὺ δέ τι ἧττον ἐν ἀλλοιώσει καὶ φορᾷ.

Α' ἀπορήσας ἐφ' ἑκάτερα περὶ τοῦ συμβλητὰς εἶναι ἢ οὔ τάς τε γραμμὰς τήν τε εὐθεῖαν καὶ τὴν περιφερῆ. καὶ τὰς ἐπ' αὐτῶν κινήσεις, βούλεται λοιπὸν φιλοσόφως κανόνα τινὰ εὑρεῖν. καθ' ὃν δυνατὸν ἔσται τάς τε συμβλητὰς πάσας καὶ τὰς ἀσυμβλήτους διακρίνειν κινήσεις. κἂν ἐπὶ πασῶν κινήσεων τὸ ταχέως καὶ βραδέως κατηγορῆται. καὶ πρῶτον λέγει ὅτι τὰ μὴ ὁμωνύμως ἔχοντα τὸ αὐτὸ ὄνομα τὸ ταχὺ καὶ βραδύ. ἀλλὰ δηλονότι συνωνύμως, ταῦτα συμβλητά ἐστι. τὰ δὲ ὁμωνύμως λεγόμενα οὐ συμβλητά. ὥσπερ τὸ ὀξὺ τῷ ὀξεῖ τὸ ὁμωνύμως λεγόμενον οὐ συμβλητόν. οὐ γάρ ἐστι συμβλητὰ τὸ ἐν χυμοῖς ὀξύ, καὶ τὸ ἐν ὄγκοις καὶ ἐν φθόγγοις. οὐδὲ ἔστι συγκρίνοντα εἰπεῖν. πότερον ὀξύτερόν ἐστι τὸ γραφεῖον ἢ τὸ ὄξος ἢ ἡ νήτη. ἀλλὰ δηλονότι τὸ μὲν ἐν φθόγγοις ὀξὺ τῷ ἐν φθόγγοις συμβλητόν ἐστι. καὶ ἡ νήτη τῆς παρανήτης ἐστὶν ὀξυτέρα. ταὐτὸν γὰρ ἐπ' ἀμφοῖν τὸ ὀξὺ σημαίνει. καὶ τὰ ἐν ὄγκοις ὁμοίως συμβλητὰ καὶ τὰ ἐν χυμοῖς. καὶ τὸ ταχὺ οὖν καὶ τὸ βραδὺ κἂν ἀμφοῖν κατηγορῆται τῶν κινήσεων. τῆς τε ἐπ' εὐθείας καὶ τῆς ἐπὶ τοῦ κύκλου. οὐκ ἔσται συμβλητὸν διὰ τὸ ὁμωνύμως αὐτὰ κατηγορεῖσθαι. καὶ γὰρ ἐπὶ τῶν ἀνομοειδῶν κινήσεων κατηγορεῖται τὸ ταχύ. καὶ γὰρ ἀλλοίωσις ταχεῖα λέγεται καὶ φορά. ἀλλ' οὐ διὰ τοῦτο συμβλητὸν τὸ ταχὺ τῷ ταχεῖ. ὁμώνυμον γὰρ ἐπ' αὐτῶν τὸ ταχύ. ἐπειδὴ καὶ τὰ ἐφ' ὧν λέγονται μή ἐστι συμβλητὰ ἀλλήλοις. τὸ γὰρ ποιὸν οὐκ ἔστιν τῷ ποῦ συμβλητόν. εἰ οὖν καὶ ἡ εὐθεῖα καὶ ὁ κύκλος κἂν μᾶλλον ἐκείνων ἔχῃ τι κοινόν, ἀσύμβλητα ὅμως ἐστί, τοῦτο γὰρ ὡς ἀξίωμα λαμβάνει, καὶ αἱ ἐπ' αὐτῶν κινήσεις ἀσύμβλητοι ἂν εἶεν, ὡς ὁμωνύμως λεγομένου τοῦ τάχους τούτου καὶ βραδέος. εἰπὼν δὲ ὅτι ἡ νήτη τῇ παρανήτῃ συμβλητή. διότι ταὐτὸ σημαίνει τὸ ὀξὺ ἐπ' ἀμφοῖν, ἐπήγαγεν. ἆρ' οὖν οὐ ταὐτὸν τὸ ταχὺ ἐνταῦθα κἀκεῖ. τουτέστιν ἐπί τε τῆς ἐπ' εὐθείας καὶ τῆς ἐπὶ κύκλου κινήσεως. πολὺ δὲ ἔτι ἧττόν φησι τὸ ταὐτὸν τοῦ τάχους ἐν ἀλλοιώσει καὶ φορᾷ. πλείων γὰρ ἐνταῦθα ἡ διαφορά. ἐπειδὴ ἡ μὲν ἀλλοίωσις ποιότητος. ἡ δὲ φορὰ τῆς ποῦ κατηγορίας ἐστίν. ἡ δὲ εὐθεῖα καὶ ἡ περιφερὴς ποσὰ ἄμφω. καὶ ἄμφω συνεχῆ ποσά. καὶ γραμμαὶ ἄμφω. τοῦτο δὲ προσέθηκε διὰ τὸ μετ' ὀλίγον ῥηθησόμενον. ὅτι εἰσὶ τῶν ὁμωνυμιῶν αἱ μὲν πολὺ ἀπέχουσαι. αἱ δὲ ἔχουσαί τινα ὁμοιότητα. ἰστέον δὲ ὅτι ἡ γραφὴ τοῦ ῥητοῦ τούτου διάφορος φέρεται. ὅπου μὲν, ἀλλ' ὅσα μὴ ὁμώνυμα ἅπαντα συμβλητά. ὡς καὶ ὁ Ἀλέξανδρος ἔγραψεν. ὅπου δὲ, ἀλλ' ὅσα μὴ συνώνυμα ἅπαντα ἀσύμβλητα. τινὲς δὲ τὴν ἐν τῷ ἑτέρῳ ἑβδόμῳ βυβλίῳ γραφὴν ἐνταῦθα μετατεθείκασιν. ἔχουσαν οὕτως. ἀλλ' ἆρά γε ὅσα μὴ ὁμώνυμα ἅπαντα συμβλητά. δῆλον δὲ ὅτι πάντα τὴν αὐτὴν ἔννοιαν ἔχει.

Η' ΠΡΩ͂ΤΟΝ μὲν τοῦτο οὐκ ἀληθές. ὡς εἰ μὴ ὁμώνυμα ξυμβλητά. τὸ γοῦν πολὺ τὸ αὐτὸ σημαίνει ἐν ὕδατι καὶ ἀέρι. καὶ οὐ συμβλητά. εἰ δὲ μὴ τό γε διπλάσιον τὸ αὐτό. δύο γὰρ πρὸς ἕν. καὶ οὐ συμβλητά.

Εἰπὼν ὅτι τὰ μὲν μὴ ὁμώνυμα συμβλητά ἐστι, τὰ δὲ ὁμώνυμα οὐ συμβλητά, ἐνίσταται πρὸς τοῦτο παρατιθέμενος τὸ πολὺ συνωνύμως δοκοῦν κατηγορεῖσθαι ἐπί τε ὕδατος καὶ ἀέρος. οὐ γὰρ ὥσπερ τοῦ ὀξέως ἄλλος μὲν ἦν λόγος τοῦ ἐν χυμοῖς καὶ ἄλλος δὲ τοῦ ἐν ὄγκοις καὶ ἄλλος τοῦ ἐν φθόγγοις, οὕτω καὶ τοῦ πολλοῦ ἄλλος μὲν λόγος τοῦ ἐν ὕδατι, ἄλλος δὲ τοῦ ἐν ἀέρι. ἀλλὰ τὸ αὐτὸ σημαίνει τὸ πολὺ ἐν ἑκατέρῳ αὐτῶν. καὶ ὅμως οὐ συμβλητὰ τὸ ἐν ὕδατι πολὺ καὶ τὸ ἐν ἀέρι. τοῦτο δὲ λέγει ὅτι μὴ τοῖς ὄγκοις αὐτῶν καὶ αἱ δυνάμεις ἀκολουθοῦσιν. ἀλλ' ἡ τοῦ τοσοῦδε ὕδατος δύναμις πολλαπλασία τῆς τοσούτου ἀέρος. εἰ οὖν πολὺ ἦν τὸ τοσοῦτον ὕδωρ, τῷ πολὺ δύνασθαι ἴσον τῷ τηλικούτῳ ὄγκῳ, ἐν γὰρ τῇ δυνάμει μᾶλλον τοῦ ὄγκου ἦν τὸ ὕδατι εἶναι, οὐκέτι ὁ τοσοῦτος ἀὴρ πολὺς ἔσται, κἂν πλείων εἴη τοῦ κατὰ τὸν ὄγκον ἐλαττουμένου ὕδατος, τῷ κατὰ τὴν δύναμιν ἐλαττοῦσθαι αὐτοῦ. ἀσύμβλητα ἄρα τό, τε ἐν ὕδατι καὶ τὸ ἐν ἀέρι πολύ. ὁ γὰρ πλείων δοκῶν ἀὴρ τῷ ὄγκῳ ἐλάττων ἔσται τῇ δυνάμει, καίτοι τοῦ πολλοῦ συνωνύμως κατ' ἀμφοῖν δοκοῦντος κατηγορεῖσθαι. ἢ φαίη τις ἂν καταλλήλως δεῖν τὰ πολλὰ συγκρίνειν, τὸν μὲν ὄγκον πρὸς τὸν ὄγκον παραβάλλοντα, τὴν δὲ δύναμιν πρὸς τὴν δύναμιν. ὁ δὲ τῇ παραλλαγῇ ταύτῃ ἀποχρησάμενος, τὸ ἀσύμβλητον ἔδειξε. καίτοι τῆς συνωνυμίας κατὰ τὸ ἐν τοῖς ὄγκοις πολὺ καὶ ὀλίγον ληφθείσης. ὑπόπτου δὲ ὄντος τοῦ τὸ πολὺ συνωνύμως κατηγορεῖσθαι, διὰ τὰ εἰρημένα τοῦ τε ὕδατος καὶ τοῦ ἀέρος, εἰ δὲ μὴ τὸ πολύ φησι συνωνύμως κατηγορεῖται, ἐπὶ τοῦ διπλασίου ποιητέον τὸν λόγον. καὶ γὰρ ἐν ὕδατι καὶ ἐν ἀέρι τὸ αὐτὸ σημαίνει τὸ διπλάσιον ἑκατέρῳ. εἰ γὰρ διπλάσιόν ἐστι τὸ λόγον ἔχον ἐν τὰ δύο πρὸς ἕν, ὥστε καὶ λόγος ὁ αὐτὸς τοῦ διπλασίου ἐπ' ἀμφοτέρων. καὶ ὅμως οὐκ ἔστι συμβλητὰ τὸ ὕδωρ καὶ ὁ ἀὴρ κατὰ τὸ διπλάσιον. οὐ γὰρ ὁ τοῦ τοσοῦδε ἀέρος διπλάσιος ἀήρ, ἔσται καὶ τοῦ τοσούτου ὕδατος διπλάσιος. τοῦτο δὲ πάλιν διὰ τὰς δυνάμεις, ἐν αἷς ἐστι τὸ εἶναι ὕδατι ἢ ἀέρι. εἰ γὰρ ὁ διπλάσιος ἀὴρ τοῦ ἡμίσεως τῷ ὄγκῳ ἀέρος πρὸς τῷ ὄγκῳ καὶ τὴν δύναμιν ἔχει διπλασίαν, ἐν τῷ λόγῳ τὰ δύο προσίεσιν. οὐκέτι δὲ τὸ τῷ ὄγκῳ ἥμισυ ὕδωρ τοῦ τοσούτου ἀέρος καὶ τῇ δυνάμει ἥμισύ ἐστιν. οὐ δὲ ἔλαττον ἴσως. ἀλλ' ἐνίοτε καὶ ὑπερέχει τῆς ἐν τῷ διπλασίῳ ἀέρι δυνάμεως. οὐκ ἂν εἴη οὖν τὸ ἐν ἀέρι καὶ ὕδατι διπλάσιον συμβλητά. ἐὰν γὰρ πάλιν κατὰ τὴν δύναμιν ληφθῇ τὸ ἕτερον τοῦ ἑτέρου διπλάσιον, οὐκέτι κατὰ τὸν ὄγκον ἔσται διπλάσιον. ἄλλο οὖν τι τὸ διπλάσιον ἔσται ὅταν ἀὴρ καὶ ὕδωρ συμβάλλωνται. ἀλλ' οὐχ ὁ καθ' ἑτέρου αὐτῶν κατηγορεῖται. καίτοι ταὐτὸν ἐδόκει σημαίνειν ἐφ' ἑκατέρου αὐτῶν. ὥστε οὐδὲ τὰ συνωνύμως κατηγορούμενα ἅπαντα συμβλητά. τοῦτο γὰρ βούλεται προσθεῖναι τοῖς ἐπὶ τῶν ὁμωνύμων εἰρημένοις. ἵνα καὶ φανῇ συνωνύμως κατηγορούμενον τὸ ταχὺ ἐπί τε τῆς κυκλοφορίας καὶ τῆς εὐθυφορίας, μὴ ἤδη ἀκολουθῇ τὸ καὶ συμβλητὰς εἶναι ταύτας τὰς κινήσεις.

Ἢ ΚΑῚ ἘΠῚ τούτων ὁ αὐτὸς λόγος, καὶ γὰρ τὸ πολὺ ὁμώνυμον. ἀλλ' ἐνίων καὶ ὁμώνυμοι οἱ λόγοι. οἷον εἰ λέγοι τις ὅτι τὸ πολύ. τὸ τοσοῦτον καὶ ἔτι. ἀλλὰ τὸ τοσοῦτον. καὶ τὸ ἴσον ὁμώνυμον. καὶ τὸ ἓν δὲ εἰ ἔτυχεν εὐθὺς ὁμώνυμον. εἰ δὲ τοῦτο καὶ τὰ δύο. ἐπεὶ διὰ τί τὰ μὲν συμβλητά, τὰ δὲ οὔ. εἴπερ ἦν μία φύσις. ἢ ὅτι ἐν ἄλλῳ πρώτῳ δεκτικῷ. ὁ μὲν οὖν ἵππος καὶ ὁ κύων ξυμβλητά. πότερον λευκότερον, ἐν ᾧ γὰρ πρώτῳ τὸ αὐτὸ ἡ ἐπιφάνεια καὶ κατὰ μέγεθος ὡσαύτως. ὕδωρ δὲ καὶ φωνὴ οὔ. ἐν ἄλλῳ γοῦν. ἢ δῆλον ὅτι ἔσται οὕτω γε πάντα ἓν ποιεῖν. ἐν ἄλλῳ δὲ ἕκαστον φάσκειν εἶναι, καὶ ἔσται ταὐτὸν ἴσον καὶ γλυκὺ καὶ λευκόν. ἀλλ' ἐν ἄλλῳ καὶ ἔτι δεκτικὸν οὐ τὸ τυχόν ἐστιν. ἀλλ' ἓν ἑνὸς τὸ πρῶτον. ἀλλ' ἆρα οὐ μόνον δεῖ τὰ ξυμβλητὰ μὴ ὁμώνυμα εἶναι, ἀλλὰ καὶ μὴ ἔχειν διαφοράν. μήτε ὅ, μήτ' ἐν ᾧ, λέγω δὲ οἷον χρῶμα ἔχει διαφοράν, τοιγαροῦν οὐ συμβλητὸν κατὰ τοῦτο. οἷον πότερον κεχρωμάτισται μᾶλλον μὴ κατά τι χρῶμα ἀλλ' ᾗ χρῶμα, ἀλλὰ κατὰ τὸ λευκόν.

Συγκρούσας τοὺς δύο λόγους, τόν τε λέγοντα τὰ ὁμώνυμα πάντα μὴ εἶναι συμβλητά, καὶ τὸν λέγοντα τὰ συνώνυμα συμβλητὰ εἶναι. καὶ δείξας ὅτι ἐπὶ ἀέρος καὶ ὕδατος τὸ πολὺ καίτοι συνωνύμως ἀμφοῖν κατηγορεῖσθαι δοκοῦν ὅμως οὐκ ἔστι συμβλητόν, εἰ δὲ μὴ τοῦτο, ἀλλὰ τό γε διπλάσιον ἐναργέστερον καὶ λόγον ἔχει τὸν αὐτὸν ἐν ἀμφοτέροις. καὶ ὅμως οὐκ ἔστι συμβλητὸν διὰ τὴν παραλλαξιν τοῦ ὄγκου πρὸς τὰς δυνάμεις. καὶ ποιήσας οὕτως ἀπορώτερον τὸν λόγον, λέγει ὅτι καὶ ἐπὶ τοῦ ἀέρος ὀρθῶς ἔχει ὁ πρότερος ἀποδοθεὶς διορισμός. ὅτι τὰ μὲν ὁμώνυμα οὐ συμβλητά, τὰ δὲ συνώνυμα συμβλητά. καὶ γοῦν τὸ πολὺ καὶ τὸ διπλάσιον ἀσύμβλητά ἐστιν ἐπὶ τοῦ ὕδατος καὶ τοῦ ἀέρος. διότι καὶ αὐτὰ ὁμωνύμως κατὰ ἀλήθειαν κατηγορεῖται. οὐ δοκεῖ δὲ ἐπειδὴ καὶ ὁ λόγος αὐτῶν ὁμώνυμος ὢν κατ' ἀμφοτέρων λέγεται, καθ' ὧν καὶ τὸ ὄνομα. ὁ γὰρ λόγος τοῦ πολλοῦ ὁ λέγων ὅτι πολύ ἐστι τὸ τοσοῦτον καὶ ἔτι. ὁμώνυμος καὶ αὐτός ἐστιν. ἄλλο γὰρ τῷ εἴδει τὸ ἐν ὕδατι τοσοῦτον καὶ ἔτι. καὶ ἄλλο τὸ ἐν ἀέρι. καὶ τῶν ἴσων δὲ λόγος τὸ τῶν αὐτῶν μέτρων ἢ τῶν αὐτῶν ἀριθμῶν εἶναι. ἀλλὰ καὶ τούτων καὶ τὸ ὄνομα καὶ ὁ λόγος ὁμωνύμως κατηγορεῖται. ὧν κατηγορεῖται. διὸ οὐ συμβλητὰ οὐδὲ κατὰ τὸ ἴσον τὸ ὕδωρ καὶ ὁ ἀήρ. οὐ δὲ γὰρ εἰ τοῖς ὄγκοις ἴσα καὶ ταῖς δυνάμεσιν ἴσα ἐστίν. καὶ ὁ τοῦ διπλασίου δὲ λόγος ὁ λέγων δύο πρὸς ἓν ὁμώνυμός ἐστι. καὶ γὰρ καὶ τὸ ἓν αὐτὸ ὁμώνυμόν ἐστιν. εἴπερ ἄλλως μὲν κατὰ οὐσίας κατηγορεῖται. ἄλλως δὲ κατὰ ποιότητος. εἰ δὲ τὸ ἓν ὁμώνυμον, καὶ τὰ δύο. ὁ δὲ ἐξ ὁμωνύμων συγκείμενος λόγος

καὶ αὐτὸ ὁμώνυμός ἐστιν. ὡς οὖν εὐλόγως εἰπὼν καὶ ταῦτα ὁμωνύμως κατηγορεῖσθαι, ἐπήνεγκε τὸ ἐπεὶ διατὶ τὰ μὲν συμβλητά. τὰ δὲ οὔ. εἴπερ ἦν μία φύσιν. εἰ γὰρ τὸ διπλάσιον τὸ αὐτὸ ἦν ἐπί τε ἀέρος καὶ ὕδατος, ὡς ἔστιν ἐπὶ ἀέρος καὶ ἀέρος. καὶ ὕδατος καὶ ὕδατος, διατί ἀὴρ μὲν ἀέρος διπλάσιος καὶ ἥμισυς καὶ συμβλητοί. καὶ ὕδωρ ὕδατι, ἀὴρ δὲ ὕδατι οὐκέτι συμβλητοί. ὥστε τὸν τοσόνδε ἀέρα τοῦ τοσοῦδε ὕδατος εἶναι διπλάσιον. εἴπερ ἦν μία φύσις τοῦ διπλασίου ἐν ἀέρι καὶ ὕδατι, ὡς ἐν ἀέρι καὶ ἀέρι καὶ ὕδατι καὶ ὕδατι. ἀπορήσας δὲ οὕτω πρὸς τὴν συνώνυμον ῥηθεῖσαν εἶναι τοῦ πολλοῦ καὶ τοῦ διπλασίου κατηγορίαν ἐπὶ ἀέρος καὶ ὕδατος. καὶ διὰ τοῦτο ὁμώνυμον αὐτὴν εἰπὼν, ἐπάγει καὶ ἄλλην αἰτίαν τοῦ κἂν συνωνύμως κατηγορῆται μὴ εἶναι αὐτὰ συμβλητὰ, τὸ ἄλλο καὶ ἄλλο εἶναι τὰ πρῶτα δεδεγμένα αὐτὰ σώματα. ἄλλο γὰρ ὕδωρ καὶ ἄλλο ἀήρ. κἂν τὸ πολὺ καὶ τὸ διπλάσιον ταυτὸν ἐφ' ἑκατέρου σημαίνει. ὡς συνωνύμως κατηγορούμενα. ἐπεὶ δέον τὸ πρῶτον δεδεγμένον τὰ συνωνύμως κατηγορούμενα ταυτὸν εἶναι τῷ εἴδει. κἂν τὰ ἐν οἷς ἐστι διαφέρῃ συμβλητά ἐστιν ἐκεῖνα. καὶ δῆλον ἐκ τοῦ τὸν ἵππον καὶ τὸν κύνα καίτοι διαφέροντα κατ' εἶδος. συμβλητὰ ὅμως εἶναι κατὰ τὸ λευκόν. λέγομεν γὰρ πότερον λευκότερον ὁ ἵππος ἢ ὁ κύων, ἐπὶ τῶν ἀτόμων ζητοῦντες. ἢ τὸ ψιμμύθιον καὶ τὴν χιόνα παραβάλλομεν. διότι τὸ πρώτως δεξάμενον τὸ λευκὸν ἐν ἀμφοτέροις ταυτόν ἐστιν, ἡ γὰρ ἐπιφάνεια. ὁμοίως δὲ καὶ κατὰ τὸ μέγεθος συμβλητά ἐστιν ἵππος καὶ κύων. συνωνύμως αὐτῶν κατηγορούμενον. καὶ τὴν αὐτὴν ἔχον ἐν ἑκατέρῳ φύσιν. διότι τὸ ἐν αὐτοῖς πρῶτον δεκτικὸν τοῦ μεγέθους, ταυτόν ἐστι τῷ εἴδει τὸ σῶμα. ὕδωρ δὲ καὶ φωνὴ οὐ συμβλητὰ οὔτε κατὰ τὸ λευκὸν οὔτε κατὰ τὸ μέγεθος. ὅτι ἐν μὲν ὕδατι τοῦ λευκοῦ ἡ ἐπιφάνεια ἐστὶ δεκτική. τοῦ δὲ μεγέθους τὸ σῶμα. ἐν δὲ φωνῇ οὔτε ἐπιφάνειά ἐστιν οὔτε σῶμα. ὡς εἴγε καὶ τὸ πολὺ καὶ τὸ διπλάσιον μὴ τοῦ ὕδατος καὶ τοῦ ἀέρος κατηγοροῖτο πρώτως. ὧν ἑκάτερον καὶ κατὰ τὸν ὄγκον ἅμα καὶ κατὰ τὴν δύναμιν εἰδοποιεῖται, ἀλλ' ἢ κατὰ τοῦ ὄγκου ἀμφοῖν λέγοιτο τὸ πολὺ ἢ τὸ διπλάσιον ἢ κατὰ τῆς δυνάμεως, συμβλητὰ ἂν εἴη πότερος πλείων ἢ μείζων ὄγκος ὁ τοῦ ἀέρος ἢ ὁ τοῦ ὕδατος. καὶ ὅτι διπλάσιος καὶ ἥμισυς καὶ ἐπὶ τῆς δυνάμεως ὁμοίως. ἀλλ' ἥ γε τοῦ ἀριστοτέλους ἀγχίνοια καὶ πρὸς τοῦτον ἐνίσταται τὸν λόγον ἐντρεπτικῶς. τούτῳ γὰρ χρώμενόν φησιν ἔστιν ἀναιρεῖν ἐκ τῶν ὄντων τὴν τῶν ὁμωνύμων φύσιν, λέγοντα καὶ τὰ ὁμολογουμένως ὁμώνυμα μὴ εἶναι ὁμώνυμα, ἀλλ' ἕν τι καὶ ταυτὸν σημαίνειν. μὴ παραβάλλεσθαι δὲ πρὸς ἄλληλα διὰ τὸ ἐν διαφόροις εἶναι τοῖς δεκτικοῖς τὸ αὐτό. οἷον λευκὸν ταυτὸν μὲν καὶ τὸ ἐν φωνῇ καὶ τὸ ἐν σώματι σημαίνει μὴ εἶναι δὲ συμβλητὰ τὴν φωνὴν καὶ τὸ σῶμα κατὰ τὸ λευκόν. διότι ἄλλο τῷ εἴδει ἑκάτερον τῶν δεδεγμένων αὐτό ἐστιν. ἄλλο γὰρ τῷ εἴδει φωνή. καὶ ἄλλο σῶμα. ὁμοίως δὲ καὶ τὸ γλυκὺ ταυτὸν μὲν εὕροι τις σημαίνει ἐν φωνῇ καὶ ἐν χυμῷ. μὴ συγκρίνεσθαι δὲ φωνὴν καὶ χυμὸν κατὰ τὸ γλυκύ. ὅτι τὰ δεκτικὰ αὐτῶν ἕτερα τὴν φύσιν ἀλλήλων ἐστίν. ὁμοίως δὲ καὶ τὸ ἴσον ταυτὸν μὲν ἐπί τε ὕδατος καὶ ἀέρος. οὐ συμβλητὰ δὲ τὸ ὕδωρ καὶ ὁ ἀὴρ κατὰ τὸ ἴσον. ὅτι διαφέροντα ὄντα τὸ αὐτὸ δέδεκται. προστίθησι δὲ καὶ ἄλλο ἐπιχείρημα τοῦ αὐτοῦ δεικτικόν. ὅτι οὐκ ὀρθῶς λέγει ὁ λέγων τὰ αὐτὰ τῇ φύσει μὴ συγκρίνεσθαί ποτε. διὰ τὸ ἐν διαφόροις εἴδεσιν εἶναι. καί φησιν ὅτι οὐκ ἔστι τὸ τυχὸν τοῦ τυχόντος δεκτικόν. καὶ μάλιστα τὸ πρῶτον. ἀλλ' ἓν ἑνὸς φύσει δεκτικὸν καὶ τοῦ αὐτοῦ τῷ εἴδει. ὡς χρωμάτων ἐπιφάνεια. χυμῶν χυμοί. καὶ ἀδύνατον ἢ τὰ αὐτὰ ὄντα ἐν διαφέρουσιν εἶναι πρώτως. ἢ διαφέροντα ἐν τῷ αὐτῷ. ὥστε ὅταν ἐν διαφέρουσιν ᾖ τι πρώτως. ὁμώνυμόν ἐστι. καὶ οὐ παρὰ τὸ ἄλλο εἶναι τὸ ὕδωρ καὶ ἄλλο τὸν ἀέρα. ἄλλο ἔσται τὸ πολὺ καὶ τὸ διπλάσιον τὸ ἐν ἑκατέρῳ αὐτῶν τὰ αὐτὰ ὄντα τὴν φύσιν, ὥς φησιν ὁ ἀπορήσας. ἀλλὰ καὶ αὐτὰ διάφορα τὴν φύσιν ἐστὶ καὶ ὁμώνυμα. διὸ ἐν διαφόροις τῷ εἴδει δεκτικοῖς ἐνεγένετο. ἀσφαλῶς δὲ καὶ ἐνταῦθα τὸ πρῶτον προσέθηκεν. εἰπών. ἀλλ' ἓν ἑνὸς τὸ πρῶτον. δύναται γάρ τινα δευτέρως ὄντα δεκτικά τινος, διαφέροντα ἀλλήλων κατ' εἶδος. συμβλητὰ ἀλλήλοις εἶναι κατ' ἐκεῖνο. ὃ δευτέρως ἐδέξατο. διότι τὸ πρώτως αὐτὸ δεδεγμένον ἕν τι ὂν αὐτὸ τὴν φύσιν τῶν διαφερόντων ἐστί. καὶ γὰρ ἄνθρωπος καὶ ἵππος ἕτερα τῷ εἴδει ὄντα συγκρίνεται κατὰ τὸ λευκὸν τὸ ἐν αὐτοῖς. ὅτι τὸ πρῶτον αὐτὸ δεδεγμένον ἐν ἀμφοτέροις ἓν τὴν φύσιν ἡ ἐπιφάνεια. εἰπὼν δὲ ἓν ἑνὸς δεκτικὸν τὸ πρῶτον, καὶ διὰ τοῦτο συγκρίνεσθαι ἀλλήλοις ὡς μὴ ὄντα ὁμώνυμα τὰ ἑνὸς εἴδους ὄντα, ἐπίστησεν ὅτι οὐκ ἀρκεῖ τὸ μὴ ὁμώνυμα εἶναι πρὸς τὸ συμβλητὰ εἶναι. ἡ γὰρ ἐπιφάνεια χρωμάτων ἐστὶ δεκτικὴ πρώτως λευκοῦ καὶ μέλανος. ἀλλ' οὐ τῶν ὁμωνύμως λεγομένων χρωμάτων. οὐ γὰρ δὴ καὶ τῶν ἐν μουσικῇ. καὶ ὅμως οὐκ ἔστι συμβλητὸν τὸ λευκὸν τῷ μέλανι κατὰ τὸ χρῶμα. οὐ γὰρ λέγει τις μᾶλλον εἶναι χρῶμα ἢ ἧττον τὸ ἕτερον τοῦ ἑτέρου. ἀλλὰ δεῖ πρὸς τὸ μὴ εἶναι ὁμώνυμα τὰ συμβλητὰ ὁμογενῆ ὄντα. μὴ δὲ τὴν κατ' εἶδος ἔχειν διαφοράν. ἀλλ' ἓν εἶναι καὶ τῷ εἴδει ἀτόμῳ ὄντι. καὶ μὴ μόνον τῷ γένει. καὶ ἐν ἑνὶ τῷ εἴδει δεκτικῷ. τοῦτο γὰρ σημαίνει τὸ μὴ ἔχειν διαφορὰν μήτε ὃ, μήτε ἐν ᾧ. τὸ μὲν γὰρ ὃ. τὸ εἶδος αὐτὸ τὸ συγκρινόμενον λέγει. οἷον τὸ πολὺ ἢ τὸ διπλάσιον. τὸ δὲ ἐν ᾧ. τὸ ἐφ' οὗ. τὸ καθ' ὃ ἡ σύγκρισις. οἷον ὕδωρ ἢ ἀέρα ἢ ὄγκον ἢ δύναμιν. τὰ γὰρ κατὰ γένος τὰ αὐτά. καὶ οὕτω συνώνυμα διάφορα δὲ ἔχοντα, οὐκ ἔστι συμβλητά. πότερον μᾶλλον χρῶμά ἐστι τὸ λευκὸν ἢ τὸ μέλαν ἢ τὸ φαιόν. ἢ πότερον τῶν ἐχόντων αὐτὰ μᾶλλον κέχρωσται. τὰ μέντοι τοῦ λευκοῦ χρώματος μετέχοντα συγκρίνεται ἀλλήλοις. πότερον αὐτῶν μᾶλλον λευκὸν χιὼν ἢ κύκνος.

ΟΥ̓́ΤΩΣ καὶ περὶ κίνησιν ὁμοταχὲς τὸ ἐν ἴσῳ χρόνῳ κινηθὲν ἴσον τοσονδί. εἰ δὴ τοῦ μήκους ἐν τῷδὶ τὸ μὲν ἠλλοιώθη. τὸ δὲ ἠνέχθη. ἴση ἄρα αὕτη ἡ ἀλλοίωσις καὶ ὁμοταχὴς τῇ φορᾷ. ἀλλ' ἄτοπον, αἴτιος δὲ ὅτι ἡ κίνησις ἔχει εἴδη, ὥστε εἰ τὰ ἐν τῷ ἴσῳ χρόνῳ ἐνεχθέντα ἴσον μῆκος ἰσοταχῆ ἔσται ἴση ἡ εὐθεῖα καὶ ἡ περιφερής. πότερον οὖν αἴτιον ὅτι ἡ φορὰ γένος ἢ ὅτι ἡ γραμμὴ γένος, ὁ μὲν γὰρ χρόνος ὁ αὐτὸς ἀεὶ ἄτομος, τῷ εἴδει, ἢ ἅμα κἀκεῖνα εἴδει διαφέρει. καὶ γὰρ ἡ φορὰ εἴδη ἔχει ἂν ἐκεῖνο ἔχῃ εἴδη, ἐφ' οὗ κινεῖται.

Δ Διαρθρώσας οὕτω τὸν λόγον. καὶ δείξας ὅτι εἰ μέλλοι τινὰ συμβλητὰ εἶναι. οὐ μόνον χρὴ αὐτὰ μὴ εἶναι ὁμώνυμα. ἀλλὰ μηδὲ κατ' εἶδος ἔχειν διαφορὰν μήτε αὐτὰ καθ' ἃ ἡ σύγκρισις γίνεται οἷον τὰ λευκὰ, μήτε ἐν οἷς ἐστι ταῦτα οἷον αἱ ἐπιφάνειαι αἱ κατὰ τὰ λευκὰ συγκρινόμεναι. ἀλλ' ἓν εἶναι τῷ εἴδει καὶ τὸ λευκὸν καὶ τὴν ἐπιφάνειαν, ἐπάνεισι λοιπὸν ἐπὶ τὸν προκείμενον λόγον τὸν περὶ κινήσεως. οὗ χάριν αἱ προειρημέναι ζητήσεις ἐκινήθησαν. προθέμενος γὰρ δεῖξαι ὅτι οὐ πᾶσα κίνησις πάσῃ συμβλητή ἐστιν. οὐδὲ γὰρ ἡ ὁμοειδὴς πᾶσα, οὐδὲ γὰρ ἡ φορὰ ἡ ἐπὶ κύκλου τῇ ἐπ' εὐθείας. ἵνα μὴ ἀδύνατον ἀκολουθήσῃ τι τὸ εἶναι εὐθεῖαν ἴσην περιφερείᾳ καὶ δείξας ἐπ' ἄλλων παραδειγμάτων τὸ ζητούμενον, ὁμοίως ἔχειν φησὶν καὶ ἐπὶ τῶν κινήσεων. τῷ γοῦν πλείω εἴδη κινήσεως εἶναι οὐ μόνον τὰ κοινὰ, οἷον φορὰν ἀλλοίωσιν αὔξησιν μείωσιν. ἀλλὰ καὶ καθ' ἑκάστην τούτων οὐ πᾶσα πάσῃ συμβλητή. ἀλλὰ μόναι αἱ κατὰ τὸ αὐτὸ εἶδος τὸ ἔσχατον γινόμεναι. ὃ οὐκέτι καὶ γένος ἐστί. καὶ τοῦτο δὲ ὁδῷ προϊὼν διαρθροῖ. τὰ γὰρ ἐν ἴσῳ χρόνῳ ἴσα μήκη κινηθέντα ἰσοταχῆ ῥηθήσεται καὶ συμβλητὰ ἔσται. τὰ γὰρ μήκη ἓν εἶδος ἐστὶν ἐπ' εὐθειῶν λεγόμενα. καὶ οὐκ ἔχει εἴδη πλείω ἡ εὐθεῖα. οὐδὲ ἡ ἐπ' εὐθείας κίνησις. ὥσπερ οὐδὲ τὸ λευκὸν χρῶμα εἰ ἔσχατον εἶδος εἴη καὶ ἡ ἐπιφάνεια. εἰ μέντοι ἐν τῷ αὐτῷ χρόνῳ τὸ μὲν ὑποκείμενον ἓν εἴη ἡ εὐθεῖα. αἱ δὲ κινήσεις διάφοροι, ὥστε κατὰ μὲν τὸ ἥμισυ τοῦ μήκους τουτέστι τῆς εὐθείας. παρατεταμένον τὴν αὐτὸ τὸ ἥμισυ τοῦ μήκους ἀλλοιωθῆναι, κατὰ δὲ τὸ λοιπὸν ἐνεχθῆναί τι κατὰ φορὰν κινούμενον, οὐκέτι ἰσοταχὴς ῥηθήσεται ἡ ἀλλοίωσις τῇ φορᾷ. κἂν ἄμφω κινήσεις. κἂν ἐν τῷ αὐτῷ χρόνῳ. διότι ἡ κίνησις ἡ ἐπὶ τῆς εὐθείας διάφορα εἴδη ἔχει. ἄλλο γὰρ ἀλλοίωσις καὶ ἄλλο φορά. κἂν ταὐτὸν οὖν ᾖ τὸ μῆκος ἢ ἴσον ἐφ' οὗ ἡ κίνησις, ἀλλὰ δεῖ καὶ τὴν κίνησιν τὴν ἐπὶ τῶν ἴσων εὐθειῶν ἐν τῷ αὐτῷ χρόνῳ γινομένην τὸ αὐτὸ εἶδος ἔχειν τῆς κινήσεως, εἰ μέλλοι ἰσοταχῆ εἶναι τὰ κινούμενα. ὡς δὲ αἱ διαφέρουσαι τῷ εἴδει κινήσεις ἐπὶ τοῦ αὐτοῦ ὑποκειμένου γινόμεναι οὐ συμβληταὶ, οὐδὲ αἱ ἀδιάφοροι κατ' εἶδος κινήσεις συμβληταὶ ἔσονται, ἂν ᾖ τὰ ὑποκείμενα αὐταῖς κατ' εἶδος διάφορα. ὥστε τὰ ἐν ἴσῳ χρόνῳ ἴσον μῆκος κατὰ φορὰν ἄμφω κινηθέντα, ἰσοταχῆ ἂν εἴη καὶ συμβλητά. εἰ οὖν λέγοι τις ἰσοταχῆ τὰ ἐπ' εὐθείας καὶ περιφερείας, ἴση ἔσται ἡ εὐθεῖα τῇ περιφερεῖ. εἰ οὖν τοῦτο ἀδύνατον, τί τὸ αἴτιον τοῦ ἀδύνατον ἀκολουθῆσαι τῷ λέγοντι συμβλητὰς εἶναι ταύτας τὰς κινήσεις. ἆρα ὅτι ἡ φορὰ οὐκ ἔστιν ἔσχατον εἶδος ἀλλ' ἔτι γένος ἐστὶν, ὡς διαιρεῖσθαι εἰς εἴδη τήν τε ἐπ' εὐθείας καὶ τὴν ἐπὶ κύκλου. ἢ ἄρα ἐστὶν ἡ γραμμὴ γένος διαιρούμενον εἰς εὐθεῖαν καὶ περιφερῆ. εἴτε γὰρ αἱ κινήσεις αὗται διάφοροι τῷ εἴδει, κἂν ἄμφω φοραὶ, εἴτε τὰ ἐφ' ὧν αἱ κινήσεις διάφορα κἂν ἄμφω γραμμαὶ, οὐκ ἂν εἶεν συμβληταὶ αἱ κινήσεις. ἔδει γὰρ ἐπὶ τῶν συμβλητῶν τήν τε κίνησιν ὁμοειδῆ εἶναι καὶ τὰ ἐν οἷς ἡ κίνησις. πλὴν αὐτὸς ζητεῖ πότερον ἄρα τῷ ἑτέρῳ τῆς διαφορᾶς αἴτιόν ἐστιν ἡ φορὰ γένος ἔτι οὖσα, ἢ ἡ γραμμὴ γένος οὖσα. ὁ μὲν γὰρ χρόνος ὁ αὐτὸς ὢν, οὐ τῷ εἴδει μόνον ὁ αὐτὸς ἀλλὰ καὶ τῷ ἀριθμῷ, οὐκ ἂν εἴη ταύτης τῆς διαφορᾶς αἴτιος. ἀλλ' ἔοικε τὴν τῶν γραμμῶν διαφορὰν αἰτιᾶσθαι τῆς τῶν κινήσεων διαφορᾶς. τὸ γὰρ ἂν δὲ τῷ εἴδει ᾖ ἄλλα περὶ τῶν γραμμῶν εἰπὼν, ἐπήνεγκε κατ' ἐκεῖνα εἴδει διαφέρει ἥ τε ἐπ' εὐθείας φορὰ καὶ ἡ ἐπὶ κύκλου. ὡς δηλοῖ τὰ ἐφεξῆς. καὶ γὰρ ἡ φορά φησιν εἴδη ἔχει, ἂν ἐκεῖνο εἴδη ἔχῃ ἐφ' οὗ κινεῖται. ὁ δὲ ἀλέξανδρος εὑρὼν γεγραμμένον ἂν δὲ τῷ εἴδει ᾖ, καὶ ἐπ' ἐκεῖνα εἴδει διαφέρει, ἐλλείπειν φησὶν τῷ ἂν δὲ τῷ εἴδει ᾖ. τὸ ἕτερα. ἐγὼ μέντοι ἐν διαφόροις ἀντιγράφοις οὕτως εὗρον τὴν γραφὴν, ἂν δὲ τῷ εἴδει ᾖ ἄλλα, καὶ ἐκεῖνα εἴδει διαφέρει. καὶ ἄλλην δέ φησιν ὁ ἀλέξανδρος γραφὴν φέρεσθαι ἔχουσαν οὕτως. ὁ μὲν γὰρ χρόνος ὁ αὐτὸς ἀεὶ ἄτομος τῷ εἴδει. ἢ ἅμα κἀκεῖνα εἴδει διαφέρει. ἀλλὰ τὴν μὲν γραφὴν ταύτην ἐκ τοῦ ἑτέρου ἑβδόμου βιβλίου ἐνταῦθα τις μετατέθεικε. καὶ οὐδὲν δεῖ πολυπραγμονεῖν αὐτὴν νῦν. ὥσπερ οὐδὲ τὰ ἄλλα τὰ ἐκεῖ γεγραμμένα. πλὴν ἐπειδὴ ἀσαφῶς προῆκται, οὐδὲν κωλύει τὴν ἐπ' αὐτῇ τοῦ ἀλεξάνδρου ἐξήγησιν παραγράψαι. παρεμβεβλημένου γάρ φησιν τοῦ πάντα χρόνον ἐν ᾧ τὰ ἅμα κινούμενα κινεῖται, τὸν αὐτὸν τῷ ἀριθμῷ καὶ ἄτομον εἶναι, συναπτέον, τῷ πότερον οὖν αἴτιον ὅτι ἔστιν ἡ φορὰ γένος ἢ ὅτι ἡ γραμμὴ γένος, τὸ ἢ ἅμα κἀκεῖνα εἴδει διαφέρει, τουτέστιν ἀκολουθεῖ θατέρῳ θάτερον. πόθεν δὲ ἀρχομένης τῆς διαφορᾶς, ἀκολουθεῖ ἡ τοῦ ἑτέρου διαφορὰ, ἐδήλωσε προσθείς. καὶ γὰρ ἡ φορὰ εἴδη ἔχει ἂν ἐκεῖνο ἔχῃ εἴδη. ἂν μὲν γὰρ τὰ ὑποκείμενα ᾖ τῷ εἴδει διαφέροντα. ἀνάγκη καὶ τὰς ἐν αὐτοῖς κινήσεις εἴδει διαφέρειν. οὐ μὴν ἀνάπαλιν φησὶν ὁ ἀλέξανδρος ἐπὶ πάντων ἀληθές. οὐ γὰρ αἱ κατ' εἶδος διαφέρουσαι κινήσεις ἀεὶ ἐπὶ διαφόρων κατ' εἶδος ὑποκειμένων γίνονται. αἱ γοῦν κατὰ τὰ χρώματα μεταβολαί. αἱ κατ' εἶδος διαφέρουσαι, ἐπὶ ὁμοειδοῦς ὑποκειμένου γίνονται τῆς ἐπιφανείας. ὁμοίως δὲ κἂν αἱ γραμμαὶ εἴδει διαφέρουσιν, ἀκολουθεῖ καὶ τὴν ἐπ' αὐτῶν κίνησιν εἴδει διαφέρειν. μήποτε δέ φησιν ὁ ἀλέξανδρος ἐπὶ τῆς φορᾶς καὶ ἀντιστρέφει. καὶ γὰρ τῶν φορῶν εἴδει διαφερουσῶν, καὶ τὰ ὑποκείμενα εἴδει διοίσει. ἢ ὁ αὐτός φησιν λόγος καὶ ἐπὶ ἀλλοιώσεως καὶ ἐπὶ φορᾶς. οὐ γὰρ ἔχει λόγον ἐπὶ τῆς

φορᾶς τὰ ὑποκείμενα καθ᾽ ἃ ἡ φορά, ὥσπερ ἐπὶ ἀλλοιώσεως τὰ χρώματα. καθ᾽ ἃ ἡ κατὰ ἀλλοίωσιν μεταβολὴ ἡ ἐν τῇ ἐπιφανείᾳ. ὡς καὶ τῇ φορᾷ κατὰ τὰ ὑποκείμενα καθ᾽ ἃ ἡ φορά. ἐπεὶ καὶ ἐπὶ τῆς φορᾶς ἡ εὐθεῖα, καὶ ἡ περιφερὴς ἐν ἐπιφανείᾳ. ὡς ἐκεῖ τὸ λευκὸν καὶ μέλαν. ὁρᾷ δέ φησιν καὶ αὐτὸς προελθὼν περὶ τούτου. καὶ γὰρ τῷ ὄντι ὥσπερ τὰ ἀλλοιούμενα τὴν διαφορὰν ἔχει κατὰ τὴν τῶν χρωμάτων διαφοράν, καθ᾽ ἃ ἀλλοιοῦται, οὕτω καὶ τὰ φερόμενα διαφέρει κατὰ τὴν διαφορὰν τῶν διαστάσεων καθ᾽ ἃς φέρονται. ἐν δὲ τῇ λέξει ταύτῃ ἀσάφειαν ἔχειν ἐκεῖνο μοι δοκεῖ τὸ ῥητόν. εἰ δὴ τοῦ μήκους ἐν τῳδὶ τὸ μὲν ἠλλοιώθη τὸ δὲ ἠνέχθη. πῶς γὰρ λέγεται ἀλλοιωθῆναί τι ἐν τῷ ἡμίσει εἰ τύχοι τῆς εὐθείας. εἰ μὴ ἄρα τὸ φερόμενον ἐν μὲν τῷ ἡμίσει τῆς εὐθείας φερόμενον ἅμα καὶ ἀλλοιοῖτο. ἐν δὲ τῷ ἡμίσει φέροιτο μόνον ἢ αὐτὸ ἢ ἄλλο· ἢ ἔτι σῶμα συμπαρατεταμένον τῷ ἡμίσει τοῦ μήκους, κατὰ μὲν τὸ τοσοῦτον μῆκος ἠλλοιώθη. κατὰ δὲ τὸ ἕτερον ἥμισυ ἠνέχθη ἐν τῷ ἴσῳ χρόνῳ ἑκάτερον. οὐ γάρ ἐστιν εἰπεῖν τότε ὅτι ἡ ἀλλοίωσις ὁμοταχής ἐστι τῇ φορᾷ. κἂν ὁ χρόνος ἴσος ᾖ. κἂν τὰ διαστήματα ἴσα ᾖ τοῦ μήκους. τό, τε καθ᾽ ὃ ἀλλοιοῦται καὶ τὸ καθ᾽ ὃ φέρεται. καὶ ἴσως διὰ τοῦτο εἶπε τοῦ μήκους ἐν τῳδὶ τὸ μὲν ἀλλοιοῦσθαι τὸ δὲ φέρεσθαι, ἵνα δείξῃ ὅτι κἂν τὸ μήκει ἴσον τις ὑποθῆται τῆς ἀλλοιώσεως, οὐδὲ οὕτω συμβληταί εἰσιν αἱ κινήσεις.

ἜΤΙ ΔΕ᾽ ἂν δι᾽ οὗ. οἷον, εἰ πόδες, βάδισις. εἰ πτέρυγες, πτῆσις, ἢ οὔ. ἀλλὰ τοῖς σχήμασιν ἡ φορὰ ἄλλη. ὥστε τὰ ἐν ἴσῳ χρόνῳ τὸ αὐτὸ μέγεθος κινούμενα ἰσοταχῆ· τὸ αὐτὸ δὲ ἀδιάφορον εἴδει. καὶ κινήσει ἀδιάφορον εἴδει. ὥστε τοῦτο σκεπτέον. τίς διαφορὰ κινήσεως.

Εἰπὼν διάφορον γίνεσθαι κατ᾽ εἶδος διαφοράν, ὅταν τὸ ἐφ᾽ οὗ ἡ φορὰ διάφορον ᾖ κατ᾽ εἶδος, προστίθησιν ὅτι κἂν τὸ δι᾽ οὗ ἡ φορὰ γίνεται διάφορον ᾖ κατ᾽ εἶδος, διάφορον καὶ ἡ φορὰ κατ᾽ εἶδος ἔσται. οἷον ἐὰν τὸ μὲν διὰ ποδῶν κινῆται τὸ δὲ διὰ πτερύγων, καὶ ταῦτα διάφορα ἔσται. καὶ γὰρ ἡ μὲν διὰ ποδῶν βάδισίς ἐστιν. ἡ δὲ διὰ πτερύγων πτῆσις. καίτοι ἐπ᾽ εὐθείας γίνεσθαι δυνατὸν ἄμφω. τοῦτο δὲ εἰπὼν ἐπιφέρει. ἢ οὔ. ἀλλὰ τοῖς σχήμασιν ἡ φορὰ ἄλλη. οὐ βουλόμενος διάφορον κατ᾽ εἶδος γίνεσθαι κίνησιν, ἂν τὰ ὄργανα δι᾽ ὧν ἡ κίνησις κατ᾽ εἶδος διαφέρῃ, μηκέτι δὲ τὰ ἐφ᾽ ὧν γίνεται. τῷ γὰρ σχήματι μόνῳ φησὶν ἕτεραί εἰσι κινήσεις ἥ τε πτῆσις καὶ ἡ βάδισις. καὶ ἐν τῷ εἴδει. ὅταν ἀμφότεραι ἐπ᾽ εὐθείας γίνωνται. διὸ καὶ συμβληταὶ αὗται. καὶ γὰρ θᾶττον κινεῖσθαι τοῦ βαδίζοντος τὸν ἱπτάμενον φαμέν, καὶ τὴν οὐριοδρομοῦσαν ναῦν. ἀλλὰ πῶς οὐ μᾶλλον κατ᾽ εἶδος διαφέρει πτῆσις βαδίσεως. ἢ βάδισις ἡ ἐπ᾽ εὐθείας τῆς ἐπὶ κύκλου. ἢ κατ᾽ ἄλλο μὲν ἴσως μᾶλλον διαφέρει, κατὰ δὲ τὸν νῦν διορισμὸν οὐ διαφέρει. εἰ γὰρ αἱ κατ᾽ εἶδος διαφέρειν ἐλέγοντο, ἐὰν τὰ ἐφ᾽ ὧν διάφορα εἴδη γραμμῆς ᾖ, τὸ μὲν εὐθεῖα τὸ δὲ κύκλος, δηλονότι ἐὰν μὴ διάφορα ᾖ τὰ ἐφ᾽ ὧν ἡ φορά, οὐδὲ ἡ φορὰ διάφορος ἔσται. κατὰ τὴν νῦν ζητουμένην διαφοράν, καθ᾽ ἣν ἀσύμβλητοί εἰσιν αἱ κινήσεις. καὶ γὰρ τὴν ἀρχὴν προθέμενος ζητῆσαι. τίνες τῶν κινήσεων συμβληταί εἰσι κατὰ τὸ θᾶττον καὶ βραδύτερον καὶ ἴσον, καὶ τίνες οὔ, τὰς κατ᾽ εἶδος διαφέρους ἔλεγε μὴ εἶναι συμβλητάς, κατ᾽ εἶδος διαφέρειν τὰς ἐπὶ διαφερόντων κατ᾽ εἶδος γινομένας. ἡ δὲ πτῆσις καὶ ἡ βάδισις οὐκ ἐπὶ διαφερόντων κατ᾽ εἶδος γίνεται. δύνανται γὰρ ἄμφω ἐπ᾽ εὐθείας καὶ ἄμφω ἐπὶ κύκλου γίνεσθαι. συμπεραίνεται δὲ λοιπόν τινα ἐστὶ τὰ ἰσοταχῆ καὶ συμβλητὰ ὅλως. ὅτι τὰ ἐν ἴσῳ χρόνῳ τὸ αὐτὸ διάστημα κινούμενα κατὰ φοράν, δηλονότι ταῦτα ἰσοταχῆ ἐστι. τὸ αὐτὸ δὲ μέγεθος οὐ τῷ ἀριθμῷ πάντως, ἀλλὰ τῷ εἴδει. ὥστε εἴδει ἀδιάφορον αὐτὸ ᾖ. τοιοῦτον δὲ τὸ εὐθὺ πρὸς τὸ εὐθὺ καὶ τὸ περιφερὲς πρὸς τὸ περιφερές. εὐθὺς μέντοι τὸ τῷ μεγέθει ἀδιάφορον εἴδει. καὶ τῇ κινήσει ἀδιάφορον κατ᾽ εἶδός ἐστιν. εἰπὼν δὲ πρότερον μὲν ὅτι ἐὰν ἔχῃ εἴδη τὸ ἐφ᾽ οὗ κινεῖται. καὶ ἡ φορὰ εἴδη ἔχει, τουτέστι διαφορὰς κατ᾽ εἶδος, νῦν δὲ ὅτι ἐὰν τὸ ὑποκείμενον ἀδιάφορον ᾖ τῷ εἴδει καὶ ἡ κίνησις ἀδιάφορός ἐστι, συντομωτέραν ποιῶν τὴν θεωρίαν, ὅταν φησὶ ζητῶμεν ποῖαι κινήσεις συμβληταὶ καὶ ποῖαι ἀσύμβλητοι, οὐκ ἀνάγκη τὸ ὑποκείμενον σκοπεῖν. ἀλλ᾽ ἀρκεῖ τὴν κίνησιν αὐτὴν περὶ ἧς ζητοῦμεν. ἢ συμβλητὴ ἢ οὔ, πρόχειρον ἡμῖν οὖσαν σκοπεῖν, εἰ ἔχει διαφορὰς κατ᾽ εἶδος. πάντως γὰρ ὁμοίως ἔχει καὶ τὸ ὑποκείμενον. καὶ οὐδὲν δεόμεθα εἰς ἄμφω βλέπειν. ὥστε καὶ ὅτε ἐζητοῦμεν πότερον αἴτιόν ἐστι τοῦ διαφορὰς ἔχειν, ἆρα ὅτι ἡ φορὰ γένος, ἢ ὅτι ἡ γραμμὴ γένος, μάτην ἐζητοῦμεν. οὐ γὰρ διαφωνεῖ τὸ ὑποκείμενον τῇ κινήσει τῇ ἐπ᾽ αὐτοῦ, ὡς τὸ μὲν διαφορὰς ἔχειν. τὸ δὲ ἀδιάφορον εἶναι. καὶ τὸ εἴρηται ὅτι οὐ τὸ τυχὸν τοῦ τυχόντος δεκτικόν. ἀλλ᾽ ἐν ἑνὸς τὸ πρῶτον. ἢ τὸ ὥστε σκεπτέον τίς διαφορὰ κινήσεως ἐπήγαγεν, ὡς δέον ὂν τὸν μέλλοντα γινώσκειν ποία κίνησις συμβλητὴ καὶ ποία ἀσύμβλητος. τὰς διαφορὰς τῶν κινήσεων πρότερον παρ᾽ ἑαυτῷ διῃρηκέναι. αἱ γὰρ τῶν γραμμῶν διαφοραὶ πρόδηλοι καὶ τοῖς ἰδιώταις. πλείονα δέ φησιν αὐτὸν ὁ Ἀλέξανδρος εἰρηκέναι περὶ τῆς ἀσυμβλήτου κινήσεως, διότι οὔπω δέδεικται ὅτι οὐκ ἔστιν εὐθεῖα ἴση περιφερείᾳ. ἀλλὰ μεμένηκε ζητούμενον. διὸ καθόλου λέγει τῇ κατ᾽ εἶδος διαφορᾷ τῶν γραμμῶν τὴν κατ᾽ εἶδος διαφορὰν τῶν κινήσεων ἀκολουθεῖν.

ΚΑΙ᾽ ΣΗΜΑΙΝΕΙ γε ὁ λόγος οὗτος, ὅτι τὸ γένος οὐχ ἕν τι. ἀλλὰ παρὰ τοῦτο λανθάνει πολλά. εἰσί τε τῶν ὁμωνυμιῶν αἱ μὲν πολὺ ἀπέχουσαι. αἱ δὲ ἔχουσαί τινα ὁμοιότητα. αἱ δὲ ἐγγὺς ἢ γένει ἢ ἀναλογίᾳ. διὸ οὐ δοκοῦσιν ὁμωνυμίαι εἶναι οὖσαι.

Δείξας ὅτι αἱ μὲν ὁμοειδεῖς κινήσεις, ὧν τὸ εἶδος οὐκέτι διαιρεῖται εἰς ἄλλα εἴδη, διὰ τὸ μίαν φύσιν εἶναι

συμβληταί εἰσιν. αἱ δὲ διαφέρουσαι κατ' εἶδος ἀσύμβλητοι, ὥσπερ πόρισμα ἐκ τῶν εἰρημένων συνάγει, ὅτι τὰ ὁμογενῆ οὐκ ἔστι συμβλητά. διότι οὐκ ἔστιν ἐν τῷ εἴδει ἀλλὰ τῷ γένει. τὸ δὲ γένος οὐκ ἔστιν ἕν τι εἶδος. ὥσπερ τὸ ἔσχατον εἶδος ὃ μηκέτι διαιρεῖται εἰς εἴδη. γένος γάρ ἐστι τὸ εἰς πλείονα εἴδη διαιρούμενον. ὥστε τὰ ὁμογενῆ καὶ μὴ ὁμοειδῆ οὐκ ἔστι συμβλητά. καὶ παρὰ τοῦτό φησι πολλὰ λανθάνει μὴ ὄντα μὲν, νομιζόμενα δὲ συμβλητά. ὡς ἡ εὐθεῖα καὶ ἡ περιφερής. ὅτι γένος οὖσαν τὴν γραμμὴν καὶ διαιρουμένην εἰς ταύτας. ὡς μίαν τινὰ φύσιν ἔχον τὸ γένος λαμβάνοντες, καὶ τὴν εὐθεῖαν καὶ περιφερῆ ὡς ὁμοφυεῖς συμβλητὰς νομίζουσιν. εἰπὼν δὲ αἴτιον εἶναι τοῦ τὰ ὁμογενῆ τινὰς συμβλητὰ νομίζειν, τὸ ἕν τι ἡγεῖσθαι τὸ γένος, ἐπάγει καὶ τὴν περὶ τὰ ὁμώνυμα συμβαίνουσαν ἀπάτην. διὸ καίτοι πάντων τῶν ὁμωνύμων ἑτεροφυῶν ὄντων, εἴπερ ὄνομα μόνον κοινὸν ἔχουσι τὴν δὲ οὐσίαν διάφορον, καὶ ἀσυμβλήτων ὄντων, τινὰ ὅμως αὐτῶν συμβλητὰ δοκεῖ. τῶν γὰρ ὁμωνυμιῶν φησι πολλή τις ἐστὶ διαφορά. αἱ γὰρ αἱ μὲν πολὺ ἀπέχουσιν. ὥσπερ αἱ ἀπὸ τύχης. αἱ δὲ ἔχουσί τινα ὁμοιότητα. ὡς αἱ εἰκόνες πρὸς τὰ πρωτότυπα. αἱ δὲ ἐγγύς εἰσιν ἢ γένει ἢ ἀναλογίᾳ. γένει μὲν τὰ ἀφ' ἑνὸς καὶ πρὸς ἓν λεγόμενα. κοινὸν γάρ τι αὐτοῖς τό, τε ἀφ' οὗ καὶ τὸ πρὸς ὅ, φαντασίαν ἀποτελοῦν γένους. ἀναλογίᾳ δὲ ὁμώνυμά ἐστι, τὰ τὴν ἐν τῷ λόγῳ καὶ τῇ χρείᾳ ὁμοιότητα σώζοντα. ὡς ἡ ἀρχή. καὶ γὰρ ἡ πηγὴ καὶ ἡ καρδία καὶ μονὰς καὶ σημεῖον. καὶ τὸ ἡγούμενον ἐν πόλει, ἀρχὴ λέγεται. τοσοῦτον ἀλλήλων τῇ φύσει διαφέροντα. τὰ οὖν ἐγγὺς ὄντα καὶ ὅμοια ὡς ὁμοφυῆ λαμβάνοντες. συμβλητὰ ἡγοῦνται. ὡς τὸ πολὺ καὶ διπλάσιον ἐπὶ ὕδατος καὶ ἀέρος. δύναται δὲ τὸ καὶ σημαίνει ὁ λόγος οὗτος ὅτι τὸ γένος οὐχ ἕν τι, ἐπὶ τῆς κινήσεως εἰρῆσθαι. καὶ γὰρ εἶπεν πρότερον. ὅτι αἴτιον τοῦ μὴ συμβλητὰς εἶναι τήν τε φορὰν καὶ τὴν ἀλλοίωσιν κινήσεις οὔσας. τὸ τὴν κίνησιν ἔχειν ἤδη, καὶ μὴ εἶναι ἕν τι αὐτὴν εἶδος μὴ δὲ μίαν φύσιν. ὥσπερ οὐδὲ ἡ γραμμή. ὁ δὲ ἕν τι νομίζων τὴν κίνησιν εἶδος ἄτομον. καίτοι γένος οὖσαν κατὰ τὰ ἀλήθειαν, ὁμοφυεῖς πάσας τιθεὶς τὰς κινήσεις. συμβλητὰς πάσας νομίζει. καὶ τῷ νῷ συμβλητὰ νομιζόμενα. ἔοικε δὲ τὴν κίνησιν γένος οὕτω λαμβάνειν ὡς κοινότητα ὁμωνύμως κατηγορουμένην τῶν διαφόρων κινήσεων. διότι ἄλλη μὲν ἡ κατὰ τόπον. ἄλλη δὲ ἡ κατὰ ποιότητα. καὶ ἄλλη ἡ κατὰ ποσότητα. διὸ καὶ τὰ γένη ταῦτα διαφέρειν ἀλλήλων. καὶ διὰ τοῦτο ἐπιφέρει τὴν τῶν ὁμωνυμιῶν διαφοράν. αἰτίαν τῆς πλάνης τῆς περὶ τὰς συμβλητὰς καὶ ἀσυμβλήτους κινήσεις λέγων, τὸ τινὰς τῶν ὁμωνύμων κινήσεων δι' ὁμοιότητα ὁμοφυεῖς δοκεῖν. καὶ διὰ τοῦτο συμβλητάς.

ΠΌΤΕ ΟΥ̓͂Ν ἕτερον τὸ εἶδος ἐὰν ταὐτὸ ἐν ἄλλῳ, ἢ ἂν ἄλλο ἐν ἄλλῳ. καὶ τίς ὅρος. ἢ τῷ κρίνομεν ὅτι ταὐτὸ τὸ λευκὸν καὶ τὸ γλυκύ. ἢ ἄλλο ὅτι ἐν ἄλλῳ φαίνεται ἕτερον. ἢ ὅτι ὅλως οὐ ταὐτό. περὶ δὲ δὴ ἀλλοιώσεως πῶς ἐστιν ἰσοταχὴς ἑτέρα ἑτέρᾳ. εἰ δή ἐστι τὸ ὑγιάζεσθαι ἀλλοιοῦσθαι, ἔστι δὲ τὸν μὲν ταχὺ τὸν δὲ, βραδέως ἰαθῆναι. καὶ ἅμα τινὰς ὥστε ἐστὶν ἀλλοίωσις ἰσοταχής. ἐν ἴσῳ γὰρ χρόνῳ ἠλλοιώθη. ἀλλά τι ἠλλοιώθη. τὸ γὰρ ἴσον οὐκ ἔσται ἐνταῦθα λεγόμενον. ἀλλ' ὡς ἐν τῷ ποσῷ ἰσότης ἐνταῦθα ὁμοιότης. ἀλλ' ἔστω τὸ αὐτὸ μεταβάλλον ἐν ἴσῳ χρόνῳ ἰσοταχές. πότερον οὖν ἐν ᾧ τὸ πάθος. ἢ τὸ πάθος δεῖ συμβάλλειν. ἐνταῦθα μὲν δὴ ὅτι ἡ ὑγίεια ἡ αὐτή ἐστι λαβεῖν. ἢ ὅτι οὔτε μᾶλλον, οὔτε ἧττον ἀλλ' ὁμοίως ὑπάρχει. ἐὰν δὲ τὸ πάθος ἄλλο ᾖ, οἷον ἀλλοιοῦται τὸ λευκαινόμενον καὶ τὸ ὑγιαζόμενον τούτοις οὐδὲν τὸ αὐτό. οὐδ' ἴσον, οὐδ' ὅμοιον. ᾗ ἤδη ταῦτα εἴδη ποιεῖ ἀλλοιώσεως. καὶ οὐκ ἔστι μία ὥσπερ οὐδὲ φορά. ὥστε ληπτέον πόσα εἴδη ἀλλοιώσεως. καὶ πόσα φορᾶς. εἰ μὲν οὖν τὰ κινούμενα εἴδει διαφέρει ὧν εἰσιν αἱ κινήσεις καθ' αὑτὰ καὶ μὴ κατὰ συμβεβηκός. καὶ αἱ κινήσεις εἴδει διοίσουσιν. εἰ δὲ γένει, γένει. εἰ δὲ ἀριθμῷ, ἀριθμῷ. ἀλλὰ δὴ πότερον εἰς τὸ πάθος δεῖ βλέψαι ἐὰν ᾖ τὸ αὐτὸ ἢ ὅμοιον, εἰ ἰσοταχεῖς αἱ ἀλλοιώσεις. ἢ εἰς τὸ ἀλλοιούμενον. οἷον εἰ τοῦ μὲν τοσονδὶ λελεύκανται. τοῦ δὲ τοσονδί. ἢ εἰς ἄμφω, καὶ ἡ αὐτὴ μὲν, ἢ ἄλλη τῷ πάθει. εἰ τὸ αὐτό. ἴση δὲ ἢ ἄνισος, εἰ ἐκεῖνο ἄνισον.

Ε ἰπὼν τὰ μὲν διαφέροντα κατ' εἶδος ἀσύμβλητα εἶναι. τὰ δὲ ἀδιάφορα συμβλητὰ, ζητεῖ λοιπὸν πότε ἕτερον τὸ εἶδος καὶ διάφορον. ἆρα ὅταν τὰ ὑποκείμενα διαφέρῃ καὶ τὸ εἶδος ἕτερόν ἐστι τὸ ἐν τοῖς διαφόροις ὑποκειμένοις. οἷον τὸ λευκὸν τό, τε ἐν ἵππῳ καὶ ἐν ἀνθρώπῳ. ἆρα ἕτερόν ἐστι κατ' εἶδος διὰ τὴν τῶν ὑποκειμένων διαφοράν. ἢ οὐκ ἀρκεῖ τὸ ὑποκείμενον μόνον διαφορὰν ἔχειν. ἀλλὰ χρὴ πρὸς τῇ τοῦ ὑποκειμένου διαφορᾷ καὶ τὸ εἶδος αὐτὸ διάφορον εἶναι. ὥστε ἄλλο εἶδος ἐν ἄλλῳ ἔχειν ὑποκειμένῳ τὰ διαφέρειν κατ' εἶδος λεγόμενα. καὶ γὰρ εἴρηται ἤδη ὅτι ἑνὸς δεκτικόν ἐστι. καὶ ὅτι ἀντακολουθεῖ ἀλλήλοις τά τε ὑποκείμενα καὶ τὰ ἐν αὐτοῖς εἴδη. καὶ κἂν τε ἕτερα ᾖ τὰ δεκτικά. καὶ τὰ ἐν αὐτοῖς ἕτερά ἐστι. κἄν τε ὁμοειδῆ τὰ ὑποκείμενα. καὶ τὰ ἐν αὐτοῖς τῆς αὐτῆς ἐστι φύσεως. ὧν γὰρ ἡ ἐπιφάνεια ὁμοειδὴς οὖσα δεκτική ἐστι προσώπων, ταῦτα τῆς αὐτῆς ἐστι φύσεως ἀλλήλοις. κἂν μὴ ὁμοειδῆ τυγχάνῃ ὥσπερ τὰ χρώματα. ζητεῖ οὖν τίς ὅρος. καὶ τίνι κρίνομεν, πότε ταὐτὸν σημαίνει τὸ λευκὸν ἢ τὸ γλυκύ. ὡς μίαν καὶ τὴν αὐτὴν ἔχον φύσιν. οἷον ὅταν ἐν ἵππῳ καὶ κύκνῳ τὸ λευκὸν θεωρῆται. ἢ ἕτερον καὶ ἕτερον, ὅταν ἐν ἐπιφανείᾳ καὶ ἐν φωνῇ. καὶ τὸ γλυκὺ τὸ ἐν χυμῷ καὶ ἐν φωνῇ. ἵνα οὖν μὴ ἐν τοῖς κατὰ μέρος περιπλανώμεθα, τίς ὅρος καὶ κριτήριον ἂν εἴη τῆς τοιαύτης διακρίσεως. ἆρα οὖν ὥσπερ ἐδόκει Πρωταγόρᾳ ἡ αἴσθησις κριτήριον ἱκανὸν τῶν τοιούτων ἐστίν. ὥστε τὸ ἑκάστῳ φαινόμενον κατὰ τὴν αἴσθησιν, τοῦτο καὶ ἀληθὲς νομίζειν, εἴτε ταὐτὸν εἴτε ἕτερον ἡ αἴσθησις ἀπαγγέλλει. ἢ οὐ χρὴ τῇ αἰσθήσει καὶ τῇ ἀπ' αὐτῆς

φαντασίαν τὴν κρίσιν ἐπιτρέπειν, πολλαχοῦ διαψευδομένοις. ἀλλὰ τῷ λόγῳ τὴν φύσιν καὶ τὴν ὕπαρ-
ξιν τῶν πραγμάτων ζητεῖν. ἐπεὶ ἥγε αἴσθησις τὸ ταχὺ καὶ βραδὺ τῆς κινήσεως. ἐπί τε τῆς εὐθείας
καὶ περὶ τοῦ κύκλου ὡς ὁμοφυῆ κρίνει. ταῦτα περὶ τῆς κατὰ τὴν φορὰν ἐννοίας ἀπορήσας, κἂν μὴ
ὀνομάζῃ τὴν φοράν. ἀλλὰ λευκοῦ, καὶ γλυκέως ἐμνημόνευσεν, ἐκτείνει τὴν ζήτησιν καὶ περὶ τὰς ἄλλας
κινήσεις καὶ μεταβολάς, ζητῶν πῶς χρὴ καὶ ἐπ' ἐκείνων εὑρίσκειν τὰ συμβλητὰ καὶ ἀσύμβλητα,
τὸ ταυτὸν καὶ μὴ ταυτὸν διορίζοντας. καὶ πρῶτον τῆς ἀλλοιώσεως μνημονεύσας. δείκνυσιν ὅτι καὶ
ἀλλοιώσεις εἰσὶ συμβληταί. ἔστι γὰρ τὸ μὲν ταχέως ἰαθῆναι. τὸ δὲ βραδέως. καὶ δηλονότι καὶ ἅμα
τινάς. εἰ οὖν τὸ ὑγιάζεσθαι ἀλλοιοῦσθαι ἐστίν, ἔσται ἀλλοίωσις ἰσοταχὴς ἡ ἐν ἴσῳ χρόνῳ γινομένη. ἀλλ' οὐκ
ἦν ἁπλῶς ἰσοταχῆ ἐν φορᾷ, τὰ ἐν ἴσῳ χρόνῳ κινούμενα. ἀλλ' ὅταν τὸ ἴσον ἐν ἴσῳ κινῆται. ἴσα δὲ ἐστὶ
διαστήματα τὰ τῶν αὐτῶν ὄντα μέτρων. ἀλλὰ περὶ ἀλλοιώσεως τί ἂν εἴη τὸ καθ' ὃ ἀλλοιοῦται τὸ ἀλλοιού-
μενον. δηλονότι ποιότης. ἡ γὰρ κατὰ ποιότητα μεταβολὴ ἀλλοίωσις λέγεται. τὸ δὲ ἴσον οὐκ ἔστιν περὶ
ποιότητος λεγόμενον. ἀλλ' ὡς ἐν τῷ ποσῷ ἰσότης λέγεται, οὕτως ἐν τῷ ποιῷ ὁμοιότης. ὡς καὶ ἐν κα-
τηγορίαις δέδεικται. τούτοις οὖν καλῶς ἐπιστήσας. ἔστω φησὶν ἰσοταχὲς εἶναι περὶ ἀλλοιώσεως, τὸ
τὸ αὐτὸ μεταβάλλειν ἐν τῷ ἴσῳ χρόνῳ, κοινὸν ὄνομα τὸ τοῦ ταυτοῦ καὶ τῆς ἰσότητος εὑρὼν καὶ τῆς
ὁμοιότητος. καὶ ἀπορεῖ λοιπὸν τὸ ἐν ταῖς συμβληταῖς ἀλλοιώσεσι ταυτόν, πότερον ἐν τῷ ὑποκειμένῳ
δεῖ ζητεῖν ἐν ᾧ τὸ πάθος, ἢ ἐν αὐτῷ τῷ πάθει. τουτέστι ποτέρας ἰσοταχεῖς ῥητέον ἀλλοιώσεις, τὰς
ἐν τῷ ἴσῳ χρόνῳ τὰ αὐτὰ ὑποκείμενα ἐχούσας ἠλλοιωμένα. ἢ τὰς ἐν τῷ ἴσῳ χρόνῳ κατὰ τὰ αὐτὰ
πάθη μεταβεβληκυίας. καὶ φησὶν ὅτι περὶ μὲν τοῦ προτεθέντος παραδείγματος τοῦ τῆς ὑγείας,
ἰσοταχὴς ἡ ὑγίανσίς ἐστι. τῷ τὸ πάθος τουτέστι τὴν ὑγίαν, καθ' ἣν ἡ μεταβολὴ τοῖς ὑγιαζομένοις γίνε-
ται, τὴν αὐτὴν εἶναι τῷ εἴδει. οἷον ὀφθαλμῶν φέρε εἰπεῖν καὶ μὴ ἄλλου μορίου. ἢ τὸ ὑγείαν ἁπλῶς
ἀλλὰ μὴ ἄλλο πάθος εἶναι. καὶ τοῦτο ὃ χρὴ προσεῖναι ταῖς ἰσοταχέσιν ὑγείαις, τὸ μήτε μᾶλλον μήτε ἧττον
ἀλλ' ὁμοίως ὑπάρχειν. ὃ γὰρ ἐστὶν περὶ τῶν μὴ ἰσοταχῶν φορῶν, τὸ ποτὲ μὲν θᾶττον ποτὲ δὲ βραδύτερον
φέρεσθαι, τοῦτο ἐπὶ τῶν μὴ ἰσοταχῶν ἀλλοιώσεων δοκεῖ, τὸ ποτὲ μὲν μᾶλλον ποτὲ δὲ ἧττον ἀλλοιοῦσθαι.
ἐὰν δὲ τὸ πάθος μὴ τὸ αὐτὸ ᾖ, ἀλλὰ τὸ μὲν ἄλλο τὸ δὲ ἄλλο, ὥστε τὸ μὲν λευκαίνεσθαι τὸ δὲ ὑγιάζεσθαι,
οὐδέν ἐστιν ἐν τούτοις καθ' ὃ συγκριθήσονται. οὔτε γὰρ ἴσον ὡς ἐπὶ τῶν ποσῶν. οὔτε ὅμοιον ὡς ἐπὶ ποιῶν.
οὔτε ταυτόν. ὅπερ κοινῶς ἐπ' ἀμφοῖν λέγεται. καὶ τὴν αἰτίαν ἐπήγαγεν. καθ' ὃ γὰρ ἡ τῶν παθῶν δια-
φορὰ καθ' ἃ ἡ ἀλλοίωσις, εὐθὺς εἴδη ποιεῖ διάφορα ἀλλοιώσεως. κἂν περὶ ταυτὸν ὑποκείμενον γίνηται.
καὶ χρὴ ἐν τῷ ᾗ ἤδη ταῦτα τὸ ᾗ διασύνειν. ἐρρέθη γὰρ καὶ ἐπὶ τῆς φορᾶς. ὅτι αἱ ἀνομοειδεῖς κινήσεις
οὐκ εἰσὶ συμβληταί. ὥστε οὐδὲ ἐπὶ ἀλλοιώσεως αἱ κατὰ τὰ διαφέροντα τῷ εἴδει πάθη γινόμεναι
συμβληταί εἰσιν. εἰ οὖν αἱ κατ' εἶδος διαφοραὶ τῆς τε φορᾶς καὶ τῆς ἀλλοιώσεως αἴτιαι τοῦ ἀσυμβλή-
του εἰσί, δεῖ διῃρηκέναι παρ' ἑαυτῷ πόσα φορᾶς εἴδη καὶ πόσα ἀλλοιώσεως. ἵνα τὰς προτιθεμένας
γνωρίζωμεν πῇ τε διαφέρουσιν ἀλλήλων καὶ πῇ οὔ. ἀλλὰ τὴν μὲν εἰς τὰ ἄτομα εἴδη διαίρεσιν ἑκάστης
τῶν κινήσεων νῦν παρατρέχει. κοινὴν δὲ μέθοδον παραδίδωσιν ἀπὸ τῆς τῶν διαφορῶν κοινότητος
εἰλημμένην. τὰ γὰρ διαφέροντα ὡς αὐτὸς ἐδίδαξεν. ἢ γένει διαφέρει ἢ εἴδει ἢ ἀριθμῷ. καθ' ἣν οὖν
διαφορὰν τὰ κινούμενα διαφέρει ἀλλήλων. οὐ κατ' ἄλλο τι ἀλλὰ καθ' ἃ κινεῖται, ταῦτα γὰρ εἶπεν
ὧν αἱ κινήσεις, εἰ μὲν κατὰ γένος εἴη αὐτή, καὶ αἱ κινήσεις κατὰ γένος διοίσουσιν ἀλλήλων. οἷον εἰ τὸ
μὲν αὔξεται. τὸ δὲ λευκαίνεται, καὶ ἡ αὔξησις τῆς λευκάνσεως γένει διοίσει. καὶ γὰρ ἡ μὲν κατὰ τὸ
ποσόν. ἡ δὲ κατὰ τὸ ποιόν. ἅπερ γένη διάφορά ἐστιν τοῦ ὄντος. εἰ δὲ εἴδει διαφέρει τὰ κινούμενα καθ' ὃ κι-
νοῦνται, εἴδει καὶ αἱ κινήσεις διοίσουσιν. ὡς ἡ λεύκανσις τῆς μελάνσεως. εἰ δὲ μὴ εἴδει ἀλλ' ἀριθμῷ μό-
νῳ τοῖς κινουμένοις ἡ διαφορὰ καθ' ὃ κινοῦνται, καὶ αἱ κινήσεις αὗται ἀλλήλων ἀριθμῷ διοίσουσι. καὶ
αὗται μόναι εἰσὶν αἱ συμβληταί, αἱ ἀριθμῷ μόνῳ διαφέρουσαι ὁμοειδεῖς καὶ ὁμογενεῖς κινήσεις.
ὥστε ὅπερ ἐπὶ τῆς φορᾶς οὐ διήρθρωσε. τοῦτο νῦν σαφέστερον πεποίηκεν, ὅτι τῇ ἑτερότητι καὶ ταυ-
τότητι τῶν καθ' ἃ ἡ κίνησις γίνεται χρὴ κρίνειν τὰ ἀσύμβλητα καὶ τὰ συμβλητά. τὸ δὲ ὧν εἰσιν αἱ
κινήσεις εἶπεν εἴδει διαφέρειν δεῖν ἐν τοῖς κινουμένοις καθ' αὑτὸ καὶ μὴ κατὰ συμβεβηκός. ἵνα τὰ κι-
νούμενα κατ' ἐκεῖνα καθ' ἃ κινεῖται εἴδει διαφέρῃ, τὸ μὲν εἰ τύχοι λευκαινόμενον, τὸ δὲ ὑγιαζόμενον.
τούτων γάρ εἰσιν αἱ κινήσεις τῆς λευκότητος καὶ τῆς ὑγείας. καὶ καθ' αὑτὸ διαφέρῃ τούτοις εἴδει,
τουτέστι κατὰ τὴν λεύκανσιν καὶ ὑγίανσιν. ἀλλὰ μὴ κατὰ συμβεβηκός, τῷ τὴν μὲν εἰ τύχοι ἵππου εἶναι.
τὴν δὲ ἀνθρώπου. τοῦτο γὰρ οὐκ ἔστι καθ' ὃ κινοῦνται εἴδει διαφέρειν, ἀλλὰ καθ' ὅ εἰσι. δι' ὃ καὶ δοκεῖ
πολλάκις τῷ τὰ ὑποκείμενα τοῖς καθ' ἃ ἡ κίνησις γίνεται εἴδει διαφέρειν, καὶ αὐτὴ ἡ κίνησις εἴδει
διαφέρειν οὐ διαφέρουσα, τῷ μὴ δὲ ἐκεῖνα διαφέρειν καθ' ἃ ἡ κίνησις γίνεται. οὕτως τῇ διαφορᾷ καὶ
ταυτότητι τοῦ πάθους τὸ ἀσύμβλητον καὶ συμβλητὸν ἐπὶ τῶν ἀλλοιώσεων χαρακτηρίσας, ὡς τῆς
ἀλλοιώσεως κατὰ πάθος γινομένης, καὶ βουλόμενος προσθεῖναι καὶ τὴν κατὰ τὸ ὑποκείμενον δια-
φοράν, ἐρωτᾷ πάλιν πότερον ἐὰν ἰσοταχεῖς αἱ ἀλλοιώσεις ὦσι, τὸ πάθος δεῖ μόνον αἰτιάσασθαι
ὅτι τὸ αὐτό, ἢ μᾶλλον ὅτι ὅμοιον. τοῦτο γὰρ οἰκειότερον ὄνομα τῆς ποιότητος καὶ τῆς ἀλλοιώσεως. ὥσπερ

τὸ ταυτὸν τῆς οὐσίας. ἢ καὶ τὸ ὑποκείμενον καὶ ἀλλοιούμενον, ὅταν ἐν ἑκάστῳ τῶν ἀλλοιουμένων ἴσον ᾖ τὸ ἀλλοιούμενον. οἷον τῆς ἐπιφανείας αὐτὸ εἰς τὸ λευκὸν μεταβεβληκὸς ἴσον ἢ ἐν τῷ ἴσῳ χρόνῳ. καὶ πρὸ ὀλίγου δὲ ταῦτα ἀπορήσας, ὅτε ἔλεγεν πότερον δεῖ ἐν ᾧ τὸ πάθος ἢ τὸ πάθος δεῖ συμβαλεῖν, καὶ τὸ πάθος αἰτιασάμενος, νῦν προστίθησι τὸ ἐν ᾧ τὸ πάθος. πρὸς ἄμφω λέγων χρῆναι βλέπειν, καὶ πρὸς τὸ πάθος εἰ ταυτὸν ἢ ὅμοιον εἴη. καὶ πρὸς τὸ ὑποκείμενον εἰ ἴσον. καὶ ἄμφω μὲν συμβλητὰ νομίζειν. ἀλλὰ κατὰ μὲν τὸ πάθος ὅμοια ἢ ἀνόμοια ἢ ταυτὰ ἢ ἕτερα. κατὰ δὲ τὸ ὑποκείμενον ἴσα ἢ ἄνισα. οὕτω δὲ ἔσται τις ἀλλοίωσις ἡ αὐτὴ μὲν ἀλλ' ἢ κατὰ ταυτὸν πάθος. ἄνισος δὲ ἀλλ' ἢ τὰ δεδεγμένα τὸ πάθος ἄνισα. καὶ ἀνάπαλιν. ἴση μέν τις οὐχ ἡ αὐτὴ δὲ ἢ οὐχ ὁμοία.

ΚΑῚ ἘΠῚ γενέσεως δὲ καὶ φθορᾶς τὸ αὐτὸ σκεπτέον, πῶς ἰσοταχὴς ἡ γένεσις. εἰ ἐν ἴσῳ χρόνῳ τὸ αὐτὸ καὶ ἄτομον. οἷον ἄνθρωπος. ἀλλὰ μὴ ζῷον θάττων δὲ εἰ ἐν ἴσῳ ἕτερον. οὐ γὰρ ἔχομέν τι δύο, ἐν οἷς ἡ ἑτερότης ὡς ἡ ἀνομοιότης καὶ εἰ ἔστιν ἀριθμὸς ἡ οὐσία πλείων ἢ ἐλάττων ἀριθμὸς ὁμοειδής, ἀλλ' ἀνώνυμον τὸ κοινόν. καὶ τὸ ἑκάτερον ὥσπερ τὸ πλεῖον πάθος. ἢ τὸ ὑπερέχον μᾶλλον. τὸ δὲ ποσὸν μεῖζον.

Τὰς αἰτίας τῶν συμβλητῶν καὶ ἀσυμβλήτων μεταβολῶν ἐπί τε φορᾶς παραδοὺς καὶ ἀλλοιώσεως, τὴν αὔξησιν καὶ τὴν μείωσιν παρεὶς ἐπὶ τὴν γένεσιν μεταβέβηκε καὶ τὴν φθοράν. ὡς γνώριμον δὲ ὂν ἐκ τῶν προειρημένων παρῆκε τὴν αὔξησιν καὶ τὴν μείωσιν. ἡ γὰρ τοῖς ὁμοειδέσιν ἐν ἴσῳ χρόνῳ ἴση γινομένη προσθήκη δι' ὅλου, ἰσοταχὴς αὔξησις. καὶ ἡ ἀφαίρεσις ἡ τοιαύτη μείωσις ἰσοταχής. τὸ γὰρ ἴσον καὶ ἐπὶ τῆς αὐξήσεως καὶ μειώσεως οὕτω λέγεται, ὡς καὶ ἐπὶ τῆς φορᾶς. ἀλλὰ ταῦτα μὲν ὡς σαφῆ παρῆκε. ζητεῖ δὲ ἐπὶ γενέσεως καὶ φθορᾶς, πῶς γένεσις γενέσει καὶ φθορὰ φθορᾷ ἰσοταχὴς λέγεται. καὶ ὥσπερ διαπορῶν καὶ ἐρωτῶν, ἆρα φησὶν ἰσοταχὴς λέγεται γένεσις, εἰ ἐν ἴσῳ χρόνῳ τὰ αὐτὰ τῷ εἴδει καὶ ἄτομα κατὰ τὸ εἶδος γένοιτο. οἷον ἄνθρωπος. ἀλλὰ μὴ κατὰ γένος τὸ αὐτὸ οἷον ζῷον. θάττων δὲ γένεσις, ὅταν ἐν τῷ αὐτῷ ἴσῳ χρόνῳ μὴ τὸ αὐτὸ ᾖ τὸ γεγονός, ἀλλὰ ἕτερον. οἷον εἰ ἀνθρώπων γινομένων, ὁ μὲν ἤδη γεγονὸς εἴη ἄνθρωπος ἐν τῷ ἴσῳ ἢ τῷ αὐτῷ χρόνῳ, ὁ δὲ μηδέπω. ἀλλά τι μέρος εἴη τῶν ἐν αὐτῷ γεγονός, μηδέπω δὲ αὐτός. εἰπὼν δὲ θάττω εἰ ἐν ἴσῳ χρόνῳ ἕτερον εἴη γεγονός τι καὶ μὴ τὸ αὐτό. ἀπολογεῖται ὑπὲρ τοῦ ἕτερον εἰπεῖν καὶ μὴ θεῖναι ἴδιον ὄνομα. οὐ γὰρ ἔχομεν φησίν τινα δύο, ἃ ἡ ἐπὶ τῆς κατ' οὐσίαν μεταβολῆς ἑτερότης σημαίνει. ὥσπερ ἐπὶ τῆς κατὰ ποιότητα μεταβολῆς ἡ ἀνομοιότης τὸ μᾶλλον καὶ τὸ ἧττον σημαίνει. καὶ ἐπὶ τῆς κατὰ ποσότητα κοινὸν μὲν ἡ ἀνισότης, δύο δὲ σημαίνει τὸ μεῖζον καὶ τὸ ἔλαττον. οὐχ οὕτω φησὶν ἡ ἐπὶ τῆς γενέσεως κοινῶς λαμβανομένη ἑτερότης ἔχομεν τινὰ δύο σημαίνει. βουλόμενος δὲ καὶ ἐπὶ τῆς κατ' οὐσίαν μεταβολῆς εὑρεῖν ὀνόματα οἰκεῖα, ἐπειδή φησιν ἡ οὐσία ἧς ἡ γένεσίς ἐστιν ἐξ ἀριθμῶν σύγκειται, θάττω γένεσιν ῥητέον καὶ βραδυτέραν καὶ ὅλως ἀνισοταχῆ. ὅταν ἐν τῷ αὐτῷ ἢ τῷ ἴσῳ χρόνῳ, τοῦ μὲν πλείων τοῦ δὲ ἐλάττων ἀριθμὸς ὁμοειδὴς γίνοιτο. ὡς ὅταν ἀνθρώπων γινομένων ἐν τῷ αὐτῷ ἢ ἴσῳ χρόνῳ, τοῦ μὲν πλείων ἀριθμὸς γένηται. οἷον πλείονα τῷ ἀριθμῷ μόρια. τοῦ δὲ ἐλάττων. ὅταν δὲ συμπληρωθῶσιν, ἔσται ὁ μὲν θᾶττον γεγονώς, ὁ δὲ βραδύτερον, ἐκ τῶν ἴσων ἀριθμῶν τῶν ἀνθρωπείων ἄμφω συγκείμενοι. ἀλλ' ἐπὶ μὲν τῆς κατὰ τὸ πάθος μεταβολῆς καὶ τὸ κοινὸν τῆς συγκρίσεως τῶν ἀνισοταχῶν ὠνόμασται, ἀνομοιότης λεγόμενον. καὶ ἑκάτερον τῶν ὑπὸ τὸ κοινὸν τὸ μὲν μᾶλλον τὸ δὲ ἧττον. καὶ ἐπὶ τῆς κατὰ ποσὸν κοινὸν μὲν τὸ ἄνισον. τῶν δὲ ὑπ' αὐτὸ τὸ μὲν μεῖζον, τὸ δὲ ἔλαττον. αὐτὸς δὲ καίτοι ἑκάτερον προθεὶς εἰπεῖν, ἠρκέσθη τὰ ὑπερέχοντα ὀνομάσαι τὸ μᾶλλον καὶ τὸ μεῖζον. ἀλλὰ πῶς καὶ τὸ κοινὸν ἀνώνυμον εἶπεν ἐπὶ τῆς γενέσεως, εἴπερ τὸ ἕτερον αὐτῷ ἁρμόττει. ἢ ὅτι κοινόν ἐστι τὸ ἕτερον. καὶ γὰρ τὸ ἀνόμοιον καὶ τὸ ἄνισον ἕτερά ἐστιν. ἀριθμὸν δὲ τὴν οὐσίαν εἶπεν, ἢ τοῖς πυθαγορείοις ἀκολουθῶν. ἀρχὰς τῶν ὄντων λέγουσι τοὺς ἀριθμούς. κέκλυθι κύδιμ' ἀριθμὲ πάτερ μακάρων πάτερ ἀνδρῶν. καὶ ἀριθμῷ δέ τε πάντ' ἐπέοικεν. ἢ ὅτι κατ' ἀριθμούς τινας ὡρισμούς, τῶν τε στοιχείων καὶ τῶν μερῶν ἁπάντων γενέσεις καὶ συστάσεις ἐπιτελοῦνται. δι' ὃ οὐδὲ τῶν ἀνθρωπίνων τεχνῶν τῶν τὴν ὅλην δημιουργίαν μιμουμένων, οὐδεμία δύναται χωρὶς ἀριθμοῦ συστῆναι.

ἘΠΕῚ ΔῈ τὸ κινοῦν κινεῖ τι ἀεὶ καὶ ἔν τινι καὶ μέχρι του. λέγω δὲ τὸ μὲν ἔν τινι ὅτι ἐν χρόνῳ. τὸ δὲ μέχρι του ὅτι ποσόν τι μῆκος, ἀεὶ γὰρ ἅμα κινεῖ καὶ κεκίνηκεν. ὥστε ποσόν τι ἔσται ὃ ἐκινήθη. καὶ ἐν ποσῷ. εἰ δὴ τὸ μὲν α τὸ κινοῦν. τὸ δὲ β τὸ κινούμενον. ὅσον δὲ κεκίνηται μῆκος τὸ γ. ἐν ὅσῳ δὲ ὁ χρόνος ἐφ' οὗ δ. ἐν δὴ τῷ ἴσῳ χρόνῳ ἡ ἴση δύναμις ἡ ἐφ' ᾧ α τὸ ἥμισυ τοῦ β διπλασίαν τοῦ γ κινήσει. τὴν δὲ τὸ γ ἐν τῷ ἡμίσει τοῦ δ. οὕτω γὰρ ἀνάλογον ἔσται καὶ εἰ ἡ αὐτὴ δύναμις τὸ αὐτὸ ἐν τωδὶ τῷ χρόνῳ τὴν τοσήνδε κινεῖ καὶ τὴν ἡμίσειαν ἐν τῷ ἡμίσει.

Οἰκεῖος καὶ αὐτὸς ὁ λόγος ἐστὶ τῷ περὶ τῆς τῶν κινήσεων συγκρίσεώς τε καὶ παραβολῆς. καὶ γὰρ ἐνταῦθα παραβάλλων τό, τε κινοῦν καὶ τὸ κινούμενον, τὰς πρὸς ἄλληλα αὐτῶν ἀναλογίας ἐπιζητεῖ, ἐπί τε φορᾶς καὶ ἀλλοιώσεως καὶ αὐξήσεως καὶ μειώσεως. ζητεῖ γὰρ εἰ ὥσπερ ἡ πολλαπλασία δύναμις, τινὸς δυνάμεως κινούσης τι πολλαπλάσιον κινεῖ ἐκείνου, οὕτω καὶ τὸ πολλοστημόριον τῆς κινούσης τι δυνάμεως πολλοστημόριον κινήσει τοῦ ὑπ' ἐκείνης κινουμένου. οἷον εἰ οἱ ἑκατὸν ἄνθρωποι τὴν

ναῦν κινοῦσιν, εἰ καὶ ὁ εἷς τὸ ἑκατοστὸν τῆς νεὼς κινήσει. παραβάλλει δὲ καὶ πρὸς τὸν χρόνον καὶ πρὸς τὸ τῆς κινήσεως διάστημα, τήν τε κινοῦσαν δύναμιν καὶ τὸ κινούμενον. οἷον εἰ ἡ κινήσασα δύναμις τόδε τι, οἷον τήνδε τὴν ναῦν, ἐν τοσῷδε χρόνῳ τοσόνδε διάστημα, τὸ ἥμισυ τῆς νεὼς ἐν τῷ αὐτῷ χρόνῳ διπλάσιον διάστημα κινήσει. καὶ εἰ ἡ ἡμίσεια δύναμις τὸ αὐτὸ διάστημα ἐν τῷ αὐτῷ χρόνῳ, τὸ ἥμισυ τοῦ κινηθέντος ὑπὸ τῆς ὅλης κινήσει. ἔτι δὲ εἰ ὡς ἡ ὅλη ἡ δύναμις τὸ ἥμισυ τοῦ ὑπ' αὐτῆς κινηθέντος ἔν τινι χρόνῳ διάστημά τι, ἐν ἡμίσει τοῦ χρόνου τὸ αὐτὸ διάστημα κινεῖ, οὕτω καὶ τὸ ἥμισυ τῆς δυνάμεως ὅλον τὸ ὑπὸ τῆς ὅλης κινηθὲν ἔν τινι χρόνῳ, ἐν διπλασίῳ τούτου τοῦ χρόνου κινήσει. ταῦτα γὰρ φαντασίαν μὲν τινα παρέχεται, ὡς ἀναλογίαν διασώζοντα. οὐχ οὕτω δὲ ἔχει ὡς φαίνεται. πρῶτον δὲ ἐπὶ τῆς φορᾶς τὸν λόγον ποιεῖται. καὶ οὕτω τὰ ἐπὶ ταύτης δεικνύμενα, καὶ ἐπὶ τῶν ἄλλων κοινοποιήσει κινήσεων. προλαμβάνει δὲ ὡς ἐναργῆ, τὸ πᾶν τὸ κινοῦν, τι κινεῖν. οὐ γὰρ οἷόν τε κινεῖν μὲν, μηδὲν δὲ κινεῖν. ἀλλ' ὥσπερ πᾶν τὸ κινούμενον ὑπό τινος κινεῖται, οὕτω καὶ πᾶν τὸ κινοῦν κινεῖ τι. καὶ ἔτι ἔν τινι χρόνῳ κινεῖ τὸ κινοῦν. οὐ γὰρ οἷόν τε κίνησιν ἄνευ χρόνου γενέσθαι. καὶ ἔτι μέντοι μέχρι τοῦ κινεῖ. τοσόνδε γὰρ μῆκος κινεῖ τὸ κατὰ φορὰν κινοῦν. καὶ τὰ μὲν ἄλλα ὡς ἐναργῆ παρέλαβε. τούτου δὲ καὶ ἀπόδειξιν ἐπήγαγεν, ἐκ τῶν πρότερον δεδειγμένων αὐτῷ ὑπομιμνήσκων. εἰ γὰρ πᾶν τὸ κινούμενον κεκίνηται ἤδη, καὶ τὸ κινοῦν κεκίνηκεν ἤδη, διὰ τὸ ἐπ' ἄπειρον τεμνομένης τῆς κινήσεως μὴ οἷόν τε εἶναι ἀρχὴν κινήσεως λαβεῖν, εἰ δὴ τὸ κινοῦν κεκίνηκε. τὸ δὲ κεκινηκὸς ποσόν τι διάστημα κεκίνηκε, τὸ κινοῦν ἂν εἴη πᾶν ποσόν τι διάστημα κεκινηκὸς ἤδη. οὐ γὰρ δύναται κεκινῆσθαι μέν τι, μὴ τοσόνδε δὲ, ὥστε πᾶν τὸ κινοῦν τί τε κινεῖ, καὶ ἐν χρόνῳ τινὶ καὶ διαστήματι. ταῦτα προλαβὼν ὡς ἀξιώματα, ἐπὶ τὰς ἀναλογίας ἔρχεται λοιπὸν τοῦ τε κινοῦντος κατὰ φορὰν καὶ τοῦ κινουμένου ὑπ' αὐτοῦ. καὶ τοῦ χρόνου. καὶ τοῦ διαστήματος. λαμβάνει δὲ τὴν μὲν κινοῦσαν δύναμιν τὸ α. τὸ δὲ κινούμενον ὑπ' αὐτῆς βάρος τὸ β. τὸ δὲ μῆκος καὶ διάστημα τῆς κινήσεως ὃ κεκίνηκεν ἡ α δύναμις τὸ β βάρος. τίθησι γ. χρόνος δὲ ἐν ᾧ, τὸ δ. τούτων δὲ κειμένων, τὸ βάρος πρῶτον διελὼν, φησὶν τὴν ἴσην δύναμιν ἢ τὴν αὐτὴν τὸ ἥμισυ τοῦ βάρους διπλάσιον διάστημα κινεῖ ἐν τῷ αὐτῷ χρόνῳ. εἶτα καὶ τὸν χρόνον διελὼν, ἐν τῷ ἡμίσει τοῦ χρόνου φησὶν τὸ ἥμισυ τοῦ βάρους, τὸ αὐτὸ τοῦ μήκους διάστημα τὸ ἐξ ἀρχῆς κινηθήσεται τὸ γ ὑπὸ τῆς αὐτῆς δυνάμεως. οὕτω γὰρ ἡ ἀναλογία σώζεται. εἰ γάρ τι εἴη δεκατάλαντον βάρος κινοῦν ἐν ὥρᾳ σταδιαῖον διάστημα, ἔσται τὸ πεντετάλαντον ἐν ὥρᾳ δύο στάδια κινήσει. ἐν ἡμιωρίῳ δὲ τὸ στάδιον μόνον. εἶτα τὸ διάστημα διελὼν, τοῦ βάρους τοῦ ἐξ ἀρχῆς μένοντος. συνδιαιρεῖ τὸν χρόνον. τῶν γὰρ αὐτῶν ὑποκειμένων. ἡ α δύναμις. τὸ β βάρος, τὸ ἥμισυ τοῦ γ διαστήματος κινήσει. ἐν τῷ ἡμίσει τοῦ δ χρόνου. εἰ γάρ τις δύναμις πάλιν δεκατάλαντον βάρος κινεῖ σταδιαῖον διάστημα ἐν ὥρᾳ μιᾷ, τὸ αὐτὸ βάρος ἡμιστάδιον κινήσει ἐν ἡμιωρίῳ. αἱ δὲ τρεῖς ἀναλογίαι αὗται οὕτω σώζονται. ἐν τῷ αὐτῷ χρόνῳ ἡ αὐτὴ δύναμις τὸ ἔλαττον φορτίον μεῖζον διάστημα κινεῖ. καὶ τοσούτῳ μεῖζον ὅσῳ ἔλαττον τὸ βάρος. ὡς οὖν τὸ ἥμισυ τοῦ βάρους πρὸς τὸ ὅλον βάρος, οὕτω τὰ δύο στάδια πρὸς τὸ ἕν. εἴπερ τοσούτῳ μεῖζον τὸ διάστημα, ὅσῳ ἔλαττον τὸ βάρος. καὶ ἐναλλὰξ οὖν ὡς τὸ ὅλον βάρος πρὸς τὸ στάδιον, οὕτω τὸ ἥμισυ τοῦ βάρους πρὸς τὸ διπλάσιον τοῦ διαστήματος. ἡ δὲ δευτέρα ἀναλογία ἡ τὸ ἥμισυ τοῦ βάρους τὸ σταδιαῖον διάστημα λέγουσα ἐν τῷ ἡμίσει χρόνῳ κινεῖσθαι, οὕτως ἔχει τὸ ἀναγκαῖον. ὡς τὸ ὅλον βάρος πρὸς τὸ ἥμισυ. οὕτως ὁ ὅλος χρόνος πρὸς τὸν ἥμισυν. καὶ ἐναλλὰξ ὡς τὰ δέκα τάλαντα πρὸς ὥραν, οὕτω τὰ πέντε πρὸς ἡμιώριον. ταύτην ὁ Ἀλέξανδρος πρώτην τέθεικε τὴν ἀναλογίαν, τὴν πρώτην οἶμαι παρείς. δευτέραν δὲ τέθεικε τὴν λέγουσαν, εἰ ἡ ὅλη δύναμις τὸ ἥμισυ τοῦ βάρους ἐν τῷ ἡμίσει χρόνῳ τὸ σταδιαῖον ἐκίνησε διάστημα, ἐν τῷ ὅλῳ χρόνῳ διπλάσιον κινήσει τοῦ σταδίου διαστήματος. καὶ ἡ ἀναλογία δήλη. ὡς γὰρ τὸ ἡμιώριον πρὸς τὴν ὥραν, οὕτω τὸ στάδιον πρὸς τὰ δύο. καὶ ἐναλλὰξ ὡς τὸ ἡμιώριον πρὸς τὸ στάδιον, οὕτω τὰ δύο στάδια πρὸς τὴν ὥραν. καὶ ἔστι μὲν τῇ πρὸ αὐτῆς ἀκόλουθός πως αὕτη, τὸ μὲν διάστημα φυλάττουσα τὸ αὐτό. τὸν δὲ χρόνον μερίζουσα. οὐ μέντοι αὐτὴν οἶμαι παρὰ τῷ Ἀριστοτέλει κεῖσθαι. ἡ δὲ τρίτη ἀναλογία ἡ τὸ διάστημα διαιροῦσα. τοῦ βάρους τοῦ ἐξ ἀρχῆς μένοντος λέγει. ὅτι ὡς τὸ διάστημα τὸ σταδιαῖον πρὸς τὸ ἥμισυ σταδίου, οὕτως ἡ ὥρα πρὸς τὸ ἡμιώριον. καὶ ἐναλλὰξ ὡς ἡ ὥρα πρὸς τὸ στάδιον, τὸ ἡμιώριον πρὸς τὸ ἡμιστάδιον. ὥστε εἰ ἡ ὅλη δύναμις τὸ ὅλον βάρος τὸ στάδιον ἐν ὥρᾳ ἐκίνει, τὸ ἡμιστάδιον ἐν ἡμιωρίῳ κινήσει.

ΚΑΙ Ἡ ἡμίσεια ἰσχὺς τὸ ἥμισυ κινήσειεν τῷ ἴσῳ χρόνῳ τὸ ἴσον. οἷον τῆς α δυνάμεως. ἔστω ἡμίσεια ἡ τὸ ε, καὶ τοῦ β τὸ ζ ἥμισυ. ὁμοίως δὴ ἔχουσι καὶ ἀνάλογον ἡ ἰσχὺς πρὸς τὸ βάρος. ὥστε ἴσον ἐν ἴσῳ χρόνῳ κινήσουσι. καὶ εἰ τὸ ε τὸ ζ κινεῖ ἐν τῷ δ τὴν γ οὐκ ἀνάγκη ἐν τῷ ἴσῳ χρόνῳ τὸ ἐφ' οὗ ε τὸ διπλάσιον, τοῦ ζ κινεῖν, τὴν ἡμίσειαν τῆς γ.

Τετάρτην ἀναλογίαν ἐπάγει νῦν. πρώτως τὴν δύναμιν μερίζων, ἅμα δὲ καὶ τὸ βάρος. καὶ δεικνὺς ὅτι ἡ ἡμίσεια δύναμις τὸ ἥμισυ βάρος ἐν ᾧ ὅλῳ χρόνῳ, ᾧ ἡ ὅλη δύναμις τὸ ὅλον βάρος ἐκίνει, τὸ ἴσον διάστημα τῷ ἐξ ἀρχῆς κινήσει. ἡ γὰρ αὐτὴ ἀναλογία μένει τῆς δυνάμεως πρὸς τὸ βάρος. ὃ καὶ

αὐτὸ ὃ ἠτιάσατο. ὡς γὰρ ἡ α ἰσχὺς πρὸς τὸ β βάρος, οὕτως τὸ ἥμισυ πρὸς τὸ ἥμισυ. ὥστε ἴσον ἐν ἴσῳ χρόνῳ κινήσουσιν. εἶτα καὶ πέμπτην προστίθησιν. ἐν ᾗ τῆς μὲν δυνάμεως πάλιν τὸ ἥμισυ λαμβάνει. βάρος δὲ τὸ ἐξ ἀρχῆς. καὶ χρόνον ἐκεῖνον τὸν δ. καὶ λέγει ὅτι τὸ ἥμισυ κινήσει τοῦ γ μήκους. εἰ γὰρ ἡ ὅλη δύναμις τὸ ὅλον βάρος ἐν τῷδέ τινι τῷ χρόνῳ τοσόνδε διάστημα ἐκίνει, τὸ ἥμισυ τῆς δυνάμεως ἐν τῷ αὐτῷ χρόνῳ τὸ αὐτὸ βάρος, τὸ ἥμισυ κινήσει τοῦ διαστήματος. ὡς γὰρ ἡ ὅλη δύναμις πρὸς τὸ ὅλον διάστημα, καὶ τὸ ἥμισυ πρὸς τὸ ἥμισυ. καὶ ἐναλλάξ. καὶ γὰρ ἐν τῷ αὐτῷ χρόνῳ ἡ ἐλάττων δύναμις ἔλαττον διάστημα κινεῖ. καὶ τοσούτῳ ἔλαττον, ὅσῳ αὐτὴ ἐλάττων. τοῦ δὲ αὐτοῦ διαστήματος ὄντος πρὸς τὸν χρόνον, ἀντικειμένην ἀναλογίαν ἔχει ἡ δύναμις. ἡ γὰρ ἐλάττων δύναμις τὸ αὐτὸ διάστημα, ἐν πλείονι χρόνῳ κινεῖ τῆς μείζονος. καὶ τοσούτῳ πλείονι. ὅσῳ αὐτὴ ἐλάττων ἐστί. τὴν δὲ νῦν προτεθεῖσαν ἀναλογίαν, ἐν ᾗ τῇ δυνάμει ἀνάλογον ἐλαττοῦσθαι τὸ διάστημα ἔδειξε, προϊὼν διελέγξει διὰ τῆς ἐφεξῆς ῥήσεως, ὡς οὐκ ἀεὶ τὸ ἀκριβὲς ἔχουσαν. ἔστι γάρ τι μόριον τῆς κινούσης τὴν ναῦν δυνάμεως, εἰ ἑκατὸν ἄνδρες ἕλκουσιν αὐτὴν σταδίου διάστημα, ἡ τοῦ ἑνὸς ἀνδρὸς δύναμις. ἥτις οὐ μόνον τὸ ἑκατοστὸν μέρος τοῦ σταδίου ἀδυνατεῖ τὴν ναῦν ἑλκύσαι. ἀλλὰ καὶ τὸ ὁποσονοῦν ἐλάχιστον. φέρεται δέ τις καὶ τοιαύτη γραφὴ ταύτης τῆς λέξεως. καὶ εἰ τὸ ε τὸ ζ κινοῖ ἐν τῷ δ χρόνῳ τὴν γ, οὐκ ἀνάγκη ἐν τῷ ἴσῳ χρόνῳ τὸ ἐφ' οὗ τὸ ε διπλάσιον τοῦ ζ βάρους κινεῖν τὴν ἡμίσει αὐτῆς γ. καὶ ἔστι τὸ ἀπὸ ταύτης τῆς γραφῆς λεγόμενον ἀληθέστερόν τε καὶ τοῖς ἐπιφερομένοις συνᾷδον.

ΕΙ ΔΗ ΤΟ α τὴν τὸ β κινήσει ἐν τῷ δ ὅσην ἡ τὸ γ τὸ ἥμισυ τοῦ α τὸ ἐφ' οὗ ε τὴν τὸ β οὐ κινήσει ἐν τῷ χρόνῳ ἐφ' ᾧ δ. οὐδ' ἔν τινι τοῦ δ τι τῆς γ. ἣ ἀνάλογον πρὸς τὴν ὅλην τὴν γ ὡς τὸ α πρὸς τὸ ε. ὅλως γὰρ εἰ ἔτυχεν οὐ κινήσει οὐδέν. εἰ γὰρ ἡ ὅλη ἰσχὺς τοσήνδε ἐκίνησεν, ἡ ἡμίσεια οὐ κινήσει. οὔτε ποσὴν οὔτε ἐν ὁποσῳοῦν. εἷς γὰρ ἂν κινοίη τὸ πλοῖον εἴπερ ἥ τε τῶν νεωλκῶν τέμνεται ἰσχύς, εἰς τὸν ἀριθμὸν καὶ εἰς τὸ μῆκος ὃ πάντες ἐκίνησαν.

Διὰ μὲν τῆς πρὸ ταύτης λέξεως ἔδειξεν, ὅτι ἐὰν ἡ ἡμίσεια ἰσχὺς τὸ ἥμισυ τοῦ βάρους κινῇ διάστημά τι ἔν τινι χρόνῳ, καὶ τὸ διπλάσιον βάρος κινήσειν τὴν αὐτὴν ἰσχὺν τὸ ἥμισυ τοῦ διαστήματος ἐν τῷ αὐτῷ χρόνῳ. διὰ δὲ ταύτης ἀναιρεῖ τὸ τὴν ἡμίσειαν ἰσχὺν δύνασθαι τὸ ὅλον βάρος κινεῖν, ἐν τῷ αὐτῷ χρόνῳ τὸ ἥμισυ τοῦ διαστήματος. ἔοικεν οὖν τὸ πρότερον εἰρημένον ἐπ' ἐκείνων μόνων εἰρῆσθαι, ἐφ' ὧν συγχωρεῖται τὰ μὲν κινεῖν, τὰ δὲ κινεῖσθαι. ἔστι γάρ τινα οὕτως ἔχοντα πρὸς ἄλληλα, ὡς καὶ τὸ ὅλον τοῦ ὅλου κινητικὸν εἶναι. καὶ τὸ ἥμισυ τοῦ ἡμίσεος ἀναλόγως. καὶ τὸ ἥμισυ τοῦ ὅλου. ἢ τοῦ διαστήματος ἐλαττουμένου, ἢ τοῦ χρόνου πλεοναζομένου. καὶ δῆλον ὅτι περὶ τῶν τοιούτων ἀληθὲς εἰπεῖν. ὅτι ἐν ᾧ χρόνῳ ἡ ὅλη δύναμις τὸ ὅλον βάρος κινεῖ τοσόνδε τι διάστημα, ἐν τούτῳ τῷ χρόνῳ τὸ ἥμισυ τοῦ βάρους ὑπὸ τῆς ἡμισείας δυνάμεως τὸ αὐτὸ διάστημα κινηθήσεται. καὶ τὸ αὐτὸ βάρος ὑπὸ τῆς ἡμισείας δυνάμεως ἐν τῷ αὐτῷ χρόνῳ τὸ ἥμισυ τοῦ διαστήματος. ἢ τὸ ὅλον διάστημα ἐν διπλασίῳ χρόνῳ. οὐ γὰρ περὶ τοῦ πάντως κινήσειν ἐκεῖνο εἴρηται. ἀλλ' ὅτι ἂν κινῇ. κατὰ τὴν ἐκκειμένην ἀναλογίαν κινήσει. οὐ γὰρ πάντως τὸ ἥμισυ τῆς δυνάμεως κινητικὸν ἔσται τοῦ διπλασίου βάρους. ἔτι δὲ μᾶλλον οὐ πᾶν μόριον δυνάμεως πᾶν βάρος ὁποσονοῦν, ἐλάχιστον διάστημα κινήσει ἐν ὁποσῳοῦν πλείστῳ χρόνῳ. λέγει οὖν ὅτι ἂν ἡ ὅλη δύναμις οἷον ἡ α κινῇ βάρος τι τὸ β. διάστημά τι τὸ γ. ἐν χρόνῳ τινὶ τῷ δ, οὐκέτι τὸ ἥμισυ τῆς α δυνάμεως οἷον τὸ ε, τὸ ὅλον βάρος τὸ β. ἐν τῷ δ χρόνῳ ἢ ἐν μορίῳ τινὶ αὐτοῦ κινήσει, μόριόν τι τοῦ γ διαστήματος. ὅπερ πρὸς ὅλον τὸ γ ἐν τῷ αὐτῷ λόγῳ ἔσται, ἐν ᾧ ἡ ὅλη δύναμις ἡ α πρὸς ἑαυτῆς μόριον. ὃ ζ ὠνόμασε. τὸ μὲν γὰρ ε ἔκειτο αὐτῆς ἥμισυ εἶναι. οὐ βούλεται δὲ περὶ τοῦ ἡμίσεως μόνου τὸν λόγον ποιήσασθαι. ἀλλ' ἐφ' οὗ δή ποτε οὖν μορίου. διὸ οὐ τῷ ε ἐχρήσατο. ἀλλὰ τῷ ζ. ἵνα ᾖ ὡς ἡ ὅλη δύναμις ἡ α πρὸς μόριον ἑαυτῆς ὁποσονοῦν τὸ ζ, οὕτω τὸ ὅλον διάστημα τὸ γ πρός τι μόριον τὸ ἐν αὐτῷ. οὔτε οὖν τὸ ε φησὶν ὅπερ ἐστὶν ἥμισυ τῆς α δυνάμεως κινήσει τὸ β βάρος ἐν ᾧ δ χρόνῳ. οὔτε ἔν τινι τοῦ δ χρόνου μορίῳ μέρος τοῦ γ διαστήματος. ὃ τὸν αὐτὸν ἕξει λόγον πρὸς ὅλον τὸ γ διάστημα. ὃν ἔχει τὸ εἰλημμένον μόριον τῆς α δυνάμεως πρὸς ὅλην τὴν α. οὐδὲ γὰρ μόριον τῆς α ὅλον τὸ β κινήσει μόριον τοῦ γ, οὔτε ἐν τῷ δ χρόνῳ. οὔτε ἐν μορίῳ αὐτοῦ. ἐνδέχεται γοῦν τὸ μόριον τῆς α δυνάμεως μηδὲ ὅλως κινεῖν τὸ β. μηδὲ ἐν πολλαπλασίῳ τοῦ δ χρόνῳ τὸ τυχὸν διάστημα. εἰ γὰρ ἡ κινοῦσα ἰσχὺς ἀναλόγως τῷ διαστήματι ἐφ' οὗ ἡ κίνησις διαιροῖτο, ὡς ἡ ὅλη τὸ ὅλον βάρος τὸ ὅλον διάστημα κεκίνηκε. καὶ τὴν ἡμίσειαν τῆς ἰσχύος τὸ αὐτὸ βάρος τὸ ἥμισυ κινεῖν διάστημα, καὶ τὴν τρίτην τὸ τρίτον, ἡ ναῦς ἂν ἡ ὑπὸ ἑκατὸν ἀνδρῶν νεωλκουμένη τοσόνδε διάστημα, καὶ ὑπὸ ἑνὸς ἂν ἕλκοιτο τὸ ἑκατοστὸν τοῦ διαστήματος. οὗ οἱ ἑκατὸν ἐκίνησαν νεωλκοί. ὅπερ ἀδύνατον ἔρχεται. ἐκ δὲ τοῦ παραδείγματος δῆλον. ὅτι τὸ α καὶ τὸ ζ περὶ τῆς κινούσης δυνάμεως τέθεικεν. τὸ μὲν α ἀντὶ τῆς ὅλης, τὸ δὲ ζ ἀντὶ τῆς ὁποσησοῦν. ὅπερ ἀντὶ τοῦ ε παρέλαβεν. διότι τὸ ε ὡρισμένως τὸ ἥμισυ ἐδήλου. ἀσάφειαν δὲ ἐποίησεν εἰπών. ὡς γὰρ τὸ μέρος τῆς γ πρὸς ὅλην αὐτήν, οὕτω τὸ ζ πρὸς τὸ α. ἀλλ' οὐ τὸ α πρὸς τὸ ζ. εἰ δὲ τὸ ζ μὴ ὡς μέρος ὁποσονοῦν τῆς δυνάμεως ἔλαβεν. ἀλλ' ὡς τὸ ἥμισυ τοῦ βάρους. ὡς πρότερον ὅτε ἔλεγε. καὶ τοῦ β βάρους τὸ ζ ἥμισυ. ἐπειδὴ ἡ α

δύναμις τὸ β βάρος ἐν τῷ δ χρόνῳ τὸ γ διάστημα ἐκίνει, δηλονότι ἐν τῷ αὐτῷ χρόνῳ τὸ ἥμισυ τοῦ
β βάρους τουτέστι τὸ ζ. διπλάσιον διάστημα τοῦ γ κινήσει. ἀντὶ οὖν τοῦ εἰπεῖν, ὅτι ἕξει λόγον τὸ
μόριον τοῦ γ διαστήματος πρὸς τὸ ὅλον γ, ἢ τὸ ὅλον γ πρὸς τὸ διπλάσιον αὐτοῦ, εἶπεν ὡς τὸ α πρὸς
τὸ ζ. οὕτως ὁ Ἀλέξανδρος βουλόμενος τὸ ζ μὴ καινοπρεπῶς ἐνταῦθα παρειλῆφθαι, μηδὲ ἀκαί-
ρως εἰρῆσθαι τὸ ὡς τὸ ζ πρὸς τὸ α, ἀντὶ τοῦ ὡς τὸ α πρὸς τὸ ζ, ἀπιθανωτέραν οἶμαι ἐξήγησιν ἐπε-
νόησεν. οὐ γὰρ ἂν εἶπεν ὁ Ἀριστοτέλης. ὅτι οὐδὲ ἔν τινι τοῦ δ τὴν γ ἢ τὴν διπλασίαν αὐτῆς. τὸ ἥμισυ
τῆς α δυνάμεως κινήσει. εἰ γὰρ τὸ γ διάστημα μὴ δύναται κινῆσαι τὸ β βάρος, ἡ ἡμίσεια τοῦ α
δύναμις ἡ ε ἐν τῷ δ χρόνῳ, πολλῷ μᾶλλον τὸ διπλάσιον τοῦ γ μήκους οὐκ ἂν κινήσοι. κάλλιον οὖν
τό, ἢ ἀνάλογον πρὸς τὴν ὅλην γ, ἐνταῦθα μέρους τῆς γ ἀκούειν, ὡς εἴρηται πρότερον.

Δ ΔΙΑ ΤΟΥΤΟ ὁ Ζήνωνος λόγος οὐκ ἀληθής. ὡς ψοφεῖ τῆς κέγχρου ὁτιοῦν μέρος. οὐδὲν γὰρ κωλύει
μὴ κινεῖν τὸν ἀέρα ἐν μηδενὶ χρόνῳ τοῦτον ὃν ἐκίνησε ἐμπεσὼν ὁ ὅλος μέδιμνος, ἔτι δὴ τοσοῦτον μόριον.
ὅσον ἂν κινήσειε τοῦ ὅλου. εἰ εἴη καθ' αὑτὸ τοῦτο οὐ κινεῖ, οὐδὲ γὰρ οὐδέν ἐστιν ἀλλ' ἢ ἐν τῷ ὅλῳ δυνάμει.
εἰ δὲ τὰ δύο. ἑκάτερον δὲ τῶν δὲ ἑκάτερον κινεῖ τοσόνδε. ἐν τοσῷδε. καὶ συντιθέμεναι αἱ δυνάμεις
τὸ σύνθετον ἐκ τῶν βαρῶν τὸ ἴσον κινήσουσι μῆκος. καὶ ἐν ἴσῳ χρόνῳ. ἀνάλογον γάρ.

Ε εἰπὼν ὅτι οὐκ ἂν εἴη εἰ ἡ ὅλη δύναμις τὸ ὅλον βάρος ἐκίνει ἔν τινι χρόνῳ διάστημά τι. ἤδη καὶ ἡ ἡμίσεια
τῆς δυνάμεως τὸ ὅλον βάρος ἐν τῷ αὐτῷ χρόνῳ κινήσει ἥμισυ ἢ μόριόν τι τοῦ διαστήματος. οὐδὲ γὰρ
πᾶν μόριον τῆς κινούσης δυνάμεως τὸ ὅλον βάρος. κινητικὸν τοῦ ὅλου ἔσται, οὐδὲ ἐν ὁσῳοῦν χρόνῳ. οὐ
δὲ ὁσονοῦν διάστημα, διὰ τούτου λύει καὶ τὸν Ζήνωνος τοῦ Ἐλεάτου λόγον. ὃν ἤρετο Πρωταγόραν τὸν
σοφιστήν. εἰπὲ γάρ μοι ἔφη ὦ Πρωταγόρα. ἆρα ὁ εἷς κέγχρος καταπεσὼν ψόφον ποιεῖ. ἢ τὸ μυριοστὸν
τοῦ κέγχρου. τοῦ δὲ εἰπόντος μὴ ποιεῖν, ὁ δὲ μέδιμνος ἔφη τῶν κέγχρων καταπεσὼν ποιεῖ ψόφον ἢ οὔ.
τοῦ δὲ ψοφεῖν εἰπόντος τὸν μέδιμνον, τί οὖν ἔφη ὁ Ζήνων οὐκ ἔστι λόγος τοῦ μεδίμνου τῶν κέγχρων, πρὸς
τὸν ἕνα καὶ τὸ μυριοστὸν τοῦ ἑνός. τοῦ δὲ φήσαντος εἶναι. τί οὖν ἔφη ὁ Ζήνων οὐ καὶ τῶν ψόφων ἔσον-
ται λόγοι πρὸς ἀλλήλους οἱ αὐτοί. ὡς γὰρ τὰ ψοφοῦντα. καὶ οἱ ψόφοι. τούτου δὲ οὕτως ἔχοντος, εἰ
ὁ μέδιμνος τοῦ κέγχρου ψοφεῖ, ψοφήσει καὶ ὁ εἷς κέγχρος καὶ τὸ μυριοστὸν τοῦ κέγχρου. ὁ μὲν οὖν Ζή-
νων οὕτως ἠρώτα τὸν λόγον. ὁ δὲ Ἀριστοτέλης λύει λέγων. μὴ πᾶσαν δύναμιν παντὸς μεγέθους κινη-
τικὴν εἶναι, μηδὲ ἐν ὁσῳοῦν χρόνῳ. κἂν ὁ μέδιμνος τοσοῦτον κινῇ τὸν τοσοῦτον ἀέρα. ὅσος κινούμενος ψόφον
ποιήσει, οὐκ ἀνάγκη καὶ τὸ μόριον τοῦ μεδίμνου δύνασθαι τοσοῦτον κινεῖν ἀέρα, ὅσος ψοφήσει. ἀλλὰ
καὶ τὸ τοσοῦτον μόριον τοῦ ἀέρος ἢ βάρους οὑτινοσοῦν, ὅσον ἂν κινήσῃ μόριον δυνάμεως, μετὰ τῆς
ὅλης δυνάμεως ὄν, εἰ καθ' ἑαυτὸ εἴη τὸ μόριον τῆς δυνάμεως, οὐ κινήσει τὸ τοσοῦτον τοῦ βάρους μό-
ριον. οἷον εἰ τὸ ἑκατοστὸν τῆς νεὼς εἷς τῶν ἑκατὸν, σὺν τοῖς ἄλλοις κινοῦσι καὶ αὐτοῖς τὰ καθ' ἑαυτοὺς
ἑκατοστὰ, ἐκίνει, οὐκ ἤδη καὶ ὁ εἷς νεωλκὸς καθ' ἑαυτὸν τὸ ἑκατοστὸν τῆς νεὼς διῃρημένον κινήσει. κἂν
ἐδόκει τὸ τοσοῦτον μόριον τοῦ βάρους, ὑφ' ἑκάστου μορίου τῆς δυνάμεως ἅμα ὅλης οὔσης κινεῖσθαι.
τούτου δὲ αἰτίαν ἀποδέδωκεν, ὅτι οὐκ ἔστιν ἐν τῷ ὅλῳ ἐνεργείᾳ τὰ μέρη ἀλλὰ δυνάμει ὅτε ἔστιν ὅλον.
ὥστε οὐδὲ τότε τὰ ἑκατοστὰ τῆς δυνάμεως ἐκίνει τὰ ἑκατοστὰ τοῦ βάρους. ὁ γὰρ μὴ ἔστιν ἐνεργείᾳ,
τοῦτο οὐδ' ἂν κινοῖ οὐδὲ κινοῖτο ἐνεργείᾳ. ἀλλὰ μεριαθείσης φησὶν τῆς δυνάμεως οὐ σώζεται ἡ ἀνα-
λογία. συντιθεμένης δὲ σώζεται. εἰ γὰρ δύο τινά φησιν κεχωρισμένα ἀπ' ἀλλήλων, ἑκάτερον αὐτῶν
ἑκάτερον κινοίη βάρος, καὶ αὐτὰ κεχωρισμένα ἀλλήλων διάστημά τι ἐν χρόνῳ τινὶ, καὶ συντιθέ-
μεναι αἱ τῶν δύο τῶν κινούντων δυνάμεις συντιθέντα τὰ δύο βάρη τὸ αὐτὸ διάστημα κινήσουσιν ἐν
τῷ αὐτῷ χρόνῳ. ἀνάλογον γάρ ἐστιν ὡς ἑκάτερον τῶν κινούντων πρὸς ἑκάτερον τῶν κινουμένων,
οὕτω καὶ ἄμφω τὰ κινοῦντα πρὸς ἄμφω τὰ κινούμενα. ὥστε καὶ τὸ συναμφότερον ἐν τῷ αὐτῷ
χρόνῳ τόσον διάστημα κινήσει. ἀλλ' ὅτι μὲν οὔτε ὁ εἷς κέγχρος ἢ ἡ μία κέγχρος, οὔτε τὸ μυριοστὸν τοῦ
κέγχρου ψοφήσει, οὔτε ὁ εἷς νεωλκὸς τὴν ὅλην ναῦν κινήσει τὸ ὁσονοῦν ἐλάχιστον διάστημα ἐν ὁπο-
σῳοῦν πλείστῳ χρόνῳ, δῆλον. τὴν δὲ αἰτίαν ζητεῖν ἄξιον. δι' ἣν ἐνταῦθα μὲν τοῦ ἥμισυ εἰ τύχοι τῆς δυ-
νάμεως καὶ τοῦ βάρους σώζεται ἡ ἀναλογία, οὐ μέχρι δὲ παντὸς προχωρεῖ. τὸ γὰρ τὰ μέρη δυνά-
μει εἶναι ἐν τῷ ὅλῳ καὶ οὐκ ἐνεργείᾳ. οὐ τὴν αἰτίαν ἀποδίδωσιν οἶμαι τὴν ζητουμένην. ἀλλὰ τοσοῦτον
λέγει μόνον, ὅτι δυνάμει ὄντα ἐν τῷ ὅλῳ οὔτε ἐκίνει οὔτε ἐκινεῖτο. ὥστε οὐκ ἔστιν ἐκ τῶν συνεχῶν
μερῶν ἀναγκάσαι. τὸ καὶ διαιρεθέντα κινεῖν καὶ κινεῖσθαι. οὔπω δὲ δῆλον διατί μὴ μέχρι παντὸς ἡ
ἀναλογία ἰσχύει. ἂν δὲ ἰσχύειν τις λέγῃ μέχρι παντὸς, ἔτι τούτου ἀτοπώτερον ὑπαντήσει, τὸ τὸν ἕνα
ἄνδρα τὸν Ἄθων κινεῖν, εἰ ἔτυχε διῃρημένος τῆς γῆς. εἰ γὰρ λίθον ἕνα τοῦ Ἄθω κινεῖ τοσόνδε τι διάστημα
ἐν τοσῷδε χρόνῳ, διατί μὴ καὶ τὸ ὅλον ἐν πολλαπλασίῳ χρόνῳ τὸ ἀλλοστημόριόν τι κινήσει διαστήματος.
ταύτῃ δὲ τῇ ἀναλογίᾳ τοῦ κινοῦντος καὶ τοῦ κινουμένου καὶ τοῦ διαστήματος, τὸ σταθμικὸν ὄργανον τὸν
καλούμενον χαριστίωνα συστήσας ὁ Ἀρχιμήδης. ὡς μέχρι παντὸς τῆς ἀναλογίας προχωρούσης, ἐ-
κόμπασεν ἐκεῖνο τό, πᾶ βῶ καὶ κινῶ τὰν γᾶν. ῥητέον οὖν ὅπερ καὶ πρότερον συντόμως ἐρρέθη.
ὅτι οὐ πᾶσα δύναμις πᾶν βάρος πέφυκε κινεῖν, οὔτε ὁσονοῦν ἐλάχιστον διάστημα, οὔτε ἐν ὁποσῳοῦν

πλείστῳ χρόνῳ. ἀλλ' οὐδὲ πᾶν μέγεθος ψοφεῖν πέφυκεν. ἀλλ' ἔστι τις ὅρος καὶ τῆς δυνάμεως τῆς ἐ-
λαχίστης ἥ τις διαιρουμένη οὐκέτι δύναται κινεῖν οὐδὲ ὁσονοῦν διάστημα, οὐδὲ ὁποιοῦν βάρος. καὶ τοῦ
κινουμένου βάρους τοῦ μεγίστου. ὅπερ αὐξόμενον οὐκέτι δύναται κινεῖσθαι, οὐδὲ ὁτιοῦν διάστημα. οὐ-
δὲ ὑφ' ἧς τινοσοῦν τῶν σωματικῶς κινουσῶν δυνάμεων. ἐν μέσῳ δέ εἰσιν ὅροι τῶν δυνάμεων πρὸς τὰ
βάρη καὶ τὰ διαστήματα καὶ τοὺς χρόνους. ἐν οἷς καὶ διαιρεῖσθαι δυνατὸν ἀναλόγως καὶ συντίθε-
σθαι. τῆς γὰρ τοσῆσδε δυνάμεως τὰ μόρια πάντα. μέχρι τοῦ πρὸς τοῦτο ἐλαχίστου, ἕκαστον καὶ τὸ
ὅλον βάρος δύναται κινεῖν. ὅπερ ἡ ὅλη ἐκίνει, μειουμένου τοῦ διαστήματος. ἢ αὐξομένου τοῦ χρόνου
ἀναλόγως. δῆλον δὲ ὅτι καὶ τῶν κινεῖν ἰσχυουσῶν δυνάμεων, καὶ τῶν κινεῖσθαι πεφυκότων βαρῶν.
καὶ τῶν διαστημάτων καὶ τῶν χρόνων, συμμετρίαι τινές εἰσι καὶ ἀσυμμετρίαι πρὸς ἄλληλα. ἡ δὲ γὰρ
ἡ δύναμις τόδε τὸ βάρος. τοσόνδε διάστημα. ἐν τοσῷδε χρόνῳ πέφυκε κινεῖν. καὶ πλέον τι βάρος.
ἔλαττον διάστημα ἐν πλείονι χρόνῳ. τόδε δὲ τὸ βάρος οὐ πέφυκεν, οὐδὲ ὁτιοῦν διάστημα. οὐδὲ ἐν ὁσῳοῦν
χρόνῳ. παρὰ ταύτας οὖν τὰς διαφορὰς τὰ μὲν ἀναλόγως ἔχει πρὸς ἄλληλα. τὰ δὲ οὔ. ἡ δὲ αὐτὴ αἰ-
τία καὶ τοῦ ψόφου πρὸς τὰ ψοφοῦντα μέχρι τινὸς τὴν ἀναλογίαν προχωρεῖν ἀναγκάζει. οὐ γὰρ πᾶν
μέγεθος δύναται πλήττειν τοσοῦτον. ὡς καὶ ψόφον ἀποτελεῖν. ἀλλὰ ἀπολείπει τὸ μέγεθος ὁ ψό-
φος. ὥστε τὰ μὲν μεγέθη ἀνάλογον εἶναι ὁπόσον ἂν ᾖ τὸ ἐλάχιστον, τοὺς δὲ τῶν μεγεθῶν ψόφους οὐκ-
έτι. ἀλλὰ ταῦτα μὲν καθ' ἑαυτὰ θεωρίαν ἔχει τινὰ καὶ ζήτησιν ἀξιόλογον. ἐπὶ δὲ τὰ ἑξῆς ἰτέον.

ἈΡ' ΟΥ͂Ν οὕτω καὶ ἐπὶ ἀλλοιώσεως καὶ ἐπ' αὐξήσεως. τὶ μὲν γὰρ τὸ αὖξον. τὶ δὲ τὸ αὐξανόμενον, ἐν
ποσῷ δὲ χρόνῳ, καὶ ποσὸν τὸ μὲν, αὔξει. τὸ δὲ, αὐξάνεται. καὶ τὸ ἀλλοιοῦν, καὶ τὸ ἀλλοιούμενον, ὡσαύ-
τως, καὶ τὶ καὶ ποσὸν κατὰ τὸ μᾶλλον καὶ τὸ ἧττον ἠλλοίωνται, καὶ ἐν ποσῷ χρόνῳ ἐν διπλασίῳ
διπλάσιον, καὶ τὸ διπλάσιον ἐν διπλασίῳ, τὸ δ' ἥμισυ ἐν ἡμίσει χρόνῳ. ἢ ἐν ἡμίσει ἥμισυ. ἢ ἐν ἴσῳ
διπλάσιον. εἰ δὲ τὸ ἀλλοιοῦν ἢ αὖξον τὸ τοσόνδε ἐν τῷδε τοσῳδί. ἢ αὔξει ἢ ἀλλοιοῖ οὐκ ἀνάγκη καὶ τὸ ἥμισυ
ἐν ἡμίσει, καὶ ἥμισυ. ἀλλ' οὐδὲν εἰ ἔτυχεν ἀλλοιώσει ἢ αὐξήσει ὥσπερ καὶ ἐπὶ τοῦ βάρους.

Δείξας ἐπὶ τῆς φορᾶς τὰς τῶν κινούντων καὶ κινουμένων ἀναλογίας μέχρι τινὸς προϊούσας, οὐ μέν-
τοι μέχρι παντὸς, ζητεῖ λοιπὸν εἰ οὕτως ἔξουσι καὶ ἐπὶ τῶν ἄλλων κινήσεων. τουτέστιν ἐπ' ἀλλοιώ-
σεως καὶ αὐξήσεως. καὶ δείκνυσιν ὅτι τῶν ἄλλων τῶν αὐτῶν ὄντων. ἀναγκαῖον καὶ τὰς συμμετρίας
καὶ ἀναλογίας καὶ ἐπὶ τούτων μέχρι τινὸς προϊέναι. καὶ γὰρ ὥσπερ ἐπὶ τῆς φορᾶς τὸ μὲν ἦν κι-
νοῦν, τὸ δὲ κινούμενον. οὕτω καὶ τὸ μὲν ἀλλοιοῖ τὸ δὲ ἀλλοιοῦται. καὶ τὸ μὲν αὔξει. τὸ δὲ αὔξεται. καὶ
ἐν χρόνῳ μέντοι τό, τε ἀλλοιοῦν ἀλλοιοῖ, καὶ τὸ αὖξον αὔξει. καὶ ποσόν τι τὸ μὲν αὔξει. τὸ δὲ αὔξεται.
καὶ τὸ μὲν ἀλλοιοῖ, τὸ δὲ ἀλλοιοῦται. ἀλλὰ τούτου τὸ ποσὸν κατὰ τὸ μᾶλλον καὶ ἧττον μετρεῖται. ὅταν
τὸ ἀλλοιοῦν ἢ πλέον ἢ ἔλαττον ἢ κατὰ τὴν δύναμιν, καθ' ἣν ἀλλοιοῖ. εἰ οὖν τὰ αὐτὰ ἀξιώματα καὶ
ἐπὶ τούτων ἐστὶν, ἅπερ ἐπὶ τῆς κατὰ τόπον κινήσεως καὶ τὰ ἀπὸ τῶν ἀξιωμάτων τὰ αὐτὰ ἔσται.
εἰ γὰρ ὑπὸ τοῦ α τὸ β ἀλλοιοῦται τοσόνδε τὸ γ ἐν τῷ δ χρόνῳ, ἐν διπλασίῳ χρόνῳ διπλάσιον ἀλλοιω-
θήσεται τὸ αὐτὸ ὑπὸ τοῦ αὐτοῦ ἀλλοιωτικοῦ. καὶ τὸ διπλάσιον ἐν διπλασίῳ. καὶ τὸ ἥμισυ ἐν ἡμί-
σει χρόνῳ. καὶ ἐν τῷ ἡμίσει τὸ ἥμισυ. ἢ αὐξηθείσης τῆς δυνάμεως ἐν ἴσῳ χρόνῳ διπλασίων δύναμις
διπλάσιον ἀλλοιώσει. ὁμοίως δὲ καὶ ἐπὶ αὐξήσεως. οὕτω δ' ἐλέχθη καὶ ἐπὶ τῆς κατὰ τόπον κινήσεως.
οὐκέτι μέντοι εἰ τὸ τοσόνδε ὑπὸ τοῦ τοσοῦδε ἠλλοίωται τήνδε τινὰ τὴν ἀλλοίωσιν, ἢ ηὔξηται τήνδε τὴν
αὔξησιν, ἀνάγκη καὶ τὸ ἥμισυ ἐν ἡμίσει, ἢ ἐν ἡμίσει ἥμισυ, ἀλλοιοῦσθαι ἢ αὔξεσθαι ὑπὸ τῆς ἡμι-
σείας δυνάμεως. ἢ ὑπὸ τῆς ἡμισείας τὸ ὅλον ἐν διπλασίῳ χρόνῳ ἀλλοιωθήσεται. οὐδὲ γὰρ τοῦ
ὅλου πάντως κινητικὴ ἡ ἡμίσεια δύναμις. ἀλλ' εἰ ἔτυχε τοσαύτη ἐστὶν ἡ ἡμίσεια, ὡς μὴ ἰσχύειν ἔτι
ἀλλοιοῦν ὅλως ἢ αὔξειν. ἀλλ' ἐν ὅσοις μὲν ἐπὶ τῆς φορᾶς ἐσώζετο ἡ ἀναλογία, ἐν τούτοις καὶ ἐπὶ
τούτων σωθήσεται τῶν κινήσεων. ἐν ὅσοις δὲ ἐπ' ἐκείνης ἐλέχθη μὴ προϊοῦσα ἡ ἀναλογία, ἐν τούτοις
καὶ ἐπὶ ταύτης οὐ προελεύσεται. τοῦτο μὲν οὖν ἔστω τέλος καὶ τῆς τοῦ ἑβδόμου τοῦδε βυβλίου κα-
τὰ τὸ δυνατὸν ἐξηγήσεως. οὐ χεῖρον δὲ ἴσως καὶ τούτου διὰ κεφαλαίων ἐπιδραμεῖν. δείκνυσιν οὖν εὐθὺς
ἐν ἀρχῇ, ὅτι πᾶν τὸ κινούμενον ὑπό τινος ἄλλου παρ' ἑαυτὸ κινεῖται, εἴτε ἔμψυχον εἴη εἴτε ἄψυχον.
εἶτα ὅτι ἔστι τὸ πρώτως κινοῦν. καὶ οὐκ ἐπ' ἄπειρον ἄλλο ἄλλο κινεῖ, ἀλλ' ἔστι τι ὃ κινεῖ μὴ ὑπ' ἄλλου κι-
νούμενον. δείκνυσι δὲ αὐτὸ ἐκ τοῦ εἰ ἄπειρα εἴη τὰ κινοῦντα καὶ κινούμενα ἅμα καὶ ἐν τῷ αὐτῷ, συμ-
βαίνει τὴν τῶν ἀπείρων κίνησιν ἐν πεπερασμένῳ γίνεσθαι χρόνῳ. ὅπερ ἀδύνατον ἐλέχθη ἐν τῷ πρὸ
τούτου βυβλίῳ. εἶτα ἐφιστάνει τῷ εἰρημένῳ, ὡς οὐδὲν κωλύει τὰς τῶν ἀπείρων κινήσεις ἅμα γίνεσθαι
ἐν πεπερασμένῳ χρόνῳ. ἀλλὰ χρὴ δεῖξαι ὅτι μία ἄπειρος ἡ ἐκ πασῶν γίνεται κίνησις. οὕτω γὰρ
συναχθήσεται τὸ ἀδύνατον. δείκνυσιν οὖν ὅτι τὸ κατὰ τόπον κινοῦν προσεχῶς τὴν σωματικὴν κί-
νησιν, καὶ μὴ δι' ἄλλου, ἀνάγκη ἢ συνεχὲς ὂν τῷ κινουμένῳ ἢ ἁπτόμενον κινεῖν. ὥστε ἓν εἶναί πως πάν-
τα καὶ μίαν τὴν τοῦ ἑνὸς κίνησιν. ἐπειδὴ δὲ καὶ τῇ ὑποθέσει τῇ λεγούσῃ ἄπειρα εἶναι τὰ κινοῦν-
τα καὶ κινούμενα, ἠκολούθησε τὸ ἀδύνατον, ἵνα μή τις εἴπῃ μηδὲν εἶναι δεδειγμένον, εἰ ὑποθέσει
τὸ ἀδύνατον ἠκολούθησε, καλῶς ἐπήγαγεν ὅτι ἡ ὑπόθεσις ὡς ἐνδεχομένη εἴληπται. τοῦ δὲ ἐνδεχομένου

τεθέντος οὐκ ἔδει τι ἀδύνατον ἀκολουθεῖν. εἰ δὲ ἀδύνατόν τι ἠκολούθησεν, οὐκ ἦν ἐνδεχόμενον τὸ ἄπειρα εἶναι τὰ κινοῦντα καὶ κινούμενα. χρησάμενος δὲ τῷ τὸ προσεχῶς κινοῦν τὴν σωματικὴν κίνησιν, ἢ ἅπτεσθαι ἢ συνεχὲς εἶναι τῷ κινουμένῳ, καὶ ἐκ τούτου λαβὼν ἓν εἶναί πως τὰ κινοῦντα καὶ κινούμενα. καὶ διὰ τοῦτο τὴν κίνησιν μίαν καὶ ἄπειρον ᾧ τὸ ἀδύνατον ἀκολουθεῖ, ἐφεξῆς αὐτὸ τοῦτο δείκνυσιν ἐπὶ τῶν τριῶν εἰδῶν τῆς κινήσεως. ὅτι ἅμα ἐστὶ τὸ κινοῦν καὶ κινούμενον, ὡς μηδὲν αὐτῶν εἶναι μεταξύ. καὶ πρῶτον ἐπὶ τῆς φορᾶς. τῶν γὰρ κατὰ τόπον κινουμένων τὰ μὲν ὑφ' ἑαυτῶν κινεῖται, τὰ δὲ ὑπ' ἄλλων. καὶ τὰ μὲν ὑφ' ἑαυτῶν κινούμενα ὡς τὰ ἔμψυχα, φανερῶς ἅμα ἔχει τὸ κινοῦν καὶ τὸ κινούμενον. οὐ γάρ ἐστί τι μεταξὺ ψυχῆς καὶ σώματος. τὰ δὲ ἔξωθεν βίᾳ κινοῦντα ἢ ὠθεῖ ἢ ἕλκει ἢ ὀχεῖ ἢ δινεῖ. καὶ γὰρ αἱ ἄλλαι πᾶσαι κινήσεις εἰς ταύτας ἀνάγονται. καὶ τῶν τεσσάρων δὲ τὴν ὄχησιν καὶ τὴν δίνησιν ὑπὸ τὴν ὦσιν καὶ τὴν ἕλξιν ἀναγαγὼν, ἐπὶ ταύτης δείκνυσιν ὅτι τοῦ κατὰ τόπον κινοῦντος καὶ κινουμένου οὐδέν ἐστι μεταξὺ, ἀπὸ τοῦ ὁρισμοῦ τῆς ὤσεως καὶ τῆς ἕλξεως τὴν ἀπόδειξιν ποιούμενος. εἶτα ὅτι καὶ τοῦ ἀλλοιοῦντος καὶ τοῦ ἀλλοιουμένου οὐδέν ἐστι μεταξὺ δείκνυται. εἰ γὰρ τὰ σώματά ἐστι τὰ κατὰ τὰς παθητικὰς ποιότητας ἀλλοιοῦντα καὶ ἀλλοιούμενα, οὔτε δὲ τὸ σῶμα εἰς κεχωρισμένον σῶμα δρᾷ. οὔτε ἡ ποιότης χωρὶς τοῦ σώματος ἐνεργεῖ, οὐκ ἂν εἴη τι μεταξὺ τῶν ἀλλοιούντων καὶ ἀλλοιουμένων. κἂν γὰρ ὁ ἀὴρ ᾖ μεταξὺ, οὗτός ἐστι τὸ προσεχῶς κινοῦν. ἐφεξῆς δὲ ὅτι καὶ τοῦ πρώτως αὔξοντος καὶ αὐξομένου οὐδέν ἐστι μεταξὺ, οὐδὲ τοῦ μειοῦντος καὶ μειουμένου, εἴπερ πρώτως αὔξει τὸ προστιθέμενον, καὶ πρώτως μειοῖ τὸ ἀφαιρούμενον. ταῦτα δὲ συνεχῆ ἐστι τῷ αὐξομένῳ καὶ μειουμένῳ. τῶν δὲ συνεχῶν οὐδέν ἐστι μεταξύ. χρησάμενος δὲ τῷ τὸ ἀλλοιούμενον ὑπὸ τῶν αἰσθητῶν ἀλλοιοῦσθαι, κατὰ τὰς παθητικὰς ποιότητας δείκνυσι τοῦτο. ἐκ τοῦ κατὰ μηδεμίαν ἄλλην ποιότητα γίνεσθαι ἀλλοίωσιν. οὔτε γὰρ ἡ κατὰ τὸ σχῆμα μεταβολὴ, οὔτε ἡ κατὰ τὴν ἕξιν. ἀλλοιώσεις εἰσίν. ἀλλὰ γενέσεις μᾶλλον. ἔτι δὲ καὶ ἄλλως δείκνυσιν ὅτι ἡ κατὰ τὴν ἕξιν μεταβολὴ οὐκ ἔστιν ἀλλοίωσις. αἱ γὰρ ἀρεταὶ καὶ αἱ κακίαι συμμετρίαι καὶ ἀσυμμετρίαι εἰσί. ταῦτα δὲ πρός τι. τῶν δὲ πρός τι οὐκ ἔστιν ἀλλοίωσις οὐδὲ κίνησις ὅλως ἡ μεταβολὴ καθ' αὑτό. ὥστε κατὰ τὰς ἕξεις οὐκ ἔστιν ἀλλοίωσις. ἀλλοιουμένων δέ τινων ἐπιγίνονται. δείξας δὲ ταῦτα πρῶτον ἐπὶ τῆς σωματικῆς ἀρετῆς καὶ κακίας, μεταβαίνει καὶ ἐπὶ τὰς τῆς ψυχῆς ἕξεις. καὶ δείκνυσιν ὅτι καὶ αὗται πρός τι εἰσί. καὶ ὅτι γίνονται ἀλλοιουμένου τοῦ αἰσθητικοῦ. καὶ αἱ ἠθικαὶ ἀρεταὶ, καὶ αἱ τοῦ νοητικοῦ μέρους. καὶ συμπεραίνεται λοιπὸν ὅτι ἡ ἀλλοίωσις ὑπὸ τῶν αἰσθητῶν ἐν τῷ αἰσθητικῷ μορίῳ γίνεται τῆς ψυχῆς, κατὰ τὰς παθητικὰς ποιότητας. δείξας δὲ οὕτως, ὅτι οὐδέν ἐστι μεταξὺ τοῦ τε κινοῦντος καὶ τοῦ κινουμένου, κατά τε φορὰν καὶ κατὰ αὔξησιν καὶ μείωσιν καὶ κατὰ ἀλλοίωσιν, ἐφεξῆς ζητεῖ εἰ πᾶσα κίνησις πάσῃ συμβλητή ἐστι. κατὰ τὰς ἰδίας τῆς κινήσεως διαφορὰς τό, τε θᾶττον καὶ τὸ βραδύτερον. καὶ δείκνυσιν ὅτι οὐ πᾶσαι. ἀλλ' αἱ κατὰ τὸ ἄτομον εἶδος ὁμοειδεῖς. αἵτινες μόνῳ τῷ ἀριθμῷ διαφέρουσι. δείκνυσι δὲ τοῦτο καθ' ἑκάστην κίνησιν καὶ μεταβολήν. καὶ πρῶτον ἐπὶ τῆς φορᾶς. ὅτι ἡ κύκλῳ τῇ ἐπ' εὐθείας οὐκ ἔστι συμβλητή. ἐπεὶ ἔσται ἴση εὐθεῖα περιφερεῖ. ὅπερ ἀδύνατον. ἔτι δὲ μᾶλλον φορὰ ἀλλοιώσει οὐκ ἔσται συμβλητή. ἐπεὶ ἔσται ἴσον πάθος μήκει. εἶτα ἐνίσταται πρὸς τὸ μὴ εἶναι συμβλητὰς τὰς φορὰς, τήν τε ἐπὶ τῆς εὐθείας καὶ τὴν ἐπὶ τῆς περιφερείας, μὴ δὲ αὐτὰς τὰς γραμμάς. καὶ λύει τὴν ἔνστασιν εἰς τὸ αὐτὸ ἀδύνατον ἀπαγαγὼν, τὸ ἴσην ἔσεσθαι εὐθεῖαν περιφερείᾳ. ἀπορήσας δὲ ἐφ' ἑκάτερα περὶ τοῦ συμβλητὰς εἶναι ἢ μή. τάς τε γραμμὰς τήν τε εὐθεῖαν καὶ τὴν περιφέρειαν. καὶ τὰς ἐπ' αὐτῶν κινήσεις, καθολικόν τινα παραδίδωσι κανόνα, καθ' ὃν δυνατὸν τάς τε συμβλητὰς καὶ τὰς ἀσυμβλήτους κινήσεις διακρίνειν. τὰς μὲν ὁμώνυμον ἐχούσας τὸ ταχὺ καὶ βραδὺ ἀσυμβλήτους λέγων, τὰς δὲ μὴ ὁμώνυμον ἀλλὰ συνώνυμον συμβλητάς. εἶτα ἐνίσταται πρὸς τοῦτον τὸν κανόνα, τὸ πολὺ καὶ τὸ διπλάσιον παρατιθεὶς ἐπὶ ὕδατος καὶ ἀέρος συνωνύμως λεγόμενα, καίτοι ἀσυμβλήτων κατὰ ταῦτα ὄντων τοῦ ὕδατος καὶ τοῦ ἀέρος. διότι ὁ δοκῶν πλείων εἶναι ἢ διπλάσιος ἀὴρ κατὰ τὸν ὄγκον, ἐλάττων ἐστὶ κατὰ τὴν δύναμιν. καὶ ἐφιστάνει ὅτι καὶ τὸ πολὺ καὶ τὸ διπλάσιον ὁμωνύμως καὶ οὐ συνωνύμως τοῦ ἀέρος καὶ τοῦ ὕδατος κατηγορεῖται. οὐ δοκεῖ δὲ ὁμώνυμα. ὅτι καὶ οἱ ὁρισμοὶ αὐτῶν ἐξ ὁμωνύμων σύγκεινται. εἶτα καὶ ἄλλον διορισμὸν ἐπάγει τῶν συμβλητῶν. τὸ δεῖν τὸ πρῶτον δεδεγμένον τὰ συνωνύμως κατηγορούμενα. ταυτὸν εἶναι τῷ εἴδει. οὕτω γὰρ ἵππον κυνὸς λευκότερον λέγομεν, καίτοι διαφέροντα κατ' εἶδος. διότι τὸ πρώτως δεξάμενον τὸ λευκὸν ἡ ἐπιφάνεια ταυτόν ἐστιν ἐν ἀμφοτέροις τῷ εἴδει. καὶ πρὸς τοῦτον δὲ ἐνίσταται τὸν λόγον. λέγων οὕτω πάντα δυνατὸν εἶναι τὰ ὁμώνυμα ἐκβάλλειν. εἰ διὰ τὴν διαφορὰν τῶν δεχομένων διάφορα γίνεται τὰ ἐνυπάρχοντα τὰ αὐτὰ ὄντα τῇ φύσει. καὶ ἐφίστησιν ὅτι οὐδὲ δυνατὸν τὰ αὐτὰ τῇ φύσει ἐν διαφόροις εἴδεσιν ὑπάρχειν. ἐν γὰρ ἐνὶ ὑπάρχει πρώτως. οἷον τὸ χρῶμα τῇ ἐπιφανείᾳ. εἶτα διδάσκει ὅτι οὐκ ἀρκεῖ τὸ μὴ εἶναι ὁμώνυμα πρὸς τὸ συμβλητὰ εἶναι. ἀλλὰ χρὴ τοῦ αὐτοῦ εἴδους εἶναι τοῦ ἐσχάτου καὶ αὐτὰ καὶ τὰ ἐν οἷς ἐστιν. τὸ γὰρ λευκὸν καὶ τὸ μέλαν οὐκ ἔστιν ὁμωνύμως χρώματα, ἀλλὰ συνωνύμως. καὶ

ὅμως οὐ συγκρίνεται πότερον αὐτῶν μᾶλλον χρῶμα. ἐπειδὴ μὴ τοῦ αὐτοῦ ἐστὶν εἴδους. ἀλλ᾽ ὁμο-
γενῆ μόνον. ὥστε φησὶ καὶ ἐπὶ κινήσεως μόναι εἰσὶ συμβληταὶ κινήσεις, αἱ κατὰ τὸ αὐτὸ εἶδος τὸ
ἔσχατον. ὃ οὐκέτι καὶ γένος ἐστὶ, γινόμεναι ἐν τῷ αὐτῷ κατ᾽ εἶδος ὑποκειμένῳ. προστίθησι δὲ καὶ τὴν
αἰτίαν, δι᾽ ἣν τῶν ὁμωνύμων τινὰ συμβλητὰ δοκεῖ εἶναι. ὥσπερ τὸ πολὺ καὶ τὸ διπλάσιον. διότι
γάρ φησι τῶν ὁμωνύμων τὰ μὲν πολὺ ἀπέχει, τῇ φύσει τὰ αὐτὰ εἶναι. ὡς τὰ ἀπὸ τύχης καὶ
κατὰ ἀναλογίαν. τὰ δὲ ἐγγυτέρω ἐστίν. ἐπειδὴ γὰρ συμβλητὰς εἶπεν κινήσεις τὰς τῶν ἐν ἴσῳ χρόνῳ ἰσο-
κινουμένων, ἐπὶ δὲ ἀλλοιώσεως κατὰ ποιότητα γινομένης τῆς παραβολῆς οὐκ ἔστιν εἰπεῖν τὸ ἴσον,
ζητεῖ πῶς ἐπὶ τούτων τὰς συμβλητὰς ῥητέον. καὶ λέγει ὅτι ἀντὶ τοῦ ἴσου καὶ ἀνίσου, τὸ ταὐτὸν καὶ
ἕτερον καὶ ὅμοιον καὶ ἀνόμοιον ληπτέον. ὥστε ὡσαύτως ἢ ὁμοίως μεταβάλλοντα ἐν ἴσῳ χρόνῳ ἰσο-
ταχῶς λέγεσθαι ἀλλοιοῦσθαι. ὅταν δὲ τὸ μὲν πάθος ὅμοιον ᾖ οἷον λεύκανσις, αἱ δὲ λευκαινόμεναι
ἐπιφάνειαι ἴσαι ἢ ἄνισοι, τότε συμβαίνει τὴν ἀλλοίωσιν κατὰ μὲν τὸ πάθος ὁμοίαν ἢ ἀνομοίαν εἶναι.
κατὰ δὲ τὸ ὑποκείμενον ἴσην ἢ ἄνισον. παραδοὺς δὲ οὕτω τὴν διάρθρωσιν τῶν συμβλητῶν κινήσεων
ἐπί τε φορᾶς καὶ ἀλλοιώσεως, καὶ τὴν αὔξησιν καὶ μείωσιν ὡς ἐκ τούτων δήλας παραδραμών, ἢ ἐν
τοῖς ὁμοειδέσιν ἐν ἴσῳ χρόνῳ ἴση γινομένη δι᾽ ὅλου προσθήκη ἰσοταχὴς αὔξησίς ἐστιν, καὶ ἀφαίρεσις ἢ
τοιαύτη μείωσις ἰσοταχής, ταύτας οὖν παραδραμών, ἐπὶ τὴν γένεσιν ἦλθε καὶ φθοράν. καὶ ζητεῖ
ποία γένεσις γενέσει ἰσοταχὴς λέγεται ἢ ἀνισοταχής. καὶ φησὶν ἀνισοταχεῖς εἶναι. ὅταν ἐν τῷ αὐτῷ
ἴσῳ χρόνῳ τοῦ μὲν πλείων τοῦ δὲ ἐλάττων ἀριθμὸς μορίων ἐν ὁμοειδέσι γίνηται. καὶ ἐπὶ τούτοις ἄλλο
προστίθησι θεώρημα οἰκεῖον τῷ περὶ τῆς τῶν κινήσεων συγκρίσεως λόγῳ. παραβάλλει γάρ τό, τε κι-
νοῦν καὶ τὸ κινούμενον. καὶ τὸν χρόνον καὶ τὸ διάστημα. καὶ τὰς πρὸς ἄλληλα αὐτῶν ἀναλογίας ἐπι-
ζητεῖ. εἰ ὥσπερ ἡ πολλαπλασία δύναμις τινὸς δυνάμεως κινήσῃ τι πολλαπλάσιον ἐκείνου κινεῖ,
οὕτω καὶ τὸ πολλοστημόριον τῆς κινούσης τι δυνάμεως τὸ πολλοστημόριον τοῦ ὑπ᾽ ἐκείνης κινουμένου
κινήσει. καὶ εἰ ἑκατὸν ἄνθρωποι τὴν ναῦν κινοῦσιν, εἰ καὶ ὁ εἷς τὸ ἑκατοστὸν τῆς νεὼς κινήσει ἐν τῷ αὐτῷ
χρόνῳ τὸ αὐτὸ διάστημα. ἢ τὴν ὅλην ναῦν τὸ ἑκατοστὸν τοῦ διαστήματος. ποιεῖται δὲ τὸν λόγον ἐπὶ
πρώτης τῆς φορᾶς, προλαβὼν ὡς ἀξιώματα τὸ πᾶν τὸ κινοῦν τι κινεῖν καὶ ἐν χρόνῳ καὶ ἐπὶ τοσόνδε.
διελὼν δὲ πρῶτον τὸ βάρος, τὴν αὐτὴν δύναμιν τὸ ἥμισυ τοῦ βάρους ἐν τῷ αὐτῷ χρόνῳ διπλάσιον
διάστημα κινεῖν φησίν. εἶτα τὸν χρόνον διελών. διῃρημένου τοῦ βάρους, τὸ ἥμισυ τοῦ βάρους ἐν τῷ
ἡμίσει χρόνῳ ὑπὸ τῆς αὐτῆς δυνάμεως τὸ ἥμισυ τοῦ διαστήματος κινήσεσθαί φησιν. εἶτα τὸ διάστημα
διελών, τοῦ βάρους τοῦ ἐξ ἀρχῆς μένοντος, συνδιαιρεῖ τὸν χρόνον. καὶ τότε τετάρτην ἀναλογίαν
ἐπάγει. τὴν δύναμιν μερίζων καὶ τὸ βάρος. καὶ λέγει ὅτι ἡ ἡμίσεια δύναμις τὸ ἥμισυ τοῦ βάρους
ἐν τῷ ἐξ ἀρχῆς χρόνῳ τὸ ἐξ ἀρχῆς διάστημα κινήσει. εἶτα τῆς μὲν δυνάμεως τὸ ἥμισυ λαμβάνει. βά-
ρος δὲ τὸ ἐξ ἀρχῆς. καὶ χρόνον ἐκεῖνον. καὶ λέγει ὅτι τὸ ἥμισυ κινήσει τοῦ διαστήματος. ταύτην δὲ τὴν
ἀναλογίαν εὐθὺς ἀναιρεῖ. εἰ γὰρ μέρος τι τῆς δυνάμεως τὸ ὅλον βάρος ἐν ὁσῳοῦν χρόνῳ διάστημά τι
κινήσει. ἡ ναῦς ἂν ἢ ὑπὸ ἑκατὸν ἀνδρῶν νεωλκουμένη τοσόνδε διάστημα, καὶ ὑπὸ ἑνὸς ἕλκοιτο ἂν ἐν
τῷ αὐτῷ χρόνῳ τὸ ἑκατοστὸν τοῦ διαστήματος. ὃ ἐκίνησαν οἱ ἑκατὸν νεωλκοί. ἢ καὶ τὸ αὐτὸ διάστημα ἐν
ἑκατονταπλασίῳ χρόνῳ. εἰπὼν δὲ μὴ πάσης δυνάμεως τὴν ἡμίσειαν δύνασθαι τὸ αὐτὸ τῷ ὅλῳ βά-
ρος κινεῖν, ἢ ὅλως κινεῖν τι βάρος, διὰ τοῦτο καὶ τὸν Ζήνωνος λύει λόγον τὸν ἐπὶ τοῦ κέγχρου. εἰ γὰρ
ὁ μέδιμνός φησι τοῦ κέγχρου καταπεσὼν ψοφεῖ, καὶ ὁ εἷς κέγχρος ψοφήσει. καὶ τὸ μυριοστὸν τοῦ
κέγχρου. λύει οὖν τοῦτον τὸν λόγον, λέγων μὴ πᾶσαν δύναμιν παντὸς βάρους κινητικὴν εἶναι, μὴ
δὲ ἐν ὁσῳοῦν χρόνῳ. οὕτω δὲ μὴ δὲ πᾶν μέγεθος ψοφεῖν. καὶ συνελὼν τὸν λόγον λέγει, ὅτι μερισθείσης
μὲν τῆς δυνάμεως οὐ σώζεται ἡ ἀναλογία. ἐπειδὴ μὴ πᾶσα δύναμις καὶ ἡ ἐλαχίστη κινεῖν ἢ ψοφεῖν
δύναται. συντιθεμένης δὲ σώζεται. δείξας οὖν ἐπὶ τῆς φορᾶς ταῦτα, λέγει ὅτι καὶ ἐπὶ τῶν
ἄλλων κινήσεων, ἐπειδὴ αἱ ἀρχαὶ αἱ αὐταί εἰσι. τό, τε κινοῦν καὶ τὸ κινούμενον. καὶ ὁ
χρόνος καὶ τὸ διάστημα, καὶ τὰ ἀπὸ τούτων συμβαίνοντα τὰ αὐτὰ ἔσται.
ὥστε ἐν ὅσοις μὲν ἐπὶ τῆς φορᾶς σώζεται ἡ ἀναλογία, ἐν τού-
τοις καὶ ἐπὶ τῶν ἄλλων κινήσεων σωθήσεται. ἐν
ὅσοις δὲ περὶ ἐκείνης οὐ προσεχώρει ἡ
ἀναλογία, ἐν τούτοις καὶ ἐπὶ
τούτων οὐ προ-
χωρήσει.

ΣΙΜΠΛΙΚΙΟΥ ΥΠΟΜΝΗΜΑ ΕΙΣ ΤΟ ΟΓΔΟΟΝ ΤΗΣ ΑΡΙΣΤΟΤΕΛΟΥΣ ΦΥΣΙΚΗΣ ΑΚΡΟΑΣΕΩΣ.

Τῆς φυσικῆς ἀκροάσεως τοῦ ἀριστοτέλους τὸ τελευταῖον βιβλίον, ὃ κατὰ μὲν τὸν ἀριθμὸν ὄγδοον τῆς ὅλης πραγματείας ἐστὶ, κατὰ δὲ τὴν τῶν στοιχείων τάξιν θῆτα τοῖς περιπατητικοῖς ἐπιγράφειν ἔθος, πολλῶν καὶ καλῶν ἐστι θεωρημάτων μεστόν. τῇ τε γὰρ περὶ τῶν φυσικῶν ἀρχῶν πραγματείᾳ τέλος ἄριστον ἐπιτίθησιν. ἀΐδιον οὖσαν τὴν πρώτην φυσικὴν κίνησιν ἀποδεικνύον. καὶ τὴν ἀϊδιότητα τοῦ παντὸς διὰ τῆς ἀϊδίου κινήσεως λαμπρῶς ἀνακηρύττον. καὶ τὸ δὴ μέγιστον τὴν φυσικὴν ἅπασαν θεωρίαν τῆς πρώτης ἐξάπτον φιλοσοφίας. καὶ πᾶσαν τὴν φυσικὴν ὕπαρξιν τῆς ὑπερφυοῦς αἰτίας ἐξηρτημένην ἀποδεικνύον. ὅταν καὶ κινούμενον πᾶν τὸ σῶμα τὸ φυσικὸν ἀποδείξῃ. καὶ πᾶν τὸ κινούμενον ὑπό τινος κινεῖσθαι. καὶ τὸ πρώτως καὶ κυρίως κινοῦν τῆς ἀκινήτου καὶ ἀεὶ κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἐχούσης οὐσίας ἐκφαίνῃ. τοιοῦτον οὖν ἔχον σκοπὸν τὸ βιβλίον. εἰκότως ἂν εἴη πάσης ἀντιληπτικῆς προθυμίας ἐπάξιον. ἐπειδὴ δέ τις τῶν ἐφ' ἡμῶν γεγονότων τελχίνων οὐδὲν ἡγούμενος νεανικὸν ἀνθρώποις μόνοις βασκαίνειν, καὶ διὰ τοῦτο πρὸς τὸν οὐρανὸν αὐτὸν καὶ τὸν ὅλον κόσμον τὴν ἑαυτοῦ βασκανίαν ἐκτείνων, δεινὸν ἡγεῖται τὴν τούτων ἀϊδιότητα, καὶ παρακουσμάτων τινῶν οὐκ εὐτυχῶς οὐδὲ εὐγνωμόνως ἀπὸ φιλοσοφίας μετασχὼν, πρός τε τὰ ἐν τῇ περὶ οὐρανοῦ δεδειγμένα περὶ ἀϊδιότητος αὐτοῦ πέντε γέγραφε πολύστιχα βιβλία, ὧν τὸ σαθρὸν καὶ πρὸς ἀνοήτους μόνους ἀκροατὰς τεθαρρηκὸς ἐπειράθην ἐπιδεῖξαι, τὸ πρῶτον τῆς περὶ οὐρανοῦ πραγματείας ἐξηγούμενος, τὸ δὲ ἕκτον αὐτοῦ βιβλίον πρὸς τὴν ἀΐδιον ἐνταῦθα δεδειγμένην κίνησιν καὶ τὸν ἀΐδιον χρόνον ἀπεζώσατο. διότι τούτων ἀνελέγκτων μενόντων. ἀνάγκη πάντως ἦν ἀΐδιον εἶναι καὶ αὐτὸ τὸ τὴν ἀΐδιον κίνησιν ἐν χρόνῳ ἀϊδίῳ κινούμενον, ἔδοξέ μοι τοῦτο τὸ βιβλίον ἐπερχομένῳ. καὶ τὰς πρὸς αὐτὸ γινομένας ἀντιλογίας, ὁποῖαί τινες εἰσί. καὶ ἀπὸ ποίας ἕξεως προαγόμεναι τοῖς φιλομαθεστέροις ἐπιδεῖξαι. πειράσομαι δὲ κἀνταῦθα μετὰ τὴν ἐξήγησιν τῶν ἀριστοτέλους λόγων τὰς πρὸς αὐτοὺς ἐνστάσεις παραθεὶς, οὕτω τὴν βάσανον αὐταῖς προσάγειν.

ΠΟΤΕΡΟΝ δὲ γέγονέ ποτε κίνησις οὐκ οὖσα πρότερον καὶ φθείρεται πάλιν οὕτως ὥστε κινεῖσθαι μηδὲν, ἢ οὔτε ἐγένετο οὔτε φθείρεται. ἀλλ' ἀεὶ ἦν, καὶ ἀεὶ ἔσται. καὶ τοῦτ' ἀθάνατον καὶ ἄπαυστον ὑπάρχει τοῖς οὖσιν. οἷον, ζωή τις οὖσα τοῖς φύσει συνεστῶσι πᾶσιν.

Ὅτι μὲν ὁ περὶ κινήσεως λόγος ἀναγκαῖος τῷ φυσικῷ διὰ πολλῶν ἤδη πρότερον ἀποδέδεικται. ὅτι δὲ τῷ περὶ κινήσεως λέγοντι προσήκει ζητεῖν εἰ ἔστιν ἀΐδιος κίνησις, ἢ οὕτως ἔχειν ὥστε ποτὲ γεγονέναι μὴ πρότερον οὖσαν, καὶ φθείρεσθαι πάλιν ὥστε μηκέτι εἶναι κίνησιν, οὐδεὶς ἂν ἀμφισβητήσοι. δῆλον δὲ ὅτι οὐ περὶ τῆς ὑπὸ σελήνην καθ' ἕκαστα κινήσεώς τινος ζητεῖ. τούτων γὰρ ἑκάστη καὶ ἀρχὴν ἔχει καὶ τέλος. οὔτε εἰ μία καὶ συνεχής ἐστι κίνησις ἀΐδιος νῦν ζητεῖ. ὅπερ ὕστερον εὑρήσει. ἀλλὰ καθόλου περὶ κινήσεως. εἰ ἦν τις χρόνος ὅτε οὐκ ἦν κίνησις ὁποιαοῦν. οὐδὲ ὅλως ἐκινεῖτό τι τῶν ὄντων. ἢ ἔσται τις χρόνος ὅτε οὐδὲν κινήσεται. ἢ ταῦτα μὲν ἀδύνατα φανεῖται, ἦν δὲ ἀεὶ καὶ ἔσται κίνησις. ὥστε τοῦτο τουτέστι τὴν κίνησιν ἀθάνατον καὶ ἄπαυστον ὑπάρχειν τοῖς οὖσιν. ἡ γὰρ κίνησις οὐ τῶν καθ' αὑτὰ ὑφεστηκότων ἀλλὰ τῶν ἄλλοις ὑπαρχόντων ἐστὶ, τουτέστι ταῖς οὐσίαις. αἵπερ ὄντα κυριώτερόν εἰσι τῶν ἐν αὐταῖς τὸ εἶναι ἐχόντων. διὸ τοῖς οὖσιν ὑπάρχειν τὴν κίνησίν φησιν. οὐχ ὅτι μὴ ὂν ἐστὶν ἡ κίνησις. ἀλλ' ὅτι κυρίως ὄντα αἱ οὐσίαι. καὶ δι' αὐτὰς τὰ συμβεβηκότα τοῦ εἶναι μετέχουσι. τὸ δὲ οἷον ζωή τις οὖσα τοῖς φύσει συνεστῶσι πᾶσι, κατὰ τὴν ἀριστοτέλους ἀκρίβειαν εἴρηται συμφωνοῦσαν τῷ πλάτωνι. ζῶα γὰρ ἐκεῖνα φαμὲν, ὅσα ἔνδοθεν ἀφ' ἑαυτῶν κινεῖται. εἰ οὖν καὶ τὰ φυσικὰ πάντα ἀρχὴν κινήσεως ἐν ἑαυτοῖς ἔχει τὴν φύσιν, ζῶα καὶ ταῦτα εἰκότως ἂν λέγοιτο, κατὰ τὴν ἔνδοθεν ἐπιτηδειότητα πρὸς κίνησιν. καὶ γὰρ ἐσχάτη τῶν ζώων ἡ φύσις. διὸ καὶ ἐν ὑποκειμένῳ τῷ φυσικῷ σώματι τὸ εἶναι ἔχει. καὶ οἷον ζῶον μᾶλλόν ἐστιν ἢ ζωὴ κυρίως. καὶ ἡ κατ' αὐτὴν κίνησις ἐπιτηδειότης ἐστὶ πρὸς κίνησιν, ὡς μαθησόμεθα ἐν τούτῳ τῷ βιβλίῳ. ὅτι δὲ καὶ τοῦτο τῷ πλάτωνι συμφώνως ὁ ἀριστοτέλης ἐφθέγξατο, οἷον ζωὴν εἰπὼν τὴν ὡς φυσικὴν ἔνδοθεν κίνησιν, ἄκουε τῶν ἐν τῷ δεκάτῳ τῶν νόμων γεγραμμένων περὶ τῆς ἔνδοθεν κινήσεως. ἐὰν ἴδωμέν που ταύτην γενομένην ἐν τῷ γηΐνῳ ἢ ἐνύδρῳ ἢ πυροειδεῖ κεχωρισμένῳ ἢ καὶ ξυμμιγεῖ, τί ποτε φήσομεν ἐν τῷ τοιούτῳ πάθος εἶναι. μῶν ἆρά με ἐρωτᾷς εἰ ζῆν αὐτὸ προσεροῦμεν. ὅταν αὐτὸ αὑτὸ κινῇ. ἀλλὰ ταῦτα περὶ τῆς κυρίως αὐτοκινήτου ζωῆς εἴρηται τῆς ψυχικῆς. διὸ καλῶς ὁ ἀριστοτέλης οἷον ζωὴν εἶπεν εἶναι τὴν φυσικὴν κίνησιν. καὶ οὐχ ἁπλῶς ζωήν. ὅτι ὃν ἔχει λόγον ἡ ψυχὴ πρὸς φύσιν, τοῦτον ἔχει τὸν λόγον ἡ κυρίως ζωὴ πρὸς τὴν φυσικὴν κίνησιν. ὁ δὲ ἀλέξανδρος τὸ, οἷον ζωή τις οὖσα τοῖς φύσει συνεστῶσι πᾶσιν, ὡς δει-

κτικὸν τοῦ ἀθανάτου καὶ ἀπαύστου εἰρῆσθαι τὴν κίνησίν φησιν. εἰ γὰρ οὕτως ἔχει ἡ κίνησις πρὸς τὰ φυσικὰ ὡς ἡ ζωὴ πρὸς τὰ ἔμψυχα, ὡς ἀδύνατόν ἐστιν ἄνευ ζωῆς ἔμψυχα εἶναι, οὕτω καὶ φυσικὰ χωρὶς κινήσεως. εἰ οὖν ἀΐδια τὰ φυσικὰ καθ᾽ ὃ φυσικά, οὔτε γὰρ ἤρξατό ποτε, οὔτε εἰς τὸ μὴ εἶναι φθαρήσεται, εἴπερ ἡ τῶν φυσικῶν φθορὰ μεταβολή ἐστιν εἰς ἄλλο τι φυσικόν, ὕδατος γὰρ φθαρέντος ἀὴρ γίνεται, δηλονότι καὶ ἡ κίνησις καθ᾽ ἣν ἐστι φυσικὰ ἀΐδιός ἐστι. μήποτε δὲ ὁ ἀριστοτέλης οὐκ ἀπὸ τῆς τῶν φυσικῶν ἀϊδιότητος τὸ ἀΐδιον τῆς κινήσεως ἔδειξεν. οὐδὲ γὰρ ἀποδέδεικταί που τέως ἀΐδια τὰ φυσικά. ἀλλὰ ἀπ᾽ αὐτοῦ τοῦ τῆς φυσικῆς κινήσεως ὁρισμοῦ ὡς μαθησόμεθα τὴν φυσικὴν κίνησιν ἀΐδιον δείξει. καὶ ἀπὸ ταύτης τὸ φυσικὸν σῶμα. πᾶσι δὲ τοῖς φύσει συνεστῶσιν εἶπεν, διότι οὐχ ὡς ὕδατος ἢ ὡς ἀέρος ζωή ἐστιν ἡ κίνησις. ἀλλ᾽ ὡς φυσικῶν πάντων καθ᾽ ὃ φυσικά. καὶ καθ᾽ ὃ ἀρχὴν ἐν ἑαυτοῖς ἔχει κινήσεως. δι᾽ ὃ καὶ ἀΐδιός ἐστιν ἡ κατὰ τὸ κοινὸν λαμβανομένη κίνησις.

Ε ΙΝΑΙ μὲν οὖν κίνησιν, πάντες φασὶν οἱ περὶ φύσεώς τι λέγοντες διὰ τὸ κοσμοποιεῖν. καὶ περὶ γενέσεως καὶ φθορᾶς εἶναι τὴν θεωρίαν πᾶσιν αὐτοῖς. ἣν ἀδύνατον ὑπάρχειν μὴ κινήσεως οὔσης.

Ἐ πειδὴ τὸ ἀΐδιον εἶναι κίνησιν τοῦ ὁποῖον τί σημαντικὸν ὑπάρχει, προηγεῖται δὲ ἐν τοῖς προβλήμασι τοῦ ὁποῖόν τι καὶ τὸ τί ἐστι καὶ τὸ εἰ ἔστιν ὅλως, καὶ τὸ μὲν τί ἐστιν ἡ κίνησις ἐν τῷ τρίτῳ τῆς πραγματείας ὑπέδειξε. τὸ δὲ εἰ ἔστιν οὐ φαίνεται δεδειχώς, διὰ τοῦτο περὶ τοῦ ὁποῖόν τι νῦν προθέμενος εἰς ἀπόδειξιν, εἰκότως τὴν αἰτίαν διδάσκει τοῦ λαβεῖν ὁμολογούμενος ὅτι ἐστιν ἡ κίνησις. εἰ γὰρ περὶ τὸ εἶναι τὴν κίνησιν πάντες ἀλλήλοις συμφωνοῦσιν οἱ φυσικοί. καίτοι περὶ τὸ ἀΐδιον ἢ μὴ διαφερόμενοι, οὐδὲν ἂν ἄτοπον εἴη τὸ λαβεῖν ὁμολογούμενον ὅτι ἔστιν ἡ κίνησις. τοὺς γὰρ ἀναιροῦντας τὴν κίνησιν ἔδειξε μὴ δὲ φυσικοὺς ὄντας. μὴ δὲ προσήκειν τῷ φυσικῷ τὸν πρὸς αὐτοὺς λόγον ὡς τὰς ἀρχὰς ἀναιροῦντας τὰς φυσικάς. αἴτιον δὲ τοῦ πάντας τοὺς φυσικοὺς περὶ κινήσεως λέγειν τὸ κοσμοποιεῖν, καὶ περὶ γενέσεως καὶ φθορᾶς εἶναι τὴν θεωρίαν πᾶσιν αὐτοῖς. κοσμοποιεῖν δὲ λέγει τοὺς φυσικούς, οὐχ ὡς γενητὸν ἀπὸ χρόνου τὸν κόσμον λέγοντας, ἀλλ᾽ ὡς τὴν σύστασιν αὐτοῦ διὰ κινήσεως παραδιδόντας. οὕτω γὰρ καὶ δημόκριτος κοσμοποιεῖ καὶ ἐμπεδοκλῆς καὶ ἀναξαγόρας, οἱ μὲν συγκρίνεσθαι καὶ διακρίνεσθαι τὰ ἄτομα σώματα καὶ τὰ τέσσαρα στοιχεῖα λέγοντες. ἀναξαγόρας δὲ ἐκκρίνεσθαι τὰς ὁμοιομερείας ἀπὸ τοῦ μίγματος λέγων. καὶ ἡ σύγκρισις δὲ καὶ ἡ διάκρισις καὶ ἡ ἔκκρισις κινήσεις τινές εἰσι. καὶ περὶ γενέσεως δὲ καὶ φθορᾶς διαλέγονται πάντες. αἵτινες κἂν μὴ κινήσεις ὦσιν, ἀλλ᾽ οὐκ ἄνευ γίνονται κινήσεως. καὶ γὰρ κατὰ τόπον κινήσεις καὶ ἀλλοιώσεις καὶ αὐξήσεις καὶ μειώσεις τῶν γενέσεων προηγοῦνται καὶ τῶν φθορῶν.

Ἀ ΛΛ᾽ ὉΠΌΣΟΙ μὲν ἀπείρους κόσμους τε εἶναί φασι, καὶ τοὺς μέν, γίγνεσθαι. τοὺς δέ, φθείρεσθαι τῶν κόσμων, ἀεί φασιν εἶναι κίνησιν. ἀναγκαῖον γὰρ τὰς γενέσεις καὶ τὰς φθορὰς εἶναι μετὰ κινήσεως αὐτῶν. ὅσοι δὲ ἕνα ἢ μὴ ἀεί, καὶ περὶ τῆς κινήσεως ὑποτίθενται κατὰ λόγον.

Τ οῦ τὴν κίνησιν ὡς οὖσαν παραλαβεῖν, ἀπολογίαν ἑαυτῷ ποιήσας τὴν τῶν φυσικῶν περὶ τούτου συμφωνίαν, ἐκ τῆς περὶ τὴν ἀϊδιότητα τῆς κινήσεως διαφωνίας αὐτῶν, πάλιν ὅτι ἀναγκαία ἡ περὶ τῆς ἀϊδιότητος ζήτησις παραδείκνυσι, λέγων τινὲς μὲν τῶν φυσικῶν ἀΐδιον ὑπέθεντο τὴν κίνησιν. τινὲς δὲ οὐκ ἀΐδιον, πρὸς τὰς ὑποθέσεις καὶ τὰ περὶ τῆς κινήσεως προσαρμόσαντες. οἱ μὲν γὰρ ἀπείρους τῷ πλήθει τοὺς κόσμους ὑποθέμενοι, ὡς οἱ περὶ ἀναξίμανδρον καὶ λεύκιππον καὶ δημόκριτον καὶ ὕστερον οἱ περὶ ἐπίκουρον, γινομένους αὐτοὺς καὶ φθειρομένους ὑπέθεντο ἐπ᾽ ἄπειρον, ἄλλων μὲν ἀεὶ γινομένων ἄλλων δὲ φθειρομένων. καὶ τὴν κίνησιν ἀΐδιον ἔλεγον. ἄνευ γὰρ κινήσεως οὐκ ἔστι γένεσις ἢ φθορά. τῶν δὲ ἕνα μόνον κόσμον λεγόντων, οἱ μὲν ἀγένητόν τε ἀπὸ χρόνου καὶ ἄφθαρτον αὐτὸν λέγοντες, ἀΐδιον καὶ τὴν κίνησιν ὑπετίθεντο. ὥσπερ πλάτων καὶ ἀριστοτέλης. γενητὸν δὲ καὶ φθαρτὸν τὸν ἕνα κόσμον ποιοῦσιν. ὅσοι ἀεὶ μέν φασιν εἶναι κόσμον, οὐ μὴν τὸν αὐτὸν ἀεὶ ἀλλὰ ἄλλοτε ἄλλον γινόμενον, κατά τινας χρόνων περιόδους. ὡς ἀναξιμένης τε καὶ ἡράκλειτος καὶ διογένης, καὶ ὕστερον οἱ ἀπὸ τῆς στοᾶς. καὶ δῆλον ὅτι καὶ περὶ κινήσεως οὗτοι τὴν αὐτὴν ἔχουσι δόξαν. ὅτε γὰρ κόσμος ἦν. τότε καὶ κίνησιν ἀναγκαῖον εἶναι. ἐμπεδοκλῆς δὲ εἰ μὲν κατὰ τὸ σχῆμά τις ἀκούοι τοῦ λόγου, ὡς ποτὲ μὲν σφαῖρον ποτὲ δὲ κόσμον λέγοντος, δηλονότι καὶ τὴν κίνησιν ἐν τῇ γενέσει τοῦ κόσμου θεωρῶν, γινομένην καὶ φθειρομένην ὑπετίθετο ἀεί. ἐπεὶ καὶ τὸν σφαῖρον εἶναι βούλεται καὶ τὸν κόσμον ἀεί, καὶ κίνησιν ἐνόμιζεν ἐν τῷ κόσμῳ εἶναι. ἀπὸ ἀρχῆς δὲ χρόνου δοκοῦσι λέγειν γεγονέναι τὸν κόσμον ἀναξαγόρας τε καὶ ἀρχέλαος καὶ μητρόδωρος ὁ χῖος. οὗτοι δὲ καὶ τὴν κίνησιν ἄρξασθαί φασιν. ἠρεμούντων γὰρ τὸν πρὸ τοῦ χρόνον τῶν ὄντων, κίνησιν ἐγγενέσθαι φασὶν ὑπὸ τοῦ νοῦ, ὑφ᾽ ἧς γεγονέναι τὸν κόσμον. φαίνονται δὲ καὶ οὗτοι τάξεως ἕνεκα διδασκαλικῆς ἀρχὴν τῆς κοσμοποιίας ὑποθέμενοι. καὶ ὅ γε ἀναξαγόρας σαφῶς ἀπὸ τῆς νοητῆς ἑνώσεως, ἐφ᾽ ἧς ἦν ὁμοῦ πάντα χρήματα ὥς φησι, τὴν κοσμικὴν διάκρισιν ἀποστῆσαι τὸν νοῦν λέγει. ὁ μέντοι ἀλέξανδρος καὶ τὸν πλάτωνά φησιν ἀπ᾽ ἀρχῆς χρόνου τὸν κόσμον ὑφιστάνειν. πλὴν ὅτι καὶ πρὸ τῆς τοῦ κόσμου γενέσεως κίνησιν ἐν τοῖς οὖσι πλημμελῆ καὶ ἄτακτον ἔλεγε. παραλαβὼν γάρ φησιν ὁ θεὸς πᾶν ὅσον ἦν ὁρατὸν. οὐχ ἡσυχίαν ἔχον, ἀλλὰ

» ἔχον, ἀλλὰ κινούμενον πλημμελῶς καὶ ἀτάκτως ἤγαγεν αὐτὸ ἐκ τῆς ἀταξίας. ἀλλ' ὅτι μὲν οὐχ οὕτως ἀπ' ἀρχῆς χρονικῆς ὡς προϋπάρχοντος χρόνου γεγονέναι τὸν κόσμον ὁ Πλάτων φησί, δῆλός ἐστι σαφῶς εἰπών, ὅτι ὁ χρόνος μετ' οὐρανοῦ γέγονεν. ὥστε οὐδὲ τὸ πλημμελὲς καὶ ἄτακτον χρόνῳ προϋπάρχειν κατ' αὐτὸν νομιστέον. ἀλλ' ἵνα καὶ τὴν γενεσιουργὸν ἐνδείξηται πλημμέλειαν κατὰ τὴν ἀπὸ τοῦ ὄντος ὕφεσιν ὑποστᾶσαν, καὶ τὴν ἀπὸ τοῦ δημιουργοῦ τάξιν ἀεὶ διακοσμοῦσαν αὐτήν, χωρὶς ἑκάτερον ὑπέδειξε τῷ λόγῳ. ὅπερ ἐν τῷ Πολιτικῷ πεποίηκεν, ἀποστήσας τοῦ κόσμου τῷ λόγῳ τὸν δημιουργόν, καὶ θεασάμενος αὐτὸν εἰς τὸν τῆς ἀνομοιότητος πόντον ὑποφερόμενον. τοιαύτης οὖν οὔσης διαιρέσεως τῶν περὶ κόσμου δογμάτων, οἱ μὲν ἀπείρους λέγοντες ὡς ἄλλων ἀεὶ γινομένων ἄλλους φθείρεσθαι, ἀΐδιον τὴν κίνησιν ἔλεγον. ὅσοι δὲ ἕνα τε αὐτὸν ἀεί, ἢ ἕνα μὲν μὴ τὸν αὐτὸν δὲ ἀεί, οὗτοι καὶ περὶ τῆς κινήσεως οἰκείως ὑπέθεντο τῇ περὶ τοῦ κόσμου δόξῃ. οἵ τε γὰρ ἕνα ἀεὶ τὸν αὐτὸν λέγοντες, ἀΐδιον καὶ τὴν κίνησιν λέγουσιν. ὁμοίως δὲ καὶ οἱ ἄλλοτε ἄλλον ἕνα λέγοντες, ὅταν τῇ τοῦ ἑτέρου φθορᾷ ἡ τοῦ ἑτέρου γένεσις ἕπηται, καὶ οὗτοι ἀΐδιον τὴν κίνησίν φασιν. ἀεὶ γὰρ ὄντος κόσμου ἀνάγκη καὶ κίνησιν ἀεὶ εἶναι. εἰ δὲ ἕνα λέγοντες ἀπ' ἀρχῆς τινος χρόνου τοῦτον γεγονέναι φασίν, ὡς ἀληθὲς εἶναι λέγειν, ὅτι ἦν ὅτε οὐκ ἦν κόσμος, καὶ φθειρόμενον ἔν τινι χρόνῳ μηκέτι γίνεσθαι, δηλονότι καὶ ἡ κίνησις ἀρχὴν ἕξει καὶ τέλος. ἀλλὰ γεγονέναι μὲν τὸν ἕνα πολλοὶ λέγουσι κοσμοποιοῦντες, καὶ τῷ λόγῳ τὴν τάξιν τῆς δημιουργίας παραδιδόναι βουλόμενοι. γίνεσθαι δὲ καὶ φθείρεσθαι τὸν ἕνα κόσμον ὡς μηκέτι εἶναι κόσμον, οὐδένα τῶν φυσιολόγων ἴσμεν λέγοντα. ἐλλιπὴς δὲ ἡ λέξις δοκεῖ διὰ βραχυλογίαν ἡ λέγουσα. ὅσοι δὲ ἢ ἕνα ἢ μὴ ἀεί. τῷ μὲν γὰρ ἕνα ἐλλείπει τὸ καὶ ἀεί. τῷ δὲ μὴ ἀεί. τὸ καὶ ἕνα. ὡς εἶναι τὸ τέλεον οὕτως. ὅσοι δὲ ἢ ἕνα καὶ ἀεὶ τὸν αὐτόν, ἢ ἕνα μέν, οὐκ ἀεὶ δέ. τοῦτο δὲ διχῶς ἂν διαιρεθείη. ἢ γὰρ ὡς μὴ ἀεὶ μὲν τοῦ αὐτοῦ, ὄντος δὲ ἀεὶ κόσμου, ἢ ὡς μὴ δὲ ὄντος ἀεί. τὸ δὲ ἐλλιπὲς ἐθεράπευσεν ἡ ἀσφαλὴς ἐπαγωγή. ὡς γὰρ ἂν ἀποφαίνωνταί φησι περὶ τοῦ κόσμου, κατὰ τὸν αὐτὸν λόγον καὶ περὶ τῆς κινήσεως ὑποτίθενται. καὶ γὰρ ὄντος μὲν κόσμου καὶ γινομένου καὶ φθειρομένου. ἀνάγκη κίνησιν εἶναι. μὴ ὄντος δὲ μὴ δὲ γινομένου ἢ φθειρομένου, ἀνάγκη μὴ εἶναι κίνησιν.

Εἰ δὴ ἐνδέχεταί ποτε μηδὲν κινεῖσθαι, διχῶς ἀνάγκη τοῦτο συμβαίνειν, ἢ γὰρ ὡς Ἀναξαγόρας λέγει. φησὶ γὰρ ἐκεῖνος ὁμοῦ πάντων ὄντων καὶ ἠρεμούντων τὸν ἄπειρον χρόνον, κίνησιν ἐμποιῆσαι τὸν νοῦν καὶ διακρῖναι. ἢ ὡς Ἐμπεδοκλῆς ἐν μέρει κινεῖσθαι, καὶ πάλιν ἠρεμεῖν. κινεῖσθαι μέν, ὅταν ἡ φιλία ἐκ πολλῶν ποιῇ τὸ ἕν, ἢ τὸ νεῖκος πολλὰ ἐξ ἑνός. ἠρεμεῖν δὲ ἐν τοῖς μεταξὺ χρόνοις. λέγων οὕτως,

» ᾗ μὲν ἓν ἐκ πλεόνων μεμάθηκε φύεσθαι. ἡ δὲ πάλιν διαφύντος ἑνός, πλέον ἐκτελέθουσι. τῇ μέν,
» γίγνονταί τε, καὶ οὔ σφισιν ἔμπεδος αἰών. τῇ δὲ τάδ' ἀλλάσσονται διαμπερές, οὐδ' ἅμα λήγει. ταύ-
» τῃ δ' αἰὲν ἔασιν ἀκίνητοι κατὰ κύκλον, τὸ γὰρ ᾗ δὲ τάδ' ἀλλάσσοντα, ἐνθάδε ἐκεῖσε λέγειν αὐτὸν ὑποληπτέον.

Εἰπὼν ὅτι τῶν φυσικῶν οἱ μὲν ἀΐδιον ὑπέθεντο τὴν κίνησιν, οἱ δὲ οὐκ ἀΐδιον, οἰκείως ἑκάτεροι ταῖς ἑαυτῶν περὶ τοῦ κόσμου δόξαις, ἀνελεῖν προτίθεται τοὺς μὴ ἀΐδιον αὐτὴν λέγοντας λόγους. ἀλλ' οὕτως ἔχειν ὡς ἐνδέχεταί ποτε μηδὲν κινεῖσθαι. καὶ δύο τρόπους ἐκθέμενος καθ' οὓς δυνατόν ποτε μηδὲν κινεῖσθαι, καὶ τοὺς προϊσταμένους αὐτῶν προσπαραγράψας. Ἀναξαγόραν τε καὶ Ἐμπεδοκλέα, διὰ τοῦ τούτους ἀνελεῖν τοὺς τρόπους, εἰσάγει τὸ δεῖν πάντως ἀΐδιον εἶναι τὴν κίνησιν. δύο δὲ οἱ τρόποι. διότι κινήσεως νῦν φαινομένης, εἰ ἐνδέχεταί ποτε μηδὲν κινεῖσθαι, ἀνάγκη ἢ ὡς πρότερον μὴ οὔσης κινήσεως. ὡς ἐδόκει λέγειν Ἀναξαγόρας, τὴν ἀεὶ συνυπάρχουσαν τῶν δευτέρων ἀπὸ τῶν προτέρων ὑπόστασιν, διὰ τῆς κατὰ χρόνον λέγεσθαι δοκούσης ἐκφάνσεως σαφεστέραν ποιῶν. ὁ δὲ αὐτὸς τρόπος τῆς ὑποθέσεώς ἐστι. κἂν ὕστερον μὴ εἶναί τις κίνησιν ὑπόθηται. διόπερ οὐδὲ ἐμνημόνευσε τούτου. ἐδόκει δὲ λέγειν ὁ Ἀναξαγόρας, ὅτι ὁμοῦ πάντων ὄντων χρημάτων, καὶ ἠρεμούντων τὸν ἄπειρον πρὸ τοῦ χρόνον, βουληθεὶς ὁ κοσμοποιὸς νοῦς διακρῖναι τὰ εἴδη, ἅπερ ὁμοιομερείας καλεῖ, κίνησιν αὐταῖς ἐνεποίησεν. οὐ γὰρ ἦν διάκρισιν σωματικὴν ἄνευ κινήσεως γενέσθαι. δεύτερος δὲ τρόπος ὁ κατ' Ἐμπεδοκλέα, παρὰ μέρος κίνησιν ποιοῦντα καὶ ἠρεμίαν. ὑπέθετο γὰρ οὗτος τόν τε νοητὸν καὶ τὸν αἰσθητὸν κόσμον ἐκ τῶν αὐτῶν στοιχείων τῶν τεσσάρων συνεστῶτας. τὸν μὲν παραδειγματικῶς δηλονότι, τὸν δὲ εἰκονικῶς. καὶ ποιητικὰ αἴτια τοῦ μὲν νοητοῦ τὴν φιλίαν, διὰ τῆς ἑνώσεως τὸν σφαῖρον ποιοῦσαν. ὃν καὶ θεὸν ἐπονομάζει. καὶ οὐδετέρως ποτὲ καλεῖ, σφαῖρον ἦν. τοῦ δὲ αἰσθητοῦ τὸ νεῖκος. ὅταν ἐπικρατῇ μὴ τελέως, διὰ τῆς διακρίσεως τὸν κόσμον τοῦτον ποιοῦν. δυνατὸν δὲ καὶ ἐν τῷ κόσμῳ τούτῳ τήν τε ἕνωσιν ὁρᾶν καὶ τὴν διάκρισιν. ἀεὶ μὲν ἄμφω, ἄλλοτε δὲ ἄλλην ἐν ἄλλοις καὶ ἄλλοις μέρεσιν, ἢ ἐν ἄλλοις καὶ ἄλλοις χρόνοις ἐπικρατοῦσαν. καὶ γὰρ καὶ ἐνταῦθα τὸ νεῖκος καὶ τὴν φιλίαν παρὰ μέρος ἐπικρατεῖν, ἐπί τε ἀνθρώπων καὶ ἰχθύων καὶ θηρείων καὶ ὀρνέων, Ἐμπεδοκλῆς φησι τάδε γράφων.

» τοῦτο μὲν βροτέων μελέων ἀριδείκετον ὄγκον. ἄλλοτε μὲν φιλότητι συνερχόμεν' εἰς ἓν ἅ-
» παντα γυῖα, τὰ σῶμα λέλογχε βίου θαλέθοντος ἐν ἀκμῇ. ἄλλοτε δ' αὖτε κακῇσι διατμηθέντ' ἐρί-
» δεσι, πλάζεται ἄνδιχ' ἕκαστα περὶ ῥηγμῖνι βίοιο. ὡσαύτως θάμνοισι καὶ ἰχθύσιν ὑδρομελάθροις.

» θηρσί τ' ὀρειμελέεσσιν. ἰδὲ πτεροβάμοσι κύμβαις. παραθέμενος δὲ ὁ Ἀριστοτέλης τὰ τοῦ Ἐμπεδο-
κλέους ἔπη, ἐν οἷς αὐτὸν οἴεται τήν τε κίνησιν καὶ τὴν ἀκινησίαν παραδιδόναι, τὴν μὲν κίνησιν κατὰ
τὴν γένεσιν θεωρεῖ, τοῦ τε ἑνὸς ἐκ τῶν πολλῶν καὶ τῶν πολλῶν ἐκ τοῦ ἑνός, σαφῶς καὶ τοῦ Ἐμπεδο-
κλέους εἰπόντος, τῇ μὲν γίνονταί τε καὶ οὔ σφισιν ἔμπεδος αἰών. ὅτι γὰρ τῇ γενέσει κίνησις σύνεστιν
εἴρηται πρότερον. τὴν δὲ ἀκινησίαν ἔοικεν ὁ Ἐμπεδοκλῆς ἐνορᾶν κατὰ τὴν ἀΐδιον ταυτότητα, τῆς
εἰς ἄλληλα τοῦ ἑνὸς καὶ τῶν πολλῶν μεταβολῆς. τοιοῦτο γὰρ τὸ, ᾗ δὲ τάδ' ἀλλάσσοντα διαμπερὲς
οὐδαμὰ λήγει, ταύτῃ δ' αἰὲν ἔασιν ἀκίνητοι κατὰ κύκλον. ὁ δὲ Ἀλέξανδρος οἶδε μὲν καὶ τοῦτον τὸν
νοῦν. φησὶ δὲ μὴ κατὰ τοῦτον ἐκδέχεσθαι τὸν Ἀριστοτέλη, ἀλλὰ καὶ ταῦτα περὶ τῆς μεταβολῆς ἀ-
κούειν. ὅταν λέγῃ, ᾗ δὲ τάδ' ἐνθένδ' ἀλλάσσοντα. τουτέστιν εἰς τάδε ἐκ τῶνδε μεταβάλλοντα οὐ λή-
γει. κατὰ τὴν ἀμείβειν ταύτην καὶ τὴν εἰς ἄλληλα ἐν μέρει μεταβολήν. καὶ ταύτῃ ἀΐδιά ἐστι τουτέστιν
ἀΐδιος αὐτῶν ἡ εἰς ἄλληλα μεταβολή. ἰδίᾳ μὲν γὰρ οὐθέτερον τῶν γινομένων ὑπὸ τοῦ νείκους ἢ τῆς
φιλίας ἐκ τῶν στοιχείων ἀΐδιόν ἐστιν. οὐδ' ἔμπεδος αὐτοῖς ὁ αἰών. ἡ μέντοι εἰς ἄλληλα αὐτῶν μεταβο-
λὴ ἀΐδιος. τοῦτο γὰρ τί σημαίνει τὸ αἰὲν ἔασι. ταῦτα κατὰ λέξιν εἰπὼν ὁ Ἀλέξανδρος ἐπάγει. εἶτα ἐπὶ
τούτοις εἴη ἂν ἰδίᾳ λεγόμενον τὸ, ἀκίνητοι κατὰ κύκλον. τουτέστιν ἀκίνητα γινόμενα καθ' ἑκάστην πε-
ρίοδον, καὶ καθ' ἑκάστην τελειότητα, ἣν κύκλον λέγει. μή ποτε δὲ ἀπίθανος ἡ ἀπόστασις τοῦ ἀκίνητοι
κατὰ κύκλον, ἅμα δὲ καὶ ἀδιανόητος. λείπεται γὰρ τοῦ αἰὲν ἔασιν. ἀλλὰ μᾶλλον ῥητέον οὕτως ἀκούειν
τὸν Ἀριστοτέλη, ὅτι καθ' ὅσον μὲν εἰς ἄλληλα ἀεὶ μεταβάλλει, ἀΐδιος αὐτῶν ἡ μεταβολὴ καὶ ἡ κίνη-
σις. καθ' ὅσον δὲ ἐνθένδε ἐκεῖσε μεταβάλλοντα τὰ δὲ γίνεται, οἷον ἐκ πολλῶν ἓν ἢ ἐξ ἑνὸς πολλά, καὶ
μετὰ τὴν μεταβολὴν ἵσταται ποτὲ μὲν εἰς τὸ ἓν εἶναι ποτὲ δὲ εἰς τὸ πολλά, ταύτῃ κατὰ περιόδους
ἀεὶ μετὰ τὴν μεταβολὴν ἀποκαθιστάμενα, εἰς τὸ τοῦ ἑνὸς ἢ τὸ τῶν πολλῶν εἶδος, ἀκίνητά ἐστι κατὰ
τὴν περίοδον ἐκείνην. ἕως ἂν πάλιν μεταβάλλειν ἄρξηται. φαίνεται δὲ καὶ ὁ Θεμίστιος ταύτης
τῆς ἐννοίας ἐχόμενος. τὴν γοῦν ἠρεμίαν ἐν τοῖς μεταξὺ τῶν μεταβολῶν χρόνοις γίνεσθαί φησιν.

Σ ΚΕΠΤΈΟΝ ΔΗ' περὶ τούτων πῶς ἔχει. πρὸ ἔργου γὰρ οὐ μόνον πρὸς τὴν περὶ φύσεως θεω-
ρίαν ἰδεῖν τὴν ἀλήθειαν, ἀλλὰ καὶ πρὸς τὴν μέθοδον τὴν περὶ τῆς ἀρχῆς τῆς πρώτης.

Ἡ περὶ τῆς ἀϊδίου κινήσεως ζήτησις ὅπως ἀναγκαία δείκνυσιν. ἔπειτα συντελεῖ μὲν καὶ πρὸς τὴν
φυσικὴν θεωρίαν. εἰ γὰρ ἀΐδιος ἡ φυσικὴ κίνησις. ἡ μὲν κατὰ συνέχειαν, ἡ δὲ κατὰ τὴν ἀνέκλειπτον
μεταβολήν, δηλονότι καὶ τὰ φυσικὰ ἀΐδιά ἐστι. τὰ μὲν τῷ ἀριθμῷ τὰ αὐτὰ μένοντα. τὰ δὲ τῷ τὴν
ἄλλου φθορὰν ἄλλου γένεσιν ὑπάρχειν. συντελεῖ δὲ καὶ πρὸς τὴν ἐπὶ τὴν πρώτην ἀρχὴν ἄνοδον.
ἧς ἡ θεωρία οὐκέτι φυσικῆς ἐστι πραγματείας, ἀλλὰ τῆς πρώτης φιλοσοφίας. συντελεῖ δὲ καὶ
πρὸς ἐκείνην. ὅτι δειχθήσεται ἡ ἀΐδιος κίνησις ὑπὸ ἀκινήτου αἰτίου γινομένη, παντελῶς τῆς φυσι-
κῆς οὐσίας ἐξῃρημένου.

Ἀ ΡΞΏΜΕΘΑ δὲ πρῶτον, ἐκ τῶν διωρισμένων ἡμῖν ἐν τοῖς φυσικοῖς πρότερον. φαμὲν δὴ τὴν κί-
νησιν εἶναι, ἐντελέχειαν τοῦ κινητοῦ ᾗ κινητόν. ἀναγκαῖον ἄρα ὑπάρχειν τὰ πράγματα τὰ δυνά-
μενα κινεῖσθαι καθ' ἑκάστην κίνησιν. καὶ χωρὶς δὲ τοῦ τῆς κινήσεως ὁρισμοῦ, πᾶς ἂν ὁμολογήσειεν
ἀναγκαῖον εἶναι κινεῖσθαι τὸ δυνατὸν κινεῖσθαι καθ' ἑκάστην κίνησιν. οἷον ἀλλοιοῦσθαι μὲν τὸ ἀλλοιω-
τόν. φέρεσθαι δέ, κατὰ τόπον τὸ μεταβλητόν. ὥστε δεῖ πρότερον καυστὸν εἶναι πρὶν κάεσθαι. καὶ
καυστικόν, πρὶν κάειν.

Ὁ ρμήσας ἀποδεῖξαι τὴν κίνησιν ἀΐδιον οὖσαν διὰ πλειόνων ἐπιχειρημάτων, τὸ πρῶτον ἀπὸ τοῦ ὁρι-
σμοῦ ποιεῖται τῆς κινήσεως. ὃν ἐν τοῖς φυσικοῖς διορισθῆναί φησι, φυσικὰ καλῶν τὰ πρῶτα τῆς
φυσικῆς ἀκροάσεως πέντε βιβλία. ἅπερ καὶ περὶ ἀρχῶν ὀνομάζει πολλάκις. ἐν γὰρ τῷ τρίτῳ
τὸν τῆς κινήσεως ὁρισμὸν ἀποδέδωκεν. οὗ καὶ νῦν ὑπομιμνήσκει. ὅτι ἔστιν ἡ κίνησις ἐνέργεια τοῦ κι-
νητοῦ ᾗ κινητόν. τουτέστι μένοντος δυνάμει τοῦ κινουμένου ἕως ἂν κινῆται. ἀποβαλὸν γὰρ τελέως τὸ
δυνάμει καὶ ἐνεργείᾳ γινόμενον κατ' ἐκεῖνο, καθ' ὃ ἐλέγετο δυνάμει. οὐκέτι κινεῖται ἀλλ' ἕστηκεν
ἐν τῷ ἐνεργείᾳ. κινεῖται δὲ ἀεὶ καθ' ὃ ἔχει τι δυνάμει ἐπὶ τὸ ἐνεργείᾳ μεταβαῖνον. ἐκ δὴ ταύτης τῆς
ἐννοίας τῆς κινήσεως. ἀΐδιον δείκνυσι τὴν κίνησιν. οὐ τὴν κυρίως λεγομένην μόνην. ἀλλὰ τὴν μετα-
βολήν, ὑφ' ἣν καὶ γένεσίς ἐστι καὶ φθορά. τῆς γὰρ τοιαύτης ὁρισμός ἐστιν οὗτος. ἀΐδιον δὲ δείκνυσιν
οὐ τὴν δέ τινα τὴν κίνησιν τὴν ἄτομον. οἷον τήνδε τὴν λεύκανσιν. τοῦτο γὰρ αὐτόθεν ψεῦδος. ἀρχὴν γοῦν
ἔχει καὶ τελευτὴν ἡ ἄτομος. ἀλλὰ ἁπλῶς κίνησιν. ὥστε πάσης κινήσεως λαμβανομένης, ἀεὶ δείκνυ-
σθαι προϋπάρχουσαν ἄλλην κίνησιν τὴν ὁποιανοῦν. καὶ μετ' αὐτὴν ὑπάρχουσαν ἄλλην. ὥστε μή-
τε τὴν πρώτην κίνησιν δυνατὸν εἶναι λαβεῖν. ὡς εἶναί ποτε ὅτε οὐκ ἦν κίνησις. μηδενὸς κινουμένου
πρὸ τῆς πρώτης κινήσεως. μήτε τὴν ἐσχάτην, ὡς πάλιν μετὰ ταύτην μὴ εἶναι κίνησιν. διὰ τὸ μη-
δὲν κινεῖσθαι. καὶ δηλονότι ἡ οὕτως ἀΐδιος κίνησις οὔτε μία οὔτε συνεχής, ἐστὶν ἀλλ' ἐφεξῆς. λαβὼν
οὖν ἐκ τοῦ ὁρισμοῦ τῆς κινήσεως ὅτι ἀνάγκη τὸ μέλλον κινεῖσθαι κινητὸν εἶναι πρότερον κατὰ φύ-
σιν, καὶ τοιοῦτον ὡς δύνασθαι κινεῖσθαι, διότι πᾶσα ἐνέργεια γενητὴ ἀπὸ δυνάμεως προχωρεῖ,

καὶ οὐκ ἂν γένοιτό τι ὃ μὴ ἐδύνατο γενέσθαι, οὐδ' ἂν ἐκινήθη τι φυσικῶς μὴ δύναμιν ἔχον τοῦ κινηθῆναι, πρῶτον γὰρ ἐν τοῖς γενητοῖς τῷ χρόνῳ τὸ δυνάμει τοῦ ἐνεργείᾳ, διότι ἐξ ἀτελοῦς ἐπὶ τὸ τέλειον τὰ γινόμενα προκόπτει, ὅπερ οὖν ἐκ τοῦ ὁρισμοῦ δι' ὀλίγου ῥήματος ὑπομνήσας, τοῦ λέγοντος ἀναγκαῖον ἄρα ὑπάρχειν τὰ πράγματα τὰ δυνάμενα κινεῖσθαι καθ' ἑκάστην κίνησιν, ἐπέστησε καλῶς ὅτι καὶ χωρὶς τοῦ ὁρισμοῦ πᾶς ἂν ὁμολογήσειεν ἀναγκαῖον εἶναι ἐκεῖνο κινεῖσθαι, τὸ δυνάμενον κινεῖσθαι καθ' ἑκάστην κίνησιν. ὅπερ καὶ ἐπὶ ἑκάστου εἴδους τῆς κινήσεως παραδείκνυσιν, ἀλλοιοῦσθαι μὲν τὸ ἀλλοιωτὸν λέγων. κατὰ τόπον δὲ κινεῖσθαι τὸ φορητόν. καὶ πρὶν καίεσθαι καυστὸν ὑπάρχειν. ἐπειδὴ δὲ ἐν τοῖς φυσικοῖς καὶ γενητοῖς οὐ μόνα τὰ πάσχοντα κινούμενα πάσχει. ἀλλὰ καὶ τὰ κινοῦντα κινούμενα ποιεῖ, καὶ δεῖ καὶ ἐπὶ τούτων προϋπάρχειν τοῦ κινοῦντος τὸ κινητικόν, διὰ τοῦτο προσέθηκε καὶ καυστικὸν πρὶν κάειν. δῆλον δὲ ὅτι ταῦτα οὐκ ἐπὶ πάσης ἐνεργείας ἐστὶν ἀληθῆ. οὐ γὰρ ἐπὶ τῶν τελείων καὶ ὑπὲρ τὸ γενητόν. ἀλλ' ἐπὶ τῶν ἀτελῶν. ἐφ' ὧν ἀεὶ σύνεστι τὸ δυνάμει τῷ ἐνεργείᾳ, τοιαύτη δ' ἐστὶν ἡ κίνησις ἀμφοῖν οὖσα μίγμα. ὥστε ἐπὶ κινήσεως μεταβολικῆς οὔσης ἀληθὴς λόγος ὅτι δεῖ προϋπάρχειν τὸ πεφυκὸς κινεῖσθαι τῆς κινήσεως, εἴτε παθητικῶς εἴτε ποιητικῶς κινεῖται.

ΟΥ̓ΚΟΥ͂Ν ΚΑῚ ταῦτα, ἀναγκαῖον ἢ γενέσθαι ποτὲ οὐκ ὄντα, ἢ ἀΐδια εἶναι. εἰ μὲν τοίνυν ἐγένετο τῶν κινητῶν καὶ κινητικῶν ἕκαστον, ἀναγκαῖον πρότερον τῆς ληφθείσης ἄλλην γενέσθαι μεταβολὴν καὶ κίνησιν, καθ' ἣν ἐγένετο, τὸ δυνατὸν κινηθῆναι ἢ κινῆσαι. εἰ δ' ὄντα προϋπῆρχεν ἀεὶ κινήσεως μὴ οὔσης. ἄλογον μὲν φαίνεται, καὶ αὐτόθεν ἐπιστήσασιν. οὐ μὴν, ἀλλὰ μᾶλλον ἔτι προϊοῦσι. τοῦτο συμβαίνειν ἀναγκαῖον. εἰ γὰρ τῶν μὲν, κινητῶν ὄντων, τῶν δὲ, κινητικῶν, ὁτὲ μὲν ἔσται τι πρῶτον κινοῦν, τὸ δὲ κινούμενον. ὁτὲ δὲ, οὐδὲν, ἀλλ' ἠρεμεῖ, ἀναγκαῖον τοῦτο μεταβάλλειν πρότερον. ἦν γάρ τι αἴτιον τῆς ἠρεμίας, ἡ γὰρ ἠρέμησις, στέρησις τῆς κινήσεως. ὥστε πρὸ τῆς πρώτης μεταβολῆς, ἔσται μεταβολὴ προτέρα.

Λαβὼν ὅτι προϋπάρχειν ἀνάγκη τῆς κινήσεως τό, τε κινητὸν καὶ τὸ κινητικόν, καὶ λαβὼν αὐτὸ ἀπό τε τοῦ ὁρισμοῦ τῆς κινήσεως καὶ ἀπὸ τῆς ἐναργείας, ἐφεξῆς λοιπὸν ἐκ διαιρέσεως ἐρωτᾷ. ὅτι ἀναγκαῖον ταῦτα ἢ γενέσθαι ποτὲ οὐκ ὄντα πρότερον, ἢ ἀγένητα εἶναι. ἀλλ' εἰ μὲν γέγονε τὸ κινητὸν καὶ τὸ κινητικόν, ἐπεὶ πᾶσα γένεσις διὰ κινήσεως, ἀνάγκη πρὸ τοῦ τὸ μὲν κινῆσαι τὸ δὲ κινηθῆναι κίνησιν εἶναι, καθ' ἣν ταῦτα γέγονεν. ἄλλως γὰρ ἀδύνατον γενέσθαι τι. ὥστε πρὸ τοῦ τὸ μὲν κινῆσαι τὸ δὲ κινηθῆναι, ἀναγκαῖον εἶναι κίνησιν. ὥστε οὐκ ἦν ἀρχὴ κινήσεως ἡ ληφθεῖσα. εἰ δὲ μὴ ἐγένετο τὸ κινητὸν καὶ τὸ κινητικόν, ἀλλ' ὄντα προϋπῆρχεν ἀεὶ κινήσεως μὴ οὔσης, ἄλογον μέν φησι καὶ αὐτόθεν ἐπιστήσαντι φανεῖται, τὸ ἀμφοῖν ἀϊδίων ὑποκειμένων τοῦ τε κινητοῦ καὶ τοῦ κινητικοῦ, κατὰ τὸν ἄπειρον τὸν πρὸ τοῦ χρόνον μὴ ἐνεργήσαντα αὐτὰ κατὰ τὰς δυνάμεις ἃς ἔχουσι, νῦν ἄρξασθαι ταύτης τῆς ἐνεργείας ἀναιτίως. οὐ γὰρ ἔχομεν αἰτίαν ἀποδοῦναι διὰ τί νῦν ἀλλὰ μὴ πρότερον. ἔτι δὲ μᾶλλόν φησι τὸ ἄτοπον φανήσεται προϊοῦσι κατὰ τὸν λόγον. εἰ γὰρ ὄντων τῶν μὲν κινητῶν, τῶν δὲ κινητικῶν, καὶ ἠρεμούντων τὸν πρὸ τοῦ πάντα χρόνον, ὡς μὴ εἶναι τότε κίνησιν, νῦν ἤρξατο τὸ μὲν κινεῖν, τὸ δὲ κινεῖσθαι, ἀναγκαῖον μεταβολήν τινα περὶ αὐτὰ πρότερον γενέσθαι τῆς αἰτίας, δι' ἣν τὸν ἄπειρον πρὸ τοῦ χρόνον ἠρεμοῦντα, νῦν ἤρξατο τὸ μὲν κινεῖν, τὸ δὲ κινεῖσθαι, εἰ δὲ μεταβολήν, δηλονότι κίνησιν. πᾶσα γὰρ μεταβολὴ κίνησις ἢ μετὰ κινήσεως. τῶν γὰρ αὐτῶν περὶ αὐτὰ μενόντων, οὐκ ἂν πρότερον μὲν ἠρέμει, νῦν δ' ἐκινεῖτο ἀπό τινος ἀρξάμενα χρόνου. ἀλλὰ πάντως τι γέγονεν αἴτιον, ὃ πρότερον οὐκ ἦν, τοῦ τὸν ἄπειρον πρὸ τοῦ χρόνον μὴ ἐνεργοῦντα πρὸς ἄλληλα νῦν ἐνεργῆσαι. ἢ γὰρ πρότερον ἀλλήλων ἀφεστηκότα νῦν ἐπλησίασαν, ἢ μεταξύ τι ἦν τὸ κωλῦον, ὃ νῦν ἀνῄρηται, ἢ μὴ δὲ ἐπιτήδεια ὄντα πρότερον ὕστερον γέγονεν ἐπιτήδεια. ὅτι δὲ ἂν τούτων γένηται, δεῖ μεταβολῆς πρώτης καὶ κινήσεως, ἵνα δυνηθῇ κατ' ἐνέργειαν τούτων τὸ μὲν κινεῖν, τὸ δὲ κινεῖσθαι. ὥστε ἔσται πάλιν κίνησις πρὸ τῆς πρώτης κινήσεως, εἰπὼν δὲ ἦν γάρ τι αἴτιον τῆς ἠρεμίας, τὴν αἰτίαν τούτου προσέθηκεν ἐπενεγκών, ἡ γὰρ ἠρεμία στέρησις κινήσεως, ὅπερ ἦν δεδειγμένον ἐν τοῖς ἔμπροσθεν. πᾶσα δὲ στέρησις ἐξ αἰτίας γίνεταί τινος, ὥσπερ καὶ ἡ ἕξις, καὶ μάλιστα ἡ κατὰ τὴν ἠρεμίαν. οὐ γὰρ τοιαύτης στέρησίς ἐστιν ἡ ἠρεμία, οἷαι εἰσὶν αἱ παρὰ φύσιν στερήσεις, ἡ γὰρ φύσις ὥσπερ κινήσεως ἀρχὴ οὕτω καὶ ἠρεμίας λέγεται. εἰ οὖν πάντα τὰ κατὰ φύσιν γινόμενα κατὰ αἰτίας γίνεταί τινας, δηλονότι καὶ τῆς ἠρεμίας ἀνάγκη τι αἴτιον ὑπάρχειν, στέρησις δὲ ἡ ἠρεμία ὡς ἡ κατὰ τὴν δύναμιν ἐπιτηδειότης στέρησις λέγεται. διὸ καὶ αὐτὴ ἀρχή πως ἐστὶ τῶν ἐν γενέσει, καὶ πρώτη κατὰ χρόνον τῆς ἕξεως καὶ τῆς τελειότητος.

ΤᾺ ΜῈΝ ΓᾺΡ κινεῖ μοναχῶς. τὰ δὲ τὰς ἐναντίας κινήσεις, οἷον, τὸ μὲν πῦρ, θερμαίνει. ψύχει δ' οὔ. ἡ δὲ ἐπιστήμη δοκεῖ τῶν ἐναντίων εἶναι μία. φαίνεται μὲν οὖν καὶ ἐκεῖ, εἶναί τι ὁμοιότροπον. τὸ γὰρ ψυχρὸν θερμαίνει στραφέν πως καὶ ἀπελθόν. ὥσπερ καὶ ἁμαρτάνει ἑκὼν ὁ ἐπιστήμων ὅταν

ἀνάπαλιν χρήσεται τῇ ἐπιστήμῃ. ἀλλ' οὖν γε ὅσα δυνατὰ ποιεῖν καὶ πάσχειν ἢ κινεῖν, τὰ δὲ κινεῖσθαι οὐ πάντως δυνατά ἐστιν, ἀλλ' οὕτως ἔχοντα καὶ πλησιάζοντα ἀλλήλοις. ὥσθ' ὅταν πλησιάσῃ, τὸ μὲν, κινεῖ, τὸ δὲ κινεῖται καὶ ὅταν ὑπάρξῃ. ὡς εἶναι τὸ μὲν κινητικόν. τὸ δὲ κινητόν. εἰ τοίνυν μὴ ἀεὶ ἐκινεῖτο, δῆλον· ὡς οὐχ οὕτως εἶχον, ὡς μὴ δυνάμενα, τὸ μὲν, κινεῖσθαι. τὸ δὲ, κινεῖν. ἀλλ' ἔδει μεταβάλλειν θάτερον αὐτῶν. ἀνάγκη γὰρ ἐν τοῖς πρός τι τοῦτο συμβαίνειν. οἷον εἰ μὴ ὂν διπλάσιον. νῦν διπλάσιον μεταβάλλειν. ἢ εἰ μὴ ἀμφότερα θάτερον. ἔσται ἄρα τις προτέρα μεταβολὴ τῆς πρώτης.

Δ δείξας ὅτι κἂν γενητὰ ὑποτεθῇ τό, τε κινοῦν καὶ τὸ κινούμενον, κἂν ἀΐδια μὲν, ἀπ' ἀρχῆς δὲ χρόνου τὸ κινεῖν καὶ τὸ κινεῖσθαι λαβόντα, ἀνάγκη πρὸ τῆς ὑποτεθείσης ἀρχῆς τῆς κινήσεως ἄλλην λαμβάνεσθαι κίνησιν. ὥστε τῆς πρώτης δοκούσης μεταβολῆς εἶναι πάντως ἀεὶ προτέραν. καὶ οὕτως ἀΐδιον δείκνυσθαι τὴν κίνησιν, τῷ μὴ εἶναι τὴν πρώτην λαβεῖν, ταῦτα οὖν δείξας ἀπὸ τοῦ κινουμένου μάλιστα, ἐφεξῆς καὶ ἀπὸ τοῦ κινοῦντος τὸ αὐτὸ δείκνυσι. τὸ γὰρ κινητικόν τινος δυνάμει, εἰ μέλλοι καὶ ἐνεργείᾳ κινεῖν, μεταβάλλειν αὐτὸ πρῶτον ἀνάγκη, τοῦ κινητοῦ ὡσαύτως ἔχοντος ὑποκειμένου. καὶ ἦν μὲν τοῦτο καὶ αὐτόθεν ἐναργές. τοῦ γὰρ κινητοῦ ὁμοίως ἔχοντος, εἰ καὶ τὸ κινητικὸν ὁμοίως ἔχει, διατί ποτὲ μὲν δυνάμει μόνον ἦν, ποτὲ δὲ ἐνεργείᾳ κινητικόν. αὐτὸς δὲ καὶ κατ' ἄλλην μέθοδον αὐτὸ δείκνυσι. προλαβὼν γὰρ δυνάμει, ὅτι τὰ τὰς ἐναντίας κατὰ φύσιν κινοῦντα κινήσεις, τῶν κινουμένων τῶν αὐτῶν μενόντων, ἀνάγκη αὐτὰ μεταβάλλοντα τὰς ἐναντίας κινεῖν, ἐκ διαιρέσεως λοιπὸν λαμβάνει. ὅτι τῶν κινούντων τὰ μὲν μίαν ἁπλῆν κίνησιν κινεῖ. ὡς τὸ πῦρ θερμαίνει, καὶ ἡ χιὼν ψύχει. τὰ δὲ τὰς ἐναντίας. ὡς ἡ ἐπιστήμη τὴν ψυχὴν πρὸς τὸ ἀληθὲς καὶ τὸ ψεῦδος. ὅταν ἑκὼν ὁ σπουδαῖος διαμαρτάνῃ πρὸς ἀπάτην τινός, καὶ ἐμφανίζει ὅτι καὶ τὰ δοκοῦντα μοναχῶς κινεῖν, καὶ ταῦτα τὰς ἐναντίας ἐμποιεῖ διαθέσεις. ὥσπερ τὸ ψυχρὸν θερμαίνει κατὰ συμβεβηκὸς τῷ ἀποστῆναι. οὕτω δὲ καὶ τὸ κατὰ τόπον κινοῦν ἠρεμίζει τῷ ἀποστῆναι, τουτέστι τῷ, αὐτὸ ἀλλοίως διατεθῆναι. ὥστε πάντα τὰ κινοῦντα οὐκ ἀεὶ δύναται κινεῖν, οὐδὲ ἀεὶ ἠρεμίζειν. ἀλλὰ πλησιάζοντα μὲν εἰ τύχοι κινεῖν ἀφιστάμενα δὲ ἠρεμίζειν. ὥστε ὅταν οὕτως ἔχῃ, ὡς τὸ μὲν μὴ κινεῖν, τὸ δὲ μὴ κινεῖσθαι, εἶτα ὕστερον τὸ μὲν κινῇ. τὸ δὲ κινῆται, δηλονότι μεταβολή τις γέγονεν ἢ περὶ ἄμφω ἢ περὶ θάτερον. πάντα γὰρ τὰ πρός τι οὕτως ἐκ τοῦ δυνάμει γίνεται ἐνεργείᾳ, ἢ ἑτέρου μεταβάλλοντος ἢ ἀμφοῖν. πρός τι δὲ καὶ τὸ κινοῦν καὶ τὸ κινούμενον. εἰκότως οὖν πάλιν συμπεραινόμενος τὸν λόγον, ἐπήγαγεν ἔσται ἄρα τις προτέρα μεταβολὴ τῆς πρώτης. καὶ περὶ ταύτης πάλιν τὰ αὐτὰ ἐρωτητέον, ἢ κινεῖται τὸ κινοῦν ἵνα ἐνεργείᾳ δυνηθῇ κινεῖν. διατί γὰρ πάλιν ἐκείνην τὴν κίνησιν νῦν ἀλλὰ μὴ πρότερον ἐκινήθη. ἔσται γὰρ πάλιν τὸ τοῦ κινοῦντος κινητικὸν πρότερον αὐτὸ κινούμενον, ἵνα τοῦτο κινήσῃ μὴ πρότερον αὐτὸ κινοῦν. ταῦτα μὲν οὖν τὰ τοῦ ἀριστοτέλους ἐν τῇ πρώτῃ τῶν ἀποδείξεων, κατὰ τοιαύτας ἐννοίας οἶμαι ῥηθέντα. ἐπειδὴ δὲ πολλοὺ συρφετὸν ὁ γραμματικὸς ἐκεῖνος, κατ' αὐτῶν μὲν οὐχὶ, κατὰ δὲ τῶν ἀνοήτων ἀνθρώπων ἐπεσώρευσε, φέρε τὸν ἀλφειὸν μεθ' ἡρακλέους παρακαλέσαντες, τῶν εἰσδεξαμένων αὐτὸν ψυχῶν κατὰ τὸ δυνατὸν ἐκκαθάρωμεν. προθεὶς δὴ τὴν ἀριστοτέλους ῥῆσιν, καὶ τοῦ τε ἀλεξάνδρου τὴν ἐξήγησιν πᾶσαν καὶ τοῦ θεμιστίου τὴν παράφρασιν ἐπενεγκὼν, ἵνα πολύστιχα μᾶλλον αὐτοῦ γινόμενα τὰ συγγράμματα τῷ πλάτει, καταπλήττῃ τοὺς ἰδιώτας, ἐπάγει λοιπὸν τὰς ἑαυτοῦ ἐνστάσεις τῷ λόγῳ, πρώτην τοιάνδε. ἐπειδή φησιν ὁ ἀριστοτέλης τὴν κίνησιν ὁριζόμενος ἐντελέχειαν εἶναι τοῦ κινητοῦ ᾗ κινητόν, κοινῶς πᾶσαν κίνησιν διὰ τοῦ ὁρισμοῦ περιείληφεν, ἀλλὰ δὴ καὶ τῶν κινήσεων τὰς μὲν ἀϊδίους εἶναι, τὰς δὲ καὶ ἀρχὴν καὶ πέρας ἔχειν ὑποτίθεται, πόθεν ὡς ἑπόμενον τῷ ὁρισμῷ τῆς κινήσεως εἴληφε, τὸ τῆς μὴ ἀϊδίου κινήσεως ἀλλ' ἀρχὴν ἐχούσης τοῦ εἶναι, προϋπάρχειν ἐξ ἀνάγκης κατὰ χρόνον τὰ κινεῖσθαι μέλλοντα μόνην τὴν δύναμιν τῆς κινήσεως χωρὶς τῆς ἐνεργείας ἔχοντα. τοῦτο γὰρ ὅτι μὴ ἔστιν ἀληθὲς, πειρᾶται κατασκευάζειν οὕτω. πᾶς ὁρισμός φησιν ἰσοτίμως τοῦ ὁριστοῦ παντὸς κατηγορεῖται. καὶ μηκύνει κἀνταῦθα τὸν λόγον τοῖς παραδείγμασιν. ὥστε φησὶ καὶ ὁ τῆς κινήσεως ὁρισμὸς ὁμοίως ἐφαρμόττει καὶ τῇ ἀνάρχῳ κινήσει, εἴτις εἴη τοιαύτη, καὶ τῇ ἀρχὴν ἐχούσῃ. εἰ οὖν ἐπὶ τῆς μὴ ἀϊδίου ἕπεται τῷ ὁρισμῷ, τὸ προϋπάρχειν δεῖν κατὰ χρόνον τῆς κινήσεως τὸ κινούμενον, ἕψεται τὸ αὐτὸ καὶ ἐπὶ τῆς ἀϊδίου. εἰ οὖν ταῦτα ἀληθῆ, ἀνάγκη ἢ μὴ ἀληθεύειν τὸν ὁρισμὸν ἐπὶ τῆς ἀϊδίου κινήσεως, καίτοι ὡς κοινὸν ἀποδοθέντα, ὅπερ ἄτοπον. ἢ εἰ καὶ ἐπὶ ταύτης ἀληθεύοι τὸ κατὰ χρόνον προϋπάρχειν τῆς κινήσεως τὸ κινούμενον, ὥστε καὶ τῆς κυκλοφορίας προϋπάρχειν κατὰ χρόνον τὴν τοῦ οὐρανοῦ οὐσίαν, οὐδὲν δὲ τῶν ἐχόντων τι κατὰ χρόνον ἑαυτοῦ προϋπάρχον ἀΐδιόν ἐστιν, οὔτε ἡ κατ' αὐτὸν ἀΐδιος κίνησις ἀΐδιος ἔσται. καὶ εἰς τοὐναντίον ὁ λόγος

αὐτῷ περιέσπασται. ἢ εἰ βούλονταί φησιν ἀΐδιον κίνησιν εἶναι, οὐκ ἔστιν ἀληθὲς τὸ τῷ ὁρισμῷ
τῆς κινήσεως ἐξ ἀνάγκης ἕπεσθαι. τὸ προϋπάρχειν κατὰ χρόνον τῆς κινήσεως τὸ κινητόν. ἐπὶ
γὰρ τῆς ἀϊδίου κινήσεως οὐ προϋπάρχει. εἶτα ἐφεξῆς σπουδάζει δεικνύναι. ὅτι ὅτε τὸν ὁρι-
σμὸν ἀπεδίδου τῆς κινήσεως ὁ ἀριστοτέλης, οὐ ταύτην εἶχε τὴν ἔννοιαν τοῦ δυνάμει, ὡς δυνα-
μένου χωρίζεσθαι τῆς ἐνεργείας τουτέστι τῆς κινήσεως, ἀλλ' ὡς καὶ τῆς κινήσεως ἕως τότε οὔ-
σης, ἕως ἂν ἔστι τὸ δυνάμει. καὶ τοῦ δυνάμει ἕως τότε ὄντος, ἕως ἔστιν ἡ κίνησις. παυσαμένης
γὰρ τῆς κινήσεως, ὅταν εἰς τέλος ἔλθῃ τὸ κινούμενον, παύεσθαι καὶ τὸ δυνάμει. καὶ παρα-
τίθεται τοῦ ἀριστοτέλους λέξιν λέγοντος, ἀλλ' ὅταν ἡ οἰκία, οὐκέτι οἰκοδομητόν ἐστιν. οἰκοδομεῖ-
ται δὲ τὸ οἰκοδομητὸν, καὶ τοὺς ἐξηγητὰς τῶν ἐκεῖ λεγομένων προσμαρτύρεται, ὅτι ὡς συ-
νοῦσαν τῇ κινήσει τὴν δύναμιν ἐν ἐκείνοις ἔλαβεν ὁ ἀριστοτέλης, καὶ οὐχ ὡς κεχωρισμένην
τῆς ἐνεργείας, ὡς νῦν παραλογίσασθαί φησι βουλόμενοι κέχρηνται. τοιαύτη μὲν ἡ πρώτη τοῦ-
δε τοῦ ἀνδρὸς ἔνστασις, σπουδάζοντος δεικνύναι, ὅτι μὴ καλῶς εἴρηται προϋπάρχειν κατὰ χρό-
νον τῆς κινήσεως τὰ δυνάμενα κινεῖσθαι. ῥητέον δὲ πρὸς αὐτὰ πρῶτον μὲν ὅτι ὁ τῆς κινήσεως
ὁρισμὸς πάσης ὁμοίως ἐστὶ κινήσεως, τῆς τε ἀϊδίου καὶ τῆς ἀρχὴν καὶ τέλος ἐχούσης. πᾶσα
γὰρ κίνησις ἐνέργειά ἐστι τῶν μετὰ τοῦ ἐνεργεῖν καὶ τὸ δυνάμει ἔτι πρὸς τὸ ἐνεργεῖν ἐχόντων.
διὸ καὶ ἀτελὴς ἐνέργεια ἡ κίνησις λέγεται, ὅτι τῷ δυνάμει ἀεὶ συνυπάρχει. δεύτερον δὲ ὅ-
τι καὶ τὸ προϋπάρχειν τῆς κινήσεως τὸ δυνάμενον κινεῖσθαι, ἐπὶ πάντων μὲν καὶ αὐτὸ τῶν
κινουμένων ἀληθές. ἀλλ' ἐπὶ μὲν τῶν ἀρχὴν καὶ τέλος ἐχόντων τῆς κινήσεως, οὕτω προϋπάρ-
χειν τῆς κινήσεως τὸ δυνάμενον κινεῖσθαι, ὡς καὶ μήπω κινήσεως οὔσης ὑπάρχειν ἐκεῖνα ἐπὶ
δὲ τῶν ἀΐδιον κίνησιν κινουμένων ἀεὶ μὲν ἔστι κίνησις, ἄλλοτε δὲ ἄλλη δηλονότι. ἀεὶ δὲ τὸ πρὸς
ἑκάστην κίνησιν δυνάμει προϋπάρχει τῆς κινήσεως. ὁ γὰρ ἥλιος ὅτε τὸν κριὸν κινεῖται, δύ-
ναμιν ἔχει τοῦ καὶ τὸν ταῦρον μετὰ τὸν κριὸν διελθεῖν. καὶ δηλονότι τὸν κριὸν διερχόμενος,
προϋπάρχει μετὰ τοῦ δυνάμει τῆς κατὰ τὸν ταῦρον κινήσεως. τούτων οὖν οὕτως ἐχόντων, ὅ-
ρα ὅπως ἢ τοῖς ἄλλοις οὗτος ὡς ἀναισθήτοις προσφέρεται, ἢ ἑαυτὸν παραλογιζόμενος οὐκ αἰ-
σθάνεται. εἰ γὰρ τῆς κυκλοφορίας προϋπάρχει φησὶ κατὰ χρόνον ὁ οὐρανὸς, οὐκ ἂν εἴη ἀΐ-
διος ἡ κυκλοφορία. παρελογίσθη δὲ τὴν ἀΐδιον κυκλοφορίαν ἅμα πᾶσαν ὑφεστῶσαν τὴν ἄπει-
ρον λαβὼν, καὶ οὕτω προϋπάρχειν αὐτῆς κατὰ χρόνον τὸν οὐρανὸν ὑποθέμενος, καὶ συνά-
γειν οἴεται ὅτι οὐκ ἔστιν ἀΐδιος ἡ κυκλοφορία. εἴπερ ἔχει τι κατὰ χρόνον προϋπάρχον ἑαυ-
τῆς. ἔδει δὲ μὴ ὡς ἅμα ὑφεστῶσαν ἄπειρον τὴν ἀΐδιον κίνησιν ὑποθέσθαι, ἀλλ' ὡς ἐν τῷ γίνε-
σθαι ἐπ' ἄπειρον ἀΐδιον ἔχουσαν τὸ εἶναι. αὕτη γὰρ ἡ τῆς κινήσεως φύσις οὐχ ἅμα ὑφεστώ-
σης, ἀλλ' ἐν τῷ γίνεσθαι τὸ εἶναι ἐχούσης. ὥστε τῆς ἀεὶ ὑπαρχούσης κινήσεως ἄλλοτε ἄλλης
οὔσης, προϋπάρχει πάντως ἀεὶ τὰ δυνάμενα κινεῖσθαι, μάτην ἄρα οὗτος νεανιεύεται, ὡς εἰς
τοὐναντίον περιτρέψας τὸν λόγον. ἔτι δὲ μάτην παραλογίζεσθαι τὸν ἀριστοτέλη φησὶ, καὶ
τοὺς ἀριστοτέλους ἐξηγητὰς, τῷ ὁρισμῷ τῆς κινήσεως ἀκολουθεῖν λέγοντας, τὸ προϋπάρχειν
τῆς κινήσεως τὸ δυνάμενον κινεῖσθαι. κἂν γὰρ εἶπεν ὁ ἀριστοτέλης ὅτι μετὰ τῆς κινήσεώς ἐστι
τὸ δυνάμει. καὶ παυσαμένης τῆς κινήσεως, ὅταν εἰς τέλος ἔλθῃ τὸ κινούμενον καὶ γένηται
ἡ οἰκία, παύεται καὶ τὸ οἰκοδομητόν. τουτέστι τὸ δυνάμει, ἀλλ' οὐκέτι καὶ ἐκεῖνο εἶπεν, ὅτι μή-
πω οὔσης τῆς κινήσεως, οὐδὲ τὸ δυνάμει ἐστίν. ὅπερ ἐμάχετο ἂν τῷ λέγοντι λόγῳ προϋπάρ-
χειν τῆς κινήσεως τὸ δυνάμενον κινεῖσθαι. ἀλλ' οὗτος οὐδὲν τῶν λεγομένων συνιεὶς, σπουδά-
ζει δεικνύναι τὸν ἀριστοτέλη καὶ τοὺς τοῦ ἀριστοτέλους ἐξηγητὰς, καὶ συνυπάρχειν καὶ συ-
ναποπαύεσθαι τὸ δυνάμει καὶ τὴν κίνησιν λέγοντας. οὐκ ἐφιστάνων ὅτι κἂν συνυπάρχῃ καὶ
συναποπαύηται, οὐδὲν κωλύει καὶ προηγεῖσθαι. τοῦτο γὰρ καὶ ἐπὶ τῶν ἀρχὴν καὶ τελευ-
τὴν ἐχουσῶν κινήσεων καὶ ἐναργέστατα φαίνεται γινόμενον. τὸ γὰρ δυνάμενον κινεῖσθαι καθ'
ἑκάστην κίνησιν τέως ἠρεμοῦν. ὀλίγον ὕστερον κινεῖται. πῶς δὲ ὁ ταύτας τοῦ ἀριστοτέλους τὰς
ῥήσεις παραγράφειν φιλοτιμούμενος, ἐν αἷς λέγει συνυπάρχειν καὶ συναποπαύεσθαι τῇ κι-
νήσει τὸ δυνάμει, οὐκ ἐκείνας ἐνενόησεν, ἐν αἷς λέγει μὴ κατὰ ταυτὸν συνυπάρχειν τὸ δυνά-
μει καὶ τὸ ἐνεργείᾳ μὴ δὲ ἅμα. ὅταν ἐν τῷ τρίτῳ λέγῃ, ἐπεὶ δ' ἔνια ταυτὰ καὶ δυνάμει καὶ
ἐνεργείᾳ ἐστὶν, οὐχ ἅμα δὲ ἢ οὐ κατὰ ταυτὸν, ἀλλ' οἷον θερμὸν μὲν ἐντελεχείᾳ, ψυχρὸν δὲ δυνά-
μει. καὶ πάλιν αὐτός, ἐστὶν ὁ λέγων, ἐνδέχεται γὰρ ἕκαστον ὁτὲ μὲν ἐνεργεῖν, ὁτὲ δὲ μὴ, τῶν
δυνάμει ὄντων δηλονότι. παραθέμενος δὲ καὶ τοῦ θεμιστίου τὴν παράφρασιν ταύτης τῆς λέ-
ξεως λέγουσαν. ἐνδέχεται γὰρ ἕκαστον ὁτὲ μὲν ἐνεργεῖν καθ' ὃ δύναται. ὁτὲ δὲ μήπω, οἷον τὸ
οἰκοδομητὸν ἐστὶ δυνάμει, ποτὲ μὲν ἐνεργεῖν ὡς οἰκοδομητὸν ὅταν οἰκοδομῆται, ποτὲ δὲ οὔ. οἷον

ἐκέοιντο ἁπλῶς λίθοι καὶ ὁ πηλὸς, μήπω κινούμενοι ὑπὸ τοῦ τεχνίτου, οὐκ ἐπέστησεν ὅτι προϋπάρχειν οὗτοι λέγουσιν οἱ λόγοι τῆς κινήσεως τὸ δυνατὸν κινεῖσθαι. τοιοῦτο μὲν οὖν τὸ πρῶτον τοῦδε τοῦ ἀνδρὸς πάλαισμα, παρὰ ὀρθῷ κριτῇ πολλὴν οἶμαι ἀλογιστίαν ἐμφαῖνον. ἵνα τὰ μεταξὺ πολλὰ θρασέως ἀποφανθέντα παραλείπω. ὧν τάχα οὐδὲν κωλύει κἂν ἑνὸς μνημονεῦσαι, πρὸς τὴν τῆς ἕξεως αὐτοῦ κατανόησιν. πᾶς φησὶν ὁρισμὸς ἰσοτίμως τοῦ ὁριστοῦ κατηγορεῖται. ὥσπερ ὁ τῆς οὐσίας ὁρισμὸς οὐκ ἄλλως μὲν ἐπὶ τῶν ἀϊδίων οὐσιῶν, ἄλλως δὲ ἐπὶ τῶν ἐν γενέσει καὶ φθορᾷ νοεῖται. καίτοι τίς οὕτως ἐστὶν ὀψιμαθὴς, ὡς ἀγνοεῖν ὅτι κατὰ τὴν ἀφ᾽ ἑνὸς πρόοδον ἀπὸ τῆς ἀϊδίου οὐσίας ἡ γενητὴ πρόεισιν οὐσία. καὶ κἂν ᾖ τις ὁρισμὸς κοινὸς τῆς οὐσίας, καὶ οὗτος ὡς ἀφ᾽ ἑνὸς προϊὼν, ἀλλ᾽ οὐκ ἰσοτίμως ὡς οὗτός φησι ταῖς διαφόροις οὐσίαις ἐφαρμόσει. ἀλλ᾽ ὡς ἔοικεν ἀκούσας ἐν εἰσαγωγαῖς ἐπίσης τὰ γένη τῶν εἰδῶν κατηγορεῖσθαι, ἐνόμισε καὶ τοῖς ὁρισμοῖς τοῦτο προσήκειν. δεύτερον δ᾽ ἐπιχείρημα προσάγει τοῖς ὑπὸ τοῦ ἀριστοτέλους εἰρημένοις τοιοῦτον. καὶ ἐπὶ τῶν κινήσεών φησι τῶν ὁμολογουμένως ἀρχὴν ἐχουσῶν τοῦ εἶναι καὶ πέρας, εἰ δειχθείη τινὰ τῶν οὕτω κινουμένων, ἅμα τε εἰς τὸ εἶναι παραγόμενα, καὶ εὐθὺς συνεπομένην τὴν ἐκ φύσεως αὐτοῖς προσοῦσαν κίνησιν ἔχοντα, δῆλον οἶμαι παντὶ γένοιτο ἂν, ὡς ἐφαρμόσει καὶ τῇ αὐτῶν κινήσει ὁ ὁρισμός. κινητὰ γὰρ ὄντα καὶ δυνάμενα κινεῖσθαι, οὕτω κινεῖται μενούσης ἔτι τῆς δυνάμεως, καὶ οὐ προϋπάρχει τῆς κινήσεως τὰ πράγματα δυνάμει ὄντα μόνον. οὕτως οὖν τὴν ἅμιλλαν προβαλλόμενος, πειρᾶται δεικνύναι ὅτι τινὰ τῶν γενητῶν ἅμα τε γέγονε, καὶ τὴν κατὰ φύσιν εὐθὺς κινεῖται κίνησιν. καὶ φησὶν ὅτι τὸ πῦρ εἰ κάτω συνίσταιτο, ἅμα τε πῦρ γίνεται. καὶ σύνδρομον ἴσχει τῇ οὐσίᾳ τὴν ἐπὶ τὸ ἄνω φοράν. ὁμοίως καὶ τὸ ἐν τοῖς νέφεσι συνιστάμενον ὕδωρ, ἅμα τῷ συστῆναι εἰ μή τι κωλύσει. ἐπὶ τὸ κάτω φέρεται. εἶτα ὥσπερ ἔνστασιν λύων τὴν λέγουσαν. ὅτι προϋπάρχει τὸ ξύλον δυνάμει ὂν πῦρ, τῆς τοῦ πυρὸς ἐπὶ τὸ ἄνω κινήσεως, ὅτε ἐκ ξύλου τὸ πῦρ γέγονεν, οὐ τὸ ξύλον φησὶν ἦν τὸ τὴν δύναμιν ἔχον τῆς ἐπὶ τὸ ἄνω φορᾶς. γένεσις γὰρ ἡ εἰς τὸ πῦρ τοῦ ξύλου μεταβολὴ καὶ οὐ κίνησις. ὁ δὲ εἰρημένος ὁρισμὸς οὐ γενέσεώς ἐστιν ἀλλὰ κινήσεως. ἐντελέχεια γάρ φησι τοῦ κινητοῦ ᾗ κινητόν. οὐκοῦν εἰ ἡ μὲν ἐπὶ τὸ ἄνω φορὰ κίνησίς ἐστι καὶ οὐ γένεσις, ἡ δὲ εἰς τὸ πῦρ τοῦ ξύλου μεταβολὴ γένεσίς ἐστι καὶ οὐ κίνησις, εἰ καὶ μὴ ἄλλου κινήσεως ἡ γένεσις, οὐκ ἄρα ἡ ἐπὶ τὸ ἄνω φορὰ τοῦ πυρὸς ἐντελέχεια ἦν τῆς τοῦ ξύλου δυνάμεως. τὰ μὲν γὰρ κινούμενα καθ᾽ ἕκαστον εἶδος κινήσεως, μένοντα ἐπὶ τῆς αὐτῶν οὐσίας καὶ μὴ φθειρόμενα κινεῖται. τὸ δὲ ξύλον οὐ μένον ξύλον ἐπὶ τὸ ἄνω φέρεται. ἀλλὰ φθαρὲν καὶ εἰς πῦρ μεταβεβληκὸς οὐκ αὐτὸ κινεῖται. πῶς γὰρ τὸ φθαρὲν καὶ μηκέτι ὄν. ἀλλὰ τὸ ἐξ αὐτοῦ γινόμενον πῦρ. οὐκ ἀρκεσθεὶς δὲ τούτοις καὶ ἄλλα ἐπάγει ἐπιχειρήματα, δεικνύναι πειρώμενος, ὅτι οὐ τὸ ξύλον ἐστὶ τὸ τὴν δύναμιν ἔχον τοῦ ἄνω φέρεσθαι, ἀλλὰ τὸ πῦρ. ἐκ τούτου δεικνύναι νομίζων, ὅτι οὐκ ἔστιν ἀληθὲς τὸ προϋπάρχειν τῆς κινήσεως τὸ δυνάμενον κινεῖσθαι. ἐξ οὗ δέδεικται ἡ τῆς κινήσεως ἀϊδιότης, τὸ μὲν γὰρ ξύλον φησὶ προϋπάρχει τῆς τοῦ πυρὸς ἐπὶ τὸ ἄνω κινήσεως, ἐπειδὴ καὶ τοῦ πυρὸς τοῦ ἐξ αὐτοῦ γινομένου προϋπάρχει. τὸ δὲ πῦρ ἅμα πῦρ ἐστὶ καὶ ἐπὶ τὸ ἄνω κινεῖται, διὰ τοῦτο οὖν ἐπιμένει δεικνύς. ὅτι οὐ τὸ προϋπάρχον ἐστὶ τὸ δυνάμενον κινεῖσθαι, οἷον τὸ ξύλον. ἀλλ᾽ αὐτὸ τὸ κινούμενον οἷον τὸ πῦρ τὸ συνυπάρχον τῇ κινήσει, αὐτὸ καὶ δυνάμενόν ἐστι κινεῖσθαι. εἰ γὰρ τοῦ ξύλου φησὶν ἐντελέχειάν τις λέγει τὴν ἐπὶ τὸ ἄνω φορὰν, πρῶτον μὲν τῶν ἐναντίων ἡ αὐτὴ ἔσται ἐνέργειά τε καὶ κίνησις. τὸ μὲν γὰρ ξύλον βαρὺ, τὸ δὲ πῦρ κοῦφον. εἰ οὖν ἡ ἐπὶ τὸ ἄνω κίνησις καὶ τοῦ πυρός ἐστιν ἐνέργεια, καὶ τοῦ εἰς αὐτὸ μεταβεβληκότος ξύλου, τῶν ἐναντίων ἡ αὐτὴ ἔσται ἐνέργεια καὶ κίνησις. καὶ οὐ κατ᾽ ἄλλο τι, ἀλλὰ καθ᾽ ὃ τῶν ἐναντίων μετέχουσιν. ἐναντία δὲ κουφότης καὶ βαρύτης. οὐ μόνον δὲ τοῦτο. ἀλλὰ καὶ τοῦ αὐτοῦ ἑκατέρα τῶν ἐναντίων κινήσεων ἐντελέχεια ἔσται καὶ ἐνέργεια. εἴπερ τοῦ ξύλου καὶ ἡ ἐπὶ τὸ κάτω φορὰ ἐντελέχεια, καὶ ἡ ἐπὶ τὸ ἄνω. ἣν τὸ πῦρ φέρεται τὸ ἐξ αὐτοῦ γινόμενον. εἰ οὖν μὴ πέφυκέ φησι τὸ ξύλον ἕως ἂν ᾖ ξύλον τὴν ἄνω φορὰν φυσικῶς κινεῖσθαι, οὐδὲ δύναμιν ἕξει τῆς ἐπὶ τὸ ἄνω φορᾶς. οὐ δὲ ἔστιν αὐτοῦ ἐνέργεια καὶ τελείωσις ἡ ἐπὶ τὸ ἄνω τοῦ πυρὸς κίνησις. εἶτα καὶ τρίτον ἐπιχείρημα πρὸς τὸ αὐτὸ τοιοῦτον ἐπάγει, εἰ πάντα τὰ στοιχεῖα καὶ τὰ ἐξ αὐτῶν σύνθετα σώματα εἰς ἄλληλα μεταβάλλειν δύναται, ἢ ἀμέσως ἢ καὶ διὰ μέσων ἑτέρων. τὸ γὰρ ὕδωρ διὰ μέσου ἀέρος μεταβάλλοι ἂν εἰς πῦρ, συμβήσεται πᾶσαν κίνησιν παντὶ κατὰ φύσιν εἶναι. καὶ τῶν κούφων ἑκάστῳ καὶ τῶν βαρέων. καὶ τέταρτον εἴπερ ἡ αὔξησίς φησιν ἐντελέχειά ἐστι τοῦ αὐξητοῦ ᾗ τοιοῦτόν ἐστιν, οἷον φέρε τῆς σαρκὸς, δύναται δὲ ὁ ἄρτος καὶ ὁ οἶνος ἐν τῷ ζώῳ μεταβληθέντα γενέσθαι σὰρξ, εἴη ἂν ἡ αὔξησις ἐνέργειά τε καὶ ἐντελέχεια τοῦ ἄρτου τε καὶ τοῦ οἴνου.

τοῦ οἴνου· ὅπερ ἀδύνατον. αὔξεται μὲν γὰρ τὰ τρεφόμενα, τρέφεται δὲ τὰ ἔμψυχα. ἡ δὲ τροφὴ οὐ
τρέφεται. οὐκ ἄρα ἡ τῆς σαρκὸς αὔξησις ἐντελέχεια τροφῆς ἐστιν. ἧς μεταβαλλούσης σὰρξ γέ-
γονεν. ὥστε οὐδὲ ἡ ἐπὶ τὸ ἄνω τοῦ πυρὸς κίνησις τοῦ ξύλου ἐστὶν ἐνέργεια καὶ κίνησις. ἀλλὰ τὸ
προσεχῶς κινεῖσθαι πεφυκὸς τήνδε τὴν κίνησιν, φησὶν ἐπὶ τῆς ἑαυτοῦ μόνον φύσεως καὶ μὴ φθει-
ρόμενον, τοῦτο λέγομεν δυνάμει εἶναι κινητὸν ἐκείνην τὴν κίνησιν· οἷον τὸν ἄνθρωπον βαδισ-
τικὸν οὐ τὰ στοιχεῖα. καὶ τὴν κίνησιν δὲ τῆς προσεχοῦς δυνάμεως ἐντελέχειαν εἶναι φαμέν. εἰ
οὖν τὸ πῦρ ἐστί φησι τὸ δυνάμει κινητὸν καὶ οὐ τὸ ξύλον, ἅμα δὲ πῦρ γίνεται, καὶ εἰ μή τις βία
κωλύσειεν ἐπὶ τὸ ἄνω φέρεται, ὁμοίως καὶ τὸ ἐν ταῖς νεφέλαις ὕδωρ, οὐκ ἀληθὲς τὸ μὴ ἐπὶ
τῶν ἀϊδίων κινήσεων προϋπάρχειν κατὰ χρόνον τῆς κατ' ἐνέργειαν κινήσεως τὸ δυνάμει κινη-
τόν. ἐν δὴ τούτοις πρῶτον μὲν τὸν σκοπὸν τῶν λεγομένων ἐπιστῆσαι χρή. ὅτι πρὸς ἀντιλογίαν
μόνην παρεσκεύασται, τῆς ἀληθείας οὐδὲν πεφροντικώς. εἰ γὰρ ὁ ἀριστοτέλης τοῦτο δεῖξαι προ-
τίθεται, ὅτι οὐκ ἔστι πρώτη κίνησις, ἀλλὰ πρὸ πάσης τῆς λαμβανομένης ἔστι τις ἄλλη· ᾧ ἕπε-
ται τὸ ἀΐδιον εἶναι τὴν κίνησιν, ἄλλης πρὸ ἄλλης ἐπ' ἄπειρον ἀεὶ λαμβανομένης. δείκνυσι δὲ αὐ-
τὸ προλαβὼν ὅτι προϋπάρχει τῆς κινήσεως τὸ δυνάμενον κινεῖσθαι. εἰ οὖν ἀληθές ἐστι τὸ μὴ
εἶναι πρώτην κίνησιν. ψευδὲς δὲ τὸ προϋπάρχειν τὸ δυνάμενον κινεῖσθαι τῆς κινήσεως, τὸ μὲν
δόγμα αὐτὸ τὸ ἀΐδιον εἶναι τὴν κίνησιν οὐκ ἐλέγχεται. ὁ δὲ τρόπος εἰ ἄρα τῆς ἀποδείξεως ἀδό-
κιμος φανεῖται, οὗτος οὖν ἀνελεῖν προθέμενος τὸ προϋπάρχειν τὸ δυνάμει κινούμενον τῆς κι-
νήσεως, κινήσεις ἔλαβε πυρὸς καὶ ὕδατος. ὧν ὁμολογεῖ προϋπάρχειν τὰς ἐξ ἄλλων γενέσεις
αὐτῶν. ὥστε ἀεὶ πρὸ κινήσεως κίνησιν εἶναι. καὶ τί λέγω ταῦτα· ὅτε σαφῶς οὗτος ὑπὸ τῆς
ἀντιλόγου φιλονεικίας ἐσκοτωμένος, τέως γάρ νῦν φησιν οὐ ζητοῦμεν. εἴτε ἐξ ὄντων τὰ γινό-
μενα γίνεται, εἴτε ἐκ μὴ ὄντων. οὐδὲ εἰ ἔστι τις πρώτη κίνησις ἢ μὴ ἔστιν. ἀλλ' ὅτι οὐκ ἀληθὲς
τὸ ἐκ τοῦ ὁρισμοῦ δῆθεν τῆς κινήσεως εἰλημμένον ἀξίωμα. καί τοι εἰ μὴ ἔστι πρώτη κίνησις, κἂν
μὴ ἀληθὲς ᾖ τὸ ἀξίωμα, οὐδὲν βέβλαπται τὸ δόγμα τὸ περὶ τῆς ἀϊδίου κινήσεως. ταῦτα μὲν
οὖν ἐμήκυνα τὸν σκοπὸν τοῦ ἀνδρὸς παραγυμνῶσαι βουλόμενος. ὅτι δὲ οὐδὲ τὸ ἀξίωμα σαλεύει
τὰ ὑπὸ τούτου λεγόμενα, οὐδὲ νοήσας φαίνεται τὰ εἰρημένα, ὧδε ἂν μάθοις. τὸ δυνάμενον κι-
νεῖσθαι διττόν ἐστιν. ὅπερ οὗτος ἀγνοήσας, ἑαυτόν τε συνέχεε καὶ τοὺς ἀγνοοῦντας αὐτοῦ τὴν
ἕξιν. λέγομεν γὰρ δύνασθαι κινεῖσθαι, τὸ τὴν τελείαν ἔχον δύναμιν τὴν προβλητικὴν τῆς ἐν-
εργείας. ἧς σύνεστιν ἡ ἐνέργεια. οὕτω γὰρ τὸ μὲν πῦρ ἐπὶ τὸ ἄνω δύναται κινεῖσθαι, τὸ δὲ ὕδωρ
ἐπὶ τὸ κάτω. συνούσης ἀεὶ τῇ δυνάμει ταύτῃ τῆς ἐνεργείας. καὶ ἀπ' αὐτῆς προαγομένης. λέ-
γομεν δὲ δυνάμενον κινεῖσθαι καὶ τὸ δυνάμει κινητόν. ὃ οὔπω μὲν τὴν τελείαν ἔχει δύναμιν τὴν
οἰστικὴν τῆς ἐνεργείας, πέφυκε δὲ ἴσχειν. οὕτω δυνάμει λέγομεν κινεῖσθαι, τὸ πεφυκὸς μὲν κινεῖ-
σθαι, μήπω δὲ πρόχειρον ἔχον τὴν τελείαν δύναμιν τὴν οἰστικὴν τῆς ἐνεργείας. τοῦ οὖν ἀριστο-
τέλους προϋπάρχειν εἰπόντος τῆς κινήσεως τὸ δυνάμενον κινεῖσθαι οὕτως, ὡς τὸ πεφυκὸς μέν, μή-
πω δὲ κινούμενον, ἢ μὴ ἐκεῖνο τῆς κινήσεως τὸ μόριον κινούμενον, καὶ γὰρ τὸν ἥλιον δυνάμει ἐν ταύ-
ρῳ κινεῖσθαι λέγομεν, ὅταν τὸν κριὸν κινῆται, καὶ ἐπὶ τούτων προϋπάρχειν εἰπόντος τὸ δυνά-
μενον κινεῖσθαι τῆς κινήσεως, οὗτος ἐλέγχειν οἴεται τὸν ἀριστοτέλους λόγον ἐπὶ τοῦ πυρὸς καὶ τοῦ ὕ-
δατος, δεικνὺς συνυπάρχουσαν τὴν κίνησιν τῷ δυναμένῳ κινεῖσθαι, κατὰ τὴν τελείαν δύναμιν
τὴν οἰστικὴν τῆς ἐνεργείας. ταύτην οὖν ἀγνοήσας τὴν διαφοράν, μάτην πάντα τὰ ἐφεξῆς ἐρρα-
ψῴδησε, δεικνύναι φιλονεικῶν, ὅτι τὴν δύναμιν τῆς ἐπὶ τὸ ἄνω κινήσεως τὸ πῦρ ἔχει, τὸ ἤδη κι-
νούμενον ἐπὶ τὸ ἄνω· ἀλλ' οὐ τὸ ξύλον τὸ πεφυκὸς γίνεσθαι πῦρ. οὐκ ἐννοῶν ὅτι ἄλλην μὲν ἔχει τὸ
πῦρ τὴν τελείαν, ἄλλην δὲ τὸ ξύλον τὴν ἀτελῆ. καὶ κατὰ τὸ δυνάμει λεγομένην. καθ' ἣν πέφυκε
πῦρ γενόμενον καὶ αὐτὸ ἐπὶ τὸ ἄνω φέρεσθαι. ὅλως γὰρ εἰ πῦρ μέν ἐστι δυνάμει τὸ ξύλον, τῷ δὲ πυ-
ρὶ συμπέφυκε κατ' ἐνέργειαν ἡ ἐπὶ τὸ ἄνω κίνησις, πῶς οὐχὶ καὶ τῷ ξύλῳ ὥσπερ τὸ πυρὶ εἶναι,
οὕτω καὶ τὸ ἐπὶ τὸ ἄνω κινεῖσθαι δυνάμει ὑπάρχει. ἀλλ' ἡ εἰς τὸ πῦρ φησι τοῦ ξύλου μεταβολὴ οὐκ
ἔστι κίνησις ἀλλὰ γένεσις. ὁ δὲ εἰρημένος ὁρισμὸς οὐ γενέσεώς ἐστιν ἀλλὰ κινήσεως. ἐντελέχεια γάρ φησι
τοῦ κινητοῦ ᾗ κινητόν. ὥστε φαίη ἂν τὸ ξύλον γενέσεως προϋπάρχειν οὐ μέντοι κινήσεως εἶπεν ὁ ἀριστο-
τέλης. ἆρα οὖν οἷος ἀνήρ ἐστιν οὗτος πρὸς ἀριστοτέλη διατεινόμενος, ὁ μηδὲ γινώσκων τὰ ὑπὸ τοῦ ἀρι-
στοτέλους εἰρημένα; αὐτίκα γοῦν τὸν ὁρισμὸν τοῦ λέγοντα, ἐντελέχειαν τοῦ κινητοῦ ᾗ κινητόν, κινήσεως
εἶναί φησιν ἀλλ' οὐ γενέσεως. ἀγνοῶν ὅτι τὸν ὁρισμὸν τοῦτον ἀποδέδωκεν ἀριστοτέλης, μήπω διακρί-
νας τὴν γένεσιν καὶ φθορὰν ἀπὸ τῆς κυρίως κινήσεως. τοῦτο γὰρ ἐν τῷ πέμπτῳ βιβλίῳ πεποίηκεν. ἔτι
δὲ μᾶλλον ἠγνόησεν, ὅτι σαφῶς καὶ ὡς γενέσεως καὶ φθορᾶς τὸν ὁρισμὸν τῆς κινήσεως ἀποδέδωκεν. καὶ
πρὸ ὀλίγου μέν. καὶ ἐν τούτοις δὲ ἔτι τρανέστερον τοῖς ἐντοῖς. διῃρημένου καθ' ἕκαστον γένος τοῦ [illegible] ἐντελε-

χεία, τοῦ δὲ δυνάμει, τὴν τοῦ δυνάμει ὄντος ἐνέργειαν ᾗ τοιοῦτόν ἐστιν, λέγω κίνησιν εἶναι. οἷ-
τοῦ μὲν ἀλλοιωτοῦ ᾗ ἀλλοιωτὸν ἀλλοίωσις. τοῦ δὲ αὐξητοῦ καὶ τοῦ ἀντικειμένου φθιτοῦ, οὐθὲν γὰρ
ὄνομα κοινὸν ἐπ' αὐξήσει καὶ φθίσει, αὔξησιν καὶ φθίσιν, τοῦ δὲ γενητοῦ καὶ φθαρτοῦ γένεσιν
καὶ φθοράν. τοῦ δὲ φορητοῦ φοράν. πῶς οὖν οὗτος τὴν εἰς τὸ πῦρ τοῦ ξύλου μεταβολὴν γένε-
σίν φησι καὶ οὐ κίνησιν. ἵνα πρὸ γενέσεως μὲν εἴη τὸ γενητόν, μὴ μέντοι πρὸ κινήσεως τὸ κινη-
τόν. ἀλλ' ὅτι μὲν καὶ ἡ γένεσις κίνησίς ἐστι κατὰ τὸ κοινὸν τῆς κινήσεως, καὶ τῷ ὁρισμῷ τῆς κοι-
νῆς κινήσεως ὑποβέβληται, πρόδηλον. καὶ ὅτι ἡ τοῦ ξύλου τοῦ μεταβάλλοντος εἰς πῦρ κίνη-
σις, ἡ γένεσίς ἐστι καὶ μεταβολὴ ἡ εἰς πῦρ. καὶ ταύτης προσεχῶς προϋπάρχει τὸ ξύλον, πρὸς
ἣν καὶ δυνάμει ἦν. ἀλλ' οὐχὶ τῆς ἐπὶ τὸ ἄνω φορᾶς τοῦ πυρός. οὐ δὲ αὕτη ἐστὶν ἡ τοῦ ξύλου ἐν-
τελέχεια καὶ κίνησις. ἀλλ' ἡ εἰς τὸ πῦρ μεταβολή. οὗτος δὲ ὡς τοῦ ἀριστοτέλους λέγοντος, ὅτι
τὸ δυνατὸν κινεῖσθαι προϋπάρχει τῆς κινήσεως, οὐχὶ ταύτης πρὸς ἣν ἐλέγετο δυνατόν, ἀλ-
λὰ τῆς ἐκείνου κινήσεως, εἰς ὃ μεταβέβληκεν, οἷον τὸ ξύλον τὸ δυνατὸν εἰς πῦρ μεταβάλλειν,
οὐχ ὅτι τῆς εἰς πῦρ μεταβολῆς προϋπάρχει, ἀλλὰ τῆς ἐπὶ τὸ ἄνω κινήσεως τοῦ πυρός, οὔ-
τως εὐθύνειν ἐπιχειρεῖ τὸν λόγον διὰ πλειόνων ἐπιχειρημάτων. καὶ δῆλον μὲν ὅτι παρὰ θύ-
ρας ἀπαντῶντος πάντα ἐστὶ περιττά. πλὴν ἵνα καὶ τὴν ἐν τούτοις ἕξιν τοῦ ἀνδρὸς ἀποκα-
λύψω, ποιήσομαι καὶ τούτων λόγον τινά. εἰ γὰρ τοῦ ξύλου φησὶν ἐντελέχειαν τις λέγοι τὴν ἐπὶ
τὸ ἄνω φοράν, καὶ τῶν ἐναντίων ἡ αὐτὴ ἔσται ἐνέργεια. καὶ τοῦ αὐτοῦ ἑκατέρα τῶν ἐναντίων
κινήσεων ἐντελέχεια ἔσται καὶ ἐνέργεια, καὶ παρεθέμην αὐτοῦ πρὸ ὀλίγου τὴν ταῦτα δη-
λοῦσαν λέξιν. τί δὴ ἄτοπον ὦ τᾶν, εἰ τὴν ἐπὶ τὸ ἄνω κίνησιν τὸ μὲν ξύλον δυνάμει ἔχει, ὡς πε-
φυκὸς γίνεσθαι πῦρ. τὸ δὲ πῦρ κατ' ἐνέργειαν. καὶ αὖ πάλιν τοῦ ξύλου κατ' ἐνέργειαν μὲν ἡ
ἐπὶ τὸ κάτω φορά, κατὰ δύναμιν δὲ ἡ ἐπὶ τὸ ἄνω. ὅτι δυνάμει πῦρ ἐστι. δυνατὸν δὲ καὶ τῷ
καθ' αὑτὸ καὶ κατὰ συμβεβηκὸς ταῦτα διαιρεῖν. ἢ οὐκ ἀληθὲς εἰπεῖν καὶ τὸ ὕδωρ ἐνεργείᾳ
μὲν καὶ καθ' αὑτὸ ψύχειν, δυνάμει δὲ καὶ κατὰ συμβεβηκὸς θερμαίνειν. ὅτι μεταβάλλειν ποτὲ
πέφυκε τὸ ὕδωρ εἰς πῦρ. καὶ ἔδει τοῦ ἀριστοτέλους ἀκοῦσαι λέγοντος ἐν ἐκείνοις τοῖς περὶ κι-
νήσεως λόγοις. ἐπεὶ δὲ ἔνια ταὐτὰ καὶ δυνάμει καὶ ἐντελεχείᾳ ἐστίν, οὐχ ἅμα δὲ ἢ οὐ κατὰ ταὐτόν.
ἀλλ' οἷον θερμὸν μὲν ἐντελεχείᾳ, ψυχρὸν δὲ δυνάμει, καὶ δυνάμει κατωφορόν ἐστι. δῆλον δὲ ὅτι τὸ
ξύλον ἕως ἂν ᾖ ξύλον τὴν μὲν οἰστικὴν δύναμιν τῆς ἐπὶ τὸ ἄνω φορᾶς οὐκ ἔχει. δυνάμει μέντοι
καὶ κατ' ἐπιτηδειότητα πῦρ ἐστι, καὶ ἐπὶ τὸ ἄνω φέρεται τὸ ξύλον. καὶ τὸ τρίτον δὲ ἀπὸ
τῆς αὐτῆς ἀγνοίας ἐπαχθὲν ὁμοίως ἐστὶν εὐκατάλυτον. πᾶσα γὰρ κίνησις καὶ ἡ ἐπὶ τὸ ἄνω καὶ
ἡ ἐπὶ τὸ κάτω παντὶ στοιχείῳ προσήκει καὶ κούφῳ καὶ βαρεῖ, καὶ κατὰ φύσιν εἰ βούλει. πλὴν
οὕτω τὸ κατὰ φύσιν ὡς ποτὲ μὲν δυνάμει ποτὲ δὲ ἐνεργείᾳ, καὶ γὰρ τῷ ὕδατι ἡ ἐπὶ τὸ ἄνω
φορὰ δυνάμει προσήκει, ὅτε δύναται γενέσθαι πῦρ. καὶ πρὸς τὸ τέταρτον δὲ τὸ αὐτὸ ῥητέον,
ὅτι καὶ ὁ ἄρτος δυνάμει σὰρξ ὤν, λέγοιτο ἂν αὔξεσθαι δυνάμει. κἂν γὰρ ἡ προσεχὴς ἐπιτη-
δειότης τῷ ἄρτῳ τῆς εἰς σάρκα μεταβολῆς ἐστιν. ἀλλὰ μεταβάλλων εἰς σάρκα αὔξεσθαι ἐν-
εργείᾳ πέφυκεν. ἐπεὶ δὲ καὶ νομοθετῶν οὗτος ὁ χρηστὸς ἀποφαίνεται, ὅτι τὸ προσεχῶς κινεῖ-
σθαι πεφυκὸς τήνδε τὴν κίνησιν ἐπὶ τῆς ἑαυτοῦ μόνον φύσεως καὶ μὴ φθειρόμενον, τοῦτο λέ-
γομεν δυνάμει εἶναι κινητὸν ἐκείνην τὴν κίνησιν, οἷον τὸν ἄνθρωπον οὐ τὰ στοιχεῖα, ἐρωτητέον
αὐτόν. πρῶτον μὲν πῶς εἶπεν ἀριστοτέλης θερμὸν μὲν ἐντελεχείᾳ ψυχρὸν δὲ δυνάμει. ἆρα οὐχ
ὡς τοῦ δυνάμει ψυχροῦ μεταβάλλειν εἰς τὸ ψυχρὸν πεφυκότος. ἔπειτα εἰ μηδέποτε αὐτὸς δυ-
νάμει σάρκα τὸν ἄρτον εἶπεν, ἢ τὸ σπέρμα δυνάμει ζῶον. καίτοι τὸ σπέρμα οὐκ ἐπὶ τῆς ἑαυ-
τοῦ μόνον φύσεως ἀνθρωπίζεται. ἀλλὰ κἀνταῦθα τοιοῦτόν τι πέπονθεν οὗτος. ἀγνοῶν γὰρ τὴν
διαφορὰν τῆς τελείας δυνάμεως, πρός τε τὸ δυνάμει τὸ ἀτελές, καὶ τὰς μεταξὺ διαθέσεις
τὰς τῆς τελείας δυνάμεως, τὸ δυνάμει τῷ ἀτελεῖ προσάπτει. τὸ γὰρ ἄνευ μεταβολῆς ἐνερ-
γοῦν κατὰ τὴν τελείαν δύναμιν ἐνεργεῖ, τὴν τῆς ἐνεργείας προβλητικήν. τὸ δὲ ἀτελὲς δυ-
νάμει, μεταβάλλοντος τοῦ δυναμένου γίνεται ἐνεργείᾳ, γινομένου μὲν τοῦ γενητοῦ, αὐξομένου δὲ
τοῦ αὐξητοῦ, ἀλλοιουμένου δὲ τοῦ ἀλλοιωτοῦ. ἔστι δέ τις καὶ μέση διάθεσις, ἐν ᾗ τὸ δυνάμει συντρέ-
χει πως τῇ τελείᾳ δυνάμει. ὅπερ ἐν τοῖς κατὰ τόπον κινουμένοις ὁρᾶται. διότι τελειότατα
τῶν ἄλλων ἐστὶ τὰ κατὰ τόπον κινούμενα. τὸ γοῦν πῦρ κινητὸν ἐπὶ τὸ ἄνω λέγομεν, συνούσης ἀεὶ
τῆς τελείας δυνάμεως τῷ ἀτελεῖ δυνάμει καὶ τῇ φύσει πλησιάζοντι. διότι χωρὶς τῆς τοῦ κινουμένου
μεταβολῆς ἡ κατὰ τόπον μετάστασις γίνεται. τὸ μέντοι γινόμενον μεταβάλλον αὐτό, τό, τε δυνά-
μει ἀτελέστερον ἔχει, καὶ τὴν δύναμιν αὐτὴν καθ' ἣν μεταβάλλει τῆς κατὰ τόπον κινούσης ἀτελε-
στέραν. τοιούτων οὖν οὐσῶν διαφορῶν ἔν τε τῷ δυνάμει καὶ ἐν τῇ δυνάμει, αὐτὸς ἐπὶ τῶν κατὰ τό-

-που κινουμένων ἀξιοῖ πάντα τὰ δυνάμει ἐπὶ τῆς ἑαυτῶν μένοντα φύσεως καὶ μὴ φθειρόμενα,
λέγεσθαι δυνάμει εἶναι κινητά. ἔδει δὲ καὶ τὸ ἐπὶ τῆς γενέσεως δυνάμει θεάσασθαι κατὰ
τὴν τῆς οὐσίας μεταβολὴν εἰς τὸ ἐνεργείᾳ μεταβάλλον. ὥσπερ τὸ ἐπὶ τῆς αὐξήσεως κατὰ
τὴν τῆς ποσότητος, καὶ ἐπὶ τῆς ἀλλοιώσεως κατὰ τὴν τῆς ποιότητος. καὶ μάλλιον ἦν ἐπὶ
μὲν τοῦ ξύλου μεταβάλλοντος εἰς πῦρ τὴν κατὰ γένεσιν κίνησιν ἰδεῖν, καὶ ὅπως προϋπάρχει
καὶ φύσει καὶ χρόνῳ τῆς τοιαύτης κινήσεως τὸ δυνάμενον αὐτὴν κινηθῆναι ξύλον. ἐπὶ δὲ τοῦ
πυρὸς τὴν κατὰ τόπον, καὶ ὅπως καὶ ταύτην προϋπάρχει τῆς ἀνωφόρου ἐνεργείας. δεῖ γὰρ
πῦρ γενόμενον οὕτως ἐπὶ τὸ ἄνω κινηθῆναι. κἂν εὐθὺς ἅμα τῷ γενέσθαι πῦρ κινῆται. εἰ δὲ καὶ
τὸ ξύλον τις ὥσπερ τῆς εἰς πῦρ μεταβολῆς, οὕτω καὶ τῆς ἐπὶ τὸ ἄνω φορᾶς προϋπάρχειν
λέγοι, οὐκ ἂν διαμαρτάνοι. ὥστε ἐπὶ μὲν τῶν ἄλλων τῶν τριῶν κινήσεων, γενέσεως φημὶ
καὶ ἀλλοιώσεως καὶ αὐξήσεως, καὶ οὗτος ἂν οἶμαι ὁμολογήσειε προϋπάρχειν τῆς κινήσεως τὸ
δυνάμενον κινεῖσθαι. οἷον τὸ σπέρμα. καὶ τὸ ἐπιδιδὸν κατὰ ποσότητα, καὶ τὸ μεταβάλλον
κατὰ ποιότητα. καὶ ἐπὶ τῆς κατὰ τόπον δὲ μεταβολῆς, ἐφ᾽ ἧς οὗτος μάλιστα νομίζει τὸν λό-
γον ἐλέγχειν, εἴπερ ὁμολογεῖ καὶ οὗτος ἐνυπάρχειν τῷ κινουμένῳ τὸ δυνάμει, προϋπάρχει δὲ
πανταχοῦ τὸ δυνάμει τοῦ ἐνεργείᾳ, κἂν ἡ δύναμις τῇ ἐνεργείᾳ συνυπάρχῃ, δηλονότι καὶ
τὸ δυνάμενον προϋπάρχει τοῦ κατ᾽ ἐνέργειαν. καὶ γὰρ καὶ τὸ πῦρ κἂν εὐθὺς πῦρ γενόμενον
ἐπὶ τὸ ἄνω κινῆται, ἀλλ᾽ ἐν τῇ μεταβάσει τὸ δυνάμει φέρε εἰπεῖν ἐν τῷ ἀέρι γενέσθαι προϋ-
πάρχον ἔχει τοῦ ἐνεργείᾳ καὶ τὸ δυνάμει ἐν τῷ ὑποκειμένῳ προϋπάρχει τοῦ ἐνεργείᾳ. καὶ ἔ-
στι διὰ πάντων ἀνέλεγκτος ὁ ἀριστοτέλους λόγος, ὁ λέγων ἀναγκαῖον εἶναι προϋπάρχειν τὰ πρά-
γματα, τὰ δυνάμενα κινεῖσθαι καθ᾽ ἑκάστην κίνησιν. ὥστε μάτην οὗτος ἐπὶ τῷ τέλει τοῦ λό-
γου μεγαλαυχούμενος. εἰ ψεῦδός φησι δέδεικται τὸ προϋπάρχειν τῆς κινήσεως τὰ δυνάμενα
κινεῖσθαι, καὶ τὸ ἐκ τούτου ἄρα συγκατασκευαζόμενον, ὡς ὁ γραμματικὸς ἔφρασεν, τὸ ἄναρ-
χον εἶναι τὴν κίνησιν συνελέγχεται. δικαιότερον γὰρ οἶμαι λέγειν, ὡς εἰ τοῦτο διὰ πάντων
ἀληθὲς ἀποδέδεικται, καὶ τὸ ἐκ τούτου δεικνύμενον ἀληθὲς ἂν εἴη, μηδὲν ὑπὸ τοῦ θορύβου
τῶν κολοιῶν παραττόμενον. οὗτος μέντοι τὰς ἀριστοτέλους ἀρχὰς τῆς ἀποδείξεως περιπτύ-
σας, αὐτὸς ἡμῖν οἰκείαν εἰσηγήσασθαι βούλεται μέθοδον, μόνως ἂν οὕτω λέγων ἄναρχος εἶναι
ἡ κίνησις ἀπεδείκνυτο, εἴπερ ἦν ἀληθὲς τὸ πολυθρύλλητον τῶν φυσικῶν ὡς αὐτοί φασιν ἀξίω-
μα, τὸ μηδὲν ἐκ τοῦ μηδαμῇ μηδαμῶς ὄντος γίνεσθαι, ἀλλὰ πᾶν ἐκ προϋπάρχοντος ἔχειν
τὴν γένεσιν. καὶ μέμφεται τῷ ἀριστοτέλει, μὴ τοῦτο λαβόντι τὸ ἀξίωμα εἰς τὸ συλλο-
γίσασθαι. ὅτι ἄναρχός ἐστιν ἡ κίνησις, ἀγνοῶν οὗτος ἀνὴρ ὅσον τῆς ἀριστοτέλους ἀγχινοίας διέ-
στηκεν, ἀγνοῶν δὲ καὶ ὅτι τῆς ἀριστοτέλους ἐπιστήμης ἴδιόν ἐστι τὸ προσεχεῖς ἀρχὰς ἀεὶ τῶν ἀ-
ποδείξεων λαμβάνειν καὶ μὴ κοινάς. ἐν μὲν γὰρ τῷ πρώτῳ τῆς φυσικῆς ἀκροάσεως τὰς τῆς γε-
νέσεως ἀρχὰς ζητῶν, ἐμνημόνευσεν ἀπορίας τινὸς πειρωμένης ἀναιρεῖν τὴν γένεσιν. διὰ τὸ δεῖν
πᾶν τὸ γινόμενον ἢ ἐξ ὄντος γίνεσθαι ἢ ἐκ μὴ ὄντος, ἑκάτερον δὲ ἀδύνατον εἶναι, οὔτε γὰρ τὸ
ὂν γίνεσθαι. εἶναι γὰρ ἤδη, ἔκ τε μὴ ὄντος οὐδὲν ἂν γενέσθαι, ὑποκεῖσθαι γάρ τι δεῖν. καὶ λύει
τὴν ἀπορίαν, ἐκ μὲν τοῦ ἁπλῶς μὴ ὄντος μηδὲν γίνεσθαι λέγων, ἐκ δὲ τοῦ μὴ ὄντος κατὰ συμ-
βεβηκὸς γίνεσθαι. διότι ἐκ τῆς στερήσεως οὐ καθ᾽ αὑτὴν ἀλλ᾽ ἐν τῷ ἐστερημένῳ οὔσης, καὶ κατ᾽
ἐκεῖνον τὸν λόγον καὶ εἶναι γένεσις, καὶ ἀΐδια καὶ ἀνέκλειπτα δείκνυται τὰ γινόμενα. εἴπερ
παντὸς τοῦ γινομένου προϋπάρχει τι ἄλλο καὶ αὐτὸ γενητόν. καὶ μετὰ τὸ φθειρόμενον ὑπολεί-
πεταί τι καὶ αὐτὸ φθαρτόν. ἐνταῦθα μέντοι οὐ τὰ κινούμενα ἀλλὰ τὴν κίνησιν ἀΐδιον δεῖξαι
προθέμενος, ἐξ αὐτοῦ τοῦ ὁρισμοῦ τῆς κινήσεως ἐπεχείρησε, καὶ τοῦ ὁρισμοῦ αὐτῆς προϋπάρ-
χειν ἀεὶ τῆς κινήσεως ἐνδεικνυμένου τὸ κινεῖσθαι δυνάμενον. ὡς ἡ οὐσία πανταχοῦ προϋπάρ-
χει τῆς ἐνεργείας, ἀφ᾽ ὧν ἐθελήσοι τις ἂν νοῦν ἔχων τὴν ἀριστοτέλους μέθοδον ἀφεὶς, ταῖς
προπετέσι τούτου φαντασίαις ἀκολουθεῖν. πλὴν ἐπειδὴ ῥᾳδίως ἀποδεικνύναι νομίζων ψευ-
δῆ τὸν λέγοντα λόγον, μηδὲν ἐκ τοῦ μηδαμῇ μηδαμῶς ὄντος γίνεσθαι, διατείνεται μόνως ἂν
οὕτως ἀΐδιον εἶναι τὴν κίνησιν, εἰ ἀληθὲς ἀποδειχθείη τὸ μηδὲν ἐκ τοῦ μηδαμῇ μηδαμῶς ὄντος
γίνεσθαι φέρε καὶ ταύτας αὐτοῦ τὰς ἀδολεσχίας ἐπισκεψώμεθα, ἃς τελέως μὲν ἐν τῷ ἑκά-
τῳ καὶ ἑνδεκάτῳ ἐπιγεγράφθαι τῶν πρὸς πρόκλον, ἀριθμοῖς ἡμᾶς βυβλίων καταπλήτ-
των πρὸς ἄνδρας εὐκλεεῖς ἀντιγεγραμμένων. καινὸν δὲ οὐ διὰ λίθων ἐκτίθεται. πρῶτον μὲν
λέγων εἰ καὶ ἡ φύσις ἐξ ὄντων ποιεῖ τὰ ὑπ᾽ αὐτῆς δημιουργούμενα, διὰ τὸ καὶ τὴν οὐσίαν
αὐτῆς καὶ τὴν ἐνέργειαν ἐν ὑποκειμένῳ ἔχειν, καὶ χωρὶς ἐκείνου μήτε εἶναι μήτε ἐνεργεῖν δύνα-
σθαι, οὐκ ἀνάγκη καὶ τὸν θεὸν τὸν ἐξῃρημένην ἔχοντα τῶν ὄντων ἁπάντων καὶ τὴν οὐσίαν καὶ τὴν
ἐνέργειαν ἐξ ὄντων δημιουργεῖν. οὕτω γὰρ οὐδὲν ἕξει πλέον τῆς φύσεως, καίτοι γε οὐ μόνον τὰ εἴ-

δὴ τῶν ἀμέσως ὑπ᾽ αὐτοῦ δημιουργουμένων ποιεῖ ὁ θεός, ἀλλὰ καὶ αὐτὴν τὴν ὕλην παράγειν καὶ δημιουργεῖν πεπίστωται. μόνον γὰρ τὸ πρῶτον ἀγένητόν ἐστι καὶ ἀναίτιον. εἰ οὖν καὶ τὴν ὕλην ὁ θεὸς ὑφίστησιν, οὐ δεῖται δὲ ἡ ὕλη ἑτέρας ὕλης εἰς ὕπαρξιν, αὕτη γάρ ἐστι τὸ πρῶτον ἁπάντων τῶν φυσικῶν ὑποκείμενον, οὐκ ἄρα πᾶν τὸ γινόμενον ἐξ ὄντος γίνεται. εἴτε γὰρ ἀεὶ ὑπὸ θεοῦ γίνεται ἡ ὕλη, εἴτε ποτέ, οὐ δεήσεται δήπουθεν ἑτέρας ὕλης, αὕτη τὸ πρῶτον οὖσα τῶν σωμάτων ὑποκείμενον, οὐκ ἄρα εἰ τὰ γινόμενα ὑπὸ φύσεως ἐξ ὄντων γίνεται, ἀνάγκη καὶ τὰ ἀμέσως ὑπὸ θεοῦ γινόμενα ἐξ ὄντων γίνεσθαι. ἐπειδὴ ἡ μὲν φύσις καὶ χρόνου δεῖται τινὸς καὶ γενέσεως, ἵνα ἕκαστον δημιουργήσῃ τῶν φυσικῶν. ὁ δὲ θεὸς ἀχρόνως καὶ ἄνευ γενέσεως, τουτέστι διαπλάσεως τῆς κατὰ μέρος καὶ διαμορφώσεως, τὰ ἀμέσως ὑπ᾽ αὐτοῦ γινόμενα ὑφίστησιν. ἀρκεῖ γὰρ αὐτῷ μόνον τὸ θέλειν εἰς τὴν τῶν πραγμάτων οὐσίωσιν. εἶτα καὶ ἄλλης ἀποδείξεως ἡμᾶς ὑπομιμνήσκει, ἐν τῷ ἐνδεκάτῳ τῶν πρὸς πρόκλον ῥηθείσης. δι᾽ ἧς ἔδειξεν ὥς οἴεται ὅτι καὶ τὰ ὑπὸ φύσεως καὶ τὰ ὑπὸ τέχνης γινόμενα, ἐκ μὴ ὄντος ὑφίσταται, καὶ εἰς τὸ μὴ ὂν φθείρεται. συνθέτων γάρ φησιν ὄντων τῶν οὕτω γινομένων ἐξ ὕλης καὶ εἴδους, καὶ τῆς μὲν πρώτης ὕλης. οὔτε γινομένης ὑπὸ τῆς φύσεως οὔτε φθειρομένης, οὐ δὲ μὴν τοῦ ἐξ ὕλης καὶ εἴδους συνθέτου καθ᾽ ὅλον αὐτό, οὕτω γὰρ ἂν καὶ τὴν ὕλην γίνεσθαι συνέβαινε καὶ φθείρεσθαι, λείπεται, τοῦ εἴδους μόνου τὴν γένεσιν εἶναι καὶ τὴν φθοράν. εἰ οὖν τά τε χρώματα καὶ τὰ σχήματα καὶ αἱ τῆς ψυχῆς ἄλογοί τε καὶ φυσικαὶ δυνάμεις, καὶ ἁπλῶς εἰπεῖν τὰ ἔνυλα εἴδη ἐν μέρει χρόνου τὴν ὕπαρξιν ἔχει. φημὶ δὴ τὰ ἐν ἑκάστῳ φυσικῷ πράγματι ἄτομα εἴδη. τούτων γὰρ ἡ γένεσίς ἐστι καὶ ἡ φθορά. εἰ οὖν ταῦτα ἐν τῇ τῶν σωμάτων φθορᾷ εἰς τὸ μηδαμῶς ὂν μεθίσταται, δηλονότι καὶ πρότερον οὐδαμῶς ὄντα τὴν ὕπαρξιν ἐκ μὴ ὄντων εἴληφεν. εἶτα ἐπὶ τούτοις ἐπήγαγε. τοῦτο δὲ ἴσως οὐδὲν ἡμῖν πρὸς τὴν προκειμένην συνοίσει ὑπόθεσιν. κἂν γὰρ ἐκ μὴ ὄντων τὰ ἔνυλα εἴδη εἰς τὸ εἶναι παράγηται, ἀλλ᾽ οὖν οὐδεμία φυσικὴ γένεσις ἄνευ κινήσεως ὑφίσταται. μετὰ κινήσεως γὰρ πάντως ἡ γένεσις. ὥστε ἀεὶ οὔσης γενέσεως, ἀεὶ καὶ κίνησις ἦν. ἀλλὰ πόθεν ὅτι ἀεὶ ἦν γένεσις. ὁ γὰρ λέγων ὅτι ἀεὶ ἦν γένεσις, οὐδὲν ἕτερόν φησιν, ἢ ὅτι ἀεὶ ἦν κίνησις. ὥστε τὸ ἐξ ἀρχῆς αἰτεῖ, καὶ τὸ ζητούμενον λαμβάνει ὁμολογούμενον. εἶτα ἐφεξῆς ἀλλοκότως οἶμαι συνάπτει τούτοις. οὔτε γὰρ ἐκ προϋποκειμένου τινὸς τὰ ἀμέσως ὑπὸ θεοῦ δημιουργούμενα γίνεται. οὔτε διὰ γενέσεως ἢ χρονικῆς παρατάσεως, καὶ τὴν ὕλην γὰρ αὐτὴν καὶ τὸν χρόνον ἅμα τῷ παντὶ συνυπέστησεν ὁ θεός. ὥστε οὐ προϋπῆρξε τοῦ κόσμου κίνησις. δῆλον οὖν ἐντεῦθεν, ὡς εἰ μή τις δείξειε λόγος τὸν κόσμον ἄναρχον εἶναι καὶ ἀτελεύτητον, ἀδύνατον τὴν κίνησιν ἀΐδιον ἀποδεῖξαι. τῶν λόγων οὖν ἁπάντων ἐξ ὧν ἀΐδιον εἶναι τὸν κόσμον κατασκευάζουσιν ἐλεγχομένων, καὶ τὸ ἑπόμενον ἐξ ἀνάγκης συνελέγχεται. ἀλλ᾽ εἰ τοσαῦτα καὶ τοιαῦτα παραγράφειν αὐταῖς λέξεσιν ἐκαρτέρησα, μή τις τῶν εὐφυεστέρων ἄμουσόν μου σχολὴν καταψηφίσηται. οἶδα γὰρ καὶ αὐτὸς ὅτι τοῖς ὁπωσοῦν ἠγμένοις εὐσύνοπτος ἡ τῶν λόγων τούτων ἐστὶν ἀλλοκοτία. ἀλλ᾽ ἐπειδὴ τοῖς ἀπαιδεύτοις οὗτος ἀκροαταῖς ἁρμοζόμενος, καὶ μακρὰ γράφει, καὶ ὡς ἀποδεδειγμένα συμπεραίνεται, τὰ μηδὲ εἰς νόησιν αὐτῷ ἀφιγμένα, φιλάνθρωπον οἶμαι καὶ τούτοις ὡς δυνατὸν ὑποδεῖξαι τὴν ἕξιν τοῦ ἀνδρός. καὶ δὴ τούτῳ πρῶτον ἐπιστήσωμεν, ὅθεν οὗτος ὁ μακρὸς ἤρξατο λόγος. ὁ γὰρ εἰπὼν ἐν ἀρχῇ ὅτι μόνως ἂν οὕτως ἄναρχος εἶναι ἡ κίνησις ἀπεδείκνυτο. εἴπερ ἦν ἀληθὲς τὸ πολυθρύλλητον τῶν φυσικῶν ὡς αὐτοί φασιν ἀξίωμα, τὸ μηδὲν ἐκ τοῦ μηδαμῇ μηδαμῶς ὄντος γίνεσθαι. καὶ διατεινάμενος ὅτι τούτου οὕτως ἔχοντος, ἀδύνατον μὴ ἀεὶ εἶναι κίνησιν, καὶ μετ᾽ ὀλίγα ἀποκομπάσας, ὅτι τοῦτο μόνον ἤρκει λαβεῖν τῷ ἀριστοτέλει τὸ ἀξίωμα, εἰς τὸ συλλογίσασθαι ὅτι ἄναρχός ἐστιν ἡ κίνησις, ἄκουσον οἷα τούτων ἐπιλαθόμενος ἐν τοῖς ἑξῆς ὁ σοφὸς οὗτος ἐπήγαγε. δείξας γὰρ ὡς οἴεται ὅτι ἐκ μὴ ὄντων ἡ γένεσις, ὅπερ αὐτῷ προέκειτο ὡς ἀναιρετικὸν τοῦ ἐξ ὄντων, ᾧ μόνως ἀκολουθεῖν τὸ ἀΐδιον εἶναι τὴν κίνησιν ἔλεγεν, ἐπάγει, τοῦτο δὲ ἴσως οὐδὲν ἡμῖν πρὸς τὴν προκειμένην συνοίσει ὑπόθεσιν, καὶ τὰ ἑξῆς, ἵνα μὴ πάλιν τὴν αὐτὴν ἀνακινῶ κόνιν. εἰ οὖν μηδὲν ἡμῖν συντελεῖ πρὸς τὴν ὑπόθεσιν βέλτιστε, πῶς ἔλεγες ὅτι μόνως ἂν οὕτως ἄναρχος ἡ κίνησις ἀπεδείκνυτο, εἴπερ ἦν ἀληθὲς τὸ νῦν λεγόμενον, μηδὲν συνοίσειν πρὸς τὴν προκειμένην ὑπόθεσιν. πῶς δὲ τοῦτο μόνον ἔλεγες ἤρκει τῷ ἀριστοτέλει λαβεῖν τὸ ἀξίωμα, ὃ μηδὲν ἐφάνη συνοῖσον. ἀλλ᾽ ἴδωμεν ὅπως τὸ πολυθρύλλητον ἀξίωμα τῶν φυσικῶν ἀνατρέπει, δεικνὺς αὐτὸς ὅτι ἐκ τοῦ μηδαμῇ μηδαμῶς ὄντος γίνεται τὰ γινόμενα. καὶ εἰς τὸ μηδαμῇ μηδαμῶς ὂν φθείρεται. καὶ τούτῳ δὲ πρῶτον ἐπιστήσωμεν εἰ δοκεῖ, εἰ ἐνενόησεν ὅλως ἀνὴρ οὗτος, πῶς εἴρηται τὸ ἐξ ὄντος ἢ ἐκ μὴ ὄντος γίνεσθαι τὸ γινόμενον. φαίνεται γὰρ οὕτως ἀκούων ὡς τοῦ αὐτοῦ εἴδους προϋπάρχειν ὀφείλοντος. ἵνα ἐξ αὐτοῦ γίνηται τὸ γινόμενον. οἷον τὴν ὕλην ἐξ ὕλης, καὶ τὰ ἄτομα εἴδη ἐκ τῶν ὁμοίων. λέγει γοῦν εἰ οὖν καὶ τὴν ὕλην ὁ θεὸς ὑφίστησιν, οὐ δεῖται δὲ ἡ

ὕλη ἑτέρας ὕλης εἰς ὕπαρξιν, οὐκ ἄρα πᾶν τὸ γινόμενον ἐξ ὄντος γίνεται. καὶ περὶ τῶν ἀτόμων δὲ εἰδῶν, ὧν τὴν γένεσιν εἶναι καὶ τὴν φθορὰν φησίν. εἰ οὖν ταῦτα πάντα ἐν τῇ τῶν σωμάτων φθορᾷ εἰς τὸ μηδαμῶς ὂν μεθίσταται, δηλονότι καὶ πρότερον οὐδαμῶς ὄντα, τὴν ὕπαρξιν ἐκ μὴ ὄντων εἴληφεν. εἰ γὰρ διὰ τοῦτο ἐκ μὴ ὄντος ὅτι οὐκ ἦν αὐτὰ πρότερον, δηλονότι ἐξ ὄντος αὐτὰ ἂν ἦν πρότερον. καὶ οὐδὲ τοῦ ἀριστοτέλους ἤκουσεν ἐν τῷ πρώτῳ τῆς φυσικῆς ἀκροάσεως τὴν τῶν φυσικῶν ἀπορίαν ἐκτιθεμένου καὶ λέγοντος. οὔτε γὰρ τὸ ὂν γίνεσθαι. εἶναι γὰρ ἤδη. ἔκ τε μὴ ὄντος οὐδὲν ἂν γενέσθαι. ὑποκεῖσθαι γάρ τι δεῖν, οὔτε ἂν αὐτὸ ἑαυτῷ ὑποκεῖσθαι ἐνόμισεν. ἀλλ' ἄρα τοῦτο μὲν τὸ ἐξ ὄντος ἢ ἐκ μὴ ὄντος γίνεσθαι τὰ γινόμενα ἀγνοεῖ. ὅπως λέγεται παρὰ τοῖς φυσικοῖς, τὴν δὲ γένεσιν ἥτις ποτέ ἐστι γινώσκει. ἢ ταύτην ἔτι μᾶλλον ἀγνοῶν φαίνεται. καὶ γὰρ καὶ ἀριστοτέλης καὶ οἱ ἄλλοι φυσικοὶ γίνεσθαι λέγουσιν, οὐ τὸ ἀπ' αἰτίας ὁπωσοῦν ὑφιστάμενον. ἀλλὰ τὸ ἐν μέρει χρόνου τὴν εἰς τὸ εἶναι πάροδον λαχόν. διόπερ οὐδὲ ἐξ ὄντος ἔλεγον δυνατὸν γενέσθαι τὸ ὄν. προϋπάρχειν γὰρ τὸ ὄν. οὔτε ἐκ μὴ ὄντος. ὑποκειμένου γὰρ δεῖν τινός, ἅπερ ἀμφότερα ἐπὶ τῶν ποτὲ γινομένων ἁρμόττει. τὸ δὲ ἀΐδιον καὶ ἀεὶ ὂν πῶς ἂν ἐξ ὄντος ἢ ἐκ μὴ ὄντος. ὁ δὲ ἀριστοτέλης καὶ τὸ αἴτιον τοῦ οὐρανοῦ καὶ τῆς ἀϊδίου κινήσεως αὐτοῦ τὸν θεὸν λέγων, ὅμως ἀγένητον αὐτὸν καὶ ἄφθαρτον ἀποδείκνυσι. καὶ μέντοι τὴν ἀπορίαν λύων τῶν φυσικῶν, ἐκ τῆς στερήσεως τῆς ἑαυτοῦ γίνεσθαί φησι τὸ γινόμενον. πῶς δὲ ἂν εἴη τῆς ἀϊδίου στέρησις, καὶ τί λέγω τοὺς ἄλλους. ὅτε καὶ αὐτὸς οὗτος τὴν γένεσιν καὶ τὴν φθορὰν τῶν ἀτόμων εἶναί φησι, καὶ ἐν μέρει χρόνου τὴν ὕπαρξιν ἐχόντων. ὁ δὴ ταῦτα λέγων καὶ τὴν ὕλην ἀΐδιον οὖσαν, γενητήν φησι, καὶ ἐπ' αὐτῆς πειρᾶται δεικνύναι, ὅτι οὐκ ἐξ ὄντος ἀλλ' ἐκ μὴ ὄντος γίνεται τὸ γινόμενον. καὶ οὐ τὴν ὕλην μόνην, ἀλλὰ καὶ τὰ ἄλλα πάντα πλὴν τοῦ πρώτου γενητά φησι, καὶ ἀποφαίνεται σαφῶς. ὅτι οὐ μόνον τὸ πρῶτον ἀγένητόν ἐστι καὶ ἀναίτιον. ὅρα οὖν ὅτι πρότερον, τὰ ἄτομα λέγων γενητά, τὰ ἐν μέρει χρόνου τὴν ὕπαρξιν ἔχοντα, ἐν τούτοις γενητὰ λέγει τὰ ἀπὸ αἰτίας. ἔπειτα καὶ τὴν ὕλην ἀΐδιον λέγων, γίνεσθαί φησιν αὐτὴν ἐκ μὴ ὄντος. καὶ εἴπερ τὸ πρῶτον μόνον ἀναίτιον καὶ ἀγένητόν φησι, συντάξας τῷ ἀγενήτῳ τὸ ἀναίτιον, καὶ μηδὲ τοὺς ὁμοδόξους εὐλαβηθείς, γινόμενον καὶ ποιούμενον δηλονότι καὶ τὸ μετὰ τὸ πρῶτόν φησι. τὸ γὰρ γινόμενον καὶ δημιουργούμενον καὶ αὐτός φησιν, ἀλλ' οὐχὶ τὸ γεννώμενον. καὶ οὐ περὶ ἄλλων καὶ ἄλλων ποιούμενος τὸν λόγον, τοὺς εὐρίπους στρέφεται τούτους. ἀλλ' ἐν τῷ ἐπὶ τῶν λεγομένων εἱρμῷ. ἆρ' οὖν ὁποῖόν τινα χρὴ νομίζειν τοῦτον, εἰ μηδὲ γινώσκων περί τινων ποιεῖται τοὺς λόγους, πρὸς τοὺς κορυφαίους τῶν φιλοσόφων ἀντιλέγειν φιλοτιμεῖται ἀτιμώρητον αὐτῷ νομίζων ἔσεσθαι τὴν γιγαντικὴν ταύτην θρασύτητα. ἀλλ' ἴδωμεν λοιπόν, ὅπως ἀποδείκνυσιν ὅτι οὐκ ἐξ ὄντος ἀλλ' ἐκ μὴ ὄντος γίνεται τὰ γινόμενα, κἀνταῦθα δὲ πάλιν τὴν αὐτοῦ πρὸς αὐτὸν ὅρα διαφωνίαν τῶν λόγων. ἀρχόμενος μὲν γὰρ τῆς ἀποδείξεως, τὴν φύσιν ἐξ ὄντων ποιεῖν τὰ γινόμενα συγχωρεῖ. καὶ τὴν αἰτίαν ἐπάγει, τὸ καὶ τὴν οὐσίαν αὐτῆς καὶ τὴν ἐνέργειαν ἐν ὑποκειμένῳ ἔχειν. καὶ τὸν θεὸν ταύτῃ διαφέρειν τῆς φύσεώς φησι. καθ' ὅσον αὕτη μὲν ἐξ ὄντων ὁ δὲ θεὸς ἐκ μὴ ὄντων ποιεῖ τὰ γινόμενα. προελθὼν δὲ ἀποδείξεως ἡμᾶς ἀναμιμνήσκει, ἐφ' ᾗ σεμνύνεται, δεικνύσιν. ὅτι καὶ ἡ φύσις καὶ ἡ τέχνη ἐκ μὴ ὄντων ποιοῦσιν, ὥσπερ καὶ τὸν θεὸν ἔλεγε ποιεῖν. καίτοι πρότερον ταύτῃ διαφέρειν τῆς φύσεως τὸν θεὸν εἰπών, τῷ τὴν μὲν ἐξ ὄντων τὸν δὲ ἐκ μὴ ὄντων ποιεῖν, καὶ δυσχεραίνων, ἔλεγεν εἰ καὶ ὁ θεὸς ἐξ ὄντων ποιεῖ, οὐδὲν ἕξει πλέον τῆς φύσεως ὁ θεός. ἐπειδὴ δὲ τὴν ὕλην ἀΐδιον ὁμολογῶν ὑπὸ τοῦ θεοῦ γίνεσθαί φησιν ἐκ μὴ ὄντος, καὶ τὰ εἴδη τὰ ἀμέσως ὑπ' αὐτοῦ παραγόμενα, δηλονότι καὶ ταῦτα ἀΐδια ὄντα, εἴπερ τὰ γινόμενα καὶ φθειρόμενα ὑπὸ φύσεως καὶ κατ' αὐτὸν γίνεται, φανερὸν ὅτι τὰ ἀΐδιά φησιν ἐκ μὴ ὄντων γίνεται. ἅπερ ἀγένητα παντελῶς ὁ ἀριστοτέλης ἀποδείκνυσι. καὶ παρὰ θύρας ἁπάντων φαίνεται. τοῦ γὰρ ἀριστοτέλους καὶ γενητὰ λέγοντος τὰ ἐν μέρει χρόνου τὴν ὑπόστασιν ἔχοντα, καὶ ταῦτα ἐξ ὄντος τὴν γένεσιν ἴσχειν ἀποδεικνύντος, οὗτος τὰ ἀΐδιά φησιν ἐκ μὴ ὄντων γίνεσθαι, ἅπερ ἀριστοτέλης οὐδὲ γίνεσθαι ἀξιοῖ. ἀλλὰ κατ' ἄλλον τρόπον ὑπὸ θεοῦ παράγεσθαί φησι. τὰ γὰρ γινόμενα πάντως καὶ φθείρεσθαι νομίζει. κἂν ἀληθὲς οὖν ὅτι ἐκ μὴ ὄντων ὁ θεὸς τὰ ἀΐδια καθ' ὅντινα δή ποτε τρόπον εἰς τὸ εἶναι παράγει, οὐδὲν τοῦτο πρὸς τὸν ἀριστοτέλους λόγον ἐνίσταται. ὅλως γὰρ εἰ ὁ θεὸς ὥς φησιν ἀχρόνως καὶ ἄνευ γενέσεως τὰ ἀμέσως ὑπ' αὐτοῦ γινόμενα ὑφίστησι, δηλονότι οὐκ ἔστι ταῦτα τὰ διὰ γενέσεως τὸ εἶναι λαχόντα. ἀλλὰ δὴ τὰ χρώματά φησι καὶ τὰ σχήματα, καὶ ἁπλῶς εἰπεῖν τὰ ἔνυλα καὶ ἄτομα εἴδη, ὧν ἡ γένεσίς ἐστι καὶ ἡ φθορά, εἰς τὸ μηδαμῶς ὂν μεθίσταται. δῆλον οὖν ὅτι καὶ πρότερον οὐδαμῶς ὄντα, τὴν ὕπαρξιν ἐκ μὴ ὄντος εἴληφε. καίτοι ποῖον χρῶμα ἢ ποῖον σχῆμα φθαρὲν οὐχ οὕτως ἐφθάρη, ὥστε εἰς ἄλλο χρῶμα καὶ σχῆμα μεταβαλεῖν. εἰ γὰρ τὸ σῶμα ὑπομένει ἐν ταῖς μεταβολαῖς, ὡς οὗτος ὁμολογεῖ, τοῦτο νομίζων εἶναι τὴν πρώτην ὕλην, πᾶν δὲ σῶμα φυσικὸν μετὰ χρώματός ἐστι, δηλονότι τὸ λευκὸν σῶμα μεταβαλεῖ, χρῶμα ἔχον ἄλλο. καὶ ἐπὶ τοῦ σχήματος ὁ αὐτὸς λόγος. ἀδύνατον γὰρ σῶμα πεπερασμένον μὴ ἔχειν σχῆμα μετὰ τοῦ χρώματος. ἀλλ' οὗτος ἀνὴρ ὡς καὶ πρότερον εἶπον, παντελῶς ἀγνοεῖν μοι δοκεῖ, πῶς λέγεται τὸ ἐξ ὄντος γίνεσθαι

τὰ γινόμενα καὶ φθείρεσθαι εἰς ὄν. φαίνεται γὰρ οἰόμενος λέγεσθαι, ὅτι ἐξ ὄντος τοῦ αὐτοῦ τῷ εἴδει
καὶ εἰς ὂν τὸ αὐτό. τοιαύτην γὰρ ἔννοιαν ἐμφαίνει λέγων, ὅτι ἡ ὕλη οὐ δεήσεται ἑτέρας ὕλης. καὶ
ὅτι οὐδαμῶς ὄντα τὰ εἴδη πρότερον τὴν ὕπαρξιν ἐκ μὴ ὄντων εἴληφε. καίτοι τοῦ ἀριστοτέλους
μυριάκις τὰ αὐτὰ ἀποδείξαντος, ὅτι ἐξ ἐναντίων ἡ γένεσις, καὶ ἡ φθορὰ εἰς τὰ ἐναντία. θαυμαστὸν δὲ
ὅπως ὁμολογῶν τὰ ἀμέσως ἀπὸ θεοῦ παραγόμενα, ἀεὶ εἶναι καὶ τὸν κόσμον νομίζει, μήτε διὰ γε-
νέσεως μήτε διὰ χρονικῆς παρατάσεως ὑφίστασθαι, τοσούτους δαπανᾷ λόγους, καὶ οὕτως ἀσεβῆ
σκοπὸν ἐνεστήσατο, σπουδάζων δεῖξαι τὰ ἀμέσως ἀπὸ τοῦ πρώτου θεοῦ παραγόμενα, ἀρχήν τε
ἔχειν χρονικὴν καὶ πέρας. ἐπειδὴ δέ φησι κίνησις οὐ προϋπῆρξε τοῦ κόσμου, ἂν μή τις δείξῃ τὸν κό-
σμον ἀΐδιον, ἀδύνατον τὴν κίνησιν ἀΐδιον ἀποδεῖξαι. ἐλέγξας οὖν ὡς οἷόν τε τοὺς ἀΐδιον εἶναι τὸν
κόσμον κατασκευάζοντας λόγους, συνήλεγξε καὶ τὸ ἀΐδιον εἶναι τὴν κίνησιν. ἀλλ' ὅτι μὲν οὔτε τοῖς περὶ
τῆς ἀϊδιότητος τοῦ κόσμου δεδειγμένοις ἀπὸ τοῦ ἀριστοτέλους φαίνεται παρακολουθήσας οὗτος,
οὔτε σαλεύσας τι τῶν ἀποδειχθέντων, ἐν τοῖς εἰς τὸ πρῶτον τῆς περὶ οὐρανοῦ γεγραμμένοις ὡς οἶμαι
μετρίως ὑπέδειξα. καὶ νῦν δὲ ὅτι ἀρχόμενος μὲν τοῦ λόγου, μόνως εἶπε τὴν ἀϊδιότητα δείκνυσθαι
τῆς κινήσεως, εἴ τις ἀποδείξοι τὰ γινόμενα ἐξ ὄντων γινόμενα. προελθὼν δὲ οὐδὲν ἧττον συντελεῖ φη-
σι πρὸς τὴν τῆς ἀϊδιότητος ἀπόδειξιν. ἐπὶ τέλει δὲ ἂν μή τις δείξῃ φησὶ τὸν κόσμον ἀΐδιον, ἀδύνα-
τον τὴν κίνησιν ἀΐδιον ἀποδεῖξαι. ἀγνοῶν ὅτι τῆς μὲν αὐτοῦ παχύτητος ὁ τρόπος ἦν οὗτος τῆς ἀπο-
δείξεως εἰκότως. ἀϊδίου γὰρ τοῦ κόσμου δειχθέντος, τίς ἔτι λοιπὸν ἐζήτει νοῦν ἔχων, εἰ ἀΐδιος ἡ τοῦ
ἀϊδίου κόσμου κίνησις. μὴ κινουμένου γὰρ διηνεκῶς τοῦ οὐρανοῦ, οὔτ' ἂν αὐτὸς ἦν ἀεικίνητον ἔχων τὴν
φύσιν. οὔτ' ἂν τὰ ὑπὸ σελήνην διέμενε συνεχῶς μεταβάλλοντα. τῆς μέντοι τοῦ ἀριστοτέλους με-
γαλονοίας ἦν, καὶ τὸν κόσμον ἀΐδιον δεικνύναι. καὶ τὴν κίνησιν αὐτὴν ἐφ' ἑαυτῆς καὶ ἀπὸ τῆς οἰκεί-
ας φύσεως τὸ ἀΐδιον ἔχουσαν, ὥσπερ καὶ τὸν χρόνον ἐπιδείξει. μηκύνει δὲ οὗτος τοὺς ἑαυτοῦ λόγους
μηχανώμενος, ἵνα τούτῳ τοὺς ἀνοήτους ἐκπλήττῃ, προφανεστέραν ἔτι μᾶλλον τὴν ἑαυτοῦ δυσσυνεσί-
αν ποιεῖ. πάλιν γὰρ εἰς τοὐπίσω μεταχωρήσας, ἀποδεδεῖχθαί τε αὐτῷ φησι τινὰ τῶν γενητῶν μὴ χρό-
νῳ προϋπάρχειν τῆς κατὰ φύσιν ἑαυτῶν κινήσεως. ὅπερ ὡς ἐμάθομεν οὐκ ἀπέδειξε. καὶ τὸ αὐτὸ πά-
λιν ἀποδεικνύναι πειρᾶται. καὶ τὸν ἀριστοτέλους διελέγχειν λόγον, τὸν λέγοντα ἀνάγκη ἐν τοῖς
πρός τι ἢ ἄμφω ἢ θάτερον κινεῖσθαι. ἵνα τὴν πρὸς ἄλληλα δέξηται σχέσιν. λαβὼν γὰρ ὥς φησιν οὗ-
τος ὁ ἀριστοτέλης ὁμολογούμενον, ὅτι δεῖ προϋπάρχειν πρότερον τὰ πρός τι. εἶτα τὴν πρὸς ἄλλη-
λα σχέσιν ἀναδέχεσθαι. ὡς οὐκ ἐνδεχόμενον τε εἶναι τινὰ καὶ πρός τι εἶναι, οὕτω συνήγαγε τὸ δεῖν πάν-
τως ἢ ἄμφω κινηθέντα ἢ θάτερον, τὴν πρὸς ἄλληλα σχέσιν ἀναδέξασθαι. καὶ πάλιν τήν τε ἀριστοτέ-
λους ῥῆσιν, καὶ τὴν ἀλεξάνδρου ἐξήγησιν παραθέμενος, τὰ αὐτὰ δεικνύειν ἐπιχειρεῖ. ὅτι τὸ πῦρ κά-
τω γενόμενον. καὶ τὸ ὕδωρ ἄνω συστὰν, εὐθὺς ἅμα τῷ γενέσθαι τὴν ἑαυτῶν ἔχει κίνησιν. καὶ οὐ προϋ-
πάρχει αὐτῆς κατὰ χρόνον ἡ κινητικὴ τοῦ ὑποκειμένου φύσις. εἰ οὖν κινητικὸν μέν φησιν ἡ ἐν αὐτῷ
φυσικὴ δύναμις. κινητὸν δὲ τὸ ὑποκείμενον αὐτῇ σῶμα, πρός τι δέ ἐστι τὸ κινητὸν καὶ τὸ κινητικὸν,
καὶ προϋπάρχειν ἀνάγκη ταῦτα κατὰ χρόνον ὥς φησιν ἀριστοτέλης τῆς πρὸς ἄλληλα σχέσεως, οὐκ
εὐθὺς τὸ πῦρ ἅμα τῷ πῦρ εἶναι κινήσεται ἐπὶ τὸ ἄνω. εἴπερ κάτω τύχοι γεγονός. ὅπερ παρὰ τὰ
ἐναργῆ φαίνεται. καὶ ἐπὶ τῶν μορίων δέ φησι τῶν ζώων ἅμα τε διαμεμόρφωται, καὶ τὴν τοῦ δε-
ξιοῦ καὶ ἀριστεροῦ σχέσιν ἀναλαμβάνει. καὶ οὐ πρότερον μόρια γέγονεν. εἶθ' οὕτως ἀνείληφε τὴν σχέσιν.
ἀλλὰ τί μοι τὰς τούτου ληρωδίας ἀναμετρεῖσθαι, μὴ δὲ νοήσαντος ὡς οἶμαι τὰ ὑπὸ τοῦ ἀριστοτέλους εἰρη-
μένα, καὶ διὰ τοῦτο παραθύρας πρὸς αὐτὸν ἀπαντήσαντος. ὁ μὲν γὰρ ἀριστοτέλης εἰπὼν προϋ-
πάρχειν τῆς κινήσεως τὰ πράγματα τὰ δυνάμενα κινεῖσθαι καθ' ἑκάστην κίνησιν. ἐκ διαιρέσεως λοι-
πὸν ἐρωτᾷ τὸν λόγον λέγων. οὐκοῦν καὶ ταῦτα ἀναγκαῖον ἢ γενέσθαι ποτὲ οὐκ ὄντα, ἢ ἀΐδια εἶναι.
εἰ μὲν τοίνυν ἐγένετο. ἀναγκαῖον πρότερον τῆς ληφθείσης ἄλλην γενέσθαι μεταβολὴν καὶ κίνησιν.
εἰ δὲ ὄντα προϋπῆρχεν ἀεὶ κινήσεως οὔσης, δῆλον ὡς οὐχ οὕτως εἶχον ὡς δυνάμενα τὸ μὲν κινεῖσθαι,
τὸ δὲ κινεῖν. ἀλλὰ μετέβαλε θάτερα αὐτῶν. ἀνάγκη γὰρ ἐν τοῖς πρός τι τοῦτο συμβαίνειν. οἷον εἰ μὴ
ὂν διπλάσιον νῦν διπλάσιον, μεταβάλλει εἰ μὴ ἀμφότερα θάτερον. ὁρᾷς ὅτι κατὰ τὴν ἀκολου-
θίαν τῆς διαιρέσεως. τὰ δυνάμενα κινεῖν καὶ κινεῖσθαι ἢ ποτὲ γινόμενα ἢ ἀεὶ ὄντα ὑποθέμενος, εἰ-
πὼν τὸ ἑπόμενον τῷ γίνεσθαι. τὰ λοιπὰ πάντα ἐπὶ τῆς ἀεὶ εἶναι λεγούσης ὑποθέσεως τίθησιν.
ὥστε καὶ τῶν πρός τι κἂν προϋπάρχῃ κατὰ τὸ ἀληθὲς πανταχοῦ τῆς σχέσεως ἡ οὐσία, ἀλλ' οὐ νῦν
τοῦτό φησιν ὁ ἀριστοτέλης. ἀλλ' ὅτι ὑποκειμένων μὲν ἀεὶ εἶναι τῶν δυναμένων κινεῖν καὶ κινεῖσθαι.
ἠρεμούντων δὲ δῆλον ὡς οὐχ οὕτως εἶχον, ὡς εἶναι δυνάμενα τὸ μὲν κινεῖσθαι ἐνεργείᾳ. τὸ δὲ κινεῖν.
οὐ γὰρ ἂν ἠρέμει. ἀλλὰ τὸ μὲν ἐκίνει. τὸ δὲ ἐκινεῖτο. εἰ οὖν μέλλει τὸ μὲν κινεῖν, τὸ δὲ κινεῖσθαι, δεῖ
μεταβάλλειν ἢ ἄμφω ἢ θάτερον ἢ προσθήκην ἢ ἀφαίρεσιν λαμβάνοντα. ἵνα γένηται τὸ μὲν
διπλάσιον τὸ δὲ ἥμισυ. ἢ πλασιάζοντα, εἰ πρότερον διειστήκει. τίς οὖν ἦν χρεία σοι τοσού-
τους δαπανᾶν λόγους, δεικνύντι ὅτι τὰ πρός τι οὐ προϋπάρχει τῆς σχέσεως, καὶ τὸν ἀριστοτέ-

λη συκοφαντοῦντι γράφειν, οὐκ ἄρα ἐστὶν ἀληθὲς τὸ λέγειν πάντως τὰ πρός τι, εἰ μὴ τῶν ἀεὶ ὄντων
εἴη, προϋπάρχειν κατὰ χρόνον τῆς αὐτῶν σχέσεως. τοῦ ἀριστοτέλους σαφῶς εἰπόντος, εἰ δὲ ὄντα προ
ϋπῆρχεν ἀεὶ κινήσεως μὴ οὔσης, καὶ ἐπὶ τούτου τοῦ τμήματος διαιρέσεως τὴν ἀπὸ τῶν πρός τι μαρ
τυρίαν προσλαβομένου. ἀλλ' ἐπειδὴ καὶ νῦν ὡς ἀποδεδειχὼς φρυάττεται ὅτι οὐκ ἔστιν ἀληθὲς τὸ
ὑπὸ τοῦ ἀριστοτέλους εἰρημένον, τὸ προϋπάρχειν τῆς κινήσεως τὰ δυνάμενα κινεῖσθαι, καὶ πρὸς
ταῖς προτέραις ἄλλην ἐπιχείρησιν κομίζειν δοκεῖ, μὴ δὲ ταύτην ἀνεπίκριτον καταλίπωμεν. εἰ γάρ
ἐστι φησὶ κινητικὴ μὲν ἡ ἐν τῷ πυρὶ φυσικὴ δύναμις, κινητὸν δὲ τὸ ὑποκείμενον αὐτῇ σῶμα. καὶ ἐπει-
δὰν πῦρ γένηται τὸ μὲν κινεῖ τὸ δὲ κινεῖται, οὔτε τὸ δυνάμενον κινεῖν καὶ κινεῖσθαι προϋπάρχει
κατὰ χρόνον τῆς κινήσεως, οὔτε τὰ πρός τι τῆς πρὸς ἄλληλα σχέσεως. ἐπειδὴ πρός τι τὸ κινοῦν ἐστὶ
καὶ τὸ κινούμενον. πρὸς δὴ ταῦτα εἴρηται μὲν καὶ πρότερον. ὡς εἰ τὸ μὲν κινούμενον οὐσία ἐστὶν, ἡ
δὲ κίνησις ἐνέργεια καὶ προϋπάρχει πανταχοῦ κατὰ χρόνον ἡ οὐσία τῆς γεννητῆς καὶ φθαρτῆς ἐνερ
γείας, δῆλον ὅτι καλῶς εἶπεν ὁ ἀριστοτέλης. γεγονέτω γὰρ πῦρ κάτω. καὶ κινείσθω ἐπὶ τὸ ἄνω. εἰ
μὲν γὰρ μὴ ἀπέλαβε κάτω τὸ τοῦ πυρὸς εἶδος, οὐδ' ἂν τὸ ἄνω κινεῖσθαι εἶχεν. εἰ δὲ πῦρ ὂν μὴ εὐθύς ἐστιν
ἢ ἐν τῷ μέσῳ ἢ ἐν τῷ ἄνω τόπῳ, δῆλον ὅτι προϋπάρχει ἡ οὐσία τοῦ πυρὸς κατὰ χρόνον τῆς κατὰ τό
πον κινήσεως, καὶ τῆς ἀεὶ γενησομένης κινήσεως. κἂν ὡς συνεχῆ θέλῃς αὐτὴν εἰς ἄπειρον, προϋ-
πάρχει κατὰ χρόνον ἀεὶ τὸ δυνάμενον κινεῖσθαι τῆς κινήσεως, συνδιαιρουμένου δῆλον ὅτι καὶ τοῦ
χρόνου. ὥστε κἂν κινοῦν ἅμα καὶ κινούμενον ᾖ τὸ φυσικὸν σῶμα, προϋπάρχει ἡ τοῦ κινοῦντος καὶ
κινουμένου οὐσία τῆς ἐνεργείας αὐτοῦ. ἀλλὰ ταῦτα μὲν καὶ ἤδη εἴρηται. γινωσκέτω δὲ καὶ τοῦτο ὁ τὰ
τοιάδε ἀντιλέγων, ὅτι ἡ ἐν τῷ κινουμένῳ ἐνυπάρχουσα φυσικὴ δύναμις οὐ κατὰ τὸ κινεῖν κυρίως
θεωρεῖται. ἀλλὰ κατὰ τὸ κινεῖσθαι. ἐπειδὴ ἔτι δυνάμει ἐστὶ καὶ ἀτελής. καὶ οὕτω λέγεται ἀρχὴ
κινήσεως ἐν ᾧ ἐστιν, ὡς κατὰ τὸ κινεῖσθαι ἀρχὴ οὖσα. τὸ γὰρ κυρίως κινοῦν τέλειόν τε ἐστὶ. καὶ ἐξῃρη-
μένον εἶναι βούλεται τοῦ κινουμένου, ὡς τοῦ δυνάμει τὸ ἐνεργείᾳ. διὸ καὶ προϋπάρχειν ἀνάγκη
τοῦ κινουμένου τὸ κινοῦν. ἐπειδὴ τὸ κινοῦν ἐκ τοῦ δυνάμει εἰς τὸ ἐνέργειαν ἄγει τὸ κινούμενον. καὶ οὐκ ἐμαυ
τοῦ ταῦτα λέγω. ἀλλ' ὁ ἀριστοτέλης ἐν τῷ τρίτῳ τῆς φυσικῆς, οὐ τὴν ἐν τῷ γινομένῳ ἀνθρώπῳ φύ
σιν ποιεῖν τὸν ἄνθρωπόν φησι κυρίως. ἐκείνη γὰρ γίνεται μᾶλλον ἢ ποιεῖ. ἀλλ' ὅτι ὁ ἐντελεχείᾳ ἄνθρω
πος ποιεῖ ἐκ τοῦ δυνάμει ὄντος ἀνθρώπου ἄνθρωπον. καὶ ἐν τούτῳ δὲ τῷ βυβλίῳ εὑρεῖ σαφῶς περὶ
τῶν φυσικῶν σωμάτων. ὅτι οὐδὲν τούτων κινεῖ ἑαυτό. ἀλλὰ κινήσεως ἀρχὴν ἔχει οὐ τοῦ κινεῖν οὐδὲ τοῦ
ποιεῖν ἀλλὰ τοῦ πάσχειν. οὕτω δὲ καὶ ἐπὶ τῶν κατὰ τόπον κινουμένων ζητήσας τί τὸ κυρίως κινοῦν,
οὐ τὴν ἐν τῷ κινουμένῳ φύσιν ᾐτιάσατο. διότι κινουμένη μᾶλλόν ἐστιν αὕτη ἢ κινοῦσα. ἀλλὰ τὸ τοῦ εἴ-
δους ἐκείνου ποιητικόν. τὸ γὰρ ποιοῦν πῦρ τοῦτο τῆς ἐπὶ τὸ ἄνω κινήσεως αἴτιον ποιητικὸν εἶπεν. ὥσ
τε καὶ κατὰ τούτους οἶμαι τοὺς λόγους ἡ ἀπὸ τῆς φύσεως καὶ τοῦ ὑποκειμένου σώματος ἔνστασις ὑπὸ
τούτου προσβληθεῖσα, οὐδὲν τὸν ἀριστοτέλους λόγον ὀχλήσει λέγοντα. ὅτι πάντα μὲν τὰ δυνάμενα
κινεῖν καὶ κινεῖσθαι προϋπάρχει τῷ χρόνῳ τῆς κινήσεως. καὶ γὰρ ἐπὶ μὲν γενέσεως καὶ αὐξήσεως
καὶ ἀλλοιώσεως, προϋπάρχει σαφῶς τὸ ποιοῦν καὶ τὸ γινόμενον. οἷον τὸ σπέρμα καὶ τὸ καταμήνιον,
καὶ οἱ λίθοι καὶ τὰ ξύλα τῆς τοῦ ἀνθρώπου καὶ τοῦ οἴκου γενέσεως. καὶ ὁ ἄρτος καὶ ἡ σὰρξ τῆς αὐ-
ξήσεως. καὶ τὸ σῶμα καὶ ὁ ἥλιος τῆς μελανώσεως. δέδεικται δὲ οἶμαι καὶ ἐπὶ τῆς κατὰ τόπον μετα-
βολῆς τοῦτο οὕτως ἔχον. ἐπὶ δὲ τῶν πρός τι ὅτι μάτην ἐνέστη πρὸς τὸν ἀριστοτέλη, ὡς ἐπὶ πάντων
τῶν πρός τι λέγοντα προϋπάρχειν τὰ πρός τι τῆς σχέσεως, καὶ ὅτι τὸ κινοῦν καὶ κινούμενον καὶ
τὰ οὕτω πρός τι, δέδεικται. καὶ τὰ ἀπὸ τῶν μορίων δὲ τῶν ζώων ἀπορηθέντα μάτην ἠπόρηται.
κἂν γὰρ συνυπάρχῃ ἔστω αὐτῶν ἡ σχέσις, οὐδὲν ὁ ἀριστοτέλους λόγος ἐμπεπόδισται. αὐτὸς γὰρ τῶν
ἐνεργητικῶν σχέσεων προϋπάρχειν τὰς οὐσιώδεις ὑπάρξεις φήσειεν ἄν. ἐπὶ τέλει τῆς ἐνστάσεως ἑαυτῷ
προβαλλόμενος, ὡς εἰ καὶ μὴ πάντως ἐπὶ τῶν πρός τι προϋπάρχει τὰ πράγματα τῆς σχέσεως.
ἀλλ' οὖν διὰ κινήσεως εἰς τὸ εἶναι παρῆλθε. κινηθέντος γὰρ τοῦ σπέρματος τὰ μόρια γέγονε. καὶ
ἄλλου τινὸς πάλιν προκινηθέντος τὸ σπέρμα. ὁμοίως καὶ ἐπὶ πυρὸς καὶ τῶν ἄλλων. ὥστε οὐκ ἔστι
λαβεῖν πρώτην κίνησιν. οὕτω δ' οὖν ἐνστὰς πάλιν λύει λέγων. ὅτι καὶ εἰ ἡ φύσις ἐξ ὄντων δημιουρ-
γεῖ, οὐκ ἤδη καὶ τὸν θεὸν ἀνάγκη. εἰ γὰρ μὴ ἀεὶ ἦν ὁ κόσμος, δῆλον ὡς ἐκ μὴ ὄντων αὐτὸν ἐδημιούρ-
γησεν ὁ θεός. καὶ ὅτι εἰ ὁμοίως τῇ φύσει ποιεῖ, οὐδὲν διοίσει τῆς φύσεως. καὶ ὅτι καὶ τὴν ὕλην τῶν
σωμάτων ἐκ μὴ ὄντων παρήγαγεν. οὐ γὰρ δὴ ἐξ ὑποκειμένου. καὶ εἴρηται μὲν ταῦτα καὶ πρότε
ρον παρ' αὐτοῦ καὶ διὰ πλειόνων. καὶ διαλέλυται ὡς οἶμαι. καὶ νῦν δὲ διὰ τοὺς ἄλλοτε ἄλλοις χωρίοις
ἐντυγχάνοντας, ἀνάγκη τι συντόμως εἰπεῖν. καὶ ὅτι μὲν περὶ κινήσεως ζητούντων ἡμῶν, εἴτε ἀΐ
διος εἴτε μὴ, τὸ λέγειν εἰ γὰρ μὴ ἀεὶ ἦν ὁ κόσμος. δῆλον ὡς ἐκ μὴ ὄντων αὐτὸν ὁ θεὸς ἐδημιούργησε.
τῶν λίαν οἶμαι ἀνοήτων ἐστίν. ὅτι δὲ τὰ ἀμέσως ὑπὸ τοῦ θεοῦ παραγόμενα ἀΐδια πάντως ὄντα. οὐδὲ
γίνεσθαί φησιν ἀριστοτέλης. γίνεται γὰρ ἐκεῖνα μόνα τὰ ἐν μέρει χρόνου ὅσα φθορὰ διαδέχεται,
καὶ τοῦτο δῆλον. κἂν τὴν ὕλην οὖν παρήγαγεν ὁ θεὸς, οὐκ ἐξ ὑποκειμένου ἀλλ' ἀΐδιον αὐτὴν

παρήγαγεν. ὥσπερ καὶ τὸ εἶδος τὸ κοινόν. εἰ οὖν ἐν τῇ φυσικῇ γενέσει ἀεί τι ὕστερον ἐκ τοῦ προτέρου γίνεται, τοῦτο γὰρ οὗτος ὁμολογεῖ, ἀνάγκη ἐπ᾽ ἄπειρον προϊέναι ἄλλο πρὸ ἄλλου τιθέντα. εἰ δὲ ὑποθώμεθά τι πρῶτον. ὃ ὑπὸ θεοῦ ἀμέσως ἐγένετο καὶ οὐχ ὑπὸ φύσεως, πρῶτον μὲν ἀΐδιον ἀνάγκη εἶναι ἐκεῖνο καὶ οὐ γινόμενον. ἔπειτα πῶς ἂν ὁμοφυὲς εἴη τὸ ὑπὸ θεοῦ ἀμέσως γινόμενον τοῖς ἐκ φύσεως γινομένοις. τάχα δὲ καὶ χεῖρον, εἴπερ ἐξ ὑποκειμένου ἐκείνου ἡ φύσις τὸ ἑαυτῆς ἀποτέλεσμα ποιεῖ. ὥσπερ δέ φησιν ἥδε τυχὸν ἡ ὕλη ἐκ προϋποκειμένου πυρὸς ἐγένετο πῦρ, κἀκεῖνο ἐξ ἄλλου, ἐνδέχεται δὲ στῆναί ποτε ἀνιόντων εἴς τι πῦρ, ὃ μὴ ἐξ ἄλλου πυρὸς ἐξαφθείσης αὐτοῦ τῆς ὕλης γέγονεν, ἀλλ᾽ ἢ ἐκ παρατρίψεως ἢ ἐξ ἄλλης τινὸς αἰτίας. οὐ μὴν ἐκ πυρός, οὕτω δὴ καὶ ἐπὶ τῆς τῶν πραγμάτων ἐξ ἀλλήλων γενέσεως. οὐκ ἔστιν ἀδύνατόν φησι τὸ παραπλήσιον ὁρᾶν γινόμενον. νῦν μὲν οὖν φησιν ἅτε δὴ ὑπὸ φύσεως αὐτῶν γινομένων. ἄλλο ἐξ ἄλλου τὴν γένεσιν ἴσχει. ἀρχὴν δὲ ὅμως ἔχειν αὐτὰ τῆς ὑπάρξεως ἐνδέχεται. καὶ εἶναί τι πρῶτον καθ᾽ ἕκαστον εἶδος. ὃ μὴ ἐξ ἄλλου προϋπάρχοντος ὁμοίου ἢ ἀνομοίου τὴν γένεσιν εἴληφε. καὶ μάλιστα ἐπ᾽ αὐτῶν τῶν πρώτων στοιχείων. ἅμα τῇ ἐκ θεοῦ πρώτῃ τοῦ κόσμου συστάσει συνυπέστη. τὰ γὰρ ἐκ τῶν στοιχείων εἰ καὶ τότε πρώτως, ἀλλ᾽ οὖν ἐξ αὐτῶν δηλονότι καὶ οὕτω γέγονεν. ἀκουστέον ὅπερ καὶ πρότερον ἐλέγομεν. εἰ μὴ ὁ κόσμος ἄναρχον ἔχων κατὰ χρόνον δεικνύοιτο τὴν ὑπόστασιν, οὐδ᾽ ὅτι ἡ κίνησις ἄναρχός ἐστι δειχθῆναι δύναται. ταῦτα μὲν οὖν αὐτοῖς οὗτος τοῖς ῥήμασιν ἔγραψεν. ἴδωμεν δὲ τῶν εἰρημένων ἕκαστον. τὸ γὰρ πρῶτον ὃ λέγει πῦρ, κἂν μὴ ἐκ πυρὸς ἀλλ᾽ ἐκ παρατρίψεως ἔχῃ τὴν γένεσιν, ἀνάγκη προϋπάρχειν καὶ ἐκείνου τὸ ἐξ οὗ γέγονεν οἷον δένδρα τὰ παρατριβέντα. καὶ πάλιν καὶ τοῦ πρώτου πυρὸς ἐξ ὄντος ἡ γένεσις. ὥστε εἰ τὸ ὅμοιόν τις καὶ ἐπὶ τῶν ἄλλων φυλάξειεν, ἀνάγκη παντὸς καὶ τοῦ πρώτου λεγομένου γίνεσθαι προϋπάρχειν τι τὸ ἐξ οὗ γέγονε. τὸ δὲ λέγειν ὅτι νῦν μὲν ὑπὸ τῆς φύσεως γινόμενα τὰ στοιχεῖα ἐξ ἀλλήλων γίνεται, ἐν ἀρχῇ δὲ ὑπὸ τοῦ θεοῦ ἐγένετο, θαυμαστῶς ἀταλαιπώρου ψυχῆς ἐστι πρὸς τὴν τῆς ἀληθείας ζήτησιν. πόθεν γὰρ ἄλλοθεν ἔχει τοῦτο τὸ ἐξ ἀλλήλων γίνεσθαι εἰ μὴ ὑπὸ θεοῦ. πῶς δὲ ἄν τις νοῦν ἔχων τοσαύτην περὶ τὸν θεὸν μεταβολὴν ἐννοήσειεν, ὡς πρότερον μὴ ποιοῦντα ἐν ἐλαχίστῳ τινὶ χρόνῳ ποιητὴν στοιχείων μόνων γενέσθαι, καὶ πάλιν παύσασθαι τῆς ποιήσεως, τῇ φύσει παραδεδωκότα τήν τε τῶν στοιχείων ἐξ ἀλλήλων γένεσιν καὶ τῶν ἄλλων ἐκ τῶν στοιχείων. δῆλον δὲ ὅτι κατὰ τὴν τοῦ καλοῦ τοῦδε διδασκαλίαν, οὐ τοῦ κόσμου οὐδὲ τῶν ἐν αὐτῷ πάντων, ἀλλὰ τῶν στοιχείων μόνων ὁ θεὸς αἴτιος, καὶ τούτων φθαρτῶν. εἴπερ εἰς ἄλληλα μεταβάλλουσι. καίτοι ὅπερ εἴπομεν τὰ ἀμέσως ὑπὸ τοῦ θεοῦ γινόμενα, ἅτε ὑπ᾽ αὐτοῦ μόνου ἀμεταβλήτου ὄντος, καὶ ἀεὶ κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἔχοντος γινόμενα, ἀΐδια καὶ αὐτά ἐστι. διὸ καὶ τὰ οὐράνια προσεχῶς ὑπ᾽ αὐτοῦ παραχθέντα, ἀΐδιον ἔχει καὶ κατ᾽ ἀριθμὸν τὴν ὑπόστασιν. καὶ τῶν ὑπὸ σελήνην αἱ κοινότητες κατ᾽ εἶδος ἔχουσι τὴν ἀϊδιότητα. διότι κατ᾽ αὐτὸ ὑπ᾽ αὐτοῦ προσεχῶς παρήχθη. τὸ δὲ γινόμενον καὶ φθειρόμενον αὐτοῖς ἀπὸ τῶν ἐν οὐρανῷ ἀϊδίων μὲν κινουμένων δὲ αἰτίων προσυφάνθη. καὶ τοῦτό ἐστιν ὃ πρὸς τοὺς νέους θεοὺς ὁ παρὰ Πλάτωνι δημιουργὸς εἶπεν. τὸ δὲ λοιπὸν ὑμεῖς ἀθανάτῳ θνητὸν προσυφαίνοντες, ἀπεργάζεσθε ζῶα καὶ γεννᾶτε. τροφήν τε διδόντες αὐξάνετε. καὶ φθίνοντα πάλιν δέχεσθε. ἀλλ᾽ ὅσα μὲν οὗτος πρὸς τὴν πρώτην τοῦ Ἀριστοτέλους ἐπιχείρησιν περὶ τῆς κατὰ τὴν κίνησιν ἀϊδιότητος ἐτόλμησεν ἀντειπεῖν. μετρίας οἶμαι τετύχηκεν ἐπισκέψεως. ἐπὶ δὲ τὸ δεύτερον ἐλθὼν ἐπιχείρημα, σαφηνίζειν τε αὐτὸ πειράσομαι. καὶ τότε τὰς πρὸς αὐτὸ ἐνστάσεις ἐκθήσομαι. καὶ τὴν σαθρὰν ἐκεῖναι φθέγξονται παράστασιν.

Γ ΡΟΣ ΔΕ τούτοις, πρότερον καὶ ὕστερον πῶς ἔσται χρόνου μὴ ὄντος. ἢ ὁ χρόνος μὴ οὔσης κινήσεως εἰ δ᾽ ἔστιν ὁ χρόνος κινήσεως ἀριθμὸς ἢ κίνησίς τις. εἴπερ ἀεὶ χρόνος ἐστίν, ἀνάγκη καὶ κίνησιν ἀΐδιον εἶναι. ἀλλὰ μὴν περί γε χρόνου ἔξω ἑνὸς, ὁμονοητικῶς ἔχοντες, φαίνονται πάντες. ἀγένητον γὰρ εἶναι λέγουσι. καὶ διὰ τοῦτο Δημόκριτός τε δείκνυσιν ὡς ἀδύνατον ἅπαντα γεγονέναι. τὸν γὰρ χρόνον, ἀγένητον εἶναι.

Γ αὐν ἐναργῆ καὶ ταύτην ἀπόδειξιν κομίζει, τοῦτο τὴν κίνησιν μήτε γίνεσθαι μήτε φθείρεσθαι ἀλλ᾽ ἀΐδιον ὑπάρχειν. ἀπὸ τοῦ χρόνου κατασκευάζων αὐτὴν διὰ συνημμένου τοιούτου. εἰ ἀΐδιος ὁ χρόνος, ἀΐδιος καὶ ἡ κίνησις. ἀλλὰ μὴν τὸ ἡγούμενον. τὸ ἄρα λῆγον. καὶ τὸ μὲν συνημμένον καὶ νῦν δείξει καὶ ὕστερον, ἐκ τοῦ τὸν χρόνον κίνησιν εἶναι ὥς τινες ἐνόμισαν ἢ ἀριθμὸν ἢ πάθος τι τῆς κινήσεως. ὅτι δὲ ὁ χρόνος ἀΐδιος, καὶ ἐκ τῶν γενητὴν τὴν κίνησιν λεγόντων πειρᾶται δεικνύναι, μετὰ τοῦ καὶ περιτρέπειν τὸν λόγον. εἰ γὰρ γίνεταί φησιν ἡ κίνησις μὴ οὖσα πρότερον, καὶ εἰ φθείρεται ὕστερον μηκέτι οὖσα, δηλονότι καὶ τὸ πρότερόν ἐστι πρὸ τῆς κινήσεως, καὶ τὸ ὕστερον μετὰ τὴν κίνησιν. εἰ δὲ τὸ πρότερον καὶ τὸ ὕστερον, ἀνάγκη καὶ χρόνον εἶναι πρὸ τῆς κινήσεως καὶ μετὰ τὴν κίνησιν. τὸ γὰρ πρότερον καὶ τὸ ὕστερον τοῦτο. καθ᾽ ὃ λέγουσι πρότερον μηδεμίαν κίνησιν ὕστερον γίνεσθαι, καὶ πρότερον οὐδεμίαν ὕστερον μὴ εἶναι, τάξιν τῶν τοῦ χρόνου μερῶν δηλοῖ. μέρη γὰρ ταῦτα χρόνου. καὶ εἰς αὐτὰ διαιρεῖται ὁ χρόνος. εἰ δὲ χρόνον ἀνάγκη πρὸ τῆς κινήσεως εἶναι καὶ μετὰ τὴν κίνησιν. ὁ δὲ χρόνος ἢ κίνησίς ἐστιν ἢ

ἀριθμὸς κινήσεως, ὡς δέδεικται, ἀνάγκη καὶ κίνησιν εἶναι πρὸ τῆς κινήσεως καὶ μετὰ τὴν κίνησιν. ὥστε τοῖς λέγουσιν ὅτι μὴ οὖσα πρότερον κίνησις ὕστερόν ἐστι, καὶ οὖσα πρότερον ὕστερον οὐκ ἔσται, ἕπεται τὸ λέγειν ὅτι ἦν ποτε κίνησις ὅτε οὐκ ἦν κίνησις. καὶ ἔσται ποτὲ κίνησις ὅτε οὐκ ἔσται κίνησις. ἀλλὰ τοῦτο μὲν αὐτὸς παρῆκεν ἐπαγαγεῖν. λαβὼν δὲ ὅτι ὁ χρόνος ἢ κίνησίς ἐστιν ἢ ἀριθμὸς κινήσεως, ὡς ἀεὶ χρόνου ὄντος εἶναι κίνησιν, καὶ ὅτι ἀΐδιός ἐστιν ὁ χρόνος, ἐπήγαγεν ὅτι ἀνάγκη καὶ κίνησιν ἀΐδιον εἶναι. ὅτι δὲ ἀΐδιος ὁ χρόνος ἔδειξατο μὲν διὰ τοῦ προτέρου καὶ ὑστέρου. εἰ γὰρ ὁ μὲν χρόνος τὸ πρότερον καὶ ὕστερόν ἐστι, τὸ δὲ πρότερον καὶ ὕστερον ἀΐδιόν ἐστιν, εἰ γάρ τι εἴη πρὸ τοῦ προτέρου καὶ αὐτὸ πρότερόν ἐστι, καὶ εἰ μετὰ τὸ ὕστερον καὶ αὐτὸ ὕστερον, καὶ ὁ χρόνος ἄρα ἀΐδιος. καὶ δείκνυσι δὲ πρῶτον μὲν ἐκ τῆς κοινῆς τῶν φυσικῶν περὶ τούτου δόξης. πάντας γὰρ ἀΐδιον οἴεσθαι τὸν χρόνον, πλὴν τοῦ πλάτωνος. οὗτος γὰρ ἅμα τῷ κόσμῳ γενέσθαι φησὶν αὐτόν. ὅπως δὲ τοῦτο λέγει πλάτων μετ' ὀλίγον εἰσόμεθα. ὁ μέντοι δημόκριτος οὕτως ἀΐδιον ἐπέπειστο εἶναι τὸν χρόνον, ὅτι βουλόμενος δεῖξαι μὴ πάντα γενητά, ὡς ἐναργεῖ τῷ τὸν χρόνον μὴ γεγονέναι προσεχρήσατο. καὶ ἀναξαγόρας δὲ ὅταν λέγῃ. ἦν ὁμοῦ πάντα χρήματα, χρόνον ἐνδείκνυται πρὸ τῆς κοσμοποιοῦ διακρίσεως. καὶ γὰρ τὸ ἦν χρονικόν, καὶ ἀδιάκριτα ὄντα τὸν ἄπειρον πρὸ τοῦ χρόνου, ὕστερον διακρῖναι καὶ κοσμῆσαι τὸν νοῦν φησιν. καὶ ἐμπεδοκλῆς δὲ ἐξ ἀϊδίου λέγων ἀνὰ μέρος τὴν ἐπικράτειαν γίνεσθαι. ποτὲ μὲν τῆς φιλίας, ποτὲ δὲ τοῦ νείκους, δῆλός ἐστιν ἀΐδιον τὸν χρόνον οἰόμενος. εἰ δὲ ὁ χρόνος ἀΐδιος, καὶ ἡ κίνησις.

Γ ΠΛΑΤΩΝ ΔΕ αὐτὸν γεννᾷ μόνος. ἅμα γὰρ αὐτὸν τῷ οὐρανῷ γεγονέναι, τὸν δὲ οὐρανὸν γεγονέναι φησί.

Τ ὰ πολλάκις ἐν ἄλλοις εἰρημένα πρὸς ἐμοῦ καὶ νῦν ἀναγκαῖον εἰπεῖν. ὅτι πολλαχῶς τοῦ γενητοῦ καὶ ἀγενήτου λεγομένων, ἄλλως μὲν ὁ πλάτων, ἄλλως δὲ ὁ ἀριστοτέλης αὐτῷ χρώμενοι. δοκοῦσιν ἐναντιοῦσθαι πρὸς ἀλλήλους οὐκ ἐναντιούμενοι. καὶ γὰρ γενητὸν λέγεται τὸ πρότερον μὲν μὴ ὄν, ὕστερον δὲ ὄν, καὶ ἐν μέρει χρόνου τὴν ὑπόστασιν ἔχον, καθ' ὃ σημαινόμενον ἀριστοτέλης χρῆται τῷ γενητῷ. πρὸς τὸ ἀΐδιον ἀντιδιαιρῶν αὐτό. ἄλλο δὲ τοῦ γενητοῦ σημαινόμενον, τὸ πρὸς τὸ ὄντως ὂν ἀντιδιῃρημένον. ὅπερ ἐν τῷ γίνεσθαι τὸ εἶναι ἔχον, ἀπ' αἰτίας ἄλλης ὑφίσταται καὶ οὐχ ὑφ' ἑαυτοῦ. καὶ δι' ἄμφω ταῦτα διά τε τὴν πρὸς τὸ ὄντως ὂν καὶ ἅμα ὅλον ὄν, καὶ τὴν πρὸς τὸ αὐθυπόστατον ἀντίθεσιν, γενητὸν λέγεται κἂν ἀΐδιον ᾖ, καὶ κατὰ τοῦτο τὸ σημαινόμενον ὁ πλάτων πᾶσαν τὴν αἰσθητὴν καὶ σωματικὴν σύστασιν γενητὴν καλεῖ. τὸ γὰρ σωματικὸν πᾶν διεσπασμένον, οὔτε αὐτὸ ὑφιστάνειν ἑαυτὸ δύναται, οὔτε ἅμα ὅλον συνῆχθαι, οὔτε κατὰ τὴν οὐσίαν, οὔτε κατὰ τὸ εἶναι τῆς οὐσίας. καὶ δῆλός ἐστιν εὐθὺς τῷ ὄντι τὸ γενητὸν ἀντιτιθείς. ἐν οἷς φησι, τί τὸ ὂν μὲν ἀεὶ γένεσιν δὲ οὐκ ἔχον. καὶ τί τὸ γινόμενον μὲν ὂν δὲ οὐδέποτε. κατὰ δὴ τοῦτο τὸ γενητὸν καὶ οὐχὶ τὸ ὑπὸ τοῦ ἀριστοτέλους λεγόμενον, καὶ τὸν κόσμον γενητὸν ὁ πλάτων φησὶ καὶ τὸν χρόνον. ἐρωτήσας γοῦν περὶ τοῦ κόσμου. πότερον ἦν ἀεὶ γενέσεως ἀρχὴν ἔχων οὐδεμίαν, ἢ γέγονεν ἀπ' ἀρχῆς τινος ἀρξάμενον, ἀπεκείνατο, γέγονεν, ὁρατὸς γὰρ ἁπτός τέ ἐστι καὶ σῶμα ἔχων. πάντα δὲ τὰ τοιαῦτα αἰσθητά, τὰ δὲ αἰσθητὰ δόξῃ περιληπτὰ μετ' αἰσθήσεως, γινόμενα καὶ γενητὰ ἐφάνη. ὁρᾷς ὅτι τὴν αἰτίαν ἀποδιδοὺς τοῦ γενητὸν εἶναι τὸν κόσμον, οὐκ εἶπεν ὅτι πρότερον γὰρ μὴ ὂν ὕστερόν ἐστιν. ἀλλ' ὅτι ὁρατός τε ἁπτός τέ ἐστι καὶ σῶμα ἔχων. ἀλλὰ καὶ τὸν χρόνον γενητὸν εἶναι βούλεται, χρόνος δ' οὖν μετ' οὐρανοῦ γέγονε λέγων. καὶ τούτου δὲ αἴτιον οὐ τὸ πρότερον ὄντα τὸν χρόνον ὕστερον μὴ εἶναι. ἀΐδιον γὰρ αὐτὸν εἶναι λέγει, εἰ καὶ μὴ οὕτως ὡς τὸν αἰῶνα, ἀλλ' ὅτι εἰκών ἐστιν αἰῶνος, καὶ κατὰ κίνησιν ὑφέστηκε. λέγει γοῦν ὁ παρὰ πλάτωνι τίμαιος μετὰ τὴν τοῦ σωματοειδοῦς ψύχωσιν. ὡς δὲ κινηθὲν αὐτὸ καὶ ζῶον ἐνόησε τῶν ἀϊδίων θεῶν γεγονὸς ἄγαλμα ὁ γεννήσας πατήρ, ἠγάσθη τε καὶ εὐφρανθεὶς. ἔτι δὴ μᾶλλον ὅμοιον πρὸς τὸ παράδειγμα ἐπενόησεν ἀπεργάσασθαι. καθάπερ οὖν αὐτὸ τυγχάνει ζῶον ἀΐδιον ὄν, καὶ τόδε τὸ πᾶν οὕτως εἰς δύναμιν ἐπεχείρησεν τοιοῦτον ἀποτελεῖν. ἡ μὲν οὖν ζώου φύσις ἐτύγχανεν οὖσα αἰώνιος. καὶ τοῦτο μὲν δὴ τῷ γενητῷ παντελῶς προσάπτειν οὐκ ἦν δυνατόν. εἰκὼ δὲ ἐπενόει κινητόν τινα αἰῶνος ποιῆσαι. καὶ διακοσμῶν οὐρανόν, ἅμα ποιεῖ μένοντος αἰῶνος ἐν ἑνὶ κατ' ἀριθμὸν ἰοῦσαν αἰώνιον εἰκόνα, τοῦτον ὃν δὴ χρόνον ὠνομάκαμεν. ἐπίστησον οὖν ὅτι καὶ τόδε τὸ πᾶν ὡς δυνατὸν ἀΐδιον εἶναι βουλόμενος ὁ δημιουργός, εἰκονικῷ ὄντι τούτῳ εἰκόνα τοῦ αἰῶνος αὐτῷ τὸν χρόνον ἐδωρήσατο. ἵνα ὡς ὁμοιότατός φησιν ὁ κόσμος τῷ παραδείγματι κατὰ δύναμιν ᾖ. τὸ μὲν γὰρ δὴ παράδειγμα πάντα αἰῶνά ἐστιν ὄν. ὁ δὲ αὖ διὰ τέλους τὸν ἅπαντα χρόνον γεγονώς τε καὶ ὢν καὶ ἐσόμενος. εἰ οὖν ἐν παντὶ χρόνῳ καὶ γεγονώς ἐστιν ὁ κόσμος καὶ ὢν καὶ ἐσόμενος, δηλονότι ἀΐδιός ἐστι καὶ αὐτός. οὐχ ὡς αἰώνιος δέ. τὸ γὰρ αἰώνιον ἅμα πᾶσαν ἑαυτοῦ καὶ τὴν οὐσίαν ἔχει καὶ τὴν δύναμιν καὶ τὴν ἐνέργειαν. ὅτι καὶ ὁ αἰὼν τὸ ἀεὶ τῷ ὄντι συνῄρηκεν. ὁ δὲ χρόνος καὶ τὸ ἔγχρονον ἐν τῷ γίνεσθαι τὸ εἶναι ἔχοντα, τὸ ὁλοτελὲς ἐκείνων κατὰ κίνησιν καὶ γένεσιν ἀπομηρύονται. εἰ οὖν καὶ πλάτων διὰ τὸν χρόνον φησὶ τῆς δυνατῆς ἀϊδιότητος τὸ πᾶν μετέχειν,

δηλονότι καὶ κατ' αὐτὸν ἀΐδιός ἐστιν ὁ χρόνος. εἰ καὶ μὴ οὕτως ὡς ὁ αἰών. μηδεὶς οὖν πρὸς τὰ ῥήματα βλέπων ἐναντιοῦσθαι νομιζέτω τοὺς φιλοσόφους. εἰ μὲν γὰρ τὰ αὐτὰ σημαινόμενα τοῦ γενητοῦ καὶ ἀγενήτου λαμβάνοντες. ὁ μὲν γενητὸν, ὁ δὲ ἀγένητον ἔλεγε τὸν χρόνον καὶ τὸν κόσμον, ἐναντίως ἂν ἔλεγον. νῦν δὲ ταῖς μὲν ἐννοίαις συμφέρονται. εἰ γὰρ ὁ μὲν ἀριστοτέλης ἀριθμὸν κινήσεως λέγει τὸν χρόνον, ὁ δὲ πλάτων κατ' ἀριθμὸν ἰοῦσαν αἰώνιον εἰκόνα, τί ἄρα ταῦτα ταῖς ἐννοίαις διαφέρετον. ὁπότε καὶ μέχρι τῶν ὀνομάτων συμφέρονται. καὶ εἰ ὁ μὲν ἀριστοτέλης ἀΐδιον τὸν χρόνον φησὶν, ὁ δὲ πλάτων ἀΐδιον τὸν κόσμον διὰ τῆς τοῦ χρόνου μετέξεως γεγονέναι λέγει, καὶ εἰ σαφῶς ὁ πλάτων τὸν μὲν κόσμον γενητὸν ὡς σωματικόν φησι. τὸν δὲ χρόνον ὡς ἐν κινήσει καὶ τῷ γίνεσθαι τὸ εἶναι ἔχοντα, ἅπερ καὶ ἀριστοτέλης ἐπ' ἀμφοῖν ὁμολογεῖ, πῶς ἔτι τὸ γενητὸν τοῦ πλάτωνος πρὸς τὸ ἀγένητον τοῦ ἀριστοτέλους ταῖς ἐννοίαις καὶ οὐχὶ τοῖς ὀνόμασι μόνοις ἀντιφάσκειν νομίζομεν. διὰ τί οὖν φαίη τις ἂν ὁ ἀριστοτέλης. ἔξω ἑνὸς πάντας φησὶ τὸν χρόνον ἀγένητον λέγειν. τὴν μὲν ἀρχὴν αἰνιξάμενος, ὕστερον δὲ καὶ ὀνομαστὶ προσθεὶς. ὅτι πλάτων μόνος γεγονέναι φησὶ, καὶ τὴν αἰτίαν τοῦ γεγονέναι προσθεὶς. ἅμα γὰρ αὐτὸν τῷ οὐρανῷ γεγονέναι. τὸν δὲ οὐρανὸν γεγονέναι φησίν. ἢ ὅτι παλαιὸν ἔθος ἦν καὶ πρὸς τὸ φαινόμενον ἀντιλέγειν, φειδοῖ τῶν ἐπιπολαιοτέρων τὰς γνώμας. ἐπειδὴ οὖν τὸ γενητὸν συνηθέστερον ἐπὶ τῶν πρότερον μὴ ὄντων, ὕστερον δὲ ὄντων ἐλέγετο, διὰ τοῦτο πρὸς ταύτην τὴν σημασίαν τοῦ ὀνόματος ἀντιλέγων ὁ ἀριστοτέλης, δοκεῖ μὲν εὐθύνειν τὸν πλάτωνα ὡς γενητὸν εἰπόντα. εὐθύνει δὲ κατὰ τὸ ἀληθὲς οὐ τὸν πλάτωνα. ἀλλὰ τοὺς ἐπὶ τούτου τοῦ σημαινομένου τὸ γενητὸν τῷ χρόνῳ καὶ τῷ κόσμῳ προσάψαντας.

Εἰ ΟΥ̓Ν ἈΔΎΝΑΤΟΝ ἐστὶ, καὶ εἶναι καὶ νοῆσαι χρόνον ἄνευ τοῦ νῦν. τὸ δὲ νῦν, ἐστὶ μεσότης τις, καὶ ἀρχὴν καὶ τελευτὴν ἔχον ἅμα. ἀλλὰ ἀρχὴν μὲν, τοῦ ἐσομένου χρόνου. τελευτὴν δὲ, τοῦ παρελθόντος, ἀνάγκη ἀεὶ εἶναι χρόνον. τὸ γὰρ ἔσχατον τοῦ τελευταίου ληφθέντος χρόνου, ἔν τινι τῶν νῦν ἔσται. οὐδὲν γὰρ ἐστὶ λαβεῖν ἐν τῷ χρόνῳ παρὰ τὸ νῦν. ὥστε ἐπεί ἐστιν ἀρχή τε καὶ τελευτὴ τὸ νῦν ἀνάγκη αὐτοῦ ἐπ' ἀμφότερα εἶναι ἀεὶ χρόνον. ἀλλὰ μὴν εἴγε χρόνον, φανερὸν ὅτι ἀνάγκη εἶναι καὶ κίνησιν, εἴπερ ὁ χρόνος πάθος τι κινήσεως.

Ἐπειδὴ ὁ χόνος ἢ κίνησίς ἐστιν ἢ ἀριθμὸς ἢ πάθος τι τῆς κινήσεως, ἢ ἁπλῶς τῇ κινήσει τι πάντως συνυπάρχον, εἰ ἀΐδιος χρόνος ἀΐδιος πάντως ἐστὶ καὶ ἡ κίνησις. δείξας οὖν πρότερον ὅτι ἀΐδιος ὁ χρόνος ἔκ τε τοῦ προτέρου καὶ ὑστέρου, καὶ ἐκ τῆς πάντων τῶν φυσικῶν πλὴν ἑνὸς ὡς φησι περὶ τούτου δόξης, τὸ αὐτὸ καὶ δι' ἄλλης ἐπιχειρήσεως ἔτι μᾶλλον τῷ χρόνῳ προσηκούσης ἀποδείκνυσιν. ἡ δὲ ἀπόδειξις δοκεῖ μοι τοιαύτη. ὁ χρόνος κατὰ τὸ νῦν ἐστί τε καὶ νοεῖται, τοῦ γὰρ χρόνου τὸ νῦν μόνον ἐν ὑποστάσει ἐστί. διότι τὸ μὲν παρεληλυθὸς οὐκέτι ἐστί. τὸ δὲ μέλλον οὔπω, τὸ κατὰ τὸ νῦν ὑφεστὼς κατὰ μεσότητα ὑφέστηκεν, ἥτις ἀρχὴ μέν ἐστι τοῦ ἐσομένου χρόνου, τελευτὴ δὲ τοῦ παρελθόντος. τὸ κατὰ μεσότητα τοιαύτην ὑφεστὼς, ὡς καὶ πρὸ τοῦ ληφθέντος ἀεὶ καὶ μετὰ τὸ ληφθὲν εἶναί τι, τοιοῦτον. πᾶν γοῦν τὸ ἐν ὑποστάσει νῦν μέσον ἐστὶ χρόνων καὶ τῶν ἐν αὐτοῖς νῦν. τὸ οὖν τοιοῦτον ἀΐδιόν ἐστιν. ὃ γὰρ ἂν ὑπόθηταί τις ὡς ἔσχατον νῦν, καὶ αὐτὸ μέσον ἐστὶ, καὶ ἔχει μεθ' ἑαυτὸ χρόνον. ὥστε μὴ εἶναι ἔσχατον νῦν μηδὲ χρόνον, εἰ γὰρ χρόνον, καὶ νῦν. εἰ τὸ πέρας τοῦ χρόνου νῦν ὥσπερ τῆς γραμμῆς στιγμὴ, ὁμοίως δὲ οὐδὲ ἀρχὴν ἕξει. καὶ γὰρ τὸ ἐν ἀρχῇ δοκοῦν νῦν μέσον καὶ αὐτό ἐστιν. ὥσπερ ἀρχὴ τοῦ μέλλοντος. οὕτω πέρας ὂν τοῦ παρεληλυθότος. ὁ χρόνος ἄρα ἀΐδιός ἐστιν οὔτε ἀρχὴν ἔχων οὔτε τέλος. εἰ δὲ ὁ χρόνος ἀεί ἐστι, δηλονότι καὶ ἡ κίνησις ἀεὶ ἔσται. εἴπερ ὁ χρόνος ἀριθμὸς ἢ πάθος ἐστὶ τῆς κινήσεως. καὶ ὥσπερ οὐδὲ κίνησιν ἄνευ χρόνου λαβεῖν δυνατόν. οὐδὲ χρόνον ἄνευ κινήσεως. τὰ μὲν οὖν ὑπὸ τοῦ ἀριστοτέλους κἀνταῦθα νοερῶς καὶ θείως εἰρημένα. πρὸς ἀπόδειξιν τοῦ ἀΐδιον εἶναι τὴν κίνησιν. τῆς δυνατῆς ὑπὸ τῶν ἐξηγητῶν σαφηνείας τετύχηκεν. ὁ δὲ γραμματικὸς πάλιν καὶ τούτοις ἀντιλέγειν πειραθεὶς, ἴδωμεν ὁποῖος ἄρα φανεῖται, βασανιζόμενος. συγχωρήσας δὴ οὗτος ὁμοίως ἔχειν τῷ χρόνῳ τὴν κίνησιν, ἀϊδιότητός τε πέρι καὶ γενέσεως καὶ φθορᾶς, πρὸς τὴν ἀϊδιότητα μάχεται τοῦ χρόνου. καὶ τοὺς κατασκευάζοντας αὐτὴν λόγους ἀνατρέπειν φιλονεικεῖ, τριχῇ διῃρημένους. ὧν ὁ πρῶτος εὐθὺς ἀπὸ τοῦ προτέρου καὶ ὑστέρου τὴν ἐπιχείρησιν ἐποιήσατο. ὁ γὰρ λέγων τὴν κίνησιν γενητὴν εἶναι. οὐδὲν ἄλλο λέγει, ἢ ὅτι πρότερον μὴ οὖσα ὕστερόν ἐστι. καὶ ὁ λέγων φθαρτὴν οὐδὲν ἄλλο λέγει, ἢ ὅτι πρότερον οὖσα ὕστερον οὐκ ἔστιν. εἰ οὖν τὸ πρότερον καὶ τὸ ὕστερον χρόνου μέρη ἐστὶ, καὶ πρὸ κινήσεως ἔσται χρόνος, καὶ μετὰ τὴν κίνησιν. ὅπου δὲ χρόνος, πάντως καὶ κίνησις. ὥστε καὶ πρὸ τῆς πρώτης δοκούσης κινήσεως ἔσται κίνησις ἀεί. καὶ μετὰ τὴν ἐσχάτην δοκοῦσαν πάλιν ἔσται κίνησις, ἀΐδιος ἄρα ἡ κίνησις. πρὸς δὴ τοῦτον τὸν λόγον ἀπαντῶν οὗτος. τρία τινὰ προείληφεν οἷον ἀξιώματα πρὸς τὴν θαυμαστὴν αὐτοῦ κατασκευήν. πρῶτον ὅτι ὁ χρόνος τρίτην ἀπὸ σωμάτων ἔχει τὴν ὕπαρξιν ἢ τετάρτην, ὡς ὕστερον ἐπιδιορθούμενος λέγει. εἶναι γὰρ πρῶτον τὸ σῶμα. καὶ δευτέραν τὴν κινητικὴν αὐτοῦ δύναμιν, καὶ τρίτην τὴν κίνησιν. καὶ οὕτως ἐπὶ τῇ ἐνεργητικῇ κινήσει τὸν χρόνον ἀριθμὸν ὄντα κινήσεως. δεύτερον δὲ τὰς νοερὰς οὐσίας παντὸς ἐξῃρῆσθαί φησι σώματος καὶ τῇ οὐσίᾳ

καὶ τῇ

καὶ τῇ ἐνεργείᾳ. καὶ ἐπαινεῖ καὶ τὸν Πλάτωνα καὶ τὸν Ἀριστοτέλη καὶ τοὺς ἄλλους φιλοσόφους τοὺς
ταῦτα ἀποδείξαντας. καὶ τρίτον, συνωμολόγηταί φησι περὶ τοῦ νοῦ, ὡς εἰ ἀμερὴς αὐτοῦ καὶ ἀδιά-
στατος ἡ πρὸς τὰ νοητὰ τυγχάνει ἐπιβολή, καὶ μὴ δεομένη συλλογισμοῦ εἰς τὴν τοῦ νοητοῦ κατάλη-
ψιν, ὡς διάνοια μεταβαίνουσα ἐπὶ προτάσεις ἀπὸ προτάσεων, ἀλλ' ἢ ἅπτεται ἢ οὐχ ἅπτεται, ἀλλ'
οὖν γε πάλιν καὶ τοῦτο περὶ τῆς τοῦ νοῦ ἐνεργείας προσωμολόγηται, ὡς οὐκ ἀθρόαν ἅμα πάν-
των ἴσχει τὴν νόησιν. οὐ δὲ γὰρ καὶ θεὸν ἅμα καὶ ἄγγελον καὶ τὰς τῶν ψυχῶν διαφοράς τε καὶ κοινω-
νίας καὶ σώματα, καὶ χρόνον καὶ αἰῶνα καὶ τὰ λοιπὰ τῶν ὄντων νοεῖν δύναται. τοῦτο γὰρ τῆς
θείας μόνης ἵνα οὕτως εἴπω νοήσεώς ἐστιν ἴδιον, ἡ ἀμερὴς ἁπάντων τῶν ὄντων καὶ τῶν παρῳχηκότων
ἅμα καὶ τῶν μελλόντων γνῶσις. οὐ περὶ τοῦ θείου δέ φησι νοῦ τὸν λόγον νῦν ποιούμεθα. ἀλλὰ περὶ
τοῦ μετ' ἐκεῖνον εἴτε ἀγγελικὸς εἴη εἴτε ψυχικὸς εἴτε ὁ ποιοσοῦν ἄλλος. ὁ τοίνυν νοῦς φησι μεταβατι-
κῶς ἀπὸ νοήματος εἰς νόημα προϊών, δύο ἅμα νοήματα κατὰ ταυτὸν οὐκ ἐπιδέχεται. ἀλλὰ τὸ μέν
τι πρῶτον ἐνόησε, τὸ δὲ δεύτερον, τὸ δὲ τρίτον, ταῦτα ὥσπερ ἀξιώματα προλαβών. ἐπήγαγεν
αὐτοῖς, εἰ ὁ νοῦς τῆς πρὸς τὰ σώματα σχέσεως καὶ τῇ οὐσίᾳ καὶ τῇ ἐνεργείᾳ κεχώρισται, δηλονότι
καὶ τῆς τῶν σωμάτων κινήσεως πολλῷ μᾶλλον ἐστέρηται καὶ τοῦ χρόνου. εἰ οὖν ἄσχετος μὲν ὁ νοῦς
καθ' ὃ νοῦς ἐστι πρὸς τὸν χρόνον, οὐχ ἅμα δὲ πάντων τῶν νοητῶν ἴσχει τὴν νόησιν. ἀλλὰ τόδε τυχὸν πρό-
τερον νοήσας ἐφεξῆς εἰς ἕτερον μετέρχεται νόημα, κἀξ ἐκείνου πάλιν εἰς ἄλλο, ἔστιν ἄρα ἐν ταῖς
νοήσεσι τοῦ νοῦ τὸ πρότερον νόημα καὶ τὸ ὕστερον, καίτοι χρονικῆς ἁπάσης ἠλλοτριωμένου σχέσεως.
οὐκ ἄρα τὸ ὁπωσοῦν νοούμενον ἢ λεγόμενον πρότερόν τε καὶ ὕστερον, εὐθὺς καὶ χρόνου δηλωτικόν
ἐστιν. εἰ δὲ καὶ χρόνος φησὶ μετ' οὐρανοῦ γέγονε κατὰ τὸν Πλάτωνα, εἴ τις ἀνέλοι τὰ σώματα ἀναιρεῖ
καὶ τὸν χρόνον. οὐ μέντοι τὸν νοῦν ἀναιρεῖ. εἰ οὖν μεταβατική ἐστιν ἡ τοῦ νοῦ ἐνέργεια, ἀνάγκη τὸ μὲν
πρῶτον νοεῖν τὸ δὲ δεύτερον. τοῦτο γὰρ αὐτῷ φησι κατ' οὐσίαν ὑπάρχει. οὐκ ἄρα τὸ ὁπωσοῦν πρό-
τερον εἶναι καὶ ὕστερον λεγόμενον, εὐθὺς καὶ χρόνου δηλωτικόν ἐστιν ἀλλὰ γὰρ εἴ τις φησὶ μὴ δὲ τὰς
νοερὰς ἐλευθέρας εἶναι τῆς πρὸς τὸν χρόνον σχέσεως συγχωρήσειε, πάντως γοῦν τὸν τοῦ χρόνου
δημιουργόν, παντὸς ὑπέρτερον εἶναι καὶ ἐπέκεινα χρόνου τις ἀξιώσειεν. εἰ οὖν ἀμέσως δημιουρ-
γεῖ τὸν οὐρανὸν ὁ θεός, καὶ τὸ τοιῶσδε κινεῖσθαι αὐτῷ δέδωκεν, ἀνισοταχεῖς δὲ τῶν οὐρανίων εἰσὶν αἱ
κινήσεις. ἔτι οὖν ὑπὸ τὴν αὐτὴν τοῦ ζωδιακοῦ μοῖραν τοὺς πλανωμένους τῶν ἀστέρων συνεληλυθό-
τας ἐπινοήσειε δηλονότι οὐκ ἐν τῷ αὐτῷ χρόνῳ εἰς τὸ αὐτὸ σημεῖον ἕκαστος αὐτῶν ἐπαναστρέψει. οὐκ-
οῦν ὅτε εἰς τὸ αὐτὸ σημεῖον ἡ σελήνη τὸν ἑαυτῆς ἀνύσασα κύκλον, πάλιν κατήντησεν ἐν ᾧ πάν-
τες ἅμα ὄντες ἐτύγχανον πρότερον, ἔγνω δήπουθεν ὁ ταῦτα διαταξάμενος θεός, ὡς αὐτὴ μὲν τὸν
ἑαυτῆς ἤνυσε κύκλον, οἱ λοιποὶ δὲ οὐδέπω. ὥστε εἰ τὸν μὲν ἔγνω πρότερον ἀποκαταστάντα τῶν ἀ-
στέρων, τὸν δὲ ὕστερον, ἔστιν ἄρα ὅσον ἐπὶ ταῖς Ἀριστοτέλους ἐπιχειρήσεσι καὶ ἐν ταῖς θείαις νοήσεσι τὸ
μὲν πρότερον τὸ δὲ ὕστερον. διὰ τοῦτο δὲ καὶ ὁ χρόνος. οὐ γὰρ δὴ ἀγνοεῖν αὐτὸν ταῦτα φήσουσιν, ὧν
αὐτός ἐστιν ἀμέσως δημιουργός. καὶ οὐκ ἐν ταῖς νοήσεσι μόνον, ἀλλὰ καὶ ἐν ταῖς βουλήσεσιν. ὅτε γὰρ ἡ
σελήνη τὸ αὐτὸ κατειλήφει σημεῖον, ἐβούλετο δήπουθεν αὐτὴν οὕτως ἔχειν ὁ θεός, τοὺς δὲ λοιποὺς
οὐδέποτε ἐβούλετο. καὶ ὅτε τὸν ἥλιον ὑπομένειν ἤθελε, τότε οὔπω τὸν στίλβοντα φορέῃ ἢ τῶν ἄλ-
λων τινά, ἔστιν ἄρα καὶ ἐν ταῖς βουλήσεσι τοῦ θεοῦ προτέρα τις καὶ δευτέρα βούλησις καὶ τρίτη,
καὶ οὐ διὰ τοῦτο χρόνος. ἔτι τῶν μελλόντων τὴν γνῶσιν ἔχει ὁ θεός, μέλλοντα δέ ἐστιν οὐ τὰ καθόλου,
ἀλλὰ τὰ καθ' ἕκαστα καὶ ἄτομα. οἷον Σωκράτην πρὶν γενέσθαι καὶ Πλάτωνα. οὐκοῦν εἰ οἶδε τὸ μέλλον
ὁ θεός, οἶδεν ὡς οὔπω ἐνέστηκεν. ὅταν δὲ πάλιν ἐνστῇ, οἶδεν ὅτι ἐνέστηκεν, καὶ ἐπειδὰν φθαρῇ, οἶδεν ὅτι
παρῴχηκε, καὶ οὐκέτι τῶν ὄντων ἐστίν. ὥστε ἡ γνῶσις καθ' ἣν ᾔδει ὅτι μέλλει, προτέρα ἐστί, τῆς καθ'
ἣν γινώσκει ὅτι οὐκέτι τῶν ὄντων ἐστίν. εἰ οὖν διὰ τὴν τοῦ προτέρου καὶ ὑστέρου λέξιν εὐθὺς καὶ χρό-
νος ἐμφαίνεται παρυφιστάμενος, οὐδὲ τὸν χρόνου δημιουργὸν ἔξω τῆς τοῦ χρόνου ποιησόμεθα σχέ-
σεως. ταῦτα εἰπὼν ἐφεξῆς διὰ πολλῶν πειρᾶται κατασκευάζειν, ὅτι τὰ ὑπὲρ χρόνον μήτε νοῆ-
σαι μήτε ἑρμηνεῦσαι δυνάμενοι χρονικοῖς ἑρμηνεύομεν ῥήμασιν. ὡς γὰρ ὁ θεὸς ἀχρόνως τὰ ὑπὸ χρό-
νον νοεῖ, οὕτως ἡμεῖς τὰ ὑπὲρ χρόνον χρονικῶς. εἰ οὖν λέγομεν οὐκ ἦν ἀεὶ χρόνος, ἢ οὐκ ἦν πρὶν γε-
νέσθαι. ἢ ἄλλῃ τινὶ λέξει χρώμεθα χρονικὴν ἔννοιαν σημαινούσῃ, οὐκ εὐθὺς ἀνάγκη καὶ χρόνον συνε-
πινοεῖσθαι ταῖς λέξεσιν. ἀλλὰ μόνον τὸ μὴ ἀεὶ τὸν χρόνον εἶναι. ὅτι γὰρ αἱ χρονικαὶ λέξεις οὐ πάν-
τως καὶ χρόνον ὅπως ἂν λέγωνται σημαίνουσιν, ἐν τῷ πέμπτῳ τῶν πρὸς Πρόκλον ἀποδεδειχέναι φη-
σί. καὶ ἐκεῖθεν τὰς περὶ τούτου πίστεις ἐκλέγεσθαι τοὺς ἐντυγχάνοντας παραιτεῖται ὡς λέγει
ὁ γραμματικός. ἵνα τὸ παλιλλογεῖν ὡς μάλιστα γέγηθεν ἐκφύγῃ. τούτων αὐτῇ λέξει τὰ πλεῖστα γε-
γραμμένα παρεθέμην, πολλοὺς ἐλπίζων ἀπιστεῖν, εἰ τοιαῦτά τις ἐννοῶν καὶ γράφων, πρὸς τοὺς
κορυφαίους τῶν φιλοσόφων ἀντιλέγειν ἐτόλμησεν. ἀλλ' ἴδωμεν τὰ ὑπ' αὐτοῦ ῥηθέντα, ἀπὸ τῶν
ὑπ' αὐτοῦ προληφθέντων ὡς ἀξιωμάτων ἀρξάμενοι. τὸ δὴ πρῶτον ἔλεγεν τὸν χρόνον τρίτην ἢ τε-
τάρτην ἀπὸ τῶν σωμάτων ἔχειν τὴν ὕπαρξιν, μόνον τὸν τῆς ἐνεργείας μετρητικὸν χρόνον θεασάμενος.

καίτοι τῶν γε μεριστῶν καὶ γενητῶν καὶ ὅλως τῶν τοῦ ὄντως ὄντος ἐκβεβηκότων, οὐ τὴν ἐνέργειαν μόνην. ἀλλὰ καὶ τὴν τοῦ εἶναι παρέκτασιν καὶ τὴν κατὰ τὰς ποιότητας μετρεῖ ὁ χρόνος. ἔπειτα ὁ πολλαχοῦ τὸν πλάτωνα παρέλκων οὐκ ἐνενόησεν ὅτι διὰ τὴν τοῦ χρόνου μέθεξιν ὁμοιότερον γενέσθαι τῷ παραδείγματι τὸν κόσμον φησίν. ἐν οἷς γράφει ὡς δὲ κινηθὲν αὐτὸ καὶ ζῶν ἐνόησεν τῶν ἀϊδίων θεῶν γεγονὸς ἄγαλμα ὁ γεννήσας πατήρ, καὶ τὰ ἐφεξῆς. ἃ πρὸ ὀλίγου παραθέμενος, οὐ δέομαι πάλιν ἐνοχλεῖν. εἰ οὖν τῆς ἀϊδιότητος, ἣν οὗτος μόνῳ τῷ θεῷ προσήκειν οἴεται, διὰ τὸν χρόνον ὁ κόσμος μετέχει, καὶ τῆς μᾶλλον πρὸς τὸ παράδειγμα ὁμοιότητος, ἤπερ ὅτε σωματικὸς μόνον ἦν καὶ ἔμψυχος, πῶς αὐτὸν ἀμενηνὸν οὗτος ἐνόμισεν. εἰ δὲ καὶ τὴν αὐτὴν ἀναλογίαν ἔχει πρὸς τὸν κόσμον, ἣν ὁ αἰὼν ἔχει πρὸς τὸ παράδειγμα τοῦ κόσμου, ὡς γὰρ ἐκεῖνο διὰ τὴν τοῦ αἰῶνος μέθεξιν ὑπερτέραν ἔχοντος τάξιν αἰώνιόν ἐστιν, οὕτω καὶ ὁ κόσμος διὰ τὴν τοῦ χρόνου μέθεξιν ἀΐδιος ὢν ὡς ὑπερτέρου μετέχει τοῦ χρόνου, πῶς αὐτὸς ἔσχατον τοῦτον ἡγεῖται. ἀλλὰ τοῦτο μὲν οὐδὲν θαυμαστὸν εἰ λέληθεν τοῦτον τὴν περίεργον ἀδολεσχίαν, τοῖς κλεινοῖς τῶν φιλοσόφων πεπιστευμένον. τὸ δὲ δεύτερον αὐτοῦ τῶν ἀξιωμάτων, τὸ λέγον τὰς νοερὰς οὐσίας πάντως ἐξηρῆσθαι σωμάτων καὶ τῇ οὐσίᾳ καὶ τῇ ἐνεργείᾳ, εἴρηται καλῶς. καὶ δῆλος ἢ οὗτος παντελῶς ἀγνοῶν τὴν νοερὰν οὐσίαν, ὡς ἐκ τοῦ τρίτου μαθησόμεθα. ὁ γὰρ αὐτὸς ἐν τῷ τρίτῳ λέγει, καὶ ὅτι ἀμερὴς αὐτοῦ καὶ ἀδιάστατος ἡ πρὸς τὰ νοητὰ τυγχάνει ἐπιβολή. καὶ ὅτι οὐχ ἅμα θεὸν καὶ ἄγγελον καὶ τὰς τῶν ψυχῶν διαφορὰς καὶ κοινωνίας καὶ τὰ ἄλλα γινώσκει. ἀλλὰ μεταβατικῶς ἀπὸ νοήματος εἰς νόημα προϊών, καὶ δύο ἅμα νοήματα κατὰ ταυτὸν μὴ καταδεχόμενος. τοῦτο γὰρ θεοῦ φησιν ἴδιον, ἀλλ᾽ οὐ τοῦ ἀγγελικοῦ ἢ τοῦ ψυχικοῦ νοῦ. οὗτος γοῦν τὸ μέν τι πρῶτον ἐνόησεν, τὸ δὲ δεύτερον, τὸ δὲ τρίτον. πῶς οὖν ἀμερὴς αὐτοῦ καὶ ἀδιάστατός ἐστιν ἡ ἐπιβολή. εἰ μὴ δύο ἅμα νοεῖ, ἀλλὰ τὸ μὲν πρῶτον, τὸ δὲ δεύτερον, τὸ δὲ τρίτον, καὶ μεταβαίνει ἀπ᾽ ἄλλου εἰς ἄλλο. τίνα δὲ καὶ λέγει τὸν νοῦν τοῦτον, ἢ γὰρ τὴν λογικὴν ψυχήν, ἢ τὸ ἄκρον ταύτης, ἤ τινα ἄλλην οὐσίαν ὑπὲρ ψυχήν. εἰ μὲν γὰρ τὴν λογικὴν ψυχὴν νοῦν καλεῖ, ταύτης γὰρ ἴδιοί εἰσιν αἱ συλλογιστικαὶ καὶ μεταβατικαὶ ἀπ᾽ ἄλλων εἰς ἄλλα νοήσεις, οὐκ ἔστιν ἄσχετος αὕτη οὔτε πρὸς σώματα οὔτε πρὸς χρόνον. πῶς γὰρ οἷόν τε μετάβασιν ἀπ᾽ ἄλλου εἰς ἄλλο ἀχρόνως γενέσθαι. πῶς δὲ τὸ μὴ ἅμα νοοῦν οὐ τὸ μὲν ἐν προτέρῳ χρόνῳ νοεῖ, τὸ δὲ ἐν ὑστέρῳ. λεγέτω γὰρ ἡμῖν ὁ γραμματικός, τί τὸ ἅμα σημαίνει, καὶ τί τὸ οὐχ ἅμα. εἰ μὴ ἄρα τὸ ἅμα ὡς ταυτὸν τῷ ὁμοῦ τέθεικεν, καὶ τὴν τούτων διαφορὰν ἀγνοήσας. αἰσθάνομαι γὰρ ὅτι κατὰ τὸν μῦθον, ὡς κράτων οὗτος τῆς ἐν φιλοσοφίᾳ μεγαλαυχίας ἐπιθυμήσας, καὶ τῶν ὤτων ἀπεστερήθη τῆς προσηκούσης αὐτῷ κατὰ γραμματικὴν συνασκήσεως, εἴπερ τὸ μὴ ἅμα γινώσκον. ἀλλ᾽ ἀπ᾽ ἄλλου εἰς ἄλλο μεταβαῖνον, καὶ τὸ μὲν πρότερον νοοῦν, τὸ δὲ ὕστερον, νομίζει μὴ κατὰ χρόνον νοεῖν. εἰ δὲ τὸ ἄκρον τῆς λογικῆς ψυχῆς νομίζει νοῦν, ἤ τινα ὑπὲρ ψυχὴν οὐσίαν, εἰ μὲν μεταβατικὴν ποιεῖται τὴν νόησιν, ὡς οὗτος ἀξιοῖ, πλὴν τοῦ θεοῦ εἴπερ ἄρα, πάντα οὕτω γινώσκει λέγων, οὔτε ὑπὲρ ψυχήν ἐστιν ἐκεῖνο, οὔτε ὑπὲρ χρόνον. εἰ δὲ ἀθρόαν πάντων καὶ ἀμετάβατον, ὅπερ προσήκει τῷ κατ᾽ οὐσίαν νῷ, οὐκέτι τὸ πρότερον καὶ τὸ ὕστερον, οὐδὲ τὸ εἰς ἕτερον ἐξ ἑτέρου μετερχόμενον ἔχει χώραν. ὥστε οὐκ ἂν εὕροι πρότερόν τι καὶ ὕστερον τοιοῦτον, μὴ κατὰ χρόνον λεγόμενον. ὅπερ σπουδάζων ἀποδεῖξαι, τὴν ἀδιάρθρωτον ἑαυτοῦ περὶ τῆς νοερᾶς οὐσίας ἔννοιαν ἀπεγύμνωσεν. ἔδει γὰρ τὰ τοῦ προτέρου καὶ ὑστέρου σημαινόμενα. ἢ ὑπὸ τοῦ ἀριστοτέλους ἔν τε κατηγορίαις καὶ μετ᾽ ὀλίγον διαιρούμενα ἀκοῦσαι. ἢ αὐτὸν διελόμενον δεῖξαι, ποῖα μὲν ἐπιβάλλει τῷ χρόνῳ, ποῖα δὲ οὔ. λεγέσθω δὲ ὅμως πρὸς διάρθρωσιν τῆς ἐκείνου συγχύσεως. ὅτι τὸ πρῶτον τάξιν δηλοῦν, τετραχῶς ὡς ἐν τοῖς παροῦσιν ἂν εἴη λεγόμενον, ἢ γὰρ τῇ θέσει. ὡς πρῶτον ἄνωθεν τὸν ἀπλανῆ λέγομεν οὐρανόν, ἢ τῇ φύσει καὶ τῇ οὐσίᾳ, ὡς τὸ συναναιροῦν μὲν μὴ συναναιρούμενον δέ, καὶ συνεπιφερόμενον μὲν μὴ συνεπιφέρον δέ ὡς ἔχει τὰ γένη πρὸς τὰ εἴδη, ἢ τῷ χρόνῳ πρότερον. ὡς τὰ τρωϊκὰ τῶν πελοποννησιακῶν. λεγέτω τοίνυν ἡμῖν εἰ μὴ κατὰ χρόνον ἐστὶ τὸ πρότερον καὶ ὕστερον ἐν τοῖς νοήμασι τοῦ παρ᾽ αὐτοῦ λεγομένου νοῦ, κατὰ τί ἂν ἄλλο εἴη. θέσις μὲν γὰρ ἐν τοῖς νοητοῖς οὐκ ἔστιν εἰ μὴ κατὰ μεταφορὰν λέγοιτο. εἰ δὲ καὶ ἦν, οὐδὲν ἐκώλυεν ἅμα νοεῖν τὸ πρότερον καὶ τὸ ὕστερον. ἅμα γοῦν οἶμαι νοεῖ τῆς σφαίρας τό, τε κέντρον καὶ τὴν περιφέρειαν. ἅμα καὶ τὸ φύσει πρότερον καὶ ὕστερον. ὥσπερ τὸ αἴτιον καὶ αἰτιατὸν ἅμα οὐ μόνος ὁ νοῦς. ἀλλὰ καὶ ἡ ψυχὴ νοεῖν ἀναγκάζεται διὰ τὴν πρὸς ἄλληλα σχέσιν. τὸ δὲ κατὰ μετάβασιν πρότερον καὶ ὕστερον καὶ μὴ ἅμα, πάντως ἔχει συνυπάρχοντα χρόνον καὶ κίνησιν. καὶ τό γε ἐν τῇ γνώσει πρότερον καὶ ὕστερον τὸ μὴ ἅμα ὑπάρχον, οὐδὲ ἐπινοῆσαι δύναμαι, πῶς ἂν κατ᾽ ἄλλο σημαινόμενον ἢ τὸ κατὰ χρόνον λέγοιτο. ἀλλὰ λόγους οὗτος ἐκφυσᾷ κενούς, εἰς σύννοιαν αὐτῶν οὐκ ἐρχόμενος. ὥς γε τὸν νοῦν ὑπὲρ χρόνον θείς, μεταβατικὰς αὐτῷ δέδωκεν ἐνεργείας, τόδε γάρ φησι νοήσας ἐφεξῆς εἰς ἕτερον ἔρχεται νόημα, οὐχ ἅμα νοῶν, καὶ τοῦτο θείς, ὑπὲρ χρόνον εἶναί φησι τὴν τοιαύτην ἐνέργειαν, σαφῶς ἐνδεικνύμενος τοῖς δυναμένοις παρακολουθεῖν, ὅτι οὔτε τῆς νοερᾶς οὐσίας ἢ γνώσεως. οὔτε τῆς τοῦ χρόνου φύσεως ἔννοιαν ἔχει διηρθρωμένην.

θεωμένην. διὸ προθέμενος δεῖξαι πρότερόν τι καὶ ὕστερον μὴ κατὰ χρόνον ὑπάρχον, προεβάλετο μὲν τὸν νοῦν ὡς ὑπὲρ χρόνον ὄντα καὶ ἐνεργοῦντα κατ' ἄλλο τι πρότερον καὶ ὕστερον. τὸ δὲ πρότερον καὶ ὕστερον τὰ χρονικὰ λαβών, ἐπ' αὐτοῦ πάντα συνέφυρεν. εἰ γὰρ ἀπ' ἄλλου εἰς ἄλλο μετέρχεται, δηλονότι κινεῖται, ὅπου δὲ κίνησις, ἐκεῖ καὶ χρόνος, ὡς καὶ αὐτὸς τῆς ἀντιλογίας ἀρχόμενος ὡμολόγησεν, ἀριθμὸν κινήσεως τιθεὶς τὸν χρόνον. κἂν μὴ πᾶν οὖν τὸ πρότερον καὶ ὕστερον ὁπωσοῦν λεγόμενον. εὐθὺς καὶ χρόνου δηλωτικόν ἐστιν, οὐ γὰρ δὴ τὸ κατὰ φύσιν ἢ τὸ κατὰ θέσιν, ἀλλὰ τό γε ἐν τῇ μεταβατικῇ νοήσει πρότερον καὶ ὕστερον, καθ' ὃ τόδε πρότερον νοήσας ἐφεξῆς εἰς ἕτερον μετέρχεται, καὶ ἐξ ἐκείνου πάλιν εἰς ἄλλο, ὅτι ποτὲ ἂν ᾖ τὸ οὕτω νοοῦν, τοῦτο τὸ πρότερον καὶ ὕστερον κατὰ χρόνον ὂν καὶ οὐ κατ' ἄλλο τι τοῦ προτέρου καὶ ὑστέρου σημαινόμενον, κίνησίς ἐστιν ἢ μετὰ κινήσεως. ἡ γὰρ μετάβασις ὅπερ εἶπον, κίνησις. ὅπου δὲ κίνησις. ἐκεῖ καὶ χρόνος. ὥστε καὶ πάντα αὐτοῦ τὰ ἐφεξῆς ἐπιχειρήματα, τὰ λέγοντα μεταβατικὴν μὲν ἄχρονον δὲ τὴν τοῦ νοῦ καὶ τοῦ θεοῦ ἐνέργειαν ματαίως ἐπικεχείρηται. μάταιος δὲ καὶ ἡ κατ' ἐπίνοιαν ἀναίρεσις τῶν σωμάτων, καὶ ἡ τοῦ χρόνου συναναίρεσις. εἰ γὰρ ἀνέλοι φησί τις τὰ σώματα, καὶ τὸν χρόνον συναναιρεῖ, εἴπερ χρόνος μετ' οὐρανοῦ γέγονεν ὥς φησιν ὁ Πλάτων, οὐ μέντοι τὸν νοῦν ἀναιρεῖ. εἰ οὖν μεταβατική φησίν ἐστιν ἡ τοῦ νοῦ ἐνέργεια καὶ χρόνου μὴ ὄντος, καὶ ἀνάγκη τὸ μὲν πρότερον νοεῖν, τὸ δὲ δεύτερον, οὐ πᾶν τὸ πρότερον καὶ ὕστερον λεγόμενον, εὐθὺς καὶ χρόνου δηλωτικόν ἐστιν. ἐνταῦθα δὲ καὶ προσέθηκε τὸ τὸ μὲν πρότερον, νοεῖν τὸ δὲ δεύτερον κατ' οὐσίαν ὑπάρχει τῷ νῷ. καὶ ὅτι μὲν ὁ νοῦς νοεῖ τὸ πρότερον καὶ τὸ δεύτερον, καὶ τὸ κατὰ φύσιν καὶ τὸ κατὰ θέσιν καὶ τὸ κατὰ χρόνον πρόδηλον. τί γὰρ ἂν ἀγνοήσοι νοῦς ὤν, οὐ μέντοι μεταβατικῶς τὸ μὲν πρότερον νοεῖ, τὸ δὲ ὕστερον, καὶ τάχα τοῦτο ἔσφηλε τὸν γραμματικόν. ἀκούσας γὰρ ἴσως τῶν φιλοσόφων λεγόντων, ὅτι ὁ νοῦς τὴν πρώτην ἐν ἑαυτῷ διάκρισιν ἀναπλώσας, καὶ παράγει διακεκριμένα τὰ πράγματα, καὶ νοεῖ διακεκριμένως μέν, ἀμεταβάτως δέ, τὰ μὲν πρῶτα ὄντα, τὰ δὲ δεύτερα ὡς διακεκριμένα, οὗτος μὴ νοήσας τὸ λεγόμενον ἐνόμισε λέγεσθαι, ὅτι τὰ μὲν πρῶτα νοεῖ, τὰ δὲ μεταβατικῶς εἰς ἕτερον ἐξ ἑτέρου νόημα μετερχόμενος. τοῦτο δὲ διὰ τὴν ἄγνοιαν πέπονθε τῶν περὶ τοῦ νοῦ καλῶς πεπιστευμένων. εἰ γὰρ ἤκουσεν Ἀριστοτέλους λέγοντος περὶ τοῦ νοῦ, τῇ οὐσίᾳ ὢν ἐνέργεια, καὶ ὅτι ὁ νοῦς τὰ πράγματά ἐστι, καὶ ἀκούσας ἐνόησε τὰ λεγόμενα, οὐκ ἂν μεταβατικὰς ἐνόει τὰς ἐνεργείας τοῦ νοῦ. εἰ γὰρ ἡ ἐνέργεια τοῦ νοῦ καὶ τῇ οὐσίᾳ αὐτοῦ συμπέπηγε καὶ τοῖς πράγμασι, δῆλον ὅτι ἀμετάβατος ἂν εἴη. ἀλλὰ τοῦτο μὲν ὅπερ εἶπον ἔσω πολὺ τὴν τούτου διάνοιαν ὑπερβαίνειν, περὶ σκιὰς καὶ εἴδωλα τὰ πρὸς ἀντιλογίαν αὐτῷ χρήσιμα διατρίβοντος. τὸ δὲ μὴ ἐφιστάνειν ὅτι τὰ κατὰ μετάβασιν ἐνεργοῦντα, ὡς εἰς ἕτερον ἐξ ἑτέρου νόημα μετιέναι ἀπὸ προτέρου εἰς ὕστερον, καὶ μὴ ἅμα ἄμφω συναιρεῖν, τοῦτο κατὰ χρόνον ἐνεργοῦν χρονικὸν ἔχει τὸ πρότερον καὶ τὸ ὕστερον, τοῦτο τῶν ἄγαν ἀνοήτων μοι δοκεῖ, ὥσπερ καὶ τὰ ἐφεξῆς αὐτῷ γεγραμμένα. οὐ γὰρ ἀρκεσθεὶς οἷς εἰς τὸν νοῦν πεπαρῴνηκεν, μεταβατικὰς αὐτοῦ τὰς ἐνεργείας νομίζων, εἴ τις φησὶ μηδὲ τὰς νοερὰς οὐσίας ἐλευθέρας εἶναι τῆς πρὸς τὸν χρόνον σχέσεως συγχωρήσειεν, ἀλλά τόν γε τοῦ χρόνου δημιουργὸν πάντως ὑπέρτερον εἶναι χρόνου καὶ οὗτος ἀξιώσειεν. εἰ οὖν ἀμέσως φησὶ δημιουργεῖ τὸν οὐρανὸν ὁ θεός, καὶ ὅσα τούτοις ἐπήγαγεν, ἵνα μὴ δὶς τὰ αὐτὰ γράφω, ἐπειδὴ καὶ γινώσκει τὰς τῶν ἀστέρων ἀποκαταστάσεις ὁ θεός. ὅτι ὁ μὲν πρότερος ἀποκαθίσταται, ὁ δὲ ὕστερος, καὶ βούλεται οὕτως, ἀλλὰ μὴν καὶ τὸ μέλλον οἶδεν ὅτι μέλλει, καὶ τὸ ἐνεστηκὸς ὅτι ἐνέστηκεν. καὶ τὸ παρῳχηκὸς ὅτι παρῴχηκεν, ἔστιν ἄρα καὶ ἐν ταῖς θείαις νοήσεσι καὶ βουλήσεσι, τὸ μὲν πρότερον, τὸ δὲ ὕστερον, καὶ ἡ γνῶσίς φησι καθ' ἣν ᾔδει ὅτι μέλλει. προτέρα ἐστὶ τῆς καθ' ἣν ᾔδει ὅτι ἐνέστηκε, ταύτης δὲ πάλιν ὑστέρα, καθ' ἣν γινώσκει ὅτι οὐκέτι τῶν ὄντων ἐστίν. εἰ οὖν διὰ τὴν τοῦ προτέρου καὶ ὑστέρου λέξιν, εὐθὺς δοκεῖ τῷ Ἀριστοτέλει καὶ χρόνος ἐμφαίνεσθαι, οὐδὲ τὸν τοῦ χρόνου δημιουργὸν ἔξω τῆς τοῦ χρόνου ποιήσομεν σχέσεως. λεγέτω τοίνυν τὸ ἐν ταῖς νοήσεσι καὶ βουλήσεσι πρότερον καὶ ὕστερον, πότερον κατὰ μετάβασιν θεωρεῖ γινόμενον, ὅτι νοήσας τὸ δέ τι πρότερον καὶ ἐφεξῆς εἰς ἕτερον μετέρχεται νόημα, κἀξ ἐκείνου πάλιν εἰς ἄλλο, ἢ κατά τι ἄλλο σημαινόμενον τοῦ προτέρου καὶ ὑστέρου. εἰ μὲν γὰρ κατὰ μετάβασιν καὶ κίνησιν αὐτὸ θεωρεῖ, αὐτός ἐστι ὁ μετὰ τὰς τοῦ νοῦ ἐνεργείας, καὶ τὰς τοῦ θεοῦ τοῦ τὸν χρόνον δημιουργήσαντος, ὑπὸ χρόνου μετρεῖσθαι λέγων. καὶ ὅτι οὕτω μᾶλλον τὸ πρότερον καὶ ὕστερον νοεῖ, δῆλός ἐστιν ἐκ τοῦ ὅταν δὲ πάλιν ἐνστῇ, οἶδεν ὅτι ἐνέστηκεν, καὶ ἐπειδὰν φθαρῇ οἶδεν ὅτι παρῴχηκεν. εἰ οὖν ὅταν ἐνστῇ, τότε οἶδεν ὅτι ἐνέστηκεν, καὶ ἐπειδὰν φθαρῇ τότε οἶδεν ὅτι παρῴχηκεν. καὶ οὔτε πρότερον οἶδεν ταῦτα οὔτε ὕστερον, τὸ δὲ παρῳχηκὸς καὶ τὸ ἐνεστηκὸς καὶ τὸ μέλλον οὐχ ἅμα ἐστίν, ἀλλὰ κατὰ τὸν ῥέοντα χρόνον τὸ μὲν οὐκ ἔστι τὸ δὲ ἔστι τὸ δὲ οὔπω, δῆλον ὡς τὴν ῥοὴν ταύτην καὶ ἐν ταῖς τοῦ θεοῦ νοήσεσιν οὗτος φαντάζεται. καὶ τὸ ὅτε δὲ καὶ τότε, εἰ μὴ χρονικά ἐστιν ἐπιρρήματα, λεγέτω οὗτος ὁποῖα χρὴ νομίζειν αὐτά. εἰ δὲ κατ' ἄλλο τι σημαινόμενον, τοῦ προτέρου καὶ ὑστέρου. τὴν μέν τινα προτέραν ἐν τῷ θεῷ γνῶσίν φησι, τὴν δὲ ὑστέραν, ποιήσωμεν τὴν

αὐτὸν εἰ δοκεῖ κἂν τῷ λόγῳ καλλίονα. ἐπειδὴ τῷ ἔργῳ τέως οὐκ ἰσχύομεν, εἰ μὲν οὕτω πρότερον
λέγει καὶ ὕστερον, ὡς προτέρου καὶ ὑστέρου τὴν κατὰ χρόνον ἔχοντος γνῶσιν τοῦ θεοῦ, καὶ γινώσκον-
τος ὅτι τὸ μὲν πρότερον γέγονε, τὸ δὲ ὕστερον, οὐ πάνυ ἄτοπον. οὐ δὲ συνεισέρχεται χρόνος τῇ τοῦ
προτέρου καὶ ὑστέρου γνώσει. ὥσπερ οὐδὲ τῇ αἰτίᾳ αὐτοῦ τῇ θείᾳ, οὔτε Ἀριστοτέλης τὸ τοιοῦτον πρό-
τερον καὶ ὕστερον ἠνάγκασεν χρονικῶς ἀκούειν. μὴ μέντοι τολμάτω τις τὸ τοῦ γνωστοῦ πρότερον καὶ
ὕστερον εἰς τὴν τοῦ θεοῦ γνῶσιν ἀναφέρειν, καὶ κατὰ τοῦτο λέγειν. ὅτι ἡ γνῶσις καθ᾽ ἣν ᾔδει ὅτι μέλ-
λει προτέρα ἐστί, τῆς καθ᾽ ἣν ᾔδει ὅτι ἐνέστηκε. ταύτης δὲ ὑστέρα, καθ᾽ ἣν γινώσκει ὅτι οὐκέτι τῶν ὄν-
των ἐστίν. ἅμα γάρ ἐστιν ἐν αὐτῷ τούτων ἡ γνῶσις, καὶ οὐχὶ ἡ μὲν προτέρα, ἡ δὲ ὑστέρα, καὶ ἀναμιμνη-
σκέσθω τῶν ἑαυτοῦ λόγων. ἐν οἷς ἔλεγε, καὶ τὰ ὑπὸ χρόνον ἀχρόνως γινώσκειν τὸν θεόν. ἀλλ᾽ ὡς ἔοικεν ἠ-
γνόει τί τότε ἔλεγεν. εἰ δὲ τὸ πρότερον καὶ ὕστερον ὡς κατὰ θέσιν, ἢ ὡς ἂν ἐκεῖ τις εἴποι κυριώτερον
κατὰ τάξιν αἰτιώδη. ἢ κατὰ φύσεως ὑπεροχήν, ἐν ταῖς νοήσεσιν ἢ βουλήσεσί τις ὁρᾷ τοῦ θεοῦ, οὐ-
δὲν ταῦτα πρὸς τὸν Ἀριστοτέλους λόγον τὰ σημαινόμενα. ἀλλ᾽ ἔστι παίδων παιζόντων, τὸ ἀπὸ τοῦ ἀ-
διορίστου τῆς ὁμωνυμίας ἀντιλέγειν ἐπιχειρεῖν. προελθὼν δὲ ἀξιοῖ τὸν ἀκούοντα ὅτι πρὶν γενέ-
σθαι οὐκ ἦν χρόνος, μὴ χρονικῶς τὸ πρὶν ἐννοεῖν. πολλαὶ γὰρ λέξεις χρονικαί φησιν. οὐ πάντως χρόνον
σημαίνουσιν. ἀλλὰ μόνον τὸ μὴ ἀεὶ τὸν χρόνον εἶναι νοεῖν ἐκ τῆς λέξεως. ὁ δὴ ταῦτα λέγων δῆλός ἐστιν
οὐ βουλόμενος νοεῖν ἃ λέγει. εἰ γὰρ ἀξιοῖ μὴ κατὰ χρόνον τὸ πρότερον ἐνταῦθα καὶ ὕστερον ἐννοεῖν, ἐζήτη-
σεν ἂν πῶς ἄλλως αὐτὸ δυνατὸν ἐκλαμβάνειν, καὶ εὑρὼν ὅτι οὐ δυνατὸν ἄλλως ἀπέστη τῆς ἀκαίρου
ἀντιλογίας. ὁ γοῦν λέγων ὅτι πρὸ ἑξακισχιλίων εἰ τύχοι ἐτῶν οὐκ ἦν ὁ κόσμος, τί διάφορον λέγει
τοῦ λέγοντος ὅτι πρὸ τοσῶνδε ἐτῶν οὐκ ἦν γραμματικὴ τέχνη. ὁ δὲ ἐνταῦθα λέγων τί ἄλλο λέγει ἢ ὅτι
ἐν τῷ πρὸ ἐκείνων τῶν ἐτῶν χρόνῳ οὐκ ἦν. τὸ γὰρ τοιοῦτον πρότερον, οὔτε τῇ θέσει ἐστίν, ὡς εἰ ἔλε-
γον πρὸ τοῦδε τοῦ κίονος οὐκ ἔστιν ἄλλος. καὶ γὰρ θέσις κειμένων ἐστίν, οὔτε τῇ φύσει. ὡς καὶ πρότερον εἴ-
πον, καὶ ἐνταῦθα γὰρ ἀπαιτεῖ τι εἶναι τὸ πρότερον. ὅταν λέγωμεν πρότερον εἶναι τὸ γένος τοῦ εἴδους.
ὅλως δὲ τὸ πρὸ ἑξακισχιλίων ἐτῶν ὕστερα ἑαυτοῦ ἔχει τὰ ἑξακισχίλια ἔτη. τὸ δέ τι πρότερον ὑστέρου πρό-
τερον. εἰ οὖν χρόνος ὁ ὕστερος, χρόνος ἂν εἴη καὶ ὁ πρότερος ἢ ἐν χρόνῳ. ἀλλὰ τοῦτό φησι νόησον μόνον
ὅτι οὐκ ἀεί ἐστιν ὁ χρόνος. τί οὖν ἐνταῦθα ἄρα σημαίνει. οὐχὶ ὅτι ποτὲ μέν ἐστι. ποτὲ δὲ οὐκ ἔστι; τὸ δὲ ποτὲ ἄρα
οὐ δ᾽ αὐτὸ χρόνον δηλοῦν ὁ γραμματικὸς ἐρεῖ; δίκαιος οὖν λέγειν αὐτὸς τί ποτε ἄλλο σημαίνει. οὐ γάρ τι ἄ-
σημος ἡ λέξις φαίνεται. ἀλλὰ κινεῖ τινα τοῦ ἀκούοντος γνῶσιν, καὶ διατίθησί πως αὐτόν. ταῦτα μὲν
οὖν πρὸς τὸ πρῶτον τῶν νῦν ῥηθέντων ἐπιχειρημάτων εἰπεῖν τε καὶ ἤκουσεν ὁ γραμματικός. πρὸς
δὲ τὸ δεύτερον τῶν Ἀριστοτέλους ἐπιχειρημάτων, τὸ πιστούμενον ἀΐδιον εἶναι τὸν χρόνον. ἐκ τοῦ πάν-
τας τοὺς φυσικοὺς πλὴν ἑνὸς τοῦ Πλάτωνος, ὁμονοητικῶς ἔχοντας φαίνεσθαι περὶ τὴν ἀϊδιότη-
τα τοῦ χρόνου καὶ τὸ ἀγένητον εἶναι, ἄκουσον οἷα πάλιν οὗτος ἀντιλέγειν προείλετο. πρῶτον μὲν γοῦν
οὐκ ἐπειδή φησι συμφωνοῦσι πρὸς ἀλλήλους οἱ παρὰ τὸν Πλάτωνα, πέντε τυχὸν ἢ δέκα ἄνδρες ἀγέ-
νητον λέγοντες τὸν χρόνον, ἤδη διὰ τοῦτο προκρίνειν ἄξιον αὐτοὺς τοῦ Πλάτωνος. οὐ γὰρ πλήθει δεῖ
τῶν ἀποφηναμένων κρίνεσθαι τὴν ἀλήθειαν. ἐπεὶ οὕτω γε μόνος Ἀριστοτέλης τὴν πέμπτην οὐσίαν τοῦ
σώματος εἰσάγων, τὴν χείρονα ψῆφον ἀποίσεται πάντων ἢ τῶν γε πλείστων, ἀρχὰς τοῦ κόσμου τὰ
τέσσαρα στοιχεῖα ἢ πάντα ἢ τούτων τινὰ λεγόντων. ὅλως δὲ εἰ χρὴ τῷ πλήθει τῶν φυσικῶν ἀκολου-
θεῖν, πῶς ὡς αὐτὸς ἐν τῷ πρώτῳ τῆς περὶ οὐρανοῦ φησι, τὸν κόσμον ἐκεῖνοι μὲν γενόμενον ἅπαντες
εἶναί φασιν, αὐτὸς δὲ ἀγένητον ἀποδείκνυσιν. ἐκ τούτων δὲ εἰ μᾶλλον χρὴ πείθεσθαι τοῖς σύμφω-
να πρὸς ἑαυτοὺς λέγουσιν, ἢ τοῖς καὶ πρὸς ἑαυτοὺς ἀσυμφωνοῦσι. σύμφωνα δὲ μᾶλλον ὁ Πλάτων ἑ-
αυτῷ λέγει, χρόνος δ᾽ οὖν μετ᾽ οὐρανοῦ γέγονεν εἰπών, τῶν ἄλλων τὸν μὲν κόσμον γενητόν, τὸν δὲ χρόνον
ἀγένητον εἰπόντων, καίτοι μηδετέρου τούτων χωρὶς θατέρου τὴν ὑπόστασιν ἔχοντος, τῷ Πλάτωνι
μᾶλλον πειστέον μετὰ τοῦ κόσμου καὶ τὸν χρόνον γενητὸν εἶναι λέγοντι. ἔτι φησὶν εἰ ἐν τοῖς ἄλλοις ἅ-
πασι φυσικοῖς, μακρὰν ἀποπλανηθέντας τῆς ἀληθείας τοὺς ἄλλους φυσικοὺς ἔδειξε, πῶς τὴν
περὶ τοῦ ἀγένητον εἶναι τὸν χρόνον μαρτυρίαν αὐτῶν ὡς ἀξιόπιστον εἶναι παραδεξόμεθα. καὶ ἐπὶ
τούτοις πλείονας καὶ ἀρχαιοτέρους καὶ τὸ ἀξιόπιστον πολλαχόθεν ἔχοντας, ἀντιδιατεταγμένους
τοῖς ἀγένητον λέγουσι τὸν χρόνον δεικνύειν ἔχειν φησί. ῥητέον τοίνυν καὶ πρὸς ταύτας αὐτοῦ τὰς ἀν-
τιρρήσεις, ὅτι τὰς τῶν ἄλλων μαρτυρίας οὐχ ὡς ἀποδεικτικὰς ὁ Ἀριστοτέλης παρατίθεται. ἀλλὰ
μετὰ τὰς ἀποδείξεις ὡς τὰ πολλά, εἴ τινας καὶ τῶν προτέρων εὕροι τοῖς ἀποδεδειγμένοις σύμφω-
να λέγοντας, μνήμην αὐτῶν ποιεῖται. πρῶτον μὲν εὐγνώμονα χάριν ἀποδιδούς, ὅτι πρῶτοι τὴν τοι-
αύτην εἶδον ἀλήθειαν. ἔπειτα καὶ τοῖς μανθάνουσι πειθὼ μετὰ τῆς ἀποδεικτικῆς ἀνάγκης προσφέ-
ρων. ἀναμφισβητότερα γὰρ δοκεῖ τὰ παρὰ τοῖς πλείοσι καὶ σοφωτέροις ὁμολογούμενα, ὥσπερ τὰ
παρὰ πᾶσι παντελῶς ἀναμφίλεκτα. διὰ τὸ μὴ ἔχειν ἀλλαχόσε ποι πρὸς ἀντικειμένην τὴν διάνοιαν
ἀποκλῖναι. οὗτος δὲ ὁ γραμματικὸς τοῦ τοιούτου σκοποῦ τῶν λόγων μὴ συναισθόμενος, ὡς πρὸς ἀποδει-
κτικὴν τὴν μαρτυρίαν ἀντιλέγων, οὐ δεῖ φησι ταῖς ἀναποδείκτοις αὐτῶν ἀποφάνσεσι δίκην ἀλόγων
κατακολουθεῖν.

κατακολουθεῖν. ὅτι δὲ ὁ Πλάτων γενητὸν τόν τε κόσμον εἶπε καὶ τὸν χρόνον, οὐ κατὰ τὸ αὐτὸ τῷ Ἀριστο-
τέλει σημαινόμενον, καὶ ὅπως ὁ Ἀριστοτέλης παλαιὰν συνήθειαν διασώζων, οὐ πρὸς τὸν Πλάτωνα, ἀλ-
λὰ πρὸς τοὺς κατὰ τὴν πρόχειρον ἐκδοχὴν τὸ γενητὸν ἀκούοντας ἀντιλέγει, οὐ δέομαι πάλιν λέ-
γειν, πρὸ ὀλίγου ταῦτα κατὰ τὴν τοῦ Ἀριστοτέλους ἐξήγησιν ὡς οἶμαι διασαφήσας. ὥστε καὶ εἴ τινας
ἄλλους τῶν φυσικῶν ὡς γενητὸν λέγοντας τὸν κόσμον ὁ Ἀριστοτέλης εὐθύνει, καὶ ἐκείνων πρὸς τὸ φαινό-
μενον ἀπαντᾷ, καὶ τί θαυμαστὸν εἴ τινας ἐνόμισεν Ἀριστοτέλης κατὰ τὸ πρόχειρον ἀποδέξασθαι τὸ τοῦ
Πλάτωνος καὶ τῶν ἄλλων γενητόν, ὅτε μετὰ τοσούτους τοῦ Πλάτωνος ἐξηγητάς, τοὺς τὸ γένητον ὅπως εἴ-
ρηται παρὰ τῷ Πλάτωνι διαρθρώσαντας, ὁ γραμματικὸς οὗτος συμφωνεῖν ἑαυτῷ τὸν Πλάτωνα νο-
μίζει, τὸν κόσμον καὶ τὸν χρόνον γενητὸν οὕτως ὡς οὗτος βούλεται λέγοντα, ὡς πρότερον μὲν μὴ ὄντα, ὕστερον
δὲ εἰς τὸ εἶναι παρελθόντα, καὶ οὐκ ἤκουσε τοῦ Πλάτωνος λέγοντος, ὅτι ὅμοιον τὸν κόσμον τῷ παρα-
δείγματι καὶ κατὰ τὴν ἀϊδιότητα βουλόμενος ὁ θεὸς ἀπεργάσασθαι, ἀντὶ τοῦ ἐκεῖ αἰῶνος τοῦ τὴν αἰ-
ώνιον ἀϊδιότητα παρεχομένου τῷ παραδείγματι, εἰκόνα τοῦ αἰῶνος τὸν χρόνον τῷ κόσμῳ παρέσχε,
τὴν χρονικὴν ἀϊδιότητα διδόντα, καὶ παρεθέμην πρὸ ὀλίγου τὰ τοῦ Πλάτωνος αὐτὰ ῥήματα. ἀλλ'
οὐδὲ τὴν πέμπτην οὐσίαν εἰσαγαγὼν ὁ Ἀριστοτέλης, κατὰ τὴν ἔννοιαν διαφέρεται πρὸς τοὺς ἄλλους, καὶ
μάλιστα πρὸς τὸν Πλάτωνα. εἰ γὰρ διὰ τοῦτο φαίη ἂν ὁ Πλάτων καὶ τὸν οὐρανὸν ἐκ πυρὸς καὶ γῆς εἶναι καὶ
τῶν μεταξύ. ὅτι ὁρατὸς καὶ ἁπτός ἐστιν, οὐδὲν δὲ ὁρατὸν ἄνευ πυρὸς οὐδὲ ἁπτὸν ἄνευ γῆς, ὁρῶ τὴν τέον καὶ τὸν
Ἀριστοτέλην, εἰ μὴ καὶ αὐτὸς ἄμφω ταῦτα ὁμολογήσοι, καὶ τὸ ὁρατὸν καὶ ἁπτὸν εἶναι τὸν οὐρανόν, καὶ τὸ
ταῦτα τῷ πυρὶ καὶ τῇ γῇ πρώτως ὑπάρχειν. διατί οὖν οὗτος πέμπτην οὐσίαν αὐτὸν καλεῖ. ἢ ὅτι καὶ ὁ
Πλάτων ἄλλην τοῦ οὐρανοῦ τὴν οὐσίαν παρὰ τὰ τέσσαρα στοιχεῖα τὰ ὑπὸ σελήνην φησίν. εἴπερ τῷ μὲν
οὐρανῷ τὸ δωδεκάεδρον ἀποδέδωκε σχῆμα. τῶν δὲ τεσσάρων ἕκαστον ἄλλῳ καὶ ἄλλῳ διεζωγράφησεν σχή-
ματι. πέμπτην οὖν καὶ οὗτος οὐσίαν τὴν τοῦ οὐρανοῦ φησίν. ἄλλην γὰρ παρὰ τὰ τέσσαρα τὰ ὑπὸ σελήνην
στοιχεῖα. εἴπερ πέμπτον ἐστὶ τὸ δωδεκάεδρον σχῆμα, καὶ οὐσιώδη τὰ σχήματά ἐστιν. ἔτι δὲ τοῦτο σαφέ-
στερον πεποίηκε Ξενοκράτης ὁ γνησιώτατος τῶν Πλάτωνος ἀκροατῶν, ἐν τῷ περὶ τοῦ Πλάτωνος βίου
τάδε γεγραφώς. τὰ μὲν οὖν ζῷα πάλιν οὕτω διῃρεῖτο, εἰς ἰδέας τε καὶ μέρη, πάντα τρόπον διαιρῶν. ἕως
εἰς τὰ πάντων στοιχεῖα ἀφίκετο τῶν ζῴων. ἃ δὴ πέντε σχήματα καὶ σώματα ὠνόμαζεν. εἰς αἰθέρα καὶ πῦρ
καὶ ὕδωρ καὶ γῆν καὶ ἀέρα, ὥστε ὁ αἰθὴρ πέμπτον ἄλλο τι σῶμα ἁπλοῦν ἐστὶ καὶ αὐτῷ παρὰ τὰ τέσσα-
ρα στοιχεῖα. ἀλλ' οὐδὲ ἀσύμφωνα πρὸς ἑαυτοὺς λέγουσιν, οἱ τὸν μὲν κόσμον γενητὸν κατ' ἄλλο σημαινόμε-
νον λέγοντες, ἢ ὡς ἀπ' αἰτίας ἢ ὡς καθ' ὑπόθεσιν. τὸν δὲ χρόνον ἀγένητον, ὡς οὐχὶ πρότερον μὲν μὴ ὄν-
τα ὕστερον δὲ ὄντα. κἂν ἀεὶ συνυπάρχωσιν, ὅ τε χρόνος καὶ ὁ κόσμος. ὁ μὲν γὰρ κόσμος διὰ τὴν τῶν προ-
τέρων ἐν αὐτῷ καὶ ὑστέρων φύσιν ἐδέχετο τὴν καθ' ὑπόθεσιν γένεσιν. ὁ δὲ χρόνος καὶ τὸ πρότερον ἐν ἑαυ-
τῷ καὶ τὸ ὕστερον χρόνον ἔχων, οὐδὲ καθ' ὑπόθεσιν ἐδύνατο λέγεσθαι γενητὸς οὕτως. εἰ γὰρ γενητὸν τὸ πρό-
τερον μὲν μὴ ὂν ὕστερον δὲ ὄν, τὸ δὲ πρότερον χρόνος, πῶς οἷόν τε γενητὸν τὸν χρόνον ἐννοεῖν. ἀλλ' οὐδὲ ἐν
πᾶσιν ὡς οὗτός φησι τοῖς φυσικοῖς σκέμμασι, μακρὰν ἀποπλανηθέντας τῆς ἀληθείας τοὺς ἄλλους
φυσικοὺς Ἀριστοτέλης ἀπέδειξεν. ὅς γε καὶ νῦν καὶ ἐν ἄλλοις πλείστοις ἀγαπᾷ τὴν ἑαυτοῦ πρὸς ἐκείνους
συμφωνίαν. ἢ οὐχὶ πολλοὺς ἐδαπάνησε λόγους, δεικνὺς πάντας σχεδὸν τοὺς φυσικοὺς ἐξ ἐναντίων
καὶ ὑποκειμένου τινὸς τὴν γένεσιν λέγοντας. εἰ καὶ ἄλλος κατ' ἄλλην ἐπιβολὴν εἰς ταύτην ἠνέχθη τὴν
ἔννοιαν, καὶ οὐχὶ τοῦτο λέγω ὅτι πάντες ἐν πᾶσι συμφώνως περὶ τῶν φυσικῶν μάλιστα πραγμάτων ἀπε-
φήναντο. ἀλλ' ὅτι τὰ πλεῖστα ταῖς ἐννοίαις συμφωνήσαντες, τῷ φαινομένῳ τῶν ὀνομάτων διηνέγκαν.
πρὸς ὃ τὰς πολλὰς ἀντιλογίας Ἀριστοτέλης πεποίηται. ἐπειδὴ δὲ πλείονάς φησιν ἔχειν ἐπιδεικνύναι καὶ
ἀρχαιοτέρους, καὶ μᾶλλον ἀξιοπίστους τοὺς τὸν χρόνον γενητὸν λέγοντας, ἆρα ἐφθόνησεν ἡμῖν τούτους
μαθεῖν; οὓς Ἀριστοτέλης ἠγνόησε. σαφῶς εἰπὼν ἔξω ἑνὸς ὁ μονοειδικῶς πάντας ἀγένητον λέγειν τὸν χρό-
νον. ἢ μηδένα ἔχων εἰπεῖν, τῇ δῆθεν ἀποσιωπήσει τὴν ἄγνοιαν συνεκάλυψεν. εἰ δὲ τὸν τῶν Ἰουδαίων νομο-
θέτην ἐνδείκνυται λέγοντα, ἐν ἀρχῇ ἐποίησεν ὁ θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν. ἡ δὲ γῆ ἦν ἀόρατος καὶ ἀκα-
τασκεύαστος. καὶ σκότος ἐπάνω τῆς ἀβύσσου, καὶ πνεῦμα θεοῦ ἐπεφέρετο ἐπάνω τοῦ ὕδατος. εἶτα ποιή-
σαντος αὐτοῦ τὸ φῶς, καὶ διαχωρίσαντος ἀνὰ μέσον τοῦ φωτὸς καὶ ἀνὰ μέσον τοῦ σκότους, ἐπήγαγε, καὶ ἐ-
κάλεσεν ὁ θεὸς τὸ φῶς ἡμέραν, καὶ τὸ σκότος νύκτα. καὶ ἐγένετο ἑσπέρα καὶ ἐγένετο πρωῒ ἡμέρα μία.
εἰ οὖν ταύτην τοῦ χρόνου νομίζει γένεσιν τὴν ἀρχὴν χρόνου, ἐννοείτω ὅτι μυθική τίς ἐστιν ἡ παράδοσις, καὶ
ἀπὸ μύθων αἰγυπτίων εἱλκυσμένη. ἐπεὶ πῶς εἶχε λόγον τὸν ἥλιον τὸν τῆς ἡμέρας αἴτιον. ὡς καὶ αὐτὸς ὁ
Μωϋσῆς φησι τῇ τετάρτῃ τῶν ἡμερῶν γεγονέναι. τὸ δὲ τρίτον τῶν Ἀριστοτέλους ἐπιχειρημάτων. τὸ λέγον
εἰ ἀδύνατόν ἐστι καὶ νοῆσαι χρόνον ἄνευ τοῦ νῦν διότι μηδέν ἐστι λαβεῖν ἐν τῷ χρόνῳ παρὰ τὸ νῦν, τὸ δὲ
νῦν ἐστι μεσότης ἀρχὴν μὲν ἔχον τοῦ ἐσομένου χρόνου τελευτὴν δὲ τοῦ παρελθόντος, ἀνάγκη ἀεὶ εἶναι
χρόνον. εἰ δὲ χρόνον, φανερὸν ὅτι ἀνάγκη εἶναι καὶ κίνησιν. εἴπερ ὁ χρόνος πάθος τι κινήσεως. πρὸς δὴ
τοῦτο λέγειν ἀρξάμενος, ἐμοί φησι θαυμάζειν λίαν τὸν φιλόσοφον ἔπεισιν. εἰ μὴ συνεώρακεν οὐκ ἀπο-
δεικνύς. ἀλλ' αἰτησάμενος τὸ ζητούμενον, ζητουμένου γὰρ εἰ τῶν ἀεὶ ὄντων ἐστὶν ὁ χρόνος, ἀξιώματι πρὸς

τὴν τούτου λέξιν ἐχρήσατο, τὸ εἶναι τὸ νῦν μεσότητα χρόνου. τοῦτο δὲ ταὐτόν ἐστι τῷ λαβεῖν ὅτι ὁ χρόνος ἐστὶν ἀΐδιος. ὥσπερ εἴ τις γραμμὴν τινὰ ἐπὶ μήκιστον ἐκτεταμένην διάστημα, ἧς τὰ πέρατα οὐχ ὁρᾶται, ζητεῖ εἰ πεπερασμένη ἐστὶν ἢ ἄπειρος, λαμβάνοι ὅτι πᾶν τὸ ἐν τῇ ζητουμένῃ γραμμῇ σημεῖον μεσότης ἐστὶ γραμμῆς. εἰ γὰρ τοῦτο, πρὸ παντὸς λαμβανομένου σημείου, καὶ μετ' αὐτὸ, γραμμή ἐστιν. εἰ δὲ τοῦτο, ἄπειρος ἡ ζητουμένη γραμμή. ὥσπερ οὖν φησιν ἐπὶ τούτου τοῦ παραδείγματος, ὁ λαμβάνων παντὸς τοῦ ἐν τῇ ζητουμένῃ γραμμῇ σημείου ἐφ' ἑκάτερα εἶναι γραμμήν, οὐδὲν ἕτερον ἢ ὅτι ἄπειρός ἐστιν ἡ γραμμὴ λαμβάνει, καὶ αὐτὸ τὸ ζητούμενον ἐν τῇ τοῦ συλλογισμοῦ προτάσει παρείληφεν, οὕτω καὶ ὁ τὸν χρόνον ἀΐδιον δεῖξαι βουλόμενος, εἶτα λαμβάνων ἀξίωμα καὶ πρότασιν, ὅτι παντὸς τοῦ νῦν ἐφ' ἑκάτερα χρόνος ἐστὶν, αὐτὸ δὴ τοῦτο λαμβάνει τὸ ζητούμενον, ὅτι ὁ χρόνος ἄναρχός ἐστι καὶ ἀτελεύτητος. τοῦτο μὲν οὖν αὐτοῦ τὸ πρῶτον ἀντιλογικόν ἐστιν ἐπιχείρημα. καὶ οὕτως μὲν ὡς λέγει τὸν ἀριστοτέλη τεθαύμακεν, μὴ συνεωρακότα ὅτι οὐκ ἀποδείκνυσιν. ἀλλ' αἰτεῖ τὸ ζητούμενον. τίς δὲ οὐκ ἂν τοῦτον θαυμάζοι δικαίως, εἰ μὴ δὲ τὰ πρόχειρα τῶν λογικῶν μεθόδων ἐπιστάμενος, ἀντιλέγειν τολμᾷ πρὸς ἀριστοτέλη, περὶ ὧν αὐτὸς ἀριστοτέλης εὗρέ τε καὶ ἐτελεώσατο. ἔστι μὲν γὰρ τὸ ἐν ἀρχῇ αἰτεῖσθαι, τὸ δι' αὐτοῦ δεικνύναι τὸ μὴ δι' αὐτοῦ δῆλον. τοῦτο δὲ γίνεται ἢ ἄντικρυς καὶ φανερῶς ἀξιούντων τὸ προκείμενον. ὥσπερ ἡμῶν λεγόντων τινὰ ἀγαθὰ μὴ εὐθὺς ἀγαθοὺς ποιεῖν. οἷον τὰς δυνάμεις, αἷς ἔστιν εὖ καὶ κακῶς χρῆσθαι, ἀγαθὴ μὲν γὰρ ἡ ἐφ' ἑκάτερα δύναμις. ἀγαθὸν δὲ οὐ ποιεῖ, εἰ μὴ τὸν εὖ χρώμενον αὐτῇ, οἱ στωϊκοὶ τοῦτο ἀναιροῦντες. πᾶν φασι τὸ ἀγαθὸν ἀγαθοὺς ποιεῖν, τὸ ἐν ἀρχῇ λαμβάνοντες. ποτὲ δὲ οὐκ ἄντικρυς μὲν αὐτὸ τὸ ἐν ἀρχῇ αἰτοῦσί τινες. ἀλλ' εἰς προτάσεις μεταβαίνειν σχηματιζόμενοι λαμβάνουσιν ὡς ἐναργῆ ἐκεῖνα, ἃ οὐχ οἷόν τε ἄλλως ἢ διὰ τοῦ ζητουμένου ἀποδειχθῆναι. οἷον εἰ προθέμενοι ἀποδεῖξαι, ὅτι τὸ τρίγωνον δυσὶν ὀρθαῖς ἴσας ἔχει τὰς τρεῖς γωνίας, λάβοιεν ὅτι τὸ τετράγωνον τέτταρσιν, ὅπερ ἐστὶ διὰ τοῦ τριγώνου δεικνύμενον. τρίτος δὲ τρόπος τοῦ τὸ ἐν ἀρχῇ αἰτεῖσθαι, ὅταν τῶν ἀλλήλοις ἀντιστρεφόντων, τοῦ ἑτέρου ζητουμένου, τὸ ἕτερόν τις λαμβάνοι. οἷον εἰ ζητούντων ἡμῶν εἰ ἡ διάμετρος ἀσύμμετρος τῇ πλευρᾷ, λαμβάνοι τις ὅτι ἡ πλευρὰ τῇ διαμέτρῳ ἀσύμμετρος. μήποτε δὲ οὐχ ἁπλῶς ὁ τὸ ἀντίστροφον λαμβάνων τὸ ἐν ἀρχῇ αἰτεῖ. εἴπερ ἐκ τῶν ὁρισμῶν αἱ κυρίως ἀποδείξεις γίνονται. ἀλλὰ τότε μόνον, ὅταν ὁμοίως ἄδηλον ᾖ καὶ τὸ ἀντιστρέφον. τοῦ οὖν ἀριστοτέλους ἐκ τῆς ἐναργείας λαβόντος, ὅτι τὸ νῦν μεσότης ἐστὶ χρόνου, καὶ ἐκ τούτου δείξαντος ὅτι ἀΐδιος ὁ χρόνος, οὗτος ταὐτὸν εἶναί φησιν ἄμφω. καὶ ὅτι μὲν οὐκ ἔστι ταὐτὸν πρόδηλον, οὔτε τῇ λέξει οὔτε τῷ σημαινομένῳ. οὐ γάρ ἐστι τὸ μέσον νῦν ὁ ἀΐδιος χρόνος. εἴπερ ὁ χρόνος πᾶς καὶ ἐκ τοῦ παρεληλυθότος καὶ ἐκ τοῦ μέλλοντος συμπληροῦται. οὐ μέντοι οὔτε διὰ τὸ ἀΐδιον εἶναι τὸν χρόνον δείκνυται τὸ νῦν μέσον. ἀλλὰ καὶ ἐκ τῆς τοῦ νῦν ἐννοίας. ἀλλ' οὐ δὲ ὁμοίως δῆλά ἐστι, τὸ ἀΐδιον εἶναι τὸν χρόνον, καὶ τὸ μεσότητα εἶναι τὸ νῦν. εἰ δὲ τὰ ἐξ ἀνάγκης ἑπόμενα ταὐτὰ νομίζει οὗτος, ὥρα λέγειν αὐτῷ, ὅτι αἱ διὰ τῶν ἐξ ἀνάγκης ἑπομένων γινόμεναι ἀποδείξεις, διὰ τῶν αὐτῶν γίνονται, καὶ τὸ ἐν ἀρχῇ αἰτοῦσι, τοιαῦται δὲ αἱ ἐκ τῶν καθ' αὑτὰ ὑπαρχόντων. τοιαῦται δὲ αἱ κυρίως ἀποδείξεις. ἴδωμεν δὲ καὶ τὸ ἀπὸ τοῦ κατὰ τὴν γραμμὴν σημείου ληφθὲν ἐπιχείρημα. κἀνταῦθα γὰρ τὸ κοινὸν ἔλαβε τοῦ τε σημείου καὶ τοῦ νῦν τὸ ἀμερὲς, καθ' ὃ ἀρχαὶ καὶ πέρατα γίνονται τὸ μὲν γραμμῆς τὸ δὲ χρόνου. οὐκέτι προσλογισάμενος, ὅτι τὸ μὲν σημεῖον καὶ πεπερασμένης γραμμῆς ἀρχὴ καὶ πέρας εἶναι δύναται, μὴ ἐμφαῖνον μεσότητα. ἀλλὰ μόνον τὸ ἀμερὲς ἐν τοῖς θέσιν ἔχουσι, τὸ δὲ νῦν οὐχ ἁπλῶς ἀμερές ἐστιν, ἀλλ' οὕτως ὡς τὸ ἐνεστὼς τοῦ χρόνου. τοῦτο δὲ εὐθὺς συναναφέρει τὸν παρεληλυθότα καὶ τὸν μέλλοντα. διότι οὔτε πρότερόν ἐστιν οὔτε ὕστερον, ἀλλὰ νῦν. ὥστε ὁ παντὸς τοῦ νῦν ἐφ' ἑκάτερα χρόνον εἶναι λέγων, καὶ διὰ τοῦτο ἀΐδιον εἶναι τὸν χρόνον ἀποδεικνὺς, οὐ τὸ ἐν ἀρχῇ αἰτεῖ. οὐ δὲ τὸ ζητούμενον λαμβάνει. ἀλλὰ τὸ ἐξ ἀνάγκης ἑπόμενον τῇ ἐναργεῖ τοῦ νῦν μεσότητι λαμβάνει. τίς δὲ ἂν ἤλπισεν ὅτι γραμματικός τις εἶναι βουλόμενος, ἀντείποι ἂν πρὸς τὸν ἐνεστῶτα χρόνον ἀεὶ μέσον εἶναι παρεληλυθότος καὶ μέλλοντος, καὶ λέγοι ἂν ἅπερ οὗτος. ὅτι ὁ μὲν παρ' ἡμῖν ἐνεστὼς τοιοῦτός ἐστιν, ἦν δέ ποτε ἐνεστὼς καὶ ἔσται μὴ τοιοῦτος. ὅμοιον γάρ μοι δοκεῖ λέγειν τῷ λέγοντι νῦν ἡ δεκὰς πέρας μέν ἐστι τῶν μοναδικῶν ἀριθμῶν. ἀρχὴ δὲ τῶν δεκαδικῶν. ἦν δὲ ὅτε οὐκέτι ἡ δεκὰς εἶχε πρὸ ἑαυτῆς τοὺς μοναδικοὺς ἀριθμούς. καὶ ἔσται ὅτε οὐχ ἕξει μεθ' ἑαυτὴν τοὺς δεκαδικοὺς, καίτοι ὡς δεκὰς ἀεὶ ἀμφότερα ἔχει. οὕτω δὲ καὶ ὁ ἐνεστὼς καθ' ὃ ἐνεστὼς πέρας μέν ἐστι τοῦ παρεληλυθότος, ἀρχὴ δὲ τοῦ μέλλοντος. ὡς εἴγε οὗτος κατὰ τὸ ἐν ἀρχῇ νῦν ἐκεῖνο, ὅ φησι γραμματικευόμενος ἐτεχνολόγει, τὸν ἐν τοῖς ῥήμασι παρεληλυθότα χρόνον οὐ παρελάμβανεν. ἀλλ' οὐ δὲ τοὺς παρατατικοὺς καὶ παρακειμένους καὶ ὅλως τοὺς συντελικοὺς ἐνεστῶτας χρόνους ἔχειν τινὰ φύσιν τότε εἶπεν ἄν. εἴπερ ἐπικοινωνοῦσί πως οὗτοι πρὸς τὸν παρεληλυθότα. ἀλλ' ὡς ἔοικεν ὑπόθεσιν οἰκείαν περαίνειν βουλόμενος οὗτος, καὶ τὰς κοινὰς τῶν ὀνομάτων ἐννοίας ἐν ἑαυτῷ διαφθείρει. ἀλλ' οὐκ ἔστι φησὶ δεῖξαι τὸ νῦν μεσότητα χρόνου, εἰ μὴ προαποδειχθείη ὅτι ἀΐδιός ἐστιν ὁ χρόνος. καίτοι εἰ ἀπὸ τῶν σαφεστέρων χρὴ τὰς ἀποδείξεις εἶναι, πολὺ δὲ σαφεστέρα ἡ τοῦ νῦν μεσότης τοῦ ἀΐδιον εἶναι τὸν χρόνον.

τὸν χρόνον. τίς γὰρ οὐκ οἶδε καὶ μὴ γραμματικὸς ὤν, ὅτι ὁ ἐνεστὼς χρόνος μέσος ἐστὶ τοῦ παρεληλυθότος, καὶ μέλλοντος, καλῶς ὁ ἀριστοτέλης ἐκ τῆς τοῦ νῦν μεσότητος ἀπέδειξε τὸ ἀΐδιον. ἐπειδὴ δέ φησι σὺν οὐρανῷ καὶ τῷ κόσμῳ συνυφέστηκεν ὁ χρόνος, οὐδεὶς δὲ λόγος τῶν ἀΐδιον δεικνύντων τὸν κόσμον ἀνέλεγκτος ἔμεινε, συναπελέγχοιτο ἂν καὶ ἡ περὶ τῆς τοῦ χρόνου ἀϊδιότητος ὑπόληψις. εἰ οὖν ὡς ἐγὼ νομίζω πάντας αὐτοῦ τοὺς τὴν ἀϊδιότητα ἐλέγχειν ἐπιχειροῦντας λόγους ἔδειξα σαθρούς, τὸ πρῶτον τῆς περὶ οὐρανοῦ τοῦ ἀριστοτέλους πραγματείας ἐπισκεπτόμενος, δηλονότι κενὸν ἂν εἴη αὐτῶν καὶ τοῦτο τὸ νεανίευμα.

Ὁ δ' αὐτὸς λόγος καὶ περὶ τοῦ ἄφθαρτον εἶναι τὴν κίνησιν. καθάπερ γὰρ ἐπὶ τοῦ γενέσθαι κίνησιν συνέβαινε προτέραν τινὰ εἶναι μεταβολὴν τῆς πρώτης, οὕτως ἐνταῦθα ὑστέραν τῆς τελευταίας. οὐ γὰρ ἅμα παύεται κινούμενον καὶ κινητὸν ὄν, ἢ καόμενον, καὶ καυστόν. ἐνδέχεται γὰρ καυστὸν εἶναι μὴ καόμενον. οὐδὲ κινητικὸν καὶ κινοῦν. καὶ τὸ φθαρτὸν δὲ δεήσει φθαρῆναι. ὅταν φθείρηται καὶ τὸ τούτου φθαρτικὸν πάλιν ὕστερον. καὶ γὰρ ἡ φθορὰ μεταβολή τίς ἐστιν. εἰ δὴ ταῦτα ἀδύνατα, δῆλον, ὡς ἔστιν ἀΐδιος κίνησις. ἀλλ' οὐχ ὁτὲ μὲν ἦν. ὁτὲ δὲ οὔ.

Γ Προθέμενος δεῖξαι ὅτι οὐδὲ ἐγένετο κίνησις ὥστε μὴ καὶ πρότερον οὖσα, οὔτε φθείρεται ὡς μὴ καὶ ὕστερον εἶναι, δυσὶν ἐχρήσατο ἐπιχειρήμασιν. ἑνὶ μὲν τῷ ἀπὸ τοῦ ὁρισμοῦ τῆς κινήσεως. ἑτέρῳ δὲ τῷ ἀπὸ τοῦ χρόνου, διχῶς ἐκ τούτου τὸ ζητούμενον κατασκευάσας. ἔκ τε τοῦ προτέρου καὶ ὑστέρου, καὶ ἐκ τοῦ νῦν τοῦ ἀεὶ ἐν μέσῳ ὄντος τοῦ τε παρεληλυθότος καὶ τοῦ μέλλοντος. ἀλλ' ἐν μὲν τοῖς ἀπὸ τοῦ χρόνου ἐπιχειρήμασιν ἀμφοτέροις ἀμφότερα ἔδειξε. καὶ ὅτι οὐκ ἦν ὅτε οὐκ ἦν κίνησις. καὶ ὅτι οὐκ ἔσται ὅτε οὐκ ἔσται κίνησις. ἐν δὲ τῷ ἀπὸ τοῦ ὁρισμοῦ τὸ ἕτερον δείξας, ὅτι ἀγένητός ἐστιν ἡ κίνησις, καὶ οὐκ ἦν ὅτε οὐκ ἦν κίνησις, μεταβὰς ἐπὶ τὸ ἀπὸ τοῦ χρόνου ἐπιχείρημα τὰ νῦν προστίθησι τὸ λεῖπον τῷ ἀπὸ τοῦ ὁρισμοῦ ἐπιχειρήματι, τὸ ὅτι καὶ ἄφθαρτός ἐστιν ἡ κίνησις. ὥσπερ γὰρ ἀγένητον ἔδειξεν ἐν ἐκείνοις τὴν κίνησιν διὰ τοῦ προϋπάρχειν ἀεὶ τὸ δυνάμενον κινεῖσθαι τῆς κινήσεως. οὕτως ἐν τούτοις ἄφθαρτον αὐτὴν δείκνυσιν, διὰ τοῦ μεθυπάρχειν ἀεὶ τὸ δυνάμενον κινεῖσθαι τῆς κινήσεως. τοῦτο γάρ ἐστι τὸ οὐ γὰρ ἅμα παύσεται κινούμενον καὶ κινητὸν ὄν, οὐδὲ κινοῦν καὶ κινητικὸν ὄν. εἰ μὲν γὰρ παυσάμενον τοῦ κινεῖν ἢ τοῦ κινεῖσθαι, καὶ ἐφθείρετο εὐθέως, οὐκ ἂν ὑπέμενε μετὰ τὴν κίνησιν τὸ δυνάμενον κινεῖσθαι. εἰ δὲ καὶ μὴ κινούμενον ἀλλ' ἠρεμοῦν εἶναι δυνατόν, διότι καὶ ἠρεμίας ὥσπερ καὶ κινήσεως ἐστὶν ἀρχὴ ἡ φύσις, οὐκ ἐν τῷ παύεσθαί τι τοῦ κινεῖσθαι, ἤδη καὶ τοῦ κινητὸν εἶναι πέπαυται, ὅταν ἡ κίνησις κίνησις ᾖ κυρίως. ἀλλὰ μὴ φθορὰ τοῦ κινουμένου. περὶ κινήσεως γὰρ τοῦτον τὸν λόγον ἐρωτᾷ ὡς ὁ ἀλέξανδρος βούλεται. εἰ οὖν παυσάμενον τοῦ κινεῖσθαι μένει κινητὸν ὄν, δηλονότι πάλιν κινήσεται. καὶ οὐκ ἦν ἐσχάτη κίνησις ἐκείνη ἧς ἐπαύσατο, καὶ αὐτὸς μὲν ὡς σαφεῖ ἠρκέσθη. ὁ δὲ ἐξηγητὴς προσέθηκε καὶ τὰς αἰτίας. τὸ γὰρ κινητικὸν καὶ τὸ κινητὸν ἤτοι φθαρτά ἐστιν ἢ ἀΐδια. καὶ εἰ μὲν φθαρτά, κἂν φθαρείη πᾶσα φθορὰ διὰ κινήσεως. ὥστε ὑστέρα πάλιν ἔσται κίνησις τῆς ὑστάτης ῥηθείσης. εἰ δὲ ἄφθαρτα, εἰ τὸ μὲν κινητικὸν εἴη τὸ δὲ κινητὸν τὸν ἄπειρον χρόνον, πάλιν αὐτῶν τὸ μὲν κινήσει, τὸ δὲ κινήσεται. τοῦτο γάρ ἐστι τὸ δυνατόν. ὃ γένοιτο ἄν, εἰ μὴ φθαρῆναι φθάσοι τὸ λεγόμενον δύνασθαι. εἰς πίστιν δὲ τοῦ μὴ παύεσθαι ἅμα τὰς ἐνεργείας τῶν κινουμένων καὶ κινούντων καὶ τὰς δυνάμεις παρέθετο, τὸ μὴ ἀνάγκην εἶναι ἅμα παύεσθαι καόμενον καὶ καυστὸν ὄν. καὶ δοκεῖ μὲν ἀσάφειαν ἐμποιεῖν τῷ λόγῳ, τὸ καόμενον λαβὼν εἰς παράδειγμα. ὃ καὶ φθείρεσθαι ἅμα τῷ κινεῖσθαι δοκεῖ, καίτοι τοῦ λόγου οὐκ ἐπὶ τῶν φθειρομένων. ἀλλ' ἐπὶ τῶν κινουμένων ἀληθεύοντος, ὡς ὁ ἐξηγητής φησι. τὰ γὰρ κινούμενα σώζεται ἐν τῷ κινεῖσθαι. καὶ οὐκ ἔστιν αὐτῶν ἡ κίνησις φθορά, καὶ τούτῳ διαφέρει τῆς κινήσεως ἡ φθορά. ὅτι τὸ μὲν κινούμενον ὑπομένει, τὸ δὲ φθειρόμενον οὐχ ὑπομένει. πῶς οὖν τὸ καόμενον παρέθετο, ὃ φθείρεται ὡς ἐπίπαν. ἢ δυνατὸν μὲν λέγειν ὅτι ἀντὶ κινουμένου παρέλαβεν αὐτό. ἢ ὅτι ἐνδέχεται καὶ καυθέντα τινὰ μὴ ἐφθάρθαι. ὡς τὰ χεόμενα. οἷον χρυσόν, μόλυβδον, χαλκὸν καὶ τὰ τοιαῦτα. ἢ οὐ μάτην τὸ καυστὸν παρέθετο. ἀλλ' ἐνδεικνύμενος ὅτι καὶ τὰ οὕτω κινούμενα ὡς τὰ καόμενα καὶ φθείρεσθαι δοκοῦντα, καὶ αὐτὰ μετὰ τὴν κίνησιν ἀπολείπει τι κινητόν, καὶ μετὰ τὴν καῦσιν καυστόν. ὃ πάλιν καυθήσεται. κἂν γὰρ εἰς πῦρ ἡ μεταβολὴ γένηται τοῦ καομένου. ἐπειδὴ καὶ τὸ πῦρ εἰς ἄλλα στοιχεῖα μεταβάλλει, ἔχει καὶ αὐτὸ τὸ καυστὸν εἰ καὶ μὴ προσεχῶς. ὅτι δὲ κατὰ ταύτην μᾶλλον τὴν ἔννοιαν ὁ ἀριστοτέλης τὸ καυστὸν παρέθετο, ὡς καὶ ἐπὶ τοῦ φθαρτοῦ ἀληθῶς ἔχοντος τοῦ λόγου, δηλοῖ ἐπαγαγών, καὶ τὸ φθαρτικὸν δὲ δεήσει φθαρῆναι. ὡς φθαρτὸν λαβὼν τὸ καυστόν, καὶ δεικνὺς ὅτι καὶ ἐπὶ τούτου τὸ αὐτὸ φανήσεται, τὸ μὴ εἶναι κίνησιν ἐσχάτην ὥσπερ οὐδὲ πρώτην. ὥσπερ γὰρ τὸ κινούμενον πᾶν ὑπό τινος κινεῖται, οὕτω καὶ τὸ καόμενον ὑπό τινος καίεται, καὶ τὸ φθειρόμενον ὑπό τινος φθείρεται. τὸ δὴ φθεῖραν οὐδή που καὶ αὐτὸ συνέφθαρται τῷ φθαρέντι ὑπ' αὐτοῦ. ὑπομεῖναν δέ, δῆλον ὡς ὕστερον φθαρήσεται καὶ αὐτὸ φθαρτὸν ὄν. καὶ πάλιν τὸ τοῦτο φθεῖραν ὕστερον. εἰ οὖν ἡ φθορὰ διὰ κινήσεως καὶ κίνησις ἤτοι μεταβολή, ὅπερ ἐδήλωσεν εἰπών. καὶ γὰρ ἡ φθορὰ μεταβολή τις, δηλονότι οὐκ ἔσται τις ὑστάτη μεταβολή. ἀλλ' ἀεὶ τῆς λαμβανομένης ἔστιν ὑστέραν λαβεῖν. ὥστε καὶ ἡ κίνησις ἀνέκλειπτός ἐστιν. ἀλλὰ πῶς ἔλαβεν ὅτι τὸ φθαρτικόν τινος, καὶ αὐτὸ φθαρτόν ἐστι. φθείρεται γὰρ ἀσθενὴς ὀφθαλμὸς ἀτενίζων πρὸς ἥλιον. καὶ ξηραίνεται πολλὰ τῶν φυτῶν ὑπὸ τοῦ ἡλίου ἄφθαρτον τὴν οὐσίαν ἔχοντος. ἢ πρῶτον μὲν οὐχ

ὑπὸ τοῦ ἡλίου φθείρεται τὰ εἰρημένα. ἀλλ' ὑπὸ τῆς ἐν τῷ ἀέρι γινομένης ἐκ τοῦ ἡλίου διαθέσεως.
εἰ γὰρ ὑπὸ ἐναντίων φθείρεται τὰ φθειρόμενα, τὰ δὲ ἐναντία ὑπὸ τὸ αὐτὸ γένος ἐστὶ, καὶ ἐν τῷ αὐτῷ
ὑποκειμένῳ, καὶ πάντα χόθεν ὁμόφυλα, οὐχ ἂν ὑφ' ἡλίου φθείροιτο τὰ ἐν γενέσει προσεχῶς. ἔ-
πειτα εἰ μὴ γίνεται προσεχῶς ὑπὸ ἡλίου τὰ γινόμενα, ἀλλὰ διὰ μέσων, ἄνθρωπον γὰρ ἥλιος γεννᾷ
ἀλλὰ δι' ἀνθρώπου, πολὺ μᾶλλον οὐκ ἂν φθείροιτο προσεχῶς. ἀρκεῖ δὲ τῷ λόγῳ καὶ ἡ τῶν ὑπὸ σελή-
νην εἰς ἄλληλα μεταβολὴ, καὶ τὰ ἐνταῦθα φθείροντα καὶ φθειρόμενα ἀνέκλειπτον δεικνῦντα τὴν
κίνησιν. ἐπισημαίνομαι δὲ πρὸς τὸ ὑπὸ τοῦ ἀλεξάνδρου ῥηθὲν ἐν τούτοις, ἐν οἷς φησιν. ὡς γινομένης
μὲν τῆς φθορᾶς ὑπ' ἐναντίου ἢ ὑπὸ ὁμοίου, ὡς ἡ κατὰ μάρανσιν καὶ σβέσιν γινομένη. λέγει μὲν γὰρ ὡς
ἔοικε τοῦτο ἐπὶ τῆς ἐλάττονος φλογὸς τῆς μαραινομένης καὶ σβεννυμένης ὑπὸ τῆς πλείονος. μαραί-
νεται δὲ καὶ σβέννυται οὐχ ὡς φλὸξ ὑπὸ φλογός. ἀλλ' ὡς ἐλάττων ὑπὸ πλείονος. ἅπερ πάλιν ἐναν-
τία ἐστὶν, ἐπιστῆσαι δὲ ἄξιον ὅτι δείξας ἀγένητον τὴν κίνησιν ὁ ἀριστοτέλης, καὶ δυνάμενος ἐκ τοῦ ἀ-
γενήτου δεῖξαι ὅτι καὶ ἄφθαρτος, ἐπείπερ μηδεὶς μέσως νοῦν ἐκαρτέρησεν ἀγένητόν τι φθαρτὸν εἰπεῖν,
οὐκ ἠξίωσεν ἐκ τούτου ποιήσασθαι τὴν ἀπόδειξιν. ὅτι μήπω μὴ δὲ ἔδειξεν ὅτι ἀντιστρέφει ταῦτα
ἀλλήλοις, τὸ γενητὸν καὶ φθαρτὸν, καὶ τὸ ἀγένητον καὶ ἄφθαρτον. ὅπερ ὕστερον ἀποδείκνυσιν ἐν τῇ
πρώτῃ τῆς περὶ οὐρανοῦ πραγματείας. ἀποδείξας δὲ ὅτι ἀδύνατον γενητὴν ἢ φθαρτὴν εἶναι τὴν
κίνησιν. τὸ μὲν ἐκ τοῦ πάσης τῆς λαμβανομένης ὡς πρώτης προϋπάρχειν πάντως ἄλλην κίνησιν, τὸ
δὲ ἐκ τοῦ πάσης τῆς ὡς ὑστέρας λαμβανομένης ἄλλην μεθυπάρχειν. δείξας δὲ ταῦτα καὶ ἐκ τῆς τοῦ
χρόνου ἀϊδιότητος, ὃς κινήσει πάντως σύνεστιν, εἰκότως συμπεραινόμενος εἶπεν, ὅτι εἰ ταῦτα ἀδύ-
νατα τὸ γενητήν τε καὶ φθαρτὴν εἶναι τὴν κίνησιν, τουτέστι τὸ ἀρχὴν ἢ τέλος ἔχειν, ὅπερ ταυτὸν τῷ
εἶναι πρώτην καὶ ὑστάτην, ἀνάγκη ἀΐδιον αὐτὴν εἶναι, καὶ μὴ οὕτως ἔχειν ὡς ποτὲ μὲν εἶναι, ποτὲ δὲ
μὴ εἶναι. ὁ δὴ γραμματικὸς καὶ ἐν τούτοις αὐθαδιζόμενος. εἰ δι' ὧν φησιν ἐπεχείρησεν ὁ φιλόσοφος
ἀποδεῖξαι ὅτι ἀγένητος ἡ κίνησις, διὰ τούτων καὶ ὅτι ἄφθαρτος κατασκευάζει, δι' ὧν ἄρα φησὶ καὶ ἡ-
μεῖς ἐκείνους τοὺς λόγους διελυσάμεθα, δι' αὐτῶν καὶ τοὺς προκειμένους εὐθυνοῦμεν. ῥητέον οὖν πρὸς αὐ-
τὸν κατὰ τὴν διὰ τριῶν λεγομένην παρὰ τοῖς νεωτέροις ἀγωγήν. ὡς εἰ δι' ὧν λόγων οὗτος ἀνατρέπειν
ἐπεχείρησε τὸ ἀγένητον εἶναι τὴν κίνησιν, οὗτοι περιεργασθέντες σαθροὶ ἐφάνησαν παντοίως φθειρό-
μενοι, καὶ οἱ τὸ ἄφθαρτον εὐθυνοῦντες τὰ αὐτὰ πείσονται βασανισθέντες. ἐπειδὴ δὲ ὡς νικήσας τὸ πρῶ-
τον πάλαισμα, λοιπὸν ἐπ' ἀδείας καὶ κουφοτέροις ἐπιχειρήμασιν οὐκ ὀκνεῖ χρήσασθαι, φέρε καὶ ταῦ-
τα παραθέντες ἐπισκεψόμεθα. οἷς γὰρ ἐν κινήσει φησὶ τὸ εἶναι, ἢ ἁπλῶς ὅσα σωστικὴν καὶ τελειω-
τικὴν τοῦ εἶναι ἔχει τὴν κίνησιν αὐτῶν τὴν κατὰ φύσιν, ταῦτα παυσάμενα τοῦ κινεῖσθαι, καὶ τοῦ εἶναι
παύεται. καρδία γοῦν καὶ ἀρτηρία καὶ πνεύμων, ἅμα τῇ φθορᾷ τῆς κινήσεως συνεφθαρμένην ἔχουσι
καὶ τοῦ κινεῖσθαι τὴν δύναμιν. μᾶλλον δὲ καὶ αὐτὸ τὸ εἶναι ταῦτα ἅπερ καλεῖται. καὶ τῶν λοιπῶν δὲ τοῦ ζώου
μορίων ἕκαστον. καὶ τὸ πῦρ φησιν ἔστ' ἂν ᾖ κινούμενον, παυσάμενον τῆς κινήσεως καὶ τοῦ πῦρ εἶναι παύε-
ται. οὐκ ἄρα ἀνάγκη φησὶ μετὰ πᾶσαν τὴν ὑποτεθεῖσαν φθορὰν τῆς ἐσχάτης κινήσεως, ἄλλην ὑστέ-
ραν τῆς ἐσχάτης ὑπολείπεσθαι κίνησιν. ἆρα καὶ ἐνταῦθα παρακολουθεῖν οὗτος δόξει τοῖς εἰρημένοις; ὅτε
ὁ ἀριστοτέλης. οὐ γὰρ ἅμα παύεται φησὶ κινούμενον καὶ κινητὸν ὄν, τουτέστι δυνάμενον κινεῖσθαι οὐ τὴν αὐ-
τὴν πάντως κίνησιν, ἀλλὰ τὴν ὁποιανοῦν. οὐ γὰρ τοῦτο προὔκειτο δεῖξαι ὅτι ἀΐδιος ἡ τῶν ἐν γενέσει ἑ-
κάστου κίνησις, ὧν οὐδὲ τὴν οὐσίαν ἀΐδιον φησιν. ἀλλ' ὅτι ἀεί ἐστι καὶ ἐν τοῖς ὑπὸ σελήνην κίνησις, καὶ οὐκ
ἔστιν ὑστέρα κίνησις. ἀλλὰ καὶ μετὰ ταύτην ἔστι τις. κἂν ἄλλην ἄλλη ἀεὶ διαδέχηται. οὗτος δὲ καρδίαν φη-
σὶ καὶ πῦρ καὶ τὰ τοιαῦτα παυόμενα τοῦ κινεῖσθαι, καὶ τοῦ εἶναι παύεσθαι, καὶ οὐκ ἐνόησεν ὅτι τοῦ μὲν εἶναι
καρδία καὶ πῦρ παύεται, καὶ τοῦ δύναμιν ἔχειν καθ' ἣν κινεῖται τὴν αὐτὴν κίνησιν. οὐ μέντοι τοῦ κινητὰ
εἶναι. ἡ γὰρ καρδία φθαρεῖσα δηλονότι εἰς τὰ στοιχεῖα ἐξ ὧν συνετέθη διαλύεται, καὶ τὸ πῦρ εἰς ἀέρα
μεταβάλλει. τὰ δὲ στοιχεῖα καὶ τἆλλα καὶ ὁ ἀὴρ ὅτι κινητά ἐστι, καὶ οὐ τοῦτο μόνον. ἀλλὰ καὶ κινούμενα,
οὐδὲ οὗτος οἶμαι διαμφιβάλλει. καὶ ὅρα ὅπως καὶ προανελόντος τοῦ ἀριστοτέλους τὴν τοιαύτην παρά-
νοιαν, δι' ὧν φησιν οἷον κινούμενον καὶ καυστὸν ὄν, οὐκ ἴσχυσεν οὗτος παρακολουθῆσαι τῷ εἰρημένῳ. ἀλλ'
ἐνόμισε λέγειν αὐτὸν, ὅτι παυσαμένης τῆς κινήσεως, αὐτὸ ἐκεῖνο μένει κινητὸν ὂν κατὰ τὴν αὐτὴν κίνη-
σιν, καίτοι ἔδει κἂν ἀπὸ τῆς πρὸς τὴν γένεσιν παραβολῆς ἐπιστῆσαι. καθάπερ γάρ φησιν ἐπὶ τοῦ
γενέσθαι κίνησιν συνέβαινε προτέραν τινὰ εἶναι μεταβολὴν τῆς πρώτης, οὕτως ἐνταῦθα ὑστέ-
ραν τῆς τελευταίας. ὥσπερ οὖν ἐκεῖ τῆς πρώτης ὑποτιθεμένης προτέρα ἐδείκνυτο ἐκείνη,
καθ' ἣν τὸ πρώτως κινηθὲν ἢ γενητὸν ὂν ἐγένετο, ἢ ἀΐδιον ὂν μετέβαλεν εἰς τὸ δύνασθαι κινεῖσθαι,
οὕτω καὶ ἐνταῦθα τῆς τελευταίας ὑποτεθείσης ἔστιν ἄλλη ὑστέρα, καθ' ἣν τὸ ὑπολειφθὲν κινη-
θήσεται, ἢ καθ' ἣν τὸ φθεῖραν φθαρήσεται. ἀλλ' οὔτε ἐκείνοις οὔτε τούτοις ὁ γραμματικὸς φαίνε-
ται παρακολουθήσας. ἀλλ' ἴδωμεν τὸ μετὰ τοῦτο ἐπισοφώτερον αὐτοῦ δοκοῦν ἐπιχείρημα. ἀλλ'
οὐδὲ εἰ ἀληθές φησι τὸ μετὰ τὸ παύσασθαι τῆς κινήσεως ὑπομένειν τι τὴν τοῦ κινεῖσθαι δύναμιν ἔ-
χον, οὐδὲ οὕτω καλῶς τὸ ἑξῆς ὁ φιλόσοφος συλλογίζεται. εἰ γὰρ μὴ πάντα διὰ κινήσεως γίνεται τὰ

γινόμενα, ἀλλ' ἔστιν ἀθρόα γένεσις κατὰ Ἀριστοτέλη χωρὶς κινήσεως καὶ χρονικῆς παρατάσεως, ἔστι καὶ φθορὰ τοιαύτη, ὡς ἡ τῶν τελείων εἰδῶν ἐν τοῖς ὑποκειμένοις παρουσία τε καὶ ἀναχώρησις, καὶ ὡς τὰ σημεῖα γίνεται ἐν τῇ ἑνώσει, καὶ ὡς αἱ ἁφαὶ καὶ ἀστραπαὶ καὶ ἡ τῆς ὀπτικῆς αἰσθήσεως ἀντίληψις οὐ πᾶν ἄρα τὸ φθειρόμενον διὰ κινήσεως φθείρεται. ὥστε φαίη ἄν. αὐτὸς γοῦν ἀσυμπέραντον ὡς ἐμοὶ δοκεῖ καταλέλοιπε τὸν λόγον, ὅτι κἂν φθείρηται τὸ φθεῖρον οὐ πάντως διὰ κινήσεως φθείρεται. καὶ εἰ ὁ θεός φησιν ὁ δημιουργὸς ἄνευ χρονικῆς παρατάσεως παράγει τὸν οὐρανὸν καὶ τὸν κόσμον ἀμέσως ὑπ' αὐτοῦ παραγόμενα, καὶ ὅτε φθεῖραι τὸν κόσμον θελήσοι, ἄχρονός φησιν ἔσται αὐτοῦ καὶ ἡ φθορά. ταῦτα μὲν οὖν εἶπεν οὗτος, βουλόμενος μὴ πᾶν τὸ φθειρόμενον διὰ κινήσεως φθείρεσθαι, ἔδει δὲ καὶ τῶν ἐνταῦθα λεγομένων ὑπὸ τοῦ Ἀριστοτέλους ἀκούσαντα, ἐν οἷς φησι καὶ γὰρ ἡ φθορὰ μεταβολή τις ἐστί, καὶ τῶν ἐν τῷ πέμπτῳ τῶν δὲ τῆσδε τῆς πραγματείας, ἐν οἷς φησι πᾶσα μεταβολὴ ἔκ τινος εἴς τι. δηλοῖ δὲ καὶ τοὔνομα μετ' ἄλλο γάρ τι, καὶ τὸ μὲν πρότερον δηλοῖ, τὸ δὲ ὕστερον, καὶ ὅτι ἡ γένεσις καὶ φθορὰ μεταβολαὶ κατ' οὐσίαν εἰσί. τούτων οὖν ἀκούσαντα ἐχρῆν ἐννοεῖν, ὅτι ὅταν ὁ Ἀριστοτέλης ἀθρόαν τινὰ λέγῃ γένεσιν ἢ φθορὰν ἢ ἀλλοίωσιν, οὐχ οὕτω λέγει ὡς ἄνευ μεταβολῆς γινομένην καὶ χρόνου. ἄλλο γοῦν μετ' ἄλλο καὶ ἐν ταύταις, καὶ πρότερον καὶ ὕστερον καὶ παράτασις ἐν ἐστί, καὶ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ ὄν, καὶ ἐκ τοῦ ὄντος εἰς τὸ μὴ ὂν μετάβασις. ἀλλὰ συνῃρημένη ἐν τούτοις ἡ παράτασις καὶ ἡ μεταβολὴ καὶ ὁ χρόνος. διὸ καὶ τὸ ἀθρόον αὐτοῖς προσεῖναι δοκεῖ, οὐ κατὰ τὴν ὅλην μεταβολὴν ἐν τούτοις θεωρούμενον. ἀλλὰ κατὰ τὸ τέλος αὐτῆς. τίς γὰρ ἂν τὴν τῆς οἰκίας οἰκοδόμησιν ἄχρονον λέγοι. ἀλλὰ τὸ τέλος τοῦ εἴδους οὐχὶ τὸ εἶδος ἁπλῶς ἢ τῆς ἐσχάτης κεραμίδος ἐπίθεσις παρέχεται. ὥσπερ καὶ τὴν ἀρχὴν τῆς φθορᾶς ἡ ἀφαίρεσις αὐτῆς, καὶ οὕτω τὸ εἶδος ἀχρόνως παραγίνεσθαι καὶ ἀπογίνεσθαι λέγεται, καὶ ἡ τῆς γραμμῆς δὲ διαίρεσις καὶ ἕνωσις καὶ τὰ ἄλλα τὰ παρατεθέντα οὐκ ἂν γένοιτο, μὴ πρότερον κινηθέντων τινῶν τινὰ κίνησιν. ἧς ἐν τῷ πέρατι ταῦτα ὑφίσταται, καὶ εἴ τις εἰς τὰ ἐκφανῆ πέρατα ἀποβλέπων ἄχρονα νομίζει, καὶ τὰ ζῶα ἂν ἀχρόνως γίνεσθαι λέγοι καὶ τὰ φυτά, τῷ τέλει τὴν κίνησιν χαρακτηρίζων, καίτοι ἄλλο τὸ γίνεσθαί ἐστι, καὶ ἄλλο τὸ γεγονέναι, καὶ ἐν τῷ γίνεσθαι μάλιστα ἡ γένεσις θεωρεῖται. ἀλλ' οὐκ ἐν τῷ γεγονέναι, καὶ ἐν τῷ κινεῖσθαι ἡ κίνησις. ἀλλ' οὐκ ἐν τῷ κεκινῆσθαι. εἰ δὲ ἔν τισι συνῄρηται μᾶλλον ἡ τῆς γενέσεως καὶ ἀλλοιώσεως παράτασις, ὡς ἐπὶ τῆς ἀστραπῆς καὶ τῆς ἁφῆς καὶ τῆς τοῦ γάλακτος πήξεως λέγεται, καὶ τοῦ ὕδατος ἐφ' ὧν ἀθρόα γίνεται ἡ μεταβολή, οὐ κατὰ τὸ ἄχρονον λέγεται τὸ ἀθρόον. ἀλλὰ κατὰ τὸ καθ' ὅλον αὐτὴν γίνεσθαι, καὶ μὴ κατὰ μέρος, ὅλως δὲ οὐ δεῖ νομίζειν ἄνευ τοῦ γίνεσθαι γεγονέναι. καίτοι καὶ τὸ γεγονέναι εἰ μὴ ὄνομα μόνον ἐστὶν ἄσημον, τὸ διὰ γενέσεως ὑποστῆναι δηλοῖ, καὶ τὸ ἐφθάρθαι, τὸ διὰ φθορᾶς ὁδεῦσαι. μήποτε δὲ οὗτος τὸ μὲν διὰ γενέσεως καὶ φθορᾶς δίδωσι. τὸ δὲ διὰ κινήσεως οὐ συγχωρεῖ. μὴ ἐννοῶν ὅτι τὴν κίνησιν ἀΐδιον ὁ Ἀριστοτέλης φησὶν ἐν τούτοις, τὴν κοινῶς καὶ τῆς γενέσεως καὶ τῆς φθορᾶς κατηγορουμένην, καὶ εἰς ταυτὸν ἰοῦσαν τῇ μεταβολῇ. διὸ καὶ οὕτως εἶπε, καὶ γοῦν ἡ φθορὰ μεταβολή τις ἐστί, καὶ πρὸ τούτου, καθάπερ γοῦν ἐπὶ τοῦ γενέσθαι κίνησιν συνέβαινε προτέραν τινὰ εἶναι μεταβολὴν τῆς πρώτης, οὕτως ἐνταῦθα ὑστέραν τῆς τελευταίας. ἀδιαφόρως χρώμενος τῷ τῆς κινήσεως καὶ τῆς μεταβολῆς ὀνόματι. μᾶλλον δὲ ἐνδεικνύμενος, ὅτι κἂν ἄλλό τι κινήσεως εἶδος ἢ τὸ πρῶτον ἢ ὕστερον ὑποτιθέμενον, ἄλλο δὲ μεταβολῆς ὁποιονοῦν εἶδος, τὸ πρὸ τῆς πρώτης καὶ μετὰ τὴν ὑστέραν, καὶ οὕτως ἀΐδιος ἡ κίνησις κἂν ἐν ἄλλῳ καὶ ἄλλῳ εἴδει ὑφεστήκει. εἰ δὲ ὁμολογεῖ τὸν δημιουργὸν οὗτος ἀχρόνως παράγειν τὸν οὐρανὸν καὶ τὸν κόσμον, πῶς πρότερον μὴ παράγοντα ὕστερον παράγειν φησί, καὶ παραγαγόντα μετὰ ταῦτα παύσασθαι τοῦ παράγειν. οὐ γὰρ νομίζει νῦν παράγειν αὐτὸν ἤδη παραγαγόντα, καὶ ἔτι μετὰ τοσάδε ἔτη φθείρειν αὐτόν. πῶς οὖν ἀχρόνως παράγει καὶ φθείρει τὸν κόσμον, κατὰ τὴν τοῦ χρόνου παράτασιν εἰς αὐτὸν ἐνεργῶν. εἴπερ ποτὲ μὲν παράγει, ποτὲ δὲ φθείρει, καὶ παράγει τὰ μὲν πρότερον, τὰ δὲ ὕστερον, ὡς οὗτος ὁμολογεῖ. καὶ ποτὲ μὲν τάδε, ποτὲ δὲ ἐκεῖνα, ὥστε ἐν ἓξ ἡμέραις ποιήσαντα τὸν κόσμον, ἄλλό τι κατ' ἄλλην τῶν ἡμερῶν ἀπεργάσασθαι. ἕως τὸ ἂν χρονικὴν ταῦτα καὶ οὐκ ἄλλην σημασίαν ἐμφαίνῃ, οὐ δυνατὸν τὸν κατὰ ταῦτα ἐνεργοῦντα μὴ χρονικῶς ἐνεργεῖν. ἀλλ' εἴπερ ἀχρόνως παράγει, τοῦτο γοῦν ἀληθές, ἀεὶ παράγει, καὶ οὐ ποτὲ μέν, ποτὲ δὲ οὔ. ταῦτα γὰρ χρονικά, οὗτος δὲ οὐκ ἐφιστάνει τὰ ἀσύνακτα συνάπτων, τὸ ἄχρονον καὶ τὸ ποτὲ μέν, ποτὲ δ' οὔ. καίτοι καὶ τοῦτο μόνον αὔταρκες ἦν τὴν ἀϊδιότητα τοῦ κόσμου δεικνύναι, ὅπερ οὗτος ὁμολογεῖ, τὸ τὸν θεὸν ἀμέσως αὐτὸν παράγοντα καὶ μὴ διὰ μέσου τινὸς ἀχρόνως παράγειν. εἰ γὰρ ἀχρόνως αὐτὸν παράγει, οὐ ποτὲ μὲν παράγει, ποτὲ δὲ οὔ, εἰ δὲ τοῦτο, δηλονότι ἀεὶ παράγει. ὁ δὲ ὡς ἤδη δεδομένον αὐτῷ τὸ ποτέ, ταυτὸν δὲ εἰπεῖν ἐν μέρει χρόνου ἀχρόνως εἶναι παράγειν τὸν θεόν, καὶ ὅτε φησὶ φθεῖραι τὸν κόσμον θελήσει, ἀχρόνως αὐτὸν φθείρει. εἰ οὖν καὶ τὸ ὅτε χρόνον σημαίνει, πάλιν ἂν εἴη λέγων ὅτι ἐν μέρει χρόνου ἀχρόνως αὐτὸν φθείρει, καὶ τὸ εἰ ἐν μέρει χρόνου ποιεῖ, ἀνάγκη τὰ μὲν πρότερα ποιεῖν, τὰ δὲ ὕστερα, καὶ τὰ μὲν ἐν ἄλλῳ, τὰ δὲ ἐν ἄλλῳ χρόνῳ. πῶς γὰρ δυνατὸν πᾶσιν ἅμα τοῖς τοῦ ζωδιακοῦ τόποις ἐνυπάρχοντας ποιῆσαι τοὺς πλανωμένους ἀστέρας. ἢ πόθεν ἀρξάμενον ἕκαστον τῆς κινήσεως ἐποίησεν, ἢ ποίαν·

θέσιν ἔχοντα τὸν οὐρανόν. εἰ δὲ παρ' ἡμῖν ἔαρ πρῶτον ποιήσας ἐπαύσατο τῆς ποιήσεως, ἐν ἓξ ἡμέραις
ἢ ὁσαισοῦν ποιήσας, δηλονότι θέρους καὶ χειμῶνος κατ' αὐτοὺς οὐκ ἔσται δημιουργός. τοῦτο δὲ καὶ τῶν ἀλ-
λων τῶν τοιούτων ἀπορειῶν αἴτιον, τὸ θεὸν ὁμοίως τοῖς ἀνθρώποις ἐνεργεῖν νομίζειν, καὶ μέχρι ὀνόματος
μόνον τὸ ἄχρονον διδόντας, χρονικὰς ἄντικρυς αὐτοῦ τὰς ἐνεργείας ὑποτίθεσθαι, ποτὲ μὲν ποιεῖν,
ποτὲ δὲ μὴ ποιεῖν, καὶ ποτὲ μὲν φθείρειν, ποτὲ δὲ μὴ λέγοντας. δέον ἀχρόνως αὐτὸν ποιεῖν λέγοντας
συνορᾶν ὅτι ἀεὶ ποιεῖν ἀνάγκη. εἶτα ἐφεξῆς συμπεφυρμένως ὡς οἶμαι καὶ πρὸς τὸν ἀριστοτέλην
ἀντιλέγων, εἰπόντα, καὶ τὸ φθαρτικὸν δὴ δεήσει φθαρῆναι ὅταν φθείρῃ, καὶ πρὸς τὸν ἀλέξαν-
δρον εἰπόντα, ἔλαβε δὲ ὅτι τὸ φθαρτικόν τινος καὶ αὐτὸ φθαρτόν. ἴσως ὡς γινομένης τῆς φθορᾶς
ἢ ὑπὸ ἐναντίου ἢ ὑπὸ ὁμοίου, καὶ ὅτι τὸ φθεῖρον εἰ μὲν ἀΐδιον μένοι, πάλιν κινηθήσεται. εἰ δὲ φθεί-
ροιτο διὰ κινήσεως φθαρήσεται. πρὸς ταῦτα οὖν ἀντιλέγων, ἐν τῷ τετάρτῳ λόγῳ δεδειχέναι
φησίν. ὅτι οὐ πάντως ἐκ τοῦ ἐναντίου τὰ γινόμενα γίνεται. οὐδὲ εἰς τὸ ἐναντίον αὐτοῖς μεθίστα-
ται τὰ φθειρόμενα. οὐδὲ ὑπὸ τοῦ ἐναντίου τὴν φθορὰν ὑπομένει. ἐπεὶ μηδὲ παντὶ γινομένῳ καὶ φθει-
ρομένῳ ἐστί τι ἐναντίον. ἀλλ' ἔστι τινὰ τῶν φθειρομένων οὐκ ἔξω τὸ τῆς φθορᾶς αἴτιον ἔχοντα. ἀλλὰ
διὰ τὸ μεμετρημένον τῆς φυσικῆς αὐτῶν δυνάμεως, τῷ χρόνῳ κατὰ μέρος ἀπορρεῖ κάμνοντα. εἰ καὶ
μηδὲν ἦν αὐτὰ τὸ λυμαινόμενον ἔξωθεν. οὐκ ἄρα φησὶν ἐπὶ πάντων ἔδει τῶν φθειρομένων ζητεῖν,
εἰ τὸ τῆς φθορᾶς αἴτιον ὑπομένει μετὰ τὸ φθεῖραι, τὴν δύναμιν ἔχον τοῦ φθείρειν, καὶ εἴτε ἀΐδιον τοῦ-
τό ἐστιν εἴτε φθαρτόν, καὶ οὕτως εἰς τὸ ἄπειρον τῷ σωρείτῃ λόγῳ ἀπάγειν τὸ ἄτοπον. πρὸς δὴ ταῦ-
τα ὅτι μὲν τὰ γινόμενα, ταῦτα δέ ἐστι κατὰ τὸν ἀριστοτέλη ὡς πολλάκις δέδεικται. ἃ πρότερον
μὴ ὄντα ὕστερόν ἐστιν, ὅτι οὖν ταῦτα ἐξ ὄντων γίνεται ἢ ἐξ ἐναντίων ἢ ἐκ τῶν οἰκείων στερήσεων,
καὶ φθείρεται ἢ εἰς ἐναντία ἢ εἰς στέρησιν, πάλιν δὲ εἰς ὄντα, δέδεικται μὲν προηγουμένως ἐν τοῖς
εἰς τὸ πρῶτον τῆς φυσικῆς ἀκροάσεως εἰρημένοις. δέδεικται δὲ καὶ ἐν οἷς τὰ τολμηρῶς ὑπὸ τούτου
ῥηθέντα πρὸς τὰ πρῶτα τῆς περὶ οὐρανοῦ βασανίζειν ἐπειράθην, τὸ τέταρτον αὐτοῦ βιβλίον
οὐ νῦν ἐμνημόνευσε περικρούων. εἴρηται δὲ περὶ τούτων καὶ πρὸ ὀλίγου τὰ σύμμετρα, εἰ δὲ χρὴ καὶ
νῦν ἅψασθαι τοῦ λόγου, εἰ μὴ πρότερον ὄντα ὕστερόν ἐστιν, ἀδύνατον ἐκ μὴ ὄντων γίνεσθαι. τὰ μὲν
γὰρ ἐξ ὄντων γινόμενα κατὰ τὸν εἱρμὸν τῶν τε προηγησαμένων καὶ τῶν ἑπομένων ἀναφαίνεται.
τὰ γὰρ φανέντα εἰ τύχοι τότε καὶ οὐκ ἄλλοτε δυνατὸν ἦν γενέσθαι, διὰ τὸν εἱρμὸν τῶν τε προη-
γουμένων καὶ τῶν συνιστάντων ἐκεῖνα τὰ πράγματα καὶ τῶν ἑπομένων αὐτοῖς. τὰ δὲ ἐκ τοῦ μὴ ὄν-
τος ὑφιστάμενα, τί μᾶλλον ἐν τῷδε τῷ χρόνῳ γένοιτο ἄν. ἐῶ λέγειν ὅτι σαφῶς αἱ γενέσεις καὶ αἱ φθο-
ραὶ μεταβολαί τινές εἰσιν, ἄλλου μετ' ἄλλο τὴν ὑπόστασιν ἴσχοντος. εἰ οὖν τὸ γινόμενον ἔκ τινος γίνε-
ται, ἢ ἐξ ὁμοίου γίνεται ἢ ἐξ ἐναντίου ἤτοι τῆς οἰκείας στερήσεως. ἀλλὰ τὸ ἐξ ὁμοίου καὶ οὗτος ἀ-
ποδοκιμάζων φαίνεται, ἢ οὖν ἐξ ἐναντίου, ἢ ἐκ τῆς στερήσεως, διὰ τὸ μὴ εἶναι τῇ οὐσίᾳ ἐναντίον.
ὥστε ἐφ' ὧν οὐκ ἔστιν ἐναντίον, ἐκ τῆς στερήσεως ἡ γένεσις, καίτοι καὶ ἐπὶ τούτων τῷ ἐπιβλέπον-
τι, κατὰ τὴν τῶν ἐναντίων εἰς ἄλληλα μεταβολήν, αἱ γενέσεις ἐπιτελοῦνται καὶ αἱ φθοραί. ὅ-
ταν γὰρ ἐξ ἄρτου, ὃς οὐκ ἔστι σάρξ ἐπιτηδείως δὲ ἔχει πρὸς σάρκα, γίνηται σάρξ. κατὰ τὴν τῶν ἐναν-
τίων ποιοτήτων εἰς ἄλληλα δρᾶσίν τε καὶ πεῖσιν ἡ μεταβολὴ γίνεται. ἀλλ' οὐκ ἀνάγκη φησὶν ἔξω-
θεν εἶναι τὸ τῆς φθορᾶς αἴτιον. ἀλλ' ἀρκεῖ ποτε τὸ μεμετρημένον τῆς τῶν φθειρομένων δυνάμεως πρὸς
τὸ ἀπορρεῖν, κἂν μηδὲν ᾖ τὸ λυμαινόμενον. πάλιν οὖν ὁ αὐτὸς ἥξει λόγος, ὃν ἀγνοήσας οὗτος πολλὰ
λέγειν καὶ ἀκούειν ἠνάγκασται. καὶ γὰρ εἰ μὲν εἰς τὸ μηδαμῇ μηδαμῶς ὂν ἐγίνετο ἡ ἀπόρροια, τά-
χα ἂν ἀπέρρει καὶ μηδενὸς ἐνοχλοῦντος τὸ ὑποκείμενον. εἰ δὲ εἰς θερμὸν ἐκ ψυχροῦ μεταβάλλειν
ἀνάγκη, δηλονότι οὐχ ὑφ' ἑαυτοῦ μεταβάλλοι ἂν εἰς τοὐναντίον. ἀλλ' ὑπὸ τοῦ ἐνεργείᾳ θερμοῦ τὸ
τέως μὲν ψυχρὸν δυνάμει δὲ θερμὸν μεταβάλλεται. πῶς δὲ καὶ δυνατὸν τὰ ἐν γενέσει πάντα ἐξ
ἐναντίων ποιοτήτων συνεστῶτα καὶ πλησιάζοντα, μὴ δρᾶν εἰς ἄλληλα καὶ πάσχειν ὑπ' ἀλλήλων,
ἀνενοχλήτως τὴν δύναμιν ἀπορρεῖν. ἐγὼ μὲν οὖν οἶμαι συνέχειν τὰ μέτρα τῆς δυνάμεως, πρὸς τὴν
δρᾶσιν καὶ τὴν πεῖσιν τῶν ἐναντίων ποιοτήτων. τοιγαροῦν τὸ αὐτὸ τοιᾶσδε μὲν τυχὸν ὁμιλίας θᾶτ-
τον φθείρεται, τοιᾶσδε δὲ ἧττον. πρὸς δὲ τὸν τούτου λόγον εἴποιμι ἄν, ὅτι εἰ μὴ τὸ δραστικὸν τοῦτο καὶ
παθητικὸν ἦν τῶν ἐν γενέσει ποιοτήτων τὸ φθεῖρόν τε καὶ φθειρόμενον, ἀλλ' ἦσαν τελεσιουργῶς μό-
νον καὶ ζωτικῶς μεταδιδοῦσαί τε καὶ μεταλαμβάνουσαι ὡς ἐν τοῖς οὐρανίοις, οὐκ ἂν ἦν αὐτῶν ἡ
δύναμις τῆς οὐσίας ἀπορρέουσα, οὐδὲ μέτρῳ χρόνου μεμετρημένη. καλῶς οὖν ἔξω τοῦ φθειρομένου
τὸ φθεῖρον ὑπέθετο καὶ ὁ ἐξηγητής. καὶ εἴτε ἀΐδιον εἴτε φθαρτὸν εἴη τοῦτο, συνελογίσατο ὅτι ἔσται κίνη-
σις μετὰ τὴν ὑστέραν ὑποτιθεμένην. ἀλλ' εἰ χρὴ καὶ τούτῳ ἐφιστάνειν, διὰ τοὺς ἀνεξετάστως τῷ πλήθει τοῦ
τούτου λόγου ἠπατημένους, δοκεῖ μοι νομίζειν οὗτος τὸν σωρείτην λόγον εἰς τὸ ἄπειρον ἁπλῶς ἀπάγειν
καὶ ἀρκεῖν οἶμαι τὸ δειχθῆναι τοῦτον μηδὲ τὴν τούτου διάκρισιν ἐπιστάμενον. ἡ μὲν γὰρ εἰς τὸ ἄπειρον ἀπαγω-
γὴ ἀποδεικτικὴ οὖσα, οὐδαμοῦ στάσιν ἔχει τῆς προβάσεως. ὡς εἴ τις λέγοι πᾶν τὸ κινοῦν καὶ αὐτὸ κινεῖσθαι, καὶ
πᾶν τὸ κινούμενον ὑπό τινος ἔξωθεν κινεῖσθαι. τούτων γὰρ τεθέντων ἀνάγκη ἐπ' ἄπειρον ἰέναι κινοῦν πρὸ

κινοῦντος τιθέντα, ὁ μέν τοι σωρείτης σοφιστικός ἐστι λόγος. ἐκ τοῦ παρὰ μικρὸν ὥς φασιν ἐρωτή-
σεως, ἀπάτην κατὰ τὴν ἔκλυσιν τῶν φαντασιῶν ἐπὶ ἄδηλον, ἢ ψεῦδος ἐκφανές. ἐρωτῶσι γοῦν πό-
τερον ἡ πρώτη ῥανὶς ἔδρασέ τι εἰς τὴν πέτραν ἢ οὔ. εἰ μὲν γὰρ ἔδρασε πῶς οὐχ ὁρᾶται τὸ πάθος. εἰ
δὲ μή, οὔτε ἡ δευτέρα οὔτε ἡ ἐσχάτη, πῶς οὖν ἡ κοιλότης ἐγένετο τῆς πέτρας. ὁρᾷς ὅτι οὗτος οὐκ εἰς
τὸ ἄπειρον ἀπάγει. πῶς οὖν τῷ σωρείτῃ φησὶν εἰς τὸ ἄπειρον ἀπάγειν. ἀλλὰ ταῦτα μὲν τοῖς ἕξιν
ἀνδρὸς κρίνειν βουλομένοις γεγράφθω. τί γὰρ ὅλως νῦν ἐδεῖτο τοῦ σωρείτου λόγου, εἰ μὴ πρὸς ὀ-
νομάτων ἐπίδειξιν. εἰπόντος δὲ τοῦ ἀλεξάνδρου, ὅτι τὰ φθειρόμενα κινουμένων τινῶν φθείρεται, τῶν
φθειρόντων δηλονότι, οὕτω γὰρ καὶ ὁ ἀριστοτέλης εἶπεν, καὶ εἰ μὲν ἄφθαρτα ταῦτα πάλιν κινη-
θήσεται. εἰ δὲ φθαρτά, ἔσται καὶ οὕτω πάλιν ὕστερά τις τῆς τελευταίας κινήσεως. ἡ κατὰ τὴν
τούτων γινομένην φθοράν, οὗτος μὴ νοήσας οὐ τὰ φθείροντα ἀλλὰ τὰ φθειρόμενα νομίζων λέγεσθαι
νῦν ὑπὸ τοῦ ἀλεξάνδρου κινούμενα, οἷον φέρε φησὶ τὰ στοιχεῖα καὶ αὐτὰ φθαρτὰ ὄντα, πάλιν ἀλ-
λων κινουμένων καὶ αὐτὰ φθείρεται, τῆς ὕλης φέρε καὶ τοῦ εἴδους. ἡ δὲ ὕλη οὐκέτι συμφθειρο-
μένη τοῖς πράγμασι, μένει τὴν δύναμιν ἔχουσα τοῦ κινεῖσθαι. οὕτως οὖν οὗτος παρανοήσας, καὶ
μήτε τοῦ ἀριστοτέλους ἀκούσας λέγοντος, καὶ τὸ φθαρτικὸν δὴ δεήσει φθαρῆναι ὅταν φθείρῃ, καὶ
τὸ τούτου φθαρτικὸν πάλιν ὕστερον, λῦσαι ταύτην φησὶ πολλαχοῦ τὴν ἀπορίαν. κἂν γὰρ ἡ φύσις
φησὶ μὴ ποιῇ τὴν πρώτην ὕλην, ἀλλ' ὁ θεὸς ποιῇ αὐτὴν οὐκ ἐξ ὕλης, ὥστε καὶ φθείροι ἂν αὐτὴν ὅ-
ταν θελήσῃ εἰς τὸ μὴ ὂν ἐξ οὗ γέγονεν. ὥσπερ φησὶ καὶ τὸ εἶδος οὐκ εἰς ἄλλο εἶδος μεθίσταται. ἀλλ'
εἰς τὸ πάντῃ μὴ ὂν ἐξ οὗ καὶ γέγονεν ἀνατρέχει, δέδεικται δὲ πολλάκις ὡς οἶμαι. ὅτι τὰ μὲν ἐξ οὐκ
ὄντων ὑπὸ τοῦ δημιουργοῦ παραγόμενα, οὐκ ἔστι γενητὰ κατὰ τοῦτο τοῦ γενητοῦ τὸ σημαινόμενον,
καθ' ὃ τὸ πρότερον μὴ ὂν ὕστερόν ἐστιν. ἀλλ' ἀΐδιον ἔχει τὴν ὑπόστασιν, οὐ γάρ ἐστι τὰ ἐξ οὐκ ὄντων πα-
ραγόμενα, διατί τότε ἀλλὰ μὴ ἄλλοτε παρῆλθεν εἰς τὰ ὄντα. ὥσπερ τὰ ἐξ ὄντων γινόμενα εὐσύ-
νοπτον ἔχει τὴν αἰτίαν τοῦ τότε γενέσθαι. διὰ τὸν εἱρμὸν ὡς εἶπον τῶν τε προηγησαμένων καὶ τῶν
ἑπομένων, ταῦτα μὲν οὖν ἀΐδια ἐξ ἀνάγκης ἐστί. τὰ μέν τοι γενητὰ κατὰ τὸν εἰρημένον τρόπον, ἐξ
ὄντων τε τὴν γένεσιν ἔχει, καὶ εἰς ὄντα τὴν φθοράν, μεταβολῆς οὔσης τῆς γενέσεως καὶ τῆς φθο-
ρᾶς. καὶ ποῖον γὰρ εἶδος οὐκ ἀπὸ τοῦ δυνάμει πρότερον ὄντος εἰς τὸ ἐνέργεια μετέβαλε, καὶ ἀπὸ τοῦ
ἐνέργεια εἰς τὴν ἑαυτοῦ στέρησιν, ἀλλ' εἰς τὸ πάντῃ μὴ ὂν ὡς οὗτός φησιν ἀνατρέχει. ταῦτα εἰπών, ἐ-
παγγέλλεται δεῖξιν, ὅτι οὐκ εἰς ἀνυπαρξίαν παντελῆ. ἀλλ' εἰς ἄλλο τι κρεῖττον καὶ θειότερον ἡ τοῦ
κόσμου μεταβολὴ γίνεται. καὶ θαυμαστὸν ὅτι τὴν μὲν φθορὰν τοῦ κόσμου, μεταβολὴν εἰς ὄν, τι καὶ
θειότερον οἴεται. τὴν δὲ γένεσιν οὐκ ἐξ ὄντος ἔχειν φησίν, ἐνδείκνυται δὲ ὅπερ ἐν τοῖς ἑξῆς βυβλί-
οις πραγματεύεται. ὅτι ὁ κόσμος οὗτος εἰς ἄλλον τινὰ κόσμον μεταβαλεῖ θειότερον, οὐκ ἐφιστά-
νων ὅτι τοῦτο οὐκ ἔστι φθορὰ τοῦ κόσμου ἀλλὰ τελείωσις. συμπεραινόμενος δὲ τὰ πρὸς τοὺς ἀγένητον καὶ
ἄφθαρτον τὴν κίνησιν δεικνύντας λόγους ἐπιχειρήματα, ἱκανῶς αὐτοὺς ἀπελεγχθῆναί φησιν, ἐκ
τῶν οὕτω σαθρῶν αὐτοῦ τερετισμάτων. καὶ ὡς ἐκείνους διελέγξας, τολμᾷ καὶ αὐτὸς καθ' αὑτὸν ἀπο-
δεικνύναι, ὅτι ἀδύνατον ἀγένητον εἶναι τὴν κίνησιν. ἀξιώματα δὲ πρὸς τὴν ἀπόδειξιν προλαμβά-
νει τρία, ἓν μέν. ὡς ἐπὶ τῶν γινομένων ἀναγκαίως δεῖται προϋπάρχοντός τινος ἵνα γένηται, οἷον ναῦς
ξύλων, οὐκ ἂν γένοιτο μὴ προγινομένων ἐκείνων. δεύτερον ὅτι ἀριθμὸν ἄπειρον ὑποστῆναι ἐνεργείᾳ
ἀδύνατον, ἢ διεξελθεῖν τινα ἀριθμοῦντα τὸν ἄπειρον καὶ ὅτι μεῖζον εἶναι τοῦ ἀπείρου ἢ αὐξηθῆναι
τὸ ἄπειρον ἀδύνατον. τρίτον ὡς εἴ τινος εἰς γένεσιν ἄπειρα δέοι προϋποστῆναι, ἓν ἐξ ἑνὸς γινόμενον,
τοῦτο ἀδύνατον γενέσθαι. ἐκ τούτου γάρ φησι καὶ ἀριστοτέλης ἐν τῇ περὶ γενέσεως ἔδειξεν, ὅτι ἀ-
δύνατον ἄπειρα εἶναι κατ' ἀριθμὸν τὰ τῶν σωμάτων στοιχεῖα, ἐπειδὴ ἐξ ἀλλήλων αὐτοῖς ἡ γένεσις.
τὸ γοῦν ἄπειρον ἀδιεξίτητον, ὥστε οὐ φθάσει τὸ πῦρ εἰ τύχοι γενέσθαι, εἰ ἀπείρων προγινομένων γέ-
νοιτο ἄν. τούτων οὖν φησι προωμολογημένων, εἰ ἡ τοῦδε τοῦ πυρὸς μερικὴ κίνησις ἀρχὴν τοῦ εἶναι καὶ
πέρας ἔχει, ἵνα δὲ αὕτη γένηται, ἔδει πρὸ αὐτῆς ἄλλην γενέσθαι κίνησιν. καθ' ἣν ἐξ ἀέρος φέρε μετα-
βάλλοντος ἔδει τὸ τοῦ πυρὸς σῶμα γενέσθαι. καὶ πάλιν πρὸ τῆς τοῦ ἀέρος κινήσεως τοῦ εἰς πῦρ μετα-
βεβληκότος, προϋπῆρξεν ἑτέρα κίνησις ἡ τοῦ ὕδατος εἰ τύχοι. καθ' ἣν εἰς ἀέρα μετέβαλε, καὶ πρὸ ἐ-
κείνης ἄλλη, καὶ τοῦτο ἐπ' ἄπειρον, ἐπειδὴ οὐκ ἔχει ἀρχὴν οὔτε ὁ κόσμος. οὔτε ἡ τῶν πραγμάτων εἰς
ἄλληλα μεταβολή, ἀπείρους ἄρα ἔδει προϋπάρξαι κινήσεις, ἵνα τόδε τὸ πῦρ τὸ μερικὸν γένηται.
οὐ γὰρ ἂν ἐγένετο εἰ μὴ αἱ ἄπειροι προϋπῆρξαν, διὰ τὸ πρῶτον ὡς λέγει τῶν ἀξιωμάτων. εἰ οὖν ἀ-
δύνατον ἀπείρους κατ' ἐνέργειαν γεγονέναι κινήσεις. διὰ τὸ τῶν ἀξιωμάτων δεύτερον, οὐδὲ ἄρα τὴν τοῦ
μερικοῦ πυρὸς ὑποστῆναι κίνησιν δυνατὸν ἦν διά τε ταῦτα, καὶ διὰ τὸ τρίτον ἀξίωμα τὸ λέγον, ὅτι οὗ
πρὸ τῆς γενέσεως ἄπειρα προϋποστῆναι ἀνάγκη, τοῦτο οὐκ ἂν γένοιτο. εἰ οὖν ἡ τοῦ μερικοῦ πυρὸς κίνησις
γέγονεν, οὐκ ἂν προϋπῆρξαν αὐτῆς ἄπειροι κινήσεις κατὰ τὴν τῆς σὺν ἀντιθέσει ἀντιστροφῆς ἀνάγκην,
ὡς φησιν οὗτος. ὁ καὶ τὴν σὺν ἀντιθέσει ἀντιστροφὴν ἥτις ποτέ ἐστιν ἀγνοῶν, ὡς ἔδειξα οἶμαι τὰ πρὸς
τὸ πρῶτον τοῦ περὶ οὐρανοῦ ῥηθέντα αὐτῷ βασανίζων. εἰ οὖν διὰ πεπερασμένων φησὶ κινήσεων ἦλθεν ἡ

φύσις, ἵνα τὴν τοῦ μερικοῦ πυρὸς ποιήσῃ κίνησιν, ἔστιν ἄρα τις πρώτη κίνησις, ἧς μὴ προϋπῆρξεν ἄλλη,
καὶ ἐπὶ ἄλλων τῶν καθ' ἕκαστα κινήσεων ὁ αὐτὸς λόγος, καὶ τοῦτο φησὶ τῷ φυσικῷ λόγῳ σύμφωνόν ἐστι.
τὰ γὰρ τέλεια τῶν ἀτελῶν καὶ τὰ ἐνεργείᾳ τῶν δυνάμει πρῶτά ἐστιν. εἰ μὲν οὖν ἐπ' ἄπειρον ἡ ἄνοδος γένοι-
το, οὔτε τὰ τέλεια τῶν ἀτελῶν, οὔτε τὰ ἐνεργείᾳ τῶν δυνάμει προηγήσεται. εἰ δὲ πεπερασμέναι, ἡ πρώ-
τη δηλονότι ἅμα τῷ παντὶ συνυποστᾶσα, ἐκ τοῦ ἐνεργείᾳ καὶ τοῦ τελείου τὴν ἀρχὴν τῶν ἑξῆς πεποίη-
ται κινήσεων. εἰ δὲ τῶν μερικῶν φησι κινήσεων ἀρχή τι ἐστι, καὶ οὐχ οἷόν τε ἐπ' ἄπειρον ἄλλην πρὸ
ἄλλης ἐπινοεῖν κίνησιν, ἀνάγκη καὶ τὴν ἐγκύκλιον τῶν οὐρανίων κίνησιν ἀπό τινος ἀρχῆς ἄρξα-
σθαι πρότερον οὐκ οὖσαν. οὐ γὰρ ἐνδέχεται τὸν μὲν οὐρανὸν ἀεὶ ὡσαύτως ἔχειν, τὰ δὲ ἐντὸς γενητὰ
καὶ φθαρτὰ μὴ ἐν τῷ γίνεσθαι καὶ φθείρεσθαι τὸ εἶναι ἔχειν. τέταρτον καὶ τοῦτο προστίθησιν. εἰ ταῖς
γινομέναις κινήσεσιν αἱ γενησόμεναι προστιθέμεναι, αὔξουσιν αὐτῶν τὸν ἀριθμόν, τὸ δὲ ἄπειρον αὔ-
ξειν ἀδύνατον, οὐκ ἂν ἄπειροι εἶεν αἱ προγενόμεναι κινήσεις. πέμπτον δέ, εἰ οὐκ ἰσοχρόνως φησὶν αἱ
σφαῖραι κινοῦνται. ἀλλ' ἡ μὲν διὰ τριάκοντα ἐτῶν, ἡ δὲ διὰ δώδεκα, καὶ ἐφεξῆς δι' ἐλάττονος χρό-
νου. ὥστε τὴν τῆς σελήνης γίνεσθαι διὰ μηνός, καὶ τὴν τῆς ἀπλανοῦς δι' ἡμερονυκτίου, ἄναρχος δὲ
ἐστιν ἡ τοῦ οὐρανοῦ κίνησις, ἀνάγκη τὴν τοῦ κρόνου σφαῖραν ἀπείρους περιεληλυθέναι περιφοράς,
τὴν δὲ τοῦ διὸς ἐγγὺς τριπλασία τούτων. αἱ δὲ τοῦ ἡλίου τριακονταπλασίους ἔσονται τῶν τοῦ κρό-
νου, αἱ δὲ τῆς σελήνης τριακοσιοεξηκονταπλασίονες. αἱ δὲ τῆς ἀπλανοῦς πλέον ἢ μυριοπλάσιοι.
πῶς οὖν οὐκ ἀτόπου παντὸς ἐπέκεινα, εἰ μὴ δὲ ἅπαξ διεξιτητὸν ἐνδέχεται εἶναι τὸ ἄπειρον, μυ-
ριοπλάσιον τοῦ ἀπείρου. μᾶλλον δὲ ἀπειράκις τὸ ἄπειρον ὑποτίθεσθαι, ὥστε ἀνάγκη φησὶ καὶ τὴν
τῶν οὐρανίων κυκλοφορίαν ἄρξασθαι τοῦ εἶναι, πρότερον οὐκ οὖσαν. ὅτε καὶ αὐτὸς ὁ οὐρανὸς ὡς
οὗτός φησι, μὴ γὰρ ἐμὸς λόγος, τοῦ εἶναι ἤρξατο. ἐν δὴ τούτοις τὰ μὲν ἀξιώματα δυνατὸν ἀλη-
θῶς εἰλῆφθαι. ἐν δὲ οὗτος ἀγνοήσας ὡς οἶμαι, πολλῶν συρφετὸν ἀντιλογιῶν ἐσώρευσεν, ἑαυτὸν μὲν
πρῶτον παραλογιζόμενος. εἶτα καὶ τοὺς οἰομένους τῆς σφῶν αὐτῶν δόξης βεβαιωτικὴν ὑπάρχειν
τὴν τοῦ κόσμου φθοράν. τὸ δὲ ἓν ὃ λέγει, τὸ δέ ἐστι. τὸ κατ' ἐνέργειαν καὶ κυρίως ἄπειρον, εἴτε κατ' ἀρι-
θμὸν εἴτε κατὰ μέγεθος ὑποτίθεται ἄπειρον, οὐ τὸ κατά τι μὲν ἄπειρον κατά τι δὲ πεπερασμένον.
τὸ γὰρ τοιοῦτον οὐ μᾶλλον ἄπειρόν ἐστιν ἢ πεπερασμένον. ἀλλ' οὐδὲ τὸ ἐπ' ἄπειρον προϊόν, ἄπει-
ρόν ἐστι λέγεται κυρίως. τὸ γὰρ προϊὸν εἰς ἄπειρον, οὔπω τὸ ἄπειρον ἀπείληφε. κἂν ἀεὶ προϊὸν ἐπὶ
τοῦτο μὴ παύσηται, οὐδέποτε τὸ ἄπειρον ἀποληψεται. οὗτος δὲ τὰ ἀξιώματα ἐπὶ τῶν κατ' ἐνέρ-
γειαν λαβὼν ἀπείρων, ἐφ' ὧν ἀληθὲς ὅτι ἀριθμὸν ἄπειρον ὑποστῆναι ἀδύνατον, ἢ διεξελθεῖν ἀρι-
θμοῦντα τὸ ἄπειρον, ἢ αὐξηθῆναι τὸ ἄπειρον. ἢ προϋποστῆναι γενέσεώς τινος τὸν ἐνεργείᾳ ἄπειρον
ἀριθμόν. ὡς ἐπὶ τῶν στοιχείων ἔδειξεν ἀριστοτέλης, οὐκέτι ἐπὶ τοῦ τοιούτου ἀπείρου τὰς ἀποδείξεις
προήγαγε τοῦ ἅμα ὄντος. ἀλλ' ἐπὶ τοῦ ἐπ' ἄπειρον γινομένου. οἵαν εἶναι τὴν κίνησις φαμέν, οὐκ ἐννοή-
σας ὅτι κἂν ἄναρχον καὶ ἀτελεύτητον τὴν κίνησιν εἶναι λέγωμεν, ἀλλ' ἥ γε μέχρι νῦν οὐκ ἔστιν ἄπει-
ρος. πέρας γοῦν αὐτῆς τὸ νῦν ὑποτιθέμεθα. ὥστε τῆς τοῦ μερικοῦ τοῦδε πυρὸς κινήσεως οὐ προϋ-
πάρχει ἄπειρος ἐνεργείᾳ κίνησις. πεπέρανται γοῦν ἡ μέχρι νῦν τῷ νῦν τούτῳ. οὐ δὲ κωλύεται γίνε-
σθαι τοδὶ τὸ πῦρ διὰ τὰς προϋπαρχούσας κινήσεις, ὅτι πεπερασμέναι εἰσὶν ἐπὶ τὸ γινόμενον, καὶ
οὐ τοῦτο μόνον. ἀλλὰ καὶ τὰ ὑπάρχοντα αἴτια τοῦ πυρὸς πεπερασμένα ἐστίν, εἴπερ ἡ γένεσις τοῖς τέ-
τρασι στοιχείοις ἐξ ἀλλήλων ἐστὶ κύκλῳ περιϊοῦσα. πῦρ γὰρ ἐξ ἀέρος, καὶ ἀὴρ ἐξ ὕδατος, καὶ ὕδωρ ἐκ γῆς
καὶ γῆ ἐκ πυρός, καὶ πάλιν πῦρ ἐξ ἀέρος, καὶ τοῦτο ἐπ' ἄπειρον. ἔδει δὲ τὴν τοῦ ἐπ' ἄπειρον φύσιν, καὶ
τίνι διαφέρει τοῦτο τοῦ κατ' ἐνέργειαν ἀπείρου παρὰ τοῦ ἀριστοτέλους μαθόντα, οὕτως εἴ τι πρὸς αὐ-
τὴν εἶχεν ἀπορεῖν. ἀλλ' οὐχὶ τὰ ἐπὶ τοῦ κατ' ἐνέργειαν ἀπείρου συναγόμενα ἄτοπα, τῷ ἐπ' ἄπειρον
προσάγειν. λέγει δὲ περὶ τοῦ τοιούτου ἀπείρου τοῦ ἐπ' ἄπειρον ὁ ἀριστοτέλης, ἐν τῷ τρίτῳ ταύτης
τῆς πραγματείας τάδε. ὅλως μὲν οὕτως ἐστὶ τὸ ἄπειρον, τῷ ἀεὶ ἄλλο καὶ ἄλλο λαμβάνεσθαι, καὶ τὸ λαμ-
βανόμενον μὲν ἀεὶ πεπερασμένον. ἀλλ' ἀεί γε ἕτερον, καὶ ἕτερον. ἔτι τὸ εἶναι πλεοναχῶς λέγεται. ὥσ-
τε τὸ ἄπειρον οὐ δεῖ λαμβάνειν ὡς τόδε τι, οἷον ἄνθρωπον ἢ οἰκίαν. ἀλλ' ὡς ἡ ἡμέρα λέγεται καὶ
ὁ ἀγών. οἷς τὸ εἶναι οὐχ ὡς οὐσία γέγονεν. ἀλλ' ἀεὶ ἐν γενέσει καὶ φθορᾷ πεπερασμένον. ἀλλ' ἀεὶ ἕτερον
καὶ ἕτερον. κἂν πρὸ ἐμοῦ οὖν ὁ πατήρ, καὶ πρὸ τοῦ ἐμοῦ πυρὸς ὁ ἐκείνου, καὶ τοῦτο ἐπ' ἄπειρον ἀνα-
λύοιμεν ὡς μὴ οὔσης ἀρχῆς. ἀλλ' οὐκ ἔστιν ἄπειρα τὰ προγεγονότα, πεπέρανται γοῦν τέως εἰς ἐμέ,
ἀλλ' οὐκ ἔστι. ἀλλ' ἀεὶ ἕτερον καὶ ἕτερον διαδέχεται ἀεὶ πεπερασμένον. τοιαύτη μὲν οὖν ἐστιν ἡ τῶν
ἀτόμων γένεσις καὶ φθορά, οὐδέποτε μὲν ἐπιλείπουσα, ἀεὶ δὲ ἐν πέρατι οὖσα, διὰ τὴν τοῦ ἐπ' ἀ-
πειρον φύσιν. ὁ δὲ γραμματικὸς ἐπὶ τοῦ κατ' ἐνέργειαν ἀπείρου τὰ ἀξιώματα λαβὼν ἀληθεύοντα,
τοῦ μὴ δὲ ὑφεστηκότος ὅλως ὡς καὶ αὐτὸς ὁμολογεῖ, εἴ τινός φησιν εἰς γένεσιν ἄπειρα δέοι προϋπο-
στῆναι, ἓν ἐξ ἑνὸς γινόμενον, τοῦτο ἀδύνατον γενέσθαι, ὅτι ἀπείρους αὐτοῦ κινήσεις ἀναγκαῖον ἦν
προϋπάρχειν, σαφῶς τὸ ἀδύνατον τὸ τῷ ἐνεργείᾳ ἅμα ὄντι ὅλῳ ἀπείρῳ καὶ πανταχόθεν ἀ-
πείρῳ ἑπόμενον τῷ ἐπ' ἄπειρον προσάπτων. ἐν ᾧ πᾶν τὸ λαμβανόμενον πεπερασμένον ἐστὶ πάντως.

ἀλλ' ἀεὶ ἕτερον καὶ ἕτερον. ἀπείρων μὲν γὰρ ὄντων κατ' ἐνέργειαν τῶν προγεγονότων, οὐκ ἄν τι ὄντως ἐξ αὐτῶν γένοιτο. οὐ μόνον ὅτι οὐδέν ἐστιν ἔξω τοῦ ἀπείρου. ἀλλ' ὅτι οὐκ ἔστι συναφθῆναι τῷ ἀπείρῳ τὸ γινόμενον μήτε ἀρχὴν ἔχοντι μήτε τέλος, ὁ δὲ ἀριστοτέλης ἐν τῷ δευτέρῳ τῆς περὶ γενέσεως, ἐπειδὴ καὶ ἐκείνων οὗτος ἐμνήσθη, μηδὲν τῶν ἐκεῖ λεγομένων νοήσας, οὐχὶ τῇ ἐπὶ ἄπειρον ὑποτιθεμένῃ τῶν γινομένων καὶ φθειρομένων προόδῳ ἀκολουθεῖν φησι τὸ μὴ γίνεσθαι τὰ στοιχεῖα, ὡς οὗτος ᾠήθη. μὴ γὰρ τοῦτο δυνηθεὶς ἐννοῆσαι, ὅτι αὐτὸ τοῦτο προὔκειτο ἐν ἐκείνοις τῷ ἀριστοτέλει. ἐπὶ ἄπειρον μὲν καὶ ἀΐδιον δεῖξαι τῶν στοιχείων τὴν εἰς ἄλληλα μεταβολὴν ἀνακυκλουμένην. ἀλλ' οὐ τῷ ἀπείρους κατ' ἐνέργειαν ὑποτεθῆναι τὰς εἰδοποιοὺς τῶν στοιχείων ἐναντιώσεις. τοῦτο δὲ ἀκολουθεῖ τοῖς λέγουσιν οὐκ ἐπ' ἄπειρον ἁπλῶς ὥσπερ ἡμεῖς λέγομεν ἀνακυκλούμενα τῷ εἴδει. ἀλλὰ κατ' εἶδος ἐπ' ἄπειρον ἐξαλλάττεσθαι τὰ γινόμενα ἐπ' εὐθείας προϊόντα. οἷον ἐκ πυρὸς ἀέρα, καὶ ἐξ ἀέρος ὕδωρ. καὶ ἐξ ὕδατος γῆν, καὶ ἐκ γῆς ἄλλο τι. καὶ ἐξ ἐκείνου πάλιν ἄλλο ἐπ' ἄπειρον, οὕτω τῷ εἴδει διαφέροντα. εἰ δὲ τοῦτο, ἀνάγκη ἀπείρους εἶναι κατ' ἐνέργειαν ἐν τῇ φύσει τῶν ὄντων τὰς εἰδοποιοὺς τῶν στοιχείων ἐναντιώσεις, καθ' ἃς ἡ μεταβολὴ γίνεται. ὡς γὰρ οὐκ ἂν ἦν τοῦ λευκοῦ εἰς τὸ μέλαν μεταβολή. εἰ μὴ ἦν τὸ μέλαν ἐν τοῖς οὖσιν, οὕτως οὐκ ἂν ἦν ἐπὶ ἄπειρον κατ' εἶδος ἐξαλλάττεσθαι, εἰ μὴ ἦν ἄπειρα τῷ ἀριθμῷ εἴδη. πεπερασμένων γὰρ ὄντων, ἀδύνατον ἦν ἐπ' ἄπειρον τὴν κατ' εἶδος ἐξαλλαγὴν γίνεσθαι. ἐπέλιπε γὰρ ἄν. τῇ οὖν ἐπ' ἄπειρον ὑποτεθείσῃ κατ' εἶδος μεταβολῇ τῶν στοιχείων, ἠκολούθησε τὸ ἀπείρους εἶναι κατ' ἐνέργειαν τὰς ἐναντιώσεις. ὅπερ ἡμῖν οὐκ ἀκολουθεῖ, τοῖς ἐπ' ἄπειρον μὲν λέγουσι προϊέναι τὴν γένεσιν καὶ τὴν κίνησιν. οὐ μέντοι κατ' εἶδος ἐξαλλαττομένην ἀλλὰ ἀνακυκλουμένην. ὅπερ καὶ αὐτὸς εἰσαγαγεῖν βούλεται, διὰ τοῦ ἀνελεῖν τὴν ἐπ' ἄπειρον ἐπὶ εὐθείας κατ' εἶδος πρόοδον. ἀναιρεῖ δέ, ταύτῃ μὲν ἀκολουθεῖν λέγων, τὸ ἀπείρους εἶναι ἐνεργείᾳ κατ' εἶδος τὰς ἐναντιώσεις. τούτῳ δὲ ἄτοπα ἀκολουθεῖν, τὸ μὲν τὴν ἡμετέραν περὶ τῶν ὄντων γνῶσιν ἀναιροῦν, τὸ δὲ τὴν γένεσιν. ἡ μὲν γὰρ τοῦ τί ἐστιν ἕκαστον γνῶσις ἐν ἡμῖν, διὰ τῶν ὁρισμῶν ἐστιν. ἀπείρων δὲ κατ' ἐνέργειαν οὐσῶν τῶν εἰδοποιῶν διαφορῶν, καθ' ἃς εἰδοποιεῖται τὰ στοιχεῖα, εἴπερ ἄπειρος ἐπ' εὐθείας ἐστὶν ἡ τῶν στοιχείων ἐξαλλαγή, ἄλλου εἴδους ἐξ ἄλλου ἐπὶ ἄπειρον γινομένου, ὡς εἶπον, οὐκ ἔστιν ὁρίσασθαι. εἴπερ ἐκ γένους καὶ διαφορῶν ὡρισμένων εἰσὶν οἱ ὁρισμοί. ἀλλ' οὐδὲ γίνεσθαί τι δυνατόν, ἀπείρων ὄντων κατ' ἐνέργειαν καὶ ἀδιεξιτήτων τῶν μεταξύ. εἰ γὰρ πεπερασμένα ταῦτα, καὶ τὰ ἄκρα πεπερασμένα εἶναι ἀνάγκη. ἄλλο οὖν ἐστιν ἐκεῖνο τὸ ἄπειρον, τὸ ἅμα ὅλον ὑποτιθέμενον. καὶ ἄλλο τὸ ἐπ' ἄπειρον ἐν τῷ γίνεσθαι καὶ φθείρεσθαι τὸ εἶναι ἔχον ὡς εἴρηται. καὶ τὸ μὲν ληφθὲν ἀεὶ πεπερασμένον τούτου, ἕτερον δὲ καὶ ἕτερον. οὐκ ἐμποδιζομένης ἐκ τούτου τῆς γενέσεως, ἀλλὰ συνεργουμένης μᾶλλον. ὥστε καὶ γέγονεν ἡ τοῦ μερικοῦ πυρὸς καὶ τῶν ἄλλων κίνησις. καὶ οὐ προϋπῆρξαν αὐτῶν ἄπειροι κινήσεις, αἵ γε πεπερασμέναι νῦν εἰσι. καὶ πρώτη κίνησις οὐκ ἔστιν, ἀλλ' ἀεὶ τῆς πρώτης ὑποτιθεμένης ἔστι προτέραν λαβεῖν. εἰ δὲ τοῦτο, ἀνάγκη καὶ τὴν ἐγκύκλιον τῶν οὐρανίων κίνησιν ἄναρχον εἶναι. ἀφ' ἧς ἡ τῶν ὑπὸ σελήνην ἀνέκλειπτος κίνησις διασώζεται. ἀλλ' οὐδὲ αἱ προστιθέμεναι κινήσεις τὸν ἄπειρον κατ' ἐνέργειαν τῶν κινήσεων ἀριθμὸν αὔξουσιν, ὡς οὗτός φησιν, ἀλλὰ τὸν πεπερασμένον. πεπέρανται γὰρ ὁ μέχρι νῦν, καὶ ὁ ἀεὶ προστιθέμενος πεπερασμένος, ἀλλ' οὐκ ἄπειρος κἂν ἐπὶ ἄπειρον προστίθηται. ὥστε κἂν μὴ ἰσοταχεῖς αἱ σφαῖραι, καὶ ἄναρχος ἑκάστων ἡ ἀποκατάστασις, ἀλλ' οὐκ ἄπειροι αἱ μέχρι νῦν. οὐ δὲ γενήσονται ἄπειροί ποτε, ὑπ' αὐτοῦ τούτου τοῦ ἐπ' ἄπειρον προϊέναι κωλυόμεναι ἄπειροι γενέσθαι. τὸ γὰρ ἐπ' ἄπειρον ἔχει τι ἀεὶ ἐλλεῖπον. ἐνυπάρχει γὰρ αὐτῷ ἀεὶ τὸ δυνάμει. τὸ δὲ ἄπειρον εἴπερ εἴη τι τοιοῦτον κατ' ἐνέργειαν ἀνελλειπές ἐστιν. ἀλλ' οὐδὲ τῷ φυσικῷ λόγῳ τὰ ὑπ' αὐτοῦ λεγόμενα συμφωνεῖ, τῷ λέγοντι τὰ τέλεια προηγεῖσθαι τῶν ἀτελῶν, καὶ τὰ ἐνεργείᾳ τῶν δυνάμει. ὁπότε οὐδὲ ἐφ' ὧν ταῦτα ἀληθεύει γινώσκειν οὗτος ἔοικεν. ἐπὶ μὲν γοῦν τῶν ὅλων ἀληθές. ἐν μέντοι τῇ γενέσει μᾶλλον ἐπὶ τοῦ αὐτοῦ, τὰ ἀτελῆ τῶν τελείων καὶ τὰ δυνάμει προϋπάρχει τῶν ἐνεργείᾳ. εἰ καὶ κατὰ ἀλήθειαν ἐξ ἀλλήλων τὴν γένεσιν ἔχουσι. καὶ γοῦν ἐκ σπέρματος ἄνθρωπος, καὶ ἐξ ἀνθρώπου σπέρμα. καὶ ταῦτα μὲν ὡς πρὸς τὴν χρονικὴν προΰπαρξιν εἶπον. ἣν μόνην ὡς ἔοικεν οὗτος γινώσκει. ἐπεὶ τῇ γε δυνάμει καὶ αἰτίᾳ καὶ τῇ τῆς ἀξίας ὑπεροχῇ. προϋπάρχει πάντων τῶν ἀτελῶν τὰ τέλεια, καὶ τῶν δυνάμει τὰ ἐνεργείᾳ, καὶ τῷ χρόνῳ δὲ τὰ τοιοῦτα τῶν παραγόντων. ἐν μέντοι τῇ γενέσει ὅπερ εἶπον μὴ οὔσης ἀρχῆς χρονικῆς, οὐκ ἄν τις χρόνῳ προϋπάρχειν ἁπλῶς εἴποι τὸ ἐνεργείᾳ τοῦ δυνάμει. τὸ γὰρ ἐν ἑκάστῳ δυνάμει τοῦ κατ' αὐτὸ ἐνεργείᾳ προϋπάρχει τῷ χρόνῳ. ὥσπερ τὸ ᾠὸν τοῦ ὄρνιθος. ταῦτα μὲν οὖν εἰρήσθω πρὸς τὸ ἕκτον τοῦ γραμματικοῦ βιβλίον. ὃ τὴν ἀϊδιότητα τῆς κινήσεως ἀνελεῖν ἐπειρᾶτο. ἵνα μὴ δι' αὐτὴν ἀΐδιος ὁ κόσμος ἀποδεικνύηται. σκοπὸν γὰρ ἐν ἅπασι προὐβάλετο, μήτε τὸν θεὸν ἀμετάβλητον, μήτε τὸν κόσμον ἀΐδιον, ὑπὸ τῶν δυστυχῶς αὐτῷ πειθομένων νομίζεσθαι. μέχρι γὰρ τῶν εἰρημένων προελθὼν τέλος ἔχειν ἐνόμισεν αὐτῷ τὴν ἀντιλογίαν, τὴν πρὸς τὴν ἀϊδιότητα τῆς κινήσεως, οὐδὲ τοῦτο ἐπιστῆσαι δυνηθείς. ὅτι τὰ κυριώτατα τῆς ἀποδείξεως ἐν τοῖς ἐφεξῆς παραδίδοται. ἐν οἷς

δείκνυσιν ὁ ἀριστοτέλης. ὅτι τῶν ὄντων τὰ μὲν ἀκίνητά ἐστι, τὰ δὲ ἀεὶ κινούμενα. τὰ δὲ ποτὲ μὲν κινούμενα, ποτὲ δὲ ἠρεμοῦντα. ἀλλ' εἰ δοκεῖ λοιπὸν ἐπὶ τὸ συνεχὲς τῶν ἀριστοτέλους ῥήσεων ἐπανιτέον. ὅτε τῆς ἀπαιδεύτου προσυλακτήσεως ἐκείνης τοὺς τοῖς προλαβοῦσιν ἐντυγχάνοντας ἀπηλλάξαμεν.

ΚΑΙ ΓΑΡ ἔοικε τὸ οὕτω λέγειν, πλάσματι μᾶλλον.

Δείξας ὅτι ἀΐδιος ἡ κίνησις διὰ τῆς τοῦ χρόνου ἀϊδιότητος, καὶ ὅτι ἀδύνατον κίνησιν ἢ χρόνον γινόμενα ἢ φθειρόμενα ὑποτίθεσθαι, νῦν φησιν ὅτι καὶ ἐκ τούτου ἀΐδιος ἡ κίνησις καὶ ὁ χρόνος δείκνυται. ἐκ τοῦ τὸ μὴ οὕτω λέγειν ἀλλὰ ποτὲ μὲν εἶναι ποτὲ δὲ μὴ εἶναι κίνησιν ἢ χρόνον, πλάσματι μᾶλλον ἐοικέναι. τί γὰρ ἂν εἴη πλασματωδέστερον. τοῦ λέγειν ὅτι μὴ οὔτε κίνησις μὴ δὲ χρόνος πρότερον, τότε γεγόνασι. διατί γὰρ τότε ἀλλὰ μὴ πρότερον ἢ ὕστερον, πλάσματι μᾶλλον ἔοικε. λέγοι δὲ ἂν ἴσως πλασματῶδες, καὶ τὸ λέγειν εἶναι χρόνον ὅτε χρόνος οὐκ ἦν. ὁ δὲ λέγων ὅτι ὅτε μὲν ἦν χρόνος. ὅτε δ' οὐ, τοῦτο λέγει, τὸ αὐτὸ δὲ πλάσμα καὶ ἐπὶ κινήσεως. εἴπερ ἀριθμὸς κινήσεως ὁ χρόνος. εἰ γὰρ ἦν χρόνος ὅτε οὐκ ἦν κίνησις, ὅτε δὲ κίνησις οὐκ ἦν οὐδὲ χρόνος, δηλονότι ὁ τοῦτο λέγων οὐδὲν ἄλλο λέγει, ἢ ὅτι ἦν χρόνος ὅτε οὐκ ἦν χρόνος. λέγοι δὲ ἂν φησιν ἀλέξανδρος πλάσματι μᾶλλον ἐοικέναι τὸ οὕτω λέγειν, καὶ διότι χωρὶς ἀποδείξεως ἢ λόγων εἰκότων οἱ ταῦτα λέγοντες ἔλεγον. ἢ ὅτι ἀκινήτου τῆς κινήσεως δεδειγμένης, τὸ φθαρτὴν αὐτὴν λέγειν ἀπίθανον. εἰ μὴ ἄρα τὸ πλασματῶδες οὐ πρὸς τὸ φθαρτὴν μόνον λέγειν. ἀλλὰ καὶ πρὸς τὸ γενητὴν ἀποδέδοται.

ΟΜΟΙΩΣ ΔΕ καὶ τὸ λέγειν ὅτι πέφυκεν οὕτω. καὶ ταύτην δεῖ νομίζειν ἀρχὴν εἶναι. ὅπερ ἔοικεν ἐμπεδοκλῆς ἂν εἰπεῖν, ὡς τὸ κρατεῖν καὶ κινεῖν ἐν μέρει, τὴν φιλίαν καὶ τὸ νεῖκος ὑπάρχει τοῖς πράγμασιν ἐξ ἀνάγκης. ἠρεμεῖν δὲ τὸν μεταξὺ χρόνον. τάχα δὲ ἢ οἱ μίαν ἀρχὴν ποιοῦντες, ὥσπερ καὶ ἀναξαγόρας, οὕτως ἂν εἴποιεν, ἀλλὰ μὴν οὐδέν γε ἄτακτον τῶν φύσει καὶ κατὰ φύσιν. ἡ γὰρ φύσις, αἰτία πᾶσι τάξεως. τὸ δ' ἄπειρον πρὸς τὸ ἄπειρον, οὐδένα λόγον ἔχει. τάξις δὲ πᾶσα λόγος. τὸ δ' ἄπειρον χρόνον ἠρεμεῖν, εἶτα κινηθῆναί ποτε, τούτου δὲ μηδεμίαν εἶναι διαφορὰν ὅτι νῦν μᾶλλον ἢ πρότερον. μὴ δ' αὖ τινὰ τάξιν ἔχειν, οὐκ ἔτι φύσεως ἔργον. ἢ γὰρ ἁπλῶς ἔχειν δεῖ τὸ φύσει, καὶ οὐχ ὁτὲ μὲν, οὕτως. ὁτὲ δὲ, ἄλλως. οἷον, τὸ πῦρ ἄνω φύσει φέρεται. ἢ οὐχ ὁτὲ μὲν, ὁτὲ δὲ οὔ. ἢ λόγον ἔχειν τὸ μὴ ἁπλοῦν.

λάσματι ἐοικέναι εἰπὼν τὸ λέγειν ὅτι ὁτὲ μὲν ἦν κίνησις, ὁτὲ δὲ οὔ, διὰ τὸ μὴ ἔχειν αἰτίαν ἀποδοῦναι τούτου, ἐφεξῆς φησιν ὅτι καὶ τὸ λέγειν ὅτι πέφυκεν οὕτω. καὶ ταύτην ὡς ἀρχὴν καὶ αἰτίαν ἀποδιδόναι, ὁμοίως πλασματῶδές ἐστιν. τοῦτο δὲ ἔοικεν ἐμπεδοκλῆς ἂν εἰπεῖν, ὅτε λέγει ὅτι τὸ κρατεῖν καὶ κινεῖν ἐν μέρει τὴν φιλίαν καὶ τὸ νεῖκος, ἐξ ἀνάγκης ὑπάρχει τοῖς πράγμασιν. εἰ δὲ καὶ τοῦτο, καὶ τὸ ἠρεμεῖν ἐν τῷ μεταξὺ χρόνῳ. τῶν γὰρ ἐναντίων κινήσεων ἠρεμία μεταξύ ἐστι. εὔδημος δὲ τὴν ἀκινησίαν ἐν τῇ τῆς φιλίας ἐπικρατείᾳ κατὰ τὸν σφαῖρον ἐκδέχεται, ἐπειδὰν ἅ-
» παντα συγκριθῇ, ἔνθ' οὔτ' ἠελίοιο διείδεται ὠκέα γυῖα. ἀλλ' ὡς φησιν οὕτως ἁρμονίης πυκινῷ κρύ-
» φει ἐστήρικται. σφαῖρος κυκλοτερὴς μονίῃ περιγηθέϊ αἰών. ἀρξαμένου δὲ πάλιν τοῦ νείκους ἐπι-
» κρατεῖν, τότε πάλιν κίνησις ἐν τῷ σφαίρῳ γίνεται. πάντα γὰρ ἑξείης πελεμίζετο γυῖα θεοῖο.
τί δὲ διαφέρει. τοῦ ὅτι πέφυκεν οὕτως, τὸ ἐξ ἀνάγκης λέγειν, αἰτίαν μὴ προστιθέντα. ταῦτα δὲ ἐμ-
» πεδοκλῆς ἔοικε λέγειν, ἐν τῷ, ἐν δὲ μέρει κρατέουσι περιπλομένοιο χρόνοιο. καὶ ὅτ' ἀνάγκην τῶν
» γινομένων αἰτιᾶται. ἔστιν ἀνάγκη χρῆμα θεῶν σφράγισμα παλαιὸν, ἀΐδιον πλατέεσσι κατεσφρη-
» γισμένον ὅρκοις. διὰ γὰρ τὴν ἀνάγκην καὶ τοὺς ὅρκους τούτους ἑκάτερον παρὰ μέρος ἐπικρα-
» τεῖν φησι. λέγει δὲ καὶ ταῦτα ἐμπεδοκλῆς ἐπὶ τῆς τοῦ νείκους ἐπικρατείας. αὐτὰρ ἐπεὶ μέγα
» νεῖκος ἐνὶ μελέεσσιν ἐθρέφθη, ἐς τιμάς τ' ἀνόρουσε τελειομένοιο χρόνοιο. ὅσφιν ἀμοιβαῖος πλατέος
» παρελήλαται ὅρκου. ταῦτα οὖν φησι χωρὶς αἰτίας λεγόμενα, οὐδὲν ἄλλο λέγειν ἐστὶν ἢ πέφυκεν οὕτω. τάχα δέ φησι καὶ ἀναξαγόρας ὁ μίαν ἀρχὴν κινήσεως τῶν πρότερον ἠρεμουσῶν ὁμοιομερειῶν τὸν νοῦν λέγων, καὶ μὴ προστιθεὶς αἰτίαν δι' ἣν τότε ἐκίνησεν. ἀλλὰ μὴ καὶ πρότερον, οὐδὲν ἄλλο λέγει, ἢ τὸ πλασματῶδες τοῦτο. ὅτι πέφυκεν οὕτω, καί τοι γε τὸ ἀναίτιον καὶ ἄτακτον μάλιστα ἐπὶ τῆς φύσεως καὶ τῶν φύσει γινομένων φυλακτέον. διότι ἡ φύσις ἔλλογος οὖσα, αἰτία πᾶσι τάξεώς ἐστι καὶ λόγου. ὁ δὲ χρόνος ὃν ἠρέμουν πρότερον ἄπειρος ὢν, πρὸς τὸν ἀφ' οὗ ἤρξαντο κινεῖσθαι, οὐδένα λόγον ἔχει. τὸ γὰρ ἄπειρον πρὸς τὸ ἄπειρον οὐδένα λόγον ἔχει. ἀλλ' οὐδὲ πρὸς τὸ πεπερασμένον. συνάγεται ἄρα ἐν δευτέρῳ σχήματι, ὅτι ἡ ἄπειρος ἠρεμία πρὸς τὴν ἄπειρον ἢ τὴν πεπερασμένην κίνησιν, οὐκ ἔστι φύσει. καὶ τὸ ἄπειρον δὲ χρόνον ἠρεμεῖν εἶτα κινηθῆναί ποτε, καὶ τούτου μηδεμίαν λέγειν διαφορὰν, δι' ἣν νῦν μᾶλλον ἢ πρότερον κινοῦνται, μὴ δὲ ἔχειν τινὰ τάξιν, οὐκ ἔστι φύσεως ἔργον. διότι τὰ φύσει οὐχ ὁτὲ μὲν οὕτως, ὁτὲ δὲ ἄλλως ἔχει ἄνευ λόγου καὶ αἰτίας. ἀλλ' ἢ ἁπλῶς καὶ ὁμοίως ἔχει πάντα τὰ φύσει. οἷον τὸ πῦρ ἄνω φύσει φέρεσθαι λέγομεν.

λέγομεν. διότι οὐχ ὁτὲ μέν, ὁτὲ δ' οὔ, ἀλλ' ἁπλῶς ἄνω φέρεται καθόλου καὶ ἀεὶ ὁμοίως. ἡ δὲ γῆ κάτω καὶ αὐτὰ ἁπλῶς. εἰ δέ τι τῶν φύσει μὴ ἀεὶ ὁμοίως ἔχει, ἀλλ' ὁτὲ μέν, ὁτὲ δ' οὔ, ἔστι λόγος τις καὶ αἰτία τοῦ μὴ ἁπλοῦ ἀλλὰ διαφόρου. οἷον τοῦ μὴ ἀεὶ θέρος εἶναι ἢ ἀεὶ χειμῶνα, ἀλλὰ παρὰ μέρος, αἰτία ἥ τε τοῦ ζωδιακοῦ ἔγκλισις. καὶ ἡ τοῦ ἡλίου ἐπ' αὐτοῦ κίνησις. καὶ τοῦ μὴ ἀεὶ γεννᾶν τὰ ζῶα αἴτιον, τὸ τελείων εἶναι τὸ δύνασθαι ὅμοια ποιεῖν ἑαυτοῖς. ὁ δὲ Εὔδημος μέμφεται τῷ Ἀναξαγόρᾳ. οὐ μόνον ὅτι μὴ πρότερον οὖσαν ἄρξασθαί ποτε λέγει τὴν κίνησιν, ἀλλ' ὅτι καὶ περὶ τοῦ διαμένειν ἢ λήξειν ποτὲ παρέλιπεν εἰπεῖν. καίπερ οὐκ ὄντος φανεροῦ. τί γὰρ κωλύει φησὶ δόξαι ποτὲ τῷ νῷ στῆσαι πάντα χρήματα. καθάπερ ἐκεῖνος εἶπεν κινῆσαι. καὶ τόδε δὲ αἰτιᾶται τοῦ Ἀναξαγόρου ὁ Εὔδημος. πῶς ἐνδέχεται στέρησίν τινα προτέραν εἶναι τῆς ἀντικειμένης ἕξεως. εἰ οὖν ἡ ἠρεμία στέρησις κινήσεώς ἐστιν, οὐκ ἂν εἴη πρὸ τῆς κινήσεως.

Δ ΙΟΠΕΡ βέλτιον ὡς Ἐμπεδοκλῆς κἂν εἴ τις ἕτερος εἴρηκεν οὕτως ἔχειν. ἐν μέρει τὸ πᾶν ἠρεμεῖν καὶ κινεῖσθαι πάλιν. τάξιν γὰρ ἤδη τινὰ ἔχει τὸ τοιοῦτο. ἀλλὰ καὶ τοῦτο δεῖ τὸν λέγοντα μὴ ἀποφαίνεσθαι μόνον, ἀλλὰ καὶ τὴν αἰτίαν αὐτοῦ λέγειν, καὶ μὴ τίθεσθαι μηδέν. μηδ' ἀξιοῦν ἀξίωμα ἄλογον. ἀλλ' ἢ ἐπαγωγήν, ἢ ἀπόδειξιν φέρειν. αὐτὰ μὲν γὰρ οὐκ αἴτια τὰ ὑποτεθέντα. οὐδὲ τοῦτο ἦν, τὸ φιλότητι εἶναι ἢ νείκει. ἀλλὰ τῆς μὲν τὸ συνάγειν, τοῦ δέ, τὸ διακρίνειν. εἰ δὲ προσδιορεῖται τὸ ἐν μέρει, λεκτέον ἐφ' ὧν οὕτως, ὥσπερ ὅτι ἔστι τι ὃ συνάγει τοὺς ἀνθρώπους ἡ φιλία, καὶ φεύγουσιν οἱ ἐχθροὶ ἀλλήλους. τοῦτο γὰρ ὑποτίθεται καὶ ἐν τῷ ὅλῳ εἶναι. φαίνεται γὰρ ἐπί τινων, οὕτως. τὸ δὲ καὶ δι' ἴσον χρόνων, δεῖται καὶ λόγου. τινος ὅλως δὲ τὸ νομίζειν ἀρχὴν εἶναι ταύτην ἱκανήν, ὅτι ἀεὶ ἢ ἔστιν οὕτως ἢ γίγνεται, οὐκ ὀρθῶς ἔχει ὑπολαβεῖν, εἰς ὃ Δημόκριτος ἀνάγει τὰς περὶ φύσεως αἰτίας. ὡς οὕτω καὶ τὸ πρότερον ἐγίνετο. τοῦ δὲ ἀεί, οὐκ ἀξιοῖ ἀρχὴν ζητεῖν. λέγων ἐπί τινων ὀρθῶς. ὅτι δ' ἐπὶ πάντων, οὐκ ὀρθῶς. καὶ γὰρ τὸ τρίγωνον ἔχει δυσὶν ὀρθαῖς ἀεὶ τὰς γωνίας ἴσας. ἀλλ' ὅμως ἐστὶ τι τῆς ἀϊδιότητος ταύτης ἕτερον αἴτιον. τῶν μέντοι ἀρχῶν, οὐκ ἔστι ἕτερον αἴτιον, ἀϊδίων οὐσῶν.

Κ οὐ μὴν κατορθοῖ τελέως Ἐμπεδοκλῆς εἰπὼν ἄνευ αἰτίας. ἐν δὲ μέρει κρατέουσι περιπλομένοιο κύκλοιο. ὥστε καὶ ἐν μέρει τὸ πᾶν ἠρεμεῖν τε καὶ κινεῖσθαι, ἀλλ' ὅμως καθ' ὅσον τὸ ἐν μέρει τάξιν τινὰ ἐμφαίνει τοῦ ὡρισμένου πρὸς τὸ ὡρισμένον, φυσικώτερον δοκεῖ λέγειν. τῶν γὰρ μερῶν τοῦ χρόνου πρὸς ἄλληλα πεπερασμένων ὄντων λόγος τίς ἐστι. τοῦ δὲ ἀπείρου πρὸς τὸ ἄπειρον. ᾧ Ἀναξαγόρας χρῆσθαι δοκεῖ. οὐδείς ἐστι λόγος, πλήν φησιν οὐκ ἀρκεῖ τῷ Ἐμπεδοκλεῖ καὶ τοῖς οὕτω λέγουσι τὸ παρὰ μέρος φάναι. ἀλλ' ἐχρῆν καὶ τὴν αἰτίαν τούτου προσθεῖναι. καὶ μὴ τίθεσθαι μηδὲν μηδὲ ἀξιοῦν ἄνευ αἰτίας. ἀλλ' εἰ μὲν περὶ ἀρχῆς τινος ὁ λόγος, δι' ἐπαγωγῆς αὐτὴν πιστοῦσθαι. τὰς γὰρ ἀρχὰς ἀπὸ τῶν ὑστέρων ἀνάγκη βεβαιοῦσθαι. εἰ δὲ περὶ τῶν μετὰ τὰς ἀρχάς, δι' ἀποδείξεως. ὥσπερ καὶ νῦν. ἡ γὰρ φιλία καὶ τὸ νεῖκος οὐκ εἰσὶν ἀρχαὶ καὶ αἰτίαι τοῦ παρὰ μέρος καὶ ἐν ἴσῳ χρόνῳ κρατεῖν καὶ κινεῖν. ἦ γὰρ ἂν ταὐτὸν ἦν τὸ φιλότητι καὶ νείκει εἶναι. ἀλλὰ τῆς μὲν φιλίας ἴδιόν ἐστι τὸ συνάγειν εἰς ἓν τὰ διῃρημένα. τοῦ δὲ νείκους τὸ διακρίνειν καὶ χωρίζειν. τοῦ δὲ ἐν μέρει καὶ ἐν ἴσῳ χρόνῳ ἄλλο ἂν εἴη τὸ αἴτιον. ὅπερ ἐχρῆν προσαποδιδόναι τοὺς οὕτω λέγοντας, προστιθέντας καὶ ἐφ' ὧν τινων ἄλλων οὕτως ἔχει καὶ γίνεται. πιστὸς γὰρ ἂν ἦν ὁ λόγος ἀπὸ τῶν ἐναργῶν μαρτυρούμενος. ὥσπερ τὸ ἐν τῷ ὅλῳ τὴν μὲν φιλίαν συναγωγὸν εἰς ἓν εἶναι, τὸ δὲ νεῖκος διακριτικὸν καὶ σκορπιστικόν, πιστὸν δοκεῖ, ἐκ τοῦ καὶ παρ' ἡμῖν τὴν μὲν φιλίαν συνάγειν τοὺς ἀνθρώπους, τὴν δ' ἔχθραν διϊστάναι ἀπ' ἀλλήλων. ἐπειδὴ γὰρ τοῦτο φαίνεται ἐπί τινων πιστόν, δοκεῖ καὶ ἐπὶ τοῦ ὅλου. ἔδει οὖν καὶ ἐπὶ τοῦ ἐν μέρει καὶ δι' ἴσου ἐν τῷ παντὶ κρατεῖν, ἀπ' ἄλλου τινὸς τὴν πίστιν κομίζειν. ὡς δέ τινος ῥᾳδίως τοῖς εἰρημένοις ἀπαντήσαντος, ὅτι ὥσπερ ἡ μὲν φιλία ἀεὶ συνάγει, ἡ δ' ἔχθρα διακρίνει, καὶ οὐ χρὴ τούτου ζητεῖν αἰτίαν. οὕτω καὶ ἀεὶ ἐν μέρει καὶ παρ' ἡμῖν αἱ συγκρίσεις καὶ αἱ διακρίσεις ἐπικρατοῦσιν, λέγει αὐτὸς ὅτι οὐκ ὀρθῶς ἔχει. τὸ ἀεὶ οὕτως ἔχειν τι καὶ πανταχοῦ ὡς ἀρχὴν λαμβάνειν ἀναπόδεικτον. πολλὰ γὰρ τῶν ὄντων ἀΐδια μέν ἐστι καὶ πανταχοῦ οὕτως ἔχει. οὐ μὴν ἀρχαὶ καὶ ἀναπόδεικτα. ἀλλ' ἔχει τοῦ εἶναι τοιαῦτα αἰτίας τινὰς καὶ ἀρχάς. ὥσπερ ἐν τοῖς μαθήμασι. τὸ τοῦ τριγώνου τὰς ἐντὸς τρεῖς γωνίας δυσὶν ὀρθαῖς ἴσας εἶναι, ἀΐδιον μέν ἐστι. καὶ ἐν παντὶ τριγώνῳ οὕτως ἔχει. οὐ μέντοι ἀρχὴ καὶ ἀναπόδεικτον. ἀλλ' ἔστι τις ἀρχὴ τούτου ἐξ ἧς ἀποδείκνυται. ὁμοίως δὲ, τὸ παρὰ μέρος θέρος καὶ χειμῶνα γίνεσθαι, ἀΐδιον μὲν καὶ πανταχοῦ οὕτως. οὐ μέντοι ἀρχή. ἀλλὰ ἀρχὰς ἔχει καὶ αἰτίας τῆς τοιαύτης κινήσεως. δι' ὃ οὐκ ἀποδέχεται Δημόκριτον τὰς περὶ φύσεως αἰτίας εἰς ἀρχὴν ἀνάγοντα ταύτην. ὅτι οὕτω καὶ τὰ πρότερον ἐγίνετο. καὶ μηκέτι ἀξιοῦντα τῶν ἀεὶ ὁμοίως γινομένων ἀρχὴν καὶ αἰτίαν ζητεῖν. καὶ μὴ ἐννοοῦντα ὅτι ἐφ' ὧν μὲν τὸ ἀΐδιον ἀρχή ἐστιν αὐτόπιστος καὶ ἀναπόδεικτος. ἐπὶ τούτων ὀρθῶς ἔχει. τὸ μὴ ζητεῖν αἰτίαν τοῦ ἀεὶ οὕτως ἔχοντος. ἐφ' ὧν δὲ οὐκ ἔστιν ἀρχὴ τὸ ἀΐδιον. ἐπὶ τούτων ἀρχὰς καὶ αἰτίας ἀποδοτέον. οὐ γὰρ πᾶν ἀΐδιον ἀρχή. κἂν ἡ ἀρχὴ πάντως καὶ ἀΐδιός ἐστιν. ἐπὶ πλέον γὰρ τὸ ἀΐδιον τῆς ἀρχῆς. δι' ὃ καὶ ὁ γεωμέτρης ἀπαιτούμενος δεῖξαι, ὅτι δυσὶν ὀρθαῖς εἰσιν ἴσαι, οὐκ ἀρκεῖται εἰπεῖν. ὅτι ἀΐδιον τοῦτο

ἐστὶ καὶ ἀρχὴ καὶ ἀναπόδεικτον. ἀλλὰ τὴν ἀπόδειξιν ἐπάγει. μὴ τοίνυν ὁ Δημόκριτος αἰτίαν τῆς τῶν ἀτόμων συνόδου τε καὶ περιπλοκῆς ἀρκοῦσαν ἡγείσθω, τὸ οὕτως ἀεὶ γίνεσθαι τὰ γινόμενα. εἴρηται δὲ πολλάκις ὅτι καὶ Ἐμπεδοκλῆς καὶ Ἀναξαγόρας. ἡνωμένον μὲν τὸν νοητὸν ἔλεγον κόσμον. διακεκριμένον δὲ τὸν αἰσθητόν. ἀμφοῖν δὲ ἀεὶ ὄντων, τὴν κατὰ χρόνον μεταβολὴν εἰς ἔνδειξιν ἐλάμβανον τῆς τάξεως αὐτῶν, καὶ τῆς τοῦ αἰσθητοῦ γενέσεως ἀπὸ τοῦ νοητοῦ. Ἐμπεδοκλῆς δὲ καὶ τῆς τοῦ αἰσθητοῦ πρὸς τὸν νοητὸν ἐπιστροφῆς.

Ὅτι μὲν οὖν οὐδεὶς ἦν χρόνος οὐδ᾽ ἔσται, ὅτε κίνησις ἢ οὐκ ἦν ἢ οὐκ ἔσται, εἰρήσθω τοσαῦτα. τὰ δ᾽ ἐναντία τούτοις, οὐ χαλεπὸν λύειν. δόξειε δ᾽ ἂν ἐκ τῶν τοιῶνδε σκοποῦσιν, ἐνδέχεσθαι μάλιστα κίνησιν εἶναί ποτε μὴ οὖσαν ὅλως. πρῶτον μὲν οὖν ὅτι οὐδεμία ἀΐδιος μεταβολή. μεταβολὴ γὰρ ἅπασα πέφυκεν ἔκ τινος εἴς τι. ὥστε ἀνάγκη πάσης μεταβολῆς εἶναι πέρας τὰ ἐναντία, ἐν οἷς γίγνεται. εἰς ἄπειρον δὲ κινεῖσθαι μηδέν. ἔτι ὁρῶμεν, ὅτι δυνατὸν κινηθῆναι μήτε κινούμενον, μήτε ἔχον ἐν αὑτῷ μηδὲ μίαν κίνησιν, οἷον ἐπὶ τῶν ἀψύχων. ὧν οὔτε μέρος οὐδέν, οὔτε τὸ ὅλον κινούμενον, ἀλλ᾽ ἠρεμοῦν, κινεῖταί ποτε. προσῆκε δέ, ἢ ἀεὶ κινεῖσθαι ἢ μηδέποτε, εἴπερ μὴ γίνεται οὐκ οὖσα. πολὺ δὲ μάλιστα τὸ τοιοῦτον ἐπὶ τῶν ἐμψύχων εἶναι φανερόν. οὐδεμιᾶς γὰρ ἐν ἡμῖν ἐνούσης κινήσεως ἐνίοτε, ἀλλ᾽ ἡσυχάζοντες, ὅμως, κινούμενά ποτε καὶ ἐγγίνεται ἐν ἡμῖν ἐξ ἡμῶν αὐτῶν, ἀρχὴ κινήσεως ἐνίοτε κἂν μηδὲν ἔξωθεν κινήσῃ. τοῦτο γὰρ ἐπὶ τῶν ἀψύχων οὐχ ὁρῶμεν ὁμοίως. ἀλλ᾽ ἀεί τι κινεῖ αὐτὰ τῶν ἔξωθεν ἕτερον. τὸ δὲ ζῶον, αὐτὸ φαμὲν ἑαυτὸ κινεῖν. ὥστ᾽ εἴπερ ἠρεμεῖ ποτε πάμπαν, ἐν ἀκινήτῳ κίνησις ἂν γένοιτο ἐξ αὐτοῦ καὶ οὐκ ἔξωθεν. εἰ δ᾽ ἐν ζώῳ τοῦτο δυνατὸν γίνεσθαι, τί κωλύει τὸ αὐτὸ τοῦτο συμβῆναι καὶ κατὰ τὸ πᾶν, εἰ γὰρ ἐν μικρῷ κόσμῳ γίνεται, κἂν ἐν μεγάλῳ. καὶ εἰ ἐν τῷ κόσμῳ καὶ ἐν τῷ ἀπείρῳ εἴπερ ἐνδέχεται κινεῖσθαι τὸ ἄπειρον καὶ ἠρεμεῖν ὅλον.

Τριχῶς ἀεὶ τῶν προβλημάτων βεβαιουμένων, διά τε τῆς προηγουμένης αὐτῶν ἀποδείξεως, καὶ διὰ τοῦ τῶν ἐναντίως λεγόντων ἐλέγχου, καὶ διὰ τῆς τῶν πρὸς τὰ προβλήματα ἐνστάσεων διαλύσεως, κατασκευάσας διὰ προηγουμένων λόγων. ὅτι ἡ κίνησις ἀΐδιός ἐστι. καὶ διελέγξας τοὺς δοκοῦντας μὴ ἀΐδιον λέγειν, ὡς πλασματώδη καὶ οὐ φυσικὰ λέγοντας, ἐπὶ τὸ τρίτον μέτεισι νῦν τὸ τὰς ἐνστάσεις τὰς δοκούσας σαλεύειν τὸν λόγον αὐτοῦ διελέγχειν καὶ ψευδεῖς ἀποδεικνύναι. τριῶν δὲ οὐσῶν ἐνστάσεων. ἡ πρώτη τοιαύτη ἐστίν. οὐδεμία μεταβολὴ ἀΐδιός ἐστιν. ἀπόδειξις δὲ τοῦ λόγου ἥδε. πᾶσα μεταβολὴ ἔκ τινος εἴς τι. μετ᾽ ἄλλο γὰρ εἰς ἄλλο ἡ μεταβολή. καὶ ἐκ τοῦ ἐναντίου εἰς τὸ ἐναντίον. ἡ δὲ ἐκ τοῦ ἐναντίου εἰς τὸ ἐναντίον. πέρατα καὶ ὅρους ἔχει τὰ ἐναντία. ἡ πέρατα ἔχουσα εἰς ἄπειρον οὐκ ἂν γένοιτο. ταυτὸν δὲ εἰπεῖν οὐδεμία μεταβολὴ μία καὶ συνεχὴς οὖσα ἀΐδιός ἐστιν. ἰσοδυναμεῖ γοῦν τῷ πᾶς οὐκ ἔστι. τὸ οὐδείς ἐστιν. εἰ δὲ μηδεμία κίνησις μία οὖσα ἀΐδιός ἐστιν, οὐδ᾽ ἂν ὅλως κίνησις ἀΐδιος εἴη. καὶ ἔοικεν αὕτη ἡ ἔνστασις οὐ τὸ ἀεὶ εἶναι κίνησιν ἀναιρεῖν. τί γοῦν κωλύει πρὸ ἑκάστης μεταβολῆς πεπερασμένης οὔσης εἶναι ἄλλην. καὶ μετὰ ἑκάστην ἄλλην. ἀλλὰ τὸ μίαν εἶναι συνεχῆ καὶ ἀΐδιον κίνησιν ἡ ἔνστασις αὕτη ἐπιχειρεῖ ἀναιρεῖν. δευτέρα δὲ ἔνστασις πρὸς τὸ ἀγένητον εἶναι τὴν κίνησιν, ἐκ τῆς ἐναργείας ἐπιχειροῦσα. ὁρῶμεν γὰρ πολλὰ μὴ πρότερον κινούμενα, μήτε ἔχοντα ἐν ἑαυτοῖς μηδεμίαν κίνησιν. μήτε καθ᾽ ὅλον μήτε κατὰ μέρος εἰς τὸ κινεῖσθαι μεταβάλλοντα. οἷον ἐπὶ τῶν ἀψύχων ὁρᾶται. λίθοι γὰρ καὶ ξύλα μήτε καθ᾽ ὅλα μήτε κατὰ μέρη κινούμενα. ἀλλ᾽ ἠρεμοῦντα τέως κινεῖταί ποτε καὶ ἄρχεται τοῦ κινεῖσθαι. ἐξ ἠρεμίας παντελοῦς εἰς τὸ κινεῖσθαι μεταβαλλόμενα. καίτοι εἰ ἦν ἀΐδιος ἡ κίνησις, ἢ ἀεὶ κινεῖσθαι ἔδει ταῦτα. ἢ μηδέποτε κινεῖσθαι. ἵνα μὴ ἐκ τοῦ μὴ εἶναι μεταβάλλουσα ἡ κίνησις, γενητὴ καὶ μηκέτι ἀΐδιος εἴη. νῦν δὲ ταῦτα καὶ ἄρχεται τοῦ κινεῖσθαι, καὶ πάλιν παύεται. καὶ αὕτη δὲ ἡ ἔνστασις πρὸς τὸ ἀγένητον εἶναι τὴν κίνησιν ἐνισταμένη, καὶ ἡ μετ᾽ αὐτήν, τοσοῦτον μόνον δεικνύουσιν. ὅτι γίνονταί τινες κινήσεις μὴ πρότερον οὖσαι. οὐ μέντοι ὅτι οὐκ ἔστι πρὸ ἐκείνων ἄλλη κίνησις, οὐδὲ μετ᾽ ἐκείνας ἄλλη. τρίτον δὲ καὶ πολὺ μᾶλλον ἐπὶ τῶν ἐμψύχων φανερὸν δοκεῖ, τὸ γίνεσθαι κίνησιν μὴ πρότερον οὖσαν. τὰ μὲν γὰρ ἄψυχα εἰ καὶ ἠρεμοῦντα πρότερον εἰς τὸ κινεῖσθαι μεταβάλλει. ἀλλὰ τὸ κινοῦν αὐτὰ ἔξωθέν ἐστι κινούμενον καὶ αὐτό. ὡς μὴ δείκνυσθαι γενητὴν ἐπὶ τῶν ἀψύχων τὴν κίνησιν ἁπλῶς. διὰ τὸ προϋπάρχειν ἄλλην κίνησιν τῆς γενητῆς τούτων κινήσεως. ἐπὶ δὲ τῶν ζώων οὐ δυνατὸν τοῦτο λέγειν. ὅταν φαίνηται ταῦτα ἐκ παντελοῦς ἠρεμίας ἐξ ἑαυτῶν κινούμενα, οὐδενὸς ἔξωθεν κινοῦντος. ὃ πρότερον κινούμενον ἐδύνατο κινεῖν. δοκεῖ γοῦν ἐναργῶς τό τε γενᾶσθαι κίνησις μὴ πρότερον οὖσα, εἰ ἐξ αὐτοῦ κινεῖται μὴ πρότερον κινουμένου. εἰ δὲ ἐν ζώῳ δυνατὸν ἄρχεσθαι κίνησιν μὴ πρότερον οὖσαν. βαιὸς δὲ κόσμος τὸ ζῶον, κατὰ τάξιν τινὰ καὶ φύσιν διακεκοσμημένον καὶ διοικούμενον, τί κωλύει τὸ αὐτὸ συμβῆναι καὶ κατὰ τὸν ὅλον κόσμον. ὡς ἐξ ἀκινησίας αὐτὸν παντελοῦς εἰς τὸ ἐξ ἑαυτοῦ κινεῖσθαι μεταβαλεῖν. καὶ οὕτω μὴ πρότερον οὖσαν κίνησιν γενέσθαι. εἰ δὲ ἐν τῷ κόσμῳ φησὶ τοῦτο δυνατόν, καὶ ἐν τῷ ἀπείρῳ δυνατόν. ἤτοι τῷ Ἀναξαγόρου. ὡς ἤκουσεν Ἀλέξανδρος. διότι τὸ μίγμα τὸ ἐκ τῶν ὁμοιομερειῶν ἀπείρων οὐσῶν ἄπειρον ἀνάγκη εἶναι. ἢ τῷ Ἀναξιμένους καὶ Ἀναξιμάνδρου. καὶ ὅλως τῶν ἓν τὸ στοιχεῖον

ἄπειρον κατὰ μέγεθος ὑποθεμένων. ἢ καὶ τούτου καὶ ἐκείνου. προσέθηκε δὲ καὶ τό. ἐπειδὴ ἐνδέχεται κινεῖσθαι τὸ ἄπειρον καὶ ἠρεμεῖν ὅλον. ὅτι δέδεικται τὸ ἄπειρον κατὰ μέγεθος μὴ δυνατὸν ὂν κινηθῆναι τὴν τοπικὴν κίνησιν. ἣν κινεῖται τὸ αὐτοκίνητα. μήτε γὰρ ἐπ' εὐθείας. εἰ μή ἐστιν ὅπου προβήσεται τὸ ἄπειρον. μήτε κύκλῳ. ἐπειδὴ μή ἐστι τοῦ ἀπείρου τὸ μὲν ἄνω τὸ δὲ κάτω. ἢ τὸ ἔσχατον καὶ μέσον. πολλὰ δὲ καὶ ἄλλα περὶ τούτου γέγραπται ἐπιχειρήματα ἐν τῷ τρίτῳ τῆσδε τῆς πραγματείας.

ΤΟΥΤΩΝ δή. τὸ μὲν πρῶτον λεχθέν. τὸ μὴ τὴν αὐτὴν ἀεὶ καὶ μίαν τῷ ἀριθμῷ εἶναι τὴν κίνησιν τὴν εἰς τὰ ἀντικείμενα, ὀρθῶς λέγεται. τοῦτο μὲν γοῦν ἴσως ἀναγκαῖον, ἐπειδὴ μὴ ἀεὶ μίαν καὶ τὴν αὐτὴν τῷ ἀριθμῷ εἶναι δυνατὸν τὴν τοῦ αὐτοῦ καὶ ἑνὸς κίνησιν. λέγω δ' οἷον πότερον τῆς μιᾶς χορδῆς εἷς καὶ ὁ αὐτὸς φθόγγος, ἢ ἀεὶ ἕτερος, ὁμοίως ἐχούσης καὶ κινουμένης. ἀλλ' ὅμως ὁποτέρως ποτὲ ἔχει, οὐδὲν κωλύει μίαν καὶ τὴν αὐτὴν εἶναί τινα, τῷ συνεχῆ εἶναι καὶ ἀΐδιον. δῆλον δ' ἔσται μᾶλλον ἐκ τῶν ὕστερον.

Τὰς τρεῖς ἐνστάσεις ἐκθέμενος τὰς πρὸς τὸ ἀγένητον καὶ ἀΐδιον εἶναι τὴν κίνησιν, πρὸς τὴν πρώτην ἀπαντᾷ, τὴν λέγουσαν μηδεμίαν εἶναι κίνησιν ἀγένητον καὶ ἀνέκλειπτον. ἐπειδὴ πᾶσα κίνησις ἐξ ἐναντίου εἰς ἐναντίον, καὶ ἐκ πέρατος εἰς πέρας. ὥστε καὶ εἰ ἀεὶ κινοῖτό τι ἀπὸ τοῦ ἐναντίου εἰς τὸ ἐναντίον, μὴ εἶναι ταύτην μίαν μηδὲ ἀδιάκοπον κίνησιν, ἀλλ' ἀεὶ ἄλλοτε ἄλλην ἐκ τῆς μεταξὺ ἠρεμίας γίνεσθαι. τοῦτον οὖν διαλύων τὸν λόγον. τὸ μὲν μὴ δύνασθαι μίαν εἶναι καὶ συνεχῆ τὴν εἰς τὰ ἀντικείμενα γινομένην κίνησιν. ἀληθὲς εἶναί φησι. κἂν γὰρ πάλιν καὶ πάλιν κατὰ τὰ ἐναντία γένηται τῷ κινουμένῳ ἡ μεταβολή, ἀλλ' ἀδύνατον τὴν οὕτω γινομένην κίνησιν μίαν εἶναι καὶ συνεχῆ. ὥστε τοῦτό φησιν ἴσως ἀναγκαῖον, τὸ μὴ ἀγενήτους μηδὲ ἀϊδίους εἶναι τὰς τοιαύτας κινήσεις. ἐπειδὴ μὴ ἀεὶ μίαν καὶ τὴν αὐτὴν εἶναι δυνατόν, τὴν τοῦ αὐτοῦ καὶ ἑνὸς τοιαύτην κίνησιν. ἐὰν γοῦν τοῦτο δειχθῇ. ὅτι ἀδύνατον τὴν εἰς τὰ ἀντικείμενα γινομένην κίνησιν μίαν εἶναι καὶ συνεχῆ, ὅπερ οὔπω δέδεικται, εἴη ἂν δεδειγμένον τὸ μηδεμίαν τῶν εἰς τὰ ἀντικείμενα κινήσεων ἀΐδιον εἶναι. δειχθήσεται δὲ ὅτι ἀνάγκη τοῦ αὐτοῦ ὄντος τοῦ κινουμένου τὰς ἀντικειμένας κινήσεις, στάσει διαλαμβάνεσθαι. διὰ τοῦτο τέως νῦν τὸ ἴσως προστέθεικεν. καὶ μετ' ὀλίγον τὸ ἀλλ' ὅμως ὁποτέρως ποτὲ ἔχει, διότι μήπω τοῦτο δέδεικται. εἰπὼν δὲ ἐπειδὴ μὴ ἀεὶ μίαν καὶ τὴν αὐτὴν εἶναι δυνατόν. ἐπὶ παραδείγματος σαφὲς ποιεῖ τὸ λεγόμενον. οἷον τῆς χορδῆς πάλιν καὶ πάλιν κινουμένης καὶ εἰς τἀναντία μεταχωρούσης καὶ ὁμοίως κινουμένης, πότερον εἷς καὶ συνεχὴς ὁ αὐτὸς φθόγγος ἐστίν. ἢ ἀεὶ ἕτερος καὶ ἕτερος. καὶ γοῦν εἰ φθόγγος, οὗ μάλιστα αἰσθανόμεθα. ὁ αὐτὸς καὶ εἷς, καὶ ἡ κίνησις μία καὶ συνεχής ἐστιν. ἀκολουθεῖ γὰρ τῇ κινήσει ὁ φθόγγος, καὶ εἰ ἕτερος καὶ ἕτερος ὅπερ δειχθήσεται, ὁμοίως καὶ ἡ κίνησις ἕξει. διορίσας οὖν οὕτω τὴν ζήτησιν. ἐπὶ τῆς χορδῆς, ὁποτέρως ἂν ἔχῃ φησὶν ἐπὶ τῶν τοιούτων κινήσεων τῶν ἐξ ἐναντίου εἰς ἐναντίον, εἴτε μία ἐστὶν ἐπὶ τούτων ἡ κίνησις εἴτε οὐ μία, οὐδὲν κωλύει εἶναί τινα ἄλλην κίνησιν παρὰ τὰς εἰς τὰ ἐναντία γινομένας, συνεχῆ καὶ μίαν καὶ διὰ τοῦτο ἀΐδιον. ἥν φησιν ἐκ τῶν μετὰ ταῦτα ῥηθησομένων δήλην ἔσεσθαι. λέγει δὲ περὶ τῆς κυκλοφορίας. ταύτην γὰρ μόνην δείξει μὴ γινομένην εἰς τὰ ἐναντία ὡς αἱ λοιπαί, καὶ διὰ τοῦτο μίαν καὶ συνεχῆ καὶ ἀΐδιον. τοῦ δὴ πρώτου λόγου ἀληθὲς μέν φησι τὸ τὰς εἰς ἐναντία γινομένας κινήσεις μήτε συνεχεῖς μήτε ἀϊδίους εἶναι. οὐκ ἀληθὲς δὲ τὸ πᾶν τὸ κινούμενον ἐξ ἐναντίου καὶ εἰς ἐναντίον κινεῖσθαι. δειχθήσεται γὰρ ὅτι ἔστι τις μία καὶ συνεχὴς κίνησις. καὶ ὅρα ὅπως δυνάμενος λῦσαι τὴν ἔνστασιν, ἐκ τοῦ μὴ ἀναιρεῖν τὸ εἶναι κίνησιν ἀλλὰ τὸ μίαν καὶ συνεχῆ εἶναι, καὶ γὰρ ἤρκει τοῦτο ἀνενόχλητον φυλάττειν τὸ ἀεὶ εἶναι κίνησιν, ἀλλὰ πρὸς τὴν ἔννοιαν αὐτῆς ἀποτεινόμενος ἔδειξεν, ὅτι κἂν μὴ πᾶσα συνεχής, οὐδὲν κωλύει τινὰ συνεχῆ εἶναι.

ΤΟ ΔΕ κινεῖσθαι μὴ κινούμενον. οὐδὲν ἄτοπον ἐὰν ὁτὲ μὲν ᾖ τὸ κινῆσον ἔξωθεν. ὁτὲ δὲ μή. τοῦτο μέντοι πῶς ἂν εἴη ζητητέον. λέγω δὲ ὥστε τὸ αὐτὸ ὑπὸ τοῦ αὐτοῦ κινητικοῦ ὄντος. ὁτὲ μὲν κινεῖσθαι, ὁτὲ δὲ μή. οὐδὲν γὰρ ἄλλο ἀπορεῖ ὁ τοῦτο λέγων. ἢ διὰ τί οὐκ ἀεὶ τὰ μὲν ἠρεμεῖ τῶν ὄντων, τὰ δὲ κινεῖται.

Ἐπὶ τὴν λύσιν τῆς δευτέρας ἐνστάσεως ἐλθών, τῆς τὸ ἀγένητον τῆς κινήσεως ἀναιρούσης. ἐκ τοῦ τὰ ἄψυχα ἠρεμοῦντα πρότερον ἄρχεσθαί ποτε κινεῖσθαι, καὶ παύεσθαί ποτε τῆς κινήσεως, καὶ διὰ τοῦτο γίνεσθαι καὶ φθείρεσθαι τὴν κίνησιν, λύει λέγων. ὅτι τὸ κινεῖσθαι μὴ κινούμενον πρότερον τὸ ἄψυχον, οὐκ ἔστι δεικτικὸν τοῦ γενητὴν εἶναι τὴν κίνησιν. οὐ γὰρ ἐν τῷ ταῦτα ἄρχεσθαί τε τοῦ κινεῖσθαι καὶ παύεσθαι, δείκνυται καὶ καθόλου ἡ κίνησις γενητή. ἀλλὰ γάρ τινα ἔξωθεν ὄντα καὶ κινούμενα, ὅταν παρῇ. τῆς τούτων κινήσεως ἐστὶν αἴτια. ὥστε προϋπάρχει τῆς τούτων κινήσεως ἡ τῶν κινούντων αὐτὰ κίνησις. καὶ τῆς ἐκείνων ἡ τῶν ἐκεῖνα κινούντων, καὶ ἐφεξῆς. εἰπὼν δὲ τοῦτο. κελεύει ζητεῖν ὡς ἄξιον ζητήσεως, πῶς τὸ αὐτὸ κινητὸν ὑπὸ τοῦ αὐτοῦ κινητικοῦ. ὁτὲ μὲν κινεῖται. ὁτὲ δὲ οὔ. εἰ γὰρ ὑπὸ τῶν ἀεὶ κινουμένων τὰ ἄλλα κινεῖται, τί δή ποτε ὄντων ἀεὶ κινουμένων τῶν κινούντων οὐκ ἀεὶ κινεῖται τὰ ὑπ' αὐτῶν κινούμενα. ἀλλ' ὁτὲ μὲν κινεῖται. ὁτὲ δὲ οὔ. ὁ γοῦν τοῦτο ἀπορῶν, οὐ τὴν κίνησιν

γενητὴν εἶναι κατασκευάζει. ἀλλὰ ἀρχὴν ζητεῖ τῶν νῦν προκειμένων εἰς ἐπίσκεψιν, αὕτη δέ ἐστιν, οὐ πᾶν τὸ κινούμενον ἀεὶ κινεῖται. καὶ πᾶν τὸ ἠρεμοῦν ἀεὶ ἠρεμεῖ. ἔχει γὰρ τὰ ὑπ' ἄλλου κινούμενα ἀεὶ τὸ κινοῦν ἔχει. ἀλλ' ἔστιν ἃ παρὰ μέρος ἠρεμεῖ τε καὶ κινεῖται. ταῦτα δὲ μετ' ὀλίγου διαρθρωθήσεται.

M ΜΑΛΙΣΤΑ δ' ἂν δόξειε τὸ τρίτον ἔχειν ἀπορίαν. ὡς ἐπιγινομένης οὐκ ἐνούσης πρότερον κινήσεως τὸ συμβαῖνον ἐπὶ τῶν ἐμψύχων. ἠρεμοῦν γὰρ πρότερον μετὰ ταῦτα βαδίζει κινήσαντος τῶν ἔξωθεν οὐδενὸς ὡς δοκεῖ. τοῦτο δ' ἐστὶ ψευδές. ὁρῶμεν γὰρ ἀεί τι κινούμενον ἐν τῷ ζώῳ τῶν συμφύτων. τούτου δὲ τῆς κινήσεως, οὐκ αὐτὸ τὸ ζῶον αἴτιον. ἀλλὰ τὸ περιέχον ἴσως. αὐτὸ δὲ φαμὲν ἑαυτὸ κινεῖν, οὐ πᾶσαν κίνησιν. ἀλλὰ τὴν κατὰ τόπον, οὐδὲν οὖν κωλύει. μᾶλλον δ' ἴσως ἀναγκαῖον τῷ σώματι ἐγγίνεσθαι πολλὰς κινήσεις ὑπὸ τοῦ περιέχοντος. τούτων δ' ἐνίας, τὴν διάνοιαν ἢ τὴν ὄρεξιν κινεῖν. ἐκείνην δὲ τὸ ὅλον ἤδη ζῶον κινεῖν, ὅπερ οὖν συμβαίνει περὶ τοὺς ὕπνους. αἰσθητικῆς μὲν γὰρ οὐδεμιᾶς ἐνούσης κινήσεως, ἐνούσης μέντοι τινὸς, ἐγείρεται τὰ ζῶα πάλιν. ἀλλὰ φανερὸν καὶ περὶ τούτων, ἐκ τῶν ἐχομένων.

Λ Λύσας τὴν δευτέραν ἔνστασιν τὴν ἀπὸ τῶν ἀψύχων καὶ ἔξωθεν κινουμένων, ἐκ τοῦ μηδὲν ἄτοπον εἶναι ποτὲ μὲν κινεῖσθαι αὐτὰ τῇ τοῦ κινοῦντος παρουσίᾳ καὶ αὐτοῦ κινουμένου, καὶ δεικνύντος προϋπάρχειν ἄλλην κίνησιν τῆς νῦν γινομένης, ποτὲ δὲ ἠρεμεῖν ὅταν μὴ παρῇ τὸ κινοῦν, ἐπὶ τὴν τρίτην ἐλθὼν καὶ σαφῶς αὐτὴν ἐκθέμενος, ὅτι τὸ ἔμψυχον ἠρεμοῦν πρότερον, καὶ μετὰ ταῦτα βαδίζον, μηδενὸς ἔξωθεν αὐτὸ κινοῦντος ὡς δοκεῖ, γενητὴν τὴν κίνησιν ἀποφαίνει, καὶ μαρτυρήσας τῇ ἐνστάσει ταύτῃ ὡς μᾶλλον τῶν ἄλλων ἀπορίαν κινούσῃ, λύει αὐτὴν, ψευδῶς εἰπὼν λαμβάνειν, τὸ μηδενὸς ἔξωθεν κινοῦντος, ἀφ' ἑαυτῶν κινεῖσθαι τὰ ζῶα τὰ πρότερον ἠρεμοῦντα. ὁρῶμεν γάρ φησιν ἀεί τι κινούμενον ἐν τῷ ζώῳ τῶν συμφύτων. τουτέστι τῶν φυσικῶς αὐτῷ συνόντων. ἢ γοῦν θερμαίνεται, ἢ ψύχεται ἢ ξηραίνεται, ἢ ὑγραίνεται, ἢ κατ' ἄλλην τινὰ τῶν φυσικῶν ποιοτήτων παθητικῶς μεταβάλλει. τάχα δὲ ἂν συμφύτους λέγοι τὰς φυσικὰς. καὶ παρὰ τοῖς ὕστερον καλουμένας δυνάμεις, ἑλκτικὴν, καὶ καθεκτικὴν, ἀλλοιωτικὴν, καὶ ἀποκριτικήν. ἀεὶ γὰρ αὗται ἐνεργοῦσιν ἐν τοῖς σώμασι τῶν ἐμψύχων, καὶ μάλιστα τῶν ζώων, οὐ κατὰ τὸ αὐτοκίνητον ταύτας ἐχόντων τῶν ζώων. τοπικὴ γὰρ ἐκείνη μόνως ἡ κίνησις. τῶν δὲ συμφύτων κινήσεων τὸ περιέχον αἴτιον εἰπὼν, προσέθηκε τὸ ἴσως καὶ νῦν καὶ μετ' ὀλίγον. ἢ ὅτι χωρὶς ἀποδείξεως εἴρηται τὸ, τῶν συμφύτων κινήσεων. ἢ ὅτι οὐ πᾶσαι εἰσὶν ἐκ τοῦ περιέχοντος. καὶ γὰρ τρεφόμενα καὶ αὐξόμενα κινεῖται καὶ πάλιν μειούμενα, καὶ ἀεὶ κινεῖται κατὰ ταῦτα, οὔτε ὑπὸ τοῦ περιέχοντος ἁπλῶς, οὔτε κατὰ τοπικὴν τῶν ζώων κίνησιν. τὰς μέντοι κατὰ τὰς παθητικὰς ποιότητας κινήσεις, θερμότητας ὡς εἰπεῖν καὶ ψυχρότητας καὶ διαθερμάνσεις καὶ συγκρίσεις, καὶ τὰς τοιαύτας, ἐκ τοῦ περιέχοντος ἔχει μάλιστα. οὐδὲν οὖν κωλύει φησὶ, μᾶλλον δὲ ἴσως ἀναγκαῖον, τούτων μὲν τῶν φυσικῶν κινήσεων πολλὰς ἀπὸ τῆς τοῦ περιέχοντος κινήσεως ἐγγίνεσθαι ἐν τῷ σώματι. ἐνίας δὲ αὐτῶν κινεῖν ποτὲ μὲν τὴν διάνοιαν, ποτὲ δὲ τὴν ὄρεξιν. διὰ γοῦν τῆς αἰσθήσεως ἡ μὲν διάνοια γνωρίσασα τὸ πάθος, βουλεύεται περὶ αὐτοῦ εἴτε ἐκκλίνειν εἴτε ὑπομένειν αὐτὸ χρή. καὶ οὕτω κινεῖ τὸ ζῶον τὴν τοπικὴν κίνησιν ἐξ αὐτοῦ δοκοῦσαν. ποτὲ δὲ ὅταν ἡδέος ἢ λυπηροῦ γένηται συναίσθησις. ἡ ὄρεξις κινεῖται καὶ ἡ ἔκκλισις. ὡς καὶ ἐπὶ τῶν ἀλόγων ζώων, καὶ αὗται κινοῦσι κατὰ τόπον τὸ ζῶον. οἷον ἐπὶ ποτὸν ἢ βρῶσιν, οὐκ οὔσης πρώτης ὡς δοκεῖ ταύτης τῆς κινήσεως. ἀλλὰ προηγουμένων αὐτῆς τῆς τε κατὰ τὴν διάνοιαν ἢ τὴν ὄρεξιν, καὶ πρὸ τούτων τῆς ἐν τῷ σώματι παθητικῆς. ἣν τὸ περιέχον καὶ αὐτὸ κινούμενον κινεῖ, ἀκριβέστερον δὲ ἐν τῷ περὶ ζώων κινήσεως τὴν αἰτίαν λέγει τῆς κατὰ τόπον κινήσεως. πιστοῦται δὲ τὸ ἀεὶ εἶναί τινα κίνησιν ἐν τοῖς ζώοις, οὐκ ἐξ αὐτῶν ἀλλ' ἐκ τοῦ περιέχοντος. ἥτις αἰτία γίνεται τῆς κατὰ τόπον κινήσεως τοῖς ζώοις, ἐκ τῶν κατὰ τοὺς ὕπνους συμβαινόντων. οἱ γὰρ κοιμώμενοι μήτε τὴν κατὰ τόπον κίνησιν κινούμενοι, μήτε αἰσθανόμενοι, ἅπερ ἴδια τῶν ζώων ὡς ζώων ἐστὶ, πολλὰς ὅμως κινοῦνται κινήσεις, τάς τε τῆς ἀναπνοῆς καὶ τὰς ἄλλας συμφύτους, καὶ τὰς κατὰ τὴν πέψιν. καὶ ἔτι τὰς φαντασίας, καὶ τὰς ἀπὸ τοῦ περιέχοντος παθητικὰς, θερμαινομένου τινὸς ἐν αὐτοῖς ἢ ψυχομένου. ἀλλ' ὅταν μὲν αἱ ἀπὸ τῆς τροφῆς ἀναθυμιάσεις ἀθρόαι καταλάβωσι τὸν ἐγκέφαλον ἢ τὴν καρδίαν καὶ ψυχθῶσιν, ὕπνου γίνονται αἴτιαι. θερμαινόμενα δὲ καὶ διακρινόμενα καὶ λεπτυνόμενα, τοῦ διανίστασθαι, ὡς ἐν τῷ περὶ ὕπνου δείκνυσι. καὶ πάλιν αἰσθάνονται τὰ ζῶα καὶ κινοῦνται κατὰ τόπον, τὴν ἀρχὴν ταύτης τῆς κινήσεως λαβόντα παρά τινων κινήσεων. ἃς ἐκινοῦντο κοιμώμενα. ὡς εἴγε ἦν παντελὴς ἀκινησία τότε, οὐδ' ἂν ἐπανίσταντο τὴν ἀρχήν. ὥστε καὶ ἐν τοῖς ζώοις αἱ ἔξωθεν κινήσεις αἴτιαι τῆς τοπικῆς κινήσεώς εἰσιν, ἥτις ὡς ἐξ αὐτῶν ἀρχομένη πρώτως τῶν ζώων, χώραν τῇ ἀπὸ τῶν ζώων ἐνστάσει παρέχει. ὅπερ δὲ ταῦτα ἔχει τε γίνεται, φανερὸν ἔσται φησὶν ἐκ τῶν ἑπομένων. δείξει γοῦν πῶς κινεῖται τὰ ζῶα. καὶ ὑπὸ τίνος, καὶ τίνα τρόπον ὅλως κινεῖται τὰ αὐτοκίνητα. ἐπιστῆσαι δὲ ἄξιον ἐν τούτοις. εἰ μηδεμιᾶς κινήσεως τοπικῆς ἀρχὴ τὸ ζῶόν ἐστιν. ἀλλ' ἔξωθεν τὴν ἀρχὴν ἔχουσι πᾶσαι. οὐ γὰρ μόνην ἐπὶ ποτὸν ἢ βρῶσιν ἤ τι τῶν τοιούτων κινούμεθα, διὰ τὴν ἐν τῷ σώματι θερμότητα καὶ διαφόρησιν. ἀλλὰ καὶ μαθημάτων ἕνεκα καὶ χρηματισμοῦ καὶ τιμῆς καὶ δυναστείας, καὶ διὰ καθήκοντος ἀποπλήρωσιν, κινούμεθα πολλὰς κινήσεις κατὰ τόπον, καὶ οὐχ ἡμεῖς

μόνον.

μόνον. ἀλλὰ καὶ τὰ ἄλογα ζῶα φαντασίας κινηθείσης ἐπὶ τόπους ὁρμᾶ τινας. ἀλλὰ καὶ τούτων φαίη ἄν τις. ὡς ἔξωθέν ἐστιν ἡ ἀρχὴ τῆς κινήσεως. τὸ γοῦν ὀρεκτὸν κινοῦν τὴν φαντασίαν ἢ τὴν διάνοιαν, ἐγείρει πρὸς τὴν κατὰ τόπον τοῦ ζώου κίνησιν. τὸ δὲ ὀρεκτὸν ἀκίνητον ὂν κινεῖ. ὅλως δὲ ὁ τὴν ἀπὸ τῶν ζώων ἔνστασιν λύσας, τί ἄρα βούλεται δεῖξαι. ὅτι τῆς κατὰ τόπον τῶν ζώων κινήσεως προηγεῖται ἄλλη κίνησις, ἡ τῆς διανοίας ἢ φαντασίας. καὶ ἐκείνης ἡ ἐν τῷ σώματι, καὶ ἐκείνης ἡ τοῦ περιέχοντος, καὶ τί τοῦτο. οὐ δὲ γὰρ μία καὶ συνεχὴς ἡ τοιαύτη κίνησις, ἐκ διαφόρων εἰδῶν συνεστῶσα, τῆς κατὰ τόπον, καὶ τῆς φανταστικῆς καὶ ἀλλοιωτικῆς. οὔτε μέντοι ἀΐδιος ἡ τοιαύτη. οὐ πάντως γὰρ ἡ τοῦ σώματος ἀλλοίωσις κινεῖ τὴν διάνοιαν ἢ τὴν ὄρεξιν. οὐ δὲ αὕτη κινηθεῖσα πάντως κινεῖ κατὰ τόπον τὸ ζῶον. οὐ δὲ ἡ κατὰ τόπον τούτου κίνησις, πάντως ἄλλο τι κινεῖ. πῶς οὖν ἐκ τούτων βεβαιοῦται τὸ ἀγένητον καὶ ἀΐδιον εἶναι τὴν κίνησιν, μίαν οὖσαν καὶ συνεχῆ. μή ποτε οὖν ὁ τοῦτο πρόκειται διὰ τῆς τῶν ἐνστάσεων τούτων λύσεως, τὸ τὰς μερικὰς πάσας κινήσεις μίαν συνεχῆ δεῖξαι κίνησιν ἀγένητον καὶ ἀνέκλειπτον. καὶ γοῦν σαφῶς ἐν τῇ λύσει τῆς προτέρας ἐνστάσεως ἐνδέδωκε μὴ εἶναι τῷ ἀριθμῷ μίαν τὴν εἰς τὰ ἐναντία κίνησιν, καὶ ἀναγκαῖον εἰπὼν εἶναι τοῦτο, εἴπερ μὴ ἀεὶ μίαν καὶ τὴν αὐτὴν εἶναι δυνατὸν, τὴν τοῦ ἑνὸς κίνησιν. ἀλλ᾽ ἐπειδὴ αἱ πρὸς τὸ ἄναρχον τῆς κινήσεως ἐνστάσεις μερικάς τινας κινήσεις προέφερον, ἀπ᾽ ἀρχῆς τινος γινομένας, τὰς λύσεις οἶμαι πρὸς τοῦτο μόνον ἀπαντῆσαι δεικνύσας, ὅτι αἱ προβληθεῖσαι ὡς ἄναρχοι κινήσεις οὐκ εἰσὶν ἄναρχοι. ἀλλ᾽ ἔχουσί τινας ἀρχάς. οὐ μέντοι ὅτι εἰς μίαν ἄναρχον εἰσὶ συντεταγμέναι, οὐ δὲ γὰρ τὴν ἐκ τούτων βούλεται ἀγένητον καὶ ἄφθαρτον δεῖξαι. ἀλλ᾽ ἐκείνην, ἣν ἐνδείκνυται ὅτε ἔλεγεν, κἂν αἱ εἰς τὰ ἐναντία κινήσεις μὴ ὦσι συνεχεῖς καὶ μία. ἀλλ᾽ ὅμως οὐδὲν κωλύει εἶναί τινα τὴν αὐτὴν, τῷ συνεχῆ εἶναι καὶ ἀΐδιον, αὕτη δέ ἐστιν ἡ κυκλοφορία, εἰς ἣν ὁ πᾶς αὐτῷ λόγος τείνει, ὁ περὶ τῆς μιᾶς ἀνάρχου καὶ ἀτελευτήτου κινήσεως, ὡς ἐκείνης προηγουμένης πασῶν τῶν ἐχουσῶν ἀρχὴν κινήσεων. καὶ δι᾽ ἐκείνην καὶ πρὸ πάσης μερικῆς κινήσεως καὶ μετὰ πᾶσαν οὔσης ἄλλης κινήσεως, διότι εἰς ἐκείνην ἀναφέρονται, ἔσται δὲ τοῦτο ἐν τοῖς ἑξῆς σαφέστερον, ὅταν ἡ μία κίνησις ἡ ἀΐδιος ζητῆται. τέως δὲ ἀγένητον καὶ ἄναρχον μέχρι νῦν τὴν κίνησιν ἔδειξεν, οὐχ ὡς μίαν οὖσαν καὶ συνεχῆ. ἀλλ᾽ ὅτι πρὸ πάσης κινήσεως ἔστιν ἄλλη, καὶ μετὰ πᾶσαν ἄλλη. ἀπὸ ταύτης δὲ ὁρμώμενος, ἐν τοῖς ἑξῆς εὑρήσει τὴν μίαν καὶ συνεχῆ καὶ ἀΐδιον τὴν τῆς κυκλοφορίας. ἥτις καὶ τούτων τῶν ἀδιαλείπτων κινήσεών ἐστιν αἰτία. ἀλλὰ διατί περὶ κινήσεως μὲν προυβάλετο ζητεῖν, εἴτε ἀΐδιος ἡ κίνησις εἴτε οὔ, περὶ δὲ ἠρεμίας οὐκέτι. ἢ ὅτι ἡ ἠρεμία στέρησίς ἐστι κινήσεως. οὐδεμία δὲ στέρησις ἀΐδιος, ὅτι μὴ δὲ ἀϊδίου πράγματος εἶναι δύναται. οὐ δὲ γὰρ συνυπάρχει ἡ στέρησις τῇ ἕξει, ἀλλὰ τὰς γινομένας καὶ φθειρομένας κινήσεις διαδέχεται. ἡ μέντοι στάσις καὶ μονὴ οὐκέτι στέρησις οὖσα. ἀλλ᾽ ἐναντία τῇ κινήσει, ἄναρχός ἐστι καὶ αὕτη καὶ ἀΐδιος. ὥσπερ ἡ κύκλῳ κίνησις. περὶ μόνον γὰρ αὐτὴ γίνεται πάντως.

Α ΡΧΗ δὲ τῆς σκέψεως ἔσται ἥπερ καὶ περὶ τῆς λεχθείσης ἀπορίας, διατί ποτε ἔνια τῶν ὄντων ὁτὲ μὲν κινεῖται, ὁτὲ δὲ ἠρεμεῖ πάλιν. ἀνάγκη δὴ ἤτοι πάντα ἠρεμεῖν ἀεὶ, ἢ πάντα ἀεὶ κινεῖσθαι. ἢ τὰ μὲν, κινεῖσθαι. τὰ δὲ, ἠρεμεῖν. καὶ πάλιν τούτων, ἤτοι τὰ μὲν κινούμενα, κινεῖσθαι ἀεί. τὰ δ᾽ ἠρεμοῦντα ἠρεμεῖν, ἢ πάντα πεφυκέναι ὁμοίως κινεῖσθαι καὶ ἠρεμεῖν, ἢ τὸ λοιπὸν ἔτι καὶ τρίτον. ἐνδέχεται γοῦν τὰ μὲν ἀεὶ τῶν ὄντων, ἀκίνητα εἶναι. τὰ δ᾽ ἀεὶ κινούμενα. τὰ δ᾽ ἀμφοτέρων μεταλαμβάνειν. ὅπερ ἡμῖν λεκτέον ἐστί. τοῦτο γὰρ ἔχει λύσιν πάντων τε, τῶν ἀπορουμένων, καὶ τέλος ἡμῖν ταύτης τῆς πραγματείας ἐστί.

Τ ῆς ἀκριβεστέρας τῶν προειρημένων διαρθρώσεως ἀρχὴν εἶναί φησι τὴν αὐτὴν, ἣν καὶ περὶ τῆς προειρημένης ἀπορίας, τῆς ζητούσης πῶς τὸ αὐτοκίνητον ὑπὸ τοῦ αὐτοῦ κινητικοῦ ὁτὲ μὲν κινεῖται, ὁτὲ δὲ οὔ. ἔλεγε δὲ ὅτι οὐδὲν ἄλλο ἀπορεῖ ὁ τοῦτο λέγων, ἢ διατὶ οὐκ ἀεὶ τὰ μὲν ἠρεμεῖ τῶν ὄντων, τὰ δὲ κινεῖται. ἀλλ᾽ ἔστι τὰ ποτὲ μὲν ἠρεμοῦντα ποτὲ δὲ κινούμενα. καὶ τῆς ἀπορίας οὖν ἐκείνης, καὶ τοῦ πῶς τὰ ζῷα κινεῖται, τὴν αὐτὴν ἀρχὴν ταύτην εἶναί φησι. καὶ ἔτι πρὸς τὴν ἐξ ἀρχῆς ζήτησιν, εἰ ἀΐδιος ἡ κίνησίς ἐστι. καὶ πρὸς τοὺς ἐνισταμένους τῇ ἀϊδιότητι τῆς κινήσεως λόγους χρήσιμόν φησι τὸ ἄνωθεν διελομένους ἰδεῖν, πῶς ἔχει τὰ ὄντα πρὸς κίνησιν καὶ πρὸς ἀκινησίαν. ἄνωθεν οὖν ἀρξάμενος διαιρέσει χρῆται ἀπαραλείπτῳ, δι᾽ ὅλων χωρούσῃ τῶν ὄντων. ἀνάγκη γὰρ ἢ πάντα ἠρεμεῖν ἀεὶ τὰ ὄντα, ἢ πάντα ἀεὶ κινεῖσθαι, καὶ ἔστιν ἐπὶ πάντων ἀντιφατικὴ ἡ διαίρεσις. ἢ γὰρ κινεῖσθαι πάντα, ἢ μὴ κινεῖσθαι ἀεί. ἢ τὰ μὲν κινεῖσθαι, τὰ δὲ ἠρεμεῖν. καὶ τοῦτο τριχῶς, ἤτοι τὰ μὲν κινούμενα κινεῖσθαι ἀεὶ, τὰ δὲ ἠρεμοῦντα ἀεὶ ἠρεμεῖν. ἢ πάντα τὰ ὄντα καὶ κινεῖσθαι καὶ ἠρεμεῖν ἐν μέρει. ἢ τὸ λοιπόν φησι καὶ τρίτον, τὰ μὲν ἀεὶ τῶν ὄντων ἀκίνητα εἶναι. τὰ δὲ ἀεὶ κινούμενα, τὰ δὲ ποτὲ μὲν κινούμενα ποτὲ δὲ ἠρεμοῦντα, τρίτον δὲ εἶπε τοῦτο. ἐπὶ πρώτῳ μὲν τῷ ἢ πάντα ἠρεμεῖν ἢ πάντα κινεῖσθαι, δευτέρῳ δὲ τῷ ἢ τὰ μὲν κινεῖσθαι τὰ δὲ ἠρεμεῖν. ὅπερ τριχῆ διεῖλον. μετ᾽ ἐκεῖνα οὖν τὰ δύο τρίτον τοῦτό φησιν ὅπερ αὐτῷ λεκτέον εἶπεν, τουτέστι δεικτέον καὶ κατασκευαστέον. πάντα γὰρ τὰ ἀπορεῖσθαι δοκοῦντα τούτου φανερωθέντος λυθήσεται. οὔτε γὰρ διὰ τὸ πᾶσαν κίνησιν πόθεν ποι εἶναι. τὸ ἀΐδιον ἀναιρεθήσεται τῆς κινήσεως. ἐὰν δειχθῇ ὅτι οὐ πᾶσα κίνησις τοιαύτη. οὔτε τὸ γίνεσθαι

κίνησιν ἐν ἀκινήτῳ δεικτικόν ἐστι τοῦ γένεσιν εἶναι κινήσεως. εἴπερ μὴ παντὸς χρόνου γίνεται κίνησις μὴ οὖσα. καὶ ἡ ἀπορία δὲ λυθήσεται ἡ ζητοῦσα, διατί οὐχὶ τὰ μὲν κινούμενα ἀεὶ κινεῖται, τὰ δὲ ἠρεμοῦντα ἀεὶ ἠρεμεῖ. ἐὰν εὑρεθῇ καὶ ἀεί τι ἀκίνητον ὄν, καὶ ἀεί τι κινούμενον, καὶ ἄλλα ποτὲ μὲν κινούμενα ποτὲ δὲ ἠρεμοῦντα. καὶ τέλος οὕτω τὸ ἄριστον ἐπιτεθήσεται τῇ περὶ κινήσεως πραγματείᾳ, ἀπὸ ἀρχῆς διὰ τῶν μέσων ἀποδεικτικῶς ἐπὶ τὸ τέλος προϊοῦσα. τέλος δέ φησιν ὁ Ἀλέξανδρος τὸ εὑρεῖν τι ἀεὶ καὶ συνεχῶς κινούμενον ὑπὸ ἀϊδίου τε καὶ ἀκινήτου. μήποτε δὲ ὁ Ἀριστοτέλης τὸ αὐτὸ καὶ λύσιν τῶν ἀπορουμένων, καὶ τέλος τῇ πραγματείᾳ εἶπεν, τὸ βεβαιώσασθαι τὸ τρίτον ἐκεῖνο. ὅτι τῶν ὄντων τὰ μὲν ἀκίνητά ἐστι, τὰ δὲ ἀεὶ κινούμενα, τὰ δὲ ἀμφοτέρων μεταλαμβάνει. δυνατὸν δὲ καὶ οὕτως οἶμαι τῆς τῶν ὄντων πρὸς κίνησιν καὶ ἠρεμίαν σχέσεως τελεωτέραν ποιήσασθαι τὴν διαίρεσιν. τριῶν γὰρ ὄντων τούτων, τοῦ τε ἀεὶ κινεῖσθαι, καὶ τοῦ ἀεὶ ἠρεμεῖν, καὶ τρίτου τοῦ ποτὲ μὲν κινεῖσθαι ποτὲ δὲ ἠρεμεῖν εἰς τρία τριχῶς αἱ σχέσεις διαιρεθήσονται, ἢ πάντων τῶν ὄντων τὴν αὐτὴν ἐχόντων κατάστασιν, ἢ διχῇ διῃρημένων, ἢ τριχῇ εἰς ἀρχὰς καὶ μέσα καὶ τέλη. τέταρτον γὰρ οὐκ ἂν εἴη παρὰ ταῦτα. καὶ εἰ μὲν τὴν αὐτὴν ἔχει πάντα κατάστασιν, ἢ πάντα ἠρεμεῖ ἀεί, ἢ πάντα ἀεὶ κινεῖται, ἢ πάντα ποτὲ μὲν ἠρεμεῖ, ποτὲ δὲ κινεῖται παρὰ μέρος. εἰ δὲ διχῇ διῄρηται τὰ ὄντα, ἢ τὰ μὲν ἀεὶ ἠρεμεῖ, τὰ δὲ ἀεὶ κινεῖται. ἢ τὰ μὲν ἀεὶ ἠρεμεῖ, τὰ δὲ ποτὲ μὲν κινεῖται ποτὲ δὲ ἠρεμεῖ, ἢ ἀνάπαλιν τὰ μὲν ἀεὶ κινεῖται, τὰ δὲ ποτὲ μὲν κινεῖται ποτὲ δὲ ἠρεμεῖ. ὥστε τριχῇ καὶ ταύτῃ διῄρηται τὸ τμῆμα. τὸ δὲ τρίτον καὶ ἀληθὲς τῷ σωρείτῃ. εἰ τριχῇ διῄρηται τὰ ὄντα, ἀνάγκη τὰ μὲν ἀεὶ ἠρεμεῖν, τὰ δὲ ἀεὶ κινεῖσθαι, τὰ δὲ ποτὲ μὲν ἠρεμεῖν ποτὲ δὲ κινεῖσθαι. καὶ παρὰ ταῦτα τὰ ἐννέα τμήματα οὐκ ἔστιν οἶμαι τῶν ὄντων σχέσις ἄλλη πρὸς κίνησιν καὶ ἠρεμίαν. εἴπερ ἀνάγκη ἢ κινεῖσθαι, ἢ ἠρεμεῖν, ἢ ἅμα καὶ κινεῖσθαι καὶ ἠρεμεῖν. κυριώτερον δὲ ἐπὶ τῶν μηδέποτε κινουμένων εἶπεν τὸ ἀκίνητα εἶναι, ἤπερ τὸ ἠρεμεῖν. ἡ γὰρ ἠρεμία στέρησις οὖσα κινήσεως, τοῖς καὶ κινεῖσθαι, ποτὲ δὲ πεφυκόσιν ὑπάρχει, οὕτω δὲ καὶ ἀντιφατικὴ ἡ διαίρεσις γίνεται, εἰς τὰ ἀεὶ κινούμενα, καὶ τὰ μηδέποτε κινούμενα μεριζομένη.

ΤΟ ΜΕΝ οὖν πάντα ἠρεμεῖν καὶ τούτου ζητεῖν λόγον ἀφέντας τὴν αἴσθησιν, ἀρρωστία τίς ἐστι διανοίας. καὶ περὶ ὅλου τινὸς ἀλλ᾽ οὐ περὶ μέρους ἀμφισβήτησις. οὐ δὲ μόνον πρὸς τὸν φυσικὸν ἀλλὰ πρὸς πάσας τὰς ἐπιστήμας ὡς εἰπεῖν, καὶ πάσας τὰς δόξας, διὰ τὸ κινήσει χρῆσθαι πάσας. ἔτι δὲ αἱ περὶ τῶν ἀρχῶν ἐνστάσεις ὥσπερ ἐν τοῖς περὶ τὰ μαθήματα λόγοις οὐδέν εἰσι πρὸς τὸν μαθηματικόν, ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων, οὕτως οὐδὲ περὶ τοῦ νῦν ῥηθέντος πρὸς τὸν φυσικόν. ὑπόθεσις γὰρ ὅτι ἡ φύσις, ἀρχὴ τῆς κινήσεως.

Ἐκθέμενος οὕτω τὴν τῶν ὄντων διαίρεσιν κατά τε κίνησιν καὶ ἀκινησίαν, πᾶσιν ἐπεξέρχεται τοῖς ἐκκειμένοις τῆς διαιρέσεως τμήμασιν ἐπιμελῶς οὕτως, ὡς καὶ πάλιν ἀναλαβεῖν τὸν λόγον. διότι ἡ ἔφοδος αὕτη μετὰ ἀκριβοῦς ἀποδείξεως γινομένη, τῶν ἀπορουμένων ὡς αὐτὸς εἶπε λύσιν παρέχεται, καὶ τέλος ἄριστον ἐπιτίθησι τῇ φυσικῇ πραγματείᾳ. τὰ μὲν ἔσχατα τῶν φυσικῶν εἰς τὰ πρῶτα τῶν τοιούτων ἀνάγουσα. ταῦτα δὲ εἰς τὰς ὑπερφυεῖς τῶν ὄντων ἀρχὰς ἀποκορυφοῦσα. πρῶτον τοίνυν εὐθύνει τὸ πρῶτον ἐν τῇ διαιρέσει κείμενον, τὸ πάντα ἠρεμεῖν λέγον, καὶ τέτρασιν ἐπιχειρήμασι συντόμως χρῆται πρὸς τοῦτο. ἓν μέν, ὅτι τὸ ζητεῖν ἀποδεικτικὸν λόγον τοῦ πάντα ἠρεμεῖν, ἀφέντας τὴν αἴσθησιν οὕτως ἐναργῶς ἀντιφθεγγομένην καὶ πολλὰ κινεῖσθαι λέγουσαν, ἀσθένεια διανοίας ἐστί, δι᾽ ἣν ἀγνοεῖ τίς. ὅτι οὐκ εἰσὶν ἐπὶ τῶν τοιούτων προβλημάτων λόγοι τῆς αἰσθήσεως πιστότεροι. ἀγνοεῖ δὲ καὶ τίνα χρὴ ζητεῖν, ὅτι οὐχὶ τὰ προφανέστατα. καὶ τίσιν ἐπὶ τίνων κριτηρίοις δεῖ κεχρῆσθαι. ὅτι ἐπὶ τῶν αἰσθητῶν τῇ αἰσθήσει μάλιστα. καὶ ταύτην ἀρχὴν ποιεῖσθαι τῶν ἀποδείξεων. δεύτερον ὅτι ὁ τὴν κίνησιν ἀναιρῶν, δοκεῖ μὲν μέρος τι τῶν ὑπαρχόντων τοῖς φυσικοῖς πράγμασι τὴν κίνησιν ἀναιρεῖν. ἀγνοεῖ δὲ μὴ περὶ μέρους, ἀλλὰ περὶ τοῦ ὅλου ἀμφισβητῶν. εἰ γὰρ ἐν τούτῳ ἔχει τὸ εἶναι ἡ φύσις, ἐν τῷ ἀρχὴ κινήσεως τοῖς φυσικοῖς εἶναι, ἀναιρουμένης κινήσεως ἀναιρεῖται ἡ φύσις. ταύτης δὲ ἀναιρουμένης, ἀναιρεῖται τὰ φυσικά. οἷς τὸ εἶναι ἐν τούτῳ ἐστίν, ἐν τῷ φύσιν ἔχειν. τρίτον ὅτι οὐ τὴν φύσιν μόνον ἀναιρεῖ καὶ τὰ φυσικά, ὁ πάντα ἠρεμεῖν λέγων. οὐδὲ πρὸς τὸν φυσικὸν ἐνίσταται μόνον. ἀλλὰ καὶ πρὸς τὰς τέχνας πάσας καὶ τὰς ἐπιστήμας τὰς πρακτικάς, δηλονότι τὰς μετὰ κινήσεως ἐνεργούσας. ἡ γοῦν θεωρητικὴ τίνος δεῖται φυσικῆς κινήσεως. διὸ καὶ εἰπὼν πρὸς ἁπάσας τὰς ἐπιστήμας, τὸ ὡς εἰπεῖν προσέθηκεν. καὶ πρὸς τὰς δόξας δὲ πάσας τῶν φυσικῶν ἢ καὶ πάντων ἀνθρώπων ἐναντιοῦται. διὰ τὸ κινήσει χρῆσθαι πάσας. καὶ ἐπιστῆσαι χρὴ ἐντεῦθεν ὡς οἶμαι, ὅτι οὐδὲ τὸν περὶ Παρμενίδην καὶ Μέλισσον πᾶν τὸ ὂν ἀκίνητον νομίζει δοξάζειν ὁ Ἀριστοτέλης. ἀλλὰ τὸ ὄντως ὂν καὶ νοητὸν μόνον, τέταρτον δὲ ἐπάγει, ὅτι ὥσπερ οὐκ ἔστι μαθηματικοῦ τὸ πρὸς τοὺς ἀναιροῦντας τὰς τῶν μαθηματικῶν ἀρχὰς ἀντιλέγειν, οὐδὲ ἰατροῦ πρὸς τοὺς ἀναιροῦντας τὰς ἰατρικὰς ἀρχάς, οὐδὲ τῶν ἄλλων τινὸς πρὸς τοὺς ἀναιροῦντας αὐτοῦ τὰς ἀρχάς, οὕτως οὐδὲ τὸ νῦν ῥηθὲν τὸ πάντα ἠρεμεῖν τοῦ φυσικοῦ ἐστιν ἀνασκευάζειν. ὡς γὰρ ἀρχὴ τοῖς φυ-

σικοῖς ὑπόκειται, τὸ τὴν φύσιν ἀρχὴν κινήσεως εἶναι. ταῦτα δὲ καὶ ἐν τῷ πρώτῳ τῆσδε τῆς πραγματείας εἶπεν, πρὸς τοὺς ἀκίνητον τὸ ὂν δοκοῦντας λέγειν. ὑποθέσεις δὲ τὰς ἀρχὰς καλεῖν ἔθος, ὡς αὐτὰς ἀποδείξεως τεθειμένας καὶ ὑποτιθεμένας ταῖς ἐξ αὐτῶν ἀποδείξεσιν. ὁ γὰρ ἀποδεικνὺς τὰς ἀρχὰς, ὅτι μὴ ἀρχαί εἰσιν ὁμολογεῖ. ἐκ προτέρων γὰρ αἱ ἀποδείξεις.

Σ ΧΕΔΟΝ δέ τι καὶ τὸ φάναι πάντα κινεῖσθαι ψεῦδος μὲν, ἧττον δὲ τοῦτο παρὰ τὴν μέθοδον. ἐτέθη μὲν γὰρ ἡ φύσις ἐν τοῖς φυσικοῖς ἀρχὴ, καθάπερ κινήσεως καὶ ἠρεμίας. ὁμοίως δὲ φυσικὸν ἡ κίνησις. καί φασί τινες κινεῖσθαι τῶν ὄντων, οὐ τὰ μὲν, τὰ δ' οὔ, ἀλλὰ πάντα. καὶ ἀεί. ἀλλὰ λανθάνειν τοῦτο τὴν ἡμετέραν αἴσθησιν, πρὸς οὓς καίπερ οὐ διορίζοντας ποίαν κίνησιν λέγουσιν ἢ πάσας, οὐ χαλεπὸν ἀπαντῆσαι. οὔτε γὰρ αὐξάνεσθαι, οὔτε φθίνειν οἷόν τε συνεχῶς, ἀλλ' ἔστι καὶ τὸ μέσον. ἔστι δ' ὅμοιος ὁ λόγος τῷ περὶ τοῦ τὸν σταλαγμὸν κατατρίβειν, καὶ τὰ ἐκφυόμενα τοὺς λίθους διαιρεῖν. οὐ γὰρ εἰ τοσόνδε ἐξέωσεν ἢ ἀφεῖλεν ὁ σταλαγμὸς, καὶ τὸ ἥμισυ ἐν ἡμίσει χρόνῳ πρότερον. ἀλλ' ὥσπερ ἡ νεωλκία. καὶ οἱ σταλαγμοὶ οἱ τοσοίδε τοσονδὶ κινοῦσι, τὸ δὲ μέρος αὐτῶν ἐν οὐδενὶ χρόνῳ τοσοῦτον. διαιρεῖται μὲν οὖν τὸ ἀφαιρεθὲν, εἰς πλείω, ἀλλ' οὐδὲν αὐτῶν ἐκινήθη χωρίς. ἀλλ' ἅμα. φανερὸν οὖν ὡς οὐκ ἀναγκαῖον ἀεί τι ἀπιέναι, ὅτι διαιρεῖται ἡ φθίσις εἰς ἄπειρα ἀλλ' ὅλον ποτὲ ἀπιέναι. ὁμοίως δὲ καὶ ἐπὶ ἀλλοιώσεως ὁποιασοῦν. οὐ γὰρ εἰ μεριστὸν εἰς ἄπειρον τὸ ἀλλοιούμενον, διὰ τοῦτο καὶ ἡ ἀλλοίωσις. ἀλλ' ἀθρόα γίνεται πολλάκις ὥσπερ ἡ πῆξις. ἔτι ὅταν νοσήσῃ τις, ἀνάγκη χρόνον γενέσθαι ἐν ᾧ ὑγιασθήσεται καὶ μὴ ἐν πέρατι χρόνου μεταβάλλειν, ἀνάγκη δὲ εἰς ὑγείαν μεταβάλλειν. καὶ εἰς ἄλλο μηδέν. ὥστε τὸ φάναι συνεχῶς ἀλλοιοῦσθαι, λίαν ἐστὶ τοῖς φανεροῖς ἀμφισβητεῖν. εἰς τοὐναντίον γὰρ ἡ ἀλλοίωσις. ὁ τε λίθος, οὔτε σκληρότερος γίνεται, οὔτε μαλακώτερος. κατά τε τὸ φέρεσθαι θαυμαστὸν, εἰ λέληθεν ὁ λίθος κάτω φερόμενος, ἢ μένων ἐπὶ τῆς γῆς. ἔτι δ' ἡ γῆ καὶ τῶν ἄλλων ἕκαστον, ἐξ ἀνάγκης μένουσι μὲν, ἐν τοῖς οἰκείοις τόποις. κινοῦνται δὲ βιαίως ἐκ τούτων. εἴπερ οὖν ἔνια αὐτῶν ἐστιν ἐν τοῖς οἰκείοις τόποις, ἀνάγκη μηδὲ κατὰ τόπον πάντα κινεῖσθαι. ὅτι μὲν οὖν οὐ δυνατὸν, ἢ ἀεὶ πάντα κινεῖσθαι. ἢ ἀεὶ πάντα ἠρεμεῖν, ἐκ τούτων καὶ ἄλλων τοιούτων πιστεύσειεν ἄν τις.

Ε ἐπὶ τὸ δεύτερον τμῆμα μετέβη τῆς πρώτης διαιρέσεως, τὸ λέγον πάντα κινεῖσθαι, καί φησιν ὅτι καὶ τοῦτο ἐγγὺς καὶ ὅμοιόν ἐστί πως ψεῦδος, τῷ λέγειν πάντα ἠρεμεῖν. καὶ γὰρ καὶ ἐπὶ τούτου ἡ αἴσθησις ἀντιφθέγγεται, ἐναργῶς τινῶν ἠρεμούντων. πλὴν ἧττον τὸ πάντα κινεῖσθαι, τοῦ πάντα ἠρεμεῖν παρὰ τὴν μέθοδόν ἐστι φησὶ τὴν φυσικήν. ἧττον γὰρ τοῦτο ἀναιρετικόν ἐστι τῆς φύσεως. κἂν γὰρ καθ' ὅσον ἡ φύσις ἐν τοῖς φυσικοῖς ἐτέθη ὥσπερ κινήσεως οὕτω καὶ ἠρεμίας ἀρχὴ, κατὰ τοσοῦτον καὶ ὁ τὴν ἠρεμίαν ἀναιρῶν ἀναιρεῖ τὴν φύσιν, ἀλλὰ καθ' ὅσον ἡ κίνησις οἰκειοτέρα τῇ φύσει μᾶλλον τῆς ἠρεμίας, κατὰ τοσοῦτον ἧττον παρὰ τὴν φυσικὴν μέθοδον οὗτοι λέγουσι. καὶ ὅτι ἐκεῖνοι μὲν οὐ κίνησιν μόνον ἀλλὰ καὶ ἠρεμίαν ἀναιροῦσιν. ἠρεμεῖ γὰρ τὰ καὶ κινεῖσθαι πεφυκότα. οὗτοι δὲ τὴν ἠρεμίαν μόνην, ἔτι δὲ ἐπειδὴ ἔστι μέν τινα τῶν φυσικῶν τὰ μηδέποτε ἠρεμοῦντα. οὐδὲν δέ ἐστι τῶν φυσικῶν παντελῶς ἀκίνητον, διὰ τοῦτο ἧττον παρὰ τὴν φυσικὴν μέθοδον τὸ πάντα κινεῖσθαι λέγειν τοῦ πάντα ἠρεμεῖν. καὶ τοῦτο δὲ σημεῖον τοῦ μὴ πάντη τῶν φυσικῶν ἀπᾴδειν, τὴν πάντα κινεῖσθαι λέγουσαν δόξαν, τὸ καὶ δοξάζειν τινὰς αὐτῶν τὸ πάντα ἀεὶ κινεῖσθαι τὰ ὄντα. ἀλλ' οὐχὶ τὰ μὲν, τὰ δ' οὔ, μὴ δοκεῖν δὲ ἡμῖν διὰ τὸ τὴν αἴσθησιν διαλανθάνειν. πάντα δὲ κινεῖσθαι ἔλεγον οἱ Ἡρακλείτειοι. ὧν καὶ Πλάτων ἐν τῷ Κρατύλῳ τῆς δόξης οὕτως ἀπεμνημόνευσεν. ὁ δὲ Ἀλέξανδρος τὰς ἀτόμους φησὶ, κατὰ τοὺς τιθεμένους αὐτὰς ἀεὶ κινουμένας, αἰτίας καὶ τοῖς ἐξ αὐτῶν συγκρίμασι γίνεσθαι, κἂν μὴ αἰσθητῶς, καὶ κατὰ τούτους δέ φησι τὸ κενὸν ἀκίνητόν ἐστι. πρὸς τούτους οὖν φησὶ τοὺς πάντα λέγοντας κινεῖσθαι, καίπερ οὐ διορίζοντας ποίαν κίνησιν πάντα λέγουσι κινεῖσθαι, ἢ ἄρα πάσας πάντα, οὐ χαλεπὸν ἀπαντῆσαι, διορίζοντα τὰ τῶν κινήσεων εἴδη, καὶ δεικνύντα ὅτι κατ' οὐδεμίαν δυνατὸν ἀεὶ πάντα κινεῖσθαι. πρῶτον οὖν αὐτοῖς ἔγκλημα ἐπάγει, τὸ ἀδιορίστως λέγειν καὶ μὴ διασαφεῖν, κατὰ ποῖον εἶδος κινήσεως πάντα τὰ ὄντα ἀεὶ κινεῖται. εἶτα δείκνυσιν ἐφ' ἑκάστης τῶν τριῶν κινήσεων, ὅτι κατ' οὐδεμίαν οἷόν τε πάντα ἀεὶ κινεῖσθαι. εἰ δὲ κατὰ μηδεμίαν, δῆλον ὡς οὐδὲ κατὰ πάσας. καὶ πρῶτον δείκνυσιν, ὅτι οὔτε αὔξεσθαι οἷόν τέ τι συνεχῶς, οὔτε πάλιν συνεχῶς μειοῦσθαι. οὔτε συνάπτειν τὴν αὔξησιν τῇ μειώσει. ἀλλ' ἔστι στάσεις καὶ ἠρεμίαι ἐν μέσῳ τῶν καθ' ἑκατέραν τούτων τῶν κινήσεων κινουμένων. οὔτε γὰρ τὸ αὐξόμενον εἰς τὸ μειοῦσθαι μεταβάλλει, οὔτε τὸ μειούμενον εἰς τὸ αὔξεσθαι. ἀλλὰ τὸ μὲν εἰς ἐπίδοσιν, τὸ δὲ εἰς φθίσιν. ὅταν οὖν γένηται ἐν ἐκείνοις εἰς ἃ μετέβαλλε, δῆλον ὡς ἵσταται, εἶθ' οὕτως εἰς τὸ μειοῦσθαι μεταβάλλει, δείξει δὲ τοῦτο οὕτως ἔχον ἐν τοῖς ἑξῆς. εἰπὼν δὲ λέγειν τινὰς πάντα κινεῖσθαι, λανθάνειν δὲ τοῦτο τὴν ἡμετέραν αἴσθησιν, καὶ προβαλλόμενος τὴν αὔξησιν καὶ τὴν μείωσιν, ὡς καὶ ἐπὶ τούτων τὰ αὐτὰ λεγόντων αὐτῶν, πρῶτον ἱστορεῖ τινι δόξῃ τὸ λεγόμενον ὑπ' αὐτῶν ὅμοιόν ἐστιν. ἣν δείξας ψευδῆ, συναναιρεῖ καὶ τὸ ὑπὸ τούτων

λεγόμενον. τὸ γὰρ λέγειν φησὶν ὅτι κινεῖται μὲν ἀεὶ πάντα, λανθάνει δὲ ἡμᾶς τῷ κατ' ὀλίγον, ὅμοιόν ἐστιν ἐκείνῳ τῷ λόγῳ, τῷ περὶ τοῦ τὸν συνεχῆ τοῦ ὕδατος σταλαγμὸν κοιλαίνειν τὴν πέτραν. πέτρην κοιλαίνει ῥανὶς ὕδατος ἐνδελεχείη, φησὶν ὁ Χοιρίλος. ὡς ἀπὸ ἑκάστου μὲν σταλαγμοῦ μειουμένης τῆς πέτρας, ἀδήλου δὲ ἡμῖν οὔσης τῆς κατ' ὀλίγον μειώσεως, ὁμοίως δὲ καὶ ἀπὸ τῆς ἐκφυομένης ἐν ῥαγάδι τοῦ λίθου συκῆς. εἰ τύχοι διΐσταταί ποτε ὁ λίθος καὶ ῥήγνυται. ὡς καὶ ἐν τῷ πρὸ τοῦ χρόνῳ παντὶ, κατ' ὀλίγον μὲν διϊσταμένου, λανθάνοντος δὲ τῷ κατ' ὀλίγον τὴν ἡμετέραν αἴσθησιν. ὡς οὖν οἱ ταῦτα λέγοντες, κινεῖσθαι μὲν συνεχῶς φασὶν ἐν τῷ πρὸ τοῦ παντὶ χρόνῳ, τὴν μὲν πέτραν μειουμένην, τὸν δὲ λίθον ῥηγνύμενον, λανθάνειν δὲ τῷ κατ' ὀλίγον τὴν ἡμετέραν αἴσθησιν, οὕτω καὶ οἱ πάντα κινεῖσθαι λέγοντες ἀεὶ, συνεχῆ μὲν αὐτῶν ἀεί φασιν εἶναι τὴν κίνησιν, ἡμᾶς δὲ τῷ κατ' ὀλίγον διαλανθάνειν. οὕτω δὲ καὶ τὰ αὐξανόμενα καὶ μειούμενα. παραθεὶς οὖν οὕτω τὴν ὁμοίαν δόξαν, δείκνυσιν αὐτὴν ψευδῆ, καὶ ὅτι μὴ συνεχὴς ἥτε τῆς πέτρας μείωσις, καὶ ἡ τοῦ λίθου διάστασις. οὐ γὰρ εἰς σπιθαμὴν ἐν ἐνιαυτῷ διέστησεν τὸν λίθον ἡ συκῆ, καὶ τὸ ἐκ τῆς κεγχραμίδος φυὲν ἐν τῇ πρώτῃ ἡμέρᾳ μέρος τι διέστησεν. οὐδὲ εἰ τὴν πέτραν ἐκοίλαναν χίλιοι σταλαγμοὶ, καὶ ὁ εἷς σταλαγμὸς μέρος τι πάντως ἐκοίλανεν. ἀλλ' οὕτως ἔχει ταῦτά φησιν, ὥσπερ ἡ νεωλκία. καὶ γὰρ ἐπὶ ταύτης οἱ μὲν ἑκατὸν ἅμα καθέλκουσι τὴν ναῦν. εἷς δὲ ἕκαστος οὐδ' ἂν σαλεύσειε προσελθών. οὕτω δὲ καὶ οἱ μὲν τοσοίδε σταλαγμοὶ τοσόνδε μέρος τῆς πέτρας ἀφεῖλον. εἷς δὲ σταλαγμὸς οὐδ' ὁτιοῦν μέρος ἂν ἀφέλοι. κἂν γὰρ διαιρετὸν ᾖ τὸ ἀφαιρεθὲν ἀπὸ τῆς πέτρας μέγεθος, ἀλλ' οὐκ ἀνάγκη ἕκαστον σταλαγμὸν τὸ τοσοῦτον μέρος ἀφελεῖν, ὅσον αὐτός ἐστι τῶν πάντων. ἀπὸ γὰρ τῶν ὅλων τὸ ὅλον ἀφῃρέθη, καὶ ὥσπερ ἐπὶ τῆς νεωλκίας ὑπὸ πεντήκοντα ἀνδρῶν ἡ ναῦς τέως μὴ κινουμένη ἑνὸς ἔσθ' ὅτε προσελθόντος ἐσαλεύθη, καὶ ἐπὶ ζυγοῦ τὰ μὲν δέκα τάλαντα εἰ τύχοι οὐκ ἐποίησε ῥοπήν, δραχμὴ δὲ προστεθεῖσα καθείλκυσεν, οὕτως οἱ μὲν τοσοίδε σταλαγμοὶ οὔπω δύναμιν εἶχον κοιλᾶναι τὴν πέτραν, προσελθόντος δὲ ἑνὸς, ἠδυνήθησαν ὥστε καὶ ἐπὶ τῶν αὐξομένων καὶ μειουμένων. κἂν ἐπ' ἄπειρον ᾖ διαιρετὸν τὸ προσιὸν καὶ τὸ ἀπιὸν, οὐκ ἀνάγκη κατὰ τὸ συνεχὲς ἀεί τι προστίθεσθαι ἢ ἀφαιρεῖσθαι χωρίς. ἀλλ' ὅλον τι προστίθεταί ποτε καὶ ὅλον ἀφαιρεῖται. οὐ γὰρ ἐπειδὴ τὸ ὅλον ὕδωρ τὸ τοσοῦτον ἐκοίλανεν, καὶ τὸ ἥμισυ αὐτοῦ τὸ ἥμισυ κοιλανεῖ. ἢ ὅλως τὸ τοσόνδε μέρος τοῦ ὕδατος τὸ τοσόνδε τοῦ ἀφαιρεθέντος ἀφελεῖ. οὐδὲ γάρ ἐστιν ἐνεργείᾳ τὰ μέρη ἐν τῷ ἀφαιρουμένῳ, ὥστε καὶ χωρὶς ἕκαστον κινεῖσθαι. ἀλλ' ἅμα ὅλον κινεῖται, φθίσιν δὲ λέγει τὸ ἀπιὸν, καθ' ὃ ἡ φθορὰ γίνεται. δῆλον οὖν ὅτι εἴ τι πάσχει ὑπό τινος. οὐχὶ καὶ ὑπὸ τοῦ τυχόντος αὐτοῦ μορίου πείσεται, καὶ εἴ τι ἐν χρόνῳ τινὶ πάσχει ὑπό τινος, οὐχὶ καὶ ἐν ἅπαντι μορίῳ τοῦ χρόνου πάσχει. ἀλλ' ἔν τινι ἀθρόον. ἐπιστῆσαι δὲ ἐν τούτοις χρὴ, πότερον ἐκείνου μνημονεύει νῦν τοῦ σωρείτου καλουμένου παρὰ τοῖς σοφισταῖς λόγου. ὡς ἐπὶ τῶν καταφερομένων τοῦ ὕδατος ῥανίδων ἐρωτᾶται. εἰ γὰρ ἡ πρώτη μηδὲν ἔδρασεν φησὶν εἰς τὸ κοιλᾶναι τὴν πέτραν οὐδὲ ἡ δευτέρα. εἰ δὲ μὴ αὕτη, οὐδὲ ἡ τρίτη. ὥστε οὐδὲ ἡ ἐσχάτη. πῶς οὖν πέτρην κοιλαίνει ῥανὶς ὕδατος ἐνδελεχείη. τούτου οὖν ἄρα μέμνηται, ὅταν λέγῃ ὅμοιος ὁ λόγος τῷ περὶ τοῦ τὸν σταλαγμὸν κατατρίβειν. ἢ ἄλλου ἐπὶ ἀθρόας ὕδατος καταφορᾶς ἐρωτωμένου οὕτως. εἰ τὸ τοσόνδε ὕδωρ ἅμα κατενεχθὲν, τοσόνδε τῆς πέτρας ἀφεῖλεν, ἄρα καὶ τὸ ἥμισυ αὐτοῦ τὸ ἥμισυ ἀφεῖλε, καὶ ὁ εἷς σταλαγμὸς τὸ ἀνάλογον. οὕτω γὰρ ὁ Ἀλέξανδρος ἀκούσας φαίνεται τοῦ λόγου. τῇ γὰρ λεγούσῃ φησὶ δόξῃ ἐπεὶ ὑπὸ τοῦ τοσοῦδε ὕδατος τοῦ καταράξαντος ἐπὶ τὴν πέτραν, ἡ πέτρα κεκοίλανται, ὃ σταλαγμὸν ὀνομάζει ἴσως ἀπὸ τοῦ καταστάζειν, καὶ ὑπὸ ἑκάστου τῶν ἐπιπιπτόντων μορίων αὐτοῦ ἐκοιλαίνετο, ἄδηλος δὲ ἦν ἡμῖν ἡ κατὰ τοσοῦτον κίνησις καὶ μείωσις αὐτῆς. ἔοικε δὲ ὁ Ἀλέξανδρος τῷ κατὰ τὴν νεωλκίαν παραδείγματι ἀκολουθήσας. ἐφ' οὗ ἅμα ἦσαν πάντες οἱ νεωλκοὶ, καὶ τὸν σταλαγμὸν ἐπὶ ἀθρόου ὕδατος ἀκοῦσαι. ἐπεὶ ὅτι ὁ σταλαγμὸς ἐπὶ τῆς ῥανίδος λέγεται κυρίως, πρόδηλον οἶμαί ἐστι. δηλοῖ δὲ καὶ τὸ οἱ δὲ σταλαγμοὶ οἱ τοσοίδε ὑπὸ τοῦ Ἀριστοτέλους εἰρημένον, ὡς διῃρημένων καὶ ἠριθμημένων τῶν σταλαγμῶν. τοῦ δὲ Ἀριστοτέλους ἐπὶ τῶν μερῶν τοῦ ἀφαιρεθέντος ἀπὸ τῆς πέτρας εἰπόντος, ἀλλ' οὐδὲν αὐτῶν ἐκινήθη χωρὶς ἀλλ' ἅμα, ὁ Ἀλέξανδρος ἐπὶ τοῦ κινοῦντος ὕδατος ἀκούων τοῦτο, οὐ δὲ γὰρ ἦν ἐνεργείᾳ φησὶ τὰ μέρη τοῦ κινοῦντος ἐν τῷ ὅλῳ. ὡς κινεῖν καθ' αὑτά, ὡς ἀθρόον λαβὼν τὸ κατενεχθὲν ὕδωρ καὶ ἀφελόν τι τῆς πέτρας μήποτε δὲ ὅπως μὲν ἂν ἐρωτηθῇ ὁ λόγος, εἰς τὸ αὐτὸ πίπτει τῷ κατ' ὀλίγον λανθάνειν τὴν αἴσθησιν, εἴτε ἐν τῷ αὐτῷ νῦν ὁ εἰς τὸ κατ' ὀλίγον ἐπιμερισμὸς γίνεται. ὡς ἐπὶ τῆς νεωλκίας καὶ τοῦ ἀθρόου ὕδατος τοῦ ἀφελόντος, εἴτε ἐν ἄλλῳ καὶ ἄλλῳ. ὡς ἐπὶ τῶν ῥανίδων τῶν ἐν χρόνῳ πλείονι τῇ ἐνδελεχείᾳ κοιλαινουσῶν τὴν πέτραν. τοῦτο δὲ οἰκειότερον οἶμαι τοῖς προκειμένοις τὸ παράδειγμα. διότι καὶ ἡ κίνησις οὐχ ἅμα πᾶσα οὖσα τῷ μερισμῷ λανθάνει τὴν αἴσθησιν. οὔτε γὰρ ἡ αὔξησις καὶ ἡ μείωσις ἅμα. οὔτε ἡ ἀλλοίωσις, οὔτε ἡ κατὰ τόπον μεταβολή. τὸ δ' οὖν λεγόμενόν ἐστιν, ὅτι κἂν τὸ ἀπιὸν ἐν τῇ φθίσει, καὶ τὸ προσιὸν ἐν τῇ αὐξήσει, με-

γέθη ὄντα ἐπ' ἄπειρόν ἐστι διαιρετά. ἀλλ' οὐκ ἀνάγκη τὴν ἀποχώρησιν καὶ τὴν πρόσθεσιν κατὰ
ἐλάχιστα γίνεσθαι. ἀλλὰ ἀθρόον ποτὲ ἄπεισι, καὶ ἀθρόον προστίθεται. οὐκ ἄρα τῷ κατ' ὀλί-
γον λανθάνει ταῦτα ἡμᾶς, ἐπ' ἄπειρον ὥς φασι μειούμενα ἢ αὐξόμενα. εἰ δὲ ὡς εἶπεν ἔστι τι καὶ
τὸ μέσον, ἐν ᾧ ἵσταται τὰ αὐξόμενα, ὅταν ἀπολάβῃ τὸ μέτρον, οὐκ ἀνάγκη ἐπ' ἄπειρον αὔξε-
σθαι, ἢ ἐπ' ἄπειρον μειοῦσθαι. κἂν γὰρ τρέφηται ἐν τῷ μέσῳ. ἀλλὰ ἄλλο τὸ τρέφεσθαί ἐστι,
καὶ ἄλλο τὸ αὔξεσθαι, δῆλον δὲ ὅτι κἂν ἀθρόον ἀφαιρεθῇ τι τῆς πέτρας μέρος, ἀλλ' ἑκάστη ῥα-
νὶς ἔδρασέ τι πάντως εἰς τὴν πέτραν ἀσθενεστέραν ποιοῦσα, καὶ τῶν νεωλκῶν ἕκαστος εἰσήγαγε
τὴν καθ' ἑαυτὸν δύναμιν τῇ ὅλῃ. καὶ ἡ τῆς πέτρας διάστασις ποτὲ μὲν καὶ κατ' ὀλίγον ἀνεπαι-
σθήτως γίνεται. ποτὲ δὲ ῥήγνυται μὲν ἀθρόως. ἡ δὲ κατ' ὀλίγον ὑποστροφὴ τῆς συκῆς προωδο-
ποιεῖ τῇ ῥήξει τὴν τῆς πέτρας ἀσθένειαν. κἂν κατ' ὀλίγον δὲ μέσων τινὸς ἀνεπαισθήτως πρόει-
σιν. ἀλλ' ἀθρόον ἐπὶ τέλει γινόμενον ἵσταται. ὅταν εἰς τοῦτο ἔλθῃ εἰς ὃ ἔσπευδε καὶ ἡ αὔξησις
καὶ ἡ μείωσις. δείξας δὲ ὁ Ἀριστοτέλης ἐπὶ τῆς αὐξήσεως καὶ τῆς μειώσεως, ὅτι μὴ ἐπ' ἄπει-
ρον ἡ αὔξησις καὶ ἡ μείωσις γινομένη τῷ κατ' ὀλίγον διαλανθάνει. εἴπερ μὴ κατὰ συνέχειαν ἡ
πρόσθεσις καὶ ἡ ἀφαίρεσις, ἀλλὰ καὶ ἀθρόαι γίνονται, τὸν αὐτὸν λόγον φησὶ καὶ ἐπὶ ἀλλοιώ-
σεως πάσης ἁρμόττειν. οὐ γὰρ εἰ τὸ ἀλλοιούμενον μέγεθός τι ἐστὶν ἐπ' ἄπειρον μεριστόν, τοῦτο γὰρ
σημαίνει τὸ μεριστὸν εἰς ἄπειρα, διὰ τοῦτο καὶ ἡ ἀλλοίωσις αὐτοῦ κατὰ μόρια γίνεται κατὰ τὸ
πρότερον καὶ ὕστερον. ἀλλ' ἀθρόον ἅμα ἀλλοιοῦται, καὶ ἡ ἀλλοίωσις ἀθρόα γίνεται, ὥσπερ ἡ
πῆξις τοῦ γάλακτος καὶ τοῦ ὕδατος καὶ τῶν τοιούτων. ἅπερ κἂν μεριστὰ ᾖ, ἀλλ' οὐ πήγνυται
κατ' ἐλάχιστα μόρια. ἀλλ' ἀθρόα μεταβάλλει καὶ συνίσταται. ἔδειξε δέ φησιν ὁ Ἀλέξανδρος
διὰ τοῦ νῦν εἰρημένου, πῶς ἐν τῷ πρώτῳ τῆσδε τῆς πραγματείας, πρὸς Μέλισσον ἀντιλέ-
γων, εἶπεν ὥσπερ οὐκ ἀθρόας γινομένης μεταβολῆς. οὐ γὰρ ἀθρόαν ὡς ἄχρονον εἶπεν. ψεῦδος γὰρ
τοῦτο. ἀλλὰ τὴν ἀθρόον τοῦ μεταβάλλοντος εἰς τὸ μεταβάλλειν ἀρχήν, καὶ οὐ κατὰ μόρια. ὅτι δὲ
τὸ ἀλλοιούμενον οὐκ ἐπ' ἄπειρον συνεχῶς οἷόν τε κινεῖσθαι. ὡς ἔλεγον οἱ πάντα ἀεὶ κινεῖσθαι λέ-
γοντες, δείκνυσι καὶ ἐκ τοῦ ἐξ ἐναντίου εἰς ἐναντίον τὴν μεταβολὴν τοῖς ἀλλοιουμένοις γίνεσθαι.
καὶ ἐν χρόνῳ μὲν αὐτῶν γίνεσθαι τὴν μεταβολήν. εἶναι δέ τι ὡρισμένον εἰς ὃ μεταβάλλουσι, καὶ ὅ-
ταν εἰς ἐκεῖνο ἔλθωσιν ἵστανται. εἰς τοῦτο γὰρ τέταται ἡ μεταβολή, τὸ γοῦν νοσοῦν ᾗ μεταβάλλον
ἐκ τῆς νόσου καθ' ὅσον ἐκ νόσου μεταβάλλει, οὐκ εἰς ἄλλο τι μεταβάλλει, ἢ εἰς ὑγίειαν. τοῦτο γὰρ
ἐναντίον τῇ νόσῳ, καὶ ἐν χρόνῳ γε ἡ μεταβολὴ γίνεται αὐτῷ. ἀλλ' οὐκ ἐν πέρατι χρόνου. διότι
πᾶσα κίνησις ἐν χρόνῳ, καὶ τὸ πέρας τῆς κινήσεως ἐν τῷ πέρατι τοῦ χρόνου. ὅταν οὖν ὑγιαῖνον
ἐκ νοσοῦντος γένηται, ἵσταται ἐν τῇ ὑγείᾳ. οὐ γάρ ἐστιν ἄλλο εἰς ὃ κινήσεται τὸ νοσοῦν. οὐ δὲ γὰρ
ἦν ἄλλο τι τῇ νόσῳ ἐναντίον. εἰ οὖν μὴ ἔχει λοιπὸν ἐφ' ὃ κινήσεται, τὸ λέγειν συνεχῶς ἀλλοιοῦ-
σθαι, λίαν ἐστὶ τοῖς φανεροῖς ἀμφισβητεῖν. ἐπεὶ τί γὰρ ἔτι κινήσεται τὸ καταλαβὸν ἐκεῖνο,
οὗ ἕνεκα ἐκινεῖτο. διὰ δὲ τοῦ εἰπεῖν ἀνάγκη χρόνον γενέσθαι, ἐν ᾧ ὑγιασθήσεται, καὶ μὴ ἐν πέ-
ρατι χρόνου, ἔδειξεν ὅτι κίνησίς ἐστιν ἡ ἐκ νόσου εἰς ὑγίειαν μεταβολή. οὐ γὰρ ἀχρόνως γίνεται,
οὐδὲ ἐν πέρατι χρόνου. οὐ μὴν διὰ τοῦτο ἤδη καὶ ἐπ' ἄπειρον γίνεται. τὸ δὲ ἐπιχείρημα τοῦτο καὶ
ἐπὶ τῶν ἄλλων ἁρμόττει μεταβολῶν. εἴπερ πᾶσαι ἐξ ἐναντίου εἰς ἐναντίον γίνονται. καὶ πρὸς
τέλος τι σπεύδουσι τὸ ἐναντίον, ἀφ' οὗ καὶ ὀνομάζονται, γένεσις μὲν ἀπὸ τοῦ ὄντος. αὔξησις δὲ
ἀπὸ τῆς προσθέσεως, καὶ λεύκανσις ἀπὸ τοῦ λευκοῦ, καὶ ἀναφορὰ ἀπὸ τοῦ ἄνω. ὅτι δὲ μὴ ἔστι
συνεχὴς ἡ κατὰ τὴν ἀλλοίωσιν κίνησις, δείκνυσι καὶ ἐκ τῆς ἐναργείας. ὁ γὰρ λίθος ἐν πολ-
λῷ χρόνῳ οὔτε σκληρότερος γίνεται οὔτε μαλακώτερος. ἀλλ' οὐ δὲ ἑκάστης ἡμέρας ἀπορρεῖ τι
αὐτοῦ, ὥς φησιν Εὔδημος. ἐν πολλοῖς γὰρ ἔτεσι πλείων ἔσται ἡ ἀπόρροια τοῦ σώματος, ἀφ' οὗ
ἀπορρεῖ. καί τοι διαμένοντά φησι φαίνεται πολλὰ καὶ σμικρά, παμπλήθη χρόνον ἄψαυστα
κείμενα, μνημονεύσας δὲ τοῦ λίθου ὡς οὐκ ἀλλοιουμένου συνεχῶς, ἐπάγει, ὅτι καὶ κατὰ τὸ φέ-
ρεσθαι τουτέστι κινεῖσθαι κατὰ τόπον, οὐκ ἔστι κίνησις τῷ λίθῳ συνεχὴς καὶ ἀνέκλειπτος. κἂν
γὰρ αἱ αὐξήσεις καὶ ἀλλοιώσεις λελήθασιν ἡμᾶς. ἀλλ' ὅγε λίθος οὐ λέληθεν ἡμᾶς ὁτὲ μὲν κά-
τω φερόμενος, ὁτὲ δὲ μένων ἐπὶ τῆς γῆς. ὅλως δὲ ἡ γῆ καὶ καθόλου πάντα τὰ ὑπὸ σε-
λήνην, κοινῶς γὰρ ἐπὶ πάντων δείκνυσιν, ὅτι οὐκ ἔστιν αὐτοῖς συνεχὴς ἡ κατὰ τόπον κίνη-
σις, εἰ ὁρᾶται ποτέ τινα αὐτῶν ἐν τοῖς οἰκείοις τόποις, ἀνάγκη μὴ κινεῖσθαι αὐτὰ τότε κατὰ
τόπον, καὶ δείκνυσιν αὐτὸ οὕτως. τὰ φυσικὰ πάντα σώματα μένει μὲν ἐν τοῖς οἰκείοις τόποις·
κινεῖται δὲ κατὰ φύσιν μὲν ἐπὶ τοὺς οἰκείους τόπους. παρὰ φύσιν δὲ καὶ βίᾳ ἐκ τούτων. εἰ
τινα ἄρα αὐτῶν ἐν τοῖς οἰκείοις εἴη ποτὲ τόποις, ταῦτα ἀδύνατον κατὰ τόπον τότε κινεῖσθαι. εἰ
γὰρ ἀνάγκη τὸ κινούμενον ἢ βίᾳ ἢ κατὰ φύσιν κινεῖσθαι, οὐδετέρως δὲ ταῦτα κινεῖται κατὰ τό-
πον, τὰ ἐν τοῖς οἰκείοις ὄντα τόποις οὐδ' ἂν κινοῖντο κατὰ τόπον, ᾗ συμπεραίνεται λοιπὸν τὰ δύο
πρῶτα τμήματα τῆς διαιρέσεως. ὧν τὸ μὲν μὴ πάντα ἠρεμεῖν ἀεί, ἐκ τῆς ἐναργείας κατεσκεύασε.

τὸ δὲ μὴ πάντα ἀεὶ κινεῖσθαι καὶ προσκατεσκεύασεν.

Α' ΛΛΑ' μὴν, οὔτε τὰ μὲν ἀεὶ ἐνδέχεται ἠρεμεῖν, τὰ δ' ἀεὶ κινεῖσθαι. ποτὲ δ' ἠρεμεῖν καὶ ποτὲ κινεῖσθαι μηδὲν, λεκτέον δ' ὅτι ἀδύνατον ὥσπερ ἐπὶ τῶν εἰρημένων πρότερον καὶ ἐπὶ τούτων. ὁρῶμεν γὰρ ἐπὶ τῶν αὐτῶν γιγνομένας τὰς εἰρημένας μεταβολάς. καὶ πρὸς τούτοις ὅτι μάχεται τοῖς φανεροῖς, ὁ ἀμφισβητῶν. οὔτε γὰρ αὔξησις, οὔθ' ἡ βίαιος ἔσται κίνησις, εἰ μὴ κινήσεται παρὰ φύσιν τὸ ἠρεμοῦν πρότερον γένεσιν οὖν ἀναιρεῖ καὶ φθορὰν οὗτος ὁ λόγος. σχεδὸν δὲ καὶ τὸ κινεῖσθαι. γίνεσθαί τι καὶ φθείρεσθαι δοκεῖ πᾶσιν. εἰς ὃ μὲν μεταβάλλει γίνεται τοῦτο ἢ ἐν τούτῳ· ἐξ οὗ δὲ μεταβάλλει, φθείρεται τοῦτο ἢ ἐντεῦθεν. ὥστε δῆλον ὅτι τὰ μὲν κινεῖται, τὰ δ' ἠρεμεῖ ἐνίοτε.

Ε' πὶ τὸ δεύτερον τμῆμα τῆς διαιρέσεως προελθὼν, τὸ λέγον τὰ μὲν κινεῖσθαι τῶν ὄντων, τὰ δὲ ἠρεμεῖν, καὶ τούτου πάλιν τὸ πρῶτον διαιρετικὸν προχειρίζεται, τὸ λέγον τά τε κινούμενα ἀεὶ κινεῖσθαι, καὶ τὰ ἠρεμοῦντα ἀεὶ ἠρεμεῖν. καὶ δείκνυσιν ὅτι καὶ τὸ οὕτως ἔχειν τὰ ὄντα, ὥστε τὰ μὲν ἀεὶ κινεῖσθαι, τὰ δὲ ἀεὶ ἠρεμεῖν. τὸ δὲ ποτὲ κινεῖσθαι καὶ ποτὲ ἠρεμεῖν, ἀδύνατόν ἐστι, καὶ ὁμοίως ἀδύνατον, ὥσπερ τὰ πρότερον ῥηθέντα. καὶ γὰρ καὶ τοῦτο ἐναργὲς, ὅτι τὰ αὐτὰ ὁρῶμεν ποτὲ μὲν ἐκ κινήσεως εἰς ἠρεμίαν μεταβάλλοντα. ποτὲ δὲ ἐξ ἠρεμίας εἰς κίνησιν. αὗται δέ εἰσιν αἱ εἰρημέναι μεταβολαὶ, δι' ἃς τινὰ ποτὲ μὲν ἠρεμεῖ, ποτὲ δὲ κινεῖται. δεύτερον ἐπάγει τῷ λόγῳ τὸ μάχεσθαι τοῖς φανεροῖς τὸν ταῦτα ἀμφισβητοῦντα, ἢ κατά τι, προσέθηκεν. εἰ γὰρ μὴ ἔστι τὸ ποτὲ μὲν ἠρεμεῖν, ποτὲ δὲ κινεῖσθαι, οὔτε ἡ αὔξησις οὔτε ἡ βίαιος ἔσται κίνησις, ἀλλὰ καὶ γένεσις ἀναιρεθήσεται καὶ φθορὰ, καὶ σχεδὸν πᾶσα κίνησις καὶ ἡ κατὰ φύσιν καὶ ἡ παρὰ φύσιν, ὡς μαθησόμεθα. εἰ οὖν φανερὸν ὅτι καὶ αὔξησίς ἐστι καὶ βίαιος κίνησις καὶ ἄλλαι μεταβολαὶ, δῆλον ὅτι τοῖς φανεροῖς μάχεται, ἀναιρῶν τὸ ποτὲ μὲν ἠρεμεῖν τινὰ τῶν ὄντων, ποτὲ δὲ κινεῖσθαι. καὶ ὅτι μὲν βίαιος οὐκ ἔσται κίνησις, ἔδειξε διὰ τοῦ εἰ μὴ κινήσεται παρὰ φύσιν ἠρεμοῦν πρότερον. τὸ γὰρ βίᾳ κινούμενον παρὰ φύσιν κινεῖται. τὸ δὲ παρὰ φύσιν κινούμενον ἐκ τοῦ οἰκείου καὶ κατὰ φύσιν αὐτῷ τόπου ἐν ᾧ πέφυκεν ἠρεμεῖν ἐξίσταται. εἰ οὖν μὴ πρότερον ἠρεμοῦν κινεῖται, οὐκ ἂν εἴη παρὰ φύσιν καὶ βίαιος κίνησις. πῶς δὲ ἡ αὔξησις ἐκ τῆς τοιαύτης θέσεως ἀναιρεῖται, δοκεῖ παραλιμπάνειν. καλῶς δὲ ὁ Ἀλέξανδρος καὶ τοῦτο διὰ τοῦ αὐτοῦ δείκνυσθαί φησιν. οὐ γὰρ ἔσται αὔξησις εἰ μὴ κινήσεται παρὰ φύσιν τὸ ἠρεμοῦν πρότερον. ἡ γὰρ τροφὴ ἠρεμήσασα πρότερον. εἶτα ἀλλοιωθεῖσα, ἀναφέρεται εἰς τοὺς ἄνω τόπους καὶ τοὺς πλαγίους. εἰς οὓς οὐ πέφυκε φέρεσθαι κατὰ φύσιν, καὶ ἐξομοιωθεῖσα προσκρίνεται. καὶ ὅταν πλείων ᾖ τοῦ ἀπορρυέντος, αὔξεσθαι ποιεῖ τὸ δεξάμενον. ἔστι δὲ καὶ ἀπὸ τῶν πρότερον ῥηθέντων δεικνύναι, ὅτι εἰ μὴ ἔστι μετὰ κίνησιν ἠρεμεῖν, οὐκ ἔστιν αὔξεσθαι. τὸ γὰρ αὐξόμενον οὔτε συνεχῶς αὔξεται, οὔτε συνάπτει τῇ μειώσει τὴν αὔξησιν. ἀλλ' ὅταν ἔλθῃ εἰς τὸν ὅρον, ἐφ' ὃν ἡ αὔξησις ἔσπευδεν, ἵσταται, καὶ τότε μεταβαίνει ἐπὶ τὴν μείωσιν. ὥστε διὰ μὲν τῆς αὐξήσεως ἀναιρεῖται τὸ τὸ κινούμενον πᾶν ἀεὶ κινεῖσθαι, διὰ δὲ τῆς βιαίου κινήσεως τὸ πᾶν τὸ ἠρεμοῦν ἀεὶ ἠρεμεῖν. οὐ μόνον δὲ ἡ αὔξησις καὶ ἡ βίαιος κίνησις ἀναιρεῖται, εἰ μὴ ἔχει τινὰ δυνάμενα παρὰ μέρος ἠρεμεῖν τε καὶ κινεῖσθαι. ἀλλὰ καὶ γένεσις ἀναιρεῖται καὶ φθορὰ ὥς φησιν ὑπὸ τούτου τοῦ λόγου. ὡς γὰρ τὸ αὐξόμενον κινεῖται τότε τὴν κατὰ τὸ αὔξεσθαι κίνησιν, ἣν οὐκ ἐκινεῖτο τότε πρὸ τοῦ αὔξεσθαι, οὕτω καὶ τὸ γινόμενον καὶ φθειρόμενον. τό, τε γὰρ αὐξόμενον εἰ καὶ πρὸ τοῦ αὔξεσθαι τὴν αὐτὴν ἐκινεῖτο κίνησιν, ἣν καὶ ὅτε αὔξεται, ἤτοι οὐδὲ νῦν τὴν αὐξητικὴν κινεῖται. ὥστε οὐδὲν αὔξεται αὐξόμενον, ἢ καὶ πρότερον ἦν αὐξόμενον, ὅτε οὔπω ηὔξετο. καὶ τὰ γινόμενα ὁμοίως καὶ φθειρόμενα, ἔχει καὶ ἀρχὴν τῆς γενέσεως, καὶ παῦλαν ὅταν γένηται, καὶ ἐπὶ τῆς φθορᾶς ὁμοίως, ὥστε εἰ ἀεὶ δεῖ κινεῖσθαι τὰ κινούμενα, καὶ ἀεὶ ἠρεμεῖν τὰ ἠρεμοῦντα, οὔτε αὔξησις οὔτε μείωσις οὔτε γένεσις ἔσται οὔτε φθορά. αἱ γὰρ κατὰ ταῦτα μεταβολαὶ καὶ ἀπ' ἠρεμίας ἄρχονται τῆς κατ' αὐτὰ καὶ τέλος ἔχουσιν, ἔτι δὲ ὃ μὴ δύναται γενέσθαι, οὐδὲ τὴν ἀρχὴν γίνεται. οὐδὲ οὐχ ὡς ἔσται ἡ γένεσις, οὐδὲ ἔστιν αὐτὸ ἐπὶ τέλος ἐλθεῖν, τοῦτο οὐ δύναται γενέσθαι. τὸ γὰρ γινόμενον ἵσταται καὶ παύεται τῆς κατὰ τοῦτο κινήσεως. ἔτι δὲ γένεσιν καὶ φθορὰν ἀναιρεῖ ὁ λόγος, ὁ ἀναιρῶν τὴν παρὰ φύσιν κίνησιν. ἡ γὰρ τινῶν γένεσις ἄλλων ἐστὶ φθορὰ, φθείρεται δὲ ἕκαστον οὐκ ἐν τῷ κατὰ φύσιν μένον, ἀλλὰ παρὰ φύσιν κινούμενον. ἀλλὰ καὶ ἐν τῷ γινομένῳ ἕκαστον οὐκ ἔχει τὴν οἰκείαν χώραν. δι' ὃ καὶ λύεται τὰ γινόμενα, τὸ δὲ γένεσιν οὖν καὶ φθορὰν ἀναιρεῖ οὗτος ὁ λόγος, δύναται ὡς ἴσον εἰρῆσθαι, τῷ ἔτι γένεσιν καὶ φθορὰν ἀναιρεῖ οὗτος ὁ λόγος, ὁ λέγων μὴ μεταβάλλειν ἐξ ἠρεμίας εἰς κίνησιν, ἢ ἐκ κινήσεως εἰς ἠρεμίαν. ἔσται γὰρ τό, τε γινόμενον πᾶν ἐπ' ἄπειρον γινόμενον, καὶ τὸ φθειρόμενον ὁμοίως. οὕτω δ' ἂν ἀδύνατον εἴη ἢ γενέσθαί τι ἢ φθαρῆναι. εἰ δὲ γένεσιν καὶ φθορὰν οὗτος ὁ λόγος ἀναιρεῖ, καὶ πᾶσαν ἂν εἴη κίνησιν ἀναιρῶν. ἵνα μὴ καθ' ἕκαστον εἶδος τῆς κινήσεως ἤτοι τῆς μεταβολῆς διατρίβωμεν. τὸ γὰρ κινεῖσθαι κοινῶς λεγόμενον, σχεδὸν πᾶσι γίνεσθαι καὶ φθείρεσθαι δοκεῖ. οὐ γὰρ δὴ τοῦτο ἦν ἀκριβῶς εἰπεῖν, ὅτι πᾶσιν οὕτω δοκεῖ. τὴν δὲ αἰτίαν τοῦ πᾶσι σχεδὸν

συνεχοῦντος, ἢ τοῦ, τὸ κινεῖσθαι σχεδὸν γίνεσθαί τι καὶ φθείρεσθαι εἶναι, δύναται γὰρ καὶ οὕτω τὸ σχεδὸν συντετάχθαι, αὐτὸς ἐπάγει κοινὴν ἐπὶ πάσης κινήσεως. ἐπειδὴ γὰρ πᾶσα κίνησις καὶ πᾶσα μεταβολὴ ἔκ τινος εἴς τι. ἄλλο γὰρ μετ' ἄλλο, εἰς ὃ μὲν μεταβάλλει γίνεται τοῦτο εἴτε κατ' οὐσίαν οἷον ἄνθρωπος. εἴτε κατὰ ποσότητα οἷον μείζων ἢ ἐλάττων, εἴτε κατὰ ποιότητα, λευκὸς ἢ θερμός, εἰ δὲ κατὰ τόπον ἡ μεταβολή, τὸ μεταβάλλον οὐ γίνεται τὸ εἰς ὃ μεταβάλλει, τουτέστι τὸ ἄνω ἢ τὸ κάτω, ἢ ὅλως ὁ τόπος. ἀλλὰ γίνεται ἐν τούτῳ. ἐξ οὗ δὲ μεταβάλλει ἢ ἐξ οὐσίας ἢ μείζονος ἢ λευκοῦ, φθείρεται τοῦτο. ἄνθρωπος γὰρ φθείρεται καὶ μείζων καὶ λευκός, ὅταν εἰς τἀναντία τούτοις μεταβάλλῃ. εἰ δὲ ἐκ τόπου, φθείρεται ἐντεῦθεν τὸ ἐκεῖθεν ἐξιστάμενον, καλῶς οὖν εἶπεν ὅτι ὁ γένεσιν καὶ φθορὰν ἀναιρῶν λόγος, καὶ κίνησιν ἀναιρεῖ πᾶσαν. αὐτὸς δὲ τοῦτο μὲν παρῆκεν ὡς ἐναργὲς συμπεραίνεσθαι. τὸ δὲ τῇ ἀναιρέσει τοῦ τὰ μὲν ἀεὶ κινεῖσθαι. ἕως ἂν ᾖ δηλονότι, τὰ δὲ ἀεὶ ἠρεμεῖν, ἑπόμενον, τοῦτο ἐπάγει λέγων, ὥστε δηλονότι τὰ μὲν κινεῖται τὰ δὲ ἠρεμεῖ ἐνίοτε. λέγει δὲ ὅτι ἔστι τινὰ ἃ παρὰ μέρος κινεῖται καὶ ἠρεμεῖ, καὶ οὐκ ἀεὶ τὸ ἕτερον. δῆλον γὰρ ὅτι καὶ τὰ ἐνίοτε κινούμενα ἐνίοτε ἠρεμεῖ, καὶ τὰ ἐνίοτε ἠρεμοῦντα ἐνίοτε κινεῖται, καὶ οὔτε τὰ ἐνίοτε κινούμενα χρὴ νομίζειν ἀεὶ κινεῖσθαι, οὔτε τὰ ἐνίοτε ἠρεμοῦντα ἀεὶ ἠρεμεῖν. ἀλλ' ἄμφω ποτὲ μὲν κινεῖσθαι, ποτὲ δὲ ἠρεμεῖν.

ΤΟ ΔΕ πάντα ἀξιοῦν ὁτὲ μὲν ἠρεμεῖν, ὁτὲ δὲ κινεῖσθαι, τοῦτο ἤδη συναπτέον πρὸς τοὺς πάλαι λόγους, ἀρχὴν δὲ πάλιν ποιητέον ἀπὸ τῶν νῦν διορισθέντων τὴν αὐτὴν ἥνπερ ἠρξάμεθα πρότερον. ἢ γάρ τοι πάντα ἠρεμεῖ ἢ πάντα κινεῖται. ἢ τὰ μὲν ἠρεμεῖ, τὰ δέ, κινεῖται τῶν ὄντων καὶ εἰ τὰ μέν, ἠρεμεῖ. τὰ δὲ κινεῖται τῶν ὄντων ἀνάγκη ἤτοι πάντα ὁτὲ μὲν ἠρεμεῖν, ὁτὲ δὲ κινεῖσθαι. ἢ τὰ μὲν ἀεὶ ἠρεμεῖν, τὰ δὲ ἀεὶ κινεῖσθαι αὐτῶν. τὰ δ' ὁτὲ μέν, ἠρεμεῖν, ὁτὲ δὲ κινεῖσθαι.

Τοῦ τμήματος τοῦ λέγοντος τὰ μὲν κινεῖσθαι τὰ δὲ ἠρεμεῖν τριχῇ διαιρεθέντος, εἴς τε τὸ τά τε κινούμενα ἀεὶ κινεῖσθαι. καὶ τὰ ἠρεμοῦντα ἀεὶ ἠρεμεῖν, καὶ εἰς τὸ τὰ πάντα ποτὲ μὲν κινεῖσθαι, ποτὲ δὲ ἠρεμεῖν, καὶ τρίτον εἰς τὸ τὰ μὲν ἀεὶ ἀκίνητα εἶναι τὰ δὲ ἀεὶ κινούμενα, τὰ δὲ ἀμφοτέρων μεταλαμβάνειν, ἐλέγξας τὸ πρῶτον τμῆμα τὸ λέγον, τά τε κινούμενα ἀεὶ κινεῖσθαι καὶ τὰ ἠρεμοῦντα ἀεὶ ἠρεμεῖν, μηδὲν δὲ ἀπὸ τοῦ κινεῖσθαι εἰς τὸ ἠρεμεῖν, ἢ ἀπὸ τοῦ ἠρεμεῖν εἰς τὸ κινεῖσθαι μεταβάλλειν, καὶ μέλλων ἐπὶ τὸ δεύτερον μετιέναι τμῆμα τούτου τοῦ διαιρετικοῦ, τὸ λέγον πάντα τὰ ὄντα ποτὲ μὲν κινεῖσθαι ποτὲ δὲ ἠρεμεῖν, καὶ προβαλλόμενος εἰς ἔλεγχον αὐτό, πάλιν ἐπὶ τὴν ἐξ ἀρχῆς διαίρεσιν ἐπανέρχεται. ὑπομιμνήσκων τε ἡμᾶς καὶ τῶν προτέρων τῆς διαιρέσεως τμημάτων, καί τινα καὶ προσεξευπορῶν τοῖς προτέροις πρὸς αὐτὰ ῥηθεῖσι. μετὰ δὲ τὰ νῦν διορισθέντα φησὶν ἀρχὴν πάλιν ποιητέον τὴν αὐτήν, ἥνπερ ἠρξάμεθα πρότερον, καὶ τὴν διαίρεσιν τὴν αὐτὴν ἐπαναληπτέον, ἣν ἐκτίθεται μὲν σαφῶς, ἐλλείπουσαν δὲ ἐν τμήματι τῷ προσεχῶς ἐλεγχθέντι, καὶ διὰ τοῦτο ἴσως νῦν παραλειφθέντι. τοῦτο δὲ ἦν, τὸ λέγον τὰ μὲν ἀεὶ κινεῖσθαι τῶν ὄντων. τὰ δὲ ἠρεμεῖν, τὰ δὲ ποτὲ μὲν κινούμενα καὶ ποτὲ ἠρεμοῦντα μὴ εἶναι, δύναται δὲ καὶ διὰ τοῦτο παραλελεῖφθαι τοῦτο νῦν. ὅτι ὁμοίως ἀδύνατόν ἐστι τῷ πάντα ἀεὶ κινεῖσθαι ἢ πάντα ἀεὶ ἠρεμεῖν, καὶ ὁμοίως ἐκείνοις ἀναιρεῖται ὡς προελθὼν ἐρεῖ.

ΟΤΙ μὲν οὖν τοίνυν οὐχ οἷόν τε πάντα ἠρεμεῖν εἴρηται μὲν καὶ πρότερον. εἴπωμεν δὲ καὶ νῦν εἰ γὰρ κατ' ἀλήθειαν οὕτως ἔχει καθάπερ τινές φασιν εἶναι τὸ ὂν ἄπειρον καὶ ἀκίνητον. ἀλλ' οὔτι φαίνεταί γε κατὰ τὴν αἴσθησιν. ἀλλὰ κινεῖται πολλὰ τῶν ὄντων. εἴπερ οὖν ἐστι δόξα ψευδής, ἢ ὅλως δόξα καὶ κίνησίς ἐστι, κἂν εἰ φαντασία κἂν ὁτὲ μέν, οὕτως δοκεῖ εἶναι ὁτὲ δ' ἑτέρως ἡ γὰρ φαντασία καὶ ἡ δόξα, κινήσεις τινὲς δοκοῦσιν εἶναι. ἀλλὰ τὸ μὲν περὶ τούτου σκοπεῖν, καὶ ζητεῖν λόγον, ὧν βέλτιον ἔχομεν ἢ λόγου δεῖσθαι, κακῶς κρίνειν ἐστὶ τὸ βέλτιον καὶ τὸ χεῖρον καὶ τὸ πιστὸν καὶ τὸ μὴ πιστόν. καὶ ἀρχὴν καὶ μὴ ἀρχήν. ὁμοίως δὲ ἀδύνατον καὶ τὸ πάντα κινεῖσθαι. ἢ τὰ μὲν ἀεὶ κινεῖσθαι, τὰ δ' ἀεὶ ἠρεμεῖν. πρὸς ἅπαντα γὰρ ταῦτα, ἱκανὴ μία πίστις. ὁρῶμεν γὰρ ἔνια ὁτὲ μὲν κινούμενα, ὁτὲ δ' ἠρεμοῦντα. ὥστε φανερὸν ὅτι ἀδύνατον ὁμοίως τό, πάντα ἠρεμεῖν, καὶ τό, πάντα κινεῖσθαι συνεχῶς τῷ τὰ μὲν ἀεὶ κινεῖσθαι, τὰ δὲ ἠρεμεῖν ἀεί.

Πρὸς τοὺς πάντα ἠρεμεῖν λέγοντας ἀπαντῶν πρότερον, ἀρρωστίαν ἔλεγεν διανοίας, τὸ ἀφέντας τὸ οἰκεῖον τῶν αἰσθητῶν κριτήριον τὴν αἴσθησιν, διὰ λόγων πειρᾶσθαι ἀναιρεῖν τὰ τῇ αἰσθήσει φαινόμενα. καὶ ὅτι ὁ τὴν κίνησιν ἀναιρῶν, οὐ περὶ μέρους τινὸς ὡς δοκεῖ τῶν φυσικῶν τῆς κινήσεως ἀμφισβητεῖ. ἀλλὰ περὶ πάσης τῆς φυσικῆς συστάσεως. εἴπερ ἡ φύσις κινήσεώς ἐστιν ἀρχή. καὶ ὅτι οὐ τὴν φύσιν μόνον ἀναιρεῖ καὶ τὰ φυσικά, ἀλλὰ καὶ τὰς τέχνας πάσης καὶ τὰς ἐπιστήμας. τὰς μὲν κινήσει χρωμένας ἐν τοῖς ἔργοις. τὰς δὲ κίνησιν λεγούσας εἶναι, καὶ διὰ κινήσεως τὰς αἰτίας τῶν γινομένων ἀποδιδούσας. καὶ ἐπὶ πᾶσιν ὅτι οὐδὲ ἔστι τῷ φυσικῷ λόγος πρὸς τοὺς ἀναιροῦντας τὴν κίνησιν. διότι τὴν ἀρχὴν τῶν φυσικῶν ἀναιρεῖ, νῦν δὲ πάλιν ἀναλαβὼν τὸ πρὸς ἐκείνους λόγον, προστίθησιν ὅτι καὶ τοῖς ἀναιροῦσι τὴν κίνησιν ἕπεται τὸ κίνησιν εἶναι. κἂν γὰρ ἀληθὲς ᾖ ὅ φασιν,

ὅτι τὸ ὂν ἄπειρόν τε καὶ ἀκίνητόν ἐστιν, ὡς ἱστόρησεν ἐν τῷ πρώτῳ τῆσδε τῆς πραγματείας Μέλισσον τίθεσθαι. ἀλλ' οὐ φαίνεσθαί γε τοῦτο οὕτως ἔχειν κατὰ τὴν αἴσθησιν. ἀλλὰ πολλὰ τῶν ὄντων κινεῖσθαι δοκεῖ. εἰ δὲ ἔστι δόξα ψευδὴς καὶ φαντασία, δῆλον ὡς καὶ κίνησίς ἐστιν. ἥτε γὰρ φαντασία, τῆς κατ' ἐνέργειαν αἰσθήσεως. καὶ ἡ δόξα συγκατάθεσις φαντασίας. καὶ ἡ αἴσθησις δὲ κίνησις καὶ διὰ κινήσεως, εἰπὼν δὲ, εἴπερ ἐστὶ δόξα ψευδὴς, προσέθηκε τὸ ἢ ὅλως δόξα. οὐ γὰρ ἡ ψευδὴς δόξα καὶ φαντασία κινήσεις, διότι ψευδεῖς. πᾶσα γὰρ φαντασία καὶ δόξα κίνησις. ὥστε καὶ οἱ οὕτως ἀποφαινόμενοι, εἰ καὶ ἀληθῆ ἔλεγον, ἐτίθεντο δὲ τὸ φαινόμενον αὐτοῖς καὶ δοκοῦν, ἐκινοῦντο. δι' ὧν ἄρα ἀπεφαίνοντο κίνησιν ἀναιροῦντες, ἠκολούθει αὐτοῖς τὸ εἶναι κίνησιν. οὕτω μὲν οὖν ὁ Ἀλέξανδρος καὶ αὐτοῖς τούτοις τοῖς ῥήμασιν ἐξηγήσατο τὰ προκείμενα. ἐπιστάσεως δὲ οἶμαι ἄξιόν ἐστι, πῶς εἰ κατὰ τὴν ἀλήθειαν οὕτως ἔχει ὥστε ἀκίνητον εἶναι τὸ ὂν, οὐ φαίνεται κατὰ τὴν αἴσθησιν οὕτως, ἀλλὰ κινεῖται πολλὰ τῶν ὄντων. πῶς γὰρ τῇ ἀληθείᾳ ἡ αἴσθησις ἡ ἀληθὴς ἀντιφθέγγεται. ἔτι δὲ εἰ κατὰ ἀλήθειαν οὕτως ἔχει ὡς λέγουσι, πῶς ψευδής ἐστι δόξα. ὡς γὰρ τοῖς προτέροις ἑπόμενον εἰρῆσθαι δοκεῖ, τὸ εἴπερ οὖν ἐστι δόξα ψευδής. μή ποτε οὖν τοῖς μὲν περὶ Μέλισσον ἀληθῶς λέγειν ἀκίνητον τὸ ὂν συγχωρεῖ, τὴν δὲ φαινομένην τῇ αἰσθήσει κίνησιν ψευδῶς ὑποτιθεμένους δοξάζεσθαι, ὡς ἀκόλουθον τῷ ἀληθὲς εἶναι τὸ μὴ κινεῖσθαι τὸ ὂν, εἰ γὰρ τοῦτο ἀληθὲς ψεῦδος τὸ κινεῖσθαι, περιτρέπει τὸν λόγον αὐτοῖς, συνάγων ὅτι εἰ ἀληθὲς τὸ ἀκίνητον εἶναι τὸ ὂν ἔστι κίνησις. καὶ οἶμαι τοιαύτην εἶναί τινα τὴν τοῦ λόγου συναγωγήν. εἰ ἀληθὲς τὸ ἀκίνητον εἶναι τὸ ὂν, ψευδής ἐστι δόξα τῶν οἰομένων φαίνεσθαι κατὰ τὴν αἴσθησιν πολλὰ τῶν ὄντων κινούμενα. εἰ δὲ ἔστι ψευδὴς δόξα, καὶ κατ' ἐκείνους ἐστὶ δηλονότι τὸ μὴ ὄν, εἰ δὲ ἐστὶ τὸ μὴ ὄν, ἔστι τὸ κενόν, εἰ δὲ τοῦτο, ἔστι κίνησις. ἀνάπαλιν γὰρ οὗτος ὁ λόγος ἀναλύει τῷ παρ' ἐκείνων ἐρωτωμένῳ. ἐπειδὴ γὰρ τὸ μὴ ὂν ἐν τῷ ὄντι φησὶν οὐκ ἔστιν, οὐκ ἂν εἴη τὸ κενόν, εἰ δὲ τὸ κενὸν μὴ ἔστιν, οὐκ ἔστι κίνησις. ἀνάγκη γὰρ ἢ διὰ πλήρους ἢ διὰ κενοῦ κινεῖσθαι, τὸ δὲ διὰ πλήρους ἀδύνατον. εἰ οὖν ἔστι ψευδὴς δόξα, ἔστι τὸ μὴ ὄν, εἰ δὲ ἔστι τὸ μὴ ὄν, οὐκ ἀναιρεῖται τὸ μὴ ὄν. τοῦ δὲ κενοῦ ὄντος οὐκ ἀναιρεῖται ἡ κίνησις. εἰς ταύτην δέ με τὴν ἔννοιαν τῆς ἐξηγήσεως ἐνήγαγε, τὸ μὴ ἂν μάτην τὸν Ἀριστοτέλη εἰπεῖν, εἴπερ οὖν ἐστι δόξα ψευδὴς, καὶ τότε ἐπαγαγεῖν τὸ, ἢ ὅλως δόξα. ἀλλὰ πῶς εἰ δόξα καὶ φαντασία ἐστὶ, καὶ κίνησίς ἐστι φυσικὴ καὶ σωματικὴ, περὶ ἧς νῦν ζητοῦμεν. οὐ γάρ εἰσιν ἐκεῖναι κινήσεις κατὰ τὸν Ἀριστοτέλη. ταύτην δὴ τὴν ἔνστασιν καλῶς ἔλυσεν ὁ Ἀλέξανδρος, εἰπὼν κίνησιν εἶναι τὴν αἴσθησιν, τὴν δὲ φαντασίαν μονὴν τῆς κατ' ἐνέργειαν αἰσθήσεως, καὶ τὴν δόξαν συγκατάθεσιν τῆς φαντασίας. εἰ οὖν ἔστι δόξα, ἔστι φαντασία καὶ ἐνέργεια αἰσθητική, εἰ δὲ αὕτη, καὶ φυσικὴ κίνησις. εἰ δὲ καὶ ποτὲ μὲν οὕτω φησί, ποτὲ δὲ ἄλλως δοκεῖ περί τινων τοῖς ἀνθρώποις, καὶ γὰρ ἀνακυκλεῖσθαι τὰς περὶ τῶν ὄντων δόξας ἐν τοῖς ἀνθρώποις τῷ Ἀριστοτέλει δοκεῖ, καὶ οὕτως ἐστὶ κίνησις ὅτι καθόλου τὸ δοξάζειν μὴ γίνεσθαι χωρὶς κινήσεως, εἴγε ἐπὶ φαντασίᾳ, αὕτη δὲ ἐπὶ αἰσθητικῇ κινήσει, καὶ συνάγει καλῶς οἶμαι λοιπὸν ἐνταῦθα τὸν λόγον ὁ Ἀλέξανδρος οὕτως. εἰ μηδὲν κινεῖται τῶν ὄντων, μὴ δὲ ἔστι κίνησις, φαίνεται τὸ κινεῖσθαί τινα, φαντασία ἐστίν. εἰ δὲ φαντασία ἐστὶ, κίνησίς ἐστι καὶ κινεῖταί τινα τῶν ὄντων. εἰ ἄρα μηδὲν τῶν ὄντων κινεῖται, μὴ δὲ ἔστι κίνησις, ἔστι κίνησις. καὶ ἡ περιτροπὴ τοῦ λόγου ἐκ τῶν κειμένων. πλὴν ὅτι ἀντὶ τῆς ψευδοῦς δόξης τὴν φαντασίαν ὁ Ἀλέξανδρος ἔλαβεν. ἐπιστῆσαι δὲ χρὴ ὅτι σαφῶς ὁ Ἀριστοτέλης εἶπεν ἐν τούτοις, ὅτι ἡ φαντασία καὶ ἡ δόξα κινήσεις τινὲς εἶναι δοκοῦσι, καὶ οὐχὶ κινήσεσιν ἀκολουθοῦσιν. εἰ μὴ ἄρα τὸ δοκοῦσι προκείμενον, τὸ κατὰ δόξαν ἄλλων εἰρῆσθαι σημαίνει. εἰπὼν δὲ ταῦτα πρὸς τοὺς πάντα ἠρεμεῖν λέγοντας, ἐπάγει καὶ τῶν πρότερον εἰρημένων τινὰ μετὰ πλείονος διαρθρώσεως. διδάσκει δὲ ἡμῶν τῶν γνώσεων τὴν διαφοράν. ὅτι ἡ μέν ἐστιν αὐτόπιστος, καὶ ἄπιστος οὐ δεομένη δι' αἰτιώδους λόγου τὸ πιστὸν λαβεῖν. τοιαῦται δέ εἰσιν αἱ ἄμεσοι λεγόμεναι προτάσεις, αἱ ἀπὸ κοινῶν ἐννοιῶν εἰλημμέναι, ἡ δέ τις ἐστὶ γνῶσις, τὴν πίστιν διὰ μέσου τοῦ αἰτιώδους λόγου λαμβάνουσα. τοιοῦτος δέ ἐστιν ἐν τοῖς συλλογισμοῖς ὁ μέσος ὅρος. καὶ δῆλον ὅτι κρείττων ἐστὶν ἡ αὐτόπιστος καὶ ἐναργὴς γνῶσις, τῆς τοῦ αἰτιώδους λόγου δεομένης. καὶ γὰρ κατὰ μὲν τὴν ἐναργῆ γινώσκομεν ἤδη. καὶ βέλτιον ἔχομεν ἢ κατὰ τὸ δεῖσθαι λόγου καὶ αἰτίας. κατὰ δὲ τὴν ἑτέραν ζητοῦμεν ἔτι καὶ πίστεως δεόμεθά τινος. ὅταν οὖν τῶν αὐτοπίστων αἰτίας καὶ λόγους ζητῶμεν. τῆς βελτίονος γνώσεως τὴν χείρονα σπουδάζομεν ἀνταλλάξασθαι. διὰ τὸ ἀγνοεῖν τί μὲν τὸ βέλτιον τί δὲ τὸ χεῖρόν ἐστιν ἐν ταῖς γνώσεσι. καὶ τί μὲν τὸ πιστὸν ἀφ' ἑαυτοῦ, τί δὲ τὸ μὴ τοιοῦτον. ἀποδεικνύντος γοῦν φασὶ γυμναστικῶς τινος κατὰ τὸν Ζήνωνος λόγον. ἐκ τῆς ἐπ' ἄπειρον διχοτομίας, ὅτι οὐκ ἂν εἴη κίνησις, Διογένης παρὼν ἀναστὰς ἐβάδισεν, τοῦτο ἐκεῖνο τὸ τοῦ Ἀριστοτέλους συμβουλεύων, ἐν οἷς ἔχομεν αὐτόπιστον γνῶσιν, μὴ δεῖσθαι περινοίας λογικῆς. ἀγνοεῖ δέ φησιν ὁ τοιοῦτος καὶ τὰ οἰκεῖα τῶν πραγμάτων κριτήρια. ὥσπερ γὰρ ἐπὶ τῆς τῶν νοητῶν γνώσεως κριτήριον τὴν αἴσθησιν προβαλλόμενος, ἄτοπός ἐστι καὶ παραλλάττει, οὕτω καὶ ὁ ἐπὶ τῶν αἰσθητῶν τὴν αἴσθησιν εἰς κριτήριον ἀτιμάζων καὶ λόγον ζητῶν, ἄτοπος ἂν εἴη. ἀγνοεῖ δὲ καὶ τὸ πιστὸν καὶ μὴ πιστόν. εἴγε τὸ πεπιστευμένον ζητεῖ, ζητήσει δὲ οὕτω πάλιν καὶ τὸ διὰ

τῆς ζητήσεως εὑρεθὲν καὶ πιστωθέν, εἰ μὴ αὔταρκες αὐτῷ τὸ πιστὸν πρὸς τὸ μὴ ζητεῖν. ἀλλ' οὐδὲ ἀρχῆς πρὸς μὴ ἀρχὴν διαφορὰν οἶδεν ὁ περὶ τῶν ἐναργῶν ζητῶν. ταύτῃ γὰρ αἱ ἀρχαὶ τῶν μετ' αὐτὰς διαφέρουσι, τῷ αὐτόπιστοι εἶναι καὶ μὴ δεῖσθαι ζητήσεως. ὁμοίως δέ φησιν ἀδυνάτου λέγειν τοῖς πάντα ἠρεμεῖν λέγουσι, καὶ τοὺς πάντα κινεῖσθαι λέγοντας, καὶ τοὺς τὰ μὲν ἀεὶ κινεῖσθαι τῶν ὄντων λέγοντας, τὰ δὲ ἀεὶ ἠρεμεῖν, καὶ τὴν αἰτίαν τῆς ὁμοιότητος ἐπάγει, ὅτι μία πίστις ἐπὶ πάντων τούτων ἱκανή, τὸ ὁρᾶσθαι τῶν ὄντων ἔνια ποτὲ μὲν κινούμενα, ποτὲ δὲ ἠρεμοῦντα. τούτου γὰρ ὄντος ἐναργοῦς, ὡς ἀδύνατα ἐκεῖνα πάντα ἐλέγχεται, ἐν δὲ τῇ ἀναιρέσει καὶ ἐκεῖνα τέθεικεν, ἃ παραλέλοιπεν ἐν τῇ προσεχεῖ διαιρέσει εἰπών, ἢ τὰ μὲν ἀεὶ κινεῖσθαι, τὰ δὲ ἀεὶ ἠρεμεῖν, καί τό τε διὰ τοῦτο παραλιπὼν ἴσως αὐτά, διὰ τὸ ὁμοίως τοῖς ἄλλοις ἀναιρεῖσθαι, καὶ διὰ τῆς αὐτῆς ἐναργείας, δι' ἧς καὶ οὗτος φανερὰν εἶναί φησι τὴν ὁμοιότητα.

ΛΟΙΠΟΝ δὴ θεωρητέον, πότερον πάντα τοιαῦτα οἷα κινεῖσθαι καὶ ἠρεμεῖν, ἢ ἔνια μὲν οὕτως, ἔνια δ' ἀεὶ ἠρεμεῖ, ἔνια δ' ἀεὶ κινεῖται. τοῦτο γὰρ δεικτέον ἡμῖν.

Ληφθέντος ὡς ἐναργοῦς, τοῦ ἔνια τῶν ὄντων ὁτὲ μὲν κινούμενα φαίνεσθαι, ὁτὲ δὲ ἠρεμοῦντα, καὶ διὰ τούτου τῶν ἄλλων τῆς διαιρέσεως τμημάτων ἐλεγχθέντων, δύο ἔτι λείπεται ἐν οἷς τοῦτο ἐναργῶς ὁρώμενόν ἐστιν. ἢ γὰρ πάντα τὰ ὄντα τοιαῦτα ἐστίν, ὡς ποτὲ μὲν κινεῖσθαι, ποτὲ δὲ ἠρεμεῖν. ἢ τὸ τρίτον ἐκεῖνο τῆς ὅλης διαιρέσεως τμῆμα ἀληθές ἐστι, τὸ λέγον τὰ μὲν οὕτως ἔχειν ὡς εἴρηται νῦν, ὥστε ποτὲ μὲν ἠρεμεῖν ποτὲ δὲ κινεῖσθαι, τὰ δὲ ἀεὶ ἠρεμεῖν, τὰ δὲ ἀεὶ κινεῖσθαι. τοῦτο γὰρ ἦν τὸ τρίτον τμῆμα τῆς ἐξ ἀρχῆς διαιρέσεως, καὶ τοῦτο προτίθεται δεῖξαι ὡς ἀληθὲς ὄν, δειχθέντος γὰρ ἀληθοῦς τούτου, καὶ τὰ πρότερον ἐλεγχθέντα πάντα, καὶ τὸ τούτῳ συμπροβληθὲν τὸ λέγον ἢ οὕτως ἔχειν πάντα, ὥστε ποτὲ μὲν ἠρεμεῖν ποτὲ δὲ κινεῖσθαι, ὡς ψευδόμενα ἐκβληθήσεται, τῷ ἀληθεῖ συνυπάρχειν μὴ δυνάμενα. δειχθέντος δὲ τούτου, συναποδειχθήσεται καὶ ὅτι οὐκ ἔστιν ἡ κίνησις γενητή. καὶ αἱ ἀπορίαι λυθήσονται αἱ πρὸς τὸ ἀγένητον τῆς κινήσεως ἐνιστάμεναι. χρὴ δὲ ἐφιστάνειν, ὅτι καὶ ἄλλα δύο τμήματα δυνατὸν ἦν ἐκ τῆς διαιρέσεως ἀναφαίνεσθαι, δίχῃ τέμνοντα τὰ ὄντα. τῶν μὲν ἐπαμφοτεριζόντων, καὶ ποτὲ μὲν κινουμένων ποτὲ δὲ ἠρεμούντων, τῶν δὲ λοιπῶν ἢ ἀεὶ κινουμένων ἢ ἀεὶ ἠρεμούντων. καὶ ὁ Εὔδημος παραφράζων σχεδὸν καὶ αὐτὸς τὰ Ἀριστοτέλους, τίθησι καὶ ταῦτα τὰ τμήματα συντόμως, λέγων, ἢ πάντα ἐπαμφοτερίζει, ἢ τινὰ αὐτῶν, τὰ δὲ λοιπὰ κινεῖται ἢ ἠρεμεῖ. δῆλον δὲ ὅτι τῆς τριχῇ ταύτης διαιρέσεως δεικνυμένης ἀληθοῦς, καὶ τὰ νῦν δίχῃ διαιρεθέντα ἐλέγχεται.

ΤΩΝ δὴ κινούντων καὶ κινουμένων, τὰ μὲν κατὰ συμβεβηκὸς κινεῖ καὶ κινεῖται. τὰ δὲ καθ' αὑτά. κατὰ συμβεβηκὸς μὲν οἷον ὅσα τε τῷ ὑπάρχειν τοῖς κινοῦσιν ἢ κινουμένοις, καὶ τὰ κατὰ μόριον. τὰ δὲ καθ' αὑτὰ ὅσα μὴ τῷ ὑπάρχειν τῷ κινοῦντι ἢ κινουμένῳ, μὴ δὲ τῷ μόριόν τι αὐτῶν κινεῖν ἢ κινεῖσθαι. τῶν δὲ καθ' αὑτά, τὰ μὲν ὑφ' αὑτοῦ. τὰ δὲ ὑπ' ἄλλου καὶ τὰ μὲν φύσει. τὰ δὲ βίᾳ καὶ παρὰ φύσιν. τό τε γὰρ αὐτὸ ὑφ' αὑτοῦ κινούμενον, φύσει κινεῖται. οἷον ἕκαστον τῶν ζῴων. κινεῖται γὰρ τὸ ζῷον αὐτὸ ὑφ' αὑτοῦ ὅσων δ' ἡ ἀρχὴ ἐν αὐτοῖς τῆς κινήσεως, ταῦτα φύσει φαμὲν κινεῖσθαι, διό, τὸ μὲν ζῷον ὅλον φύσει αὐτὸ ἑαυτὸ κινεῖ. τὸ μέντοι σῶμα, ἐνδέχεται καὶ φύσει καὶ παρὰ φύσιν κινεῖσθαι. διαφέρει γὰρ ὁποίαν τε κίνησιν κινούμενον τύχῃ, καὶ ἐκ ποίου στοιχείου συνεστηκός. καὶ τῶν ὑπ' ἄλλου κινουμένων, τὰ μὲν φύσει κινεῖται, τὰ δέ, παρὰ φύσιν. παρὰ φύσιν μέν, οἷον, τὰ γεηρὰ, ἄνω. καὶ τὸ πῦρ κάτω. ἔτι δὲ τὰ μόρια τῶν ζῴων, πολλάκις κινεῖται παρὰ φύσιν παρὰ τὰς θέσεις καὶ τοὺς τρόπους τῆς κινήσεως. καὶ μάλιστα τὸ ὑπό τινος κινεῖσθαι τὸ κινούμενον ἐν τοῖς παρὰ φύσιν κινουμένοις ἐστὶ φανερόν, διὰ τὸ δῆλον εἶναι ὑπ' ἄλλου κινούμενον. μετὰ δὲ τὰ παρὰ φύσιν τῶν κατὰ φύσιν τὰ αὐτὰ ὑφ' αὑτῶν, οἷον, τὰ ζῷα. οὐ γὰρ τοῦτ' ἄδηλον, εἰ ὑπό τινος κινεῖται. ἀλλὰ πῶς δεῖ διαλαβεῖν αὐτὸ τὸ κινοῦν καὶ τὸ κινούμενον. ἔοικε γὰρ ὥσπερ ἐν τοῖς πλοίοις καὶ τοῖς μὴ φύσει συνισταμένοις, οὕτω καὶ ἐν τοῖς ζῴοις εἶναι διῃρημένον τὸ κινοῦν καὶ τὸ κινούμενον. καὶ οὕτω τὸ πᾶν, αὐτὸ ἑαυτὸ κινεῖν.

Πρὸς τὴν ἀπόδειξιν τοῦ τὰ μὲν ἀεὶ ἀκίνητα εἶναι, ὅπερ νῦν αὐτὸς ἀεὶ ἠρεμεῖν εἶπεν. οὐ κυρίως τοῦ ἠρεμεῖν ἐπὶ τῶν ἀεὶ ἀκινήτων λεγομένου. τὰ δὲ ἀεὶ κινούμενα, τὰ δὲ ποτὲ μὲν ἠρεμοῦντα ποτὲ δὲ κινούμενα, διαιρεῖ τά τε κινούμενα καὶ κινοῦντα, εἴς τε τὰ καθ' αὑτὰ κινοῦντά τε καὶ κινούμενα, καὶ εἰς τὰ κατὰ συμβεβηκός. ὅτι γὰρ καὶ κατὰ συμβεβηκὸς κινεῖ τινα καὶ κινεῖται, δέδεικται πρότερον. τῇ δὲ κατὰ συμβεβηκὸς κινήσει νῦν συντάσσει καὶ τὴν κατὰ μόριον. ὅταν μορίου τινὸς αὐτῶν κινοῦντος ἢ κινουμένου, τὰ ὅλα κινεῖν ἢ κινεῖσθαι λέγηται. καίτοι πρότερον ἐν τῇ τῶν κινούντων τε καὶ κινουμένων διαιρέσει, τὰ κατὰ μόριον ταῦτα κινοῦντά τε καὶ κινούμενα ἀντιδιεῖλε τοῖς τε καθ' αὑτὸ καὶ τοῖς κατὰ συμβεβηκός. αὐτίκα γοῦν τοῖς μὲν κατὰ μόριον κινοῦσιν ἢ κινουμένοις, τουτέστι τοῖς κατ' ἄλλο, τὰ πρώτως, τοῖς δὲ κατὰ συμβεβηκὸς τὰ καθ' αὑτό. νῦν μέντοι πᾶν ὃ μὴ κυρίως καὶ πρώτως καὶ καθ' αὑτὸ κινεῖ καὶ κινεῖται, κατὰ συμβεβηκὸς ὀνομάζει, διελὼν δὲ οὕτως τὴν πρώτην, τὰ μὲν κατὰ συμβεβηκὸς παρῆκεν. ὡς οὐδὲν αὐτῷ συντελοῦντα πρὸς τὴν τῶν προκειμένων ζήτησιν. καὶ ὅτι τὰ οὕτω κινοῦντα καὶ κινούμενα. καὶ αὐτὰ τὴν ἀναφορὰν ἐπὶ τὰ καθ' αὑτὰ ἔχει. τὰ γὰρ ὑπάρχοντα τοῖς καθ' αὑτὸ κινοῦσιν ἢ κινουμένοις, ἢ ὡς μέρη. ἢ ὡς

πάθη, ἢ ὡς ἕξεις, ἢ ὡς ὄργανα, ἢ ἄλλως ὁπωσοῦν, ταῦτα λέγεται κατὰ συμβεβηκὸς κινεῖν ἢ κι-
νεῖσθαι. προσθεὶς δὲ τὰ καθ' αὑτὰ κινοῦντά τε καὶ κινούμενα, ἅπερ τίνα ἐστὶν ἐδήλωσεν διὰ τῆς τῶν κα-
τὰ συμβεβηκὸς ἀποφάσεως, πάλιν ταῦτα διαιρεῖ εἴς τε τὰ ὑφ' ἑαυτῶν κινούμενα καὶ τὰ ὑπ' ἄλ-
λου. καὶ ταῦτα ἄμφω συνελὼν διαιρεῖ εἴς τε τὰ φύσει κινούμενα, καὶ εἰς τὰ βίᾳ καὶ παρὰ φύσιν.
διότι τὰ μὲν ὑφ' ἑαυτῶν κινούμενα ἅπαντα κατὰ φύσιν κινεῖται. τῶν δὲ ὑπ' ἄλλων κινουμένων τὰ
μέρη κατὰ φύσιν κινεῖται. ὡς τὸ πῦρ ὑπὸ τοῦ μεταβάλλοντος αὐτὸ καὶ ποιοῦντος πῦρ. ὡς μαθη-
σόμεθα. ὥστε ὑπ' ἄλλου κινεῖται τά τε βίᾳ, καὶ τῶν μὴ ἐμψύχων τὰ κατὰ φύσιν κινούμενα, καὶ
πρῶτον δείκνυσιν ὅτι τὰ ὑφ' ἑαυτῶν καὶ ἐξ αὑτῶν κινούμενα, τοιαῦτα δέ ἐστι τὰ ζῷα, φύσει κινεῖται.
κεῖται μὲν γὰρ φύσει κινεῖσθαι, ὅσα κατὰ τὴν ἐν αὐτοῖς ἀρχὴν τῆς κινήσεως κινεῖται καθ' αὑτὰ καὶ
μὴ κατὰ συμβεβηκός, τὰ δὲ ἑαυτὰ κινοῦντα. δῆλον ὡς ἐν αὐτοῖς ἔχει τὴν ἀρχὴν τῆς κινήσεως.
ἐπειδὴ δὲ πολλάκις τὸ σῶμα τοῦ ζῴου ἐν τῇ τοῦ ζῴου ἐξ ἑαυτοῦ κινήσει, οὐχ ἣν πέφυκεν αὐτὸ κινεῖται
κίνησιν, οἷον εἰ τὸ μὲν σῶμα βαρὺ εἴη, τὸ δὲ ζῷον ἄνω κινοῖτο ἁλλόμενον ἢ ἀναρριχώμενον, καὶ ταύτης
τῆς κινήσεως ἐν ἑαυτῷ τὴν ἀρχὴν πῶς τούτῳ συμβαίνειν διεστείλατο, τὸ μὲν ζῷον λέγων φύσει αὐ-
τὸ ἑαυτό τε κινεῖν. μηδὲν δὲ κωλύειν τὸ σῶμα τοῦ ζῴου ποτὲ μὲν παρὰ τὴν ἑαυτοῦ κινεῖσθαι φύσιν,
ποτὲ δὲ κατὰ φύσιν. ἡ δὲ διαφορὰ γίνεται τοῦ κατὰ φύσιν τό τε καὶ παρὰ φύσιν κινεῖσθαι τὸ σῶμα τοῦ
ζῴου, ἀπό τε τῆς ζῴου ὡς ζῴου κινήσεως, οὐ τὴν αὐτὴν ἀεὶ κινουμένου κίνησιν, ἀλλὰ καὶ τὰς ἐναντίας
πολλάκις. καὶ ἀπὸ τῆς τοῦ πλεονάζοντος ἐν τῷ σώματι στοιχείου φύσεως. οὐ γάρ ἐστιν ἁπλοῦν τὸ σῶμα
τοῦ ζῴου. διὸ ὅταν μὲν τὸ κοῦφον ἐν τῷ σώματι πλεονάζῃ, τὸ δὲ ζῷον ἐπὶ τὸ ἄνω κινῆται, τότε καὶ τῷ
σώματι κατὰ φύσιν ἡ ἐπὶ τὸ ἄνω γίνεται κίνησις, καὶ συνεργεῖ καὶ αὐτὸ τῇ ὁρμῇ τοῦ ζῴου. εἰ δὲ τὸ ζῷον
ἐπὶ τὸ κάτω κινοῖτο, τοῦ κούφου ἐπικρατοῦντος ἐν τῷ σώματι, παρὰ φύσιν καθέλκεται τὸ σῶμα.
εἰπὼν δὲ περὶ τῶν ὑφ' ἑαυτῶν κινουμένων τουτέστι τῶν ζῴων, ὅτι ταῦτα κατὰ φύσιν ἀεὶ κινεῖται
κατὰ τὴν ἐν ἑαυτοῖς ἀρχὴν κινούμενα, καὶ περὶ τοῦ σώματος αὐτῶν πότε μὲν κατὰ φύσιν κινεῖται.
πότε δὲ παρὰ φύσιν, ἐφεξῆς περὶ τῶν ὑπ' ἄλλου κινουμένων λέγει. ὅτι τούτων τὰ μὲν φύσει κινεῖται,
τὰ δὲ παρὰ φύσιν. καὶ πρῶτον λέγει τίνα ἐστὶ τῶν ὑπ' ἄλλου κινουμένων τὰ παρὰ φύσιν κινούμενα.
ἐκ γὰρ τούτων λήψεται καὶ τὰ κατὰ φύσιν. τὰ γὰρ βίᾳ κινούμενα εἰς τοὺς ἐναντίους ἢ πέφυκε τόπους,
ταῦτα κινεῖται παρὰ φύσιν, οἷον ὅταν τὰ γεηρὰ ἄνω, καὶ τὸ πῦρ κάτω. ἀλλὰ καὶ τὰ μόρια φησὶ τῶν
ζῴων πολλάκις κινεῖται παρὰ φύσιν, παρά τε τὰς θέσεις καὶ τοὺς τρόπους τῶν κινήσεων. παρὰ μὲν
τὰς θέσεις, εἴ τις μὴ τοῖς κάτω κώλοις ἀλλὰ ταῖς χερσὶ βαδίζειν ἐπιχειρεῖ. παρὰ δὲ τὸν τρόπον τῆς
κινήσεως, ὅταν μὴ βαδίζῃ τις ἀλλὰ κυλίηται. τότε γὰρ κἂν τὸ ὅλον ζῷον ἐξ ἑαυτοῦ καὶ φύσει κινῆται,
ἀλλὰ τοῖς μορίοις παρὰ φύσιν ἡ κίνησις. εὑρὼν δὲ τοῦτον τὸν τρόπον, καθ' ὃν καὶ τὰ ὑφ' ἑαυτῶν κινούμε-
να παρὰ φύσιν ποτὲ τοῖς μορίοις δοκεῖ κινεῖσθαι, ἐπάγει. ὅτι ἐν τοῖς παρὰ φύσιν κινουμένοις, οὐχὶ τὸ
ὑφ' ἑαυτοῦ ἀλλὰ τὸ ὑπ' ἄλλου κινεῖσθαι μάλιστα φανερόν ἐστιν. ἐπὶ γὰρ τῶν βίᾳ κινουμένων φανερόν
ἐστιν ἄλλο ὂν τοῦ κινουμένου τὸ κινοῦν. μετὰ δὲ τὰ παρὰ φύσιν πάντα ἔκδηλον ἔχοντα τὴν διαφο-
ρὰν τοῦ κινοῦντος πρὸς τὸ κινούμενον, καὶ τῶν κατὰ φύσιν τὰ αὐτὰ ὑφ' ἑαυτῶν κινούμενα οἷον τὰ
ζῷα, καὶ αὐτὰ φανερὸν ἔχει τὸ κινοῦν ἄλλο ὂν τοῦ κινουμένου. οὐ γὰρ τοῦτό φησιν ἄδηλον εἰ ὑπό τινος κι-
νεῖται τὰ ζῷα. προφανὲς γάρ ἐστιν ὅτι ὑπὸ τῆς ψυχῆς κινεῖται τὴν ὡς ζῴων κίνησιν. ἀλλὰ ζητεῖ-
ται πῶς χρὴ διαλαβεῖν ἀπ' ἀλλήλων ἐν αὐτοῖς τό, τε κινοῦν καὶ τὸ κινούμενον. πότερον ὡς κεχωρι-
σμένα πάντῃ καὶ φύσει καὶ τόπῳ, ἢ τρόπον ἄλλον. ἔοικε γὰρ ἐπὶ τῶν ζῴων τὸ κινοῦν πρὸς τὸ κινούμενον
οὕτως ἔχειν, ὡς ἐπὶ τῶν μὴ φυσικῶν ἀλλὰ κατὰ τέχνην κινουμένων, καὶ ἐν ἑαυτοῖς τὸ κινοῦν ἐχόντων.
ὡς ἔχει ἐπί τε τῶν πλοίων καὶ τῶν ἁρμάτων. καὶ γὰρ ταῦτα ἐν ἑαυτοῖς μὲν ἔχει τὴν τῆς κινήσεως αἰτίαν,
τὸν κυβερνήτην καὶ τὸν ἡνίοχον, διῃρημένους μέντοι καὶ ἐπὶ οἰκείας ὄντας φύσεως. οὕτω δὲ δοκεῖ καὶ ἐν
τοῖς ζῴοις διῃρημένα εἶναι κατὰ φύσιν, εἰ καὶ μὴ τόπῳ, τό, τε κινοῦν καὶ τὸ κινούμενον, καὶ οὕτω τὸ
πᾶν ζῷον αὐτὸ αὑτὸ κινεῖν. οὐ μέντοι ἐπειδὴ καὶ ταῦτα ὑπό τινος, διὰ τοῦτο οὐχ ὑφ' ἑαυτῶν.

ΜΑΛΙΣΤΑ δ' ἀπορεῖται τὸ λοιπὸν τῆς εἰρημένης τελευταίας διαιρέσεως. τῶν γὰρ ὑπ' ἄλλου κινου-
μένων. τὰ μὲν παρὰ φύσιν ἐθήκαμεν κινεῖσθαι. τὰ δὲ, λείπεται ἀντιθεῖναι, ὅτι φύσει. ταῦτα δ'
ἐστιν, ἃ τὴν ἀπορίαν παράσχοι ἂν ὑπὸ τίνος κινεῖται. οἷον τὰ κοῦφα καὶ τὰ βαρέα. ταῦτα γὰρ εἰς μὲν
τοὺς ἀντικειμένους τόπους, βίᾳ κινεῖται. εἰς δὲ τοὺς οἰκείους, τὸ μὲν κοῦφον, ἄνω τὸ δὲ βαρὺ, κάτω φύσει.
τὸ δ' ὑπὸ τίνος, οὐκ ἔτι φανερόν. ὥσπερ ὅταν κινῶνται παρὰ φύσιν. τό τε γὰρ αὐτὰ ὑφ' αὑτῶν φάναι
ἀδύνατον. ζωτικόν τε γὰρ τοῦτο καὶ τῶν ἐμψύχων ἴδιον, καὶ ἱστάναι ἂν ἐδύνατο αὐτά. λέγω δ' οἷον εἰ τοῦ βα-
δίζειν αἴτιον αὑτῷ, καὶ τοῦ μὴ βαδίζειν. ὥστ' ἐπεὶ ἐπ' αὐτῷ τὸ, ἄνω φέρεσθαι τῷ πυρὶ, δηλονότι ἐπ' αὐτῷ καὶ
τὸ κάτω. ἄλογον δὲ καὶ τὸ μίαν κίνησιν κινεῖσθαι μόνον ὑφ' αὑτῶν, εἴγε αὐτὰ ἑαυτὰ κινοῦσιν. ἔτι πῶς ἐνδέ-
χεται συνεχές τι καὶ συμφυὲς αὐτὸ ἑαυτὸ κινεῖν. ᾗ γὰρ ἓν καὶ συνεχὲς μὴ ἁφῇ, ταύτῃ ἀπαθές. ἀλλ' ᾗ κε-
χώρισται, ταύτῃ τὸ μὲν πέφυκε ποιεῖν. τὸ δὲ, πάσχειν. οὔτ' ἄρα τούτων οὐδὲν αὐτὸ ἑαυτὸ κινεῖ, συμφυῆ γὰρ
οὔτ' ἄλλο συνεχὲς οὐδέν. ἀλλ' ἀνάγκη διῃρῆσθαι τὸ κινοῦν ἐν ἑκάστῳ, πρὸς τὸ κινούμενον, οἷον, ἐπὶ τῶν ἀψύχων

ὁρῶμεν, ὅταν κινῇ τι τῶν ἐμψύχων αὐτά. ἀλλὰ συμβαίνει καὶ ταῦτα ὑπό τινος ἀεὶ κινεῖσθαι. γένοιτο δ' ἂν φανερὸν διαιροῦσι τὰς αἰτίας.

E Εἰπὼν ὅτι καὶ ἐν τοῖς ὑπ' ἄλλων κινουμένοις φανερόν ἐστι τό, τε κινοῦν καὶ τὸ κινούμενον καὶ ἐν τοῖς ὑφ' ἑαυτῶν τουτέστιν ἐν τοῖς ζώοις. εἰπὼν δὲ ἔτι πρότερον τὰ μὲν ὑφ' ἑαυτῶν κινούμενα πάντα φύσει κινεῖσθαι. τῶν δὲ ὑπ' ἄλλου κινουμένων. τὰ μὲν φύσει τὰ δὲ βίᾳ καὶ παρὰ φύσιν. καὶ περὶ μὲν τῶν ὑπ' ἄλλων βίᾳ κινουμένων εἰπὼν τίνα τέ ἐστι. καὶ ὅτι φανερὸν ἔχει τό, τε κινοῦν καὶ τὸ κινούμενον, τὸ λοιπὸν ἀπορεῖσθαί φησι τῆς διαιρέσεως ταύτης. λέγει δὲ τῶν ὑπ' ἄλλων κινουμένων τὰ φύσει καὶ κατὰ φύσιν κινούμενα. ταῦτα γὰρ μόνα ἀπορίαν παρέχειν φησὶν ὑπὸ τίνος κινεῖται. ἐπεὶ καὶ τὰ ὑφ' ἑαυτῶν κινούμενα, καὶ τῶν ὑπ' ἄλλων κινουμένων τὰ βίᾳ κινούμενα, φανερὸν εἶχε τό, τε κινοῦν καὶ τὸ κινούμενον. εἰκότως οὖν ἀπορίαν ταῦτα παρέχει τῆς κατὰ φύσιν κινήσεως, τὸ αἴτιον ἄδηλον ἔχοντα. οἷον τὰ κοῦφα καὶ τὰ βαρέα. ταῦτα γὰρ εἰς μὲν τοὺς ἀντικειμένους τόπους βίᾳ κινούμενα, φανερὸν ἔχει τὸ κινοῦν. εἰς δὲ τοὺς οἰκείους. τὸ μὲν κοῦφον ἄνω. τὸ δὲ βαρὺ κάτω φύσει. τὸ δὲ ὑπό τινος οὐκέτι φανερόν, ὥσπερ ἐστὶ φανερόν. ὅταν κινῶνται παρὰ φύσιν. ἄπορον δὲ ἐπὶ τούτων ἐστί. διότι καὶ τὸ ὑφ' ἑτέρου κινεῖσθαι αὐτὰ τὴν κατὰ φύσιν κίνησιν ἄτοπον δοκεῖ, ἐπεὶ ἐν ἑαυτοῖς ἔχειν λέγεται τὴν τῆς κινήσεως ἀρχήν. διὰ τοῦτο γὰρ καὶ τὰ ζῶα ὑφ' ἑαυτῶν ἐλέγετο κινεῖσθαι. καὶ τὸ ὑφ' ἑαυτῶν αὐτὰ φάναι κινεῖσθαι ἀδύνατόν τι λέγειν ἐστί. καὶ δείξας τοῦτο ἀδύνατον. ἔχει λοιπὸν ὅτι ὑπ' ἄλλου κινεῖται. καὶ ζητεῖ τὸ κινοῦν αὐτὰ τὴν κατὰ φύσιν κίνησιν, ἄλλο παρ' αὐτὰ ὄν. ὅτι δὲ ἀδύνατον ὑφ' ἑαυτῶν κινεῖσθαι ταῦτα, δείκνυσι διὰ πλειόνων ἐπιχειρημάτων. ὧν τὸ μὲν πρῶτον. ὅτι ὃ ἐξ ἑαυτοῦ κινεῖται ζωτικόν ἐστι. τὸ γὰρ ἐξ ἑαυτοῦ κινούμενον ζῆν πάντες λέγομεν. ὡς καὶ ὁ Πλάτων ἐν τῷ δεκάτῳ τῶν νόμων φησί. λέγων. μῶν ἄρα με ἐρωτᾷς. εἰ ζῆν αὐτὸ προσεροῦμεν, ὅταν αὐτὸ αὐτὸ κινῇ, ναὶ ζῆν. καὶ τοῦ ἐμψύχου ἴδιόν ἐστι φησὶ τὸ ἐξ ἑαυτοῦ κινεῖσθαι. καὶ τοῦτο ὑπὸ τοῦ Πλάτωνος ἐν Φαίδρῳ λεγόμενον. ᾧ γὰρ ἔξωθέν φησι τὸ κινεῖσθαι, ἄψυχον. ᾧ δὲ ἔνδοθεν αὐτῷ ἐξ ἑαυτοῦ. ἔμψυχον. εἰ οὖν τὰ μὲν σώματα ταῦτα ἄψυχα, τὰ δὲ ἐξ ἑαυτῶν κινούμενα ἔμψυχα, οὐκ ἂν εἴη ταῦτα ἐξ ἑαυτῶν κινούμενα. ἐν δευτέρῳ σχήματι ἡ συναγωγή. δεύτερον δὲ ἐπάγει πρὸς τοῦτο, ὅτι εἰ κινεῖν ἑαυτὸ ἐδύνατο. καὶ ἱστάναι ἂν ἐδύνατο ἑαυτό. τὸ γὰρ τοῦ κινεῖν ἑαυτὸ κύριον, καὶ τοῦ ἱστάναι ἑαυτὸ τὴν ἐξουσίαν ἔχει. εἰ γὰρ τοῦ βαδίζειν καὶ τοῦ μὴ βαδίζειν. ὡς ὁρῶμεν ἐν τοῖς ζώοις τοῖς ἀφ' ἑαυτῶν κινουμένοις. ὡς γὰρ βαδίζει θελήσαντα, οὕτω καὶ ἵσταται πάλιν ὅταν οὐ θέλῃ. μόνον δὲ τοῦ στῆναι κύρια τὰ αὐτά ἐστιν. ἀλλὰ καὶ τοῦ τὰς ἐναντίας κινηθῆναι κινήσεις. ἀπὸ τῶν δεξιῶν ἐπὶ τὰ ἀριστερά. καὶ ἔμπαλιν. καὶ ἐπὶ τῶν ἄλλων τοπικῶν διαστάσεων ὁμοίως. ὅπερ αὐτόθεν μὲν οὐ προστέθεικεν ὁ Ἀριστοτέλης. ἐνεδείξατο δὲ αὐτὸ ἐπὶ τοῦ πυρὸς εἰπών. ὥστε εἰ ἐπ' αὐτῷ τὸ ἄνω φέρεσθαι τῷ πυρί, δηλονότι καὶ τὸ κάτω. καὶ διὰ τῶν ἑξῆς δὲ τὸ αὐτὸ ἐνεδείξατο εἰπών, ἄλογον δὲ καὶ τὸ μίαν μόνην κίνησιν κινεῖσθαι ὑφ' ἑαυτῶν. εἴγε ἑαυτὰ κινοῦσιν. ὡς τῶν ἐξ ἑαυτῶν κινουμένων μὴ μίαν καὶ ἁπλῆν. ἀλλὰ πλείους καὶ τὰς ἐναντίας δυναμένων κινεῖσθαι. τὸ δὲ ἄλογον δέ φησιν Ἀλέξανδρος. ἀντὶ τοῦ ἄλογον γὰρ εἴρηται. ὡς τὴν αἰτίαν ἐπάγον τοῦ προρρηθέντος. εἶτα τρίτον ἐπιχείρημα ἐπάγει. δεικνὺς ὅτι τὰ τῶν στοιχείων σώματα τὰς κατὰ φύσιν κινήσεις οὐ κινεῖται ὑφ' ἑαυτῶν. ὁ δὲ συλλογισμὸς τοιοῦτος. τὰ στοιχεῖα συμφυῆ πρὸς ἑαυτά ἐστι καὶ συνεχῆ κυρίως. ἀλλ' οὐχ οὕτως ὡς καὶ τὰ κατὰ ἁφὴν πλησιάζοντα συνεχῆ καταχρηστικῶς λέγεται. τὰ συνεχῆ κυρίως ἑαυτοῖς ἀπαθῆ ὑφ' ἑαυτῶν ἐστι. καὶ τοῦτο ὑπέμνησεν ἐκ τοῦ ἀντικειμένου. καθ' ὃ γὰρ κεχώρισται τὸ ποιοῦν καὶ τὸ πάσχον. ταύτῃ τὸ μὲν πέφυκε ποιεῖν. τὸ δὲ πάσχειν. τὰ δὲ ἀπαθῆ ὑφ' ἑαυτῶν, οὐκ ἂν κινοῖτο ὑφ' ἑαυτῶν. τὸ γὰρ κινεῖσθαι πάσχειν τί ἐστι. καὶ τὸ συμπέρασμα δῆλον. ὅτι τὰ στοιχεῖα οὐκ ἂν κινοῖτο ὑφ' ἑαυτῶν. καὶ προσέθηκεν ὅτι οὐδὲ ἄλλο συνεχὲς οὐδέν. εἰκότως. ἐπεὶ καὶ τὰ στοιχεῖα διὰ τὸ συνεχῆ εἶναι ἀπαθῆ ὑφ' ἑαυτῶν ἐστι. τὰ γὰρ ποιοῦντα καὶ πάσχοντα οὐ συνεχῆ εἶναι, ἀλλ' ἅπτεσθαι ἀλλήλων ἀνάγκη. ὡς ἔδειξεν ἐν τῷ πρὸ τούτου βιβλίῳ. κεχώρισται γὰρ τῇ οὐσίᾳ τὸ ποιοῦν τοῦ πάσχοντος. ἐπεὶ τὸ μὲν δυνάμει. τὸ δὲ ἐνεργείᾳ ἐστί. τὸ δὲ δυνάμει τι ὄν, ἄλλο τι ἐστὶ κατ' ἐνέργειαν. ποιεῖ γὰρ τὸ πῦρ εἰς τὸν ἀέρα δυνάμει ὄντα πῦρ, ἐνεργείᾳ δὲ ἀέρα. πῶς οὖν φησὶν ὁ Ἀλέξανδρος τὰ ζῶα ἑαυτὰ κινεῖ συνεχῆ ὄντα. καὶ λύει προχείρως. ὅτι τὸ κινοῦν ἐν τοῖς ζώοις οὐκ ἔστι συνεχὲς τῷ κινουμένῳ. οὔτε γὰρ σῶμα ἡ ψυχή. οὔτε ποσὸν ὅλως. διὸ οὐδὲ ἅπτεται ἀλλήλων. καὶ εἶπεν καὶ ὁ Ἀριστοτέλης πρὸ ὀλίγου. ὅτι ὥσπερ ἐν τοῖς πλοίοις. οὕτω καὶ ἐν τοῖς ζώοις διῃρημένον ἐστὶ φύσει τὸ κινοῦν καὶ τὸ κινούμενον. ὅτι δὲ ἀνάγκη διῃρῆσθαι τὸ κινοῦν πρὸς τὸ κινούμενον, ἐναργῶς ὁρᾶται ἐπὶ τῶν ἀψύχων, ὅταν ὑπὸ ἐμψύχων ταῦτα κινῆται. καὶ τὰ ἔμψυχα δέ φησιν ὑπό τινος ἀεὶ κινεῖται. πᾶν γὰρ τὸ κινούμενον ὑπό τινος κινεῖται. καὶ ἔστιν ἄλλο τὸ κινοῦν διῃρημένον τοῦ κινουμένου καὶ οὐ συνεχὲς αὐτῷ. ὅτι μὴ δὲ τὴν ἀρχὴν ποσόν. καλῶς δὲ οἶμαι ἐπέβαλεν ὁ Ἀλέξανδρος. ὅτι τό. ἀλλὰ συμβαίνει καὶ ταῦτα ὑπό τινος ἀεὶ κινεῖσθαι, δύναται μὴ περὶ τῶν ἐμψύχων εἰρηκέναι. ἀλλὰ περὶ τῶν κατὰ φύσιν κινουμένων. καὶ γὰρ καὶ ταῦτα δειχθήσεται ὑπό τινος τὴν κατὰ φύσιν κίνησιν κινούμενα. κἂν μὴ ὁρᾶται τὸ κινοῦν αὐτὰ ταύτην τὴν κίνησιν. ὥσπερ ὁρᾶται τὸ κινοῦν τὴν βίαιον κίνησιν. ὡς γὰρ ἐπὶ τούτων ὁρῶμεν

διῃρημένον τὸ κινοῦν καὶ τὸ κινούμενον, οὕτω καὶ τὰ φυσικὰ σώματα ταῖς κατὰ φύσιν κινήσεις ὑπὸ διῃρημένων αἰτίων δειχθήσεται κινούμενα. καὶ τοῦτό φησι, γένοιτο ἂν φανερὸν διαιροῦσι τὰς κινητικὰς αἰτίας. δείξει γὰρ ὅτι τῶν κινούντων τὰ μὲν ἐχόμενα τῶν κινουμένων κινεῖ αὐτὰ τῇ ἀφῇ. τὰ δὲ τῷ ποιῆσαι ἐνεργείᾳ τὸ πρότερον ὂν δυνάμει. ὃ γινόμενον ἐνεργείᾳ ἐξ ἀέρος εἰ τύχοι ὕδωρ. καὶ μὴ δυνάμενον ἔτι μένειν ἐν τῷ τοῦ ἀέρος τόπῳ. ἐπὶ τὸν τοῦ ὕδατος οἰκεῖον φέρεται, τρόπον τινὰ ὑπὸ τοῦ ποιήσαντος αὐτὸ ὕδωρ φερόμενον.

ΕΣΤΙ ΔΕ καὶ ἐπὶ τῶν κινούντων λαβεῖν τὰ εἰρημένα. τὰ μὲν γὰρ παρὰ φύσιν αὐτῶν κινητικά ἐστιν. οἷον ὁ μοχλὸς. οὐ φύσει τοῦ βάρους κινητικός. τὰ δὲ, φύσει. οἷον τὸ ἐνεργείᾳ θερμὸν, κινητικὸν τοῦ δυνάμει θερμοῦ. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων τῶν τοιούτων, καὶ κινητὸν δὲ ὡσαύτως φύσει, τὸ δυνάμει ποιὸν ἢ ποσὸν ἢ ποῦ ὅταν ἔχῃ τὴν ἀρχὴν τὴν τοιαύτην ἐν ἑαυτῷ, καὶ μὴ κατὰ συμβεβηκός. εἴη γὰρ ἂν τὸ αὐτὸ καὶ ποσὸν καὶ ποιόν. ἀλλὰ θατέρῳ θάτερον συμβέβηκε, καὶ οὐ καθ᾽ αὑτὸ ὑπάρχει. τὸ δὴ πῦρ καὶ ἡ γῆ, κινοῦνται ὑπό τινος. βίᾳ μὲν ὅταν παρὰ φύσιν. φύσει δὲ ὅταν εἰς τὰς ἑαυτῶν ἐνεργείας δυνάμει ὄντα.

Βουλόμενος δεῖξαι ὅτι τῶν ἀψύχων σωμάτων καὶ τὰ κατὰ φύσιν κινούμενα ὑπό τινος ἔξωθεν κινεῖται. καὶ οὐχ ὑφ᾽ ἑαυτῶν, συνίστησι τοῦτο διελὼν καὶ τὰ κινοῦντα ὥσπερ τὰ κινούμενα, εἴς τε τὰ κατὰ φύσιν κινοῦντα καὶ εἰς τὰ παρὰ φύσιν. εἰ γὰρ καὶ ταῦτα οὕτως ἔχει. δηλονότι τὰ μὲν τῆς παρὰ φύσιν κινήσεως κινητικὰ κινοίη ἂν τὰ βίᾳ καὶ παρὰ φύσιν κινούμενα. τὰ δὲ τῆς κατὰ φύσιν. τὰ κατὰ φύσιν κινούμενα. ἓν δὲ τῶν παρὰ φύσιν κινούντων παρήγαγε τὸν μοχλόν. οὐδὲν γὰρ τῶν κατὰ φύσιν κινουμένων μοχλῷ κινεῖται. ἀλλ᾽ ἔστι βίαιος ἡ τοιαύτη κίνησις. τὰ γοῦν βάρος ἔχοντα. τὴν παρὰ φύσιν ἑαυτοῖς κίνησιν τὴν ἐπὶ τὸ ἄνω ὑπὸ τοῦ μοχλοῦ κινεῖται. καὶ διὰ τοῦτο δὲ ὁ μοχλὸς παρὰ φύσιν κινεῖ. ὅτι οὐ κατὰ τὴν ἐν ἑαυτῷ ἀρχὴν κινεῖ. κάτω γὰρ ἂν ἐκίνει. ἀλλὰ παρ᾽ ἄλλου ἔξωθεν ἔχει τὴν αἰτίαν τῆς κινήσεως. τὰ μὲν οὖν παρὰ φύσιν κινοῦντα τοιαῦτα. κατὰ φύσιν δὲ κινεῖν λέγεται τὸ ἐνεργείᾳ τι ὂν τοῦ δυνάμει τοιούτου. τῆς τε γὰρ κατὰ φύσιν κινήσεως αἴτιον τοῖς οὕτω κινουμένοις. τὸ οὕτω κινοῦν. καὶ κατὰ τὴν ἐν ἑαυτῷ ἀρχήν τε καὶ αἰτίαν κινεῖ. τὸ γὰρ ἐνεργείᾳ θερμὸν ὅταν θερμαίνῃ τὸ δυνάμει τέως θερμὸν, ἐν ἑαυτῷ τὴν αἰτίαν τοῦ κινεῖν ἔχον οὕτω κινεῖ. παραθεὶς δὲ καὶ τὸ φύσει κινητόν. εὐθὺς σαφέστερον ἐποίησε τὸν λόγον. ὥσπερ γὰρ κινητικὸν φύσει τὸ ἐνεργείᾳ τοῦ δυνάμει, οὕτω καὶ κινητὸν φύσει τὸ δυνάμει ὑπὸ τοῦ ἐνεργείᾳ. καὶ ὥσπερ τὸ δυνάμει κινητικὸν ἐν ἑαυτῷ τὴν ἀρχὴν καὶ δύναμιν τοῦ κινεῖν ἔχει, οὕτω καὶ φύσει κινητόν ἐστιν. ὅταν ἐν ἑαυτῷ τὴν ἀρχὴν ἔχῃ. οὐκέτι ἐνεργητικὴν ὡς τὸ φύσει κινητικὸν. ἀλλὰ κατ᾽ ἐπιτηδειότητα καὶ κατὰ τὸ δυνάμει. ὥστε δυνάμει ποιὸν τοιόνδε. ἢ ποσὸν τοιόνδε. ἢ ἄνω δυνάμει ἢ κάτω. τούτων δὲ ἐμνήσθη τῶν κατηγοριῶν, ὅτι κατὰ ταύτας οἴεται μόνας τὴν κίνησιν γίνεσθαι. εἰπὼν δὲ ὅταν ἔχει τὴν ἀρχὴν τὴν τοιαύτην ἐν ἑαυτῷ. προσέθηκε καὶ ταύτην μὴ κατὰ συμβεβηκός. κἂν γὰρ τὸ ποιὸν δυνάμει καὶ ποσὸν ᾖ δυνάμει, ἀλλ᾽ εἰ τὸ ποιὸν μεταβάλλει καθ᾽ αὐτό. καθ᾽ ὃ δυνάμει ποιόν ἐστιν. ἐπειδὴ δὲ καὶ δυνάμει ποσὸν ἦν, εἴ τις λέγοι τὸ δυνάμει ποσὸν εἰς τὸ ποιὸν μεταβάλλειν, κατὰ συμβεβηκὸς ἡ τοιαύτη μεταβολή. ὅτι συνέβαινεν αὐτῷ καὶ ποσὸν εἶναι δυνάμει. καθ᾽ αὑτὸ δὲ τὸ μὲν δυνάμει ποιὸν εἰς ποιὸν μεταβάλλει. τὸ δὲ δυνάμει ποσὸν εἰς ποσόν. ἡ δὲ παράλλαξις κατὰ συμβεβηκὸς γίνεται. τίνα μὲν οὖν ἐστι τὰ κατὰ φύσιν κινητὰ ἀποδέδωκε διὰ τῶν εἰρημένων. ἐπὶ τῶν τεσσάρων κατηγοριῶν ποιησάμενος τὸν λόγον. οὐκέτι δὲ προσέθηκε τίνα τὰ παρὰ φύσιν ἐστὶ κινητὰ ἐπὶ τῶν τεσσάρων κατηγοριῶν. ἐπὶ μὲν γὰρ τῆς κατὰ τόπον. ἐπεί ἐστιν ἑκάστῳ τῶν σωμάτων καὶ κατὰ φύσιν καὶ παρὰ φύσιν κίνησις κατὰ τόπον ἡ εἰς τὸν ἐναντίον τοῦ κατὰ φύσιν, δῆλά ἐστι τὰ κινητὰ κατὰ τόπον παρὰ φύσιν. οὐ γὰρ ἔχει τὸ οὕτω κινεῖσθαι τὴν ἀρχὴν ἐν ἑαυτοῖς. ἐπὶ δὲ αὐξήσεως καὶ ἀλλοιώσεως οὐκέτι πρόδηλος ἡ παρὰ φύσιν κατὰ ταῦτα κίνησις. ἣ καὶ τούτων εἶπεν αὐτὸς ἐν τοῖς προλαβοῦσι τὰς παρὰ φύσιν κινήσεις. ἐπὶ μὲν αὐξήσεως, τοῦ σίτου μνημονεύσας τοῦ ἐν τοῖς καλουμένοις ἀδώνιδος κήποις, παρὰ φύσιν αὐξομένου δι᾽ ἐπιτηδεύσεως τοιαύτης. δι᾽ ὃ οὐδὲ τελειοῦνται. καὶ οἱ θᾶττον διὰ ἀκολασίαν ἢ ἡβάσκοντες ἢ γηράσκοντες. καὶ αὔξοιντο ἂν καὶ μειοῖντο παρὰ φύσιν. καὶ γὰρ τὴν κρᾶσιν μεταβάλλουσιν εἰς τὸ παρὰ φύσιν, ὁ μὲν θερμότερος ὁ δὲ ψυχρότερος θᾶττον τοῦ δέοντος γινόμενος. οὐ περὶ τούτων δὲ νῦν ἡ ζήτησις αὐτῷ. ἀλλὰ περὶ τῶν ἁπλῶν σωμάτων, ὑπὸ τίνος κινοῦνται τὰς κατὰ φύσιν κινήσεις. εἰπὼν δὲ ποῖα τὰ φύσει κινητικὰ καὶ κινητὰ, παράγει λοιπὸν ἐκεῖνα. ὧν ἕνεκεν ἐπὶ τοῦτον ἦλθε τὸν λόγον. καὶ λέγει ὅτι τὸ πῦρ καὶ ἡ γῆ καὶ ὅλως τὰ ἁπλᾶ σώματα κινοῦνται μὲν. ὅταν κινῶνται πάντως ὑπ᾽ ἄλλων. ἀλλὰ βίᾳ μὲν. ὅταν παρὰ φύσιν ἀπὸ τῶν οἰκείων τόπων ἐπὶ τοὺς ἐναντίους κινῶνται. φύσει δὲ. ὅταν εἰς τοὺς οἰκείους τόπους ἐφ᾽ οὓς πεφύκασι φέρεσθαι κατὰ φύσιν. αὐτὸς δὲ εἶπεν. ὅταν εἰς τὰς ἑαυτῶν ἐνεργείας δυνάμει ὄντα πρότερον μεταβάλλῃ. τουτέστιν ὅταν ἐνεργείᾳ γένηται. ὅπερ ἦν πρότερον δυνάμει. καὶ ἀπολάβῃ τὰς οἰκείας ἐνεργείας. τὸ γὰρ πῦρ ὅταν ἐνεργείᾳ γένηται πῦρ δυνάμει ὂν πρότερον, τότε ἐνεργεῖ κατὰ τὰς τοῦ πυρὸς ἐνεργείας. καὶ κινεῖται τὴν κατὰ φύσιν

τοῦ πυρὸς κίνησιν. οὐ λέγει οὖν εἰς τὰς ἐνεργείας, εἰς τὴν ἐνέργειαν κατ' οὐσίαν. ἐκεῖνο γὰρ γένεσις κατὰ φύσιν ἐστὶν, ἀλλ' οὐ κίνησις. ἀλλ' ὅταν γινόμενον ὑπό τινος ἀπολάβῃ τὰς οἰκείας ἐνεργείας, καθ' ἃς λοιπὸν ὑπ' ἐκείνου κινεῖται κατὰ φύσιν. ἐπὶ τὸν οἰκεῖον τόπον φερόμενον τὴν γὰρ ἐνέργειαν καὶ κίνησιν ταύτην τὴν ἐπὶ τὸν οἰκεῖον τόπον, ὑπ' ἐκείνου δεδόσθαι φησὶν αὐτῷ, ὑφ' οὗ καὶ τὴν οὐσίαν. καὶ τοῦτό ἐστι τὸ ὑπ' ἐκείνου κινεῖσθαι. ὁ δὲ ἀλέξανδρος τοὺς κατὰ φύσιν τοῖς σώμασι τόπους, ἐνεργείας αὐτῶν εἰρῆσθαί φησι. τουτέστι τελειότητας. τότε γὰρ αὐτῷ δοκεῖ φησὶν ἕκαστον τῶν σωμάτων ἐνεργείᾳ βαρὺ ἢ κοῦφον εἶναι, ὅταν ἐν τῷ οἰκείῳ τόπῳ ᾖ. οὐ γὰρ πῦρ, ἢ ὕδωρ, ἢ γῆ, ἢ ἀὴρ δυνάμει λέγεται εἶναι, πρὸ τοῦ ἐν τοῖς οἰκείοις εἶναι τόποις. εἰ γὰρ δυνάμει τι τούτων ἦν, οὐκέτι κινούμενα ἦν, ἀλλὰ γινόμενα. ἀλλὰ ταῦτα μὲν ἐνέργειά ἐστι, καὶ ἐν ἀλλοτρίοις ὄντα τόποις. τὴν δὲ κατὰ τόπον τελειότητα τότε λαμβάνει, ὅταν ἐνεργῇ καθ' ὅ ἐστιν. ἐνέργεια δὲ τοῦ κούφου τὸ ἄνω φέρεσθαι. φέρεται γὰρ ἐπὶ τοῦτο ἐν ᾧ δυνάμει ἐστὶν, ὥσπερ τὸ θερμαινόμενον, κατὰ φύσιν ἄρα ἐστὶν καὶ ἡ ἐπὶ τὴν τελειότητα κίνησίς τε καὶ μεταβολή. ἥτις τελειότης ἦν ἐν τῷ οἰκείῳ τόπῳ εἶναι. ὥστε εἰ μὴ πλανῶμαι, καὶ κατ' αὐτὸν οὐχὶ ὁ τόπος ὁ οἰκεῖός ἐστιν ἡ οἰκεία ἐνέργεια, ὡς ἤρξατο λέγειν. ἀλλ' ἡ ἐπὶ τὸν τόπον τὸν οἰκεῖον κίνησις. φύσει οὖν κινεῖται τὰ τὸ εἶδος τὸ οἰκεῖον ἀπολαβόντα, καθ' ὃ ἦν πρότερον δυνάμει, καὶ συναπολαβόντα τῷ ἐνεργείᾳ ἀεὶ εἶναι τὴν κατὰ τὸ εἶδος ἐνέργειαν.

Ἐ ΠΕΙ δὲ τὸ δυνάμει πλεοναχῶς λέγεται. τοῦτ' αἴτιον τοῦ μὴ φανερὸν εἶναι ὑπὸ τίνος τὰ τοιαῦτα κινεῖται. οἷον, τὸ πῦρ ἄνω. καὶ ἡ γῆ κάτω. ἔστι δὲ δυνάμει ἄλλως ὁ μανθάνων ἐπιστήμων. καὶ ὁ ἔχων ἤδη καὶ μὴ θεωρῶν. ἀεὶ δ' ὅταν ἅμα τὸ ποιητικὸν καὶ τὸ παθητικὸν ὦσι, γίνεται ἐνίοτε ἐνεργείᾳ τὸ δυνατόν. οἷον τὸ μανθάνον ἐκ δυνάμει ὄντος, ἕτερον γίνεται δυνάμει. ὁ γὰρ ἔχων ἐπιστήμην μὴ θεωρῶν δὲ, δυνάμει ἐστὶν ἐπιστήμων πως, ἀλλ' οὐχ ὡς καὶ πρὶν μαθεῖν, ὅταν δ' οὕτως ἔχῃ, ἐὰν μή τι κωλύῃ, ἐνεργεῖ καὶ θεωρεῖ. ἢ ἔσται ἐν τῇ ἀντιφάσει καὶ ἀγνοίᾳ. ὁμοίως δὲ ταῦτ' ἔχει καὶ ἐπὶ τῶν φυσικῶν. τὸ γὰρ ψυχρὸν, δυνάμει θερμόν. ὅταν δὲ μεταβάλῃ, ἤδη πῦρ. καίει δὲ, ἂν μή τι κωλύῃ καὶ ἐμποδίζῃ. ὁμοίως δ' ἔχει καὶ περὶ τὸ βαρὺ καὶ κοῦφον. τὸ γὰρ κοῦφον, γίνεται ἐκ βαρέος. οἷον, ἐξ ὕδατος, ἀήρ. τοῦτο γὰρ δυνάμει πρῶτον. καὶ ἤδη κοῦφον. καὶ ἐνεργήσει γε εὐθὺς ἐὰν μή τι κωλύσῃ. ἐνέργεια δὲ τοῦ κούφου, τὸ ποῦ εἶναι, καὶ ἄνω. κωλύεται δ' ὅταν ἐν τῷ ἐναντίῳ τόπῳ ᾖ. καὶ τοῦθ' ὁμοίως ἔχει καὶ ἐπὶ τοῦ ποσοῦ, καὶ ἐπὶ τοῦ ποιοῦ. καίτοι τοῦτο ζητεῖται διατί ποτε κινεῖται εἰς τὸν αὐτῶν τόπον, τὰ κοῦφα καὶ τὰ βαρέα. αἴτιον δ' ὅτι πέφυκέ ποι καὶ τοῦτό ἐστι τὸ κούφῳ καὶ βαρεῖ εἶναι. τὸ μὲν τῷ ἄνω. τὸ δὲ, τῷ κάτω διωρισμένον. δυνάμει δ' ἐστὶ κοῦφον καὶ βαρὺ πολλαχῶς. ὥσπερ εἴρηται. ὅταν γὰρ ᾖ ὕδωρ, δυνάμει γέ πως ἐστὶ κοῦφον. καὶ ὅταν ἀὴρ ἐστιν, ἔτι δυνάμει. ἐνδέχεται γὰρ ἐμποδιζόμενον, καὶ μὴ ἄνω εἶναι. ἀλλ' ἐὰν ἀφαιρεθῇ τὸ ἐμποδίζον, ἐνεργεῖ. καὶ ἀεὶ ἀνωτέρω γίνεται. ὁμοίως δὲ καὶ τὸ ποιὸν, εἰς τὸ ἐνεργείᾳ εἶναι μεταβάλλει. εὐθὺς γὰρ θεωρεῖ τὸ ἐπιστῆμον, ἐὰν μή τι κωλύῃ. καὶ τὸ ποσὸν ἐκτείνεται, ἐὰν μή τι κωλύῃ.

Ε ἰπὼν κατὰ φύσιν κινεῖσθαι τὰ εἰς τὰς ἑαυτῶν ἐνεργείας κινούμενα δυνάμει ὄντα, ἤτοι δυνάμει ὄντα ἐν τοῖς οἰκείοις τόποις, ἢ ἔχοντά τι ἔτι δυνάμει, διότι ἡ κίνησις ἐντελέχεια τοῦ δυνατοῦ ἐστὶν ᾗ δυνατόν. ἐπάγει ὅτι τὸ δυνάμει τοῦτο τὸ ἐν τοῖς κινουμένοις πλεοναχῶς λέγεται. καὶ τοῦτο αἴτιόν ἐστι τοῦ μὴ φανερὸν εἶναι τὸ νῦν ζητούμενον, ὑπὸ τίνος τὰ τοιαῦτα κινεῖται, οἷον τὸ πῦρ ἄνω, καὶ ἡ γῆ κάτω. δεῖ μὲν γὰρ τὸ ὑπό τινος κινούμενον, αὐτὸ μὲν κινητὸν θεῖναι καὶ δυνάμει, ὑφ' οὗ δὲ κινεῖται κινητικόν τε καὶ ἐνεργείᾳ. ἀδήλου δὲ ὄντος ἐν τῷ πυρὶ καὶ τῇ γῇ τοῦ δυνάμει. διὰ τὸ πλεοναχῶς λέγεσθαι τὸ δυνάμει, ἄδηλον καὶ τὸ κινητικὸν αὐτοῦ ἐνεργείᾳ ὄν, διαιρεῖται τοίνυν τὸ δυνάμει. εἴς τε τὸ κατ' ἐπιτηδειότητα μόνην, τέως μήπω μηδαμῶς γινόμενον τοῦτο ὃ λέγεται. ὡς δυνάμει γραμματικὸν ἢ μουσικὸν τὸ παιδίον, ὅτι δύναται γενέσθαι. καὶ εἰς τὸ γινόμενον μὲν ἤδη καὶ τὴν ἕξιν τελείαν ἔχον, μὴ ἐνεργοῦν δὲ κατ' αὐτήν. ὡς δυνάμει μουσικὸν τὸν ἀριστόξενον λέγομεν. ὅταν μὴ κιθαρίζῃ. ἀλλ' ἢ καθεύδῃ ἢ ἄλλο τι ἐνεργῇ. καὶ ἔστι μέσον τὸ δυνάμει τοῦτο, τῶν τελέως δυνάμει ὄντων καὶ δυνάμει μόνων, καὶ τῶν τελέως καὶ μόνως ἐνεργείᾳ ὄντων. ἅτε ἀμφοτέρων μετέχον, καὶ τὸ ἕτερον ὑπάρχον πρὸς ἑκάτερον. δείξας οὖν τὰ φυσικὰ σώματα ταῦτα, ἔχοντα τὸ δυνάμει ἐν ταῖς κατὰ φύσιν κινήσεσιν, εὑρήσει τὰ κινητικὰ αὐτῶν καθ' ἑκάτερον δυνάμει. λέγει δὲ πρῶτον πῶς καθ' ἑκάτερον τῶν δυνάμει εἰς τὸ ἐνεργείᾳ γίνεται ἡ μεταβολὴ, καὶ ὑπὸ τίνος. ὅταν γάρ φησιν ἅμα ᾖ τὸ ποιητικὸν καὶ τὸ παθητικὸν, τὸ μὲν πρῶτον δυνάμει τὸ ἀτελὲς ὑπὸ τοῦ ἐνεργείᾳ ὄντος μεταβάλλει προσεχῶς, εἰς τὸ ἐνεργείᾳ τὸ κατὰ τὴν ἕξιν. ὃ καὶ αὐτὸ δυνάμει πως ἔτι ἐστὶ, κατὰ τὸ ἕτερον δυνάμει τὸ μήπω ἐνεργοῦν. τοῦ δὲ ἐνεργεῖν τοῦτο τὸ δυνάμει, ὥστε τελέως ἐνεργείᾳ εἶναι. ἔστι μὲν καὶ ἡ ἕξις αἰτία. αἴτιος δὲ καὶ ὁ τὸ ἐμπόδιον ἀφελὼν ὡς ῥηθήσεται, καὶ πρῶτόν γε καὶ κυριώτατον αἴτιον καὶ τούτου τὸ τὴν ἕξιν ἐμποιῆσαν. ἐν δὲ τῇ λέξει τῇ λεγούσῃ, ἀεὶ δὲ ὅταν ἅμα τὸ ποιητικὸν καὶ παθητικὸν ὦσι, γίνεται ἐνίοτε ἐνεργείᾳ τὸ δυνατὸν

τὸ ἐνίοτε ἔν τισι μὲν ἀντιγράφοις μὴ εἶναι προσκεῖσθαί φησιν ὁ Ἀλέξανδρος. καὶ προσκείμενον δὲ ἀληθείας
ἀσφαλοῦς ἐνδεικτικόν ἐστι. πρῶτον μὲν ὅτι κἂν ἅμα ᾖ τὸ ποιητικὸν τῷ παθητικῷ, εἰ μὴ τελέως ἐνερ-
γείᾳ ᾖ τὸ ποιητικὸν, ὥστε καὶ τὴν ἕξιν ἔχειν καὶ ἀνεμποδίστως ἐνεργεῖν, οὐ γίνεται ἐνεργείᾳ τὸ δυνατόν.
τοιγαροῦν καὶ αὐτὸς τὸ ἐνίοτε ἐξηγούμενος, ὅταν δέ φησιν οὕτως ἔχῃ, ἂν μή τι κωλύῃ ἐνεργεῖ καὶ θεωρεῖ.
ἔπειτα ἐπὶ μὲν τῶν σωμάτων καὶ σωματικῶν παθῶν, ἀρκεῖ τὸ γειτνιάζειν καὶ ἅμα γενέσθαι τὸ ποιητικὸν
τῷ παθητικῷ, πρὸς τὸ γενέσθαι ἐνεργείᾳ τὸ δυνατόν. ἐπὶ δὲ τῶν μαθήσεων καὶ διδασκαλιῶν, οὐκ αὐ-
ταρκὲς τὸ ἅμα γενέσθαι τὸ διδάσκον καὶ τὸ μανθάνον, πρὸς τὸ τὸ μὲν διδάξαι τὸ δὲ μαθεῖν. εἰ μὴ καὶ προ-
αίρεσις εἴη καὶ χρόνος. ὥστε χρεία τῆς τοῦ ἐνίοτε προσθήκης. ἀλλ' ὅτι μὲν τὸ ἐκ τοῦ προτέρου δυνάμει με-
ταβάλλον εἰς τὴν ἕξιν, ὑπ' ἄλλου πάντως μεταβάλλει τοῦ κατ' ἐνέργειαν ὄντος, πρόδηλον. τοῦτο δὲ
γενέσεως καὶ οὔπω κινήσεως τῆς κυρίως ἔργον ἐστίν. ὅταν δέ φησιν ἀπολάβῃ τὴν ἕξιν, ἐὰν μή τι κωλύῃ,
ἐνεργεῖ καὶ θεωρεῖ ἤδη συνάπτων τῇ ἕξει τὴν ἐνέργειαν. εἰ γὰρ ὑπὸ μηδενὸς κωλυόμενον μὴ ἐνερ-
γοίη, εἴη ἂν ἐν ἀντιφάσει καὶ οὐχ ἁπλῶς ἐν ἀγνοίᾳ, ὡς γράφει ὁ Ἀλέξανδρος. εἰ γὰρ μεταβέβλη-
κε μὲν εἰς ἐπιστήμην. καὶ ἔχει τὴν τοῦ εἰδέναι ἕξιν παρὰ τοῦ διδάξαντος, μηδενὸς δὲ ἐμποδίζοντος
αὐτὸ μὴ ἐνεργεῖ κατὰ τὸ εἰδέναι, οὐχ ἁπλῶς ἐν ἀγνοίᾳ ἐστὶν ὁ τοιοῦτος, ἀλλ' ἐν ἀντιφάσει. εἰδὼς μὲν
καθ' ὅσον ἔχει τὴν ἐπιστήμην. μὴ εἰδὼς δὲ καθ' ὅσον καὶ μηδενὸς ἐμποδίζοντος οὐκ ἐνεργεῖ κατ' αὐτήν.
καὶ δηλονότι τὸ μὲν ἁπλῶς ἐν ἀγνοίᾳ εἶναι, οὐκ ἀδύνατόν ἐστι. τὸ δὲ ἐν ἀντιφάσει εἶναι, ἀδύνατον.
εἰ μέντοι εἴη γεγραμμένον, ὡς ἐν τοῖς πλείστοις ἀντιγράφοις, καὶ ἔσται ἐν τῇ ἀντιφάσει καὶ ἐν ἀγ-
νοίᾳ, τὸ αὐτὸ μέν πως ἐστὶ τὸ λεγόμενον. λέγει δὲ ὅτι ὁ τὴν ἕξιν ἔχων καὶ εἰδὼς κατ' αὐτὴν, μηδενὸς δὲ
κωλύοντος μὴ ἐνεργῶν, ἔσται ἐν τῇ ἀντιφάσει. διότι καὶ ἀγνοίᾳ ἐστὶ καὶ ἐν τῷ εἰδέναι. οἶδεν δὲ καὶ ταύ-
την τὴν γραφὴν ὁ Ἀλέξανδρος. εἰ οὖν ἀδύνατον μὴ ἐνεργεῖν τὸ τὴν ἕξιν ἔχον παρά τινος κατὰ τὴν
ἕξιν, εἰ μηδὲν αὐτὸ κωλύοι, ἀλλὰ συνῆπται τῇ ἕξει ἡ ἐνέργεια, καὶ ἡ κίνησις ἣν κινεῖται κατὰ τὴν
ἕξιν, εἰκότως ἂν λέγοιτο ὑπὸ τοῦ τὴν ἕξιν αὐτῷ ἐμποιήσαντος αὐτὸ κινεῖσθαι. οὕτως οὖν καθόλου,
τὴν ἀπὸ τῶν δύο δυνάμεων μεταβολὴν εἰς τὸ ἐνεργείᾳ δείξας, καὶ τῷ δευτέρῳ δυνάμει συμφυῆ
τὴν ἐνέργειαν ἀποδείξας, εἰ μή τι κωλύοι, μέτεισιν ἐπὶ τὰ φυσικὰ σώματα. καὶ δείκνυσι καὶ ἐν
τούτοις κοινῶς πρῶτον κινούμενον ἕκαστον τὴν κατὰ φύσιν ἐν αὐτῷ κίνησιν, ὑπὸ τοῦ μεταβάλλοντος
αὐτὸ ἐκ τῆς πρώτης δυνάμεως εἰς τὸ δεύτερον δυνάμει. διότι πρόχειρός ἐστιν ἡ ἐνέργεια τῇ ἕξει, μη-
δενὸς ἐμποδίζοντος. γενόμενον γὰρ ἐκ ψυχροῦ θερμὸν καὶ ἐξ ὕδατος πῦρ, ἐνεργεῖ λοιπὸν καθ' ὃ πῦρ
ἐστι. καὶ καίει καὶ ἄνω φέρεται, ἂν μή τι κωλύσῃ. ὥστε ὑπὸ τοῦ ποιήσαντος αὐτὸ ἐνεργείᾳ πῦρ, καὶ
τὸ ἐνεργεῖν ἔχει. οὐ γὰρ μετὰ τὸ γενέσθαι πῦρ προσλαμβάνει τὸ καίειν τε καὶ μὴ καίειν. ἀλλὰ τῇ εἰς
πῦρ μεταβολῇ αὐτοῦ. ἣν ὑπὸ τοῦ ποιήσαντος ἔχων, ἡ ἐνέργεια συνῆπται. δείξας δὲ τοῦτο κοινῶς οὕ-
τως ἐπὶ τῶν φυσικῶν σωμάτων, ὅπως ἀπὸ τοῦ πρώτου δυνάμει εἰς τὸ δεύτερον τὸ κατὰ τὴν ἕξιν ἡ
μεταβολὴ γίνεται, καὶ ὅπως τούτῳ σύνεστιν ἡ ἐνέργεια καὶ κίνησις ἂν μή τι κωλύῃ, μεταίρει λοι-
πὸν τὸν λόγον ἐπὶ τῶν διαφόρων κινήσεων. καὶ πρῶτον μὲν συνῃρημένως εἶτα καὶ ἀνειλημμένως
αὐτὸν παραδίδωσι. γίνεται γάρ φησιν ἐκ τοῦ ἐνεργείᾳ μὲν βαρέος, δυνάμει δὲ κούφου, κατὰ τὸ
πρότερον δυνάμει τοῦ κούφου, οἷον ἐξ ὕδατος βαρέος μὲν ὄντος ἐνεργείᾳ. κούφου δὲ δυνάμει, γίνε-
ται ὁ ἀὴρ κοῦφος ὢν ἐνεργείᾳ. καὶ ἐνεργήσει γε εὐθὺς ἂν μή τι κωλύσῃ. τὸ δὲ τοῦτο δὲ δυνάμει πρῶ-
τον καὶ ἤδη κοῦφον, ὁ Ἀλέξανδρος ἐπὶ τοῦ ἀτελοῦς δυνάμει, καὶ κατ' ἐνέργειαν βαρέος ἀκούει. τὸ
γὰρ τοιοῦτό φησι καὶ οὕτως ἔχον ὡς ἐνεργείᾳ ἔτι βαρὺ εἶναι, κατὰ τὴν πρώτην ῥηθεῖσαν δύνα-
μιν, δυνάμει κοῦφόν ἐστι. μεταβληθὲν δὲ καὶ γενόμενον κοῦφον, εὐθὺς ἐνεργήσει τὴν τοῦ κούφου
ἐνέργειαν. ὁ δέ γε Ἀριστοτέλης τὸ, καὶ ἤδη κοῦφον, οὐ περὶ τοῦ κατ' ἐνέργειαν μὲν βαρέος δυνάμει
δὲ κούφου, κατὰ τὸ ἀτελὲς δυνάμει, δοκεῖ μοι λέγειν. οὐ γὰρ ἁρμόττει ἐκείνῳ τὸ ἤδη κοῦφον. ἀλλὰ
τῷ κατ' ἐνέργειαν ἤδη γενομένῳ κούφῳ. ἀλλ' οὐδὲ τὸ ἐπαχθὲν τὸ καὶ ἐνεργήσει γε εὐθέως ἂν μή τι
κωλύῃ, τῷ ἀτελεῖ δυνάμει ἁρμόττει. ἀλλὰ τῷ κατὰ τὴν ἕξιν. εἰ τοίνυν περὶ τοῦ αὐτοῦ εἴρηται τὸ
ὅλον τοῦτο, τοῦτο γὰρ δυνάμει πρῶτον καὶ ἤδη κοῦφον, καὶ ἐνεργήσει εὐθὺς ἂν μή τι κωλύῃ, τὸ δὲ
ἤδη κοῦφον καὶ τὸ ἐνεργήσει εὐθὺς τῷ τελειοτέρῳ δυνάμει τῷ κατὰ τὴν ἕξιν προσήκει, ἀνάγκη
καὶ τὸ τοῦτο γὰρ δυνάμει πρῶτον ἐπὶ τοῦ αὐτοῦ ἀκούειν, οὐ τὴν κατὰ γένεσιν τάξιν δηλοῦντος τοῦ
πρώτου, ἐφ' ἧς πρῶτόν ἐστι τὸ ἀτελέστερον. ἀλλὰ τὴν τελειότητα. τελειότερον γοῦν τὸ κατὰ τὴν ἕξιν
δυνάμει τοῦ κατὰ τὴν ἐπιτηδειότητα. ἐνέργεια δέ φησι τοῦ κούφου τὸ ἐν τῷ ἄνω τόπῳ εἶναι.
τοῦτο γὰρ σημαίνει τὸ ποῦ καὶ ἄνω. καὶ τὸ ἐπιπολάζειν τοῖς ἄλλοις. καὶ γὰρ τοῦτο ἐνέργειά ἐστι. καὶ
τοῦ βαρέος δηλονότι ἐνέργεια τὸ κάτω εἶναι καὶ ὑφίστασθαι τοῖς ἄλλοις. καὶ αὗταί εἰσιν αἱ κυρί-
ως ἐνέργειαι τοῦ κούφου καὶ βαρέος, τὸ ἐν τῷ ἄνω καὶ τῷ κάτω εἶναι. διότι καὶ τὸ κυρίως ἐνέργεια
καὶ τὴν κατὰ τὸ εἶδος τελειότητα τότε ἀπολαμβάνουσιν. ἡ γὰρ ἐπὶ τὸ ἄνω καὶ τὸ κάτω κίνησις, ἀ-
τελῶν ἔτι ὄντων αὐτῶν ἐστὶν, καὶ οὔπω τὴν κατὰ τὸ εἶδος ἀπειληφότων τελειότητα. εἰπὼν δὲ περὶ
τῆς κατὰ τόπον κινήσεως, ὁμοίως φησὶν ἔχει καὶ ἐπὶ τοῦ ποσοῦ καὶ ἐπὶ τοῦ ποιοῦ. καὶ γὰρ τὸ αὐξητόν
ὅταν

ὅταν ἐνεργείᾳ τηλικοῦτον γένηται, ὁπηλίκον ἦν δυνάμει ὑπὸ τοῦ αὔξοντος αὐτό, τότε εὐθέως
ἐνεργεῖ τὰς καθ' ὃ τηλικοῦτόν ἐστιν ἐνεργείας. ἐκτείνεται γὰρ μᾶλλον δὲ ἐκτέταται καὶ διέστηκεν
ἐνεργείᾳ τοσοῦτον, ὅσον ἦν αὐτοῦ τὸ μέγεθος δυνάμει. καὶ αὕτη ἐστὶν ἡ ἐνέργεια αὐτοῦ ἡ τελεία, τὸ
ἐκτετάσθαι καὶ διεστάναι τοσοῦτον. τὸ γὰρ ἐκτείνεσθαι καὶ διΐστασθαι ἀτελοῦς ἔτι ὄντος ἀτελής ἐστιν
ἐνέργεια. ὁμοίως δὲ καὶ τὸ ποιὸν ἀπὸ τοῦ ἀτελοῦς δυνάμει εἰς τὸ τέλειον μεταβάλλει καὶ τὴν ἕξιν. καὶ
ἡ ἐνέργεια εὐθὺς ἀκολουθεῖ ἡ τελεία. θεωρεῖ γὰρ τὸ ἐπιστῆμον ἂν μή τι κωλύῃ. καὶ ἔστιν αὕτη ἡ τελεία
τῆς ἐνεργείας ἐπιστήμης ἐνέργεια. τὸ γὰρ μανθάνειν ἀτελοῦς ἔτι καὶ ἀτελές ἐστιν. εἰπὼν δὲ κινητικὸν
αἴτιον τῶν κατὰ φύσιν κινουμένων τὸ ἐνέργειαν ποιοῦν αὐτὰ ἐκ τοῦ δυνάμει τοῦ ἀτελοῦς ὑπομι-
μνήσκει ἡμᾶς. ὅτι τοῦτο ἦν τὸ ζητούμενον. διατί καὶ ὑπὸ τίνος αἰτίας τὰ φυσικὰ σώματα ἐπὶ τοὺς
οἰκείους κινεῖται τόπους. ὥσπερ ἤρηται οὐκ ἐπὶ τῶν κατὰ τόπον μόνον κινουμένων, ἀλλὰ καὶ ἐπὶ
τῶν κατὰ ποσὸν καὶ ἐπὶ τῶν κατὰ ποιόν. αἴτιον γάρ ἐστι τὸ ποιῆσαν αὐτὰ τοιαῦτα, οἵοις οὖσιν αὐ-
τοῖς ἐξ ἀνάγκης ἕπεται ἡ τοιαύτη κίνησις. δύναται δέ φησιν ἀλέξανδρος τὸ καὶ τοῦτο ζητεῖται,
οὐχ ὡς νῦν ἀπορηθὲν μόνον, ἀλλ' ὡς καὶ καθόλου ζητούμενον εἰρῆσθαι. ζητεῖται γὰρ ὄντως τί πο-
τέ ἐστιν αἴτιον, τῆς ἐπὶ τοὺς οἰκείους τόπους φορᾶς τοῖς σώμασιν. εὕρηται δὲ τὸ αἴτιον, ὅτι πέφυκεν
μέν που εἶναι. τοῦτο γάρ ἐστι τὸ κούφῳ καὶ βαρεῖ εἶναι, τὸ τὸ μὲν ἄνω τὸ δὲ κάτω εἶναι. καὶ εἰ μὲν
ἦν εὐθὺς οἷάπερ ἐστὶ τέλεια, παρ' ἑαυτῶν ἔχοντα τὴν τελειότητα, αὐτὰ ἂν ἦν καὶ τῆς ἐνεργείας
αὐτῶν αἴτια. ἐπειδὴ δὲ πρὸ τοῦ εἶναι ἅπερ ἐστὶν ἐνεργείᾳ, δυνάμει πρότερόν ἐστι τοιαῦτα, καὶ τὸ
δυνάμει διττὸν ὡς εἴρηται. καὶ γὰρ ὅταν ᾖ ὕδωρ βαρὺ κατ' ἐνέργειαν ὄν, δυνάμει πως ἀήρ. κατὰ
γὰρ τὸ ἀτελὲς δυνάμει ἀήρ ἐστι, καὶ διὰ τοῦτο κοῦφον, καὶ ὅταν γένηται ἀήρ, καὶ τότε κατά τινα
τρόπον ἔτι δυνάμει ἐστί. διὰ τὸ τὸ ἐμποδιζόμενον ἐνίοτε μήπω ἐνεργεῖν τὴν κατὰ τὸ εἶδος ἐνέργειαν,
καθ' ἣν ἄνω ἐστὶ τὸ κοῦφον. ἀλλὰ ἂν ἀφαιρεθῇ τὸ ἐμποδίζον, ἐνεργεῖ ἀπὸ ἀτελοῦς ἐνεργείας εἰς τε-
λειοτέραν ἀεὶ προκόπτον, καὶ ἀεὶ ἀνωτέρω γινόμενον. ἕως ἂν ἀνωτάτω γενόμενον, τὴν τελειοτά-
την ἀπολάβῃ ἐνέργειαν, τὸ ἀνωτάτω εἶναι. ὁμοίως δέ φησι καὶ τὸ ποιὸν καὶ τὸ ποσὸν εἰς τὸ ἐνεργεῖν
μεταβάλλειν, ἂν μή τι κωλύῃ. ἔστι γάρ τινα αὐξηθέντα μὲν καὶ τὸ εἶδος ἀπολαβόντα, οὐ δέπω δὲ
τοσοῦτον κατέχοντα τόπον, ὅσον δύναται κατέχειν, διὰ τὸ κωλύεσθαι. ὥσπερ ὁ ἐξ ὕδατος γινό-
μενος ἀὴρ ἐν μικρῷ τινι οἰκήματι. ἐξετάθη γὰρ ἂν πλέον, εἰ μὴ συνεπιλεῖτο καὶ ἐπυκνοῦτο ὑπὸ
τοῦ οἰκήματος.

Ὁ ΔΕ ΤΟ ὑφεστάμενον καὶ κωλύον κινήσας, ἔστιν ὡς κινεῖ, ἔστι δ' ὡς οὔ. οἷον, ὁ τὸν κίονα ὑποσπά-
σας, ἢ ὁ τὸν λίθον ἀφελὼν ἀπὸ τοῦ ἀσκοῦ ἐν τῷ ὕδατι. κατὰ συμβεβηκὸς γὰρ κινεῖ. ὥσπερ καὶ ἡ ἀνα-
κλασθεῖσα σφαῖρα, οὐχ ὑπὸ τοῦ τοίχου ἐκινήθη ἀλλ' ὑπὸ τοῦ βαλόντος. ὅτι μὲν οὖν οὐδὲν τούτων
αὐτὸ κινεῖ ἑαυτό, δῆλον. ἀλλὰ κινήσεως ἀρχὴν ἔχει, οὐ τοῦ κινεῖν, οὐδὲ τοῦ ποιεῖν. ἀλλὰ τοῦ πάσχειν.

Τῆς κατὰ φύσιν κινήσεως καὶ ἐνεργείας αἴτιον μέχρι νῦν ὡς ἐμοὶ δοκεῖ, τὴν τοῦ εἴδους λέγει τελειότη-
τα, ἣν ἀπολαβὸν εὐθὺς ἐνεργεῖ κατ' αὐτό, εἰ μή τι κωλύσοι. τὸ γὰρ διὰ τὸ οὕτω πεφυκέναι οὕτω κι-
νεῖσθαι, τὴν φύσιν ἐστὶ καὶ τὸ εἶδος αἰτιωμένου. προελθὼν δὲ ὀλίγον, καὶ τὸ γεννῆσαν καὶ ποιῆσαν τοιοῦτον
οἷόν ἐστιν αἴτιον τῆς τοιαύτης λέγει κινήσεως. ὥσπερ οἱ ἐξηγηταὶ καὶ ἐν τοῖς ἔμπροσθεν αὐτὸν αἰτιᾶ-
σθαι νομίζουσι. πολλαχοῦ δὲ τὸ τὴν ἕξιν ἀπολαβὸν εὐθὺς ἐνεργεῖν λέγων, καὶ προστιθεὶς ἂν μή τι κω-
λύῃ, λέγει νῦν ὅτι καὶ ὁ τὸ ὑφεστάμενον καὶ κωλύον ἀφαιρῶν. ἔστιν ὡς κινεῖ, ἔστι δὲ ὡς οὔ. καθ' αὑτὸ
μὲν γὰρ οὐ κινεῖ. ἄλλο γάρ τι προηγουμένως ἐνεργεῖ, κατὰ συμβεβηκὸς δὲ κινεῖ. ὁ γὰρ τὸν κίονα ὑπο-
σπάσας καθ' αὑτὸ μὲν τοῦτον κινεῖ. κατὰ συμβεβηκὸς δὲ καὶ τὸ ὑπὸ τοῦ κίονος ἀνεχόμενον μέλαθρον,
καὶ κωλυόμενον κατὰ τὴν αὐτοῦ φύσιν ἐνεχθῆναι κάτω. ὁμοίως δὲ καὶ ὁ τὸν ἐπικείμενον τῷ πεφυση-
μένῳ ἀσκῷ λίθον ἀφελών, δι' ὃν ἐβυθίζετο καὶ οὐκ ἐπεπόλαζε τῷ ὕδατι, προηγουμένως μὲν τὸν
λίθον ἐκίνησεν. κατὰ συμβεβηκὸς δὲ καὶ αὐτὸν τὸν ἀσκόν. ὃς ἀφαιρεθέντος τοῦ κατέχοντος αὐτὸν λί-
θου ἀνηνέχθη. ἔτι δὲ μᾶλλον τὴν ἀνομοιότητα τῆς κινήσεως, τὴν γινομένην ὑπό τε τῶν καθ' αὑτὰ κι-
νούντων, καὶ τῶν τὰ κωλύοντα κινεῖσθαι ἀφαιρούντων ἐπὶ τῆς σφαίρας ἔδειξε τῆς ἀποπαλλο-
μένης ἀπὸ τοῦ τοίχου. ὡς γὰρ ταύτην προηγουμένως μὲν κινεῖ ὁ τὴν ἀρχὴν ἀφείς, κατὰ συμβεβηκὸς
δὲ καὶ ὁ τοῖχος ἀφ' οὗ ἀποπάλλεται, οὕτω καὶ τὰ φυσικὰ σώματα προηγουμένως μὲν ὑπὸ τῶν μετα-
βαλλόντων αὐτὰ καὶ ποιησάντων τοιαῦτα κινεῖται. κατὰ συμβεβηκὸς δὲ καὶ ὑπὸ τῶν ἀφαιρούντων
τὰ ἐμποδίζοντα πρὸς τὴν κίνησιν, συναγομένου οὖν ἐκ τῶν εἰρημένων, τοῦ μηδὲν τούτων ὑφ' ἑαυ-
τοῦ κινεῖσθαι ἀλλ' ὑπ' ἄλλου, ἔνστασίς τις ἀναφύεται, ζητοῦσα πῶς λέγεται τὰ φυσικὰ ἀρχὴν κι-
νήσεως ἐν ἑαυτοῖς ἔχειν τὴν φύσιν, εἰ μὴ ὑφ' ἑαυτῶν ἔνδοθεν, ἀλλ' ἔξωθεν ὑπ' ἄλλου κινοῦνται. καὶ
λύει ταύτην τὴν ἔνστασιν λέγων, ὅτι κινήσεως ἀρχὴν ἔχειν λέγεται ταῦτα, οὐχ ὡς τοῦ κινεῖν οὐδὲ
τοῦ ποιεῖν, ἀλλὰ τοῦ κινεῖσθαί τε καὶ πάσχειν. οὐ γὰρ μόνον τὸ κινοῦν ἀφ' ἑαυτοῦ ἔχειν ἀρχὴν κινήσεως
λέγεται. ἀλλὰ καὶ τὸ κινεῖσθαι πεφυκὸς καὶ αὐτὸ κινήσεως ἀρχὴν ἔχει. τὸ γὰρ τῆς κινήσεως ὄνομα κοι-
νόν ἐστι καὶ τοῦ κινοῦντος καὶ τοῦ κινουμένου. εἰ δὲ ἡ κίνησις ἐν τῷ κινουμένῳ ἐστὶν ὡς δέδεικται πρότερον,

οἰκειοτέρα ἂν εἴη τῷ κινουμένῳ ἡ κίνησις. ἀρχὴν δὲ ἔχειν τοῦ κινεῖσθαι λέγεται τὰ φυσικὰ σώματα,
τῷ δύναμιν ἔχειν καὶ ἐπὶ τελειότητα πρὸς τὸ εἶδος μεταβάλλειν, εἰς ὃ μεταβάλλον ὑπό τι-
νος, κινήσεται τήνδε τὴν κίνησιν, ἧς λέγεται ἀρχὴν ἔχειν. τὸ γὰρ πεφυκέναι κινεῖσθαι κατά τινα κίνη-
σιν, ἀρχὴν ἔχειν ἐστὶ τῆς τοιαύτης κινήσεως. ὡς ὁ εὐφυὴς ὢν πρὸς φιλοσοφίαν ἀρχὴν ἔχει φιλοσο-
φίας, οὐ τοῦ ποιῆσαι φιλόσοφον ἄλλον, ἀλλὰ τοῦ αὐτὸς γενέσθαι φιλόσοφος. εἰ οὖν ἡ τῶν σωμάτων φύ-
σις μὴ ἔστιν ἀρχὴ τοῦ κινεῖν καὶ ποιεῖν, ἀλλὰ τοῦ κινεῖσθαι καὶ πάσχειν, ὅταν ὁ ἀριστοτέλης ποιητικὸν αἴ-
τιον λέγῃ τὴν φύσιν, πῆ μὲν λέγων ὅτι οὐδὲν μάτην ποιεῖ οὔτε ὁ θεὸς οὔτε ἡ φύσις, πῆ δὲ δεικνὺς
ὅτι κατὰ λόγους ἡ φύσις καὶ ἕνεκά του ποιεῖ, ἢ ἄλλην τινὰ τὴν φύσιν ἐκείνην οἰητέον, τὴν διὰ πάν-
των διήκουσαν δημιουργικὴν οὖσαν, ἢ εἰ περὶ τῆς αὐτῆς λέγει φύσεως, ὑλικῶς καὶ παθητικῶς ἀκου-
στέον τοῦ λεγομένου, ὡς καὶ τῆς ἀρχῆς ἠκούομεν. ἐπιζητεῖ δὲ ὁ ἀλέξανδρος ἐν τούτοις, πῶς ἔτι τὸ
κυκλοφορητικὸν σῶμα φυσικὸν ἔσται, εἰ τὸ μὲν φυσικὸν ὡς ἀριστοτέλης φησὶν ἀρχὴν τοῦ πάσχειν
ἔχει, τὸ δὲ κυκλοφορητικὸν ἀπαθές ἐστι. καὶ λύει πρῶτον μὲν λέγων, ὅτι καὶ ἀεικίνητον ὂν τὸ κυκλο-
φορητικὸν, ἀλλὰ ἄλλοτε ἀπ' ἄλλου καὶ ἐπ' ἄλλο κινούμενον, ἔχει τὰ δυνάμει ἐν ἑαυτῷ. ἐφ' ὅσον δὲ τὸ
δυνάμει κεκίνηκεν, ἐπὶ τοσοῦτον καὶ παθητόν πως ἐστί. πᾶν γὰρ τὸ δυνάμει ὑλικόν πως ἐστὶν, ἔχει
οὖν καὶ ἐκεῖνο ἀρχὴν κινήσεως τῆς κατὰ τὸ κινεῖσθαι ἐν αὐτῷ, καὶ κατὰ τοῦτο φυσικόν ἐστιν. ἢ ἄμεινόν
φησιν ἐπὶ τοῦ θείου ἀκούειν, μὴ ὡς ἐπὶ τῶν ἀψύχων σωμάτων τὴν κατὰ φύσιν κίνησιν. ἀλλ' ὡς ἐπὶ τῶν
κατὰ ψυχὴν κινουμένων. ἃ οὐχ ὑπό τινος ἔξωθεν κινεῖται. ἀλλ' ἐν αὐτοῖς ἔχει τὴν κινητικὴν ἀρχήν
τε καὶ αἰτίαν. ἀλλ' εἰ τοῦτό φησι, πῶς οὐχὶ καὶ στάσεως ἀρχὴν ἔχει, καὶ τῆς εἰς τὰ ἐναντία κινήσεως. ἢ
εἰς τὰ ἐναντία μέν φησιν οὐ κινήσεται. ὅτι μὴ ἔστι τις ἐναντία κίνησις τῇ κυκλοφορίᾳ. οὐκ ἠρεμεῖ δὲ,
ὅτι μήτε ἐπὶ τοιαῦτα κινεῖται, ἐν οἷς ἀνάγκη στῆναι τὸ γινόμενον. μήτε δεῖται στάσεως. ὅσα γοῦν τῶν
κινουμένων ὑφ' ἑαυτῶν καὶ ἵστασθαι πέφυκε, ταῦτα καὶ τοῦ ἵστασθαι ἐξ αὑτῶν ἔχει τὴν δύναμιν. ταῦτα
μὲν ὁ ἀλέξανδρος, τί δὲ τὸ λεγόμενόν ἐστι. τὸ μὴ ὡς ἐπὶ τῶν ἀψύχων σωμάτων ἐπὶ τοῦ οὐρανοῦ τὴν κα-
τὰ φύσιν κίνησιν λαμβάνειν, ἀλλ' ὡς ἐπὶ τῶν κατὰ ψυχὴν κινουμένων, εἰσόμεθα σαφέστερον ὑπομνη-
σθέντες τῆς δόξης αὐτοῦ, ἣν ἔχει περὶ τῆς τοῦ οὐρανοῦ ψυχῆς. τὴν γοῦν αὐτὴν οἴεται ψυχὴν εἶναι καὶ
φύσιν ἐν τῷ οὐρανῷ. καὶ γράφει δὲ ἐν τῷ εἰς τὸ δεύτερον τῆς περὶ οὐρανοῦ ὑπομνήματι ταῦτα. ἡ-
μεῖς δὲ ἐπιχειροῦμεν δεικνύναι τοῦ θείου σώματος, οὐκ ἄλλην μὲν τὴν φύσιν, ἄλλην δὲ τὴν ψυχήν. ἀλλ'
ὡς ἡ βαρύτης τῆς γῆς, καὶ τοῦ πυρὸς ἡ κουφότης, καὶ μετ' ὀλίγα. τίς γὰρ ἂν ἄλλη παρὰ ταύτην εἴη
φύσις αὐτοῦ. τελειοτέρα γοῦν φύσις ἡ ψυχή. εὔλογον δὲ τοῦ τελειοτέρου σώματος καὶ τὴν φύσιν εἶναι
τελειοτέραν. τοῦτο οὖν ἐστι καὶ τὸ νῦν ῥηθὲν ὑπ' αὐτοῦ, τὸ τὴν κατὰ φύσιν κίνησιν τοῦ οὐρανοῦ, ὡς ὑπὸ
τῶν κατὰ ψυχὴν κινουμένων εἶναι. δῆλον δὲ ὅτι ταῦτα συμφώνως τῇ περὶ ψυχῆς ἑαυτοῦ δόξῃ λέ-
γει, ἐντελέχειαν ἀχώριστον τοῦ σώματος οἰόμενος τὴν ψυχὴν εἶναι, ὁποία τις ἐστὶ καὶ ἡ φύσις.

Ε ΕΙ ΔΗ πάντα τὰ κινούμενα ἢ φύσει κινεῖται ἢ παρὰ φύσιν καὶ βίᾳ, καί τά τε βίᾳ καὶ τὰ παρὰ
φύσιν πάντα ὑπό τινος καὶ ὑπ' ἄλλου, τῶν δὲ φύσει πάλιν τά τε ὑφ' αὑτῶν κινούμενα, ὑπό τινος κινεῖ-
ται καὶ τὰ μὴ ὑφ' αὑτῶν. οἷον, τὰ κοῦφα καὶ τὰ βαρέα, ἢ γὰρ ὑπὸ τοῦ γεννήσαντος καὶ ποιήσαντος κοῦ-
φον ἢ βαρὺ, ἢ ὑπὸ τοῦ τὰ ἐμποδίζοντα καὶ κωλύοντα λύσαντος, ἅπαντα ἂν τὰ κινούμενα ὑπό
τινος κινοῖτο.

Δ Δείξας προσεχῶς ὅτι τὰ φύσει λεγόμενα κινεῖσθαι, οὐχ ὑφ' ἑαυτῶν ἀλλ' ὑπ' ἄλλων κινεῖται, ἔχων δὲ
ὁμολογούμενον τὸ καὶ τὰ βίᾳ καὶ παρὰ φύσιν κινούμενα ὑπό τινος κινεῖσθαι, ἐναργὲς γὰρ τοῦτο, λα-
βὼν δὲ ὅτι καὶ ἐπὶ τῶν ζώων τὸ μὲν ὑπό τινος αὐτὰ κινεῖσθαι ἐναργές ἐστι καὶ ὁμολογούμενον, ζητεῖται
δὲ μόνον ἐπ' αὐτῶν πῶς δεῖ χωρίσαι τὸ κινοῦν τοῦ κινουμένου, ταῦτα οὖν προομολογησάμενος συ-
νάγει λοιπὸν ἐκ τῶν κειμένων, ὅτι πάντα τὰ κινούμενα ὑπό τινος κινεῖται. εἰ γὰρ τῶν κινουμένων τὰ
μὲν φύσει κινεῖται, τὰ δὲ παρὰ φύσιν καὶ βίᾳ, καὶ τά τε βίᾳ καὶ παρὰ φύσιν πάντα ὑπό τινος ἄλ-
λου κινεῖται ἔξωθεν κινοῦντος, καὶ τῶν φύσει τὰ μὲν ὑφ' ἑαυτῶν ὡς τὰ ζῷα, τὰ δὲ οὐχ ὑφ' ἑαυτῶν,
ὡς τὰ κοῦφα καὶ τὰ βαρέα καὶ ὅλως τὰ ἁπλᾶ τῶν σωμάτων, περὶ ὧν δέδεικται ὅτι καθ' αὑτὸ μὲν
ὑπὸ τοῦ γεννήσαντος καὶ ποιήσαντος κοῦφον, ἢ βαρὺ, καὶ ὅλως τοιοῦτον οἷον γινόμενον ἐπὶ τὸ ἄνω ἢ
ἐπὶ τὸ κάτω κινεῖται, κατὰ συμβεβηκὸς δὲ ὑπὸ τοῦ τὰ ἐμποδίζοντα καὶ κωλύοντα ἀφαιροῦν-
τος, δηλονότι πάντα τὰ κινούμενα ὑπό τινος κινεῖται. οὐ γάρ ἐστιν ἄλλα κινούμενα παρὰ τὰ εἰρη-
μένα, τά τε παρὰ φύσιν καὶ τὰ κατὰ φύσιν, καὶ τούτων ἡ διττὴ διαφορὰ, καὶ ἔστιν ὁ συλλογι-
σμὸς τοιοῦτος. πάντα τὰ κινούμενα ἢ κατὰ φύσιν ἢ παρὰ φύσιν κινεῖται. πάντα δὲ τὰ παρὰ φύ-
σιν καὶ κατὰ φύσιν κινούμενα ὑπό τινος κινεῖται. πάντα ἄρα τὰ κινούμενα ὑπό τινος κινεῖται, δύνα-
ται δὲ καὶ ὑποθετικῶς συνάγεσθαι. ὥσπερ καὶ δοκεῖ συνάγειν ὁ ἀριστοτέλης. εἰ γὰρ πάντα τὰ κινού-
μενα ἢ φύσει ἢ παρὰ φύσιν κινεῖται, καὶ τά τε φύσει καὶ τὰ παρὰ φύσιν ὑπό τινος κινεῖται, πάντα τὰ κι-
νούμενα ὑπό τινος κινεῖται, τὸ δὲ πρῶτον. δέδεικται γὰρ, τὸ ἄρα δεύτερον, φυσικώτερον δὲ νῦν ἔδειξεν
ὅτι πᾶν τὸ κινούμενον ὑπό τινος κινεῖται, ἤπερ ἐν τῷ πρὸ τούτου βιβλίῳ. ὁ δὲ εὔδημος ὅτι τὸ κινούμενον

ὑπό τινος κινεῖται, δείκνυσι καὶ ἐκ τῆς τοῦ πρός τι συνυποστάσεως. ὡς γὰρ τὸ τεμνόμενόν φησιν ἄλογον μὴ ὑπό τινος τέμνεσθαι, καὶ τὸ ἑλκόμενον μὴ ὑπό τινος ἕλκεσθαι, καὶ ὅλως τὸ ποιούμενον μὴ ὑπό τινος ποιεῖσθαι, οὕτω καὶ τὸ κινούμενον μὴ ὑπό τινος κινεῖσθαι. ἀπορήσειε δ' ἄν τις ὡς οἶμαι, πῶς τὰ κατὰ φύσιν κινούμενα τὴν τοπικὴν κίνησιν, ὑπὸ τοῦ κινήσαντος αὐτὰ καθ' αὑτὰ κινεῖσθαί φησιν. εἴπερ τὸ μὲν γεννῆσαν καὶ ποιῆσαν τὴν οὐσίαν καὶ τὸ εἶδος ποιεῖ, καὶ τῆς κατὰ γένεσιν μεταβολῆς ἐστιν αἴτιον. ἄλλη δὲ ἡ κατὰ γένεσιν μεταβολή, καὶ ἄλλη ἡ τοπικὴ κίνησις. καὶ ὅλως εἰ τὸ γεννῆσαν καὶ ποιῆσαν πῦρ πέπαυται ἐνίοτε, καὶ οὔτε πάρεστιν οὔτε ἐφάπτεται τοῦ κινουμένου, πῶς ὑπ' ἐκείνου λέγεται κινεῖσθαι τὸ πῦρ. ὥστε καὶ συναγαγεῖν ὅτι πᾶν τὸ κινούμενον ὑπό τινος ἄλλου παρ' αὐτὰ κινεῖται. καὶ ζητείσθω μὲν αὖθις πλέον τοῦτο. λεγέσθω δὲ τέως τὸ νῦν ἐπελθόν. ὅτι ἔστι μέν πως κινητικὸν καὶ τὸ τοῦ εἴδους ποιητικόν, τοῦ πεφυκότος κινεῖσθαι κατ' ἐκείνην τὴν κίνησιν. ποιεῖ γὰρ καὶ τὴν κίνησιν καὶ ἐνέργειαν τοῦ εἴδους μετ' αὐτοῦ. ὡς ὁ τὸν ἀμφορέα ποιῶν, καὶ τὸ δέχεσθαι τὸν οἶνον ποιεῖ. οὐ μέντοι ὁ τὴν κίνησιν μετὰ τοῦ εἴδους ποιῶν, κινεῖ κυρίως τὸ εἶδος κατ' ἐκείνην τὴν κίνησιν. ὡς ὁ τὸν λίθον τῇ χειρὶ κινῶν, εἴπερ μὴ δὲ πάρεστιν ἔτι κινουμένῳ αὐτῷ τὸ ποιοῦν. ἀλλὰ ἄλλη αὕτη φαίνεται κινοῦντος διαφορά. καθ' ἣν τὸ εἶδος ποιεῖ πεφυκὸς κινεῖσθαι καὶ κινούμενον ἂν μή τι κωλύῃ. καὶ θαυμαστῶς εὗρε καὶ ἐν τοῖς κατὰ φύσιν κινουμένοις τὸ ὑπό τινος κινεῖσθαι τὸ κινούμενον. ἐπειδὴ τὸ κινεῖσθαι πάσχειν τί ἐστι, τὸ δὲ πάσχον δεῖται τοῦ ποιοῦντος. ἡ μὲν γὰρ τελεία ἐνέργεια ἐκ τῆς τελείας οὐσίας προϊοῦσα, οὐ δεῖταί τινος ἄλλης τῆς παραγούσης αἰτίας. ἡ δὲ κίνησις ἀτελὴς οὖσα ἐνέργεια, καὶ πάθος μᾶλλον, καὶ πολλῷ τῷ δυνάμει συγκεκραμένη, δεῖται τοῦ ποιοῦντος αὐτήν.

Τ ΟΥΤΟ δὲ διχῶς. ἢ γὰρ οὐ δι' αὐτὸ τὸ κινοῦν, ἀλλὰ δι' ἕτερον ὃ κινεῖ τὸ κινοῦν, ἢ δι' αὐτό. καὶ τοῦτο, ἢ πρῶτον μετὰ τὸ ἔσχατον, ἢ διὰ πλειόνων. οἷον, ἡ βακτηρία κινεῖ τὸν λίθον, καὶ κινεῖται ὑπὸ τῆς χειρὸς κινουμένης ὑπὸ τοῦ ἀνθρώπου. οὗτος δ' οὐκ ἔτι τῷ ὑπ' ἄλλου κινεῖσθαι. ἄμφω δὴ κινεῖν φαμὲν καὶ τὸ τελευταῖον καὶ τὸ πρῶτον τῶν κινούντων. ἀλλὰ μᾶλλον τὸ πρῶτον. ἐκεῖνο γὰρ κινεῖ τὸ τελευταῖον. ἀλλ' οὐ τοῦτο τὸ πρῶτον. καὶ ἄνευ μὲν τοῦ πρώτου, τὸ τελευταῖον οὐ κινήσει. ἐκεῖνο δ' ἄνευ τούτου. οἷον, ἡ βακτηρία. οὐ κινήσει μὴ κινοῦντος τοῦ ἀνθρώπου. εἰ δὴ ἀνάγκη πᾶν τὸ κινούμενον ὑπό τινός τε κινεῖσθαι καὶ ἢ ὑπὸ τοῦ κινουμένου ὑπὸ ἄλλου ἢ μή. καὶ εἰ μὲν ὑπ' ἄλλου κινουμένου, ἀνάγκη τι εἶναι κινοῦν. ὃ οὐχ ὑπὸ ἄλλου πρῶτον. εἰ δὲ τοιοῦτον τὸ πρῶτον, οὐκ ἀνάγκη θάτερον. ἀδύνατον γὰρ εἰς ἄπειρον ἰέναι τὸ κινοῦν καὶ τὸ κινούμενον ὑπ' ἄλλου αὐτό. τῶν γὰρ ἀπείρων, οὐκ ἔστιν οὐδὲν πρῶτον. εἰ οὖν ἅπαν μὲν τὸ κινούμενον ὑπό τινος κινεῖται, τὸ δὲ πρῶτον κινοῦν, κινεῖται μέν, οὐχ ὑπ' ἄλλου δέ, ἀνάγκη αὐτὸ ὑφ' αὑτοῦ κινεῖσθαι.

Δ είξας ὅτι πᾶν τὸ κινούμενον ὑπό τινος κινεῖται, ἐφεξῆς ἀκολούθως ἀναζητεῖ, πότερον ὑπὸ κινουμένου κινεῖται τὸ κινούμενον, ἢ ὑπὸ ἀκινήτου. διὰ δὲ τὸ πᾶσι σχεδὸν ὥς φησιν Εὔδημος δοκεῖ τὸ κινοῦν κινεῖσθαι καὶ αὐτό, τῶν δὲ κινούντων ἅμα καὶ κινουμένων, τὸ μὲν αὐτοκίνητόν ἐστι, τὸ δὲ ὑπ' ἄλλου ἔξωθεν κινεῖται, δύο ὄντων ἀρχικῶν τῆς κινήσεως τοῦ τε ἀκινήτου καὶ τοῦ αὐτοκινήτου, τὸ αὐτοκίνητον πρῶτον παραδίδωσι. καὶ δείκνυσιν ὅτι ἔστι τι πρῶτον ἐν τοῖς κινοῦσί τε καὶ κινουμένοις, ὃ κινεῖ μὴ ὑπὸ ἄλλου ἔξωθεν κινούμενον. διαιρεῖ δὲ πάλιν τὸ κινοῦν καθ' αὑτὸ κατ' ἄλλην διαίρεσιν, εἴς τε τὸ μὴ δι' ἑαυτὸ κινοῦν. ἀλλὰ δι' ἕτερον ἔξωθεν αὐτὸ κινοῦν. καὶ εἰς τὸ δι' ἑαυτὸ κινοῦν. καὶ λέγει δι' ἕτερον μέν, ὡς τὸ κινοῦν τι τῷ ὑπ' ἄλλου κινεῖσθαι. ὡς ὁ μοχλὸς κινεῖ τὸ βάρος, ἢ ὡς ἡ βακτηρία τὸν λίθον, ἄλλου κινοῦντος αὐτήν. δι' ἑαυτὸ δὲ κινεῖ τὸ τὴν αἰτίαν ἐν ἑαυτῷ τοῦ κινεῖν ἔχον. ὥσπερ τὰ ζῷα καθ' ὁρμὴν οἰκείαν κινεῖ, καὶ πάλιν διαιρεῖ τὸ δι' ἑαυτὸ κινοῦν εἴς τε τὸ πρῶτον κινοῦν μετὰ τὸ ἔσχατον, ὅπερ ἐστὶ μόνως κινούμενον, ὥσπερ ὅταν ὁ ἄνθρωπος δι' ἑαυτὸν κινῶν, ἅτε παρ' ἑαυτοῦ τὸ κινεῖν ἔχον, κινῇ τὸν λίθον πρῶτος ὢν μετὰ τὸ ἔσχατον, ὅπερ ἐστὶν ὁ λίθος, κινούμενος μέν, μηκέτι δὲ ἄλλο τι κινῶν αὐτός, ὡς προσεχῶς τὸν λίθον ὑπὸ τοῦ ἀνθρώπου κινεῖσθαι. εἴς τε οὖν τοῦτο διαιρεῖ τὸ δι' ἑαυτὸ κινοῦν, καὶ εἰς τὸ διὰ πλειόνων μέσων κινεῖν τὸ ἔσχατον. ὡς ὁ ἄνθρωπος ὁ δι' ἑαυτὸν κινῶν διὰ πλειόνων μέσων κινεῖ τὸν λίθον. ὃς ὑπόκειται ἔσχατος εἶναι κινούμενος, ὥσπερ ὅταν ὁ μὲν ἄνθρωπος κινῇ τὴν χεῖρα, ἡ δὲ χεὶρ τὴν βακτηρίαν, ἡ δὲ βακτηρία τὸν λίθον. ἔστω γὰρ καὶ ἡ χεὶρ τῶν μέσων, καὶ ὁ μὲν ἄνθρωπος κινεῖ οὐ τῷ ὑπ' ἄλλου κινεῖσθαι, ὁ δὲ λίθος κινεῖται, μηκέτι ἄλλο τι αὐτὸς κινῶν. τὰ δὲ οὕτω κινοῦντά φησι κἂν ἄμφω κινῇ, τό, τε προσεχὲς τῷ ἐσχάτῳ, ὥσπερ ἡ βακτηρία, καὶ τὸ πρῶτον κινοῦν ὥσπερ ὁ ἄνθρωπος, ἀλλὰ μᾶλλον καὶ κυριώτερον τὸ πρῶτόν ἐστι κινητικόν, τουτέστιν ὁ ἄνθρωπος. διότι ἐκεῖνος καὶ τὴν βακτηρίαν κινεῖ, ἀλλ' οὐχ ἡ βακτηρία τὸν ἄνθρωπον, καὶ ἄνευ μὲν τοῦ ἀνθρώπου ἡ βακτηρία οὐ κινήσει, ὁ δὲ ἄνθρωπος καὶ ἄνευ τῆς βακτηρίας κινεῖ, καὶ διὰ ταῦτα μᾶλλον ὁ ἄνθρωπος κινεῖ τῆς βακτηρίας. εἴπερ ὁ μὲν ἄνθρωπος οὐ δεῖται ἄλλου τοῦ κινοῦντος αὐτὸν πρὸς τὸ κινῆσαι, ἡ δὲ βακτηρία δεῖται, ὥστε πᾶν τὸ κινούμενον ὑπό τινος, δεῖται τοῦ δι' ἑαυτὸ κινοῦντος. εἴ γε τὰ μὲν οὐ δι' ἑαυτὰ κινοῦντα, ἀλλὰ ὑπ' ἄλλων κινούμενα καὶ οὕτω κινοῦντα, δεῖται πάντως τοῦ δι' ἑαυτὸ κινοῦντος, καὶ οὐκ ἂν ἄλλως κινήσοι, τὰ δὲ δι' ἑαυτὰ κινοῦντα, οὐ δεῖται τῶν οὐ δι' ἑαυτὰ κινούντων. πᾶν οὖν τὸ κινούμενον ὑπό τινος δι' ἑαυτὸ κινοῦντος ἀνάγκη κινεῖσθαι, ἢ προσεχῶς δέ, ἢ διὰ μέσου τινὸς τῶν ὑπὸ ἄλλου κινουμένων, καὶ εἰ προσεχῶς, τουτέστιν εἰ πρῶτον εὐθὺς μετὰ τὸ μόνως κινούμενόν ἐστι τὸ δι' ἑαυτὸ κινοῦν, οὐκ ἀνάγκη θάτερον ἔτι εἶναι τὸ με-

σου γινόμενον, τοῦ τε ἑαυτὸ κινοῦντος καὶ τοῦ ἐσχάτου κινουμένου. ἀρκεῖ γὰρ τὸ ἑαυτὸ κινοῦν προσεχὲς ὂν τῷ κινουμένῳ καὶ πρῶτον μετ᾽ αὐτὸ εἰς τὸ κινῆσαι αὐτό, εἰ οὖν ἀνάγκη τὸ ὑπό τινος κινούμενον ἢ προσεχῶς ἢ διὰ μέσου, ὑπὸ τοῦ δι᾽ ἑαυτὸ κινοῦντος τουτέστι τοῦ αὐτοκινήτου κινεῖσθαι, ἀνάγκη τῶν κινητικῶν πρῶτον εἶναι τὸ αὐτοκίνητον. καὶ δείκνυσι λοιπὸν ὅτι ἐστί τι τοιοῦτον ἐν τοῖς οὖσιν, ὃ κινεῖ κινούμενον αὐτὸ οὐχ ὑπό τινος ἔξωθεν ἀλλ᾽ ὑφ᾽ ἑαυτοῦ. εἰ γὰρ πᾶν τὸ κινούμενον καὶ οὕτω κινοῦν ὑπό τινος ἔξωθεν ἄλλου κινεῖται, καὶ ἐκεῖνο ὑπ᾽ ἄλλου, καὶ τοῦτο ἀεὶ οὕτως, εἰς ἄπειρον ἀνάγκη ἰέναι, ἀλλὰ μὴν τοῦτο ἀδύνατον. οὐ γὰρ ἔσται φησὶ τὸ πρῶτον κινοῦν λαβεῖν, μὴ ὄντος δὲ τοῦ πρώτου κινοῦντος, οὐδὲ τὸ τελευταῖον ἂν εἴη, τὸ προσεχὲς τῷ κινουμένῳ μὲν, μηκέτι δὲ κινοῦντι. εἰ οὖν μήτε πρῶτον μήτε τελευταῖόν ἐστι κινοῦν, οὐκ ἔστι κίνησις. μὴ ὄντος γὰρ τοῦ κινοῦντος, οὐδὲ τὸ κινούμενον ἔσται. οὐκ ἄρα εἰς ἄπειρον ἰέναι χρὴ ἄλλο πρὸ ἄλλου τιθέντα κινοῦν τε καὶ κινούμενον. ἔστιν ἄρα τὸ πρῶτον κινοῦν μὴ ὑφ᾽ ἑτέρου κινούμενον, καὶ συνάγει λοιπὸν τὰ δεδειγμένα, δέδεικται δὲ ὅτι πᾶν τὸ κινούμενον ὑπό τινος κινεῖται, καὶ προσετέθη ὅτι τὸ ὑπό τινος κινούμενον ὑπὸ πρώτου κινοῦντος κινεῖται. ὡ προσελήφθη ὅτι τὸ πρῶτον κινοῦν κινεῖται μὲν, οὐχ ὑπ᾽ ἄλλου δέ, οὐ δὲ γὰρ ἂν ἔτι πρῶτον ἦν, καὶ εἰς ἄπειρον ἀνάγκη προϊέναι τὰ κινοῦντα καὶ κινούμενα, καὶ οὕτως ἀνῃρεῖτο ἡ κίνησις. ὥστε πᾶν τὸ κινούμενον ὑπὸ πρώτου κινεῖται τοῦ αὐτοκινήτου. καὶ γὰρ ἀναιρουμένου μὲν τούτου, ἀναιρεῖται καὶ τὰ μὴ οὕτω κινοῦντα. ἐκείνων δὲ ἀναιρουμένων, τοῦτο οὐ συναναιρεῖται. ὅλως δὲ τὸ ὑπ᾽ ἄλλου κινούμενον, ὕστερόν ἐστι τοῦ κινοῦντος κινουμένου καὶ αὐτοῦ, πρῶτον ἄρα τοῦτο. ἔτι δὲ τὸ κινοῦν τῷ κινουμένῳ αἴτιόν ἐστι τοῦ κινεῖσθαι. τὸ δὲ αἰτιατὸν ὕστερον τοῦ αἰτίου, πρῶτον ἄρα κινεῖ κινούμενον τὸ αὐτὸ κινοῦν. προστίθησι δὲ ὁ Εὔδημος ὅτι καὶ τῶν ἐνταῦθα κινήσεων αἱ ζωτικαὶ φαίνονται κινήσεις αἴτιαι, καὶ ἡ οὐρανία τῶν τῶν στοιχείων δηλονότι μετὰ βολῆς. δοκεῖ δὲ καὶ αὕτη ζωτική πως. οὐ γὰρ ὑπ᾽ ἄλλου κινεῖται ὁ οὐρανός, ἀλλ᾽ ὑφ᾽ ἑαυτοῦ.

Ε῎ΤΙ ΔΕ` καὶ ὧδε τὸν αὐτὸν τοῦτον λόγον ἐστὶν ἐπελθεῖν. ἅπαν γὰρ τὸ κινοῦν τί τε κινεῖ, καὶ τινί. ἢ γὰρ αὑτῷ κινεῖ τὸ κινοῦν, ἢ ἄλλῳ. οἷον, ἄνθρωπος αὐτὸς ἢ τῇ βακτηρίᾳ. καὶ ὁ ἄνεμος κατέβαλεν ἢ αὐτὸς ἢ ὁ λίθος ὃν ἔωσεν. ἀδύνατον δὲ κινεῖν ἄνευ τοῦ αὐτὸ αὑτὸ κινοῦντος, τὸ ᾧ κινεῖ. ἀλλ᾽ εἰ μὲν αὐτὸ αὑτῷ κινεῖ, οὐκ ἀνάγκη ἄλλο εἶναι ᾧ κινεῖ. ἐὰν δὲ ᾖ ἕτερον τὸ ᾧ κινεῖ, ἔστι τι ὃ κινήσει οὐ τινί, ἀλλ᾽ αὑτῷ. ἢ εἰς ἄπειρον εἶσιν. εἰ οὖν τι κινούμενον κινεῖ, ἀνάγκη στῆναι καὶ μὴ εἰς ἄπειρον ἰέναι. εἰ γὰρ ἡ βακτηρία κινεῖ τῷ κινεῖσθαι ὑπὸ τῆς χειρός, ἡ χεὶρ κινεῖ τὴν βακτηρίαν. εἰ δὲ καὶ ταύτην, ἄλλο κινεῖ, καὶ ταύτην ἕτερόν τι τὸ κινοῦν. ὅταν δή τινι κινῇ ἀεὶ ἕτερον, ἀνάγκη εἶναι πρότερον, τὸ αὐτὸ αὑτὸ κινοῦν. εἰ οὖν κινεῖται μὲν τοῦτο μὴ ἄλλο δὲ τὸ κινοῦν αὐτό, ἀνάγκη αὐτὸ αὑτὸ κινεῖν, ὥστε καὶ κατὰ τοῦτον τὸν λόγον ἤτοι εὐθὺς τὸ κινούμενον, ὑπὸ τοῦ αὐτὸ αὑτῷ κινοῦντος κινεῖται, ἢ ἔρχεταί ποτε εἰς τὸ τοιοῦτον.

Ὅ῎τι μὲν ὁ αὐτός ἐστι λόγος οὗτος τῷ πρὸ αὐτοῦ, καὶ αὐτὸς λέγει. διαφέρει δέ φησιν ὁ Ἀλέξανδρος τῇ ἐφόδῳ, ὅτι ἐκεῖ μὲν ἡ ἀρχὴ τῆς δείξεως ἀπὸ τοῦ τὸ κινούμενον ἢ ὑπὸ αὑτοῦ κινοῦντος κινεῖσθαι, ἢ οὐχ αὑτῷ ἀλλ᾽ ὑπ᾽ ἄλλου. ἐνταῦθα δὲ ἀπὸ τοῦ κινοῦντος ἡ δεῖξις αὐτῷ πρόεισι. λαμβάνει γὰρ πᾶν τὸ κινοῦν, ὥσπερ τι κινεῖ, ἀδύνατον γάρ τι κινεῖν μὲν μηδὲν δὲ κινεῖν, οὕτω καί τινι κινεῖν. μή ποτε δὲ οὐ ταύτῃ διενηνόχασιν οἱ λόγοι. καὶ γὰρ καὶ ὁ ἤδη ῥηθεὶς ἀπὸ τοῦ κινοῦντος ἐπεχειρήθη λέγων, ἢ γὰρ οὐ δι᾽ ἑαυτὸ τὸ κινοῦν, ἀλλὰ δι᾽ ἕτερον ὃ κινεῖ τὸ κινοῦν, ἢ δι᾽ ἑαυτό. ἀλλ᾽ ᾧ διαφέρει τὸ δι᾽ ἑαυτὸ κινεῖν τοῦ ἑαυτῷ κινεῖν, καὶ τὸ δι᾽ ἕτερον τοῦ ἄλλῳ, ταύτῃ διενηνόχασιν οἱ λόγοι. διαφέρει δὲ ταῦτα, τῷ τὸ μὲν δι᾽ ἑαυτὸ κινοῦν, ὡς ἐν αὑτῷ τὴν ἀρχὴν τῆς κινήσεως ἔχον κινεῖν. τὸ δὲ αὑτῷ κινοῦν ὡς προσεχῶς ἐφαπτόμενον τοῦ κινουμένου, τὸ τὴν ἀρχὴν τῆς κινήσεως ἐν αὑτῷ ἔχον. τοῦτο γὰρ σημαίνει τὸ ῥηθὲν ὑπ᾽ αὐτοῦ, οἷον ἄνθρωπος ἢ αὐτὸς ἢ τῇ βακτηρίᾳ, καὶ ὁ ἄνεμος κατέβαλεν ἢ αὐτὸς ἢ ὁ λίθος, ὃν ἔωσεν. ὥσπερ οὖν πρότερον τὸ δι᾽ ἕτερον κινοῦν ἀνήγαγεν εἰς τὸ δι᾽ ἑαυτὸ κινοῦν, καὶ ἔδειξεν ὅτι ἐὰν ᾖ τὸ δι᾽ ἕτερον κινοῦν, ἀνάγκη τὸ δι᾽ ἑαυτὸ κινοῦν προϋπάρχειν, οὕτως τὸ ᾧ κινεῖ τὸ κινοῦν μέσον ὂν τοῦ τε πρώτου κινοῦντος καὶ τοῦ ἐσχάτου κινουμένου ἀνάγει εἰς τὸ αὑτῷ κινοῦν. καὶ δείκνυσιν ὅτι ὅταν τινὶ κινῇ ἀεὶ ἕτερον ἀνάγκη εἶναι πρότερον τὸ αὐτὸ ἑαυτῷ κινοῦν. ὃ καὶ τὴν ἀρχὴν ἐν ἑαυτῷ τῆς κινήσεως ἔχει, καὶ προσεχές ἐστι τῷ κινουμένῳ, καὶ οὐ δι᾽ ἄλλου αὐτὸ κινεῖ, τοὺς μὲν οὖν λόγους οὕτως οἶμαι χρὴ διακρίνειν, τοῦ Εὐδήμου καὶ συνάψαντος αὐτούς, ἐν οἷς φησὶ τὸ δὴ κινοῦν ἢ δι᾽ αὐτὸ κινεῖ ἢ δι᾽ ἄλλο, καὶ ἑαυτῷ ἢ ἄλλῳ. λαβὼν δὲ τὸ πᾶν τὸ κινοῦν τινὶ κινεῖν, διαιρεῖ τὸ τινὶ κινοῦν εἴς τε τὸ αὑτῷ κινοῦν καὶ τὸ ἄλλῳ. καὶ γὰρ ὁ δι᾽ αὑτοῦ τι καὶ μὴ διὰ μέσου τινὸς κινῶν, τινὶ κινεῖ. ὡς ὁ ἄνθρωπος ὅταν αὐτὸς κινῇ τὸν λίθον. τῷ γὰρ αὑτοῦ σώματι κινεῖ αὐτὸν ἁπτομένῳ αὐτοῦ. ἀλλὰ καὶ εἰ διὰ τῆς βακτηρίας κινοίη αὐτόν, τινὶ καὶ τότε κινεῖ. τινὶ γὰρ καὶ ἡ βακτηρία. εἶτα προσλαμβάνει τῇ διαιρέσει ταύτῃ, τὸ ἀδύνατον εἶναι τὸ δι᾽ οὗ κινεῖ τι ἄλλο ὂν χωρὶς τοῦ αὑτῷ κινοῦντος κινεῖν. μὴ γὰρ κινοῦντος τοῦ ἀνθρώπου ὃς αὑτῷ κινεῖ, οὐκ ἂν ἡ βακτηρία ποτὲ κινήσειε τὸν λίθον. οὐ δὲ γὰρ ἂν τὴν ἀρχὴν αὐτὴ κινοῖτο. τὸ μὲν γὰρ αὑτῷ κινοῦν, οὐκ ἐξ ἀνάγκης προσδεῖται τοῦ δι᾽ οὗ κινήσει. αὔταρκες γὰρ, καὶ δι᾽ αὑτοῦ τοῦτο ποιεῖν, τὸ δὲ μέσον δι᾽ οὗ κινεῖταί τι, τοῦτο πάντως δεῖται τοῦ αὑτῷ κινοῦντος. ἵνα κινηθὲν ὑπ᾽ ἄλλου κινήσει. εἰ γὰρ μὴ εἴη τοιοῦτόν τι, ἀλλ᾽ ἀεὶ τὸ λαμβανόμενον ὑπό τινος ἄλλου κινοῖτο, ἔξωθεν καὶ αὐτοῦ κινουμένου, καὶ τοῦτο ἀεί,

εἰς ἄπειρον

εἰς ἄπειρον πάλιν ἡ πρόοδος γίνοιτο ἂν τῶν κινούντων τε καὶ κινουμένων. τοῦτο δὲ ἄτοπον καὶ ἁπλῶς μέν. εἰ γὰρ μὴ εἴη ὅθεν ἡ ἀρχὴ τῆς κινήσεως, οὐδ' ἂν κίνησις εἴη, οὐ μὴν ἀλλὰ καὶ διὰ τὸ δειχθὲν ἐν τῷ πρὸ τούτου βιβλίῳ. ἔσται γὰρ ἐν πεπερασμένῳ χρόνῳ ἄπειρος κίνησις, ἀπείρου γινομένου τοῦ κινουμένου μεγέθους. εἰ γὰρ ἄπειρα εἴη τὰ κινοῦντά τε καὶ τὰ κινούμενα, ἀναγκαῖον ἕν τι μέγεθος ἐξ αὐτῶν γίνεσθαι, κἂν μὴ συνεχὲς ἀλλὰ τῷ ἅπτεσθαι. πάντα γὰρ τὰ κατὰ τόπον κινοῦντα, τῷ αὐτὰ κινεῖσθαι ἁπτόμενα κινεῖ. ἀνάγκη ἄρα στῆναι, ὥστε εἰ πᾶν τὸ κινοῦν τινὶ κινεῖ, καὶ ἢ αὐτῷ ἢ ἄλλῳ, τὸ δὲ ἄλλῳ ᾧ κινεῖ τὸ κινοῦν, δεῖται πρὸ τούτου τοῦ ἑαυτῷ κινοῦντος. πρῶτον ἂν εἴη τῶν οὕτω κινούντων τὸ αὐτῷ κινοῦν. τὸ δὲ ἑαυτῷ κινοῦν κινεῖται μὲν. οὐχ ὑπ' ἄλλου δέ, ὑφ' ἑαυτοῦ ἄρα, τὸ ἄρα πρῶτον κινοῦν κινούμενον, αὐτοκίνητον. κἂν γὰρ μὴ εὐθὺς τὸ κινούμενον ὑπὸ αὐτοκινήτου κινῆται, ἀλλὰ δι' ἄλλων μέσων, ὑπὸ τοῦ αὐτοκινήτου κυρίως ἔσται κινούμενον. οὗ χωρὶς οὐδὲ τὸ μεταξὺ κινεῖσθαι ἢ κινεῖν ἐδύνατο. καὶ τὸ ἀναγκαῖον ἐδήλωσε τοῦ λόγου, διὰ τοῦ ὅταν δή τινι κινῇ ἀεὶ ἕτερον, καὶ τῶν ἑξῆς. ὅταν γὰρ τὸ κινοῦν διὰ μέσου τινὸς κινῇ ἕτερόν τι, τότε ἀνάγκη εἶναι πρῶτον τὸ, αὐτὸ ἑαυτῷ κινοῦν. ἵνα μὴ ἐπ' ἄπειρον ἴωμεν πρὸ μέσου μέσον ἀεί τι θέντες. νῦν δὲ τῷ τινὶ ἀντὶ τοῦ ἄλλῳ κινοῦντος ἐχρήσατο, καίτοι πρότερον καὶ τὸ αὐτῷ κινοῦν, τινὶ κινεῖν εἶπεν. ἐν δὴ τούτοις δύο μοι πρόσεισιν ἀπορεῖν. ἓν μὲν πῶς ὡς ἄτοπον εἶπεν, τὸ μὴ εἶναί τι πρῶτον κινοῦν μηδὲ ἔσχατον. εἴπερ καὶ ἡμεῖς λέγομεν τῶν στοιχείων ἐξ ἀλλήλων γινομένων, μὴ εἶναί τι τὸ πρώτως κινοῦν ἢ τελευταίως. ἀλλ' ἐπ' ἄπειρον τὴν κίνησιν εἶναι κύκλῳ περιιοῦσαν. ἐκ γὰρ γῆς ὕδωρ, καὶ ἐξ ὕδατος ἀέρα, καὶ ἐξ ἀέρος πῦρ, καὶ ἐκ πυρὸς πάλιν ἀέρα καὶ γῆν, ἐν τῇ περὶ γενέσεως ἐμάθομεν γίνεσθαι. δεύτερον δὲ ἀπορήσειεν ἄν τις, πῶς πᾶν τὸ κινούμενον ὑπὸ πρώτου τοῦ αὐτοκινήτου κινεῖσθαι λέγεται. εἴπερ τὰ στοιχεῖα ὑπ' ἀλλήλων κύκλῳ κινεῖσθαι φαμὲν φυσικῶς, καὶ οὐχ ὡς τὰ ζῷα κινοῦντα ἄλληλα. μήποτε οὖν πρὸς ἄμφω ῥητέον τὰς ἀπορίας, ὅτι τὰ μὲν στοιχεῖα ἐξ ἀλλήλων ὡς ὑλικῶν γίνεται, ἄλλο ἐξ ἄλλου, καὶ οὕτως εἰς κύκλον ἀνακάμπτει ἡ γένεσις αὐτῶν. ἐκ γὰρ ὕδατος ἀήρ, οὐχ ὅτι τὸ ὕδωρ ποιεῖ τὸν ἀέρα ἢ κινεῖ. ἀλλ' ὅτι μεταβάλλεται τὸ ὕδωρ εἰς ἀέρα. νῦν δὲ κινοῦν ζητεῖ ὁ λόγος, τὸ ποιοῦν κινεῖσθαι τὸ κινούμενον. ὡς ἐπὶ τῶν κατὰ τόπον κινουμένων καὶ κινούντων. ἐφ' ὧν ἀνάγκη εἶναί τι πρῶτον κινοῦν, καὶ ἔσχατον κινούμενον, καὶ τὸ πρώτως κινοῦν αὐτοκίνητον. ἵνα μὴ ἐπ' ἄπειρον ὁ λόγος προΐῃ, πᾶν τὸ κινοῦν ἔξωθεν καὶ αὐτὸ λέγων κινεῖσθαι ὑπ' ἄλλου. ἀλλὰ τοῦτο μὲν καὶ ἔτι πλέον διαρθρωτέον. τοῖς δὲ ἑξῆς τῆς λέξεως ἐφεπώμεθα.

Γ ΡΟΣ δὲ τοῖς εἰρημένοις καὶ ὧδε σκοποῦσι, ταὐτὰ συμβήσεται ταῦτα. εἰ γὰρ ὑπὸ κινουμένου κινεῖται τὸ κινούμενον πᾶν, ἤτοι τοῦτο ὑπάρχει τοῖς πράγμασι, κατὰ συμβεβηκός. ὥστε κινεῖ μὲν κινούμενον. οὐ μέντοι διὰ τὸ κινεῖσθαι αὐτὸ ἀεὶ ἢ οὔ. ἀλλὰ καθ' αὑτό. πρῶτον μὲν οὖν εἰ κατὰ συμβεβηκός. οὐκ ἀνάγκη κινεῖσθαι τὸ κινοῦν. εἰ δὲ τοῦτο, δῆλον, ὡς ἐνδέχεταί ποτε μηδὲν κινεῖσθαι τῶν ὄντων. οὐ γὰρ ἀναγκαῖον τὸ συμβεβηκός. ἀλλ' ἐνδεχόμενον μὴ εἶναι. ἐὰν οὖν θῶμεν τὸ δυνατὸν εἶναι οὐδὲν ἀδύνατον συμβήσεται. ψεῦδος δ' ἴσως. ἀλλὰ τὸ κίνησιν μὴ εἶναι ἀδύνατον. δέδεικται γὰρ τοῦτο πρότερον ὅτι ἀνάγκη κίνησιν ἀεὶ εἶναι.

Α ὕτη ἡ ἐπιχείρησις τισὶ μὲν ἔδοξεν, ὡς ὁ Ἀλέξανδρός φησι, τῇ μετ' αὐτὴν ἀκολουθεῖν ἐπιχειρήσει, τῇ δεικνυούσῃ, ὅτι τοῦ αὐτοκινήτου τὸ μέν ἐστι κινούμενον, τὸ δὲ κινοῦν ἀκίνητον ὄν. ἧς ἐπιχειρήσεως ἀρχή, ἀλλὰ μὴν εἴ γε δέοι σκοπεῖν, πότερον αἴτιον κινήσεως καὶ ἀρχή. δοκεῖ γὰρ ταύτῃ μὲν ἕπεσθαι ἡ δεῖξις τοῦ τὸ πρῶτον κινοῦν ἀκίνητον εἶναι, τέλος ἔχουσα τό. ἔτι εἴπερ ἡ ὅλη αὐτὴ αὑτὴν κινεῖ, τὸ μὲν κινήσει αὐτῆς, τὸ δὲ κινήσεται. ἡ ἄρα β ὑφ' ἑαυτῆς τε κινήσεται, καὶ ὑπὸ τῆς α. τούτοις δὲ ἀκολουθεῖν δοκεῖ τὸ νῦν λεγόμενον. διὰ τοῦ πρὸς δὲ τοῖς εἰρημένοις καὶ ὧδε σκοποῦσι, καὶ τῶν ἑξῆς. προσκατασκευάζεσθαι γὰρ διὰ τούτων τὰ δι' ἐκείνων ἀποδεδειγμένα. διὸ καὶ ἀξιοῦσί τινες ἐκεῖνα προγεγράφθαι τε καὶ προαναγινώσκεσθαι. εἰ μέντοι ἡ νῦν γεγραμμένη τηροῖτο τάξις. ὅπερ ὑγιέστερον καὶ ὁ Ἀλέξανδρος ἐγκρίνει, ἐπαγγέλλεται κατ' ἄλλον τρόπον ἀποδείξεως τὸ αὐτὸ δείξειν, τοῖς φθάσασιν. ὅτι ἐν τοῖς κινουμένοις καὶ κινοῦσι πρῶτόν ἐστι κινοῦν τὸ αὐτοκίνητον. μεταξὺ δὲ παρεμβαλών, ὅτι τὸ πρῶτον ἁπλῶς κινοῦν ἀκίνητον ἀνάγκη εἶναι, συνάπτει τὸν περὶ τοῦ αὐτοκινήτου λόγον τοῦ πρώτου. οὐχὶ τῶν ἁπλῶς κινούντων, ἀλλὰ τῶν μετὰ τοῦ κινεῖσθαι καὶ αὐτὰ κινούντων. ζητῶν τίς ὁ τρόπος τῆς ἐν τούτῳ κινήσεως. καὶ δεικνὺς ὅτι τὸ κινοῦν ἐν αὐτῷ ἀκίνητον ὂν κινεῖ. ἢ καὶ τοῦτο μὲν δείκνυσιν. οὐ μὴν ἀλλὰ καὶ συναποδείκνυσιν αὐτῷ, τὸ ἀρχὴν κινήσεως ἢ τὸ ἀκίνητον ἢ τὸ αὐτοκίνητον εἶναι. τοῦτο δὲ συναποδείκνυται, δειχθέντι τῷ μὴ πᾶν τὸ κινούμενον ὑπό τινος ἔξωθεν κινεῖσθαι, καὶ αὐτοῦ ὑπό τινος ἔξωθεν κινουμένου. τοῦτο δὲ δέδεικται μὲν ἤδη δι' ἄλλων ἐπιχειρημάτων. δείκνυσι δὲ καὶ νῦν τῷ ἐξ ἀκολουθίας καὶ διαιρέσεως ἀνασκευαστικῷ τόπῳ χρώμενος. καὶ ἔστιν ἡ ἐπιχείρησις τοιαύτη. εἰ πᾶν τὸ κινούμενον ὑπὸ κινουμένου τινὸς ἔξωθεν καὶ αὐτοῦ κινεῖται, ἢ κατὰ συμβεβηκὸς τὸ κινούμενον κινεῖ ἢ καθ' αὑτό, κατὰ συμβεβηκὸς δὲ τὸ κινούμενον κινεῖ, ὅταν μὴ τῷ κινεῖσθαι κινεῖ. ἀλλ' ἐνδέχηται αὐτὸ καὶ κινεῖσθαι κινοῦν, καὶ μὴ κινεῖσθαι. εἰ οὖν μήτε καθ'

αὐτὸ μήτε κατὰ συμβεβηκὸς πᾶν τὸ κινοῦν ὑπό τινος ἔξωθεν καὶ αὐτὸ κινεῖται ὡς δείξει, δηλονότι οὐ πᾶν τὸ κινούμενον ὑπὸ κινουμένου τινὸς ἔξωθεν καὶ αὐτοῦ κινεῖται. ἀλλ᾽ ὑπό τινος μὲν κινεῖται πάντως τὸ κινούμενον, ἢ αὐτοκινήτου δὲ, ἢ ἀκινήτου τοῦ πρώτως κινοῦντος. καὶ εἰ μὲν ὑπό τινος ἔξωθεν πρώτως κινοῦντος κινοῖτο τὸ κινούμενον, ἀκίνητόν ἐστι τὸ κινοῦν. εἰ δὲ ὑπὸ μηδενὸς ἔξωθεν τὸ πρώτως κινούμενον κινεῖται, αὐτοκίνητον ἔσται. καὶ ὅτι μὲν κατὰ συμβεβηκὸς οὐχ οἷόν τε τὸ κινοῦν κινεῖσθαι δείκνυσιν οὕτως. εἰ τὸ κινοῦν κατὰ συμβεβηκὸς κινοῖτο κινούμενον, καὶ μὴ καθ᾽ αὑτὸ καὶ αὐτὸ κινεῖται, οὐκ ἐξ ἀνάγκης κινεῖται τὸ κινοῦν. εἰ δὲ μὴ ἐξ ἀνάγκης, ἐνδέχεται τὸ κατὰ συμβεβηκὸς κινούμενον καὶ οὕτω κινοῦν, μὴ κινεῖσθαί ποτε. ἐὰν οὖν ὑποθώμεθα τὸ ἐνδεχόμενον γενέσθαι γινόμενον, τοῦτο δέ ἐστι τὸ τὸ κατὰ συμβεβηκὸς κινούμενόν ποτε μὴ κινεῖσθαι κινοῦν, ψεῦδος μὲν δυνατὸν ἀκολουθήσει, ἐὰν μήπω τότε μὴ κινούμενον κινῇ, ὅτε καὶ ἡ ὑπόθεσις ψευδής. οὐ μὴν ἀδύνατον τὸ μὴ κινούμενον κινήσει. καὶ γὰρ ἡ κατὰ συμβεβηκὸς κινεῖσθαι λέγουσα ὑπόθεσις, οὐκ ἀδύνατον ἀλλὰ δυνατὸν ἐτίθει τὸ μὴ κινεῖσθαι. ἐδείχθη δὲ ἐν τοῖς ἀναλυτικοῖς, ὅτι δυνατῷ ἀδύνατον οὐχ ἕπεται. εἰ οὖν ὑποτεθέντος τοῦ μὴ κινεῖσθαι κινοῦν, ἀδύνατον ἀκολουθεῖ τι τὸ μὴ εἶναι κίνησιν, ἀδύνατος ἡ τοῦ κατὰ συμβεβηκὸς ὑπόθεσις, ἀκολουθεῖ δὲ τὸ μὴ εἶναι κίνησιν. τῷ πᾶν τὸ κινούμενον ὑπὸ κινουμένου κινεῖσθαι, εἰ κατὰ συμβεβηκὸς τεθείη κινούμενον. εἰ γὰρ μὴ κινοῖτο τὸ κινοῦν, οὐδ᾽ ἂν κινοίη, διὰ τὴν ὑπόθεσιν τὴν λέγουσαν πᾶν τὸ κινούμενον ὑπὸ κινουμένου κινεῖσθαι. μὴ ὄντος δὲ τοῦ κινοῦντος, οὐδὲ κινούμενον ἂν εἴη, τοῦ δὲ κινουμένου μὴ ὄντος, οὐδὲ κίνησις ὑπολείπεται. ἐν γὰρ τῷ κινουμένῳ ἐστὶν ἡ κίνησις. τὸ δὲ μὴ εἶναι κίνησιν ἀδύνατόν ἐστι. δέδεικται γὰρ καὶ ἐναργές ἐστιν ὅτι κίνησις ἀεί ἐστι. τὸ δὲ ψεῦδος δὲ ἴσως, ὁ Ἀλέξανδρος εἰρῆσθαί φησιν, ὅτι οὐκ ἀνάγκη εἰ ψευδὴς ἡ πρότασις, καὶ τὸ συμπέρασμα ψευδὲς εἶναι. δέδεικται γὰρ ὅτι καὶ ἐκ ψευδῶν ἀληθές τι συνάγεται. μήποτε δὲ οὐ διὰ τοῦτο νῦν πρόκειται τὸ ἴσως. ἀλλ᾽ ὅτι ἂν κατὰ συμβεβηκὸς ὑποτεθῇ κινεῖσθαι τὸ κινοῦν, ληφθῇ δὲ μὴ κινούμενον, ψεῦδος μὲν ἐνίοτέ ἐστι τὸ ληφθὲν, ἐὰν τύχῃ κινούμενον. οὐ μέντοι ἀδύνατον. ὅτι τὸ κατὰ συμβεβηκὸς ὑποτεθὲν κινεῖσθαι, δύναταί ποτε καὶ μὴ κινεῖσθαι.

ΚΑΙ εὐλόγως τοῦτο συμβέβηκε. τρία γὰρ ἀνάγκη εἶναι. τό τε κινούμενον καὶ τὸ κινοῦν. καὶ τὸ, ᾧ κινεῖ. τὸ μὲν οὖν κινούμενον, ἀνάγκη μὲν κινεῖσθαι. κινεῖν δὲ, οὐκ ἀνάγκη. τὸ δὲ ᾧ κινεῖ, καὶ κινεῖν καὶ κινεῖσθαι. συμμεταβάλλει γὰρ τοῦτο ἅμα καὶ κατὰ τὸ αὐτὸ τῷ κινουμένῳ ὄν. δῆλον δὲ, ἐπὶ τῶν κατὰ τόπον κινούντων. ἅπτεσθαι γὰρ ἀλλήλων ἀνάγκη οὕτω μέχρι τινός. τὸ δὲ κινοῦν οὕτως, ὥστ᾽ εἶναι μὴ ᾧ κινεῖ, ἀκίνητον. ἐπεὶ δ᾽ ὁρῶμεν τὸ ἔσχατον, ὃ κινεῖσθαι μὲν δύναται. κινήσεως δὲ ἀρχὴν οὐκ ἔχει. καὶ ὃ κινεῖται μὲν, ὑπ᾽ ἄλλου δὲ, ἀλλ᾽ οὐχ ὑφ᾽ αὑτοῦ, εὔλογον ἵνα μὴ ἀναγκαῖον εἴπωμεν καὶ τὸ τρίτον εἶναι ὃ κινεῖ ἀκίνητον ὄν. διὸ καὶ Ἀναξαγόρας, ὀρθῶς λέγει τὸν νοῦν ἀπαθῆ φάσκων καὶ ἀμιγῆ εἶναι. ἐπειδή περ κινήσεως ἀρχὴν ποιεῖ αὐτὸν εἶναι. οὕτω γὰρ μόνως ἂν κινοίη ἀκίνητος ὢν, καὶ κρατοίη ἀμιγὴς ὤν.

Ἐλέγξας τὸν λέγοντα λόγον. ὅτι πᾶν τὸ κινούμενον καὶ αὐτὸ κατὰ συμβεβηκὸς οὕτω κινεῖ, δέον μεταβῆναι ἐπὶ τὸ δεικνύναι, ὅτι μηδὲ καθ᾽ αὑτὸ κινούμενον τὸ κινοῦν κινεῖ, πρῶτον τὴν ὅλην ὑπόθεσιν ἀναιρεῖ, τὴν πρὸ τῆς διαιρέσεως, τῆς εἰς τὸ κατὰ συμβεβηκὸς καὶ τὸ καθ᾽ αὑτό. ἦν δὲ ἡ ὑπόθεσις ἡ λέγουσα πᾶν τὸ κινοῦν καὶ αὐτὸ κινούμενον ὑπ᾽ ἄλλου κινεῖν. ἀναιρεῖ δὲ αὐτὴν δεικνὺς, ὅτι πρὸ τῶν κινουμένων καὶ οὕτω κινούντων, ἔστιν ὃ ἀκίνητον ὂν οὕτω κινεῖ, καὶ τότε τὸ ἕτερον τμῆμα τῆς διαιρέσεως ἐλέγχει, τὸ λέγον ὅτι πᾶν τὸ κινοῦν καθ᾽ αὑτὸ κινούμενον καὶ αὐτὸ κινεῖ. τέως δὲ καθόλου δείκνυσιν, ὅτι μὴ πᾶν τὸ κινοῦν κινούμενον καὶ αὐτὸ κινεῖ, διὰ τοῦ δεῖξαι ὅτι εὔλογόν ἐστι τὸ πρῶτον κινοῦν ἀκίνητον εἶναι. καὶ ὅτι ἔστι τι ὃ κινεῖ ἀκίνητον ὄν. τοῦτο δὲ δείκνυσι λαβὼν, ὅτι ἀνάγκη τρία εἶναι ἐν τῇ κινήσει, τὸ κινούμενον ὅπερ ἐναργῶς ὁρᾶται, καὶ τὸ κινοῦν. πᾶν γὰρ τὸ κινούμενον ὑπὸ κινοῦντος κινεῖται, καὶ μέσον ἀμφοῖν τὸ ᾧ κινεῖ τὸ κινοῦν. κεῖται γὰρ ὅτι πᾶν τὸ κινοῦν τί τε κινεῖ, τουτέστι τὸ κινούμενον, καὶ τινὶ τουτέστι τῷ ᾧ κινεῖ. τριῶν οὖν τούτων ὄντων, τὸ μὲν κινούμενον ὑπὸ τοῦ κινοῦντος κινεῖσθαι μὲν ἀνάγκη, οὐ μὴν καὶ κινεῖν. οὐ γὰρ εἴ τι κινεῖται τοῦτο ἀνάγκη ἄλλο τι κινεῖν. τὸ γὰρ ἔσχατον κινούμενον, κινεῖται μὲν, οὐκέτι δὲ ἄλλο κινεῖ. τὸ δὲ ᾧ κινεῖ τὸ κινοῦν ἀνάγκη καὶ κινεῖσθαι καὶ κινεῖν. τὸ γὰρ διά τινος κινοῦν τι τρίτον, οὐκ ἂν ἐκεῖνο κινήσοι, εἰ μὴ πρῶτον κινήσει τὸ δι᾽ οὗ κινεῖ. ὁ γὰρ τὸν λίθον τῇ ῥάβδῳ καὶ διὰ μέσης τῆς ῥάβδου κινῶν, πρώτην κινεῖ τὴν ῥάβδον. τὰ γὰρ μεταξὺ τῶν τε πρώτως κινούντων, καὶ τῶν ἐσχάτων κινουμένων, κινεῖν ἀνάγκη καὶ κινεῖσθαι. καὶ τὴν ἀνάγκην αὐτὸς ἔδειξεν εἰπών. συμμεταβάλλει γὰρ τοῦτο, ἅμα καὶ κατὰ τὸ αὐτὸ τῷ κινουμένῳ ὄν. τὸ γὰρ προσεχῶς κινοῦν ὡς ἁπτόμενον κινεῖν, ἀνάγκη συμμεταβάλλειν τῷ ὑπ᾽ αὐτοῦ κινουμένῳ, ὡς ἔδειξεν ἐν τῷ πρὸ τούτου βιβλίῳ. εἰ δὲ συμμεταβάλλει, δῆλον ὡς καὶ αὐτὸ κινεῖται. καὶ ὅτι μὲν οὐ μόνον τὰ κατὰ τόπον προσεχῶς κινοῦντα ἅπτεται τῶν ὑφ᾽ ἑαυτῶν κινουμένων, ἀλλὰ καὶ τὰ κατὰ τὰς ἄλλας κινήσεις, ἔδειξεν ἐν τῷ πρὸ τούτου βιβλίῳ. νῦν δὲ ὡς ἐπὶ ἐναργεστέρων αὐτὸ τῶν κατὰ τόπον κινούντων ἀξιοῖ θεωρεῖν. προ-

προσέθηκε δὲ τὸ μέχρι τινὸς ἅπτεσθαι ἀλλήλων τὰ κατὰ τόπον κινοῦντα καὶ κινούμενα. διὰ τὰ ῥιπτοῦντα καὶ ῥιπτούμενα. τὸ γὰρ ῥιπτοῦν ἐξ ἀνάγκης μὲν ἅψασθαι δεῖ τοῦ ῥιπτουμένου, καὶ συγκινηθῆναι αὐτῷ. οὐ μὴν ἀεὶ παρεῖναι καὶ συμμεταβάλλειν ἀεὶ δυνατόν. μετὰ γὰρ τὸ ῥῖψαι καὶ ἀφεῖναι, αὐτὸ μὲν οὐκέτι ἅπτεται αὐτοῦ. ἅπτεται δὲ ὁ φέρων αὐτὸ ἀήρ. δυεῖν οὖν ὄντων, τοῦ τε κινουμένου μόνως, καὶ τοῦ ᾧ κινεῖ τὸ κινοῦν, ὅπερ κινούμενον κινεῖ, δεῖ εἶναι καὶ τὸ κινοῦν οὐχ οὕτως ὡς τὸ ᾧ κινεῖ τὸ κινοῦν. ὅπερ κινούμενον κινεῖ. ἀλλὰ τὸ μόνως κινοῦν ἀκίνητον ὄν, ὥσπερ ἦν τὸ μόνως κινούμενον, οὐκέτι δὲ κινοῦν ἄλλο. ὄντων γὰρ ἀμφοῖν τοῦ τε κινουμένου ὁμοῦ καὶ κινοῦντος, ἐν τῷ μέσῳ τῷ κινουμένῳ ὁμοῦ καὶ κινοῦντι, εἰ ἔστι καὶ καθ' αὑτὸ κινούμενον ὥστε μηκέτι ἕτερον κινεῖν, εὔλογον καὶ τὸ λοιπὸν τὸ μόνως κινοῦν οὐκέτι δὲ καὶ κινούμενον εἶναι καθ' αὑτό. εὔλογον δὲ ὅτι εἰ τὸ μέσον ἀμφοῖν μετέχει. καὶ σύγκειται ἔκ τε κινοῦντος καὶ κινουμένου, καὶ ἔστι τὸ ἕτερον τῶν ἁπλῶν ἐξ ὧν σύγκειται καθ' αὑτό, εὔλογον καὶ τὸ ἕτερον τῶν ἐν τῇ συνθέσει ἁπλοῦν τε εἶναι καὶ καθ' αὑτό. ἑκάτερον γὰρ τῶν ἄκρων, ἐξ ὧν τὸ μέσον ἐστίν, εὔλογον τὴν αὐτὴν ἔχειν πρὸς τὸ μέσον ἀναλογίαν. ὡς γὰρ ἐπὶ τοῦ οἰνομέλιτος μεμιγμένου ἐξ οἴνου καὶ μέλιτος, ἐπειδή ἐστι καθ' αὑτὸ τὸ μέλι ἀνάγκη καὶ τὸν οἶνον εἶναι καθ' αὑτό, οὕτω καὶ ἐπὶ τοῦ κινοῦντος καὶ κινουμένου εὔλογον εἰ θάτερόν ἐστι καθ' αὑτό, καὶ τὸ ἕτερον εἶναι. εὔλογον δὲ εἰ καὶ μὴ ἀναγκαῖον εἶπεν, ὅτι ἐξ ἀκολουθίας δοκεῖ συνῆχθαί τινος τὸ ῥηθέν, καὶ οὐκ ἐξ ἀποδεικτικῆς ἀνάγκης, μή ποτε δὲ καὶ ἀναγκαῖόν ἐστι, τὸ τοῦ ἑτέρου τῶν ἐν τῷ μίγματι ὄντος καθ' αὑτό που, εἶναι καὶ τὸ ἕτερον καθ' αὑτό. εἰ μὴ ἄρα ἐπὶ τῶν τοῦ λόγου στοιχείων τις ἐνστήσειεν, ὅτι τὰ μὲν φωνήεντά ἐστι καθ' αὑτά, ἐκφωνούμενα. τὰ δὲ σύμφωνα καλούμενα καθ' αὑτὰ μὲν οὐκ ἔχει τινὰ φύσιν ἐκφωνήσεως. μετὰ δὲ τῶν φωνηέντων συντιθέμενα ἐκφωνεῖται καὶ αὐτά. ἀκριβῶς οὖν ὁ Ἀριστοτέλης εὔλογον εἰ καὶ μὴ ἀναγκαῖον εἶπεν, ὅτι ἐπὶ μὲν τῶν πλείστων οὕτως ἔχει. ἐπ' ὀλίγων δὲ παραλλάττει. συνίστησι δὲ καὶ δι' ἐνδόξου πίστεως τὸ ἀκίνητον εἶναι τὸ πρώτως κινοῦν, τὴν Ἀναξαγόρου δόξαν ἐπαινέσας. ὃς τὸν νοῦν τὸ πρῶτον κινοῦν ὑποθέμενος, ἀκίνητον αὐτὸν καὶ ἀμιγῆ καὶ ἁπλοῦν ὑπέθετο. ὡς οὕτω μόνως δυναμένου τοῦ πρώτως κινοῦντος κρατεῖν τῶν ὅλων. εἰ καὶ ἀκίνητος εἴη καὶ ἀπαθής. εἰ γὰρ κινούμενος κινήσει, ἢ καθ' αὑτὸ ἢ κατὰ συμβεβηκὸς κινούμενος. ὧν τὸ μὲν κατὰ συμβεβηκός, ἀδύνατόν τι ἔχον ἑπόμενον ἐφάνη, τὸ μὴ εἶναι κίνησιν, τὸ δὲ καθ' αὑτὸ δειχθήσεται ἐφεξῆς ἀδύνατον.

Α ἈΛΛᾺ μὴν, εἰ μὴ κατὰ συμβεβηκός, ἀλλ' ἐξ ἀνάγκης κινεῖται τὸ κινοῦν, εἰ δὲ μὴ κινοῖτο, οὐκ ἂν κινοίη, ἀνάγκη τὸ κινοῦν ᾗ κινεῖται, ἤτοι οὕτως κινεῖσθαι ὥστε κατὰ τὸ αὐτὸ εἶδος τῆς κινήσεως, ἢ καθ' ἕτερον. λέγω δὲ ὅτι ἤτοι θερμαῖνον καὶ αὐτὸ θερμαίνεσθαι. καὶ τὸ ὑγιάζον ὑγιάζεσθαι. καὶ τὸ φέρον, φέρεσθαι. ἢ τὸ ὑγιάζον, φέρεσθαι, τὸ δὲ φέρον, αὐξάνεσθαι. ἀλλὰ φανερόν, ὅτι ἀδύνατον. δεῖ γὰρ μέχρι τῶν ἀτόμων διαιροῦντα λέγειν, οἷον, εἴ τι διδάσκει γεωμετρεῖν, τοῦτο διδάσκεσθαι γεωμετρεῖν, τὸ αὐτό. ἢ εἰ ῥιπτεῖ, ῥιπτεῖσθαι τὸν αὐτὸν τρόπον τῆς ῥίψεως.

Α Ἀντειπὼν πρὸς τὴν ὅλην ὑπόθεσιν τὴν λέγουσαν, πᾶν τὸ κινοῦν καὶ αὐτὸ κινούμενον κινεῖν, καὶ ἐλέγξας τέως αὐτήν, διά τε τοῦ μὴ κατὰ συμβεβηκὸς πᾶν κινούμενον κινεῖν, καὶ διὰ μέσου διὰ τοῦ δεῖξαι εὔλογον τὸ εἶναί τι κινοῦν ἀκίνητον, ὅπερ μέλλει μετ' ὀλίγον δι' ἀποδεικτικῆς ἀνάγκης βεβαιοῦν, μέτεισιν ἐπὶ τὸ ἕτερον τμῆμα τῆς λεγούσης διαιρέσεως. εἰ πᾶν τὸ κινοῦν κινούμενον καὶ αὐτὸ κινεῖ, ἢ κατὰ συμβεβηκὸς κινούμενον ἢ καθ' αὑτό. ὧν τὸ κατὰ συμβεβηκὸς ἀδύνατον ἀκολουθοῦν ἐδείχθη τὸ μὴ εἶναι κίνησιν. εἰ δὲ μὴ κατὰ συμβεβηκός φησιν, ἀλλ' ἐξ ἀνάγκης κινεῖται τὸ κινοῦν, ὡς εἰ μὴ κινοῖτο οὐκ ἂν κινοίη. δι' ὧν ἐδήλωσε, τί τὸ καθ' αὑτὸ σημαίνει, ὅτι τὸ οὕτως ἐξ ἀνάγκης, ὡς εἰ μὴ κινοῖτο μὴ κινεῖν. ἐξ οὗ καὶ τὸ κατὰ συμβεβηκὸς ὁποῖόν ἐστι δῆλον. ὅτι οὐκ ἀνάγκη εἰ μὴ κινοῖτο μὴ κινεῖν, ἀλλὰ δυνατὸν κινεῖν τὸ τοιοῦτο καὶ μὴ κινεῖσθαι. δείκνυσι δὲ ὅτι οὐδ' ἐξ ἀνάγκης, τουτέστιν οὐδὲ καθ' αὑτὸ κινούμενον τὸ κινοῦν κινεῖ διελὼν τὸ καθ' αὑτὸ κινούμενον καὶ οὕτω κινοῦν, εἴς τε τὰ τὸ αὐτὸ εἶδος τῆς κινήσεως ἣν κινεῖ κινούμενα. οἷον τὸ θερμαῖνον καὶ αὐτὸ θερμαίνεσθαι, καὶ τὸ ὑγιάζον ὑγιάζεσθαι, καὶ τὸ φέρον φέρεσθαι. καὶ εἰς τὰ μὴ τὸ αὐτὸ ἀλλ' ἕτερον. οἷον τὸ ὑγιάζον φέρεσθαι. τὸ δὲ φέρον αὐξάνεσθαι, καὶ δείξας ἄμφω ταῦτα ἀδύνατα, ἔχει λοιπὸν συνηγμένον, ὅτι οὐδὲ καθ' αὑτὰ πάντως κινούμενα τὰ κινοῦντα κινεῖ. τὸ δὲ ἀλλὰ φανερὸν ὅτι ἀδύνατον, προηγουμένως μὲν ἐπῆκται τῷ κατὰ ταὐτὸν εἶδος λέγοντι κινεῖν τε καὶ κινεῖσθαι τὸ κινοῦν. ὡς δῆλον ἐκ τοῦ δεῖ γὰρ μέχρι τῶν ἀτόμων διαιροῦντα λέγειν, καὶ τῶν ἐφεξῆς. ἅπερ ἐπὶ τῶν κατὰ ταὐτὸν εἶδος τῆς κινήσεως κινούντων τε καὶ κινουμένων ἁρμόττει, διὰ μέσου δὲ τούτου τὸ ἀδύνατον δείξει, καὶ τῷ κατ' ἄλλο μὲν εἶδος κινοῦντι, κατ' ἄλλο δὲ κινουμένῳ. δείξει γὰρ ὅτι καὶ τοῦτο ἐλεύσεται ἐπὶ τὸ κατὰ ταὐτὸν εἶδος κινοῦν τε καὶ κινούμενον. τὸ δὲ ἄτοπον ἐπὶ τοῦ κατὰ ταὐτὸν εἶδος κινεῖν τε καὶ κινεῖσθαι. ἐπὶ τῶν ἀτόμων μάλιστα φαίνεσθαί φησιν. εἰ γὰρ τὸ διδάσκον γεωμετρεῖν, τὸ αὐτὸ τοῦτο ὃ διδάσκει μανθάνει, καὶ τὸ ῥιπτοῦν ὅτε ῥιπτεῖ τὸν αὐτὸν τρόπον τῆς ῥίψεως ῥιπτεῖται, ἕπεταί τι ἄτοπον τὸ τὰ ἐναντία ἅμα εἶναι. ὃ μετ' ὀλίγον ἐπάγει. εἰ γὰρ διδάσκων ἅμα καὶ μανθάνει τὸ αὐτό.

ἔχει τε ἅμα ἐπιστήμην τοῦ αὐτοῦ καὶ οὐκ ἔχει. καὶ τὸ ῥιπτοῦν ἅμα καὶ ῥιπτούμενον κατὰ τὸ αὐτὸ εἶδος, ἐνεργείᾳ τε ἅμα ἔσται καὶ δυνάμει. τὸ μὲν γὰρ ῥιπτοῦν ἐνεργεῖ κατὰ τὸ εἶδος, τὸ δὲ ῥιπτούμενον πάσχει. καὶ τὸ μὲν ῥιπτικόν ἐστι, τὸ δὲ ῥιπτόν. μέχρι δὲ τῶν ἀτόμων εἶπε δεῖν διαιροῦντα λέγειν, οὐ τῶν κυρίως λεγομένων ἀτόμων, ἀλλὰ τῶν κατ' εἶδος, ὡς ἀπὸ γένους διαιρουμένων, τῶν κατὰ τὸ αὐτὸ εἶδος κινούντων τε καὶ κινουμένων. τοιαῦτα γὰρ καὶ τὰ παραδείγματα. ἔτι διδάσκει γεωμετρεῖν, ὥστε διδάσκεσθαι γεωμετρεῖν τὸ αὐτό. ἢ εἰ ῥιπτεῖ ῥιπτεῖσθαι τὸν αὐτὸν τρόπον τῆς ῥίψεως. εἴδη γὰρ καὶ ταῦτα κινήσεως.

ΕΙ ΟΥΤΩΣ μὲν, μὴ ἄλλο δὲ ἐξ ἄλλου γένους. οἷον, τὸ φέρον μὲν αὐξάνεσθαι. τὸ δὲ αὖξον, ἀλλοιοῦσθαι ὑπ' ἄλλου. τὸ δὲ ἀλλοιοῦν, ἑτέραν τινὰ κινεῖσθαι κίνησιν. ἀλλ' ἀνάγκη στῆναι. πεπερασμέναι γὰρ αἱ κινήσεις. τὸ δὲ πάλιν ἀνακάμπτειν, καὶ τὸ ἀλλοιοῦν φάναι φέρεσθαι. τὸ αὐτὸ ποιεῖν ἐστι κἂν εἰ εὐθὺς ἔφη τὸ φέρον φέρεσθαι, καὶ διδάσκεσθαι τὸ διδάσκον. δῆλον γοῦν ὅτι κινεῖται καὶ ὑπὸ τοῦ ἀνωτέρω κινοῦντος, τὸ κινούμενον πᾶν. καὶ μᾶλλον ὑπὸ τοῦ προτέρου τῶν κινούντων. ἀλλὰ μὴν, τοῦτό γε ἀδύνατον. τὸ διδάσκον γὰρ συμβαίνει μανθάνειν ὧν τὸ μὲν μὴ ἔχειν. τὸ δ' ἔχειν ἐπιστήμην ἀναγκαῖον.

Ἐνδειξάμενος ἐκ τῶν παραδειγμάτων τὸ ἑπόμενον ἄτοπον, τῇ ὑποθέσει τῇ λεγούσῃ πᾶν τὸ κινοῦν κινεῖσθαι κατὰ τὸ αὐτὸ εἶδος ὃ κινεῖ, καὶ μέλλων μετ' ὀλίγον κοινὸν τὸ ἄτοπον ἐπάγειν, ἐπὶ τὸ ἕτερον τμῆμα μετέβη, τὸ λέγον κινεῖσθαι μὲν πᾶν τὸ κινοῦν, μὴ τὴν αὐτὴν δὲ κίνησιν ἣν κινεῖ, ἀλλὰ ἄλλην. οἷον εἰ τὸ μὲν α ὑπὸ τοῦ β φέροιτο, τὸ δὲ β φέρον τὸ α αὔξοιτο ὑπὸ τοῦ γ, τὸ δὲ γ αὖξον τὸ β ἀλλοιοῖτο ὑπὸ τοῦ δ. καὶ τὸ δ ἄλλην τινὰ κίνησιν ὑπ' ἄλλου κινοῖτο. καὶ δείκνυσιν ὅτι καὶ αὕτη ἡ ὑπόθεσις εἰς τὴν πρὸ αὐτῆς μεταβήσεται, τὴν λέγουσαν πᾶν τὸ κινοῦν κινεῖσθαι τὴν αὐτὴν κίνησιν ἣν κινεῖ. προάγει δὲ τὸν λόγον ἐπ' ἀξιώματι τῷ λέγοντι, πεπερασμένα εἶναι καὶ οὐκ ἄπειρα τὰ τῆς κινήσεως εἴδη. ἐν τρισὶ γὰρ ἦσαν αἱ κινήσεις τόπῳ, καὶ ποιῷ, καὶ ποσῷ, καὶ ἐν ἑκάστῳ δὲ τούτων τὰ ὡς εἴδη ἄτομα πεπερασμένα. οὔτε γὰρ ἄπειρα τὰ εἴδη τῶν κατὰ τόπον κινήσεων, οὔτε τῶν ἀψύχων, οὔτε τῶν ἐμψύχων. ὡρισμένοι γὰρ οἱ τόποι εἴπερ γε ἕξ, καὶ ἔτι τῶν ζώων αἱ διαφοραί, εἴπερ γε ἕξ, καὶ ἔτι τῶν ζώων αἱ φοραὶ τῶν μὲν πτῆσις καὶ νεῦσις. τῶν δὲ πεζῶν βάδισις, ἕρψις, εἴλυσις, καὶ τὰ τοιαῦτα. ὡρισμέναι δὲ καὶ αἱ ἀλλοιώσεις, εἴπερ καὶ αἱ ποιότητες. αὗται δὲ, εἴπερ αἰσθηταί. αἱ δὲ αἰσθήσεις γνώσεις πεπερασμένων. ἀλλὰ μὴν καὶ αὐξήσεις, ὅτι οὐκ ἦν ἐπ' ἄπειρον αὔξεσθαι. τὸ οὖν δ τὸ κινοῦν τὸ γ, ἤτοι οὐκέτι κινηθήσεται, εἰ ταῦτα εἴη μόνα τὰ εἴδη τῆς κινήσεως ὧν δεῖ τὸ κινοῦν ἄλλο εἶδος κινήσεως κινεῖσθαι, παρ' ἣν αὐτὸ κινεῖ, μηκέτι δὲ εἰς ἄλλο εἶδος εἶναι μετάβασιν παρὰ τὰ εἰλημμένα, καὶ οὕτως ἢ κινήσει μὴ κινούμενον, ἢ οὐδὲ κινήσει, μὴ κινοῦντος δὲ τούτου, οὐδὲ τὰ μετ' αὐτὸ ἂν κινοῖτο, καὶ οὕτω πάλιν ἀναιρεθήσεται ἡ κίνησις. ἢ εἰ χρὴ αὐτὸ κινεῖσθαι ἵνα κινῇ, κινηθήσεταί τινα κίνησιν, ἣν τὰ πρὸ αὐτοῦ κινεῖται, καὶ ἀνακάμψει πάλιν ἐπὶ τὰ αὐτὰ εἴδη τῆς κινήσεως. ὥστε τὸ δ ἀλλοιοῦν τὸ γ, δεήσει φέρεσθαι ἂν οὕτω τύχῃ ὑπό τινος ἄλλου τοῦ ε. ἀλλὰ τὸ τὸ ἀλλοιοῦν φέρεσθαι λέγειν πάλιν, ταὐτόν ἐστι ποιεῖν τῷ τὸ κινοῦν τι τὸ αὐτὸ εἶδος λέγειν τῆς κινήσεως ἅμα κινεῖν τε καὶ κινεῖσθαι. τὸ γὰρ α τὸ πρῶτον φερόμενον οὐδὲν μᾶλλον ὑπὸ τοῦ β τοῦ προσεχῶς αὐτὸ κινοῦντος κινεῖται, ἢ ὑπὸ τοῦ ε τοῦ πρώτου. ἀλλὰ καὶ μᾶλλον ὑπ' ἐκείνου. δέδεικται γὰρ ὅτι τὸ πρῶτον κινοῦν, καὶ τὸ ἐσυτέρω τοῦ πρώτου κινοῦντος, μᾶλλον κινεῖ τὰ τελευταῖα τῶν προσεχῶς αὐτὰ κινούντων. ὅτι καὶ τούτοις παρ' ἐκείνων ἡ αἰτία τοῦ κινεῖν. ἐπὶ τὸ αὐτὸ ἄρα ἐλεύσεται. καὶ ἔσται ἅμα τὸ φέρον καὶ φερόμενον. εἰ τὸ α τὸ φερόμενον κινεῖται ὑπὸ τοῦ δ φερομένου καὶ αὐτοῦ ὑπὸ τοῦ ε. τούτοις δὲ ἐπήγαγεν ὁ Ἀριστοτέλης, ἀλλὰ μὴν τοῦτό γε ἀδύνατον. διότι τὸ ἀδύνατον ἀκολουθεῖ πρώτως μὲν, τοῖς κατὰ ταυτὸν εἶδος ὑποθεμένοις κινεῖν τε καὶ κινεῖσθαι, συνιούσης εἰς ταυτὸ τῆς ἀντιφάσεως. διὰ μέσων δὲ τούτων καὶ τοῖς καθ' ἕτερον εἶδος λέγουσι τὸ κινοῦν κινεῖσθαι. ἀνακάμπτει γὰρ καὶ αὕτη ἡ ὑπόθεσις πάλιν ἐπὶ τὴν κατὰ ταυτὸν ὡς δέδεικται, καὶ λοιπὸν ἐπάγει κοινῶς τὸ ἑπόμενον ἀδύνατον τῷ οὕτω κινεῖν καὶ κινεῖσθαι, ὡς καθ' αὑτὸ κινούμενον τὸ κινοῦν κινεῖν, εἴτε τὴν αὐτὴν κίνησιν κινούμενον, εἴτε ἑτέραν. ἔστι δὲ τὸ ἀδύνατον, ὅτι τὸ μὲν κινοῦν ἐνεργείᾳ ὄν τι κινεῖ. τὸ δὲ κινούμενον δυνάμει. εἰ δὴ κατὰ ταυτὸν εἴη κινοῦν τε καὶ κινούμενον, ἔσται ἅμα καὶ ἔχον ἐκεῖνο καθ' ὃ κεῖται κινεῖν τε καὶ κινεῖσθαι, καὶ μὴ ἔχον. ἔχον μὲν, καθ' ὅσον κινεῖ, μὴ ἔχον δὲ καθ' ὅσον κινεῖται. τὸ γὰρ διδάσκον ἃ οἶδε διδάσκει, καὶ τὸ θερμαῖνον θερμὸν ὂν θερμαίνει. εἰ δὴ ἅμα καὶ τὸ μὲν θερμαίνοιτο τὸ δὲ μανθάνοι, τὸ μὲν θερμαινόμενον, οὐκ ἔσται θερμὸν ἤδη, τὸ δὲ μανθάνον οὔπω ἐπιστάμενον. ὥστε ἅμα ἔσται ἐν τῇ ἀντιφάσει. εἰ δέ τις λέγοι δύνασθαι τὸ θερμαινόμενον θερμαίνειν, οὗτος οὐ τὸ θερμαινόμενον λαμβάνει. ἀλλὰ τὸ δι' οὗ θερμαίνει. τὸ γὰρ ἑαυτῷ θερμαῖνον, ὃ καὶ τοῖς μεταξὺ τοῦ θερμαίνειν παρέχει τὴν αἰτίαν, ἐνεργείᾳ τοιοῦτον ὂν θερμαίνει ἢ διδάσκει ἢ ὅλως κινεῖ. μηδενὸς γοῦν ὄντος τοιούτου, οὐδ' ἂν τούτων τι κινοίη. ἔτι καὶ τὰ οὕτω θερμαίνοντα κατὰ συμβεβηκὸς κινούμενα κινεῖ. οὐ γὰρ τῷ θερμαίνεσθαι θερμαίνει. ἀλλὰ τῷ θερμότητα ἔχειν. ἐνδέχεται γοῦν αὐτὰ καὶ μὴ θερμαινόμενα θερμαίνειν. οὕτω δὲ ἔσται κατὰ συμβεβηκὸς τῷ κινεῖσθαι κινούμενα. οὐκέτι δὲ συντρέχει ἡ ἀντι-

φασις, εἰ μὴ εἴη κείμενον τὸ πᾶν τὸ κινούμενον ὑπὸ κινουμένου κινεῖσθαι. καὶ γὰρ εἰ ἔνια ὑπὸ κινουμένων
κινεῖται, ἀλλά τό γε πρῶτον αἴτιον τοῖς οὕτω κινοῦσί τε καὶ κινουμένοις οὐ κινούμενον κινεῖ.

ΕΤΙ ΔΕ μᾶλλον τούτων ἄλογον, ὅτι συμβαίνει πᾶν τὸ κινητικὸν κινητόν. εἴπερ ἅπαν ὑπὸ κινου-
μένου κινεῖται τὸ κινούμενον. ἔσται γὰρ κινητόν. ὥσπερ εἴ τις λέγοι ὅτι πᾶν τὸ ὑγιαστικὸν καὶ ὑγιάζον καὶ
ὑγιαστὸν ἔσται. καὶ τὸ οἰκοδομητικὸν, οἰκοδομητὸν ἢ εὐθὺς, ἢ διὰ πλειόνων. λέγω δ' οἷον εἰ κινητὸν μὲν ὑπ'
ἄλλου πᾶν τὸ κινητικὸν ἀλλ' οὐ ταύτην τὴν κίνησιν κινητὸν, ἣν κινεῖ τὸ πλησίον, ἀλλ' ἑτέραν. οἷον τὸ
ὑγιαστικὸν μαθητόν. ἀλλὰ τοῦτο ἐπαναβαῖνον, ἥξει ποτὲ εἰς τὸ αὐτὸ εἶδος, ὥσπερ εἴπομεν πρότερον.
τὸ μὲν οὖν τούτων, ἀδύνατον. τὸ δὲ, πλασματῶδες. ἄτοπον γὰρ τὸ ἀλλοιωτικὸν, αὐξητὸν ἐξ ἀνάγκης
εἶναι. οὐκ ἄρα ἀνάγκη ἀεὶ κινεῖσθαι τὸ κινούμενον ὑπ' ἄλλου. καὶ τούτου κινουμένου, στήσεται ἄρα. ὥσ-
τε, ἤτοι ὑπὸ ἠρεμοῦντος κινήσεται τὸ κινούμενον πρῶτον, ἢ αὐτὸ ἑαυτὸ κινήσει.

Δείξας πρῶτον ἀπὸ τῶν τῆς κινήσεως τρόπον, τοῦ τε κατὰ συμβεβηκὸς καὶ τοῦ καθ' αὑτὸ, καὶ τούτου τῶν τε
κατὰ τὸ αὐτὸ εἶδος κινούντων τε καὶ κινουμένων, καὶ τῶν καθ' ἕτερον, ὅτι ἀδύνατόν ἐστι πᾶν τὸ κινοῦν
ὑφ' ἑτέρου καὶ αὐτὸ κινούμενον κινεῖν, νῦν ταυτὸ τοῦτο καθολικώτερον δείκνυσι, καὶ διὰ τοῦτο μᾶλ-
λον ἄλογον φαίνεσθαι τὸ οὕτω δεικνύμενόν φησιν, ὅτι τὰ καθόλου δεικνύμενα τῶν ἐπὶ μέρους ἐστὶν ἀναγ-
καστικώτερα. εἰ γὰρ πᾶν φησι τὸ κινοῦν κινούμενον κινεῖ, συμβήσεται τὸ κινοῦν καθ' ὃ κινητικόν ἐστι καὶ
κινητὸν εἶναι, καὶ καθ' ὃ κινεῖ κινεῖσθαι, καὶ τῇ αὐτῇ δυνάμει κινητικόν τε καὶ κινητὸν εἶναι, ὅπερ ἐστὶν
ἀλογώτατον. εἰ δὲ τὸ μὲν κινεῖν ποιεῖν τί ἐστι, τὸ δὲ κινεῖσθαι πάσχειν, ταῦτα δὲ ἀδύνατον ἅμα περὶ ταυ-
τὸν κατὰ ταυτὸν ἐν τῷ αὐτῷ χρόνῳ εἶναι, ἀδύνατον ἂν εἴη πᾶν τὸ κινοῦν κινούμενον κινεῖν. καὶ πιστοῦται
πάλιν τὸ καθόλου διὰ τῶν κατὰ μέρος παραδειγμάτων, ἐφ' ὧν πρότερον ἐποιήσατο τὴν ἀπόδειξιν,
οὐ γὰρ οἷόν τε τὸ αὐτὸ καθ' ὃ ὑγιαστικόν ἐστιν ὑγιαστὸν εἶναι, καὶ τὸ οἰκοδομικὸν οἰκοδομητόν. τοῦτο δὲ συμβαί-
νει τοῖς λέγουσι πᾶν τὸ κινοῦν κινούμενον κινεῖν. ἀλλ' ἢ εὐθὺς αὐτοῖς συμβαίνει, ὅταν κατὰ ταυτὸν
εἶδος λέγωσι κινεῖν τε καὶ κινεῖσθαι. ἢ διὰ πλειόνων, ὅταν κατ' ἄλλο μὲν εἶδος κινεῖν λέγωσιν. οἷον κα-
τὰ τὴν ὑγείαν ὑγιάζειν. κατ' ἄλλο δὲ κινεῖσθαι, ὡς κατὰ τὴν ἀλλοίωσιν ἀλλοιοῦσθαι. καὶ τούτοις γὰρ τὸ αὐ-
τὸ ἀκολουθεῖ πάλιν, τὸ κατὰ τὸ αὐτὸ λέγειν κινεῖν καὶ κινεῖσθαι. διοίσει δὲ τῷ διὰ πλειόνων μέσων εἰς τοῦ-
το καταντᾶν, πεπερασμένων ὄντων τῶν εἰδῶν τῆς κινήσεως, ὡς δέδεικται πρότερον. εἴπερ τὸ ἔσχατον
κινούμενον ὑπὸ τοῦ πρώτου κινοῦντος μᾶλλον κινεῖται, ἢ ὑπὸ τοῦ προσεχοῦς. τούτοιν δὲ ἀμφοῖν τοῦ-
τε κατὰ τὸ εἶδος, καὶ τοῦ καθ' ἕτερον, τὸ μὲν ἀδύνατόν ἐστί φησι, τὸ δὲ πλασματῶδες. καὶ ὡς μὲν ὁ Ἀλέ-
ξανδρός φησιν, οὐ τοῦτο λέγει, ὅτι τὸ πλασματῶδες αὐτῶν οὐκ ἀδύνατον. ἄμφω γὰρ ἀδύνατα. ἐπεὶ
γὰρ ταυτὸν ἄτοπον ἄμφω περαίνουσιν. ἀλλ' ἔστιν ὃ λέγει, ὅτι τὸ μὲν ἀδύνατον αὐτῶν. τὸ δὲ πρὸς τῷ ἀ-
δυνάτῳ καὶ πλασματῶδες καὶ ἀπίθανον. ἔστι δὲ τὸ ἄμφω ἔχον, τὸ κατ' ἄλλο μὲν εἶδος κινήσεως ἀξιοῦν
τὸ κινοῦν κινεῖν, κατ' ἄλλο δὲ κινεῖσθαι ἐξ ἀνάγκης. ἄτοπος γὰρ ἡ ὑπόθεσις, τὸ λέγειν ἐξ ἀνάγκης τὸ ἀλ-
λοιοῦν τι ἀλλοιοῦν αὐξόμενον αὐτὸ, ἄλλως δὲ μὴ δύνασθαι. οὕτω μὲν ὁ Ἀλέξανδρος, μή ποτε δὲ κυριώ-
τερον ὁ Ἀριστοτέλης ἐπεμέρισεν, τὸ μὲν κατὰ τὸ αὐτὸ εἶδος ἀδύνατον εἰπών. ἀδύνατον γὰρ τὸ ποιεῖν
καὶ τὸ πάσχειν εἰς ταυτὸν συνδραμεῖν. τὸ δὲ κατ' ἄλλο μὲν κινεῖσθαι κατ' ἄλλο δὲ κινεῖν δυνατὸν μὲν ἄλ-
λως, μὴ πεπερασμένων ὄντων τῶν εἰδῶν τῆς κινήσεως, μὴ δὲ τοῦ πρώτου κινουμένου μᾶλλον ὑπὸ τοῦ πρώ-
του κινοῦντος κινουμένου, ἢ ὑπὸ τοῦ προσεχοῦς. τὸ δὲ τὰ πεπερασμένα ἄπειρα ὑποθέσθαι, πλασμα-
τῶδες ὄντως ἐστὶ, κενὰς μαγγανείας ἀναπλάττον, τὸ δύνασθαι ἄλλην κίνησιν ἀεὶ μετ' ἄλλην λαμβά-
νειν, οὕτω δὲ καὶ τὴν καθολικὴν ἀπόδειξιν προαγαγὼν ὁ Ἀριστοτέλης, συμπέρασμα ἐπήγαγεν, ὅτι
οὐκ ἄρα ἀνάγκη κινεῖσθαι τὸ κινούμενον ὑπ' ἄλλου, καὶ τούτου κινουμένου. οὐ τοῦτο λέγων, ὅτι οὐκ ἀνάγ-
κη ἀεὶ ὑπ' ἄλλου κινεῖσθαι τὸ κινούμενον. τὸ γὰρ κινούμενον ὑπ' ἄλλου τινὸς δέδεικται κινούμενον. οὐδὲ ὅ-
τι οὐχ ὑπ' ἄλλου μέν τινος κινουμένου δὲ καὶ αὐτοῦ κινήσεται. δείξει γὰρ ὅτι ὑπὸ τοῦ αὐτοκινήτου κινεῖται.
ἀλλ' ὅτι οὐκ ἀνάγκη τὸ κινούμενον ὑπό τινος κινεῖσθαι, καὶ αὐτοῦ ἀεὶ ὑπ' ἄλλου κινουμένου. διὸ καὶ συνά-
γει λοιπὸν, τὸ τὸ πρώτως κινοῦν ἢ ἀκίνητον εἶναι, ἢ αὐτοκίνητον, ἐξ αὑτοῦ καὶ μὴ ὑπ' ἄλλου κινούμε-
νον. κἂν γὰρ ἤ τινα τὰ κινούμενα ὑπό τινων ἔξωθεν, καὶ αὐτῶν κινουμένων, ὡς ὁ λίθος ὑπὸ τῆς βα-
κτηρίας τῆς ὑπὸ χειρὸς κινουμένης. ἀλλ' οὐκ ἐπ' ἄπειρον τοῦτο προελεύσεται. ἀλλὰ στήσεται, ὡς μηκέ-
τι τὸ κινοῦν ὑπ' ἄλλου κινεῖσθαι. ἀλλ' ἢ ἀκίνητον εἶναι ἢ αὐτοκίνητον. δεδειγμένου δὲ τοῦ μήτε κατὰ τὸ
αὐτὸ εἶδος ἀεὶ κινούμενον τὸ κινοῦν κινεῖν, μήτε καθ' ἕτερον, εἵπετό φησιν ὁ Ἀλέξανδρος τὸ τὸ πρώ-
τως κινοῦν ἀκίνητον εἶναι, εἴπερ ἀνῄρηται τὸ πᾶν τὸ κινούμενον ὑπὸ κινουμένου κινεῖσθαι. ὁ δὲ τοῦ-
το οὐδέπω λαμβάνει, ὡς μὴ προηγουμένως αὐτὸ δείξας. μή ποτε δὲ τοῦ μὴ ὑπ' ἄλλου κινούμενον
τὸ κινοῦν κινεῖν δεδειγμένου, ἀλλ' οὐχὶ τοῦ μὴ ὑπὸ κινουμένου ἁπλῶς, ἕπεται οὐχὶ τὸ ἀκίνητον μόνως
εἶναι τὸ πρώτως κινοῦν, ἀλλ' ἢ ἀκίνητον ἢ αὐτοκίνητον. ὃ καὶ αὐτὸς προελθὼν ἐπέστησεν ὁ Ἀλέξανδρος.
ἀπορήσοι δὲ ἄν τις ὡς οἶμαι τὴν τῶν στοιχείων μεταβολὴν ὁρῶν, πῶς ἀδύνατον τὸ τὸ κινούμενον ὑπὸ
κινουμένου ἔξωθεν καὶ αὐτοῦ κινεῖσθαι, τὸ γὰρ γινόμενον πῦρ ὑπὸ πυρὸς γίνεται, καὶ αὐτοῦ τὴν γένεσιν ἔχοντος
ἐξ ἄλλου πυρὸς, ἢ ὑπὸ ἀέρος παραριπιζομένου καὶ ἐξαπτομένου. καὶ γὰρ δέδεικται ἐν τῇ περὶ γενέσεως, ὅτι ἐξ

ἀλλήλων ἀεὶ γίνεται τὰ στοιχεῖα ἀνακυκλούμενα. ὥστε τὸ κινούμενον πᾶν ἐν τοῖς ὑπὸ σελήνην ὑπὸ κινουμένου καὶ αὐτοῦ ἔξωθεν κινεῖσθαι, ἐπ' ἄπειρον ἀεὶ κατὰ κύκλον προϊούσης τῆς τοιαύτης κινήσεως, ὥσπερ καὶ τῆς γενέσεως. κἂν πεπερασμένα ᾖ τὰ τῆς κινήσεως εἴδη. μή ποτε οὖν ῥητέον πρὸς ταῦτα, ὅτι νῦν ὁ λόγος οὐ τὸ ὑλικὸν αἴτιον ζητεῖ τῆς γενέσεως καθ' ὃ ἐξ ἀλλήλων γίνεται. ἀλλὰ τὸ ποιητικὸν, καθ' ὃ ὑπ' ἀλλήλων. τὸ οὖν γινόμενον πῦρ ὑπὸ πυρὸς ἤδη ὄντος καὶ οὐ γινομένου πυρὸς γίνεται. ὥστε οὐχ ὑπὸ κινουμένου ἔξωθεν κινεῖται, καὶ τὸ ὑπὸ τοῦ παρατριβομένου ἀέρος ἐξαπτόμενον πῦρ, κατὰ συμβεβηκὸς καὶ οὐ καθ' αὑτὸ γίνεται. πᾶν γὰρ τὸ καθ' αὑτὸ ποιοῦν ὅμοιον ἑαυτῷ ποιεῖ τὸ γινόμενον.

ἈΛΛΑ μὴν καὶ εἴγε δέοι σκοπεῖν πότερον αἴτιον κινήσεως καὶ ἀρχὴ τὸ αὐτὸ αὑτὸ κινοῦν, ἢ τὸ ὑπ' ἄλλου κινούμενον, ἐκεῖνο πᾶς ἂν θείη. τὸ γὰρ αὐτὸ καθ' αὑτὸ ὂν αἴτιον, ἀεὶ πρότερον τοῦ καθ' ἕτερον, καὶ αὐτοῦ ὄντος. ὥστε ἐντεῦθεν σκεπτέον λαβοῦσιν ἄλλην ἀρχήν. εἴ τι κινεῖ αὐτὸ αὑτὸ, πῶς κινεῖ καὶ τίνα τρόπον.

ΔΕΙΞΑΣ ὅτι τὸ πρῶτον κινοῦν ἢ ἀκίνητον ἢ αὐτοκίνητον εἶναι ἀνάγκη, εἴπερ μὴ ἀεὶ ὑπὸ κινουμένου ἔξωθεν κινεῖται τὸ κινούμενον, νῦν πως ὅτι τὸ αὐτοκίνητον ἀρχὴ κινήσεώς ἐστιν, ἤπερ τὸ ὑπ' ἄλλου κινούμενον καὶ οὕτω κινοῦν, δείκνυσι διὰ τοιούτου τινὸς συλλογισμοῦ. τὸ αὐτοκίνητον καθ' αὑτὸ αἴτιον κινήσεως, ὥσπερ τὸ ὑπ' ἄλλου κινούμενον καὶ ταύτῃ κινοῦν καθ' ἕτερον. τὸ καθ' αὑτὸ αἴτιον κινήσεως πρότερον καὶ ἀρχικώτερόν ἐστι τοῦ καθ' ἕτερον. καὶ ὅτι μὲν τὸ αὐτοκίνητον καθ' αὑτὸ αἴτιον τοῦ κινεῖσθαι, εἴπερ ἐξ ἑαυτοῦ καὶ τὸ κινεῖν ἔχει καὶ τὸ κινεῖσθαι, πρόδηλον. καθ' ἕτερον δὲ τὸ ὑπ' ἄλλου κινούμενον ἵνα κινήσῃ. ὅτι δὲ τὸ καθ' αὑτὸ αἴτιον κινήσεως τοῦ καθ' ἕτερον ἀρχικώτερον καὶ αἰτιωδέστερόν ἐστι, καὶ ἐντεῦθεν δῆλον. τοῦ γὰρ καθ' ἕτερον διχῶς λεγομένου ἢ κατὰ συμβεβηκὸς ἢ δι' ἄλλο, οὔτε τὸ κατὰ συμβεβηκός ἐστι μὴ προϋπάρχοντος τοῦ καθ' αὑτό. οὔτε τὸ δι' ἄλλο, μὴ προτέρου ὄντος τοῦ δι' αὑτὸ, ὅπερ ἐστὶ τὸ καθ' αὑτό. ὥστε τὸ αὐτοκίνητον πρῶτον αἴτιον καὶ ἀρχὴ τῶν κινούντων τε καὶ κινουμένων. ζητῶν δὲ ἐφεξῆς πῶς ἐντεῦθεν κινεῖ ἑαυτὸ, ἐκ τῆς διαιρέσεως αὐτοῦ τῆς εἰς τὸ κινοῦν καὶ κινούμενον, εὑρήσει τε καὶ δείξει πάλιν τὸ πρῶτον κινοῦν ἀκίνητον. ἄλλην δὲ ἀρχὴν λαμβάνειν λέγει, τὴν ὅτι πᾶν τὸ κινούμενον διαιρετόν ἐστιν, ἣν ἀπέδειξε μὲν ἐν τῷ πέμπτῳ βιβλίῳ ταύτης τῆς πραγματείας, οὐ μέντοι ταύτῃ προσεχρήσατο ἐν τοῖς προλαβοῦσιν, ἀλλὰ τῇ λεγούσῃ πᾶν τὸ κινούμενον ὑπό τινος κινεῖσθαι, καὶ τῇ πᾶν τὸ κινούμενον ἢ κατὰ φύσιν ἢ παρὰ φύσιν κινεῖσθαι. διὰ τοῦτο οὖν εἶπε λαβοῦσιν ἄλλην ἀρχήν, ζητεῖ δὲ πῶς τὸ αὐτοκίνητον κινεῖται, καὶ τίς ὁ τρόπος αὐτοῦ τῆς κινήσεως, εὑρίσκων ἐκ τούτου, ὅτι τῶν ὄντων τὰ μέν ἐστιν ἀκίνητα, τὰ δὲ ἀεικίνητα. τὰ δὲ ποτὲ μὲν κινούμενα, ποτὲ δὲ ἠρεμοῦντα.

ἈΝΑΓΚΑΙΟΝ δὴ τὸ κινούμενον ἅπαν εἶναι διαιρετὸν εἰς ἀεὶ διαιρετά. τοῦτο γὰρ δέδεικται πρότερον ἐν τοῖς καθόλου περὶ φύσεως. ὅτι πᾶν τὸ καθ' αὑτὸ κινούμενον, συνεχές.

ἘΝ τῷ πέμπτῳ ταύτης τῆς πραγματείας ἔδειξεν, ὅτι πᾶν τὸ κινούμενον καθ' αὑτὸ, συνεχές τέ ἐστι καὶ διαιρετόν. ἐδείχθη δὲ τῷ τὸ κινούμενον μήτε ἐν τούτῳ εἶναι εἰς ὃ κινεῖται, μήτε ἐν τούτῳ ἔτι ἐξ οὗ κινεῖται. ἀλλὰ τὸ μέν τι αὐτοῦ ἐν τούτῳ, τὸ δὲ ἐν ἐκείνῳ, τὸ δὲ τοιοῦτον διαιρετόν. τοῦτο οὖν ἀρχὴν νῦν ποιεῖται τῆς περὶ τοῦ αὐτοκινήτου ζητήσεως. ἔνεστι δὲ καὶ ἐντεῦθεν συλλογίζεσθαι. ὅτι ἐπειδὰν μὲν ἐν τοῖς περὶ φύσεως εἰρῆσθαί τι αὐτῷ λέγῃ, τὰ πέντε λέγει τὰ πρῶτα τῆσδε τῆς πραγματείας βιβλία. ἐπειδὰν δὲ ἐν τοῖς περὶ κινήσεως, τὰ τρία ἂν λέγοι τὰ τελευταῖα.

ἈΔΥΝΑΤΟΝ δὴ τὸ αὐτὸ αὑτὸ κινοῦν, πάντῃ κινεῖν αὐτὸ ἑαυτό. φέροιτο γὰρ ἂν ὅλον καὶ φέροι τὴν αὐτὴν φορὰν ἓν ὂν καὶ ἄτομον τῷ εἴδει. καὶ ἀλλοιοῖτο καὶ ἀλλοιοῖ. ὥστε διδάσκοι ἂν καὶ διδάσκοιτο ἅμα. καὶ ὑγιάζοι καὶ ὑγιάζοιτο τὴν αὐτὴν ὑγίειαν.

Ὁ μὲν Εὔδημος προϊστορήσας ὅτι τὸ αὐτὸ κινοῦν ὑπὸ Πλάτωνος δέδοται, διαιρεῖ πρῶτον τοὺς τρόπους, καθ' οὓς ἐνδέχεταί τι αὐτοκίνητον λέγεσθαι, γράφων οὕτως. ἤτοι γὰρ ὅλον ὅλον κινεῖ, ἢ μέρος ὅλον, ἢ ἀνάπαλιν, ἢ μέρος μέρος. κινεῖν δὲ λέγομεν πρώτως, τὸ αὐτῷ κινεῖν οὐ τῷ ἑτέρῳ, καὶ τὸ δι' αὑτὸ καὶ οὐ δι' ἄλλο. καὶ οὕτω τοὺς τρεῖς τρόπους καθ' ἕκαστον ἀνελὼν, μόνον δείκνυσιν αὐτοκίνητον δυνάμενον εἶναι, τὸ μέρει μὲν κινοῦν, μέρει δὲ κινούμενον, καὶ τούτου τὸ ἔχον ἐν αὑτῷ τὸ μέν τι κινοῦν ἀκίνητον ὂν καθ' αὑτὸ, τὸ δὲ κινούμενον. ὁ δὲ Ἀριστοτέλης οὐ προέλαβε μὲν τὴν διαίρεσιν ταύτην, προελθὼν δὲ τίθησιν αὐτὴν συντόμως, ὅταν λέγῃ τὸ γὰρ ὅλον εἰ κινεῖται αὐτὸ ὑφ' ἑαυτοῦ, ἤτοι ὑπὸ τοῦ αὐτοῦ τινος κινήσεται, ἢ ὅλον ὑπὸ ὅλου. νῦν δὲ εὐθὺς ἐν ἑκάστῳ προχειριζόμενος τῶν τρόπων, τὰ ἑπόμενα ἄτοπα δείκνυσι. καὶ πρῶτον τὸ τὸ ὅλον ὑφ' ὅλου ἑαυτοῦ κινεῖσθαι διὰ παραδειγμάτων ἀπεμφαῖνον δείξας, ἐφεξῆς ὅτι ἀδύνατόν ἐστιν ὡδὶ δείκνυσι, τὰ δὲ παραδείγματα. φέροι γὰρ ἄν φησιν ὅλον καὶ φέροιτο τὴν αὐτὴν φορὰν, ἓν ὂν καὶ ἄτομον τῷ εἴδει, ἢ ἀλλοιοῖτο καὶ ἀλλοιοῖ. ὥστε διδάσκοι ἂν καὶ μανθάνοι ἅμα. καὶ ὑγιάζοι καὶ ὑγιάζοιτο τὴν αὐτὴν ὑγείαν. ἅπερ ὁ Εὔδημος διὰ τῶν αὐτῶν ὀνομάτων σαφέστερα πεποίηκεν γράφων οὕτως. ἆρ' οὖν ἐνδέχεται φέρειν ὅλον ὅλον εἰπεῖν ἐπὶ τοῦ ὤμου, καὶ ἅμα τὸ αὐτὸ καὶ ἐν ἐπὶ τοῦ ὤμου φέρεσθαι, καὶ εἶναι καὶ ἐπὶ τοῦ ὤμου φέρειν καὶ ἔχειν. ἢ τοῦτο μὲν οὐχ οἷόν τε, θερμαίνεσθαι δὲ ὅλον ὑφ' ὅλου. καὶ πῶς, τὸ μὲν γὰρ θερμαῖνον θερμαίνει θερμὸν δηλονότι ὄν. τὸ δὲ θερμαινόμενον εἰς τὸ θερμὸν μεταβάλλει. εἰς ὃ δὲ μεταβάλλει οὔπω ἐστὶν ἐκεῖνο, ἅμα

δὲ εἶναι τὸ αὐτὸ θερμόν τε καὶ μὴ θερμὸν ἀδύνατον. τῷ δὲ ἓν ὂν προσέθηκεν ὁ Ἀριστοτέλης τὸ καὶ ἄτομον τῷ εἴδει, ἤτοι ὡς φησὶν Ἀλέξανδρος καὶ αὐτὸ ἐπὶ τοῦ κινουμένου λεγόμενον, ὥσπερ καὶ τὸ ἓν ὄν, ὡς ἴσον δυνάμενον τῷ ἓν τὸ ἐν ἀτόμῳ εἴδει. τὸ γὰρ ἐν ἀτόμῳ εἴδει ὂν κατὰ ἀριθμόν ἐστιν ἕν, ἢ τὸ μὲν ἐπὶ τοῦ κινουμένου εἴρηται. τὸ δὲ ἄτομον τῷ εἴδει ἐπὶ τῆς κινήσεως. ἵνα ᾖ τὸ ἑξῆς, κινήσει καὶ κινήσεται ἓν ὂν τὴν αὐτὴν φορὰν καὶ ἄτομον τῷ εἴδει. ταῦτα τοῦ Ἀλεξάνδρου λέγοντος, μή ποτε ἄμεινον ἀμφότερα, τό τε ἓν ὂν καὶ τὸ ἄτομον τῷ εἴδει, ἐφ᾽ ὅλου τοῦ αὐτοκινήτου ἀκούειν. τὸ δὲ ἄτομον τῷ εἴδει, δηλοῖ ὅπως εἴρηται τὸ ἓν ὄν, ὅτι οὐκ ἀριθμῷ ἕν, ἀλλ᾽ εἴδει ἕν, τοῦ ἀτόμου ἀντὶ τοῦ ἑνὸς εἰλημμένου. τὸ γὰρ ὅλον φέρον ἑαυτό, καὶ ὅλον φερόμενον, καὶ ἀλλοιοῦν καὶ ἀλλοιούμενον, τῷ εἴδει ἐστὶν ἕν. ἀλλ᾽ οὐχὶ τῷ ἀριθμῷ, ὡς ὁ δὴ ὁ χαμαιλέων εἰ τύχοι ὁ ἄτομος ἑαυτὸν χρωματίζων. ἐφιστάνω δὲ καὶ πῶς ὁ Ἀλέξανδρος τὸ ἐν ἀτόμῳ εἴδει ὂν κατὰ ἀριθμὸν ἓν εἶναί φησι. τὸ μὲν γὰρ ἓν ἀτόμῳ τὸ ἓν σημαίνειν ὁμολογῶ. ἄλλο μέντοι φημὶ τὸ κατ᾽ ἀριθμὸν ἓν εἶναι, καὶ ἄλλο τὸ κατὰ εἶδος, καὶ ἀσφαλῶς τὸν Ἀριστοτέλη δηλῶσαι πῶς εἶπε τὸ ἓν ὄν. ὅτι οὐ κατ᾽ ἀριθμὸν ἀλλὰ κατ᾽ εἶδος. τὸ δὲ αὐτὸ καὶ πρὸ ὀλίγου ἐσήμαινεν εἰπών, δεῖ γὰρ μέχρι τῶν ἀτόμων διαιροῦντα λέγειν. ἄτομα καὶ ἐκεῖ τὰ ἔσχατα εἴδη λέγων, ἀλλ᾽ οὐ τὰ κατ᾽ ἀριθμὸν ἀφοριζόμενα. καλῶς δὲ ὑγιάζειν καὶ ὑγιάζεσθαι τὴν αὐτὴν ὑγίειαν εἶπεν. εἰ μὲν γὰρ ἄλλο τὸ ὑγιάζον ἦν, καὶ ἄλλο τὸ ὑγιαζόμενον, ἄλλη ἂν ἦν ἡ ἐν τῷ ἐνεργοῦντι ὑγίεια, καὶ ἄλλη ἡ ἐν τῷ πάσχοντι. ἐπειδὴ δὲ τὸ αὐτό ἐστι τὸ ὑγιάζον καὶ ὑγιαζόμενον, καὶ ἡ ὑγίεια μία ἂν καὶ ἡ αὐτὴ εἴη. τοῦτο δὲ ἄτοπον τὴν αὐτὴν ἐνεργητικὴν καὶ παθητικὴν εἶναι. ὅπερ ἐφεξῆς σαφέστερον ἀποδείκνυσιν.

Ε Ἔτι διώρισται ὅτι κινεῖται τὸ κινητόν. τοῦτο δέ ἐστι δυνάμει κινούμενον, οὐκ ἐντελεχείᾳ, τὸ δὲ δυνάμει εἰς ἐντελέχειαν βαδίζει. ἔστι δὲ ἡ κίνησις ἐντελέχεια κινητοῦ ἀτελής. τὸ δὲ κινοῦν ἤδη, ἐνεργείᾳ ἐστίν. οἷον, θερμαίνει τὸ θερμὸν καὶ ὅλως γεννᾷ τὸ ἔχον τὸ εἶδος. ὥσθ᾽ ἅμα τὸ αὐτὸ κατὰ τὸ αὐτὸ θερμὸν ἔσται καὶ οὐ θερμόν. ὁμοίως δὲ καὶ τῶν ἄλλων ἕκαστον. ὅσων τὸ κινοῦν ἀνάγκη ἔχειν τὸ συνώνυμον. τὸ μὲν ἄρα κινεῖ. τὸ δέ, κινεῖται τοῦ αὐτὸ αὐτὸ κινοῦντος.

Γ Προδείξας ἀπεμφαίνοντα τὸν λόγον τὸν λέγοντα ὅλον τι ὑφ᾽ ὅλου ἑαυτοῦ κινεῖσθαι, νῦν ὅτι καὶ ἀδύνατόν ἐστι τοῦτο ὡς προεῖπεν ἀποδείκνυσι. δείκνυσι δὲ αὐτὸ τῷ τῆς κινήσεως ὁρισμῷ προσχρώμενος, καὶ τῷ τοῦ κινουμένου. κινούμενον γὰρ φαμὲν τὸ κινητόν, καὶ ἔτι ἐν τῷ δυνάμει ὂν καὶ εἰς ἐντελέχειαν βαδίζον τὴν τελείαν. ἐπειδὴ ἡ κίνησις κἂν ἐντελέχεια τοῦ κινητοῦ ᾖ, ἀλλὰ ἀτελὴς ἐντελέχεια, ὡς ἔτι ἐν τῷ δυνάμει ὄντος τοῦ κινουμένου, τὸ μέντοι κινοῦν ἐνεργείᾳ ἐστὶν ἤδη. τὸ γὰρ θερμαῖνον θερμὸν εἶναι χρὴ κατ᾽ ἐνέργειαν. καὶ τὸ μεταδιδὸν ἄλλῳ τινός, ὅπερ αὐτὸς γενικῶς εἶπεν, αὐτὸ πρότερον ἔχειν ἐκεῖνο οὗ μεταδίδωσι. τούτων οὖν ἐναργῶν ὄντων, ἐὰν ὅλον τι ὑφ᾽ ὅλου ἑαυτοῦ θερμαίνηται, καθ᾽ ὅσον μὲν θερμαίνει θερμὸν ἤδη ἐστὶν ἐνεργείᾳ, καθ᾽ ὅσον δὲ θερμαίνεται καὶ ἐπὶ τὸ θερμὸν εἶναι βαδίζει, δυνάμει μόνον ἔχον τοῦτό πως, οὔπω θερμόν ἐστιν, ὥστε ἅμα τὸ αὐτὸ καὶ κατὰ τὸ αὐτὸ θερμὸν ἔσται καὶ οὐ θερμόν, ὅπερ ἀδύνατον, εἴπερ ἀδύνατόν ἐστι τὴν ἀντίφασιν συναληθεύειν. ὡς δὲ καὶ ἐπὶ τοῦ θερμοῦ οὕτω καὶ ἐπὶ τῶν ἄλλων κινήσεων, ἐφ᾽ ὧν τὸ κινοῦν συνώνυμον ἴσχει ἑαυτῷ τὸ κινούμενον, οἷον τὸ φέρον φέρεσθαι ποιεῖ, καὶ τὸ αὖξον αὔξεσθαι, καὶ τὸ ἐπιστῆμον ποιεῖ ἐπιστῆμον, ἀνάγκη τὴν ἀντίφασιν συναληθεύειν, εἰ αὐτό τι ὑφ᾽ ἑαυτοῦ κινοῖτο. εἰ δὲ τοῦτο ἀδύνατον, ἀδύνατόν τι ὅλον ὑφ᾽ ὅλου ἑαυτοῦ κινεῖσθαι. συνάγεται δὲ καὶ ἐν δευτέρῳ σχήματι τὸ ἀδύνατον οὕτω. πᾶν τὸ κινούμενον καθ᾽ ὃ κινεῖται ἀτελές. οὐδὲν κινοῦν καθ᾽ ὃ κινεῖ ἀτελές. οὐδὲν ἄρα κινοῦν καθ᾽ ὃ κινεῖ κινεῖται. προσαγαγὼν δὲ ἐπὶ τοῦ θερμοῦ τὸν λόγον ὁ Ἀριστοτέλης ἐπήγαγεν, ὁμοίως δὲ καὶ τῶν ἄλλων ἕκαστον, ὅσων τὸ κινοῦν ἀνάγκη ἔχειν τὸ συνώνυμον. τουτέστιν εἰς συνώνυμον αὐτῷ ἄγειν τὸ κινούμενον ὑπ᾽ αὐτοῦ. οἷον τὸ θερμαῖνον θερμὸν ὂν θερμὸν ποιεῖ τὸ θερμαινόμενον, καὶ τὸ διδάσκον ἐπιστῆμον ὂν ἐπιστῆμον ποιεῖν τὸ διδασκόμενον. τοῦτο δὲ λέγει, ἐπεὶ μὴ πάντα τὰ ποιοῦντα ὅμοια αὐτοῖς ποιεῖ. ἡ γὰρ μάστιξ τοὺς μώλωπας ποιεῖ, οὐκ ἔχουσα αὐτὴ μώλωπας. διαιρεῖ δὲ ὁ Θεόφραστος ἐν τρίτῳ τῶν φυσικῶν ἢ περὶ οὐρανοῦ τὰ γινόμενα οὕτως. ἢ γὰρ ὑπὸ ὁμοίου γίνεταί φησιν, ὡς ἄνθρωπος ὑπὸ ἀνθρώπου, καὶ θερμὸν ὑπὸ θερμοῦ, ἢ ὑπὸ ἐναντίου. ὡς ὁρῶμεν τοὺς κεραυνοὺς καὶ τὰς ἀστραπάς, ὑπὸ γὰρ ψυχρότητος ἡ τούτου τοῦ πυρὸς ἐν τῷ ἀέρι γένεσις, ἀθροίζοντος εἰς ἓν τὸ ἐν αὐτοῖς θερμὸν καὶ ἐκπυροῦντος. ἢ τρίτον ὑπὸ ἐντελεχείᾳ ὅλως ὄντος, ὡς καὶ ὁ μώλωψ. ὑπὸ γὰρ ἐντελεχείᾳ οὔσης τῆς μάστιγος γίνεται. οὔτε δὲ ὁμοίας ἔτι οὔτε ἐναντίας τῷ γινομένῳ, καὶ τὰ ὑπὸ τοῦ ἡλίου δέ φησι γινόμενα ὑπὸ ἐντελεχείας γίνεται. καὶ γὰρ αὐτὸς οὔτε ὅμοιος οὔτε ἐναντίος τοῖς γινομένοις ὑπ᾽ αὐτοῦ. ἐφιστάνει δὲ ὁ Ἀλέξανδρος, ὅτι ὑπὸ ἐντελεχείας λέγεται γίνεσθαι τὰ ὑπὸ τῆς μάστιγος, ἀντὶ τοῦ ὑπὸ ἐνεργείας καὶ πληγῆς, καὶ δῆλον δὲ ὅτι καὶ τὰ ἄλλα πάντα τὰ γινόμενα ὑπὸ ἐντελεχείας γίνεται, εἴτε τὸ ἐνεργείᾳ εἶναι ὅ ἐστιν, εἴτε τὴν ἐνέργειαν δηλοῖ ἡ ἐντελέχεια. μή ποτε οὖν ὡς τῶν μὲν ἄλλων καὶ ἰδίῳ τινὶ χαρακτῆρι κρατουμένων, τούτων δὲ μόνον τὸ ἐνεργεῖν ἐχόντων, οὕτως ὠνόμασεν αὐτά. ἐφιστάνειν δὲ ἄξιον τῇ τῶν ποιούντων καὶ γινομένων διαιρέσει, μή ποτε πάντα τὰ καθ᾽ αὑτὸ ποιοῦντα καὶ γινόμενα, φυσικῶς ὅμοια ποιεῖ καὶ ὅμοια γίνεται. ἐκ μὲν γὰρ τῶν ἐναντίων ὡς ἐξ ὕλης γίνεται πάντως τὰ γινόμενα. ὑπὸ δὲ τῶν ἐναντίων ὡς ὑπὸ ποιητικῶν αἰτίων οὐδέν,

γίνεται καθ' αὑτό. ὁρᾷ μὲν γὰρ εἰς ἄλληλα τὰ ἐναντία. γίνεται δὲ οὐ τὸ ἐναντίον ὑπὸ τοῦ ἐναντίου, ἀλλὰ τὸ ὅμοιον, καὶ τοῦτο καὶ τῷ ἀριστοτέλει δοκεῖ, ἐν πρώτῳ τῆς περὶ γενέσεως γράφοντι οὕτως.
» διὸ καὶ εὔλογον ἤδη τὸ πῦρ θερμαίνειν, καὶ τὸ ψυχρὸν ψύχειν, καὶ ὅλως τὸ ποιητικὸν ὁμοιοῦν αὑτῷ
» τὸ πάσχον. τό, τε γὰρ ποιοῦν καὶ τὸ πάσχον ἐναντία ἐστί, καὶ ἡ γένεσις εἰς τοὐναντίον, ὥστε ἀνάγκη τὸ
» πάσχον εἰς τὸ ποιοῦν μεταβάλλειν. καὶ τὸ πῦρ δὲ ὑπὸ τοῦ ψυχροῦ κατὰ συμβεβηκὸς γίνεται καὶ οὐ καθ' αὑτό. οὐ γὰρ καθ' ὃ ψυχρὸν πυρός ἐστι ποιητικόν. ἀλλὰ καθ' ὃ ψυχρὸν πυκνοῖ, καὶ συνάγει τὰ πως ἐσκορπισμένα πυρά, καὶ παρατριβόμενα ἀλλήλοις ἔτι μᾶλλον ἐκπυροῦσθαι ποιεῖ, μεταβάλλοντα εἰς ἑαυτὰ τὰ πλησιάζοντα, καὶ ἡ μάστιξ δὲ καθ' αὑτὸ μὲν ὅμοιον ἑαυτῇ τύπον ἐμποιεῖ τῷ μαστιζομένῳ, βιαίως ἐπωθοῦσα διὰ τὴν κίνησιν. οἱ δὲ μώλωπες κατὰ συμβεβηκὸς ἐπιγίνονται συχνῶν μικρῶν ἀγγείων ῥηγνυμένων, καὶ χεομένου τοῦ αἵματος ἔνδον. εἰ οὖν ταῦτα ἀληθῆ λέγω, ἔοικεν ἀριστοτέλης τὸ ὅσον τὸ κινοῦν ἀνάγκη ἔχειν τὸ συνώνυμον κινούμενον εἰπεῖν, ἀντὶ τοῦ ὅσα καθ' αὑτὸ κινεῖ, ὡς ἀπὸ τεκμηρίου τοῦ συνωνύμου δηλῶν αὐτό, καὶ ἐπὶ τούτων βουλόμενος τὴν ἀντίφασιν συναληθεύειν, εἴ τις αὐτό τι ὑφ' ἑαυτοῦ λέγοι κινεῖσθαι, ἀλλ' οὐκ ἐπὶ τῶν κατὰ συμβεβηκὸς κινούντων τε καὶ κινουμένων. δείξας δὲ ὅτι ἀδύνατον αὐτοκίνητόν τι εἶναι οὕτως, ὡς ὅλον ὑφ' ὅλου ἑαυτοῦ κινεῖσθαι, συνεπεράνατο ὅτι εἴπερ ὅλως ἐστί τι αὐτοκίνητον, ἀνάγκη τὸ μέν τι αὐτοῦ κινεῖν, τὸ δὲ κινεῖσθαι.

ΟΤΙ ΔΟΥΚ ἔστι τὸ αὐτὸ αὑτὸ κινοῦν οὕτως, ὥστε ἑκάτερον ὑφ' ἑκατέρου κινεῖσθαι. ἐκ τῶνδε φανερόν. οὔτε γὰρ ἔσται πρῶτον κινοῦν οὐδέν, εἴγε ἑκάτερον κινήσει ἑκάτερον, τὸ γὰρ πρότερον, αἰτιώτερον τοῦ κινεῖσθαι τοῦ ἐχομένου. καὶ κινήσει μᾶλλον διχῶς γὰρ κινεῖν ἦν τὸ μὲν τὸ ὑπ' ἄλλου κινούμενον αὐτό. τὸ δ' αὑτῷ. ἐγγύτερον δέ, τὸ πορρώτερον τοῦ κινουμένου τῆς ἀρχῆς ἢ τὸ μεταξύ.

Συμπερανάμενος ἔστι τι αὐτοκίνητον, ἀνάγκη τὸ μέν τι αὐτοῦ κινεῖν, τὸ δὲ κινεῖσθαι, δέδωκε πάλιν ἡμῖν καὶ τούτου τὴν διαίρεσιν ἐννοεῖν. εἰ γὰρ τὸ μέν τι κινεῖ, τὸ δὲ κινεῖται, ἢ μέρος μὲν κινεῖ, τὸ δὲ ὅλον κινεῖται, ἢ τὸ μὲν ὅλον κινεῖ μέρος δὲ κινεῖται. διαιρεῖ δὲ καὶ τοῦτο ὁ εὔδημος οὕτως. τὸ γὰρ κινοῦν φησὶ μέρος ἢ ἀκίνητον ὂν κινήσει, ἢ κινούμενον, ἀλλ' εἰ μὲν ἀκίνητον, δέδεικται ὃ βουλόμεθα, ὅτι τὸ αὐτοκίνητον σύγκειται ἐκ κινουμένου καὶ ἀκινήτου τοῦ κινοῦντος. εἰ δὲ τὸ κινούμενον μέρος κινούμενον καὶ αὐτὸ κινεῖ, ἐπειδὴ πᾶν τὸ κινούμενον ὑπό τινος κινεῖται, καὶ τοῦτο ὑπό τινος κινηθήσεται, οὐκοῦν ἔξωθεν μὲν οὐχ οἷόν τε εἶναι τὸ κινοῦν αὐτό. οὐ γὰρ ἂν ἔτι ὑφ' ἑαυτοῦ λέγοιτο κινεῖσθαι τὸ ὅλον, ἀλλ' ὑπ' ἄλλου τοῦ τὸ κινοῦν αὐτὸ μέρος κινοῦντος, ὑπό τινος ἄρα τῶν ἐν τῷ αὐτοκινήτῳ κινήσεται, ἢ οὖν ὑπό τινος τῶν ἑαυτοῦ μορίων κινήσεται τὸ κινοῦν μέρος, ἢ ὑπὸ τοῦ κινουμένου. καὶ τοῦτο πάλιν τὸ κινοῦν ἢ ἀκίνητον ὂν κινεῖ, καὶ ἔσται τὸ πρώτως κινοῦν ἀκίνητον, ἢ κινούμενον, καὶ πάλιν ἢ ὑπὸ μέρους ἑαυτοῦ, ἢ ὑπὸ τοῦ κινουμένου, ἀνταναιροῦντες δέ φησιν ὁ εὔδημος οὕτως ἥξομέν ποτε εἰς τὰ πρώτως κινοῦντα, ταῦτα δὲ ἦν ἃ μὴ τινὶ ἐκίνει, ἀλλ' ὅλα ὅλοις. οὐ γὰρ ἐνδέχεται τὴν ἀνταναίρεσιν ἄπειρον εἶναι. οὐ γὰρ ἂν κινοῖντο μὴ ὄντος πρώτου, δέδεικται δὲ ὅτι ὅλον ὑπὸ ὅλου ἀδύνατον κινεῖσθαι ἑαυτοῦ. ὥστε ἀνάγκη τὸ πρώτως κινοῦν ἀκίνητον ὂν κινεῖν, οὕτω μὲν οὖν ὁ εὔδημος διαιρεῖ. ὁ δὲ ἀριστοτέλης πρῶτον ἀναιρεῖ, τὸ μόριον μέν τι κινεῖν, μόριον δέ τι κινεῖσθαι οὕτως, ὥστε καὶ τὸ κινούμενον κινεῖν πάλιν τὸ κινοῦν αὐτό, καὶ τὸ κινοῦν κινεῖσθαι ὑπὸ τοῦ κινουμένου ὑπ' αὐτοῦ. συμβαίνει γὰρ οὕτως ἑκάτερον ὑφ' ἑκατέρου κινεῖσθαι, ὑπό τε τοῦ κινουμένου ὑπ' αὐτοῦ καὶ ὑφ' ἑαυτοῦ. εἰ γὰρ τὸ α κινεῖ τὸ β, τὸ δὲ β κινεῖ τὸ α, καὶ ὑφ' ἑαυτοῦ ἄρα κινεῖται τὸ α, καὶ μᾶλλον ἢ ὑπὸ τοῦ β. μᾶλλον γὰρ ὑπὸ τοῦ πρώτου κινοῦντος κινεῖται τὸ κινούμενον, ἢ ὑπὸ τοῦ προσεχοῦς. ὡς δέδεικται πρότερον, ταύτην οὖν ἐλέγχει τὴν ὑπόθεσιν ὁ ἀριστοτέλης πρώτην, εἰς ἀδύνατον ἀπάγων αὐτὴν τὸ μηδὲν ἔσεσθαι πρῶτον κινοῦν. ὡς τὸ μὲν εἶναι κινοῦν αὐτῶν, τὸ δὲ κινούμενον ὑπ' ἐκείνου. ἔδει γὰρ μὴ ὅλον αὐτὸ αὑτὸ κινεῖν, τὸ μέν τι εἶναι κινοῦν πρώτως, τὸ δὲ ὑπ' ἐκείνου κινούμενον. ὅτι δὲ μηδὲν ἔσται πρώτως κινοῦν ἐν τῷ οὕτως αὐτοκινήτῳ, δείκνυσιν ἐκ τοῦ ἑκάτερον τῶν μορίων πρῶτον εὑρεθήσεσθαι κινοῦν, εἰ δὲ πάντα πρῶτα ὁμοίως, οὐδὲν ἂν εἴη πρῶτον. ὅτι δὲ ἑκάτερον πρῶτον, δείκνυσιν ἐκ τοῦ ἑκάτερον μὴ μόνον τὸ ἕτερον κινεῖν, ἀλλὰ καὶ ἑαυτό. καὶ μᾶλλον ὑφ' ἑαυτοῦ κινεῖσθαι, ἢ ὑπὸ τοῦ κινουμένου ὑπ' αὐτοῦ. τὸ δὲ μᾶλλον κινοῦν τὸ πρῶτον κινοῦν ἐστίν. ὅτι δὲ καὶ ἑαυτὸ κινεῖ ἑκάτερον, δείκνυσι διὰ τοῦ, τὸ γὰρ πρότερον αἰτιώτερον τοῦ κινεῖσθαι τοῦ ἐχομένου, διὸ καὶ κινήσει μᾶλλον. εἰ γὰρ ὡς εἴρηται τὸ μὲν α κινεῖ τὸ β, τὸ δὲ β κινεῖ τὸ α, ἔσται τὸ α τὸ πρῶτον κινοῦν, καὶ ἑαυτὸ κινοῦν, καὶ μᾶλλον ἢ ὑπὸ τοῦ β κινεῖται. ὁμοίως δὲ καὶ εἰ τὸ β κινεῖ τὸ α, τὸ δὲ α κινεῖ τὸ β, τὸ β πάλιν πρῶτον κινοῦν, καὶ ἑαυτὸ κινήσει, καὶ μᾶλλον ἢ τὸ α τὸ προσεχῶς αὐτὸ κινοῦν, ὥστε ἑκάτερον καὶ πρῶτον ἔσται καὶ ἑαυτὸ κινήσει, καὶ ὅλον ὑφ' ὅλου ἑαυτοῦ κινήσεται. ὅπερ ἐδείχθη ἀδύνατον, τοῦ δὲ μᾶλλον ὑφ' ἑαυτοῦ κινεῖσθαι τὸ α ἢ ὑπὸ τοῦ β ἐν τοῖς ἀντικινουμένοις, δεικτικὸν παρήγαγε τὸ τὸ μὲν α ἑαυτῷ κινεῖν, τὸ δὲ β κινούμενον ὑπὸ τοῦ α κινεῖν τὸ α. μᾶλλον γὰρ κινεῖ τὸ ἑαυτῷ κινοῦν, ἢ τὸ τῷ ὑφ' ἑτέρου κινεῖσθαι κινοῦν. τὸ δὲ ἐγγύτερον δὲ τὸ πορρώτερον τοῦ κινουμένου τῆς ἀρχῆς ἢ τὸ μεταξὺ εἴρηκεν, ἀντὶ τοῦ

συνεχέστερον καὶ οἰκειότερον εἰς ἀρχῆς λόγον ἐστὶ τὸ πορρώτερον τοῦ ἐσχάτου κινουμένου, ἤπερ τὸ με-
ταξὺ τούτου τε καὶ τοῦ πορρωτέρου ὄντος. εἰ γὰρ κινούμενον μὲν ἔσχατόν ἐστι τὸ γ, προσεχὲς δὲ κι-
νοῦν αὐτὸ τὸ β, καὶ πορρώτερον τὸ α, ἀρχοειδέστερόν ἐστι τὸ α τοῦ β εἰς τὸ κινεῖν τὸ γ, πορρώτερον
ὂν τοῦ γ ἤπερ τὸ β. καὶ εἰ μηδὲν ἔχοι πρὸ ἑαυτοῦ κινοῦν τὸ α, αὐτὸ ἂν εἴη ἀρχὴ τῆς κινήσεως. ὁμοίως
δὲ καὶ δυοῖν ὄντων, ἐὰν τὸ μὲν α κινῇ τὸ β, τὸ δὲ β κινῇ τὸ α, ἀρχοειδέστερον πρὸς τὴν τοῦ α κίνησίν
ἐστι τὸ α ἤπερ τὸ β, πορρώτερον ἑαυτοῦ ὄν. τὸ δ' αὐτὸ καὶ ἐπὶ τοῦ β ῥητέον. ὥστε πάντα ὁμοίως
πρῶτα. καὶ διὰ τοῦτο οὐδὲν πρῶτον. ὁ δὲ ἀλέξανδρος διὰ τῶν εἰρημένων δεδεῖχθαί φησι. τὸ μηδέτε-
ρον αὐτῶν ὑπό τινος ἔξωθεν καὶ ἄλλου κινηθήσεσθαι. ἀλλ' αὐτὰ ὑφ' αὐτῶν. ἄμεινον δὲ οἶμαι λέγειν.
ὅτι τὸ μηδὲν εἶναι πρῶτον κινοῦν ἀποδέδεικται. καὶ πρὸς τὴν τούτου κατασκευὴν παρείληπται,
τὸ ἑκάτερον αὐτῶν καὶ ἑαυτὸ κινεῖν. ἵνα διὰ τούτου ἀρχοειδέστερον καὶ πρῶτον δειχθῇ.

Ἔ ΤΙ ΟΥ̓Κ ἀνάγκη τὸ κινοῦν κινεῖσθαι, εἰ μὴ ὑφ' αὑτοῦ. κατὰ συμβεβηκὸς ἄρα ἀντικινεῖ θάτερον. ἔ-
λαβον τοίνυν ἐνδέχεσθαι μὴ κινεῖν. ἔσται ἄρα τὸ μὲν κινούμενον, τὸ δὲ, κινοῦν, ἀκίνητον.

Δ εύτερον ἐπιχείρημα δεικνύον, ὅτι τὸ αὐτοκίνητον οὐκ ἂν εἴη τοιοῦτον, ὡς ἑκάτερον τῶν μερῶν κινεῖν
θάτερον. δέδεικται γὰρ ἐν τοῖς ἔμπροσθεν, ὅτι οὐκ ἀνάγκη πᾶν τὸ κινοῦν ὑπ' ἄλλου τινὸς ἔξωθεν
κινεῖσθαι. ἀλλὰ τὸ πρῶτον κινοῦν εἰ ἀνάγκη κινεῖσθαι ὑφ' ἑαυτοῦ κινεῖται. ἐὰν οὖν ὑποτεθῇ τὸ
β κινούμενον ὑπὸ τοῦ α, ἀληθὲς εἰπεῖν ὅτι τὸ α οὐκ ἐξ ἀνάγκης ὑπό τινος ἔξωθεν κινήσεται. ἐὰν
γὰρ ἀντικινῆταί ποτε ὑπὸ τοῦ β, κατὰ συμβεβηκὸς κινεῖ τὸ β. ὅτι συνέβη τὸ α τῶν κινουμέ-
νων ὑπ' ἄλλου εἶναι καὶ οὕτω κινούντων. τὸ δὲ κατὰ συμβεβηκὸς κινοῦν, δύναται καὶ μὴ κινεῖν.
ἐὰν οὖν ληφθῇ τὸ β μὴ κινοῦν, οὐδὲ τὸ α κινεῖται. ἔσται οὖν τὸ μὲν β κινούμενον, τὸ δὲ α κινοῦν ἀκί-
νητον ὄν. οὐκ ἄρα ὑπ' ἀλλήλων ἀντικινεῖσθαι ἀνάγκη τὰ τοῦ αὐτοκινήτου μόρια. φέρεται δέ φησιν
ὁ ἀλέξανδρος καὶ ἄλλη γραφὴ τοιαύτη. ἔτι οὐκ ἀνάγκη τὸ κινούμενον κινεῖν. καὶ ἀρέσκει μᾶλλον αὐ-
τῷ αὕτη ἡ γραφή. τὸ γὰρ ἔλαβον τοίνυν ἐνδέχεσθαι μὴ κινεῖν ὑπὸ τοῦ ἀριστοτέλους ῥηθὲν, ἀκολου-
θεῖν μᾶλλον τῷ, οὐκ ἀνάγκη τὸ κινούμενον κινεῖν. ἀλλ' εἰ οὕτως εἴη γεγραμμένον, οὐκ ἀνάγκη τὸ κινού-
μενον κινεῖν, πῶς συνάψει τὸ ἐπαγόμενον τὸ εἰ μὴ ὑφ' ἑαυτοῦ. εἰ μὴ ἄρα πρὸς τὸ κινούμενον συντάτ-
τοιτο τὸ ὑφ' ἑαυτοῦ. ἀλλ' ἔοικεν ὁ ἀριστοτέλης βούλεσθαι δεῖξαι τὰ συμφέροντα ἀλλήλοις. τὸ μή-
τε τὸ α ἐξ ἀνάγκης κινεῖσθαι ὑπὸ τοῦ β, μήτε τὸ β ἐξ ἀνάγκης κινεῖν τὸ α. καὶ ἀρχόμενος μὲν
ἐπὶ τοῦ α, εἶπεν ὅτι οὐκ ἀνάγκη τὸ κινοῦν κινεῖσθαι. προϊὼν δὲ περὶ τοῦ β, ὅτι ἐνδέχεται μὴ κινεῖν.

Ἔ ΤΙ ΟΥ̓Κ ἀνάγκη τὸ κινοῦν ἀντικινεῖσθαι ἀλλ' ἢ ἀκίνητόν γέ τι κινεῖν ἀνάγκη, ἢ αὐτὸ ὑφ' αὑτοῦ κι-
νούμενον εἴπερ ἀνάγκη ἀεὶ κίνησιν εἶναι.

Τ ὸ τρίτον ἐπιχείρημα τὸ δεικνύον, ὅτι οὐκ ἀντικινεῖται ὑπ' ἀλλήλων τὰ τοῦ αὐτοκινήτου μέρη, ἐφό-
δῳ μὲν χρῆται τῇ αὐτῇ. ὅτι οὐκ ἀνάγκη πᾶν τὸ κινοῦν ἀντικινεῖσθαι. εἴπερ δέδεικται τὸ πρώτως
κινοῦν ὅτι ἢ ἀκίνητον ὂν κινεῖ, ἢ αὐτὸ ὑφ' ἑαυτοῦ κινούμενον. ὑπομιμνήσκει δὲ τῆς αἰτίας ἡμᾶς, δι'
ἣν ἀπεδείχθη τοῦτο οὕτως ἔχον. δεῖ γὰρ εἶναι τὸ πρώτως κινοῦν ἢ ἀκίνητον ἢ αὐτοκίνητον. εἴπερ ἀνάγ-
κη ἀεὶ κίνησιν εἶναι ὡς δέδεικται πρότερον. εἰ γὰρ ἐπ' ἄπειρον ἄλλο ὑπ' ἄλλου ἔξωθεν κινούμενον
ὑποθοίμεθα, οὐκ ἔσται κίνησις. δεῖ γὰρ εἶναι τὸ πρῶτον κινοῦν. τῶν δὲ ἀπείρων οὐδέν ἐστι πρῶτον.

Ἔ ΤΙ ἫΝ κινεῖ κίνησιν καὶ κινοῖτ' ἄν, ὥστε τὸ θερμαῖνον θερμαίνεται.

Δ έδεικται πρότερον ὅτι εἰ καθ' αὑτό τι κινοῦν κινοῖτο, κατὰ τὸ αὐτὸ εἶδος κινήσει τε καὶ κινηθήσεται.
ὥστε τὸ θερμαῖνον θερμανθήσεται. τοῦτο δέ ἐστιν ἀδύνατον. τὸ μὲν γὰρ θερμαῖνον θερμὸν ἤδη ὂν ἐνερ-
γείᾳ θερμαίνει. τὸ δὲ θερμαινόμενον οὔπω θερμόν ἐστιν ἐνεργείᾳ. ὥστε τὸ αὐτὸ κατὰ τὸ αὐτὸ καὶ θερ-
μὸν ἔσται καὶ οὐ θερμόν. ὅπερ ἀδύνατον. τοῦτο οὖν συμβαίνειν φησίν. ἐὰν ἐν τῷ αὐτοκινήτῳ τὸ μέν τι
μέρος θερμαίνῃ, τὸ δὲ θερμαίνηται. μιᾶς γὰρ οὔσης τῆς τοῦ αὐτοκινήτου κινήσεως, θερμόν τε εἶναι
καὶ οὐ θερμὸν αὐτὸ ἀνάγκη. ὅπερ ἀδύνατον. εἰ μὲν γὰρ ὡς διακεκριμένα λαμβάνοιτο τὰ μέρη, καὶ
μὴ ἀντικινούμενα ὑπ' ἀλλήλων, οὐδὲν θαυμαστὸν τὸ μὲν θερμαίνειν, τὸ δὲ θερμαίνεσθαι. ὡς θερμαίνει
μὲν τὸ ἧπαρ, θερμαίνεται δὲ ἡ γαστὴρ ἐν τῷ σώματι. καὶ τὸ μὲν ποιεῖ, τὸ δὲ πάσχει. εἰ δὲ ὡς ἓν τὸ αὐτο-
κίνητον μίαν ἐνέργειαν ἐνεργοῦν κινεῖ καὶ κινεῖται, ἄτοπον ἐπὶ τοῦ ἑνὸς κατὰ ταυτὸν τὴν ἀντί-
φασιν συμφέρειν. συνδραμεῖται δὲ ἐὰν ἀντικινοῦντα ἄλληλα τὰ μόρια ἐν τῷ αὐτοκινήτῳ. καὶ ἑαυ-
τὰ κινεῖν ἀναγκάζηται, ἣν ἄλληλα κινεῖ κίνησιν. καὶ τοῦτο οὖν τέταρτον ἐπιχείρημα προστέθεικε
δεικνύον, ὅτι ἀδύνατον οὕτως αὐτοκίνητόν τι εἶναι, ὡς τῶν μερῶν ἄλληλα ἀντικινούντων. διὰ τὸ συμ-
βαίνειν καὶ τῶν μερῶν ἕκαστον αὐτοκίνητον εἶναι. καὶ συμφέρειν ἐπ' αὐτοῦ τὴν ἀντίφασιν. ὁ δὲ ἀλέ-
ξανδρος τὴν ῥῆσιν ταύτην οὕτως ἔγραψεν, ὅτι ἣν κινεῖται κίνησιν κινοίη ἄν, οὐδὲν τῶν ἐνοίκως διαφερούσης.

Ἀ ΛΛᾺ μὴν, οὐδὲ τοῦ πρώτως αὐτὸ αὑτὸ κινοῦντος, οὔτε ἓν μόριον, οὔτε πλείω κινήσει αὐτὸ αὑτὸ
ἕκαστον. τὸ γὰρ ὅλον εἰ κινεῖται αὐτὸ ὑφ' αὑτοῦ, ἤτοι ὑπὸ τῶν αὐτοῦ τινὸς κινήσεται. ἢ ὅλον, ὑπὸ
ὅλου εἰ μὲν οὖν τὸ κινεῖσθαί τι μόριον αὐτὸ ὑφ' αὑτοῦ τοῦτ' ἂν εἴη τὸ πρῶτον αὐτὸ αὑτὸ κινοῦν. χω-
ρισθὲν γὰρ, τοῦτο μὲν κινήσει αὐτὸ αὑτό. τὸ δὲ ὅλον, οὐκέτι. εἰ δὲ ὅλον ὑφ' ὅλου κινεῖται, κατὰ συμ-

βεβηκὸς ἂν ταῦτα κινοῖ αὐτὰ ἑαυτά. ὥστ᾽ εἰ μὴ ἀναγκαῖα, εἰλήφθω μὴ κινούμενα ὑφ᾽ αὐτῶν. τῆς ὅλης ἀρχῆς, τὸ μὲν κινήσει ἀκίνητον ὄν. τὸ δὲ, κινηθήσεται. μόνως γὰρ οὕτως οἷόν τέ τι αὐτοκίνητον εἶναι.

Δ εἴξας ὅτι τῷ λέγοντι τὸ αὐτοκίνητον οὕτως, ὡς τῶν μερῶν αὐτοῦ κινούντων ἄλληλα, συμβαίνει τὸ καὶ ἕκαστον τῶν τοῦ αὐτοκινήτου μερῶν αὐτοκίνητον λέγειν, καὶ τὰ ἑπόμενα ἄτοπα τῷ λόγῳ συναγαγὼν κατὰ πλείονας ἐφόδους, προστίθησι καὶ νῦν τοῖς προδεδειγμένοις καθόλου, ὅτι μὴ οἷόν τε αὐτοκίνητόν τι εἶναι οὕτως, ὡς ἕν τι μόριον αὐτοῦ ἢ πλείω αὐτὰ ἑαυτὰ κινεῖν. εἰ γὰρ εἴη τὸ ὅλον αὐτοκίνητον, καὶ ἔχοι ἢ ἓν μέρος αὐτοκίνητον ἢ πλείω, ἢ ὑπὸ τῶν αὐτοκινήτων ἐν αὐτῷ μερῶν κινήσεται, ἢ ὅλον ὑπὸ ὅλου. ἀλλ᾽ εἰ μὲν τῷ αὐτοκίνητόν τι μόριον ἔχειν τὸ ὅλον αὐτοκίνητόν ἐστι, τὸ μόριον ἂν ἐκεῖνο εἴη τὸ πρώτως αὐτοκίνητον, οὐ τὸ ὅλον. πίστις δὲ τούτου ὅτι χωρισθὲν τὸ μόριον, αὐτὸ μὲν αὐτοκίνητον ἔσται, τὸ δὲ ὅλον οὐκέτι. εἰ δὲ ὅλον ὑφ᾽ ὅλου κινεῖται ἔχον ἐν ἑαυτῷ ἢ ἓν ἢ πλείω μόρια αὐτοκίνητα, ἦν μὲν εἰπεῖν ὅτι ἀδύνατον δέδεικται τὸ ὅλον ὑφ᾽ ὅλου ἑαυτοῦ κινεῖσθαι. ἵνα μὴ συνδράμῃ ἡ ἀντίφασις, νῦν δὲ οὐ τοῦτο πρόκειται, ἀλλὰ τὸ δεῖξαι ὅτι ἀδύνατον τὸ ὅλον αὐτοκίνητον ἢ ἓν ἢ πλείω μέρη ἔχειν ἐν ἑαυτῷ αὐτοκίνητα. εἰ γὰρ ὅλον ὑφ᾽ ὅλου ἑαυτοῦ καθ᾽ αὑτὸ κινεῖται, τὰ μέρη κατὰ συμβεβηκὸς ἂν αὐτὰ ἑαυτὰ κινοῖ. ὡς γὰρ ἐν τῷ ὅλῳ κινουμένῳ τὰ μέρη τὰ συνεχῆ κατὰ συμβεβηκὸς κινεῖται, οὕτω καὶ τὰ τοῦ αὐτοκινήτου μόρια κατὰ συμβεβηκὸς ἂν εἴη ἑαυτὰ κινοῦντα. εἰ δὲ κατὰ συμβεβηκὸς, οὐκ ἐξ ἀνάγκης, ὥστε ἐὰν ὑποτεθῇ μὴ κινεῖν ἑαυτὰ, οὐδὲν ἀδύνατον ὑποτεθήσεται. καὶ ἐγὼ μὲν οἶμαι μέχρι τοῦδε τὴν ἀπόδειξιν προαγαγεῖν τὸν ἀριστοτέλην, δεικνύντα ὅτι οὐκ ἀνάγκη οὕτως αὐτοκίνητον εἶναι τὸ ὅλον, ὡς ἢ ἓν ἢ πλείω μόρια ἐν ἑαυτῷ αὐτοκίνητα ἔχον. εἴτε γὰρ ὑπὸ τῶν μερῶν κινοῖτο, οὐκ ἔστι τὸ ὅλον πρώτως αὐτοκίνητον, εἴτε ὅλον ὑφ᾽ ὅλου ἑαυτοῦ κινεῖται, οὐκ ἀνάγκη ἔχειν ἐν ἑαυτῷ ἢ ἓν ἢ πλείω μόρια αὐτοκίνητα. ὅπερ ἔδει δεῖξαι. ὁ δὲ ἀλέξανδρος ἐὰν ὑποτεθῇ φησὶ τὰ κατὰ συμβεβηκὸς αὐτοκίνητα μόρια, μὴ ὄντα αὐτοκίνητα, ἀδύνατον μὲν οὐδὲν ὑποτεθήσεται. οὐκέτι δέ φησιν ἔσται τὸ ὅλον κινούμενον, εἰ οὕτως ἦν αὐτοκίνητον. διότι τὰ μόρια αὐτοῦ αὐτὰ ἐκίνει. ἀλλ᾽ εἰ ἡ ὑπόθεσις καὶ ὅλον ὑφ᾽ ὅλου κινούμενον ἐλάμβανε, τὸ ἓν ἢ πλείω μέρη αὐτοκίνητα ἔχον, ταύτης μενούσης, τὸ ἀδύνατον ἐπὶ τῶν μερῶν χρὴ συναγαγεῖν. νῦν γὰρ καὶ πρόκειται δεῖξαι, ὅτι τὸ αὐτοκίνητον οὐκ ἀνάγκη οὕτως εἶναι αὐτοκίνητον, ὡς ἓν ἢ πλείω μέρη ἔχειν αὐτοκίνητα. εἰ οὖν εἶναι μὲν χρὴ πάντως τὸ αὐτοκίνητον μεταξὺ τοῦ ἀκινήτου καὶ ἑτεροκινήτου, ἀνάγκη δὲ ἢ οὕτως αὐτὸ εἶναι ὡς ὅλον ὑφ᾽ ὅλου ἑαυτοῦ κινεῖσθαι, ἢ ὡς ὅλον ὑπὸ μέρους, ἢ μέρος ὑπὸ ὅλου, ἢ ὡς ἓν ἢ πλείω μέρη ἔχον ἐν ἑαυτῷ αὐτοκίνητα, ἢ ὡς τὸ μέν τι ἔχον κινοῦν ἀκίνητον ὂν τὸ δὲ κινούμενον, ἀνῄρηται δὲ τὰ ἄλλα πάντα, εἰκότως συμπεραινόμενος ὡς ἐπὶ γραμμῆς εἶπεν, ὅτι τῆς ὅλης ἀρχῆς τὸ μὲν κινήσει ἀκίνητον ὂν, τὸ δὲ κινηθήσεται. μόνως γὰρ οὕτως οἷόν τέ τι αὐτοκίνητον εἶναι. εἰ μέρος μέν τι αὐτοῦ εἴη κινοῦν ἀκίνητον ὂν μέρος δὲ ὑπ᾽ ἐκείνου κινούμενον.

Ε ΤΙ εἴπερ ἡ ὅλη αὐτὴ αὑτὴν κινεῖ, τὸ μὲν κινήσει αὐτῆς τὸ δὲ, κινήσεται. ἡ ἀρχὴ ᾱ β̄ ὑπ᾽ αὐτῆς τε κινηθήσεται. καὶ ὑπὸ τῆς ᾱ.

Τ αύτην τὴν ῥῆσιν ὁ ἀλέξανδρος ἔδοξέ μοι καινοπρεπῶς ἐξηγεῖσθαι, σκοπὸν μὲν γὰρ αὐτῆς εἶναι φησὶν ἄλλο ἄτοπον προσθεῖναι, τῷ ὅλον αὐτὸ αὑτὸ κινεῖν λέγοντι λόγῳ οὕτως, ὡς ἑκάστου τῶν μερῶν αὐτοῦ αὐτοκινήτου ὄντος. τὸ δὲ ἄτοπον τοιοῦτον, εἰ οὕτως ἔχει, δηλονότι τῶν μερῶν ἕκαστον ἐξ αὐτοῦ κινούμενον καὶ ἄλλο κινήσει, οὕτω γὰρ ἔσται τὸ ὅλον αὐτοκίνητον, εἰ καὶ ἄλληλα κινοίη τὰ μέρη αὐτοῦ, ὄντα αὐτοκίνητα. εἰ γὰρ μὴ συμπράττοι τι ἀλλήλοις τὰ μέρη πρὸς τὴν κίνησιν. ἀλλ᾽ ἐφ᾽ ἑαυτῶν εἴη κινούμενα, οὐκ ἂν εἴη τὸ ὅλον αὐτοκίνητον, ἀλλ᾽ ἕκαστον τῶν μερῶν, τὸ δὲ ὅλον ἄθροισμα ἂν εἴη πολλῶν αὐτοκινήτων. εἰ οὖν καὶ ἄλληλα κινεῖ τὰ μέρη, ἕκαστον αὐτῶν ἅμα μὲν ἑαυτὸ κινήσει, ἅμα δὲ καὶ ὑπ᾽ ἄλλου κινηθήσεται, καὶ εἰ μία ἡ ὅλου τοῦ αὐτοκινήτου κίνησις. δῆλον ὡς τὴν αὐτὴν κίνησιν ἔσται πάντα τὰ μόρια κινούμενά τε καὶ κινοῦντα, ὥστε ἕκαστον αὐτῶν πλεονάκις ἔσται τὴν αὐτὴν κίνησιν κινούμενον ὑφ᾽ ἑαυτοῦ τε καὶ ὑπ᾽ ἄλλων, ὅ ἐστιν ἄτοπον. ἄτοπον γὰρ τὸ λέγειν, ἣν ἐξ αὐτοῦ τι κινεῖται κίνησιν, ταύτην αὐτὸ καὶ ὑπ᾽ ἄλλου κινεῖσθαι. εἰ δὲ ἄλλην μὲν εἴη κίνησιν ὑφ᾽ ἑαυτοῦ κινούμενον, ἄλλην δὲ ὑπὸ τοῦ μέρους, ἔτι ἀτοπώτερον. ἀδύνατον γὰρ τὸ αὐτοκίνητον μίαν οὕτω κινηθῆναι κίνησιν. αὐτὸς δέ φησι διὰ βραχέων θεὶς τὴν ἐπιχείρησιν καὶ χωρὶς ἐξεργασίας, ἐπαύσατο. οὕτω μὲν ὁ ἀλέξανδρος, οὐδαμοῦ τοῦ ἀριστοτέλους ὅσον ἐμὲ γινώσκειν ὑποθεμένου τὰ μέρη κινεῖν ἄλληλα. ἀλλὰ τὴν ᾱβ̄ ὑφ᾽ αὑτοῦ κινεῖσθαι λέγει, καὶ ὑπὸ τοῦ ᾱ. μήποτε οὖν ἄμεινον ἀσφαλέστερον ἀκούειν τοῦ εἰρημένου, ὅτι εἰπὼν τῆς ὅλης ἀρχῆς τὸ μὲν κινήσει ἀκίνητον ὂν τὸ δὲ κινηθήσεται, ἐπιστώσατο διὰ τοῦ ἐφεξῆς τὸ εἰρημένον. εἴπερ γὰρ ἡ ὅλη αὐτὴ αὑτὴν κινεῖ, ἀνάγκη οὕτως ἔχειν ὡς τὸ μὲν κινεῖν αὐτῆς τὸ δὲ κινεῖσθαι, ἡ ἀρχὴ ᾱβ̄ ὅλη ὑφ᾽ ἑαυτῆς οὕτω λέγεται κινεῖσθαι, ὡς τῆς ᾱ τῆς ἀκινήτου ἐν αὐτῇ κινούσης, τῆς δὲ β̄ δηλονότι κινουμένης. ὡς ἐκ κινοῦντος οὖν ἀκινήτου καὶ κινουμένου τὸ ὅλον αὐτοκίνητον λέγεται. τοῦτο δὲ καὶ ἐφεξῆς ἀναπτύξει.

Ἐπειδὴ δὲ κινεῖ τὸ μὲν κινούμενον ὑπ' ἄλλου. τὸ δὲ, ἀκίνητον ὄν. καὶ κινεῖται τὸ μὲν κινοῦν. τὸ δὲ, οὐδὲν κινοῦν, τὸ αὐτὸ αὑτὸ κινοῦν ἀνάγκη ἐξ ἀκινήτου εἶναι. κινοῦντος δὲ καὶ ἔτι κινουμένου. μὴ κινοῦντος δὲ ἐξ ἀνάγκης, ἀλλ' ὁπότερ' ἔτυχεν. ἔστω γὰρ τὸ α κινοῦν μὲν, ἀκίνητον δέ. τὸ δὲ β κινούμενόν τε ὑπὸ τοῦ α. καὶ κινοῦν τὸ ἐφ' ᾧ γ. τοῦτο δὲ κινούμενον μὲν ὑπὸ τοῦ β. μὴ κινοῦν δὲ μηδέν. εἴπερ γὰρ καὶ διὰ πλειόνων ἥξει ποτὲ εἰς τὸ γ, ἔστω δι' ἑνὸς μόνου. τὸ δὴ ἅπαν α β γ, αὐτὸ ἑαυτὸ κινεῖ. ἀλλ' ἐὰν ἀφέλω τὸ γ τὸ μὲν α β, κινήσει αὐτὸ ἑαυτό. τὸ μὲν γὰρ α κινοῦν. τὸ δὲ β, κινούμενον. τὸ δὲ γ οὐ κινήσει αὐτὸ ἑαυτὸ, οὐδ' ὅλως κινήσεται. ἀλλὰ μὴν οὐδ' ἡ τὸ β γ κινήσει αὐτὴ ἑαυτὴν ἄνευ τοῦ α. τὸ γὰρ β κινεῖ τῷ κινεῖσθαι ὑπ' ἄλλου. οὐ τῷ ὑφ' αὑτοῦ τινὸς μέρους. τὸ ἄρα α β μόνον αὐτὸ ἑαυτὸ κινεῖ. ἀνάγκη ἄρα τὸ αὐτὸ ἑαυτὸ κινοῦν, ἔχειν τὸ κινοῦν. ἀκίνητον δὲ καὶ τὸ κινούμενον μηδὲν δὲ κινοῦν ἐξ ἀνάγκης. ἁπτόμενα δὲ ἤτοι ἄμφω ἀλλήλων, ἢ θατέρου θάτερον.

Ὁ μὲν Ἀλέξανδρος δείξας φησὶν, ὅτι τὸ αὐτοκίνητον ἔχει τὸ μέν τι κινοῦν ἀκίνητον, τὸ δὲ ὑπ' ἐκείνου κινούμενον, διὰ τούτων δείκνυσιν ἐκ τίνων ἀνάγκη συγκεῖσθαι τὸ αὐτοκίνητον, ὅτι ἐξ ἀκινήτου μὲν κινοῦντος δὲ, καὶ κινουμένου ὑπὸ τούτου οὐκ ἐξ ἀνάγκης δὲ κινοῦντος, ἐγὼ δὲ τί ταῦτα διαφέρει ἀλλήλων ἁπλῶς οὕτω λεγόμενα οὐκ ἐφιστάνω. μή ποτε οὖν τὸ πρότερον συντόμως εἰρημένον ἐξαπλοῖ νῦν ὁ Ἀριστοτέλης, διελὼν πρῶτον εἰς τρία τὰ κατὰ κίνησιν ποιοῦντα ἢ πάσχοντα. ἐπειδὴ γὰρ δυοῖν ὄντων τούτων τοῦ τε κινοῦντος καὶ τοῦ κινουμένου, καὶ τὸ κινοῦν ἀκίνητον ὂν κινεῖ ἢ κινούμενον ὑπ' ἄλλου. καὶ τὸ κινούμενον ἢ καὶ αὐτὸ κινοῦν κινεῖται, ἢ οὐδὲν κινοῦν, δύο μὲν ἄκρα ἔσται τό, τε κινοῦν ἀκίνητον ὂν, καὶ τὸ κινούμενον μὲν μὴ κινοῦν δὲ ἕτερον. μέσον δὲ ἀμφοῖν καὶ κοινὸν τὸ κινούμενον μὲν ὑπ' ἄλλου, κινοῦν δὲ ἕτερον. καὶ γὰρ καὶ ἐν τῷ κινοῦντι ἦν τὸ κινοῦν μετὰ τοῦ κινεῖσθαι. καὶ ἐν τῷ κινουμένῳ ἦν τὸ κινούμενον μετὰ τοῦ κινεῖν. ταῦτα οὖν τὰ τρία διαστησάμενος. καὶ ἐπὶ μιᾶς ἐκθέμενος γραμμῆς, δείκνυσιν ἐν τίσι τούτων πρώτως ἐστὶ τὸ αὐτοκίνητον. ὅτι μὲν γὰρ ὅλον τὸ α β γ αὐτοκίνητόν ἐστι. δῆλον. εἴπερ ἔχει ἐν ἑαυτῷ τό, τε κινεῖν ἑαυτὸ, καὶ τὸ κινεῖσθαι ὑφ' ἑαυτοῦ. ἀλλ' ἐὰν ἀφέλω φησὶν τὸ γ. ὃ κινούμενον ἦν μηκέτι δὲ κινοῦν, τὸ λοιπὸν τὸ α β κινήσει ἑαυτό. εἴπερ τὸ μὲν α κινοῦν ἦν ἐν αὐτῷ. τὸ δὲ β κινούμενον. τὸ δὲ γ οὐ κινήσει ἑαυτό. οὐδὲ ὅλως κινήσεται καθ' αὑτὸ ὄν. ἀλλ' οὐδὲ τὸ β γ κινήσει ἑαυτὸ τοῦ α ἀφαιρεθέντος. κἂν γὰρ κινῇ τὸ β. ἀλλ' οὐχ ἑαυτῷ κινεῖ. ἀλλὰ τῷ ὑπ' ἄλλου κινεῖσθαι τοῦ α. τὸ α β. ἄρα μόνον ἐν τούτοις αὐτὸ αὑτὸ κινεῖ. ἀνάγκη οὖν τὸ αὐτοκίνητον συγκεῖσθαι. ἔκ τε τοῦ κινοῦντος μὲν ἀκινήτου δὲ ὄντος, καὶ τοῦ κινουμένου μὲν μὴ ἐξ ἀνάγκης δὲ κινοῦντος. ἀλλὰ κἂν κινῇ ἄλλο ὡς κινουμένου λαμβανομένου. ζητήσοι δὲ ἄν τις ὡς οἶμαι. διατί μὴ τὸ α γ μᾶλλον αὐτοκίνητον πρώτως ἀπέδειξεν, εἴπερ τὸ μὲν α κινεῖ μόνον. μηκέτι καὶ αὐτὸ κινούμενον, τὸ δὲ γ κινεῖται μόνον μηκέτι καὶ αὐτὸ κινοῦν· ταῦτα γὰρ ἦν ἐξ ὧν σύγκειται τὸ αὐτοκίνητον. μή ποτε οὖν ἐν τῷ ζῴῳ πρώτως τὸ αὐτοκίνητον θεασάμενος. ἐν ᾧ κινοῦν μέν ἐστιν ἡ ψυχή. κινούμενον δὲ τὸ σῶμα. ὅπερ καὶ αὐτό ποτε κινούμενον κινεῖ, ἅτε προσεχῶς τῆς τοῦ κινοῦντος ἀπολαῦον δυνάμεως, διὰ τοῦτο ἐν τῷ α β πρώτως ἔθετο τὸ αὐτοκίνητον. ἐν ᾧ τὸ β οὐκ ἀεὶ μὲν οὐδ' ἐξ ἀνάγκης κινεῖ. ἀλλ' ὡς κινούμενον λαμβάνεται. πέφυκε δὲ ὅμως ποτὲ καὶ αὐτὸ κινεῖν πρώτως καὶ κυρίως κινοῦντι προσεχῶς συνηρτημένον. εἰπὼν δὲ ὅτι ἀνάγκη τὸ αὐτοκίνητον ἔχειν τὸ κινοῦν μὴ κινούμενον δὲ, καὶ τὸ κινούμενον μηδὲν δὲ κινοῦν ἐξ ἀνάγκης. ἀλλ' ὁπότερα ἔτυχεν, ἐπάγει ὅτι ταῦτα ἔχει τὸ αὐτοκίνητον, ἁπτόμενα ἤτοι ἄμφω ἀλλήλων ἢ θατέρου θάτερον. εἰ μὲν γὰρ εἴη καὶ τὸ κινοῦν σῶμα καθ' ὑπόθεσιν ὥσπερ καὶ τὸ κινούμενον ὑπ' αὐτοῦ, ἀμφότερα ἀλλήλων ἅψεται. ἅμα γὰρ αὐτῶν ἔσται τὰ πέρατα. ταῦτα δέ ἐστι τὰ ἁπτόμενα. ὧν ἅμα τὰ πέρατά ἐστιν. εἰ δὲ τὸ μὲν κινούμενον σῶμα πάντως ἀνάγκη εἶναι. τὸ δὲ κινοῦν ἀσώματόν ἐστι καὶ ἀμέγεθος, οὐκέτι ἄμφω ἅψεται ἀλλήλων. ἀλλὰ θατέρου θάτερον. καὶ οὐ κυρίως ἀλλὰ μεταφορικῶς. τοῦ γὰρ σώματος ἅπτεται τὸ ἀσώματον ὡς εἴρηται, ἐν τῷ πρώτῳ τῶν περὶ γενέσεως. ἐν οἷς φησιν. ὥστε εἴ τι κινεῖ ἀκίνητον ὂν, ἐκεῖνο μὲν ἅπτοιτο ἂν τοῦ κινητοῦ, ἐκείνου δὲ οὐθέν. φαμὲν γὰρ ἐνίοτε τὸν λυποῦντα ἅπτεσθαι ἡμῶν. ἀλλ' οὐκ αὐτοὶ ἐκείνου. τὸ γὰρ ἐνεργοῦν ἅπτεσθαι λέγοιτο μᾶλλον ἤπερ τὸ πάσχον. ταῦτα δὲ εἶπεν οἶμαι ἐνδείξασθαι βουλόμενος, ὅτι συνεχῆ μὲν οὐδαμῶς ἂν εἴη τό, τε κινοῦν καὶ τὸ κινούμενον. ἀλλ' εἰ μὲν ἄμφω σώματα, ἁπτόμενα ἂν ἀλλήλων εἴη κυρίως. εἰ δὲ τὸ μὲν σῶμα τὸ δὲ ἀσώματον, ἅπτεσθαι ἂν λέγοιτο μεταφορικῶς τὸ κινοῦν τοῦ κινουμένου ἀσώματον ὂν σώματος. ἐγὼ μὲν οὖν τὴν γραφὴν οὕτως εὗρον. καὶ τὸ κινούμενον μὲν μηδὲν δὲ κινοῦν ἐξ ἀνάγκη, ἁπτόμενα δὲ ἤτοι ἄμφω ἀλλήλων ἢ θατέρου θάτερον. ὁ δὲ Ἀλέξανδρος τὸ ἐξ ἀνάγκης τοῖς ἐφεξῆς προστίθησι γράφων οὕτως. ἁπτόμενα ἐξ ἀνάγκης ἤτοι ἄμφω ἀλλήλων. ἢ θατέρου θάτερον. καὶ δύναται μὲν ἑκάτερον οἰκείαν τοῖς προκειμένοις ἀποσώζειν ἔννοιαν. οἰκειότερον δὲ οἶμαι τὸ ἐξ ἀνάγκης τῷ μηδὲν κινοῦν προσάπτειν. διότι τὸ ἐν τῷ αὐτοκινήτῳ κινούμενον, οἷον τὸ σῶμα ἐν τῷ ζῴῳ. κινοῦν καὶ αὐτὸ πολλάκις φαίνεται. οὐ μέντοι ἐξ ἀνάγκης κινοῦν. εἰ τοίνυν μὴ προστεθείη τὸ ἐξ ἀνάγκης τῷ κινούμενον μὲν μηδὲν δὲ κινοῦν. ἵνα σημαίνῃ τὸ μὴ ἐξ ἀνάγκης κινεῖν, νομισθήσεται τὸ κινούμενον ἐν τῷ αὐτοκινήτῳ ὑπὸ τοῦ ἀκινήτου αἰτίου μηδὲν ὅλως μηδαμῶς κινεῖν. ὅπερ οὐκ ἔστιν

ἀληθές. προσεχὲς γὰρ ὂν τῷ πρώτως κινοῦντι. δέχεται τινὰ καὶ αὐτὸ κινητικὴν ὑπ' αὐτοῦ δύναμιν ὡς εἴρηται πρότερον.

Ε Ἰ ΜΕ'Ν οὖν συνεχές ἐστι τὸ κινοῦν, τὸ γὰρ κινούμενον ἀναγκαῖον εἶναι συνεχές, δῆλον ὅτι τὸ πᾶν αὐτὸ ἑαυτὸ κινεῖ. οὐ τῷ αὐτοῦ εἶναί τι τοιοῦτον, οἷον αὐτὸ ἑαυτὸ κινεῖν. ἀλλ' ὅλον κινεῖ αὐτὸ ἑαυτὸ κινούμενόν τε καὶ κινοῦν. τῷ αὐτοῦ τι εἶναι τὸ κινοῦν καὶ τὸ κινούμενον. οὐ γὰρ ὅλον κινεῖ. οὐδ' ὅλον κινεῖται. ἀλλὰ κινεῖ μὲν τὸ α. κινεῖται δὲ τὸ β μόνον. τὸ δὲ γ ὑπὸ τοῦ α οὐκέτι. ἀδύνατον γάρ. ἀπορίαν δὲ ἔχει, ἂν ἀφέλῃ τις ἢ τῆς α εἰ συνεχὲς τὸ κινοῦν μὲν, ἀκίνητον δὲ, ἢ τῆς β τῆς κινουμένης, ἡ λοιπὴ ἄρα κινήσει τῆς α ἢ τῆς β κινηθήσεται. εἰ γὰρ τοῦτο, οὐκ ἂν εἴη πρώτως κινουμένη ὑφ' αὑτῆς ἡ τὸ α β. ἀφαιρεθείσης γὰρ ἀπὸ τῆς α β, ἔτι κινήσει ἑαυτὴν ἡ λοιπὴ α β. ἢ δυνάμει μὲν ἑκάτερον, οὐδὲν κωλύει. ἢ θάτερον τὸ κινούμενον διαιρετὸν εἶναι. ἐντελεχείᾳ δὲ ἀδιαίρετον. ἐὰν δὲ διαιρεθῇ, μηκέτι εἶναι τὴν αὐτὴν ἔχον δύναμιν ὥστε οὐδὲν κωλύει ἐν διαιρετοῖς, δυνάμει πρώτως ἐν εἶναι.

Η Ἐν ἀρχῇ τῆς ὅλης ταύτης ῥήσεως λέξις ἡ λέγουσα, εἰ μὲν οὖν συνεχές ἐστι τὸ κινοῦν, τὸ μὲν γὰρ κινούμενον. καὶ τὰ ἑξῆς, ἀκαταλληλότερον ἔχειν δοκεῖ τῷ Ἀλεξάνδρῳ. ὡς γὰρ ἀνταποδώσων φησί τό. εἰ δὲ μὴ συνεχές. οὕτως εἶπεν. οὐδὲν δὲ ἀνταποδίδωσι. μή ποτε οὖν φησιν τὸ λεγόμενον τοιοῦτόν ἐστιν. εἰ μὲν οὖν συνεχές ἐστι τὸ κινοῦν. ἔτι ἄδηλον. ἐπεὶ μέντοι τὸ κινούμενον τὸ ἐν τῷ αὐτοκινήτῳ συνεχές ἐστι. δηλονότι τὸ πᾶν τὸ ἐκ τοῦ κινοῦντος καὶ τοῦ κινουμένου, ὅπερ ἐστὶ τὸ αὐτοκίνητον. αὐτὸ ἑαυτὸ κινεῖ. οὕτω μὲν ὁ Ἀλέξανδρος. μή ποτε δὲ ὡς ἤδη γραμμῶν ποιησάμενος τὴν ἀπόδειξιν. ἐξ ὑποθέσεως καὶ τὸ κινοῦν συνεχὲς λαμβάνει. δηλοῖ δὲ καὶ ἡ ἐπαγομένη ἀπορία, συνεχὲς ὑπέθετο καὶ τὸ κινοῦν. λέγουσα, ἀπορίαν δὲ ἔχει ἐὰν ἀφέλῃ τις ἢ τῆς α. εἰ συνεχὲς μὲν τὸ κινοῦν ἀκίνητον δέ. βούλεται οὖν διὰ τοῦ νῦν λεγομένου τὸν τρόπον δεῖξαι τῆς τοῦ αὐτοκινήτου κινήσεως, προειπὼν ὅτι ἐκ κινοῦντος ἀκινήτου σύγκειται. καὶ ἐκ κινουμένου μὲν μὴ ἐξ ἀνάγκης δὲ κινοῦντος. καὶ τοῦτο πάλιν αὐτὸ βεβαιούμενος. λέγει ὅτι τοῦ μὲν κινουμένου ἐξ ἀνάγκης συνεχοῦς ὄντος ὡς δέδεικται πρότερον, τοῦ δὲ κινοῦντος ὑποτιθεμένου συνεχοῦς, δηλονότι αὐτοκίνητον λέγεται, ὡς πᾶν αὐτὸ ἑαυτὸ κινοῦν. πᾶν δὲ αὐτό τι ἑαυτὸ κινεῖν λέγεται. οὐ τῷ αὐτοῦ τι εἶναι τοιοῦτον μέρος, οἷον αὐτὸ αὐτὸ κινοῦν, ὡς ὑποτεθὲν πρότερον ἐλέχθη. οὐκ ἄρα οὕτως αὐτοκίνητον τὸ ζῶον, ὡς αὐτοκίνητον ἐν αὐτῷ τὴν ψυχὴν ἔχον. ἀλλ' ὅλον κινοῦν αὐτό. καὶ ὅλον κινούμενόν τε καὶ κινοῦν. οὐ μέντοι καθ' ὅλον ἑαυτὸ κινοῦν. καὶ καθ' ὅλον κινούμενον. ἀλλὰ τῷ αὐτοῦ τι εἶναι τὸ κινοῦν καὶ ἄλλο τὸ κινούμενον. οὐ γὰρ ὅλον κινεῖ τὸ α β. οὐδὲ ὅλον κινεῖται. ἀλλὰ κινεῖ μὲν μόνον τὸ α. κινεῖται δὲ μόνον τὸ β. κἂν γὰρ κινῇ ποτε τὸ β. ἀλλ' οὐκ ἐξ ἀνάγκης. κατὰ κοινοῦ δὲ τὸ μόνον ἀκουστέον. ἐν τισὶ δὲ ἀντιγράφοις μετὰ τὸ κινεῖται δὲ τὸ β μόνον. πρόσκειται τὸ δὲ γ ὑπὸ τοῦ β οὐκέτι. ἀδύνατον γάρ. οὐκ οἶδε δὲ τὴν προσθήκην ταύτην ὁ Ἀλέξανδρος. οὐδὲ τὰ πλείω ὡς ἔοικε τῶν ἀντιγράφων. εἰ δὲ ἐξ ἀρχαίου γεγραμμένον εἴη, λέγοι ἂν ὅτι ἡ πρώτη σύστασις τοῦ αὐτοκινήτου, ἐκ κινοῦντός ἐστιν ἀκινήτου, καὶ κινουμένου. ὃ κινεῖν μέν ποτε καὶ αὐτὸ κινούμενον πέφυκεν, οὐ μέντοι ἐξ ἀνάγκης κινεῖν. τὸ δὲ μόνως κινούμενον μηκέτι δὲ κινοῦν ἕτερον, οἷον τὸ γ, τοιοῦτον γὰρ ἐξ ἀρχῆς ὑπετέθη τὸ γ. καίτοι κινούμενον καὶ αὐτὸ ὑπὸ τοῦ α διὰ τοῦ β, καὶ μᾶλλον ὑπὸ τοῦ α κινούμενον ἢ ὑπὸ τοῦ β, ὡς δέδεικται πρότερον, ὅμως οὐ κινεῖται ὑπὸ τοῦ α οὕτως, ὡς συμπληροῦν τὸ αὐτοκίνητον. ἐκεῖνο γὰρ τὸ κινούμενον συμπληροῖ τὸ αὐτοκίνητον, ὃ προσεχῶς ὑπὸ τοῦ ἀκινήτου κινούμενον, δύναμιν ἔχει καὶ αὐτὸ τοῦ ποτὲ κινεῖν. εἰπὼν δὲ ὅτι τὸ αὐτοκίνητον, οὐ τῷ μόριον ἔχειν ἑαυτὸ κινοῦν αὐτοκίνητόν ἐστιν, ἀλλὰ τῷ τὸ ὅλον εἶναι τοιοῦτον, ἐφεξῆς ἀπορεῖ πρὸς τὸ τὸ ὅλον αὐτοκίνητον εἶναι πρώτως. ἐὰν γὰρ ἀφέλῃ τίς φησιν ἢ τῆς α. εἰ συνεχὲς ὑποτεθείη τὸ κινοῦν ἀκίνητον δέ, ἢ τῆς β τῆς κινουμένης συνεχοῦς οὔσης. ἢ καὶ ἀμφοῖν, δηλονότι τῆς α καὶ τῆς β. ἡ λοιπὴ ἄρα τῆς α κινήσει. ἢ τῆς β κινηθήσεται. ἢ οὔ. ἑκατέρως γὰρ ἄτοπον ὑπαντᾶν τι δοκεῖ. εἰ μὲν γὰρ μὴ κινεῖ ἢ μὴ κινεῖται μορίου ἀφαιρεθέντος τὸ λοιπὸν, ἄτοπον. εἴπερ μὴ μόριον ἦν ἐν αὐτῷ τὸ κινούμενον ἀλλὰ τὸ ὅλον. τοῦτο δὲ αὐτὸς παρῆκε διελεῖν καὶ ἐλέγξαι ὡς πρόχειρον ὄν. εἰ δὲ κινεῖ τὸ λοιπὸν τῆς α, ἢ κινεῖται τὸ λοιπὸν τῆς β, οὐκ ἂν εἴη πρώτως ὑφ' ἑαυτῆς κινουμένη ἡ α β. εἴπερ ἀφαιρεθείσης ἀπὸ τῆς α β. ἔτι κινήσει ἑαυτὴν ἡ λοιπὴ ἡ μετὰ τὴν ἀφαίρεσιν α β. ταύτῃ δὲ τῇ ἐπιχειρήσει καὶ ἐν τῷ πρὸ τούτου βιβλίῳ κατὰ τὴν ἀρχὴν ἐχρήσατο, βουλόμενος δεῖξαι ὅτι τὸ αὐτοκίνητον ὑπό τινος κινεῖται. λαβὼν γὰρ ὡς ἐναργὲς τὸ τὸ ἱστάμενον τῷ ἄλλο παύσασθαι κινούμενον ὑπ' ἄλλου κινεῖσθαι, καὶ ὑποτιθέμενος τὸ πρώτως αὐτοκίνητον, καὶ ἀφελὼν τι μόριον ἀπ' αὐτοῦ. συνεχὲς γὰρ πᾶν τὸ κινούμενον, καὶ στήσας αὐτὸ, καὶ εὑρὼν τῇ τοῦ μέρους ἀφαιρέσει καὶ στάσει ἱστάμενον τὸ πρώτως αὐτοκίνητον, ἔδειξεν ὅτι ὑπό τινος κινεῖται. ἐνταῦθα δὲ ὁ ἀπορῶν κινούμενον ὑποθέμενος τὸ λοιπὸν, ἔδειξεν ὅτι οὐκ ἔστι πρώτως αὐτοκίνητον. λύει δὲ τὴν ἀπορίαν. ὑποθέμενος ἔτι δύνασθαι συνεχὲς καὶ διαιρετὸν καὶ τὸ κινοῦν. ἐπειδὴ μή πω ἔδειξεν ὅτι ἀμερές ἐστι καὶ ἀδιαίρετον τοῦτο. οὐδὲν οὖν κωλύει φησίν, ἢ καὶ τὸ κινοῦν διαιρετὸν εἶναι, εἰ καὶ τοῦτο ὑποτεθείη τοιοῦτον. ἢ τὸ κινούμενον μόνον. διαιρετὸν δὲ δυνάμει καὶ οὐκ ἐντελεχείᾳ. τουτέστιν οὐ διῃρημένον ἀλλ' ἓν καὶ συνεχὲς εἰλημμένον. τοιούτου δὲ ὄντος αὐτοῦ,

οὐδέν ἐστι τότε τῶν μερῶν αὐτοκίνητον κατ' ἐνέργειαν. ἐπεὶ μὴ δὲ ἔστιν ἐνέργεια καθ' ἑαυτὰ τὰ μέρη. ὥστε τὸ ὅλον ἔσται πρώτως αὐτοκίνητον ἐνεργείᾳ. δυνάμει δὲ οὐδὲν κωλύεται καὶ τὸ μέρος εἶναι. ὅταν δὲ διῃρημένον ἤδη κατ' ἐνέργειαν ληφθῇ, τότε πάλιν αὐτοκίνητον ἐνεργείᾳ γίνεται, τὸ μετὰ τὴν ἀφαίρεσιν μορίου τινὸς ἔτι κινούμενον. ὥστε εἰ μὲν ἐν τῷ ὅλῳ τῷ πρώτῳ ληφθέντι ἐνεργείᾳ τὸ ἔλαττον ἦν περιεχόμενον, οὐκ ἂν ἦν τὸ ὅλον πρώτως αὐτοκίνητον. εἰ δὲ μὴ ἔστιν ἐνέργεια, κατὰ δὲ τοῦ ἐνεργείᾳ ὄντος τὸ πρώτως αὐτοκίνητον κατηγορεῖται, εἴη ἂν τὸ ὅλον πρὸ τοῦ διαιρεθῆναι πρώτως αὐτοκίνητον. οὐδὲν οὖν κωλύει διαιρετῶν ὑποκειμένων, δυνάμει πρώτως ἐν τοῖς μέρεσιν εἶναι τὸ αὐτοκίνητον, κἂν ἐνεργείᾳ πρώτως ἐν τῷ ὅλῳ ᾖ. δύναται δὲ τὸ δυνάμει τῷ διαιρετοῖς συντετάχθαι. ἵνα μή τις ἀκούσῃ τοῦ διαιρετοῖς ὡς διῃρημένοις. ἐν γὰρ τῷ δυνάμει διαιρετῷ οὐδὲν τῶν μορίων ἐστὶ καθ' αὑτό. ὃ δὲ μὴ καθ' αὑτό ἐστιν, οὐδ' ἂν αὐτοκίνητον εἴη. ὅταν δὲ διαιρεθῇ, ἀλλάσσει τὴν φύσιν. καὶ ἐνέργεια γίνεται. πῶς οὖν φησιν ὁ Ἀλέξανδρος αὐτὸς ἐνιστάμενος πρὸς τὸν ἀπὸ τοῦ μέρους τοῦ αὐτὸ κινοῦντος καὶ ὅλον οὕτως αὐτοκίνητον λέγοντα, οὐκ ἔφη τὸ ὅλον ἔσεσθαι πρώτως αὐτοκίνητον, ἀλλὰ τὸ μέρος αὐτοῦ. ὃ καὶ ἀφαιρεθὲν αὐτοκίνητον μένει. καὶ λύει τὴν ἀπορίαν καλῶς. ὅτι ὁ οὕτω λέγων τὸ μέρος ἐν τῷ ὅλῳ αὐτοκίνητον. ὡς ἐνεργείᾳ ἑαυτὸ κινοῦν ἤδη ὑπετίθετο. εἰ δὲ τοῦτο, ὡς διῃρημένον καὶ καθ' ἑαυτὸ ὑφεστὼς ἐλαμβάνετο. ἐνταῦθα δὲ ἐν τῷ ὅλῳ αὐτοκινήτῳ συνεχεῖ ὄντι, τὸ ἔλαττον διὰ τὸ μηδέπω διῃρῆσθαι τὸ συνεχὲς οὐ κινεῖται καθ' αὑτό. μὴ κινούμενον δέ, οὐδ' ἂν δύναιτο λέγεσθαι πρώτως αὐτοκίνητον. ἄλλην δὲ εἶπε φύσιν γίνεσθαι, ὅτι τὸ τέως δυνάμενον καὶ μηδέπω ὄν, τοῦτο ἐνεργείᾳ γέγονεν. καὶ ἄλλως δὲ τούτῳ ἐπέβαλεν ὁ Ἀλέξανδρος, ὅτι κἂν διαιρετὸν ᾖ τὸ κινούμενον, οὐκ ἤδη καὶ ὡς κινούμενον διαιρετόν ἐστι. ἐνδέχεται γὰρ διαιρεθὲν αὐτὸ, μηκέτι ὑπὸ τοῦ κινητικοῦ ὑφ' οὗ τὸ ὅλον ἐκινεῖτο κινεῖσθαι. ἄλλης φύσεως γινόμενον καὶ μὴ μεῖναν τοιοῦτον, οἵου ὄντος αὐτοῦ κινητικὸν ἦν τὸ ἀκίνητον. ἀλλ' εἰ μετὰ τὴν ἀφαίρεσιν κινεῖται τὸ λοιπὸν τοῦ αὐτοκινήτου, οὐκ ἂν φησιν ὁ Ἀλέξανδρος ὑγιῶς ἡ δεῖξις ἔχοι ἡ ἐν τῷ πρὸ τούτου βιβλίῳ. δι' ἧς ἐδόκει δείκνυσθαι πᾶν τὸ κινούμενον ὑπό τινος κινεῖσθαι. ἀλλὰ μή ποτε φησὶν οὐ τοῦτο ἐστὶν ὃ κινεῖται τὸ μέρος. ἀλλ' ἐν τῇ συνεχείᾳ ὂν αὐτὸ ὑπετίθετο ἠρεμεῖν. τὸ δὲ διῃρήσθω ἔλεγεν, οὐχ ἵνα χωρισθῇ τὸ ἕτερον ἀπὸ τοῦ ἑτέρου. ἀλλ' ἵνα ἐν τῇ συνεχείᾳ μόνον ληφθῇ ἠρεμοῦν. ὅτι γὰρ συνεχὲς αὐτὸ καὶ ὅλον ἐτήρει, δῆλον ἐξ ὧν ἐπήνεγκε. τοῦ γὰρ γβ φησὶν μὴ κινουμένου, ὃ ἦν μέρος τοῦ πρώτως αὐτοκινήτου ὑποκειμένου τοῦ βα. οὐ κινηθήσεταί φησιν τὸ αβ. ὡς ἔτι ἓν καὶ συνεχὲς μένον. γελοῖον γὰρ τὸ ἀφελόντα ἀπ' αὐτοῦ τὸ γβ. λέγειν μὴ κινηθήσεσθαι τὸ ὅλον. ὃ μὴ δὲ ἦν ἔτι εἰ ἦν ἀφῃρημένον ἀπ' αὐτοῦ τὸ γβ. τούτου μέντοι φησὶν ὁ Ἀλέξανδρος λεγομένου. δεῖ ζητεῖν πῶς δυνατὴ ἡ ὑπόθεσις, ἡ ἐν τῷ πρώτως αὐτοκινήτῳ μέρος τι ὑποτιθεμένη ἠρεμεῖν. εἰ γάρ τις λέγοι αὐτὸν ἐκεῖ μὴ τοῦτο λέγειν. ἀλλ' ὅτι εἰ ἀφαιρεθείη τοῦ αβ ὅλου τοῦ αὐτοκινήτου μέρος τὸ γβ καὶ σταίη, μηκέτι τὸ ὅλον ἔσεσθαι κινούμενον, εἰ καὶ τὸ καταλειπόμενον κινοῖτο, οὐκέτι γὰρ τὸ ὅλον τὸ καταλειπόμενόν ἐστιν, ἀφαιρεθέντος αὐτοῦ μέρους, οὐκ ὂν δὲ οὐδὲ μεῖναν ὅλον οὐδ' ἂν κινοῖτο ὅλον, πάνυ ἂν αὐτὸν λέγοι λογικῶς τε καὶ διαλεκτικῶς, ἀλλ' οὐ φυσικῶς οὐδὲ ἀποδεικτικῶς ἐπικεχειρηκέναι.

ΑΝΕΡΟΝ τοίνυν ἐκ τούτων ὅτι ἔστι πρῶτον κινοῦν ἀκίνητον. εἴτε γὰρ εὐθὺς ἵσταται τὸ κινούμενον, ὑπό τινος δὲ κινούμενον, εἰς ἀκίνητον τὸ πρῶτον. εἴτε εἰς κινούμενον μὲν, αὐτὸ δ' ἑαυτὸ κινοῦν καὶ ἱστάν, ἀμφοτέρως συμβαίνει τὸ πρώτως κινοῦν, ἐν ἅπασιν εἶναι τοῖς κινουμένοις ἀκίνητον.

Δείξας ὅτι πᾶν τὸ κινούμενον καὶ φύσει καὶ βίᾳ ὑπό τινος κινεῖται, καὶ ὅτι πᾶν τὸ κινοῦν ἢ καὶ αὐτὸ ὑφ' ἑτέρου τινὸς ἔξωθεν ἄλλου κινούμενον κινεῖ, καὶ τοῦτο ἐπ' ἄπειρον, ἢ εἰ τοῦτο ἄτοπον, ἢ εἰς ἀκίνητον ἵστασθαί τι τὸ πρώτως κινοῦν. ἢ εἰς αὐτοκίνητον, ὃ κινούμενον μὲν κινεῖ, οὐκ ἔξωθεν δὲ κινούμενον, ἀλλ' ὑφ' ἑαυτοῦ καὶ τοῦ κινεῖσθαι καὶ τοῦ ἵστασθαι τὴν αἰτίαν ἔχον ἐν αὐτῷ. ταῦτα γάρ ἐστιν αὐτοκίνητα. ἃ καὶ τοῦ ἵστασθαι ἐν αὐτοῖς τὴν ἀρχὴν ἔχει καὶ τοῦ κινεῖσθαι. δείξας δὲ ὅτι καὶ ἐν τῷ αὐτοκινήτῳ τὸ κινοῦν ἀκίνητον ὂν καθ' αὑτὸ κινεῖ, τοῦ αὐτοκινήτου συγκειμένου ἔκ τε τοῦ κινοῦντος ἀκινήτου ὄντος, καὶ ἐκ τοῦ κινουμένου μὲν μὴ ἐξ ἀνάγκης δὲ κινοῦντος, ταῦτα οὖν δείξας διὰ πλειόνων, ἀναμιμνήσκει τε αὐτῶν συντόμως νῦν. καὶ ἀκολούθως ἐπ' αὐτοῖς συμπεραίνεται. ὅτι συμβαίνει τὸ πρῶτον κινοῦν ἐν πᾶσιν εἶναι τοῖς κινουμένοις ἀκίνητον. εἴπερ τῶν μὲν κινουμένων πάντων πρῶτον τὸ αὐτοκίνητον καὶ ἐν τούτῳ δὲ τὸ κινοῦν ἀκίνητον. ἐπεὶ δὲ περὶ τοῦ αὐτοκινήτου τοῖς λόγοις ὁ Ἀριστοτέλης διαφέρεσθαι πρὸς Πλάτωνα δοκεῖ, καλῶς ἂν ἔχοι καὶ ταύτην ἰδεῖν τὴν διαφοράν. καὶ ὅτι μὲν ἀρχὴ κινήσεως καὶ τῶν κινουμένων πάντων τὸ αὐτοκίνητον, ἀμφότεροι σαφῶς
» ὁμολογοῦσιν. ὁ μὲν Ἀριστοτέλης ἐν τούτοις λέγων, ὡς εἴγε δέοι σκοπεῖν πότερον αἴτιον κινήσεως καὶ
» ἀρχή, τὸ αὐτὸ κινοῦν ἢ τὸ ὑπ' ἄλλου κινούμενον, ἐκεῖνο πᾶς ἂν θείη. ὁ δὲ Πλάτων ἐν Φαίδρῳ τε σαφῶς τὸ αὐτοκίνητον πηγὴν καὶ ἀρχὴν κινήσεως εἶπεν. καὶ ἐν τῷ δεκάτῳ τῶν Νόμων. ἐν οἷς φησι συμπεραι-
» νόμενος ὁ Ἀθηναῖος ξένος, ἀρχὴν ἄρα κινήσεων πασῶν καὶ πρώτην. ἔν τε ἑστῶσι γινομένην καὶ ἐν κι-
» νουμένοις οὖσαν, τὴν αὐτὴν αὑτὴν κινοῦσαν φήσομεν ἀναγκαίως εἶναι. πρεσβυτάτην καὶ κρατίστην

μεταβολῶν πασῶν. καὶ ἔτι μέντοι τὸ ζῶον αὐτοκίνητον ἀμφότεροι λέγουσιν. ἀλλ' ὁ μὲν ἀριστοτέ-
λης πρώτως καὶ κυρίως αὐτοκίνητον τὸ ζῶον φησίν. ἐκ ψυχῆς καὶ σώματος συνεστώς. ὧν τὸ μὲν σῶμα
κινεῖται. ἡ δὲ ψυχὴ κινεῖ ἀκίνητος οὖσα κατ' αὐτὸ, ὁ δὲ πλάτων πρώτως μὲν καὶ κυρίως αὐτοκίνη-
τον εἶναι τὴν ψυχὴν βούλεται πάσαν. ἢ ὡς τοῖς ἀκριβεστέροις τῶν ἐξηγητῶν δοκεῖ τὴν λογικὴν.
διὰ δὲ ταύτην καὶ τὸ ζῶον αὐτοκίνητον γίνεσθαι, ἴχνους αὐτοκινησίας μεταλαμβάνον. καὶ ὅτι
μὲν κυρίως αὐτοκίνητον εἶναι βούλεται τὴν ψυχὴν, δηλοῖ πρότερον αὐτῆς ὁρισμὸν ἀποδιδοὺς, ἔν τε
» τῷ φαίδρῳ καὶ ἔτι σαφέστερον ἐν τῷ δεκάτῳ τῶν νόμων, ὅταν λέγῃ. ᾧ δὴ ψυχὴ τοὔνομα τίς τού-
» του λόγος. ἔχομεν ἄλλον πλὴν τὸν νῦν δὴ ῥηθέντα, τὴν δυναμένην αὐτὴν αὑτὴν οὐσίαν κινεῖν, ἢ περ
» τοὔνομα. ὃ δὴ πάντες ψυχὴν προσαγορεύομεν. ὅτι δὲ διὰ τὸ τὴν ψυχὴν αὐτοκίνητον εἶναι, καὶ τὸ
» ζῶον αὐτοκίνητον εἶναι βούλεται, καὶ πρότερον ἐδήλωσεν ἐν τῷ φαίδρῳ λέγων. πᾶν γὰρ σῶμα ᾧ μὲν ἔξω-
» θεν τὸ κινεῖσθαι, ἄψυχον. ᾧ δὲ ἔνδοθεν αὐτῷ ἐξ ἑαυτοῦ, ἔμψυχον, ὡς ταύτης οὔσης φύσεως ψυχῆς.
τῆς ἑαυτὴν δηλονότι κινούσης, καὶ τὸ μετέχον αὐτοκίνητον φαίνεσθαι ποιούσης. ὥστε τεκμήριον
τῆς ψυχικῆς αὐτοκινησίας τὴν τοῦ ζώου αὐτοκινησίαν ἐποιήσατο, αἴτιον δὲ ταύτης ἐκείνην. ἡ τοίνυν
διαφορὰ γέγονε, παρ' ὅσον ὁ μὲν πλάτων πάσαν τὴν ὁποιανοῦν μεταβολὴν. τήν τε ἐνεργητικὴν καὶ
» τὴν παθητικὴν κίνησιν ὁμολογεῖ. καὶ ἐν μὲν τιμαίῳ φησὶν ἡ ψυχὴ κινουμένη διὰ πάσης αὐτῆς. ἐν
» δὲ τῷ δεκάτῳ τῶν νόμων, ἄγει μὲν δὴ ψυχὴ πάντα τὰ κατ' οὐρανὸν καὶ γῆν καὶ θάλατταν ταῖς ἑαυ-
» τῆς κινήσεσιν. αἷς ὀνόματά ἐστι. βούλεσθαι. ἐπιμελεῖσθαι. σκοπεῖσθαι. βουλεύεσθαι, δοξάζειν ὀρθῶς.
» ἐψευσμένως. χαίρουσαν. λυπουμένην. θαῤῥοῦσαν. φοβουμένην. μισοῦσαν. στέργουσαν. καὶ πᾶσαι ὅσαι
» τούτων συγγενεῖς πρωτουργοὶ κινήσεις. ὁ μέντοι ἀριστοτέλης μόνας τὰς φυσικὰς μεταβολὰς κινή-
σεις ἀξιῶν καλεῖν, τὴν ψυχὴν ἐνεργεῖν ἀλλ' οὐχὶ κινεῖσθαι νομίζει. καὶ δῆλός ἐστιν ἐν τῷ πρώτῳ τῆς
περὶ ψυχῆς, τὰς φυσικὰς κινήσεις τῆς ψυχῆς ἀποφάσκων. ὅταν λέγῃ, διχῶς δὴ λεγομένου τοῦ κι-
» νεῖσθαι, ἢ καθ' αὐτὸ δηλονότι ἢ κατὰ συμβεβηκὸς, νῦν φησὶν ἐπισκοποῦμεν περὶ τῆς ψυχῆς, εἰ
» καθ' αὑτὴν κινεῖται καὶ μετέχει κινήσεως. τεσσάρων δὲ κινήσεων οὐσῶν, φορᾶς. ἀλλοιώσεως. φθί-
» σεως. αὐξήσεως, ἢ μίαν τούτων κινοῖτο ἄν. ἢ πλείους. ἢ πάσας. ταύτας δὲ καὶ ὁ πλάτων ἀποφά-
σκει τῆς ψυχῆς, ἐν ταῖς ἐννέα κινήσεσι ταῖς πρὸ τῆς ψυχῆς αὐτὰς ἐν τῷ δεκάτῳ τῶν νόμων κα-
ταριθμούμενος. ψυχῆς δὲ κινήσεις τὰς πρόσθεν εἰρημένας παραδιδούς. καὶ δηλονότι καὶ ὁ ἀριστο-
τέλης ταύτας δίδωσι τῇ ψυχῇ. καὶ ἀπ' αὐτῆς εἰς αὐτὴν αὐτὰς γινομένας οἶδεν. ἀλλ' οὐ κινήσεις
αὐτάς. ἀλλ' ἐνεργείας καὶ πάθη καλεῖ. καὶ γὰρ ὅτι γινώσκει ἑαυτὴν ἡ ψυχὴ καὶ τελειοῖ πάντως
οἶδεν ἀριστοτέλης. ὁ τοσαῦτα περὶ ψυχῆς φιλοσοφῶν. ἀλλ' ὡς ἅπαξ τοῖς σώμασιν ἀπονέμων τὸ
ἐκστατικὸν τῆς κινήσεως, ἀκολούθως ἑαυτῷ οὐκ ἀξιοῖ τὴν ψυχὴν αὐτοκίνητον καλεῖν ἀλλὰ τὸ ζῶον.
ὡς ἐναργοῦς τῆς κινήσεως ἐν τῷ σώματι οὔσης τῆς κατὰ τὸ κινεῖσθαι μόνον. ἣν καὶ μόνην εἶναι κί-
νησιν νομίζων. ἐν τῷ κινουμένῳ τὴν κίνησιν ἀποτίθεται. ὥστε οὐ περὶ πρᾶγμα νῦν. ἀλλὰ περὶ ὀνό-
ματος τοῖς φιλοσόφοις ἐστὶν ἡ διαφορά. ὥσπερ καὶ ἐν τοῖς πλείοσι τῶν ἄλλων. αἴτιον δὲ οἶμαι γίνε-
ται πολλαχοῦ τὸ τὸν μὲν ἀριστοτέλη τὴν συνήθειαν τῶν ὀνομάτων βούλεσθαι φυλάττειν. καὶ ἀπὸ
τῶν τῇ αἰσθήσει ἐναργῶν τὰς ἐπιχειρήσεις ποιεῖσθαι. τὸν δὲ πλάτωνα τούτων μὲν καταφρονεῖν
πολλάκις. πρὸς δὲ τὰς νοητὰς θεωρίας εὐκόλως ἀνατρέχειν. βουλόμενος δὲ δεῖξαι ὁ ἀριστοτέλης
κατὰ ποίαν κίνησιν τὸ αὐτοκίνητον νῦν λαμβάνει καὶ ὅτι κατὰ τὴν σωματικὴν, καθ' ἣν ἡ ψυχὴ
οὐ κατ' αὐτὴν μόνον ἀλλὰ καὶ κατὰ τὸν πλάτωνα ἀκίνητός ἐστιν, ἀρχὴν τῆς ἀποδείξεως ἐποιήσατο,
τὸ τὸ κινούμενον ἐξ ἀνάγκης εἶναι πᾶν συνεχὲς καὶ διαιρετὸν εἰς ἀεὶ διαιρετά. τοιοῦτον δὲ τὸ σῶμα
πρώτως. τί οὖν ἂν εἴη κατὰ ταύτην τὴν κίνησιν αὐτοκίνητον κυρίως, ἢ τὸ ζῶον. οὔτε γὰρ τὸ σῶμα κι-
νεῖν δύναται, οὔτε ἡ ψυχὴ ταύτην κινεῖσθαι τὴν κίνησιν. ἀλλὰ τὸ μὲν σῶμα κινεῖται. μὴ κινουμένη
δὲ ψυχὴ κινεῖ ἀκίνητος οὖσα. δι' ὃ καὶ οὐδὲν ὅλον ἐν αὐτοκίνητον εἶναι βούλεται. ὅτι οὐ δὲ τὸ κινούμενον
κατὰ ταύτην τὴν κίνησιν κινεῖ δύναται πρώτως, οὐδὲ τὸ κινοῦν κινεῖσθαι. καὶ τὸ ἄτοπον ἐναργὲς
ἐπήγαγεν, εἰπών. φέροιτο γὰρ ἂν καὶ φέροι τὴν αὐτὴν φορὰν ἓν ὂν καὶ ἄτομον τῷ εἴδει, καὶ ἀλλοιοῖτο
καὶ ἀλλοιοῖ. ὥστε διδάσκοι ἂν ἅμα καὶ μανθάνοι ἅμα. καὶ ὑγιάζοι καὶ ὑγιάζοιτο τὴν αὐτὴν ὑγείαν.
ὥστε δυνάμει ἅμα ἔσται καὶ ἐνεργείᾳ. καὶ οὔπω ὂν ἅμα καὶ ἤδη ὂν κατ' ἐκεῖνο. ὃ λέγεται. καὶ πῶς ὄντι
ἕν τι καὶ ἁπλοῦν ὂν οὐκ ἂν εἴη αὐτοκίνητον. καὶ γὰρ καὶ ἡ ψυχὴ πάντας ἔχουσα τοὺς λόγους, τοὺς
μὲν προχείρους ἔχει καὶ ἐνεργητικοὺς, τοὺς δὲ ἠρεμοῦντας καὶ δυνάμει τέως ὄντας ἐν αὐτῇ. καὶ
τοῖς ἐνεργείᾳ οὖσι κινεῖ τοὺς πῶς δυνάμει. κινοῦνται δὲ ἐκεῖνοι. καὶ οὕτως ἡ πᾶσα αὐτοκίνητος λέ-
γεται. καὶ συνᾴδει καὶ ταύταις ταῖς ἐννοίαις πλατωνικαῖς οὔσαις ὁ ἀριστοτέλης. ἔστι γὰρ καὶ
παρ' αὐτῷ τῆς ψυχῆς ὁ μὲν δυνάμει νοῦς. ὁ δὲ ἐνεργείᾳ. καὶ ὁ δυνάμει γίνεται ἐνεργείᾳ ὑπὸ τοῦ
ἐνεργείᾳ, διδασκούσης ἑαυτὴν τῆς ψυχῆς καὶ μανθανούσης παρ' ἑαυτῆς. καὶ ζητούσης καὶ εὑρισκού-
σης. πᾶσα γὰρ μάθησις διανοητικὴ ὡς αὐτὸς διδάσκει, καὶ ζήτησις δηλονότι καὶ εὕρεσις, ἐκ προϋ-
παρχούσης γίνεται γνώσεως, τῆς κατὰ τὸ ἐνεργοῦντα τό τε νοῦν. καὶ διὰ πρότερον ἴσως καίτοι κατὰ

τὰς φυσικὰς

τὰς φυσικὰς κινήσεις τὴν αὐτοκινησίαν δείξων, παρέρριψεν ἐν τοῖς παραδείγμασι. τὸ διδάσκοι γὰρ ἂν καὶ μανθάνοι, ταὐτὰ ἐνδεικνύμενος. ὅτι ἔστι μὲν ἐν τῇ ψυχῇ τὸ διδάσκειν ἑαυτὴν, καὶ μανθάνειν παρ' ἑαυτῆς. ἀλλ' οὐχ ὡς μιᾶς καὶ ἁπλῆς οὔσης. ὅπερ ἄτομον αὐτὸς τῷ εἴδει εἶπεν. ἀλλ' εἰς τὸ δυνάμει καὶ ἐνεργείᾳ διαιρουμένης. διὸ καὶ εἰς τοῦτο τὸ ἄτοπον ἀπηγάγετο τὸν λόγον, τὸ τὸ αὐτὸ ἓν ὂν καὶ ἄτομον τῷ εἴδει, δυνάμει ἅμα καὶ ἐνεργείᾳ ἔσεσθαι. καὶ οὔπω ὂν. καὶ ἤδη ὄν. ὡς εἴγε τις διῃρημένην λαμβάνοι τὴν ψυχὴν εἰς τὸ δυνάμει καὶ τὸ ἐνεργείᾳ, οὐκέτι ἄτοπον ἔσται τὸ τὸ αὐτὸ δυνάμει εἶναι καὶ ἐνεργείᾳ. αὐτενέργητος οὖν καὶ αὐτόγνωστος καὶ αὐθαίρετός ἐστιν ἡ ψυχὴ κατὰ τὸν ἀριστοτέλην. ἀλλ' οὐχ ὡς μία καὶ ἁπλῆ. ἀλλ' ὡς ἐκ τοῦ δυνάμει καὶ ἐνεργείᾳ συγκειμένη. αὐτοκίνητον δὲ αὐτὴν οὐκ ἠξίωσε καλεῖν, διὰ τὸ τὴν κίνησιν ἐν τοῖς σώμασι μόνοις θεωρεῖν. ταῦτα γὰρ τὰ συνεχῆ καὶ διαιρετὰ εἰς ἀεὶ διαιρετὰ πρώτως. καὶ διὰ τοῦτο καὶ ἡ κίνησις συνεχὴς καὶ διαιρετή. καὶ διὰ τὴν κίνησιν ὁ χρόνος. ἀλλὰ πῶς κατὰ τὸν ὑπ' αὐτοῦ τεθέντα τῆς κινήσεως ὁρισμὸν, τὸν λέγοντα ἐντελέχειαν εἶναι τοῦ δυνατοῦ ᾗ δυνατὸν, οὐχὶ καὶ κινεῖται ἡ ψυχὴ καὶ αὐτοκίνητός ἐστιν. εἴπερ ἐκ τοῦ δυνάμει εἰς τὸ ἐνεργείᾳ ὑφ' ἑαυτῆς πρόεισι. μή ποτε οὖν οὗτος μὲν ὁ ὁρισμὸς ὁ λέγων ἐντελέχειαν τοῦ δυνατοῦ ᾗ δυνατὸν, κοινὸς πάσης μεταβολῆς ἐστὶ καὶ ψυχικῆς καὶ σωματικῆς. καὶ ὅλως τῆς ἀπὸ τοῦ δυνάμει εἰς τὸ ἐνεργείᾳ προποδιζούσης. ὁ δὲ τῆς κινήσεως ὡς κινήσεως ἰδίως ὁρισμός ἐστιν, ἐντελέχεια τοῦ κινητοῦ ᾗ κινητόν. οὐχ ἁπλῶς οὖν πᾶσαν μεταβολὴν κίνησιν ἀξιοῖ λέγειν ὁ ἀριστοτέλης. ἀλλὰ τὴν συνήθη τὴν ἐπὶ τῶν σωμάτων. καὶ οὐδὲ ταύτην πᾶσαν. τὴν γὰρ γένεσιν καὶ τὴν φθορὰν διέκρινε τῆς κινήσεως. ὅτι τὸ μήπω ὂν οὐδεὶς ἂν λέγοι κινεῖσθαι κυρίως. ἀλλ' εἶναι μὲν δεῖ τι κατ' ἐνέργειαν τὸ κινούμενον. ἔχειν δέ τι δυνάμει. καθ' ὃ ἐνεργοῦν λέγεται κινεῖσθαι.

Ε' ΠΕΙ ΔΕ' δεῖ κίνησιν ἀεὶ εἶναι καὶ μὴ διαλείπειν, ἀνάγκη εἶναί τι ἀΐδιον ὃ πρῶτον κινεῖ, εἴτε ἓν, εἴτε πλείω. καὶ τὸ πρῶτον κινοῦν ἀκίνητον. ἕκαστον μὲν οὖν ἀΐδιον εἶναι τῶν ἀκινήτων μὲν μὴ κινούντων δὲ, οὐδὲν πρὸς τὸν νῦν λόγον. ὅτι δ' ἀναγκαῖον εἶναί τι τὸ αἰεὶ ἀκίνητον μὲν αὐτὸ πάσης τῆς ἐκτὸς μεταβολῆς, καὶ ἁπλῶς καὶ κατὰ συμβεβηκὸς. κινητικὸν δ' ἑτέρου, δῆλον ὧδε σκοποῦσιν.

Δ είξας ὅτι τὸ πρώτως κινοῦν καθ' ἑκάστην κίνησιν ἀκίνητόν ἐστι, νῦν δείκνυσιν ὅτι τὸ πρώτως κινοῦν καὶ ἀΐδιον εἶναι χρή. ὥστε καὶ τῆς τοιαύτης μεταβολῆς τῆς ὡς γενέσεως καὶ φθορᾶς ἀνεπίδεκτον εἶναι. καὶ τὸ μὲν πρῶτον ἐπιχείρημα κοινόν τε ἐστὶ κινήσεως ἁπλῶς καὶ σύντομον καὶ σαφές ἐστιν. ἐπειδὴ γὰρ δεῖ κίνησιν ἀΐδιον εἶναι. ὡς ἐν ἀρχῇ τοῦδε τοῦ βυβλίου δέδεικται. ἡ δὲ κίνησις ἐν τῷ κινουμένῳ ὡς ἐν τῷ τρίτῳ μεμαθήκαμεν, τὸ δὲ κινούμενον πᾶν ὑπό τινος κινεῖται, ὡς ἀπέδειξε καὶ ἐν τῷ πρὸ τούτου βυβλίῳ καὶ ἐν τούτῳ, ἀνάγκη εἶναί τι ὃ πρώτως κινοῦν ἀΐδιόν ἐστι. προσέθηκε δὲ καὶ ἀκίνητον, οὐ παλιλλογῶν. ἀλλ' αὐτὶ τοῦ καὶ τελέως ἀκίνητον. ὥστε μήτε τῆς κατὰ γένεσιν καὶ φθορὰν μεταβολῆς μετέχειν, μήτε τῆς κατὰ συμβεβηκὸς κινήσεως. ἐπειδὴ δὲ πολλά ἐστι τὰ ἀκίνητα μὲν ὄντα αὐτὰ κινοῦντα δὲ ἕτερα, τοιαῦται γὰρ πᾶσαι τῶν ζώων αἱ ψυχαὶ, δι' ὃ τὸ ζῶον αὐτοκίνητον ἐκ κινουμένου μὲν τοῦ σώματος, τῆς δὲ ψυχῆς ἀκινήτου μὲν οὔσης. κινούσης δὲ συγκινούμενον, τὸ μὲν ἕκαστον τῶν ἀκινήτων μὲν, κινούντων δὲ, ἀΐδιόν φησιν εἶναι οὐδὲν πρὸς τὸν παρόντα λόγον. οὐ γὰρ τοῦτο ζητεῖται νῦν, εἰ αἱ ψυχαὶ πᾶσαι ἀθάνατοί εἰσιν. αὗται γάρ εἰσιν αἱ ἐν τοῖς αὐτοκινήτοις ἀκίνητοι μὲν, κινοῦσαι δὲ, ἄλλης γὰρ πραγματείας ἡ περὶ τῆς ψυχῆς σκέψις. ἀλλ' οὐδὲ ἁπλῶς οὕτως, εἰ πάντα τὰ ἀκίνητα μὲν κινοῦντα δὲ, ἀΐδιά ἐστι, πρόκειται νῦν ζητεῖν. ἀλλὰ πρόκειται δεῖξαι νῦν. ὅτι ἀναγκαῖον εἶναί τι ἢ ἓν ἢ πλείω. οὔπω γὰρ τοῦτο διώρισται τὸ μὴ πρὸς καιρὸν τοιοῦτον. ἀλλ' ἀεὶ ἀκίνητον μὲν αὐτό. καὶ πάσης ἐκτὸς μεταβολῆς, καὶ καθ' αὑτὸ καὶ κατὰ συμβεβηκὸς, κινητικὸν δὲ ἑτέρου. πάσης δὲ ἐκτὸς μεταβολῆς εἶπε νῦν, καὶ οὐ πάσης κινήσεως, ἵνα καὶ τὴν γένεσιν καὶ τὴν φθορὰν περιλάβῃ. καὶ κατὰ συμβεβηκὸς δὲ τὸ πρώτως κινοῦν ἀκίνητόν φησι. καὶ ταύτην γὰρ διαφέρει τῶν ἐν τοῖς αὐτοκινήτοις ἀκινήτων μὲν, κινούντων δὲ, ὅτι ἐκεῖνα καθ' αὑτὰ μὲν ἀκίνητα, κατὰ συμβεβηκὸς δὲ κινούμενα, τῷ τὰ σώματα ἐν οἷς ἐστι κινεῖσθαι. τὸ δὲ πρώτως κινοῦν ἅτε πάντῃ χωριστὸν σωμάτων ὑπάρχον, οὐ μόνον τῆς καθ' αὑτὸ μεταβολῆς ὑπεράνεχει, ἀλλὰ καὶ τῆς κατὰ συμβεβηκός.

Ε" ΣΤΩ ΔΕ', εἴ τις βούλεται ἐπί τινων ἐνδεχόμενον ὥστε εἶναι ποτὲ καὶ μὴ εἶναι ἄνευ γενέσεως καὶ φθορᾶς. τάχα γὰρ ἀναγκαῖον εἴ τι ἀμερὲς, ὁτὲ μὲν ἔστιν, ὁτὲ δὲ μὴ ἔστιν ἄνευ τοῦ μεταβάλλειν. ὁτὲ μὲν εἶναι, ὁτὲ δὲ μὴ εἶναι πᾶν τὸ τοιοῦτον. καὶ τῶν ἀρχῶν τῶν ἀκινήτων μὲν, κινητικῶν δὲ, ἐνίας. ὁτὲ μὲν εἶναι. ὁτὲ δὲ μὴ εἶναι. ἐνδεχέσθω καὶ τοῦτο. ἀλλ' οὔτι πάσας γε δυνατόν. δῆλον γὰρ ὡς αἴτιόν τι τοῖς αὐτὰ ἑαυτὰ κινοῦσιν ἔστι τοῦ ὁτὲ μὲν, εἶναι ὁτὲ δὲ μὴ εἶναι. τὸ μὲν γὰρ αὐτὸ ἑαυτὸ κινοῦν, ἅπαν ἔχειν ἀνάγκη μέγεθος εἰ μηδὲν κινεῖται ἀμερές. τὸ δὲ κινοῦν οὐδεμία ἀνάγκη ἐκ τῶν εἰρημένων. τοῦ δὴ τὰ μὲν γίγνεσθαι, τὰ δὲ φθείρεσθαι, καὶ τοῦτ' εἶναι συνεχῶς οὐδὲν αἴτιον τῶν ἀκινήτων μὲν, μὴ ἀεὶ δ' ὄντων. οὐδ' αὖ τῶν ἀεὶ μὲν, ταδὶ κινούντων. τούτων δ' ἕτερα. τοῦ γὰρ αἰεὶ καὶ συνεχοῦς, οὔτε

ἕκαστον αὐτῶν αἴτιον οὔτε πάντα. τὸ μὲν γὰρ οὕτως ἔχειν, ἀΐδιον καὶ ἐξ ἀνάγκης. τὰ δὲ πάντα ἄπειρα. καὶ οὐχ ἅμα πάντα ὄντα. δῆλον τοίνυν ὅτι εἰ καὶ μυριάκις ἔνιαι ἀρχαὶ τῶν ἀκινήτων μὲν κινουσῶν δὲ, καὶ πολλὰ τῶν αὐτὰ ἑαυτὰ κινούντων. φθείρεται, τὰ δ' ἐπιγίνεται. καὶ τόδε μὲν ἀκίνητον ὂν, τόδε κινεῖ. ἕτερον δὲ, τοδί. ἀλλ' οὐδὲν ἧττόν ἐστιν ὃ περιέχει. καὶ τοῦτο παρ' ἕκαστον ὂν, ὅ ἐστιν αἴτιον, τοῦ τὰ μὲν εἶναι. τὰ δὲ, μή. καὶ τῆς συνεχοῦς μεταβολῆς. καὶ τοῦτο μὲν, τούτοις. ταῦτα δὲ τοῖς ἄλλοις, αἴτια κινήσεως. εἴπερ οὖν ἀΐδιος ἡ κίνησις, ἀΐδιον καὶ τὸ κινοῦν ἔσται πρῶτον εἰ ἕν. εἰ δὲ πλείω, πλείω τὰ ἀΐδια.

Ὅτι ἐστί τι ὃ πρώτως κινοῦν. οὐ μόνον ἀκίνητον ἀλλὰ καὶ ἀΐδιόν ἐστι, δείκνυσι πάλιν ὑποθέμενος, ὅτι ἔστιν ἐν τοῖς οὖσιν ἀΐδιος κίνησις καὶ μεταβολή. καὶ ὅτι δεῖ τῶν ἀεὶ μεταβαλλομένων προϋπάρχειν τὸ ἀμετάβλητον τῆς μεταβολῆς αἴτιον. ἐνστάσεως δὲ οὔσης τῆς λεγούσης, ὅτι αἱ ἐν τοῖς αὐτοκινήτοις ἀρχαὶ τῆς κινήσεως. τουτέστιν αἱ ἐν τοῖς ζῴοις ψυχαὶ κἂν μὴ ἀΐδιοι ὦσιν, ἀρκοῦσιν εἰς ἀρχῆς κινήσεως λόγον, ἀκίνητοι οὖσαι, οὐ γὰρ διὰ γενέσεως ἢ φθορᾶς ἢ ὅλως μεταβολῆς ποτὲ μὲν εἰσὶ ποτὲ δὲ οὐκ εἰσίν, εἰ μὲν γὰρ διὰ μεταβολῆς ἢ κινήσεως αὐταῖς συνέβαινε τοῦτο, ἀναγκαῖον ἦν προϋπάρχειν αὐτῶν τὸ κινοῦν, ἐπειδὴ δὲ οὐ διὰ κινήσεως ἢ ὅλως μεταβολῆς. διὰ τὸ ἀμερεῖς εἶναι, αὐτάρκεις ἂν εἶεν εἰς ἀρχῆς λόγον, καὶ οὐ χρεία τῆς ἀϊδίου ἀρχῆς, ταύτην οὖν τὴν ἔνστασιν εὐθὺς ἐν ἀρχῇ λύει. συγχωρήσας μὲν ἐνδέχεσθαί τι εἶναι ποτὲ καὶ μὴ εἶναι ἄνευ γενέσεως καὶ φθορᾶς. τάχα δὲ οὐκ ἐνδέχεσθαι ἀλλὰ καὶ ἀναγκαῖον εἶναι, εἴ τι ἀμερὲς ὁτὲ μὲν ἔστιν ὁτὲ δὲ μὴ ἔστιν, ἄνευ τοῦ μεταβάλλειν ὁτὲ μὲν εἶναι ὁτὲ δὲ μὴ εἶναι. ἐνδεχέσθω οὖν φησὶ καὶ τῶν ἀρχῶν τοῦ κινεῖσθαι τινὰς ἄνευ κινήσεως καὶ μεταβολῆς ὁτὲ μὲν εἶναι, ὁτὲ δὲ μὴ εἶναι. οὐ μέντοι πάσας δυνατὸν τὰς ἀρχὰς, ὁτὲ μὲν εἶναι, ὁτὲ δὲ μὴ εἶναι. δεῖ γὰρ εἶναί τι ἀεὶ τὸ τοῦ ποτὲ εἶναι ταῖς τοιαύταις ἀρχαῖς αἴτιον. ἐπειδὴ τὸ ποτὲ εἶναι ἀεί ἐστιν ἐν ἄλλαις καὶ ἄλλαις. αὐτὸς δὲ καὶ ἔτι ἐναργέστερον δείκνυσιν, ὅτι καὶ τοῖς ἑαυτὰ κινοῦσιν. εἰ ὑποτίθοιτο καὶ τὸ κινοῦν ἐν αὐτοῖς ποτὲ μὲν εἶναι, ποτὲ δὲ μή, ἔστι τι αἴτιον ἀΐδιον τοῦ ποτὲ μὲν εἶναι, ποτὲ δὲ μή. κἂν γὰρ τὰ κινοῦντα ἐν τοῖς αὐτοκινήτοις ἀσώματα ὄντα καὶ ἀμερῆ, ἄνευ γενέσεως καὶ φθορᾶς ποτὲ μὲν ᾖ, ποτὲ δὲ οὐκ ᾖ, ἀλλ' εἴπερ ὅλως κινεῖται τὸ αὐτοκίνητον ἀνάγκη μέγεθος ἔχειν. διότι οὐδὲν ἀμερὲς κινεῖται ὡς δέδεικται. τὸ δὲ κινοῦν οὔπω δῆλον εἰ ἀμερὲς ἀνάγκη εἶναι. εἰ οὖν ἔστιν ἐν τοῖς αὐτοκινήτοις τὰ ποτὲ μὲν ὄντα, ποτὲ δὲ μὴ ὄντα σώματα, ταῦτα ἀνάγκη διὰ γενέσεως καὶ φθορᾶς ποτὲ μὲν εἶναι, ποτὲ δὲ μὴ εἶναι. πάσης δὲ γενέσεως καὶ φθορᾶς ἔστι τι αἴτιον. ὃ δὲ τῆς τούτων γενέσεως ἔστιν αἴτιον, εἴη ἂν καὶ τῶν ἐν αὐτοῖς κινητικῶν. εἴπερ σὺν ἐκείνοις ὑφίσταται. οὐκ ἄρα ἀρκεῖ τὰ ἐν τοῖς αὐτοκινήτοις ἀκίνητα εἰς ἀρχῆς κινήσεως λόγον. ἔτι δὲ τοῦ τὰ μὲν γίνεσθαι, τὰ δὲ φθείρεσθαι συνεχῶς, ἄλλων μὲν γινομένων, ἄλλων δὲ φθειρομένων τὸ αἴτιον δείκνυσι, μήτε ἓν τῶν ἀκινήτων μὲν, μὴ ἀεὶ δὲ ὄντων ὡς ὑπόκειται ὑπάρχον. μήτε οὕτως ὡς τῶν μὲν τάδε κινούντων, τῶν δὲ ἕτερα. τοῦ γὰρ ἀεὶ καὶ συνεχῶς οὔτε ἕν ἐστιν αἴτιον. ὅπερ αὐτὸς εἶπεν ἕκαστον. εἰ γὰρ αὐτὸ μὲν οὐκ ἀΐδιον, ἡ δὲ μεταβολὴ ἀΐδιος, ὅτε τοῦτο μὴ ἔστιν, ἤτοι οὐκ ἔσται οὐδὲ ἡ μεταβολή. καὶ οὐκ ἔσται ἀΐδιος οὐδὲ συνεχής. ἢ ἔσται ἄλλο αἴτιον αὐτῆς. εἴγε καὶ μὴ ὄντος τούτου γίνεται. αὐτὸς δὲ εἰπὼν ὅτι τοῦ ἀεὶ καὶ συνεχῶς οὔτε ἕκαστον αὐτῶν, οὔτε πάντα αἴτια, τὸ μὲν ἓν τῶν μὴ ἀϊδίων αἴτιον εἶναι ἀνεῖλε συντόμως, διὰ τοῦ, τὸ μὲν γὰρ οὕτως ἔχον ἀΐδιον καὶ ἐξ ἀνάγκης. πῶς δὲ τοῦ ἀναγκαίου καὶ ἀϊδίου τὸ μὴ ἀΐδιον αἴτιον εἶναι δυνατόν. ὅπερ ὡς προφανὲς ἐπαγαγεῖν παρῆκεν. ὅτι δὲ μηδὲ πάντα τὰ τοιαῦτα οἷόν τε αἴτια εἶναι ἔδειξε. διὰ τοῦ. τὰ δὲ πάντα ἄπειρα. καὶ οὐχ ἅμα πάντα ὄντα. ἄπειρα γὰρ οὕτως, ὡς ἐπ' ἄπειρον γινόμενα. καὶ διὰ τοῦτο οὐχ ἅμα πάντα ὄντα. πῶς οὖν οἷόν τε πάντα αἴτια λέγειν τῆς ἀϊδίου καὶ συνεχοῦς μεταβολῆς, τὰ μήτε ἀεὶ πάντα, μήτε ἅμα ὄντα. τὰ γὰρ μήπω ὄντα ἢ μηκέτι ὄντα, πῶς ἂν αἴτια τοῦ ὄντος εἴη. ὅτι δὲ οὐδὲ οὕτω πάντα, ὡς πάντα μὲν τῆς αὐτῆς καὶ μιᾶς, ἄλλα δὲ ἄλλου μέρους, ὡς τοῦδε μὲν τόδε, ἄλλου δὲ ἕτερον, οἷον τὰ νῦν ὄντα τῶν νῦν ὄντων, καὶ τὰ αὖθις τῶν αὖθις, δείξει προελθών. δυνατὸν δὲ οἶμαι καὶ οὕτως ἐκ τῶν εἰρημένων συλλογίσασθαι, ὅτι οὔτε ἓν τῶν μὴ ἀϊδίων οὔτε πάντα αἴτια τῆς συνεχοῦς καὶ ἀϊδίου κινήσεώς ἐστι. λαβὼν γὰρ ὅτι τὸ οὕτως ἔχειν, τουτέστι τὸ αἴτιον εἶναι συνεχοῦς καὶ ἀϊδίου κινήσεως ἀΐδιον ἐξ ἀνάγκης ἐστίν. ἢ ὡς ὁ Ἀλέξανδρος καὶ ὁ Θεμίστιος γράφουσιν ἀΐδιον καὶ ἐξ ἀνάγκης, καὶ γὰρ ἀνάγκη τὸ αἴτιον τοῦ ἀϊδίου ἀεὶ εἶναι, ταύτῃ τῇ καταφατικῇ προτάσει προστίθησιν ἀποφατικὴν πρότασιν, τὴν λέγουσαν τὸ ἓν ἕκαστον γενητὸν καὶ φθαρτὸν καὶ πάντα τὰ τοιαῦτα οὐκ ἔστιν ἀΐδιον. ἐξ ὧν συνάγεσθαι ὅτι τὸ ἓν τὸ γενητὸν καὶ φθαρτὸν καὶ πάντα τὰ τοιαῦτα οὐκ ἔστιν αἴτια τῆς συνεχοῦς καὶ ἀϊδίου κινήσεως. ἀλλ' ὅτι μὲν τὸ ἓν ἕκαστον τὸ γενητὸν καὶ φθαρτὸν οὐκ ἔστιν ἀΐδιον, καὶ περιττὸν ἦν δεικνύναι. ὅτι δὲ οὐδὲ τὰ πάντα ἀΐδιά ἐστιν, δείκνυσι διὰ τοῦ ἄπειρα εἶναι. καὶ οὕτως ἄπειρα ὡς ἐπ' ἄπειρον γινόμενα, καὶ οὐχ ἅμα πάντα ὄντα. ἄλλοτε γὰρ ἄλλα γινόμενα οὐχ ἅμα πάντα ἐστίν. ὥστε οὐδὲ τὰ πάντα ἀΐδια. εἰ γὰρ ἦν ἀΐδια, ἅμα ἂν ἦν τὰ πάντα. καὶ οὐ νῦν μὲν ἄλλα. αὖθις δὲ ἕτερα.

δὲ ἕτερα. δῆλον τοίνυν φησίν. ὅτι κἂν μυριάκις τουτέστιν ἐπ' ἄπειρον αἱ τοιαῦται ἀρχαὶ αἱ τῶν ἀκινήτων μὲν κινουσῶν δέ, οἷαι εἰσὶν αἱ ἐν τοῖς αὐτοκινήτοις ἀκίνητοι, τουτέστιν αἱ τῶν ζώων ψυχαί, καὶ πολλὰ δὲ τῶν αὐτοκινήτων, τὰ γὰρ ὑπὸ σελήνην πάντα, τὰ μὲν γίνηται, τὰ δὲ φθείρηται, τοῦ προλαβόντος ἀεὶ τῷ ἐφεξῆς αἰτίου γινομένου τῆς γενέσεως, ἀλλ' ὅμως οὐδὲν ἧττον ἔστι τι ἀΐδιον αἴτιον παρ' ἕκαστον τούτων. ὅπερ ἔχει καὶ ὁρίζει τὰς τούτων μεταβολὰς τὸ ἀνέκλειπτον αὐταῖς παρεχόμενον. ὅπερ οὔτε ἕκαστον τῶν γινομένων καὶ φθειρομένων, οὔτε πάντα ἅμα δύναται παρέχειν. τὸ γὰρ ἐφεξῆς οὔτε συνεχὲς οὔτε ἀΐδιον. ἀΐδιος δὲ καὶ συνεχὴς ἡ κίνησις ἀποδέδεικται. δείξας οὖν ὅτι οὔτε ἐν ἕκαστον οὔτε πάντα τὰ γενητὰ καὶ φθαρτὰ τῆς κινήσεως αἴτια, δύναται τῆς ἀϊδίου κινήσεως αἴτια εἶναι, εἰκότως ἐπήγαγε δῆλον εἶναι, ὅτι ἔστι τι ἀΐδιον αἴτιον τῆς ἀϊδίου μεταβολῆς. εἶτα προστίθησιν ὅτι ἐκεῖνο μὲν τὸ ἀΐδιον αἴτιον, τούτοις τοῖς οὐκ ἀϊδίοις ὑποκειμένοις κινητικοῖς αἴτιον τοῦ εἶναί τε καὶ κινεῖν. καὶ τοῖς αὐτοκινήτοις. ἐν οἷς τὰ τοιαῦτα κινητικά, ἐκεῖνο αἴτιον τοῦ εἶναι. ταῦτα δὲ τὰ αὐτοκίνητα τοῖς ἄλλοις αἴτια τῆς κινήσεώς ἐστι, τοῖς κινουμένοις μέν, οὐκ ἀεὶ δὲ ἕτερα κινοῦσιν. εἴγε ἀρχὴ καὶ πρῶτον τῶν κινούντων τε καὶ κινουμένων ἐστὶ τὸ αὐτοκίνητον. ἵνα μὴ ἐπ' ἄπειρον ἴωμεν, πρὸ παντὸς ἑτεροκινήτου ἑτεροκίνητον τιθέντες. δύναται δὲ ἐκεῖνο μὲν τούτοις λέγειν τὸ ἀΐδιον κινητικόν, τοῖς ἀεὶ καὶ συνεχῶς κινουμένοις, τουτέστι τοῖς κυκλοφορητικοῖς. ταῦτα δὲ τοῖς γινομένοις καὶ φθειρομένοις αἴτια τῆς τε κινήσεως καὶ τῆς γενέσεως. ἄμεινον δὲ ἴσως τὸ καὶ ἐκεῖνο μὲν τούτοις, περὶ τῶν ἐν τοῖς αὐτοκινήτοις κινητῶν ἀκούειν. ἐπειδὴ περὶ τούτων προσεχῶς ὁ λόγος ἦν. ὡς συμπέρασμα δὲ τοῖς εἰρημένοις πᾶσιν ἐπάγει, σύντομόν τι καὶ ὑγιὲς συνημμένον. εἴπερ γὰρ ἀΐδιός φησιν ἡ κίνησις, ἀΐδιον καὶ τὸ κινοῦν αἴτιον ἔσται τὸ πρώτως δηλονότι κινοῦν. ἔχων οὖν τὸ ἡγούμενον κατεσκευασμένον. τὸ ἀΐδιον εἶναι τὴν κίνησιν, θαῤῥούντως ἐπάγει τὸ ἑπαγόμενον, τὸ ἀΐδιον εἶναι τὸ πρώτως κινοῦν. καὶ εἰ μὲν ἓν εἴη τὸ ἀϊδίως κινούμενον, ἓν ἔσται τὸ κινοῦν ἀΐδιον. εἰ δὲ πλείω τὰ τὴν ἀΐδιον κίνησιν κινούμενα, πλείω καὶ τὰ κινοῦντα ἀΐδια. ἓν γὰρ καθ' ἑκάστην κίνησιν.

Ε'' ΕΝ ΔΕ μᾶλλον ἢ πολλά. καὶ πεπερασμένα, ἢ ἄπειρα δεῖ νομίζειν. τῶν αὐτῶν γὰρ συμβαινόντων, ἀεί, τὰ πεπερασμένα μᾶλλον ληπτέον. ἐν γὰρ τοῖς φύσει, δεῖ τὸ πεπερασμένον καὶ τὸ βέλτιον ἐὰν ἐνδέχηται ὑπάρχειν μᾶλλον. ἱκανὸν δὲ καὶ εἰ ἕν, ὃ πρῶτον τῶν ἀκινήτων ἀΐδιον ὄν, ἔσται τοῖς ἄλλοις ἀρχὴ κινήσεως.

Ε εὐλογώτερον φησὶν ἓν μᾶλλον εἶναι τὸ πρώτως κινοῦν αἴτιον ἢ πολλά. οὐ γὰρ ἀγαθὸν πολυκοιρανίη. ὅπερ αὐτὸς ἐν τῇ μετὰ τὰ φυσικὰ περὶ τούτου λέγων ὁμηρικῶς ἀνεφθέγξατο. εἰ δὲ πολλά, εὐλογώτερον πεπερασμένα μᾶλλον νομίζειν ἢ ἄπειρα. καὶ τὴν αἰτίαν προστίθησι. διότι τῶν αὐτῶν συμβαινόντων, τὰ πεπερασμένα μᾶλλον ληπτέον. τούτου δὲ πάλιν αἴτιον, τὸ δεῖν ἐν τοῖς φυσικοῖς ἂν ἐνδέχηται, τὸ πεπερασμένον μᾶλλον ὑπάρχειν. διότι βέλτιον ἐκεῖνο τοῦ ἀπείρου, καὶ τὸ ἓν τῶν πολλῶν. κεῖται γὰρ ὅτι ἡ φύσις ἀεὶ τῶν ἐνδεχομένων τὸ ἄριστον ποιεῖ προηγουμένως. καὶ κατὰ τοῦτον τὸν λόγον ἐν τῷ πρώτῳ τῆσδε τῆς πραγματείας. τῶν ἄπειρα τὰ στοιχεῖα ὑποθεμένων δημοκρίτου τε καὶ ἀναξαγόρου πρὸς ἐκείνων ἐμπεδοκλέα πεπερασμένα εἰπόντα, καὶ πάντα ἀποδιδόντα, ὅσα ἐκεῖνοι διὰ τῶν ἀπείρων ἀποδεδώκασι. ταῦτα δὲ λέγει, δεικνύναι μέλλων ὅτι καὶ τῶν πολλῶν συνεχῶν κινήσεων πεπερασμένων οὐσῶν καὶ οὐκ ἀπείρων, ἔστι μία προϋπάρχουσα ἡ περιέχουσα τὰς ἄλλας ἡ τῆς ἀπλανοῦς. καὶ τῶν κινητικῶν αἰτίων ἔστιν ἓν τὸ ὑπερανέχον. εἰς ἃ καὶ νῦν ἀποβλέπων ἐπήγαγεν, ὅτι ἱκανὸν καὶ ἕν, ὃ πρῶτον τῶν ἀκινήτων ἀΐδιον ὄν, ἔσται ἀρχὴ τοῖς ἄλλοις κινήσεως.

Φ ΑΝΕΡΟΝ δὲ καὶ ἐκ τῶνδε ὅτι ἀνάγκη εἶναί τι ἓν καὶ ἀΐδιον τὸ πρῶτον κινοῦν. δέδεικται γὰρ ὅτι ἀνάγκη ἀεὶ κίνησιν εἶναι, εἰ δὲ ἀεί, ἀνάγκη καὶ συνεχῆ εἶναι. καὶ γὰρ τὸ ἀεί, συνεχές. τὸ δ' ἐφεξῆς, οὐ συνεχές. ἀλλὰ μὴν, εἴγε συνεχής, μία. μία δ' ἡ ὑφ' ἑνός τε τοῦ κινοῦντος, καὶ ἑνὸς τοῦ κινουμένου. εἰ γάρ τι ἄλλο καὶ ἄλλο κινήσει, οὐ συνεχὴς ἡ ὅλη κίνησις, ἀλλ' ἐφεξῆς.

Δ είξας ὅτι ἔστι τι τὸ πρώτως κινοῦν ἀΐδιον. καθ' ἕκαστον τῶν συνεχῶς καὶ ἀϊδίως κινουμένων, καὶ ὅτι εὔλογον ἓν ἐκεῖνο νομίζει, τὸ αὐτὸ καὶ δι' ἑτέρας ἐπιχειρήσεως τῆς διὰ τριῶν ἢ διὰ πλειόνων, κατὰ τὸν ὑποθετικὸν τρόπον συναγομένης, δείκνυσιν οὕτως. εἰ ἀνάγκη ἀεὶ εἶναι κίνησιν, ἀνάγκη συνεχῆ εἶναι. εἰ ἀνάγκη ἀεὶ καὶ συνεχῆ εἶναι, ἀνάγκη μίαν εἶναι. εἰ ἀνάγκη ἀεὶ καὶ συνεχῆ καὶ μίαν εἶναι κίνησιν, ἀνάγκη ὑφ' ἑνὸς ἀϊδίου κινουμένου καὶ ἑνὸς ἀϊδίου κινοῦντος γίνεσθαι. εἰ ἄρα ἀνάγκη ἀεὶ εἶναι κίνησιν, ἀνάγκη ἓν καὶ ἀΐδιον εἶναι τὸ πρώτως κινοῦν. ἀλλὰ μὴν δέδεικται τὸ ἡγούμενον. ἀληθὲς ἄρα καὶ τὸ ἑπόμενον. καὶ ὅτι μὲν εἰ ἀεί ἐστι, καὶ συνεχής ἐστιν, ἔδειξε διὰ τοῦ τὸ ἀεὶ καὶ συνεχὲς εἶναι. εἰ γὰρ διαλείποι, οὐκ ἀεὶ ἔσται. εἰ δὲ συνεχής, μία. εἰ γὰρ πλείους, οὐ συνεχής. ἀλλ' ἐφεξῆς. εἰ ἄρα συνεχής, οὐ πλείους. ἀλλὰ μία. ὅτι δὲ οὐχ οὕτως μία, ὡς ἐκ τῶν ἐφεξῆς γινομένων συγκεῖσθαι τὴν ἀΐδιον, δῆλον. εἴπερ τὴν ἐφεξῆς

κίνησιν ἐνδέχεται καὶ διαλείπειν. οὐ γὰρ ἀνάγκη μετὰ τὸ πρῶτον κίνησιν εὐθὺς εἶναι, καὶ γίνεσθαι τὸ μετ' αὐτὸ κινοῦν. εἰ μή τι εἴη ἀΐδιόν τε καὶ ἐν τῆς ἀναγκαίας διαδοχῆς τοῖς κινοῦσιν αἴτιον. ὅπερ νῦν ὁ λόγος εἰσάγει. μὴ ὄντος δὲ τοιούτου, ἐνδέχεται καὶ διαλείπειν. καὶ μὴ εὐθὺς τῷ φθείρεσθαι τὸ πρῶτον κινῆσαν τὸ μετ' αὐτὸ εἶναι. διαλείποντος δὲ ἐκείνου, διαλείποι ἂν καὶ ἡ κίνησις. τοῦτο δὲ ἀδύνατον. εἰ δὲ εἴη συνεχὴς καὶ μία, τῷ ἀριθμῷ μία ἔσται. μία δὲ ἐστὶ τῷ ἀριθμῷ ὡς ἔμπροσθεν ἐδείχθη, ἡ ἑνός τε τῷ ἀριθμῷ καὶ κινοῦντος, καὶ ἑνὸς τῷ ἀριθμῷ κινουμένου. οὔτε γὰρ πολλῶν ὄντων τῶν κινουμένων μία κίνησις, ἀλλ' ἐφεξῆς, εἰ ἄρα. οὔτε πολλῶν ὄντων τῶν κινούντων. ἐν γὰρ τῇ τῶν κινούντων διαδοχῇ γίνεταί τις στάσις. δεῖ γὰρ τὸ μὲν παύσασθαι, τὸ δὲ ἄρξασθαι. οὕτω δὲ ἡ συνέχεια διασπᾶται. ἔτι δὲ ἀρρήθη, ὅτι οὐδὲ ἀνάγκη τινὰ ἕξει, τοῦ εὐθὺς μετὰ τὸ πρῶτον κινῆσαν εἶναι τὸ δεύτερον κινοῦν. οὐ γὰρ δὴ πλείω ὄντα ἀΐδια ἐκ διαδοχῆς κινήσει. ταῦτα γὰρ ἀναπαύσεως δεῖται κατὰ τὴν συνέχειαν τῆς ἐνεργείας. ἃ ἐν τῷ ἐνεργεῖν κάμνει. κάμνει δὲ τὰ θνητά. τὸ δὲ ἀΐδιον οὐ κάμνει. ἔτι ἵνα ἐκ τοῦ μὴ κινεῖν εἰς τὸ κινεῖν μεταβάλλῃ, δεήσει αὐτὰ κινεῖσθαι. ἀλλ' ἦν ἀκίνητα. πρῶτα γάρ. ἔδειξε δὲ διὰ τούτων. ὅτι μὴ δὲ πάντα τὰ κινητικὰ μὲν μὴ ἀΐδια δὲ, οἷά τε αἴτια εἶναι τῆς ἀϊδίου κινήσεως ἐκ διαδοχῆς κινοῦντα. ἔδειξε δὲ πρότερον ὅτι οὐδὲ πάντα ἅμα. δῆλον οὖν καὶ ἐκ τῶν νῦν εἰρημένων, ὅτι τὸ ἑκάστης συνεχοῦς κινήσεως ἀΐδιον κινητικὸν αἴτιον, ἓν εἶναι βούλεται. οὕτω δὲ καὶ ἐν τῇ μετὰ τὰ φυσικὰ ἐκ τῶν συνεχῶς κινουμένων κυκλοφορητικῶν σωμάτων, τὸν ἀριθμὸν τῶν ἀκινήτων μὲν πρώτως δὲ κινούντων αἰτίων, ἐπεχείρησεν εὑρεῖν. ἀπορήσοι δὲ ἄν τις εἰκότως ὡς οἶμαι, πῶς τῷ ἐν ἀρχῇ δειχθέντι, ὅτι ἀνάγκη ἀεὶ κίνησιν εἶναι, ἕπεται τὸ συνεχῆ εἶναι. τὸ γὰρ ἀεί φησι συνεχές. τὸ δὲ ἐφεξῆς οὐ συνεχές. καίτοι οὐχ ὡς συνεχὴς ἀλλ' ὡς ἐφεξῆς ἀεὶ οὖσα κίνησις. ἐν τοῖς φθάσασι λόγοις ἐδείχθη. εἴπερ ἀεὶ πρὸ τῆς πρώτης ὑποτιθεμένης μεταβολῆς ἄλλην ἔδειξε προτέραν καὶ μετὰ τὴν τελευταίαν ἄλλην ὑστέραν. αἱ δὲ τοιαῦται κινήσεις ἐφεξῆς εἰσιν ἀλλ' οὐ συνεχεῖς. εἰ οὖν τὸ μὲν ἀεὶ συνεχὲς ὥς φησι, τὸ δὲ ἐφεξῆς οὐ συνεχὲς, συνάγεται ἐν δευτέρῳ σχήματι κατηγορικῶς, ὅτι τὸ ἐφεξῆς οὐκ ἀεί. εἰ οὖν ἡ δειχθεῖσα κίνησις ἐφεξῆς ἦν. οὐ δέδεικται δι' ἐκείνης τῆς δείξεως ὅτι ἀεὶ κίνησίς ἐστιν. οὐδὲ ὅτι μία. ὥστε οὐδὲ ὅτι ἓν τὸ κινοῦν δειχθήσεται ὡς νῦν εἶπεν. ἐκ τοῦ δεδεῖχθαι ὅτι ἀνάγκη ἀεὶ κίνησιν εἶναι. οὕτω γὰρ ἐδείχθη ἀεὶ ὡς ἐφεξῆς, ἀλλ' οὐχ ὡς συνεχής. ἡ μὲν οὖν ἀπορία τοιαύτη ἂν εἴη. ῥητέον δὲ ἴσως. ὅτι ἐν ἀρχῇ μὲν ἐδείχθη, ὅτι ἀεὶ ἐστὶ κίνησις κινήσεως ἐφεξῆς. τοῦτο γὰρ ἐναργὲς ἦν ἐν τοῖς προσεχέσιν ἡμῖν τοῖς ὑπὸ σελήνην ὑπάρχον. ἐν οἷς πρὸ πάσης κινήσεως ἄλλην ἀνάγκη προϋπάρχειν, καὶ μετὰ πᾶσαν ἄλλην μεθυπάρχειν. ἐλήφθη δὲ λοιπὸν ἐξ ὑποθέσεως, ὅτι πρὸ τῆς ἐφεξῆς ἀεὶ, ἔστιν ἡ συνεχὴς ἀεὶ, ἡ τοῦ ἀνεκλείπτου τῆς ἐφεξῆς αἰτία. τὸ οὖν εἰρημένον ἐνταῦθα, εἰ δὲ ἀεὶ, ἀνάγκη συνεχῆ εἶναι, τὸ γὰρ ἀεὶ συνεχὲς, τὸ δὲ ἐφεξῆς οὐ συνεχὲς, δηλοῖ ὅτι τὸ ἐφεξῆς καθ' ὃ ἐφεξῆς οὐκ ἔστι συνεχὲς, οὐδὲ τὸ ἀεὶ ἐξ ἀνάγκης ἔχει. ἐπεὶ οὖν δέδεικται ἀνέκλειπτον τὸ ἐφεξῆς τῆς κινήσεως ἐν τοῖς ὑπὸ σελήνην, ἀπὸ συνεχοῦς τινος ἀνάγκη τὸ ἀνέκλειπτον καὶ ἀεὶ τῷ ἐφεξῆς ὑπάρχειν. μὴ γὰρ οὔσης συνεχοῦς καὶ ἀϊδίου τῆς οὐρανίας κινήσεως, οὐκ ἂν ἡ τῶν ὑπὸ σελήνην κίνησις ἐφεξῆς οὖσα ἀνέκλειπτος καὶ ἀΐδιος ἦν. ὅτι δὲ ἐξ ὑποθέσεως ἐλήφθη, τὸ ἀνεκλείπτου δειχθείσης τῆς ἐφεξῆς κινήσεως εἶναι συνεχῆ κίνησιν, δηλοῖ προελθὼν αὐτὸς, ἐν οἷς φησιν, » ἅμα δὲ καὶ » τὸ νῦν καὶ πρότερον ὑποτεθὲν, ὅτι ἐνδέχεταί τινα κίνησιν εἶναι συνεχῆ καὶ ἀΐδιον φανερὸν ἔσται » τῇ αὐτῇ μεθόδῳ. καὶ δείκνυσιν ὅτι μόνη τῶν ἄλλων κινήσεων ἡ κυκλοφορία τοιαύτη ἐστίν. εἰ οὖν οὔσης ἐν τοῖς ὑπὸ σελήνην τῆς ἐφεξῆς ἀνεκλείπτου κινήσεως, ἀνάγκη τὴν φύσει προτέραν προϋπάρχειν, τὴν συνεχῆ καὶ μίαν καὶ ἀΐδιον καὶ τοῦ ἀεὶ τῷ ἐφεξῆς αἰτίαν, οὔσης δὲ μιᾶς καὶ συνεχοῦς καὶ ἀϊδίου κινήσεως ἀνάγκη καὶ τὸ κινοῦν αὐτὴν ἓν εἶναι καὶ ἀΐδιον, εἰκότως ἐκ τοῦ ἐν ἀρχῇ δεδειγμένου τοῦ ἀεὶ κίνησιν ἐφεξῆς εἶναι, δείκνυσθαί φησιν ὅτι καὶ συνεχῆ καὶ μίαν κίνησιν ἀνάγκη εἶναι ἀεί. καὶ τὸ κινοῦν αὐτὴν ἓν καὶ ἀΐδιον. εἴπερ μία κίνησις ἡ ὑφ' ἑνὸς τοῦ κινοῦντος καὶ ἑνὸς τοῦ κινουμένου.

Ε'ΚΤΕ ΔΗ' τούτων τις δύσειεν ἄν τις εἶναί τι πρῶτον ἀκίνητον καὶ πάλιν ἐπιβλέψας ἐπὶ τὰς ἀρχὰς τῶν κινούντων. τὸ μὲν δὴ εἶναι ἄττα τῶν ὄντων, ἃ ὁτὲ μὲν, κινεῖται, ὁτὲ δ' ἠρεμεῖ, φανερόν. καὶ διὰ τούτου γέγονε δῆλον ὅτι οὔτε πάντα κινεῖται, οὔτε πάντα ἠρεμεῖ. οὔτε τὰ μὲν ἀεὶ ἠρεμεῖ. τὰ δὲ, ἀεὶ κινεῖται. τὰ γὰρ ἐπαμφοτερίζοντα καὶ δύναμιν ἔχοντα τοῦ ὁτὲ μὲν, κινεῖσθαι, ὁτὲ δὲ ἠρεμεῖν, δείκνυσι περὶ αὐτῶν. ἐπεὶ δὲ τὰ μὲν τοιαῦτα δῆλα πᾶσι. βουλόμεθα δὲ δεῖξαι καὶ τοῖν λοιποῖν ἑκατέραν τὴν φύσιν, ὅτι ἐστὶ τὰ μὲν ἀεὶ ἀκίνητα. τὰ δ' ἀεὶ κινούμενα. προϊόντες δ' ἐπὶ τοῦτο καὶ θέντες ἅπαν τὸ κινούμενον ὑπό τινος κινεῖσθαι καὶ τοῦτο εἶναι ἢ ἀκίνητον ἢ κινούμενον, καὶ κινούμενον ἢ ὑφ' αὑτοῦ ἢ ὑπ' ἄλλου ἀεὶ, προήλθομεν ἐπὶ τὸ λαβεῖν ὅτι τῶν κινουμένων ἐστὶν ἀρχή. κινουμένων μὲν ὃ αὐτὸ ἑαυτὸ κινεῖ. πάντων δὲ τὸ ἀκίνητον. ὁρῶμεν δὲ καὶ φανερῶς ὄντα τοιαῦτα ἃ κινεῖ αὐτὰ ἑαυτά. οἷον, τὸ τῶν ἐμψύχων καὶ τὸ τῶν ζώων γένος. ταῦτα δὴ καὶ

δόξαν

δόξαν παρέχει. μή ποτ' ἐνδέχεται κίνησιν ἐγγίνεσθαι μὴ οὔσης ὅλως. διὰ τὸ ἐν τούτοις ὁρᾶν ἡμᾶς
ἔτι συμβαῖνον. ἀκίνητα γάρ ποτε ὄντα, κινεῖται πάλιν ὡς δοκεῖ. ἔτι δὴ δεῖ λαβεῖν, ὅτι μίαν
κίνησιν αὐτὰ κινεῖ. καὶ ὅτι ταύτην οὐ κυρίως. οὐ γὰρ ἐξ αὐτοῦ τὸ αἴτιον. ἀλλ' ἔνεισιν ἄλλαι κινήσεις
φυσικαὶ τοῖς ζώοις. ἃς οὐ κινοῦνται δι' αὑτῶν. οἷον, αὔξησις. φθίσις. ἀναπνοή. ἃς κινεῖται τῶν ζώων
ἕκαστον ἠρεμοῦν καὶ οὐ κινούμενον τὴν ὑφ' ἑαυτοῦ κίνησιν. τούτου δ' αἴτιον τὸ περιέχον καὶ πολλὰ
τῶν εἰσιόντων. οἷον ἐνίων τροφή. πεττομένης γὰρ καθεύδουσι. διακρινομένης δὲ, ἐγείρονται καὶ κινοῦ-
σιν ἑαυτοὺς τῆς πρώτης ἀρχῆς ἔξωθεν οὔσης. διὸ οὐκ ἀεὶ κινοῦνται συνεχῶς ὑφ' αὑτῶν. ἄλλο γὰρ
τὸ κινοῦν αὐτὸ κινούμενον καὶ μεταβάλλον πρὸς ἕκαστον τῶν κινούντων ἑαυτό. ἐν πᾶσι δὲ τούτοις, κι-
νεῖται τὸ κινοῦν πρῶτον καὶ τὸ αἴτιον τοῦ αὐτὸ ἑαυτὸ κινεῖν ὑφ' αὑτοῦ. κατὰ συμβεβηκὸς μέντοι. μετα-
βάλλει γὰρ τὸν τόπον τὸ σῶμα. ὥστε καὶ τὸ ἐν τῷ σώματι ὂν, καὶ τὸ ἐν τῇ μοχλείᾳ κινοῦν ἑαυτό.

Γ Πολλαχῶς δείξας, ὅτι ἐστί τι πρώτως κινοῦν ἀκίνητον, πιστεύσειεν ἄν τις φησὶ ἔτι καὶ ἐπὶ τὰς
ἀρχὰς τῶν κινούντων ἐπιβλέψας. τουτέστι τὰς ἐν τοῖς ζώοις ψυχὰς, καὶ αὐτὰς ἀρχὰς καὶ ἀκινή-
τους ἀρχὰς δοκούσας τῶν κινήσεων. εἰ γὰρ αὗται μήτε πάσης τοῦ ζώου κινήσεως ἀρχαὶ οὖσαι φαί-
νονται, οὔτε γὰρ αὐξήσεως οὔτε φθίσεως οὔτε ἀναπνοῆς, ἀλλ' εἴπερ ἄρα. τῆς κατὰ τόπον μόνης
κινήσεως τῆς καθ' ὁρμὴν αἴτιαι εἰσὶν αἱ τῶν ζώων ψυχαὶ, καὶ οὐδὲ ταύτης κυρίως ἀρχαὶ, ἔξωθεν
γὰρ καὶ ταύτης αἱ ἀρχαὶ δειχθήσονται, μήτε ἀκίνητοι κατὰ πάντα τρόπον εἰσὶν, ἀλλὰ κατὰ συμ-
βεβηκὸς κινοῦνται τοῖς ὑφ' ἑαυτῶν κινουμένοις σώμασι συγκινούμεναι, δηλονότι οὐκ εἰσὶν αὗται κυ-
ρίως ἀρχαὶ τῆς κινήσεως. ἀλλ' ἔστιν ἄλλη τις πρὸ τούτων. ὁ μὲν οὖν εἱρμὸς τῆς προκειμένης ἐπιχει-
ρήσεως τοιοῦτός ἐστιν. εἰπὼν δὲ ὅτι καὶ ἐκ τῶν προειρημένων πιστεύσειεν ἄν τις εἶναί τι πρῶτον ἀκίνη-
τον, καὶ πάλιν ἐπιβλέψας ἐπὶ τὰς ἀρχὰς τῶν κινούντων, ἐξέτρεψε τὸν λόγον ἐπὶ τὴν ἔφοδον,
καθ' ἣν εὑρέθησαν τὰ τῶν κινήσεων αἴτια. ἀρχὴ δὲ πανταχοῦ τὸ φανερὸν τοῦ ἀφανοῦς γίνεται.
ἐπειδὴ οὖν προφανές ἐστιν. ὅτι τινὰ τῶν ὄντων ὁτὲ μὲν κινεῖται ὁτὲ δὲ ἠρεμεῖ, ὥσπερ τὰ ζῶα φαί-
νεται καὶ τὰ φυσικὰ σώματα, κινούμενα μὲν φυσικῶς ἐπὶ τοὺς οἰκείους τόπους, ἐν τούτοις δὲ κατὰ
φύσιν ἠρεμοῦντα, τὸ δὲ αὐτὸ καὶ ἐκ τῶν παρὰ φύσιν κινουμένων δείκνυται, ἡ γὰρ παρὰ φύσιν κί-
νησις ἔκστασίς ἐστιν ἀπὸ τῆς κατὰ φύσιν ἠρεμίας βιαίως γινομένη, καὶ διὰ τούτου φησὶ γέγονε δῆλον.
ὅτι οὔτε πάντα τὰ ὄντα ἀεὶ κινεῖται, ὡς Ἡράκλειτος ἐδόκει λέγειν. οὔτε πάντα ἀεὶ ἠρεμεῖν. οὔτε τὰ
μὲν ἀεὶ ἠρεμεῖ, τὰ δὲ ἀεὶ κινεῖται. τὰ γὰρ ποτὲ μὲν κινούμενα ποτὲ δὲ ἠρεμοῦντα, ἐλέγχει ταῦτα τὰ
τῆς διαιρέσεως τμήματα. ὄντων δὲ τούτων τῶν ποτὲ μὲν κινουμένων ποτὲ δὲ ἠρεμούντων, καὶ προ-
φανῶν ὄντων, ζητεῖ πάντως ὁ λόγος, εἰ τῶν μέσων τούτων καὶ ἐπαμφοτεριζόντων, ἐν τοῖς οὖσιν
ὄντων, ἔστι καὶ τὰ ἄκρα τὰ μὲν ἀεὶ ἀκίνητα, τὰ δὲ ἀεὶ κινούμενα. καὶ προϊόντες ἐπὶ τὴν τούτου δεῖξιν,
ἔθεμεν ἅπαν τὸ κινούμενον ὑπό τινος κινεῖσθαι. ὥσπερ καὶ ἐν τῷ πρὸ τούτου δέδεικται βυβλίῳ. τὸ δὲ κι-
νοῦν ἢ ἀκίνητον ἀνάγκη εἶναι, ἢ κινούμενον. καὶ εἰ κινούμενον, ἢ ὑφ' ἑαυτοῦ ἢ ἀεὶ ὑπ' ἄλλου. ὥστε ἀεὶ τὸ
κινοῦν ὑπό τινος ἔξωθεν κινεῖσθαι. τούτου οὖν ὄντος ἀτόπου, ἵνα μὴ ἐπ' ἄπειρον ἴωμεν, ἀρχαὶ τῶν κινου-
μένων ἐφάνησαν δύο. προσεχὴς μὲν τὸ ἑαυτὸ κινοῦν. πάντων δὲ τὸ ἀκίνητον. καὶ πᾶν τὸ αὐτοκίνητον
τὸ κινοῦν ἀκίνητον ἔχον ἐφάνη. οὐ μόνον δὲ κατὰ τὸν λόγον εὑρέθη τὸ αὐτοκίνητον ὡς ἐξ ἀνάγκης
προϋπάρχον τῶν κινούντων καὶ κινουμένων, ἵνα μὴ ἐπ' ἄπειρον ἴωμεν. ἀλλὰ καὶ ἐκ τῆς αἰσθήσεως δῆλον
ὅτι ἔστι τινὰ τῶν ὄντων κινούμενα καὶ ἱστάμενα, ἃ οὐκ ἔξωθεν τὸ κινοῦν καὶ ἱστὰν ἔχει. ἀλλ' ἐν αὐτοῖς. ὥσπερ
τὰ ζῶα καὶ ὅλως ὅσα ψυχὴν ἔχει. καὶ γὰρ καὶ τὰ φυτὰ ἔνδοθεν τρέφεταί τε καὶ αὔξεται καὶ φθίνει.
τὰ γὰρ φυσικὰ κἂν ἔχῃ ἐν ἑαυτοῖς ἀρχὴν κινήσεως, οὐχ ὡς πρὸς τὸ κινεῖν ἔχει τὴν ἀρχὴν ὡς εἴρηται
πρότερον. ἀλλὰ πρὸς τὸ πεφυκέναι κινεῖσθαι. εἴρηται γοῦν ὅτι τὰ φυσικὰ κινήσεως ἀρχὴν ἔχει οὐ τοῦ
κινεῖν οὐδὲ τοῦ ποιεῖν. ἀλλὰ τοῦ πάσχειν. τοῦ δὲ τὰ ζῶα καὶ ὅλως τὰ ἔμψυχα αὐτοκίνητα νομίζεσθαι,
τεκμήριον παράγει. τὸ ἐκ τούτων ἀπορεῖν μή ποτε γενητή ἐστιν ἡ κίνησις. ὡς φανερῶς ἐν τούτοις γινο-
μένης κινήσεως τῆς μὴ πρότερον οὔσης. ἐδόκει γὰρ ἀκίνητά ποτε ὄντα μεταβάλλειν ἐξ ἑαυτῶν εἰς τὸ κι-
νεῖσθαι. πρὸς ἣν ἀπορίαν ἐνισταμένην τῷ ἀγένητον εἶναι τὴν κίνησιν, ὑπήντησεν κατ' ἀρχὰς τοῦ βυβλίου,
δεικνὺς ὅτι μὴ ἔστιν ἀκίνητα τὰ ζῶα, ἐπειδὰν μὴ κινῆται τὴν ἐξ ἑαυτῶν κίνησιν. αὕτη δέ ἐστιν ἡ καθ'
ὁρμὴν γινομένη μεταβατικῶς. ὑπερθέμενος δὲ τότε τὸν περὶ τούτου λόγον, ὡς ὕστερον περὶ αὐτοῦ
σαφέστερον ἐρῶν, νῦν λέγει κατ' ἄλλην ἐπιβολὴν δεικνὺς, ὅτι ἣν κινεῖ κίνησιν ἑαυτὰ τὰ ζῶα,
οὐχὶ πρότερον ἠρεμοῦντα τέλεον ἄρχεται ἑαυτὰ κινεῖν. ἀλλ' ἐνούσης τινὸς ἐν αὐτοῖς κινήσεως, τῆς
ἀπὸ τῶν ἔξωθέν τινος ἐγγινομένης, ὑπ' ἐκείνης καὶ ἐξ ἐκείνης ἡ εἰς τὴν ἑαυτῶν κίνησιν αὐτοῖς μεταβο-
λὴ γίνεται. μία γάρ ἐστι κίνησις ὡς καὶ πρόσθεν εἶπεν, ἣν ἑαυτὰ κινεῖ τὰ ζῶα ἡ κατὰ τόπον μεταβατι-
κή. καὶ οὐδὲ ταύτην κυρίως καὶ πάντη ἐξ ἑαυτῶν κινεῖται. οὐ γὰρ ἐν αὐτοῖς ἡ πρώτη τῆς τοιαύτης κινή-
σεως ἀρχή. ἀλλὰ κινεῖται μέν τινας κινήσεις ἄλλας φυσικῶς, καὶ οὐκ ἐξ ἑαυτῶν. ὡς τὴν κατὰ αὔξησιν καὶ
μείωσιν καὶ τὴν κατὰ ἀναπνοὴν καὶ ὕπνον καὶ ἐγρήγορσιν. ὧν κινήσεων οὐκ αὐτὸ αὐτῷ αἴτιον τελέως τὸ

ζῴοις, ἀλλὰ τὸ κυκλοφορητικὸν σῶμα. καὶ τῆς μὲν ἀναπνοῆς τὸ περιέχον ἀήρ. αὐξήσεως δὲ καὶ
ὕπνου καὶ ἐγρηγόρσεως ἡ τροφὴ αἰτία. πεττομένης μὲν γὰρ αὐτῆς καθεύδει τὰ ζῷα. διὰ τὸ κατα-
λαμβάνεσθαι τὰ αἰσθητήρια ὑπὸ τῶν ἐκ τῆς τροφῆς ἀναθυμιάσεων, καρουσῶν τῷ βάρει τῆς
ὑγρότητος, καὶ μὴ συγχωρουσῶν ἐνεργεῖν κατ' αὐτὰ τὸ ζῷον. πάλιν δὲ αὖ μετὰ τὴν πέψιν. λεπτυνο-
μένων καὶ κινουμένων τῶν περιττωμάτων, ἀφυπνίζεται τὸ ζῷον. καὶ τό τε κινεῖ ἑαυτὸ τῆς πρώ-
της ἀρχῆς ἔξωθεν οὔσης. τοῦ γὰρ διυπνισθῆναι αἰτία ἡ τῆς τροφῆς πέψις, καὶ τῶν ἀναθυμιάσεων κί-
νησις. ἥ τις οὐκ ἔστιν ἐξ ἑαυτοῦ τοῦ ζῴου ἁπλῶς. ἀλλ' ἐκ τῆς τροφῆς. καὶ τῆς φυσικῆς ἀλλ' οὐ τῆς καθ'
ὁρμὴν ἐνεργείας. τὸ δὲ δεῖσθαι μὲν τὰ ζῷα τροφῆς τε καὶ ὕπνου, μὴ δύνασθαι δὲ καθεύδοντα ἅμα
καὶ τὴν ἐξ αὑτῶν κίνησιν κινεῖσθαι, αἴτιόν ἐστιν τοῖς ζῴοις τοῦ μὴ κινεῖν ἑαυτὰ συνεχῶς. εἰπὼν δὲ
τῆς πρώτης ἀρχῆς ἔξωθεν οὔσης, ἐπήγαγεν. ἄλλο γὰρ τὸ κινοῦν αὐτὸ κινούμενον καὶ μεταβάλλον
πρὸς ἕκαστον τῶν κινούντων ἑαυτά. ἄλλο δὲ λέγει τὸ κυκλοφορητικὸν σῶμα. τοῦτο γάρ ἐστι τὸ τὰ ἔξω-
θεν προσπίπτοντα κινοῦν, καὶ μεταβάλλον τῇ ἑαυτοῦ συνεχεῖ κινήσει πρὸς ἕκαστον. τουτέστιν οἰκείως
ἑκάστῳ τῶν ὑπὸ σελήνην αὐτοκινήτων. κινεῖ δὲ τὰ προσπίπτοντα ἔξωθεν τὰς φυσικὰς κινή-
σεις, οἷον τὰς κατ' ἀλλοίωσιν. ὑπ' ἐκείνου γὰρ θερμαινόμενα ἢ ψυχόμενα τὰ προσπίπτοντα, ἢ
ἄλλην τινὰ μεταβολὴν οἰκείαν τοῖς αὐτοκινήτοις μεταβάλλοντα, κινεῖ αὐτά. καὶ διὰ τοῦτο οὐ
συνεχῶς ἑαυτὰ κινεῖ τὰ ζῷα. διότι ἀκολουθεῖ ταῖς ἔξωθεν προσπιπτούσαις κινητικαῖς ἀρ-
χαῖς. καὶ δεῖται καὶ ἀναπαύσεως καὶ ὕπνου. διὰ δὲ τοῦ μήτε ἀκίνητά ποτε ὄντα τὰ ζῷα ἐν-
δέχεσθαι κινεῖν ἑαυτά, καὶ ταύτης δὲ τῆς κινήσεως ἣν ἐξ ἑαυτῶν δοκεῖ κινεῖσθαι ἔξωθεν εἶναι
τὸ πρῶτον αἴτιον. κινούμενον καὶ μεταβαλλόμενον πρὸς ἕκαστον αὐτῶν ὑπό τινος ἀεικινήτου, ἀ-
νῄρηται τὸ ἐν τοῖς ζῴοις γένεσιν κινήσεως γίνεσθαι, μὴ πρότερον ὅλως οὔσης. δείξας δὲ διὰ τῶν
εἰρημένων, ὅτι οὐκ ἔστι κυρίως ἀρχὴ κινήσεως τὸ ἐν τοῖς αὐτοκινήτοις κινοῦν, διότι καὶ τοῦτο ἔξω-
θεν ἔχει τὴν ἀρχὴν τῆς κινήσεως, ἐφεξῆς δείκνυσιν ὅτι οὐδὲ ἀκίνητον κυρίως ἐστὶ τὸ ἐν τοῖς αὐτοκι-
νήτοις κινοῦν. ἐν πᾶσι γὰρ τούτοις τὸ κινοῦν πρῶτον, τουτέστιν ἡ ψυχή, αἴτιον ὂν τοῦ αὐτὸ ἑαυτὸ κι-
νεῖν. διὰ γὰρ τὴν ψυχὴν αὐτοκίνητόν ἐστι τὸ ζῷον. τοῦτο οὖν τὸ πρώτως κινοῦν κινεῖται ὑφ' ἑαυτοῦ
διὰ μέσου τοῦ σώματος. κατὰ συμβεβηκὸς μέντοι κινεῖ ἑαυτὸ τὴν τοιαύτην κίνησιν. κινοῦν γὰρ τὸ
σῶμα μεταβάλλειν τὸν τόπον ὑπὸ τῆς ἑαυτοῦ μοχλείας ποιεῖ. καὶ συμμεταβάλλει τὸν τόπον αὐ-
τὸ ἐν τῷ σώματι ὄν. ὥστε τῇ μοχλείᾳ ἑαυτὸ κινεῖν κατὰ συμβεβηκὸς μέντοι. τῷ γὰρ τὸ σῶμα κινεῖν
ἐν ᾧ ἐστι. μοχλείᾳ δὲ ἀπείκασε τὴν ὑπὸ τῆς ψυχῆς τοῦ σώματος γινομένην ἐν τοῖς ζῴοις κίνησιν. ἢ
ὡς καὶ τῆς ψυχῆς ἔξωθεν ἐχούσης τὴν αἰτίαν τοῦ κινεῖν τὸ σῶμα. ὡς καὶ οἱ μοχλοὶ ὄργανα ὄντες τῶν
πρώτως κινούντων. ἢ τῷ τοὺς μοχλοὺς προσκειμένους ἀεὶ κινεῖν τὰ ἀπωθούμενα καὶ οὐ χωριζομένους.
οὕτω δὲ καὶ τὴν ψυχὴν συνοῦσαν ἀεὶ τῷ σώματι κινεῖν αὐτό. ἢ μᾶλλον διὰ τὸ βίαιον καὶ μὴ κατὰ φύ-
σιν εἶναι τῷ σώματι τὴν τοιαύτην κίνησιν. ἄλλη γὰρ ἡ κατὰ φύσιν ἑκάστου τῶν ἐν τῷ σώματι στοι-
χείων κίνησις, τῆς μὲν γῆς κάτω, τοῦ δὲ πυρὸς ἄνω. δι' ὃ καὶ κάμνει κινούμενα τὴν ὑπὸ τῆς ψυχῆς κί-
νησιν, καὶ οὐ δύναται διαρκεῖν ἐπὶ πολύ. καίτοι τὰς κατὰ φύσιν κινήσεις ἐπὶ τοὺς αὐτῶν τόπους
κινούμενα οὐ κάμνει. σημεῖον δὲ τὸ πλησίον τοῦ οἰκείου τόπου γινόμενον ἕκαστον αὐτῶν θᾶττον κινεῖ-
σθαι. τῇ δὲ μοχλείᾳ κινεῖν εἶπεν ἑαυτὸ οὐ προηγουμένως ἀλλὰ κατὰ συμβεβηκός. προηγουμένως γὰρ
τὸ σῶμα κινεῖ τῇ μοχλείᾳ.

ἘΞ ὯΝ ἜΣΤΙ πιστεῦσαι, ὅτι εἴ τί ἐστι τῶν ἀκινήτων μέν, κινούντων δέ, καὶ αὐτῶν κινουμένων κατὰ
συμβεβηκός, ἀδύνατον συνεχῆ κίνησιν κινεῖν. ὥστ' εἴπερ ἀνάγκη συνεχῶς εἶναι κίνησιν. εἶναί τι δεῖ
τὸ πρῶτον κινοῦν ἀκίνητον καὶ μὴ κατὰ συμβεβηκός. εἰ μέλλει καθάπερ εἴπομεν ἔσεσθαι ἐν τοῖς οὖσιν
ἄπαυστός τις καὶ ἀθάνατος κίνησις. καὶ μένειν τὸ ὂν αὐτὸ ἐν αὐτῷ, καὶ ἐν τῷ αὐτῷ. τῆς γὰρ ἀρχῆς
μενούσης. ἀνάγκη καὶ τὸ πᾶν μένειν συνεχὲς ὂν πρὸς τὴν ἀρχήν.

Εἰπὼν ὅτι τὸ ἐν τοῖς αὐτοκινήτοις κινητικὸν ἀκίνητον ὂν καθ' αὑτό, κατὰ συμβεβηκὸς καὶ αὐτὸ κι-
νεῖται τῷ σώματι συγκινούμενον, τροφῆς δεομένῳ καὶ ὕπνου καὶ ἐγρηγόρσεως, καὶ διὰ τοῦτο συνε-
χῆ κίνησιν μὴ κινουμένῳ, συνήγαγεν ὅτι εἴ τι ἐστι τῶν ἀκινήτων μὲν κινούντων δὲ καὶ ἑαυτὰ κατὰ συμ-
βεβηκός, ὅτι οὔτε κατὰ συμβεβηκὸς δύναται τὴν συνεχῆ κίνησιν κινεῖν, ἐπὶ τῶν θνητῶν ζῴων ποιού-
μενος τὸν λόγον, τῶν τροφῆς καὶ ὕπνου δεομένων, καὶ διὰ τοῦτο μὴ δυναμένων συνεχῆ κίνησιν κινεῖ-
σθαι τὴν οἰκείαν τοῖς ζῴοις. τὴν καθ' ὁρμὴν μεταβατικὴν κατὰ τόπον οὐδέν. εἰ γὰρ τὰ κινούμενα
σώματα μὴ πέφυκε συνεχῶς κινεῖσθαι, οὐδὲ τὸ κινοῦν συνεχῶς κινεῖ, οὔτε αὐτὰ τὰ σώματα, οὔτε
ἑαυτὸ κατὰ συμβεβηκός, τῷ ἐν κινουμένῳ τῷ σώματι εἶναι. τούτῳ οὖν δειχθέντι, τῷ τὰ ἐν τοῖς
αὐτοκινήτοις ἀκίνητα μέν, κινητικὰ δέ, μὴ κινεῖν συνεχῆ κίνησιν, συνάπτει ἄλλην ἐπιχείρησιν δεικνύ-
ουσαν, ὅτι παρὰ τῶν ἐν τοῖς αὐτοκινήτοις κινητικῶν ἄλλο τι εἶναι χρὴ κυριώτερον τῆς κινήσεως αἴτιον.
εἰ γὰρ ἀνάγκη μὲν εἶναι συνεχῆ κίνησιν, τὰ δὲ ἐν τοῖς αὐτοκινήτοις κινητικὰ ἀδύνατον συνεχῆ κί-

κησιν κινεῖν, ἀκίνητα μὲν ὄντα καθ' αὑτά, κινούμενα δὲ κατὰ συμβεβηκός, δεῖ εἶναι τὸ πρῶτον κι-
νοῦν μηδὲ κατὰ συμβεβηκὸς κινούμενον. τοῦτο γὰρ δηλοῖ τὸ ἀκίνητον κατὰ συμβεβηκός. δεῖ οὖν εἶναί
φησι τὸ τοιοῦτον αἴτιον. εἴπερ μέλλοι ἔσεσθαι καθάπερ δέδεικται, ἄπαυστός τις ἐν τοῖς οὖσι καὶ ἀ-
θάνατος κίνησις. συνεχὴς γὰρ ἡ τοιαύτη. ἡ γὰρ μὴ συνεχὴς διακέκοπται. τὸ δὲ κατὰ συμβεβηκὸς κι-
νούμενον ὡς μεταβαῖνον τόπον ἐκ τόπου, περὶ τούτων γὰρ ὁ λόγος. οὐ κινεῖ συνεχῆ κίνησιν. ὅτι μη-
δὲ τὸ κινούμενον ὑπ' αὐτοῦ συνεχῶς πέφυκε κινεῖσθαι. καὶ εἴπερ μένοι φησὶ τὸ ὂν αὐτὸ ἐν αὐτῷ καὶ
ἐν τῷ αὐτῷ, οὐ γάρ ἐστι παρὰ τὸ ὄν, ὃν δὲ λέγει τὸν κόσμον. ὥστε ἐν αὐτῷ ἐστι καὶ ἐν τῷ αὐτῷ οὐ με-
ταβαίνων τόπον ἐκ τόπου, οὐδὲ ἄλλος ἐξ ἄλλου γινόμενος. καὶ τῷ εἴδει γὰρ τῆς οὐσίας ἐν τῷ αὐ-
τῷ μένει. καὶ τῇ ποιότητι τῆς κινήσεως. τὸ γοῦν κύκλῳ κινούμενον, ἐν ταὐτῷ μένον κινεῖται. καὶ
οὕτως ἂν μόνως φησὶν ὁ Ἀλέξανδρος δύναιτο μηδὲ κατὰ συμβεβηκὸς κινεῖσθαι τὸ κινοῦν. εἰ τὸ κινού-
μενον ὑπ' αὐτοῦ ἐν ταὐτῷ μένον κινοῖτο. εἰ γὰρ τὸ μὲν ὅλον ἐστὶν ἐν ᾧ τὸ τοιοῦτο κινητικόν, τοῦτο δὲ ἐν τῷ
αὐτῷ μένει. κατὰ μόρια γὰρ τῷ κύκλῳ κινουμένῳ ἡ κίνησις, οὐδ' ἂν τὸ ἐν αὐτῷ ὂν κινοῖτο κατὰ συμ-
βεβηκὸς ἔτι ὑφ' ἑαυτοῦ. ἣν γὰρ κινεῖ κίνησιν τὸ σῶμα, οὐ κατὰ μεταβολὴν τοῦ ὅλου γίνεται ἐν ᾧ ἐστιν.
ὡς ἐγίνετο ἐπὶ τῶν θνητῶν ζώων. ἃ τῇ μοχλείᾳ ἐκινεῖτο ὑπὸ τῆς ψυχῆς ἀλλάσσοντα ὅλα τοὺς τό-
πους. οὐ γοῦν δὴ κατὰ μόριόν τι τοῦ κύκλῳ κινουμένου τὸ κινητικὸν ἐροῦμεν εἶναι. τί γὰρ μᾶλλον τοῦτο
ἢ τοῦτο, πάντων ὁμοίως ὑπ' αὐτοῦ κινουμένων. εἰ δέ τις ἀπαιτοίη φησίν, πῶς οὖν ἐν τῷ ὅλῳ ἔσται,
ἐροῦμεν ὅτι ὅπως ἂν καὶ ὁ ἐν μέρει τινὶ λέγων αὐτὸ εἶναι τοῦ κινουμένου ἀποδώσει. οὐ γοῦν δὴ σῶ-
μά ἐστιν. ὡς τόπον τινὰ κατέχειν ἀφωρισμένον. ἀσώματον δὲ φύσιν τινὰ καὶ οὐσίαν οὐδὲν θαυμαστὸν ἐν
ὅλῳ τινὶ ἅμα εἶναι. τῆς δὲ ἀϊδιότητος τοῦ κινουμένου αἴτιον τὸ πρῶτον κινοῦν, τοῦτο γὰρ δηλοῖ, τό.
» τῆς γὰρ ἀρχῆς μενούσης. ἀνάγκη καὶ τὸ πᾶν μένειν συνεχὲς ὂν πρὸς τὴν ἀρχήν. μένοι δὲ ἂν ἡ ἀρχή,
» εἰ μήτε κατὰ συμβεβηκὸς κινοῖτο, μήτε καθ' αὑτό. καὶ ὅτι πᾶσα κυρίως ἀρχὴ ἀΐδιος. ἀρχῆς γὰρ
» ἀπολομένης, οὔτε αὐτή ποτε ἔκ του, οὔτε ἄλλο ἐξ ἐκείνης γενήσεται. ὡς Πλάτων φησί. καὶ τὸ πᾶν δὲ
συνεχὲς ὂν πρὸς τὴν ἀρχήν, τουτέστι προσεχῶς καὶ ἀμέσως ὑπὸ τῆς ἀϊδίου ἀρχῆς κινούμενον.
ἀνάγκη καὶ αὐτὸ μένειν ἀΐδιον. τῆς γὰρ ἀρχῆς ἀεὶ ὡσαύτως κινούσης, ἀδύνατον μὴ καὶ τὸ προσεχῶς
κινούμενον ἀΐδιον εἶναι. εἰ γὰρ τοῦτο φθείροιτο, οὔτε ἀρχὴ ἂν ἔτι ἐκεῖνο εἴη, οὔτε ἀεὶ κινοῦν. ἡ γὰρ ἀρχὴ
ἀεὶ σὺν τῷ οὗ ἐστιν ἀρχή. καὶ τὸ κινοῦν σὺν τῷ κινουμένῳ. οὐκ ἰδίως δὲ νῦν περὶ τοῦ πρώτου οὐρανοῦ
λέγει, τοῦ προσεχῶς ὑπ' αὐτοῦ κινουμένου ὅτι ἀΐδιος. τοῦτο γὰρ ἐν τοῖς ἑξῆς δείξει. ἀλλὰ κοινῶς ὅτι
τὸ πᾶν καὶ ὁ κόσμος εἴη ἂν οὕτως ἀΐδιος, πάντων τῶν ἐν αὐτῷ κινουμένων ἐξ ἐκείνου τὴν ἀρχὴν ἐχόν-
των τῆς κινήσεως.'

ΟΥΚ ΕΣΤΙ δὲ ταὐτὸ τὸ κινεῖσθαι κατὰ συμβεβηκὸς ὑφ' αὑτοῦ καὶ ὑφ' ἑτέρου. τὸ μὲν γὰρ ὑφ' ἑτέ-
ρου, ὑπάρχει καὶ τῶν ἐν τῷ οὐρανῷ ἐνίαις ἀρχαῖς ὅσα πλείους φέρεται φοράς. θάτερον δὲ τοῖς
φθαρτοῖς μόνον.

Εἰπόντος αὐτοῦ ὅτι ἐπὶ τῶν ἀκινήτων μέν, κινούντων δὲ καὶ ἑαυτὰ κατὰ συμβεβηκός, ἀδύνατον συ-
νεχῆ κίνησιν κινεῖν, πάντως ἦν ἀπορεῖν πῶς οἱ οὐρανοὶ ζῷα καὶ αὐτοὶ ὄντες αὐτοκίνητα, καὶ ἔχοντες
τὸ κινοῦν ἀκίνητον μὲν καθ' αὑτό, καὶ οὐδὲ κατὰ συμβεβηκὸς ἑαυτὸ κινοῦν, ἀλλ' ὑφ' ἑτέρου κατὰ συμ
βεβηκὸς κινούμενον, ὑπὸ γὰρ τῆς ἀπλανοῦς οἱ πλανώμενοι τὴν ἐκείνου κίνησιν κινοῦνται, συνεχῆ ὅ-
μως κινοῦνται κίνησιν. ταύτην οὖν τὴν ἀπορίαν λύει λέγων, μὴ εἶναι τὸ αὐτὸ τὸ κινεῖσθαι κατὰ
συμβεβηκὸς ὑφ' ἑαυτοῦ, καὶ τὸ κινεῖσθαι ὑφ' ἑτέρου. τὸ μὲν γὰρ ὑφ' ἑτέρου φησὶν ὑπάρχει καὶ ταῖς
πλανωμέναις σφαίραις, ἄλλην μὲν τὴν οἰκείαν κινουμέναις περὶ τοὺς ἑαυτῶν πόλους, ἄλλην δὲ τὴν
τῆς ἀπλανοῦς, περὶ τοὺς ἐκείνης πόλους κινουμένων τῶν οἰκείων αὐτῶν πόλων. καὶ δυνατὸν συνεχῆ
κίνησιν κινεῖσθαι τὴν ὑπὸ τῆς ἀπλανοῦς συνεχῶς κινουμένης καὶ κινούσης. ὑφ' ἑαυτῶν γὰρ οὐ κι-
νοῦνται κατὰ συμβεβηκός. διότι τὸ κινοῦν ἐν ὅλῳ ἐστί. τὸ δὲ ὅλον οὐ κινεῖται. κατὰ μόρια γὰρ κινεῖ-
ται τὰ κύκλῳ κινούμενα. καὶ οὐ καθ' ὅλα. τὸ δὲ κατὰ συμβεβηκὸς ὑφ' ἑαυτῶν κινεῖσθαι, τοῖς φθαρ
τοῖς ὑπάρχει μόνοις. τὸ γοῦν μόνον ἀντὶ τοῦ μόνοις εἴρηται. καὶ ὁ μὲν Ἀλέξανδρος τὰς ἐν ταῖς πλανω-
μέναις σφαίραις ψυχὰς κατὰ συμβεβηκὸς κινεῖσθαί φησιν. οὐχ ὑφ' ἑαυτῶν μέντοι, ἀλλ' ὑπὸ τῆς
τὰ σώματα αὐτῶν κινήσεως. διότι ἐν τούτοις εἰσί. κινουμένοις οὐκ ἐπὶ τὰ αὐτά, ἐφ' ἃ κινεῖται ὑπὸ
τῶν ἐν αὐτοῖς ἀκινήτων. τὸ δὲ πρῶτόν φησιν αἴτιον τὸ τῆς ἀπλανοῦς κινητικόν, οὔτε ὑφ' ἑαυτοῦ οὔτε
ὑπ' ἄλλου κινοῖτο ἂν κατὰ συμβεβηκός, τῷ μίαν κίνησιν κινεῖσθαι τὴν ἀπλανῆ, καὶ ταύτην ἐν τῷ
αὐτῷ μενόντων τῶν πόλων. ἢ τῷ μηδὲ τὴν ἀρχὴν εἶδος εἶναι τοῦ κινουμένου σώματος, ἀλλ' οὐσίαν τινὰ
κεχωρισμένην. ταῦτα μὲν οὖν ὁ Ἀλέξανδρος λέγει, τὰς ἄλλας πάσας ψυχὰς εἴδη νομίζων ἀχώρι-
στα τῶν σωμάτων. ἀλλὰ τοῦτο μὲν ἐν ἄλλοις ἐξετάζειν ἐστὶν οἰκειότερον. ἐπιστῆσαι δὲ ἄξιον, μή ποτε
ἄλλο μὲν τὸ κατὰ συμβεβηκὸς κινεῖσθαι νομίζει ὁ Ἀριστοτέλης. ἐπὶ τῶν θνητῶν ζώων αὐτὸ θεωρῶν.
ἄλλο δὲ τὸ ὑφ' ἑτέρου καὶ ταῖς πλανᾶσθαι λεγομέναις σφαίραις ὑπάρχον. τὸ μὲν γὰρ κατὰ συμβε-

βηκὸς ἀΐδιον εἶναι οὐ δυνατόν. διότι παρυπόστασις τοῦ καθ' αὑτό ἐστι. καὶ ἐκ ῥοπῆς τοῦ προηγουμένου. οὐδεμία δὲ τοιαύτη φύσις ἀΐδιος. τὸ δὲ ὑφ' ἑτέρου καὶ προηγούμενον ἔχειν λόγον δυνατόν, καὶ διὰ τοῦτο ὁ ἀριστοτέλης οὕτως εἶπεν. ὅτι οὐκ ἔστιν ταυτὸν τὸ κινεῖσθαι κατὰ συμβεβηκὸς ὑφ' ἑαυτοῦ. καὶ τὸ ὑφ' ἑτέρου κινεῖσθαι. οὐκ ἀξιῶν οἶμαι προσυπακούειν τῷ ὑφ' ἑτέρου τὸ κατὰ συμβεβηκός.

ΑΛΛΑ ΜΗΝ ἐπεὶ ἐστί τι ἀεὶ τοιοῦτο τὸ κινοῦν μέν τοι, ἀκίνητον δὲ καὶ αὐτὸ ἀΐδιον, ἀνάγκη καὶ τὸ πρῶτον ὑπὸ τούτου κινούμενον ἀΐδιον εἶναι. ἔστι δὲ τοῦτο δῆλον μὲν καὶ ἐκ τοῦ μὴ ἂν ἄλλως εἶναι γένεσιν καὶ φθορὰν καὶ μεταβολὴν τοῖς ἄλλοις, εἰ μή τι κινήσει κινούμενον. τὸ μὲν γὰρ ἀκίνητον, τὴν αὐτὴν ἀεὶ κινήσει τὸν αὐτὸν τρόπον. καὶ μίαν κίνησιν, ἅτε οὐδὲν αὐτὸ μεταβάλλον πρὸς τὸ κινούμενον. τὸ δὲ κινούμενον, ὑπὸ τοῦ κινουμένου μὲν, ὑπὸ τοῦ ἀκινήτου δὲ κινουμένου, ἤδη διὰ τὸ ἄλλως καὶ ἄλλως ἔχειν πρὸς τὰ πράγματα, οὐ τῆς αὐτῆς ἔσται κινήσεως αἴτιον. ἀλλὰ διὰ τὸ ἐν ἐναντίοις εἶναι τόποις ἢ εἴδεσιν ἐναντίως παρέξεται κινούμενον ἕκαστον τῶν ἄλλων. καὶ ὁτὲ μὲν ἠρεμοῦν, ὁτὲ δὲ, κινούμενον.

Δείξας πρῶτον ὅτι ἔστιν κίνησις ἀεὶ, καὶ οὔτε γέγονέ ποτε κίνησις πρότερον μὴ οὖσα. οὔτε φθείρεταί ποτε ὥστε μὴ εἶναι κίνησιν, εἶτα ἐφεξῆς δείξας ὅτι τὸ πρώτως κινοῦν καθ' ἑκάστην κίνησιν, ὡς ὁ εὔδημος προστίθησιν, ἀκίνητον εἶναι χρὴ καὶ καθ' αὑτὸ καὶ κατὰ συμβεβηκὸς, εἶναι δὲ καὶ ἀΐδιον ὡς ἀϊδίου κινήσεως αἴτιον, ἀνάγκη εἶναί φησι τὸ πρώτως κινούμενον ὑπὸ τοῦ ἀκινήτου καὶ ἀϊδίου κινητικοῦ ἀΐδιον καὶ αὐτὸ εἶναι. συνυπάρχει γὰρ ἀλλήλοις τὸ κινοῦν ὡς κινοῦν. καὶ τὸ κινούμενον ὡς κινούμενον. αὐτὸς δὲ καὶ ἄλλην ἀπόδειξιν τούτου προστίθησι. λαβὼν γὰρ ὁμολογούμενον τὸ εἶναι γένεσιν καὶ φθορὰν ἐν τοῖς οὖσι, συνημμένον τι τοιοῦτον ἐπάγει. εἰ μὴ ἔστι τι ἀΐδιον κινούμενόν τε καὶ κινοῦν. οὐκ ἂν εἴη γένεσις ἀεὶ καὶ φθορά. ἀλλὰ μὴν ἔστι ταῦτα. ἔστιν ἄρα ἀΐδιόν τι κινούμενόν τε καὶ κινοῦν. καὶ τὴν μὲν πρόσληψιν ὡς εἶπον τὴν λέγουσαν. ὅτι ἔστιν ἀεὶ γένεσις καὶ φθορὰ, ὡς ὁμολογουμένην τέθεικεν. οὐ γὰρ ἂν εἴη γενέσεως γένεσις. τὸ δὲ συνημμένον δείκνυσιν οὕτως. τὸ γινόμενον καὶ φθειρόμενον δεῖται πάντως τοῦ κινοῦντος. ἢ οὖν ἀκίνητον ἢ κινούμενον ἀνάγκη τὸ κινοῦν εἶναι. ἀλλὰ τὸ μὲν ἀκίνητον ἅτε ἀμετάβλητον ὂν τὸν αὐτὸν κινήσει τρόπον. ὥστε ἢ γίνεσθαι ἢ φθείρεσθαι μόνον. τὸ δὲ κινούμενον ὑπὸ τοῦ ἀκινήτου, διὰ τὸ ἐν ἐναντίοις γίνεσθαι τόποις, καὶ ποτὲ μὲν προσάγειν, ποτὲ δὲ ἀφίστασθαι τὸ γεννητικόν. ὡς ἐν τῇ περὶ γενέσεως καὶ φθορᾶς λέγεται, οὐ τῆς αὐτῆς ἔσται κινήσεως αἴτιον. ἀλλ' ἐναντίως κινούμενον ἕκαστον τῶν ἄλλων παρέξεται. καὶ τὸ αὐτὸ ποτὲ μὲν ἠρεμοῦν, ποτὲ δὲ κινούμενον. ἀληθὲς οὖν ὅτι εἰ μὴ ἔστι τι ὃ κινήσει κινούμενον, οὐκ ἔσται γένεσις ἀεὶ καὶ φθορά. καὶ δηλονότι καὶ ἀΐδιόν ἐστι τὸ τὰς τοιαύτας κινήσεις κινοῦν, καὶ αὐτὸ κινούμενον. εἰ γὰρ ἀεί εἰσιν αὗται αἱ κινήσεις, ἀεὶ δεῖ τὸ κινοῦν αὐτὰς εἶναι. εἰ γὰρ μὴ ἀΐδια εἴη τὰ τούτων τῶν κινήσεων αἴτια, ἀλλὰ γινόμενά τε καὶ φθειρόμενα, πάλιν ἄλλο τι αἴτιον τῆς τούτων γενέσεως καὶ φθορᾶς ζητηθήσεται. καὶ ἐκεῖνο πάλιν ἀκίνητον μὲν οὐκ ἂν εἴη. εἰ δὲ κινούμενον. ἢ ἀεὶ καὶ ἀΐδιον ἔσται, ἢ γεννητὸν καὶ φθαρτόν. καὶ πάλιν ἡ αὐτὴ ζήτησις. ἀεὶ γὰρ τοῦ ἐν γενέσει ὄντος αἴτιόν τι αὐτοκίνητον ὀφείλοντος ἔχειν, εἰ μὴ εἰς ἄπειρον ἡ πρόοδος ἔσεσθαι μέλλοι, ἔσται τι πρῶτον αὐτοκίνητον ἀΐδιον, ὑπὸ τοῦ πρώτου κινοῦντος ἀκινήτου καὶ ἀϊδίου κινούμενον συνεχῶς. οὕτω γὰρ ἥ τε κίνησις συνεχὴς καὶ ἀΐδιος. καὶ ἡ γένεσις καὶ ἡ φθορὰ, καὶ ἡ εἰς ἄλληλα τῶν σωμάτων μεταβολὴ ἄπαυστος. εἰπὼν δὲ τὸ κινούμενον ὑπὸ τοῦ ἀκινήτου, προσέθηκεν ἢ κινουμένου ἤδη. διότι ὑπὸ μὲν τοῦ ἀκινήτου προσεχῶς κινεῖται ἡ ἀπλανής. ὑπὸ δὲ τοῦ ἀπλανοῦς κινουμένου ἤδη τὸ πλανώμενον. ἐν ἐναντίοις δὲ τόποις ἢ εἴδεσι λέγει. ὅτι ποτὲ μὲν πλησιάζει ἡμῖν ὁ ἥλιος καὶ τὰ ἄλλα ἄστρα, διὰ τὴν ἔγκλισιν τοῦ ζωδιακοῦ. ποτὲ δὲ ἀφίστανται. καὶ πρὸς τὰ νότια ὁμοίως διατίθενται. καὶ ὁτὲ μὲν ὑψηλότερα γίνεται. ὁτὲ δὲ περιγειότερα. ἐν ἐναντίοις δὲ εἴδεσι ψυχροτέροις ἢ θερμοτέροις, ὅτι κατὰ τὰς διαφόρους ἑαυτῶν θέσεις τῶν ἐναντίων εἰδῶν τούτων καὶ τῶν τοιούτων ἐστὶ ποιητικά. τάχα δὲ ἄν τις εἴποι τὰ ἐν φαίδρῳ τοῦ πλάτωνος ἐνταῦθα
» παραξέειν τὸν ἀριστοτέλην. ὅταν ἐκεῖνος λέγῃ, ψυχὴ πᾶσα παντὸς ἐπιμελεῖται τοῦ ἀψύχου. πάν-
» τα δὲ οὐρανὸν περιπολεῖ, ἄλλοτε ἐν ἄλλοις εἴδεσι γινομένη. πρὸς γὰρ τὴν τῶν ἐκεῖ εἰδῶν θεωρίαν διαφόρων ὄντων, καὶ αἱ κινήσεις αὐτῶν γίνονται διάφοροι. καὶ ἡ ἀπὸ τῶν κινήσεων ἐνταῦθα διαφορὰ ὑφίσταται.

ΦΑΝΕΡΟΝ δὴ γέγονεν ἐκ τῶν εἰρημένων, καὶ ὃ κατ' ἀρχὰς ἠποροῦμεν. τί δή ποτε οὐ πάντα ἢ κινεῖται ἢ ἠρεμεῖ. ἢ τὰ μὲν κινεῖται ἀεὶ, τὰ δ' ἀεὶ ἠρεμεῖ. ἀλλ' ἔνια ὁτὲ μὲν, ὁτὲ δ' οὔ. τούτου γὰρ τὸ αἴτιον, δῆλόν ἐστι νῦν. ὅτι τὰ μὲν ὑπὸ ἀκινήτου κινεῖται ἀϊδίου διὸ ἀεὶ μεταβάλλει. τὰ δ' ὑπὸ κινουμένου, καὶ μεταβάλλοντος ὥστε καὶ αὐτὰ ἀναγκαῖον μεταβάλλειν. τὸ δ' ἀκίνητον ὥσπερ εἴρηται ἅτε ἁπλῶς καὶ ὡσαύτως καὶ ἐν τῷ αὐτῷ διαμένον, μίαν καὶ ἁπλῆν κινήσει κίνησιν.

Εἰπὼν αἴτιον εἶναι τοῦ τινὰ τῶν ὄντων γίνεσθαι καὶ φθείρεσθαι, καὶ ποτὲ μὲν κινεῖσθαι ποτὲ δὲ ἠρεμεῖν, τὴν διάφορον πρὸς αὐτὰ τῶν οὐρανίων κινήσεων σχέσιν, ὑπομιμνήσκει ἡμᾶς. ὅτι ἐκ τῶν

νῦν εἰρημένων λέλυται τὸ πρόσθεν ἀπορηθέν. ὅτε γὰρ ἔλυε τοὺς κατασκευάζειν δοκοῦντας λό-
γους, ὅτι ἡ κίνησις γίνεται μὴ πρότερον οὖσα, ἔλεγεν ἄπορον εἶναι τοῖς γένεσιν κινήσεως ὑποτιθε-
μένοις, διὰ τίνα αἰτίαν οὐ πάντα ἢ κινεῖται ἀεί, ἢ ἠρεμεῖ ἀεί, ἢ τὰ μὲν ἀεὶ κινεῖται. τὰ δὲ ἀεὶ ἠρεμεῖ.
ἀλλ᾽ ἔστιν ἐν τῷ κόσμῳ καὶ τὰ ποτὲ μὲν κινούμενα, ποτὲ δὲ ἠρεμοῦντα. τούτου δή φησιν τὸ αἴτιον νῦν
γέγονε δῆλον. διότι γὰρ τὰ μὲν ὑπὸ ἀκινήτου κινεῖται ἀϊδίου, ἀνάγκη ταῦτα ἀεὶ κινεῖσθαι, τὰ
δὲ ὑπὸ κινουμένου καὶ μεταβάλλοντος ἀεί, ἀνάγκη καὶ ταῦτα ἀεὶ μεταβάλλειν. τὸ δὲ ἀκίνητον
ὥσπερ εἴρηται διὰ τὸ ἀεὶ ὁμοίως ἔχειν, μίαν καὶ ἁπλῆν καὶ συνεχῆ καὶ ἀΐδιον κινεῖ κίνησιν. ὥστε
εἰκότως τὰ μέν ἐστιν ἀεὶ ἀκίνητα, τὰ πρώτως καὶ κυρίως κινοῦντα. τὰ δὲ ἀΐδια καὶ ἀεὶ κινούμενα
ὁμοίως, ὅσα προσεχῶς ὑπὸ τῶν ἀκινήτων κινεῖται. τὰ δέ, γινόμενα καὶ φθειρόμενα. καὶ ποτὲ μὲν
κινούμενα, ποτὲ δὲ ἠρεμοῦντα. ὅσα ὑπὸ τῶν ἀεὶ μὲν κινουμένων ἄλλοτε δὲ ἄλλην σχέσιν ἐχόντων
κινεῖται.

Ο Υ̓ ΜῊΝ ἀλλὰ καὶ ἄλλην ποιησαμένοις ἀρχήν, μᾶλλον ἔσται περὶ τούτων φανερόν. σκεπτέον
γὰρ πότερον ἐνδέχεταί τινα κίνησιν εἶναι συνεχῆ, ἢ οὔ. καὶ εἰ ἐνδέχεται, τίς αὕτη καὶ τίς πρώ-
τη τῶν κινήσεων. δῆλον γὰρ ὡς εἴπερ ἀναγκαῖον μὲν ἀεὶ κίνησιν εἶναι. πρώτη δὲ ἥδε καὶ συνεχής.
ὅτι τὸ πρῶτον κινοῦν κινεῖ ταύτην τὴν κίνησιν. ἣν ἀναγκαῖον μίαν καὶ τὴν αὐτὴν εἶναι καὶ συνεχῆ
καὶ πρώτην.

Δ είξας ὅτι ἀϊδίου τῆς κινήσεως ὁμολογηθείσης, ἀνάγκη καὶ τὸ πρώτως κινοῦν ἀΐδιον εἶναι καὶ τὸ
πρώτως κινούμενον, ἐφεξῆς δείκνυσι ποίαν τῶν κινήσεων ἀΐδιον εἶναι καὶ συνεχῆ δυνατόν. δῆλον
γὰρ ὅτι ταύτην καὶ τὸ ἀΐδιον κινοῦν κινήσει. καὶ τὸ ἀΐδιον κινούμενον κινηθήσεται. ἀΐδιον δὲ καὶ
συνεχῆ εὔλογον εἶναι τὴν πρώτην τῶν κινήσεων ἤπερ τὰς μετ᾽ ἐκείνην. ζητεῖ οὖν τίς ἡ πρώτη τῶν
κινήσεων. καὶ διελόμενος τὰ τῆς κινήσεως εἴδη, δείκνυσιν ὅτι ἡ κατὰ τόπον κίνησις πρώτη τῶν κι-
νήσεων ἐστί, κατὰ πάντα τοῦ πρώτου τὰ σημαινόμενα. καὶ τῆς κατὰ τόπον κινήσεως ἡ κυκλοφορία.
ἣν μόνην ἀΐδιον εἶναι καὶ συνεχῆ δυνατόν. ὥστε καὶ πρῶτον τῶν κινουμένων καὶ ἀΐδιον τὸ κυκλο-
φορητικὸν ἔσται σῶμα. καὶ τὸ πρῶτον κινοῦν ἀΐδιον ὂν καὶ αὐτό, τοῦτο προσεχῶς κινήσει. συναπο-
δείκνυται οὖν τῷ τὸ κυκλοφορητικὸν πρώτως καὶ ἀϊδίως κινούμενον εἶναι τὸ πρώτως κινούμενον,
καὶ τὸ πρώτως κινοῦν ἀΐδιον εἶναι. δι᾽ ὃ καὶ ἀπ᾽ ἄλλης ἀρχῆς φανερὸν τοῦτο γίνεσθαί φησι, συνα-
ναφαινόμενον τῷ τὸ πρώτως καὶ ἀϊδίως κινούμενον τὸ κυκλοφορητικὸν εἶναι σῶμα. ἀρχὴν δὲ τῆς
σκέψεως εἶναί φησι, πότερον ἐνδέχεται συνεχῆ κίνησιν εἶναι. ἢ οὔ. καὶ εἰ ἐνδέχεται, τίς αὕτη. αὕτη
δὲ καὶ πρώτη τῶν κινήσεών ἐστιν. ἀλλὰ τὸ μὲν εἰ ἐνδέχεται συνεχῆ κίνησιν εἶναι νῦν ὑποθέμενος,
μετ᾽ ὀλίγον ζητήσει. νῦν δὲ ποία πρώτη τῶν κινήσεών ἐστι δείκνυσιν. ᾧ συναποδείκνυται καὶ ποία
ἡ συνεχής ἐστιν. ἡ γὰρ συνεχής, πρώτη τῶν μὴ συνεχῶν ἐστι. καὶ γὰρ ἡ ἀΐδιος τῶν μὴ ἀϊδίων. ἐκθέμενος
δὲ ἐν τάξει τὰ προβλήματα, πρώτη γὰρ ἡ περὶ τοῦ εἰ ἔστι ζήτησις τῆς περὶ τοῦ τί ἐστιν, ἐφεξῆς δεί-
κνυσιν εἰς τί χρήσιμον αὐτῷ τὸ δεῖξαι τίς ἡ πρώτη καὶ συνεχὴς κίνησις, δυνάμει συλλογιζόμενος
οὕτως. εἰ ἀναγκαῖόν ἐστι κίνησιν ἀεὶ εἶναι ὅπερ δέδεικται. αὕτη δὲ ἡ ἀΐδιος πρώτη καὶ συνεχής ἐστι,
πρώτη γὰρ ἡ ἀΐδιος καὶ συνεχὴς τῶν μὴ τοιούτων, ἐὰν δείξω τίς αὕτη, δηλονότι τὸ πρῶτον κινοῦν
ταύτην κινεῖ προσεχῶς καὶ συστοίχως τὴν κίνησιν. ἥτις μόνη τῶν ἄλλων μία καὶ ἡ αὐτή ἐστι καὶ συ-
νεχὴς καὶ πρώτη. διότι ὑφ᾽ ἑνὸς τοῦ πρώτου συνεχῶς κινοῦντος γίνεται.

Τ ΡΙΩ͂Ν δὲ οὐσῶν κινήσεων τῆς τε κατὰ μέγεθος καὶ τῆς κατὰ πάθος. καὶ τῆς κατὰ τόπον ἣν καλοῦ-
μεν φοράν, ταύτην ἀναγκαῖον εἶναι πρώτην. ἀδύνατον γὰρ αὔξησιν εἶναι, ἀλλοιώσεως μὴ προϋπαρ-
χούσης. τὸ γὰρ αὐξανόμενον, ἔστι μὲν ὡς ὁμοίῳ αὐξάνεται. ἔστι δ᾽ ὡς ἀνομοίῳ. τὸ γὰρ ἐναντίον. τροφὴ
λέγεται τῷ ἐναντίῳ. προσγίνεται δὲ πᾶν γινόμενον ὅμοιον ὁμοίῳ. ἀνάγκη οὖν ἀλλοίωσιν εἶναι τὴν
εἰς τἀναντία μεταβολήν. ἀλλὰ μὴν εἴ γε ἀλλοιοῦται, δεήσει εἶναι τὸ ἀλλοιοῦν καὶ τὸ ποιοῦν ἐκ τοῦ
δυνάμει θερμοῦ, τὸ ἐνεργείᾳ θερμόν. δῆλον οὖν ὅτι τὸ κινοῦν, οὐχ ὁμοίως ἔχει. ἀλλ᾽ ὁτὲ μέν, ἐγγύτερον.
ὁτὲ δὲ ποῤῥώτερον τοῦ ἀλλοιουμένου ἐστί. ταῦτα δ᾽ ἄνευ φορᾶς οὐκ ἐνδέχεται ὑπάρχειν, εἰ ἄρα ἀνάγκη
ἀεὶ κίνησιν εἶναι, ἀνάγκη καὶ φορὰν εἶναι ἀεὶ πρώτην τῶν κινήσεων, καὶ φορᾶς, εἰ ἔστιν ἡ μὲν πρώτη,
ἡ δ᾽ ὑστέρα, τὴν πρώτην.

Τ ριῶν οὐσῶν κατ᾽ εἶδος κινήσεων. τῆς τε κατὰ μέγεθος. τουτέστι τῆς κατὰ αὔξησιν καὶ μείωσιν, καὶ τῆς
κατὰ πάθος τουτέστι τῆς ἀλλοιώσεως. αὕτη γὰρ ἐδείχθη κατὰ τὰς παθητικὰς γινομένη ποιότητας,
καὶ τῆς κατὰ τόπον ἣν καλοῦμεν φοράν, ταύτην πολλοῖς ἐπιχειρήμασι δείξει πρώτην οὖσαν τῶν
ἄλλων κινήσεων. καὶ τό γε πρῶτον τῶν ἐπιχειρημάτων δείκνυσι μήτε αὔξησιν δυναμένην χωρὶς
ἀλλοιώσεως γίνεσθαι, μήτε ἀλλοίωσιν χωρὶς φορᾶς. ὥστε πρώτη κατὰ φύσιν ἡ φορὰ τῶν ἄλλων κι-
νήσεών ἐστιν. εἰ γὰρ χωρὶς μὲν ταύτης οὐδεμία τῶν ἄλλων. ἡ δὲ φορὰ καὶ ἄνευ ἐκείνων ὡς δειχθήσεται,
δηλονότι συναναιρεῖ μὲν αὕτη τὰς ἄλλας. οὐ συναναιρεῖται δὲ ὑπ᾽ αὐτῶν. τὰ δὲ τοιαῦτα τῇ φύσει
πρῶτα. ἀλλ᾽ ὅτι μὲν ἀλλοίωσις αὐξήσεως προϋπάρχει. δείκνυσιν ἐκ τοῦ τὸ αὐξόμενον ὑπὸ τῆς τροφῆς

αὔξεσθαι. τὴν δὲ τροφὴν ἐξ ἀρχῆς ἀνομοίαν οὖσαν τῷ τρεφομένῳ καὶ ἐναντίαν πως, δι' ὃ καὶ λέγεται τὸ ἐναντίον τροφὴ τῷ ἐναντίῳ, ὕστερον εἰς τοὐναντίον μεταβάλλουσαν καὶ ἐξομοιουμένην τῷ τρεφομένῳ. προσκρίνεσθαι καὶ τρέφειν καὶ αὔξειν αὐτό. μεταβολῆς ἄρα χρεία καὶ ἀλλοιώσεως. τὴν γὰρ εἰς τὰ ἐναντία κατὰ ποιότητα μεταβολὴν ἀνάγκη ἀλλοίωσιν εἶναι. φυσικώτερον δὲ λέγει νῦν περὶ αὐξήσεως, τροφῆς προσθήκῃ λέγων αὔξεσθαι τὸ αὐξόμενον. ἤπερ ἐν ταῖς κατηγορίαις ἔλεγεν τὸ τετράγωνον αὔξεσθαι τῇ περιθέσει τοῦ γνώμονος. ὅτι δὲ οὐδὲ ἀλλοιωθῆναί τι δυνατὸν μὴ οὔσης φορᾶς, εἴπερ τὸ ἀλλοιούμενον ὑπὸ ἀλλοιοῦντός τινος, καὶ μεταβάλλοντος αὐτὸ εἰς τὸ ἐνεργείᾳ ἐκ τοῦ δυνάμει, ἀλλοιοῦται. τὸ δὲ μεταβάλλον αὐτὸ καὶ ἀλλοιοῦν, δηλονότι οὐχ ὁμοίως ἔχει πρὸς αὐτὸ τῇ θέσει, νῦν τε ὅτε μεταβάλλει αὐτό, καὶ πρότερον ὅτε μήπω μετέβαλλεν. εἰ γὰρ ὁμοίως εἶχε, διατί μὴ καὶ τότε τὸ μὲν μετέβαλλε, τὸ δὲ μετεβάλλετο. δεῖ ἄρα τοπικὴν κίνησιν γενέσθαι, ἢ ἀμφοτέρων τοῦ τε ἀλλοιοῦντος καὶ τοῦ ἀλλοιουμένου. ἢ πάντως γε τοῦ ἑτέρου αὐτῶν. ἵνα τὸ μὲν ἀλλοιώσῃ, τὸ δὲ ἀλλοιωθῇ. καὶ γὰρ καὶ ἡ τροφὴ οὐκ ἂν ἐπέφθη καὶ ἀλλοιώθη κατὰ χώραν τὴν ἑαυτῆς μένουσα. ἀλλὰ προσενεχθείσης αὐτῆς, ἐκείνη μὲν ἀλλοιώθη, τὸ δὲ ἐν ἡμῖν πεπτικὸν ἠλλοίωσεν. χρεία ἄρα φορᾶς εἰ μέλλοι ἀλλοίωσις ἐπιτελεῖσθαι. καὶ συμπεραινόμενος τὸν λόγον, εἰ ἄρα ἀνάγκη φησὶν ἀεὶ κίνησιν εἶναι, ἀνάγκη καὶ φορὰν ἀεὶ εἶναι πρώτην δειχθεῖσαν τῶν κινήσεων. ἡ γὰρ πρώτη κατὰ φύσιν, ἀΐδιος ἂν εἴη τῶν ἄλλων μᾶλλον. εἰ δὲ καὶ τῆς φορᾶς ἡ μὲν πρώτη ἐστὶν ἡ δὲ ὑστέρα, δειχθήσεται δὲ ἡ κυκλοφορία πρώτη οὖσα τῆς ἐπ' εὐθείας κινήσεως, αὕτη ἂν εἴη πρώτη κατὰ φύσιν πασῶν τῶν κινήσεων. εἴπερ τῆς μὲν φορᾶς ἡ κυκλοφορία πρώτη. τῶν δὲ ἄλλων ἡ φορά.

Ε ΤΙ ΔΕ' πάντων τῶν παθημάτων ἀρχὴ, πύκνωσις καὶ μάνωσις. καὶ γὰρ βαρὺ καὶ κοῦφον, καὶ μαλακὸν καὶ σκληρὸν, καὶ θερμὸν, καὶ ψυχρὸν, πυκνότητες δοκοῦσι καὶ ἀραιότητες εἶναί τινες. πύκνωσις δὲ καὶ μάνωσις, σύγκρισις καὶ διάκρισις, καθ' ἃς, καὶ γένεσις καὶ φθορὰ λέγεται τῶν οὐσιῶν. συγκρινόμενα δὲ καὶ διακρινόμενα, ἀνάγκη καὶ κατὰ τόπον μεταβάλλειν, ἀλλὰ μὴν καὶ τοῦ αὐξανομένου καὶ φθίνοντος. μεταβάλλει κατὰ τόπον τὸ μέγεθος.

Δ Δεύτερον ἐπιχείρημα τοῦτο δεικνύον, ὅτι ἡ φορὰ προϋπάρχει τῶν τε κατ' ἀλλοίωσιν κινήσεων, καὶ τῶν κατὰ αὔξησιν καὶ μείωσιν. καὶ οὐ μόνον τούτων, ἀλλὰ καὶ τῆς κατὰ γένεσιν καὶ φθορὰν μεταβολῆς. καὶ ὅτι μὲν τῶν κατ' ἀλλοίωσιν δείκνυσιν οὕτως. ἀρχὴ τῶν παθημάτων τουτέστι τῶν κατ' ἀλλοίωσιν μεταβολῶν πύκνωσις καὶ μάνωσίς ἐστι. πύκνωσις δὲ καὶ μάνωσις σύγκρισίς ἐστι καὶ διάκρισις. ἡ μὲν πύκνωσις σύγκρισις. ἡ δὲ ἀραίωσις διάκρισις. τῶν δὲ συγκρινομένων καὶ διακρινομένων κατὰ τόπον ἐστὶν ἡ μεταβολή. ἀρχὴ ἄρα τῶν κατ' ἀλλοίωσιν μεταβολῶν ἡ κατὰ τόπον ἐστὶ μεταβολή. καὶ ὅτι μὲν πάντων τῶν παθημάτων ἀρχὴ πύκνωσις καὶ μάνωσις, διὰ τῶν καθ' ἕκαστον εἶδος τῆς ποιότητος ἐπιδείκνυσι. βαρὺ γάρ φησι καὶ κοῦφον, καὶ μαλακὸν καὶ σκληρὸν, καὶ θερμὸν καὶ ψυχρὸν, πυκνότητες δοκοῦσι καὶ ἀραιότητές εἶναί τινες. τὸ μὲν βαρὺ καὶ σκληρὸν καὶ ψυχρὸν, πυκνότητες. τὰ δ' ἐναντία τούτοις ἀραιότητες. εἴη δ' ἂν οὕτω καὶ τὸ μὲν λευκὸν καὶ τὸ γλυκὺ ὑπὸ τὴν ἀραιότητα. διότι καὶ ταῦτα δοκεῖ ὁμοίως τῷ θερμῷ διακριτικὰ εἶναι. τῶν καθ' ἑαυτὰ αἰσθήσεων. τὰ δὲ ἀντικείμενα αὐτοῖς. πυκνότητες. ὅτι δὲ ἡ πύκνωσις καὶ ἡ μάνωσις σύγκρισίς ἐστι καὶ διάκρισις. ὀνομάτων ὄντων διαφόρων ἐπὶ τῷ αὐτῷ πράγματι, δῆλον. εἰπὼν δὲ τὴν πύκνωσιν καὶ μάνωσιν σύγκρισιν εἶναι καὶ διάκρισιν, προσέθηκε καθ' ἃς γένεσις καὶ φθορὰ λέγεται τῶν οὐσιῶν. δεικνὺς ὅτι οὐ μόνον ἀλλοιώσεως καὶ αὐξήσεως. ἀλλὰ καὶ γενέσεως καὶ φθορᾶς ἡ κατὰ τόπον μεταβολὴ προηγεῖται. εἴτε γὰρ σύγκρισις καὶ διάκρισίς ἐστιν ἡ γένεσις καὶ φθορὰ, ὡς ἤρεσκε Δημοκρίτῳ τε καὶ Ἀναξαγόρᾳ καὶ Ἐμπεδοκλεῖ, καὶ ὅσοι τὰ πρῶτα σώματα ἀπαθῆ ὑποθέμενοι. τελέως ἐκ τούτων ἐγέννων τὰ ἄλλα, ἢ οἱ ἓν ὑποθέμενοι τὸ στοιχεῖον, ὥσπερ Ἀναξίμανδρος τὸ μεταξὺ, πυκνούμενον τοῦτο καὶ μανούμενον τὰ ἄλλα ἀποδιδόναι φησὶν, αὐτόθεν ἀληθὲς τὸ ζητούμενον. εἴτε καὶ κατ' ἀλλοίωσιν ἡ γένεσις καὶ ἡ φθορὰ, καὶ οὕτως ὑγιὲς τὸ κατὰ σύγκρισιν καὶ διάκρισιν τὴν γένεσιν καὶ τὴν φθορὰν ἐπιτελεῖσθαι. εἴπερ πάσης ἀλλοιώσεως ὡς εἰπεῖν ἡγεῖται σύγκρισις καὶ διάκρισις. εἰπὼν δὲ καθ' ἃς γένεσις καὶ φθορὰ λέγεται, προσέθηκε τῶν οὐσιῶν. αὗται γὰρ αἱ κυρίως γενέσεις εἰσὶ καὶ φθοραί. καὶ μέντοι περὶ τῶν κατὰ ποιότητα καὶ μέγεθος εἴρηται, ὅτι διὰ συγκρίσεως καὶ διακρίσεως ἐκεῖναι. δείξας δὲ καὶ διὰ τῆς συγκρίσεως καὶ διακρίσεως, ὅτι καὶ ἀλλοιώσεως καὶ γενέσεως καὶ φθορᾶς προϋπάρχει ἡ κατὰ τόπον μεταβολὴ, δείκνυσιν ὅτι καὶ τῶν αὐξομένων καὶ φθινόντων μεταβάλλει κατὰ τόπον τὸ μέγεθος. οὐ μόνον δὲ τὸ αὐξόμενον καὶ μειούμενον μεταβάλλει τὸν τόπον. τοῦ μὲν αὐξομένου μείζονα καταλαμβάνοντος τόπον. τοῦ δὲ μειουμένου ἐλάττονα. ἀλλὰ καὶ τὴν τροφὴν ὑφ' ἧς αὔξεται τὸ αὐξόμενον, κατὰ τόπον ἀνάγκη μεταβάλλειν. ὥστε ἅμα τῷ τρεφομένῳ καὶ αὐξομένῳ κινεῖσθαι τὴν τροφήν. καὶ πάλιν εἰ γίνοιτο μείωσις. δεῖ τι χωρισθῆναι τοῦ μειουμένου. ἐπιστῆσαι δὲ ἄξιον μήποτε κατὰ τὴν αὐτὴν μέθοδον τὴν ἀπὸ τῆς συγκρίσεως καὶ διακρίσεως, καὶ τοῦ αὐξομένου καὶ μειουμένου προϋπάρχειν ἐνδείκνυται τὴν κατὰ τόπον μεταβολήν. καὶ γὰρ τούτων κατὰ τόπον μεταβολὴ μεγέθους, τοῦ μὲν

αὐξομένου συγκρινομένης αὐτῷ τῆς τροφῆς, τοῦ δὲ μειουμένου διακρινομένης ἀπ' αὐτοῦ τινὸς οὐσίας. κἀνταῦθα δὲ ὁ ἀριστοτέλης συμφωνεῖν βούλεται τῷ ἑαυτοῦ καθηγεμόνι. καὶ γὰρ ὁ πλάτων ἐν τῷ δεκάτῳ τῶν νόμων, πρώτην ἁπασῶν εἶναι λέγει τὴν κατὰ τόπον κίνησιν. ἀπὸ ταύτης δὲ ὑφίστα-
» σθαι τὴν σύγκρισιν καὶ τὴν διάκρισιν. καὶ ἀπὸ ταύτης τὴν αὔξησιν καὶ τὴν μείωσιν. προστυγχάνον-
» τα γάρ φησι τὰ κατὰ τόπον κινούμενα ἑκάστοτε ἑκάστοις, τοῖς ἑστῶσι μὲν διασχίζεται. τοῖς δὲ ἄλλοις
» ἐξ ἐναντίας ἀπαντῶσι καὶ φερομένοις, εἰς ἓν γινόμενα μέσα τε καὶ μεταξὺ τῶν τοιούτων συγκρί-
» νεται. καὶ μὴν καὶ συγκρινόμενα μὲν αὐξάνεται. διακρινόμενα δὲ φθίνει. ἀπὸ δὲ τῆς αὐξήσεως τὴν
» γένεσιν ὑφίστασθαί φησι. καὶ ἀπὸ τῆς μειώσεως τὴν φθοράν.

ἜΤΙ ΚΑῚ ἐντεῦθεν ἐπισκοποῦσιν, ἔσται φανερὸν ὅτι ἡ φορὰ πρώτη. τὸ γὰρ πρῶτον ὥσπερ καὶ ἐπὶ τῶν ἄλλων οὕτω καὶ ἐπὶ κινήσεως ἂν λέγοιτο πλεοναχῶς. λέγεται γὰρ πρότερον οὗ τε μὴ ὄντος οὐκ ἔσται τἆλλα. ἐκεῖνο δὲ ἄνευ τῶν ἄλλων. καὶ τὸ τῷ χρόνῳ. καὶ τὸ κατ' οὐσίαν.

Ὁρμήσας καὶ ἄλλας ἐπιχειρήσεις παραδοῦναι, δεικνύσας ὅτι πρώτη τῶν κινήσεών ἐστιν ἡ φορά, διαίρεσιν ποιεῖται τῶν τοῦ προτέρου σημαινομένων. ὅπερ ἐν ἀρχῇ παραλιπών, νῦν ἀνεπλήρωσε. καὶ κατὰ πάντας τοὺς τρόπους καθ' οὓς λέγεται κυρίως τὸ πρότερον, δείκνυσι πρώτην οὖσαν τὴν φορὰν τῶν ἄλλων κινήσεων. τρεῖς δὲ ἐνταῦθα προτέρου τοῦ τρόπους ἐξέθετο. λέγεται γὰρ πρότερόν τι τῇ φύσει, οὗ μὴ ὄντος οὐκ ἔσται τὰ ἄλλα. ἐκεῖνο δὲ ἄνευ τῶν ἄλλων. καὶ τῷ χρόνῳ πρότερον. ὥσπερ τοῦ τῆτες τὸ πέρυσι. καὶ τὸ κατ' οὐσίαν. ὅπερ ἐστὶ τὸ τελειότερον. τοῦ γὰρ ἀτελοῦς πρότερον τὸ τέλειον. τοιοῦτον δὲ τὸ τὴν οἰκείαν οὐσίαν ἀπειληφός. λέγοιτο δὲ ἄν φησιν ὁ ἀλέξανδρος ἰδίως κατ' οὐσίαν προτέρα κίνησις, ἥτις οὐχ ἅπτεται τῆς οὐσίας τοῦ κινουμένου, οὐδέ τινος τῶν ὑπαρχόντων αὐτῷ. ἀλλὰ πάντη τοῦ αὐτοῦ διαμένοντος αὐτοῦ γίνεται ὁμοία. μόνη ἡ κατὰ τόπον ἐστί. τούτων μὲν οὖν ἐνταῦθα τῶν τοῦ προτέρου σημαινομένων ἐμνημόνευσεν. ἐν δὲ ταῖς κατηγορίαις πρὸς τῷ κατὰ φύσιν καὶ κατὰ χρόνον προτέρῳ. τέθεικεν ἄλλα τοῦ προτέρου σημαινόμενα. καὶ γὰρ τῇ τάξει πρότερον ἢ τῇ θέσει ἔλεγέν τι ἐκεῖ. καὶ τὸ ἐντιμότερον. καὶ τῶν ἀντιστρεφόντων κατὰ τὴν τοῦ εἶναι ἀκολουθίαν, τὸ αἴτιον ὁπωσοῦν θατέρῳ τοῦ εἶναι. ὡς τὸν πατέρα τοῦ υἱοῦ. καὶ ὅλως τὸ αἴτιον τοῦ αἰτιατοῦ. ἐν δὲ τῷ δέλτα τῆς μετὰ τὰ φυσικὰ πλείονας ἐκτίθεται τρόπους τοῦ προτέρου καὶ ὑστέρου. τό, τε γὰρ ἐγγύτερον ἀρχῆς ἐν ἑκάστῳ γένει ἢ φύσει ἢ πρός τι ὡρισμένης. πρότερον λέγεται. καὶ τὸ πορρώτερον ὕστερον. οἷον κατὰ τόπον. τῷ εἶναι ἐγγύς τινος τόπου. ἢ φύσει ὡρισμένου, οἷον τοῦ μέσου, ἢ τοῦ ἐσχάτου. ἢ πρὸς τὸ τυχόν. τὸ δὲ κατὰ χρόνον πρὸς τὸ νῦν παραβαλλόμενον. ἐπὶ μὲν τοῦ παρεληλυθότος. πρότερον τὸ πορρώτερον τοῦ νῦν. ὡς τὰ τρωϊκὰ τῶν μηδικῶν πρότερα. ἐπὶ δὲ τοῦ μέλλοντος τὸ ἐγγύτερον τοῦ νῦν πρότερον. ὡς ἡ αὔριον ἡμέρα τῆς μετ' αὐτήν. τῷ νῦν ὡς ἀρχῇ καὶ πρώτῳ χρησαμένων. τρίτον δὲ λέγει τὸ κατὰ κίνησιν. διὸ παῖς ἀνδρὸς πρότερον. ὅτι ἐγγύτερον τοῦ πρώτου κινήσαντος. ἀρχὴ γὰρ καὶ αὕτη τις ἁπλῶς. τέταρτον δὲ τὸ κατὰ δύναμιν. τὸ γὰρ ἄρχον τῇ δυνάμει πρότερον καὶ δυνατώτερον. τοιοῦτον δ' ἐστὶν οὗ κατὰ τὴν προαίρεσιν ἀνάγκη ἀκολουθεῖν τὸ ὕστερον. ἡ δὲ προαίρεσις ἀρχή. πέμπτον τὰ κατὰ τάξιν. ταῦτα δέ ἐστιν, ὅσα πρός τι ἓν ὡρισμένον διέστηκε κατὰ τὸν λόγον. οἷον παραστάτης τριτοστάτου πρότερον. καὶ παρανήτη νήτης. ἀρχὴ δὲ κἀνταῦθα ὅπου μὲν ὁ κορυφαῖος. ὅπου δὲ ἡ μέση. ἕκτον τὸ τῇ γνώσει πρῶτον, ἄλλως μὲν τὸ κατὰ τὸν λόγον. ἄλλως δὲ τὸ κατὰ τὴν αἴσθησιν. οἷον τὸ καθόλου. καὶ τὰ καθέκαστα. καὶ κατὰ τὸν λόγον δὲ τὸ συμβεβηκὸς τοῦ ὅλου πρότερον. οἷον τὸ μουσικὸν τοῦ μουσικοῦ ἀνθρώπου. οὐ γὰρ ἔσται ὁ λόγος ὅλος ἄνευ τοῦ μέρους. ἕβδομον τὰ τῶν προτέρων πάθη. οἷον εὐθύτης λειότητος. τὸ μὲν γὰρ γραμμῆς καθ' αὑτὴν πάθος. τὸ δὲ ἐπιφανείας. ὄγδοον τὰ κατὰ φύσιν καὶ οὐσίαν. ὅσα ἐνδέχεται εἶναι ἄνευ ἄλλων, ἐκεῖνα δὲ ἄνευ ἐκείνων μή. ταύτῃ δέ φησι τῇ διαιρέσει ὁ πλάτων ἐχρῆτο. ἔνατον τὸ ὑποκείμενον πρότερον τοῦ ἐν ὑποκειμένῳ. διὸ ἡ οὐσία πρότερον. δέκατον. ἄλλως μὲν κατὰ δύναμιν, ἄλλως δὲ κατὰ ἐντελέχειαν. οἷον κατὰ δύναμιν μὲν, ἡ ἡμίσεια τῆς ὅλης. καὶ τὸ μόριον τοῦ ὅλου. καὶ ἡ ὕλη τῆς οὐσίας προτέρα. κατ' ἐντελέχειαν δὲ ὕστερα. διαλυθέντος γὰρ τοῦ κατ' ἐντελέχειαν, ἔσται ταῦτα. τοιαύτην μὲν οὖν καὶ ἐν ἐκείνῃ τῇ πραγματείᾳ τὴν τοῦ προτέρου καὶ ὑστέρου διαίρεσιν παραδέδωκεν ἐντελεστέραν. ἐνταῦθα δὲ ἐπὶ κινήσεως ζητῶν τὸ πρότερον καὶ ὕστερον, ὅσα χρήσιμα πρὸς αὐτὴν σημαινόμενα παρέλαβεν. τὸ γὰρ κατὰ θέσιν εἴπερ ὅλως εἴη ἐν τῇ κινήσει, κατὰ τὸν χρόνον ἂν λαμβάνοιτο. ἢ τάχα ἡ τῶν προτέρων κατὰ θέσιν σωμάτων προτέρα ἂν καὶ αὐτὴ λέγοιτο τῇ θέσει. ἐκείνῳ δ' ἐφιστάνειν ἄξιον, ὅτι ἐν μὲν τῇ μετὰ τὰ φυσικὰ συνῆψε τὸ κατὰ φύσιν καὶ κατ' οὐσίαν. ἐνταῦθα δὲ διεῖλεν αὐτό.

ὩΣΤ' ἘΠΕῚ κίνησιν μὲν, ἀναγκαῖον εἶναι συνεχῶς, εἴη δ' ἂν συνεχῶς, ἢ ἡ συνεχής. ἢ ἡ ἐφεξῆς. μᾶλλον δ' ἡ συνεχής. καὶ βέλτιον συνεχῆ ἢ ἐφεξῆς εἶναι. τὸ δὲ βέλτιον, ἀεὶ ὑπολαμβάνομεν ἐν τῇ φύσει ὑπάρχειν ἂν ᾖ δυνατόν. δυνατὸν δὲ, συνεχῆ εἶναι. δειχθήσεται δὲ ὕστερον. νῦν δὲ τοῦτο ὑποκείσθω. καὶ ταύτην, οὐδεμίαν οἷόν τ' εἶναι, ἀλλὰ φοράν, ἀνάγκη τὴν φορὰν εἶναι πρώτην. οὐδεμία γὰρ ἀνάγκη, οὔτε αὐξάνεσθαι οὔτε ἀλλοιοῦσθαι τὸ φερόμενον. οὐδὲ δὴ γίνεσθαι ἢ φθείρεσθαι. τούτων δὲ οὐδεμίαν ἐνδέχεται τῆς συνεχοῦς μὴ οὔσης, ἣν κινεῖ τὸ πρῶτον κινοῦν.

Γ Προθέμενος δεῖξαι τὴν φορὰν πρώτην τῶν κινήσεων, κατὰ πάντα τοῦ πρώτου τὰ σημαινόμενα. πρῶτον ὅτι κατὰ φύσιν πρώτη δείκνυσι, προλαβὼν ὅτι ἀναγκαῖον ἀεὶ κίνησιν εἶναι. τοῦτο γὰρ σημαίνει τὸ εἶναι συνεχῶς. ἀποδέδεικται δὲ ἤδη ὅτι ἀγένητός ἐστιν ἡ κίνησις. ἔχων δὲ ἐναργὲς καὶ τὸ τὴν ἀΐδιον κίνησιν πρώτην εἶναι τῆς ποτὲ οὔσης καὶ πάλιν μὴ οὔσης, συλλογίζεται οὕτως. ἡ πρώτη κατὰ φύσιν κίνησις ἀΐδιός ἐστιν. ἐπειδὴ ἀνάγκη ἀΐδιον εἶναι κίνησιν. ἡ ἀΐδιος κίνησις ἡ συνεχής ἐστιν. ἡ συνεχὴς κίνησις ἡ κατὰ φοράν ἐστιν. ἡ ἄρα πρώτη κίνησις κατὰ φύσιν ἡ κατὰ φοράν ἐστι. καὶ ὅτι κατὰ φύσιν πρώτη δείκνυσιν, ἐκ τοῦ μὴ ἀντιστρέφειν κατὰ τὴν τοῦ εἶναι ἀκολουθίαν. ἀλλὰ ταύτην μὲν τῶν ἄλλων κινήσεων μὴ δεῖσθαι πρὸς τὸ εἶναι. οὔτε γὰρ αὐξάνεσθαι οὔτε ἀλλοιοῦσθαι τὸ φερόμενον ἀνάγκη. ἀλλ' οὔτε γίνεσθαι ἢ φθείρεσθαι. τούτων δὲ οὐδεμίαν ἐνδέχεται εἶναι. τῆς συνεχοῦς οὔσης. ἣν κινεῖ τὸ πρῶτον κινοῦν. δέδεικται γὰρ ὅτι πάντων ἀρχὴ τῶν κινουμένων ἐστὶ τὸ αὐτοκίνητον. τούτου δὲ ἀρχὴ τὸ ἀκίνητον. ἀνάγκη δὲ τὴν ἀΐδιον κίνησιν ἢ συνεχῆ ἢ ἐφεξῆς εἶναι. βέλτιον δὲ τὸ συνεχῆ τὴν ἀΐδιον κυρίως εἶναι, ἢ ἐφεξῆς. μία γὰρ αὕτη ἑνὸς ὄντος τοῦ κινοῦντος. τὸ δὲ ἐφεξῆς οὐκ ἕν. τὸ δὲ βέλτιον ἀεὶ ἐν τοῖς φυσικοῖς ὑπολαμβάνομεν εἶναι ἂν ᾖ δυνατόν. ὅτι δὲ δυνατὸν εἶναί τινα συνεχῆ κίνησιν, δειχθήσεται ὕστερον. καὶ ὅτι οὐδεμίαν ἄλλην οἷόν τε εἶναι συνεχῆ, ἢ τὴν φοράν. νῦν δὲ ὡς ὑποκείμενα τέως εἴληπται.

Ε ΤΙ ΧΡΟΝΩι πρώτην τοῖς γὰρ ἀϊδίοις, μόνον ἐνδέχεται κινεῖσθαι ταύτην. ἀλλ' ἐφ' ἑνὸς μέν, ὁτουοῦν τῶν ἐχόντων γένεσιν τὴν φορὰν ἀναγκαῖον ὑστάτην εἶναι τῶν κινήσεων. μετὰ γὰρ τὸ γίνεσθαι πρῶτον ἀλλοίωσιν καὶ αὔξησιν, φορὰ δ' ἤδη τελειουμένων, κίνησίς ἐστιν. ἀλλ' ἕτερον ἀνάγκη κινούμενον εἶναι κατὰ φορὰν πρότερον. ὃ καὶ τῆς γενέσεως αἴτιον ἔσται τοῖς γινομένοις, οὐ γινόμενον, οἷον, τὸ γεννῆσαν τοῦ γεννηθέντος. ἐπεὶ δόξειε δ' ἂν ἡ γένεσις πρώτη εἶναι τῶν κινήσεων διὰ τοῦτο, ὅτι γίνεσθαι δεῖ τὸ πρᾶγμα πρῶτον. τὸ δ' ἐφ' ἑνὸς μὲν ὁτουοῦν τῶν γινομένων οὕτως ἔχει, ἀλλ' ἕτερον ἀναγκαῖον πρότερόν τι κινεῖσθαι τῶν γινομένων, ὃς αὐτὸ καὶ μὴ γινόμενον. καὶ τούτου ἕτερον πρότερον. ἐπεὶ δὲ γένεσιν ἀδύνατον εἶναι πρώτην, πάντα γὰρ ἂν εἴη τὰ κινούμενα φθαρτά, δῆλον ὡς οὐδὲ τῶν ἐφεξῆς κινήσεων οὐδεμία προτέρα. λέγω δ' ἐφεξῆς αὔξησιν, εἶτ' ἀλλοίωσιν καὶ φθίσιν καὶ φθοράν. πᾶσαι γὰρ ὕστεραι γενέσεως. ὥστ' εἰ μὴ δὲ γένεσις προτέρα φορᾶς, οὐδὲ τῶν ἄλλων οὐδεμία μεταβολῶν.

Δ Δείξας φύσει πρώτην οὖσαν τῶν ἄλλων κινήσεων τὴν φοράν, ἐφεξῆς ὅτι καὶ τῷ χρόνῳ πρώτη δείκνυσι δυνάμει καὶ τοῦτο συλλογιζόμενος οὕτως. πρώτη κίνησις τῷ χρόνῳ ἐστίν, ἣν ἐνδέχεται τοῖς ἀϊδίοις ὑπάρχειν. ἡ φορά ἐστιν. ἡ πρώτη ἄρα τῷ χρόνῳ κίνησις ἡ φορά ἐστι. τῶν δὲ δυοῖν τούτων προτάσεων τὴν ἐλάττονα, τὴν λέγουσαν πρώτην εἶναι ἣν ἐνδέχεται τὰ ἀΐδια κινεῖσθαι, ὡς σαφῆ παρῆκεν. ὡς γὰρ τὰ ἀΐδια πρῶτα τῷ χρόνῳ τῶν γεννητῶν, οὕτω καὶ ἡ κίνησις ἣν κινεῖται τὰ ἀΐδια ἀΐδιος οὖσα, πρώτη ἂν εἴη τῶν μὴ ἀϊδίων κινήσεων. ἃς κινεῖται τὰ γεννητά. τὴν δὲ μείζονα πρότασιν τέθεικεν, τὴν λέγουσαν ὅτι τὴν τοπικὴν μόνην ἐνδέχεται τὰ ἀΐδια κινεῖσθαι. ἣν δείξει μετ' ὀλίγον. ἐπειδὴ δὲ τὰ ἐν γενέσει ὄντα ὕστερον κινεῖται τὴν τοπικὴν κίνησιν, τελειωθέντα γὰρ ἤδη τὰ ζῷα τότε κινεῖται κατὰ τόπον. γίνεται γὰρ πρῶτον καὶ τρέφεται καὶ αὔξεται δι' ἀλλοιώσεως, καὶ οὕτω κατὰ τόπον κινεῖται, δόξει μὴ ἀληθῶς εἰρῆσθαι τῷ χρόνῳ προτέραν εἶναι τῶν ἄλλων κινήσεων τὴν κατὰ τόπον. λύων οὖν ταύτην τὴν ἔνστασιν λέγει, ὅτι ἐπὶ μὲν ἑκάστου τῶν ἐν γενέσει ὄντων τελευταίαν τῶν κινήσεων τὴν κατὰ τόπον γίνεσθαι. τελειωμένα γὰρ ἤδη μεταβαίνει κατὰ τόπον. ἀλλὰ τούτων τῶν γινομένων καὶ ἀλλοιουμένων καὶ αὐξομένων πρότερον. ἔπειτα οὕτω τοπικῶς κινουμένων, ἄλλο τι ἀνάγκη προϋπάρχειν τοπικῶς κινούμενον. ὃ καὶ τῆς γενέσεως αἴτιον τῶν γινομένων. αὐτὸ ἀγένητον ὄν. ἢ οὐ τότε γινόμενον. ἀλλὰ πρότερον. ὡς ὁ πατὴρ τοῦ υἱοῦ. καὶ ὅλως τὸ γεννῆσαν τοῦ γεννηθέντος. τοῦτο γὰρ χρὴ κινηθῆναι κατὰ τόπον. ἵνα γεννήσῃ τὸ γινόμενον. οὐ γινόμενον δὲ αὐτὸ αἴτιόν ἐστι γενέσεως τὸ κυκλοφορητικὸν σῶμα τοπικῶς κινούμενον. ὅθεν γὰρ ἐπὶ τῇ καθ' ἕκαστον γενέσει δόξει ἡ γένεσις εἶναι πρώτη τῶν κινήσεων. διότι γίνεσθαι δεῖ τὸ πρᾶγμα πρότερον. καὶ τῆς οὐσίας ὑποστάσης αὐτοῦ. τότε τὰ περὶ αὐτὸ συμβεβηκότα ὑπάρξαι ἀλλοίωσιν καὶ αὔξησιν καὶ τὴν κατὰ τόπον μεταβολήν. καὶ οὕτω μὲν ἐφ' ἑνὸς ἑκάστου. ἀλλ' ἀναγκαῖον ἕτερόν τι κατὰ τόπον κινεῖσθαι, αἴτιον τοῦ γινομένου, οὐ γινόμενον αὐτὸ τότε. καὶ τούτου πάλιν τῆς γενέσεως ἕτερόν τι αἴτιον προϋπάρχει, οὐ γινόμενον ἀλλὰ ὂν τότε καὶ κατὰ τόπον κινούμενον. ὥστε ἐστὶ πρὸ πάσης τῆς καθ' ἕκαστα γενέσεως τοπικὴ κίνησις. ἣν κινεῖται τὸ τῆς γενέσεως αἴτιον μὴ γινόμενον τότε. καὶ τούτου ἕτερον πρότερον. τὸ τὴν ἀΐδιον κινούμενον τοπικῶς κίνησιν, οὐδὲ ὅλως τοῦτο γινόμενον. καὶ γὰρ ἄνθρωπος ἄνθρωπον γεννᾷ καὶ ὁ ἥλιος. ὡς εἴρηται πρότερον. δείξας δὲ ὅτι κἂν ἐπὶ τῶν καθ' ἕκαστα πρώτη δοκῇ τῶν ἄλλων κινήσεων ἡ γένεσις, ἀλλὰ προϋπάρχει πάσης γενέσεως τοπικὴ κίνησις, τὸ αὐτὸ προσυπομιμνήσκει καὶ ἐκ τοῦ ἐναντίου. εἰ γὰρ εἴη πρώτη τῶν κινήσεων ἡ γένεσις, πάντα ἂν εἴη τὰ κινούμενα φθαρτά. δεῖ γὰρ πρῶτον γίνεσθαι, εἶθ' οὕτω κινηθῆναι τὴν ὁποιανοῦν κίνησιν. εἴπερ πρώτη τῶν κινήσεων ἡ γένεσίς ἐστι, τὸ δὲ γινόμενον φθείρεται.

εἰ οὖν

εἰ οὖν μὴ πάντα ἐστὶ τὰ κινούμενα γενητὰ καὶ φθαρτά, ὡς ἤδη δέδεικται ἐκ τοῦ εἶναι κίνησιν ἀΐδιον, καὶ ἔτι μᾶλλον δειχθήσεται, οὐδ᾽ ἂν γένεσις εἴη πρώτη. οὐκέτι γὰρ ἐν τοῖς ἀϊδίοις μὲν κινουμένοις δὲ προϋπάρξει ἡ γένεσις. εἰ δὲ μή ἐστιν ἡ γένεσις πρώτη, δῆλον ὡς οὐδὲ τῶν ἄλλων τις κινήσεων, ἃς ἀνάγκη μετὰ τὴν γένεσιν ὑφίστασθαι, ἀλλοίωσίς τε καὶ αὔξησις καὶ μείωσις. καὶ γὰρ αὔξεται καὶ μειοῦται μόνα τὰ γενητά. καὶ ἀλλοίωσις τούτοις ὑπάρχει μόνοις. εἴπερ πᾶσα ἀλλοίωσις κατὰ τὰς παθητικὰς γίνεται ποιότητας. πάσχει δὲ μόνα τὰ ἐν γενέσει. εἰ οὖν αἱ μὲν ἄλλαι κινήσεις τῆς γενέσεως δεύτεραι. ἡ δὲ γένεσις τῆς φορᾶς, δηλονότι καὶ αἱ ἄλλαι κινήσεις τῆς φορᾶς ὕστεραι τῷ χρόνῳ. οὕτω καὶ ὅτι πρώτη κατὰ χρόνον τῶν ἄλλων κινήσεων ἡ φορὰ ἔδειξε. καὶ τὴν ἀπὸ τῆς γενέσεως ἔνστασιν ἔλυσεν.

ΟΛΩΣ ΔΕ φαίνεται τὸ γιγνόμενον, ἀτελές, καὶ ἐπ᾽ ἀρχὴν ἰόν. ὥστε τὸ τῇ γενέσει ὕστερον, τῇ φύσει πρότερον εἶναι. τελευταῖον δὲ φορὰ πᾶσιν ὑπάρχει τοῖς ἐν γενέσει. διό, τὰ μὲν ὅλως ἀκίνητα τῶν ζώντων δι᾽ ἔνδειαν τοῦ ὀργάνου. οἷον, τὰ φυτὰ καὶ πολλὰ γένη τῶν ζώων. τοῖς δέ, τελειουμένοις ὑπάρχει. ὥστ᾽ εἰ μᾶλλον ὑπάρχει φορά, τοῖς μᾶλλον ἀπειληφόσι τὴν φύσιν, καὶ ἡ κίνησις αὕτη πρώτη τῶν ἄλλων ἂν εἴη κατ᾽ οὐσίαν. διά τε ταῦτα, καὶ διότι ἥκιστα τῆς οὐσίας ἐξίσταται τὸ κινούμενον τῶν κινήσεων ἐν τῷ φέρεσθαι. κατὰ μόνην γὰρ οὐδὲν μεταβάλλει τοῦ εἶναι ὥσπερ ἀλλοιουμένου μέν, τὸ ποιόν. αὐξανομένου δὲ καὶ φθίνοντος τὸ ποσόν.

Τὴν λύσιν τῆς ἐνστάσεως τῆς ἀπὸ τῆς γενέσεως ἐνεχθείσης, ἀρχὴν τοῦ τρίτου ἐπιχειρήματος ἐποιήσατο, τοῦ δεικνύντος ὅτι καὶ κατ᾽ οὐσίαν πρώτη τῶν ἄλλων ἐστὶν ἡ κατὰ φορὰν κίνησις. τὸ δὲ κατὰ φύσιν πρῶτον καὶ κατ᾽ οὐσίαν πρῶτον ὀνομάζει, συμφώνως τοῖς ἐν τῇ μετὰ τὰ φυσικὰ περὶ τούτων εἰρημένοις. συλλογίζεται δὲ καὶ ἀποδείκνυσι τοῦτο, κατηγορικῶς μὲν οὕτως. ἡ φορὰ τελευταία πᾶσιν ὑπάρχει τοῖς ἐν γενέσει, τὸ τῇ γενέσει ὕστερον τῇ φύσει πρότερόν ἐστι καὶ τῇ οὐσίᾳ. ἡ φορὰ ἄρα πρώτη καὶ κατὰ φύσιν καὶ κατ᾽ οὐσίαν τῶν ἄλλων κινήσεών ἐστι. καὶ ὅτι μὲν ἡ φορὰ τελευταία τοῖς ἐν γενέσει ὑπάρχει, δείκνυσιν ἐκ τοῦ τὰ μὲν κατ᾽ οὐσίαν ἀτελέστερα ὥσπερ τὰ φυτά, καὶ τῶν ζώων τὰ προσπεφυκότα, ἅπερ ζωόφυτα καλοῦμεν, οὐδὲ ὅλως κινεῖσθαι κατὰ τόπον, τοῖς δὲ τελειουμένοις τελευταῖον ὑπάρχειν τοῦτο. ὅτι δὲ τὸ τῇ γενέσει ὕστερον τῇ φύσει καὶ τῇ οὐσίᾳ πρότερόν ἐστι, δείκνυσιν ἐκ τοῦ τὸ γινόμενον ἐν τῷ ἔτι γίνεσθαι ἀτελὲς ὄν, ὁδεύειν ἐπὶ τὴν ἑαυτοῦ τελειότητα ὡς ἐπ᾽ ἀρχὴν καὶ πρῶτον τῇ φύσει. ἡ γὰρ τελειότης ἀρχὴ ὡς τὸ οὗ ἕνεκα καὶ τὸ τέλος. πρῶτον δὲ τῇ φύσει καὶ τῇ οὐσίᾳ τὸ τέλειον τοῦ ἀτελοῦς. καὶ τὸ οὗ ἕνεκα τοῦ χάριν ἐκείνου. κατὰ γὰρ τὴν ἑκάστου τελειότητα τὸ κατὰ φύσιν ἐστὶν ἑκάστῳ. καὶ ἡ οὐσία καὶ ἀρχή, τὸ τέλειον. τελείου γὰρ τὸ γεννᾶν. ὥσπερ οὖν ἡ τελειότης τελευταία οὖσα τῇ γενέσει, πρώτη ἐστὶ τῇ οὐσίᾳ τε καὶ τῇ φύσει, οὕτω καὶ ἣν κινεῖται τελευταίαν κίνησιν τὰ γινόμενα, πρώτη τῇ φύσει καὶ τῇ οὐσίᾳ ἐστίν. αὐτὸς δὲ τῆς μὲν μείζονος προτάσεως, τῆς λεγούσης τὸ τῇ γενέσει ὕστερον τῇ φύσει καὶ τῇ οὐσίᾳ πρότερον εἶναι, τὴν κατασκευὴν προθείς, ἐν τῷ φαίνεται τὸ γινόμενον ἀτελὲς καὶ ἐπ᾽ ἀρχὴν ἰόν, τῆς δὲ ἐλάττονος τῆς λεγούσης, ἡ φορὰ τελευταία πᾶσιν ὑπάρχει τοῖς ἐν γενέσει, τὴν κατασκευὴν ὑστέραν θείς, ἐν τῷ τὰ μὲν ὅλως ἀκίνητα τῶν ζώων καὶ τοῖς ἑξῆς, τὰς δὲ δύο προτάσεις αὐτὰς μεσολαβήσας, καὶ πρώτην μὲν θεὶς τὴν μείζονα. ἐν τῷ ὥστε τὸ τῇ γενέσει ὕστερον τῇ φύσει πρότερον εἶναι, εἶτα τὴν ἐλάττονα ἐν τῷ, τελευταῖον δὲ φορὰ πᾶσιν ὑπάρχει τοῖς ἐν γενέσει, οὕτως οὖν διαθεὶς τὸν συλλογισμόν, δυσσυναίσθητον ἐποίησεν αὐτοῦ τὴν ἀνάλυσιν. ἐπὶ δὲ τῷ τέλει καὶ κατὰ τὸν πρῶτον τρόπον τῶν ὑποθετικῶν συνελογίσατο οὕτως. εἰ μᾶλλον ὑπάρχει φορὰ τοῖς μᾶλλον ἀπειληφόσι τὴν φύσιν, τουτέστιν εἰ μᾶλλον ἡ κατὰ τόπον κίνησις ὑπάρχει τοῖς κατὰ τὴν φύσιν καὶ τὸ ἑαυτῶν εἶδος τελειωθεῖσι, καὶ ἡ κατὰ τόπον κίνησις εἴη ἂν κατὰ φύσιν καὶ κατ᾽ οὐσίαν πρώτη τῶν ἄλλων κινήσεων. εἶτα καὶ ἄλλην ἀπόδειξιν ἐπάγει, τοῦ τελειοτέραν καὶ διὰ τοῦτο καὶ πρώτην εἶναι κατὰ φύσιν καὶ κατ᾽ οὐσίαν τὴν κατὰ τόπον κίνησιν. ἡ γοῦν κατὰ τόπον φησὶ κίνησις, οὐδὲν μεταβάλλει τῆς τοῦ κινουμένου καταστάσεως. οὔτε κατ᾽ οὐσίαν. ὥσπερ ἡ γένεσις καὶ ἡ φθορά. οὔτε κατὰ τὸ ποιόν, ὡς ἡ ἀλλοίωσις. οὔτε κατὰ τὸ ποσόν. ὡς αὔξησις καὶ μείωσις. τὸ δὲ φυλάττον τὴν φύσιν καὶ τὴν οὐσίαν, τῶν μὴ φυλαττόντων ἐστὶ τῇ φύσει καὶ τῇ οὐσίᾳ τελειότερον.

ΜΑΛΙΣΤΑ δὲ δῆλον ὅτι τὸ κινοῦν αὐτὸ αὑτὸ μάλιστα ταύτην κινεῖ κυρίως τὴν κατὰ τόπον καίτοι φαμὲν τοῦτ᾽ εἶναι τῶν κινουμένων καὶ κινούντων ἀρχὴν καὶ πρῶτον τοῖς κινουμένοις τὸ αὐτὸ αὑτὸ κινοῦν. ὅτι μὲν τοίνυν τῶν κινήσεων ἡ φορὰ πρώτη. φανερὸν ἐκ τούτων.

Τοῦτο τὸ ἐπιχείρημα δύναται δεικτικὸν εἶναι, τοῦ πρώτην τῶν ἄλλων κινήσεων εἶναι τὴν φοράν, κατὰ τοὺς τρεῖς τοῦ προτέρου τρόπους. οὓς ἀποδέδωκεν. ἔστι δὲ τοιοῦτον. ἐδείχθη πρότερον ὅτι τὸ αὐτοκίνητον προϋπάρχον καὶ χρόνῳ καὶ οὐσίᾳ τῶν κινούντων καὶ κινουμένων, ἀρχὴ τῶν τοιούτων ἐστί. καὶ ὅτι τὴν κατὰ φορὰν κίνησιν ἰδίως καὶ κυρίως κινεῖται τὸ αὐτοκίνητον. εἰ οὖν ἡ κατὰ τόπον κίνησις οἰκεία ἐστὶ τῆς ἀρχῆς καὶ αἰτίας τῶν κινουμένων, ἡ δὲ οἰκεία τῆς ἀρχῆς καὶ αἰτίας τῶν κινουμέ-

νων κίνησις, αὕτη ἂν εἴη καὶ τῇ φύσει καὶ τῷ χρόνῳ προτέρα τῶν ἄλλων κινήσεων, τὸ συμπέρασμα δῆλον, ὅτι ἡ κατὰ τόπον κίνησις καὶ τῇ φύσει καὶ τῇ οὐσίᾳ καὶ τῷ χρόνῳ πρώτη τῶν ἄλλων ἐστὶ κινήσεων. καὶ συμπεραίνεται λοιπὸν τὰ εἰρημένα. ὅτι δὲ καὶ ἐνταῦθα τοῖς ἐν τῷ δεκάτῳ τῶν Πλάτωνος νόμων κατακολουθῶν ὁ Ἀριστοτέλης ἀπέδειξε, συνιδεῖν ἐστιν. ἐκεῖ γὰρ τὰ εἴδη τῶν κινήσεων παραδιδοὺς, καὶ πρώτην ἐκθέμενος τὴν κατὰ τόπον, ταύτην αἰτίαν τῶν ἄλλων εἶναί φησι. προσεχῶς μὲν τῆς διακρίσεως καὶ συγκρίσεως, τουτέστι τῆς ἀλλοιώσεως. δι' ἐκείνης δὲ τῆς αὐξήσεως καὶ φθίσεως. διὰ δὲ ταύτης τῆς γενέσεως καὶ φθορᾶς. ἐκθέμενος γοῦν τὴν κατὰ τόπον κίνησιν, ἐπάγει. προστυγχάνοντα δὲ ἑκάστοτε ἑκάστοις, τοῖς ἑστῶσι μὲν διασχίζεται. τοῖς δὲ ἄλλοις ἐξ ἐναντίας ἀπαντῶσι καὶ φερομένοις εἰς ἓν γινόμενα μέσα τε καὶ μεταξὺ τῶν τοιούτων ξυγκρίνεται. καὶ μὴν καὶ ξυγκρινόμενα αὐξάνεται. διακρινόμενα δὲ φθίνει τότε, ὅταν ἡ καθεστηκυῖα ἑκάστων ἕξις διαμένῃ. μενούσης δὲ αὐτῆς δι' ἀμφότερα ἀπόλλυται. ἀπὸ δὲ τῆς αὐξήσεως τὴν γένεσιν, καὶ ἀπὸ τῆς μειώσεως τὴν φθορὰν λέγει γίνεσθαι.

ΤΙΣ ΔΕ φορὰ πρώτη νῦν δεικτέον. ἅμα δὲ καὶ τὸ νῦν καὶ τὸ πρότερον ὑποτεθὲν ὅτι ἐνδέχεταί τινα κίνησιν εἶναι συνεχῆ καὶ ἀΐδιον, φανερὸν ἔσται τῇ αὐτῇ μεθόδῳ. ὅτι μὲν οὖν τῶν ἄλλων κινήσεων οὐδεμίαν ἐνδέχεται συνεχῆ εἶναι, ἐκ τῶνδε φανερόν. ἅπασαι γὰρ ἐξ ἀντικειμένων, εἰς ἀντικείμενά εἰσι, καὶ αἱ κινήσεις καὶ αἱ μεταβολαί. οἷον, γενέσει μὲν, καὶ φθορᾷ, τὸ ὂν καὶ μὴ ὂν ὅροι. ἀλλοιώσει δὲ, τἀναντία πάθη. αὐξήσει δὲ καὶ φθίσει, ἢ μέγεθος καὶ μικρότης, ἢ τελειότης μεγέθους καὶ ἀτέλεια. ἐναντίαι δὲ, αἱ εἰς τἀναντία. τὸ δὲ μὴ ἀεὶ κινούμενον τήνδε τὴν κίνησιν, ὂν δὲ πρότερον, ἀνάγκη πρότερον ἠρεμεῖν. φανερὸν οὖν ὅτι ἠρεμήσει ἐν τῷ ἐναντίῳ τὸ μεταβάλλον. ὁμοίως δὲ καὶ ἐπὶ τῶν μεταβολῶν. ἀντίκειται γὰρ ἡ φθορὰ καὶ γένεσις ἁπλῶς καὶ ἡ καθ' ἕκαστον, τῇ καθ' ἕκαστον, ὥστ' εἰ ἀδύνατον ἅμα μεταβάλλειν τὰς ἀντικειμένας, οὐκ ἔσται συνεχὴς ἡ μεταβολή. ἀλλὰ μεταξὺ αὐτῶν ἔσται χρόνος. οὐδὲν γὰρ διαφέρει ἐναντίας ἢ μὴ ἐναντίας εἶναι, τὰς κατ' ἀντίφασιν μεταβολάς. εἰ μόνον ἀδύνατον ἅμα τῷ αὐτῷ παρεῖναι, ἐνταῦθα γὰρ τῷ λόγῳ οὐδὲν χρήσιμον. οὐδ' εἰ μὴ ἀνάγκη μὲν ἠρεμῆσαι ἐν τῇ ἀντιφάσει μὴ δέ ἐστι μεταβολὴ ἠρεμίᾳ ἐναντίον. οὐ γὰρ ἴσως ἠρεμεῖ τὸ μὴ ὄν. ἡ δὲ φθορὰ εἰς τὸ μὴ ὄν. ἀλλ' εἰ μόνον μεταξὺ γίγνεται χρόνος. οὕτω γὰρ οὐκ ἔστιν ἡ μεταβολὴ συνεχής. οὐδὲ γὰρ ἐν τοῖς πρότερον ἡ ἐναντίωσις χρήσιμον. ἀλλὰ τὸ μὴ ἐνδέχεσθαι ἅμα ὑπάρχειν. οὐ δεῖ δὲ ταράττεσθαι, ὅτι τὸ αὐτὸ πλείοσιν ἔσται ἐναντίον. οἷον, ἡ κίνησις, καὶ στάσει καὶ κινήσει τῇ εἰς τοὐναντίον. ἀλλὰ μόνον ἐνταῦθα λαμβάνειν ὅτι ἀντίκειταί πως καὶ τῇ κινήσει καὶ τῇ ἠρεμίᾳ, ἡ κίνησις ἡ ἐναντία, καθάπερ τὸ ἴσον καὶ τὸ μέτριον τῷ ὑπερέχοντι καὶ τῷ ὑπερεχομένῳ. καὶ ὅτι οὐκ ἐνδέχεται ἅμα τὰς ἀντικειμένας, οὔτε κινήσεις, οὔτε μεταβολὰς ὑπάρχειν.

Δείξας κατὰ πάντας τοὺς τοῦ προτέρου τρόπους τὴν φορὰν τὴν πρώτην οὖσαν τῶν ἄλλων κινήσεών τε καὶ μεταβολῶν, νῦν πρόεισιν ἐπὶ τὸ ζητεῖν τίς πάλιν ἐν τῇ φορᾷ πρώτη ἐστὶ, κατὰ τὰ εἰρημένα τοῦ πρώτου σημαινόμενα. ἴσμεν γὰρ ὅτι τῆς φορᾶς ἡ μὲν ἐπ' εὐθείας ἐστίν. ἡ δὲ κύκλῳ. ἡ δὲ μικτή. ὥσπερ καὶ τῆς γραμμῆς ἐφ' ἧς φέρεται τὸ φερόμενον. εὑρεθείσης δὲ τῆς πρώτης φορᾶς, ἅμα καὶ τὸ νῦν καὶ πρότερον ὑποτεθὲν, ὅτι ἐνδέχεταί τινα κίνησιν εἶναι συνεχῆ καὶ ἀΐδιον, φανερὸν ἔσται. αὕτη γὰρ ἡ πρώτη φορὰ συνεχὴς εὑρεθήσεται καὶ ἀΐδιος. ἐπιστῆσαι δὲ χρή. ὅτι μέχρι νῦν ὡς ὑπόθεσις ἐλαμβάνετο τὸ εἶναι συνεχῆ κίνησιν. ἡ γὰρ ἐν ἀρχῇ δειχθεῖσα ἀγένητος καὶ ἄφθαρτος κίνησις, οὐχ ὡς μία καὶ συνεχὴς, ἀλλ' ὡς ἀεὶ μὲν, ἄλλη δὲ καὶ ἄλλη κίνησις ἐν τοῖς οὖσιν ἀπεδείκνυτο. ἐπιστήμης δέ ἐστιν ἀκριβοῦς τὸ κατὰ μίαν μέθοδον πλείονα καὶ οὕτω καθολικὰ καὶ χρήσιμα θεωρήματα εὑρίσκειν. ἡ δὲ εὕρεσις αὐτοῦ γίνεται, δεικνύντι πρῶτον ὅτι οὐδεμία τῶν ἄλλων κινήσεων ἢ μεταβολῶν παρὰ τὴν φορὰν συνεχὴς εἶναι δύναται καὶ μία. ἀλλ' οὐδὲ τῆς φορᾶς ἡ κατ' εὐθεῖαν οὐδὲ ἡ μικτή. ἀλλὰ μόνῃ τῇ κύκλῳ κινήσει τὸ συνεχὲς καὶ ἀΐδιον ὑπάρχειν δυνατόν. καὶ οὕτως ἐκ τούτου δείκνυσιν ὅτι τῶν φορῶν πρώτη ἡ κύκλῳ τῆς κατ' εὐθείας ἐστίν. ὅτι δὲ μηδεμίαν τῶν ἄλλων κινήσεων οἷόν τε συνεχῆ εἶναι, ἀποδείκνυσιν οὕτω. πᾶσαι αἱ ἄλλαι κινήσεις, συναριθμεῖ δέ πως καὶ τὴν γένεσιν καὶ τὴν φθορὰν, εἶτα ὕστερον αὐτὰς χωρίζει τῶν κυρίως κινήσεων. μεταβολὰς οὔσας καὶ οὐ κινήσεις, ὡς ἐν τῷ πέμπτῳ δέδεικται ταύτης τῆς πραγματείας, πᾶσαι οὖν αἱ ἄλλαι παρὰ τὴν φορὰν κινήσεις ἐξ ἀντικειμένων εἰσὶν εἰς ἀντικείμενα. τὰ δὲ ἐξ ἐναντίων εἰς ἐναντία, ἀντικείμενά ἐστιν ἢ ἐναντία. αὐτὸς δὲ ἐπὶ τῶν ἐναντίων ποιεῖται τὸν λόγον. ἐπειδὴ ἡ γένεσις καὶ ἡ φθορὰ ἀντικείμενα μέν ἐστιν, οὐκ ἐναντία δέ. τὰς δὲ ἐναντίας ἢ ὁπωσοῦν ἀντικειμένας κινήσεις ἀδύνατον εἶναι μίαν καὶ συνεχῆ. ἐξ ὧν συνάγεται ὅτι πᾶσαι αἱ ἄλλαι παρὰ τὴν φορὰν κινήσεις, οὐ δύνανται συνεχεῖς εἶναι. καὶ ὅτι μὲν ἑκάστη ἐκείνων ἐξ ἀντικειμένου ἐστὶν εἰς ἀντικείμενον, δείκνυσι τοὺς ἀντικειμένους ὅρους ἐκτιθέμενος ἐφ' οὓς κινοῦνται. καὶ γὰρ γενέσει μὲν καὶ φθορᾷ τὸ ὂν καὶ μὴ ὂν ὅροι, ὡς κατάφασις καὶ ἀπόφασις ἀντικείμενα. ἀλλοιώσει δὲ τὰ ἐναντία πάθη, θερμότης καὶ ψυχρότης λευκότης καὶ μελανία. καὶ τὰ τοιαῦτα. αὐξήσει δὲ καὶ φθίσει ἢ μέγεθος καὶ σμικρότης, ἢ μᾶλλον τε-

λειότης μεγέθους καὶ ἀτέλεια. ὅτι τὸ μέγεθος κοινὸν καὶ τοῦ τελείου, εἰς ὃ προβάλλει ἡ αὔξησις, καὶ τοῦ
ἀτελοῦς εἰς ὃ ἡ μείωσις. ὅτι δὲ ἐναντίαι καὶ ἀντικείμεναι αἱ εἰς τὰ ἐναντία καὶ ἀντικείμενα, πρόδη-
λον. ὁρισμὸς γὰρ οὗτός ἐστι τῶν ἐναντίων κινήσεων. ὅτι δὲ λοιπὸν οὐχ οἷόν τε ἐκ τῶν ἀντικειμένων καὶ ἐν-
αντίων κινήσεων μίαν γενέσθαι καὶ συνεχῆ κίνησιν, δῆλον. εἰ γὰρ εἴη μία, τὸ λευκαινόμενον ἅμα ἂν καὶ
μελαίνοιτο, καὶ εἰς ὑγείαν μεταβάλλον ἅμα ἂν καὶ εἰς νόσον μεταβάλλοι, καὶ τὸ αὐξόμενον ἅμα ἂν καὶ
μειοῖτο. καὶ τὸ γινόμενον ἅμα ἂν καὶ φθείροιτο. εἴπερ μία καὶ ἡ αὐτὴ κίνησις ἐκ τῶν ἐναντίων ἐστί. καὶ αὐ-
τόθεν δὲ δῆλον ὅτι ἐκ τῶν ἐναντίων κινήσεων μίαν ἀδύνατον γενέσθαι. πῶς γὰρ ἐκ τῆς ἐπὶ τὸ ἄνω
καὶ τῆς ἐπὶ τὸ κάτω μενουσῶν ἀκραιφνῶν μία γένοιτο ἂν κίνησις. οὔτε γὰρ κατὰ φύσιν δυνατὸν τὰς
ἐναντίας κινεῖσθαι, οὔτε ἡ κατὰ φύσιν καὶ παρὰ φύσιν μία γένοιτο ἄν. ἡ μὲν γὰρ εἰς τὰ πλάγια μία
οὖσα, μῖξις τῆς ἄνω καὶ τῆς κάτω δοκεῖ, ἀλλ' οὐ μενουσῶν ἀκραιφνῶν. ὥσπερ ὁ λόγος λαμβάνει νῦν.
ἀλλ' οὕτως, ὡς καὶ τὰ στοιχεῖα τοῦ σώματος τὰ ἐναντία κιρνάμενα ποιεῖ τι σύνθετον ἕν. οὔτε μία οὖν
ἐκ τῶν ἐναντίων, οὔτε ἅμα δύναταί τι τὰς ἐναντίας κινεῖσθαι. εἰ δὲ μὴ μία ἡ ἐκ τῶν ἐναντίων, ὑπὸ ἠ-
ρεμίας διαλαμβάνονται αἱ ἐναντίαι. ταύτην γὰρ ταῖς προειρημέναις προσλαμβάνει τὴν πρότα-
σιν. καὶ κατασκευάζει αὐτὴν, ἀξιώματι προσχρησάμενος τῷ λέγοντι. ὅτι τὸ μὴ ἀεὶ κινούμενον τήνδε
τὴν κίνησιν, ὂν δὲ πρότερον, ἀνάγκη πρότερον ἠρεμεῖν. εἰ γὰρ μὴ ἠρεμήσειεν τὸ λευκαινόμενον μηδὲ παυ-
σάμενον τοῦ λευκαίνεσθαι μελαίνοιτο, ἅμα ἂν λευκαίνοι τότε καὶ μελαίνοιτο. ὥστε ἅμα λευκὸν γενή-
σεται καὶ μέλαν, εἰς τέλος ἐλθὸν τῆς κινήσεως. εἰ δὲ παυσάμενον τοῦ λευκαίνεσθαι λευκὸν γένοιτο,
καὶ ἀπὸ τοῦ λευκοῦ μεταβάλλοι εἰς τὸ μέλαν, ἐν τῷ εἴδει τοῦ λευκοῦ γενόμενον ἠρεμήσει πάντως τι-
νὰ χρόνον. οὕτω γὰρ ἀπὸ λευκοῦ ὄντος αὐτοῦ καὶ οὐκέτι λευκαινομένου, ἡ εἰς τὸ μελαίνεσθαι μεταβολὴ
γενήσεται. οὔτε γὰρ ἅμα λευκαίνεται καὶ ἔστι λευκόν. οὔτε ἅμα λευκόν ἐστιν εἰλικρινῶς καὶ μελαίνεται.
ἅμα γὰρ ἔσται ἐπὶ τοῦ πέρατος καὶ οὐκ ἔσται, εἰ δὲ μὴ ἅμα ἐστί τε καὶ ἀπογίνεται, χρόνος αὐτῆς εἴη, ὃν ἠ-
ρέμησεν ἐπὶ τοῦ πέρατος τὸ κινούμενον. δείξας δὲ πρῶτον ἐπὶ τῶν ἐξ ἐναντίων εἰς ἐναντία κινήσεων
τουτέστιν ἐπὶ τῶν κυρίως κινήσεων, ὅτι ἀδύνατον συνεχεῖς εἶναι ταύτας, κοινοποιεῖ τὸν λόγον καὶ
ἐπὶ τῶν μεταβολῶν, τουτέστι γενέσεως καὶ φθορᾶς. αὗται γὰρ μεταβολαὶ μόνον εἰσὶ καὶ οὐ κινή-
σεις. δεικνὺς ὅτι τὸ αὐτὸ καὶ ἐπὶ τούτων ἐστὶν, ὃ καὶ ἐπὶ τῶν κινήσεων δέδεικται. καὶ γὰρ τὸ μὴ γινό-
μενον τέως ἄνθρωπος, γενησόμενον δὲ, ἀνάγκη πρότερον ἠρεμεῖν τινα χρόνον ἐν τούτῳ τῷ εἴδει. ἐξ
οὗ γίνεται ἄνθρωπος. τὸ γὰρ σπέρμα μεῖναί τινα χρόνον σπέρμα, οὕτω μεταβάλλει εἰς ἄνθρωπον. καὶ
γὰρ τὰς μεταβολὰς τὰς ἀντικειμένας ἀδύνατον ἅμα γίνεσθαι, ὥσπερ καὶ τὰς ἐναντίας κινήσεις.
οὐδὲ γὰρ τὸ γινόμενον πρὸ τοῦ γενέσθαι εἰς τὸ φθείρεσθαι ἂν μεταβάλλοι, εἰ ἔστιν ἡ φθορὰ ἐξ ὄντος μετα-
βολή. τὸ δὲ γινόμενον οὐδέ πω ἐστὶν, εἰ δὲ οὕτως, οὐδὲ αὗται ἂν εἶεν συνεχεῖς αἱ μεταβολαί. ἔχουσι
γὰρ ἀρχὰς ἄμφω καὶ τέλη, εἰς ἃ μεταβάλλουσιν ἀντικείμενα ἀλλήλοις. ἀλλὰ μεταξύ φησιν ἔσται
αὐτῶν χρόνος. καὶ οὐκ εἶπεν ἠρεμία, τὴν ἔνστασιν τὴν μετ' ὀλίγον λύσει φυλαττόμενος. οὐ γὰρ ὡς ἐπὶ
τῶν ἐναντίων κινήσεων τὸ κινούμενον τὰς ἐναντίας ἠρεμεῖ μεταξὺ, οὐχ οὕτω καὶ ἐπὶ τῶν εἰς τὰ ἀν-
τικείμενα μεταβαλλόντων τὸ ὂν καὶ τὸ μὴ ὄν, τὸ γὰρ ἠρεμοῦν ὄν τι ἠρεμεῖ καὶ ἐν ὄντι. οὔτε δὲ μὴ ὂν,
οὔτε ἐν μὴ ὄντι τινὶ ἠρεμεῖν δυνατὸν, χρόνον μέντοι μεταξὺ εἶναί τινα καὶ τούτων, τῆς ἀπὸ θατέ-
ρου ἐπὶ θάτερον μεταβολῆς, ἀναγκαῖον. δείξας δὲ ἐπὶ τῶν ἐναντίων κινήσεων, ὅτι ἀναγκαῖόν
ἐστιν ἠρεμεῖν, μεταξὺ λέγει, ὅτι καὶ ἐπὶ τῶν κατὰ ἀντίφασιν ἀντικειμένων, οἷα ἐστὶν ἡ γένεσις καὶ ἡ
φθορὰ, κἂν μὴ ἐξ ἐναντίων εἰς ἐναντία ἐστὶν ἡ μεταβολὴ, οὐδὲν κωλύει καὶ ἐπὶ τούτων κἂν μὴ ἠρε-
μίαν ἀλλὰ χρόνον εἶναι μεταξὺ, ὥστε μὴ συνεχῆ μηδὲ μίαν εἶναι τὴν ἐκ τῶν ἀντικειμένων με-
ταβολήν. καὶ γὰρ ἐπὶ τῶν ἐναντίων συνέβαινε μεταξὺ ἠρεμίαν γίνεσθαι, οὐχ ᾗ ἐναντίαι. ἀλλὰ καθ'
ὅσον οὐχ οἷόν τε ἦν ἅμα αὐτὰς γίνεσθαι. ὃ οὐδὲν ἔλαττον καὶ ἐπὶ τῶν κατὰ ἀντίφασιν ἀντικειμένων
ἐστί. ταυτὸν γὰρ αἴτιον ἐπ' ἀμφοτέρων, δι' ὃ οὐ δύνανται συνεχεῖς εἶναι, οὐδέτεραι γὰρ αὐτῶν,
συνυπάρχειν ἀλλήλαις δύνανται, οὔτε αἱ ἐναντίαι οὔτε αἱ κατὰ ἀντίφασιν ἀντικείμεναι. διὸ ὁ-
μοίως ἀμφότεραι ὑπὸ χρόνου διαλαμβάνονται. ὁμοίως δέ φησιν οὐδὲν διαφέρει πρὸς τὸ μὴ μίαν
εἶναι καὶ συνεχῆ κίνησιν τὴν ἐκ τῶν ἀντιφατικῶς ἀντικειμένων, κἂν μὴ ἀνάγκη ἠρεμῆσαι ἐν τῇ ἀν-
τιφάσει, ὥσπερ ἐν τῷ ἐναντίῳ ἐδείκνυτο. οὐδὲ γὰρ ἠρεμεῖ τὸ μὴ ὂν, οὐδὲ ἐν τῷ μὴ ὄντι, ἡ δὲ φθορὰ εἰς
τὸ μὴ ὂν, καὶ ἡ γένεσις ἐκ τοῦ τοιούτου μὴ ὄντος. ἀλλ' ἀρκεῖ μόνον καὶ ἐπὶ ταύτης τῆς μεταβολῆς τὸ
μεταξὺ γίνεσθαι χρόνον. διακόπτεται γὰρ οὕτω καὶ οὐκ ἔστι συνεχὴς ἡ μεταβολή. οὐδὲ γὰρ ἐπὶ τῶν
ἐναντίων ἡ ἐναντίωσις ἦν χρήσιμος. ἀλλὰ τὸ μὴ ἐνδέχεσθαι ἅμα ὑπάρχειν. ὅπερ οὐδὲν ἔλαττον εἰ μὴ
καὶ μᾶλλον τοῖς κατὰ ἀντίφασιν ἀντικειμένοις ὑπάρχει, ὡς ἐν τῷ περὶ ἑρμηνείας ἐδιδάχθημεν. εἰ-
πὼν δὲ μηδὲν διαφέρειν πρὸς τὸ μὴ εἶναι συνεχῆ τὴν κίνησιν καὶ ἐπὶ τῶν ἀντιφατικῶς ἀντικειμένων
κἂν μὴ ἀνάγκη εἴη ἠρεμῆσαι ἐν τῇ ἀντιφάσει, ἐπάγει, μηδὲ ἔστι μεταβολῇ ἠρεμία ἐναντίον. ὡς ἐπὶ
τῶν κινήσεων ἠρεμία τις κινήσει ἐναντίον ἐστίν. ἡ γὰρ ἐν τῷ ἐναντίῳ τοῦ ἐφ' ὃ κινεῖται τὸ κινούμενον ἠρε-
μία, ἐναντία τῇ κινήσει ἐτέθη. ἣν κινεῖται ἐπὶ τὸ ἐκείνου ἐναντίον τοῦ ἐν ᾧ ἠρεμεῖ. ἡ γὰρ ἐν τῷ κάτω

ἠρεμία ἐναντία ἐτέθη τῇ ἐπὶ τὸ ἄνω κινήσει. κἂν μὴ ᾖ οὖν ἐπὶ τῆς μεταβολῆς, τουτέστιν ἐπὶ τῆς γενέσεως καὶ τῆς φθορᾶς μεταβολῇ ἠρεμία ἀντικείμενον, τῷ μὴ ἠρεμεῖν τὸ ἐφθαρμένον, οὐδὲν οὐδὲ τοῦτο πρὸς τὸν λόγον τὸν δεικνύντα, ὅτι ὡς αἱ ἐναντίαι κινήσεις οὐκ εἰσὶ συνεχεῖς, οὕτως οὐδὲ αἱ ἀντικείμεναι μεταβολαί. κἂν γὰρ ἠρεμία μὴ ᾖ μεταξὺ, ἀλλ' ὑπὸ χρόνου καὶ αὗται διαλαμβάνονται. εἰ πῶν δὲ μὴ δὲ ἔστι μεταβολῇ ἠρεμία ἐναντίον, ὡς κινήσει μὲν οὔσης ἠρεμίας ἐναντίας· μεταβολῆς δὲ οὐκ οὔσης, οὐ δεῖ φησιν ἐκ τούτου ταράττεσθαι, ὡς ἀναιρουμένου ἀξιώματος τοῦ λέγοντος, ἓν ἑνὶ ἐναντίον, ἐὰν τῇ κινήσει καὶ κίνησιν ἐναντίαν λέγωμεν καὶ ἠρεμίαν. ἀλλὰ τοῦτο μὲν βεβαίως ἔχειν, ὅτι ἀντίκειται κατά τινα τρόπον ἡ κίνησις καὶ τῇ ἠρεμίᾳ καὶ τῇ ἐναντίᾳ κινήσει. ἀφορμὴ δὲ ὅτι καὶ ἐπὶ τῶν ἄλλων ἐστὶν τοιοῦτος ἀντιθέσεως τρόπος, ὡς ἐν πλείοσιν ἀντικεῖσθαι, ὥσπερ τὸ ἴσον καὶ τὸ μέτριον ἀντίκειται τῷ τε ὑπερέχοντι καὶ τῷ ὑπερεχομένῳ, τουτέστι τῷ τε μείζονι καὶ τῷ ἐλάττονι. οὕτω δὲ καὶ αἱ ἀρεταὶ συμμετρίαι οὖσαι, ταῖς τε ὑπερβολαῖς ἀντίκεινται καὶ ταῖς ἐλλείψεσι. δεῖ οὖν φησὶ τῷ τε ἀντικεῖσθαι τῇ κινήσει τὴν ἠρεμίαν χρῆσθαι. μὴ ἀκριβολογουμένους εἰ ὡς ἐναντία, καὶ τῷ ὅτι οὔτε κινήσεις οὔτε μεταβολὰς ἐνδέχεταί τι ἅμα τὰς ἐναντίας ἢ τὰς ἀντικειμένας κινεῖσθαι ἢ μεταβάλλειν. ἀσφαλῶς δὲ εἶπεν, ὅτι ἀντίκειταί πως καὶ τῇ κινήσει καὶ τῇ ἠρεμίᾳ ἡ κίνησις ἡ ἐναντία. ἐν γὰρ τοῖς πρὸ τούτου βιβλίοις, ἔνθα προσέκειτο αὐτῷ περὶ τῶν ἐναντίων κινήσεων λέγειν, τὴν μὲν ἔν τινι ἠρεμίαν τῇ ἐξ αὐτοῦ μεταβολῇ ὡς στέρησιν ἀντικεῖσθαί φησιν, τὴν δὲ ἐναντίαν κίνησιν ὡς ἐναντίον. τὸ δὲ ἴσον τῷ μείζονι καὶ ἐλάττονι ὡς ἄνισον. ὡς ἓν ἑνὶ ἀντίκειται, καὶ αἱ ἀρεταὶ ὡς σύμμετρον ἀσυμμέτρῳ. οὐ παραλόγως δέ φησιν ὁ Ἀλέξανδρος ἠσφαλίσατο τὸν λόγον, τὸν ἓν ἑνὶ λέγοντα. ἀλλὰ χρησίμως εἰς τὰ προκείμενα. ἐπεὶ γὰρ κέχρηται τῷ ἐναντίας εἶναι τὰς κινήσεις τὰς εἰς τὰ ἐναντία, ἵνα μή τις ἐνίστηται πρὸς τοῦτο λέγων ἓν ἑνὶ ἐναντίον εἶναι, τῇ δὲ κινήσει τὴν ἠρεμίαν ἐναντίον, καὶ διὰ τοῦτο μὴ δύνασθαι καὶ κίνησιν αὖ αὐτῇ ἐναντίαν εἶναι, εἰ δὲ μὴ ἐναντίαι εἰσὶν αἱ ἐκ τῶν ἐναντίων μεταβολαὶ οὐδὲν κωλύει μίαν γενέσθαι τὴν εἰς αὐτὰ μεταβολὴν αὐτῶν, διὰ ταύτην δὴ τὴν ἔνστασιν παρήγαγε νῦν τὴν ἠρεμίαν. ὑπομιμνήσκων τῶν περὶ αὐτῆς λεχθέντων, ὅτι ἡ ἠρεμία οὐ κυρίως ἐναντία τῇ κινήσει. ἀλλὰ ἀντίκειται αὐτῇ ὡς στέρησις πρὸς ἕξιν, ἐναντία δὲ κίνησις κινήσει ἐστί. δι' ὃ οὔτε τὰς κινήσεις τὰς ἐναντίας μίαν εἶναι δυνατὸν, οὔτε ἅμα τὴν ἐν τῷ ἐναντίῳ ἠρεμίαν τῇ ἐκ τούτου εἰς τὸ ἐναντίον μεταβολῇ. κἂν γὰρ μὴ ἐναντία ᾖ ἡ ἠρεμία ἡ κάτω τῇ ἐκ τοῦ κάτω κινήσει, ἀλλ' ἀντίκειται πρὸς αὐτὴν ὡς στέρησις πρὸς ἕξιν. καὶ διὰ τοῦτο συνυπάρχειν οὐ δύναται. τὸ γὰρ μὴ συνυπάρχειν οὐ διὰ τὴν ἐναντίωσιν πρόσεστιν, ἀλλὰ διὰ τὴν ἀντίθεσιν. ἥτις οὐ τοῖς ἐναντίοις μόνοις ἀλλὰ καὶ ἄλλοις ὑπάρχει, μένει οὖν τὸ ἓν ἑνὶ ἐναντίον εἶναι κἂν συμβαίνῃ ποτὲ τὸ ἐν πολλοῖς ἀντικεῖσθαι, κατ' ἄλλο καὶ ἄλλο τῆς ἀντιθέσεως εἶδος.

ἜΤΙ δὲ ἐπί τε τῆς γενέσεως καὶ τῆς φθορᾶς, καὶ παντελῶς ἄτοπον ἂν εἶναι δόξειεν, εἰ γενόμενον εὐθὺς, ἀνάγκη φθαρῆναι καὶ μηδένα χρόνον διαμεῖναι. ὥστε ἐκ τούτων ἂν ἡ πίστις γίγνοιτο ταῖς ἄλλαις. φυσικὸν γὰρ, τὸ ὁμοίως ἔχειν ἐν ἁπάσαις.

ὍΤΙ αἱ ἐξ ἀντικειμένων εἰς ἀντικείμενα μεταβολαὶ οὐκ εἰσὶ συνεχεῖς, ἀλλὰ διαλαμβάνονται χρόνῳ δείκνυσιν ἐκ τῆς γενέσεως καὶ τῆς φθορᾶς, δυνάμει συλλογιζόμενος οὕτως. εἰ ἡ γένεσις καὶ ἡ φθορὰ μὴ συνεχεῖς εἰσὶν, ἀλλὰ διαλαμβάνονται χρόνῳ, πιστὸν ἂν εἴη καὶ τὰς ἄλλας μεταβολὰς τὰς ἐξ ἀντικειμένων εἰς ἀντικείμενα μὴ εἶναι συνεχεῖς. ἀλλὰ μὴν τὸ ἡγούμενον, τὸ ἄρα λῆγον. καὶ τὸ μὲν συνημμένον δείκνυσιν, ἐκ τοῦ φυσικὸν εἶναι τὸ ὁμοίως ἔχειν ἐν ἁπάσαις ταῖς ὁμοίαις μεταβολαῖς, ὅταν τὸ συμβαῖνον διὰ τὴν ὁμοιότητα ὑπάρχῃ. εἰ γὰρ τὸ μὴ εἶναι συνεχεῖς τὰς μεταβολὰς διὰ τὴν ἀντίθεσιν ὑπάρχει, ἀναγκαῖον πάσας τὰς ἀντικειμένας μὴ εἶναι συνεχεῖς. τάχα δὲ ἐν ταὐτῷ καὶ ἐκ τοῦ μᾶλλον ἐστὶν ἡ ἐπιχείρησις. τὸ γὰρ ἐπὶ γενέσεως καὶ φθορᾶς ὑπάρχον, διὰ τὸ ὁπωσοῦν ἀντικειμένας μὴ συνυπάρχειν, τοῦτο ἔτι μᾶλλον ταῖς κατ' ἐναντίωσιν ἀντικειμέναις μεταβολαῖς ὑπάρξει. ὅτι δὲ ἡ γένεσις καὶ ἡ φθορὰ οὐκ εἰσὶ συνεχεῖς, δείκνυσιν ἐκ τοῦ ἄτοπον εἶναι τὸ γενόμενον εὐθὺς ἐξ ἀνάγκης φθείρεσθαι, καὶ μηδένα χρόνον διαμένειν ἐν τῷ εἴδει, οὗ ἕνεκα ἐγένετο. κἂν γὰρ ῥέῃ συνεχῶς τὰ ὑπὸ σελήνην, ἀλλ' ἔστι τις καὶ στάσις ὡς ἐν ῥέουσιν. ἵνα καὶ διάκρισίς τις ᾖ τῶν εἰδῶν καὶ ὅρος· καὶ διακόσμησις καὶ περίληψις γνωστική.

ὍΤΙ δ' ἐνδέχεταί τινα ἄπειρον εἶναι μίαν οὖσαν καὶ συνεχῆ καὶ αὕτη ἐστὶν ἡ κύκλῳ λέγωμεν νῦν. πᾶν γὰρ κινεῖται τὸ φερόμενον, ἢ κύκλῳ, ἢ εὐθεῖαν. ἢ μικτήν, ὥστ' εἰ μὴ δ' ἐκείνων ἡ ἑτέρα συνεχής, οὐδὲ τὴν ἐξ ἀμφοῖν οἷόν τε εἶναι συγκειμένην. ὅτι δὲ τὸ φερόμενον τὴν εὐθεῖαν καὶ πεπερασμένην, οὐ φέρεται συνεχῶς, δῆλον. ἀνακάμπτει γὰρ, τὸ δ' ἀνακάμπτον τὴν εὐθεῖαν, τὰς ἐναντίας κινεῖται κινήσεις. ἐναντία γὰρ κατὰ τόπον, ἡ ἄνω τῇ κάτω. καὶ ἡ εἰς τὸ πρόσθεν, τῇ εἰς τὸ ὄπισθεν. καὶ ἡ εἰς τὰ ἀριστερὰ, τῇ εἰς τὰ δεξιά. τόπου γὰρ ἐναντιώσεις αὗται. τίς δ' ἐστὶ μία καὶ συνεχὴς κίνησις, διώρισται πρότερον. ὅτι ἡ τοῦ ἑνὸς καὶ ἐν ἑνὶ χρόνῳ, καὶ ἐν ἀδιαφόρῳ κατ' εἶδος. τρία γάρ ἐστι, τό τε κινούμενον, οἷον, ἄνθρωπος ἢ θεός. καὶ ὅτε, οἷον, ὁ χρόνος. καὶ τρίτον, τὸ ἐν ᾧ. τοῦτο δέ ἐστι τόπος. ἢ πάθος. ἢ εἶδος. ἢ μέγεθος.

τὰ δ' ἐναντία,

τὰ δ' ἐναντία, διαφέρει τῷ εἴδει. καὶ οὐχ ἕν. τόπου δ' αἱ εἰρημέναι διαφοραί.

Δ Δείξας ὅτι οὐδεμία τῶν ἄλλων κινήσεων καὶ μεταβολῶν δύναται συνεχὴς εἶναι, ἀλλ' εἴπερ ἐστὶν ἀνάγκη τὴν φορὰν μόνην εἶναι τοιαύτην, μέτεισι λοιπὸν ἐπὶ τὸ δεῖξαι τίς ἐστι φορά, ἣν ἐνδέχεται μίαν καὶ συνεχῆ εἶναι. τὸ δὲ ἄπειρον, τὸ ἀπεράτωτον καὶ ἀΐδιον δηλοῖ. αἱ γὰρ πέρατα ἔχουσαι ἀνακάμπτουσαι μεταξὺ ἠρεμοῦσιν. ὅτι οὖν μὴ δὲ τῶν κατὰ τόπον ἄλλη τις εἶναι δύναται συνεχὴς παρὰ τὴν κυκλοφορίαν, δείκνυσι λαβὼν πᾶν τὸ φερόμενον ἢ κύκλῳ κινεῖσθαι ἢ ἐπ' εὐθείας ἢ μικτήν. καὶ δείκνυσιν ὅτι εἰ τὴν ἑτέραν ἐξ ὧν σύγκειται ἡ μικτὴ ἀδύνατον, καὶ τὴν μικτὴν ἀδύνατον. ἡ γὰρ σύνθετος ἑκατέρας μετέχει τῶν ἐξ ὧν σύγκειται. δείξας οὖν ὅτι ἡ ἐπ' εὐθείας οὐκ ἔστι συνεχής, συναποδείξει αὐτῷ ὅτι οὐδὲ ἡ μικτὴ συνεχής ἐστι, καὶ γὰρ εἰ λέγοι τις τὴν ἐξ ἀμφοτέρων συγκειμένην τῆς τε συνεχοῦς καὶ τῆς μὴ συνεχοῦς δύνασθαι συνεχῆ εἶναι, δῆλον ὡς συγχωρήσει παρὰ τῆς συνεχοῦς τοῦτο ἔχειν. καὶ πρώτως καὶ κυριώτερον ἐκείνην εἶναι συνεχῆ, ἀφ' ἧς καὶ αὕτη τὸ συνεχὴς εἶναι ἔχει. ὅτι οὖν ἡ ἐπ' εὐθείας οὐκ ἔστι συνεχής, δείκνυσι λαβὼν ὅτι ἡ εὐθεῖα ἐφ' ἧς φέρεται τὸ κατ' εὐθεῖαν φερόμενον, πεπερασμένη ἐστί. ὅπερ ἀπέδειξεν ἐν τῷ τρίτῳ τῆσδε τῆς πραγματείας. διὰ τοῦ μηδὲν ἐνεργείᾳ μέγεθος ἄπειρον εἶναι, τοῦτο οὖν λαβὼν συλλογίζεται οὕτως. τὸ φερόμενον τὴν εὐθεῖαν πεπερασμένην φέρεται. τὸ πεπερασμένην φερόμενον ἀνακάμπτει, τὸ ἀνακάμπτον ἐπὶ τῆς εὐθείας, τὰς ἐναντίας κινεῖται κινήσεις. αἱ δὲ ἐναντίαι κινήσεις οὐ μία οὐδὲ συνεχής. τὸ ἄρα κατ' εὐθεῖαν φερόμενον, οὐ μίαν οὐδὲ συνεχῆ κινεῖται κίνησιν. καὶ ὅτι μὲν τὸ πεπερασμένην φερόμενον ἀνακάμπτειν ἀνάγκη, δῆλον. εἴπερ ἀεὶ κινοῖτο, καὶ μὴ κινηθὲν ἅπαξ ἐπὶ τῆς εὐθείας παύοιτο τῆς κινήσεως. τὸ δὲ ἀνακάμπτον ἐπὶ τῆς εὐθείας, τὰς ἐναντίας κινεῖται κινήσεις. ἐναντίαι γὰρ αἱ ἀπὸ ἐναντίων εἰς ἐναντία, ἐναντία δὲ κατὰ τόπον, τὸ ἄνω τῷ κάτω. καὶ τὸ πρόσθεν τῷ ὄπισθεν, καὶ τὸ δεξιὸν τῷ ἀριστερῷ, καμπτῆρες ὄντα ταῦτα τῶν ἐπ' εὐθείας κινουμένων. αἱ δὲ ἐναντίαι κινήσεις χρόνῳ διαλαμβανόμεναι, οὐ μία οὐδὲ συνεχὴς ὡς δέδεικται πρότερον. διὸ οὔτε ἀλλοίωσις οὔτε αὔξησις καὶ μείωσις, οὔτε γένεσις καὶ φθορὰ ἀντικείμεναι ἀλλήλαις, συνεχεῖς ἐδύναντο εἶναι καὶ μία. ἀναμιμνήσκει δὲ τῶν διορισμῶν, καθ' οὓς διωρίσθη πρότερον ἡ συνεχὴς καὶ μία κίνησις. καὶ δείκνυσι καὶ διὰ τούτου. ὅτι ἡ ἐπὶ τῆς εὐθείας κατὰ ἀνάκαμψιν κίνησις, οὔτε συνεχὴς οὔτε μία ἐστίν. ὅπερ προὔκειτο νῦν εἰς ἀπόδειξιν. τρία γάρ ἐστιν ἐξ ὧν συμπληροῦται ἡ κίνησις. τὸ κινούμενον, οἷον ἄνθρωπος ἢ θεός. ὧν ὁ μὲν θεὸς τὸ ἀϊδίως κινούμενον δηλοῖ. ἀθάνατον γάρ ἐστι τοῦτο καὶ θεῖον. ὁ δὲ ἄνθρωπος τῶν ἐν μέρει χρόνου κινουμένων παράδειγμά ἐστι. δεύτερον δὲ τῶν συμπληρούντων τὴν κίνησιν, ὁ τῆς κινήσεως χρόνος ἐστί. καὶ τρίτον τὸ ἐν ᾧ τοῦτό ἐστι, καθ' ὃ ἡ κίνησις ἐπιτελεῖται. οἷον ὁ τόπος, εἰ κατὰ τόπον ἡ κίνησις, ἢ πάθος, εἰ κατὰ πάθος καὶ ἀλλοίωσιν καὶ ὅλως κατὰ ποιόν, ἢ μέγεθος, εἰ κατὰ ποσὸν κινεῖται τὸ κινούμενον, ἢ εἶδος, εἰ κατ' οὐσίαν. ὡς κατὰ γένεσιν καὶ φθοράν. μία οὖν καὶ συνεχής ἐστι κίνησις, ἡ τοῦ ἑνός, καὶ ἐν ἑνὶ χρόνῳ, καὶ καθ' ἓν εἶδος γινομένη. οἷον εἰ ἄνθρωπος ἐπὶ μίαν ὥραν λευκαίνοιτο, καὶ εἰ ὁ οὐρανὸς ἀϊδίως κυκλοφοροῖτο. τὰ μέντοι κατ' εὐθεῖαν κινούμενα καὶ ἀνακάμπτοντα, ἀπὸ ἐναντίων τόπων εἰς ἐναντίους κινοῦνται. κάτωθεν γὰρ ἄνω, καὶ ἄνωθεν κάτω, τόπου δὲ αὗται κατ' ἐναντίωσιν διαφοραί. δι' οὓς καὶ αἱ κινήσεις αἱ ἐπ' αὐτοὺς ἐναντίαι. τὰ δὲ ἐναντία τὸ πλεῖστον τῶν ὑπὸ τὸ αὐτὸ γένος διαφέρει. εἰ οὖν μὴ κατὰ ἓν καὶ ἀδιάφορον εἶδος αἱ ἐναντίαι κινήσεις γίνονται, οὔτε συνεχὴς οὔτε μία εἴη ἂν ἡ τῶν ἀνακαμπτόντων ἐπὶ τῆς εὐθείας κίνησις. ἀλλὰ μὴν τὸ ἡγούμενον, τὸ ἄρα λῆγον, δύναται δὲ καὶ μία εἶναι ἡ ὅλη ταύτης τῆς ἐρωτήσεως ἀπόδειξις, ἔχουσα οὕτως. ἡ κατ' εὐθεῖαν κίνησις ἐξ ἐναντίων σύγκειται καὶ διαφερουσῶν τῷ εἴδει, ἡ ἐξ ἐναντίων καὶ διαφερουσῶν τῷ εἴδει κίνησις οὐ μία οὐδὲ συνεχής ἐστι. καὶ τὸ συμπέρασμα δῆλον, καὶ ἔστι τὰ μὲν πρῶτα τῆς ῥήσεως κατασκευαστικὰ τῆς ἐλάττονος προτάσεως. τὰ δὲ τελευταῖα τῆς μείζονος, τὰ διορίζοντά τις ἡ μία κίνησις.

Σ ΣΗΜΕΙΟΝ δ' ὅτι ἐναντία κίνησις ἡ ἀπὸ τοῦ α πρὸς τὸ β, τῇ ἀπὸ τοῦ β πρὸς τὸ α. ὅτι ἱστᾶσι, καὶ παύουσιν ἀλλήλας ἐὰν ἅμα γίγνωνται καὶ ἐπὶ κύκλου ὡσαύτως. οἷον εἰ ἀπὸ τοῦ α ἐπὶ τὸ β. τῇ ἀπὸ τοῦ α ἐπὶ τὸ γ. ἱστᾶσι γάρ. καὶ ἐὰν συνεχεῖς ὦσι καὶ μὴ γίνηται ἀνάκαμψις διὰ τὸ τὰ ἐναντία φθείρειν καὶ κωλύειν ἄλληλα, ἀλλ' οὐχ ἡ εἰς τὸ πλάγιον τῇ ἄνω.

Κ Καὶ ταύτην ἀπόδειξιν φέρει, τοῦ τὰς ἐπ' εὐθείας κινήσεις ἀνακάμπτοντος τοῦ κινουμένου ἐναντίας ἀλλήλαις εἶναι, τεκμήριον ποιούμενος τὸ στατικὰ ἀλλήλων εἶναι τὰ οὕτως ἀντικινούμενα, καὶ τῶν ἀλλήλων κινήσεων φθαρτικά. ὃ τοῖς ἐναντίοις ὑπάρχει, σημεῖον δὲ κυρίως εἶπεν. οἱ γὰρ ἐκ τῶν ἑπομένων λόγοι τεκμηριώδεις εἰσὶ καὶ οὐκ ἀποδεικτικοί. ὡς ἀπὸ τοῦ γάλα ἔχειν τὸ τετοκέναι συλλογιζόμεθα. ἕπεται γὰρ τῷ τεκεῖν τὸ γάλα ἔχειν. οἱ δὲ ἀποδεικτικοὶ ἐκ τῶν προτέρων τὰ ὕστερα, καὶ ἐκ τῶν αἰτίων τὰ αἰτιατὰ συλλογίζονται. ἐκ γοῦν τοῦ τετοκέναι τὸ γάλα ἔχειν ἀποδεικτικῶς συλλογιζόμεθα. τὸ δὲ ἀναιρεῖν ἄλληλα οὐ προηγεῖται. ἀλλ' ἕπεται ταῖς ἐναντίαις κινήσεσι. τὰ μὲν γὰρ ἐναντία ἀναιρεῖ ἄλληλα. οὐ πάντα δὲ τὰ ἀναιροῦντα ἐναντία. ἀναιρεῖ γὰρ καὶ ἡ ἀπόφασις τὴν κατά-

φασίν, καὶ τὰ κατὰ τοὺς ἄλλους τρόπους ἀντικείμενα ἀναιρεῖ ἄλληλα, καὶ ὅμως οὐκ ἔστιν ἐναντία. οὐ γὰρ αἴτιον τὸ ἀναιρεῖν τοῦ ἐναντίον εἶναι, ἀλλ' ἑπόμενον ἐκείνῳ, διὸ καὶ ἀπὸ σημείου ἡ δεῖξις. οὐ μόνον δὲ τὰ ἐπὶ τῆς εὐθείας ἀντικινούμενα, παύει τῆς κινήσεως ἄλληλα. ἀλλὰ καὶ τὰ ἐπὶ τῆς περιφερείας ὁμοίως παύει ἄλληλα τῆς κινήσεως. ἀντικινούμενα ἀλλήλοις, ἀντικινεῖται δὲ οὐχ ὡς τὰ ἐπὶ εὐθείας ἀπὸ τῶν ἐναντίων ἀρχόμενα, τὸ μὲν ἀπὸ τοῦ α ἄνω ὄντος εἰ τύχοι, τὸ δὲ ἀπὸ τοῦ β κάτω. ἀλλὰ τὰ ἀπὸ τοῦ αὐτοῦ ἀρχόμενα, καὶ μὴ ἐπὶ τὰ αὐτὰ μέρη τοῦ κύκλου κινούμενα. ὡς εἰ ἀμφότερα μὲν ἀπὸ τοῦ α σημείου ἄρχοιτο, ὅ ἐστιν ἐπὶ τοῦ κύκλου, κινοῖτο δὲ αὐτῶν, τὸ μὲν ἐπὶ τὸ β μέρος τοῦ κύκλου. τὸ δὲ ἐπὶ τὸ γ. τὰ γὰρ οὕτω κινούμενα ἀπαντῶντα ἀλλήλοις ἵστησιν ἄλληλα. οὐ γὰρ ὥσπερ ἐπὶ τῶν εὐθειῶν ἐναντία ἐστὶ τὰ πέρατα, οὕτω καὶ ἐπὶ τοῦ κύκλου. ὅτι μὴ δὲ ἔστιν ἔσω αὐτοῦ πέρατα. ἵστανται μέντοι καὶ ἐπὶ τούτου τὰ ἀντικινούμενα. κἂν συνεχεῖς ὦσιν αἱ κινήσεις, καὶ μὴ ἡ ἀνάκαμψις ὡς ἐπὶ τῆς εὐθείας. οὐ γὰρ διὰ τὴν ἀνάκαμψιν ἱστῶσιν ἄλληλα τὰ ἀντικινούμενα. ἀλλὰ διὰ τὴν ἀντικίνησιν. σημεῖον δὲ ποιησάμενος τοῦ ἐναντίας εἶναι τὰς ἐπὶ τῆς εὐθείας, τὸ ἀναιρετικὰς ἀλλήλων εἶναι τὰς ἀνάπαλιν γινομένας, πιστοῦται τοῦτο ἐκ τοῦ μὴ εἶναι ἀλλήλων ἀναιρετικὰς τὰς μὴ ἀντικειμένας, μὴ δὲ ἀντικειμένως κινουμένας, ἀλλὰ μόνον ἑτέρας ἀλλήλων οὔσας. οἷον τὴν ἀπὸ τῶν δεξιῶν ἐπὶ τὰ ἀριστερὰ γινομένην, καὶ ὅλως τὴν εἰς τὰ πλάγια τῇ ἀπὸ τοῦ κάτω εἰς τὸ ἄνω, καίτοι διάφοροι καὶ οὐ συνεχεῖς οὐδὲ κατὰ τὸ αὐτὸ εἶδος. ἀλλ' ὡς μὴ ἀντικείμεναι δύνανται συνυπάρχειν. αἱ δὲ ἐπὶ τῆς εὐθείας ἀνάπαλιν καὶ ἀναιροῦσιν ἀλλήλας. ὃ πλέον ἐστὶ τοῦ μόνον διαφέρειν κατ' εἶδος.

Μ ΑΛΙΣΤΑ δὲ φανερόν, ὅτι ἀδύνατον εἶναι συνεχῆ τὴν ἐπὶ τῆς εὐθείας κίνησιν. ὅτι ἀνακάμπτον ἀναγκαῖον στῆναι, οὐ μόνον ἐπὶ τῆς εὐθείας, ἀλλὰ κἂν κύκλον φέρηται. οὐ γὰρ τὸ αὐτὸ κύκλῳ φέρεσθαι καὶ κύκλον. ἔστι γὰρ ὅτε μέν, συνείρειν κινούμενον. ὅτε δὲ ἐπὶ τὸ αὐτὸ ἐλθὸν ὅθεν ὡρμήθη, ἀνακάμψαι πάλιν, ὅτι δ' ἀνάγκη ἵστασθαι, ἡ πίστις οὐ μόνον ἐπὶ τῆς αἰσθήσεως, ἀλλὰ καὶ ἐπὶ τοῦ λόγου. ἀρχὴ δὲ ἥδε, τριῶν γὰρ ὄντων, ἀρχῆς μέσου. τελευτῆς. τὸ μέσον πρὸς ἑκάτερον ἄμφω ἐστί. καὶ τῷ μὲν ἀριθμῷ ἕν, τῷ λόγῳ δὲ δύο. ἔτι δὲ ἄλλο ἐστὶ τὸ δυνάμει καὶ τὸ ἐνεργείᾳ. ὥστε τῆς εὐθείας τῶν ἐντὸς τῶν ἄκρων ὁτιοῦν σημεῖον, δυνάμει μέν ἐστι μέσον. ἐνεργείᾳ δ' οὐκ ἔστιν. ἐὰν μὴ διέλῃ ταύτην καὶ ἐπιστὰν πάλιν ἄρξηται κινεῖσθαι. οὕτω δὲ τὸ μέσον. ἀρχὴ γοῦν γίνεται καὶ τελευτή. ἀρχὴ μὲν τῆς ὑστέρου. τελευτὴ δὲ τῆς πρώτης. λέγω δέ, οἷον, ἐὰν φερόμενον τὸ α στῇ ἐπὶ τοῦ β. καὶ πάλιν φέρηται ἐπὶ τὸ γ. ὅταν δὲ συνεχῶς φέρηται, οὔτε γεγονέναι οὔτε ἀπογεγονέναι οἷόν τε τὸ α κατὰ τὸ β σημεῖον, ἀλλὰ μόνον εἶναι ἐν τῷ νῦν, ἐν χρόνῳ δ' οὐδενί. πλὴν οὗ τὸ νῦν διαίρεσίς ἐστιν ἐν τῷ ὅλῳ. εἰ δὲ γεγονέναι τις θήσει καὶ ἀπογεγονέναι, ἀεὶ στήσεται τὸ α φερόμενον, ἀδύνατον γὰρ ἅμα γεγονέναι τε τὸ α κατὰ τὸ β, καὶ ἀπογεγονέναι, ἐν ἄλλῳ ἄρα καὶ ἄλλῳ σημείῳ χρόνου. χρόνος ἄρα ἔσται ὁ ἐν μέσῳ. ὥστε ἠρεμήσει τὸ α ἐπὶ τοῦ β. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων σημείων. ὁ γὰρ αὐτὸς λόγος καὶ ἐπὶ πάντων. ὅταν δὲ χρήσηται τὸ φερόμενον α τῷ β μέσῳ καὶ τελευτῇ καὶ ἀρχῇ, ἀνάγκη στῆναι διὰ τὸ δύο ποιεῖν. ὥσπερ ἂν εἰ καὶ νοήσειεν. ἀλλ' ἀπὸ μὲν τοῦ α σημείου, ἀπογέγονε τῆς ἀρχῆς. ἐπὶ δὲ τοῦ γ γέγονεν, ὅταν τελευτήσῃ καὶ στῇ.

Κ αὶ ἄλλην ἀπόδειξιν κομίζει. δι' ἧς οὐ μόνον μᾶλλον τῶν πρόσθεν, ἀλλὰ μάλιστα φανερὸν εἶναί φησιν, ὅτι ἀδύνατον συνεχῆ εἶναι τὴν ἐπὶ τῆς εὐθείας κίνησιν. τὴν πάλιν καὶ πάλιν ἐπ' αὐτῆς γινομένην ἀνακάμπτοντος τοῦ κινουμένου. δείκνυσι δὲ αὐτὸ ἐκ τοῦ ἀνάγκην εἶναι πᾶν τὸ ἀνακάμπτον ἵστασθαι πρῶτον. τοῦτο γοῦν οὐ μόνον ἐπὶ τῶν ἐπὶ τῆς εὐθείας ἀνακαμπτόντων ἀναγκαῖον. ἀλλὰ κἂν ἐπὶ κύκλου τι κινηθὲν ἐλθὸν ἐπί τι σημεῖον ἀνακάμπτῃ πάλιν ἀπ' αὐτοῦ. ἀνάγκη καὶ τοῦτο στῆναι πρῶτον. τῷ μὴ δύνασθαι ἀνακάμψαι τὸ κινούμενον μὴ πρότερον στάν. εἰπὼν δὲ οὐ μόνον ἐπὶ τῆς εὐθείας, ἀλλὰ κἂν κύκλον φέρηται τουτέστιν ἐπὶ κύκλου, ταυτὸ συμβαίνειν, ὃ καὶ ἐπὶ τῆς εὐθείας εἰ ἀνακάμπτοι, πάλιν τίνι διαφέρει τὸ κύκλῳ φέρεσθαι καὶ κύκλον, ἐδήλωσε. κύκλῳ μὲν γὰρ φέρεται τὸ συνεῖρον καὶ ἀεὶ ἐπὶ ταυτὰ φερόμενον, καὶ κατ' αὐτὴν ἔχον τὴν κίνησιν τὸ κυκλικὸν εἶδος. κύκλον δὲ τὸ ἐπὶ κύκλου κινούμενον ἀπὸ τοῦ αὐτοῦ ἀνακάμπτον, πάλιν ἐπὶ τὸ αὐτὸ ἰέναι. ᾧ καὶ δῆλον ὅτι οὐκ ἔστι τῆς κινήσεως ὁ κυκλισμός, ἀλλὰ τοῦ ἐφ' οὗ ἡ κίνησις. διχῶς δὲ δείκνυσιν ὅτι ἀνάγκη τὸ ἀνακάμπτον ἵστασθαι πρότερον ἀπό τε τῆς αἰσθήσεως καὶ ἀπὸ τοῦ λόγου. καὶ τῆς μὲν αἰσθήσεως τῆς οἰκείας ἕκαστον ἀνάγκη γίνεσθαι κριτήν. λόγῳ δὲ δεικνύναι προθέμενος, διαστέλλεται πρῶτον, τριῶν ὄντων τούτων ἀρχῆς καὶ μέσης καὶ τελευτῆς, πῶς ἔχει τὸ μέσον. ὅτι ἀρχὴ καὶ τέλος ἐστὶ πρὸς ἑκάτερον τῶν ἄκρων, καὶ ποῖον μέσον κατ' ἐνέργειάν ἐστι, καὶ ποῖον δυνάμει. καὶ ὅτι ἐν τῷ κατ' ἐνέργειαν μέσῳ, τὸ κινούμενον ἀπὸ τῆς ἀρχῆς ἐπὶ τὸ τέλος ἵσταται. τῷ γίνεσθαί τε ἐν αὐτῷ, καὶ ἀπογίνεσθαι ἀπ' αὐτοῦ. τότε γὰρ κυρίως μέσον ἐστὶ κατ' ἐνέργειαν. καὶ πρὸς μὲν τὸ ἕτερον τῶν ἄκρων πέρας, πρὸς δὲ τὸ ἕτερον ἀρχή. τούτων δὲ προειλημμένων δείκνυσι καθόλου, ὅτι ἐν ᾧ τὸ κινούμενον γίνεταί τε καὶ ἀπογίνεται, ἀνάγκη ἐν τούτῳ ἵστασθαι χρώμενον ὡς ἀρχῇ καὶ πέρατι. τοῦτο

δὲ μάλιστα ποιεῖ τὸ ἀνακάμπτον. ἐνεργείᾳ γάρ ἐστι σημεῖον τὸ ἀφ' οὗ ἀνακάμπτει, οὐ δυνάμει. ὥστε ἵσταται ἐν ἐκείνῳ ἀφ' οὗ ἀνακάμπτει. εἰ γὰρ καὶ ἐν τοῖς μέσοις σημείοις, ὅταν κατ' ἐνέργειαν ληφθῇ ταῦτα καὶ μὴ δυνάμει, ἵσταται, πολλῷ μᾶλλον ἐν τῷ κατ' ἐνέργειαν μόνον ὄντι σημείῳ. ᾧ ἀναγκαῖον αὐτὸ ὡς πέρατι καὶ ἀρχῇ χρήσασθαι, ἵσταται ἐξ ἀνάγκης ἐν τούτῳ. τοιοῦτον δὲ τὸ πέρας τῆς εὐθείας ἀφ' οὗ ἀνακάμπτει, πρῶτον δὲ δείκνυσιν ὅτι οὐ κατὰ πᾶν σημεῖον ἵσταται τῶν ἐν τῇ εὐθείᾳ, τὸ ἐπὶ τῆς εὐθείας κινούμενον. οὕτω γὰρ μάλιστα δείξει ἴδιον ὂν τὸ ἠρεμεῖν τοῖς ἐπ' εὐθείας κινουμένοις, ὅταν ἀνακάμπτωσιν. εἰ γὰρ κατὰ πᾶν σημεῖον ἵσταται τὸ φερόμενον, πρῶτον μὲν οὐ μᾶλλον ἐν τῷ ἀνακάμπτειν, ἢ ἐν ὁτῳοῦν τῆς εὐθείας ἵσταιτο ἄν. πανταχοῦ γάρ ἐστι σημεῖον, καὶ ἐν τῇ κύκλῳ δὲ κινήσει τὸ αὐτὸ ἂν εἴη. ἐπεὶ κἀκεῖ σημεῖα πανταχοῦ. οὕτω δὲ οὐδὲ μία ἂν εἴη συνεχὴς φορά. ὥστε οὐχ ἵσταται καθ' ἕκαστον σημεῖον τὸ φερόμενον, τῷ μὴ δὲ εἶναι τὰ σημεῖα ἐνεργείᾳ ἐν τῷ συνεχεῖ. διὸ οὐδὲ μέσα ἐστὶ κατ' ἐνέργειαν. ὅτι δὲ οὐκ ἔστι μέσα τῶν ἄκρων κατ' ἐνέργειαν τὰ ἐν τῷ συνεχεῖ σημεῖα, ὥστ' ἂν ὡς συνεχὲς λαμβάνηται, δείκνυσι τίνα ἐστὶ τὰ κυρίως μέσα τινῶν, ὁρισάμενος. ἐν οἷς γάρ ἐστιν ἀρχὴ καὶ τέλος καὶ μέσον, τὸ μέσον πρὸς ἑκάτερον τῶν μερῶν τὸ ἕτερον γίνεται. πρὸς μὲν τὴν ἀρχὴν τελευτή, πρὸς δὲ τὴν τελευτὴν ἀρχὴ καὶ οὕτως ἀρχὴ γίνεται καὶ τελευτὴ κατὰ τὸν λόγον. πρὸς ἑκάτερον δὲ ἄμφω γίνεται. ὅταν καὶ τῶν ἄκρων ἑκάτερον κατ' ἄμφω λαμβάνηται καὶ ὡς ἀρχὴ καὶ ὡς πέρας. τότε γὰρ τὸ μέσον οἷον τὸ γ πρὸς τὸ α. ὡς μὲν πρὸς ἀρχὴν πέρας γίνεται, ὡς δὲ πρὸς πέρας ἀρχή. καὶ πρὸς τὸ β ὁμοίως, ὁ δὲ Ἀλέξανδρος τοῦ τὸ μέσον πρὸς ἑκάτερον ἄμφω ἐστὶν, οὕτω μὲν οὐκ ἀξιοῖ ἀκούειν, ψεῦδος εἶναι νομίζων τὸ πρὸς ἑκάτερον ἄμφω γίνεσθαι. ἀλλ' ὅτι τὸ μέσον πρὸς ἑκάτερον ἀντιτιθέμενον, ὡς ὂν τὸ ἕτερον, ἀμφότερα γίνεται. εἰ δὲ καὶ τῶν ἄκρων ἑκάτερον ὡς ἄμφω ληφθείη, καὶ ὡς ἀρχὴ καὶ ὡς πέρας οἷον τῆς ἄνωθεν κάτω εὐθείας, καὶ τὸ ἄνω πρὸς μὲν τὸ ἀπ' αὐτοῦ κινούμενον ἀρχὴ πρὸς δὲ τὸ ἐπ' αὐτὸ τέλος, καὶ τὸ κάτω ὁμοίως ἔσται. καὶ τὸ μέσον ἄμφω πρὸς ἑκάτερον τῷ λόγῳ. τῷ γὰρ ἀριθμῷ ἕν ἐστι. τὰ δὲ ἐν τῇ εὐθείᾳ μεταξὺ τῶν ἄκρων σημεῖα, ἕως ἂν ὡς μία καὶ συνεχὴς ἡ εὐθεῖα λαμβάνηται. δυνάμει μόνον ἐστί. δυνάμει δὲ ὄντα οὐκ ἂν εἴη μέσα κυρίως. κυρίως γὰρ πᾶν ἐστι τὸ κατ' ἐνέργειαν ὄν. γίνεται δὲ τὸ μέσον ἐνεργείᾳ. ὅταν τὸ κινούμενον ἐπὶ τῆς εὐθείας κατά τι τῶν ἐν αὐτῇ σημείων, διέλῃ αὐτὴν τῇ ἑαυτοῦ στάσει. ἐκεῖνο γὰρ τὸ σημεῖον καθ' ὃ ἵσταται τὸ κινούμενον, ἐνεργείᾳ καὶ σημεῖον καὶ μέσον ἐγένετο, καὶ ἄμφω πρὸς ἑκάτερον τῶν ἄκρων τῷ λόγῳ. ἅμα οὖν στάσις τοῦ φερομένου καὶ κατ' ἐνέργειαν μέσον, ὅ ἐστιν ἀρχὴ καὶ πέρας. καὶ ἅμα κατ' ἐνέργειαν μέσον καὶ στάσις ἐπ' αὐτοῦ. οὔτε γὰρ ἂν ἦν ἀρχὴ καὶ πέρας τὸ αὐτὸ πρὸς ἑκάτερον τῶν ἄκρων, τουτέστιν ἐνεργείᾳ μέσον τοῦ κινουμένου, μὴ γινομένης στάσεως ἐπ' αὐτοῦ, καὶ διαιρεθέντος τοῦ συνεχοῦς ὑπὸ τῆς στάσεως. οὔτε στάσις ἂν ἐγίνετο ἐπ' αὐτοῦ, μὴ ὡς ἀρχῆς αὐτοῦ καὶ πέρατος λαμβανομένου, τουτέστιν ἐνεργείᾳ μέσου. ὥστε ἕπεται ταῦτα ἀλλήλοις, τό, τε κατ' ἐνέργειαν μέσον καὶ ἡ ἐπ' αὐτοῦ στάσις. τὸ γὰρ ἕν, τι ὂν τῷ ἀριθμῷ δύο γίνεσθαι τῷ λόγῳ, ἡ τοῦ κινουμένου στάσις δείκνυσι, τὸ δὲ συνεχῶς κινούμενον καὶ μηδαμοῦ ἱστάμενον, οὔτ' ἂν γεγονέναι ἔν τινι καὶ ἀπογεγονέναι ἀπ' αὐτοῦ λέγοιτο. οὐδενὶ γὰρ ὡς πέρατι καὶ ἀρχῇ ἐχρήσατο. οὔτ' ἂν μέσον τι ἐνεργείᾳ ποιοῖτο, μενούσης συνεχοῦς καὶ ἀδιαιρέτου τῆς εὐθείας. τὸ γὰρ γινόμενον ἔν τινι ἀνάγκη καὶ ἠρεμῆσαί τινα χρόνον ἐν αὐτῷ. οὐ γὰρ δυνατὸν ἅμα καὶ ἐν τῷ αὐτῷ νῦν γίνεσθαί τε ἔν τινι καὶ ἀπογίνεσθαι ἀπ' αὐτοῦ, ὡς ἐρεῖ μετ' ὀλίγον, καὶ ἐλθεῖν τε καὶ ἀπελθεῖν. ἅμα γὰρ ἂν εἴη καὶ οὐκ εἴη ἐν τῷ αὐτῷ. ὥστε ἐν ἄλλῳ νῦν καὶ ὡς ἄλλῳ. εἰ δὲ ἕτερον, πάντων δὲ δυεῖν νῦν μεταξὺ χρόνος, ἕτερον ἂν εἴη ἠρεμοῦν τὸν χρόνον ἐν ἐκείνῳ ἐν ᾧ γέγονε, καὶ οὐκ ἀπογέγονε. τὸ δὲ συνεχῶς κινούμενον καὶ μηδαμοῦ ἱστάμενον, γεγονέναι μὲν κατά τι τῶν ἐν τῇ εὐθείᾳ σημείων οὐχ οἷόν τε. εἶναι δὲ ἂν κατὰ ταῦτα λέγοιτο οὐκ ἐν χρόνῳ, ἀλλὰ κατὰ τὰ ἐν τῷ χρόνῳ νῦν, ἃ πέρατά ἐστι χρόνου καὶ οὐ χρόνος. οὐ γὰρ εἴ τι ἐστὶν ἔν τινι, ἐν χρόνῳ ἀναγκαῖον αὐτὸ εἶναι. εἰ γὰρ ἐν χρόνῳ τινὶ εἴη, καὶ ἠρεμεῖν ἀνάγκη ἐν αὐτῷ. καθ' ἕκαστον οὖν τῶν νῦν ἐφ' ἑκάστου ἐστὶ τῶν ἐπὶ τῆς εὐθείας σημείων. καὶ τὸ α οὖν τὸ φερόμενον, οὔτε γεγονέναι οὔτε ἀπογεγονέναι ἐν τῷ β, ἀλλὰ μόνον εἶναι ἐπ' αὐτοῦ ἐν τῷ νῦν. ἀλλ' οὐκ ἐν χρόνῳ τινί. ἀνάλογον γάρ ἐστιν ὡς τὰ μεταξὺ σημεῖα ἐν τῇ εὐθείᾳ, οὕτω τὰ μεταξὺ νῦν ἐν τῷ χρόνῳ, κατὰ τὸ δυνάμει ὂν μόνον τὸ συνεχῶς κινούμενον, ἔν τε τοῖς μεταξὺ σημείοις ἐστὶ, καὶ ἐν τοῖς μεταξὺ νῦν. εἰπὼν δὲ ὅτι ἐν οὐδενὶ χρόνῳ ἐστὶ τὸ συνεχῶς ἐπὶ τῆς εὐθείας κινούμενον. κατά τι τῶν ἐν τῇ εὐθείᾳ σημείων, προσέθηκε πλὴν οὗ τὸ νῦν ἐστι διαίρεσις. ἴσον λέγων τῷ κυρίως μὲν καὶ καθ' αὑτὸ μὴ εἶναι ἐν χρόνῳ τὸ κινούμενον συνεχῶς ἐπὶ τῆς εὐθείας, κατά τι τῶν ἐν αὐτῇ σημείων. κοινότερον μέντοι καὶ κατὰ συμβεβηκὸς δύνασθαι καθ' ἕκαστον τῶν σημείων εἶναι λέγεσθαι ἐν χρόνῳ, τῷ τῶν νῦν ἕκαστον, καθ' ἅ ἐστιν ἐφ' ἑκάστου τῶν σημείων τὸ κινούμενον ἐπὶ τῆς εὐθείας, ἐκείνου εἶναι τοῦ χρόνου, ἐν ᾧ διέξεισι τὴν εὐθεῖαν. τῷ γὰρ ἐν τῷ νῦν εἶναι, ὅ ἐστι διαίρεσις τοῦ χρόνου, ἕτερον λέγοιτο ἂν καὶ ἐν τῷ χρόνῳ εἶναι. οὐ τὸ νῦν ἐστιν, ἀλλ' οὐ τὸ κυρίως. τὸ γὰρ νῦν οὐ μόριος τοῦ χρόνου ἐστίν. ἀλλὰ τομὴ αὐτοῦ. καθ' ὃ τέμνεται καὶ δύναται τμηθῆναι ὁ χρόνος. ὡς

γὰρ ἡ γραμμὴ κατὰ σημεῖον τῶν ἐν αὐτῇ ὅ ἐστιν ἀμερὲς διαιρεῖται, οὕτω καὶ ὁ χρόνος κατὰ τὸ νῦν. εἰπὼν δὲ ὅτι τὸ συνεχῶς φερόμενον κατ' οὐδὲν τῶν ἐν τῇ γραμμῇ σημείων γίνεται ἢ ἀπογίνεται, δείκνυσι τοῦτο ἐκ τοῦ καθ' ὃ ἂν σημεῖον γίνεται ἢ ἀπογίνηται ἵστασθαι αὐτὸ ἀνάγκη. ὥστε κατὰ πάντα ἀεὶ στήσεται τὸ συνεχῶς κινούμενον. ὅπερ ἀδύνατον. ὅτι γὰρ τὸ γινόμενόν που καὶ ἀπογινόμενον ἵσταται, δῆλον ἐκ τοῦ μὴ δύνασθαί τι ἐν τῷ αὐτῷ νῦν γενέσθαι τε καὶ ἀπογενέσθαι ἔν τινι. ἅμα γὰρ ἂν εἴη τε καὶ οὐκ εἴη ἐν τῷ αὐτῷ. ἐν ἄλλῳ οὖν νῦν καὶ ἐν ἄλλῳ. εἰ δὲ τοῦτο, πάντων δὲ τῶν νῦν χρόνος μεταξύ. ἐπεὶ μὴ ἔχεται ἀλλήλων τὰ νῦν, τὸν μεταξὺ τοῦτον χρόνον εἴη ἂν ἠρεμοῦν ἐπὶ τοῦ σημείου. ἐν ᾧ κεῖται γεγονέναι τε καὶ ἀπογεγονέναι ἀπ' αὐτοῦ. εἰ δὲ καθ' ἕκαστον τῶν ἐν τῇ εὐθείᾳ σημείων τοῦτο ποιεῖ. τί γὰρ μᾶλλον ἐπὶ τούτου ἢ ἐπὶ τοῦ ἑτέρου, εἴη ἂν ἠρεμοῦν ἐπὶ τῆς εὐθείας τὸ συνεχῶς ἐπ' αὐτῆς κινούμενον. οὗ τι ἂν εἴη ἀλογώτερον. τὸ δὲ ἐν ἄλλῳ ἄρα σημείῳ χρόνου εἶπεν, ὡς ἴσον τῷ ἐν ἄλλῳ νῦν. τὸ γὰρ νῦν τὸ ἐν τῷ χρόνῳ ἀνάλογόν ἐστι σημείῳ τῷ ἐν τῇ γραμμῇ. εἰπὼν δὲ ὅπως ἔχει τὸ συνεχῶς κινούμενον ἐπὶ τῆς εὐθείας, καὶ δείξας ὅτι ἐν οὐδενὶ σημείῳ τῶν μεταξὺ γίνεται ἢ ἀπογίνεται, ἀλλὰ μόνον ἐστὶ κατὰ ταῦτα ἐν τῷ νῦν, ὅταν δέ φησι τὸ φερόμενον τὸ α χρήσηταί τινι τῶν μεταξὺ σημείων οἷον τῷ β ὡς μέσῳ, τουτέστιν ὡς ἀρχῇ καὶ τελευτῇ, τότε ἀνάγκη στῆναι ἐν αὐτῷ. ἀνάγκη δὲ ἐκείνῳ χρῆσθαι τῷ σημείῳ οὕτως, ἀφ' οὗ ἀνακάμπτει. ἀνάγκη ἄρα στῆναι ἐν ἐκείνῳ ἀφ' οὗ ἀνακάμπτει. ὅπερ ἐξ ἀρχῆς δεῖξαι προέκειτο. τὸ δὲ δεῖ τὸ δύο ποιεῖν, ὥσπερ ἂν εἰ καὶ νοήσειεν, ἴσον ἐστί, τῷ οὕτω γὰρ τὸ ἓν τῷ ἀριθμῷ δύο ποιεῖ τῇ στάσει. οὐ γὰρ δὴ διαιρεῖ τὸ σημεῖον ἀδιαίρετον ὄν. ἀλλὰ δὶς αὐτῷ χρῆται. ποτὲ μὲν ὡς πέρατι, ποτὲ δὲ ὡς ἀρχῇ, δεῖ τὸ ἵστασθαι ἐν αὐτῷ. πῶς δὲ τὸ ἓν δύο ποιεῖ δεικνύς, προσέθηκεν ὥσπερ ἂν εἰ καὶ νοήσειεν. ἔκειτο γὰρ τὸ οὕτω γινόμενον δύο, τῷ λόγῳ γίνεσθαι δύο. ἔστι γὰρ καὶ τῷ μὲν ἀριθμῷ ἕν, τῷ λόγῳ δὲ δύο, τουτέστι τῇ νοήσει. ὡς γὰρ ὁ τῇ ἐπινοίᾳ τῷ αὐτῷ ὡς δυσὶ χρησάμενος, καί ποτε μὲν ὡς πέρας αὐτὸ λαβών. ποτὲ δὲ ὡς ἀρχήν, οὐ διῄρηκε μὲν τὸ ᾧ κέχρηται, τῷ αὐτῷ πρὸς ἄμφω χρησάμενος, τρόπον δέ τινα τὸ ἓν δύο τῇ ἐπινοίᾳ πεποίηκεν, οὕτω καὶ τὸ ἐπιστὰν ἐπ' αὐτοῦ, καὶ ὡς ἀρχῇ αὐτῷ καὶ πέρατι χρησάμενον. δείξας δὲ ὅπως τοῖς μεταξὺ τῶν ἄκρων σημείοις χρῆται τὸ συνεχῶς κινούμενον, ὅτι οὐχ ὡς πέρατι καὶ ἀρχῇ τῷ αὐτῷ, ἀλλ' ἔστι καθ' ἕκαστον ἐν τῷ νῦν καὶ ἀχρόνως, ἐπιφέρει ὅτι οὐκέτι ὁμοίως χρῆται καὶ τῷ κατὰ τὴν ἀρχὴν τῆς εὐθείας σημείῳ καὶ τῷ κατὰ τὸ πέρας. τὰ μὲν γὰρ μεταξὺ σημεῖα δυνάμει ἦν ἐν τῇ γραμμῇ, καὶ ἐδεῖτο πρὸς τὸ ἐνεργείᾳ γενέσθαι τοῦ διαιροῦντος τῇ στάσει τὴν εὐθεῖαν. τὰ δὲ ἐπὶ τῶν ἄκρων ἐνεργείᾳ ἐστί. διὸ καὶ ἀναγκαίως τὸ ἐπὶ τῆς εὐθείας κινούμενον τῆς μὲν ἀρχῆς ἀπογίνεσθαι. ὅταν δὲ κινηθῇ τὴν πᾶσαν ἐπὶ τοῦ πέρατος γίνεσθαι. κἂν ἀνακάμπτῃ, δεήσει ἀπογενέσθαι ἀπὸ τούτου, ἐν ᾧ γέγονε. τὸ δὲ γεγονὸς ἔν τινι καὶ ἀπογεγονὸς ἀπ' αὐτοῦ, ἀνάγκη ἐν αὐτῷ ἠρεμηκέναι τὸν μεταξὺ τῶν νῦν χρόνον, τοῦ τε ἐν ᾧ ἐγένετο ἐν αὐτῷ, καὶ τοῦ ἐν ᾧ ἀπεγένετο ἀπ' αὐτοῦ. ὥστε πᾶν τὸ ἀνακάμπτον ἀνάγκη ἠρεμεῖν ἐν τῷ τελευταίῳ, ἀφ' οὗ ἀνακάμπτει. τοῦτο μὲν οὖν ἐστι τὸ δεικνύμενον. ὁ δὲ ἀγαγὼν τὸν λόγον ἐπὶ τοῦτο. ὅτι τὸ ἐπὶ τῆς εὐθείας κινούμενον, ἀπογίνεται μὲν τῆς ἀρχῆς, γίνεται δὲ ἐν τῷ πέρατι, πρὸ τοῦ τὸ ἑπόμενον τούτῳ θεῖναι, ὅτι ἀνακάμπτον ἀπὸ τοῦ πέρατος ἀνάγκη αὐτὸ πρῶτον ἠρεμεῖν ἐν αὐτῷ, ἀπορίαν τινὰ δοκοῦσαν ἀναιρεῖσθαι λύει, τοῖς νῦν εἰρημένοις ἢ δεδειγμένοις προσχρώμενος.

Δ ΔΙῸ ΚΑῚ πρὸς τὴν ἀπορίαν τοῦτο λεκτέον. ἔχει γὰρ ἀπορίαν τήνδε. εἰ γὰρ εἴη ἡ τὸ ε τῇ ζ ἴση καὶ τὸ α φέροιτο συνεχῶς ἀπὸ τοῦ ἄκρου πρὸς τὸ γ. ἅμα δὲ εἴη τὸ α ἐπὶ τῷ β σημείῳ, καὶ τὸ δ φέροιτο ἀπὸ τῆς ζ ἄκρας πρὸς τὸ η ὁμαλῶς. καὶ τῷ αὐτῷ τάχει, τῷ α τὸ δ ἔμπροσθεν ἥξει ἐπὶ τὸ η. ἢ τὸ α ἐπὶ τὸ γ. τὸ γὰρ πρότερον ὁρμῆσαν καὶ ἀπελθὸν, πρότερον ἐλθεῖν ἀνάγκη. οὐκ ἄρα ἅμα γέγονε τὸ α ἐπὶ τὸ β. καὶ ἀπογέγονεν ἀπ' αὐτοῦ. διὸ ὑστερίζει. εἰ γὰρ ἅμα, οὐχ ὑστεριεῖ, ἀλλ' ἀνάγκη ἵστασθαι.

Δ Δείξας ὅτι τὸ γινόμενον ἔν τινι καὶ ἀπογινόμενον ἀπ' αὐτοῦ, ἀνάγκην ἔχει στῆναι ἐν αὐτῷ, ἀπορίαν πρὸς τοῦτο φερομένην ἐπάγει. καὶ λύει τὴν ἀπορίαν, τὸ ἀδιορίστως ἐν αὐτῇ ληφθὲν διορισάμενος. καὶ ἡ μὲν ἀπορία βραχέως καὶ ἀσαφῶς ὑπ' αὐτοῦ τεθεῖσα. τοιοῦτον ἔχει τὸ κεφάλαιον. εἰ ἀνάγκη τὸ γινόμενον ἔν τινι καὶ ἀπογινόμενον ἀπ' αὐτοῦ, χρόνον τινὰ ἠρεμεῖν ἐν αὐτῷ, συμβήσεται τὰ ἰσοταχῶς κινούμενα ἐπὶ ἴσων εὐθειῶν ἅμα ἀρξάμενα κινεῖσθαι, οὐχ ἅμα διϊέναι τὰς ἴσας εὐθείας. ὅπερ ἄτοπον, ὥστε καὶ τὸ ἡγούμενον ἄτοπον τὸ τὸ γινόμενον ἔν τινι καὶ ἀπογινόμενον χρόνον τινὰ ἠρεμεῖν. τὸ δὲ εἰρημένον ἄτοπον συμβαίνει, ἐὰν τῶν ἰσοταχῶς κινουμένων, τὸ μὲν ληφθῇ γεγονέναι καὶ ἀπογεγονέναι κατά τι τῶν μεταξὺ σημείων, τὸ δὲ μὴ ληφθῇ. ἐὰν γὰρ ᾖ δύο τινὰ ἰσοταχῶς κινούμενα οἷον τὰ α δ, ἐπὶ δύο τινῶν εὐθειῶν ἴσων τῆς τε ε καὶ τῆς ζ, ληφθῇ δὲ τὸ α ἐπὶ τῆς εγ. ἔν τινι τῶν μεταξὺ τοῦ ε καὶ τοῦ γ σημείων οἷον τῷ β, μὴ μόνον ὂν ἀλλὰ καὶ γινόμενον καὶ ἀπο-

γινόμενον

γινόμενον, εἰ τὸ γεγονὸς ἔν τινι καὶ ἀπογεγονός, χρόνον τινὰ τὸν μεταξὺ τῶν δύο νῦν τοῦτε ἐν ᾧ γίνεται καὶ τοῦ ἐν ᾧ ἀπογίνεται ἠρεμεῖν ἀνάγκη, ἀκολουθήσει τὸ θᾶττον τὸ δ τὴν ζη εὐθεῖαν κινεῖσθαι, τὸ ἰσοταχές τε ὂν τῷ α καὶ ἅμα ἠργμένον τῆς κινήσεως. τοῦτο δὲ συνέβη, διὰ τὸ ἐπὶ μὲν τοῦ α λαβεῖν τὸ καὶ γεγονέναι καὶ ἀπογεγονέναι ἐπί τινος τῶν μεταξὺ τῶν ε γ σημείου. ἐπὶ δὲ τοῦ δ μηδὲν τοιοῦτον προσλαβεῖν, ἀλλὰ συνεχῆ τὴν κίνησιν ἐᾶσαι. ὥστε καὶ τὰ μεταξὺ τῶν ζ η σημεῖα δυνάμει εἶναι. καὶ τὸ δ συνεχῶς κινούμενον εἶναι μόνον ἐπὶ τῶν σημείων, ἀλλὰ μὴ γίνεσθαι καὶ ἀπογίνεσθαι. εἰ οὖν οὕτω καὶ τὸ α τὸ ἰσοταχὲς τῷ δ ληφθείη συνεχῶς κινούμενον, οὐκέτι ἐπακολουθεῖ τὸ θᾶττον τὸ δ διεξελθεῖν τὴν ζη, ἢ τὸ α τὴν ε γ. ἀμφότερα γὰρ ὁμοίως διεξέρχεται ὄντα ἐν τοῖς μεταξὺ σημείοις τοῖς δυνάμει. ἀλλ᾽ οὐχὶ τοῦ ἑτέρου γινομένου ἔν τινι αὐτῶν καὶ ἀπογινομένου. οὐ γὰρ ἀνάγκη τὸ ἔν τινι ὂν καὶ γίνεσθαι ἐν αὐτῷ καὶ ἀπογίνεσθαι. ὁ γοῦν ὁ ἀπορῶν λόγος ἐπὶ τοῦ ἑτέρου τῶν κινουμένων τοῦ α λαβών, συνῆγε τὸ μὴ ἀληθῶς ἀποδεδεῖχθαι τὸ ἠρεμεῖν μεταξὺ χρόνον τινὰ τὸ γινόμενον καὶ ἀπογινόμενον. ὁ δὲ ἀριστοτέλης ἔλαβε γραμμὰς ε μὲν τὴν τὸ ε γ, ζ δὲ τὴν τὸ ζ η. ἀσαφὲς δὲ ὂν τὸ ἐπὶ τοῦ δ ῥηθέν. τὸ γὰρ πρότερον ὁρμῆσαν καὶ ἀπελθὸν πρότερον ἐλθεῖν ἀνάγκη, καλῶς ὁ ἀλέξανδρος ἐσαφήνισεν. οὐ γὰρ τοῦτο λέγει, ὅπερ ἄν τις ὑπολάβοι. ὅτι οὐχ ἅμα ἤρξαντο τοῦ κινεῖσθαι τὸ α καὶ τὸ δ. καὶ γὰρ καὶ κεῖται ἅμα ἀρχόμενα. καὶ εἰ μὴ ἅμα ἄρχοιτο, οὐδὲν ἂν ἄτοπον εἴη τὸ συναγόμενον. ἀλλ᾽ ὃ λέγει τοῦτό ἐστι, τὸ α καὶ τὸ δ ὁμοῦ ἀρξάμενα ἀπὸ τοῦ ε καὶ ζ, ἰσοταχῶς φερόμενα ἔρχεται, τὸ μὲν α ἐπὶ τὸ β, τὸ δὲ δ ἐπί τι ἄλλο σημεῖον, ἀνάλογον ὂν τῷ β ἐν τῇ ζη εὐθείᾳ. καὶ τὸ ἴσον διεστηκὸς ἀπὸ τοῦ ζ. ὡς διέστηκε τὸ β ἀπὸ τοῦ ε. ἀπὸ δὲ τούτων τῶν σημείων, τοῦτε β, καὶ τοῦ ἀναλόγου αὐτῷ ἐν τῇ ζη εὐθείᾳ, οὐκέτι ἅμα ἀποχωροῦσι τό, τε α καὶ τὸ δ, διότι τὸ α γινόμενον καὶ ἀπογινόμενον ἐν τῷ β ὑποτεθέν, ἀνάγκη καὶ ἠρεμηκέναι ἐν αὐτῷ. τὸ δὲ δ μὴ ὑποτεθὲν γίνεσθαι ἐν τῷ ἀνάλογον τῷ β σημείῳ. ἀλλ᾽ εἶναι μόνον ἐν τοῖς δυνάμει σημείοις συνεχῶς ἐπὶ τῆς εὐθείας κινούμενον, οὐκ ἀνάγκη ἠρεμεῖν. ἅμα οὖν ἐλθόντα ἐπὶ τὰ ἀνάλογον σημεῖα, οὐχ ἅμα ἀποχωρεῖ τό, τε ἠρεμῆσαν καὶ τὸ μὴ ἠρεμῆσαν, ἀλλὰ τὸ μὴ ἠρεμῆσαν πρῶτον. ἰσοταχῶν δὲ ὄντων, ἀνάγκη τὸ πρότερον ἀπελθὸν ἀπὸ τοῦ μέσου. εἰ τύχοι πρότερον ἐλθεῖν ἐπὶ τὸ τέλος. καὶ τὴν αἰτίαν αὐτὸς εἶπεν. διὰ τοῦ, οὐχ ἅμα ἄρα γέγονε τὸ α ἐπὶ τῷ β, καὶ ἀπογέγονεν ἀπὸ αὐτοῦ. οὐ γὰρ ἅμα γέγονε τὸ α ἐπὶ τῷ β, καὶ ἀπογέγονεν ἀπ᾽ αὐτοῦ. διότι καὶ ἠρέμησεν ἐν αὐτῷ, ὑστερίζειν ἄρα ἀνάγκη. εἰ γὰρ ἅμα, οὐχ ὑστεριεῖ. ἀνάγκη δὲ ὑστερίζειν διὰ τὸ ἠρεμεῖν ἐν τῷ β. καὶ ἐκεῖνο δὲ

» πρὸ τούτων τῶν ῥητῶν ἀσάφειαν ἔχει τινά. ἅμα δὲ εἴη τὸ α ἐπὶ τῷ β σημείῳ, καὶ τὸ δ φέροιτο ἀπὸ τῆς

» ζ ἄκρας πρὸς τὸ η. πῶς γὰρ ἅμα τὸ α ἐπὶ τῷ β. καὶ τὸ δ φέροιτο ἀπὸ τῆς ζ ἄκρας. εἴπερ ἅμα ἤρξαντο τὸ μὲν α ἀπὸ τοῦ ε, τὸ δὲ δ ἀπὸ τοῦ ζ. ἀλλ᾽ ἔοικεν λέγειν ὅτε τὸ α ἐπὶ τῷ β σημείῳ ἠρεμεῖ, τότε τὸ δ ἀπὸ τῆς ζ ἄκρας συνεχῶς κινούμενον πρὸς τὸ η φέρεται, καὶ οὐκ ἠρεμεῖ που ὡς τὸ α κατὰ τὴν ὑπόθεσιν.

Οὐκ ἄρα θετέον ὅτε τὸ α ἐγένετο κατὰ τὸ β τὸ δ κινεῖσθαι ἅμα ἀπὸ τοῦ ζ ἄκρου. εἰ γὰρ ἔσται γεγονὸς τὸ α ἐπὶ τὸ β, ἔσται καὶ τὸ ἀπογίνεσθαι, καὶ οὐχ ἅμα. ἀλλ᾽ ἦν ἐν τομῇ χρόνου, καὶ οὐκ ἐν χρόνῳ. ἐνταῦθα μὲν οὖν ἀδύνατον οὕτω λέγειν ἐπὶ τοῦ συνεχοῦς.

Ἐντεῦθεν ἡ ἀρχὴ τῆς λύσεως ἀπὸ τῶν ἤδη δεδειγμένων ἐπιχειροῦσα. λέγει δὲ ὅτι οὐ χρὴ τιθέναι τὸ α κινούμενον ἐπὶ τῆς ε γ, γεγονέναι ἐν τῷ β ὅλως. ὥστε λέγειν ὡς ὁ ἀπορῶν ἔλεγεν, ὅτι ὅτε τὸ α ἐγίνετο κατὰ τὸ β. τότε τὸ δ ἅμα ἀπὸ τοῦ ζ ἄκρου κινεῖσθαι. εἰ γὰρ ἐγένετο ἐπὶ τοῦ β τὸ α, καὶ ἀπεγένετο ἂν ὄντως ἀπ᾽ αὐτοῦ. καὶ οὐχ ἅμα ἄμφω. ἀλλ᾽ ἦν τις χρόνος μεταξὺ καὶ ἠρεμία, καὶ ὁ ἀπορῶν λόγος ἰσχυρὸς ἂν εἴη. ἀλλ᾽ εἰ συνεχὴς ὁμοίως ἡ κίνησις ἦν καὶ τοῦ α ὥσπερ τοῦ δ. καὶ τὸ α ἐν τῷ β οὔτε ἐν χρόνῳ. οὔτε γενήσεται ὅλως ἐν τῷ β. ἀλλὰ ἀντὶ τοῦ γενέσθαι, ἔσται, καὶ ἀντὶ τοῦ ἐν χρόνῳ, ἐν τῷ νῦν. τὸ γὰρ συνεχῶς κινούμενον, ἔστι μὲν καθ᾽ ἕκαστον τῶν δυνάμει πέρας σημείων, καὶ ἔστιν οὐκ ἐν χρόνῳ. ἀλλ᾽ ἐν τῷ νῦν. ὅ ἐστι πέρας χρόνου. διὸ οὔτε γίνεται ἔν τινι τῶν τοιούτων. οὔτε ἀπογίνεται. ὥστε ἐπὶ μὲν τῆς συνεχοῦς κινήσεως τῆς ἐπὶ συνεχοῦς μεγέθους γινομένης, ἀδύνατον λέγειν γίνεσθαι κατά τι τῶν ἐν τῷ συνεχεῖ σημείων τὸ κινούμενον ἢ ἀπ᾽ αὐτοῦ. διότι μηδὲ ἔστιν ἐνεργείᾳ τι τούτων τῶν σημείων. ἀλλὰ δυνάμει μόνον.

Ἐπὶ δὲ τοῦ ἀνακάμπτοντος, ἀνάγκη λέγειν οὕτως. εἰ γὰρ ἡ τὸ η φέροιτο πρὸς τὸ δ, καὶ πάλιν ἀνακάμψασα, κάτω φέροιτο, τῷ ἄκρῳ τῷ ἐφ᾽ οὗ τὸ δ τελευτῇ καὶ ἀρχῇ κέχρηται τῷ ἑνὶ σημείῳ ὡς δυσί. διὸ στῆναι ἀνάγκη. καὶ οὐχ ἅμα γέγονεν ἐπὶ τῷ δ, καὶ ἀπελήλυθεν ἀπὸ τοῦ δ ἐκεῖ γὰρ ἂν ἅμα εἴη καὶ οὐκ εἴη ἐν τῷ αὐτῷ νῦν.

Δείξας ὅπως ἐπὶ τῶν συνεχῶς κινουμένων οὐκ ἔστι λέγειν τὸ γίνεσθαι καὶ ἀπογίνεσθαι, ἐπάγει ὅτι ἐπὶ τοῦ ἐπὶ τὸ πέρας ἐλθόντος καὶ ἀνακάμπτοντος, ἀνάγκη λέγειν τὸ γεγονέναι τε αὐτὸ ἐν τῷ πέρατι καὶ ἀπογεγονέναι. οὐκέτι γὰρ τὸ πέρας τῆς εὐθείας δυνάμει ἐστίν, ὡς ἦν τὰ μεταξύ. ἀλλ᾽ ἔστιν ἐνεργείᾳ, διὸ καὶ γενέσθαι ἐν τῷ πέρατι ἀνάγκη, καὶ ἀπογενέσθαι ἀπ᾽ αὐτοῦ. καὶ λείπουσι τοῦτο πάλιν διὰ τῶν στοιχείων ἐκθέσεως. ἐν ἀλ-

λάξας ὥς φησιν ὁ ἀλέξανδρος τὰ στοιχεῖα, καὶ ποιήσας νῦν τὸ η κινούμενον. ὥσπερ πρότερον τὸ δ. καὶ τὸ δ πέρας νῦν τῆς εὐθείας, ὥσπερ πρότερον ἦν τὸ η. καὶ λέγει ὅτι τὸ η ἐλθὸν ἐπὶ τὸ πέρας τὸ δ, ὅταν ἀνακάμψῃ πάλιν, τῷ ἑνὶ σημείῳ ὡς δυσὶν. ὡς γὰρ ἀρχῇ καὶ πέρατι κέχρηται. ὥστε δὲ ἦν τὸ γενέσθαι καὶ ἀπογενέσθαι. διὸ ἐξ ἀνάγκης δεῖ αὐτὸ τὸν μεταξὺ χρόνον τῶν νῦν, τοῦτε ἐν ᾧ ἐγένετο ἐν τῷ πέρατι τῷ δ, καὶ τοῦ ἐν ᾧ ἀπεγένετο, ἀνακάμψαι ἀπ' αὐτοῦ ἠρεμῆσαι. οὕτω μὲν ὁ ἀλέξανδρος τὴν ἐναλλαγὴν τῶν στοιχείων ἐξεδέξατο. μήποτε δὲ τὸ δ τὸ κινούμενον ὥσπερ πρότερον ἐπ' ἄκρῳ τέθηκε τῆς ζ η εὐθείας, ἵνα ἀπὸ τοῦ ἄκρου κινούμενον αὐτὸ λάβῃ, οὕτω καὶ νῦν ἐν τῷ ἄκρῳ φυλάξας, ἀντὶ τοῦ ἄκρου τῆς εὐθείας αὐτὸ παρέλαβεν. τὸ δὲ η ὃ πέρας ἦν τῆς εὐθείας πρότερον, ἐπὶ τὴν ἀρχὴν τῆς εὐθείας τουτέστιν ἐπὶ τὸ δ κινούμενον ἔλαβεν. ἵνα τὴν ἀνάκαμψιν ἐν τῇ ἀρχῇ ποιήσας, τὴν ἀρχὴν ἅμα καὶ ὡς πέρας λάβῃ. ὡς εἶχε τὸ πέρας ἅμα καὶ ὡς ἀρχὴν ἐβούλετο λαβεῖν, τὸ δ ἂν ἐπὶ τὸ η ἐκίνησεν. ὅτι δὲ μὴ ἅμα οἷόν τε αὐτὸ γεγονέναι ἐν τῷ δ καὶ ἀπογεγονέναι ἀπ' αὐτοῦ, ἔδειξεν εἰπών. ἐκεῖ τε γὰρ ἂν ἅμα εἴη καὶ οὐκ εἴη ἐν τῷ αὐτῷ νῦν. τὸ γὰρ γεγονὸς ἔν τινι καὶ ἀπογεγονός, ὅτε μὲν γέγονεν ἐν αὐτῷ ἔστιν ἐν αὐτῷ. ὅτε δὲ ἀπογέγονεν καὶ ἀπελήλυθεν ἀπ' αὐτοῦ. οὐκέτι ἐστὶν ἐν αὐτῷ. εἰ οὖν λέγοι τις ἐν τῷ νῦν τῷ ἀδιαιρέτῳ γεγονέναι τέ τι ἔν τινι καὶ ἀπογεγονέναι, ἅμα ἂν καὶ ἐν τῷ αὐτῷ νῦν λέγοι εἶναί τε ἐν τούτῳ αὐτῷ τι καὶ μὴ εἶναι. καθ' ὅσον μὲν γέγονεν εἶναι. καθ' ὅσον δὲ ἀπογέγονε μὴ εἶναι.

ἈΛΛΑ μὴν τήν γε πάλαι λύσιν, οὐ λεκτέον. οὐ γὰρ ἐνδέχεται λέγειν ὅτι ἐστὶ κατὰ τὸ δ, ἢ τὸ η ἐν τομῇ. οὔτε γέγονε δὲ οὐ δὲ ἀπογέγονεν. ἀνάγκη γὰρ ἐπὶ τέλος ἐλθεῖν τὸ ἐνεργείᾳ ὂν μὴ δυνάμει. τὸ μὲν οὖν ἐν μέσῳ, δυνάμει ἐστί. τοῦτο δ' ἐνεργείᾳ, καὶ τελευτὴ μὲν, κάτωθεν. ἀρχὴ δὲ ἄνωθεν. καὶ τῶν κινήσεων ἄρα ὡσαύτως. ἀνάγκη ἄρα στῆναι τὸ ἀνακάμπτον ἐπὶ τῆς εὐθείας. οὐκ ἄρα ἐνδέχεται συνεχῆ κίνησιν εἶναι ἀΐδιον ἐπὶ τῆς εὐθείας.

Λύων τὴν ἀπορίαν τὴν λέγουσαν, ὅτι εἰ τὸ α γεγονὸς ἔσται ἐν τῷ β καὶ ἀπογεγονός, τὸ δὲ γινόμενον καὶ ἀπογινόμενον μεταξὺ ἵσταται, συμβαίνει τὸ δ ἰσοταχὲς ὂν τῷ α, τὴν ζ η εὐθεῖαν ἴσην οὖσαν τῇ ε γ θᾶττον διϊέναι, ἤπερ τὸ α τὴν ε γ. ὅπερ ἄτοπον. τὰ γὰρ ἰσοταχῆ τὰς ἴσας ἐν ἴσῳ χρόνῳ διίεισι, ταύτην οὖν λύων τὴν ἀπορίαν ἔλεγεν, ὅτι τὸ α οὐ γίνεται ἐν τῷ β καὶ ἀπογίνεται ἐν χρόνῳ. ἀλλ' ἦν ἐν αὐτῷ ἐν τομῇ χρόνου καὶ οὐκ ἐν χρόνῳ. διότι μὴ ἔστιν ἐνεργείᾳ ἐν τῷ συνεχεῖ τὰ σημεῖα, ἀλλὰ δυνάμει. οὐ χρὴ οὖν φησὶ τὸ αὐτὸ λέγειν ἐπὶ τῶν ἀνακαμπτόντων, ὅτι ἐστὶ μὲν ἐν τῷ νῦν κατὰ τὸ δ. οὐ μὴν καὶ γέγονεν ἐν αὐτῷ ἢ ἀπογέγονεν ἀπ' αὐτοῦ. ἐνεργείᾳ γὰρ τοῦτό ἐστιν ἤδη καὶ οὐ δυνάμει. ὡς τὰ μεταξὺ τῆς τε ἀρχῆς καὶ τοῦ πέρατος. καὶ τούτου πίστιν κομίζει, τὸ ἀνάγκην εἶναι τὸ κινούμενον ἐπί τι, ἐλθεῖν ποτε εἰς αὐτό, ἐνεργείᾳ ὂν ἤδη τέλος καὶ οὐ δυνάμει. οἷα ἦν ὅτε ἐκινεῖτο ἐπ' αὐτὸ δὲ κινούμενον τὰ μεταξύ. ταῦτα γὰρ δυνάμει τέλη ἦν. διότι τὸ κινούμενον ἐδύνατο καὶ ταῦτα ἐνεργείᾳ ποιεῖν ἐπιστὰν ἐν αὐτοῖς, καὶ διελὸν τὴν συνέχειαν. τὸ γὰρ συνεχῶς κινούμενον ἐπὶ πεπερασμένης καὶ συνεχοῦς εὐθείας, οὐδενὶ τῶν μεταξὺ χρῆται ὡς ἐνεργείᾳ ὄντι. δεῖ δὲ ἀφικέσθαι ποτὲ καὶ ἐπὶ τὸ πέρας, καὶ ἐνεργείᾳ ἐν αὐτῷ γενέσθαι, ὄντι καὶ αὐτῷ ἐνεργείᾳ ἀλλ' οὐ δυνάμει ὡς τὰ πρὸ αὐτοῦ. ὡς γὰρ ἐστὶ τὰ ἐν τῷ ὑποκειμένῳ σημεῖα, οὕτω καὶ τὸ συνεχῶς ἐπ' αὐτοῦ κινούμενον ἐν αὐτοῖς γίνεται. ἐν μὲν τοῖς δυνάμει οὖσι δυνάμει, ἐν δὲ τοῖς ἐνεργείᾳ ἐνεργείᾳ. οἶδεν δὲ καὶ ἄλλην γραφὴν ὁ ἀλέξανδρος. ἣν καὶ προηγουμένως ἀναγράφει αὐτός, τὴν ἐν τοῖς πολλοῖς βυβλίοις φερομένην, ἣν καὶ ἐξηγησάμενος πέπαυμαι, ὡς ἑτέραν παραγράφων. ἔχει δὲ ἡ ἄλλη οὕτως. » ἀνάγκη γὰρ ἐπὶ τέλος ἐλθεῖν τὸ ἐνεργείᾳ ὂν δυνάμει. λέγοι δὲ ἂν ὅτι τὸ κινούμενον τέως ὂν δυνάμει, ἐν τῷ τέλει ἕως ἂν κινῆται, ἀνάγκη ἐπὶ τέλος ἐλθεῖν τὸ ἐνεργείᾳ ὂν ἤδη τέλος. ὅταν ἐπ' αὐτοῦ γένηται. τὸ δὲ ἐν τῷ ἐνεργείᾳ τέλει γινόμενον, ἐν τούτῳ κατ' ἐνέργειαν σημείῳ γίνεται ἐν χρόνῳ, καὶ οὐκ ἐν τομῇ χρόνου. ἀνάγκη γὰρ τὸ κινούμενον ἀνακάμπτον ἀπ' αὐτοῦ. ὅταν μὲν ἐπ' αὐτὸ κινῆται, ὡς τελευτῇ αὐτῷ χρήσασθαι. ὅταν δὲ ἀπ' αὐτοῦ. ὡς ἀρχῇ, τοῦ δὲ πέρατος καὶ τῆς ἀρχῆς ἠρεμίαν ἀνάγκη μεταξὺ γενέσθαι. ὡς δὲ ἡ εὐθεῖα φησὶν ἐφ' ἧς κινεῖται τὸ κινούμενον τὸ αὐτὸ πέρας ἔχει καὶ ἀρχήν, οὕτω καὶ τὴν κίνησιν ἔχει ἀνάγκη, τὴν κάτωθεν ἄνω γινομένην, καὶ ἄνωθεν κάτω. καὶ ταύτης γὰρ τὸ ἄνω πέρας ἐστὶ καὶ ἀρχή. δείξας δὲ πολυειδῶς ὃ προέθετο, ὅτι τὰ ἀνακάμπτοντα ἀνάγκη μεταξὺ ἵστασθαι, καὶ ὅτι τὰ ἐπὶ τῆς εὐθείας κινούμενα ἀνάγκη ἀνακάμπτειν, εἰ μὴ παύοιτο ἐπὶ τοῖς πέρασι γινόμενα, συμπεραινόμενος τὰ εἰρημένα, τὸν ὅλον συντόμως ἐκτίθεται συλλογισμὸν ἔχοντα οὕτως. τὰ ἐπὶ τῆς εὐθείας ἐπὶ μόνως κινούμενα ἀνακάμπτει, τὰ ἀνακάμπτοντα ἵσταται μεταξύ. τὰ ἱστάμενα μεταξὺ οὐ κινεῖται συνεχῆ κίνησιν. τὰ ἄρα ἐπὶ τῆς εὐθείας κινούμενα οὐ κινεῖται συνεχῆ κίνησιν οὔτε ἀΐδιον. αὐτὸς δὲ τὰς δύο προτάσεις, τήν τε λέγουσαν ὅτι τὸ ἐπ' εὐθείας κινούμενον ἀνακάμπτει, καὶ τὴν λέγουσαν ὅτι τὸ ἀνακάμπτον ἵσταται, συνελὼν εἰς τὸ ἀνάγκη ἄρα στῆναι τὸ ἀνακάμπτον ἐπὶ τῆς εὐθείας, καὶ παραλιπὼν ὡς σαφῆ τὴν λέγουσαν. ὅτι τὰ ἱστάμενα οὐ κινεῖται συνεχῆ

κίνησιν, τὸ συμπέρασμα ἐπήγαγε τὸ λέγον, οὐκ ἄρα ἐνδέχεται τὴν ἐπὶ τῆς εὐθείας κίνησιν συνεχῆ εἶναι καὶ ἀΐδιον.

ΤῸΝ ΑΥ̓ΤῸΝ ΔῈ τρόπον ἀπαντητέον, καὶ πρὸς τοὺς ἐρωτῶντας τὸν Ζήνωνος λόγον, καὶ ἀξιοῦντας εἰ ἀεὶ τὸ ἥμισυ διϊέναι δεῖ. ταῦτα δ' ἄπειρα, τὰ δ' ἄπειρα, ἀδύνατον, διεξελθεῖν, ἢ ὡς τὸν αὐτὸν τοῦτον λόγον τινὲς ἄλλως ἐρωτῶσιν, ἀξιοῦντες ἅμα τῷ κινεῖσθαι, τὴν ἡμίσειαν πρότερον ἀριθμεῖν καθ' ἕκαστον γιγνόμενον τὸ ἥμισυ. ὥστε διελθόντος τὴν ὅλην ἄπειρον, συμβαίνειν ἠριθμηκέναι ἀριθμόν. τοῦτο δ' ὁμολογουμένως ἐστὶν ἀδύνατον. ἐν μὲν οὖν τοῖς πρώτοις λόγοις τοῖς περὶ κινήσεως, ἐλύομεν, διὰ τοῦ τὸν χρόνον ἄπειρα ἔχειν ἐν αὐτῷ. οὐδὲν γὰρ ἄτοπον εἰ ἐν ἀπείρῳ χρόνῳ, ἄπειρα διέρχεταί τις. ὁμοίως δὲ τὸ ἄπειρον ἔν τε τῷ μήκει ὑπάρχει, καὶ ἐν τῷ χρόνῳ. ἀλλ' αὕτη ἡ λύσις πρὸς μὲν τὸν ἐρωτῶντα, ἱκανῶς ἔχει. ἠρωτᾶτο γὰρ εἰ ἐν πεπερασμένῳ ἐνδέχεται ἄπειρα διεξελθεῖν ἢ ἀριθμῆσαι. πρὸς δὲ τὸ πρᾶγμα καὶ τὴν ἀλήθειαν, οὐχ ἱκανῶς. ἐὰν γάρ τις ἀφέμενος τοῦ μήκους καὶ τοῦ ἐρωτᾶν εἰ ἐν πεπερασμένῳ χρόνῳ ἐνδέχεται ἄπειρα διεξελθεῖν πυνθάνηται ἐπ' αὐτοῦ τοῦ χρόνου ταῦτα, ἔχει γὰρ ὁ χρόνος ἀπείρους διαιρέσεις, οὐκ ἔτι ἱκανὴ ἔσται αὕτη ἡ λύσις. ἀλλὰ τὸ ἀληθὲς λεκτέον, ὅπερ εἴπομεν ἐν τοῖς ἄρτι λόγοις. ἂν γάρ τις τὴν συνεχῆ διαιρῇ, εἰς δύο ἡμίση, οὗτος τῷ ἑνὶ σημείῳ ὡς δυσὶ χρῆται. ποιεῖ γὰρ αὐτὸ καὶ ἀρχὴν καὶ τελευτήν. τοῦτο δὲ ποιεῖ, ὅ, τε ἀριθμῶν, καὶ ὁ εἰς τὰ ἡμίση διαιρῶν. οὕτω δὲ διαιροῦντος, οὐκ ἔσται συνεχής, οὔθ' ἡ γραμμὴ οὔθ' ἡ κίνησις· ἡ γὰρ συνεχὴς κίνησις, συνεχοῦς ἐστιν. ἐν δὲ τῷ συνεχεῖ, ἔνεστι μὲν, ἄπειρα ἡμίση. ἀλλ' οὐκ ἐντελεχείᾳ ἀλλὰ δυνάμει. ἂν δὲ ποιῇ ἐντελεχείᾳ. οὐ ποιήσει συνεχῆ, ἀλλὰ στήσει, ὅπερ ἐπὶ τοῦ ἀριθμοῦντος τὰ ἡμίση φανερόν ἐστιν ὅτι συμβαίνει. τὸ γὰρ ἓν σημεῖον, ἀνάγκη αὐτῷ δύο ἀριθμεῖν. τοῦ μὲν γὰρ ἑτέρου ἡμίσεως. ἀρχή. τοῦ δ' ἑτέρου τελευτὴ ἔσται. ἐὰν μὴ μίαν ἀριθμῇ τὴν συνεχῆ, ἀλλὰ δύο ἡμισείας.

Δείξας ὅτι ἐν τῷ συνεχεῖ τὰ μεταξὺ τῶν ἄκρων σημεῖα, δυνάμει ἐστὶ καὶ οὐκ ἐνεργείᾳ, καὶ διὰ τοῦτο τὸ κινούμενον συνεχῶς ἐπὶ τοῦ συνεχοῦς, οὔτε γίνεται κατά τι αὐτῶν, οὔτε ἀπογίνεται ἀπ' αὐτῶν, ὡς ἐὰν τοῦτο ποιήσῃ διήρηκε τὸ συνεχές, τούτῳ φησὶ δεῖν χρῆσθαι καὶ πρὸς τοὺς ἐρωτῶντας τὸν Ζήνωνος λόγον. περὶ δὲ τῶν Ζήνωνος τοῦ Ἐλεάτου λόγων, οὓς ἠρώτα γυμνάζων τοὺς προσδιαλεγομένους. καὶ δεικνύναι δοκῶν ὅτι οὐκ ἔστι κίνησις, εἶπεν αὐτὸς ἐν τῷ ζ τῆσδε τῆς πραγματείας, ὅτι τέτταρές εἰσι, καὶ τίνες, καὶ πρὸς ἕκαστον οἰκείως ἐνέστη. τῶν δὴ τεσσάρων ἐκείνων λόγων ἕνα προχειρισάμενος νῦν, ὑπομιμνήσκει μὲν ἡμᾶς τῆς τότε ῥηθείσης λύσεως αὐτοῦ. λέγει δὲ ὅτι προσφυέστερον λυθήσεται μᾶλλον ἀπὸ τῶν προσεχῶς δεδειγμένων. ἦν δὲ ὁ μὲν ὑπὸ Ζήνωνος λεγόμενος λόγος. οὐ νῦν μνημονεύει, τοιοῦτος. εἰ ἔστι κίνησις, ἔσται τι τὸ ἐν πεπερασμένῳ χρόνῳ ἄπειρα διεληλυθός. τῷ γὰρ ἐπ' ἄπειρον εἶναι τὴν διχοτομίαν, ἐν παντὶ συνεχεῖ ἔσται ἄπειρα ἡμίση, τῷ πᾶν μόριον αὐτοῦ ἥμισυ, ἔχειν ἔσται δὴ τὸ κεκινημένον τὴν πεπερασμένην τὰ ἄπειρα ἡμίση διεληλυθὸς, ἐν πεπερασμένῳ χρόνῳ, ἐν ᾧ διῆλθε τὴν πεπερασμένην. προσλαμβάνων δὲ τὸ ἀντικείμενον τοῦ ἐν τῷ συνημμένῳ ἑπομένου, τὸ μὴ δύνασθαί τι ἐν πεπερασμένῳ χρόνῳ ἄπειρά τινα διεξελθεῖν, διότι οὐδὲ διεξελθεῖν ὅλως οἷόν τε τὰ ἄπειρα, ἀνῄρει τὸ εἶναι κίνησιν. οὕτω μὲν οὖν ὁ Ζήνων. τινὰς δὲ ἄλλως ἐρωτᾶν αὐτόν φησι λέγοντας. εἰ ἔστι κίνησις, ἐπεί ἐστιν ἄπειρα ἡμίση ἐν παντὶ συνεχεῖ, τὸ κινούμενον ἐπὶ τοῦ συνεχοῦς δύναται καθ' ἕκαστον ἥμισυ ἀριθμεῖν. τούτου δὲ γινομένου, ὅταν τὸ κινούμενον διεληλυθὸς ᾖ τὸ πεπερασμένον μέγεθος, ἔσται ὁ ἀριθμὸν ἄπειρα ἡμίση ἠριθμηκώς. εἰ οὖν τοῦτο ἀδύνατον τὸ ἀριθμῆσαι τὰ ἄπειρα, ἀδύνατον ἂν εἴη καὶ τὸ ᾧ τοῦτο ἕπεται. εἵπετο δὲ τῷ κίνησιν εἶναι. ἀλλὰ τότε μὲν ἐνιστάμενος πρὸς τὸν Ζήνωνος λόγον, ὡς ἄτοπον ἐπάγοντα τῷ εἶναι κίνησιν, τὸ ἐν πεπερασμένῳ χρόνῳ ἄπειρα τὸ κινούμενον ἡμίση διεξιέναι, ἔλεγε μὴ ἐν πεπερασμένῳ χρόνῳ τὰ ἄπειρα διεξιέναι. ἀλλ' εἴπερ ἄρα διέξεισιν, ἄπειρον εἶναι καὶ τὸν χρόνον. ὡς γὰρ τὸ μέγεθος ἄπειρα ἡμίση ἔχει. οὕτω καὶ ὁ χρόνος. ὁμοίως γὰρ ἄμφω συνεχῆ τέ ἐστι καὶ ἐπ' ἄπειρον διαιρετά. οὐκ ἐν πεπερασμένῳ οὖν τὰ ἄπειρα διελεύσεται. ἀλλ' ἐν τοῖς ἀπείροις τὰ ἄπειρα. ταύτην δὴ τὴν λύσιν, ᾗ τότε ἐχρήσατο, λέγει πρὸς μὲν τὸν ὡς ἄτοπον ἐπιφέροντα τὸ ἐν πεπερασμένῳ χρόνῳ ἄπειρα διϊέναι, αὐτάρκως ἔχειν. οὐ γὰρ ἐν πεπερασμένῳ χρόνῳ τὰ ἄπειρα, ἀλλ' εἴπερ ἄρα ἐν ἀπείροις. διὰ τὸ ὁμοίως ἐν ἀμφοτέροις τὸ ἄπειρον εἶναι, καὶ ἐν τῷ μεγέθει καὶ ἐν τῷ χρόνῳ, ὥστε οὐδὲν ἄτοπον ἕπεται. πρὸς δέ γε τὸ πρᾶγμα αὐτὸ καὶ τὴν κατ' αὐτὸ ἀλήθειαν οὐκέτι αὐτάρκως ἔχειν, οὐδὲ ἀληθῶς ἀπαντᾶν. οὐ γὰρ ταὐτόν ἐστιν ἐνστῆναί τε πρὸς ψευδῆ λόγον, καὶ τὸ ἀληθὲς ὅπως ἔχει δεῖξαι. δύναται γάρ τις καὶ ψευδέσι τισὶ προσχρησάμενος κωλῦσαι πρόοδον ψευδοῦς λόγου. ὅτι δὲ μὴ ἱκανὴ ἡ ἀπάντησις αὕτη πρὸς τὴν τοῦ πραγματικῶς ἀπορουμένου λύσιν, μεταβαλὼν τὴν ἐρώτησιν δείκνυσιν. εἰ γάρ τις φησὶν ἀφέμενος τοῦ μήκους καὶ τοῦ ἐρωτᾶν, εἰ ἐν πεπερασμένῳ χρόνῳ ἐνδέχεται ἄπειρα διεξελθεῖν ἢ ἀριθμῆσαι, ἐπ' αὐτοῦ τοῦ χρόνου μόνου τὰ αὐτὰ πυνθάνοιτο. λαβὼν γάρ τινα χρόνον πεπερασμένον, ἐν ᾧ

τὸ κινούμενον κεκίνηται, ἐπειδὴ ἄπειρα τὰ ἐν τούτῳ ἡμίση, συνεχοῦς ὄντος αὐτοῦ καὶ ἐπ' ἄπειρον δι-
αιρετοῦ, ἀξιώσει τὰ ἡμίση διιέναι καὶ ἀριθμεῖν. εἰ γὰρ τὸ ὅλον δίεισι, καὶ ἕκαστον τῶν μορίων αὐ-
τοῦ, ὥστε εἰ ἄπειρα τὰ ἡμίση, ἔσται τὸ κινούμενον, ὅταν ὅλον διέλθῃ, ἄπειρα διελθὸν καὶ ἀριθμή-
σαν μόρια χρόνου ἐν πεπερασμένῳ τῷ ὅλῳ. ἡ δὲ αὐτὴ γίνεται ἀπορία, κἂν αὐτοῦ τις τοῦ μεγέθους μό-
νον ἀξιώσῃ τὰ ἡμίση ἀριθμεῖσθαι, ὅταν τὸ κινούμενον διέρχηται αὐτό. κἂν μὴ προσχρήσηται τῷ
χρόνῳ, ὡς Ζήνων ἐποίει. καὶ διὰ τοῦτο ἔοικεν ὁ Ἀριστοτέλης τῷ Ζήνωνος λόγῳ προσθεῖναι, τὸν ἀλ-
λοίως ἀπὸ τοῦ ἀριθμεῖν ἐρωτῶντα τὸν αὐτὸν λόγον. ὅτι πρὸς τὴν τοιαύτην ἐρώτησιν οὐκ ἦν ἱκανὴ ἡ τότε
ῥηθεῖσα λύσις, ἡ καὶ τὸν χρόνον ὁμοίως ἄπειρον τῷ μεγέθει δεικνῦσα. ὥσπερ οὐδὲ πρὸς τὸν ἀπὸ τοῦ
χρόνου μόνον ἐρωτώμενον ἢ τοῦ μεγέθους. καὶ γὰρ δὴ πρὸς τὸν οὕτως ἀποροῦντα φησὶν οὐκέτι ἁρ-
μόσει ἡ πρόσθεν ῥηθεῖσα λύσις, λέγουσα ὅτι ὁμοίως καὶ τὸ μέγεθος καὶ ὁ χρόνος ἄπειρα. οὐδὲν γὰρ ὁ
τοῦτο λέγων πρὸς τὸ εἰρημένον ἀπορεῖ. τῇ γὰρ ἀπειρίᾳ τῶν τμημάτων ὁ ἀφορῶν συνεχρήσατο. καὶ τῷ δι-
ξιτῆσαι τὰ ἄπειρα λέγειν, καὶ διιόντος αὐτὰ καὶ ἀριθμοῦντος τοῦ κινουμένου. διὸ φησὶν ἐκείνην τὴν
λύσιν, πρὸς μὲν Ζήνωνα καὶ οὕτως ἠρωτηκότας τὸν λόγον, ἱκανὴν ἡγητέον. οὐ γὰρ ἐν πεπερασμένῳ
τὰ ἄπειρα δίεισιν, ἀλλ' ἐν ἀπείρῳ. πρὸς δὲ τὸν δυνάμενον περὶ τοῦ αὐτοῦ καὶ ἄλλως ἐρωτᾶσθαι λό-
γον, καὶ πρὸς τὴν ἀλήθειαν καὶ τὸ δεῖξαι τὴν τοῦ πράγματος φύσιν, οὐχ ἱκανήν. ἀλλὰ τῷ πρὸ ὀλίγου
ῥηθέντι καὶ ταύτην λυτέον τὴν ἀπορίαν. ἔστι δὲ τοῦτο ὅτι πᾶν συνεχὲς δυνάμει ἐν ἑαυτῷ ταῦτα
ἔχει, καθ' ἃ τέμνεσθαι δύναται, οὐκ ἐνεργείᾳ, ἡ μὲν γραμμὴ τὰ σημεῖα, ὁ δὲ χρόνος τὰ νῦν. ὁ δὲ διαι-
ρῶν εἰς τὰ ἡμίση καὶ ἀριθμῶν, ἐνεργείᾳ αὐτὰ λαμβάνει. οὕτω δὲ διαιρεῖ τὸ συνεχές. καὶ τῷ ἑνὶ ση-
μείῳ ὡς δυσὶ χρῆται. ποιεῖ γὰρ ἀρχήν τε καὶ πέρας. ὥσπερ καὶ ὁ κινούμενος ἐπὶ τῆς εὐθείας πρό-
τερον καὶ ἀνακάμπτων ἐποίει, καὶ ὥσπερ ἐκεῖνος οὐκέτι ὡς ἐπὶ συνεχοῦς ἐκινεῖτο, οὐδὲ συνεχῆ
κίνησιν, χρώμενος τῷ αὐτῷ σημείῳ ἀρχῇ τε καὶ πέρατι, καὶ γινόμενός τε ἐν αὐτῷ καὶ ἀπογινόμενος πά-
λιν ἀπ' αὐτοῦ, οὕτω ποιεῖ καὶ ὁ καθ' ἕκαστον ἥμισυ ἀριθμῶν, καὶ ἀεὶ κατὰ τὸ πρῶτον ἥμισυ κινεῖ-
σθαι λέγων. διαιρεῖ γὰρ τὸ συνεχές, καὶ ἐνεργείᾳ τινὰ μέσα λαμβάνει ἐπ' αὐτοῦ. διαιρούμενον δὲ
οὐκέτι μένει συνεχές. οὔτε γὰρ τὸ μέγεθος, οὔτε ἡ κίνησις, οὔτε ὁ χρόνος ἔτι συνεχῆ ἐστι διαιρε-
θέντα. ὁ οὖν διαιρῶν οὐκέτι δείκνυσιν ἐν συνεχεῖ καὶ πεπερασμένῳ τὰ ἄπειρα ἐνόντα. οὐ γὰρ
μένει συνεχὲς τὸ διαιρεθὲν κατ' ἐνέργειαν. ὥστε οἱ τοῦτον τὸν τρόπον ἐπιχειροῦντες ἐν τῷ συνε-
χεῖ ἄπειρα ἐνόντα ἡμίση δεικνύναι, ἢ τῷ διαιρεῖν ἢ τῷ ἀριθμεῖν, δι' αὐτῆς τῆς δείξεως τὸ συνεχὲς
ἀναιροῦσιν. ἐν ᾧ δεῖξαι τὰ ἄπειρα προαιροῦνται. οὐδὲν γὰρ συνεχὲς ἔτι συνεχές ἐστι διῃρημένον. ἀλλ'
ἀπορεῖ τις ὅτι εἰ πᾶν συνεχὲς ἐπ' ἄπειρον διαιρετόν, καὶ πᾶν μόριον τοῦ συνεχοῦς συνεχές ἐστι, καὶ διαι-
ρῶν τὸ συνεχὲς οὐκ ἀναιρεῖ τὸ συνεχὲς εἶναι. ταύτην οὖν λύων τὴν ἔνστασιν λέγει, πῶς ἐστι τὰ συνε-
χῆ ἐπ' ἄπειρον διαιρετά. διότι γὰρ δυνάμει ἔχει τὰ ἄπειρα οὐκ ἐντελεχείᾳ. τῷ γὰρ καθ' ὁποιονοῦν ἑαυ-
τοῦ μόριον δύνασθαι τομὴν δέξασθαι. τὸ οὖν τὴν συνεχῆ κεκινημένον δυνάμει ἄπειρα κεκίνηται καὶ
οὐκ ἐνεργείᾳ. καὶ ἐν τῷ συνεχεῖ χρόνῳ δυνάμει ἄπειρα ἡμίση καὶ οὐκ ἐνεργείᾳ. εἰ δὲ δυνάμει, οὔτε ὡς ἀ-
ριθμούμενα οὔτε ὡς μετριζόμενα. ταῦτα γὰρ ἤδη κατ' ἐνέργειαν διαιρουμένου καὶ οὐκέτι συνεχοῦς.
στήσει οὖν τὰς τομὰς ὁ διαιρῶν, καὶ πεπερασμένας λήψεται. δυνάμει γὰρ ἦν ἄπειρα ἡμίση ἐν τῷ συ-
νεχεῖ, ἐνεργείᾳ δὲ πεπερασμένα. οὐ γὰρ οὕτω δυνάμει ἐν τῷ συνεχεῖ τὰ ἄπειρα, ὡς καὶ ἐνεργείᾳ ἄπει-
ρα δυνάμενα ληφθῆναι. οὐ γάρ ἐστιν ἐνεργείᾳ τὰ ἄπειρα. ἀλλ' ὡς ἐπ' ἄπειρον δυνάμενα τέμνεσθαι.
τῇ δὲ ἐπ' ἄπειρον τομῇ τὸ εἶναί ἐστιν, ἐν τῷ δυνάμει ἀεὶ εἶναι καὶ ἐν τῷ γίνεσθαι καὶ τέμνεσθαι. ἀλλ' οὐκ ἐν
τῷ τετμῆσθαι. ὥσπερ τὸν αἰῶνα καὶ τὴν ἡμέραν οὐκ ἔστιν ἀθρόα λαβεῖν. ἀλλ' ἐν τῷ γίνεσθαι αὐτοῖς ἐστι
τὸ εἶναι. ὅτι δὲ ἀπὸ τοῦ ἀριθμοῦντος τὰ ἡμίση διαιρεῖται τὸ συνεχὲς εἰς πεπερασμένα, καὶ οὐ τηρεῖ-
ται ἔτι καὶ συνεχές, ὁποῖον λαμβανόμενον ἐπ' ἄπειρον ἦν δυνάμει διαιρετόν, ἔδειξε διὰ τοῦ τὸν οὕ-
τω ποιοῦντα τὸ ἓν σημεῖον δύο ἀριθμεῖν, τοῦ μὲν προτέρου μέρους ὡς τέλος, τοῦ δὲ ὑστέρου ὡς ἀρ-
χήν. ὁ γὰρ τὸ ὅλον τε καὶ συνεχὲς κατὰ ἡμίση διαιρῶν, τὸ αὐτὸ σημεῖον ἐν ἀμφοτέροις τοῖς ἡμίσεσι
λαμβάνει. ἀλλὰ μὴν ὁ τοῦτο ποιῶν, καὶ τῷ ἑνὶ σημείῳ ὡς δυσὶ χρώμενος, διαιρεῖ τὸ συνεχές. ὡς δέδει-
κται ἐπὶ τοῦ κινουμένου. καὶ ὁ ἀριθμῶν ἄρα τὰ ἡμίση διαιρεῖ τὸ συνεχές. ὁ δὲ τὸ συνεχὲς μὴ τηρῶν
συνεχές, ἀλλὰ κατὰ ἡμίση διαιρῶν, οὐδὲ τὴν κίνησιν ὡς συνεχῆ καὶ μίαν λαμβάνει.

ὮΣΤΕ λεκτέον πρὸς τὸν ἐρωτῶντα εἰ ἐνδέχεται ἄπειρα διεξελθεῖν ἢ ἐν χρόνῳ ἢ ἐν μήκει. ὅτι ἔστι μὲν
ὡς ἔστι δ' ὡς οὔ. ἐντελεχείᾳ μὲν γὰρ ὄντα οὐκ ἐνδέχεται. δυνάμει δὲ ἐνδέχεται. ὁ γὰρ συνεχῶς κινού-
μενος, κατὰ συμβεβηκὸς ἄπειρα διελήλυθεν. ἁπλῶς δ' οὔ. συμβέβηκε γὰρ τῇ γραμμῇ ἄπειρα ἡ-
μίσεα εἶναι. ἡ δ' οὐσία ἐστὶν ἑτέρα, καὶ τὸ εἶναι.

Δ ἰσέσκει λοιπὸν ἡμᾶς καθόλου, πῶς ἀποκρίνεσθαι χρὴ πρὸς τὸν ἐρωτῶντα, εἰ ἐνδέχεται ὅλως ἄπειρα
διεξελθεῖν. ἢ ἐν χρόνῳ ὅταν ἐν πεπερασμένῳ χρόνῳ διερχόμενόν τι, τὰ ἄπειρα τὰ ἐν αὐτῷ νῦν λέ-
γοιτο διεξιέναι, ἢ ἐν μήκει, ὅταν πεπερασμένον τι μῆκος διελθόν, τὰ ἄπειρα τὰ ἐν αὐτῷ σημεῖα λέ-
γοιτο διεληλυθέναι, πρὸς ὃν τὸν ἐρωτῶντα τοῦτο ἀποκρίνεσθαι δεῖ φησίν. ὅτι πῶς μὲν ἐνδέχεται, πῶς

δὲ ὤ, τὰ μὲν γὰρ δυνάμει ἄπειρα οἷόν τε, τὰ δὲ ἐνεργείᾳ ἀδύνατον. διὸ μηδὲ τὴν ἀρχὴν εἶναί τινα οὕτως
ἄπειρα. πῶς δὲ τὰ δυνάμει ἄπειρα οἷόν τε διελθεῖν δηλοῖ φησὶν ὁ ἀλέξανδρος, διὰ τοῦ. ὁ γὰρ συνεχῶς
κινούμενος, καὶ τὰ ἑξῆς. ἐπεὶ γὰρ ἡ γραμμὴ ἣν κεκίνηται τὸ κεκινημένον, συμβεβηκὸς ἔχει τὸ δυνάμει
ἐπ' ἄπειρον εἶναι διαιρετὴ, καὶ ἄπειρα ἡμίση δυνάμει ἔχειν, τὸ τὴν γραμμὴν διεξελθὸν, κατὰ συμ-
βεβηκὸς τὰ δυνάμει ἄπειρα ἡμίση διελήλυθε. τουτέστι ταύτην διελήλυθεν, ᾗ κατὰ συμβεβηκός
ἐστι τὸ ἔχειν ἄπειρα ἡμίση δυνάμει. οὐ γὰρ ταὐτὸν ἦν τῆς γραμμῆς ἡ οὐσία καὶ τὸ εἶναι, τὸ ἔχειν ἄ-
πειρα ἡμίση. ἐπεὶ οὐκ ἂν ἔτι κατὰ συμβεβηκὸς ἦν, τὸ τὴν γραμμὴν κεκινημένον ἄπειρα ἡμίση
διεληλυθὸς, ἀλλὰ καθ' αὑτό. εἴγε καθ' αὑτὸ γραμμὴν κεκίνηται. ἢ τὸ εἶναι ἐν τῷ ἔχειν ἄπειρα ἡμί-
ση, ἐπεὶ δὲ μὴ τοῦτό ἐστι τῇ γραμμῇ τὸ γραμμῇ εἶναι. ἀλλὰ ταὐτὸ μὲν αὐτῇ συμβέβηκεν, ἔστι δὲ αὐτῇ
τὸ γραμμῇ εἶναι μῆκος ἀπλατὲς, τὸ τὴν γραμμὴν διελθὸν καθ' αὑτὸ μὲν διελήλυθε μῆκος ἀπλα-
τές. κατὰ συμβεβηκὸς δὲ καὶ ὅσα ἦν τῇ γραμμῇ συμβεβηκότα. οἷον εἰ λευκὴ ἦν, τὸ λευκὸν, καὶ ὁ-
μοίως τῶν ἄλλων ἕκαστον. ὧν ἓν ἦν καὶ τὸ ἄπειρα ἡμίση ἔχειν δυνάμει. οὕτως ἐξηγησαμένου τοῦ ἀλε-
ξάνδρου καὶ αὐτοῖς τούτοις τοῖς ῥήμασι τὴν προκειμένην λέξιν, ἐπιστήσοι ἄν τις ὡς οἶμαι πρῶτον μὲν
διατί τῷ συμβεβηκέναι τῇ γραμμῇ ἄπειρα ἡμίση εἶναι, προσέθηκεν αὐτὸς τὸ δυνάμει, καὶ οὐ μό-
νον τὴν λέξιν οὕτως ἔγραψεν, καίτοι τῶν εἰς ἐμὲ ἐλθόντων βυβλίων οὐκ ἐχόντων τὸ δυνάμει προσ-
κείμενον. ἀλλὰ καὶ ἐξηγήσατο οὕτως. τὸ γὰρ τὴν γραμμήν φησι διεξελθὸν, κατὰ συμβεβηκὸς τὰ
δυνάμει ἄπειρα ἡμίση διελήλυθε, τουτέστι ταύτην διελήλυθεν, ᾗ κατὰ συμβεβηκός ἐστι τὸ ἔχειν
ἄπειρα ἡμίση δυνάμει, πῶς δὲ συμβεβηκὸς εἶναι λέγει τῇ γραμμῇ, τὸ δυνάμει ἐπ' ἄπειρον εἶναι
διαιρετῇ. εἴπερ συνεχὴς μένει γραμμὴ, παντὸς δὲ συνεχοῦς λόγος τὸ ἐπ' ἄπειρον εἶναι διαιρετόν.
ἐπιστῆσαι δὲ χρὴ καὶ ὅτι ὁ ἀριστοτέλης οὐ λέγει ταὐτὸν ὅπερ ὁ ἀλέξανδρος, ὅτι συμβεβηκὸς ἔχει ἡ
γραμμὴ τὸ δυνάμει ἐπ' ἄπειρον εἶναι διαιρετή. ἀλλ' ὅτι συμβέβηκε τῇ γραμμῇ ἄπειρα ἡμίση εἶναι.
πρὸς δὲ τὴν τοῦ ἀριστοτέλους λέξιν ἀπορητέον, πῶς ὁ συνεχῶς τὴν πεπερασμένην καθ' αὑτὸ κινού-
μενος, κατὰ συμβεβηκὸς ἄπειρα διελήλυθε. τὸ γὰρ κατὰ συμβεβηκὸς κἂν κατὰ συμβεβηκὸς, ἀλλ'
ὅμως ἔστι καὶ ὕπαρξιν ἔχει. καὶ γὰρ τὸ κατὰ συμβεβηκὸς κινούμενον ἢ θερμαινόμενον, ἔστι. καὶ τὸ μὲν κι-
νεῖται, τὸ δὲ θερμαίνεται, κἂν κατὰ συμβεβηκός. ὁ γὰρ πλωτὴρ ἐν τῇ νηῒ κατὰ συμβεβηκὸς ὑπὸ
τοῦ ἀνέμου κινεῖται, ὅτι τῷ καθ' αὑτὸ κινουμένῳ τῇ νηῒ συμβέβηκε, κινεῖται δὲ ὅμως καὶ ὁ ἐν τῇ
νηῒ, κἂν κατὰ συμβεβηκὸς κινῆται. τὰ δὲ ἄπειρα οὐκ ἔστιν. ἵνα τὸ συνεχῶς κινούμενον καθ' αὑτὸ τὴν
πεπερασμένην, κατὰ συμβεβηκὸς τὰ ἄπειρα διεληλυθὸς εἴη, καὶ τῇ γραμμῇ συμβεβηκὸς εἴη τὸ
ἄπειρα ἡμίση εἶναι. μήποτε οὖν συμβεβηκότος εἶδος ἄλλο τι νῦν παραδίδωσιν ἡμῖν ὁ ἀριστοτέ-
λης, τὸ δυνάμει τινὶ ὑπάρχον συμβεβηκὸς εἶναι λέγων αὐτοῦ. οὕτω γὰρ καὶ τῇ γραμμῇ συμβεβηκέ-
ναι φησὶ τὸ ἄπειρα ἡμίση εἶναι, ὅτι δυνάμει ἐστὶν ἐν αὐτῇ. κἂν τὸ δύνασθαι ἐπ' ἄπειρον διαιρεῖσθαι
λόγος τοῦ συνεχοῦς ᾖ. ἐπειδὴ δὲ ἕκαστον κατὰ τὸ ἐνεργείᾳ μάλιστά ἐστιν ὅ ἐστι, καὶ οὐ κατὰ τὸ δυνά-
μει τὸ ἐν αὐτῷ, διὰ τοῦτο καὶ τῆς γραμμῆς τὴν οὐσίαν καὶ τὸ εἶναι οὐ κατὰ τὰ ἐν αὐτῇ ἄπειρά φησιν
εἶναι. ὅτι δυνάμει ταῦτα ἐν αὐτῇ. ἀλλὰ κατὰ τὸ ἓν καὶ συνεχές. ὅπερ ὑπάρχει τῇ γραμμῇ κατ' ἐν-
έργειαν. κἂν ὁριζώμεθα οὖν τὸ συνεχὲς τὸ δυνάμενον ἐπ' ἄπειρον διαιρεῖσθαι, τὸ ἐνεργείᾳ ὂν κατὰ
τὸ ἐν αὐτῷ δυνάμει ὁριζόμεθα, ὡς εἴ τις τὸν ταῦρον ὁρίζοιτο τὸ δυνάμενον μέλισσαν γενέσθαι. εἰ δὲ οὕ-
τως ὁ ἀριστοτέλης τὸ συμβεβηκὸς ἀντὶ τοῦ δυνάμει εἶπεν, περιττῶς ὁ ἀλέξανδρος ἐν τῷ συμβέβηκε
γὰρ τῇ γραμμῇ ἄπειρα ἡμίση εἶναι, προσέθηκε τὸ δυνάμει. ὅμοιον γὰρ ἂν εἴη λοιπὸν, ὡς εἴ τις λέ-
γοι. δυνάμει γὰρ ἂν ὑπάρχοι τῇ γραμμῇ τὸ ἄπειρα ἡμίση εἶναι δυνάμει. ἀλλὰ πῶς δυνάμει ἄπει-
ρα ἡμίση ἐστὶν ἡ γραμμή. πᾶν γὰρ τὸ δυνάμει καὶ ἐνεργείᾳ γενέσθαι δυνατὸν, καὶ ὁ ὑποθέμενος τὸ
δυνατὸν γενέσθαι ὡς γεγονὸς, ψεῦδος μὲν ἴσως οὐ μέντοι ἀδύνατον ὑποτίθεται. ἔσται οὖν ἄπειρα
ἡμίση κατ' ἐνέργειαν. ἐδείχθη δὲ ἐν τῷ τρίτῳ ταύτης τῆς πραγματείας, ὅτι οὔτε μέγεθος οὔτε
πλῆθος ἄπειρον εἶναι δυνατόν. τὸ οὖν ἄπειρα ἡμίση εἶναι ἀκουστέον, ἀντὶ τοῦ ἐπ' ἄπειρον εἰς ἡμίση
διαιρεῖσθαι. τοῦτο γὰρ δύναται ἡ γραμμὴ, ἀλλ' οὐ τὸ ἄπειρα ἡμίση εἶναι. πλὴν εἴ τις τὸ ἐπ' ἄπειρον
εἰς ἡμίση διαιρούμενον ἄπειρα λέγοι, ὡς μηδέποτε πέρας ἰσχούσης τῆς διχοτομίας. καθ' ὃ καὶ ὁ
ἀπορῶν λόγος ἄπειρα τὰ ἡμίση ἔλαβε, καὶ οὐχ ὅπερ τὸ ἀληθὲς ἔχει ἐπ' ἄπειρον γινόμενα. ὁ δὲ ἀρι-
στοτέλης συγχωρήσας τοῦτο τῷ ἀποροῦντι λόγῳ, τὸ μηδαμῶς ἅμα εἶναι τὰ ἄπειρα, ἀπὸ τοῦ δυνά-
μει καὶ ἐνεργείᾳ τὴν λύσιν ἐποιήσατο, ἄπειρα λέγων, ὡς ἐν τῷ τρίτῳ τῆσδε τῆς πραγματείας πα-
» ραδέδωκεν. οὐχ οὕτως. ὥσπερ εἰ δυνατὸν τουτὶ ἀνδριάντα, ὡς καὶ ἔσται τοῦτο ἀνδριάς, οὕτω τοι
» καὶ ἄπειρον ὃ ἔσται ἐνεργείᾳ. ἀλλ' οὕτως ἐστί φησι τὸ ἄπειρον, ὡς τῷ ἀεὶ ἄλλο καὶ ἄλλο λαμβάνεσθαι,
» καὶ τὸ λαμβανόμενον ἀεὶ πεπερασμένον. ἀλλ' ἀεί γε ἕτερον καὶ ἕτερον. ὥσπερ ἡ ἡμέρα καὶ ὁ ἀγὼν, τῷ ἀεὶ
» ἄλλο καὶ ἄλλο γίνεσθαι, οὕτω καὶ τὸ ἄπειρον. καὶ δῆλόν φησι τὸ ἄπειρον τοῦτο, τὸ ὡς ἐπ' ἄπειρον, ἔν τε
» τῷ χρόνῳ καὶ ἐπὶ τῶν ἀνθρώπων καὶ ἐπὶ τῆς διαιρέσεως τῶν μεγεθῶν. καὶ τοῦτο δὲ ἐν ἐκείνοις προστί-
» θησιν ὁ ἀριστοτέλης, ὅτι τὸ δυνάμενον εἶναι ἄπειρον, τοῦτο δέ ἐστι τὸ ἐπ' ἄπειρον, οὐ δεῖ λαμβάνειν ὡς

» τὸ δέ τι, οἷον ἄνθρωπον ἢ οἰκίαν. ἀλλ' ὡς ἡ ἡμέρα λέγεται καὶ ὁ ἀγών. οἷς τὸ εἶναι οὐχ ὡς οὐσία γέγονεν,
» τουτέστιν οὐχ ὑπομένει. ἀλλ' ἀεὶ ἐν γενέσει ἢ φθορᾷ πεπερασμένον, ἀλλ' ἀεὶ ἕτερον καὶ ἕτερον.

ΔΗΛΟΝ δὲ ὅτι καὶ ἐὰν μή τις ποιῇ τοῦ χρόνου τὸ διαιροῦν σημεῖον τὸ πρότερον καὶ ὕστερον ἀεὶ τοῦ ὑστέρου τῷ πράγματι, ἔσται ἅμα τὸ αὐτὸ ὂν καὶ οὐκ ὄν. τὸ σημεῖον μὲν οὖν ἀμφοῖν καὶ τοῦ προτέρου κοινὸν καὶ τοῦ ὑστέρου, καὶ ταυτὸν καὶ ἓν ἀριθμῷ. λόγῳ δ' οὐ ταυτόν. τοῦ μὲν γὰρ τελευτή, τοῦ δὲ, ἀρχή. τῷ δὲ πράγματι ἀεὶ τοῦ ὑστέρου πάθους ἐστί. χρόνος ἐφ' ᾧ α γ β. πρᾶγμα ἐφ' ᾧ δ. τοῦτο ἐν μὲν τῷ α ὅλῳ χρόνῳ λευκὸν, ἐν δὲ τῷ β, οὐ λευκόν. ἐν τῷ γ ἄρα λευκὸν καὶ οὐ λευκόν. ἐν ὁτῳοῦν γὰρ τοῦ α λευκὸν ἀληθὲς εἰπεῖν, εἰ πάντα τὸν χρόνον τοῦτον ἦν λευκὸν, καὶ τὸ β μὴ λευκόν. τὸ δὲ γ ἐν ἀμφοῖν. οὐκ ἄρα δοτέον ἐν ἅπαντι. ἀλλὰ πλὴν τοῦ τελευταίου νῦν ἐφ' οὗ γ. τοῦτο δ' ἤδη τὸ ὕστερον, καὶ εἰ ἐγίγνετο οὐ λευκόν. καὶ εἰ ἐφθείρετο λευκὸν ἐν τῷ α παντί. γέγονεν ἢ ἔφθαρται ἐν τῷ γ. ὥστε λευκὸν ἢ μὴ λευκὸν πρῶτον ἐν ἐκείνῳ ἀληθὲς εἰπεῖν, ἢ ὅτε γέγονεν, οὐκ ἔσται. καὶ ὅτε ἔφθαρται ἔσται. ἢ ἅμα λευκὸν καὶ οὐ λευκὸν ὂν καὶ μὴ ὂν ἀνάγκη εἶναι.

Μνημονεύσας τοῦ νῦν ὅτι τοῦ μὲν ἀρχὴ τοῦ δὲ πέρας ἐστὶ, καὶ ὅτι διαίρεσίς ἐστι χρόνου οὐ χρόνος, καὶ ὅτι ἀμερές. καὶ ὅτι οὐκ ἐνδέχεται ἐν τῷ αὐτῷ νῦν γενέσθαι τι καὶ ἀπογενέσθαι, ἔν τινι καὶ ἀπό τινος, εἴη γὰρ ἂν ἅμα τι ἐν τῷ αὐτῷ καὶ οὐκ εἴη, δείκνυσιν ἐφεξῆς τὸ νῦν τοῦτο, καθ' ὃ ἡ διαίρεσις γίνεται τοῦ χρόνου, ὡς μὲν πρὸς τὸν χρόνον τὸν διαιρούμενον. ὁμοίως ἐν ἀμφοτέροις ἐστὶ τοῖς μορίοις αὐτοῦ, τοῦ μὲν πέρας ὂν τοῦ δὲ ἀρχή. οὕτω γὰρ συνεχὴς ὁ χρόνος, τῷ κοινὸν ἔχειν ὅρον τὰ μόρια αὐτοῦ τὸ νῦν. ὡς μέντοι πρὸς τὸ πρᾶγμα τὸ ἐν τῷ χρόνῳ ὂν ἀεὶ, τῷ ὑστέρῳ ὄντι χρόνῳ καὶ τῷ ὑστέρῳ πράγματι ἢ πάθει, τῷ ἐν τῷ ὑστέρῳ χρόνῳ γινομένῳ προσνέμεσθαι, καὶ ἐκείνου εἶναι ἀρχήν. οἷον εἰ ἐν χρόνῳ τινὶ μεταβάλλει τι ἐκ λευκοῦ εἰς μέλαν, τὸ νῦν ἐν ᾧ πρώτῳ μεταβέβληκεν ἐκ τοῦ λευκοῦ εἰς τὸ μέλαν, ὡς μὲν πρὸς τὸν χρόνον ἐπίσης ἐν ἀμφοῖν ἐστι τὸ νῦν, τῷ τε προτέρῳ χρόνῳ καὶ τῷ ὑστέρῳ, τοῦ μὲν πέρας ὂν, τοῦ δὲ ἀρχή. ὡς δὲ πρὸς τὸ πρᾶγμα τὸ μέλαν αὐτὸ εἶναι προστίθεται. οὐκέτι δὲ καὶ τῷ λευκῷ ἐξ οὗ μετέβαλεν. ὡς εἶναι τὸ λαμβανόμενον πρᾶγμα ἐν τῷ ὑστέρῳ χρόνῳ, οἷον τὸ μελαινόμενον ἢ τὸν μελασμὸν τὴν ἀρχὴν τοῦ εἶναι τοιοῦτον ἀπὸ τούτου τοῦ νῦν εἰληφός. οὐκέτι τοῦ νῦν τούτου κοινοῦ καὶ τῶν πραγμάτων λαμβανομένου ὡς καὶ τῶν χρόνων. ἀλλὰ προσνεμομένου μὲν τῷ ὑστέρῳ, τουτέστι τῷ ἐν τῷ ὑστέρῳ ὄντι χρόνῳ. οὗ ἐστιν ἀρχή, ἀφαιρουμένου δὲ τοῦ ἐν τῷ προτέρῳ χρόνῳ πράγματος. οὗ χρόνου πέρας ἐστὶ τὸ νῦν, ἀριθμῷ μὲν ἓν ὑπάρχον. λόγῳ δὲ οὐχ ἕν. ὅταν ὡς πέρας καὶ ἀρχὴ τὸ αὐτὸ λαμβάνηται. ὅτι δὲ τοῦτο οὕτως ἔχει, δείκνυσι τὸ ἑπόμενον ἄτοπον τῷ μὴ οὕτως ἔχειν φανερὸν ποιῶν. εἰ γάρ τις φησὶ τὸ διαιροῦν τὸ πρότερον καὶ ὕστερον σημεῖον τουτέστι τὸ νῦν, μὴ ἀεὶ τῷ ὑστέρῳ πράγματι συντάττῃ, ἀλλ' ὡς ἐπὶ τῶν χρόνων οὕτω καὶ ἐπὶ τῶν πραγμάτων κοινὸν αὐτὸ τοῦ προτέρου καὶ ὑστέρου λαμβάνει, ὡς ἐν ἀμφοτέροις εἶναι τοῖς πράγμασιν, ὥσπερ καὶ ἐν τοῖς χρόνοις ἦν, συμβήσεται ἄτοπόν τι ἔσται γὰρ τὸ αὐτὸ ἅμα ὂν καὶ οὐκ ὂν, καὶ ὅτε γέγονέ τι, τότε οὐκ ὂν, ὅπερ οὕτως ἔχον ἀποδείξει. τὸ δὲ, τῷ δὲ πράγματι ἀεὶ τοῦ ὑστέρου πάθους ἐστὶν, ἴσον ἐστὶ τῷ, κατὰ δὲ τὰ πράγματα τὰ ἐν τῷ χρόνῳ λαμβανόμενα, ἀεὶ τοῦ ὑστέρου γινομένου πάθους ἐστί. πράγματα γὰρ καὶ τὰ πάθη. ἢ τῷ δὲ πράγματι ἀεὶ τοῦ ὑστέρου πάθους ἐστὶ, ἀντὶ τοῦ κατὰ δὲ τὸ πρᾶγμα τὸ ἐν τῷ χρόνῳ, ἀεὶ τοῦ ὑστέρου πάθους γινομένου ἐν αὐτῷ ἐστίν. ὕστερον δὲ πάθος εἶπεν, τὸ εἰς ὃ ἡ μεταβολὴ γέγονε, κοινῶς τὸ πάθος εἰπὼν ἐπὶ πασῶν τῶν κινήσεων. ἡ δὲ ἀπόδειξις, καθ' ἣν δείκνυσιν ὅτι κοινοῦ καὶ ἐπὶ τῶν πραγμάτων τοῦ νῦν λαμβανομένου ὡς ἐπὶ τῶν χρόνων, συμβήσεται τὸ αὐτὸ ἅμα εἶναί τε καὶ μὴ εἶναι, καὶ ὅτε γέγονέ τι μὴ εἶναι, τοιαύτη τίς ἐστι. λαμβάνει τὸ δ ἀντὶ τοῦ πράγματος, καὶ χρόνους δύο πρότερον μὲν τὸ α, ὕστερον δὲ τὸ β, διῃρημένους ἀπ' ἀλλήλων κατὰ τὸ γ. καὶ ὑποτίθεται τὸ δ, ἐν μὲν τῷ προτέρῳ χρόνῳ τῷ α λευκὸν, ἐν δὲ τῷ ὑστέρῳ τῷ β, τῷ μετὰ τὴν κατὰ τὸ γ διαίρεσιν, οὐ λευκόν. τὸ δὲ γ κοινὸν ὅρον ἀμφοτέρων τῶν χρόνων, τοῦ μὲν α πέρας ὂν, τοῦ δὲ β ἀρχήν. καὶ λέγει ὅτι ἐὰν τὸ γ καὶ ἐπὶ τοῦ πράγματος ὑποτεθῇ, τοῦ μὲν πέρας τοῦ δὲ ἀρχή, τὸ δ ἐν τῷ α χρόνῳ λευκὸν ὂν, ἔσται καὶ ἐν τῷ πέρατι τοῦ α λευκόν. τοῦτο δὲ ἦν τὸ γ, καὶ πάλιν εἰ ἐν τῷ β ὅλῳ ἐστὶν οὐ λευκὸν, δῆλον ὡς καὶ ἐν τῇ ἀρχῇ αὐτοῦ ἔσται οὐ λευκὸν, ἀρχὴ δὲ ἦν τὸ γ. ὥσπερ τοῦ α πέρας ἦν. ἐν τῷ γ ἄρα ἀμερεῖ ὄντι λευκόν ἐστί τε καὶ οὐκ ἔστι, τὸ μὲν οὖν ἑπόμενον ἄτοπον τῷ τὸ γ ὥσπερ τοῦ προτέρου καὶ ὑστέρου χρόνου τοῦ μὲν ἀρχὴ τοῦ δὲ πέρας ἐστὶν, οὕτω καὶ τοῦ πράγματος, τοῦτό ἐστι. λέγει δὲ αὐτὸς μὴ δεῖν συγχωρεῖν οὕτως ἐν παντὶ τῷ πρώτῳ χρόνῳ τὸ δ λευκὸν εἶναι, ὡς καὶ ἐν τῷ πέρατι αὐτοῦ ἔτι τοιοῦτον εἶναι. ἀλλ' ἐν τῷ χρόνῳ μὲν παντὶ δοτέον, οὐ μὴν καὶ ἐν τῷ πέρατι αὐτοῦ. ἀλλ' ἐξαιρετέον μὲν τὸ πέρας τοῦ πρώτου πράγματος τοῦ λευκοῦ. τὸ δὲ γ ἀρχὴν τοῦ ἐν τῷ δευτέρῳ χρόνῳ ὄντος τοῦ οὐ λευκοῦ ποιητέον. τοῦτο δὲ δῆλον γίνεται καὶ ἀπὸ τῆς γενέσεως καὶ φθορᾶς, ὅτι τὸ γ τῷ ἑξῆς προσνεμητέον. εἴτε γὰρ ἐγίνετο λευκόν τι ἐν τῷ α παντὶ χρόνῳ, εἴτε ἐφθείρετο λευκὸν ἐν αὐτῷ, ἐν τῷ γ γέγονεν ἢ ἔφθαρται, εἰ πέρας τὸ γ τοῦ α ἐστίν. ὥστε εἰ γίνεταί τι λευκὸν ἐν τῷ α χρόνῳ, ἐν πρώτῳ τῷ γ ἐστὶ λευκὸν, καὶ εἰ φθείρεταί τι λευκὸν ἐν τῷ α χρόνῳ, ἐν πρώτῳ τῷ γ πέρατι ὄντι τοῦ α, ἐφθαρμένον καὶ οὐ λευκὸν ἔσται. εἰ οὖν τὸ ἐν τῷ

α χρόνῳ γινόμενον ἢ φθειρόμενον, ἐν τῷ β χρόνῳ ἢ γέγονεν ἢ ἔφθαρται ὥσπερ καὶ ἐν τῷ γ, δῆλος ὅτι τὸ γ τῷ β προσνεμητέον, ὡς ἀρχὴν αὐτοῦ τὴν αὐτὴν ἔχον φύσιν. οὐ μέντοι τῷ α. εἴπερ ἐν μὲν τῷ α γίνεται, ἐν δὲ τῷ γ γεγονός ἐστιν. εἰ δὲ κοινόν τις αὐτὸ φήσει καὶ τοῦ α καὶ τοῦ β, ὥσπερ τὸ μεταξὺ νῦν τῶν παρ' ἑκάτερα χρόνων κοινόν ἐστι, συμβήσεται ὅτε γέγονεν μὴ εἶναι. καὶ ὅτε ἔφθαρται τότε εἶναι. ἅπερ ἐναργῶς ἐστιν ἄτοπα. ὅτι δὲ ταῦτα συμβαίνει, δῆλον ἐντεῦθεν. εἰ γὰρ τὸ γινόμενον ἐν τῷ α χρόνῳ λευκὸν εἴη κείμενον, ἐν τῷ πέρατι αὐτοῦ τῷ γ ἐν ᾧ μεταβέβληκεν, γινόμενον ἔτι οὐκ ἂν εἴη ὂν ἐν τῷ γ. τὸ γὰρ γινόμενον οὔπω ὄν ἐστιν. ἀλλὰ μὴν ἐν τῷ β χρόνῳ παντὶ κεῖται γεγονός. ὥστε καὶ ἐν τῇ ἀρχῇ αὐτοῦ τουτέστιν ἐν τῷ γ, γεγονὸς ἔσται. ἐν τῷ γ ἄρα καὶ γέγονεν. ὅτι ἀρχὴ τὸ γ τοῦ β ἐν ᾧ γέγονε. καὶ οὔπω ἐστίν. ὅτι τέλος τὸ γ τοῦ α ἐν ᾧ ἔτι γίνεται. καὶ κεῖται τὸ γινόμενον ἐν τῷ α λευκὸν καὶ ἐν τῷ πέρατι αὐτοῦ γίνεσθαι ἔτι. ὁ δὲ αὐτὸς λόγος καὶ ἐπὶ τοῦ ἐφθαρμένου. εἰ γὰρ τὸ φθειρόμενον εἴτε τὸ λευκὸν εἴη οὖν, εἴτε ὅτι δήποτε, ἕως ἂν φθαρῇ ἐστιν, ἐφθείρετο δὲ τὸ δ ἐν τῷ α ὅλῳ χρόνῳ, εἰ καὶ ἐν τῷ πέρατι αὐτοῦ τῷ γ τεθείη φθείρεσθαι, εἴη ἂν ἔτι ἐν τῷ γ. ἀλλ' εἰ ἐν τῷ β παντὶ ἔφθαρταί τε καὶ οὐκ ἔστιν, ἀρχὴ δὲ τοῦ β τὸ γ, ἐν τῷ γ ἄρα, διότι μὲν τέλος ἐστὶ τὸ γ τοῦ α ἐν ᾧ ἐφθείρετο, ἔστιν ἔτι. διότι δὲ ἀρχὴ τοῦ β ἐν ᾧ ἔφθαρτο, ἐφθαρμένον ἔσται. ὅτε ἄρα ἔφθαρται ἔστιν ἔτι. ὥστε τῷ τὸ γ κοινὸν λέγοντι ἄμφω ἀκολουθήσει τὰ ἀδύνατα. τό, τε γεγονὸς ὅτε γέγονε καὶ ἔστι. τότε μὴ εἶναι. καὶ τὸ ἐφθαρμένον ὅτε ἔφθαρταί τε καὶ οὐκ ἔστι. τότε εἶναι. ἔτι τε τὸ αὐτό τι ἅμα λευκόν τε εἶναι καὶ οὐ λευκόν, ὥσπερ ἐδείχθη. καὶ τὸ αὐτὸ γινόμενόν τε ἅμα καὶ μὴ ὄν. χρὴ οὖν τὸ πέρας τοῦ ἐν τῷ α χρόνῳ πράγματος, τῷ ἐν τῷ β χρόνῳ ὄντι πράγματι προσνέμειν. ἵνα μὴ τῇ ἀντιφάσει περιπίπτωμεν. καὶ τὸ ἀπορούμενον δέ φησιν ὁ Ἀλέξανδρος, τὸ πότε ἀπέθανε Σωκράτης, λύοιτο ἂν οὕτως. ἡ γὰρ ἀπορία τοιαύτη. πότε ἀπέθανε Σωκράτης. πότερον ἐν ᾧ ἀπέθνησκεν χρόνῳ, ἢ ἐν ᾧ ἐτεθνήκει. οὐ γὰρ οἷόν τε ἔν τινι μεταξὺ τούτων χρόνῳ. διὰ τὸ μὴ δὲ εἶναί τινα μεταξύ. ἀλλ' οὔτε ἐν ᾧ ἀπέθνησκεν ἀληθὲς εἰπεῖν ὅτι ἀπέθανεν. ἐν παντὶ γὰρ μορίῳ τοῦ ἐν ᾧ ἀπέθνησκε χρόνῳ ἔζη. οὔτε ἐν ᾧ ἐτεθνήκει. οὐχ οἷόν τε γὰρ τὸν ἤδη τεθνεῶτα ἀποθανεῖν. εἴπερ τὸ μὲν ἀπέθανεν τὸ μετὰ τὸ ἀποθνήσκειν λέγομεν. τῷ δὲ ἀπέθανεν ὡς ἀρχὴ ἕπεται τὸ τεθνηκέναι. καὶ τὸ μὲν ἀπέθανεν οὐκ ἐν χρόνῳ, ἀλλ' ἐν πέρατι τοῦ ἐν ᾧ ἀπέθνησκε χρόνου. τὸ δὲ τέθνηκεν ἐν παντὶ λοιπὸν τῷ μετὰ τὸ ἀπέθανε χρόνῳ. λύεται δὲ οὖν τοῖς πρότερον εἰρημένοις. μετέβαλε γὰρ ἐκ τοῦ ζῆν καὶ ἀπέθανεν ἐν τῷ πρώτῳ πέρατι τοῦ ἐν ᾧ ζῶν ἀπέθνησκεν χρόνου, οὐκ ἐν χρόνῳ. ἐν ᾧ λοιπὸν οὐκέτι ἦν ζῶν. οὔτε οὖν ἐν ᾧ ἔζη χρόνῳ, οὔτε ἐν ᾧ τέθνηκεν ἀπέθανεν. οὐδὲ γὰρ ἐν χρόνῳ ὅλως, ἀλλ' ἐν πέρατι τοῦ ἐν ᾧ ἔζη χρόνου. ὅμοιον δὲ καὶ τὸ ἐρωτᾶν. πότε ἐτέχθη τὸ παιδίον. ἆρα ὅτε ἐτίκτετο, ἢ ὅτε τεχθὲν τρέφεται. καὶ δῆλον ὅτι οὐδέτερον τούτων. ἀλλ' ἐν τῷ πέρατι τοῦ τίκτεσθαι. καὶ οὔτε ἐν τῷ πρὸ αὐτοῦ χρόνῳ, οὔτε ἐν τῷ μετ' αὐτό. οὐδὲ ὅλως ἐν χρόνῳ.

ΕΙ Δ' Ὃ ἊΝ ᾖ πρότερον μὴ ὄν, ἀνάγκη γίγνεσθαι ὂν καὶ ὅτε γίγνεται μὴ ἔστιν, οὐχ οἷόν τε εἰς ἀτόμους χρόνους διαιρεῖσθαι τὸν χρόνον. εἰ γὰρ ἐν τῷ α χρόνῳ τὸ δ, ἐγίγνετο λευκόν, γέγονε δ' ἅμα, καὶ ἔστιν ἐν ἑτέρῳ ἀτόμῳ χρόνῳ, ἐχομένῳ δὲ ἐν τῷ β. εἰ ἐν τῷ α ἐγίγνετο, οὐκ ἦν. ἐν δὲ τῷ β, ἔστι, γένεσιν δεῖ εἶναί τινα μεταξύ, ὥστε καὶ χρόνος ἦν ἐν ᾧ ἐγίγνετο. οὐ γὰρ ὁ αὐτὸς λόγος ἔσται καὶ τοῖς μὴ ἄτομα λέγουσιν. ἀλλ' αὐτοῦ τοῦ χρόνου, ἐν ᾧ ἐγίγνετο γέγονε. καὶ ἔστιν ἐν τῷ ἐσχάτῳ σημείῳ. οὗ οὐδὲν ἐχόμενόν ἐστιν, οὐδὲ ἐφεξῆς. οἱ δὲ ἄτομοι χρόνοι ἐφεξῆς.

Ὅτε ἐδείκνυεν ὅτι τὸ ἀνακάμπτον ἀνάγκη ἠρεμῆσαι ἐν ἐκείνῳ ἀφ' οὗ ἀνακάμπτει, προσχρησάμενος ἐν τῇ δείξει τῷ μὴ δύνασθαι ἐν τῷ αὐτῷ νῦν. ὅπερ ἐστὶ πέρας χρόνου ἀλλ' οὐ χρόνος, γίνεσθαί τι ἔν τινι καὶ ἀπογίνεσθαι ἀπ' αὐτοῦ, ὅπερ ἠκολούθει τῷ μὴ ἐξ ἀμερῶν συγκεῖσθαι τὸν χρόνον, μὴ δὲ δύνασθαι ἔχεσθαι ἀλλήλων τὰ νῦν, τούτου γὰρ κειμένου ἕπεται τὸ τοῖν δυοῖν νῦν, τοῦ τε ἐν ᾧ ἐγένετο κινούμενον πέρατι ὄντι τοῦ γίνεσθαι, καὶ τοῦ νῦν ἐν ᾧ ἀπεγένετο, χρόνον τινὰ μεταξὺ γεγονέναι, ἐν ᾧ ἦν ἀνάγκη ἠρεμεῖν μὴ πελαζόντων ἀλλήλοις τῶν νῦν, ἔδει ἂν αὐτὸ προσκατασκευάζειν νῦν, ὅτι μὴ σύγκειται ὁ χρόνος ἐξ ἀμερῶν μηδὲ διαιρεῖται εἰς ἀμερῆ. καὶ ἔδειξε μὲν οὖν διὰ πλειόνων ἐν τῷ ζ τῆσδε τῆς πραγματείας, καθολικώτερον αὐτὸ προβαλλόμενος. ὅτι μηδὲν συνεχὲς ἐξ ἀμερῶν σύγκειται. καὶ νῦν δὲ ἰδίως ἐπὶ τοῦ χρόνου προσκατασκευάζει τὸ αὐτό, πιστούμενος τὸν λόγον ἐκ τῶν προσεχῶς αὐτῷ δεδειγμένων. χρῆται γὰρ τῷ τὴν πρώτην μεταβολήν, καθ' ἣν μεταβέβληκέ τι, μὴ ἐν χρόνῳ γίνεσθαι ἀλλ' ἐν πέρατι τοῦ χρόνου, καθ' ὃν μετέβαλλε. καὶ ἐκ τούτου δεικνύει τὸ προκείμενον. προλαμβάνει δὲ ὡς ἐναργὲς ἀξίωμα, ὅτι ὃ ἂν ᾖ ὕστερον πρότερον μὴ ὄν, ἀνάγκη οὖν πρὸ τοῦ εἶναι γίνεσθαι, καὶ ὅτε γίνεται μήπω εἶναι. δῆλον δὲ ὅτι ἐπὶ τῶν διὰ γενέσεως εἰς τὸ εἶναι παριόντων ἀληθὴς ὁ λόγος. ἀλλ' οὐκ ἐπ' ἐκείνων, περὶ ὧν αὐτὸς πρότερον ἔλεγεν, ὅτι ποτὲ μέν ἐστι ποτὲ δὲ οὐκ ἔστι, χωρὶς γενέσεως καὶ φθορᾶς. τούτου οὖν κειμένου τοῦ ἀξιώματος, ἀδύνατόν φησιν εἰς τὰ νῦν διαιρεῖσθαι τὸν χρόνον, ὡς εἰς ἀτόμους χρόνους, καὶ συγκεῖσθαι αὐτὸν ἐκ τῶν νῦν. εἰ γὰρ εἴη τὸ γινόμενον λευκὸν οἷον τὸ δ, ὄντος χρόνου τινὸς ἐξ ἀτόμων συγκειμένου τοῦ α, τὸ δ γινό-

μενον λευκόν, ἐν ἀτόμῳ χρόνῳ ἐν ᾧ γίνεται λευκόν, οὐδέπω ἐστὶν ἐν αὐτῷ λευκόν. κεῖται γὰρ ὅτι τὸ γινόμενον ὅτε γίνεται, οὐδέπω ἐστὶν ὃ γίνεται. τὸ δὴ δ ἐν τῷ α χρόνῳ οὔπω ἐστὶ λευκόν. γέγονε δὲ ἅμα, ἀντὶ τοῦ ἔστιν ἤδη ἐν τῷ ἐχομένῳ τοῦ α χρόνῳ ἀτόμῳ τῷ β λευκόν. δεῖ ἄρα τινὰ εἶναι μεταξὺ τοῦ α καὶ τοῦ β χρόνον ἐν ᾧ γέγονε λευκόν. οὐ γὰρ δὴ ἐν πέρατι χρόνου τοῦ α δύναται λέγεσθαι γεγονέναι, ὄντι μεταξὺ τῶν αβ χρόνων. οὐ γάρ ἐστι τοῦ ἀμεροῦς πέρας. εἰ δὲ τοῦτο, οὐχ οἷόν τε τὸν α καὶ τὸν β τὰ ἄτομα ἔχεσθαι ἀλλήλων. εἰ γὰρ πᾶσα γένεσις ἐν χρόνῳ, οὐ γὰρ δὴ ἐν πέρατι χρόνου, οὐ γάρ ἐστι πέρας τοῦ ἀτόμου, γίνεσθαι δὲ δεῖ τὸ δ μεταξὺ τοῦ τε ἐν ᾧ ἐστι καὶ τοῦ ἐν ᾧ οὐδέπω ἐστὶ χρόνου, ἔσται καὶ τούτων τοῦ τε ἐν ᾧ ἐστι καὶ τοῦ ἐν ᾧ οὐδέπω ἦν, ταῦτα δὲ ἦν τὰ αβ, χρόνος τις μεταξύ. κἂν ληφθῇ δέ τις τῶν αβ χρόνων μεταξὺ ἄτομος χρόνος. ἐν ᾧ τις ἐρεῖ γεγονέναι τὸ δ. οἷον ὁ β, πάλιν ἐπὶ τῶν αβ χρόνων ὁ αὐτὸς λόγος. ἐπεὶ γὰρ τὸ δ ἔστι μὲν ἐν τῷ β, οὐκ ἦν δὲ ἐν τῷ α, ἐγίνετο γὰρ ἐν ἐκείνῳ, δεῖ τινα πάλιν τούτων εἶναι μεταξὺ χρόνον, ἐν ᾧ γεγονὸς ἔσται τὸ δ. τὸ δὲ, γέγονεν δὲ ἅμα, καὶ ἔστιν ἐν ἑτέρῳ ἀτόμῳ χρόνῳ, ἐχομένῳ δὲ, ἐν τῷ β, εἴρηκεν, ἀντὶ τοῦ ἤδη γεγονός ἐστι καὶ ὂν ἐν ἀτόμῳ χρόνῳ ἑτέρῳ. οὐ γὰρ τοῦτο λαμβάνει ὅτι ἐν τῷ β γέγονε. ζητεῖ γὰρ ἐν τίνι γέγονεν. εἶτα ἔνστασιν λύει. τὴν λέγουσαν ὅτι ἡ αὐτὴ ἀπορία δύναται ἀπορεῖσθαι, καὶ πρὸς τοὺς οὐκ ἐξ ἀτόμων λέγοντας συγκεῖσθαι τὸν χρόνον. καὶ γὰρ ἐπὶ τούτων δοκεῖ εὔλογον εἶναι, ὡς ἐπ' ἐκείνων εἶναί τινα μεταξὺ, τοῦ τε ἐν ᾧ ἐγίνετο καὶ τοῦ ἐν ᾧ ἐστι, χρόνον. πάλιν γὰρ ὁμοίως ἐν μὲν τῷ α, ἐπειδὴ ἐγίνετο ἐν αὐτῷ, οὐκ ἔσται. ἐν δὲ τῷ β ἔσται. μεταξὺ ἄρα τοῦ τε ἀμεροῦς τοῦ χρόνου καὶ τοῦ β, εἰ ἔχεται ἀλλήλων, ἔσται τις χρόνος. εἰ οὖν κοινὸν τὸ ἄπορον, οὐδέπω ἂν εἴη δεδειγμένον τὸ μὴ ἐξ ἀτόμων συγκεῖσθαι τὸν χρόνον. λέγει οὖν ὅτι οὐκ ἔστιν ἡ αὐτὴ ἀπορία, καὶ πρὸς τοὺς μὴ ἐξ ἀτόμων ποιοῦντας τὸν χρόνον. καὶ τὴν αἰτίαν προστίθησιν. αὐτοῦ γὰρ τοῦ χρόνου ἐν ᾧ ἐγίνετο, ἐν τῷ ἐσχάτῳ σημείῳ γέγονε καὶ ἔστιν. οὗ σημείου οὐδέν ἐχόμενόν ἐστιν οὐδὲ ἐφεξῆς. οἱ δὲ ἄτομοι χρόνοι ἐφεξῆς. διὸ ἐπὶ μὲν τῶν ἄτομον λεγόντων εἶναι τὸν α χρόνον, οὐκ ἔστιν εἰπεῖν ὅτι ἐγίνετο μὲν ἔν τινι αὐτοῦ, ἔστι δὲ ἐν τῷ πέρατι. οὐ γάρ ἐστι πέρας τοῦ ἀτόμου. ὥστε εἰ ἐγίνετο ἐν αὐτῷ ὄντι ἀμερεῖ, καὶ μὴ δύναται ἔν τινι αὐτοῦ γεγονέναι. ἔστι δὲ ἤδη ἐν τῷ β ὄντι καὶ αὐτῷ χρόνῳ ἀμερεῖ, δηλονότι δεῖ εἶναί τι μεταξὺ ἐν ᾧ ἐγένετο. τοῦ γὰρ ἐν ᾧ ἐγίνετο καὶ τοῦ ἐν ᾧ ἐστι, μεταξύ ἐστι τὸ ἐν ᾧ γέγονεν. ὅπερ εἰ μὴ πέρας εἶναι δύναται ἀμερῶν ὄντων τῶν αβ, χρόνος ἂν εἴη. ὥστε οὐκέτι τ' ἂν εἴη ἐχόμενα ἀλλήλων τὰ αβ. ὅπερ ἔκειτο. εἰ δὲ καὶ ἀμερὴς εἶναι λέγοιτο χρόνος ὁ μεταξὺ, πάλιν τὸ αὐτὸ ἄτοπον ἕπεται. κατὰ δὲ τοὺς λέγοντας μὴ ἀμερῆ χρόνον εἶναι τὸν α, δύναται τὸ γινόμενον ἐν τῷ α χρόνῳ ἐν τῷ πέρατι αὐτοῦ γεγονέναι, εἶναι δὲ ἤδη ἐν τῷ β. οὕτω δὲ οὐκέτι δεήσει μεταξὺ τοῦ α καὶ τοῦ β χρόνον τινὰ ζητεῖν, ἐν ᾧ τὸ δ γεγονὸς ἔσται. ἐν γὰρ τῷ α χρόνῳ γινόμενον, γέγονεν ἐν τῷ πέρατι αὐτοῦ. ὅ ἐστι μεταξὺ τοῦ τε α χρόνου ἐν ᾧ γινόμενον οὐδέπω ἦν, καὶ τοῦ β ἐν ᾧ ἤδη ἐστί. δεῖ γὰρ τὸ γινόμενον ἐν μεταξύ τινι τοῦ τε ἐν ᾧ ἐγίνετο χρόνου, καὶ τοῦ ἐν ᾧ ἤδη ἐστὶν γεγονέναι, ἄλλῳ ὄντι παρ' ἑκάτερον. ὅπερ οὐ δυνατὸν ἐπὶ τοῦ α λέγειν, εἰ ἀμερὲς εἴη. οὐ γὰρ οἷόν τε ἄλλο μέν τι εἶναι τοῦ, ἐν ᾧ ἐγίνετο τὸ α, ἄλλο δὲ ἐν ᾧ γέγονεν. εἰπὼν δὲ ὅτι γέγονε καὶ ἔστιν ἐν τῷ ἐσχάτῳ σημείῳ, προσέθηκεν τὸ, οὗ οὐδὲν ἐχόμενόν ἐστιν οὐδὲ ἐφεξῆς, δηλονότι σημεῖον, ὁποῖον αὐτό ἐστι. δείκνυσι δὲ καὶ διὰ τούτου, ὅτι τὰ νῦν ἃ ἐστὶ πέρατα τοῦ χρόνου, οὐκ ἔστιν ἐχόμενα ἀλλήλων ἢ ἐφεξῆς ἀλλήλοις, ὡς εἶναι ἀπ' αὐτῶν τὸν χρόνον. ἀλλ' ἔστι πᾶν τὸ μετὰ τὸ πέρας τοῦ α χρόνου λαμβανόμενον χρόνος. τὸ δὲ ἐφεξῆς προσέθηκεν, ἐνδεικνύμενος ὅπως ἔχεσθαι τὰ ἄτομα λέγοιτο ἂν ἀλλήλων. τῷ γὰρ ἑξῆς εἶναι ὡς τὰ κυρίως ἐφεξῆς λεγόμενα. οὐ γὰρ τῷ τὰ μόρια αὐτῶν συνῆφθαι. οὐ γὰρ ἔχει μόρια. ἀπορίαν δὲ τούτοις ἐφεξῆς ὁ Ἀλέξανδρος τίθησιν, οὐ πάνυ πραγματιώδη ὡς οἶμαι. εἰ γάρ τις λέγοι φησὶν ἐν μὲν τῷ πέρατι τοῦ α χρόνου ἐν ᾧ ἐστιν ἤδη μεταβεβληκὸς εἶναι τὸ δ, ἐν δὲ τῷ α χρόνῳ μὴ εἶναι, ἐγίνετο γὰρ ἐν ἐκείνῳ, καὶ χρώμενος τῷ αὐτῷ λόγῳ ἀπαιτοίη μεταξὺ τοῦ α χρόνου καὶ τοῦ πέρατος αὐτοῦ εἶναί τινα χρόνον ἐν ᾧ ἐγένετο, ἔτι δοκεῖ ἡ αὐτὴ ἀπορία μένειν. ἐν ᾧ γὰρ πρώτῳ μεταβέβληκεν εἰς τὸ εἶναι, ἀληθὲς αὐτοῦ τὸ εἶναι κατηγορεῖν. καὶ λύει καλῶς λέγων, ὡς εἰ μὲν χρόνος ἦν ἐν ᾧ γέγονεν, εἴη ἂν ἤδη καὶ ἐν τούτῳ ὡς ἐν χρόνῳ. καὶ δέοι ἂν πρὸ τούτου εἶναί τι μεταξὺ, τούτου τε, καὶ τοῦ ἐν ᾧ ἐγίνετο. εἰ δὲ μὴ χρόνος τὸ ἐν ᾧ γέγονεν, ἀλλὰ πέρας τοῦ χρόνου τοῦ ἐν ᾧ ἐγίνετο, οὐκέτι ἀκολουθήσει τὸ δεῖν τοῦ τε πέρατος καὶ τοῦ οὗ ἐστι πέρας εἶναί τι μεταξύ. τῶν γὰρ χρόνων τοῦ τε ἐν ᾧ μήπω ἐστὶν ἀλλὰ γίνεται, καὶ τοῦ ἐν ᾧ ἤδη ἐστὶ, δεῖ τι μεταξὺ εἶναι τὸ ἐν ᾧ γέγονεν. εἰ δὲ λέγοι τις αὐτὸ ἐν τῷ πέρατι τοῦ α μὴ μόνον γεγονέναι, ἀλλὰ καὶ εἶναι, δηλονότι καὶ ἐν τῇ ἀρχῇ τοῦ α μὴ εἶναι αὐτὸ ἐρεῖ. καίτοι τὸ ἤδη γινόμενον ἐστί πως.

Φ ΑΝΕΡΟΝ δὲ, ὅτι εἰ ἐν τῷ α ὅλῳ χρόνῳ ἐγίγνετο, οὐκ ἔστι πλείων χρόνος ἐν ᾧ γέγονε καὶ ἐγίγνετο. ἢ ἐν ᾧ ἐγίγνετο μόνον παντί.

Δ ἔδειξας ὅτι ἐν μὲν τῷ α χρόνῳ ἐγίνετο τὸ δ, ἐν δὲ τῷ πέρατι τοῦ α γέγονεν, ὅτι οὐκ ἔστι χρόνος ἕτερος ἐν ᾧ γέγονεν, ἀλλὰ πέρας χρόνου, δείκνυσιν αὖ κινοῦσα τά. εἰ γὰρ ἐν μὲν τῷ α ὅλῳ χρόνῳ φησὶν ἐγίνετο. ἐν δὲ τῷ πέρατι αὐτοῦ γέγονεν, δειχθείη δὲ ἴσος ὁ χρόνος ὁ ἐν ᾧ ἐγίνετο, συναμφοτέρῳ τῷ ἐν ᾧ ἐγί-

νετο καὶ

νετο. ἐν δὲ τῷ πέρατι αὐτοῦ γέγονεν, δειχθείη δὲ ἴσος ὁ χρόνος ὁ ἐν ᾧ ἐγίνετο, συναμφοτέρῳ τῷ τε ἐν ᾧ ἐγίνετο καὶ τῷ ἐν ᾧ γέγονε, δηλονότι τὸ ἐν ᾧ γέγονε προστεθὲν τῷ ἐν ᾧ ἐγίνετο χρόνῳ, οὐκ ἐποίησε μείζονα τὸν χρόνον. ὥστε οὐκ ἦν χρόνος τὸ ἐν ᾧ γέγονε. χρόνος γὰρ χρόνῳ προστιθέμενος, μείζονα τὸν ὅλον ποιεῖ. ὅτι δὲ οὐκ ἐποίησε μείζονα, δῆλον εἴπερ ἐν πέρατι τοῦ α χρόνου γέγονε, τὸ δὲ πέρας ἀμερές ἐστιν. καὶ ἦν μὲν αὐτόθεν δῆλον ὅτι τὸ πέρας τοῦ χρόνου οὐκ ἔστι χρόνος. πολλὴν δὲ ἐποίησεν ἐνάργειαν ἡ δοκοῦσα παραδοξολογία, τὸ μὴ εἶναι πλείονα τὸν χρόνον, τόν τε ἐν ᾧ ἐγίνετο καὶ τὸν ἐν ᾧ γέγονεν, τοῦ ἐν ᾧ ἐγίνετο μόνου. δοκεῖ δέ μοι μὴ μάτην προστεθεικέναι, τῷ, ἢ ἐν ᾧ ἐγίνετο μόνον. τὸ, παντί. ἀλλ᾽ εἰς ἔνδειξιν τοῦ δεῖν μετὰ τοῦ πέρατος αὐτὸν λαμβάνειν. ἐκ δὴ τούτων τῶν λόγων φησὶν ὁ Ἀλέξανδρος, δύνασθαι τὸν ὁρμώμενον δεικνύναι τὰ παρὰ τοῖς στωϊκοῖς ἀξιώματα. ἃ μεταπίπτοντά τινες λέγουσιν ἀπεριγράφως, μὴ ὄντα τοιαῦτα. ἔστι δὲ ταῦτα τοιαῦτα. εἰ ζῇ Δίων, ζήσεται Δίων. τοῦτο γὰρ εἰ καὶ ἀληθές ἐστι νῦν, ἀρχόμενον ἀπὸ ἀληθοῦς τοῦ ζῇ Δίων, καὶ λῆγον εἰς ἀληθὲς τὸ ζήσεται. ἀλλ᾽ ἔσται ποτὲ, ὅτε τῆς προσλήψεως ἀληθοῦς οὔσης. τῆς ἀλλὰ μὴν ζῇ Δίων, μεταπεσεῖται τὸ συνημμένον εἰς ψεῦδος, τῷ ἔσεσθαί ποτε, ὅτε ἀληθοῦς ὄντος ἔτι τοῦ ζῇ Δίων, οὐκ ἔσται ἀληθὲς τὸ καὶ ζήσεται. οὐ μὴ ὄντος ἀληθοῦς, τὸ ὅλον συνημμένον γίνοιτο ἂν ψεῦδος μεταπίπτον. οὐ γὰρ ἀεὶ ὅτε τὸ ζῇ ἀληθὲς, καὶ τὸ ζήσεται. ἐπεὶ οὕτως ἀθάνατος ἂν εἴη ὁ Δίων. οὐ μὴν ἔσται ὁρίζοντας εἰπεῖν, πότε οὐκ ἀληθὲς ἔσται ζῶντος αὐτοῦ τὸ ζήσεται. διὸ καὶ ἐν ἀπεριγράφῳ καὶ ἀορίστῳ χρόνῳ λέγουσι γίνεσθαι τὴν τῶν τοιούτων ἀξιωμάτων μετάπτωσιν. τοιοῦτον μὲν οὖν ἐστι τὸ ἀπεριγράφως μεταπίπτειν λεγόμενον ἀξίωμα. ὅτι δὲ μὴ ὑγιῶς λέγεται τὸ μεταπίπτειν, ἐκ τῶν προσεχῶς ὑπὸ τοῦ Ἀριστοτέλους διορισθέντων ἔξεστι συνορᾶν. εἰ γὰρ πᾶν τὸ μεταβάλλον, ἐν τῷ πέρατι τοῦ ἐν ᾧ μεταβάλλει χρόνου, μεταβέβληκεν. ἐν ᾧ πέρατι οὐκέτι ἐν τούτῳ ἐστὶν, ἐξ οὗ μετέβαλλεν, ἀλλ᾽ ἐν ἐκείνῳ λοιπὸν, εἰς ὃ μετέβαλλέ τε καὶ μεταβέβληκεν, εἴη ἂν καὶ τὸ ζῆν Δίωνα, εἰ μεταβάλλει, ἐν ἐσχάτῳ τινὶ χρόνου μεταβάλλειν τοῦ ἐν ᾧ ζῇ. ὃ πέρας ἐστὶ χρόνου καὶ οὐ χρόνος. ἐν ᾧ οὐκέτι ἀληθὲς τὸ ζῆν Δίωνα. τέθνηκε γὰρ ἤδη ἐν τούτῳ. τὸ οὖν ζῇ Δίων τὸ ἐν τῷ ἐνεστῶτι νῦν λεγόμενον, εἰ μὲν ἐν ᾧ μεταβέβληκεν ἀπὸ τοῦ ζῆν νῦν λέγοιτο, οὐκ ἀληθές. εἰ δὲ ἐν ἄλλῳ πρὸ τούτου ὄντι νῦν, ἀληθὲς τὸ ζῇ Δίων. τῶν δὲ νῦν ἐν ᾧ τε οὐκέτι ζῇ μεταβεβληκὼς ἤδη ὁ Δίων, καὶ ἐν ᾧ ἔτι ζῇ, χρόνος ἐστὶ μεταξύ. ἐν ᾧ δηλονότι ζῇ. εἴγε ἐν τῷ πέρατι αὐτοῦ μεταβέβληκεν ἐκ τοῦ ζῆν. καὶ ἀκολουθήσει τὸ ἐν ᾧ νῦν ἀληθὲς εἰπεῖν ὅτι ζῇ Δίων, ἐν τούτῳ εἶναι ἀληθὲς τὸ ζήσεται Δίων. ὥστε οὐ προμεταπίπτει τὸ ζήσεται τοῦ ζῆν. μόνως γὰρ ἂν προμετέπιπτεν, εἰ ἐχόμενα ἀλλήλων ἦν τὰ νῦν τό, τε ἐν ᾧ ἀληθές ἐστι τὸ ζῇ Δίων, καὶ τὸ ἐν ᾧ μεταβέβληκεν ἐκ τοῦ ζῆν. ἐπειδὴ δὲ ἐν ᾧ ἂν νῦν ἀληθῶς ληφθῇ τὸ ζῆν Δίωνα, τούτου τοῦ νῦν, καὶ τοῦ ἐν ᾧ πρώτῳ μεταβέβληκεν ἐκ τοῦ ζῆν, χρόνος ἐστὶ μεταξὺ, ἐν ᾧ ἔτι ζῇ, δηλονότι ὅτε ἀληθές ἐστι τὸ ζῇ Δίων, ἀληθές ἐστι καὶ τὸ ζήσεται. καὶ οὐ διὰ τοῦτο ἀθάνατος ὁ Δίων ἔσται. εἰ δὲ τὸ ζῇ Δίων μὴ ἐν τῷ νῦν λέγοιτο. ἀλλ᾽ ἐν χρόνῳ, οὗ πέρας ἔσται τὸ ἐν ᾧ πρώτῳ τέθνηκεν μεταβαλὼν ἀπὸ τοῦ ζῆν, μεταπεσεῖται τότε εἰς ψεῦδος τὸ ζήσεται Δίων, τῷ τὸ πέρας τοῦ χρόνου προστίθεσθαι τῷ πράγματι τῷ ὄντι ἐν τῷ χρόνῳ, οὗ τὸ πέρας τούτου ἀρχή ἐστιν, ὡς δέδεικται πρότερον. τὸ γὰρ νῦν ἐν ᾧ πρώτῳ μετέβαλεν ἀπὸ τοῦ ζῆν, τέλος μέν ἐστι τοῦ χρόνου ἐν ᾧ ἔζη, ἀρχὴ δὲ τοῦ ἐν ᾧ ἤδη τεθνηκώς ἐστιν.

ΟΙΣ ΜΕΝ οὖν ἄν τις ὡς οἰκείοις λόγοις πιστεύσειε, οὗτοι καὶ τοιοῦτοί τινές εἰσι. λογικῶς δὲ ἐπισκοποῦσι. κἂν ἐκ τῶνδε δόξειέ τῳ, ταὐτὸ τοῦτο συμβαίνειν.

Προθέμενος δεῖξαι τίς ἡ συνεχὴς καὶ πρώτη κατὰ φύσιν φορὰ, ἡ τῷ πρώτῳ κατὰ τόπον κινουμένῳ προσήκουσα, καὶ διελὼν τὰς φορὰς εἴς τε τὴν κύκλῳ καὶ τὴν κατ᾽ εὐθεῖαν καὶ τὴν μικτὴν, καὶ προδειξάμενος ὅτι ὁποτέρα ἂν τῶν ἁπλῶν μὴ εἴη συνεχής. οὐδὲ ἡ ἐξ ἀμφοῖν μικτὴ συνεχὴς ἔσται, ἔδειξε διὰ πλειόνων ὅτι ἡ κατ᾽ εὐθεῖαν κίνησις οὐκ ἔστι συνεχὴς οὐδὲ μία, κατὰ δύο τρόπους. καὶ ὅτι τὸ φερόμενον τὴν εὐθεῖαν καὶ πεπερασμένην ἀνακάμπτει. τὸ δὲ ἀνακάμπτον τὰς ἐναντίας κινεῖται κινήσεις. αἱ δὲ ἐναντίαι κινήσεις. διάφοροι κατ᾽ εἶδος καὶ οὐ μία οὐδὲ συνεχής. καὶ αὖ πάλιν ὅτι τὰ ἀνακάμπτοντα μεταξὺ ἠρεμεῖν ἀνάγκη. τὸ δὲ μεταξὺ ἠρεμοῦν λύει τὴν συνέχειαν τῆς κινήσεως. ταῦτα οὖν δείξας ἀπὸ τῆς κατ᾽ εὐθεῖαν φορᾶς, ἀπό τε τοῦ τῆς κινήσεως εἴδους. τοῦ τὴν ἐναντίωσιν ἔχοντος, καὶ ἀπὸ τοῦ μεγέθους ἐφ᾽ οὗ ἡ ἀνακάμπτουσα κίνησις ἐπιτελεῖται, ἅπερ οἰκεῖα τῆς κινήσεώς ἐστιν ὡς καθ᾽ αὑτὸ ὑπάρχοντα αὐτῇ, λέγει ὅτι οἷς μὲν ἄν τις ὡς οἰκείοις τοῦ δεικνυμένου πιστεύσειε λόγοις, οὗτοι καὶ τοιοῦτοί τινές εἰσιν. οἰκείους λέγων τοὺς ἐκ τῶν οἰκείων τῷ προκειμένῳ γινομένους συλλογισμούς. οὓς καὶ ἀποδεικτικοὺς ἔθος αὐτῷ καλεῖν. ἐφεξῆς δὲ τὸ αὐτὸ τοῦτο λογικῶς δείξειν ἐπαγγέλλεται. λογικοὶ δέ εἰσι συλλογισμοὶ, οἱ μὴ διὰ τῶν οἰκείων καὶ προσεχῶν τῷ προκειμένῳ γινόμενοι. ὥσπερ οἱ πρότεροι, διά τε τῶν διαφορῶν τῆς κατ᾽ εὐθεῖαν κινήσεως, καὶ διὰ τοῦ ὑποκειμένου τῇ τοιαύτῃ κινήσει μεγέθους. ἀλλὰ διὰ κοινοτέρων καὶ καθολικωτέρων καὶ δυναμένων καὶ ἄλλοις ἐφαρμόζειν. οὓς ἔθος αὐτῷ διαλεκτικοὺς καλεῖν, ὡς δι᾽ ἐνδόξων γινομένους ἐπιχειρήσεων. θήσει γὰρ ἐφεξῆς λόγους, οὔτε τοῖς κατὰ τόπον μόνον κινουμένοις προσήκοντας, οὔτε ἐκ τῶν τούτοις μόνοις καθ᾽ αὑτὸ ὑπαρχόντων εἰλημμένους, ἀλλὰ

καὶ πᾶσι τοῖς ἐξ ἀντικειμένων εἰς ἀντικείμενα μεταβάλλουσι. καὶ ἐκ τῶν ἀντικειμένων εἰλημμένους. ἅπερ οὐ μόνον τοῖς κατ' εὐθεῖαν κινουμένοις κυρίως, ἀλλὰ καὶ πᾶσι τοῖς μεταβάλλουσιν ὑπάρχει.

Α'ΓΑΝ ΓΑΡ τὸ κινούμενον συνεχῶς, ἐὰν ὑπὸ μηδενὸς ἐκκρούηται, εἰς ὅπερ ἦλθε κατὰ τὴν φορὰν εἰς τοῦτο καὶ ἐφέρετο πρότερον. οἷον εἰ ἐπὶ τὸ β ἦλθε καὶ ἐφέρετο ἐπὶ τὸ β. καὶ οὐχ ὅτε πλησίον ἦν. ἀλλ' εὐθὺς ὡς ἤρξατο κινεῖσθαι. τί γὰρ μᾶλλον νῦν, ἢ πρότερον; ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων. τὸ δὴ ἀπὸ τοῦ α ἐπὶ τὸ γ. φερόμενον, πάλιν ἥξει ἐπὶ τὸ α συνεχῶς κινούμενον. ὅτε ἄρα ἀπὸ τοῦ α ἐφέρετο εἰς τὸ γ, τότε καὶ εἰς τὸ α φέρεται τὴν ἀπὸ τοῦ γ κίνησιν. ὥσθ' ἅμα τὰς ἐναντίας. ἐναντίαι γάρ, αἱ κατ' εὐθεῖαν. ἅμα δὲ καὶ ἐκ τούτου μεταβάλλει ἐν ᾧ οὐκ ἔστιν. εἰ οὖν τοῦτ' ἀδύνατον, ἀνάγκη ἵστασθαι ἐπὶ τοῦ γ. οὐκ ἄρα μία ἡ κίνησις. ἡ γὰρ διαλαμβανομένη στάσει, οὐ μία ἐστίν.

Ο'ΤΙ μηδεμία κίνησις ἐξ ἐναντίου εἰς ἐναντίον γινομένη συνεχὴς εἶναι δύναται, δείκνυσι προλαβὼν ἀξίωμα καθολικόν, τὸ λέγον, ὅτι πᾶν τὸ διὰ κινήσεως συνεχοῦς ἐπί τι ἀφικνούμενον ἀκωλύτως εἰς ὅπερ ἦλθε πληρώσαν τὴν κίνησιν, ἐπὶ τοῦτο τὴν ὁρμὴν εἶχε καὶ ὅτε τῆς κινήσεως ἤρχετο. πᾶν γὰρ τὸ κινούμενον ὥσπερ ἀπό τινος ὡρισμένου κινεῖται, οὕτω καὶ ἐπί τι ὡρισμένον. ἂν μὴ ὑπό τινος ἐμποδίζηται. οἷον εἰ κάτω τι κινηθὲν ἀνεμποδίστως ἠνέχθη, καὶ ὅτε ἐκινεῖτο ἐπὶ τὸ κάτω τὴν ὁρμὴν εἶχε. καὶ οὐ μόνον ὅτε πλησίον ἦν ἤδη τοῦ κάτω, ἀλλὰ καὶ ἀφ' οὗ τῆς κινήσεως ἤρχετο, δι' ἧς συνεχῶς ἐπὶ τοῦτο ἠνέχθη, ὡς εἰς τοῦτο ἐλευσόμενον ἤρχετο κινεῖσθαι. τί γὰρ μᾶλλον ἐν τῷδε ἢ ἐν τῷδε γινόμενον. τοῦτο γὰρ σημαίνει τό, τί γὰρ μᾶλλον νῦν ἢ πρότερον. ὁμοίως δέ φησι καὶ ἐπὶ τῶν ἄλλων κινήσεων. οὐ γὰρ ἐπὶ μόνης τῆς φορᾶς, ἐφ' ἧς ὡς ἐπὶ παραδείγματος ἐγύμνασε τὸ ἀξίωμα ἀληθής φησιν ἐστὶν ὁ λόγος, ἀλλ' ὁμοίως ἀληθὴς καὶ ἐπὶ τῶν ἄλλων κινήσεων, τῆς τε ἀλλοιώσεως, καὶ τῆς αὐξήσεώς τε καὶ μειώσεως, καὶ ὅλως τῶν εἰς τὰ ἐναντία μεταβαλλουσῶν. οὐ γὰρ δὴ ἐπὶ τῆς γενέσεως καὶ φθορᾶς ὡς μαθησόμεθα. τούτου οὖν ἀληθῶς ἠξιωμένου, διὰ συνημμένου τινὸς τοιούτου δείκνυται τὸ προκείμενον, ὡς ἐπὶ παραδείγματος τῆς φορᾶς γινομένου τοῦ λόγου. εἰ γὰρ τὸ ἐπὶ τῆς εὐθείας κάτωθεν ἄνω φερόμενον, ὅταν ἄνω γένηται μὴ ἡσυχάζει καὶ ἠρεμεῖ, ἀλλὰ τῇ αὐτῇ ὁρμῇ συνεχῶς φέρεται κάτω, δηλονότι διὰ τὸ ἀξίωμα καὶ ὅτε ἤρχετο τῆς κάτωθεν κινήσεως τὴν ὁρμὴν ἐπὶ τὸ κάτω εἶχε. καὶ οὐ μόνον ὅτε γενόμενον ἄνω κινεῖται κάτω. τὸ δὴ ἀπὸ τοῦ κάτω κινούμενον εἰ συνεχῶς κινεῖται, ἅμα τὴν ὁρμὴν ἔχει ἐπί τε τὸ ἄνω κινηθῆναι καὶ ἐπὶ τὸ κάτω. ἀλλὰ μὴν ἡ εἰς τὸ ἄνω τῇ εἰς τὸ κάτω ἐναντία. ἐξ ἐναντίων γάρ. τὸ ἄρα ἐπὶ τῆς εὐθείας κινούμενον, εἰ συνεχῶς κινεῖται, τὰς ἐναντίας κινεῖται. τοῦτο δὲ ἀδύνατον. ὥστε ἀδύνατον καὶ ᾧ τοῦτο ἠκολούθει, τὸ τὸ ἐπὶ τῆς εὐθείας κινούμενον συνεχῶς κινεῖσθαί τε καὶ ἀνακάμπτειν. λαβὼν δὲ τὸ μὲν α τὴν ἀρχὴν τῆς εὐθείας, τὸ δὲ γ τὸ πέρας. καὶ θεὶς τὸ συνεχῶς κινούμενον ἐπὶ τῆς εὐθείας, ἀπό τε τοῦ α ἐπὶ τὸ γ, καὶ ἀπὸ τοῦ γ ἐπὶ τὸ α κινεῖσθαι ὁμοίως, καὶ συναγαγὼν ὅτι τὸ κινούμενον οὕτως ἅμα τὰς ἐναντίας κινήσεται, διατί τοῦτο ἔσται ὑπέμνησεν εἰπών, ἐναντίαι γὰρ αἱ κατ' εὐθεῖαν. τοῦτο δέ, ἐπειδὴ ἀπὸ ἐναντίων. ἐναντία γὰρ ἀλλήλοις τὰ τῆς εὐθείας πέρατα, τὸ μὲν ἄνω τῷ κάτω. τὸ δὲ δεξιὸν τῷ ἀριστερῷ. τὸ δὲ ἔμπροσθεν τῷ ὄπισθεν. ταῦτα γοῦν οὐ μόνον κατὰ τὴν πρὸς ἡμᾶς σχέσιν οὕτως ἔχει. ἀλλὰ τῇ αὐτῶν φύσει πρότερον ἐν τῷ κόσμῳ δείκνυται ὄντα. ὡς ἐν τῷ δευτέρῳ τῆς περὶ οὐρανοῦ διδασκόμεθα. ἕπεται δέ τι καὶ ἄλλο ἄτοπον τῷ τὸ ἐπ' εὐθείας κινούμενον συνεχῶς κινεῖσθαι καὶ ἀνακάμπτειν. εἰ γὰρ τὸ κάτωθεν κινούμενον ἀπὸ τοῦ α, ἐπὶ τὸ κάτω πάλιν τὸ α συνεχῶς καὶ καθ' ὁρμὴν οἰκείαν ἐνεχθήσεται, ἐπὶ τὸ γενέσθαι ἐν ᾧ ἐστι κινηθήσεται. τοῦτο δὲ ἄτοπον. οὐδὲν γὰρ κινεῖται διὰ τὸ γενέσθαι ἐν ᾧ ἐστι. τὸ γὰρ κινούμενον πόθεν ποῖ κινεῖται. εἶτα καὶ τρίτον ἄλλο ἄτοπον ἐπάγει, τῷ συνεχῶς κινεῖσθαι τὰ ἐπὶ τῆς εὐθείας ἀνακάμπτοντα. τὸ μεταβάλλειν τι ἐκ τούτου, ἐν ᾧ οὐδέπω ἐστίν. εἰ γὰρ τὸ φερόμενόν ποι, εὐθὺς τῷ τῆς κινήσεως ἄρξασθαι ἐπ' ἐκεῖνο φέρεται ἐφ' ὃ ἐλεύσεται, τὸ κάτωθεν κινούμενον, εὐθὺς ἂν κινοῖτο οὐ μᾶλλον τὴν εἰς τὸ ἄνω ἢ τὴν ἐπὶ τὸ κάτω. ἀλλὰ ἡ κάτω γινομένη κίνησις ἐκ τοῦ ἄνω γίνεται. κινηθήσεται ἄρα τὸ κάτωθεν κινούμενον καὶ ἐκ τοῦ ἄνω, ἐν ᾧ οὔπω ἐστίν. οὐ γὰρ ἐξ ἄλλου τινὸς ἡ εἰς τὸ κάτω φορά. ἀλλὰ μὴν ἀδύνατον τὸ πόθεν κινούμενον, ἐκεῖθεν κινεῖσθαι, μὴ ὂν ἐν ἐκείνῳ ἐξ οὗ ἐκείνην τὴν κίνησιν κινήσεται. εἰ γάρ τις αὐτὸ λέγοι τότε τὴν κάτω κινεῖσθαι ὅταν ἐν τῷ ἄνω γένηται, ὁμολογήσει αὐτὸ πρῶτον ἐν τῷ ἄνω γίνεσθαι. γινόμενον δὲ ἐν τῷ ἄνω, καὶ ἀπογίνοιτο ἂν ἀπ' αὐτοῦ, οὕτω δὲ οὐκέτι ἂν κινοῖτο συνεχῶς. ἀλλ' ἐρεῖ τις ἴσως ἐνιστάμενος, ὅτι κατὰ τοῦτον τὸν λόγον, οὐδὲ κάτωθεν ἄνω κινούμενον συνεχῶς κινήσεται. τὸ γὰρ κάτωθεν ἀρχόμενον ἐπὶ τὸ ἄνω κινεῖσθαι, δεῖ πρῶτον ἐπὶ τὸ μέσον ἐνεχθῆναι, εἶθ' οὕτως ἀπὸ τοῦ μέσου ἐπὶ τὸ ἄνω. ὥστε ἀπὸ τοῦ ἐν ᾧ οὔπω ἐστὶ κινεῖται. οὐδὲ τοῦτο ἄρα συνεχῶς κινήσεται καίτοι μὴ ἀνακάμπτον. ἀλλὰ ῥητέον ὅτι πρῶτον μὲν ἡ ἄνω κίνησις οὐκ ἀπὸ τοῦ ἡμίσεος ἢ μέσου λέγεται γίνεσθαι, ἀλλὰ κάτωθεν, ἔπειτα οὐ δεῖ τὸ συνεχῶς εἰς τὸ ἄνω κινούμενον ἐν τῷ ἡμίσει γενέσθαι. γινόμενον γὰρ ἐκεῖ ἀνάγκη καὶ ἀπογίνεσθαι. καὶ ἐνεργείᾳ τὸ ἥμισυ διαιροῦν μεταξὺ ἠρεμεῖν. ἀλλ' εἶναι μὲν ῥηθήσεται κατὰ τὸ ἥμισυ τὸ κινούμενον συνεχῶς ἐπὶ τὸ ἄνω, οὐ μέντοι γίνεσθαι. ἐν μέντοι τῷ ἄνω ἀνάγκη πρότερον γίνεσθαι τὸ ἐπὶ τὸ κάτω κινεῖσθαι μέλλον. οὐ γὰρ

ἀπολοῦ τινος

ἀπολοῦ τινος ἡ εὐθὺ τὸ κάτω κίνησις. ὥς τε ἐν ᾧ οὔπω γέγονεν ὄφειλεν γενέσθαι. ἐκ τούτου ἂν ἤδη κινοῖτο. εἰ οὖν ταῦτα ἀδύνατα. τό, τε ἅμα τὰς ἐναντίας κινεῖσθαι, καὶ τὸ εὐθὺ τῷ γενέσθαι ἐν ᾧ ἐστὶ κινεῖσθαι. καὶ τρίτον τὸ ἐκ τούτου κινεῖσθαι τι ἐν ᾧ οὔπω ἐστί, ταῦτα δὲ ἕπεται τῷ συνεχῆ λέγοντι τὴν εὐθὺ τῆς εὐθείας, ἀδύνατον τὸ συνεχῆ αὐτὴν εἶναι. ὁ δὲ Ἀλέξανδρος καὶ ταύτην ταῖς εἰρημέναις προστίθησι τὴν ἐπιχείρησιν, οὐκ ἀπὸ τοῦ αὐτοῦ ἀξιώματος ὁρμωμένην. εἰ γὰρ ἀδύνατόν φησι τῇ κατὰ φύσιν κινήσει τὴν παρὰ φύσιν εἶναι συνεχῆ καὶ μίαν, τῷ δὲ ἐπὶ τῆς εὐθείας κινουμένῳ καὶ ἀνακάμπτοντι, ἀνάγκη εἰ τὴν ἑτέραν κινεῖται κατὰ φύσιν, τὴν ἑτέραν παρὰ φύσιν κινεῖσθαι, οὐκ ἂν εἴη συνεχὴς ἡ ἐκ τῆς ἐπὶ τὸ ἄνω καὶ ἐπὶ τὸ κάτω συγκειμένη.

ἜΤΙ ΔΈ καὶ ἐκ τῶνδε φανερὸν καθόλου μᾶλλον περὶ πάσης κινήσεως. εἰ γὰρ ἅπαν τὸ κινούμενον τῶν εἰρημένων τινὰ κινεῖται κινήσεων, καὶ ἠρεμεῖ τῶν ἀντικειμένων ἠρεμιῶν, οὐ γὰρ ἦν ἄλλη παρὰ ταύτας. τὸ δὲ μὴ ἀεὶ κινούμενον τήνδε τὴν κίνησιν. λέγω δ᾿ ὅσαι ἕτεραι τῷ εἴδει καὶ μὴ εἴ τι μόριόν ἐστι τῆς ὅλης, ἀνάγκη πρότερον ἠρεμεῖν τὴν ἀντικειμένην ἠρεμίαν. ἡ γὰρ ἠρεμία, στέρησις τῆς κινήσεώς ἐστι. εἰ οὖν ἐναντίαι μὲν κινήσεις αἱ καθ᾿ εὐθεῖαν, ἅμα δὲ μὴ ἐνδέχεται κινεῖσθαι τὰς ἐναντίας, τὸ ἀπὸ τοῦ α πρὸς τὸ γ φερόμενον, οὐκ ἂν φέροιτο ἅμα. καὶ ἀπὸ τοῦ γ πρὸς τὸ α. ἐπεὶ δὲ οὐχ ἅμα φέρεται, κινήσεται δὲ ταύτην τὴν κίνησιν ἀνάγκη ἠρεμῆσαι πρότερον πρὸς τῷ γ, αὕτη γὰρ ἦν ἡ ἀντικειμένη ἠρεμία τῇ ἀπὸ τοῦ γ κινήσει, δῆλον τοίνυν ἐκ τῶν εἰρημένων, ὅτι οὐκ ἔστι συνεχὴς ἡ κίνησις.

Πρότερον μὲν ἐπὶ τῆς κατ᾿ εὐθεῖαν φορᾶς ἐποιεῖτο τὸν λόγον. εἶτα ἐπὶ πάσης τῆς κυρίως κινήσεως, ἐφ᾿ ἧς ἐξ ἐναντίου εἰς ἐναντίον ἡ μεταβολὴ γίνεται. κἂν ἐπὶ παραδείγματος καὶ τό τε τῆς εὐθείας ὁ λόγος προῄει. νῦν δὲ καθολικώτερον ἐπὶ πάσης μεταβολῆς ἡ ἀπόδειξις γίνεται, τῆς καὶ τὴν γένεσιν περιεχούσης καὶ τὴν φθοράν. τῇ γὰρ στερήσει προσχρῆται, ὡς πάντων τῶν μεταβαλλόντων. εἴτε κατὰ τόπον εἴτε κατὰ ποιότητα ἢ ποσότητα ἢ κατ᾿ οὐσίαν, ἐκ τῆς οἰκείας γινομένων στερήσεως. εἰκότως οὖν καθόλου μᾶλλον εἶπεν ἐρεῖν περὶ πάσης κινήσεως, τουτέστι περὶ πάσης μεταβολῆς. πᾶν γοῦν τὸ μεταβάλλον εἴς τι ὃ μὴ πρότερον ἦν, ἐκ τοῦ μὴ τόδε καὶ ἐκ τῆς οἰκείας στερήσεως εἰς τὸ εἶναι τόδε τι μεταβάλλει. ὡς ἐν τῷ πρώτῳ τῆσδε τῆς πραγματείας ἐδείχθη. ὁ δὲ λόγος ἐστὶν αὐτῷ τοιοῦτος, λαβὼν ὅτι τὰ μὴ ἀϊδίως ἀλλά ποτε κινούμενα, τῶν εἰρημένων τινὰ κινεῖται κινήσεων ἐκ τῶν ἀντικειμένων εἰς τὰ ἀντικείμενα. ἢ γὰρ κατὰ γένεσιν καὶ φθοράν. ἢ κατὰ αὔξησιν καὶ μείωσιν. ἢ κατὰ ἀλλοίωσιν. ἢ κατὰ τὴν ἐπ᾿ εὐθείας φοράν. δῆλον δὲ ὅτι μὴ ἀεὶ κινούμενα καὶ ἠρεμεῖ ποτε τῶν ἠρεμιῶν τινά, αἵ τινές εἰσιν ἐν τοῖς ἀντικειμένοις γινόμεναι, τῶν ἐφ᾿ ἃ κινεῖται τὰ κινούμενα. οὔτε γὰρ κίνησις ἄλλη παρ᾿ ἐκείνας ἐστίν, οὔτε ἠρεμία παρὰ ταύτας. συλλογίζεται οὖν ὅτι τὸ μὴ ἀϊδίως κινούμενον, ἢ τῶν εἰρημένων τινὰ κινήσεων κινεῖται, ἢ τῶν ἀντικειμένων τινὰ αὐταῖς ἠρεμιῶν ἠρεμεῖ. τὸ δὲ κινούμενον τῶν εἰρημένων τινὰ κινήσεων μὴ ἀϊδίων, πρὸ τοῦ κινεῖσθαι αὐτήν, ἠρεμεῖν ἀνάγκη τὴν μεταξὺ ταύτης τε τῆς κινήσεως καὶ τῆς ἀντικειμένης αὐτῇ ἠρεμίαν. τὸ γὰρ μεταξὺ ἠρεμοῦν οὐ κινεῖται συνεχῆ κίνησιν. καὶ οὕτω μὲν καθολικῶς ἐπὶ πάσης μεταβολῆς ἀποδείκνυται τῆς ἐκ στερήσεως γινομένης. λοιπὸν δὲ τῇ κατ᾿ εὐθεῖαν ἀνακαμπτούσῃ φορᾷ, περὶ ἧς προέκειτο δεικνύναι ὅτι οὐκ ἔστι συνεχής, ἐφαρμόττει τὸν λόγον. εἰ γὰρ ἐναντίαι μὲν αἱ κατ᾿ εὐθεῖαν κινήσεις, ἡ ἀπὸ τοῦ ἄνω ἐπὶ τὸ κάτω. τῇ ἀπὸ τοῦ κάτω ἐπὶ τὸ ἄνω, ἤτοι ἡ ἀπὸ τοῦ α ἐπὶ τὸ γ. τῇ ἀπὸ τοῦ γ ἐπὶ τὸ α. καὶ διὰ τοῦτο οὐ δυνατὸν ἅμα ἀμφοτέρας κινεῖσθαι τὸ κινούμενον ἀπὸ τοῦ γ ἐπὶ τὸ α, ἀνάγκη πρότερον ἠρεμῆσαι πρὸς τῷ γ. αὕτη γὰρ ἦν ἡ ἀντικειμένη ἠρεμία τῇ ἀπὸ τοῦ γ κινήσει, μεταξὺ τῶν δύο κινήσεων οὖσα, καὶ διακόπτουσα αὐτῶν τὴν συνέχειαν. δῆλον οὖν ὅτι οὐκ ἔστι συνεχὴς ἡ κατ᾿ εὐθεῖαν κίνησις. ἡ μὲν οὖν ὅλη ἀπόδειξις τοῦ λόγου τοιαύτη. εἰπὼν δὲ τὸ δὲ μὴ ἀεὶ κινούμενον τήνδε τὴν κίνησιν, πῶς χρὴ λαμβάνειν τήνδε τὴν κίνησιν ἐξηγήσατο. διὰ τοῦ, λέγω δὲ ὅσαι ἕτεραι τῷ εἴδει. καὶ μὴ εἴ τι μόριον ἔσται τῆς ὅλης. τὸ γοῦν τὴν ἐπὶ τὸ ἄνω κίνησιν κινούμενον, ἥτις τῷ εἴδει τῆς ἐπὶ τὸ κάτω διαφέρουσα καὶ ἀντικειμένη αὐτῇ, οὐ δύναται μίαν συνεχῆ μετ᾿ αὐτῆς ποιεῖν, ἀνάγκη πρὸ τῆς ἐπὶ τὸ ἄνω κινήσεως τὴν ἐναντίαν τῇ κινήσει ταύτῃ ἠρεμίαν ἠρεμεῖν τὴν ἐν τῷ κάτω. οὐ μέντοι τὸ μόριόν τι τῆς ἐπὶ τὸ ἄνω κινήσεως, τὸ πρὸς τὸ ἄνω κινούμενον, πρὸ τοῦ ἐκεῖνο κινεῖσθαι, ἠρεμεῖν ἀνάγκη. τὸ γὰρ κινούμενον τὸ πρὸ αὐτοῦ μόριον, δυνάμει καὶ τοῦτο ἐκινεῖτο. καὶ ἑνὸς ὄντος τοῦ ἀμφοῖν εἴδους, οὐδὲν κωλύει συνεχῆ τὴν ἐξ ἀμφοῖν εἶναι κίνησιν, καὶ διὰ τοῦτο μὴ προηρεμεῖν. ὡς τὸ τὴν ἑτέραν τῷ εἴδει κινούμενον πρὸ τοῦ ταύτην κινεῖσθαι ἀναγκαῖον ἦν ἠρεμεῖν. ὅτι μὴ οἷόν τε τὰς ἀντικειμένας μίαν συνεχῆ ποιεῖν, ὥσπερ τὰς κατὰ μόρια διαφερούσας. αὗται γὰρ ὑπὸ ἠρεμίας οὐ διακόπτονται. διὸ καὶ τὰ συνεχῆ καὶ ἀΐδιον κίνησιν κινούμενα, κατ᾿ ἄλλο μὲν αὐτῆς ἀεὶ καὶ ἄλλο μόριον κινοῦνται. τοῦ δὲ εἴδους τοῦ αὐτοῦ ὄντος, οὐκ ἀναγκάζονται, πρὸ τοῦ τὴν κίνησιν ἐκείνην κινεῖσθαι, ἠρεμεῖν τὴν ἀντικειμένην ἠρεμίαν τῇ κινήσει, ἣν κινοῦνται. ὥσπερ τὰ μὴ τὰς κατὰ μόριον, ἀλλὰ τὰς κατ᾿ εἶδος διαφερούσας κινούμενα. εἰ γὰρ κινητὸν ἦν τήνδε τὴν κίνησιν. καὶ μὴ ἐκινεῖτο αὐτήν, ἐν τῇ στερήσει ἂν αὐτῆς ἦν. στέρησις δὲ ἡ ἠρεμία, ἐξ ἧς ἡ εἰς τὴν κίνησιν ἐκείνην μεταβολή. πᾶν γὰρ τὸ μεταβάλλον εἴς τι, ὃ μὴ πρότερον ἦν, ἐκ τοῦ μὴ τόδε μεταβάλλει. καὶ

τὸ εἰς τήνδε ἄρα τὴν κίνησιν μεταβάλλον, ἣν οὐκ ἐκινεῖτο πρότερον, ἐκ στερήσεως ἂν εἰς αὐτὴν μεταβάλλοι. στέρησις δὲ ἡ ἐν τῷ ἀντικειμένῳ ἠρεμία. τὸ γὰρ εἰς τὸ λευκὸν μεταβάλλον ἐκ τοῦ μέλανος, πρὸ τοῦ μεταβάλλειν εἰς τὸ λευκόν, ἀνάγκη ἐν τῷ μέλανι ὂν οὐ μεταβάλλει εἰς τὸ λευκὸν ἠρεμεῖν. καὶ γὰρ ἐναντίον τὸ μέλαν τῷ λευκῷ, ἀλλὰ καὶ ἐν τοῖς ἐναντίοις τὸ χεῖρον ἀεὶ τὸν τῆς στερήσεως ἔχει λόγον.

Ἔ ΤΙ ΔΕ καὶ ὅδε ὁ λόγος, μᾶλλον οἰκεῖος τῶν εἰρημένων. ἅμα γὰρ ἔφθαρται τὸ οὐ λευκὸν καὶ γέγονε λευκόν. εἰ οὖν συνεχὴς ἡ ἀλλοίωσις, εἰς λευκὸν καὶ ἐκ λευκοῦ καὶ μὴ μένει τινὰ χρόνον, ἅμα ἔφθαρται τὸ οὐ λευκόν, καὶ γέγονε λευκόν, καὶ γέγονεν οὐ λευκόν. τριῶν γὰρ ἔσται ὁ αὐτὸς χρόνος.

Δείξας ὅτι μὴ ἔστι συνεχὴς ἡ ἐπ' εὐθείας κίνησις διὰ κοινοτέρων ἐπιχειρήσεων, ἃς καὶ λογικωτέρας ἐκάλεσεν, νῦν πάλιν τὸ αὐτὸ δι' οἰκειοτέρων ἐπαγγέλλεται δεικνύναι. τουτέστιν ἐκ τῶν καθ' αὑτὸ ὑπαρχόντων. τὰ γὰρ καθ' αὑτὸ ὑπάρχοντά τινι, οἰκεῖα αὐτῷ ἐστι. τῶν δὲ καθ' αὑτὸ ὑπαρχόντων τῇ κινήσει, τὸ εἶναι αὐτὴν ἐν χρόνῳ. καὶ τὸ μεταβεβληκὸς εἴς τι, ἅμα τε μεταβεβληκέναι εἰς ὃ μετέβαλλεν, καὶ ἀπολελοιπέναι ἐκεῖνο ἐξ οὗ μετέβαλλεν. καθ' αὑτὸ δὲ καὶ τὸ τὸν νῦν μεταξὺ εἶναι χρόνον. διὰ τούτων οὖν μέλλων τὴν δεῖξιν ποιεῖσθαι, εἰκότως δι' οἰκείων μᾶλλόν φησι τὴν νῦν δεῖξιν ἔσεσθαι. αἱ γὰρ πρὸ ταύτης ἐπιχειρήσεις αὐτῷ ἐκ τῶν ἐναντίων καὶ τῶν ἀντικειμένων ἐγένοντο, κοινῶν ὄντων πρὸς πλείω. διὸ καὶ καθολικωτέρας ἔλεγεν αὐτάς. καὶ ταύτην μέντοι τὴν ἐπιχείρησιν ἐκ τῶν καθ' αὑτὰ μὲν ὑπαρχόντων τῇ κινήσει ποιεῖται, ἐπὶ πασῶν δὲ ἁρμοζόντων τῶν κινήσεων. διὸ ὥσπερ ὡς ἐπὶ ἀλλοιώσεως αὐτὴν ποιεῖται. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν. εἰ συνεχὴς ἡ ἀπὸ τῶν ἐναντίων εἰς τὰ ἐναντία κίνησις, ἅμα ἔφθαρταί τε ἐκεῖνο ἐξ οὗ ἡ μεταβολή. καὶ γέγονε τὸ εἰς ὃ ἡ μεταβολὴ ἐν τῷ αὐτῷ νῦν. ὥστε ἅμα ἔφθαρται τὸ οὐ λευκόν, καὶ γέγονε λευκόν. εἰ οὖν συνεχὴς ἡ ἀνάκαμψις, ἅμα ἂν εἴη εἴς τε τὸ λευκὸν μεταβεβληκός, καὶ ἐκ τοῦ λευκοῦ εἰς τὸ οὐ λευκόν. ὥστε τρία ταῦτα ἐν τῷ αὐτῷ νῦν. ὃ χρόνον εἶπεν, λέγων, τριῶν γὰρ ἔσται ὁ αὐτὸς χρόνος. ἥ τε φθορὰ τοῦ οὐ λευκοῦ, καὶ ἡ τοῦ λευκοῦ γένεσις. καὶ ἡ ἐκ τοῦ λευκοῦ εἰς τὸ οὐ λευκὸν μεταβολή. ὥστε εἴη ἂν τὸ αὐτὸ λευκόν τε. καὶ ἀποβεβληκὸς ἤδη τι τοῦ λευκοῦ. τοῦτο γὰρ τὸ ἐκ λευκοῦ μεταβάλλειν. εἰ δὲ διὰ τὸ μὴ συμβῆναι τοῦτο τὸ ἄτοπον, μὴ λέγοιμεν ἐν τῷ αὐτῷ νῦν εἰς λευκὸν μεταβεβληκέναι καὶ ἐκ λευκοῦ, ἀλλ' ἐν ἄλλῳ καὶ ἄλλῳ, ἔσται τις χρόνος ἐν μέσῳ καὶ ἠρεμία. καὶ οὐκέτι συνεχὴς ἡ κίνησις. εἰ οὖν τὰ μὲν ἐξ ἀνάγκης ἐν τῷ αὐτῷ ἐστι νῦν, ἥ τε φθορὰ τοῦ οὐ λευκοῦ. καὶ ἡ γένεσις τοῦ λευκοῦ, τὰ δὲ διὰ τὴν ὑπόθεσιν ὅτι κεῖται συνεχὴς ἡ κίνησις. ἅμα ἔσται τὸ λευκὸν καὶ ἡ ἐκ τοῦ λευκοῦ εἰς τὸ οὐ λευκὸν μεταβολή, ἔσται τὰ τρία ἐν τῷ αὐτῷ νῦν. φθορὰ οὐ λευκοῦ. γένεσις λευκοῦ. μεταβολὴ ἐκ λευκοῦ εἰς οὐ λευκόν. οὕτω δὲ ἂν γίνοιτο ἡ ἐκ τοῦ οὐ λευκοῦ μεταβολὴ εἰς τὸ οὐ λευκὸν γινομένη, μιᾶς οὔσης καὶ συνεχοῦς τῆς κινήσεως. καὶ τὸ ἐφθαρμένον εἰς ἑαυτὸ μεταβάλλον. τὸ γὰρ οὐ λευκὸν ἐφθαρμένον ἐν τῷ οὐ λευκῷ, πάλιν εἰς τὸ οὐ λευκὸν μεταβάλλει. οἷον τὸ μέλαν εἰς τὸ μέλαν. οὐδὲν δὲ ἐξ οὗ μεταβάλλει εἰς ἐκεῖνο μεταβάλλει. οἰκειοτέρα οὖν αὕτη τῶν προτέρων ἡ δεῖξις. ὅτι ἐκεῖ μὲν τὸ ἄτοπον συνήγετο περὶ τὸ ἐναντίας εἶναι τὰς κινήσεις. ἐνταῦθα δὲ παρὰ τὸ ἐν τῷ αὐτῷ νῦν ἅμα ποιεῖν τι. μεταβεβληκός τε ἔκ τινος εἴς τι, καὶ ἐκ τούτου πάλιν εἰς τὸ ἐξ οὗ μετέβαλλεν εἰς αὐτό. ὅσῳ οὖν οἰκειότερον κινήσει χρόνος τῶν ἐναντίων, τοσούτῳ καὶ ἡ δεῖξις ἥδε τῶν πρὸ αὐτῆς.

Ἔ ΤΙ ΟΥΚ εἰ συνεχὴς ὁ χρόνος, καὶ ἡ κίνησις. ἀλλ' ἐφεξῆς, πῶς δ' ἂν εἴη τὸ ἔσχατον τὸ αὐτὸ τῶν ἐναντίων. οἷον, λευκότητος καὶ μελανίας.

Τοῦτο πρόσκειται παραμυθούμενον ἡμῶν τὴν φαντασίαν, τὴν ἀπὸ τῆς τοῦ χρόνου συνεχείας καὶ τὰς ἐν χρόνῳ οὔσας κινήσεις συνεχίζουσαν. οὐ γὰρ εἴ τι ἐν τῷ συνεχεῖ ἐστιν, ἀνάγκη καὶ αὐτὸ συνεχὲς εἶναι. ἐπεὶ οὕτω γε πάντα τὰ ἐν χρόνῳ, κἂν πλεῖστον ἀλλήλων ἀφεστήκῃ, κἂν ἀνομοιότατα ᾖ, συνεχῆ ἔσται. ὁ γὰρ πᾶς χρόνος συνεχής. ἀλλ' οὐκ ἀνάγκη. οὐδὲ γὰρ τὰ ἐν ἀγγείῳ ὄντα συνεχῆ ἀνάγκη εἶναι, κἂν τὸ ἀγγεῖον συνεχὲς ᾖ. ὁ μὲν οὖν χρόνος συνεχής. αἱ δὲ κινήσεις αἱ ἐν αὐτῷ, αἱ εἰς τὰ ἐναντία καὶ ἐξ ἐναντίων, συνεχεῖς μὲν οὐκ ἂν εἶεν ἀλλήλαις, ἐφεξῆς δέ, ἐπεὶ γὰρ ταῦτα ἐφεξῆς, ὧν μηδὲν ἦν μέσον συγγενές. τῶν δὲ εἰς τὰ ἀντικείμενα κινήσεων μεταξὺ κίνησις μὲν οὐκ ἔστιν. ἠρεμία δέ, ἥτις οὐκ ἔστιν ὁμοειδὴς τῇ κινήσει. ὥστε αἱ οὕτω γινόμεναι κινήσεις, οὐ συνεχεῖς μέν, ἐφεξῆς δὲ ἀλλήλαις. ὅτι δὲ μὴ οἷόν τε συνεχῆ καὶ μίαν κίνησιν εἶναι τὰς ἐναντίας, ἐκ τοῦ ὁρισμοῦ τῶν συνεχῶν ἔδειξε. συνεχῆ γὰρ ἦν ταῦτα, ἃ πρὸς ἕνα κοινὸν ὅρον συνήπτετο. καὶ ὧν τὰ πέρατα ἓν ἦν. τῶν δὲ ἐναντίων οὐκ ἔστι κοινὸς ὅρος. οὐδὲ οἷόν τε τὰ ἔσχατα τῶν ἐναντίων καθ' ἃ συναφθήσονται ἓν εἶναι. ἐναντία γὰρ ἀλλήλοις καὶ τὰ ἔσχατα τῶν ἐναντίων. τὰ δὲ ἐναντία οὐχ ἕν. πῶς γὰρ ἂν εἴη τὰ τῆς λευκότητός φησι καὶ μελανίας ἔσχατα ἓν καὶ τὸ αὐτό. ὥστε τὰ ἐναντία. ὧν καὶ τὰ πέρατα ἐναντία, οὐκ ἔσται συνεχῆ ἀλλήλοις. δύναται δέ τις φησὶν Ἀλέξανδρος τὸ ἔσχατον τῶν ἐναντίων, τὸ πέρας τοῦ ὅλου συνεχοῦς ἀκούειν. μιᾶς γὰρ καὶ συνεχοῦς κινήσεως ἓν πέρας ἔσται, ὥστε τὸ λευκαινόμενον καὶ τὸ μελαινόμενον ἓν ἂν ἔχοι πέρας. τί δὲ ἂν γένοιτο τοῦτο. οὔτε γὰρ τὸ μέλαν. ὅτι μὴ τῆς λευκάνσεως τοῦτο πέρας ἦν. οὔτε τὸ λευκόν. οὐδὲ γὰρ οἷόν τε τοῦτο πέρας εἶναι τῆς μελάνσεως. ἀλλ' οὐδὲ μῖγμά τι ἐξ ἀμφοῖν, ὅτι μὴ ἅμα ἀμφοτέρας ἐκινεῖτο.

Εἰ δὲ ἐπὶ

Ἡ ΔΕ ΕΠΙ τῆς περιφεροῦς ἔσται μία καὶ συνεχής. οὐθὲν γὰρ ἀδύνατον συμβαίνει. τὸ γὰρ ἐκ τοῦ α κινούμενον. ἅμα κινήσεται εἰς τὸ α κατὰ τὴν αὐτὴν πρόθεσιν. εἰς ὃ γὰρ ἥξει, καὶ κινεῖται εἰς τοῦτο. ἀλλ' οὐχ ἅμα κινήσεται τὰς ἐναντίας. οὐδὲ τὰς ἀντικειμένας. οὐ γὰρ ἅπασα ἡ ἐκ τούτου τῇ εἰς τοῦτο ἐναντία. οὐδ' ἀντικειμένη. ἀλλ' ἐναντία μὲν, ἡ ἐπ' εὐθείας. ταύτῃ γάρ ἐστιν ἐναντία κατὰ τόπον. οἷον, ἡ κατὰ διάμετρον. ἀπέχει γὰρ πλεῖστον. ἀντικειμένη δὲ, ἡ κατὰ τὸ αὐτὸ μῆκος. ὥστε οὐδὲν κωλύει συνεχῶς κινεῖσθαι καὶ μηδένα χρόνον διαλείπειν.

Δ Εἰπὼν ὅτι οὐδὲ αἱ ἄλλαι παρὰ φορὰν μεταβολαὶ δύνανται εἶναι συνεχεῖς, οὐδὲ τῆς φορᾶς ἡ κατ' εὐθεῖαν διὰ τὰ ἑπόμενα ἀδύνατα, συνεχῆ τινα τούτων ὑποτιθεμένων, λέγει ὅτι μόνη ἡ κυκλοφορία δύναται μία καὶ συνεχὴς εἶναι. ἐπειδὴ μηδὲν ἀδύνατον ἕπεται τιθεμένης αὐτῆς. εἰ γὰρ τὰς ἄλλας κινήσεις μὴ οὔσας συνεχεῖς ἐδείκνυμεν, διὰ τὸ ἀδύνατα ἀκολουθεῖν τῷ συνεχῆ τινα ἐκείνων τιθέντι, εἰ μηδὲν ἀδύνατον ἕπεται συνεχοῦς τῆς κυκλοφορίας τιθείσης, θαρροῦντας χρὴ ταύτην συνεχῆ νομίζειν. τὸ γὰρ κύκλῳ κινούμενον ἀπὸ τοῦ α ἀρξάμενον. καὶ ἐπὶ τὸ α πάλιν φερόμενον κατὰ τὴν αὐτὴν ὁρμήν τε καὶ ῥοπὴν, οὐκ ἐπὶ ἐναντίον τι τῷ α πρῶτον ἔρχεται. ὡς ἐπὶ τῆς κατ' εὐθεῖαν κινήσεως ἐδείκνυτο. καὶ διὰ τοῦτο τὴν ἐκ τῶν ἐναντίων συγκειμένην μίαν εἶναι καὶ συνεχῆ ἀδύνατον ἦν ἐπ' ἐκείνης. τὸ δὲ κύκλῳ κινούμενον οὔτε ἐναντίας οὔτε ὅλως ἀντικειμένας κινεῖται κινήσεις ἐν τῇ περιφορᾷ. οὔτε γὰρ μόριόν τι τῆς ἀπὸ τοῦ α ἐπὶ τὸ α μορίῳ τινὶ ἐστὶν ἐναντίον, οὔτε ὅλη ἡ ἀπὸ τοῦ α κίνησις ἐπὶ τὸ α, ὅλῃ τῇ ἀπὸ τοῦ α ἐπὶ τὸ α ἐστὶν ἐναντία. οὐδὲ ἀντικειμένη ὅλως. καὶ δείκνυσι τίνες εἰσὶν αἱ φοραὶ ἐναντίαι τε καὶ ἀντικείμεναι κινήσεις. οὐδὲ γὰρ ἁπλῶς ἡ ἀπὸ τοῦ α τῇ ἐπὶ τὸ α ἐστὶν ἐναντία ἢ ἀντικειμένη. καὶ γὰρ ἡ κυκλικὴ οὕτως ἐπιτελεῖται. ἀλλ' ἔστιν ἡ ἀπὸ τοῦ α τῇ ἐπὶ τὸ α ἐναντία, ὅταν ἐπ' εὐθείας γίνηται. ἐναντία γοῦν τὰ κατὰ διάμετρον. ταῦτα γὰρ πλεῖστον ἀλλήλων ἀφέστηκε. καὶ τὰ ἀπὸ τῶν κατὰ διάμετρον κινούμενα, καὶ ἐπ' αὐτὰ πάλιν ὡς ἀπὸ ἐναντίων καὶ ἐπὶ ἐναντία, ἐναντίας κινεῖται κινήσεις. εἰ γάρ ἐστι πέρατα τῆς διαμέτρου τό, τε α καὶ τὸ β, ἡ ἀπὸ τοῦ α ἐπὶ τὸ β κίνησις. τῇ ἀπὸ τοῦ β ἐπὶ τὸ α ἐναντία ἐστί. διάμετρον δὲ λέγει τὴν τοῦ κύκλου τὴν εὐθεῖαν, καὶ ὡς ἐν τῷ κύκλῳ παραδεικνὺς, καὶ ὅτι τῆς διαμέτρου τὰ πέρατα πλεῖστον ἀλλήλων διέστηκεν. διὸ καὶ ἐναντίαι ἐπὶ τῆς διαμέτρου αἱ ἀνάπαλιν γινόμεναι. ἀντικειμένη δέ φησιν ἐστὶν ἡ κατὰ τὸ αὐτὸ μῆκος. αἱ μὲν γὰρ ἐπὶ τῆς διαμέτρου ἐναντίαι. διὰ τὸ πλεῖστον ἀλλήλων διεστηκέναι. ὁμοίως δὲ καὶ αἱ τὸ ἄνω καὶ κάτω πέρας ὁρίζουσαι, καὶ τὸ δεξιὸν καὶ ἀριστερὸν, καὶ τὸ ἔμπροσθεν καὶ τὸ ὄπισθεν τὰ κατὰ φύσιν, ὡς ἀπὸ ἐναντίων τῶν κατὰ τόπον ἐπὶ ἐναντία γινόμεναι κινήσεις, ἐναντίαι εἰσί. τὰ δὲ ἐπ' ἄλλης τινὸς εὐθείας τῆς τυχούσης, ἀνακάμπτοντα μέντοι, ἀντικειμένας κινήσεται κινήσεις εἰ καὶ μὴ ἐναντίας. ὡς γὰρ ἀπ' ἀρχῆς ἐπὶ πέρας. ἢ ὡς ἀπὸ πέρατος ἐπ' ἀρχήν. ἢ ὅτι τὸ μὲν ὡς πρὸς ἡμᾶς ἄνω, τὸ δὲ ὡς πρὸς ἡμᾶς κάτω. καὶ τὸ μὲν δεξιὸν πρὸς ἡμᾶς, τὸ δὲ ἀριστερόν. καὶ τὸ μὲν ὡς πρὸς ἡμᾶς ἔμπροσθεν, τὸ δὲ ὄπισθεν. ἀντίκειται δὲ ταῦτα ὡς τὰ πρός τι. ὥστε πᾶσαι αἱ ἐπὶ τῶν τοιούτων εὐθειῶν ἀνακάμπτουσαι κινήσεις, εἰ μὴ ἐναντίαι, ἀλλ' οὖν ἀντικείμεναί γε. ἐναντίας γὰρ μόνας τὰς ἀπὸ τῶν ἐναντίων εἶναι φαμὲν, ἐναντία δὲ τὰ κατὰ διάμετρον, ὡς πλεῖστον ἀλλήλων διεστῶτα φησὶν ὁ Ἀλέξανδρος. μή ποτε δὲ ἐναντία πέρατα εὐθείας ἐστὶ, καὶ τὰ τοὺς ἐναντίους τόπους ὁρίζοντα ὡς πρότερον εἶπον. καὶ γὰρ τῆς ἐκ τοῦ κέντρου ἡμισείας οὔσης τῆς διαμέτρου. ἐναντία τὰ πέρατα ταύτης. διότι τὸ μὲν ἄνω τὸ δὲ κάτω ἐστί. δύναται δέ φησιν ὁ Ἀλέξανδρος ἀντικειμένην τὴν κατὰ τὸ μῆκος λέγειν, κἂν μὴ ἐπ' εὐθείας γίνηται. ἂν γοῦν ἀπό τινος σημείου ἐπί τι σημεῖον πλείους ἐπιζευχθῶσι γραμμαὶ μὴ οὖσαι εὐθεῖαι, μία γοῦν ἡ ἀπὸ ἑνὸς σημείου ἐφ' ἓν εὐθεῖαν, ἔσται τὰ ἐπὶ τῶν γραμμῶν τούτων κινούμενα ἀνάπαλιν, οὐκ ἐπ' εὐθείας μὲν ἀντικινούμενα, ἐπὶ δὲ τοῦ αὐτοῦ μήκους. αἱ οὖν ἐπὶ τῶν τοιούτων γραμμῶν ἀντικινήσεις, οὐκ ἐναντίαι μὲν, ὅτι ἐπὶ τῆς εὐθείας αἱ ἐναντίαι, ἀντικείμεναι δὲ, ὅτι ἀλλήλας ἀνθιστῶσι, καὶ ἀλλήλων εἰσὶν ἀναιρετικαί. εἰ τοίνυν τὰ μὲν ἐπ' εὐθείας κινούμενα καὶ ἀνακάμπτοντα, ἢ ἐναντίας κινεῖται κινήσεις ἢ ἀντικειμένας, οὔτε δὲ τὰς ἐναντίας οὔτε τὰς ἀντικειμένας συνεχεῖς ἀλλήλαις εἶναι δυνατὸν, οὐκ ἂν αἱ ἐπ' εὐθείας ἀνακάμπτουσαι συνεχεῖς εἶεν. τὴν δὲ κύκλῳ ἐπὶ τοῦ αὐτοῦ οὐδὲν κωλύει συνεχῶς γίνεσθαι, καὶ μηδένα διαλείπειν χρόνον.

Ἡ ΜΕΝ γὰρ κύκλῳ κίνησίς ἐστιν. ἡ ἀφ' αὐτοῦ εἰς τὸ αὐτό. ἡ δὲ κατ' εὐθεῖαν ἀφ' αὐτοῦ, εἰς ἄλλο.

Δ Εἰπὼν διὰ τοῦ προτέρου ἐπιχειρήματος, ὅτι ἡ κύκλῳ κίνησις οὐ κωλύεται εἶναι συνεχὴς, διὰ τὸ μὴ ἐκ τῶν ἐναντίων ἢ ἀντικειμένων κινήσεων συγκεῖσθαι. ὥσπερ ἡ ἐπ' εὐθείας, νῦν δείκνυσιν ὅτι οὐδὲ κατ' ἐνέργειαν ἐστί τι σημεῖον. ἐν ᾧ δεήσει γίνεσθαι καὶ ἀπογίνεσθαι καὶ μεταξὺ ἠρεμεῖν. ὡς ἐπὶ τῶν κατ' εὐθεῖαν ἀνακαμπτόντων ἐδείκνυτο. καὶ τοῦτο ἦν αἴτιον τοῦ μὴ συνεχῶς κινεῖσθαι. ἡ μὲν γοῦν κύκλῳ κίνησις ἀπὸ τοῦ αὐτοῦ ἐπὶ τὸ αὐτὸ γινομένη, οὐκ ἔχει τι σημεῖον ἐπὶ τοῦ κύκλου κατ' ἐνέργειαν, ἐφ' ὃ πρῶτον ὡρμημένον τὸ κινούμενον, ὡς πέρατι καὶ ὡς ἀρχῇ τῷ αὐτῷ χρήσεται, καὶ μεταξὺ ἠρεμήσει. εἰ γὰρ ἔχει τι τοιοῦτον σημεῖον, οὐκ ἂν ἀπὸ τοῦ αὐτοῦ ἐπὶ τὸ αὐτὸ ἐλέγετο κινεῖσθαι. ἀλλ' ἐπ' ἐκεῖνο ἐν ᾧ ἔδει πρώτῳ γίνεσθαι. ἡ δὲ ἐπὶ τῆς εὐθείας ἀπὸ τοῦ αὐτοῦ ἐπ' ἄλλο γίνεται. ἐπὶ γὰρ τὸ πέρας τῆς εὐθείας τὸ ἀντικείμενον. ἐν ᾧ πρώτῳ ἀνάγκη αὐτὸ γίνεσθαι ὡς ἐν πέρατι. καὶ ἀνακάμπτον ἀπ' ἐκείνου ὡς ἀπ' ἀρχῆς αὐτοῦ, κινεῖσθαι πάλιν ἐπὶ τὸν ἐξ ἀρχῆς τοῦ κινουμένου τόπον. τὸ γὰρ ἀπὸ τοῦ αὐτοῦ, τὸ ἀπὸ τοῦ τόπου σημαίνει, ἐν ᾧ ἐξ

ἀρχῆς ἦν. καὶ τὸ εἰς αὐτὸ, τὸ εἰς ἐκεῖνον τὸν τόπον. τὸ δ᾽ εἰς ἄλλο, τὸ εἰς ἄλλον τόπον, παρ᾽ ὃν οὐκ ἀρχῆς ἦν.

ΚΑΙ Η΄ ΜΕΝ ἐν τῷ κύκλῳ, οὐδέποτε ἐν τοῖς αὐτοῖς. ἡ δὲ κατ᾽ εὐθεῖαν, πολλάκις ἐν τοῖς αὐτοῖς. τὴν μὲν οὖν ἀεὶ ἐν ἄλλῳ καὶ ἄλλῳ γιγνομένην, ἐνδέχεται κινεῖσθαι συνεχῶς. τὴν δὲ ἐν τοῖς αὐτοῖς πολλάκις, οὐκ ἐνδέχεται. ἀνάγκη γὰρ ἅμα κινεῖσθαι τὰς ἀντικειμένας. ὥστε οὐδὲ ἐν τῷ ἡμικυκλίῳ, οὐδὲ ἐν ἄλλῃ περιφερείᾳ οὐδὲ μιᾷ ἐνδέχεται συνεχῶς κινεῖσθαι. πολλάκις γὰρ ἀνάγκη ταὐτὰ κινεῖσθαι καὶ τὰς ἐναντίας μεταβάλλειν μεταβολάς. οὐ γὰρ συνάπτει τῇ ἀρχῇ τὸ πέρας. ἡ δὲ τοῦ κύκλου συνάπτει. καὶ ἔστι μόνη τέλειος.

Κ αἱ ἐκ τούτου τοῦ ἐπιχειρήματος δείκνυσι τὴν διαφορὰν τῆς κύκλῳ κινήσεως πρὸς τὴν κατ᾽ εὐθεῖαν. καθ᾽ ἣν διαφορὰν ἡ μὲν κύκλῳ κίνησις δύναται συνεχὴς εἶναι, ἡ δὲ κατ᾽ εὐθεῖαν οὐ δύναται. ἡ μὲν γὰρ ἐν τῷ κύκλῳ φησί. τουτέστιν ἡ κύκλῳ. οὐδέποτε ἐν τοῖς αὐτοῖς. καὶ προσυπακούει ὁ Ἀλέξανδρος τὸ γίνεται. ἵνα ᾖ οὐδέποτε ἐν τοῖς αὐτοῖς γίνεται. τῷ μὴ δὲ ἐνεργείᾳ τι εἶναι ἐν τῇ περιφερείᾳ σημεῖον. ἐν ᾧ γινομένη στήσεται, ἢ ὅλως γίνεται καὶ ἀπογίνεται. τὴν δὲ κατ᾽ εὐθεῖαν καὶ ἐπὶ τῆς εὐθείας ἐν τοῖς αὐτοῖς ἀνάγκη γίνεσθαί τε καὶ ἀπογίνεσθαι. ἐπειδὴ δὲ τῷ μὲν μηδέποτε ἐν τοῖς αὐτοῖς, τὸ μὴ ἔχειν ἀνάγκην στῆναι. τῷ δὲ πολλάκις ἐν τοῖς αὐτοῖς γινόμενον, τὸ ἀνάγκην ἔχειν ἐν ᾧ γίνεται πάλιν καὶ πάλιν ἵστασθαι ἐν αὐτῷ. ἐν ᾧ γὰρ γίνεται κατ᾽ ἐνέργειαν, καὶ ἀπογίνεται ἀπ᾽ αὐτοῦ. μεταξὺ δὲ τοῦ γίνεσθαι καὶ ἀπογίνεσθαι στάσιν ἀνάγκη εἶναι. ὡς δέδεικται πρότερον. τὰ οὖν ἐπὶ τῆς εὐθείας ἀνακάμπτοντα, δὶς ἐν τῷ αὐτῷ σημείῳ γίνεται, τελευτῶντά τε καὶ πάλιν ἀρχόμενα. ὅταν τὸ αὐτὸ διάστημα δὶς ἐφεξῆς κινῆται, παυόμενόν τε ἐπὶ τὸ σημεῖον ἀφ᾽ οὗ ἀνακάμπτει, καὶ ἀρχόμενον ἀπ᾽ αὐτοῦ πάλιν. καὶ τοῦτο ὁσάκις ἀνακάμπτει. ποιεῖ. διὸ ἡ μὲν ἀεὶ ἐν ἄλλῳ σημείῳ γινομένη, δύναται συνεχὴς εἶναι. ἡ δὲ ἐν τῷ αὐτῷ πολλάκις γινομένη, οὐ δύναται. ἵστασθαι γὰρ ἀνάγκη τὰ ἀνακάμπτοντα μεταξὺ τοῦ γίνεσθαι καὶ ἀπογίνεσθαι, καὶ μέντοι καὶ τὰς ἀντικειμένας κινεῖσθαι κινήσεις. οὔτε δὲ τὸ ἱστάμενον μεταξὺ, οὔτε τὸ τὰς ἀντικειμένας κινούμενον συνεχῆ κίνησιν δύναται κινεῖσθαι. τὸ μὲν γὰρ συνεχῆ κίνησιν κινούμενον, μίαν κινεῖται καὶ ἅπαξ. τὸ δὲ ἱστάμενον εἶτα κινούμενον, τοσαύτας καὶ τοσαυτάκις ὁσάκις ἐκ στάσεως μεταβάλλει. ὅταν οὖν ἱστάμενον πάλιν κινῆται ἐπὶ τοῦ αὐτοῦ ἀνακάμπτον, διότι μὲν ἵσταται πολλάκις κινεῖται. τῷ δὲ ἀνακάμπτοντα ἐπὶ τῆς αὐτῆς κινεῖσθαι πάλιν, πολλάκις γίνεται τὴν αὐτὴν κινούμενον. καὶ τοσαυτάκις ὁσάκις ἀνακάμπτει. πῶς οὖν οὐχὶ καὶ ἡ κύκλῳ πολλάκις ἔσται κατὰ ταὐτά. εἴγε πολλάκις περιφέρεται. ἢ οὐ τὸ πλεονάκις κατὰ ταὐτὸν γινόμενον, εὐθέως ἤδη καὶ πολλάκις ταύτην κεκίνηται. ἀλλ᾽ ἂν κατὰ μίαν ὁρμὴν καὶ τάσιν καὶ ῥοπὴν συνεχῶς κινούμενον πλεονάκις κατὰ ταὐτὸ γίνηται. δυνάμει ὂν καὶ οὐκ ἐνεργείᾳ οὕτως, ὥστε τὸ αὐτὸ ἀρχὴν καὶ πέρας γίνεσθαι, καὶ μὴ ἠρεμεῖν μεταξὺ, συνεχὴς ἡ κίνησις ἔσται. ἐὰν δὲ ἠρεμῆσαν μεταξὺ, πάλιν κινῆται τὴν αὐτὴν ἀνάπαλιν, ὡς ἐπὶ τῶν ἀνακαμπτόντων, εἴτε ἐπὶ εὐθείας εἴτε ἐπὶ περιφερείας, πλεονάκις κατὰ τὸ αὐτὸ κινήσεται. τῷ μίαν ἑκάστην τῶν κινήσεων τῶν διαλαμβανομένων ὑπὸ τῶν ἠρεμιῶν ἰδίαν εἶναι. πολλάς τε οὕτω τὸ κινούμενον κινεῖται κινήσεις καὶ πολλάκις. ὁσάκις γὰρ τὴν ὅλην, τοσαυτάκις καὶ τῶν μορίων αὐτῆς ἕκαστον, καθ᾽ ἑκάστην αὐτῶν ἅπαξ κινούμενον ἐπὶ τοῦ ὑποκειμένου. οὔτε γὰρ ὡς ἐπὶ ἑνὸς, οὔτε μίαν ἐκινεῖτο μὴ συνεχῶς κινούμενον. εἰ δέ τις καὶ ἐπὶ τῶν συνεχῶν λέγοι τὸ πλεονάκις κατὰ τὸ αὐτὸ γινόμενον πολλάκις ἐπὶ αὐτοῦ κεκινῆσθαι, οὐ κυρίως ἂν λέγοι. οὐ γὰρ κυρίως πολλάκις, τῷ μὴ πολλὰς ἀλλὰ μίαν τε καὶ συνεχῆ εἶναι ἐπὶ μιᾶς καὶ συνεχοῦς γινομένην. τὰ γὰρ τῶν συνεχῶν μόρια δυνάμει ἐστὶν ἐν τοῖς συνεχέσι, καὶ οὐ διώρισται καθ᾽ αὑτά. δι᾽ ὃ οὔτε πολλὰς οὔτε πολλάκις. ὡς τὰ ἀνακάμπτοντα κινεῖται οὐ συνεχῶς. ἀλλ᾽ ἐφεξῆς. τὸ γὰρ ἀνακάμπτον ἐν ᾧ ἐπαύσατο ἀπὸ τούτου πάλιν ἄρχεται. ἀδύνατον δὲ τὸ οὕτω κινούμενον συνεχῶς κινεῖσθαι ὡς δέδεικται. δείξας δὲ ὅτι τὸ τὴν αὐτὴν πολλάκις κινούμενον, ἀνάγκη τὰς ἀντικειμένας κινεῖσθαι κινήσεις ἀνακάμπτον καὶ μεταξὺ ἠρεμεῖν. ἐφιστάνει καλῶς, ὅτι οὐχὶ ἡ εὐθεῖα τούτου αἰτία, ἀλλὰ τὸ πεπερασμένον καὶ τὰ πέρατα ἐνεργείᾳ ἔχον. τοιγαροῦν καὶ ἐπὶ ἡμικυκλίου καὶ ἐπὶ ἄλλης ἧστινος οὖν περιφερείας, ἀρχὴν καὶ τέλος διωρισμένα κατ᾽ ἐνέργειαν ἐχούσης, ἀνακάμπτειν ἀνάγκη τὰ ἐπὶ μόνως κινούμενα. μόνη δὲ ἡ κυκλικὴ ἅτε μὴ ἔχουσα ἀρχὴν καὶ πέρας κατ᾽ ἐνέργειαν διωρισμένα, συνεχὴς εἶναι δύναται. τοιγαροῦν καὶ ἡ ἐπὶ τῆς εὐθείας εἰ ἄπειρος ἦν ἡ εὐθεῖα, οὐδὲν ἐκώλυε τὸ συνεχῶς ἐπὶ αὐτῆς τι κινεῖσθαι. ἀλλὰ διότι τὸ ἐπὶ τῆς πεπερασμένης ἀνακάμπτειν ἀνάγκη, καὶ ἅμα μὲν μεταξὺ ἠρεμεῖν, ἅμα δὲ τὰς ἀντικειμένας κινεῖσθαι, δι᾽ ἄμφω συνεχῆ τὴν τοιαύτην κίνησιν ἀδύνατον εἶναι. καὶ τὴν αἰτίαν αὐτὸς συντόμως ἐπήγαγε τοῦ μὴ εἶναι συνεχῆ τὴν ἐπὶ τῆς πεπερασμένης εὐθείας. οὐ γὰρ συνάπτει φησὶν ἐπὶ αὐτῆς, τῇ ἀρχῇ τὸ πέρας. ὡς ἐπὶ τῶν κύκλῳ κινουμένων πᾶν τὸ ληφθὲν σημεῖον καὶ πέρας καὶ ἀρχή ἐστιν. ὡς κατὰ πᾶν τοῦ πέρατος καὶ τῆς ἀρχῆς συνημμένων διὰ τὸν κυκλισμὸν, καὶ οὐ διωρισμένων ὡς ἐπὶ τῆς εὐθείας. κἂν γὰρ καὶ ἐπὶ τῆς εὐθείας τὸ πέρας καὶ ἀρχὴ γίνεται τῷ ἀνακάμπτοντι, καὶ ἡ ἀρχὴ καὶ πέρας, ἀλλ᾽ οὐ συνῆπται ἡ ἀρχὴ τῷ πέρατι ἐπὶ τῆς εὐθείας. οἷον τὸ α τῷ β. εἰ ταῦτα εἴη τῆς εὐθείας πέρατα. ἐν μέντοι τῷ κύκλῳ συνῆπται πρὸς ἄλληλα ἡ ἀρχὴ καὶ τὸ πέρας. διότι ὅθεν ἂν ἄρξηται τὸ κινούμενον ἐπὶ τοῦ κύκλου εἰς τὸ αὐτὸ καταλήγει, διελθὸν τὴν τοῦ κύκλου γραμμήν. διὰ τοῦτο δὲ καὶ μόνη τέλειος ἡ κύκλῳ, ὅτι οὐδὲν ἐκτὸς ἑαυτῆς ἀπολείπει. ὥσπερ ἡ πεπερασμένη εὐθεῖα καὶ προσαυ-

ξηθῆναι δύναται, ὡς ἔχουσά τι ἐκτὸς ἑαυτῆς, ἡ δὲ κύκλῳ οὐ δέχεται προσαύξησιν.

Φ ΑΝΕΡΟΝ δὲ καὶ ἐκ ταύτης τῆς διαιρέσεως ὅτι οὐδὲ τὰς ἄλλας ἐνδέχεται κινήσεις εἶναι συνεχεῖς. ἐν ἁπάσαις γὰρ τὰ αὐτὰ συμβαίνει κινεῖσθαι πολλάκις, οἷον, ἐν ἀλλοιώσει τὰ μεταξύ. καὶ ἐν τῇ τοῦ ποσοῦ τὰ ἀνὰ μέσον μεγέθη καὶ ἐν γενέσει καὶ φθορᾷ ὡσαύτως. οὐδὲν γὰρ διαφέρει ὀλίγα ἢ πολλὰ ποιῆσαι ἐν οἷς ἐστὶν ἡ μεταβολή. οὐδὲ μεταξὺ προσθεῖναί τι ἢ ἀφελεῖν. ἀμφοτέρως γὰρ συμβαίνει ταὐτὰ κινεῖσθαι πολλάκις.

Δ εἰξας ὅτι τὴν μὲν ἐπ' εὐθείας κίνησιν οὐχ οἷόν τε συνεχῆ εἶναι, τὴν δὲ κύκλῳ δυνατόν, καὶ χρησάμενος πρὸς τοῦτο τῷ τὴν μὲν ἐπ' εὐθείας πολλάκις ἐν τοῖς αὐτοῖς γίνεσθαι, τὴν δὲ κύκλῳ μηδέποτε ἐν τοῖς αὐτοῖς κατ' ἐνέργειαν, λέγει ὅτι ἐκ ταύτης τῆς διαιρέσεως τῆς δεικνύσης. τὸ μὲν ἀνακάμπτον πολλάκις ἐν τοῖς αὐτοῖς γινόμενον, καὶ ἀρχὴν καὶ πέρας τὸ αὐτὸ ποιούμενον κατ' ἐνέργειαν, καὶ διὰ τοῦτο μεταξύ τε ἠρεμοῦν, καὶ πλείονας καὶ ἀντικειμένας κινήσεις κινούμενον, μὴ δύνασθαι συνεχῶς κινεῖσθαι, τὸ δὲ μὴ ἀνακάμπτον δύνασθαι, διὰ ταύτης οὖν φησι τῆς διακρίσεως δείκνυσθαι, μὴ μόνας τὰς ἐπὶ τῆς εὐθείας καὶ τὰς ἐπὶ τοῦ ἡμικυκλίου, καὶ ὅλως τὰς κατὰ γραμμὴν πεπερασμένην κινήσεις, ἀνακαμπτόντων γίνεσθαι τῶν ἐπ' αὐτῶν κινουμένων, καὶ διὰ τοῦτο μὴ δύνασθαι συνεχῶς κινεῖσθαι, ἀλλὰ μηδὲ τῶν ἄλλων τινὰ τῶν κατὰ τὰ ἄλλα τῆς κινήσεως ἤτοι τῆς μεταβολῆς εἴδη γινομένων, ἔστι δὲ ταῦτα, αὔξησις. μείωσις. ἀλλοίωσις. γένεσις καὶ φθορά, δυνατὸν συνεχῶς κινεῖσθαι. καὶ γὰρ ἐν πάσαις ταύταις φησὶ τὰ αὐτὰ συμβαίνει κινεῖσθαι πολλάκις. καὶ τοσαυτάκις, ὁσάκις ὑπὸ ἠρεμίας ὁρίζονται. καὶ γὰρ ἐν τῇ ἀλλοιώσει ὅταν ἐκ μέλανος εἰς λευκὸν μεταβάλλῃ, καὶ πάλιν ἐκ λευκοῦ εἰς μέλαν, καὶ τοῦτο πολλάκις, τὰ μεταξὺ τοῦ μελαίνεσθαι καὶ λευκαίνεσθαι πλείονα ὄντα ἠρεμήματα, καὶ ὁρίζοντα τὰς κινήσεις πλείονας καὶ ἐκείνας ποιεῖ. ἄλλη γὰρ κίνησις ἡ ἀπὸ τῆς ἀρχῆς τοῦ λευκαίνεσθαι ἕως τοῦ πέρατος. διότι καὶ ἠρεμία ἄλλη μὲν ἡ ἐν τῷ λευκαίνεσθαι. ἄλλη δὲ ἡ ἐν τῷ μελαίνεσθαι. ταῦτα οὖν λέγει τὰ μεταξὺ ἔν τε ἀλλοιώσει καὶ ἐν τῇ κατὰ ποσὸν κινήσει, τὰ ἀναμέσον τῶν κινήσεων τῆς τε κατὰ αὔξησιν καὶ μείωσιν μεγέθη. ἐν οἷς ἠρεμεῖν ἀνάγκη. ταῦτα δὲ πλείονα ὄντα πολλὰς ποιεῖ τὰς κινήσεις. καὶ ἐν γενέσει δὲ καὶ φθορᾷ ὡσαύτως. πεπερασμένων γὰρ οὐσῶν πασῶν τούτων τῶν κινήσεων, ἀνακάμπτειν ἀνάγκη τὰ κινούμενα, καὶ τὰς ἐναντίας ἢ τὰς ἀντικειμένας κινεῖσθαι. καὶ διὰ τοῦτο μὴ μίαν. ἀλλὰ πολλὰς κινεῖσθαι κινήσεις ἐναντίας ἢ ἀντικειμένας. ὧν δεῖ τὸ πλῆθος ἀπολογίζεσθαι. ἐὰν γὰρ διὰ πλειόνων τῶν μεταξὺ ἡ μεταβολὴ γίνηται, ἐὰν δι' ἐλαττόνων, οὐδὲν διαφέρει. οἷον εἰ ἡ μὲν λεύκανσις διὰ πλειόνων γίνεται μεταβολῶν, ἡ δὲ μέλανσις δι' ἐλαττόνων, οὐδὲν διαφέρει. δύο γὰρ αἱ κινήσεις καὶ δύο αἱ ὁρίζουσαι αὐτὰς ἠρεμίαι. τὰ δὲ μεταξὺ οἶμαι οὕτω χρὴ ὁρᾶν. ὡς μὴ εἰς εἶδος τέλειον καταντῶντα, ὥστε καὶ στάσει διαλαμβάνεσθαι. οἷον εἰ ἀπὸ λευκοῦ πυρρὸν, καὶ ἀπὸ πυρροῦ φαιὸν, καὶ ἀπὸ φαιοῦ μέλαν γίνοιτο. ταῦτα γὰρ εἴδη. καὶ στάσιν ἔχειν ἐν αὐτοῖς τὸ κινηθέν. ἀλλὰ διὰ τῶν ἀτελῶν ἡ κίνησις πρόεισι. τότε γὰρ μία καὶ συνεχὴς ἄχρι τοῦ μέλανος, ὡς ἐπ' ἐκεῖνο τῆς ὁρμῆς οὔσης. καὶ ἐκεῖθεν γινομένης τῆς ἀνακάμψεως. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων μεταβολῶν. ἡ γὰρ ἀνάκαμψις ἐναργῶς δείκνυσι τὴν τῆς συνεχείας διακοπήν. καὶ εἰ μὲν ἄπειρα ἦν τὰ μεταξὺ, δυνατὸν ἦν λέγειν ὅτι οὐδὲ ἀνακάμπτει, τῷ μηδὲ γίνεσθαι ἐπὶ τῷ πέρατι. ἐπειδὴ δὲ πεπερασμένα ἐστὶν ἔν τε τῷ ποιῷ τὰ μεταξὺ εἴδη. καὶ ἐν τῷ ποσῷ τὰ μεταξὺ τῶν ὡρισμένων ἐφ' ἑκάτερα μεγεθῶν κατὰ τὴν οἰκείαν ἑκάστου φύσιν, καὶ τῆς γενέσεως καὶ φθορᾶς ὥρισται τὰ καθ' ἃ ἡ μεταβολὴ ἢ τῇ ἀντιφάσει ἢ ταῖς στερήσεσιν, οὐδὲν τὸ διὰ πλειόνων ἢ δι' ἐλαττόνων ἀνακάμπτειν τὰ κινούμενα ἐπὶ τὰ ἐναντία ἢ τὰ ἀντικείμενα τὸν εἰρημένον λόγον παραλυπεῖ. τὰ δὲ ἀνακάμπτοντα πολλάκις ἐν τοῖς αὐτοῖς γίνεται. ὡς ἐν πέρατι καὶ ὡς ἐν ἀρχῇ κατὰ τὸν εἰρημένον τρόπον, διὰ τὸ πολλὰς τὰς κινήσεις γίνεσθαι. δι' ὃ οὐδὲ μία καὶ συνεχὴς ἡ τοιαύτη.

Δ ΗΛΟΝ οὖν ἐκ τούτων ὅτι οὐδ' οἱ φυσιολόγοι καλῶς λέγουσιν, οἱ πάντα τὰ αἰσθητὰ κινεῖσθαι φάσκοντες ἀεί. κινεῖσθαι γὰρ ἀνάγκη τούτων τινὰ τῶν κινήσεων. καὶ μάλιστα κατ' ἐκείνους ἐστὶν ἀλλοιοῦσθαι. ῥεῖν γάρ φασιν ἀεὶ καὶ φθίνειν. ἔτι δὲ καὶ τὴν γένεσιν καὶ τὴν φθορὰν, ἀλλοίωσιν λέγουσιν. ὁ δὲ λόγος νῦν εἴρηκε καθόλου περὶ πάσης κινήσεως. ὅτι κατ' οὐδεμίαν κίνησιν ἐνδέχεται κινεῖσθαι συνεχῶς, ἔξω τῆς κύκλῳ. ὥστε οὔτε κατ' ἀλλοίωσιν οὔτε κατ' αὔξησιν. ὅτι μὲν οὖν οὔτ' ἄπειρός ἐστι μεταβολὴ οὐδεμία, οὔτε συνεχὴς ἔξω τῆς κύκλῳ φορᾶς, ἔστω τοσαῦθ' ἡμῖν εἰρημένα.

Δ εἰξας ὅτι οὐδεμίαν τῶν ἄλλων κινήσεων καὶ μεταβολῶν συνεχῆ δυνατὸν εἶναι, πλὴν τῆς κυκλοφορίας τοῖς οὐρανίοις μόνοις ὑπαρχούσης σώμασιν, αἰτιᾶται τῶν φυσιολόγων τοὺς πάντα τὰ αἰσθητὰ σώματα κινεῖσθαι λέγοντας ἀεί. καὶ γὰρ εἰ μὲν τὴν κύκλῳ κίνησιν ἐκινεῖτο πάντα, ὥσπερ τὰ οὐράνια, δυνατὸν ἦν ἀεὶ πάντα κινεῖσθαι. ἐπειδὴ δὲ καὶ ἐκ τῆς ἐναργείας δῆλον, ὅτι τὰ ὑπὸ σελήνην τὰς ἄλλας κινεῖται κινήσεις, ἀλλοιούμενα καὶ αὐξόμενα καὶ μειούμενα, καὶ κατὰ τόπον ἐπ' εὐθείας κινούμενα, καὶ γινόμενα καὶ φθειρόμενα, αὗται δὲ τῶν ὑπὸ σελήνην αἱ μεταβολαί, καὶ μέντοι καὶ κατ' ἐκείνους αὗται ἐν τοῖς αἰσθητοῖς εἰσιν αἱ κινήσεις, καὶ γὰρ γένεσιν καὶ φθορὰν λέγουσι,

ῥεῖν ἀεὶ καὶ φθίνειν τὰ αἰσθητὰ λέγοντες, καὶ δηλονότι καὶ ἀλλοίωσιν εὑροῦσιν, ὅτι καὶ τὴν γένεσιν καὶ τὴν φθορὰν ἀλλοίωσιν λέγουσι, διότι τὸ γίνεσθαι καὶ φθίνειν ἀλλοιουμένων τῶν σωμάτων ἐπιτελεῖται, εἰ οὖν ἐδείχθη ἀδύνατον ὂν τὸ κατά τινα τούτων τῶν κινήσεων συνεχῶς κινεῖσθαι, καὶ καθόλου δέδεικται ὅτι οὐδεμίαν κίνησιν ἐνδέχεται συνεχῆ εἶναι πλὴν τῆς κύκλῳ, δηλονότι οὐδὲ ἀλλοίωσις οὐδὲ αὔξησις καὶ μείωσις, ἃς ἑώρων καὶ ἐκεῖνοι ἐν τοῖς αἰσθητοῖς, συνεχεῖς εἶναι δύνανται. τοὺς δὲ περὶ Ἡράκλειτον φυσιολόγους, εἰς τὴν ἐνδελεχῆ τῆς γενέσεως ῥοὴν ἀφορῶντας, καὶ ὅτι γινόμενα καὶ ἀπογινόμενα πάντα ἐστὶ τὰ σωματικὰ, καὶ ὄντως δὲ οὐδέποτε ὄντα, ὡς καὶ ὁ Τίμαιος εἶπεν, εἰκός ἐστι λέγειν ὅτι ἀεὶ πάντα ῥεῖ. καὶ ὅτι εἰς τὸν αὐτὸν ποταμὸν δὶς οὐκ ἂν ἐμβαίης. τὴν γὰρ μεταξὺ ταύτην τῶν ἀντικειμένων κινήσεων ἠρεμίαν, ἣν ὁ Ἀριστοτέλης ἐξέφηνε, κἂν ἐθεάσαντο, ὡς ἀνεπαίσθητον οὖσαν ἐν οὐδενὶ λόγῳ πρὸς τὴν ὅλην ῥοὴν ἐλογίσαντο. μία γὰρ χελιδὼν ἔαρ οὐ ποιεῖ. ὡς αὐτὸς ὁ Ἀριστοτέλης καλῶς ἐν τοῖς ἠθικοῖς ἀπεφθέγξατο. ἐπὶ δὴ τούτοις συμπεραίνεται τὰ εἰρημένα καὶ ὑπομιμνήσκει, ὅτι ἄπειρος μὲν οὐδεμία ἐστὶ μεταβολή. καὶ γὰρ ἡ συνεχὴς οὐκ ἄπειρος, ἀλλ' ἐπ' ἄπειρον. ἀνέκλειπτος γὰρ τῷ πάλιν καὶ πάλιν. οὐδὲ συνεχὴς δὲ ἄλλη πλὴν τῆς κυκλοφορίας οὕτως ὡς ἀΐδιος.

Ὅτι δὲ τῶν φορῶν ἡ κυκλοφορία πρώτη, δῆλον. πᾶσα γὰρ φορὰ ὥσπερ καὶ πρότερον εἴπομεν, ἢ κύκλῳ ἢ ἐπ' εὐθείας, ἢ μικτή. ταύτης δ' ἀνάγκη προτέρας εἶναι ἐκείνας. ἐξ ἐκείνων γὰρ συνέστηκε. τῆς δ' εὐθείας ἡ κύκλῳ. ἁπλῆ γὰρ καὶ τέλειος μᾶλλον. ἄπειρον μὲν γὰρ οὐκ ἔστιν εὐθεῖαν φέρεσθαι. τὸ γὰρ οὕτως ἄπειρον οὐκ ἔστιν. ἀλλ' οὐδὲ εἰ ἦν, ἐκινεῖτο ἂν οὐδέν. οὐ γὰρ γίγνεται τὸ ἀδύνατον. διελθεῖν δὲ τὴν ἄπειρον, ἀδύνατον. ἡ δ' ἐπὶ τῆς πεπερασμένης εὐθείας, ἀνακάμπτουσα μὲν, συνθετὴ καὶ δύο κινήσεις. μὴ ἀνακάμπτουσα δὲ, ἀτελὴς καὶ φθαρτή. πρότερον δὲ καὶ φύσει καὶ λόγῳ καὶ χρόνῳ τὸ τέλειον μὲν, τοῦ ἀτελοῦς. τοῦ φθαρτοῦ δὲ τὸ ἄφθαρτον. ἔτι προτέρα ἣν ἐνδέχεται ἀΐδιον εἶναι τῆς μὴ ἐνδεχομένης. τὴν μὲν οὖν κύκλῳ, ἐνδέχεται ἀΐδιον εἶναι. τῶν δ' ἄλλων, οὔτε φορὰν, οὔτ' ἄλλην οὐδεμίαν. στάσιν γὰρ δεῖ γίνεσθαι. εἰ δὲ στάσις, ἔφθαρται ἡ κίνησις.

Δείξας ὅτι μόνην τῶν κινήσεων ἐνδέχεται τὴν κύκλῳ συνεχῆ καὶ ἀΐδιον εἶναι, τῶν δὲ ἄλλων οὐδεμία συνεχὴς δέδεικται κίνησις, ἐφεξῆς δείκνυσιν ὅτι καὶ πρώτη τῶν κινήσεων ἡ κυκλοφορία. τὸ μὲν οὖν τὴν φορὰν πρώτην εἶναι τῶν ἄλλων κινήσεων δεδειγμένον ἔχει. κεῖται δὲ αὐτῷ. καὶ ὅτι τῆς φορᾶς ἡ μὲν ἐπ' εὐθείας ἐστὶν, ἡ δὲ κύκλῳ, ἡ δὲ ἐκ τούτων μικτή. τούτῳ δὲ ὡς ἐναργὲς προσλαβὼν, τὸ τὴν μικτὴν ἔκ τινων ὑστέραν εἶναι τῶν ἁπλῶν ἐξ ὧν μέμικται, δείκνυσι νῦν ὅτι τῆς ἐπ' εὐθείας ἡ κυκλοφορία πρώτη. τούτου δὲ δειχθέντος, δεδειγμένον ἔσται ὅτι καὶ πασῶν ἐστὶ πρώτη τῶν κινήσεων ἡ κυκλοφορία. εἰς δὲ τὴν τούτου δεῖξιν προλαμβάνει ὡς ὁμολογούμενα. ἓν μὲν ὅτι τὸ τέλειον πρῶτόν ἐστι τοῦ ἀτελοῦς. ἕτερον δὲ ὅτι τὸ ἁπλοῦν τοῦ οὐχ ἁπλοῦ πρῶτον, καὶ δείξας τελείαν μὲν καὶ ἁπλῆν τὴν κύκλῳ, μηδέτερον δὲ τούτων ἔχουσαν τὴν ἐπ' εὐθείας, συνάγει ὅτι πρώτη ἡ κύκλῳ τῆς ἐπ' εὐθείας ἐστί. καὶ πρῶτον ὅτι μὴ ἔστιν ἡ ἐπ' εὐθείας τέλειος δείκνυσιν ἐκ διαιρέσεως. ἢ γὰρ ἄπειρον ἀνάγκη τὴν εὐθεῖαν εἶναι, ἢ πεπερασμένην. ἀλλὰ τὴν ἄπειρον εὐθεῖαν πρῶτον μὲν ἀδύνατον εἶναι. τὸ γὰρ οὕτως ἄπειρον μέγεθος ὡς ἐνεργείᾳ καὶ ἀδιεξίτητον ὅτι μὴ ἔστι, δέδεικται ἐν τῷ τρίτῳ ταύτης τῆς πραγματείας. ἔπειτα εἰ καὶ συγχωρήσαι τις ἄπειρον εὐθεῖαν εἶναι, οὐκ ἄν τι ἐκινεῖτο ἐπ' αὐτῆς. ἣν γὰρ ἀδύνατον διεξελθεῖν ταύτην. εἰ γὰρ τὸ γινόμενον πᾶν τῷ δύνασθαι γενέσθαι γίνεται, ὃ μὴ δύναται γενέσθαι οὐδ' ἂν γίνοιτο. τὴν δὲ ἄπειρον ἀδύνατον κινηθῆναι. ἀδιεξίτητον γὰρ καὶ ἀκατάληπτον τὸ ἄπειρον. οὐδὲ κινεῖται ἄρα τι τὴν ἄπειρον. ὥστε οὐδὲ εἰ ἦν ἄπειρός τις εὐθεῖα, ἐκινεῖτο ἄν τι τὴν ἐπ' αὐτῆς κίνησιν. τὴν ἐπ' εὐθείας ἄρα κίνησιν ἐπὶ πεπερασμένης ἀνάγκη γίνεσθαι. εἰ δὲ τοῦτο, ἢ ἀνακάμπτειν ἀνάγκη τὸ ἐπ' αὐτῆς κινούμενον, ἢ μὴ ἀνακάμπτειν. ἀλλ' εἰ μὲν ἀνακάμπτοι, σύνθετον κινήσεται κίνησιν, ἐκ δύο κινήσεων συγκειμένην καὶ ἐναντίων ἀλλήλαις. μὴ ἀνακάμπτουσα δὲ ἀτελὴς ἔσται. φθαρτὴ γάρ. τὸ δὲ φθαρτὸν ἀτελές. καὶ ὅτι μὲν ἀτελὴς ἡ ἐπ' εὐθείας ἔδειξεν οὕτως. ἐπάγει δὲ λοιπὸν ὅτι ταύτης ἀτελοῦς οὔσης καὶ φθαρτῆς, ἀνάγκη τῆς μὲν ἀτελοῦς τὴν τελείαν προτέραν εἶναι, τῆς δὲ φθαρτῆς τὴν ἄφθαρτον. κατὰ τὰ τοῦ προτέρου σημαινόμενα, καθ' ἃ τὴν φορὰν τῶν ἄλλων κινήσεων ἔδειξε προτέραν. ἦν δὲ ταῦτα φύσει. καὶ λόγῳ. καὶ χρόνῳ. φύσει μὲν γὰρ πρώτη ἡ τέλειος καὶ ἀΐδιος. οἵα ἐστὶν ἡ κυκλοφορία. ὅτι ταύτης μὲν ἀναιρουμένης ἀναιρεθήσονται καὶ αἱ ἄλλαι κινήσεις αἱ ἀτελεῖς καὶ φθαρταί. οἷαί εἰσιν αἱ ἐπ' εὐθείας. οὐ μὴν ἡ τελεία ταῖς ἀτελέσι συναναιρεθήσεται. γενέσεως γὰρ καὶ φθορᾶς τῶν ἐπ' εὐθείας κινουμένων αἰτία οὖσα ἡ κύκλῳ κίνησις, δηλονότι συναναιρεῖ μὲν, οὐ συναναιρεῖται δὲ, τῷ δὲ λόγῳ τὸ τῇ οὐσίᾳ σημαίνει. τὸ γὰρ ἀΐδιον καὶ τέλειον τοῦ φθαρτοῦ καὶ ἀτελοῦς πρότερόν ἐστι τῇ οὐσίᾳ. καὶ τῷ χρόνῳ δὲ ὅτι τὸ ἀΐδιον τοῦ μὴ ἀϊδίου πρότερον, καὶ τὸ τέλειον τοῦ ἀτελοῦς. ἐπειδὴ δὲ οὔπω τελέως δέδεικται ἀΐδιος ἡ κυκλοφορία, ὅτι γὰρ συνεχὴς ἐδείχθη οὐ καθὸ κίνησις, τὸ γὰρ τοιοῦτο συνεχὲς πᾶσα κίνησις ἔχει, ὥσπερ καὶ τὸ μέγεθος καὶ ὁ χρόνος, ἀλλ' ὅτι οὐκ ἔχει ἀνάγκην οὔτε περατοῦσθαι οὔτε ἀνακάμπτειν, ὡς ἡ ἐπὶ τῶν πεπερα-

σμένων

σημείων γραμμῶν, ἐφ' ὧν ἡ ἀρχὴ καὶ τὸ τέλος διώρισται ἀπ' ἀλλήλων, τὸ δὲ οὕτω συνεχὲς ἐνδέχεται ἀΐδιον εἶναι εἰ ἐπιμένοι, ἐνδέχεται δὲ καὶ μὴ εἶναι, ὡς ἡ τῶν παρ' ἡμῖν τροχῶν κυκλοφορία τῶν ἐν τῷ αὐτῷ τόπῳ κινουμένων, τὰ μέντοι ἐπὶ πεπερασμένης γραμμῆς κινούμενα, συνεχῆ μὲν τὴν ἕως τοῦ πέρατος κίνησιν κινεῖσθαι οὐδὲν κωλύει, εἴτε δὲ παύοιτο ἐν τῷ πέρατι εἴτε ἀνακάμπτει, στάσις αὐτὰ διαδέχεται, διὸ ἀΐδιον εἶναι τὴν τοιαύτην κίνησιν οὐκ ἐνδέχεται, εἰ οὖν ταῦτα ἀληθῶς εἴρηται, δηλονότι τὴν μὲν κύκλῳ ἐνδέχεται ἀΐδιον εἶναι. τῶν δὲ ἄλλων κινήσεων οὔτε τὴν ἐπ' εὐθείας φοράν, οὔτε πολλῷ μᾶλλον τὰς ἄλλας. ὧν ἐδείχθη προτέρα ἡ ἐπ' εὐθείας φορά. εἰ οὖν προτέρα ἐστὶ κατὰ πάντα τοῦ προτέρου τὰ σημαινόμενα, ἣν ἐνδέχεται ἀΐδιον εἶναι, τῆς μὴ ἐνδεχομένης, προτέρα ἂν εἴη ἡ κύκλῳ τῶν ἄλλων πασῶν κινήσεων. ὅπερ νῦν δεῖξαι προέκειτο.

Ε ΥΛΟΓΩΣ δὲ συμβέβηκε τὸ τὴν κύκλῳ μίαν εἶναι καὶ συνεχῆ, καὶ μὴ τὴν ἐπ' εὐθείας. τῆς μὲν γὰρ ἐπ' εὐθείας ὥρισται καὶ ἀρχὴ καὶ μέσον. καὶ τέλος καὶ πάντα ἔχει ἐν ἑαυτῇ. ὥστ' ἐστὶν ὅθεν ἄρξεται τὸ κινούμενον. καὶ οὗ τελευτήσει. πρὸς γὰρ τοῖς πέρασιν ἠρεμεῖ πᾶν ἢ ὅθεν ἢ οὗ. τῆς δὲ περιφεροῦς ἀόριστα. τί γὰρ μᾶλλον ὁποιονοῦν πέρας τῶν ἐπὶ τῆς γραμμῆς ὁμοίως γὰρ ἕκαστον καὶ ἀρχὴ καὶ μέσον καὶ τέλος. ὥστ' ἀεί τέ τινα εἶναι ἐν ἀρχῇ καὶ ἐν τέλει καὶ μηδέποτε. διὸ κινεῖται καὶ ἠρεμεῖ πως ἡ σφαῖρα. τὸν αὐτὸν γὰρ κατέχει τόπον. αἴτιον δ' ὅτι πάντα συμβέβηκε ταῦτα τῷ κέντρῳ. καὶ γὰρ ἀρχὴ καὶ μέσον τοῦ μεγέθους καὶ τέλος ἐστίν. ὥστε διὰ τὸ ἔξω εἶναι τοῦτο τῆς περιφερείας, οὐκ ἔστιν ὅπου τὸ φερόμενον ἠρεμήσει, ὡς διεληλυθός. ἀεὶ γὰρ φέρεται περὶ τὸ μέσον ἀλλ' οὐ πρὸς τὸ ἔσχατον. διὰ δὲ τὸ, τοῦτο μένειν, ἀεί τε ἠρεμεῖ πως τὸ ὅλον, καὶ κινεῖται συνεχῶς.

Δ εἰξας τὴν κύκλῳ κίνησιν μίαν καὶ συνεχῆ καὶ ἀΐδιον εἶναι δυναμένην, τὴν δὲ ἐπ' εὐθείας μήτε συνεχῆ μήτε ἀΐδιον δυναμένην εἶναι, τὴν αἰτίαν ἑκατέρου τὴν κυριωτάτην ἐν τούτοις ἐξέφηνε. τῆς μὲν γὰρ ἐπ' εὐθείας φησὶ κινήσεως διώρισται κατ' ἐνέργειαν ἡ ἀρχὴ καὶ τὸ τέλος καὶ τὸ μέσον. ἐπειδὴ καὶ ἐπὶ τῆς εὐθείας ἐφ' ἧς ἡ κίνησις διώρισται ταῦτα. καὶ πάντα ἐστὶ κατ' ἐνέργειαν. ἡ γὰρ πεπερασμένη εὐθεῖα ἀρχὴν ἔχει καὶ τέλος καὶ μέσον. ὥστε καὶ τὸ κινούμενον ἐπ' αὐτῆς, καὶ ὅθεν ἄρξεται τῆς κινήσεως ἔχει τὴν ἀρχὴν τῆς εὐθείας. καὶ ὅπου τελευτήσει τὸ πέρας. ὥστε καὶ περανθήσεται διὰ τοῦτο ἡ κίνησις. πρὸς γὰρ τοῖς πέρασιν ἠρεμεῖ τὰ κινούμενα, πόθεν ποῖ τῆς κινήσεως συμπερανθείσης, ἢ πρὸ τῆς ἀρχῆς. ἡ δὲ κύκλῳ κίνησις οὐκ ἔχει διωρισμένα ἀπ' ἀλλήλων τὴν ἀρχὴν καὶ τὸ τέλος. ὅτι μηδὲ ὁ κύκλος. οὐδὲν γὰρ μᾶλλον τοδὶ τὸ σημεῖον ἐπ' αὐτοῦ, ἢ ἄλλο ὁτιοῦν ἀρχή ἐστιν ἢ μέσον ἢ πέρας. ὥστε εἰ μηδὲν κεκώλυται πάντα μέσα εἶναι οὐκ ἐνεργείᾳ ἀλλὰ δυνάμει, καὶ μηδὲν ἠνάγκασται αὐτῶν πέρας ἢ ἀρχὴ κατ' ἐνέργειαν εἶναι, ὡς ἐπὶ τῆς εὐθείας, ἀλλὰ πάντα δυνάμει, ὡς ἐπὶ τῆς εὐθείας τὰ μεταξὺ τῆς ἀρχῆς καὶ τοῦ πέρατος, τὸ κινούμενον ὥσπερ ἐπὶ τῶν μεταξὺ τῆς εὐθείας δυνατὸν συνεχῶς κινεῖσθαι, διὰ τὸ μὴ εἶναι ἀρχὴν ἢ μέσον ἢ πέρας κατ' ἐνέργειαν, οὕτω καὶ τὸ καθ' ὅλον τὸν κύκλον κινούμενον συνεχῶς δυνατὸν κινεῖσθαι. διότι καθ' ὃ ἂν ᾖ τοῦ κύκλου τὸ κινούμενον ἐπ' αὐτοῦ, ἐπὶ δυνάμει ὄντος ἀρχῆς καὶ μέσου καὶ πέρατος ἐστίν. ἀλλ' οὐκ ἐπὶ ἐνεργείᾳ ὄντων. διότι οὐδὲν τῶν ἐν τῷ κύκλῳ σημείων διωρισμένως ἐστὶν ἀρχὴ ἢ μέσον ἢ πέρας ἐνεργείᾳ ὄν. ἀλλὰ πᾶν τὸ ληφθὲν καὶ ἀρχὴ καὶ μέσον καὶ πέρας εἶναι δύναται. οὕτως οὖν ἕξει καὶ ἡ κίνησις ἡ ἐπὶ τοῦ κύκλου, οὔτε ἐν ἀρχῇ κατ' ἐνέργειαν, οὔτε ἐν μέσῳ, οὔτε ἐν πέρατι ποτὲ γινομένη. διὸ συνεχής ἐστιν. ὥσπερ καὶ ἡ ἐπὶ τῆς εὐθείας ἡ μεταξὺ τῶν περάτων δύναται ἥγε τοσαύτη συνεχὴς εἶναι. ἀλλ' αὕτη μὲν εἰς τὸ κατ' ἐνέργειαν πέρας τῆς εὐθείας ἐλθοῦσα ἠρεμεῖ. ἡ δὲ ἐν τῷ κύκλῳ μηδενὸς ὄντος κατ' ἐνέργειαν πέρατος δύναται μηδέποτε ἠρεμεῖν. καὶ γοῦν δυνάμει μὲν ἀεὶ ἐν ἀρχῇ καὶ μέσῳ καὶ τέλει. ἐνεργείᾳ δὲ οὐδέποτε. καὶ διὰ τοῦτό φησι τὸ μὲν ἐπ' εὐθείας κινούμενον, ποτὲ μὲν κινεῖται, ποτὲ δὲ ἠρεμεῖ. ὅτι πεπερασμένην οὖσαν τὴν κίνησιν ἠρεμία διαδέχεται. ἡ δὲ σφαῖρα κύκλῳ κινουμένη ἅμα κινεῖται καὶ ἠρεμεῖ, οὐ τὴν κίνησιν διαδεχομένης τῆς ἠρεμίας, οὐ γὰρ ἔστι τι πέρας κατ' ἐνέργειαν τῆς κινήσεως. ἀλλὰ τὸν αὐτὸν ἀεὶ τόπον τοῦ κινουμένου κατέχοντος. ὥσπερ δὲ ἐπὶ τῆς κατ' εὐθεῖαν κινήσεως, καὶ τοῦ διακόπτεσθαι τὴν κίνησιν, καὶ τοῦ μὴ μένειν ἐν τῷ αὐτῷ τόπῳ τὸ κινούμενον, αἴτιόν ἐστιν ἡ ἀρχὴ καὶ τὸ μέσον διωρισμένα ἐπ' αὐτῆς τῆς εὐθείας ἐφ' ἧς ἡ κίνησις, ἀπὸ γὰρ τῆς ἀρχῆς ἐπὶ τὸ πέρας τὸ διωρισμένον τῆς ἀρχῆς ἐρχόμενον τὸ κινούμενον, καὶ μεταβαίνει τόπον ἐκ τόπου ἀπὸ τῆς ἀρχῆς ἐπὶ τὸ πέρας προϊόν, καὶ ἐν τῷ πέρατι κατ' ἐνέργειαν ὄντι γινόμενον περατοῖ τὴν κίνησιν, οὕτω καὶ ἐπὶ τοῦ κύκλῳ κινουμένου ἡ ἀρχὴ καὶ τὸ μέσον καὶ τὸ πέρας, μήτε διωρισμένα ὄντα ἀλλήλων, μήτε ἐπὶ τοῦ κύκλου ἐφ' οὗ ἡ κίνησις ἀλλ' ἔνδοθεν, οὔτε διακόπτει τὴν κίνησιν. οὔτε μεταβαίνειν ποιεῖ τὸ κινούμενον τόπον ἐκ τόπου. ἀρχὴ γὰρ καὶ μέσον καὶ τέλος τοῦ κύκλου τὸ κέντρον ἐστίν. ἀρχὴ μὲν. ὅτι κατὰ τὴν ἀπὸ τοῦ κέντρου ἴσην ἀπόστασιν ὑφίσταται ὁ κύκλος. τέλος δὲ ὅτι πᾶσαι αἱ ἀπὸ τοῦ κύκλου γραμμαὶ εἰς αὐτὸ περατοῦνται. μέσον δὲ ὅτι πανταχόθεν ἴσον ἀπὸ τοῦ κύκλου διέστηκεν. ἐπεὶ οὖν ἡ κύκλῳ κίνησις οὐκ ἐπὶ τὸ τέλος οὐδὲ ἐπὶ τὴν ἀρχὴν οὐδὲ ἐπὶ τὸ μέσον τοῦ κύκλου γίνεται, διωρισμένα ὄντα

ὡς ἐπὶ τῆς εὐθείας, ἀλλὰ περὶ τὸ κέντρον, τουτέστι περὶ τὴν ἀρχὴν καὶ τὸ τέλος καὶ τὸ μέσον, ἀδιόριστα ὄντα, διὰ τοῦτο καὶ συνεχὴς εἶναι δύναται. καὶ ἐν τῷ αὐτῷ γίνεται τόπῳ. ἀεὶ γὰρ ἴσον τοῦ τέλους ἀφεστὼς τὸ κινούμενον, καὶ μὴ προσχωροῦν αὐτῷ μᾶλλον καὶ μᾶλλον, οὔτε ἐπὶ τὸ τέλος ἐλθεῖν ἀναγκάζεται. οὔτε τοῦ τόπου ἐκστῆναι. μένοντος ἀεὶ τοῦ περὶ ὃ ἡ κίνησις.

ΣΥΜΒΑΙΝΕΙ δὲ ἀντιστρόφως. καὶ γὰρ ὅτι μέτρον τῶν κινήσεων ἡ περιφορά ἐστι, πρώτην ἀναγκαῖον αὐτὴν εἶναι. ἅπαντα γὰρ μετρεῖται τῷ πρώτῳ. καὶ διότι πρώτη, μέτρον ἐστὶ τῶν ἄλλων.

Καὶ διὰ τοῦ μέτρον εἶναι τὴν κυκλοφορίαν τῶν ἄλλων κινήσεων, δείκνυσιν ὅτι πρώτη ἐστὶ, καὶ ὅτι μὲν μέτρον, δῆλον μὲν καὶ ἐκ τῆς ἐναργείας. ἡμέρα γὰρ καὶ νὺξ τῆς κυκλοφορίας χρόνος. καὶ τούτῳ καὶ τοῖς τούτου μέρεσι τὰς κινήσεις πάσας μετροῦμεν. καὶ δέδεικταί γε ἐν τῷ τετάρτῳ τῆσδε τῆς πραγματείας, ὅτι μέτρον τῶν ἄλλων κινήσεών ἐστιν ἡ κυκλοφορία, ὅτε περὶ τοῦ χρόνου τὸν λόγον ἐποιεῖτο. ὅτι δὲ τὸ μέτρον πρῶτον τῶν μετρουμένων, δῆλον εἴπερ πᾶν τὸ μετρούμενον ὑπὸ τοῦ ἁπλουστάτου τῶν ἐν τῷ αὐτῷ εἴδει μετρεῖται. τὸ πλειόνων πηχῶν ὑπὸ πήχεος. τὸ πλειόνων ποδῶν ὑπὸ ποδὸς, καὶ τὸ δακτύλων ὑπὸ δακτύλου. καὶ ὁ ἀριθμὸς ὑπὸ μονάδος. τὸ δὲ ἁπλούστερον τοῦ συνθετωτέρου πρῶτον. ἐπέστησεν δὲ καλῶς, ὅτι οὐ μόνον ἐκ τοῦ μέτρον εἶναι δείκνυται τὸ πρώτην εἶναι. ἀλλὰ καὶ ἐκ τοῦ πρώτην εἶναι τὴν κυκλοφορίαν, ὅπερ διὰ πολλῶν ἀποδέδεικται, τὸ μέτρον αὐτὴν εἶναι συνάγεται. τὸ γὰρ πρῶτον ἁπλούστατον. τὸ δὲ ἁπλούστατον μέτρον ἐν τοῖς μετρητοῖς. ἀντακολουθεῖ γὰρ ἀλλήλοις τό, τε πρῶτον καὶ τὸ μέτρον. ὅπερ αὐτὸς ἀντιστρόφως συμβαίνειν εἶπεν.

» ὁ δὲ ἀλέξανδρος τὴν γραφὴν εὑρὼν οὕτως ἔχουσαν, καὶ γὰρ ὅτι μέτρον τῶν κινήσεων ἡ φορὰ, πρώ-
» την ἀναγκαῖον αὐτὴν εἶναι, τὴν φορὰν φησὶν ἀντὶ τῆς κυκλοφορίας εἶπεν, ὡς τοῦ κοινοῦ ὀνόματι χρησάμενος ἐπ' αὐτῆς. ἐγὼ μέντοι ἐν τισὶν ἀντιγράφοις ἀντὶ τοῦ ἡ φορά. ἡ περιφορὰ γεγραμμένον εὗρον.

ΕΤΙ ΔΕ καὶ ὁμαλὴν ἐνδέχεται εἶναι τὴν κύκλῳ μόνην. τὰ γὰρ ἐπ' εὐθείας ἀνωμάλως ἀπό τε τῆς ἀρχῆς φέρεται καὶ πρὸς τὸ τέλος. πάντα γὰρ ὅσῳ περ ἂν ἀφίστηται πλεῖον τοῦ ἠρεμοῦντος, φέρεται θᾶττον. τῆς δὲ κύκλῳ μόνης, οὔτε ἡ ἀρχὴ οὔτε τὸ τέλος ἐν αὐτῇ πέφυκεν, ἀλλ' ἐκτός.

Τὸ αἴτιον τῇ κυκλοφορίᾳ τῆς συνεχοῦς τε καὶ ἐν ταὐτῷ κινήσεως, ὅπερ ἦν τὸ τὴν ἀρχὴν καὶ τὸ τέλος μὴ εἶναι ἐν τῷ κύκλῳ ἀλλ' ἐκτὸς αὐτοῦ, τοῦτο καὶ τοῦ μόνην αὐτὴν ὁμαλῆ δύνασθαι κίνησιν κινεῖσθαι, αἴτιον εἶναί φησι. καὶ τοῦτο δὲ αὐτὴν τελειοτέραν καὶ πρώτην τῇ φύσει δείκνυσι. τὸ γὰρ ὁμαλὲς τελειότερον καὶ πρῶτον τοῦ ἀνωμάλους. πάλιν δὲ κατὰ τὴν πρὸς τὸ ἐπ' εὐθείας παράθεσιν καὶ τὴν ἐκείνου ἀνωμαλίαν, τὸ τῆς κυκλοφορίας ὁμαλὲς συλλογίζεται. τὰ μὲν γὰρ ἐπ' εὐθείας καὶ κατὰ φύσιν καὶ παρὰ φύσιν κινούμενα, ἀνωμάλως ἀπὸ τῆς ἀρχῆς πρὸς τὸ τέλος φέρεται. τὰ μὲν γὰρ παρὰ φύσιν καὶ βίᾳ κινούμενα, τὰ μὲν ῥιπτούμενα θᾶττον μὲν πρὸς τῇ ἀρχῇ κινεῖται. βραδύτερον δὲ ἀφιστάμενα ἐκλυομένης τότε τῆς τοῦ ῥίψαντος δυνάμεως. τὰ δὲ ἑλκόμενα. βραδύτερον μὲν ἐν ἀρχῇ. θᾶττον δὲ τῷ ἕλκοντι πλησιάσαντα. τὰ δὲ κατὰ φύσιν κινούμενα θᾶττον κινεῖσθαι. ὅταν ἤδη πλησιάζῃ τοῖς οἰκείοις τόποις πεπίστευται. πάντα γάρ φησι τὰ κατὰ φύσιν κινούμενα. ὅσῳ περ ἂν ἀφίστηται τοῦ ἠρεμοῦντος, τουτέστι τοῦ ἐν ᾧ ἠρέμει παρὰ φύσιν. δηλονότι πρὸ τοῦ τὴν κατὰ φύσιν ταύτην κινηθῆναι κίνησιν, θᾶττον φέρεται. ἡ γὰρ βῶλος μετὰ τὴν ἄνω ἠρεμίαν παρὰ φύσιν οὖσαν, ἐπειδὴ τὸ κάτω κατὰ φύσιν κινουμένη, θᾶττον φέρεται πρὸς τῷ κάτω, καὶ τὸ πῦρ πρὸς τῷ ἄνω. τοῦτο δὲ διὰ τὸ ἀπ' ἀρχῆς ἀλλοτρίας πρὸς τὸ τέλος τὸ οἰκεῖον ἐπείγεσθαι. μόνη δὲ ἡ κύκλῳ τῷ ἀεὶ ἴσον ἀφεστάναι τῆς ἀρχῆς καὶ τοῦ πέρατος, ὅπερ ἐστὶ τὸ κέντρον, ὁμαλῶς ἀεὶ κινεῖται, οὔτε ἀπ' αὐτοῦ οὔτε πρὸς αὐτὸ κινουμένη ἀλλὰ περὶ αὐτό. οὐ γὰρ ἐν τῷ κύκλῳ ἡ ἀρχὴ καὶ τὸ τέλος. ἵν' ἀπ' αὐτοῦ καὶ ἐπ' αὐτὸ φέρηται. ἀλλ' ἐκτὸς, ἤτοι ἐντός. δι' ὃ περὶ αὐτὸ ἴσον ἀπέχον ἀεὶ ὁμοίως κινεῖται. τὸ δὲ κατὰ φύσιν κινούμενον πλησίον τοῦ οἰκείου τόπου γινόμενον θᾶττον φέρεται. ἢ ὡς πρὸς συγγενές. ἢ ὅτι ἔλαττον τῷ πλησιάζοντι τὸ ἐμποδίζον καὶ διαιρούμενον. τὸ δὲ ἔλαττον εὐδιαιρετώτερον. ἢ ὅτι ὁμοιότερον αὐτῷ τὸ τοῦ οἰκείου πλησίον καὶ οὐχ ὁμοίως ἐναντίον. ὥσπερ τὸ ὅθεν ἤρχετο τῆς κινήσεως. ἢ ὅτι ἄρχεται μὲν τῆς ἐπὶ τὸ οἰκεῖον κινήσεως, ἄρτι μεταβεβληκὸς ἀπὸ τοῦ ἐναντίου, καὶ μήπω τελέως τῶν ἐκείνου ποιοτήτων ἀπηλλαγμένον. ἐξ ὧν εἰς ταύτας μετέβαλλε. προϊὸν δὲ εἰλικρινέστερον γίνεται. εἰ οὖν διὰ τὴν εἰς τοῦτο ὃ γέγονε μεταβολὴν τήνδε κινεῖται τὴν κίνησιν, ὅταν τελέως καὶ εἰλικρινῶς εἰς αὐτὸ μεταβάλλῃ, θᾶττον αὐτὴν κινηθήσεται. τότε γὰρ καὶ τὴν ῥοπὴν καθ' ἣν κινεῖται τελειοτέραν ἔχει.

ΟΤΙ ΔΗ κατὰ τόπον φορὰ πρώτη τῶν κινήσεων, μαρτυροῦσι πάντες, ὅσοι περὶ κινήσεως πεποίηνται μνείαν. τὰς γὰρ ἀρχὰς αὐτῆς ἀποδιδόασι τοῖς κινοῦσι τοιαύτην κίνησιν. διάκρισις γὰρ καὶ σύγκρισις κινήσεις κατὰ τόπον εἰσίν. οὕτω δὲ κινοῦσιν ἡ φιλία καὶ τὸ νεῖκος. τὸ μὲν γὰρ διακρίνει. τὸ δὲ, συγκρίνει αὐτῶν. καὶ τὸν νοῦν δέ φησιν ἀναξαγόρας διακρίνειν τὸν κινήσαντα πρῶτον. ὁμοίως δὲ καὶ ὅσοι τοιαύτην μὲν, οὐδεμίαν αἰτίαν λέγουσι, διὰ δὲ τὸ κενὸν κινεῖσθαί φασι. καὶ γὰρ οὗτοι τὴν κατὰ τόπον κίνησιν κινεῖσθαι τὴν φύσιν λέγουσιν. ἡ γὰρ διὰ τὸ κενὸν κίνησις, φορά ἐστι καὶ ὡς ἐν

τόπῳ. τῶν δ' ἄλλων οὐδεμίαν ὑπάρχειν τοῖς πρώτοις ἀλλὰ τοῖς ἐκ τούτων οἴονται. αὐξάνεσθαι γὰρ
καὶ φθίνειν καὶ ἀλλοιοῦσθαι συγκρινομένων καὶ διακρινομένων τῶν ἀτόμων σωμάτων, φασί. τὸν αὐτὸν
δὲ τρόπον καὶ ὅσοι διὰ πυκνότητα ἢ μανότητα κατασκευάζουσι γένεσιν ἢ φθοράν. συγκρίσει γοῦν καὶ
διακρίσει ταῦτα διακοσμοῦσι. ἔτι δὲ καὶ παρὰ τούτους οἱ τὴν ψυχὴν αἰτίαν ποιοῦντες κινήσεως. τὸ
γὰρ αὐτὸ ἑαυτὸ κινοῦν, ἀρχὴν εἶναί φασι τῶν κινουμένων. κινεῖ δὲ τὸ ζῶον, καὶ πᾶν τὸ ἔμψυχον, τὴν
κατὰ τόπον αὐτὸ κίνησιν. καὶ κυρίως δὲ κινεῖσθαί φαμεν μόνον τὸ κινούμενον τὴν κατὰ τόπον κίνησιν.
ἂν δ' ἠρεμῇ μὲν, ἐν τῷ αὐτῷ. αὐξάνηται δ' ἢ φθίνῃ ἢ ἀλλοιούμενον τυγχάνῃ πῃ κινεῖσθαι. ἁπλῶς δὲ
κινεῖσθαι οὔ φαμεν.

Ἔθος ἐστὶ τῷ ἀριστοτέλει μετὰ τὰς ἀποδείξεις καὶ τὰς τῶν πρὸ αὐτοῦ μαρτυρίας, ὡς συμφωνούσας αὐτοῦ
ταῖς ἀποδείξεσι παράγειν. ἵνα διὰ μὲν τῶν ἀποδείξεων διδάσκῃ καὶ ἀναγκάζῃ τοὺς ἐντυγχάνοντας.
διὰ δὲ τῆς τῶν ἄλλων μαρτυρίας, πειθὼ βεβαιοτέραν ἐμποιῇ τοῖς ἀκούουσιν. οὐδὲ γὰρ ὡς ἀποδείξει
χρῆται τῇ τῶν νεωτέρων μαρτυρίᾳ, ὥσπερ τοῖς νεωτέροις ἔθος ἐστίν. τοῦτο οὖν καὶ νῦν ποιεῖ, τὸ πρώτην εἶναι
τῶν κινήσεων τὴν κατὰ τόπον πιστούμενος, καὶ ἐκ τοῦ πάντας τοὺς περὶ τούτων ἀποφηναμένους ἐπὶ τοῦτο
ἐνεχθῆναι, ὥσπερ ὑπὸ αὐτῆς τῆς φύσεως ὁδηγουμένους ὡς αὐτὸς ἐν ἄλλοις λέγει. μαρτύριον δὲ τοῦ
πρώτην τῶν κινήσεων τὴν κατὰ τόπον φορὰν τίθεσθαι, καὶ τοὺς προτέρους φυσιολόγους παράγει τοὺς
μνήμην κινήσεως ποιουμένους, τὰς ἀρχὰς καὶ αἴτια κινήσεως ἀποδιδόναι, τὰ τοιαύτην κίνησιν κινοῦντα.
διάκρισις γὰρ καὶ σύγκρισις κινήσεις εἰσὶ κατὰ τόπον. ἡ δὲ φιλία καὶ τὸ νεῖκος τὰ παρ' ἐμπεδοκλεῖ
ποιητικὰ αἴτια κατὰ φορὰν κινεῖ. καὶ ἡ μὲν συγκρίνειν, τὸ δὲ διακρίνειν λέγεται τὰ στοιχεῖα. λέγει γὰρ ὁ
» ἐμπεδοκλῆς, ἄλλοτε μὲν φιλότητι συνερχόμεν' εἰς ἓν ἅπαντα, ἄλλοτε δ' αὖ δίχ' ἕκαστα φορεύμενα
» νείκεος ἔχθει. καὶ πάλιν, οὕτω γὰρ συνέκυρσε θέων τότε, πολλάκι δ' ἄλλως. καὶ ὁ νοῦς δὲ παρὰ ἀναξαγό-
ρᾳ διακοσμῶν καὶ κινῶν ἐξ ἀρχῆς τὰς ὁμοιομερείας, διακρίνειν αὐτὰς λέγεται. οὗτοι μὲν οὖν οἱ ποιητι-
κὸν αἴτιον προϊστάμενοι τῆς γενέσεως τῶν ὄντων. καὶ οἱ ποιητικοῦ δὲ μὴ μνησθέντες αἰτίου, περὶ δὲ κινήσεως
λέγοντες. ὡς οἱ περὶ δημόκριτον διὰ τὸ κενὸν, καὶ οὗτοι τὴν κατὰ τόπον κίνησιν κινεῖσθαι λέγουσι τὴν φύ-
σιν, τουτέστι τὰ φυσικὰ καὶ πρῶτα καὶ ἄτομα σώματα. ταῦτα γὰρ ἐκεῖνοι φύσιν ἐκάλουν, καὶ ἔλεγον κα-
τὰ τὴν ἐν αὐτοῖς βαρύτητα κινούμενα ταῦτα, διὰ τοῦ κενοῦ εἴκοντος καὶ μὴ ἀντιτυποῦντος, κατὰ τό-
πον κινεῖσθαι. περιπαλαίσσεσθαι γὰρ ἔλεγον αὐτά. καὶ οὐ μόνον πρώτην, ἀλλὰ καὶ μόνην ταύτην οὗτοι κί-
νησιν τοῖς στοιχείοις ἀποδιδόασι. τὰς δὲ ἄλλας τοῖς ἐκ τῶν στοιχείων. αὐξάνεσθαι γὰρ καὶ φθίνειν, καὶ ἀλλοιοῦ-
σθαι. καὶ γίνεσθαι καὶ φθείρεσθαι, προσκρινομένων καὶ ἀποκρινομένων τῶν πρώτων σωμάτων φασίν. εἰ οὖν
τοῖς πρώτοις τὴν διὰ τοῦ κενοῦ κίνησιν ἀνατιθέασιν, ἡ δὲ διὰ τὸ κενὸν κίνησις φορά ἐστιν ἐν τόπῳ, δηλο-
νότι πρώτην ταύτην ἡγοῦντο τῶν κινήσεων. ἡ γὰρ τῶν πρώτων πρώτη. ἰστέον δὲ ὅτι πολλὰ μὲν τῶν
βιβλίων οὕτως ἔχει τὴν γραφὴν, συγκρινομένων καὶ διακρινομένων τῶν ἀτόμων σωμάτων φασίν.
ὁ δὲ ἀλέξανδρος συγκρινομένων καὶ ἀλλοιουμένων γράφει. καὶ ἐξηγεῖται προσφόρως. παρὰ γὰρ τὴν
ἀλλοίαν τῶν ἀτόμων θέσιν καὶ τάξιν ἀλλοιοῦσθαι τὰ συγκρίματα φασίν, οὐ γὰρ ὅτι τῶν ἀτόμων ἀλλοιου-
μένων. προεῖπε γοῦν μὴ ὑπάρχειν ἐκείνοις ἄλλην κίνησιν, εἰ μὴ τὴν κατὰ τόπον. ἀλλὰ τὸ ἀλλοιουμένων,
ἀντὶ τοῦ ἀλλοίαν θέσιν καὶ τάξιν λαμβανόντων τῶν ἀτόμων σωμάτων εἴρηται. εἰπὼν δὲ ὅπως οἱ πλείο-
νας ἀρχὰς τῶν γινομένων τιθέντες. καὶ τούτων οὔτε ποιητικὰ αἴτια παραλαμβάνοντες, καὶ οἱ χωρὶς
τούτων τὰς γενέσεις διακοσμοῦντες, πρώτην τῶν κινήσεων ἀπελογίζοντο τὴν φοράν, ἐφεξῆς λέγει. καὶ
ὅπως οἱ μίαν τὴν ἀρχὴν καὶ τὸ στοιχεῖον λέγοντες, ὡς οἱ περὶ θαλῆν, καὶ ἀναξιμένην, καὶ ἀναξίμανδρον. καὶ
ἡράκλειτον, φυσικοὶ καὶ οὗτοι, τὴν φορὰν πρώτην τῶν κινήσεων τίθενται. διὰ γὰρ πυκνώσεως καὶ μανώ-
σεως τὰς γενέσεις καὶ φθορὰς ἀποδιδόασι. σύγκρισις δέ τις ἡ πύκνωσίς ἐστι. καὶ διάκρισις ἡ μάνωσις. οἰ-
κείως δὲ οἶμαι οἱ μὲν ἕν. λέγοντες, πύκνωσιν καὶ μάνωσιν ἐκάλεσαν τὰ περὶ αὐτὸ πάθη. οἱ δὲ πλείωνα,
σύγκρισιν καὶ διάκρισιν. καὶ ταῦτα δὲ κἀκεῖνα τὴν κατὰ τόπον ἐνδείκνυται κίνησιν. τετάρτους δὲ
καλεῖ μάρτυρας, τοὺς τὴν ψυχὴν αἰτίαν κινήσεως ποιοῦντας. ὥσπερ ὁ πλάτων τὸ αὐτοκίνητον τὴν
ψυχὴν ἐν φαίδρῳ δείξας, ἑαυτό τε κινεῖν φησι. καὶ τοῖς ἄλλοις ὅσα κινεῖται τοῦτο πηγὴν καὶ ἀρχὴν
εἶναι κινήσεως. καὶ οὗτοι δὲ τὴν κατὰ τόπον κίνησιν προσεχῶς ἀνατιθέασι τῇ ψυχῇ. τῶν γὰρ ἄλλων κινή-
σεων κἂν ἡ αἰτία παρ' αὐτοῖς ἡ ψυχὴ ὡς πηγὴ καὶ ἀρχὴ πάσης κινήσεως, ἀλλὰ διὰ μέσης τῆς κατὰ
τόπον. ὡς καὶ ἀριστοτέλης ἀπὸ τοῦ πρώτου κινοῦντος διὰ τῆς τῶν οὐρανίων τοπικῆς κινήσεως, καὶ τὰς
ἄλλας ὑπὸ σελήνην ἐπιτελεῖσθαί φησι. καὶ τὸ παρὰ ἀριστοτέλει δὲ αὐτοκίνητον τὸ ζῶον, ἑαυτὸ κι-
νοῦν κατὰ τὴν ψυχήν, τὴν τοπικὴν κίνησιν ὑφ' ἑαυτοῦ κινεῖται. εἰπὼν δὲ τὸ ζῶον καὶ αὐτὸ κινεῖν, ἐπή-
γαγε καὶ πᾶν τὸ ἔμψυχον. οὐχ ὡς τὸ ἀναβεβηκὸς παρ' αὐτῷ τὸ ζῶον τὸ καὶ τοῖς φυτοῖς ὑπάρχον ἔμ-
ψυχον λέγων. τὰ γὰρ φυτὰ οὐ κινεῖται κατὰ τόπον. ἀλλ' εἰπὼν κινεῖν ἑαυτὸ τὸ ζῶον, ἐπήγαγεν καὶ πᾶν
τὸ ἔμψυχον, τουτέστι τὸ τὴν ψυχὴν ἔχον ἐν ἑαυτῷ τὴν κινοῦσαν. δι' ἣν ἑαυτὸ κινεῖ τὸ ζῶον. ἐπὶ πᾶσι δὲ
τούτοις καὶ τὴν ἀπὸ τῆς συνηθείας τῶν ὀνομάτων μαρτυρίαν παράγει, πρὸς πίστιν τοῦ πρώτην τῶν κινήσεων
εἶναι τὴν φοράν. ἁπλῶς γάρ φησι καὶ κυρίως κινεῖσθαι λέγομεν μόνον τὸ κινούμενον κατὰ τόπον. τὸ δὲ κατὰ
τόπον μὲν ἠρεμοῦν, τῶν ἄλλων δέ τινα κινήσεων κινούμενον, οἷον αὐξανόμενον ἢ φθῖνον ἢ ἀλλοιούμενον. οὐχ

ἁπλῶς ἀλλὰ πῇ κινεῖσθαι λέγομεν. αὐξάνεσθαι γάρ φαμεν ἢ ἀλλοιοῦσθαι. τὸ δὲ κατὰ τόπον κινεῖσθαι, ἁπλῶς. οὕτω γοῦν καὶ τὰ οὐράνια κινεῖσθαι λέγομεν ἁπλῶς, ὅτι καὶ κατὰ τόπον ἡ κίνησις. οἱ δὲ περὶ Δημόκριτον μόνην τὴν κατὰ τόπον κίνησιν ἔλεγον. καὶ γὰρ τὰ ἀλλοιούμενα κατὰ τόπον ἔλεγον κινεῖσθαι. λανθάνει δὲ αὐτοὺς, τὸ μὴ ὅλον ἀλλὰ κατὰ μέρη ἀμείβειν τὸν τόπον. οἱ δὲ ἀπὸ τῆς στοᾶς κατὰ πάθος κίνησιν ἔλεγον ὑπεῖναι τὴν τοπικὴν, ἢ κατὰ μεγάλα διαστήματα, ἢ κατὰ λόγῳ θεωρητὰ ὑφισταμένην.

ὍΤΙ ΜῈΝ οὖν ἀεί τε κίνησις ἦν καὶ ἔσται τὸν ἅπαντα χρόνον, καὶ τίς ἀρχὴ τῆς ἀϊδίου κινήσεως, ἔτι δὲ τίς πρώτη κίνησις. καὶ τίνα κίνησιν ἀΐδιον ἐνδέχεται μόνην εἶναι, καὶ τὸ κινοῦν πρῶτον ὅτι ἀκίνητον, εἴρηται.

Μέλλων ἤδη τὸ πέρας λοιπὸν εἶναι τοῦ λόγου, ὑπομιμνήσκει πρῶτον συντόμως ἡμᾶς τῶν δεδειγμένων. ἐφ' οἷς κειμένοις τὰ λοιπὰ ἀποδείκνυσι. δέδεικται δὲ εὐθὺς ἐν ἀρχῇ τοῦ βιβλίου, ὅτι κίνησις ἀΐδιός ἐστιν, ἀγένητός τε οὖσα καὶ ἄφθαρτος. καὶ διὰ τοῦτο οὔτε ἀρξαμένη ποτὲ τοῦ εἶναι, οὔτε πέρας λαμβάνουσα. ἐδείχθη δὲ καὶ τίς ἀρχὴ καὶ αἰτία προσεχὴς τῆς ἀϊδίου κινήσεως. ὅτι οὐχὶ τὸ ὑπ' ἄλλου κινούμενον. ἀνάγκη γὰρ οὕτως ἐπ' ἄπειρον ἰέναι. ἀλλὰ τὸ ὑφ' ἑαυτοῦ. ἐδείχθη δὲ καὶ τίς πρώτη κίνησις κατὰ πάντα τῶν πρώτου τὰ σημαινόμενα. ὅτι τῶν μὲν ἄλλων τῆς κινήσεως εἰδῶν ἡ φορὰ πρώτη. ἐν δὲ τῇ φορᾷ ἡ κυκλοφορία τῆς κατ' εὐθεῖαν πρώτη. καὶ ὅτι ταύτην ἐνδέχεται μίαν μόνην εἶναι καὶ συνεχῆ καὶ διὰ τοῦτο ἀΐδιον. ἐδείχθη δὲ καὶ ὅτι τὸ πρώτως κινοῦν ἀκίνητον ἀνάγκη εἶναι. τό, τε ἐν τῷ αὐτοκινήτῳ κινοῦν. καὶ τὸ τελέως ἐξῃρημένον. ὃ μὴ δὲ κατὰ συμβεβηκὸς κινεῖται. ὡς τὸ ἐν τῷ αὐτοκινήτῳ κινοῦν ἐλέγετο κινεῖσθαι.

ὍΤΙ ΔῈ τοῦτ' ἀμερὲς ἀναγκαῖον εἶναι καὶ μηδὲν ἔχειν μέγεθος, νῦν λέγομεν. πρῶτον περὶ τῶν προτέρων αὐτοῦ διορίσαντες. τοῦτο δὲ ἓν μέν ἐστιν. ὅτι οὐχ οἷόν τε οὐδὲν πεπερασμένον κινεῖν ἄπειρον χρόνον. τρία γάρ ἐστιν. τὸ κινούμενον καὶ τὸ κινοῦν τὸ ἐν ᾧ τρίτον, ὁ χρόνος. ταῦτα δὲ, ἢ πάντα ἄπειρα ἢ πάντα πεπερασμένα. ἢ ἔνια. οἷον, τὰ δύο, ἢ τὸ ἕν. ἔστω δὴ τὸ α κινοῦν. τὸ δὲ κινούμενον β, χρόνος ἄπειρος. ἐφ' οὗ γ. τὸ δὴ δ κινείτω τι μέρος τοῦ β, τὸ ἐφ' ᾧ ε. οὐ δὴ, ἐν ἴσῳ τῷ γ. ἐν πλείονι γὰρ τὸ μεῖζον. ὥστ' οὐκ ἄπειρος ὁ χρόνος ὁ τοῦ ζ. οὕτω δὴ τῷ δ προστιθεὶς, καταναλώσω τὸ α. καὶ τῷ ε τὸ β. τὸν δὲ χρόνον, οὐ καταναλώσω ἀεὶ ἀφαιρῶν ἴσον. ἄπειρος γάρ. ὥστε ἡ πᾶσα α τὴν ὅλην β κινήσει ἐν πεπερασμένῳ χρόνῳ τοῦ γ. οὐκ ἄρα οἷόν τε ὑπὸ πεπερασμένου κινεῖσθαι οὐδὲν ἄπειρον κίνησιν. ὅτι μὲν οὖν οὐκ ἐνδέχεται τὸ πεπερασμένον, ἄπειρον κινεῖν χρόνον, φανερόν.

Δείξας πρότερον ὅτι τὸ πρώτως κινοῦν ἀκίνητόν τε καὶ ἀΐδιόν ἐστι, νῦν προτίθεται δεῖξαι ὅτι καὶ ἀμερές ἐστιν. δεικνὺς ἅμα διὰ τούτου τὸν τρόπον τῆς ὑπ' ἐκείνου γινομένης κινήσεως, ὅτι μὴ σωματικὴ μηδὲ βίαιος. αἱ γὰρ ὑπὸ σωμάτων γινόμεναι κινήσεις τοῦτον γίνονται τὸν τρόπον. αἵτινες καὶ διὰ τοῦτο οὕτως ἔχουσιν, ὡς τὴν μείζονα δύναμιν ἐπεὶ πλείονά τε χρόνον καὶ ἐν ἐλάττονι χρόνῳ κινεῖν τὸ αὐτὸ, τὴν δὲ ἐλάττονα ἤδη ἐλάττονα καὶ ἐν πλείονι. οὕτω γὰρ αἱ σωματικαὶ κινήσεις ἐπιτελοῦνται. τὴν γὰρ αὐτὴν μύλην ἡμίονος μὲν ἐφ' ἡμέραν ὅλην κινήσειεν. αὐτὸς δὲ ἀγαπητὸν ἕως μεσημβρίας. καὶ ἡ μὲν θᾶττον περιστρέφει, ὁ δὲ βραδύτερον. ὅτι δὲ τὸ πρώτως κινοῦν ἀσώματον καὶ ἀμερὲς καὶ ἀμέγεθες, δείκνυσι τὸ ἀντικείμενον ἀνελὼν, τὸ μέγεθος ἔχειν αὐτό. ἀνάγκη γὰρ ἢ ἔχειν μέγεθος. ἢ ἀμέγεθες εἶναι. ὅτι δὲ οὐκ ἔχει μέγεθος δείκνυσιν ἐκ διαιρέσεως. ἣν αὐτὸς ἐπὶ τέλει τοῦ βιβλίου συνάγων τὸν λόγον τίθησιν οὕτως. εἰ ἔχει μέγεθος. ἢ πεπερασμένον ἢ ἄπειρον ἀνάγκη αὐτὸ εἶναι. ἀλλὰ ἄπειρον εἶναι μέγεθος ἀδύνατον, ὡς δέδεικται ἐν τῷ τρίτῳ ταύτης τῆς πραγματείας. εἰ οὖν πεπερασμένον ἐστὶ μέγεθος, ἢ πεπερασμένην ἔχει δύναμιν ἢ ἄπειρον. καὶ παρὰ ταῦτα οὐκ ἔστιν. εἰ οὖν μήτε τὸ πεπερασμένην ἔχον δύναμιν ἐν ἀπείρῳ χρόνῳ κινεῖν δύναται, ὡς δείξει ἐν τῷ πρώτῳ ἐπιχειρήματι, μήτε πεπερασμένον τι μέγεθος ἄπειρον ἔχει δύναμιν, ὡς ἐν τοῖς ἐφεξῆς δείκνυσι, δῆλον ὅτι οὐδαμῶς τὸ τὴν ἀΐδιον κίνησιν ἐν ἀπείρῳ χρόνῳ κινοῦν μέγεθος ἕξει. οὐ δὲ μεριστόν ἐστιν. ἀμέριστον ἄρα καὶ ἀμέγεθες. εἰς δὴ τὴν τούτου κατασκευὴν, πρῶτον δεῖ φησι τὰ προηγούμενα λήμματα, ἀφ' ὧν ὁ λόγος συναχθήσεται προκατασκευάσαι. πρότεραι γὰρ προτάσεις τῶν συλλογισμῶν, ὅτι ἐκ τῶν προτάσεων οἱ συλλογισμοί. δείξει δὲ πρῶτον ὅτι οὐδεμία δύναμις πεπερασμένη δύναται ἐπ' ἄπειρον χρόνον κινεῖν τι πεπερασμένον. δεύτερον δὲ ὅτι μὴ οἷόν τε ἐν πεπερασμένῳ μεγέθει ἄπειρον δύναμιν εἶναι. τούτων γὰρ δειχθέντων, συνάγεται ὅτι τὸ ἄπειρον κινούμενον χρόνον ὑπ' οὐδενὸς κινεῖται μεγέθους. ἐπείπερ μήτε ἄπειρον μέγεθος ἐστίν. μήτε τὸ πεπερασμένον μέγεθος ἄπειρον ἔχειν δύναμιν δυνατόν. μήτε ὑπὸ πεπερασμένης δυνάμεως ἄπειρόν τι κινεῖσθαι χρόνον. δείκνυσιν οὖν πρῶτον, ὅτι οὐδὲν πεπερασμένον καὶ πεπερασμένην ἔχον δύναμιν δυνατὸν κινεῖν τι πεπερασμένον ἐν ἀπείρῳ χρόνῳ. ὡς ὁμολογουμένῳ χρώμενος ἐκείνῳ, ὅπερ ἐν τῷ ἑξῆς ἐπιχειρήματι καὶ ἐναργῶς προλαμβάνει. ὅτι τὸ μείζονα δύναμιν ἔχον, τὸ αὐτὸ ἐν ἐλάττονι χρόνῳ κινεῖ, τῆς ἐλάττονος δυνάμεως. ἡ δὲ δεῖξις τοιαύτη. τριῶν ὄντων, τοῦ τε κινοῦντος. καὶ τοῦ κινουμένου. καὶ τρίτου τοῦ χρόνου. ἐν ᾧ κινεῖται τὸ κινούμενον ἀνάγκη ἢ πάντα πεπερασμένα εἶναι. ἢ πάντα ἄπειρα. ἢ τὰ μὲν πεπερασμένα τὰ δὲ ἄπειρα. ὡς λέγοι ἂν ὁ πεπερασμένον τι ὑπὸ πεπερασμένου ἐν ἀπείρῳ χρόνῳ κινεῖσθαι λέγων. ὅπερ ἀνελεῖν πρόκειται. ὑποτίθεται οὖν πεπερασμένα μὲν εἶναι. τό, τε κινοῦν μέγεθος ὃ α λέγει. καὶ τὸ κινούμενον τὸ β. ἄπειρον δὲ τὸν γ χρόνον. ἐν ᾧ ὑπὸ τοῦ α τὸ β κινεῖται. εἶτα λαβὼν ἀπὸ τοῦ α τοῦ κινοῦντος πεπερασμένου ὄντος μόριόν τι τὸ δ, ὑποτίθεται αὐτὸ κινεῖν μόριόν τι τοῦ β τὸ ε. δεῖ δὲ

λαβεῖν τὸ δ τὸ κινοῦν, καὶ τὸ ε τὸ κινούμενον. οὐκ ἐν τῇ αὐτῇ ἀναλογίᾳ πρὸς ἄλληλα. ἐν ᾗ τὸ α ὅλον τὸ κινοῦν πρὸς τὸ β ὅλον ἐστὶ τὸ ὑπ' αὐτοῦ κινούμενον. ἀλλ' ὑπερέχον τὸ δ τὸ κινοῦν τοῦ ε τοῦ κινουμένου. τοῦτο γὰρ δεῖ προσυπακούειν, εἰ μέλλοι τὰ ἐφεξῆς ἀκολούθως ἐπάγεσθαι. διὸ ἵνα τὸ μὲν δ τοῦ α τρίτον μόριον ᾖ. τὸ δὲ ε τοῦ β δέκατον. οὕτω γὰρ ἐν ἐλάττονι χρόνῳ τὸ δ κινήσει τὸ ε, ἤπερ τὸ α τὸ β ἐκίνει. ὥστε οὐκ ἄπειρος ὁ χρόνος, ἐν ᾧ τὸ ε κινεῖται ὑπὸ τοῦ δ. ἐν ἀπείρῳ γὰρ τὸ β ὑπὸ τοῦ α ἐκινεῖτο, μείζονα ἔχον πρὸς τὸ α ἀναλογίαν, ἤπερ τὸ ε πρὸς τὸ δ. ἐν πλείονι δὲ χρόνῳ τὸ μεῖζον κατὰ τὸν λόγον κινεῖται. καὶ ἐν ἐλάττονι χρόνῳ ἡ μείζων δύναμις τὸ ἔλαττον κινεῖ. ἔστω οὖν μόριον τοῦ γ ἀπείρου χρόνου ὁ ζ πεπερασμένος, ἐν ᾧ τὸ ε κινεῖται ὑπὸ τοῦ δ. ἐὰν δὴ τῷ δ προσθῶ ἄλλο τοιοῦτον, τουτέστιν ἄλλο τρίτον τοῦ α μόριον, καὶ πάλιν ἄλλο τοιοῦτον, καταναλώσω τὸ α. τουτέστιν ὅλον λήψομαι τὸ α. εἰ οὖν τὸ δ ἐκίνει τὸ ε ἐν τῷ ζ χρόνῳ, μορίῳ ὄντι τοῦ ἀπείρου τοῦ γ. προστεθείη δὲ τῷ κινοῦντι ἄλλο τηλικοῦτον ἡλίκον ἐστὶ, δῆλον ὡς ἐν ἐλάττονι χρόνῳ ἡ δ δύναμις διπλασιασθεῖσα κινήσει τὸ ε. ἐν γὰρ ἡμίσει τοῦ ζ. κἂν πάλιν προστεθῇ τῇ κινούσῃ δυνάμει ἴσον, ἔσται ἡ α δύναμις ὅλη. εἴπερ τρίτον ἦν αὐτῆς τὸ δ. καὶ δηλονότι ἐν ἐλάττονι ἔτι κινήσει τὸ ε. ἂν δὴ πάλιν ἔχοντες τὸ α τὸ κινοῦν προστιθῶμεν τῷ ε τῷ κινουμένῳ ἴσα, ἂν μὲν ἓν προσθῶμεν, ἐν διπλασίῳ αὐτὸ χρόνῳ κινήσει τὸ α ἢ ἐκίνει τὸ ε. ἐὰν δὲ δεύτερον, ἐν τριπλασίῳ. καὶ ἔσται οὗτος ὁ ζ. ἐν ᾧ τὸ δ τρίτον ὂν τοῦ α ἐκίνει τὸ ε. ὃν νῦν ἐτριπλασιάσαμεν. τριπλασιασθέντων γὰρ ἀμφοτέρων, καὶ τοῦ κινοῦντος τοῦ δ. καὶ τοῦ κινουμένου τοῦ ε, ὁ αὐτὸς μένει χρόνος. ὅταν οὖν προστιθέντες τῷ ε ἐπὶ τὸ δέκατον ἔλθωμεν, ἐσόμεθα τὸ β εἰληφότες, οὗ ἦν δέκατον μόριον τὸ ε. ἔσται δὴ τὸ β ὑπὸ τοῦ α κινούμενον, ἐν δεκαπλασίῳ χρόνῳ τοῦ ἐν ᾧ ὑπὸ τοῦ α ἐκινεῖτο τὸ ε. ἔκειτο δὲ καὶ ἐν ἀπείρῳ τῷ γ κινεῖσθαι τὸ β ὑπὸ τοῦ α. τὸ αὐτὸ ἄρα ὑπὸ τοῦ αὐτοῦ ἔσται καὶ ἐν πεπερασμένῳ χρόνῳ καὶ ἐν ἀπείρῳ κινούμενον. ὅπερ ἀδύνατον. προστιθέντες γὰρ τῷ ε ἕως ἂν ὅλον λάβωμεν τὸ β, ἢ καταναλώσομεν καὶ τὸν γ χρόνον, ἢ οὔ. ἀλλ' εἰ μὲν καταναλώσομεν, οὐκ ἄπειρος. τὸ γὰρ καταμετρούμενον οὐκ ἄπειρον. ἔσται γὰρ καταμεμετρημένος ὑπὸ τοῦ ζ πεπερασμένου. ὅστις ἦν ὁ πρῶτος εἰλημμένος. εἰ δὲ μὴ καταναλώσομεν, ἀλλ' ἔσται μετὰ τὴν τῶν τοσούτων χρόνων τῶν ἴσων τῷ ζ ἀφαίρεσιν, ὅσα ἦν καὶ τὰ β, ὑπολειπόμενός τις χρόνος, οὐκ ἐν τῷ γ ἔσται ὅλῳ κεκινηκὸς τὸ α τὸ β. ἀλλ' ἐν μορίῳ αὐτοῦ τῷ τοσαυτάκις ἴσῳ τῷ ζ. ὁσάκις ἐλήφθη τὰ ἐν τῷ β. τοῦτο οὖν ἐστιν ὃ λέγει, ὅτι τῷ δ προσθεὶς καταναλώσω τὸ α. πεπερασμένον γὰρ ἦν τὸ κινοῦν. καὶ τῇ ε τὸ β. πεπερασμένον γὰρ ἦν καὶ τὸ κινούμενον. τὸν δὲ χρόνον οὐ καταναλώσω ἄπειρον ὄντα. δυνατὸν δὲ τὸ μὲν κινοῦν τὸ αὐτὸ φυλάξαι τὸ α. τοῦ δὲ κινουμένου τοῦ β μόριον ἀφελεῖν. ὃ δηλονότι ἐν ἐλάττονι τοῦ ἀπείρου χρόνου κινήσει τὸ α. ἐν πεπερασμένῳ ἄρα. ἐὰν οὖν τὸ ληφθὲν τοῦ β μόριον ἐν πεπερασμένῳ χρόνῳ κινούμενον συνθῶμεν τοσαυτάκις, ὁπόσον ἦν τοῦ β μόριον, καὶ ὁ χρόνος τοσαυτάκις πλείων ἔσται, τοῦ ἐν ᾧ τὸ α ἐκίνει τὸ ἀφαιρεθὲν μόριον. πεπερασμένος ἄρα. τὸ β ἄρα ὑπὸ τοῦ α καὶ ἐν ἀπείρῳ καὶ ἐν πεπερασμένῳ χρόνῳ κινηθήσεται. ὅπερ ἄτοπον. τοῦτο δὲ συνήχθη διὰ τὸ πεπερασμένον μὲν εἶναι τὸ β, πᾶν δὲ πεπερασμένον ἀναλίσκεσθαι τῇ τῶν ἴσων ὑπ' αὐτοῦ ἀφαιρέσει. καλῶς δὲ τῷ καταναλώσω ἐχρήσατο, ἀλλ' οὐ τῷ καταμετρήσω. ἂν μὲν γὰρ ἴσων τῶν ἐξ ἀρχῆς ἀφαιρουμένων, καὶ τὸ τελευταῖον ἴσον ᾖ, πρὸς τῷ ἀνηλωκέναι τὸ α, καὶ καταμετρήσαμεν αὐτὸ τῷ δ. γένοιτο δ' ἂν τοῦτο, εἰ τὴν ἀρχὴν οὕτως ἀφαιρεθείη τὸ δ, ὡς δύνασθαι εἰς ἴσα αὐτῷ ὁσαοῦν διαιρεθῆναι τὸ α. ἐὰν δὲ τὸ τελευταῖον ὑπολειπόμενον τοῦ α μηκέτι ἴσον ᾖ τῷ δ. ἀλλὰ ἔλαττον αὐτοῦ, καταναλωθῆναι μὲν καὶ οὕτω λέγεται τὸ α τῇ τοιαύτῃ ἀφαιρέσει, οὐ μέντοι καὶ καταμετρηθῆναι ὑπὸ τοῦ δ. ὁ αὐτὸς λόγος καὶ ἐπὶ τοῦ β καὶ τοῦ ε. ἄν τε δὲ καταμετρῶνται τὸ α καὶ τὸ β ὑπὸ τῶν εἰλημμένων ἀπ' αὐτῶν μορίων, ἄν τε ἀναλίσκωνται μόνον, ὁ αὐτὸς λόγος. τὸ γὰρ ἄτοπον οὐ παρὰ τὸ καταμετρεῖσθαι, ἀλλὰ παρὰ τὸ ἀναλίσκεσθαι ἠκολούθησεν. τοῦτο οὖν δείξας, ἐπήγαγεν οὐκ ἄρα οἷόν τε ὑπὸ πεπερασμένου κινεῖσθαι οὐδὲν ἄπειρον κίνησιν. ὡς ἀκολουθοῦντος τούτου τῷ τὴν ἐν ἀπείρῳ χρόνῳ γινομένην κίνησιν ἄπειρον εἶναι. οὐδὲν δὲ εἶπεν ἄπειρον κίνησιν ὑπὸ πεπερασμένου κινεῖσθαι, καίτοι τὸ πεπερασμένον νῦν δείξας ὑπὸ πεπερασμένου μὴ κινούμενον ἄπειρον χρόνον, ἐπειδὴ εἶχεν ἤδη δεδειγμένον, ὅτι ἄπειρον μέγεθος οὐκ ἔστιν ὅλως.

ὍΤΙ Δ' ὍΛΩΣ οὐκ ἐνδέχεται ἐν πεπερασμένῳ μεγέθει ἄπειρον εἶναι δύναμιν, ἐκ τῶνδε δῆλον. ἔστω γὰρ ἡ πλείων δύναμις ἀεὶ ἡ τὸ ἴσον ἐν ἐλάττονι χρόνῳ ποιοῦσα. οἷον, θερμαίνουσα, ἢ γλυκαίνουσα ἢ ῥιπτοῦσα. καὶ ὅλως κινοῦσα. ἀνάγκη ἄρα καὶ ὑπὸ τοῦ πεπερασμένου μὲν, ἄπειρον δ' ἔχοντος δύναμιν, πάσχειν τι τὸ πάσχον. καὶ πλεῖον ἢ ὑπ' ἄλλου. πλείων γὰρ ἡ ἄπειρος δύναμις. ἀλλὰ μὴν χρόνον γε οὐκ ἐνδέχεται εἶναι οὐδένα. εἰ γάρ ἐστιν ὁ ἐφ' ᾧ α χρόνος, ἐν ᾧ ἡ ἄπειρος ἰσχὺς ἐθέρμαινε, ἢ ἔωσεν. ἐν ᾧ δὲ ὁ αβ, πεπερασμένη τις. πρὸς ταύτην μείζω ἀεὶ λαμβάνων πεπερασμένην δὲ ἥξω ποτὲ εἰς τὸ ἐν τῷ α χρόνῳ κεκινηκέναι. πρὸς πεπερασμένον γὰρ ἀεὶ προστιθεὶς ὑπερβαλῶ παντὸς ὡρισμένου. καὶ ἀφαιρῶν ἐλλείψω ὡσαύτως. ἐν ἴσῳ ἄρα χρόνῳ κινήσει ἡ πεπερασμένη, τῇ ἀπείρῳ. τοῦτο δὲ ἀδύνατον. οὐδὲν ἄρα πεπερασμένον ἐνδέχεται ἄπειρον δύναμιν ἔχειν.

Προθέμενος δεῖξαι, ὅτι τὸ τὴν ἀΐδιον κίνησιν προσεχῶς κινοῦν, τοῦτο γάρ ἐστι τὸ πρώτως κινοῦν, πρὸς

τῷ ἀκίνητον εἶναι καὶ ἀμερὲς καὶ ἀμεγεθές ἐστι, καὶ ἔχων δεδειγμένον ὅτι ἄπειρον μέγεθος οὐδὲ ἔστιν ὅλως
ἐν τοῖς οὖσιν, ἔδειξε πρῶτον ὅτι πεπερασμένον αὐτὸ μέγεθος εἶναι πεπερασμένην ἔχον δύναμιν, ἀδύ-
νατον. τὸ γὰρ τοιοῦτον οὐχ οἷόν τε κίνησιν ἀΐδιον κινεῖν. λοιπὸν οὖν ἦν δεῖξαι, ὅτι οὐδὲ πεπερασμένον μέ-
γεθος αὐτὸ δυνατὸν εἶναι ἄπειρον ἔχον δύναμιν. ὅπερ οὐκ αὐτοῦ μόνου τοῦ πρώτως κινοῦντος, ἀλλὰ κα-
θόλου δείκνυσιν, ὅτι ὅλως οὐκ ἐνδέχεται ἐν πεπερασμένῳ μεγέθει ἄπειρον εἶναι δύναμιν. δείκνυσι δὲ
τοῦτο προλαβὼν ἀξίωμα ὡς ἐναργές, ᾧ καὶ πρότερον ἐχρήσατο. ὅτι τὸ τὴν μείζονα καὶ πλείονα δύ-
ναμιν ἔχον, τὸ αὐτὸ ἐν ἐλάττονι χρόνῳ κινεῖ τῆς ἐλάττονος δυνάμεως. τὸ οὖν ὑπὸ τῆς πεπερασμένης
δυνάμεως κινούμενον, καὶ ὑπὸ τῆς ἀπείρου κινοῖτο ἂν ἐν ἐλάττονι χρόνῳ, οὔσης γε πλείονος. ταῦτα οὖν
ὡς ἐναργῆ προλαβών, δείκνυσιν ὅτι τῷ λέγοντι ἐν πεπερασμένῳ μεγέθει ἄπειρον εἶναι δύναμιν, ἀκο-
λουθήσει τι τοῖς ἠξιωμένοις ἐναντίον. τὸ γὰρ ὑπὸ τῆς πεπερασμένης δυνάμεως κεκινημένον, ὑπὸ
τῆς ἀπείρου οὐ κινηθήσεται. ὡς δείξει. ἔκειτο δὲ τὸ ὑπὸ τῆς ἐλάττονος δυνάμεως κινούμενον, καὶ ὑπὸ τῆς
μείζονος κινεῖσθαι. καὶ ἐν ἐλάττονι χρόνῳ. ὅτι δὲ τὸ ὑπὸ τῆς πεπερασμένης δυνάμεως κινούμενον, ὑπὸ
τῆς ἀπείρου οὐ κινηθήσεται, δείκνυσιν εἰς ἀδύνατον ἀπάγων τό, τὸ αὐτὸ ἐν ἴσῳ χρόνῳ ὑπὸ τῆς ἀπείρου
δυνάμεως κινεῖσθαι, καὶ ὑπὸ τῆς πεπερασμένης. ἀδύνατον δὲ τοῦτο, εἴπερ ὁμολογῆται ὅτι ἡ μείζων
δύναμις τὸ αὐτὸ ἐν ἐλάττονι κινεῖ χρόνῳ. εἰπὼν οὖν ἀλλὰ μὴν χρόνον γε οὐκ ἐνδέχεται εἶναι οὐδένα, ἐν ᾧ ἡ
ἄπειρος δύναμις κινήσει, ὡς γὰρ τῆς ἀπείρου δυνάμεως οὐκ ἔστι λόγος πρὸς οὐδεμίαν πεπερασμένην,
οὕτως οὐδὲ τοῦ ἐλαχίστου χρόνου ἡ ἄπειρος κινήσει πρὸς τὸν χρόνον. ἐν ᾧ ἡ πεπερασμένη, εἰ οὖν παντὸς
χρόνου πεπερασμένου πρὸς πάντα πεπερασμένον λόγος ἐστίν, οὐδεὶς ἂν εἴη χρόνος ἐν ᾧ ἡ ἄπειρος κι-
νηθήσεται, καὶ τὸ ἑπόμενον τούτῳ ἄτοπον παραλιπών, εἴ γε μὴ ἐν χρόνῳ οὐδὲ κινεῖ ὅλως, οὐδὲ ἔστι κινητι-
κὴ ἡ ἄπειρος ἐκείνη δύναμις, ὅτι ἐν οὐδενὶ χρόνῳ, δείκνυσι τὸ ἀντικείμενον, ὑποθέμενος τὸ ἐν χρόνῳ
κινεῖν. ἔστω γάρ φησι χρόνος ὁ α. ἐν ᾧ τὸ πεπερασμένον ἀπείρῳ δυνάμει κινεῖ τι καὶ μεταβάλλει. τὸ δὴ
πεπερασμένην ἔχον δύναμιν τὸ αὐτὸ κινήσει ἐν πλείονι χρόνῳ τῷ αβ. ἐὰν οὖν τὴν πεπερασμένην
ἔχον δύναμιν διπλασιάσωμεν, δηλονότι τὸ αὐτὸ ἐν ἐλάττονι χρόνῳ τοῦ αβ μεταβάλλει. ὁμοίως δὲ
κἂν αὐξηθῇ, πάλιν ἐν ἐλάττονι. καὶ ἀεὶ οὕτως αὐξόντων ἡμῶν καὶ διπλασιαζόντων τὸ μέγεθος καὶ τὴν
δύναμιν κατὰ λόγον, ὁ χρόνος μειωθήσεται. προστιθέντες δὲ ἀεὶ τῷ μεγέθει. καὶ ἀφαιροῦντες τοῦ χρόνου,
ἐλευσόμεθά ποτε εἰς τὸν α χρόνον. ἐν ᾧ τὸ αὐτὸ τοῦτο ἔκειτο κινεῖσθαι ὑπὸ τῆς ἀπείρου δυνάμεως. ἐν ἴσῳ
ἄρα χρόνῳ τὸ αὐτὸ ἡ πεπερασμένη δύναμις τῇ ἀπείρῳ κινήσει. τῷ γὰρ διπλασίῳ αὐξομένη ἡ δύνα-
μις ἀεὶ πεπερασμένη μένει. τῷ πᾶν τὸ τοῦ πεπερασμένου διπλάσιον πεπερασμένον εἶναι. εἰ οὖν τοῦτο ἄτο-
πον. τὸ τὴν πεπερασμένην δύναμιν καὶ τὴν ἄπειρον ἐν ἴσῳ χρόνῳ τὸ αὐτὸ κινεῖν, καὶ ἠκολούθησε τὸ ἄ-
τοπον τῷ τὴν ἄπειρον δύναμιν ἐν χρόνῳ τινὶ κινεῖν, ᾧ δὲ ἄτοπόν τι καὶ ἀδύνατον ἀκολουθεῖ καὶ αὐτὸ
ἄτοπον καὶ ἀδύνατόν ἐστιν, ἐν οὐδενὶ ἄρα χρόνῳ ἡ ἐν τῷ πεπερασμένῳ δύναμις ἄπειρος κινήσει. οὐδὲ
κινήσει ἄρα. ὥστε οὐδὲ ἔσται δύναμις κινητικὴ ἄπειρος ἐν πεπερασμένῳ. εἰ γὰρ ἦν, ἐκίνει. καὶ ἐν χρόνῳ
ἐκινεῖτο τὸ κινούμενον. Ἐφιστάνει δὲ ὁ Ἀλέξανδρος ὅτι οὐχ οὕτως ὡς Ἀριστοτέλης ὑπέθετο, ὑπὸ τοῦ
τὴν ἄπειρον δύναμιν ἔχοντος, ἄρχεσθαι χρὴ τοῦ κινοῦντος ἐν τῷ α χρόνῳ τὸ δέ τι τὸ κινούμενον, καὶ συ-
νάγειν ὡς αὐτὸς ἐποίησεν, ὅτι καὶ ὑπὸ τοῦ τὴν πεπερασμένην ἔχοντος δύναμιν τὸ αὐτὸ κινηθήσεται
ἐν ἴσῳ χρόνῳ. εἰ γὰρ οὕτω φησὶ λαμβάνοιτο, ἔνστασιν ἕξει ὡς οὐκ ἀληθές. οὐ γάρ συγχωρήσει τις δύνασθαι
τὸ κεκινημένον ὑπὸ τῆς ἀπείρου δυνάμεως καὶ ὑπὸ τῆς πεπερασμένης κινηθῆναι. ἀλλ' ἀνάπαλιν χρὴ
λαμβάνειν. τὸ γὰρ ὑπὸ τῆς πεπερασμένης δυνάμεως κεκινημένον ἐν χρόνῳ τινί, τοῦτο ὑποτίθεσθαι
χρὴ καὶ ὑπὸ τῆς ἀπείρου κινεῖσθαι ἔν τινι πολὺ ἐλάττονι. τὸ γὰρ ὑπὸ τῆς ἐλάττονος δυνάμεως κινούμενον,
» δηλονότι καὶ ὑπὸ τῆς μείζονος κινηθήσεται. ὃ καὶ αὐτὸς ἐδήλωσε διὰ τοῦ εἰπεῖν, ἀνάγκη ἄρα καὶ ὑπὸ τοῦ
» πεπερασμένου μέν, ἄπειρον δὲ ἔχοντος δύναμιν πάσχειν τι τὸ πάσχον. καὶ πλεῖον ἢ ὑπ' ἄλλου. πλείων γὰρ
» ἡ ἄπειρος. διὰ γὰρ τούτου ἔλαβε τὸ πάσχον ὑπὸ τῆς πεπερασμένης δυνάμεως, τοῦτο πάσχειν καὶ ὑπὸ τῆς
ἀπείρου. διότι πλείων ἡ ἄπειρος. τὸ δὲ ὑπὸ τῆς ἐλάττονος δυνάμεως πάσχον ἀνάγκη καὶ ὑπὸ τῆς μείζο-
νος πάσχειν. ταῦτα μὲν ὁ Ἀλέξανδρος αὐτοῖς ἔγραψε τοῖς ῥήμασι. Μήποτε δὲ καλῶς καὶ ἀ-
ναγκαίως ὁ Ἀριστοτέλης. ἀπὸ τοῦ τὴν ἄπειρον ἔχοντος δύναμιν ἤρξατο, καὶ οὐ χρεία τοῦ ἀνάπαλιν λαμ-
βάνειν. τὸ μὲν γὰρ προκείμενον ἦν δεῖξαι. ὅτι οὐδὲν πεπερασμένον μέγεθος ἄπειρον ἔχει δύναμιν. ὃ
δείκνυσι διὰ τοῦ τὴν ἄπειρον δύναμιν εἴπερ εἴη, ἐν μηδενὶ χρόνῳ ποιεῖν τι ἢ κινεῖν. ὅπερ ἀνεφώνησεν διὰ
» τοῦ, ἀλλὰ μὴν χρόνον γε οὐκ ἐνδέχεται εἶναι οὐδένα. τὸ δὲ ἑπόμενον ἄτοπον τῷ μὴ ἐν χρόνῳ ποιεῖν ἢ κινεῖν τὴν
ἄπειρον δύναμιν. παρῆκεν ὡς ἐναργές. εἰ γὰρ πᾶν τὸ ὁπωσοῦν γινόμενον ἢ κινούμενον ἐν χρόνῳ γίνεται
ἢ κινεῖται, τὸ μὴ ἐν χρόνῳ γινόμενον ἢ κινούμενον οὔτε γίνεται οὔτε κινεῖται. οὐκ ἄρα ἡ ἄπειρος ἐκείνη δύναμις
ποιεῖ τι ἢ κινεῖ. οὐδὲ ἔστιν ὅλως. ὅτι δὲ οὐκ ἐν χρόνῳ ποιεῖ τι ἢ κινεῖ δείκνυσιν ὡς καὶ πρότερον εἶπον. τὸ ἀντι-
κείμενον ὑποθέμενος τὸ ἐν χρόνῳ ποιεῖν ἢ κινεῖν. καὶ συνάγων ἀδύνατόν τι ἑπόμενον, τὸ τὴν μείζονα καὶ
τὴν ἐλάττονα δύναμιν τὸ αὐτὸ μέγεθος ἐν τῷ ἴσῳ χρόνῳ κινεῖν. μᾶλλον δὲ τὴν ἄπειρον καὶ τὴν πεπερα-
σμένην. τοῦτο γὰρ ἀτοπώτερον. εἰκότως δὲ ἐν τῇ τοιαύτῃ ἀπαγωγῇ τοῦ λόγου τὴν ἄπειρον δύναμιν προϋπέθετο.

ἐν πεπερασμένῳ χρόνῳ τῷ α κινεῖν τι μέγεθος πεπερασμένον. τοῦτο γὰρ ἀντέκειτο τῷ, ἀλλὰ μὴν
χρόνον γε οὐκ ἐνδέχεται εἶναι οὐδένα. εἶτα λαβὼν τὸ αὐτὸ ὑπὸ πεπερασμένης δυνάμεως κινεῖσθαι
ἐν πλείονι χρόνῳ, οὐδὲν ἔλαβεν ἄτοπον ὡς ὁ ἀλέξανδρος ὑπενόησεν. οὐ γὰρ τοῦτο ἁπλῶς ἔλαβεν· ὅτι
τὸ ὑπὸ τῆς ἀπείρου δυνάμεως κινούμενον, καὶ ὑπὸ τῆς πεπερασμένης κινεῖται. ἀλλὰ τοσοῦτον
λαβὼν ὅτι τὸ πεπερασμένον μέγεθος, ἐν πεπερασμένῳ χρόνῳ. ὑπὸ πεπερασμένης κινεῖται δυνά-
μεως, ὅπερ ἐστὶν ἐναργές, ἔδειξεν ὅτι τὸ πεπερασμένον ἐν πεπερασμένῳ χρόνῳ κινούμενον, ὁπόσον
ἂν ᾖ καὶ αὐτὸ καὶ ὁ χρόνος δύναται, τῆς μὲν δυνάμεως ἀεὶ αὐξομένης, τοῦ δὲ χρόνου μειουμένου, ὑπὸ
πεπερασμένης δυνάμεως κινεῖσθαι ἐν ἴσῳ χρόνῳ τῷ α. ἐν ᾧ ἡ ἄπειρος δύναμις ἐκίνει. ὅπερ ἄτοπον.
τὸ δὲ ἄτοπον ἠκολούθησε. τῷ ὑποθεμένῳ τὴν ἄπειρον δύναμιν ἐν πεπερασμένῳ χρόνῳ ἐφ' ὁσονοῦν
ἐλαχίστῳ κινεῖν. ἀνάγκη γὰρ αὐτὴν ἢ μὴ κινεῖν ἐν χρόνῳ, ὥστε μηδὲ κινεῖν ὅλως, ἢ κινοῦσαν ἐν χρόνῳ
τινὶ κινεῖν, καὶ ἐν ἐλάττονι ἤπερ ἡ πεπερασμένη. ὥστε ἐν πεπερασμένῳ. τῷ οὖν κινεῖν λέγοντι τὴν
ἄπειρον δύναμιν τοῦτο ἠκολούθησε. καὶ γὰρ τῇ δυνάμει τῇ πεπερασμένῃ δυνατὸν ἀεὶ προστιθέντα
ὑπερβάλλειν τὴν ἀεὶ λαμβανομένην δύναμιν. καὶ τοῦ ἐλαχίστου χρόνου ἀφαιροῦντα ἐλλειπέστερον
ποιεῖν τὸν χρόνον. ἕως οὗ ἡ μὲν δύναμις αὐξομένη, ὁ δὲ χρόνος μειούμενος ἕως τοῦ α χρόνου, ὑπὸ πε-
περασμένης μὲν ηὐξημένης δὲ δείξῃ τὸ αὐτὸ κινούμενον ἐν τῷ α χρόνῳ, ὅπερ ὑπὸ τῆς ἀπείρου ἐν τῷ
ἴσῳ χρόνῳ. οὐκ ἔλαβεν οὖν ὁ ἀριστοτέλης τὸ ὑπὸ τῆς ἀπείρου δυνάμεως καὶ ὑπὸ τῆς πεπερα-
σμένης κινεῖσθαι. ἀλλὰ τοσοῦτον ἔλαβεν ἐναργές, ὅτι τὸ πεπερασμένον ἐν πεπερασμένῳ χρόνῳ ὑπὸ
πεπερασμένης κινεῖται δυνάμεως. καὶ ἔδειξε λοιπὸν ἀκολουθοῦν τῷ λέγοντι ἐν πεπερασμένῳ χρό-
νῳ κινεῖν τι τὴν ἄπειρον δύναμιν, τὸ ἐν ἴσῳ χρόνῳ τῇ ἀπείρῳ δυνάμει τὴν πεπερασμένην κινεῖν. εἰ οὖν
ταῦτα ἀληθῆ λέγω, οὐ χρείαν ὁ λόγος ἔχειν τῆς ἀνάπαλιν λήψεως. Ἔνεστι δέ φησιν ὁ ἀλέξαν-
δρος καὶ οὕτω δεικνύναι ἀδύνατον ὄν, τὸ ἐν πεπερασμένῳ μεγέθει ἄπειρον εἶναι δύναμιν. ἂν γὰρ
ἀφέλωμεν μόριον τοῦ μεγέθους, δῆλον ὡς τοῦτο οὐχ ἕξει δύναμιν ἄπειρον. πεπερασμένην ἄρα. οὕτως
οὖν ἀφαιροῦντες ἀεὶ ἀπὸ τοῦ μεγέθους μόριά τινα τῷ ἀφῃρημένῳ ἴσα, ὧν μορίων ἕκαστον πεπερασμέ-
νην δύναμιν ἔχει, εἰς πεπερασμένα διελοῦμεν τὸ πᾶν καὶ μεγέθη καὶ δυνάμεις. οὐ γὰρ μόριόν τι
τοῦ ὅλου ἔσται τὸ τὴν ἄπειρον ἔχον δύναμιν. κεῖται γὰρ τὸ ὅλον ἔχειν τὴν ἄπειρον δύναμιν. ὁπότε καὶ
ἐπὶ τοῦ μορίου ὁμοίως δεικνύναι δυνατόν, ὅτι μὴ οἷόν τε ἄπειρον ἔχειν δύναμιν. ἀλλ' οὐδὲ πᾶν μό-
ριον αὐτοῦ ἄπειρον ἐνδέχεται δύναμιν ἔχειν. Ὁ δὲ γραμματικὸς ἐκεῖνος, οὗ κατ' ἀρχὰς τῶν εἰς
τοῦτο τὸ βιβλίον σχολῶν ἐμνημόνευσα, μέγα νομίζων εἰ τῶν ἰδιωτῶν πολλοὺς ὑπάγοιτο, πρὸς τοῦ
οὐρανοῦ καὶ τοῦ κόσμου παντὸς καταφρόνησιν, ὡς ὁμοίως αὐτοῖς ὄντων φθαρτῶν. καὶ δῆλον ὅτι καὶ πρὸς
τὴν αὐτοῦ τοῦ δημιουργοῦ, εἰ γενητοῦ καὶ φθαρτοῦ κόσμου ποιητὴς ἀποδειχθείη, τὸν πρὸ τοῦ δημιουργεῖν
ἅπαντα αἰῶνα οὔτε δημιουργὸς ὤν, οὔτε πάντων τῶν ὄντων θεὸς καὶ πατὴρ καὶ ὑποστάτης, εἴπερ μηδὲ
ἐγεγόνει τι τῶν ὄντων τότε, ἀπὸ δὴ τοιούτων γιγαντικῶν ἐννοιῶν ὁ ἀνὴρ οὗτος, καὶ τοῖς ἐν τῷ πρώτῳ τῶν περὶ
οὐρανοῦ περὶ τῆς ἀϊδιότητος τοῦ οὐρανοῦ καὶ τοῦ κόσμου δειχθεῖσιν ὑπὸ τοῦ ἀριστοτέλους. ἀντιγράφειν
ἐτόλμησεν, οὐδὲ συνιεὶς τῶν ἐκεῖ λεγομένων. ὡς ἐν ἐκείνοις ἐπειράθην ἀποδεῖξαι. καὶ πρὸς τὰ ἐν ἀρχῇ
τοῦδε τοῦ βιβλίου τὰ τὴν κίνησιν καὶ τὸν χρόνον ἀΐδια δεικνύντα, παρὰ θύρας ἁπάντων ἐνέστη, ὡς
δυνατὸν καταμαθεῖν ἐκ τῶν ἐκείνοις πρὸς αὐτὸν εἰρημένων. εἰς δὴ τοιοῦτον σκοπὸν ἐνόμισεν αὐτῷ καὶ
ταύτην συντελεῖν τὴν ἀπόδειξιν τοῦ ἀριστοτέλους. δι' ἧς δείκνυσιν ὅτι οὐδὲν σῶμα πεπερασμένον ἄ-
πειρον ἔχει δύναμιν. εἰ γὰρ πεπερασμένον ἐστὶ σῶμα τό, τε οὐρανίων καὶ τὸ κοσμικὸν, πεπερασμένην
ἔχει δύναμιν. τὸ δὲ πεπερασμένην ἔχον δύναμιν εὐθὺς οὗτος ἐνόμισε φθαρτὸν ἀποδεδεῖχθαι. καὶ
» δὴ καὶ πρὸς τῷ τέλει τοῦ λόγου, λείπεται ἄρα φησὶ πεπερασμένης εἶναι δυνάμεως καὶ τὸν ὅλον
» οὐρανὸν, καὶ τῶν αὐτοῦ μερῶν ἕκαστον. τοιαῦτα δὲ καὶ τὰ ὑπὸ σελήνην ἅπαντα. καὶ θαυμαστὸν
ὅτι μὴ προσέθηκεν, ὅτι καὶ αὐτὸς τοιοῦτος. ὁ γὰρ ὅλος αὐτῷ σκοπὸς τῆς θεοσεβείας, καὶ τὸν οὐρανὸν
δεῖξαι καὶ τὸν τοῦ οὐρανοῦ δημιουργὸν μηδὲν αὐτῶν διαφέροντα. ἐφιστάνειν δὲ ἀξιῶ τοὺς ἐντυγχάνον-
τας τοῖς ἐκείνου λόγοις, ὅτι κἀνταῦθα φαίνεται μήτε παρακολουθῶν τοῖς ὑπὸ τοῦ ἀριστοτέλους
εἰρημένοις, καὶ τὸν ὅλον αὐτῶν σκοπὸν ἀγνοῶν. νομίζει γὰρ ταυτὸν οἴεσθαι τὸν ἀριστοτέλη, τὸ δύνα-
μιν ἄπειρον ἔχειν κινητικὴν, καὶ τὸ δύνασθαι διαρκεῖν εἰς τὸν ἄπειρον χρόνον κινούμενον. καὶ δὴ καὶ
γράφει ταῦτα. ἐξ ὧν δῆλον ἡμῖν γέγονεν ὡς ἀληθὲς εἶναι δοκεῖ τῷ ἀριστοτέλει, τὸ μηδὲν σῶμα πε-
περασμένον δύναμιν ἔχειν διαρκοῦσαν εἰς τὸν ἄπειρον χρόνον. ὅθεν κινεῖν τὴν ἀΐδιον κίνησιν ἐνδέχε-
σθαί φησιν, ἐν σώματι τὸ εἶναι ἔχουσαν δύναμιν. καὶ οὐκ ἐπέστησεν ὅτι ἄλλο μέν ἐστι τὸ δύναμιν
ἔχειν ἄπειρον ἅμα ὅλην κινητικὴν ἀϊδίως. καὶ ἄλλο τὸ δύνασθαι διαρκεῖν ἀϊδίως κινούμενον. καὶ
ὅτι τὸ μὲν ἐνέργεια ἀπειροδύναμον ὅλον ἅμα τῷ ἀϊδίως κινοῦντι ὑπάρχει. τὸ δὲ οὕτως ἄπειρον.
ὡς δύνασθαι ἐπ' ἄπειρον κινεῖσθαι, οὐ κατὰ τὴν ἐνεργητικὴν καὶ κινητικὴν δύναμιν τὴν ἅμα
ὅλην οὖσαν, ἀλλὰ κατὰ τὴν παθητικὴν καὶ τὸ δυνάμει ὑπάρχει τῷ ἀϊδίως κινουμένῳ. καὶ
λέγει ὁ ἀλέξανδρος, ὃν οὗτος προΐσχεται, πρὸς τῷ τέλει τῶν εἰς τοῦτο τὸ βιβλίον ὑπομνημάτων,

» ὅτι αὐτῷ τοῦ κινουμένου ἐπὶ τὸ ἄπειρον δύναμιν οὐ λεκτέον, καθ' ἣν κινεῖται, πλὴν ὁμωνύμως. διὸ
τὴν μὲν ὅλην ἅμα οὖσαν ἄπειρον δύναμιν τὴν κινητικὴν τῷ πεπερασμένῳ σώματι ἀδύνατον ὑπάρ-
χειν. τὸ δὲ κινεῖσθαι ἐπ' ἄπειρον οὐδὲν κωλύει τῷ πεπερασμένῳ ὑπάρχειν. διότι ἡ ἐν τῷ ἐπ' ἄπειρον
ἀεὶ λαμβανομένη δύναμις πεπερασμένη ἐστίν. οὐ μὴν παῦλαν ἔχειν ἀνάγκη, ἄλλης καὶ ἄλλης διαδε-
χομένης, διά τε τὸ ἀϊδίως κινοῦν, καὶ διὰ τὴν τοῦ δυνάμει τοῦ ἐν τῷ κινουμένῳ ἀεὶ ἐνυπάρχοντος ὑποι-
κουρίαν. ἀγνοήσας οὖν κἀνταῦθα οὗτος ὥσπερ καὶ πρότερον τὴν τοῦ ἅμα ὅλου ὄντος ἀπείρου πρὸς
τὸ ἐπὶ τὸ ἄπειρον διαφοράν, καὶ αὐτὸ ἄπειρον ὂν καὶ πρὸς τὸ ἀΐδιον ἀρκοῦν, καὶ ὅτι τὸ μὲν τῷ ἀϊδίως
κινοῦντι προσήκει, τὸ δὲ τῷ ἀϊδίως κινουμένῳ, ἐνόμισεν ὅτι ὁ δεικνὺς μὴ εἶναι δύναμιν ἄπειρον
ἅμα ὅλην κινητικὴν ἐν πεπερασμένῳ σώματι, διὰ τούτου ἔδειξεν ὅτι οὐδὲ κινεῖσθαι δύναται ἐπ'
ἄπειρον τὸ πεπερασμένον σῶμα, ἀγνοῶν τὰ ἐν τῷ τρίτῳ ταύτης τῆς πραγματείας περὶ τοῦ ἐπ' ἀ-
πείρου ὑπὸ τοῦ Ἀριστοτέλους ῥηθέντα. ὧν τινα καὶ κατ' ἀρχὰς τῶν εἰς τοῦτο τὸ βιβλίον σχολῶν πα-
» ρεθέμην. τινὰ δὲ καὶ νῦν παραθήσομαι. ὅλως μὲν γὰρ οὕτως ἐστὶ τὸ ἄπειρον, τῷ ἀεὶ ἄλλο καὶ ἄλλο λαμ-
» βάνεσθαι. καὶ τὸ λαμβανόμενον μὲν ἀεὶ πεπερασμένον, ἀλλ' ἀεὶ ἕτερον καὶ ἕτερον. τὸ δὲ τοιοῦτον ὑπάρ-
χει τοῖς ἐν γενέσει τὸ εἶναι ἔχουσιν. ἥ, τε γὰρ κίνησις τοιαύτη καὶ ὁ χρόνος, καὶ ἡ τῶν ἀνθρώπων γέ-
νεσις, ὡς καὶ Ἀριστοτέλης εἶπεν, καὶ ἡ τῶν μεγεθῶν διαίρεσις. ἐπειδὴ δὲ ἡ κίνησις ἐν τῷ κινουμένῳ ἐστὶν
ἀλλ' οὐκ ἐν τῷ κινοῦντι, ὡς δέδεικται ἐν τοῖς περὶ κινήσεως λόγοις, τὸ μὲν πρώτως ἀεὶ κινοῦν ἀκί-
νητον ὂν ἄπειρον ἀνάγκη δύναμιν ἔχειν, διὰ τὸ ἀεὶ ἄπειρον εἶναι ὡς ἅμα ὅλην οὖσαν. εἰ δὲ κατὰ τὴν γινο-
μένην ἀπειρίαν, κινούμενόν ἐστι καὶ οὐ κινοῦν οὐδὲ ἀκίνητον καὶ ἄλλου τοῦ κινοῦντος δεήσεται. τὸ δὲ ἀεὶ
κινούμενον πεπερασμένον σῶμα ἐπὶ τὸ ἄπειρον κινεῖται, οὐκ ἔχον ἅμα τὴν ὅλην ἄπειρον δύναμιν ὡς
τὸ κινοῦν. τὸ μὲν δὲ κινοῦν ἀεὶ πρώτως ἀσώματόν τε καὶ αὐθυπόστατόν ἐστι, καὶ τῆς ἀπείρου δυνάμε-
ως ἑαυτῷ χορηγόν. τὸ δὲ ἀεὶ κινούμενον σῶμα ὂν πεπερασμένον, τό, τε ἀεὶ εἶναι καὶ ἀεὶ κινεῖσθαι παρὰ
τοῦ πρώτως κινοῦντος ἔχον, οὐ δύναται ἅμα ὅλην τὴν κίνησιν καταδέξασθαι. ἐπεὶ οὐκέτι ἐδεῖτο
παρ' ἄλλου κινεῖσθαι. οὐδὲ ἐκινεῖτο ὅλως. ἡ δὲ κίνησις οὐκ ἔστιν ἅμα ὅλη. ἀλλ' ἐν τῷ γίνεσθαι τὸ εἶναι ἔχει.
εἰ γὰρ ἅμα ὅλην τὸ κινούμενον κατεδέχετο, εἱστήκει ἂν καὶ οὐκ ἐκινεῖτο. ταῦτα μὲν οὖν ἀρκεῖν οἶμαι περί
τε τῆς τοῦ κινοῦντος ἅμα ὅλης ἀπειρίας, δι' ἣν ἀδύνατον αὐτὸ σῶμα εἶναι πεπερασμένον. καὶ τῆς
τοῦ προσεχῶς ὑπ' αὐτοῦ κινουμένου ἐπ' ἄπειρον μεταβολῆς. ὧν οὗτος τὴν διαφορὰν ἀγνοήσας, συν-
τελεῖν ἐνόμισεν αὐτῷ πρὸς τὸ τὸν οὐρανὸν φθαρτὸν ἀποδειχθῆναι τὸ ὑπὸ τοῦ Ἀριστοτέλους δει-
χθὲν νῦν. ὅτι οὐδὲν σῶμα πεπερασμένον ἄπειρον ἔχει κινητικὴν δύναμιν. καίτοι κἂν τῇ διαφορᾷ τοῦ
τε κινεῖν καὶ τοῦ κινεῖσθαι καὶ τοῦ κατ' ἐνέργειαν ἀπείρου καὶ τοῦ ἐπὶ τὸ ἄπειρον οὐκ ἐπέστησεν, ἀλλ' ἐκεῖ-
νο γοῦν ἐχρῆν ἐννοεῖν, ὅτι οὐκ ἂν ὁ Ἀριστοτέλης ἐν ἑνὶ τούτῳ βιβλίῳ παρὰ πόδας οὕτως ἂν τὰ ἐναν-
τία ἑαυτῷ ἔλεγεν, ἐν ἀρχῇ μὲν δείξας ὅτι ἀνάγκη ἀεὶ κίνησιν εἶναι καὶ τὸ κινούμενον ἀΐδιον, προσε-
χῶς δὲ ὅτι τὸ κυκλοφορητικὸν σῶμά ἐστι τὸ τὴν μίαν καὶ συνεχῆ καὶ ἀΐδιον κίνησιν δυνάμενον κι-
νεῖσθαι. νῦν δὲ τὸν οὐρανὸν πεπερασμένον ἔχοντα σῶμα φθαρτὸν λέγων, εἰ οὕτως ἐνδέει τὸ μὴ ἔχειν ἄ-
πειρον δύναμιν. καὶ πάλιν ἐν τῷ πρώτῳ τῆς περὶ οὐρανοῦ, τῷ τοῦτο τὸ βιβλίον ἐκδεχομένῳ, σα-
φῶς ἀΐδιον ἀποδεικνὺς τὸν οὐρανὸν καὶ τὸν ὅλον κόσμον. πρὸς ἃς ἀποδείξεις καὶ οὗτος ἀντειρηκέ-
ναι νομίζει. ποῖος οὖν χαμαιλέων τοιαύτας ἂν ἔτρεπε τροπάς. οἵας οὗτος ὑπομένειν τὸν Ἀριστοτέ-
λην νενόμικεν. καὶ οὐδὲ τούτῳ ἐπέστησεν, ὅτι οὐδὲ τῶν ἐξηγητῶν τῆς τοῦ Ἀριστοτέλους διαίτης ἐνόμισεν
δεῖσθαι τοὺς λόγους, τούς τε περὶ τῆς ἀϊδιότητος τοῦ οὐρανοῦ, καὶ τὸν νῦν δεικνύντα, ὅτι τὸ πεπε-
ρασμένον σῶμα πεπερασμένην ἔχει δύναμιν. πρόχειρον γὰρ ἦν ὅτι τὴν κινητικὴν ἄπειρον δύναμιν
τὴν ἅμα ὅλην οὖσαν, ἀπέφησεν ἐν τούτοις τοῦ κινητοῦ σώματος πεπερασμένου ὄντος. Ἐπειδὴ δὲ τὸν
ὅλον οὗτος σκοπὸν τῆς Ἀριστοτελικῆς ἀποδείξεως ἀγνοήσας, καὶ νομίσας ὅτι ὁ δεικνὺς τὸ πεπερα-
σμένον σῶμα μὴ ἔχειν ἄπειρον κινητικὴν δύναμιν, εὐθὺς ἂν εἴη δεδειχὼς ὅτι ὁ οὐρανὸς πεπερασμένος
ὢν φθαρτός ἐστι, καὶ διὰ τοῦτο καὶ δι' οἰκείων ἐπιχειρημάτων ἐπιβάλλεται δεικνύναι, ὅτι τὸ πεπε-
ρασμένον σῶμα πεπερασμένην ἔχει δύναμιν, καὶ ὡς ἐξ ἀνάγκης ἑπόμενον τούτῳ ἐπάγει ὅτι ὁ οὐρα-
νὸς φθαρτός ἐστι, φέρε καὶ ταύταις αὐτοῦ ταῖς παρανοίαις ἐπιδράμωμεν. Πρῶτον οὖν ἐπιχεί-
ρημα τίθησι τοιαύτην ἔχον τὴν συναγωγήν. τὰ οὐράνια ἐξ ὕλης καὶ εἴδους ἐστί. τὰ ἐξ ὕλης δεῖται
τῆς ὕλης πρὸς τὸ εἶναι. τὰ δεόμενά τινος οὐκ ἔστιν αὐτάρκη. τὰ μὴ αὐτάρκη οὐκ ἔστιν ἀπειροδύνα-
μα. καὶ συνάγει ἐκ τούτων ὅτι τὰ οὐράνια κατὰ τὴν αὐτῶν φύσιν οὐκ ἔστιν ἀπειροδύναμα. καὶ διὰ τοῦτο
φθαρτά. Δῆλον δὲ ὅτι εἰ μὲν φθαρτῆς οὔσης τῆς ὕλης ἐδεῖτο πρὸς τὸ εἶναι τὰ οὐράνια, φθαρτὰ ἂν
ἦν εἰκότως. εἰ δὲ καὶ τὴν ὕλην ἢ τὸ ὑποκείμενον, ὅτι ποτέ ἐστιν αὐτῶν, ἄφθαρτόν τις εἶναι λέγων
οὐκ ἐλέγχεται, πῶς τὸ ἀφθάρτου δεόμενον ὑποκειμένου φθαρτὸν εἶναι νομοθετήσεται. οὐ δὲ γὰρ
ἐπειδὴ δεῖταί τινος, καὶ κατὰ τοῦτο οὐκ ἔστιν αὔταρκες, διὰ τοῦτο καὶ φθαρτὸν ἀνάγκη εἶναι. ἀ-
πειροδύναμον μὲν γὰρ οὐκ ἂν ἴσως εἴη τὸ μὴ αὐθυπόστατον, ἀλλ' ἐν ἄλλῳ τὸ εἶναι ἔχον. οὐ μέντοι ἤδη
καὶ φθαρτὸν αὐτὸ ἀνάγκη εἶναι οὕτως, ὡς ποτὲ φθαρησόμενον. ἄλλο γὰρ ὡς εἴρηται τὸ κατ' ἐνέργειαν

ἅμα ὅλον ὂν ἄπειρον, καὶ ἄλλο τὸ ἐπ' ἄπειρον. Δεύτερον εἰ τὸ εἶναί φησι τῆς ὕλης ἐν τούτῳ ἐστὶν, ἐν
τῷ ἐπιτηδείως ἔχειν πάντα δέχεσθαι τὰ εἴδη· καὶ οὐ μάτην ἔχει ταύτην τὴν δύναμιν. οὐδὲ δύναται
πλείονα ἅμα εἴδη ἡ αὐτὴ ὕλη καταδέξασθαι. οὐδὲν γὰρ τῶν εἰδῶν ἀεὶ στέγειν ἡ ὕλη δύναται ὅσον ἐπὶ τῷ
οἰκείῳ αὐτῆς λόγῳ. εἰ δὲ τοῦτο, οὐδὲν τῶν ἐξ ὕλης καὶ εἴδους ὅσον ἐπὶ τῇ ὕλῃ ἄφθαρτον ἔσται. δέδεικται
δέ φησιν αὐτῷ ἐν τῷ τετάρτῳ τῶν πρὸς Ἀριστοτέλην, ὅτι μία καὶ ἡ αὐτὴ ὕλη ἡ πρώτη τοῖς τε οὐρανίοις
ὑπόκειται καὶ τοῖς ὑπὸ σελήνην. ἀλλὰ τὰ μὲν ἐκεῖ ῥηθέντα αὐτῷ τῆς προσηκούσης ἔτυχεν ἐξετάσεως
ὑπ' ἐμοῦ, τὸ πρῶτον τῆς περὶ οὐρανοῦ σαφηνίζειν ἐπιχειρήσαντος. ἐνταῦθα δὲ τοσοῦτον μόνον ἐπι-
στάνειν ἀξιῶ, ὅτι τῆς αὐτῆς ὕλης οὔσης καὶ πρὸς πάντα τὰ εἴδη ὁμοίως ἐχούσης, ἀνάγκη μεταβάλ-
λειν εἰς ἄλληλα τά τε οὐράνια καὶ τὰ ὑπὸ σελήνην. οὗ τί ἂν ἀδυνατώτερον εἴη. οὐ γὰρ διατρίβειν ἐν τούτῳ
καλόν. καὶ γὰρ οὗτος τὸ ἀπεμφαῖνον ἐννοήσας, κἂν συγχωρήσῃ τίς φησι μὴ τὴν αὐτὴν ὑποκεῖσθαι ὕλην
» τοῖς τε οὐρανίοις καὶ τοῖς ὑπὸ σελήνην, ἀλλ' ἐπειδὴ καὶ ἡ τῶν οὐρανίων πάντων ὕλη, ἣν ἡγοῦντο πρῶτον
» ὑποκείμενον, αὕτη ἐστὶ καὶ ταὐτὸν τὸ καλούμενον πέμπτον σῶμα. τὰ δὲ ταύτης τῆς ὕλης διάφορα εἴδη τυγ-
» χάνει. τὸ τοῦ ἡλίου φέρε, καὶ τὸ τῆς σελήνης, καὶ τὸ τῶν ἄλλων ἑκάστου ἀστέρος, καὶ ἔτι τῶν σφαιρῶν ἑκά-
» στης, δηλονότι καὶ ἡ τῶν οὐρανίων σωμάτων ὕλη ἐπιτηδείως ἔχει ἕκαστον τῶν οὐρανίων εἰδῶν καταδέξασθαι.
» κἂν διά τινα κρείττονα καὶ ἐξῃρημένην αἰτίαν μὴ κατεδέξατο. εἰ οὖν καὶ ἡ τῶν οὐρανίων σωμάτων ὕλη, ὅσον
» ἐπὶ τῷ δύνασθαι πάντων εἶναι τῶν εἰδῶν δεκτική, ἐκείνων ἄλλοτε ἄλλο δέξεται εἶδος, οὐδὲ ἄρα τῶν οὐρα-
» νίων οὐδὲν ὅσον ἐπὶ τῇ δυνάμει τῆς αὐτῶν ὕλης ἄφθαρτον ἔσται. Ἐν δὴ τούτοις πρῶτον μὲν ἐφιστά-
νειν ἄξιον, ὅτι τὴν πρώτην τοῦ οὐρανοῦ ὕλην τὸ πέμπτον ἐνόμισεν εἶναι σῶμα. καίτοι εἰ ὡς πρότερον
εἶπεν μία καὶ ἡ αὐτὴ ὕλη πάντων ἐστὶ τῶν τε οὐρανίων καὶ τῶν ὑπὸ σελήνην, πῶς ἔχει λόγον τὸ πέμπτον
σῶμα ὕλην εἶναι τῶν ὑπὸ σελήνην. ἔπειτα εἴτε διὰ κρείττονά τινα καὶ ἐξῃρημένην αἰτίαν οὐ δέχεται
ἄλλο εἶδος ἡ τῶν οὐρανίων ὕλη παρ' ὃ νῦν ἔχει, οὐκ ἔστιν ἀνάγκη διὰ τὴν ὕλην φθαρτὸν εἶναι τὸν οὐρα-
νόν. εἴτε ὡς οὗτος καὶ τοῦτό φησι τὰ ἐναντία ἑαυτῷ λέγων, ἄλλοτε ἄλλο δέξεται εἶδος, καὶ οὕτως οὐκ
ἀνάγκη τὸν ὅλον οὐρανὸν φθαρτὸν εἶναι. ἀλλ' εἰ ἄρα, τὰ μόρια μόνα τῶν ἐναντίων εἰς ἄλληλα μεταβαλ-
λόντων. ὡς καὶ ἐπὶ τῶν ὑπὸ σελήνην. εἴτε οὖν μία ἡ ὕλη, τοσοῦτον αὐτῷ μόνον ἐκ τῶν αὐτοῦ λόγων συμβαί-
νει, τὸ τὰ ἄνω κάτω καὶ τὰ κάτω ἄνω, ὥσπερ τοῖς μεθύουσι γινόμενα φαίνεσθαι. ὥστε ἥλιον μὲν ἐν-
ταῦθα. ἄνθρωπον δὲ ἐν οὐρανῷ, καὶ τὰ οὐράνια μετὰ τῶν ἐνθάδε φύεσθαι. εἴτε ἡ τοῦ οὐρανοῦ ὕλη μία οὖσα
πάντα δύναται τὰ ἐκεῖ εἴδη καταδέξασθαι, ἢ μάτην δύναται, ἢ ποτὲ μεταβάλλει καὶ ἐκεῖνα εἰς ἄλλη-
λα. καίτοι οὐδὲ οὕτως αὐτῷ τὸ σπουδαζόμενον ἐκβήσεται, τὸ φθαρτὸν τὸν κόσμον ἀποδεικνύναι. οὐ
δὲ γὰρ τὸ ὑπὸ σελήνην ἀνάγκη ποτὲ μὴ εἶναι. ἐπειδὴ τὰ μόρια αὐτοῦ περὶ τὴν ὑποκειμένην ὕλην με-
ταβάλλει εἰς ἄλληλα. ἔνθα γὰρ ἡ ἄλλου φθορὰ ἄλλου γένεσίς ἐστι, τίς μηχανὴ τὸ τοιοῦτο σύστημα φθα-
ρῆναι. πόσῳ κάλλιον οἶμαι ἦν καὶ τῷ δημιουργῷ θεῷ μᾶλλον προσῆκον, τὸ λέγειν τὰ μὲν προσεχῶς
ὑπ' αὐτοῦ παραγόμενα, ἀεὶ κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἔχοντος, καὶ μήτε κατ' οὐσίαν μεταβαλλομέ-
νου, μήτε κατὰ δύναμιν, μήτε κατ' ἐνέργειαν, ἀΐδια εἶναι. ἵνα μὴ ποτὲ μὲν κοσμοποιὸς ᾖ, ποτὲ δὲ
ἀργὸς καὶ ἄγονος καὶ ἔρημος ἀπολείπηται. τὸ δὲ διὰ τῶν ἀϊδίων καὶ ἀϊδίως κινουμένων αὐτοῦ δημιουρ-
γημάτων γινόμενον τὸ ὑπὸ σελήνην, μόρια μὲν ἔχειν γινόμενα καὶ φθειρόμενα. ἵνα καὶ τὸ ἔσχατον τοῦ κόσμου
γένεσιν ἔχῃ διὰ τὴν τοῦ δημιουργοῦ ἀγαθότητα. ἀεὶ δὲ ὢν αὐτὸς ἐμηχανήσατο καὶ τοῦτο ἀΐδιον εἶναι,
τῷ τὴν ἄλλου φθορὰν ἄλλου γένεσιν εἶναι. ἐνδελεχῆ ποιήσας τὴν γένεσιν. ἐν δὲ τῷ τρίτῳ αὐτῷ ἐπιχει-
ρήματι τῷ Πλάτωνι συνέπεσθαι δοκῶν ἀποδεικνύναι πειρᾶται, ὅτι τὰ οὐράνια οὐκ ἔστιν ἀπειροδύ-
ναμα τῇ αὐτῶν φύσει. κἂν μὴ φθείρηται δυνάμει κρείττονι τῆς ἑαυτῶν φύσεως συνεχόμενα. εἰ γὰρ σύν-
θετά φησιν ἐστὶ τὰ οὐράνια, τὰ δὲ σύνθετα λόγον ἔχει λύσεως, τὰ δὲ λόγον ἔχοντα λύσεως λόγον
ἔχει φθορᾶς, ἡ γὰρ διάλυσις τῶν στοιχείων φθορὰ τοῦ συνθέτου ἐστὶ, τὸ δὲ λόγον ἔχον φθορᾶς οὐκ ἔχει
δύναμιν ἄπειρον, τὰ ἄρα οὐράνια ὅσον ἐπὶ τῇ αὐτῶν φύσει οὐκ ἔστιν ἀπειροδύναμα. ἀλλ' ὅπως ὁ Πλά-
των τῆς λύσεως ἔχοντα τὸν λόγον. φησὶ τὸν δημιουργὸν μὴ λύειν τὸ καλῶς ὑπ' αὐτοῦ ἁρμοσθὲν, μετ'
» ὀλίγον εἰσόμεθα. καὶ οἱ μὴ ἐκ τῶν τεσσάρων δὲ στοιχείων φησὶν οὗτος λέγοντες τὸν οὐρανὸν, ἀλλ' ἐκ τοῦ
» πέμπτου σώματος, καὶ οὗτοι σύνθετον αὐτὸν λέγουσιν, ἐξ ὑποκειμένου μὲν τοῦ πέμπτου σώματος,
» εἴδους δὲ τοῦ σεληνιακοῦ ἢ ἡλιακοῦ. καὶ εἰ τὰ πάντων εἴδη φησὶν ἀφέλοι τις, δηλονότι τὸ τριχῇ διαστατὸν
» αὐτῶν καταλείψει μόνον. καθ' ὃ οὐδὲν οὐδενὸς τῶν οὐρανίων διοίσει. οὐδὲ τῶν παρ' ἡμῖν σωμάτων ὥστε καὶ
» τὰ οὐράνια συνθέσεως ἔχοντα λόγον, καὶ λύσεως ἕξει καὶ φθορᾶς. καὶ διὰ τοῦτο οὐκ ἀπειροδύναμα, κἂν
» μηδέποτε φθείρηται κατὰ Πλάτωνα, κρείττονι δεσμῷ τῆς αὐτῶν φύσεως τῇ βουλήσει τοῦ θεοῦ συνε-
» χόμενα. καὶ ἐκ τούτου τοίνυν τοῦ ἐπιχειρήματος δῆλός ἐστι διὰ κενὴν δόξαν καὶ τῆς ἐξ ἀρχῆς αὐτοῦ
προθέσεως ἐπιλαθόμενος. προὔκειτο μὲν γὰρ αὐτῷ γενητὸν καὶ φθαρτὸν ἀποδεῖξαι τὸν οὐρανόν. νῦν δὲ
ἐνδίδωσι διὰ μὲν τὴν αὐτοῦ φύσιν πεπερασμένην ἔχειν δύναμιν αὐτὸν καὶ φθαρτόν. διὰ δὲ τὴν τοῦ θεοῦ
βούλησιν ἄλυτον διαμένειν καὶ ἄφθαρτον. καὶ δηλονότι οὐκ ἂν ἡ τοῦ θεοῦ βούλησις τῷ μὴ ἐπιτηδείως
ἔχοντι δέξασθαι τοῦτο τὸ ἀγαθὸν ἐδωρεῖτο. ἀλλὰ κἂν τὴν ἄπειρον ἅμα ὅλην κινητικὴν δύναμιν ἡ

οὐρανὸς οὐκ ἔχει, κινητὸς ὢν αὐτὸς καὶ πεπερασμένος. ἀλλὰ πρός γε τὸ ἐπ' ἄπειρον κινεῖσθαι πέφυκεν.
ἀλλ' οὐδὲ σύνθετον καλῶς ὑπέθετο τὸ πέμπτον σῶμα οὕτως, ὡς λύσεως ἔχον λόγον. ἐκεῖνα γὰρ λύσεως
ἔχει λόγον, ὅσα ὑποκείμενον ἔχει μὴ στέγον τὰ εἴδη. καὶ διὰ ἀντικειμένων συνέστηκεν εἰδῶν τῶν εἰς ἄλληλα
μεταβαλλόντων. τὰ δὲ οὐράνια τὸ κυκλοφορητικὸν εἶδος ἔχει, μὴ ἔχον ἑαυτῷ ἐναντίον. ἐπειδὴ μηδὲ τῇ
κύκλῳ κινήσει ἐστὶν ἐναντία κίνησις. ὡς ἔδειξεν ἐν τῷ πρώτῳ τῆς περὶ οὐρανοῦ ὁ ἀριστοτέλης. πρὸς
ἃς ἀποδείξεις ἀντειρηκότα τοῦτον, ἀπέδειξα ὡς οἶμαι μηδὲν τῶν ὑπὸ τοῦ ἀριστοτέλους εἰρημένων νενικηκό-
τα. εἶτα ἐπιχειρεῖ δεικνύναι, ὅτι καὶ τῶν στοιχείων αἱ ὁλότητες καὶ τὰ οὐράνια πεπερασμένης εἰσὶ δυνά-
μεως. καὶ τοῦτο μὲν οὐδὲν ἄτοπον, εἴπερ πεπερασμένα ὄντα μὴ ἔχει ὅλην ἅμα ἄπειρον δύναμιν. ἐκεῖνο
δὲ ἀτοπώτατον, τὸ νομίζειν ταῦτα εἶναι τὸ φθαρτὸν, τῷ μὴ ἔχειν τὴν ἄπειρον ἅμα ὅλην δύναμιν. λέγει
οὖν ἐν τῇ φυσικῇ ἀκροάσει δεδεῖχθαι, ὅτι οὐ τὸ τυχὸν εἶδος ἐν τῷ τυχόντι μεγέθει ὑφίσταται. οὔτε σύνθε-
τον οὔτε ἁπλοῦν. οὔτε γὰρ ἄνθρωπος δακτυλιαῖος. οὔτε κώνωψ πηχυαῖος γένοιτο ἄν. ἀλλ' οὐδὲ ὕδωρ ἐν τῷ τυ-
χόντι μεγέθει ὑφίσταται. ἀλλ' ὅταν εἰς τοσοῦτον τμηθῇ τὸ ὕδωρ, ὡς ἔλαττον εἶναι τὸ γινόμενον ἐκ τῆς
τομῆς μέγεθος, τοῦ πεφυκότος εἶδος ὕδατος καταδέξασθαι, ἀπόλλυται τὸ ὕδωρ. ὡς ὅταν ἄκρῳ δακτύ-
λῳ ὕδατος ἐφαψάμενοι, τὴν ἰκμάδα ἐκείνην διαπλοῦντες καὶ παρατρίβοντες, καὶ εἰς βραχύτατα
διαιροῦντες τὸ εἶδος τοῦ ὕδατος ἀφανίζωμεν. ἐντεῦθεν οὖν φησι δειχθήσεται, ὅτι οὐδὲ αἱ τῶν στοιχείων
ὁλότητες ἀπείρου μετέχουσι δυνάμεως. ὁρῶμεν γὰρ ὅτι ὅσῳ μειοῦται τὰ τῶν στοιχείων μεγέθη, ταχύτε-
ρον ὑφίσταται τὴν φθοράν. ὅσῳ δὲ παραύξεται, βραδύτερον. ὑποκείσθω οὖν τὸ κυαθιαῖον ὕδωρ ἐνιαυτὸν
ἕνα δυνάμενον διαμένειν. οὐκοῦν ἕκαστον τῶν ἰσομεγεθῶν ὑδάτων τὸν αὐτὸν ἀρκέσει χρόνον. ἀλλὰ μὴν ἐπει-
δὴ καὶ ὅλως ὁ τοῦ ὕδατος ὄγκος πεπερασμένος ἐστὶ, καταμετρηθήσεται δηλονότι ὁ πᾶς ὄγκος ὑπὸ τοῦ
κυάθου. καὶ διαιρεθήσεται ὅλον τὸ ὕδωρ εἰς κυάθους πεπερασμένους τὸν ἀριθμόν. ἀλλὰ μὴν ἕκαστον τῶν μορί-
ων πεπερασμένης ἐστὶ δυνάμεως. καὶ τὸ ἐκ πάντων ἄρα συγκείμενον πεπερασμένης ἔσται δυνάμεως.
τὸ δὲ αὐτὸ καὶ ἐπὶ τῶν ἄλλων. δέδεικται ἄρα φησὶ διὰ τούτων, ὅτι τέως τῶν τε τεσσάρων στοιχείων ἕκαστον.
κατὰ τὴν ὁλότητα τὴν αὐτοῦ, πεπερασμένης ἐστὶ δυνάμεως. ταῦτα αὐτοῦ λέγοντος ἐπ' αὐτῶν σχε-
δὸν τῶν ῥημάτων, ἐπιστῆσαι χρὴ, πρῶτον μὲν τίνα αὐτῷ παρέσχε χρείαν προληφθὲν, τὸ μὴ τὸ τυχὸν εἶ-
δος εἰς τὸ τυχὸν μέγεθος ἐγγίνεσθαι. οὐ γὰρ ἐδεῖτο τούτου ἡ τοῦ κυαθιαίου ὕδατος ὑπόθεσις. ὅτι ἂν διαιρεθῇ
τὸ ὕδωρ εἰς κυάθους. ὧν ἕκαστος ἐνιαυτὸν διαρκεῖ, καὶ τὸ ὅλον ἐνιαυτὸν διαρκέσει. οὐ γὰρ συντίθεται ὁ χρό-
νος τῶν κυάθων διαιρεθέντων. καὶ τοῦτο μὲν πρὸς τὸ σαθρὸν εἰρήσθω τῆς ὑποθέσεως. ἐννοεῖν δὲ χρὴ, ὅτι τὸ
ὕδωρ ὅλον ἐν πεπερασμένῳ χρόνῳ φθειρόμενον ὑποθέμενος, τὴν ἐν ἐκείνῳ τῷ χρόνῳ τῶν ἄλλων στοιχεί-
ων εἰς τὸ ὕδωρ μεταβολὴν οὐκ ἐλογίσατο. καίτοι εἰ ὥσπερ τὰ μόρια τοῦ ὕδατος φθειρόμενα εἰς ἄλλα
μεταβάλλει στοιχεῖα, οὕτω καὶ τὰ τῶν ἄλλων στοιχείων μόρια εἰς τὸ ὕδωρ, καὶ τοῦτο ἐνδελεχὲς καὶ ἀΐδιόν ἐστι.
διὰ τὸ τὴν ἄλλου φθορὰν ἄλλου γένεσιν εἶναι, καὶ ἡ τῆς φθορᾶς καὶ γενέσεως αἰτία τοῖς τῇδε κίνησις ἡ
κατὰ τὸν λοξὸν μάλιστα κύκλον ἀΐδιός ἐστι, πῶς δυνατὸν φθαρῆναι τὰς τῶν στοιχείων ὁλότητας. οὗτος
δὲ ὡς τοῦτο δείξας ἀπεράντως ἐπήγαγεν, ὅτι τῇ αὐτῇ ἐπιχειρήσει δείξομεν καὶ τὰ οὐράνια πάντα
πεπερασμένης ὄντα δυνάμεως, καίτοι μηδὲ ἐπιχείρησιν τὴν αὐτὴν ἐπάγων. λέγει γὰρ ὅτι οὐδὲν τῶν
οὐρανίων εἰδῶν ἐν τῷ τυχόντι μεγέθει συνίστασθαι πέφυκεν. οὐδὲ ὁ ὅλος κόσμος. ᾧ πρότερον οὐ συ-
» νεχρήσατο. Εἰ οὖν πᾶν σῶμά φησιν ἐπ' ἄπειρόν ἐστι διαιρετὸν, σώματα δὲ καὶ τὰ οὐράνια, καὶ αὐτὰ δή-
» πουθεν ἐπ' ἄπειρόν ἐστι διαιρετὰ τῷ ἰδίῳ λόγῳ, καθ' ὃ διαστατά ἐστι κἂν μὴ διαιρῆται. ὡς καὶ ἡ ὕλη ἀνεί-
» δεός ἐστι τῷ ἰδίῳ λόγῳ, κἂν μηδέποτε χωρὶς εἴδους ᾖ. καὶ τὸ τριχῆ διαστατὸν ἄποιόν ἐστι τῷ ἰδίῳ λό-
» γῳ, κἂν μηδέποτε ἐστὶ χωρὶς τῆς ποιότητος. τὸ δὲ ἐπισυμβαῖνον ἔξωθεν εἶδος, τοῦ μὴ διαιρεῖσθαι, ἢ δυσ-
» διαίρετα εἶναι, ἢ καὶ ἡ μὲν ἀδιαίρετα, ὡς αὐτὸ τοῦ ἀδάμαντος αἴτιόν ἐστιν. εἰ οὖν σώματα ὄντα τὰ οὐρά-
» νια, τῷ μεγέθει εἶναι ἐπ' ἄπειρόν ἐστι διαιρετὰ, εἰ τῷ λόγῳ τις αὐτὰ διέλοι, ὡς καὶ τῷ λόγῳ τῆς ὕλης
» τὰ εἴδη χωρίζομεν, δηλονότι ἥξει ἡ τομὴ εἰς μέγεθός τι τοιοῦτον, ἐν ᾧ τῶν εἰδῶν ἐκείνων οὐδὲν ὑπο-
» στήσεται. οὐκοῦν ἅμα τῇ τοιαύτῃ διαιρέσει φθαρήσεται τὰ εἴδη. εἰ οὖν καθ' ὃ σώματα τῷ ἰδίῳ λόγῳ
» τῆς φύσεως διαίρεσιν ἐπιδεχόμενα, ταῦτα φθορὰν ἐπιδέχεται, τῆς ἡμετέρας ἐπινοίας τὰ δυνάμει
» αὐτοῖς προσόντα εἰς ἐνέργειαν ἀγούσης. οὐδὲν δὲ τῶν λόγον ἐχόντων φθορᾶς ἀπειροδύναμόν ἐστι κατὰ
» φύσιν, οὐδὲ τῶν οὐρανίων ἄρα σωμάτων οὐδὲν κατὰ τὴν αὐτοῦ φύσιν ἀπειροδύναμον ἔσται. τὸ γὰρ φύσει
» ἀπειροδύναμον, οὐδὲ λόγον ἔχον φθορᾶς, οὐδὲ κατὰ ψιλὴν ἐπίνοιαν ὑποτοπηθείη ἂν φθειρόμενον.
» ὡς ἐπὶ τῶν πάντη ἁπλῶν καὶ κεχωρισμένων τῆς πρὸς τὰ σώματα σχέσεως. οὐδὲ φαντασθῆναι γὰρ
» δυνάμεθα τίς ἔσται λόγος φυσικὸς, καθ' ὃν ἐπινοηθείη ἂν φθειρόμενα. τὸ γὰρ ζητούμενον νῦν τοῦτό ἐστι.
» τίς ὁ κατὰ φύσιν ἑκάστου λόγος. οὐ μὴν τί παρὰ τῆς ἐξηρημένης αἰτίας τισὶ προσγίνεται. ὥστε κἂν
» συγχωρηθείη τὰ οὐράνια τῇ τοῦ θεοῦ βουλῇ συνεχόμενα μὴ φθείρεσθαι. ἀλλ' οὐχὶ καὶ αὐτὰ κατὰ τὴν
» οἰκείαν φύσιν τὸν τῆς φθορᾶς οὐκ ἐπιδέξεται λόγον. φθορᾶς δὲ ἔχοντα λόγον οὐκ ἔστιν ἀπειροδύνα-
» μα. πόθεν γὰρ ὅτι ὁ λόγος τῆς φθορᾶς οὗτος, ὁ τῇ ἡμετέρᾳ καταληφθεὶς ἐπινοίᾳ, οὐχ ἥξει ποτὲ καὶ
» εἰς ἐνέργειαν. τὸ γὰρ μηδὲν αὐτὰ νῦν τῶν εἰς φθορὰν ἀγόντων ὑπομένειν, οὐκ ἔστιν ἀπόδειξις τοῦ καὶ φύσει

εἶναι

» εἶναι αὐτὰ ἄφθαρτα, ὡς ἐδείξαμεν ἐν τῷ τρίτῳ τῶν πρὸς Ἀριστοτέλη. ταῦτα τοσαῦτα παρεθέ-
μην. ἵνα καὶ τὴν ἕξιν τοῦ ἀνδρὸς τούτου παραδείξω τοῖς ἐντυγχάνουσι. καὶ φανερὸν ἔτι μᾶλλον ποιή-
σω. ὅτι ταὐτὸν οὗτος νομίζει τὸ πεπερασμένην ἔχειν δύναμιν, καὶ τὸ φθαρτὸν εἶναι, τοῦ ἐπ' ἄπει-
ρον τὸ εἶναι ἔχοντος οὐδὲ ἔννοιαν λαβών. ἔτι δὲ οὐδὲ ὅπως λέγεται τὸ πᾶν σῶμα ἐπ' ἄπειρον εἶναι
διαιρετὸν οὗτος φαίνεται γινώσκων. λέγεται δὲ τοῦτο πρὸς τοὺς ἐξ ἀτόμων συνεστάναι τὰ σώματα λέ-
γοντας. καὶ δείκνυσιν ὅτι πᾶν σῶμα διαστατόν τέ ἐστι καὶ μεριστὸν καὶ μέρη ἔχει καὶ αὐτὸ τοιαῦτα. καὶ
οὐ σύγκειται ἐξ ἀτόμων. τὸ οὖν ἐπ' ἄπειρον διαιρετόν. οὐχ ὡς διαιρούμενον παντελῶς καὶ ἀπολύον τὴν
ἑαυτοῦ συνέχειαν λέγεται. οὐ γὰρ ἂν εἴη ἔτι ἐπ' ἄπειρον διαιρετόν. ἀλλ' ὡς πᾶν τὸ λαμβανόμενον εἰς μέ-
ρη διῃρημένον, οὐκ ἀπεσπασμένα ἀλλήλων. ἀλλὰ τῇ διαστάσει κεχωρισμένα καὶ διῃρημένα. οὐ μέντοι
ὡς τεμνόμενα καὶ ἀποσπώμενα ἀλλήλων. κἂν γὰρ μὴ ἀποσπᾶταί ποτε, μεμέρισται ὅμως τὰ σώμα-
τα τῇ διαστάσει, καὶ διῄρηται εἰς μέρη. τὸ μὲν γὰρ καθ' αὑτὸ ἀσώματον ἀδιάστατον ὄν, ὅλον ὅλῳ ἑαυτῷ
ἐφαρμόττει. καὶ οὐ διῄρηται εἰς μέρη. τὸ δὲ σῶμα διαστάν, διέρριπται τοῖς μέρεσιν, ἄλλου ἀλλαχοῦ γε-
γονότος. καὶ διῄρηται οὕτω. καὶ τοῦτό ἐστι τὸ ἐπ' ἄπειρον διαιρετὸν τοῦ σώματος, κοινῶς πᾶσι τοῖς σώμασιν ὑ-
πάρχον καθ' ὃ σώματα. κἂν γὰρ μὴ ἔχῃ φύσιν ἀποτμηθῆναί ποτε τὰ δεξιά μου ἐκ τῶν ἀριστερῶν, διῄ-
ρηται ὅμως ἀπ' ἀλλήλων. καὶ διώρισται καὶ μεμέρισται κατ' ἐνέργειαν. ἀλλὰ τὰ μὲν παθητὰ λοιπὸν
σώματα καὶ τέμνεσθαι πέφυκεν εἰς τμητὰ καὶ αὐτὰ σώματα. τὰ δὲ ἀπαθῆ οὐ τέμνεται μὲν οὔτε λέγω,
οὔτε ταῖς τῶν σωφρονούντων ἐννοίαις. διῄρηται μέντοι, καὶ μεμέρισται κατ' ἐνέργειαν καὶ ταῦτα τῇ διαστά-
σει τῇ σωματικῇ, καίτοι συνεχῆ μένοντα. οὗτος δὲ ἀκούσας ὅτι πᾶν σῶμα διαιρετόν ἐστι, μᾶλλον δὲ
παρακούσας, τῇ ἑαυτοῦ ἐπινοίᾳ τὰ οὐράνια κατέτεμεν εἰς μικρότατα. καὶ μανικὸν μὲν καὶ τοῦτο καὶ
» παράφρον. πλὴν ἧττον τοῦ τὴν ἐπίνοιαν αὐτοῦ τὴν τοιαύτην καὶ εἰς ἐνέργειαν ἄγειν ἀξιοῦν. φθορὰν
» γάρ φησιν ἐπιδέχεται, τῆς ἡμετέρας ἐπινοίας τὰ δυνάμει αὐτοῖς προσόντα εἰς ἐνέργειαν ἀγούσης
εἰ οὖν τὸ ἐπ' ἄπειρον τοῦ σώματος διαιρετοῦ οὐκ ἀναγκάζει ποτὲ εἰς μικρότατα κατατέμνεσθαι τὰ οὐρά-
νια, οὐδὲ τὸ εἶδος ἀποβάλλειν ἀνάγκη, οὐ μόνον διὰ τὴν τοῦ θεοῦ βούλησιν. ἀλλὰ καὶ κατὰ τὴν αὐτῶν φύ-
σιν. καὶ γὰρ ἡ τοῦ θεοῦ βούλησις οὐ τοῖς τυχοῦσιν, ἀλλὰ τοῖς ἐπιτηδείως ἔχουσι τὰ ἀγαθὰ χορηγεῖ. καὶ
τούτῳ δὲ ἐφιστάνειν ἄξιον, ὅτι ὅσα ἂν οὗτος φαντασθείη, καὶ γίνεσθαι νομίζει δυνατὸν εἶναι. τῶν γὰρ ἀφθάρ-
των φησὶ πρὸς τὰ σώματα καὶ κατὰ φύσιν ἀφθάρτων ὄντων, οὐδὲ φαντασθῆναι δυνάμεθα φθοράν
καὶ λέγοι ἂν κατὰ τὴν ζωὴν ἀντιθέσει αὐτοῦ ἀντιστροφήν, ἣν καὶ αὐτὴν ἀγνοεῖ, ὅτι ὧν φαντασθῆναι
δυνάμεθα φθοράν, ταῦτα οὐκ ἔστι κατὰ φύσιν ἄφθαρτα. τοιαύτην οὗτος δύναμιν ταῖς ἑαυτοῦ φαν-
τασίαις ἀποδέδωκε. καὶ τί θαυμαστὸν εἰ τὸν οὐρανὸν δυνάμενος φαντασθῆναι φθαρτόν, εὐθὺς αὐτὸν καὶ
φθείρεσθαι διατείνεται. ὁπότε καὶ πρὸς τὸν θεὸν ταύτην πέπονθε τὴν παράνοιαν. τὸν δὲ τῆς λύσεως τῶν οὐρα-
νίων ἐν τῷ δημιουργῷ λόγον ὑπὸ τοῦ Πλάτωνος ῥηθέντα μὴ νοήσας πῶς λέγεται, ἀλλ' εἰς τὸν τῆς
φθορᾶς μεταλαβὼν λόγον, καὶ διὰ τοῦτο φθείρεσθαι τὸν οὐρανὸν φανταζόμενος, ἀπαυθαδίζεται λοι-
» πὸν πρὸς αὐτὸν τὸν οὐρανόν, πόθεν λέγων ὅτι ὁ λόγος τῆς φθορᾶς οὗτος. ὁ τῇ ἐπινοίᾳ τῇ ἡμετέρᾳ
» καταληφθεὶς οὐχ ἥξει ποτὲ καὶ εἰς ἐνέργειαν. οὐδὲν γὰρ αὐτὸν δυσωπεῖ τὸ μέχρι νῦν μηδὲν αὐτὸν παθεῖν
τοῖς φθαρτοῖς ὅμοιον. ἀλλ' ὅτι μὲν περὶ τούτου γεγραφέναι φησὶν ἐν τῷ τρίτῳ τῶν πρὸς Ἀριστοτέ-
λη, τὸ πρῶτον τῆς περὶ οὐρανοῦ βιβλίον ἐξηγούμενος ἐγώ, κατὰ τὸ δυνατὸν περιέκρουσα. καὶ νῦν δὲ
πρὸς αὐτὸν ῥητέον, ὅτι τὰ γινόμενα καὶ φθειρόμενα, τὸν μετὰ τὴν ἀκμὴν χρόνον ἄχρι τῆς τελευτῆς, ἢ
ἴσον ἔχει τῷ ἀπὸ τῆς ἀρχῆς μέχρι τῆς ἀκμῆς χρόνῳ, ἢ πλείονα. ὁ τοίνυν οὐρανὸς πρὸ ἑξακισχιλίων καὶ
πρὸς ἐνιαυτῶν ὡς οὗτος οἴεται γεγονώς, καὶ ἐπ' ἐσχάτοις ὢν ἤδη τῶν ἡμερῶν, ὡς καὶ τοῦτο πάντως αὐτῷ
ἀρέσκει, πῶς οὐδὲν παρακμαστικὸν καὶ πρὸς φθορὰν ὁδεῦον ἡμῖν ἐνεδείξατο. καίτοι κἂν μηδὲν ἄλλο
πάντως γε κατὰ τὴν κίνησιν ἀργότερος ὤφελε νοεῖσθαι, κατὰ τὸ ἔσχατον γῆρας τυγχάνων. καίτοι
οὔτε τὰς ἡμέρας οὔτε τὰς νύκτας οὔτε τὰς ὥρας μακροτέρας ποιεῖ νῦν. ὡς δηλοῦσιν αἱ πράξεις
αἱ ἐν αὐταῖς καὶ γεωργίαι καὶ ὁδοιπορίαι καὶ πλοῖ, πρὸς τὰς πάλαι γινομένας παραβαλλόμεναι. τὸ
γὰρ ἡμερήσιον τῆς ὁδοῦ διάστημα καὶ νῦν τὸ αὐτό ἐστι. καὶ βόες ἐφ' ἡμέρᾳ τὰ αὐτὰ ἀροῦσιν ἢ καὶ ἐλάτ-
τονα. καὶ τὰ ὑδρεῖα τῶν ὡροσκοπίων ταῖς αὐταῖς μεθόδοις γινόμενα, τοσοῦτον εἰσάγουσι καὶ ἐξάγουσιν
ὕδωρ καθ' ἑκάστην ὥραν, ὅσον καὶ πρότερον. ἀλλ' ἐπὶ τὸ λοιπὸν αὐτοῦ καὶ τρίτον ὥς φησι τῶν ἐπιχειρημά-
των ἰτέον. δι' οὗ βούλεται δεικνύναι. ὅτι τὸ οὐράνιον σῶμα οὐκ ἔστιν ἀπειροδύναμον. καὶ τοῦτο μὲν ἀλη-
θὲς καὶ κατὰ τὸν Ἀριστοτέλην, τὸ ὅλον ἅμα ὂν ἀπειροδύναμον παντὸς σώματος ἀποφάσκοντα, τὸ
μέντοι ἐπ' ἄπειρον κινεῖσθαι καὶ εἶναι τῷ κυκλοφορητικῷ σώματι ἀπονέμοντα. οὗτος δὲ τὸ ἀπειρο-
δύναμον ἀναιρῶν ὡς τὸ ἀΐδιον, τὸ φθαρτὸν εὐθὺς ἀντεισάγειν νομίζει. λέγει οὖν ὅτι εἰ ἀπειροδύνα-
μόν ἐστι τὸ οὐράνιον, ἀνάγκη τῶν μερῶν ἕκαστον ἢ ἄπειρον δύναμιν ἔχειν, ἢ πεπερασμένην, ἀλλ' ἄπει-
ρον φησὶν οὐκ ἔχει, τὸ γὰρ ἀπειροδύναμον αὐταρκές ἐστι. τῶν δὲ τοῦ οὐρανοῦ μερῶν ἕκαστον καὶ τῶν ἄλλων
μερῶν δεῖται πρὸς τὸ εἶναι καὶ τοῦ ὅλου. εἴπερ τῶν πρός τι τὰ μέρη. τοῦ ὅλου γὰρ μέρη. καὶ ἀλλήλοις
δὲ τῶν οἰκείων δυνάμεων μεταδιδόασιν. ὡς δηλοῖ μάλιστα ἡ σελήνη, καὶ ἡ εἰς τὰ τῇδε σύμμικτος αὐ-

τῶν ἐνέργεια. εἰ οὖν μὴ αὐτάρκη φησίν, οὐδὲ ἀπειροδύναμα τὰ μέρη. καὶ ἄλλως δὲ τοῦτο οἴεται δει-
κνύναι. εἰ γὰρ τῶν μερῶν ἕκαστον ἀπειροδύναμόν ἐστι, τὸ ὅλον φησὶν ἢ ἴσην ἕξει ἑκάστῳ τῶν μερῶν δύνα-
μιν, ἢ μείζονα. ἀλλ' εἰ μὲν μείζονα, ἔσται τοῦ ἀπείρου τι μεῖζον. ὅπερ ἀδύνατον, καὶ ἄλλως συμβήσε-
ται τὸ αὐτὸ μέρος ἄπειρόν τε εἶναι καὶ πεπερασμένον. ἄπειρον μὲν διὰ τὴν ὑπόθεσιν. πεπερασμέ-
νον δέ, καθ' ὃ ὑπό τινος ὑπερβάλλεται. ἀλλὰ καὶ τὸ ἴσην τῷ μέρει τὸ ὅλον δύναμιν ἔχειν ἀδύνατον.
ὁρᾶται γὰρ ἐναργῶς πανταχοῦ τὸ ὅλον ἑκάστου τῶν μερῶν δυναμικώτερον. κἂν γὰρ ἡ ψυχρὰ ποιό-
της ἡ αὐτή ἐστιν ἔν τε τῷ μέρει τοῦ ὕδατος καὶ ἐν τῷ ὅλῳ. ἀλλ' ἡ συνεκτικὴ τοῦ εἶναι δύναμις οὐχ ἡ
αὐτή. ἀλλ' ὅσῳ μεγαλομερέστερά ἐστι τὰ σώματα, τοσούτῳ μᾶλλον διαρκεῖ. εἰ οὖν μὴ ἔστιν ἄπειρος
ἡ ἑκάστου τῶν μερῶν δύναμις, πεπερασμένη ἐστίν. ὥστε καὶ τὸ ὅλον πεπερασμένον. τὸ γὰρ ἐκ πεπερα-
σμένων μερῶν καὶ ἀριθμῷ καὶ δυνάμει συγκείμενον, ἀπειροδύναμον εἶναι ἀδύνατον, λείπεται ἄρα
φησὶ καὶ τὸν ὅλον οὐρανὸν καὶ τῶν αὐτοῦ μερῶν ἕκαστον πεπερασμένης εἶναι δυνάμεως. τοιαῦτα δὲ καὶ τὰ
ὑπὸ σελήνην ἅπαντα. καὶ πρὸς ταῦτα δὲ συντόμως μετὰ τὰ αὐτὰ πάλιν ῥητέον. ὅτι τὴν ἄπειρον δύνα-
μιν τὴν ἅμα ὅλην οὐκ ἔχειν κινητικήν, ἣν τῷ πρώτως καὶ ἀϊδίως κινοῦντι προσεῖναί φησιν ὁ ἀριστοτέλης,
οὔτε τὸ ὅλον κινητὸν ἔχειν οὔτε τὰ μέρη αὐτοῦ δυνατόν. τοῦ δὲ κινεῖσθαι καὶ τοῦ γίνεσθαι ἄπειρον ἔχει δύναμιν
οὐχ ἅμα ὅλην. καὶ γὰρ ἡ κίνησις καὶ ἡ γένεσις ἐν τῷ γίνεσθαι τὸ εἶναι ἔχουσιν, ἀλλὰ κατὰ τὸ ἐπ' ἄπειρον. κα-
τὰ δὲ τοῦτο ἡ ἀπειρία ὁμοίως καὶ τῷ ὅλῳ καὶ τοῖς μέρεσι προσήκει. εἴπερ μήτε τὸ ὅλον χωρὶς τῶν μερῶν.
μήτε τὰ μέρη χωρὶς εἶναι δύναται τοῦ ὅλου. καὶ γὰρ καὶ ἐπὶ τῶν ἐπὶ χρόνον τινὰ ἀρκούντων οἷον τῶν ζώων ὁρῶ-
μεν ὅτι ἀνάγκη τὸ εἶναι τῶν μερῶν τῷ τοῦ ὅλου εἶναι συμπαρατείνεσθαι. κατὰ δὲ τὴν οὐσίαν τὴν ἑαυτῶν
καὶ μὴ ὡς μέρη λαμβανόμενα τινὰ καὶ πολυχρονιώτερα τοῦ ὅλου ἐστίν. ὡς τὰ τῆς τῶν ζώων ὁλότητος,
διαλυθείσης γοῦν ἐκείνης, τὰ ὀστᾶ ὑπομένει. οὐκ ἔστιν οὖν ἀληθές, τὴν ἐν τῷ ὅλῳ τοῦ εἶναι παράτα-
σιν ἐκ τοῦ ἑκάστου τῶν μερῶν εἶναι καὶ τῆς ἐν τούτῳ δυνάμεως. ἃ συντεθέντα πολλαπλασίαν ἐν τῷ
ὅλῳ τοῦ εἶναι δύναμιν ἀποτίθεσθαι οὕτως, ὡς πολλαπλάσιον τοῦ εἶναι χρόνον ἀρκεῖν πρὸς τὸ εἶ-
ναι, μάλιστα ἔνθα τὸ ὅλον ἐκ τῶν αὐτῶν ἀεὶ μερῶν ἐστίν. ἡ μὲν γὰρ τοῦ ὕδατος καὶ ἑκάστου τῶν στοιχείων ὁλό-
της ἄλλοτε ἄλλοις μέρεσιν ἐνοῦται, τῷ τὰ μὲν γίνεσθαι τὰ δὲ φθείρεσθαι. οὐδὲν θαυμαστὸν εἰ διαρκεστέρα
κατὰ τὸ εἶναι τῶν μερῶν ἐστί. τοῦ δὲ οὐρανοῦ τὴν ὁλότητα τοῖς αὐτοῖς ἀεὶ μέρεσι χρωμένην, οὐδὲ οὗ-
τος ἂν εἴποι πολυχρονιωτέραν τῶν μερῶν εἶναι. ὁμοίως οὖν ἐπ' ἄπειρον τὸ εἶναι ὑπάρχει καὶ τῷ ὅ-
λῳ καὶ τοῖς μέρεσιν, οὐ τῇ τοῦ χρόνου παρατάσει διαφέρον. εἴπερ ὡς καὶ οὗτος ὁμολογεῖ πρός τι ὄν-
τα τὰ μέρη καὶ τὸ ὅλον συνυπάρχειν ἀλλήλοις ἀνάγκη. ἀλλὰ τῷ ὁλικωτέρῳ καὶ περιεκτικωτέρῳ
τοῦ εἶναι. τάχα δὲ καὶ τοῦ χρόνου. καὶ γὰρ ὁ χρόνος τῶν ὁλικωτέρων ὁλικώτερος, οὐχ ὡς ἐπὶ πλείονα
ἔτη παρεκτεινόμενος. ἀλλ' ὡς συνῃρηκὼς ἐν ἑαυτῷ τοὺς τῶν μερικωτέρων χρόνους. ὥσπερ καὶ τὸ εἶναι
τὸ τῶν μερῶν ἐν τῷ τοῦ ὅλου εἶναι συνῄρηται. ἀλλ' οὗτος μὲν ἐάσθω λοιπόν, αὐτάρκους οἶμαι τοῖς προ-
κειμένοις καὶ νῦν ἐξετάσεως τυχών. Ἐπιστῆσαι δὲ ἄξιον ὅτι κἀνταῦθα πάλιν ὁ ἀριστοτέλης ἐν
διαφόροις ὀνόμασι, τὰς αὐτὰς ἐννοίας τῷ σφετέρῳ καθηγεμόνι προυβάλετο. καὶ γὰρ ὁ μὲν πλάτων
τὴν διαφορὰν τοῦ χωριστοῦ τῶν οὐρανίων αἰτίου καὶ αὐτῶν τῶν οὐρανίων, ἀπὸ τῆς οὐσίας παραδίδωσι,
καθ' ὅσον τὸ μὲν αἴτιον ὄντως ὄν ἐστιν, ἀεὶ κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἔχον, καὶ μήτε κατ' οὐσίαν μήτε κα-
τὰ δύναμιν μήτε κατ' ἐνέργειαν κίνησιν ἢ μεταβολὴν ὑφιστάμενον. τὸν δὲ οὐρανὸν σωματικὸν ὄντα
καὶ διὰ τοῦτο οὐκ αὐθυπόστατον, γινόμενον εἶπεν καὶ οὐκ ὄντως ὄντα. τὸ γὰρ ὄντως ὂν πρότερον τῇ φύσει
τοῦ γινομένου ἐστί. καὶ τὸ αὐθυπόστατον τοῦ τὸ εἶναι ἑτέρωθεν ἔχοντος, καὶ τὸ ἀμετάβλητον τοῦ ὁπω-
σοῦν μεταβαλλομένου. καὶ δηλονότι τὸ ὄντως ὂν καὶ αὐθυπόστατον καὶ ἀμετάβλητον, ὑφίστησι προσε-
χῶς τὸ ἀεὶ γινόμενον. ἀλλ' οὔποτε, καὶ τὸ κατ' ἐνέργειαν ἀλλ' οὐ κατ' οὐσίαν, μεταβολὴν ὑφιστάμενον
οἷά ἐστι τὰ κατὰ μόνον τὸν τόπον κινούμενα. συνεχὴς γοῦν οὕτως ἡ πρόοδος τὴν κατ' ὀλίγον ὕφεσιν ὑπο-
μένει. καὶ οὐκ εὐθὺς εἰς τὸ πάντη διεστὼς ἀποβιβάζεται. τὸ δὲ γινόμενον ἀπὸ τοῦ ὄντως ὄντος τοῦ αὐ-
θυποστάτου προσεχῶς, μὴ ὂν αὐτὸ αὐθυπόστατον, ἀλλ' ἀπὸ τοῦ αὐθυποστάτου παραγόμενον, δι' ὃ καὶ
γινόμενόν ἐστι καὶ οὐκ ὄν, οὔτε ἅμα ὅλον τὸ εἶναι ἀπὸ τοῦ αἰτίου καταδέχεται. οὐ γὰρ ἂν ἦν ἔτι γινόμενον
ἀλλ' ὄν. οὔτε παύεται δεχόμενον, διά τε τὴν αὐτοῦ φύσιν, ὅτι μετὰ τὸ ὂν ἀεί, τὸ γινόμενον ἀεί. τὴν ὑ-
πόστασιν ἔχει, πρὸ τοῦ ποτὲ γινομένου. καὶ διὰ τὸ παράγον, ἀεὶ κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἐνεργοῦν
εἰς τὸ παραγόμενον. ὥστε πεπερασμένον δέχεται τὸ εἶναι, ἀεὶ δὲ δέχεται. καὶ διὰ τοῦτο ἀνέκλειπτός ἐστιν
ἡ τε τοῦ ὄντως ὄντος μετάδοσις, καὶ ἡ τοῦ προσεχῶς ὑπ' αὐτοῦ γινομένου μετάληψις. καὶ τὸ οὕτως ἄπειρον ὡς
ἐπ' ἄπειρον τοῦτό ἐστι. καὶ ταῦτα δι' ὀλίγων ῥημάτων ἐσήμανεν ὁ πλάτων, τὸν δημιουργὸν ἐν τιμαίῳ πα-
ραγαγὼν πρὸς τοὺς οὐρανίους θεοὺς δημηγοροῦντα καὶ λέγοντα. θεοὶ θεῶν, ὧν ἐγὼ δημιουργὸς πατήρ τε
» ἔργων, ἃ δι' ἐμοῦ γενόμενα ἄλυτα ἐμοῦ γε ἐθέλοντος. τὸ μὲν οὖν δὴ δεθὲν πᾶν λυτόν, τό γε μὴν καλῶς
» ἁρμοσθὲν καὶ ἔχον εὖ, λύειν ἐθέλειν κακοῦ. δι' ἃ καὶ ἐπείπερ γεγένησθε, ἀθάνατοι μὲν οὐκ ἐστὲ τὸ πάμ-
» παν. οὔτι μὲν δὴ λυθήσεσθέ γε. οὐδὲ τεύξεσθε θανάτου μοίρας, τῆς ἐμῆς βουλήσεως μείζονος ἔτι δε-
» σμοῦ καὶ κυριωτέρου λαχόντες ἐκείνων, οἷς ὅτ' ἐγίνεσθε ξυνεδεῖσθε. λέγει δὲ ταῦτα, μᾶλλον δὲ πλη-

ροῖ δημιουργικῶν νοήσεων, τὰς δυναμένας οὐσίας ἐν τῷ κόσμῳ νοεῖν. τὴν ἐν τῷ παντὶ τῶν ὅλων προϋ-
πάρχουσαν διακόσμησιν. αὗται δέ εἰσι προσεχῶς μὲν ἑνιαῖαι καὶ νοεραί. ἤδη δὲ καὶ αἱ τούτων τῶν νόων
ἐξηρτημέναι ψυχαί, κατὰ τὴν μίαν παντὸς τοῦ ἀσωμάτου συνάρτησιν καθ' ἕκαστον θεόν. πρὸς τού-
τους οὖν λέγει, θεοὶ θεῶν. καὶ ὁ μὲν λόγος ποίησίς ἐστι δημιουργική. θεοὺς δὲ ποιεῖ θεῶν, τοὺς ἀσωμάτους
τῶν σωματικῶν. ὅτι προφανέστερον μὲν θεοὶ καλοῦνται τὰ τῶν οὐρανίων θεῶν περιπολοῦντα ἀγάλ-
ματα. διὰ τὴν ὀξεῖαν κίνησιν θεοὶ κληθέντες. θεῶν δὲ τούτων θεοὶ οἱ τὰς ἀρχικὰς αὐτῶν αἰτίας ἀσω-
μάτως καὶ νοερῶς προβαλλόμενοι. πᾶς γὰρ θεὸς ἀρχὴ τινός ἐστι θεότητος. θεῶν δὲ τῶν αἰσθητῶν δη-
μιουργὸς εἶναί φησι, καὶ πατὴρ τῶν ἐν αὐτοῖς ἔργων, δημιουργεῖται γὰρ καὶ δι' ἐργασίας ἀποτελεῖται τὸ σω-
ματικὸν πᾶν. λέγει δὲ τὸ δεθὲν πᾶν, τὸ σωματικὸν ὡς ὁρατὸν καὶ ἁπτὸν ὑπάρχον. τὸ διὰ τοῦτο ἐκ πυ-
ρὸς καὶ γῆς καὶ τῶν μεταξὺ στοιχείων συγκείμενον, καὶ δεδεμένον τῷ τῆς ἀναλογίας δεσμῷ. τοῦτον γὰρ
αὐτὸς ἄριστον δεσμὸν εἶπεν τῆς τῶν σωμάτων συνθέσεως. λυτὸν δὲ πῶς πᾶν τὸ δεθέν. ἢ ὅτι λύσις μὲν
τῶν συγκειμένων ἡ τῶν ἁπλῶν διάκρισις. ἥτις ἐν τῷ δημιουργῷ μόνῳ προϋπάρχει. κατὰ τὴν ἐν αὐτῷ
τῶν ἁπλῶν στοιχείων αἰτιώδη περιοχήν. διὸ καὶ αὐτῷ μόνῳ τῷ δημιουργῷ φησὶν αὐτὰ λυτὰ εἶ-
ναι. εἰ γὰρ τὰ τῶν οὐρανίων ἐν τοῖς νοεροῖς στοιχεῖα. ἥνωται μὲν διὰ τὴν νοητὴν ἕνωσιν, διακέκριται δὲ διὰ
τὴν νοερὰν καθαρότητα, ἀλλαχοῦ δὲ οὐδαμοῦ διακέκριται, εἰκότως ἐν αὐτῷ τὸν λόγον τῆς λύσεως του-
τέστι τῆς διακρίσεως προϋπάρχειν φησί, μὴ μέντοι λύεσθαι καλῶς ἡρμοσμένα. ἡρμόσθη δὲ κατὰ τὴν
ἐν τῷ δημιουργῷ τοῦ κοσμικοῦ παραδείγματος ἁρμονίαν. ὑμεῖς οὖν φησιν ἐπείπερ γεγένησθε,
τουτέστιν ἐπειδὴ τὴν σωματικὴν ἰδιότητα προεβάλεσθε. σύνθετόν τε οὖσαν καὶ μὴ αὐθυπόστατον, μὴ
δὲ ἐν τῷ ὄντως ὄντι μείνασαν, ἀλλ' ἐν τῷ γίνεσθαι τὸ εἶναι ἔχουσαν, ἀθάνατοι μὲν οὐκ ἐστὲ τὸ πάμπαν.
οὐ γὰρ ἕξετε τὴν ἅμα ὅλην οὖσαν ἀθανασίαν. τοῦτο γὰρ σημαίνει τὸ οὐκ ἐστέ. ἀλλὰ γινομένην καὶ ἐπισκευα-
στὴν αὐτὴν ἕξετε. καὶ οὐ λυθήσεσθε, κἂν σύνθετον ἔχῃ τε φύσιν. διὰ τὸ κατὰ τὴν ἕνωσιν τῆς νοερᾶς ἀ-
γαθότητος προσεχῶς ἀποστῆναι. οὐ γὰρ ἄλλως ἔχοντες κατὰ φύσιν. ἐπείσακτον τὴν ἕνωσιν ὑπεδέ-
ξαντο. ἀλλ' ἡ πρώτη σύνθεσις κἂν ἁπλῶν ἡ σύνοδος, ἀλλ' ὑπὸ τῆς νοερᾶς ἑνώσεως προσεχῶς μετὰ
τῶν ἁπλῶν οὐ διακεκριμένων πρότερον ἀποστᾶσα, ἄλυτός ἐστι. καὶ οὕτως οὔτε ἀθάνατοι πάμπαν
εἰσίν, οὔτε θανάτου μοίρας μεταλαγχάνουσι, γινομένην ἐπ' ἄπειρον τὴν ἀθανασίαν καταδεχόμενοι.
καὶ οὕτω μὲν ὁ πλάτων ἀπὸ τῆς τῶν οὐσιῶν διαφορᾶς. τό, τε προσεχὲς αἴτιον τῶν οὐρανίων ἐξέφηνε. καὶ τὴν
αὐτῶν τῶν οὐρανίων ἰδιότητα. ὁ δὲ ἀριστοτέλης φυσικώτερον ἀπὸ τῆς κινήσεως ἀρχόμενος. πρῶ-
τον ἔδειξεν ὅτι ἀνάγκη κίνησιν ἀΐδιον εἶναι. καὶ τὸ κινούμενον ἔτι μᾶλλον, εἴπερ ἐν τῷ κινουμένῳ ἡ κί-
νησις. καὶ ὅτι τὸ κινούμενον ὑπό τινος πάντως κινεῖται. καὶ ὅτι τὸ μὲν πρώτως κινοῦν τὴν ἀΐδιον κίνη-
σιν, ἀνάγκη εἶναι καὶ ἀπειροδύναμον καὶ ἀμερές. τὸ δὲ πρώτως ὑπὸ τούτου τὴν ἀΐδιον κίνησιν κινού-
μενον μίαν οὖσαν καὶ συνεχῆ, τὸ κυκλοφορητικὸν εἶναι σῶμα. τοῦτο δὲ καὶ δι' ἑαυτὸ τὴν ἀΐδιον κινεῖσθαι
κίνησιν, μίαν τε καὶ συνεχῆ τοῦτο μόνον κινούμενον, καὶ ἀεὶ ἐν τέλει περιφορᾶς ἅμα καὶ ἐν ἀρχῇ εἶναι.
πᾶν γὰρ μόριον τῆς κυκλοφορίας. τέλος μέν ἐστι τῆς προγενομένης περιφορᾶς, ἀρχὴ δὲ τῆς ἐσομένης.
ὅπου δὲ πᾶν τὸ λαμβανόμενον τέλος ἐστὶ καὶ ἀρχή, ἀνέκλειπτον ἀνάγκη τὸ τοιοῦτον εἶναι κατὰ τὴν
αὐτοῦ φύσιν. ὥσπερ καὶ τὸ προσεχῶς ὑπὸ τοῦ ἀεὶ κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἔχοντος κινούμενον, ἀΐ-
διον ἀνάγκη τῇ ἑαυτοῦ φύσει εἶναι κατὰ τὸν πλάτωνα. πεπερασμένον δὲ ὂν τὸ ἀϊδίως κινούμενον καὶ
οὐκ αὐτοκίνητον, ἀλλ' ἑτέρωθεν ἔχον τὴν κίνησιν καὶ κατὰ πλάτωνα τὸ εἶναι, καὶ διὰ τοῦτο γενη-
τὸν ὂν καὶ ἑτεροκίνητον, οὐ δύναται ἅμα ὅλην οὔτε τὴν τοῦ κινεῖν οὔτε τὴν τοῦ κινεῖσθαι δύναμιν κα-
ταδέξασθαι. ἡ δὲ κίνησις ἐν τῷ γίνεσθαι τὸ εἶναι ἔχει, ὥσπερ ἡ ἡμέρα. καὶ οὐκ ἔστιν ἅμα ὅλη. εἰ οὖν καὶ ἀΐδιον καὶ
ἄπειρον κινεῖται κίνησιν καὶ οὐχ ἅμα ὅλην, δηλονότι γινόμενον ἕξει τὸ ἀΐδιόν τε καὶ ἄπειρον. ἀεὶ μὲν κι-
νούμενον, διά τε τὴν αὐτοῦ φύσιν, καὶ διὰ τὴν τοῦ κινοῦντος ἀκίνητον ἐνέργειαν. οὐχ ἅμα δὲ τὸ ἀεὶ ἔ-
χον, διὰ τὸ ἑτεροκίνητον εἶναι καὶ πεπερασμένον. καὶ τοῦτό ἐστι τὸ ἐπ' ἄπειρον κινεῖσθαι, ἀεὶ μὲν ἐν τέλει τῆς
λαμβανομένης κινήσεως οὔσης, ἀνεκλείπτως δὲ ἑτέρας τὴν ἑτέραν διαδεχομένης. ὥσπερ οὖν ὁ πλά-
των τὴν ἐπ' ἄπειρον τοῦ γενητοῦ γένεσιν λυτήν τε καὶ μὴ πάμπαν ἀθάνατον εἶπεν, καὶ αὖ πάλιν ἄ-
λυτον καὶ θανάτου μοίρας μὴ τυγχάνουσαν, οὕτως ἀριστοτέλης τὴν ἐπ' ἄπειρον κίνησιν πεπερασμέ-
νην τε τῇ δυνάμει καὶ ἀΐδιον ἀπεφήνατο, τοῦ μὲν πέρατος τῷ οὐρανίῳ σώματι διὰ τὴν αὐτοῦ φύσιν
ὑπάρχοντος, σωματικήν τε καὶ ἑτεροκίνητον οὖσαν καὶ πεπερασμένην. τοῦ δὲ ἀπείρου διά τε τὴν αὐ-
τοῦ φύσιν προσεχῶς ὑπὸ τοῦ ἀκινήτου καὶ ἀεὶ κατὰ τὰ αὐτὰ ἔχοντος ἀποστᾶσαν, καὶ κυκλοφορητι-
κὴν οὖσαν, καὶ διὰ τὴν τοῦ παράγοντος αὐτὸ καὶ κινοῦντος ἀκινησίαν. ὥστε κατ' ἄμφω τοὺς φιλοσό-
φους ὁ οὐρανὸς καὶ διὰ τὴν αὐτοῦ φύσιν, καὶ διὰ τὸ παράγον καὶ κινοῦν αἴτιον, ἀΐδιός τε καὶ ἀεικίνητός
ἐστι. Ζητήσοι δὲ ἂν οἶμαι πᾶς ὁ μὴ παρέργως τῶν ἀριστοτέλους λόγων ἀκούων, περὶ τοῦ πρώτως κι-
νοῦντος, πότερον ἐγχρόνως κινεῖ ἢ ἀχρόνως. εἰ μὲν γὰρ ἐγχρόνως, πρῶτον μὲν πῶς αὐτὸς ὁ ἀριστο-
τέλης περὶ τοῦ ἀπειροδυνάμου λέγων, χρόνον γέ φησιν οὐκ ἐνδέχεται εἶναι οὐδένα καθ' ὃν κινεῖ. ἔπει-
τα εἰ ἀκίνητόν ἐστι καὶ κατὰ πᾶσαν μεταβολὴν ἀμετάβλητον τὸ πρώτως κινοῦν, οὐ κατ' οὐσίαν

μόνον ἀλλὰ καὶ κατὰ δύναμιν καὶ κατ᾽ ἐνέργειαν, πῶς ὁ χρόνος μέτρον κινήσεως ὢν τὰς ἀκινήτους ἐνεργείας μετρήσει τοῦ πρώτως κινοῦντος. εἰ δὲ μὴ ἐν χρόνῳ κινεῖ, πῶς ἐν χρόνῳ κινεῖται τὸ πρώτως ὑπ᾽ αὐτοῦ κινούμενον. Πρὸς ἄρ ῥητέον, ὅτι τῶν κινούντων ὅσα μὲν κινούμενα κινεῖ, ὥσπερ τὰ σωματικῶς κινοῦντα ὠθοῦντα καὶ ἕλκοντα καὶ ῥιπτοῦντα, ταῦτα ἐν χρόνῳ κινεῖ. οὐ διὰ τὸ κινεῖν ἁπλῶς, ἀλλὰ διὰ τὸ κινεῖσθαι. κινήσεως γὰρ μέτρον ὁ χρόνος. ἡ δὲ κίνησις ἐν τῷ κινουμένῳ ἐστὶ, καὶ οὐκ ἐν τῷ κινοῦντι. τὸ δὲ πρώτως κινοῦν ἀκίνητον ὂν καὶ κατ᾽ οὐσίαν καὶ κατ᾽ ἐνέργειαν. ὡς ὑπὲρ πᾶσαν κίνησιν ἱδρυμένον, καὶ ἀχρόνους ἔχει τὰς ἐνεργείας ὡς ὑπὲρ χρόνον οὔσας. καὶ παράγει τὴν κίνησιν ἀφ᾽ ἑαυτοῦ ἐν τῷ ὑπ᾽ αὐτοῦ κινουμένῳ. εἰ γὰρ μὴ πρῶτον τῶν ὄντων ἐστὶ τὸ κινούμενον, διότι ὑπό τινος κινεῖται, ἀνάγκη τὴν κίνησιν ὑπὸ τοῦ ἀκινήτου ἐν τῷ κινουμένῳ ὑποστῆναι, καὶ τὸν χρόνον ὑπὸ τοῦ ἀχρόνου ἐν τῷ ἀχρόνως κινουμένῳ. οὐ γὰρ τὸ κινεῖν ἀλλὰ τὸ κινεῖσθαι ὑπὸ τοῦ χρόνου μετρεῖται. διότι ἡ κίνησις ἐν τῷ κινουμένῳ. ὡς δὲ ἡ τοῦ πρώτως κινουμένου κίνησις ἄπειρος οὖσα, τὸ ἄπειρον οὐχ ἅμα ὅλον ἔχει, ἀλλ᾽ ἐπ᾽ ἄπειρον γινόμενον, οὕτω καὶ ὁ χρόνος ὁ τῆς πρώτης κινήσεως μετρητικὸς ἄπειρός ἐστιν. ὡς ἐπ᾽ ἄπειρον προϊών. ἀλλ᾽ ἐπανιτέον λοιπὸν ὅθεν ἐξέβημεν ἐπὶ τὰ συνεχῆ τῆς Ἀριστοτέλους λέξεως.

ΟΥ̓ ΤΟΙΝΥΝ οὐδὲ ἐν ἀπείρῳ πεπερασμένην. καίτοι ἐνδέχεται ἐν ἐλάττονι μεγέθει, πλείονα δύναμιν εἶναι ἀλλ᾽ ἔτι μᾶλλον ἐν μείζονι πλείων. ἔστω δὴ τὸ ἐφ᾽ οὗ ΑΒ ἄπειρον. τὸ δὴ ΒΓ ἔχει δύναμίν τινα, ἣ ἐν τινι χρόνῳ ἐκίνησε τὴν Δ. ἐν τῷ χρόνῳ ἐφ᾽ ᾧ ΕΖ. ἂν δὴ τῆς ΒΓ διπλάσιον λαμβάνω ἐν ἡμίσει κινήσει χρόνῳ τοῦ ΕΖ. ἔστω γὰρ αὕτη ἡ ἀναλογία. ὥστε ἐν τῷ ΖΘ κινήσει. οὐκοῦν οὕτω λαμβάνων ἀεὶ, τὴν μὲν ΑΒ, οὐδέποτε διέξειμι. χρόνον δὲ τοῦ δοθέντος ἀεὶ ἐλάττω λήψομαι. ἄπειρος ἄρα ἡ δύναμις ἔσται. πάσης γὰρ πεπερασμένης ὑπερβάλλει δυνάμεως. πάσης δὲ πεπερασμένης δυνάμεως, ἀνάγκη πεπερασμένον εἶναι καὶ τὸν χρόνον. εἰ γὰρ ἐν τινι ἡ τοσηδί, ἡ μείζων ἐν ἐλάττονι μὲν ὡρισμένῳ δὲ κινήσει χρόνῳ, κατὰ τὴν ἀντιστροφὴν τῆς ἀναλογίας. ἄπειρος δὲ πᾶσα δύναμις. ὥσπερ καὶ πλῆθος καὶ μέγεθος τὸ ὑπερβάλλον παντὸς ὡρισμένου.

Τοῖς προκειμένοις ἀναγκαίως δείξας. ὅτι οὐδὲν μέγεθος πεπερασμένον ἄπειρον ἔχει δύναμιν, ἵνα διὰ τούτου δειχθῇ τὸ πρώτως κινοῦν ἀπειροδύναμον μὴ ὂν μέγεθος πεπερασμένον. εἰ δὲ τὸ ἄπειρον μέγεθος μηδὲ ἔστιν ὅλως ἐν τοῖς οὖσι, δηλονότι σαφῶς ἀποδέδεικται ὅτι τὸ πρώτως κινοῦν ἀμερές ἐστι καὶ ἀμέγεθες, διὰ τοῦτο μὲν οὖν ἀναγκαίως ὡς εἶπον ἔδειξεν, ὅτι οὐδὲν μέγεθος πεπερασμένον ἄπειρον ἔχει δύναμιν. νῦν δὲ προστίθεται δεῖξαι. ὅτι οὐδὲ ἄπειρόν τι μέγεθος πεπερασμένην ἔχει δύναμιν. ὅπερ ἀναγκαῖον μὲν οὐκ ἔστι πρὸς τὰ προκείμενα. οὐδὲ γὰρ οὐδὲ ἔστιν ὅλως ἐνεργείᾳ μέγεθος ἄπειρον. ὡς ἀντίστροφον δὲ καὶ συγγενὲς τῷ προαποδεδειγμένῳ, καὶ καθ᾽ αὑτὸ θεωρίαν ἔχον ἀξιόλογον, ἀποδεῖξαι καὶ τοῦτο προέθετο. καὶ δείκνυσιν αὐτὸ τὴν μὲν ἀρχὴν διὰ βραχέων ῥημάτων τὴν ἀπόδειξιν ἐνδειξάμενος οὕτως. δόξας γὰρ ἐνίστασθαι πρὸς τὸ ἑαυτοῦ πρόβλημα. τὸ λέγον ἐν ἀπείρῳ μεγέθει μὴ εἶναι δύναμιν πεπερασμένην, διὰ τοῦ, καίτοι ἐνδέχεται ἐν ἐλάττονι μεγέθει πλείω δύναμιν ἐνεῖναι. ὡς ἐπὶ τῶν ἰῶν ὁρῶμεν τῶν θείων καὶ τῶν σπερμάτων τῶν τε ζώων καὶ τῶν φυτῶν, ἀπὸ γὰρ κεγχραμίδος συκῆ τηλικαύτη γίνεται, διὰ τὴν ἐν τῷ βραχεῖ σώματι ἐνοῦσαν μεγάλην δύναμιν, καὶ ἀπὸ βραχέος θοροῦ ἐλέφας, καὶ τοσαῦτα τῶν πολυτόκων ζώων γεννήματα, εἰ οὖν τοῦτο ἀληθές, τί κωλύει καὶ τὸ τούτῳ ἀντίστροφον δοκοῦν ἀληθὲς εἶναι. τὸ καὶ ἐν τῷ πάντων μεγίστῳ σώματι τῷ ἀπείρῳ πεπερασμένην ἐνεῖναι δύναμιν. ὅτι δὲ ὡς ἔνστασιν αὐτὴν κομίζει, δηλοῖ τὸ, καίτοι, προτεταγμένον ἐνστατικὸν ἐπίρρημα. ὁ δὲ Ἀλέξανδρος χρησιμώτερον ἦν αὐτῷ φησὶν ὡς πρὸς τὸ προκείμενον τὸ εἰπεῖν, καίτοι ἐνδέχεται ἐν μείζονι μεγέθει ἐλάττονα δύναμιν εἶναι. τοῦτο γὰρ μᾶλλον ἐνδείκνυται δύνασθαι καὶ ἐν ἀπείρῳ μεγέθει πεπερασμένην εἶναι. ὁ δὲ εἶπεν καίτοι ἐνδέχεται ἐν ἐλάττονι μεγέθει πλείω ἐνεῖναι, διὰ τοῦ, τοῦτο λαβεῖν ἅμα κἀκεῖνο ἐνδειξάμενος. οὕτω μὲν ὁ Ἀλέξανδρος. μήποτε δὲ πρὸς τὸν λέγοντα, ὅτι ἐν ἀπείρῳ πεπερασμένη δύναμις οὐκ ἔστιν, ὁ μὲν οὕτως ἐνιστάμενος καίτοι ἐν μείζονι ἐνδέχεται ἐλάττονα εἶναι, χωρὶς παραμυθίας λέγει τὸ αὐτό. ὁ δὲ λέγων καίτοι ἐνδέχεται ἐν ἐλάττονι πλείω εἶναι, ἀπὸ τοῦ ἀντικειμένου τὸ ἀντικείμενον εἰσάγει. ἀντίκειται γὰρ τῷ ἐν ἐλάττονι πλείονι τὸ ἐν μείζονι ἔλαττον. ἴσως δὲ καὶ ἐναργέστερόν ἐστι τὸ ἐν ἐλάττονι μεγέθει πλείω δύναμιν ἐνεῖναι, ὡς ἐπὶ τῶν εἰρημένων. καὶ γὰρ ἀπιστεῖται. εἰ τοσοῦτον μέγεθος ἰοῦ τοσαύτην ἔχει δύναμιν εἰς τὸ διαφθείρειν. τὸ δὲ μείζονά τινα μεγέθη ἐλάττονα δύναμιν ἔχειν. οὐχ οὕτω προφανές ἐστιν. ἀπὸ οὖν τοῦ ἐναργεστέρου τὸ ἧττον ἐναργὲς ἠνάγκασε. καὶ ἡ μὲν ἔνστασις τοιαύτη. λύει δὲ αὐτὴν λέγων, ἀλλ᾽ ἔτι μᾶλλον ἐν μείζονι πλείω. κἂν γὰρ ἐν ἐλάττονι μεγέθει πλείων ἡ δύναμις, ἀλλ᾽ ἐν τῷ μείζονι τοῦ ἐλάττονος κατὰ τὸ αὐτὸ εἶδος ἔτι πλείων ἔσται ἡ δύναμις. ἐὰν οὖν τὸ μέγεθος εἰς ἄπειρον ἐκταθῇ, καὶ ἡ δύναμις εἰς ἄπειρον ἐκταθήσεται. εἴτε ἔλαττον ἦν τὸ ἐξ ἀρχῆς μέγεθος τῆς κατὰ τὴν δύναμιν ἀναλογίας. εἴτε μεῖζον. ἡ γὰρ ἐπ᾽ ἄπειρον τοῦ μεγέθους πρόοδος καὶ τὴν δύναμιν μέχρι τοῦ ἀπείρου συνεφέλκεται. οὐ γὰρ

αὔξεται

αὔξεται μέγεθος ἀπείρου δυνάμεως. οὕτως οὖν διὰ τοῦ λῦσαι τὴν ἔνστασιν ἀποδέδεικται, ὅτι οὐδὲ τὸ ἄπει-
ρον μέγεθος πεπερασμένην ἕξει δύναμιν, τὸ αὐτὸ καὶ δι᾽ ἐκθέσεως ἀποδείκνυσιν ὡς εἴωθεν, κατα-
γεωμετρεῖν καὶ αὐτὸς ὀριγνώμενος τὴν φύσιν. λαβὼν γὰρ ἄπειρόν τι μέγεθος τὸ αβ, πεπερασμένην
ἔχον δύναμιν κατὰ τὴν ὑπόθεσιν. καὶ ἀφελὼν ἀπ᾽ αὐτοῦ τὸ βγ, πεπερασμένην δηλονότι καὶ αὐτὸ
δύναμιν ἔχον, εἴπερ καὶ ἡ ἄπειρος ἡ αβ πεπερασμένην εἶχεν, λέγει ὅτι τὸ βγ πεπερασμένον μέ-
γεθος τῇ πεπερασμένῃ δυνάμει κινείτω τὸ δ πεπερασμένον, ἐν χρόνῳ τῷ εζ ὡρισμένῳ δηλονότι.
δέδεικται γὰρ ὅτι οὐδὲν πεπερασμένον μέγεθος κινεῖ τι πεπερασμένον ἐν ἀπείρῳ χρόνῳ. ἂν οὖν ἀ-
φέλωμεν ἀπὸ ἀπείρου τοῦ αβ διπλάσιον τοῦ βγ τὸ αγ, τὸ διπλάσιον μέγεθος διπλασίονα δύνα-
μιν ἔχον, ἐν ἡμίσει χρόνῳ τὸ δ κινήσει, τοῦ ἐν ᾧ ἐκίνει τὸ ἥμισυ αὐτοῦ τὸ βγ. ἐὰν δὲ πάλιν ἀπὸ τοῦ
αβ ἀπείρου μεγέθους διπλάσιόν τι τοῦ γα μεγέθους ἀφέλωμεν, διπλασίαν ἔχον δύναμιν τῆς ἐν
τῷ αγ τῆς κινησάσης τὸ δ ἐν τῷ ζθ χρόνῳ, πάλιν ἡ ληφθεῖσα τὸ δ ἐν ἡμίσει τοῦ ζθ χρόνου κινήσει. τοῦτο
δὴ ποιούντων ἡμῶν, οὐδέποτε ἐπιλείψει οὔτε τὸ αβ ἄπειρα τῷ πλήθει χορηγοῦν ἡμῖν εἰς τὴν ἀ-
φαίρεσιν μεγέθη, ἐν διπλασίᾳ ὄντα ἀεὶ δυνάμει τῶν προαφῃρημένων ἀπ᾽ αὐτοῦ. οὐδὲ ὁ χρόνος ὁ λαμ-
βανόμενος τοῦ ἡμίσεος ἔχειν ἐπιλείψει. εἰ οὖν μηδὲ ἡ δύναμις ἐπιλείπει, ἄπειρος ἂν εἴη καὶ αὐτὴ ὁμοίως
τῷ μεγέθει. ἄπειρος γὰρ δύναμίς ἐστιν ἡ πάσης τῆς πεπερασμένης δυνάμεως ὑπερβάλλουσα. κα-
θόλου γὰρ ἄπειρον τοῦτό ἐστιν, οὗ παντὸς τοῦ λαμβανομένου ἀεί τι ἔστιν ἔξω περιττεῦον καὶ ὑπερέ-
χον τοῦ εἰλημμένου. ὅπερ καὶ ἐπὶ τῆς τοῦ ἀπείρου μεγέθους δυνάμεως ὁρᾶται. δέδεικται δὲ ἀπὸ τῆς
ἐπ᾽ ἄπειρον αὐξήσεως τοῦ ἀφαιρουμένου μεγέθους ἀπὸ τοῦ ἀπείρου, ὅτι ἄπειρός ἐστιν ἡ τοῦ ἀπείρου με-
γέθους δύναμις, ὡς πάσης τῆς πεπερασμένης δυνάμεως ὑπερβάλλουσα, τὸ αὐτὸ δείκνυσι καὶ ἀπὸ
τῆς τοῦ χρόνου ἐπ᾽ ἄπειρον μειώσεως. ἣν καὶ διὰ τοῦτο παρέλαβεν εἰπών, τοῦ χρόνου δὲ τοῦ δοθέντος
ἀεὶ ἐλάττω λήψομαι. ὥσπερ δὲ ἀόριστον καὶ ἄπειρόν ἐστι μέγεθος, ἐν ᾧ δυνατὸν τοῦ προστεθέντος
καὶ ὁρισθέντος ἀεὶ τὸ μεῖζον λαβεῖν, οὕτω καὶ ὁ χρόνος ἀόριστος καὶ ἐπ᾽ ἄπειρον μειούμενος, ἐν ᾧ δυ-
νατὸν τοῦ προστεθέντος ἀεὶ ἔλαττον λαβεῖν. εἰ οὖν δέδεικται ὅτι ἡ πεπερασμένη δύναμις ἐν πεπε-
ρασμένῳ κινεῖ χρόνῳ, ὁ δὲ πεπερασμένος ὡρισμένος, καὶ ἡ ἐν τῷ ἀπείρῳ μεγέθει πεπερασμένη δύ-
ναμις, ὁπόση ἂν ᾖ, μόνον δὲ πεπερασμένη, ἐν ὡρισμένῳ χρόνῳ κινήσει. εἰ γὰρ ἡ τοσήδε ἔν τινι ὡρι-
σμένῳ χρόνῳ κινεῖ, κἂν ὁποσωοῦν μείζω ταύτης ληφθῇ τις δύναμις, ἐν ἐλάττονι μὲν, ἐν ὡρισμέ-
νῳ δὲ χρόνῳ καὶ αὐτὴ κινήσει. καὶ τὸν λόγον τῆς τοῦ χρόνου μειώσεως δηλῶν, κατὰ τὴν ἀντιστροφήν
φησι τῆς ἀναλογίας. ὅσῳ γὰρ μείζω ἐστὶν ἡ δύναμις τῆς δυνάμεως, τοσούτῳ ἐλάττων ὁ χρόνος ἐν
ᾧ ἡ μείζων δύναμις κινεῖ, τοῦ χρόνου ἐν ᾧ κινεῖ ἡ ἐλάττων δύναμις. ἀντιστροφὴν οὖν ἀναλογίας εἴ-
ρηκεν, ὅτι ὡς ἡ μείζων δύναμις πρὸς τὴν ἐλάττονα, οὕτως ὁ ἐλάττων χρόνος πρὸς τὸν μείζονα. εἰ οὖν ὅ-
σῳ ἐλλείπει ὁ χρόνος ἀεί, τοσούτῳ καὶ ἡ δύναμις ἀεὶ ὑπερβάλλει. ὁ δὲ χρόνος ἐν ᾧ ἡ τοῦ ἀπείρου μεγέθους
δύναμις κινεῖ ἐλλείπει παντὸς ὡρισμένου, καὶ ἡ δύναμις ἡ ἐν τῷ χρόνῳ τούτῳ κινοῦσα ὑπερβάλλει
πάσης ὡρισμένης δυνάμεως. ἀλλὰ μὴν ἡ ὑπερβάλλουσα δύναμις πάσης ὡρισμένης δυνάμεως
ἄπειρός ἐστιν. ὥσπερ καὶ πλῆθος καὶ μέγεθος τὸ ὑπερβάλλον παντὸς ὡρισμένου ἄπειρόν ἐστιν. ἡ ἄρα
ἐν τῷ ἀπείρῳ μεγέθει δύναμις ἄπειρός ἐστι καὶ οὐ πεπερασμένη. οὕτως οὖν καὶ ἀπὸ τοῦ ἀπείρου με-
γέθους συνήγαγεν, ὅτι ἡ ἐν αὐτῷ δύναμις ἄπειρός ἐστι. καὶ ἀπὸ τῆς τοῦ χρόνου ἐν ᾧ κινεῖ ἐπ᾽ ἄπειρον
ἐλαττώσεως. καὶ μίαν οὖν εἶναι καὶ δύο δυνατὸν ἀποδείξεις ταῦτα τὰ συμπεράσματα. καὶ
μᾶλλον δύο. εἴπερ ἑκάτερον ἰδίᾳ συνεπεράνατο. τὸ μὲν ἀπὸ τοῦ μεγέθους, ὅτε ἔλεγεν. ἄπειρος ἄρα
» ἡ δύναμις ἔσται. πάσης γὰρ πεπερασμένης ὑπερβάλλει δυνάμεως. τὸ δὲ ἀπὸ τοῦ χρόνου πάλιν ὅ-
» ταν λέγῃ, ἄπειρος δὲ πᾶσα δύναμις ὑπερβάλλουσα παντὸς ὡρισμένου, ὥσπερ καὶ πλῆθος καὶ
» μέγεθος. εἰπὼν δὲ ἐν τῇ ἐκθέσει. ἂν δὴ τῆς βγ διπλασίαν λαμβάνω, ἐν ἡμίσει κινήσει χρόνῳ τοῦ
εζ, ἐπήγαγεν. ἔστω γὰρ αὕτη ἡ ἀναλογία. ὥστε τὰ ἀφαιρούμενα διπλάσια μεγέθη καὶ δύναμιν δι-
πλασίαν ἔχειν, καὶ εἶναι ἐν τῷ αὐτῷ λόγῳ τά τε μεγέθη καὶ τὰς δυνάμεις. τούτου γὰρ ὑπο-
τεθέντος, εἰ τὸ ἥμισυ τοῦ μεγέθους ἐν τῷ εζ χρόνῳ τὸ δ κεκίνηκε, τὸ διπλάσιον μέγεθος ἐν ἡμίσει
τοῦ εζ χρόνου κινήσει τὸ δ. ὃν εἶπεν θζ. κἂν δὲ μὴ διπλασίαν ἀναλογίαν ἔχῃ τὰ ἀπὸ τοῦ ἀπείρου ἀ-
φαιρούμενα, ὥστε τὸ διπλάσιον μέγεθος εὐθὺς καὶ δύναμιν διπλασίαν ἔχειν, οὐδὲν ἡ δεῖξις ἐμπο-
δισθήσεται. ἂν γὰρ μὴ οὕτως ἔχῃ, οὐ πρὸς τὸ μέγεθος ἀφορῶντες, κατὰ τοῦτο ἀφελοῦμεν τοῦ ἐφ-
θακότος ἀφῃρῆσθαι διπλάσιον. ἀλλὰ πρὸς τὴν δύναμιν τὴν ἐν τῷ πρώτῳ ἀφαιρεθέντι μεγέθει.
ὥστε ἀφαιρεῖσθαι ἀπὸ τοῦ ἀπείρου μεγέθους μέγεθος, διπλασίαν ἔχον δύναμιν τοῦ βγ μεγέθους. ὁ-
πόσον ἂν ᾖ τὸ μέγεθος τὸ ἀφαιρούμενον. καὶ ὃν ἂν ἔχῃ λόγον πρὸς τὸ βγ μέγεθος. οὕτω γὰρ τῆς
ἀφαιρέσεως γινομένης, τὸ δ ἐν ἡμίσει ἀεὶ χρόνῳ κινήσεται ὑπὸ τοῦ ὕστερον ἀφαιρεθέντος, ἢ ἐκι-
νεῖτο ὑπὸ τοῦ πρὸ αὐτοῦ, τῷ τὴν δύναμιν διπλασίαν ἀφῃρῆσθαι. ὅτι γὰρ ἡ μείζων δύναμις τὸ
αὐτὸ ἐν ἐλάττονι κινεῖ χρόνῳ, κατὰ τὴν ἀντιστροφὴν τῆς ἀναλογίας ὡς εἶπεν δέδεικται καὶ
ὡμολόγηται.

ΕΣΤΙ δὲ καὶ ὧδε δεῖξαι τοῦτο. ληψόμεθα γὰρ δή τινα δύναμιν τὴν αὐτὴν τῷ γένει τῇ ἐν τῷ ἀπείρῳ
μεγέθει, ἐν πεπερασμένῳ μεγέθει οὖσαν. ἢ καταμετρήσει τὴν ἐν τῷ ἀπείρῳ πεπερασμένην δύναμιν.
ὅτι μὲν οὖν οὐκ ἐνδέχεται ἄπειρον εἶναι δύναμιν ἐν πεπερασμένῳ μεγέθει, οὐδὲ πεπερασμένην
ἐν ἀπείρῳ, ἐκ τούτων δῆλον.

Ἄλλην τοῦ αὐτοῦ ἀπόδειξιν, τοῦ μὴ εἶναι ἐν ἀπείρῳ μεγέθει δύναμιν πεπερασμένην, παραδίδωσι.
τὰ μὲν αὐτὸς σαφῶς εἰπών, τὰ δ' ἡμῖν ἀναπληρῶσαι καταλιπών. ληψόμεθα γάρ φησί τινα δύ-
ναμιν ὁμογενῆ· τουτέστιν ὁμοειδῆ οὖσαν τῇ πεπερασμένῃ δυνάμει, τῇ ἐν τῷ ἀπείρῳ μεγέθει οὔσῃ,
ἐν πεπερασμένῳ τινὶ σώματι οὖσαν. εἰ βαρύτης ἡ ἐν τῷ ἀπείρῳ, καὶ ἐν τῷ πεπερασμένῳ τὴν αὐ-
τήν, εἰ κουφότης, ὁμοίως. ὁμοειδῆ δὲ λαμβάνει τὴν δύναμιν, καταμετρηθῆναι βουλόμενος τὴν ἐν τῷ
ἀπείρῳ μεγέθει δύναμιν ὑπὸ τῆς ἐν τῷ πεπερασμένῳ. αἱ γὰρ ἀνομοειδεῖς οὐ καταμετροῦσιν ἀλλή-
λας. ὁμοειδὴς οὖν οὖσα ἡ ἐν τῷ πεπερασμένῳ μεγέθει πεπερασμένη δύναμις, καταμετρήσει τὴν
ἐν τῷ ἀπείρῳ πεπερασμένην. οὕτω μέντοι, ὡς ἢ ἀπαρτίζειν ἢ μὴ ἀπαρτίζειν, ἀλλὰ περιττεύειν τι
κατὰ τὴν τελευταίαν ἐπιβολήν. εἰ δὲ τοῦτο, ἢ καὶ τὸ μέγεθος τὸ ἄπειρον καταμετρηθήσεται ὑπὸ
τοῦ μεγέθους, τοῦ ἐν ᾧ ἦν ἡ δύναμις, ἡ καταμετρήσασα τὴν ἐν τῷ ἀπείρῳ μεγέθει δύναμιν. καὶ οὕ-
τως οὐκέτι ἄπειρον ἔσται τὸ μέγεθος, εἴπερ καταμετρεῖται. ἢ οὐ καταμετρηθήσεται ὅλον τῆς ἐν αὐ-
τῷ δυνάμεως καταμετρουμένης. καὶ οὕτω τὸ καταλειπόμενον τοῦ ἀπείρου μεγέθους οὐχ ἕξει δύνα-
μιν. ὥστε ἡ πεπερασμένη δύναμις οὐκ ἐν τῷ ἀπείρῳ ἂν εἴη μεγέθει. ἀλλ' ἐν τῷ πεπερασμένῳ τῷ ἴσῳ
τῇ δυνάμει καταμετρηθέντι. γνωριμώτερον δὲ ἂν εἴη φησὶν ὁ ἀλέξανδρος, εἴ τις ἀπ' αὐτοῦ τοῦ ἀπεί-
ρου μεγέθους ἀφελών τι. τούτῳ καὶ τῇ ἐν αὐτῷ δυνάμει καταμετροίη τήν τε δύναμιν τὴν ἐν τῷ ἀ-
πείρῳ, καὶ αὐτὸ τὸ ἄπειρον μέγεθος. οὕτω γὰρ οὐκέτι δεησόμεθα προσθεῖναι, ὅτι ὁμογενῆ ἐχρῆν λαμ-
βάνειν τὴν δύναμιν. ἡ γὰρ ἐκ τῆς ἐν τῷ ἀπείρῳ μεγέθει ἀφαιρουμένη, ὁμοειδής ἐστι τῇ ὅλῃ. μή ποτε
δὲ ὁ ἀριστοτέλης τὴν πρὸ ταύτης ἀπόδειξιν, κατὰ τὴν ἀπὸ τοῦ ἀπείρου ἀφαίρεσιν ποιησάμενος, ταύ-
την κατ' ἄλλον τρόπον προήγαγεν. συνεπεράνατο δὲ λοιπὸν τὰ προσεχῶς ἀποδειχθέντα, ὅτι οὔτε
ἄπειρον εἶναι δύναμιν ἐν πεπερασμένῳ μεγέθει δυνατόν, οὔτε πεπερασμένην ἐν ἀπείρῳ.

ΠΕΡΙ ΔΕ τῶν φερομένων, καλῶς ἔχει διαπορῆσαί τινα ἀπορίαν πρῶτον. εἰ γὰρ πᾶν τὸ κινούμε-
νον κινεῖται ὑπό τινος, ὅσα μὴ αὐτὰ ἑαυτὰ κινεῖ πῶς κινεῖται ἔνια συνεχῶς, μὴ ἁπτομένου τοῦ κι-
νήσαντος. οἷον τὰ ῥιπτούμενα. εἰ δ' ἅμα κινεῖ καὶ ἄλλο τι ὁ κινήσας, οἷον, τὸν ἀέρα ὃς κινούμενος κινοίη,
ὁμοίως ἀδύνατον τοῦ πρώτου μὴ ἁπτομένου μὴ δὲ κινοῦντος κινεῖσθαι. ἀλλ' ἅμα πάντα καὶ κινεῖσθαι
καὶ πεπαῦσθαι ὅταν τὸ πρῶτον κινοῦν παύσηται. καὶ εἰ ποιεῖ ὥσπερ ἡ λίθος οἷον κινεῖν ὃ ἐκί-
νησεν, ἀνάγκη δὲ τοῦτο μὲν λέγειν ὅτι τὸ πρῶτον κινῆσαν ποιεῖ, οἷόν τε κινεῖν, ἢ τὸν ἀέρα τοιονδί. ἢ τὸ
ὕδωρ. ἢ ἄλλο τι τοιοῦτον ὃ πέφυκε κινεῖν καὶ κινεῖσθαι. ἀλλ' οὐχ ἅμα παύεται κινοῦν καὶ κινούμε-
νον. ἀλλὰ κινούμενον μὲν ἅμα, ὅταν ὁ κινῶν παύσηται κινῶν. κινοῦν δὲ ἔτι ἐστί. διὸ κινεῖ τι ἄλλου ἐχό-
μενον. καὶ ἐπὶ τούτου ὁ αὐτὸς λόγος. παύεται δὲ ὅταν ἐλάττων ἡ δύναμις τοῦ κινεῖν ἐγγίνηται τῷ
ἐχομένῳ. τέλος δὲ παύεται, ὅταν μηκέτι ποιήσῃ τὸ πρότερον κινοῦν, ἀλλὰ κινούμενον μόνον. ταῦ-
τα δ' ἀνάγκη ἅμα παύεσθαι. τὸ μὲν, κινοῦν. τὸ δὲ, κινούμενον. καὶ τὴν ὅλην κίνησιν.

Δείξας τὸ προσεχῶς αὐτῷ προτεθὲν περὶ τοῦ πρώτως κινοῦντος τὴν ἀΐδιον κίνησιν. ὅτι οὐ μόνον ἀ-
κίνητον καὶ ἀΐδιόν ἐστιν ἀλλὰ καὶ ἀμερὲς καὶ ἀμεγέθες, ἐκ τοῦ δεῖν εἰ ἔχοι μέγεθος ἢ ἄπειρον αὐτὸ
εἶναι ἢ πεπερασμένον, εἰ οὖν ἄπειρον μέγεθος οὐδέ ἐστιν ὅλως κατ' ἐνέργειαν, πεπερασμένον δὲ μέ-
γεθος ἀδύνατον αὐτὸ εἶναι. διότι τὸ τὴν ἀΐδιον κίνησιν κινοῦν ἄπειρον ἔχει δύναμιν. ἄπειρον δὲ δύ-
ναμιν ἐν πεπερασμένῳ μεγέθει ἀδύνατον εἶναι. πᾶς δὲ ὁ λόγος περὶ τοῦ πρώτως κινοῦντος τοῦ ἀ-
ξιώματος ἤρτηται, τοῦ λέγοντος ὅτι πᾶν τὸ κινούμενον ὑπό τινος κινεῖται. εἰ γὰρ μὴ τοῦτο προληφθείη,
μὴ δὲ ἔστιν ἀνάγκη τὸ τὴν ἀΐδιον κίνησιν κινούμενον ὑπό τινος κινεῖσθαι, οὐδὲ τὰ περὶ τοῦ πρώτως κινοῦντος
ἀποδειχθέντα χώραν ἕξει λοιπόν. εἰ γὰρ ἔστι τινὰ κινούμενα μηδενὸς κινοῦντος, οὐκ ἀνάγκη τὸ κινού-
μενον τὴν ἀΐδιον κίνησιν ὑπό τινος κινεῖσθαι, βούλεται πρὸ τοῦ τοῖς δεδειγμένοις ἐπαγαγεῖν τὸ προ-
σῆκον συμπέρασμα, ἔνστασίν τινα προβαλέσθαι φερομένην πρὸς τὸ ἀξίωμα τὸ λέγον, πᾶν τὸ κινού-
μενον ὑπό τινος κινεῖσθαι. καὶ τήν τε ἀδοκίμως ἐπαγομένην λύσιν ἐκθέσθαι. καὶ αὐτὸς ἐπαγαγεῖν
τὴν προσήκουσαν. καὶ ἡ μὲν ἔνστασίς ἐστι τοιαύτη. εἰ πᾶν τὸ κινούμενον ὑπό τινος κινεῖται, πῶς τινὰ
μὴ ἐν αὐτοῖς ἔχοντα τὸ κινητικὸν ἀλλ' ἔξωθεν. κινηθέντα μένει συνεχῶς κινούμενα, καὶ τοῦ κινήσαν-
τος μηκέτι κινοῦντος. ὥσπερ τὰ ῥιπτούμενα. τοῦ γὰρ ῥίψαντος αὐτὰ μηκέτι κινοῦντος, ἐπὶ πολὺ
μένει συνεχῶς ἐκεῖνα κινούμενα. δόξει γὰρ ὑπὸ μηδενὸς κινεῖσθαι τότε, καὶ ἀναιρεῖσθαι τὸ πᾶν τὸ κινού-
μενον ὑπό τινος κινεῖσθαι. μὴ ἁπτομένου δὲ τοῦ κινήσαντος εἶπεν, ὡς μηκέτι ἁπτομένου μὴ δὲ ἐπιμέ-
νοντος ἐν τῷ ἅπτεσθαι, παρ' ὅλον τὸν τῆς κινήσεως χρόνον. εἶτα μνημονεύει τῆς λύσεως, καθ' ἣν πει-
ρῶνται λύειν τινὲς τὴν ἀπορίαν ταύτην. λέγουσι γὰρ ὅτι ὁ ῥίπτων ἅμα τῷ ῥιφθέντι καὶ ἄλλο τι κι-
νεῖ τὸν ἀέρα. ὃς κινούμενος ὑπὸ τοῦ ῥίψαντος κινεῖ τὸ ῥιφθέν. λέγει οὖν ὅτι ὁμοίως τοῦ πρώτου καὶ

εἶναι ἀδύνατον. μόνον γὰρ ὅτι τὸν ἀέρα ἀντὶ τοῦ ῥιφθέντος μετέλαβεν ὁ λόγος. εἰ γὰρ μὴ δὲ οὗτος ὑφ' ἑαυτοῦ κινεῖται, οὐ γὰρ ἐμψύχων ἴδιον εἶναι, ἀλλ' ὑπὸ τοῦ ῥίψαντος, ἐχρῆν εὐθὺς τῷ τὸν ῥίψαντα παύσασθαι τοῦ κινεῖν, καὶ τὸν ἀέρα παύεσθαι τοῦ κινεῖσθαι. καὶ ἅμα πάντα κεκινῆσθαι καὶ πεπαῦσθαι τὰ κινούμενα, ὅταν τὸ πρῶτον κινοῦν παύσηται τοῦ κινεῖν. ἅμα οὖν καὶ τὸ ῥιφθὲν καὶ τὸν ἀέρα καὶ κινεῖσθαι καὶ πεπαῦσθαι τοῦ κινεῖσθαι. εἴπερ πρὸς ἄλληλα λέγεται τὸ κινοῦν καὶ τὸ κινούμενον. κινεῖσθαι μὲν, ἕως ἂν κινῇ τὸ ῥίπτον. πεπαῦσθαι δὲ ὅταν παύσηται τὸ κινοῦν. εἰ γὰρ μένει ὁ ἀὴρ κινούμενος, συμβήσεται μὴ ἁπτομένου μηδὲ κινοῦντός τινος κινεῖσθαι. ὥστε κινηθήσεται μὲν ὁ ἀήρ. ὑπ' οὐδενὸς δὲ κινηθήσεται οὕτω δὲ πάλιν οὐ πᾶν τὸ κινούμενον ὑπό τινος ἔσται κινούμενον. διάφορος δὲ ἡ γραφὴ φέρεται, τῇ μὲν ἀλλὰ ἅμα πᾶν καὶ κινεῖσθαι καὶ πεπαῦσθαι. τῇ δὲ ἀλλὰ ἅμα πᾶν κεκινεῖσθαι καὶ πεπαῦσθαι, καὶ ἴσως αὕτη ἀμείνων. τὸ γὰρ κεκινῆσθαι τῷ πεπαῦσθαι ταυτόν ἐστι. εἰπὼν δὲ ὅτι πάντα ἅμα ἀνάγκη κινεῖσθαι καὶ πεπαῦσθαι, ὅταν τὸ πρῶτον κινοῦν παύσηται, ἐπήγαγε, καὶ εἰ ποιεῖ ὥσπερ ἡ λίθος, οἷον κινεῖν ὃ ἐκίνησεν. κἂν γὰρ δέχηται μεταξύ τι κινῇ μὴ ἁπτόμενον τοῦ κινουμένου. ὡς ἡ μαγνῆτις λίθος τὸ δεύτερον σιδήρειον κινεῖ, μὴ ἁπτομένη αὐτοῦ, ὅταν αὐτὴ μὲν ἑλκύσῃ τὸ προσεχὲς, ἐκεῖνο δὲ ἑλκύσῃ τὸ μεθ' ἑαυτό, τότε γὰρ ποιεῖ ἡ λίθος τὸ σιδήρειον ὃ ἐκίνησεν αὐτὴ ἐκεῖνο κινεῖν τὸ ἐφεξῆς. δεῖ τὸ μὴ μόνον κινεῖν τὸ προσεχές. ἀλλὰ καὶ δύναμιν αὐτῷ κινητικὴν ἐνδιδόναι, δι' ὃ οὐ μόνον κινεῖται ἐκεῖνο ἀλλὰ καὶ κινεῖ, κἂν οὕτως οὖν τί φησι κινῇ ὥσπερ ἡ λίθος, ἀνάγκη καὶ κινεῖσθαι ἅμα. ὅταν τὸ πρώτως κινοῦν κινῇ. καὶ πεπαῦσθαι τῆς κινήσεως, ὅταν τὸ πρώτως κινοῦν παύσηται τοῦ κινεῖν. καὶ λαβὼν τὴν ἀρχὴν ἀπὸ τῆς λίθου, κατὰ τὴν αὐτὴν ἔφοδον λύει τὴν ἀπορίαν. ὡς γὰρ ἐπὶ τῆς λίθου οὔτε ὁ ἀὴρ αἴτιός ἐστιν, οὔτε παυσαμένου τοῦ κινοῦντος μένει τὸ κινούμενον, ἀλλ' ἡ κινητικὴ δύναμις διδομένη τῷ προσεχεῖ κινεῖ τὸ κινούμενον. ἕως ἂν αὐτὴ ἐνεργῇ, οὕτω φησὶν ἀνάγκη καὶ ἐπὶ τῶν ἄλλων λέγειν, ὅτι τὸ πρώτως κινῆσαν τὸ προσεχῶς ὑπ' αὐτοῦ κινηθὲν. ποιεῖ οἷόν τε κινεῖν ἢ τὸν ἀέρα τοιοῦτον ἢ τὸ ὕδωρ. ταῦτα γάρ ἐστι μάλιστα δι' ὧν κινεῖται τὰ κινούμενα. ἃ δύναται καὶ ταῦτα κινεῖν. ἤ τι ἄλλο δὲ προσέθηκεν, ἴσως διὰ τὴν λίθον καὶ τὸν σίδηρον. ἢ τὸ ἤλεκτρον καὶ τὸ ἄχυρον, καὶ τὸ ὅσον δὲ τοῦ ἰχθύος τοῦ ἰδρακος λέγεται χρυσὸν ἕλκειν. καὶ ἴσως τῷ προσεχῶς ἑλκομένῳ τὴν αὐτὴν ἐνδίδωσι δύναμιν καὶ ἐκεῖνο. εἴτε οὖν κατὰ ὦσιν κινεῖ τὰ κινούμενα, ὡς τὰ δι' ἀέρος ἢ ὕδατος κινούμενα, εἴτε κατὰ ὁλκὴν, ὡς τὰ εἰρημένα, τὸ πρῶτον κινοῦν οἷον τὸ ῥιπτοῦν, οὐ μόνον τὸ βέλος κινεῖ, ἀλλὰ καὶ τὸν ἀέρα ἢ τὸ ὕδωρ δι' οὗ ἡ ῥίψις γίνεται. καὶ οὐ μόνον κινεῖ ταῦτα, ἀλλὰ καὶ δύναμιν αὐτοῖς ἐνδίδωσι τοῦ κινεῖν. ὥστε μὴ μόνον κινεῖσθαι ἀλλὰ καὶ κινεῖν, φύσιν ἔχοντα κινεῖν ἅμα καὶ κινεῖσθαι. ἐκεῖνο μὲν δή φησιν ἀνάγκη καὶ ἡμᾶς λέγειν. τὸ γὰρ ἑξῆς τῆς λέξεως τῆς λεγούσης, ἀνάγκη δὴ τοῦτο μὲν λέγειν, τοιοῦτόν ἐστιν. ἀνάγκη οὖν εἴ γε λύομεν τὸ ἀπορηθὲν ἐκεῖνο λέγειν, ὅτι οὐχ ἅμα παύεται κινοῦν καὶ κινούμενον. τὸ γὰρ κινηθέν φησι καὶ δύναμιν τοῦ κινεῖσθαι διαδεξάμενον, τῷ φύσιν ἔχειν τοιαύτην, οὐχ ἅμα παύεται τοῦ κινεῖσθαι καὶ τοῦ κινεῖν. ὡς ἐπὶ τῆς λίθου τῆς ἡρακλείας ἐστὶν ὁρᾶν. τὸ γὰρ ἑλκυσθὲν ὑπ' αὐτῆς σιδήρειον ἀψάμενον αὐτῆς, οὐκέτι μὲν κινεῖται. κινεῖ δὲ τὸ ἐφεξῆς. κινεῖται δ' ἐκεῖνο ἕως ἂν κινῇ τὸ κινοῦν, παυσαμένου δὲ τοῦ κινοῦντος, παύεται καὶ τὸ κινούμενον τοῦ κινεῖσθαι. οὕτω δὲ καὶ ἐπὶ τοῦ ἀέρος. οὐ γὰρ ἐπακολουθεῖ τῷ ῥιπτουμένῳ συγκινούμενος αὐτῷ. ἀλλὰ κινεῖ τὸν μετ' αὐτὸν, ἅμα καὶ κινητικὸν αὐτὸν ποιῶν. καὶ γὰρ ἐπὶ τούτου ὁ αὐτὸς λόγος. οὐχ ὁμοίως δὲ, ἀεὶ γὰρ ἡ δύναμις ἡ ἀπὸ τοῦ πρώτου κινήσαντος ἐνδιδομένη, μειοῦται κατὰ τὴν διαδοχὴν. καὶ τέλος φθείρεται, τοῦ τελευταίου κινηθέντος μηκέτι καὶ κινῆσαι δυνηθέντος. δι' ὃ πίπτει λοιπὸν τὸ ῥιφθὲν μηκέτι ἔχον ὑφ' οὗ κινηθήσεται. οὕτω δὲ καὶ τὰ ὑπὸ πυρὸς θερμανθέντα, οὐ μόνον τὸ θερμαίνεσθαι ἔχει ὑπὸ τοῦ πυρὸς, ἀλλὰ καὶ τοῦ θερμαίνειν δύναμιν ὑπ' αὐτοῦ καταδέχεται. καὶ μέχρι τινὸς ἐκεῖνο προελθὸν μειούμενον τέλος παύεται. ὅταν φησὶ τὸ πρὸ τοῦ τελευταίου, ἐκεῖνο γὰρ εἶπεν πρότερον, μηκέτι κινοῦν ἰσχύσῃ ποιῆσαι τὸ μεθ' ἑαυτὸ, ἀλλὰ μόνον κινούμενον. τούτου γὰρ μηκέτι κινοῦντος. οὐκέτι τὸ ἐφεξῆς κινηθήσεται. ἅμα οὖν παύεται τὸ κινοῦν, ὅπερ ἦν πρὸ τοῦ ἐσχάτου. καὶ τὸ κινούμενον τὸ ἔσχατον. παυσαμένου γὰρ τοῦ πρὸ αὐτοῦ τοῦ κινεῖν, παύεται καὶ τὸ ἔσχατον τοῦ κινεῖσθαι, παυσαμένου δὲ τοῦ κινουμένου, καὶ ἡ κίνησις παύεται. εἴπερ ἐν τῷ κινουμένῳ ἡ κίνησις. καὶ δηλονότι ἅμα παύεται ἐν τοῖς ἐσχάτοις. ἐπεὶ εἶπεν πρότερον ὅτι οὐχ ἅμα παύεται κινοῦν καὶ κινούμενον, ἐφ' ἑνὸς ἑκάστου τοῦ πρὸ τοῦ ἐσχάτου κινουμένου ἐκεῖνο λέγων. τὸ γὰρ ἔσχατον κινούμενον οὐ κινεῖ. ζητεῖ δὲ ὁ Ἀλέξανδρος ἐν τούτοις καλῶς, πῶς οὐχὶ καὶ τούτων ῥηθέντων μένει ἔτι ἡ αὐτὴ ἀπορία. ὁ γὰρ ἀὴρ ὁ τὴν δύναμιν τοῦ κινεῖν λαβὼν παρὰ τοῦ τὸ βέλος ῥίψαντος, ἤτοι κινούμενος κινεῖ ἢ οὔ. ἀλλὰ μὴ κινούμενος μὲν οὐκ ἂν κινοίη. τὰ γὰρ σωματικῶς κινοῦντα κινούμενα κινεῖ. εἰ δὲ κινούμενος κινεῖ, παύεται δὲ τοῦ κινεῖσθαι, ἅμα τῷ παύσασθαι κινοῦντα τὰ ῥιπτοῦντα, τῷ πρός τι εἶναι τὸ κινοῦν καὶ τὸ κινούμενον, ἅμα ἂν καὶ τοῦ κινεῖν παύοιτο. ᾧ ἀκολουθεῖ τὸ εὐθὺς τῷ παύσασθαι τὰ ῥιπτοῦντα τοῦ κινεῖν, καὶ τὸ ῥιπτούμενον καταφέρεσθαι. ὅπερ οὐ φαίνεται γινόμενον. ταῦτα ζητήσας, μή ποτέ φησιν δεῖ τοῦ λέγειν τὸν ἀέρα δύναμίν τινα τοῦ κινεῖν, παρὰ τοῦ τὴν ἀρχὴν κινήσαντος λαμβάνειν, ἐκεῖνο λέγει· ὅτι οἰκείαν δύναμιν ἔχει παρὰ τοῦ κινήσαντος αὐτὴν λαβόν. εἰ δὲ οὐχ οἷόν τε κινεῖν μὴ κινούμενον, καὶ τοῦ κινεῖσθαι. ὡς τὴν ἀρχὴν μὲν καὶ τὸ ἐνδόσιμον καὶ τοῦ κινεῖσθαι

ἀπὸ τοῦ ῥιπτοῦντος εἰληφέναι, ὥσπερ καὶ τοῦ κινεῖν. ἐσχηκέναι μέντοι παρ᾽ ἐκείνου δύναμιν τοιαύτην, ὡς ὑπὸ αὐτοῦ κινούμενον κινεῖν δύνασθαι, τρόπον τινὰ γινόμενον πρὸς ὀλίγον αὐτοκίνητον. τὸ τοιαύτης φύσεως εἶναι ὡς παραδέχεσθαι τὴν παρὰ τοῦ κινοῦντος δύναμιν δι᾽ εὐπάθειαν. τὸ μὲν οὖν ἀπὸ τοῦ ῥίψαντος κινήσεως παύεται, τῷ ῥίψαντι συμπαυόμενον. τῆς δὲ ὑπὸ ἑαυτοῦ ἣν κινεῖται, τῷ μὴ ἂν ἄλλως κινῆσαι τὸ μετ᾽ αὐτό, οὗ δύναμιν οἰκείαν ἔσχε λαβὼν αὐτὴν παρὰ τοῦ τὴν ἀρχὴν κινήσαντός τε καὶ ῥίψαντος, οὐκ εὐθὺς παύεται. δι᾽ ὃ οὐχ ἅμα τὸ ῥιπτούμενον συμπαύεται τῆς κινήσεως τῷ ῥιπτοῦντι, τῷ τὰ δι᾽ ὧν ῥίπτεται τὰ ῥιπτούμενα, φύσεως ὄντα τῆς τοῦ κινεῖσθαί τι ὑπὸ ἑαυτῶν δύνασθαι καὶ κινεῖν, τὴν ἀρχὴν καὶ τὸ ἐνδόσιμον λαβόντα παρὰ τοῦ ῥίψαντος, ἕκαστον αὐτῶν αὐτῇ τῇ δυνάμει τὸ μετ᾽ αὐτὸ κινοῦν, τοῦ κινεῖσθαι τὸ ῥιπτούμενον ἐφ᾽ ὅσον φέρεται παρέχειν τὴν αἰτίαν. ὥσπερ γὰρ τὸ μεταβάλλον ὑπὸ ὕδατος ἂν οὕτω τύχῃ καὶ πῦρ γινόμενον θερμαίνει, θερμαίνει δὲ καὶ τὸ θερμανθὲν ὕδωρ, καὶ ἔστιν ἀμφοτέροις μὲν τοῦ θερμαίνειν αἴτιον τὸ εἰς θερμὸν μεταβάλλον, ἀλλὰ τὸ μὲν πῦρ καίτοι τὴν αἰτίαν παρὰ τοῦ ποιήσαντος αὐτὸ ἔχον, ὅμως ἕως ἂν ᾖ πῦρ θερμαίνει. τὸ δὲ ὕδωρ οὐκέτι ἕως ἂν ᾖ ὕδωρ θερμαίνει, ἀλλ᾽ ἕως ἂν θερμὸν ᾖ, ὅτι τὸ μὲν φύσει γέγονε τοιοῦτον, τὸ δὲ οὐ φύσει ἀλλὰ πέπονθεν οὕτως. οὕτως ἔχει καὶ ἐπὶ τῶν ὑπ᾽ ἄλλου κινουμένων, μὴ παρόντος ἔτι τοῦ κινήσαντος αὐτά. ὁποῖά ἐστι τά τε κατὰ φύσιν κινούμενα καὶ τὰ ῥιπτούμενα. ἀμφοτέροις μὲν γὰρ αἴτιον τῆς κινήσεως τὸ ποιῆσαν αὐτὰ τοιαῦτα. ἀλλὰ τὰ μὲν κατὰ φύσιν κινούμενα, τῷ τοιαῦτα γεγονέναι ἕως ἂν ᾖ, ὁμοίως κατὰ τὴν αὐτὴν κίνησίν ἐστι κινητά. ὁ δὲ ἀὴρ ὁ ἐπὶ τῶν ῥιπτουμένων, τῷ μένοντα ἐπὶ τῆς οἰκείας φύσεως πεπονθέναι ἀπὸ τῆς τοῦ ῥιπτοῦντος βίας. διὰ τὸ πρὸς τοῦτο εὐπαθές. ἕως οὖν τὸ πάθος σώζει, καθ᾽ ὃ κινεῖται κινήσεται ταύτην τὴν κίνησιν. οὐκ ἀεί. οὐ γὰρ κατὰ φύσιν ἐστὶν αὐτῷ ἡ τοιαύτη κίνησις. σαφῶς δέ φησιν αὐτὸς περὶ τούτου λέγει ἐν τῷ τρίτῳ τῆς περὶ οὐρανοῦ. φησὶ γὰρ τὰ μεταξὺ σώματα ἐπαμφοτερίζειν, τὸ ὕδωρ καὶ τὸν ἀέρα. ὁ δὲ ἀὴρ καὶ κουφότητος καὶ βαρύτητος μετέχων, ἐφ᾽ ὃ ἂν τὴν ἀρχὴν τοῦ φέρεσθαι καὶ τὸ ἐνδόσιμον παρὰ τοῦ ῥιπτοῦντος λάβῃ, ἐπὶ τοῦτο λοιπὸν φερόμενος, ἕως ἂν φυλάττῃ τὴν παρὰ τοῦ τὸ ἐνδόσιμον αὐτῷ τοῦ κινεῖν δύνασθαι δύναμιν παρασχόντος, κινεῖ καὶ φέρει καὶ τὸ ῥιφθέν, ὥσπερ ἐνεδόθη αὐτῷ. ταῦτα πάντα σχεδόν τι κατὰ τὴν τοῦ Ἀλεξάνδρου λέξιν ἀπεγραψάμην. διά τε τὸ τῆς ἀπορίας πραγματειῶδες, καὶ τὸ τῆς λύσεως καινοπρεπές. ἧς τὸ κεφάλαιον δι᾽ ὀλίγων ἐκεί-
» νων τῶν ῥημάτων παραδέδωκεν. ὡς τὴν ἀρχὴν μὲν καὶ τὸ ἐνδόσιμον, καὶ τοῦ κινεῖσθαι ὑπὸ τοῦ κινοῦντος εἰ-
» ληφέναι, ὥσπερ καὶ τοῦ κινεῖν, ἐσχηκέναι μέντοι δύναμιν παρ᾽ ἐκείνου τοιαύτην, ὡς ὑπὸ αὐτοῦ κινούμε-
» νον κινεῖν δύνασθαι, τρόπον τινὰ γινόμενον πρὸς ὀλίγον αὐτοκίνητον. καὶ τάχα μὲν αὐτίς καὶ ἀπὸ τῶν ὑπὸ
» τοῦ Ἀριστοτέλους προσεχῶς ῥηθέντων ἀπορήσειεν, πῶς εἶπεν ἀλλ᾽ οὐχ ἅμα παύεται κινοῦν καὶ κινούμε-
» νον. ἀλλὰ κινούμενον μὲν, ὅταν ὁ κινῶν παύσηται κινῶν, κινοῦν δὲ ἔτι ἐστίν. εἰ γὰρ ὑπὸ ἑαυτοῦ κινούμενον κινεῖ, καὶ οὐ δυνατὸν αὐτὸ σωματικῶς κινοῦν μὴ κινεῖσθαι, πῶς παυσάμενον τοῦ κινεῖσθαι κινοῦν ἔτι ἐστίν. ἀλλὰ τοῦτο μὲν ἴσως ἀπὸ τῶν ὑπὸ τοῦ Ἀλεξάνδρου ῥηθέντων λύειν δυνατόν. ὁ γοῦν ἀήρ φησι κινεῖται καὶ ὑπὸ τοῦ ῥιπτοῦντος καὶ ὑφ᾽ ἑαυτοῦ. καὶ ὑπὸ μὲν τοῦ ῥίψαντος κινούμενος εὐθὺς παύεται, ὅταν παύσηται τὸ κινοῦν. κατὰ δὲ τὴν ὑπὸ ἑαυτοῦ κίνησιν, οὐκ εὐθὺς παύεται μετὰ τὸ παύσασθαι τὸ ῥίψαν. ἀλλ᾽ ἀπὸ τῶν περὶ τοῦ αὐτοκινήτου ῥηθέντων πρότερον ὑπὸ τοῦ Ἀριστοτέλους, ἀπορήσει αὐτίς. εἰ γὰρ ὑφ᾽ ἑαυτοῦ κινεῖσθαι τὸν ἀέρα τίθεμεν, ἵνα λύσωμεν τὴν ἀπορίαν, οὔτε δὲ ὅλον ὑφ᾽ ὅλου ἑαυτοῦ κινεῖσθαι τὸ αὐτοκίνητον δυνατόν, ὡς δέδεικται πρότερον, οὔτε ὅλον ὑπὸ μέρους, οὔτε μέρος ὑφ᾽ ὅλου, ἀνάγκη καὶ ἐν τῷ ἀέρι εἴπερ αὐτοκίνητος ἐγίνετο, μέρος μέν τι κινεῖν, μέρος δέ τι κινεῖσθαι. ὡς ἐπὶ τῶν ζώων κινεῖ μὲν ἡ ψυχή, κινεῖται δὲ τὸ σῶμα. τί οὖν ἐν τῷ ἀέρι τὸ κινοῦν, καὶ τί τὸ κινούμενον. εἰ γὰρ λέγοι τις κινεῖν μὲν τὴν φύσιν, κινεῖσθαι δὲ τὸ σῶμα, ἀπομνησθῆναι δεῖ τῶν ὑπὸ τοῦ Ἀριστοτέλους περὶ τῶν τεσσάρων στοιχείων ῥηθέντων ἐν τούτῳ τῷ βιβλίῳ. ὅτι οὐδὲν τούτων κινεῖ ἑαυτό, ἀλλὰ κινήσεως ἀρχὴν ἔχει, οὐ τοῦ κινεῖν οὐδὲ τοῦ ποιεῖν, ἀλλὰ τοῦ πάσχειν. μή ποτε οὖν καλῶς ὁ Ἀλέξανδρος, οὐχ ἁπλῶς αὐτοκίνητον, ἀλλὰ τρόπον τινὰ αὐτοκίνητον γίνεσθαι τὸν ἀέρα, ὑπὸ τοῦ πρώτου κινοῦντος εἶπεν, ὡς τῆς ἐνδιδομένης ἐν αὐτῷ κινήσεως ὑπὸ τοῦ κινοῦντος. ἐνεργοῦ μὲν οὔσης καὶ μετὰ τὸ παύσασθαι τὸ κινοῦν. ἀλλ᾽ οὐχ ὡς ἄλλο μὲν τὸ κινοῦν ἔχοντος τοῦ ἀέρος ἢ τοῦ ὕδατος, ἄλλο δὲ τὸ κινούμενον. ὡς τὰ κυρίως αὐτοκίνητα. ἐπὶ γοῦν τούτων τὸ κινοῦν οἷον ἡ ψυχὴ ἀκίνητον ὂν καθ᾽ αὐτὸ κινεῖ. κἂν κατὰ συμβεβηκὸς κινῆται. ὁ δὲ προσεχῶς κινηθεὶς ὑπὸ τοῦ ῥιπτοῦντος ἀήρ, ὅλος κινεῖται. καὶ τῷ κινεῖσθαι αὐτὸς κινεῖ τὸν ἐφεξῆς, ὠθισμῷ τινι χρώμενος. ᾧ τὸ πρῶτον κινῆσαν ἔξω αὐτοῦ ἐχρήσατο. ἀλλ᾽ οὐκ ἀκινήτῳ τινὶ κινεῖ. ὡς ἡ τοῦ ῥίψαντος ψυχὴ ἐκίνησε τὸ σῶμα. ἀλλ᾽ ὡς τὸ τοῦ ῥίψαντος σῶμα τῇ ἑαυτοῦ κινήσει τὸν ἀέρα ἐκίνησεν, οὕτω καὶ ὁ ἀὴρ ἐμμεινάσης αὐτῷ τῆς κινήσεως, τὸν μεθ᾽ ἑαυτὸν ἀέρα. καὶ ἐκεῖνος τὸν ἐφεξῆς. ἕως τῇ ἐπὶ πλέον διαδόσει κατ᾽ ὀλίγον ἡ κίνησις ἐκλυθείη. ὅτι δὲ ἐμμένει κίνησις ἐπὶ χρόνον τινά, καὶ παυσαμένου τοῦ κινοῦντος, ὅταν ἥ τε δύναμις ἡ κινήσασα ἀξιόλογος ᾖ, καὶ τὸ κινηθὲν ἐπιτήδειον, δηλοῦσι καὶ οἱ στρόμβοι. οἱ ἐπὶ πολὺ περιφερόμενοι μετὰ τὴν ἀπὸ τοῦ κινήσαντος περιστροφήν, καὶ τὰ πληττόμενα χαλκία καὶ ἐπὶ πολὺ

ἠχοῦντα

ἠχοῦντα, διὰ τὸ μένειν κινούμενα, καὶ τὸν ἀέρα κινοῦντα. ἀρχὴν γὰρ ταῦτα κινήσεως ἀπὸ τοῦ κινοῦν-
τος λαβόντα, διὰ τὴν πρὸς τὸ κινεῖσθαι εὐφυΐαν, ἔτι μένει κινούμενα καὶ ἀποστάντος τοῦ κινοῦντος. καὶ
τοῦτό ἐστιν ὅπερ ὁ Ἀλέξανδρος εἶπεν, τὸ πρὸς ὀλίγον τρόπον τινὰ αὐτοκίνητα γίνεσθαι, ὡς ἔτι μένον-
τος ἐν τῷ κινεῖσθαι τοῦ κινουμένου, καὶ τὸ κινεῖσθαι τὸ ἐφεξῆς κινοῦντος. ἀλλὰ πῶς ὁ Ἀριστοτέλης εἶπεν
» ὅτι οὐχ ἅμα παύεται κινοῦν καὶ κινούμενον. ἀλλὰ κινούμενον μὲν ἅμα ὅταν ὁ κινῶν παύσηται, κινοῦν
» δὲ ἔτι ἔστιν. ἢ ἐπειδὴ τὸ κινοῦν καὶ τὸ κινούμενον ὡς πρός τι λεγόμενα ἅμα ἐστίν. ὅταν δ' ἀποστῇ τὸ κινοῦν-
τος, τῆς μὲν πρὸς ἐκεῖνο σχέσεως παύεται τὸ κινούμενον. κινεῖ μέντοι τῷ καὶ αὐτὸ κινεῖσθαι, οὐχ ὡς ἔτι κι-
νοῦντος τοῦ κινήσαντος, ἀλλ' ὡς ἔτι μενούσης τῆς ἐνδοθείσης ὑπ' ἐκείνου κινήσεως. διὸ καὶ οὐκ ἀκίνη-
τον μὲν αὐτὸ ὂν κινεῖ, ἀλλὰ κινούμενον. οὐ μέντοι ὡς ἐκείνου κινοῦντος ἔτι, οὐδὲ ὡς αὐτοκίνητον ἁπλῶς
ὑπ' αὐτοῦ γινόμενον. ἀλλ' ὡς μενούσης ἐν αὐτῷ τῆς ἐνδοθείσης ἐκεῖθεν κινήσεως, καὶ τὸ ἐφεξῆς κινούσης,
παυσαμένου δὲ τοῦ ὡς πρὸς κινοῦν κινουμένου. πῶς οὖν ἔτι τὸ κινούμενον ὑπό τινος κινεῖται, εἰ τὸ
μὲν κινοῦν παύεται, τὸ δὲ κινούμενον ἐπιμένει. ἢ ὅτι ἐπειδὴ ἀπὸ τοῦ κινοῦντος ἡ κίνησις ἐνεδόθη τῷ κι-
νουμένῳ, κἂν πέπαυται τὸ κινοῦν ὑπ' ἐκείνου λέγεται κινεῖσθαι τὸ κινούμενον, τοῦ τὴν κίνησιν αὐτῷ τὴν
ἐπίμονον ἐνδεδωκότος. οὐ γὰρ ἐμφαίνει ὁ λόγος τὸ δεῖν παρεῖναι πάντως τὸ κινοῦν, ἀλλὰ τὸ ὑπ' ἐκεί-
νου τὴν κίνησιν ἐνδίδοσθαι τῷ κινουμένῳ. ἀλλ' εἰ τὸν ῥιπτοῦντα τὸ βέλος τῷ ἀέρι μόνιμον κίνησιν ἐν-
διδόναι λέγομεν, διατί μὴ τῷ βέλει ταύτην ἐνδιδόναι εἰπόντες, μηκέτι τοῦ ἀέρος δεώμεθα, μὴ μό-
νον κινεῖσθαι ἀλλὰ καὶ κινεῖν αὐτὸν λέγειν ἀναγκαζόμενοι. ἢ ὅτι τὰ μέσα στοιχεῖα τό, τε ὕδωρ καὶ ὁ ἀὴρ
ὡς αὐτὸς εἶπεν ὁ Ἀριστοτέλης, καὶ πρὸς τὴν ἐπὶ τὸ ἄνω καὶ πρὸς τὴν ἐπὶ τὸ κάτω κίνησιν ἐπιτηδείως
ἔχει. καὶ διὰ τοῦτο καὶ πρὸς τὴν ἐπὶ τὰ πλάγια, μονιμωτέραν οὖν ἐπιδεχόμενα κίνησιν, συντελεῖν
αὐτὰ πρὸς τὸ μόνιμον, τῆς ἐπὶ τὰ πλάγια ἢ ἐπὶ τὸ ἄνω κινήσεως τῶν γεηρῶν καὶ μὴ πεφυκότων
οὕτω κινεῖσθαι, φαμέν. ἐπεὶ πάντως καὶ ἐκείνοις ἐνδίδοταί τις παρὰ τοῦ κινοῦντος ἐφ' ὁσονοῦν μό-
νιμος κίνησις. ταῦτα μὲν οὖν εἴρηταί μοι καὶ τοὺς δύο λόγους καλῶς ἔχειν βουλομένῳ, τόν τε λέγον-
τα πᾶν τὸ κινούμενον ὑπό τινος κινεῖσθαι, καὶ τὸν λέγοντα τὸ σωματικῶς κινοῦν κινούμενον κινεῖν, καὶ
τὸ ὑπὸ τοῦ Ἀριστοτέλους ῥηθέν, τὸ μὴ ἅμα παύεσθαι κινούμενον καὶ κινοῦν, προσᾷδον φανῆναι τοῖς
εἰρημένοις, καὶ μέντοι τὴν τοῦ Ἀλεξάνδρου πρὸς ταῦτα βοήθειαν, τὴν λέγουσαν τρόπον τινὰ αὐτοκί-
νητον γίνεσθαι ὑπὸ τοῦ ῥιπτοῦντος τὸν προσεχῆ ἀέρα, καὶ ὑπ' ἐκείνου τὸν ἐφεξῆς, οὕτως ἀξιοῦν ἐκδέ-
χεσθαι, ὡς μόνιμον κίνησιν ἐνδιδόντος τοῦ κινοῦντος. ἀλλ' οὐχ ὡς ποιοῦντος αὐτὸ κινοῦν καὶ κινούμενον.
ὥσπερ τὰ ζῷα ἄλλο τὸ κινοῦν καὶ ἄλλο τὸ κινούμενον ἔχοντα, καὶ τὸ κινοῦν ἀκίνητον. ταῦτα γὰρ
τῷ κινεῖσθαι τὰ ἐφεξῆς ὠθεῖ. εἰ δέ τις πιθανώτερον δύναται τοῖς εἰρημένοις ἐπιβάλλειν, οὐκ
ἐχθρὸς ἀλλὰ φίλος κρατείτω.

Α ΑΥΤΗ μὲν οὖν ἐν τοῖς ἐνδεχομένοις ὁτὲ μὲν κινεῖσθαι, ὁτὲ δ' ἠρεμεῖν ἐγγίνεται ἡ κίνησις. καὶ οὐ συνεχής, ἀλ-
λὰ φαίνεται. ἢ γὰρ ἐφεξῆς ὄντων, ἢ ἁπτομένων ἐστίν. οὐ γὰρ ἓν τὸ κινοῦν. ἀλλ' ἐχόμενα ἀλλήλων. διὸ
καὶ ἐν ἀέρι καὶ ἐν ὕδατι γίνεται ἡ τοιαύτη κίνησις, ἣν λέγουσί τινες ἀντιπερίστασιν εἶναι. ἀδύ-
νατον δὲ ἄλλως τὰ ἀπορηθέντα λύειν, ἢ τὸν εἰρημένον τρόπον. ἡ δ' ἀντιπερίστασις, ἅμα πάντα
ποιεῖ κινεῖσθαι καὶ κινεῖν. ὥστε καὶ παύεσθαι. νῦν δὲ φαίνεταί τι κινούμενον συνεχῶς. ὑπό τινος
οὖν. οὐ γὰρ ὑπὸ τοῦ αὐτοῦ.

Α Λύσας τὴν ἔνστασιν, τὴν πρὸς τὸν λέγοντα λόγον. ὅτι πᾶν τὸ κινούμενον ὑπό τινος κινεῖται, καὶ ἐνι-
σταμένην ἀπὸ τῶν ῥιπτουμένων, ἅ τινα καὶ παυσαμένου τοῦ ῥίψαντος αὐτὰ μένει κινούμενα, λύσας
δὲ διὰ τοῦ τὸ πρῶτον κινῆσαν ποιεῖν τὸ ὑφ' ἑαυτοῦ κινηθὲν οἷόν τε καὶ αὐτὸ κινεῖν, καὶ ἐκεῖνο τὸ μεθ' ἑαυ-
τό, καὶ ἐφεξῆς οὕτως, ἐπὶ πάντων γὰρ ὁ αὐτὸς λόγος, νῦν ἐπάγει, ὅτι ἡ τοιαύτη διάδοσις τῆς κι-
νήσεως οὐκ ἐπὶ τῶν ἀϊδίων ἐστίν, ἀλλὰ προσήκει τοῖς ἐνδεχομένοις ὁτὲ μὲν κινεῖσθαι, ὁτὲ δὲ ἠρεμεῖν.
» καὶ ἐπάγει μετ' ὀλίγον, διὸ ἐν ἀέρι καὶ ὕδατι γίνεται ἡ τοιαύτη κίνησις. καὶ ἐπιδείκνυσιν ὅτι οὐκ
ἔστι συνεχὴς αὕτη, καὶ ἐκ τοῦ τοῖς ποτὲ μὲν κινουμένοις, ποτὲ δὲ ἠρεμοῦσιν ὑπάρχειν. ἡ γὰρ τοιαύ-
τη κίνησις διακόπτεται ταῖς ἠρεμίαις. καὶ ἐκ τοῦ τὸ κινοῦν τὸ ῥιπτούμενον μὴ ἓν εἶναι ἀλλὰ πλείο-
να, ἢ ἐφεξῆς ἀλλήλων ὄντα, ἢ ἁπτόμενα ἀλλήλων. ἔστι δὲ ἐφεξῆς μὲν ὧν μηδέν ἐστι μεταξὺ συγγε-
νές. ἁπτόμενα δέ, ὧν μηδὲν ὅλως ἐστὶ μεταξύ, ἀλλ' ἔστιν ἐχόμενα ἀλλήλων. εἰ οὖν συνεχὴς μὲν κίνησις
ἡ ὑφ' ἑνὸς τοῦ κινοῦντος γινομένη, αὕτη δὲ οὐχ ἕν, οὐκ ἔστι συνεχὴς ἡ ῥῖψις, ἀλλὰ φαινομένη μόνον
συνεχής. εἰπὼν δὲ ὅτι οὐ συνεχὴς ἡ κίνησις ἀλλ' ἐκ διαδοχῆς γινομένη, ἐπήγαγε. διὸ ἐν ἀέρι καὶ ὕδατι
ἡ τοιαύτη κίνησις ἡ κατὰ ῥῖψιν. διότι πέφυκε ταῦτα κινηθέντα ὑπό τινος, κινητικὰ καὶ αὐτὰ γίνεσθαι
τῶν ἐφεξῆς, καὶ τὰ ἐχόμενα αὐτῶν ὁμοίως. τὴν δὲ τοιαύτην φησὶ κίνησιν τινὲς ἀντιπερίστασιν καλοῦσιν
ἀντιπερίστασις δέ ἐστιν. ὅταν ἐξωθουμένου τινὸς σώματος ὑπὸ σώματος, ἀντάλλαγη γένηται τῶν τόπων. καὶ
τὸ μὲν ἐξωθῆσαν ἐν τῷ τοῦ ἐξωθηθέντος στῇ τόπῳ. τὸ δὲ ἐξωθηθὲν τὸ προσεχὲς ἐξωθῇ. καὶ ἐκεῖνο τὸ ἐχό-
μενον, ὅταν πλείονα ᾖ. ἕως ἂν τὸ ἔσχατον ἐν τῷ τόπῳ γένηται τοῦ πρώτου ἐξωθήσαντος. καὶ γίνεται δέ
φησιν ἀντιπερίστασις ἐπὶ τοῦ ῥιπτουμένου, ἀλλ' οὐκ ἔστιν αὕτη τῆς τοῦ ῥιπτουμένου κινήσεως αἰτία. ἡ γὰρ

ἀντιπερίστασις ἅμα πάντα κινεῖσθαι ποιεῖ καὶ κινεῖν, τουτέστιν ἐξωθεῖσθαι καὶ ἐξωθεῖν. εἰ δὲ ἅμα πάντα κινεῖται, ἅμα καὶ παύεται. ὅτε γὰρ τὸ πρῶτον ἐξωθὲν κατελάμβανε τὸν τοῦ πρώτου ἐξωθουμένου τόπον, εἰ μὴ ἐκεῖνο τὸν τοῦ ἐφεξῆς, καὶ ἐκεῖνο τὸν τοῦ ἐχομένου, καὶ τὸ τελευταῖον τὸν τοῦ πρώτου μεταβάντος καταλάβοι τόπον, καὶ τῆς κινήσεως ἅμα πάντων γινομένης, καὶ τῆς ἐν τοῖς ἀλλήλων τόποις ἱδρύσεως. τὸ δὲ τοὺς ἀλλήλων καταλαμβάνειν τόπους, ὅπερ ἐστὶν ἡ ἀντιπερίστασις, οὐδὲν πρὸς τὴν κίνησιν συντελεῖ τοῦ ῥιπτουμένου. εἰ μή τις ὑπόθοιτο ὅπερ αὐτὸς εἶπεν τὰ κινοῦντα, καὶ τὰ κινεῖν οἷά τε ποιεῖν τὰ κινούμενα. οὕτω γὰρ τὸ καταλαβὸν τὸν τοῦ ῥιπτουμένου τόπον κινήσει καὶ αὐτὸ τὸ ῥιπτούμενον, καὶ κινεῖν τὰ ἐφεξῆς ποιήσει. ὥστε ἀδύνατον ἄλλως τὰ ἀπορηθέντα περὶ τοῦ ῥιπτουμένου λύειν, εἰ μὴ τὸ κινούμενον καὶ κινητικὴν δύναμιν λαμβάνειν παρὰ τοῦ κινοῦντος ὑποθώμεθα. καὶ γὰρ ἀντιπεριστάσεως μὲν γινομένης ἡ κίνησις ἐπιτελεῖται. οὐ μὴν διὰ τὴν ἀντιπερίστασιν. ὥσπερ ἐπὶ τοῦ βαδίζοντος ἀντιπερίστασις μὲν γίνεται. οὐ μὴν τοῦ βαδίζειν ἡ ἀντιπερίστασις αἰτία, οὕτω καὶ ἐπὶ τῶν ῥιπτουμένων ἄλλό τι τῆς κινήσεως αἴτιόν ἐστι, καὶ οὐχὶ ἡ ἀντιπερίστασις. μετάστασις γὰρ μόνον καὶ μεταχώρησις ἡ ἀντιπερίστασίς ἐστιν. ὅτι δὲ οὐκ ἔστι κινήσεως αἰτία, δείκνυσιν ἐκ τοῦ τὰ μὲν κατὰ ἀντιπερίστασιν ἅμα κινεῖσθαί τε πάντα καὶ κινεῖν καὶ παύεσθαι τῆς κινήσεως. ὡς εἴρηται πρὸ ὀλίγου. τὸ δὲ ῥιπτούμενον ἕν τι ὂν φαίνεται συνεχῶς κινούμενον. ὑπὸ τίνος οὖν ἔσται τοῦτο κινούμενον. οὐ γὰρ δὴ ὑπὸ τῶν ἀντιπεριϊσταμένων. ταῦτα γὰρ ἅμα πάντα, κινεῖταί τε καὶ ἀντιμεθίσταται ἀλλήλοις. καὶ ἑνὸς παυσαμένου πάντα παύεται τῆς κινήσεως. ἅμα τε γὰρ τὸ ῥιφθὲν ἀπώσθη ὑπὸ τοῦ ῥίψαντος εἰς τὸ πρόσθεν. καὶ ἀντιπεριέστη ὁ πρὸ αὐτοῦ ἀὴρ εἰς τὸ ὅθεν τοῦτο μετέβη. τῆς οὖν μετὰ ταῦτα πάλιν αὐτῷ προόδου τε καὶ φορᾶς τί αἴτιον. ὁ γὰρ ἀντιπεριστὰς αὐτῷ ἀὴρ οὐ πλείων ἐστὶ τῆς χώρας, ἣν κατείληφεν. ὥστε στενοχωρούμενον βιάζεσθαί τε αὐτὸ καὶ προωθεῖν. ἐπειδὴ δὲ ὁ Ἀλέξανδρος τοῦ Πλάτωνος δόξαν εἶναί φησιν, τὸ κατὰ ἀντιπερίστασιν γίνεσθαι τὴν τῶν ῥιπτουμένων κίνησιν, ἰστέον ὅτι γίνεσθαι μὲν καὶ αὐτὸς ἀντιπερίστασιν ἐπὶ τῶν κινουμένων οἴεται. καὶ τοὺς ἀλλήλων τόπους ἀντιμεταλαμβάνειν τὰ σώματα βούλεται. διὰ τὸ μηδὲν ἐν τῷ παντὶ κενὸν ἀπολείπεσθαι. οὐ μέντοι οὐδὲ αὐτὸς τὴν ἀντιπερίστασιν αἰτίαν κινήσεως νομίζει. ἀλλὰ τὴν ἀνωμαλίαν καὶ ἀνισότητα. ἔδει δὲ τὸν Ἀλέξανδρον ὅτε ὁ Ἀριστοτέλης ἔλεγε, πᾶν τὸ κινούμενον ὑπό τινος κινεῖσθαι, καὶ τοσαύτας ἀποδείξεις ἐπόρισεν τῷ λόγῳ, καὶ ἐνστάσεις πρὸς αὐτὸν καὶ λύσεις τῶν ἐνστάσεων προεβάλλετο, τότε λέγειν ὅτι Πλάτωνος οὗτος ὁ λόγος ἦν, ὁ τὸ κινούμενον πάντως ὑπὸ κινοῦντος λέγων κινεῖσθαι. οὐδὲν δὲ χεῖρον ἴσως ὀλίγα παραγράψαι τοῦ Πλάτωνος, αὐτό τε τοῦτο δηλοῦντα, καὶ τί τῆς κινήσεως αἴτιον οἴεται, καὶ πῶς γίνεσθαι τὰς ἀντιμεταστάσεις νομίζει. λέγει γὰρ ἐν Τιμαίῳ. ἐν μὲν ὁμαλότητι μηδέποτε ἐθέλειν κίνησιν εἶναι. τὸ γὰρ κινησόμενον ἄνευ τοῦ κινήσοντος, ἢ τὸ κινῆσον ἄνευ τοῦ κινησομένου χαλεπὸν μᾶλλον δὲ ἀδύνατον εἶναι. κίνησις δὲ οὐκ ἔστι τούτων ἀπόντων. ὥστε καὶ κατὰ Πλάτωνα τὸ κινούμενον ὑπὸ κινοῦντός τινος κινεῖσθαι, καὶ τὸ κινοῦν κινούμενόν τι κινεῖν. ταῦτα δέ φησιν ὁμαλὰ εἶναί ποτε ἀδύνατον. οὕτω δὴ στάσιν μὲν ἐν ὁμαλότητι, κίνησιν δὲ ἐν ἀνωμαλότητι ὄντα ἀεὶ τιθῶμεν. αἰτία δὲ ἀνισότης αὖ τῆς ἀνωμάλου φύσεως. ἴσα γὰρ ὄντα καὶ ὅμοια οὐκ ἂν ἀλλήλα κινήσει τὰ σώματα. ἀλλ᾽ ὡς μετ᾽ ὀλίγα τῶν εἰρημένων προστίθησι. σμικρῶν παρὰ μεγάλα τιθεμένων, καὶ τῶν ἐλαττόνων παρὰ τὰ μείζονα διακρινόντων, τῶν δὲ μειζόνων ἐκεῖνα συγκρινόντων, πάντα ἄνω κάτω μεταφέρονται πρὸς τοὺς ἑαυτῶν τόπους. μεταβάλλοντα γὰρ τὸ μέγεθος ἕκαστον, καὶ τὴν τῶν τόπων μεταβάλλει στάσιν. οὕτω δὴ διὰ ταῦτά τε ἡ τῆς ἀνωμαλότητος διασωζομένη γένεσις ἀεί, τὴν ἀεὶ κίνησιν τούτων οὖσαν ἐσομένην τε ἐνδελεχῶς παρέχεται. τὴν δὲ ἀντιμετάστασιν οὕτω λέγει γίνεσθαι. πάλιν δὲ ἐκπίπτοντος αὐτόθεν τοῦ πυρός, ἅτε οὐκ εἰς κενὸν ἐξιόντος, ὠθούμενος ὁ πλησίον ἀὴρ εὐκίνητον ὄντα ἔτι τὸν ὑγρὸν, εἰς τὰς τοῦ πυρὸς ἕδρας ξυνωθῶν, αὐτὸν ἑαυτῷ ξυμμίγνυσιν. ἀλλὰ ταῦτα ἐν ἄλλοις προηγουμένως ἐξετάζοντας, ἀκριβέστερόν ἐστι γινώσκειν.

Ἐπεὶ δ᾽ ἐν τοῖς οὖσιν, ἀνάγκη ἀεὶ κίνησιν εἶναι συνεχῆ, αὕτη δὲ μία ἐστὶν, ἀνάγκη δὲ τὴν μίαν μεγέθους τέ τινος εἶναι. οὐ γὰρ κινεῖται τὸ ἀμέγεθες, καὶ ἑνὸς, καὶ ὑφ᾽ ἑνός. οὐ γὰρ ἔσται συνεχής. ἀλλ᾽ ἐχομένη ἑτέρα ἑτέρας καὶ διῃρημένη. τὸ δὴ κινοῦν, εἰ ἕν, ἢ κινούμενον κινεῖ, ἢ ἀκίνητον ὄν. εἰ μὲν δὴ κινούμενον, συνακολουθεῖν δεήσει καὶ μεταβάλλειν αὐτό. ἅμα δὲ κινεῖσθαι ὑπό τινος. ὥστε στήσεται καὶ ἥξει εἰς τὸ κινεῖσθαι, ὑπὸ ἀκινήτου. τοῦτο γὰρ οὐκ ἀνάγκη συμμεταβάλλειν. ἀλλ᾽ ἀεί τι δυνήσεται κινεῖν. ἄπονον γὰρ, καὶ τὸ οὕτω κινεῖν. καὶ ὁμαλὴς αὕτη ἡ κίνησις. ἢ μόνη ἢ μάλιστα. οὐ γὰρ ἔχει μεταβολὴν οὐδεμίαν τὸ κινοῦν. δεῖ δὲ οὐδὲ τὸ κινούμενον πρὸς ἐκεῖνο ἔχειν μεταβολὴν, ἵνα ὁμοία ᾖ ἡ κίνησις.

Εἰς πέρας ἐλθὼν τῶν προβληθέντων, ἀναλαμβάνει λοιπὸν τὰ εἰρημένα, καὶ τὴν ἀποδείξεως συντόμως ὑπομιμνήσκων. ἐπεὶ γὰρ δέδεικται ὅτι ἀνάγκη ἀεὶ κίνησιν εἶναι, καὶ οὔτε ἤρξατο μὴ πρότερον οὖσα οὔτε παύσεται ὡς μηκέτι εἶναι, ἀλλ᾽ ὁμοίως τῷ χρόνῳ ἄναρχός ἐστι καὶ ἀτελεύτητος, πρώτη δὲ ἡ συνεχής. ἡ δὲ συνεχὴς μία. ἡ γὰρ μὴ μία οὐ συνεχής, ἡ δὲ μία ἑνός ἐστι μεγέθους τοῦ κινουμένου, οὐ γὰρ κινεῖται καθ᾽ αὑτὸ τὸ ἀμέγεθες. καὶ ἑνὸς τοῦ κινοῦντος, εἰ γὰρ μὴ καὶ τὸ κινούμενον ἓν καὶ τὸ κινοῦν ἕν ἐστιν, οὐκ ἔσται συνεχὴς καὶ μία ἡ κίνησις, ἀλλ᾽ ἐχομένη ἑτέρα ἑτέρας

καὶ διῃρημένη, λεχθέντος οὖν τούτου· ὅτι ἐν τῷ κινοῦν ἐστι τὴν μίαν καὶ ἀΐδιον κίνησιν, καὶ ἐν τῷ κινουμένῳ, πρῶτον τὰ τῷ κινοῦντι προσήκοντα ἀναλαμβάνει· καὶ οὕτω τὰ τοῦ κινουμένου προστίθησιν. εἰ γὰρ ἐν τῷ κινοῦν, ἢ κινούμενον κινεῖ, ἢ ἀκίνητον ὄν. ἀλλ' εἰ κινούμενον, δηλονότι καὶ σῶμα αὐτὸ εἶναι ἀνάγκη. πᾶν γὰρ τὸ καθ' αὑτὸ κινούμενον σῶμα δέδεικται ὄν. συνακολουθεῖν οὖν δεήσει αὐτῷ κινουμένῳ τὸ καὶ ὑπό τινος αὐτὸ κινεῖσθαι. καὶ ἐπὶ τοῦ κινοῦντος αὖθις αὐτό, εἰ κινούμενον εἴη, ἐπειδὴ ὑπό τινος κινεῖται. ἀνάγκη τὸ κινοῦν καὶ ἐκεῖνο ἢ κινούμενον κινεῖν καὶ ὑπό τινος κινούμενον, ἢ ἀκίνητον εἶναι. ἵνα οὖν μὴ ἐπ' ἄπειρον ἴωμεν, ἥξομέν ποτε εἰς τὸ ὑπὸ ἀκινήτου κινεῖσθαι. μὴ γὰρ οὔσης ἀρχῆς τινος, οὐδ' ἂν τὰ μετ' αὐτὴν εἴη. δέδεικται δὲ ὅτι τῶν μὲν κινουμένων καὶ κινούντων πρῶτόν ἐστι τὸ αὐτοκίνητον. ἐν τούτῳ δὲ τὸ κινοῦν καθ' αὑτὸ μὲν ἀκίνητόν ἐστι, κατὰ συμβεβηκὸς δὲ κινεῖται. τὸ δὲ κυρίως κινοῦν κατὰ συμβεβηκὸς ἀνάγκη συμμεταβάλλειν τῷ κινουμένῳ. καὶ διὰ τοῦτο προσέθηκεν τό, τοῦτο δὲ οὐκ ἀνάγκη συμμεταβάλλειν, διορίζων αὐτὸ τοῦ ἐν τῷ αὐτοκινήτῳ κινοῦντος· ὃ ἀνάγκη κατὰ συμβεβηκὸς συμμεταβάλλειν τῷ κινουμένῳ ὑπ' αὐτοῦ. τὸ γὰρ τὴν ἀΐδιον κινοῦν κίνησιν, περὶ οὗ ὁ λόγος, ἀπόνως ὤφελε κινεῖν. οὐδὲν γὰρ δύναται πονοῦν ἐπὶ πολὺ διαμένειν, ἀπονώτατον δὲ τὸ μὴ συμμεταβάλλον τῷ κινουμένῳ, μὴ δὲ κινούμενον μηδαμῶς, ἀλλ' ἐπὶ τῆς αὐτῆς ἀεὶ τελειότητος ἱδρυμένον. χρὴ δὲ τὴν μίαν καὶ συνεχῆ κίνησιν καὶ ὁμαλῆ εἶναι. ἀνώμαλος γὰρ οὖσα οὔτε μία οὐδὲ συνεχὴς ἔσται, ὁμαλὴς δὲ κίνησις, ἣν τὸ ἀκίνητον κινήσει, τῷ ἀεὶ ὁμοίως ἔχειν πρὸς τὸ κινούμενον ὑπ' αὐτοῦ, ἅτε κατὰ μηδὲν μεταβάλλον. τὸ δὲ ἢ μόνη ἢ μάλιστα, δύναται μὲν καὶ κατὰ φιλόσοφον εὐλάβειαν εἰρῆσθαι. λέγοι δὲ ἄν τις ὅτι περὶ τοῦ κινοῦντος μόνου τέως ἐστὶ τὰ εἰρημένα, πλείονα μὲν λόγον εἰς τὴν ὁμαλότητα εἰσάγοντος, δεομένου δὲ καὶ τῆς τοῦ κινουμένου ταυτότητος, πρὸς τὸ μόνην κυρίως ὁμαλῆ εἶναι. καὶ δὴ μέχρι τοῦδε προαγαγὼν τὴν ἀνάληψιν τῶν τῷ κινοῦντι προσηκόντων, ἐπάγει καὶ περὶ τοῦ κινουμένου, ὅτι δεῖ καὶ τὸ κινούμενον τὴν αὐτὴν ἀεὶ πρὸς τὸ κινοῦν φυλάττειν σχέσιν. ἵνα ὁμοία καὶ ὁμαλὴς ἡ κίνησις ὄντως διαμένῃ. μόνη γὰρ κυρίως καὶ τελέως ὁμαλὴς αὕτη, ἐν ᾗ καὶ τὸ κινοῦν καὶ τὸ κινούμενον ἀμεταβλήτως καὶ ἀεὶ ὡσαύτως ἔχει πρὸς ἄλληλα, δῆλον δὲ ὅτι τὸ οὐράνιον σῶμα τοιοῦτόν ἐστι. κυκλοφορητικὸν ὂν καὶ προσεχῶς ὑπὸ τοῦ ἀκινήτως κινοῦντος αἰτίου κινούμενον. ὥστε καὶ ἡ ἀϊδιότης συναπεδείχθη τοῦ τε οὐρανοῦ καὶ δι' αὐτὸν τοῦ παντὸς κόσμου, τῇ τε τῆς κινήσεως ἀϊδιότητι, καὶ τῇ τοῦ πρώτως, κινοῦντος ἀμεταβλήτῳ ταυτότητι. κἂν μέλλῃ πάλιν ἐν τῇ περὶ οὐρανοῦ τὴν ἀϊδιότητα τούτοις ἀποδεικνύναι.

ἈΝΑΓΚΗ δὲ ἢ ἐν μέσῳ ἢ ἐν κύκλῳ εἶναι. αὗται γὰρ αἱ ἀρχαί. ἀλλὰ τάχιστα κινεῖται τὰ ἐγγύτατα τοῦ κινοῦντος. τοιαύτη δὴ ἡ τοῦ κύκλου κίνησις. ἐκεῖ ἄρα τὸ κινοῦν.

Εἰπὼν ὁποῖόν ἐστι τὸ πρώτως κινοῦν καὶ τὸ κινούμενον τὴν ἀΐδιον κίνησιν, καὶ ὅπως ἔχοντα πρὸς ἄλληλα, ἐπειδὴ ζητεῖν ἔθος ἦν ὡς ἔοικεν. ποῦ τὸ κινοῦν τὸν οὐρανόν ἐστι, καὶ οἵ γε πυθαγόρειοι ἐν τῷ μέσῳ λέγειν ἐδόκουν αὐτό, καὶ τοῦτο προσθεῖναι τοῖς περὶ τοῦ κινοῦντος λόγοις ἐδοκίμασεν. καὶ λέγει ὅτι ἀνάγκη αὐτὸ ἐν τῇ ἀρχῇ εἶναι τοῦ κινουμένου, ὅπερ κυριώτατόν ἐστι. δύο δὲ ἀρχαί εἰσιν ἐν τῇ σφαίρᾳ τό, τε μέσον καὶ τὸ πέριξ. ἀνάγκη οὖν φησιν ἐν τούτων τινὶ εἶναι τὸ κινοῦν, ἀλλ' ἐπειδὴ τὰ ἐγγύτατα τοῦ κινοῦντος τάχιστα μᾶλλον κινεῖται, ταχεῖα δὲ ἡ τοῦ κύκλου κίνησις, τουτέστι τῆς περιφορείας, ἐκεῖ τὸ κινοῦν εἴη ἄν. τὸ γὰρ μέσον ἀκίνητον ὂν οὐ δοκεῖ πρὸς τὸ κινοῦν οἰκείως ἔχειν. ὁ δὲ εὔδημος ἐν τῷ μεγίστῳ κύκλῳ φησὶν εἶναι τῷ διὰ τῶν πόλων. οὗτος γὰρ τάχιστα κινεῖται, τὸ δὲ κινοῦν δοκεῖ ἄρχεσθαι, ὅθεν τάχιστα ἂν κινήσειε καὶ ῥᾷστα. ἀπορεῖ δὲ ὁ ἀλέξανδρος καὶ πρὸς τὴν ἔξω περιφόρειαν καὶ πρὸς τὸν μέγιστον κύκλον, εἰ ἐν τούτῳ τινί ἐστι τὸ κινοῦν αἴτιον, πῶς οὐ κινήσεται κατὰ συμβεβηκός. καὶ εἰπὼν ἐκτὸς εἰ μὴ ταύτης κατὰ τοὺς πόλους ἐστίν, ἐπαπορεῖ ὅτι καὶ δύο οὗτοι καὶ ἀκίνητοι. ἀριστοτέλης δὲ καὶ εὔδημός φασι τὸ ἐγγυτέρω τοῦ κινοῦντος τάχιστα κινεῖσθαι. λύων δὲ τὴν ἀπορίαν λέγει, ὅτι εἰ μὲν ἐν μορίῳ τινὶ εἴη τῆς περιφορείας τῆς ἐξωτάτω, κινοῖτο ἂν κατὰ συμβεβηκός, τῷ κατὰ μόρια τὴν κίνησιν εἶναι τῆς σφαίρας. εἰ δὲ ἐν πάσῃ τῇ περιφορείᾳ, ἔσται τε ἐν τῷ τάχιστα φερομένῳ, καὶ οὐκέτι ἂν κινοῖτο κατὰ συμβεβηκός, τῷ πᾶσαν τὴν περιφόρειαν μὴ κινεῖσθαι μὴ δὲ ἀλλάσσειν τὸν τόπον, ἀλλ' ἐν τῷ αὐτῷ μένειν ἀεί. ἐγκρίνει οὖν εἶναι αὐτὸ ἐν πάσῃ τῇ τῆς ἐκτὸς σφαίρας περιφερείᾳ. οὕτω γάρ φησιν ἔσται ἐγγυτάτω τοῦ τάχιστα κινουμένου. καὶ μὴ κατὰ συμβεβηκὸς κινούμενον, καὶ τὴν αὐτὴν ἀεὶ σχέσιν ἔχον πρὸς τὸ κινούμενον ὑπ' αὐτοῦ. διὸ καὶ ὁμοίαν ἀεὶ κίνησιν κινήσει. ταῦτα ἠπόρησεν ὁ ἀλέξανδρος, καὶ ἔλυσεν οὕτως. καίτοι πρότερον καλῶς εἰπών. ὅτι οὐχ ὡς τόπον τινὰ κατέχοντος τοῦ κινοῦντος ἀκουστέον. ἀμερὲς γὰρ ἐδείχθη. ἀλλ' οὐ δὲ ὡς εἴδους ὄντος τοῦ ἐν ᾧ ἐστιν. ἀλλ' ὡς οὐσίας ἀσωμάτου αὐτῆς καθ' αὑτὴν ἐν οὐσίᾳ. κἂν γὰρ ἔμψυχόν φησιν ὂν τὸ κυκλοφορητικὸν σῶμα κινῆται κατὰ τὴν ἐν αὐτῷ ψυχήν, ἀλλὰ καὶ ἄλλου τινὸς δεῖ τοῦ τὴν ἀρχὴν αὐτῷ τῆς κινήσεως παρέχοντος. ἐπὶ πάντων γὰρ τῶν ἐμψύχων ἔξωθέν τι ὄν, αἴτιον αὐτοῖς καὶ ἀρχὴ γίνεται τῆς κινήσεως τῆς ψυχικῆς. τῆς κατὰ τόπον γινομένης. εἴ γε ἐφέσει τινὸς ἡ κατὰ τόπον γίνεται τῶν ἐμψύχων κίνησις. ταῦτα ὁ ἀλέξανδρος ἔγραψεν, ὡς τελικὸν μόνως αἴτιον τὸ πρώτως κινοῦν τὸν ἀριστοτέλη λέγειν

ἀποδεχόμενος. εἰ δὲ ὡς πολλοὶ λόγοι δεικνύουσι καὶ ποιητικὸν αὐτὸν νομίζει, τὴν μὲν ψυχὴν καὶ αὐτὸς οἴεται ὥσπερ ὁ Πλάτων τῆς μεταβατικοῦ τῆς κινήσεως αἰτίαν εἶναι, τὸν δὲ ἀκίνητον νοῦν τοῦ περὶ τὰ αὐτὰ καὶ κατὰ τὰ αὐτὰ καὶ ἐν τῷ αὐτῷ ἀεὶ κινεῖσθαι, καθ' ἕνα λόγον καὶ μίαν τάξιν. εἰ οὖν ἀμερὲς τὸ κινοῦν καὶ χωριστὸν πάντη σωμάτων, αὐτὸ καθ' αὑτὸ τέλειον ἐξῃρημένον τοῦ παντὸς σωματικοῦ κόσμου, καλῶς ἔχει λέγειν καὶ πανταχοῦ αὐτὸ καὶ οὐδαμοῦ εἶναι. εἰ δὲ οἱ μὲν Πυθαγόρειοι ἐν τῷ κέντρῳ λέγουσιν ἱδρύσθαι, ὁ δὲ Ἀριστοτέλης ἐν τῇ ἀπλανεῖ σφαίρᾳ φησὶν εἶναι, ἐκεῖνοι μὲν τὸ κέντρον ἐπιτηδειότερον τῶν ἄλλων τοῦ παντὸς μερῶν νομίζουσι, πρὸς μέθεξιν τῆς τοῦ δημιουργοῦ συνοχικῆς καὶ ἑδραστικῆς ἀγαθότητος. ὁ δὲ Ἀριστοτέλης πρώτως ἀπολαύειν τῆς δημιουργικῆς νομίζει κινήσεως. καὶ διὰ τοῦτο οἱ μὲν Πυθαγόρειοι ἑστίας τόπον καὶ Ζανὸς πύργον ἐκάλουν τὸ κέντρον. ὁ δὲ Ἀριστοτέλης μέτρον τῶν ἄλλων κινήσεων τὴν τῆς ἀπλανοῦς ἔλεγεν, ὡς πρώτην καὶ συνῃρημένην, καὶ τὸ τοῦ κινοῦντος ἀμερὲς διὰ τῆς ταχυτῆτος ἀπεικονιζομένην. οὐ χρὴ οὖν δεδοικέναι, μὴ κατὰ συμβεβηκὸς κινήσωμεν τὸ πρώτως κινοῦν ἐν τῷ ἀπλανεῖ λέγοντες αὐτὸ οὐρανῷ. οὐ γάρ ἐστιν ἐν τῷ οὐρανῷ κυρίως ἐκεῖνο. ἀλλ' ὁ οὐρανὸς ἐν αὐτῷ. εἴπερ τὸ ἔν τινι περιέχεται ὑπὸ τοῦ ἐν ᾧ ἐστι. περιέχει δὲ ἐκεῖνο τὸν ὅλον κόσμον τῇ ἀπείρῳ αὐτοῦ δυνάμει. μήποτε δὲ οὐδὲ ἡ ἐπινοηθεῖσα ἀπὸ τοῦ Ἀλεξάνδρου βοήθεια, πρὸς τὸ μὴ δὲ κατὰ συμβεβηκὸς ἐκεῖνο κινεῖσθαι αὐτάρκης ἐστίν, ἀπὸ ἐννοίας ἔτι προϊοῦσα τοῦ ἐν τῷ οὐρανῷ εἶναι τὸ πρώτως κινοῦν. εἰ γὰρ μὴ ἐν μορίῳ τινί φησιν ἐστίν, ἀλλ' ἐν πάσῃ τῇ περιφερείᾳ, ἐπειδὴ ἡ πᾶσα οὐ κινεῖται οὐδὲ ἀμείβει τόπον. ἀλλ' ἐν ᾧ αὐτῷ μένει, οὐδὲ κατὰ συμβεβηκὸς ἂν κινοῖτο. εἰ οὖν ἡ μὲν πᾶσα οὐ κινεῖται, τὸ δὲ πρώτως κινοῦν ἐν ᾧ τάχιστα κινουμένῳ λέγεται εἶναι, δηλονότι οὐκ ἔστιν ἐν τῇ πάσῃ περιφερείᾳ. ἔπειτα εἰ μὲν οὕτως ἐστὶν ἐν τῇ πάσῃ ὡς κατατεταγμένον ἐν αὐτῇ, ἡ δὲ πᾶσα κατὰ μόρια κινεῖται, δηλονότι καὶ αὐτὸ μετὰ τῶν μορίων κατὰ συμβεβηκὸς κινηθήσεται. εἰ δὲ ἀσχέτως καὶ ἐξῃρημένως τῷ ὅλῳ πάρεστι, τί κωλύει καὶ τοῖς μέρεσιν ἀσχέτως καὶ ἐξῃρημένως καὶ ἀμερίστως καὶ ἀκινήτως ἅμα πᾶσι παρόν, μὴ δὲ κατὰ συμβεβηκὸς τῇ ἐκείνων κινήσει συγκινεῖσθαι. καὶ ἀσφαλῶς ὁ Εὔδημος τὸ πρόβλημα ἐκτιθέμενος, » εἰ ἀμερές φησίν ἐστι τὸ πρώ» τως κινοῦν, καὶ μὴ ἅπτεται τοῦ κινουμένου, πῶς ἔχει πρὸς αὐτό. τὸ οὖν ἀμερὲς καὶ μὴ ἁπτόμενον τοῦ κινουμένου, ἀλλ' ἄσχετον πρὸς αὐτὸ καὶ ἐξῃρημένον, πῶς δύναται συγκινεῖσθαι τῷ κινουμένῳ, ὥστε κατὰ συμβεβηκὸς κινεῖσθαι. τὸν δὲ Εὔδημον ὁ Ἀλέξανδρος τὸ πρώτως κινοῦν ἐν τῷ μεγίστῳ κύκλῳ φησὶ λέγειν τῷ διὰ τῶν πόλων. οὗτος γὰρ τάχιστα κινεῖται. ἐγὼ δὲ οὕτως εὗρον τὴν γραφὴν ἐν τῷ Εὐδημείῳ. » τῆς δὲ σφαίρας ὁ μὲν τόπος ὁ περὶ τοὺς πόλους τάχιστα κινεῖται. καὶ τοῦτο δὲ ἐφιστάνειν ἄξιον, ὅτι ὁ μὲν Ἀλέξανδρος ἐν τῇ τῆς σφαίρας περιφερείᾳ τὸ πρώτως κινοῦν νομίζει λέγειν τὸν Ἀριστοτέλη. μήποτε δὲ ἐν ᾧ κύκλῳ λέγων, ἐν τῷ ὅλῳ οὐρανῷ λέγει.

ΈΧΕΙ δ' ἀπορίαν εἰ ἐνδέχεταί τι κινούμενον κινεῖν συνεχῶς. ἀλλὰ μὴ ὥσπερ τὸ ὠθοῦν πάλιν καὶ πάλιν. καὶ τῷ ἐφεξῆς εἶναι συνεχῆ. ἢ γὰρ αὐτὸ δεῖ ὠθεῖν ἢ ἕλκειν. ἢ ἄμφω. ἢ ἕτερόν τι ἐκδεχόμενον ἄλλο παρ' ἄλλου. ὥσπερ πάλαι ἐλέχθη ἐπὶ τῶν ῥιπτουμένων. εἰ δὲ διαιρετὸς ὢν ὁ ἀὴρ ἢ τὸ ὕδωρ κινεῖ, ἀλλ' ὡς ἀεὶ κινούμενος. ἀμφοτέρως δ' οὐχ οἷόν τε μίαν εἶναι, ἀλλ' ἐχομένην. μόνη ἄρα συνεχής, ἣν κινεῖ τὸ ἀκίνητον. ἀεὶ γὰρ ὁμοίως ἔχον, καὶ πρὸς τὸ κινούμενον ὁμοίως ἕξει καὶ συνεχῶς.

Δείξας ὅτι μόνη συνεχής κίνησίς ἐστιν, ἣν τὸ ἀκίνητον κινεῖ, βεβαιούμενος τοῦτο, τὸ ἀντικείμενον αὐτῷ ἀναιρεῖ, τὸ ἐνδέχεσθαί τι κινούμενον κινεῖν συνεχῶς. ἐπειδὴ γὰρ πᾶν ὃ κινούμενον κινεῖ σωματικόν τέ ἐστι καὶ σωματικῶς κινεῖ, τὰ δὲ σωματικῶς κινοῦντα κινεῖ ὠθοῦντα ἢ ἕλκοντα ἢ κατ' ἄμφω, ὡς οἱ ταῖς χερσὶ τοὺς μύλους κινοῦντες, καὶ ἢ τὸ αὐτὸ δεῖ εἶναι τὸ ὠθοῦν ἢ ἕλκον ἢ ἄμφω ποιοῦν, ἢ ἄλλο παρ' ἄλλου διαδεχόμενον κατά τινα τούτων τῶν κινήσεων κινεῖν, ὡς ἐπὶ τῶν ῥιπτουμένων ἐλέχθη πρὸ ὀλίγου, ἐφ' ὧν ἄλλο ἐξ ἄλλου οὐ μόνον τὸ κινεῖσθαι ἀλλὰ καὶ τὸ κινεῖν διαδεχόμενον, αἴτιον ἐγίνετο τῆς κινήσεως τῷ ῥιπτουμένῳ, εἴπερ διαιρετὸς ὢν ὁ ἀὴρ καὶ τὸ ὕδωρ τουτέστιν εὐδιαίρετα καὶ εὐκίνητα κινεῖ, κινεῖ γὰρ ὁ ἀὴρ ἄλλος ἀεὶ καὶ ἄλλος κινούμενος καὶ οὕτω κινῶν, εἴτε οὖν οὕτω κινοῖτό τι ὑπὸ κινουμένου, οὐκ ἔστι μία καὶ συνεχὴς ἡ κίνησις ἀλλὰ ἐφεξῆς. εἴτε μὴ κατὰ διαδοχήν, ἀλλ' ἓν εἴη τὸ κινοῦν, ὡς ἐπὶ τῶν παραμενόντων καὶ ὠθούντων ἢ ἑλκόντων, οὐδὲ αὕτη συνεχὴς ἡ κίνησις. κἂν γὰρ ἓν τὸ κινοῦν ἐπὶ τούτων καὶ μὴ πλείονα ὡς ἐπὶ τῶν ῥιπτουμένων, ἀλλὰ καθ' ἑκάστην ὦσιν ἢ ἕλξιν ἀρχή τις γίνεται, ἀναπαυομένου τοῦ ἕλκοντος ἢ ὠθοῦντος. ἐπεὶ μὴ ἄπονον τὸ οὕτω κινεῖν. εἰ οὖν πᾶν ὃ κινούμενον κινεῖ, ἢ ὠθοῦν ἢ ἕλκον ἢ κατ' ἄμφω κινεῖ, καὶ ἢ τὸ αὐτὸ ἑπόμενον ἢ ἐκ διαδοχῆς, παντοίως δὲ ἀδύνατον μίαν καὶ συνεχῆ καὶ ὁμαλὴ κίνησιν εἶναι, δηλονότι μόνη συνεχής ἐστιν, ἣν κινεῖ τὸ ἀκίνητον. ἐπειδὴ πᾶν τὸ κινούμενον ἢ ὑπὸ κινουμένου κινεῖται, ἢ ὑπὸ ἀκινήτου. καὶ τὴν αἰτίαν προσέθηκεν τοῦ ταύτην εἶναι συνεχῆ, εἰπών, ἀεὶ γὰρ ὁμοίως ἔχον, εἴπερ ἀκίνητόν ἐστι καὶ ἀμετάβλητον καὶ κατ' οὐσίαν καὶ κατὰ δύναμιν καὶ κατ' ἐνέργειαν, καὶ πρὸς τὸ κινούμενον ὁμοίως ἕξει, τὴν αὐτὴν ἀεὶ πρὸς αὐτὸ σχέσιν ἔχον, ὥστε καὶ ὁμοίως καὶ ὁμαλῶς κινεῖν. εἰπὼν δὲ καὶ πρὸς τὸ κινούμενον ὁμοίως προσέθηκε καὶ συνεχῶς, δηλῶν ὅτι καὶ συνεχής ἐστιν ἡ ὁμοία τοῦ ἀκινήτου πρὸς τὸ κινούμενον σχέσις, καὶ οὐ διακοπτομένη οὐδὲ ἐνδιαλείπουσα. ὥστε καὶ ἀΐδιον

εἶναι τὴν κίνησιν ἣν προσεχῶς κινεῖ τὸ ἀκίνητον. ἀπορεῖ δὲ καλῶς ὁ Ἀλέξανδρος, πῶς οὐκ ἐρεῖ τις
καὶ τὰς τῶν πλανωμένων σφαίρας, τὴν κίνησιν ἣν κινοῦνται τῇ ἀπλανεῖ συμφερόμεναι, συνε-
χῆ τε καὶ ἀΐδιον καὶ ὁμαλῆ κινεῖσθαι, καίτοι ὑπὸ κινουμένης τῆς ἀπλανοῦς ταύτην τὴν κίνησιν κι-
νουμένας. καὶ πρῶτον μὲν ἐνδιδοὺς τῇ ἀπορίᾳ, λέγει ὅτι τοῦτο αἰνιττόμενος ὁ ἀριστοτέλης οὕτως εἶ-
πεν. ἔχει δὲ ἀπορίαν εἰ ἐνδέχεταί τι κινούμενον κινεῖν συνεχῶς, ἀλλὰ μὴ ὥσπερ τὸ ὠθοῦν. ὁ ἀπορή-
σας ἔδειξεν ἐφ' ὧν οὐκ ἐνδέχεται, παραλιπὼν τὸν νῦν ἀπορηθέντα λόγον. εἶτα διαναστὰς ἐπά-
γει, μήποτε οὐχ ὑπὸ τῆς ἀπλανοῦς ἡ τούτων γίνεται κίνησις. οὐ γὰρ κατὰ τὴν ἐν αὐτῇ κινητικὴν
δύναμιν ταύτην κινεῖ. ἀλλὰ κινουμένῃ αὐτῇ ὑπὸ τοῦ κινητικοῦ, ἡ ἐκείνων κίνησις ἕπεται, γινομένη
καὶ αὐτὴ ὑπὸ τοῦ ταύτην κινοῦντος. καὶ ὅτι μία κίνησίς ἐστιν ὡς ἑνὸς τοῦ ὅλου οὐρανοῦ ἡ ἀπ' ἀνατο
λῆς ἐπὶ δύσιν, δῆλον ὡς οἶμαι, ἔκ τε τοῦ καὶ περὶ τοὺς αὐτοὺς γίνεσθαι πόλους, καὶ ἐκ τοῦ μὴ μόνον ὀκ-
τὼ σφαίρας εἶναι, ἀλλὰ καὶ ἕνα τὸν ὅλον οὐρανόν. μία δὲ κίνησις ἡ ἑνὸς καὶ ὑφ' ἑνὸς γινομένη. δηλοῖ δὲ
καὶ αὐτὸς ὁ ἀριστοτέλης, τὸ κινοῦν πρώτως οὐκ ἐν τῇ ἀπλανεῖ λέγων, ἀλλ' ἐν ὅλῳ τῷ κυκλοφορη-
» τικῷ σώματι. τάχιστα γάρ φησι κινεῖται τὸ ἐγγυτάτω τοῦ κινοῦντος. τοιαύτη δὲ ἡ τοῦ κύκλου κίνη-
» σις. ἐκεῖ ἄρα τὸ κινοῦν, κύκλον οἶμαι τὸ ἐγκύκλιον ἅπαν λέγων. ὁ δὲ εὔδημος τοῦτο μὲν οὐκ ἀπορεῖ
ὅπερ ὁ ἀριστοτέλης, εἰ ἐνδέχεταί τι κινούμενον κινεῖν συνεχῶς. ἀπορεῖ δὲ ἀντὶ τούτου, εἰ ἐνδέχεται
» τὸ ἀκίνητον κινεῖν. δοκεῖ γάρ φησι τὸ κινοῦν κατὰ τόπον ἢ ὠθοῦν ἢ ἕλκον κινεῖν. εἰ δὲ μὴ μόνον οὕτως,
» ἀλλ' οὖν ἁπτόμενόν γε αὐτὸ ἢ δι' ἄλλου, ἢ δι' ἑνὸς ἢ πλειόνων. τὸ δὲ ἀμερὲς οὐδενὸς ἐνδέχεται ἅψα-
» σθαι. οὐ γάρ ἐστιν αὐτοῦ τὸ μὲν ἀρχὴ τὸ δὲ πέρας. τῶν δὲ ἁπτομένων τὰ πέρατα ἅμα. πῶς οὖν κι-
» νήσει τὸ ἀμερές, καὶ λύει τὴν ἀπορίαν λέγων, ὅτι τὰ μὲν κινούμενα κινεῖ. τὰ δὲ ἠρεμοῦντα. καὶ τὰ
» μὲν κινούμενα κινεῖ, ἁπτόμενα ἄλλως. οὐχ ὁμοίως δὲ πάντα. οὐ γὰρ ὡς ἡ γῆ τὴν σφαῖραν ῥιφθεῖσαν
» ἐπ' αὐτὴν ἄνω ἐκίνει, οὕτω καὶ τὸ πρώτως κινήσειεν. οὐ γὰρ προγινομένης κινήσεως ἐκεῖνο κινεῖ. οὐ γὰρ
» ἂν ἔτι πρώτως κινοίη. ἡ δὲ γῆ οὐδέποτε ἠρεμοῦσα πρώτως κινήσει.

Δ ΙΩΡΙΣΜΕΝΩΝ δὲ τούτων, φανερὸν ὅτι ἀδύνατον τὸ πρῶτον κινοῦν, καὶ ἀκίνητον ἔχειν τι μέ-
γεθος. εἰ γὰρ μέγεθος ἔχει, ἀνάγκη ἤτοι πεπερασμένον αὐτὸ εἶναι ἢ ἄπειρον. ἄπειρον μὲν οὖν ὅτι οὐκ
ἐνδέχεται μέγεθος εἶναι, δέδεικται πρότερον ἐν τοῖς φυσικοῖς. ὅτι δὲ τὸ πεπερασμένον, ἀδύνα-
τον ἔχειν ἄπειρον δύναμιν. καὶ ὅτι ἀδύνατόν ἐστιν ὑπὸ πεπερασμένου κινεῖσθαί τι ἄπειρον χρό-
νον, δέδεικται νῦν. τὸ δέ γε πρῶτον κινοῦν, ἀΐδιον κινεῖ κίνησιν, καὶ ἄπειρον χρόνον. φανερὸν τοί-
νυν ὅτι ἀδιαίρετόν ἐστι καὶ ἀμερὲς καὶ οὐδὲν ἔχον μέγεθος.

Α ναλαβὼν πρὸ ὀλίγου τὸν περὶ τοῦ πρώτως κινοῦντος λόγον, καὶ ὑπομνήσας ὅτι ἀπὸ τοῦ συνεχῆ καὶ
ἀΐδιον κίνησιν ἐν τοῖς οὖσι δειχθῆναι, δέδεικται ἓν ὂν τὸ πρώτως κινοῦν καὶ ἀκίνητον. καὶ ἐπαγαγὼν ὅ-
που τοῦ κινουμένου χρὴ νομίζειν εἶναι τὸ κινοῦν, καὶ τὸ ἀκίνητον αὐτοῦ πάλιν συστήσας, ἐκ τοῦ δεῖξαι
ὅτι οὐδὲν κινούμενον συνεχῆ κίνησιν δύναται κινεῖν, προστίθησι καὶ τοῦ τρίτου τὴν ἀνάληψιν τοῦ λε-
χθέντος περὶ τοῦ πρώτως κινοῦντος. τοῦτο δὲ ἦν, τὸ ἀμέγεθες αὐτὸ καὶ ἀμερὲς εἶναι. τρία γὰρ ἦν
τὰ περὶ αὐτοῦ δειχθέντα. ὅτι ἕν, ὅτι ἀκίνητον, ὅτι ἀμερές. τῶν οὖν δύο ἀποδείξεων συντόμως ὑ-
πομνήσας, τῆς τρίτης νῦν ὑπομιμνήσκει, τῆς δειξάσης. ὅτι ἀδύνατον τὸ πρώτως κινοῦν τὴν ἀΐ-
διον κίνησιν ἀκίνητον ὂν μέγεθός τι ἔχειν. ἢ γὰρ ἄπειρον ἢ πεπερασμένον ἔσται τὸ μέγεθος. εἰ οὖν ἄπει-
ρον μὲν οὐκ ἐνδέχεται μέγεθος εἶναι. ὡς δέδεικται ἐν τῷ τρίτῳ ταύτης τῆς πραγματείας, εἴωθεν
δὲ τὰ πρῶτα πέντε βιβλία φυσικὰ καλεῖν ἐξαιρέτως καὶ περὶ φυσικῶν ἀρχῶν, ὥσπερ τὰ τε-
λευταῖα τρία περὶ κινήσεως, ἀλλὰ μὴν ὅτι οὐδὲ πεπερασμένον αὐτὸ σῶμα δυνατὸν εἶναι ἔδειξεν
εἴπερ ἀνάγκη τὸ πεπερασμένον σῶμα ἢ ἄπειρον ἔχειν δύναμιν ἢ πεπερασμένην. εἰ οὖν μήτε τὸ πε-
περασμένον σῶμα ἄπειρον ἔχει δύναμιν ὡς δέδεικται, μήτε ἡ πεπερασμένη δύναμις τὸν ἄπειρον
χρόνον οἷά τέ ἐστι κινεῖν, ὡς δέδεικται καὶ τοῦτο, τὸ δὲ πρῶτον κινοῦν τὴν ἀΐδιον κίνησιν ἐδείχθη κινοῦν
ἐπὶ τὸν ἄπειρον χρόνον. ἔδει γὰρ τὴν πρώτην κίνησιν ὑπὸ τοῦ πρώτου κινοῦντος ἐνδεδόσθαι, τούτων
οὖν δειχθέντων, φανερὸν ὅτι ἀδιαίρετόν ἐστι καὶ ἀμερὲς καὶ οὐδὲν ἔχον μέγεθος τὸ πρώτως κινοῦν. ἐπέ-
στησεν δὲ καλῶς ὁ ἀλέξανδρος ἐνταῦθα, ὥσπερ ἐχρῆν ἀποδεικνυμένου τοῦ προβλήματος ἐπιστῆσαι.
ὅτι ἐπὶ τῶν κινουμένων ἐπ' ἄπειρον οὐ λεκτέον δύναμιν. ἀλλ' ἢ ὁμωνύμως. ἡ μὲν γὰρ ἐπὶ τοῦ κινοῦντός
φησι καὶ ποιοῦντος δύναμις ὡς ἰσχύς τις λέγεται. ἣν κάμνειν ἀνάγκη ἐπὶ τῶν οὕτως κινούντων. ἡ δὲ ἐπὶ
τοῦ κινουμένου. ὡς ἐπιτηδειότης πρὸς τὸ πάσχειν ἁπλῶς. οὐδὲ γὰρ ἐπὶ τοῦ βαστάζοντος καὶ τοῦ βαστα-
ζομένου, ἐπεὶ τὸ βασταζόμενον ἔστ' ἂν ᾖ βαστάζεσθαι δύναται, ἤδη καὶ τὸ βαστάζον ἀεὶ βαστάσει. δυνάμει
γάρ τινι καὶ ἰσχύϊ τὸ βαστάζον βαστάζει. ἥτις κάμνει πεπερασμένη οὖσα ἐν πεπερασμένῳ. καὶ ἔδει τὸν
γραμματικὸν τούτοις γοῦν ἐπιστῆσαι τοῦ ἀλεξάνδρου τοῖς λόγοις, καὶ μὴ νομίζειν ὅτι καὶ ὁ ἀρι-
στοτέλης καὶ ὁ ἀλέξανδρος οἴονται τὸ μὴ κυρίως ἀπειροδύναμον ἐπ' ἄπειρον κινεῖσθαι. τὸ γὰρ
ἐπ' ἄπειρον κινούμενον ἐπιτηδειότητα μὲν ἔχει πρὸς τοῦτο κατὰ τὴν ἑαυτοῦ φύσιν. καὶ τοῦ-
τό ἐστιν ἐν αὐτῷ τὸ δύνασθαι κινεῖσθαι. ὑπ' ἄλλου δὲ τὸ κινεῖσθαι ἔχον, γινόμενον αὐτὸ ἔχει καὶ

οὐχ ἅμα ὅλον. ἡ γὰρ κίνησις ἐν τῷ γίνεσθαι τὸ εἶναι ἔχει. καὶ τοῦτο δὲ πάλιν ἐνταῦθα ζητήσας ὁ ἀλέξαν-
δρος, πῶς ἡ τῶν ἀπλανῶν σφαῖρα οὐχ ἕξει τοῦ κινεῖν ἄπειρον δύναμιν πεπερασμένη οὖσα, εἴγε ἀεὶ
κινεῖ τὰς τῶν πλανωμένων, λύει τὴν ζήτησιν, τὰ αὐτὰ λέγων ἅπερ καὶ πρὸ ὀλίγου. ὅτι καὶ τὸ πλα-
νώμενον τρόπον τινὰ ὑπ' ἐκείνου τοῦ ἀκινήτου κινεῖται, τῇ ἀπλανεῖ συγκινούμενον. τὸ γὰρ ἀπλανὲς
κατὰ τὴν σωματικὴν ἑαυτοῦ φύσιν κινητόν ἐστιν ἀλλ' οὐχὶ κινητικόν. κἀνταῦθα δὲ ἐχρῆν ἐπιστῆσαι τὸν
γραμματικόν, ὅτι οὐκ ἐζήτησεν ὁ ἀλέξανδρος, πῶς πεπερασμένον τὸ ἀπλανὲς ἀΐδιόν ἐστιν. ἀλλὰ
πῶς πεπερασμένον ὂν ἄπειρον ἔχει δύναμιν τοῦ κινεῖν. γινώσκων ὅτι κινεῖσθαι μὲν καὶ εἶναι ἐπ' ἄπει-
ρον τὸ πεπερασμένον οὐδὲν κωλύει, γινομένην ἔχον τὴν κίνησιν καὶ τὴν οὐσίαν, ἀλλ' οὐκ ἀπὸ χρόνου τι-
νός, ἀλλ' ἐπ' ἄπειρον. κινητικὴν δὲ δύναμιν ἅμα ὅλην μὴ ἔχειν πεπερασμένον ὄν. οὕτως ὁ δαιμό-
νιος ὄντως ἀριστοτέλης, τὴν περὶ τῶν φυσικῶν ἀρχῶν διδασκαλίαν, εἰς τὴν ὑπερφυᾶ θεολογίαν ἀπε-
κορύφωσε. καὶ τὴν ὅλην φυσικὴν καὶ σωματικὴν σύστασιν ἐξηρτημένην ἔδειξε τῆς ὑπὲρ φύσιν ἀσω-
μάτου καὶ ἀκινήτου νοερᾶς ἀγαθότητος, τῷ πλάτωνι κἀνταῦθα συνακολουθῶν. ἀλλ' ὁ μὲν πλάτων
ἀπὸ τῆς οὐσίας αὐτῆς τοῦ κοσμικοῦ σώματος, τὸν δημιουργὸν τοῦ κόσμου νοερὸν θεὸν ἀνεῦρε. διαστὰς
γὰρ τὸ ὄντως ὂν καὶ τὸ γινόμενον, καὶ τὸ μὲν ἀεὶ κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἔχον ὁρισάμενος, ἅτε
ἅμα καὶ ὁμοῦ ὅλον ἀδιαστάτως καὶ ἀμερίστως ἐν αἰῶνι τὴν ὑπόστασιν λαχόν, τὸ δὲ γινόμενον ἅτε μετα-
βαλλόμενον καὶ κινούμενον, ἐν τῷ γίνεσθαι τὸ εἶναι ἔχον, τὴν σωματικὴν σύστασιν πᾶσαν ἅτε διεστῶ-
σαν τῇ οὐσίᾳ, καὶ κατὰ τὴν τοῦ εἶναι παράτασιν χρονιζομένην καὶ μεταβαλλομένην, γενητὴν εἶναι
τίθεται, καὶ ἐν τῷ γίνεσθαι τὸ εἶναι ἔχειν. καὶ διὰ τοῦτο ἀπὸ αἰτίας ἐξηρτημένην. ὡς αὐθυπόστατον
» εἶναι μὴ δυναμένην. παντὶ γὰρ ἀδύνατόν φησι χωρὶς τοῦ αἰτίου γένεσιν σχεῖν. αἴτιον δὲ τοῦ γινομένου
τὸ ὄντως ὄν, ἵνα μὴ γινόμενον πρὸ γινομένου τιθέντες ἐπ' ἄπειρον ἴωμεν, τοῦ μεταβαλλομένου τὸ ἀμε-
τάβλητον, διὰ τὴν αὐτὴν αἰτίαν. εὗρεν οὖν τὸν δημιουργὸν τοῦ κόσμου νοερὸν θεὸν ὄντως ὄντα, καὶ ἀεὶ
κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἔχοντα ἐν αἰῶνι ἱδρυμένον, ἀπὸ τῆς μεταβολικῆς οὐσίας τοῦ κόσμου
ἐπὶ τὴν ἀμετάβλητον αἰτίαν ἀναδραμών. καὶ ὁ ἀριστοτέλης δὲ ἀπὸ τῆς κινήσεως καὶ μεταβολῆς
καὶ τῆς διαστατῆς καὶ πεπερασμένης τῶν σωμάτων ὑποστάσεως, ἐπὶ τὴν ἀκίνητον καὶ ἀμετάβλητον
καὶ ἀδιάστατον αἰτίαν ἀνῆλθεν. ἔδειξε γὰρ ὅτι ἀΐδιον ἀνάγκη κίνησιν εἶναι ἐν τοῖς οὖσι. καὶ διὰ τοῦτο καὶ
τὸ κινούμενον, εἴπερ ἡ κίνησις ἐν τῷ κινουμένῳ ἐστίν. ἔδειξε δὲ καὶ ὅτι πᾶν τὸ κινούμενον ὑπό τινος κι-
νεῖται. καὶ ὅτι τὸ πρώτως κινοῦν ἀνάγκη ἀκίνητον εἶναι, καὶ ἀμετάβλητον αἴτιον τοῖς κινουμέ-
νοις προσεχῶς τῆς ἀϊδίου κινήσεως. ἀλλ' ὅτι μὲν καὶ ἡ παρὰ πλάτωνι γένεσις, καὶ ἡ παρὰ ἀριστοτέλει
κίνησις, τὴν μεταβολὴν δηλοῦσι, ῥᾴδιον μαθεῖν, ἐκ τοῦ τὸν μὲν πλάτωνα πρὸς τὸ κατὰ τὰ αὐτὰ
καὶ ὡσαύτως ἔχον ἀντιδιαιρεῖν τὸ γινόμενον ὡς μεταβαλλόμενον. τὸν δὲ ἀριστοτέλη, ὅταν λέγῃ πᾶν
τὸ κινούμενον ὑπό τινος κινεῖσθαι, οὐ περὶ μόνων τῶν κυρίως κινουμένων. ἀλλὰ καὶ τῶν γινομένων καὶ
φθειρομένων καὶ ὅλως τῶν μεταβαλλόντων λέγοντα. καὶ μέντοι πολλαχοῦ τὸ ἀκίνητον ἀμετάβλη-
τον εἶπεν. οὐδὲ γὰρ μόνης τῆς κυρίως κινήσεως ὑπερανέχει, ἀλλὰ καὶ γενέσεως καὶ φθορᾶς. δοκεῖ δέ
μοι ὁ θαυμαστὸς οὗτος ἀνὴρ τὸ ὄνομα τῆς γενέσεως παραιτήσασθαι σαφῶς ἐπὶ τῶν ἀϊδίων λέγειν. διὰ
τὸ ῥᾳδίως τὴν φαντασίαν ἀρχὴν χρονικὴν ὑποβάλλειν τοῖς γίνεσθαι λεγομένοις. ὅπερ καὶ πολλοὶ πε-
πόνθασιν, οὐ δυνάμενοι τοῖς ἀϊδίοις δημιουργήμασι ταῖς ἐννοίαις συμπαρατείνεσθαι. ἀλλὰ τῷ ἀπ' αἰτί-
ας ὑφισταμένῳ καὶ γίνεσθαι λεγομένῳ χρονικὴν ἀρχὴν προστιθέντες, καὶ ῥᾷον δοκοῦντες μανθάνειν.
εἴ τις ἀρχὴν καὶ μέσα καὶ τέλος χρονικῶς ὑπόθοιτο τῆς δημιουργίας. καὶ δὴ καὶ οἱ πλεῖστοι τῶν σοφῶν
εἰς τὸ δυσμαθὲς τῶν ἀκουόντων ἀποβλέψαντες, οὕτω κοσμοποιοῦσι, πρῶτα καὶ δεύτερα καὶ τρίτα
παράγεσθαι λέγοντες. καὶ συγγνώμην ἴσως νομίζουσιν ἔχειν, εἰ καὶ οἱ θεολόγοι μὴ παραιτοῦνται
τὰς τῶν θεῶν γενέσεις οὕτως ἐκφαίνειν, διὰ τὴν τῶν ἀκουόντων δυσμάθειαν. ὁ δὲ ἀριστοτέλης αἰσθόμε-
νος ὡς ἔοικεν, ἤδη παρανοούντων ἀεὶ τὰ λεγόμενα, καὶ χρονικὴν ἀρχὴν συνεπινοούντων, ὅτε κοσμο-
ποιεῖν λέγοιτο. καὶ γενητὸν ἐπὶ τῶν ἀϊδίων προφανῶς λέγειν παρῃτήσατο. ἀλλὰ καὶ τῷ τῆς κινή-
σεως ὀνόματι ταὐτὸν μὲν δηλοῦντι, μὴ ἀπαιτοῦντι δὲ χρονικὴν ἀρχήν, συνεχρήσατο. ἐπεὶ ὅτι οὐ
παραιτεῖται τὸ γίνεσθαι καὶ ἐπὶ τῶν ἐπ' ἄπειρον τὸ εἶναι ἐχόντων, δῆλός ἐστιν ἐν τῷ τρίτῳ ταύ-
» της τῆς πραγματείας περὶ τοῦ ἐπ' ἄπειρον λέγων, ἀλλ' ἐπεὶ πολλαχῶς τὸ εἶναι, ὥσπερ ἡ ἡμέρα
» ἐστὶ καὶ ὁ ἀγὼν τῷ ἀεὶ ἄλλο καὶ ἄλλο γίνεσθαι, οὕτω καὶ τὸ ἄπειρον. ἡ μὲν οὖν ἀρχὴ τῆς ἀποδείξεως
οὕτως ἀμφοτέροις ἡ αὐτή, ἀπὸ τοῦ μεταβαλλομένου ἐπὶ τὸ ἀμετάβλητον ἀνάγουσα. ἐφεξῆς δὲ ὁ
μὲν τὸ κινούμενον ὑπό τινος κινεῖσθαί φησιν. ὁ δὲ τὸ γινόμενον ὑπὸ αἰτίου τὴν γένεσιν ἴσχειν. καὶ
ὁ μὲν τὸ πρώτως κινοῦν ἀκίνητον καὶ ἀμετάβλητον καὶ ἀμερὲς δείκνυσιν. ὁ δὲ τὸ αἴτιον τοῦ γινο-
μένου ὄντως ὄν. τοιοῦτον δὲ τὸ ἀμερὲς καὶ ὁμοῦ ὅλον ὑφεστὼς καὶ ἀεὶ κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως
ἔχον. ὅπερ δηλοῖ τὸ τελέως ἀμετάβλητον. Ἐπειδὴ δέ τινες οἴονται τὸν ἀριστοτέλη, τὸ πρώ-
τως κινοῦν, ὅπερ καὶ νοῦν καὶ αἰῶνα καὶ θεὸν ἀνύμνησεν, τελικὸν μόνον ἀλλ' οὐχὶ καὶ ποιητι-
κὸν αἴτιον λέγειν τοῦ κόσμου, καὶ μάλιστα τοῦ οὐρανοῦ ὡς ἀϊδίου ὄντος καὶ διὰ τοῦτο ἀγενήτου,

ἀκούοντες αὐτοῦ πολλάκις λέγοντος, καὶ ὅτι κινεῖ ὡς ἐρώμενον, καὶ πολλάκις ὡς τελικὸν αἴτιον αὐτὸ εὐ-
φημίζοντος, καλῶς ἔχει καὶ τούτῳ δεῖξαι συμφώνως αὐτὸν τῷ σφετέρῳ καθηγεμόνι, μὴ τελι-
κὸν μόνον ἀλλὰ καὶ ποιητικὸν αἴτιον τὸν θεὸν λέγοντα, τοῦ τε κόσμου παντὸς καὶ τοῦ οὐρανοῦ.
» ὁ μὲν δὴ πλάτων ἐν τῷ τιμαίῳ, λέγωμεν δὴ δι᾽ ἣν τινα αἰτίαν γένεσιν καὶ τὸ πᾶν τόδε ὁ ξυνιστὰς
» συνέστησεν. ἀγαθὸς ἦν, δῆλός ἐστι τελικὸν ἅμα καὶ ποιητικὸν αἴτιον τοῦ κόσμου τὸν θεὸν λέγων. καὶ ὅ-
» ταν λέγῃ, νοῦν μὲν ἐν ψυχῇ, ψυχὴν δὲ ἐν σώματι συνιστὰς, τὸ πᾶν συνετεκταίνετο. ὅπως ὅτι κάλ-
» λιστόν τε εἴη καὶ κατὰ φύσιν ἄριστόν τε ἔργον ἀπειργασμένος, δι᾽ ὅλου σχεδὸν τοῦ διαλόγου τὸν εἰς τὸ ἀγα-
θὸν βλέποντα δημιουργὸν ἀνυμνεῖ. ἐν δὲ τῇ τοῦ δημιουργοῦ πρὸς τοὺς οὐρανίους θεοὺς δημηγορίᾳ,
σαφῶς παρίστησιν, ὅτι τὰ μὲν οὐράνια προσεχῶς αὐτὸς ὑφίστησι, τὰ δὲ ὑπὸ σελήνην ὑπὸ τῶν οὐ-
» ρανίων. λέγει γὰρ πρὸς τοὺς οὐρανίους ὁ πρῶτος δημιουργὸς, θεοὶ θεῶν, ὧν ἐγὼ δημιουργὸς πατήρ
» τε ἔργων. καὶ προελθὼν, θνητά φησι γένη λοιπὰ τρία. τούτων δὲ μὴ γενομένων, οὐρανὸς ἀτελὴς ἔσται.
» οὐρανὸν τὸν κόσμον νῦν καλῶν ὥσπερ καὶ ἀριστοτέλης. δεῖ δέ φησι καὶ ταῦτα γενέσθαι, εἰ μέλλοι τε-
» λέως ἱκανῶς εἶναι. δι᾽ ἐμοῦ δὲ ταῦτα γενόμενα καὶ βίου μετασχόντα, θεοῖς ἰσάζοιτο ἄν. ἵνα οὖν θνη-
» τά τε ᾖ, τό, τε πᾶν τόδε ὄντως πᾶν ᾖ, τρέπεσθε κατὰ φύσιν ὑμεῖς ἐπὶ τὴν τῶν ζώων δημιουργίαν. δη-
λοῖ δὲ τὸ δι᾽ ἐμοῦ δὲ ταῦτα γενόμενα, ὅτι ἀπὸ τοῦ κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἔχοντος αἰτίου. ἢ ὡς ἂν
ἀριστοτέλης εἴποι ὑπὸ τοῦ ἀκινήτου γενόμενα ἀΐδια ἀνάγκη εἶναι. ὁ δὲ ἀριστοτέλης ὅτι μὲν τελι-
κὸν λέγει τὸν θεὸν ἤτοι τὸ πρώτως κινοῦν οὐδεὶς ἀμφισβητεῖ. ὅτι δὲ καὶ ποιητικὸν, ἀρκεῖν οἶμαι τὸ
ἐν τῷ τῶν αἰτίων διορισμῷ, κατὰ τὸ δεύτερον τῆς φυσικῆς ἀκροάσεως, ποιητικὸν αἴτιον λέγειν τὸ ὅ-
» θεν ἡ ἀρχὴ τῆς κινήσεως. ἔτι ὅθεν ἡ ἀρχὴ τῆς μεταβολῆς ἡ πρώτη ἢ τῆς ἠρεμήσεως. οἷον ὁ βουλεύ-
» σας αἴτιος, καὶ ὁ πατὴρ τοῦ τέκνου. καὶ ὅλως τὸ ποιοῦν τοῦ ποιουμένου. τί οὖν ἦν τούτων σαφέστερον εἰ-
πεῖν πρὸς τὸ δηλῶσαι. ὅτι τὸ πρώτως κινοῦν ποιητικόν ἐστιν αἴτιον. καὶ ἐν τῷ πρώτῳ δὲ τῶν περὶ οὐ-
» ρανοῦ σαφῶς εἶπεν. ὅτι οὐδὲν μάτην ποιεῖ οὔτε ὁ θεὸς οὔτε ἡ φύσις, ἐν αὐτῷ δὲ τῷ βυβλίῳ εἰπών. ὅτι
» ὁ αἰὼν ἀπὸ τοῦ ἀεὶ εἶναι τὴν ἐπωνυμίαν εἴληφεν ἀθάνατος καὶ θεῖος. ὅθεν καὶ τοῖς ἄλλοις ἐξήρτηται, τοῖς
» μὲν ἀκριβέστερον, τοῖς δὲ ἀμαυρότερον τὸ εἶναί τε καὶ ζῆν. δῆλον δὲ ὅτι ὥσπερ ἀγαθύνεται πάντα διὰ
τὸ τελικὸν αἴτιον, οὕτως ἔστι τε καὶ ζῇ διὰ τὸ δημιουργικόν. καὶ ἐν τῷ πρώτῳ δὲ τῶν περὶ γενέσεως. ὅτι
καὶ ποιητικόν ἐστιν αἴτιον τὸ πρώτως κινοῦν, ἐδήλωσε περὶ τῶν αἰτίων τῆς ἀεὶ γενέσεως ζητῶν καὶ τάδε
» γράφων. ἐπεὶ δὲ αἰτίας μιᾶς μὲν, ὅθεν τὴν ἀρχὴν φαμὲν τῆς κινήσεως, τὴν ποιητικὴν δηλονότι λέ-
» γων οὕτως, μιᾶς δὲ τῆς ὕλης, τὴν τοιαύτην αἰτίαν λεκτέον. περὶ γὰρ ἐκείνης εἴρηται πρότερον ἐν τοῖς
» περὶ κινήσεως λόγοις, ὅτι ἔστι τὸ μὲν ἀκίνητον ἅπαντα χρόνον, τὸ δὲ κινούμενον ἀεί. διττὸν οὖν καὶ αὐ-
τὸς τὸ ποιητικόν φησι. τὸ μὲν ἀκίνητον πάντων, τὰ δὲ οὐράνια τῶν ὑπὸ σελήνην. καὶ ὁ ἀλέξανδρος
ταῦτα τὰ ῥήματα ἐξηγούμενος, τὸ γοῦν πρῶτον κινοῦν φησὶ τῆς τοῦ θείου σώματος κινήσεως αἴτιόν
ἐστι ποιητικὸν, ὄντος ἀγενήτου. ἐν δὲ τῷ μείζονι ἄλφα τῆς μετὰ τὰ φυσικὰ πραγματείας, ἐπαινῶν
τὸν ἀναξαγόραν καὶ πρὸ αὐτοῦ τὸν ἑρμότιμον, ὡς μὴ μόνον ὑλικὰς αἰτίας τοῦ παντὸς ἀποδεδωκότας,
» ἀλλὰ καὶ τὸν νοῦν ὡς ποιητικὸν καὶ τελικὸν αἴτιον θεασαμένους, γράφει ταῦτα. νοῦν δέ τις εἰπὼν ἐνεῖ-
» ναι καθάπερ ἐν ζώοις καὶ ἐν τῇ φύσει, τὸν αἴτιον καὶ τοῦ κόσμου καὶ τῆς τάξεως πάσης, οἷον νήφων ἐφά-
» νη παρ᾽ εἰκῇ λέγοντας τοὺς πρότερον. εἰπὼν οὖν ὅτι ἀναξαγόρας καὶ πρότερος ἑρμότιμος ἥψατο
» τούτων τῶν λόγων, ἐπάγει, οἱ μὲν οὖν οὕτως ὑπολαμβάνοντες, ἅμα τοῦ καλῶς τὴν αἰτίαν ἀρχὴν εἶναι
» τῶν ὄντων ἔθεσαν, καὶ τὴν τοιαύτην ὅθεν ἡ κίνησις ὑπάρχει τοῖς οὖσιν. ἐπαινεῖ οὖν τοὺς καὶ τελικὸν καὶ ποι-
ητικὸν αἴτιον τιθέντας τὸν νοῦν. ὥσπερ καὶ πρὸ ὀλίγων ἐπῄνει τὸν ἀναξαγόραν, ὅτι τὸν νοῦν ἀρχὴν κι-
νήσεως λέγων, ἀπαθῆ καὶ ἀμιγῆ αὐτὸν ἐφύλαττον. ἐπειδὴ δὲ καὶ ὁ ἀλέξανδρος καὶ ἄλλοι τινὲς τῶν πε-
ριπατητικῶν. δοκοῦσι νομίζειν τὸν ἀριστοτέλη τοῦ οὐρανοῦ τελικὸν αἴτιον καὶ κινητικόν. οὐ μέντοι
» ποιητικὸν ὡς καὶ ἡ πρὸ ὀλίγου παρατεθεῖσα ἀλεξάνδρου λέξις ἐδήλωσεν εἰπόντος. ὅτι τὸ πρώτως
» κινοῦν τῆς τοῦ θείου σώματος κινήσεως ποιητικόν ἐστιν, ὄντος ἀγενήτου, φέρε καὶ τοῦ οὐρανοῦ δείξωμεν
ποιητικὸν αἴτιον ἡγούμενον τὸν νοῦν. ἤρκει μὲν οὖν καὶ αὐτὸ τοῦτο. ποιητικὸν μὲν αἴτιον ὁρίζεσθαι τὸ
ὅθεν ἡ ἀρχὴ τῆς κινήσεως, τὸν δὲ νοῦν ἤτοι τὸ ἀκίνητον αἴτιον λέγειν, ὅθεν ἡ τῆς οὐρανίας προσεχῶς κινήσε-
ως ἀρχή. διότι τῆς τοῦ οὐρανοῦ κινήσεως, καὶ τῆς τῶν ὑπὸ σελήνην κινήσεως ἀρχὴ τὸ ἀκίνητόν ἐστι. πάλιν
καὶ ἐν τῷ δευτέρῳ τῆς φυσικῆς ἀκροάσεως, τὴν τύχην καὶ τὸ αὐτόματον κατὰ συμβεβηκὸς αἴτια λέγων
τοῖς καθ᾽ αὐτὸ ποιητικοῖς ἐπισυμβαίνοντα τῷ τε νῷ καὶ τῇ φύσει, τὸν τρόπον τῆς αἰτίας φησὶν ἐν τοῖς
ὅθεν ἡ ἀρχὴ τῆς κινήσεως ἑκάτερον αὐτῶν ἐστὶ, τὴν τύχην λέγων καὶ τὸ αὐτόματον, ἐπάγει ταῦτα.
» ἐπεὶ δέ ἐστι τὸ αὐτόματον καὶ ἡ τύχη αἴτια, ὧν ἂν ἢ νοῦς γένοιτο αἴτιος ἢ φύσις, ὅταν κατὰ συμβεβη-
» κὸς αἴτιόν τι γένηται τούτων αὐτῶν, οὐδὲν δὲ τῶν κατὰ συμβεβηκὸς πρότερόν ἐστι τῶν καθ᾽ αὐτὸ, ὕστε-
» ρον ἄρα τὸ αὐτόματον καὶ ἡ τύχη νοῦ καὶ φύσεως. ὥστε εἰ ὅτι μάλιστα τοῦ οὐρανοῦ τοῦδε αἴτιόν ἐστι τὸ
» αὐτόματον, ἀνάγκη πρότερον νοῦν αἴτιον καὶ φύσιν εἶναι καὶ ἄλλων πολλῶν καὶ τοῦδε τοῦ παντός.
Ἀλλὰ πρὸς μὲν τοῦτο τάχα ἄν τις ἀντιλογικὸς ἀνὴρ εὕροι ἀποφυγὴν, οὐ τοῦτο δεικνύναι λέγων ἐν τού-

τοις τὸν ἀριστοτέλην, ὅτι νοῦς καὶ φύσις τοῦ οὐρανοῦ αἴτια. ἀλλ' ὅτι ὁ λέγων αὐτόματον καὶ τὴν τύχην ποιητικὰ τοῦ οὐρανοῦ αἴτια, ἀναγκασθήσεται πρὸ ἐκείνων νοῦν καὶ φύσιν αἰτιᾶσθαι. ἐκείνῳ δὲ χρὴ προσέχειν τὸν νοῦν. ὅτι τὸ ἑτεροκίνητον καὶ τὴν ὑπόστασιν ἑτέρωθεν ἔχειν ἀνάγκη, εἴπερ κρείττων ἡ οὐσία τῆς κινήσεως. εἰ δὲ καὶ παντὸς σώματος πεπερασμένου κατ' αὐτὸ πεπερασμένη ἡ δύναμις, ἡ κινητικὴ δηλονότι καὶ ἡ τῆς οὐσίας ὑποστατική, ἀνάγκη ἄρα ὥσπερ τὴν ἀΐδιον κίνησιν ἀπὸ τῆς ἀκινήτου αἰτίας ἔχει, οὕτω καὶ τὴν ἀΐδιον σωματικὴν οὐσίαν ἀπὸ τοῦ ἀσωμάτου παραδέχεσθαι. γέγραπται δὲ βιβλίον ὅλον ἀμμωνίῳ τῷ ἐμῷ καθηγεμόνι, πολλὰς πίστεις παρεχόμενον τοῦ καὶ ποιητικὸν αἴτιον ἡγεῖσθαι τὸν θεὸν τοῦ παντὸς κόσμου τὸν ἀριστοτέλην. ἀφ' οὗ καὶ ἐγώ τινα μετήγαγον ἐνταῦθα τοῖς προκειμένοις ἀρκούντως. καὶ ἔξεστι τὴν τελειοτέραν περὶ τούτου διδασκαλίαν ἐκεῖθεν λαβεῖν. εἰ δέ τις ζητεῖ, τί δή ποτε ὁ ἀριστοτέλης οὐχ οὕτω φανερῶς ποιητικὸν αἴτιον τὸν θεὸν εἶπεν, ὡς τελικόν, τὸν περὶ τοῦ γενητοῦ ῥηθέντα πρότερον καὶ νῦν ἐρῶ λόγον. ἐπειδὴ γὰρ τὸ ποιοῦν γινόμενον ποιεῖ, τὸ δὲ γινόμενον χρονικὴν ἀρχὴν συναναφέρειν δοκεῖ τῆς γενέσεως, διὰ τοῦτο τὰ τῶν σωμάτων ἀΐδια καὶ αὐτὰ γινόμενα λέγειν παρῃτήσατο, καὶ τὸ αἴτιον αὐτῶν ποιητικὸν πολλάκις ὀνομάζειν καὶ προφανῶς. καὶ τάχα εἴ τις τὸ γινόμενον καὶ τὸ ποιοῦν ἐπὶ τῶν ἐν γενέσει καὶ φθορᾷ κυρίως ἁρμόττειν λέγοι, μερικὸν συναναφέροντα χρόνον, ἄλλοις ὀνόμασιν ἐπὶ τῶν ἀϊδίων χρήσεται. καὶ ὅρα ὅτι κίνησιν μὲν ἀΐδιον οὐ παρῃτήσατο λέγειν ὁ ἀριστοτέλης, καίτοι τῆς κινήσεως ἐν τῷ γίνεσθαι τὸ εἶναι ἐχούσης. γένεσιν δὲ ἀΐδιον οὐχ εἵλετο λέγειν ἐπὶ τοῦ αὐτοῦ. ὅτι τὸ γινόμενον μὴ ὂν πρότερον γίνεσθαι δοκεῖ, καὶ φθείρεσθαι πάλιν βούλεται. τὴν μὲν οὖν κατὰ μέρος τοῦδε τοῦ βιβλίου διάρθρωσιν τοιαύτην ὡς δυνατὸς ἦν ἐποιησάμην. οὐ χεῖρον δὲ ἴσως ἐστὶ καὶ σύντομον ἔφοδον ἐπὶ κεφαλαίων προσθεῖναι τοῖς εἰρημένοις. τήν τε τῆς τάξεως τῶν προβλημάτων ἀκρίβειαν ἐνδεικνυμένην, καὶ μνήμην τοῖς ἐντυγχάνουσι παρεχομένην. προβαλλόμενος γὰρ ἐν ἀρχῇ ζητεῖν, εἰ ἔστιν ἀεὶ κίνησις, καὶ οὔτε γέγονε πρότερον μὴ οὖσα, οὔτε φθαρήσεται ὥστε ὕστερον μηκέτι εἶναι, δείκνυσι τοῦτο πρῶτον μὲν ἐκ τῆς πάντων σχεδὸν τῶν φυσικῶν συμφωνίας, τὸν ἀναξαγόραν καὶ τὸν ἐμπεδοκλέα μόνους ὡς μὴ ἀεὶ κίνησιν εἶναι δοκοῦντας λέγειν παραιτησάμενος. δεύτερον ἐκ τοῦ ὁρισμοῦ τῆς κινήσεως δείκνυσιν, ὅτι οὐκ ἔστιν οὔτε πρώτην οὔτε ἐσχάτην κίνησιν λαβεῖν. ἀλλὰ καὶ τῆς πρώτης ἔστιν ἀεὶ προτέρα, καὶ τῆς ὑστέρας ὑστέρα, ὡς ἀεὶ κινήσεως οὔσης. τρίτον τὸ αὐτὸ δείκνυσιν ἀπὸ τοῦ κατὰ χρόνον προτέρου καὶ ὑστέρου. τέταρτον ἀπὸ τοῦ νῦν τοῦ ἐν τῷ χρόνῳ, μέσου ὄντος ἀεὶ παρεληλυθότος καὶ μέλλοντος. εἶτα ἐπιστήσας ὅτι τὸ λέγειν πρότερον μὲν τὸν ἄπειρον αἰῶνα μὴ εἶναι κίνησιν, ὕστερον δὲ εἶναι, πλάσματι ἔοικεν, ὥσπερ καὶ τὸ λέγειν οὕτω πέφυκεν, τότε λοιπὸν τοὺς ἐνισταμένους λόγους πρὸς τὸ ἀεὶ εἶναι κίνησιν ἐκτίθεται, τρεῖς ὄντας. ὧν ὁ μὲν πρῶτος ἐκ τοῦ πᾶσαν μεταβολὴν ἐξ ἐναντίου εἰς ἐναντίον γίνεσθαι, καὶ ὡρίσθαι τὰ ἐναντία, τὸ μὴ εἶναι συνεχῆ καὶ ἀΐδιον κίνησιν ἀποδεικνύναι πειρᾶται. ὁ δὲ δεύτερος ὅτι γίνεται κίνησις μὴ πρότερον οὖσα δεικνύναι δοκεῖ, ἐκ τοῦ τὰ ἄψυχα μὴ πρότερον κινούμενα ὕστερον κινεῖσθαι. ὁ δὲ τρίτος ἀπὸ τῶν ἐμψύχων, ὅτι καὶ ταῦτα μὴ πρότερον κινούμενα ὕστερον κινεῖται, μὴ φαινομένης τῆς κινούσης αἰτίας. ὥσπερ ἐπὶ τῶν ἀψύχων. καὶ διὰ τοῦτο μᾶλλον ἐπὶ τούτων δοκούσης γίνεσθαι κινήσεως μὴ πρότερον οὔσης. καὶ λοιπὸν λύει τὰς ἐνστάσεις. τὴν μὲν πρώτην ἀπὸ τοῦ τὰς μὲν ἐξ ἐναντίων εἰς ἐναντία μεταβολὰς πεπερασμένας εἶναι, μηδὲν δὲ κωλύειν εἶναι καὶ μίαν τινὰ καὶ συνεχῆ καὶ ἀΐδιον. τὰς δὲ ἄλλας ἀπὸ τοῦ πρὸ τῶν φαινομένων κινήσεων εἶναι ἄλλας κινήσεις. εἶτα ἐπ' ἀρχὴν ἀνάγων τὸν λόγον, διαιρεῖ τὴν τῶν ὄντων φύσιν πρός τε κίνησιν καὶ πρὸς ἠρεμίαν. καὶ δείκνυσι πρῶτον μὲν ὅτι οὐ πάντα ἀεὶ ἠρεμεῖ, ἔκ τε τῆς ἐναργείας καὶ ἐκ διαφόρων ἐπιβολῶν. εἶτα ὅτι οὐδὲ πάντα ἀεὶ κινεῖται. καὶ τρίτον ὅτι οὐδὲ τὰ μὲν ἀεὶ ἠρεμεῖ. τὰ δὲ ἀεὶ κινεῖται, οὔτε πάντα ποτὲ μὲν ἠρεμεῖ ποτὲ δὲ κινεῖται. εἶτα ἀναλαβὼν τὴν διαίρεσιν, καὶ συντόμως ἐλέγξας τὰ εἰρημένα τμήματα, τὸ περιλειπόμενον βεβαιοῖ, τὸ λέγον τὰ μὲν ἀεὶ ἠρεμεῖν, τὰ δὲ ἀεὶ κινεῖσθαι. ἐφ' οἷς διαίρεσιν τῶν κινούντων καὶ τῶν κινουμένων ποιεῖται, εἰς ἀπόδειξιν τὴν μέλλουσαν προσεχῶς, τοῦ πᾶν τὸ κινούμενον ὑπό τινος κινεῖσθαι. ἐξ οὗ πάλιν δείκνυται, ὅτι τῶν ὄντων τὰ μὲν ἀεὶ κινεῖται, τὰ δὲ ἀεὶ ἠρεμεῖ, τὰ δὲ ποτὲ μὲν κινεῖται, ποτὲ δὲ ἠρεμεῖ. ἔτι δὲ καὶ ὅτι τῶν μὲν κινούντων καὶ κινουμένων πρῶτόν ἐστι τὸ αὐτοκίνητον, τῶν δὲ κινούντων ἁπλῶς πρῶτον τὸ ἀκίνητον. ἐν δὲ τῷ δεικνύναι ὅτι πᾶν τὸ κινούμενον ὑπ' ἄλλου τινὸς παρ' ἑαυτὸ κινεῖται, δείκνυσιν ὅτι καὶ τὰ φυσικὰ σώματα τὰ ἁπλᾶ οὐχ ἑαυτὰ κινεῖ. ἀλλ' ὑπ' ἄλλου κινεῖται. βίᾳ μὲν ἐκ τοῦ ῥιπτοῦντος ἢ ὠθοῦντος ἢ ἕλκοντος. κατὰ φύσιν δὲ ὑπὸ τοῦ μεταβάλλοντος αὐτὸ ἐκ τοῦ δυνάμει εἰς τὸ ἐνεργείᾳ. καὶ ὅτι καὶ ὁ τὸ ἐμπόδιον ἀφαιρῶν κινεῖ, ἀλλὰ κατὰ συμβεβηκός. εἶτα συναγαγὼν τὸν λόγον συντόμως δείκνυσιν ὅτι πᾶν τὸ κινούμενον ὑπό τινος κινεῖται, ἢ δι' ἑαυτοῦ κινοῦντος ἢ δι' ἄλλου. εἰ δὲ τοῦτο οὕτως ἔχει, ἢ ἐπ' ἄπειρον ἀνάγκη ἰέναι ἄλλο ὑπ' ἄλλου κινεῖσθαι λέγοντα, ἢ εἰς τὸ ὑφ' ἑαυτοῦ κινούμενον καταντᾶν. εἶτα καὶ κατὰ ἄλλην ἔφοδον δείκνυσιν, ὅτι τῶν κινούντων καὶ κινουμένων πρῶτόν ἐστι τὸ αὐτοκίνητον. καὶ οὕτως εὑρὼν τὸ πρώτως κινοῦν ὡς κινούμενον, ἐφεξῆς καὶ τὸ ἀκίνητον εὑρίσκει. δεικνὺς ὅτι οὐ πᾶν τὸ κινοῦν κινούμενον καὶ αὐτὸ κινεῖ, οὔτε κατὰ συμβεβηκὸς οὔτε καθ' αὑτό.

καὶ πρῶτον δείκνυσιν ὅτι οὐ κατὰ συμβεβηκός. καὶ μεταξὺ εἰπὼν ὅτι ὄντος τοῦ μόνως κινουμένου, καὶ
τοῦ κινοῦντος ἅμα καὶ κινουμένου, εὔλογον εἶναι καὶ τὸ μόνως κινοῦν μὴ κινούμενον, τότε δείκνυσιν ὅτι
οὐδὲ καθ᾽ αὑτὸ ἀνάγκη πᾶν τὸ κινοῦν ὑπό τινος κινούμενον κινεῖν. καὶ καθόλου λοιπὸν δείκνυσιν, ὅτι τὸ
πρῶτον κινούμενον ἢ ὑπὸ ἀκινήτου ἢ ὑπὸ αὐτοκινήτου κινήσεται. καὶ προστίθησιν ὅτι μᾶλλον ἀρχὴ
κινήσεως τὸ αὐτοκίνητον, ἢ τὸ ὑπ᾽ ἄλλου κινούμενον. καὶ τότε ζητεῖ τὸν τρόπον, καθ᾽ ὃν ἑαυτὸ κινεῖ τὸ αὐ
τοκίνητον. καὶ δείκνυσιν ὅτι μέρει μὲν ἑαυτοῦ κινεῖ τῇ ψυχῇ ἀκινήτῳ οὔσῃ, μέρει δὲ κινεῖται τῷ σώ-
ματι. καὶ οὔτε ὅλον κινεῖ καὶ κινεῖται. οὔτε ὅλῳ μέρος κινεῖ, οὔτε μέρει ὅλον. οἷς προστίθησιν ὅτι οὐδὲν
μόριον τοῦ αὐτοκινήτου αὐτοκίνητόν ἐστι. καὶ συμπεραίνεται λοιπὸν, ὅτι τὸ πρώτως κινοῦν ἀκίνητόν
ἐστιν, ἢ προσεχῶς κινοῦν, ἢ διὰ μέσου τοῦ αὐτοκινήτου. ἐν ᾧ πάλιν τὸ κινοῦν ἀκίνητόν ἐστι. καὶ ἐφεξῆς
δείκνυσιν ὅτι τὸ πρώτως κινοῦν ἀκίνητον καὶ ἀΐδιόν ἐστιν, ὡς καὶ τῆς κατὰ γένεσιν καὶ φθορὰν κινήσε
ως καὶ μεταβολῆς ὑπερανέχον. καὶ ὅτι ἕν ἐστιν. ἄμφω δὲ δείκνυσιν ὑποθέμενος πῶς εἶναί τινα συνε
χῆ καὶ ἀΐδιον κίνησιν. ἣν πρώτην οὖσαν ὑπὸ τοῦ πρώτου κινοῦντος εὔλογον καὶ ἀναγκαῖόν ἐστι κινεῖ
σθαι. ὕστερον δὲ δείξει ὅτι ἔστι τοιαύτη κίνησις τῶν οὐρανίων. καὶ ἀπὸ τῶν ἄλλων δὲ τῆς κινήσεως ἀρχῶν
δείκνυσιν. ὅτι τὸ πρώτως κινοῦν καὶ κατὰ συμβεβηκὸς ἀκίνητον καὶ ἀΐδιόν ἐστι. καὶ ἐφεξῆς προστίθη
σιν ἀκολούθως. ὅτι καὶ τὸ κινούμενον προσεχῶς ὑπὸ τοῦ ἀκινήτου καὶ ἀϊδίου αἰτίου, ἀΐδιον ἀνάγκη εἶναι.
καὶ λοιπὸν ὅπερ ὑπέθετο τὸ εἶναί τινα μίαν καὶ συνεχῆ κίνησιν δείκνυσι, προλαβὼν ὅτι χρὴ τὴν πρώ
την εἶναι τοιαύτην. καὶ κατὰ πολλοὺς τρόπους ἀποδείξας, ὅτι ἡ φορὰ πρώτη τῶν κινήσεων καὶ με
ταβολῶν ἐστι. καὶ ὅτι τῆς φορᾶς ἡ ἐπ᾽ εὐθείας κίνησις πεπερασμένης οὔσης ἀνακάμπτουσα, οὐ δύναται
συνεχὴς εἶναι. οὔτε ἡ μικτή. ἀλλὰ μόνη ἡ κυκλοφορία. τὸ γὰρ ἀνακάμπτον ἵσταται μεταξύ. μνημονεύ-
σας δὲ τῶν σημείων τῶν τε διαιρούντων καὶ τῶν περατούντων τὴν εὐθεῖαν, καὶ ἀνάλογον αὐτοῖς τὰ ἐν τῷ
χρόνῳ νῦν λαβὼν, ἐπίστησε καλῶς ὅτι τὸ διαιροῦν τὸν χρόνον νῦν, ὡς μὲν πρὸς τὸν χρόνον τοῦ μὲν πέ
ρας ἐστὶ. τοῦ δὲ ἀρχή. ὡς δὲ πρὸς τὸ πρᾶγμα τὸ ἐν χρόνῳ, τῷ ὑστέρῳ προστεθήσεται. καὶ ὅτι οὐ σύγ-
κειται ὁ χρόνος ἐξ ἀμερῶν. οὐδὲ διαιρεῖται εἰς ἀμερῆ. ὅπερ αὐτῷ καὶ ἐν τοῖς πρὸ τούτου τοῦ βιβλίου
δέδεικται. καὶ κατὰ λογικωτέραν δὲ καὶ κοινοτέραν ἔφοδον δείκνυσιν. ὅτι ἀνάγκη τὰς ἀντικειμέ
νας κινήσεις στάσει διαλαμβάνεσθαι. καὶ καθολικώτερον ἐπὶ πάσης μεταβολῆς ἐκτείνει τὴν ἀπό
δειξιν, ἐκ τούτων δεικνὺς, ὅτι τὰ ἐπ᾽ εὐθείας κινούμενα οὐ κινεῖται μίαν καὶ συνεχῆ κίνησιν. καὶ τότε
καθόλου ἅμα καὶ οἰκείως τῷ προκειμένῳ δείκνυσι τὸ αὐτό. καὶ λοιπὸν δείκνυσιν, ὅτι μόνην τὴν κυ-
κλοφορίαν δυνατὸν εἶναι συνεχῆ. ἐπειδὴ μήτε ἐξ ἐναντίων ἢ ἀντικειμένων κινήσεων σύγκειται, ὥσ-
περ ἡ ἐπ᾽ εὐθείας. μήτε ἠρεμίᾳ διαλαμβάνεται. ὡς ἐκείνη καὶ αἱ ἄλλαι πᾶσαι κινήσεις καὶ μετα
βολαί. εἰ οὖν πρώτη μὲν τῶν ἄλλων κινήσεων ἡ φορὰ δέδεικται, τῆς δὲ φορᾶς ἡ κυκλοφορία πρώτη,
ὡς αὐτὴ μόνη συνεχὴς εἶναι καὶ μία δυναμένη, δηλονότι πασῶν τῶν κινήσεων πρώτη ἂν εἴη ἡ κυ
κλοφορία. διὸ καὶ μέτρον ἐστὶ τῶν ἄλλων. καὶ ὁμοίως ἐκ τοῦ μέτρον εἶναι τὸ πρώτην εἶναι συμβαίνει. ἁ-
πλούστερον γὰρ καὶ πρῶτον τὸ μέτρον τῶν μετρουμένων ἐστίν. ὡς ἡ μονὰς τοῦ ἀριθμοῦ. καὶ ὁ δάκτυλος ἢ ὁ πούς
τοῦ μείζονος μεγέθους. ἡ δὲ πρώτη καὶ μέτρον καὶ ὁμαλὴς εἰκότως ἐστὶ μόνη τῶν ἄλλων. λοιπὸν δὲ ὥσπερ
ἔθος αὐτῷ, καὶ ἀπὸ τῆς τῶν ἄλλων φυσιολόγων δόξης, καὶ ἀπὸ τῆς τῶν ὀνομάτων συνηθείας, πιστοῦται
τὸ τὴν φορὰν πρώτην εἶναι τῶν ἄλλων κινήσεων. καὶ ἀναλαβὼν ἐν ἐπιτομῇ κεφαλαίων τὰ προαποδε-
δειγμένα, προστίθησιν ὅτι καὶ ἀμερές ἐστι τὸ πρώτως κινοῦν καὶ ἀμέγεθες. ἐπειδὴ μήτε ἄπειρον μέ
γεθος εἶναι δυνατὸν, μήτε ἐν πεπερασμένῳ μεγέθει ἄπειρον εἶναι δύναμιν. ὡς ἔδειξε. καὶ τὸ τού-
τῳ δὲ ἀντίστροφον προστίθησιν, ὅτι οὔτε ἐν ἀπείρῳ μεγέθει πεπερασμένην δύναμιν οἷόν τε εἶναι,
κἂν ὑπόθηταί τις εἶναι μέγεθος ἄπειρον. ἐπειδὴ δὲ πᾶς ὁ λόγος ἤρτηται τοῦ πᾶν τὸ κινούμενον ὑπό
τινος κινεῖσθαι, πιστότερον ποιῶν τὸν λόγον, τὴν ἀπὸ τῶν ῥιπτουμένων ἔνστασιν πρὸς αὐτὸν παράγει.
καὶ λύει τὴν ἔνστασιν. καὶ ἐν ἐπιτομῇ πᾶσι συμπεραίνεται κεφαλαιωδῶς τὸν λόγον, τὸ δείξαντα τὸ πρῶ
τον κινοῦν ἀμερὲς καὶ ἀδιαίρετον εἶναι, δι᾽ οὗ τὴν ὅλην φυσικὴν σύστασιν τῆς ὑπὲρ φύσεως αἰτίας.
καὶ τὴν φυσικὴν θεωρίαν τῆς πρώτης φιλοσοφίας ἐξηρτημένην ἔδειξεν ὁ φιλόσοφος, τέλος τὸ
κάλλιστον ἐπιθεὶς τῇ περὶ τῶν φυσικῶν ἀρχῶν πραγματείᾳ.

Σιμπλικίου ὑπόμνημα εἰς τὸ ὄγδοον τῆς Ἀριστοτέλους φυσικῆς ἀκροάσεως. τέλος.

* a b c d e f g h i k l m n o p q r ſ t u x y z & aa bb cc dd ee ff
gg hh ii kk ll mm nn oo pp qq. Omnes quaterniones præter * duernionem, &
hh. & qq. quinterniones.

Venetiis in Aedibus Aldi, & Andreæ Aſulani Soceri Menſe Octobri.
M. D. XXVI.


AL
DVS.

De Quinta Essentia 268. a.

ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς a Mose desumta. ib.

Eudemus Rhodius 216 a.

Mr Howard's Sale
Jan 1835 pnf